# ΦΙΛΟΚΑΛΙΑ

## ΤΩΝ ΙΕΡΩΝ

# ΝΗΠΤΙΚΩΝ·

ΣΥΝΕΡΑΝΙΣΘΕΙΣΑ

ΠΑΡΑ' ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ' ΘΕΟΦΟ'ΡΩΝ

# ΠΑΤΕΡΩΝ ΗΜΩΝ

ΕΝ Ἧ,

Διὰ τῆς κατὰ τὴν Πρᾶξιν καὶ Θεωρίαν Ἠθικῆς Φιλοσοφίας ὁ νοῦς καθαίρεται, φωτίζεται, καὶ τελειοῦται.

ΕΠΙΜΕΛΕΙΑ, ΜΕ'Ν ΟΤΙ ΠΛΕΙΣΤΗ, ΔΙΟΡΘΩΘΕΙΣΑ-

ΝΥΝ ΔΕ' ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΙΣΑ

ΔΙΑ ΔΑΠΑ'ΝΗΣ

ΤΟΥ ΤΙΜΙΩΤΑ'ΤΟΥ, ΚΑΙ' ΘΕΟΣΕΒΕΣΤΑ'ΤΟΥ ΚΥΡΙΟΥ

## ΙΩΑ'ΝΝΟΥ ΜΑΥΡΟΓΟΡΔΑ'ΤΟΥ

ΕΙΣ ΚΟΙΝΗ'Ν ΤΩ'Ν ΟΡΘΟΔΟ'ΞΩΝ Ω'ΦΕΛΕΙΑΝ.





αψπβ. ΕΝΕΤΙ'ΗΣΙΝ, 1782.

ΠΑΡΑ' Α'ΝΤΩΝΙΩ, ΤΩ ΒΟ'ΡΤΟΛΙ.

CON LICENZA DE' SUPERIORI, E PRIVILEGIO.

# ΠΡΟΟΙΜΙΟΝ

## ΕΙΣ ΤΗΝ ΠΑΡΟΥΣΑΝ

# ΒΙΒΛΟΝ

Θεός, ἡ μακαρία Φύσις· ἡ ὑπερτελὴς τελειότης· ἡ πάντων τῶν ἀγαθῶν καὶ καλῶν Ποιητικὴ Ἀρχὴ ὑπεράγαθος καὶ ὑπέρκαλλος· ἐξ ἀϊδίου προορίσας κατὰ τὴν θεαρχικὴν αὐτοῦ ἰδέαν θεῶσαι τὸν ἄνθρωπον, καὶ τοῦτον περὶ αὐτοῦ ἀπ' ἀρχῆς ἐν ἑαυτῷ προηγουμένως θεὶς τὸν σκοπόν, ἐν χρόνῳ καθ' ὃν ηὐδόκησε τοῦτον δημιουργεῖ. Καὶ παρὰ μὲν τῆς ὕλης τὸ σῶμα λαβών, παρ' ἑαυτοῦ δὲ ψυχὴν ἐνθείς, οἷόν τινα κόσμον, μέγαν τῷ πλήθει τῶν δυνάμεων καὶ τῇ ὑπεροχῇ, ἐν τῷ μικρῷ ἵστησιν· ἐπόπτην τῆς αἰσθητῆς Κτίσεως, καὶ μύστην τῆς νοουμένης, κατὰ τὸν πολὺν ἐν Θεολογίᾳ Γρηγόριον. Καὶ τί γὰρ ἄλλο, ἀλλ' ἢ ἄγαλμα τῷ ὄντι καὶ εἰκόνα θεότευκτον πασῶν χαρίτων ἀνάπλεων; Εἶθ' οὕτω, καὶ τὸν τῆς Ἐντολῆς νόμον αὐτῷ παρασχών, οἷόν τινα τοῦ Αὐτεξουσίου ἀπόπειραν, ὑποχωρῆσαι τούτῳ τοῦ λοιποῦ δεῖν ἔγνω, καί, ὅ φησιν ὁ Σειράχ, ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ, κατὰ τὸ δοκοῦν αὐτῷ ἑλέσθαι τὸ παριστάμενον· καὶ ἔπαθλον ὥσπερ τῆς τηρηθείσης παρ' αὐτοῦ ἐντολῆς, τὴν ἐνυπόστατον τῆς θεώσεως χάριν κομίσασθαι, Θεὸν γενόμενον, καὶ τῷ ἀκραιφνεστάτῳ φωτὶ εἰς αἰῶνας καταστραπτόμενον. Ἀλλὰ γάρ, ὢ τῆς πονηρᾶς τοῦ φθόνου ῥᾳδιουργίας, οὐκ ἠνέγκε ταῦτα εἰς ἔργον προβῆναι ὁ τῆς κακίας ἀρχῆθεν εἰσηγητής· φθόνον δὲ συλλαβὼν κατά τε τοῦ Πλάστου καὶ πλάσματος, ὡς ὁ Ἱερὸς φησι Μάξιμος· τοῦ μέν, ἵνα μὴ διάδηλος γένηται ἡ κατ' ἐνέργειαν πανύμνητος τῆς Ἀγαθότητος δύναμις θεουργοῦσα τὸν ἄνθρωπον· τοῦ δέ, ἵνα μὴ τῆς τοιαύτης ὑπερφυοῦς κατὰ θέωσιν δόξης φανείη μέτοχος· δόλῳ ὁ δόλιος τὸν δείλαιον κατασοφισάμενος ἄνθρωπον, χρηστολόγοις δῆθεν βουλαῖς παραβῆναι τὴν θεοποιὸν ἐντολὴν παρεσκεύασε. Καὶ τῆς θείας δόξης, φεῦ, τοῦτον ἀποχωρίσας, Ὀλυμπιονίκης τις εἶναι ὁ ἀντάρτης ἐδόκει καθ' ἑαυτόν, ὡς δυνηθεὶς διακόψαι τῆς προαιωνίου βουλῆς τοῦ Θεοῦ τὴν ἐκπλήρωσιν.

Ἐπεὶ δὲ κατὰ τοὺς θείους φάναι χρησμούς, ἡ ἐπὶ θεώσει τῆς ἀνθρωπίνης φύσεως γεγονυῖα βουλὴ τοῦ Θεοῦ εἰς τὸν αἰῶνα μένει, λογισμοί τε τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γεννεαῖ, οἱ τῆς Προνοίας, δηλαδὴ, καὶ Κρίσεως λόγοι οἱ ἐπὶ τοῦτο συντείνοντες τὸν σκοπὸν, κατά τε τὸν παρόντα, κατά τε τὸν μέλλοντα αἰῶνα ἀμετατρέπτως βεβήκασι, κατὰ τὴν τοῦ Ἱεροῦ Μαξίμου ἀνάπτυξιν· Ηὐδόκησεν ἐπ' ἐσχάτων τῶν ἡμερῶν διὰ σπλάγχνα ἐλέους αὐτὸς ὁ τοῦ Πατρὸς Θεαρχικώτατος Λόγος, ἀθετῆσαι μὲν τὰς βουλὰς τῶν Ἀρχόντων τοῦ σκότους, περάναι δὲ καὶ εἰς ἔργον προαγαγεῖν, ἣν προέθετο βουλὴν ἀρχαίαν τε καὶ ἀληθινήν. Καὶ τοίνυν, εὐδοκίᾳ τοῦ Πατρὸς, καὶ συνεργίᾳ τοῦ Ἁγίου Πνεύματος σαρκωθεὶς, καὶ τὴν ἡμετέραν ὅλην προσλαβόμενος φύσιν, καὶ θεώσας αὐτήν· εἶτα καὶ τὰς σωτηρίους καὶ θεουργοὺς αὐτοῦ ἐντολὰς ἡμῖν δωρησάμενος, καὶ τὴν τοῦ Παναγίου Πνεύματος αὐτοῦ τελείαν χάριν διὰ τοῦ Βαπτίσματος, οἱονεὶ σπέρμα θεῖον ἐγκατασπείρας ταῖς καρδίαις ἡμῶν, δέδωκεν ἡμῖν, κατὰ τὸν θεῖον Εὐαγγελιστὴν, ἐξουσίαν, ὥστε, κατὰ τὰς ζωοποιοὺς αὐτοῦ ἐντολὰς, καὶ τὰς πνευματικὰς μεθηλικιώσεις πολιτευομένας, καὶ διὰ τῆς ἐργασίας αὐτῶν ἄσβεστον τὴν ἐν ἡμῖν χάριν διατηρήσαντας, τελευταῖον καρποφορῆσαι, καὶ τέκνα Θεοῦ δι' αὐτῆς γενέσθαι καὶ θεωθῆναι, καταντήσαντας εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Τοῦτο γὰρ ἦν, ὡς ἐν κεφαλαίῳ, τὸ τέλος ἅπαν καὶ τὸ συμπέρασμα τῆς περὶ ἡμᾶς ὅλης τοῦ Λόγου οἰκονομίας. Ἀλλ' οἴμοι, καλὸν γὰρ ἐνταῦθα στενάξαι πικρὸν, κατὰ τὸν Θεῖον Χρυσόστομον. Οἱ γὰρ τοσαύτης χάριτος ἀπολαύσαντες, καὶ τηλικαύτης εὐγενείας ἀξιωθέντες, ὥστε τὴν ἡμετέραν ψυχὴν ὑπὲρ Ἥλιον λάμπειν ἐν τῷ Βαπτίσματι καθαιρομένην τῷ Πνεύματι. Ἐπεὶ δὲ μή πω τὴν τοιαύτην εἰσδεχόμεθα θεοειδεστάτην λαμπρότητα· τοῦτο μὲν, ὑπ' ἀγνοίας, τὸ πλέον δὲ ὑπὸ τῆς τῶν βιωτικῶν Φροντίδων σκοτομήνης ἐκτυφλωθέντες, ἐπὶ τοσοῦτον τὴν χάριν τοῖς πάθεσι συνεχώσαμεν, ὥστε κινδυνεύειν τελέως τὸ ἐν ἡμῖν ἀποσβῆναι τοῦ Θεοῦ Πνεῦμα, καὶ τὰ ἴσα σχεδὸν τοῖς πρὸς τὸν Παῦλον ἀποκρινομένοις ἐκείνοις παθεῖν, τοῖς, ἀλλ' οὐδὲ εἰ Πνεῦμα Ἅγιον, εἰποῦσιν, ἐστὶν ἠκούσαμεν· καὶ γενέσθαι ἡμᾶς ἀληθῶς ὡς τοαπαρχῆς, κατὰ τὸν Προφήτην, ὅτε οὐκ ἦρχεν ἡ χάρις ἡμῶν. Φεῦ τῆς ἡμῶν ἀσθενείας· ὡς ἀπώλοιτο ἡ κακία, καὶ ἡ περὶ τὰ αἰσθητὰ ἡμῶν παρὰ τὸ δέον προσπάθεια. Καὶ τὸ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι καὶ εἰ παρ' ἑτέροις, τυχὸν, ἐνεργουμένην τὴν χάριν ἀκούσαιμεν, φθονοῦντες διαβάλλομεν, καὶ οὐδὲ εἰ ἔστιν ἐνέργεια χάριτος ἐν τῷ νῦν αἰῶνι πιστεύομεν. Τί οὖν ἐντεῦθεν; σοφίζει μὲν τὸ Πνεῦμα τοὺς θεοσόφους Πατέρας, καὶ πρὸς τῇ καθόλου μνήμῃ, καὶ τῇ κατὰ πάντα

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πρα-

προσοχῇ, καὶ φυλακῇ τοῦ νοός, καὶ τρόπον αὐτοῖς ἀποκαλύπτει εἰς τὸ τὴν χάριν αὖθις εὑρεῖν, ὡς θαυμαστὸν ἀληθῶς καὶ ἐπιστημονικώτατον. Ὃ δὲ ἦν τὸ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ ἀδιαλείπτως προσεύχεσθαι· οὐχ ἁπλῶς, ἐν νοΐ, φημι, μόνον καὶ χείλεσι· (τοῦτο καὶ γὰρ ἅπασι κοινὸς τοῖς εὐσεβεῖν αἱρουμένοις προφανές, καὶ τῷ τυχόντι ἐστὶν εὐχερές.) Ἀλλ᾽ ὅλον τὸν νοῦν κατὰ τὸν ἐντὸς ἄνθρωπον ἐπιστρεψαμένους, ὃ καὶ θαυμαστόν· οὕτως ἔνδον, καὶ ἐν αὐτῷ τῷ τῆς καρδίας βάθει τὸ τοῦ Κυρίου ἐπικαλεῖσθαι Πανάγιον ὄνομα, καὶ παρ᾽ αὐτοῦ τὸ ἔλεος ἐκζητεῖν, αὐτοῖς καὶ μόνοις γυμνοῖς τοῖς τῆς προσευχῆς προσέχοντας ῥήμασι, καὶ μηδὲν ἕτερον οὔτ᾽ ἔσωθεν, οὔτ᾽ ἔξωθεν τὸ σύνολον παραδεχομένους ἀσχημάτιστον ὅλως καὶ ἄχροον τηρεῖν τὴν διάνοιαν. Τὰς δὲ δὴ τῆς ἐργασίας ταύτης ἀφορμάς, καὶ τήν, ὡς ἂν εἴποι τις, ὕλην, ἐξ αὐτῆς ἔχον τῆς τοῦ Κυρίου διδασκαλίας, ποτὲ μὲν λέγοντος· Ἡ „ Βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν „ ἐστίν. Ποτὲ δέ· Ὑποκριτά, κα„ θάρισον πρῶτον τὸ ἐντὸς τοῦ πο„ τηρίου, καὶ τῆς παροψίδος, καὶ τό„ τε τὸ ἐκτὸς αὐτῶν ἔσται καθαρόν. ἅπερ, οὐκ αἰσθητῶς, ἀλλὰ περὶ τοῦ ἐντὸς ἡμῶν ἐννοεῖται ἀνθρώπου. Ἔκ τε τοῦ Ἀποστόλου Παύλου πρὸς Ἐφεσίους γράφοντος οὑτωσί· „ Τούτου χάριν κάμ„ πτω τὰ γόνατά μου πρὸς τὸν Πα„ τέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι„ στοῦ· ἵνα δῴη ὑμῖν δυνάμει κρα„ ταιωθῆναι διὰ τοῦ Πνεύματος αὐ„ τοῦ, εἰς τὸν ἔσω ἄνθρωπον κατοι„ κῆσαι τὸν Χριστὸν διὰ τοῦ Πνεύ„ ματος ἐν ταῖς καρδίαις ἡμῶν. Τί ταύτης τῆς μαρτυρίας σαφέστερον γένοιτ᾽ ἄν; Καὶ ἀλλαχοῦ δέ, ᾄ„ δοντές φησι, καὶ ψάλλοντες ἐν „ τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ. Ἀκούεις; ἐν τῇ καρδίᾳ, φησίν. Οὐ μήν, ἀλλὰ καὶ ὁ Κορυφαῖος τοῦτο προσεμ„ πεδοῖ, ἕως οὗ, φάσκων, ἡμέρα „ διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ „ ἐν ταῖς καρδίαις ὑμῶν. Τοῦτο δέ, ὡς ἀναγκαῖον παντὶ εὐσεβοῦντι, καὶ ἐν μυρίαις ὅσαις ἄλλαις σελίσι τῆς Νέας Γραφῆς τὸ Πνεῦμα ἐκπαιδεύει τὸ Ἅγιον, ὡς ἔξεστι κατιδεῖν τοῖς ἐπεσκεμμένως ταύταις ἐγκύπτουσιν. Ὑπὸ τῆς τοιαύτης γὰρ πνευματικῆς, καὶ ἐπιστημονικῆς ἐργασίας, μετὰ καὶ τῆς ἐφικτῆς τῶν ἐντολῶν καὶ τῶν λοιπῶν ἠθικῶν ἀρετῶν πράξεως, διὰ τῆς ἐκ τῆς τοῦ Παναγίου ὀνόματος ἐπικλήσεως ἐγγινομένης τῇ καρδίᾳ θέρμης, καὶ τῆς κατ᾽ αὐτὴν πνευματικῆς ἐνεργείας, τὰ μὲν πάθη καταναλίσκονται. πῦρ γὰρ ὁ Θεὸς ἡμῶν, καὶ πῦρ καταναλίσκον τὴν μοχθηρίαν. ὅ, τε νοῦς καὶ ἡ καρδία κατ᾽ ὀλίγον καθαίρονται, καὶ πρὸς ἑαυτὰ ἑνοῦνται. κεκαθαρμένων δὲ τούτων, καὶ πρὸς ἑαυτὰ ἡνωμένων· ἐντεῦθεν, αἱ σωτη-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ριώδεις ἐντολαὶ εὐχερέστερον κατορθοῦνται· ἐντεῦθεν, οἱ καρποὶ τοῦ Πνεύματος ἐπανατέλλουσι τῇ ψυχῇ, καὶ πᾶσα ἡ τῶν ἀγαθῶν σωρεία ἐπιδαψιλεύεται· καὶ, ἵνα συνελὼν εἴπω, ἐντεῦθεν, συντομωτέρως ἔξεστιν ἡμῖν ἐπαναδραμεῖν πρὸς τὴν ἐξ ἀρχῆς δωρηθεῖσαν ἐν τῷ Βαπτίσματι τελείαν χάριν τοῦ Πνεύματος, ἐν ἡμῖν μὲν οὖσαν, ἀλλὰ δίκην τοῦ ἐν αἰθάλῃ σπινθῆρος συγκεχωσμένην τοῖς πάθεσι, καὶ τηλαυγῶς ἀναλάμψασαν αὐτὴν κατοπτεῦσαι, καὶ φωτισθῆναι νοερῶς, καὶ ἑπομένως τελειωθῆναι, καὶ θεωθῆναι καταλλήλως. Τῆς γεννὴν ἐργασίας ταύτης οἱ πλείους μὲν τῶν Πατέρων σποράδην ἐν τοῖς ἑαυτῶν συγγράμμασι μνημονεύουσιν, ὡς πρὸς εἰδότας τὸν λόγον ποιούμενοι. Ἔνιοι δὲ τοῦτο προειδότες ἴσως τὴν τῆς ἡμετέρας γενεᾶς περὶ ταύτην τὴν σωτηριώδη μελέτην, ἀγνωσίαν ὁμοῦ καὶ ἀμέλειαν· καὶ τὸν πρακτικὸν αὐτῆς τρόπον διά τινων φυσικῶν μεθόδων λεπτομερῶς ἑρμηνεύσαντες, καθάπερ τινὰ πατρικὴν κληρονομίαν, ἡμῖν τοῖς ἑαυτῶν τέκνοις παραδοῦναι οὐκ ὤκνησαν. οἱ καὶ πολυωνύμως ταύτην ἀποσεμνύνοντες, καὶ ἀρχὴν πάσης ἄλλης θεοφιλοῦς ἐργασίας, καὶ σωρείαν τῶν ἀγαθῶν, καὶ ἀκραιφνέστατον γνώρισμα μετανοίας, καὶ πρᾶξιν νοερὰν ἐπίβασιν οὖσαν ἀληθοῦς θεωρίας, αὐτὴν προσαποφαίνοντες, ἅπαντας ἐπὶ τὸ ὀνησιφόρον τοῦ ἔργου προτρέπουσι. Θρηνῶ δὲ τοὐντεῦθεν. καί μοι τὸ πάθος ἐπικόπτει τὸν λόγον. Τῶν γὰρ περὶ τῆς τοιαύτης τῷόντι Καθαρτικῆς, καὶ Φωτιστικῆς, καὶ Τελειωτικῆς, κατὰ τὸν Ἀρεοπαγίτην εἰπεῖν, ἐργασίας φιλοσοφούντων βιβλίων· Οὐ μὴν, ἀλλὰ καὶ τῶν ἄλλων, ὅσα, διὰ τὸ περὶ προσοχῆς, καὶ νήψεως διεξιέναι, Νηπτικὰ τοῖς πολλοῖς ἀκούει· Πάντων ὁμοῦ ὥσπερ ἀναγκαίων τινῶν Μέσων τε καὶ ὀργάνων εἰς τὴν αὐτὴν τεινόντων ὑπόθεσιν, καὶ σκοπὸν ἕνα ἐχόντων τὸ θεουργῆσαι τὸν ἄνθρωπον· Διά τε τὴν τοῦ χρόνου παλαιότητα, διά τε τὴν σπάνιν, ὡς δ' εἰπεῖν, καὶ τῷ μηδέποτε τύποις ἐκδοθῆναι, μονονουχὶ ἐκλελοιπότων· εἰ δὲ καί τινά που περιελέλειπτο, κἀκείνων σητοβρώτων ὄντων καὶ πάντη διεφθαρμένων, καὶ ἴσα σχεδὸν τοῖς, εἰ μηδέποτ' ἦσαν, μνημονευομένων· Προσθήσω δ' ὅτι, ἐπεὶ καὶ οἱ πλείους τῶν ἡμετέρων ἀμελῶς διάκεινται, καὶ περὶ μὲν τὰ πολλὰ τυρβαζόμενοι, τὰς σωματικὰς φημι, καὶ πρακτικὰς τῶν ἀρετῶν· ἢ, ἀληθέστερον εἰπεῖν, περὶ μόνα τὰ τῶν ἀρετῶν ἐργαλεῖα, ἐν αὐτοῖς τὸν ἅπαντα κατατρίβουσι βίον· τοῦ δὲ ἑνὸς, τῆς φυλακῆς δηλαδὴ τοῦ νοὸς, καὶ τῆς καθαρᾶς προσευχῆς, οὐκ οἶδ' ὅπως, ἀνεπιστημόνως γε λίαν ὀλιγωροῦσι· κινδυνεύει τὴν τοιαύτην σύντομον, καὶ γλυκυτάτην ἐργα-

σίαν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σίαν τέλεον ἐκλιπεῖν· ἀμαυρωθῆναί τε ἐντεῦθεν, καὶ ἀποσβεσθῆναι τὴν χάριν· σὺν ταύτῃ δὲ καὶ τὴν πρὸς Θεὸν ἡμῶν ἕνωσιν καὶ θεουργίαν διαπεσεῖν. (Ὅπερ ἦν τὸ, ὡς εἴρηται, προηγούμενον ἀπ' ἀρχῆς καὶ κατ' εὐδοκίαν θέλημα τοῦ Θεοῦ. Πρὸς ὃ δὴ, ὡς εἰς σκοπιμώτατον τέλος ἀφορῶσιν, ἥ τε πρὸς τὸ εἶναι δημιουργία, καὶ ἡ πρὸς τὸ εὖ εἶναι, καὶ ἀεὶ εὖ εἶναι περὶ ἡμᾶς τοῦ Θεοῦ Λόγου οἰκονομία· καὶ ἁπλῶς ὅσα γε ἐν τῇ Παλαιᾷ, καὶ ὅσα ἐν τῇ Καινῇ θεοπρεπῶς διαπέπρακται.)

Ὅπου γὰρ πρότερον πολλοὶ, καὶ τῶν κατὰ Κόσμον ὄντες, καὶ Βασιλεῖς αὐτοὶ, καὶ ἐν Βασιλείοις διατρίβοντες, καὶ μυρίαις ὅσαις φροντίσι, καὶ μερίμναις βιωτικαῖς ὁσημέραι κατατεμνόμενοι, ἓν καὶ καθ' αὐτὸ ἔργον εἶχον τὸ ἀδιαλείπτως ἐν καρδίᾳ προσεύχεσθαι, ὡς πολλοὺς ἐν ταῖς ἱστορίαις εὑρίσκομεν· νῦν ἐξ ἀμελείας τε καὶ ἀγνωσίας, οὐ μόνον παρὰ τοῖς ἐν κόσμῳ οὖσιν, ἀλλὰ καὶ παρὰ τοῖς μοναχοῖς αὐτοῖς καὶ ἡσύχως μονάζουσι, σπανιώτατον ἐστὶν, ὢ τῆς ζημίας, καὶ πάνυ δυσεύρετον. Οὗτινος καὶ στερούμενοι, καίτοι κατὰ τὸ δυνατὸν ἀγωνιζόμενοι ἕκαστος, καὶ τοὺς ὑπὲρ ἀρετῆς ὑπομένοντες πόνους, οὐδένα ὅμως καρπὸν ἀποδρέπονται. ὅτι τῆς ἀδιαλείπτου τοῦ Κυρίου μνήμης, καὶ τῆς ἐξ αὐτῆς τικτομένης καρδίας τε, καὶ νοὸς ἀπὸ παντὸς πονηροῦ καθαρότητος χωρὶς, καρποφορῆσαι ἀδύνατον. χωρὶς, γάρ φησιν, ἐμοῦ, οὐ δύνασθε ποιεῖν οὐδέν. Καὶ πάλιν· ὁ μένων ἐν ἐμοὶ οὗτος φέρει καρπὸν πολύν.

Ἐντεῦθεν δὴ καὶ τεκμαίρομαι μὴ ἄλλην εἶναι τὴν αἰτίαν, δι' ἣν οὕτως ἐξέλιπον οἱ ἁγιότητι διαπρέποντες καὶ ζῶντες ἔτι καὶ μετὰ θάνατον, καὶ οὕτως ὀλίγοι εἰσὶν οἱ σωζόμενοι ἐν τῷ νῦν καιρῷ, εἰ μὴ ταύτην· ὅτι δηλαδὴ, τούτου τοῦ πρὸς θέωσιν ἀνάγοντος ἔργου παρημελήσαμεν. δίχα δὲ τοῦ θεωθῆναι τὸν νοῦν, ἔφη τις, οὐχ ὅπως ἁγιάσαι, ἀλλ' οὐδὲ σωθῆναι τὸν ἄνθρωπον ἐνδέχεται. ὃ καὶ μόνῃ ἀκοῇ φρικωδέστατον. ταυτὸν γάρ ἐστι σωθῆναι, καὶ θεωθῆναι κατὰ τὴν τῶν θεοσόφων ἐκφαντορίαν. Τὸ δὲ πλέον καὶ κυριώτερον, ὅτι καὶ τῶν εἰς τοῦτο χειραγωγούντων βιβλίων στερούμεθα. Τούτων δὲ χωρὶς, τοῦ τέλους ἐπιτυχεῖν, τῶν ἀδυνάτων ἐστίν.

Ἀλλ' ἰδοὺ ὁ πάντα καλὸς κἀγαθὸς· ὁ τῷ ὄντι φιλόχριστος Κύριος Ἰωάννης Μαυρογορδάτος· ὁ μηδενὶ τῶν ἁπάντων τῶν πρωτείων παραχωρῶν, ὅσα γε εἰς ἐλευθεριότητος ἥκει λόγον, φιλοπτωχείας τε, καὶ φιλοξενίας, καὶ τῆς ἄλλης χορείας τῶν ἀρετῶν· ὁ τῷ ἐνθέῳ ζήλῳ ὑπὲρ τῆς τοῦ κοινοῦ ὠφελείας διαπαντὸς πυρπολούμενος.

Οὗτος δὴ οὗτος παρὰ τῆς τοῦ Χριστοῦ χάριτος τοῦ πάντας ἀνθρώπους σωθῆναι καὶ θεωθῆναι

ἐθέ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐθέλοντος ἐμπρησθεὶς, εἰς χαρὰν μεταβάλλει τὸν θρῆνον, λύων τὸ ἄπορον. Εἰς τὸ Κοινὸν γὰρ προτιθεὶς τὸ τῆς Θεώσεως Μέσον, ὁλοψύχως, καὶ ἵν' οὕτως εἴπω, χερσί τε ποσί τε συντρέχει, καὶ τρόπῳ παντὶ συνεργεῖ ἐν τῷ μέρει τούτῳ τῇ, ὡς εἴρηται, προαιωνίῳ βουλῇ τοῦ Θεοῦ. Βαβαὶ τῆς δόξης. εὖγε τῶν μεγαλείων. Ἰδοὺ γὰρ, τὰ ποτὲ μηδέποτε ἐν τοῖς ἀνωτέρω χρόνοις ἐκδοθέντα· Ἰδοὺ τὰ ἐν παραβύστῳ, καὶ σκότῳ, καὶ γωνίᾳ που κείμενα ἀκλεῆ καὶ σητόβρωτα, καὶ τῇδε κἀκεῖσε παρερριμμένα τε καὶ διεσπαρμένα· Ἰδοὺ τὰ πρὸς τὴν καθαρότητα καρδίας, καὶ νῆψιν νοὸς, καὶ ἀνάκλησιν τῆς ἐν ἡμῖν χάριτος, πρόσθες δὲ, καὶ Θεώσεως, ἐπιστημονικῶς χειραγωγοῦντα, εἰς ἓν συναγαγὼν, καὶ δαπάνης οὐδόλως φεισάμενος, ἐπὶ τὸ μέγα καὶ περιφανὲς φῶς τῆς Τυπογραφίας ἐκδίδωσιν. (Ἔδει γὰρ, ἔδει τὰ περὶ φωτισμοῦ θείου διαγορεύοντα, καὶ φωτὸς τοῦ κατὰ τύπον ἀξιωθῆναι.) Καὶ διὰ ταύτης, ἀπαλλάττει μὲν τοὺς εἰδότας τῶν περὶ τὴν ἀντιγραφὴν πόνων, διεγείρει δὲ ἐν ταὐτῷ καὶ τοὺς μὴ εἰδότας ἐπὶ τὸν τῆς κτήσεως, εἴπω δ' ὅτι καὶ τῆς κατ' ἐνέργειαν πράξεως, ἔρωτα. Καὶ ἔχεις τοιγαροῦν, ὦ φίλτατε Ἀναγνῶστα, διὰ τοῦ παντ' ἀρίστου Κυρίου Ἰωάννου, ἄπονον τοῦ λοιποῦ καὶ εὐπόριστον, τὴν παροῦσαν πνευματικὴν Βίβλον. Βίβλον, τὸ τῆς νήψεως ταμεῖον· τὸ τοῦ νοὸς φυλακτήριον· τὸ μυστικὸν διδασκαλεῖον τῆς νοερᾶς προσευχῆς. Βίβλον, τῆς πρακτικῆς τὴν ἐξαίρετον ὑποτύπωσιν· τῆς θεωρίας τὴν ἀπλανῆ ὁδηγίαν· τὸν τῶν Πατέρων Παράδεισον· τῶν ἀρετῶν τὴν χρυσῆν σειράν. Βίβλον, τὸ πυκνὸν τοῦ Ἰησοῦ ἀδολέσχημα, τὴν ἀνακλητικὴν τῆς χάριτος σάλπιγγα, καὶ συνελόντα φάναι, αὐτὸ δὴ αὐτὸ τὸ τῆς θεώσεως ὄργανον. Χρῆμα εἴπερ τι ἄλλο μυριοπόθητον, καὶ πρὸ πολλῶν ἐτῶν μελετώμενον μὲν καὶ ζητούμενον, ἀλλ' οὐχ' εὑρισκόμενον. Διὰ τοῦτο ἄρα καὶ χρέος ἄφυκτον ἐπικείμενόν σοι ἂν εἴη, καὶ παντὶ λόγῳ δικαίου ὀφειλόμενον, ὑπὲρ τοῦ Εὐεργέτου, καὶ τῶν συνεργῶν, εὐχαῖς ἐκτενέσι τὸ Θεῖον καθικετεύειν, ὅπως ἂν καὶ αὐτοὶ τοῦ ἴσου μέτρου τῆς θεώσεως ἐπιτύχωσι, καὶ ὡς εἰς τοῦτο κοπιάσαντες, πρῶτοι καὶ τῶν καρπῶν ἀπολαύωσιν.

Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενομένοις ὑποκρούσειεν ἄν τις ἴσως, μὴ θεμιτὸν, εἶναι φάσκων, ἔστιν ἅττα τῶν ἐν τῇ Βίβλῳ δημοσιεύειν ταῖς τῶν πολλῶν ἀκοαῖς ὡς ξενίζουσα. ὅτι φησὶ, καὶ κίνδυνός τις ἐκ τούτων παρακολουθεῖ. Πρὸς ὃν δῆτα συντόμως ἀνθυποκρούομεν· ὅτι οὐδὲ ἡμεῖς, ὦ φίλ' ἑταῖρε, οἰκείοις λογισμοῖς στοιχοῦντες ἐπὶ τὴν τοιαύτην ἐγχείρησιν ἤλθομεν, παραδείγμασι δὲ μᾶλλον χρησάμενοι,

ὤθα

ἔνθα μὲν τῆς ἱερᾶς Γραφῆς ἀδιορίςως ἅπασι τοῖς εὐσεβέσιν ἐντελλομένης ἀδιαλείπτως προσεύχεσθαι, καὶ πρὸ ὀφθαλμῶν διαπαντὸς ἔχειν τὸν Κύριον· ἀσεβὲς δὲ τὸ λέγειν κεκωλυμένον τι, ἢ ἀδύνατον ἔχειν τὰ τοῦ Πνεύματος παραγγέλματα, κατὰ τὸν μέγαν Βασίλειον. ἔνθα δὲ, καὶ τῆς τῶν Πατέρων ἐγγράφου παραδόσεως. ὁ γὰρ Θεολόγος Γρηγόριος ἅπασι κοινῶς τοῖς ὑπ᾽ αὐτὸν λαοῖς ὑποτίθεται, μνημονεύειν τοῦ Θεοῦ μᾶλλον, ἢ ἀναπνεῖν. Ὅ,τε Θεῖος Χρυσόςομος τρεῖς ὅλους λόγους ἐκτίθεται περὶ τῆς ἀδιαλείπτου καὶ μονρᾶς προσευχῆς, καὶ μυριαχοῦ δὲ τῶν λοιπῶν αὐτοῦ λόγων ἅπαντας κοινῶς ἐπὶ τῷ διαπαντὸς προσεύχεσθαι παραινεῖ. Καὶ ὁ θαυμαςὸς δ᾽ ἐκεῖνος Σιναΐτης Γρηγόριος διαφόρους πόλεις περιερχόμενος τὴν τοιαύτην σωτήριον ἐργασίαν ἐδίδασκεν. Ἀλλὰ γὰρ καὶ Θεὸς αὐτὸς διὰ θαυματουργίας ἄνωθεν Ἄγγελον ἀποςείλας, τὴν τοιαύτην ἀλήθειαν ἐπεσφράγισεν, ἐπιςομίσας τὸν ἀντιλέγοντα μοναχὸν, ὡς ἐν τῷ τέλει τῆς παρούσης βίβλου ὁρᾶται. Καὶ τί δεῖ μοι πρὸς τοῦτο λόγων; ὅπου γε αὐταὶ οἱ κατὰ κόσμον ὄντες, καὶ ἐν βασιλείοις διατρίβοντες, ἔργον ἀδιάκοπον, ὡς εἴπομεν, τὴν τοιαύτην μελέτην ἔχοντες, πραγματικῶς ἐπικυροῦσι τὸν λόγον, καὶ ἱκανοὶ παρ᾽ ἑαυτῶν ἐπιςομίσαι τοὺς ἀντιλέγοντας. Εἰ δὲ καί τινες ἔσθ᾽ ὅτε μικρόν τι παρετράπησαν, τί θαυμαςόν; ἐξ οἰήσεως ὡς ἐπὶ τὸ πλεῖςον τοῦτο πεπόνθασι κατὰ τὸν Σιναΐτην Γρηγόριον. Ἐγὼ δ᾽ οἶμαι τὸ μάλιςα, καὶ κυρίως τῆς παρατροπῆς ταύτης αἴτιον τοῦτο εἶναι, τὸ μὴ ἀκριβῶς κατὰ πάντα ςοιχεῖν τῇ περὶ τῆς ἐργασίας ταύτης τῶν Πατέρων διδασκαλίᾳ. οὐ παρὰ τὴν ἐργασίαν αὐτήν. ἄπαγε. Ἁγία γὰρ αὕτη, καὶ δι᾽ αὐτῆς μᾶλλον πλάνης ἁπάσης ἀπαλλαγῆναι δεόμεθα. ἐπεὶ καὶ ἡ κατὰ νόμον τοῦ Θεοῦ ἐντολὴ, ἡ εἰς ζωὴν ὁδηγοῦσα, εὑρέθη, φησὶν ὁ Παῦλος, τισὶν εἰς θάνατον. ἀλλ᾽ οὐ διὰ τὴν ἐντολὴν τοῦτο γέγονε· πῶς γάρ; ἁγίας τε οὔσης ταύτης, καὶ δικαίας, καὶ ἀληθοῦς; διὰ δὲ τὴν μοχθηρίαν τῶν πεπραμένων ὑπὸ τὴν ἁμαρτίαν. τί οὖν διὰ τοῦτο; καταγνωςέον μὲν τῆς θείας Ἐντολῆς διὰ τὴν τινῶν ἁμαρτίαν; ὀλιγωρητέον δὲ καὶ τῆς τοιαύτης σωτηριώδους ἐργασίας διὰ τὴν τινῶν παρατροπήν; οὐδαμῶς· οὔτ᾽ ἐκείνης, οὔτε μὴν ταύτης. θαῤῥοῦντας δὲ μᾶλλον τῷ εἰπόντι, ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια, μετὰ πάσης ταπεινοφροσύνης, καὶ πενθικῆς διαθέσεως ἐγχειρητέον τῷ ἔργῳ. τῷ γὰρ οἰήσεως καὶ ἀνθρωπαρεσκείας ἀπηλλαγμένῳ, κἂν πᾶσα ἡ πονηρὰ τῶν δαιμόνων φάλαγξ κατ᾽ αὐτοῦ συῤῥαγῇ, οὐδὲ προσεγγίσαι δυνήσεται, κατὰ τὴν τῶν Πατέρων διδασκαλίαν. Τούτων οὕτως ἐχόντων, καὶ τῆς Βί-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

βίβλου πανταχόθεν, ἐξ ὧν εἴρηται, τὸ ἀνεπίληπτον πάντη πάντως προβαλλομένης, ἐπικαιρότατον ἂν εἴη λοιπὸν τὸ δειπνοκλητικὸν ἐκεῖνο τῆς Σοφίας εἰς χεῖρας ἀναλαβεῖν, καὶ ὑψηλοῦ τοῦ κηρύγματος ἐπὶ τὴν τῆς Βίβλου ταύτης πνευματικὴν ἑστιατορίαν συγκαλέσαι τοὺς ἅπαντας· ὅσοι μὴ περὶ τὰ θεῖα μισόδειπνοι, μηδὲ κατὰ τοὺς ἐν Εὐαγγελίοις ἐκείνους, ἀγροὺς, καὶ βόας, καὶ γυναῖκας προφασιολογούμενοι. Ἔλθετε τοίνυν, ἔλθετε· φάγετε τὸν ἐν αὐτῇ γνωστικὸν τῆς σοφίας ἄρτον, καὶ πίετε οἶνον τὸν εὐφραίνοντα μὲν νοητῶς τὴν καρδίαν, ἐξιστῶντα δὲ πάντων αἰσθητῶν ὁμοῦ τε, καὶ νοητῶν διὰ τὴν κατ᾿ ἔκστασιν θέωσιν, καὶ μεθύσθητε μέθην τῷ ὄντι νηφάλιον. Ἔλθετε πάντες ὅσοι κλήσεως ὀρθοδόξου τυγχάνετε μέτοχοι, συνάμα Λαϊκοί τε, καὶ Μοναχοὶ, οἱ τὴν ἐντὸς ὑμῶν οὖσαν τοῦ Θεοῦ βασιλείαν, καὶ τὸν ἐν τῷ ἀγρῷ τῆς καρδίας κεκρυμμένον εὑρηκέναι σπουδάζοντες θησαυρόν· ὅς ἐστιν ὁ γλυκὺς Ἰησοῦς Χριστός. Ἵν᾿ ὅπως, τῆς περὶ τὰ κάτω αἰχμαλωσίας, καὶ τῆς περιφορᾶς τοῦ νοὸς ἡμῶν ἐλευθερωθέντος, καὶ τῆς καρδίας τῶν παθῶν καθαρθείσης, διὰ τῆς ἀδιαλείπτου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ φοβερᾶς ἐπικλήσεως, καὶ τῶν λοιπῶν συνεργῶν ἀρετῶν, τῶν ἐν τῇ παρούσῃ Βίβλῳ διδασκομένων, ἑνωθέντες μὲν πρὸς ἑαυτοὺς, δι᾿ ἑαυτῶν δὲ καὶ πρὸς Θεὸν, κατὰ τὴν πρὸς τὸν Πατέρα τοῦ Κυρίου παράκλησιν, ἵνα ὦσι, λέγοντος, ἓν, ὡς ἡμεῖς ἕν ἐσμεν. καὶ οὕτως αὐτῷ ἡνωμένοι, καὶ ὅλως ἠλλοιωμένοι τῇ κατοχῇ καὶ ἐκστάσει τοῦ Θείου ἔρωτος δαψιλέστατα θεωθέντες, ἐν αἰσθήσει νοερᾷ, καὶ ἀδιστάκτῳ πληροφορίᾳ, καὶ πρὸς τὸν πρῶτον σκοπὸν τοῦ Θεοῦ ἐπανέλθοιτε, δοξάζοντες Πατέρα, Υἱὸν, καὶ Πνεῦμα Ἅγιον τὴν μίαν Θεαρχικωτάτην Θεότητα. Ἧι πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀ'Ντώνιος ὁ μέγας Πατὴρ ἡμῶν, ὁ τοῦ χοροῦ τῶν ἀσκητῶν κορυφαῖος, ἤκμασε μὲν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Μεγάλου, περί που τὸ τριακοσιοστὸν τριακοστὸν ἔτος ἀπὸ Θεογονίας· σύγχρονος δὲ τῷ Μεγάλῳ Ἀθανασίῳ ἐγένετο, τῷ καὶ τὸν βίον αὐτοῦ κατὰ πλάτος συγγραψαμένῳ. Εἰς ἀκρότατον δὲ ἀρετῆς, καὶ ἀπαθείας ἐληλακώς· καίτοι ἰδιώτης, καὶ ἀγράμματος, διδάσκαλον ἄνωθεν εἶχε τὴν τοὺς ἁλιεῖς, καὶ νηπίους συνετίζουσαν σοφίαν τοῦ Πνεύματος· παρ' ἧς καὶ τὸν νοῦν ἐλλαμπόμενος πολλὰς μὲν, καὶ ἄλλας ἱερὰς, καὶ πνευματικὰς ὑποθήκας διαφόροις ὑποθέσεσιν ἀνηκούσας εἰσηγήσατο, καὶ σοφωτάτας ἀποκρίσεις, πρὸς τοὺς ἐπερωτῶντας, ψυχικῆς ὠφελείας μεστὰς ἀπεκρίνατο· ὡς πολλαχοῦ τῶν Γεροντικῶν καθορῶνται. Πρὸς δὴ ταύταις, καὶ τὰ τῇ παρούσῃ ἐμφερόμενα Βίβλῳ ἑκατὸν ἑβδομήκοντα κεφάλαια, ὁ ἀοίδιμος ἡμῖν καταλέλοιπεν. Ὅτι δὲ γνήσιος γόνος ταῦτα τῆς Θεοειδοῦς ἐκείνου διανοίας, πρὸς τοῖς ἄλλοις, καὶ ὁ ἐκ Δαμασκοῦ Ὁσιομάρτυς Πέτρος ἐπικυροῖ· ἀλλὰ γὰρ καὶ αὐτὴ ἡ ὑφὴ τῆς φράσεως πᾶσαν ἐξαίρει ἀμφιβολίας λαβὴν, καὶ μονονουχὶ φωνὴν ἀφίησι τοῖς περιέργως διεξιοῦσι, σύγχρονα εἶναι τῆς ἀρχαιότητος ἐκείνης τῆς ἱερᾶς.

Οὐ θαυμαστὸν οὖν, εἰ πρὸς τὸ ἁπλούστερον τῆς Ὁμιλίας, καὶ ἀρχαιότροπον, καὶ ἠμελημένον τὰ τῆς λέξεως ἀπομεμένηκεν· ἀλλ' ἐκεῖνο θαυμαστὸν, εἰ διὰ τοσαύτης ἁπλότητος τηλικαύτη σωτηρία, καὶ ὠφέλεια τοῖς ἀναγινώσκουσι προσγίνεται. Ὅσον γὰρ αὐτοῖς ἐνακμάζει τὸ πεῖθον· ὅσον δ' αὐτῶν ἀποστάζει τὸ ἡδῦνον· καὶ ὅλως ὅσον ἐναποβρύει τὸ χρηστὸν ἦθος, καὶ τῆς Εὐαγγελικῆς πολιτείας τὸ ἀκριβές· εἴσονται δὲ πάντως τὴν ἡδονὴν, οἱ τοῦ μέλιτος τούτου κατὰ τὸν νοητὸν φάρυγγα τῆς διανοίας γευσόμενοι.

Athos Library
Αγιορειτική Βιβλιοθήκη



## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΝΤΩΝΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ,

Παραινέσεις περὶ ἤθους ἀνθρώπων, καὶ χρηστῆς πολιτείας.
Ἐν Κεφαλαίοις ρα.

α. Οἱ ἄνθρωποι λογικοὶ καταχρηστικῶς λέγονται· οὐκ εἰσὶ δὲ λογικοί, οἱ τοὺς λόγους, καὶ τὰ βιβλία τῶν πάλαι σοφῶν ἐκμαθόντες· ἀλλ' οἱ λογικὴν ἔχοντες τὴν ψυχήν, καὶ δυνάμενοι διακρίνειν, τί μέν ἐστι τὸ καλόν, ποῖον δέ ἐστι τὸ κακόν· καὶ τὰ μὲν πονηρά, καὶ ψυχοβλαβῆ φεύγοντες, τὰ δὲ ἀγαθά, καὶ ψυχωφελῆ σπουδαίως διὰ μελέτης ἔχοντες. καὶ ταῦτα πράττοντες μετὰ πολλῆς τῆς πρὸς τὸν Θεὸν εὐχαριστίας· οὗτοι μόνοι λογικοὶ ἄνθρωποι κατὰ ἀλήθειαν ὀφείλουσι λέγεσθαι.

β. Ὁ τῇ ἀληθείᾳ λογικὸς ἄνθρωπος, μίαν ἔχει σπουδήν, τὸ πείθεσθαι, καὶ ἀρέσκειν τῷ Θεῷ τῶν ὅλων· καὶ εἰς τοῦτο καὶ μόνον παιδεύεσθαι τὴν ἑαυτοῦ ψυχήν, ὅπως εὐαρεστήσῃ τῷ Θεῷ, εὐχαριστῶν τῇ τοιαύτῃ καὶ τοσαύτῃ αὐτοῦ προνοίᾳ, καὶ διοικήσει τῶν ὅλων, κἂν ὁποία ἐν τύχῃ κατὰ τὸν βίον. Ἄτοπον γάρ, τοῖς μὲν ἰατροῖς καὶ πικρὰ καὶ οὐκ ἀρέσκοντα ἡμῖν παρέχουσι φάρμακα, εὐχαριστεῖν ὑπὲρ τῆς ὑγείας τοῦ σώματος· τῷ δὲ Θεῷ ὑπὲρ τῶν δοκούντων ἡμῖν δυσχερῶν ἀχαριστεῖν, καὶ μὴ γινώσκειν, ὅτι πάντα δεόντως, καὶ εἰς τὸ συμφέρον ἡμῖν κατὰ πρόνοιαν αὐτοῦ γίνεται. ἡ γὰρ γνῶσις καὶ ἡ πίστις ἡ πρὸς τὸν Θεόν, σωτηρία καὶ τελειότης ἐστὶ τῆς ψυχῆς.

γ. Τὴν ἐγκράτειαν, καὶ τὴν ἀνεξικακίαν, καὶ τὴν σωφροσύνην, καὶ τὴν καρτερίαν, καὶ τὴν ὑπομονήν, καὶ τὰ ὅμοια τούτοις, μεγίστας καὶ ἐναρέτους δυνάμεις εἰλήφαμεν παρὰ τοῦ Θεοῦ· ἀντιτεταγμένας καὶ ἀνθισταμένας, καὶ βοηθούσας πρὸς τὰ ἐκεῖθεν δυσχερῆ· ἅς τινας δυνάμεις ἐὰν γυμνάζωμεν, καὶ πρὸς χεῖρας ἔχωμεν, οὐδὲν ἔτι χαλεπόν, ἢ ὀδυνηρόν, ἢ ἀφόρητον ὑπολαμβάνομεν ἡμῖν γίνεσθαι· λογιζόμενοι, ὅτι πάντα ἀνθρώπινά ἐστι, καὶ νικῶνται ὑπὸ τῶν ἐν ἡμῖν ἀρετῶν. Τοῦτο οὐκ ἐνθυμοῦνται οἱ ἀνόητοι τὴν ψυχήν. οὐδὲ γὰρ λογίζονται, ὅτι πάντα καλῶς, καὶ δεόντως γίνεται εἰς τὸ συμφέρον ἡμῖν, ἵνα διαλάμψωσιν αἱ ἀρεταί, καὶ στεφανωθῶμεν ὑπὸ τοῦ Θεοῦ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δ'. Τὴν τῶν χρημάτων κτῆσιν, καὶ τὴν πλουσίαν χρῆσιν, φαντασίαν μόνην ὀλιγοχρόνιον λογιζόμενος, καὶ γινώσκων, ὅτι ἡ ἐνάρετος, καὶ τῷ Θεῷ ἀρέσκουσα πολιτεία, τοῦ πλούτου διαφέρει· τοῦτο ἀσφαλῶς μελετῶν καὶ διὰ μνήμης ἔχων, οὐ στενάξεις, οὐκ οἰμώξεις, οὐ μέμψῃ οὐδένα, ἀλλὰ περὶ πάντων εὐχαριστήσεις τῷ Θεῷ, ὁρῶν τοὺς χείρονας σου, καὶ λόγῳ, καὶ χρήμασιν ἐπερειδομένους. κάκιστον γὰρ πάθος ψυχῆς, ἥτε ἐπιθυμία, καὶ ἡ δόξα, καὶ ἡ ἄγνοια.

ε'. Ὁ λογικὸς ἀνὴρ, αὐτὸς ἑαυτὸν θεωρῶν, δοκιμάζει τὰ πρέποντα, καὶ τὰ συμφέροντα αὐτῷ· καὶ τίνα μὲν ἴδια τῆς ψυχῆς ὑπάρχει, καὶ ὠφέλιμα, τίνα δὲ ἀλλότρια αὐτῆς. καὶ οὕτω φεύγει τὰ βλάπτοντα τὴν ψυχὴν ὡς ἀλλότρια, καὶ χωρίζοντα αὐτὴν τῆς ἀθανασίας.

ς'. Ὅσον τις μετριώτερον ἔχει τὸν βίον, τοσοῦτον ὑπάρχει εὐδαιμονέστερος· ὅτι μὴ φροντίζει περὶ πολλῶν· δούλων, γεωργῶν, καὶ κτήσεως ἀλόγων. τούτοις γὰρ ἑαυτοὺς προσηλοῦντες, καὶ ὡς τὰ ἐκ τούτων συμβαίνοντα δυσχερῆ περιπίπτοντες, μεμφόμεθα τὸν Θεόν, ἐκ δὲ τῆς αὐθαιρέτου ἡμῶν ἐπιθυμίας ὁ θάνατος ἀρδεύεται, καὶ μένομεν ἐν τῷ σκότει τοῦ βίου τῶν ἁμαρτημάτων πλανώμενοι, μὴ ἀναγνωρίζοντες ἑαυτούς.

ζ'. Οὐκ ὀφείλει τις λέγειν, ὅτι οὐ δυνατὸν ἀνθρώπῳ ἐνάρετον βίον ἐπιτυχεῖν, ἀλλ' ὅτι οὐκ εὐχερές· οὐδὲ τοῖς τυχοῦσιν εὔληπτόν ἐστι τὸ τοιοῦτον. ἐνάρετου δὲ μετέχουσι βίου, ὅσοι εἰσὶν ἐν ἀνθρώποις εὐσεβεῖς, καὶ θεοφιλῆ ἔχοντες νοῦν. ὁ γὰρ κοινὸς νοῦς κοσμικός ἐστι καὶ τρεπτὸς, ἐννοίας παρέχων ἀγαθάς τε καὶ κακάς, ἀλλοιούμενος τῇ φύσει, καὶ πρὸς τὴν ὕλην ἐλαττούμενος· ὁ δὲ θεοφιλὴς νοῦς, τιμωρός ἐστι τῆς κακίας, τῆς ἐν ἀνθρώποις ἐκ τῆς ῥαθυμίας αὐθαιρέτως προσγινομένης.

η'. Οἱ ἀπαίδευτοι καὶ ἰδιῶται, γελοῖον τοὺς λόγους λογίζονται, καὶ οὐ θέλουσιν αὐτῶν ἀκούειν, ἐπειδὴ ἐλέγχεται αὐτῶν ἡ ἀπαιδευσία, καὶ θέλουσι πάντας ὁμοίους αὐτοῖς ὑπάρχειν· τὸν αὐτὸν τρόπον καὶ οἱ ἀκόλαστοι τὸν βίον καὶ τοὺς τρόπους, χείρονας αὐτῶν ἅπαντας σπουδάζουσιν εἶναι, τὸ ἀνέγκλητον ἑαυτοῖς, ἐκ τοῦ πλήθους τῶν κακῶν θηρᾶσθαι νομίζοντες. ἀπόλλυται καὶ θολοῦται ἡ ἄτονος ψυχὴ ὑπὸ τῆς κακίας, ἐχούσης ἐν αὐτῇ ἀσωτείαν, ὑπερηφανίαν, ἀπληστίαν, ὀργήν, προπέτειαν, λύσσαν, φόνον, ὀδυρμόν, φθόνον, πλεονεξίαν, ἁρπαγήν, πόνον, ψεῦδος, ἡδονήν, ὄκνον, λύπην, δειλίαν, νόσον, μῖσος, μέμψιν, ἀδυναμίαν, πλάνην, ἄγνοιαν, ἀπάτην, λήθην Θεοῦ. διὰ τούτων, καὶ τῶν ὁμοίων τούτοις τιμωρεῖται ἡ ἀθλία ψυχὴ ἡ χωρίζουσα ἑαυτὴν τοῦ Θεοῦ.

θ'. Οἱ τὸν ἐνάρετον καὶ εὐλαβῆ καὶ ἔνδοξον βίον ἀσκεῖν βουλόμενοι, οὐκ ἐκ τοῦ πεπλασμένου ἤθους, ἢ τῆς ψευδοῦς πολιτείας ὀφείλουσι κρίνεσθαι· ἀλλ' ὥσπερ οἱ τεχνῖται τῶν ζωγράφων καὶ τῶν ἀνδριαντοπλαστῶν, ἐξ αὐτῶν τῶν ἔργων τὴν ἐνάρετον καὶ θεοφιλῆ πολιτείαν ἐπιδείκνυνται· καὶ ὥσπερ παγίδας, οὕτω πάσας τὰς πονηρὰς ἡδονὰς ἀποστρέφονται.

ι'. Ὁ πλούσιος, καὶ εὐγενὴς παρὰ τοῖς καλῶς φρονοῦσι, παιδεύσεως ψυχικῆς δίχα, καὶ ἀρετῆς βίου ἁπάσης, κακοδαίμων ὑπάρχει· ὥσπερ ὁ πένης, καὶ δοῦλος τὴν τύχην, παιδεύσει, καὶ ἀρετῇ βίου κεκοσμημένος, εὐδαίμων ὑπάρχει. ὥσπερ δὲ οἱ ξένοι ἐν ταῖς ὁδοῖς πλανῶνται, οὕτω καὶ οἱ ἐνάρετον βίον μὴ ἐπιμελούμενοι, ὑπὸ τῆς ἐπιθυμίας πλανώμενοι ἀπόλλυνται.

ια'. Ἀνθρωποποιὸς ὀφείλει λέγεσθαι, ὁ τοὺς ἀπαιδεύτους ἡμερῶσαι δυνάμενος, ἵνα λόγων καὶ παιδεύσεως ἐρασθῶσι. τὸν αὐ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸν ξένον καὶ οἱ τοὺς ἀκολάστους τὸν βίον, ἐπὶ τὴν ἐνάρετον, καὶ Θεῷ ἀρέσκουσαν πολιτείαν μεταρρυθμίζοντες, ἀνθρωποποιοὶ ὀφείλουσι λέγεσθαι, ὡς τοὺς ἀνθρώπους ἀναπλάττοντες. πραότης γάρ, καὶ ἐγκράτεια, εὐδαιμονία ἐστί, καὶ ἐλπὶς ἀγαθὴ ταῖς ψυχαῖς τῶν ἀνθρώπων.

ιβʹ. Πρέπει τοὺς ἀνθρώπους, κατὰ ἀλήθειαν, τὰ ἤθη, καὶ τὴν ἑαυτῶν πολιτείαν δεόντως ἀσκεῖν· τούτου γὰρ κατορθωθέντος, εὐχερῶς τὰ περὶ Θεοῦ γινώσκεται. ὁ γὰρ ἐξ ὅλης καρδίας, καὶ πίστεως σεβόμενος τὸν Θεόν, προνοεῖται παρ' αὐτοῦ, θυμοῦ, καὶ ἐπιθυμίας κρατεῖν· πάντων γὰρ τῶν κακῶν αἰτία, ἡ ἐπιθυμία, καὶ ὁ θυμός.

ιγʹ. Ἄνθρωπος λέγεται, ἢ ὁ λογικός, ἢ ὁ διορθωθῆναι ἀνεχόμενος· ὁ γὰρ ἀδιόρθωτος, ἀπάνθρωπος καλεῖται· ὅτι τοῦτο ἀπανθρώπων ἐστί· καὶ φευκτέοι εἰσὶν οἱ τοιοῦτοι. τοῖς γὰρ τῇ κακίᾳ συζῶσιν, οὐκ ἔξεστιν ἐν ἀθανάτοις γενέσθαι ποτέ.

ιδʹ. Τὸ λογικὸν ἡμῖν κατὰ ἀλήθειαν συμπαρόν, ἀξίους ἡμᾶς ποιεῖ τοῦ ὀνομάζεσθαι ἀνθρώπους. ἀπολιμπανόμενοι δὲ τοῦ λογικοῦ, τῇ διαπλάσει τῶν μελῶν μόνῃ, καὶ τῇ φωνῇ τῶν ἀλόγων διαφέρομεν. ἀναγνωρισάτω οὖν ὁ ἔννους ἄνθρωπος, ἑαυτὸν ὄντα ἀθάνατον, καὶ μισήσει πᾶσαν αἰσχρὰν ἐπιθυμίαν, τὴν αἰτίαν τοῦ θανάτου γινομένην ἀνθρώποις.

ιεʹ. Ὥσπερ ἑκάστη τῶν τεχνῶν τὰς ὑποκειμένας αὐτῇ ὕλας διακοσμοῦσα, τὴν ἑαυτῆς ἀρετὴν ἐπιδείκνυται· * οἷος, ὁ μὲν ξύλα ἐργαζόμενος· ἕτερος δὲ τὸν χαλκόν· ἄλλος δὲ τὸν χρυσόν, καὶ τὸν ἄργυρον· οὕτω καὶ ἡμεῖς τὴν δίαιταν, καὶ τὴν ἐνάρετον, καὶ Θεῷ ἀρέσκουσαν πολιτείαν ἀσκοῦντες, ὀφείλομεν φαίνεσθαι, ὅτι ἄνθρωποι τῇ ἀληθείᾳ λογικοί ἐσμεν τῇ ψυχῇ· καὶ οὐ μόνον τῇ διαπλάσει τοῦ σώματος. ἡ δὲ κατὰ ἀλήθειαν λογικὴ καὶ θεοφιλὴς ψυχή, εὐθὺς τὰ ἐν τῷ βίῳ πάντα γνωρίζει· καὶ τὸν Θεὸν ἱλάσκεται ἀγαπητικῶς, καὶ εὐχαριστεῖ αὐτῷ ἐν ἀληθείᾳ, πρὸς αὐτὸν ἔχουσα τὴν ὁρμήν, καὶ τὴν διάνοιαν πᾶσαν.

* ἀντὶ τοῦ οἷον.

Ὥσπερ οἱ κυβερνῆται σκοπῷ τὴν ναῦν ἰθύνουσιν, ἵνα μὴ ὑφάλῳ πέτρᾳ, ἢ σκοπέλῳ τινὶ ταύτην προσρήξωσιν· οὕτως οἱ τὸν ἐνάρετον βίον ζηλοῦντες, ἐπιμελῶς διασκοπείτωσαν, τίνα μὲν αὐτοῖς πρακτέα, καὶ τίνα φευκτέα· καὶ τοὺς ἀληθεῖς, καὶ θείους συμφέρειν αὐτοῖς νόμους ἡγείσθωσαν, τὰς πονηρὰς ἐνθυμήσεις ἐκκόπτοντες τῆς ψυχῆς. ιϛʹ.

Ὥσπερ οἱ κυβερνῆται, καὶ οἱ ἡνίοχοι μελέτῃ, καὶ ἐπιμελείᾳ κατορθοῦσι τὸ σπουδαζόμενον· οὕτω χρὴ καὶ τοὺς ὀρθοῦ, καὶ ἐναρέτου βίου ἐπιμελουμένους, μελετᾶν καὶ φροντίζειν, ὅπως πρεπόντως καὶ Θεῷ ἀρεσκόντως βιώσωνται· ὁ γὰρ θέλων, καὶ νοήσας ὅτι δύναται, πιστεύων, εἰς ἀφθαρσίαν χωρεῖ. ιζʹ.

Ἐλεύθεροι νομιζέσθωσαν, οὐχ οἱ τὴν τύχην ἐλεύθεροι, ἀλλ' οἱ τὸν βίον, καὶ τοὺς τρόπους ἐλεύθεροι· οὐ γὰρ πρέπει καλεῖν ἐλευθέρους ταῖς ἀληθείαις, τοὺς ἄρχοντας, πονηροὺς ὄντας, ἢ ἀκολάστους. δοῦλοι γάρ εἰσι τῶν παθῶν τῆς ὕλης. ἐλευθερία δὲ καὶ εὐδαιμονία ἐστὶ ψυχῆς, ἡ γνησία καθαρότης, καὶ τῶν προσκαίρων ἡ καταφρόνησις. ιηʹ.

Ὑπομίμνησκε σαυτόν, ὅτι ἀδιαλείπτως ἐπιδείκνυσθαι χρή· ἀλλὰ ἐκ τῆς χρηστῆς πολιτείας καὶ τῶν ἔργων αὐτῶν. οὕτω γὰρ καὶ τοὺς ἰατροὺς οἱ κάμνοντες, οὐκ ἀπὸ τῶν λόγων, ἀλλ' ἐκ τῶν ἔργων σωτῆρας, καὶ εὐεργέτας δοκιμάζουσί τε, καὶ γνωρίζουσι. ιθʹ.

Γνώρισμα τῆς λογικῆς καὶ ἐναρέτου ψυχῆς ὑπάρχει, τὸ βλέμμα, τὸ βάδισμα, ἡ φωνή, ὁ γέλως, αἱ διατριβαί, αἱ συντυχίαι· πάντα γὰρ ἐξήλλακται, καὶ μεθήρμοσται πρὸς τὸ εὐσχημονέστερον. ὁ κʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γὰρ θεοφιλὴς νοῦς αὐτῶν, πυλωρὸς ἀσφαλῶς ὑπάρχων, ἀποκλείει τὰς εἰσόδους τῶν κακῶν, καὶ αἰσχρῶν ἐνθυμήσεων.

κα΄. Ἐξέταζε τὰ κατὰ σαυτὸν καὶ δοκίμαζε, ὅτι οἱ ἄρχοντες καὶ δεσπόται, τοῦ σώματος μόνον, οὐ γὰρ τῆς ψυχῆς, ἔχουσι τὴν ἐξουσίαν, καὶ τοῦτο πρόχειρον ἔστω σοι διὰ παντός. ὅθεν, ἢ φόνους, ἢ ἄτοπά τινα, ἢ ἄδικα καὶ ψυχοβλαβῆ ἐπιτάττωσιν, αὐτοῖς οὐ χρὴ πειθαρχεῖν· κἂν τὸ σῶμα αἰκίζωσιν· ὁ γὰρ Θεὸς τὴν ψυχὴν ἐλευθέραν, καὶ αὐτεξούσιον ἐδημιούργησεν, ἐφ' οἷς πράττει καλῶς, ἢ κακῶς.

κβ΄. Ἡ λογικὴ ψυχὴ σπουδάζει ἀπηλλάχθαι αὐθαδείας, τύφου, ἀλαζονείας, ἀπάτης, φθόνου, ἁρπαγῆς, καὶ τῶν ὁμοίων, ὅσα ἔργα δαιμόνων καὶ πονηρᾶς ἐστὶ προαιρέσεως. πάντα δὲ σπουδῇ καὶ μελέτῃ ἐπιμόνῳ κατορθοῦνται, ἀνθρώπῳ τῷ ἔχοντι τὴν ἐπιθυμίαν μὴ ὁρμῶσαν ἐπὶ φαύλας ἡδονάς.

κγ΄. Οἱ ὀλίγοι καὶ μὴ παντελῆ ἀσκοῦντες βίον, καὶ κινδύνων ἀπαλλάττονται, καὶ τῶν φυλακτηρίων οὐ χρῄζουσι· νικῶντες δὲ τὴν ἐπιθυμίαν ἐν ἅπασι, τὴν ἐπὶ Θεὸν ὁδὸν εὑρίσκουσιν εὐμαρῶς.

κδ΄. Τοῖς λογικοῖς ἀνθρώποις, οὐκ ἀναγκαῖόν ἐστι ταῖς πολλαῖς ὁμιλίαις προσέχειν, ἀλλὰ ταῖς ὠφελούσαις, ὧν ἡγεῖται ἡ τοῦ Θεοῦ θέλησις· οὕτω γὰρ εἰς ζωὴν, καὶ φῶς αἰώνιον πάλιν χωροῦσιν οἱ ἄνθρωποι.

κε΄. Χρὴ τὸν ἐνάρετον καὶ θεοφιλῆ ζητοῦντα βίον, ἀπηλλάχθαι οἰήσεως, καὶ πάσης κενῆς, καὶ ψευδοῦς δόξης, καὶ σπουδάζειν ἐπὶ τοῦ βίου, καὶ τῆς γνώμης χρηστὴν διόρθωσιν. ὁ γὰρ θεοφιλὴς, καὶ ἀπαράλλακτος νοῦς, ἀναγωγὴ, καὶ ὁδός ἐστιν ἐπὶ τὸν Θεόν.

κϛ΄. Οὐδὲν ὄφελος, μανθάνειν τοὺς λόγους, ἐὰν ἀπῇ ἡ εὐάρεστος, καὶ Θεῷ ἀρέσκουσα πολιτεία τῆς ψυχῆς. αἰτία δὲ πάντων τῶν κακῶν ἡ πλάνη, καὶ ἡ ἀπάτη, καὶ ἡ ἀγνωσία τοῦ Θεοῦ.

κζ΄. Ἡ μελέτη τοῦ καλλίστου βίου, καὶ ἡ ἐπιμέλεια τῆς ψυχῆς, τοὺς ἀγαθοὺς, καὶ θεοφιλεῖς ἄνδρας ἀπεργάζεται· ὁ γὰρ ζητῶν τὸν Θεὸν, εὑρίσκει, νικῶν τὴν ἐπιθυμίαν ἐν ἅπασιν· εὐχῆς μὴ ἀφιστάμενος. ὁ γὰρ τοιοῦτος δαίμονας οὐ φοβεῖται.

κη΄. Οἱ ταῖς βιωτικαῖς ἐλπίσιν ἐξαπατώμενοι, καὶ μέχρι λόγου τὰ τοῦ καλλίστου βίου πρακτέα γινώσκοντες, ὅμοιόν τι πάσχουσι, τοῖς φάρμακα μὲν, καὶ ὄργανα τὰ τῆς ἰατρικῆς κτησαμένοις· χρῆσθαι δὲ αὐτοῖς οὔτε εἰδόσιν, οὔτε φροντίζουσιν. ὅθεν πρὸς τὰ γενόμενα παρ' ἡμῶν ἁμαρτήματα, μηδέποτε τὴν γένεσιν ἢ ἄλλον τινὰ αἰτιασώμεθα, ἀλλ' ἑαυτούς. ἐὰν γὰρ αὐτὴ θελήσῃ ῥαθυμῆσαι ἡ ψυχὴ, ἀνίκητος εἶναι οὐ δύναται.

κθ΄. Τῷ μὴ εἰδότι διακρίνειν τί ἐστι τὸ ἀγαθὸν, καὶ ποῖόν ἐστι τὸ κακὸν, οὐκ ἔξεστι κρίνειν τοὺς ἀγαθοὺς καὶ κακούς. ἄνθρωπος γὰρ ὁ γινώσκων τὸν Θεὸν, ἀγαθός ἐστιν· εἰ δὲ οὐκ ἔστιν ἀγαθὸς, οὐδὲν οἶδεν, οὐδὲ γνωσθήσεταί ποτε· τρόπος γὰρ γνώσεως Θεοῦ, τὸ ἀγαθόν ἐστιν.

λ΄. Ἀγαθοὶ, καὶ θεοφιλεῖς ἄνδρες, παρόντας κατὰ πρόσωπον τοὺς ἀνθρώπους, περὶ τοῦ κακοῦ διαλέγχουσι· μὴ παρόντας δὲ οὐ λοιδοροῦσιν· ἀλλ' οὐδὲ τοὺς ἐπιχειροῦντας λέγειν τι συγχωροῦσιν.

λα΄. Ἐν ταῖς ὁμιλίαις πᾶσα τραχύτης ἀπέστω. τοὺς γὰρ λογικοὺς τῶν ἀνθρώπων, αἰδὼς, καὶ σωφροσύνη πλέον τῶν παρθένων κοσμεῖν ἐπίσταται. ὁ γὰρ θεοφιλὴς νοῦς, φῶς ἐστι περιλάμπον τὴν ψυχὴν, καθάπερ ὁ ἥλιος τὸ σῶμα.

λβ΄. Ἐφ' ἑκάστου τῶν συμπιπτόντων σοι ψυχικῶν παθῶν, μέμνησο, ὅτι τῶν ὀρθῶς φρονούντων, καὶ θελόντων ἐν δέοντι καὶ ἀσφαλείᾳ τὰ οἰκεῖα τίθεσθαι, οὐχ ἡ φθαρτὴ τῶν χρημάτων κτῆσις ἡδεῖα αὐ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῖς νομίζεται, ἀλλ' αἱ ὀρθαὶ καὶ ἀληθεῖς δόξαι. αὗται αὐτοὺς εὐδαίμονας ἀπεργάζονται· ὁ μὲν γὰρ πλοῦτος καὶ συλᾶται, καὶ ὑπὸ τῶν δυνατωτέρων ἁρπάζεται· ἡ δὲ ἀρετὴ τῆς ψυχῆς, μόνη ἐστὶ κτῆσις καὶ ἀσφαλὴς καὶ ἀσύλητος, καὶ μετὰ θάνατον σώζουσα τοὺς κεκτημένους αὐτήν· οὕτω γὰρ φρονοῦντας, οὐ συναρπάζουσιν αἱ φαντασίαι τοῦ πλούτου, καὶ τῶν λοιπῶν ἡδονῶν.

λγ'. Οὐ πρέπει τοὺς ἀστάτους, καὶ ἀπαιδεύτους ἀποπειρᾶσθαι τῶν ἐλλογίμων ἀνδρῶν. ἐλλόγιμος δέ, ὁ Θεῷ ἀρέσκων ἐστὶν ἀνήρ, ὁ τὰ πολλὰ σιωπῶν, ἢ ὀλίγα, καὶ ἀναγκαῖα, καὶ Θεῷ ἀρέσκοντα διαλεγόμενος.

λδ'. Οἱ τὴν ἐνάρετον, καὶ θεοφιλῆ πολιτείαν μεταδιώκοντες, τῶν τῆς ψυχῆς ἀρετῶν ἐπιμελοῦνται, ὡς ἰδίας αὐτῶν κτήσεως, καὶ αἰωνίας τρυφῆς ὑπαρχούσης. τῶν δὲ προσκαίρων ἀπολαύουσιν ὡς ἐνδέχεται, καὶ ὡς ὁ Θεὸς δίδωσι, καὶ θέλει· μετὰ πάσης εὐφροσύνης καὶ εὐχαριστίας τὴν χρῆσιν αὐτῶν ποιούμενοι, κἂν πάνυ τύχῃ μέτρια. τὸ γὰρ πολυτελῶς ἐσθίειν, τὰ σώματα τρέφει ὡς ὑλικά· ἡ δὲ γνῶσις τοῦ Θεοῦ, καὶ ἡ ἐγκράτεια, καὶ ἡ ἀγαθότης, καὶ ἡ εὐποιΐα, καὶ ἡ εὐσέβεια, καὶ ἡ πραότης τὴν ψυχὴν ἀποθεοῖ.

λε'. Ὅσοι τῶν κρατούντων ἀτόποις, καὶ ψυχοβλαβέσι πράξεσιν ἐγχειρεῖν ἀναγκάζουσι, τῆς ψυχῆς αὐτεξουσίου δημιουργηθείσης, οὐ κυριεύουσι. τὸ σῶμα δεσμεύουσιν, ἀλλ' οὐχὶ τὴν προαίρεσιν· ἧς ὁ λογικὸς ἄνθρωπος κύριος ὑπάρχει διὰ τὸν κτίσαντα Θεόν· ὅς ἐστι πάσης ἐξουσίας, καὶ ἀνάγκης, καὶ πάσης δυνάμεως ἰσχυρότερος.

λς'. Οἱ δυστυχίαν νομίζοντες τὴν ἀποβολὴν τῶν χρημάτων, ἢ τέκνων, ἢ δούλων, ἢ τῆς ἄλλης ὑπάρξεως, γινωσκέτωσαν, ὅτι πρῶτον μὲν ἀρκεῖσθαι δεῖ τοῖς διδομένοις παρὰ τοῦ Θεοῦ. ὅτε δὲ χρὴ ἀποδιδόναι αὐτά, ἑτοίμως τε, καὶ εὐγνωμόνως· μηδὲν χαλεπαίνοντας ὑπὲρ τῆς τούτων στερήσεως, μᾶλλον δὲ ἀποδόσεως. χρησάμενοι γὰρ τοῖς οὐκ ἰδίοις, πάλιν αὐτὰ ἀπέδωκαν.

Ἔργον χρηστοῦ ἀνθρώπου, τὸ μὴ πιπράσκειν τὴν ἐλευθέραν γνώμην, λήψει χρημάτων προσέχοντος· κἂν πάνυ πολλὰ τύχῃ τὰ παρεχόμενα. ὀνείρῳ γὰρ ἔοικε τὰ βιωτικά· καὶ ἄδηλος, καὶ ὀλιγοχρονίους ἔχει τὰς φαντασίας ὁ πλοῦτος. λζ'.

Οἱ τῇ ἀληθείᾳ ἄνθρωποι, σπουδαζέτωσαν θεοφιλῶς, καὶ ἐναρέτως πολιτεύεσθαι, ὥστε διαλάμπειν αὐτῶν τὸν ἐνάρετον βίον μεταξὺ τῶν ἄλλων ἀνθρώπων· ὥσπερ τὴν πορφύραν τὴν ἐπιβαλλομένην μικράν, τοῖς λευκοῖς τῶν ἱματίων διακοσμοῦσαν αὐτὰ ἐκλάμπειν τε, καὶ ἐπιγινώσκεσθαι. οὕτω γὰρ ἀσφαλέστερον τῶν τῆς ψυχῆς ἀρετῶν ἐπιμελοῦνται. λη'.

Τοὺς ἔμφρονας ἀνθρώπους, χρὴ διασκοπεῖν τὴν ἑαυτῶν δύναμιν, καὶ τὴν παρασκευὴν τῆς οὔσης ἐν αὐτοῖς ψυχικῆς ἀρετῆς, καὶ οὕτω παρασκευάζεσθαι καὶ ἀντιτάσσεσθαι τοῖς ἀπαντῶσι πάθεσι, κατὰ τὴν ἑαυτῆς ὑπάρχουσαν δύναμιν, τὴν κατὰ φύσιν δωρηθεῖσαν αὐτοῖς παρὰ τοῦ Θεοῦ. ἔστι δὲ πρὸς μὲν τὸ κάλλος καὶ πᾶσαν ἐπιθυμίαν ψυχοβλαβῆ, ἡ ἐγκράτεια· πρὸς δὲ πόνους καὶ ἔνδειαν, ἡ καρτερία· πρὸς δὲ λοιδορίαν καὶ θυμόν, ἡ ἀνεξικακία· καὶ τὰ ὅμοια τούτοις. λθ'.

Ἄνδρα ἀγαθόν, καὶ σοφόν, ἀφνιδίως γενέσθαι ἀμήχανον· ἀλλὰ ἐπιπόνῳ μελέτῃ, καὶ ἀναστροφῇ, καὶ πείρᾳ, καὶ χρόνῳ, καὶ ἀσκήσει, καὶ ἐπιθυμίᾳ τοῦ ἀγαθοῦ ἔργου· ὁ δὲ ἀγαθὸς καὶ θεοφιλὴς ἄνθρωπος, ὁ ἐν ἀληθείᾳ γινώσκων τὸν Θεόν, οὐ παύεται ἀφθόνως πάντα ποιῶν τὰ ἀρέσκοντα τῷ Θεῷ· σπάνιοι δὲ οἱ τοιοῦτοι ἄνδρες εὑρίσκονται. μ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μα΄. Οὐ πρέπει τοὺς ἀφυεστέρους τῶν ἀνθρώπων ἀπελπίζοντας ἑαυτοὺς, καταῤῥαθυμεῖν τῆς θεοφιλοῦς καὶ ἐναρέτου πολιτείας, καὶ καταφρονεῖν αὐτῆς, ὡς ἀνεφίκτου, καὶ ἀκαταλήπτου αὐτοῖς ὑπαρχούσης· ἀλλὰ χρὴ μελετᾷν αὐτοὺς κατὰ δύναμιν, καὶ ἐπιμελεῖσθαι ἑαυτῶν. κἂν γὰρ μὴ δύνωνται εἰς ἄκρον κτήσασθαι τὴν ἀρετὴν, καὶ τὴν σωτηρίαν, ἐκ μελέτης, καὶ τῆς ἐπιθυμίας, ἢ βελτίονες γίνονται, ἢ οὐδὲ χείρονες· ὅπερ ἐστὶν οὐ μέγιστον ὄφελος τῆς ψυχῆς.

μβ΄. Ὁ ἄνθρωπος, κατὰ μὲν τὸ λογικὸν, ἐκείνῃ τῇ ἀῤῥήτῳ καὶ θείᾳ δυνάμει συνάπτεται· κατὰ δὲ τὸ σωματικὸν, ἔχει τὴν συγγένειαν πρὸς τὰ ζῶα· καὶ ὀλίγοι μὲν τινὲς, ὅσοι τέλειοι ἄνθρωποι, καὶ λογικοὶ ὑπάρχουσι, πρὸς τὸν Θεὸν καὶ Σωτῆρα, καὶ τὴν γνώμην καὶ τὴν συγγένειαν ἔχειν σπουδάζουσι· καὶ τοῦτο διὰ τῶν ἔργων, καὶ τῆς ἐναρέτου πολιτείας ἐπιδείκνυνται· οἱ δὲ πλείονες τῶν ἀνθρώπων, οἱ ἀνόητοι τὴν ψυχὴν, ἐκείνην τὴν θείαν καὶ ἀθάνατον υἱοθεσίαν καταλείψαντες, πρὸς τὴν νεκρὰν, καὶ ἀτυχῆ, καὶ ὀλιγοχρόνιον συγγένειαν τοῦ σώματος κλίναντες, ὡς τὰ ἄλογα φρονοῦντες τὰ τῆς σαρκὸς, καὶ ὑπὸ τῶν ἡδονῶν ἀναπτόμενοι, χωρίζουσιν ἑαυτοὺς τοῦ Θεοῦ· καὶ καθέλκουσι τὴν ψυχὴν ἐκ τῶν οὐρανῶν εἰς τὸ βάραθρον ἀπὸ τῶν θελημάτων αὐτῆς.

μγ΄. Ὁ λογικὸς ἀνὴρ, τὴν πρὸς τὸ θεῖον μετουσίαν, καὶ συνάφειαν ἐνθυμούμενος, οὐδέποτε οὐδενὸς γηΐνου, ἢ ταπεινοῦ ἐρασθήσεται· ἀλλ' ἐπὶ τὰ οὐράνια, καὶ αἰώνια ἔχει τὸν νοῦν· καὶ γινώσκει, ὅτι ἡ τοῦ Θεοῦ θέλησις αὕτη ἐστὶ τὸ σωθῆναι τὸν ἄνθρωπον, ὡς αἰτία πάντων τῶν καλῶν, καὶ πηγὴ οὖσα τῶν αἰωνίων ἀγαθῶν τοῖς ἀνθρώποις.

μδ΄. Ὅταν εὕρῃς τινὰ φιλονεικοῦντα, καὶ μαχόμενον πρὸς τὴν ἀλήθειαν, καὶ τὸ φανερὸν, παυσάμενος τῆς φιλονεικίας, παραχώρει τῷ τοιούτῳ ἅπαξ ἀπολιθωθέντι τὸ νοητικόν. ὥσπερ γὰρ τοὺς ἐπιτηδείους τῶν οἴνων, τὸ κάκιστον ὕδωρ, ἀχρήστους ποιεῖ· τὸν αὐτὸν τρόπον καὶ τοὺς ἐναρέτους τὸν βίον καὶ τὴν γνώμην, αἱ φαῦλαι ὁμιλίαι διαφθείρουσιν.

με΄. Εἰ πάσῃ σπουδῇ, καὶ μηχανῇ χρώμεθα, πρὸς τὸ ἀποφυγεῖν τῆς σωματικῆς ἀπονεκρώσεως· πολλῷ μᾶλλον σπουδάζειν ὀφείλομεν πρὸς τὴν ἀποφυγὴν τῆς ψυχικῆς ἀπονεκρώσεως. τῷ γὰρ θέλοντι σωθῆναι οὐδέν ἐστιν ἐμπόδιον, εἰμὴ μόνον ἀμέλεια, καὶ ῥαθυμία ψυχῆς.

μϛ΄. Ὅσοι δυσχεραίνουσι νοεῖν τὰ συμφέροντα, καὶ τὰ καλῶς λεγόμενα, οὗτοι κακῶς ἔχειν νομίζονται. ὅσοι δὲ νοοῦντες τὴν ἀλήθειαν, ἀναισχύντως φιλονεικοῦσι, τούτων τὸ λογιστικὸν νενέκρωται· καὶ ἐκτεθηρίωται αὐτῶν ὁ τρόπος· καὶ οὐ γνωρίζουσι τὸν Θεὸν, οὐδὲ πεφώτισται αὐτῶν ἡ ψυχή.

μζ΄. Τὰ γένη τῶν ζώων ὁ Θεὸς ἀλλεπαλλήλῳ χρείᾳ παρήγαγε τῷ λόγῳ αὐτοῦ· τὰ μὲν ὡς ἐσθιόμενα· τὰ δὲ ὡς ὑπηρετήσοντα· τὸν δὲ ἄνθρωπον ἐδημιούργησε θεατὴν αὐτῶν, καὶ τῶν ἔργων αὐτοῦ, καὶ εὐχάριστον ἐξηγητήν. ὅθεν σπουδαζέτωσαν οἱ ἄνθρωποι, μήπως ἀθέατοι, καὶ μὴ νοήσαντες τὸν Θεὸν, καὶ τὰ ἔργα αὐτοῦ, ἀποθάνωσιν, ὡς τὰ θηρία τὰ ἄλογα. γινώσκειν δὲ χρὴ τὸν ἄνθρωπον, ὅτι ὁ Θεὸς πάντα δύναται. οὐδὲν δὲ ἐστι τῷ τὰ πάντα δυναμένῳ ἐναντίον· ἀλλ' ἐκ τοῦ μὴ ὄντος πάντα ἃ βούλεται ἐποίησε, καὶ ποιεῖ τῷ λόγῳ αὐτοῦ εἰς σωτηρίαν ἀνθρώποις.

μη΄. Τὰ ἐν οὐρανῷ, ἐστὶν ἀθάνατα, διὰ τὴν οὖσαν ἐν αὐτοῖς ἀγαθότητα. τὰ δὲ ἐπὶ γῆς, ἐγένοντο θνητὰ, διὰ τὴν ἐνυπάρχουσαν ἐν αὐτοῖς αὐθαίρετον κακίαν, ἥτις ἐπιγίνεται τοῖς ἀνοήτοις ἐκ τῆς ῥαθυμίας αὐτῶν, καὶ τῆς ἀγνωσίας τοῦ Θεοῦ.

Ὁ θά-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μθ'. Ὁ θάνατος νοούμενος τοῖς ἀνθρώποις, ἀθανασία ἐστί· μὴ νοούμενος δὲ τοῖς ἰδιώταις, θάνατός ἐστι. καὶ τοῦτον τὸν θάνατον οὐ χρὴ φοβεῖσθαι, ἀλλὰ τὴν ἀπώλειαν τῆς ψυχῆς, ἥτις ἐστὶν ἡ ἀγνωσία τοῦ Θεοῦ. ἐκεῖνο γὰρ δεινὸν τῇ ψυχῇ ἐστιν.

ν'. Ἡ κακία, πάθος τῆς ὕλης ἐστίν. ὅθεν οὐκ ἐγχωρεῖ σῶμα δίχα κακίας γενέσθαι. ἡ δὲ λογικὴ ψυχὴ νοοῦσα τοῦτο, διασείεται τῆς ὕλης τὸ βάρος, ὅπερ ἐστὶν ἡ κακία· καὶ ἐκ τοῦ τοιούτου βάρους ἀνανεύουσα, γινώσκει τὸν Θεὸν τῶν ὅλων, καὶ ὥσπερ ἐχθρῷ καὶ πολεμίῳ προσέχει τῷ σώματι, μὴ πειθομένη αὐτῷ· καὶ οὕτω στεφανοῦται ἀπὸ Θεοῦ ἡ ψυχὴ, ὡς τὰ πάθη τῆς κακίας, καὶ τῆς ὕλης νικήσασα.

να'. Ἡ κακία γνωσθεῖσα ὑπὸ τῆς ψυχῆς, μισεῖται ὡς θηρίον δυσωδέστατον. ἀγνοηθεῖσα δὲ, φιλεῖται ὑπὸ τοῦ ἀγνοοῦντος αὐτήν. καὶ ἔχει αὐτὸν αἰχμάλωτον, δουλαγωγοῦσα τὸν ἑαυτῆς ἐραστήν· καὶ ὁ κακοδαίμων καὶ ἄθλιος, οὔτε ὁρᾷ τὸ συμφέρον αὐτῷ, οὔτε νοεῖ, ἀλλὰ νομίζει κοσμεῖσθαι ὑπὸ τῆς κακίας, καὶ ἀγάλλεται.

νβ'. Ἡ καθαρὰ ψυχὴ, ἀγαθὴ ὑπάρχουσα, φωτίζεται, καὶ καταλάμπεται ὑπὸ τοῦ Θεοῦ. καὶ τότε ὁ νοῦς ἀγαθὰ νοεῖ, καὶ λόγους θεοφιλεῖς γεννᾷ. ὅταν δὲ ὑπὸ τῆς κακίας βορβορωθῇ ἡ ψυχὴ, τοῦ Θεοῦ ἀποστρεφομένου αὐτήν, μᾶλλον δὲ τῆς ψυχῆς χωριζούσης ἑαυτὴν ἀπὸ τοῦ Θεοῦ, πονηροὶ δαίμονες ἐπεισελθόντες τῷ λογισμῷ, τὰς ἀνοσίας πράξεις ὑποβάλλουσι τῇ ψυχῇ, μοιχείας, φόνους, ἁρπαγὰς, ἱεροσυλίας, καὶ τὰ ὅμοια, ὅσα ἔργα δαιμόνων ἐστί.

νγ'. Οἱ γινώσκοντες τὸν Θεὸν, πληροῦνται πάσης ἀγαθῆς ἐννοίας, καὶ τῶν οὐρανίων ἐπιθυμοῦντες, τῶν βιωτικῶν καταφρονοῦσιν. οἱ δὲ τοιοῦτοι, οὔτε πολλοῖς ἀρέσκουσιν, οὔτε πολλοῖς ἀρέσκονται. ὡς ἐκ τούτου μὴ μόνον μισεῖσθαι αὐτοὺς, ἀλλὰ καὶ καταγελᾶσθαι παρὰ τοῖς πολλοῖς τῶν ἀνοήτων. πάντα δὲ πάσχειν ὑπὸ ἐνδείας ἀνέχονται, γινώσκοντες, ὅτι τὰ φαινόμενα τοῖς πολλοῖς κακὰ, ἐκείνοις ἀγαθά ἐστιν. ὁ γὰρ νοῶν τὰ οὐράνια, πιστεύει τῷ Θεῷ, γινώσκων ὅτι πάντα ποιήματα ἐστὶ τῆς ἐκείνου θελήσεως. ὁ δὲ μὴ νοῶν, οὐ πιστεύει ποτὲ ὅτι ὁ κόσμος ἔργον ἐστὶ τοῦ Θεοῦ, καὶ διὰ σωτηρίαν ἀνθρώπου ἐγένετο.

Οἱ τῆς κακίας πεπληρωμένοι, καὶ τῇ ἀγνωσίᾳ μεθύοντες, οὐ γινώσκουσι τὸν Θεόν. οὐδὲ γὰρ νήφουσι τῇ ψυχῇ· ὁ δὲ Θεὸς νοητός· καὶ οὐχ ὁρατὸς μὲν, φανερώτατος δὲ ἐν τοῖς ὁρατοῖς, ὥσπερ ψυχὴ ἐν τῷ σώματι. εἰ δὲ σῶμα χωρὶς ψυχῆς ἀδύνατον συστῆναι, οὕτω καὶ πάντα τὰ ὁρώμενα, καὶ ὄντα, χωρὶς Θεοῦ συστῆναι ἀδύνατον. νδ'.

Διατί ἐγένετο ὁ ἄνθρωπος; ἵνα τὰ ποιήματα τοῦ Θεοῦ κατανοῶν, θεάσηται αὐτὴν, καὶ δοξάσῃ τὸν κτίσαντα αὐτὰ διὰ τὸν ἄνθρωπον. ὁ δὲ νοῦς ὁ τῷ Θεῷ ἐπέραστος, ἀόρατόν ἐστιν ἀγαθὸν, ὑπὸ Θεοῦ τοῖς ἀξίοις δωρούμενος διὰ χρηστῆς πολιτείας. νε'.

Ἐλεύθερός ἐστιν, ὁ μὴ δουλεύων ταῖς ἡδοναῖς, ἀλλ' ἐκ φρονήσεως καὶ σωφροσύνης κυριεύων τοῦ σώματος, καὶ ἀρκούμενος μετὰ πολλῆς εὐχαριστίας τοῖς διδομένοις αὐτῷ παρὰ Θεοῦ, κἂν πάνυ τύχῃ μέτρια. ὁ γὰρ θεοφιλὴς νοῦς, καὶ ἡ ψυχὴ, ἐὰν συμφωνήσωσιν, εἰρηνεύει ὅλον τὸ σῶμα, καὶ μὴ βουλόμενον. τῆς γὰρ ψυχῆς θελούσης, πᾶσα σωματικὴ κίνησις ἀποσβέννυται. νς'.

Οἱ μὴ ἀγαπῶντες τὰ παρόντα αὐτοῖς εἰς ὕπαρξιν, ἀλλὰ πλειόνων ὀρεγόμενοι, δουλοῦσιν ἑαυτοὺς τοῖς πάθεσι τοῖς ταράττουσι τὴν ψυχὴν, καὶ ἐπιβάλλουσιν αὐτῇ λογισμοὺς, καὶ φαντασίας, ὅτι τὰ αὐτὰ κακά ἐστι. καὶ ὥσπερ οἱ ὑπὲρ τὸ μέτρον χιτῶνες, τοὺς ἀγωνιζομένους εἰς τὸν δρό- νζ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μον ἐμποδίζουσι· τὸν αὐτὸν τρόπον καὶ ἡ ὄρεξις τῆς ὑπὲρ τὸ μέτρον πλεονεξίας, τὰς ψυχὰς ἀγωνίζεσθαι, ἢ σωθῆναι οὐ συγχωρεῖ.

νη΄. Ἐν ᾧ τις ἄκων, καὶ μὴ θέλων ἐστί, τοῦτο φυλακή ἐστιν αὐτοῦ καὶ τιμωρία. στέργε τοίνυν τὰ παρόντα σοι, ἵνα μὴ ἀχαρίστως φέρων, σεαυτὸν τιμωρήσῃ μὴ αἰσθανόμενος. μία δὲ ὁδός ἐστι πρὸς τοῦτο, ἡ τῶν βιωτικῶν καταφρόνησις.

νθ΄. Ὥσπερ τὸ ὁρατικὸν ἔχομεν παρὰ τοῦ Θεοῦ εἰς τὸ γνωρίζειν τὰ φαινόμενα· τί μὲν τὸ λευκόν, ποῖον δὲ τὸ χρῶμα τοῦ μέλανος· οὕτω καὶ τὸ λογικὸν δεδώρηται ἡμῖν παρὰ τοῦ Θεοῦ, εἰς τὸ διακρίνειν τὰ συμφέροντα τῇ ψυχῇ. ἐπιθυμία δέ, λογισμοῦ ἀποσπωμένη, ἡδονὴν γεννᾷ· καὶ τὴν ψυχὴν σωθῆναι, ἢ τῷ Θεῷ συναφθῆναι οὐ συγχωρεῖ.

ξ΄. Οὐ τὰ γινόμενα κατὰ φύσιν ἐστὶν ἁμαρτήματα, ἀλλὰ τὰ κατὰ προαίρεσιν, πονηρά. οὐδὲ τὸ ἐσθίειν ἐστὶν ἁμαρτία, ἀλλὰ τὸ μὴ εὐχαρίστως, καὶ κοσμίως, καὶ ἐγκρατῶς ἐσθίειν· διὰ τὸ ἑστηκέναι τὸ σῶμα ἐν τῇ ζωῇ δίχα πάσης πονηρᾶς ἐπινοίας. ἀλλ᾽ οὐδὲ τὸ ἁγνῶς ὁρᾶν, ἐστὶν ἁμαρτία, ἀλλὰ τὸ φθονερῶς, καὶ ὑπερηφάνως, καὶ ἀπλήστως ὁρᾶν· καὶ τὸ μὴ ἀκούειν εἰρηνικῶς, ἀλλ᾽ ὀργίλως· καὶ τὸ μὴ χαλιναγωγεῖν τὴν γλῶσσαν εἰς εὐχαριστίαν, καὶ προσευχήν, ἀλλ᾽ εἰς τὸ καταλαλεῖν· καὶ τὸ μὴ ἐργάζεσθαι τὰς χεῖρας εἰς ἐλεημοσύνην, ἀλλ᾽ εἰς φόνους καὶ ἁρπαγάς. καὶ οὕτως ἕκαστον τῶν μελῶν ἁμαρτάνει, τὰ πονηρὰ ἀντὶ ἀγαθῶν, παρὰ τὸ θέλημα τοῦ Θεοῦ αὐτοπροαιρέτως ἐργαζόμενον.

ξα΄. Εἰ ἀμφιβόλως ἔχεις, ὅτι ἕκαστον τῶν πραττομένων ἐφορᾶται ὑπὸ τοῦ Θεοῦ, σκόπησον, ὅτι ἄνθρωπος ὢν καὶ χοῦς, δύνασαι ἅμα καὶ ἐν ταὐτῷ περὶ παντοίων τόπων σκοπεῖν, καὶ ἐννοεῖν, πόσῳ μᾶλλον ὁ Θεὸς ὁ τὰ πάντα ὁρῶν, ὡς κόκκον σινάπεως· ὁ τὰ πάντα ζωογονῶν καὶ τρέφων, ὡς βούλεται;

Ὅταν κλείσῃς τὰς θύρας τοῦ οἰκήματος, ξβ΄.
καὶ μόνος ὑπάρχῃς, γίνωσκε, ὅτι συμπάρεστί σοι ὁ ὑπὸ τοῦ Θεοῦ ἀφορισθεὶς ἑκάστῳ ἀνθρώπῳ ἄγγελος· ὃν οἱ Ἕλληνες οἰκεῖον δαίμονα καλοῦσιν. οὗτος ἀκοίμητος, καὶ ἀπαραλόγιστος ὑπάρχων, ἀεὶ συμπάρεστί σοι· πάντα βλέπων, καὶ ὑπὸ σκότους μὴ ἐμποδιζόμενος· μετὰ τούτου καὶ τὸν Θεὸν ἐν παντὶ τόπῳ ὑπάρχοντα. οὐδὲ γάρ ἐστι τόπος, ἢ ὕλη τις, ἐν ᾗ μὴ ἔστιν ὁ Θεός, ὡς πάντων μείζων, καὶ πάντας ἐμπεριέχων ἐν τῇ χειρὶ αὐτοῦ.

Εἰ οἱ στρατιῶται τῷ Καίσαρι πίστιν ξγ΄.
φυλάττουσι, διὰ τὸ χορηγεῖσθαι παρ᾽ αὐτοῦ τὰς τροφάς, πόσῳ μᾶλλον σπουδάζειν ὀφείλομεν εὐχαριστεῖν ἀδιαλείπτως ἀσιγήτοις στόμασι, καὶ ἀρέσκειν τῷ Θεῷ τῷ πάντα κτίσαντι διὰ τὸν ἄνθρωπον;

Ἡ πρὸς τὸν Θεὸν εὐγνωμοσύνη, καὶ ξδ΄.
ἡ χρηστὴ πολιτεία, ἀνθρώπου καρπός ἐστιν, ἀρέσκων τῷ Θεῷ. οἱ δὲ καρποὶ τῆς γῆς, οὐκ ἐν μιᾷ ὥρᾳ τελεσφοροῦνται, ἀλλὰ χρόνῳ, καὶ ὑετοῖς, καὶ ἐπιμελείᾳ· τὸν αὐτὸν τρόπον καὶ οἱ καρποὶ τῶν ἀνθρώπων, ἀσκήσει, καὶ μελέτῃ, καὶ χρόνῳ, καὶ καρτερίᾳ, καὶ ἐγκρατείᾳ, καὶ ὑπομονῇ λαμπρύνονται. ἐὰν δὲ διὰ τούτων δόξῃς ποτὲ εἶναί τισιν εὐλαβής, ἀπίστει σεαυτῷ, μέχρις ἂν ᾖς ἐν τῷ σώματι, καὶ μηδὲν δόκει τῶν σῶν ἀρέσκειν τῷ Θεῷ. ἴσθι γάρ, ὅτι οὐ ῥᾴδιόν ἐστιν ἀνθρώπῳ, ἕως τέλους φυλάξαι τὸ ἀναμάρτητον.

Λόγου παρὰ ἀνθρώποις οὐδὲν τιμιώτε- ξε΄.
ρον. οὕτω δυνατός ἐστιν ὁ λόγος, ὅτι λόγῳ, καὶ εὐχαριστίᾳ τὸν Θεὸν θεραπεύομεν· ἀχρήστῳ δέ, ἢ δυσφήμῳ λόγῳ χρώμενοι, κατακρίνομεν ἡμῶν τὴν ψυχήν. ἀναισθήτου τοίνυν ἀνθρώπου ἐστὶν ἔργον, τὸ τῇ γενέσει ἑαυτοῦ, ἢ ἄλλῳ τινὶ ἐγκαλεῖν, ἐφ᾽ οἷς ἁμαρτάνει· ἢ λό-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γῳ, ἢ ἔργῳ πονηρῷ αὐτεξουσίως χρώμενος.

ξϛ'. Εἰ τὰ πάθη τοῦ σώματος θεραπεύειν σπουδάζομεν, διὰ τὸ καταγέλαστον τῶν ἐντυγχανόντων, πολλῷ μᾶλλον πάσῃ ἀνάγκῃ τὰ πάθη τῆς ψυχῆς θεραπεύειν σπουδάζωμεν· ὡς κατὰ πρόσωπον Θεοῦ, μέλλοντες κρίνεσθαι· ἵνα μὴ ἄτιμοι εὑρεθῶμεν, ἢ καταγέλαστοι. ἔχοντες γὰρ τὸ αὐτεξούσιον, ἐὰν θελήσωμεν, ἐπιθυμοῦντες τῶν πονηρῶν πράξεων, μὴ ἐντυγχάνειν αὐτῶν, τοῦτο δυνάμεθα, καὶ ἐν τῇ ἡμετέρᾳ ἐξουσίᾳ ἐστὶ, τὸ τῷ Θεῷ ἀρεσκόντως βιῶσαι· καὶ οὐδεὶς ἡμᾶς ἀναγκάσει ποτὲ, μὴ θέλοντας πρᾶξαί τι πονηρόν. οὕτω γὰρ ἀγωνιζόμενοι, ἐσόμεθα ἄξιοι τοῦ Θεοῦ ἄνθρωποι· καὶ ὡς Ἄγγελοι ἐν οὐρανοῖς διαιτώμενοι.

ξζ'. Ἐὰν θέλῃς, δοῦλος εἶ τῶν παθῶν. ἐὰν θέλῃς, ἐλεύθερος εἶ· καὶ οὐχ ὑποκλινεῖς τοῖς πάθεσιν. ὁ γὰρ Θεὸς αὐτεξουσίους ἐποίησε. καὶ ὁ νικῶν τὰ πάθη τῆς σαρκὸς, στεφανοῦται τῇ ἀφθαρσίᾳ. εἰμὴ γὰρ ἦσαν τὰ πάθη, οὐκ ἂν ἦσαν αἱ ἀρεταί· οὔτε στέφανοι οἱ ὑπὸ τοῦ Θεοῦ τοῖς ἀξίοις τῶν ἀνθρώπων δωρούμενοι.

ξη'. Οἱ μὴ ὁρῶντες τὸ συμφέρον αὐτοῖς, καὶ τὸ ἀγαθὸν γνωρίζοντες, τυφλώττουσι τὴν ψυχὴν· καὶ τὸ διακριτικὸν ἐκπεπώρωται. ὅθεν τούτοις οὐ χρὴ προσέχειν τὸν νοῦν, ἵνα μὴ τοῖς αὐτοῖς ἐξ ἀνάγκης περιπέσωμεν καὶ ἡμεῖς ἀπρονοήτως, ὡς τυφλοί.

ξθ'. Ἐπὶ τοῖς ἁμαρτάνουσιν, οὐ χρὴ ὀργίζεσθαι, κἂν ἐγκλήματα ᾖ τὰ δρώμενα παρ' αὐτῶν, κολάσεως ἄξια. ἀλλὰ τοὺς μὲν πταίοντας, διὰ τὸ δίκαιον αὐτὸ, ἐπιστρέφειν ὀφείλομεν· καὶ κολάζειν εἰ οὕτω τύχοι, εἴτε δι' ἑαυτῶν, εἴτε δι' ἑτέρων· ὀργίζεσθαι δὲ, ἢ θυμοῦσθαι οὐ χρή. διότι ἡ ὀργὴ κατὰ πάθος ποιεῖ μόνον, καὶ οὐ κατὰ κρίσιν, καὶ τὸ δίκαιον. ὅθεν οὐδὲ τοὺς παρὰ δέον ἐλεοῦντας ὑποδέχεσθαι χρή. διὰ δὲ τὸ καλὸν αὐτὸ, καὶ τὸ δίκαιον, χρὴ τιμωρεῖσθαι τοὺς πονηροὺς, καὶ οὐχὶ διὰ τὸ οἰκεῖον πάθος τῆς ὀργῆς.

Ἡ κτῆσις τῆς ψυχῆς μόνη, ὑπάρχει ο'.
ἀσφαλὴς, καὶ ἀσύλητος. ἔστι δὲ, ἡ ἐνάρετος, καὶ Θεῷ ἀρέσκουσα πολιτεία, καὶ γνῶσις, καὶ ἡ πρᾶξις τῶν ἀγαθῶν ἔργων. ὁ γὰρ πλοῦτος, τυφλός ἐστιν ὁδηγὸς, καὶ σύμβουλος ἀνόητος· καὶ ἀπόλλυσι τὴν ἀναίσθητον ψυχὴν, ὁ κακῶς καὶ τρυφηλῶς τῷ πλούτῳ χρησάμενος.

Χρὴ τοὺς ἀνθρώπους, ἢ μηδὲν περισ- οα'.
σὸν κεκτῆσθαι, ἢ ἔχοντας, οὕτω γινώσκειν ἀσφαλῶς, ὅτι τὰ ἐν τῷ βίῳ πάντα, κατὰ φύσιν φθαρτὰ, καὶ ἀφαιρετά εἰσι, καὶ ἀπόβλητα, καὶ κλαστὰ, καὶ πρὸς τὰ συμβαίνοντα ὀλιγωρεῖν οὐκ ὀφείλουσι.

Τὰς σωματικὰς ἀλγηδόνας, γίνωσκε, οβ'.
φυσικὰς τοῦ σώματος ἰδίας ὑπαρχούσας, ὡς φθαρτοῦ καὶ ὑλικοῦ. χρὴ οὖν ἐπὶ τῶν τοιούτων παθῶν, καρτερίαν, καὶ ὑπομονὴν εὐχαρίστως προβαλέσθαι τὴν πεπαιδευμένην ψυχὴν, καὶ μὴ μέμφεσθαι τῷ Θεῷ διατί σῶμα ἐποίησεν.

Οἱ ἐν τοῖς Ὀλυμπίοις ἀγωνιζόμενοι, ογ'.
οὐκ ἐπὶ τῇ τοῦ ἑνὸς, ἢ δευτέρου, ἢ τρίτου, νίκῃ στεφανοῦνται· ἀλλ' ὅταν πάντας τοὺς ἀγωνιζομένους αὐτοῖς νικήσωσιν. οὕτω τοίνυν χρὴ, ἕκαστον θέλοντα ὑπὸ τοῦ Θεοῦ στεφανωθῆναι, γυμνάζειν τὴν αὐτοῦ ψυχὴν ἐπὶ τὸ σωφρονεῖν· οὐ μόνον περὶ τὰ σωματικὰ, ἀλλὰ καὶ περὶ κέρδη, καὶ ἁρπαγὰς, καὶ φθόνον, καὶ περὶ τροφὰς, καὶ κενὰς δόξας, καὶ λοιδορίας, καὶ θανάτους, καὶ ὅσα τοιαῦτά ἐστιν.

Μὴ διὰ τὸν ἀνθρώπινον ἔπαινον, τὴν οδ'.
χρηστὴν καὶ θεοφιλῆ πολιτείαν ἐπιτηδεύσωμεν· ἀλλὰ διὰ σωτηρίαν τῆς ψυχῆς, τὴν ἐνάρετον ζωὴν ἐπιλεξώμεθα. ὁ γὰρ θάνατος καθ' ἡμέραν ἐστὶ πρὸ τῶν ὀφθαλμῶν ἡμῶν βλεπόμενος· καὶ τὰ ἀνθρώπινα ἄδηλα.

Ἐν τῇ ἡμετέρᾳ ἐξουσίᾳ ἐστὶ, τὸ σω- οε'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

φρόνως βιῶσαι. τὸ δὲ πλουτῆσαι, οὐκ ἔστιν ἐν τῇ ἡμετέρᾳ ἐξουσίᾳ. τί οὖν; δεῖ κατακρίνειν τὴν ἡμῶν ψυχὴν διὰ φαντασίαν πλούτου ὀλιγοχρονίου, ὃν κτήσασθαι ἐξουσίαν οὐκ ἔχομεν; ἀλλ' ἐπιθυμοῦντες τοῦ πλούτου μόνον; ὢ τί ἀνοήτως τρέχομεν, ἀγνοοῦντες ὅτι πρὸ πασῶν τῶν ἀρετῶν ἐστὶν ἡ ταπεινοφροσύνη. ὥσπερ καὶ πρὸ πάντων τῶν παθῶν ἐστὶν ἡ γαστριμαργία, καὶ ἐπιθυμία τῶν βιωτικῶν.

οϛʹ. Μεμνῆσθαι δεῖ ἀδιαλείπτως τοὺς ἔμφρονας, ὅτι μικρῶν, καὶ ὀλιγοχρονίων πόνων ἀνεχόμενοι ἐν τῷ βίῳ, μεγίστης ἡδονῆς καὶ τρυφῆς αἰωνίου ἀπολαύομεν ἄνθρωποι μετὰ θάνατον. ὅθεν ὁ παλαίων τοῖς πάθεσι, καὶ θέλων στεφανωθῆναι ὑπὸ τοῦ Θεοῦ, ἐὰν πέσῃ, μὴ μικροψυχήσῃ, καὶ μείνῃ ἐν τῷ πτώματι, ἀπελπίζων ἑαυτοῦ. ἀλλ' ἀναστὰς πάλιν παλαίσῃ, καὶ φροντίσῃ στεφανωθῆναι· ἕως ἐσχάτης ἀναπνοῆς, ἐγειρόμενος ἐκ τοῦ συμβαίνοντος πτώματος. οἱ γὰρ σωματικοὶ κόποι, ὅπλα εἰσὶ τῶν ἀρετῶν, καὶ σωτήριοι γίνονται τῆς ψυχῆς.

οζʹ. Αἱ βιωτικαὶ περιστάσεις, τοὺς ἄνδρας, καὶ τοὺς ἀθλητὰς τοὺς ἀξίους, στεφανωθῆναι ὑπὸ τοῦ Θεοῦ ποιοῦσι. νεκρῶσαι οὖν δεῖ ἐν τῇ ζωῇ αὐτῶν τὰ μέλη ἀπὸ τῶν βιωτικῶν πάντων. ὁ γὰρ νεκρὸς, οὐδέποτε φροντίσει περί τινος βιωτικοῦ.

οηʹ. Οὐ πρέπει τὴν λογικὴν καὶ ἀθλοῦσαν ψυχὴν, εὐθέως καταπτήσσειν, καὶ δειλιᾶν πρὸς τὰ συμβαίνοντα πάθη, ἵνα μὴ καταγελασθῇ ὡς δειλή. ὑπὸ γὰρ τῶν βιωτικῶν φαντασιῶν ταρασσομένη, ἐξίσταται τοῦ πρέποντος ἡ ψυχή. τῶν γὰρ αἰωνίων ἀγαθῶν ἡγοῦνται αἱ ψυχικαὶ ἀρεταὶ ἡμῶν. τῶν δὲ κολάσεων αἴτιοι γίνονται αἱ αὐθαίρετοι κακίαι τῶν ἀνθρώπων.

οθʹ. Ὁ μὲν λογικὸς ἄνθρωπος, ὑπὸ τῶν ἐν αὐτῷ λογικῶν αἰσθήσεων, διὰ τῶν παθῶν τῆς ψυχῆς, πολεμεῖται. εἰσὶ δὲ αἱ μὲν τοῦ σώματος αἰσθήσεις πέντε· ὅρασις, ὄσφρησις, ἀκοὴ, γεῦσις, καὶ ἀφή. διὰ τῶν πέντε τούτων αἰσθήσεων, τοῖς τέσσαρσι πάθεσι τοῖς ἰδίοις ὑποπίπτουσα, αἰχμαλωτίζεται ἡ ἀθλία ψυχή. εἰσὶ δὲ τὰ τέσσαρα πάθη τῆς ψυχῆς, κενοδοξία, χαρὰ, θυμὸς, καὶ δειλία. ὅταν τοίνυν διὰ φρονήσεως, καὶ τοῦ ἐπιλογισμοῦ, καλῶς στρατηγήσας ὁ ἄνθρωπος κατακρατήσῃ, καὶ νικήσῃ τὰ πάθη, οὐκ ἔτι πολεμεῖται· ἀλλ' εἰρηνεύει τῇ ψυχῇ, καὶ στεφανοῦται ὑπὸ τοῦ Θεοῦ ὡς νικήσας.

Τῶν ἐν τοῖς πανδοχείοις εὑρισκομένων, τινὲς αὐτῶν, κλίνας λαμβάνουσιν· πʹ.
ἄλλοι δὲ κλίνην οὐκ ἔχοντες, ἀλλ' ἐπὶ τοῦ ἐδάφους καθεύδοντες, οὐδὲν ἧττον, ὥσπερ οἱ ἐπὶ τῆς κλίνης κοιμώμενοι ῥέγχουσι· καὶ τὸ μέσον τῆς νυκτὸς ἀναμείναντες, ἕωθεν τὰς κλίνας καταλείψαντες τοῦ πανδοχείου, κοινῇ πάντες, ἐξέρχονται, τὰ ἴδια μόνα βαστάζοντες. τὸν αὐτὸν τρόπον, καὶ οἱ ἐν τῷ βίῳ ἐρχόμενοι ἅπαντες, καὶ οἱ μετρίως ζήσαντες, καὶ οἱ ἐν δόξῃ, καὶ πλούτῳ βιώσαντες, ὥσπερ ἐκ πανδοχείου τοῦ βίου ἐξέρχονται· μηδὲν τῆς ἐκ τοῦ βίου τρυφῆς, καὶ τοῦ πλούτου λαμβάνοντες μεθ' ἑαυτῶν, εἰ μὴ μόνα τὰ ἴδια ἔργα, ἢ καλὰ, ἢ κακὰ, τὰ πραχθέντα αὐτοῖς ἐν τῇ ζωῇ αὐτῶν.

Ἐν ὑπερεχούσῃ ἐξουσίᾳ ὑπάρχων, μὴ πaʹ.
εὐχερῶς τινὶ, θανάτῳ ἀπειλήσῃς· γινώσκων, ὅτι κατὰ τὴν φύσιν καὶ σὺ τῷ θανάτῳ ὑπόκεισαι, καὶ ὥσπερ τελευταῖον χιτῶνα ἡ ψυχὴ τὸ σῶμα ἀποδύεται. τοῦτο σαφῶς ἐπιστάμενος, πρᾳότητα ἄσκησον, καὶ εὖ ποιῶν εὐχαρίστει διαπαντὸς τῷ Θεῷ. ὁ γὰρ μὴ οἰκτείρων, οὐκ ἔχει ἀρετὴν ἐν ἑαυτῷ.

Τὸν θάνατον διαφυγεῖν, ἐστὶν ἀδύνατον, πβʹ.
καὶ ἀμήχανον. ὅπερ γινώσκοντες, οἱ κατὰ ἀλήθειαν λογικοὶ ἄνθρωποι, καὶ γεγυμνασμένοι ταῖς ἀρεταῖς, καὶ τῇ θεοφι-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λοῦ λογισμοῦ, δέχονται τὸν θάνατον δίχα στεναγμῶν, καὶ φόβου, καὶ πένθους· τὸ ἀπαραίτητον αὐτοῦ, καὶ τὴν ἀπαλλαγὴν τῶν ἐν τῷ βίῳ κακῶν ἐνθυμούμενοι.

πγʹ. Τοὺς ἐπιλελησμένους τῆς χρηστῆς πολιτείας, καὶ Θεῷ ἀρεσκούσης· καὶ τὰ ὀρθὰ καὶ θεοφιλῆ δόγματα μὴ φρονοῦντας, μισεῖν μὲν οὐ χρή, ἐλεεῖν δὲ μᾶλλον ὡς πηρούς * τοῦ διακριτικοῦ, καὶ τυφλοὺς τὴν καρδίαν καὶ τὴν διάνοιαν· τὸ γὰρ κακὸν ὡς καλὸν ὑποδεξάμενοι, ὑπὸ ἀγνοίας ἀπόλλυνται. καὶ οὐ γνωρίζουσι τὸν Θεὸν οἱ τρισάθλιοι, καὶ ἀνόητοι τὴν ψυχήν.

* ἴσ. τὸ διακριτικόν,

πδʹ. Τοὺς περὶ εὐσεβείας καὶ εὐζωΐας λόγους πρὸς τοὺς πολλοὺς ὁμιλεῖν παραιτοῦ. οὐ διὰ φθόνον λέγω, ἀλλ' ὅτι τοῖς ἀλογίστοις καταγέλαστος, οἶμαι, δόξεις· τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ χαίρει. οἱ δὲ τοιοῦτοι λόγοι ὀλίγους ἔχουσι τοὺς ἀκροατάς· τάχα δὲ πάνυ σπανίους. βέλτιον δὲ τὸ μὴ λαλεῖν, ὅτι μή, ὃ θέλει ὁ Θεὸς πρὸς σωτηρίαν ἀνθρώπου.

πεʹ. Ἡ ψυχὴ συμπάσχει τῷ σώματι. τὸ δὲ σῶμα οὐ συμπάσχει τῇ ψυχῇ. ὡς οἷον τοῦ σώματος τεμνομένου, συμπάσχει καὶ ἡ ψυχή· ἐῤῥωμένου τε καὶ ὑγιαίνοντος τοῦ σώματος, τὰ πάθη τῆς ψυχῆς συνήδεται. τῆς δὲ ψυχῆς διανοουμένης, οὐκ ἔτι διανοεῖται τὸ σῶμα. μένει δὲ καθ' ἑαυτὸ καταλελειμμένον. τὸ γὰρ διανοεῖσθαι πάθος ἐστὶ ψυχῆς· ὥσπερ καὶ ἡ ἄγνοια, καὶ ἡ ὑπερηφανία, καὶ ἡ ἀπιστία, καὶ ἡ πλεονεξία, καὶ τὸ μῖσος, καὶ ὁ φθόνος, καὶ ἡ ὀργή, καὶ ἡ ὀλιγωρία, καὶ ἡ κενοδοξία, καὶ ἡ τιμή, καὶ ἡ διχόνοια, καὶ ἡ αἴσθησις τοῦ ἀγαθοῦ. τὰ γὰρ τοιαῦτα διὰ τῆς ψυχῆς ἐνεργεῖται.

πϛʹ. Ἐννοῶν τὰ περὶ Θεοῦ, εὐσεβὴς ἔσο· ἄφθονος, ἀγαθός, σώφρων, πρᾶος, χαριστικὸς κατὰ δύναμιν, κοινωνικός, ἀφιλόνεικος, καὶ τὰ ὅμοια. αὕτη γὰρ ἐστὶν ἡ ἄσυλος κτῆσις τῆς ψυχῆς, τὸ ἀρέσκειν τῷ Θεῷ διὰ τῶν τοιούτων. καὶ τὸ μηδένα κρίνειν, ἢ λέγειν περὶ μηδενός, ὅτι ὁ δεῖνα κακός ἐστι, καὶ ἥμαρτεν· ἀλλὰ βέλτιον ἐστὶ τὰ ἑαυτοῦ κακὰ ζητεῖν, καὶ σκοπεῖν καθ' ἑαυτὸν τὴν ἑαυτοῦ πολιτείαν, εἰ ἐστὶν ἀρέσκουσα τῷ Θεῷ. τί γὰρ ἡμῖν μέλει, ἐὰν ἄλλος ἐστὶ πονηρός;

πζʹ. Ὁ τῇ ἀληθείᾳ ἄνθρωπος, σπουδάζει εὐσεβὴς εἶναι. εὐσεβὴς δὲ ἐστίν, ὁ τῶν ἀλλοτρίων μὴ ἐπιθυμῶν. ἀλλότρια δέ ἐστι τοῦ ἀνθρώπου, πάντα τὰ κτιστά. πάντων τούτων καταφρονεῖ, ὡς εἰκὼν τοῦ Θεοῦ. εἰκὼν δὲ Θεοῦ γίνεται ἄνθρωπος, ὅταν ὀρθῶς, καὶ ἀρεσκόντως Θεῷ πολιτεύεται. ἄλλως δὲ οὐχ οἷόν τε τοῦτο γενέσθαι, ἐὰν μὴ ἀποστῇ ἄνθρωπος τῶν βιωτικῶν. ὁ δὲ νοῦν ἔχων θεοφιλῆ, πᾶσαν ψυχικὴν ὠφέλειαν, καὶ πᾶσαν εὐλάβειαν τὴν ἐξ αὐτοῦ γενομένην ἐπίσταται. ὁ θεοφιλὴς ἀνὴρ οὐδένα ἄλλον μέμφεται, ἐφ' οἷς αὐτὸς ἁμαρτάνει. τοῦτο δέ, σωζομένης ψυχῆς ἐστὶ σημεῖον.

πηʹ. Ὅσοι τὴν πρόσκαιρον κτῆσιν βιαίως ἔχειν σπουδάζουσι, καὶ τὴν ὄρεξιν τῶν ἔργων τῆς κακίας ἀγαπῶσιν, ἀγνοοῦντες τὸν θάνατον, καὶ τὴν ἀπώλειαν τῆς ἰδίας ψυχῆς, καὶ οὐ σκοποῦσιν οἱ ἄθλιοι τὸ συμφέρον αὐτοῖς. οὐ λογίζονται τί πάσχουσι μετὰ θάνατον ὑπὸ τῆς κακίας οἱ ἄνθρωποι.

πθʹ. Ἡ κακία, πάθος τῆς ὕλης ἐστί. τῆς δὲ κακίας ἀναίτιος ὁ Θεός. γνῶσιν δέ, καὶ ἐπιστήμην, καὶ τὸ διακριτικὸν τοῦ ἀγαθοῦ τε καὶ κακοῦ, καὶ τὸ αὐτεξούσιον παρέσχε τοῖς ἀνθρώποις. ἡ δὲ τίκτουσα τὰ πάθη τῆς κακίας, ἐστὶν ἡ ἀμέλεια, καὶ ἡ ῥαθυμία τῶν ἀνθρώπων. ἀναίτιος γὰρ παντάπασίν ἐστιν ὁ Θεός. αἱρέσει δὲ γνώμης οἱ δαίμονες γεγένηνται πονηροί. ὥσπερ καὶ τῶν ἀνθρώπων οἱ πλεῖστοι.

ϟʹ. Ὁ τῇ εὐσεβείᾳ συζῶν ἄνθρωπος, τὴν κακίαν παρεισδῦναι τῇ ψυχῇ, οὐ συγχωρεῖ. κακίας δὲ ἀπούσης, τὸ ἀκίν-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

δυνον,

δυνον, καὶ ἀβλαβὴς ὑπάρχει τῇ ψυχῇ. τῶν γὰρ τοιούτων, οὔτε δαίμων σκαιὸς, οὔτε εἱμαρμένη κρατεῖ· ὁ γὰρ Θεὸς ῥύεται αὐτοὺς τῶν κακῶν, καὶ ζῶσιν ἀβλαβεῖς φυλαττόμενοι ἰσόθεοι. κἂν τις τὸν τοιοῦτον ἄνδρα ἐπαινέσῃ, καταγελᾷ παρ' ἑαυτῷ τοὺς ἐπαινοῦντας αὐτόν. κἂν ψέγῃ, οὐκ ἀπολογεῖται πρὸς τοὺς λοιδοροῦντας. οὐδὲ γὰρ ἀγανακτεῖ πρὸς τὰ λεγόμενα παρ' αὐτοῦ.

ϙα'. Τὸ κακὸν τῇ φύσει παρέπεται, ὥσπερ ὁ ἰὸς τῷ χαλκῷ, καὶ ὁ ῥύπος τῷ σώματι. ἀλλ' οὔτε τὸν ἰὸν ὁ χαλκουργὸς ἐποίησεν, οὔτε τὸν ῥύπον οἱ γεννήσαντες. οὕτως οὐδὲ τὴν κακίαν ὁ Θεὸς ἐποίησε. δέδωκε δὲ καὶ γνῶσιν, καὶ διάκρισιν τῷ ἀνθρώπῳ, ἵνα φύγῃ τὸ κακὸν, ὡς εἰδὼς, ὅτι βλάπτεται παρ' αὐτοῦ καὶ κολάζεται. ὅρα οὖν ἀσφαλῶς, μήποτε ἰδὼν εὐδαιμονοῦντά τινα, ἐν δυναστείᾳ, καὶ πλούτῳ μακαρίσῃς αὐτὸν, φαντασθεὶς ὑπὸ τοῦ δαίμονος· ἀλλὰ ὁ θάνατος γενέσθω σοι εὐθέως πρὸ ὀφθαλμῶν, καὶ οὐδέποτε οὐδενὸς κακοῦ, ἢ βιωτικοῦ ἐπιθυμήσῃς.

ϙβ'. Ὁ Θεὸς ἡμῶν, τοῖς ἐν οὐρανοῖς ἀθανασίαν ἐχαρίσατο· τοῖς δὲ ἐπὶ γῆς μεταβολὴν ἔκτισεν· ἐν δὲ τῷ παντὶ ζωὴν, καὶ κίνησιν ἐδωρήσατο· πάντα δὲ διὰ τὸν ἄνθρωπον. μὴ οὖν συναρπαζέτω σε ἡ βιωτικὴ φαντασία τοῦ δαίμονος, τοῦ ὑποβάλλοντος τὰς πονηρὰς ἐνθυμήσεις τῇ ψυχῇ· ἀλλ' εὐθὺς τὰ οὐράνια ἀγαθὰ ἐνθυμούμενος, παρὰ σεαυτῷ λέγε· ἐὰν θέλω, ἐν ἐμοί ἐστι τὸ νικῆσαι καὶ τοῦτον τὸν ἀγῶνα τοῦ πάθους. οὐ νικήσω δὲ, ἐὰν θέλω ἐπιτυχεῖν τῆς ἐμῆς ὀρέξεως. τοῦτον οὖν ἄσκησον τὸν δυνάμενον σώζειν σου τὴν ψυχήν.

ϙγ'. Ζωή ἐστιν, ἡ ἕνωσις καὶ συνάφεια τοῦ νοὸς, καὶ τῆς ψυχῆς, καὶ τοῦ σώματος. ὁ δὲ θάνατός ἐστιν, οὐκ ἀπώλεια τῶν συναφθέντων, ἀλλὰ διάλυσις τῆς γνώσεως αὐτῶν. τῷ γὰρ Θεῷ πάντα σώζεται, καὶ μετὰ τὴν διάλυσιν.

ϙδ'. Ὁ νοῦς οὐκ ἔστι ψυχὴ, ἀλλὰ δῶρον Θεοῦ, σῶζον τὴν ψυχὴν, καὶ προτρέχει καὶ συμβουλεύει τῇ ψυχῇ ὁ νοῦς, ὁ τῷ Θεῷ ἀρεστός· τῶν μὲν προσκαίρων, καὶ ὑλικῶν, καὶ φθαρτῶν καταφρονῆσαι· ἐρασθῆναι δὲ τῶν αἰωνίων, καὶ ἀφθάρτων, καὶ αὔλων ἀγαθῶν· καὶ περιπατεῖν ἐν σώματι ἄνθρωπος, τὰ ἐν οὐρανοῖς, καὶ τὰ περὶ Θεὸν, καὶ πάντα ὁμοῦ διὰ τοῦ νοῦ κατανοῶν, καὶ θεωρῶν. καὶ ἔστιν ὁ θεοφιλὴς νοῦς, εὐεργέτης καὶ σωτηρία ἀνθρωπίνης ψυχῆς.

ϙε'. Ψυχὴ ἐν σώματι γενομένη, εὐθὺς ἀπὸ τῆς λύπης καὶ τῆς ἡδονῆς σκοτίζεται, καὶ ἀπόλλυται. καὶ ὥσπερ χυμοί εἰσι τοῦ σώματος, ἥ, τε λύπη, καὶ ἡδονή. ὁ δὲ θεοφιλὴς νοῦς ἀντιπράττων, λυπεῖ τὸ σῶμα, καὶ σώζει τὴν ψυχὴν, ὡς ἰατρὸς τέμνων, ἢ καίων τὰ σώματα.

ϙϛ'. Ὅσαι ψυχαὶ ὑπὸ τοῦ λογικοῦ μὴ ἡνιοχοῦνται, καὶ κυβερνῶνται ὑπὸ τοῦ νοῦ, ἵνα ἄγχῃ, καὶ ἐπέχῃ, καὶ κυβερνᾷ αὐτῶν τὰ πάθη, τουτέστι τὴν τε λύπην καὶ τὴν ἡδονήν· αὗται αἱ ψυχαὶ ὡς τὰ ἄλογα ἀπόλλυνται ζῶα, παρασυρομένου τοῦ λογικοῦ ὑπὸ τῶν παθῶν, ὡς ἡνιόχου νικηθέντος ὑπὸ τῶν ἵππων.

ϙζ'. Μεγίστη νόσος ψυχῆς, καὶ ὄλεθρος, καὶ ἀπώλεια, τὸ μὴ γινώσκειν τὸν Θεὸν, τὸν τὰ πάντα ποιήσαντα διὰ τὸν ἄνθρωπον, καὶ δωρησάμενον αὐτῷ τόν τε νοῦν, καὶ τὸν λόγον, δι' ὧν ἀναπτάμενος, Θεῷ συνάπτεται ἄνθρωπος, νοῶν, καὶ δοξάζων τὸν Θεόν.

ϙη'. Ἡ μὲν ψυχὴ, ἔστιν ἐν τῷ σώματι, ἐν δὲ τῇ ψυχῇ, ἔστιν ὁ νοῦς· ἐν δὲ τῷ νῷ, ἔστιν ὁ λόγος· δι' ὧν ὁ Θεὸς νοούμενος καὶ δοξαζόμενος, ἀθανατίζει τὴν ψυχὴν, ἀφθαρσίαν αὐτῇ, καὶ τρυφὴν αἰώνιον δωρούμενος. ὁ γὰρ Θεὸς πᾶσι



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῖς γινομένοις τὸ εἶναι διὰ μόνην ἀγαθότητα ἐδωρήσατο.

ϟθʹ. Ὁ Θεὸς αὐτεξούσιον ποιήσας τὸν ἄνθρωπον, ὡς ἄφθονος καὶ ἀγαθὸς, παρέχει αὐτῷ καὶ τὸ δύνασθαι, ἐὰν θέλῃ, ἀρέσκειν τῷ Θεῷ. ἀρέσκει δὲ τῷ Θεῷ, τὸ μὴ εἶναι κακίαν ἐν ἀνθρώπῳ. εἰ δὲ παρὰ ἀνθρώποις ἐπαινεῖται μὲν τὰ καλὰ ἔργα, καὶ αἱ ἀρεταὶ τῆς ὁσίας καὶ θεοφιλοῦς ψυχῆς· καταγινώσκεται δὲ τὰ αἰσχρὰ, καὶ αἱ πονηραὶ πράξεις· πόσῳ μᾶλλον παρὰ τῷ Θεῷ τῷ θέλοντι σωτηρίαν ἀνθρώπου γίνεσθαι;

ρʹ. Τὰ μὲν ἀγαθὰ παρὰ Θεοῦ, ὡς ἀγαθοῦ, λαμβάνει ὁ ἄνθρωπος. διὰ τοῦτο γὰρ καὶ ἐδημιουργήθη ὑπὸ τοῦ Θεοῦ. τὰ δὲ κακὰ ἑαυτῷ ἐπισπᾶται ὁ ἄνθρωπος, ἐξ αὐτοῦ καὶ τῆς ἐν ἑαυτῷ κακίας, καὶ ἐπιθυμίας, καὶ ἀναισθησίας.

ραʹ. Ἡ ἀλόγιστος ψυχὴ, ἀθάνατος οὖσα καὶ δεσπόζουσα τοῦ σώματος, δουλεύει τῷ σώματι διὰ τῶν ἡδονῶν, οὐκ ἐνωμένη, ὅτι τρυφὴ σώματος, βλάβη ψυχῆς. ἀναισθητοῦσα δὲ, καὶ μωραίνουσα, φροντίζει τῆς τρυφῆς τοῦ σώματος

ρβʹ. Ὁ Θεὸς, ἀγαθός. ὁ ἄνθρωπος, πονηρός. οὐδὲν κακὸν, ἐν οὐρανῷ. οὐδὲν ἀγαθὸν, ἐπὶ τῆς γῆς. ὁ δὲ λογικὸς ἄνθρωπος τὸ βέλτιον ἐπιλέγεται, καὶ γνωρίζει τὸν Θεὸν τῶν ὅλων· καὶ εὐχαριστεῖ, καὶ ὑμνεῖ αὐτὸν, καὶ πρὸ τοῦ θανάτου μυσάττεται τὸ σῶμα, καὶ τὰς αἰσθήσεις τὰς πονηρὰς οὐκ ἐᾷ ἐκτελεσθῆναι, εἰδὼς αὐτῶν τὴν ἀπώλειαν καὶ τὴν ἐνέργειαν.

ργʹ. Ὁ πονηρὸς ἀνὴρ πλεονεξίαν μὲν ἀγαπᾷ· δικαιοσύνης δὲ καταφρονεῖ· μηδὲ τὸ ἀβέβαιον, καὶ ἄστατον, καὶ ὀλιγοχρόνιον τοῦ βίου λογιζόμενος, μηδὲ τὸ ἀδωροδόκητον, καὶ ἀπαραίτητον τοῦ θανάτου ἐνθυμούμενος. εἰ δὲ πρεσβύτης ὑπάρχει αἰσχρὸς, καὶ ἀνόητος, ὥσπερ σεσηπὸς ξύλον πρὸς πᾶσαν χρῆσιν ἐστὶν ἀποίητος.

ρδʹ. Ὥσπερ τὴν πεῖραν τῶν λυπηρῶν λαμβάνοντες, τότε τῶν ἡδονῶν, καὶ τῆς χαρᾶς αἰσθανόμεθα· οὐδὲ γὰρ ἡδέως πίνει, ὁ μὴ διψήσας· οὐδὲ ἡδέως ἐσθίει, ὁ μὴ πεινάσας· οὐδὲ ἡδέως κοιμᾶται, ὁ μὴ σφόδρα νυστάξας· οὐδὲ αἴσθησιν τῆς χαρᾶς λαμβάνει, ὁ μὴ πρότερον λυπηθείς· οὕτως οὐδὲ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσομεν, εἰ μὴ τῶν ὀλιγοχρονίων καταφρονήσωμεν.

ρεʹ. Ὁ λόγος τοῦ νοῦ ὑπηρέτης ἐστίν. ὃ γὰρ θέλει ὁ νοῦς, τοῦτο καὶ ὁ λόγος ἑρμηνεύει.

ρϛʹ. Ὁ νοῦς πάντα ὁρᾷ, καὶ τὰ ἐν οὐρανοῖς· καὶ οὐδὲν αὐτῷ ἐπισκοτεῖ, εἰ μὴ μόνον ἡ ἁμαρτία. τῷ δὲ καθαρῷ οὐδὲν ἀκατάληπτον, ὥσπερ τῷ λόγῳ οὐδὲν ἄλεκτον.

ρζʹ. Διὰ μὲν τὸ σῶμα, ὁ ἄνθρωπος θνητός· διὰ δὲ τὸν νοῦν καὶ τὸν λόγον, ἀθάνατος. σιωπῶν νοεῖς· νοήσας λαλεῖς. ἐν γὰρ τῇ σιωπῇ ὁ νοῦς τίκτει τὸν λόγον. εὐχάριστος δὲ λόγος Θεῷ προσφερόμενος, σωτηρία ἀνθρώπου εὑρίσκεται.

ρηʹ. Ὁ λαλῶν τὰ ἀλόγιστα, νοῦν οὐκ ἔχει. οὐδὲν γὰρ νοῶν λαλεῖ. ἀλλὰ σκόπησον τί σοι συμφέρει ποιεῖν πρὸς σωτηρίαν τῆς ψυχῆς.

ρθʹ. Ὁ λόγος ὁ νοῦν ἔχων καὶ ψυχωφελὴς ὑπάρχων, Θεοῦ δῶρόν ἐστιν. ὥσπερ καὶ λόγος ὁ φλυαρίας γέμων, καὶ ζητῶν οὐρανοῦ, καὶ γῆς μέτρα, καὶ διαστήματα, καὶ ἡλίου μεγέθη, καὶ ἄστρων, ἀνθρώπου ματαιοπονοῦντος εὕρημά ἐστι. τὰ γὰρ μηδὲν ὠφελοῦντα, μάτην κομπούμενος ζητεῖ, ὡς μετὰ κοσκίνου ὕδωρ θέλων ἀντλῆσαι. ταῦτα γὰρ ἀνθρώποις οὐ δυνατόν ἐστιν εὑρεῖν.

ρίʹ. Οὐδεὶς τὸν οὐρανὸν βλέπει, καὶ τὰ ἐν αὐτῷ νοῆσαι δύναται, εἰ μὴ μόνος ὁ ἄνθρωπος, ὁ ἐναρέτου βίου ἐπιμελούμενος, καὶ νοῶν, καὶ δοξάζων τὸν ποιήσαντα αὐτὸν εἰς σωτηρίαν, καὶ ζωὴν ἀνθρώπου.

ἐπίσταται γὰρ ἀσφαλῶς ὁ θεοφιλής, καὶ πιστὸς ἀνήρ, ὅτι χωρὶς τοῦ Θεοῦ, οὐδέν ἐστι. πανταχοῦ δὲ ἐστι, καὶ ἐν πᾶσιν, ὡς ἀπεριόριστος ὑπάρχων ὁ Θεός.

ρια′. Ὡς ἀπὸ τῆς μήτρας γαστρὸς ἐξέρχεται ἄνθρωπος· οὕτω καὶ ἀπὸ τοῦ σώματος ἡ ψυχὴ γυμνὴ ἐξέρχεται. ἡ μὲν καθαρὰ καὶ φωτεινή· ἡ δὲ σπίλους ἔχουσα τὰ πταίσματα· ἑτέρα δέ, μέλαινα τοῖς πολλοῖς παραπτώμασιν. ὅθεν ἡ λογικὴ καὶ θεοφιλὴς ψυχή, ἐνθυμουμένη, καὶ λογιζομένη τὰ μετὰ θάνατον κακά, εὐσεβῶς πολιτεύεται· ἵνα μὴ αὐτοῖς κατακριθεῖσα περιπέσῃ. οἱ γὰρ ἀπιστοῦντες καὶ ἀσεβοῦσι, καὶ ἁμαρτάνουσι τῶν ἐκεῖ καταφρονοῦντες, οἱ ἀνόητοι τὴν ψυχήν.

ριβ′. Ὥσπερ ἐξελθὼν τῆς γαστρός, τῶν ἐν τῇ γαστρὶ οὐ μνημονεύεις· οὕτω καὶ τοῦ σώματος ἐξελθών, οὐ μνημονεύεις τῶν ἐν σώματι.

ριγ′. Ὥσπερ ἐξελθὼν τῆς γαστρός, κρείττων, καὶ μείζων ἐγένου τῷ σώματι· οὕτω καὶ τοῦ σώματος καθαρὸς καὶ ἄσπιλος ἐξερχόμενος, κρείττων ἔσῃ καὶ ἄφθαρτος, ἐν τοῖς οὐρανοῖς διαιτώμενος.

ριδ′. Ὥσπερ ἐν τῇ γαστρὶ τοῦ σώματος τελειωθέντος, ἀνάγκη τεχθῆναι· οὕτω τὴν ψυχήν, ἐν τῷ σώματι τὸν ὁρισθέντα ὑπὸ τοῦ Θεοῦ ὅρον πληρώσασαν, ἀνάγκη ἐξελθεῖν τοῦ σώματος.

ριε′. Ὥσπερ ἐὰν χρήσῃ τῇ ψυχῇ οὔσῃ ἐν τῷ σώματι, οὕτω καὶ αὐτὴ ἐξελθοῦσα τοῦ σώματος κέχρηταί σοι. ὁ γὰρ τῷ σώματι καλῶς, καὶ ξυφιλῶς ἐνταῦθα χρησάμενος, ἑαυτῷ κακῶς ἐχρήσατο μετὰ θάνατον. κατέκρινε γὰρ τὴν ἑαυτοῦ ψυχὴν ὡς ἀνόητος.

ριϛ′. Ὥσπερ τὸ σῶμα ἐκ τῆς μήτρας γαστρὸς ἐξερχόμενον ἀτελές, ἀνατραφῆναι οὐ δύναται· οὕτω καὶ ἡ ψυχὴ τοῦ σώματος ἐξελθοῦσα, καὶ τὴν τοῦ Θεοῦ γνῶσιν διὰ χρηστῆς πολιτείας μὴ κατορθώσασα, σωθῆναι, ἢ Θεῷ συναφθῆναι οὐ δύναται.

ριζ′. Τὸ σῶμα συναπτόμενον τῇ ψυχῇ, ἐκ τοῦ σκότους τῆς γαστρὸς εἰς τὸ φῶς ἐξέρχεται. ἡ δὲ ψυχὴ συναπτομένη τῷ σώματι, εἰς τὸ σκότος τοῦ σώματος συνδεσμεῖται. διὸ πρέπει μισεῖν, καὶ παιδεύειν τὸ σῶμα ὡς ἐχθρόν, καὶ πολέμιον ὑπάρχοντα τῇ ψυχῇ. πλῆθος γὰρ ἐδεσμάτων καὶ ἡδυφαγίας ἐπεγείρει τὰ πάθη τῆς κακίας τοῖς ἀνθρώποις. ἐγκράτεια δὲ γαστρὸς ταπεινοῖ τὰ πάθη, καὶ σώζει τὴν ψυχήν.

ριη′. Τοῦ σώματος ἡ ὅρασις, οἱ ὀφθαλμοί εἰσι. τῆς δὲ ψυχῆς ἡ ὅρασις, ὁ νοῦς ἐστί. καὶ ὥσπερ σῶμα ὀφθαλμοὺς μὴ ἔχον, τυφλόν ἐστι· καὶ τὸν ἥλιον, πᾶσαν τὴν γῆν καὶ τὴν θάλασσαν καταλάμποντα, οὐ βλέπει, οὐδὲ τοῦ φωτὸς ἀπολαῦσαι δύναται. οὕτω καὶ ἡ ψυχή, νοῦν ἀγαθόν, καὶ χρηστὴν πολιτείαν μὴ ἔχουσα, τυφλή ἐστι, καὶ τὸν Θεὸν τὸν ποιητήν, καὶ εὐεργέτην τῶν ὅλων οὐ κατανοεῖ, οὔτε δοξάζει, οὔτε τῆς ἀφθαρσίας αὐτοῦ, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐν ἀπολαύσει γενέσθαι οὐ δύναται.

ριθ′. Ἀναισθησία, καὶ μωρία ψυχῆς ἐστιν, ἡ ἀγνωσία τοῦ Θεοῦ. τὸ γὰρ κακὸν ἐκ τῆς ἀγνωσίας τίκτεται· τὸ δὲ ἀγαθὸν ἐκ τῆς γνώσεως τοῦ Θεοῦ προσγίνεται τοῖς ἀνθρώποις, καὶ σώζει τὴν ψυχήν. ἐὰν οὖν τὰ θελήματά σου μὴ ποιεῖν σπουδάζῃς, νηφάλιος ὑπάρχων καὶ γνωρίζων τὸν Θεόν, ἔχεις τὸν νοῦν σου ἐπὶ τῆς ἀρετῆς. ἐὰν δὲ τὰ θελήματά σου τὰ πονηρά, πρὸς ἡδονὴν σπουδάζῃς ποιεῖν, ἀγνωσίαν Θεοῦ μεθύων, ἀπόλλυσαι, ὡς τὰ ἄλογα, μὴ ἐνθυμούμενος τὰ μετὰ θάνατόν σοι συμβησόμενα κακά.

ρκ′. Πρόνοιά ἐστι τὰ κατὰ ἀνάγκην θείαν γινόμενα, ὥσπερ τὸ ἐφ᾽ ἑκάστης ἡμέρας ἀνατέλλειν, καὶ δύνειν τὸν ἥλιον, καὶ τὸ καρποφορεῖν τὴν γῆν. οὕτω καὶ νόμος



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λέγεται τὸ κατὰ ἀνάγκην ἀνθρωπίνην γινόμενον. πάντα δὲ διὰ τὸν ἄνθρωπον γέγονε.

ρκα′. Ὅσα μὲν ὁ Θεὸς ποιεῖ, ὡς ἀγαθὸς, διὰ τὸν ἄνθρωπον ποιεῖ. ὅσα δὲ ὁ ἄνθρωπος ποιεῖ, ἑαυτῷ ποιεῖ, καὶ τὰ καλὰ, καὶ τὰ κακά. ἵνα δὲ μὴ θαυμάζῃς τὴν τῶν κακῶν εὐθυμονίαν, γίνωσκε, ὅτι ὥσπερ αἱ πόλεις τρέφουσι τοὺς δημίους, καὶ οὐκ ἐπαινοῦσαι αὐτῶν τὴν κακίστην προαίρεσιν, ἀλλὰ διὰ τούτων τοὺς ἀξίους κολάζουσαι· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ Θεὸς τοὺς πονηροὺς, τῶν βιωτικῶν καταδυναστεύειν συγχωρεῖ, ὥστε δι' αὐτῶν τιμωρεῖσθαι τοὺς ἀσεβοῦντας. ὕστερον δὲ καὶ τούτους παραδίδωσι τῇ κρίσει. ἐπειδὴ οὐχ ὡς τῷ Θεῷ διακονοῦντες, ἀλλὰ τῇ οἰκείᾳ πονηρίᾳ δουλεύοντες, τὰ δεινὰ τοῖς ἀνθρώποις πεποιήκασιν.

ρκβ′. Οἱ τὰ εἴδωλα σεβόμενοι, εἰ ἐγίνωσκον, καὶ ἔβλεπον τῇ καρδίᾳ τί σέβονται, οὐκ ἂν ἀπεπλανῶντο, οἱ ἄθλιοι, τῆς εὐσεβείας. ἀλλὰ θεωροῦντες τὴν εὐκοσμίαν, καὶ τὴν τάξιν, καὶ τὴν πρόνοιαν τῶν γεγονότων τε, καὶ τῶν γινομένων ὑπὸ τοῦ Θεοῦ, ἐγνώριζον ἂν τὸν ποιήσαντα αὐτὰ διὰ τὸν ἄνθρωπον.

ρκγ′. Ὁ ἄνθρωπος ὡς κακὸς, καὶ ἄδικος ἀποκτείνειν δύναται. ὁ δὲ Θεὸς ζωὴν χαριζόμενος καὶ τοῖς ἀναξίοις οὐ παύεται. ὡς ἄφθονος γὰρ, καὶ ἀγαθὸς τὴν φύσιν ὑπάρχων, ἐβουλήθη γενέσθαι τὸν κόσμον, καὶ ἐγένετο. καὶ γίνεται διὰ τὸν ἄνθρωπον καὶ τὴν σωτηρίαν αὐτοῦ.

ρκδ′. Ἄνθρωπος ἐστὶν, ὁ τὸ σῶμα νοήσας τί ἐστιν· ὅτι φθαρτόν ἐστι, καὶ ὀλιγοχρόνιον. ὁ γὰρ νοοῦντες καὶ τὴν ψυχὴν νοεῖ, ὅτι θεία ἐστὶ, καὶ ἀθάνατος, καὶ ἐμφύσημα Θεοῦ ὑπάρχουσα, εἰς δοκιμὴν καὶ ἀποθέωσιν συνεδέθη τῷ σώματι. ὁ δὲ τὴν ψυχὴν νοήσας, ὀρθῶς, καὶ ἀρεσκόντως Θεῷ πολιτεύεται, τῷ σώματι μὴ πειθόμενος. ἀλλ' ὁρῶν τὸν Θεὸν, τῷ νῷ ἑαυτοῦ, καὶ τὰ δωρούμενα τῇ ψυχῇ παρὰ τοῦ Θεοῦ αἰώνια ἀγαθὰ θεωρεῖ νοητῶς.

Ἀγαθὸς, καὶ ἄφθονος ἀεὶ ὢν ὁ Θεὸς, τὴν ἐξουσίαν δέδωκε τῷ ἀνθρώπῳ, τοῦ ρκε′.
καλοῦ, καὶ τοῦ κακοῦ· γνῶσιν αὐτῷ δωρησάμενος· ἵνα θεωρῶν τὸν κόσμον, καὶ τὰ ἐν αὐτῷ, γνωρίσῃ τὸν ποιήσαντα τὰ πάντα διὰ τὸν ἄνθρωπον. τῷ δὲ ἀνοσίῳ ἔξεστι θέλειν, καὶ μὴ νοεῖν. ἔξεστι γὰρ αὐτῷ καὶ ἀπιστεῖν, καὶ ἀτυχεῖν, καὶ τὰ ἐναντία τῆς ἀληθείας νοεῖν. τοσαύτην ἔχει ἄνθρωπος ἐξουσίαν καὶ τοῦ καλοῦ, καὶ τοῦ κακοῦ.

Πρόσταξίς ἐστι Θεοῦ, τὸ, αὐξανομένης τῆς σαρκὸς, τὴν ψυχὴν πληροῦσθαι ρκϛ′.
νοῦ· ἵνα ὁ ἄνθρωπος ἐκ τοῦ καλοῦ, καὶ τοῦ κακοῦ τὸ ἀρέσκον αὐτῷ ἐπιλέξηται. ψυχὴ δὲ μὴ ἐπιλεγομένη τὸ καλὸν, νοῦν οὐκ ἔχει. ὅθεν, ὅλα μὲν τὰ σώματα ψυχὴν ἔχει· οὐ πᾶσα δὲ ψυχὴ λέγεται νοῦν ἔχειν. ὁ γὰρ θεοφιλὴς νοῦς παραγίνεται τοῖς σώφροσι, καὶ ὁσίοις, καὶ δικαίοις, καὶ καθαροῖς, καὶ ἀγαθοῖς, καὶ ἐλεήμοσι, καὶ τοῖς εὐσεβοῦσι. καὶ ἡ παρουσία τοῦ νοῦ, γίνεται αὐτῷ βοήθεια πρὸς Θεόν.

Ἓν μόνον οὐκ ἔξεστιν ἀνθρώπῳ, τὸ εἶναι ἀθάνατον (1). Θεῷ συναφθῆναι ἔξεστιν αὐτῷ, ἐὰν νοήσῃ, ὅτι δύναται. ρκζ′.
θέλων γὰρ, καὶ νοῶν, καὶ πιστεύων, καὶ ἀγαπῶν διὰ χρηστῆς πολιτείας, Θεοῦ συνόμιλος γίνεται ὁ ἄνθρωπος.

Ὁ ὀφθαλμὸς τὰ φαινόμενα θεωρεῖ. ρκη′.
ὁ δὲ νοῦς τὰ ἀόρατα κατανοεῖ. ὁ γὰρ θεοφιλὴς νοῦς, φῶς ἐστι τῆς ψυχῆς. ὁ νοῦν ἔχων θεοφιλῆ, τὴν καρδίαν πεφώτισται, καὶ ὁρᾷ τὸν Θεὸν τῷ νῷ ἑαυτοῦ.

(1) Πάντως τῷ σώματι οὕτω νόησον, καὶ ἐν τῇ ψυχῇ, ἀλλὰ καὶ αὐτὸ μετὰ τὴν ἀνάστασιν ἀθανατισθήσεται.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρκθ'. Οὐδεὶς ἀγαθὸς, αἰσχρός· ὁ δὲ μὴ καλὸς, πάντως κακὸς, καὶ φιλοσώματος. πρώτη δὲ ἀρετή ἐστιν ἀνθρώπου, ἡ τῆς σαρκὸς καταφρόνησις. τῶν γὰρ προσκαίρων, καὶ φθαρτῶν, καὶ ὑλικῶν ὁ χωρισμὸς ὁ κατὰ προαίρεσιν, καὶ οὐ κατ᾽ ἔνδειαν, τῶν αἰωνίων καὶ ἀφθάρτων ἀγαθῶν κληρονόμους ἡμᾶς ποιεῖ.

ρλ'. Ὁ νοῦν ἔχων, οἶδεν ἑαυτὸν τί ἐστιν, ὅτι φθαρτός ἐστιν ἄνθρωπος. ὁ δὲ εἰδὼς ἑαυτὸν, πάντα οἶδεν, ὅτι ποιήματα Θεοῦ ἐστι, καὶ διὰ σωτηρίαν ἀνθρώπου ἐγένετο. πάντα γὰρ νοῆσαι, καὶ πιστεῦσαι ὀρθῶς, ἐν τῇ ἐξουσίᾳ τοῦ ἀνθρώπου ἐστί. γινώσκει δὲ ἀσφαλῶς ὁ τοιοῦτος ἀνὴρ, ὅτι οἱ τῶν βιωτικῶν καταφρονοῦντες, κόπον μὲν ἐλάχιστον ἔχουσι, τρυφὴν δὲ, καὶ ἀνάπαυσιν αἰωνίαν κομίζονται παρὰ τοῦ Θεοῦ μετὰ θάνατον.

ρλα'. Ὥσπερ τὸ σῶμα χωρὶς ψυχῆς νεκρόν ἐστιν· οὕτω καὶ ἡ ψυχὴ χωρὶς τοῦ νοητικοῦ, ἀργή ἐστι, καὶ τὸν Θεὸν κληρονομῆσαι οὐ δύναται.

ρλβ'. Μόνου ἀνθρώπου ὁ Θεὸς ἀκούει. μόνῳ ἀνθρώπῳ ὁ Θεὸς φαίνεται. φιλάνθρωπος ὁ Θεὸς, ὅπου ἐὰν ᾖ, καὶ Θεός. μόνος ἄνθρωπος ἄξιος Θεοῦ προσκυνητής. διὰ τὸν ἄνθρωπον ὁ Θεὸς μεταμορφοῦται.

ρλγ'. Ὁ Θεὸς ἀνθρώπῳ πάντα ἐποίησε τὸν οὐρανὸν, καὶ κοσμοῦσιν ἀστέρες. διὰ τὸν ἄνθρωπον τὴν γῆν. ἄνθρωποι γεωργοῦσι δι᾽ ἑαυτούς. οἱ τῆς τοῦ Θεοῦ προνοίας τοσαύτης μὴ αἰσθανόμενοι, ἀνόητοι τὴν ψυχήν.

ρλδ'. Τὸ καλὸν ἀφανές ἐστιν, ὡς τὰ ἐν οὐρανῷ. τὸ κακὸν φανερόν ἐστι, ὡς τὰ ἐν τῇ γῇ. καλόν ἐστι, τὸ σύγκρισιν μὴ ἔχον. ὁ δὲ νοῦν ἔχων ἄνθρωπος, τὸ κάλλιον ἐπιλέγεται. μόνῳ γὰρ ἀνθρώπῳ ὁ Θεὸς, καὶ τὰ ποιήματα αὐτοῦ, νοητά ἐστιν.

ρλε'. Ὁ νοῦς ἐν τῇ ψυχῇ φαίνεται, καὶ ἡ φύσις ἐν τῷ σώματι. καὶ ὁ νοῦς μὲν τῆς ψυχῆς ἀποθέωσίς ἐστιν, ἡ δὲ φύσις τοῦ σώματος, διάχυσις ὑπάρχει. καὶ ἐν παντὶ μὲν σώματι φύσις ἐστὶν, οὐκ ἐν πάσῃ δὲ ψυχῇ * νοῦς ὑπάρχει· διόπερ οὐδὲ πᾶσα σώζεται ψυχή.

* δηλ. φρόνησις.

ρλϛ'. Ψυχὴ, ἐν τῷ κόσμῳ· ὡς γεννητή. νοῦς δὲ, καὶ ὑπὲρ τὸν κόσμον· ὡς ἀγέννητος. ἡ δὲ νοοῦσα τὸν κόσμον, καὶ θέλουσα σωθῆναι ψυχὴ, ἐφ᾽ ἑκάστης ὥρας ἔχει νόμον ἀπαράβατον, καὶ καθ᾽ ἑαυτὴν λογιζομένη, ὅτι νῦν ὁ ἀγὼν, καὶ ἡ ἐξέτασις, καὶ οὐ συγχωρεῖ ἀναλαβέσθαι τὸν κριτὴν, καὶ ὅτι ἀπόλλυται ψυχὴ, καὶ σώζεται διὰ μικρὰν, καὶ αἰσχρὰν ἡδονήν.

ρλζ'. Ἐν τῇ γῇ ἐκτίσθη ὑπὸ τοῦ Θεοῦ γέννα, καὶ θάνατος. ἐν δὲ τῷ οὐρανῷ πρόνοια, καὶ ἀνάγκη. πάντα δὲ διὰ τὸν ἄνθρωπον καὶ σωτηρίαν αὐτοῦ γέγονεν. ἀνενδεὴς πάντων ἀγαθῶν ὑπάρχων ὁ Θεὸς, δι᾽ ἀνθρώπους, οὐρανὸν, καὶ γῆν, καὶ στοιχεῖα ἐδημιούργησε, διὰ τούτων πᾶσαν ἀπόλαυσιν ἀγαθῶν αὐτοῖς φιλοτιμούμενος.

ρλη'. Τὰ θνητὰ τοῖς ἀθανάτοις ὑπόκεινται. τὰ δὲ (1) ἀθάνατα τοῖς θνητοῖς ὑπηρετεῖ, τουτέστι, τὰ στοιχεῖα τῷ ἀνθρώπῳ, διὰ τὴν φιλανθρωπίαν, καὶ ἔμφυτον ἀγαθότητα τοῦ κτίσαντος Θεοῦ.

ρλθ'. Ὁ πένης γενόμενος, καὶ βλάψαι μὴ δυνάμενος, εἰς τοὺς εὐσεβεῖς (τῇ πράξει) οὐ λογίζεται. ἀλλ᾽ ὁ δυνάμενος βλάψαι, καὶ τῇ ἑαυτοῦ δυνάμει εἰς τὸ κακὸν μὴ χρώμενος, ἀλλὰ τῶν ταπεινοτέρων φειδόμενος, διὰ τὴν περὶ Θεὸν εὐσέβειαν, ἐκεῖνος ἀμοιβῶν ἀγαθῶν ἐντὸς γίνεται καὶ μετὰ θάνατον.

ρμ'. Διὰ τὴν φιλανθρωπίαν τοῦ κτίσαντος ἡμᾶς Θεοῦ, πλεῖσταί εἰσι τῶν ἀνθρώπων πρὸς σωτηρίαν ὁδοὶ, αἱ τὰς ψυχὰς ἐπιστρέφουσαι, καὶ ἀνάγουσαι αὐτὰς εἰς τοὺς οὐρανούς. κομίζονται γὰρ αἱ τῶν ἀνθρώπων ψυχαὶ, ἀντὶ μὲν τῆς ἀρετῆς,

(1) Τὸ ἀθάνατον ἐνταῦθα, ὡς πολυχρόνιον, καὶ ἐπὶ πολὺ διαμένον, ἐκλαμβάνεται.

ἀντι-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀντιμισθίας· ἀντὶ δὲ τῶν πλημμελημάτων, τὰς τιμωρίας.

ρμα΄. Ὁ Υἱὸς ἐν τῷ Πατρὶ, καὶ τὸ Πνεῦμα ἐν τῷ Υἱῷ, καὶ ὁ Πατὴρ ἐν ἀμφοτέροις ἐστί. πίστει δὲ πάντα τὰ ἀόρατα, καὶ νοούμενα γινώσκει ὁ ἄνθρωπος. πίστις δέ ἐστιν ἡ ἐθελούσιος τῆς ψυχῆς συγκατάθεσις.

ρμβ΄. Ὥσπερ οἱ διά τινας χρείας, ἢ περιστάσεις, τοῖς μεγίστοις τῶν ποταμῶν ἐγκολυμβᾷν ἀναγκαζόμενοι, ἐὰν νήφωσι, διασώζονται. κἂν γὰρ βίαια τυγχάνῃ τὰ ῥεύματα, μικρὸν καὶ * πωθέντες, εὐτόνως δήποτε τῶν παρὰ ταῖς ὄχθαις πεφυκότων δραξάμενοι, διασώζονται. ὅσοι δὲ μεθύοντες εὑρεθῶσιν, εἰ καὶ μυριάκις εἰς τὸ ἄκρον τὸ κολυμβᾷν ἐμελέτησαν, ἀλλὰ τῷ οἴνῳ νικώμενοι, τῷ ῥεύματι ὑποβρύχιοι γίνονται, καὶ ἔξω τῶν ζώντων εὑρίσκονται. τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ εἰς τὰ σύρματα καὶ τὸν περισπασμὸν τῶν ῥευμάτων τοῦ βίου ἐμπίπτουσα, ἐὰν μὴ ἐκ τῆς κακίας τῆς ὕλης ἀνανήψασα, γνωρίσῃ ἑαυτὴν, ὅτι θεία ὑπάρχουσα, καὶ ἀθάνατος, τῇ ὀλιγοχρονίᾳ, καὶ πολυπαθείᾳ, καὶ θνητῇ ὕλῃ τοῦ σώματος εἰς δοκιμὴν συνεδέθη, καθέλκεται ὑπὸ τῶν σωματικῶν ἡδονῶν εἰς ἀπώλειαν· καὶ καταφρονοῦσα ἑαυτῆς, καὶ ἀγνωσίᾳ μεθύουσα, καὶ μὴ ἀντιλαμβανομένη ἑαυτῆς, ἀπόλλυται, καὶ ἔξω τῶν σωζομένων εὑρίσκεται· ποταμοῦ γὰρ δίκην, συνυποσύρει πολλάκις ἡμᾶς τὸ σῶμα πρὸς ἀπρεπεῖς ἡδονάς.

* ἴσ. κεπφωθέντες.

ρμγ΄. Ἡ λογικὴ ψυχὴ, ἐπὶ καλῆς προαιρέσεως ἀμετακίνητος ἑστῶσα, ὥσπερ ἵππον ἡνιοχεῖ τὸ θυμικὸν, καὶ τὸ ἐπιθυμητικὸν τὰ ἀλόγιστα αὐτῆς πάθη, καὶ νικῶσα, καὶ ἄγχουσα, καὶ περιγενομένη αὐτῶν, στεφανοῦται· καὶ τῆς ἐν οὐρανοῖς ἀξιοῦται διαίτης· ἔπαθλον τῆς νίκης, καὶ τῶν κόπων λαμβάνουσα παρὰ τοῦ κτίσαντος αὐτὴν Θεοῦ.

Ἡ κατὰ ἀλήθειαν λογικὴ ψυχὴ ὁρῶσα τὰς τῶν πονηρῶν εὐτυχίας, καὶ τὴν τῶν ἀναξίων εὐημερίαν, οὐ θορυβεῖται φανταζομένη αὐτῶν τὴν ἐν τούτῳ τῷ βίῳ ἀπόλαυσιν, ὥσπερ οἱ ἀλόγιστοι τῶν ἀνθρώπων. ἐπίσταται γὰρ σαφῶς καὶ τῆς τύχης τὸ ἄστατον, καὶ τοῦ βίου τὸ ἄδηλον, καὶ τῆς ζωῆς τὸ ὀλιγοχρόνιον, καὶ τῆς δίκης τὸ ἀδωροδόκητον· καὶ πιστεύει ἑαυτὴν ἡ τοιαύτη ψυχὴ ὑπὸ τοῦ Θεοῦ παρὰ τὴν ἀναγκαίαν τροφὴν μὴ ἀμελουμένην. ρμδ΄.

Ἡ ζωὴ τοῦ σώματος, καὶ ἡ ἐν πλούτῳ πολλῷ, καὶ δυναστείᾳ τοῦ βίου τούτου ἀπόλαυσις, θάνατος γίνεται τῆς ψυχῆς· ὁ δὲ κόπος, καὶ ἡ ὑπομονὴ, καὶ ἡ ἔνδεια ἡ μετ' εὐχαριστίας, καὶ ὁ θάνατος τοῦ σώματος, ζωή ἐστι, καὶ τρυφὴ αἰωνία τῆς ψυχῆς. ρμε΄.

Ἡ λογικὴ ψυχὴ τῆς ὑλικῆς κτίσεως, καὶ τῆς ὀλιγοχρονίου ζωῆς καταφρονοῦσα, ἐπιλέγεται τὴν οὐράνιον τρυφὴν, καὶ τὴν αἰωνίαν ζωὴν, διὰ τῆς χρηστῆς πολιτείας παρὰ Θεοῦ ταύτην λαμβάνουσα. ρμϛ΄.

Οἱ τὴν ἐσθῆτα βεβορβορωμένοι, μολύνουσι τὸν χιτῶνα τῶν προστριβόντων αὐτοῖς. τὸν αὐτὸν τρόπον, καὶ οἱ κακοὶ τὴν προαίρεσιν, καὶ τὴν πολιτείαν οὐκ ὀρθοὶ, τοῖς ἁπλουστέροις συνδιατρίβοντες, καὶ προσλεγόμενοι τὰ μὴ δέοντα, βορβόρου δίκην διὰ τῆς ἀκοῆς μολύνουσι τὴν ψυχήν. ρμζ΄.

Ἀρχὴ ἁμαρτίας, ἡ ἐπιθυμία ἐστὶ, δι' ἧς ἀπόλλυται ἡ λογικὴ ψυχή. ἀρχὴ δὲ σωτηρίας, καὶ βασιλείας οὐρανῶν, ἡ ἀγάπη γίνεται τῇ ψυχῇ. ρμη΄.

Ὥσπερ ὁ χαλκὸς ῥαθυμούμενος, καὶ τῆς δεούσης ἐπιμελείας μὴ ἀξιούμενος, ἐκ τῆς χρονίας θέσεως, καὶ ἀργείας ὑπὸ τοῦ ἐπιγενομένου ἰοῦ διαπίπτεται, καὶ ἄχρηστος, καὶ ἀκαλλὴς ἀπεργάζεται· τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἀργοῦσα, καὶ μὴ φροντίζουσα περὶ χρηστῆς πολιτείας, καὶ τῆς πρὸς Θεὸν ἐπιστροφῆς, χωρίζουσα ἑαυτὴν διὰ πο- ρμθ΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νεκρῶν πράξεων τῆς σκέπης τοῦ Θεοῦ, ὑπὸ τῆς κακίας τῆς ἐπιγενομένης ὑπὸ τῆς ῥαθυμίας, τῇ ὕλῃ τοῦ σώματος, ὡς χαλκὸς ὑπὸ τοῦ ἰοῦ ἀναλίσκεται, καὶ ἀκαλλὴς, καὶ ἄχρηστος πρὸς σωτηρίαν εὑρίσκεται.

ρʹ. Ὁ Θεὸς ἀγαθὸς, καὶ ἀπαθὴς, καὶ ἀμετάβλητός ἐστιν. εἰδέ τις τὸν μὲν Θεὸν μὴ μεταβάλλεσθαι, εὔλογόν τε ἡγεῖται, καὶ ἀληθές· ἀπορεῖ δὲ, πῶς ἀγαθοῖς μὲν χαίρει, κακοὺς δὲ ἀποστρέφεται· καὶ ἁμαρτάνουσι μὲν ὀργίζεται· θεραπευόμενος δὲ, ἵλεως γίνεται; ῥητέον, ὡς οὔτε χαίρει ὁ Θεὸς, οὔτε ὀργίζεται· τὸ γὰρ χαίρειν, καὶ λυπεῖσθαι, πάθος· οὔτε δώροις θεραπεύεται· ἡδονῇ γὰρ ἂν ἡττηθείη· οὐ θέμις ἐκ τῶν ἀνθρωπίνων πραγμάτων εὖ, ἢ κακῶς ἔχειν τὸ Θεῖον. ἀλλ᾽ ἐκεῖνος μὲν ἀγαθός ἐστι, καὶ ὠφελεῖ μόνον, βλάπτει δὲ οὐδέποτε, κατὰ ταυτὰ καὶ ὡσαύτως ἔχων· ἡμεῖς δὲ ἀγαθοὶ μένοντες δι᾽ ὁμοιότητα, Θεῷ συναπτόμεθα· κακοὶ δὲ γενόμενοι δι᾽ ἀνομοιότητα, χωριζόμεθα τοῦ Θεοῦ. καὶ * τὴν ἀρετὴν ζῶντες ἐχόμεθα τοῦ Θεοῦ· κακοὶ δὲ γενόμενοι, ἐχθρὸν ἡμῖν ποιοῦμεν ἐκεῖνον, οὐκ εἰκῇ ὀργιζόμενον· ἀλλὰ τῶν ἁμαρτημάτων, Θεὸν μὲν ἐν ἡμῖν οὐκ ἐώντων ἐλλάμπειν, δαίμοσι δὲ κολαστικοῖς συναπτόντων. εἰδὲ εὐχαῖς, καὶ εὐποιΐαις λύσιν ἁμαρτημάτων εὑρίσκομεν, οὐ τὸν Θεὸν θεραπεύομεν καὶ μεταβάλλομεν, ἀλλὰ διὰ τῶν δρωμένων, καὶ τῆς πρὸς τὸ Θεῖον ἐπιστροφῆς, τὴν ἡμετέραν κακίαν ἰώμενοι, πάλιν τῆς τοῦ Θεοῦ ἀγαθότητος ἀπολαύομεν· ὥστε ὅμοιον λέγειν, τὸν Θεὸν τοὺς κακοὺς ἀποστρέφεσθαι, καὶ τὸν ἥλιον τοῖς ἐστερημένοις τῆς ὁράσεως κρύπτεσθαι.

* Ἰσ. κατ᾽ ἀρετήν.

ρά. Ἡ εὐσεβὴς ψυχὴ γινώσκει τὸν Θεὸν τῶν ὅλων. οὐδὲν γὰρ ἄλλο ἐστὶν εὐσέβεια, εἰμὴ τὸ ποιεῖν τὸ θέλημα τοῦ Θεοῦ, ὅπερ ἐστὶ γνῶσις Θεοῦ ἐν τῷ ἄφθονον εἶναι, σώφρονα, πρᾶον, χαριστικὸν κατὰ δύναμιν, κοινωνικὸν, ἀφιλόνεικον, καὶ ὅσα ἐστὶν ἀρέσκοντα τῇ βουλήσει τοῦ Θεοῦ.

ρβʹ. Ἡ γνῶσις τοῦ Θεοῦ, καὶ ὁ φόβος αὐτοῦ, ἴασίς ἐστι τῶν τῆς ὕλης παθῶν. ἀγνωσίας γὰρ Θεοῦ, τῇ ψυχῇ συνούσης, τὰ πάθη ἀνίατα διαμένοντα διασήπει τὴν ψυχήν· ὥσπερ ὑπὸ χρονίου ἕλκους διασηπομένης αὐτῆς ὑπὸ τῆς κακίας, ἧς ἀναίτιος ὁ Θεὸς, ἐπιστήμην καὶ γνῶσιν καταπέμψας ἀνθρώποις.

ργʹ. Τὸν ἄνθρωπον ἐπιστήμης, καὶ γνώσεως ἐπλήρωσεν ὁ Θεὸς, τὰ πάθη καὶ τὴν αὐθαίρετον κακίαν ἐκκαθᾶραι σπουδάζων, καὶ τὸ θνητὸν εἰς ἀθανασίαν διὰ τὴν ἑαυτοῦ ἀγαθότητα μεταθεῖναι βουλόμενος.

ρδʹ. Ὁ νοῦς ὁ ἐν τῇ καθαρᾷ, καὶ φιλοθέῳ ψυχῇ, ἐν ἀληθείᾳ ὁρᾷ τὸν Θεὸν τὸν ἀγέννητον, καὶ ἀθεώρητον, καὶ ἄλεκτον, τὸν μόνον καθαρὸν τοῖς καθαροῖς τῇ καρδίᾳ.

ρεʹ. Στέφανος ἀφθαρσίας, καὶ ἀρετὴ, καὶ σωτηρία ἀνθρώπου ἐστὶν, εὐθύμως καὶ εὐχαρίστως φέρειν τὰς συμφοράς· κρατεῖν δὲ θυμοῦ, γλώσσης, γαστρὸς, ἡδονῶν, τοῦτο μεγίστη βοήθεια γίνεται ψυχῆς.

ρϛʹ. Ἡ διακρατοῦσα τὸν Κόσμον, τοῦ Θεοῦ πρόνοιά ἐστι. καὶ οὐκ ἔστι τόπος οὐδεὶς ἔρημος τῆς προνοίας. πρόνοια δέ ἐστιν, αὐτοτελὴς λόγος τοῦ Θεοῦ, ὁ τυπωτικὸς τῆς εἰς τὸν κόσμον ἐρχομένης ὕλης, καὶ δημιουργὸς, καὶ τεχνίτης τῶν γινομένων ἁπάντων. οὐδὲ γὰρ οἷόν τε τὴν ὕλην διακοσμεῖσθαι χωρὶς τῆς διακριτικῆς δυνάμεως τοῦ λόγου, ὅς ἐστιν εἰκὼν, καὶ νοῦς, καὶ σοφία, καὶ πρόνοια τοῦ Θεοῦ.

ρζʹ. Ἡ ἐκ τῆς ἐνθυμήσεως ἐπιθυμία, ῥίζα ἐστὶ τῶν παθῶν τῶν συγγενῶν τοῦ σκότους. καὶ ἡ ψυχὴ οὖσα ἐν τῇ ἐνθυμήσει τῆς ἐπιθυμίας, ἀγνοεῖ ἑαυτὴν, ὅτι Θεοῦ ἐμφύσημά ἐστι, καὶ οὕτω φέρεται ἐπὶ τὸ ἁμάρτημα, οὐ λογιζομένη τὰ μετὰ θάνατον κακὰ ἡ ἀνόητος.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρνή. Μεγίστη, καὶ ἀνίατος νόσος ψυχῆς, καὶ ἀπώλεια, ἡ ἀθεότης, καὶ τὸ φιλόδοξον. ἡ ἐπιθυμία γὰρ τοῦ κακοῦ, ὑστέρημα ἐστὶ τοῦ ἀγαθοῦ. ἀγαθὸν δὲ ἐστι, τὸ ἀφθόνως τὰ καλὰ πάντα ποιεῖν, ὅσα ἀρέσκει τῷ Θεῷ τῶν ὅλων.

ρνθ'. Ὁ ἄνθρωπος μόνος τοῦ Θεοῦ δεκτικός ἐστι. τούτῳ γὰρ μόνῳ τῷ ζώῳ ὁμιλεῖ ὁ Θεός, νυκτὸς μὲν δι' ὀνείρων, ἡμέρας δὲ διὰ τοῦ νοῦ. καὶ διὰ πάντων τοῖς ἀξίοις αὐτοῦ ἀνθρώποις προλέγει, καὶ προσημαίνει τὰ μέλλοντα ἀγαθά.

ρξ'. Οὐδὲν δύσκολόν ἐστι τῷ πιστεύοντι, καὶ βουλομένῳ νοῆσαι τὸν Θεόν. εἰ δὲ θέλεις αὐτὸν καὶ θεωρῆσαι, βλέπε τὴν διακοσμίαν καὶ τὴν πρόνοιαν ἁπάντων τῶν γεγονότων τε, καὶ γινομένων τῷ λόγῳ αὐτοῦ. πάντα δὲ διὰ τὸν ἄνθρωπον.

ρξα'. Ἅγιος ὀνομάζεται, ὁ καθαρὸς ἀπὸ κακίας, καὶ ἁμαρτημάτων. ὅθεν καὶ μέγιστόν ἐστι ψυχῆς κατόρθωμα, καὶ ἀρέσκει Θεῷ, τὸ μὴ εἶναι κακίαν ἐν ἀνθρώπῳ.

ρξβ'. Ὄνομά ἐστι σημασία ἑνὸς τῶν πολλῶν. ὅθεν ἀνόητόν ἐστι τὸ νομίζειν τὸν Θεὸν ἕνα ὄντα καὶ μόνον, ἄλλο ἔχειν ὄνομα. τὸ γὰρ Θεὸς τοῦτο σημαίνει, τὸν ἄναρχον, τὸν τὰ πάντα ποιήσαντα διὰ τὸν ἄνθρωπον.

ρξγ'. Εἰ συνοιδας σεαυτῷ πράξεις πονηράς, ἔκκοπτε ἐκ τῆς ψυχῆς σου τῇ τῶν καλῶν προσδοκίᾳ. δίκαιος γὰρ ὁ Θεός, καὶ φιλάνθρωπος.

ρξδ'. Γνωρίζει τὸν Θεὸν ὁ ἄνθρωπος, καὶ γνωρίζεται ὑπὸ τοῦ Θεοῦ, ὁ σπουδάζων διαπαντὸς ἀχώριστος εἶναι τοῦ Θεοῦ. ἀχώριστος δὲ τοῦ Θεοῦ γίνεται ὁ ἄνθρωπος, ὁ ἀγαθὸς παρὰ πάντα, καὶ πάσης κρατῶν ἡδονῆς· οὐ τῇ ἐνδείᾳ τῆς τούτων χορηγίας, ἀλλὰ τῇ βουλῇ καὶ ἐγκρατείᾳ οἰκείᾳ.

ρξε'. Εὐποίει τὸν ἀδικοῦντά σε, καὶ φίλον ἕξεις τὸν Θεόν. μηδενὶ διάβαλλε τὸν ἐχθρόν σου. ἄσκησον ἀγάπην, σωφροσύνην, ὑπομονήν, ἐγκράτειαν, καὶ τὰ ὅμοια. αὕτη γάρ ἐστιν ἡ τοῦ Θεοῦ γνῶσις, διὰ ταπεινοφροσύνης καὶ τῶν τοιούτων, ἀκολούθησις τῷ Θεῷ. ἔργα δὲ ταῦτα οὐ τῶν τυχόντων, ἀλλὰ νοητικῆς ἐστὶ ψυχῆς.

ρξς'. Διὰ τοὺς ἀσεβῶς τολμῶντας λέγειν ἔμψυχα, τὰ φυτὰ καὶ λάχανα, ἔγραψα τὸ κεφάλαιον τοῖς ἁπλουστέροις πρὸς εἴδησιν. τὰ φυτὰ ζωὴν μὲν ἔχει τὴν φυσικήν, ψυχὴν δὲ οὐκ ἔχει. λογικὸν δὲ ζῶον ὁ ἄνθρωπος λέγεται· ὅτι νοῦν ἔχει, καὶ ἐπιστήμης ἐστὶ δεκτικός. τὰ μέντοι ἄλλα ζῶα τὰ ἐπίγειά τε, καὶ ἀέρια, φωνὴ ἐν αὐτοῖς ἐστιν, ὅτι πνεῦμα ἔχει, καὶ ψυχήν. καὶ πάντα μὲν τὰ αὐξανόμενά ἐστι, καὶ μειούμενα, ζῶα, ὅτι ζῇ καὶ αὐξαίνεται, οὐ μέντοι καὶ ψυχὴν ἔχει. τῶν δὲ ζώων διαφοραὶ τέσσαρές εἰσι. τὰ μὲν γὰρ αὐτῶν ἀθάνατά ἐστι, καὶ ἔμψυχα, ὡς οἱ Ἄγγελοι. τὰ δὲ νοῦν, καὶ ψυχήν, καὶ πνεῦμα ἔχει, ὡς οἱ ἄνθρωποι. τὰ δὲ πνεῦμα ἔχει, καὶ ψυχήν, ὡς τὰ ζῶα. τὰ δὲ μόνον ζωὴν ἔχει, ὡς τὰ φυτά. καὶ ζωὴ μὲν ἐπὶ τῶν φυτῶν, χωρὶς ψυχῆς καὶ πνεύματος, καὶ νοῦ, καὶ ἀθανασίας συνίσταται. τὰ ἄλλα δὲ πάντα, χωρὶς ζωῆς οὐ δύνανται εἶναι. πᾶσα δὲ ψυχὴ ἀνθρωπίνη δηλονότι ἀεικίνητός ἐστιν ἀπὸ τόπου εἰς ἕτερον τόπον.

ρξζ'. Ὅταν ἡδονῆς τινος φαντασίαν ἀναλάβῃς, φύλαξαι σαυτόν, μὴ εὐθέως συναρπασθῇς ὑπ' αὐτῆς, ἀλλὰ μικρὸν ὑπερτιθέμενος, μνήσθητι τοῦ θανάτου, καὶ ἐνθυμήθητι πῶς ἄμεινόν ἐστι τὸ συνειδέναι σεαυτῷ, ταύτην τὴν πλάνην τῆς ἡδονῆς νενικηκότι.

ρξή. Ὥσπερ ἐν τῇ γενέσει τὸ πάθος ἐστί· τὸ γὰρ γινόμενον ἐν τῷ βίῳ, καὶ φθείρεται· οὕτω καὶ ἐν τῷ πάθει ἡ κακία ὑπάρχει. μὴ οὖν εἴπῃς, οὐκ ἐδύνατο ὁ Θεὸς τὴν κακίαν ἐκκόψαι. οἱ γὰρ τοῦτο λέγοντες, ἀναίσθητοι, καὶ μωραίνοντες

λέγου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐλέγχουσιν. Οὐκ ἐχρῆν μὲν οὖν τὸν Θεὸν ἐκκόψαι τὴν ὕλην. τῆς γὰρ ὕλης ἐστὶ ταῦτα τὰ πάθη. ὁ δὲ Θεὸς καὶ τὸ συμφέρον ἐξέκοψε τὴν κακίαν ἐκ τῶν ἀνθρώπων, νοῦν, καὶ ἐπιστήμην, καὶ γνῶσιν, καὶ διάκρισιν τοῦ καλοῦ δωρησάμενος αὐτοῖς· ἵνα, γινώσκοντες τὴν κακίαν, ὅτι βλαπτόμεθα ἐξ αὐτῆς, φεύγωμεν ἀπ' αὐτῆς. ὁ δὲ ἀνόητος ἄνθρωπος ἐπακολουθεῖ τῇ κακίᾳ, καὶ σεμνύνεται ἐπ' αὐτῇ, καὶ ὥσπερ δικτύῳ περιτυχὼν μάχεται ὑπ' αὐτῆς ἔνδον εἰλημμένος· καὶ μηδέποτε ἀνανεῦσαι δυνάμενος, καὶ ἰδεῖν, καὶ γνωρίσαι τὸν Θεὸν τὸν τὰ πάντα εἰς σωτηρίαν, καὶ ἐκθέωσιν ἀνθρώπου ποιήσαντα.

ρξθ'. Τὰ θνητὰ ἑαυτοῖς φθονεῖ ἐκ τοῦ προσπίσασθαι τόδε τὸν θάνατον. καὶ τὸ μὲν ἀθάνατον, ἐκ τοῦ ἀγαθὸν εἶναι προσγίνεται τῇ ὁσίᾳ ψυχῇ· τὸ δὲ θνητὸν, ἐκ τοῦ κακὸν εἶναι συμβαίνει τῇ ἀνοήτῳ καὶ ἀθλίᾳ ψυχῇ.

Ὅταν εὐχαρίστως ἐπὶ τὴν οἰκείαν κοίτην τραπῇς, τὰς εὐεργεσίας, καὶ τὴν τοσαύτην πρόνοιαν τοῦ Θεοῦ εἰς ἑαυτὸν ἐνθυμούμενος, πληρωθεὶς ἀγαθῆς ἐννοίας, πλέον εὐφραίνῃ, καὶ γίνεταί σου ὁ τοῦ σώματος ὕπνος, τῆς ψυχῆς νῆψις, καὶ ἡ σύμμυσις τῶν ὀφθαλμῶν σου, ἀληθὴς Θεοῦ ὅρασις, καὶ ἡ σιωπή σου, ἐγκύμων τοῦ ἀγαθοῦ γινομένη, δίδωσιν ἐξ ὅλης ψυχῆς καὶ ἰσχύος, ἀναπεμπομένην αὐθεντικὴν δόξαν τῷ τῶν ὅλων Θεῷ. κακίας γὰρ ἀπούσης ἀνθρώπου, ἡ εὐχαριστία καὶ μόνη, ὑπὲρ πᾶσαν πολυτελῆ θυσίαν, ἀρέσκει τῷ Θεῷ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ρό.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ο῞σιος Πατὴρ ἡμῶν Ἡσαΐας ὁ Ἀναχωρητὴς, ἔζη ἐν ἔτει ἀπὸ Χριστοῦ τριακοσιοστῷ ἑβδομηκοστῷ, σύγχρονος γεγονὼς τῷ Ἀββᾷ Μακαρίῳ τῷ μεγάλῳ. νυκτὸς δὲ καὶ ἡμέρας ταῖς θείαις ἐμμελετήσας γραφαῖς, καὶ δαψιλῆ τὰ νάματα τῆς πνευματικῆς σοφίας ἐκ τῶν πηγῶν τοῦ σωτηρίου ἀντλήσας, πολλῶν καὶ καλλίστων λόγων ἐγένετο ποιητὴς, διαφόρους ψυχωφελεῖς ὑποθέσεις περιεχόντων, ὡς ὅλην βίβλον ἐκ τούτων συναπαρτίζεσθαι. ὧν καὶ τὸ λογίδιον τουτὶ ἀποτεμμαχίσαντες, τοῖς τηρῆσαι ποθοῦσι τὸν οἰκεῖον νοῦν, παρεθήκαμεν. διδάσκει γὰρ ὡς ἐν συντόμῳ, ὅπως τε δεῖ τὰς προσβολὰς τῶν λογισμῶν ἀποκρούειν, καὶ ἀκατάγνωστον τὴν συνείδησιν ἔχειν, κρυπτῶς τε μελετᾶν, καὶ ἐν ἀταραξίᾳ πάσῃ ἐπιστημόνως διαφυλάττειν τὸ τῆς ψυχῆς τριμερές.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΓΙΟΥ ΗΣΑΙΟΥ ΤΟΥ ΑΝΑΧΩΡΗΤΟΥ.

## Περὶ τηρήσεως τοῦ νοός. Κεφάλαια. κζ΄.

α΄. ΤΟῦ νοός ἐστιν ἡ ὀργὴ κατὰ φύσιν ἐν τοῖς πάθεσιν. καὶ χωρὶς ὀργῆς, οὐδὲ ἁγνεία γίνεται τῷ ἀνθρώπῳ, ἐὰν μὴ ὀργισθῇ εἰς πάντα τὰ σπειρόμενα τῷ ἀνθρώπῳ εἰς αὐτὸν παρὰ τοῦ ἐχθροῦ. καὶ ὅτε εὗρεν αὐτὴν ὁ Ἰακώβ, ὠνείδισε τοὺς ἐχθροὺς αὐτοῦ, λέγων αὐτοῖς· ἄτιμοι, καὶ πεφαυλισμένοι, ἐνδεεῖς παντὸς ἀγαθοῦ, οὓς οὐχ ἡγησάμην ἀξίους εἶναι κυνῶν τῶν ἐμῶν νομάδων. ὁ θέλων δὲ ἐλθεῖν εἰς τὴν κατὰ φύσιν ὀργήν, ἐκκόπτει πάντα τὰ θελήματα αὐτοῦ, ἕως οὗ στήσει ἑαυτὸν ἐν τῷ κατὰ φύσιν τοῦ νοῦ.

β΄. Ἐὰν ᾖς ἀνθιστάμενος τῇ ἐχθρᾷ, καὶ ἴδῃς αὐτὴν ἀσθενήσασαν ἀπὸ σοῦ φεύγειν εἰς τὰ ὀπίσω, μὴ χαρῇ σου ἡ καρδία· ὅτι ἡ κακία τῶν πνευμάτων, ὀπίσω αὐτῶν ἐστιν. ἑτοιμάζουσι γὰρ πόλεμον χείρονα τοῦ πρώτου, καὶ ἐῶσιν αὐτὴν ὀπίσω τῆς πόλεως, καὶ ἐντέλλονται αὐτῷ μὴ κινηθῆναι. καὶ ἐὰν ἀντιστῇς ἀντιβαίνων αὐτοῖς, φεύγουσιν ἀπὸ προσώπου σου ἐν ἀσθενείᾳ. καὶ ἐὰν ὑψωθῇ ἡ καρδία σου, ὅτι ἐδίωξας αὐτούς, καὶ καταλείψῃς τὴν πόλιν, οἱ μὲν ἐγείρονται ἐκ τῶν ὀπίσω, οἱ δὲ ἵστανται ἔμπροσθεν, καὶ ἐῶσι τὴν ταλαίπωρον ψυχὴν ἐν μέσῳ αὐτῶν, μὴ ἔχουσαν ἔτι καταφυγήν. πόλις ἐστὶν ἡ προσευχή. ἔνστασις δὲ ἡ ἐν Χριστῷ Ἰησοῦ ἀντιλογία. βάσις δὲ ὁ θυμός.

Στῶμεν οὖν ἀγαπητοὶ ἐν φόβῳ Θεοῦ, γ΄.
φυλάττοντες, καὶ τηροῦντες τὸ πρακτικὸν τῶν ἀρετῶν· μὴ διδόντες πρόσκομμα τῇ συνειδήσει ἡμῶν, ἀλλὰ προσέχοντες ἑαυτοῖς ἐν φόβῳ Θεοῦ· ἕως οὗ καὶ αὐτὴ ἐλευθερώσει ἑαυτὴν μεθ' ἡμῶν, ὅπως γένηται μεταξὺ ἡμῶν καὶ αὐτῆς ἕνωσις· καὶ λοιπὸν αὐτὴ γένηται ἡμῶν φύλαξ, δεικνύουσα ἡμῖν ἕκαστον, εἰς ὃ ἐκκόπτομεν. ἐὰν δὲ μὴ ὑπακούσωμεν αὐτῆς, ἀποστήσεται ἀφ' ἡμῶν, καὶ καταλείπει ἡμᾶς, καὶ πίπτομεν εἰς τὰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν, καὶ οὐκ ἐῶσιν ἡμᾶς οὐκ ἔτι. καθὼς ἐδίδαξεν ἡμᾶς ὁ δεσπότης ἡμῶν λέγων· γνῶθι τὸν ἀντίδικόν σου,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἕως εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ, καὶ τὰ ἑξῆς. λέγουσι τὴν συνείδησιν ἀντίδικον εἶναι, ὅτι ἀνθίσταται τῷ ἀνθρώπῳ θέλοντι ποιῆσαι τὸ θέλημα αὐτοῦ τῆς σαρκός. καὶ ἐὰν μὴ ἀκούσῃ αὐτῆς ὁ ἄνθρωπος, παραδίδωσιν αὐτὸν τοῖς ἐχθροῖς αὐτοῦ.

δ'. Ἐὰν ἴδῃ ὁ Θεός, ὅτι ὑπετάγη αὐτῷ ὁ νοῦς ὅλῃ δυνάμει, καὶ οὐκ ἔχει ἄλλην βοήθειαν, εἰ μὴ αὐτὸν μόνον, ἐνδυναμοῖ αὐτόν, λέγων· μὴ φοβοῦ παῖς μου Ἰακώβ, ὀλιγοστὸς Ἰσραήλ. καὶ πάλιν· μὴ φοβοῦ, ὅτι ἐλυτρωσάμην σε· ἐκάλεσά σε τὸ ὄνομά μου· ἐμὸς εἶ σύ· καὶ ἐὰν διαβαίνῃς δι' ὕδατος, μετὰ σοῦ εἰμι· καὶ ποταμοὶ οὐ συγκλείσουσί σε. καὶ ἐὰν διέλθῃς διὰ πυρός, οὐ κατακαυθῇς, καὶ φλὸξ οὐ κατακαύσῃ σε· ὅτι ἐγὼ Κύριος ὁ Θεός σου ὁ ἅγιος Ἰσραήλ, ὁ σώζων σε.

ε'. Ἐὰν δὲ ἀκούσῃ ὁ νοῦς τὴν παρρησίαν ταύτην, καταπολμᾷ τοῖς ἐχθροῖς λέγων· τίς ἐστιν ὁ πολεμῶν με; ἀντιστήτω μοι. καὶ τίς ὁ κρινόμενός μοι; ἐγγισάτω μοι. ἰδοὺ Κύριος βοηθός μου, τίς κακώσει με; ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε ὑπὸ σητός.

ς'. Ἐὰν ἡ καρδία σου φύσει τὴν ἁμαρτίαν ἐμίσησεν, ἐνίκησε· καὶ ἀπέστησεν αὐτὴν ἐκ τῶν τικτόντων τὴν ἁμαρτίαν· καὶ ἔθου τὴν κόλασιν ἐνώπιόν σου· καὶ γίνωσκε ὅτι ὁ βοηθός σου συμπαραμένει σοι. καὶ σὺ ἐν μηδενὶ λυπῶν αὐτόν, ἀλλὰ κλαίων ἐνώπιον αὐτοῦ, καὶ λέγων· σόν ἐστι τὸ ἔλεος, τοῦ λυτρώσασθαί με Κύριε. ἀδυνάτως γὰρ ἔχω ἐγὼ τὰς χεῖρας ἐκφυγεῖν τῶν ἐχθρῶν δίχα τῆς σῆς βοηθείας. προσέχων καὶ τῇ καρδίᾳ σου, καὶ αὐτός σε διαφυλάττει ἀπὸ παντὸς κακοῦ.

ζ'. Ὀφείλει ὁ μοναχὸς ἀποκλεῖσαι αὐτοῦ πάσας τὰς πύλας τῆς ψυχῆς, ἤγουν τὰς αἰσθήσεις, τοῦ μὴ πτωματισθῆναι δι' αὐτῶν. καὶ ἐὰν ἴδῃ ὁ νοῦς ἑαυτόν, μὴ κατακυριευόμενον ὑπό τινος, ἑτοιμάζεται εἰς ἀθανασίαν· ἐπισυνάγων τὰς αἰσθήσεις αὐτοῦ ἐπὶ τὸ αὐτό, καὶ ποιῶν αὐτὰς ἓν σῶμα.

Ἐὰν ἐλευθερωθῇ ὁ νοῦς ἀπὸ πάσης ἐλπίδος τοῦ κόσμου τῶν ὁρωμένων, τοῦτο ἐστὶ τὸ σημεῖον ὅτι ἀπέθανεν ἐν σοὶ ἡ ἁμαρτία. η'.

Ἐὰν ἐλευθερωθῇ ὁ νοῦς, ἡ μεσότης, ἣν ἔχει μεταξὺ ἑαυτοῦ, καὶ τοῦ Θεοῦ, ἀπέρχεται. θ'.

Ἐὰν ἐλευθερωθῇ ὁ νοῦς ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ σαββατίσῃ, ἔστιν ἐν ἑτέρῳ αἰῶνι καινῷ, καινὰ λογιζόμενος καὶ ἄφθαρτα. λοιπὸν ὅπου τὸ πτῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί. ι'.

Στέλλουσιν οἱ δαίμονες ἑαυτοὺς ἐν πανουργίᾳ πρὸς καιρόν, ἴσως ὁ ἄνθρωπος ἀπολύσει τὴν ἑαυτοῦ καρδίαν, νομίζων ὅτι ἀνεπαύθη· καὶ ἄφνω εἰσπηδῶσιν ἐπὶ τὴν ταλαίπωρον ψυχήν, καὶ ἁρπάζουσιν αὐτὴν ὡς στρουθίον· καὶ ἐὰν ἐπικρατέστεροι αὐτῆς γένωνται, ταπεινοῦσιν αὐτὴν ἀνελεημόνως ἐν παντὶ ἁμαρτήματι, χαλεπώτεροι παρὰ τὰς ἀρχάς, ὑπὲρ ὧν ηὔχετο συγχωρηθῆναι. στῶμεν οὖν ἐν φόβῳ Θεοῦ, καὶ φυλάξωμεν τὴν καρδίαν, ἐπιτελοῦντες τὸ πρακτικὸν ἡμῶν· φυλάττοντες τὰς ἀρετάς, αἵτινες κωλύουσι τὴν κακίαν τῶν ἐχθρῶν. ια'.

Ὁ διδάσκαλος ἡμῶν Ἰησοῦς Χριστός, εἰδὼς τὴν μεγάλην αὐτῶν ἀνελεημοσύνην, καὶ οἰκτειρήσας τὸ γένος τῶν ἀνθρώπων, ἐνετείλατο ἐν στρυφνότητι καρδίας λέγων· γίνεσθε ἕτοιμοι ἐν πάσῃ ὥρᾳ, ὅτι οὐκ οἴδατε ἐν ποίᾳ ὥρᾳ ὁ λῃστὴς ἔρχεται, μήποτε ἔλθῃ, καὶ εὕρῃ ἡμᾶς κοιμωμένους. καὶ πάλιν· βλέπετε, μὴ βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς, καὶ ἐπελεύσεται ἡμῶν ἄφνω ἡ ὥρα. στῆθι οὖν ἐπὶ τὴν καρδίαν σου, προσέχων τὰς αἰσθήσεις σου· καὶ ἐὰν εἰρηνεύσῃ μετὰ σοῦ ἡ μνήμη τοῦ Θεοῦ, καταλαμβάνεις τοὺς λῃστὰς ὑποσυλοῦντας ιβ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

αὐτήν. ὁ γὰρ ἀκριβαζόμενος ἐν τοῖς λογισμοῖς, ἐπιγινώσκει τοὺς μέλλοντας εἰσελθεῖν, καὶ μιαίνειν αὐτόν. ταράσσουσι γὰρ τὸν νοῦν, ὅπως γένηται μετέωρος, καὶ ἀργός. οἱ δὲ ἐπιγνόντες τὴν κακίαν αὐτῶν, ἀτάραχοι μένουσι, δεόμενοι τοῦ Κυρίου.

ιγ'. Ἐὰν μὴ μισήσῃ ὁ ἄνθρωπος πᾶσαν ἐργασίαν τοῦ κόσμου τούτου, οὐ δύναται λατρεῦσαι Θεῷ. ἡ λατρεία οὖν τοῦ Θεοῦ ποία ἐστίν; εἰμὴ τό, μηδὲν ἔχειν ἡμᾶς ἀλλότριον ἐν τῷ νοΐ, ἐν τῷ εὔχεσθαι αὐτῷ· μηδὲ ἡδονήν, ἐν τῷ εὐλογεῖν αὐτῷ· μηδὲ κακίαν, ἐν τῷ ᾄδειν αὐτῷ· μηδὲ μῖσος, ἐν τῷ προσκυνεῖν αὐτῷ· μηδὲ ζῆλον πονηρὸν κωλύοντα ἡμᾶς, ἐν τῷ ἀδολεσχεῖν αὐτῷ, καὶ μνημονεύειν ἡμᾶς αὐτοῦ. πάντα γὰρ ταῦτα τὰ σκοτεινά, τεῖχός εἰσι περιέχοντα τὴν ταλαίπωρον ψυχήν, καὶ οὐ δύναται ἁγνῶς λατρεῦσαι τῷ Θεῷ, ἔχουσα ἐν ἑαυτῇ ταῦτα. κωλύουσι γὰρ αὐτὴν ἐν τῷ ἀέρι, καὶ οὐκ ἐῶσιν αὐτὴν ἀπαντῆσαι τῷ Θεῷ, καὶ ἐν κρυπτῷ εὐλογῆσαι αὐτόν, καὶ προσεύξασθαι αὐτῷ, ἐν ἡδύτητι καρδίας, ὅπως φωτισθῇ ἐξ αὐτοῦ. διὰ τοῦτο ὁ νοῦς σκοτίζεται πάντοτε, καὶ οὐ δύναται προκόψαι κατὰ Θεόν, ὅτι οὐ φροντίζει ταῦτα ἐν γνώσει κόψαι.

ιδ'. Ὅταν σώσῃ ὁ νοῦς τὰς αἰσθήσεις τῆς ψυχῆς ἐκ τῶν θελημάτων τῆς σαρκός, καὶ διαπεράσῃ αὐτὰς ἐν τῇ ἀπαθείᾳ, καὶ ἀπομερίσῃ ἐκ τῶν θελημάτων τῆς σαρκὸς τὴν ψυχήν· τότε ἐὰν ἴδῃ ὁ Θεὸς τὸ ἀναίσχυντον τῶν παθῶν, ὅτι ὁρμᾷ ἐπὶ τὴν ψυχὴν καταχεῖν τὰς αἰσθήσεις ἐν τῇ ἁμαρτίᾳ, καὶ βοήσῃ ὁ νοῦς ἐν τῷ κρυπτῷ πρὸς Θεὸν ἀδιαλείπτως, ἀποστέλλει τὴν βοήθειαν αὐτοῦ, καὶ πάντα ὑφ' ἓν ἀπολύει.

ιε'. Παρακαλῶ σε, ἐν ὅσῳ εἶ ἐν τῷ σώματι, μὴ ἀπολύσῃς σου τὴν καρδίαν. ὥσπερ γὰρ ὁ ἄνθρωπος ὁ γεωργός, οὐ δύναται πεποιθέναι ἐπί τινα αὐτοῦ καρπὸν ἀνερχόμενον ἐν τῷ ἀγρῷ αὐτοῦ· οὐ γὰρ οἶδεν τί αὐτῷ ἀποβαίνει, πρὶν ἐγκλεισθῆναι τοῖς θησαυροῖς αὐτοῦ· οὕτως ὁ ἄνθρωπος οὐ δύναται ἀπολῦσαι τὴν καρδίαν, ὅσον ἔχει πνοὴν ἐν τῇ ῥινὶ αὐτοῦ. καὶ ὥσπερ ἄνθρωπος οὐκ οἶδε ποῖον πάθος ἀπαντήσει αὐτῷ ἕως τῆς ἐσχάτης ἀναπνοῆς· οὕτως οὐ δυνατὸν ἄνθρωπον ἀπολῦσαι αὐτοῦ τὴν καρδίαν, ἐν ὅσῳ ἔχει ἀναπνοήν· ἀλλὰ χρὴ αὐτὸν πάντοτε ἀναβοᾶν πρὸς τὸν Θεόν, διὰ τὴν βοήθειαν, καὶ τὸ ἔλεος αὐτοῦ.

Ὁ μὴ εὑρίσκων βοήθειαν ἐν καιρῷ πολέμου, οὐδὲ τὴν εἰρήνην πιστεῦσαι δύναται. ιϛ'.

Ὅταν οὖν τις χωρίσῃ αὐτὸν ἀπὸ τοῦ ἀριστεροῦ, καὶ γνῷ ἀκριβῶς πάντα τὰ ἁμαρτήματα, ἃ ἐποίησεν εἰς τὸν Θεόν· ἐπειδὴ οὐ βλέπει τὰς ἁμαρτίας, ἐὰν μὴ χωρισθῇ ἀπ' αὐτῶν χωρισμῷ πικρίας· οἱ φθάσαντες τοῦτο τὸ μέτρον, αὐτοὶ εὗρον τὸν κλαυθμόν, καὶ τὴν δέησιν, καὶ τὸ αἰσχύνεσθαι ἐνώπιον τοῦ Θεοῦ, μνημονεύοντες τὰς πονηρὰς φιλίας τῶν παθῶν. ἀγωνισώμεθα οὖν ἀδελφοὶ κατὰ τὴν δύναμιν ἡμῶν, καὶ συνεργεῖ ἡμῖν ὁ Θεός, κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ· καὶ εἰ οὐκ ἐφυλάξαμεν τὴν καρδίαν ἡμῶν, ὡς οἱ πατέρες ἡμῶν, κἂν ποιήσωμεν τὴν δύναμιν ἡμῶν φυλάξαι τὰ σώματα ἡμῶν, ὡς ζητεῖ ὁ Θεὸς ἀναμάρτητα, καὶ πιστεύωμεν, ὅτι κατὰ τὸν καιρὸν τοῦ λιμοῦ τὸν καταλαβόντα ἡμᾶς ποιεῖ καὶ μεθ' ἡμῶν ἔλεος μετὰ τῶν ἁγίων αὐτοῦ. ιζ'.

Ὁ δοὺς τὴν καρδίαν ἑαυτοῦ ζητεῖν τὸν Θεὸν ἐν εὐσεβείᾳ, κατ' ἀλήθειαν, οὐ δύναται ἔννοιαν ἔχειν ὅτι ἤρεσε τῷ Θεῷ. ὅσον γὰρ ἐλέγχει αὐτὸν ἡ συνείδησις περί τινων τῶν τῆς παραφύσεως, ξένος ἐστὶ τῆς ἐλευθερίας. ὅσον γάρ ἐστιν ὁ ἐλέγχων, ἔστι καὶ ὁ κατηγορῶν· καὶ ἐν ὅσῳ ἐστὶ κατηγορία, οὐκ ἔστιν ἐλευθερία. ἐὰν ἴδῃς λοιπὸν εὐχόμενος ἑαυτόν, μηδὲν πο- ιη'.

σαῦλοι τῆς κακίας κατηγοροῦσί σου, ἄρα οὕτως ἐλεύθερος εἶ, καὶ εἰσῆλθες εἰς τὴν ἁγίαν αὐτοῦ κατάπαυσιν, κατὰ τὸ θέλημα αὐτοῦ. ἐὰν ἴδῃς ὅτι ὁ καλὸς καρπὸς ἐδυναμώθη, καὶ οὐκ ἔτι πνίγουσιν αὐτὸν τὰ ζιζάνια τοῦ ἐχθροῦ· καὶ ἐὰν ἀφ' ἑαυτῶν ἀπέστησαν πεισθέντες ἐν πανουργίᾳ οἱ πολέμιοι, οὐκ ἔτι πολεμοῦν μετὰ τῆς αἰσθήσεώς σου· καὶ ἐὰν ἡ νεφέλη ἐσκίασεν ἐπὶ τὴν σκηνὴν· καὶ ὁ ἥλιος οὐ συνέκαυσέ σε ἐν ἡμέρᾳ, οὐδὲ ἡ σελήνη τὴν νύκτα· ἐὰν εὑρέθη ἐν σοὶ πᾶσα ἡ ἑτοιμασία τῆς σκηνῆς, τοῦ στῆσαι καὶ φυλάξαι αὐτὴν κατὰ τὸ θέλημα τοῦ Θεοῦ· ἄρα ἐγένετό σοι νίκη διὰ τοῦ Θεοῦ. καὶ τότε λοιπὸν καὶ αὐτὸς ἐπισκιάσει ἐπὶ τὴν σκηνὴν, ὅτι αὐτοῦ ἐστίν. ἕως δὲ ἐστὶ πόλεμος, ὑπὸ φόβον ἐστὶ, καὶ τρόμον ὁ ἄνθρωπος, ἢ νικῆσαι σήμερον, ἢ νικηθῆναι· ἢ νικᾶσθαι αὔριον, ἢ νικᾶν· ὁ ἀγὼν γὰρ περισφίγγει τὴν καρδίαν. ἡ δὲ ἀπάθεια, ἀπολέμητός ἐστιν. ἐδέξατο γὰρ τὸ βραβεῖον, καὶ ἠμερίμνησε περὶ τοῦ μέρους τῶν τριῶν μεμερισμένων· ὅτι ἔφθασαν ἀλλήλοις εἰρηνεῦσαι διὰ Θεοῦ. ἐστὶ δὲ τὰ τρία, ψυχὴ, σῶμα, καὶ πνεῦμα. ὅταν ἓν τὰ τρία ἓν γένωνται διὰ τῆς ἐνεργείας τοῦ Πνεύματος τοῦ Ἁγίου, οὐκ ἔτι δύνανται ἀποχωρισθῆναι. μὴ οὖν λογίζου ἑαυτὸν, ὅτι ἀπέθανες τῇ ἁμαρτίᾳ, ἐν ὅσῳ βιάζῃ ὑπὸ τῶν ἐχθρῶν σου, εἴτε ἐν ἐγρηγόρσει, εἴτε ὕπνῳ· ὅσον γάρ ἐστιν ὁ ταλαίπωρος ἄνθρωπος ἐν τῷ σταδίῳ, οὐκ ἔχει τὸ θάρσος.

ιθ'. Ἐὰν ὁ νοῦς ἐνδυναμωθῇ, καὶ ἑτοιμάσῃ ἑαυτὸν ἐξακολουθῆσαι τῇ ἀγάπῃ τῇ σβεννυούσῃ πάντα τὰ πάθη τοῦ σώματος, καὶ οὐκ ἐάσῃ τι τῶν παρὰ φύσιν καταδυναστεῦσαι τῆς καρδίας ἐν τῇ αὐτῆς δυνάμει, ἀνθίσταται ὁ νοῦς τῇ παρὰ φύσει, ἕως οὗ χωρίσῃ αὐτὴν ἐκ τῆς παρὰ φύσιν.

κ'. Ἐξερεύνησον ἑαυτὸν, ἀδελφὲ, καθ' ἡμέραν, κατανοῶν τὴν καρδίαν σου, τί ἐστιν ἐν αὐτῇ τῶν παθῶν, ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπόῤῥιψον ἀπὸ τῆς καρδίας σου, ἵνα μὴ ἀπόφασις πονηρὰ ἔλθῃ ἐπὶ σέ.

Πρόσεχε οὖν τῇ καρδίᾳ σου, ἀδελφὲ, καὶ γρηγόρει τοῖς ἐχθροῖς σου· καὶ γὰρ πανοῦργοί εἰσιν ἐν τῇ κακίᾳ αὐτῶν. καὶ πείσθητι ἐν τῇ καρδίᾳ σου ἐπὶ τῷ λόγῳ τούτῳ· ὅτι ἀδύνατον ἀνθρώπῳ ποιῆσαι καλὰ, ποιοῦντι κακά. διὰ τοῦτο ἐδίδαξεν ἡμᾶς ὁ Σωτὴρ ἡμῶν, γρηγορεῖν, λέγων· ὅτι στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι οἱ εὑρίσκοντες αὐτήν. κα'.

Πρόσεχε οὖν σεαυτῷ, μήπως τὶ τῆς ἀπωλείας ἀποστήσῃ σε τοῦ Θεοῦ τῆς ἀγάπης, καὶ κάτεχε τὴν καρδίαν σου· καὶ μὴ ἀκηδιάσῃς, λέγων· ὅτι πῶς αὐτὴν φυλάξω, ἁμαρτωλὸς ὢν ἄνθρωπος; ὅταν γὰρ καταλείψῃ ἄνθρωπος τὰς ἁμαρτίας αὐτοῦ, καὶ ἐπιστρέψῃ πρὸς τὸν Θεὸν, ἡ μετάνοια αὐτοῦ ἀναγεννᾷ αὐτὸν, καὶ ὅλον καινὸν ποιεῖ. κβ'.

Πανταχοῦ ἡ Θεία Γραφὴ παλαιά τε, καὶ νέα περὶ τῆς φυλακῆς τῆς καρδίας διαλέγεται. πρῶτον ὁ μελῳδὸς βοᾷ Δαβίδ· υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; καὶ πάλιν· ἡ καρδία αὐτῶν ματαία. περὶ δὲ τῶν μάταια λογιζομένων· εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐ μὴ σαλευθῶ. καὶ πάλιν· εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, ἐπιλέλησται ὁ Θεός· καὶ ἄλλα πολλὰ τοιαῦτα. ὀφείλει γὰρ ὁ μοναχὸς νοεῖν τὸν σκοπὸν τῆς γραφῆς, πρὸς τίνα λαλεῖ, καὶ πότε λαλεῖ· καὶ κατέχειν συνεχῶς τὸν τῆς ἀσκήσεως ἀγῶνα· καὶ προσέχειν τὰς προσβολὰς τοῦ ἀντιπάλου· καὶ ὡς κυβερνήτης, τὰ κύματα διαβιβάζειν οἰακιζόμενος ὑπὸ τῆς χάριτος, μὴ παρεκτρεπόμενος ἀπὸ τῆς ὁδοῦ, καὶ ἑαυτῷ μόνῳ προσέχων, καὶ ἐν ἡσυχίᾳ προσομιλεῖν τῷ Θεῷ, ἀῤῥεμβάστῳ λογισμῷ, καὶ ἀπεριέργῳ νοΐ. κγ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κδʹ. Ὁ καιρὸς γὰρ ἀπαιτεῖ ἡμᾶς προσοχὴν, ὡς κυβερνήτην ἄνεμοι, καὶ τρικυμίαι, καὶ ζάλαι τῶν πνευμάτων. δεκτικοὶ γάρ ἐσμεν προσβολῆς λογισμῶν, καὶ ἀρετῆς, καὶ κακίας· καὶ δεσπότης τῶν παθῶν λέγεται εἶναι ὁ εὐσεβὴς λογισμὸς καὶ φιλόθεος. πρέπει γὰρ ἡμῖν τοῖς ἡσυχασταῖς, νουνεχῶς, καὶ νηφόντως, τάς τε ἀρετὰς καὶ κακίας διακρίνειν, καὶ διαχωρίζειν· καὶ ποίας ἀρετῆς ἐπιμελεῖσθαι, παρόντων τῶν ἀδελφῶν, καὶ πατέρων· καὶ ποίας ἐργάζεσθαι ὄντας καταμόνας· καὶ ποία ἐστὶν ἡ πρώτη ἀρετὴ, καὶ ποία ἡ δευτέρα, καὶ τρίτη· καὶ ποῖον πάθος ἐστὶ ψυχικὸν, καὶ ποῖον σωματικόν· καὶ ποία ἀρετὴ ψυχικὴ, καὶ ποία σωματική· καὶ ἐκ ποίας ἀρετῆς ἡ ὑπερηφανία ῥαπίζει τὸν νοῦν· καὶ ἐκ ποίας ἡ κενοδοξία παραγίνεται· καὶ ἐκ ποίας ὁ θυμὸς πλησιάζει· καὶ ἐκ ποίας ἡ γαστριμαργία παραγίνεται. ὀφείλομεν γὰρ λογισμοὺς καθαίρειν, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ.

κεʹ. Πρώτη ἀρετή ἐστιν ἡ ἀμεριμνία, ἤγουν θάνατος ἀπὸ παντὸς ἀνθρώπου, καὶ πραγμάτων. καὶ λοιπὸν ἐκ ταύτης τίκτεται ἡ εἰς Θεὸν ἐπιθυμία. αὕτη δὲ τίκτει τὴν κατὰ φύσιν ὀργὴν, ἥτις ἀνθίσταται παντὶ σπειρομένῳ ὑπὸ τοῦ ἐχθροῦ. τότε ὁ φόβος τοῦ Θεοῦ εὑρίσκει νομὴν ἐν τῷ ἀνθρώπῳ, καὶ διὰ τοῦ φόβου ἡ ἀγάπη φανεροῦται.

κϛʹ. Χρὴ τὴν προσβολὴν τοῦ λογισμοῦ ἀνατρέπειν ἐκ καρδίας, δι' εὐσεβοῦς ἀντιλογίας, τῷ καιρῷ τῆς προσοχῆς· μήποτε εὑρεθῶμεν, τοῖς μὲν χείλεσι τῷ Θεῷ προσδιαλεγόμενοι, τῇ δὲ καρδίᾳ ἄτοπα λογιζόμενοι. οὐ γὰρ προσδέχεται ὁ Θεὸς ἀπὸ ἡσυχαστοῦ εὐχὴν θολώδη καὶ καταφρονητήν. πανταχοῦ γὰρ ἡ γραφὴ τὰ τῆς ψυχῆς αἰσθητήρια διαμαρτύρεται φυλάττειν. ἐὰν γὰρ ὑποταγῇ τὸ θέλημα τοῦ μοναχοῦ τῷ νόμῳ τοῦ Θεοῦ, καὶ κατὰ τὸν νόμον αὐτοῦ ὁ νοῦς κυβερνήσῃ τὰ ὑπήκοα αὐτοῦ· πάσας φημὶ τὰς ψυχικὰς κινήσεις, κατ' ἐξαίρετον δὲ τὸν θυμὸν, καὶ τὴν ἐπιθυμίαν· ταῦτα γὰρ ὑπήκοα τῷ λόγῳ· ἀρετὴν εἰργασάμεθα, καὶ δικαιοσύνην ἐπληρώσαμεν· τὴν μὲν ἐπιθυμίαν, πρὸς τὸν Θεὸν, καὶ τῷ αὐτοῦ θελήματι· τὸν δὲ θυμὸν, τῷ διαβόλῳ, καὶ τῆς ἁμαρτίας. τί οὖν ἐστι τὸ ζητούμενον; ἡ κρυπτὴ μελέτη.

Ἐὰν αἰσχρότης σπαρῇ ἐν τῇ καρδίᾳ κζʹ.
σου, καθημένου ἐν τῷ κελλίῳ σου, βλέπε· ἀντίστασο τῇ κακίᾳ, μήποτε ἄρξῃ σου· σπούδασον μνησθῆναι τοῦ Θεοῦ, ὅτι προσέχει σοι· καὶ ἃ διαλογίζῃ ἐν τῇ καρδίᾳ σου, ἀποκεκαλυμμένα ἐνώπιον αὐτοῦ εἰσίν. εἰπὲ οὖν τῇ ψυχῇ σου· εἰ φοβῇ ἁμαρτωλοὺς ὁμοίους σου, τοῦ μὴ ἰδεῖν τὰς ἁμαρτίας σου, πόσῳ μᾶλλον τὸν Θεὸν, τὸν προσέχοντα τὰ πάντα; καὶ ἐκ τῆς συμβουλῆς ταύτης ἀποκαλύπτεται ὁ φόβος τοῦ Θεοῦ τῇ ψυχῇ σου· καὶ ἐὰν μείνῃς μετ' αὐτοῦ, ἀκίνητος μενεῖς ἐν τοῖς πάθεσι· καθὼς γέγραπται· οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών· οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ. καὶ ἐπὶ παντὶ δὲ πράγματι ᾧ ποιεῖς, ἔχε τὸν Θεὸν, ὅτι βλέπει ἐν παντὶ λογισμῷ σου, καὶ οὐχ ἁμαρτήσεις ποτέ· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Εὐάγριος ὁ σοφὸς καὶ ἐλλόγιμος ἀνὴρ, ἤκμασε μὲν περὶ τὸ τριακοσιοστὸν ὀγδοηκοστὸν ἔτος, παρὰ δὲ τοῦ μεγάλου Βασιλείου εἰς τὸ τοῦ Ἀναγνώστου προβληθεὶς ἀξίωμα, παρὰ τοῦ ἀδελφοῦ αὐτοῦ Γρηγορίου Νύσσης χειροτονεῖται Διάκονος. τοὺς γε μὴν ἱεροὺς τῶν λόγων ὑπὸ Γρηγορίῳ τῷ Θεολόγῳ πεπαίδευτο· οὗ καὶ Ἀρχιδιάκονος ἐχρημάτισεν, ὁπηνίκα τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας τὴν ἐπιτροπὴν εἶχε· κατὰ τὸν Νικηφόρον τὸν Κάλλιστον, βιβλίῳ ια'. κεφαλαίῳ μβ'. ὕστερον δὲ τοῖς ἐν Κόσμῳ ἀποταξάμενος τὸν μοναστικὸν ὑποδύεται βίον· λεπτὸς γε μὴν ὢν εἰς τὸ νοῆσαι, καὶ φράσαι τὸ νοηθὲν λίαν δεινός, πολλὰ καὶ διάφορα συγγράμματα καταλέλοιπεν· ἐξ ὧν ὁ παρὼν πρὸς ἡσυχάζοντας λόγος, καὶ τὰ περὶ διακρίσεως παθῶν, καὶ λογισμῶν αὐτοῦ κεφάλαια, ὡς πολὺ τὸ χρειῶδες, καὶ ὠφέλιμον προβαλλόμενα, ἐν τῇ παρούσῃ Βίβλῳ τεθῆναι ἐκρίθησαν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΕΥ̓ΑΓΡΙΟΥ ΜΟΝΑΧΟΥ

## ὙΠΟΤΥΠΩΣΙΣ ΜΟΝΑΧΙΚΗ

Διδάσκουσα πῶς δεῖ ἀσκεῖν καὶ ἡσυχάζειν.

ἘΝ τῷ Ἱερεμίᾳ εἴρηται, τὸ, καὶ σὺ μὴ λάβῃς σεαυτῷ γυναῖκα ἐν τῷ τόπῳ τούτῳ. ὅτι τάδε λέγει Κύριος περὶ τῶν υἱῶν καὶ τῶν θυγατέρων τῶν γεννωμένων ἐν τῷ τόπῳ τούτῳ, ἐν θανάτῳ νοσερῷ ἀπολοῦνται. τοῦτο δεικνῦντος τοῦ λόγου, ὅτι, κατὰ τὸν Ἀπόστολον· ὁ γαμήσας ἄνθρωπος, μεριμνᾷ τὰ τοῦ Κόσμου, καὶ πῶς ἀρέσει τῇ γυναικὶ, καὶ μεμέρισται. καὶ ἡ γαμήσασα γυνὴ, μεριμνᾷ τὰ τοῦ Κόσμου, καὶ πῶς ἀρέσει τῷ ἀνδρί. καὶ δῆλον, ὡς οὐ μόνον περὶ τῶν κατὰ γαμικὸν βίον ἐσομένων υἱῶν, καὶ θυγατέρων ἐν τῷ Προφήτῃ εἴρηται, τὸ, ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται, ἀλλὰ καὶ περὶ τῶν ἐν καρδίᾳ αὐτοῦ γεννωμένων υἱῶν καὶ θυγατέρων, τουτέστι σαρκικῶν λογισμῶν, καὶ ἐπιθυμιῶν, ὡς ἐν τῷ νοσερῷ, καὶ ἀσθενεῖ, καὶ ἐκλύτῳ φρονήματι τοῦ Κόσμου τούτου ἀποθανοῦνται καὶ οὗτοι, καὶ οὐ τῆς οὐρανίου ζωῆς τεύξονται. ὁ δὲ ἄγαμος, φησὶ, μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ Κυρίῳ, καὶ τῆς ἀειθαλοῦς καὶ ἀθανάτου τῆς αἰωνίου ζωῆς ποιήσει καρπούς. τοιοῦτος ὁ μοναχός. καὶ οὕτω χρὴ εἶναι τὸν μοναχὸν, ἀπεχόμενον ἀπὸ γυναικός· μὴ ποιοῦντα υἱὸν, ἢ θυγατέρα, ἐν τῷ τόπῳ τῷ προειρημένῳ· οὐ μὴν δὲ ἀλλὰ καὶ Χριστοῦ στρατιώτην, ἄϋλον, καὶ ἀμέριμνον ὑπάρχειν, πάσης πραγματευτικῆς ἐννοίας τε καὶ πράξεως ἐκτὸς, ὡς καὶ ὁ Ἀπόστολός φησιν· οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. ἐν τούτοις ἤτω ὁ μοναχὸς, μάλιστα ὁ πᾶσαν ὕλην τοῦ κόσμου τούτου καταλιπὼν, καὶ ἐπὶ τὰ ὡραῖα καὶ καλὰ τῆς ἡσυχίας ἀποτρέχων τρόπαια. ὡς ὡραία γὰρ, καὶ καλὴ τῆς ἡσυχίας ἡ ἄσκησις. ὡς ὡραία ὄντως, καὶ καλή. ἔστι γὰρ χρηστὸς ὁ ταύτης ζυγὸς, καὶ τὸ φορτίον ἐλαφρόν. ἡδὺς ὁ βίος, ἡ πρᾶξις τερπνή. βούλει τοιγαροῦν, ἀγαπητὲ, τὸν μονήρη βίον, ὡς ἔστιν, ἀναλαβεῖν, καὶ ἐπὶ τὰ τῆς ἡσυχίας ὑποτρέχειν τρόπαια; ἄφες ἐκεῖ τοῦ κόσμου τὰς φροντίδας, τάς τε ἐπὶ τούτων ἀρχάς τε καὶ ἐξουσίας, τουτέστιν ἄϋλος ἔσο, ἀπαθὴς, πάσης ἐπιθυμίας ἐκτός· ἵνα τῆς τούτων περιστά-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

οσως ἀλλότριος γενόμενος, δυνηθῇς ἡσυχάσαι καλῶς. εἰ μὴ γάρ τις οὕτως ἑαυτὸν ὑπεξάρῃ, οὐκ ἂν δυνηθῇ ταύτην κατορθῶσαι τὴν πολιτείαν. τροφῶν βραχέων ἀντέχου, καὶ εὐκαταφρονήτων, μὴ πολλῶν, καὶ εὐπεριστάτων. ἐὰν δὲ καὶ ὡς φιλοξενίας χάριν περὶ τὰ πολυτελῆ λογισμὸς γένηται, ἄφες τοῦτον ἐκεῖ, μὴ ὅλως πεισθῇς αὐτῷ· ἐνεδρεύει γὰρ διὰ τούτου ὁ ὑπεναντίος· ἐνεδρεύει τοῦ ἀποστῆσαι τῆς ἡσυχίας. ἔχεις τὸν Κύριον Ἰησοῦν μεμφόμενόν πως τὴν τὰ τοιαῦτα σπουδάζουσαν ψυχήν, Μάρθαν, καὶ λέγοντα· τί περὶ πολλὰ εἶ, καὶ τυρβάζῃ; ἑνός ἐστι χρεία, τοῦ τὸν θεῖόν φησι λόγον ἀκούειν· καὶ μετὰ τοῦτο, ἀκμητὶ πάντως τοῦ εὑρισκομένου. διὸ καὶ εὐθὺς ἐπιφέρει, λέγων· Μαρία γὰρ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. ἔχεις δὲ καὶ τῆς ἐν Σαρέφθοις χήρας τὸ ὑπόδειγμα, ἐν τίσιν αὕτη τὸν προφήτην ἐξένισε. κἂν ἄρτον μόνον ἔχῃς, κἂν ἅλας, κἂν ὕδωρ, δύνασαι ἐν τούτοις τυχεῖν τῆς φιλοξενίας τὸν μισθόν. κἂν δὲ μὴ ταῦτα ἔχῃς, μόνον δὲ προθέσει ἀγαθῇ ὑποδέξῃ τὸν ξένον, καὶ λόγον εὔχρηστον αὐτῷ ἐπιδῷς, ὡσαύτως δύνασαι τῆς φιλοξενίας ποιήσασθαι τὸν μισθόν. ἀγαθὸν γάρ, εἴρηται, λόγος, ὑπὲρ δόμα. τοιαῦτα ἐπὶ τῆς ἐλεημοσύνης σε δεῖ φρονεῖν. ὅρα οὖν μὴ ἐπιθυμήσῃς πλεῖον ἔχειν, πρὸς διάδοσιν τῶν πενήτων. ἔστι γὰρ καὶ αὕτη ἀπάτη τοῦ πονηροῦ, πρὸς κενοδοξίαν πολλάκις προσερχομένη, καὶ εἰς πολυπραγμοσύνης αἰτίαν ἐμβάλλουσα τὸν νοῦν. ἔχεις τὴν ἐν τῷ Εὐαγγελίῳ ὑπὸ τοῦ Κυρίου Ἰησοῦ μαρτυρουμένην χήραν, διὰ δύο μόνον λεπτῶν, τὴν τῶν πλουσίων ὑπερβεβηκυῖαν προαίρεσίν τε, καὶ δύναμιν. ἐκεῖνοι μὲν γάρ φησιν, ἐκ τοῦ περισσεύματος ἔβαλον ἐν τῷ γαζοφυλακίῳ· αὕτη δὲ ἅπασαν ἑαυτῆς τὴν ὕπαρξιν. Περὶ δὲ ἱματίων, μὴ ἐπιθυμήσῃς περισσὰ ἔχειν ἱμάτια. τὰ ἀρκοῦντα τῇ ἀνάγκῃ τοῦ σώματος προνοοῦ. ἐπίρριψον ἐπὶ Κύριον μᾶλλον τὴν μέριμνάν σου, καὶ αὐτός σου προνοήσεται. αὐτῷ, γάρ φησι, μέλει περὶ ἡμῶν. ἐὰν δέῃ τροφῶν, ἢ ἱματίων, μὴ αἰσχυνθῇς τὰ παρ' ἑτέρων σοι προσφερόμενα λαβεῖν. τοῦτο γάρ ἐστιν ὑπερηφανίας εἶδος. ἐὰν δὲ καὶ αὐτὸς ἐν τούτοις περισσεύῃς, δίδου τῷ ἐστερημένῳ. οὕτως ὁ Θεὸς τοὺς ἑαυτοῦ παῖδας οἰκονομεῖσθαι βούλεται. διὰ τοῦτο καὶ ὁ Ἀπόστολος πρὸς Κορινθίους γράφων, περὶ τῶν ὑστερημένων ἔλεγεν· τὸ ὑμῶν περίσσευμα, εἰς τὸ ἐκείνων ὑστέρημα· ἵνα καὶ τὸ ἐκείνων περίσσευμα, γένηται εἰς τὸ ὑμῶν ὑστέρημα· ὅπως γένηται ἰσότης, καθὼς γέγραπται· ὁ τὸ πολύ, οὐκ ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησεν. ἔχων τοίνυν τοῦ ἐνεστῶτος καιροῦ τὰ δέοντα, εἰς τὸν μέλλοντα μὴ μεριμνήσῃς καιρόν· οἷον ἡμέρας μιᾶς, ἢ ἑβδομάδος, ἢ μηνῶν. ἐνεστηκότος γὰρ τοῦ τῆς αὔριον καιροῦ, αὐτὸς ἐπιχορηγήσει τὰ δέοντα· ζήτει τοίνυν σὺ μάλιστα τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ τὴν δικαιοσύνην τοῦ Θεοῦ· ζητεῖτε, γάρ φησιν ὁ Κύριος, τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. μὴ κτήσῃ παῖδα, μήποτε ὁ ὑπεναντίος διὰ τούτου κινήσῃ σκάνδαλόν τι, καὶ ἐκθορυβήσῃ σου τὸ φρόνημα τῶν πολυτελεστάτων τροφῶν φροντίζειν· οὐ γὰρ δυνήσῃ ἔτι σεαυτοῦ μόνου φροντίζειν. κἂν ὡς πρὸς σωματικὴν ἀνάπαυσιν ἐπέλθῃ λογισμός, ἀλλὰ τὸ κρεῖττον ἐννόει· λέγω δὴ τὴν πνευματικὴν ἀνάπαυσιν· κρεῖττον γάρ ἐστιν ὡς ἀληθῶς ἡ πνευματικὴ ἀνάπαυσις τῆς σωματικῆς. κἂν ὠφελείας τοῦ παιδὸς χάριν * προσλάβῃ τῇ γνώμῃ, μὴ πεισθῇς αὐτῷ. οὐ γάρ ἐστι τοῦτο ἡμέτερον ἔργον. ἑτέρων ἐστί, τῶν ἐν κοινοβίῳ ἁγίων Πατέρων. σεαυτοῦ μόνου τῆς ὠφελείας

* ἄλλ. προσβάλῃ.

φρόν-

φρόντιζε, ϗ τὸν τῆς ἡσυχίας πειρατοῦ τρόπον. μὴ ἀγαπήσῃς οἰκῆσαι μετὰ ἀνθρώπων ὑλικῶν, ϗ ἐμπεριστάτων· ἢ μόνος οἴκει, ἢ μετὰ ἀδελφῶν ἀΰλων, ϗ ὁμοφρόνων. ὁ γὰρ μετὰ ἀνθρώπων ὑλικῶν καὶ ἐμπεριστάτων οἰκῶν, πάντως κοινωνήσει καὶ αὐτὸς τῇ τούτων περιστάσει, καὶ θολώσει ἀνθρωπίναις ἐπιταγαῖς· λαλιαῖς τε ματαίαις, ϗ ταῖς ἄλλαις ἅπασι δεινοῖς, ὀργῇ, λύπῃ, μανίᾳ τῶν ὑλῶν, φόβῳ τῶν σκανδάλων, ϗ γονικαῖς μερίμναις, ἢ συγγενικαῖς φιλίαις μὴ συναπαχθῇς· ἀλλὰ γὰρ καὶ πρὸς τούτους αὐτοὺς τὰς συνεχεῖς συντυχίας παραιτοῦ· μήποτε ἀποσυλήσωσι τῆς ἐν τῷ κελλίῳ ἡσυχίας, καὶ περὶ τὰς ἑαυτῶν περιστάσεις ἀγάγωσιν· ἄφες, φησὶν ὁ Κύριος, τοὺς νεκροὺς, θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ δεῦρο ἀκολούθει μοι. ἐὰν δὲ καὶ τὸ κελλίον ἐν ᾧ καθέζῃ, εὐπερίσπαστον ᾖ, φεῦγε, ϗ αὐτοῦ μὴ φείσῃ, ϗ μὴ ἐκλυθῇς εἰς ἀγάπην αὐτοῦ. πάντα ποίει, πάντα πράττε, ὅπως δυνηθῇς ἡσυχάσαι, καὶ σχολάσαι, καὶ σπουδάσαι γενέσθαι ἐν τοῖς τοῦ Θεοῦ θελήμασι, ϗ ἐν τῇ πάλῃ τῶν ἀοράτων. εἰ μὴ δύνασαι ῥαδίως ἡσυχάσαι ἐν τοῖς σοῖς μέρεσι, δός σου ἐπὶ ξενιτείαν τὴν πρόθεσιν, ϗ ἐπὶ ταύτην κατάστελλέ σου τὸν λογισμόν. γενοῦ καθάπερ τὶς πραγματευτὴς ἄριστος, τὰ πάντα πρὸς ἡσυχίαν δοκιμάζων· ϗ τὰ πρὸς ταύτην ἥσυχα, ϗ χρήσιμα διὰ παντὸς κατέχων. πλὴν λέγω σοι, ξενιτείαν ἀγάπα. ἀπαλλάττει γάρ σε τῶν κατὰ τὴν ἰδίαν χώραν περιστάσεων, ϗ τῆς κατὰ τὴν ἡσυχίαν ὠφελείας μόνον ἀπολαύειν ποιεῖ. τὰς ἐν πόλει διατριβὰς φεῦγε, ϗ τὰς ἐν ἐρημίᾳ καρτέρησον. ἰδοὺ γάρ φησιν ὁ ἅγιος, ἐμάκρυνα φυγαδεύων, ϗ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. εἰ δυνατὸν, τὸ καθόλου εἰς πόλιν μὴ ἀπαντήσῃς. οὐδὲν γὰρ εὔχρηστον, οὐδὲν χρήσιμον, οὐδὲν ὠφέλιμον τῇ πολιτείᾳ σου ἐκεῖ θεάσῃ· εἶδον, φησὶ πάλιν ὁ ἅγιος, ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. τοὺς οὖν ἀπερισπάστους, καὶ ἡσυχάζοντας δίωκε τόπους· μὴ δειλιάσῃς ἦχον αὐτῶν· ἐὰν ϗ δαιμόνων φαντασίας ἐκεῖ θεάσῃ, μὴ πτοηθῇς· μηδὲ ἀποφύγῃς τὸ στάδιον τῆς ὑμετέρας ὠφελείας. ἀφόβως ὑπόμεινον, ϗ ὄψει τοῦ Θεοῦ τὰ μεγαλεῖα, τὴν ἀντίληψιν, τὴν κηδεμονίαν, τὴν ἄλλην ἅπασαν ἐπὶ σωτηρίᾳ πληροφορίαν· προσεδεχόμην γάρ φησιν ὁ μακάριος ἀνὴρ, τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ καταιγίδος. μή σου νικήσῃ ῥέμβους ἐπιθυμία τὴν προαίρεσιν· ῥεμβασμὸς γὰρ ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. πολλοὶ διὰ τοῦτο πειρασμοί. φοβοῦ τὸ πταῖσμα, ϗ ἐν τῷ κελλίῳ σου ἑδραῖος ἔσο. ἐὰν φίλους ἔχῃς, φεῦγε τούτων τὰς συνεχεῖς συντυχίας. διὰ μακροῦ γὰρ αὐτοῖς συντυγχάνων, εὔχρηστος ἔσῃ. ἐὰν δὲ καὶ κατανοήσῃς διὰ τούτων αὐτῶν βλάβην σοι γινομένην, μηδόλως ἐγγίσῃς. φίλους γὰρ ἔχειν σε χρὴ τοὺς ὠφελίμους, ϗ συμβαλλομένους σου τῇ πολιτείᾳ. φεῦγε ϗ τῶν πονηρῶν ἀνδρῶν, καὶ μαχίμων τὰς συντυχίας, ϗ μηδενὶ τούτων συνοικήσῃς· ἀλλὰ γὰρ ϗ τὰς φαύλας αὐτῶν προθέσεις παραιτοῦ· οὔτε γὰρ Θεῷ προσοικειοῦνται, οὔτε μὴν παραμένουσιν. ἄνδρες ἐρημικοὶ ἔστωσάν φίλοι σου, ἀδελφοὶ πνευματικοὶ, πατέρες ἅγιοι. τούτους γὰρ οὕτω ϗ ὁ Κύριος ἀποκαλεῖ λέγων· μήτηρ μου, ϗ ἀδελφοὶ, ϗ πατέρες οὗτοί εἰσιν, οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. μετὰ περισπωμένων μὴ συναυλίζου· μηδὲ παρέλθῃς εἰς συμπόσιον μετ' αὐτῶν· μή ποτέ σε περὶ τὰς ἑαυτῶν ἀπάτας ἑλκύσωσι, ϗ τῆς κατὰ τὴν ἡσυχίαν ἐπιστήμης ἀπαγάγωσιν. ἔστι γὰρ τὸ πάθος τοῦτο ἐν αὐτοῖς. μὴ ἐκκλίνῃς τὸ οὖς σου εἰς τοὺς λόγους αὐτῶν, ϗ ἐννοίας καρδίας αὐτῶν μὴ παραδέξῃ. εἰσὶ γὰρ ὄντως ἐπιζήμιοι. ἐπὶ τοὺς πιστοὺς τῆς γῆς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἔσω σοι ὁ πόνος, καὶ ὁ πόθος τῆς καρδίας σου, εἰς ζῆλον πεσόθους αὐτῶν. οἱ ὀφθαλμοί μου γάρ φησιν, ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. ἐὰν δέ τις καὶ τῶν κατὰ τὴν ἀγάπην πολιτευομένων τοῦ Θεοῦ ἐλθὼν πρός σε, ἐπὶ τὸ φαγεῖν προσκαλέσηταί σε, καὶ θέλεις ὑπάγειν, ὕπαγε μέν, τάχιον δὲ ἐν τῷ κελλίῳ σου ὑπόστρεφε. εἰ δυνατόν, ἐκτὸς τούτου, μὴ καθευδήσῃς ποτέ· ἵνα διαπαντός σοι παραμείνῃ τῆς ἡσυχίας ἡ χάρις, καὶ τῆς ἐν αὐτῷ προθέσεως ἀνεμπόδιστον ἕξεις τὴν λατρείαν. μὴ γίνου ἐπιθυμητὴς βρωμάτων καλῶν, καὶ τῶν κατὰ τὴν σπατάλην ἀπατῶν. ἡ γὰρ σπαταλῶσα, ζῶσα τέθνηκεν, ὡς καὶ ὁ Ἀπόστολός φησι. μὴ χορτάσῃς κοιλίαν σου ἐν βρώμασιν ἀλλοτρίων, ἵνα μὴ πόθος σοι τούτων γένηται, καὶ περὶ τὰς ἔξω τραπέζας ἐμποιήσῃ σοι τὸν πόθον. εἴρηται γάρ, μὴ ἀπατᾶσθε χορτασίᾳ κοιλίας. ἐὰν δὲ καὶ συνεχῶς ἔξω τοῦ κελλίου σου θεάσῃ σεαυτὸν προσκαλούμενον, παραιτοῦ. ἔστι γὰρ ἐπιζήμιος ἡ ἔξω τοῦ κελλίου σου συνεχὴς διατριβή. ἀφαιρεῖται τὴν χάριν· σκοτεῖ τὸ φρόνημα· μαραίνει τὸν πόθον. ἴδε μοι κεράμιον οἴνου ἐγχρονίσαν ἐν τῷ τόπῳ, καὶ κείμενον ἀσάλευτον, πῶς παρασκευάζει τὸν οἶνον λαμπρόν, καθιστάμενον, καὶ εὐώδη. ἐὰν δὲ ὧδε κἀκεῖσε περιφέρηται, τεταραγμένον, στυγνόν, πάσης ὁμοῦ τῆς ἐκ τῆς τρυγίας κακίας τὴν ἀηδίαν ἐπιδεικνύμενον. τοιγαροῦν τούτῳ παραπλησιάσας σεαυτόν, πειρῶ τῆς ὠφελείας. κόπτε τῶν πολλῶν τὰς σχέσεις, μή σου ὁ νοῦς περισπαστικὸς γένηται, καὶ ταράξῃ τὸν τῆς ἡσυχίας τρόπον. ἐργασίας χειρῶν φρόντιζε· καὶ τοῦτο εἰ δυνατὸν νυκτός, καὶ ἡμέρας, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα· μᾶλλον δέ, καὶ εἰς τὸ μεταδιδόναι, καθὰ παραινεῖ λέγων καὶ ὁ Ἀπόστολος Παῦλος. ἵνα δὴ καὶ ἐν τούτῳ τὸν τῆς ἀκηδίας, καταπαλαίσῃς δαίμονα, καὶ τὰς ἄλλας πάσας ἐπιθυμίας τοῦ ἐχθροῦ διάρῃς· ἐπίκειται γὰρ τῇ ἀργίᾳ ὁ τῆς ἀκηδίας δαίμων. καὶ ἐν ἐπιθυμίαις ἐστίν, ὥς φησιν, πᾶς ἄεργος. ἀπὸ δόσεως, καὶ λήψεως, οὐκ ἐκφεύξῃ ἁμαρτίαν. εἴτε οὖν πωλεῖς, εἴτε ἀγοράζεις, μικρόν τι τοῦ ἴσου ζημίωσον σεαυτόν· μὴ τοῖς κατ' ἀκρίβειαν τῆς περὶ τὴν τιμὴν φιλοκερδείας ἐνεχθεὶς τρόποις, ἐπὶ τὰ βλαβερὰ τῶν τῆς ψυχῆς αἰτιῶν καταπέσῃς· φιλονεικίαις, ἐπιορκίαις, ταῖς τῶν λόγων σου ἐναλλαγαῖς, καὶ ἐν τοῖς τοιούτοις, τὴν ἔντιμον τῆς ἡμετέρας προθέσεως ἀτιμάσῃς καὶ καταισχύνῃς ἀξίαν. οὕτω καὶ αὐτὸς ἐννοῶν, ἀπὸ δόσεώς σου, καὶ λήψεώς σου φυλάσσου. εἰ δὲ τὸ κρεῖττον αἱρῇ, καὶ ἔστι σοι τοῦτο δυνατόν, ἐπὶ ἕτερόν τινα πιστὸν ἄνδρα παραῤῥιψόν σου τὴν φροντίδα· ὅπως οὕτως εὔθυμος γενόμενος, χρηστάς, καὶ ἐπιχαρεῖς ἕξεις τὰς ἐλπίδας. ταῦτά σοι οὕτω παραινεῖ οἶδε τὰ χρήσιμα ὁ τῆς ἡσυχίας τρόπος. Φέρε δὴ καὶ τῶν ἑξῆς ἐπιφερομένων ἐν αὐτῇ πραγμάτων παραθήσωμαί σοι τὸν νοῦν, σὺ δέ μου ἄκουε καὶ ποίει ἃ ἐντέλλομαί σοι. καθεζόμενος ἐν τῷ κελλίῳ σου, συνάγαγέ σου τὸν νοῦν, μνήσθητι ἡμέρας θανάτου, ἴδε τότε τοῦ σώματος τὴν νέκρωσιν, ἐννόει τὴν συμφοράν, λάβε τὸν πόνον, καταγνῶθι τῆς ἐν τῷ κόσμῳ τούτῳ ματαιότητος· τῆς τε ἐπιεικείας, καὶ τῆς σπουδῆς, ἵνα δυνηθῇς διαπαντὸς μένειν τῇ αὐτῇ προθέσει τῆς ἡσυχίας, καὶ μὴ ἀσθενήσῃς. μνήσθητι δὲ καὶ τῆς ἐν τῷ ᾅδῃ νυνὶ καταστάσεως· λογίζου τε, πῶς ἄρα εἰσὶν ἐκεῖ αἱ ψυχαί; ἐν ποίᾳ πικροτάτῃ σιωπῇ; ἢ ἐν ποίῳ δεινοτάτῳ στεναγμῷ; ἡλίκῳ φόβῳ, ἢ ἀγωνίᾳ; ἢ τίνι προσδοκίᾳ; τὴν ἄπαυστον ὀδύνην, τὸ ψυχικὸν καὶ ἀπέραντον δάκρυον. ἀλλὰ καὶ ἡμέραν ἀναστάσεως, καὶ παραστάσεως μνήσθητι τῆς πρὸς τὸν Θεόν· φαντάζου τὸ φοβερὸν ἐκεῖνο, καὶ φρικῶδες βῆμα· ἄγε εἰς μέσον τὰ ἀποκείμενα τοῖς ἁμαρτάνουσιν· αἰσχύνην τὴν κατ' ἐνώπιον



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦ Θεοῦ, καὶ Χριστοῦ αὐτοῦ· ἀγγέλων, ἀρχαγγέλων, ἐξουσιῶν, καὶ πάντων ἀνθρώπων· τάτε κολαστήρια πάντα, τὸ πῦρ τὸ αἰώνιον, τὸν σκώληκα τὸν ἀτελεύτητον, τὸν τάρταρον, τὸ σκότος, τὸν ἐπὶ πᾶσι τούτοις τῶν ὀδόντων βρυγμὸν, τοὺς φόβους, καὶ τὰς βασάνους. ἄγε δὴ καὶ τὰ τοῖς δικαίοις ἀποκείμενα ἀγαθά· παῤῥησίαν τὴν μετὰ Θεοῦ Πατρὸς, καὶ Χριστοῦ αὐτοῦ· ἀγγέλων, ἀρχαγγέλων, ἐξουσιῶν, καὶ παντὸς τοῦ δήμου· βασιλείαν, καὶ τὰ ταύτης δωρήματα· τὴν χαρὰν, καὶ τὴν ἀπόλαυσιν. ἑκατέρων τούτων τὴν μνήμην ἄγε σαυτῷ· καὶ ἐπὶ μὲν τῇ τῶν ἁμαρτωλῶν κρίσει, στέναζε, δάκρυε· πένθους ἔνδυσαι τὴν ἰδέαν, φοβούμενος μὴ καὶ σὺ αὐτὸς ἐν τούτοις γένῃ· ἐπὶ δὲ τοῖς ἀποκειμένοις τοῖς δικαίοις ἀγαθοῖς, χαῖρε, καὶ ἀγαλλία, καὶ εὐφραίνου· καὶ τούτων μὲν, σπούδασον ἀπολαῦσαι· ἐκείνων δὲ, ἀλλοτριοῦσθαι. ὅρα μὴ ἐπιλάθῃ τούτων ποτὲ, κἂν ἔνδον τοῦ κελλίου σου τυγχάνῃς, κἂν ἔξω που, τῆς ἐκ τούτων μνήμης μὴ παραῤῥίψῃς τὸ φρόνημα, ὅπως κἂν διὰ τούτων τοὺς ῥυπαροὺς, καὶ βλαβεροὺς ἐκφεύξῃ λογισμούς. νηστεία σοι ἔστω ὅση δύναμις κατενώπιον Κυρίου· αὕτη σου τὰς ἀνομίας, καὶ τὰς ἁμαρτίας περικαθαρεῖ· σεμνύνει τὴν ψυχὴν, ἁγιάζει τὸ φρόνημα, δαίμονας ἀπελαύνει, Θεῷ ἐγγὺς εἶναι παρασκευάζει. ἅπαξ δὲ τῆς ἡμέρας φαγὼν, εἰς δεύτερον μὴ ἐπιθυμήσῃς· ἵνα μὴ πολυδάπανος γένῃ, καὶ ἐκθορυβήσῃς σου τὸ φρόνημα. ἔνθεν εὐπορῆσαι δυνήσῃ ἐπὶ τὰ τῆς εὐποιΐας ἔργα, καὶ αὐτοῦ δὲ τοῦ σώματος νεκρῶσαι τὰ πάθη. ἐὰν δὲ ἀπάντησις ἀδελφῶν γένηται, καὶ ἔστι χρεία, ὥστε καὶ δεύτερόν σε, καὶ τρίτον φαγεῖν, μὴ στυγνάσῃς, μηδὲ κατηφήσῃς· χαῖρε δὲ μᾶλλον, ὑπήκοος τῆς χρείας γενόμενος, καὶ δεύτερον, ἢ τρίτον φαγὼν, εὐχαρίστει τῷ Θεῷ, ὅτι νόμον ἀγάπης πεπλήρωκας, καὶ ὡς ὅτι δήπερ αὐτὸν τὸν Θεὸν ἔχει τῆς ὑμετέρας ζωῆς οἰκονόμον. ἔστι δ' ὅτε καὶ ἀῤῥωστία σώματος συμβαίνει, καὶ δέῃ ὥστε καὶ δεύτερον, καὶ τρίτον, καὶ πολλάκις φαγεῖν, οὔπω μὴ ἔστω σου λελυπημένος ὁ λογισμός· οὐδὲ γὰρ τοὺς σωματικοὺς τῆς πολιτείας πόνους, καὶ ἐν ταῖς ἀῤῥωστίαις ἐπικρατεῖν χρή· ἀλλ' ὑπενδιδόναι τισὶν, ἵνα τοῖς αὐτοῖς τῆς πολιτείας ἐγγυμνάζηται πόνοις. περὶ δὲ ἀποχῆς βρωμάτων οὐκ ἐκώλυσέ τι μὴ φαγεῖν ὁ θεῖος λόγος, ἀλλ' εἶπεν· ἰδοὺ δέδωκα ὑμῖν πάντα, ὡς λάχανα χόρτου ἐσθίετε, μηδὲν ἀνακρίνοντες· καὶ, οὐ τὰ εἰσερχόμενα εἰς τὸ στόμα, κοινοῖ τὸν ἄνθρωπον. τὸ οὖν ἀπέχεσθαι βρωμάτων, τοῦτο τῆς ὑμετέρας προαιρέσεως ἂν εἴη, καὶ ψυχῆς πόνος. τὴν ἀγρυπνίαν, καὶ τὴν χαμευνίαν, καὶ τὰς ἄλλας πάσας κακοπαθείας, ἡδέως φέρε· ἀποβλέπων εἰς τὴν μέλλουσαν ἀποκαλυφθῆναί σοι δόξαν σὺν πᾶσι τοῖς ἁγίοις· οὐ γὰρ ἄξια τὰ παθήματα, φησὶ, τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. ἐὰν ἀθυμῇς, προσεύχου, καθὼς γέγραπται· προσεύχου δὲ ἐμφόβως, ἐντρόμως, ἐμπόνως, νηφαλίως, καὶ ἐγρηγόρως. οὕτω προσεύχεσθαι δεῖ, μάλιστα διὰ τοὺς κακοτρόπους ἐχθρούς. ὁπηνίκα γὰρ οὗτοι ἴδωσιν ἡμᾶς ἐν προσευχῇ παρεσταμένους, τότε δὴ καὶ αὐτοὶ σπουδαίως ἐφίστανται ἡμῖν, ἐκεῖνα ἡμῶν τῷ νῷ ὑποβάλλοντες, ἃ μὴ δεῖ, ἐν καιρῷ τοῦ προσεύχεσθαι ἐνθυμεῖσθαι, ἢ ἐννοεῖν· ἵνα αἰχμάλωτον ἡμῶν τὸν νοῦν ἀπαγάγωσι, καὶ ἀργὴν, καὶ ματαίαν, καὶ ἀνωφελῆ τὴν ἀπὸ τῆς προσευχῆς δέησίν τε, καὶ ἱκετηρίαν ποιήσωσι. ματαία γὰρ ὄντως καὶ ἀνωφελὴς ἡ προσευχή τε, καὶ ἡ δέησις, καὶ ἡ ἱκετηρία τυγχάνει, ὅταν μὴ, ὡς προείρηται, ἐν φόβῳ, καὶ ἐν τρόμῳ, νηφαλίως τε, καὶ ἐγρηγόρως ἐπιτελῆται. ὅτε ἀνθρώπῳ μὲν βασιλεῖ προσερχόμενός τις, μετὰ φόβου, καὶ τρόμου, καὶ νήψεως οὕτω τὴν δέησιν ἐπιτελεῖ, οὐ πολλῷ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μᾶλλον Θεῷ τῷ Δεσπότῃ τῶν ὅλων, καὶ Χριστῷ, Βασιλεῖ τῶν Βασιλευόντων, καὶ Ἄρχοντι τῶν Ἀρχόντων, ὁμοίως παρίστασθαι δεῖ, καὶ ὡσαύτως τὴν ἱκετηρίαν, καὶ δέησιν ποιεῖσθαι; πολλοῦ γε καὶ δεῖ. ὅτι αὐτῷ καὶ πᾶσα ἡ νοερὰ τῶν Ἀγγέλων πληθὺς, καὶ χορεία φόβῳ λειτουργοῦσα, καὶ τρόμῳ δοξολογοῦσα, ἀκατάπαυστον ἀναπέμπει τὸν ὕμνον, σὺν τῷ Ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ Παναγίῳ, καὶ συναϊδίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΕΥΑΓΡΙΟΥ.

## Κεφάλαια περὶ διακρίσεως παθῶν καὶ λογισμῶν.

α΄. ΤΩΝ ἀντικειμένων δαιμόνων τῇ πρακτικῇ, πρῶτοι κατὰ τὸν πόλεμον συνίστανται οἱ τὰς τῆς γαστριμαργίας ὀρέξεις πεπιστευμένοι, καὶ οἱ τὴν φιλαργυρίαν ἡμῖν ὑποβάλλοντες, καὶ οἱ πρὸς τὴν τῶν ἀνθρώπων δόξαν ἡμᾶς ἐκκαλούμενοι. οἱ δὲ ἄλλοι πάντες κατόπιν τούτων βαδίζοντες, τοὺς ὑπὸ τούτων τιτρωσκομένους διαδέχονται. οὐκ ἔστι γὰρ ἐμπεσεῖν εἰς χεῖρας πνεύματος πορνείας, μὴ ὑπὸ γαστριμαργίας καταπεσόντα. καὶ οὐκ ἔστι ταράξαι θυμὸν, μὴ ὑπὲρ βρωμάτων, ἢ χρημάτων, ἢ δόξης μαχόμενον. καὶ οὐκ ἔστι τὸν τῆς λύπης δαίμονα διαφυγεῖν, μὴ τούτων πάντων στέρησιν παθόντα. οὐδ᾽ ἀποφεύξεται τὴν ὑπερηφανίαν τις, τὸ πρῶτον γέννημα τοῦ διαβόλου, μὴ τὴν τῶν κακῶν πάντων ῥίζαν ἐξορίσας φιλαργυρίαν, εἴπερ καὶ πενία ἄνδρα ταπεινοῖ, κατὰ τὸν Σολομῶντα. καὶ συλλήβδην εἰπεῖν, οὐκ ἔστιν ἄνθρωπον περιπεσεῖν δαίμονι, μὴ πρότερον ὑπ᾽ ἐκείνων τῶν πρωτοστατῶν κατατρωθέντα. διὸ καὶ τοὺς τρεῖς τούτους λογισμοὺς ὁ διάβολος τότε τῷ Σωτῆρι προσήγαγε· α΄. μὲν τοὺς λίθους ἄρτους γενέσθαι παρακαλῶν. ἔπειτα καὶ τὸν κόσμον ἐπαγγελλόμενος, εἰ πεσὼν προσκυνήσῃ. καὶ γ΄. εἰ ἀκούσῃ, δοξασθήσεσθαι λέγων, μηδὲν ἐκ τηλικούτου πτώματος πεπονθότα. ὧν ὁ Κύριος ἡμῶν κρείττων φανεὶς, εἰς τὰ ὀπίσω τῷ διαβόλῳ χωρεῖν προσέταττε· διδάσκων ἡμᾶς διὰ τούτων, ὡς οὐκ ἔστιν ἀπώσασθαι τὸν διάβολον, μὴ τῶν τριῶν τούτων λογισμῶν καταφρονήσαντας.

β΄. Πάντες οἱ δαιμονιώδεις λογισμοὶ νοήματα εἰς τὴν ψυχὴν τῶν αἰσθητῶν εἰσφέρουσι πραγμάτων, ἐν οἷς τυπούμενος ὁ νοῦς τὰς μορφὰς τῶν πραγμάτων ἐκείνων ἐν ἑαυτῷ περιφέρει. καὶ ἀπ᾽ αὐτοῦ λοιπὸν τοῦ πράγματος, ἐπιγινώσκει τὸν προσεγγίσαντα δαίμονα· οἷον, εἰ τοῦ ζημιώσαντός με, ἢ ἀτιμάσαντος ἐν τῇ διανοίᾳ μου τὸ πρόσωπον γένοιτο, ἐλέγχεται ὁ τῆς μνησικακίας παραβαλὼν λογισμός, εἰ πάλιν χρημάτων ὑπόμνησις γένοιτο, ἢ δόξης, ἐκ τοῦ πράγματος δηλονότι ὁ θλίβων ἡμᾶς ἐπιγνωσθήσεται. καὶ ἐπὶ τῶν ἄλλων δὲ λογισμῶν ὡσαύτως, ἀπὸ τοῦ πράγματος εὑρήσεις τὸν παρεστῶτα, καὶ ὑποβάλλοντα. οὐ πάσας δὲ τὰς μνήμας τῶν τοιούτων πραγμάτων ἐκ δαιμόνων λέγω συμβαίνειν· ἐπειδὴ πέφυκε καὶ αὐτὸς ὁ νοῦς κινούμενος ὑπὸ τοῦ ἀνθρώπου, τῶν γεγονότων ἀναφέρειν τὰς φαντασίας· ἀλλ᾽ ὅσαι τῶν μνημῶν θυμὸν, ἢ ἐπιθυμίαν παρὰ φύσιν συνεπισπῶνται. διὰ γὰρ τὴν ταραχὴν τῶν δυνάμεων τούτων, ὁ νοῦς κατὰ διάνοιαν μοιχεύει, καὶ μάχεται, τοῦ νομοθετήσαντος αὐτῷ Θεοῦ τὴν φαντασίαν δέξασθαι μὴ δυνάμενος, εἴπερ ἡ λαμπρότης ἐκείνη



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῇ στερήσει τῶν ἐν τοῖς πράγμασι νοημάτων, ἐν τῷ καιρῷ τῆς προσευχῆς τοῦ ἡγεμονικοῦ παραφαίνεται.

γʹ. Οὐκ ἂν ἀπώσαιτο τὰς ἐμπαθεῖς μνήμας ὁ ἄνθρωπος, μὴ ἐπιθυμίας, καὶ θυμῷ ἐπιμέλειαν ποιησάμενος· τὴν μὲν, νηστείαις, καὶ ἀγρυπνίαις, καὶ χαμευνίαις καταναλώσας· τὸν δὲ, μακροθυμίαις, καὶ ἀνεξικακίαις, καὶ ἀμνησικακίαις, καὶ ἐλεημοσύναις, καθημερώσας. ἐκ γὰρ τῶν δύο τούτων παθῶν, πάντες οἱ δαιμονιώδεις σχεδὸν συνίστανται λογισμοί, οἱ τὸν νοῦν ἐμβάλλοντες εἰς ὄλεθρον καὶ ἀπώλειαν. ἀδύνατον δὲ τῶν παθῶν τούτων περιγενέσθαι, μὴ παντελῶς βρωμάτων, καὶ χρημάτων, καὶ δόξης ὑπεριδόντες· ἔτι δὲ καὶ τοῦ ἰδίου σώματος, διὰ τοὺς ῥαπίζειν αὐτὸ πολλάκις ἐπιχειροῦντας. πᾶσα οὖν ἀνάγκη, μιμεῖσθαι τοὺς κινδυνεύοντας ἐν τῇ θαλάσσῃ, καὶ τῶν σκευῶν ἐκβολὴν ποιουμένους διὰ τὴν βίαν τῶν ἀνέμων, καὶ τῶν ἐπανισταμένων κυμάτων. ἀλλ᾽ ἐνταῦθα προσεκτέον ἀκριβῶς, μὴ ἐκβολὴν ποιούμενοι τῶν σκευῶν, πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις ποιήσωμεν. ἐπεὶ ἀπέχομεν τὸν μισθὸν ἑαυτῶν. καὶ ἄλλο χαλεπώτερον τοῦ προτέρου διαδέξεται ἡμᾶς ναυάγιον, τοῦ τῆς κενοδοξίας ἀντιπνεύσαντος δαίμονος πνεύματος. διὸ καὶ ὁ Κύριος ἡμῶν ἐν τοῖς Εὐαγγελίοις τὸν κυβερνήτην τὸν νοῦν παιδεύων, φησί· προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰδὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν, τῷ ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν· ὅταν προσεύχησθε φησι, οὐκ ἔσεσθε ὥσπερ οἱ ὑποκριταί· ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς, καὶ ἐν ταῖς πλατείαις προσεύχεσθαι, ὅπως φανῶσι τοῖς ἀνθρώποις. ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε, ὥσπερ οἱ ὑποκριταί, σκυθρωποί. ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες. ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. ἀλλὰ προσεκτέον ἐνταῦθα τῷ ἰατρῷ τῶν ψυχῶν, πῶς διὰ μὲν τῆς ἐλεημοσύνης, τὸν θυμὸν θεραπεύει· διὰ δὲ τῆς προσευχῆς, τὸν νοῦν καθαρίζει· καὶ πάλιν διὰ τῆς νηστείας, τὴν ἐπιθυμίαν καταμαραίνει· ἐξ ὧν συνίσταται ὁ νέος Ἀδὰμ, ὁ ἀνακαινούμενος κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν· ἐν ᾧ οὐκ ἔστι, διὰ τὴν ἀπάθειαν, ἄρσεν, καὶ θῆλυ· οὐδὲ διὰ τὴν μίαν πίστιν, Ἕλλην, καὶ Ἰουδαῖος· περιτομὴ, καὶ ἀκροβυστία· βάρβαρος, καὶ σκύθης· δοῦλος, καὶ ἐλεύθερος· ἀλλὰ τὰ πάντα, καὶ ἐν πᾶσι Χριστός.

## Περὶ ἐνυπνίων.

Ζητητέον πῶς ἐν ταῖς καθ᾽ ὕπνον φαντασίαις τυποῦσιν ἡμῶν τὸ ἡγεμονικὸν, καὶ σχηματίζουσιν οἱ δαίμονες· τὸ γὰρ τοιοῦτον ἔοικε συμβαίνειν τῷ νῷ, ἢ δι᾽ ὀφθαλμῶν ὁρῶντι, ἢ δι᾽ ἀκοῆς ἀκούοντι, ἢ δι᾽ αἰσθήσεως ὁποιασοῦν· ἢ ἀπὸ τῆς μνήμης· ἥτις τυποῖ τὸ ἡγεμονικὸν, ἃ διὰ τοῦ σώματος ἔχει, ταῦτα κινοῦσα. οἱ οὖν δαίμονες ἐοίκασί μοι τὴν μνήμην κινοῦντες, τυποῦν τὸ ἡγεμονικόν. τὸ γὰρ ὄργανον ὑπὸ τοῦ ὕπνου κατέχεται ἀνενέργητον. πῶς οὖν πάλιν τὴν μνήμην κινοῦσι, ζητητέον, ἢ τάχα διὰ τῶν παθῶν. καὶ τοῦτο δῆλον, ἐκ τοῦ μηκέτι τοὺς καθαροὺς, καὶ ἀπαθεῖς πάσχειν τι τοιοῦτον. ἔστι δέ τις καὶ κίνησις τῆς μνήμης ἁπλῆ ὑφ᾽ ἡμῶν γινομένη, ἢ ὑπὸ τῶν ἁγίων δυνάμεων, καθ᾽ ἣν ἁγίοις τε συντυγχάνομεν καὶ συνεστιώμεθα. πλὴν προσεκτέον· ὅτι ἅπερ μετὰ τοῦ σώματος ἡ ψυχὴ εἰσδέχεται εἴδωλα, ταῦτα ἐκτὸς τοῦ σώματος ἡ μνήμη κινεῖ. καὶ τοῦτο σαφὲς, ἐκ τοῦ πολλάκις καὶ ἐν τοῖς ὕπνοις πάσχειν ἡμᾶς τοῦτο, ἠρεμοῦντος τοῦ σώματος. ὡς γὰρ ἔστι μνημονεῦσαι ὕδα- δʹ.

τος

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τος, καὶ μετὰ δόξης, καὶ αὖθις δόξης, οὕτως ἐστὶ μιμουμένους χρυσίου, μετὰ πλεονεξίας, καὶ αὖθις πλεονεξίας. καὶ ἐπὶ τῶν ἄλλων δὲ, ὡσαύτως. τὸ δὲ, πῶς δὲ, ἢ ποίας δὲ εὑρίσκει φαντασιῶν διαφορὰς, τῆς ἐκείνων κακοτεχνίας ἐστὶ γνώρισμα. ἅμα δὲ καὶ τοῦτο ἰστέον· ὅτι καὶ τοῖς ἔξωθεν πράγμασι κέχρηνται πρὸς φαντασίαν οἱ δαίμονες· οἷον, τῷ ἤχῳ τῶν κυμάτων, ἐπὶ πλεόντων.

ε. Σφόδρα τοῦ σκοποῦ τῶν δαιμόνων ὁ θυμὸς ἡμῶν συμβάλλεται παρὰ φύσιν κινούμενος, καὶ πρὸς πᾶσαν αὐτῶν κακομηχανίαν γίνεται χρησιμώτατος. ὅθεν νύκτωρ, καὶ μεθ' ἡμέραν παρέχειν τοῦτον, οὐδεὶς αὐτῶν παραιτεῖται. ἀλλ' ὅταν ἴδωσιν αὐτὸν δεθέντα πραότητι, τηνικαῦτα ἐπὶ δικαίαις προφάσεσιν εὐθὺς τοῦτον ἀπολύουσιν· ἵνα ὀξύτατος γεγονὼς πρὸς τοὺς θηριώδεις αὐτῶν λογισμοὺς χρησιμεύσῃ. διόπερ ἀνάγκη μήτε ἐπὶ δικαίοις, μήτε ἐπὶ ἀδίκοις πράγμασιν αὐτὸν ἐρεθίζειν· μηδὲ κακὸν ξίφος διδόναι τοῖς ὑποβάλλουσιν· ὅπερ πολλάκις πολλοὺς ποιοῦντας ἐπίσταμαι, καὶ πλέον, ἢ χρὴ, ἐπὶ μικραῖς ἀναπτομένους προφάσεσιν. ὑπὲρ τίνος γὰρ εἰπέ μοι καὶ περιπίπτεις ταχέως εἰς μάχην; εἴπερ βρωμάτων, καὶ χρημάτων, καὶ δόξης καταφρονήσας; τί δὲ τρέφεις τὸν κύνα, μηδὲν ἔχειν ἐπαγγελλόμενος; εἰ δὲ οὗτος ὑλακτεῖ καὶ τοῖς ἀνθρώποις ἐπέρχεται, πρόδηλός ἐστι κεκτημένος τινὰ, καὶ ταῦτα φυλάσσειν βουλόμενος. ἀλλ' ἐγὼ τὸν τοιοῦτον, μακρὰν καθαρᾶς προσευχῆς πείθομαι εἶναι, λυμεῶνα τὸν θυμὸν τῆς τοιαύτης εὐχῆς ἐπιστάμενος. πρὸς δὲ τούτοις, θαυμάζω· ὡς καὶ τῶν ἁγίων ἐπιλελησμένος· τοῦ μὲν Δαβὶδ ἐκβοῶντος· παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν. τοῦ δὲ Ἐκκλησιαστοῦ παραγγέλλοντος· ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ παράγαγε πονηρίαν ἀπὸ σαρκός σου· τοῦ δὲ Ἀποστόλου προστάσσοντος, ἐπαίρειν ἐν παντὶ καιρῷ, καὶ τόπῳ ὁσίους χεῖρας, χωρὶς ὀργῆς, καὶ διαλογισμῶν. τί δὲ οὐ μανθάνομεν ἀπὸ τῆς ἀνθρώπων μυστικῆς καὶ παλαιᾶς συνηθείας, διωκόντων ἐκ τῶν οἴκων τοὺς κύνας ἐν τῷ καιρῷ τῆς προσευχῆς; τοῦτο αἰνιττομένης, ὡς οὐ δεῖ παρεῖναι τοῖς προσευχομένοις θυμόν. καὶ θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν· οἴνου δὲ οἱ Ναζιραῖοι ἀπείχοντο. Περὶ δὲ τοῦ μὴ δεῖν μεριμνᾶν ἐνδυμάτων ἕνεκα, ἢ βρωμάτων, περιττὸν οἶμαι γράφειν, αὐτοῦ τοῦ Σωτῆρος ἐν τοῖς Εὐαγγελίοις ἀπαγορεύοντος· μὴ μεριμνήσητε γάρ φησι, τῇ ψυχῇ ὑμῶν, τί φάγητε, ἢ τί πίητε, ἢ τί περιβάλησθε. ἐθνικῶν γὰρ ἄντικρυς τοῦτο, καὶ ἀπίστων, ἀθετούντων τὴν πρόνοιαν τοῦ Δεσπότου, καὶ τὸν δημιουργὸν ἀρνουμένων. χριστιανῶν δὲ, παντελῶς τὸ τοιοῦτον ἀλλότριον, ἅπαξ πεπιστευκότων, ὅτι καὶ τὰ δύο στρουθία τὰ πιπρασκόμενα τοῦ ἀσσαρίου, ὑπὸ τὴν οἰκονομίαν τῶν ἁγίων ἀγγέλων ἐστί. πλὴν, ἔστι καὶ αὕτη συνήθεια τῶν δαιμόνων· μετὰ τοὺς ἀκαθάρτους λογισμοὺς, ἐμβάλλειν καὶ τοὺς τῆς μερίμνης· ἵνα ἐκδύσῃ ὁ Ἰησοῦς, ὄχλου ὄντος νοημάτων, ἐν τῷ κατὰ διάνοιαν τόπῳ, καὶ ἄκαρπος γένηται ὁ λόγος, συμπνιγόμενος ὑπὸ τῶν τῆς μερίμνης λογισμῶν. ἀποθέμενοι τοίνυν αὐτοὺς, ἐπιρρίψωμεν τὴν μέριμναν ἡμῶν πρὸς τὸν Κύριον, τοῖς παροῦσιν ἀρκούμενοι, καὶ πενιχρᾷ ζωῇ χρησάμενοι, καὶ στολῇ, τοὺς πατέρας τῆς κενοδοξίας καθ' ἡμέραν ἀποδυσώμεθα. εἰ δέ τις ἀσχημονεῖν ἐπὶ πενιχρᾷ νομίζει στολῇ, βλεπέτω τὸν ἅγιον Παῦλον, ἐν ψύχει, καὶ γυμνότητι, τὸν τῆς δικαιοσύνης προσδοκήσαντα στέφανον. ἀλλ' ἐπειδὴ θέατρον, καὶ στάδιον ὁ Ἀπόστολος τὸν κόσμον ὠνόμασε τοῦτον, ἴδωμεν, εἰ ἔστι δυνατὸν, μερίμνης ἐνδυσαμένους λογισμοὺς, δραμεῖν ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ· ἢ

παλαί-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

παλαῖσαι πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. ἐγὼ μὲν οὐκ οἶδα, καὶ ἀπ' αὐτῆς τῆς αἰσθητῆς παιδευόμενος ἱστορίας. ἐμποδισθήσεται γὰρ ἐκεῖνος δηλονότι ὑπὸ τοῦ χρυσίου, καὶ περιελκυσθήσεται, καθάπερ ὁ νοῦς ὑπὸ τῶν λογισμῶν τῆς μερίμνης· εἴπερ ἀληθινὸς ὁ λόγος ὁ λέγων, τὸν νοῦν τῷ ἰδίῳ προσκαρτερεῖν θησαυρῷ· ὅπου γάρ φησιν ὁ θησαυρός σου ἐστίν, ἐκεῖ ἔσται καὶ ἡ καρδία σου.

ϛʹ. Τῶν λογισμῶν, οἱ μὲν τέμνουσιν, οἱ δὲ τέμνονται. καὶ τέμνουσι μὲν οἱ πονηροὶ τοὺς ἀγαθούς· τέμνονται δὲ πάλιν ὑπὸ τῶν ἀγαθῶν οἱ πονηροί. τοίνυν τὸ Πνεῦμα τὸ Ἅγιον τῷ πρώτῳ τεθέντι προσέχει λογισμῷ, καὶ πρὸς ἐκεῖνον κρίνει ἡμᾶς, ἢ ἀποδέχεται. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. ἔχω τινὰ φιλοξενίας λογισμόν, καὶ γοῦν ἔχω, διὰ τὸν Κύριον. ἀλλ' οὗτος, ἐπελθόντος τοῦ πειράζοντος, τέμνεται· δόξης χάριν, φιλοξενεῖν ὑποβάλλοντος. καὶ πάλιν ἔχω φιλοξενίας λογισμόν, πρὸς τὸ τοῖς ἀνθρώποις φανῆναι. ἀλλὰ καὶ οὗτος, ἐπελθόντος κρείττονος λογισμοῦ, τέμνεται· τοῦ πρὸς τὸν Κύριον μᾶλλον ἡμῶν τὴν ἀρετὴν ἀπευθύνοντος, καὶ μὴ δι' ἀνθρώπους ταῦτα πράττειν ἡμᾶς καταναγκάζοντος.

ζʹ. Λογισμῶν τῶν ἀγγελικῶν, καὶ τῶν ἀνθρωπίνων, καὶ τῶν ἐκ δαιμόνων, ταύτην τὴν διαφορὰν μετὰ πολλῆς τῆς παρατηρήσεως ἐγνώκαμεν εἶναι· ὅτι πρῶτον μέν, οἱ ἀγγελικοί, τὰς φύσεις τῶν πραγμάτων περιεργάζονται, καὶ τοὺς πνευματικοὺς αὐτῶν ἐξιχνιάζουσι λόγους· οἷον, τίνος χάριν γίνεται ὁ χρυσός, καὶ διατί ψαμμώδης κάτω που τοῖς μορίοις τῆς γῆς ἐγκατέσπαρται, καὶ μετὰ πολλοῦ καμάτου καὶ πόνου εὑρίσκεται; πῶς δὲ εὑρεθείς, ὕδατι πλύνεται, καὶ πυρὶ παραδίδοται, καὶ οὕτως εἰς τεχνιτῶν ἐμβάλλεται χεῖρας· τῶν ποιούντων τῆς σκηνῆς τὴν λυχνίαν, καὶ τὸ θυμιατήριον, καὶ τὰς θυΐσκας, καὶ τὰς φιάλας, ἐν οἷς οὐκ ἔτι νῦν πίνει διὰ τὴν χάριν τοῦ Σωτῆρος ἡμῶν, ὁ βαβυλώνιος Βασιλεύς· Κλεόπας δὲ φέρει καρδίαν καιομένην, ὑπὸ τούτων τῶν μυστηρίων. ὁ δὲ δαιμονιώδης λογισμός, ταῦτα οὔτε οἶδεν, οὔτε ἐπίσταται· μόνην δὲ τὴν κτῆσιν τοῦ αἰσθητοῦ χρυσίου ἀναιδῶς ὑποβάλλει, καὶ τὴν ἐκ τούτου τρυφήν τε, καὶ δόξαν ἐσομένην προλέγει. ὁ δὲ ἀνθρώπινος λογισμός, οὐδὲ τὴν κτῆσιν ἐπιζητεῖ, οὐδὲ τίνος ἐστὶ περιεργάζεται σύμβολον ὁ χρυσός· ἀλλὰ μόνον εἰς τὴν διάνοιαν, τοῦ χρυσοῦ τὴν μορφὴν εἰσφέρει ψιλήν, πάθους καὶ πλεονεξίας κεχωρισμένην. ὁ δὲ αὐτὸς λόγος, καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων ῥηθήσεται, κατὰ τὸν κανόνα τοῦτον μυστικῶς γυμναζόμενος.

ηʹ. Ἔστι δαίμων, πλάνος λεγόμενος, καὶ ὑπὸ τὴν ἕω μάλιστα τοῖς ἀδελφοῖς παριστάμενος· ὅστις περιάγει τὸν νοῦν, ἀπὸ πόλεως εἰς πόλιν, καὶ ἀπὸ κώμης εἰς κώμην, καὶ ἀπὸ οἰκίας εἰς οἰκίαν· ψιλὰς δῆθεν τὰς συντυχίας ποιούμενον· καὶ γνωρίμοις τισὶ συντυγχάνοντα μακρότερα, καὶ τὴν οἰκείαν πρὸς τοὺς ἀπαντῶντας κατάστασιν διαφθείροντα· καὶ μακρὰν γινόμενον κατ' ὀλίγον τῆς γνώσεως τοῦ Θεοῦ, καὶ τῆς ἀρετῆς, καὶ τοῦ ἐπαγγέλματος λήθην λαμβάνοντα. δεῖ οὖν τὸν ἀναχωροῦντα, τοῦτον τηρεῖν, πόθεν τε ἔρχεται, καὶ ποῦ καταλήγει. οὐ γὰρ εἰκῆ, οὐδὲ ὡς ἔτυχε τὸν μακρὸν ἐκεῖνον κύκλον ἐργάζεται. ἀλλὰ τὴν κατάστασιν τοῦ ἀναχωροῦντος διαφθείρειν βουλόμενος, ταῦτα ποιεῖ· ἵνα ἐκκαυθεὶς ἐκ τούτων ὁ νοῦς, καὶ ἐκ τῶν πολλῶν συντυχιῶν μεθυσθείς, εὐθέως τῷ τῆς πορνείας, ἢ τῷ τῆς ὀργῆς, ἢ τῷ τῆς λύπης δαίμονι περιπέσῃ· οἵτινες μάλιστα λυμαίνονται τῆς καταστάσεως αὐτοῦ τὴν λαμπρότητα. ἀλλ' ἡμεῖς, εἴπερ ἔχομεν σκοπὸν τοῦ γνῶναι σαφῶς τὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ταύτην πανουργίαν, μὴ ταχέως φθεγξώμεθα πρὸς αὐτὸν, μηδὲ μηνύσωμεν τὰ γινόμενα, πῶς καὶ διανοίας τὰς συντυχίας ἐργάζεται, καὶ τίνα τρόπον κατ' ὀλίγον ἐλαύνει τὸν νοῦν πρὸς τὸν θάνατον, ἐπεὶ φεύξεται ἀφ' ἡμῶν. ὁρᾶσθαι γὰρ ταῦτα πράττων, οὐ καταδέχεται. καὶ οὐδὲν λοιπὸν εἰσόμεθα, ὧν μαθεῖν ἐσπουδάκαμεν. ἀλλὰ καὶ ἄλλην μίαν ἡμέραν, ἢ καὶ δευτέραν, συγχωρήσωμεν αὐτῷ τελειῶσαι τὸ δρᾶμα· ἵνα ἀκριβῶς μαθόντες αὐτοῦ τὸ σκαιώρημα, λόγῳ μετὰ ταῦτα ἐλέγχοντες αὐτὸν φυγαδεύσομεν. ἀλλ' ἐπειδὴ κατὰ τὸν καιρὸν τοῦ πειρασμοῦ συμβαίνει τεθολωμένον ὄντα τὸν νοῦν, μὴ ἀκριβῶς ἰδεῖν τὰ γινόμενα, μετὰ τὴν ἀναχώρησιν τοῦ δαίμονος τοῦτο γινέσθω. καθεσθεὶς, μνημόνευσον κατὰ σεαυτὸν τῶν συμβεβηκότων σοι πραγμάτων, πόθεν τε ἤρξω, καὶ ποῦ ἐπορεύθης, καὶ ἐν ποίῳ τόπῳ συνελήφθης ὑπὸ τοῦ πνεύματος τῆς πορνείας, ἢ τῆς λύπης, ἢ τῆς ὀργῆς, καὶ πῶς πάλιν γέγονε τὰ γινόμενα. ταῦτα κατάμαθε, καὶ παράδος τῇ μνήμῃ, ἵν' ἔχῃς ἐλέγχειν αὐτὸν προσιόντα. καὶ τὸν κρυπτόμενον ὑπ' αὐτοῦ τόπον καταμήνυε, καὶ οὐκ ἀκολουθήσεις αὐτῷ λοιπόν. εἰ δὲ βούλει καὶ εἰς μανίαν προσκαλέσασθαι αὐτὸν, ἔλεγξον αὐτὸν εὐθὺς ἐπιστάντα, καὶ τὸν πρῶτον τόπον εἰς ὃν εἰσῆλθες λόγῳ φανέρωσον, καὶ τὸν δεύτερον, καὶ τὸν τρίτον. πάνυ γὰρ χαλεπαίνει, μὴ φέρων τὴν αἰσχύνην. ἀπόδειξις δὲ ἔστω τοῦ καιρίως σε φθέγξασθαι πρὸς αὐτὸν, τὸ πεφευγέναι τὸν λογισμὸν ἀπὸ σοῦ. ἀδύνατον γὰρ στῆναι, φανερῶς ἐλεγχόμενον. τοῦτον δὲ ἡττηθέντα τὸν δαίμονα, διαδέχεται ὕπνος βαρύτατος, καὶ νέκρωσις μετὰ ψυχρότητος πολλῆς βλεφάρων, καὶ χάσμαι ἄπειροι, καὶ ὦμοι βαρούμενοι· ἅπερ πάντα τῇ συντόνῳ προσευχῇ διαλύει τὸ Πνεῦμα τὸ Ἅγιον.

θ'. Πάνυ τὸ μῖσος τὸ κατὰ δαιμόνων, ἡμῖν πρὸς σωτηρίαν συμβάλλεται, καὶ πρὸς τὴν ἐργασίαν ἀρετῆς ἐστιν ἐπιτήδειον. καὶ τοῦτο ἐκθρέψαι παρ' ἑαυτοῖς, ὥσπερ τι γέννημα ἀγαθὸν, οὐκ ἰσχύομεν· τῶν φιληδόνων πνευμάτων διαφθειρόντων αὐτὸ, καὶ πρὸς φιλίαν καὶ συνήθειαν τὴν ψυχὴν πάλιν ἐκκαλουμένων. ἀλλὰ ταύτην τὴν φιλίαν, μᾶλλον καὶ τὴν δυσίατον γάγγραιναν, ὁ ἰατρὸς τῶν ψυχῶν, διὰ ἐγκαταλείψεως θεραπεύει. συγχωρεῖ γάρ τι φοβερὸν παθεῖν ἡμᾶς ὑπ' αὐτῶν νύκτωρ, καὶ μεθ' ἡμέραν. καὶ πάλιν ἡ ψυχὴ πρὸς ἀρχέτυπον μῖσος ἐπανατρέχει, διδασκομένη πρὸς τὸν Κύριον λέγειν κατὰ τὸν Δαβίδ· τὸ, τέλειον μῖσος ἐμίσουν αὐτοὺς, εἰς ἐχθροὺς ἐγένοντό μοι. οὗτος γὰρ τέλειον μῖσος μισεῖ τοὺς ἐχθροὺς, ὁ μήτε κατ' ἐνέργειαν, μήτε κατὰ διάνοιαν ἁμαρτάνων· ὅπερ τῆς μεγίστης, καὶ πρώτης ἀπαθείας ἐστὶ τεκμήριον.

Περὶ δὲ τοῦ δαίμονος τοῦ τὴν ψυχὴν ποιοῦντος ἀναίσθητον, τί δεῖ καὶ λέγειν; ι'.
ἐγὼ γὰρ δέδοικα γράφειν περὶ αὐτοῦ. πῶς ἡ ψυχὴ τῆς οἰκείας ἐξίσταται καταστάσεως παρὰ τὸν καιρὸν τῆς ἐπιδημίας αὐτοῦ, καὶ τὸν φόβον Κυρίου, καὶ τὴν εὐλάβειαν ἀποδύεται· καὶ τὴν ἁμαρτίαν, οὐχ ἁμαρτίαν λογίζεται· καὶ τὴν παρανομίαν, οὐ νομίζει παρανομίαν· κολάσεώς τε καὶ κρίσεως αἰωνίου, ὡς ψιλοῦ ῥήματος μέμνηται· καταγελᾷ δὲ ὄντως σεισμοῦ πυρφόρου· καὶ Θεὸν μὲν δῆθεν ὁμολογεῖ· τὴν δὲ πρόσταξιν αὐτοῦ οὐκ ἐπίσταται. τύπτεις εἰς τὰ στήθη, κινουμένης αὐτῆς πρὸς τὴν ἁμαρτίαν, καὶ αὕτη οὐκ αἰσθάνεται. ἀπὸ γραφῶν διαλέγῃ, καὶ ὅλη πεπώρωται, καὶ οὐκ ἀκούει. ὄνειδος αὐτῇ τὸ παρὰ τῶν ἀνθρώπων προσφέρεις, καὶ οὐ λογίζεται. τὴν παρὰ τοῖς ἀνθρώποις αἰσχύνην, καὶ αὐτὴ οὐ συνίησι, δίκην χοίρου καμμύσαντος καὶ τὸν φραγμὸν διακόψαντος. τοῦτον δὲ τὸν δαίμονα, κενοδοξίας χρονίσαντες ἐπάγουσι λογισμοί. οὗ, εἰ μὴ ἐκολοβώθη-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ. καὶ γὰρ τῶν σπανίως παραβαλλόντων ἐστὶ τοῖς ἀδελφοῖς. καὶ ἡ αἰτία πρόδηλος. ἐπὶ γὰρ συμφοραῖς ἑτέρων, καὶ ἐν νόσοις πιεζομένων, ἢ ἐν φυλακαῖς δυστυχούντων, ἢ αἰφνιδίῳ περιπιπτόντων θανάτῳ, φυγαδεύεται οὗτος· τῆς ψυχῆς κατὰ μικρὸν κατανυσσομένης, καὶ εἰς συμπάθειαν ἐρχομένης, διαλυομένου τοῦ ἐκ δαιμονίου συνισταμένου πωρώματος. ὧν ἡμεῖς ἀποροῦμεν διὰ τὴν ἐρημίαν καὶ τὴν σπάνιν τῶν παρ' ἡμῖν ἀσθενούντων. τοῦτον τὸν δαίμονα μάλιστα φυγαδεύων ὁ Κύριος, ἐν τοῖς Εὐαγγελίοις προσέταξεν ἀσθενοῦντας ὁρᾷν, καὶ τοὺς ἐν φυλακῇ ἐπισκέπτεσθαι. ἀσθενὴς γὰρ ἤμην φησί, καὶ ἤλθετε πρός με. πλὴν τοῦτο ἰστέον· εἴτις τῶν ἀναχωρούντων περιπεσὼν τούτῳ τῷ δαίμονι, λογισμοὺς οὐκ ἔλαβε πορνικούς, ἢ τὸν οἶκον ἀπὸ ἀκηδίας οὐ καταλέλοιπεν, οὗτος ὑπομονὴν καὶ σωφροσύνην ἀπ' οὐρανῶν ὑπεδέξατο κατελθοῦσαν, καὶ μακάριος τῆς τοιαύτης ἀπαθείας ἐστίν. ὅσοι δὲ τῶν ἐπαγγελλομένων θεοσέβειαν ἀσκεῖν, κοσμικοῖς συναυλίζεσθαι προαιροῦνται, φυλαττέσθωσαν τοῦτον τὸν δαίμονα. ἐγὼ γὰρ περὶ αὐτοῦ πλέον λέγειν, ἢ γράφειν, καὶ τοὺς ἀνθρώπους αἰσχύνομαι.

## Περὶ δαίμονος τῆς λύπης.

ιά. Πάντες οἱ δαίμονες, φιλήδονον διδάσκουσι τὴν ψυχήν, μόνος δὲ ὁ τῆς λύπης δαίμων, τοῦτο πράττειν οὐ καταδέχεται· ἀλλὰ τῶν εἰσελθόντων τοὺς λογισμοὺς διαφθείρει, πᾶσαν ἡδονὴν τῆς ψυχῆς περικόπτων, καὶ ξηραίνων διὰ τῆς λύπης, εἴπερ ἀνδρὸς λυπηροῦ ξηραίνεται τὰ ὀστᾶ. καὶ μετρίως μὲν πολεμῶν, δόκιμον τὸν ἀναχωρητὴν ἀπεργάζεται. πείθει γὰρ μηδὲν τῶν τοῦ κόσμου τούτου προσίεσθαι, καὶ πᾶσαν ἡδονὴν περιΐστασθαι. πλεῖον δὲ προσκαρτερῶν, γεννᾷ λογισμούς, ὑπεξάγειν τὴν ψυχὴν συμβουλεύοντας, ἢ φεύγειν τὸν τόπον μακρὰν ἀναγκάζοντας. ὅπερ λελόγισται ποτέ, καὶ πέπονθεν ὁ ἅγιος Ἰώβ, ὑπὸ τούτου παρενοχλούμενος. εἴθε γὰρ ἐδυνάμην φησίν, ἐμαυτὸν χειρώσασθαι, ἢ δεηθείς γε ἑτέρου, καὶ ποιήσαιμι τοῦτο. τούτου τοῦ δαίμονος σύμβολόν ἐστιν ἡ ἔχιδνα τὸ θηρίον· ἧς ἡ φύσις φιλανθρώπως διδομένη, τοὺς τῶν ἄλλων θηρίων ἰοὺς διαφθείρει· ἀκρατῶς δὲ λαμβανομένη, καὶ αὐτὸ διαφθείρει τὸ ζῶον. τούτῳ τῷ δαιμονίῳ παραδέδωκεν ὁ Παῦλος τὸν ἐν Κορίνθῳ παρανομήσαντα· διὸ καὶ γράφει πάλιν σπουδαίως, κυρώσατε, λέγων τοῖς Κορινθίοις, εἰς αὐτὸν ἀγάπην· μήπως, τῇ περισσοτέρᾳ λύπῃ, καταποθῇ ὁ τοιοῦτος. ἀλλ' οἶδε τοῦτο θλῖβον τοὺς ἀνθρώπους τὸ πνεῦμα, καὶ μετανοίας ἀγαθῆς πρόξενον γίνεσθαι. ὅθεν καὶ ὁ ἅγιος Ἰωάννης ὁ Βαπτιστής, τοὺς ὑπὸ τούτου κεντουμένους τοῦ πνεύματος, καὶ προσφεύγοντας τῷ Θεῷ, γεννήματα ἐχιδνῶν ἐκάλει λέγων· τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν Ἀβραάμ. πλὴν πᾶς ὁ τὸν Ἀβραὰμ μιμησάμενος, καὶ ἐξελθὼν ἐκ τῆς γῆς αὐτοῦ, καὶ ἐκ τῆς συγγενείας, αὐτὸς καὶ τούτου τοῦ δαίμονος γέγονεν ἰσχυρότερος.

ιβ'. Εἴτις θυμοῦ κεκράτηκεν, οὗτος δαιμόνων κεκράτηκεν. εἰ δέ τις τούτῳ δεδούλωται, οὗτος τοῦ μοναδικοῦ βίου ἐστὶν ἀλλότριος, καὶ ξένος τῶν ὁδῶν τοῦ Σωτῆρος ἡμῶν, εἴπερ αὐτὸς ὁ Κύριος λέγεται διδάσκειν τοὺς πραεῖς τὰς ὁδοὺς αὐτοῦ. διὸ καὶ δυσθήρατος γίνεται ἀναχωρούντων ὁ νοῦς, εἰς τὸ τῆς πραότητος καταφεύγων πεδίον. οὐδὲ μίαν γὰρ σχεδὸν τῶν ἀρετῶν δεδοίκασιν οἱ δαίμονες, ὡς πραΰτητα. ταύτην Μωϋσῆς ὁ μέγας ἐκεῖνος ἐκέκτητο,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πραῢς παρὰ πάντας τοὺς ἀνθρώπους κληθείς. καὶ ὁ ἅγιος Δαβίδ, ἀξίαν τῆς τοῦ Θεοῦ μνήμης ἀπεφήνατο εἶναι· μνήσθητι λέγων τοῦ Δαβίδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ. ἀλλὰ καὶ αὐτὸς ὁ Σωτὴρ ἡμῶν, μιμητὰς ἡμᾶς γενέσθαι τῆς ἐκείνου πραότητος ἐκέλευσε· μάθετε ἀπ' ἐμοῦ λέγων, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. εἰ δέ τις βρωμάτων καὶ πομάτων μὲν ἀπέχοιτο, θυμὸν δὲ πονηροῖς λογισμοῖς ἐρεθίζει, οὗτος ἔοικε ποντοπορούσῃ νηΐ, καὶ ἐχούσῃ δαίμονα κυβερνήτην. διὸ προσεκτέον, ὅση δύναμις, τῷ ἡμετέρῳ κυνί, καὶ διδακτέον, τοὺς λύκους μόνον αὐτὸν διαφθείρειν, καὶ μὴ τὰ πρόβατα κατεσθίειν, πᾶσαν ἐνδεικνύμενον πραότητα, πρὸς πάντας ἀνθρώπους.

## Περὶ κενοδοξίας.

ιγʹ. Μόνος τῶν λογισμῶν, ὁ τῆς κενοδοξίας ἐστὶ πολύϋλος, καὶ ὅλην σχεδὸν περιλαμβάνων τὴν οἰκουμένην, καὶ πᾶσι τοῖς δαίμοσιν ὑπανοίγων τὰς θύρας, ὥσπερ τις προδότης γενόμενος πονηρὸς πόλεώς τινος. διὸ καὶ πάνυ ταπεινοῖ τοῦ ἀναχωροῦντος τὸν νοῦν, πολλῶν λόγων, καὶ πραγμάτων αὐτὸν πληρῶν, καὶ τὰς προσευχὰς αὐτοῦ λυμαινόμενος, δι' ὧν πάντα τὰ τῆς ψυχῆς αὐτοῦ τραύματα θεραπεύειν σπουδάζει. τοῦτον τὸν λογισμὸν συναύξουσιν ἡττηθέντες πάντες οἱ δαίμονες, καὶ πάλιν δι' αὐτοῦ πάντες εἰς τὰς ψυχὰς λαμβάνουσιν εἴσοδον· ποιοῦντες οὕτως τὰ ἔσχατα, χείρονα τῶν πρώτων. ἐκ τούτου γεννᾶται τοῦ λογισμοῦ καὶ ὁ τῆς ὑπερηφανίας· ὃ τὸ σφράγισμα τῆς ὁμοιώσεως, καὶ τὸν στέφανον τοῦ κάλλους, ἀπ' οὐρανῶν εἰς τὴν γῆν κατασείσας. ἀλλ' ἀποπήδησον ἐκ τούτου, καὶ μὴ χρονίσῃς, ἵνα μὴ προδῶμεν ἄλλοις τὴν ζωὴν ἡμῶν, καὶ τὸν ἡμέτερον βίον ἀνελεήμοσι. τοῦτον δὲ τὸν δαίμονα φυγαδεύει ἐκτενὴς προσευχή, καὶ τὸ μηδὲν ἑκόντα ποιεῖν, ἢ λέγειν, τῶν συντελούντων πρὸς τὴν ἐπάρατον κενοδοξίαν.

ιδʹ. Ὅτε ὀλίγης ἀπαθείας τῶν ἀναχωρούντων ὁ νοῦς ἐπιλάβηται, τότε κενοδοξίας ἵππον κτησάμενος, εὐθὺς ἐλαύνει κατὰ τὰς πόλεις, ἄκρατον ἐμφορούμενος ἐκ τῆς δόξης τὸν ἔπαινον· ᾧ κατ' οἰκονομίαν τὸ πνεῦμα τῆς πορνείας ὑπαντιάσαν, καὶ εἰς ἕνα τῶν συφεῶν τοῦτον ἀποκλεῖσαν, παιδεύει αὐτὸν μηκέτι πρὸ τῆς τελείας ὑγείας καταλιμπάνειν τὴν κλίνην, μηδὲ τοὺς ἀτάκτους τῶν ἀρρώστων μιμεῖσθαι· οἵτινες ἔτι λείψανα τῆς ἀσθενείας ἐν ἑαυτοῖς περιφέροντες, ὁδοῖς ἑαυτούς, καὶ λουτροῖς ἀκαίρως ἐπιδιδόασι, καὶ τοῖς ἐξ ὑποστροφῆς νοσήμασι περιπίπτουσι. διόπερ καθεζόμενοι, προσέχωμεν ἐν ἑαυτοῖς μᾶλλον, ὡς προκόπτοντες μὲν ἐν ἀρετῇ, δυσκίνητοι πρὸς κακίαν γινόμεθα· ἀνακινούμενοι δὲ ἐν τῇ γνώσει, ποικίλων προσλαμβάνομεν πλῆθος θεωρημάτων· ὑψούμενοι δὲ πάλιν, φανερώτερον τὸ τοῦ Σωτῆρος ἡμῶν ἐποπτεύομεν φῶς.

ιεʹ. Πάσας μὲν τὰς κακουργίας τῶν δαιμόνων, γράφειν οὐ δύναμαι· καὶ τὰς κακομηχανίας αὐτῶν καταλέγειν αἰσχύνομαι, δεδοικὼς τῶν ἐντευξομένων τοὺς ἁπλουστέρους. πλὴν δὲ τοῦ πνεύματος τῆς πορνείας, ἄκουε πανουργίας. ὅταν τις τοῦ ἐπιθυμητικοῦ μέρους κτήσηται τὴν ἀπάθειαν, καὶ οἱ αἰσχροὶ λογισμοὶ ὑπόψυχροι γένωνται, τηνικαῦτα εἰσάγει ἄνδρας τε, καὶ γυναῖκας παίζοντας μετ' ἀλλήλων, καὶ αἰσχρῶν πραγμάτων, καὶ σχημάτων, τὸν ἀναχωρητὴν καθίστησι θεατήν. ἀλλ' οὗτος ὁ πειρασμὸς οὐκ ἔστι τῶν χρονιζόντων. προσευχὴ γὰρ σύντονος, καὶ δίαιτα στενωτάτη, μετ' ἀγρυπνίας καὶ γυμνασίας θεωρημάτων πνευματικῶν, ὥσπερ νέφος αὐτὸν ἄνυδρον ἀπελαύνει. ἔστι δὲ ὅτε καὶ τῶν σαρκῶν ἐφάπτεται, πρὸς τὴν ἄλογον πύρωσιν αὐτὰς ἐκμοχλεύων, καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἄλλα δὲ μυρία προσμηχανᾶται ὁ πονηρὸς οὗτος· ἅπερ οὐκ ἀναγκαῖον δημοσιεῦσαι, καὶ παραδοῦναι γραφῇ. συμβάλλεται καὶ πρὸς τοὺς λογισμοὺς τοὺς τοιούτους, καὶ ζέσις θυμοῦ κατὰ τοῦ δαίμονος κινηθεῖσα· ὅνπερ θυμὸν μάλιστα δέδοικεν ἐπὶ τοῖς λογισμοῖς ταρασσόμενον, καὶ διαφθείροντα αὐτοῦ τὰ νοήματα. καὶ τοῦτό ἐστι τό, ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε· χρήσιμον φάρμακον ἐν τοῖς πειρασμοῖς τῇ ψυχῇ προσαγόμενον. μιμεῖται δὲ καὶ ὁ τῆς ὀργῆς τοῦτον τὸν δαίμονα, καὶ πλάττει καὶ αὐτὸς τινὰς τῶν γεγεννηκότων, ἢ φίλων, ἢ συγγενῶν, ὑβριζομένους ὑπὸ ἀναξίων· καὶ τοῦ ἀναχωροῦντος κινεῖ τὸν θυμόν, φθέγξασθαί τι πονηρόν, ἢ ποιῆσαι, πρὸς τοὺς φαινομένους κατὰ διάνοιαν. οἷς προσέχειν ἀναγκαῖον, καὶ ταχέως ἐξαρπάζειν ἀπὸ τῶν τοιούτων εἰδώλων τὴν διάνοιαν· ἵνα μὴ χρονίσασα ἐν αὐτοῖς, γίνηται κατὰ τὸν καιρὸν τῆς προσευχῆς, δαλὸς καπνιζόμενος. τούτοις δὲ τοῖς πειρασμοῖς οἱ θυμώδεις περιπίπτουσι μάλιστα, καὶ ῥᾳδίως πρὸς τὰς ὁρμὰς ἐξαπτόμενοι· οἵτινες μακράν εἰσι καθαρᾶς προσευχῆς, καὶ τῆς γνώσεως τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ιϛʹ. Τὰ νοήματα τοῦ αἰῶνος τούτου, ὁ Κύριος, καθάπερ πρόβατα, τῷ ἀγαθῷ ποιμένι τῷ ἀνθρώπῳ παρέδωκε· καὶ γέγραπται, παντὶ ἀνθρώπῳ τὸ νόημα ἔδωκεν ἐν καρδίᾳ αὐτοῦ, συζεύξας αὐτῷ ἐπιθυμίαν, καὶ ὀργὴν πρὸς βοήθειαν· ἵνα, διὰ μὲν τοῦ θυμοῦ, φυγαδεύῃ τὰ τῶν λύκων νοήματα· διὰ δὲ τῆς ἐπιθυμίας, στέργῃ τὰ πρόβατα, καὶ ὑπὸ τῶν ὑετῶν καὶ ἀνέμων πολλάκις βαλλόμενος. ἔδωκε πρὸς τούτοις καὶ νόμον, ὅπως ποιμαίνῃ τὰ πρόβατα· καὶ τόπον χλόης, καὶ ὕδωρ ἀναπαύσεως, καὶ ψαλτήριον, καὶ κιθάραν, καὶ ῥάβδον, καὶ βακτηρίαν· ἵνα ἐκ ταύτης τῆς ποίμνης, καὶ τραφῇ, καὶ ἐνδύσηται, καὶ χόρτον ὀρεινὸν συναγάγῃ· τίς γάρ φησι ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει; δεῖ οὖν τὸν ἀναχωροῦντα, φυλάττειν νύκτωρ καὶ μεθ' ἡμέραν τοῦτο τὸ ποίμνιον· μήτι τῶν γεννημάτων γένηται θηριάλωτον, ἢ λῃσταῖς περιπέσῃ. εἰ δὲ ἄρα τι τοιοῦτον συμβαίνῃ κατὰ τὴν νάπην, εὐθὺς ἐξαρπάζειν ἐκ τοῦ στόματος τοῦ λέοντος, καὶ τῆς ἄρκτου. γίνεται δὲ τὸ νόημα τὸ περὶ τοῦ ἀδελφοῦ θηριάλωτον, εἰ μετὰ μίσους νέμοιτο ἐν ἡμῖν· καὶ τὸ περὶ τῆς γυναικός, εἰ μετὰ αἰσχρᾶς ἐπιθυμίας στρέφοιτο ἐν ἡμῖν· καὶ τὸ τοῦ ἀργύρου καὶ χρυσοῦ, εἰ μετὰ πλεονεξίας αὐλίζοιτο· καὶ τὰ νοήματα τῶν ἁγίων χαρισμάτων, εἰ μετὰ κενοδοξίας κατὰ διάνοιαν βόσκοιτο. καὶ ἐπὶ τῶν ἄλλων δὲ νοημάτων ὡσαύτως συμβήσεται, κλεπτομένων τοῖς πάθεσιν. οὐ μόνον δὲ ἐν τῇ ἡμέρᾳ δεῖ ταῦτα τηρεῖν, ἀλλὰ καὶ νύκτωρ ἀγρυπνοῦντα φυλάττειν· συμβαίνει γὰρ καὶ φανταζόμενον, αἰσχρῶς καὶ πονηρῶς, ἀπολέσαι τὸ ἴδιον. καὶ τοῦτό ἐστι τὸ ὑπὸ τοῦ Ἁγίου Ἰακὼβ λεγόμενον· οὐκ ἐνήνοχά σοι πρόβατον θηριάλωτον· ἐγὼ ἀπετίννυον κλέμματα ἡμέρας, καὶ κλέμματα νυκτός· καὶ ἐγενόμην συγκαιόμενος τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτός· καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου. εἰ δέ τις ἐκ τοῦ καμάτου ἀκηδία ἡμῖν προσγένοιτο, μικρὸν ἀναδραμόντες ἐπὶ τὴν τῆς γνώσεως πέτραν, τῷ ψαλτηρίῳ προσομιλήσωμεν, πλήττοντες διὰ τῶν ἀρετῶν τῆς γνώσεως τὰς χορδάς· βοσκήσωμεν δὲ πάλιν καὶ ὑπὸ τὸ Σίναιον ὄρος τὰ πρόβατα, ἵνα ὁ Θεὸς τῶν πατέρων ἡμῶν καὶ ἡμᾶς ἐκ τῆς βάτου καλέσῃ, καὶ τοὺς λόγους τῶν σημείων, καὶ τῶν τεράτων ἡμῖν χαρίσηται.

ιζʹ. Φύσιν μὲν λογικὴν ὑπὸ κακίας θανατωθεῖσαν, ἐγείρει Χριστός, διὰ τῆς θεωρίας πάντων τῶν αἰώνων. ὁ δὲ τούτου Πατήρ, τὴν ἀποθανοῦσαν ψυχὴν τὸν θά-

κατον τοῦ Χριστοῦ, ἐγείρει διὰ τῆς γνώσεως τῆς ἑαυτοῦ. καὶ τοῦτό ἐστι τὸ ὑπὸ τοῦ Παύλου λεγόμενον, τὸ, εἰ συναπεθάνομεν τῷ Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ.

ιη'. Ὅταν ὁ νοῦς τὸν παλαιὸν ἄνθρωπον ἀποδυσάμενος, τὸν ἐκ τῆς χάριτος ἐνδύσηται, τότε καὶ τὴν ἑαυτοῦ κατάστασιν ὄψεται κατὰ τὸν καιρὸν τῆς προσευχῆς, σαπφείρῳ ἢ οὐρανίῳ χρώματι παρεμφερῆ· ἣν τινα καὶ τόπον Θεοῦ ἡ Γραφὴ ὀνομάζει, ὑπὸ τῶν πρεσβυτέρων ὀφθέντα ἐπὶ τοῦ ὄρους Σινᾶ.

ιθ'. Τῶν ἀκαθάρτων δαιμόνων, οἱ μὲν τὸν ἄνθρωπον ὡς ἄνθρωπον ἐκπειράζουσιν· οἱ δὲ τὸν ἄνθρωπον, ὡς ζῶον ἄλογον ἐκταράττουσι. καὶ οἱ μὲν πρῶτοι παραβάλλοντες, κενοδοξίας, ἢ ὑπερηφανίας, ἢ φθόνου, ἢ κατηγορίας ἡμῖν ἐμβάλλουσι νοήματα· ἅπερ οὐδενὸς ἅπτεται τῶν ἀλόγων· οἱ δὲ δεύτεροι προσεγγίζοντες, θυμὸν, ἢ ἐπιθυμίαν, παρὰ φύσιν κινοῦσι. ταῦτα γὰρ, πάθη κοινὰ ἡμῶν καὶ τῶν ἀλόγων ἐστὶν, ὑπὸ τῆς λογικῆς καλυπτόμενα φύσεως. διὸ λέγει τὸ Πνεῦμα τὸ Ἅγιον, πρὸς μὲν τοῖς ἀνθρώποις συμβαίνοντας λογισμούς· ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε. πρὸς δὲ τοὺς κινουμένους ἀλόγως, τί φησι; μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις· ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ. εἰ δὲ ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται· πρόδηλον, ὅτι οἱ μὲν ἄνθρωποι, ὡς ἄνθρωποι ἀποθνήσκουσι, καὶ ὑπὸ ἀνθρώπων θάπτονται· οἱ δὲ ἄλογοι θανατούμενοι, ἤτοι πίπτοντες, ὑπὸ γυπῶν ἢ κοράκων βρωθήσονται· ὧν οἱ νεοσσοὶ, οἱ μὲν ἐπικαλοῦνται τὸν Κύριον, οἱ δὲ φύρονται ἐν τῷ αἵματι. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

κ'. Ὅταν τῶν ἐχθρῶν τρώσῃ σέ τις παραβάλλων, καὶ βούλει τὴν ῥομφαίαν αὐτοῦ στρέψαι, κατὰ τὸ γεγραμμένον, ἐπὶ τὴν καρδίαν αὐτοῦ, ποίησον οὕτως ὡς λέγομεν. διέλε κατὰ σαυτὸν, τὸν ὑπ' αὐτοῦ βληθέντα λογισμὸν, ὅς τίς ποτέ ἐστι, καὶ ἐκ πόσων πραγμάτων συνέστηκε, καὶ ποῖον τοῦτό ἐστι μάλιστα τὸ θλῖβον τὸν νοῦν. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. ἔστω πεμφθεὶς ὑπ' αὐτοῦ ὁ τῆς φιλαργυρίας λογισμός· τοῦτον διέλε εἴς τε τὸν ὑποδεξάμενον αὐτὸν νοῦν, καὶ εἰς τὸ νόημα τοῦ χρυσοῦ, καὶ αὐτὸν τὸν χρυσὸν, καὶ εἰς τὸ φιλάργυρον πάθος. λοιπὸν ἐρώτα· τί τούτων ἐστὶν ἁμαρτία; πότερον ὁ νοῦς; καὶ πῶς ἐστὶν εἰκὼν τοῦ Θεοῦ; ἀλλὰ τὸ νόημα τοῦ χρυσοῦ; καὶ τοῦτο τίς ἂν εἴποι, νοῦν ἔχων, ποτέ; ἀλλ' αὐτὸς ὁ χρυσός ἐστιν ἁμαρτία; καὶ τίνος χάριν γεγένηται; ἕπεται τοίνυν τῆς ἁμαρτίας εἶναι τὸ αἴτιον τὸ τέταρτον· ὅπερ οὐκ ἔστι πρᾶγμα ὑφεστὼς κατ' οὐσίαν, οὐδὲ νόημα πράγματος, ἀλλ' ἡδονή τις μισάνθρωπος ἐκ τοῦ αὐτεξουσίου τικτομένη, καὶ κακῶς κεχρῆσθαι τοῖς τοῦ Θεοῦ κτίσμασι τὸν νοῦν ἀναγκάζουσα· ἥνπερ ἡδονὴν περιτέμνειν, ὁ τοῦ Θεοῦ νόμος πεπίστευται. καὶ ταῦτά σου διερευνωμένου, φθαρήσεται μὲν ὁ λογισμὸς, εἰς τὴν ἰδίαν ἀναλυόμενος θεωρίαν· φεύξεται δὲ ἀπὸ σοῦ τὸ δαιμόνιον, τῆς διανοίας σου ὑπὸ ταύτης τῆς γνώσεως, εἰς ὕψος ἀρθείσης. εἰ δὲ μὴ βούλει χρήσασθαι κατ' ἐκείνου, τῇ ἐκείνου ῥομφαίᾳ, ἐπιποθεῖς δὲ, πρῶτον διὰ τῆς σῆς σφενδόνης τοῦτον χειρώσασθαι, ἔκβαλε καὶ σὺ λίθον ἐκ τοῦ ποιμενικοῦ σου καδίου, καὶ τύπου ζήτει τὴν θεωρίαν· πῶς ἄγγελοι μὲν καὶ δαίμονες τῷ ἡμετέρῳ παραβάλλουσι κόσμῳ, ἡμεῖς δὲ τοῖς αὐτῶν κόσμοις οὐ παραβάλλομεν· οὐδὲ γὰρ ἀγγέλους Θεῷ πλεῖον συνάπτειν δυνάμεθα, οὐδὲ δαίμονας μᾶλλον ἀκαθάρτους ποιεῖν προαιρέμεθα· καὶ πῶς ἑωσφόρος ὁ πρωὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀντιπάλων εἰς γῆν κατέρριψε, καὶ ἥγηται μὲν τὴν θάλασσαν, ὥσπερ ἐξάλειπτρον, τὸν δὲ τάρταρον τῆς ἀβύσσου, ὥσπερ αἰχμάλωτον· ἀναζεῖ δὲ τὴν ἄβυσσον ὥσπερ χαλκεῖον· πάντας ἐκπειράζων ὑπὸ τῆς κακίας αὐτοῦ, καὶ πάντων ἄρχειν βουλόμενος. τούτων γὰρ τῶν πραγμάτων ἡ θεωρία, πάνυ τιτρώσκει τὰ δαιμόνια, καὶ πᾶσαν αὐτῶν τὴν παρεμβολὴν φυγαδεύει. ἀλλὰ ταῦτα μὲν, ἐπὶ τῶν ἠρέμα κεκαθαρμένων συμβαίνει, καὶ βλεπόντων πως τοὺς λόγους τῶν γεγονότων· οἱ δὲ ἀκάθαρτοι, τὴν θεωρίαν ταύτην οὐκ ἴσασιν· οὐδὲ καὶ μαθόντες παρ' ἑτέρων κατεπᾴδοιεν ἀκουσθήσονται, πολλοῦ κονιορτοῦ καὶ θορύβου διὰ τὰ πάθη συνισταμένου κατὰ τὸν πόλεμον. δεῖ γὰρ πάντως τὴν παρεμβολὴν τῶν ἀλλοφύλων ἠρεμῆσαι, ἵνα μόνος ὁ Γολιὰθ ἀπαντήσῃ τῷ ἡμετέρῳ Δαβίδ. ὡσαύτως δὲ καὶ τῇ διαιρέσει τοῦ πολέμου, καὶ τῷ εἴδει χρησώμεθα, καὶ ἐπὶ πάντων τῶν ἀκαθάρτων λογισμῶν.

κα'. Ὅταν τινὲς τῶν ἀκαθάρτων λογισμῶν ταχέως φυγαδευθῶσι, ζητήσωμεν τὴν αἰτίαν, πόθεν τοῦτο συμβέβηκε; πότερον διὰ τὴν σπάνιν τοῦ πράγματος, τὸ δυσπόριστον εἶναι τὴν ὕλην, ἢ διὰ τὴν προσοῦσαν ἡμῖν ἀπάθειαν, οὐκ ἴσχυσε καθ' ἡμῶν ὁ ἐχθρός· οἷον, εἴτις τῶν ἀναχωρητῶν ἐνθυμηθῇ πόλεως πνευματικὴν κυβέρνησιν πιστευθῆναι, οὐ χρονίζει τοῦτον τὸν λογισμὸν φανταζόμενος, καὶ γίνεται γνώριμος ἐκ τῶν προλελεγμένων. εἰ δέ τις πόλεως καὶ τῆς τυχούσης γένοιτο, καὶ ὁμοίως λογίζεται, οὗτος μακάριος τῆς ἀπαθείας ἐστίν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων λογισμῶν, εὑρεθήσεται ὁ τοιοῦτος τρόπος ἐξεταζόμενος. ταῦτα ἀναγκαῖον εἰδέναι, πρὸς τὴν ἡμετέραν προθυμίαν καὶ δύναμιν· ἵνα ἴδωμεν εἰ τὸν Ἰορδάνην ἐπεράσαμεν, καὶ ἐγγύς ἐσμεν τῶν Φοινίκων, ἢ ἔτι ἐν τῇ ἐρήμῳ διάγομεν, καὶ ὑπὸ τῶν ἀλλοφύλων τυπτόμεθα. πάνυ γὰρ ποικίλος μοι φαίνεται τῆς φιλαργυρίας ὁ δαίμων, καὶ πρὸς ἀπάτην ἀμήχανος. ὃς πολλάκις στενωθεὶς ὑπὸ τῆς ἄκρας ἀποταγῆς, τὸν οἰκονόμον εὐθὺς καὶ φιλόπτωχον ὑποκρίνεται· καὶ τοὺς μηδέπω παρόντας ὑποδέχεται ξένους γνησιώτερον, καὶ ἄλλοις λειπομένοις ἀποστέλλει διακονίαν· καὶ δεσμωτήρια πόλεως ἐπισκέπτεται, καὶ τοὺς πιπρασκομένους δῆθεν ἐξαγοράζει· γυναιξί τε κολλᾶσθαι πλουσίαις, ὑποδείκνυσιν. ἄλλοις πάλιν ὑποτάξασθαι νουθετεῖ, βαλλάντιον ἁδρὸν κεκτημένοις. καὶ οὕτως ἐξαπατήσας κατὰ μικρὸν τὴν ψυχὴν, τοῖς τῆς φιλαργυρίας αὐτὴν λογισμοῖς περιβάλλει, καὶ τῷ τῆς κενοδοξίας παραδίδωσι δαίμονι. ὃς πλῆθος εἰσάγει τῶν δοξαζόντων ἐπὶ ταῖς οἰκονομίαις ταύταις τὸν Κύριον, καί τινας κατ' ὀλίγον περὶ Ἱερωσύνης συλλαλοῦντας ἀλλήλοις οἰκονομεῖ. θάνατον δὲ τοῦ ὄντος προμαντεύεται ἱερέως, καὶ ὡς οὐκ ἂν ἐκφύγοι μυρία ποιήσας προστίθησι. καὶ οὕτως ὁ ταλαίπωρος νοῦς ἐνδεθεὶς τούτοις τοῖς λογισμοῖς, τοῖς μὲν μὴ καταδεξαμένοις τῶν ἀνθρώπων, διαμάχεται· τοῖς δὲ καταδεξαμένοις, ἑτοίμως δῶρα χαρίζεται, καὶ τῆς εὐγνωμοσύνης αὐτοὺς ἀποδέχεται. τινὰς δὲ στασιάζοντας, τοῖς δικασταῖς παραδίδωσι, καὶ τῆς πόλεως ἐξορίζεσθαι παραγγέλλει. τούτων δὲ λοιπὸν ἔνδον ὄντων τῶν λογισμῶν καὶ στρεφομένων, εὐθὺς ὁ τῆς ὑπερηφανίας ἐφίσταται δαίμων, ἀστραπὰς συνεχεῖς κατὰ τὸν ἀέρα τῆς κέλλης, καὶ δράκοντας πτερωτοὺς ἐπιπέμπων· καὶ τὸ τελευταῖον, στέρησιν φρενῶν ἐργαζόμενος. ἀλλ' ἡμεῖς, τούτους τοὺς λογισμοὺς ἀπόλλυσθαι ἐπευξάμενοι, μετ' εὐχαριστίας τῇ πενίᾳ συζήσωμεν. οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὔτε ἐξενεγκεῖν τι δυνάμεθα. ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κεφθησώμεθα· μεμνημένοι τοῦ Παύλου, ῥίζα πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαργυρία, λέγοντος.

κβʹ. Πάντες οἱ ἀκάθαρτοι λογισμοί, διὰ τὰ πάθη χρονίζοντες ἐν ἡμῖν, κατάγουσι τὸν νοῦν εἰς ὄλεθρον καὶ ἀπώλειαν. ὥσπερ γὰρ τὸ νόημα τοῦ ἄρτου χρονίζει ἐν τῷ πεινῶντι, διὰ τὴν πεῖναν, καὶ τὸ νόημα τοῦ ὕδατος ἐν τῷ διψῶντι, διὰ τὴν δίψαν· οὕτω καὶ τὰ νοήματα τῶν χρημάτων, καὶ τῶν τικτομένων αἰσχρῶν λογισμῶν ἐκ τῶν βρωμάτων, χρονίζει, διὰ τὰ πάθη. ἀλλὰ καὶ ἐπὶ τῶν τῆς κενοδοξίας λογισμῶν, καὶ ἐπὶ τῶν ἄλλων νοημάτων, ὁμοίως φανερωθήσεται. οὐκ ἔστι δὲ τὸν πνιγόμενον ὑπὸ τῶν τοιούτων νοημάτων, παραστῆναι Θεῷ, καὶ τὸν τῆς δικαιοσύνης ἀναδήσασθαι στέφανον. ἐκ τούτων γὰρ τῶν λογισμῶν κατασπώμενος καὶ ὁ ἐν τοῖς Εὐαγγελίοις τρισάθλιος ὡς ἐκεῖνος, τὸ τῆς γνώσεως τοῦ Θεοῦ ἄριστον παρῃτήσατο· καὶ πάλιν ὁ δεσμούμενος χεῖρας καὶ πόδας, καὶ εἰς τὸ ἐξώτερον σκότος βαλλόμενος, ἐκ τούτων τῶν λογισμῶν εἶχε καθυφασμένον τὸ ἔνδυμα· ὅπερ οὐκ ἄξιον τῶν τοιούτων γάμων ὁ καλέσας ἀπεφήνατο εἶναι. διὸ ἔνδυμά ἐστι γαμικόν, ἀπάθεια ψυχῆς λογικῆς, κοσμικὰς ἀρνησαμένης ἐπιθυμίας. τίς δὲ καὶ ἡ αἰτία τοῦ τὰ νοήματα τῶν αἰσθητῶν πραγμάτων χρονίζοντα, διαφθείρειν τὴν γνῶσιν, ἐν τοῖς περὶ Προσευχῆς Κεφαλαίοις ἐλέχθη.

κγʹ. Τῶν ἀντικειμένων δαιμόνων τῇ πρακτικῇ τρεῖς εἰσι πρωτοστάται· οἷς ἕπεται πᾶσα ἡ παρεμβολὴ τῶν ἀλλοφύλων· οἵτινες πρῶτοι κατὰ τὸν πόλεμον ἵστανται, καὶ τὰς ψυχὰς διὰ τῶν ἀκαθάρτων λογισμῶν ἐκκαλοῦνται πρὸς τὴν κακίαν. οἱ τὰς τῆς γαστριμαργίας πεπιστευμένοι ὀρέξεις, οἱ τὴν φιλαργυρίαν ἡμῖν ὑποβάλλοντες, καὶ οἱ πρὸς τὴν τῶν ἀνθρώπων δόξαν ἡμᾶς ἐκκαλούμενοι. ἐπιθυμῶν οὖν καθαρᾶς προσευχῆς, διατήρησον θυμόν· καὶ ἀγαπῶν τὴν σωφροσύνην, κράτησον γαστρός· καὶ μὴ δῷς ἄρτον τῇ κοιλίᾳ εἰς κόρον, καὶ ὕδατι ἔκθλιβε αὐτήν. ἀγρύπνει ἐν προσευχῇ, καὶ μνησικακίαν μακρὰν ποίησον ἀπὸ σοῦ. λόγοι Πνεύματος Ἁγίου μὴ ἐκλιπέτωσάν σε, καὶ θύρας γραφῶν κροῦε χερσὶν ἀρετῶν. τότε ἀνατελεῖ σοι καρδίας ἀπάθεια, καὶ τὸν ἀστεροειδῆ ὄψει ἐν προσευχῇ.

## ΤΟΥ ΑΥΤΟΥ

### Ἐκ τῶν Νηπτικῶν Κεφαλαίων.

αʹ. ΟΥ̓́τω δεῖ ἀεὶ ἔχειν τὸν μοναχόν, ὡς αὔριον τεθνηξόμενον· καὶ οὕτω πάλιν τῷ σώματι κεχρῆσθαι, ὡς ἐν πολλοῖς ἔτεσι ζησόμενον. τὸ μὲν γάρ, τοὺς τῆς ἀκηδίας περικόπτει λογισμούς, καὶ σπουδαιότερον εἶναι παρασκευάζει τὸν μοναχόν· τὸ δέ, σῶον διαφυλάττει τὸ σῶμα, καὶ ἴσην συντηρεῖ τὴν ἐγκράτειαν.

βʹ. Ὁ γνώσεως ἐφαψάμενος, καὶ τὴν ἐκ ταύτης καρπούμενος ἡδονήν, οὐκ ἔτι τῷ τῆς κενοδοξίας πεισθήσεται δαίμονι, πάσας αὐτῷ τὰς ἡδονὰς τοῦ κόσμου προσάγοντι. τί γὰρ ἂν καὶ ὑπόσχοιτο μεῖζον πνευματικῆς θεωρίας; ἐν ὅσῳ δὲ ἐσμὲν γνώσεως ἄγευστοι, τὴν πρακτικὴν προθύμως κατεργαζώμεθα· τὸν σκοπὸν ἡμῶν δεικνῦντες τῷ Θεῷ, ὅτι πάντα πράττομεν, τῆς αὐτοῦ γνώσεως ἕνεκεν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γ΄. Ἀναγκαῖον ϗ τὰς ὁδοὺς τῶν προοδευσάντων μοναχῶν ἐκθέσθαι, ϗ πρὸς αὐτὰς κατορθοῦσθαι. πολλὰ γάρ ἐστιν ὑπ᾽ αὐτῶν πραχθέντα τε, καὶ ῥηθέντα καλῶς. ἐν οἷς καὶ τοῦτό φησί τις αὐτῶν, ὅτι τὴν ξηροτέραν ϗ μὴ ἀνώμαλον δίαιταν, ἀγάπῃ συζευχθεῖσαν, θᾶττον εἰσάγειν τὸν μοναχόν, εἰς τὸν τῆς ἀπαθείας λιμένα.

δ΄. Παρέβαλλον κατὰ σταθερὰν μεσημβρίαν τῷ Ἁγίῳ Μακαρίῳ, ϗ λίαν ὑπὸ τῆς δίψης φλεγόμενος, ᾔτουν ὕδωρ πιεῖν. ὁ δέ, φησίν· ἀρκέσθητι τῇ σκιᾷ· πολλοὶ γὰρ ὁδοιποροῦντες νῦν, ϗ πλέοντες, καὶ ταύτης ἐστέρηνται. εἶτα λογισμοῖς πρὸς αὐτὸν περὶ ἐγκρατείας ἐγγυμνάζοντος, θάρσει, φησίν, ὦ τέκνον· ἐγὼ γὰρ ἐν ὅλοις εἴκοσιν ἔτεσιν, οὔτε ἄρτου, οὔτε ὕδατος, οὔτε ὕπνου κόρον εἴληφα. ἀλλὰ τὸν μὲν ἄρτον μου ἤσθιον ἐν σταθμῷ, ϗ τὸ ὕδωρ ἔπινον μέτρῳ, τοῖς δὲ τοίχοις μικρὸν παρακλίνας, ὀλίγον τι μέρος ἀφήρπαζον ὕπνου.

ε΄. Νοῦν μὲν πλανώμενον ἵστησιν, ἀνάγνωσις, ϗ ἀγρυπνία, καὶ προσευχή. ἐπιθυμίαν δὲ φλεγομένην μαραίνει, πεῖνα, ϗ κόπος, ϗ ἀναχώρησις. θυμὸν δὲ καταπαύει κυκώμενον, ψαλμῳδία, καὶ μακροθυμία, ϗ ἔλεος. τὰ γὰρ ἄμετρα, ϗ ἄκαιρα, ὀλιγοχρόνια· βλαβερὰ μᾶλλον, ϗ οὐκ ὠφέλιμα.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ο῞σιος Πατὴρ ἡμῶν Κασσιανὸς ὁ Ῥωμαῖος, ἔζη ἐπὶ τῆς Βασιλείας Θεοδοσίου τοῦ μικροῦ, περὶ τὸ τετρακοσιοστὸν τριακοστὸν πρῶτον ἔτος ἀπὸ Χριστοῦ. Τῶν δὲ φιλοπονηθέντων αὐτῷ λόγων, ὁ περὶ τῶν ὀκτὼ λογισμῶν, καὶ ὁ περὶ διακρίσεως ὧδε ἐτέθησαν, ὡς παντοδαπῆς ὠφελείας καὶ χάριτος ἀποστάζοντες. Μέμνηται δὲ τούτων καὶ ὁ σοφώτατος Φώτιος, αὐταῖς λέξεσι φάσκων, ἀναγνώσει ρϟζ΄. σελίδι 265. καὶ 266. Καὶ ὁ δεύτερος δὲ τῷ αὐτῷ (Κάστορι δηλαδὴ) προσπεφωνημένος ἐστὶ, περὶ τῶν ὀκτὼ δὲ λογισμῶν τὴν ἐπιγραφὴν φέρει, εἰς γαστριμαργίαν, πορνείαν, φιλαργυρίαν, ὀργὴν, λύπην, καὶ ἀκηδίαν, κενοδοξίαν τε, καὶ ὑπερηφανίαν ἐξάπτει. Χρήσιμα δὲ, εἴπερ τι ἄλλο, τὰ λόγια ταῦτα τοῖς αἱρουμένοις τὸν ἀσκητικὸν ἀναδέχεσθαι ἀγῶνα.... καὶ τρίτον δ' ἐπὶ τούτοις λογίδιον συναναγνώσθη.... διδάσκει δὲ τί τε ἐστὶ διάκρισις, καὶ ὅτι μείζων αὕτη τῶν ἄλλων ἀρετῶν, καὶ ὅθεν τίκτεται, καὶ ὡς τὸ πλεῖον τῆς ἄνωθέν ἐστι δωρεᾶς, καὶ τὰ ἑξῆς.

Τοῦτον δὲ καὶ ἡ Ἐκκλησία κατὰ τὴν κθ΄. τοῦ Φεβρουαρίου Μηνὸς μνημονεύουσα, τιμαῖς τε, καὶ ἐγκωμίοις καταγεραίρει.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ἉΓΙΟΥ

# ΚΑΣΣΙΑΝΟΥ

## ΤΟΥ ῬΩΜΑΙΟΥ

## ΠΡῸΣ ΚΆΣΤΟΡΑ ἘΠΊΣΚΟΠΟΝ,

### Περὶ τῶν ὀκτὼ τῆς κακίας λογισμῶν.

Πρώην τὸν περὶ διατυπώσεως Κοινοβίων συντάξαντες λόγον, πάλιν ἐπὶ τὸν παρόντα ταῖς ὑμετέραις εὐχαῖς θαῤῥήσαντες, ἐπεχειρήσαμεν γράψαι περὶ τῶν ὀκτὼ τῆς κακίας λογισμῶν· γαστριμαργίας φημί, καὶ πορνείας, φιλαργυρίας, ὀργῆς, λύπης, ἀκηδίας, κενοδοξίας, καὶ ὑπερηφανίας.

### Περὶ Ἐγκρατείας γαστρός.

Προηγουμένως τοίνυν, περὶ ἐγκρατείας γαστρὸς ἡμῖν λεχθήσεται, τῆς ἀντικειμένης τῇ γαστριμαργίᾳ· τοῦ τε τρόπου τῶν νηστειῶν, καὶ τῆς ποιότητος, καὶ ποσότητος τῶν βρωμάτων. καὶ ταῦτα οὐκ ἀφ᾽ ἑαυτῶν ἐροῦμεν, ἀλλ᾽ ἅπερ παρειλήφαμεν παρὰ τῶν Ἁγίων Πατέρων. ἐκεῖνοι τοίνυν, οὐχ ἕνα κανόνα νηστείας, οὐδὲ ἕνα τρόπον τῆς τῶν βρωμάτων μεταλήψεως, οὐδὲ τὸ αὐτὸ μέτρον παραδεδώκασι· διὰ τὸ μὴ πάντας τὴν αὐτὴν ἔχειν ἰσχὺν ἢ δι᾽ ἡλικίαν, ἢ δι᾽ ἀσθένειαν, ἢ διὰ ἕξιν ἀσθενεστέραν σώματος. ἕνα δὲ πᾶσι σκοπὸν παραδεδώκασι, φεύγειν τὴν πλησμονήν, καὶ ἀποστρέφεσθαι τὴν χορτασίαν τῆς γαστρός. τὴν δὲ καθημερινὴν νηστείαν, ἐδοκίμασαν ὠφελιμωτέραν εἶναι, καὶ συμβαλλομένην πρὸς καθαρότητα, τῆς ἐν τρισίν, ἢ τέσσαρσιν, ἢ ἕως ἑβδομάδος τεταμένης νηστείας. καὶ γάρ φησι, τὸν ἀμέτρως ἐκτεινόμενον τὴν νηστείαν, ὑπὲρ μέτρον πολλάκις κεχρῆσθαι τῆς τροφῆς. ὡς ἐκ τούτου ποτὲ μὲν τῇ ὑπερβολῇ τῆς ἀσιτίας, ἀτονεῖν τὸ σῶμα, καὶ πρὸς τὰς πνευματικὰς λειτουργίας, ὀκνηρότερον γίνεσθαι· ποτὲ δὲ τῷ πλήθει τῶν τροφῶν καταβαρυνόμενον, ἀκηδίαν καὶ χαύνωσιν ἐμποιεῖν τῇ ψυχῇ. καὶ πάλιν, οὐ πᾶσιν ἁρμόδιον εἶναι ἐδοκίμασαν τὴν τῶν λαχάνων μετάληψιν, οὐδὲ τὴν τῶν ὀσπρίων, οὐδὲ πάντας δύνασθαι τῇ τοῦ ξηροῦ ἄρτου κεχρῆσθαι τροφῇ. καὶ ἄλλον μὲν εἶπον δύο λίτρας ἐσθίοντα ἄρτου, ἀκμὴν πεινῆν· ἄλλον δὲ ἐσθίοντα λίτραν, ἢ ἓξ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐγγίας, χορτάζεσθαι. πᾶσιν οὖν, ὡς προείρηται, ἕνα ὅρον ἐγκρατείας παραδεδώκασι, τὸ μὴ ἀπατᾶσθαι χορτασίᾳ κοιλίας· μηδὲ ἐξέλκεσθαι τῇ τοῦ λάρυγγος ἡδονῇ. οὐδὲ γὰρ ἡ διαφορὰ τῆς ποιότητος τῶν βρωμάτων μόνον, ἀλλὰ καὶ ἡ ποσότης τοῦ πλήθους, τὰ πεπυρωμένα βέλη τῆς πορνείας εἴωθεν ἀνάπτειν. οἵας γὰρ δήποτε τροφῆς πληρουμένη γαστὴρ, ἀσωτίας σπέρμα τίκτει. καὶ πάλιν οὐ μόνον ἡ κραιπάλη τοῦ οἴνου τὴν διάνοιαν μεθύσκειν εἴωθεν, ἀλλὰ καὶ πλησμονὴ ὕδατος, καὶ πασῶν τροφῶν ὑπερβολὴ, κεκαρωμένην, καὶ νυστάζουσαν αὐτὴν ἀποτελεῖ. τοῖς Σοδομίταις, οὐκ οἴνου καὶ διαφόρων βρωμάτων κραιπάλη, καταστροφῆς γέγονεν αἰτία, ἀλλ᾽ ἄρτου πλησμονὴ κατὰ τὸν Προφήτην. ἡ ἀσθένεια τοῦ σώματος, πρὸς τὴν καθαρότητα τῆς καρδίας, οὐκ ἀντίκειται, ὅταν παρέχωμεν τῷ σώματι ἃ ἡ ἀσθένεια ἀπαιτεῖ, οὐχ ἅπερ ἡ ἡδονὴ θέλει. τῶν βρωμάτων ἡ χρῆσις, ὅσον ὑπαρκῆσαι πρὸς τὸ ζῆν παραλαμβάνεται, οὐχ ὅσον δουλεῦσαι ταῖς ὁρμαῖς τῆς ἐπιθυμίας. ἡ σύμμετρος, καὶ μετὰ λόγου τῶν τροφῶν μετάληψις, τῆς ὑγείας μεταλαμβάνει τοῦ σώματος, οὐ τὴν ἁγιωσύνην ἀφαιρεῖται. ὅρος ἐγκρατείας καὶ κανὼν παραδεδομένος παρὰ τῶν Πατέρων ἀκριβὴς, οὗτός ἐστι, τὸν μεταλαμβάνοντα τινὸς τροφῆς, ἔτι τῆς ὀρέξεως ἐγκειμένης, ταύτης ἀπέχεσθαι, καὶ μὴ ἀναμένειν τὸν κόρον. καὶ ὁ Ἀπόστολος δὲ εἰπών, τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας, οὐ τὴν ἀναγκαίαν τῆς ζωῆς κυβέρνησιν ἐκώλυσεν, ἀλλὰ τὴν φιλήδονον ἐπιμέλειαν ἀπηγόρευσεν. ἄλλως τε πρὸς καθαρότητα τελείαν τῆς ψυχῆς, μόνη ἡ ἀποχὴ τῶν βρωμάτων οὐκ ἰσχύει, εἰ μὴ καὶ αἱ λοιπαὶ ἀρεταὶ συνδράμωσι. τοιγαροῦν ἡ ταπείνωσις, διὰ τῆς ὑπακοῆς τοῦ ἔργου, καὶ τῆς τοῦ σώματος κακοποιήσεως, μεγάλα ἡμῖν συμβάλλεται. ἡ ἀποχὴ τῆς φιλαργυρίας, οὐ μόνον τὸ μὴ ἔχειν χρήματα, ἀλλὰ καὶ τὸ μὴ ἐπιθυμεῖν κεκτῆσθαι, πρὸς καθαρότητα ψυχῆς ὁδηγεῖ. τῆς ὀργῆς ἡ ἀποχὴ, τῆς λύπης, τῆς κενοδοξίας, τῆς ὑπερηφανίας· ταῦτα πάντα, τὴν καθολικὴν τῆς ψυχῆς καθαρότητα ἀπεργάζεται. τὴν δὲ διὰ σωφροσύνης μερικὴν τῆς ψυχῆς καθαρότητα, ἐξαιρέτως ἐγκράτεια καὶ νηστεία κατορθοῖ. ἀδύνατον γὰρ τὸν τὴν γαστέρα κεκορεσμένον, πολεμῆσαι τῷ πνεύματι τῆς πορνείας κατὰ διάνοιαν. τοιγαροῦν πρῶτος ἡμῖν ἔσω ἀγὼν τοῦ κρατεῖν γαστρὸς, καὶ δουλαγωγεῖν τὸ σῶμα· οὐ μόνον διὰ νηστείας, ἀλλὰ καὶ δι᾽ ἀγρυπνίας, καὶ πόνου, καὶ ἀναγνώσεως, καὶ τοῦ συνάγειν τὴν καρδίαν εἰς τὸν φόβον τῆς γεέννης, καὶ τὸν πόθον τῆς βασιλείας τῶν Οὐρανῶν.

### Περὶ τοῦ πνεύματος τῆς πορνείας, καὶ τῆς ἐπιθυμίας τῆς σαρκός.

Δεύτερος ἡμῖν ἐστὶν ἀγὼν κατὰ τοῦ πνεύματος τῆς πορνείας, καὶ τῆς ἐπιθυμίας τῆς σαρκός· ἥτις ἐπιθυμία, ἀπὸ πρώτης ἡλικίας ἄρχεται παρενοχλεῖν τῷ ἀνθρώπῳ. μέγας οὗτος ἀγὼν καὶ χαλεπὸς, καὶ διπλῆν ἔχων τὴν πάλην· διότι τῶν ἄλλων ἐλαττωμάτων ἐν τῇ ψυχῇ μόνον ἐχόντων τὴν μάχην, οὗτος διπλοῦς καθέστηκεν, ἐν ψυχῇ καὶ σώματι συνιστάμενος· καὶ τούτου χάριν, διπλῆν τὴν πάλην ἀναδέξασθαι χρή. οὐδὲ γὰρ ἱκανὴ ὑπάρχει μόνη ἡ σωματικὴ νηστεία, πρὸς κτῆσιν τῆς τελείας σωφροσύνης, καὶ ἀληθοῦς ἁγνείας, εἰ μὴ καὶ καρδίας γένηται συντριμμὸς, καὶ εὐχὴ πρὸς τὸν Θεὸν ἐκτενὴς, καὶ πυκνὴ τῶν γραφῶν μελέτη, καὶ κάματος, καὶ ἐργόχειρον· ἅπερ δύνανται τὰς ἀστάτους τῆς ψυχῆς ὁρμὰς ἀναστέλλειν, καὶ ἐκ τῶν αἰσχρῶν φαντασιῶν ἀνακαλεῖσθαι ταύτην. πρὸ δὲ πάντων

συν-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

συμβάλλεται ταπείνωσις ψυχῆς· ἧς χωρὶς, οὐδὲ πορνείας, οὐδὲ τῶν ἄλλων δυνήσεταί τις περιγενέσθαι. προηγουμένως τοίνυν χρὴ πάσῃ φυλακῇ τηρεῖν τὴν καρδίαν ἀπὸ ῥυπαρῶν λογισμῶν. ἐκ ταύτης γὰρ προέρχονται, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, διαλογισμοὶ πονηροὶ, φόνοι, μοιχεῖαι, πορνεῖαι, καὶ τὰ λοιπά. καὶ γὰρ καὶ ἡ νηστεία, οὐ μόνον πρὸς κακουχίαν σώματος ἡμῖν προστέτακται, ἀλλὰ καὶ πρὸς νῆψιν τοῦ νοός· ἵνα μὴ τῷ πλήθει τῶν βρωμάτων σκοτωθεῖσα, ἀδυνατήσῃ πρὸς τὴν τῶν λογισμῶν παραφυλακήν. χρὴ τοίνυν μὴ μόνον ἐν τῇ σωματικῇ νηστείᾳ τὴν πᾶσαν σπουδὴν ἐπιδείκνυσθαι, ἀλλὰ καὶ ἐν τῇ προσοχῇ τῶν λογισμῶν, καὶ ἐν τῇ πνευματικῇ μελέτῃ· ὧν χωρὶς, ἀδύνατον πρὸς τὸ ὕψος τῆς ἀληθοῦς ἁγνείας καὶ καθαρότητος ἀνελθεῖν. προσήκει οὖν ἡμᾶς καθαρίζειν πρότερον, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, τὸ ἔνδον τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἔξωθεν καθαρόν. διὰ δὴ τοῦτο εἰ ἔστιν ἡμῖν σπουδὴ, κατὰ τὸν Ἀπόστολον, νομίμως ἀθλῆσαι, καὶ στεφανωθῆναι, νικήσαντας τὸ ἀκάθαρτον πνεῦμα τῆς πορνείας, μὴ τῇ ἡμετέρᾳ δυνάμει, καὶ τῇ ἀσκήσει θαρρήσωμεν, ἀλλὰ τῇ βοηθείᾳ τοῦ δεσπότου ἡμῶν Θεοῦ. οὐ παύεται γὰρ ὁ ἄνθρωπος πολεμούμενος ὑπὸ τοῦ πνεύματος τούτου, ἕως οὗ ἐν ἀληθείᾳ πιστεύσει, ὅτι οὐκ ἰδίᾳ σπουδῇ, οὐδὲ ἰδίῳ καμάτῳ, ἀλλὰ τῇ τοῦ Θεοῦ σκέπῃ καὶ βοηθείᾳ ἀπαλλάττεται ταύτης τῆς νόσου, καὶ εἰς τὸ ὕψος τῆς ἁγνείας ἀνέρχεται· καὶ ὑπὲρ φύσιν ἐστὶ τὸ πρᾶγμα· καὶ τρόπον τινὰ ἔξω τοῦ σώματος γίνεται, ὁ τοὺς ἐρεθισμοὺς τῆς σαρκὸς, καὶ τὰς ἡδονὰς ταύτης καταπατήσας. καὶ τούτου χάριν, ἀδύνατόν ἐστιν ἄνθρωπον (ἵν' οὕτως εἴπω) τοῖς ἰδίοις πτεροῖς πρὸς τὸ ὑψηλὸν τοῦτο, καὶ οὐράνιον βραβεῖον τῆς ἁγιωσύνης ἀναπτῆναι, καὶ μιμητὴν Ἀγγέλων γενέσθαι, εἰ μή που ἡ χάρις τοῦ Θεοῦ, τοῦτον ἀπὸ τῆς γῆς καὶ τοῦ βορβόρου ἀναγάγῃ. οὐδεμιᾷ γὰρ ἄλλῃ ἀρετῇ μᾶλλον οἱ σαρκὶ πεπεδημένοι ἄνθρωποι τοῖς πνευματικοῖς ἀγγέλοις ἐξομοιοῦνται, ὡς τῇ τῆς σωφροσύνης. διὰ ταύτης γὰρ ἔτι ἐν τῇ γῇ ὄντες, κατὰ διάγοντες, ἔχουσι, κατὰ τὸν Ἀπόστολον, ἐν οὐρανοῖς τὸ πολίτευμα. δεῖγμα δὲ τοῦ τὴν ἀρετὴν ταύτην τελείως κεκτῆσθαι ἡμᾶς, τὸ μηδεμιᾶς εἰκόνα αἰσχρᾶς φαντασίας ἐν τοῖς ὕπνοις τὴν ψυχὴν * προσδέχεσθαι. εἰ γὰρ καὶ μὴ λογίζεται ἁμαρτία ἡ τοιαύτη κίνησις, ὅμως τεκμήριον ὑπάρχει τοῦ νοσεῖν τὴν ψυχὴν, καὶ μὴ τοῦ πάθους ἀπηλλάχθαι. καὶ τούτου χάριν, τὰς συμβαινούσας ἡμῖν ἐν τοῖς ὕπνοις αἰσχρὰς φαντασίας, ἔλεγχον εἶναι τῆς προλαβούσης ῥαθυμίας, καὶ τῆς ἐν ἡμῖν ἀσθενείας πιστεύειν ὀφείλομεν· τὴν ἐν τοῖς ἀποκρύφοις τῆς ψυχῆς κεκρυμμένην νόσον, φανεροποιούσης τῆς συμβαινούσης ῥεύσεως ἐν τῇ τοῦ ὕπνου ἀνέσει. διὸ καὶ ὁ ἰατρὸς τῶν ψυχῶν ἡμῶν, ἐν τοῖς ἀποκρύφοις τῆς ψυχῆς τὸ φάρμακον ἐπέθετο, ἔνθα καὶ τὰς αἰτίας τῆς νόσου ἐγίνωσκε· φάσκων· ὅτι ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· οὐ τοσοῦτον τοὺς περιέργους, καὶ πορνικοὺς ὀφθαλμοὺς διορθούμενος, ὅσον τὴν ἔνδον ἐνιδρυμένην ψυχὴν, ἥτις τοῖς ἐπ' ἀγαθῷ παρὰ τοῦ Θεοῦ δοθεῖσιν ὀφθαλμοῖς, κακῶς κέχρηται. τούτου χάριν καὶ ἡ σοφὴ Παροιμία, οὐ λέγει, πάσῃ φυλακῇ τήρει σοὺς ὀφθαλμοὺς, ἀλλὰ, πάσῃ φυλακῇ τήρει σὴν καρδίαν· ἐκείνῃ μάλιστα ἐπιτιθεῖσα τὴν ἰατρείαν τῆς φυλακῆς, τῇ κεχρημένῃ εἰς ὃ βούλεται τοῖς ὀφθαλμοῖς. τοιγαροῦν αὕτη ἔσω τῆς * καρδίας ἡμῶν προφυλακή· ἵνα ὅταν τῇ ἡμετέρᾳ διανοίᾳ μνήμη γένηται γυναικὸς, ἀναδοθεῖσα διὰ τῆς διαβολικῆς κακουργίας, εἰ τύχοι μητρὸς, ἢ ἀδελφῆς, ἢ ἄλλων τινῶν

* ἐν ἄλ. προτρέχειν.

* ἐν ἄλ. τῆς καθάρσεως.

γυναι-

γυναικῶν ὑποβαλών, ταχέως ταύτην ἐκ τῆς ἡμετέρας καρδίας ἐκβάλωμεν· ἵνα μὴ ἐπιπολὺ διατριβόντων ἡμῶν ἐν ταύτῃ τῇ μνήμῃ, ὁ τῶν κακῶν ἀπατεὼν ἐκ τούτων τῶν προσώπων κατακυλίσῃ; καὶ κατακρημνίσῃ τὴν διάνοιαν εἰς αἰσχρὰς καὶ ἐπιβλαβεῖς ἐνθυμήσεις. καθὼς καὶ ἡ παρὰ Θεοῦ πρὸς τὸν πρωτόπλαστον δοθεῖσα ἐντολὴ κελεύει, τηρεῖν τὴν κεφαλὴν τοῦ ὄφεως· τουτέστι τῶν βλαβερῶν λογισμῶν τὰς ἀρχάς, δι' ὧν ἕρπειν εἰς τὰς ἡμετέρας ψυχὰς ἐπιχειρεῖ· ἵνα μὴ τῇ τῆς κεφαλῆς παραδοχῇ, ἥτις ἐστὶν ἡ προσβολὴ τοῦ λογισμοῦ, τὸ λοιπὸν τοῦ ὄφεως σῶμα, τουτέστι τῆς ἡδονῆς τὴν συγκατάθεσιν παραδεξώμεθα. καὶ ἐκ τούτου λοιπὸν ἐπὶ τὴν ἀθέμιτον πρᾶξιν κατενέγκῃ τὴν διάνοιαν. ἀλλὰ προσήκει, κατὰ τὸ γεγραμμένον, εἰς τὰς πρωΐας ἀποκτείνειν πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τουτέστι τῷ φωτὶ τῆς γνώσεως διακρίνειν, καὶ ἐξολοθρεύειν τοὺς ἁμαρτωλοὺς λογισμοὺς ἐκ τῆς γῆς, ἥτις ἐστὶν ἡ καρδία ἡμῶν, κατὰ τὴν τοῦ Κυρίου διδασκαλίαν· καὶ ὡς ἔτι νήπιοι εἰσὶν οἱ υἱοὶ Βαβυλῶνος, οἱ πονηροί φημι λογισμοί, τούτους ἐδαφίζειν, καὶ συντρίβειν πρὸς τὴν πέτραν, ἥτις ἐστὶν ὁ Χριστός. ἐὰν γὰρ διὰ τῆς ἡμετέρας συγκαταθέσεως ἀνδρυνθῶσιν, οὐκ ἂν δίχα μεγάλου στεναγμοῦ καὶ καμάτου νικηθήσονται. πρὸς δὲ τοῖς εἰρημένοις ἀπὸ τῆς θείας Γραφῆς, καλόν ἐστιν καὶ λόγων Ἁγίων Πατέρων ἐπιμνησθῆναι. εἴρηται τοίνυν τῷ Ἁγίῳ Βασιλείῳ Ἐπισκόπῳ Καισαρείας Καππαδοκίας· καὶ γυναῖκα ἀγνοῶ, καὶ παρθένος οὐκ εἰμί. τοσοῦτον ἐγίνωσκε, μὴ ἐν τῇ σωματικῇ μόνον ἀποχῇ τῆς γυναικός, τὸ δῶρον τῆς παρθενίας κατορθοῦσθαι, ὅσον ἐν τῇ τῆς ψυχῆς ἁγιωσύνῃ, καὶ καθαρότητι, ἥτις φόβῳ Θεοῦ κατορθοῦσθαι πέφυκε. λέγουσι δὲ καὶ τοῦτο οἱ Πατέρες, μὴ δύνασθαι ἡμᾶς τὴν ἀρετὴν τῆς ἁγνείας τελείως κτήσασθαι, εἰμὴ πρότερον ἀληθινὴν ταπεινοφροσύνην ἐν τῇ καρδίᾳ ἡμῶν κτησόμεθα· οὔτε γνώσεως ἀληθοῦς καταξιωθῆναι, ἐφ' ὅσον ἐν τοῖς ἀποκρύφοις τῆς ψυχῆς τὸ πάθος τῆς πορνείας ἐγκαθέζεται. ἵνα δὲ τι καὶ τοῦ κατορθώματος τῆς σωφροσύνης καὶ ἀπὸ τοῦ Ἀποστόλου δείξωμεν, μιᾶς αὐτοῦ ἐπιμνησθέντες λέξεως, καταπαύσωμεν τὸν λόγον. εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρίς, οὐδεὶς ὄψεται τὸν Κύριον. ὅτι γὰρ περὶ τούτου λέγει, δῆλον ἐξ ὧν ἐπήγαγεν εἰπών· μηδεὶς πόρνος, ἢ βέβηλος, ὡς Ἠσαῦ. ὅσῳ τοίνυν οὐράνιον καὶ ἀγγελικὸν ὑπάρχει τὸ κατόρθωμα τῆς ἁγιωσύνης, τοσοῦτον βαρυτέραις τῶν ἀντιπάλων ἐπιβουλαῖς πολεμεῖται. καὶ τούτου χάριν σπουδάζειν ὀφείλομεν, οὐ μόνον ἐγκράτειαν σώματος ἀσκεῖν, ἀλλὰ καὶ συντριβὴν καρδίας, καὶ πυκνὰς * μετανοίας μετὰ στεναγμῶν· ὥστε τὴν κάμινον τῆς ἡμετέρας σαρκός, ἣν ὁ Βαβυλώνιος Βασιλεὺς τοῖς τῆς ἐπιθυμίας ἐρεθισμοῖς ἀνάπτει καθ' ἑκάστην, τῇ δρόσῳ τῆς παρουσίας τοῦ Ἁγίου Πνεύματος ἀποσβέσωμεν. πρὸς δὲ τούτοις μέγιστον ἡμῖν ὅπλον πρὸς τὸν πόλεμον καθέστηκεν, ἡ κατὰ Θεὸν ἀγρυπνία. ὥσπερ γὰρ ἡ παραφυλακὴ τῆς ἡμέρας, τὴν νυκτερινὴν παρασκευάζει ἁγιωσύνην, οὕτως ἡ νυκτερινὴ κατὰ Θεὸν ἀγρυπνία, τὴν ἡμερινὴν τῇ ψυχῇ προοδοποιεῖ καθαρότητα.

* εὐχάς. προσευχάς

## Περὶ φιλαργυρίας.

Τρίτος ἡμῖν ἐστὶν ἀγών, κατὰ τοῦ πνεύματος τῆς φιλαργυρίας. ξένος οὗτος, καὶ ἔξωθεν τῆς φύσεως γνωριζόμενος, ἐξ ἀπιστίας τὴν ἀφορμὴν τῷ μοναχῷ εὑρίσκων. καὶ γὰρ τῶν ἄλλων παθῶν, θυμοῦ λέγω, καὶ ἐπιθυμίας οἱ ἐρεθισμοί, ἐκ τοῦ σώματος δοκοῦσιν ἔχειν τὰς ἀφορμάς· καὶ τρόπον τινά, ὡς ἔμφυτα ἀπὸ γενέσεως



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἔχοντα τὴν ἀρχήν· ὅθεν καὶ διὰ μακροῦ χρόνου νικῶνται· ἡ δὲ τῆς φιλαργυρίας νόσος ἔξωθεν ἐπερχομένη, εὐχερέστερον ἐκκόπτεσθαι δύναται, εἰ ἐπιμελείας τύχῃ, καὶ προσοχῆς. ἀμεληθεῖσα δέ, ὀλεθριωτέρα τῶν ἄλλων παθῶν καὶ δυσαπόβλητος γίνεται. ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστίν, κατὰ τὸν Ἀπόστολον. σκοπῶμεν δὲ οὕτως. τοῦ σώματος αἱ φυσικαὶ κινήσεις, οὐ μόνον ἐν τοῖς παισὶ θεωροῦνται, ἐν οἷς οὔπω διάγνωσις ἀγαθοῦ τε καὶ κακοῦ τυγχάνει, ἀλλὰ καὶ ἐν τοῖς βραχυτάτοις καὶ γαλουχουμένοις νηπίοις, οἵτινες μηδὲ ἴχνος ἡδονῆς ἐν ἑαυτοῖς ἔχοντες, φυσικὴν ὅμως ἐν τῇ σαρκὶ σημαίνουσι κίνησιν. ὁμοίως καὶ τοῦ θυμοῦ τὸ κέντρον, ἐν τοῖς νηπίοις θεωρεῖται, ὅταν συγκινουμένους αὐτοὺς πρὸς τοὺς λελυπηκότας ὁρῶμεν. καὶ ταῦτα λέγω, οὐ τὴν φύσιν κακίζων, ὡς ἁμαρτίας αἰτίαν· μὴ γένοιτο· ἀλλ᾽ ἵνα δείξω, ὅτι θυμὸς μὲν καὶ ἐπιθυμία, εἰ καὶ ἐπ᾽ ἀγαθῷ παρὰ τοῦ δημιουργοῦ συνεζεύχθησαν τῷ ἀνθρώπῳ, ἀλλ᾽ οὖν γε δοκεῖ πως ἐκ τῶν φυσικῶν τοῦ σώματος, εἰς τὸ παρὰ φύσιν διὰ ῥαθυμίας ἐκπίπτειν. καὶ γὰρ ἡ τοῦ σώματος κίνησις, πρὸς τεκνογονίαν, καὶ τὴν ἐκ διαδοχῆς τοῦ γένους διαμονήν, οὐ πρὸς πορνείαν ὑπὸ τοῦ δημιουργοῦ ἐδόθη. καὶ ἡ τοῦ θυμοῦ δὲ κίνησις, σωτηριωδῶς ἡμῖν ἐγκατέσπαρται, θυμοῦσθαι κατὰ τῆς κακίας, οὐ πρὸς τὸ ὁμόφυλον ἐκθηριοῦσθαι. οὐ τοίνυν, εἰ καὶ κακῶς ταῦτα κεχρήμεθα, ἁμαρτωλὸς ἡ φύσις, ἢ τὸν Πλάστην αἰτιασώμεθα· ὥσπερ οὐδὲ τὸν δεδωκότα σιδήριον πρὸς ἀναγκαίαν καὶ λυσιτελῆ χρείαν, εἰ ὁ δεξάμενος πρὸς φόνου ὑπηρεσίαν τούτῳ ἐχρήσατο. ταῦτα δὲ εἰρήκαμεν, δεῖξαι βουλόμενοι, ὅτι τὸ τῆς φιλαργυρίας πάθος, οὐκ ἐκ τῶν φυσικῶν τὴν πρόφασιν ἔχει, ἀλλ᾽ ἐκ μόνης κακίστης, καὶ διεφθαρμένης προαιρέσεως. αὕτη γὰρ ἡ νόσος, ὅταν χλιαρὰν καὶ ἄπιστον, ἐν ἀρχῇ τῆς ἀποταγῆς, εὕρῃ τὴν ψυχήν, δικαίας τινάς, καὶ τῷ δοκεῖν, εὐλόγους τινὰς προφάσεις αὐτῇ ὑποβάλλει πρὸς τὸ κατέχειν τίποτε ὧν κέκτηται. ὑπογράφει γὰρ κατὰ διάνοιαν τῷ μοναχῷ, γῆρας μακρόν, καὶ ἀσθένειαν σώματος, καὶ ὅτι αἱ διδόμεναι χρεῖαι ἐν τῷ κοινοβίῳ, οὐχ ἱκαναὶ πρὸς παραμυθίαν, οὐ λέγω ἀσθενοῦντι, ἀλλ᾽ οὐδὲ ὑγιαίνοντι· καὶ ὅτι ἐνταῦθα οὐ γίνεται φροντὶς κατ᾽ ἀξίαν τοῖς ἀσθενοῦσιν, ἀλλὰ καὶ πάνυ ἠμελημένη· καὶ ὡς, εἰ μὴ ἔχει ἀποκεκρυμμένον χρυσίον, ἀθλίως ἀποθανεῖται. τελευταῖον δὲ ὑποβάλλει, μηδὲ μένειν δύνασθαι ἐπιπολὺ ἐν τῷ μοναστηρίῳ διὰ τὴν βαρύτητα τῶν ἔργων, καὶ τὴν τοῦ πατρὸς ἀκρίβειαν. καὶ ὅτε ταῖς τοιαύταις ἐνθυμήσεσιν ἀποπλανήσει τὴν διάνοιαν, πρὸς τὸ κἂν ἓν δηνάριον κατέχειν· τηνικαῦτα πείθει αὐτόν, καὶ ἐργόχειρον λάθρα τοῦ ἀββᾶ μαθεῖν, ἐξ οὗ δυνήσεται τὸ περισπούδαστον αὐτῷ ἀργύριον αὐξῆσαι. καὶ λοιπὸν ἐλπίσιν ἀδήλοις ἀπατᾷ τὸν ἄθλιον, ὑποβάλλων αὐτῷ ἐκ τοῦ ἐργοχείρου κέρδος, καὶ τὴν ἐκ τούτου ἄνεσιν, καὶ ἀμεριμνίαν· καὶ ὅλος τῇ τοῦ κέρδους ἐνθυμήσει ἐκδοθείς, οὐδὲν τῶν ἐναντίων σκοπεῖ· οὐκ ὀργῆς μανίαν, εἴποτε συμβῇ αὐτὸν ζημίᾳ περιπεσεῖν, οὐ λύπης σκότος, εἰ ἀποτύχῃ τῆς ἐλπίδος τοῦ κέρδους· ἀλλὰ γίνεται, ὡς ἄλλοις ἡ γαστὴρ θεός, οὕτως τούτῳ ὁ χρυσός. ὅθεν καὶ ὁ μακάριος Ἀπόστολος τοῦτο γινώσκων, οὐ μόνον ῥίζαν πάντων τῶν κακῶν, ἀλλὰ καὶ εἰδωλολατρείαν ταύτην ἐκάλεσε. θεωρήσωμεν τοίνυν, εἰς πόσην κακίαν ἡ νόσος αὕτη κατασύρει τὸν ἄνθρωπον, ὡς καὶ εἰς εἰδωλολατρείαν ἐμβαλεῖν. ἀποστήσας γὰρ ὁ φιλάργυρος τὸν νοῦν ἑαυτοῦ ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, εἴδωλα ἀνθρώπων ἐγγεγλυμμένα τῷ χρυσῷ ἀγαπᾷ. τούτοις δὲ τοῖς λογισμοῖς ὁ μοναχὸς σκοτωθείς, καὶ ἐπὶ τὸ χεῖρον



Athos Library
Αγιορειτική Βιβλιοθήκη

αὔξων, οὐδεμίαν λοιπὸν ὑπακοὴν ἔχειν δύναται· ἀλλ' ἀγανακτεῖ, ἀναξιοπαθεῖ, καὶ πρὸς ἕκαστον ἔργον γογγύζει, ἀντιλέγει, καὶ μηδεμιᾶς λοιπὸν εὐλαβείας πεφυλαγμένης, ὥσπερ ἵππος σκληρόστομος κατὰ κρημνῶν φέρεται· ἔτι τῇ καθημερινῇ ὀργῇ ἀρχόμενος· καὶ διαμαρτύρεται, μὴ δύνασθαι εἰς τέλος ταῦτα ὑπομένειν. καὶ Θεὸν οὐκ ἐκεῖ μόνον εἶναι, λέγει, οὐδὲ τὴν ἰδίαν σωτηρίαν ἐν ἐκείνῳ κατακεκλεῖσθαι· καὶ ὡς, εἰ μὴ ἀποστῇ τοῦ μοναστηρίου ἐκείνου, ἀπολεῖται. καὶ οὕτως τῆς διεφθαρμένης ταύτης γνώμης, συνεργὸν ἔχων τὸ πεφυλαγμένον ἀργύριον, ὥσπερ πτεροῖς τούτοις κουφισθεὶς, καὶ τὴν ἔξοδον τὴν ἀπὸ τοῦ μοναστηρίου μελετῶν· λοιπὸν ὑπερηφάνως καὶ τραχέως πρὸς πάντα τὰ παραγγέλματα ἀποκρίνεται, καὶ ὡς ξένον καὶ ἐξωτικὸν ἑαυτὸν ἡγούμενος, ὅτι ἂν ἴδῃ ἐν τῷ μοναστηρίῳ διορθώσεως δεόμενον, ἀμελεῖ, καὶ περιφρονεῖ, καὶ ψέγει πάντα τὰ γινόμενα, ἔπειτα προφάσεις ἀναζητεῖ, δι' ὧν ὀργισθήσεται, ἢ λυπηθήσεται, ἵνα μὴ δόξῃ ἐλαφρῶς ἄνευ αἰτίας ἐξιέναι ἐκ τοῦ μοναστηρίου. ἐὰν δὲ καὶ ἄλλον δυνηθῇ ψιθυρισμοῖς, καὶ ματαιολογίαις ἀπατήσας ἐκβαλεῖν τοῦ μοναστηρίου, οὐδὲ τοῦτο παραιτεῖται ποιῆσαι, βουλόμενος ἔχειν τοῦ ἰδίου ἐλαττώματος συνεργόν. οὕτως δὲ ἀναπτόμενος τῷ πυρὶ τῶν ἰδίων χρημάτων ὁ φιλάργυρος, οὐδέποτε ἡσυχάσαι δυνήσεται ἐν τῷ μοναστηρίῳ, ἢ ὑπὸ κανόνα ζῆσαι. ὅταν δὲ τοῦτον ὁ δαίμων, ὥσπερ λύκος, ἐκ τῆς μάνδρας ἀφαρπάσῃ, καὶ ἀφορίσας τοῦ ποιμνίου, ἕτοιμον πρὸς κατάβρωσιν λάβοι· τηνικαῦτα παρασκευάζει αὐτὸν, τὰ ἔργα ἅπερ ἐν τῷ κοινοβίῳ τεταγμέναις ὥραις ποιῶν ὠλιγώρει, ταῦτα ἐν τῇ κέλλῃ νυκτὸς καὶ ἡμέρας μετὰ πολλῆς τῆς προθυμίας ποιεῖν. καὶ οὔτε τῶν ἀρχαίων τὰ ἔθη, οὔτε τῶν γερόντων τὸν τρόπον, οὐ τῶν Αἰγυπτίων τὸν κανόνα, φυλάττειν ἐπιτρέπει· ἀλλὰ τῇ τῆς φιλαργυρίας μανίᾳ τοῦτον δήσας, τὴν πᾶσαν σπουδὴν εἰς τὸ ἐργόχειρον ἔχειν ἀναπείθει. τῆς δὲ νόσου ταύτης, τρεῖς εἰσὶ τρόποι, οὓς ἐπίσης ἀπαγορεύουσιν αἱ θεῖαι Γραφαὶ, καὶ διδασκαλίαι τῶν Πατέρων. εἷς μὲν, ὃς παρασκευάζει τοὺς ἐλεεινοὺς, ἅπερ οὔπω ἐν τῷ κόσμῳ οὐκ εἶχον, ταῦτα κτᾶσθαι καὶ συναθροίζειν. ἄλλος δὲ, ὃς μεταμελεῖσθαι ποιεῖ τοὺς τοῖς χρήμασιν ἅπαξ ἀποταξαμένους, ὑποβάλλων αὐτοῖς ζητεῖν ταῦτα, ἅπερ Θεῷ προσήνεγκαν. τρίτος δὲ, ὃς κατὰ τὴν ἀρχὴν, ἀπιστίᾳ καὶ χλιαρότητι τὸν μοναχὸν ἐνδήσας, οὐ συγχωρεῖ τοῦτον τελείως ἀπαλλαγῆναι τῶν τοῦ κόσμου πραγμάτων· φόβον ὑποβάλλων πενίας, καὶ ἀπιστίαν τῆς τοῦ Θεοῦ προνοίας· καὶ παραβάτην ἀποδεικνὺς τῶν ἰδίων ὑποσχέσεων, ὧν καθωμολόγησεν ἀποταξάμενος τῷ κόσμῳ. τούτων δὴ τῶν τριῶν τρόπων τὰ παραδείγματα ἐν τῇ θείᾳ Γραφῇ, καθὰ εἴρηται, κατακεκριμένα εὑρήκαμεν. καὶ γὰρ ὁ Γιεζὶ, χρήματα ἃ πρότερον οὐκ εἶχε, βουληθεὶς κτήσασθαι, ἀπέτυχε τῆς προφητικῆς χάριτος· ἣν ὁ διδάσκαλος ἐν κληρονομίας τάξει, καταλεῖψαι τούτῳ ἐβούλετο· καὶ ἀντὶ εὐλογίας, αἰωνίαν λέπραν διὰ τῆς τοῦ Προφήτου κατάρας ἐκληρονόμησε. καὶ ὁ Ἰούδας βουληθεὶς λαβεῖν χρήματα, ἃ πρότερον ἀπεβάλετο τῷ Χριστῷ ἀκολουθῶν, οὐ μόνον πρὸς προδοσίαν τοῦ δεσπότου ὀλισθήσας, τοῦ χοροῦ τῶν Ἀποστόλων ἐξέπεσεν, ἀλλὰ καὶ αὐτὴν τὴν ἐν σαρκὶ ζωὴν βιαίῳ θανάτῳ κατέλυσεν. Ἀνανίας δὲ καὶ Σάπφειρα, φυλάξαντες τινὰ ἐξ ὧν ἐκέκτηντο, ἀποστολικῷ στόματι θανάτῳ τιμωροῦνται. Μωϋσῆς δὲ ὁ μέγας ἐν τῷ Δευτερονομίῳ μυστικῶς παραγγέλλει τοῖς ἐπαγγελλομένοις ἀποτάσσεσθαι τῷ κόσμῳ, καὶ φόβῳ ἀπιστίας



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πάλιν ἀντεχομένοις τῶν γηΐνων πραγμάτων· ὅστις ἐστὶν ἄνθρωπος περίφοβος, καὶ τῇ καρδίᾳ δειλὸς, οὐκ ἐξελεύσεται εἰς πόλεμον· πορευέσθω δὲ καὶ ἀναλυέτω εἰς τὸν ἴδιον οἶκον, μήποτε πτοῆσθαι ποιήσῃ τὰς καρδίας τῶν ἀδελφῶν αὐτοῦ. ἔστι ταύτης τῆς μαρτυρίας ἀσφαλέστερον ἢ σαφέστερον; οὐκ ἄρα διὰ τούτων μανθάνομεν οἱ ἀποταττόμενοι τῷ κόσμῳ, τελείως ἀποτάσσεσθαι, καὶ οὕτως ἐπὶ τὸν πόλεμον ἐκβαίνειν, καὶ μὴ διὰ τοῦ βάλλειν ἀρχὴν χαύνην καὶ διεφθαρμένην, ἀναστρέπειν τοὺς ἄλλους ἀπὸ τῆς Εὐαγγελικῆς τελειότητος, καὶ δειλίαν τούτοις ἐμβάλλειν; ἐπειδὴ δὲ τὸ καλῶς εἰρημένον τῇ Θείᾳ Γραφῇ, μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν, κακῶς ἑρμηνεύουσι, βιαζόμενοι πρὸς τὴν ἰδίαν ἀπάτην, καὶ τὴν τῆς φιλαργυρίας ἐπιθυμίαν, τὴν ἔννοιαν τοῦ ῥητοῦ παραλογιζόμενοι· καὶ τὴν τοῦ Κυρίου διδασκαλίαν τὴν λέγουσαν, εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι· καὶ κρίνουσι τῆς ἀκτημοσύνης μακαριώτερον, τὸ ἐξουσιάζειν τοῦ ἰδίου πλούτου, καὶ ἐκ τῆς τούτου περιουσίας διδόναι τοῖς δεομένοις· γινωσκέτωσαν οἱ τοιοῦτοι, μήπω ἀποτετάχθαι τῷ κόσμῳ, μηδὲ ἐπιβεβηκέναι τῆς μοναδικῆς τελειότητος, ἐφ᾽ ὅσον ἐπαισχύνονται ὑπὲρ Χριστοῦ, τοῦ Ἀποστόλου ἀναλαμβάνειν τὴν πτωχείαν, καὶ τῇ τῶν χειρῶν ἐργασίᾳ, ἑαυτοὺς καὶ τοὺς δεομένους ὑπηρετεῖν, ἔργῳ πληρῶσαι τὴν μοναδικὴν ἐπαγγελίαν, καὶ μετὰ τοῦ Ἀποστόλου δοξασθῆναι· διασκορπίσαντας τὸν παλαιὸν πλοῦτον, ἐν λιμῷ καὶ δίψει, ἐν ψύχει καὶ γυμνότητι, μετὰ τοῦ Παύλου ἀγωνιζέσθωσαν τὸν καλὸν ἀγῶνα. καὶ γὰρ εἰ τὸ ἔχειν παλαιὸν πλοῦτον ἀναγκαιότερον πρὸς τελείωσιν ἐγίνωσκεν ὁ αὐτὸς Ἀπόστολος, οὐκ ἂν κατεφρόνησε τῆς αὐτοῦ ἀξίας· ἐπίσημος γὰρ ἑαυτὸν λέγει γεγονέναι καὶ πολίτην Ῥωμαίων. καὶ οἱ ἐν Ἱεροσολύμοις δὲ, οἵτινες ἐπώλουν τὰς οἰκίας ἑαυτῶν καὶ τοὺς ἀγροὺς, καὶ ἐτίθεσαν τὰς τούτων τιμὰς παρὰ τοὺς πόδας τῶν Ἀποστόλων, οὐκ ἂν τοῦτο ἔπραττον, εἰ κεκριμένον ἐγίνωσκεν ὑπὸ τῶν Ἀποστόλων καὶ μακαριώτερον τὸ τοῖς ἰδίοις χρήμασι τρέφεσθαι, καὶ μὴ καμάτῳ ἰδίῳ καὶ τῇ τῶν ἐθνῶν προσφορᾷ. σαφέστερον δὲ διδάσκει περὶ τούτου ὁ εἰρημένος Ἀπόστολος, ἐν οἷς πρὸς Ῥωμαίους γράφων, τάδε λέγει· νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονῆσαι τοῖς ἁγίοις, εὐδόκησαν γὰρ, καὶ ὀφειλέται αὐτῶν εἰσί. καὶ αὐτὸς δὲ δεσμοῖς καὶ φυλακαῖς πολλάκις καὶ τῷ σκυλμῷ τῆς ὁδοιπορίας ὑποβληθεὶς, καὶ ἐμποδιζόμενος ἐκ τούτου, ὡς εἰώθει ταῖς ἰδίαις χερσὶ πορίζειν ἑαυτῷ, τὰς χρείας ταύτας εἰληφέναι διδάσκει παρὰ τῶν ἀδελφῶν τῶν ἀπὸ Μακεδονίας πρὸς αὐτὸν ἐλθόντων φάσκων· καὶ γὰρ τὸ ὑστέρημά μου ἀνεπλήρωσαν οἱ ἀδελφοὶ, ἐλθόντες ἀπὸ Μακεδονίας. καὶ Φιλιππησίοις δὲ γράφων, οἴδατε δὲ καὶ ὑμεῖς Φιλιππήσιοι, ὅτι ἐξελθόντος μου ἀπὸ Μακεδονίας, οὐδὲ μία ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι. ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς ἐπέμψατέ μοι τὰ πρὸς τὴν χρείαν. ἔστωσαν τοίνυν κατὰ τὴν γνώμην τῶν φιλαργύρων καὶ οὗτοι μακαριώτεροι τοῦ Ἀποστόλου, ἐπειδὴ ἐκ τῶν ἰδίων ὑποστάσεων ἐχορήγησαν αὐτῷ τὰς χρείας. ἀλλ᾽ οὐκ ἄν τις εἰς ἐσχάτην ἄνοιαν ἐλθὼν, εἰπεῖν τολμήσει τοῦτο. εἰ τοίνυν βουλόμεθα τῷ Εὐαγγελικῷ προστάγματι, καὶ πάσῃ ἐκείνῃ τῇ ἐξ ἀρχῆς ἐπὶ τῶν Ἀποστόλων θεμελιωθείσῃ ἐκκλησίᾳ ἀκολουθῆσαι, μὴ ταῖς ἡμετέραις ὑπονοίαις πειθώμεθα· μηδὲ τὰ καλῶς εἰρημένα, κακῶς ἐννοήσωμεν. ἀλλ᾽ ἀπορρίψαντες τὴν χλιαρὰν καὶ ἄπιστον γνώμην, ἀναλάβωμεν τὴν ἀκρίβειαν τοῦ Εὐαγγελίου. οὕτως γὰρ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δυνησόμεθα καὶ τοῖς τῶν Πατέρων ἴχνεσιν ἀκολουθῆσαι, καὶ τῆς ἐπιστήμης τοῦ Κοινοβίου μηδέποτε ἀποστῆναι, καὶ ἐν ἀληθείᾳ ἀποτάξασθαι τούτῳ τῷ κόσμῳ. καλὸν τοίνυν καὶ ἐνταῦθα λόγον Ἁγίου ἐπιμνησθῆναι. φέρεται τοίνυν τοῦ Ἁγίου Βασιλείου τοῦ Ἐπισκόπου Καισαρείας Καππαδοκίας, πρός τινα συγκλητικὸν χλιαρῶς ἀποταξάμενον, καὶ παρακατασχόντα τινὰ τῶν ἰδίων χρημάτων, ῥῆμα τοιοῦτον εἰπεῖν· καὶ τὸν συγκλητικὸν ἀπώλεσας, καὶ μοναχὸν οὐκ ἐποίησας. χρὴ τοίνυν πάσῃ σπουδῇ ἐκκόπτειν τῆς ἡμετέρας ψυχῆς τὴν ῥίζαν πάντων τῶν κακῶν, ἥτις ἐστὶν ἡ φιλαργυρία· ἀσφαλῶς γινώσκοντας, ὅτι μενούσης τῆς ῥίζης, δυσχερῶς οἱ κλάδοι φύονται. τὴν δὲ ἀρετὴν ταύτην κατορθῶσαι δύσκολον, μὴ ἐν κοινοβίῳ διάγοντας· ἐν αὐτῷ γὰρ καὶ περὶ αὐτῶν τῶν ἀναγκαίων χρειῶν ἀμεριμνοῦμεν. τὴν κατάκρισιν τοῦ Ἀνανίου καὶ τῆς Σαπφείρης πρὸ ὀφθαλμῶν ἔχοντες, φρίξωμεν καταλιμπάνειν ἑαυτοῖς τίποτε τῆς παλαιᾶς οὐσίας· ὁμοίως τοῦ Γιεζῆ φοβηθέντες τὸ παράδειγμα, τοῦ διὰ τὴν φιλαργυρίαν εἰς αἰωνίαν λέπραν παραδοθέντος, φυλαξώμεθα μὴ συναθροίζειν ἑαυτοῖς χρήματα, ἅπερ οὐδὲ ἐν τῷ κόσμῳ εἴχομεν. ἔτι μὴν, τοῦ Ἰούδα λογιζόμενοι τὴν δι' ἀγχόνης τελευτὴν, φοβηθῶμεν ἀναλαμβάνειν τίποτε, ὧν ἀποταξάμενοι κατεφρονήσαμεν. ἐπὶ πᾶσι δὲ τούτοις, πρὸ ὀφθαλμῶν ἔχοντες ἀεὶ τὸ τοῦ θανάτου ἄδηλον, μήποτε ἐν ὥρᾳ ᾗ οὐ προσδοκῶμεν ἔλθῃ ὁ Κύριος ἡμῶν, καὶ εὕρῃ ἐσπιλωμένον τῇ φιλαργυρίᾳ τὸ ἡμέτερον συνειδὸς, καὶ ἐρεῖ ἡμῖν ἅπερ ἐν τῷ Εὐαγγελίῳ ἐρρέθη τῷ πλουσίῳ ἐκείνῳ· ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ, ἃ δὲ ἡτοίμασας τίνι ἔσται;

## Περὶ ὀργῆς.

Τέταρτος ἡμῖν ἐστὶν ἀγὼν κατὰ τοῦ πνεύματος τῆς ὀργῆς· καὶ χρεία, ὅπως σὺν Θεῷ τὸν τούτου θανατηφόρον ἰὸν, ἐκ βάθους τῆς ἡμετέρας ψυχῆς ἐκκόψωμεν. τούτου γὰρ ἐν τῇ ἡμετέρᾳ καρδίᾳ ὑποκαθημένου, καὶ τῶν ὀφθαλμῶν τῆς καρδίας ταῖς σκοτειναῖς ταραχαῖς ἐκτυφλοῦντος, οὔτε διάκρισιν τοῦ συμφέροντος κτήσασθαι δυνάμεθα, οὔτε πνευματικῆς γνώσεως εὑρεῖν κατάληψιν, οὔτε βουλεύματος ἀγαθοῦ κατασχεῖν τελειότητα, οὔτε τῆς ὄντως ζωῆς γενέσθαι μέτοχοι, οὔτε τῆς θεωρίας τοῦ θείου καὶ ἀληθινοῦ φωτὸς δεκτικὸς ὁ ἡμέτερος νοῦς γενήσεται· ἐταράχθη γάρ φησιν ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου· οὔτε δὲ θείας σοφίας μέτοχοι γενησόμεθα, εἰ καὶ μάλιστα σοφοὶ ταῖς ὑπονοίαις παρὰ πάντων νομιζόμεθα· ἐπειδὴ γέγραπται, θυμὸς ἐν κόλπῳ ἀφρόνων αὐλίζεται· ἀλλ' οὐδὲ τὰς σωτηριώδεις τῆς διακρίσεως βουλὰς κτήσασθαι δυνάμεθα, εἰ καὶ φρόνιμοι παρὰ τοῖς ἀνθρώποις νομιζόμεθα· γέγραπται γὰρ, ὀργὴ καὶ φρονίμους ἀπόλλυσιν· οὔτε τὰς τῆς δικαιοσύνης κυβερνήσεις ἀσφαλεῖ καρδίᾳ ἐπέχειν ἰσχύσωμεν· γέγραπται γὰρ, ὅτι ὀργὴ ἀνδρὸς, δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται· οὔτε δὲ τὴν παρὰ πάντων ἐπαινουμένην κοσμιότητα καὶ εὐσχημοσύνην δυνάμεθα κτήσασθαι· γέγραπται γὰρ, ἀνὴρ θυμώδης οὐκ εὐσχήμων. ὁ τοίνυν βουλόμενος πρὸς τελείωσιν ἐλθεῖν, καὶ ἐπιθυμῶν τὸν πνευματικὸν ἀγῶνα νομίμως ἀγωνίσασθαι, ἀπὸ παντὸς ἐλαττώματος ὀργῆς τε καὶ θυμοῦ ἀλλότριος ἔσω· καὶ ἀκουέτω τί αὐτῷ τὸ σκεῦος τῆς ἐκλογῆς παραγγέλλει· πᾶσα φησὶ πικρία καὶ ὀργὴ, καὶ θυμὸς, καὶ κραυγὴ, καὶ βλασφημία, ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ. ὅταν δὲ εἴπῃ, πᾶσα, οὐδεμίαν πρό-

φασιν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

φασι θυμοῦ ἢ ὡς ἀναγκαῖον, ἢ εὔλογον ἡμῖν καταλέλοιπεν, ὁ τοίνυν βουλόμενος πλημμελοῦντα τὸν ἀδελφὸν διορθώσασθαι, ἢ ἐπιτιμίαν αὐτῷ παρέχειν, σπουδαζέτω ἑαυτὸν ἀτάραχον φυλάττειν· μήποτε ἄλλον θεραπεῦσαι βουλόμενος, ἑαυτῷ τὴν νόσον ἐπισπάσηται· καὶ ῥηθήσεται αὐτῷ τὸ εὐαγγελικὸν ἐκεῖνο ῥητὸν, ἰατρὲ θεράπευσον σεαυτόν· καὶ πάλιν· τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; ἐξ οἵας γὰρ δήποτε αἰτίας ἡ τῆς ὀργῆς κίνησις ὑπερζέσασα τυφλοῖ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς, οὐκ ἐῶσα αὐτὴν θεάσασθαι τὸν ἥλιον τῆς δικαιοσύνης. ὥσπερ γὰρ ὁ ἐπιθεὶς τοῖς ὀφθαλμοῖς χρυσᾶ πέταλα ἢ μολίβδινα, ἐπίσης ἐκώλυσε τὴν ὁρατικὴν δύναμιν, καὶ οὐδαμῶς διαφορὰν τυφλότητος ἡ τοῦ χρυσοῦ πετάλου τιμιότης ἐποίησεν· οὕτως ἐξ οἵας δήποτε αἰτίας εὐλόγου δῆθεν, ἢ ἀλόγου τῆς ὀργῆς ἀναφθείσης, ἡ ὁρατικὴ δύναμις σκοτίζεται. τότε κατὰ φύσιν μόνον τῷ θυμῷ κεχρήμεθα, ὅταν πρὸς τοὺς ἐμπαθεῖς καὶ φιληδόνους λογισμοὺς τοῦτον κινοῦμεν. οὕτως ἡμᾶς ὁ Προφήτης διδάσκει, φάσκων· ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε· τουτέστι, κατὰ τῶν ἰδίων παθῶν ὀργὴν κινεῖτε, καὶ κατὰ τῶν πονηρῶν λογισμῶν· καὶ μὴ διὰ τὸ ἀποτελεῖν τὰ ὑποβαλλόμενα ὑπ' αὐτῶν ἁμαρτάνετε. καὶ ταύτην σαφῶς τὴν ἔννοιαν δηλοῖ τὸ ἐπαγόμενον· ἃ λέγετε γάρ φησιν ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. τουτέστιν, ὅταν ἔλθωσιν ἐπὶ τὴν καρδίαν ὑμῶν οἱ πονηροὶ λογισμοὶ, ἐκβάλλοντες τούτους διὰ τῆς πρὸς αὐτοὺς ὀργῆς, μετὰ τὴν τούτων ἐκβολὴν, ὡσανεὶ ἐν κοίτῃ τῆς ἡσυχίας τῆς ψυχῆς εὑρισκόμενοι, τὸ τηνικαῦτα κατανύσσεσθε πρὸς μετάνοιαν. συμφωνεῖ δὲ τούτῳ καὶ ὁ μακάριος Παῦλος, χρησάμενος τῇ μαρτυρίᾳ ταύτῃ, καὶ προσθεὶς, ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν· μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ. τουτέστι, μὴ παρασκευάσητε τὸν ἥλιον τῆς δικαιοσύνης Χριστὸν, διὰ τοῦ παροργίζειν αὐτὸν ἐν τῇ συγκαταθέσει τῶν φαύλων λογισμῶν ἐπιδύειν ταῖς καρδίαις ὑμῶν· ἵνα μὴ ἐν τῇ ἀναχωρήσει αὐτοῦ, εὕρῃ ἐν ὑμῖν τόπον ὁ διάβολος. περὶ τούτου τοῦ ἡλίου καὶ ὁ Θεὸς διὰ τοῦ Προφήτου λέγει· τοῖς δὲ φοβουμένοις τὸ ὄνομά μου, ἀνατελεῖ ἥλιος δικαιοσύνης· καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ ἔσται. εἰ δὲ κατὰ τὸ γράμμα ἐκλάβωμεν τὸ ῥητὸν, οὐδὲ μέχρι δύσεως ἡλίου συγκεχώρηται ἡμῖν φυλάττειν τὴν ὀργήν. τί οὖν περὶ τούτων ἐροῦμεν; οἵτινες ἀγριότητι καὶ μανίᾳ τῆς ἐμπαθοῦς διαθέσεως, οὐ μόνον ἄχρι δύσεως τούτου τοῦ ἡλίου διατηροῦσι τὴν ὀργὴν, ἀλλὰ καὶ ἐπὶ πλείστας ἡμέρας ἐπεκτείνοντες αὐτὴν, παρασιωπῶσι δὲ ἀπ' ἀλλήλων, οὐκ ἔτι μὲν διὰ τῶν ῥημάτων ἐκφέροντες αὐτήν· τῇ δὲ πρὸς ἀλλήλους σιωπῇ, τὸν τῆς μνησικακίας ἰὸν εἰς ὄλεθρον ἑαυτῶν αὔξοντες· ἀγνοοῦντες, ὅτι δεῖ μὴ μόνον ἀπὸ τῆς κατ' ἐνέργειαν ὀργῆς ἀπέχεσθαι, ἀλλὰ καὶ ἀπὸ τῆς κατὰ διάνοιαν· ἵνα μὴ τῷ σκότει τῆς μνησικακίας ὁ νοῦς ἀμαυρωθεὶς, ἐκπέσῃ τοῦ φωτὸς τῆς γνώσεως καὶ τῆς διακρίσεως· καὶ στερηθῇ τῆς τοῦ Ἁγίου Πνεύματος ἐνοικήσεως. διὰ γὰρ τοῦτο καὶ ὁ Κύριος ἐν Εὐαγγελίοις κελεύει ἀφεῖναι τὸ δῶρον ἐπὶ τὸ θυσιαστήριον, καὶ διαλλάττεσθαι τῷ ἀδελφῷ· ἐπεὶ, μὴ δυνατὸν τοῦτο εὐπρόσδεκτον γενέσθαι, θυμοῦ καὶ μνησικακίας ἐναποκειμένων ἡμῖν. καὶ ὁ Ἀπόστολος δὲ λέγων, ἀδιαλείπτως προσεύχεσθαι, καὶ ἐν παντὶ τόπῳ ἐπαίρειν ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν, τοῦτο ἡμᾶς ἐκδιδάσκει. περιλείπεται τοίνυν, ἢ μηδέποτε προσεύχεσθαι, καὶ κατὰ τοῦτο ὑπεύθυνος εἶναι τῷ ἀποστολικῷ παραγγέλματι, ἢ σπουδάζοντας φυ-

λάττειν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

λάττειν τὸ προστεταγμένον, χωρὶς ὀργῆς καὶ μνησικακίας τοῦτο ποιεῖ. καὶ ἐπειδὴ πολλάκις λυπηθέντων τῶν ἀδελφῶν, ἢ παραχθέντων, παραφρονοῦμεν λέγοντες, οὐκ ἐξ ἡμετέρας αἰτίας τούτους λυπεῖσθαι· ὁ τῶν ψυχῶν ἰατρὸς, τὰς προφάσεις τῆς ψυχῆς ῥιζόθεν ἀπὸ καρδίας ἀνασπᾶσαι βουλόμενος, οὐ μόνον εἰ τύχοιμεν ἡμεῖς λελυπημένοι καὶ τῷ ἀδελφῷ, προστάσσει ἀφεῖναι τὸ δῶρον καὶ διαλλάττεσθαι, ἀλλ' εἰ καὶ αὐτὸς λελύπηται καθ' ἡμῶν, δικαίως ἢ ἀδίκως, οὕτω διὰ τῆς ἀπολογίας θεραπεύειν, καὶ τότε προσφέρειν τὸ δῶρον. ἀλλὰ τί ἐπὶ πολὺ τοῖς εὐαγγελικοῖς παραγγέλμασιν ἐνδιατρίβομεν, ἐξὸν καὶ ἀπὸ τοῦ παλαιοῦ νόμου τοῦτο μαθεῖν· ὃς καὶ συγκατάβασιν τῆς ἀκριβείας ἔχειν δοκῶν, τάδε φησί· μὴ μισήσῃς τὸν ἀδελφόν σου ἐν τῇ καρδίᾳ σου· καὶ πάλιν, ὁδοὶ μνησικάκων εἰς θάνατον. καὶ ἐνταῦθα οὐ μόνον τὴν κατ' ἐνέργειαν κωλύει, ἀλλὰ καὶ τὴν κατὰ διάνοιαν κολάζει. διὸ προσήκει τοῖς θείοις νόμοις ἀκολουθοῦντας, πάσῃ δυνάμει ἀγωνίζεσθαι καὶ τοῦ πνεύματος τῆς ὀργῆς, καὶ κατὰ τῆς ἔνδον ἐν ἡμῖν ἀποκειμένης νόσου· καὶ μὴ τῶν ἀνθρώπων τὸν θυμὸν κινοῦντας, ἐρημίαν καὶ μόνωσιν μεταδιώκειν, ὡς ἐκεῖ δῆθεν μὴ ὄντος τοῦ κινοῦντος ἡμᾶς πρὸς ὀργήν· καὶ ὡς εὐκόλως ἐν τῇ μονώσει ἡ ἀρετὴ τῆς μακροθυμίας κατορθωθήσεται. ἀπὸ γὰρ ὑπερηφανίας, καὶ τοῦ μὴ θέλειν ἑαυτοὺς μέμφεσθαι, καὶ ἐπιγράφειν τῇ ἰδίᾳ ῥαθυμίᾳ τὰς αἰτίας τῆς ταραχῆς, τὴν ἀπὸ τῶν ἀδελφῶν ἀναχώρησιν ἐπιθυμοῦμεν. ἕως ὅτε τοίνυν τῆς ἡμετέρας ἀσθενείας τὰς αἰτίας ἄλλοις ἐπιγράφομεν, ἀδύνατον ἡμᾶς πρὸς τελείωσιν τῆς μακροθυμίας φθάσαι. τὸ κεφάλαιον τοίνυν τῆς ἡμετέρας διορθώσεως καὶ εἰρήνης, οὐκ ἐκ τῆς πλησίον μακροθυμίας τῆς πρὸς ἡμᾶς γινομένης κατορθοῦται· ἀλλ' ἐκ τῆς ἡμετέρας πρὸς τὸν πλησίον ἀνεξικακίας. ὅταν δὲ τὸν τῆς μακροθυμίας ἀγῶνα διαφεύγοντες, τὴν ἔρημον μεταδιώκωμεν καὶ τὴν μόνωσιν· ὅσα δ' ἂν τῶν ἡμετέρων παθῶν ἀθεράπευτα ἐκεῖσε ἀπενέγκωμεν, ἐπικεκρυμμένα, οὐκ ἐξηλειμμένα τυγχάνουσι. καὶ γὰρ ἡ ἐρημία καὶ ἡ ἀναχώρησις τοῖς μὴ πάθεσιν ἀπηλλαγμένοις, οὐ μόνον φυλάττειν ταῦτα ἐπίσταται, ἀλλὰ καὶ ἐπικαλύπτειν ταῦτα οἶδε· καὶ οὐδὲ ἐπαισθάνεσθαι ἑαυτοὺς λοιπὸν συγχωρεῖ ποίῳ πάθει ἡττῶνται· τὸ ἐναντίον δὲ, φαντασίαν αὐτοῖς ἀρετῆς ὑποβάλλει, καὶ κατορθωκέναι αὐτοὺς πείθει τήν τε μακροθυμίαν, καὶ τὴν ταπείνωσιν, ἕως μὴ πάρεστιν ὁ τούτους ἐρεθίζων καὶ δοκιμάζων. ὅταν δὲ συμβῇ πρόφασίς τις, τούτους συγκινοῦσα καὶ γυμνάζουσα, εὐθέως τὰ ἐναποκείμενα πάθη, καὶ τὰ πρὶν λανθάνοντα, ὥσπερ ἵπποι ἀχαλίνωτοι ἐκ τῶν ἰδίων ἀφετηρίων ἐκπηδήσαντες, καὶ τῇ μακρᾷ ἡσυχίᾳ καὶ σχολῇ τραφέντες, σφοδρότερον καὶ ἀγριώτερον πρὸς ὄλεθρον ἐπισύρουσι τὸν ἴδιον ἐπιβάτην. πλέον γὰρ ἐν ἡμῖν ἀγριοῦνται τὰ πάθη, ἀργοῦντα τῆς ἐκ τῶν ἀνθρώπων γυμνασίας. καὶ αὐτὴν τὴν σκιὰν τῆς ὑπομονῆς καὶ μακροθυμίας, ἣν συνοικοῦντες ἐδοκοῦμεν ἀναμεμιγμένοι τοῖς ἀδελφοῖς ἔχειν, τῇ ἀμελείᾳ τῆς γυμνασίας καὶ τῆς μονώσεως, ἀπόλλυμεν. ὥσπερ γὰρ τὰ ἰοβόλα τῶν θηρίων, ἐν ἐρημίᾳ καὶ ταῖς ἰδίαις κοίταις ἡσυχάζοντα, τότε τὴν ἰδίαν μανίαν ἐπιδείκνυνται, ὅταν λάβωνται τινὸς προσεγγίζοντος· οὕτως καὶ οἱ ἐμπαθεῖς ἄνθρωποι, οὐκ ἀρετῆς διαθέσει, ἀλλὰ τῇ τῆς ἐρημίας ἀνάγκῃ ἡσυχάζοντες, τότε τὸν ἰὸν ἐξεμοῦσιν, ὅταν δράξωνται τοῦ προσεγγίζοντος καὶ ἐρεθίζοντος. καὶ τούτου χάριν τῷ τελείωσιν πραότητος ἐπιζητοῦντι, σπουδὴ πᾶσα εἶναι ὀφείλει, οὐ μόνον πρὸς ἀνθρώπους μὴ ὀργίζεσθαι, ἀλλὰ μηδὲ πρὸς τὰ ἄλογα, μηδὲ πρὸς τὰ ἄψυχα πράγ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μένα. μέμνημαι γὰρ ἐγώ, ἡνίκα ἐν ἐρήμῳ διέτριβον, καὶ καλάμου τὸν θυμὸν κινήσας, τῆς παχύτητος τούτου, ἢ τῆς λεπτότητος ἀπειρασάμην. καὶ τοῦ ξύλου πάλιν, ὅταν ἐκκόψαι τοῦτο θελήσας, μὴ ταχέως ἠδυνήθην. καὶ πάλιν, τοῦ λίθου πυρβόλου, ὅταν σπουδάζοντός μου ἐκβάλλαι τὸ πῦρ, μὴ ταχέως τὸ πῦρ ἐξεπήδησεν. οὕτω τῆς ὀργῆς ἐπιπαθείσης, ὡς καὶ τῶν ἀναισθήτων πραγμάτων ταύτην ἐκφέρειν. εἰ τοίνυν ἐπιθυμοῦμεν ἐπιτυχεῖν τοῦ μακαρισμοῦ τοῦ Κυρίου, οὐ μόνον τὴν κατ' ἐνέργειαν ὀργήν, καθὰ εἴρηται, ὀφείλομεν κωλύσαι, ἀλλὰ καὶ τὴν κατὰ διάνοιαν. οὔτε γὰρ τοσοῦτον ὠφελεῖ τὸ κρατεῖν τοῦ στόματος ἐν καιρῷ θυμοῦ, καὶ μὴ ἐκφέρειν ῥήματα μανιώδη, ὅσον τὸ καθαρίζειν τὴν καρδίαν ἀπὸ μνησικακίας, καὶ μὴ ἀναστρέφειν ἐν τῇ ἰδίᾳ διανοίᾳ πονηροὺς λογισμοὺς κατὰ τοῦ ἀδελφοῦ. τὰς ῥίζας γὰρ τῶν ἁμαρτημάτων ἐκκόπτεσθαι παραγγέλλει ἡ Εὐαγγελικὴ Διδασκαλία, ἤπερ τοὺς καρπούς. τῆς ῥίζης γὰρ τοῦ θυμοῦ ἐκκοπείσης ἀπὸ τῆς καρδίας, οὔτε μῖσος, οὔτε φθόνος εἰς ἔργον πραχθήσεται. καὶ γὰρ ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος εἴρηται· φονεύων αὐτὸν τῇ διαθέσει τοῦ μίσους κατὰ διάνοιαν· οὗτινος τὸ αἷμα οὐ διὰ ξίφους ἐκχυθέν, ἄνθρωποι βλέπουσιν· ἀλλὰ τῇ διανοίᾳ καὶ τῇ διαθέσει τοῦ μίσους ἀναιρεθέν, ὁ Θεὸς ἐφορᾷ· ὃς, οὐ μόνον ὑπὲρ πράξεων, ἀλλὰ καὶ ὑπὲρ λογισμῶν καὶ προαιρέσεων ἐν ἑκάστῳ ἢ στεφάνους, ἢ τιμωρίας ἀποδίδωσι· καθὼς αὐτὸς διὰ τοῦ Προφήτου φησίν, ἰδοὺ ἐγὼ ἔρχομαι συναγαγεῖν τὰ ἔργα καὶ τὰς ἐνθυμήσεις αὐτῶν. καὶ πάλιν ὁ Ἀπόστολος λέγει· μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων, ἐν ἡμέρᾳ ᾗ κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων. αὐτὸς δὲ ὁ Δεσπότης διδάσκων ἡμᾶς, ὅτι δεῖ πᾶσαν ὀργὴν ἀποτίθεσθαι, φησὶν ἐν Εὐαγγελίοις· ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ, ἔνοχος ἔσται τῇ κρίσει. οὕτω γὰρ τὰ ἀκριβῆ τῶν ἀντιγράφων περιέχει. τὸ γάρ, εἰκῇ, ἐκ προσθήκης ἐτέθη. εὔδηλον, ὅτι ἐκ τοῦ προκειμένου βουλήματος τῆς Γραφῆς. ὁ γὰρ σκοπὸς τοῦ Κυρίου, τὴν ῥίζαν καὶ τὸν σπινθῆρα τῆς ὀργῆς ἀποκόπτειν πᾶσι τρόποις ἡμᾶς βούλεται, καὶ μηδὲ μίαν πρόφασιν ὀργῆς ἐν ἑαυτοῖς διαφυλάττειν· ἵνα μὴ εὐλόγως δῆθεν τὴν ἀρχὴν κινούμενοι, ὕστερον τῇ μανίᾳ τοῦ ἀλόγου θυμοῦ περιπέσωμεν. τῆς δὲ νόσου ταύτης ἡ τελεία ἰατρεία, αὕτη ἐστίν· ἵνα πιστεύσωμεν, ὅτι οὔτε ἐπὶ δικαίοις, οὔτε ἐπὶ ἀδίκοις ἔξεστιν ἡμῖν κινεῖν τὸν θυμόν. τοῦ γὰρ πνεύματος τῆς ὀργῆς τὴν διάνοιαν σκοτίσαντος, οὔτε διακρίσεως φῶς, οὔτε ὀρθοῦ βουλεύματος βεβαίωσις, οὔτε δικαιοσύνης κυβέρνησις ἡμῖν εὑρεθήσεται· οὔτε δὲ ναὸν τοῦ Ἁγίου Πνεύματος τὴν ἡμετέραν γενέσθαι ψυχὴν δυνατόν, τοῦ πνεύματος τῆς ὀργῆς τὴν διάνοιαν σκοτίσαντος κατακυριεύσει ἡμῶν. τέλος δὲ πάντων, χρὴ τὸ ἄδηλον τοῦ θανάτου καθ' ἑκάστην ἡμᾶς πρὸ ὀφθαλμῶν ἔχοντας, φυλάττειν ἑαυτοὺς ἀπὸ τῆς ὀργῆς. καὶ εἰδέναι, ὅτι οὔτε σωφροσύνης, οὔτε ἀποταγῆς πάσης τῆς ὕλης, οὔτε τῶν νηστειῶν τε καὶ ἀγρυπνιῶν ὄφελος, εἰ ὑπὸ ὀργῆς καὶ μίσους κατεχόμενοι, ἔνοχοι εὑρεθῶμεν τῇ κρίσει.

## Περὶ λύπης.

Πέμπτος ἡμῖν ἀγὼν ἐστὶ κατὰ τοῦ πνεύματος τῆς λύπης, τοῦ ἐπισκοτοῦντος τὴν ψυχὴν ἀπὸ πάσης πνευματικῆς θεωρίας, καὶ κωλύοντος αὐτὴν ἀπὸ πάσης ἀγαθῆς ἐργασίας. ὅταν γὰρ τὸ πονηρὸν τοῦτο πνεῦμα περιδράξηται τῆς ψυχῆς, καὶ ὅλην αὐτὴν σκοτίσῃ, οὐκ εὐχὰς ἐπιτελεῖν μετὰ προθυμίας συγχωρεῖ· οὐ

τῶν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῶν ἱερῶν ἀναγνωσμάτων τῇ ὠφελείᾳ ἐγκαρτερεῖν· πρᾶον καὶ εὐκατάνυκτον πρὸς τοὺς ἀδελφοὺς τὸν ἄνθρωπον εἶναι, οὐκ ἀνέχεται· καὶ πρὸς πάντα τῶν ἔργων τὰ ἐπιτηδεύματα, καὶ πρὸς αὐτὴν τοῦ βίου τὴν ἐπαγγελίαν, μῖσος ἐμποιεῖ. καὶ πάντα ἁπλῶς τὰ σωτηριώδη βουλεύματα τῆς ψυχῆς ἡ λύπη συγχέασα, καὶ τὴν εὐτονίαν αὐτῆς καὶ καρτερίαν παραλύσασα, ὡς ἄφρονα τοῦτον καὶ παραπλῆγα ἀπεργάζεται, τῷ τῆς ἀπογνώσεως ἐνδήσασα λογισμῷ. διὰ τοῦτο, εἰ σκοπὸς ἡμῖν ἐστὶν ἀγωνίσασθαι τὸν πνευματικὸν ἀγῶνα, καὶ νικῆσαι σὺν Θεῷ τὰ πνεύματα τῆς πονηρίας, πάσῃ φυλακῇ τηρήσωμεν τὴν ἑαυτῶν καρδίαν ἀπὸ τοῦ πνεύματος τῆς λύπης. ὥσπερ γὰρ σὴς ἱμάτιον, καὶ σκώληξ ξύλον, οὕτως ἡ λύπη τὴν τοῦ ἀνθρώπου ψυχὴν κατεσθίει· ἐκκλίνειν πείθουσα πᾶσαν ἀγαθὴν συντυχίαν, καὶ οὐδὲ παρὰ τῶν γνησίων φίλων λόγον συμβουλίας δέχεσθαι συγχωροῦσα, οὐδὲ χρηστὴν ἀπόκρισιν ἢ εἰρηνικὴν ἐπιτρέπουσα τούτοις μεταδιδόναι· ἀλλὰ πᾶσαν τὴν ψυχὴν περιλαβοῦσα, πικρίας αὐτὴν καὶ ἀκηδίας πληροῖ. καὶ λοιπὸν ὑποβάλλει αὐτῇ φεύγειν τοὺς ἀνθρώπους, ὡς αἰτίους αὐτῇ ταραχῆς γενομένους. καὶ οὐ συγχωρεῖ αὐτῇ ἐπιγνῶναι, ὅτι οὐκ ἔξωθεν, ἀλλ᾽ ἔνδον ἔχει ἐναποκειμένην τὴν νόσον· ἥτις τότε φανεροῦται, ὅταν οἱ πειρασμοὶ ἐπιστάντες διὰ τῆς γυμνασίας, εἰς τὸ ἐμφανὲς ταύτην προσενέγκωσιν. οὐδέποτε γὰρ ὑπὸ ἄλλου βλαβήσεται ἄνθρωπος, εἰ μὴ ἔνδοθεν ἔχει ἀποκειμένας τὰς τῶν παθῶν αἰτίας. καὶ τούτου χάριν ὁ πάντων δημιουργὸς καὶ ἰατρὸς τῶν ψυχῶν Θεός, ὁ μόνος ἐπιστάμενος ἀκριβῶς τὰ τραύματα τῆς ψυχῆς, οὐ τὰς τῶν ἀνθρώπων συνδιατριβὰς παραγγέλλει καταλιμπάνειν, ἀλλὰ τὰς ἐν ἡμῖν τῆς κακίας ἐκκόπτειν αἰτίας. καὶ γινώσκειν τῆς ψυχῆς τὴν ὑγείαν, οὐκ ἐν τῷ χωρισμῷ τῶν ἀνθρώπων κατορθοῦσθαι, ἀλλ᾽ ἐν τῇ μετὰ τῶν ἐναρέτων διαγωγῇ καὶ γυμνασίᾳ. ὅταν τοίνυν διά τινας εὐλόγους δῆθεν προφάσεις τοὺς ἀδελφοὺς καταλιμπάνομεν, οὔτε τὰς τῆς λύπης ἀφορμὰς ἐξεκόψαμεν, ἀλλὰ μόνον ἐνηλλάξαμεν αὐτάς, τῆς ἀποκειμένης ἔνδον νόσου καὶ δι᾽ ἑτέρων πραγμάτων ταύτας ἀνακινούσης. διόπερ τοῦτον τῶν ἔνδον παθῶν πᾶς ἡμῖν ἔστω ὁ πόλεμος. τούτων γὰρ διὰ τῆς χάριτος καὶ συνεργίας Θεοῦ ἐκ τῆς καρδίας ἐκβληθέντων, οὐ λέγω μετὰ ἀνθρώπων, ἀλλὰ καὶ μετ᾽ ἀγρίων θηρίων εὐκόλως συνδιατρίψομεν, κατὰ τὸ ὑπὸ τοῦ μακαρίου Ἰὼβ εἰρημένον, θῆρες ἄγριοι εἰρηνεύουσί σοι. προηγουμένως τοίνυν ἀγωνιστέον κατὰ τοῦ πνεύματος τῆς λύπης, τοῦ ἐμβάλλοντος τὴν ψυχὴν εἰς ἀπόγνωσιν, ὅπως ἀπελάσωμεν αὐτὸ τῆς ἡμετέρας καρδίας. τοῦτο γὰρ τὸν Κάϊν οὐ συνεχώρησε μετὰ τὴν ἀδελφοκτονίαν μετανοῆσαι· οὔτε τὸν Ἰούδαν μετὰ τὴν τοῦ Δεσπότου προδοσίαν. ἐκείνην μόνην τὴν λύπην ἀσκήσωμεν, τὴν ἐπὶ μετανοίᾳ τῶν ἡμαρτημένων, μετ᾽ ἐλπίδος ἀγαθῆς γινομένην· περὶ ἧς ὁ Ἀπόστολος εἶπεν· ὅτι ἡ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον ἐργάζεται. ἡ γὰρ κατὰ Θεὸν λύπη, τῇ ἐλπίδι τῆς μετανοίας διατρέφουσα τὴν ψυχήν, χαρᾷ σύμμικτος ὑπάρχει. ὅθεν καὶ πρόθυμον, καὶ ὑπήκοον πρὸς πᾶσαν ἀγαθὴν ἐργασίαν παρασκευάζει τὸν ἄνθρωπον· εὐπρόσιτον, ταπεινόν, πρᾶον, ἀνεξίκακον, πρὸς πάντα πόνον ἀγαθὸν καὶ συντριβήν, ὑπομονητικόν, οἷα γὰρ δὴ κατὰ Θεὸν τυγχάνουσα. ὡς ἐκ τούτων λοιπὸν τοὺς καρποὺς τοῦ Ἁγίου Πνεύματος γνωρίζεσθαι ἐν τῷ ἀνθρώπῳ, τουτέστι χαράν, ἀγάπην, εἰρήνην, μακροθυμίαν, ἀγαθότητα, πίστιν, ἐγκράτειαν. ἐκ γὰρ τῆς ἐναντίας λύπης τοὺς καρποὺς ἐπιγινώσκομεν τοῦ πονηροῦ πνεύματος.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τος· οἵτινες εἰσὶν ἀκηδία, ἀϋπομονησία, θυμὸς, μῖσος, ἀντιλογία, ἀπελπισμὸς, ψυχῆς ὀκνηρία. ἥντινα λύπην οὕτως ὀφείλομεν ἐκκλίνειν, ὡς τὴν πορνείαν, καὶ τὴν φιλαργυρίαν, καὶ τὸν θυμὸν, καὶ τὰ λοιπὰ τῶν παθῶν. αὕτη δὲ θεραπεύεται διὰ προσευχῆς, καὶ τῆς εἰς Θεὸν ἐλπίδος, καὶ μελέτης τῶν θείων λογίων, καὶ τῆς μετὰ ἀνθρώπων εὐλαβῶν διαγωγῆς.

## Περὶ ἀκηδίας.

Ἔστιν ἡμῖν ἀγὼν, κατὰ τοῦ πνεύματος τῆς ἀκηδίας, τοῦ συνεζευγμένου καὶ συνεργοῦντος τῷ πνεύματι τῆς λύπης. δεινὸς οὗτος καὶ βαρὺς δαίμων, καὶ τοῖς μοναχοῖς ἀεὶ πολεμῶν· ὅς τις ἕκτην ὥραν ἐπιπίπτει τῷ μοναχῷ, ἀτονίαν καὶ φρίκην αὐτῷ ἐμποιῶν, καὶ μῖσος ἐργαζόμενος καὶ πρὸς αὐτὸν τὸν τόπον, καὶ πρὸς τοὺς συνδιατρίβοντας ἀδελφοὺς, καὶ πρὸς πᾶσαν ἐργασίαν, καὶ πρὸς αὐτὴν τῶν θείων Γραφῶν τὴν ἀνάγνωσιν· ὑποβάλλων αὐτῷ καὶ λογισμοὺς μεταβάσεως· καὶ ὡς, εἰ μὴ μεταστήσει αὐτὸν πρὸς ἑτέρους τόπους, μάταιος αὐτῷ ἅπας ὁ κόπος, καὶ ὁ χρόνος γενήσεται. πρὸς τούτοις πᾶσι, καὶ πεῖναν αὐτῷ ἐντίθησι περὶ ἕκτην ὥραν, ὅσην οὐκ ἂν αὐτῷ συνέβη ἐκ τριημέρου νηστείας, ἢ μακροτάτης ὁδοῦ, ἢ βαρυτάτου κόπου. ἔπειτα λογισμοὺς αὐτῷ ἐμβάλλει, ὡς οὐδενὶ ἄλλῳ τρόπῳ δυνήσεται τῆς νόσου ταύτης, καὶ τοῦ βάρους ἀπαλλάττεσθαι, εἰ μὴ διὰ τοῦ ἐξέρχεσθαι συνεχῶς καὶ παραβάλλειν ἀδελφοῖς, ὠφελείας χάριν δῆθεν, ἢ ἐπισκέψεως ἀσθενούντων. ὅταν δὲ μὴ δυνηθῇ ἐν τούτοις αὐτὸν ἀπατῆσαι, τὸ τηνικαῦτα ὕπνῳ βαρυτάτῳ καταβαπτίσας αὐτὸν, σφοδρότερος κατ' αὐτοῦ, καὶ ἰσχυρότερος γίνεται, οὐκ ἄλλως ἀνατρεπόμενος, εἰ μὴ διὰ προσευχῆς, καὶ ἀποχῆς ἀργολογίας, καὶ μελέτης τῶν θείων λογίων, καὶ τῆς ἐν πειρασμοῖς ὑπομονῆς. ἐὰν γὰρ μὴ τούτοις τοῖς ὅπλοις ἠσφαλισμένον αὐτὸν εὕρῃ, κατατοξεύσας τοῖς ἑαυτοῦ βέλεσιν, ἄστατον αὐτὸν ἀποδείκνυσι, καὶ ῥέμβον ἀποτελεῖ, καὶ ῥάθυμον, καὶ ἄεργον, καὶ μοναστήρια πολλὰ περιέρχεσθαι παρασκευάζει· καὶ οὐδενὸς ἄλλου φροντίζειν, ἢ τοῦ περισκοπεῖν ποῦ ἄριστοι καὶ πότοι γίνονται. οὐδὲν γὰρ ἄλλο ἡ διάνοια τοῦ ἀκηδιαστοῦ φαντάζεται, ἢ τοὺς ἐκ τούτων μετεωρισμούς. καὶ λοιπὸν ἐκ τούτων, καὶ εἰς κοσμικὰ πράγματα αὐτὸν ἐνδεσμεῖ, καὶ κατ' ὀλίγον δελεάζει ταύταις ταῖς ἐπιβλαβέσιν ἀσχολίαις, ἕως οὗ καὶ αὐτοῦ τοῦ μοναδικοῦ ἐπαγγέλματος τελείως αὐτὸν ἐκβάλῃ. ταύτην τὴν νόσον βαρυτάτην οὖσαν ὁ θεῖος Ἀπόστολος ἐπιστάμενος, καὶ βουλόμενος αὐτὴν ἐκ τῶν ἡμετέρων ψυχῶν, ὡς σοφὸς ἰατρὸς, πρόῤῥιζον ἀνασπάσαι, τὰς αἰτίας μάλιστα ἀφ' ὧν τίκτεται δείκνυσι, καὶ ὧδέ φησιν· παραγγέλλομεν ὑμῖν ἀδελφοὶ, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρελάβετε παρ' ἡμῶν. αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν· οὐδὲ γὰρ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος· ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαι τινὰ ὑμῶν. οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς. καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν· ὅτι εἴτις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. ἀκούομεν τινὰς περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους. τοῖς δὲ τοιούτοις παραγγέλλομεν, καὶ παρακαλοῦμεν ἐν Χριστῷ Ἰησοῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν. ἀκούομεν πῶς σαφῶς ἡμῖν ὑποδείκνυσι τὰς αἰτίας τῆς ἀκηδίας ὁ Ἀπόστολος. ἀτάκτους γὰρ καλεῖ, τοὺς μὴ ἐρ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γαζομένους· ἐπὶ τούτῳ ῥήματι, πολλὴν κακίαν ἐμφαίνων. ὁ γὰρ ἄτακτος, καὶ ἀνευλαβὴς τυγχάνει, καὶ προπετὴς περὶ λόγους, καὶ εἰς λοιδορίαν πρόχειρος, καὶ λοιπὸν εἰς ἡσυχίαν ἀνεπιτήδειος, καὶ τῆς ἀκηδίας δοῦλος. παραγγέλλει οὖν στέλλεσθαι ἀπ' αὐτῶν, τουτέστιν, ἀφορίζεσθαι ὡς ἀπὸ λοιμικῆς νόσου. καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ' ἡμῶν· διὰ τῆς λέξεως ταύτης ἐμφαίνων, ὑπερηφάνους εἶναι καὶ καταφρονητάς, καὶ τῶν ἀποστολικῶν παραδόσεων καταλύτας. καὶ πάλιν φησίν, δωρεὰν οὐκ ἐφάγομεν ἄρτον παρά τινος· ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι. ὁ διδάσκαλος τῶν ἐθνῶν, ὁ κήρυξ τοῦ Εὐαγγελίου, ὁ μετάρσιος ἕως τρίτου οὐρανοῦ, ὁ λέγων τὸν Κύριον προστεταχέναι τοὺς τὸ Εὐαγγέλιον καταγγέλλοντας, ἐκ τοῦ Εὐαγγελίου ζῆν· ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας ἐργάζεται, πρὸς τὸ μὴ ἐπιβαρῆσαι τινά. τί τοίνυν ἡμεῖς ποιήσωμεν ἀκηδιῶντες ἀπὸ ἔργου, καὶ σωματικὴν ἀνάπαυσιν διώκοντες; οἷς οὔτε κήρυγμα Εὐαγγελίου ἐνεχειρίσθη, οὔτε τῶν ἐκκλησιῶν ἡ μέριμνα, ἀλλὰ τῆς ἰδίας μόνον ψυχῆς ἡ φροντίς; εἶτα σαφέστερον δεικνύων τὴν τικτομένην βλάβην ἐκ τῆς ἀργίας, ἐπιφέρει· μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους. ἀπὸ γὰρ ἀργίας, ἡ περιέργεια, καὶ ἀπὸ περιεργείας, ἀταξία, καὶ ἀπὸ ἀταξίας, πᾶσα κακία. κατασκευάζων δὲ πάλιν τὴν θεραπείαν αὐτοῖς, ἐπιφέρει· τοῖς δὲ τοιούτοις παραγγέλλομεν, ἐν ἡσυχίᾳ ἐργαζομένους, τὸν ἑαυτῶν ἄρτον ἐσθίειν. καὶ ἐπιπληκτικώτερον δὲ λέγει· εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. τούτοις τοῖς ἀποστολικοῖς διατάγμασιν οἱ κατὰ τὴν Αἴγυπτον ἅγιοι πατέρες πεπαιδευμένοι, οὐδένα καιρὸν εἶναι ἀργοὺς τοὺς μοναχοὺς ἐπιτρέπουσι· καὶ μάλιστα τοὺς νεωτέρους. εἰδότες, ὡς διὰ τῆς ὑπομονῆς τοῦ ἔργου καὶ τὴν ἀκηδίαν ἀπελαύνουσι, καὶ τὴν ἑαυτῶν τροφὴν προσπορίζουσι, καὶ τοῖς δεομένοις βοηθοῦσιν. οὐ μόνον γὰρ τῆς ἑαυτῶν ἕνεκεν χρείας ἐργάζονται, ἀλλὰ καὶ ξένοις, καὶ πτωχοῖς, καὶ τοῖς ἐν φυλακαῖς ἐκ τοῦ ἰδίου ἔργου ἐπιχορηγοῦσι· πιστεύοντες τὴν τοιαύτην εὐποιΐαν, θυσίαν ἁγίαν τῷ Θεῷ εὐπρόσδεκτον γενέσθαι. καὶ τοῦτο δὲ λέγουσιν οἱ πατέρες, ὅτι ὁ ἐργαζόμενος, ἑνὶ δαίμονι πολλάκις πολεμεῖ, καὶ ὑπ' αὐτοῦ θλίβεται· ὁ δὲ ἀργός, ὑπὸ μυρίων πνευμάτων αἰχμαλωτίζεται. καλὸν δὲ πρὸς τούτοις, καὶ λόγου ἐπιμνησθῆναι τοῦ ἀββᾶ Μωϋσέως τοῦ δοκιμωτάτου ἐν τοῖς πατράσιν, ὃν πρὸς ἐμὲ ἀπεφθέγξατο. καθεσθέντος γάρ μου ὀλίγον χρόνον ἐν τῇ ἐρήμῳ, ὠχλήθην ὑπὸ ἀκηδίας, καὶ παρέβαλον αὐτῷ, καὶ εἶπον, ὅτι χθὲς δεινῶς ὀχληθεὶς ὑπὸ τῆς ἀκηδίας, καὶ ἐξασθενήσας σφόδρα, οὐ πρότερον ἀπηλλάγην αὐτῆς, εἰμὴ ἀπῆλθον καὶ παρέβαλον τῷ ἀββᾷ Παύλῳ. ἀπεκρίνατο δέ μοι πρὸς ταῦτα ὁ ἀββᾶς Μωϋσῆς καὶ εἶπε· θάρσει, οὐ σεαυτὸν ἀπὸ ταύτης ἠλευθέρωσας, ἀλλὰ μᾶλλον ἔκδοτον, καὶ δοῦλον παρέδωκας. γίνωσκε τοίνυν, ὅτι βαρυτέρως σε, ὡς λειποτάκτην, καταπολεμήσει, εἰμὴ τοῦ λοιποῦ διὰ ὑπομονῆς, καὶ προσευχῆς, καὶ τοῦ ἔργου τῶν χειρῶν, ταύτην καταπαλαῖσαι σπουδάσεις.

## Περὶ κενοδοξίας.

Ἕβδομος ἡμῖν ἀγών, πρὸς τὸ πνεῦμα τῆς κενοδοξίας. πολύμορφον τοῦτο καὶ λεπτότατον πάθος, καὶ οὐ ταχέως, οὐδὲ ὑπ' αὐτοῦ τοῦ πειραζομένου, καταλαμβανόμενον. καὶ γὰρ τῶν ἄλλων παθῶν αἱ προσβολαὶ φανερώτεραι τυγχάνουσι, καὶ εὐκολωτέραν πως τὴν πρὸς αὐτὰς μάχην ἔχουσι, τῆς ψυχῆς ἐπιγινωσκούσης τὸν πολέμιον, καὶ διὰ τῆς ἀντιρρήσεως, καὶ προσευχῆς τοῦτον εὐθέως ἀνατρεπούσης. ἡ δὲ τῆς κενοδοξίας κακία, πολύμορφος



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὄντα, καθὰ εἴρηται, δυσκαταγώνιστος τυγχάνει. καὶ γὰρ ἐν παντὶ ἐπιτηδεύματι, καὶ ἐν φωνῇ, καὶ λόγῳ, καὶ σιωπῇ, καὶ ἐν ἔργῳ, καὶ ἀγρυπνίᾳ, καὶ ἐν νηστείαις, καὶ ἐν εὐχῇ, καὶ ἐν ἀναγνώσει, καὶ ἐν ἡσυχίᾳ, καὶ μακροθυμίᾳ. διὰ πάντων γὰρ τούτων ἐπιχειρεῖ τὸν στρατιώτην τοῦ Χριστοῦ κατατοξεύειν. καὶ γὰρ, ὅν τινα μὴ δυνηθῇ πολυτελείᾳ ἐνδυμάτων πρὸς κενοδοξίαν ἀπατῆσαι, τοῦτον δι' εὐτελοῦς ἐσθῆτος ἐπιχειρεῖ πειράζειν. καὶ ὃν οὐκ ἠδυνήθη διὰ τιμῆς ἐπᾶραι, τοῦτον διὰ τοῦ φέρειν δῆθεν ἀτιμίαν, εἰς ἀπόνοιαν αἴρει. καὶ ὃν οὐκ ἠδυνήθη πεῖσαι δι' ἐπιστήμην λόγων κενοδοξεῖν, διὰ σιωπῆς ὡς ἥσυχον δῆθεν δελεάζει. καὶ ὃν οὐκ ἠδυνήθη πεῖσαι διὰ πολυτελείας βρωμάτων χαυνῶσαι, τοῦτον διὰ νηστείας πρὸς ἔπαινον ἐκλύει. καὶ ἁπλῶς πᾶν ἔργον, πᾶν ἐπιτήδευμα, πρόφασιν πολέμου παρέχει τῷ πονηρῷ τούτῳ δαίμονι. ἔτι δὲ πρὸς τούτοις, καὶ κλῆρον φαντάζεσθαι ὑποβάλλει. μέμνημαι γάρ τινος γέροντος, ἡνίκα ἐν τῇ σκήτῃ διέτριβον, ἀπελθόντος εἰς κέλλαν τινὸς ἀδελφοῦ, ἐπισκέψεως χάριν, ὃς πλησιάσας αὐτοῦ τῇ θύρᾳ, ἤκουσεν ἔνδον λαλοῦντος αὐτοῦ· καὶ νομίσας ὁ γέρων ἀπὸ Γραφῆς αὐτὸν μελετᾶν, ἔστη ἀκροώμενος· καὶ αἰσθάνεται παραφρονοῦντος ὑπὸ τῆς κενοδοξίας, καὶ ἑαυτὸν χειροτονοῦντος Διάκονον, καὶ τοῖς κατηχουμένοις ἀπόλυσιν παρέχοντος. ὡς οὖν ἤκουσε τούτων ὁ γέρων, ὠθήσας τὴν θύραν εἰσῆλθε, καὶ ἀπαντήσας αὐτῷ ὁ ἀδελφὸς, προσεκύνησε κατὰ τὸ ἔθος, καὶ ἠξίου μαθεῖν παρ' αὐτοῦ, εἰ πολλὴν ὥραν ἔχει πρὸς τὴν θύραν ἱστάμενος· ὁ δὲ γέρων χαριέντως πρὸς αὐτὸν ἀπεκρίθη· ἄρτι, φησὶν, ἦλθον, ὅτε σὺ τὴν ἀπόλυσιν τοῖς κατηχουμένοις ἐπετέλεις. ὁ δὲ ἀδελφὸς ταῦτα ἀκούσας, ἔπεσε παρὰ τοὺς πόδας τοῦ γέροντος, καὶ παρεκάλει αὐτὸν εὔχεσθαι ὑπὲρ αὐτοῦ, ὅπως ῥυσθῇ ταύτης τῆς πλάνης. τούτου δὲ ἐμνήσθην, δεῖξαι βουλόμενος, εἰς πόσην ἀναισθησίαν φέρει τὸν ἄνθρωπον οὗτος ὁ δαίμων. ὁ βουλόμενος τοίνυν τελείως ἀθλῆσαι, καὶ τὸν τῆς δικαιοσύνης στέφανον τελείως ἀναδήσασθαι, πᾶσι τρόποις σπουδάσει τὸ πολύμορφον τοῦτο θηρίον νικῆσαι· πρὸ ὀφθαλμῶν ἔχων πάντοτε τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον· Κύριος διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων. καὶ μηδὲν ποιείτω περιβλεπτόμενος τὸν τῶν ἀνθρώπων ἔπαινον. ἀλλὰ τὸν παρὰ τοῦ Θεοῦ μισθὸν μόνον ἐπιζητείτω· καὶ ἀπορρίπτων ἀεὶ τοὺς ἐπερχομένους ἐν τῇ καρδίᾳ αὐτοῦ λογισμοὺς, καὶ ἐπαινοῦντας αὐτόν. ἐξουδενείτω ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ· οὕτως γὰρ δυνήσεται, σὺν Θεῷ, ἀπαλλαγῆναι τοῦ πνεύματος τῆς κενοδοξίας.

## Περὶ Ὑπερηφανίας

Ὄγδοος ἡμῖν ἀγών ἐστιν ὁ κατὰ τοῦ πνεύματος τῆς Ὑπερηφανίας. χαλεπώτατος οὗτος, καὶ πάντων τῶν προτέρων ἀγριώτερος. τοὺς τελείους μάλιστα πολεμῶν, καὶ σχεδὸν τοὺς εἰς τὸ ὕψος τῶν ἀρετῶν ἀναβεβηκότας ἐπιχειρῶν καταστρέφειν. καὶ καθάπερ νόσος λοιμικὴ, καὶ φθοροποιὸς, οὐχ ἓν μέλος τοῦ σώματος, ἀλλ' ὅλον διαφθείρει· οὕτως ἡ Ὑπερηφανία, οὐ μέρος τῆς ψυχῆς, ἀλλὰ πᾶσαν αὐτὴν διαφθείρει. καὶ τῶν μὲν ἄλλων παθῶν ἕκαστον, εἰ καὶ ταράσσει τὴν ψυχὴν, ἀλλὰ πρὸς μίαν τὴν ἀντικειμένην αὐτῷ ἀρετὴν πολεμοῦν, καὶ ταύτην νικῆσαι φιλονεικοῦν, ἐκ μέρους ἐπισκοτοῖ τὴν ψυχὴν, καὶ ταράσσει αὐτήν· τὸ δὲ τῆς ὑπερηφανίας πάθος πᾶσαν αὐτὴν σκοτοῖ, καὶ εἰς ἐσχάτην πτῶσιν κατάγει. καὶ ἵνα σαφέστερον νοήσωμεν τὸ εἰρημένον, σκοπήσωμεν οὕτως. ἡ γαστριμαργία, τὴν

ἐγκράτειαν ἀποδίζει διαφθείρει· ἡ πορνεία, τὴν σωφροσύνην· ἡ φιλαργυρία, τὴν ἀκτημοσύνην· ὁ θυμὸς, τὴν πραότητα· καὶ τὰ λοιπὰ τῆς κακίας εἴδη, τὰς ἐναντίας ἀρετάς. ἡ δὲ τῆς Ὑπερηφανίας κακία, ὅταν κυριεύσῃ τῆς ἀθλίας ψυχῆς, ὥσπερ τὶς χαλεπώτατος τύραννος, μεγάλην πόλιν καὶ ὑψηλὴν παραλαβὼν, ὅλην αὐτὴν καταστρέφει, καὶ ἕως θεμελίων κατασκάπτει. καὶ μάρτυς τούτου ὁ Ἄγγελος ἐκεῖνος ὁ ἐκ τοῦ οὐρανοῦ πεσὼν διὰ τὴν ὑπερηφανίαν· ὃς ὑπὸ τοῦ Θεοῦ κτισθεὶς, καὶ πάσῃ ἀρετῇ, καὶ σοφίᾳ κατακοσμηθεὶς, οὐ τῇ τοῦ Δεσπότου χάριτι ἠβουλήθη ταῦτα ἐπιγράφειν, ἀλλὰ τῇ ἰδίᾳ φύσει. ὅθεν καὶ ἴσον ἑαυτὸν ὑπελάμβανε τῷ Θεῷ εἶναι. καὶ ταύτην αὐτοῦ τὴν ἐνθύμησιν ἐλέγχων ὁ Προφήτης ἔλεγεν· εἶπας ἐν τῇ καρδίᾳ σου, καθιῶ ἐν ὄρει ὑψηλῷ· θήσω τὸν θρόνον μου ἐπὶ τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ· σὺ δὲ ἄνθρωπος εἶ, καὶ οὐ Θεός. καὶ πάλιν ἄλλος Προφήτης λέγει· τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ. ταῦτα τοίνυν γινώσκοντες, φοβηθῶμεν, καὶ πάσῃ φυλακῇ τηρήσωμεν τὴν ἑαυτῶν καρδίαν ἀπὸ τοῦ θανατηφόρου πνεύματος τῆς ὑπερηφανίας· ἐπιλέγοντες ἑαυτοῖς ἀεὶ τὸ τοῦ Ἀποστόλου, ὅταν ἀρετήν τινὰ κατορθώσωμεν, τὸ, οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. καὶ τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον· ὅτι χωρὶς ἐμοῦ, οὐ δύνασθε ποιεῖν οὐδέν. καὶ τὸ ὑπὸ τοῦ Προφήτου εἰρημένον· ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. καὶ τὸ, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. καὶ γὰρ εἰ καὶ μάλιστα ἔσται τὶς ζέων τῇ προθυμίᾳ, καὶ σπουδαῖος τῇ προαιρέσει, σαρκὶ συνδεδεμένος καὶ αἵματι, οὐ δυνήσεται πρὸς τελειότητα φθάσαι, εἰ μὴ τῷ ἐλέει τοῦ Χριστοῦ, καὶ τῇ χάριτι αὐτοῦ. καὶ γὰρ ὁ Ἰάκωβος φησὶν, πᾶσα δόσις ἀγαθὴ, ἄνωθεν ἐστίν. καὶ ὁ Ἀπόστολος Παῦλος· τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβὼν, ἀλλ' ὡς ἐπὶ ἰδίοις ἐπαιρόμενος; ὅτι δὲ χάριτι, καὶ ἐλέει Θεοῦ ἡ σωτηρία ἡμῖν προσγίνεται, μάρτυς ἀληθὴς ὁ λῃστὴς ἐκεῖνος· ὃς οὐκ ἀρετῆς ἆθλον τὴν Βασιλείαν τῶν οὐρανῶν ἐκομίσατο, ἀλλὰ χάριτι Θεοῦ, καὶ ἐλέει. ταῦτα οἱ πατέρες ἡμῶν ἐπιστάμενοι πάντες, μιᾷ γνώμῃ παραδεδώκασι, μὴ ἄλλως δύνασθαι πρὸς τελείωσιν ἀρετῆς φθάσαι, ἢ μὴ διὰ ταπεινώσεως· ἥτις ἀπὸ πίστεως, καὶ φόβου Θεοῦ, καὶ πραότητος, καὶ τελείας ἀκτημοσύνης προσγίνεσθαι πέφυκεν· δι' ὧν καὶ ἡ τελεία ἀγάπη κατορθοῦται. χάριτι, καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ ΟΣΙΟΥ,

## ΠΡΟΣ ΛΕΟΝΤΙΟΝ ΗΓΟΥΜΕΝΟΝ,

### Περὶ τῶν κατὰ τὴν σκήτην Ἁγίων Πατέρων, καὶ περὶ διακρίσεως, Λόγος ὠφελείας πολλῆς ἀνάμεστος.

ΤΟ' χρέος ὅπερ ἐπηγγειλάμην τῷ μακαριωτάτῳ Πάπᾳ Κάστορι, περὶ τῆς διηγήσεως τοῦ τε βίου τῶν Ἁγίων Πατέρων, καὶ τῆς τούτων διδασκαλίας, μερικῶς ἀποδεδωκὼς ἐν τοῖς παρ' ἐμοῦ πρὸς αὐτὸν πάλαι γραφεῖσιν, ἁγιώτατε Λεόντιε· περί τε διατυπώσεως κοινοβίων, καὶ περὶ τῶν ὀκτὼ τῆς κακίας λογισμῶν· νῦν προεθέμην ἀποπληρῶσαι. Ἐπειδὴ δὲ μεμάθηκα, ὅτι ἀπολιπὼν ἡμᾶς ὁ προειρημένος ἀρχιερεὺς μετῴκησε πρὸς τὸν Χριστὸν, ἀναγκαῖον ἡγησάμην, σοὶ τῷ διαδεξαμένῳ τὴν ἐκείνου ἀρετὴν, καὶ τὴν τοῦ μοναστηρίου, σὺν Θεῷ, φροντίδα, τὰ λείποντα τῷ διηγήματι ἀναπληρώσας ἀποστεῖλαι. Ὅτε τοίνυν ἐν τῇ ἐρήμῳ τῆς σκήτεως, ὅπου τῶν μοναχῶν οἱ δοκιμώτατοι πατέρες, παραγεγόναμεν ἐγώ τε, καὶ ὁ ἅγιος Γερμανός· ὃς ἐκ πρώτης ἡλικίας φίλος μου πνευματικὸς ἐγεγόνει, ἐν τοῖς παιδευτηρίοις, καὶ ἐν τῇ στρατείᾳ, καὶ ἐν τῷ μονήρει βίῳ· ἐθεασάμεθα τὸν ἀββᾶν Μωϋσῆν, ἄνδρα ἅγιον, οὐ μόνον πρακτικαῖς ἀρεταῖς, ἀλλὰ καὶ θεωρίᾳ πνευματικῇ διαλάμποντα. τοῦτον οὖν παρεκαλοῦμεν μετὰ δακρύων, εἰπεῖν ἡμῖν λόγον οἰκοδομῆς, δι' οὗ δυνησόμεθα ἐπιβῆναι τῆς τελειότητος. Ὅστις πολλὰ παρακληθεὶς ἔλεγε· τέκνα, πᾶσαι, φησὶν, αἱ ἀρεταὶ, καὶ τὰ ἐπιτηδεύματα, σκοπόν τινα ἔχουσι· πρὸς ὅνπερ οἱ ἀφορῶντες, ἑαυτοὺς ῥυθμίζοντες, τοῦ ποθουμένου τέλους ἐπιτυγχάνουσι. καὶ γὰρ ὁ γεωργὸς, ποτὲ μὲν ἡλίου τὴν φλόγα, ποτὲ δὲ τοῦ ψύχους τὸ κρύος ὑπομένων, προθύμως τὴν γῆν ἐργάζεται· σκοπὸν ἔχων, καθαρὰν ταύτην ἀκανθῶν καὶ βοτανῶν ἀποδεῖξαι· τέλος δὲ, τὴν ἐκ τῶν καρπῶν ἀπόλαυσιν. καὶ ὁ πραγματευόμενος, οὔτε τοὺς ἐκ θαλάττης, οὔτε τοὺς ἐκ γῆς κινδύνους ὑφορώμενος, προθύμως ἑαυτὸν ἐπιδίδωσι τῇ πραγματείᾳ· σκοπὸν ἔχων, τὸ ἐξ αὐτῆς κέρδος· τέλος δὲ, τὴν ἐκ τοῦ κέρδους ἀπόλαυσιν. καὶ ὁ στρατευόμενος, οὔτε τοὺς ἐκ τῶν πολέμων κινδύνους, οὔτε τὰς ἐκ τῆς ξενιτείας ταλαιπωρίας ὑφορᾶται· σκοπὸν ἔχων, τὴν ἐκ τῆς ἀνδραγαθίας προκοπὴν ἐν ἀξιώματι· τέλος δὲ, τὸ ἐκ τοῦ ἀξιώματος κέρδος. ἔχει τοίνυν καὶ ἡ ἡμετέρα ἐπαγγελία σκοπὸν, καὶ τέλος ἴδιον, ὑπὲρ οὗ πάντας πόνους καὶ καμάτους ὑπομένομεν προθύμως. διὰ γὰρ τοῦτο ἡ τῶν νηστειῶν ἀσιτία, οὐ καταπονεῖ ἡμᾶς· ὁ τῶν ἀγρυπνιῶν κόπος, τέρπει· ἡ ἀνάγνωσις καὶ ἡ μελέτη τῶν Γραφῶν, προθύμως γίνεται· καὶ κάματος ἔργου, καὶ ὑπακοὴ, καὶ γύμνωσις πάντων τῶν γηΐνων πραγμάτων, καὶ ἡ ἐν ταύτῃ τῇ ἐρήμῳ διατριβὴ, ἡδέως ἐπιτελεῖται. ὑμεῖς δὲ καταφρονήσαντες πατρίδος, καὶ γένους, καὶ ὅλου τοῦ κόσμου; καὶ τὴν ξενιτείαν καταδεξάμενοι, καὶ πρὸς ἡμᾶς ἀνθρώπους ἀγροίκους καὶ ἰδιώτας παραγενόμενοι, εἴπατέ μοι ποῖός ἐστιν ὁ ὑμέτερος σκοπός; καὶ εἰς ὁποῖον τέλος ἀφορῶντες, τοῦτο πεποιήκατε; Ἀποκριθέντες δὲ, εἴπομεν· διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Πρὸς ὅπερ ὁ ἀββᾶς Μωϋσῆς, καλῶς, μὲν φησι, περὶ τοῦ τέλους

Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἰρήκατε· τίς δέ ἐστιν ὁ σκοπὸς, πρὸς ὃν ἀποβλέποντες, καὶ μὴ ἐκκλίνοντες τῆς ἀληθείας ὁδοῦ, δυνάμεθα τυχεῖν τῆς βασιλείας τῶν οὐρανῶν; οὐκ εἰρήκατε. Καὶ ὅτε ἀγνοεῖν ὡμολογήσαμεν, ὁ γέρων ἀπεκρίνατο· τέλος μὲν οὖν τῆς ἡμετέρας ἐπαγγελίας, ὡς εἴρηται, ἡ βασιλεία ἐστὶ τοῦ Θεοῦ· σκοπὸς δὲ, ἡ τῆς καρδίας καθαρότης· ἧς χωρὶς, ἀδύνατον ἐστιν εἰς ἐκεῖνο τὸ τέλος ἐλθεῖν. Ἐν τούτῳ τοίνυν τῷ σκοπῷ, πάντοτε ὁ ἡμέτερος νοῦς ἔστω· κἂν ποτε συμβῇ πρὸς ὀλίγον τὴν καρδίαν τῆς ἀληθείας ἐκκλῖναι ὁδοῦ, παραυτίκα ταύτην ἐπανάξωμεν, ὥσπερ τεκτονικῷ κανόνι, τῷ σκοπῷ ἀπευθύνοντες. τοῦτο καὶ ὁ μακάριος Παῦλος ὁ Ἀπόστολος ἐπιστάμενος, φησί· τῶν μὲν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω, ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ. ὑπὲρ τούτου τοίνυν τοῦ σκοποῦ, καὶ ἡμεῖς πάντα διαπραττόμεθα· ὑπὲρ τούτου, πάντων καταφρονοῦμεν, καὶ πατρίδος, καὶ γονέων, καὶ χρημάτων, καὶ ὅλου τοῦ κόσμου· ἵνα τὴν καθαρότητα τῆς καρδίας κτησώμεθα. εἰ δὲ τοῦ σκοποῦ τούτου λήθην ποιησόμεθα, ἐπάναγκές ἐστιν, ὡς ἐν σκοτίᾳ περιπατοῦντας, καὶ ἔξω τῆς ἀληθείας βαδίζοντας, πολλὰ προσκόπτειν, καὶ πολλὰ πλανᾶσθαι. τοῦτο γὰρ πολλοῖς συνέβη· οἵτινες ἐν ἀρχῇ τῆς ἀποταγῆς καταφρονήσαντες πλούτου, καὶ χρημάτων, καὶ ὅλου τοῦ κόσμου, ὕστερον ὑπὲρ ἀκέλλης, καὶ ῥαφίδος, καὶ καλάμου, καὶ βιβλίου, συγκινοῦσι τὸν θυμὸν καὶ τὴν ὀργήν· οὐκ ἂν τοῦτο παθόντες, εἰ ἐμνημόνευον τοῦ σκοποῦ, δι᾽ ὃν, πάντων τῶν πραγμάτων κατεφρόνησαν. διὰ γὰρ τὴν τῶν πλησίον ἀγάπην, πλούτου καταφρονοῦμεν· ἵνα μὴ ὑπὲρ τούτου μαχόμενοι, καὶ τὴν τῆς ὀργῆς διάθεσιν αὐξάνοντες, ἐκπέσωμεν τῆς ἀγάπης. ὅταν οὖν ἐν ταῖς μικραῖς ὕλαις, τὴν αὐτὴν τῆς ὀργῆς διάθεσιν πρὸς τὸν ἀδελφὸν ἐπιδεικνύμεθα, ἐκπεπτώκαμεν τοῦ σκοποῦ, καὶ ὄφελος οὐδὲν ἡμῖν τῆς ἀποταγῆς. ὅπερ καὶ ὁ μακάριος Ἀπόστολος ἐπιστάμενος, ἔλεγε· κἂν δῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. ὅθεν μανθάνομεν τὴν τελείωσιν, οὐ παραχρῆμα τῇ γυμνότητι, καὶ τῇ ἀποταγῇ τῶν πραγμάτων ἐπισυμβαίνειν, ἀλλὰ μετὰ τὴν τῆς ἀγάπης κατόρθωσιν· ἧς τινος τὰ ἰδιώματα, ὁ αὐτὸς Ἀπόστολος διαγράφει· ἡ ἀγάπη, λέγων, οὐ ζηλοῖ, οὐ φυσιοῦται, οὐκ ὀργίζεται, οὐ φθονεῖ, οὐ περπερεύεται, οὐ λογίζεται τὸ κακόν. ταῦτα δὲ πάντα, καθαρότητα συνίστησι καρδίας. διὰ ταύτην δεῖ πάντα πράττειν· καὶ χρημάτων καταφρονεῖν· καὶ νηστείας καὶ ἀγρυπνίας ἡδέως ἀνέχεσθαι· καὶ ἀναγνώσμασι καὶ ψαλμοῖς προσομιλεῖν· οὐ μέντοι διὰ τὰ προειρημένα, ἐκείνης ἀμελεῖν, εἴποτε συμβῇ κατά τινα ἀναγκαίαν, καὶ κατὰ Θεὸν ἀσχολίαν, ἀπὸ τῆς συνήθους νηστείας καὶ ἀναγνώσεως ἐμποδισθῆναι. οὔτε γὰρ τοσοῦτον ἐστὶ κέρδος νηστείας, ὅσον ὀργῆς ζημία· οὐδὲ τοσαύτη ἐκ τῆς ἀναγνώσεως ὠφέλεια, ὅση βλάβη ἐκ τοῦ περιφρονῆσαι τοῦ ἀδελφοῦ, καὶ λυπῆσαι τοῦτον. καὶ γὰρ αἱ νηστεῖαι, καὶ ἀγρυπνίαι, καὶ ἡ μελέτη τῶν Γραφῶν, καὶ ἡ γύμνωσις τοῦ πλούτου, καὶ ἡ ἀποταγὴ ὅλου τοῦ κόσμου, οὐκ ἔστι τελειότης, καθὰ εἴρηται, ἀλλὰ τελειότητος ἐργαλεῖα. ἐπειδὴ οὐκ ἐν τούτοις εὑρίσκεται ἡ τελειότης, ἀλλὰ διὰ τούτων προσγίνεται· εἰς μάτην τοίνυν ἐπὶ νηστείᾳ, καὶ ἀγρυπνίᾳ, καὶ ἀκτημοσύνῃ, καὶ ἀναγνώσει Γραφῶν ἐγκαυχώμεθα, ὅταν μὴ τὴν πρὸς τὸν Θεὸν, καὶ τὸν πλησίον ἀγάπην κατορθώσωμεν. ὁ γὰρ κατορθώσας τὴν ἀγάπην, ἐν ἑαυτῷ ἔχει τὸν Θεόν· καὶ ὁ νοῦς αὐτοῦ ἀεὶ μετὰ τοῦ Θεοῦ ἐστι.

Πρὸς ταῦτα ὁ Γερμανός· καὶ τίς δύνα-

ται τῇ σαρκὶ ταύτῃ συνδεδεμένος, ἔχειν τὸν νοῦν ἀεὶ μετὰ τοῦ Θεοῦ, ὡς μηδὲν ἄλλο ἐνθυμεῖσθαι; μὴ περὶ ἐπισκέψεως ἀσθενούντων· μὴ περὶ ὑποδοχῆς ξένων· μὴ περὶ ἐργοχείρου, ἢ τῶν λοιπῶν χρειῶν τοῦ σώματος, ἀναγκαίων ὄντων καὶ ἀπαραιτήτων; τὸ τελευταῖον, πῶς δυνήσεται διάνοια ἀνθρωπίνη, τὸν ἀόρατον καὶ ἀκατάληπτον Θεὸν ἀεὶ βλέπειν, καὶ ἀχώριστος αὐτοῦ εἶναι. Ὁ Μωϋσῆς εἶπεν· ὁρᾶν μὲν ἀεὶ Θεὸν, καὶ ἀχώριστον εἶναι αὐτοῦ, τῷ τρόπῳ ᾧ νομίζετε, ἀδύνατον ἀνθρώπῳ σάρκα φοροῦντι, καὶ ἀσθενείᾳ συνεζευγμένῳ. ἑτέρῳ δὲ τρόπῳ, δυνατὸν ὁρᾶν Θεόν. ἡ γὰρ τοῦ Θεοῦ θεωρία, πολλαχῶς λαμβάνεται καὶ θεωρεῖται. καὶ γὰρ ὁ Θεὸς, οὐκ ἐν μόνῃ τῇ μακαρίᾳ, καὶ ἀκαταλήπτῳ αὐτοῦ οὐσίᾳ γνωρίζεται· τοῦτο γὰρ ἐν τῷ μέλλοντι αἰῶνι, τοῖς Ἁγίοις αὐτοῦ μόνοις τετήρηται· ἀλλὰ καὶ ἐκ τῆς μεγαλειότητος, καὶ καλλονῆς τῶν αὐτοῦ κτισμάτων· καὶ ἐκ τῆς καθ' ἡμέραν γινομένης διοικήσεως αὐτοῦ καὶ προνοίας, γνωρίζεται· καὶ ἐκ τῆς δικαιοσύνης αὐτοῦ· καὶ ἐκ τῶν θαυμασίων, ὧν καθ' ἑκάστην γενεὰν εἰς τοὺς Ἁγίους αὐτοῦ ἐπιδείκνυται. ὅταν γὰρ ἐννοήσωμεν τὸ ἀμέτρητον τῆς αὐτοῦ δυνάμεως· καὶ τὸν ἀκοίμητον αὐτοῦ ὀφθαλμὸν, τὸν τὰ κρυπτὰ τῶν καρδιῶν ἐφορῶντα, καὶ ὃν λαθεῖν οὐδὲν δύναται· φόβῳ καρδίας συσχεθέντες, τοῦτον θαυμάζομέν τε καὶ προσκυνοῦμεν. ὅταν ἐννοήσωμεν ὅτι ἀριθμηταὶ αὐτῷ εἰσι σταγόνες ὑετοῦ, καὶ ψάμμος θαλάσσης, καὶ ἀστέρες οὐρανοῦ, ἐκπληττόμεθα ἐπὶ τῷ μεγαλείῳ τῆς φύσεως καὶ τῆς σοφίας. ὅταν ἐννοήσωμεν τὴν ἄρρητον καὶ ἀδιήγητον αὐτοῦ σοφίαν, καὶ φιλανθρωπίαν, καὶ τὴν ἀκατάληπτον μακροθυμίαν, βαστάζουσαν τὰ ἀναρίθμητα πταίσματα τῶν ἁμαρτανόντων, δοξάζομεν τοῦτον. ὅταν ἐννοήσωμεν τὴν μεγάλην αὐτοῦ εἰς ἡμᾶς ἀγάπην, ὅτι μηδὲν ἀγαθὸν ἡμῶν ἐργασαμένων, κατηξίωσεν ἄνθρωπος γενέσθαι, Θεὸς ὤν, ἵνα σώσῃ ἡμᾶς ἐκ τῆς πλάνης, διεγειρόμεθα πρὸς τὸν πόθον αὐτοῦ. ὅταν ἐννοήσωμεν, ὅτι τὸν ἀντίδικον ἡμῶν διάβολον αὐτὸς ἐν ἡμῖν νικῶν, ὑπὲρ μόνης τῆς προαιρέσεως, καὶ τῆς ἐπὶ τὸ ἀγαθὸν νεύσεως, αἰωνίαν ἡμῖν δωρεῖται ζωὴν, προσκυνοῦμεν αὐτόν. Εἰσὶ δὲ καὶ ἄλλαι τοιουτότροποι ἀναρίθμητοι θεωρίαι, αἵτινες κατὰ τὴν ἀναλογίαν τῆς ἐργασίας ἡμῶν, καὶ κατὰ τὸ μέτρον τῆς καθάρσεως ἐν ἡμῖν ἀναφύονται, δι' ὧν ὁρᾶται Θεὸς καὶ νοεῖται. Πάλιν οὖν ἠρώτησεν ὁ Γερμανός· πόθεν οὖν συμβαίνει τοῦτο; ὅτι πολλάκις μὴ θελόντων ἡμῶν, πολλαὶ ἐνθυμήσεις, καὶ πονηροὶ λογισμοὶ παρενοχλοῦσι, καὶ σχεδὸν ἀγνοούντων ἡμῶν, κλέπτουσιν ἡμᾶς, λανθανόντως καὶ λεπτῶς ἐπεισερχόμενοι· ὡς μὴ μόνον μὴ δύνασθαι κωλύειν ἔρχεσθαι αὐτούς, ἀλλὰ καὶ δυσχέρειαν πολλὴν εἶναι ἐπιγινώσκειν αὐτούς; καὶ εἰ δυνατόν ἐστι τὴν διάνοιαν παντελῶς σχολάζειν ἀπὸ τούτων, καὶ μηδαμῶς παρενοχλεῖσθαι, μαθεῖν ἀξιοῦμεν. Ὁ Μωϋσῆς εἶπεν· διάνοιαν μὲν μὴ παρενοχλεῖσθαι ταῖς ἐνθυμήσεσι ταύταις, ἀδύνατον· δέχεσθαι δὲ ταύτας, καὶ ἐμμελετᾷν αὐταῖς, ἢ ἀπορρίπτειν αὐτὰς, παντὶ τῷ σπουδάζοντι δυνατόν. ὥσπερ γὰρ τὸ ἔρχεσθαι αὐτὰς, οὐκ ἔστιν ἐν ἡμῖν· οὕτως ἡ ἀποδίωξις αὐτῶν, ἐν ἐξουσίᾳ κεῖται ἡμῶν· καὶ ἡ ἐπανόρθωσις δὲ τῆς ἡμετέρας διανοίας, ἐν τῇ ἡμῶν ἐστι προαιρέσει, καὶ σπουδῇ. ὅταν γὰρ συνετῶς, καὶ συνεχῶς μελετῶμεν τὸν νόμον τοῦ Θεοῦ, εἰς ψαλμούς τε καὶ ᾠδὰς ἀδολεσχῶμεν, νηστείαις τε καὶ ἀγρυπνίαις προσασχολώμεθα, καὶ μνημονεύωμεν συνεχῶς τῶν μελλόντων, τῆς τε βασιλείας τῶν οὐρανῶν, καὶ τῆς γεέννης τοῦ πυρὸς, καὶ πάντων τῶν ἔργων τοῦ Θεοῦ, οἱ πονηροὶ λογισμοὶ ἐλαττοῦνται, καὶ τόπον οὐχ εὑρίσκουσιν. ὅταν δὲ κοσμι-

κῶς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καῖς φροντίσι καὶ σαρκικοῖς πράγμασιν ἐνασχολώμεθα, καὶ ὁμιλίαις ματαίαις, ἢ ἀργαῖς ἑαυτοὺς ἐκδιδῶμεν, πλεονάζουσιν ἐν ἡμῖν οἱ φαῦλοι λογισμοί. ὥσπερ γὰρ μύλον ἐξ ὑδάτων κινούμενον, ἀδύνατον ἀργῆσαι τῆς κινήσεως· ἐν ἐξουσίᾳ δὲ ἐστὶ τοῦ ἐφεστῶτος τῷ μύλῳ σῖτον ἀλέσαι, ἢ ζιζάνιον· οὕτως ἡ διάνοια ἡμῶν ἀεικίνητος οὖσα, οὐ δύναται ἀργεῖν ἀπὸ λογισμῶν· ἐν ἡμῖν δὲ ἐστι, δοῦναι αὐτῇ, ἢ πνευματικὴν μελέτην, ἢ σαρκικὴν ἐργασίαν. Πρὸς ταῦτα θαυμάζοντας ἡμᾶς ὁ γέρων βλέπων, καὶ ἐκπληττομένους, καὶ πρὸς τοὺς λόγους αὐτοῦ ἀκορέστῳ πόθῳ διακειμένους, πρὸς ὀλίγον σιωπήσας, πάλιν εἶπεν· Ἐπειδὴ εἰς μῆκος τοσοῦτον, τὸν λόγον ἐξέτεινεν ὁ ὑμέτερος πόθος, καὶ ἔτι πρόθυμοι ἐστέ· ὡς ἐκ τούτου στοχάζεσθαί με, διψᾶν ὑμᾶς ἐν ἀληθείᾳ τῆς τελειότητος τὴν διδαχήν· βούλομαι ὑμῖν περὶ τοῦ ἐξαιρέτου ἀγαθοῦ τῆς διακρίσεως, διαλεχθῆναι· ἥτις μεταξὺ τῶν λοιπῶν ἀρετῶν, ἀκρόπολίς τις, καὶ βασιλὶς τυγχάνει. καὶ δεῖξαι τὴν ὑπεροχὴν αὐτῆς, καὶ τὸ ὕψος, καὶ τὴν ὠφέλειαν, οὐ μόνον ἐκ τῶν ἡμετέρων λόγων, ἀλλὰ καὶ ἀρχαίαις τῶν Πατέρων γνώμαις, τοῦ Κυρίου τὴν χάριν κατὰ τὴν ἀξίαν καὶ τὸν πόθον τῶν ἀκροωμένων, τοῖς ἐξηγουμένοις παρέχοντος. Ἔστι γὰρ οὐ μικρὰ ἀρετὴ, ἀλλὰ καὶ τῶν ἐπισημοτάτων τοῦ Ἁγίου Πνεύματος χαρισμάτων τυγχάνουσα· ἐν οἷς φησιν ὁ Ἀπόστολος· ἄλλῳ δίδοται διὰ τοῦ Πνεύματος, λόγος σοφίας· ἄλλῳ, λόγος γνώσεως, κατὰ τὸ αὐτὸ πνεῦμα· ἄλλῳ, πίστις, ἐν τῷ αὐτῷ πνεύματι· ἄλλῳ, χαρίσματα ἰαμάτων· ἄλλῳ, διακρίσεις πνευμάτων. Εἶτα συμπληρωθέντος τοῦ καταλόγου τῶν πνευματικῶν χαρισμάτων, ἐπιφέρει· πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα. Ὁρᾶτε τοίνυν οὐ γήϊνον, οὐδὲ μικρὸν εἶναι τῆς διακρίσεως τὸ δῶρον, ἀλλὰ τῆς θείας χάριτος μέγιστον δῶρον· ἥντινα εἰ μὴ ὁ μοναχὸς πάσῃ δυνάμει καὶ σπουδῇ ἐπακολουθήσῃ, καὶ τῶν ἀνερχομένων εἰς αὐτὸν πνευμάτων τὴν διάκρισιν βεβαίῳ λογισμῷ κτήσηται, ἐπάναγκές ἐστιν αὐτὸν, ὡς ἐν νυκτὶ πλανώμενον, οὐ μόνον τοῖς χαλεπωτάτοις τῆς κακίας βόθροις περιπίπτειν, ἀλλὰ καὶ ἐν τοῖς ὁμαλοῖς καὶ ὀρθοῖς προσκόπτειν. μέμνημαι γοῦν ποτε ἐν τοῖς χρόνοις τῆς νεότητός μου, γενόμενος ἐν τοῖς μέρεσι Θηβαΐδος, ὅπου ὁ μακάριος Ἀντώνιος διέτριβε, Γέροντας συναχθῆναι πρὸς αὐτὸν, καὶ ζήτησιν μετ᾽ αὐτοῦ ποιεῖσθαι περὶ τελειότητος ἀρετῆς· ποία ἄρα πασῶν ἂν εἴη μείζων τῶν ἀρετῶν, καὶ δυναμένη τὸν μοναχὸν ἐκ τῶν δικτύων τοῦ διαβόλου καὶ τῆς ἀπάτης αὐτοῦ, ἀβλαβῆ διαφυλάττειν; Ἕκαστος τοίνυν, κατὰ τὴν κατάληψιν τῆς αὐτοῦ διανοίας, ἐδίδου γνώμην. Καὶ οἱ μὲν, ἔλεγον νηστείαν καὶ ἀγρυπνίαν· ὡς διὰ τούτων τῆς διανοίας λεπτυνομένης, καὶ ἁγνείας προσγινομένης, εὐχερέστερον τῷ Θεῷ δύνασθαι προσεγγίζειν. Ἄλλοι δὲ, τὴν ἀκτημοσύνην, καὶ καταφρόνησιν τῶν οἰκείων πραγμάτων· ὡς ἐκ τούτου τῆς διανοίας ἐκλυτρουμένης τῶν πολυπλόκων χοινίων τῆς κοσμικῆς μερίμνης, δύνασθαι εὐχερέστερον τῷ Θεῷ προσεγγίζειν. Ἄλλοι τῆς ἐλεημοσύνης τὴν ἀρετὴν προέκριναν· ὡς τοῦ Κυρίου ἐν Εὐαγγελίοις λέγοντος· δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· καὶ τὰ ἑξῆς. Καὶ ὅτε τοῦτον τὸν τρόπον, διαφόροις ἀρεταῖς ἕκαστος, κατὰ τὴν δοκοῦσαν αὐτῷ γνώμην, ἔλεγε Θεῷ μᾶλλον δύνασθαι τὸν ἄνθρωπον προσεγγίζειν, καὶ παρεληλύθει τὸ πολὺ μέρος τῆς νυκτὸς, τῇ ζητήσει ταύτῃ προσαναλωθέν· ἔσχατος πάντων ὁ μακάριος Ἀντώνιος ἀπεκρίνατο· ταῦτα



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μὲν πάντα ἃ εἰρήκατε, καὶ ἀναγκαῖα τυγχάνει, καὶ συμφέροντα τοῖς ζητοῦσι τὸν Θεόν, καὶ πρὸς αὐτὸν ἐπιθυμοῦσιν ἐλθεῖν· ἀλλὰ ταύταις ταῖς ἀρεταῖς τὰ πρωτεῖα παρασχεῖν οὐ συγχωρεῖ ἡμῖν, τὸ ἑωρακέναι ἡμᾶς πολλοὺς καὶ νηστείαις καὶ ἀγρυπνίαις κατατριβέντας, καὶ ἐν ἐρήμῳ ἑαυτοὺς ἀποχωρήσαντας· καὶ ἀκτημοσύνην εἰς ἄκρον ἀσκήσαντας οὕτως, ὡς μηδὲ τὴν καθημερινὴν τροφὴν ἑαυτοῖς καταλιμπάνειν· καὶ τὴν ἐλεημοσύνην κατορθώσαντας ἐπὶ τοσοῦτον, ὡς μὴ ἐπαρκεῖν αὐτοῖς τὰ ὄντα πρὸς διάδοσιν· καὶ μετὰ ταῦτα, ἐλεεινῶς ἐκπεπτωκότας τῆς ἀρετῆς, καὶ πρὸς κακίαν ὀλισθήσαντας. τί τοίνυν τὸ ποιῆσαν αὐτοὺς ἀποσφαλῆναι τῆς εὐθείας ὁδοῦ; οὐκ ἄλλο τι, κατὰ τὸν ἐμὸν ὅρον, καὶ τὴν ἐμὴν γνώμην, ἢ τὸ μὴ ἐσχηκέναι αὐτοὺς τὸ τῆς διακρίσεως χάρισμα. αὕτη γὰρ διδάσκει τὸν ἄνθρωπον, καταλιμπάνοντα τὴν ἐφ' ἑκάτερα μέρη ὑπερβολήν, ὁδῷ βασιλικῇ βαδίζειν· καὶ οὔτε δι' ἐγκρατείας ἀμέτρου συγχωρεῖ ἐκ τῶν δεξιῶν κλέπτεσθαι, οὔτε πρὸς ἀδιαφορίαν καὶ χαύνωσιν ἐκ τῶν ἀριστερῶν κατασύρεσθαι. καὶ γὰρ ὀφθαλμός τις τῆς ψυχῆς καὶ λύχνος, ἡ διάκρισις ὑπάρχει, κατ' ἐκείνην τὴν εὐαγγελικὴν φωνὴν τὴν λέγουσαν· ὁ λύχνος τοῦ σώματος ἐστὶν ὁ ὀφθαλμός· ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς γένηται, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται· εἰ δὲ ὁ ὀφθαλμός σου * σκοτεινὸς γένηται, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται. καὶ γὰρ οὕτως ἔχει· διότι πάσας τὰς ἐνθυμήσεις, καὶ τὰς πράξεις τοῦ ἀνθρώπου ἡ διάκρισις διερευνῶσα, διαστέλλει καὶ διαχωρίζει πᾶν φαῦλον καὶ ἀπαρέσκον Θεῷ πρᾶγμα, καὶ μακρὰν ἀπ' αὐτοῦ ποιεῖ τὴν πλάνην. Καὶ τοῦτο μάθοι τις ἂν καὶ ἀπὸ τῶν ἐν ταῖς θείαις Γραφαῖς ἱστορημένων. ὁ γὰρ Σαοὺλ ἐκεῖνος, ὁ πρῶτος πιστευθεὶς τὴν βασιλείαν τοῦ Ἰσραήλ, ἐπειδὴ τοῦτον τὸν

* πονηρός

τῆς διακρίσεως ὀφθαλμὸν οὐκ ἔσχε, σκοτωθεὶς τὴν διάνοιαν, οὐκ ἔγνω διακρῖναι, ὅτι μᾶλλον τοῦ προσενεγκεῖν θυσίαν, ἀρεστὸν ὑπῆρχε Θεῷ, τὸ ὑπακοῦσαι αὐτὸν τῷ τοῦ Ἁγίου Σαμουὴλ παραγγέλματι· καὶ ἐξ ὧν ἐνόμιζε θεραπεύειν τὸν Θεόν, ἐξ ἐκείνων προσκρούει, καὶ ἀπόβλητος γίνεται τῆς βασιλείας· οὐκ ἂν τοῦτο παθών, εἰ τὸ φῶς τῆς διακρίσεως ἐν ἑαυτῷ ἐτύγχανε κεκτημένος. ταύτην καὶ ὁ Ἀπόστολος ἥλιον ὀνομάζει, κατὰ τὸ εἰρημένον ὑπ' αὐτοῦ· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. αὕτη καὶ τῆς ἡμετέρας ζωῆς λέγεται κυβέρνησις, κατὰ τὸ γεγραμμένον· οἷς οὐκ ἔστι κυβέρνησις, πίπτουσιν ὥσπερ φύλλα. αὕτη, βούλευμα ὑπὸ τῆς Γραφῆς λέγεται, οὗτινος χωρὶς, οὐδὲν πράττειν ὑπὸ τῆς Γραφῆς παιδευόμεθα· οὕτως, ὡς μηδὲ αὐτὸν τὸν πνευματικὸν οἶνον, ὃς εὐφραίνει καρδίαν ἀνθρώπου, χωρὶς αὐτῆς συγχωρεῖσθαι πίνειν, κατὰ τὸ φάσκον λόγιον· μετὰ βουλῆς οἰνοπότει· καὶ πάλιν, ὥσπερ φησὶ πόλις κατεσκαμμένη καὶ ἀτείχιστος, οὕτως ἐστὶν ἄνθρωπος, ὃς οὐ μετὰ βουλῆς πάντα πράττει. ἐν ταύτῃ σοφία, ἐν ταύτῃ νόησίς τε καὶ αἴσθησις συνίσταται· ὧν χωρὶς, οὔτε ὁ ἐνδότερος ἡμῶν οἶκος δύναται κτισθῆναι, οὔτε ὁ πνευματικὸς πλοῦτος συναθροισθῆναι, κατὰ τὸ εἰρημένον· μετὰ σοφίας κτίζεται οἶκος, καὶ μετὰ συνέσεως ἀνορθοῦται, καὶ μετὰ φρονήσεως πληροῦνται τὰ ταμιεῖα πλούτου. αὕτη εἴρηται καὶ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων, πρὸς διάκρισιν ἀγαθοῦ τε, καὶ κακοῦ. διὰ τούτων τοίνυν προφανῶς ἀποδείκνυται, μηδεμίαν, ἄνευ τοῦ χαρίσματος τῆς διακρίσεως, ἀρετὴν συνίστασθαι, ἢ βεβαίαν διαμένειν ἕως τέλους· πασῶν γὰρ τῶν ἀρετῶν γεννήτρια καὶ φύλαξ ὑπάρχει. Οὗτος μὲν ὁ ὅρος καὶ ἡ γνώμη Ἀντωνίου, ᾧ καὶ σύμψηφοι οἱ λοιποὶ Πατέρες ἐγέ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦτο. Ἵνα δὲ καὶ ἀπὸ νεαρῶν παραδειγμάτων, καὶ τῶν ἐν τοῖς χρόνοις ἡμῶν, βεβαιώσωμεν τὸν ὅρον τοῦ Ἁγίου Ἀντωνίου· ἀναμνήσθητε καὶ ὑμεῖς τοῦ γέροντος Ἥρωνος, καὶ τοῦ ἐλεεινοῦ πτώματος, οὗ ὑπέστη πρὸ ὀλίγων τούτων ἡμερῶν ἐπ' ὄψιν ἡμῶν· ποίῳ τρόπῳ τῇ χλεύῃ τοῦ διαβόλου, ἀπὸ τοῦ ὕψους ἐκείνου τῆς πολιτείας, εἰς τὸ βάθος τοῦ θανάτου κατηνέχθη. τοῦτον γὰρ μεμνήμεθα, πεντήκοντα ἔτη ἐν τῇ ἀγχερήμῳ διατρίψαντα· μεγάλῃ σκληραγωγίᾳ, καὶ συντόνῳ ἐγκρατείᾳ κεχρημένον· καὶ τὴν ἀκροτάτην ἔρημον καὶ μόνωσιν ὑπὲρ πάντας τοὺς ἐνταῦθα διατρίψαντας, καὶ μεταδιώξαντα· ὃς μετὰ τοσούτους πόνους καὶ ἀγῶνας ἐμπαιχθεὶς ὑπὸ τοῦ διαβόλου, καὶ εἰς βαρύτατον πτῶμα ὀλισθήσας, πάντας τοὺς ἐν ἀγχερήμῳ πατέρας καὶ ἀδελφοὺς, εἰς ἀπαραμύθητον πένθος ἐνέβαλεν· οὐκ ἂν τοῦτο παθὼν, εἰ ἔτυχεν ἠσφαλισμένος τῇ τῆς διακρίσεως ἀρετῇ· ἥτις ἐδίδαξεν ἂν αὐτὸν, μὴ τῷ ἰδίῳ λογισμῷ, ἀλλὰ τῇ συμβουλίᾳ τῶν πατέρων καὶ ἀδελφῶν πείθεσθαι. ἐπὶ τοσοῦτον γὰρ τῷ ἰδίῳ λογισμῷ ἀκολουθῶν, τὴν νηστείαν, καὶ τὸ ἀφιδιάζειν ἀπὸ τῶν ἀνθρώπων μετεδίωξεν, ὡς μηδὲ κατὰ τὴν ἑορτὴν τοῦ Ἁγίου Πάσχα παραγίνεσθαι ἐν τῇ Ἐκκλησίᾳ, ἵνα μὴ συνερχόμενος τοῖς πατράσι καὶ ἀδελφοῖς, καὶ συνεσθίων αὐτοῖς, ἀναγκασθῇ μεταλαβεῖν ὀσπρίου, ἢ ἄλλου τινὸς τῶν προσφερομένων ἐν τῇ τραπέζῃ, καὶ δόξῃ ἐκπεπτωκέναι τοῦ ἰδίου σκοποῦ καὶ ὅρου. οὗτος οὖν ἐπιπολὺ τῷ ἰδίῳ θελήματι ἐξαπατηθεὶς, ἄγγελον τοῦ Σατανᾶ ὑποδεξάμενος, τοῦτον ὡς ἄγγελον φωτὸς προσκυνήσας, προστάττεται ὑπ' αὐτοῦ κατὰ τὸ μεσονύκτιον εἰς φρέαρ βαθύτατον ῥίψαι ἑαυτόν· ὥστε αὐτὸν γνῶναι, διὰ πείρας, ὡς οὐδαμῶς κινδύνῳ λοιπόν τινι ὑποκείσεται, διὰ τὴν προσοῦσαν αὐτῷ μεγάλην ἀρετὴν, καὶ τοὺς κατὰ Θεὸν καμάτους. ὁ δὲ μὴ διακρίνας τῷ λογισμῷ τὸν ταῦτα συμβουλεύοντα, ἀλλὰ σκοτωθεὶς τὴν διάνοιαν, ἐνέβαλεν ἑαυτὸν, κατὰ τὸ μεσονύκτιον, ἐν τῷ φρέατι. καὶ μετ' οὐ πολὺ, ἐπιγνόντες οἱ ἀδελφοὶ τὸ συμβὰν, μόλις αὐτὸν μετὰ καμάτου πολλοῦ, ἠδυνήθησαν ἡμιθανῆ ἀνασπάσαι. μετὰ οὖν τὸ ἀνασπασθῆναι αὐτὸν, ἐπιζήσας δύο ἡμέρας, τῇ τρίτῃ ἀπέθανε, καταλιπὼν τοῖς ἀδελφοῖς καὶ τῷ πρεσβυτέρῳ Παφνουτίῳ, πένθος ἀπαραμύθητον· ὅστις φιλανθρωπίᾳ κινούμενος πολλῇ, καὶ μεμνημένος τῶν πολλῶν αὐτοῦ καμάτων· καὶ τῶν πολυαριθμήτων ἐτῶν, ὧν ἐν τῇ ἐρήμῳ διεκαρτέρησεν, οὐκ ἐχώρισεν αὐτὸν τῆς μνήμης καὶ τῆς προσφορᾶς τῶν ἀναπεπαυμένων, ἵνα μὴ συναριθμηθῇ τοῖς βιαιοθανάτοις. Τί εἴπω περὶ ἐκείνων τῶν δύο ἀδελφῶν; οἵτινες ἔμενον πέραν τῆς ἐρήμου Θηβαΐδος, ὅπου ποτὲ ὁ μακάριος Ἀντώνιος ἔμενεν; οὗτοι γὰρ ἀδιακρίτῳ λογισμῷ κινηθέντες, ἔδωκαν ἑαυτοῖς γνώμην πορευθῆναι εἰς τὴν ἐνδοτέραν ἔρημον, μεγάλην οὖσαν καὶ ἀγεώργητον· κρίναντες παρ' ἑαυτοῖς, μὴ λαβεῖν τροφὴν παρὰ ἀνθρώπου, εἰμὴ ἣν αὐτοῖς ὁ Κύριος θαυματοποιῶν παράσχῃ. καὶ ὅτε πλανωμένους αὐτοὺς κατὰ τὴν ἔρημον, καὶ διαπονοῦντας τῷ λιμῷ πόρρωθεν οἱ Μάζικες ἐθεάσαντο, ὅπερ ἔθνος πάντων σχεδὸν τῶν ἀπηγριωμένων ἐθνῶν ἀγριώτερον καὶ ὠμότερον καθέστηκεν, μεταβαλόντες, ἐκ θείας προνοίας, τὴν σύντροφον ἀγριότητα εἰς φιλανθρωπίαν, μετὰ ἄρτων αὐτοῖς ὑπήντησαν· ὁ μὲν εἷς τῶν προειρημένων δύο ἀδελφῶν, διακρίσεως αὐτῷ ὑπεισελθούσης, μετὰ χαρᾶς καὶ εὐχαριστίας ὑπεδέξατο τοὺς ἄρτους· λογισάμενος, ὡς οὐκ ἂν οἱ οὕτως ὠμοὶ, καὶ ἄγριοι, καὶ ἀεὶ χαίροντες τῷ αἵματι τῶν ἀνθρώπων, συμπαθεῖν αὐτοῖς διαπεπτωκόσιν ἤδη, καὶ τροφὴν προσήνεγκαν, εἰ μὴ ὁ Θεὸς τούτους ἐκίνησεν· ὁ δὲ ἄλλος τὴν τροφὴν παραιτησάμενος, ὡσανεὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑπὸ ἀνθρώπων αὐτῷ προσενεχθεῖσαν, καὶ ἐμμείνας τῇ ἀδιακρίτῳ βουλῇ, τῇ αἰτίᾳ τῆς ἀσιτίας ἐξέλιπεν. εἰ καὶ τὰ μάλιστα τούτων τὴν ἀρχὴν ἀμφότεροι κακῶς βουλευσάμενοι, ἀλόγιστον καὶ ὀλεθρίαν γνώμην ἑαυτοῖς παρέσχον, ὅμως ὁ εἷς, ὑπεισελθούσης αὐτῷ τῆς διακρίσεως, τοῦτο ὃ προπετῶς καὶ ἀπαραφυλάκτως ὤμοσε, καλῶς ἐπανωρθώσατο· ὁ δὲ ἄλλος, ἐν τῇ ἄφρονι προλήψει διακαρτερήσας, καὶ διακρίσεως ἐκτὸς εὑρεθείς, θάνατον, ὃν ὁ Κύριος ἀποστρέφειν ἠβουλήθη, αὐτὸς ἑαυτοῦ ἐπεσπάσατο. Τί δὲ εἴπω καὶ περὶ ἐκείνου, οὗτινος τὸ ὄνομα οὐ βούλομαι εἰπεῖν, διότι περίεστιν; ὅς τις δαίμονα πολλάκις ὡς ἄγγελον ὑποδεχόμενος, καὶ ἀποκαλύψεις δι' αὐτοῦ λαμβάνων, καὶ φῶς συνεχῶς λυχναίου ἐν τῇ κέλλῃ αὐτοῦ βλέπων, ὕστερον προστάσσεται ὑπ' αὐτοῦ, τὸν ἴδιον υἱὸν συμμένοντα αὐτῷ ἐν τῷ μοναστηρίῳ, θυσίαν προσενεγκεῖν τῷ Θεῷ, ὡς ἐκ τούτου τῆς τοῦ πατριάρχου Ἀβραὰμ τιμῆς ἀξιωθησόμενος· οὗ τινος τῇ συμβουλίᾳ τοσοῦτον ὑπήχθη, ὥστε ἔργῳ τὴν τοῦ υἱοῦ σφαγὴν ἂν ἐξετέλεσεν, εἰ μὴ τοῦτον ὁ υἱὸς θεασάμενος παρὰ συνήθειαν μάχαιραν ἀκονῶντα καὶ δεσμὰ ἑτοιμάζοντα, οἷς αὐτὸν ὥσπερ ὁλοκαύτωμα συσφίγγειν ἔμελλε, φυγῇ τὴν σωτηρίαν ἐκομίσατο; Μακρὸν αὖ εἴη, τὴν ἀπάτην ἐκείνου τοῦ μεσοποταμίου διηγήσασθαι· ὃς τοσαύτην ἐγκράτειαν ἐπιδειξάμενος, καὶ ἐν κελλίῳ ἀποκεκλεισμένος ἔτη πολλά· οὕτως ὕστερον διαβολικαῖς ἀποκαλύψεσι καὶ ἐνυπνίοις ἐνεπαίχθη, ὡς μετὰ τοσούτους καμάτους καὶ ἀρετάς, αἷς πάντας ὑπερέβαλλε τοὺς ἐκεῖ καθημένους μοναχούς, πρὸς ἰουδαϊσμὸν καὶ περιτομὴν καταπεσεῖν. καὶ γὰρ βουλόμενος αὐτὸν ὁ διάβολος ἀπατῆσαι, πολλάκις αὐτῷ ἐδείκνυεν ἀληθῆ ἐνύπνια· ἵνα διὰ τούτων, εὐπαράδεκτον ποιήσῃ, ἣν ἔμελλεν αὐτῷ ἐπ' ἐσχάτων ὑποτίθεσθαι πλάνην. δείκνυσι τοίνυν αὐτῷ ἐν μιᾷ νυκτί, τὸν δῆμον τῶν Χριστιανῶν μετὰ τῶν Ἀποστόλων καὶ Μαρτύρων, σκοτεινόν τε καὶ πάσης αἰσχύνης πεπληρωμένον, καὶ ἐν λύπῃ καὶ πένθει κατατετηγμένον· καὶ ἐκ τοῦ ἐναντίου, τῶν Ἰουδαίων τὸν δῆμον, μετὰ Μωϋσέως καὶ τῶν Προφητῶν, λαμπρῷ φωτὶ περιαυγαζόμενον, καὶ ἐν χαρᾷ καὶ ἱλαρότητι διάγοντα· καὶ συνεβούλευεν ὁ ἀπατεών, ὡς εἰ βούλοιτο τῆς μακαριότητος καὶ χαρᾶς τοῦ δήμου τῶν Ἰουδαίων μετασχεῖν, περιτομὴν αὐτὸν λαμβάνειν· ὃ δὴ καὶ ἀπατηθεὶς ἐποίησε. Πρόδηλον οὖν ἐκ πάντων τῶν εἰρημένων, ὅτι οὐκ ἂν ἐνεπαίχθησαν οἱ εἰρημένοι πάντες οὕτως ἐλεεινῶς καὶ ἀθλίως, εἰ τὸ χάρισμα τῆς διακρίσεως ἔτυχον κεκτημένοι. Πρὸς ταῦτα ὁ Γερμανὸς εἶπε· καὶ νέοις παραδείγμασι, καὶ ὅροις τῶν ἀρχαίων πατέρων, ἱκανῶς ἀπεδείχθη τὴν διάκρισιν, πηγὴν καὶ ῥίζαν καὶ κεφαλὴν καὶ σύνδεσμον εἶναι πασῶν τῶν ἀρετῶν· ποίῳ δὲ τρόπῳ δυνάμεθα ταύτην κτήσασθαι, ἐπιθυμοῦμεν μαθεῖν; καὶ πῶς ἐπιγνῶναι τὴν ἀληθῆ καὶ ἐκ Θεοῦ διάκρισιν, καὶ τὴν ψευδώνυμον καὶ ἐπίπλαστον καὶ διαβολικήν; Τότε ὁ ἀββᾶς Μωϋσῆς εἶπεν· ἀληθὴς διάκρισις οὐ προσγίνεται, εἰ μὴ διὰ ἀληθινῆς ταπεινώσεως, τοῦ μὴ μόνον ἅπερ πράττομεν, ἀλλὰ καὶ ἅπερ ἐνθυμούμεθα, ἀποκαλύπτειν τοῖς πατράσι· καὶ ἐν μηδενὶ τῷ ἰδίῳ λογισμῷ πιστεύειν, ἀλλὰ καὶ κατὰ πάντα τοῖς λόγοις τῶν γερόντων ἀκολουθεῖν, καὶ ἐκεῖνο καλὸν εἶναι πιστεύειν, ὅπερ ἂν αὐτοὶ δοκιμάσωσιν. αὕτη δὲ ἡ ἐργασία, οὐ μόνον διὰ τῆς ἀληθοῦς διακρίσεως, καὶ ὀρθῆς ὁδοῦ τὸν μοναχὸν ἀβλαβῆ διαμένειν παρασκευάζει, ἀλλὰ μὴν καὶ ἀπὸ πασῶν τῶν παγίδων τοῦ διαβόλου ἀβλαβῆ τοῦτον διαφυλάττει. ἀδύνατον γὰρ τὸν κρίσει καὶ γνώμῃ τῶν προβεβηκότων ἑαυτὸν ῥυθ-

μίζοντα βίον, ἀπάτῃ δαιμόνων περιπεσεῖν. καὶ γὰρ καὶ πρὶν ἀξιωθῆναι τινὰ τοῦ χαρίσματος τῆς διακρίσεως, αὐτὸ τὸ φανεροῦν καὶ ἀποκαλύπτειν τὰς φαύλας ἐνθυμήσεις τοῖς πατράσι, μαραίνει ταύτας καὶ ἀσθενεστέρας ποιεῖ. ὥσπερ γὰρ ὄφις ἀπὸ σκοτεινῆς τρυμαλιᾶς ἐξενεχθεὶς εἰς φῶς, σπουδάζει φυγῇ χρήσασθαι καὶ ἀφανισμῷ· οὕτω καὶ οἱ πονηροὶ λογισμοί, διὰ τῆς ἀρίστης ὁμολογίας καὶ ἐξαγορεύσεως φανερωθέντες, σπουδάζουσι φεύγειν ἀπὸ τοῦ ἀνθρώπου. καὶ ὅπως τὴν ἀρετὴν ταύτην ἀκριβέστερον καὶ ἀπὸ παραδείγματος μάθητε, τοῦ ἀββᾶ Σεραπίωνος τὸ ἔργον, ὅπερ αὐτὸς τοῖς παραβάλλουσι, φυλακῆς χάριν, προσέφερε συνεχῶς, διηγήσομαι. ἔλεγε γὰρ οὕτως· ὅταν ὑπῆρχον νεώτερος, συνέμενον τῷ ἀββᾷ μου· καὶ ὡς ἠσθίομεν, ἀνιστάμενος τῆς τραπέζης, κατ᾽ ἐνέργειαν τοῦ δαίμονος, ἔκλεπτον παξαμᾶν, καὶ τοῦτον ἔτρωγον λάθρα τοῦ ἀββᾶ μου. ὡς οὖν ἔμεινα τοῦτο ποιῶν ἐπὶ χρόνον, κατακυριευθεὶς οὐκ ἠδυνάμην αὐτοῦ περιγενέσθαι· μόνον δὲ ἐκρινόμην ὑπὸ τῆς ἰδίας συνειδήσεως, τῷ δὲ γέροντι ᾐσχυνόμην εἰπεῖν. συνέβη δὲ κατ᾽ οἰκονομίαν τοῦ φιλανθρώπου Θεοῦ, ἀδελφούς τινας ἐλθεῖν πρὸς τὸν γέροντα, ὠφελείας χάριν· καὶ ἠρώτων αὐτὸν περὶ τῶν ἰδίων λογισμῶν. Ἀπεκρίθη δὲ ὁ γέρων· ὅτι οὐδὲν οὕτω βλάπτει τοὺς μοναχούς, καὶ χαροποιεῖ τοὺς δαίμονας, ὡς τὸ κρύπτειν τοὺς ἰδίους λογισμοὺς ἀπὸ τῶν πνευματικῶν πατέρων· ἐλάλησε δὲ αὐτοῖς καὶ περὶ ἐγκρατείας. τούτων δὲ λεγομένων, εἰς ἐμαυτὸν ἐλθὼν καὶ λογισάμενος, ὅτι ὁ Θεὸς ἀπεκάλυψε τῷ γέροντι τὰ πταίσματά μου· καὶ κατανυγείς, ἠρξάμην κλαίειν· καὶ ἐξέβαλον τὸν παξαμᾶν ἐκ τοῦ κόλπου μου, ὃν κακῶς εἰώθειν κλέπτειν· ῥίψας δὲ ἐμαυτὸν εἰς τὸ ἔδαφος, ᾔτουν συγγνώμην περὶ τῶν παρελθόντων· καὶ εὐχὴν ὑπὲρ ἀσφαλείας τῶν μελλόντων. τότε λέγει ὁ γέρων· ὦ τέκνον, ἠλευθέρωσέ σε, καὶ ἐμοῦ σιωπῶντος, ἡ σὴ ἐξομολόγησις· καὶ τὸν τιτρώσκοντά σε δαίμονα, διὰ τῆς σιωπῆς, ἐξειπὼν τὰ κατὰ σεαυτόν, κατέσφαξας· ὃν καὶ μέχρι τοῦ νῦν κατακυριεῦσαί σου ἐποίησας, μήτε ἀντιλέγων, μήτε ἐλέγχων αὐτόν· οὐκ ἔτι δὲ ἀπὸ τοῦ νῦν τόπον ἕξει ἐν σοί, ἐκ τῆς καρδίας σου εἰς τὸ φανερὸν ἐξενεχθείς. οὔπω δὲ συνετέλεσεν ὁ γέρων λαλῶν, καὶ ἰδοὺ ἡ ἐνέργεια ὤφθη ὡς λαμπὰς πυρὸς ἐξελκομένη ἐκ τοῦ κόλπου μου· καὶ ἐπλήρωσε τὸν οἶκον δυσωδίας, ὥστε νομίζειν τοὺς παρόντας, ὅτι πλῆθος θεαφίου ἐστὶ τὸ καιόμενον. τότε οὖν εἶπεν ὁ γέρων· ἰδοὺ τῶν ἐμῶν λόγων, καὶ τῆς σῆς ἐλευθερώσεως, παρέσχε Κύριος τὴν ἀπόδειξιν, διὰ τοῦ γενομένου σημείου. οὕτως οὖν ἀπέστη ἀπ᾽ ἐμοῦ διὰ τῆς ἐξομολογήσεως, τὸ πάθος τῆς γαστριμαργίας, καὶ ἡ διαβολικὴ ἐνέργεια ἐκείνη· ὡς μηκέτι μηδὲ εἰς ἔννοιάν με ἐλθεῖν τῆς τοιαύτης ἐπιθυμίας. Ἰδοὺ τοίνυν καὶ ἐκ τῶν εἰρημένων ὑπὸ τοῦ ἀββᾶ Σεραπίωνος μανθάνομεν, ὅτι τότε ἀξιούμεθα τοῦ χαρίσματος τῆς ἀληθινῆς διακρίσεως, ὅταν μὴ τῷ κριτηρίῳ τῆς ἑαυτῶν διανοίας καταπιστεύσωμεν, ἀλλὰ τῇ διδαχῇ καὶ διατυπώσει τῶν πατέρων. καὶ γὰρ οὐ δι᾽ ἄλλου τινὸς ἐλαττώματος οὕτως ὁ διάβολος εἰς κρημνὸν φέρει τὸν μοναχόν, ὡς διὰ τοῦ πεῖσαι αὐτόν, ἀθετεῖν μὲν τὰς τῶν πατέρων νουθεσίας, ἀκολουθεῖν δὲ τῇ ἰδίᾳ κρίσει, καὶ τῷ ἑαυτοῦ θελήματι. Ἐχρῆν δὲ ἡμᾶς καὶ ἐκ τῶν ἀνθρωπίνων τεχνῶν, καὶ ἐπιστημῶν τὰ παραδείγματα λαμβάνοντας, παιδεύεσθαι. εἰ γὰρ ταῦτα, καὶ χερσὶ ψηλαφῶντες, καὶ ὀφθαλμοῖς ὁρῶντες, καὶ ὠσὶν ἀκούοντες, ἀφ᾽ ἑαυτῶν κατορθῶσαι ἀδυνατοῦμεν· δεόμεθα δὲ τοῦ καλῶς διδάσκοντος, καὶ καταρτίζοντος· πῶς οὐ μωρόν, τὴν πνευματικὴν τέχνην, τὴν πασῶν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τεχνῶν δυσχερεστέρων, νομίζειν μὴ δεῖσθαι διδασκάλου; ἥτις καὶ ἀόρατος καὶ κεκρυμμένη ὑπάρχει, καὶ μόνῃ καθαρότητι καρδίας θεωρουμένη· ἧς τινος τέχνης ἡ ἀποτυχία, οὐ πρόσκαιρον ζημίαν, ἀλλὰ ψυχῆς ἀπώλειαν τίκτει, καὶ θάνατον αἰώνιον. Ὁ Γερμανὸς εἶπε· πρόφασιν ἡμῖν αἰσχύνης καὶ προκάλυμμα ἐπιβλαβοῦς δυσλαβείας τίκτειν εἴωθε, τὸ, πολλάκις τινὰς τῶν πατέρων ἀκούσαντας παρὰ ἀδελφῶν λογισμοὺς, μὴ μόνον τούτους μὴ θεραπεῦσαι, ἀλλὰ καὶ καταγνῶναι αὐτῶν, καὶ εἰς ἀπόγνωσιν ἐμβαλεῖν· ὥσπερ γὰρ καὶ ἡμεῖς αὐτοὶ τοῦτο ἔγνωμεν συμβὰν, ἐν τοῖς μέρεσι τῆς Συρίας. Ἀδελφὸς γάρ τις τινὶ τῶν ἐκεῖσε γερόντων ἐξεῖπε τοὺς ἰδίους λογισμοὺς, μετὰ πάσης ἁπλότητος καὶ ἀληθείας, ἀνεπαισχύντως ἀπογυμνώσας τὰ κρυπτὰ τῆς ἑαυτοῦ καρδίας· ὁ δὲ παραυτὰ τοῦ ἀκοῦσαι, ἤρξατο ἀγανακτεῖν καὶ κινεῖσθαι κατὰ τοῦ ἀδελφοῦ, μεμφόμενος αὐτὸν ἐπὶ ταῖς τοιαύταις φαύλαις ἐνθυμήσεσιν· ὡς ἐκ τούτου πολλοὺς ἀκούσαντας, ἐρυθριᾶν ἐξαγγέλλειν τοὺς ἰδίους λογισμοὺς τοῖς γέρουσιν. Ὁ ἀββᾶς Μωϋσῆς εἶπε· καλὸν μέν ἐστι, καθὰ προεῖπον, μὴ ἀποκρύπτειν τοὺς ἰδίους λογισμοὺς ἀπὸ τῶν πατέρων· οὐ μέντοι τοῖς τυχοῦσι λέγειν· ἀλλὰ καὶ γέρουσι πνευματικοῖς καὶ διάκρισιν ἔχουσιν ἐξαγγέλλειν, οὐχὶ τοῖς διὰ χρόνον πεπολιωμένοις. ἐπειδὴ πολλοὶ πρὸς τὴν ἡλικίαν ἀποβλέποντες, καὶ τοὺς ἑαυτῶν λογισμοὺς ἐξειπόντες, ἀντὶ θεραπείας εἰς ἀπόγνωσιν διὰ τῆς ἀπειρίας τῶν ἀκουόντων ἐνέπεσον. Ἦν γάρ τις τῶν ἀδελφῶν πάνυ σπουδαῖος, καὶ σφοδρῶς ὀχληθεὶς ὑπὸ τοῦ δαίμονος τῆς πορνείας, ἦλθε πρός τινα γέροντα, καὶ ἀνήγγειλεν αὐτῷ τοὺς ἰδίους λογισμούς· Ἐκεῖνος δὲ ἀκούσας ἄπειρος ὢν, ἀγανακτῶν, ἄθλιον ἔλεγε τὸν ἀδελφὸν καὶ ἀνάξιον τοῦ μοναχικοῦ σχήματος, ὡς τοιούτους δεξάμενον λογισμούς. Ταῦτα ἀκούσας ὁ ἀδελφὸς, ἀπογνοὺς ἑαυτοῦ, καὶ καταλείψας τὸν ἴδιον τόπον, ἐπὶ τὸν κόσμον ἐπανήρχετο. κατὰ δὲ Θεοῦ οἰκονομίαν, ὑπαντᾷ αὐτῷ ὁ ἀββᾶς Ἀπολλὼς, τῶν γερόντων ὁ δοκιμώτατος· καὶ βλέπων αὐτὸν τεταραγμένον, καὶ πάνυ σκυθρωπὸν, ἠρώτα αὐτὸν λέγων· τέκνον, τίς ἡ αἰτία τῆς τοσαύτης στυγνότητος; ὁ δὲ, τὴν μὲν ἀρχὴν ἐκ τῆς πολλῆς ἀθυμίας, οὐδὲν ἀπεκρίθη· ὕστερον δὲ πολλὰ παρακληθεὶς ὑπὸ τοῦ γέροντος, τὰ καθ' ἑαυτὸν ἐξεῖπε, λέγων· ὅτι λογισμοὶ πολλάκις ὀχλοῦσί μοι, καὶ ἀπελθὼν ἀνήγγειλα τῷδε τῷ γέροντι· καὶ κατὰ τὸν λόγον αὐτοῦ, οὐκ ἔστι μοι σωτηρίας ἐλπίς· ἀπογνοὺς οὖν ἐμαυτοῦ, ἀπέρχομαι εἰς τὸν κόσμον. ταῦτα ὁ πατὴρ Ἀπολλὼς ἀκούσας, πολλὰ παρεκάλει καὶ ἐνουθέτει τὸν ἀδελφὸν, λέγων· μὴ ξενίζου τέκνον, μηδὲ ἀπελπίσῃς σεαυτὸν, ἐγὼ γὰρ ἐν τοιαύτῃ ἡλικίᾳ καὶ πολιᾷ ὑπάρχων, σφόδρα ὑπὸ τούτων τῶν λογισμῶν ὀχλοῦμαι. μὴ οὖν ἀθυμήσῃς ἐπὶ τῇ τοιαύτῃ πυρώσει, ἥτις, οὐ τοσοῦτον ἀνθρωπίνῃ σπουδῇ θεραπεύεται, ὅσον τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ. μόνον δὲ τὴν σήμερον χάρισαί μοι, καὶ ὑπόστρεψον εἰς τὸ κελλίον σου. ἐποίησε δὲ ὁ ἀδελφὸς οὕτω. καὶ ἀπελθὼν ἀπ' αὐτοῦ ὁ ἀββᾶς Ἀπολλὼς, ἀπῆλθεν εἰς τὸ κελλίον τοῦ ἀπαγορεύσαντος τὸν ἀδελφὸν Γέροντος. καὶ στὰς ἔξω, ἐδεήθη τοῦ Θεοῦ μετὰ δακρύων, λέγων· Κύριε, ὁ τοὺς πειρασμοὺς ὑπὲρ τοῦ συμφέροντος ἐπάγων, μετάστρεψον τὸν πόλεμον τοῦ ἀδελφοῦ, εἰς τοῦτον τὸν γέροντα· ἵνα διὰ πείρας εἰς τὸ γῆρας αὐτοῦ μάθῃ, ἅπερ ἐν τῷ μακρῷ χρόνῳ οὐκ ἐδιδάχθη· ὅπως συμπάσχῃ τοῖς πολεμουμένοις. ὡς δὲ τὴν εὐχὴν ἐτέλεσεν, ὁρᾷ αἰθίοπα στήκοντα πλησίον τοῦ κελλίου, καὶ βέλη ἀφιέντα κατὰ τοῦ γέροντος· ἀφ' ὧν τρωθεὶς, εὐθέως ὡς ἐκ μέθης, ὧδε κἀκεῖσε περιεφέρετο. μὴ δυνάμενος δὲ καρτερῆσαι, ἐξελθὼν τοῦ κελλίου, τῇ αὐτῇ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀδῶ, ἢ καὶ ὁ νεώτερος, ἐπὶ τὸν κόσμον ἐχώρει. Ὁ δὲ ἀββᾶς Ἀπολλὼς νοήσας τὸ γεγονός, ὑπήντησεν αὐτῷ, λέγων· ποῦ πορεύῃ; τίς δὲ ἡ αἰτία τῆς κατεχούσης σε ταύτης ταραχῆς; αἰσχυνθεὶς δὲ ὅτι ἐγνώσθη τὰ κατ᾽ αὐτὸν τῷ Ἁγίῳ, ἀπὸ τῆς αἰσχύνης οὐδὲν ἔλεγεν. εἶπε δὲ αὐτῷ ὁ ἀββᾶς Ἀπολλώς· ὑπόστρεψον εἰς τὸ κελλίον σου, καὶ τοῦ λοιποῦ ἐπίγνωθι τὴν ἀσθένειάν σου· καὶ ἔχε σεαυτόν, ἢ ἀγνοηθέντα ὑπὸ τοῦ διαβόλου, ἢ καταφρονηθέντα· διὸ οὐκ ἠξιώθης τῆς πρὸς αὐτὸν πάλης. τί δὲ λέγω πάλης; προσβολῆς γὰρ αὐτοῦ ἕως μιᾶς ἡμέρας ὑπενεγκεῖν οὐκ ἠδυνήθης. τοῦτο δέ σοι συνέβη, ὅτι νεώτερον ὑπὸ τοῦ κοινοῦ ἐχθροῦ πολεμούμενον δεξάμενος, ἀντὶ τοῦ πρὸς τὸν ἀγῶνα ἀλεῖψαι, εἰς ἀπόγνωσιν ἐνέβαλες· μὴ λογισάμενος τὸ σοφὸν ἐκεῖνο παράγγελμα, λέγον· ῥῦσαι ἀπαγομένους εἰς θάνατον· καὶ ἐκπρίασθαι κτεινομένους, μὴ φείσῃ. ἀλλ᾽ οὐδὲ τὴν παραβολὴν τοῦ Σωτῆρος ἡμῶν, τὴν λέγουσαν· κάλαμον συντεθλασμένον μὴ συντρίβειν, καὶ λίνον καπνιζόμενον μὴ σβεννύειν. οὐδεὶς γὰρ τοῦ ἐχθροῦ φέρειν ἠδύνατο τὰς ἐπιβουλάς, ἀλλ᾽ οὐδὲ τὸν ἔμπυρον τῆς φύσεως βρασμὸν σβέσαι, εἰ μὴ ἡ τοῦ Θεοῦ χάρις ἐφρούρει τὴν ἀνθρωπίνην ἀσθένειαν. τοιγαροῦν συμπληρωθείσης τῆς περὶ ἡμᾶς σωτηριώδους ταύτης οἰκονομίας, κοιναῖς εὐχαῖς τὸν Θεὸν ἱκετεύσωμεν· ὅπως καὶ τὴν κατὰ σοῦ ἀφεθεῖσαν μάστιγα παραγάγῃ. αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν· ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο· ταπεινοῖ, καὶ ἀνυψοῖ· θανατοῖ, καὶ ζωογονεῖ· κατάγει εἰς ᾅδου, καὶ ἀνάγει. Ταῦτα εἰπών, καὶ ἐπευξάμενος, παραχρῆμα τοῦ ἐπενεχθέντος αὐτῷ πολέμου ἀπήλλαξε· παραινέσας αὐτῷ αἰτεῖν παρὰ Θεοῦ, δοθῆναι αὐτῷ γλῶσσαν παιδείας, τοῦ γνῶναι ἐν καιρῷ, ἡνίκα δεῖ εἰπεῖν λόγον. Ἐκ πάντων οὖν τῶν εἰρημένων μανθάνομεν, ὅτι οὐκ ἄλλη εὑρεθήσεται ὁδὸς σωτηρίας ἀσφαλής, ὡς τὸ ἐξαγγέλλειν τοὺς ἰδίους λογισμοὺς τοῖς διακριτικωτάτοις τῶν πατέρων· καὶ ἀπὸ τούτων πρὸς ἀρετὴν κανονίζεσθαι, καὶ μὴ τῷ ἰδίῳ λογισμῷ καὶ κριτηρίῳ ἀκολουθεῖν. οὐδὲ γὰρ εἰ τὸ συμβαῖνον εἰ περιτύχῃ τις ἐπὶ γέροντι ἁπλουστέρῳ, ἢ ὀλίγοις ἀπείροις, ἐκ τούτου δεῖ φεύγειν ἐξαγγέλλειν τοὺς ἰδίους λογισμοὺς τοῖς δοκιμωτάτοις τῶν Πατέρων, καὶ καταφρονεῖν τῆς παραδόσεως τῶν προγόνων. ὅτι γὰρ καὶ αὐτοὶ οὐκ ἀφ᾽ ἑαυτῶν κινούμενοι, ἀλλ᾽ ἐκ Θεοῦ, καὶ τῶν θεοπνεύστων Γραφῶν, παραδεδώκασι τοῖς μεταγενεστέροις, τὸ ἐπερωτᾷν τοὺς προβεβηκότας, ἔξεστι μὲν καὶ ἀπὸ ἄλλων πολλῶν, τῶν ἐν τῇ θεοπνεύστῳ Γραφῇ κειμένων, μαθεῖν· ἐξαιρέτως δὲ καὶ ἐκ τῆς κατὰ τὸν Ἅγιον Σαμουὴλ ἱστορίας· ὃς ἐκ παιδὸς ἀνατεθεὶς τῷ Θεῷ ὑπὸ τῆς μητρός, καὶ ἀξιωθεὶς θείας ὁμιλίας, οὐκ ἐπίστευσε τῷ ἰδίῳ λογισμῷ· ἀλλ᾽ ἅπαξ καὶ δὶς κληθεὶς ὑπὸ τοῦ Θεοῦ, ἀνατρέχει πρὸς τὸν γέροντα Ἠλεί, καὶ τῇ τούτου διδαχῇ τυποῦται καὶ κανονίζεται, πῶς δεῖ ὑποκρίνεσθαι τῷ Θεῷ· καὶ ὃν τῇ ἰδίᾳ κλήσει ἄξιον ἑαυτοῦ ὁ Θεὸς ἐψηφίσατο, τοῦτον βούλεται τῇ διατυπώσει καὶ διαταγῇ τοῦ γέροντος παιδαγωγεῖσθαι· ὡς ἐκ τούτου δηλαδή, πρὸς ταπείνωσιν ὁδηγηθησόμενον. Καὶ τὸν Παῦλον δὲ δι᾽ ἑαυτοῦ καλῶν, καὶ προδιαλεγόμενος ὁ Χριστός, δυνάμενος εὐθὺς ἀνοῖξαι αὐτοῦ τοὺς ὀφθαλμούς, καὶ τῆς τελειότητος τὴν ὁδὸν γνωρίσαι, πρὸς Ἀνανίαν παραπέμπει, καὶ παρ᾽ αὐτοῦ κελεύει μαθεῖν τὴν ὁδὸν τῆς ἀληθείας, λέγων· Ἔγειρε, εἴσελθε εἰς τὴν πόλιν, κἀκεῖ σοι λεχθήσεται τί σε δεῖ ποιεῖν. διδάσκων ἡμᾶς διὰ τούτων, τῇ ὁδηγίᾳ τῶν προβεβηκότων ἀκολουθεῖν· ἵνα μήποτε τὸ ἐπὶ Παύλου καλῶς λεγόμενον, κακῶς νοηθέν, πα-

ράδειγ-

Athos Library Αγιορειτική Βιβλιοθήκη

ράδειγμα πρὸς αὐθάδειαν γένηται τοῖς μεταγενεστέροις· ἑκάστη βουλομένου παραπλησίως τῷ Παύλῳ ἐκ Θεοῦ, καὶ μὴ διὰ τῶν Πατέρων, ἐπὶ τὴν ἀλήθειαν ὁδηγεῖσθαι. Καὶ ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἔξεστιν οὐκ ἀπὸ τῶν εἰρημένων μόνον μαθεῖν, ἀλλὰ καὶ ἀφ᾽ ὧν ἔργοις αὐτοῖς ἔδειξεν ὁ Ἀπόστολος, ἐν οἷς γράφει λέγων· ὅτι ἀνῆλθον εἰς Ἱεροσόλυμα ἰδεῖν Πέτρον, καὶ Ἰάκωβον, καὶ ἀνεθέμην τὸ Εὐαγγέλιον αὐτοῖς, ὃ κηρύσσω· μήποτε εἰς κενὸν τρέχω, ἢ ἔδραμον· καίτοι συνοδευούσης αὐτῷ τῆς χάριτος τοῦ Ἁγίου Πνεύματος, διὰ τῆς δυνάμεως τῶν σημείων, ὧν ἐποίει. Τίς τοίνυν οὕτως ὑπερήφανος καὶ ἀλαζὼν ὑπάρχει, ὥστε τῇ ἰδίᾳ γνώμῃ καὶ κρίσει στοιχεῖν; ὅταν τὸ σκεῦος τῆς ἐκλογῆς δεῖσθαι τῆς συμβουλίας τῶν πρὸ αὐτοῦ Ἀποστόλων ὁμολογῇ; Προφανῶς οὖν καὶ διὰ τούτων ἀποδέδεικται, ὅτι οὐδενὶ ὁδὸν τελειώσεως ὁ Κύριος ἀποκαλύπτει, εἰμὴ τοῖς διὰ πνευματικῶν Πατέρων ἐπὶ ταύτην ὁδηγουμένοις. καθὼς καὶ διὰ τοῦ Προφήτου λέγει· ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι. Πάσῃ τοίνυν δυνάμει καὶ πάσῃ σπουδῇ, τὸ ἀγαθὸν τῆς διακρίσεως χάρισμα ἐν ἑαυτοῖς ὀφείλομεν κτήσασθαι· ὅπερ δυνήσεται ἡμᾶς ἐξ ἑκατέρας ὑπερβολῆς, ἀβλαβεῖς διαφυλάττειν. καὶ γάρ, καθὼς λέγουσιν οἱ Πατέρες, αἱ ἀκρότητες ἑκατέρων τῶν μερῶν, ἐπίσης βλάπτουσι· καὶ ἡ τῆς νηστείας ὑπερβολή, καὶ ἡ τῆς γαστρὸς χορτασία· καὶ ἡ τῆς ἀγρυπνίας ἀμετρία, καὶ ὁ τοῦ ὕπνου κόρος· καὶ αἱ λοιπαὶ ὑπερβολαί. καὶ γὰρ ἔγνωμεν τινας, διὰ γαστριμαργίας μὲν μὴ ἡττηθέντας, διὰ ἀμέτρου δὲ νηστείας καταβληθέντας, καὶ πρὸς τὸ αὐτὸ πάθος τῆς γαστριμαργίας ὀλισθήσαντας, διὰ τὴν προσγινομένην ἐκ τῆς ἀμέτρου νηστείας ἀσθένειαν. κἀγὼ δὲ μέμνημαί ποτε, τοιοῦτόν τι πεπονθώς. καὶ ἐπὶ τοσοῦτον ἐγκρατευσάμενος, ὥστε με ἐπιλαθέσθαι τῆς ὀρέξεως τῆς τροφῆς· καὶ ἐπὶ δύο καὶ τρεῖς ἡμέρας μένοντα ἄσιτον, καὶ μηδὲ ὅλως τροφῆς ἐπιθυμοῦντα, εἰμὴ ἄλλοι ἐπὶ ταύτην διήγειραν· καὶ πάλιν ἀπὸ τῶν ἐμῶν ὀφθαλμῶν, ἐξ ἐπιβουλῆς τοῦ διαβόλου, οὕτως ὁ ὕπνος ἀπέστη, ὡς ἐπὶ πλείστας νύκτας ἄϋπνον διατελοῦντα, ἱκετεύειν τὸν Κύριον, μικροῦ ὕπνου μεταλαβεῖν με. καὶ βαρύτερον ἐκινδύνευσα ἐπὶ τῇ ἀμέτρῳ ἀσιτίᾳ, καὶ ἀγρυπνίᾳ, ἤπερ ἐπὶ γαστριμαργίᾳ, καὶ τῇ πληρώσει τοῦ ὕπνου. Ταῖς τοιαύταις καὶ τοσαύταις διδασκαλίαις ἡμᾶς ὁ Ἅγιος Μωϋσῆς ηὔφρανεν· ὥστε ἡμᾶς ὠφεληθέντας δοξάζειν τὸν Κύριον, τὸν τοσαύτην σοφίαν παρέχοντα τοῖς φοβουμένοις αὐτόν. ᾧ πρέπει τιμή, καὶ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὅσιος Πατὴρ ἡμῶν Μάρκος ὁ Ἀσκητὴς ἤκμασε μὲν κατὰ τὸ τετρακοσιοςὸν τριακοςὸν ἔτος, ἐχρημάτισε δὲ μαθητὴς τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοςόμου κατὰ τὸν Νικηφόρον Κάλλιςον Τόμῳ β'. Βιβλίῳ ιδ'. Κεφ. μγ'. σύγχρονος γεγονὼς τῷ Ἁγίῳ Νείλῳ, καὶ Ἰσιδώρῳ τῷ Πηλουσιώτῃ, τοῖς περιβοήτοις Ἀσκηταῖς· Φιλόπονος δ᾽ ὤν, καὶ τῇ μελέτῃ τῶν θείων Γραφῶν ἑαυτὸν ἐπιδεδωκώς, πολλοὺς συνέγραψε λόγους παντοίας παιδεύσεως καὶ ὠφελείας μεςοὺς· ἐξ ὧν τριάκοντα μὲν δύο μνημονεύονται παρὰ Νικηφόρῳ τῷ Καλλίςῳ, πᾶσαν ἀσκητικῆς πολιτείας ὁδὸν ἐκδιδάσκοντες, οἵτινες τανῦν οὐχ εὑρίσκονται· σώζονται δὲ μόνοι ὀκτὼ λόγοι αὐτοῦ τῶν εἰρημένων ἕτεροι· ὧν καὶ αὐτὸς ὁ Κάλλιςος μνημονεύει, καὶ ὁ κριτικὸς Φώτιος Ἀναγνώσει σ'. σελίδ. 268.

Τούτων, ὅ, τε περὶ Πνευματικοῦ Νόμου πρῶτος, καὶ ὁ περὶ τῶν ἐξ ἔργων οἰομένων δικαιοῦσθαι φάσκων, τρίτος· ἐν κεφαλαίοις εὐσυνόπτοις διῃρημένοι· καὶ ὁ πρὸς Μοναχὸν Νικόλαον ὄγδοος, ἐνταῦθα ἐτάχθησαν, ὡς τῶν ἄλλων χρησιμώτεροι, καὶ εἰς τὸν πνευματικὸν συντείνοντες μόνον. Μνημονεύει δὲ τῶν συγγραμμάτων αὐτοῦ καὶ ὁ Δαμασκηνὸς Ὁσιομάρτυς Πέτρος, καὶ ὁ ἐν Ἁγίοις Γρηγόριος ὁ Θεσσαλονίκης, καὶ Γρηγόριος ὁ Σιναΐτης, καὶ Κάλλιςος ὁ ἁγιώτατος Πατριάρχης, καὶ Παῦλος ὁ Εὐεργετινός, καὶ ἄλλοι τῶν Πατέρων πολλοί· οἱ καὶ ἀναγνόντες ταῦτα, καὶ ἡμᾶς εἰς τὴν ἀνάγνωσιν αὐτῶν προτρεπόμενοι.

Τοῦτον καὶ ἡ ἁγία τοῦ Χριςοῦ Ἐκκλησία τιμῶσα, τῇ ε'. τοῦ Μαρτίου τὴν μνήμην ποιεῖται, τοὺς ἀσκητικοὺς αὐτοῦ ἀγῶνας, τὸ ἐν λόγοις σοφόν, καὶ τὴν ἄνωθεν αὐτῷ δοθεῖσαν χάριν τῶν θαυμάτων ἀνακηρύττουσα.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΤΟΥ ὉΣΙΟΥ ΚΑῚ ΘΕΟΦΌΡΟΥ ΠΑΤΡῸΣ ἩΜΩ͂Ν

# ΜΆΡΚΟΥ ΤΟΥ͂ ἈΣΚΗΤΟΥ͂

## Περὶ Νόμου Πνευματικοῦ. Κεφάλαια σ΄.

α΄. Ἐπειδὴ πολλάκις ἐβουλήθη-
τε γνῶναι, πῶς ὁ νόμος
πνευματικός ἐστι κατὰ τὸν
Ἀπόστολον, καὶ τίς ἡ
γνῶσις, καὶ ἡ ἐργασία τῶν φυλάττειν
αὐτὸν βουλομένων, κατὰ χάριν καὶ δύνα-
μιν ἐροῦμεν.

β΄. Πρῶτον ὅτι τὸν Θεὸν οἴδαμεν παντὸς
ἀγαθοῦ ἀρχὴν εἶναι, καὶ μεσότητα, καὶ
τέλος. τὸ δὲ ἀγαθόν, ἀμήχανον ἐνερ-
γεῖσθαι, ἢ πιστεύεσθαι, εἰμὴ ἐν Χριστῷ
Ἰησοῦ, καὶ Ἁγίῳ Πνεύματι.

γ΄. Πᾶν ἀγαθόν, οἰκονομικῶς παρὰ Κυ-
ρίου δεδώρηται, καὶ ὁ οὕτως πιστεύων, οὐκ
ἀπολέσει αὐτό.

δ΄. Ἡ βεβαία πίστις, πύργος ἐστὶν ἰσχυ-
ρός. Χριστὸς δὲ τὰ πάντα τῷ πιστεύον-
τι γίνεται.

ε΄. Καταρχέτω σου πάσης προθέσεως, ὁ
κατάρχων παντὸς ἀγαθοῦ, ὅπως κατὰ
Θεὸν γένηται τὸ προκείμενον.

ς΄. Ὁ ταπεινόφρων, καὶ ἔργον ἔχων πνευ-
ματικόν, ἀναγινώσκων τὰς θείας Γρα-
φάς, πάντα εἰς ἑαυτὸν νοήσει, καὶ οὐκ εἰς
ἕτερον.

ζ΄. Ἐπικαλοῦ τὸν Θεόν, ἵνα ἀνοίξῃ τοὺς
ὀφθαλμοὺς τῆς καρδίας σου, καὶ ἴδῃς τὴν
ὠφέλειαν τῆς προσευχῆς, καὶ τῆς ἀναγνώ-
σεως τῆς ἐμπείρως νοουμένης.

Ὁ ἔχων τὶ χάρισμα πνευματικόν, η΄.
καὶ συμπάσχων τοῖς μὴ ἔχουσι, διὰ τῆς
συμπαθείας φυλάττει τὸ δώρημα. ὁ δὲ
ἀλαζὼν ἀπολέσει αὐτό, τοῖς τῆς ἀλαζο-
νείας * λογισμοῖς περικρουόμενος. * ἐν ἄλλ. πειρασμοῖς.

Στόμα ταπεινόφρονος, λαλεῖ ἀλήθειαν. θ΄.
ὁ δὲ ἀντιλέγων αὐτῇ, ὅμοιός ἐστι τῷ ὑ-
πηρέτῃ ἐκείνῳ τῷ ἐπὶ σιαγόνα τὸν Κύ-
ριον ῥαπίσαντι.

Μὴ γίνου μαθητὴς τοῦ ἐπαινοῦντος ἑαυ- ι΄.
τόν, ἵνα μὴ ἀντὶ ταπεινοφροσύνης, ὑπε-
ρηφανίαν μάθῃς.

Μὴ ἐπαρθῇς τῇ καρδίᾳ σου ἐπὶ νοή- ια΄.
μασι γραφικοῖς, ἵνα μὴ τῷ πνεύματι
τῆς βλασφημίας κατὰ νοῦν περιπέσῃς.

Μὴ πειρῶ πρᾶγμα σκολιὸν ἐπιλῦ- ιβ΄.
σαι διὰ φιλονεικίας, ἀλλὰ δι' ὧν ὁ πνευ-
ματικὸς νόμος * ἐπαγγέλλεται, δι' ὑπο- * ἐν ἄλλ. παρακελεύεται.
μονῆς, καὶ προσευχῆς, καὶ μονολογίστου
ἐλπίδος.

Τυφλός ἐστι κράζων, καὶ λέγων· Υἱὲ ιγ΄.
Δαβὶδ ἐλέησόν με, ὁ προσευχόμενος σω-
ματικῶς, καὶ μήπω ἔχων γνῶσιν πνευ-
ματικήν.

Ὁ ποτὲ τυφλὸς ἀναβλέψας καὶ ἰδὼν ιδ΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸν Κύριον, οὐκ ἔτι Υἱὸν Δαβίδ, ἀλλ' Υἱὸν Θεοῦ ὁμολογήσας προσεκύνησε.

ιε'. Μὴ ἐπαρθῇς ἐκχέων δάκρυα ἐν προσευχῇ σου· Χριστὸς γὰρ ἥψατο τῶν ὀφθαλμῶν σου, καὶ νοερῶς ἀνέβλεψας.

ιϛ'. Ὁ κατὰ μίμησιν τοῦ τυφλοῦ ἀποβαλὼν τὸ ἱμάτιον, καὶ ἐγγίσας τῷ Κυρίῳ, ἀκόλουθος αὐτοῦ, καὶ κήρυξ γίνεται τῶν τελειοτέρων δογμάτων.

ιζ'. Κακία ἐν λογισμοῖς μελετωμένη, θρασύνει καρδίαν· ἀναιρουμένη δὲ δι' ἐγκρατείας καὶ ἐλπίδος, συντρίβει αὐτήν.

ιη'. Ἔστι συντριμμὸς καρδίας ὁμαλὸς καὶ ἐπωφελὴς εἰς κατάνυξιν αὐτῆς, καὶ ἔστιν ἕτερος ἀνώμαλος καὶ ἐπιβλαβὴς εἰς * ἐπίπληξιν αὐτῆς.

* ἐν ἄλ. πλῆξιν.

ιθ'. Ἀγρυπνία, καὶ προσευχή, καὶ τῶν ἐπερχομένων ὑπομονή, συντριμμός ἐστιν ἀνεπηρέαστος, καὶ ἐπωφελὴς τῇ καρδίᾳ· μόνον εἰμὴ διὰ πλεονεξίας ἐκκόψωμεν αὐτῶν τὴν σύγκρασιν. ὁ γὰρ ἐν πάσαις ὑπομένων, καὶ ἐν ταῖς λοιπαῖς βοηθηθήσεται. ὁ δὲ ἀμελῶν καὶ διαχεόμενος, ἐν ἐξόδῳ ἀφορήτως ὀδυνηθήσεται.

κ'. Φιλήδονος καρδία, εἱρκτὴ καὶ ἅλυσις τῇ ψυχῇ ἐν καιρῷ ἐξόδου γίνεται· ἡ δὲ φιλόπονος, θύρα ἐστὶν ἀνεῳγμένη.

κα'. Σιδηρᾶ πύλη ἐπὶ τὴν πόλιν * εἰσάγουσα ἐστί, σκληρὰ καρδία· τῷ δὲ κακοπαθοῦντι καὶ τεθλιμμένῳ, αὐτομάτη ἀνοιγήσεται, καθὼς καὶ τῷ Πέτρῳ.

* ἀπάγουσα.

κβ'. Πολλοὶ μὲν εἰσὶ προσευχῆς τρόποι, ἕτερος ἑτέρου διαφορώτερος· ὅμως οὔτε εἷς τρόπος προσευχῆς ἐπιβλαβὴς τυγχάνει· εἰμή τι αὖ οὐκ ἔστι προσευχή, ἀλλ' ἐργασία σατανική.

κγ'. Ἄνθρωπος κακοποιῆσαι θέλων, πρότερον προσηύξατο διανοίᾳ κατὰ συνήθειαν, καὶ οἰκονομικῶς ἐμποδισθείς, ὕστερον πολλὰ ηὐχαρίστησεν.

κδ'. Ὁ Δαβὶδ φονεῦσαι θελήσας Νάβαλ τὸν Καρμήλιον, ὑπόμνησιν λαβὼν θείας ἀνταποδόσεως, ἐκκοπεὶς τῆς προθέσεως, πολλὰ ηὐχαρίστησεν. οἴδαμεν δὲ πάλιν οἷα πεποίηκεν ἐπιλαθόμενος τοῦ Θεοῦ, καὶ οὐκ ἐπαύσατο, ἕως οὗ Νάθαν ὁ Προφήτης εἰς μνήμην αὐτὸν ἤγαγε τοῦ Θεοῦ.

κε'. Ἐν καιρῷ μνήμης Θεοῦ πολυπλασίαζον δέησιν, ἵν' ὅταν ἐπιλάθῃ, ὁ Κύριος ὑπομνήσῃ σε.

κϛ'. Ἀναγινώσκων τὰς θείας Γραφάς, νόει τὰ ἐν αὐταῖς κεκρυμμένα. ὅσα γὰρ προεγράφη, φησί, πάντα εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη.

κζ'. Τὴν πίστιν, ἡ Γραφὴ λέγει, ἐλπιζομένων ὑπόστασιν· καὶ τοὺς μὴ ἐπιγινώσκοντας τὴν ἐνοίκησιν τοῦ Χριστοῦ, ἀδοκίμους εἴρηκεν.

κη'. Ὥσπερ δι' ἔργων, καὶ λόγων φανεροῦται ἔννοια, οὕτως καὶ διὰ τῶν καρδιακῶν ἐνεργημάτων ἡ μέλλουσα ἀνταπόδοσις.

κθ'. Οἰκτίρμων καρδία, δηλονότι οἰκτειρηθήσεται. τὸ δὲ ἐναντίον, ἡ ἀκολουθία ἀντιπεφώνηκεν.

λ'. Ὁ νόμος τῆς ἐλευθερίας διδάσκει πᾶσαν ἀλήθειαν· καὶ οἱ μὲν πολλοὶ τοῦτον κατὰ γνῶσιν ἀναγινώσκουσιν, ὀλίγοι δὲ νοοῦσιν αὐτόν, κατὰ ἀναλογίαν τῆς τῶν ἐντολῶν ἐργασίας.

λα'. Μὴ ζήτει αὐτοῦ τὴν τελειότητα ἐν ἀρεταῖς ἀνθρωπίναις· τέλειος γὰρ ἐν αὐταῖς οὐχ εὑρίσκεται· ἡ γὰρ τελειότης αὐτοῦ ἐν τῷ Σταυρῷ τοῦ Χριστοῦ ἐγκέκρυπται.

λβ'. Ὁ νόμος τῆς ἐλευθερίας, διὰ μὲν γνώσεως ἀληθοῦς ἀναγινώσκεται, διὰ δὲ ἐργασίας τῶν ἐντολῶν νοεῖται, πληροῦται δὲ διὰ τῶν οἰκτιρμῶν τοῦ Χριστοῦ.

λγ'. Ὅταν * πρὸς πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ διὰ συνειδήσεως κατορθοῦσθαι βιασώμεθα, τότε νοήσωμεν τὸν νόμον Κυρίου ἄμωμον· ἐν τοῖς ἡμετέροις μὲν καλοῖς ἐπιτελούμενον· χωρὶς δὲ οἰκτιρμῶν Θεοῦ τελειωθῆναι ἐν ἀνθρώποις μὴ δυνάμενον.

* ἐν ἄλ. πάσας τὰς ἐντολὰς κατορθῶσαι.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λδ'. Ὅσοι πάσης ἐντολῆς Χριστοῦ ἑαυτοὺς ὀφειλέτας οὐκ ἐλογίσαντο, οὗτοι τὸν τοῦ Θεοῦ νόμον σωματικῶς ἀναγινώσκουσι· μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται. διὸ καὶ πληροῦν αὐτὸν ἐξ ἔργων νομίζουσιν.

λε'. Ἔστι πρᾶγμα προφανῶς καλὸν ἐπιτελούμενον, καὶ ὁ σκοπὸς τοῦ ἐπιτελοῦντος αὐτὸ, οὐκ εἰς ἀγαθόν· καὶ ἔστιν ἕτερον ὡς πονηρὸν, καὶ ὁ σκοπὸς τοῦ ἐπιτελοῦντος αὐτὸ εἰς ἀγαθόν· οὐ μόνον δὲ ἔργα ποιοῦσι τινὲς, ἀλλὰ καὶ λόγους λαλοῦσι τῷ τρόπῳ ᾧ προειρήκαμεν. οἱ μὲν γὰρ ἐναλλάσσουσι πρᾶγμα κατὰ ἀπειρίαν, ἢ ἄγνοιαν· οἱ δὲ, κατὰ πρόθεσιν πονηρίας· ἕτεροι δὲ, κατὰ σκοπὸν εὐσεβείας.

λϛ'. Ὁ ἐν προβολῇ ἐπαίνων ἐγκρύπτων διαβολὴν καὶ μῶμον, δυσεύρετός ἐστι τοῖς ἁπλουστέροις. ὅμοιος δὲ τούτῳ ἐστὶ, καὶ ὁ κενόδοξος ἐν ταπεινῷ σχήματι. οἵτινες ἐπὶ πολὺ κατασοφιζόμενοι τὴν ἀλήθειαν ἐν τῷ ψεύδει, παραχωρηθέντες ὕστερον διὰ τῶν πραγμάτων ἐλέγχονται.

λζ'. Ἔστι τὶς ποιῶν τὶ πρᾶγμα προφανὲς ὡς καλὸν, τὸν πλησίον ἀμυνόμενος· καὶ ἔστιν ὁ ἐν τῷ μὴ ποιῆσαι αὐτὸ, ὠφεληθεὶς κατὰ διάνοιαν.

λη'. Ἔστιν ἔλεγχος κατὰ κακίαν καὶ ἄμυναν, καὶ ἔστιν ἕτερος κατὰ φόβον Θεοῦ, καὶ ἀλήθειαν.

λθ'. Τὸν παυσάμενον ἀπὸ ἁμαρτίας καὶ λοιπὸν μετανοοῦντα, μηκέτι ἔλεγχε. εἰ δὲ λέγεις κατὰ Θεὸν ἐλέγχειν αὐτὸν, πρῶτον τὰ σαυτοῦ κακὰ φανεροποίησον.

μ'. Πάσης ἀρετῆς κατάρχει ὁ Θεὸς, ὡς καὶ τοῦ μεθημερινοῦ φωτὸς ὁ ἥλιος.

μα'. Ποιήσας ἀρετὴν, μνήσθητι τοῦ εἰρηκότος, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.

μβ'. Διὰ θλίψεως τὰ ἀγαθὰ τοῖς ἀνθρώποις ἡτοίμασται, ὁμοίως δὲ καὶ τὰ κακὰ διὰ κενοδοξίας, καὶ ἡδονῆς.

μγ'. Ἐκφεύγει ἁμαρτίας, ὁ παρὰ ἀνθρώπων ἀδικούμενος, καὶ ὁμοίαν τῆς θλίψεως εὑρίσκει ἀντίληψιν.

μδ'. Ὁ πιστεύων τῷ Χριστῷ περὶ ἀνταποδόσεως, πᾶσαν ἀδικίαν προθύμως ὑπομένει κατὰ ἀναλογίαν τῆς πίστεως.

με'. Ὁ ἀδικούντων ἀνθρώπων ὑπερευχόμενος, καταράσσει δαίμονας· ὁ δὲ τοῖς πρώτοις ἀντιτασσόμενος, ὑπὸ τῶν δευτέρων τιτρώσκεται.

μϛ'. Κρεῖττον πλημμέλεια ἀνθρώπων, καὶ μὴ δαιμόνων· ὁ δὲ εὐαρεστῶν τῷ Κυρίῳ, τοὺς ἀμφοτέρους ἐνίκησε.

μζ'. Πᾶν ἀγαθὸν παρὰ Κυρίου, οἰκονομικῶς παραγίνεται· διαφεύγει δὲ μυστικῶς τοὺς ἀχαρίστους, καὶ ἀγνώμονας, καὶ ἀέργους.

μη'. Πᾶσα κακία, εἰς τὴν ἀπηγορευμένην καταλήγει ἡδονήν· καὶ πᾶσα ἀρετὴ, εἰς παράκλησιν πνευματικήν. καὶ ἡ μὲν προτέρα κρατοῦσα, προσερεθίζει τὰ οἰκεῖα· ἡ δὲ δευτέρα, ὁμοίως τὰ συγγενῆ.

μθ'. Ὀνειδισμὸς ἀνθρώπων, θλίψιν παρέχει τῇ καρδίᾳ, ἀγνείας δὲ γίνεται αἴτιος τῷ ὑπομένοντι.

ν'. Ἄγνοια, ἀντιλέγειν πρὸς τὰ ὠφέλιμα παρασκευάζει· καὶ θρασυνομένη, αὔξει τῆς κακίας τὰ * προκείμενα.

* ἐν ἄλ. προηγούμενα.

να'. Μηδὲν ζημιούμενος, τὰ θλιβερὰ προσδέχου· καὶ ὡς λόγον ἀποδώσων, τὴν πλεονεξίαν ἀπόβαλε.

νβ'. Ἁμαρτήσας λαθραίως, μὴ πειρῶ λαθεῖν. πάντα γὰρ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς Κυρίου, πρὸς ὃν ἡμῖν ὁ λόγος.

νγ'. Κατὰ διάνοιαν ἑαυτὸν ἐπιδείκνυε τῷ Δεσπότῃ. ἄνθρωπος γὰρ εἰς πρόσωπον, Θεὸς δὲ εἰς καρδίαν.

νδ'. Μηδὲν λογίζου, ἢ πράττε ἄνευ τοῦ κατὰ Θεὸν σκοποῦ. ὁ γὰρ ἀσκόπως ὁδοιπορῶν ματαιοπονήσει.

νε'. Τῷ ἐκτὸς ἀνάγκης ἁμαρτάνοντι, δυσμετανόητα γίνεται. διότι ἀληθής ἐστιν ἡ τοῦ Θεοῦ δικαιοσύνη.

Σύμβα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

νϛʹ. Σύμβασις ἀβούλητος μνήμην Θεοῦ παρέχει τῷ συνετῷ· θλίβουσα κατ' ἀναλογίαν τὸν ἐπιλανθανόμενον τοῦ Θεοῦ.

νζʹ. Πᾶς ἀκούσιος πόνος γινέσθω σοι μνήμης διδάσκαλος, καὶ οὐκ ἐπιλείψει σοι ἀφορμὴ πρὸς μετάνοιαν.

νηʹ. Λήθη καθ' ἑαυτὴν οὐδεμίαν ἔχει δύναμιν, ἀλλ' ἐκ τῶν ἡμετέρων ἀμελειῶν κατ' ἀναλογίαν κρατύνεται.

νθʹ. Μὴ λέγε, τί ποιήσω; ὅτι οὐ θέλω καὶ ἔρχεται· διότι μνημονεύων, παρελογίσω τὸ ὀφειλόμενον.

ξʹ. Ὃ μνημονεύεις ἀγαθόν, ποίησον· καὶ ὃ ἀμνημονεῖς, ἀποκαλύπτεταί σοι· καὶ οὐ μὴ παραδῷς ἀκρίτῳ λήθῃ τὴν ἔννοιαν.

ξαʹ. Ἡ Γραφή φησιν, ᾅδης καὶ ἀπώλεια φανερὰ παρὰ Κυρίῳ. ταῦτα δέ, περὶ καρδιακῆς ἀγνοίας, καὶ λήθης λέγει.

ξβʹ. Ἅδης γάρ ἐστιν ἄγνοια· ἀμφότερα γὰρ εἰσὶν ἀφανερά. ἀπώλεια δέ ἐστι λήθη, διότι ἐξ ὑπαρχόντων ἀπώλοντο.

ξγʹ. Τὰ σὰ περιεργάζου κακά, καὶ μὴ τὰ τοῦ πλησίον· καὶ οὐ μὴ συληθῇ σου τὸ νοερὸν ἐργαστήριον.

ξδʹ. Πάντων τῶν κατὰ δύναμιν καλῶν δυσυγχώρητος ἡ ἀμέλεια· ἐλεημοσύνη δέ, καὶ προσευχή, ἀνακαλοῦνται τοὺς ἀμελήσαντας.

ξεʹ. Πᾶσα θλῖψις κατὰ Θεόν, ἔργον ἐστὶν εὐσεβείας ἐνυπόστατον. ἡ γὰρ ἀληθινὴ ἀγάπη, διὰ τῶν ἐναντίων δοκιμάζεται.

ξϛʹ. Μὴ λέγε κεκτῆσθαι ἀρετὴν ἐκτὸς θλίψεως. ἀδόκιμος γάρ ἐστι διὰ τὴν ἄνεσιν.

ξζʹ. Πάσης ἀκουσίου θλίψεως ἀναλογίζου τὴν ἔκβασιν, καὶ εὑρήσεις ἐν αὐτῇ ἁμαρτίας ἀναίρεσιν.

ξηʹ. Πολλαὶ συμβουλίαι τῶν πέλας πρὸς τὸ συμφέρον· ἑκάστῳ δὲ τῆς ἰδίας γνώμης, οὐδὲν ἁρμοδιώτερον.

ξθʹ. Ζητῶν θεραπείαν, ἐπιμέλησαι τῆς συνειδήσεως· καὶ ὅσα σοι λέγει, ποίησον, καὶ εὑρήσεις τὴν ὠφέλειαν.

Τὰ κρυπτὰ ἑκάστου ὁ Θεὸς οἶδε, καὶ ἡ συνείδησις, καὶ διὰ τούτων αὐτῶν λαμβανέτω διόρθωσιν. οʹ.

Ἄνθρωπος ὅσα δύναται, ἐπιτηδεύει κατὰ τὸ ἴδιον θέλημα· Θεὸς δὲ τὰς τούτων ἐκβάσεις ποιεῖ κατὰ τὸ δίκαιον. οαʹ.

Ἐὰν θέλῃς ἀκατακρίτως ἔπαινον παρὰ ἀνθρώπων λαμβάνειν, πρότερον ὑπὲρ τῶν ἁμαρτιῶν σου ἀγάπησον ἔλεγχον. οβʹ.

Ὅσην ἄν τις ὑπὲρ ἀληθείας Χριστοῦ καταδέξηται ἐντροπήν, ἑκατονταπλασίως ὑπὸ πλήθους δοξασθήσεται. κρεῖσσον δὲ πᾶν ἀγαθὸν ἐργάζεσθαι διὰ τὰ μέλλοντα. ογʹ.

Ὅταν ἄνθρωπος ἄνθρωπον ὠφελήσῃ ἐν λόγοις, ἢ ἐν πράγμασι, Θεοῦ εἶναι τὴν χάριν νοείτωσαν ἀμφότεροι. ὁ δὲ μὴ συνιῶν τοῦτο, ὑπὸ τοῦ συνιόντος ἐξουσιασθήσεται. οδʹ.

Ὁ ἐπαινῶν τὸν πλησίον κατά τινα ὑπόκρισιν, ὀνειδίσει αὐτὸν ἐν καιρῷ, καὶ αὐτὸς ἐντραπήσεται. οεʹ.

Ὁ ἀγνοῶν ἐνέδραν πολεμίων, σφάζεται εὐχερῶς, καὶ ὁ μὴ εἰδὼς τὰς αἰτίας τῶν παθῶν, καταπίπτει ῥᾳδίως. οϛʹ.

Ἀπὸ φιληδονίας ἀμέλεια, καὶ ἀπὸ ἀμελείας λήθη προσγίνεται. τῶν συμφερόντων γὰρ τὴν γνῶσιν ὁ Θεὸς πᾶσι δεδώρηται. οζʹ.

Ἄνθρωπος ὑποτίθεται τῷ πλησίον, καθὰ ἐπίσταται· Θεὸς δὲ ἐνεργεῖ τῷ ἀκούοντι, καθὰ ἐπίστευσεν. οηʹ.

Εἶδον ἰδιώτας ἔργῳ ταπεινοφρονήσαντας, καὶ ἐγένοντο τῶν σοφῶν σοφώτεροι. οθʹ.

Ἕτερος ἰδιώτης ἀκούσας ἐκείνους ἐπαινουμένους, τὴν ταπεινοφροσύνην οὐκ ἐμιμήσατο, ἀλλ' ἐπὶ τῇ ἰδιωτείᾳ κενοδοξῶν, ὑπερηφανίαν προσελάβετο. πʹ.

Ὁ σύνεσιν ἐξουθενῶν, καὶ εἰς ἀμάθειαν καυχώμενος, οὐκ ἔστι μόνον ἰδιώτης τῷ λόγῳ, ἀλλὰ καὶ τῇ γνώσει. παʹ.

Ὥσπερ γὰρ ἄλλο ἐστὶ σοφία λόγου, καὶ ἄλλο φρόνησις, οὕτως ἰδιωτεία λόγου ἕτερον, καὶ ἕτερον ἀφροσύνη. πβʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πγʹ. Οὐδὲν βλάψει ἀμάθεια λέξεων τὸν εὐλαβέστατον, ὡς οὐδὲ σοφία λόγων τὸν ταπεινόφρονα.

πδʹ. Μὴ λέγε, ὅτι οὐκ ἐπίσταμαι τὸ δέον, καὶ ἀναίτιός εἰμι μὴ ποιῶν αὐτό. εἰ γὰρ ἐποίεις ὅσα ἐπίστασαι καλά, καὶ τὰ λοιπά σοι ἀκολούθως ἀπεκαλύπτετο, οἰκίσκων τρόπον ἓν δι' ἑνὸς κατανοούμενα. οὐ συμφέρει σοι πρὸ τῆς ἐργασίας τῶν προτέρων εἰδέναι τὰ δεύτερα. ἡ γὰρ γνῶσις φυσιοῖ διὰ τὴν ἀργίαν, ἡ δὲ ἀγάπη οἰκοδομεῖ διὰ τὸ τὰ πάντα ὑπομένειν.

πεʹ. Τῆς θείας Γραφῆς τὰ ῥήματα, διὰ πράξεων ἀναγίνωσκε, καὶ μὴ πλατυλόγει ἐπὶ ψιλοῖς τοῖς νοήμασι φυσιούμενος.

πϛʹ. Ὁ ἀφεὶς τὴν πρᾶξιν, καὶ ψιλῇ τῇ γνώσει ἐπερειδόμενος, ἀντὶ διστόμου μαχαίρας, καλαμίνην ῥάβδον κατέχει· ἥτις ἐν καιρῷ πολέμου, κατὰ τὴν Γραφήν, τρήσει τὴν χεῖρα αὐτοῦ, καὶ εἰσελεύσεται εἰς αὐτήν, τὸν ἰὸν τῆς φύσεως πρὸ τῶν πολεμίων ἐμβαλοῦσα.

πζʹ. Μέτρον ἔχει καὶ σταθμὸν παρὰ Θεῷ πᾶσα ἔννοια. ἔστι γὰρ τὸ αὐτὸ ἢ ἐμπαθῶς, ἢ μονοτρόπως λογίσασθαι.

πηʹ. Ὁ ποιήσας ἐντολήν, ἐκδεχέσθω τὸν ὑπὲρ ταύτης πειρασμόν. ἡ γὰρ εἰς Χριστὸν ἀγάπη, δι' ἐναντίων δοκιμάζεται.

πθʹ. Μὴ καταφρονήσῃς ποτὲ ἐν λογισμῶν ἀμελείᾳ. ἀλάθητος γάρ ἐστιν ὁ Θεὸς ἐπὶ πάσης ἐννοίας.

ϙʹ. Ὅταν ἴδῃς λογισμόν, ἀνθρωπίνην σοι δόξαν ὑπαγορεύοντα, γίνωσκε σαφῶς, ὅτι αἰσχύνην σοι κατασκευάζει.

ϙαʹ. Ἐπίσταται ὁ ἐχθρὸς τοῦ πνευματικοῦ νόμου τὸ δίκαιον, καὶ ζητεῖ μόνον τὴν νοερὰν συγκατάθεσιν. οὕτω γὰρ ἄν, ἢ τοῖς τῆς μετανοίας πόνοις ὑπεύθυνον ποιήσει τὸν ὑποχείριον, ἢ μὴ μετανοοῦντα, ἀκουσίοις ἐπιφοραῖς ὀδυνήσει αὐτόν. ἔστι δ' ὅτε καὶ πρὸς τὰς ἐπιφορὰς ἀντιμάχεσθαι παρασκευάζει, ὅπως καὶ ὧδε τὰς ὀδύνας πολυπλασιάσῃ, καὶ ἐν ἐξόδῳ διὰ τὴν ἀνυπομονησίαν ἀποδείξῃ ἄπιστον.

ϙβʹ. Πρὸς τὰ ἐπερχόμενα, πολλοὶ πολλὰ ἀντετάξαντο· ἀλλ' ἐκτὸς προσευχῆς καὶ μετανοίας, οὐδεὶς δεινὸν διέφυγεν.

ϙγʹ. Ἓν δι' ἑνὸς τὰ κακὰ λαμβάνει τὴν δύναμιν· ὁμοίως καὶ τὰ ἀγαθά, δι' ἀλλήλων αὐξάνονται· καὶ τὸν ἑαυτῶν μέτοχον, ἐπὶ τὰ πρόσω μειζόνως προτρέπονται.

ϙδʹ. Τὰ μικρὰ ἁμαρτήματα ἐξευτελίζει ὁ διάβολος. ἄλλως γὰρ ἐπὶ μείζονα κακὰ ἀγαγεῖν οὐ δύναται.

ϙεʹ. Ῥίζα αἰσχρᾶς ἐπιθυμίας, ἀνθρώπινος ἔπαινος, ὥσπερ καὶ σωφροσύνης, ὁ περὶ κακίας ἔλεγχος· οὐχ ὅταν ἀκούωμεν μόνον, ἀλλ' ὅταν αὐτὸν καὶ καταδεχώμεθα.

ϙϛʹ. Οὐδὲν ὠφελήθη ὁ ἀποταξάμενος, καὶ ἡδυπαθῶν. ὃ γὰρ ἐποίει διὰ τῶν χρημάτων, τοῦτο καὶ μηδὲν ἔχων ἐργάζεται.

ϙζʹ. Πάλιν ὁ ἐγκρατής, ἐὰν *κτᾶται χρήματα, ἀδελφός ἐστι τοῦ προτέρου κατὰ διάνοιαν· μητρὸς μὲν τῆς αὐτῆς διὰ τὴν νοερὰν ἡδονήν, πατρὸς δὲ ἑτέρου διὰ τὴν τοῦ πάθους ἐναλλαγήν.

* ἐν ἄλλ. κατέχει

ϙηʹ. Ἔστιν ὁ περικόπτων πάθος διὰ μείζονα ἡδυπάθειαν, καὶ ὑπὸ τῶν ἀγνοούντων αὐτοῦ τὸν σκοπὸν δοξάζεται. τάχα δὲ καὶ ἑαυτὸν ἀγνοεῖ κοπιῶν ἀνόνητα.

ϙθʹ. Αἰτία πάσης κακίας, κενοδοξία καὶ ἡδονή. ὁ δὲ μὴ μισήσας ταῦτα, οὐ περιαιρεῖ πάθος.

ρʹ. Ῥίζα πάντων τῶν κακῶν εἴρηται ἡ φιλαργυρία, ἀλλ' αὐτὴ σαφῶς δι' ἐκείνων συνίσταται.

ραʹ. Ἐκτυφλοῦται ὁ νοῦς διὰ τούτων τῶν τριῶν παθῶν, φιλαργυρίας λέγω, καὶ κενοδοξίας, καὶ ἡδονῆς.

ρβʹ. Τρεῖς θυγατέρες τῆς βδέλλης αὗται κατὰ τὴν Γραφήν, ὑπὸ μητρὸς ἀφροσύνης ἀγαπήσει ἀγαπώμεναι.

ργʹ. Γνῶσις, καὶ πίστις αἱ τῆς φύσεως ἡμῶν σύντροφοι, δι' οὐδὲν ἕτερον, ἢ δι' ἐκείνας ἠμβλυώθησαν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρδ'. Θυμὸς, καὶ ὀργὴ, καὶ πόλεμοι, καὶ φόνοι, καὶ πᾶς ὁ λοιπὸς τῶν κακῶν κατάλογος, δι' ἐκείνας ἐν ἀνθρώποις σφόδρα ἐκραταιώθησαν.

ρε'. Οὕτω δεῖ μισῆσαι φιλαργυρίαν, καὶ κενοδοξίαν, καὶ ἡδονὴν, ὡς μητέρας τῶν κακῶν, καὶ μητρυιὰς τῶν ἀρετῶν.

ρς'. Διὰ ταύτας μὴ ἀγαπᾷν τὸν κόσμον, καὶ τὰ ἐν τῷ κόσμῳ προσετάχθημεν· οὐχ ἵνα τὰ κτίσματα τοῦ Θεοῦ ἀκρίτως μισήσωμεν, ἀλλ' ὅπως τῶν τριῶν ἐκείνων παθῶν τὰς ἀφορμὰς περικόψωμεν.

ρζ'. Οὐδεὶς, φησὶ, στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις. ὁ γὰρ μετὰ τῆς ἐμπλοκῆς τὰ πάθη νικῆσαι θέλων, ὅμοιός ἐστι τῷ μετὰ ἀχύρων σβεννύοντι ἐμπρησμόν.

ρη'. Ὁ διὰ χρήματα, ἢ δόξαν, ἢ ἡδονὴν ὀργιζόμενος τῷ πλησίον, οὔπω ἔγνωκεν ὅτι ἐν δικαιοσύνῃ διοικεῖ ὁ Θεὸς τὰ πράγματα.

ρθ'. Ὅταν ἀκούσῃς τοῦ Κυρίου λέγοντος, ὅτι εἴ τις οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, οὐκ ἔστι μου ἄξιος, μὴ μόνον περὶ χρημάτων νόει τὸ εἰρημένον, ἀλλὰ καὶ περὶ πάντων τῶν τῆς κακίας ἐνεργημάτων.

ρι'. Ὁ μὴ γινώσκων τὴν ἀλήθειαν, οὐδὲ ἀληθῶς πιστεύειν δύναται. ἡ γὰρ γνῶσις, τῇ φύσει προηγεῖται τῆς πίστεως.

ρια'. Ὥσπερ ἑκάστῳ τῶν ὁρωμένων ὁ Θεὸς ἀπένειμε τὸ προσφυὲς, οὕτω καὶ τοῖς ἀνθρωπίνοις λογισμοῖς, κἂν θέλωμεν, κἂν μὴ θέλωμεν.

ριβ'. Εἴ τις προφανῶς ἁμαρτάνων, καὶ μὴ μετανοῶν, οὐδὲν ἔπαθεν ἕως ἐξόδου αὐτοῦ, τούτου νόμιζε ἀνίλεων εἶναι τὴν κρίσιν.

ριγ'. Ὁ ἐμφρόνως προσευχόμενος, ὑπομένει τὰ ἐπερχόμενα· ὁ δὲ μνησικακῶν, οὔπω καθαρῶς προσηύξατο.

ριδ'. Ζημιωθεὶς, ἢ ὀνειδισθεὶς, ἢ ἐκδιωχθεὶς παρά τινος, μὴ λογίζου τὸ παρὸν, ἀλλὰ τὸ μέλλον ἐκδέχου· καὶ εὑρήσεις ὅτι πολλῶν σοι ἀγαθῶν γέγονε πρόξενος, οὐ μόνον ἐν τῷ παρόντι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

Ὥσπερ τοῖς κακοσίτοις ἀψίνθιον ὠφε- ριε'.
λεῖ τὸ πικρὸν, οὕτω τοῖς κακοτρόποις κακὰ πάσχειν συμφέρει. τοὺς μὲν γὰρ δικτεῖν, τοὺς δὲ, μετανοεῖν παρασκευάζει τὰ φάρμακα.

Εἰ μὴ θέλεις κακοπαθεῖν, μηδὲ ριζ'.
κακοποιεῖν θέλε. διότι τοῦτο ἐκείνῳ * ἀ- * ἀναμ-
παραβάτως ἀκολουθεῖ. ὃ γὰρ ἂν σπείρῃ φιβόλως.
ἕκαστος, τοῦτο καὶ θερίσει.

Ἑκουσίως τὰ φαῦλα σπείροντες, καὶ ριζ'.
ἀκουσίως αὐτὰ θερίζοντες, τὴν δικαιοσύνην τοῦ Θεοῦ θαυμάζειν ὀφείλομεν.

Ἐπειδὴ καιρός τις ἀναμέσον σπόρου, καὶ ριη'.
θέρους διώρισται, τούτου χάριν * ἀπιστοῦμεν * [illegible]
περὶ τὴν ἀνταπόδοσιν. ἀπιστεῖν οὐκ ὀφείλομεν.

Ἁμαρτήσας, μὴ αἰτιῶ τὴν πρᾶξιν, ριθ'.
ἀλλὰ τὴν ἔννοιαν. εἰ μὴ γὰρ ὁ νοῦς προέδραμεν, οὐκ ἂν τὸ σῶμα ἐπηκολούθησε.

Τῶν προφανῶς ἀδικούντων, πονηρότερός ρκ'.
ἐστιν ὁ λαθροκακοῦργος. διόπερ ἐκεῖνος καὶ πονηροτέρως κολάζεται.

Ὁ δόλους συμπλέκων, καὶ κεκρυμμέ- ρκα'.
νως κακοποιῶν, ὄφις ἐστὶ, κατὰ τὴν Γραφὴν, ἐγκαθήμενος ἐν ὁδῷ, καὶ δάκνων πτέρναν ἵππου.

Ὁ ἐν τῷ αὐτῷ εἴς τινα μὲν ἐπαινῶν, ρκβ'.
τινὰ δὲ ψέγων τὸν πέλας, ὑπὸ κενοδοξίας καὶ φθόνου κεκράτηται· καὶ διὰ μὲν τῶν ἐπαίνων, κρύπτειν πειρᾶται τὸν φθόνον· διὰ δὲ τῶν ψόγων, ἑαυτὸν δοκιμώτερον ἐκείνου συνίστησιν.

Ὥσπερ οὐκ ἔστιν ἐπὶ τὸ αὐτὸ καὶ πρό- ρκγ'.
βατα βόσκειν, καὶ λύκους· οὕτως ἀδύνατον ἐλέους τυχεῖν δολοποιοῦντα τὸν πλησίον.

Ὁ τῇ ἐπιταγῇ σμίγων λάθρα τὸ ἑαυ- ρκδ'.
τοῦ θέλημα, μοιχός ἐστι, καθὼς ἐν τῇ Σοφίᾳ δεδήλωται, καὶ δι' ἔνδειαν φρενῶν,
ὀδύνας καὶ * ἀτιμίας ὑποφέρει. * λύπας.

Ὥσπερ ὕδατος καὶ πυρὸς ἐναντία ἡ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σύνοδος, ὅπου ἐναντιοῦνται ἀλλήλοις δικαιολογία καὶ ταπείνωσις.

ρκϛʹ. Ὁ ζητῶν ἄφεσιν ἁμαρτιῶν, ἀγαπᾷ τὴν ταπεινοφροσύνην. ὁ δὲ κατακρίνων τὸν ἕτερον, σφραγίζει τὰ ἑαυτοῦ κακά.

ρκζʹ. Μὴ ἀφῇς ἀνεξάλειπτον ἁμαρτίαν, κἂν βραχυτάτη τυγχάνῃ, ἵνα μὴ ὕστερον ἐπὶ μείζω κακὰ παρασύρῃ σε.

ρκηʹ. Ἐὰν θέλῃς σωθῆναι, ἀληθῆ λόγον ἀγάπησον· καὶ μηδέποτε ἀκρίτως ἔλεγχον ἀποστραφῇς.

ρκθʹ. Λόγος ἀληθείας μετέβαλε γεννήματα ἐχιδνῶν, καὶ ἀπέδειξεν αὐτοῖς φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς.

ρλʹ. Ὁ δεχόμενος λόγους ἀληθείας, ὑποδέχεται τὸν Θεὸν Λόγον. φησὶ γάρ, ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται.

ρλαʹ. Παραλυτικός ἐστι χαλασθεὶς διὰ τοῦ δώματος, ἁμαρτωλὸς παρὰ πιστῶν κατὰ Θεὸν ἐλεγχόμενος, καὶ διὰ τὴν ἐκείνων πίστιν λαμβάνων τὴν ἄφεσιν.

ρλβʹ. Κρεῖσσον μετ᾿ εὐλαβείας ὑπερεύχεσθαι τοῦ πλησίον, ἢ ἐλέγχειν αὐτὸν ἐπὶ παντὶ ἁμαρτήματι.

ρλγʹ. Ὁ ὀρθῶς μετανοῶν, ὑπὸ ἀφρόνων χλευάζεται. τοῦτο δὲ αὐτῷ ἐστὶ τεκμήριον εὐαρεστήσεως.

ρλδʹ. Ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται· καὶ οὐ παύεται, ἕως ἂν ἐξολοθρεύσῃ Κύριος σπέρμα ἐκ Βαβυλῶνος.

ρλεʹ. Λόγισαί μοι δώδεκα εἶναι τὰ πάθη τῆς ἀτιμίας· ἐὰν ἓν ἐξ αὐτῶν ἀγαπήσῃς θελήματι, ἐκεῖνο ἀναπληρώσει τὸν τόπον τῶν ἕνδεκα.

ρλϛʹ. Πῦρ ἐστι καιόμενον ἡ ἁμαρτία. ὅσον ἂν περικόψῃς τὴν ὕλην, τοσοῦτον σβεσθήσεται· καὶ καθὸ ἂν ἐπιθῇς, ἀναλόγως ἐκκαυθήσεται.

ρλζʹ. Ἐπαρθεὶς ἐν ἐπαίνοις, ἐκδέχου ἀτιμίαν. φησὶ γάρ, ὁ ὑψῶν ἑαυτόν, ταπεινωθήσεται.

ρληʹ. Ὅταν πᾶσαν ἑκούσιον κακίαν τῆς διανοίας ἀποβάλωμεν, τότε * αὖ πολεμήσωμεν τοῖς κατὰ πρόληψιν πάθεσι. * ἴσ. αὖ.

Πρόληψίς ἐστι, τῶν προτέρων κακῶν μνήμη ἀκούσιος· παρὰ μὲν τῷ ἀγωνιστῇ, προβῆναι εἰς πάθος κωλυομένη· παρὰ δὲ τῷ νικητῇ, ἕως προσβολῆς ἀνακοπτομένη. ρλθʹ.

Προσβολή ἐστιν, ἀνείδωλος κίνησις καρδίας, κλεπτρίας δίκην ὑπὸ τῶν ἐμπείρων προκατεχομένη. ρμʹ.

Ὅπου εἰκόνες λογισμοῦ, ἐκεῖ συγκατάθεσις γέγονε. κίνημα γάρ ἐστιν ἀνείδωλον, ἀναίτιος προσβολή. ἔστι δὲ καὶ ὁ ἐκ τύπου ἐκφεύγων ὡς ἄλλος ἐκ πυρός, καὶ ἔστιν ὁ μὴ ἀναστρέφων ἕως ἂν ἐκκαύσῃ φλόγα. ρμαʹ.

Μὴ λέγε, ὅτι οὐ θέλω καὶ ἔρχεται. πάντως γὰρ κἂν μὴ αὐτό, τὰς δὲ αἰτίας ἀγαπᾷς τοῦ πράγματος. ρμβʹ.

Ὁ ζητῶν ἔπαινον, ἔγκειται πάθει. καὶ θλίψιν ἐπελθοῦσαν ὁ ἀποδυρόμενος, ἀγαπᾷ τὴν ἡδονήν. ρμγʹ.

Ὡς ἐπὶ ζυγοῦ ἵσταται τοῦ ἡδυπαθοῦντος ὁ λογισμός· ποτὲ μὲν κλαίει καὶ ἀποδύρεται διὰ τὰς ἁμαρτίας, ποτὲ δὲ πολεμεῖ καὶ ἀντιλέγει τῷ πλησίον· ἐκδιώκων τὰς ἡδονάς. ρμδʹ.

Ὁ πάντα δοκιμάζων, καὶ τὸ καλὸν κατέχων, ἀκολούθως ἀπὸ παντὸς πονηροῦ * ἀφέξεται. ρμεʹ * ἐκφεύξεται.

Μακρόθυμος ἀνήρ, πολὺς ἐν φρονήσει· ὁμοίως καὶ ὁ λόγοις σοφίας παραβάλλων τὸ οὖς αὐτοῦ. ρμϛʹ.

Χωρὶς μνήμης Θεοῦ, γνῶσις ἀληθὴς εἶναι οὐ δύναται. ἐκτὸς γὰρ τῆς προτέρας, ἡ δευτέρα νόθος τυγχάνει. ρμζʹ.

Τὸν σκληροκάρδιον, ὠφελεῖ λεπτοτέρας γνώσεως λόγος· διότι ἐκτὸς φόβου, μετανοίας πόνους οὐ καταδέχεται. ρμηʹ.

Τῷ πρᾳεῖ ἀνθρώπῳ, πιστολογία συμβάλλεται· καθότι οὐ πειράζει Θεοῦ μακροθυμίαν, καὶ οὐ τύπτεται ἐν πυκνῇ παραβάσει. ρμθʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρν΄. Ἄνδρα δυνατὸν, μὴ ἐλέγξῃς ἐπὶ κενοδοξίᾳ, ἀλλὰ τὴν ἐπιφορὰν τῆς μελλούσης ἀτιμίας ὑπόδειξον. τούτῳ γὰρ τῷ τρόπῳ ὁ συνετὸς ἡδέως ἐλέγχεται.

ρνα΄. Ὁ μισῶν ἐλέγχους, κατὰ πρόθεσιν ἔγκειται τῷ πάθει. ὁ δὲ ἀγαπῶν, δηλονότι τῇ προλήψει παραφέρεται.

ρνβ΄. Μὴ θέλε ἀκούειν ἀλλότρια πονηρεύματα. τῷ γὰρ τοιούτῳ θελήματι, καὶ οἱ χαρακτῆρες τῶν πονηρευμάτων ἐνζωγράφονται.

ρνγ΄. Κακοῖς λόγοις ἐνοχληθεὶς, ἑαυτῷ ὀργίζου, καὶ μὴ τῷ λαλήσαντι. πονηρᾶς γὰρ ἀκοῆς, πονηρὸς καὶ ὁ ἀποκρισάριος.

ρνδ΄. Εἴ τις ματαιολόγοις ἀνθρώποις περιτύχῃ, ὑπεύθυνον ἑαυτὸν ἡγεῖσθαι τῶν τοιούτων ῥημάτων, εἰ καὶ μὴ προσφάτως, ἀλλ᾽ ἐκ παλαιοῦ χρεωστήματος.

ρνε΄. Ἐὰν ἴδῃς τινὰ καθ᾽ ὑπόκρισιν ἐπαινοῦντά σε, ἐν ἰδίῳ καιρῷ παρ᾽ ἐκείνου ψόγον ἐκδέχου.

ρνϛ΄. Τὰ παρόντα θλιβερὰ, προσανάλλαττε τοῖς μέλλουσιν ἀγαθοῖς· καὶ οὐδέποτέ σου τὸν ἀγῶνα χαυνώσει* πλημμέλεια.

* ἀμέλεια.

ρνζ΄. Ὅταν διὰ σωματικὴν παροχὴν, ἄνθρωπον ὡς ἀγαθὸν ἐκτὸς τοῦ Θεοῦ ἐπαινέσῃς, ὕστερον ὁ αὐτὸς πονηρός σοι φανήσεται.

ρνη΄. Πᾶν ἀγαθὸν, παρὰ Κυρίου οἰκονομικῶς ἐπέρχεται. καὶ οἱ φέροντες αὐτὰ, εἰσὶν ἀγαθῶν διάκονοι.

ρνθ΄. Ἀγαθῶν καὶ κακῶν τὰς μετεμπλοκὰς ὁμαλῷ λογισμῷ ὑποδέχου· καὶ οὕτως ἀνατρέπει ὁ Θεὸς τὰς ἀνωμαλίας τῶν πραγμάτων.

ρξ΄. Ἡ ἀνισότης τῶν λογισμῶν, τὰς τῶν ἰδικῶν μεταβολὰς ἐπιφέρει. Θεὸς γὰρ τὰ ἀκούσια τοῖς ἑκουσίοις προσφυῶς ἀπονέμει.

ρξα΄. Τὰ αἰσθητὰ, τῶν νοερῶν εἰσὶν ἔγγονα, τὸ δέον φέροντα ψήφῳ Θεοῦ.

ρξβ΄. Καρδίας ἡδυπαθούσης, λογισμοὶ, καὶ λόγοι λοιμοὶ ἀναφύονται· καὶ ἐκ τοῦ καπνοῦ, τὴν ἐγκειμένην ὕλην ἐπιγινώσκομεν.

ρξγ΄. Παράμενε τῇ διανοίᾳ, καὶ οὐ κοπιάσεις ἐν πειρασμοῖς. ἐκεῖθεν δὲ ἀναχωρῶν, ὑπόμενε τὰ ἐπερχόμενα.

ρξδ΄. Εὔχου μὴ ἐλθεῖν σοι πειρασμόν. ἐλθόντα δὲ, καταδέξαι ὡς σὸν, καὶ οὐκ ἀλλότριον.

ρξε΄. Αἶρε τὴν ἔννοιαν ἀπὸ πάσης πλεονεξίας, καὶ τότε δυνήσῃ ἰδεῖν τὰς μεθοδείας τοῦ διαβόλου.

ρξϛ΄. Ὁ λέγων, πάσας εἰδέναι τὰς μεθοδείας τοῦ διαβόλου, ὡς οὐκ οἶδεν ἑαυτὸν τέλειον εἰσφέρει.

ρξζ΄. Ὅταν διέλθῃ ὁ νοῦς τῶν σωματικῶν φροντίδων, βλέπει κατὰ ἀναλογίαν τὰς τῶν ἐχθρῶν πανουργίας.

ρξη΄. Ὁ λογισμοῖς συναπαγόμενος, ἐκτυφλοῦται ὑπ᾽ αὐτῶν· καὶ τὰς μὲν ἐνεργείας τῆς ἁμαρτίας βλέπει, τὰς δὲ αἰτίας αὐτῶν ἰδεῖν οὐ δύναται.

ρξθ΄. Ἔστιν ὁ ποιῶν προφανῶς ἐν καλῷ δουλεύων πάθει, καὶ διὰ πονηρῶν λογισμῶν ἀγαθὴν πρᾶξιν ἀφανίζων.

ρο΄. Ἐμφερόμενος ἐν ἀρχῇ τοῦ κακοῦ, μὴ λέγε, οὐ μὴ νικήσει με. καθὸ γὰρ ἂν ἐμφέρῃ, τῇ ποσότητι ἤδη νενίκησαι.

ροα΄. Ἕκαστον τῶν γινομένων ἀπὸ μικροῦ ἄρχεται, καὶ κατὰ μέρος τρεφόμενον, λαμβάνει τὴν αὔξησιν.

ροβ΄. Δίκτυόν ἐστι πολύπλοκον ἡ τῆς κακίας μέθοδος· καὶ ὁ μερικῶς ἐμπλακεὶς, ἐὰν ἀμελήσῃ, περιεκτικῶς σφίγγεται.

ρογ΄. Μὴ θέλε ἀκούειν δυστυχίαν ἐχθρῶν ἀνθρώπων. οἱ γὰρ ἀκούοντες τῶν τοιούτων ῥημάτων, καρποὺς τρυγῶσι τῆς ἰδίας προθέσεως.

ροδ΄. Μὴ πᾶσαν θλῖψιν ἐπέρχεσθαι τοῖς ἀνθρώποις δι᾽ ἁμαρτίας νόμιζε. εἰσὶ γάρ τινες εὐαρεστοῦντες καὶ πειραζόμενοι. γέγραπται γὰρ, ἀσεβεῖς καὶ ἄνομοι ἐκδιωχθήσονται. ὁμοίως, καὶ οἱ εὐσεβῶς θέλοντες ζῆν ἐν Χριστῷ, διωχθήσονται.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ροέ. Ἐν καιρῷ θλίψεως, βλέπε τὴν προσβολὴν τῆς ἡδονῆς· ἐπειδὴ γὰρ παραμυθεῖται τὴν θλῖψιν, εὐπαράδεκτος γίνεται.

ρος'. Τοὺς φρονίμους λέγουσι, τοὺς διακριτικοὺς τῶν αἰσθητῶν πραγμάτων· φρόνιμοι δέ εἰσιν, οἱ ἐπικρατοῦντες τῶν ἰδίων θελημάτων.

ροζ'. Πρὸ ἀναιρέσεως τῶν κακῶν, μὴ ὑπακούσῃς τῇ καρδίᾳ σου· οἵας γὰρ ἐνθήκας ἔχει, τοιαύτας καὶ προσθήκας ἐπιζητεῖ.

ροή. Ὥσπερ εἰσὶν ὄφεις συγκυπτῶντες ἐν νάπαις, καὶ εἰσὶν ἕτεροι φωλεύοντες ἐν οἰκίαις· οὕτως εἰσὶ πάθη λογιστικῶς μορφούμενα, καὶ εἰσὶν ἕτερα πρακτικῶς ἐνεργούμενα· εἰ καὶ ἐξ ἄλλων εἰς ἄλλας εἰκότας μετεμορφώθησαν.

ροθ'. Ὅταν ἴδῃς τὰ ἐγκείμενα ὑποστατικῶς κινούμενα, καὶ εἰς πάθος προσκαλούμενα τὸν νοῦν ἡσυχάζοντα, γίνωσκε, ὅτι ὁ νοῦς ποτὲ καὶ τούτων προηγήσατο, καὶ εἰς πρᾶξιν ἤγαγε, καὶ τῇ καρδίᾳ ἐνέθηκεν.

ρπ'. Οὐ συνίσταται νέφος, ἐκτὸς αὔρας ἀνέμου· καὶ οὐ γεννᾶται πάθος, ἐκτὸς ἐννοίας.

ρπά. Ἐὰν μηκέτι ποιῶμεν τὰ θελήματα τῆς σαρκὸς κατὰ τὴν Γραφὴν, ῥᾳδίως ἐν Κυρίῳ ὑπολήξει τὰ προεγκείμενα.

ρπβ'. Τὰ μὲν ὑποστατικὰ τοῦ νοὸς εἴδωλα, πονηρότερα εἰσὶ καὶ * ἐγκρατέστερα. τὰ δὲ λογιστικὰ, τούτων αἴτια καὶ προηγητικὰ τυγχάνει.

* ἐν ἄλλ. ἐπικρατέστερα.

ρπγ'. Ἔστι κακία καρδιακῶς κατέχουσα, διὰ τὴν χρονίαν πρόληψιν· καὶ ἔστι κακία λογιστικῶς πολεμοῦσα, διὰ τῶν καθημερινῶν πραγμάτων.

ρπδ'. Ὁ Θεὸς τὰς πράξεις * καὶ τὰς προθέσεις λογίζεται. δῴη σοι, γάρ φησιν, ὁ Κύριος κατὰ τὴν καρδίαν σου.

* πρῶτον, καί.

ρπέ. Ὁ ἐν θεωρίᾳ συνειδήσεως μὴ ἐγκαρτερῶν, οὐδὲ τοὺς σωματικοὺς πόνους ὑπὲρ εὐσεβείας καταδέχεται.

ρπς'. Φυσικὴ βίβλος ἐστὶν ἡ συνείδησις. ὁ ἐμπράκτως ἀναγινώσκων αὐτὴν, λαμβάνει πεῖραν θείας ἀντιλήψεως.

ρπζ'. Ὁ μὴ αἱρούμενος τοὺς ὑπὲρ ἀληθείας πόνους ἑκουσίως, ὑπὸ τῶν ἀκουσίων χαλεπωτέρως παιδεύεται.

ρπή. Ὁ γνοὺς τὸ θέλημα τοῦ Θεοῦ, καὶ κατὰ δύναμιν ποιῶν αὐτὸ, διὰ μικρῶν πόνων, τοὺς μεγάλους ἐκφεύξεται.

ρπθ'. Ὁ ἐκτὸς προσευχῆς, καὶ ὑπομονῆς πειρασμοὺς νικῆσαι θέλων, οὐκ ἀπώσεται αὐτοὺς, ἀλλὰ πλέον ἐμπλακήσεται.

ρϟ'. Ὁ Κύριος εἰς τὰς ἰδίας ἐντολὰς ἐγκέκρυπται, καὶ τοῖς ζητοῦσιν αὐτὸν, κατὰ ἀναλογίαν εὑρίσκεται.

ρϟά. Μὴ εἴπῃς, ἐποίησα ἐντολὰς, καὶ οὐχ εὗρον τὸν Κύριον. γνῶσιν γὰρ μετὰ δικαιοσύνης, κατὰ τὴν Γραφὴν, πολλάκις εὕρηκας. οἱ δὲ ὀρθῶς αὐτὸν ζητοῦντες, εὑρήσουσιν εἰρήνην.

ρϟβ'. Εἰρήνη ἐστὶ τῶν παθῶν ἀπαλλαγὴ, ἥτις ἐκτὸς ἐνεργείας τοῦ Ἁγίου Πνεύματος οὐχ εὑρίσκεται.

ρϟγ'. Ἄλλο πρᾶξις ἐντολῆς, καὶ ἄλλο ἀρετὴ, κἂν ἐξ ἀλλήλων τὰς τῶν ἀγαθῶν ἀφορμὰς λαμβάνωσι.

ρϟδ'. Πρᾶξις ἐντολῆς λέγεται, ἐν τῷ πρᾶξαι τὸ προστεταγμένον· ἀρετὴ δὲ, ἐν τῷ ἀρέσκειν τῇ ἀληθείᾳ τὸ γεγενημένον.

ρϟέ. Ὥσπερ εἷς μέν ἐστιν ὁ αἰσθητὸς πλοῦτος, κατὰ δὲ τὴν κτῆσιν πολυμερής· οὕτως μία ἐστὶν ἀρετὴ, πολυτρόπους ἔχουσα τὰς ἐργασίας.

ρϟς'. Ὁ ἐκτὸς ἔργου σοφιζόμενος, καὶ λαλῶν λόγους, πλουτεῖ ἐξ ἀδικίας, καὶ οἱ πόνοι αὐτοῦ, κατὰ τὴν Γραφὴν, εἰς οἴκους ἀλλοτρίους εἰσέρχονται.

ρϟζ'. Πάντα ὑπακούσεται τῷ χρυσίῳ, φησίν· καὶ τῇ χάριτι τοῦ Θεοῦ, * τὰ νοητὰ διοικηθήσεται.

* ἐν ἄλλ. τὰ νοήματα.

ρϟή. Συνείδησις ἀγαθὴ, διὰ προσευχῆς εὑρίσκεται· καὶ προσευχὴ καθαρὰ, διὰ συνειδήσεως. θάτερον γὰρ θατέρου κατὰ φύσιν * προσδέχεται.

* προσδεῖται.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρϙθ'. Ὁ Ἰακὼβ τῷ Ἰωσὴφ, χιτῶνα ποικίλον ἐποίησε. καὶ ὁ Κύριος τῷ πρᾳεῖ, γνῶσιν ἀληθείας χαρίζεται· καθὰ γέγραπται· ὅτι διδάξει Κύριος πρᾳεῖς ὁδοὺς αὐτοῦ.

σ'. Πάντοτε ἐργάζου τὸ ἀγαθὸν κατὰ δύναμιν, καὶ ἐν καιρῷ τοῦ μείζονος, μὴ στρέφου ἐπὶ τὸ ἔλαττον. ὁ γὰρ στραφεὶς εἰς τὰ ὀπίσω, φησὶν, οὐκ ἔστιν εὔθετος εἰς τὴν βασιλείαν τῶν Οὐρανῶν.

# ΤΟΥ ΑΥΤΟΥ

## Περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι. Κεφάλαια σκς'.

α'. Ἡ τῶν ἔξωθεν κακοπιστία, ἐν τοῖς ὑπογεγραμμένοις ἐλεγχθήσεται ὑπὸ τῶν βεβαιοπίστων καὶ ἐπεγνωκότων τὴν ἀλήθειαν.

β'. Ὁ Κύριος πᾶσαν ἐντολὴν ὀφειλομένην δεῖξαι θέλων, τὴν δὲ υἱοθεσίαν ἰδίῳ Αἵματι τοῖς ἀνθρώποις δεδωρημένην, φησίν· ὅταν πάντα ποιήσητε τὰ προστεταγμένα ὑμῖν, τότε εἴπατε, ὅτι δοῦλοι ἀχρεῖοι ἐσμέν, καὶ ὃ ὀφείλομεν ποιῆσαι, πεποιήκαμεν. διὰ τοῦτο οὐκ ἔστι μισθὸς ἔργων ἡ Βασιλεία τῶν Οὐρανῶν, ἀλλὰ χάρις Δεσπότου πιστοῖς δούλοις ἡτοιμασμένη.

γ'. Οὐκ ἀπαιτεῖ δοῦλος ὡς μισθὸν τὴν ἐλευθερίαν, ἀλλ' εὐαρεστεῖ ὡς ὀφειλέτης, καὶ κατὰ χάριν ἐκδέχεται.

δ'. Χριστὸς ἀπέθανε κατὰ τὰς γραφὰς ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν· καὶ τοῖς εὖ δουλεύουσιν αὐτῷ, ἐλευθερίαν χαρίζεται. φησὶ γάρ· εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ. ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

ε'. Οὔπω δοῦλος ἐστὶ πιστὸς, ὁ ψιλῇ τῇ γνώσει ἐπερειδόμενος· ἀλλ' ὁ δι' ὑπακοῆς τῷ ἐντειλαμένῳ Χριστῷ πιστεύων.

ς'. Ὁ τὸν δεσπότην τιμῶν, ποιεῖ τὰ κελευόμενα. σφαλεὶς δὲ, ἢ παρακούσας, ὑπομένει ὡς ἴδια τὰ ἐπερχόμενα.

ζ'. Φιλομαθὴς ὢν, γίνου καὶ φιλόπονος. ἡ γὰρ ψιλὴ γνῶσις φυσιοῖ τὸν ἄνθρωπον.

η'. Οἱ ἀπροσδοκήτως συμβαίνοντες ἡμῖν πειρασμοὶ, οἰκονομικῶς ἡμᾶς φιλοπόνους διδάσκουσιν εἶναι, καὶ μὴ βουλομένους εἰς μετάνοιαν ἕλκουσιν.

θ'. Αἱ ἐπερχόμεναι θλίψεις τοῖς ἀνθρώποις, τῶν ἰδίων κακῶν εἰσὶν ἔγγονα. ἐὰν δὲ αὐτὰς διὰ προσευχῆς ὑπομένωμεν, εὑρίσκομεν πάλιν ἀγαθῶν πραγμάτων ἐπιφοράν.

ι'. Τινὲς ἐπ' ἀρετῇ ἐπαινεθέντες, ἡδύνθησαν, καὶ τὴν τῆς κενοδοξίας αὐτῶν ἡδονὴν, ἔδοξαν εἶναι παράκλησιν. ἕτεροι ἐφ' ἁμαρτίᾳ ἐλεγχθέντες, ἐπόνησαν, καὶ τὸν ἐπωφελῆ πόνον, ἐλογίσαντο εἶναι κακίας ἐνέργειαν.

ια'. Ὅσοι προφάσει ἀγώνων, τῶν ἀμελεστέρων κατεπαίρονται, οὗτοι ἐξ ἔργων σωματικῶν δικαιοῦσθαι νομίζουσιν. ὅσοι δὲ ἐπερειδόμενοι ψιλῇ τῇ γνώσει, τοὺς ἀγνοοῦντας ἐξουθενίζομεν, ἐκείνων πολὺ ἀφρονέστεροι τυγχάνομεν.

ιβ'. Ἐκτὸς τῶν κατ' αὐτὴν ἔργων, οὔπω βεβαία ἡ γνῶσις, κἂν ἀληθὴς τυγχάνῃ. διότι παντὶ πράγματι, τὸ ἔργον ἐστὶν ἡ βεβαίωσις.

ιγ'. Πολλάκις ἐκ τῆς περὶ τὴν πρᾶξιν ἀμελείας, καὶ ἡ γνῶσις σκοτίζεται. ὧν γὰρ αἱ ἐργασίαι καθόλου παρελογίσθησαν, τούτων καὶ αἱ μνῆμαι κατὰ μέρος οἰχήσονται.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ιδ'. Ἡ Γραφὴ διὰ τοῦτο κατὰ γνῶσιν εἰδέναι τὸν Θεὸν ὑποτίθεται, ἵνα ὀρθῶς αὐτῷ διὰ τῶν ἔργων δουλεύωμεν.

ιε'. Ὅταν προφανῶς ἐπιτελῶμεν ἐντολὰς, τὰ μὲν ἴδια παρὰ Κυρίου ἀναλόγως λαμβάνομεν, ὠφελούμεθα δὲ, κατὰ τὸν σκοπὸν τῆς προαιρέσεως.

ιϛ'. Ὁ θέλων τι πρᾶξαι καὶ μὴ δυνάμενος, ὡς ποιήσας ἐστὶ παρὰ τῷ καρδιογνώστῃ Θεῷ. τοῦτο δὲ καὶ ἐπ' ἀγαθοῖς, καὶ ἐπὶ κακοῖς νοητέον.

ιζ'. Ὁ νοῦς ἐκτὸς τοῦ σώματος, ἀγαθὰ καὶ κακὰ ἐπιτελεῖ πολλά. τὸ δὲ σῶμα ἐκτὸς τοῦ νοὸς, οὐδὲν τούτων ἐκτελέσαι δύναται. διότι ὁ νόμος τῆς ἐλευθερίας, πρὸ τῆς πράξεως ἀναγινώσκεται.

ιη'. Τινὲς μὴ ποιοῦντες τὰς ἐντολὰς, πιστεύειν ὀρθῶς νομίζουσι· τινὲς δὲ ποιοῦντες, ὡς μισθὸν ὀφειλόμενον τὴν Βασιλείαν ἐκδέχονται· ἀμφότεροι δὲ τῆς ἀληθείας ἀπεσφάλησαν.

ιθ'. Παρὰ δεσπότου μισθὸς δούλοις οὐ κεχρεώστηται· οὐδ' αὖ πάλιν οἱ μὴ δουλεύοντες ὀρθῶς, ἐλευθερίας τυγχάνουσιν.

κ'. Εἰ Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε, κατὰ τὰς Γραφὰς, καὶ οὐ ζῶμεν ἑαυτοῖς, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι· δῆλον ὅτι δουλεύειν αὐτῷ ἕως θανάτου κεχρεωστήκαμεν. πῶς οὖν ὀφειλομένην τὴν υἱοθεσίαν λογιζόμεθα;

κα'. Χριστὸς δεσπότης κατ' οὐσίαν, καὶ δεσπότης κατ' οἰκονομίαν· ὅτι καὶ μὴ ὄντας ἐποίησε, καὶ τῇ ἁμαρτίᾳ θανόντας, διὰ τοῦ ἰδίου Αἵματος ἐξηγόρασε· καὶ τοῖς οὕτω πιστεύουσι τὴν χάριν ἐδωρήσατο.

κβ'. Ὅταν ἀκούσῃς τῆς Γραφῆς λεγούσης, ὅτι ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, οὐκ ἔργα νοήσεις γεέννης, ἢ βασιλείας ἀντάξια, ἀλλ' ἔργα τῆς εἰς αὐτὸν ἀπιστίας, ἢ πίστεως, ὁ Χριστὸς ἀποδίδωσιν ἑκάστῳ· οὐχ ὡς συναλλάκτης πραγμάτων, ἀλλ' ὡς Θεὸς κτίστης καὶ ἀγοραστὴς ἡμῶν.

κγ'. Ὅσοι τοῦ λουτροῦ τῆς παλιγγενεσίας ἠξιώθημεν, τὰ ἀγαθὰ ἔργα οὐ δι' ἀνταπόδοσιν προσφέρομεν, ἀλλὰ διὰ φυλακὴν τῆς δοθείσης ἡμῖν καθαρότητος.

κδ'. Πᾶν ἔργον ἀγαθὸν, ὃ διὰ τῆς ἡμετέρας ἐργαζόμεθα φύσεως, ἀπέχεσθαι μὲν ποιεῖ τοῦ ἐναντίου, προσθήκην δὲ ἁγιασμοῦ, ἐκτὸς χάριτος ποιῆσαι οὐ δύναται.

κε'. Ὁ ἐγκρατὴς, ἀπέχεται γαστριμαργίας. ὁ ἀκτήμων, πλεονεξίας. ὁ ἡσύχιος, πολυλογίας. ὁ ἁγνὸς, φιληδονίας. ὁ σεμνὸς, πορνείας. ὁ αὐτάρκης, φιλαργυρίας. ὁ πρᾶος, ταραχῆς. ὁ ταπεινόφρων, κενοδοξίας. ὁ ὑποτακτικὸς, φιλονεικίας. ὁ ἐλεγκτικὸς, ὑποκρίσεως. ὁμοίως καὶ ὁ εὐχόμενος, ἀπέχεται ἀνελπιστίας. ὁ πτωχὸς, πολυχρηματίας. ὁ ὁμολογητὴς, ἀρνήσεως. ὁ μάρτυς, εἰδωλολατρείας. βλέπεις πῶς πᾶσα ἡ ἕως θανάτου ἐπιτελουμένη ἀρετὴ, οὐδὲν ἕτερον, ἢ ἁμαρτίας ἐστὶν ἀποχή; ἁμαρτίας δὲ ἀποχὴ, φύσεως ἐστὶν ἔργον, οὐ Βασιλείας ἀντάλλαγμα.

κϛ'. Ἄνθρωπος μόλις φυλάττει τὰ τῆς ἑαυτοῦ φύσεως, Χριστὸς δὲ διὰ σταυροῦ τὴν υἱοθεσίαν χαρίζεται.

κζ'. Ἔστιν ἐντολὴ μερικὴ, καὶ ἔστιν ἑτέρα περιεκτική. τῇ μὲν γὰρ μερικῶς κελεύει μεταδιδόναι τῷ μὴ ἔχοντι, τῇ δὲ ἐντέλλεται, πᾶσιν ἀποτάξασθαι τοῖς ὑπάρχουσιν.

κη'. Ἔστιν ἐνέργεια χάριτος, τῷ νηπίῳ ἀγνοουμένη· καὶ ἔστι τῆς κακίας * ἑτέρα τῇ ἀληθείᾳ ἐξομοιουμένη. καλὸν δὲ τὰ τοιαῦτα μὴ ἐνοπτρίζεσθαι διὰ τὴν πλάνην· μήτε ἀναθεματίζειν διὰ τὴν ἀλήθειαν· ἀλλὰ πάντα δι' ἐλπίδος προσφέρειν τῷ Θεῷ· αὐτὸς γὰρ οἶδε τῶν ἀμφοτέρων τὸ χρήσιμον.

* ἐνέργεια.

κθ'. Ὁ διαπεράσαι θέλων τὴν νοητὴν θάλασσαν, μακροθυμεῖ, ταπεινοφρονεῖ, ἀγρυπνεῖ, ἐγκρατεύεται. ἐκτὸς δὲ τῶν τεσσάρων τούτων, ἐὰν εἰσελθεῖν βιάσηται,

θορυ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

θορυβεῖ μὲν τὴν καρδίαν, περᾶσαι δὲ οὐ δύναται.

λ'. Ἡσυχία, τῶν κακῶν ἀποκοπή· ἐὰν δὲ καὶ τὰς τέσσαρας ἀρετὰς ἐπὶ προσευχὴν προσλαμβάνηται, βοήθημα συντομώτερον οὐδὲν αὐτῆς πρὸς ἀπάθειαν.

λα'. Οὐκ ἔστιν ἡσυχάσαι τὸν νοῦν, ἄνευ τοῦ σώματος· οὐδὲ λῦσαι τὸ τούτων μεσότειχον, ἄνευ ἡσυχίας καὶ προσευχῆς.

λβ'. Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, καὶ τὸ πνεῦμα κατὰ τῆς σαρκός. οἱ δὲ πνεύματι περιπατοῦντες, ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσωσιν.

λγ'. Οὐκ ἔστι τελεία προσευχὴ χωρὶς νοητῆς ἐπικλήσεως. ἀπερισπάστως δὲ βοώσης ἐννοίας, ἐπακούσεται Κύριος.

λδ'. Ὁ νοῦς ἀπερισπάστως εὐχόμενος, θλίβει καρδίαν· καρδίαν δὲ συντετριμμένην καὶ τεταπεινωμένην, ὁ Θεὸς οὐκ ἐξουδενώσει.

λε'. Καὶ ἡ προσευχὴ ἀρετὴ λέγεται, κἂν μήτηρ αὐτῶν τυγχάνει. ἀπογεννᾷ γὰρ αὐτὰς διὰ τῆς εἰς Χριστὸν συναφείας.

λϛ'. Ὃ ἐὰν πράξωμεν χωρὶς προσευχῆς, καὶ ἀγαθῆς ἐλπίδος, ὕστερον ἐπιβλαβές, καὶ ἀτελὲς τυγχάνει.

λζ'. Ὅταν ἀκούσῃς, ὅτι ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι, μετόχους ἀρετῶν, καὶ μετόχους ἀγάπης νόει. ἀγάπη γὰρ ἐσχάτη μὲν ἀρετῶν τυγχάνει κατὰ τάξιν, πρώτη δὲ εὑρίσκεται πασῶν κατ᾽ ἀξίαν· τὰς προγεγενημένας ἑαυτῆς, ἐσχάτας ἀποδεικνύουσα.

λη'. Ἐὰν ἀκηδιάσῃς προσευχόμενος, ἢ ἀπὸ κακίας πολυτρόπως θλιβόμενος, μνημόνευσον τῆς ἐξόδου καὶ τῶν χαλεπῶν κολάσεων. κρεῖσσον δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ διὰ προσευχῆς, καὶ ἐλπίδος, ἢ μνήμας ἔχειν ἐξωτέρας, κἂν ἐπωφελεῖς τυγχάνωσιν.

λθ'. Οὐδεμία τῶν ἀρετῶν μόνη καθ᾽ ἑαυτὴν ἀνοίγει τὴν φυσικὴν ἡμῶν θύραν, ἐὰν μὴ πᾶσαι ἀλλήλων ἀκολούθως ἐξήρτηνται.

μ'. Οὐκ ἔστιν ἐγκρατὴς ὁ λογισμοῖς τρεφόμενος· κἂν γὰρ ὠφέλιμοι ὦσιν, οὐκ εἰσὶ τῆς ἐλπίδος ὠφελιμώτεροι.

μα'. Ἔστιν ἁμαρτία πᾶσα εἰς θάνατον, ἡ ἀμετανόητος· περὶ ἧς κἂν Ἅγιος ὑπὲρ ἑτέρου προσεύξηται, οὐκ εἰσακούεται.

μβ'. Ὁ ὀρθῶς μετανοῶν, οὐκ ἀντελλογεῖ τὸν κόπον ταῖς παλαιαῖς ἁμαρτίαις, ἀλλὰ δι᾽ αὐτοῦ τὸν Θεὸν ἐξευμενίζεται.

μγ'. Εἰ ὅσα ἔχει ἡ φύσις ἡμῶν καλά, καθ᾽ ἡμέραν ποιεῖν αὐτὰ κεχρεωστήκαμεν, τί λοιπὸν περὶ τῶν προγεγενημένων κακῶν τῷ Θεῷ ἀνταποδώσομεν;

μδ'. Ὅσην ἂν ὑπερβολὴν ἀρετῆς σήμερον ποιήσωμεν, παρελθούσης ἀμελείας, ἔλεγχος ἐστίν, οὐκ ἀνταπόδοσις.

με'. Ὁ θλιβόμενος νοερῶς, καὶ ἀναπαυόμενος σαρκικῶς, ὅμοιός ἐστι τῷ σωματικῶς θλιβομένῳ, καὶ νοερῶς διαχεομένῳ.

μϛ'. Ἡ ἐξ ἀμφοῖν θλῖψις ἑκούσιος, συνεργεῖ πρὸς θάτερον, ἡ τῆς διανοίας τῇ σαρκικῇ, καὶ ἡ τῆς σαρκὸς τῇ κατὰ διάνοιαν· τὸ γὰρ σύνθετον αὐτῶν, μοχθηρότερον γίνεται.

μζ'. Μεγάλη ἀρετὴ τὸ ὑπομένειν τὰ ἐπερχόμενα, καὶ ἀγαπᾶν τὸν πλησίον μισοῦντα· κατὰ τὸν λόγον τοῦ Κυρίου.

μη'. Ἀγάπης ἀνυποκρίτου τεκμήριον, ἀδικημάτων συγχώρησις. οὕτω γὰρ καὶ ὁ Κύριος τὸν κόσμον ἠγάπησε.

μθ'. Οὐκ ἔστιν ἀπὸ καρδίας συγχωρῆσαι τινὰ παραπτώματα, ἐκτὸς γνώσεως ἀληθοῦς. αὕτη γὰρ ἴδια ἑκάστῳ τὰ ἐπερχόμενα δείκνυσιν.

ν'. Οὐδὲν ἀπολέσεις, ὧν ἂν ἀφῇς διὰ τὸν Κύριον. τῷ γὰρ ἰδίῳ καιρῷ, πολυπλασίως ἐλεύσεται.

να'. Ὅταν ὁ νοῦς τοῦ τῆς εὐσεβείας σκοποῦ ἐπιλάθηται, τότε τὸ προφανὲς ἔργον τῆς ἀρετῆς ἀνόνητον γίνεται.

νβ'. Εἰ παντὶ ἀνθρώπῳ βλαβερὰ ἡ κακοβουλία, πολλῷ μᾶλλον τοῖς τὴν ἀκρίβειαν ἐπανῃρημένοις.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νγʹ. Ἔργῳ φιλοσόφει περὶ βουλῆς ἀνθρώπου, καὶ ἀνταποδόσεως Θεοῦ. οὐκ ἔστι γὰρ ὁ λόγος τῆς ἐργασίας σοφώτερος, ἢ ὠφελιμώτερος.

νδʹ. Τοῖς ὑπὲρ εὐσεβείας πόνοις, ἐπακολουθεῖ ἀντίληψις. τοῦτο δὲ γνωστέον διὰ νόμου θείου καὶ συνειδήσεως.

νεʹ. Εἷς παρέλαβε φρόνημα, καὶ ἀνεπισκέπτως ἐκράτησεν. ἕτερος δὲ παρέλαβε, καὶ τῇ ἀληθείᾳ συνέκρινε. ζητητέον, τίς αὐτῶν εὐσεβεστέρως ἐποίησε;

νϛʹ. Γνῶσις ἀληθὴς ὑπάρχει ἡ τῶν θλιβερῶν ὑπομονή· καὶ τὸ μὴ αἰτιᾶσθαι τοὺς ἀνθρώπους ἐπὶ ταῖς ἑαυτοῦ συμφοραῖς.

νζʹ. Ὁ ποιῶν ἀγαθόν, καὶ ζητῶν ἀνταπόδοσιν, οὐ δουλεύει Θεῷ, ἀλλὰ τῷ ἰδίῳ θελήματι.

νηʹ. Οὐκ ἔστιν ἁμαρτήσαντα τὴν ἀνταπόδοσιν διαδρᾶσαι, εἰμὴ διὰ μετανοίας προσηκούσης τῷ σφάλματι.

νθʹ. Τινὲς λέγουσιν, οὐ δυνάμεθα ποιῆσαι τὸ ἀγαθόν, ἐὰν μὴ ἐνεργῶς δεξώμεθα τὴν χάριν τοῦ Πνεύματος.

ξʹ. Ἀεὶ οἱ προαιρέσει ταῖς ἡδοναῖς ἐγκείμενοι, ὡς ἀβοήθητον παραιτοῦνται τὸ κατὰ δύναμιν.

ξαʹ. Ἡ μὲν χάρις τοῖς ἐν Χριστῷ βαπτισθεῖσι, μυστικῶς δεδώρηται· ἐνεργεῖ δὲ κατὰ ἀναλογίαν τῆς ἐργασίας τῶν ἐντολῶν. καὶ κρυφίως μὲν ἡ χάρις βοηθεῖν ἡμῖν οὐ παύεται, ἐφ᾽ ἡμῖν δὲ ἐστι ποιεῖν, ἢ μὴ ποιεῖν τὸ ἀγαθὸν κατὰ δύναμιν.

ξβʹ. Πρῶτον μὲν θεοπρεπῶς ἐγείρει τὴν συνείδησιν. ὅθεν καὶ κακοποιοὶ μετανοήσαντες, τῷ Θεῷ εὐηρέστησαν.

ξγʹ. Πάλιν ἐν διδασκαλίᾳ τοῦ πλησίον ἐγκέκρυπται. ἔστι δὲ ὅτε καὶ ἐν ἀναγνώσει τῇ διανοίᾳ παρέπεται, καὶ διὰ φυσικῆς ἀκολουθίας διδάσκει τὸν νοῦν τὴν ἑαυτῆς ἀλήθειαν. εἰ οὖν τῆς μερικῆς ταύτης ἀκολουθίας μὴ κρύψωμεν τὸ τάλαντον, εἰς τὴν χαρὰν τοῦ Κυρίου ἐνεργῶς εἰσελευσόμεθα.

Ὁ πρὸ τῆς ἐργασίας τῶν ἐντολῶν τὰς ἐνεργείας τοῦ Πνεύματος ἐπιζητῶν, ὅμοιός ἐστι δούλῳ ἀργυρωνήτῳ, ὃς ἅμα τῷ ἀγορασθῆναι, σὺν ταῖς ὠναῖς καὶ τὴν ἐλευθερίαν γραφῆναι ζητεῖ. ξδʹ.

Ὁ τὰς ἔξωθεν ἐπιφορὰς δικαιοσύνῃ Θεοῦ παραγινομένας εὑρηκώς, οὗτος ζητῶν τὸν Κύριον, εὗρε γνῶσιν μετὰ δικαιοσύνης. ξεʹ.

Ἐὰν νοήσῃς κατὰ τὴν Γραφήν, ὅτι ἐν πάσῃ τῇ γῇ τὰ κρίματα τοῦ Κυρίου, γενήσεταί σοι πᾶσα σύμβασις, θεογνωσίας διδάσκαλος. ξϛʹ.

Κατὰ τὴν ἑκάστου ἔννοιαν, ἀπαντᾷ τὸ ὀφειλόμενον. τὴν δὲ ποικιλίαν τῆς ἁρμοδίου ἐπιφορᾶς, μόνος ὁ Θεὸς ἐπίσταται. ξζʹ.

Ὅταν ἀτιμίαν τινὰ παρὰ τῶν ἀνθρώπων πάθῃς, εὐθὺς τὴν ἐπιφορὰν τῆς παρὰ Θεοῦ δόξης ἐννόησον· καὶ ἐπὶ μὲν τῇ ἀτιμίᾳ, ἄλυπος καὶ ἀτάραχος ἔσῃ· ἐπὶ δὲ τῇ δόξῃ, πιστὸς καὶ ἀκατάκριτος ἔσῃ, ὅταν ἐλεύσεται. ξηʹ.

Ἐπαινούμενος ὑπὸ πλήθους κατ᾽ εὐδοκίαν Θεοῦ, μηδὲν ἐπιδεικτικὸν ἐπιμίξῃς τῇ κυριακῇ οἰκονομίᾳ· ἵνα μὴ πάλιν ἐκ μεταβολῆς, εἰς τὸ ἐναντίον ἐμπέσῃς. ξθʹ.

Σπόρος οὐκ αὐξηθήσεται, δίχα γῆς καὶ ὕδατος· καὶ οὐκ ὠφεληθήσεται ἄνθρωπος ἐκτὸς ἑκουσίων πόνων, καὶ θείας ἀντιλήψεως. οʹ.

Οὐκ ἔστι χωρὶς νέφους ἐπιχυθῆναι βροχήν, οὐδὲ χωρὶς συνειδήσεως ἀγαθῆς, εὐαρεστῆσαι Θεῷ. οαʹ.

Μὴ ἀπαναίνου μανθάνειν, κἂν λίαν φρόνιμος τυγχάνῃς. ἡ γὰρ οἰκονομία τοῦ Θεοῦ ὠφελιμωτέρα ἐστὶ τῆς ἡμετέρας φρονήσεως. οβʹ.

Ὅταν ὑφ᾽ ἡδονῆς τινος ἡ καρδία παρακινηθῇ τοῦ τῆς φιλοπονίας τόπου, τότε λίθου βαρυτάτου δίκην ἐπὶ κατάβασιν ὀλισθήσασα, δυσεπικράτητος γίνεται. ογʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

οδ'. Ὥσπερ μόσχος ἄπειρος, βοτάναις ἐπιτρέχων, κατήντησεν εἰς ἀμφίκρημνον τόπον· οὕτως εὑρίσκεται ψυχὴ κατὰ μικρὸν ὑπὸ λογισμῶν ἀποβουκολουμένη.

οε'. Ὅταν ὁ νοῦς ἀνδρισάμενος ἐν Κυρίῳ, ἀποσπᾷ τὴν ψυχὴν ἀπὸ χρονίας προλήψεως, τότε ἡ καρδία ὡς ὑπὸ δημίων κολάζεται, τεινόντων αὐτὴν ἔνθα, καὶ ἔνθα, τοῦ νοός, καὶ τοῦ πάθους.

ος'. Ὥσπερ οἱ ἐν θαλάσσῃ πλέοντες, ἐλπίδι κέρδους, ἡδέως ὑπομένουσι τὸν ἡλιακὸν καύσωνα· οὕτως οἱ μισοῦντες τὴν κακίαν, ἀγαπῶσιν ἔλεγχον. διότι ἐναντιοῦνται, ὁ μέν, τοῖς ἀνέμοις, ὁ δέ, τοῖς πάθεσιν.

οζ'. Ὥσπερ φυγὴ ἐν χειμῶνι ἢ ἐν σαββάτῳ, ὀδύνη γίνεται τῇ σαρκί, καὶ βεβήλωσις τῇ ψυχῇ· οὕτως ἐπανάστασις παθῶν ἐν γηραλέῳ σώματι καὶ ψυχῇ καθιερωμένῃ.

οη'. Οὐδεὶς οὕτως ἀγαθὸς καὶ οἰκτίρμων, ὡς ὁ Κύριος. τῷ δὲ μὴ μετανοοῦντι, οὐδὲ αὐτὸς ἀφίησι.

οθ'. Πολλοὶ λυπούμεθα ἐπὶ ταῖς ἁμαρτίαις, τὰς δὲ αἰτίας αὐτῶν ἡδέως καταδεχόμεθα.

π'. Ἀσπάλαξ ὑπὸ γῆν ἕρπων, τυφλὸς ὤν, ἀστέρας ἰδεῖν οὐ δύναται. καὶ ὁ μὴ πιστεύων περὶ προσκαίρων, οὔτε περὶ τῶν αἰωνίων πιστεύειν δύναται.

πα'. Χάρις πρὸ χάριτος ἡ ἀληθὴς γνῶσις δεδώρηται τοῖς ἀνθρώποις παρὰ Θεοῦ· πρὸ πάντων τῷ δωρησαμένῳ πιστεύειν τοὺς μετόχους αὐτῆς ἐκδιδάσκουσα.

πβ'. Ὅταν ἐφάμαρτος ψυχὴ τὰς ἐπερχομένας θλίψεις οὐ καταδέχεται, τότε οἱ Ἄγγελοι περὶ αὐτῆς λέγουσιν· ἰατρεύσαμεν τὴν Βαβυλῶνα, καὶ οὐκ ἰάθη.

πγ'. Νοῦς ἐπιλανθανόμενος τῆς ἀληθοῦς γνώσεως, ὑπὲρ τῶν ἐναντίων, ὡς συμφερόντων τοῖς ἀνθρώποις διαμάχεται.

πδ'. Ὥσπερ ἐν ὕδατι πῦρ χρονίσαι οὐ δύναται, οὕτως οὔτε λογισμὸς αἰσχρὸς ἐν φιλοθέῳ καρδίᾳ. διότι πᾶς φιλόθεος, ἔστι καὶ φιλόπονος. ἑκούσιος δὲ πόνος, ἐχθρὸς ἡδονῆς κατὰ φύσιν ὑπάρχει.

Πάθος ἔργῳ νομὴν κρατῆσαν διὰ τοῦ θελήματος, ὕστερον καὶ μὴ θέλοντι τῷ μετόχῳ, βιαίως κατεπαίρεται. πε'.

Τῶν ἀκουσίων λογισμῶν τὰς αἰτίας ἀγαπῶμεν, καὶ διὰ τοῦτο ἐπέρχονται. τῶν δὲ ἑκουσίων, δηλονότι καὶ τὰ πράγματα. πς'.

Οἴησις καὶ ἀλαζονεία, βλασφημίας εἰσὶν αἴτια. φιλαργυρία δὲ καὶ κενοδοξία, ἀσπλαγχνίας, καὶ ὑποκρίσεως. πζ'.

Ὅταν ἴδῃ ὁ διάβολος, ὅτι ὁ νοῦς ἐκ καρδίας προσηύξατο, τότε μεγάλους, καὶ κακοτέχνους πειρασμοὺς ἐπιφέρει. μικρὰς γὰρ ἀρετάς, μεγάλαις ἐπιφοραῖς ἀναιρεῖν οὐ βούλεται. πη'.

Λογισμὸς ἐγχρονίζων, δηλοῖ τὴν τοῦ ἀνθρώπου προσπάθειαν. ταχέως δὲ ἀναιρούμενος, σημαίνει πόλεμον, καὶ ἐναντιότητα. πθ'.

Τρεῖς εἰσὶ νοητοὶ τόποι, εἰς οὓς ὁ νοῦς ἐκ μεταβολῆς εἰσέρχεται· κατὰ φύσιν, ὑπὲρ φύσιν, καὶ παρὰ φύσιν. καὶ ὅταν μὲν εἰς τὸν κατὰ φύσιν εἰσέλθῃ, εὑρίσκει ἑαυτὸν αἴτιον τῶν πονηρῶν λογισμῶν· καὶ ἐξομολογεῖται τῷ Θεῷ τὰς ἁμαρτίας, ἐπιγινώσκων τὰς αἰτίας τῶν παθῶν. ὅταν δὲ εἰς τὸν παρὰ φύσιν γένηται, ἐπιλανθάνεται τῆς δικαιοσύνης τοῦ Θεοῦ, καὶ τοῖς ἀνθρώποις διαμάχεται ὡς ἀδικοῦσιν αὐτόν. ὅταν δὲ εἰς τὸν ὑπὲρ φύσιν ἀχθῇ, εὑρίσκει τοὺς καρποὺς τοῦ Ἁγίου Πνεύματος, οὓς εἶπεν ὁ Ἀπόστολος, ἀγάπην, χαράν, εἰρήνην, καὶ τὰ ἑξῆς. καὶ οἶδεν, ὅτι ἐὰν προκρίνῃ τὰς σωματικὰς φροντίδας, ἐμμένειν ἐκεῖ οὐ δύναται. καὶ ὁ ἀναχωρῶν τοῦ τόπου ἐκείνου, ἐμπίπτει εἰς τὴν ἁμαρτίαν, καὶ εἰς τὰς ἐπακολουθούσας αὐτῇ δεινὰς συμβάσεις, κἂν μὴ προσφάτως, ἀλλὰ τῷ ἰδίῳ καιρῷ, καθὼς οἶδεν ἡ τοῦ Θεοῦ δικαιοσύνη. ϙ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ϟα'. Τοσοῦτον ἡ ἑκάστου γνῶσις ἀληθὴς τυγχάνει, ὅσον αὐτὴν πραότης, καὶ ταπείνωσις, καὶ ἀγάπη βεβαιοῦσι.

ϟβ'. Πᾶς ὁ βαπτισθεὶς ὀρθοδόξως, ἔλαβε μυστικῶς πᾶσαν τὴν χάριν. πληροφορεῖται δὲ λοιπὸν, κατὰ τὴν ἐργασίαν τῶν ἐντολῶν.

ϟγ'. Ἐντολὴ Χριστοῦ κατὰ συνείδησιν ἐπιτελουμένη, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν τῆς καρδίας, δωρεῖται παράκλησιν· πλὴν ἕκαστον αὐτῶν ἐν ἰδίῳ καιρῷ παραγίνεται.

ϟδ'. Ἔχε παράμονον δέησιν, ἐν παντὶ πράγματι, ὡς μηδὲν ἐπιτελῶν ἐκτὸς βοηθείας Θεοῦ.

ϟε'. Οὐδὲν προσευχῆς εἰς ἐνέργειαν δυνατώτερον· καὶ πρὸς εὐδοκίαν Θεοῦ, οὐδὲν αὐτῆς ὠφελιμώτερον.

ϟϛ'. Πᾶσα ἐργασία ἐντολῶν, ἐν αὐτῇ περιέχεται. τῆς γὰρ εἰς Θεὸν ἀγάπης, οὐδέν ἐστιν ἀνώτερον.

ϟζ'. Προσευχὴ ἀῤῥέμβαστος, σημεῖον φιλοθείας τῷ παραμένοντι. ἀμέλεια δὲ αὐτῆς καὶ ῥεμβασμὸς, φιληδονίας τεκμήριον.

ϟη'. Ὁ ἀθλίπτως ἀγρυπνῶν, καὶ μακροθυμῶν, καὶ προσευχόμενος, Πνεύματος Ἁγίου ἐναργῶς μέτοχος τυγχάνει. ὁ δὲ θλιβόμενος ἐν τούτοις, καὶ θελήματι ὑπομένων, καὶ αὐτὸς ταχέως τυγχάνει ἀντιλήψεως.

ϟθ'. Ἐντολὴ ἐντολῆς ὑποδέδεικται διαφορωτέρα. διὸ καὶ πίστις πίστεως βεβαιοτέρα εὑρίσκεται.

ρ'. Ἔστι πίστις ἐξ ἀκοῆς, κατὰ τὸν Ἀπόστολον, καὶ ἔστι πίστις ἐλπιζομένων ὑπόστασις.

ρα'. Καλὸν διὰ λόγων ὠφελεῖν τοὺς πυνθανομένους· κρεῖττον δὲ τὸ διὰ προσευχῆς, καὶ ἀρετῆς συνεργεῖν αὐτοῖς. ὁ γὰρ διὰ τούτων ἑαυτὸν προσφέρων Θεῷ, βοηθεῖ καὶ τῷ πέλας διὰ τοῦ οἰκείου βοηθήματος.

ρβ'. Εἰ θέλεις συντόμῳ λόγῳ ὠφελῆσαι τὸν φιλομαθῆ, ὑπόδειξον αὐτῷ προσευχὴν, καὶ πίστιν ὀρθὴν, καὶ τῶν ἐπερχομένων ὑπομονήν. πάντα γὰρ λοιπὸν τὰ καλὰ διὰ τούτων εὑρίσκεται.

ργ'. Περὶ ὧν τις ἤλπισεν εἰς Θεὸν, οὐκ ἔτι περὶ ἐκείνων τῷ πλησίον διαμάχεται.

ρδ'. Εἰ πᾶν ἀκούσιον ἐκ τῶν ἑκουσίων ἔχει τὴν αἰτίαν, κατὰ τὴν Γραφὴν, οὐδεὶς οὕτως ἐχθρὸς ἀνθρώπου, ὡς αὐτὸς ἑαυτοῦ τυγχάνει.

ρε'. Πάντων τῶν κακῶν προηγεῖται ἄγνοια· δευτέρα δὲ ταύτης ἐστὶν ἡ ἀπιστία

ρϛ'. Φεῦγε πειρασμὸν δι' ὑπομονῆς, καὶ δεήσεως. εἰ δὲ ἐκτὸς τούτων ἀντιπάσῃ, περισσοτέρως ἐπέρχεται.

ρζ'. Ὁ πρᾶος κατὰ Θεὸν, τῶν σοφῶν ἐστὶ σοφώτερος· καὶ ὁ ταπεινὸς τῇ καρδίᾳ, τῶν δυνατῶν δυνατώτερος. ἐπειδὴ τὸν ζυγὸν τοῦ Χριστοῦ κατὰ γνῶσιν βαστάζουσιν.

ρη'. Ὅσα ἐκτὸς προσευχῆς ἢ λαλοῦμεν, ἢ πράττομεν, ὕστερον ἢ σφαλερὰ, ἢ ἐπιβλαβῆ τυγχάνουσι· καὶ ἡμᾶς ἀγνώστως διὰ τῶν πραγμάτων ἐλέγχουσιν.

ρθ'. Ἐξ ἔργων, καὶ λόγων, καὶ ἐννοίας, δίκαιος εἷς. ἐκ δὲ πίστεως, καὶ χάριτος, καὶ μετανοίας, πολλοὶ δίκαιοι.

ρι'. Ὥσπερ μετανοοῦντι ὑψηλοφρονεῖν ἀλλότριον, οὕτως ἑκουσίως ἁμαρτάνοντι, ταπεινοφρονεῖν ἀδύνατον.

ρια'. Οὐκ ἔστι συνειδήσεως κατάγνωσις ἡ ταπεινοφροσύνη· ἀλλὰ * χάρις Θεοῦ, καὶ συμπαθείας ἐπίγνωσις.

* ἐν ἄλ. χάριτος.

ριβ'. Ὅπερ ἐστὶν οἶκος αἰσθητὸς τῷ κοινῷ ἀέρι, τοῦτο νοῦς λογικὸς τῇ θείᾳ χάριτι· καὶ ὅσον ἂν ἐκβάλλῃς τὴν ὕλην, τοσοῦτον αὐτομολήσει· καὶ ὅσον ἂν ἐμβάλλῃς, τοσοῦτον ὑποχωρήσει.

ριγ'. Ὕλη οἴκου, σκεύη, καὶ βρώματα. ὕλη δὲ νοὸς, κενοδοξία, καὶ ἡδονή.

ριδ'. Χώρημα καρδίας, ἐλπὶς εἰς Θεὸν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

στενοχωρία· δὲ αὐτῆς, φροντὶς σωματική.

ριε'. Μία μέν ἐστι καὶ ἀναλλοίωτος ἡ χάρις τοῦ Πνεύματος, ἐνεργεῖ δὲ ἑκάστῳ, καθὼς βούλεται.

ρις'. Ὥσπερ ὑετὸς ἐπιχυθεὶς τῇ γῇ, τοῖς φυτοῖς προσφυῆ παρέχει ποιότητα, γλυκεῖαν μὲν τοῖς γλυκέσι, στυφὴν δὲ τοῖς στυφοτέροις· οὕτως ἡ χάρις ταῖς καρδίαις τῶν πιστῶν, ἀτρέπτως ἐπιβάλλουσα, ἁρμοζούσας ταῖς ἀρεταῖς τὰς ἐνεργείας χαρίζεται.

ριζ'. Τῷ διὰ Χριστὸν πεινῶντι, γίνεται τροφή· καὶ τῷ διψῶντι, πόμα ἥδιστον· τῷ ῥιγοῦντι, ἔνδυμα· καὶ τῷ κοπιῶντι, ἀνάπαυσις· τῷ προσευχομένῳ, πληροφορία· καὶ τῷ πενθοῦντι, παράκλησις.

ριη'. Ὅταν οὖν ἀκούσῃς τῆς Γραφῆς λεγούσης * παρὰ τοῦ Ἁγίου Πνεύματος, ὅτι ἐκάθισεν ἐφ' ἕνα ἕκαστον τῶν Ἀποστόλων, ἢ ὅτι ἐφήλατο ἐπὶ τὸν Προφήτην, ἢ ἐνεργεῖ, ἢ λυπεῖται, ἢ σβέννυται, ἢ παροξύνεται· καὶ πάλιν· τοὺς μὲν ἀπαρχὴν ἔχοντας· τοὺς δὲ πλήρεις Πνεύματος Ἁγίου· μὴ τομήν, ἢ τροπήν, ἢ ἀλλοίωσίν τινα ἐννοήσῃς περὶ τοῦ Πνεύματος, ἀλλὰ πίστευε καθ' ὃν προειρήκαμεν τρόπον, ἄτρεπτον, καὶ ἀναλλοίωτον, καὶ παντοδύναμον. Διὸ καὶ ἐν ταῖς ἐνεργείαις, καὶ μένει ὅ ἐστι, καὶ ἑκάστῳ τὸ δέον ἀποσώζει θεοπρεπῶς. Αὐτὸ μὲν γὰρ ἡλίου δίκην ἐπὶ τοὺς βαπτισθέντας τελείως ἐκκέχυται, ἕκαστος δὲ ἡμῶν καθὸ αὖ τὰ ἐπισκοτοῦντα πάθη μισήσας περιαίρῃ, ἀναλόγως φωτίζεται. Καθὸ δὲ ἀγαπῶν αὐτὰ * διαλογίζεται, ὁμοίως σκοτίζεται.

* ἴσ. περί.

* φαίνεται.

ριθ'. Ὁ μισῶν τὰ πάθη, περιαιρεῖ τὰς τούτων αἰτίας. Ὁ δὲ ταῖς αἰτίαις ἐγκείμενος, ὑπὸ τῶν παθῶν καὶ μὴ βουλόμενος πολεμεῖται.

ρκ'. Ὅταν ὑπὸ τῶν πονηρῶν λογισμῶν ἐνεργώμεθα, ἑαυτούς, καὶ μὴ πατρῴαν ἁμαρτίαν αἰτιώμεθα.

Ῥίζαι τῶν λογισμῶν εἰσὶν αἱ προφανεῖς κακίαι· ἃς χερσὶ καὶ ποσὶ καὶ στόματι, ἐκδικοῦμεν ἑκάστοτε. ρκα'.

Οὐκ ἔστι προσομιλεῖν πάθει κατὰ διάνοιαν, μὴ ἀγαπῶντα τὰς τούτου αἰτίας. ρκβ'.

Τίς γὰρ αἰσχύνης καταφρονῶν, κενοδοξίᾳ προσομιλεῖ; ἢ τίς ταπείνωσιν ἀγαπῶν, ἐπὶ ἀτιμίᾳ ταράσσεται; τίς δὲ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ἔχων, ἡδονὴν σαρκὸς παραδέχεται; ἢ τίς Χριστῷ πιστεύων, μεριμνᾷ περὶ προσκαίρων, ἢ διαμάχεται; ρκγ'.

Ὁ ἀθετούμενος ὑπό τινος, καὶ μήτε λόγῳ, μήτε ἐννοίᾳ τῷ ἀθετοῦντι φιλονεικῶν, γνῶσιν ἀληθῆ κέκτηται, καὶ πίστιν βεβαίαν ἐπιδείκνυται τῷ Δεσπότῃ. ρκδ'.

Ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι, ἑκάστῳ τὸ δίκαιον τοῦ Θεοῦ ἀποσώζοντος. ρκε'.

Εἰ οὔτε τῷ ἀδικοῦντι ἔστι περιουσία, οὔτε τῷ ἀδικουμένῳ ὑστέρημα, ἐν εἰκόνι μὲν διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται. ρκς'.

Ὅταν ἴδῃς τινὰ ἐν πολλαῖς ἀτιμίαις ὀδυνώμενον, γίνωσκε, ὅτι λογισμοῖς κενοδοξίας ἐμφορηθείς, ἀηδῶς τῶν καρδιακῶν σπερμάτων θερίζει τὰ δράγματα. ρκζ'.

Ὁ σωματικαῖς ἡδοναῖς πέρα τοῦ δέοντος ἐναπολαύσας, ἑκατονταπλασίοις πόνοις ἀποτίσει τὴν περιουσίαν. ρκη'.

Ὁ ἀρχικός, ὑποτακτικῷ χρεωστεῖ λέγειν τὸ ὀφειλόμενον· παρακουόμενος δέ, τὴν ἐπιφορὰν τῶν κακῶν προαγγέλλειν. ρκθ'.

Ὁ ἀδικούμενος παρά τινος, καὶ μὴ παραζητῶν τῷ ἀδικοῦντι τὸ δέον, ἐκείνῳ τῷ μέρει πιστεύει τῷ Χριστῷ, καὶ ἑκατονταπλασίονα λαμβάνει ἐν τῷ αἰῶνι τούτῳ, καὶ ζωὴν αἰώνιον κληρονομεῖ. ρλ'.

Μνήμη Θεοῦ ἐστι, πόνος καρδίας ὑπὲρ εὐσεβείας γινόμενος. Πᾶς δὲ ὁ ἐπιλανθανόμενος τοῦ Θεοῦ, ἡδυπαθής, καὶ ἀνάλγητος γίνεται. ρλα'.

Μὴ λέγε, ὅτι ὁ ἀπαθής, θλίβε- ρλβ'.

σθαι

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σθαι οὐ δύναται. κἂν γὰρ μὴ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τοῦ πλησίον τούτου κεχρεώστηκεν.

ρλγ'. Ὅταν ὁ ἐχθρὸς τῶν ἐν τῇ λήθῃ ἁμαρτημάτων πολλὰ κρατήσῃ χειρόγραφα, τότε καὶ ἐν τῇ μνήμῃ τὰ αὐτὰ ποιεῖν τὸν χρεωφειλέτην ἀναγκάζει, τῷ τῆς ἁμαρτίας νόμῳ εὐλόγως ἀποχρώμενος.

ρλδ'. Εἰ βούλει διηνεκῶς μνημονεύειν Θεοῦ, μὴ ἀπώθει ὡς ἀδίκους τὰς ἐπιφοράς, ἀλλ' ὡς δικαίως ἐρχομένας ὑπόμενε. ἡ μὲν γὰρ ὑπομονή, δι' ἑκάστης συμβάσεως, τὴν μνήμην ἀνακινεῖ. ἡ δὲ * παραίτησις μειοῖ τὸ νοερὸν τῆς καρδίας φρόνημα, καὶ διὰ τῆς ἀνέσεως, τὴν λήθην ἐργάζεται.

*ἐν ἄλλ. πάρεσις.

ρλε'. Ἐὰν θέλῃς παρὰ Κυρίου ἐπικαλυφθῆναι τὰς ἁμαρτίας σου, μὴ φανεροποιήσῃς ἀνθρώποις, ἐὰν ἔχῃς ἀρετήν. ὃ γὰρ ἂν πράττωμεν ἐπὶ ταύταις, τοῦτο καὶ ἐπ' ἐκείναις ὁ Θεὸς ἐργάζεται.

ρλϛ'. Κρύψας ἀρετήν, μὴ ἐπαίρου ὡς δικαιοσύνην ἐκτελῶν. δικαιοσύνη γάρ ἐστιν οὐ μόνον τὸ κρύπτειν τὰ καλά, ἀλλὰ καὶ τὸ μηδὲν ἐννοεῖν τῶν ἀπηγορευμένων.

ρλζ'. Μὴ χαῖρε, ὅταν εὖ ποιήσῃς τινί, ἀλλ' ὅταν ἀμνησικάκως ὑπομείνῃς τὴν παρεπομένην ἐναντιότητα. ὃν τρόπον γὰρ αἱ νύκτες τὰς ἡμέρας, οὕτως αἱ κακίαι τὰς εὐποιΐας διαδέχονται.

ρλη'. Κενοδοξία, καὶ φιλαργυρία, καὶ ἡδονή, ἄσπιλον εὐποιΐαν διαμένειν οὐκ ἀφίουσι, εἰ μὴ πρότερον αὗται φόβῳ Θεοῦ καταπέσωσι.

ρλθ'. Εἰς τὰς ἀκουσίους θλίψεις, τὸ ἔλεος τοῦ Θεοῦ ἐγκέκρυπται· τὸν ὑπομένοντα, εἰς μετάνοιαν ἕλκον, καὶ ἀπαλλάττον τῆς αἰωνίου κολάσεως.

ρμ'. Τινὲς ἐργαζόμενοι τὰς ἐντολάς, ἐν ζυγῷ ἀντιρρέψαι αὐτὰς ταῖς ἁμαρτίαις ἐκδέχονται· τινὲς δὲ δι' αὐτῶν, τὸν ἀποθανόντα ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἐξευμενίζονται. ζητητέον, τίς αὐτῶν ἔχει ὀρθὸν τὸ φρόνημα;

Γεέννης φόβος, καὶ βασιλείας ἔρως, παρέχουσι τὴν τῶν θλιβερῶν ὑπομονήν. καὶ τοῦτο, οὐκ ἐξ ἑαυτῶν, ἀλλ' ἐκ τοῦ γινώσκοντος τοὺς διαλογισμοὺς ἡμῶν. ρμα'.

Ὁ πιστεύων περὶ τῶν μελλόντων, τῶν ὧδε ἡδέων ἀδογματίστως ἀπέχεται. ὁ δὲ ἀπιστῶν, ἡδὺς καὶ ἀνάλγητος γίνεται. ρμβ'.

Μὴ εἴπῃς, πῶς ἡδυπαθήσει ὁ πένης, μὴ ἔχων τὰ αἴτια; δύναται γάρ τις καὶ διὰ τῶν λογισμῶν ἀθλιωτέρως ἡδυπαθεῖν. ρμγ'.

Ἕτερόν ἐστι γνῶσις πραγμάτων, καὶ ἕτερον ἀληθείας ἐπίγνωσις. καθόσον διαφέρει τῆς σελήνης ὁ ἥλιος, κατὰ τοσοῦτον τῆς προτέρας ἡ δευτέρα ὠφελιμωτέρα τυγχάνει. ρμδ'.

Ἡ τῶν πραγμάτων γνῶσις, κατὰ ἀναλογίαν τῆς ἐργασίας τῶν ἐντολῶν προσγίνεται· ἡ δὲ τῆς ἀληθείας ἐπίγνωσις, κατὰ τὸ μέτρον τῆς εἰς Χριστὸν ἐλπίδος. ρμε'.

Εἰ θέλεις σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, πειρῶ πάντοτε ὑπερβαίνειν τὰ αἰσθητά, καὶ διὰ μόνης ἐλπίδος κολλᾶσθαι τῷ Θεῷ. οὕτως γὰρ ἀκοντὶ μὲν παρατρεπόμενος, εὑρήσεις ἀρχάς, καὶ ἐξουσίας διὰ τῶν προσβολῶν πολεμούσας σοι· ταύτας δὲ διὰ προσευχῆς νικῶν, καὶ μένων εὔελπις, ἕξεις τὴν τοῦ Θεοῦ χάριν, τῆς μελλούσης ὀργῆς ῥυομένην σε. ρμϛ'.

Ὁ συνιὼν τὸ ὑπὸ τοῦ Ἁγίου Παύλου μυστικῶς εἰρημένον, τὴν πάλην πρὸς τὰ πνευματικὰ τῆς πονηρίας εἶναι φήσαντος, γνώσεται καὶ τὴν παραβολὴν τοῦ Κυρίου, ἣν ἔλεγε πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν. ρμζ'.

Ὁ νόμος τυπικῶς ἓξ ἡμέρας ἐργάζεσθαι, τῇ δὲ ἑβδόμῃ σχολάζειν παρακελεύεται. διότι ψυχῆς ἔργον ἐστὶν ἡ διὰ χρημάτων, ἤτοι πραγμάτων εὐποιΐα, σχολὴ δὲ αὐτῆς καὶ κατάπαυσις, τὸ πω- ρμη'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λῦσαι πάντα καὶ δεῖται πτωχοῖς, καὶ τὸν λόγον τοῦ Κυρίου, καὶ διὰ τῆς ἀκτημοσύνης καταπαύσαντα, τῇ ἱερᾷ χαλάζειν ἐλπίδι. εἰς ταύτην οὖν τὴν κατάπαυσιν, καὶ ὁ Παῦλος, μετὰ σπουδῆς ἡμᾶς εἰσελθεῖν προτρέπεται λέγων· σπουδάσωμεν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν.

ρμθʹ. Ταῦτα δὲ εἰρήκαμεν, οὐκ ἀποκλείοντες τὰ μέλλοντα· οὔτε ὧδε τὴν καθολικὴν ἀνταπόδοσιν εἶναι ὁρίζοντες· ἀλλ' ὅτι χρὴ πρῶτον ἐν τῇ καρδίᾳ, ἐνεργοῦσαν ἔχειν τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, καὶ οὕτω κατὰ ἀναλογίαν εἰσελθεῖν εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. τοῦτο φανεροποιῶν καὶ ὁ Κύριος ἔλεγεν· ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστίν. τοῦτο καὶ ὁ Ἀπόστολος ἔλεγεν· ἔστι πίστις ἐλπιζομένων ὑπόστασις· καὶ πάλιν· οὕτω τρέχετε, ἵνα καταλάβητε· καὶ πάλιν· δοκιμάζετε ἑαυτούς, εἰ ἐστὲ ἐν τῇ πίστει· ἢ οὐκ ἐπιγινώσκετε, ὅτι Ἰησοῦς Χριστὸς οἰκεῖ ἐν ὑμῖν; εἰμήτι ἄρα ἀδόκιμοι ἐστέ.

ρνʹ. Ὁ ἀλήθειαν ἐπεγνωκώς, ταῖς θλιβεραῖς ἐπιφοραῖς οὐκ ἀντιπίπτει. οἶδε γὰρ ὅτι εἰς φόβον Θεοῦ ὁδηγοῦσι τὸν ἄνθρωπον.

ρναʹ. Αἱ πάλαι ἁμαρτίαι κατ' εἶδος μνημονευθεῖσαι, βλάπτουσι τὸν εὔελπιν. μετὰ λύπης μὲν γὰρ ἀναδοθεῖσαι, τῆς ἐλπίδος ἀφιστῶσιν· ἀλύπως δὲ ἐξεικονισθεῖσαι, τὸν παλαιὸν μολυσμὸν ἐναποτίθενται.

ρνβʹ. Ὅταν ὁ νοῦς διὰ ἀπαρνήσεως ἑαυτοῦ κρατήσῃ τὴν μονολόγιστον ἐλπίδα, τότε ὁ ἐχθρὸς προφάσει ἐξομολογήσεως, τὰ προγεγενημένα κακὰ ἐξεικονίζει· ἵνα τὰ χάριτι Θεοῦ ἐπιλησθέντα πάθη, ἀναζωπυρήσῃ, καὶ λεληθότως ἀδικήσῃ τὸν ἄνθρωπον. τότε γὰρ καὶ * σφοδρός, καὶ μισοπαθὴς ὑπάρχων, ἐξ ἀνάγκης σκοτισθήσεται, συγχυθεὶς ἐπὶ τοῖς πεπραγμένοις· κἂν ὁμιχλώδης ἔτι καὶ φιλήδονος ᾖ, συγχρονίσει πάντως, καὶ ἐμπαθῶς προσομιλήσει ταῖς προσβολαῖς, ὡς πρόληψιν εὑρεθῆναι τὴν τοιαύτην μνήμην, καὶ οὐκ ἐξομολόγησιν.

* ἐν ἄλλ. φαιδρός.

ρνγʹ. Ἐὰν θέλῃς Θεῷ προσφέρειν ἐξομολόγησιν ἀκατάγνωστον, μὴ μνημόνευε κατ' εἶδος τὰς παρατροπάς, ἀλλ' ὑπόμενε γενναίως τὰς τούτων ἐπαγωγάς.

ρνδʹ. Τὰ ἐπίπονα, διὰ τὰς προγεγενημένας ἁμαρτίας ἐπέρχονται, πάσης πλημμελείας τὸ προσφυὲς ἐπικομίζοντα.

ρνεʹ. Ὁ γνωστικὸς καὶ ὁ εἰδὼς τὴν ἀλήθειαν, οὐ διὰ μνήμης τῶν πραχθέντων, ἀλλὰ δι' ὑπομονῆς τῶν ἐπερχομένων, ἐξομολογεῖται τῷ Θεῷ.

ρνςʹ. Ἀποβαλὼν πόνον, καὶ ἀτιμίαν, μὴ ἐπαγγέλλου δι' ἄλλων ἀρετῶν μετανοεῖν. κενοδοξία γὰρ καὶ ἀναλγησία δουλεύειν τῇ ἁμαρτίᾳ καὶ διὰ τῶν δεξιῶν πεφύκασιν.

ρνζʹ. Ὥσπερ γὰρ τὰς ἀρετὰς πόνοι καὶ ἀτιμίαι, οὕτω καὶ τὰς κακίας ἡδοναὶ καὶ κενοδοξίαι τίκτειν εἰώθασι.

ρνηʹ. Πᾶσα σωματικὴ ἡδονή, ἐκ προλαβούσης ἐστὶν ἀνέσεως. ἄνεσιν δὲ γεννᾷ ἀπιστία.

ρνθʹ. Ὁ ὢν ὑπὸ ἁμαρτίαν, οὐ δύναται μόνος περιγενέσθαι τοῦ σαρκικοῦ φρονήματος. διότι τὸν ἐρεθισμὸν ἄπαυστον καὶ ἐγκείμενον ἔχει τοῖς μέλεσιν.

ρξʹ. Ἐμπαθεῖς ὄντας, προσεύχεσθαι δεῖ, καὶ ὑποτάσσεσθαι. μόλις γὰρ ἐστι μετὰ βοηθείας πολεμῆσαι ταῖς προλήψεσιν.

ρξαʹ. Ὁ μετὰ ὑποταγῆς, καὶ προσευχῆς πυκτεύων τῷ θελήματι, ἀθλητής ἐστιν ἐμμέθοδος· τὴν νοητὴν πάλην διὰ τῆς τῶν αἰσθητῶν ἀποχῆς προφανῶς ἐπιδεικνύμενος.

ρξβʹ. Ὁ μὴ συναλλάσσων τῷ Θεῷ τὸ ἑαυτοῦ θέλημα, ὑποσκελίζεται ἐν τοῖς ἰδίοις ἐπιτηδεύμασι, καὶ ὑποχείριος τῶν ἀντιπάλων γίνεται.

ρξγʹ. Ὅταν ἴδῃς δύο κακούς, ἔχοντας πρὸς ἀλλήλους ἀγάπην, γίνωσκε ὅτι ἕτερος



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῷ ἑτέρῳ συνεργεῖ πρὸς τὸ θέλημα.

ρξδʹ. Ὑψηλόφρων καὶ κενόδοξος, ἡδέως ἀλλήλοις συναλλάσσουσιν· ὁ μὲν γὰρ δουλικῶς ὑποπίπτοντα, ἐπαινεῖ τὸν κενόδοξον· ὁ δὲ συνεχῶς ἐπαινοῦντα, μεγαλύνει τὸν ὑψηλόφρονα.

ρξεʹ. Φιλόθεος ἀκροατής, ἀμφοτέρων πορίζεται τὴν ὠφέλειαν· ἐπὶ μὲν τοῖς ἀγαθοῖς μαρτυρούμενος, προθυμότερος γίνεται· ἐπὶ δὲ τοῖς κακοῖς ἐλεγχόμενος, μετανοεῖν ἀναγκάζεται. Δεῖ δὲ ἡμᾶς κατὰ τὴν προκοπήν, καὶ τὸν βίον ἔχειν· καὶ κατὰ τὸν βίον, ὀφείλομεν τῷ Θεῷ τὰς προσευχὰς ἀναφέρειν.

ρξϛʹ. Καλὸν μὲν τὴν κεφαλαιωδεστέραν κρατεῖν ἐντολήν, καὶ μηδὲν κατ᾽ εἶδος μεριμνᾶν, μηδὲ κατ᾽ εἶδος προσεύχεσθαι, ἀλλὰ μόνον ζητεῖν τὴν βασιλείαν, καὶ τὸν λόγον τοῦ Θεοῦ. Εἰ δὲ περὶ ἑκάστης χρείας ἔτι φροντίζομεν, ὀφείλομεν καὶ περὶ ἑκάστης προσεύχεσθαι. Ὁ γὰρ ἐκτὸς προσευχῆς τὶ ποιῶν, ἢ φροντίζων, οὐκ εὐοδοῦται ἐπὶ τῷ τέλει τοῦ πράγματος. Καὶ τοῦτό ἐστιν ὃ εἶπεν ὁ Κύριος· οὐ δύνασθε χωρὶς ἐμοῦ ποιεῖν οὐδέν.

ρξζʹ. Τὸν παραλογιζόμενον τὴν περὶ προσευχῆς ἐντολήν, ἀτοπώτεραι παρακοαὶ διαδέχονται, ἑτέρα τῇ ἑτέρᾳ καθάπερ δέσμιον παραπέμπουσαι.

ρξηʹ. Ὁ τὰ ἐνεστῶτα θλιβερὰ προσδοκίᾳ τῶν μελλόντων ἀγαθῶν προσδεχόμενος, γνῶσιν ἀληθείας εὗρε· καὶ ὀργῆς καὶ λύπης ῥᾳδίως ἀπαλλαγήσεται.

ρξθʹ. Ὁ κακουχίαν καὶ ἀτιμίαν ὑπὲρ ἀληθείας αἱρούμενος, ἀποστολικὴν ὁδὸν πορεύεται, τὸν σταυρὸν ἄρας, καὶ τὴν ἅλυσιν περικείμενος. Ὁ δὲ ἐκτὸς τούτων τῇ καρδίᾳ προσέχειν πειρώμενος, πλανᾶται κατὰ νοῦν, καὶ ἐμπίπτει εἰς πειρασμοὺς καὶ παγίδας τοῦ διαβόλου.

ροʹ. Οὔτε τοὺς κακοὺς λογισμοὺς ἐκτὸς τῶν αἰτιῶν, οὔτε τὰς αἰτίας ἐκτὸς τῶν λογισμῶν, ἐστὶ πολεμοῦντα νικῆσαί ποτε. Ὅταν γὰρ τὸ ἓν μονομερῶς ἀποβάλωμεν, μετ᾽ οὐ πολὺ διὰ τοῦ ἑτέρου τοῖς ἀμφοτέροις ἐμφερόμεθα.

ροαʹ. Ὁ φόβῳ κακοπαθείας, καὶ ὀνειδισμοῦ τοῖς ἀνθρώποις μαχόμενος, ἢ ὧδε δι᾽ ἐπιφορῶν πικροτέρως κακοπαθεῖ, ἢ ἐν τῷ μέλλοντι αἰῶνι, ἀνηλεῶς κολάζεται.

ροβʹ. Ὁ πᾶσαν κακῶν ἐπιφορὰν ἀποκλεῖσαι βουλόμενος, ὀφείλει διὰ προσευχῆς συναλλάσσειν τῷ Θεῷ τὰ πράγματα· καὶ κρατεῖν μὲν νοερῶς τὴν εἰς αὐτὸν ἐλπίδα, τὴν δὲ φροντίδα τῶν αἰσθητῶν, κατὰ δύναμιν παραλογίζεσθαι.

ρογʹ. Ὅταν εὕρῃ ὁ διάβολος ἐκτὸς ἀνάγκης ἄνθρωπον τοῖς σωματικοῖς ἐνασχολούμενον, πρότερον ἁρπάζει αὐτοῦ τὰ τῆς γνώσεως λάφυρα· εἶθ᾽ οὕτω, τὴν εἰς Θεὸν ἐλπίδα, ὡς κεφαλήν, ἀποτέμνει.

ροδʹ. Εἴ ποτε λάβῃς καθαρᾶς προσευχῆς * ὀχυρὸν τόπον, τὴν γνῶσιν τῶν πραγμάτων ἀναδιδομένην ὑπὸ τοῦ ἐχθροῦ ἐν τῷ καιρῷ μὴ καταδέχου, ἵνα μὴ τὸ μεῖζον ἀπολέσῃς. Κρεῖσσον γὰρ τοῖς τῆς προσευχῆς βέλεσι κατατοξεύειν αὐτὸν κάτω που συγκεκλεισμένον, ἢ προσομιλεῖν αὐτῷ, τὰ φαῦλα προσφέροντι, καὶ ἀποσπᾶν ἡμᾶς τῆς κατ᾽ αὐτοῦ δεήσεως μηχανωμένῳ.

* ἐν ἄλλ. καθαρὸν τρόπον.

ροεʹ. Ἡ τῶν πραγμάτων γνῶσις, ἐν καιρῷ πειρασμοῦ καὶ ἀκηδίας, ὠφελεῖ τὸν ἄνθρωπον· ἐν καιρῷ δὲ προσευχῆς, καταβλάπτειν εἴωθε.

ροϛʹ. Διδάσκειν ἐν Κυρίῳ λαχών, καὶ παρακουόμενος, θλίβου νοερῶς, καὶ μὴ ταράσσου προφανῶς. Θλιβόμενος γάρ, οὐ συγκατακριθήσῃ τῷ παρακούοντι· ταρασσόμενος δέ, ἐν τῷ αὐτῷ πράγματι πειρασθήσῃ.

ροζʹ. Ἐν καιρῷ ἐξηγήσεως, μὴ κρύψῃς τὰ τοῖς παροῦσι προσήκοντα· τὰ μὲν εὐπρεπῆ σαφεστέρως, τὰ δὲ σκληρὰ αἰνιγματωδῶς διηγούμενος.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ροη'. Τοῦ ἐν ὑποταγῇ σου μὴ ὄντος, σφάλμα μὴ προσενέγκῃς εἰς πρόσωπον. τοῦτο γὰρ ἐξουσίας μᾶλλον, ἢ συμβουλίας ἐστί.

ροθ'. Τὰ πληθυντικῶς λεγόμενα, γίνεται πᾶσιν ὠφέλιμα, ἑκάστῳ τὰ ἴδια κατὰ συνείδησιν * ἐμφανιζόμενα.

* ἐμφανίζοντα.

ρπ'. Ὁ λαλῶν ὀρθῶς, ὀφείλει καὶ αὐτὸς ὡς παρὰ Θεοῦ λαμβάνειν τὰ ῥήματα. ἡ γὰρ ἀλήθεια, οὐ τοῦ λαλοῦντος ἐστίν, ἀλλὰ τοῦ ἐνεργοῦντος Θεοῦ.

ρπα'. Παρ' ὧν οὐκ ἔχεις ὁμολογίαν ὑποταγῆς, μὴ φιλονείκει αὐθισταμένων τῇ ἀληθείᾳ· ἵνα μὴ μῖσος ἐγείρῃς, κατὰ τὴν Γραφήν.

ρπβ'. Ὁ ὑποτακτικῷ ὅπου οὐ δεῖ ἀντιλέγοντι παραχωρῶν, πλανᾷ αὐτὸν ἐν ἐκείνῳ τῷ πράγματι, καὶ τὰς συνθήκας τῆς ὑποταγῆς, ἀθετεῖν παρασκευάζει.

ρπγ'. Ὁ φόβῳ Θεοῦ νουθετῶν, ἢ παιδεύων τὸν ἁμαρτάνοντα, τὴν ἐναντιουμένην τῷ σφάλματι ἀρετὴν ἑαυτῷ περιποιεῖται. ὁ δὲ μνησικακῶν, καὶ κακοθελῶς ὀνειδίζων, τῷ ὁμοίῳ πάθει κατὰ τὸν πνευματικὸν περιπίπτει νόμον.

ρπδ'. Ὁ καλῶς μαθὼν τὸν νόμον, φοβεῖται τὸν νομοθέτην. καὶ φοβούμενος αὐτόν, ἐκκλίνει ἀπὸ παντὸς κακοῦ.

ρπε'. Μὴ γίνου δίγλωσσος, ἑτέρως μὲν τῷ λόγῳ, ἑτέρως δὲ τῇ συνειδήσει διακείμενος. τὸν γὰρ τοιοῦτον ἡ Γραφὴ ὑπὸ κατάραν ἵστησιν.

ρπς'. Ἔστιν ὁ ἀλήθειαν λέγων, καὶ ὑπὸ ἀφρόνων μισούμενος, κατὰ τὸν Ἀπόστολον. καὶ ἔστιν ὁ ὑποκρινόμενος, καὶ διὰ τοῦτο ἀγαπώμενος. ὅμως οὐδέτερον τῶν ἀνταποδόσεων τούτων, πολυχρόνιον γίνεται. διότι ὁ Κύριος ἐν ἰδίῳ καιρῷ ἑκάστῳ τὸ δέον ἀποδίδωσιν.

ρπζ'. Ὁ τὰ μέλλοντα μοχθηρὰ ἀναιρεῖν βουλόμενος, τὰ ἐνεστῶτα ἡδέως ὀφείλει ὑποφέρειν. οὕτω γὰρ νοερῶς συναλλάσσων πρᾶγμα πράγματι, διὰ μικρῶν ὀδυνῶν, μεγάλας ἐκφεύξεται τιμωρίας.

Ἀσφάλισαι λόγον ἀπὸ καυχήσεως, καὶ λογισμὸν ἀπὸ οἰήσεως, ἵνα μὴ παραχωρηθῇς καὶ πράξῃς τὰ ἐναντία. οὐ γὰρ ἐξ ἀνθρώπου μόνου τελεσιουργεῖται τὸ ἀγαθόν, ἀλλ' ἐκ τοῦ παντεπόπτου Θεοῦ. ρπη'.

Ὁ παντεπόπτης Θεὸς, ὥσπερ τοῖς ἔργοις ἡμῶν ἀξίας ἐπιφορὰς ἀπονέμει, οὕτω καὶ τοῖς λογισμοῖς, καὶ τοῖς ἑκουσίοις νοήμασιν. ρπθ'.

Οἱ ἀκούσιοι λογισμοί, ἐκ προλαβούσης ἁμαρτίας ἀναφύονται, οἱ δὲ ἑκούσιοι, ἐκ τοῦ αὐτεξουσίου θελήματος. ὅθεν αἴτιοι εὑρίσκονται τῶν προτέρων, οἱ δεύτεροι. ρϟ'.

Ταῖς μὲν παρὰ πρόθεσιν κακαῖς ἐννοίαις, λύπη παρέπεται· διὸ καὶ συντόμως ἐξαφανίζονται. ταῖς δὲ κατὰ πρόθεσιν, χαρά· ὅθεν καὶ δυσαπάλλακτοι γίνονται. ρϟα'.

Ὁ φιλήδονος λυπεῖται ἐν ψόγοις καὶ κακοπαθείαις, ὁ δὲ φιλόθεος, ἐν ἐπαίνοις καὶ πλεονεξίαις. ρϟβ'.

Ὁ μὴ γινώσκων τὰ κρίματα τοῦ Θεοῦ, ἀμφίκρημνον ὁδὸν κατὰ νοῦν διαβαίνει, καὶ ὑπὸ παντὸς ἀνέμου ῥᾳδίως ἀνατρέπεται. ἐπαινούμενος, γαυριᾷ· καὶ ψεγόμενος, πικραίνεται. εὐωχούμενος, ἀσελγαίνει· καὶ κακοπαθῶν, ἀποδύρεται. συνιών, φαντασιᾷ· καὶ μὴ νοῶν σχηματίζεται. πλουτῶν, ἀλαζονεύεται· καὶ πτωχεύων, ὑποκρίνεται. κορεσθείς, θρασύνεται· καὶ νηστεύων, κενοδοξεῖ. τοῖς ἐλέγχουσι φιλονεικεῖ, καὶ τοῖς συγγνώμην αὐτῷ ἀπονέμουσιν, ὡς ἀνοήτοις προσέχει. ρϟγ'.

Ἐὰν μή τις οὖν, κατὰ χάριν Χριστοῦ, γνῶσιν ἀληθείας καὶ φόβον Θεοῦ κτήσηται, οὐ μόνον ἐκ τῶν παθῶν, ἀλλὰ καὶ ἐκ τῶν συμβάσεων δεινῶς τραυματίζεται. ρϟδ'.

Ὅταν λῦσαι θέλῃς πρᾶγμα ἐμπεπλεγμένον, ζήτει περὶ αὐτοῦ τί τῷ Θεῷ ἀρέσκει, καὶ εὑρήσεις αὐτοῦ τὴν λύσιν ἐπωφελῆ. ρϟε'.

Ἐν οἷς ἂν πράγμασιν εὐδοκεῖ ὁ Θεός, ἐν τούτοις καὶ πᾶσα ἡ κτίσις ὑπηρετεῖ. ρϟς'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐν οἷς δὲ αὐτοὺς διαστρέφεται, ὁμοίως καὶ ἡ κτίσις ἀντιτάσσεται.

ρϟζʹ. Ὁ ἀντιτασσόμενος ταῖς σκυθρωπαῖς ἐπιφοραῖς, ὡς οὐκ οἶδεν, ἀντιμάχεται τῇ κελεύσει τοῦ Θεοῦ. ὁ δὲ καταδεχόμενος αὐτὰς μετὰ γνώσεως ἀληθοῦς, οὗτος, κατὰ τὴν Γραφήν, ὑπομένει τὸν Κύριον.

ρϟηʹ. Πειρασμοῦ ἐπελθόντος, μὴ ζήτει διὰ τί, ἢ διὰ τίνος ἐλήλυθεν· ἀλλ᾿ ὅπως αὐτὸν εὐχαρίστως, καὶ ἀλύπως, καὶ ἀμνησικάκως ὑπομείνῃς.

ρϟθʹ. Ἀλλότριον κακόν, οὐ προστίθησιν ἁμαρτίαν, ἐὰν μὴ ἡμεῖς αὐτὸ κακαῖς ἐννοίαις παραδεξώμεθα.

σʹ. Εἰ οὐκ ἔστι ῥᾳδίως εὑρεῖν τὸν ἐκτὸς πειρασμῶν εὐαρεστήσαντα, εὐχαριστεῖν δεῖ τῷ Θεῷ ἐπὶ πάσῃ συμβάσει.

σαʹ. Εἰ μὴ νυκτερινῆς ἄγρας ἀπέτυχεν ὁ Πέτρος, οὐκ ἂν τῆς ἡμερινῆς ἐπέτυχε. καὶ εἰ μὴ αἰσθητῶς ἐτυφλώθη ὁ Παῦλος, οὐκ ἂν νοητῶς ἀνέβλεψε. καὶ εἰ μὴ ὡς βλάσφημος ἐσυκοφαντήθη ὁ Στέφανος, οὐκ ἂν τῶν Οὐρανῶν αὐτῷ ἀνεῳχθέντων τὸν Θεὸν ἐθεάσατο.

σβʹ. Ὥσπερ ἡ κατὰ Θεὸν ἐργασία, ἀρετὴ λέγεται, οὕτως καὶ ἡ παρὰ προσδοκίαν θλίψις, πειρασμὸς ὀνομάζεται.

σγʹ. Ὁ Θεὸς τὸν Ἀβραὰμ ἐπείραζε, τουτέστι πρὸς τὸ συμφέρον ἔθλιβεν, οὐχ ἵνα μάθῃ ὁποῖός ἐστιν· ᾔδει γὰρ αὐτόν, ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν· ἀλλ᾿ ὅπως ἀφορμὰς αὐτῷ παράσχῃ τῆς τελείας πίστεως.

σδʹ. Πᾶσα θλίψις, ἐλέγχει τὴν ῥοπὴν τοῦ θελήματος, εἴτε εἰς δεξιὰ ῥέπει, εἴτε εἰς ἀριστερά. διὰ τοῦτο ἡ συμβατικὴ θλίψις, πειρασμὸς ὀνομάζεται· τῷ μετέχοντι, πεῖραν τῶν κεκρυμμένων θελημάτων παρέχουσα.

σεʹ. Ὁ φόβος τοῦ Θεοῦ, ἀναγκάζει ἡμᾶς πολεμεῖν τῇ κακίᾳ· ἡμῶν δὲ πολεμούντων, ἡ χάρις τοῦ Θεοῦ * πολεμεῖ αὐτήν.

* τὴν ἁμαρτίαν.

σϛʹ. Σοφία ἐστίν, οὐ μόνον τὸ διὰ φυσικῆς ἀκολουθίας εἰδέναι τὴν ἀλήθειαν, ἀλλὰ καὶ τὸ ὑπομένειν ὡς ἰδίαν τὴν τῶν ἀδικούντων πονηρίαν. οἱ μὲν γὰρ τῇ προτέρᾳ ἐναπομείναντες, πρὸς ὑπερηφανίαν ἐπήρθησαν· οἱ δὲ ἐπὶ τὴν δευτέραν φθάσαντες, ταπεινοφροσύνην ἐκτήσαντο.

σζʹ. Εἰ θέλεις μὴ ἐνεργεῖσθαι ὑπὸ τῶν πονηρῶν λογισμῶν, ἐξουδένωσιν ψυχῆς, καὶ θλίψιν σαρκὸς καταδέχου. καὶ τοῦτο οὐ μερικῶς, ἀλλ᾿ ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ πράγματι.

σηʹ. Ὁ τοῖς θλιβεροῖς ἑκουσίως ἐμπαιδευόμενος, ὑπὸ τῶν ἀκουσίων λογισμῶν οὐ κατακυριευθήσεται. ὁ δὲ τὰ πρότερα μὴ καταδεχόμενος, ὑπὸ τῶν δευτέρων, καὶ μὴ βουλόμενος, αἰχμαλωτίζεται.

σθʹ. Ὅταν ἀδικουμένου σου σκληρυνθῇ τὰ σπλάγχνα καὶ ἡ καρδία, μὴ λυποῦ, ὅτι οἰκονομικῶς ἐκινήθη τὸ προεγκείμενον· ἀλλὰ χαίρων ἀνάτρεπε τοὺς ἐπανακύπτοντας λογισμούς· εἰδὼς ὅτι τούτων ἐκ προσβολῆς ἀναιρουμένων, καὶ τὸ κακὸν μετὰ τὴν κίνησιν, συναναιρεῖσθαι πέφυκε· τῶν δὲ λογισμῶν ἐνδελεχούντων, κἀκεῖνο προσθήκην λαμβάνειν εἴωθεν.

σιʹ. Ἐκτὸς συντριμμοῦ καρδίας, ἀδύνατον καθόλου ἀπαλλαγῆναι κακίας. συντρίβει δὲ καρδίαν, ἡ τριμερὴς ἐγκράτεια, ὕπνου λέγω, καὶ τροφῆς, καὶ σωματικῆς ἀνέσεως. ἡ γὰρ τούτων περίσσεια, ἡδυπάθειαν ἐντίθησιν· ἡ δὲ ἡδυπάθεια, τοὺς πονηροὺς λογισμοὺς παραδέχεται· ἀντίκειται δὲ καὶ τῇ προσευχῇ, καὶ τῇ προσηκούσῃ διακονίᾳ.

σιαʹ. Κελεύειν ἀδελφοὺς λαχών, φύλαττε τὴν τάξιν σου, καὶ μὴ διὰ τοὺς ἀντιλέγοντας παρασιωπήσῃς τὰ δέοντα. ἐν οἷς μὲν ὑπακούουσι, μισθὸν ἕξεις ὑπὲρ τῆς ἐκείνων ἀρετῆς· ἐν οἷς δὲ παρακούουσι, πάντως ἀφήσεις αὐτοῖς· καὶ λήψῃ τὰ ἴσα παρὰ τοῦ εἰρηκότος· ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν.

σιβʹ. Πανηγύρει ἔοικε πᾶσα σύμβασις. ὁ

εἰδὼς

εἰδὼς πραγματεύσασθαι, κερδαίνει πολλά· ὁ δὲ μὴ εἰδὼς, ζημίας ὑποφέρει.

σιγ'. Τὸν ἀπὸ σοῦ λόγου μὴ ὑπακούοντα, μὴ βίαζε μετὰ φιλονεικίας· ἀλλὰ τὸ κέρδος, ὃ ἀπέβαλεν ἐκεῖνος, σὺ περιποίησον σεαυτῷ. πλέον γὰρ τῆς ἐκείνου διορθώσεως, ὠφελήσει σε ἡ ἀνεξικακία.

σιδ'. Ὅταν ἡ τοῦ ἑνὸς βλάβη εἰς πολλοὺς ἀναδέχῃ, τότε οὐ δεῖ μακροθυμεῖν, οὔτε ζητεῖν τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσι. διότι τῆς μονομεροῦς ἀρετῆς, ἡ πολυμερὴς ὠφελιμωτέρα τυγχάνει.

σιε'. Ἐάν τις περιπέσῃ εἰς οἱανδήτινα ἁμαρτίαν, καὶ μὴ λυπηθῇ κατὰ ἀναλογίαν τοῦ σφάλματος, εὐχερῶς πάλιν τῷ αὐτῷ περιπίπτει δικτύῳ.

σιϛ'. Ὥσπερ λέαινα δάμαλιν φιλικῶς οὐ προσίεται, οὕτως ἀναισχυντία τὴν κατὰ Θεὸν λύπην, οὐ προσδέχεται εὐμενῶς.

σιζ'. Ὥσπερ λύκῳ πρόβατον οὐ συνέρχεται εἰς τεκνογονίαν, οὕτως οὐδὲ κόρῳ, πόνος καρδιακὸς εἰς κύησιν ἀρετῶν.

σιη'. Οὐδεὶς δύναται πόνον καὶ λύπην ἔχειν κατὰ Θεὸν, ἐὰν μὴ πρότερον τὰς τούτων αἰτίας ἀγαπήσῃ.

σιθ'. Φόβος Θεοῦ καὶ ἔλεγχος, εἰσδέχονται λύπην. ἐγκράτεια δὲ καὶ ἀγρυπνία, προσομιλοῦσι πόνῳ.

σκ'. Ὁ γραφικαῖς ἐντολαῖς, καὶ νουθεσίαις μὴ παιδευόμενος, τῇ μάστιγι τοῦ ἵππου καὶ τῷ κέντρῳ τοῦ ὄνου ἐλαθήσεται. εἰ δὲ καὶ ταῦτα ἀπώσεται, ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας ἀγχθήσεται.

σκα'. Ὁ ὑπὸ τῶν μικρῶν εὐχερῶς νικώμενος, καὶ τοῖς μεγάλοις ἐξ ἀνάγκης δεδούλωται. ὁ δὲ τούτων καταφρονῶν, τοῖς μεγάλοις ἐν Κυρίῳ ἀντιστήσεται.

σκβ'. Μὴ πειρῶ ἐλέγχοις ὠφελεῖν τοὺς ἐν ἀρεταῖς καυχωμένους. διότι ὁ αὐτὸς καὶ φιλενδείκτης καὶ φιλαλήθης εἶναι οὐ δύναται.

σκγ'. Πᾶν ῥῆμα Χριστοῦ, ἔλεος, καὶ δικαιοσύνην, καὶ σοφίαν ἐμφαίνει Θεοῦ, καὶ τὴν τούτων δύναμιν, διὰ τῆς ἀκοῆς ἐμβάλλει, τοῖς ἡδέως ἀκούουσιν. ὅθεν καὶ οἱ ἀνελεήμονες, καὶ ἄδικοι, ἀηδῶς ἀκούοντες, τὴν τοῦ Θεοῦ σοφίαν γνῶναι οὐκ ἠδυνήθησαν, ἀλλὰ καὶ διδάσκοντα ἐσταύρωσαν. καὶ ἡμεῖς οὖν σκοπήσωμεν, εἰ ἡδέως αὐτοῦ ἀκούομεν. αὐτὸς γὰρ εἴρηκεν· ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει, καὶ ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, κἀγὼ ἀγαπήσω αὐτὸν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. βλέπεις πῶς τὴν ἑαυτοῦ ἐμφάνειαν ἐν ταῖς ἐντολαῖς ἐνέκρυψε; πασῶν οὖν τῶν ἐντολῶν ἐστὶ περιεκτικωτάτη, ἡ εἰς τὸν Θεὸν, καὶ τὸν πλησίον ἀγάπη· ἥτις ἐκ τῆς τῶν ὑλῶν ἀποχῆς, καὶ τῆς τῶν λογισμῶν ἡσυχίας, συνίσταται.

Τοῦτο εἰδὼς ὁ Κύριος παραγγέλλει ἡμῖν λέγων· μὴ μεριμνήσητε περὶ τῆς αὔριον· καὶ εἰκότως. ὁ γὰρ τῶν ὑλῶν καὶ τῆς μερίμνης αὐτῶν μὴ ἀπαλλαγεὶς, τῶν πονηρῶν λογισμῶν πῶς ἀπαλλαγήσεται; ὁ δὲ τοῖς λογισμοῖς περιεχόμενος, πῶς ἴδῃ τὴν ὑπὸ τούτων καλυπτομένην ἁμαρτίαν, ἐνυπόστατον; ἥτις ἐστὶ σκότος καὶ ὁμίχλη ψυχῆς, ἐξ ἐννοιῶν πονηρῶν, καὶ πράξεων λαβοῦσα τὴν ἀρχήν· τοῦ μὲν διαβόλου, διὰ προσβολῆς ἀβιάστου πειράζοντος, καὶ τὴν ἀρχὴν ὑποδεικνύοντος· τοῦ δὲ ἀνθρώπου, διὰ φιληδονίας, καὶ κενοδοξίας, ἡδέως προσομιλήσαντος. εἰ γὰρ καὶ κατὰ διάκρισιν οὐκ ἐβούλετο, ἀλλὰ κατὰ ἐνέργειαν ἠδιώκετο καὶ παρεδέχετο. ὁ δὲ ταύτην μὴ θεασάμενος τὴν περιεκτικὴν ἁμαρτίαν, πότε δεηθεὶς περὶ αὐτῆς καθαρισθήσεται; ὁ δὲ μὴ καθαρισθεὶς, πῶς εὕρῃ τὸν τόπον τῆς καθαρᾶς φύσεως; ὁ δὲ τοῦτον μὴ εὑρὼν, πῶς ἴδῃ τὸν ἐνδότερον οἶκον τοῦ Χριστοῦ; εἴπερ οἶκος ἐσμὲν τοῦ Θεοῦ, κατὰ τὸν προφητικὸν, καὶ εὐαγγελικὸν λόγον, καὶ ἀποστολικόν. σκδ'.

Χρὴ οὖν διὰ τῆς τῶν προειρημένων σκε'.

ἀκολου-

κολουθίας ζητῆσαι ἀρεῖν τὸν οἶκον, καὶ διὰ προσευχῆς παραμένοντας κρούειν· ὅπως ἢ ὧδε, ἢ ἐν τῇ ἐξόδῳ ἀνοίξῃ ἡμῖν ὁ Δεσπότης, καὶ μὴ ἀμελήσασιν εἴπῃ· οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ. οὐ μόνον δὲ ὀφείλομεν αἰτεῖσθαι, καὶ λαβεῖν, ἀλλὰ καὶ τὸ δοθὲν φυλάξαι. εἰσὶ γάρ τινες, οἳ καὶ μετὰ τὸ λαβεῖν ἀπολέσαντες. διὸ τῶν προειρημένων πραγμάτων, ψιλὴν μὲν τὴν γνῶσιν, ἢ καὶ συμβατικὴν πεῖραν, ἴσως καὶ ὀψιμαθεῖς, καὶ νέοι κατέχουσι· τὴν δὲ μεθ' ὑπομονῆς παράμονον ἐργασίαν, μόλις τῶν γερόντων οἱ εὐλαβεῖς καὶ πολύπειροι· οἱ πολλάκις αὐτὴν δι' ἀπροσεξίαν ἀπολέσαντες, καὶ δι' ἑκουσίων πόνων ἀναζητήσαντες, καὶ εὑρόντες. τοῦτο οὖν καὶ ἡμεῖς ποιεῖν μὴ παυσώμεθα, ἕως αὐτὴν ἀναφαίρετον κτησώμεθα.

Ταῦτα τοῦ Πνευματικοῦ Νόμου, ἐκ σκϛ'.
πολλῶν ὀλίγα ἔγνωμεν τὰ δικαιώματα· ἃ καὶ ὁ μέγας Ψαλμῳδὸς ἐνδελεχῶς ὑφηγεῖται τῷ μαθεῖν αὐτά, καὶ ποιεῖν τοὺς συνεχῶς ψάλλοντας ἐν Κυρίῳ Ἰησοῦ. αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος, καὶ ἡ προσκύνησις ὀφείλεται, νῦν τε, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ
## ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΜΑΡΚΟΥ ΤΟΥ ΑΣΚΗΤΟΥ
## Ἐπιστολὴ πρὸς Νικόλαον Μονάζοντα.

Τῷ περιποθήτῳ τέκνῳ Νικολάῳ.

Ἐπειδήπερ πρώην πολὺς ἦς φροντίζων περὶ τῆς σεαυτοῦ σωτηρίας, καὶ πολλὴν ἔχων μέριμναν περὶ τῆς κατὰ Θεὸν ζωῆς, ἀντέβαλλες ἡμῖν τὰ καθ' αὑτὸν διηγούμενος, δι' οἵων πόνων καὶ ὁρμῇ ζέσῃ προσκολλᾶσθαι ἤμελλες τῷ Κυρίῳ δι' ἀκριβοῦς πολιτείας, καὶ ἐγκρατείας, καὶ πάσης κακοπαθείας· ἀγρυπνίᾳ τε πολλῇ, καὶ συντόνῳ προσευχῇ ἀγωνιζόμενος· οἷοί τε πόλεμοι καὶ ἐσμοὶ σαρκικῶν παθῶν ἐν τῇ σωματικῇ ἀναρριπίζονται φύσει, καὶ τὰ τῆς ψυχῆς ἐπεγείρονται ἐκ τοῦ ἀντιστρατευομένου νόμου τῆς ἁμαρτίας, τῷ νόμῳ τοῦ νοὸς ἡμῶν· περισσοτέρως δὲ παρενοχλεῖσθαι ἀποδύρου ὑπὸ τοῦ τῆς ὀργῆς, καὶ ἐπιθυμίας πάθους· καὶ μέθοδόν τινα, καὶ λόγου παραίνεσιν ἐπεζήτεις, οἵοις πόνοις καὶ ἀγῶσι χρησάμενος, ἀνώτερος τῶν προειρημένων ἀλλοτρίων παθῶν καταστῆναι δυνήσῃ. καὶ ἐν μὲν τῷ καιρῷ ἐκείνῳ, ὅσον ἦν δυνατόν, κατὰ πρόσωπον τῇ ἀγάπῃ σου παρῃνέσαμεν, τὰ ψυχωφελῆ νοήματα, καὶ φρονήματα ὑποτιθέμενοι· καὶ ἀποδεικνύντες, οἵοις πόνοις, καὶ τόνοις ἀσκητικοῖς μετὰ συνέσεως, καὶ πεφωτισμένης γνώσεως λογικῆς, κατὰ τὸ Εὐαγγέλιον, πολιτευσαμένη ψυχὴ διὰ πίστεως χάριτι βοηθουμένη, δύναται περιγενέσθαι τῶν ἔνδον τῆς κακίας βρυόντων κακῶν· ἐξαιρέτως δὲ, τῶν προειρημένων παθῶν. πρὸς ἃ γὰρ πάθη διὰ προλήψεως, καὶ συνηθείας μᾶλλον πεποίωται ἡ ψυχή, περισσοτέρως ὑπ' αὐτῶν ὑποσυρομένη, κατὰ τούτων σπουδαιότερον, καὶ ἀδιάλειπτον τὸν ἀγῶνα ἀναλαβεῖν ὀφείλει· ἕως οὗ ὑποτάξῃ τὰ σαρκικά, καὶ ἄλογα * τῆς καρδίας ἐνεργήματα, οἷς πρότερον ὑπετάσσε-

* ἐν ἄλ. κακίας.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

το, καὶ ὑπεσύρετο, καὶ τῇ συνεχεῖ τῶν λογισμῶν ὑπομνήσει, καὶ μελέτῃ κακῇ διὰ τῆς ἔνδον τῶν τοιούτων συγκαταθέσεως αἰχμάλωτος ἀπεφέρετο. ἐπεὶ οὖν σωματικῶς πρὸς ὀλίγον διεστηκότες σου προσώπου, οὐ καρδίᾳ, ἐν τῇ ἐρήμῳ ἐληλυθότες πρὸς τοὺς ἀληθινοὺς ἐργάτας, καὶ ἀθλητὰς τοῦ Χριστοῦ, ὅπως καὶ ἡμεῖς κἂν μικρῶς πως ἀγωνισάμενοι, καὶ συναθλοῦντες τοῖς ἀδελφοῖς τοῖς ἀθλοῦσι πρὸς τὰς ἀντικειμένας ἐνεργείας, καὶ τοῖς πάθεσι γενναίως ἀντικαθισταμένοις, τὸν ὄκνον ἀποθώμεθα, τὴν ῥᾳθυμίαν ἀποταξώμεθα, τὴν ἀμέλειαν ἀφ' ἡμῶν ἀποῤῥίψωμεν, καὶ πᾶσαν σπουδὴν, καὶ ἐπιμέλειαν ἀναλάβωμεν, πρὸς εὐαρέστησιν Θεοῦ ἐπειγόμενοι· διόπερ ὀλίγην παραίνεσιν καὶ νουθεσίαν ψυχωφελῆ προεθυμήθημεν διὰ γραμμάτων χαράξαι τῇ γνησιότητί σου· ἵνα περὶ ὧν κατὰ πρόσωπόν σοι ἐλάλουν, ταῦτα δι' ὀλίγων ἐν τῷ μετρίῳ τῆς παραινέσεως ἡμῶν γράμματι ἐντυγχάνων, ἐπιμελῶς, ὡς παρόντων ἡμῶν, πνευματικὴν ὠφέλειαν καρπώσῃ. Τὴν μὲν οὖν ἀρχὴν τῆς κατὰ Θεόν σου ὠφελείας, ὦ τέκνον, ἐντεῦθεν ποιεῖσθαι ὀφείλεις· ἀνεπίληστον, καὶ ἀειμνημόνευτον ἐν ἀδιαλείπτῳ μελέτῃ ἀναλογίζεσθαί σε χρὴ πάσας τὰς τοῦ φιλανθρώπου Θεοῦ τὰς εἰς σὲ γενομένας, καὶ γινομένας οἰκονομίας, καὶ εὐεργεσίας εἰς σωτηρίαν τῆς ψυχῆς σου· καὶ μὴ λήθῃ κακίας καλυπτόμενον, ἢ ῥᾳθυμίας αἰτίᾳ ἀμνημονεῖν τῶν πολλῶν, καὶ μεγάλων αὐτοῦ εὐεργεσιῶν· καὶ διὰ τοῦτο ἀνωφελῶς, καὶ ἀχαρίστως παρέρχεσθαι τὸν ὑπόλοιπον χρόνον. Αἱ γὰρ τοιαῦται ἀδιάλειπτοι μνῆμαι, ὥσπερ τι κέντρον νύττουσαι τὴν καρδίαν, κινοῦσιν αὐτὴν πάντοτε πρὸς ἐξομολόγησιν, πρὸς ταπείνωσιν, πρὸς εὐχαριστίαν μετὰ συντετριμμένης ψυχῆς, πρὸς πᾶσαν σπουδὴν ἀγαθὴν, καὶ ἀνταπόδοσιν τρόπων, καὶ ἠθῶν χρηστῶν, καὶ πάσης τῆς κατὰ Θεὸν ἀρετῆς· ἀεὶ μελετῶσαν εὐσυνειδήτῳ γνώμῃ τὸ προφητικὸν λόγιον· τὸ, τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; Ὅταν γὰρ ἀναλογίσῃ ψυχὴ τὰς ἀπὸ γενέσεως εὐεργεσίας τοῦ φιλανθρώπου Θεοῦ, ἢ πόσων κινδύνων πολλάκις ἐῤῥύσθη, ἢ πόσοις κακοῖς ὑποπεσοῦσα, καὶ ἐν πλημμελείαις πολλάκις ἑκουσίως ὀλισθήσασα, οὐ παρεδόθη κατὰ τὸ δίκαιον τοῖς ἀπατήσασι πνεύμασιν, εἰς ἀπώλειαν, καὶ θάνατον· ἀλλὰ μακροθύμως ὁ φιλάνθρωπος Δεσπότης παρορῶν τὰ πλημμελήματα, διεφύλαξεν, ἐκδεχόμενος τὴν ἐπιστροφὴν αὐτῆς· καὶ τοῖς ἐχθροῖς καὶ πονηροῖς πνεύμασιν ἑκουσίως διὰ τῶν παθῶν δουλεύσασαν, αὐτὸς διέτρεφε σκέπων, καὶ παντοίως προνοῶν· καὶ τέλος, ἀγαθῷ νεύματι, εἰς ὁδὸν σωτηρίας ὡδήγησε· καὶ φίλτρον ἀσκητικοῦ βίου τῇ καρδίᾳ ἐνέθηκε, καὶ μετὰ χαρᾶς τὸν κόσμον, καὶ πᾶσαν αὐτοῦ τὴν ἀπάτην τῶν σαρκικῶν ἡδονῶν καταλιπεῖν ἐνεδυνάμωσε, καὶ ἀγγελικῷ σχήματι τῆς ἀσκητικῆς τάξεως κατεκόσμησε· καὶ εὐχερῶς προσληφθῆναι παρὰ Ἁγίων ἀνδρῶν ἐν συστήματι ἀδελφότητος παρεσκεύασε· τίς δὲ εὐσυνείδητον ἔχων γνώμην, καὶ ταῦτα ἀναλογιζόμενος, οὐχὶ πάντοτε ἐν συντριμμῷ καρδίας διατελέσει; ἔχων τοσαῦτα ἐνέχυρα προλαβουσῶν εὐεργεσιῶν, μηδὲν ἀγαθὸν πρότερον αὐτὸς ποιήσας· οὐχὶ πάντοτε βεβαίαν ἐλπίδα ἀναλάβῃ; τοῦτο βουλευσάμενος, ὅτι εἰ μηδὲν ἀγαθὸν μου ποιήσαντος, ἀλλὰ καὶ πολλὰ ἐνώπιον αὐτοῦ ἁμαρτήσαντος, ἐν ἀκαθαρσίαις σαρκὸς, καὶ ἐν ἄλλαις πολλαῖς κακίαις ἀναστραφέντος, οὐ κατὰ τὰς ἁμαρτίας μου ἐποίησεν, οὐδὲ κατὰ τὰς ἀνομίας μου ἀνταπέδωκεν, ἀλλὰ τοσαύτας δωρεὰς, καὶ χάριτας εἰς σωτηρίαν ᾠκονόμησεν· ἐὰν ὁλοτελῶς δῶ ἐμαυτὸν τοῦ λοιποῦ δουλεύειν αὐτῷ ἐν πάσῃ ἁγίᾳ ἀναστροφῇ, καὶ ἀρετῶν κατορθώσει· πόσων ἀγαθῶν, καὶ πνευ-

ματικῶν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ματικῶν χαρισμάτων καταξιώσει, εἰς πᾶν ἔργον ἀγαθὸν δυναμῶν, καὶ κατευθύνων, καὶ κατευοδῶν; Διόπερ ὁ πάντοτε τοιοῦτον λογισμὸν ἔχων, καὶ μὴ ἐπιλανθανόμενος τῶν τοῦ Θεοῦ εὐεργεσιῶν, δυσωπεῖ ἑαυτὸν, καὶ εὐθυμεῖ, καὶ ἐπείγει πρὸς πᾶσαν ἄσκησιν ἀρετῆς ἀγαθήν, καὶ πρὸς πᾶσαν ἐργασίαν δικαιοσύνης, πάντοτε πρόθυμος, πάντοτε ἕτοιμος εἰς τὸ ποιεῖν τὸ θέλημα τοῦ Θεοῦ. Τοιγαροῦν, ὦ τέκνον ἀγαπητὸν, ἔχων, χάριτι Χριστοῦ, φυσικὴν σύνεσιν, ταύτην τὴν ἀδολεσχίαν, καὶ μελέτην ἀγαθήν, πάντοτε ἐν ἑαυτῷ φύλαττε· μὴ ὑπὸ λήθης τῆς ὀλεθρίου καλυπτόμενος, μηδὲ ὑπὸ ῥαθυμίας τῆς ματαιούσης καὶ ἐκκλινούσης ἀπὸ τῆς ζωῆς τὸν νοῦν ἐμποδιζόμενος· ἢ ὑπὸ ἀγνοίας τῆς πάντων τῶν κακῶν αἰτίας τὸν λογισμὸν σκοτιζόμενος· ἢ ὑπὸ ἀμελείας τῆς παγκάκου δελεαζόμενος· μὴ ὑπὸ ἡδονῆς σαρκὸς ὑποσυρόμενος· μὴ ὑπὸ γαστριμαργίας ἡττώμενος· μὴ ὑπὸ ἐπιθυμίας τὸν νοῦν αἰχμαλωτιζόμενος, καὶ συγκαταθέσει λογισμῶν πορνικῶν, μιασμὸν ἐν ἑαυτῷ ἐργαζόμενος· μὴ ὑπὸ ὀργῆς μισαδελφίαν γεννώσης νικώμενος· καὶ οἰκτρᾶς ἕνεκεν καὶ ταλαιπώρου προφάσεως, λυπῶν καὶ λυπούμενος, καὶ συνάγων μνήμας κατὰ τοῦ πλησίον λογισμῶν πονηρῶν, τῆς πρὸς Θεὸν καθαρᾶς προσευχῆς ἐκκλινόμενος, καὶ τὸν νοῦν ἐξανδραποδιζόμενος, καὶ θηριώδει λογισμῷ τὸν ὁμόψυχον ἀδελφὸν ὑποβλεπόμενος· καὶ τῷ ἀλόγῳ τοῦ σαρκικοῦ φρονήματος τρόπῳ τὴν συνείδησιν δεσμούμενος, καὶ τοῖς πονηροῖς πνεύμασιν, οἷς ὑπείξας, εἰς παιδείαν παραδιδόμενος. ἄχρι καιροῦ· ἕως οὗ πάντοθεν ἐξαπορηθεὶς ὁ νοῦς, καὶ ὑπὸ λύπης καὶ ῥαθυμίας καταποθεὶς, καὶ τὴν κατὰ Θεὸν προκοπὴν διὰ τὰς προλαβούσας αἰτίας ἀπολέσας, πάλιν ἄρξηται ἐπιλαμβάνεσθαι διὰ πολλῆς ταπεινώσεως, ἀρχῆς ὁδοῦ σωτηρίας· καὶ πολλὰ καμὼν ἐν εὐχαῖς, καὶ ὁλονύκτοις ἀγρυπνίαις, λύσας τὰ αἴτια διὰ τῆς ταπεινώσεως, καὶ ἐξομολογήσεως τῆς πρὸς τὸν Θεὸν, καὶ τῆς πρὸς τὸν πλησίον· οὕτως ἄρχεται πάλιν ἀνανήφειν, καὶ διὰ φωτισμῶν γνώσεως εὐαγγελικῆς, θείᾳ χάριτι, ἐλλαμπόμενος, γινώσκει· ὅτι ὁ μὴ ἑαυτὸν τελείως τοῦ Σταυροῦ ἐπιδιδοὺς ἐν φρονήματι ταπεινώσεως, καὶ ἐξουδενώσεως, καὶ ῥίψας ἑαυτὸν ὑπὸ κάτω πάντων, καταπατεῖσθαι, καὶ ἐξουθενεῖσθαι, καὶ καταφρονεῖσθαι, καὶ ἀδικεῖσθαι, καὶ καταγελᾶσθαι, καὶ χλευάζεσθαι, καὶ ταῦτα πάντα μετὰ χαρᾶς διὰ τὸν Κύριον ὑπομένειν, καὶ μὴ ἐκδικῶν ὅλως τὰ ἀνθρώπινα, δόξαν ἢ τιμὴν ἢ ἔπαινον, ἢ ἡδονὴν βρώσεως, ἢ πόσεως, ἢ ἐνδύσεως, Χριστιανὸς ἀληθινὸς γενέσθαι οὐ δύναται. Τοιγαροῦν τοιούτων ἡμῖν προκειμένων ἀγώνων, καὶ ἄθλων, καὶ στεφάνων, μέχρι πότε ἡμεῖς ὑπὸ τῆς ἐσχηματισμένης εὐσεβοῦς μορφώσεως διαχλευαζόμεθα, μετὰ ἐπιθέσεως τοῦ Κυρίου δουλεύοντες, ἄλλο τοῖς ἀνθρώποις νομιζόμενοι, καὶ ἄλλο τῷ τὰ κρυπτὰ γινώσκοντι καταφαινόμενοι. ἅγιοι γὰρ παρὰ πολλῶν νομιζόμενοι, ἄγριοι τὸ ἦθος ἀκμὴν ὑπάρχομεν· ἀληθῶς μόρφωσιν εὐσεβείας ἔχοντες, τὴν δὲ δύναμιν αὐτῆς ἐνώπιον τοῦ Θεοῦ μὴ κεκτημένοι· παρθένοι, καὶ ἅγιοι παρὰ πολλῶν νομιζόμενοι, καὶ παρὰ τῷ τὰ κρυπτὰ κατανοοῦντι, ἐν ἀκαθαρσίαις συγκαταθέσεων λογισμῶν πορνικῶν ἔνδοθεν μολυνόμενοι, καὶ ταῖς ἐνεργείαις τῶν παθῶν βορβορούμενοι· καὶ διὰ τὴν ἀκμὴν ἐσχηματισμένην ἡμῶν ἄσκησιν, ἔτι καὶ τοῖς ἐπαίνοις τῶν ἀνθρώπων ὑπτιούμενοι, καὶ τὸν νοῦν ἐκτυφλούμενοι. Ἕως πότε οὖν ἐν ματαιότητι τοῦ νοὸς πορευόμεθα, τοῦ εὐαγγελικοῦ φρονήματος μὴ ἐπιλαμβανόμενοι, καὶ τὴν κατὰ συνείδησιν πολιτείαν οὐκ ἐπιγινώσκομεν, ἵνα ταύτην σπουδαίως μεταδιώξωμεν; ὅπως καὶ τὴν κατὰ συνεί-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δησιν παῤῥησίαν εὑρήσωμεν; ἀλλ' ἔτι ἐν τῇ νομιζομένῃ τοῦ ἔξωθεν ἀνθρώπου δικαιοσύνῃ μόνῃ στηριζόμεθα, δι' ὑστέρησιν ἀληθοῦς γνώσεως, καὶ διὰ τῶν ἔξωθεν μόνον ἐπιτηδευμάτων ἑαυτοὺς πλανῶμεν, τοῖς ἀνθρώποις ἀρέσκειν βουλόμενοι, καὶ τὰς παρ' αὐτῶν δόξας, καὶ τιμάς, καὶ ἐπαίνους θηρώμενοι; Ἥξει πάντως ὁ τὰ κρυπτὰ τοῦ σκότους ἀποκαλύπτων, καὶ φανερῶν τὰς βουλὰς τῶν καρδιῶν, ὁ ἀπαραλόγιστος δικαστής· ὁ μήτε πλούσιον ἐντρεπόμενος, μήτε πτωχὸν ἐλεῶν· ὁ τὸ σχῆμα τὸ ἔξωθεν περιαίρων, καὶ τὴν ἀλήθειαν τὴν ἔνδοθεν κεκρυμμένην φανερῶν· ὁ τοὺς κατὰ συνείδησιν πολιτευομένους, ἀληθινοὺς ἀγωνιστὰς καὶ ἀθλητάς, ἐν παρουσίᾳ Ἀγγέλων ἐπὶ τοῦ ἰδίου Πατρὸς στεφανῶν· καὶ τοὺς ἐσχηματισμένους καὶ μόρφωσιν εὐσεβείας περιβεβλημένους, καὶ φαινομένην μόνην πολιτείαν τοῖς ἀνθρώποις ἐπιδεικνυμένους, καὶ ἐπὶ ταύτῃ ματαίως στηριζομένους, καὶ ἑαυτοὺς φρεναπατῶντας, ἐπὶ τῆς αὐτῶν ἐκκλησίας τῶν Ἁγίων, καὶ πάσης τῆς ἐπουρανίου στρατιᾶς θριαμβεύων· καὶ οὕτω δεινῶς αἰσχυνομένους, εἰς τὸ ἐξώτερον σκότος ἀποστέλλων, κατὰ τὰς μωρὰς παρθένους· αἵτινες, τὴν μὲν ἔξωθεν παρθενίαν ἐφύλαξαν· οὐδὲν γὰρ περὶ τούτου ἐνεκλήθησαν, ἀλλὰ καὶ ἔλαιον μερικῶς ἐν τοῖς ἀγγείοις εἶχον, τουτέστιν ἀρετῶν τινῶν καὶ κατορθωμάτων ἐξωτέρων, καί τινων χαρισμάτων μέτοχοι ἐτύγχανον, διὸ καὶ αἱ λαμπάδες αὐτῶν μέχρι τινὸς ἧπτον· διὰ δὲ ἀμέλειαν, καὶ ἄγνοιαν, καὶ ῥαθυμίαν, πρόνοιαν οὐκ ἐποιήσαντο, καὶ τὸν κρυπτόμενον ἔσωθεν τῶν παθῶν ἑσμὸν τὸν ὑπὸ τῶν πονηρῶν πνευμάτων ἐνεργούμενον, ἀκριβῶς οὐκ ἐπέγνωσαν· ἀλλ' ὑπὸ τῶν ἀντικειμένων ἐνεργειῶν τὰ νοήματα αὐτῶν ἐφθείροντο, ἐν τῇ τῶν λογισμῶν συγκαταθέσει κοινωνοῦσαι αὐτοῖς, καὶ δελεαζόμεναι κρυπτῶς, καὶ ἡττώμεναι· φθόνῳ τῷ κακίστῳ, ζήλῳ τῷ μισοκάλῳ, ἔριδι, φιλονεικίᾳ, μίσει, ὀργῇ, πικρίᾳ, μνησικακίᾳ, ὑποκρίσει, θυμῷ, ὑπερηφανίᾳ, κενοδοξίᾳ, ἀνθρωπαρεσκείᾳ, αὐταρεσκείᾳ, φιλαργυρίᾳ, ἀκηδίᾳ, ἐπιθυμίᾳ σαρκικῇ, ἐν λογισμοῖς τὴν ἡδυπάθειαν ἐργαζομένῃ, ἀπιστίᾳ, ἀφοβίᾳ, δειλίᾳ, λύπῃ, ἀντιλογίᾳ, χαυνώσει, ὕπνῳ, οἰήσει, δικαιώσει, ἐπάρσει, ἀλαζονείᾳ, ἀπληστίᾳ, ἀσωτίᾳ, πλεονεξίᾳ, ἀνελπιστίᾳ τῇ πάντων χαλεπωτέρᾳ, καὶ τοῖς λοιποῖς τῆς κακίας ἐνεργήμασιν· αἵτινες καὶ τῶν καλῶν τὴν ἐργασίαν, ἢ πολιτείαν σεμνήν, καὶ αὐτὴν ἣν ἐδόκουν ἐπὶ τῶν ἀνθρώπων ποιοῦσαι, καὶ τοὺς παρ' αὐτῶν ἐπαίνους καρπούμεναι· εἰ καί τινων ἦσαν χαρισμάτων μετέχουσαι, τοῖς τῆς κενοδοξίας καὶ ἀνθρωπαρεσκείας πνεύμασιν ἀπεμπώλουν αὐτά· καὶ τοῖς λοιποῖς πάθεσι κοινωνοῦσαι, ἐμίγνυον τὰ καλὰ ἐπιτηδεύματα, τοῖς πονηροῖς, καὶ σαρκικοῖς φρονήμασι· διὸ ἀπρόσδεκτα, καὶ ἀκάθαρτα αὐτὰ ἀπειργάζοντο, κατὰ τὴν τοῦ Κάϊν θυσίαν· νυμφίου χαρᾶς στερηθεῖσαι, καὶ νυμφῶνος ἐπουρανίου ἀποκλεισθεῖσαι. Ταῦτα οὖν λογιζόμενοι, καὶ διακρίνοντες, καὶ δοκιμάζοντες, γνῶμεν, καὶ συνῶμεν ἐν τίσιν ἐσμέν, ἵνα, ὡς ἔτι καιρὸν μετανοίας καὶ ἐπιστροφῆς ἔχομεν, ἑαυτοὺς διορθωσώμεθα· ὅπως τὰ καλὰ ἡμῶν ἔργα καθαρῶς ἐπιτελούμενα, ἀληθινὰ καὶ καθαρὰ εἴη, σαρκικῷ φρονήματι μὴ μιγνύμενα, ἵνα μὴ ἀπόβλητα γένηται, ὡς θυσία ἐπίμωμος δι' ἀφοβίαν καὶ ἀμέλειαν, καὶ ἀληθινῆς γνώσεως ἔλλειψιν· μήπως καὶ τὸν κόπον τῆς παρθενίας, καὶ ἐγκρατείας, καὶ ἀγρυπνίας, καὶ νηστείας, καὶ φιλοξενίας, ὑπομείνωμεν, καὶ τὰς ἡμέρας ἀναλώσωμεν, καὶ διὰ τὰς προειρημένας τῶν παθῶν αἰτίας, τὰ δοκοῦντα ἡμῖν δικαιώματα, ὡς θυσία ἐπίμωμος εὑρεθέντα, ἀπρόσδεκτα τῷ ἐπουρανίῳ Ἱερεῖ Χριστῷ γένηται. Γνώσεως οὖν,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὦ τέκνον, καὶ συνέσεως προηγουμένως ἐπιμελητέον τῷ βουλομένῳ τὸν Σταυρὸν ἆραι, καὶ ἐπακολουθῆσαι διὰ τῆς ἀδιαλείπτου ἐν ἑαυτῷ τῶν λογισμῶν ἐρεύνης, καὶ πολλῆς μερίμνης περὶ σωτηρίας, καὶ συνέσεως, καὶ πολλῆς τῆς πρὸς Θεὸν σπουδῆς, καὶ ἐρωτήσεως τῶν ὁμοψύχων, καὶ ὁμοφρόνων δούλων τοῦ Θεοῦ, καὶ τὸν αὐτὸν ἀγῶνα ἀγωνιζομένων, ἵνα μὴ ἀγνοῶν ποῦ καὶ πῶς περιπατεῖ, ἐν σκότει αὐτὸς φωτὸς λύχνου ὁδηγῇ. ὁ γὰρ ἰδιόρρυθμος αὐτὸς εὐαγγελικῆς γνώσεως, καὶ ὁδηγίας τινὸς ὁδηγῶν, πολλὰ προσκόπτει, καὶ εἰς πολλοὺς βόθρους, καὶ παγίδας τοῦ πονηροῦ ἐμπίπτει, καὶ πολλὰ πλανᾶται, καὶ πολλοῖς περιπίπτει κινδύνοις, καὶ οὐκ οἶδε ποίου τέλους τυγχάνει. πολλοὶ γὰρ διὰ πολλῶν κόπων, καὶ ἀσκήσεως διῆλθον, καὶ κακοπαθείας, καὶ μόχθους πολλοὺς διὰ Θεὸν ὑπέμειναν· καὶ ἡ ἰδιορρυθμία, καὶ ἡ ἀδιακρισία, καὶ τὸ ἀνεπιδεὲς τῆς παρὰ τοῦ πλησίον ὠφελείας, ἀκύρους αὐτοῖς τοὺς τοσούτους πόνους, καὶ ματαίους εἰργάσαντο. Σὺ οὖν, ὦ τέκνον ἀγαπητὸν, κατὰ τὴν ἀρχὴν τῆς τοῦ λόγου παραινέσεως, τὰς εἰς σὲ γεγενημένας τοῦ προσκυνητοῦ, καὶ φιλανθρώπου Θεοῦ εὐεργεσίας μὴ ἐπιλανθάνου, κλοπῇ κακίας, καὶ ῥᾳθυμίας ὑποσυρόμενος· ἀλλὰ τὰς ἐξ ἀρχῆς γενέσεώς σου μέχρι τοῦ νῦν, ἐάν τε σωματικὰς, ἐάν τε πνευματικὰς εὐεργεσίας πρὸ ὀφθαλμῶν τιθέμενος, μελέτα ἐν αὐταῖς, καὶ ἀδολέσχει, κατὰ τὸ εἰρημένον· μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ· ἵνα εὐκόλως πρὸς φόβον Θεοῦ καὶ ἀγάπην ἡ καρδία κινῆται, ὥστε ἀνταποδοῦναι, κατὰ δύναμιν, βίον ἀκριβῆ, πολιτείαν εὐάρεστον, συνείδησιν εὐσεβῆ, λόγον εὐάρμοστον, πίστιν ὀρθὴν, φρόνημα ταπεινὸν, καὶ ἁπλῶς εἰπεῖν, ὅλον ἑαυτὸν τῷ Θεῷ ἀναθεῖναι· δυσωπούμενος ὑπὸ τῆς μνήμης τῶν τοσούτων καλῶν, ὧν πέπονθας ὑπὸ τοῦ ἀγαθοῦ, καὶ φιλανθρώπου Δεσπότου, ὅπως αὐτομάτῳ τινὶ τρόπῳ διὰ τῆς τοιαύτης τῶν εὐεργεσιῶν μνήμης, μᾶλλον δὲ, συνεργούσης σοι καὶ τῆς ἄνωθεν ῥοπῆς, εἰς ἀγάπην, καὶ πόθον τιτρώσκηται ἡ καρδία σου· ὅτι ἅπερ ἄλλοις οὐκ ἐποίησε πολὺ κρείττονά σοι θαυμάσια, τῇ ἰδίᾳ αὐτοῦ, καὶ ἀρρήτῳ φιλανθρωπίᾳ, σοὶ ἐποίησε. Πάντων μὲν οὖν τῶν εἰς σὲ γεγενημένων παρὰ Θεοῦ καλῶν, ἐν μνήμῃ ἀδιαλείπτῳ εἶναι σπούδασον· ἐξαιρέτως δὲ ἐκείνης τῆς μεγάλης, καὶ θαυμαστῆς χάριτος, καὶ εὐεργεσίας ἀδιαλείπτως μέμνησο, ἧς ἐκπλέοντί σοι ἅμα τῇ μητρί σου ἐκ τῶν Ἁγίων Τόπων ἐπὶ τὴν Κωνσταντινούπολιν, παρέσχε σοι, καθὼς ἡμῖν διηγήσω· ὅτε ἡ φοβερὰ ἐκείνη, καὶ ἀκατάσχετος ζάλη, καὶ κλύδων μέγας ἐν τῇ νυκτὶ ἐκινήθη, καὶ πάντες οἱ ἐν τῷ πλοίῳ ἅμα τοῖς ναύταις καὶ αὐτῇ τῇ μητρί σου ἀπώλοντο ἐν τῷ βυθῷ· καὶ ἐκ παραδόξου καὶ θείας δυνάμεως, μόνος σὺ μετὰ δύο ἄλλων ἀπορριφέντες ἐσώθητε· καὶ πῶς ᾠκονομήθη ἐλθεῖν σε ἐν Ἀγκύρᾳ, καὶ πατρικοῖς σπλάγχνοις παρά τινος * ἐλευθέρου προσληφθέντα σε, καὶ διαθέσει ζηλωθέντα τῷ εὐλαβεστάτῳ τέκνῳ Ἐπιφανίῳ· ἵνα ἀμφότεροι ὁδηγηθέντες διὰ ὁσίου ἀνδρὸς, ἔλθητε εἰς σωτηρίας ὁδὸν, καὶ παρὰ ἁγίων δούλων τοῦ Θεοῦ ὡς γνήσια τέκνα προσληφθείητε. Ὑπὲρ τούτων οὖν πάντων τῶν παρὰ Θεοῦ σοι γεγενημένων καλῶν, τί ἄξιον ἔχεις ἀνταποδοῦναι τῷ καλέσαντι τὴν ψυχήν σου εἰς ζωὴν αἰώνιον; ἑαυτῷ γὰρ λοιπὸν, κατὰ τὸ δίκαιον, οὐκ ἔτι ζῆν ὀφείλεις, ἀλλὰ τῷ ὑπὲρ σοῦ ἀποθανόντι, καὶ ἐγερθέντι Χριστῷ· εἰς πᾶσαν ἀρετὴν δικαιοσύνης, εἰς πᾶσαν κατόρθωσιν ἐντολῶν, ζητῶν μὲν τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, καὶ τέλειον, καὶ εὐάρεστον, καὶ τοῦτο παντὶ σθένει σπουδάζειν μεταδιώκειν. πλὴν τὴν νεότητά σου, τέκνον, ὅπως ὑ-

* ἐν ἄλλ. ἑτέρ.

πέταζον τῷ λόγῳ τοῦ Θεοῦ, ὡς αὐτὸς ὁ λόγος ἀπαιτεῖ· παραστῆσαι τὸ σῶμα θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν. πᾶσάν τε ἰκμάδα ἐπιθυμίας σαρκικῆς δι' ὀλιγοδείας, καὶ ὀλιγοποσίας, καὶ ὁλονυκτίων ἀγρυπνιῶν, ψῦξον καὶ ξήρανον, ἵνα καὶ αὐτὸς ἐκ διαθέσεως εἴπῃς· ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. καὶ ἐπιγνοὺς ὅτι Χριστοῦ εἶ, τὴν ἑαυτοῦ σάρκα σταύρωσον, κατὰ τὴν Ἀποστολικὴν φωνὴν, σὺν τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυμίαις· καὶ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς νέκρωσον· οὐ μόνον τὴν πρᾶξιν τῆς πορνείας, ἀλλὰ καὶ τὴν ἐνεργουμένην ὑπὸ τῶν πονηρῶν πνευμάτων ἐν τῇ σαρκὶ ἀκαθαρσίαν. καὶ οὐ μόνον ἕως τούτου ἵστησι τὸν ἀγῶνα, ὁ ἀληθινὸς, καὶ ἀμόλυντος, καὶ ὁλοτελοῦς παρθενίας στέφανον ἐκδεχόμενος, ἀλλ' ἐπακολουθῶν τῇ Ἀποστολικῇ διδασκαλίᾳ, καὶ αὐτοῦ τοῦ πάθους τὴν σημασίαν, καὶ κίνησιν νεκροῦν ἀγωνίζεται. καὶ οὐδ' οὕτως ἔτι πληροφορεῖται, σφοδρῷ ἔρωτι τὴν ἀγγελικὴν, καὶ ἄχραντον παρθενίαν ἐν τῷ ἰδίῳ σώματι κατασκηνῶσαι ἐκδεχόμενος, ἀλλὰ καὶ αὐτὴν τὴν ἐν μόνῳ τῷ λογισμῷ ψιλῆς ἐπιθυμίας ἐνθύμησιν, ἄνευ κινήσεως καὶ ἐνεργείας σωματικοῦ πάθους, ὡς ἐν παραρριπισμῷ νοὸς ἀνερχομένην, ἐξαφανισθῆναι εὔχεται. τοῦτο δὲ διὰ τῆς ἄνωθεν βοηθείας, καὶ δυνάμεως, καὶ ἐπιχορηγίας τοῦ Πνεύματος μόνης, κατορθοῦσθαι δυνατὸν, εἰ ἄρα τινές εἰσιν οἱ τῆς χάριτος ταύτης καταξιούμενοι. Οὕτως ὁ τῆς καθαρᾶς, καὶ αὔλου, καὶ ἀχράντου παρθενίας τὸν στέφανον ἐκδεχόμενος, σταυροῖ δι' ἀσκητικῶν πόνων τὴν σάρκα· νεκροῖ τὰ ἐπὶ τῆς γῆς μέλη τῇ ἐπιτάσει, καὶ ἐπιμονῇ τῆς ἐγκρατείας· διαφθείρων τὸν ἔξω ἄνθρωπον, καὶ λεπτύνων αὐτὸν, καὶ ῥυσσὸν, καὶ κατεσκληκότα ἀπεργαζόμενος· ἵνα διὰ πίστεως, καὶ ἀγώνων, καὶ τῇ τῆς χάριτος ἐνεργείᾳ, ὁ ἔσω ἄνθρωπος ἀνακαινίζηται, ἡμέραν ἐξ ἡμέρας ἐπὶ τὸ κρεῖττον προκόπτων· ἀγάπῃ αὐξανόμενος· πραότητι κοσμούμενος· ἀγαλλιάσει πνεύματος εὐφραινόμενος· εἰρήνῃ Χριστοῦ βραβευόμενος· χρηστότητι ἀγόμενος· ἀγαθότητι φρουρούμενος· φόβῳ Θεοῦ περιεχόμενος· συνέσει, καὶ γνώσει φωτιζόμενος· σοφίᾳ λαμπρυνόμενος· ταπεινοφροσύνῃ ὁδηγούμενος. Ταύταις καὶ ταῖς ὁμοίαις ἀρεταῖς ἀνακαινιζόμενος ὁ νοῦς ὑπὸ τοῦ Πνεύματος, τῆς θεοειδοῦς εἰκόνος τὸν χαρακτῆρα ἐν ἑαυτῷ γνωρίζει· καὶ τῆς δεσποτικῆς ὁμοιώσεως τὸ νοητὸν καὶ ἄρρητον κάλλος κατανοεῖ· καὶ τῆς αὐτοδιδάκτου, καὶ αὐτομαθοῦς σοφίας τοῦ ἐνδιαθέτου νόμου τὸν πλοῦτον καταλαμβάνει. Λέπτυνον οὖν, ὦ τέκνον, τὴν νεωτερικὴν σάρκα, καὶ τοῖς προειρημένοις πόνοις τὴν ἀθάνατον ψυχὴν, καὶ ταῖς προειρημέναις ἀρεταῖς ἀνακαίνισον τὸν νοῦν τῇ συνεργείᾳ τοῦ Πνεύματος. νεότητος γὰρ σάρκες πεπιασμέναι διαφόροις βρώμασι καὶ οἴνου πόσει, ὡς χοῖρος ἕτοιμος πρὸς σφαγήν· οὐ τῇ πυρώσει τῶν τοῦ σώματος ἡδονῶν, ἡ ψυχὴ κατασφάζεται· καὶ ζέσει τῆς κακῆς ἐπιθυμίας, ὁ νοῦς αἰχμαλωτίζεται, ἀντέχειν πρὸς τὰς ἡδονὰς τῆς σαρκὸς μὴ δυνάμενος. εἰσροὴ γὰρ αἵματος, ἐκροὴν πνεύματος ἀπεργάζεται. ἐξαιρέτως δὲ οἴνου μεταλήψει μηδὲ ὀσφραινέσθω νεότης· ἵνα μὴ διπλῇ πυρκαϊᾷ ἐμφανιζομένη τῇ ἔσωθεν τοῦ πάθους ἐνεργείᾳ, καὶ τῇ ἔξωθεν ἐπιχεομένῃ οἰνοποσίᾳ, καὶ διὰ τούτων ἡ ἡδονὴ τῆς σαρκὸς ὑπερζέσασα, τὴν πνευματικὴν ἡδονὴν τοῦ πόνου τῆς κατανύξεως ἐξ ἑαυτῆς ἀποδιώξῃ· καὶ σύγχυσιν καὶ πώρωσιν ἐν τῇ καρδίᾳ ἐμποιήσῃ· ἀλλὰ δι' ἐπιθυμίαν πνευματικὴν, καὶ ὕδατος κόρον ἡ νεότης μὴ προσιέσθω. πάνυ γὰρ πρὸς συνεργίαν σωφροσύνης συμβάλλεται ἡ τοῦ ὕδατος ἔνδεια. καὶ τοῦτο ἔργῳ δοκιμάσας, αὐτῇ τῇ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πεῖραν τὴν πληροφορίαν λήψῃ. οὐ γὰρ ὡς ζυγὸν ἀνάγκης σοι ἐπιθεῖναι βουλόμενοι, ταῦτα νομοθετοῦμεν ἢ ὁρίζομεν, ἀλλ' ὡς ἔννοιαν, καὶ μέθοδον ἀγαθὴν πρὸς σωτηρίαν ἀληθοῦς παρθενίας, καὶ ἀκριβοῦς σωφροσύνης παραινοῦμεν ἀγαπητικῶς καὶ συμβουλεύομεν· τῇ αὐτεξουσίῳ σου προαιρέσει καταλιμπάνοντες, ποιεῖν, ὃ βούλεται.

Δεῦρο δὴ λοιπὸν καὶ περὶ τοῦ ἀλόγου τῆς ὀργῆς πάθους ὀλίγα διαλάβωμεν, τοῦ πᾶσαν ψυχὴν ἐρημοῦντος, καὶ συγχέοντος, καὶ σκοτίζοντος, καὶ θηρίοις ὅμοιον τὸν ἄνθρωπον ἀποδεικνύοντος, ἐν καιρῷ τῆς κινήσεως, καὶ ἐνεργείας αὐτοῦ, τὸν μάλιστα εὐολίσθως καὶ ὀξυρρεπῶς πρὸς αὐτὸ ἔχοντα. τὸ πάθος τοῦτο, ἐξαιρέτως ὑπερηφανίᾳ στηρίζεται, καὶ κραταιοῦται, καὶ ἀκατάλυτον γίνεται. ἕως ἂν ὑποποτίζηται τὸ τῆς πικρίας, καὶ ὀργῆς, καὶ θυμοῦ διαβολικὸν δένδρον τῷ φαύλῳ τῆς ὑπερηφανίας ὕδατι, εὐθηνεῖ καὶ εὐθαλεῖ, πολὺν τὸν τῆς ἀνομίας καρπὸν φέρει· καὶ ἅπας ἀκατάλυτος ἡ τοῦ πονηροῦ οἰκοδομὴ ἐν τῇ ψυχῇ γίνεται, ἔχουσα στήριγμα, καὶ κραταίωμα τοὺς τῆς ὑπερηφανίας θεμελίους. Εἰ οὖν βούλει τὸ δένδρον τῆς ἀνομίας, τὸ τῆς πικρίας, καὶ ὀργῆς, καὶ θυμοῦ λέγω πάθος, ἐν σοὶ ξηρανθῆναι, καὶ ἄκαρπον γενέσθαι, ἵνα ἡ ἀξίνη τοῦ πνεύματος ἐλθοῦσα ἐκκόψῃ αὐτὸ, καὶ εἰς τὸ πῦρ βάλῃ, κατὰ τὴν εὐαγγελικὴν φωνὴν, καὶ ἐξάρῃ σὺν πάσῃ κακίᾳ· καὶ εἰ βούλει τὸν τῆς ἀνομίας οἶκον, ὃν ὁ πονηρὸς οἰκοδομεῖ κακῶς ἐν τῇ ψυχῇ, ἑκάστοτε ὡς λίθους, προφάσεις διαφόρους εὐλόγους, ἢ ἀλόγους συνάγων, διὰ τῶν τῆς ὕλης πραγμάτων ἢ ῥημάτων ἐν τοῖς λογισμοῖς, καὶ οἰκοδομὴν κακίας ἐν τῇ ψυχῇ κατασκευάζων, στήριγμα καὶ κραταίωμα τοὺς τῆς ὑπερηφανίας λογισμοὺς ὑποτιθεὶς· εἰ οὖν βούλει τοῦτον καταλυθῆναι, καὶ κατασκαφῆναι τὸν οἶκον, ἔχε τὴν ταπείνωσιν τοῦ Κυρίου ἀνεπίληστον ἐν τῇ καρδίᾳ σου· Τίς ὢν, τί γέγονε δι' ἡμᾶς· καὶ ἐξ οἵου ὕψους φωτὸς Θεότητος ἀποκεκαλυμμένης, καὶ δύναμιν τῶν ἄνω οὐσιῶν, καὶ ἐν Οὐρανοῖς δοξαζομένης ἀπὸ πάσης λογικῆς φύσεως, Ἀγγέλων, Ἀρχαγγέλων, Θρόνων, Κυριοτήτων, Ἀρχῶν, Ἐξουσιῶν, Χερουβὶμ, καὶ Σεραφὶμ, καὶ τῶν ἀκατονομάστων ἱερῶν Δυνάμεων, ὧν οὐκ ἔφθασαν εἰς ἡμᾶς τὰ ὀνόματα, κατὰ τὸ Ἀποστόλου αἴνιγμα· εἰς οἷον βάθος ταπεινώσεως ἀνθρώπων. δι' ἄφατον ἀγαθότητα κατῆλθε, καὶ πάντα ὁμοιωθεὶς ἡμῖν τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, καὶ διὰ τῆς τοῦ Ἀδὰμ παραβάσεως αἰχμαλώτοις γεγενημένοις, καὶ διὰ τῆς ἐνεργείας τῶν παθῶν ὑπὸ τοῦ ἐχθροῦ κυριευομένοις. Ἐν τῇ τοιαύτῃ τοίνυν αἰχμαλωσίᾳ χαλεπῶς ὄντας ἡμᾶς, καὶ βασιλευομένους ὑπὸ τοῦ ἀοράτου, καὶ πικροῦ θανάτου, οὐκ ἐπῃσχύνθη ὁ πάσης κτίσεως ὁρατῆς καὶ ἀοράτου Δεσπότης, ἀλλὰ ταπεινώσας ἑαυτὸν, καὶ ἀναλαβὼν τὸν ὑπὸ τὰ πάθη *τῆς ἀτιμίας, καὶ ἐπιθυμίας, καὶ δεσποτικῆς ἀποφάσεως καταδικασθέντα ἄνθρωπον, κατὰ πάντα ὅμοιος ἡμῖν γέγονε χωρὶς ἁμαρτίας, τουτέστι χωρὶς παθῶν ἀτιμίας. τὰ γὰρ διὰ τὴν ἁμαρτίαν τῆς παραβάσεως ὑπὸ τῆς δεσποτικῆς ἀποφάσεως ἐπενεχθέντα τῷ ἀνθρώπῳ ἐπιτίμια, θανάτου, κόπου, πείνης, δίψης, καὶ τῶν τοιούτων, πάντα ἀνέλαβε, γενόμενος ὃ ἐσμὲν, ἵνα γενώμεθα ὅπερ ἐστίν· ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα ἡ σὰρξ γένηται Λόγος· πλούσιος ὢν, ἐπτώχευσε δι' ἡμᾶς, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν· ὡμοιώθη διὰ πολλὴν φιλανθρωπίαν ἡμῖν, ἵνα διὰ πάσης ἀρετῆς ὁμοιωθῶμεν αὐτῷ. ἐξ οὗ γὰρ ἐπεδήμησεν ὁ Χριστὸς, ἀληθῶς ὁ κατ' εἰκόνα, καὶ ὁμοίωσιν γεγονὼς ἄνθρωπος, διὰ τῆς τοῦ Πνεύματος χάριτος καὶ δυνάμεως ἀνακαινίζεται· εἰς μέτρον τῆς τελείας ἀγάπης φθάνων,

* τῆς ἐπιτιμίας, καὶ δεσποτικῆς ἀποφάσεως.

τῆς ἔξω βαλλούσης τὸν φόβον, τῆς μηκέτι ὑπὸ πτῶσιν γενέσθαι δυναμένης· ἡ γὰρ ἀγάπη οὐδέποτε πίπτει. ἡ ἀγάπη, γὰρ φησιν ὁ Ἰωάννης, ὁ Θεός ἐστι· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει. τούτῳ τῷ μέτρῳ κατηξιώθησαν οἱ Ἀπόστολοι, καὶ οἱ ὁμοίως αὐτοῖς τὴν ἀρετὴν διασκήσαντες, καὶ τελείως ἑαυτοὺς τῷ Κυρίῳ παραστήσαντες, καὶ τελείῳ πόθῳ, ἐν ὅλῃ τῇ ζωῇ αὐτῶν, τῷ Χριστῷ ἐξακολουθήσαντες. Τὴν τοσαύτην τοίνυν ταπείνωσιν, ἥνπερ διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην ἀρρήτῳ φιλανθρωπίᾳ ἀνέλαβεν ὁ Κύριος, ἐὰν πάντοτε ἀνεπιλήστως ἀναλογίζῃ· τουτέστι τὴν ἐν μήτρᾳ τοῦ Θεοῦ Λόγου κατασκήνωσιν· τὴν τοῦ ἀνθρώπου ἀνάληψιν· τὴν ἀπὸ γυναικὸς γέννησιν· τὴν κατὰ μέρος τῆς σωματικῆς ἡλικίας αὔξησιν· τὰς ἀτιμίας, τὰς ὕβρεις, τοὺς ὀνειδισμούς, τοὺς χλευασμούς, τὰς λοιδορίας, τὰς μάστιγας, τὰ ἐμπτύσματα, τὸν καταγέλωτα, τὸν ἐμπαιγμόν, τὴν κοκκίνην χλαμύδα, τὸν ἀκάνθινον στέφανον, τὴν τῶν ἀρχόντων κατ' αὐτοῦ ἀπόφασιν, τὴν τῶν ἀνόμων Ἰουδαίων ὁμοφύλων ὄντων κατ' αὐτοῦ βόησιν· ἆρον, ἆρον, σταύρωσον αὐτόν· τὸν Σταυρόν, τοὺς ἥλους, τὴν λόγχην, τὸν ποτισμὸν τοῦ ὄξους καὶ τῆς χολῆς, τὸν θρίαμβον τῶν ἐθνῶν, τὸν καταγέλωτα τῶν παραπορευομένων, καὶ λεγόντων· εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ Σταυροῦ, καὶ πιστεύομέν σοι· καὶ τὰ λοιπὰ τῶν παθημάτων, ἅπερ δι' ἡμᾶς ὑπέμεινε. τὴν σταύρωσιν, τὸν θάνατον, τὴν ἐν μνημείῳ τριήμερον ταφήν, τὴν εἰς τὸν ᾅδην κάθοδον· ἔπειτα, τὰς τῶν παθημάτων ἐπικαρπίας, οἷαι καὶ τίνες· τουτέστι τὴν ἐκ νεκρῶν ἀνάστασιν, τὴν τοῦ ᾅδου, καὶ θανάτου σκύλευσιν τῶν συνελθουσῶν τῷ Κυρίῳ ψυχῶν, τὴν ἐν Οὐρανοῖς ἀνάληψιν, τὴν ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδραν, τὴν ὑπεράνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ παντὸς ὀνόματος ὀνομαζομένου τιμὴν καὶ δόξαν, τὴν πάντων τῶν Ἀγγέλων προσκύνησιν εἰς τὸν Πρωτότοκον τῶν νεκρῶν, διὰ τὴν τῶν παθημάτων αἰτίαν, κατὰ τὴν τοῦ Ἀποστόλου φωνὴν τὴν λέγουσαν· τοῦτο φρονείσθω ἐν ἡμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ τὰ ἑξῆς. Ἰδοὺ αἱ τῶν προρρηθέντων αἰτίαι κατὰ τὸ δίκαιον τοῦ Θεοῦ, εἰς ποίαν δόξαν καὶ ὕψος τὸν Κυριακὸν ἄνθρωπον ἀνήγαγον. Τοιγαροῦν ἐὰν πόθῳ, καὶ διαθέσει ἀνεπιλήστως τὰς μνήμας ταύτας διασώζῃς ἐν τῇ καρδίᾳ σου, οὐ κυριεύσει σου τὸ τῆς πικρίας, καὶ ὀργῆς, καὶ θυμοῦ πάθος. τῶν γὰρ θεμελίων τοῦ πάθους τῆς ὑπερηφανείας διὰ τῆς ταπεινώσεως τοῦ Χριστοῦ, ἧς ἀναλογίζῃ, ὑπεξελθόντων, ὅλον τὸ οἰκοδόμημα τῆς ἀνομίας τοῦ θυμοῦ, καὶ τῆς ὀργῆς, καὶ λύπης, εὐχερῶς καὶ αὐτομάτως καταλύεται. ποία γὰρ σκληρὰ καὶ λιθίνη καρδία, ἐὰν ἔχῃ ἐν νῷ διηνεκῶς, τὴν τοσαύτην τοῦ Μονογενοῦς * Θειότητα, δι' ἡμᾶς ταπεινωθεῖσαν, καὶ τὴν ἀπαριθμηθεῖσαν τῶν προρρηθέντων παθημάτων μνήμην, οὐ συντρίβεται; οὐ κατανύγεται; οὐ ταπεινοῦται; οὐ γῆ καὶ σποδὸς καὶ πάτημα παρὰ πάντων ἀνθρώπων ἑκουσίως κατὰ τὴν Γραφὴν γενήσεται; οὕτω δὲ ταπεινουμένης, καὶ συντριβομένης τῆς ψυχῆς, εἰς τὴν ταπείνωσιν τοῦ Χριστοῦ ἀποσκοπούσης, ποῖος θυμὸς ταύτης κατακρατῆσαι δυνήσεται; ποία ὀργή; ποία πικρία περιγενέσθαι; Ἀλλ' ὡς ἔοικεν, ἡ λήθη τῶν

* Μεγαλειότητα.

συμφε-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

συμφερόντων τούτων, καὶ ζωοποιούντων ἡμᾶς λογισμῶν, καὶ ἡ ταύτης ἀδελφὴ ῥαθυμία, καὶ ἡ τούτων συνεργὸς καὶ ὁμότροπος ἄγνοια, τὰ βαρύτερα καὶ ἐσώτερα τῆς ψυχῆς πάθη, τὰ δυσεξάλειπτα καὶ δυσκατόρθωτα, περιεργίᾳ δεινῇ τὴν ψυχὴν καλύπτοντα, καὶ σκοτίζοντα, τὰ λοιπὰ τῆς κακίας πάθη ἐνεργεῖν, καὶ ἐμφωλεύειν ἐν αὐτῇ παρασκευάζει, ὡς ἀφοβίαν καὶ ἀμέλειαν τῶν καλῶν ἐμποιοῦντα, εἴσοδόν τε, καὶ ἐργασίαν ἑκάστῳ πάθει ἀδεῶς καὶ εὐκόλως παρέχοντα. κεκαλυμμένης γὰρ τῆς ψυχῆς ὑπὸ τῆς παγκάκου λήθης, καὶ τῆς ὀλεθρίου ῥαθυμίας, καὶ τῆς πάντων τῶν κακῶν μητρὸς, καὶ τροφοῦ ἀγνοίας, ὑφ' ἑκάστου τῶν ὁρωμένων, ἢ νοουμένων, ἢ ἀκουομένων, εὐχερῶς προσδεσμεῖται ὁ ἄθλιος καὶ τυφλώττων νοῦς. οἷον ἐὰν κάλλος ἴδῃ γυναικὸς, εὐθὺς ἐτρώθη τῇ σαρκικῇ ἐπιθυμίᾳ· καὶ οὕτω λοιπὸν διαδεξάμεναι αἱ μνῆμαι τὸ ἐμπαθῶς καὶ ἡδέως θεωρηθὲν, ἢ ἀκουσθὲν, ἢ ψηλαφηθὲν, διὰ τῆς ἀνατυπώσεως τῶν ἐννοιῶν, καὶ κακῆς μελέτης ἔνδον τὰς εἰκόνας ἀναζωγραφοῦσι· καὶ οὕτως τὸν ἐμπαθῆ ἔτι, καὶ ἄθλιον μιαίνουσι νοῦν, διὰ τῆς ἐνεργείας τῶν πονηρῶν πνευμάτων. τὸ λοιπὸν γὰρ καὶ ἡ σὰρξ ἐὰν ᾖ πίων, ἢ ἀκμάζουσα, ἢ ὑγροτέρα, ταῖς τοιαύταις μνήμαις ἑτοίμως διεγειρομένη τῷ πάθει, ἐνεργεῖ τὰ ἑαυτῆς, πρὸς ἐπιθυμίαν κινουμένη· ἢ ἐνίοτε καθ' ὕπνους, ἢ καθ' ὕπαρ ἀκαθαρσίαν ἐργαζομένη, εἰ καὶ ἐν ταῖς φαινομέναις γυναιξὶ οὐκ ἐκοινώνησε· σώφρων μὲν, καὶ παρθένος, καὶ ἁγνὸς παρὰ τοῖς πολλοῖς νομιζόμενος· ἢ καὶ Ἁγίου ἔχων ὑπολήψεις· παρὰ δὲ τῷ τὰ κρυπτὰ ἐποπτεύοντι, βέβηλος οὗτος, καὶ ἄσωτος, καὶ μοιχὸς κρίνεται· καὶ δικαίως ἐν ἐκείνῃ τῇ ἡμέρᾳ κατακρίνεται, ἐὰν μὴ θρηνῇ, καὶ πενθῇ, καὶ νηστείαις καὶ ἀγρυπνίαις καὶ εὐχαῖς ἀδιαλείπτοις τὴν σάρκα τήξας, καὶ τὸν νοῦν ταῖς ἁγίαις μνείαις, καὶ μελέταις τοῦ λόγου τοῦ Θεοῦ θεραπεύσας, καὶ διορθωσάμενος, ἀξίαν μετάνοιαν τῷ Θεῷ προσενέγκῃ· οὗ ἐνώπιον τὰ κακὰ ἐνενόησεν, ἢ ἐποίησεν. ἀψευδὴς γὰρ ἡ ζῶσα φωνὴ ἡ εἰποῦσα· ἐγὼ δὲ λέγω ὑμῖν, πᾶς ὁ ἐμβλέπων γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. διὰ τοῦτο συμβάλλεται τοῖς νέοις μάλιστα, τὸ μηδὲ ὅλως, εἰ δυνατὸν, συντυγχάνειν γυναιξὶ, κἂν ἅγιαι εἶναι νομίζονται. εἰ δὲ δυνατὸν καὶ ἔξω τῶν ἀνθρώπων διάγειν, ἐλαφρότερον τὸν πόλεμον διατελεῖ, καὶ τρανώτερον αἰσθάνεται τὴν ἑαυτοῦ προκοπήν· μάλιστα, ἐὰν ἀκριβῶς προσέχῃ ἑαυτῷ, καὶ ὀλιγοδείᾳ, καὶ ὀλιγοποσίᾳ ὕδατος, καὶ ἀγρυπνίᾳ πολλῇ ἐν προσευχῇ τὴν διαγωγὴν ἔχῃ, ἀγωνιζόμενος· καὶ πνευματικοῖς ἐμπείροις πατράσι συναναστρέφεσθαι, καὶ συνεῖναι, καὶ ὁδηγεῖσθαι ὑπ' αὐτῶν σπουδάζων. ἐπικίνδυνον γὰρ τὸ κατὰ μόνας, καὶ ἰδιόρρυθμον, καὶ ἀμάρτυρον, καὶ μετὰ ἀπείρων τοῦ πνευματικοῦ πολέμου ζῆν· ἄλλοις γὰρ τρόποις πολέμων οἱ τοιοῦτοι ἁλίσκονται· ὅτι πολλά εἰσι τῆς κακίας τὰ μηχανήματα, καὶ ἔνεδρα κεκρυμμένα· καὶ διάφοροι παγίδες πανταχόθεν τοῦ ἐχθροῦ καταπεπήγασι. διὰ τοῦτο, εἰ δυνατὸν, συνεῖναι ἤγουν συνεχῶς ἐντυγχάνειν γνωστικοῖς ἀνδράσι σπουδαστέον καὶ ἀγωνιστέον· ὅπως κἂν μὴ αὐτὸς ἔχῃ λύχνον ἀληθοῦς γνώσεως, διὰ τὸ ἔτι ἀτελὲς τῆς * νοητῆς ἡλικίας, καὶ νήπιον, τῷ ἔχοντι συνοδεύων, μὴ περιπατῇ ἐν σκότει, μὴ κινδυνεύῃ βρόχοις, καὶ παγίσι· καὶ τοῖς νοητοῖς μὴ περιπίπτῃ θηρίοις, τοῖς ἐν σκότει νεμομένοις, καὶ τοὺς ἐν αὐτῷ χωρὶς νοητοῦ λύχνου τοῦ θείου λόγου περιπατοῦντας ἁρπάζουσι, καὶ διαφθείρουσιν. Εἰ οὖν θέλει, τέκνον, οἰκεῖον λύχνον φωτὸς νοητοῦ, καὶ γνώσεως πνευματικῆς ἔνδοθεν κτήσασθαι, ἵνα ἀπροσκόπως ἐν τῇ βαθυτάτῃ νυκτὶ τοῦ αἰῶνος τούτου

* πνευματικῆς.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

περιπατεῖν δυνήσῃ, καὶ ἀπὸ Κυρίου τὰ διαβήματά σου κατευθυνθῇ, ὅπως τὴν ὁδὸν τοῦ Εὐαγγελίου θελήσῃς σφόδρα, κατὰ τὸ προφητικὸν λόγιον, τουτέστι πίστει διαπύρῳ τῶν τελεωτέρων εὐαγγελικῶν προσταγμάτων περιέχεσθαι, καὶ τῶν παθημάτων τοῦ Κυρίου δι' ἐπιθυμίας, καὶ εὐχῆς κοινωνὸς γενέσθαι, ὑποδείκνυμί σοι μέθοδον θαυμαστὴν, καὶ ἐπίνοιαν τρόπου πνευματικοῦ· οὐ σωματικοῦ κόπου ἢ ἀγῶνος δεομένην, ἀλλὰ ψυχικοῦ πόνου, καὶ νοὸς ἐπιστασίας, καὶ προσεχοῦς διανοίας χρήζουσαν, φόβῳ καὶ ἀγάπῃ Θεοῦ συνεργουμένην· δι' ἧς ἐπινοίας, τὴν φάλαγγα τῶν ἐχθρῶν εὐχερῶς τροπώσασθαι δυνήσῃ κατὰ τὸν μακάριον Δαβὶδ, ἕνα γίγαντα τῶν ἀλλοφύλων ἀνελόντα, διὰ πίστεως καὶ πεποιθήσεως τῆς εἰς Θεὸν, καὶ οὕτω τὰς μυριάδας τῶν ἐχθρῶν εὐχερῶς μετὰ τοῦ ἰδίου λαοῦ τροπωσάμενον. ἡ δὲ ὑπόθεσις τοῦ ἡμετέρου λόγου, τρεῖς τοὺς δυνατοὺς, καὶ κραταιοὺς τῶν ἀλλοφύλων γίγαντας ὁρᾷ, εἰς οὓς ἐπεστήρικται πᾶσα ἡ τοῦ νοητοῦ Ὀλοφέρνου ἀντικειμένη δύναμις· ὧν καθαιρεθέντων, καὶ νεκρωθέντων, εὐχερῶς λοιπὸν εἰς ἀναίρεσιν πᾶσα ἡ τῶν πονηρῶν πνευμάτων ἀσθενήσει δύναμις. εἰσὶ δὲ οἱ νομιζόμενοι τοῦ πονηροῦ ἰσχυροὶ τρεῖς γίγαντες, οἱ ἤδη προειρημένοι· ἄγνοια ἡ τῶν κακῶν ἁπάντων μήτηρ· λήθη ἡ ταύτης ἀδελφὴ, καὶ συνεργὸς, καὶ συνέριθος· καὶ ἡ τὸ σκοτεινὸν τοῦ μελανοῦ νέφους ἔνδυμα, καὶ κάλυμμα τῆς ψυχῆς διυφαίνουσα ῥαθυμία, ἡ ἀμφοτέρας στηρίζουσα, καὶ κραταιοῦσα, καὶ σύστασιν ταύταις παρεχομένη, καὶ τῇ ἀμελεστάτῃ ψυχῇ, τὸ ἔμφυτον καὶ ἔμμονον κακὸν κατεργαζομένη. ὑπὸ γὰρ ῥαθυμίας, λήθης τε, καὶ ἀγνοίας, τὰ τῶν λοιπῶν παθῶν ὑποστηρίγματα κρατοῦνται, καὶ μεγαλύνονται. βοηθοὶ γὰρ ἀλλήλων οὖσαι, καὶ χωρὶς ἀλλήλων συστῆναι μὴ δυνάμεναι, ἰσχυραὶ τοῦ ἀντικειμένου δυνάμεις ἀποδείκνυνται, καὶ κραταιοὶ τοῦ πονηροῦ ἄρχοντες· δι' ὧν πᾶσα ἡ στρατιὰ τῶν πνευμάτων τῆς πονηρίας ὑπονοστεῖται, καὶ ὑποστηρίζεται, καὶ τὰ διανοήματα ἐκτελεῖν ἰσχύει, ὧν ἄνευ συστῆναι τὰ προειρημένα οὐ δύνανται. Εἰ δὲ βούλει κατὰ τῶν παθῶν τῶν προειρημένων τὸ νῖκος ἆραι, καὶ τὴν φάλαγγα τῶν νοητῶν ἀλλοφύλων εὐχερῶς τροπώσασθαι, δι' εὐχῆς, καὶ συνεργίας Θεοῦ ἐν ἑαυτῷ γενόμενος, καὶ εἰς τὰ τῆς καρδίας βάθη * δύων, ἀνίχνευσον τοὺς τρεῖς τούτους δυνατοὺς τοῦ διαβόλου γίγαντας, λήθην λέγω, καὶ ῥαθυμίαν, καὶ ἄγνοιαν, τὸ ὑποστήριγμα τῶν νοητῶν ἀλλοφύλων· δι' ὧν τὰ λοιπὰ τῆς κακίας πάθη ὑπονοστούμενα ἐνεργεῖ, καὶ ζῇ, καὶ ἐνισχύει ἐν ταῖς τῶν φιληδόνων καρδίαις, καὶ ἀπαιδεύτων ψυχαῖς· καὶ διὰ πολλῆς προσεχείας, καὶ νοὸς ἐπιστασίας, μετὰ τῆς ἄνωθεν ῥοπῆς, εὑρὼν τὰ τοῖς λοιποῖς ἀγνοούμενα, καὶ μήτε εἶναι νομιζόμενα, ὀλεθριώτερα δὲ τῶν λοιπῶν ὄντα κακὰ, διὰ τῶν τῆς δικαιοσύνης ὅπλων τῶν ἀπ' ἐναντίας ἐκείνων, μνήμης ἀγαθῆς λέγω τῆς πάντων τῶν καλῶν αἰτίας, καὶ γνώσεως πεφωτισμένης, δι' ἧς ἀναγρηγοροῦσα ἡ ψυχὴ, τὸ τῆς ἀγνοίας σκότος ἐκδιώκει ἀφ' ἑαυτῆς, καὶ προθυμίας ἀρίστης πρὸς σωτηρίαν διεγειρούσης, καὶ ἐπεγειρούσης τὴν ψυχήν. Ταῦτα τῆς ἀρετῆς ἐνδυσάμενος τὰ ὅπλα, ἐν δυνάμει Πνεύματος Ἁγίου, διὰ πάσης προσευχῆς καὶ δεήσεως, γενναίως καὶ ἀνδρείως καταγωνίσῃ τῶν νοητῶν ἀλλοφύλων τοὺς προειρημένους τρεῖς γίγαντας· διὰ μὲν τῆς ἀρίστης κατὰ Θεὸν μνήμης, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα εὔφημα, εἴτις ἀρετὴ, καὶ εἴτις ἔπαινος, πάντοτε λογιζόμενος, τὴν παγκάκιστον λήθην ἀφ' ἑαυτοῦ ἐκδιώκων· διὰ δὲ τῆς πεφωτισμένης, καὶ οὐρανίου γνώσεως, τὴν ὀλέθριον ἄγνοιαν τοῦ σκότους ἐξαφανίζων· διὰ δὲ τῆς πανωραίου,

* δύσαι.

καὶ καλ-

καὶ καλλίστης προθυμίας, τὴν ἄθεον καὶ τὴν τὸ ἔμφυτον κακὸν ἐν τῇ ψυχῇ κατεργαζομένην ῥαθυμίαν ἐξελαύνων. Ταύτας δὲ τὰς ἀρετὰς, οὐ ψιλῆς ἐκ μόνης προαιρέσεως, ἀλλ' ἐκ δυνάμεως Θεοῦ, καὶ συνεργίας Πνεύματος Ἁγίου, ἐν πολλῇ * προσεχείᾳ, καὶ εὐχῇ κτησάμενος, οὕτω δυνήσῃ τῶν προειρημένων ἰσχυρῶν ῥυσθῆναι τῶν πονηρῶν τριῶν γιγάντων. γνώσεως γὰρ ἀληθοῦς, καὶ μνήμης λόγων Θεοῦ, καὶ ἀγαθῆς προθυμίας συμφωνία, διὰ χάριτος ἐνεργοῦς, ἐν ψυχῇ συστῆναι βιαζομένη, καὶ ἐπιμελῶς φυλασσομένη, λήθης, καὶ ἀγνοίας, καὶ ῥαθυμίας ἴχνος ἐξ αὐτῆς ἀφανίζει, καὶ εἰς τὸ μὴ ὂν περιΐστησι· τῆς χάριτος λοιπὸν βασιλευούσης ἐν αὐτῇ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* προσοχῇ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη



Ο῞σιος Πατὴρ ἡμῶν Ἡσύχιος, ὁ τῆς ἐν Ἱεροσολύμοις Ἐκκλησίας Πρεσβύτερος γεγονὼς, ἤκμασε μὲν ἐπὶ Θεοδοσίου τοῦ νέου, ἀνθῶν τῷ τῆς διδασκαλίας λόγῳ, ἐτελεύτησε δὲ περὶ τὸ τετρακοσιοστὸν τριακοστὸν τρίτον ἔτος. Τῶν δὲ συγγραμμάτων αὐτοῦ πολλῶν ὄντων, μόνος ὁ εἰς διακόσια τρία κεφάλαια διῃρημένος λόγος, ὧδε ἐτέθη· ὡς χρησιμώτατος, καὶ τοῖς ἀρχαρίοις περὶ νῆψιν, καὶ προσοχὴν νοὸς, καὶ φυλακὴν καρδίας εἴπερ τις ἄλλος λυσιτελέστατος. Περὶ οὗ καὶ ὁ κριτικὸς Φώτιος τάδε φησὶν ἐπὶ λέξεως, Ἀναγνώσει ρϟη΄. σελ. 267. „ Καὶ τὸ ἐπὶ πᾶσι δεύτερον καὶ εἰκοστὸν ( Κεφάλαιον δηλ. ) Ἡσυχίου Πρεσβυτέρου Ἱεροσολύμων περιέχει, ἐν οἷς καὶ ὁ σύμπας τοῦ βιβλίου ἀπαρτίζεται λόγος, χρειωδέστατος καθεστὼς εἴπερ τι ἄλλο τοῖς ἐπὶ τῷ κλήρῳ τῶν Οὐρανῶν τὸν βίον ἀσκουμένοις· ἔχει δὲ κατὰ τὴν ἀπαγγελίαν καὶ τὸ σαφές· καὶ τ᾽ ἄλλα τοιοῦτος, οἷος ἂν γένοιτο ἀνδράσιν ἁρμόζων, πρὸς μὲν τὸν κατὰ λόγους ἀγῶνα μηδ᾽ ἐπεστραμμένοις, πάντα δὲ τὸν πόνον, καὶ τὴν σπουδὴν εἰς τὴν ἐπὶ τοῖς ἔργοις ἄσκησιν ἀναδεδεγμένοις.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη



# ΗΣΥΧΙΟΥ
## ΠΡΕΣΒΥΤΕΡΟΥ

### Πρὸς Θεόδουλον Λόγος ψυχωφελής, καὶ σωτήριος, περὶ Νήψεως, καὶ Ἀρετῆς, κεφαλαιώδης.

*Ἀρχὴ φωτισμοῦ ψυχῆς, καὶ ἀληθὴς ὑποθήκη. Τὰ λεγόμενα Ἀντιῤῥητικά, καὶ Εὐκτικά.*

α'. Νῆψίς ἐστι, μέθοδος πνευματική, ἐμπαθῶν νοημάτων, καὶ λόγων, καὶ πονηρῶν ἔργων, πάμπαν τὸν ἄνθρωπον, σὺν Θεῷ, ἀπαλλάττουσα, χρονίζουσα, καὶ προθύμως ὁδευομένη· γνῶσίν τε ἀσφαλῆ Θεοῦ τοῦ ἀκαταλήπτου ὁδευομένη χαρίζεται, καθ' ὅσον ἐφικτόν, καὶ μυστηρίων θείων, καὶ ἀποκρύφων λύσιν· ὑπάρχει τε πάσης ἐντολῆς Θεοῦ παλαιᾶς τε καὶ νέας Διαθήκης ποιητική, καὶ παντὸς ἀγαθοῦ τοῦ μέλλοντος αἰῶνος παρεκτική. Αὕτη δὲ κυρίως ἐστὶν ἡ τῆς καρδίας καθαρότης· ἥτις διὰ τὸ μέγεθος καὶ τὴν καλλονὴν αὐτῆς, ἢ κυριώτερον εἰπεῖν, διὰ τὴν ἀμέλειαν ἡμῶν, σπανίζει σήμερον πάνυ ἐν Μοναχοῖς· ἣν ὁ Χριστὸς μακαρίζει λέγων· μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Τοιαύτη οὖν οὖσα, πολλοῦ ἀγοράζεται. Νῆψις ἐν ἀνθρώπῳ χρονίζουσα, ὀρθοῦ καὶ θεαρέστου βίου ὁδηγὸς γίνεται· τοῦτο καὶ ἐπίβασις θεωρίας, καὶ τὸ τριμερὲς τῆς ψυχῆς δικαίως κινεῖν ἡμᾶς ἐκδιδάσκει, τὰς αἰσθήσεις τε ἀσφαλῶς τηρεῖν· καὶ τὰς γενικὰς τέσσαρας ἀρετὰς ἐν τῷ μετόχῳ αὐτῆς καθ' ἡμέραν αὔξει.

Ὁ μέγας νομοθέτης Μωσῆς, μᾶλλον δέ, τὸ Πνεῦμα τὸ Ἅγιον, ὑποδεικνύων τὸ ἄμεμπτον, καὶ καθαρόν, καὶ περιεκτικόν, καὶ ὑψοποιὸν τῆς τοιαύτης ἀρετῆς· καὶ διδάσκων ἡμᾶς ὅπως ταύτης ἄρχεσθαι, καὶ ἐκτελεῖν δεῖ· πρόσεχε σεαυτῷ, φησί· μὴ γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα. ῥῆμα κρυπτὸν τὴν μονολόγιστον ἔμφασιν ὀνομάζων πράγματός τινος πονηροῦ μισουμένου ὑπὸ τοῦ Θεοῦ· ἣν δὲ καὶ προσβολὴν λέγουσιν οἱ Πατέρες, προσαγομένην τῇ καρδίᾳ παρὰ τοῦ διαβόλου· ᾗ ἐπακολουθοῦσιν οἱ ἡμῶν λογισμοί, εὐθὺς παραφανείσῃ τῷ νῷ, ἐμπαθῶς τε αὐτῇ προσδιαλέγονται. β'.

Νῆψίς ἐστιν, ὁδὸς πάσης ἀρετῆς, καὶ ἐντολῆς Θεοῦ· ἥτις καὶ καρδιακὴ ἡσυχία γ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λέγεται· καὶ ἀφαντάστως τελειωθεῖσα, φυλακὴ ἴσως ἡ αὐτή.

δ'. Οὐχ ὁρᾷ φῶς ἡλίου ὁ γεννηθεὶς τυφλός, οὕτως ὁ μὴ ὁδεύων ἐν νήψει, οὐχ ὁρᾷ πλουσίως τὰς μαρμαρυγὰς τῆς ἄνωθεν χάριτος· οὔτε ἐλευθερωθήσεται ἐκ πονηρῶν καὶ μισητῶν τῷ Θεῷ ἔργων τε, καὶ λόγων, καὶ ἐννοιῶν· οὐκ ἐλευθερίῳ τρόπῳ ἐν τῇ ἐξόδῳ τοὺς ταρταρέους παρελεύσονται ἄρχοντας.

ε'. Προσοχή ἐστι, καρδιακὴ ἀδιάλειπτος ἡσυχία ἀπὸ παντὸς λογισμοῦ· Χριστὸν Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Θεὸν ἀεὶ, καὶ ἀεννάως, καὶ ἀδιαλείπτως, μόνον αὐτὸν ἀναπνέουσα, καὶ ἐπικαλουμένη· καὶ ἀνδρείως πρὸς τοὺς ἐχθροὺς σὺν αὐτῷ παραταττομένη· αὐτῷ τε ἐξομολογουμένη τῷ ἐξουσίαν ἔχοντι μόνῳ, συγχωρεῖν ἁμαρτήματα· περιπτυσσομένη συνεχῶς Χριστῷ δι' ἐπικλήσεως, κρυπτῶς μόνῳ τῷ τὰς καρδίας ἐπισταμένῳ, τοὺς ἀνθρώπους τε παντίως λαθεῖν πειρωμένη ἡ ψυχὴ, τὴν γλυκύτητα αὐτῆς, καὶ τὸν ἔνδον ἀγῶνα, μήποτε ὁ πονηρὸς λαθὼν ὑποδώσῃ κακίαν, καὶ ἀφανίσῃ καλλίστην ἐργασίαν.

ϛ'. Νῆψίς ἐστιν, ἔμμονος λογισμοῦ πῆξις, καὶ στάσις αὐτοῦ ἐν πύλῃ καρδίας· ὃς τοὺς ἐρχομένους λογισμοὺς κλέπτας, ὁρᾷ καὶ ἀκούει τί μὲν λέγουσι, τί δὲ ποιοῦσιν οἱ φόνιοι· καὶ τίς ἐστιν ἡ ἐγγλυφεῖσα καὶ στηλωθεῖσα μορφὴ παρὰ τῶν δαιμόνων, καὶ πειρωμένη δι' ἑαυτῆς φανταστικῶς ἀπατῆσαι τὸν νοῦν. ταῦτα γὰρ φιλοπονούμενα, τὴν πεῖραν τοῦ νοητοῦ πολέμου ἐπιστημόνως ἄγαν ἡμῖν, ἐὰν θέλωμεν, δεικνύουσι.

ζ'. Ἣν οἶδε γεννᾶν φόβος ὁ διττὸς, καὶ αἱ ὑπὸ Θεοῦ ἐγκαταλείψεις, καὶ αἱ παιδευτικαὶ τῶν πειρασμῶν συμβάσεις· συνέχειαν ἐπιστατικὴν προσοχῆς, ἐν τῷ ἡγεμονικῷ τοῦ ἀνθρώπου, πειρωμένην τὴν πηγὴν φράξαι τῶν κακῶν λογισμῶν, καὶ ἔργων· δι' ἣν καὶ αἱ ἐγκαταλείψεις, καὶ οἱ ἀδόκητοι ἀπὸ Θεοῦ πειρασμοὶ, πρὸς τὴν ἡμῶν τοῦ βίου διόρθωσιν· καὶ μάλιστα τοῖς γευσαμένοις τὴν ἀνάπαυσιν τοῦ καλοῦ τούτου, καὶ ἀμελοῦσιν· ἡ δὲ συνέχεια γεννᾷ ἕξιν· ἡ δὲ, φυσικήν τινα πυκνότητα νήψεως· ἡ δὲ, θεωρίαν τέως τοῦ πολέμου, ἠρέμα κατὰ ποσότητα γεννᾷ· ἣν διαδέχεται ἐπίμονος Ἰησοῦ εὐχὴ, καὶ ἀφάνταστος νοὸς γλυκεῖα ἠρεμία, καὶ ἡ κατάστασις ἐξ Ἰησοῦ συνεστῶσα.

Ἑσταμένη καὶ ἐπικαλουμένη διάνοια Χριστὸν κατὰ τῶν πολεμίων, καὶ καταφεύγουσα πρὸς αὐτὸν, οἷον θήρ τις κυκλωθεὶς ὑπὸ κυνῶν πολλῶν, καὶ ἀντιστήσας ἑαυτὸν ἐν ὀχυρώματι, πόρρωθεν δὲ νοητῶς τὰς νοητὰς λόχους τῶν ἀοράτων ἐχθρῶν προβλέπουσα· καὶ διὰ τὸ συνεχῶς ἐντυγχάνειν τῷ εἰρηνοποιῷ Ἰησοῦ κατ' αὐτῶν, ἄτρωτος ἐξ αὐτῶν διαμένουσα. η'.

Εἰ ἐπίστασαι, καὶ ἐδόθη σοι εἰς τὰς πρωΐας παρεστάναι καὶ ἐποπτεύεσθαι, ἀλλὰ καὶ ἐποπτεύειν, οἶδας ὃ λέγω· εἰ δὲ οὔ, νῆφε, καὶ λάβῃς. θ'.

Συστήματα θαλασσῶν, ὕδωρ πολύ. ι'. σύστημα δὲ, καὶ κραταίωμα νήψεως καὶ νηφαλιότητος, καὶ ψυχικῆς κατὰ βάθος ἡσυχίας, καὶ ἄβυσσος θεωριῶν ἐξαισίων τε καὶ ἀποῤῥήτων, καὶ ἐπιγνωμονικῆς ταπεινώσεως, καὶ εὐθύτητος, καὶ ἀγάπης, νῆψις ἄκρα, καὶ Ἰησοῦ Χριστοῦ, χωρὶς λογισμῶν, εὐχή· καὶ τοῦτο* στερρῶς καὶ πυκνῶς, * ἴσ. ἐκτενῶς. καὶ μὴ περιεκκακεῖν.

Οὐ πᾶς ὁ λέγων μοι, Κύριε Κύριε, ια'. εἰσελεύσεται, φησὶν, εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου. θέλημα δὲ τοῦ πατρὸς αὐτοῦ τό, οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρά. οὐκοῦν σὺν τῇ εὐχῇ Ἰησοῦ Χριστοῦ, μισήσωμεν καὶ πονηροὺς λογισμούς· καὶ ἰδοὺ πεποιήκαμεν τὸ θέλημα τοῦ Θεοῦ.

Ἀρετῆς πάσης ὑπογραμμὸν, καὶ ὑπόδειγμα γένους ἀνθρώπων, καὶ ἀνάκλησιν τοῦ παλαιοῦ πτώματος, ὁ Δεσπότης ιβ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἡμῶν καὶ Θεὸς σαρκωθεὶς προέθηκεν ἡμῖν, ζωγραφήσας τὸν ἐν σαρκὶ αὐτοῦ πανάρετον βίον· σὺν πᾶσι δὲ τοῖς καλοῖς αὐτοῦ, οἷς ἡμῖν ὑπέδειξε, μετὰ τὸ βάπτισμα ἀνελθὼν εἰς τὴν ἔρημον, μετὰ νηστείας ἄρχεται πάλης νοητῆς, τοῦ διαβόλου ὡς ἀνθρώπῳ ψιλῷ αὐτῷ προσελθόντος· καὶ διὰ τοῦ τοιούτου τῆς νίκης τρόπου ἐδίδαξε καὶ ἡμᾶς τοὺς ἀχρείους ὁ Δεσπότης, πρὸς τὰ πνεύματα τῆς πονηρίας ὅπως χρὴ τὴν πάλην ἐνεργεῖν, τουτέστιν ἐν ταπεινώσει, καὶ νηστείᾳ, καὶ προσευχῇ, καὶ νήψει· ὁ μὴ χρήζων τῶν τοιούτων καθὸ Θεός, καὶ Θεὸς τῶν Θεῶν.

ιγ'. Τὸ δὲ πόσοι τρόποι εἰσὶ κατ' ἐμὲ τέως νήψεως, καθαρίζειν ἀπὸ λογισμῶν ἐμπαθῶν τὸν νοῦν κατ' ὀλίγον δυνάμενοι, ἤδη σημᾶναί σοι αὐτοὺς ἀκομψεύτῳ γλώσσῃ, καὶ ἀποικίλῳ οὐκ ὀκνήσω. οὐ γὰρ ἐκεῖνα ἐν τοῖς τοῦ πολέμου καιροῖς ἐν τῷδε τῷ λόγῳ κρύψαι τὴν ὠφέλειαν διὰ τῶν λέξεων, καὶ μάλιστα τοῖς ἁπλουστέροις. σὺ δὲ τέκνον Τιμόθεε, φησί, πρόσεχε οἷς ἀναγινώσκεις.

ιδ'. Εἷς οὖν τρόπος νήψεως, τὸ τὴν φαντασίαν πυκνὰ σκοπεῖν, ἤγουν τὴν προσβολήν, διὰ τὸ μὴ δύνασθαι τὸν Σατανᾶν χωρὶς φαντασίας λογισμοὺς δημιουργεῖν, καὶ παραδεικνύειν τῷ νῷ πρὸς ἀπάτην ψευδῆ.

ιε'. Ἕτερος δέ, τὸ ἔχειν καρδίαν βαθέως σιωπῶσαν διὰ παντός, καὶ ἡσυχάζουσαν ἀπὸ παντὸς λογισμοῦ, καὶ εὔχεσθαι.

ιϛ'. Ἄλλος, τὸ παρακαλεῖν τὸν Κύριον Ἰησοῦν Χριστὸν εἰς βοήθειαν συνεχῶς ἐν ταπεινώσει.

ιζ'. Ἕτερος δὲ τρόπος, τὸ μνήμην ἔχειν θανάτου ἀδιάλειπτον ἐν τῇ ψυχῇ.

ιη'. Αὗται πᾶσαι αἱ ἐργασίαι, ἀγαπητέ, τὰς πονηρὰς ἐννοίας δίκην πυλωρῶν κωλύουσι. τὸ δὲ ὁρᾶν πρὸς Οὐρανόν, καὶ γῆν μηδὲν ἡγεῖσθαι, ὅπερ ἐνεργές ἐστι σὺν τοῖς ἄλλοις, Θεοῦ διδόντος ῥῆμα, ἐν ἄλλῳ τόπῳ ἐντελέστερον ἐκθήσομαι.

ιθ'. Ἐὰν πρὸς ὀλίγον τὰς αἰτίας τῶν παθῶν ἐκκόψαντες, τοῖς πνευματικοῖς ἐνασχοληθῶμεν θεωρήμασι· μὴ ἐν αὐτοῖς δὲ διατρίψωμεν, αὐτὸ τοῦτο ἔχοντες ἔργον, ῥᾳδίως πάλιν ἐπὶ τὰ τῆς σαρκὸς πάθη περιτρεπόμεθα· μηδὲν ἄλλο ἐκεῖθεν καρπωσάμενοι, ἢ σκότωσιν παντελῆ τοῦ νοῦ, καὶ ἐπὶ τὰ ὑλικὰ ἐκτροπήν.

κ'. Δεῖ τὸν ἀγωνιζόμενον ἔνδον, κατὰ στιγμὴν χρόνου ἔχειν τὰ τέσσαρα ταῦτα· ταπείνωσιν, προσοχήν τε ἄκραν, ἀντίρρησιν, καὶ προσευχήν. καὶ ταπείνωσιν μέν, ὅτι πρὸς ὑπερηφάνους δαίμονας ἀντιθέτους ἐστὶν αὐτῷ ἡ πάλη· ἵνα τὴν τοῦ Χριστοῦ βοήθειαν ἐν χειρὶ καρδίας ἔχῃ διὰ τό, τὸν Κύριον ὑπερηφάνους μισεῖν. προσοχὴν δέ, ἵνα ἀεὶ τὴν ἑαυτοῦ καρδίαν ποιῇ μηδένα λογισμὸν ἔχειν, κἂν δῆθεν ἀγαθὸς φαίνηται. ἀντίρρησιν δέ, ἵνα ὁπηνίκα ὀξέως γνῷ τὸν ἐλθόντα, εὐθὺς μετ' ὀργῆς ἀντιλογηθείη τῷ πονηρῷ. καὶ ἀποκριθήσομαί φησι τοῖς ὀνειδίζουσί μοι κακά· οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου; προσευχὴν δέ, ἵνα κραυγάσῃ πρὸς Χριστὸν στεναγμῷ ἀλαλήτῳ εὐθὺς μετὰ τὴν ἀντίρρησιν. καὶ τότε αὐτὸς ὁ ἀγωνιζόμενος βλέψεται τὸν ἐχθρὸν λυόμενον, ἢ διωκόμενον τῷ προσκυνητῷ ὀνόματι τοῦ Ἰησοῦ, ὡς χνοῦν ὑπὸ ἀνέμου, ἢ ὡς καπνὸν ἐκλείποντα μετὰ τῆς φαντασίας αὐτοῦ.

κα'. Ὁ μὴ ἔχων προσευχήν, καθαρὰν λογισμῶν, ὅπλον οὐκ ἔχει εἰς πόλεμον· προσευχὴν δὲ λέγω ἀεννάως ἐνεργουμένην ἐν ἀδύτοις τῆς ψυχῆς· ἵνα τῇ τοῦ Χριστοῦ ἐπικλήσει, ὁ κρυφίως πολεμῶν πολέμιος μαστίζηται, καὶ φλέγηται.

κβ'. Σὺ μὲν γὰρ ὀφείλεις ὀξεῖ καὶ συντόνῳ τῷ βλέμματι βλέπειν, ὥστε νοεῖν τοὺς εἰσερχομένους· γνοὺς δέ, παρ' αὐτὰ δι' ἀντιρρήσεως θλᾶν τὴν τοῦ ὄφεως κεφαλήν· καὶ ἅμα τούτῳ σὺν στεναγμῷ βο-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σου πρὸς Χριστόν· καὶ λήψῃ πεῖραν τότε θείας ἀοράτου ἀντιλήψεως· καὶ τότε ὁρᾷς τηλαυγῶς τὴν εὐθύτητα καρδίας.

κγ'. Ὥσπερ ὁ κρατῶν ἔσοπτρον ἐν χερσί, μέσον δὲ πολλῶν ἱστάμενος, καὶ ἀτενίζων τῷ ἐσόπτρῳ, βλέπει μὲν τὸ ἴδιον πρόσωπον ὁποῖον, βλέπει δὲ καὶ τῶν ἄλλων τῶν ἐγκυπτόντων ἐν τῷ ἑνὶ ἐκείνῳ ἐσόπτρῳ· οὕτως ὁ δι' ὅλου ἐγκύπτων εἰς τὴν καρδίαν αὐτοῦ, βλέπει μὲν τὴν ἑαυτοῦ κατάστασιν ἐν αὐτῇ, βλέπει δὲ καὶ τὰ μέλανα πρόσωπα τῶν νοητῶν Αἰθιόπων.

κδ'. Ἀλλ' οὐ δύναται ὁ νοῦς νικῆσαι φαντασίαν δαιμονίαν δι' ἑαυτοῦ μόνου· μήποτε τοῦτο θαρρείτω· πανοῦργοι γὰρ ὄντες, καὶ ἡττᾶσθαι ὑποκρίνονται, ἄλλοθεν διὰ κενοδοξίας ὑποσκελίζοντες· τῇ δὲ Ἰησοῦ Χριστοῦ ἐπικλήσει, στῆναι καὶ δολιεύεσθαί σε, οὐδὲ κἂν πρὸς ὥραν ὑπομένουσιν.

κε'. Ὅρα μὴ οἰηθῇς κατὰ τὸν πάλαι Ἰσραήλ, καὶ παραδοθήσῃ καὶ αὐτὸς τοῖς νοητοῖς ἐχθροῖς. ἐκεῖνος γὰρ παρὰ τοῦ Θεοῦ τῶν ὅλων, τῶν Αἰγυπτίων ἀπαλλαγείς, βοηθὸν εἰς ἑαυτὸν ἐπενόησεν εἴδωλον χωνευτόν.

κς'. Εἴδωλον δὲ χωνευτὸν νοήσεις, τὸν ἀσθενῆ ἡμῶν νοῦν· ὅς γε ἕως μὲν Ἰησοῦν Χριστὸν παρακαλεῖ κατὰ τῶν τῆς πονηρίας πνευμάτων, εὐκόλως αὐτοὺς καταδιώκει· καὶ μετ' ἐπιστήμης ἐντέχνου ξοανοῦται τὰς ἀοράτους καὶ πολεμίους τοῦ ἐχθροῦ δυνάμεις. ἐπὰν δὲ αὐτὸς εἰς ἑαυτὸν ἀφρόνως θαρρήσῃ ὅλως, ὡς ὁ λεγόμενος ὀξύπτερος καταρράσσεται. ἐπὶ τῷ Θεῷ, φησίν, ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην, καὶ ἀνέθαλεν ἡ σάρξ μου. καὶ τίς πάρεξ τοῦ Κυρίου ἀναστήσεταί με, καὶ συμπαρατάξεταί μοι ἐπὶ πονηρευομένοις ἀπείροις λογισμοῖς; ὁ δ' εἰς ἑαυτὸν θαρρῶν, καὶ μὴ εἰς Θεόν, πεσεῖται πτῶμα ἐξαισιώτατον.

κζ'. Καρδιακῆς ἡσυχίας, ὦ οὗτος, τύπος καὶ τάξις (εἰ βούλει ἀθλῶν) τὸ μικρὸν ζωΰφιον ὁ ἀράχνης ἔστω σοι ἀεὶ τὸ ὑπόδειγμα· εἰδὲ μή, οὔπω ὡς δεῖ ἡσύχασας ἐν τῷ νῷ. κἀκεῖνος μὲν μυίας μικρὰς θηρεύει· σὺ δέ, εἰ οὕτως, καὶ ὡς αὐτὸς ἐν ψυχῇ πονῶν ἡσυχάζεις, οὐ παύσῃ κτείνων ἀεὶ νήπια Βαβυλώνια· καθ' ὃν φόνον μακαρίζῃ ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου διὰ Δαβίδ.

Ὡς οὐ δυνατὸν τὴν ἐρυθρὰν θάλασσαν ἐν τῷ στερεώματι ὀφθῆναι μέσον ἀστέρων· καὶ ὡς οὐκ ἔνι ἄνθρωπον ἐν γῇ περιπατοῦντα μὴ τὸν ἀέρα τοῦτον ἀναπνεῖν· οὕτως ἀδύνατον καθαρίσαι τὴν ἡμῶν καρδίαν ἀπὸ ἐμπαθῶν νοημάτων, καὶ ἀποδιῶξαι νοητοὺς ἐχθροὺς ἀπ' αὐτῆς, ἄνευ συχνῆς ἐπικλήσεως Ἰησοῦ Χριστοῦ. κη'.

Ἐὰν μετὰ ταπεινοῦ φρονήματος, καὶ μνήμης θανάτου, καὶ αὐτομεμψίας, καὶ ἀντιρρήσεως, καὶ ἐπικλήσεως Ἰησοῦ Χριστοῦ τὰς διαβιβάσεις πάντοτε ποιῇς ἐν σῇ καρδίᾳ· καὶ τὴν στενὴν μέν, ἀλλὰ χαροποιόν, καὶ τερπνὴν ὁδὸν τῆς διανοίας καθ' ἡμέραν μετὰ τούτων τῶν ὅπλων ὁδεύῃς νηφόντως, εἰς θεωρίας ἁγίας Ἁγίων ἐλεύσῃ· καὶ φωτισθήσῃ μυστήρια βαθέα παρὰ Χριστοῦ, παρ' ᾧ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως οἱ ἀπόκρυφοι· ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς. αἰσθανθήσῃ γὰρ πρὸς Ἰησοῦ, ὅτι Πνεῦμα Ἅγιον ἐφήλατο τῇ ψυχῇ σου· παρ' οὗ τοὺς ἀνθρώπου διαδέχεται ὁρᾷν ἀνακεκαλυμμένῳ προσώπῳ. οὐδείς, φησί, λέγει Κύριον Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι Ἁγίῳ· δηλαδὴ βεβαιῶν μυστικῶς τὸν ζητούμενον. κθ'.

Πλὴν οὖν καὶ τοῦτο ἰστέον τῆς φιλομαθείας· ὅτιπερ οἱ φθονεροὶ δαίμονες ἐνίοτε πολλάκις καὶ κρύπτουσι, καὶ συστέλλουσιν ἐξ ἡμῶν τὸν νοητὸν πόλεμον· βασκαίνοντες ἡμῖν οἱ δεινοὶ τῆς ἐκ τοῦ πολέμου ὠφελείας τε, καὶ γνώσεως, καὶ πρὸς Θεὸν ἀναβάσεως· καὶ ἵνα ἀμεριμνήσαντας λ'.

ἡμᾶς

ἡμᾶς ἐξαίφνης τὸν νοῦν ἡμῶν ἁρπάσωσι, καὶ ἀπροσέκτους τινὰς τῇ διανοίᾳ πάλιν ἀπεργάσωνται. σκοπὸς γὰρ αὐτοῖς ἄληκτος καὶ ἀγὼν φροντίζεται, μηδόλως ἐᾶν τὴν καρδίαν ἡμῶν προσεχῶς ἄγειν, εἰδόσι τὸν συναγόμενον πλοῦτον τῇ ψυχῇ. ἀλλ' ἡμεῖς τότεγε μετὰ τῆς μνήμης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπεκτεινώμεθα εἰς πνευματικὰς θεωρίας· καὶ ὁ πόλεμος πάλιν εἰς τὸν νοῦν ἐπανέρχεται· μόνον μετὰ βουλῆς, ἵνα οὕτως εἴπω, αὐτοῦ τοῦ Κυρίου, καὶ μετὰ ταπεινώσεως πολλῆς πάντα ποιῶμεν.

λά. Δεῖ γὰρ ἐν κοινοβίῳ διατρίβοντας, μεθ' ἑκουσίου προαιρέσεως, καὶ προθύμῳ καρδίᾳ πᾶν θέλημα ἡμῶν ἐγκόπτειν τῷ προεστῶτι. καὶ τοῦ Θεοῦ συγγινομένου, εὐήνιοι καὶ αὐτοί πως γινόμεθα καὶ ἀθέλητοι. τέχνην δὲ τοῦτο ἔχειν προσήκει, ἵνα μὴ τῷ χόλῳ ταραττώμεθα, καὶ τὸ θυμικὸν ἡμῶν ἀλόγως καὶ παρὰ φύσιν κινῶμεν· καὶ ἀπαρρησίαστοι τὸ λοιπὸν εἰς τὸν ἀόρατον πόλεμον εὑρισκώμεθα. Εἴωθε γὰρ τὸ θέλημα ἡμῶν μὴ κοπτόμενον παρ' ἡμῶν ἑκουσίως, ὀργίζεσθαι πρὸς τοὺς ἀκουσίως αὐτὸ κόπτειν ἐπιχειροῦντας· καὶ ἐκ τούτου οὖν ὁ θυμὸς κακῶς ὑλακτικῶς κινηθεὶς, ἀπόλλυσι τὴν γνῶσιν τῆς πάλης· ἣν μόγις μετὰ καμάτου πολλοῦ κτήσασθαι ἠδυνήθη. φθαρτικὸς γὰρ ὁ θυμὸς εἶναι πέφυκε. εἰ μὲν πρὸς λογισμοὺς κινηθείη δαιμονιώδεις, φθείρει καὶ ἀπολλύει αὐτούς· εἰ δ' αὖ πάλιν κατὰ ἀνθρώπων κυκᾷ, φθείρει καὶ οὕτω τοὺς ἀγαθοὺς λογισμοὺς ἐν ἡμῖν. Πλὴν ὁ θυμὸς, ὁρῶ, ὅτι φθαρτικὸς τυγχάνει λογισμῶν παντοίων, εἴτε πονηρῶν, εἴτε καὶ δεξιῶν εἰ τύχοι· ὅπλον γὰρ παρὰ Θεοῦ, καὶ τόξον ἡμῖν παρασχεθεὶς, εἰ μὴ ἐπέχεται ἐν ἀμφοτέροις· οὐδὲ καὶ διαφόρως ἐνεργεῖ, ὀλέσκων ἐστί. ἐγὼ γὰρ οἶδα καὶ κύνα θρασὺν * ἴσως τοῖς λύκοις τὰ πρόβατα διαφθείραντα.

* ἴσα.

λβ'. Οὕτως ἐχρῆν φεύγειν τὴν παρρησίαν, ὡς ἰὸν ἀσπίδος· καὶ ἐκτρέπεσθαι τὰς πολλὰς συντυχίας, ὡς ὄφεις καὶ γεννήματα ἐχιδνῶν· δυνάμενα ταῦτα σφόδρα εἰς λήθην τάχιον τοῦ ἔνδον πολέμου καταστῆσαι τελείαν· καὶ καταγαγεῖν τὴν ψυχὴν ἀπὸ τῆς ὑψηλῆς χαρᾶς τῆς ἀπὸ τῆς καθαρότητος τῆς καρδίας. ἀντίκειται γὰρ ἡ ἐπάρατος λήθη τῇ προσοχῇ, ὡς πυρὶ ὕδωρ· καὶ πολέμιος αὐτῇ καθ' ὥραν κραταιὸς τυγχάνει. ἀπὸ γὰρ λήθης εἰς ἀμέλειαν καταντῶμεν, ἐκ δ' ἀμελείας εἰς καταφρόνησιν καὶ ῥαθυμίαν, καὶ ἀτόπους ἐπιθυμίας. καὶ οὕτω πάλιν ἐπιστρέφομεν εἰς τὰ ὀπίσω, ὃν τρόπον κύων ἐπὶ τὸν ἴδιον ἐμετόν. φύγωμεν τοίνυν τὴν παρρησίαν, ὡς ἰὸν θανάτου. τὸ δὲ κακὸν νόσημα τῆς λήθης καὶ τὰ ἐξ αὐτῆς, ἰᾶται ἀκριβὴς λίαν νοὸς φυλακή, καὶ συνεχὴς ἐπίκλησις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. χωρὶς γὰρ αὐτοῦ, οὐ δυνάμεθα ποιεῖν οὐδέν.

λγ'. Οὐκ ἐνδέχεται, οὔτε μὴν δυνατὸν, ὄφει συμφιλιάσαι, καὶ εἰς κόλπον βαστάσαι, οὐδὲ τὸ σῶμα παντοίως κολακεύειν, καὶ θεραπεύειν, καὶ ἀγαπᾶν, ἐκτὸς τῶν χρειωδῶν τε καὶ ἀναγκαίων, καὶ ἐπιμελεῖσθαι καὶ ἀρετῆς οὐρανίου. πέφυκε γὰρ ὁ μὲν τιτρώσκειν τὸν θάλποντα· τὸ δὲ μολύνειν ἐν ἡδονῇ τὸν θεραπεύοντα. ἐν οἷς πταίει, μάστιξιν αἰκιζέσθω πὺξ ἀφειδῶς, ὡς δοῦλος δραπέτης γλου[illegible]ικῆς μεμαστιγωμένος, γνώτω μαστιγίαν τὸν Κύριον. μὴ καπηλοτριβείτω, μὴ ἀγνοείτω τὴν κυρίαν καὶ ἄφθαρτον ἡ φθαρτὴ πηλὸς, καὶ δούλη, καὶ νυκτερινή. ἕως ἐξόδου μὴ θαρρήσῃς σὺ τῇ σαρκί. τὸ θέλημα, φησί, τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν. τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται. καὶ ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος. οἱ δὲ ἐν σαρκὶ ζῶντες, Θεῷ ἀρέσαι οὐ δύνανται. ἡμεῖς δὲ οὐκ ἐσμὲν ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λδ'. Τῆς μὲν φρονήσεως ἔργον, τὸ ἀεὶ κινεῖν τὸ θυμικὸν πρὸς συμπλοκὴν τῆς ἔνδον μάχης, καὶ πρὸς αὐτομεμψίαν· τῆς σοφίας δὲ, κινεῖν τὸ λογιστικὸν πρὸς νῆψιν ἀκριβῆ καὶ ἐνδελεχῆ, καὶ θεωρίαν πνευματικήν· τῆς δὲ δικαιοσύνης, τὸ ἰθύνειν τὸ ἐπιθυμητικὸν πρός τε ἀρετὴν, καὶ Θεόν· τῆς δὲ ἀνδρείας, τὰς πέντε αἰσθήσεις κυβερνᾷν καὶ διακατέχειν, ἵνα μὴ ὁ ἐντὸς ἡμῶν ἄνθρωπος μολύνηται δι᾽ αὐτῶν, ἤγουν ἡ καρδία, καὶ ὁ ἐκτὸς, ἤγουν τὸ σῶμα.

λε'. Ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ· ἐπὶ τὸν ὁρῶντα τὸ κάλλος, ὡς δυνατὸν, τῆς δόξης αὐτοῦ τοῦ Θεοῦ. καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις· ἐν ψυχαῖς φεγγοειδέσιν, ἀτενιζούσαις εἰς τὰς πρωΐας, τὸν ἐν δεξιᾷ τῇ Πατρικῇ ἐφεζόμενον, φεγγοβολοῦντα αὐταῖς, ὡς ἥλιος νεφέλαις καθαραῖς ἀκτινοβολῶν, ἐράσμιον ἀποδεικνύει.

λς'. Ἁμαρτάνων εἷς, φησὶν ἡ θεία Γραφὴ, ἀπολέσει δικαιοσύνην μεγάλην. καὶ ἁμαρτάνων νοῦς, ἐξόλλυσι τὰ ἐν τῷ γεγραμμένῳ κεφαλαίῳ ποτὰ καὶ βρωτὰ ἀμβρόσια.

λζ'. Οὐκ ἐσμὲν Σαμψὼν δυνατώτεροι, οὐ Σολομῶντος σοφώτεροι, οὐ Δαβὶδ τοῦ θείου γνωστικώτεροι· οὐ Πέτρου μᾶλλον τοῦ κορυφαίου Θεὸν ἀγαπῶντες. μὴ τοίνυν ἑαυτοῖς θαρρήσωμεν. φησὶ γὰρ ἡ Γραφή· ὁ εἰς ἑαυτὸν θαρρῶν, πεσεῖται πτῶμα ἐξαίσιον.

λη'. Μάθωμεν ἀπὸ Χριστοῦ ταπεινοφροσύνην, καὶ ἐκ Δαβὶδ ταπείνωσιν, καὶ ἐκ Πέτρου δακρύειν ἐπὶ τοῖς συμβαίνουσιν· ἀλλὰ μὴ ἀπογινώσκειν, ὡς Σαμψὼν, καὶ Ἰούδαν, καὶ Σολομῶντα τὸν λίαν σοφώτατον.

λθ'. Ὁ γὰρ διάβολος ὡς λέων ὠρυόμενος περιπατῶν, ζητεῖ τίνα καταπίῃ, σὺν ταῖς αὐτοῦ δυνάμεσι. μήτε οὖν ἡ καρδιακὴ διόλου προσοχὴ, καὶ νῆψις, καὶ ἀντίῤῥησις, καὶ εὐχὴ πρὸς Χριστὸν Ἰησοῦν τὸν Θεὸν ἡμῶν, ἀργείτω ποτέ. κρεῖττον γὰρ βοήθημα, πάρεξ Ἰησοῦ, οὐχ εὑρήσεις ἐν ὅλῃ τῇ ζωῇ σου. αὐτὸς γὰρ μόνος ὁ Κύριος γινώσκει ὡς Θεὸς τὰς τῶν δαιμόνων πανουργίας, καὶ μεθοδείας, καὶ δόλους.

Ἡ ψυχὴ τοίνυν θαῤῥείτω εἰς Χριστὸν, καὶ παρακαλείτω αὐτὸν, καὶ μηδόλως δειλιάτω. οὐ γὰρ μόνη πολεμεῖ, ἀλλὰ μετὰ φοβεροῦ βασιλέως Ἰησοῦ Χριστοῦ, Κτίστου πάντων τῶν ὄντων, ἀσωμάτων τε, καὶ ἐνσωμάτων, ἤγουν ὁρατῶν, καὶ ἀοράτων. μ'.

Ὡς γὰρ ὁ ὑετὸς ὅσῳ πλεῖον ἐπὶ τῆς γῆς καταφέρεται, τοσοῦτον καὶ τὴν γῆν ἁπαλύνει· οὕτω καὶ τὴν γῆν τῆς καρδίας ἡμῶν χαροποιεῖ καὶ εὐφραίνει τὸ ἅγιον ὄνομα τοῦ Χριστοῦ, παρ᾽ ἡμῶν ἐπιβώμενον, καὶ πυκνότερον αὐτὸ ἐπικαλούμενον. μα'.

Καλὸν δὲ καὶ τοῦτο τοὺς ἀπείρους εἰδέναι, ὅτι ἐχθροὺς ἀσωμάτους καὶ ἀοράτους, καὶ κακοθελεῖς καὶ φρονίμους εἰς τὸ κακῶσαι, καὶ ἐντρεχεῖς καὶ κούφους, καὶ ἐμπειροπολέμους ἔτεσι τοῖς ἀπὸ τοῦ Ἀδὰμ καὶ μέχρι τῆς δεῦρο, οἱ παχεῖς ἡμεῖς, καὶ πρὸς γῆν βρίθοντες καὶ τῷ σώματι καὶ τῷ φρονήματι, ἔχομεν ἐν οὐδενὶ ἄλλῳ τρόπῳ δυνατὸν αὐτοὺς νικῆσαι, ἀλλ᾽ ἢ δι᾽ ἀδιαστάτου νοὸς νήψεως, καὶ ἐπικλήσεως Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ, καὶ Ποιητοῦ ἡμῶν. καὶ τοῖς μὲν ἀπείροις, Ἰησοῦ Χριστοῦ εὐχὴ, καὶ προτροπὴ τοῦ δοκιμάσαι, καὶ γνῶναι τὸ καλὸν, ἔστω ταῦτα· τοῖς δὲ ἐμπείροις, ἡ πρᾶξις, καὶ ἡ δοκιμασία, καὶ ἡ ἀνάπαυσις τοῦ καλοῦ, ἄριστος τρόπος, καὶ διδάσκαλος. μβ'.

Ὥσπερ παιδίον μικρὸν, ἤγουν, καὶ ἀπόνηρον, φαντασιοποιόν τινα βλέπον ἥδεται, καὶ ἀκολουθεῖ τῷ φαντασιοποιῷ ἐξ ἀκακίας· οὕτω καὶ ἡ ψυχὴ ἡμῶν ἁπλῆ τις οὖσα, καὶ ἀγαθὴ, ἅτε ὑπὸ τοῦ ἀγαθοῦ Δεσπότου αὐτῆς κτισθεῖσα, ἥδεται μγ'.

ταῖς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ταῖς προσβολαῖς τοῦ διαβόλου ταῖς φανταστικαῖς· καὶ ἀπατωμένη προστρέχει, ὡς καλῷ, τῷ χείρονι, ὡς ἡ περιστερὰ τῷ ἐπιβούλῳ τῆς ἑαυτῆς τέκνων, καὶ οὕτω μιγνύει τοὺς ἑαυτῆς λογισμοὺς τῇ φαντασίᾳ τῆς δαιμονιώδους προσβολῆς· εἰ τύχοι γυναικὸς εὐμόρφου πρόσωπον, ἢ ἄλλο τι παρὰ τῶν ἐντολῶν τοῦ Χριστοῦ πάμπαν ἀπηγορευμένον· βούλεται ὥσπερ μεθοδεῦσαι τοῦ εἰς ἔργον ἀγαγεῖν τὸ ὀφθὲν αὐτῇ ὡραῖον· καὶ τότε εἰς συγκατάθεσιν ἐλθοῦσα, εἰς ἔργον λοιπὸν ἄγει διὰ τοῦ σώματος τὸ ὀφθὲν αὐτῇ ἀνόμημα κατὰ διάνοιαν, εἰς ἑαυτῆς κατάκρισιν.

μδʹ. Αὕτη ἡ τέχνη τοῦ πονηροῦ· καὶ μετὰ τούτων τῶν βελῶν φαρμακεύει πᾶσαν ψυχήν. καὶ διὰ τοῦτο οὐκ ἔστιν ἀσφαλὲς πρὸ πείρας πολεμικῆς τοῦ νοῦ πολλῆς, εἰσέρχεσθαι ἐᾶν τοὺς λογισμοὺς ἐν τῇ καρδίᾳ ἡμῶν, ἐν ἀρχῇ μάλιστα. ἐπειδὴ ἀκμὴν ἡ ψυχὴ ἡμῶν τέρπεται ταῖς δαιμονιώδεσι προσβολαῖς, καὶ ἥδεται, καὶ ἀκολουθεῖ αὐταῖς. ἀλλὰ χρὴ μόνον νοεῖν αὐτοὺς, καὶ εὐθὺς κόπτειν ἐξ ἀναδόσεως, καὶ προσβολῆς. ὅταν δὲ χρονίσας ὁ νοῦς εἰς τὸ θαυμαστὸν τοῦτο ἔργον, διασκηθῇ, καὶ νοήσῃ, καὶ ἐν ἕξει ἀδιακόπῳ γένηται τοῦ πολέμου, τοῦ ἀληθῶς τε νοεῖν τούτους· καὶ ὡς ὁ Προφήτης φησὶ, τοῦ εὐχερῶς δύνασθαι αὐτὸν κρατεῖν τὰς μικρὰς ἀλώπεκας· τότε μετ' ἐπιστήμης ἐᾶν δεῖ, καὶ ἐλέγχειν.

μεʹ. Ὡς ἀδύνατον ἐν ἑνὶ σωλῆνι πῦρ καὶ ὕδωρ ἅμα διέρχεσθαι, οὕτως ἀδύνατον ἐν καρδίᾳ ἁμαρτίαν εἰσελθεῖν, ἐὰν μὴ κρούσῃ πρότερον ἐν θύρᾳ καρδίας διὰ φαντασίας πονηρᾶς προσβολῆς.

μςʹ. Ἔστι πρῶτον προσβολή· δεύτερον συνδυασμὸς, ἤγουν ἀνάμιξ γινόμενοι οἱ ἡμῶν, καὶ τῶν πονηρῶν δαιμόνων λογισμοί· τρίτον συγκατάθεσις, τῶν δύο γενέσθαι μεταξὺ τῶν ἀμφοτέρων λογισμῶν βουλευομένων κακῶς· τέταρτον δὲ ἐστὶν ἡ αἰσθητὴ πρᾶξις, ἤγουν ἡ ἁμαρτία. ἐὰν οὖν προσέχῃ ὁ νοῦς νήφων, καὶ δι' ἀντιρρήσεως, καὶ ἐπικλήσεως τοῦ Κυρίου Ἰησοῦ φυγαδεύῃ ἐξ ἀναδόσεως τὰς προσβολάς, τὰ ἑξῆς αὐτῶν ἀργὰ μένουσι. νοῦς γὰρ ὢν ἀσώματος ὁ πονηρὸς, οὐκ ἄλλως δύναται πλανῆσαι ψυχὰς, εἰμὴ διὰ φαντασίας, καὶ λογισμῶν. καὶ περὶ μὲν τῆς προσβολῆς, ὁ Δαβὶδ φησὶ, εἰς τὰς πρωΐας ἀπέκτεινον, καὶ τὰ ἑξῆς. ὁ δὲ μέγας φησὶ Μωϋσῆς περὶ συγκαταθέσεως· καὶ οὐ συγκαταθήσῃ, φησὶν, αὐτοῖς.

Νοῦς νοῒ ἀοράτως συμπλέκεται πρὸς μάχην, ὁ δαιμόνιος τῷ ἡμετέρῳ. καὶ διὰ τοῦτο χρεία ἐκ βαθέων καταστιγμένην βοᾶν πρὸς τὸν Χριστὸν, ἀπελάσαι μὲν τὸν δαιμόνιον νοῦν, τὰ νικητήρια δὲ δοῦναι ἡμῖν ὡς φιλάνθρωπος. μζʹ.

Τύπος σοι ἡσυχίας καρδιακῆς, ὁ κατέχων κάτοπτρον, καὶ πρὸς αὐτὸ ἀτενίζων, ἔστω. καὶ τότε ὄψει τὰ ἐν σῇ καρδίᾳ νοητῶς ἐγγραφόμενα πονηρά τε καὶ ἀγαθά. μηʹ.

Τήρει τε ἀεὶ μηδένα λογισμὸν ἔχειν ἐν σῇ καρδίᾳ, μὴ ἄλογον, μὴ εὔλογον, ἵν' οὕτω γινώσκῃς ῥᾳδίως τοὺς ἀλλοφύλους, ἤγουν τοὺς τῶν Αἰγυπτίων υἱοὺς πρωτοτόκους. μθʹ.

Ὡς ἀγαθὴ καὶ τερπνὴ, φωτεινὴ καὶ ἡδίστη, καὶ πάγκαλος, καὶ ἀγλαοφανὴς, καὶ ὡραία ἀρετὴ νῆψις, ὑπὸ σοῦ Χριστὲ ὁ Θεὸς ὁδευομένη, καὶ ἐγρηγορότως ἀνθρωπίνου νοὸς ἐν ταπεινώσει πολλῇ ὁδευομένη. ἐκτείνει γὰρ ἕως θαλάσσης καὶ ἀβύσσου θεωριῶν τὰ κλήματα αὐτῆς, καὶ ἕως ποταμῶν μυστηρίων τερπνῶν τε, καὶ θείων, τὰς παραφυάδας αὐτῆς· ποτίζει τε νοῦν ἐκ χρόνου πολλοῦ κνισωθέντα τῇ ἀσεβείᾳ ὑπὸ ἅλμης πονηρῶν λογισμῶν πνευμάτων, καὶ τοῦ τῆς σαρκὸς δυσμενοῦς φρονήματος, ὅ ἐστι θάνατος. νʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

να'. Νῆψις ἔοικε τῇ τοῦ Ἰακὼβ κλίμακι, ἐφ' ᾗ ὁ Θεὸς ἐπιμένει, καὶ οἱ Ἄγγελοι ἐπιβαίνουσι. ἀναιρεῖ γὰρ ἐξ ἡμῶν πᾶν κακόν. αὕτη γὰρ ἐκκόπτει πολυλογίαν, λοιδορίαν, καταλαλιάν, καὶ πάντων τῶν αἰσθητῶν κακῶν τὸν κατάλογον· οὐκ ἀνεχομένη διὰ ταῦτα οὐδὲ πρὸς ὀλίγον τῆς ἰδίας στερεῖσθαι γλυκύτητος.

νβ'. Ταύτην προθύμως, ἀδελφοί μου, μετίωμεν. καὶ ἐν ταῖς θείαις αὐτῆς καθαρᾷ διανοίᾳ ἐν Χριστῷ Ἰησοῦ πετώμενοι, κινῶμεν τὴν θεωρίαν τῶν ἁμαρτημάτων ἡμῶν, καὶ τοῦ βίου τοῦ προτέρου· ἵνα ἐν τῇ τῶν ἁμαρτιῶν ἡμῶν μνήμῃ συντριβόμενοι, καὶ ταπεινούμενοι, ἀδιάσπαστον ἕξωμεν τὴν Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν βοήθειαν εἰς τὸν ἀόρατον πόλεμον. στερηθέντες γὰρ τῆς τοῦ Ἰησοῦ βοηθείας δι' ὑπερηφανίας, ἢ κενοδοξίας, ἢ φιλαυτίας, ὑστερήθημεν καθαρότητα καρδίας, δι' ἧς γνωρίζεται ἀνθρώπῳ Θεός· αἴτιον γάρ, ὡς ἡ ὑπόσχεσις, τοῦ δευτέρου τὸ πρότερον.

νγ'. Νοῦς μὴ ἀμελῶν τῆς ἑαυτοῦ κρυπτῆς ἐργασίας, σὺν τοῖς λοιποῖς καλοῖς οἷς ἐκ τῆς διηνεκοῦς ἐργασίας τῆς φυλακῆς, εὑρήσει καὶ τὰς πέντε αἰσθήσεις τοῦ σώματος ἀργὰς τῶν ἔξω κακῶν. τῇ γὰρ οἰκείᾳ ἀρετῇ καὶ νήψει ὅλου προσέχων, καὶ τοῖς νοήμασι τοῖς καλοῖς κατατρυφᾶν θέλων, οὐκ ἀνέχεται κλέπτεσθαι διὰ τῶν πέντε αἰσθήσεων, ὑλικῶν καὶ ματαίων αὐτῷ λογισμῶν προσερχομένων· ἀλλὰ γνοὺς αὐτῶν τὸ ἀπατηλόν, καὶ ἔνδον ἑαυτοῦ τὰ πολλὰ συστέλλει αὐτάς.

νδ'. Παράμενε τῇ διανοίᾳ, καὶ οὐ κοπιάσεις ἐν πειρασμοῖς· ἐκεῖθεν δὲ ἀναχωρῶν, ὑπόμενε τὰ ἐπερχόμενα.

νε'. Ὥσπερ τοὺς κακοσίτους ἀψίνθιον ὠφελεῖ τὸ πικρόν, οὕτω τοὺς κακοτρόπους κακὰ πάσχειν συμφέρει.

νϛ'. Εἰ μὴ θέλεις κακοπαθεῖν, μηδὲ κακοποιεῖν θέλε· διότι τοῦτο κἀκείνῳ ἀπαραβάτως ἀκολουθεῖ· ὃ γὰρ σπείρει ἕκαστος, τοῦτο καὶ θερίσει. ἑκουσίως οὖν τὰ φαῦλα σπείροντες, καὶ ἀκουσίως θερίζοντες, τὴν δικαιοσύνην τοῦ Θεοῦ θαυμάζειν ὀφείλομεν.

Ἐκτυφλοῦται ὁ νοῦς διὰ τῶν τριῶν τούτων παθῶν, φιλαργυρίας λέγω, κενοδοξίας, καὶ ἡδονῆς. νζ'.

Γνῶσις καὶ πίστις, αἱ τῆς φύσεως ἡμῶν σύντροφοι, δι' οὐδὲν ἄλλο, ἢ δι' ἐκείνας ἠμβλύνθησαν. νη'.

Θυμός, καὶ ὀργή, καὶ πόλεμοι, καὶ φόνοι, καὶ πᾶς ὁ τῶν λοιπῶν κακῶν κατάλογος, δι' ἐκείνας ἐν ἀνθρώποις σφόδρα ἐκραταιώθησαν. νθ'.

Ὁ μὴ γινώσκων τὴν ἀλήθειαν, οὔτ' ἀληθῶς πιστεύειν δύναται. ἡ γὰρ γνῶσις κατὰ φύσιν προηγεῖται τῆς πίστεως. τὰ γὰρ τῆς Γραφῆς εἰρημένα, οὐχ ἵνα νοήσωμεν μόνον, ἀλλ' ὅπως αὐτὰ ποιήσωμεν εἴρηται. ξ'.

Ἀρξώμεθα οὖν τοῦ ἔργου. οὕτω γὰρ ἀκολούθως προκόπτοντες, εὑρήσομεν ὅτι ἡ εἰς Θεὸν ἐλπίς, καὶ ἡ βεβαία πίστις, καὶ γνῶσις ἐσωτέρα, καὶ πειρασμῶν λύτρωσις, καὶ χαρισμάτων δωρήματα, καὶ ἐξομολόγησις καρδιακή, καὶ δάκρυον ἐκτενές, διὰ προσευχῆς τοῖς πιστοῖς παραγίνεται· οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ τῶν ἐπερχομένων θλίψεων ὑπομονή, καὶ εἰλικρινὴς τοῦ πλησίον ἄφεσις, καὶ νόμου πνευματικοῦ ἐπίγνωσις, καὶ δικαιοσύνης Θεοῦ εὕρεσις, καὶ Πνεύματος Ἁγίου ἐπιφοίτησις, καὶ θησαυρῶν πνευματικῶν δόσις, καὶ πάντα ὅσα ἐπηγγείλατο ὁ Θεὸς παρέχειν τοῖς πιστοῖς ἀνθρώποις καὶ ὧδε, καὶ ἐν τῷ μέλλοντι αἰῶνι. καὶ ἁπαξαπλῶς κατ' εἰκόνα Θεοῦ φανῆναι τὴν ψυχὴν ἀδύνατον, εἰμὴ διὰ χαρίσματος Θεοῦ, καὶ πίστεως ἀνθρώπου μετὰ πολλῆς ταπεινοφροσύνης, καὶ ἀμεταστρεπτί προσευχῆς τῇ διανοίᾳ παραμένοντος. ξα'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ξβ'. Μέγα ὄντως ἀγαθὸν ἐκ πείρας παρειλήφαμεν, τὸ συνεχῶς ἐπικαλεῖσθαι Κύριον Ἰησοῦν κατὰ τῶν νοητῶν πολεμίων, τὸν βουλόμενον τὴν ἑαυτοῦ καρδίαν καθᾶραι. καὶ ὅρα, πῶς σύμφωνος ὁ λόγος, ὁ ἐκ πείρας παρ' ἐμοῦ ῥηθεὶς, ταῖς γραφικαῖς μαρτυρίαις. ἑτοίμαζε, φησὶν, Ἰσραὴλ τοῦ ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου. καὶ ὁ Ἀπόστολος· ἀδιαλείπτως προσεύχεσθε. καὶ ὁ Κύριος ἡμῶν φησίν· οὐ δύνασθε ποιεῖν χωρὶς ἐμοῦ οὐδέν, ὁ μένων ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν. καὶ πάλιν· ἐὰν μή μείνῃ ἐν ἐμοί, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα. Μέγα ἀγαθὸν εὐχὴ, καὶ ἀγαθῶν πάντων περιεκτικὸν, ὡς καρδίαν καθαῖρον, ἐν ᾗ ὁ Θεὸς ὀπτάνεται τοῖς πιστοῖς.

ξγ'. Τὸ τῆς ταπεινώσεως χρῆμα, ἐπειδὴ ὑψοποιὸν πέφυκεν εἶναι, καὶ Θεῷ ἀγαπώμενον, καὶ ἀναλωτικὸν σχεδὸν πάντων τῶν ἐν ἡμῖν κακῶν, καὶ μισουμένων Θεῷ, δυσεύρετον διὰ ταῦτα πέφυκεν εἶναι. καὶ ῥᾳδίως ἂν εὑρήσεις ἐν ἀνθρώπῳ ἐνὶ πολλῶν ἀρετῶν ἐργασίας τινὰς μερικὰς, ζητήσας δὲ ἐν αὐτῷ ὀσμὴν ταπεινώσεως μόλις εὑρήσεις. διὰ τοῦτο χρεία πολλῆς* ταπεινώσεως, ὥστε κτήσασθαι τοῦτο τὸ κτῆμα. καὶ γὰρ ἀκάθαρτον καὶ τὸν διάβολον λέγει ἡ Γραφή. ἐπειδὴ τοῦτο ἐξ ἀρχῆς τὸ ἀγαθὸν τῆς ταπεινοφροσύνης χρῆμα ἀπώσατο, καὶ τὴν ὑπερηφανίαν ἠγάπησε. διὸ καὶ ἀκάθαρτον πνεῦμα ἐν πάσαις ταῖς Γραφαῖς προσαγορεύεται. ἐπεὶ ποίαν ἀκαθαρσίαν σωματικὴν δύναται ἐργάσασθαι τὸ ἀσώματον πάντῃ, καὶ ἄσαρκόν τε καὶ ἄστατον, ἵνα ἀκάθαρτον ἐκ τούτου λέγηται; εὔδηλον, ὅτι διὰ τὴν ὑπερηφανίαν ἐκλήθη ἀκάθαρτος, καὶ ἐκ καθαροῦ καὶ φωτεινοῦ ἀγγέλου, βέβηλος ἀπεφάνθη. καὶ ἀκάθαρτος παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος. πρώτη γὰρ φησὶν ἁμαρτία, ἡ ὑπερηφανία. οὕτω γὰρ ὁ ὑπερήφανος Φαραὼ ἔλεγε· τὸν Θεόν σου, φησὶν, οὐκ οἶδα, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστελῶ.

*σπουδῆς

ξδ'. Εἰσὶ δὲ πολλὰ τῶν τοῦ νοῦ ἐνεργημάτων, τὰ δυνάμενα ἡμῖν τὸ ἀγαθὸν δῶρον τῆς ταπεινοφροσύνης περιποιεῖσθαι, εἴπερ μὴ ἀμελῶμεν τῆς σωτηρίας ἡμῶν· τουτέστι μνήμη ἁμαρτημάτων ἐν λόγοις, καὶ ἔργοις, καὶ διανοίᾳ, καὶ ἕτερα πλεῖστα εἰς ταπεινοφροσύνην συμβάλλοντα, τῇ θεωρίᾳ ἀναλεγόμενα. ἐμποιεῖ δὲ ταπείνωσιν ἀληθῆ, καὶ τὸ, ἵνα τις τῶν πέλας τὰ κατορθώματα καθ' ἑκάστην ἐν τῷ νῷ περιστρέφῃ, καὶ ἕτερα φυσικὰ πλεονεκτήματα ἐν ἑαυτῷ μεγαλύνῃ, καὶ συνεξετάζῃ τοῖς ἑαυτοῦ τὰ ἐκείνων· καὶ οὕτω βλέπων ὁ νοῦς τὴν ἑαυτοῦ ἀτέλειαν, καὶ πόσον ἀπολείπεται τῆς τῶν ἀδελφῶν τελειότητος, γῆν καὶ σποδὸν ὁ ἄνθρωπος ἑαυτὸν λογίζεται, καὶ οὐκ ἄνθρωπον· ἀλλὰ κύνα τινὰ, ὡς πάντων τῶν ἐπὶ γῆς λογικῶν ἀνθρώπων εἰς πάντα ὑστεροῦντα, καὶ ἀπολειπόμενον.

ξε'. Φησὶ τὸ τοῦ Χριστοῦ στόμα, ὁ στῦλος τῆς Ἐκκλησίας, ὁ μέγας Πατὴρ ἡμῶν Βασίλειος· μέγα ἀγαθὸν πρὸς τὸ μὴ ἁμαρτάνειν, μηδὲ τῇ ἐρχομένῃ ἡμέρᾳ τοῖς αὐτοῖς περιπίπτειν, τὸ μετὰ τὴν ἀποπλήρωσιν τῆς ἡμέρας ἀνακρίνειν ἐν τῷ συνειδότι ἡμῶν ἡμᾶς ἑαυτοὺς τὰ καθ' ἡμᾶς, τί μὲν πεπλημμελήκαμεν, τί δὲ ἐδικαιοπραγήσαμεν; τοῦτο καὶ ὁ Ἰὼβ ἐποίει περί τε ἑαυτοῦ, καὶ τῶν τέκνων αὐτοῦ· τὰ γὰρ καθ' ἑκάστην λογοθέσια τὸ καθ' ὥραν φωτίζουσι.

ξς'. Καὶ ἕτερος δὲ πάλιν τῶν τὰ θεῖα σοφῶν ἔφη· ἀρχὴ καρποφορίας, ἄνθος· καὶ ἀρχὴ πρακτικῆς, ἐγκράτεια. οὐκοῦν ἐγκρατευσώμεθα· καὶ τοῦτο μέτρῳ καὶ σταθμῷ, ὡς οἱ Πατέρες διδάσκουσι· καὶ τὴν ἡμέραν ὅλην τῶν δώδεκα ὡρῶν, ἐν τηρήσει τοὺς παρερχώμεθα. οὕτω γὰρ ποιοῦντες, τὴν κακίαν βίᾳ τινὶ σβέσαι, καὶ μειῶσαι δυνησόμεθα μετὰ Θεοῦ. ἐπεὶ καὶ

βιαστή ἐστιν ἡ ἐνάρετος πολιτεία, δι᾽ ἧς δίδοται ἡ Βασιλεία τῶν Οὐρανῶν.

ξζ'. Ὁδὸς ἐπὶ τὴν γνῶσιν, ἀπάθεια καὶ ταπείνωσις, ὧν χωρὶς, οὐδεὶς ὄψεται τὸν Κύριον.

ξη'. Ὁ ἀδιαλείπτως περὶ τὰ ἔνδον τὰς διατριβὰς ποιούμενος, σωφρονεῖ· οὐ μόνον δὲ, ἀλλὰ καὶ θεωρεῖ, καὶ θεολογεῖ, καὶ προσεύχεται. καὶ τοῦτο ἐστὶν, ὃ λέγει ὁ Ἀπόστολος, πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε.

ξθ'. Ὁ τὴν πνευματικὴν ὁδὸν ὁδεύειν μὴ ἐπιστάμενος, τῶν ἐμπαθῶν νοημάτων οὐ ποιεῖται φροντίδα· ἀλλ᾽ ὅλην τὴν χολὴν περὶ τὴν σάρκα ἔχει, καὶ ἢ γαστριμαργεῖ, καὶ ἀκολασταίνει· ἢ λυπεῖται, καὶ ὀργίζεται, καὶ μνησικακεῖ. καὶ ἐντεῦθεν τὸν νοῦν σκοτίζει, ἢ ἀμέτρῳ ἀσκήσει κέχρηται, καὶ θολοῖ τὴν διάνοιαν.

ο'. Ὁ μὲν τοῖς πράγμασιν ἀποταξάμενος, οἷον τῇ γυναικὶ, καὶ τοῖς χρήμασι, καὶ τοῖς ἑξῆς, τὸν ἔξω ἄνθρωπον ἐποίησε Μοναχὸν, οὔπω δὲ καὶ τὸν ἔσω. ὁ δὲ τοῖς τούτων ἐμπαθέσι νοήμασιν ἀποταξάμενος, ὅ ἐστιν ὁ νοῦς, οὗτος ἀληθινὸς Μοναχός. καὶ τὸν μὲν ἔξω ἄνθρωπον εὐκόλως τις ποιεῖ Μοναχὸν, ἐὰν θελήσῃ· οὐκ ὀλίγος δὲ ἀγὼν τὸν ἔσω ἄνθρωπον ποιῆσαι Μοναχόν.

οα'. Τίς ἐστιν ἄρα ἐν τῇ γενεᾷ ταύτῃ, ὁ παντάπασιν ἀπαλλαγεὶς ἐμπαθῶν νοημάτων, καὶ τῆς καθαρᾶς καὶ ἀΰλου διαπαντὸς ἀξιωθεὶς προσευχῆς; ὅπερ ἐστὶ σημεῖον τοῦ ἔνδον Μοναχοῦ.

οβ'. Πολλὰ πάθη ἐν ταῖς ψυχαῖς ἡμῶν ἐγκέκρυπται· τότε δὲ ἐλέγχονται, ὅταν τὰ αἴτια φαίνωνται.

ογ'. Μὴ ὅλην τὴν χολὴν περὶ τὴν σάρκα ἔχε· ἀλλ᾽ ὅρισον αὐτῇ κατὰ δύναμιν ἄσκησιν, καὶ ὅλον τὸν νοῦν σου περὶ τὰ ἔνδον στρέψον. ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν.

οδ'. Ἐπὶ τῇ τῶν παθῶν ἀνενεργησίᾳ ἡ ὑπερηφανία συμβαίνει· ἢ τῶν αἰτιῶν ἀποκοπτομένων, ἢ τῶν δαιμόνων δολερῶς ὑποχωρούντων.

οε'. Ταπείνωσις καὶ κακοπάθεια, πάσης ἁμαρτίας ἐλευθεροῦσι τὸν ἄνθρωπον· ἡ μὲν τὰ τῆς ψυχῆς, ἡ δὲ τὰ τοῦ σώματος περικόπτουσα πάθη. διὸ τοῦτο λέγει ὁ Κύριος· μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται· αὐτὸν καὶ τοὺς ἐν αὐτῷ θησαυρούς, ὅταν δι᾽ ἀγάπης καὶ ἐγκρατείας ἑαυτοὺς καθάρωσι· καὶ τοσούτῳ πλέον, ὅσῳ τὴν κάθαρσιν ἐπιτείνωσι.

ος'. Σκοπευτήριον τῶν περὶ ἀρετῆς λόγων πάσης, ἡ τοῦ νοῦ τήρησίς ἐστιν, ὡς ὁ πάλαι τοῦ Δαβὶδ σκοπὸς, τὴν περιωπὴν τῆς καρδίας προσδήλου.

οζ'. Ὥσπερ αἰσθητῶς τὰ βλάπτοντα ὁρῶντες, βλαπτόμεθα, οὕτω καὶ τῷ νῷ.

οη'. Ὥσπερ ὁ τὴν τοῦ φυτοῦ ζῶσαν καρδίαν, ὅλον ἐξήρανεν, οὕτω καὶ ἐπὶ καρδίαν ἀνθρώπου τέει. αὐτὴν τὴν στιγμὴν προσέχειν δεῖ, ἐπειδὴ οὐκ ἀργοῦσιν οἱ κλέπται.

οθ'. Ὁ Κύριος πᾶσαν ἐντολὴν ὀφειλομένην δεῖξαι θέλων, τὴν δὲ υἱοθεσίαν ἰδίῳ αἵματι τοῖς ἀνθρώποις δεδωρημένην, φησίν· ὅταν ποιήσητε τὰ προστεταγμένα ὑμῖν, εἴπατε, ὅτι ἀχρεῖοι δοῦλοι ἐσμὲν, καὶ ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. διὰ τοῦτο οὐκ ἔστι μισθὸς ἔργων ἡ Βασιλεία τῶν Οὐρανῶν, ἀλλὰ χάρις Δεσπότου πιστοῖς δούλοις ἡτοιμασμένη. οὐκ ἀπαιτεῖ δοῦλος ὡς μισθὸν τὴν ἐλευθερίαν, ἀλλ᾽ εὐχαριστεῖ ὡς ὀφειλέτης, καὶ κατὰ χάριν ἐκδέχεται.

π'. Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς Γραφάς· καὶ τοῖς εὖ δουλεύουσιν αὐτῷ τὴν ἐλευθερίαν χαρίζεται. φησὶ γάρ· εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. εἴσελθε εἰς τὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

χαρὰν τοῦ Κυρίου σου. οὔπω δὲ δοῦλός ἐστι πιστὸς ὁ ψιλῇ τῇ γνώσει ἐπερειδόμενος, ἀλλ' ὁ δι' ὑπακοῆς τῷ ἐντειλαμένῳ Χριστῷ πιστεύων.

πα'. Ὁ τὸν δεσπότην τιμῶν, ποιεῖ τὰ κελευόμενα ὑπ' αὐτοῦ. σφαλεὶς δέ, ἢ παρακούσας, ὑπομένει ὡς ἴδια τὰ ἐπερχόμενα. φιλομαθὴς ὤν, γίνου καὶ φιλόπονος· ἡ γὰρ ψιλὴ γνῶσις φυσιοῖ τὸν ἄνθρωπον.

πβ'. Οἱ ἀπροσδοκήτως ἡμῖν συμβαίνοντες πειρασμοί, οἰκονομικῶς ἡμᾶς φιλοπόνους διδάσκουσι γίνεσθαι.

πγ'. Ἴδιον μὲν ἀστέρος, τὸ περὶ αὐτὸν φῶς· τοῦ δὲ θεοσεβοῦς, καὶ Θεὸν φοβουμένου ἴδιον, εὐτέλεια καὶ ταπείνωσις. ἐπεὶ μηδ' ἄλλο τι γνωριστικὸν πέφυκεν εἶναι, καὶ δηλωτικὸν σημεῖον τῶν τοῦ Χριστοῦ μαθητῶν, ὡς ταπεινὸν φρόνημα καὶ εὐτελὲς σχῆμα. καὶ τοῦτο πάντη βοῶσι τὰ τέσσαρα Εὐαγγέλια. ὁ δὲ μὴ οὕτω, τουτέστι ταπεινῶς βιοὺς, τοῦ μέρους ἐκπίπτει τοῦ ἑαυτὸν ταπεινώσαντος μέχρι σταυροῦ καὶ θανάτου, τοῦ καὶ τῶν θείων Εὐαγγελίων πρακτικοῦ νομοθέτου.

πδ'. Οἱ διψῶντες, φησί, πορεύεσθε ἐφ' ὕδωρ. οἱ δὲ διψῶντες Θεόν, πορεύεσθε καθαρότητι διανοίας. πλὴν τοῦ ὑψηλῶς δι' αὐτῆς πετομένου, χρὴ καὶ πρὸς τὴν γῆν τῆς ἑαυτοῦ εὐτελείας ὁρᾷν· οὐδεὶς γὰρ τοῦ ταπεινοῦ ὑψηλότερος. ὡς γὰρ φωτὸς μὴ παρόντος, ζοφώδη, καὶ σκοτεινὰ ἅπαντα, οὕτω καὶ μὴ παρούσης ταπεινοφροσύνης, πάντα ἡμῶν μάταια, καὶ ἕωλα τὰ κατὰ Θεὸν σπουδάσματα.

πε'. Τέλος δὲ λόγου, τὸ πᾶν ἄκουε· τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλαττε, καὶ νοητῶς, καὶ αἰσθητῶς. εἰ γὰρ νοητῶς βιάσῃ σαυτὸν αὐτὰς τηρεῖν, ὀλιγάκις τῶν αἰσθητῶν εἰς αὐτὰς κόπων δεήσῃ. φησὶ γὰρ ὁ Δαβίδ, ἠβουλήθην τὸ θέλημά σου καὶ τὸν νόμον σου ποιῆσαι ἐν μέσῳ τῆς κοιλίας μου.

πς'. Ἐὰν μὴ ἐν μέσῳ τῆς κοιλίας, τουτέστιν ἐν μέσῃ καρδίᾳ, ὁ ἄνθρωπος τὸ τοῦ Θεοῦ θέλημα, καὶ τὸν νόμον ποιήσῃ, οὔτε ἔξω ῥᾳδίως τοῦτο πρᾶξαι δυνήσεται. καὶ ἐρεῖ πρὸς τὸν Θεὸν ὁ μὴ νήφων καὶ ἀδιάφορος, τό, ὁδούς σου εἰδέναι οὐ βούλομαι· πάντως δι' ἔλλειψιν θείας ἐλλάμψεως· ἧς τινος ὁ μετέχων οὐκ ἀπληροφόρητος, ἀλλὰ καὶ ἔμπεδος ἱκανὸς περὶ τὰ θεῖα γενήσεται.

πζ'. Ὥσπερ γὰρ τὸ αἰσθητὸν ἅλας ἡδύνει τόν τε ἄρτον καὶ πᾶν ὄψον, καὶ ἄσηπτά τινα τῶν κρεῶν, καὶ διαρκῆ φυλάττει· οὕτω καὶ ἐπὶ τῇ τοῦ νοὸς φυλακῇ τῆς νοητῆς ἡδύτητος καὶ θαυμαστῆς ἐργασίας νόει. καὶ γὰρ ἡδύνει εὐθέως καὶ τὸν ἐντὸς καὶ τὸν ἐκτὸς ἄνθρωπον, καὶ τὴν ὀζωδίαν τῶν πονηρῶν λογισμῶν ἐκδιώκει· καὶ διαρκῶς ἐν τοῖς καλοῖς ἡμᾶς φυλάττει.

πη'. Ἐκ προσβολῆς πολλοὶ λογισμοί, ἐκ δὲ τούτων ἡ πονηρὰ αἰσθητὴ πρᾶξις. ὁ δὲ μετὰ τοῦ Ἰησοῦ τὰ πρῶτα εὐθὺς σβεννύων, τὰ ἑξῆς διέφυγε· καὶ γνώσει θείᾳ γλυκείᾳ πλουτήσει· δι' ἧς Θεὸν εὑρήσει τὸν πανταχοῦ ὄντα. ἐν αὐτῷ δὲ τὸ κάτοπτρον τοῦ νοὸς ἀντερείσας, φωτίζεται διηνεκῶς καθ' ὁμοιότητα τοῦ καθαροῦ ὑέλου, καὶ τοῦ αἰσθητοῦ ἡλίου. καὶ τότε ἀναπαύσεται ὁ νοῦς, ὡς τὸ ἔσχατον τῶν ὀρεκτῶν φθάσας, ἀπὸ πάσης ἄλλης ἐν αὐτῷ θεωρίας.

πθ'. Ἐπειδὴ πᾶς λογισμὸς διὰ φαντασίας αἰσθητῶν τινῶν εἰσέρχεται ἐν τῇ καρδίᾳ· τότε αὐγάζει αὐτὸν τὸ μακάριον φῶς τῆς θεότητος, ὅταν πάντη εὐκαιρήσῃ ἀπὸ πάντων, καὶ ἀσχημάτιστος ἐκ τούτων γένηται· εἴπερ ἡ λαμπρότης ἐκείνη κατὰ στέρησιν πάντων νοημάτων παραφαίνεται τῷ καθαρῷ νοΐ.

ϙ'. Ὅσῳ τὴν διάνοιαν ἄκρως προσέχῃς, κατὰ τοσοῦτον μετὰ πόθου τῷ Ἰησοῦ προσεύξῃ· καὶ ὅσον πάλιν τὴν διάνοιαν ἀμελῶς ἐπισκέπτῃ, κατὰ τοσοῦτον καὶ τοῦ Ἰησοῦ μα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κρυωθήσῃ. καὶ ὥσπερ τὸ πρότερον ἄκρως τὸν ἀέρα τῆς διανοίας φωτίζει, οὕτω καὶ τὸ ἐκνεῦσαι ἀπὸ τῆς νήψεως, καὶ τῆς γλυκείας ἐπικλήσεως τοῦ Ἰησοῦ, σκοτίζειν αὐτὸν ἐκ παντὸς πέφυκεν· ὡς εἶναι φύσει τὸ πρᾶγμα τοῦτο, ὡς εἴπομεν, καὶ ἄλλως οὐκ ἔστι. καὶ τοῦτο πείρᾳ λήψῃ ἔργῳ δοκιμασίας· ἐπεὶ μὴ πέφυκεν ἀρετή, καὶ μάλιστα ἡ τοιαύτη φωτοτόκος τερπνὴ ἐργασία, εἰ μὴ τῇ πείρᾳ * διδάσκεται.

* ἐνδιδάσκεσθαι.

ϟα'. Τὸ μὲν μετὰ πόθου τινὸς μεστοῦ γλυκύτητος καὶ χαρᾶς ἐπικαλεῖσθαι συνεχῶς Ἰησοῦν, αἴτιον, τὸ χαρᾶς ἔμπλεον καὶ γαλήνης εἶναι τὸν ἀέρα τῆς καρδίας, ἐκ τῆς ἄκρας προσοχῆς· τοῦ δὲ ἄκρως καθαίρεσθαι τὴν καρδίαν, αἴτιος Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός, ὁ πάντων τῶν καλῶν αἴτιος καὶ ποιητής· ἐγώ, γάρ φησι, Θεὸς ποιῶν εἰρήνην.

ϟβ'. Εὐεργετουμένη ψυχὴ καὶ γλυκαινομένη ὑπὸ Ἰησοῦ, μετὰ ἀγαλλιάσεώς τινος καὶ ἀγάπης διὰ τῆς ἐξομολογήσεως τὸν εὐεργέτην ἀμείβεται· εὐχαριστοῦσα καὶ ἐπικαλουμένη μετὰ θυμηδίας τὸν εἰρηνοποιοῦντα αὐτήν· καὶ μέσον αὐτῆς νοητῶς ὁρῶσα αὐτὸν λύοντα τὰς φαντασίας τῶν πονηρῶν πνευμάτων.

ϟγ'. Καὶ ἐπεῖδε, φησὶ Δαβίδ, ὁ νοητὸς ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου· καὶ ἐν τοῖς ἐπανιστανομένοις ἐπ' ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου· καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν εἶδον παρὰ Θεοῦ ἐν ἐμοὶ γινομένην. φαντασιῶν δὲ μὴ οὐσῶν τινῶν ἐν καρδίᾳ, εἰς τὸ κατὰ φύσιν ὁ νοῦς ἵσταται· ἕτοιμος ὢν κινεῖσθαι εἰς πᾶσαν θεωρίαν τερπνήν, πνευματικήν, καὶ θεοφιλῆ.

ϟδ'. Οὕτως οὖν, ὡς εἶπον, πεφύκασιν εἶναι ἀλλήλων συστατικά, ἥτε νῆψις, καὶ Ἰησοῦ εὐχή. ἡ μὲν γὰρ ἄκρα προσοχή, τῆς συνεχοῦς εὐχῆς· ἡ δὲ εὐχὴ πάλιν, τῆς ἄκρας ἐν νῷ νήψεως καὶ προσοχῆς.

ϟε'. Χριστὸς παιδαγωγὸς καὶ τοῦ σώματος καὶ τῆς ψυχῆς, ἡ ἀνεπίληστος μνήμη τοῦ θανάτου· καὶ τό, τὰ ἐν μέσῳ πάντα παραδραμόντας, αὐτὸν ἀεὶ προβλέπειν, αὐτὴν τὴν κλίνην, ἔνθα ψυχορραγοῦντες μέλλομεν κατακεῖσθαι, καὶ τὰ λοιπά.

ϟϛ'. Οὐκ ἔστιν, ἀδελφοί, ὕπνον ἄρασθαι τὸν βουλόμενον ἄζωστον μένειν διαπαντός· ἀλλ' ἀνάγκη δυοῖν θάτερον, ἢ πεσεῖν καὶ ἀπολέσθαι, γυμνωθέντα τῆς ἀρετῆς· ἢ διαπαντὸς τῷ νοῒ καθωπλισμένον ἑστάναι· καὶ γὰρ καὶ ὁ ἐχθρὸς ἀεὶ ἵσταται μετὰ τῆς αὐτοῦ παρατάξεως.

ϟζ'. Γίνεταί τις κατάστασις θεία ἐν τῷ νῷ ἡμῶν, ἐκ τῆς συνεχοῦς μνήμης καὶ ἐπικλήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐὰν μὴ ἀμελῶμεν τῆς πρὸς αὐτὸν συνεχοῦς κατὰ νοῦν δεήσεως, καὶ τῆς πυκνῆς νήψεως, καὶ τοῦ ἐπιστατικοῦ ἔργου· ἀλλ' ὄντως ἔργον ἀεὶ αὐτό, καὶ ὡσαύτως ἐπιτελούμενον, ἔχωμεν τῆς Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν ἐπικλήσεως, μετὰ πυρώσεως καρδίας ἐκβοῶντες, ὥστε * μεταλαβεῖν τὸ ἅγιον ὄνομα Ἰησοῦ. συνήθεια γὰρ καὶ ἐπὶ ἀρετῆς καὶ κακίας μήτηρ ἕξεως· ἡ δέ, ὡς φύσις λοιπὸν κρατεῖ. καὶ ἐν καταστάσει τοιαύτῃ ὁ νοῦς γενόμενος, ζητεῖ τοὺς πολεμίους, ὥσπερ κύων θηρευτικὸς λαγωὸν ἐν λόχμαις· ἀλλ' ὁ μέν, ἵνα καταφάγῃ, ὁ δέ, ἵνα καταφθείρῃ.

* μεσολαβεῖν.

ϟη'. Ὅτε οὖν, καὶ ὁσάκις ἐπισυμβαίνει πληθύνεσθαι ἐν ἡμῖν τοὺς πονηροὺς λογισμούς, τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίκλησιν μέσον αὐτῶν ἐμβάλωμεν· καὶ διαλυομένους αὐτοὺς εὐθέως τότε, ὡσεὶ καπνὸν ἐν ἀέρι ὀψόμεθα, ὡς ἡ πεῖρα ἐδίδαξε. καὶ τοῦ νοὸς μόνου καταλειφθέντος, τότε πάλιν ἀρξώμεθα τῆς συνεχοῦς προσοχῆς, καὶ ἐπικλήσεως· καὶ ὁσάκις ὑπὸ * πειρασμοῦ τοῦτο πάθωμεν, οὕτω ποιῶμεν.

* ἐν ἄλ. περισπασμοῦ.

ϟθ'. Ὡς γὰρ οὐ δυνατόν, γυμνὸν σώματι εἰσελθεῖν εἰς πόλεμον, ἢ πλεῦσαι μέγα πέλαγος μετ' ἐνδυμάτων, ἢ ζῆν ἄνευ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῆς ἀναπνοῆς· οὕτως ἀδύνατον χωρὶς ταπεινώσεως, καὶ συνεχοῦς πρὸς Χριστὸν ἱκεσίας, τὸν νοητὸν καὶ κρυπτὸν πόλεμον ἐκμαθεῖν· καὶ τεχνικῶς τοῦτον καταδιώκειν καὶ βάλλειν.

ρ'. Ὁ μέγας πρακτικώτατος Δαβὶδ φησὶ πρὸς τὸν Κύριον· τὸ κράτος μου πρὸς σὲ φυλάξω. ὥστε τὸ φυλαχθῆναι ἐν ἡμῖν τὸ κράτος τῆς καρδιακῆς ἡσυχίας καὶ νοερᾶς, ἐξ ἧς πᾶσαι γεννῶνται αἱ ἀρεταί, διὰ τοῦ βοηθεῖσθαι ἡμᾶς παρὰ τοῦ Κυρίου προσγίνεται, τοῦ καὶ τὰς ἐντολὰς δόντος, καὶ ἀφ' ἡμῶν τὴν * μιαρὰν λήθην ἐκδιώκοντος, συνεχῶς παρ' ἡμῶν ἐπιβοωμένου, φθαρτικὴν οὖσαν μάλιστα τῆς καρδιακῆς ἡσυχίας ὡς ὕδωρ πυρός. διόπερ, Μοναχέ, μὴ ἐξ ἀμελείας ὑπνοῖς εἰς θάνατον· ἀλλ' Ἰησοῦ ὀνόματι μάστιζε πολεμίους· καὶ ὡς σοφός τις λέλεχεν, Ἰησοῦ ὄνομα κολληθήτω τῇ πνοῇ σου, καὶ τότε γνώσῃ ἡσυχίας ὠφέλειαν.

* ἐν ἄλλ. σκοτεινήν.

ρα'. Ὅταν τῶν θείων καὶ ἀχράντων μυστηρίων Χριστοῦ τοῦ Θεοῦ καὶ βασιλέως ἡμῶν φοβερῶς καὶ φρικτῶς ἀξιωθῶμεν οἱ ἀνάξιοι, τότε μᾶλλον τὴν νῆψιν, καὶ τὴν τήρησιν τοῦ νοός, καὶ ἀκρίβειαν ἐπιδειξώμεθα, ἵνα καταναλώσῃ ἡμῶν τὰς ἁμαρτίας, καὶ τὰ μικρὰ καὶ μεγάλα ῥυπάσματα τὸ πῦρ τὸ θεϊκόν, ἤγουν τὸ Σῶμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ γὰρ εἰσερχόμενον ἐν ἡμῖν, τὰ πονηρὰ πνεύματα τῆς πονηρίας εὐθὺς ἐκ τῆς καρδίας ἀπελαύνει· καὶ τὰς ἁμαρτίας τὰς προγεγενημένας ἡμῖν συγχωρεῖ· καὶ καταλιμπάνεται τότε ὁ νοῦς χωρὶς ὀχλήσεως πονηρῶν λογισμῶν. καὶ εἴπερ μετὰ ταῦτα ἀκριβῶς τὸν νοῦν ἡμῶν τηρήσωμεν, καὶ στῶμεν ἐν πύλῃ καρδίας ἡμῶν, ὅτε πάλιν αὐτῶν καταξιωθῶμεν, μᾶλλον ἔτι καὶ μᾶλλον λαμπρύνει τὸν νοῦν, καὶ ἀστεροειδῆ αὐτὸν τὸ Θεῖον Σῶμα ἀπεργάζεται.

ρβ'. Λήθη σβεννύειν οἶδε νοὸς φυλακήν, ὥσπερ σβέννυσι πῦρ ὕδωρ. συνεχὴς δὲ Ἰησοῦ εὐχή, εἰς τέλος αὐτὴν ἐκδαπανᾷ ἐκ τῆς καρδίας μετὰ νήψεως συντόνου. χρήζει γὰρ ἡ εὐχὴ τῆς νήψεως, ὥσπερ λαμπάδιον φωτὸς λύχνου.

ργ'. Πονεῖν δεῖ ἐπὶ τῇ φυλακῇ τῶν τιμίων· τίμια δὲ ὡς ἀληθῶς, τὰ φυλάσσοντα ἡμᾶς ἀπὸ πάσης κακίας αἰσθητῆς τε, καὶ νοητῆς. ταῦτα δέ εἰσι, φυλακὴ νοὸς σὺν Ἰησοῦ Χριστοῦ ἐπικλήσει· βλέπειν τε ἀεὶ εἰς τὸ βάθος τῆς καρδίας, καὶ ἡσυχάζειν ἀενάως τῇ διανοίᾳ, ἵν' οὕτως εἴπω, καὶ ἐκ τῶν δοκούντων λογισμῶν δεξιῶν εἶναι· καὶ σπουδάζειν, κενὸν λογισμῶν εὑρίσκεσθαι· ἵνα μὴ λανθάνωσιν οἱ κλέπται· καὶ εἰ καὶ πονοῦμεν τῇ καρδίᾳ παραμένοντες, ἀλλ' ἐγγὺς ἡ παράκλησις.

ρδ'. Πέφυκε γὰρ ἡ καρδία ἀδιαλείπτως τηρουμένη, καὶ μὴ συγχωρουμένη τὰς μορφάς, καὶ τὰς εἰκόνας, καὶ τὰς φαντασίας δέχεσθαι τῶν σκοτεινῶν καὶ πονηρῶν πνευμάτων, λογισμοὺς φεγγοειδεῖς ἐξ ἑαυτῆς ἀποκυΐσκειν. ὥσπερ γὰρ ὁ * κάρβων γεννᾷ φλόγα, οὕτω πολλῷ μᾶλλον ὁ ἐνοικῶν τῇ καρδίᾳ Θεὸς ἀπὸ τοῦ ἁγίου Βαπτίσματος, εἴπερ εὑρίσκει τὸν ἀέρα τῆς διανοίας ἡμῶν καθαρὸν ἀνέμων πονηρίας, καὶ ὑπὸ φυλακῆς νοὸς τηρούμενον, ἀνάπτει τὸ διανοητικὸν ἡμῶν πρὸς θεωρίας, ὡς φλὸξ κηρόν.

* ἄνθραξ

ρε'. Ἀεὶ γὰρ στρέφειν δεῖ ἐν χωρήματι καρδίας ἡμῶν τὸ Ἰησοῦ Χριστοῦ ὄνομα, ὥσπερ ἀστραπὴ στρέφεται ἐν ἀέρι τοῦ στερεώματος, ὑετοῦ μέλλοντος κατέρχεσθαι. καὶ γὰρ τοῦτο ἴσασιν ἀκριβῶς οἱ πεῖραν τοῦ νοῦ ἔχοντες, καὶ τοῦ ἔνδον πολέμου. ὡς καὶ ἐν τάξει οὕτω τὸν νοητὸν πόλεμον στρατηγῶμεν. πρῶτον προσοχή, εἶτα τὸν ἐχθρὸν λογισμὸν γνόντες παραβαλόντα, λόγους κατάρας ἐν καρδίᾳ μετ' ὀργῆς αὐτῷ βάλωμεν· τρίτη τάξις, εὐθὺς κατεύξασθαι κατ' αὐτοῦ, συστρέφοντας τὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καρδίαν τῇ ἐπικλήσει Ἰησοῦ Χριστοῦ· ἵνα εὐθέως καταλυθῇ τὸ δαιμόνιον ἴνδαλμα, τοῦ μὴ ἐξακολουθῆσαι τῇ φαντασίᾳ τὸν νοῦν, ὡς νήπιον ὑπὸ φαντασιοποιοῦ τινος πλανώμενον.

ρϛʹ. Κοπιάσωμεν ὡς ὁ Δαβίδ, κράζοντες τό, Κύριε Ἰησοῦ Χριστέ· * βραγχιάσῃ ἡμῶν ὁ λάρυγξ· καὶ μὴ ἐκλείπωσιν οἱ νοητοὶ ἡμῶν ὀφθαλμοὶ ἀπὸ τοῦ ἐλπίζειν ἡμᾶς ἐπὶ Κύριον τὸν Θεὸν ἡμῶν.

* βραγχιασάτω.

ρζʹ. Τῆς παραβολῆς ἀεὶ μεμνημένοι τοῦ κριτοῦ τῆς ἀδικίας, ἣν εἶπεν ὁ Κύριος πρὸς τὸ δεῖν ἡμᾶς πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν· καὶ τὸ κέρδος εὑρήσομεν, καὶ τὴν ἐκδίκησιν.

ρηʹ. Ὥσπερ ὁ τῷ Ἡλίῳ ἀτενίζων, ἀδύνατον μὴ πλουσίως τὰς ὄψεις καταυγάζεσθαι· οὕτως ὁ ἀεὶ ἐγκύπτων εἰς τὸν ἀέρα τῆς καρδίας, οὐ δύναται μὴ φωτίζεσθαι.

ρθʹ. Ὡς ἀδύνατον, τὴν παροῦσαν ζωὴν ζῆν ἄνευ τοῦ ἐσθίειν καὶ πίνειν, οὕτως ἀδύνατον χωρὶς φυλακῆς νοὸς καὶ καθαρότητος καρδίας, ὅ ἐστι, καὶ λέγεται νῆψις, εἴς τι πνευματικὸν καὶ ἀρέσκον Θεῷ φθάσαι τὴν ψυχήν, ἢ ἐλευθερωθῆναι τῆς κατὰ διάνοιαν ἁμαρτίας, εἰ καὶ βιάζεταί τις ἑαυτὸν διὰ τὸν φόβον τῶν κολάσεων μὴ ἁμαρτάνειν.

ριʹ. Πλὴν καὶ οἱ τῆς κατ' ἐνέργειαν ἁμαρτίας βίᾳ τινὶ ἀπεχόμενοι, μακάριοι παρά τε Θεῷ, καὶ Ἀγγέλοις, καὶ ἀνθρώποις, ὅτι βιασταὶ τῆς Βασιλείας τῶν Οὐρανῶν εὑρίσκονται.

ριαʹ. Τοῦτο τὸ θαυμαστὸν τῆς ὠφελείας τοῦ νοῦ τῆς ἐκ τῆς ἡσυχίας· ὅτι πάντα τὰ ἁμαρτήματα κατὰ τὸν πρότερον κρατοῦντα ἐν λογισμοῖς μόνον, ὥστε εἰ παραδεχθῶσι παρὰ τῆς διανοίας, γενέσθαι αἰσθητά, καὶ παχέα ἁμαρτήματα, πάντα ἐκκόπτει ἡ διακριτική, καὶ νηπτικὴ ἀρετή, ἐν τῷ ἔσω ἡμῶν ἀνθρώπῳ μὴ ἐῶσα αὐτὰ εἰσέρχεσθαι, καὶ ἀχθῆναι εἰς ἔργα πονηρά, τῇ ῥοπῇ καὶ ἀντιλήψει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ριβʹ. Εἰκὼν τῆς ἐξωτέρας καὶ αἰσθητῆς σωματικῆς ἀσκήσεως, ἡ παλαιὰ Διαθήκη· τὸ δὲ ἅγιον Εὐαγγέλιον, ὅ ἐστιν ἡ καινή, εἰκὼν τῆς προσοχῆς, ἤγουν τῆς καθαρότητος τῆς καρδίας. καὶ ὥσπερ ἡ Παλαιὰ οὐκ ἐτελείου, οὔτε ἐπληροφόρει τὸν ἔσω ἄνθρωπον εἰς θεοσέβειαν· οὐδένα γάρ, φησὶν ὁ Ἀπόστολος, ὁ νόμος ἐτελείωσε· μόνον δὲ τὰ παχέα ἁμαρτήματα διεκώλυε. τοῦ γὰρ κωλῦσαι μὴ ἐκβάλλειν τὸν ὀφθαλμόν, καὶ ὀδόντα τοῦ πλησίον, τὸ καὶ λογισμοὺς ἀπὸ καρδίας ἐκκόψαι, ὅπερ ἐστὶ τοῦ Εὐαγγελίου διάταγμα, καὶ τὰς πονηρὰς ἐνθυμήσεις, μεῖζόν ἐστιν εἰς καθαρότητα ψυχῆς. οὕτω καὶ ἐπὶ τῆς σωματικῆς δικαιοσύνης καὶ ἀσκήσεως, νηστείας λέγω, καὶ ἐγκρατείας, χαμευνίας, στάσεως, ἀγρυπνίας, καὶ τῶν λοιπῶν, ἃ περὶ τὸ σῶμα πεφύκασι, καὶ τὸ παθητικὸν μέρος τοῦ σώματος ἡσυχάζειν ποιεῖ ἀπὸ τῆς κατ' ἐνέργειαν ἁμαρτίας· ὥσπερ εἶπον ἐπὶ τῆς Παλαιᾶς καλά τε ὄντα καὶ ταῦτα. παιδαγωγία γάρ εἰσι τοῦ ἔξω ἡμῶν ἀνθρώπου, καὶ φρουρὸς τῶν κατ' ἐνέργειαν παθῶν· οὐ μὴν δὲ καὶ τῶν κατὰ διάνοιαν ἁμαρτημάτων φρουρητικά, ἤγουν κωλυτικά· οἷον ἀπαλλάξαι ἡμᾶς, σὺν Θεῷ, φθόνου, ὀργῆς, καὶ τῶν λοιπῶν.

ριγʹ. Ἡ δὲ καθαρότης τῆς καρδίας, ἤγουν ἡ τοῦ νοῦ τήρησις καὶ φυλακή, ἧς τύπος ἡ καινὴ Διαθήκη, εἴπερ ὡς δεῖ παρ' ἡμῶν φυλάττεται, πάντα τὰ πάθη, καὶ πάντα τὰ κακὰ ἀπὸ τῆς καρδίας ἐκριζοῦσα ἐκκόπτει· καὶ ἀντεισάγει χαράν, εὐελπιστίαν, κατάνυξιν, πένθος, δάκρυον, ἐπίγνωσιν * ἑαυτῶν τε, καὶ τῶν ἁμαρτημάτων ἡμῶν, μνήμην θανάτου, ταπείνωσιν ἀληθῆ, ἀγάπην τε ἄπειρον πρός τε Θεόν, καὶ ἀνθρώπους, καὶ ἔρωτα θεῖον ἐγκάρδιον.

* ἐν ἄλ. ἡμῶν αὐτῶν.

ριδʹ. Ὡς οὐκ ἔστι μὴ τέμνειν τοῦτον τὸν ἀέρα ἐν γῇ βαδίζοντα· οὕτως μὴ πολεμεῖσθαι

ἀεν-

ἀπαύστως ὑπὸ δαιμόνων καρδίαν ἀνθρώπου ἀδύνατον, ἢ καὶ ὑπ' αὐτῶν κρυπτῶς ἐνεργεῖσθαι, κἂν σωματικὴν ἄσκησιν πολλὴν ἔχῃ.

ριε΄. Εἴπερ ἐν Κυρίῳ θέλεις, μὴ δοκήσει μόνον εἶναι Μοναχὸς, καὶ χρηστὸς, καὶ ἐπιεικὴς, καὶ Θεῷ πάντοτε ἡνωμένος· ἀλλὰ καὶ ἀληθείᾳ εἶναι βούλει πιστὸς, προσοχικὴν ἀρετὴν πάσῃ δυνάμει μέτελθε, ἥ ἐστι νοὸς φυλακὴ, νοῦ τήρησις, καὶ τελείωσις καρδιακὴ γλυκείας ἡσυχίας, ἀφάνταστος μακαρία τῆς ψυχῆς κατάστασις· πρᾶγμα οὐκ ἐν πολλοῖς εὑρισκόμενον.

ρις΄. Αὕτη γὰρ λέγεται νοητὴ φιλοσοφία· καὶ ὅδευε ταύτην ἐν πολλῇ νήψει καὶ θερμῇ προθυμίᾳ σὺν εὐχῇ Ἰησοῦ, σὺν ταπεινώσει, καὶ πυκνότητι, καὶ σιωπῇ αἰσθητῶν χειλέων καὶ νοητῶν, σὺν ἐγκρατείᾳ βρωμάτων καὶ πομάτων, καὶ παντὸς ἐφαμάρτου πράγματος. ὅδευε ταύτην ἐν ὁδῷ διανοίας ἐπιστημόνως ἐν φρονήσει· καὶ αὕτη σε διδάξει, σὺν Θεῷ, ἃ οὐκ ἠπίστασο, καὶ γνωριεῖ καὶ φωτιεῖ καὶ συνετίσει καὶ μαθητεύσει ἅπερ πρότερον λαβεῖν εἰς νοῦν ἀδυνάτως εἶχες, ἐν σκότει παθῶν περιπατῶν καὶ σκοτεινῶν ἔργων, καὶ ὑπὸ λήθης καὶ συγχύσεως ἀβύσσῳ καλυπτόμενος.

ριζ΄. Ὥσπερ αἱ κοιλάδες πληθύνουσι σῖτον, οὕτως αὕτη πληθύνει ἐν τῇ καρδίᾳ ἀγαθὸν ἅπαν· μᾶλλον δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ταῦτα παρέξει σοι· οὗ χωρὶς οὐ δυνάμεθα ποιεῖν οὐδέν. καὶ πρῶτον μὲν κλίμακα αὐτὴν εὑρήσεις, ἔπειτα δὲ βίβλον ἀναγινωσκομένην. εἶτα προκόπτων, εὑρήσεις αὐτὴν πόλιν Ἱερουσαλὴμ ἐπουράνιον, καὶ τὸν Βασιλέα Χριστὸν τῶν δυνάμεων τοῦ Ἰσραὴλ, ἐναργῶς νοητῶς ὄψει σὺν τῷ ὁμοουσίῳ αὐτοῦ Γεννήτορι, καὶ τῷ Ἁγίῳ Πνεύματι τῷ προσκυνητῷ.

ριη΄. Διὰ φαντασίας ψευδοῦς ἀεὶ οἱ δαίμονες ἐνάγουσιν ἡμᾶς εἰς τὸ ἁμαρτάνειν. καὶ γὰρ ἐν φαντασίᾳ φιλαργυρίας καὶ κέρδους τὸν ἄθλιον Ἰούδαν παρεσκεύασαν παραδοῦναι τὸν Κύριον καὶ Θεὸν τῶν ἁπάντων· διὰ δὲ ψευδοῦς οὐτιδανῆς ἀναπαύσεως σωματικῆς, καὶ τιμῆς, καὶ κέρδους, καὶ δόξης ἀγχόνῃ αὐτὸν περιέβαλον, καὶ τὸν αἰώνιον θάνατον αὐτῷ προεξένησαν· ἀπεναντίας οἱ δείλαιοι πάμπαν τῆς ἑαυτῶν φαντασίας, τῆς προσβολῆς λέγω, αὐτὸν ἀνταμειψάμενοι.

ριθ΄. Ὅρα, πῶς διὰ φαντασίας, καὶ ψεύδους, καὶ κενῶν ὑποσχέσεων ἡμᾶς πτωματίζουσιν οἱ ἐχθροὶ τῆς σωτηρίας ἡμῶν. καὶ αὐτὸς ὁ Σατανᾶς οὕτως ἐκ τῶν ὑψωμάτων ὡς ἀστραπὴ κατεῤῥάγη, ἰσοθεΐαν φαντασθείς. καὶ οὕτω πάλιν τὸν Ἀδὰμ ἐχώρισε τοῦ Θεοῦ, θεϊκὸν ἀξίωμα φαντάσας αὐτόν. καὶ οὕτω πάντας τοὺς ἁμαρτάνοντας ἀπατᾷ ὁ ψεύστης καὶ δόλιος εἴωθεν ἐχθρός.

ρκ΄. Πικραινόμεθα μὲν τὴν καρδίαν ὑπὸ ἰοῦ λογισμῶν πονηρίας, ὅταν προσοχῆς * (* καὶ) Ἰησοῦ εὐχῆς πρὸς πολὺ ὑπὸ λήθης ἀμελοῦντες ἀπαγώμεθα. γλυκαινόμεθα δὲ πάλιν ἐν αἰσθήσει καὶ ἡδύτητί τινι ἀγαλλιάσεως μακαρίας, ὅταν τὰ προειρημένα κραταιῶς καὶ προθύμως ἐν τῷ ἐργαστηρίῳ τῆς διανοίας ἐμμελῶς δι' ἔρωτος θείου ἐπιτελῶμεν. τότε γὰρ οὐ δι' ἄλλο τι τῇ καρδιακῇ ἡσυχίᾳ βαδίζειν προθυμούμεθα, ἀλλ' ἢ διὰ τὴν ἐξ αὐτῆς ἐν τῇ ψυχῇ γλυκεῖαν ἡδονὴν καὶ τέρψιν.

ρκα΄. Ἐπιστήμη ἐπιστημῶν, καὶ τέχνη τεχνῶν, ἡ τῶν κακούργων λογισμῶν ἐστὶ τέχνη. ἔστι δὲ ἄριστος τρόπος καὶ τέχνη αὐτῶν τὸ ἐν Κυρίῳ τὴν φαντασίαν βλέπειν τῆς προσβολῆς, καὶ φυλάττειν τὴν διάνοιαν· ὥσπερ τὸν αἰσθητὸν φυλάσσομεν ὀφθαλμὸν, καὶ ὀξέως μετ' αὐτοῦ βλέπομεν, τὸν πλῆξαι τοῦτον ἐκ συμβάσεως ἐρχόμενον, καὶ ὅση δύναμις, τὸ κάρφος κωλύομεν ἐξ αὐτοῦ.

ρκβ΄. Ὡς οὐ τέξεται χιὼν φλόγα, ἢ ὕδωρ πῦρ γεννήσει, ἢ ῥάμνος σῦκα· οὕτως οὐκ ἐλευθερωθήσεται παντὸς ἀνθρώπου

καρδία

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καρδία δαιμονικῶν λογισμῶν, καὶ λόγων, καὶ ἔργων, μὴ καθάρασα τὰ ἔνδον, καὶ τὴν νῆψιν σὺν εὐχῇ Ἰησοῦ συνάψασα, καὶ ταπείνωσιν καὶ ψυχικὴν ἡσυχίαν κατορθώσασα· καὶ ἐπειγομένη σὺν προθυμίᾳ πολλῇ καὶ ὁδεύσασα· ἀλλ' ἀνάγκη στερεῦσαι τὴν ἀπρόσεκτον ψυχὴν παντὸς ἀγαθοῦ καὶ τελείου νοήματος, ὡς ἡμίονον ἄκαρπον· ᾗ οὐκ ἔστι σύνεσις πνευματικῆς φρονήσεως. ὄντως εἰρήνη ἐστὶ τῆς ψυχῆς, τὸ γλυκὺ πρᾶγμα καὶ ὄνομα Ἰησοῦ, καὶ κένωσις νοημάτων ἐμπαθῶν.

ρκγ'. Ὅταν κακῶς συμφωνήσῃ ἡ ψυχὴ μετὰ τοῦ σώματος, τότε ἄμφω οἰκοδομοῦσι πόλιν κενοδοξίας, καὶ πύργον ὑπερηφανίας, καὶ τοὺς ἐν αὐταῖς κατοικοῦντας ἀσεβεῖς λογισμούς. ὁ δὲ Κύριος, τῷ φόβῳ τῆς γεέννης τὴν ὁμοφωνίαν αὐτῶν συγχέει τε, καὶ διαιρεῖ, ἀλλότριά τε καὶ ἐναντία τῷ σώματι τὴν κυρίαν ψυχὴν λαλεῖν τε, καὶ φρονεῖν ἀναγκάζων· ἐξ οὗ
* φόβου. φόβος καὶ διαμερισμὸς συμβαίνουσι, διὰ τὸ φρόνημα τῆς σαρκὸς ἔχθραν εἰς Θεὸν εἶναι, καὶ τῷ τοῦ Θεοῦ νόμῳ μὴ ὑποτάσσεσθαι.

ρκδ'. Τὰ καθ' ἡμέραν ἡμῶν ἔργα, δεῖ σταθμίζειν καθ' ὥραν, καὶ προσέχειν, καὶ κοῦφα ὅση δύναμις ἐπαχθῆ ποιεῖν τῇ ἑσπέρᾳ διὰ τῆς μετανοίας· εἴγε βουλόμεθα σὺν Χριστῷ τῆς κακίας περιγενέσθαι. καὶ σκοπεῖν δεῖ, εἰ κατὰ Θεὸν τελοῦμεν πάντα τὰ αἰσθητὰ, καὶ φαινόμενα ἡμῶν ἔργα, κατ' ἐνώπιον Θεοῦ, καὶ διὰ Θεὸν μόνον· ἵνα μὴ ὑπὸ τῶν αἰσθήσεων ἀλόγως κλεπτώμεθα.

ρκε'. Ἐὰν γὰρ τὸ καθ' ἑκάστην κερδαίνωμεν, σὺν Θεῷ, ἐκ τῆς νήψεως ἡμῶν, οὐκ ὀφείλομεν ἀδιαφόρως ἀναστρέφεσθαι, καὶ ζημιοῦσθαι διὰ πολλῶν συντυχιῶν ἐπισφαλῶν· ἀλλὰ μᾶλλον καταφρονεῖν δεῖ τῶν ματαίων, διὰ τὸ ἐράσμιον, καὶ γλυκὺ τῆς ἀρετῆς κέρδος, καὶ κάλλος.

ρκς'. Δικαίως κατὰ φύσιν ὥσπερ ἐκτίσθη ὑπὸ Θεοῦ, ὀφείλομεν κινεῖν τὸ τριμερὲς τῆς ψυχῆς. καὶ τὸν μὲν θυμὸν κατὰ τοῦ ἐκτὸς ἡμῶν ἀνθρώπου, καὶ τοῦ ὄφεως σατανᾶ. ὀργίζεσθε φησὶ κατὰ τῆς ἁμαρτίας· τουτέστιν ὀργίζεσθε ἑαυτοῖς, καὶ τῷ διαβόλῳ, φησὶν, ὅπως μὴ εἰς Θεὸν ἁμαρτάνητε. τὸ ἐπιθυμητικὸν δὲ κινεῖν χρὴ πρός τε Θεὸν, καὶ ἀρετήν. τὸ δὲ λογιστικὸν τούτοις ἀμφοτέροις μετὰ σοφίας τε, καὶ ἐπιστήμης τάξωμεν· διατάττεσθαι, νουθετεῖν, τιμωρεῖσθαι, καὶ ἄρχειν ὡς βασιλεὺς ἄρχει δούλων· καὶ τότε κατὰ Θεὸν πάντα ὁ λόγος ὁ ἐν ἡμῖν διακυβερνᾷ, εἰ καὶ πρὸς τὸν λόγον τὰ πάθη στασιάζει· καὶ ἡγεμονεύειν τὸν λόγον τούτοις ἐπιστατήσωμεν. φησὶ γὰρ ὁ τοῦ Κυρίου Ἀδελφός· εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνήρ. δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα, καὶ τὰ ἑξῆς. ἐπειδὴ ἀληθῶς φασι, πᾶσα ἀνομία, καὶ ἁμαρτία, διὰ τῶν τριῶν τούτων ἐπιτελεῖται· καὶ πᾶσα ἀρετή τε, καὶ δικαιοσύνη, διὰ τῶν τριῶν πάλιν αὐτῶν συνίσταται.

Τηνικαῦτα ὁ νοῦς σκοτίζεται, καὶ ἄκαρπος μένει, ἡνίκα ἢ λόγους κοσμικοὺς λαλήσῃ, ἢ κατὰ διάνοιαν δεξάμενος προσομιλήσῃ αὐτοῖς, ἢ εἰς αἰσθητά τινα τὸ σῶμα σὺν τῷ νῷ ματαίως ἐνασχοληθῇ, ἢ ματαιότησιν ὁ Μοναχὸς ἑαυτὸν ἐκδῷ. εὐθέως γὰρ καὶ παραυτὰ ἀπόλλυσι τὴν θέρμην, καὶ τὴν κατάνυξιν, καὶ τὴν ἐν Θεῷ παῤῥησίαν τε καὶ γνῶσιν. ὅσον γὰρ προσέχομεν τῷ νῷ, φωτιζόμεθα, καὶ ὅσον οὐ προσέχομεν, σκοτιζόμεθα. ρκζ'.

Ὁ γὰρ καθ' ἑκάστην ἡμέραν τὴν τοῦ νοῦ εἰρήνην καὶ ἡσυχίαν διώκων, καὶ ζητῶν, οὗτος ῥαδίως καταφρονήσει αἰσθητῶν πάντων, ἵνα μὴ μάτην κοπιᾷ. εἰ δὲ παραλογίζεται τὴν ἰδίαν συνείδησιν, πικρῶς ὑπνώσει τὸν τῆς λήθης θάνατον· ὃν δὴ ἀπεύχεται μὴ ὑπνῶσαι ὁ θεῖος Δαβίδ. φησὶ δὲ καὶ ὁ Ἀπόστολος· εἰδότι ρκη'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καλὸν ποιεῖν, καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστίν.

ρκθ'. Ἔρχεται δὲ ὁ νοῦς ἐκ τῆς ἀμελείας εἰς τὴν ἰδίαν πάλιν τάξιν καὶ νῆψιν, εἴπερ αὖθις ἐπιμελείας τύχοι· καὶ ἐὰν τὸ πρακτικὸν ἡμῶν τοῦ νοὸς ἐν θερμῇ σπουδῇ πάλιν στήσωμεν.

ρλ'. Οὐ προβήσεται μυλικὸς ὄνος τοῦ κύκλου, ἐν ᾧ συνεδέθη· οὔτε νοῦς προβήσεται ἐν ἀρετῇ τελειοποιῷ, μὴ τὰ ἔνδον αὐτοῦ διορθωσάμενος. τυφλώττει γὰρ ἀεὶ ἐν τοῖς ἔνδον ὄμμασι, ἀδυνατῶν ὁρᾷν ἀρετὴν, καὶ φωτομαρμαρυγοῦντα τὸν Ἰησοῦν.

ρλα'. Ἵππος μὲν θρασύστις καὶ γαῦρος, ἐξάλλεται τερπνῶς ἐπιβάτην δεξάμενος. νοῦς δὲ τερπόμενος τερφθήσεται ἐν φωτὶ Κυρίου· εἰσδύνων εἰς τὰς πρωΐας νοημάτων ἐλευθερούμενος. προβήσεται δὲ ἐκ δυνάμεως φιλοσοφίας τῆς πρακτικῆς, αὐτὸς ἑαυτὸν ἀνατείνων, εἰς δύναμιν ἄρρητον, ἀρρήτων τε καὶ ἀρετῶν θεωρητικὴν, καὶ βάθος ὑψηλῶν τοῦ ἀπείρου, καὶ θείων ἐννοιῶν ἐν καρδίᾳ δεξάμενος, ὀφθήσεται αὐτῷ ὡς ἐφικτὸν καρδίᾳ ὁ Θεὸς τῶν θεῶν. ὁ δὲ νοῦς ἐκπλαγεὶς, κυδαίνει ἀγαπητικῶς Θεὸν τὸν βλεπόμενον καὶ βλέποντα, καὶ διὰ τούτου κινεῖται, σώζοντα τὸν εἰς αὐτὸν οὕτως ἐνατενίζοντα.

ρλβ'. Βυθὸν ὑψηλὸν κατόψεται γνωστικῶς ἡσυχία καρδιακὴ κατορθουμένη· καὶ ἐξαίσια παρὰ Θεοῦ ἀκουτισθήσεται ὁ τῆς ἡσυχίας νοός.

ρλγ'. Ὁδοιπόρος μὲν μακρὰν, καὶ δύσβατον, καὶ ἀργαλέαν ὁδὸν στέλλεσθαι ἐναρξάμενος, πλάνην τε ὑφορώμενος ἐν τῷ ὑποστρέφειν, σημεῖα τινὰ, καὶ ὁδηγοὺς ἐν ὁδοιπορίᾳ αὐτοῦ καταπήξεται· ῥᾳδίαν αὐτῷ τὴν πρὸς τὰ οἰκεῖα ἐπάνοδον προξενοῦντα. λόγους δὲ ὁ νηφαλίως ὁδεύων στελεῖται ἀνὴρ, τοῦτο αὐτὸ καὶ αὐτοὺς ὑφορώμενος.

ρλδ'. Ἀλλὰ τῷ μὲν ὁδοιπόρῳ ἐπανακάμψαι, ὅθεν ἐξέβη, χαρᾶς πρόξενον. νηφαλίῳ δὲ ἐπανακάμπτειν εἰς τὰ ὀπίσω, ὄλεθρος ψυχῆς λογικῆς, καὶ σημεῖον ἀποστασίας τῶν θεαρέστων ἔργων τε καὶ λόγων καὶ ἐννοιῶν· καὶ ἕξει ἐν καιρῷ ὕπνια ψυχῆς θανατηφόρα τοὺς λογισμοὺς ὡς κέντρα διεγείροντας αὐτὴν τῇ ὑπομνήσει τοῦ πολλοῦ κάρου, καὶ ῥαθυμίας τῆς ἐκ ἀμελείας αὐτῷ συμβάσης.

Ἐν θλίψεσι, καὶ ἐν ἀπογνώσεσι, καὶ ἀπελπισμοῖς περιπεσόντας ἡμᾶς, χρὴ ποιεῖν ἐν ἑαυτοῖς τὸ τοῦ Δαβὶδ, ἐκχέειν τὴν καρδίαν ἡμῶν πρὸς τὸν Θεὸν, καὶ τὴν δέησιν καὶ τὴν θλίψιν ἡμῶν, ὡς ἐστι, Κυρίῳ ἀναγγέλλειν. ἐξομολογούμεθα γὰρ τῷ Θεῷ, ὡς δυναμένῳ σοφῶς τὰ καθ' ἡμᾶς διοικῆσαι· καὶ τὴν θλίψιν, εἰ ἐπὶ συμφέροντι, ποιῆσαι ῥᾳδίαν· καὶ ῥύσασθαι ἡμᾶς τῆς ὀλεθρίας καὶ φθαρτικῆς λύπης. ρλε'.

Θυμὸς γὰρ τῶν ἀνθρώπων παρὰ φύσιν κινούμενος, καὶ λύπη μὴ κατὰ Θεὸν, καὶ ἀκηδία, φθαρτικὰ ὁμοίως εἰσὶ τῶν ἀγαθῶν τε καὶ γνωστικῶν λογισμῶν· ἃ ὁ Κύριος τῇ ἐξομολογήσει σκορπίζων, χαρὰν ἐμποιεῖ. ρλς'.

Λογισμοὺς δὲ ἐν καρδίᾳ, καὶ μὴ θελόντων ἡμῶν, παγιωθέντας τε, καὶ ἱσταμένους, ἐξαλείφειν πέφυκεν Ἰησοῦ εὐχὴ μετὰ νήψεως, ἐκ βαθέων ἐννοίας καρδίας. ρλζ'.

Κουφισμὸν δὲ καὶ χαρὰν, ἐν θλίψει πολλῶν ἀλόγων λογισμῶν γενόμενοι, εὑρήσομεν, ὅταν μεμψώμεθα ἑαυτοὺς ἐν ἀληθείᾳ καὶ ἀπροσπαθῶς· ἢ τοῦ ἀναγγεῖλαι πάντα καθάπερ ἀνθρώπῳ τῷ Κυρίῳ· καὶ πάντως ἐκ τῶν δύο τούτων εὑρήσομεν ἀνάπαυσιν ἐκ παντός. ρλη'.

Εἰς εἰκόνα τοῦ νοῦ ὁ νομοθέτης Μωσῆς λαμβάνεται παρὰ τῶν Πατέρων· ὃς Θεὸν ὁρᾷ ἐν τῇ βάτῳ, καὶ τὸ πρόσωπον δοξάζεται, καὶ Θεὸς Φαραὼ ὑπὸ τοῦ Θεοῦ τῶν θεῶν καθίσταται· Αἴγυπτόν τε μαστίζει, ρλθ'.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ διάγει τὸν Ἰσραὴλ, καὶ νομοθετεῖ· ἅτινα τροπικῶς λαμβανόμενα κατὰ πνεῦμα, τοῦ νοός εἰσιν ἐνεργήματα καὶ προτερήματα.

ρμ′. Εἰκὼν δὲ τοῦ ἐκτὸς ἀνθρώπου, Ἀαρὼν ὁ ἀδελφὸς τοῦ νομοθέτου. ἐγκλήσεις οὖν μετὰ θυμοῦ ὡς Μωσῆς πταίσαντι τῷ Ἀαρὼν, καὶ ἡμεῖς εἰσφέροντες λέγωμεν· τί ἠδίκησέ σε Ἰσραὴλ, ὅτι ἐσπούδασας ἀποστῆσαι αὐτοὺς ἀπὸ Κυρίου Θεοῦ ζῶντος Παντοκράτορος;

ρμα′. Παρέδειξε γὰρ ἡμῖν ὁ Κύριος σὺν πᾶσιν ἄλλοις ἀγαθοῖς καὶ τοῦτο, ὅτε ἔμελλεν ἀναστήσειν τὸν Λάζαρον ἐκ τῶν νεκρῶν, τὸ ἀναστέλλειν διὰ ἐμβριμήσεως τὸ θηλυδρῶδες καὶ διαχυτικὸν τῆς ψυχῆς, καὶ στυφὸν ἦθος * ζηλοῦν ὃ οἶδε, φημὶ δὴ, τὸ αὐτομεμφὲς, ἐκ φιλαυτίας, ἐκ κενοδοξίας, καὶ ὑπερηφανίας τὴν ψυχὴν λυτροῦσθαι.

* τὸ ἀποτελεῖν.

ρμβ′. Ὥσπερ οὐκ ἄτερ πλοίου μεγάλου, θαλάττιον πέλαγος περάσαι ἐστὶ δυνατὸν, οὕτως ἀδύνατον ἐκδιῶξαι προσβολὴν λογισμοῦ πονηροῦ, χωρὶς ἐπικλήσεως Ἰησοῦ Χριστοῦ.

ρμγ′. Ἀντίρρησις μὲν φιμοῖ, ἐπίκλησις δὲ διώκει ἐκ καρδίας ἔσωθεν τοὺς λογισμούς. ἡ γὰρ προσβολὴ μορφωθεῖσα ἐν φαντασίᾳ αἰσθητοῦ πράγματος ἐν τῇ ψυχῇ, οἷον τὸ τοῦ λυπήσαντος ἡμᾶς πρόσωπον, ἢ κάλλους φαντασία γυναικείου, ἢ χρυσίου, ἢ ἀργυρίου, ἐν καθ' ἓν τύπον ὥσπερ γένηται ἐν τῇ διανοίᾳ ἡμῶν, εὐθέως ἐλέγχονται οἱ τῆς μνησικακίας, καὶ πορνείας, καὶ φιλαργυρίας φαντάσαντες τὴν καρδίαν λογισμοί. καὶ εἰ μὲν πεπειραμένος ὁ νοῦς ἡμῶν, καὶ πεπαιδευμένος ὑπάρχει, ἐν ἕξει ὢν τῆς τοῦ νοῦ τηρήσεως, καὶ τοῦ καθαρῶς καὶ ἐν αἰθρίᾳ βλέπειν τὰς θελκτικὰς φαντασίας τε καὶ ἀπάτας τῶν πονηρῶν, εὐκόλως εὐθὺς τῆς ἀναδείξεως καὶ ἀντιρρήσεως, καὶ εὐχῆς Ἰησοῦ Χριστοῦ, σβεννύει τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου· μὴ συγχωροῦν τῇ ἐμπαθεῖ φαντασίᾳ συγκινῆσαι ἅμα αὐτῇ· καὶ τοὺς ἡμῶν λογισμοὺς συμμορφωθῆναι τῷ ἰνδάλματι ἐμπαθῶς, ἢ προσλαλῆσαι φιλικῶς, ἢ πολυωρεῖν, ἢ συγκατάθεσιν ποιῆσαι· ἐξ ὧν ἐπακολουθοῦσιν ἀνάγκῃ τινὶ, ὡς ἡμέραις αἱ νύκτες, τὰ πονηρὰ ἔργα.

ρμδ′. Εἰ δὲ ἄπειρός ἐστιν ὁ νοῦς ἡμῶν συνεχείας νήψεως, εὐθὺς μίγνυται τῷ φαντασθέντι αὐτῷ ἐμπαθῶς, οἷον αὐτῷ εἴη, καὶ διαλέγεται, πεύσεις λαμβάνων * ἀδίκους, καὶ διδοὺς ἀποκρίσεις· καὶ τότε ἀναμὶξ γίνονται οἱ ἡμέτεροι λογισμοὶ τῇ δαιμονιώδει φαντασίᾳ· αὐτῆς ἔτι μᾶλλον αὐξανομένης τε καὶ πληθυνομένης, ἵνα ἐρασμία τε, καὶ ὡραία, καὶ ἀρέσκουσα καταφαίνηται τῷ προσιεμένῳ νοῒ καὶ συλημένῳ. καὶ ταυτὸν πάσχει τότε ὁ νοῦς, οἷον ὅπερ φασὶ κύων ἐν πεδινῷ τόπῳ τινὶ, ἔνθα καὶ ἄρνες τινὲς τύχωσιν, ὄντες ἄκακοι· καὶ τῷ ὀφθέντι αὐτοῖς πολλάκις προστρέχουσιν, ὡς ἰδίᾳ μητρὶ, μηδὲν ἐκ τῆς τοῦ κυνὸς πλησιάσεως κερδήσαντες, ἢ μόνον τῆς ἐκείνου ἀκαθαρσίας καὶ δυσωδίας ἀντιλαβέσθαι. τὸν αὐτὸν δὴ τρόπον καὶ οἱ ἡμέτεροι λογισμοὶ προστρέχουσιν ἀπαιδεύτως πάσαις ταῖς δαιμονικαῖς ἐν τῷ φαντασίαις· καὶ ἀναμὶξ, ὡς ἔφην, γενόμενοι, ἔστιν ἰδεῖν αὐτοὺς ἄμφω * βουλομένους καταστρέψαι τὴν Ἰλιούπολιν, ὡς Ἀγαμέμνων τε, καὶ Μενέλαος. οὕτω γὰρ καὶ ἔτι βουλεύονται τί δεῖ γενέσθαι τοῦ εἰς ἔργον ἀγαγεῖν διὰ τοῦ σώματος τὸ ὡραῖον αὐτοῖς καὶ ἡδὺ φανὲν ἐξ ἀπάτης διὰ τῆς δαιμονίας εἰσβολῆς. καὶ οὕτω δὴ λοιπὸν δημιουργεῖται ἔνδον τὰ τῆς ψυχῆς πτώματα· ἀνάγκη ἔκτοτε καὶ ἐκτὸς αὐτὰ ἐκφέρειν τὰ ἔνδον τῆς καρδίας.

* [illegible]

* βουλόμενοι.

ρμε′. Εὔκολον γάρ τι καὶ ἄκακον πρᾶγμα ὁ νοῦς, ῥᾳδίως ἐπακολουθεῖν τοῖς φαντάσμασι, καὶ πρὸς τὰς ἀνόμους φαντασίας δυσκάθεκτον, εἰ μὴ ἔχει κωλύοντα αὐτὸν

ἀεν-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀνεπαισθήτως, καὶ χαλινοῦται τὸν αὐτοκράτορα τῶν παθῶν λογισμόν.

ρμϛʹ. Θεωρία, καὶ γνῶσις, ὁδηγοὶ ἀκριβοῦς βίου, καὶ πρόξενοι πεφύκασι γίνεσθαι, διὰ τὸ τὴν διάνοιαν ἐπαρθεῖσαν ταύταις, εἰς καταφρόνησιν φθάσαι τῶν ἡδονῶν, καὶ τῶν ἄλλων αἰσθητῶν, καὶ ἡδέων τοῦ βίου, ὡς εὐτελῶν.

ρμζʹ. Βίος δὲ προσεκτικὸς ἐν Χριστῷ Ἰησοῦ κατορθούμενος, πατὴρ γίνεται τῆς θεωρίας καὶ γνώσεως πάλιν· γεννήτωρ δὲ ἀναβάσεων θείων, καὶ ἐννοιῶν σοφωτάτων, ἁρμοσθεὶς συζύγῳ τῇ ταπεινώσει, ὥς φησιν Ἡσαΐας ὁ θεῖος Προφήτης. ὅτι, οἱ ὑπομένοντες τὸν Κύριον, ἀλλάξουσιν ἰσχύν, πτεροβολήσουσι καὶ πετασθήσονται διὰ Κυρίου, φησίν.

ρμηʹ. Σκληρὸν καὶ χαλεπὸν τοῖς ἀνθρώποις καταφαίνεται τὸ ψυχικῶς ἡσυχάζειν ἀπὸ παντὸς λογισμοῦ. καὶ ἔστιν ἄρα ὡς ἀληθῶς ἐργῶδές τε καὶ ἐπίπονον. οὐ γὰρ μόνοις ἐπαχθὲς τοῖς ἀμυήτοις τοῦ πολέμου, τὸ ἀσώματον ἐν σωματικῷ οἴκῳ περικλείειν τε καὶ περιορίζειν, ἀλλὰ καὶ τοῖς πεῖραν εἰληφόσι τῆς ἔνδον ἀΰλου μάχης· ὁ δὲ Κύριον Ἰησοῦν διὰ συνεχοῦς εὐχῆς ἐνστερνισάμενος, οὐ κοπιάσει κατακολουθῶν αὐτῷ κατὰ τὸν Προφήτην· καὶ ἡμέραν ἀνθρώπου ὁ πιστὸς οὐκ ἐπιθυμήσει, διὰ τὴν ὡραιότητα, καὶ τερπνότητα, καὶ γλυκύτητα τοῦ Ἰησοῦ. καὶ τοὺς κύκλῳ ἀσεβεῖς δαίμονας περιπατοῦντας τοὺς ἐχθροὺς αὐτοῦ οὐ καταισχυνθήσεται, λαλῶν αὐτοῖς ἐν πύλῃ καρδίας· καὶ διὰ Ἰησοῦ κατὰ τρόπον διώκων.

ρμθʹ. Ἡ ἄπασα ψυχὴ διὰ θανάτου ἐν ἀέρι, ἐν πύλαις ἠερίαις μεθ' ἑαυτῆς ὑπὲρ αὐτῆς Χριστὸν ἔχουσα, οὔτε ἐκεῖ τοὺς ἐχθροὺς αὐτῆς αἰσχυνθήσεται, ἀλλὰ παῤῥησίᾳ, ὡς νῦν, καὶ τότε λαλήσει ἐν πύλαις πρὸς αὐτούς· μόνον ἕως ἐξόδου αὐτῆς μὴ ἐκκακήσῃ βοῶν πρὸς Κύριον Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ Υἱὸν ἡμέρας καὶ νυκτός· καὶ αὐτὸς ποιήσει τὴν ἐκδίκησιν αὐτῆς ἐν τάχει, κατὰ τὴν ἀψευδῆ αὐτοῦ καὶ θείαν ὑπόσχεσιν, ἣν ἔφη περὶ τοῦ κριτοῦ τῆς ἀδικίας· καί λέγω ὑμῖν, ποιήσει· καὶ ἐν τῇ ζωῇ τῇ παρούσῃ, καὶ μετὰ τὴν ἐκ τοῦ σώματος αὐτῆς ἔξοδον.

Τὴν νοητὴν θάλασσαν πλέων, θάῤῥει τῷ Ἰησοῦ. φωνεῖ γὰρ ἔνδον ἐν σῇ καρδίᾳ μυστικῶς τό, μὴ φοβοῦ παῖς μου Ἰακὼβ ὀλιγοστὸς Ἰσραήλ· μὴ φοβοῦ σκώληξ Ἰσραήλ, ἐγὼ ὑπερασπίζω σου. εἰ οὖν ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς πονηρὸς καθ' ἡμῶν; ὅς γε μεμακάρικε καθαροὺς τῇ καρδίᾳ, καὶ νενομοθέτηκεν, ὡς ταῖς καθαραῖς καρδίαις ὁ γλυκὺς Ἰησοῦς, καὶ καθαρὸς μόνος ἐπιβαίνειν θεϊκῶς, καὶ ἐνοικεῖν θέλων. διὸ μὴ ἀποστῶμεν, κατὰ τὸν θεῖον Παῦλον, γυμναζόμενοι τὸν νοῦν πρὸς εὐσέβειαν. ἀληθῶς γὰρ εὐσέβεια εἰκότως ἐῤῥήθη, ἡ ῥιζόθεν ἐκτίλλουσα τὰ τοῦ πονηροῦ σπέρματα. αὕτη εὐσέβεια αὕτη οἶμος τοῦ λόγου, τουτέστιν ὁδὸς τοῦ λογικοῦ, ἤτοι ὁδὸς λογισμοῦ. καθ' Ἑλληνικὴν δὲ Ἀτθίδα διάλεκτον, οἶμος καὶ κέλευθος ἡ ὁδὸς λέγεται, ὅ ἐστι λογισμός. ρνʹ.

Ἐπὶ πλήθει καταψυχήσει εἰρήνης κατὰ Δαβίδ, ὃς οὐ λαμβάνει πρόσωπον ἀνθρώπου, κρίνων ἀδικίαν ἐν καρδίᾳ αὐτοῦ, ἤτοι μορφὰς μὴ λαμβάνων τῶν πονηρῶν πνευμάτων· καὶ διὰ τῶν μορφῶν λογιζόμενος τὴν ἁμαρτίαν· καὶ κακῶς κρίνων καὶ δικάζων ἐν γῇ τῆς ἰδίας καρδίας, τῇ ἁμαρτίᾳ τὰ δίκαια διδούς. ἀνθρώπους γὰρ καὶ τοὺς δαίμονας οἱ μεγάλοι καὶ γνωστικοὶ Πατέρες, ἔν τισι συγγραφαῖς αὐτῶν ἐκάλεσαν, διὰ τὸ λογιστικόν· οἷόν ἐστι καὶ τὸ Εὐαγγελικόν, ἔνθα φησὶν ὁ Κύριος, ὅτι πονηρὸς ἄνθρωπος τοῦτο ἐποίησε, καὶ τῷ σίτῳ τὰ ζιζάνια κατέμιξεν. οὐκ ἔστιν ἀντίῤῥησις ταχὺ ἀπὸ τῶν ποιούντων τὸ πονηρόν. τούτου δὴ χάριν καὶ καταναλισκόμεθα ὑπὸ τῶν λογισμῶν. ρναʹ.

ρνβ'. Νοῦ προσοχὴν ἀρξάμενοι πολιτεύεσθαι, εἰ μὲν ἁρμόττομεν νῆψιν ταπεινώσει, καὶ τῇ ἀντιρρήσει εὐχὴν συγκολλῶμεν, τὴν ὁδὸν τῆς * μετανοίας καλῶς ὁδεύσομεν, ὥσπερ μετὰ λαμπάδος φωτὸς τοῦ προσκυνητοῦ καὶ ἁγίου ὀνόματος Ἰησοῦ Χριστοῦ, τὸν οἶκον ἡμῶν τῆς καρδίας ἐκ πονηρίας φιλοκαλοῦντες καὶ σαροῦντες, κοσμοῦντές τε καὶ ἐκκαθαίροντες. εἰ δὲ μόνον ἐν νήψει ἡμετέρᾳ, ἢ προσοχῇ θαρρήσομεν, ταχέως παρὰ τῶν ἐχθρῶν ὠθούμενοι, ἀνατραπέντες πεσούμεθα, καὶ καταβαλοῦσιν ἡμᾶς οἱ δεινότατοι καὶ δολιώτατοι· καὶ τοῖς ἀμφιβλήστροις αὐτῶν τοῖς πονηροῖς ἐνθυμήσεσι, πλειόνως ἐμπλακησόμεθα, ἢ καὶ σφαγησόμεθα εὐχερῶς ὑπ' αὐτῶν, τὸ κραταιὸν δόρυ οὐκ ἔχοντες Ἰησοῦ Χριστοῦ Ὄνομα. μόνον γὰρ τὸ σεβάσμιον τοῦτο φάσγανον πυκνῶς * ἄγχι στρεφόμενον ἐν μονοτρόπῳ καρδίᾳ, οἶδε συστρέφειν καὶ κατακόπτειν αὐτοὺς, καταφλέγειν τε καὶ ἀπεπυρώτεν, ὡσεὶ καλάμην πῦρ.

* διανοίας.

* [illegible]

ρνγ'. * Ὄντως μὲν νήψεως ἀδιαλείπτου, ἤτοι ψυχῆς ὄνησις καὶ κέρδος μέγα, τὸ ὁρᾶν εὐθὺς σχηματιζομένας τὰς τῶν λογισμῶν ἐν τῷ φαντασίας· ἀντιρρήσεως δὲ, τὸ διελέγχειν καὶ δηλοῦν τὸν πειρώμενον εἰσελθεῖν λογισμὸν ἐν τῷ ἀέρι τοῦ νοὸς ἡμῶν διὰ φαντασίας αἰσθητοῦ τινὸς πράγματος· τὸ δὲ σβεννύον καὶ διαλύον τῶν ἀντιπάλων εὐθέως πᾶν νόημα, πάντα λόγον, πᾶν φάντασμα, πᾶν εἴδωλον, πᾶσαν στολὴν πονηρὰν, ἐστὶν ἡ τοῦ Κυρίου ἐπίκλησις. καὶ ἡμεῖς γὰρ αὐτοὶ ἐν τῷ βλέπομεν τὴν κατὰ κράτος αὐτῶν ἧτταν τὴν διὰ Ἰησοῦ τοῦ μεγάλου Θεοῦ ἡμῶν, καὶ τὴν ἡμῶν τῶν ταπεινῶν, καὶ εὐτελῶν, καὶ ἀχρείων ἐκδίκησιν.

* [illegible]

ρνδ'. Ὅτι πάντες οἱ λογισμοὶ οὐδὲν ἕτερον εἰσὶν, ἀλλ' ἢ φαντασίαι μόναι αἰσθητῶν καὶ κοσμικῶν πραγμάτων, οἱ πολλοὶ ἀγνοοῦμεν. ὅπερ δὲ χρονίσωμεν ἐν εὐχῇ νηφόντως, στερίσκει μὲν εὐχὴ τὴν διάνοιαν πάσης ὑλώδους φαντασίας λογισμῶν πονηρῶν· γνωρίζει δὲ αὐτῇ καὶ τοὺς λόγους τῶν πολεμίων, καὶ τὸ μέγα κέρδος εὐχῆς τε καὶ νήψεως· πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν νοητῶν, νοητῶς καὶ αὐτὸς ὄψει, καὶ κατανοήσεις, φησὶ Δαβὶδ ὁ θεῖος μελῳδός.

Μνημονεύσωμεν, εἰ δυνατὸν, τοῦ θανάτου ἀδιαλείπτως· δι' ἧς μνήμης φροντίδων ἀπόθεσις, ματαιοτήτων τε πασῶν ἐν ἡμῖν γεννᾶται, φυλακή τε νοὸς, καὶ διηνεκὴς δέησις· ἀπροσπάθεια τοῦ σώματος, βδέλυξις ἁμαρτίας· καὶ σχεδὸν εἰπεῖν εἰ δεῖ τἀληθὲς, πᾶσα ἀρετὴ πάντα ἐκ ταύτης ἐκβλύζεται. διὸ ὡς τῇ ἰδίᾳ πνοῇ, εἰ δυνατὸν, τῷ πράγματι χρησώμεθα. ρνε'.

Καρδία * ξενωθεῖσα φαντασιῶν τελείως, νοήματα τέξεται μέσον αὐτῆς σκιρτῶντα, θεῖά τε καὶ μυστηριώδη· ὃν τρόπον σκιρτῶσιν ἰχθύες, καὶ ἐγκυβιστῶσι δελφῖνες γαληνιώσης θαλάσσης. καὶ ῥιπίζεται μὲν θάλασσα ὑπὸ λεπτῆς αὔρας, ἄβυσσος δὲ καρδίας ὑπὸ Πνεύματος Ἁγίου· ὅτι δὲ, φησὶν, ἐστὲ υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις ἡμῶν, κρᾶζον, ἀββᾶ ὁ Πατήρ. ρνς'.

* κενωθεῖσα.

Ἀπορήσει καὶ διχονοήσει πᾶς Μοναχὸς, πνευματικοῦ ἔργου πρὸ νήψεως οὐ λαβέσθαι· ἢ οὐκ εἰδὼς τὸ ταύτης κάλλος· ἢ εἰδὼς μὲν, δι' ἀμέλειαν δὲ μὴ δυνάμενος. τῆς δὲ ἀπορίας ἀναμφιβόλως λυθήσεται, τοὺς τήρησιν ἐπιβάς. ἥ ἐστι καὶ λέγεται διανοητικὴ φιλοσοφία, ἢ πρακτικὴ φιλοσοφία νοός· ὡς τὴν ὁδὸν εὑρηκὼς, ἣ εἶπεν· ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀνάστασις, καὶ ἡ ζωή. ρνζ'.

Πάλιν ἀπορήσει ὁρῶν ἄβυσσον λογισμῶν, καὶ πλῆθος νηπίων Βαβυλωνίων. ἀλλὰ καὶ ταύτην λύει τὴν ἀπορίαν Χριστὸς, εἴγε τῇ βάσει τῆς διανοίας, διηνε- ρνη'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κῶς ἐπ' αὐτὴν ἱστάμεθα. τὰ δὲ πάντα Βαβυλώνια νήπια, ἐν τῇ πέτρᾳ ταύτῃ ἐδαφιοῦντες ἐναποκρούομεν· πληροῦντες καὶ τὸ λόγιον τὴν ἐπιθυμίαν ἡμῶν ἐξ αὐτῶν. ὃς, γάρ φησι, φυλάσσει ἐντολὴν, οὐ γνώσεται ῥῆμα πονηρόν· χωρὶς γὰρ ἐμοῦ, ἔφη, οὐ δύνασθε ποιεῖν οὐδέν.

ρνθʹ. Οὗτος ἀληθινὸς τῷ ὄντι Μοναχὸς, ὁ νῆψιν κατορθῶν· καὶ οὗτος ἀληθινὸς νηφάλιος, ὁ ἐν καρδίᾳ ὢν Μοναχός.

ρξʹ. Συμπαρεκτείνεται ἐν ἀνθρώποις ὁ βίος ἐν ἐνιαυτοῖς, ἐν μησὶν, ἐν ἑβδομάσιν, ἔν τε ἡμέραις, καὶ νυξὶ, καὶ ὥραις, καὶ στιγμαῖς ἀνακυκλούμενος. τούτοις ἄρα ἐχρῆν καὶ ἡμᾶς συμπαρεκτείνειν τὰς ἐναρέτους ἐργασίας, φημὶ δὴ τὴν νῆψίν τε, καὶ εὐχὴν, καὶ τὴν τῆς καρδίας ἡδύτητα, ἐπὶ ἐμμελεῖ ἡσυχίᾳ μέχρις ἐξόδου ἡμῶν.

ρξαʹ. Ἐπελεύσεται ὥρα ἐφ' ἡμᾶς ἡ τοῦ θανάτου, ἐλεύσεται· καὶ διαφυγεῖν οὐ δυνατόν. καὶ εἴθε ὁ τοῦ κόσμου καὶ τοῦ ἀέρος ἄρχων τότε ἐρχόμενος, εὑρήσοι τὰ ἡμῶν ἀνομήματα ὀλίγα τε καὶ εὐτελῆ, ἵνα μὴ ἐλέγξῃ ἀληθεύων· καὶ τότε κλαύσομεν ἀνωφελῶς. ἐκεῖνος γὰρ ὁ δοῦλος, ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας ὡς δοῦλος, δαρήσεται πολλὰς, φησί.

ρξβʹ. Οὐαὶ τοῖς ἀπολωλεκόσι τὴν καρδίαν, φησί· καὶ τί ποιήσουσιν, ὅταν ἐπισκέψηται Κύριος; διὸ σπουδαστέον ἡμῖν, ἀδελφοί.

ρξγʹ. Τοῖς ἁπλοῖς, καὶ ἀπαθεστέροις δῆθεν λογισμοῖς, οἱ ἐμπαθεῖς παρέπονται, καθὼς εὕρομεν πολυχρονίῳ τε πείρᾳ, καὶ παρατηρήσει· καὶ οἱ πρῶτοι, εἴσοδος τῶν δευτέρων γίνονται, καὶ τῶν ἐμπαθῶν οἱ ἀπαθεῖς.

ρξδʹ. Τῷ ὄντι γὰρ διχῆ τέμνεσθαι δεῖ τὸν ἄνθρωπον τῇ προαιρέσει· καὶ ἐπινοίᾳ σοφωτάτῃ σχίζεσθαι χρὴ, ὡς ἔφην· καὶ ἐχθρὸς αὐτὸς ἑαυτοῦ εἶναι ἀκατάλλακτος προσήκει ἀληθῶς. οἷον ἂν τις διάθεσιν δόλου ἔχων ἀνθρώπῳ τινὶ δεινῶς ἄγαν, καὶ πολλάκις ἐκθλίψαντί τε, καὶ ἀδικήσαντι, οὕτως, εἰ καὶ πολὺ πλέον· εἴγε βουλόμεθα κατορθοῦσθαι τὴν μεγάλην τε καὶ πρώτην ἐντολήν· φημὶ δὴ τὴν Χριστοῦ πολιτείαν, τὴν μακαρίαν ταπείνωσιν, τὴν ἔνσαρκον Θεοῦ βιοτήν. ὅθεν φησὶν ὁ Ἀπόστολος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται. δεικνὺς δὲ, ὅτι τὸ ὑποτάξαι τὸ σῶμα πρὸς τὸ τοῦ Θεοῦ θέλημα, τῶν ἐφ' ἡμῖν ἐστιν, ἔφη· εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ, ὑπὸ Κυρίου παιδευόμεθα.

Ἀρχὴ μὲν καρποφορίας, ἄνθος· ἀρχὴ δὲ τηρήσεως νοῦ, βρωμάτων ἐγκράτεια καὶ πομάτων, καὶ παντοίων λογισμῶν ἄρνησις, καὶ ἀποχὴ, καὶ ἡσυχία καρδίας. ρξεʹ.

Ἐν Χριστῷ Ἰησοῦ δυναμουμένοις, καὶ νήψει ἀσφαλείας τρέχειν ἀρξαμένοις, ὡς λαμπὰς ἡμῖν καταφαίνεται ἐν τοῖ πρῶτον, παρ' ἡμῶν οἷα κρατουμένη χειρὶ νοῦ, καὶ ὁδηγοῦσα ἡμᾶς εἰς τρίβους διανοίας· ἔπειτα ὡς σελήνη πάμφαης ἐν στερεώματι καρδίας περιπολοῦσα· μετέπειτα δὲ φαίνεται ἡμῖν ὡς ἥλιος, ὁ Ἰησοῦς δικαιοσύνην ἡλιοβολῶν· δηλονότι δεικνὺς ἑαυτὸν, καὶ τὰ ἑαυτοῦ ὁλοφανῆ φῶτα τῶν θεωρημάτων. ρξϛʹ.

Ταῦτα γὰρ ἀποκαλύπτει μυστικῶς τῷ ἐπιμόνῳ τῇ ἐντολῇ αὐτοῦ τῇ φασκούσῃ· καὶ περιτέμνεσθε τὴν σκληροκαρδίαν ὑμῶν. καὶ ὡς εἴρηται, ἐννοίας ἐξαιρετίους διδάσκει ἄνθρωπον νῆψις ἡ συνήθεια. τὸ γὰρ Θεῖον ἀπροσωπόληπτον. ὅθεν φησὶν ὁ Κύριος· ἀκούετέ μου, καὶ συνίετε· ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ, καὶ περισσευθήσεται· ὃς δὲ μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ' αὐτοῦ. καὶ τοῖς ἀγαπῶσι τὸν Θεὸν, πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν. πολλῷ οὖν μᾶλλον αὐτῷ αἱ ἀρεταὶ συνεργήσουσιν. ρξζʹ.

Οὐ περιπατήσει πλοῖον πολλὰ μί- ρξηʹ.

λια οὐδέποτε χωρίς· καὶ ἡ τήρησις οὐδόλως προβήσεται χωρὶς νήψεως σὺν ταπεινώσει, καὶ εὐχῆς Ἰησοῦ Χριστοῦ ὅλου.

ρξθ'. Οἴκου θεμέλιοι λίθοι· ταύτης δὲ τῆς ἀρετῆς καὶ θεμέλιοι, καὶ ὄροφος τὸ προσκυνητὸν ὄνομα καὶ ἅγιον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ εὐχερῶς μὲν ναυαγήσει κυβερνήτης ἄφρων ἐν καιρῷ κλύδωνος, τοὺς μὲν ναύτας ἐκδιώξας, τὰς δὲ κώπας καὶ τὰ ἱστία ἐν τῷ πελάγει ῥίψας, αὐτὸς δὲ καθεύδων· εὐχερέστερον δὲ καταποντισθήσεται ψυχὴ ἐκ δαιμόνων, νήψεως ἀμελοῦσα, καὶ τοῦ προσκαλεῖσθαι ἐν ταῖς προσβολαῖς ἀρχομέναις Ἰησοῦ Χριστοῦ ὄνομα.

ρο'. Ὃ οἴδαμεν, γράφοντες λέγομεν· καὶ ὃ ἑωράκαμεν τὴν ὁδὸν διαβαίνοντες, μαρτυροῦμεν τοῖς θέλουσιν, εἴγε λήψεσθαι τὰ εἰρημένα βουληθήσεσθε· ὅτι αὐτὸς εἴρηκεν· ἐὰν μή τις μείνῃ ἐν ἐμοί, ἐκβληθήσεται ἔξω ὡς τὸ κλῆμα, καὶ συνάγουσιν αὐτό, καὶ εἰς τὸ πῦρ βάλλουσι, καὶ καίεται, ὁ δὲ μένων ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ. ὡς γὰρ λάμψαι ἥλιον φωτὸς ἄτερ οὐ δυνατόν, οὕτω καθαρθῆναι καρδίαν ῥύπου λογισμῶν ἀπωλείας ἀδύνατον, χωρὶς εὐχῆς Ἰησοῦ Ὀνόματος. εἰ δὲ ἀληθές, ὡς ὁρῶ, τοῦτο, ὡς τῇ ἰδίᾳ πνοῇ χρησώμεθα. τὸ μὲν γάρ, φῶς· οἱ δέ, σκότος· καὶ ὁ μέν, Θεὸς καὶ δεσπότης· οἱ δέ, * δοῦλοι δαιμόνων.

* ἐν ἄλλ. δοῦλοι, καὶ δαίμονες.

ροα'. Φωτοτόκος, καὶ ἀστραπηφόρος, καὶ φωτοβόλος, καὶ πυρφόρος, ἡ τοῦ νοῦ φυλακὴ προσφυῶς καὶ φερωνύμως καλείσθω. ὑπερέχει γάρ, τἀληθῆ φάναι, ἀπείρων σωματικῶν καὶ πολλῶν ἀρετῶν. τούτου οὖν ἕνεκα τοῖς τιμίοις ὀνόμασι καλεῖν χρὴ τὴν ἀρετὴν ταύτην, διὰ τὰ ἐξ αὐτῆς τικτόμενα ἀγλαοφανῆ φῶτα· ἧς οἱ ἐρασθέντες ἐξ ἁμαρτωλῶν, καὶ ἀχρείων, καὶ βεβήλων, καὶ ἀγνώστων, ἀσυνέτων, καὶ ἀδίκων, δίκαιοι, εὔχρηστοι, καθαροί, ἅγιοι, καὶ συνετοὶ διὰ Ἰησοῦ Χριστοῦ γενέσθαι δύνανται· καὶ οὐ μόνον, ἀλλὰ καὶ μυστικὰ θεωροῦσι, καὶ θεολογοῦσι· καὶ θεωρητικοὶ γενόμενοι, τῷ ἀκραιφνεστάτῳ, καὶ ἀπείρῳ φωτὶ τούτῳ διανήχονται, θίγουσί τε αὐτοῦ ἀῤῥήτοις θίξεσι, καὶ σὺν αὐτῷ κατοικοῦσί τε καὶ πολιτεύονται· ἐπείπερ ἐγεύσαντο, ὅτι χρηστὸς ὁ Κύριος· ὡς πληροῦσθαι σαφῶς ἐν τοῖς τοιούτοις προπαγγέλοις, τὸ τοῦ θείου Δαβίδ· πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου. ὄντως γὰρ οἱ ὄντως οὗτοι μόνοι ἀξίως ἐπικαλοῦνται, καὶ ἐξομολογοῦνται τῷ Θεῷ· ᾧ καὶ φιλοῦσιν ὁμιλεῖν διὰ παντὸς ἀγαπῶντες αὐτόν.

Οὐαὶ τῷ ἔσω ἀπὸ τῆς ἔξω. σφόδρα γὰρ λυπηθήσεται ὁ ἔνδον ἄνθρωπος ἀπὸ τῆς ἔξω αἰσθήσεων· καὶ λυπηθεὶς οὗτος, μάστιξι χρήσεται τῇ τῆς ἔξω αἰσθήσεων. ὁ πράξας τὰ ἐν τῷ * γράμματι, ἤδη ἐπέγνω τὰ ἐν τῷ θεωρήματι. ροβ'.

* ἐν ἄλλ. τῷ πράγματι.

Ἐὰν ὁ ἔσω ἡμῶν ἄνθρωπος κατὰ τοὺς Πατέρας νήφῃ, δυνατός ἐστι φυλάξαι καὶ τὸν ἔξω. πλὴν ὅτι ἡμεῖς τε καὶ οἱ κακεργάται δαίμονες, κοινῶς ἄμφω διαπραττόμεθα τὰς ἁμαρτίας· καὶ οἱ μέν, ἐν λογισμοῖς μόνον, ἤτοι ἐν φαντασιώδεσι ζωγραφίαις διασχηματίζουσιν ἐν νῷ, ὡς βούλονται, τὴν ἁμαρτίαν· ἡμεῖς δὲ καὶ διὰ λογισμῶν ἔνδοθεν, καὶ δι' ἔργων ἔξωθεν. παχύτητος γὰρ σωμάτων ἀποροῦντες οἱ δαίμονες, διὰ λογισμῶν μόνον, καὶ διὰ δολιότητος, καὶ ἀπάτης καὶ ἑαυτοῖς προξενοῦσι, καὶ ἡμῖν τὴν κόλασιν. εἰ γὰρ παχύτητος σώματος μὴ ὑστερίσκοντο οἱ ἀλιτήριοι, οὐδ' ἂν καὶ δι' ἔργων ἁμαρτάνειν ἐπαύοντο, ὡς τὸ ἀσεβεῖν τὴν προαίρεσιν ἑτοίμην ἀεὶ διασώζοντες. ρογ'.

Εὐχὴ δὲ μονολόγιστος κτείνει τε καὶ ἐκτεφροῖ τὰς αὐτῶν ἀπάτας. δι' ἡμῶν γὰρ προσκαλούμενος Ἰησοῦς ὁ Θεός, καὶ Θεοῦ Υἱός, συνεχῶς καὶ ἀόκνως, οὐδόλως παραχωρεῖ τούτοις, οὔτε τὴν ἀρχὴν τῆς εἰσβο- ροδ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λῆς, ἣν δὴ καὶ προσβολὴν καλοῦσιν, ὑποδεῖξαι τῷ ἐν κατόπτρῳ τῆς διανοίας, ἢ μορφήν, ἤτε μὴν λόγους τινὰς λαλῆσαι τῇ καρδίᾳ. δαιμονιώδης δὲ μορφὴ μὴ εἰσδύνουσα ἐν καρδίᾳ, καὶ λογισμῶν, ὡς ἔφημεν, κενὴ ἔσται· ὅτι τῇ ψυχῇ διὰ λογισμῶν ὁμιλεῖν τε, καὶ ἐκδιδάσκειν τὴν κακίαν ἔθος αὐτοῖς λεληθότως.

ροε'. Ἐξ ἀρχῆς οὖν συνεχῶς καθαρεύει ὁ ἀὴρ τῆς διανοίας ἐκ νεφῶν σκοτεινῶν, καὶ ἀνέμων πνευμάτων πονηρίας. καθαρεύοντος δὲ τοῦ καρδιακοῦ ἀέρος, ἀνένδεκτον μὴ λάμπειν ἐν αὐτῷ τὸ θεϊκὸν φῶς Ἰησοῦ· εἴ μήπερ γε ὑπὸ κενοδοξίας, καὶ τύφου, καὶ φαντασμοῦ φυσιώμεθα, καὶ κουφιζώμεθα εἰς τὰ * ἀκίχητα, καὶ ἀβοήθητοι πρὸς Ἰησοῦ εὑρισκόμεθα· διὰ τὸ μισεῖν Χριστὸν τὰ τοιαῦτα, τὸν τῆς ταπεινώσεως ὑποδείκτην.

* ἀκατάληπτα.

ροϛ'. Ἐχώμεθα τοίνυν ἀρχῆς, καὶ ταπεινώσεως, τῶν δύο τούτων· ἅτινα κατὰ δαιμόνων σὺν νήψει ὁπλίζονται, οἷον μάχαιρα φλογίνη. ἔξεστι γὰρ ἡμῖν οὕτω γε * βιοῦν, καθ' ἡμέραν καὶ καθ' ὥραν καρδιακῶς, καὶ μυστικῶς γηθομένως ἑορτάζειν.

* ποιοῦσι.

ροζ'. Οἱ ὀκτὼ γενικώτατοι τῆς κακίας λογισμοί, ἐν οἷς περιέχεται πᾶς λογισμός, καὶ ἐξ ὧν πάντες τὴν γένεσιν ἔχουσιν, ὡς ἐκ τῆς Ἥρας τε καὶ τοῦ Διὸς πᾶς δαίμων ἐπαγὴς Θεὸς Δαναῶν, καὶ τοὺς ἐκείνων μύθους, πάντες ἀνέρχονται ἐν πύλῃ καρδίας· καὶ τὸν νοῦν εὑρόντες ἀφύλακτον, εἷς καθ' εἷς εἰσέρχονται ἐν ἰδίῳ καιρῷ. ὁπότερος δ' αὖ τῶν ὀκτὼ διαλογισμῶν, ἀναβὰς ἐν καρδίᾳ εἰσέλθῃ, ἑσμὸν λογισμῶν αἰσχρῶν εἰσάγει· καὶ οὕτω τὸν νοῦν σκοτίσας, ἐκκαλεῖ τὸ σῶμα προξενόμενος εἰς ἐργασίαν αἰσχρῶν πράξεων.

ροη'. Ὁ ὀπίσω τὴν κεφαλὴν τηρῶν τοῦ ὄφεως, καὶ δι' ἀντιρρήσεως θυμοειδοῦς διακεθύμοις ῥήμασι χρώμενος πὺξ βαλὼν δίμας, ἀπεκρούσατο τὸν πόλεμον. θλῶν γὰρ τὴν κεφαλήν, ἐξέφυγε πολλοὺς πονηροὺς λογισμούς, καὶ ἔργα πονηρότατα. καὶ τότε διαμένει ἀκύμαντος ἡ διάνοια, τοῦ Θεοῦ ἀποδεχομένου τὴν αὐτῆς ἐγρήγορσιν εἰς τοὺς λογισμούς· καὶ ἀντιδωρουμένου αὐτῇ εἰδέναι, πῶς δεῖ περιγενέσθαι τῶν ἀντιπάλων· καὶ πῶς χρὴ καθαίρεσθαι κατὰ μικρὸν τὴν καρδίαν ἐκ λογισμῶν κοινούντων τὸν ἐντὸς ἄνθρωπον· ὥς φησιν ὁ Κύριος Ἰησοῦς· ἐκ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί, πορνεῖαι, μοιχεῖαι, κἀκεῖνα εἰσὶ τὰ κοινοῦντα τὸν ἄνθρωπον.

ροθ'. Οὕτως ἄρα δύναται ψυχὴ ἐν Κυρίῳ στῆναι τῇ ἑαυτῆς εὐμορφίᾳ καὶ ὡραιότητι καὶ εὐθύτητι, ὡς ἐξ ἀρχῆς πρὸς Θεοῦ ἐκτίσθη, λίαν καλή τε, καὶ εὐθεῖα· καθώς φησιν ὁ μέγας τοῦ Θεοῦ θεράπων Ἀντώνιος· τῆς ψυχῆς τὸ νοερὸν κατὰ φύσιν ἐχούσης, ἡ ἀρετὴ συνίσταται. καὶ πάλιν εἶπε· τὸ γὰρ εὐθεῖαν εἶναι τὴν ψυχήν, τοῦτο ἐστὶ τὸ κατὰ φύσιν νοερὸν αὐτῇ ὡς ἐκτίσθη. καὶ μετ' ὀλίγον αὖθις φησί· καθαρεύσωμεν τὴν διάνοιαν· ἐγὼ γὰρ πιστεύω, ὅτι καθαρεύσασα πανταχόθεν, καὶ κατὰ φύσιν ἑστῶσα, δύναται διορατικὴ γινομένη, πλεῖον καὶ μακρότερον βλέπειν τῶν δαιμόνων, ἔχουσα τὸν ἀποκαλύπτοντα Κύριον αὐτῇ. τάδε φησὶν ὁ κλεινὸς Ἀντώνιος, ὥς φησιν ὁ μέγας Ἀθανάσιος ἐν τῷ περὶ Ἀντωνίου βίῳ.

ρπ'. Πᾶς λογισμὸς φαντασίαν ἐν τῷ αἰσθητοῦ πράγματος ποιεῖ. νοερὸς γὰρ ὢν ὁ Ἀσσύριος, οὐκ ἄλλως ἀπατᾶν ἐξισχύει, εἰ μὴ χρήσηται τοῖς παρ' ἡμῖν αἰσθητοῖς καὶ συνήθεσι.

ρπα'. Ὡς οὐ δυνατὸν ἄρα ὄντα διώκειν ἡμᾶς ἐν τῷ ἀέρι τούτῳ, ὅπως ἡμᾶς ἀνθρώπους, οὐ πέτασθαι ὥσπερ πετεινά, τοῦτο τῆς ἡμῶν φύσεως οὐκ ἐχούσης· οὕτως οὐ δυνατὸν λογισμῶν ἀσωμάτων περιγενέσθαι δαιμονιωδῶν, χωρὶς ἀρχῆς νη-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πτικῆς, καὶ συχνῆς· ἢ ἀτενῶς ἄγαν πρὸς Θεὸν ὄμμα τοῦ νοῦ τείχεσθαι. εἶδέ σε, γλυκὺ * θήρας.

* ἐν ἄλ. ἐρῆς.

ρπβ΄. Ὡς ἀληθῶς ἄρα, εἰ περιβαλεῖν αἰχμαλώτους τοὺς λογισμοὺς ἐθέλεις, καὶ ἡσυχάζειν ἀδιαλείπτως, καὶ νήφειν τῇ καρδίᾳ μετ᾽ εὐκολίας, Ἰησοῦ εὐχὴ κολλείσθω τῇ πνοῇ, καὶ ἐν ὀλίγαις ἡμέραις γινόμενον ὄψει τοῦτο.

ρπγ΄. Ὡς γὰρ ἐν ἀέρι γράμματα οὐ δυνατὸν γραφῆναι. δεῖ γὰρ αὐτὰ εἴς τι σῶμα ξύεσθαι, ὅπως αὖ διαρκῆ σώζωνται. οὕτωγε τῇ κοπηρᾷ νήψει ἡμῶν τὴν εὐχὴν Ἰησοῦ Χριστοῦ κολλήσωμεν· ἵνα ἡ τῆς ἐγκρατείας πάγκαλος ἀρετὴ διαρκὴς σὺν αὐτῇ διαμένῃ· καὶ δι᾽ αὐτοῦ ἡμῖν εἰς τὸν αἰῶνα διατηρῆται ἀναφαίρετος.

ρπδ΄. Κύλισον ἐπὶ Κύριον τὰ ἔργα σου, καὶ εὑρήσεις χάριν, φησίν· ἵνα μὴ καὶ περὶ ἡμῶν λέγηται παρὰ τοῦ Προφήτου· ἐγγὺς εἶ σὺ Κύριε τοῦ στόματος αὐτῶν, πόῤῥω δὲ ἀπὸ τῶν νεφρῶν αὐτῶν. οὐδεὶς πάρεξ Ἰησοῦ ἕτερος τὴν καρδίαν σαθερῶς ἐκ παθῶν εἰρηνεύσει, εἰμὴ αὐτὸς Ἰησοῦς Χριστὸς, ὁ τὰ πόῤῥω διεστῶτα συνάψας.

ρπε΄. Ὁμοίως ἀμφότερα τὴν ψυχὴν σκοτοῦσι, καὶ αἱ κατὰ διάνοιαν τῶν λογισμῶν ὁμιλίαι, καὶ αἱ ἔξωθεν συντυχίαι, καὶ ἀργολογίαι. χρὴ δὲ ἐκτρεπομένους τὴν τοῦ νοῦ βλάβην, ἀμφοτέρους ἀργολογεῖν ἀγαπῶντας, λυπεῖν, καὶ λογισμοὺς, καὶ ἀνθρώπους, δι᾽ αἰτίαν εὐλογωτάτην κατὰ Θεόν· ἵνα μὴ σκοτιζόμενος ὁ νοῦς, χαυνώσῃ τὴν νῆψιν. ἐκ γὰρ λήθης σκοτούμενοι, τὴν νοῦν ἀπόλλυμεν.

ρπϛ΄. Ὁ γὰρ πάσῃ σπουδῇ τηρῶν τὴν καθαρότητα τῆς καρδίας, ἕξει διδάσκαλον τὸν ταύτης νομοθέτην Χριστὸν, μυστικῶς αὐτῷ λαλοῦντα τὸ θέλημα αὐτοῦ. ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεὸς, φησὶν ὁ Δαβὶδ, τοῦτο ἐμφαίνων. τὴν δὲ τοῦ νοῦ πρὸς ἑαυτὸν ἐπίσκεψιν, περὶ τοῦ νοητοῦ πολέμου δηλῶν, καὶ τὴν τοῦ Θεοῦ ἀντιληπτικὴν ὑπερασπισιν, ἔλεγε· καὶ ἐρεῖ ἄνθρωπος, ἄρα ἔσται καρπὸς τῷ δικαίῳ; εἶτα ἐκ τῆς συζητήσεως συμπέρασμα ἄμφω ἐγκεῖσθαι ἐμφαίνων, λέγει· ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτοὺς, τοὺς πονηροὺς δαίμονας, ἐν τῇ γῇ τῆς καρδίας ἡμῶν. καὶ ἀλλαχοῦ φησί· προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα, καὶ ὑψωθήσεται ὁ Θεός· καὶ τότε αἱ πληγαὶ αὐτῶν, ὡς βέλη νηπίων, ἡμῖν λογισθήσονται.

Ἐν σοφίᾳ πεπαιδευμένοι τὴν καρδίαν ἀεὶ διάγωμεν, καὶ τὸν Ἱεροψάλτην, αὐτὴν τὴν τοῦ Θεοῦ Πατρὸς δύναμιν, καὶ Θεοῦ σοφίαν, Χριστὸν Ἰησοῦν διηνεκῶς ἀναπνέοντες. εἰ δὲ ἐκ περιστάσεως τινὸς χαυνωθέντες, τῆς νοητῆς καταλιγωρήσωμεν πράξεως, τῇ ἑξῆς πρωΐᾳ πάλιν τὴν ὀσφὺν τοῦ νοὸς καλῶς περισφίγξωμεν· καὶ κραταιῶς τοῦ ἔργου πάλιν ἁψώμεθα· εἰδότες ὅτι οὐκ ἔστιν ἡμῖν ἀπολογία, τὸ καλὸν ἐγνωκόσιν, ἐὰν μὴ αὐτὸ πράξωμεν. ρπζ΄.

Ὥσπερ τὰ νοσοποιὰ βρώματα, ἐμβληθέντα προσφάτως ἐν σώματι, ἐνοχλεῖ· ὁ δὲ φαγὼν, εὐθὺς τῆς βλάβης αἰσθανόμενος, θᾶττον διά τινος ἐμέσας φαρμάκου ταῦτα, ἀπήμαντος διέμεινεν· οὕτω καὶ ὁ νοῦς, ὅταν πονηροὺς δεξάμενος λογισμοὺς καταπίῃ, αἴσθηται δὲ τῆς πικρίας αὐτῶν, εὐχῇ Ἰησοῦ ἐκ βαθέων καρδίας ἐπιβοωμένῃ, εὐκόλως τούτους ἐξεμεῖται, καὶ τέλεον ἀποβάλλεται, ὡς σὺν Θεῷ ἡ μάθησις, καὶ ἡ πεῖρα τῇ μαθήσει νενοηκέναι περὶ τοῦ προκειμένου τοῖς νήφουσι παρέδωκεν. ρπη΄.

Εἰς πνοὴν σὴν καὶ ῥῖνας, ἕνωσον τὴν νῆψιν, καὶ Ἰησοῦ ὄνομα· ἢ μελέτην θανάτου ἀλήθινον, καὶ ταπείνωσιν. ὠφελεῖν γὰρ λίαν οἴδασι τὰ ἀμφότερα. ρπθ΄.

Εἶπεν ὁ Κύριος· μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ρϟ΄.

Εἶπεν ὁ Κύριος· ὃς τις ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, ὑψωθήσεται· ρϟα΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὁ δὲ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται. ἀπ' ἐμοῦ, φησὶ, μάθετε. ὁρᾷς ὅτι μάθησίς ἐστιν ἡ ταπείνωσις; ἡ γὰρ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν. αὕτη δὲ ἐστιν ἡ ταπείνωσις. ὁ μὴ ταπεινὸς οὖν τῆς ζωῆς ἀπωλίσθησε, καὶ ἐν τῷ ἐναντίῳ δηλονότι εὑρεθήσεται.

ρϙβ΄. Εἰ γὰρ πᾶσα ἀρετὴ διὰ ψυχῆς καὶ σώματος κτίζεται· κτίσμα δὲ Θεοῦ καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα, δι' ὧν ἡ ἀρετὴ, ὡς ἔφην, συνίσταται· πῶς οὐκ ἐσχάτως μαινόμεθα, ἐπ' ἀλλοτρίοις κόσμοις κομπάζοντες ψυχῆς τε καὶ σώματος, καὶ κενοδοξοῦντες, καὶ ὑπερηφανίᾳ ὡς ἐπὶ καλαμίνῃ ῥάβδῳ στηριζόμενοι· καὶ τὸν ἀπείρῳ μεγέθει Θεὸν ἡμῶν ὑπερέχοντα, κατὰ κορυφῆς ἡμῶν διεγείροντες, τὸ φρικτότατον, διὰ τὴν ἄγαν ἡμῶν ἀνομίαν τε καὶ ἄνοιαν; Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται· καὶ ἀντὶ τοῦ μιμεῖσθαι τὸν Κύριον ἐν ταπεινώσει, τῷ τοῦ Κυρίου δυσμενεῖ φιλιούμεθα ὑπερηφάνῳ δαίμονι, ἐκ κενοδοξίας, καὶ ὑπερηφάνου φρονήματος. τούτου γὰρ ἕνεκεν, ἔλεγεν ὁ Ἀπόστολος· τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; μὴ σὺ σαυτὸν ἔκτισας; εἰ δὲ σῶμα καὶ ψυχὴν, ἐξ ὧν, καὶ ἐν οἷς, καὶ δι' ὧν πᾶσα ἀρετὴ συνίσταται, πρὸς Θεοῦ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; Κύριος γὰρ ὁ ταῦτά σοι δωρούμενος.

ρϙγ΄. Ὅλως δὲ οὐκ ἄλλο τί ἐστι καθαρισμὸς καρδίας, δι' οὗ καὶ ταπείνωσις καὶ ἀγαθὸν ἅπαν ἐν ἡμῖν εὑρίσκεται καταβαῖνον ἄνωθεν, εἰμὴ τὸ μηδόλως παραχωρεῖν τοὺς λογισμοὺς προκύπτοντας εἰσελθεῖν ἐν τῇ ψυχῇ.

ρϙδ΄. Νοὸς γὰρ φυλακὴ σὺν Θεῷ, καὶ διὰ μόνον Θεὸν ἐν ψυχῇ ἐγχρονίσασα, φρόνησιν παρέχει τῷ ἡγεμονικῷ ἐν τοῖς κατὰ Θεὸν ἀγωνίσμασιν. οὐκ ὀλίγην δὲ ἱκανότητα τοῦ μετέχειν αὐτῆς χορηγεῖ ἐν τῷ οἰκονομεῖν τὰ ἔργα καὶ τοὺς λόγους ἐν κρίσει ἀναποδείκτῳ, κατὰ Κύριον.

Τὰ τοῦ Ἱερέως δῆλα ἐν τῇ παλαιᾷ, προτυπώματα καρδίας καθαρᾶς ὑπῆρχον, ἵνα καὶ ἡμεῖς προσέχωμεν τῷ τῆς καρδίας πετάλῳ, μήπως ἐξ ἁμαρτίας μεμελάνωται, ἵνα δάκρυσι καὶ μετανοίᾳ καὶ προσευχῇ ἀποσμήχωμεν. εὐκόλον γάρ τι πρᾶγμα ὁ νοῦς, καὶ πρὸς τοὺς ἀνόμους ἐνθυμήσεις δυσκάθεκτον· ὁμοίως κακαῖς τε καὶ ἀγαθαῖς φαντασίαις λογιστικαῖς ἐξακολουθεῖ εὐκόλως. ρϙε΄.

Μακάριος ὄντως, ὃς οὕτω κεκόλληται Ἰησοῦ εὐχῇ ἐν διανοίᾳ, καὶ φωνεῖ αὐτὸν ἀδιαλείπτως ἐν καρδίᾳ, ὥσπερ ἥνωται ὁ ἀὴρ τοῖς ἡμῶν σώμασιν, ἢ ὡς φλὸξ κηρῷ. καὶ διερχόμενος μὲν ἥλιος ὑπὲρ γῆς, ποιήσει ἡμέραν· τὸ δὲ τοῦ Κυρίου Ἰησοῦ ἅγιον Ὄνομα καὶ σεβάσμιον ἐν διανοίᾳ λάμπον τῇ συνεχείᾳ, γεννήσει ἀναριθμήτους ἡλιοειδεῖς ἐννοίας. ρϙϛ΄.

Καὶ διασκεδασθέντων μὲν νεφελῶν, ὁ ἀὴρ καθαρὸς δείκνυται· φαντασίαι δὲ παθῶν ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης Ἰησοῦ Χριστοῦ διασκεδασθεῖσαι, φεγγοειδῆ καὶ ἀστεροειδῆ νοήματα γεννᾷν ἐν καρδίᾳ ἐκ παντὸς πεφύκασι, τοῦ ἀέρος αὐτῆς διὰ Ἰησοῦ φωτισθέντος. φησὶ γὰρ ὁ Ἐκκλησιαστής· οἱ πεποιθότες ἐπὶ Κύριον, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. ρϙζ΄.

Εἶπέ τις τῶν Ἁγίων· μνησικακῶν μνησικάκει δαίμοσι, καὶ ἐχθραίνων ἔχθραινε σῷ σώματι διαπαντός. δόλιος φίλος ἡ σὰρξ, καὶ θεραπευομένη μειζόνως πολεμεῖ. καὶ αὖθις ἔχθραν κτῆσαι πρὸς σῶμα, καὶ μάχην πρὸς κοιλίαν. ρϙη΄.

Ἐν μὲν τοῖς ὄπισθεν λόγοις τοῖς ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ ἑκατοντάδι, τοὺς τῆς ἱερᾶς τοῦ ἡσυχίας πόνους συνετάξαμεν, οὐχὶ γεώργιον τῆς ἡμῶν διανοίας μόνον, ἀλλ' ὅσπερ καὶ οἱ τῶν θεοφόρων Πατέρων λόγοι θεῖοι διδάσκουσιν ἡμᾶς περὶ τοῦ καθαρότητος. νῦν δὲ μικρὰ ρϙθ΄.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἰπόντες, ὅσον δεῖξαι τὸ κέρδος τῆς τοῦ νοῦ φυλακῆς, τοῦ λέγειν παυσόμεθα.

σ΄. Δεῦρο δὴ λοιπὸν ἀκολούθει μοι πρὸς τὴν συναφὴν τῆς μακαρίας τοῦ νοῦ τηρήσεως, ὅστις ἂν εἴης ἐπιποθῶν ἐν πνεύματι, ἡμέρας ἰδεῖν ἀγαθάς, καὶ ἐν Κυρίῳ διδάξω σε ὁρωμένην ἐργασίαν, καὶ πολιτείαν νοερῶν Δυνάμεων. οὐ γὰρ κορεσθήσονται Ἄγγελοι ὑμνοῦντες τὸν Ποιητήν, οὔτε ὁ νοῦς καθαρῶς αὐτοῖς ἁμιλλώμενος. καὶ ὥσπερ οἱ ἄυλοι οὐ φροντίζουσι περὶ τροφῆς· οὕτως οὐδὲ οἱ ἔνυλοι ἄϋλοι αὐτῆς φροντίζουσιν, εἴγε ἐν οὐρανῷ ἡσυχίας τοῦ εἰσελεύσονται.

σα΄. Ὥσπερ οὖν αἱ ἄνω Δυνάμεις, οὐ φροντίσουσι χρημάτων, ἢ κτημάτων· οὕτως οὔτε οἱ τὸ τῆς ψυχῆς ὀπτικὸν ἐκκαθάραντες, καὶ ἐν ἕξει τῆς ἀρετῆς γενόμενοι, οὐ μεριμνήσουσι περὶ κακώσεως τῶν πονηρῶν πνευμάτων. καὶ ὡς ἐκείνοις φανερὸς τῆς εἰς Θεὸν προκοπῆς ὁ πλοῦτος, οὕτω καὶ τοῖς τοιούτοις ὁ εἰς Θεὸν φανερὸς ἔρως, καὶ ἡ ἀγάπη· ἡ εἰς τὸ Θεῖον ἀτένισίς τε, καὶ ἡ ἀνάβασις. ἔτι δὲ ἐρωτικῶς τε καὶ ἀπλήστως τῇ ἀναβάσει ἐπεκτεινόμενοι ἐκ γεύσεως θείου καὶ ἐκστασίου πόθου, οὐ στήσονται, μέχρι τὰ Σεραφὶμ φθάσωσιν· οὐδὲ κοπάσουσι τῆς τοῦ νοῦ Νήψεως, καὶ ἐρωτικῆς ὑψώσεως, μέχρις ἂν Ἄγγελοι γένωνται, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Οὐκ ἔστιν ἰὸς ὑπὲρ ἰὸν ἀσπίδος, καὶ βασιλίσκου· καὶ οὐκ ἔστι κακία ὑπὲρ κακίαν φιλαυτίας. τέκνα δὲ φιλαυτίας ἔχεις πετώμενα, ἅ εἰσι ταῦτα· ἔπαινοι ἐν καρδίᾳ, αὐταρέσκεια, γαστριμαργία, πορνεία, κενοδοξία, φθόνος, καὶ ἡ κορωνὶς πάντων ὑπερηφανία· ἥτις κατασπᾷν ἐπίσταται οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ Ἀγγέλους ἐξ Οὐρανῶν, καὶ ζόφον ἀντὶ φωτὸς περιβάλλειν. σβ΄.

Ταῦτά σοι, Θεόδουλε, ὁ ἡσυχίας φερώνυμος, εἰ καὶ τῆς πράξεως διέψευσται. ἀλλ' ἴσως * οὐχ ὅλον, ἀλλ' ὃ ὁ Θεὸς ἔδωκεν, ὁ ἐν Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι αἰνούμενός τε καὶ δοξαζόμενος ὑπὸ πάσης λογικῆς φύσεως, Ἀγγέλων τε καὶ ἀνθρώπων, καὶ πάσης κτίσεως, ἣν ἡ ἄρρητος Τριὰς δεδημιούργηκεν, ὁ εἷς Θεός· οὗ καὶ ἡμᾶς τῆς λαμπρᾶς Βασιλείας, εὐχαῖς τῆς ὑπεράγνου Θεοτόκου τύχοιμεν, καὶ τῶν Ὁσίων Πατέρων ἡμῶν· ᾧ Θεῷ ἀνικήτῳ, δόξα αἰώνιος. Ἀμήν. σγ΄.

* ἐν ἄλλ. ἐξ ἡμῶν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΝΕίλῳ τῷ θεσπεσίῳ Πατρὶς μὲν ἡ Κωνσταντινούπολις, Καθηγητὴς δὲ ὁ θεῖος Χρυσόστομος· χρόνος δὲ, καθ᾿ ὃν ἤκμασεν, ὁ τετρακοσιοστὸς τεσσαρακοστὸς δεύτερος. Εὐγενείᾳ δὲ οὗτος, καὶ πλούτῳ βαθεῖ περιῤῥεόμενος, καὶ Ἔπαρχος ἐχρημάτισε τῆς πατρίδος· εἶτα πᾶσι χαίρειν εἰπὼν, καὶ τὸ Σίναιον καταλαβὼν Ὄρος, τὸν ἀσκητικὸν ᾑρετίσατο βίον. Πολὺς δ᾿ ὢν τὴν σοφίαν τήν τε καθ᾿ ἡμᾶς, καὶ τὴν θύραθεν, διάφορα συγγράμματα καταλέλοιπε, πνευματικῆς σοφίας, καὶ ἀφράστου χάριτος γέμοντα. Ἐξ ὧν ἡμεῖς, μελίττης τρόπον, ἀπανθισάμενοι τόν τε περὶ Προσευχῆς λόγον τρισὶ, καὶ πεντήκοντα, καὶ ἑκατὸν κεφαλαίοις διαλημμένον, καὶ τὸν τὴν ἐπιγραφὴν, Ἀσκητικὸς, ἔχοντα· τούτοις καθάπερ τισὶ μελισσίοις κηρίοις, τοὺς ἐντυγχάνοντας δεξιούμεθα. μέλιτος γὰρ ὡς ἀληθῶς, καὶ ἀμβροσίας νέκταρος ἀποστάζουσι, καὶ πολύχουν ἐπαγγέλλονται τὸν τῆς ὠφελείας καρπόν. Μέμνηται δὲ τούτου καὶ ὁ σοφώτατος Φώτιος Ἀναγνώσει σα΄. σελίδι 266. οὑτωσὶ λέγων· „ Καὶ Νείλου Μοναχοῦ λόγος ἀνεγνώσθη τρισὶ, καὶ πεντήκοντα, καὶ ἑκατὸν κεφαλαίοις διαιρούμενος· τὸν τῆς προσευχῆς δὲ ἐν τούτοις ὁ θεῖος ἀνὴρ ἀναπτύσσει τύπον· πολλὰ δὲ καὶ ἄλλα αὐτοῦ ἀξιόλογα . . . . τήν τε κατὰ τὰ ἔργα τελειότητα, καὶ τὴν ἐν λόγοις μαρτυρούμενα δύναμιν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη



## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΕΙΛΟΥ ΑΣΚΗΤΟΥ

## Πρόλογος τῶν περὶ Προσευχῆς ἑκατὸν πεντήκοντα τριῶν Κεφαλαίων.

Πυρέττοντά με τῷ φλογμῷ τῶν ἀκαθάρτων παθῶν, συνήθως ἀνεκτήσω τῇ τῶν θεοφιλῶν σου γραμμάτων ἐπαφῇ, τὸν κάμνοντά με νοῦν ἐν τοῖς αἰσχίστοις, παραμυθησάμενος· καὶ τὸν μέγαν μιμησάμενος καθηγητὴν καὶ διδάσκαλον μακαρίως. καὶ οὐ θαυμαστόν. σοὶ γὰρ ἀεὶ μερὶς γέγονε τὰ ἐπίσημα, ὡς καὶ τῷ εὐλογημένῳ Ἰακώβ· καλῶς γὰρ δουλεύσας, τῆς Ῥαχὴλ χάριν, καὶ λαβὼν τὴν Λείαν, ζητεῖς καὶ τὴν ποθουμένην, ὡς καὶ ταύτης δήπου πληρώσας τὰ ἕβδομα. ἐγὼ δὲ οὐκ ἂν ἀρνηθείην, ὡς ὅλην τὴν νύκτα κοπιάσας, πεπίακα οὐδέν. πλὴν ἐπὶ τῷ σῷ λόγῳ χαλάσας τὰ δίκτυα, ἤγρευσα ἰχθύων πλῆθος, οὐκ οἶμαι μέν, ὅτι μεγάλων, ἑκατὸν δὲ ὅμως καὶ πεντήκοντα τριῶν· καὶ τούτους διαποστείλας ἐν τῇ σπυρίδι τῆς ἀγάπης, διὰ τῶν ἰσαρίθμων κεφαλαίων, τὴν πρόσταξιν πεποιηκώς. θαυμάζω δέ σε καὶ λίαν ζηλῶ τῆς ἀρίστης προθέσεως, τῶν περὶ προσευχῆς ἐρῶντα κεφαλαίων. οὐ γὰρ ἁπλῶς τούτων ἐρᾷς τῶν ὑπὸ χειρῶν, καὶ ἐν χάρτῃ διὰ μέλανος τὸ εἶναι ἐχόντων, ἀλλὰ τῶν ἐν νῷ ἱδρυμένων, δι' ἀγάπης καὶ ἀμνησικακίας. ἀλλ' ἐπεὶ πάντα δισσά, * ἓν κατέναντι τοῦ ἑνός κατὰ τὸν σοφὸν Ἰησοῦν, δέχου πρὸς τῷ γράμματι, καὶ τῷ πνεύματι συνέσει, ὡς παντὸς τοῦ γράμματος, νοῦς προηγεῖται. οὐκ ὄντος γὰρ νοῦ, οὐδὲ γράμμα ἔσται. οὐκοῦν καὶ προσευχῆς, διττὸς ὁ τρόπος. ὁ μέν, τις πρακτικός, ὁ δέ, θεωρητικός. οὕτως καὶ ἀριθμοῦ, τὸ μὲν πρόχειρον, ἐστὶ ποσότης· τὸ δὲ σημαινόμενον, ποιότης. εἰς ἑκατὸν γὰρ καὶ πεντήκοντα καὶ τρία, τὸν περὶ προσευχῆς λόγον διειληφότες, εὐαγγελικὸν ὀψώνιόν σοι πεπόμφαμεν, ἵν' εὕρῃς συμβολικοῦ ἀριθμοῦ τερπνότητα, καὶ σχῆμα τρίγωνον, καὶ ἑξάγωνον. ὁμοῦ μέν, εὐσεβῆ γνῶσιν Τριάδος· ὁμοῦ δέ, καὶ τῆσδε τῆς διακοσμήσεως τὴν περιγραφήν, ὑπεμφαῖνον. ἀλλὰ καὶ ὁ ἑκατὸν ἀριθμὸς καθ' ἑαυτόν, τετράγωνός ἐστιν. ὁ δὲ πεντήκοντα τρεῖς, τρίγωνος, καὶ σφαιρικός. ὁ γὰρ εἰκοσιοκτὼ μέν, τρίγωνος· σφαιρικὸς δέ, ὁ εἰκοστὸς πέμπτος. πεντάκις γὰρ πέντε, εἰκοσιπέντε. οὐκοῦν, ἔχεις τὸ τετράγωνον σχῆμα· οὐ μόνον διὰ τῆς τετρακτύος τῶν

*Σειρ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀρετῶν, ἀλλὰ καὶ τῶνδε τοῦ αἰῶνος τὴν ἔνσοφον γνῶσιν, τῷ εἰκοσιπέντε ἀριθμῷ ἐοικυῖαν, διὰ τὸ σφαιρικὸν τῶν χρόνων. ἑβδομὰς γὰρ ἐπὶ ἑβδομάδα, καὶ μὴν ἐπὶ μῆνα κινεῖται, καὶ ἐξ ἐνιαυτοῦ εἰς ἐνιαυτὸν ὁ χρόνος κυλινδεῖται, καὶ καιρὸς ἐπὶ καιρόν, ὡς ἐπὶ κινήσεως ἡλίου, καὶ σελήνης, ἔαρος, καὶ θέρους, καὶ τῶν ἑξῆς ὁρῶμεν. τὸ δὲ τρίγωνον, σημαίνοι ἄν σοι τῆς ἁγίας Τριάδος γνῶσιν. ἄλλως· εἰ δὲ διὰ τοῦ πλήθους, τὸν ἀριθμὸν κομίζειν τῶν ἑκατὸν πεντήκοντα βιῶν, τρίγωνον ὄντα τόνδε, πρακτικήν, φυσικήν, καὶ θεολογικήν· ἢ πίστιν, ἐλπίδα, καὶ ἀγάπην· χρυσίον, ἄργυρον, λίθους τιμίους. ἀλλ' ὁ μὲν ἀριθμὸς, πιστῶς. τὸ δὲ τῶν κεφαλαίων ταπεινὸν, οὐ παρυβρίσεις, ὡς εἰδὼς καὶ χορτάζεσθαι, καὶ ὑστερεῖσθαι· καὶ μὴν καὶ ὡς μεμνημένος τοῦ τὰ δύο τῆς χήρας λεπτὰ μὴ ἀποβεβληκότος, ἀλλὰ καὶ ὑπὲρ πλοῦτον πολλῶν ἑτέρων ἀποδεξαμένου. οὐκοῦν εὐνοίας καὶ ἀγάπης καρπὸν εἰδὼς φυλάσσειν τοῖς γνησίοις ἀδελφοῖς, προσεύχου ὑπὲρ τοῦ ἀρρωστοῦντος ὅπως ὑγιάνῃ, καὶ ἄρας τοῦ λοιποῦ τὸν κράββατον, περιπατήσῃ, χάριτι Χριστοῦ. Ἀμήν.

α'. Εἴ τις βούλοιτο τὸ εὐῶδες θυμίαμα σκευάσαι, τὸν διαφανῆ λίβανον, καὶ τὴν κασσίαν, καὶ τὸν ὄνυχα, καὶ τὴν στακτήν, ἐξ ἴσου συνθήσει κατὰ τὸν νόμον. ταῦτα δέ ἐστιν ἡ τετρὰς τῶν ἀρετῶν. ἐὰν γὰρ πληρέσταται καὶ ἴσαι τυγχάνωσιν, οὐ προδοθήσεται ὁ νοῦς.

β'. Καθαρθεῖσα ψυχὴ διὰ τῆς τῶν ἐντολῶν πληρότητος, ἄκλονον τὴν τάξιν τοῦ νοῦ παρασκευάζει, δεκτικὸν αὐτὸν ποιοῦσα τῆς ζητουμένης καταστάσεως.

γ'. Ἡ προσευχή, ὁμιλία ἐστὶ νοῦ πρὸς Θεόν. ποίας οὖν δεῖται καταστάσεως ὁ νοῦς, ἵνα ἰσχύσῃ ἀμεταστρόφως ἐκταθῆναι πρὸς τὸν οἰκεῖον Δεσπότην, καὶ συνομιλεῖν αὐτῷ μηδενὸς μεσιτεύοντος;

δ'. Εἰ τῇ ἐπὶ γῆς βάτῳ φλεγομένῃ προσεγγίσαι πειράσας Μωϋσῆς, κωλύεται, ἄχρις οὗ λύσει τὸ ὑπόδημα τῶν ποδῶν· πῶς σύ, τὸν ὑπὲρ πᾶσαν αἴσθησιν καὶ ἔννοιαν ἰδεῖν βουλόμενος, καὶ συνόμιλος αὐτῷ γενέσθαι, οὐ λύσεις ἐκ σοῦ πᾶν νόημα ἐμπαθές;

ε'. Πρότερον περὶ λήψεως δακρύων προσεύχου· ἵνα διὰ τοῦ πένθους μαλάξῃς τὴν ἐνυπάρχουσαν τῇ ψυχῇ σου ἀγριότητα, καὶ ἐξαγορεύσας κατὰ σοῦ τὰς ἀνομίας σου τῷ Κυρίῳ, τῆς παρ' αὐτοῦ ἀφέσεως τύχῃς.

ς'. Κέχρησο τοῖς δάκρυσι, πρὸς πάσης αἰτήσεως κατόρθωσιν. λίαν γὰρ χαίρει σου ὁ Δεσπότης, ἐν δάκρυσι προσευχομένου.

ζ'. Ἐὰν πηγὰς δακρύων ἐκχέῃς ἐν τῇ προσευχῇ σου, μηδαμῶς ἐπαίρου ἐν ἑαυτῷ, ὡς ὑπὲρ τοὺς πολλοὺς ὤν. βοήθειαν γὰρ προσείληφεν ἡ προσευχή σου, ἵνα δυνηθῇς προθύμως ἐξαγορεῦσαί σου τὰς ἁμαρτίας, καὶ ἐξιλεώσασθαι τὸν Δεσπότην διὰ τῶν δακρύων. μὴ οὖν εἰς πάθος στρέψῃς τὸ τῶν παθῶν ἀλέξημα, ἵνα μὴ πλέον παροργίσῃς τὸν δεδωκότα τὴν χάριν.

η'. Πολλοὶ δακρύοντες ὑπὲρ ἁμαρτιῶν, ἐπιλαθόμενοι τοῦ τῶν δακρύων σκοποῦ, μανέντες ἐξετράπησαν.

θ'. Στῆθι ἐμπόνως, καὶ προσεύχου εὐτόνως, καὶ ἀποστρέφου τὰς τῶν φροντίδων καὶ λογισμῶν ἐπιτάξεις. ταράττουσι γὰρ καὶ θορυβοῦσί σε, ἵνα τοῦ τόνου ἐκλύσωσιν.

ι'. Ὅταν ἴδωσί σε οἱ δαίμονες προθυμούμενον ἀληθῶς προσεύξασθαι, τότε ὑποτίθενται νοήματα τινῶν πραγμάτων δῆθεν ἀναγκαίων, καὶ μετὰ βραχὺ ἐπαίρουσι τὴν περὶ αὐτῶν μνήμην, κινοῦντες τὸν νοῦν πρὸς ζήτησιν αὐτῶν, καὶ ὡς μὴ εὑρίσκων σφόδρα ἀθυμεῖ καὶ λυπεῖται. ἡνίκα δὲ στῇ εἰς προσευχήν, ὑ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πομιμνήσκουσιν αὐτῷ τῶν ζητηθέντων καὶ μνημονευθέντων, ἵνα κινηθεὶς ὁ νοῦς πρὸς τὴν αὐτῶν γνῶσιν, ἀπολέσῃ τὴν ἔγκαρπον προσευχήν.

ια'. Ἀγωνίζου στῆσαι τὸν νοῦν σου κατὰ τὸν καιρὸν τῆς προσευχῆς, κωφὸν, καὶ ἄλαλον, καὶ δυνήσῃ προσεύξασθαι.

ιβ'. Ἡνίκα ἂν ἀπαντήσῃ σοι πειρασμὸς, ἢ ἀντιλογία ἐρεθίζῃ, ἢ πρὸς τὸν ἐξεναντίας ἅμα κινῆσαι θυμὸν, ἢ τινὰ ἄσημον ῥῆξαι φωνὴν, μνήσθητι τῆς προσευχῆς, καὶ τοῦ κατ' αὐτὴν κρίματος, καὶ εὐθὺς ἡ ἐν σοὶ ἄτακτος κίνησις ἠρεμήσει.

ιγ'. Ὅσα ἂν ποιήσῃς πρὸς ἄμυναν ἀδελφοῦ ἠδικηκότος σε, ἅπαντα εἰς σκάνδαλόν σοι γενήσονται ἐν καιρῷ προσευχῆς.

ιδ'. Προσευχή ἐστι, πραότητος, καὶ ἀοργησίας βλάστημα.

ιε'. Προσευχή ἐστι, χαρᾶς, καὶ εὐχαριστίας πρόβλημα.

ιϛ'. Προσευχή ἐστι, λύπης, καὶ ἀθυμίας ἀλέξημα.

ιζ'. Ἀπελθὼν πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ λαβὼν τὸν σταυρὸν, ἀπάρνησαι ἑαυτὸν, ἵνα δυνηθῇς ἀπερισπάστως προσεύξασθαι.

ιη'. Εἰ βούλει ἐπαινετῶς προσεύχεσθαι, ἄρνησαι σεαυτὸν καθ' ὥραν, καὶ πάμπολλα δεινὰ πάσχων, ὑπὲρ προσευχῆς φιλοσόφει.

ιθ'. Ὅπερ ἂν χαλεπὸν ὑπομένων φιλοσοφήσῃς, τοῦτο τὸν καρπὸν καὶ τὸν καιρὸν τῆς προσευχῆς εὑρήσεις.

κ'. Ἐπιθυμῶν προσεύξασθαι ὡς δεῖ, μὴ λυπήσῃς ψυχήν· εἰ δὲ μήγε, εἰς μάτην τρέχεις.

κα'. Ἄφες σου τὸ δῶρον, φησὶν, ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ἀπελθὼν πρότερον, διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν, προσεύξῃ ἀταράχως. ἡ γὰρ μνησικακία ἀμαυροῖ τὸ ἡγεμονικὸν τοῦ προσευχομένου, καὶ σκοτίζει τούτου τὰς προσευχάς.

κβ'. Οἱ λύπας, καὶ μνησικακίας ἑαυτοῖς ἐπισωρεύοντες, ὅμοιοί εἰσι τοῖς ὕδωρ ἀντλοῦσι, καὶ εἰς πίθον τετρημένον βάλλουσιν.

κγ'. Ἐὰν ὑπομονητικὸς ᾖς, ἀεὶ μετὰ χαρᾶς προσεύξῃ.

κδ'. Προσευχομένου σου δεόντως, τοιαῦτά σοι ἀπαντήσεται πράγματα, ἵνα δόξῃς δίκαιον εἶναι πάντως, θυμῷ χρήσασθαι. οὐκ ἔστι δὲ δίκαιος θυμὸς κατὰ τοῦ πέλας τὸ σύνολον· ἐὰν γὰρ ζητήσῃς, εὑρήσεις, ὅτι δυνατὸν, καὶ δίχα θυμοῦ, καλῶς διατεθῆναι τὸ πρᾶγμα. πάσῃ οὖν μηχανῇ χρῆσαι, εἰς τὸ μὴ ῥῆξαι θυμόν.

κε'. Ὅρα, μὴ δοκῶν ἕτερον ἰᾶσθαι, αὐτὸς ἀνίατος ἔσῃ, καὶ δῷς ἐγκοπὴν τῇ προσευχῇ σου.

κϛ'. Φειδόμενος θυμοῦ, φειδοῦ εὑρήσεις, καὶ φρόνιμον σεαυτὸν ἀναδείξεις, καὶ ἐν τοῖς προσευχομένοις ἔσῃ.

κζ'. Κατὰ θυμοῦ ὁπλιζόμενος, ἐπιθυμίας οὐκ ἀνέξῃ ποτέ. αὕτη γὰρ ὕλας δίδωσι τῷ θυμῷ, καὶ οὗτος ταράττει τὸν νοερὸν ὀφθαλμὸν, λυμαινόμενος τὴν κατάστασιν τῆς προσευχῆς.

κη'. Μὴ ἐν μόνοις τοῖς ἐκτὸς σχήμασι προσεύχου, ἀλλὰ πρότρεπε τὸν νοῦν σου εἰς συναίσθησιν πνευματικῆς προσευχῆς μετὰ πολλοῦ φόβου.

κθ'. Ποτὲ μὲν, ἀθρόως ἐπιστὰς εἰς προσευχὴν, εὖ προσεύξῃ· ποτὲ δὲ, καὶ λίαν ποιήσας, οὐκ ἐπιτεύξῃ τοῦ σκοποῦ· ἵνα ἔτι μᾶλλον ζητήσῃς, καὶ λαβὼν, ἕξεις ἄσυλον τὸ κατόρθωμα.

λ'. Ἐπιστάντος Ἀγγέλου, ἀθρόως ἅπαντες ἀφίστανται οἱ ἐνοχλοῦντες ἡμῖν, καὶ εὑρίσκεται ὁ νοῦς ἐν πολλῇ ἀνέσει, ὑγιῶς προσευχόμενος. ποτὲ δὲ τοῦ συνήθους πολέμου ἡμῖν ἐπικειμένου, πυκτεύει ὁ νοῦς, καὶ οὐ συγχωρεῖται ἀνανεῦσαι. προπεποίωται γὰρ τοῖς ποικίλοις πάθεσιν. ὅμως ἐπὶ πλέον ζητῶν, εὑρήσει· καὶ κρούοντι, ἀνοιγήσεται αὐτῷ.

λα'. Μὴ προσεύχου τὰ σὰ θελήματα γε-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γίνεσθαι. οὐδὲ γὰρ πάντως συμφωνοῦσι τῷ θελήματι τοῦ Θεοῦ. ἀλλὰ μᾶλλον καθὼς ἐδιδάχθης προσεύχου λέγων· γενηθήτω τὸ θέλημά σου ἐν ἐμοί. καὶ ἐπὶ παντὶ πράγματι, οὕτως αὐτὸν αἴτει, ἵνα τὸ αὐτοῦ γένηται θέλημα. θέλει γὰρ τὸ ἀγαθὸν, καὶ συμφέρον τῇ ψυχῇ σου, σὺ δὲ οὐ πάντως τοῦτο ζητεῖς.

λβ'. Πολλάκις προσευξάμενος, ᾐτησάμην γενέσθαι μοι, ὃ ἔδοξα καλὸν εἶναι, καὶ ἐπέμενον τῷ αἰτήματι ἀλόγως βιαζόμενος τὸ θέλημα τοῦ Θεοῦ· καὶ μὴ ἀποδιδοὺς αὐτῷ, ἵνα ὃ οἶδε συμφέρον, αὐτὸ μᾶλλον οἰκονομήσῃ. καὶ μέντοι λαβὼν, ἠχθέσθην ὕστερον λίαν, διότι μὴ μᾶλλον τὸ θέλημα τοῦ Θεοῦ ᾐτησάμην γενέσθαι. οὐ γὰρ τοιοῦτόν μοι ἀπήντησε τὸ πρᾶγμα, οἷον ἐνόμιζον.

λγ'. Τί ἀγαθὸν, ἀλλ' ἢ Θεός; οὐκοῦν αὐτῷ ἀποδῶμεν πάντα τὰ καθ' ἡμᾶς, καὶ εὖ ἡμῖν ἔσται. ὁ γὰρ ἀγαθὸς, πάντως καὶ ἀγαθῶν ἐστὶ πάροχος δωρεῶν.

λδ'. Μὴ ὀδυνῶ μὴ κομιζόμενος εὐθέως παρὰ Θεοῦ τὸ αἴτημα ὃ αἰτεῖς. βούλεται γάρ σε ἐπιπλέον εὐεργετῆσαι προσκαρτεροῦντα αὐτῷ ἐν τῇ προσευχῇ. τί γὰρ ἀνώτερον τοῦ τῷ Θεῷ προσομιλεῖν, καὶ τῇ πρὸς αὐτὸν συνουσίᾳ περισπᾶσθαι;

λε'. Ἀπερίσπαστος προσευχή ἐστιν, ἄκρα νόησις νοός.

λϛ'. Προσευχή ἐστιν, ἀνάβασις νοῦ πρὸς Θεόν.

λζ'. Εἰ προσεύξασθαι ποθεῖς, ἀπόταξαι τοῖς σύμπασιν, ἵνα τὸ πᾶν κληρονομήσῃς.

λη'. Προσεύχου πρότερον, περὶ τοῦ καθαρθῆναι τῶν παθῶν· καὶ δεύτερον, περὶ τοῦ ῥυσθῆναι ἀπὸ τῆς ἀγνοίας, καὶ τῆς λήθης· καὶ τρίτον, ἀπὸ παντὸς πειρασμοῦ, καὶ ἐγκαταλείψεως.

λθ'. Μόνην ζήτει ἐν τῇ προσευχῇ σου, τὴν δικαιοσύνην, καὶ τὴν Βασιλείαν, τουτέστι, τὴν ἀρετὴν, καὶ τὴν γνῶσιν· καὶ τὰ λοιπὰ πάντα προστεθήσεταί σοι.

Δίκαιον μὴ μόνον περὶ οἰκείας καθάρσεως προσεύχεσθαι, ἀλλὰ καὶ ὑπὲρ παντὸς τοῦ ὁμοφύλου, ἵνα Ἀγγελικὸν μιμήσῃ τρόπον. μ'.

Ὅρα, εἰ ἀληθῶς Θεῷ παρέστηκας ἐν τῇ προσευχῇ σου, ἢ ἐπαίνῳ ἀνθρωπίνῳ ἡττᾷ, καὶ τοῦτον θηρᾷν ἐπείγῃ· ὥσπερ ἐπικαλύμματι κεχρημένος τῇ παρατάσει τῆς προσευχῆς. μα'.

Εἰ μετὰ ἀδελφῶν, εἴτε καταμόνας προσεύχῃ, ἀγώνισαι, μὴ ἔθει, ἀλλ' αἰσθήσει προσεύχεσθαι. μβ'.

Αἴσθησις ἐστὶ προσευχῆς, σύννοια μετ' εὐλαβείας, καὶ κατανύξεως, καὶ ὀδύνης ψυχῆς ἐν ἐξαγορεύσει πταισμάτων, μετὰ στεναγμῶν ἀφανῶν. μγ'.

Ἐὰν περιπλέκεται ὁ νοῦς σου ἀκμὴν ἐν καιρῷ προσευχῆς, οὐδέπω ἔγνω ὅτι Μοναχὸς προσεύχεται, ἀλλ' ἔτι κοσμικός ἐστι, τὴν ἔξωθεν σκηνὴν καλλωπίζων. μδ'.

Προσευχόμενος, τὴν μνήμην σου δυνάμει φύλαττε, ἵνα μὴ τὰ οἰκεῖα παραθήσεταί σοι, ἀλλὰ πρὸς τὴν γνῶσιν τῆς παραστάσεως σεαυτὸν κίνει. λίαν γὰρ πέφυκεν ὁ νοῦς συλᾶσθαι ὑπὸ τῆς μνήμης, ἐν τῷ καιρῷ τῆς προσευχῆς. με'.

Ἡ παλαιῶν πραγμάτων φαντασίας ἄγει σοι ἡ μνήμη προσευχομένῳ, ἢ νέας φροντίδας, ἢ τὸ πρόσωπον τοῦ λελυπηκότος. μϛ'.

Λίαν βασκαίνει ὁ δαίμων ἀνθρώπῳ προσευχομένῳ, καὶ πάσῃ χρῆται μηχανῇ λυμήνασθαι τὸν τούτου σκοπόν. οὐ παύεται οὖν τὰ νοήματα κινῶν τῶν πραγμάτων διὰ τῆς μνήμης, καὶ ὅλα τὰ πάθη ἀναμοχλεύων διὰ τῆς σαρκὸς, ἵνα ἐμποδίσαι δυνηθῇ τῷ ἀρίστῳ αὐτοῦ δρόμῳ, καὶ τῇ πρὸς Θεὸν ἐκδημίᾳ. μζ'.

Ὅταν πολλὰ ποιήσας ὁ πονηρότατος δαίμων, μὴ δυνηθῇ ἐμποδίσαι τῇ τοῦ δικαίου προσευχῇ, μικρὸν ὑποχαλᾷ, καὶ μετέπειτα ἀμύνεται αὐτὸν προσευξάμενον. ἢ γὰρ εἰς ὀργὴν τοῦτον ἐξάψας, ἀφανίζει τὴν μη'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐκ τῆς προσευχῆς συγκροτουμένην ἀρίστην κατάστασιν αὐτοῦ, ἢ πρὸς ἡδονὴν ἄλογον ἐρεθίσας, ἐμβριθίζει τὸν νοῦν.

μθ'. Προσευξάμενος ὡς δεῖ, προσδόκα ἃ μὴ δεῖ, καὶ στῆθι ἀνδρείως φυλάττων τὸν καρπόν σου. εἰς τοῦτο γὰρ ἐξ ἀρχῆς ἐτάγης, ἐργάζεσθαι, καὶ φυλάττειν. μὴ οὖν ἐργασάμενος, ἐάσῃς ἀφύλακτον τὸ πονηθέν, εἰ δὲ μή, οὐδὲν ὠφέλησας προσευχόμενος.

ν'. Πᾶς ὁ συγκροτούμενος πόλεμος μεταξὺ ἡμῶν τε, καὶ τῶν ἀκαθάρτων δαιμόνων, οὐ περὶ ἑτέρου γίνεται, ἢ περὶ πνευματικῆς προσευχῆς. λίαν γὰρ πολέμιος αὐτοῖς ἐστὶ καὶ ἐπαχθεστάτη, ἡμῖν δὲ σωτήριος καὶ προσηνεστάτη.

να'. Τί βούλεται τοῖς δαίμοσιν ἐνεργεῖν ἐν ἡμῖν; γαστριμαργίαν, πορνείαν, φιλαργυρίαν, ὀργήν τε, καὶ μνησικακίαν, καὶ τὰ λοιπὰ πάθη· ἵνα παχυνθεὶς ἐξ αὐτῶν ὁ νοῦς, μὴ δυνηθῇ ὡς δεῖ προσεύξασθαι. τὰ γὰρ τοῦ ἀλόγου μέρους πάθη ἄρξαντα, οὐκ ἐᾷ αὐτὸν λογικῶς κινεῖσθαι.

νβ'. Τὰς ἀρετὰς μετερχόμεθα, διὰ τοὺς λόγους τῶν γεγονότων, καὶ τούτους διὰ τὸν οὐσιώσαντα Λόγον· οὗτος δὲ ἐν τῇ καταστάσει τῆς προσευχῆς ἀναφαίνεσθαι εἴωθεν.

νγ'. Κατάστασίς ἐστι προσευχῆς, ἕξις ἀπαθής, ἔρωτι ἀκροτάτῳ εἰς ὕψος νοητὸν ἁρπάζουσα τὸν φιλόσοφον νοῦν.

νδ'. Οὐ μόνον θυμοῦ, καὶ ἐπιθυμίας δεῖ ἄρχειν τὸν ἀληθῶς προσεύξασθαι βουλόμενον, ἀλλὰ καὶ ἐκτὸς νοήματος ἐμπαθοῦς γενέσθαι.

νε'. Ὁ ἀγαπῶν τὸν Θεόν, τούτῳ ὡς πατρὶ ἀεὶ συνομιλεῖ, ἀποστρεφόμενος πᾶν νόημα ἐμπαθές.

νϛ'. Οὐχ ὁ ἀπαθείας τετυχηκώς, ἤδη καὶ προσεύχεται ἀληθῶς. δύναται γὰρ ἐν τοῖς ψιλοῖς νοήμασιν εἶναι, καὶ ἐν ταῖς ἱστορίαις αὐτῶν περισπᾶσθαι, καὶ μακρὰν ἀπέχειν ἀπὸ Θεοῦ.

Οὐχ ὅτε μὴ χρονίζει ὁ νοῦς ἐν τοῖς ψιλοῖς νοήμασι τῶν πραγμάτων, ἤδη καὶ προσευχῆς κατείληφε τόπον. δύναται γὰρ ἐν τῇ θεωρίᾳ ἀεὶ εἶναι τῶν πραγμάτων, καὶ ἐν τοῖς λόγοις αὐτῶν ἀδολεσχεῖν· ἅπερ εἰ καὶ ψιλὰ ῥήματά ἐστιν, ἀλλ' ὡς πραγμάτων ὄντα θεωρήματα, τυποῦσι καὶ σχηματίζουσι τὸν νοῦν, καὶ μακρὰν ἀπάγουσιν αὐτὸν ἀπὸ τοῦ Θεοῦ. νζ'.

Ἐὰν μὴ ὑπὲρ τὴν θεωρίαν τῆς σωματικῆς φύσεως ὁ νοῦς γένηται, οὔπω τέλειον τὸν τοῦ Θεοῦ τόπον ἐθεάσατο. δύναται γὰρ ἐν τῇ τῶν νοητῶν εἶναι γνώσει, καὶ ποικίλεσθαι πρὸς αὐτά. νη'.

Εἰ προσεύξασθαι βούλει, Θεοῦ χρεία τοῦ διδόντος εὐχὴν τῷ εὐχομένῳ. οὖν ἐπικαλοῦ αὐτόν, λέγων· ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ Βασιλεία σου. τουτέστι, τὸ Ἅγιον Πνεῦμα, καὶ ὁ Μονογενής σου Υἱός. οὕτω γὰρ ἐδίδαξε λέγων· ἐν πνεύματι, καὶ ἀληθείᾳ προσκυνεῖσθαι τὸν Πατέρα. νθ'.

Ὁ ἐν πνεύματι, καὶ ἀληθείᾳ προσευχόμενος, οὐκ ἔτι ἐκ τῶν κτισμάτων τὸν δημιουργὸν γεραίρει, ἀλλ' ἐξ αὐτοῦ αὐτὸν ὑμνεῖ. ξ'.

Εἰ θεολόγος εἶ, προσεύξῃ ἀληθῶς. καὶ εἰ ἀληθῶς προσεύχῃ, θεολόγος εἶ. ξα'.

Ὅταν ὁ νοῦς ἐν τῷ πολλῷ πρὸς τὸν Θεὸν πόθῳ, κατὰ μικρὸν οἷον ὑπαναχωρῇ τῆς σαρκός, καὶ πάντα τὰ ἐξ αἰσθήσεως, ἢ μνήμης, ἢ κράσεως νοήματα ἀποστρέφεται, εὐλαβείας ὁμοῦ, καὶ χαρᾶς ἔμπλεως γενόμενος, τότε νόμιζε ἠγγικέναι ὅροις προσευχῆς. ξβ'.

Τὸ Ἅγιον Πνεῦμα τῇ ἡμετέρᾳ συμπάσχον ἀσθενείᾳ, καὶ ἀκαθάρτοις οὖσιν ἡμῖν ἐπιφοιτᾷ· καὶ εἰ εὕροι τὸν νοῦν μόνον φιλαλήθως αὐτῷ προσευχόμενον, ἐπιβαίνει αὐτῷ· καὶ ἅπασαν τὴν κυκλοῦσαν αὐτὸν τῶν λογισμῶν, ἢ νοημάτων φάλαγγα ἐξαφανίζει· προτρεπόμενον αὐτὸν εἰς ἔρωτα πνευματικῆς προσευχῆς. ξγ'.

Οἱ μὲν λοιποί, διὰ τῆς ἀλλοιώσεως ξδ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦ σώματος, ἐμποιοῦσι τῷ λογισμῷ, ἢ νοήματι, ἢ θεωρήματι· ὁ δέγε Κύριος τοὐναντίον δρᾷ, αὐτὸς τῷ νῷ ἐπιβαίνων, ἐντίθησιν αὐτῷ γνῶσιν ὧν βούλεται· καὶ διὰ τοῦ νοῦ, τὴν ἀκρασίαν τοῦ σώματος κατευνάζει.

ξε'. Οὐδεὶς ἐρῶν ἀληθοῦς προσευχῆς, καὶ ὀργιζόμενος, ἢ μνησικακῶν, ἐκτὸς ἐστὶ μέμψεως. ὅμοιος γάρ ἐστι τῷ ὀξυωπεῖν θέλοντι, καὶ τοὺς οἰκείους ὀφθαλμοὺς ἐκσπαράσσοντι.

ξς'. Εἰ προσεύξασθαι ποθεῖς, μηδὲν τῶν ἐναντιουμένων τῇ προσευχῇ πράττε· ἵνα ὁ Θεὸς ἐγγίσας, συμπορεύσηταί σοι.

ξζ'. Μὴ σχηματίσῃς τὸ Θεῖον ἐν σεαυτῷ προσευχόμενος, μηδὲ πρὸς μορφήν τινα συγχωρήσῃς τυπωθῆναί σου τὸν νοῦν, ἀλλ' ἀΰλως τῷ ἀΰλῳ πρόσιθι, καὶ συνήσεις.

ξη'. Φυλάττου τὰς παγίδας τῶν ἐναντίων. γίνεται γάρ, ἐν τῷ προσεύχεσθαί σε καθαρῶς καὶ ἀταράχως, ἀθρόως ἐπιστῆναί σοι μορφήν τινα ξένην καὶ ἀλλόφυλον, πρὸς τὸ εἰς οἴησίν σε ἀπαγαγεῖν, τοπάζοντα τὸ Θεῖον ἐκεῖ· ἵνα τὸ ἀθρόως ἐκκαλυφθέν σοι ποσόν, τὸ Θεῖον εἶναι πείσῃ· ἄποσον δὲ τὸ Θεῖον καὶ ἀσχημάτιστον.

ξθ'. Ὅταν μὴ δυνηθῇ τὴν μνήμην κινῆσαι ἐν τῇ προσευχῇ ὁ φθονερὸς δαίμων, τότε τὴν κρᾶσιν τοῦ σώματος ἐκβιάζεται, εἰς τὸ ποιῆσαι ξένην τινὰ φαντασίαν τῷ νῷ, καὶ μορφῶσαι αὐτόν. ὁ δὲ ἔθος ἔχων ἐν νοήμασι συνεῖναι, ῥᾳδίως κάμπτεται· καὶ ὁ πρὸς ἄϋλον γνῶσιν, καὶ ἀνείδεον ἐπειγόμενος, ἀπατᾶται καπνὸν ἀντὶ φωτὸς κατέχων.

ο'. Στῆθι ἐπὶ τῆς φυλακῆς σου, φυλάττων τὸν νοῦν σου ἀπὸ νοημάτων, καὶ τὸν καιρὸν τῆς προσευχῆς, τὴν ἄπισιν πληρῶσαι, καὶ στῆναι ἐπὶ τῇ οἰκείᾳ ἠρεμίᾳ· ἵνα ὁ συμπάσχων τοῖς ἀγνοοῦσι, καὶ σοὶ ἐπιφοιτήσῃ· καὶ τότε λήψῃ δῶρον προσευχῆς εὐκλεέστατον.

οα'. Οὐ δυνήσῃ προσεύξασθαι καθαρῶς, πράγμασι συμπλεκόμενος ὑλικοῖς, καὶ φροντίσι συνεχέσι δονούμενος. προσευχὴ γάρ ἐστιν, ἀπόθεσις νοημάτων.

οβ'. Οὐ δύναται δεδεμένος δραμεῖν. οὐδὲ νοῦς πάθει δουλεύων, προσευχῆς πνευματικῆς τόπον ἰδεῖν. ἕλκεται γὰρ καὶ περιφέρεται ἐκ τοῦ ἐμπαθοῦς νοήματος, καὶ οὐχ ἕξει στάσιν ἀκλόνητον.

ογ'. Ἐπὰν καθαρῶς λοιπὸν καὶ ἀπαθῶς ὁ νοῦς προσεύχηται, τηνικαῦτα οὐκ ἔτι ἐκ τῶν ἀριστερῶν ἐπέρχονται αὐτῷ οἱ δαίμονες, ἀλλ' ἐκ τῶν δεξιῶν. ὑποτίθενται γὰρ αὐτῷ δόξαν Θεοῦ, καὶ σχηματισμόν τινα, τῶν τῇ αἰσθήσει φίλων, ὡς δοκεῖν τέλειον πετυχῆσθαι αὐτὸν τοῦ περὶ προσευχῆς σκοποῦ. τοῦτο δὲ ἔφρασε γνωστικὸς ἀνήρ, ὑπὸ τοῦ τῆς κενοδοξίας πάθους γίνεσθαι· καὶ ὑπὸ τοῦ δαίμονος τοῦ ἁπτομένου τοῦ κατὰ τὸν ἐγκέφαλον τόπου.

οδ'. Οἶμαι τὸν δαίμονα ἐφαπτόμενον τοῦ εἰρημένου τόπου, τὸ περὶ τὸν νοῦν φῶς τρέπειν καθὼς βούλεται. καὶ οὕτω κινεῖσθαι τὸ τῆς κενοδοξίας πάθος εἰς λογισμόν, μορφοῦντα τὸν νοῦν κουφογνωμόνως πρὸς τοπασμὸν θείας, καὶ οὐσιώδους γνώσεως. μὴ ὀχλούμενος δὲ ὁ τοιοῦτος ὑπὸ σαρκικῶν, καὶ ἀκαθάρτων παθῶν, ἀλλὰ καθαρῶς δῆθεν παρεστώς, δοκεῖ μηκέτι ἐνέργειάν τινα ἐναντίαν γίνεσθαι ἐν αὐτῷ. ὅθεν ὑποπτεύει θείαν εἶναι ἐπιφάνειαν, τὴν γινομένην αὐτῷ ὑπὸ τοῦ δαίμονος· δεινότητι λίαν χρωμένου, καὶ διὰ τοῦ ἐγκεφάλου, τὸ συνεζευγμένον φῶς ἀλλοιοῦντος, καὶ μορφοῦντος αὐτόν καθὼς προέφημεν.

οε'. Ὁ τοῦ Θεοῦ Ἄγγελος ἐπιστάς, λόγῳ μόνῳ ἅπασαν τὴν ἀντικειμένην ἐνέργειαν παύει ἐξ ἡμῶν, καὶ κινεῖ τὸ φῶς τοῦ νοῦ ἀπλανῶς ἐνεργεῖν.

ος'. Τὸ λέγειν ἐν τῇ Ἀποκαλύψει, κομίζεσθαι τὸν Ἄγγελον θυμίαμα, ἵνα δῷ εἰς τὰς προσευχὰς τῶν Ἁγίων, οἶμαι τὴν χάριν εἶναι ταύτην, τὴν διὰ τοῦ Ἀγγέ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λυ ἐνεργουμένην. γνῶσιν γὰρ ἐμποιεῖ τῆς ἀληθοῦς προσευχῆς, ὥστε ἑστάναι λοιπὸν ἐκτὸς παντὸς κλόνου, ἀκηδίας τε, καὶ ὀλιγωρίας τὸν νοῦν.

οζ'. Αἱ φιάλαι τῶν θυμιαμάτων, αἱ προσευχαὶ εἶναι λέγονται τῶν Ἁγίων, ἃς οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἐπεφέροντο. φιάλην δὲ ὑποληπτέον, τὴν πρὸς Θεὸν φιλίαν, ἤτοι τὴν τελείαν καὶ πνευματικὴν ἀγάπην· ἐν ᾗ ἡ προσευχὴ ἐνεργεῖται ἐν πνεύματι καὶ ἀληθείᾳ.

οη'. Ὅταν δόξῃς μὴ δεῖσθαι δακρύων ἐν τῇ προσευχῇ σου διὰ ἁμαρτίας, σκόπει πόσον ἀφέστηκας τοῦ Θεοῦ, ὀφείλων εἶναι διαπαντὸς ἐν αὐτῷ, καὶ θερμότερον δακρύσεις.

οθ'. Ναὶ μὴν ἐπιγινώσκων τὰ μέτρα σου, ἡδέως πενθήσεις, ταλανίζων σεαυτὸν, κατὰ τὸν Ἠσαΐαν· πῶς ἀκάθαρτος ὢν, καὶ ἐν μέσῳ λαοῦ τοιούτου ὑπάρχων, τουτέστιν ἐναντίων, τολμᾷς τῷ Κυρίῳ σαβαὼθ παρεστάναι.

π'. Ἐὰν ἀληθῶς προσεύχῃ, πολλὴν πληροφορίαν εὑρήσεις· καὶ Ἄγγελοι συνελεύσονταί σοι ὡς καὶ τῷ Δανιὴλ, καὶ τοὺς λόγους τῶν γινομένων φωτιοῦσί σε.

πα'. Γίνωσκε, ὅτιπερ οἱ ἅγιοι Ἄγγελοι προτρέπονται ἡμᾶς εἰς προσευχὴν, καὶ συμπαρίστανται ἡμῖν χαίροντες ἅμα, καὶ προσευχόμενοι ὑπὲρ ἡμῶν. ἐὰν οὖν ἀμελήσωμεν, καὶ δεξώμεθα λογισμοὺς ἐναντίους, λίαν παροξύνομεν αὐτούς· ὅτιπερ αὐτοὶ ὑπὲρ ἡμῶν ἀγωνίζονται τοσοῦτον· ἡμεῖς δὲ, οὐδὲ ὑπὲρ ἑαυτῶν βουλόμεθα ἱκετεῦσαι τὸν Θεὸν, ἀλλὰ καταφρονοῦντες τῆς ἑαυτῶν λειτουργίας, καὶ τὸν τούτων δεσπότην καὶ Θεὸν καταλιμπάνοντες, δαίμοσιν ἀκαθάρτοις ἐντυγχάνομεν.

πβ'. Προσεύχου ἐπιεικῶς καὶ ἀταράχως, καὶ ψάλλε συνετῶς καὶ εὐρύθμως, καὶ ἔσῃ ὡς νεοσσὸς ἀετοῦ ἐν ὕψει αἰρόμενος.

πγ'. Ἡ μὲν ψαλμῳδία, τὰ πάθη κατευνάζει, καὶ τὴν ἀκρασίαν τοῦ σώματος ἠρεμεῖν ἀπεργάζεται· ἡ δὲ προσευχὴ, ἐνεργεῖν παρασκευάζει τὸν νοῦν τὴν ἰδίαν ἐνέργειαν.

πδ'. Προσευχή ἐστι, πρέπουσα ἐνέργεια τῇ ἀξίᾳ τοῦ νοῦ· ἤτοι κρείττων, καὶ εἰλικρινὴς χρῆσις αὐτοῦ.

πε'. Ἡ μὲν ψαλμῳδία, τῆς ποικίλης σοφίας ἐστίν· ἡ δὲ προσευχὴ, προοίμιον ἐστὶ τῆς ἀΰλου, καὶ ποικίλης γνώσεως.

πς'. Ἡ γνῶσις καλλίστη ὑπάρχει. συνεργὸς γάρ ἐστι τῆς προσευχῆς· τὴν νοερὰν δύναμιν τοῦ νοῦ διυπνίζουσα πρὸς θεωρίαν τῆς θείας γνώσεως.

πζ'. Εἰ οὐδέπω ἔλαβες χάρισμα προσευχῆς, ἢ ψαλμῳδίας, ἐφέδρευσον, καὶ λήψῃ.

πη'. Ἔλεγε δὲ αὐτοῖς καὶ παραβολὴν πρὸς τὸ δεῖν αὐτοὺς πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν. οὐκοῦν, μὴ ἐκκάκει τέως, μηδὲ ἀθύμει, ὡς μὴ λαβών. λήψῃ γὰρ ὕστερον. καὶ ἐπήγαγε τῇ παραβολῇ· τὸ γὰρ, εἰ καὶ Θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, ἀλλά γε διὰ τὸ κόπτειν μοι παρέχειν τὴν γυναῖκα, ποιήσω τὴν κρίσιν αὐτῆς. οὕτως οὖν καὶ ὁ Θεὸς ποιήσει τὴν ἐκδίκησιν τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας, ἐν τάχει. εὐθύμει τοιγαροῦν προσκαρτερῶν ἐμπόνως τῇ ἁγίᾳ προσευχῇ.

πθ'. Μὴ θέλε, ὡς σοὶ δοκεῖ, ἀλλ' ὡς Θεῷ ἀρέσκει, γενέσθαι τὰ κατὰ σέ· καὶ ἔσῃ ἀτάραχος καὶ εὐχάριστος ἐν προσευχῇ σου.

ϙ'. Κἂν μετὰ Θεοῦ δοκῇς εἶναι, φυλάττου τὸν τῆς πορνείας δαίμονα. λίαν γάρ ἐστιν ἀπατεὼν, καὶ φθονερώτατος, καὶ βούλεται ὀξύτερος εἶναι τῆς κινήσεως, καὶ νήψεως τοῦ νοός σου, ὡς καὶ ἀπὸ Θεοῦ ἀποσπᾷν αὐτὸν, παρεστῶτα αὐτῷ μετ' εὐλαβείας, καὶ φόβου.

ϙα'. Ἐὰν προσευχῆς ἐπιμελῇ, ἑτοιμάζου πρὸς ἐπαγωγὰς δαιμόνων, καὶ καρτερῶς

τὰς μάστιγας ὑπόμενε· ὡς γὰρ θῆρες ἄγριοι ἐπελεύσονταί σοι, καὶ πᾶν σου κακώσουσι τὸ σῶμα.

ϟβʹ. Παρασκευάζου ὡς ἔμπειρος ἀγωνιστής, κἂν ἀθρόως ἴδῃς φαντασίαν, μὴ κλονεῖσθαι· κἂν ῥομφαίαν κατὰ σοῦ ἐσπασμένην, ἢ λαμπάδα κατατρέχουσάν σου τὴν ὄψιν, μὴ ταράττεσθαι· κἂν μορφήν τινα ἀηδῆ, καὶ αἱματώδη, μηδόλως καταπίπτειν τὴν ψυχήν. ἀλλὰ στῆθι ὁμολογῶν τὴν καλὴν ὁμολογίαν, καὶ ῥᾷον ἐπόψῃ ἐπὶ τοὺς ἐχθρούς σου.

ϟγʹ. Ὁ τὰ λυπηρὰ ὑποφέρων, καὶ τῶν περιχαρῶν τεύξεται. καὶ ὁ ἐν τοῖς ἀηδέσι καρτερῶν, τῶν ἡδέων οὐκ ἀμοιρήσει.

ϟδʹ. Ὅρα, μή σε ἀπατήσωσι διά τινος ὀπτασίας οἱ πονηροὶ δαίμονες, ἀλλὰ γίνου συνετός, τρεπόμενος εἰς εὐχήν, καὶ παρακάλει τὸν Θεόν· ἵνα εἰ μὲν ἐξ αὐτοῦ ἐστι τὸ νόημα, αὐτός σε φωτίσῃ· εἰ δὲ μήγε, τὸ τάχος τὸν πλάνον ἀπελάσῃ ἀπὸ σοῦ. καὶ θάρσει ὡς οὐ στήσονται οἱ κύνες, σοῦ ἐμπύρως τῇ πρὸς Θεὸν ἐντεύξει κεχρημένου. εὐθέως γὰρ ἀοράτως, καὶ ἀφανῶς, Θεοῦ δυνάμει, μαστιζόμενοι, μακρὰν ἐλαθήσονται.

ϟεʹ. Δίκαιόν ἐστι, μηδὲ τὸν δόλον σε τοῦτον ἀγνοεῖν· ὅτι ἐν καιρῷ μερίζουσιν ἑαυτοὺς οἱ δαίμονες, καὶ εἰ δέξῃς βοήθειαν ἐπιζητεῖν, εἰσίασιν οἱ λοιποὶ ἐν σχήμασιν ἀγγελικοῖς, τοὺς πρώτους ἀπελαύνοντες· πρὸς τὸ σὲ ἐξαπατᾶσθαι ὑπ' αὐτῶν τῇ γνώμῃ, ὡς ἀληθῶν ὄντων ἀγγέλων.

ϟϛʹ. Ταπεινοφροσύνης πολλῆς ἐπιμέλησαι, καὶ ἀνδρείας, καὶ οὐ μή σου δαιμόνων ἐπήρεια καθάψηται τῆς ψυχῆς· καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε. καὶ ἀφανῶς ἅπασαν τὴν ἀντικειμένην ἐνέργειαν ἀποδιώξουσιν ἀπὸ σοῦ.

ϟζʹ. Ψόφους μέν, καὶ κτύπους, καὶ φωνάς, καὶ αἰκισμοὺς ἐκ δαιμόνων ἀκούσεται, ὁ καθαρᾶς ἐπιμελόμενος προσευχῆς· ἀλλ' οὐ συμπεσεῖται, οὐδὲ προδώσει τὸν λογισμόν, λέγων πρὸς τὸν Θεόν· οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ· καὶ τὰ ὅμοια.

ϟηʹ. Ἐν καιρῷ τῶν τοιούτων πειρασμῶν, βραχείᾳ καὶ ἐπιτεταμένῃ προσευχῇ κέχρησο.

ϟθʹ. Ἐὰν ἀπειλήσωσί σοι οἱ δαίμονες ἀθρόως ἐκ τοῦ ἀέρος προφαίνεσθαι, καὶ ἐκπλήττειν σε καὶ διαρπάζειν τὸν νοῦν σου, μὴ πτοηθῇς αὐτούς· μηδὲ ὅλως φροντίσῃς τῆς τούτων ἀπειλῆς. ἐκφοβοῦσι γάρ σε πειράζοντες, εἰ ἄρα προσέχεις αὐτοῖς, ἢ τέλεον αὐτῶν κατεφρόνησας.

ρʹ. Εἰ Θεῷ παντοκράτορι, καὶ δημιουργῷ, καὶ προνοητῇ τῶν πάντων παρίστασαι ἐν τῇ προσευχῇ, τί οὕτως ἀλόγως αὐτῷ παρέστηκας, ὡς παρελθεῖν τὸν ἀνυπέρβλητον αὐτοῦ φόβον, καὶ κώνωπας, καὶ κανθάρους διδίττεσθαι; ἢ οὐκ ἤκουσας τοῦ λέγοντος; Κύριον τὸν Θεόν σου φοβήσῃ. καὶ πάλιν· ὃν φρίττει καὶ τρέμει πάντα ἀπὸ προσώπου δυνάμεως αὐτοῦ· καὶ τὰ ἑξῆς.

ραʹ. Ὥσπερ ὁ ἄρτος τροφή ἐστι τῷ σώματι, καὶ ἡ ἀρετὴ τῇ ψυχῇ, οὕτως καὶ τοῦ νοῦ ἡ πνευματικὴ προσευχή, τροφὴ ὑπάρχει.

ρβʹ. Μὴ φαρισαϊκῶς, ἀλλὰ τελωνικῶς προσεύχου ἐν τῷ ἱερῷ τόπῳ τῆς προσευχῆς, ἵνα καὶ σὺ δικαιωθῇς ὑπὸ Κυρίου.

ργʹ. Ἀγωνίζου μὴ κατεύχεσθαί τινος ἐν τῇ προσευχῇ σου, ἵνα μὴ ἃ οἰκοδομεῖς, καταλύσῃς· βδελυκτὴν ποιῶν τὴν προσευχήν σου.

ρδʹ. Ὁ χρεωφειλέτης τῶν μυρίων ταλάντων παιδευέτω σε· ὡς εἰ μὴ ἀφήσεις τῷ ὀφειλέτῃ, οὐδὲ αὐτὸς τεύξῃ τῆς ἀφέσεως. παρέδωκε γὰρ αὐτόν, φησί, τοῖς βασανισταῖς.

ρεʹ. Παραπέμπου τὰς ἀνάγκας τοῦ σώμα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τος, ἐν τῇ παραστάσει τῆς προσευχῆς· ἵνα μὴ τυπτόμενος ὑπὸ ψύλλης, ἢ φθειρός, ἢ κώνωπος, ἢ μυίας, ζημιωθῇς τὸ μέγιστον κέρδος τῆς προσευχῆς σου.

ρϛʹ. Ἦλθεν εἰς ἡμᾶς, ὡς τινὶ τῶν ἁγίων προσευχομένῳ, τοσοῦτον ὠθίσατο ὁ πονηρός, ὡς ἅμα τῷ ἐκτεῖναι τὰς χεῖρας, ἐκεῖνον ὡς λέοντα μετασχηματισθῆναι, καὶ ἀνεγείρειν εἰς ὀρθὸν τοὺς ἐμπροσθίους πόδας, καὶ τοὺς οἰκείους ὄνυχας ἑκατέρωθεν ταῖς δυσὶ ψόαις ἐμπείρειν τοῦ ἀγωνιστοῦ· καὶ μὴ ἀφίστασθαι, πρὶν τὰς χεῖρας κατάξῃ· τὸν δέ, μηδέποτε ὑποχαλάσαι αὐτάς, ἄχρις οὗ τὰς συνήθεις εὐχὰς ἐκπληρώσῃ.

ρζʹ. Τοιοῦτον ἔγνωμεν καὶ τὸν ἐν λάκκῳ ἡσυχάσαντα, Ἰωάννην τὸν μικρόν· μᾶλλον δὲ ὑπερμεγέθη Μοναχόν· ὃς ἀκίνητος ἔμεινεν ἐκ τῆς τοῦ Θεοῦ συνουσίας, τοῦ δαίμονος ἐν εἴδει δράκοντος περιελιχθέντος αὐτῷ, καὶ μασωμένου αὐτοῦ τὰς σάρκας, καὶ τῷ προσώπῳ αὐτοῦ ἐπερευγομένου.

ρηʹ. Ἀνέγνως πάντως καὶ τοὺς βίους τῶν Ταβεννησιωτῶν Μοναχῶν, καθά φησιν, ὅτι λαλοῦντος τοῦ ἀββᾶ Θεοδώρου λόγον τοῖς ἀδελφοῖς, ἦλθον δύο ἔχιδναι ὑπὸ τοὺς πόδας αὐτοῦ· ὁ δέ, ἀταράχως ποιήσας αὐτοὺς ὡσεὶ καμάραν, ὑπέλαβεν αὐτὰς ἔνδοθεν ἕως ἐπαύσατο λαλῶν τὸν λόγον· καὶ τότε αὐτὰς ὑπέδειξε τοῖς ἀδελφοῖς, ἐξηγούμενος τὸ πρᾶγμα.

ρθʹ. Περὶ ἑτέρου πάλιν ἀνέγνωμεν πνευματικοῦ ἀδελφοῦ, ὅτι προσευχομένου αὐτοῦ, ἔχιδνα ἐλθοῦσα, καθήψατο τοῦ ποδὸς αὐτοῦ. ὁ δέ, οὐ πρότερον καθῆκε τὰς χεῖρας, ἄχρις οὗ τὴν συνήθη ἐξετέλεσεν εὐχήν· καὶ οὐδὲν ἐβλάβη ὁ ἀγαπήσας τὸν Θεὸν ὑπὲρ ἑαυτόν.

ριʹ. Ἀμετεώριστον ὄμμα ἔχε ἐν τῇ προσευχῇ σου, καὶ ἀρνησάμενός σου τὴν σάρκα καὶ τὴν ψυχήν, κατὰ νοῦν ζῆθι.

ριαʹ. Ἑτέρῳ τινὶ ὁσίως εὐχομένῳ ἁγίῳ, ἐν ἐρήμῳ ἡσυχάζοντι, δαίμονες ἐπιστάντες ἐπὶ δύο ἑβδομάδας ἐσφαίριζον καὶ ἐτίνασσον εἰς τὸν ἀέρα, δεχόμενοι αὐτὸν ἐν τῷ ψιαθίῳ· καὶ οὐδὲ ὅλως ἴσχυσαν καταγαγεῖν τὸν νοῦν αὐτοῦ ἐκ τῆς ἐμπύρου προσευχῆς.

ριβʹ. Ἄλλῳ πάλιν φιλοθέῳ, καὶ προσευχῆς ἔννοιαν ποιουμένῳ, ἐν ἐρήμῳ βαδίζοντι, ἄγγελοι ἐπέστησαν δύο, καὶ ἐμέσαζον αὐτὸν συνοδοιποροῦντες αὐτῷ· ὁ δὲ οὐδὲ ὅλως τούτοις προσεῖχεν, ἵνα μὴ τοῦ κρείττονος ζημιωθῇ. ἐμνημόνευσε γὰρ τοῦ Ἀποστολικοῦ ῥητοῦ φάσκοντος· οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, δυνήσονται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ.

ριγʹ. Ἰσάγγελος γίνεται Μοναχὸς διὰ τῆς προσευχῆς, ἐπιποθῶν ἰδεῖν τὸ πρόσωπον τοῦ Πατρὸς τοῦ ἐν οὐρανοῖς.

ριδʹ. Μὴ ζήτει παντελῶς μορφήν, ἢ σχῆμα δέχεσθαι, ἐν τῷ τῆς προσευχῆς καιρῷ.

ριεʹ. Μὴ πόθει ἀγγέλους ἰδεῖν, ἢ δυνάμεις, ἢ Χριστὸν αἰσθητῶς, ἵνα μὴ τέλεον φρενήρης γένῃ· λύκον ἀντὶ ποιμένος δεχόμενος, καὶ προσκυνῶν τοῖς ἐχθροῖς δαίμοσιν.

ριϛʹ. Ἀρχὴ πλάνης νοῦ, κενοδοξία· ἐξ ἧς κινούμενος ὁ νοῦς, ἐν σχήμασι, καὶ μορφαῖς πειρᾶται περιγράφειν τὸ Θεῖον.

ριζʹ. Ἐγὼ τὸ ἐμὸν λέξω, ὃ καὶ νεωτέροις εἴρηκα· μακάριος ὁ νοῦς, ὃς κατὰ τὸν καιρὸν τῆς προσευχῆς, τελείαν ἀμορφίαν ἐκτήσατο.

ριηʹ. Μακάριός ἐστιν ὁ νοῦς, ὃς ἀπερισπάστως εὐχόμενος, πλείονα πόθον ἀεὶ πρὸς Θεὸν προσλαμβάνεται.

ριθʹ. Μακάριός ἐστιν ὁ νοῦς, ὃς κατὰ τὸν καιρὸν τῆς προσευχῆς, ἄϋλος, καὶ ἀκτήμων γίνεται.

ρκʹ. Μακάριός ἐστιν ὁ νοῦς, ὁ κατὰ τὸν καιρὸν τῆς προσευχῆς, τελείαν ἀναισθησίαν κτησάμενος.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρκα'. Μακάριός ἐστι Μοναχὸς, ὁ πάντας ἀνθρώπους ὡς Θεὸν, μετὰ Θεὸν λογιζόμενος.

ρκβ'. Μακάριός ἐστι Μοναχὸς, ὁ τὴν πάντων σωτηρίαν καὶ προκοπὴν, ὡς οἰκείαν μετὰ πάσης χαρᾶς ὁρῶν.

ρκγ'. Μακάριός ἐστι Μοναχὸς, ὁ πάντων περίψημα ἑαυτὸν λογιζόμενος.

ρκδ'. Μοναχός ἐστιν, ὁ πάντων χωρισθεὶς, καὶ πᾶσι συνηρμοσμένος.

ρκε'. Μοναχός ἐστιν, ὁ ἓν ἑαυτὸν μετὰ πάντων ἡγούμενος, διὰ τὸ ἐν ἑκάστῳ ἑαυτὸν ἀπαραλείπτως δοκεῖν ὁρᾶν.

ρκς'. Οὗτος προσευχὴν ἐπιτελεῖ, ὁ ἀεὶ τὴν πρωτόνοιαν ἑαυτοῦ πᾶσαν καρποφορῶν τῷ Θεῷ.

ρκζ'. Πᾶν ψεῦδος, καὶ πάντα ὅρκον περιΐστασο ὡς Μοναχὸς, προσεύξασθαι ποθῶν· εἰ δὲ μή γε, εἰς μάτην σχηματίζῃ τὸ ἀνοίκειον.

ρκη'. Εἰ πνεύματι προσεύχεσθαι βούλει, μηδὲν ἀνιμήσῃ ἀπὸ σαρκὸς, καὶ οὐχ ἕξεις νέφος ἀντισκοτοῦν σοι ἐν τῷ καιρῷ τῆς προσευχῆς.

ρκθ'. Ἐμπίστευσον τῷ Θεῷ τὴν χρείαν τοῦ σώματος, καὶ δῆλος ἔσῃ, καὶ τὴν τοῦ πνεύματος πιστεύων αὐτῷ.

ρλ'. Ἐὰν ἐπιτύχῃς τῶν ἐπαγγελιῶν, βασιλεύσεις· οὐκοῦν πρὸς ταύτας ἀποβλέπων, ἡδέως οἴσεις τὴν παροῦσαν πενίαν.

ρλα'. Μὴ παραιτοῦ πενίαν καὶ θλῖψιν, τὰς ὕλας τῆς ἀβαροῦς προσευχῆς.

ρλβ'. Ὁμηρευέτωσάν σοι αἱ σωματικαὶ ἀρεταὶ, πρὸς τὰς ψυχικάς· καὶ αἱ ψυχικαὶ, πρὸς τὰς πνευματικάς· καὶ αὗται, πρὸς τὴν ἄϋλον καὶ οὐσιώδη γνῶσιν.

ρλγ'. Σκόπει κατευχόμενος λογισμοῦ, εἰ ῥαδίως λωφήσειεν, ὅθεν τοῦτο γέγονε· μὴ ἔγκρυμμα πάθους, καὶ πλανηθεὶς ἀποδρᾷς σεαυτόν.

ρλδ'. Ἔστιν ὅτε οἱ δαίμονες ὑποβάλλουσί σοι λογισμοὺς, καὶ πάλιν ἐρεθίζουσί σε δῆθεν προσεύξασθαι κατ' αὐτῶν, ἢ ἀντιλέξαι αὐτοῖς, καὶ ἑκουσίως ὑποχωροῦσιν· ἵνα ἀπατηθῇς, οἰηθεὶς περὶ σεαυτοῦ ὅτι ἤρξω νικᾶν τοὺς λογισμοὺς, καὶ φοβεῖν τοὺς δαίμονας.

Εἰ προσεύχῃ κατὰ πάθους, ἢ δαίμονος παρενοχλοῦντός σοι, μέμνησο τοῦ λέγοντος· καταδιώξω τοὺς ἐχθρούς μου, καὶ καταλήψομαι αὐτούς· καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἂν ἐκλίπωσιν· ἐκθλίψω αὐτοὺς, καὶ οὐ μὴ δύνωνται στῆναι· πεσοῦνται ὑπὸ τοὺς πόδας μου, καὶ τὰ ἑξῆς· ταῦτα δὲ εὐκαίρως λέξεις, ταπεινοφροσύνῃ ἑαυτὸν ὁπλίζων κατὰ τῶν ἀντιπάλων. ρλε'.

Μὴ νόμιζε κεκτῆσθαι ἀρετὴν, μὴ πρότερον ἕως αἵματος ὑπὲρ αὐτῆς παραταξάμενος. δεῖ γὰρ μέχρι θανάτου ἀνθίστασθαι πρὸς τὴν ἁμαρτίαν ἀγωνιστικῶς, καὶ ἀνεγκλήτως· κατὰ τὸν θεῖον Ἀπόστολον. ρλς'.

Ἐὰν ὠφελήσῃς τινὰ, βλαβήσῃ ὑφ' ἑτέρου· ἵνα ἀδικούμενος, εἴπῃς, ἢ δράσῃς τι ἄτοπον· καὶ σκορπίσῃς κακῶς, ἃ καλῶς συνήγαγες. σκοπὸς γὰρ οὗτος τῶν πονηρῶν δαιμόνων. διὸ προσεκτέον νουνεχῶς. ρλζ'.

Ὁρμὰς δαιμόνων ἐπαχθείσας ἐκδέχου· φροντίζων πῶς ἀποστῆναι τῆς δουλείας αὐτῶν. ρλη'.

Νύκτωρ μὲν ταράττειν δι' ἑαυτῶν ἐξαιτοῦνται τὸν πνευματικὸν διδάσκαλον, οἱ πονηροὶ δαίμονες· καὶ μεθ' ἡμέραν δι' ἀνθρώπων, περιστάσεσι, καὶ συκοφαντίαις, καὶ κινδύνοις τοῦτον περιβάλλοντες. ρλθ'.

Μὴ παραιτοῦ τοὺς κναφεῖς. εἰ γὰρ καὶ τύπτοντες πατοῦσι, καὶ τείνοντες ξέουσιν, ἀλλά γε διὰ τούτων λαμπρὰ ἡ ἐσθής σου γίνεται. ρμ'.

Ἐφόσον οὐκ ἀπετάξω τοῖς πάθεσιν, ἀλλὰ ὁ νοῦς σου ἐναντιοῦται τῇ ἀρετῇ καὶ τῇ ἀληθείᾳ, οὐχ εὑρήσεις εὐῶδες θυμίαμα ἐν τῷ κόλπῳ σου. ρμα'.

Προσεύξασθαι ποθεῖς; μεταστὰς τῶν ἐνθένδε, τὸ πολίτευμα ἐν οὐρανοῖς ἔχε ρμβ'.

διαπαν-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

διαπαντὸς, οὐ λόγῳ ἁπλῶς ψιλῷ, ἀλλὰ πράξει ἀγγελικῇ, καὶ γνώσει θειοτέρᾳ.

ρμγ'. Εἰ μόνον δυσπράττων μνημονεύεις τοῦ κριτοῦ, ὡς φοβερὸς καὶ ἀδέκαστος ὑπάρχει, οὐδέπω μεμάθηκας δουλεύειν τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθαι αὐτῷ ἐν τρόμῳ. ἴσθι γὰρ ὅτι καὶ ταῖς πνευματικαῖς ἀνέσεσι καὶ εὐωχίαις, μᾶλλον μετ' εὐλαβείας καὶ αἰδοῦς λατρεύειν αὐτῷ δεῖ.

ρμδ'. Ἐπιγνώμων ἀνὴρ, ὁ μὴ πρὸ τῆς τελείας μετανοίας, ἀνεχόμενος τῆς ἐλλύπου μνείας τῶν ἁμαρτημάτων, καὶ τῆς ἐν πυρὶ αἰωνίῳ δικαίας τούτων εἰσπράξεως.

ρμέ. Ὁ ἐν ἁμαρτίαις ἐνεχόμενος, καὶ παροργισμοῖς, καὶ τολμῶν ἀναιδῶς ἐκτείνεσθαι πρὸς γνῶσιν θειοτέρων πραγμάτων, ἢ καὶ αὔλου κατεμβαίνων προσευχῆς, οὗτος δεχέσθω τὸ ἀποστολικὸν ἐπιτίμιον· ὡς οὐκ ἔστιν ἀκίνδυνον αὐτῷ, τὸ, γυμνῇ, καὶ ἀκατακαλύπτῳ κεφαλῇ προσεύχεσθαι. ὀφείλει γὰρ, φησὶν, ἡ τοιαύτη ψυχὴ κατὰ κεφαλῆς ἐξουσίαν ἔχειν διὰ τοὺς ἐφεστῶτας ἀγγέλους· αἰδῶ καὶ ταπεινοφροσύνην προσήκουσαν περιβαλλομένη.

ρμς'. Ὥσπερ ὀφθαλμιῶντα οὐκ ὀνήσει, ἡ ἐν σταθηρᾷ μεσημβρίᾳ καὶ σφοδροτάτῃ φρυκτωρίᾳ ἀκατακάλυπτος, καὶ ἐπιτεταμένη τοῦ ἡλίου θέα· οὕτως οὐδὲ τὸν ἐμπαθῆ καὶ ἀκάθαρτον νοῦν, ἡ τῆς ἐν πνεύματι, καὶ ἀληθείᾳ φοβερᾶς καὶ ὑπερφυοῦς προσευχῆς ἀνατύπωσις παντελῶς ὀνήσειεν· ἀλλὰ καὶ τοὐναντίον, πρὸς ἀγανάκτησιν καθ' ἑαυτοῦ ἐγείρει τὸ θεῖον.

Εἰ τὸν μετὰ δώρου προσελθόντα ἐπὶ τὸ θυσιαστήριον, οὐκ ἐδέξατο ὁ ἀνενδεὴς καὶ ἀδέκαστος, ἕως οὗ διαλλαγῆναι τῷ πλησίον λυπουμένῳ πρὸς αὐτὸν, σκόπει πόσης φυλακῆς, καὶ διακρίσεως χρεία, ἵνα εὐπρόσδεκτον δῶμεν, τῷ Θεῷ θυμίαμα τῷ νοητῷ θυσιαστηρίῳ. ρμζ'.

Μὴ ἔσο λογοχαρὴς, μηδὲ δοξοχαρής· εἰ δὲ μήγε, οὐκ ἔτι ἐν τῷ νώτῳ σου, ἀλλ' ἐν τῷ προσώπῳ σου τεκταίνουσιν οἱ ἁμαρτωλοί· καὶ ἔσῃ ἐπίχαρμα αὐτοῖς κατὰ τὸν καιρὸν τῆς προσευχῆς, ἐξελκόμενος, καὶ δελεαζόμενος ὑπ' αὐτῶν ἐν λογισμοῖς ἀλλοκότοις. ρμή.

Προσοχὴ προσευχὴν ζητοῦσα, προσευχὴν εὑρήσει· προσευχῇ γὰρ προσοχῆς, οὐ καί τι ἄλλο μᾶλλον ἕπεται, ἐφ' ἣν σπουδαστέον. ρμθ'.

Ὥσπερ πασῶν τῶν αἰσθήσεων κρείττων ἡ ὅρασις, οὕτω καὶ πασῶν τῶν ἀρετῶν, ἡ προσευχὴ θειοτέρα. ρν'.

Προσευχῆς ἔπαινος, οὐχ ἁπλῶς ἡ ποσότης, ἀλλ' ἡ ποιότης. καὶ τοῦτο δηλοῦσιν οἱ ἀναβάντες εἰς τὸ ἱερόν· καὶ τὸ, ὑμεῖς προσευχόμενοι, μὴ βαττολογεῖτε· καὶ τὰ ἑξῆς. ρνά.

Ἐφ' ὅσον τῇ ἀναλογίᾳ προσέχεις τοῦ σώματος, καὶ ὁ νοῦς σου τὰ τῆς σκηνῆς περιέπει τερπνὰ, οὐδέπω τὸν τῆς προσευχῆς ἑώρακας τόπον· ἀλλ' ἔτι μακρὰν ἀπὸ σοῦ ἡ μακαρία ταύτης ὁδὸς τυγχάνει. ρνβ'.

Ὅταν πειρασάμενος ὡς προσευχὴν, ὑπὲρ πᾶσαν ἄλλην χαρὰν γενήσῃ, τότε ἀληθῶς εὕρηκας προσευχήν. ρνγ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΤΟΥ ΑΥΤΟΥ

## ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΕΙΛΟΥ ΑΣΚΗΤΟΥ

### Λόγος Ἀσκητικός, πάνυ ἀναγκαῖος καὶ ὠφελιμώτατος.

Φιλοσοφεῖν ἐπεχείρησαν μὲν καὶ Ἑλλήνων πολλοί, καὶ Ἰουδαίων οὐκ ὀλίγοι· μόνοι δὲ τὴν ἀληθινὴν σοφίαν ἐζήλωσαν, οἱ τοῦ Χριστοῦ μαθηταί. ἐπεὶ καὶ μόνοι τὴν σοφίαν αὐτὴν ἔσχον διδάσκαλον, ἔργῳ δεικνῦσαν, τὴν πρέπουσαν τῷ τοιούτῳ ἐπιτηδεύματι ἀγωγήν. οἱ μὲν γὰρ πρότεροι καθάπερ ἐν σκηνῇ δρᾶμα ὑποκρινόμενοι, ἀλλοτρίῳ ἑαυτοὺς κατεκόσμησαν προσωπείῳ· ὄνομα κενὸν ὑποδύντες, Φιλοσοφίας ἀληθοῦς ἐστερημένοι· ἐν τῷ τρίβωνι, καὶ τῇ ὑπήνῃ, καὶ τῇ βακτηρίᾳ, τὸ Φιλόσοφον ἐπιδεικνύμενοι· περιέποντες δὲ τὸ σῶμα, καὶ ταῖς ἐπιθυμίαις ὡς δεσποίναις ὑπηρετούμενοι· γαστρὸς ὄντες δοῦλοι, καὶ τὰς ὑπὸ γαστέρα ἡδονὰς, ὡς φύσεως ἔργον ὑποδεχόμενοι· ὀργῆς ὑπήκοοι, καὶ πρὸς δόξαν ἐπτοημένοι· ταῖς δὲ λαμπραῖς τραπέζαις δίκην κυνιδίων, λίχνως ἐφαλλόμενοι· οὐκ εἰδότες, ὅτι πρὸ πάντων ἐλευθέριον εἶναι δεῖ τὸν Φιλόσοφον· καὶ μᾶλλον φεύγειν, τὸ δοῦλον εἶναι παθῶν, ἢ ἀργυρωνήτων, καὶ οἰκοτρίβων. τὸ γὰρ ἀνθρώπων εἶναι δοῦλον, οὐδὲν ἴσως ἔβλαψε τὸν ὀρθῶς βεβιωκότα· τὸ δὲ πάθεσιν ὡς δεσπόταις χρώμενον ὑπηρετεῖν ταῖς ἡδοναῖς, αἰσχύνην ἤνεγκε, καὶ γέλωτα πολύν. εἰσὶ μὲν οὖν παρ' αὐτοῖς, καθόλου τῆς πράξεως ἠμεληκότες, λογικὴν φιλοσοφίαν ὡς δοκοῦσιν ἐπανῃρημένοι· μετεωρολέσχαι τινὲς ὄντες, καὶ τῶν ἀναποδείκτων ἐξηγηταί· Οὐρανοῦ μέγεθος, καὶ Ἡλίου μέτρα, καὶ ἀστέρων ἐνεργείας εἰδέναι ἐπαγγελλόμενοι, ἔστι δὲ ὅτε καὶ θεολογεῖν ἐπιχειροῦντες· ὅπου καὶ ἡ ἀλήθεια ἀνέφικτος, καὶ ὁ στοχασμὸς ἐπικίνδυνος· ζῶντες δὲ, τῶν ἐν βορβόρῳ κυλινδουμένων χοίρων, ἀτιμότερον· * Εἰσὶ δὲ καί τινες ἐγένοντο πρακτικοί, τούτων ἐγένοντο χείρους, δόξαις, καὶ ἐπαίνοις πεπρακότες τοὺς πόνους. οὐδενὸς γὰρ ἑτέρου χάριν, ἢ ἐπιδείξεως καὶ φιλοδοξίας ἐπετήδευον οἱ δείλαιοι τὰ πολλά· καὶ τὸν ἀτελῆ καὶ εὔωνον, τῆς τοιαύτης ἀντικαταλλαττόμενοι ταλαιπωρίας. τὸ γὰρ σιωπῆσαι διαπαντὸς, καὶ χόρτῳ τρέφεσθαι, καὶ ῥακίοις τριχίνοις σκέπειν τὸ σῶμα, καὶ ἐν πίθῳ κατακλείσαντας ἑαυτοὺς διαβιῶναι, μηδεμίαν ἀμοιβὴν μετὰ θάνατον προσδοκῶντας, πάσης ἀνοίας ἐστὶν ἐπέκεινα· τῷ βίῳ τούτῳ συγκαταλύειν τῆς ἀρετῆς τὰ ἔπαθλα καὶ ἀγῶνα ἑαυτοῖς τίθεσθαι στεφάνων καιρὸν οὐκ ἔχοντα· καὶ πάλην διώκειν, βραβείων ἐστερημένην· καὶ σκάμματα, ἔχοντα ἱδρῶτος πλέον οὐδέν.

* Εἰ. δὲ.

Ἰουδαίων δὲ ὅσοι τοῦτον ἐτίμησαν τὸν βίον· εἰσὶ δὲ τοῦ Ἰωναδὰβ ἀπόγονοι· πάντας τοὺς ὡσαύτως βιοῦν θέλοντας προϊεμένους, εἰς τὴν αὐτὴν ἀνάγουσι πολιτείαν· ἐν σκηναῖς κατοικοῦσι διαπαντός· οἴνου τε, καὶ πάντων τῶν πρὸς τὸ ἁβροδίαιτον ἀπεχόμενοι· καὶ δίαιταν ἔχοντες εὐτελῆ· καὶ τὴν χρείαν συμμεμετρημένην τοῦ σώματος. σφόδρα μὲν οὖν ἐπιμελοῦνται τῆς ἠθικῆς ἕξεως, θεωρίᾳ δὲ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὰ πολλὰ περιμένουσι· ἔνθεν γὰρ καὶ Ἐσσαῖοι καλοῦνται, τοῦτο δηλοῦντος τοῦ ὀνόματος· καὶ ἁπλῶς, ἔστιν αὐτοῖς κατορθούμενος ὁ τῆς φιλοσοφίας σκοπός, οὐδαμοῦ τῶν πραγμάτων διαμαχομένων τῷ ἐπαγγέλματι. ἀλλὰ τί τῶν ἀγώνων ὄφελος αὐτοῖς, καὶ τῆς ἐπιπόνου ἀσκήσεως, τὸν ἀγωνοθέτην ἠρνηκόσι Χριστόν; καὶ τούτοις γὰρ ὁμοίως ὁ τῶν πόνων οἴχεται μισθός, ἀρνησαμένοις τὸν τῶν ἐπάθλων διανομέα, καὶ τῆς ἀληθοῦς ζωῆς· καὶ διὰ τοῦτο τῆς φιλοσοφίας ἀποσφάλλουσι. Φιλοσοφία γάρ ἐστιν, ἠθῶν κατάστασις μετὰ δόξης τῆς περὶ τοῦ * ὄντως γνώσεως ἀληθοῦς. ταύτης δὲ ἀπεσφάλησαν ἄμφω, Ἰουδαῖοι καὶ Ἕλληνες, τὴν ἀπ᾽ οὐρανοῦ παραγενομένην Σοφίαν παραιτησάμενοι· καὶ χωρὶς Χριστοῦ, φιλοσοφεῖν ἐπιχειρήσαντες, τοῦ μόνου παραδείξαντος ἔργῳ καὶ λόγῳ τὴν ἀληθῆ φιλοσοφίαν. Οὗτος γὰρ πρῶτος ἔτεμε τῷ βίῳ τὴν ταύτης ὁδόν, πολιτείαν ἐνδειξάμενος καθαράν· καὶ ἀνωτέραν ἀεὶ φέρων τὴν ψυχὴν τῶν τοῦ σώματος παθῶν· ἔλιπε δὲ, καὶ ταύτης καταφρονήσας, ὅτε ἡ παρ᾽ αὐτοῦ οἰκονομουμένη σωτηρία τῶν ἀνθρώπων ἀπῄτει τὸν θάνατον. διδάσκων διὰ τούτων, ὅτι δεῖ τὸν φιλοσοφεῖν ὀρθῶς προαιρούμενον, ἀρνήσασθαι μὲν πάντα τὰ ἡδέα τοῦ βίου, πόνων δὲ καὶ παθῶν εὖ μάλα ἐπικρατεῖν, καταφρονοῦντα τοῦ σώματος· ἔχειν δὲ μηδὲ τὴν ψυχὴν τιμίαν, ἀλλὰ καὶ ταύτην προθύμως προΐεσθαι, ὅταν δι᾽ ἀρετῆς ἐπίδειξιν, ταύτην ἀποθέσθαι δέοι. καὶ ταύτην παραλαβόντες ἐμιμήσαντο τὴν διαγωγὴν οἱ ἅγιοι Ἀπόστολοι, ἅμα τῷ κληθῆναι ἀποταξάμενοι μὲν τῷ βίῳ, ὑπεριδόντες δὲ πατρίδα, γένος, ὕπαρξιν· πρὸς τὸν σκληρὸν καὶ ἐπίπονον εὐθὺς μετετάξαντο βίον, διὰ πάντων χωρήσαντες τῶν δυσχερῶν· θλιβόμενοι, κακουχούμενοι, ἐλαυνόμενοι, γυμνητεύοντες, αὐτῶν τῶν ἀναγκαίων ἐνδεεῖς, ὕστερον δὲ καὶ θανάτου κατετόλμησαν, καλῶς διὰ πάντων τὸν Διδάσκαλον μιμησάμενοι, καὶ βίῳ καταλιπόντες πολιτείας ἀρίστης εἰκόνα. Ἀλλ᾽ ἐπειδὴ γράφειν ἀπὸ ταύτης τῆς εἰκόνος Χριστιανοὶ τὸν ἑαυτῶν βίον ὀφείλοντες, ἢ οὐκ ἠβουλήθησαν, ἢ ἠτόνησαν πρὸς τὴν μίμησιν· ὀλίγοι δέ τινες ἐδυνήθησαν τὰς κοσμικὰς ὑπερκύψαι ταραχάς, καὶ φυγεῖν τὴν ἐν ταῖς πόλεσι ζάλην· καὶ οὕτω τῶν θορύβων ἔξω γενόμενοι, τὸν μοναδικὸν ἀσπάσασθαι βίον, ἐκμαγεῖον τῆς Ἀποστολικῆς ἐποιήσαντο ἀρετῆς· τῷ μὲν κεκτῆσθαι, τὴν ἀκτημοσύνην προκρίναντες, διὰ τὸ ἀπερίσπαστον· τροφῆς δὲ κεκαρυκευμένης, τὴν ἐσχεδιασμένην προτιμήσαντες, διὰ τὰς τῶν παθῶν ἐπαναστάσεις, τῇ παρατυχούσῃ τροφῇ τὴν χρείαν ἐκπληρῶσαι τοῦ σώματος· ἐνδυμάτων μαλακῶν καὶ τῆς χρείας ἔξω, ὡς ἀνθρωπίνης χλιδῆς ἐπίνοιαν ἀλογήσαντες, λιτῇ καὶ ἀπεριέργῳ ἐχρήσαντο στολῇ, διὰ τὴν ἀνάγκην τοῦ σώματος· ἀφιλόσοφον εἶναι λογισάμενοι, τὴν περὶ τῶν ἀραχνίων φροντίδα, περὶ τὰ χαμαὶ κείμενα καὶ τοῖς θηρίοις διὰ αὐτοσχεδίου παραγινόμενα, ἀσχολεῖν· οὐκ ἔδησαν τὸν κόσμον, ἔξω τῶν ἀνθρωπίνων γενόμενοι παθῶν· οὐκ ἦν παρ᾽ αὐτοῖς πλεονεκτῶν, ἢ πλεονεκτούμενος· ἀδικῶν, ἢ ἀδικούμενος· εἶχε γὰρ ἕκαστος κριτὴν ἀδέκαστον, τὴν ἰδίαν συνείδησιν· οὐκ ἄλλος μὲν ἐπλούτει, ἄλλος δὲ ἐπένετο· οὐδὲ ἕτερος μὲν ἐτήκετο λιμῷ, ἕτερος δὲ διερρήγνυτο κόρῳ· ἀνεπλήρου γὰρ τῶν λειπομένων τὴν ἔνδειαν, ἡ τῶν περιττευόντων φιλοτιμία· καὶ ἦν ἰσότης καὶ ἰσονομία, διὰ τὴν τῶν ὑπερεχόντων πρὸς τοὺς ταπεινοτέρους ἑκουσίαν σύγκρασιν, ἐκβεβλημένης τῆς ἀνωμαλίας· μᾶλλον δὲ οὐδὲ τότε ἦν ἰσότης· ἐποίει γὰρ καὶ τότε τὴν ἀνωμαλίαν, ἡ τῶν πλέον ταπεινοῦσθαι σπουδαζόντων προθυμία· ὡς ποιεῖ νῦν, ἡ τῶν

* ὄντος.

πλέον δοξάζεσθαι φιλοτιμουμένων μανία. Ἐξεβέβλητο φθόνος· ἐξώριστο βασκανία· πεφυγάδευτο κενοδοξία· ἀνῄρητο ὑπερηφανία· καταλέλυτο πάντα τὰ τῆς στάσεως αἴτια· πρὸς γὰρ τὰ ἁδρότερα τῶν παθῶν, νεκροί τινες ἦσαν καὶ ἀναίσθητοι· οὐδ' ὄναρ φαντασίας τῶν τοιούτων λαμβάνοντες, διὰ τὸ καλῶς ἀπ' ἀρχῆς ἀπεστράφθαι τὴν τούτων ὑπόμνησιν· ἐκ τῆς καθ' ἡμέραν ἀσκήσεως, καὶ ἐπιμονῆς, εἰς τοιαύτην ἕξιν ἀναβεβηκότες· καὶ ἁπλῶς, λύχνοι ἦσαν ἐν σκότει φαίνοντες· καὶ ἀστέρες ἀπλανεῖς, τὴν ἀφεγγῆ τοῦ βίου νύκτα καταυγάζοντες· καὶ λιμένων πρόβολοι, τὸ καθ' ἑαυτοὺς ἀχείμαστοι· πᾶσιν εὔκολον ἀποδεικνύντες, τὸ διαφεύγειν ἀβλαβῶς τὰς τῶν παθῶν προσβολάς. Ἀλλ' ἡ ἀκριβὴς ἐκείνη πολιτεία, καὶ ἡ ἐν οὐρανοῖς διαγωγή, καθάπερ εἰκὼν ὑπὸ τῆς τῶν κατὰ καιροὺς μεταγραφόντων ἀμελείας, κατὰ μικρὸν ἐλαττουμένη, εἰς ἔσχατον ἀνομοιότητος ἤλασε, καὶ παντὶ τοῦ ἀρχετύπου ἀπελίπετο. πάλιν γὰρ οἱ σταυρωθέντες τῷ κόσμῳ, καὶ ἀποταξάμενοι τῷ βίῳ, καὶ ἀρνησάμενοι τὸ εἶναι ἄνθρωποι, καὶ πρὸς τὴν τῶν Ἀσωμάτων φύσιν τῷ τῆς ἀπαθείας ὁμοτρόπῳ ἀναστῆναι ἀγωνιζόμενοι, ὑπεστρέψαμεν ὀπίσω· πραγματείαις βιωτικαῖς, καὶ πορισμοῖς ἐπονειδίστοις, ἐπιθολοῦντες τὴν τῶν καλῶς βεβιωκότων ἀκρίβειαν· καὶ τοὺς δοξάζεσθαι δυναμένους διὰ τὴν σφῶν ἀρετήν, βλασφημεῖσθαι ποιοῦντες τῇ ἰδίᾳ ἀπροσεξίᾳ· καὶ τὴν μὲν ἐχέτλην τοῦ ἀρότρου κατέχομεν, σχῆμα σώζοντες σεμνόν· εὔθετοι δὲ μὴ γινόμενοι τῆς βασιλείας τῶν Οὐρανῶν, διὰ τὸ στραφῆναι εἰς τὰ ὀπίσω, καὶ τὸ ἐπιλελῆσθαι ὀφειλόντων, μετὰ πολλῆς ἀντεχόμενοι τῆς σπουδῆς. οὐκέτι γὰρ τὸ εὔωνον καὶ αὐτοσχέδιον τῆς ζωῆς, παρ' ἡμῖν σπουδάζεται· οὐδὲ τὸ ἡσύχιον χρήσιμον, πρὸς τὸ ἀπαλλαγῆναι τῶν παλαιῶν νενομισαι μολυσμάτων· ὄχλος δὲ πραγμάτων, πρὸς τὸν ἀληθῆ σκοπὸν ἀνόνητον ἔχων φροντίδα, τετίμηται· καὶ ἡ περὶ τὴν ὕλην φιλοτιμία, τὰς σωτηρίους ἐνίκησε παραινέσεις. τοῦ γὰρ Κυρίου πάντη τῆς περὶ τὰ γήϊνα φροντίδος ἀφιστῶντος, καὶ μόνην ζητεῖν τὴν Βασιλείαν τῶν Οὐρανῶν κελεύσαντος, ὥσπερ τὴν ἐναντίαν ὁδὸν ἐσπουδακότες ὁδεύειν, ἠλογήσαμεν τῶν δεσποτικῶν ἐντολῶν. καὶ τῆς ἀμεριμνίας ἐκείνης ἀποστάντες, ἐν ταῖς χερσὶν ἐθέμεθα τὰς ἐλπίδας. ἐκείνου γὰρ λέγοντος, ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς τὰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. καὶ πάλιν, καταμάθετε τὰ κρῖνα τοῦ ἀγροῦ, πῶς αὐξάνει, οὐ κοπιᾷ, οὐδὲ νήθει· ἀλλὰ γὰρ καὶ πήραν καὶ βαλάντιον καὶ βακτηρίαν ἐπικομίσασθαι κωλύσαντος, καὶ μόνῃ στοιχεῖν τῇ ἀψευδεστάτῃ κελεύσαντος ἐπαγγελίᾳ· ἣν τοῖς Ἀποστόλοις ἐπ' εὐεργεσίᾳ τῶν λοιπῶν ἀνθρώπων ἀποστελλομένοις ἐπηγγείλατο, εἰπών· ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστι· βεβαιοτέραν εἰς πρόνοιαν τῶν καθηκόντων εἰδὼς ἐκείνην, τῆς ἡμετέρας ἐντρεχείας. Ἡμεῖς δέ, γῆν ὅσην ἂν δυνώμεθα κτήσασθαι, οὐ παραιτούμεθα· προβάτων τε ἀγέλας, καὶ βόας ἀροτῆρας, σχήματί τε καὶ μεγέθει ζηλωτούς, καὶ ὄνους εὐτραφεῖς συνωνούμεθα· ἵνα τὰ μέν, παρέχῃ τὴν ἐρέαν πρὸς χρείαν ἀφθόνως· οἱ δὲ βόες, ταῖς ἐκ γεωργίας ὑπηρετοῦντες παρασκευαῖς, ἡμῖν μὲν τροφήν, χιλὸν δὲ ἑαυτοῖς καὶ τοῖς λοιποῖς ζώοις παράσχωσιν· ἀχθοφοροῦντα δὲ τὰ ὑποζύγια, τὰ ἐλλείποντα τῇ χώρᾳ ἐκ τῆς ἀλλοδαπῆς, ἀγωγίμοις ἀναπληροῦντα, τὴν ἀναγκαίαν τροφὴν προσεπαρτύωσι, τὸν ἀπολαυστικὸν ἡμῖν συναύξοντα βίον. οὐ μήν, ἀλλὰ καὶ τῶν τεχνῶν αἱρούμεθα τὰς εὐπορωτέρας, καὶ μηδ'

ὅλως

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὅλως παρεχέσας καιρὸν μνήμης Θεοῦ, ἅπασαν εἰς ἑαυτοὺς ἑλκύσας τὴν σχολήν· κατεγνωκότες, ὡς ἔοικε, τῆς τοῦ κηδεμόνος ἀσθενείας, ἢ ἑαυτῶν ἐπὶ τῇ προτέρᾳ ὁμολογίᾳ· κἂν γὰρ μὴ λόγῳ τοῦθ' ὁμολογῶμεν, ἐλεγχόμεθα διὰ τῶν πραγμάτων· χαίροντες τῇ τῶν βιωτικῶν διαγωγῇ, ὅταν τὰ αὐτὰ ἐπιτηδεύωμεν ἐκείνοις· καὶ πλέον τάχα ταῖς σωματικαῖς ἐγκατατριβόμεθα φιλοπονίαις· ὡς λοιπὸν τοὺς πολλοὺς, πορισμὸν ἡγεῖσθαι τὴν εὐσέβειαν· καὶ δι' οὐδὲν ἕτερον ἐπιτηδεύεσθαι τὸν πάλαι ἀπράγμονα καὶ μακάριον βίον, ἢ ὅπως διὰ τῆς ἐπιπλάστου θεοσεβείας, τὰς μὲν ἐπιπόνους λειτουργίας φύγωμεν· ἄδειαν δὲ ἀπολαύσεως πορισάμενοι, ἀκωλύτως ἐπὶ τὰ δοκοῦντα τὰς ὁρμὰς ἐκτείνωμεν· μετὰ πολλῆς ἀναισχυντίας καταλαζονευόμενοι τῶν ἀφελεστέρων, ἔστι δ' ὅτε καὶ τῶν ὑπερεχόντων, ὥσπερ ὑπόθεσιν τυραννίδος, ἀλλ' οὐχὶ ταπεινώσεως καὶ ἐπιεικείας, νομίσαντες εἶναι τὸν ἐνάρετον βίον· καὶ διὰ τοῦτο καὶ παρὰ τῶν σέβειν ἡμᾶς ὀφειλόντων, ὡς * οἰκέτες ὄχλος, ὁρώμεθα· καὶ ὑπὸ τῶν συγκλύδων καὶ μιγάδων ἀνθρώπων, οὐχ ἥκιστα ἀγοραίως ἐμφυρόμεθα· οὐδὲν παρὰ τοὺς λοιποὺς, ὡς ἐχρῆν, ἐξαίρετον ἔχοντες· οὐκ ἐκ πολιτείας, ἀλλ' ἐκ σχήματος γνωρίζεσθαι βουλόμενοι. καὶ τοὺς ἐπ' ἀρετῇ παραιτούμενοι πόνους, τῆς ἐπὶ τούτοις δόξης μανικῶς ὀρεγόμεθα, σκιὰν τὴν ποτὲ ἀλήθειαν ἐπιδεικνύμενοι. καὶ σήμερον τὶς ἀναλαβὼν τὸ σεμνὸν τοῦτο σχῆμα, καὶ οὐδέπω τὰς κηλίδας ἀποσμηξάμενος τῆς ψυχῆς, οὐδὲ τοὺς ἐγκεχαραγμένους τύπους τῶν παλαιῶν ἁμαρτημάτων τῆς διανοίας ἀπαλείψας τῆς ἑαυτοῦ, ἀλλ' ἔτι τάχα ταῖς τούτων φαντασίαις ἐνασελγαίνων· καὶ τὸ ἦθος οὐδέπω πρὸς τὸ ἀρέσκον τῷ ἐπαγγέλματι παιδαγωγήσας, οὔτ' εἰδὼς τί ποτέ ἐστιν ὁ τῆς κατὰ Θεὸν φιλοσοφίας σκοπὸς, ἤδη φαρισαϊκὴν ὀφρῦν ἀνεπλάσατο, μέγα φρονῶν τῷ σχήματι· καὶ περιέρχεται σκεύη περιφέρων, ὧν τὴν τέχνην οὐ μεμάθηκε· καὶ ἐπιστήμην ἐπαγγέλλεται τῷ φαινομένῳ σχήματι, ἧς οὐδὲ ἄκροις ἐγεύσατο τοῖς χείλεσι· σκόπελος, ἀντὶ λιμένος· καὶ ἀντὶ ναοῦ, τάφος κεκονιαμένος· καὶ ἀντὶ προβάτου, λύκος, ἐπ' ὀλέθρῳ τῶν δελεασθέντων, τῷ φαινομένῳ δέρει σκεπόμενος. ὅταν γὰρ οἱ τοιοῦτοι τῶν μοναστηρίων δραπετεύσαντες, διὰ τὸ μὴ φέρειν τοῦ βίου τὴν ἀκρίβειαν, ἐπικωμάζωσι ταῖς πόλεσι, τότε λοιπὸν ὑπὸ τῆς κατὰ τὴν γαστέρα ἀνάγκης τραχηλιζόμενοι, ἐπὶ ἀπάτῃ τῶν πολλῶν, τὴν τῆς εὐσεβείας μόρφωσιν, ὡς δέλεαρ περιφέρουσι· πάντα δρᾶν ὑπομένοντες, ὅσα ἡ χρεία βιάζεται τοῦ σώματος· οὐδὲν γὰρ ἀνάγκης φυσικῆς βιαστικώτερον, τοῖς ἀπόροις πόρον εὐμήχανον ἐπινοούσης· μάλιστα ὅταν καὶ ἀργία προσῇ· μεμελετηκὼς, πῶς καὶ πανουργότερον ἡ σκέψις προχωρεῖ· θεραπεύουσι πλείω ἔτι τὰς τῶν πλουσίων θύρας, τῶν παρασίτων οὐκ ἔλαττον· ἐν δὲ ταῖς ἀγοραῖς, ἀνδραπόδων δίκην αὐτοῖς παρατρέχουσι, τοὺς πλησιάζοντας ἀποσοβοῦντες. διωθούμενοι δὲ τοὺς ἅπαντας, οὓς χρῆν τὴν πάροδον αὐτοῖς παρέχειν ὀνειδίζουσι καὶ ταῦτα ποιοῦσι, τραπέζης ἄνεκεν, ἐπὶ τοῖς λίχνοις ἐδέσμασιν ἡδονὴν κολάζειν οὐ μεμαθηκότες· οὐδὲ παρὰ τοῦ Μωϋσέως, τῆς χρείας ἀνερυκτικὸν πάσσαλον ἐπὶ τῆς ζώνης φορεῖν θελήσαντες· ἔγνωσαν γὰρ ἂν τοῦτο κεκτημένοι, ὅτι πάσης ἡδονῆς βρωμάτων ὅρος, λιμὸς γίνεται· καὶ τὰ τυχόντα δὲ, τὴν ἔνδειαν ἐκπληροῦντα τοῦ σώματος, τὰς τῆς ἀκαίρου ἐπιθυμίας ἐπικαλύπτει ἀσχημοσύνας· διὰ τοῦτο, τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται· ὁ δὲ περιπόθητος βίος, ἐγένετο βδελυκτός· καὶ ἡ τῶν ἀληθῶς κατ' ἀρετὴν βιούντων κτῆσις, ἀπάτη νενόμισται· καὶ βαρῦνται μὲν αἱ πόλεις, τῶν εἰκῇ περιερ-

*ἀγελαῖος.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

χομένων· ἐνοχλοῦνται δὲ, οἱ ἐν ταῖς οἰκίαις· καὶ πρὸς αὐτὴν τὴν ὄψιν ἔχουσιν ἀηδῶς, προσαιτῶν ὁρῶντες αὐτοὺς ἀναιδέστερον παραμένοντας ταῖς θύραις. Πολλοὶ δὲ καὶ δεχθέντες εἰς οἰκίας, καὶ εὐλάβειαν ἐπ' ὀλίγον ὑποκρινάμενοι, καὶ τὴν ἐπὶ κακουργίᾳ δόξαν τῷ τῆς ὑποκρίσεως προσωπείῳ περιστείλαντες, ὕστερον ἀποσυλήσαντες αὐτοὺς ἀπῆλθον, ὥστε κατὰ πάντας σκεδασθῆναι τοῦ βίου τὴν δυσφημίαν παρασκευάσαντες. ἐπεὶ γοῦν ὡς λυμεῶνες, ἀπελαύνονται τῶν πόλεων, οἱ ποτὲ σωφρονισταί· καὶ ὡς ἐναγεῖς διώκονται, τῶν τῇ λέπρᾳ κατεχομένων οὐκ ἔλαττον· καὶ λῃσταῖς αὖτις καὶ τοιχωρύχοις μᾶλλον ἕλοιτο πιστεῦσαι, ἢ τοῖς τὸν μοναδικὸν βίον μετερχομένοις· ῥᾴδιον εἰς παραφυλακὴν τὴν προφανῆ κακουργίαν, τῆς ἐπ' ἐνέδρᾳ μεμηχανημένης ἀξιοπιστίας. λογιζόμενοι· καὶ τούτους μὲν, οὔτε ἀρξαμένους θεοσεβείας, οὔτε εἰδότας τὸ ἀπὸ τῆς ἡσυχίας κέρδος, ἐξ ἀνάγκης ἴσως τινὸς γυμνωθέντας ἐπὶ τὸν μονήρη βίον ἀκρίτως· καὶ ἐμπορίας ὑπόθεσιν, εἰς πορισμὸν τῶν ἀναγκαίων ἡγουμένους τὸ πρᾶγμα· ὃ ἂν οἶμαι σεμνότερον μετέλθοιεν, μὴ ταῖς ἁπάντων θύραις προσίωνται, ἀλλ' ἁδροτέρων λημμάτων δυσώπημα προβάλλοιντο τὸ σχῆμα, καὶ βουλομένους * δασμὸν τῷ σώματι τὸν ἀναγκαῖον εἰσφέρειν· ἄδηλον, εἰ ἡ τῶν * χλιδόντων τὰς ἀμέτρους ἐπιθυμίας ἐκαινοτόμησε * θρύψις· καὶ ἀνίατα νοσοῦντας θεραπεῦσαι χαλεπόν. Πῶς γὰρ αὖτις καὶ ἑρμηνεύσειεν ὑγείας τὸ χρήσιμον, τοῖς ἐν ὑγείᾳ μηδέποτε γενομένοις, ἀλλ' ἐξ αὐτῶν σπαργάνων * φθινάδι συντεθραμμένοις νόσῳ· καὶ ἀτύχημα τῆς φύσεως διὰ τὸ ἔθος νομίζουσι, μηδὲν ἀπάδειν τῆς κατὰ φύσιν ἕξεως λογιζόμενοι· περισσὸς γὰρ πρὸς διόρθωσιν πᾶς λόγος, ὅταν ἡ τῶν ἀκουόντων πρὸς τὸ χεῖρον ἀποκλίνασα σπουδή, τῆς κατὰ συμβουλὴν λόγοις ἀπεναντίως διάκειται· καὶ μάλιστα ὅταν κέρδους ἐλπὶς τρέφῃ τὴν ἐπιθυμίαν, ἀποφράττει τῇ συμβουλῇ τὴν ἀκοὴν πάντῃ τὸ πάθος, ὡς μηδεμίαν τὰς ἐπὶ σωφρονισμῷ παραινέσεις εὑρίσκειν παρείσδυσιν, πρὸς τὸν περὶ τὸ κέρδος ἵμερον κἂν αἰσχρὸν ᾖ, τετραμμένης τῆς διανοίας. Ἡμεῖς δὲ ὦ ἀγαπητοί, οἱ πόθῳ τῆς ἀρετῆς νομίζομεν ἀποταξάμενοι τῷ βίῳ, καὶ ἀρνησάμενοι τὰς κοσμικὰς ἐπιθυμίας, καὶ ἀκολουθεῖν ἐπαγγειλάμενοι τῷ Χριστῷ, τί πάλιν ἐμπλεκόμεθα τοῖς τοῦ βίου περισπασμοῖς; καὶ κακῶς οἰκοδομοῦμεν, ἃ καλῶς καθείλαμεν πρότερον; τί, τῆς τῶν μὴ δεόντως μετερχομένων τὸ πρᾶγμα κακοβουλίας παραπολαύομεν, τὰς τῶν ἀσθενεστέρων ὀρέξεις προσαναφλέγοντες, διὰ τὴν περὶ τὰ μάταια σπουδήν; καὶ γεγόναμεν τοῖς ἀκεραιοτέροις, πλεονεξίας ὁδός· θεραπεύειν γὰρ, οὐκ ἐρεθίζειν τοὺς εὐολισθήτους, παρὰ τοῦ Κυρίου προστετάγμεθα· καὶ πρὸ τοῦ ἡμῖν ἀρέσκοντος, τὸ τούτοις ὠφέλιμον τιθέναι· ὡς ἂν μὴ ταῖς ἀκρίτοις ἑαυτῶν ἀκολουθοῦντες ὁρμαῖς πολλοὺς τῶν ἁπλουστέρων περικόψαι ποιήσωμεν· ὑπόθεσις αὐτοῖς, τῆς περὶ τὰ γήϊνα φιλοτιμίας γινόμενοι· τί περὶ πολλοῦ ποιούμεθα τὴν ὕλην, ἧς καταφρονεῖν ἐδιδάχθημεν. χρημάτων καὶ κτημάτων ἀντεχόμενοι· καὶ εἰς πολλὰς καὶ ἀνωφελεῖς φροντίδας, τὸν νοῦν μερίζοντες; ὧν ἡ σπουδὴ, ἡμᾶς μὲν ἀφίστησι τῆς ἀναγκαιοτέρας προσεδρείας, καὶ ἀμελεῖν τῶν τῆς ψυχῆς παρασκευάζει καλῶν· εἰς μέγα δὲ βάραθρον ἄγει, τοὺς πρὸς τὰ τοῦ βίου κεχηνότας πράγματα· λαμπρὰν καὶ τὴν ἀνωτάτω νομίζοντας εὐκληρίαν, τὴν ἐκ τοῦ πλούτου ἀπόλαυσιν· ὁρῶντας τοὺς φιλοσοφεῖν ἐπαγγελλομένους, καὶ ἐπάνω ἡδονῶν αὐχοῦντας εἶναι, πλεῖον ἑαυτῶν περὶ ταῦτα ἐσπουδακότας· οὐδὲν δὲ οὕτως εἰς κόλασιν φέρει ἀπαραίτητον, ὡς τὸ πολλοὺς ζηλωτὰς τῶν ἰδίων ποιεῖ-

* φορολογίαν.
* τρυφώντων.
* χαύνωσις.
* φθίσει ὀνομα νόσου ἐξ αἵματος γινομένης.

σθαι

Athos Library
Αγιορειτική Βιβλιοθήκη

θαι κακῶν· γίνεται γὰρ ἡ τῶν μιμησαμένων ἀπώλεια, προσθήκη τιμωρίας τῷ διδάξαντι· καὶ τῶν μὴ παραιτησαμένων, ὡς αἰσχρὰν τὴν μίμησιν, κατάγνωσις οὐ μικρά· ὅτι διδάσκαλοι κακῶν γεγόνασιν· ὧν τὴν μάθησιν ἐπονείδιστον κρίναντες ἔφυγον, οἱ σώφρονι χρησάμενοι λογισμῷ. διὸ μηδεὶς ἀπεχθανέσθω πρὸς τὰ λεγόμενα· ἢ διορθώσασθε τὰ πλημμελῶς ἀλλὰ τὴν τῶν πολλῶν ἀδιαφορίαν, ἐπ᾽ αἰσχύνῃ τοῦ ὀνόματος γινόμενα, ἢ καὶ τὸ ὄνομα παραιτήσασθε. Εἰ γὰρ φιλοσοφεῖν πρόκειται, περιττὰ τὰ κτήματα· τῆς φιλοσοφίας καὶ αὐτοῦ τοῦ σώματος ἀλλοτρίωσιν ἐπαγγελλομένης, ἀλλὰ τὴν τῆς ψυχῆς καθαρότητα· εἰ δὲ τὸ κτήσασθαι τισίν ἐστι περισπούδαστον, καὶ τῶν ἡδέων ἀπολαβεῖν τοῦ βίου, τί σεμνύνουσι λόγῳ τὴν φιλοσοφίαν, ἔργῳ τὴν ἀλλοτρίωσιν πρὸς αὐτὴν ἐπανῃρημένοι, καὶ πράξεις ἀλλοτρίας τοῦ ἐπαγγέλματος διαπραττόμενοι, σεμναῖς ἐπαμφίσκοντες κλήσεσιν· εἶτ᾽ οὐκ αἰσχρὸν ἡγούμεθα παρὰ τῶν ὑποδεεστέρων, οὓς κοσμικοὺς ὀνομάζομεν, ἐπὶ τοῖς παρεωραμένοις θεσμοῖς τοῦ σωτῆρος ἐξονειδιζόμενοι, τὰς ἠθετημένας αὐτοῦ ἐντολὰς παρὰ τῶν μανθάνειν ὀφειλόντων διδασκόμενοι· ὅταν γὰρ μαχομένοις ἡμῖν λέγωσι· δοῦλον Χριστοῦ οὐ δεῖ μάχεσθαι, ἀλλ᾽ ἤπιον εἶναι πρὸς πάντας· καὶ πάλιν φιλονεικοῦσι περὶ χρημάτων, ἢ κτημάτων, ἐάν σου λάβῃ φησί, τις τὸν χιτῶνα; ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον, τί ἕτερον ποιοῦσιν, ἢ ἐπισκώπτοντες ἡμᾶς κωμῳδοῦσι, καὶ χλευάζουσι τῆς πρὸς τὸ ἐπάγγελμα τῶν ἔργων ἐναντιότητος· ἢ γάρ, οὐκ ἀνάγκη μάχεσθαι τῶν κτημάτων ἀντιποιουμένους, καὶ πάντα πράττειν ὅσα ἡ τούτων ἀναγκάζει κηδεμονία· ἔλυσέ τις τῆς ἀμπέλου τὸν τέρμονα, καὶ τῇ ἰδίᾳ προσεκλήρωσε χώρᾳ· ἄλλος ἐπαφῆκε τὸ κτῆνος· ἕτερος τὸ ὕδωρ ἐπιρρέον τῷ κήπῳ, ὑπέσπασεν· οὐκοῦν λυσσῆσαι δεῖ, καὶ τῶν μαινομένων χεῖρας γενέσθαι, τοῖς πᾶσιν ἐπιμερίζοντα τὴν ἄμυναν· καὶ δικαστηρίοις προσηλῶσθαι, τὸν τῇ θεωρίᾳ τῶν ὄντων προσασχολεῖσθαι ὀφείλοντα νοῦν, καὶ εἰς πανουργίαν πραγματικὴν μεταβάλλειν τὴν δύναμιν τὴν θεωρητικήν, ἵν᾽ ἡμῖν τῶν μηδὲν χρησιμευόντων διδῶται ἡ εὐπορία. τί τῶν ἀλλοτρίων ὡς οἰκείων ἀντιποιούμεθα, βαρείας ἑαυτοῖς τὰς πέδας τῆς ὕλης κατασκευάζοντες· καὶ τοῦ παλαίζοντος τοὺς λόγους οὐκ ἀκούοντες; οὐαὶ γάρ, φησὶν ὁ προφήτης, ὁ συνάγων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτοῦ, καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς· εἰ γὰρ κοῦφοι εἰσὶν οἱ διώκοντες, κατὰ τὸν λέγοντα· κοῦφοι ἐγένοντο οἱ διώκοντες ἡμᾶς, ὑπὲρ ἀετοὺς οὐρανοῦ· ἡμεῖς δὲ βαρύνομεν ἑαυτοὺς κοσμικοῖς πράγμασι· δηλονότι ἀργότερον κινούμενοι πρὸς δρόμον, εὐχερῶς παρὰ τῶν ἐχθρῶν καταληφθησόμεθα· οὓς φεύγειν ἡμᾶς ὁ Παῦλος ἐδίδαξε λέγων· φεύγετε τὴν πλεονεξίαν· ὁπότε καὶ οἱ εὐσταλεῖς ἐν τῷ τρέχειν ἐπὶ τὸ βραβεῖον, ἐὰν μὴ συντόνῳ ῥώμῃ φέρωνται, πολὺ τῆς καταλήψεως καταλιμπάνονται, τῶν διωκόντων ἐχθρῶν, ἴσως παχυτέρας ἐχόντων τὰς βάσεις. Μέγα τοῖς πρὸς ἀρετὴν ἐπειγομένοις ἐμπόδιον, ἡ τῶν κοσμικῶν πραγμάτων προσπάθεια· καὶ ψυχῇ καὶ σώματι, πολλάκις ὄλεθρον προξενοῦσα. τί γὰρ τὸν Ναβουθὲ τὸν Ἰσραηλίτην ἀπώλεσεν· οὐκ ἀμπελὼν ἐπίφθονος, αἴτιος αὐτῷ θανάτου γεγενημένος, πρὸς φθόνον κινήσας κατ᾽ αὐτοῦ τὸν γείτονα Ἀχαάβ; τί δέ, τὰς δύο ἥμισυ φυλὰς ἔξω τῆς γῆς ἐπαγγελίας μεῖναι παρεσκεύασεν, οὐχὶ πλῆθος κτηνῶν; τί δὲ καὶ τὸν Λὼτ ἀπὸ τοῦ Ἀβραὰμ διεχώρισεν, οὐ τὸ τῶν βοσκημάτων πλῆθος, συνεχῶς τοῖς ποιμέσι κινῆσαν ἔριδας; τέλεον, ἀπέρρηξαν ἀπ᾽ ἀλλήλων αὐτούς. Εἰ οὖν καὶ πρὸς φθόνον τοὺς βασκάνους κατὰ τῶν ἐχόντων



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐρεθίζει τὰ κινήματα, καὶ τῶν στερεωτέρων ἀποκλείει τὰς κεκτημένας, καὶ συγγένειαν διασπᾷ, καὶ φίλους ἔχειν ἔχθραν καθίστησι· καὶ πρὸς τὴν μέλλουσαν ζωὴν οὐδὲν κοινὸν, καὶ πρὸς τὴν ἐν σώματι οὐδὲν μέγα χρησιμεύει· τί τῆς θεραπείας τοῦ Θεοῦ ἀφιστάμενοι, ὅλοι γινόμεθα τῆς ματαιότητος; μὴ γὰρ ἡμεῖς ἐσμὲν, οἱ τὰ τῆς ζωῆς ἀνύοντες τῆς ἑαυτῶν; Θεός ἐστιν ὁ πάντων οἰκονομῶν. καὶ ἡ μὲν ἀνθρωπίνη σπουδὴ μὴ τυχοῦσα τῆς τοῦ Θεοῦ βοηθείας, ἐξ ἀνάγκης ἀστοχεῖ τοῦ τέλους· ἡ δὲ τοῦ Θεοῦ οἰκονομία, καὶ δίχα τῆς ἀνθρωπίνης συμπράξεως, τέλεια παρέχει ἀγαθά. Τί ὤνησεν ἐκείνους ἡ ἰδία σπουδὴ, πρὸς οὓς ἔλεγεν ὁ Θεός· ἐσπείρατε πολλὰ, καὶ εἰσηνέγκατε ὀλίγα, καὶ ἐξεφύσησα αὐτὰ ἐκ τῶν χειρῶν ὑμῶν; τί δὲ τοῖς κατ᾽ ἀρετὴν βιώσασιν ἔλειψε τῶν ἀναγκαίων, μηδ᾽ ὅλως φροντίσασι περὶ τούτων; οὐκ ἐν ἐρήμῳ τεσσαράκοντα ἔτη ὁ Ἰσραὴλ ἐτρέφετο, μηδενὸς τῶν ἐκ γεωργίας ἀπολαύοντες; καὶ οὐκ ἐπεδεήθησαν βρώματος· ἀλλὰ θάλασσα μὲν, ἐκαρπούργει τροφὴν παράδοξον, ὀρτυγομήτραν ἐρευγομένη· οὐρανὸς δὲ, Μάννα καταφέρων, ὑετὸν ἄνωθεν καὶ ξένον. Πέτρα δὲ ἰκμάδος ἄμοιρος, ῥαγεῖσα παρέσχεν ἄφθονον τὸ νᾶμα· ἱμάτια δὲ καὶ ὑποδήματα, ὑπηρέτει πάντα τὸν χρόνον μὴ παλαιούμενα. ποίᾳ δὲ γεωργίᾳ, ἐν τῷ χειμάρρῳ ὁ Ἠλίας ἐτρέφετο; οὐ κόρακες αὐτῷ παρεκόμιζον τὴν τροφήν; οὐκ ἐν Σαρέφθᾳ ἐλθόντι, χήρα, καὶ τῶν ἀναγκαίων ἐνδεὴς, ἄρτον παρέσχε, τοῦ στόματος τῶν ἰδίων τέκνων ἀφαρπάσασα; ἵνα δειχθῇ, ὅτι καὶ φύσεως προτιμοτέρα ἡ ἀρετή. καὶ ταῦτα, παράδοξα μὲν· ὅμως, καὶ τοῦ εἰκότως ἐχόμενα· δυνατὸν γὰρ καὶ τὸν μὴ ἐσθίοντα ζῆν, ὅταν βούληται ὁ Θεός. πῶς γὰρ ὁ Ἠλίας τεσσαράκοντα ἡμερῶν ὁδὸν ἤνυσεν, ἐν ἰσχύϊ βρώσεως μιᾶς; πῶς δὲ ὁ Μωϋσῆς, ὀγδοήκοντα ἡμέρας ἐπὶ τοῦ ὄρους προσφιλοσοφῶν τῷ Θεῷ, ἀνθρωπίνης τροφῆς ἔμεινεν ἄγευστος; μετὰ δὲ τεσσαράκοντα ἡμέρας κατελθὼν, καὶ διὰ τὴν μοσχοποιΐαν θυμωθεὶς, εὐθέως συντρίψας τὰς πλάκας, ἐπὶ τὸ ὄρος ἀνέδραμε, καὶ τοσαύτας ἄλλας ἐνδιατρίψας ἐν τῷ ὄρει, οὕτω τὰς δευτέρας πλάκας λαβὼν, κατῆλθε πρὸς τὸν λαόν. Ποῖος δὲ λογισμὸς ἀνθρώπινος τὸ εὔλογον τοῦ θαύματος τούτου παραστῆσαι δύναται; πῶς ἡ ῥοώδης τοῦ σώματος φύσις, τοσοῦτον κινουμένη διήρκεσεν, οὐδ᾽ ἑνὸς ἀντιπληροῦντος τὸ καθ᾽ ἡμέραν διαπνεόμενον τῆς δυνάμεως; λύει δὲ τοῦτο τὸ ἄπορον ὁ θεῖος λόγος, ὅταν λέγῃ· οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. Τί τοίνυν τὸ πολίτευμα τὸ οὐράνιον εἰς γῆν κατασπῶμεν, ταῖς ὑλικαῖς ἐμβαθύνοντες ταλαιπωρίαις; καὶ κοπρίας περιβάλλομεν ἑαυτοὺς, οἱ ποτὲ τιθηνούμενοι ἐπὶ κόκκου; ὡς περί τινων ὁ Ἱερεμίας θρηνῶν ἔλεγεν· ὅταν γὰρ ἐπὶ τῶν λαμπρῶν καὶ διαπύρων ἀναπαυώμεθα νοημάτων, ἐπὶ κόκκου τιθηνούμεθα· ὅταν δὲ τὴν τοιαύτην ἀφέντες κατάστασιν, τοῖς γηΐνοις ἐμφυρώμεθα πράγμασι, κοπρίας περιβαλλόμεθα. Τί τὴν ἐλπίδα ἀφιστῶντες ἀπὸ τοῦ Θεοῦ, τὴν σάρκα τοῦ βραχίονος στηρίζομεν, τὴν τοῦ δεσπότου πρόνοιαν ταῖς ἑαυτῶν ἐπιγράφοντες χερσίν· ἥνπερ εἰς μεγίστην ἁμαρτίαν ἑαυτῷ λογισθῆναι ὁ Ἰὼβ ἐπηράσατο· τὸ ἐπιθέντα τὴν χεῖρα τῷ στόματι καταφιλῆσαι, τοῦτο ποιοῦντες πῶς οὐ δεδοίκαμεν· Ἔθος γὰρ τοῖς πολλοῖς, τὰς χεῖρας καταφιλεῖν. ἐξ ἐκείνων ἔχειν τὴν εὐπορίαν λέγοντες· οὓς αἰνιττόμενος διὰ συμβόλου * ὀνόματος φησίν· ὃς πορεύεται ἐπὶ χειρῶν, ἀκάθαρτος· καὶ ὃς πορεύεται ἐπὶ τεσσάρων διαπαντὸς, ἀκάθαρτος· ἐπὶ χειρῶν δὲ πορεύεται, ὁ ταῖς χερσὶν ἐπερειδόμενος, καὶ πᾶσαν ἐπ᾽ αὐ-

* ἐν Λευ. ὁ νόμος.

τῶν ἔχων τὴν ἐλπίδα· ἐπὶ τεσσάρων δὲ πορεύεται, ὁ τοῖς αἰσθητοῖς πράγμασι προσπεποιθὼς, καὶ τῇ τούτων ἀσχολίᾳ διαπαντὸς ὑποσύρων τὸ ἡγεμονικόν· πολυπληθεῖ δὲ ποσὶν, ὁ ἅπασι τῶν σωματικῶν περιερχόμενος· διὰ τοῦτο ὁ σοφὸς παροιμιαστὴς, οὐδὲ δύο πόδας ἔχειν βούλεται τὸν τέλειον, ἀλλ' ἕνα, καὶ τοῦτον σπανίως ἐπὶ τὰ σωματικὰ κινούμενον πράγματα· σπάνιον λέγων εἰσάγαγε σὸν πόδα πρὸς τὸν ἑαυτοῦ φίλον, μήποτε πλησθείς σου, μισήσῃ σε. Εἰ γὰρ ὁ σπανάκις τοῦ Χριστοῦ περὶ τῆς χρείας ἐνοχλῶν τοῦ σώματος, οὗτος γὰρ ὁ σκοπὸς τῶν φίλων τῶν τοιούτων ἐστὶν, ὡς πρὸς τοὺς ἑαυτοῦ μαθητάς φησιν ὁ Σωτήρ· ὑμεῖς φίλοι μου ἐστέ. ἐὰν συνεχέστερον τοῦτο ποιῇ, μισητὸς γίνεται· τί ἄρα πείσεται, καὶ πῶς οὐ βδελυκτὸς ἔσται, ὁ διαπαντὸς ταύταις ἐνασχολούμενος ταῖς χρείαις, καὶ μηδέποτε πρὸς τὴν ὄρθιον ἐγειρόμενος ζωήν· διὰ τὸ μὴ ἔχειν σκέλη ἐπάνω τῶν ποδῶν, ὥστε πηδᾷν ἐν αὐτοῖς ἀπὸ τῆς γῆς· ὡς γὰρ τὰ σκέλη διὰ τῆς συμβάσεως, ὅλον μὲν δέχεται πρότερον ἐφ' ἑαυτῶν τὸν ὄγκον τοῦ σώματος· μικρὸν δὲ προσεγγίσαντα τῇ γῇ, ἀθρόον ἐνάλλεσθαι παρασκευάζει πρὸς τὸ μετέωρον· οὕτως ὁ διακριτικὸς τῶν τῆς φύσεως πραγμάτων λογισμὸς, μετὰ τὸ προσκαταβιβασθῆναι τῇ χρείᾳ τοῦ σώματος, ὀξέως πάλιν τῆς ἄνω κουφότητος ἀναπέμπει τὸ φρόνημα, μηδὲν τῶν χοϊκῶν σὺν αὐτῷ ἀνακουφίζων λογισμῶν· τὸ γὰρ ἔχειν ὀρθὰ τὰ σκέλη, πρόσεστι μὲν καὶ τοῖς μὴ ἄγαν ἀπολαυστικοῖς καὶ κάτω κειμένοις διαπαντὸς, πρόσεστι δὲ καὶ ταῖς ἁγίαις δυνάμεσι, διὰ τὸ μηδ' ὅλως προσδέεσθαι τῶν σωματικῶν, μηδὲ τῆς πρὸς ταῦτα χρῄζειν ἐπιβάσεως· τοῦτο γὰρ προσημαίνων ὁ μέγας Ἰεζεκιὴλ, ἔλεγεν· ὅτι ἦν τὰ σκέλη αὐτῶν ὀρθὰ, καὶ πτερωτοὶ οἱ πόδες αὐτῶν· ὅπερ δηλοῖ τὸ ἀκλινὲς τῆς γνώμης, καὶ τὸ πρὸς τὰ κάτω τῆς φύσεως ἐκείνης δυσκίνητον. ἀνθρώποις δὲ ἱκανὸν, σκέλη ἔχειν κλινόμενα· καὶ ποτὲ μὲν, πρὸς τὰς σωματικὰς ἀνάγκας· ποτὲ δὲ, πρὸς τὰς τῆς ψυχῆς ἀναφερεῖς χρηματίζειν διαβάσεις· διὰ μὲν τὴν πρὸς τὰς ἄνω δυνάμεις τῆς ψυχῆς συγγένειαν, τὰ πολλὰ συμμετεωροπολεῖν ἐκείναις, διὰ δὲ τὸ σῶμα, τοσοῦτον ἀποσχολεῖν τῇ γῇ τὴν φροντίδα, ὅσον ἡ χρεία βιάζεται· ἐφέρπειν δὲ διαπαντὸς ταῖς ἀπολαυστικαῖς παρασκευαῖς, ἀκάθαρτον ὄντως, καὶ οὐχ ἁρμόζον ἀνθρώπῳ λογικῆς κεκοσμημένῳ γνώσεως. Παρατετηρημένως γὰρ καὶ τὸν ἐπὶ τεσσάρων πορευόμενον, οὐχ ἁπλῶς εἶπεν ἀκάθαρτον, ἀλλ' εἰ διαπαντὸς ἐπὶ τεσσάρων πορεύοιτο· ἔδωκε γὰρ τοῖς ἐν σώματι καιρὸν, καταβαίνειν πρὸς τὴν χρείαν τοῦ σώματος. καὶ γὰρ ὁ Ἰωνάθαν τὸν Ναὰς πολεμῶν τὸν Ἀμμανίτην, ἐπὶ τεσσάρων περιπατήσας ἐνίκησεν, ἐπειδὴ τῇ ἀνάγκῃ τῆς φύσεως ὑπηρέτησε μόνον. ἔδει γὰρ τὸν πρὸς τὸν ἐπὶ τὸ στῆθος συρόμενον ὄφιν πολεμοῦντα· τοῦτο γὰρ Ναὰς ἑρμηνεύεται. σχηματίσασθαι πρὸς ὀλίγον τὴν πρὸς αὐτὸν ὁμοιότητα, διὰ τοῦ πορευθῆναι ἐπὶ τεσσάρων· καὶ οὕτω διαναστάντα ἐπὶ τὴν οἰκείαν ἕξιν, χειρώσασθαι τοῦτον μετὰ πολλῆς εὐκολίας. Τί δέ; καὶ ἡ κατὰ τὸν Ἰεβοσθὲ ἱστορία ἡμᾶς οὐ παιδεύει, μὴ πεφροντισμένως ἀντέχεσθαι τῶν σωματικῶν, μηδὲ τῇ αἰσθήσει τὴν ἑαυτῶν ἐγχειρίζειν φυλακήν; οὗτος γὰρ βασιλεὺς ὢν, καὶ ἐν τῷ ταμιείῳ ἀναπαυόμενος τῷ ἑαυτοῦ, γυναικὶ θυρωρεῖν ἐπέτρεψεν· ἐλθόντες δὲ οἱ περὶ τὸν Ῥιχὰβ, καὶ εὑρόντες αὐτὴν * πυροὺς καθαίρουσαν καὶ νυστάζουσαν, διαλαθόντες εἰσῆλθον καὶ ἀνεῖλον τὸν Ἰεβοσθὲ, καὶ αὐτὸν εὑρόντες καθεύδοντα· πάντα γὰρ ὕπνοι καὶ νοῦς, καὶ ψυχὴ, καὶ αἴσθησις, τῶν σωματικῶν κρατούντων. ἡ γὰρ θυ-

* ἐν ἄλ. πυρούς.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρωρὸν καθαίρειν πυρὰς, δείκνυσι τὸ ἐπιμελῶς προσασχολεῖσθαι τὴν διάνοιαν τοῖς σωματικοῖς· καὶ οὐ παρέργως, ἀλλὰ μετά τινος σπουδῆς, τὴν τούτων ἐπιτηδεύεσθαι καθαρότητα. ὅτι γὰρ οὐκ ἐν ἱστορίας εἴδει τοῦτο διδάσκει ἡ γραφὴ, δῆλον ἐκεῖθεν· πῶς γὰρ βασιλεὺς γυναῖκα θυρωρὸν εἶχεν, ὀφείλων παρὰ πλήθους δορυφορεῖσθαι στρατιωτῶν, καὶ πᾶσαν περὶ αὐτὸν ἔχειν τὴν τοῦ ἀξιώματος σκηνήν; ἢ πῶς οὕτως εὐτελὴς, ὡς δι' αὐτῆς καθαίρειν τὰς πυράς; ἀλλὰ πολλάκις τῇ ἱστορίᾳ μίγνυται τὸ παράλογον, διὰ τὴν τῶν σημαινομένων ἀλήθειαν. ὁ γὰρ ἑκάστου νοῦς, καθάπερ βασιλεὺς, ἔσω που διατρίβει, θυρωρὸν τῶν αἰσθήσεων ἔχων τὴν διάνοιαν· ἥτις ὅταν τοῖς σωματικοῖς ἑαυτὴν ἐγχειρίσῃ· σωματικὸν δὲ, τὸ καθαίρειν πυράς· εὐχερῶς διαλαθόντες οἱ ἐπίβουλοι, θανατοῦσι τὸν νοῦν. διὰ τοῦτο ὁ μέγας Ἀβραὰμ, οὐ πιστεύει γυναικὶ τὴν θύραν φαλάττειν· εἶδε γὰρ τὸ εὐεξαπάτητον τῆς αἰσθήσεως· ὅπως τῇ ὄψει τῶν αἰσθητῶν ἐπιτερπομένη διχάζῃ τὸν νοῦν, καὶ πείθῃ συμμεταλαβεῖν αὐτῇ τῶν τερπνῶν, κἂν ἐπικίνδυνος ἡ μετάληψις εἴη σαφῶς· ἀλλ' αὐτὸς ἐκεῖνος παρακαθέζεται, τοῖς μὲν θείοις νοήμασιν ἀναπεπετασμένην παρέχων τὴν εἴσοδον, ταῖς δὲ κοσμικαῖς φροντίσιν ἀποκλείων τὴν θύραν. τί γὰρ ἡμῖν ἐκ τῆς περὶ ταῦτα ματαιοπονίας, εἰς τὴν ζωὴν περιγίνεται; ἢ ὁ πᾶς μόχθος, κατὰ τὸν ἐκκλησιαστὴν, εἰς στόμα αὐτοῦ; διατροφὴ δὲ, καὶ σκεπάσματα, κατὰ τὸν ἀπόστολον, ἱκανὰ πρὸς τὴν σύστασιν τῆς δυστήνου σαρκός. Τί οὖν ἀπέραντα ποιοῦμεν καὶ μοχθοῦμεν εἰς ἄνεμον, ὥς φησιν ὁ Σολομών· ἐκ τῆς περὶ τὰ γήϊνα σπουδῆς, ἐμποδίζοντες τῇ ψυχῇ πρὸς τὴν τῶν θείων ἀγαθῶν ἀπόλαυσιν· καὶ τὴν σάρκα περιέποντες καὶ θάλποντες πλέον, ἢ καλῶς ἔχει; ἐχθρὸν ἐκ γειτόνων αὐτὴν καὶ πολεμίων τρέφομεν, ὡς μὴ μόνον ἀμφήριστον αὐτῆς γενέσθαι τὴν μάχην, ἀλλ' ἐκ πολλοῦ τοῦ περιόντος, ἐρρωμενέστεροι ἀγωνιζομένην κατὰ τῆς ψυχῆς, τιμῶν καὶ στεφάνων ἐφίεσθαι. τί γάρ ἐστιν ἡ χρεία τοῦ σώματος, ὅτι ταύτην προφασιζόμενοι, εἰς ἀνήνυτον ἀμηχανίαν τὴν ἐπιθυμίαν ἐκτείνομεν; ἄρτος ἐστὶ πάντως, καὶ ὕδωρ· εἶτα, οὐχὶ αἱ μὲν πηγαὶ ἄφθονον παρέχουσι τὸ νᾶμα; ὁ δὲ ἄρτος, εὐπόριστος τοῖς χεῖρας ἔχουσι; καὶ ἐκ πολλῶν ἔργων δυνάμεθα περιγενέσθαι, ἐξ ὧν καὶ ἡ χρεία πληροῦται τοῦ σώματος, καὶ ὀλίγον ἢ οὐδ' ὅλως περισπώμενοι. Ἀλλ' ἔνδυμα πολλὴν παρέχει φροντίδα; οὐδὲ τοῦτο. ἐὰν μὴ πρὸς τὴν ἐκ τῆς συνηθείας βλακείαν, ἀλλὰ πρὸς τὴν χρείαν βλέπωμεν μόνην· Ποίας γὰρ ἀραχνοϋφεῖς ἐσθῆτας, ποίαν δὲ βύσσον, ἢ πορφύραν ἢ σηρικοῦ, ὁ πρῶτος ἐφόρησεν ἄνθρωπος; οὐκ ἐκ δερμάτων αὐτῷ τὸ ἔνδυμα ὁ δημιουργὸς, καὶ χόρτῳ τρέφεσθαι παρήγγειλε; τούτους τιθεὶς τοὺς ὅρους τῇ χρείᾳ τοῦ σώματος, οὕτω διαταξάμενος, καὶ πόρρωθεν ἀνατέλλων τὴν νῦν πολιτευομένην αἰσχρότητα τοῦ ἀνθρώπου. Οὐ λέγω δὲ, ὅτι καὶ νῦν θρέψει πάντως εὐσεβοῦντας ἡμᾶς, ὁ τὰ πετεινὰ τρέφων τοῦ οὐρανοῦ· καὶ ἐνδύσει, ὁ τοῖς κρίνοις τοῦ ἀγροῦ τοσαύτην περιθεὶς δόξαν. ἐπεὶ, μηδέπω πείθειν δυνατὸν, τοὺς πολὺ ταύτης ἀφεστῶτας τῆς πίστεως. Τίς γὰρ οὐ μεθ' ἱκεσίας παρέξω τὰ ἐπιτήδεια, τῷ κατ' ἀρετὴν βιοῦντι; Εἰ γὰρ ἄνθρωποι βάρβαροι καὶ πολέμου νόμῳ λαβόντες τὰ Ἱεροσόλυμα· οἱ Βαβυλώνιοι, τὴν ἀρετὴν ᾐδέσθησαν τοῦ Ἱερεμίου, καὶ πᾶσαν θεραπείαν παρέχον σωματικὴν ἀφθόνως, οὐ τὰ πρὸς τροφὴν μόνον δεδωκότες, ἀλλὰ καὶ σκεύη, οἷς ἔθος διακονεῖσθαι τοὺς ἐντιμωμένους· πῶς οὐκ αἰδεσθήσονται βίον εὐπρεπῆ οἱ ὁμόφυλοι,

καὶ τὸν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ τὸν λογισμὸν ἐκ παιδείας βαρβαρικῆς μᾶλλον κεκαθαρμένοι πρὸς τὴν τῶν καλῶν κατανόησιν, καὶ ἀρετῆς ζηλωταί; εἰ γὰρ καὶ μὴ δεδύνηνται ταύτης ἀσκηταὶ γενέσθαι διὰ τὴν ἀσθένειαν τῆς φύσεως, ἀλλ' οὖν γε τιμῶσιν ἀρετήν, καὶ τοὺς ἀθλητὰς αὐτῆς θαυμάζουσι. Τίς ἔπεισε τὴν Σουμανῖτιν; οἰκοδομῆσαι τῷ Ἐλισσαίῳ καταγώγιον, καὶ θεῖναι τράπεζαν ἐκεῖ, καὶ δίφρον, καὶ λυχνίαν. οὐχ ἡ ἀρετὴ τοῦ ἀνδρός; Τί δὲ τὴν χήραν ἐκείνην ἐδυσώπησε, λιμοῦ πᾶσαν κατανεμομένου τὴν χώραν, τῆς ἰδίας χρείας προκρῖναι τὴν τοῦ προφήτου θεραπείαν; πάντως γάρ, εἰ μὴ τὴν φιλοσοφίαν κατεπέπληκτο τοῦ Ἠλιοῦ, οὐκ ἂν τὴν μικρὰν τῆς ζωῆς παραμυθίαν ἑαυτῆς καὶ τῶν τέκνων ἀφελομένη, παρεχώρησεν ἐκείνῳ· ὃν μετ' ὀλίγον ἐφαντάζετο θάνατον, πρὸ καιροῦ τοῦτον ἑλομένη, διὰ τὴν εἰς τὸν ξένον φιλοτιμίαν. ἐπαίνησα δὲ τούτους αὐτοὺς τὸ γενναῖον, καὶ τὸ πρὸς τοὺς πόνους ἀνένδοτον, καὶ τὸ καταφρονητικῶς ἔχειν πρὸς τὰ τοῦ βίου πράγματα· εὐτέλειαν γὰρ ἐπιτηδεύσαντες, καὶ ἐπὶ τὸ ἀνενδεὲς ἐλθεῖν ἐκ τῆς ὀλιγοδείας προκόψαντες, πλησίον τῶν ἀσωμάτων ἔστησαν δυνάμεων· ὅθεν, καίτοι ἀφανεῖς ὄντες κατὰ τὸ σωματικόν, καὶ ἄσημοι, τῶν πάντα φερόντων, καὶ ἀγόντων, ἐγένοντο δυνατώτεροι· μετὰ τοσαύτης παρρησίας τοῖς τὰ διαδήματα περικειμένοις διαλεγόμενοι, μεθ' ὅσης οὐδὲ ἐκεῖνοι τοῖς ὑποχειρίοις. Ποίοις γὰρ ὅπλοις θαρρῶν, ποίᾳ δὲ δυνάμει, πρὸς τὸν Ἀχαὰβ ἔλεγεν ὁ Ἠλιού, οὐ διαστρέφω ἐγὼ τὸν Ἰσραήλ, ἀλλ' ἢ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου; Πῶς δὲ ὁ Μωϋσῆς ἀντικαθίστατο τῷ φαραὼ πρὸς ἅμιλλαν, οὐδὲν ἔχων πλὴν τῆς ἀρετῆς, θάρσους ἐφόδιον; πῶς δὲ Ἐλισσαιὲ συνηγμένης ἐπὶ πολέμου τῆς στρατιᾶς, καὶ τῶν δύο βασιλέων Ἰσραήλ, καὶ Ἰούδα, ἔλεγε τῷ Ἰωράμ, ζῇ Κύριος τῶν δυνάμεων, ᾧ παρέστην ἐνώπιον αὐτοῦ· ὅτι εἰ μὴ πρόσωπον Ἰωσαφὰτ ἐγὼ λαμβάνω, εἰ ἐπέβλεψα ἐπὶ σὲ καὶ εἶδόν σε· οὔτε τὴν στρατιὰν κεκινημένην φοβηθείς, οὔτε τὸν θυμὸν δείσας τοῦ βασιλέως, ᾧ παρὰ καιρὸν τοῦ πολέμου εἰκὸς χρήσασθαι, καὶ ἀλόγῳ ὁρμῇ, τοῦ λογισμοῦ δι' ἀγωνίαν συγκεχυμένου. τί γὰρ δύναται τοσοῦτον βασιλεύς, οἷον ἀρετή; ποία πορφυρὶς ἔρρηξε ποταμόν, ὡς ἡ μηλωτὴ τοῦ Ἠλιοῦ; ποῖον δὲ διάδημα νοσήματα ἔλυσεν, ὡς τὰ τῶν ἀποστόλων σουδάρια; Ἤλεγχέ ποτε Προφήτης βασιλέα παρανομήσαντα μόνος, μετὰ πάσης ὄντα τῆς στρατιᾶς· καὶ ἐπειδὴ τὸν θυμὸν ὁ ἔλεγχος ἠρέθισεν, ἐκτείνας ὁ βασιλεὺς τὴν χεῖρα ἐπὶ τὸν προφήτην, οὔτε ἐκείνου ἐπελάβετο, καὶ τὴν χεῖρα πρὸς ἑαυτὸν συναγαγεῖν ξηρανθεῖσαν οὐκ ἠδυνήθη· καὶ ἦν ἀγὼν ἀρετῆς, καὶ δυναστείας βασιλικῆς· καὶ ἡ νίκη, τῆς ἀρετῆς ἐγένετο· οὐκ ἐμάχετο ὁ προφήτης, καὶ ἡ ἀρετὴ ἐτροποῦτο τὸν πολέμιον· ἤργει ὁ ἀγωνιστής, καὶ ἡ πίστις εἰργάζετο. οἱ σύμμαχοι τοῦ βασιλέως, βραβευταὶ τοῦ ἀγῶνος ἐγένοντο· καὶ ἡ χεὶρ εἱστήκει, μαρτυροῦσα τῇ ἀρετῇ τὴν νίκην. Ταῦτα δὲ ἔπραττον, ἐπειδὴ ψυχῇ μόνῃ ζῆν ἔκριναν, τὸ σῶμα, καὶ τὰς τοῦ σώματος ἀνάγκας ἀποστρεφόμενοι· καὶ πάντων αὐτοὺς ὑψηλοτέρας ἐποίει, τὸ μηδενὸς χρείαν ἔχειν· μᾶλλον γὰρ καταλιπεῖν ᾑροῦντο τὸ σῶμα, καὶ τῆς ἐν σαρκὶ ζωῆς ἀπαλλαγῆναι, ἢ καταπροδοῦναι τῆς ἀρετῆς τὸ ἀξίωμα, καὶ χρείας ἕνεκεν σωματικῆς κολακεῦσαί τινα τῶν εὐπόρων· Ἡμεῖς δὲ ὅταν ἐν χρείᾳ καταστῶμεν τινός, ἀφέντες τὸ γενναίως ἀγωνίζεσθαι θλιβεροῖς, καθάπερ κυνίδια μεθ' ἱλαρωτέρας κινήσεως τῆς κέρκου, σαίνουσι τοὺς ὀξέου ἴσως γυμνὸν ἢ ψίχας προσακοντίζοντας· οὕτως τοῖς πλησίοις προστρέχομεν, εὐεργέτας αὐτοὺς

καὶ τῶν χριστιανῶν κηδεμόνας λέγοντες· καὶ πᾶσαν αὐτοῖς ἁπλῶς μαρτυροῦντες ἀρετήν, κἂν ἐν ἐσχάτῃ κακίᾳ τυγχάνωσιν, ὑπὲρ τοῦ αἰτῆσαι τὸ σπουδαζόμενον· οὐ περιεργαζόμενοι τὴν τῶν ἁγίων διαγωγήν, ὧν δῆθεν ζηλοῦν τὴν ἀρετὴν προτιθέμεθα. Ἦλθε πρὸς τὸν Ἐλισσαῖον, Νεεμὰν ὁ τῆς Συρίας Στρατηλάτης, πολλὰ κομίσας δῶρα μεθ' ἑαυτοῦ. Τί οὖν ὁ προφήτης· ἆρα ὑπήντησεν; ἆρα προσέδραμεν; ἀλλὰ δι' ἑτέρου μειρακίου, τὴν χρείαν ἐφ' ᾗ παρῆν, ἐδήλωσεν; οὐδὲ εἰς ὄψιν αὐτὸν δεξάμενος, ἵνα μὴ τῶν κομισθέντων ἕνεκα τὴν θεραπείαν προσαγηοχέναι νομισθῇ. Ταῦτα δὲ εἴρηται· οὐχ ἵνα μάθωμεν ἀλαζονείαν, ἀλλ' ἵνα μὴ χρείας ἕνεκεν κολακεύωμεν τοὺς ἐκεῖνα περιέποντας, ὧν ἡμεῖς καταφρονεῖν ἐπαγγελλόμεθα. Τί οὖν ἀφέντες τὸν σκοπὸν φιλοσοφίας, γεωργίας, καὶ ἐμπορίας ἐπιτηδεύομεν; τί μέγα τῷ Θεῷ εἰ τὴν ἑαυτῶν φροντίδα συνεισφέρομεν, ἵνα δὲ καὶ δοθῇ κοινὴν εἶναι τὴν τῆς γεωργίας ἐπιμέλειαν; ἡ ἀνθρωπίνη σπουδὴ τὴν γῆν ἀνατέμνει, καὶ σπέρματα καταβάλλει· ὁ δὲ Θεὸς ὑετοῖς ἐπαλλήλοις ἄρδει τὰ σπέρματα, ἁπαλαῖς ταῖς λαγόσι τῆς γῆς τὰς ῥίζας ἐνδιατείνεσθαι παρασκευάζων· ἥλιον ἀνατέλλει διαθερμαίνοντα τὴν γῆν, καὶ τῇ θέρμῃ προσκαλούμενον ἄνω τὰ φυτά· αὔρας ἀνέμων ἐπιπέμπει, τῇ ἡλικίᾳ τῶν τρεφομένων γεννημάτων συμμέτρους· μαλακαῖς μὲν πνοαῖς ἐπιρριπίζων ἐν ἀρχῇ χλοηφοροῦσαν τὴν πεδιάδα, ὡς ἂν μὴ θερμοῖς λεαινόμενα πνεύμασι περιφλέγοιτο τὰ σπαρέντα· στατερωτέραις δὲ ἐμβολαῖς πνευμάτων, ταῖς θήκαις τὸ γαλακτῶδες ἐμπεπαίνων τοῦ κόκκου, ἀλοητῷ φλογμὸν παρέχων ἐπιτήδειον, λικμητῷ προσφόρους ἀνέμους· κἂν ἕν τι τούτων ἐπιλίπῃ, ματαίως ἠλέγχθη ὁ ἀνθρώπινος πόνος· καὶ ἤργησεν ἡ ἡμετέρα σπουδή, μὴ σφραγισθεῖσα ταῖς τοῦ Θεοῦ δωρεαῖς· πολλάκις δὲ καὶ πάντων πρὸς τὴν τελείωσιν ἐνέλιπεν οὐδέν, ὑετὸς δὲ λάβρος παρὰ καιρὸν γενόμενος καὶ πολύς, ἢ τριβόμενον ἔτι τὸν στάχυν, ἢ καθαρὸν σωρευθέντα τὸν σῖτον, κατέσυρεν· ἔστι δ' ὅτε καὶ ἐν αὐτῇ τῇ ἀποθήκῃ, σκώληξ διέφθειρεν· ἐξ αὐτοῦ τοῦ στόματος, ὡς εἰπεῖν, ἐπίτηδες ἀποσυλήσας τὴν τράπεζαν. Ποῦ τοίνυν ἡμῖν, καὶ εἰς τί χρήσιμος ἡ ἡμετέρα σπουδή, Θεοῦ τοὺς οἴακας τῶν πραγμάτων κρατοῦντος, καὶ πάντα φέροντος καὶ ἄγοντος, ὡς ἂν βούληται; Ἀλλ' ἐν ταῖς ἀσθενείαις παραμυθίας χρήζειν ἐροῦμεν τὸ σῶμα· καὶ πόσῳ βέλτιον; τεθνάναι, ἢ πρᾶξαί τι τῶν τῷ ἐπαγγέλματι μὴ πρεπόντων; πάντως δὲ ἐὰν ἔτι ζῆν ἡμᾶς βούλεται ὁ Θεός, ἢ ῥώμην ἐντίθησι τῷ σώματι ἰσόρροπον, ὥστε καὶ τὸν ἐκ τῆς ἐργασίας πόνον φέρειν. ἢ καὶ τοὺς ἐπὶ τῇ γενναιότητι δέξασθαι στεφάνους· ἢ πόρον ἐπινοήσει πρὸς παραμυθίαν τοῦ κάμνοντος· καὶ οὐκ ἐπιλείψει πρὸς παραμυθίαν ἐπίνοια, τῇ πηγῇ τῆς σοφίας. Καλὸν οὖν ἀγαπητοὶ καὶ σφόδρα καλόν, εἰς τὴν ἀρχαίαν ἀναβῆναι μακαριότητα, καὶ τῆς τῶν παλαιῶν ἐπιδράξασθαι πολιτείας· ἔσται γὰρ πᾶσιν εὔκολος, ὡς νομίζω, θελήσασι· κἂν δὲ προσείη τίς πόνος, οὐκ ἄκαρπος ἔσται· ἱκανὴν ἔχων παραμυθίαν, τήν τε τῶν προσδεδωκότων εὔκλειαν, καὶ τῶν ἑπομένων τὴν διόρθωσιν· οὐ μικρὸν δὲ ἔσται κέρδος τοῖς ἀρξαμένοις τῆς τοιαύτης διαγωγῆς, καὶ τοῖς μετέπειτα καταλείπουσι πολιτείας ἀρίστης εἰκόνα, ἡ τῶν ἀπολειφθέντων ἀνάληψις. Φύγωμεν τὰς ἐν πόλεσι καὶ κώμαις διαγωγάς, ἵνα οἱ ἐν πόλεσι καὶ κώμαις τρέχωσι πρὸς ἡμᾶς· ἐρημίας μεταδιώξωμεν, ἵνα ἐπισπασώμεθα τοὺς νῦν ἡμᾶς φεύγοντας, εἰ φίλον ὅλως τοῦτό τισι· καὶ γὰρ περί τινων ἐν ἐπαίνῳ γέγραπται· ὅτι κατέλιπον τὰς πόλεις, καὶ ᾤκησαν ἐν πέτραις καὶ ἐγέ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

νοντο ὡς περιστεραὶ πελεκητικαί· καὶ ὁ Βαπτιστὴς δὲ Ἰωάννης ἐν ἐρήμῳ διέτριβε, καὶ πᾶσαι πρὸς αὐτὸν αὔτανδροι παρῆσαν αἱ πόλεις· καὶ πρὸς τὴν θεωρίαν τῆς δερματίνης ζώνης ἠπείγοντο, οἱ τὰ σηρικὰ περιβεβλημένοι ἱμάτια· καὶ τὴν ὕπαιθρον ἠρᾶντο ταλαιπωρίαν, οἱ τὰς χρυσορόφους ἔχοντες οἰκίας· καὶ τὰς ἐπὶ λιθοκολλήτων κλινῶν ἀναπαύσεις, ἡ ἐπὶ τῆς ψάμμου παρευδοκίμει κατάκλισις· καὶ ταῦτα ἦν αὐτοῖς αἱρετά, καίτοι παρὰ τὸ ἔθος γινόμενα· ὑπέτεμνε γὰρ τὴν ἐπὶ τοῖς ἀλγεινοῖς αἴσθησιν, ὁ πόθος τῆς θεωρίας τοῦ ἀνδρός· καὶ τὸν ἐπὶ τῇ σκληραγωγίᾳ πόνον, ἔκλεπτε τὸ θαῦμα τῆς ἀρετῆς. Τοσοῦτον ἐστὶν ἀρετὴ πλούτου τιμιωτέρα, καὶ βίος ἡσύχιος χρημάτων πολλῶν περιφανέστερος. πόσοι κατὰ τὸν καιρὸν ἐκεῖνον ἦσαν πλούσιοι, καὶ μέγα φρονοῦντες ἐπὶ δόξῃ, καὶ σεσίγηνται· καὶ τὸ θαῦμα τοῦ ἀδόξου, μέχρι τοῦ νῦν ᾄδεται· καὶ ἡ μνήμη τοῦ ἐρημοπολίτου, πᾶσίν ἐστι περισπούδαστος· ἀΐδιον γὰρ τῆς ἀρετῆς τὸ ἀοίδιμον, καὶ τὴν φήμην ἐξαποστέλλει ἄγγελον τῶν οἰκείων καλῶν. Παραιτησώμεθα κτηνοτροφίαν, ἵνα ποιμαντικὴν ἕξιν ἀναλάβωμεν· καταλίπωμεν ἐμπορίαν ἐπονείδιστον, ἵνα τὸν πολύτιμον κτησώμεθα μαργαρίτην· φύγωμεν γεωργίαν γῆς, ἀκάνθας καὶ τριβόλους ἀνατελλούσης, ἵνα ἐργάται καὶ φύλακες τοῦ παραδείσου γενώμεθα· πάντα ῥίψωμεν, καὶ τὸν ἡσύχιον ἑλώμεθα βίον, ἵνα ἐντρέψωμεν τοὺς νῦν ἡμῖν ὄνειδος τὸ κεκτῆσθαι προφέροντας· οὐδὲν γὰρ οὕτως δυσωπεῖ τοὺς ἐπεμβαίνοντας, ὡς ἡ ἐπὶ τοῖς ὀνειδιζομένοις μετ' ἐπιεικείας διόρθωσις· γίνεται γὰρ ἡ τῶν ὀνειδιζομένων μεταβολή, τοῖς ὀνειδίζουσι διατροπή· Αἰσχρὸν δὲ καὶ τοῦτο νομίζω, καὶ ἐστὶν αἰσχρὸν ἀληθῶς, ἐφ' ᾧ καὶ παρὰ πάντων εἰκότως γελώμεθα· ἄρτι γάρ τις προσελθὼν τῷ μονήρει βίῳ, καὶ τὰ ἤθη μόνον μαθὼν τῆς ἀσκήσεως,

ὅπως τε προσεύχονται καὶ πότε. καὶ ποία τίς ἐστιν ἡ τῆς διαίτης διαγωγή· διδάσκαλος εὐθέως ὧν οὐ μεμάθηκε γίνεται· καὶ προέρχεται ὁρμαθὸν μαθητῶν ἐπισυρόμενος, αὐτὸς ἔτι δεόμενος διδασκαλίας, καὶ τοσοῦτον πλέον καὶ εὔκολον τὸ πρᾶγμα ἐνόμισεν· οὐκ εἰδώς, ὅτι πάντων ἐστὶ χαλεπώτατον, ψυχῶν ἐπιμέλεια· δεομένων πρότερον μὲν καθάρσεως τῶν παλαιῶν μολυσμῶν, ἔπειτα πολλῆς προσοχῆς. εἰς τὸ δέξασθαι τύπους τῶν μαθημάτων τῆς ἀρετῆς· ὁ δὲ μηδὲν πλέον τῆς σωματικῆς ἀσκήσεως φαντασθείς, πῶς διορθώσεται τὰ ἤθη τῶν ὑποτεταγμένων; Πῶς δὲ μεταρρυθμίσει τοὺς τῇ πονηρᾷ συνηθείᾳ κεκρατημένους; Πῶς δὲ τοῖς πολεμουμένοις ὑπὸ παθῶν βοηθήσει, μηδ' ὅλως τὸν κατὰ διάνοιαν εἰδὼς πόλεμον; ἢ πῶς τὰ ἐν πολέμῳ συμβαίνοντα τραύματα θεραπεύσει, αὐτὸς ἔτι τραυματίας ὑποκείμενος, καὶ καταδέσμων δεόμενος; ἢ πᾶσα μὲν τέχνη χρόνου δεῖται καὶ διδασκαλίας πολλῆς πρὸς κατόρθωσιν, μόνη δὲ ἡ τέχνη τῶν τεχνῶν ἀμαθήτως ἐπιτηδεύεται; καὶ γεωργίας μὲν οὐ καταθαρρήσειεν ἄπειρος, οὐδὲ ἀμύητος ἰατρικῆς, ἐγχειρίσειεν ἔργοις ἰατρικοῖς· ἐλεγχθήσεται γὰρ ὁ μέν, πρὸς τὸ μηδὲν ὀνῆσαι τοὺς κάμνοντας, ἔτι καὶ βαρυτέραν κατασκευάσαι τὴν νόσον· ὁ δέ, χέρσον, καὶ ῥυπαρὰν τὴν ἄρουσαν γῆν καταστήσας· μόνης δὲ τῆς θεοσεβείας, ὡς πάντων εὐκολωτέρας, κατατολμῶσιν ἀπαίδευτοι· καὶ τὸ δυσκατόρθωτον πρᾶγμα, εὐχερὲς εἶναι νενομίκασι τοῖς πολλοῖς· καὶ ὃ μηδέπω Παῦλος κατειλῆφθαι λέγει, τοῦτο ἀκριβῶς ἐγνωκέναι διαβεβαιοῦνται, οἱ μηδὲ αὐτὸ τοῦτο εἰδότες, ὅτι ἀγνοοῦσι. Διὰ τοῦτο εὐκαταφρόνητος ὁ βίος ἐγένετο, καὶ οἱ μετερχόμενοι αὐτὸν παρὰ πάντων χλευάζονται· τίς γὰρ μὴ γελάσεται τὸν χθὲς ἐν καπηλείῳ ὑδροφοροῦντα, σήμερον ὁρῶν ὡς διδάσκαλον ἀρετῆς, παρὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μαθητὰς διηγωνισμένον; ἢ τὸν πρῴην τῶν πολιτικῶν ἀναχωρήσαντα κακοπραγιῶν, σήμερον μετὰ πλήθους μαθητῶν, διὰ πάσης σοβεῖν τῆς ἀγορᾶς; οὐδὲ ἦσαν πεπεισμένοι σαφῶς, ὅτι πολύς ἐστιν ὁ πόνος, ἄγειν τινὰς εἰς θεοσέβειαν, καὶ τὸν ἀκολουθοῦντα τῷ πράγματι κίνδυνον ᾔδεισαν ἀκριβῶς, πάντες ἂν ὡς ὑπερβαῖνον αὐτοὺς παρῃτήσαντο τὸ πρᾶγμα· ἕως δὲ ὅτε τοῦτο ἀγνοοῦσι, καὶ δόξαν ἡγοῦνται τὸ προεστάναι τινῶν, ἀκαίρως κυβιστῶσι κατὰ τοῦ βαράθρου· καὶ τὸ ἐνάλλεσθαι καιομένῃ τῇ καμίνῳ, κοῦφον νομίζουσι· γέλωτα μὲν κινοῦντες τοῖς ἐπισταμένοις τὸν πρῶτον αὐτῶν βίον, Θεοῦ δὲ ἀγανάκτησιν ἐπὶ τῇ τοσαύτῃ προπετείᾳ. Εἰ γὰρ τὸν Ἠλεὶ οὐδὲν παρῃτήσατο τῆς ὀργῆς τοῦ Θεοῦ, οὐ γῆρας σεμνὸν, οὐ παλαιὰ παρρησία· οὐχ ἱερατικὴ τιμὴ, ἀμελήσαντα τῆς τῶν τέκνων διορθώσεως· πῶς ἐξελοῦνται τῆς τοιαύτης ἀγανακτήσεως, οἱ οὔτε ἐκ παλαιῶν ἔργων ἀξιοπιστίαν ἔχοντες παρὰ Θεῷ, οὔτε εἰδότες οὔτε τὸν τοῦ ἁμαρτήματος τρόπον, ἢ τὴν τῆς διορθώσεως μέθοδον· ἀλλ' ἀπείρως δι' ἔρωτα δόξης, ἐγχειροῦντες ἐπικινδύνῳ πράγματι, διὰ τοῦτο τῷ μὲν δοκεῖν, Φαρισαίους Διδασκάλους, ὁ Κύριος ἔλεγεν· οὐαὶ ὑμῖν Γραμματεῖς, καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν, τοῦ ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν· τῷ δὲ ἀληθεῖ, διὰ τῆς ἐκείνων ἐπιπλήξεως, παιδεύων τοὺς ὕστερον τοῖς αὐτοῖς ἁλίσκεσθαι μέλλοντας παραπτώμασιν· ἵνα τῷ καὶ προσέχοντες, εἴρξωσιν ἑαυτοὺς τῆς ἀκαίρου ἐπιθυμίας τῆς παρὰ τοῖς ἀνθρώποις δόξης, φοβερώτερον κρίνοντες τὸν πλατυσμόν· δυσωπείτω δὲ καὶ ὁ Ἰὼβ αὐτοὺς, ἢ ὁμοίως κήδεσθαι τῶν ὑποτεταγμένων, ἢ παραιτεῖσθαι τὴν πάντων προστασίαν, μὴ εἰδότας τὰ αὐτοῦ ἑκάστου ποιεῖν, μηδὲ τὴν αὐτὴν ὑπὲρ τῶν προεστωμένων ἀναφέρειν βουλομένους σπουδήν· ὁ γὰρ ἐκεῖνος, καὶ ἀπὸ τῶν κατὰ διάνοιαν ῥύπων τοὺς υἱοὺς καθαροὺς εἶναι θέλων, θυσίας καθ' ἑκάστην ἡμέραν ὑπὲρ αὐτῶν προσέφερε, μήποτε λέγων οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς τὸν Θεόν· πῶς οὗτοι καὶ φανερῶν ἁμαρτημάτων ἀγνοοῦντες τὴν διάκρισιν, ἀλλὰ τὸν ἔτι καὶ πρὸς τὰ πάθη μάχης καιρὸν ἐπιτηδεύοντες αὐτοῖς τῷ λογισμῷ, ἐπιπηδῶσιν εἰς ἑτέρων προστασίαν, καὶ θεραπείας ἄλλων ἀναδέχονται, οὔπω τὰ ἑαυτῶν πάθη θεραπεύσαντες· οὐδὲ ἐκ τῆς ἑαυτῶν νίκης, ἑτέρους ἐπὶ τὸ νικᾶν ὁμοίως ὁδηγεῖν δυνάμενοι; δεῖ γὰρ πρότερον μαχέσασθαι τοῖς πάθεσι, καὶ μετὰ πολλῆς πείρας τὰ ἐν τῷ πολέμῳ τῇ μνήμῃ παραδοῦναι· καὶ οὕτως ἐκ τῶν καθ' ἑαυτοὺς, ἑτέροις ὑποτίθεσθαι τὰ τῆς μάχης· καὶ τὴν νίκην αὐτοῖς ἀσφαλεστέραν ποιῆσαι, διὰ τὸ προλέγειν τὰς ἐν τῷ πολέμῳ μεθόδους. Εἰσὶ γάρ τινες κεκρατηκότες τῶν παθῶν, διὰ πολλὴν ἴσως σκληραγωγίαν· καὶ τὸν τρόπον ἀγνοοῦντες τῆς νίκης, διὰ τὸ ὡς ἐν νυκτομαχίᾳ παρηκολουθηκέναι ταῖς συμβολαῖς, μηδὲ ταῖς τῶν ἐχθρῶν ἐπιβουλαῖς παραστῆσαι τὸν νοῦν. Τοῦτο συμβολικῶς ἐποίει καὶ ὁ Ἰησοῦς, ὁ μετὰ τὸν Ἰορδάνην διαβάσῃ τῇ στρατιᾷ, προστάξας ἐκ τοῦ ποταμοῦ λίθους ἀνιμῆσαι· καὶ ἔξω τοῦ ποταμοῦ στηλώσαντας καταχῶσαι καὶ ἐπιγράψαι, ὅπως παρῆλθον τὸν Ἰορδάνην· σημαίνων ὅτι δεῖ τὰ βύθια τῆς ἐμπαθοῦς διαγωγῆς νοήματα, εἰς φανερὸν ἄγειν, καὶ σαφῶς στηλιτεύειν, καὶ μὴ φθονεῖν ἑτέροις τῆς γνώσεως· ἵνα μὴ μόνον ὁ παρελθὼν γινώσκῃ τὸν τρόπον τῆς διαβάσεως, ἀλλὰ καὶ οἱ τὸ αὐτὸ ποιεῖν προαιρούμενοι, εὐχερῆ τὴν διάβασιν ἐκ τῆς μαθήσεως ποιήσωνται· καὶ ἡ ἑτέρων πεῖρα, γένηται καὶ ἑτέρων

διδασ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

διδασκαλία. Ἀλλὰ ταῦτα μὲν εἴτε ὁρῶσιν ἐκεῖνοι, εἴτε δὲ ἑτέρων λεγόντων ἀκούουσιν· εἰς μόνην δὲ αὐτῶν ὁρῶντες πληροφορίαν, καθάπερ ἀργυρωνήταις, δουλικὰς ἐπιτάττουσιν ὑπηρεσίας τοῖς ἀδελφοῖς· ἐν τούτῳ τὸ πᾶν τῆς δόξης τιθέμενοι, ἐν τῷ προεστάναι πλειόνων· καὶ ἔστιν αὐτοῖς ἅμιλλα μὴ ἥττονας τῶν λοιπῶν ἀδελφοτήτων ἐν ταῖς προόδοις ἐπισύρεσθαι, δίκην ἀνδραπόδων· καπήλων μᾶλλον, ἢ διδασκάλων κατάστασιν ἐπιδεικνυμένους· ὅταν γὰρ λόγῳ μὲν εὐχερὲς εἶναι τὸ ἐπιτάσσειν ἡγῶνται, κἂν βαρέα ᾖ τὰ ἐπιταττόμενα, ἔργῳ δὲ διδάσκειν οὐδὲν ἀνέχωνται, πρόδηλον πᾶσι τὸν ἑαυτῶν ποιοῦσι σκοπόν, ὅτι οὐκ ὠφελῆσαι τοὺς προσερχομένους, ἀλλ' ἰδίαν ἡδονὴν ἀνύσαι σπουδάζοντες, τὴν ἡγεμονίαν ὑποδύονται ταύτην. μαθέτωσαν δὲ οὗτοι, εἰ βούλονται, παρὰ τοῦ Ἀβιμέλεχ, καὶ τοῦ Γεδεών, ὅτι οὐ λόγος, ἀλλ' ἔργον τοὺς ἀρχομένους ἐνάγει πρὸς τὴν μίμησιν· τοῦ μὲν ποιήσαντος φορτίον ξύλων, καὶ μετὰ τὸ ποιῆσαι βαστάζοντος καὶ λέγοντος, ὃν τρόπον εἴδετέ με ποιοῦντα, ποιήσατε καὶ ὑμεῖς. τοῦ δὲ τὸ ἔργον ἐπιτηγμένου κοινόν, καὶ ἑαυτὸν προτάσσοντος τῆς ἐργασίας, καὶ λέγοντος, ἀπ' ἐμοῦ ὄψεσθε καὶ οὕτω ποιήσατε· καὶ ὁ Ἀπόστολος λέγων, ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται· καὶ αὐτὸς ὁ Κύριος ποιῶν, καὶ τότε διδάσκων· τίνα οὐ πείθουσιν, ἀξιοπιστοτέραν τὴν ἐν τοῖς ἔργοις διδασκαλίαν, τῆς διὰ λόγων ἡγεῖσθαι; Οἱ δέ, πρὸς μὲν τὰς τοιαύτας εἰκόνας, καμμύουσιν· ἀλαζωνικῶς δέ, τὰ πρακτέα προστάττουσιν· ὅταν δὲ εὐθείᾳ τι τούτων δόξωσιν ἐξ ἀκοῆς, καὶ τοὺς ἐπὶ ἀπειρίᾳ ἐκβαλλομένους παρὰ τοῦ Προφήτου ποιμένας, μάχαιραν ἐπὶ τοῦ βραχίονος φοροῦσι· διὸ καὶ ἐπὶ τὸν βραχίονα, ὁ δεξιὸς ὀφθαλμὸς αὐτῶν ἐκτυφλοῦται· ἀμελουμένη γὰρ δι' ἀπόνοιαν ἡ δεξιὰ πρᾶξις, συγκατασβέννυσιν ἑαυτῇ καὶ τὴν λαμπηδόνα τῆς θεωρίας· Τοῦτο δὲ οἱ ὠμῶς καὶ ἀπανθρώπως ποιμαίνοντες πάσχουσιν, ὅταν πρόχειρον τὴν τιμωρητικὴν ἔχωσι δύναμιν· εὐθέως γὰρ τὰ μὲν θεωρητικὰ νοήματα ἐκ δεξιῶν, σβέννυνται· πάλιν δὲ αἱ πράξεις, στερηθεῖσαι τῆς θεωρίας, μαραίνονται· οὔτε πρᾶξαί τι, οὔτε ἰδεῖν δυναμένων, τῶν μὴ τῷ μηρῷ, ἀλλὰ τῷ βραχίονι συζωσάντων τὴν μάχαιραν· ἐπὶ μὲν τοῦ μηροῦ φοροῦσι τὴν μάχαιραν, οἱ κατὰ τῶν ἰδίων παθῶν κεχρημένοι τῷ τομικῷ λόγῳ· ἐπὶ τοῦ βραχίονος δέ, οἱ τὴν τιμωρίαν πρόχειρον ἔχοντες ἐπὶ τῶν ἀλλοτρίων ἁμαρτημάτων. Οὕτω γὰρ καὶ Ναὰς ὁ Ἀμμανίτης, ὃς ἑρμηνεύεται ὄφις, ἀπειλῶν τῷ διορατικῷ Ἰσραήλ, ἐξορύξαι πάντα δεξιὸν αὐτοῦ ὀφθαλμόν, ἵνα μηδὲν νόημα δεξιὸν ἐνυπάρχον, ἐπὶ δεξιὰν πρᾶξιν ὁδηγήσῃ τὸν κεκτημένον· εἰδὼς αἴτιον τοῦτο μεγάλης προκοπῆς, τοῖς ἀπὸ τῆς θεωρίας ἐπὶ τὴν πρακτικὴν ἐρχομένοις· γίνεται γὰρ τοῖς τοιούτοις ἀνυπαίτιον τὸ πραχθέν, προθεωρηθὲν τοῖς τῆς γνώσεως ὀξυδερκεστάτοις ὀφθαλμοῖς. Ὅτι δὲ εὐχερῶν ἀνθρώπων καὶ μηδεμίαν οἴκοθεν ἐχόντων ὠφέλειαν ἐστὶ τὸ τὴν ἑτέρων ἀναδέχεσθαι προστασίαν, δῆλον μὲν καὶ ἐκ τῆς πείρας· ὁ γὰρ ἐλαχίστης ἡσυχίας γευσάμενος καὶ θεωρίας, ποσῶς σχολάζειν ἀρξάμενος, ταῖς περὶ τῶν σωματικῶν φροντίσιν ἐνδοῦναι τὸν νοῦν· ἀποστήσας αὐτὸν τῆς γνώσεως, καὶ μετάρσιον ὥσπερ πολλὰ φερόμενον, ἐπὶ τὰ γήϊνα καταστρέφεσθαι πράγματα· εὐδηλότερον δὲ καὶ ἐκ τῆς πολυθρυλλήτου παραβολῆς ἐκείνης, ἣν ὁ Ἰωάθαμ τοῖς Σικιμίταις προεβάλετο, λέγων· πορευόμενα ἐπορεύθησαν τὰ ξύλα τοῦ δρυμοῦ τοῦ χρῖσαι ἐφ' ἑαυτὰ βασιλέα· καὶ εἶπον τῇ ἀμπέλῳ βασίλευσον ἐφ' ἡμᾶς· καὶ εἶπεν ἡ ἄμπελος· ἀφήσω τὸν καρπόν μου



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸν ἀγαθόν, ὃν ἐδόξαζεν ὁ Θεὸς καὶ οἱ ἄνθρωποι, καὶ πορευθῶ τοῦ ἄρχειν ξύλων; ὁμοίως δέ, καὶ τῆς συκῆς διὰ τὴν ἰδίαν γλυκύτητα· καὶ τῆς ἐλαίας, διὰ τὴν οἰκείαν ποιότητα, παραιτησαμένων· θάμνος, ξύλον ἄκαρπον καὶ ἀκανθῶδες, τὴν τούτων ἀρχὴν κατεδέξατο, οὔτε οἰκείαν ἔχουσαν ποιότητα, οὔτε τῶν ὑποτεταγμένων ξύλων· οὐ γὰρ παραδείσου ξύλα, ἀλλὰ δρυμοῦ, τὰ δεόμενα τῆς ἐπιστασίας, εἶπεν ἡ παραβολή. Ὡς γὰρ ἡ ἄμπελος, καὶ ἡ συκῆ, καὶ ἡ ἐλαία παρῃτήσαντο τὸ ἄρχειν τῶν ξύλων τοῦ δρυμοῦ, μᾶλλον τῷ ἑαυτῶν εὐφραινόμεναι καρπῷ, ἢ τῷ τῆς ἀρχῆς ἀξιώματι, οὕτως οἱ ἐν ἑαυτοῖς τινὰ ἐμβλέποντες καρπὸν ἀρετῆς, καὶ τῆς ἐκ τούτου ὠφελείας αἰσθανόμενοι· κἂν πολλοὶ πρὸς τὴν τοιαύτην ἀρχὴν βιάζωνται, ἀνανεύουσι· τῆς παρὰ τῶν πολλῶν τιμῆς, τὴν ἑαυτῶν ὠφέλειαν προκρίνοντες. Ὅπερ δὲ ἐπηρέασε τοῖς ἐν τῇ παραβολῇ ξύλοις, τοῦτο καὶ τοῖς ὁμοίως ἐκείνοις πραγματευομένοις ἀνθρώποις συμβαίνει· ἢ γὰρ ἐξέλθοι, φησί, πῦρ ἐκ τῆς θάμνου, καὶ καταφάγοι τὰ ξύλα τοῦ δρυμοῦ· ἢ ἐκ τῶν ξύλων ἐξέλθοι, καὶ καταφάγοι τὴν θάμνον· τῶν γὰρ συνθηκῶν ἀνωφελῶν γινομένων, ἀνάγκη κίνδυνον ἀκολουθεῖν τοῖς τε ὑποτάξασιν ἑαυτοὺς διδασκάλῳ ἀπείρῳ, αὐτοῖς τε τοῖς τὴν ἀρχὴν ἀναδεχομένοις, ἐπὶ τῇ τῶν μαθητευομένων ἀπροσεξίᾳ. καὶ γὰρ ἡ τοῦ διδασκάλου ἀπειρία, ἀπόλλυσι τοὺς μαθητευομένους. καὶ ἡ τῶν μαθητῶν ἀμέλεια, κίνδυνον φέρει τῷ διδασκάλῳ, καὶ μάλιστα ὅταν παρὰ τὴν αὐτοῦ ἀνεπιστημοσύνην ῥαθυμῶσιν ἐκεῖνοι· οὔτε γὰρ τὸν διδάσκαλον λανθάνειν τί ὀφείλει τῶν εἰς διόρθωσιν τῶν ὑποτεταγμένων ἡκόντων, οὔτε οἱ μαθητευόμενοι παρορᾶν τι τῶν τοῦ διδασκάλου παραγγελμάτων ὀφείλουσι· καὶ γὰρ καὶ τούτων τὸ παρακελεῦσαι, κἀκείνου τὸ παριδεῖν πλημμελοῦντας, βαρὺ καὶ ἐπικίνδυνον. μηδὲ νομιζέτωσαν ἀνέσεως καὶ ἀπολαύσεως εἶναι πρόφασιν, τὸ πρᾶγμα· πάντων γὰρ ἐστιν ἐπιπονώτερον, τὸ ἄρχειν ψυχῶν. οἱ μὲν γὰρ ἀλόγων ἄρχοντες καὶ κτηνῶν, πρὸς οὐδὲν ἀντιτασσομένας ἔχουσι τὰς ἀγέλας, καὶ διὰ τοῦτο αὐτοῖς τὰ τῆς ἀρχῆς εὐοδοῦνται πολλάκις· τοῖς δὲ ἀνθρώπων ἐπιστατοῦσιν, ἡ ποικιλία τῶν ἠθῶν, καὶ τὸ ἐκ τοῦ λογισμοῦ πανοῦργον, δυσχερεστέραν ποιεῖ τὴν ἐπιστασίαν· καὶ δεῖ τοὺς ἐπὶ τοῦτο ἐρχομένους, ἀλείψασθαι, ὡς πρὸς ἀγῶνα ἐπίπονον· ἵνα καὶ τὰ πάντων ἐλαττώματα, μετὰ πολλῆς φέρωσιν ἀνεξικακίας, καὶ τὰ λανθάνοντα διὰ τὴν ἀγνωσίαν, διδάσκωσιν αὐτοὺς μακροθύμως. διὰ τοῦτο γάρ, τὸν μὲν νιπτῆρα βόες ἐν τῷ ναῷ βαστάζουσιν· ἡ δὲ λυχνία, ὅλη στερεά, καὶ τορευτὴ κατεσκευάσθη· δηλούσης μὲν τῆς λυχνίας, ὅτι ὁ φωτίζειν ἑτέρους προθέμενος, ὀφείλει δι᾽ ὅλων στερεοῦσθαι τῶν μερῶν, καὶ μηδὲν κοῦφον ἔχειν, ἢ ὑπόκενον· καὶ πάντα περιτετορεῦσθαι τὰ περισσά, ὅσα μὴ χρησιμεύειν εἰς παράδειγμα πολιτείας ἀνεπιλήπτου τοῖς ὁρῶσιν ἔμελλε· τῶν δὲ ὑπὸ τὸν νιπτῆρα βοῶν, μηδὲν παραιτεῖσθαι τῶν ἐπερχομένων, τὸν ὑπελθόντα τὸ τοιοῦτον ἔργον, ἀλλὰ καὶ τὰ βάρη καὶ τὸν ῥύπον φέρειν τῶν ἐλαττόνων, ἕως ὅτε ἀκίνδυνόν ἐστι τὸ φέρειν· πάντως γάρ, εἰ μέλλει καθαρὰς ἐργάζεσθαι τὰς πράξεις τῶν προσιόντων, ἀνάγκη καὶ αὐτὸν τινὸς παραπολαῦσαι ῥύπου· ἐπεὶ καὶ ὁ νιπτὴρ καθαίρων τὰς τῶν νιπτομένων χεῖρας, αὐτὸς δέχεται τὸν ἐκείνων ῥύπον· τὸν γὰρ περὶ παθῶν διαλεγόμενον, καὶ ἑτέρους τῶν τοιούτων ἀποσμήχοντα κηλίδων, οὐκ ἔστιν ἀμόλυντον παρελθεῖν· αὐτὴ γὰρ ἡ μνήμη, ῥυποῦν τὴν διάνοιαν τοῦ λέγοντος πέφυκε· κἂν δὲ γλαφυρωτέραις βαφαῖς τῶν αἰσχρῶν μὴ σφραγίσηται τοὺς τύ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πας, ἀλλ' ὅμως τὴν ἐπιπολὴν μιαίνει τῇ τε, ταῖς τοῦ λόγου διεξόδοις, χρώμασιν οὐ καθαροῖς ἐπιθολοῦσα. δεῖ δὲ καὶ ἐπιστήμονα τὸν ἡγούμενον οὕτως εἶναι, ὡς μηδὲν ἀγνοεῖν τῶν τοῦ ἐχθροῦ ἐνθυμημάτων· ἵνα τὰ λανθάνοντα τοῖς ἐγκεχειρισμένοις αὐτῷ τῶν παλαισμάτων ἀπογυμνῶν, ὑποδεικνύναι, καὶ τὰς ἐπιβουλὰς προλέγων τοῦ ἀντιπάλου, ἀκονιτὶ τὴν νίκην αὐτοῖς βραβεύσῃ, καὶ στεφανίτας ἐξαγάγῃ τοῦ ἀγῶνος αὐτούς· σπάνιος δὲ ὁ τοιοῦτος, καὶ οὐ ῥαδίως εὑρισκόμενος. ὁ μὲν γὰρ μέγας Παῦλος, τοῦτο ἑαυτῷ μαρτυρεῖ, λέγων· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν· ὁ δὲ θαυμάσιος Ἰώβ, ἀπορῶν περὶ τοῦ τοιούτου, φησί· τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ; εἰς δὲ πτύξιν θώρακος αὐτοῦ, τίς ἂν εἰσέλθοι; πύλας δὲ προσώπου αὐτοῦ τίς ἀνοίξει; ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐκ ἔστι φησί· τὸ φαινόμενον πρόσωπον ἐπ' αὐτοῦ, πολλοῖς γὰρ ἐνδύμασι καλύπτει τὴν πονηρίαν· δελεάζων μὲν τῷ φαινομένῳ ἀπατηλῶς, ἐνεδρευτικῶς δὲ τῷ κεκρυμμένῳ τεκταίνων τὸν ὄλεθρον· καὶ ἵνα μὴ καὶ ἑαυτὸν συναριθμήσῃ τοῖς ἀγνοοῦσι τὰ κατ' αὐτόν, λέγει τὰ τεκμήρια αὐτοῦ σαφῶς· εἰδὼς πᾶσαν τὴν περὶ αὐτὸν τερατουργίαν· οἱ ὀφθαλμοὶ αὐτοῦ, λέγων, εἶδος Ἑωσφόρου· τὰ δὲ ἔγκατα αὐτοῦ, ἀσπίδες· καὶ ταῦτά φησιν ἐλέγχων τὴν ἐκείνου κακουργίαν. ὡς διὰ μὲν τοῦ ἐπιμορφάζεσθαι τὸ τοῦ Ἑωσφόρου εἶδος, ἐπισπᾶσθαι πρὸς ἑαυτὸν τοὺς ὁρῶντας μηχανώμενον· διὰ δὲ τῶν ἐντὸς ἀσπίδων, θάνατον τοῖς προσεγγίζουσι πραγματευόμενον. Καὶ ἡ παροιμία δὲ τὸ ἐπικίνδυνον τοῦ πράγματος ἐλέγχουσα, λέγει· σχίζων ξύλα, κινδυνεύσει ἐν αὐτοῖς, ἐὰν ἐκπέσῃ τὸ σιδήριον· ὁ γὰρ διαιρῶν τῷ λόγῳ τὰ πράγματα, καὶ τὰ νομιζόμενα ἡνῶσθαι χωρίζων τῆς συμφυΐας· καὶ ξένα πάντη ἀλλήλων δεικνύναι βουλόμενος, τὰ ὄντως ἀγαθὰ, τῶν νομιζομένων τοιούτων, ἐὰν μὴ πάντοθεν ἠσφαλισμένον ἔχῃ τὸν λόγον, κινδυνεύει ἐν τοῖς ἀκούουσι· τοῦ ἐκπεσόντος τῆς ἀσφαλείας λόγου, σκανδάλου ἀφορμὴν τοῖς ἀκούουσι παρέχοντος. ὥσπερ τὶς τῶν τοῦ Ἐλισσαίου φοιτησάντων κόπτων ξύλον ἐν τῷ Ἰορδάνῃ, καὶ τοῦ Σιδήρου εἰς τὸν ποταμὸν ἐκπεσόντος, τὸν κίνδυνον ὑφορώμενος, πρὸς τὸν διδάσκαλον ἐβόα λέγων· οἴμοι Κύριε, καὶ αὐτῷ κεχρημένον. Τοῦτο δὲ πάσχουσιν, οἱ ἐκ παρακουσμάτων διδάσκειν ἐπιχειροῦντες, καὶ πρὸς τὸ τέλος ἐλθεῖν ἀδυνατοῦντες, διὰ τὸ μὴ ἀπὸ οἰκείας ἕξεως λέγειν· ὅταν δὲ ἐν τῷ μεταξὺ ἐναντίον τι τῷ προκειμένῳ φωραθῶσι λέγοντες, τότε τὴν ἄγνοιαν ὁμολογοῦσιν, ἐπὶ τῷ κεχρημένῳ λόγῳ κινδυνεύοντες· διὸ καὶ ὁ μέγας Ἐλισσαῖος, ξύλον εἰς τὸν βυθὸν ἐμβαλὼν, ἐπιπολάσαι πεποίηκε τὸ ἀπορηθὲν παρὰ τοῦ μαθητοῦ, καὶ ἐν βυθῷ κεκαλύφθαι νομισθὲν νόημα σαφηνίσας, καὶ ὑπ' ὄψιν ἀγαγὼν τῶν ἀκουόντων. Ἰδοὺ ὁ Ἰορδάνης τὸν τῆς μετανοίας σημαίνει λόγον· ἐπεὶ γὰρ ἐτελεῖτο παρὰ τοῦ Ἰωάννου τὸ Βάπτισμα τῆς μετανοίας· ὁ δὲ περὶ μετανοίας οὐκ ἠκριβωμένως εἰρηκὼς, ἀλλὰ διὰ τοῦ γυμνῶσαι τὴν κεκρυμμένην χρηστότητα, εἰς καταφρόνησιν ἐλθεῖν παρασκευάσαι τοὺς ἀκροατὰς, ἐν τῷ Ἰορδάνῃ κατέλαβε τὸ σιδήριον· εὖ δὲ καὶ τὸ φανὲν ξύλον ἀναφέρει ἐκ τοῦ βυθοῦ τὸ σιδήριον, καὶ ἐπιπολάζειν ποιεῖ. Πρὸ μὲν γὰρ τοῦ Σταυροῦ, ἐκέκρυπτο ὁ περὶ μετανοίας λόγος· διὸ καὶ ὁ περὶ αὐτοῦ βουληθεὶς εἰπεῖν τι, ἠλέγχθη προχείρως τολμήσας· μετὰ δὲ τὸν Σταυρὸν, φανερὸς πᾶσι γέγονε, τῷ οἰκείῳ καιρῷ διὰ τοῦ ξύλου ἀποδειχθείς. Ταῦτα δέ φημι, οὐκ ἀποξένων ἡγεῖσθαι τινῶν, οὐδὲ κωλύων ὁδηγεῖν τινας τῶν νέων ἐπὶ τὴν θεοσέβειαν· ἀλλὰ παρακαλῶν, πρῶτον ἀναλαβεῖν ἕξιν ἐπὶ τὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀρετὴν, ἀναλογοῦσαν τῷ μεγέθει τοῦ πράγματος, καὶ μὴ προχείρως ἐπιδιδόναι ἑαυτοὺς τῷ σκοπῷ. τὰ μὲν ἴδια λογιζομένους, καὶ τὴν ἐκ τῶν Μαθητῶν θεραπείαν, καὶ τὴν παρὰ τῶν ἔξωθεν εὐφημίαν· τὸν δὲ ἀκολουθοῦντα κίνδυνον παραλογιζομένους· καὶ μὴ πρὸ τῆς εἰρηνικῆς καταστάσεως, τὰ πολεμικὰ ὄργανα σκεύη ποιεῖν γεωργικά. Μετὰ γὰρ τὸ πάντα ὑποτάξαι τὰ πάθη, καὶ μηδαμόθεν ἔτι πολέμους ὀχλεῖν, μηδὲ εἰς ἀνάγκην χρήσεως ἀμυντηρίων ὀργάνων ἕλκεσθαι, καλὸν τὸ γεωργεῖν ἑτέρους· ἕως δὲ ὅτε τυραννεῖ τὰ πάθη, καὶ συνέστηκεν ὁ τῆς σαρκὸς πόλεμος πρὸς τὸ φρόνημα τῆς σαρκός, οὐδὲ ἀνέχειν τὰς χεῖρας τῶν ὅπλων, ἀλλ' ἐπ' αὐτοῖς ἀδιαλείπτως ἔχειν· ἵνα μὴ καιρὸν ἐπιθέσεως, οἱ ἐπίβουλοι τὴν ἡμετέραν ἄνεσιν λαβόντες, ἀναιμωτὶ χειρώσωνται ἡμᾶς. Ὡς γὰρ τοῖς καλῶς ὑπὲρ τῆς ἀρετῆς ἀγωνιζομένοις, καὶ διὰ πολλὴν ταπεινοφροσύνην οὔπω νενικηκέναι νομίζουσι, φησὶ προφητικῶς ὁ λόγος, συγκόψατε τὰς μαχαίρας ὑμῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας ὑμῶν εἰς δρέπανα· παραινῶν αὐτοῖς μὴ τοῖς ἡττημένοις ἐχθροῖς μάτην λοιπὸν προσασχολεῖν ἑαυτούς, ἀλλ' ἐπ' ὠφελείᾳ τῶν πολλῶν ἀπὸ τῆς πολεμικῆς ἕξεως μετασκευάσαι τὰς δυνάμεις τῆς ψυχῆς, ἐπὶ τὸ γεωργεῖν ἐκείνους, ὅσοι ἔτι ἐν τοῖς τῆς κακίας ὑλομανοῦσιν ἔργοις· οὕτω τοῖς πρὸ τῆς τοιαύτης καταστάσεως, εἴτε δι' ἀπειρίαν, ἢ δι' ἀπόνοιαν ἐγχειρήσασιν ὑπὲρ τὴν ἑαυτῶν δύναμιν, συμβουλεύει τὸ ἐναντίον, λέγων· συγκόψατε τὰ ἄροτρα ὑμῶν εἰς ῥομφαίας, καὶ τὰ δρέπανα ὑμῶν εἰς σειρομάστας· τί γὰρ καὶ ὄφελος γεωργίας, πολέμου τὴν γῆν κατέχοντος, καὶ τὴν ἀπόλαυσιν τῶν γεωργηθέντων τοῖς πολεμίοις μᾶλλον, ἢ τοῖς πονέσασιν τὴν ἀφθονίαν παρέχοντος; διὰ τοῦτο τάχα καὶ τοῖς ἔτι κατὰ τὴν ἔρημον πρὸς διάφορα μαχομένοις ἔθνη Ἰσραηλίταις, οὐκ ἐπιτρέπει τὴν τῆς γεωργίας ἐπιμέλειαν, ἵνα μὴ ταῖς πολεμικαῖς ἐμποδίσῃ γυμνασίαις· μετὰ δὲ τὴν τῶν πολεμίων ἐκεχειρίαν, ταύτῃ χρήσασθαι συμβουλεύει λέγων· ὅταν εἰσέλθητε εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ὃ φυτεύσετε· προσυπακούεται γὰρ τοῦτο παρ' ἐκείνῳ, καὶ εἰκότως· πρὸ γὰρ τῆς τελειότητος, τὰ φυτευόμενα οὐ γίνεται βέβαια, περιφερομένων ἔτι ἐν ἀστάτῳ ἤθει τῶν φυτεύειν ἐφαλλόντων· τάξις γὰρ καὶ ἀκολουθία, εἴπερ ἐν ἄλλῳ τινὶ, καὶ ἐν τοῖς τῆς θεοσεβείας ἐστὶ, καὶ δεῖ ἀπὸ τῶν ἀρχῶν προσάγεσθαι. οἱ γὰρ παριδόντες τὰ τῆς εἰσαγωγῆς, καὶ τοῖς λιχνοτέροις δελεασθέντες, καὶ κατ' ἀνάγκην στοιχεῖν τῇ τῆς τάξεως ἀκολουθίᾳ πείθονται· καθάπερ Ἰακὼβ τῷ κάλλει τῆς Ῥαχὴλ ἑλκυσθεὶς, ὑπερεῖδε τὸ ἀηδὲς τῶν τῆς Λείας ὀφθαλμῶν, οὐ μὴν ἔφυγε τὸν ἐπὶ τῇ κτήσει τῆς τοιαύτης ἀρετῆς πόνον· ἀνεπλήρωσε γὰρ καὶ ταύτης τὰ ἕβδομα. δεῖ οὖν τὸν ἐννόμως στοιχεῖν τῇ πολιτείᾳ θέλοντα, μὴ ἀπὸ τοῦ τέλους ἐπὶ τὰς ἀρχὰς κατάγεσθαι, ἀλλ' ἀπὸ τῆς ἀρχῆς προκόπτειν ἐπὶ τὴν τελειότητα· οὕτω γὰρ καὶ αὐτὸς ἐπιτεύξεται τοῦ σπουδαζομένου, καὶ τοὺς γνωρίμους ἀμέμπτως ὁδηγήσει πρὸς τὸ τέλος τῆς ἀρετῆς. ἀλλ' οἱ πολλοὶ μηδένα πόνον συνεισενέγκαντες, μηδὲ μικρὸν, ἢ μέγα κατορθώσαντες ἔργον θεοσεβείας, ὡς ἔτυχεν ἐπιτρέχουσι τῷ ὀνόματι, μὴ κίνδυνον τοῦτο ἡγούμενοι· καὶ οὐ μόνον οὐ παραιτοῦνται προξενουμένοις αὐτοῖς τινῶν ἐπὶ τὸ ἔργον, ἀλλὰ καὶ περιερχόμενοι τοὺς στενωποὺς, ἅπαντας ἕλκουσι τοὺς παρατυγχάνοντας, πᾶσαν ἐπαγγελλόμενοι θεραπείαν, καθάπερ πρὸς μισθοὺς, συνθήκας περὶ τροφῆς, καὶ ἐνδυμάτων τιθέμενοι. ἀνάγκη δὲ τοὺς οὕτως ἐρῶντας



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦ πράγματος, καὶ βουλομένους μετὰ πλήθους ἐν ταῖς προόδοις φαίνεσθαι, καὶ χειραγωγοῖς ἐπαναπαύεσθαι, καὶ πᾶσαν τὴν σκιὰν σώζειν τῶν καθηγουμένων, ὡς δράματος ὑπόκρισιν ὑπελθόντας, ὑπὲρ τοῦ μὴ καταλειφθῆναι παρὰ τῶν ταύτην αὐτοῖς ἐκτελούντων τὴν ὑπουργίαν, χαρίζεσθαι τὰ πολλὰ ταῖς ἡδοναῖς αὐτῶν· καὶ ταῖς ἐπιθυμίαις, φέρεσθαι ἀκωλύτως εἰς βαράθρων, καθάπερ ἡνιόχους ἀφέντας τὰς ἡνίας, καὶ αὐτεξούσιον αὐτοῖς τὸν δρόμον ἐπιτρέψαντας· ὡς ἐκείνους κατὰ κρημνῶν φέρεσθαι, καὶ βαράθρων, καὶ παντὶ προσπταίειν τῷ ἐν ποσί, μηδενὸς ὄντος τοῦ ἀνακόπτοντος, καὶ ταῖς ἀτάκτοις ὁρμαῖς ἐμποδίζοντος. Ἀλλ' ἀκουέτωσαν οἱ τοιοῦτοι τοῦ μακαρίου Ἰεζεκιήλ, ταλανίζοντος τοὺς ταῖς ἑτέρων ἡδοναῖς ὕλας ἐκπορίζοντας· καὶ διὰ τὸ συμπεριφέρεσθαι τοῖς ἑκάστου θελήμασιν, ἑαυτοῖς τὸ οὐαὶ θησαυρίζοντας· φησὶ γάρ· οὐαὶ συῤῥαπτούσαις προσκεφάλαια ὑπὸ πάντα ἀγκῶνα χειρός, καὶ ποιούσαις ἐπιβόλαια ἐπὶ πᾶσαν κεφαλὴν πάσης ἡλικίας, τοῦ ἀπολέσαι ψυχὰς ἕνεκεν δρακὸς κριθῶν, καὶ ἕνεκεν κλάσματος ἄρτου. οὕτως δὲ καὶ οὗτοι, τὰς χρείας τοῦ σώματος ἐξ ἐράνων συλλέγοντες, καὶ ταῖς συνεῤῥαμμέναις ὡς ἐκ ῥακῶν παραινέσεσιν ἐπαναπαύοντες· τὰς γυμνῇ τῇ κεφαλῇ προσεύχεσθαι, ἢ προφητεύειν ὀφείλοντας, διὰ τῶν ἐπιβολαίων αἰσχύνουσι· τὴν ἀνδρείαν κατάστασιν ταῖς τῶν σκεπασμάτων ἐπιβολαῖς ἐκθηλύνοντες, καὶ ψυχὰς ἀπολλύντες, ἃς οὐκ ἔδει ἀποθανεῖν. καὶ μάλιστα μὲν ἔδει, πειθομένους τῷ ὄντως διδασκάλῳ Χριστῷ, παραιτήσασθαι ὅση δύναμις τὴν ἑτέρων ἡγεμονίαν· φησὶ γὰρ πρὸς τοὺς ἑαυτοῦ μαθητάς· ὑμεῖς μὴ κληθῆτε Ῥαββί. εἰ δὲ Πέτρῳ καὶ Ἰωάννῃ, καὶ παντὶ τῷ χορῷ τῶν Ἀποστόλων, παρῄνει μακρὰν ἐστάναι τοῦ τοιούτου ἔργου. καὶ μικροὺς ἑαυτοὺς ἡγεῖσθαι τῆς τοιαύτης ἀξίας· τίς ἔσται λοιπὸν ὁ ὑπὲρ ἐκείνους ἑαυτὸν φανταζόμενος, καὶ ἐγχειρῶν ἀξιώματι, ὅπερ ἐκωλύθησαν ἐκεῖνοι; ἢ τάχα λέγων μὴ κληθῆτε Ῥαββί, οὐ τὸ εἶναι, ἀλλὰ τὸ καλεῖσθαι κωλύει. Εἰ δέ τις ἀπροαιρέτως ἐκ τοῦ ἔτι καὶ ἑτέρων καταδέξασθαι ἐκβιασθείη, καὶ πλειόνων ἡγεῖσθαι· πρῶτον μέν, ἑαυτὸν ἀκριβῶς δοκιμαζέτω, εἰ οἷός τέ ἐστιν, ἔργῳ μᾶλλον ἢ λόγῳ διδάσκειν τὰ πρακτέα, εἰκόνα πάσης ἀρετῆς τὸν ἑαυτοῦ βίον προτιθεὶς τοῖς μανθάνουσιν· ὡς μὴ τοὺς μεταγράφοντας ἐκεῖθεν, ἀμορφίᾳ τοῦ σφάλματος ἀμβλῦναι τὸ κάλλος τῆς ἀρετῆς· Ἔπειτα γινωσκέτω, ὅτι οὐκ ἔλαττον ὑπὲρ τῶν ἀρχομένων, ἢ ὑπὲρ ἑαυτοῦ ἀγωνιᾶν ὀφείλει· ὡς γὰρ ὑπὲρ ἑαυτοῦ, οὕτω καὶ ὑπὲρ ἐκείνων ὑφέξει λόγον, ἅπαξ καταδεξάμενος τὴν σωτηρίαν αὐτῶν· καὶ γὰρ τοῖς Ἁγίοις σπουδὴ γέγονε, μὴ ἐλαττουμένους τῆς ἑαυτῶν ἀρετῆς καταλιπεῖν τοὺς μαθητάς. ἀλλ' ἐκ τῆς πρώτης καταστάσεως, μεταῤῥυθμίσαι εἰς βελτίονα κατάστασιν· ὥσπερ ὁ μὲν Ἀπόστολος Παῦλος τὸν Ὀνήσιμον, ἐκ δραπέτου, μάρτυρα πεποίηκεν· Ὁ δὲ Ἠλίας, ἐξ ἀροτῆρος, προφήτην τὸν Ἐλισσαῖον κατέστησεν· ὁ δὲ Μωϋσῆς, τὸν Ἰησοῦν πάντων νεώτερον, ἐπὶ τὸ βέλτιον κατεκόσμησεν· ὁ δὲ Ἠλεί, τὸν Σαμουὴλ καὶ μείζονα ἑαυτοῦ ἀπέδειξεν· εἰ δὲ καὶ ἡ τούτων σπουδὴ συνήργησεν αὐτοῖς πρὸς τὴν κτῆσιν τῆς ἀρετῆς, ἀλλὰ τὸ πᾶν τῆς προκοπῆς αἴτιον αὐτοῖς γεγένηται, τὸ τυχεῖν διδασκάλων, δυνηθέντων τὸν τυφόμενον σπινθῆρα τῆς προθυμίας, ἐπὶ τὸ μεῖζον τῆς προκοπῆς ἀναῤῥιπίσαι, καὶ ἐκλάμψαι ποιῆσαι· διὰ τοῦτο καὶ στόμα Θεοῦ γεγόνασιν, οἱ τὰ αὐτοῦ θελήματα τοῖς ἀνθρώποις διακονήσαντες. ἤκουσαν γὰρ τοῦ λέγοντος· ἐὰν ἐξαγάγῃς τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσῃ. Τὴν δὲ τοῦ διδασκάλου ἕξιν, καὶ τῷ Ἰεζεκιὴλ :

Θεὸς ὑποτίθεται· διδάσκων, οἵους ἐξ οἵων δεῖ τοὺς μαθητὰς κατασκευάζειν· υἱὲ γάρ φησιν ἀνθρώπου, λάβε σεαυτῷ πλίνθον, καὶ θήσεις αὐτὴν πρὸ προσώπου σου· καὶ διαγράψεις ἐπ' αὐτῇ, πόλιν Ἱερουσαλήμ· σημαίνων ὅτι δὴ ἐκ πηλοῦ Ναὸν ἅγιον ὁ Διδάσκαλος, τὸν μαθητὴν ἐργάζεται. καλὸν δὲ καὶ τὸ, θήσεις αὐτὴν πρὸ προσώπου σου· οὕτω γὰρ ταχεῖα ἡ βελτίωσις ἔσται τοῦ μαθητοῦ, ἐὰν ἐν ὄψει τοῦ Διδασκάλου ᾖ διαπαντός. αἱ γὰρ συνεχεῖς τῶν καλῶν παραδειγμάτων ἐνέργειαι, παραπλησίας εἰκόνας ἐγχαράττουσι, ταῖς μὴ πάνυ σκληραῖς καὶ ἀποκρότοις ψυχαῖς· διὰ τοῦτο Γιεζῆ, καὶ Ἰούδας ὑπέπεσαν, ὁ μὲν, τῇ κλοπῇ. ὁ δὲ, τῇ προδοσίᾳ· ἐπειδὴ ὑπεξήγαγον ἑαυτοὺς, τῶν τοῦ Διδασκάλου ὀφθαλμῶν· ὡς εἰ ἔμειναν παρὰ τοῖς σωφρονισταῖς, οὐκ ἂν ἐπλημμέλησαν. ὅτι δὲ κίνδυνος ἀκολουθεῖ τῷ διδασκάλῳ ἐκ τῆς ἀμελείας τῶν μαθητῶν, διὰ τῶν ἑξῆς ἐδήλωσεν εἰπών· καὶ θήσεις τήγανον σιδηροῦν ἀνὰ μέσον σου. καὶ ἀνὰ μέσον τῆς πλίνθου· καὶ ἔσται τεῖχος ἀνὰ μέσον σου, καὶ ἀνὰ μέσον αὐτῆς. ὁ γὰρ θέλων μὴ κοινωνεῖν τῷ ῥαθυμοῦντι τῆς κολάσεως, μετὰ τὸ ποιῆσαι αὐτὸν ἐκ πηλοῦ πόλιν, τὰς τοῖς παλινδρομοῦσιν ἀπὸ τοιαύτης καταστάσεως ἀπειλημένας τιμωρίας, ἐπιλέγειν ὀφείλει· ἵνα τεῖχος γενόμεναι, εἴργωσι τὸν ἀναίτιον ἀπὸ τοῦ αἰτίου. τοῦτο προστάσσων ὁ Θεὸς τῷ Ἰεζεκιὴλ, φησί· υἱὲ ἀνθρώπου, σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ· καὶ ἐὰν ἴδῃς τὴν ῥομφαίαν ἐρχομένην, καὶ μὴ διαμαρτύρῃ αὐτοῖς, λάβῃ δέ τινα ἐξ αὐτῶν, τὴν ψυχὴν αὐτοῦ ὡς ἐκ χειρός σου ἐκζητήσω· Τοιοῦτον τεῖχος ἐτίθει καὶ Μωϋσῆς ἑαυτῷ, λέγων τοῖς Ἰσραηλίταις· πρόσεχε σεαυτῷ, μὴ ἐκζητήσῃς ἐπακολουθῆσαι αὐτοῖς, μετὰ τὸ ἐξολοθρεῦσαι αὐτοὺς ἀπὸ σοῦ· γίνεται γὰρ τοῖς ἀμελέστερον τῇ διανοίᾳ προσέχουσι τῇ ἑαυτῶν, μετὰ τὴν τῶν παθῶν ἐκκοπὴν, ὥσπερ βλαστοί τινες παρακύπτειν ἄρχονται αἱ εἰκόνες τῶν παλαιῶν φαντασιῶν· αἷς εἴτις δῷ χώραν συνεχῶς ἐμπίπτειν τῷ ἡγεμονικῷ, καὶ μὴ κωλύῃ τὴν εἴσοδον αὐτοῖς, αὖθις εἰσοικίσει τὰ πάθη, ἐναγώνιον ἑαυτῷ μετὰ τὴν νίκην πάλιν ποιῶν τὴν διαγωγήν. Ἔστι καὶ γὰρ τῶν παθῶν ἐξημερωθέντων, καὶ χόρτον ἴσα βουσὶν ἐσθίειν δεδιδαγμένων, ἀμελείᾳ τοῦ τιθασσεύοντος πάλιν ἐξαγριωθῆναι, καὶ τὴν τῶν θηρίων ἀναλαβεῖν ὠμότητα· ὡς ἂν οὖν μὴ τοῦτο γένηται, φησί· μὴ ἐκζητήσῃς ἐπακολουθῆσαι αὐτοῖς, μετὰ τὸ ἐξολοθρευθῆναι αὐτοὺς ἀπὸ σοῦ· ἵνα μὴ ἐν τῷ ἐκζητεῖν, ἕξιν λαβοῦσα ἡ ψυχὴ ἐνήδεσθαι ταῖς τοιαύταις φαντασίαις, ἐπὶ τὴν ἀρχαίαν παλινδρομήσῃ κακίαν. ταῦτα εἰδὼς ὁ μακάριος Ἰακὼβ γινόμενα, ὅτι θεωρούμενα καὶ συνεχῶς μελετώμενα τὰ τοιαῦτα, μᾶλλον βλάπτει τὴν διάνοιαν· ζωηροτάτας, καὶ ἀνεξαλείπτους ἐνσφραγίζοντα, τὰς τῶν αἰσχρῶν φαντασιῶν εἰκόνας, ἐν Σικίμοις κρύπτει τοὺς θεοὺς τοὺς ἀλλοτρίους· ὁ γὰρ περὶ τὰ πάθη πόνος κρύπτει καὶ ἀπόλλυσι ταῦτα, οὐ πρὸς βραχύν τινα χρόνον, ἀλλ' ἕως τῆς σήμερον ἡμέρας· τουτέστι τὸν ἅπαντα χρόνον· ἐπειδὴ τῷ παντὶ αἰῶνι συμπαρεκτείνεται τὸ, σήμερον· τὸν ἐνεστῶτα πάντοτε σημαίνων καιρόν. Σίκιμα δὲ, ὠμίασις ἑρμηνεύεται· ὅπερ δηλοῖ τὸν περὶ τὰ πάθη πόνον· διὸ καὶ τῷ Ἰωσὴφ δίδωσι Σίκιμα, ἐξαίρετον τῷ πρὸς τὰ πάθη μαχομένῳ τὸν ἐν αὐτοῖς πόνον. καὶ γὰρ αὐτοῖς ὁ Ἰακὼβ, ἐν μαχαίρᾳ καὶ τόξῳ λαβεῖν λέγων τὰ Σίκιμα, δείκνυσιν, ὅτι μάχῃ καὶ πόνῳ κεκράτηκε τῶν παθῶν, κατακρύψας αὐτὰ ἐν τῇ Σικίμων γῇ· δοκεῖ δέ πως ἐναντίον φαίνεσθαι, τὸ κρύπτειν ἐν Σικίμοις τοὺς θεοὺς, καὶ τὸ τίθεσθαι εἴδωλον ἐν ἀποκρύφῳ. τὸ μὲν γάρ ἐστιν ἐ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

αινετὸν, τὸ, ἐν Σικίμοις κατακρύπτειν· τὸ δὲ ψεκτὸν, τὸ, τιθέναι εἴδωλον ἐν ἀποκρύφῳ· οὕτω γοῦν καὶ μετὰ κατάρας ἔθηκε τοῦτο εἰπών, ἐπικατάρατος ὁ τιθεὶς εἴδωλον ἐν ἀποκρύφῳ. οὐ ταυτὸν γάρ ἐστιν ἐν γῇ πρὸς τὸ παντελῶς κατακρύψαι, καὶ τὸ θεῖναι ἐν ἀποκρύφῳ· τὸ μὲν γὰρ ἐν γῇ κατακρυφθὲν, καὶ μηκέτι τῇ αἰσθήσει φαινόμενον, τῷ χρόνῳ, καὶ τῆς μνήμης ἀπαλείφεται· τὸ δὲ ἐν ἀποκρύφῳ τεθὲν, τοὺς μὲν ἔξωθεν ἴσως λανθάνει, παρ' αὐτῷ δὲ τῷ τεθεικότι ὁρώμενον συνεχῶς, τὴν μνήμην ἀνακαινίζει ἀγαλματοφορούμενον λαθραίως. πᾶς γὰρ λογισμὸς αἰσχρὸς, μορφούμενος ἐν τῇ διανοίᾳ, γλυπτόν ἐστιν ἀπόκρυφον· οὕτω γοῦν αἰσχύνη ἐστὶν, εἰς μέσον προτίθεσθαι τὰς τοιαύτας ἐννοίας· ἐπισφαλὲς οὖν καὶ τὸ ἐν ἀποκρύφῳ θεῖναι γλυπτὸν, ἐπισφαλέστερον δὲ, καὶ τὸ ἐπανελθεῖν καὶ ἐκζητεῖν τὰς ἤδη ἐξαφανισθείσας μορφὰς, εὐχερῶς τῆς διανοίας πάλιν ῥεπούσης ἐπὶ τὸ ἐκβληθὲν πάθος, καὶ τὴν τῶν ἡδονῶν πλάστιγγα ἐπιβαρυνθείσης ἕως ἐδάφους. τοιαύτη γὰρ ἡ ἕξις τῆς ἀρετῆς, ὀξυῤῥεπής τις ἐστὶν ἄγαν, εἰ ἀμελοῖτο, ἐπὶ τἀναντία ταλαντεύουσα. τοῦτο γὰρ διὰ συμβόλου ἡμῖν σημαίνειν ἔοικεν ἡ γραφή· ὅταν φησὶν, ἡ γῆ εἰς ἣν πορεύεσθε, μετακινουμένη ἐστὶν, ἐν μετακινήσει λαῶν τῶν ἐθνῶν· ἅμα γὰρ εἰ κινήσει πρὸς τἀναντία ὁ τὴν ἕξιν ἔχων τῆς ἀρετῆς, συμμετεκινήθη καὶ αὐτή· γῆ γὰρ μετακινουμένη ἐστί· διὸ χρὴ τὴν ἀρχὴν μὴ διδόναι πάροδον ἐπὶ τὴν διάνοιαν, ταῖς τῶν βλάπτειν πεφυκότων λογισμῶν φαντασίαις· μηδὲ συγχωρεῖν αὐτῇ καταβαίνειν εἰς Αἴγυπτον, ἐκεῖθεν γὰρ εἰς Ἀσσυρίους κατάγεται. Ἐὰν γὰρ εἰς τὸν σκοτασμὸν τῶν ἀκαθάρτων λογισμῶν κατέλθῃ ἡ διάνοια, τοῦτο γὰρ Αἴγυπτος ἑρμηνεύεται, βίᾳ λοιπὸν, καὶ μὴ θέλουσα ὑπὸ τῶν παθῶν ἐπὶ τὴν ἐργατείαν ἕλκεται· διὰ τοῦτο συμβολικῶς καὶ ὁ νομοθέτης ἀποκλείων τῇ ἡδονῇ τὴν παρείσδυσιν, τὴν κεφαλὴν τοῦ ὄφεως τηρεῖν ἐκέλευσεν, ἐπειδὴ κἀκεῖνος τὴν πτέρναν τηρεῖ· ἐκείνῳ μὲν γὰρ σκοπὸς, ἡ ἐνέργεια πρόκειται· ὡς εἰ μὴ ἐπιλάβηται, ἐγκεράσαι τῷ δήγματι τὸν ἰὸν οὐκ εὐχερῶς δύναται· ἡμῖν δὲ σπουδὴ, αὐτὴν συνθλάσαι τὴν προσβολὴν τῆς ἡδονῆς· ταύτης γὰρ συντριβείσης, ἀσθενὴς ἡ ἐνέργεια. τάχα δὲ καὶ ὁ Σαμψὼν, οὐκ ἂν ἐνέπρησε τὰ τῶν ἀλλοφύλων θέρη, εἰ μὴ τὰς κεφαλὰς ἀντιστρέψας τῶν ἀλωπέκων συνέδησε τὰς οὐράς· ὁ γὰρ συνεθισθεὶς τῶν πανούργων λογισμῶν, ἐκ προοιμίων, στοχάσασθαι τὴν ἔνεδραν, καὶ τὰς ἀρχὰς παρειδὼν, σεμνὰς γὰρ τῷ δοκεῖν αὐτὰς ποιεῖσθαι μηχανῶνται, τοῦ ἐπιλαβέσθαι τοῦ τέλους. καὶ ἐκ τῆς τῶν περάτων συγκρίσεως πρὸς ἄλληλα ἐλέγξει τὸ ἄτοπον τῶν λογισμῶν, κέρκῳ συνδήσας κέρκον, λαμπάδα θεὶς ἀνὰ μέσον αὐτῶν τὸν ἔλεγχον· καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, ἐπὶ δύο λογισμῶν γυμνάσω τὸ εἰρημένον· ἔσται γὰρ τοῦτο καὶ περὶ τῶν λοιπῶν πίστις ἀληθής. Πολλάκις ἀπὸ κενοδοξίας ἔρχεται ὁ τῆς πορνείας λογισμὸς, καὶ σεμνὰ μὲν δείκνυσι τὰ προπύλαια, τῶν εἰς τὸν ᾅδην φερουσῶν ὁδῶν· κρύπτει δὲ τοὺς ὀλεθρίους τόπους, δι' ὧν εἰς τὰ ταμιεῖα τοῦ θανάτου κατάγει τοὺς ἑπομένους ἀλογίστως αὐτῷ· ὑποτίθεται γὰρ ἔσθ' ὅτε μὲν ἱερωσύνην, ἔσθ' ὅτε δὲ βίον Μοναχοῦ τέλειον· πολλοὺς δὲ τοὺς ἐπ' ὠφελείᾳ παραγινομένους ποιεῖ πρὸς αὐτὸν, καὶ τὴν εὐδοκίμησιν ἔκ τε λόγου, καὶ πράξεως αὐτὸν φαντάζεσθαι παρασκευάζει· καὶ ὅταν ἱκανῶς αὐτὸν αὐταῖς περιβουκολήσας ταῖς ἐννοίαις, ἀπαγάγῃ πολὺ τῆς φυσικῆς νήψεως, τότε συντυχίαν σεμνῆς δῆθεν γυναικὸς ὑπογράψας, ἐπὶ τὴν τοῦ μιαροῦ πράγματος φέρει συγκατάθεσιν, τὴν τῆς συνειδήσεως παῤῥησίαν εἰς ἐσχάτην κατα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

φέρων αἰσχύνην. Ὁ τοίνυν τὰς κέρκους συνδῆσαι βουλόμενος, λαμβανέτω τῶν λογισμῶν τὰ τέλη. Τῆς μὲν κενοδοξίας τὸ ἐπιτίμιον, καὶ τῆς πορνείας τὸ ἄτιμον· καὶ ὅταν ἐναντιουμένας ἀλλήλαις ἴδῃ σαφῶς, τότε νομιζέτω τὸ τοῦ Σαμψὼν πεποιηκέναι. Πάλιν ὁ τῆς γαστριμαργίας λογισμός, τέλος ἔχει τὸν τῆς πορνείας· ὁ δὲ τῆς πορνείας, τέλος ἔχει τὸν τῆς λύπης· εὐθέως γὰρ ἀθυμία καὶ λύπη ἕπεται τῷ ἐπιτιθέντι τοῖς τοιούτοις λογισμοῖς, μετὰ τὴν ἀπόληψιν· λογιζέσθω γοῦν ὁ ἀγωνιζόμενος, μὴ τὴν ἀπόλαυσιν τῶν βρωμάτων, μηδὲ τὸ λεῖον τῆς ἡδονῆς, ἀλλ' ἑκατέρων τὰ τέλη· καὶ ὅταν εὕρῃ λύπην ἀκολουθοῦσαν ἀμφοτέροις, ἴστω κέρκον κέρκοις συνδεδηκώς, καὶ τῷ ἐλέγχῳ τὰ τῶν ἀλλοφύλων ἀφανίσας θέρη. Εἰ τοίνυν τοσαύτης ἐπιστήμης καὶ ἐμπειρίας δεῖται ὁ πρὸς τὰ πάθη πόλεμος, γινωσκέτωσαν οἱ τὴν ἑτέρων ἀναδεχόμενοι προστασίαν, πόσης αὐτοῖς χρεία τῆς γνώσεως, ἵνα καὶ τοὺς ὑποτεταγμένους ἐμφρόνως ὁδηγῶσιν ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως, καὶ ταῦτα σαφῶς τὰ τῆς πάλης διδάξωσιν· ὡς μὴ χειρονομοῦντας μόνον ἐν ἀέρι τὰ τῆς νίκης σχηματίζειν, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ πρὸς τὸν ἀντίπαλον μάχῃ, καιρίας ἐπιφέρειν τὰς πληγάς· ἵνα μὴ διακενῆς ῥιπτῶσιν ἐν ἀέρι τὰς χεῖρας, ἀλλ' αὐτὸν θλίβωσι τὸν ἀντίπαλον· τοῦ γὰρ γυμνικοῦ ἀγῶνος, οὗτος ὁ ἀγὼν δυσχερέστερος· ἐκεῖ μὲν γάρ, ἀθλητῶν σώματα κλίνεται, ῥᾳδίως ἀνορθοῦσθαι δυνάμενα· ἐνταῦθα δέ, ψυχαὶ καταπίπτουσιν, ἃς ἅπαξ ἀνατραπείσας, μόλις ἐστὶν ἀναγεῖραι. Εἰ δέ τις ἔτι τὸν ἐμπαθῆ βίον διαπυκτεύων καὶ πεφυρμένος ἐν αἵμασι, Ναὸν Θεοῦ ἐκ λογικῶν ἐπιχειροίη ψυχῶν οἰκοδομεῖν, πάντως ἀκούσεται ὁ τοιοῦτος· ὅτι οὐ σὺ οἰκοδομήσεις μοι Ναόν, ὅτι ἀνὴρ αἱμάτων εἶ σύ· εἰρηνικῆς γάρ ἐστι καταστάσεως οἰκοδομεῖν Ναὸν τοῦ Θεοῦ. Καὶ Μωϋσῆς δὲ λαβὼν τὴν σκηνήν, ἔξω τῆς παρεμβολῆς πηξάμενος, δηλοῖ ὅτι πορρωτέρω τοῦ πολεμικοῦ θορύβου, δεῖν εἶναι τὸν διδάσκαλον· καὶ μακρὰν τοῦ πεφυρμένου ἀπῳκίσθαι στρατοπέδου, πρὸς εἰρηνικὸν καὶ ἀπόλεμον μεταστάντα βίον. Ἀλλ' ὅταν εὑρεθῶσι τοιοῦτοι διδάσκαλοι, χρήζουσι μαθητῶν ὅπως ἀρνησαμένων ἑαυτούς, καὶ τὰ ἑαυτῶν θελήματα, ὡς μηδὲν ἀψύχου σώματος αὐτοὺς διαφέρειν, ἢ ὕλης ὑποβεβλημένης τεχνίτῃ. Ἵν' ὥσπερ ψυχὴ ἐν σώματι ἐνεργῇ ὅπερ βούλεται, μηδὲν τοῦ σώματος ἀντιπράττοντος· ἢ ὡς τεχνίτης ἐν ὕλῃ τὴν οἰκείαν ἐπιδείκνυται τέχνην, οὐδὲν παρὰ τῆς ὕλης ἐμποδιζόμενος πρὸς τὸν σκοπὸν τὸν ἴδιον· οὕτως ὁ διδάσκαλος τοῖς μαθηταῖς τὴν τῆς ἀρετῆς πίστιν ἐργάσηται, ἔχων πειθηνίους καὶ πρὸς μηδὲν ἀντιλέγοντας· τὸ γὰρ περιεργάζεσθαι τὰς τοῦ διδασκάλου οἰκονομίας, καὶ δοκιμάζειν ἐθέλειν τὰ παρ' αὐτοῦ προσταττόμενα, ἐμποδίζον ἐστὶ τῇ ἰδίᾳ προκοπῇ· οὐ γὰρ πάντως ὅπερ εὔλογον, καὶ πιθανὸν φαίνεται τῷ ἀπείρῳ, τοῦτο καὶ ἀληθῶς εὔλογόν ἐστιν· ἄλλως γὰρ ὁ τεχνίτης, καὶ ἄλλως ὁ ἄτεχνος κρίνει τὰ τῆς τέχνης· κανόνι γάρ, ὁ μέν, τῇ ἐπιστήμῃ· ὁ δέ, τῷ εἰκότι κέχρηται· τὸ δὲ εἰκὸς ὀλιγάκις μὲν στοχάζεται τῆς ἀληθείας, τὰ πολλὰ δὲ μᾶλλον ἀποτυγχάνει τῆς ὀρθότητος, πρὸς τὴν ἀπάτην ἔχον τὴν συγγένειαν. Τί γὰρ κατὰ τὸ φαινόμενον ἀλογώτερον δοκεῖ, τοῦ τὸν κυβερνήτην πλαγίας φερομένης τῆς νηὸς κατὰ τὸν πρὸς ὄρθιον τὸν ὑπὸ τῶν ναυτικῶν καλούμενον πλοῦν, ἐπὶ τὸν βαπτιζόμενον τοῖχον προστάττειν καθῆσθαι, ἀφέντας τὸν ὑπερανεστῶτα, καὶ τοῦ ἀνέμου ἐπ' ἐκείνῳ μᾶλλον ὠθοῦντος καὶ ἀναρριπτοῦντος ἐφ' ὃν βαρεῖν ἐκέλευσεν; καὶ μὴν τὸ εἰκὸς ἦν τὸν ἐπανιστάμενον τοῖχον βαρεῖν συμβουλεύειν, οὐχὶ δὲ βρίθειν ἐπὶ τὸν κινδυνεύοντα· ἀλλ'

ὅμως τῷ κυβερνήτῃ πείθονται μᾶλλον οἱ ἐμπλέοντες, ἢ ταῖς ἑαυτῶν ἐπινοίαις· πείθει γὰρ αὐτοὺς ἡ ἀνάγκη, δουλεύειν τῇ τέχνῃ τοῦ τὴν ἐξουσίαν ἐγκεχειρισμένου, κἂν τὸ πιθανὸν ἐκ τῶν ὁρωμένων μὴ ἔχῃ τὸ γινόμενον. Οὐκοῦν καὶ οἱ ἐπιῤῥίψαντες ἑτέροις τὴν ἑαυτῶν σωτηρίαν, ἀφρόνως τὰ εἰκότα, τῇ τέχνῃ τοῦ εἰδότος παραχωρείτωσαν, τῶν ἰδίων λογισμῶν ἀξιοπιστοτέραν τὴν ἐκείνου κρίνοντες ἐπιστήμην. Καὶ πρῶτον μὲν ἀποταξάμενοι, μηδὲν ἔξω καταλιμπανέτωσαν, τὸ τοῦ Ἀνανίου βαρύτατον δεδοικότες ὑπόδειγμα· Ὃς ἀνθρώποις νομίσας λαθεῖν τὸ νοσφίσασθαι, Θεόθεν ἐπὶ τῇ κλοπῇ καταδίκην ἐδέξατο· ἀλλ' ὡς ἑαυτοὺς, οὕτω καὶ τὰ ἑαυτῶν πάντα ἐπιδιδότωσαν· εὖ εἰδότες, ὅτι τὸ ὑπολειφθὲν, συνεχῶς πρὸς ἑαυτὸ τὴν διάνοιαν ἕλκον, ἐπὶ πολὺ μὲν περισπάσει τῶν κρειττόνων· ὕστερον δὲ, καὶ τέλεον ἀποῤῥήξει τῆς ἀδελφότητος· διὰ τοῦτο γὰρ τοὺς βίους τῶν ἀρχαίων ἔγραψε τὸ Πνεῦμα τὸ Ἅγιον, ἵν' ἕκαστον τῶν ταύτην ἐπιτηδευόντων ἀγωγὴν, ἐξ οἰκείων ὑποδειγμάτων προσαγάγῃ τῇ ἀληθείᾳ. Πῶς ἂν ὁ Ἐλισσαῖος συνταττόμενος τῷ διδασκάλῳ ἀπετάξατο τῷ κόσμῳ; ἐργαζόμενος φησὶν ἐν βουσί· καὶ δώδεκα ζεύγη βοῶν ἐνώπιον αὐτοῦ· καὶ ἔσφαξε τοὺς βοῦς, καὶ ἥψησεν αὐτοὺς ἐν τοῖς σκεύεσι τῶν βοῶν· τοῦτο δὲ, τὸ θερμὸν τῆς προθυμίας αἰνίσσεται. οὐ γὰρ εἶπε, πωλήσω τὰ σκεύη τῶν βοῶν, καθηκόντως οἰκονομήσω· οὐδ' ὅτι πραθέντα ταῦτα, πλείονα χρείαν ἀνύσειν ἔμελλεν, ἐλογίσατο. Ὅλος δὲ τῆς ἐπιθυμίας γενόμενος, τῆς ἑλκούσης αὐτὸν πρὸς τὴν τοῦ διδασκάλου συνουσίαν, καταφρονεῖ τῶν ὁρωμένων· καὶ μᾶλλον, ὡς περισπώντων ἀπὸ τῆς ὀρθῆς προαιρέσεως, ἀπαλλαγῆναι τούτων ἐσπούδασεν· εἰδὼς τὴν ἀναβολὴν, καὶ μεταμελείας αἰτίαν πολλάκις. Πῶς ἂν ὁ Κύριος τῷ πλουσίῳ τὴν τελειότητα τοῦ κατὰ Θεὸν ὑποτιθέμενος βίου πωλῆσαι τὰ ὑπάρχοντα καὶ διδόναι πτωχοῖς προσέταξε, μηδὲν ἑαυτῷ καταλιπεῖν, εἰ μὴ τὸ καταλιμπανόμενον ᾔδει ὁμοίως τοῦ παντὶ περισπασμοῦ γενόμενον αἴτιον; Νομίζω δὲ καὶ τὸν Μωσέα τοὺς ἀφαγνίζειν ἑαυτοὺς ἐν τῇ μεγάλῃ βουλομένους εὐχῇ διὰ τοῦ προστάττειν ἅπαν ξυρᾶσθαι τὸ σῶμα, τὴν παντελῆ τῶν ὑπαρχόντων ἐπιτάσσειν ἀπόθεσιν. δεύτερον δὲ, συγγενείας καὶ οἰκειότητος οὕτως ἐπιλανθανέσθωσαν, ὡς μηδ' ὅλως ταῖς τούτων μνήμαις ἐνοχλεῖσθαί ποτε. Εἰ γὰρ τὰς βοῦς τὰς ἐν τῇ ἁμάξῃ ὑποζευχθείσας τῆς Κιβωτοῦ, ἐπιλαθέσθαι τῆς φύσεως ἡ Κιβωτὸς ἐποίησε· καὶ τῶν μόσχων αὐταῖς ἀποκλεισθέντων οἴκοι, καὶ οὐδενὸς ὄντος τοῦ βιαζομένου, ἀμέμπτως ἤνυσαν τὴν ὁδὸν, οὐκ ἐκκλῖναι δεξιὰ ἢ ἀριστερά. οὐδὲ μυκηθμῷ τὴν ἐπὶ τῇ διαζεύξει τῶν ἐκγόνων ὀδύνην ἐμφῆναι. ἀλλὰ καὶ τῷ βάρει τῆς Κιβωτοῦ θλιβόμεναι, καὶ τῇ τῆς φύσεως τερπνίδι τραχηλιζόμεναι, ὥσπερ ἐπὶ καινοῖς βαδίζουσαι τῆς εὐθείας παρεξετράπησαν, ἡττηθεῖσαι τῷ τῆς ἐπικειμένης Κιβωτοῦ σεβάσματι. Εἰ οὖν αἱ βόες ἐκεῖναι οὕτω διετέθησαν, διατί μὴ καὶ τοῖς τὴν νοητὴν Κιβωτὸν αἴρειν μέλλουσι τὸ αὐτὸ πρακτέον; ἔδει μὲν γὰρ καὶ πλέον ἵνα μὴ παρὰ τῆς ἀλόγου φύσεως ἐν τοῖς ἀναγκαίοις ἔργοις ἡ λογικὴ παρευδοκιμουμένη ἐλέγχηται, τῷ μὴ πράττειν ἐκεῖνα λογισμῷ, ἅπερ ἀνάγκῃ πράττει τὰ ἄλογα. Ἴσως δὲ καὶ Ἰωσὴφ διὰ τοῦτο πλανᾶται κατὰ τὴν ἔρημον, ἐπειδὴ ἐν τοῖς τῆς συγγενείας ὀνόμασιν ἔχεται τὸν τῆς τελειότητος ὅρον· διόπερ ὁ πρὸς ἀλήθειαν ἄνθρωπος πυνθανόμενος παρ' αὐτοῦ τὴν αἰτίαν τῆς πλάνης, καὶ μαθὼν, ὅτι ἡ τῶν οἰκείων ἐστὶ προσπάθεια· οὐ γὰρ ἂν βόσκειν αὐτοὺς, ἀλλὰ ποιμαίνειν εἶπεν, εἰ μὴ πεπλανημένην εἶχε τὴ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρὶ τῆς τέχνης τὴν κρίσιν· φησὶ γὰρ πρὸς αὐτὸν ἀπήρκασιν ἐντεῦθεν· ἤκουσα γὰρ αὐτῶν λεγόντων, πορευθῶμεν εἰς Δωθαείμ· Δωθαεὶμ δὲ ἑρμηνεύεται, ἔκλειψις ἱκανή. διδάσκων τὸν ἐν τοῖς περὶ τὸ σῶμα φίλοις ἔτι πλανώμενον· ὅτι οὐκ ἔστιν ἄλλως ἐπιτυχεῖν τῆς τελειότητος, μὴ ἱκανῶς ἐκλιπόντα τὴν περὶ τὰ οἰκεῖα τῆς σαρκὸς προσπάθειαν· κἂν γὰρ ὑπολείπῃ τι τὴν Χαῤῥὰν, ὅπερ σημαίνει τὰς αἰσθήσεις, τρῶγλαι γὰρ ἑρμηνεύεται· καὶ ἐκ τῆς κοιλάδος Χεβρὼν ἐξέλθῃ, τῶν ταπεινῶν ἔργων· καὶ ἐκ τῆς ἐρήμου, καθ᾽ ἣν ἡ πλάνη γίνεται τῷ ζητοῦντι τὴν τελείωσιν· εἰς δὲ τὴν ἱκανὴν ἔκλειψιν μὴ μετοικίσηται, οὐδὲν ὄφελος αὐτῷ τῆς ματαίας ταλαιπωρίας, διὰ τὸ περὶ τὴν συγγένειαν φίλτρον ὑποσφαλλομένῳ τῆς τελειότητος· οὐ μὴν, ἀλλὰ καὶ ὁ Κύριος ἐπιτιμῶν τῇ Θεοτόκῳ Μαρίᾳ ἐν τοῖς συγγενέσιν ἀναζητούσῃ αὐτόν· καὶ τὸν φιλοῦντα πατέρα ἢ μητέρα ὑπὲρ αὐτὸν, ἀνάξιον ἑαυτοῦ κρίνων· ἀπαρέτως ἔκλειψιν τῶν συγγενικῶν ὑποτίθεται δεσμῶν. μετὰ δὲ τὴν τούτων κατόρθωσιν, συμβουλευτέον αὐτοῖς, οἵτινες εἰσὶν ἔτι νεωστὶ τῶν θορύβων ἀπηλλαγμένοι, ἡσυχίαν ἄγειν. καὶ μὴ ταῖς συνεχέσι προόδοις, τὰ διὰ τῶν αἰσθήσεων ἐγγινόμενα ξύσματα, τῇ διανοίᾳ ἀναξαίνειν· μηδὲ τοῖς παλαιοῖς τῶν ἁμαρτημάτων εἰδώλοις, ἐπεισφέρειν ἑτέρας μορφάς· ἀλλ᾽ ἐκκλίνειν μὲν τὴν τῶν νεαρῶν προσβολὴν, ἔχειν δὲ πᾶσαν σπουδὴν πρὸς τὸ ἐξαλεῖψαι τὰς παλαιὰς φαντασίας· ἐπίπονος μὲν γὰρ τοῖς νεωστὶ ἀποτασσομένοις ἡ ἡσυχία· τότε γὰρ καιρὸν λαβοῦσα ἡ μνήμη, πᾶσαν ἀνακινεῖ τὴν ἐγκειμένην ἀκαθαρσίαν· ἣ σχολάζουσα πρότερον τοῦτο ποιεῖν, διὰ τὸ πλῆθος τῶν περισπώντων πραγμάτων· ἔχει γὰρ μετὰ τοῦ πόνου καὶ τὸ ὠφέλιμον, ἀπαλλάττουσα τὸν νοῦν τῷ χρόνῳ τῆς ἐκχύσεως τῶν μιαρῶν λογισμῶν. Εἰ γὰρ αὐτοὺς ἐκνίψασθαι πρόκειται τὴν ψυχὴν, καὶ καθαρεῦσαι πάντων τῶν μολυνόντων· ἀναχωρεῖν πάντη τῶν πραγμάτων ὀφείλουσι, δι᾽ ὧν ὁ ῥύπος αὔξεται· καὶ πολλὴν τῷ λογιστικῷ παρέχειν γαλήνην, καὶ μακρὰν τῶν ἐρεθιζόντων γίνεσθαι, καὶ τὰς τῶν εἰκαιοτέρων φεύγειν συνδιαιτήσεις, μόνωσιν ἀσπαζομένους, τὴν τῆς φιλοσοφίας μητέρα. Ἔστι δὲ δυσχερὲς πάλιν τοῖς αὐτοῖς περιπεσεῖν δικτύοις, ὧν ἀπηλλάχθαι ἐνόμισαν, ὅταν ἀδεῶς τοῖς πεφυρμένοις ὄχλοις συνδιαιτᾶσθαι σπουδάζωσιν· ἀλυσιτελὲς γὰρ τῷ μετῳκισμένῳ πρὸς ἀρετὴν, τὸ τοῖς αὐτοῖς χαίρειν πράγμασιν, ὧν καταγνοὺς ἀπέδρα. ὁλκὸν γὰρ ἡ συνήθεια· ὡς δέος εἶναι· μὴ τὴν ἐκ πολλῆς σπουδῆς ἐγγινομένην ἡσυχίαν, τῶν αἰσχρῶν ἐπιτηδευμάτων πάλιν ἀνακαινίσωσιν, καὶ μνήμας τῶν ἐπιλελησμένων κακῶν ἐργάσωνται. Ἔοικε γὰρ ὁ νοῦς τῶν ἔναγχος τῆς κακίας ἀναχωρησάντων, σώματι ἐκ μακρᾶς ἀῤῥωστίας ἀναλαμβάνειν ἀρξαμένῳ· ᾧ καὶ τυχοῦσα πρόφασις τὴν νόσον ἀναλήψεσθαι, αἰτία γίνεται, μήπω πρὸς ἰσχὺν παγέντι κραταιάν. πλαδῶσι γὰρ καὶ τέως οἱ νεαροὶ τόνοι καὶ κραδαίνονται· ὡς δέος εἶναι, μὴ παλινδρομῆσαι τὸ πάθος, πεφυκὸς ἐκ τῆς ἐν τοῖς ὄχλοις ἀναχύσεως διερεθίζεσθαι. διὰ τοῦτο μένειν εἴσω τῶν κλισιάδων τοὺς μηδὲν παθεῖν ὑπὸ τοῦ ὀλοθρευτοῦ βουλομένους, ὁ Μωσῆς ἐκέλευσε λέγων· οὐκ ἐξελεύσεσθε ἕκαστος τὴν θύραν τοῦ οἴκου ὑμῶν, ἵνα μὴ ὁ ὀλοθρευτὴς ἅψηται ὑμῶν· καὶ ὁ Ἱερεμίας δὲ, τοῦτο προστάσσειν ἔοικεν, ὅταν λέγῃ· μὴ ἐκπορεύεσθε εἰς ἀγρὸν, καὶ ἐν ταῖς ὁδοῖς μὴ βαδίζετε, ὅτι ῥομφαία τῶν ἐχθρῶν παροικεῖ κυκλόθεν. Γενναίων γὰρ ἀγωνιστῶν τὸ ὁμόσε χωρεῖν τοῖς πολεμίοις. εἰ δέ τις εἴη τῶν οὐδ᾽ ὅλως μάχεσθαι δυναμένων, ἀπραγμόνως οἴκοι μενέτω, ἀσ-

φάλειαν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

φάλειαν ἀκίνδυνον ἐκ τῆς ἡσυχίας ἑαυτῷ πορίζόμενος. Τοιοῦτος ἦν Ἰησοῦς ὁ τοῦ Ναυῆ, περὶ οὗ γέγραπται· ὁ δὲ θεράπων Ἰησοῦς νέος ὤν, οὐκ ἐξεπορεύετο ἔξω τῆς σκηνῆς· ἤδη γὰρ τοὺς ἐπὶ τὸ πεδίον ἐκπορευομένους, ὑπὸ τῶν ἀδελφῶν τοῦ σώματος καὶ τῇ σαρκὶ φίλων, διὰ τὴν πρόωρον ἅμιλλαν ἀναιρουμένους, ἐκ τῆς κατὰ τὸν Ἄβελ παιδευόμενος ἱστορίας· οὐχ ἥκιστα δέ, καὶ ἐκ τῶν κατὰ τὴν Δίναν ἔστιν ἀκριβῶς τοῦτο μαθεῖν, ὅτι κορικῆς ὄντως καὶ γυναικώδους ἐστὶ διανοίας, τὸ τοῖς ὑπὲρ τὴν οἰκείαν ἕξιν ἐγχειρεῖν, καὶ τοῖς περὶ ἑαυτῶν ὡς ἱκανῶν ὑπολήψεως ἀπατᾶσθαι. Εἰ μὴ γὰρ αὕτη προχείρως ἐπαπεδύσατο τῇ τῶν ἐγχωρίων πραγμάτων θεωρίᾳ, ὡς δυνατὴ δῆθεν, καὶ μηδ' ὅλως ἐκ τῆς τούτων θελχθῆναι τέρψεως; ἐνόμισεν, οὐκ ἂν ἀώρως τὸ κριτικὸν διεφθάρη τῆς ψυχῆς δελεασθὲν ὑπὸ τῆς τῶν αἰσθητῶν φαντασίας; οὔπω νομίμῳ, καὶ ἀνδρείῳ ὁμιλήσασα λόγῳ. Τοῦτο τὸ πάθος ἐμπολιτευόμενον εἰδὼς ὁ Θεὸς τοῖς ἀνθρώποις, τὸ τῆς οἰήσεως λέγω· καὶ βουλόμενος πρόρριζον αὐτό, τῆς ἕξεως ἀνασπᾶσαι τῆς ἡμετέρας, φησὶ πρὸς τὸν Μωϋσῆν· Εὐλαβεῖς ποίησον τοὺς υἱοὺς Ἰσραήλ· ὡς τό γε προχείρως τοῖς ὑπὲρ δύναμιν ἄθλοις ἐπαποδύεσθαι, ἀλλότριον εὐλαβείας ἦθος· οὐκοῦν, οὐ καταμικτέον ἑαυτοὺς πρὸ τῆς ἕξεως πολιτικοῖς θορύβοις· ἀλλὰ πορρωτάτω φευκτέον, μακρὰν τῶν περιηχούντων ψόφων ἱστῶντας τὴν διάνοιαν. οὔτε γὰρ μέγα ὄφελος τῶν πραγμάτων ἀναχωρήσαντας, ταῖς περὶ αὐτῶν φήμαις περικτυπεῖσθαι· καὶ τὴν πόλιν ἐκλιπόντας τῶν ἐνεργειῶν, τῇ πύλῃ, καθάπερ Λώτ, παρακαθέζεσθαι, τῆς ἐκεῖθεν ἀναπιμπλαμένους ταραχῆς· ἔξω δὲ κατὰ τὸν μέγαν Μωσῆν ἀναχωρητέον. ἵνα μὴ μόνον τὰ ἔργα, ἀλλὰ καὶ αἱ φωναὶ παύσωνται τούτων, ὥς φησιν· ὅταν ἐξέλθω τὴν πόλιν, καὶ ἐκπετάσω τὰς χεῖράς μου, αἱ φωναὶ παύσονται· Τότε γὰρ ἡ ἀληθινὴ γαλήνη, ὅταν μὴ μόνον αἱ ἐνέργειαι, ἀλλὰ καὶ αἱ περὶ αὐτῶν μνῆμαι σχολάζουσαι, καιρὸν παρέχωσι τῇ ψυχῇ δυνηθῆναι τοὺς ἐσφραγισμένους τύπους ἰδεῖν, καὶ πρὸς ἕκαστον ἀγωνίσασθαι καὶ ἐκκόψαι τῆς διανοίας. Ἐπεισερχομένων δὲ καὶ ἑτέρων μορφῶν, οὔτε τοὺς προγενομένους τύπους ἀπαλεῖψαι δυνατόν, τοῦ λογιστικοῦ τοῖς ἐπιγενομένοις προσασχολουμένου· καὶ τὸν πόνον αὐτοῖς τὸν πρὸς τὸ ἐκκόψαι τὰ πάθη, ἀνάγκη γίνεσθαι χαλεπώτερον· ἰσχὺν κτησαμένων ἐκ τῆς κατ' ὀλίγον αὐξήσεως· καὶ δίκην ποταμοῦ ἀδιαστάτῳ φορᾷ, ταῖς ἐπιρρευσάσαις φαντασίαις, τὸ διορατικὸν ἐπικλυζόντων τῆς ψυχῆς. Ὡς γὰρ οἱ ποταμοῦ ῥεῖθρον ξηρὸν ἰδεῖν θέλοντες, ἴσως τινῶν ἱστορίας ἀξίων ἐναποκειμένων, οὐδὲν ὠφελοῦσιν ἐξαντλοῦντες τὸ κατ' ἐκεῖνον τὸν τόπον ὕδωρ, ἐν ᾧ τὸ ζητούμενον ἀποκεῖσθαι νομίζουσι, τοῦ κενουμένου τὴν χώραν εὐθὺς ἀναπληροῦντος τοῦ ἐπιρρέοντος. ὅταν δὲ τὴν ἄνωθεν φορὰν ἀναστείλωσιν, ἀκαμάτως αὐτοῖς τὸ ἔδαφος ἀναφαίνεται· τοῦ καταλειφθέντος ὕδατος αὐτομάτως ὑποχωροῦντος, καὶ ξηρὰν αὐτοῖς παραχωροῦντος τὴν γῆν, πρὸς τὴν τῶν ποθουμένων ἱστορίαν· οὕτω καὶ τὸ κενωθῆναι καὶ τὰς ποιητικὰς τῶν παθῶν μορφάς, εὔκολον γίνεται, μηκέτι τῶν αἰσθήσεων τὰ ἔξωθεν ἐπιχορηγουσῶν· τούτων δὲ ἐπιπεμπουσῶν δίκην ῥεύματος τὰ αἰσθητά, οὐ μόνον δυσχερές, ἀλλὰ καὶ ἀδύνατον πάντῃ, καθαρεῦσαι τὸν νοῦν τῆς τοιαύτης πλημμύρας. κἂν γὰρ μὴ ὀχλῶσι τὰ πάθη διὰ τὰς συνεχεῖς συντυχίας, καιρὸν κινήσεως οὐχ εὑρίσκοντα, ἀλλά γε οὖν λεληθότως ὑποτρεφόμενα, πλέον ἁδρύνεται, τὴν ἐκ τοῦ χρόνου ἰσχὺν προσλαμβάνοντα· καὶ ὥσπερ ἡ συνεχῶς πατουμένη γῆ, κἂν ἔχῃ ἀκάνθας, οὐκ ἀναδίδωσι μὲν αὐτάς· κωλύει γὰρ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὴν φύσιν ἡ ξηρὰ τῶν ποδῶν· βαθείας δὲ ἐν τοῖς ταύτης κόλποις τὰς ῥίζας ἐνδιατείνουσα, ἀεργοὺς καὶ πάνυ τεθηλυίας, ὅταν καιροῦ τοῦ συγχωροῦντος τὴν ἀνακλῆν λάβωνται, βλαστάνει· οὕτω τὰ πάθη ταῖς συνεχέσι συντυχίαις προκύπτειν εἰς φανερὸν κωλυόμενα, ἀλκιμώτερα γίνεται· καὶ ἡσυχίας εὐπορήσαντα, μετὰ πολλῆς τῆς ῥώμης ἐπιτίθενται, βαρὺν καὶ ἐπικίνδυνον τοῖς ἐν ἀρχῇ τῆς πρὸς αὐτὰ μάχης ἀμελήσασι, ποιοῦντα τὸν πόλεμον· διὰ τοῦτο καὶ ὁ προφήτης ἐξολοθρεῦσαι σπέρμα ἐκ Βαβυλῶνος κελεύει, ὡς ἔτι ἐν ταῖς τῶν αἰσθήσεων ἀποθήκαις εἰσὶν αἱ μορφαί, ἐξαφανίσαι συμβουλεύων αὐτάς· ἵνα μὴ τῇ τῆς διανοίας ἐμπεσοῦσαι γῇ, βλαστήσωσι· καὶ τοῖς λαύροις, καὶ ἀνωφελέσιν ὑετοῖς τῆς ἐπαλλήλου μελέτης ποτισθεῖσαι, πολύχουν τὸν τῆς κακίας ἐνέγκωσι καρπόν. Ἕτερος δὲ προφήτης καὶ μακαρίζει τοὺς μὴ τὴν ἀκμὴν τῶν παθῶν ἐκδεχομένους, ἀλλ᾽ αὐτῇ προσπεφυκότα τῇ θηλῇ, διαφθείροντας· μακάριος, λέγων, ὃς κρατήσει τὰ νήπιά σου, καὶ ἐδαφιεῖ πρὸς τὴν πέτραν. Τάχα δὲ καὶ ὁ μέγας Ἰὼβ τὰ καθ᾽ ἑαυτὸν φιλοσοφῶν, τοιοῦτόν τι αἰνίττεται· ἐν ὕδατι μὲν θάλλειν Πάπυρον καὶ Βούτομον, λέγων· στερηθεῖσαν δὲ ποταμοῦ πᾶσαν βοτάνην ξηραίνεσθαι· καὶ τό, Μυρμηκολέων ὤλετο, παρὰ τὸ μὴ ἔχειν βοράν, τοιοῦτόν τι σημαίνειν ἔοικε· τὸ γὰρ ἐνεδρευτικὸν τοῦ πάθους δεῖξαι θελήσας ὁ μέγας Ἰώβ. συνεξεῦρεν αὐτοῦ τὴν προσηγορίαν, ἐκ τοῦ θρασυτάτου Λέοντος, καὶ ἐκ τοῦ πάντων εὐτελεστάτου Μύρμηκος συνθεὶς τὸ ὄνομα. αἱ μὲν γὰρ προσβολαὶ τῶν παθῶν ἀπὸ τῶν εὐτελῶν ἄρχονται φαντασιῶν, Μύρμηκος δίκην, λανθανόντως προσέρπουσαι· τὰ δὲ τελευταῖα, ἐπὶ μέγαν ἐξαίρεται ὄγκον, ὡς οὐκ ἔλαττον Λέοντος ἐπιδρομῆς τῷ παρατυχόντι παρέχειν τὸν κίνδυνον. διὸ χρὴ τὴν ἀγωνίαν, τότε παλαίειν πρὸς τὰ πάθη, ὅταν ὡς Μύρμηξ προσέρχωνται, διὰ τὴν εὐτέλειαν προβαλλόμενα. Ἐὰν γὰρ ἐπὶ τὴν τοῦ Λέοντος φθάσωσιν ἰσχὺν προελθεῖν, δυσκαταγώνιστα γίνεται, ἢ βορὰν αὐτοῖς μὴ παρέχειν· βορὰ δὲ αὐτῶν, ὡς ἤδη πολλάκις εἴρηται, αἱ διὰ τῶν αἰσθήσεων εἰσερχόμεναι τῶν αἰσθητῶν εἰκόνες· αὗται γὰρ τρέφουσι τὰ πάθη, ἕκαστον εἴδωλον ἐκ διαδοχῆς ὁπλίζουσαι κατὰ τῆς ψυχῆς. διὰ τοῦτο καὶ τῷ ναῷ τὰς δικτυωτὰς ὁ νομοθέτης κατεσκεύασε, σημαίνων, ὅτι δεῖ τοὺς ὡς ναὸν καθαρὰν τὴν αὑτῶν διάνοιαν φυλάττειν βουλομένους· καθάπερ ἐκεῖ δικτύῳ ταῖς θυρίσι πρὸς τὸ μηδὲν εἰσιέναι τῶν ἀκαθάρτων κατεσκευάσθη, οὕτω καὶ ταῖς αἰσθήσεσι κωλύματα λογισμῶν ἐνδιαπλέκειν τὰ δυσχερῆ τῆς μελλούσης κρίσεως, ταῖς εἰσερπούσαις ἀκαθάρτοις μορφαῖς, ἀποτειχίζοντα τὴν εἴσοδον. Καὶ τάχα διὰ τοῦτο ὁ Ὀχοζίας ἠρρώστησεν, ἐπειδὴ ἀπὸ τοῦ δικτυωτοῦ ἔπεσε· τὸ γὰρ τοὺς τῆς ἀνταποδόσεως λόγους ἐν καιρῷ τῶν πειρασμῶν παραλογίσασθαι κατενεχθέντα ἐπὶ τὰς ἡδονάς, ἀπὸ τοῦ δικτυωτοῦ πεσεῖν ἐστι. Τί δὲ ταύτης τῆς ἀρρωστίας χαλεπώτερον; σώματος γὰρ ἐστιν ἀρρωστία, τὸ παρὰ φύσιν ἔχειν τῆς τῶν στοιχείων ἰσονομίας, ἐκ τῆς ἑνὸς ἐπικρατείας εἰς τὸ παρὰ φύσιν ἐκτραπείσης· ψυχῆς δέ, τὸ ἐκκλῖναι τοῦ ὀρθοῦ λογισμοῦ, τοῖς νοσοποιοῖς ἐπιτεθείσης πάθεσι. Τοιαῦτα δίκτυα τῇ ὁράσει τε ἀκοῇ δυναμικὰ διέπλεκεν ὁ Σολομών, λέγων· ὀφθαλμοί σου ὅταν ἴδωσιν ἀλλοτρίαν, τὸ στόμα σου τότε λαλήσει σκολιά· σκολιὰ λέγων, τὰ μετὰ τὴν ἁμαρτίαν ἀπαντᾶν μέλλοντα, ἐν καιρῷ τῆς ἀνταποδόσεως. Ταῦτα γὰρ λογισθέντα μετὰ τῆς πρεπούσης καταστάσεως, ἀπείργει πᾶσαν ἐπικίνδυνον τῶν ὀφθαλμῶν θεωρίαν· εἴτε δὲ καὶ τὴν κατάστα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σιν τοῦ λογισμοῦ ὁποίαν εἶναι δεῖ κατὰ τὸν καιρὸν ἐκεῖνον· κατάκεισαι γάρ, φησιν, ὥσπερ ἐν καρδίᾳ θαλάσσης, καὶ ὡς κυβερνήτης ἐν πολλῷ κλύδωνι. Ἐὰν γὰρ διωχθῇ τις ἐν τῷ καιρῷ πρὸς τὴν ἐρεθίζουσαν ὄψιν μαχέσασθαι, οὕτως ἐναγώνιον ἑαυτὸν ποιήσει ταῖς ἠπειλημέναις τιμωρίαις, ὡς ὁ ἐν θαλάσσῃ χειμαζόμενος· ἀπόνως γὰρ περιέσεται τῶν παλαιόντων, μὴ αἰσθανόμενος τῶν προσφερομένων πληγῶν· ὡς εἰπεῖν, τύπτουσί με, καὶ οὐκ ἐπόνεσα· καὶ ἐνέπαιζόν μοι, ἐγὼ δὲ οὐκ ᾔδειν. Ἐκεῖνοι μὲν γὰρ ἔτυπτον, φησί, καὶ ἐμπαίζειν ἐνόμιζον, ἐγὼ δὲ οὔτε τῶν πληγῶν ᾐσθανόμην, βέλη γὰρ νηπίων ἦσαν· οὐδὲ πρὸς τὰς ἀπάτας αὐτῶν ἐπεστράφην, ὡς μηδὲ ὅτι πάρεισι, προσποιούμενος. Οὕτω καὶ ὁ Δαβὶδ καταφρονῶν τῶν τοιούτων ἀντιπάλων, ἔλεγεν· ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ, οὐκ ἐγίνωσκον· οὐδὲ ὅτε προσῆλθον, φησίν, οὐδὲ ὅτε ὑπεχώρουν, αἴσθησιν ἐλάμβανον, ὁ δὲ μηδὲ αὐτὸ τοῦτο εἰδώς, ὅτι ταῖς αἰσθήσεσι πρὸς τὰ αἰσθητὰ κοινωνία μέν ἐστι πολλή, ἀπάτη δὲ ἐκ τῆς κοινωνίας εὐχερῶς γίνεται· καὶ μὴ τὴν ἐκ τούτων βλάβην ὑφορώμενος, ἀλλ' ἀφυλάκτως αὐτῶν ἐμφορούμενος, πῶς ἐν καιρῷ τῆς ἀπάτης γνώσεται τὴν ἐπιβουλήν, μὴ προπαιδευθεὶς τὴν τούτων διάκρισιν; Ὅτι γὰρ ταῖς αἰσθήσεσι μάχη γίνεται πρὸς τὰ αἰσθητά, καὶ φόρους ἐπιτάσσουσι ταῖς ἡττημέναις αἰσθήσεσι τὰ αἰσθητά, δῆλον ἐκ τοῦ πρὸς Σοδομίτας τῶν Ἀσσυρίων πολέμου· ἱστορικῶς γὰρ ἡ γραφή, τῶν τεσσάρων βασιλέων τοῦ Ἀσσυρίων ἔθνους εἰσάγει πρὸς τοὺς πέντε βασιλεῖς τοὺς περὶ Σόδομα, πρῶτον μὲν συμφωνίαν, καὶ σπονδάς, καὶ θυσίας εἰρηνικὰς ἐπὶ τὴν θάλασσαν τὴν ἁλυκήν· εἶτα δουλείαν τῶν πέντε, ἐπὶ δώδεκα ἔτη· εἶτα, τῷ τρισκαιδεκάτῳ, ἀποστασίαν· ἐν δὲ τῷ τεσσαρεσκαιδεκάτῳ, πόλεμον ἐπιθεμένων τῶν τεσσάρων τοῖς πέντε, καὶ αἰχμαλώτους λαβόντων αὐτούς. καὶ ἡ μὲν ἱστορία, ὧδε τὸ τέλος ἔχει· ἡμεῖς δὲ ἐκ τῆς ἱστορίας ταύτης παιδευόμεθα τὸ καθ' ἑαυτούς, καὶ τὸν τῶν αἰσθήσεων πρὸς τὰ αἰσθητὰ διδασκόμεθα πόλεμον· ἕκαστος γὰρ ἡμῶν, ἀπὸ γεννήσεως ἄχρι τῶν δώδεκα ἐτῶν, οὔπω τὴν διάκρισιν κεκαθαρμένος, ὑποτίθησιν ἀνεξετάστως τὰς αἰσθήσεις τοῖς αἰσθητοῖς, καθάπερ δεσπόταις ὑπουργούσας πρὸς τὰ κελευόμενα. ὅρασιν μὲν γάρ, ὁρατοῖς· ἀκοὴν δέ, φωναῖς· γεῦσιν δέ, χυμοῖς· ἀτμοῖς δέ, τὴν ὄσφρησιν· ἁφὴν δέ, τοῖς αὐτὴν κινεῖν πεφυκόσιν αἰσθητοῖς· οὐδεμίαν τῶν ἀντιλήψεων διακεῖται κώλυσιν δυνάμενος εὑρεῖν διὰ τὴν νηπιότητα· ὅταν δὲ ὁ λογισμὸς ὑφαδρύνεσθαι μέλλῃ, καὶ τῆς βλάβης ἄρξηται αἰσθάνεσθαι, ἀποστασίαν εὐθὺς ἐννοεῖ, καὶ φυγὴν τῆς τοιαύτης δουλείας. Κἂν μὲν ἰσχυρὸς γενόμενος τῷ λογισμῷ ταύτην βεβαιώσῃ τὴν γνώμην, ἐλεύθερος εἰσάπαν διαμένει, πικροὺς ἀποδράσας δεσπότας. εἰ δὲ ἀσθενεστέραν τοῦ ἐγχειρήματος ἔχει τὴν κρίσιν, πάλιν αἰχμαλώτους τὰς αἰσθήσεις προδίδωσιν, ἡττημένας τῇ τῶν αἰσθητῶν δυναστείᾳ· καὶ τὴν δουλείαν λοιπὸν τυραννικὴν ὑπομενούσας χωρίς τινος χρηστῆς ἐλπίδος. διὰ τοῦτο γὰρ καὶ οἱ ἐν ἱστορίᾳ πέντε βασιλεῖς ἡττηθέντες παρὰ τῶν τεσσάρων, συνελαύνονται εἰς φρέατα ἀσφάλτου· ἵνα ἡμεῖς μάθωμεν, ὅτι οἱ τοῖς αἰσθητοῖς ἡττημένοι, ὥσπερ βαράθροις, ἢ φρέασιν, ἑκάστῃ αἰσθήσει τῷ κατ' αὐτὴν ἐγκαταστρέφουσιν αἰσθητῷ. μηδὲν πλέον τῶν ὁρωμένων ἐννοοῦντες λοιπόν, ἀλλὰ τὸ τοῖς γηΐνοις ἐνδῆσαι τὴν ἐπιθυμίαν· καὶ τὴν ἀπόλαυσιν τῶν ἐνταῦθα πραγμάτων ἠγαπηκέναι μᾶλλον, ἢ τῶν νοητῶν. Οὕτως καὶ ὁ ἠγαπηκὼς τὸν κύριον ἑαυτοῦ δοῦλος, καὶ τὴν γυναῖκα, καὶ τὰ παιδία, τὴν ἀληθῆ παραι-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τόμενος ἐλευθερίαν διὰ τὴν πρὸς τὸ σωματικὸν συγγένειαν, δοῦλος αἰώνιος γίνεται μετατρυπηθεὶς τὸ οὖς ὀπητίῳ· ἵνα μὴ τῇ φυσικῇ τῆς ἀκοῆς αὐτοῦ ὀπῇ, δέξηταί ποτε λόγον ἐλευθερίας· ἀλλὰ δοῦλος μένῃ διηνεκῶς, ἠγαπηκὼς τὰ παρόντα· διὰ τοῦτο καὶ τὴν χεῖρα τῆς ἐπιλαβομένης τῶν διδύμων γυναικὸς, ἐν τῷ μάχεσθαι τοὺς δύο ἄνδρας, ἀποκόπτειν ὁ νόμος ἐκέλευσεν· ὅτι μάχης οὔσης τῶν λογισμῶν, περὶ τῆς αἱρέσεως τῶν κοσμικῶν, καὶ τῶν οὐρανίων ἀγαθῶν, ἀφεῖσα τὴν αἵρεσιν τῶν οὐρανίων, τῶν γενέσεως, καὶ φθορᾶς ἐπεδράξατο· διὰ γὰρ τῶν γεννητικῶν, τὰ γενέσεως ἐδήλωσεν πράγματα. οὐδὲν οὖν ὄφελος τὸ ἀποτάξασθαι τοῖς πράγμασι, μὴ ἐπιμένοντας τῇ κρίσει, ἀλλ' ὑποστρεφομένους πάλιν καὶ ὑπενδιδόντας τῷ λογισμῷ· καὶ διὰ τὸ συνεχῶς ἐπὶ τὰ καταλειφθέντα τρέπεσθαι, τὴν πρὸς ἐκεῖνα κηρύσσοντας προσπάθειαν, ὡς ἡ γυνὴ τοῦ Λώτ· Ἐπιστραφεῖσα γὰρ, ἕστηκεν ἕως τοῦ νῦν, ὑπόδειγμα τοῖς ἀπαθέσι, μεταβληθεῖσα εἰς στήλην ἁλός· τοιοῦτον γὰρ ἡ συνήθεια, ἧς σύμβολον αὕτη, τοὺς ἀναχωρεῖν ἀμεταστρεπτὶ βουλομένους πρὸς ἑαυτὴν ἐπιστρέφουσα. Τί δὲ καὶ ὁ κελεύων νόμος τὸν εἰσερχόμενον εἰς τὸν ναὸν, μετὰ τὸ τελέσαι τὰ τῆς εὐχῆς, μὴ ἐπ' ἐκείνην ἀνακάμπτειν τὴν πύλην δι' ἧς εἰσελήλυθεν· ἀλλὰ διὰ τῆς ἄντικρυς ἐκπορεύεσθαι, ἀνεπίστροφον τὴν κατ' εὐθὺ πορείαν ποιούμενον; ἢ, τὸ μὴ χρῆναι τὸ σύντονον τῆς ἐπὶ τὴν ἀρετὴν εὐθύτητος, ἀντιστρόφοις ἐκκλίνειν ἐνδοιασμοῖς· αἱ γὰρ συνεχεῖς πρὸς τὰ ἀφ' ὧν ἐξεληλύθαμεν νεύσεις, παντελῶς ἀπὸ τῆς συνηθείας ἐπὶ τὰ ὀπίσω ἕλκουσι· καὶ τὴν ἐπὶ τὰ πρόσω χαυνώσασαι ὁρμὴν, ὅλην ἀντισπῶσι, καὶ ῥοπῆσαι ἐπὶ τὰ ἀρχαῖα παρασκευάζουσι κακά· δεινὸν γὰρ ἡ συνήθεια κατασχεῖν πρὸς ἑαυτὴν, καὶ μὴ συγχωρῆσαι πάλιν ἐπὶ τὴν πρώτην ἕξιν ἀφιστᾶναι τῆς ἀρετῆς. Ἕξις μὲν γὰρ ἀπὸ συνηθείας, ἀπὸ δὲ ἕξεως φύσις ἐγγίνεται· φύσιν δὲ μετακινῆσαι, καὶ μεταβαλεῖν, χαλεπόν· κἂν γὰρ ἐκβιασθῇ μικρὸν βίᾳ, ταχέως πρὸς ἑαυτὴν ἀνατρέχει· σαλευομένη μὲν τῶν οἰκείων ὅρων, οὐ μέντοι εἰς τὸ παντελὲς μεταβαίνουσα, εἰ μὴ πάλιν πολὺς πόνος αὐτὴν διὰ τῆς αὐτῆς παλινδρομῆσαι παρασκευάσει, ὡς ἐπὶ τὴν καταλειφθεῖσαν ἕξιν ἀπὸ τῆς συνηθείας ἐπανελθεῖν· Ὅρα γὰρ τὴν ἐθισμοῖς ἀκολουθοῦσαν ψυχὴν, πῶς εἰδώλοις ἐπικαθέζεται, προσκλώθουσα ἑαυτὴν ταῖς ἀμόρφοις ὕλαις· καὶ πρὸς τὸν ἐπὶ τὰ ὑψηλότερα χειραγωγεῖν ἐθέλοντα λόγον οὐ προσεχομένη, ἀρνεῖται τὴν συνανάβασιν, λέγουσα· οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι τὸ κατ' ἐθισμὸν τῶν γυναικείων μοί ἐστιν· ἡ γὰρ τοῖς τοῦ βίου πράγμασιν ἐπαναπαυομένη ἀπὸ πολλοῦ χρόνου ψυχὴ, εἰδώλοις ἐπικαθέζεται, τοῖς ἐξ αὐτῶν μὲν ἀμόρφοις, τέχνῃ δὲ ἀνθρωπίνῃ τὴν μορφὴν δεχομένοις· ἢ γὰρ, οὐκ ἄμορφον πρᾶγμα πλοῦτος, καὶ δόξα καὶ τὰ λοιπὰ τοῦ βίου πράγματα, οὐδὲν ἔχοντα ξανόν, οὐδὲ διηρθρωμένον· ὁμοιότητι δὲ ἐν παραγωγῷ ψευδόμενον τὴν ἀλήθειαν, τὸ καθ' ἑκάστην ἄλλας ἐξ ἄλλων δέχεσθαι μεταβολάς· μορφὴν δὲ περιτίθεμεν αὐτοῖς ἡμεῖς, ὅταν τοῖς πρὸς μηδὲν τῶν λυσιτελῶν χρησιμεύουσι χρησίμων φαντασίας περιπλάττωμεν διὰ τῶν ἀνθρωπίνων λογισμῶν. Ὅταν γὰρ τὴν ἀναγκαίαν τοῦ σώματος χρείαν ταῖς ἐπινοίαις εἰς ἀμήχανον πλατύνωμεν πολυτέλειαν, τὴν μὲν τροφὴν μυρίοις ἐπαρτύοντες ἡδύσμασι καὶ παραρτύοντες, τὰ δὲ ἐνδύματα πρὸς χλιδὴν καὶ θρύψιν φιλοτίμως ποικίλλοντες· εἶτα ἐγκαλούμενοι περὶ τῆς ματαιότητος τούτοις, ὡς εἰκῇ καὶ μάτην τὴν δι' ὀλίγων

πλη-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πληροῦσθαι δυναμένην χρείαν, ἀθρόοις ἀναλώμασι κομποσολοῦντες, ἀπολογίας ὡς περὶ καθηκόντων τεκταίνομεν· τί ἕτερον; ἢ ταῖς ἀμόρφοις ὕλαις μορφὴν περιτιθέναι φιλονεικοῦμεν; καλῶς δὲ καὶ τὸ, ἐπικαθεζομένην τοῖς εἴπομεν τὴν τοιαύτην ψυχήν· ἡ γὰρ περὶ τῶν εἰρημένων πάντας, παρ᾽ ἑαυτῇ τὰς κρίσεις βεβαιώσασα, προσήλωται τοῖς τῇδε πράγμασιν, ἔθει λοιπὸν καὶ οὐκ ἀληθείᾳ δουλεύσασα· καὶ τοῖς ἐθισμοῖς, ὥσπερ ἐμμήνῳ ἀκαθαρσίᾳ, τὴν αὐτῶν μολύνουσα φύσιν. Τὸ δὲ καθέζεσθαι, ἀργίαν τῶν καλῶν, καὶ φιληδονίαν, ἡ γραφὴ ἐνταῦθα λέγει· ἀργίαν μὲν, ὅταν λέγῃ· καθημένους ἐν σκότει, καὶ σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ· τὸ σκότος γὰρ καὶ αἱ πέδαι, κωλύματα ἐργασίας εἰσί· φιληδονίαν δὲ, ὅταν εἴπῃ περὶ τῶν στραφέντων τῇ καρδίᾳ εἰς Αἴγυπτον, καὶ πρὸς ἀλλήλους λεγόντων· ἐμνήσθημεν, ὅταν ἐκαθίσαμεν ἐπὶ τῶν λεβήτων τῶν κρεῶν, καὶ ἠσθίομεν κρέα εἰς πλησμονήν· ὄντως γὰρ ἐπὶ λεβήτων καθέζονται οἱ φιλήδονοι, ὑγρᾷ καὶ ἀπαύστῳ θέρμῃ τὰς ὀρέξεις ἀνακαιόμενοι· φιληδονίας δὲ, ἡ γαστριμαργία μήτηρ. αὕτη γὰρ τίκτει φιληδονίαν, τάχα δὲ καὶ πολλὰ τῶν ἄλλων παθῶν· ἀπὸ γὰρ ταύτης, ὡς ῥίζης, ἀναβλέχουσιν ὕστερον τὰ λοιπὰ πάθη, καὶ κατὰ μικρὸν τῇ πικρίᾳ (?) προσαναδενδρούμενα, κρανομένους στελέχουσι κακίας· φιλοχρηματία γὰρ, καὶ θυμὸς, καὶ λύπη, γαστριμαργίας εἰσὶν ἔκγονα καὶ βλαστοί· χρεία γὰρ πρῶτον χρημάτων τῷ γαστριμάργῳ, πρὸς τὸ τὴν ἐπιθυμίαν ἀεὶ μένουσαν πληροῦν, εἰ καὶ αὕτη οὐδέποτε πληροῦται. Πρὸς δὲ τοὺς ἐμποδίζοντας τῇ τούτων κτήσει, ἀνάγκη κινεῖσθαι τὸ θυμικόν· λύπη δὲ ἐξ ἀνάγκης ἕπεται, τῷ μὴ εἰς ἔργον δι᾽ ἀσθένειαν προελθόντι θυμῷ· Καὶ γὰρ ὁ ἐπὶ τῷ στήθει, καὶ τῇ κοιλίᾳ πορευόμενος, ὅταν μὲν ἔχῃ τὰς ποιητικὰς τῶν ἡδονῶν ὕλας, ἐπὶ γαστέρα πορεύεται· ὅταν δὲ τούτων ἀπορῇ, ἐπὶ τὸ στῆθος, ὅπου ὁ θυμός· οἱ γὰρ φιλήδονοι στερόμενοι τῶν ἡδονῶν, ὀργίζονται, καὶ πικραίνονται· ὅθεν ὁ μέγας Μωϋσῆς, λογεῖον ἐπιτίθησι τῷ στήθει τοῦ ἱερέως· διὰ συμβόλων παραδηλῶν, ὅτι δεῖ κεκρυμμένως τὰς ὁρμὰς τοῦ θυμικοῦ πάθους ἡνιοχεῖν τῷ λογισμῷ· τὸ γὰρ λογεῖον, κρίσεως λογεῖόν ἐστι. Καὶ οὗτος μὲν λόγῳ κρατεῖ τοῦ πάθους, ἀτελὴς γάρ ἐστιν· ὁ δὲ τέλειος Μωϋσῆς, ὅλον ἀφαιρεῖ τὸ θυμικόν· οὐ γὰρ λογεῖον φέρει, ἀλλ᾽ αὐτὸ τὸ στηθύνιον ἀφαιρεῖ· λαβὼν γάρ φησι Μωϋσῆς τὸ στηθύνιον, ἀφεῖλεν αὐτὸ ἐπίθεμα ἔναντι Κυρίου. Ἕτεροι δέ εἰσιν, οἱ μήτε ὅλον ἐκτεμόντες τὸν θυμὸν, μήτε λόγῳ κρατοῦντες τοῦ πάθους, ἀλλὰ πόνῳ περιγενόμενοι· οὗτοι δέ εἰσιν, οἱ τὸ στηθύνιον σὺν τῷ βραχίονι ἀφαιροῦντες. βραχίων γὰρ, πόνου καὶ ἐργασίας σημεῖον. Ὁμοίως δὲ καὶ τὸ ἐπὶ τῇ κοιλίᾳ πορεύεσθαι, τὴν ἡδονὴν, ἀληθέστατόν ἐστι· σχεδὸν γὰρ αἰτία τῶν ἡδονῶν ἐστιν αὕτη· πληρωθείσης γὰρ γαστρὸς, ὀρέξεις καὶ τῶν ἄλλων ἡδονῶν γίνονται σύντονοι· ἐνδεῶς δὲ ἐχούσης, ἠρεμαῖαι καὶ σταθερώτεραι· Καὶ ἐνταῦθα δέ ἐστι διαφορὰ προκόπτοντος, καὶ τελείου. Μωϋσῆς μὲν γὰρ τελείως τὴν τῶν βρωμάτων ἡδονὴν ἀπορριπτόμενος, τὴν κοιλίαν καὶ τοὺς πόδας ἔπλυνεν ὕδατι· κοιλίαν μὲν, τὴν ἡδονήν· πόδας δὲ, τὰς ἐπιβάσεις, καὶ προκοπὰς αἰνιττόμενος· ὁ δὲ προκόπτων, τὰ ἐν τῇ κοιλίᾳ πλύνει, οὐ τὴν κοιλίαν ὅλην. Καὶ τὸ, ἔπλυνε δέ· καὶ τὸ, πλυνοῦσι· πολλὴν ἔχει διαφοράν· τὸ μὲν γάρ ἐστιν ἑκούσιον· τὸ δὲ, ἐκ προστάξεως περιγενόμενον. δεῖ γὰρ, τὸν μὲν τέλειον, αὐτοκελεύστῳ προθυμίᾳ πρὸς τὰς κατ᾽ ἀρετὴν κινεῖσθαι πράξεις· τὸν δὲ προκόπτοντα, παραινέσει τοῦ ἡγεμόνος πειθό-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μένον· σφόδρα δὲ παρατετηρημένως· τὸ μὲν στηθαῖον ὅλον ἀφαιρεῖ, τὴν δὲ κοιλίαν οὐκ ἀφαιρεῖ, πλύνει δέ. ὁ γὰρ σοφὸς, ὅλον μὲν τὸν θυμὸν ἰσχύει παραιτήσασθαι, καὶ ἀποκόψαι· τὴν δὲ κοιλίαν, ἐκτεμεῖν ἀδυνατεῖ· τοῖς γὰρ ἀναγκαίοις σιτίοις ἡ φύσις βιάζεται χρῆσθαι καὶ τὸν ἐγκρατέστατον· τῆς δὲ μὴ στοιχούσης τῷ ὀρθῷ καὶ μονίμῳ λόγῳ ψυχῆς, ἀλλὰ μοιχικαῖς φθαρείσης ἡδοναῖς, διὰ τοῦτο πίμπραται ἡ κοιλία· ἐπειδὴ κἂν αἱ τοῦ σώματος ὑπερπλήθωσι δεξαμεναί, μένει διψαλέα ἡ ἐπιθυμία· ἀκολουθεῖ δὲ, τῷ πρησθῆναι τὴν κοιλίαν, τὸ διαπεσεῖν τὸν μηρόν· ἀπονεῖ γὰρ ἡ διάνοια πρὸς τὴν τῶν καλῶν γένεσιν, φλεγμαινούσης γαστρὸς ἐκ τῆς τῶν βρωμάτων πολυτελείας, καὶ τοὺς πνευματικοὺς παραλύεται πόνους· τούτους γὰρ διὰ τοῦ μηροῦ, ὁ νομικὸς ᾐνίξατο λόγος. Οὐκοῦν ὁ μὲν φιλήδονος ἐπὶ κοιλίαν πορεύεται, ὅλος ἐπὶ τὰς ἀπολαυστικὰς καταρρέπων ἡδονάς· ὁ δὲ ἀρχόμενος τοῦ κατ' ἀρετὴν βίου, τὸ στέαρ τῆς κοιλίας περιαιρεῖ, τὰς πιαινούσας τὸ σῶμα παραιτούμενος τροφάς· ὁ δὲ προκόπτων, τὰ ἐν τῇ κοιλίᾳ πλύνει· ὁ δὲ τέλειος, ὅλην ἐκπλύνει τὴν κοιλίαν, τὰ περιττὰ τῆς ἀναγκαίας χρείας παντελῶς ἀπορριπτόμενος. Πάνυ δὲ προσφυῶς τῷ ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πρόσκειται, τὸ, πορεύσῃ· ἡ γὰρ ἡδονὴ, οὐ τῶν ἱσταμένων καὶ ἠρεμούντων· ἀλλὰ τῶν κινουμένων καὶ ταραχῆς γεμόντων ἐστί· μᾶλλον δὲ πρὸ τούτων γαστριμαργίᾳ συγγενέστερον, ἡ τῶν ἀφροδισίων κίνησις· παρὸ καὶ ἡ φύσις τὴν οἰκειότητα τούτων δεῖξαι βουλομένη τῶν παθῶν, ὑπογάστρια τὰ συνουσιαστικὰ τέθεικεν ὄργανα, ἐκ τῆς ἐγγύτητος τὴν ἀγχιστείαν σημαίνουσα. Ἐάν τε γὰρ ἀσθενῇ τοῦτο τὸ πάθος, ἐκ τῆς τοῦ ὑπερκειμένου ἐνδείας ἀσθενεῖ· ἐάν τε σφριγᾷ καὶ διακεκίνηται, ἐκεῖθεν ἐπιχορηγούμενον ἔχει τὴν δύναμιν· Οὐ μόνον δὲ τούτων, γαστριμαργία τιθηνός ἐστι καὶ τροφὸς, ἀλλὰ καὶ πάντων τῶν καλῶν καθαιρετικὴ πέφυκε· κρατούσης γὰρ ταύτης καὶ τὴν ἀρχὴν ἀνῃρημένης, πίπτειν καὶ καθαιρεῖσθαι τὰ καλὰ πέφυκεν. ἐγκράτεια, σωφροσύνη, ἁγνεία, καρτερία, καὶ αἱ λοιπαὶ πᾶσαι ἀρεταί. τοῦτο γὰρ αἰνιγματωδῶς ὁ Ἱερεμίας ἐδήλωσεν, εἰπών· ὅτι καθεῖλε κύκλῳ τὸ τεῖχος Ἱερουσαλὴμ, ὁ ἀρχιμάγειρος τῶν Βαβυλωνίων· τὸ τῆς γαστριμαργίας πάθος, ἀρχιμάγειρον προσειπών. Ὡς γὰρ ὁ ἀρχιμάγειρος πᾶσαν ἔχει σπουδὴν γαστέρα θεραπεῦσαι, καὶ τέχνας ἐπινοεῖ, μυρίας ἡδονὰς δημιουργῶν· οὕτως ἡ γαστριμαργία πᾶσαν κινεῖ μηχανὴν, ὑπηρετοῦσα τῇ κατὰ τὸν λαιμὸν ἡδονῇ· καθαιρεῖ δὲ καὶ ἐδαφίζει τὴν ὀχυρότητα τῶν ἀρετῶν, ἡ τῶν βρωμάτων ποικιλία. Τὰ γὰρ ἡδύσματα καὶ παραρτύματα, τῆς ἤδη καλῶς ἐστηριγμένης ἀρετῆς, μηχανήματα καὶ ἑλεπόλεις γίνονται, τὸ πάγιον αὐτῆς καὶ βέβαιον εἰς γῆν κατασείοντα καὶ καταβάλλοντα. Ὡς δὲ ἡ πολυτέλεια καθαιρετική ἐστι τῶν ἀρετῶν, οὕτω πάλιν καὶ ἡ εὐτέλεια τὰ τῆς κακίας ὀχυρώματα καταλύειν πέφυκεν. ὥσπερ γὰρ τὸ τεῖχος Ἱερουσαλὴμ, τῆς εἰρηνικῆς ψυχῆς, ὁ τῶν Βαβυλωνίων καθεῖλεν ἀρχιμάγειρος, τὰς ἡδονὰς τῆς σαρκὸς τῇ ὀψαρτυτικῇ προσαναῤῥήξας τέχνῃ· οὕτω καὶ μαγὶς ἄρτου κριθίνου τῶν Ἰσραηλιτῶν κυλιομένη, τὰς σκηνὰς κατέβαλε τῶν Μαδιανιτῶν. Ἡ γὰρ εὐτελὴς δίαιτα κυλιομένη καὶ προκόπτουσα ἐπὶ πολὺ, καταλύει τὰ τῆς πορνείας παθήματα· Μαδιανῖται γὰρ, τῶν τῆς πορνείας παθῶν φέρουσι σύμβολον· οὗτοι γάρ εἰσιν οἱ τὰς πορνείας ἐπαγαγόντες τῷ Ἰσραὴλ, καὶ πολὺ πλῆθος ἀπατήσαντες τῶν νέων. Πάνυ δὲ προσφυῶς, σκηνὰς μὲν ἔχειν ἡ γραφὴ τοὺς Μαδιανίτας, τεῖχος δὲ τὴν Ἱερουσαλήμ· πάντα γὰρ τὰ περιέχοντα τὴν ἀρετὴν, ἐρηρει-

σμένα

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σμένα καὶ βέβαια· τὰ δὲ τὴν κακίαν συνέχοντα, σχῆμά ἐστι καὶ σκηνὴ, φαντασίας οὐδὲν διαφέροντα. Διὰ τοῦτο τὰς πόλεις ἔφυγον οἱ ἅγιοι, καὶ τὰς συντυχίας ἐξετρέποντο τῶν πολλῶν· μᾶλλον δὲ λοιμικῆς νόσου, φθοροποιὸν εἰδότες τὴν τῶν διεφθαρμένων ἀνθρώπων συνδιαίτησιν· διὰ τοῦτο μηδὲν λαμβάνοντες, μηλοβότας τὰς κτήσεις ἠφίεσαν, τὸν ἐκ τούτων περισπασμὸν παραιτούμενοι. Διὰ τοῦτο ὁ μὲν Ἠλίας καταλιπὼν τὴν Ἰουδαίαν, ᾤκει τὸ Καρμήλιον ὄρος, ἔρημόν τε, καὶ θηρίων πεπληρωμένον· καὶ πλὴν τῶν δένδρων, εἰς παραμύθιον τροφῆς ἔχον οὐδέν· ἠρκεῖτο οὖν τοῖς ἀκροδρύοις τούτων, τὴν ἀνάγκην τῆς φύσεως πληροφορῶν. Ὁ δὲ Ἐλισσαῖος, ὁμοίως τὴν αὐτὴν εἶχε διαγωγὴν, μετὰ τῶν ἄλλων καλῶν καὶ τὸ ταῖς ἐρήμοις ἐμφιλοχωρεῖν, παρὰ τοῦ διδασκάλου διαδεξάμενος. Καὶ Ἰωάννης δὲ τὴν ἔρημον οἰκῶν τοῦ Ἰορδάνου, ἀκρίδας ἤσθιε, καὶ μέλι ἄγριον· δεικνὺς τοῖς πολλοῖς τὸ ἀταλαίπωρον τῆς χρείας τοῦ σώματος, καὶ ὀνειδίζων αὐτοῖς τὴν πεφροντισμένην ἀπόλαυσιν. Τάχα δὲ καὶ καθολικῶς πιστὸν ὁ Μωϋσῆς τίθησι νόμον, τὸ περὶ τοῦ Μάννα τοῖς Ἰσραηλίταις παραγγέλλων, τὸ τῆς ἡμέρας εἰς ἡμέραν συνάγειν μόνον· ἐφήμερον κεκρυμμένως κελεύων εἶναι τὸν ἀνθρώπινον βίον, καὶ οὐκ ἐμπαράσκευον· πρέπειν ἡγούμενος τοῦτο λογικῇ φύσει, τὸ ἀρκεσθέντας τοῖς παρατυχοῦσι, τῶν λοιπῶν ταμίαν ὁμολογῆσαι τὸν Θεόν· ἢ πρόνοιαν τῶν ἔμπροσθεν ποιουμένους, τῷ δοκεῖν, ἀπιστεῖν ταῖς τοῦ Θεοῦ χάρισιν, ὡς μὴ πάντοτε ὀμβρηκούσαις τοῖς ἀνθρώποις τὰς ἀενάους δωρεάς. Καὶ συλλήβδην εἰπεῖν, διὰ τοῦτο πάντες οἱ ἅγιοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, κατέλιπον τὴν οἰκουμένην, ἐπ᾽ ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς· καὶ περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι. Τὰς μὲν χειροήθεις τῶν ἀνθρώπων ἀποδιδράσκοντες κακίας, καὶ τῶν κατὰ τὰς πόλεις πλημμυρούντων ἀλλοκότων πραγμάτων· ὡς ἂν μὴ τῇ ῥύμῃ τῆς φορᾶς, καθάπερ ὑπὸ χειμάρρου βίας, εἰς τὴν τῶν πολλῶν παρενεχθῶσιν ἀδιάφοροι ἀνάχυσιν· χαίροντες δὲ τῇ μετὰ τῶν θηρίων διαγωγῇ, καὶ τὴν ἐκ τούτων βλάβην ἐλάττονα τῆς ἐκ τῶν ἀνθρώπων κρίνοντες μᾶλλον· ἀνθρώπους μὲν, ὡς ἐπιβούλους φεύγοντες, θαρροῦντες δὲ τοῖς θηρίοις, ὡς φίλοις· οὔτε γὰρ διδάσκει κακίαν ἐκεῖνα, καὶ τὴν ἀρετὴν τέθηπε καὶ τιμᾷ. Οὕτω γοῦν τὸν Δανιὴλ ἀπώλεσαν ὡς ἐδόκουν οἱ ἄνθρωποι, περιέσωσαν δὲ οἱ λέοντες· τὸν ἐκ βασκανίας ἀδίκως κατακριθέντα, αὐτοὶ φυλάξαντες· καὶ δικαιοσύνην ἐν τοῖς ἀνθρώποις παραβραβευθεῖσαν, αὐτοὶ τὴν ὀρθὴν περὶ τοῦ ἀδίκως κατακριθέντος κρίσιν ἀνακηρύξαντες. Καὶ γέγονεν ἡ ἀρετὴ τοῦ ἀνδρὸς, τοῖς μὲν ἀνθρώποις, φθόνου καὶ ἔριδος ὑπόθεσις· τοῖς δὲ θηρίοις, αἰδοῦς καὶ τιμῆς ἀφορμή. Ὅσοις οὖν ὁ τῆς βελτιώσεως ἔρως ἐνέσπαρται, ζηλώσωμεν τὰς τῶν ἁγίων ἀρετὰς, καὶ τῆς δουλείας τῶν τοῦ σώματος ἐπιταγμάτων ἀποστάντες, ἐλευθερίαν μεταδιώξωμεν· καὶ τὸν ὑπὸ τοῦ δημιουργοῦ ἐν ἐρήμῳ ἀφεθέντα ἄγριον ὄνον, καὶ μέμψιν φορολόγου οὐκ ἀκούοντα, καὶ καταγελῶντα πολυοχλίας πόλεως, εἰ καὶ μέχρι τοῦ νῦν ἀχθοφορεῖν παρεσκευάσαμεν αὐτὸν, πάθεσι καὶ κακίαις ὑποζεύξαντες, ἀλλὰ νῦν γοῦν λύσωμεν τῶν δεσμῶν, κἂν ἀντιλέγωσιν οἱ μὴ φύσει Κύριοι, ἀλλ᾽ ἐκ συνηθείας τὴν δεσποτείαν ἐπικτησάμενοι· πάντως ἀκούοντες, μὴ γλώττῃ μόνῃ καὶ ψιλῇ φωνῇ, ἀλλὰ διαθέσει λεγόντων ἡμῶν, ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει, εὐθέως ἀποστελοῦσιν αὐτόν· ἵνα κατακοσμηθεὶς τοῖς Ἀποστολικοῖς ἱματίοις, ὁ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

χῆμα τοῦ λόγου γένηται· ἢ εἰς τὴν ἀρχαίαν ἀπολυθεὶς νομὴν, ὀπίσω παντὸς χλωροῦ ζητεῖν· ὅπερ ἐστὶ, τοῖς πεθηλόσι τῆς θείας Γραφῆς ἑπόμενον ῥητοῖς, ὁδηγεῖσθαι εἰς ἀνεπίληπτον βίον, καὶ σοφίαν ὁμοῦ καὶ τέρψιν καρπούμενον πολλήν. Ἅμα δὲ καὶ ζητητέον, πῶς ὀπίσω παντὸς χλωροῦ ζητεῖ, ὁ ἐν ἐρήμῳ ἀφεθεὶς παρὰ τοῦ Θεοῦ ἄγριος ὄνος, τὴν δίαιταν ἔχων ἔρημον, καὶ τὸ σκήνωμα ἔχων ἁλμυρίδα, τῆς ἁλμυρίδος καὶ τῆς ἐρήμου, ὡς ἐπὶ τὸ πλεῖστον, μὴ πάνυ πρὸς πόας γένεσιν οὔσης ἐπιτηδείας; εἰ μὴ ἄρα τις εἴπῃ τὸν ἔρημον παθῶν, ἱκανὸν εἶναι ζητεῖν τὴν ἐν τοῖς θείοις λόγοις θεωρίαν, μετὰ τὸ ἐξαναλωθῆναι τὴν τῶν παθῶν ὑγρασίαν. Καταλίπωμεν τὰ βιωτικὰ πράγματα, καὶ πρὸς τὰ τῆς ψυχῆς ἀναδράμωμεν ἀγαθά. Ἕως πότε τοῖς παιδικοῖς ἀθύρμασι παραμένομεν, ἀνδρῶον οὐδέποτε ἀναλαμβάνοντες φρόνημα; ἕως πότε τῶν κομιδῇ νηπίων ἀσθενέστερον διαπράττομεν, οὐδὲ παρ' ἐκείνων εἰς προκοπὴν τῶν μειζόνων χειραγωγούμενοι; ἐκεῖνοι τὰς ἡλικίας ἀμείβοντες, καὶ τὰς πρὸς παίγνια καταστάσεις ἀμείβουσι, καὶ τὴν πρὸς τὰς ὕλας διχερῶς ἀφιᾶσι προσπάθειαν· κάρυα γὰρ τυχὸν αὐτοῖς, καὶ ἀστράγαλοι, καὶ σφαῖραι, τῆς παιδιᾶς ἐστὶν ὕλη· καὶ τούτοις προσπεπόνθασι, μέχρις ἂν τὸ ἀτελὲς τῆς φρονήσεως ἔχωσι, καὶ τίμια νομίζουσι ταῦτα· ἐὰν δὲ προκόψας τις γένηται ἀνὴρ, ἔρριψεν ἐκεῖνα, καὶ τῶν πραγμάτων μετὰ πολλῆς ἀντέχεται σπουδῆς. ἡμεῖς δὲ ἐναπεμείναμεν τῇ νηπιότητι, τὰ παιδιᾶς καὶ χλεύης ἄξια τεθαυμακότες· καὶ τῆς τῶν κρειττόνων ἅψασθαι φροντίδος, καὶ ἀναλαβεῖν λογισμὸν ἀνδράσι πρέποντα καταλιπόντες, ἐν ταῖς γηΐναις καρβατίζομεν τέρψεσι, γέλωτα παρέχοντες τοῖς ἀκολουθίᾳ φύσεως τὰ πράγματα κρίνουσιν· ὡς γὰρ αἰσχρὸν ἄνδρα τέλειον ἰδεῖν ἐν τέφρᾳ καθεζόμενον, καὶ ἐν τῇ κόνει τέρψεις παίδων διαγράφοντα, οὕτως αἰσχρὸν, καὶ πολλῷ αἰσχρότερον, τὰς τὴν ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν πραγματευομένας, ἐν τῇ τῶν γηΐνων τέφρᾳ κυλινδουμένας ὁρᾶν, τῇ τῶν ἐπιτηδευομένων ἀνοικειότητι, αἰσχυνούσας τοῦ ἐπαγγέλματος τὴν τελειότητα. Τούτου δὲ ἡμῖν αἴτιον, ὡς ἔοικε, τὸ μηδὲν τῶν ὁρωμένων ἐννοῆσαι μεῖζον· μηδὲ ἐκ παραθέσεως τῆς τῶν παρόντων εὐτελείας, τὴν ὑπεροχὴν γνωρίσαι τῶν ἐκεῖ ἀγαθῶν, πρὶν αὐγασθέντας ὑπὸ τῆς τῶν ἐνθάδε δοκούντων τιμίων λαμπρότητος κατασχεθῆναι, καὶ τούτοις προσδῆσαι τὴν ἐπιθυμίαν. ἀεὶ γὰρ τῇ ἀπουσίᾳ τῶν κρειττόνων, τιμᾶται τὰ χείρονα τὴν ἐκείνων κληροῦντα τάξιν· ὡς εἴγε ἦμεν ἔχοντες ὑψηλοτέραν περὶ τῶν μελλόντων ἔννοιαν, οὐκ ἂν τούτοις προσκεχηνότες διετελοῦμεν. Ἀρξώμεθα τοιγαροῦν ἀναχωρεῖν τῶν παρόντων. καταφρονήσωμεν κτημάτων, καὶ χρημάτων· καὶ πάντων τῶν βαπτιζόντων τὸν λογισμὸν, καὶ ὑποβρύχιον καταφερόντων αὐτόν· ἀπορρίψωμεν τὸν φόρτον, καὶ μικρὸν ἀνανεύσει τὸ πλοῖον· ἐκβάλωμεν χειμαζόμενοι καὶ τῶν σκευῶν τὰ πολλὰ, ἵνα ὁ κυβερνήτης νοῦς μετὰ τῶν ἐμπλεόντων διασωθῆναι δυνηθῇ λογισμῶν. εἰ γὰρ οἱ ἐν θαλάσσῃ πλέοντες, χειμαζόμενοι καταφρονοῦσι τῆς ἐμπορίας· καὶ τὸν φόρτον αὐτόχειρες εἰς τὴν θάλασσαν ῥίπτουσι, δευτέραν τῆς ζωῆς τὴν ὕπαρξιν κρίνοντες· καὶ ἵνα μὴ ὑπέραντλον τὸ πλοῖον κινδυνεύσῃ τῷ βάρει τοῦ φορτίου καταδυόμενον, κουφίζουσι τοῦτο, τὰ τίμια τῶν κειμηλίων ἴσως εἰς τὸ βυθοῦ ἀκοντίζοντες. διατί μὴ καὶ ἡμεῖς, διὰ τὴν κρείττονα ζωὴν, καταφρονοῦμεν τῶν καθελκόντων εἰς βυθὸν τὴν ψυχήν· διατί μὴ δύναται φόβος Θεοῦ, ὅσον δύναται θαλάσσης φόβος; ἐκεῖνοι τῆς προσκαίρου ζωῆς ἐπιθυμοῦντες, τὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῶν ἀγωγίμων ζημίαν οὐ μέγα κρίνουσιν· ἡμεῖς δὲ τῆς αἰωνίου ζωῆς ἀντιποιεῖσθαι λέγοντες, οὐδὲ τοῦ τυχόντος καταφρονοῦμεν· ἀλλ' αἱρούμεθα μᾶλλον τῷ φόρτῳ συναπολέσθαι, ἢ σωθῆναι, ἐκείνων ἀποστερούμενοι. ἀποδυσώμεθα, παρακαλῶ, πάντα· γυμνὸς γὰρ ἕστηκεν ὁ ἀντίπαλος. Μὴ γὰρ οἱ ἀθλοῦντες ἐνδεδυμένοι ἀθλοῦσι; γυμνοὺς αὐτοὺς εἰς τὸ στάδιον ὁ ἀθλητικὸς εἰσάγει νόμος· κἂν θάλπος, ἢ κἂν κρυμός, οὕτως εἰσέρχονται τὰς ἐσθῆτας ἔξω καταλιμπάνοντες. οὐδέ τις αὐτῶν παραιτήσεται τὴν γύμνωσιν, καὶ τὸν ἀγῶνα παρῃτήσατο· ἡμεῖς δὲ ἀθλεῖν ἐπαγγελλόμενοι, καὶ πρὸς ἀντιπάλους πολὺ τῶν αἰσθητῶν ἐντρεχεστέρους ἀγωνιζόμενοι, οὐ μόνον οὐκ ἀπεδυσάμεθα, ἀλλὰ καὶ μυρία καὶ τῶν ὤμων φορτία φέροντες ἐπιχειροῦμεν ἀθλεῖν, πολλὰς τοῖς ἀντιπάλοις καθ' ἑαυτῶν παρέχοντες τὰς λαβάς. Πῶς γὰρ πυκτεύσει πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ὁ κτημάτων ἀντιποιούμενος πάντοθεν δυσχερῶς κονδυλιζόμενος; πῶς δὲ τῷ τῆς φιλαργυρίας παλαίσει πνεύματι, ὁ περικεχωσμένος τοῖς χρήμασι; πῶς δὲ δραμεῖται πρὸς τοὺς πάσης μερίμνης γυμνοὺς δαίμονας, ὁ μυρίαις φροντίσιν ἐνδεδυμένος; τῆς θείας λεγούσης Γραφῆς, ὁ γυμνὸς διώξεται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· ὁ γυμνός, οὐχ ὁ κεντώνας πολυρράφους τῆς τῶν βιωτικῶν πραγμάτων φροντίδος ἐνδεδυμένος· ὁ γυμνός, οὐχ ὁ κτημάτων καὶ χρημάτων πολυύλοις πρὸς τὸν δρόμον ἐμποδιζόμενος λογισμοῖς· δυσάλωτος γάρ, ἢ καὶ ἀνάλωτος, τοῖς ἐπιβουλεύουσιν ἐστὶν ὁ γυμνός. ὡς ἄγε δὴ ὁ μέγας Ἰωσὴφ γυμνός, οὐκ αὖ εὗρεν ὧν ἐπελάβετο ἡ Αἰγυπτία, ὥς φησιν τὸ θεῖον λόγιον· ὅτι ἐπελάβετο τῶν ἱματίων αὐτοῦ λέγουσα, κοιμήθητι μετ' ἐμοῦ. ἱμάτια δὲ ἐστι, τὰ πράγματα τὰ σωματικά, ἀφ' ὧν ἕλκει κρατοῦσα ἡ ἡδονή· καὶ τὸν ἀντιποιούμενον τούτων, ἀνάγκη περισύρεσθαι μαχόμενον τοῖς ἀφαιροῦσιν. Οὕτως οὖν ὁ τῆς σωφροσύνης ἀθλητής, ὡς εἶδε καὶ ἐκ τῆς ἀναγκαίας χρείας τοῦ σώματος ἑλκόμενον ἑαυτὸν βίᾳ πρὸς τὴν τῆς ἡδονῆς κοινωνίαν τε καὶ ἕνωσιν· μαθὼν ὅτι γυμνὸν ἔδει συνδιαπᾶσθαι τῇ κατέχειν καὶ βιάζεσθαι δυναμένῃ δεσποίνῃ, καταλιπὼν τὰ ἱμάτια ἔφυγε· καὶ ἐξῆλθεν ἔξω, καθάπερ ἐν παραδείσῳ, τῇ ἀρετῇ, γυμνὸς ἐμπεριπατῶν, καὶ μιμήσει τοῦ πρωτοπλάστου· ὅστις ἐξαίρετον γέρας παρὰ Θεοῦ τὴν γύμνωσιν λαβὼν εἶχεν, ἕως διὰ τῆς παρακοῆς εἰς χρείαν ἐνδυμάτων κατέστη· μέχρις οὖν ἠγωνίζετο πρὸς τὴν λύσιν τῆς ἐντολῆς τοῦ Θεοῦ συμβουλεύοντας ἀντιπάλους, γυμνός, ὡς ἀθλητὴς ἐπὶ τοῦ σκάμματος, ἕστηκεν· ἡττηθεὶς δὲ καὶ ἀναγώνιος γενόμενος, εἰκότως ἐνεδύσατο, τὴν γύμνωσιν μετὰ τῆς ἀθλητικῆς ἕξεως ἀποθέμενος. διὰ τοῦτο ὁ παροιμιαστὴς πρὸς τὸν ἀλείπτην λόγον φησίν. ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ, παρῆλθε γάρ. ἕως μὲν γὰρ ἦν ἔξω τοῦ σταδίου, καλῶς τοῖς τῶν οὐκ ἀθλούντων ἐνδύμασιν ἐκέχρητο, τὴν ἀγωνιστικὴν ἀνδρείαν τοῖς τῶν αἰσθητῶν ἐνδύμασιν ἐπικρύπτων· ἐπειδὴ δὲ εἰς τὸν ἀγῶνα παρῆλθεν, ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ· γυμνὸν γὰρ ἀγωνίζεσθαι δεῖ· μᾶλλον δὲ οὐ γυμνὸν μόνον, ἀλλὰ καὶ ἠλειμμένον· τὸ μὲν γὰρ γεγυμνῶσθαι, ἀνέπαφον ποιεῖ τῷ ἀντιπάλῳ τὸν ἀγωνιστήν· τὸ δὲ ἔλαιον, εἰ καὶ ληφθείη ποτέ, διολισθαίνειν ἐκ τῆς λαβῆς παρασκευάζει· καὶ διὰ τοῦτο οἱ ἀντίπαλοι, γῆν προσπάσσειν φιλονεικοῦσι τοῖς ἀντιπάλοις· ἵνα τῇ κόνει τὴν τοῦ ἐλαίου τραχύναντες λειότητα, εὐλήπτους αὐτοὺς πρὸς τὰς λαβὰς ἀπεργάσωνται. ὅπερ δέ ἐστιν ἐκεῖ ἡ κόνις, τοῦτο ἐν τῷ ἡμετέρῳ ἀγῶνι, τὰ γήϊνα πράγματα· καὶ ὅπερ ἐστὶν ἐκεῖ τὸ ἔλαιον, τοῦτο ἐνταῦθα τὸ ἀμέριμνον. καὶ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὥσπερ ἐκεῖ ὁ ἠλειμμένος, εὐχερῶς λύει τὰ λεγόμενα παρ' αὐτοῖς ἅμματα· ἂν δὲ δέξηται κόνιν, δυσκόλως ἐκφύγοι τὴν χεῖρα τοῦ προσπαλαίοντος· οὕτως ἐνταῦθα, ὁ μηδὲν μεριμνῶν, δυσάλωτός ἐστι τῷ διαβόλῳ· φροντίζων δέ, καὶ ταῖς μερίμναις, καθάπερ κόνει τινί, τραχύνων τὸ λεῖον τῆς ἀμεριμνίας τοῦ νοῦ, εὐχερῶς * ἐξειλεῖ ἐκ τῆς ἐκείνου χειρός· τελείας ψυχῆς ἐστι, τὸ ἀμέριμνον· ἀτελοῦς δέ, τὸ ταῖς φροντίσι κατατρίβεσθαι. Περὶ μὲν γὰρ τῆς τελείας ψυχῆς εἴρηται, ὅτι κρίνον ἐστὶν ἀνὰ μέσον τῶν ἀκανθῶν. τοῦτο δέ, τὴν μετὰ τῶν πολυφροντίδων ἀμερίμνως διάγουσαν δηλοῖ. τὸ γὰρ κρίνον, καὶ ἐν τῷ Εὐαγγελίῳ, τὴν ἀμέριμνον σημαίνει ψυχήν· οὐ κοπιᾷ γάρ, φησιν, οὐδὲ νήθει, καὶ μείζονα τοῦ Σολομῶντος περιβέβληται δόξαν. περὶ δὲ τῶν φροντίδα πολλὴν ἐχόντων εἰς τὰ σωματικά, πᾶς ὁ βίος ἀσεβοῦς, ἐν φροντίδι· καὶ γὰρ ὄντως ἐστὶν ἀσεβές, τῷ παντὶ τῷ βίῳ συμπαρεκτείνειν τὴν τῶν σωματικῶν φροντίδα, καὶ μηδεμίαν περὶ τῶν μελλόντων ἐπιδείκνυσθαι σπουδήν· καὶ τῷ μὲν σώματι, καίτοι μὴ πολλῆς δεομένῳ σχολῆς, πάντα προσαναλίσκειν τὸν χρόνον· τῇ δὲ ψυχῇ τοσοῦτον ἐχούσῃ προκοπῆς μῆκος, ὡς μὴ φθάνειν πάντα τὸν βίον πρὸς τὴν αὐτῆς τελείωσιν, μηδὲ τὸν τυχόντα καιρὸν ἀπονέμειν· εἰ δὲ καί τινα δόξομεν ἀπονέμειν, ἐκλελυμένως καὶ ῥαθύμως αὐτῇ τοῦτο παρέχομεν, ὑπὸ τῆς τῶν ὁρωμένων περιφανείας δελεαζόμενοι· καὶ ταυτὸν πάσχοντες, τοῖς ὑπὸ τῶν εἰδεχθεστάτων ἑταιρίδων ἀγκιστρευομένοις· αἳ γνησίου κάλλους ἀπορίᾳ, νόθον ἐπ' ἐνέδρᾳ τῶν θεωμένων δημιουργοῦσι, ταῖς ἐπινοίαις τῶν ἐπιχρισμάτων τὴν δυσμορφίαν ἐπιδιορθούμεναι. ἅπαξ γὰρ τῇ ματαιότητι τῶν παρόντων ἡττηθέντες, τὸ αἶσχος τῆς ὕλης ἰδεῖν ἀδυνατοῦμεν, ὑπὸ τῆς προσπαθείας φενακιζόμενοι. Καὶ τούτου χάριν, ἐπὶ μὲν τῆς ἀναγκαίας οὐχ ἱστάμεθα χρείας· κόρον δέ, ὕβρεως τῷ βίῳ προσκτησάμενοι, παντοίαις κτήσεσιν ἐπαναπαυόμεθα· οὐχ ὁρῶντες ὅτι μέτρον κτήσεώς ἐστιν, ἡ χρεία τοῦ σώματος· τὸ δὲ ταύτην ὑπερβαῖνον, ἀκοσμία λοιπόν, καὶ οὐκέτι χρεία ἐστίν. ὡς γὰρ ὁ συμμεμετρημένος τῷ σώματι χιτών, καὶ χρεία, καὶ κόσμος ἐστίν· ὁ δὲ πάντοθεν περιρρέων, καὶ τοῖς ποσὶ συμπλεκόμενος, καὶ ἐπισυρόμενος τῇ γῇ, μετὰ τοῦ ἀπρεποῦς, καὶ ἐμπόδιον εἰς πᾶσαν ἐργασίαν γίνεται· οὕτως ἡ ὑπερβαίνουσα τὴν τοῦ σώματος χρείαν κτῆσις, καὶ πρὸς ἀρετήν ἐστιν ἐμπόδιον, καὶ πολλὴν ἔχει κατάγνωσιν, παρὰ τοῖς τὴν φύσιν τῶν πραγμάτων ἐρευνᾶν δυναμένοις. οὔτε οὖν τοῖς ὑπὸ τῶν αἰσθητῶν ἠπατημένοις προσεκτέον, οὔτε τοῖς διὰ τὸ μὴ προσέχειν τοῖς νοητοῖς, προσπεπονθόσι τοῖς γηΐνοις ἀκολουθητέον ἀκρίτως· ἄτοπον γάρ ἐστι, χρωμάτων κριταῖς χρῆσθαι τυφλοῖς, ἢ κωφοῖς τῶν κατὰ μουσικὴν φθόγγων, ἐστερημένοις τῶν πρὸς τὰ δικαζόμενα κριτηρίων· καὶ τούτοις πιστεύειν, ὡς κατὰ λόγον ἑλομένοις, τὴν τῶν παρόντων ἀπόλαυσιν· Τυφλοὶ γάρ εἰσι, τὸ ἀναγκαιότατον κριτήριον τὸν λογισμὸν πεπηρωμένοι, ᾧ κρίνεσθαι τὰ σπουδαῖα καὶ τὰ ἀδιάφορα πέφυκεν. Εἷς τούτων ἦν Ἄχαρ υἱὸς Χαρμῆ· ὁμολογῶν τῷ Ἰησοῦ ἐν τῇ σκηνῇ τοῦ βίου, κεκρυφέναι ὑπὸ τὴν γῆν τὰ κεκλεμμένα· καὶ ὑποκάτω τούτων, τὸ ἀργύριον κατορωρυχέναι· Ὁ γὰρ τὰ ποικίλα τῆς ὕλης, καὶ λαμπρὰ ἀνώτερα κρίνας, τὸν δὲ λόγον ὑποκάτω τούτων κατορύξας, εἰκότως ἀπατᾶται ἀλόγου δίκην, εἴκων καὶ ἐνδιδοὺς τῇ φαντασίᾳ τοῦ ἀρέσαντος· ἀλλὰ τὸ καταβιβάσθαι τῶν ἀρχοντικῶν θρόνων τὸν λογισμόν, καὶ ἐν τῇ τῶν ὑπηκόων μᾶλλον καταδίκων τετάχθαι τάξει· εἰ γὰρ ἦν οὕτως ἐπὶ τῆς

Ἴσ. ἐξιλῆται.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἰδίας ἱδρυμένος τάξεως, καὶ τὴν κρίσιν πεπιστευμένος τῶν φαινομένων, δικαίαν καὶ ὀρθὴν ἂν ἐξήνεγκε τὴν ψῆφον, κολάσας τὴν τοῖς ἀπατηλοῖς ἐπιδραμοῦσαν ὁρμήν. Καλὸν οὖν τοῖς ὅροις τῆς χρείας ἐμμένειν, καὶ φιλονεικεῖν πάσῃ δυνάμει τούτους μὴ ὑπερβαίνειν· Ἐὰν γὰρ ὀλίγον παρενεχθῇ τις ὑπὸ τῆς ἐπιθυμίας ἐπὶ τὰ ἡδέα τοῦ βίου, οὐδεὶς λοιπὸν λόγος ἵστησι τὴν ἐπὶ τὰ πρόσω φοράν· τοῦ γὰρ ὑπὲρ τὴν χρείαν, ὅρος οὐδείς· ἀλλ' ἡ ἀνόητος σπουδὴ καὶ ἀτέλεστος ματαιοπονία, τὸν περὶ τὰ τοιαῦτα πόθον αὔξει διαπαντός, καθάπερ φλόγα τῇ τῆς ὕλης προσθήκῃ τρέφουσα τὴν ἐπιθυμίαν. ὅταν γὰρ οἱ ἅπαξ τοὺς ὅρους παρελθόντες τῆς φυσικῆς ἀνάγκης, ἐπὶ τὴν ἔνυλον ἄρξωνται προκόπτειν ζωήν, τῷ μὲν ἄρτῳ προστιθέασι, τὸ ἡδὺ προσόψημα θέλουσι· τῷ δὲ ὕδατι, τὸν τέως χρειώδη οἶνον, καὶ ἀπὸ τούτου τὸν πολυτελέστερον. Ἐνδύμασι δὲ τοῖς χρειώδεσι στοιχεῖν οὐκ ἀνέχονται, ἀλλὰ τὸ πρῶτον μὲν τῶν ἐρίων τὰ λαμπρὰ συνωνοῦνται, αὐτὸ τὸ ἄνθος τῆς ἐρέας ἐκλεγόμενοι· εἶτα, μεταβαίνουσιν ἀπὸ τούτων ἐπὶ τὰ μικτὰ ἐκ λίνου, καὶ ἐρέας ἔχοντα τὴν κατασκευήν· εἶτα, σηρικὰ περιεργάζονται· καὶ ταῦτα, λιτὰ μὲν πρῶτον, αὖθις δὲ πεποικιλμένα, πολέμοις, καὶ θηρσί, καὶ ἱστορίαις παντοδαπαῖς· σκεύη τε ἀργυρᾶ, καὶ χρυσόπαστα κατασκευάζουσιν, οὐ μόνον ταῖς ἑστιάσεσι λειτουργοῦντα, ἀλλὰ καὶ ζώοις καὶ κλινιδίοις περιττῶς περικείμενα. καὶ τί δεῖ τὴν ἄκαιρον αὐτῶν ἐπὶ πλεῖον προθεῖναι φιλοτιμίαν, ὁπότε καὶ μέχρι τῶν ἀτιμοτάτων χρειῶν ταύτην ἐπεκτείνουσιν· οὐδὲ τὰ τῶν ἀποπατημάτων σκεύη καταξιοῦντες ἐξ ἑτέρας ὕλης δημιουργεῖν, εἰ μὴ καὶ ταύτῃ τῇ αἰσχρᾷ ὑπηρεσίᾳ διακονήσει ὁ ἄργυρος. Τοιοῦτον γὰρ ἡ ἡδονή· ἕως τῶν ἐσχάτων ἑαυτὴν παρεκτείνουσα, καὶ τὰ ἄτιμα τῶν ἔργων τῇ τῆς ὕλης τιμῶσα πολυτελείᾳ· τοῦτο δὲ παρὰ φύσιν ἐστὶν ἔχειν λοιπόν. Ἡ γὰρ κατὰ φύσιν διαγωγὴ ἡμῖν τε, καὶ τοῖς ζώοις, ἡ αὐτὴ ὥρισται παρὰ τοῦ δημιουργοῦ· ἰδοὺ γὰρ δέδωκα ὑμῖν' φησὶν ὁ Θεὸς τῷ ἀνθρώπῳ πάντα τὸν χόρτον τοῦ ἀγροῦ, ὑμῖν τε καὶ τοῖς θηρίοις ἔσται εἰς βρῶσιν· κοινὴν οὖν λαβόντες μετὰ τῶν ἀλόγων τὴν δίαιταν, καὶ ταύτην ταῖς ἐπινοίαις ἐπὶ τὸ ἀσωτότερον ἐπιστρέψαντες, πῶς οὐκ ἀλογώτεροι κριθείημεν τῶν ἀλόγων ἐκείνων; εἴγε τὰ μὲν θηρία μένει ἐπὶ τῶν ὅρων τῆς φύσεως, οὐδὲν παρακινήσαντα τῶν παρὰ τοῦ Θεοῦ τεταγμένων· ἡμεῖς δὲ οἱ λογισμῷ τιμηθέντες, πάντη τῆς ἀρχαίας ἐκδεδιῃτήμεθα νομοθεσίας. Ποῖαι γὰρ παρὰ τοῖς ἀλόγοις ὀψοφαγίαι; ποῖαι σιτοποιῶν, καὶ μαγείρων τέχναι, τῇ ἀθλίᾳ γαστρὶ δημιουργοῦσιν ἡδονάς; οὐχὶ δὲ τὴν ἀρχαίαν εὐτέλειαν ἀγαπῶσι, ποηφαγοῦντά τε. καὶ τοῖς παρατυχοῦσιν ἀρκούμενα· καὶ ναματίῳ κεχρημένα ποτῷ, καὶ τούτῳ τυχὸν σπανίως; διὸ καὶ τὰς ὑπογαστρίους ἡδονὰς μεμείωνται, οὐδεμιᾷ πιμελώδει τροφῇ τὰς ὀρέξεις προσυπαναφλέγοντα· οὐδὲ τὴν ἄρρενος καὶ θήλεος εἰδότα διαφοράν· εἷς γὰρ αὐτοῖς καιρὸς τοῦ ἔτους, ταύτην παρέχει τὴν αἴσθησιν, ἡνίκα ὁ τῆς φύσεως νόμος πρὸς τὴν τοῦ ὁμοίου σπορὰν τὴν σύνοδον αὐτοῖς, ἐπὶ τῇ διαμονῇ τοῦ γένους ἐξεῦρε· τὸν δὲ ἄλλον χρόνον οὕτως ἀλλοτριοῦνται, ὡς λήθην λαμβάνειν παντελῶς τῆς τοιαύτης ὀρέξεως· ἀνθρώποις δέ, ἐκ τῆς περὶ τὰ βρώματα πολυτελείας, ἡ τῶν ἀφροδισίων ἀκόρεστος ἐπιθυμία παραβλαστάνουσα, μανιώδεις ἐγκατέσπειρεν ὀρέξεις, οὐδένα καιρὸν ἠρεμεῖν συγχωροῦσα τὸ πάθος. Ἐπεὶ οὖν πολλὴ ἐν τοῖς κτήμασι βλάβη παρακολουθεῖ, καὶ πᾶσι τοῖς πάθεσιν ὡς νοσοποιὸς αἰτία παρέχει τὰς ἀφορμάς, ταύτην ἀνέλωμεν τὴν αἰτίαν, εἴπερ τῆς κατὰ ψυχὴν προνοοῦμεν ὑγείας· ἀκτημοσύνῃ, τὸ τῆς φιλοχρηματίας



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἰασώμεθα πάθος. φύγωμεν τοὺς τῶν ἀνωφελῶν ἀνθρώπων θιάσους, μόνωσιν ἀσπαζόμενοι· ἐπιβλαβὲς γὰρ καὶ τῆς εἰρηνικῆς καταστάσεως φθοροποιὸν, ἡ μετὰ τῶν εἰκαιοτέρων συνδιαίτησις· ὡς γὰρ οἱ ἐν ἀέρι λοιμικῷ γινόμενοι, πάντως νοσοῦσιν· οὕτως οἱ ἐν ἀνθρώποις ἀδιαφόροις ἐνδιαιτώμενοι, μεταλαμβάνουσι τῆς ἐκείνων κακίας· τί γὰρ ἔτι κοινὸν ἔχουσι πρὸς τὸν κόσμον, οἱ ἀποταξάμενοι τῷ κόσμῳ; οὐδεὶς γὰρ στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· ἡ γὰρ περὶ τὴν πραγματείαν ἀσχολία, τὰς πολεμικὰς κωλύει γυμνασίας· ἀγύμναστοι δὲ πρὸς ἐμπειροπολέμους μαχόμενοι, πῶς ὑποστησόμεθα· μᾶλλον δὲ εἰ δεῖ τἀληθὲς εἰπεῖν. οὕτω νωθρῶς καὶ ἐκλύτως μαχόμεθα, ὡς μηδὲ κειμένου τοῦ πολεμίου δύνασθαι ἀντισχεῖν, καὶ τοὺς ἑστῶτας ὑπὸ τοῦ πεπτωκότος ἐπιβουλεύεσθαι. Ὅπερ γὰρ πάσχουσιν οἱ ἐν τοῖς πολέμοις διὰ φιλοχρηματίαν, οἱ τοὺς νεκροὺς σκυλεύοντες, μετὰ τὴν νίκην πολλάκις ἀναιρούμενοι ὑπὸ τῶν κειμένων· καὶ κέρδους αἰσχροῦ χάριν μετὰ τὰ τρόπαια ἀπολλύμενοι· ἐλεεινῶς πάσχομεν, κειμένου τοῦ ἐχθροῦ καὶ ἀποπνέοντι πλησιάζοντες· ὡς γὰρ ἐκεῖνοι τῷ πόθῳ τῶν χρημάτων ἐρευνῶντες τοὺς νεκροὺς, πολλάκις ἡμιθανεῖ τινι προσελθόντες, καὶ παραλύοντες, λάθρα δεξάμενοι καιρίαν πληγὴν κατέπεσον, τὴν ἐπὶ νίκῃ εὔκλειαν ἀλογίστως αἰσχύναντες· οὕτως ἡμεῖς, ὅταν διὰ σωφροσύνης καὶ ἐγκρατείας καταβάλωμεν τὸν βάρβαρον, ἢ δόξωμεν καταβεβληκέναι, τότε τῶν περὶ περὶ αὐτὸν ἐρασθέντες ἐνδυμάτων· ὅπερ ἐστὶ τὰ παρὰ τοῖς ἀνθρώποις τίμια, πλοῦτοι, δυναστεῖαι, εὐεξίαι, δόξαι· προσεγγίζομεν αὐτοῦ λαβεῖν τι τῶν αὐτοῦ γλιχόμενοι, καὶ οὕτως ἀποθνήσκομεν, ἑαυτοὺς τῇ σφαγῇ προσάγοντες· Οὕτως ἀπώλοντο αἱ πέντε παρθένοι· διὰ μὲν τῆς ἁγνείας ἀνελοῦσαι τὸν πολέμιον· διὰ δὲ ἀσπλαγχνίαν, ἢ φιλοχρηματίαν γενναίως ἑαυτὰς ἐπὶ τὸ ξίφος ὠθήσασαι· τοῦ διὰ τὸ κεῖσθαι, ἀνελεῖν τὰς ἐφεστώσας, ἀδυνατοῦντος. μηδὲν οὖν τῶν ἐκείνου θελήσωμεν, ἵνα μὴ ἅμα τοῖς ἐκείνου καὶ τὴν ψυχὴν προσαπολέσωμεν· καλεῖ γὰρ καὶ νῦν ἐπ' αὐτὰ, καὶ προξενεῖται πάντας, ἐὰν εὕρῃ μάλιστα πειθομένους· εἰ γὰρ αὐτὸν τὸν Κύριον ἐκάλει λέγων· ταῦτά σοι πάντα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι· καὶ ἀπατᾶν ἐπεχείρει, διὰ τῶν ἐν βίῳ δοκούντων λαμπρῶν, τὸν τούτων οὐκ ἐπιδεόμενον· πῶς τοὺς εὐαλώτους ἀνθρώπους, οὐκ οἴσεται ἀπατῆσαι, ἐπιρρεπῶς ἔχοντας πρὸς τὴν τῶν αἰσθητῶν πραγμάτων ἀπόλαυσιν; γυμνάσωμεν τὸν νοῦν πρὸς εὐσέβειαν, εἴγε ἡ σωματικὴ κατώρθωται γυμνασία· ἡ γὰρ σωματικὴ γυμνασία. πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, παιδικοῖς ἐοικυῖα μαθήμασιν· ἡ δὲ εὐσέβεια, πρὸς πάντα ὠφέλιμός ἐστι, τὴν ἐν τῇ ψυχῇ κατασκευάζουσα εὐεξίαν, τοῖς ἐφιεμένοις τῆς κατὰ τῶν ἀντιπάλων παθῶν νίκης· Ὡς γὰρ τοῖς ἐπὶ τὰ παιδικὰ γυμναζομένοις ἀθλητοῖς, σῶμα ἀσκεῖν εὐπρεπὲς· καὶ τὰ μέλη κινεῖν συνεχῶς· ἀνδρείας τε καὶ ἀθλητικῆς ἰσχύος ἀγωνιστικῶς ἐπιμελεῖσθαι, καὶ ἐπὶ τοὺς ἱεροὺς ἀλείφεσθαι ἀγῶνας· οὕτω τοῖς ἀρχομένοις τῆς θεοσεβείας, ἐπιμελὲς τῆς ἐνεργείας κωλύειν· ἀγαπητὸν γὰρ, εἰ κρατήσειεν τῶν παθῶν, ἐξοιστρούμενοι ὑπὸ τῶν συντρόφων ἡδονῶν· καὶ ἐπὶ τῆς συνηθείας, ἀπροαιρέτως σχεδὸν ἐλαυνόμενοι κακά· τοῖς δὲ ἐν ἕξει γεγενημένοις τῆς πρακτικῆς ἀρετῆς, καὶ τὴν κατὰ διάνοιαν λοιπὸν φροντίζουσι, πᾶσα σπουδὴ, φυλάττειν τὸν λογισμὸν, ὡς μὴ κινηθέντα ἀτάκτως, ἐπί τι κατενεχθῆναι τῶν ἀπελῶν. Καὶ ἁπλῶς, τοῖς μὲν ἐστι σπουδὴ, σωματικὰς παιδαγωγῆσαι κινήσεις· τοῖς δὲ, τὰς ὁρμὰς πεδῆσαι τοῦ λογισμοῦ·



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πρὸς μόνην τὴν ἐμφιλόσοφον εὐρύθμως κινεῖσθαι διαγωγήν· μηδεμιᾶς κοσμικῆς φαντασίας περισπώσης ἀπὸ τῶν θειοτέρων νοημάτων τὸν λογισμόν. Δεῖ γὰρ πεπεῖσθαι τὴν τοῦ θεοσεβοῦντος ἐπιθυμίαν ὅλην πρὸς τὸν ποθούμενον, ὥστε μηδ᾽ ὅλως εὑρίσκειν καιρὸν τοὺς ἀνθρωπίνους λογισμοὺς, ἐνεργεῖν τὰ οἰκεῖα πάθη. Εἰ γὰρ ἕκαστον πάθος, ὅταν ἐν τῷ κεκρατημένῳ κινηθῇ, κατέχει τὸν λογισμὸν πεπεδημένον· διατί μὴ καὶ ὁ τῆς ἀρετῆς ζῆλος, σχολάζουσαν ἀπὸ τῶν λοιπῶν καθέξει τὴν ἔννοιαν; Ποίαν γὰρ αἴσθησιν τῶν ἔξωθεν ὁ θυμούμενος λαμβάνει, πρὸς τὸ τοῦ λελυπηκότος εἴδωλον κατὰ διάνοιαν μαχόμενος; ποίαν δὲ ὁ χρημάτων ἐφιέμενος, ὅταν συναρπαγεὶς ὑπὸ τῆς φαντασίας, ταῖς ποριστικαῖς ὕλαις ἐνατενίζῃ; ὁ δὲ ἀκόλαστος, πολλάκις καὶ συνεδρεύων τισὶ, κατέδυσε τὰ αἰσθητήρια· καὶ τὴν ποθουμένην ὄψιν λαβὼν, ἐκείνῃ προσομιλεῖ, τῶν παρόντων ἐπιλαθόμενος· καὶ στήλη καθέζεται ἄψυχος· εἰδὼς μὲν τῶν ἐν ὀφθαλμοῖς γινομένων, ἢ λαμβανομένων, οὐδέν· νενευκὼς δὲ ἐπὶ τὰ ἔνδον, ὅλος ἐστὶ τῆς φαντασίας. Τὴν τοιαύτην ψυχὴν, τάχα ἀποκαθημένην ὀνομάζει ὁ νόμος, ὅταν μακρὰν τῶν αἰσθήσεων καθημένη συστείλῃ τὴν οἰκείαν ἐνέργειαν· μηδενὸς ὅλως τῶν ἔξωθεν ἀντιλαμβανομένη, διὰ τὴν κατέχουσαν αὐτὴν αἰσχρὰν φαντασίαν. εἰ δὲ ταῦτα οὕτω κρατεῖ τοῦ λογισμοῦ διὰ τὴν προσπάθειαν, καὶ ἀργεῖν τὰς αἰσθήσεις παρασκευάζει, πόσῳ μᾶλλον ὁ τῆς φιλοσοφίας ἔρως, ἀποτάξασθαι, καὶ τοῖς αἰσθητοῖς, καὶ ταῖς αἰσθήσεσι ποιήσει τὸν νοῦν, μετάρσιον ἁρπάζων αὐτὸν, τῇ τῶν νοητῶν θεωρίᾳ προσασχολῶν; ὡς γὰρ τεμνόμενοι, ἢ καιόμενοι, οὐκ ἂν εἰσέλθοι λογισμὸς ἔξω τοῦ κατέχοντος πάθους, ἀλλὰ τὴν κρατοῦσαν ὀδύνην· οὕτως οὐδὲ τὸν ἐντεῦθεν ἐμπαθῶς λογιζόμενον, παρενθυμεῖσθαι δυνατὸν ἄλλο τι, τοῦ κατέχοντος πάθους τὴν διάνοιαν, ὅλον τῇ οἰκείᾳ ποιότητι τὸν λογισμὸν ποιώσαντος. ὀδύνη γὰρ οὐ παραδέχεται πόνον· οὐδὲ λύπη χαράν· οὐδὲ κατήφεια εὐφροσύνην· οὐδ᾽ αὖ πάλιν πόνος δυναστεύων, προσίεται ἡδονήν· οὐδὲ κρατοῦσα λύπη, χαρὰν ἔχει παρεζευγμένην· οὐδὲ κατήφεια ἐγκέκραται εὐφροσύνῃ· ἀλλὰ ἐπιπολαίως ἔχει πρὸς ἄλληλα τὰ ἐναντία πάθη, καὶ οὐκ ἂν εἰς τὸ αὐτὸ συνέλθοι ποτέ· οὐδὲ μὴ ῥέψοι πρὸς φιλικὴν κοινωνίαν, διὰ τὴν ἐκ φύσεως ἀσύμβατον ἔχθραν, καὶ ἀλλοτρίωσιν. μὴ τοίνυν τὸ τῆς ἀρετῆς καθαρὸν, ταῖς τῶν κοσμικῶν πραγμάτων ἐννοίαις ἐπιθολούσθω. μηδὲ τὸ τῆς θεωρίας εἰλικρινὲς, σωματικαῖς ἐπιταρασσέσθω φροντίσιν· ἵνα ἡ τῆς ἀληθοῦς φιλοσοφίας εἰκὼν, τὸ οἰκεῖον ἀπολάμπουσα κάλλος, μηκέτι ψέγηται παρὰ τῶν θρασυνομένων· μηδὲ χλεύης ὑπόθεσις, διὰ τὴν τῶν γραφόντων ἀπειρίαν γένηται, ἀλλ᾽ ἐπαινῆται· κἂν μὴ παρὰ ἀνθρώπων, ἀλλ᾽ οὖν γε παρὰ τῶν ἄνω δυνάμεων· ἢ παρ᾽ αὐτοῦ τοῦ δεσπότου Χριστοῦ, παρ᾽ οὗ καὶ οἱ ἅγιοι ἐζήτουν τὸν ἔπαινον· ὡς ὁ μέγας Δαβὶδ, ὁ παρώσας τὴν ἀνθρωπίνην δόξαν, καὶ παρὰ Θεοῦ τὴν εὐφημίαν αἰτῶν· παρὰ σοῦ ὁ ἔπαινός μου· λέγων· καὶ ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου. ἄνθρωποι μὲν γὰρ πολλάκις, καὶ βασκανίᾳ διαβάλλουσι τὰ καλά· τὸ δὲ ἄνω θέατρον, ἀδεκάστως κρίνει τὰ πράγματα, καὶ τῇ ἀληθείᾳ τῶν γινομένων τὴν ψῆφον βραβεύει. Τοῦτο οὖν, ὃ καὶ ἀνάγκη τέρψαι τῇ τῶν ἔργων τερπνότητι, τερπέσθω τὸ θέατρον· παρὰ δὲ τῶν οὐδὲ ἀμοιβὰς ἀποδοῦναι τῶν εὖ βεβιωμένων, οὔτε ὑπὲρ τῶν ἄλλως ἐχόντων τιμωρήσασθαι δυναμένων ἀνθρώπων, οὐ πολὺς ὁ λόγος· ἐὰν ἢ φθόνῳ, ἢ προσπαθείᾳ, τὰ τῆς ἀρετῆς ἔργα κακίας ὀνόματι συσκιά-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ζῶντες, τὸν τοῦ Θεοῦ, καὶ Ἀγγέλοις ἐγνωσμένον βίον, πεπλανημέναις διαβάλλωσι βλασφημίαις· ἕψεται γὰρ πάντως κατὰ τὸν καιρὸν τῆς ἀνταποδόσεως τοῖς εὖ βεβιωκόσιν, οὐκ ἀπὸ τῆς τῶν ἀνθρώπων ὑπολήψεως, ἀλλ' ἀπ' αὐτῆς τῶν βεβιωμένων τῆς ἀληθείας, ἡ ἀμοιβὴ τῶν αἰωνίων ἀγαθῶν. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ Ἁγίῳ Πνεύματι· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.





Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ο ἐν Ἁγίοις Πατὴρ ἡμῶν Διάδοχος, ὁ τῆς Φωτικῆς τῆς ἐν τῇ παλαιᾷ Ἠπείρῳ τοῦ Ἰλλυρικοῦ χρηματίσας Ἐπίσκοπος. ὅτι μὲν ἦν παλαιός, καὶ πρὸ τοῦ ἑβδόμου αἰῶνος, τοῦτο ἂν ἔχοι τις συμπερᾶναι ἐκ τῶν τοῦ Ἁγίου Μαξίμου, ἐν οἷς τῶν τοῦ Διαδόχου μέμνηται κεφαλαίων. ὅτι δὲ ἦν καὶ σοφὸς ἀνὴρ πράξει, καὶ θεωρίᾳ διαλάμπων ἐκ τοῦ σωζομένου αὐτοῦ τούτου λόγου, παντὶ τῷ βουλομένῳ καταμαθεῖν ἔξεστιν· ὃν διὰ μακρᾶς πείρας φιλοσοφήσας καὶ θείας ἀναβάσεις ἐν τῇ καρδίᾳ διαθέμενος, ἄριστα συνεγράψατο. ἐν ἑκατὸν δὲ κεφαλαίοις διελὼν, καὶ αὐτὰ, ὡς εἰπεῖν, τὰ βαθύτατα ὄργια τῆς νηπτικῆς ἀρετῆς μετ' ἀκριβείας ἁπάσης ἀνακαλύψας· ναὶ μὴν, καὶ γραφικοῖς ῥήμασι, καὶ γνώσεως ἀκριβέσι θεωρίαις καταπυκνώσας, οἷόν τινα ἀρχέτυπον τῆς ἱερᾶς Νήψεως διδασκαλίαν ἐκ πασῶν συγκειμένην τῶν ἀρετῶν τοῖς μετ' αὐτὸν, μικροῦ δεῖν, ἅπασι νηπτικοῖς καὶ θεοφόροις πατράσι κατέλιπε. διὰ τοῦτο καὶ πολλὰς ἂν εὕροις ἐξ αὐτῶν πυκνὰ πρὸς τὰ κεφάλαια ταῦτα, ὡς εἰς ἀπηκριβωμένους ἀποβλέποντας πίνακας, καὶ τὰς ἀφορμὰς ἐκ τούτων, καὶ μαρτυρίας αὐταῖς λέξεσιν εἰς τὰ αὐτοῖς φιλοπονηθέντα παράγοντας νηπτικά. Μέμνηται δὲ τούτων καὶ Φώτιος οὑτωσὶ λέγων. ἀνάγνωσμα σα'. σελίδ. 269. „ Τούτοις οὖν (τοῖς δέκα ὅροις δηλαδὴ) τὰ ἑκατὸν κεφάλαια ὑποτέτακται, καὶ ἔστιν οὗτος ὁ λόγος εἰς τὸ ἄριστον τοῖς ἀσκουμένοις συγκείμενος, καὶ τοῖς ἐν αὐταῖς ἐγγεγυμνασμένοις ταῖς τελειοποιοῖς πράξεσιν, οὐκ ἀσαφές τε ἐμπαρεχόμενος.... Ἥ,τε ἐπὶ παρουσίᾳ Ἀνδρονίκου τοῦ Παλαιολόγου συστᾶσα Σύνοδος· ὁ Θεσσαλονίκης Γρηγόριος, ὁ Θεσσαλονίκης Συμεὼν, ὁ Σιναΐτης Γρηγόριος· Κάλλιστος ὁ Ἁγιώτατος, καὶ ἄλλοι συχνοὶ, τὸ ἀνεπίληπτον αὐτοῖς μαρτυροῦντες.

Τὸ δὲ ἑκατοστὸν κεφάλαιον, ὅ φησι Φώτιος, εἰ καὶ δοκεῖ ἐπιλήψιμον εἶναι, ἀλλ' οὖν ὁ θεῖος Μάξιμος πραγμάτων ἀπαλλάττει, πρὸς τὸν ὀρθὸν τῆς εὐσεβείας σκοπὸν τὸν μὲν αὐτοῦ ἀναπτύσσων· ὡς ἐν τῷ τέλει τούτων ὁρᾶται.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΟΡΟΙ
## ΤΟΥ ΜΑΚΑΡΙΟΥ
# ΔΙΑΔΟΧΟΥ
## ΕΠΙΣΚΟΠΟΥ ΦΩΤΙΚΗΣ.

α'. Ὅρος τῆς πίστεως, ἔννοια περὶ Θεοῦ ἀπαθής.

β'. Ὅρος τῆς ἐλπίδος, ἐκδημία τοῦ νοῦ πρὸς τὰ ἐλπιζόμενα.

γ'. Ὅρος τῆς ὑπομονῆς, τὸν ἀόρατον ὡς ὁρατὸν ὁρῶντα τοῖς τῆς διανοίας ὀφθαλμοῖς, ἀδιαλείπτως ἐγκαρτερεῖν.

δ'. Ὅρος τῆς ἀφιλαργυρίας, οὕτω θέλειν τὸ μὴ ἔχειν, ὡς θέλει τις τὸ ἔχειν.

ε'. Ὅρος τῆς ἐπιγνώσεως, ἀγνοεῖν ἑαυτὸν ἐν τῷ ἐκστῆναι * Θεῷ.

* ἐν ἄλλ. Θεόν.

ς'. Ὅρος τῆς ταπεινοφροσύνης, λήθη τῶν κατορθουμένων προσεχής.

ζ'. Ὅρος τῆς ἀοργησίας, ἐπιθυμία πολλὴ τοῦ μὴ ὀργίζεσθαι.

η'. Ὅρος τῆς ἁγνείας, αἴσθησις ἀεὶ κεκολλημένη τῷ Θεῷ.

θ'. Ὅρος τῆς ἀγάπης, αὔξησις φιλίας πρὸς τοὺς ὑβρίζοντας.

ι'. Ὅρος τῆς τελείας ἀλλοιώσεως ἐν τρυφῇ Θεοῦ, χαρὰν ἡγεῖσθαι τὸ στυγνὸν τοῦ θανάτου.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ ΜΑΚΑΡΙΟΥ
# ΔΙΑΔΟΧΟΥ
## ΕΠΙΣΚΟΠΟΥ ΦΩΤΙΚΗΣ
## ΤΗΣ ΠΑΛΑΙΑΣ ΗΠΕΙΡΟΥ ΤΟΥ ΙΛΛΥΡΙΚΟΥ,

Λόγος Ἀσκητικὸς, διῃρημένος εἰς ρʹ. Κεφάλαια πρακτικὰ γνώσεως, καὶ διακρίσεως πνευματικῆς.

αʹ. Πάσης πνευματικῆς, ἀδελφοί, ἡγείσθω θεωρίας, πίστις, ἐλπίς, ἀγάπη· πλέον δὲ ἡ ἀγάπη. αἱ μὲν γὰρ, καταφρονεῖν τῶν ὁρωμένων ἐκδιδάσκουσι καλῶν. ἡ δὲ ἀγάπη αὐτὴν συνάπτει τὴν ψυχὴν ταῖς ἀρεταῖς τοῦ Θεοῦ, αἰσθήσει νοερᾷ τὸν ἀόρατον ἐξιχνεύουσα.

βʹ. Φύσει ἀγαθὸς μόνος ὁ Θεός. γίνεται δὲ καὶ ὁ ἄνθρωπος, ἐξ ἐπιμελείας τῶν τρόπων, ἀγαθὸς, διὰ τοῦ ὄντως ἀγαθοῦ. εἰς ὅπερ οὐκ ἔστιν ἐναλλαττόμενος, ὅταν ἡ ψυχὴ διὰ τῆς ἐπιμελείας τοῦ καλοῦ, τοσοῦτον γένηται ἐν Θεῷ, ὅσον ἡ ταύτης δύναμις ἐνεργουμένη θέλει· γίνεσθε γάρ φησιν ἀγαθοὶ, καὶ οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

γʹ. Τὸ κακὸν, οὔτε ἐν φύσει ἐστὶν, οὔτε μὴν φύσει τίς ἐστι κακός. κακὸν γάρ τι ὁ Θεὸς οὐκ ἐποίησεν. ὅτε δὲ ἐν τῇ ἐπιθυμίᾳ τῆς καρδίας εἰς εἶδός τις φέρει τὸ οὐκ ὂν ἐν οὐσίᾳ, τότε ἄρχεται εἶναι, ὅπερ ἂν ὁ τοῦτο ποιῶν ἐθέλοι· δεῖ οὖν ἀεὶ τῇ ἐπιμελείᾳ τῆς μνήμης τοῦ Θεοῦ, ἀμελεῖν τῆς ἕξεως τοῦ κακοῦ. δυνατωτέρα γάρ ἐστιν ἡ φύσις τοῦ καλοῦ, τῆς ἕξεως τοῦ κακοῦ· ἐπειδὴ τὸ μὲν, ἐστὶ, τὸ δὲ, οὐκ ἔστιν· εἰ μὴ μόνον ἐν τῷ πράττεσθαι.

δʹ. Πάντες ἄνθρωποι κατ' εἰκόνα ἐσμὲν τοῦ Θεοῦ, τὸ δὲ καθ' ὁμοίωσιν, ἐκείνων μόνων ἐστὶ, τῶν διὰ πολλῆς ἀγάπης τὴν ἑαυτῶν ἐλευθερίαν δουλωσάντων τῷ Θεῷ. ὅτε γὰρ οὐκ ἐσμὲν ἑαυτῶν, τότε ὅμοιοι ἐσμὲν τῷ ἡμᾶς ἑαυτῷ δι' ἀγάπης καταλλάξαντι. ὅπερ τις οὐκ ἐπιτεύξεται, ἐὰν μὴ πτοεῖσθαι τὴν ἑαυτοῦ ψυχὴν περὶ τὴν τοῦ βίου δόξαν οὐδόλως ποιῇ.

εʹ. Αὐτεξουσιότης ἐστὶ, ψυχῆς λογικῆς θέλησις, ἑτοίμως κινουμένη εἰς ὅπερ ἂν καὶ θέλοι· ἥντινα περὶ μόνον τὸ καλὸν, ἑτοίμως ἔχειν πείσωμεν. ἵν' ἀεὶ ταῖς ἀγαθαῖς * μνήμαις, τὴν μνήμην ἀναλίσκωμεν τοῦ κακοῦ. [* ἐννοίαις.]

ϛʹ. Φῶς ἐστι γνώσεως ἀληθινῆς, τὸ διακρίνειν ἀπταίστως τὸ καλὸν ἐκ τοῦ κακοῦ. τότε γὰρ ἡ τῆς δικαιοσύνης ὁδὸς τὸν νοῦν ἀπάγουσα πρὸς τὸν τῆς δικαιοσύνης * Θεὸν, εἰς ἄπειρον αὐτὸν φωτισμὸν παρεισάγει γνώσεως. ὡς μετὰ παῤῥησίας λοιπὸν τὴν ἀγάπην ζητοῦντα. δεῖ τοίνυν ἀοργήτῳ θυμῷ ἁρπάζειν τὸ δίκαιον ἐκ τῶν αὐτὸ ὑβρίζειν τολμώντων. ὁ γὰρ τῆς εὐσεβείας ζῆλος, οὐ μισῶν, ἀλλ' ἐλέγχων τὴν νίκην ἐνδείκνυται. [* ἥλιον.]

ζʹ. Ὁ πνευματικὸς λόγος, τὴν νοερὰν αἴσθησιν πληροφορεῖ. ἐνεργείᾳ γὰρ ἀ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γάπης ἐκ τοῦ Θεοῦ φέρεται. διό περ καὶ ἀβασάνιστος ἡμῶν διαμένει ὁ νοῦς ἐν τοῖς τῆς θεολογίας κινήμασι. οὐ γὰρ πάσχει τότε πενίαν, τὴν μέριμναν φέρουσαν. ἐπειδὴ τοσοῦτον ταῖς θεωρίαις πλατύνεται, ὅσον τῆς ἀγάπης ἡ ἐνέργεια θέλει. καλὸν οὖν ἀεὶ πίστει περιμένειν δι' ἀγάπης ἐνεργουμένης τὸν φωτισμὸν τοῦ λέγειν· οὐδὲν γὰρ πτωχότερον διανοίας, ἐκτὸς Θεοῦ, φιλοσοφούσης τὰ τοῦ Θεοῦ.

η'. Οὔτε ἀφώτιστον ὄντα δεῖ ἐπιβάλλειν τοῖς πνευματικοῖς θεωρήμασιν· οὔτε μὴν πλουσίως καταλαμπόμενον ὑπὸ τῆς χρηστότητος τοῦ Παναγίου Πνεύματος, ἐπὶ τὸ λέγειν ἔρχεσθαι. ὅπου μὲν γὰρ πενία, φέρει τὴν ἄγνοιαν· ὅπου δὲ πλοῦτος, οὐ συγχωρεῖ τὸ λέγειν· μεθύουσα γὰρ τότε ἡ ψυχὴ τῇ ἀγάπῃ τοῦ Θεοῦ, σιγώσῃ φωνῇ θέλει κατατρυφᾶν τῆς δόξης τοῦ Κυρίου. τὴν οὖν μεσότητα δεῖ ἐπιτηροῦντα τῆς ἐνεργείας, εἰς λόγους ἔρχεσθαι θεηγόρους. τοῦτο μὲν γὰρ τὸ μέτρον, εἶδός τι λόγων ἐνδόξων τῇ ψυχῇ χαρίζεται. ἡ δὲ τῆς ἐλλάμψεως πολυτέλεια τὴν πίστιν τρέφει τοῦ λέγοντος ἐν πίστει, ἵνα πρῶτος ὁ διδάσκων τοῦ καρποῦ γεύσηται δι' ἀγάπης τῆς γνώσεως. τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν.

θ'. Τοῦ μὲν ἑνὸς Ἁγίου Πνεύματός ἐστι χάρισμα εἴτε σοφία καὶ ἡ γνῶσις, ὡς καὶ πάντα τὰ θεῖα χαρίσματα. ἰδίαν δὲ ὥσπερ ἕκαστον αὐτῶν τὴν ἐνέργειαν ἔχει. διόπερ ἄλλῳ μὲν δίδοσθαι σοφίαν, ἄλλῳ δὲ γνῶσιν, κατὰ τὸ αὐτὸ Πνεῦμα· ὁ Ἀπόστολος μαρτυρεῖ. Ἡ μὲν γὰρ γνῶσις, πείρᾳ συνάπτει τὸν ἄνθρωπον τῷ Θεῷ, εἰς λόγους τῶν πραγμάτων τὴν ψυχὴν μὴ κινοῦσα. διὸ καί τινες τῶν τὸν μονήρη βίον φιλοσοφούντων, φωτίζονται μὲν ὑπ' αὐτῆς ἐν αἰσθήσει, εἰς δὲ λόγους θείους οὐκ ἔρχονται· ἡ δὲ σοφία, εἴπερ μετ' αὐτῆς ἐν φόβῳ δοθείη τινί, (σπάνιον δὲ τοῦτο,) αὐτὰς τὰς ἐνεργείας φανεροῖ τῆς γνώσεως ἐν ἀγάπῃ. ἐπεὶ ἡ μὲν τῇ ἐνεργείᾳ, ἡ δὲ τῷ λόγῳ φωτίζειν εἴωθε. ἀλλὰ τὴν μὲν γνῶσιν εὐχὴ φέρει, καὶ πολλὴ ἡσυχία ἐν ἀμεριμνίᾳ παντελεῖ. τὴν δὲ σοφίαν ἀκενόδοξος μελέτη τῶν λογίων τοῦ Πνεύματος· καὶ πρῶτον ἡ χάρις τοῦ διδόντος Θεοῦ.

Ὅτε τὸ θυμῶδες τῆς ψυχῆς κινεῖται κατὰ τῶν παθῶν, εἰδέναι δεῖ, σιωπῆς εἶναι καιρόν. ὥρα γάρ ἐστι πάλης· Ὅτε δὲ τὴν ἀκαταστασίαν ἐκείνην ἴδοι τις ἢ δι' εὐχῆς, ἢ δι' ἐλεημοσύνης εἰς γαλήνην ἐλθοῦσαν, κινείσθω τῷ ἔρωτι τῶν λόγων, δεσμῷ ταπεινοφροσύνης τὰ τοῦ νοῦ διασφαλιζόμενος πτερά. ἐὰν γὰρ μή τις ἑαυτὸν τῇ ἐξουδενώσει ταπεινώσῃ λίαν, οὐ δύναται περὶ μεγαλωσύνης διαλέγεσθαι Θεοῦ. ι'.

Ὁ πνευματικὸς λόγος ἀκενόδοξον ἀεὶ τὴν ψυχὴν διατηρεῖ. αἰσθήσει γὰρ φωτὸς ὅλα αὐτῆς τὰ μέρη εὐεργετῶν, τῆς ἐξ ἀνθρώπων αὐτὴν τιμῆς, οὐ χρείαν ἔχειν ποιεῖ. διόπερ καὶ ἀφάνταστον ἀεὶ φυλάττει τὴν διάνοιαν ὡς ἀλλοιῶν αὐτὴν ὅλην εἰς ἀγάπην Θεοῦ. ὁ δὲ τῆς τοῦ κόσμου σοφίας λόγος εἰς φιλοδοξίαν ἀεὶ προσκαλεῖται τὸν ἄνθρωπον. ἐπειδὴ γὰρ πείρᾳ αἰσθήσεως εὐεργετεῖν οὐ δύναται, ἐπαίνων φιλίαν τοῖς αὐτοῦ ἰδίοις χαρίζεται ὡς πλάσμα ὢν κενοδόξων ἀνθρώπων. τὴν τοιαύτην οὖν τοῦ Θεοῦ λόγου διάθεσιν ἀπλανῶς ἐπιγνωσόμεθα, εἴπερ ἐν ἀμεριμνίᾳ σιωπῇ τὰς τοῦ μὴ λέγειν ὥρας ἀναλίσκομεν, ἐν θερμῇ μνήμῃ τοῦ Θεοῦ. ια'.

Ὁ ἑαυτὸν φιλῶν, τὸν Θεὸν ἀγαπᾶν οὐ δύναται· ὁ δὲ ἑαυτὸν μὴ φιλῶν ἕνεκεν τοῦ ὑπερβάλλοντος πλούτου τῆς ἀγάπης τοῦ Θεοῦ, οὗτος τὸν Θεὸν ἀγαπᾷ. διόπερ ὁ τοιοῦτος, οὐ τὴν ἑαυτοῦ ζητεῖ δόξαν ποτέ, ἀλλὰ τὴν τοῦ Θεοῦ. ὁ γὰρ ἑαυτὸν φιλῶν, τὴν ἑαυτοῦ δόξαν ἐπιζη- ιβ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦ. ὁ δὲ τὸν Θεὸν φιλῶν, τὴν τοῦ κτίσαντος αὐτὸν δόξαν ἀγαπᾷ. ψυχῆς γὰρ αἰσθητικῆς καὶ θεοφιλοῦς ἴδιον, τὴν μὲν δόξαν ἀεὶ ζητεῖν τὴν τοῦ Θεοῦ, ἐν πάσαις αἷς ποιεῖ ἐντολαῖς. ἐπὶ δὲ τῇ ἑαυτῆς ταπεινώσει τέρπεσθαι. ὅτι τῷ Θεῷ μὲν δόξα διὰ μεγαλωσύνην πρέπει· ἀνθρώπῳ δὲ ταπείνωσις. ἵνα δι' αὐτῆς οἰκειωθῶμεν τῷ Θεῷ. ὅπερ ἐὰν ποιῶμεν καὶ ἡμεῖς κατὰ τὸν ἅγιον Βαπτιστὴν Ἰωάννην, χαίροντες τῇ δόξῃ τοῦ Κυρίου, ἀπαύστως λέγειν ἀρξόμεθα. ἐκεῖνον δεῖ ὑψοῦσθαι, ἡμᾶς δὲ ἐλαττοῦσθαι.

ιγ'. Οἶδα ἐγώ τινα οὕτω τὸν Θεὸν ἀγαπῶντα καὶ * ἐπιποθοῦντα, ὅτι οὐκ ἀγαπᾷ ὡς θέλει, ὥστε ἀπαύστως αὐτοῦ τὴν ψυχὴν ἐν τοιαύτῃ εἶναι τινὶ θερμῇ ἐπιθυμίᾳ, ὥστε τὸν μὲν Θεὸν ἐν αὐτῷ δοξάζεσθαι, αὐτὸν δὲ, ὡς μηδὲ ὄντα εἶναι. οὗτος δὲ οὔτε οἶδεν ὅπερ ἐστὶν, οὔτε ἐν αὐτοῖς τοῖς ἐπαίνοις τῶν λόγων ἥδεται. τῇ γὰρ πολλῇ ἐπιθυμίᾳ τῆς ταπεινώσεως, τὴν ἑαυτοῦ οὐκ οἶδεν ἀξίαν. ἀλλὰ λειτουργεῖ μὲν τῷ Θεῷ, ὡς νόμος ἱερεῦσι, πολλῇ δέ τινι τῇ τῆς θεοφιλίας διαθέσει, κλέπτει ἑαυτοῦ τὴν μνήμην τῆς ἀξίας· ἐν τῷ βάθει τινὶ τῆς ἀγάπης τοῦ Θεοῦ τὸ ἐκ ταύτης ἐναποκρύπτων καύχημα, ἐν πνεύματι ταπεινώσεως. ἵνα πᾶς τις ἀχρεῖος παρ' ἑαυτῷ διαπαντὸς τῇ διανοίᾳ φαίνηται. ὡς ἀλλότριος ὢν πάντως τῆς ἑαυτοῦ ἀξίας, τῇ ἐπιθυμίᾳ τῆς ταπεινώσεως. ὅπερ δεῖ καὶ ἡμᾶς ποιοῦντας πᾶσαν τιμὴν ἀποφεύγειν, καὶ δόξαν, διὰ τὸ ὑπερβάλλον τοῦ πλούτου τῆς ἀγάπης, τοῦ οὕτως ἡμᾶς ἀγαπῶντος Κυρίου.

* ἐν ἄλλ. ἐπιπεινῶντα.

ιδ'. Ὁ ἐν αἰσθήσει καρδίας ἀγαπῶν τὸν Θεὸν, ἐκεῖνος ἔγνωσται ὑπ' αὐτοῦ. ὅσον γάρ τις ἐν αἰσθήσει ψυχῆς παραδέχεται τὴν ἀγάπην τοῦ Θεοῦ, τοσοῦτον γίνεται ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ. διὸ λοιπὸν τοῦ φωτισμοῦ τῆς γνώσεως ἐν ἔρωτι τινὶ σφοδρῷ ὁ τοιοῦτος ὀρεγόμενος οὐ παύεται, ἄχρις ἂν καὶ αὐτῆς τῆς τῶν ὀστέων ἰσχύος ἐκδαπανηθεὶς αἴσθηται. οὐκ ἔτι εἰδὼς ἑαυτὸν, ἀλλ' ὅλος ὑπὸ τῆς ἀγάπης ἠλλοιωμένος τοῦ Θεοῦ. ὁ τοιοῦτος δὲ καὶ πάρεστιν ἐν τῷ βίῳ τούτῳ καὶ οὐκ ἔστιν ἐν αὐτῷ. ἔτι γὰρ ἐνδημῶν τῷ ἑαυτοῦ σώματι, ἐκδημεῖ διὰ τῆς ἀγάπης τῇ κινήσει τῆς ψυχῆς ἀπαύστως πρὸς τὸν Θεόν. ἀνενδότως γὰρ λοιπὸν διὰ τοῦ πυρὸς τῆς ἀγάπης τὴν καρδίαν καιόμενος, ἀνάγκῃ τινὶ πόθου κεκόλληται τῷ Θεῷ. ὡς ἐκστὰς ἅπαξ τῆς ἑαυτοῦ φιλίας τῇ ἀγάπῃ τοῦ Θεοῦ. εἴτε γὰρ ἐξέστημεν· φησί. Θεῷ, εἴτε σωφρονοῦμεν, ὑμῖν.

Ὅταν ἄρξηταί τις αἰσθάνεσθαι πλουσίως τῆς ἀγάπης τοῦ Θεοῦ, τότε ἄρχεται ἐν αἰσθήσει πνεύματος, καὶ τὸν πλησίον ἀγαπᾷν· αὕτη γάρ ἐστιν ἡ ἀγάπη, περὶ ἧς πᾶσαι αἱ ἅγιαι γραφαὶ διαλέγονται· ἡ γὰρ κατὰ σάρκα φιλία εὐχερῶς ἄγαν διαλύεται, βραχείας τινὸς εὑρεθείσης αἰτίας· αἰσθήσει γὰρ οὐ δέδεται πνεύματος· τῷ τοι κἂν συμβῇ τινα παροξυσμὸν γενέσθαι ἐπὶ τῆς ἐνεργουμένης ὑπὸ τοῦ Θεοῦ ψυχῆς, οὐ λύεται παρ' αὐτῇ ὁ δεσμὸς τῆς ἀγάπης· τῇ γὰρ θέρμῃ τῆς ἀγάπης τοῦ Θεοῦ ἀναζωπυροῦσα ἑαυτὴν, εὐθέως εἰς τὸ ἀγαθὸν ἐπανακαλεῖται θᾶττον, καὶ μετὰ πολλῆς χαρᾶς τὴν τοῦ πλησίον προσδέχεται ἀγάπην, κἂν μεγάλως ὑπ' αὐτοῦ ἢ καθύβρισται ἢ ἐζημίωται· ἐν γὰρ τῇ γλυκύτητι τοῦ Θεοῦ τὸ πικρὸν πάντως ἀναλίσκει τῆς ἔριδος. ιε'.

Οὐδεὶς δύναται μὴ πρότερον φοβηθεὶς τὸν Θεὸν ἐν αἰσθήσει καρδίας, ἀγαπῆσαι αὐτὸν ἐν ὅλῃ καρδίᾳ· διὰ γὰρ τῆς ἐνεργείας τοῦ φόβου ἁγνιζομένη, καὶ ἁπαλυνομένη ὥσπερ ἡ ψυχὴ, εἰς ἀγάπην ἐνεργουμένην ἔρχεται· οὐκ ἂν δέ τις εἰς φόβον ἔλθῃ Θεοῦ τὸν εἰρημένον τρόπον, εἰ μὴ πασῶν τῶν βιωτικῶν ἔξω γένηται φροντίδων· ὅτε γὰρ ἐν ἡσυχίᾳ πολλῇ, ις'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ ἀμεριμνία γένηται ὁ νοῦς, τότε αὐτὸν ὀχλεῖ ὁ φόβος τοῦ Θεοῦ, καθαρίζων αὐτὸν ἐν αἰσθήσει πολλῇ ἀπὸ πάσης τῆς γεώδους παχύτητος· ἵν' οὕτως αὐτὸν εἰς πολλὴν ἀγάπην ἀγάγῃ τῆς ἀγαθότητος τοῦ Θεοῦ· ὥστε ὁ μὲν φόβος τῶν ἔτι καθαριζομένων ἐστὶ δικαίων μετὰ μεσότητος ἀγάπης· ἡ δὲ τελεία ἀγάπη τῶν ἤδη καθαρισθέντων ἐν οἷς οὐκ ἔστι φόβος· ἡ γὰρ τελεία ἀγάπη· φησὶν· ἔξω βάλλει τὸν φόβον. ἀμφότερα δὲ δικαίων ἐστὶ μόνων, οἵτινες ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος τὰς ἀρετὰς κατεργάζονται· καὶ διὰ τοῦτο ποτὲ μὲν λέγει ἡ γραφή, φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ· ποτὲ δὲ, ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ· ἵνα μάθωμεν σαφῶς, ὅτι τῶν μὲν ἔτι καθαριζομένων δικαίων ἐστὶν ὁ φόβος τοῦ Θεοῦ, μετὰ μεσότητος· ὡς εἴρηται· ἀγάπης· τῶν δὲ καθαρισθέντων ἡ τελεία ἀγάπη. ἐν οἷς οὐκ ἔστιν ἔτι ἔννοια φόβου τινὸς, ἀλλ' ἔκκαυσις ἄπαυστος καὶ κόλλησις τῆς ψυχῆς πρὸς τὸν Θεὸν, διὰ τῆς ἐνεργείας τοῦ Ἁγίου Πνεύματος, κατὰ τὸν λέγοντα, ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

ιζ'. Ὥσπερ τὰ συμβαίνοντα τῷ σώματι τραύματα, ὅταν μὲν κεχερσωκότα ᾖ καὶ ἀνεπιμέλητα, τῶν προσαγομένων αὐτοῖς φαρμάκων ὑπὸ τῶν ἰατρῶν οὐκ αἰσθάνεται· καθαρισθέντα δὲ, τῆς ἐνεργείας αἰσθάνεται τοῦ φαρμάκου, εἰς ἴασιν τελείαν ἐντεῦθεν ἐρχόμενα. οὕτω καὶ ἡ ψυχὴ, ἕως μὲν ἀνεπιμέλητος τυγχάνῃ, καὶ ὑπὸ τῆς λέπρας τῆς φιληδονίας ὅλη κεκαλυμμένη, αἰσθάνεσθαι τοῦ φόβου οὐ δύναται τοῦ Θεοῦ, κἂν ἀπαύστως αὐτῇ τις τὸ φοβερὸν καὶ δυνατὸν κριτήριον καταγγέλλῃ τοῦ Θεοῦ· ἐπειδὰν δὲ ἄρξηται διὰ τῆς πολλῆς προσοχῆς καθαίρεσθαι, τότε ὡς φαρμάκου τινὸς ὄντος ζωῆς, τοῦ θείου φόβου αἰσθάνεται· καίοντος αὐτὴν ὥσπερ, τῇ ἐνεργείᾳ τῶν ἐλέγχων, ἐν πυρὶ ἀπαθείας· ὅθεν κατὰ μέρος λοιπὸν καθαριζομένη, εἰς τὸ τέλειον τοῦ καθαρισμοῦ φθάνει· τοσοῦτον τῇ ἀγάπῃ προστιθεῖσα, ὅσον ἐλαττοῦται τοῦ φόβου· ἵν' οὕτως εἰς τὴν τελείαν ἀγάπην καταφθάσῃ, ἐν ᾗ φόβος· ὡς εἴρηται· οὐκ ἔστιν, ἀλλ' ἀπάθεια πᾶσα διὰ δόξης ἐνεργουμένη Θεοῦ· ἔσω οὖν ἡμῖν εἰς καύχημα καυχημάτων ἄπαυστον, πρῶτον μὲν ὁ φόβος τοῦ Θεοῦ· λοιπὸν δὲ ἡ ἀγάπη τὸ πλήρωμα τοῦ νόμου τῆς ἐν Χριστῷ τελειότητος.

Ψυχὴ μὴ τῶν κοσμικῶν ἀπαλλαγεῖσα φροντίδων, οὔτε τὸν Θεὸν ἀγαπήσει γνησίως, οὔτε τὸν διάβολον βδελύξεται ἀξίως· κάλυμμα γὰρ ἅπαξ ἔχει φορτικὸν, τὴν μέριμναν τοῦ βίου· ὅθεν τὸ ἑαυτοῦ ἐπιγνῶναι ὁ νοῦς ἐπὶ τῶν τοιούτων οὐ δύναται δικαστήριον, ἵνα παρ' ἑαυτῷ δοκιμάζῃ ἀπλανῶς τὰς ψήφους τῆς κρίσεως· διὰ πάντα οὖν ἡ ἀναχώρησις χρήσιμος. ιη'.

Ψυχῆς καθαρᾶς ἴδιον, λόγος μὲν ἄφθονος· ζῆλος δὲ ἄκακος· καὶ ἔρως ἄπαυστος τοῦ Κυρίου τῆς δόξης· τότε δὲ καὶ τὰς οἰκείας ὁ νοῦς ἀκριβῶς διαῤῥυθμίζει πλάστιγγας, ὡς ἐν καθαρωτάτῳ κριτηρίῳ τῇ ἑαυτοῦ διανοίᾳ ἐμπαρών. ιθ'.

Πίστις ἄεργος, καὶ ἔργον ἄπιστον τὸν αὐτὸν τρόπον ἀποδοκιμασθήσονται· δεῖ γὰρ τὸν πιστὸν πίστιν ἐπιδεικνύμενον, τὰ πράγματα τῷ Κυρίῳ προσφέρειν· οὐδὲ γὰρ τῷ πατρὶ ἡμῶν Ἀβραὰμ εἰς δικαιοσύνην λελόγιστο ἡ πίστις, εἰ μὴ τὸν καρπὸν αὐτῆς τὸν παῖδα προσήγαγε. κ'.

Ὁ ἀγαπῶν τὸν Θεὸν, καὶ πιστεύει γνησίως, καὶ τὰ ἔργα τῆς πίστεως ἐπιτελεῖ ὁσίως· ὁ δὲ πιστεύων μόνον καὶ μὴ ὢν ἐν τῇ ἀγάπῃ, οὐδὲ αὐτὴν τὴν πίστιν, ἣν δοκεῖ ἔχειν, ἔχει· ἐλαφρότητι γάρ τινι πιστεύει νοὸς, ὡς ὑπὸ τοῦ βάρους τῆς δόξης τῆς ἀγάπης μὴ ἐνεργούμενος· πίστις οὖν δι' ἀγάπης ἐνεργουμένη, τὸ μέγα κεφάλαιον τῶν ἀρετῶν. κα'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κβ'. Ὁ τῆς πίστεως βυθὸς ἐρευνώμενος μὲν κυμαίνεται, ἁπλῇ δὲ διαθέσει θεωρούμενος γαληνιᾷ· λήθης γὰρ κακῶν ὕδωρ ὂν τὸ βάθος τῆς πίστεως, οὐ φέρει παρὰ περιέργων ἐννοιῶν θεωρεῖσθαι· ἁπλότητι οὖν διανοίας τοῖς αὐτῆς ἐμπλέομεν ὕδασιν, ἵνα εἰς τὸν λιμένα τοῦ θελήματος οὕτω καταφθάσωμεν τοῦ Θεοῦ.

κγ'. Οὐδεὶς δύναται ἀγαπᾶν, ἢ πιστεύειν γνησίως, εἰ μὴ αὐτὸν ἑαυτοῦ ἔχῃ κατήγορον· ὅταν γὰρ ἡ συνείδησις ἡμῶν ἑαυτὴν τοῖς ἐλέγχοις ταράττῃ, οὐκ ἔτι τῆς ὀσμῆς ὁ νοῦς τῶν ὑπερκοσμίων ἀγαθῶν παραχωρεῖται αἰσθάνεσθαι, ἀλλ' εὐθέως εἰς ἀμφιβολίαν μερίζεται· θερμῇ μὲν κινήσει διὰ τὴν προλαβοῦσαν πεῖραν τῆς πίστεως ὀρεγόμενος, μηκέτι δὲ αὐτῆς ἐν αἰσθήσει καρδίας ἐπιλαβέσθαι διὰ τῆς ἀγάπης δυνάμενος, διὰ τοὺς πυκνούς, ὡς ἔφην, νυγμοὺς τῆς ἐλεγχούσης συνειδήσεως· πλὴν καθαρίσαντες ἑαυτοὺς θερμοτέρᾳ προσοχῇ, μετὰ πλείονος πείρας, ἐν Θεῷ, τοῦ ποθουμένου τευξόμεθα.

κδ'. Ὥσπερ πρὸς τὰ φαινόμενα ἡμᾶς καλά, βιαίως πως αἱ τοῦ σώματος προτρέπονται αἰσθήσεις, οὕτω πρὸς τὰ ἀόρατα ἡμᾶς ἀγαθὰ ἡ τοῦ νοῦ εἴωθε, ὅτε τῆς θείας γεύσηται, χειραγωγεῖν αἴσθησις· ἕκαστον γὰρ τῆς οἰκείας συγγενείας πάντως ὀρέγεται· ἡ μὲν γὰρ ψυχὴ ὡς ἀσώματος τῶν οὐρανίων καλῶν, τὸ δὲ σῶμα ὡς χοῦς τῆς ἐπιγείου τρυφῆς· τῆς ἀΰλου οὖν εἰς πεῖραν ἐλευσόμεθα ἀπλανῶς αἰσθήσεως, εἴπερ τὴν ὕλην τοῖς πόνοις λεπτύνωμεν.

κε'. Μίαν μὲν εἶναι αἴσθησιν φυσικήν, αὐτὴ ἡ τῆς ἁγίας ἡμᾶς γνώσεως ἐκδιδάσκει ἐνέργεια· εἰς δύο δὲ λοιπὸν διὰ τὴν παρακοὴν τοῦ Ἀδὰμ διαιρουμένην ἐνεργείας, μίαν μὲν ἁπλῆν τὴν ἐκ τοῦ Ἁγίου Πνεύματος αὐτῇ ἐγγινομένην. ἥντινα οὐδεὶς δύναται εἰδέναι, εἰμὴ μόνοι οἱ τῶν τοῦ βίου καλῶν, διὰ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν, ἀπαλλαττόμενοι ἡδέως, καὶ πᾶσαν τὴν τῶν σωματικῶν αἰσθήσεων διὰ τῆς ἐγκρατείας καταμαραίνοντες ὄρεξιν· ἐπὶ γὰρ τούτων μόνων εὐρώστως ὁ νοῦς διὰ τὴν ἀμεριμνίαν κινούμενος, τῆς θείας ἀρρήτως αἰσθάνεσθαι χρηστότητος δύναται· ὅθεν καὶ τῷ σώματι τότε κατὰ τὸ μέτρον τῆς αὐτοῦ προκοπῆς τῆς οἰκείας μεταδίδωσι χαρᾶς, ἀπείρῳ τινὶ λόγῳ τῇ ἀγάπῃ τῆς ἐξομολογήσεως ἀγαλλιώμενος· ἐπ' αὐτῷ γάρ φησιν ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην, καὶ ἀνέθαλεν ἡ σάρξ μου, καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ· ἡ γὰρ τότε ὄντως ἐγγινομένη χαρὰ τῇ ψυχῇ καὶ τῷ σώματι, ὑπόμνησίς ἐστιν ἀπλανὴς τῆς ἀφθάρτου βιοτῆς.

Ἀκύμαντον ἀεὶ δεῖ διαφυλάττειν τοὺς κϛ'.
ἀγωνιζομένους τὴν διάνοιαν· ἵνα τοὺς εἰς αὐτὴν διαθέοντας λογισμοὺς ὁ νοῦς διακρίνων, τοὺς μὲν καλοὺς ἤδη θεοπέμπτους ἐν τοῖς ταμιείοις ἐναποτίθηται τῆς μνήμης· τοὺς δὲ σκαιοὺς καὶ δαιμονιώδεις, ἔξω που τῶν ἀποθηκῶν ἀπορρίπτῃ τῆς φύσεως· καὶ γὰρ ἡ θάλασσα γαληνιῶσα μὲν ἄχρις αὐτοῦ αὐτῆς τοῦ βυθίου κινήματος ὑπὸ τῶν τοὺς ἰχθύας ἀγρευόντων καθορᾶται· ὡς μηδὲν αὐτοὺς σχεδὸν λανθάνειν ποτὲ, τῶν τῆς ἐκεῖσε διαπορευομένων ζώων τρίβους· ὅτε δὲ ὑπὸ τῶν πνευμάτων ταράττεται, κρύπτει τῇ τῆς ταραχῆς συγνότητι, ἅπερ ἐν τῷ γέλωτι τῆς γαλήνης ὁρᾶσθαι φιλοτιμεῖται· ὅθεν ἀργὴν οὖσαν τότε τὴν τέχνην ὁρῶμεν τοῖς τῆς ἁλιευτικῆς μηχανωμένοις δόλους· ὅπερ καὶ τὸν νοῦν πάντως συμβαίνει πάσχειν τὸν θεωρητικόν, ὅταν μάλιστα ἐξ ὀργῆς ἀδίκου, ὁ βυθὸς τῆς ψυχῆς ταράττηται.

Ὀλίγων ἐστὶ λίαν, τὸ πάντα τὰ οἰ- κζ'.
κεῖα ἀκριβῶς ἐπιγινώσκειν πταίσματα, καὶ ὧν οὐδέποτε ὁ νοῦς τῆς μνήμης ἐξαρπάζεται τοῦ Θεοῦ. ὃν γὰρ τρόπον οἱ ὀφθαλμοὶ ἡμῶν οἱ σωματικοί, ὅταν μὲν ὑγιαίνωσι, πάντα ὁρᾶν ἔχουσι καὶ τῶν

σημειωμένων κωνώπων, ἢ ἐμπίδων τὸν ἀέρα διώκονται· ὅταν δὲ ὑπὸ θολώσεως, ἢ ὑπὸ χυμῶν τινῶν σκεπάζωνται, εἰ μέν τι μέγα εἴη τῶν ἀπαντώντων αὐτοῖς, τοῦτο ἀμυδρῶς ὁρῶσι· τῶν δὲ μικρῶν οὐκ αἰσθάνονται τῇ αἰσθήσει τῆς βλέψεως· οὕτω καὶ ἡ ψυχή, ἐὰν μὲν τὴν ἐκ τῆς φιλοκοσμίας αὐτῇ συμβαίνουσαν πήρωσιν τῇ προσοχῇ λεπτύνῃ, καὶ τὰ ἄγαν αὐτῆς βραχέα πταίσματα, ὡς μεγάλα λίαν ἡγουμένη, δάκρυον ἐπὶ δακρύῳ ἐν πολλῇ εὐχαριστίᾳ ἀδιαλείπτως φέρει· δίκαιοι γάρ φησιν· ἐξομολογήσονται τῷ ὀνόματί σου· ἐὰν δὲ τῇ τοῦ κόσμου ἐμμείνῃ διαθέσει, εἰ μέν τι φονικόν, ἢ πολλῆς ἄξιον διαπράξηται τιμωρίας, τοῦτο ἠρέμα αἰσθάνεται· τῶν δὲ ἄλλων πταισμάτων οὐδὲν ἐπισημαίνεσθαι δύναται, ἀλλὰ καὶ ὡς κατορθώματα αὐτὰ πολλάκις ἡγεῖται· διὸ καὶ ὑπὲρ αὐτῶν θερμῶς λογοποιουμένη ἡ ἀθλία οὐκ αἰσχύνεται.

κη'. Νοῦν καθαρίσαι, μόνου ἐστὶ τοῦ Ἁγίου Πνεύματος· ἐὰν γὰρ μὴ εἰσέλθῃ ὁ δυνατὸς καὶ σκυλεύσῃ καὶ δήσῃ τὸν ἅρπαγα, οὐδαμῶς τὸ λάφυρον ἐλευθερωθήσεται· δεῖ οὖν διὰ πάντων, καὶ πλέον διὰ τῆς εἰρήνης τῆς ψυχῆς, ἀναπαύειν τὸ Πνεῦμα τὸ Ἅγιον, ἵνα τὸν λύχνον τῆς γνώσεως ἔχωμεν παρ' ἑαυτοῖς φαίνοντα διαπαντός. διαστράπτοντος γὰρ αὐτοῦ ἀπαύστως ἐν τοῖς ταμιείοις τῆς ψυχῆς, οὐ μόνον κατάδηλοι ἐν τῷ νοΐ αἱ πικραὶ ἐκεῖναι καὶ σκοτειναὶ τῶν δαιμόνων γίνονται προσβολαί, ἀλλὰ καὶ ἐξασθενοῦσι λίαν ὑπὸ τοῦ Ἁγίου ἐκείνου, καὶ ἐνδόξου ἐλεγχόμεναι φωτός, καὶ διὰ τοῦτο ὁ Ἀπόστολος λέγει, τὸ Πνεῦμα μὴ σβέννυτε· ἀντὶ τοῦ μὴ κακοεργοῦντες, ἢ κακὰ λογιζόμενοι λυπεῖτε τὴν τοῦ Ἁγίου Πνεύματος ἀγαθότητα, ἵνα μὴ τῆς ὑπερμάχου ἐκείνης στερηθῆτε λαμπάδος· οὐ γὰρ τὸ ἀΐδιον, καὶ ζωοποιὸν σβέννυται, ἀλλ' ἡ ἐκείνου λύπη, τουτέστιν ἡ ἀποστροφή, συγχεῖ, καὶ ἀφεγγῆ τὸν νοῦν καταλιμπάνει τῆς γνώσεως.

Μίαν μὲν ὡς ἔφην αἴσθησιν εἶναι φυσικὴν τῆς ψυχῆς ἐπιστάμεθα· αἱ γὰρ νῦν, ἅπαξ ταῖς τοῦ σώματος ἡμῶν διαφέρουσι χρείαις, τὸ Πανάγιον ἡμᾶς καὶ φιλάνθρωπον Πνεῦμα ἐκδιδάσκει τοῦ Θεοῦ· συνδιαιρεῖται δὲ αὕτη, διὰ τὸν ἐκ τῆς παραβάσεως προηγούμενον ὄλισθον τῷ ταῖς αὐταῖς τῆς ψυχῆς κινήσεσι· διόπερ τὸ μὲν αὐτῆς, τῷ ἐμπαθεῖ συναπάγεται μέρει· ὅθεν τῶν τοῦ βίου καλῶν ἡδέως αἰσθανόμεθα. τὸ δὲ τῷ λογικῷ αὐτῆς καὶ νοερῷ πολλάκις συνήδεται κινήματι· καθὸ πρὸς τὰ ὄρθια τρέχων ὁ νοῦς ἡμῶν κάλλη, ὅτε σωφρονοῦμεν, ὀρέγεται. ἐὰν οὖν εἰς ἕξιν ἔλθωμεν τοῦ καταφρονεῖν τῶν ἐν τῷ κόσμῳ καλῶν, δυνησόμεθα καὶ τὴν γηΐνην τῆς ψυχῆς ὄρεξιν τῇ λογικῇ αὐτῆς συνάψαι διαθέσει, τῆς κοινωνίας τοῦ Ἁγίου Πνεύματος τοῦτο οἰκονομούσης εἰς ἡμᾶς· ἐὰν γὰρ μὴ ἡ ἑαυτοῦ θεότης ἐνεργητικῶς τὰ τῆς καρδίας ἡμῶν ταμεῖα καταυγάσῃ, οὐκ ἂν δυνηθῶμεν ἐν ἀδιαιρέτῳ τῇ αἰσθήσει, τουτέστιν ἐν ὁλοκλήρῳ διαθέσει γεύσασθαι τοῦ ἀγαθοῦ. κθ'.

Αἴσθησίς ἐστι νοός, γεῦσις ἀκριβὴς τῶν διακρινομένων· ὃν γὰρ τρόπον τῇ γευστικῇ ἡμῶν αἰσθήσει τοῦ σώματος, τὰ καλὰ ἐκ τῶν φαύλων ἀπλανῶς ἐν τῷ καιρῷ τῆς ὑγείας διακρίνοντες, τῶν χρηστῶν ὀρεγόμεθα· οὕτω καὶ ὁ νοῦς ἡμῶν, ὅταν ἐρρωμένως καὶ ἐν πολλῇ ἀμεριμνίᾳ κινεῖσθαι ἄρξηται, δύναται τῆς θείας παρακλήσεως πλουσίως αἰσθάνεσθαι, καὶ ὑπὸ τῆς ἐναντίας μηδέποτε συναρπάζεσθαι· ὡς γὰρ τὸ σῶμα τῶν γεωδῶν γευόμενον ἐδεσμάτων, ἔχει τὴν πεῖραν τῆς αἰσθήσεως ἄπταιστον, οὕτω καὶ ὁ νοῦς ὅτε ἐπάνω τοῦ τῆς σαρκὸς καυχᾶται φρονήματος, δύναται γεύεσθαι τῆς παρακλήσεως ἀπλανῶς τοῦ Ἁγίου Πνεύματος. γεύσασθε γάρ φησι, καὶ λ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἴδετε ὅτι χρηστὸς ὁ Κύριος· καὶ ἔχειν τὴν μνήμην τῆς γεύσεως διὰ τῆς ἐνεργείας τῆς ἀγάπης ἄληστον, ἐν τῷ δοκιμάζειν ἀπταίστως τὰ διαφέροντα κατὰ τὸν λέγοντα Ἅγιον· καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ἡμῶν ἔτι μᾶλλον, καὶ μᾶλλον περισσεύῃ, ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει, εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα.

λά. Ὅταν ὁ νοῦς ἡμῶν ἄρξηται τῆς τοῦ Παναγίου Πνεύματος αἰσθάνεσθαι χάριτος, τότε καὶ ὁ σατανᾶς ἐν ἡδυφανεστάτῃ αἰσθήσει ἐν ταῖς νυκτεριναῖς ἡσυχίαις, ὅτε τις, ὥσπερ ὕπνου τινὸς λεπτοτάτου, ἔρχεται ῥοπῇ, τὴν ψυχὴν παρακαλεῖ. ἐὰν οὖν ἐν θερμῇ λίαν μνήμῃ εὑρεθῇ κρατῶν ὁ νοῦς τὸ ἅγιον ὄνομα τοῦ Κυρίου Ἰησοῦ, καὶ ὥσπερ ὅπλῳ κέχρηται τῷ τῆς ἀγάπης τῷ παναγίῳ καὶ ἐνδόξῳ ὀνόματι ἐκείνῳ, ἀναχωρεῖ μὲν ὁ πλάνος τοῦ δόλου· εἰς πόλεμον δὲ λοιπὸν ἐνυπόστατον ἐξάπτεται τῆς ψυχῆς. ὅθεν ὁ νοῦς ἐπιγινώσκων τὴν ἀπάτην ἀκριβῶς τοῦ πονηροῦ, πλέον εἰς τὴν πεῖραν προκόπτει τῆς διακρίσεως.

λβ'. Ἡ ἀγαθὴ παράκλησις ἢ ἐγρηγορότος τοῦ σώματος, ἢ καὶ εἰς ὕπνου τινὸς μέλλοντος ἔρχεσθαι ἔμφασιν, ὅτε τις ἐν θερμῇ μνήμῃ τοῦ Θεοῦ, τῇ αὐτοῦ ὥσπερ κεκόλληται ἀγάπῃ. ἡ δὲ τῆς πλάνης, ὡς λεπτύνοντι ἀεὶ, ὡς εἶπον, ἐλθόντος τοῦ ἀγωνιστοῦ, μετὰ μέσης μνήμης τοῦ Θεοῦ. ἡ μὲν γὰρ ὡς ἐκ Θεοῦ οὖσα, φανερῶς τὰς ψυχὰς τῶν τῆς εὐσεβείας ἀγωνιστῶν ἐν ἐκχύσει πολλῇ τῆς ψυχῆς, παρακαλεῖν πρὸς ἀγάπην θέλει. ἡ δέ, ἐπειδὴ ἐν ἀνέμῳ τινὶ πλάνης ῥιπίζειν τὴν ψυχὴν εἴωθε, κλέπτειν διὰ τοῦ ὕπνου τοῦ σώματος τὴν πεῖραν τῆς αἰσθήσεως τοῦ ὑγιαίνοντος νοῦ περὶ τὴν μνήμην τοῦ Θεοῦ ἐπιχειρεῖ. ἐὰν οὖν εὑρεθῇ ὁ νοῦς, ὡς εἶπον, μεμνημένος προσεχῶς τοῦ Κυρίου Ἰησοῦ, σκορπίζει μὲν τὴν αὔραν ἐκείνην τὴν ἡδυφανῆ τοῦ ἐχθροῦ, χαίρων δὲ εἰς τὸν κατ' αὐτοῦ κινεῖται πόλεμον, ὡς ὅπλον ἔχων λοιπὸν δεξιὸν μετὰ τὴν χάριν τὸ ἐκ τῆς πείρας καύχημα.

Ἐὰν ἀναμφιβόλως, καὶ ἀφαντάστως κινήσει ἡ ψυχὴ πρὸς τὴν ἀγάπην ἐξάπτηται τοῦ Θεοῦ, ἕλκουσα ὥσπερ καὶ τὸ σῶμα εἰς τὸ βάθος τῆς ἀγάπης ἐκείνης τῆς ἀρρήτου, ἢ ἐγρηγορότως, ἢ ᾧ εἴρηκα τρόπῳ, ἢ εἰς ὕπνον ἐρχομένου τοῦ ὑπὸ τῆς ἁγίας χάριτος ἐνεργουμένου, μηδὲν ἄλλο τότε ἐννοοῦσα ὅλως, ἢ τοῦτο μόνον, εἰς ὅπερ κινεῖται. εἰδέναι δεῖ τοῦ Ἁγίου Πνεύματος εἶναι τὴν ἐνέργειαν. ἡδυνομένη γὰρ ὅλη ὑπ' ἐκείνης τῆς ἀφράστου γλυκύτητος, οὐδὲν ἕτερον δύναται τότε ἐννοεῖν. ἐπειδὴ ἀνενδότῳ τινὶ εὐφραίνεται χαρᾷ. ἐὰν δὲ ἀμφιβολίαν ὅλως, ἢ ῥυπαράν τινα ἔννοιαν ὁ νοῦς ἐν τῷ ἐνεργεῖσθαι συλλάβῃ, εἰ καὶ τῷ ἁγίῳ κέχρηται ὀνόματι πρὸς ἄμυναν τοῦ κακοῦ, καὶ οὐχὶ μᾶλλον πρὸς ἀγάπην μόνην τοῦ Θεοῦ. δεῖ νοεῖν, ὅτι ὡς ἐκ τοῦ ἀπατεῶνος ἐστὶν ἐκείνη ἡ παράκλησις, χαρᾶς ἐμφάσει· ἡ δὲ χαρὰ ἐκείνη ἄποιός ἐστι, καὶ ἀλλόθετος ὅλη, μοιχεύεσθαι θέλοντος τοῦ ἐχθροῦ τὴν ψυχήν, ὅταν ἴδῃ τὸν νοῦν τῇ πείρᾳ τῆς ἑαυτοῦ αἰσθήσεως ἀκριβῶς καυχώμενον, τότε γὰρ παρακλήσεσί τισιν· ὡς ἔφην· χρηστοφανέσι προσκαλεῖται τὴν ψυχήν, ἵνα διαφορουμένης αὐτῆς ὑπὸ τῆς χαύνης ἐκείνης, καὶ καθύγρου ἡδύτητος ἀγνοήσασα αὐτῇ γένοιτο ἡ μίξις τοῦ δολίου. ἐκ τούτου οὖν γνωσόμεθα τὸ πνεῦμα τῆς ἀληθείας, καὶ τὸ πνεῦμα τῆς πλάνης. ἀδύνατον μέντοι ἢ τῆς θείας χρηστότητος ἐν αἰσθήσει γεύσασθαί τινα, ἢ τὴν τῶν δαιμόνων πικρίας αἰσθητῶς πειραθῆναι, εἰ μή τις ἑαυτὸν πληροφορήσῃ, τὴν μὲν χάριν εἰς τὸ βάθος τοῦ νοῦ κατεσκηνωκέναι, τὰ δὲ πονηρὰ πνεύματα περὶ τὰ μέλη τῆς καρδίας ἐνδιατρίβειν, ὅπερ οὐδέποτε θέ- λγ'.

λοῦσι παρὰ ἀνθρώποις πιστευθῆναι οἱ δαίμονες· ἵνα μὴ ὁ νοῦς τοῦτο αὐτὸ εἰδὼς ἀκριβῶς, τῇ μνήμῃ τοῦ Θεοῦ κατ' αὐτῶν ὁπλίζηται.

λδ'. Ἄλλη ἐστὶν ἡ ἀγάπη τῆς ψυχῆς ἡ φυσική, καὶ ἄλλη ἡ ἐκ τοῦ Ἁγίου Πνεύματος αὐτῇ προσγινομένη. ἡ μὲν γὰρ καὶ ἐκ τῆς ἡμετέρας, ὅτε θέλομεν, συμμέτρως κινεῖται θελήσεως. διόπερ καὶ εὐχερῶς ὑπὸ τῶν πονηρῶν πνευμάτων, ἡνίκα μὴ βίᾳ κρατῶμεν τῆς ἑαυτῶν προαιρέσεως, διαρπάζεται. ἡ δὲ τοσοῦτον ἐκκαίει τὴν ψυχὴν πρὸς τὴν ἀγάπην τοῦ Θεοῦ, ὥστε πάντα τὰ τῆς ψυχῆς μέρη τῇ τοῦ θείου πόθου ἀλαλήτῳ ἐγκολλᾶσθαι χρηστότητι, ἐν ἀπείρῳ τινὶ ἁπλότητι διαθέσεως. ἐγκύμων γὰρ ὥσπερ ὁ νοῦς τότε ὑπὸ τῆς πνευματικῆς ἐνεργείας γινόμενος, πηγήν τινα ἀγάπης καὶ χαρᾶς ἀναβλύζει.

λε'. Ὥσπερ ἡ θάλασσα τοῦ ἐπιχεομένου αὐτῇ ἐλαίου, ὅταν ταράττηται, φύσιν ἔχει τοῦ εἴκειν ὑπὸ τῆς αὐτοῦ πιότητος νικωμένης τῆς ζάλης, οὕτω καὶ ἡ ψυχὴ ἡμῶν, ὅταν ὑπὸ τῆς χρηστότητος πιαίνηται τοῦ Ἁγίου Πνεύματος, ἡδέως γαληνιᾷ. χαίρουσα γὰρ ἡττᾶται κατὰ τὸν λέγοντα ἅγιον, πλὴν τῷ Θεῷ ὑποτάγηθι ἡ ψυχή μου. τῇ ἐπισκιαζούσῃ αὐτῇ ἐκείνῃ ἀπαθείᾳ, καὶ ἀρρήτῳ χρηστότητι. διὰ τοῦτο οὖν καὶ ὁπόσοι τότε παροξυσμοὶ ὑπὸ τῶν δαιμόνων ἐπιτηδεύονται κατὰ τῆς ψυχῆς, ἀόργητός τε διαμένει, καὶ πάσης ἔμπλεως χαρᾶς. εἰς ὅπερ τις οὐκ ἔρχεται οὐδὲ μένει, εἰ μὴ τῷ φόβῳ τοῦ Θεοῦ τὴν ἑαυτοῦ ψυχὴν ἀπαύστως καθηδύνῃ. τοῖς γὰρ ἀγωνιζομένοις εἶδός τι φέρει ἁγνισμοῦ ὁ φόβος τοῦ Κυρίου Ἰησοῦ. ὁ γὰρ φόβος· φησὶ· τοῦ Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος.

λς'. Μηδεὶς ἀκούων αἴσθησιν νοός, ὁρατῶς αὐτῷ τὴν δόξαν τοῦ Θεοῦ ὀφθῆναι ἐλπιζέτω. αἰσθάνεσθαι μὲν γὰρ φαμὲν ἤτοι καθαρεύουσαν τὴν ψυχήν, ἐν ἀρρήτῳ τινὶ γεύσει τῆς θείας παρακλήσεως. οὐ φαίνεσθαι δὲ αὐτῇ τι τῶν ἀοράτων. ἐπειδὴ νῦν διὰ πίστεως καὶ οὐ διὰ εἴδους, ὡς ὁ μακάριος Παῦλος λέγει, περιπατοῦμεν. ἐὰν οὖν ὀφθῇ τινὶ τῶν ἀγωνιζομένων, ἢ φῶς, ἢ σχήματι πυροειδές, ἢ φωνή, μηδαμῶς καταδεξάσθω τὸ τοιοῦτον ὅραμα. ἀπάτη γάρ ἐστι φανερὰ τοῦ ἐχθροῦ. ὅπερ πολλοὶ παθόντες, ὡς ἐξ ἀγνοίας, ἐξετράπησαν τῆς ὁδοῦ τῆς ἀληθείας. ἡμεῖς δὲ ἴσμεν, ὅτι ἐφ' ὅσον ἐνδημοῦμεν ἐν τῷ φθαρτῷ τούτῳ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ Θεοῦ, τουτέστιν ὁρατῶς ἢ αὐτόν, ἤ τι τῶν ἐπουρανίων αὐτοῦ θαυμάτων, ὁρᾶν οὐ δυνάμεθα.

λζ'. Οἱ ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ ἐμφαινόμενοι τῇ ψυχῇ ὄνειροι, ὑγιαινούσης ψυχῆς πως εἰσὶν ἀπλανεῖς κατήγοροι. διόπερ οὔτε ἀπὸ ἑτέρου σχήματος εἰς ἕτερον σχῆμα μεταβάλλονται, οὔτε μὴν πτοοῦσι τὴν αἴσθησιν. οὔτε γελῶσιν, ἢ στυγνάζουσιν ἀθρόως. ἀλλὰ μετὰ πάσης ἐπιεικείας τῇ ψυχῇ προσεγγίζοντι, πνευματικῆς αὐτὴν καταγεμίζοντες θυμηδίας. ὅθεν καὶ μετὰ τὸ διυπνισθῆναι τὸ σῶμα, πολλῷ τῷ πόθῳ ζητεῖ ἡ ψυχὴ τὴν χαρὰν τοῦ ὀνείρου. αἱ δὲ τῶν δαιμόνων φαντασίαι, διὰ πάντων ἐναντίως ἔχουσιν. οὔτε γὰρ ἐν τῷ αὐτῷ μένουσι σχήματι, οὔτε μορφὴν ἀπάραχον ἐπὶ πολὺ ἐπιδείκνυνται. ὃ γὰρ ἐκ προαιρέσεως μὲν οὐκ ἔχουσιν, ἐκ δὲ τῆς οἰκείας κέχρηνται μόνον πλάνης, ἀρκεῖν αὐτοῖς ἐπιπλεῖστον οὐ δύνανται. ἀλλὰ καὶ μεγάλα μὲν λέγουσι· καὶ ἀπειλοῦσι δὲ πλεῖστα, εἰς στρατιωτῶν εἶδος ἑαυτοὺς πολλάκις σχηματίζοντες. ποτὲ δὲ καὶ προσψάλλουσι μετὰ κραυγῆς τῇ ψυχῇ. ὅθεν ἐπιγινώσκων αὐτοὺς ὁ νοῦς ὅτε καθαρεύει, πεφαντασμένως διυπνίζει τὸ σῶμα. ἔστι δ' ὅτε καὶ χαίρει, ὡς τὸν δόλον αὐτῶν ἐπιγνῶναι δυνηθείς. διόπερ ἐν αὐτῷ τῷ ὀ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πείρᾳ πλεονάκις ἐλέγχων αὐτάς, ὡς ὀργὴν αὐτοῖς μεγάλην κινεῖ. πλὴν ἔστιν ὅτε καὶ τὰ χρηστὰ ἐνύπνια, χαρὰν μὲν ὑφέρουσι τῇ ψυχῇ, λύπην δὲ αὐτῇ ἡδεῖαν ἐμποιοῦσι καὶ ἀνάλγητον δάκρυον. τοῦτο δὲ γίνεται ἐπὶ τῶν εἰς πολλὴν ταπεινοφροσύνην προκοψάντων.

λή. Εἰρήκαμεν ἡμεῖς ὡς παρὰ τῶν ἐν πείρᾳ γεγονότων ἠκούσαμεν καλῶν τε, καὶ φαύλων ὀνείρων διάκρισιν. ἀρκείτω δὲ ἡμῖν πρὸς ἀρετὴν μεγάλην, τὸ μηδεμιᾷ ὅλως πείθεσθαι φαντασίᾳ· οἱ γὰρ ὄνειροι ὡς ἐπὶ τὸ πλεῖστον, οὐδὲν ἕτερόν εἰσιν, ἀλλ᾽ εἴδωλα λογισμῶν. ἢ πάλιν ὡς ἔφην, δαιμόνων ἐμπαίγματα. ὁπότε κἂν ἐκ τῆς τοῦ Θεοῦ ἀγαθότητος καταπεμφθῇ ἡμῖν ὅραμα πώποτε, καὶ μὴ αὐτὸ καταδεξώμεθα, οὐκ ἂν ἡμῖν ὁ πολυπόθητος Κύριος Ἰησοῦς ὀργισθῇ διὰ τοῦτο. οἶδε γὰρ ὅτι διὰ τοὺς δόλους τῶν δαιμόνων ἐπὶ τοῦτο ἐρχόμεθα. ἡ μὲν γὰρ προειρημένη διάκρισις ἀκριβής ἐστι. συμβαίνει δὲ ἐκ συναρπαγῆς τινος ἀνεπιθυμήτως ῥυπωθεῖσαν τὴν ψυχήν, ὅπερ ἐκτὸς οὐδείς, ὡς οἶμαι, εὑρίσκεται, ἀπολέσαι τὸ ἴχνος τῆς ἀκριβοῦς διαγνώσεως, καὶ πιστεῦσαι ὡς καλοῖς τοῖς μὴ καλοῖς.

λθ'. Ἤτω πρὸς ὑπόδειγμα ἡμῖν τοῦ πράγματος, δοῦλος ὑπὸ δεσπότου νύκτωρ καὶ μετὰ πολλὴν ἀποδημίαν, πρὸ τῶν περιβόλων τῆς οἰκίας καλούμενος, καὶ ἀκριβῶς μὴ γνωρίζων, ᾧτινι τὴν ἄνοιξιν τῶν θυρῶν διόλου ὁ οἰκέτης ἠρνήσατο. ἐδεδίει γὰρ μὴ ἡ ὁμοιότης αὐτὸν τῆς φωνῆς συναρπάσασα, προδότην παρασκευάσῃ γενέσθαι, ὧνπερ παρ᾽ αὐτοῦ πεπίστευτο πραγμάτων. ᾧτινι οὐ μόνον οὐκ ὠργίσθη, ἡμέρας γινομένης, ὁ Κύριος αὐτοῦ, ἀλλὰ καὶ πολλῶν ἐπαίνων ἠξίωσε, ὅτι καὶ τὴν τοῦ δεσπότου φωνὴν πλάνην εἶναι ἐνόμισε, μήτι θέλων τῶν αὐτοῦ ἀπολέσαι πραγμάτων.

μ'. Ὅτι μὲν ὁ νοῦς ὅταν ἄρξηται πυκνῶς ὑπὸ τοῦ Θείου φωτὸς ἐνεργεῖσθαι διαφανής τις ὅλος γίνεται, ὥστε τὸ ἑαυτοῦ φῶς αὐτὸν πλουσίως ὁρᾶν, οὐδεὶς ἀμφιβάλλει. τοῦτο γὰρ ὅλως γίνεται, ὅταν ἡ δύναμις τῆς ψυχῆς κατακυριεύσῃ τῶν παθῶν. ὅτι δὲ πᾶν τὸ ἐν σχήματι αὐτῷ φαινόμενον, εἴτε ὡς φῶς, εἴτε ὡς πῦρ, ἐκ τῆς τοῦ ἐχθροῦ κακοτεχνίας γίνεται, ὁ θεσπέσιος ἡμᾶς Παῦλος διδάσκει σαφῶς, εἰς ἄγγελον φωτὸς λέγων αὐτὸν μετασχηματίζεσθαι. οὐδεὶς οὖν ἐπὶ ταύτῃ τῇ ἐλπίδι τινά, τὸν ἀσκητικὸν μετιέναι βίον, ἵνα μὴ ὁ σατανᾶς ἑτοίμην εὕρῃ τὴν ψυχὴν ἐντεῦθεν εἰς συναρπαγήν. ἀλλ᾽ ἵνα φθάσωμεν μόνον ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ τῆς καρδίας ἀγαπῆσαι τὸν Θεόν. ὅπερ ἐστὶν ἐν ὅλῃ ψυχῇ, καὶ ἐν ὅλῃ καρδίᾳ, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ. ὁ γὰρ εἰς τοῦτο ὑπὸ τῆς χάριτος ἐνεργούμενος τοῦ Θεοῦ, ἀποδημεῖ τοῦ κόσμου, κἂν ἐν τῷ κόσμῳ παρῇ.

Ἡ ὑπακοή, πρῶτον μὲν ἐν πάσαις μά.
ταῖς εἰσαγωγοῖς ἀρεταῖς, ὑπάρχειν ἔγνωσται καλόν, ἀθετεῖ γὰρ τέως τὴν οἴησιν. τίκτει δὲ ἡμῖν τὴν ταπεινοφροσύνην. ὅθεν εἴσοδος καὶ θύρα γίνεται, τοῖς αὐτῆς ἀντεχομένοις ἡδέως, τῆς εἰς Χριστὸν ἀγάπης. ταύτην ἀθετήσας Ἀδὰμ εἰς τὸν βύθιον ἀπωλίσθησε Τάρταρον· ταύτης ἐρασθεὶς ὁ Κύριος τῷ τῆς οἰκονομίας λόγῳ, ἄχρι σταυροῦ καὶ θανάτου ὑπήκουσε τῷ ἑαυτοῦ Πατρί· καὶ ταῦτα ἐν οὐδενὶ ὢν ἥττων τῆς αὐτοῦ μεγαλωσύνης, ἵνα τὸ τῆς ἀνθρωπείας παρακοῆς ἔγκλημα διὰ τῆς ἑαυτοῦ ἐκλύσας ὑπακοῆς, εἰς τὴν μακαρίαν καὶ διαιωνίζουσαν τοὺς ἐν ὑπακοῇ ζήσαντας ἐπαναγάγῃ ζωήν. Πρῶτον οὖν τούτου ἐπιμελῆσθαι δεῖ τοὺς πρὸς τὴν οἴησιν τοῦ διαβόλου ἀναδεχομένους τὴν πάλην. δείξει γὰρ ἡμῖν αὕτη προϊοῦσα, πάσας ἀπλανῶς τὰς τρίβους τῶν ἀρετῶν.

Ἡ ἐγκράτεια κοινόν ἐστι πασῶν τῶν μβ'.

ἀρετῶν ἐπώνυμον. Δεῖ οὖν τὸν ἀγωνιζόμενον πάντα ἐγκρατεύεσθαι. ὥσπερ γὰρ ἀνθρώπου οἱουδήποτε τῶν λεπτοτάτων ἀφαιρεθὲν μελῶν, τὸ πᾶν τοῦ ἀνθρώπου, κἂν βραχὺ ᾖ τὸ λειπόμενον, τοῦ σχήματος ἄμορφον ἀπεργάζεται. οὕτω καὶ ὁ μιᾶς παραμελῶν ἀρετῆς, ὅλην ὡς οὐκ οἶδε τὴν τῆς ἐγκρατείας ἀφανίζει εὐπρέπειαν· χρὴ οὖν μὴ μόνον τὰς σωματικὰς φιλοπονεῖν ἀρετάς, ἀλλὰ καὶ τὰς τὸν ἔνδον ἡμῶν ἄνθρωπον καθαίρειν δυναμένας. ποῖον γὰρ ὄφελός ἐστι, τῷ τὸ σῶμα παρθένον τηρήσαντι, εἰ τὴν ψυχὴν ὑπὸ τοῦ τῆς παρακοῆς μοιχεύεται δαίμονος; ἢ πῶς στεφανωθήσεται ὁ γαστριμαργίας μέν, καὶ πάσης σωματικῆς ἐπιθυμίας φεισάμενος, οἰήσεως δὲ καὶ φιλοδοξίας μὴ ἐπιμελησάμενος; μήτε βραχείας ἀνεχόμενος θλίψεως, τῆς τὸ φῶς τῆς δικαιοσύνης, μελλούσης ἀντισταθμίζειν πλάστιγγος, τοῖς τὰ ἔργα τῆς δικαιοσύνης ἐν Πνεύματι διαπραξαμένοις ταπεινώσεως;

μγ΄. Πάσας μὲν τὰς ἀλόγους ἐπιθυμίας οὕτω δεῖ μισεῖν τοὺς ἀγωνιζομένους, ὥστε εἰς ἕξιν τὸ πρὸς αὐτὰς μῖσος κτήσασθαι. τὴν δὲ ἐπὶ τῶν βρωμάτων ἐγκράτειαν οὕτως ἐχρῆν διατηρεῖν, ἵνα μὴ εἰς βδελυξίαν τινὸς αὐτῶν ἔλθῃ τίς ποτε. τοῦτο γὰρ καὶ ἐπικατάρατόν ἐστι, καὶ δαιμονιῶδες ὅλον. οὐ γὰρ ὡς φαύλων αὐτῶν· μὴ γένοιτο· ἀπεχόμεθα, ἀλλ' ἵνα τῶν πολλῶν τροφῶν ἑαυτοὺς ἀφιστῶντες, τὰ φλεγμαίνοντα μέλη τῆς σαρκὸς συμμέτρως κολάζωμεν. λοιπὸν δέ, ἵνα καὶ τὸ ἡμῶν περίσσευμα εἰς οἰκονομίαν ἀρκοῦσαν τοῖς πτωχεύουσι γένηται. ὅπερ ἐστὶν ἀγάπης εἰλικρινοῦς γνώρισμα.

μδ΄. Τὸ ἀπὸ πάντων τῶν παρατιθεμένων, ἢ κιρνωμένων ἐσθίειν, καὶ πίνειν εὐχαριστοῦντας τῷ Θεῷ, οὐδαμῶς τῷ κανόνι τῆς γνώσεως μάχεται. πάντα γὰρ καλὰ λίαν. τὸ δὲ τῶν πολλῶν καὶ ἡδέων ἡδέως ἀπέχεσθαι, καὶ διακριτικώτερον ὑπάρχει καὶ γνωστικώτερον. οὐκ ἂν δὲ τῶν παρόντων ἡδέων ἡδέως καταφρονήσωμεν, εἰ μὴ τῆς τοῦ Θεοῦ γλυκύτητος ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ γευσώμεθα.

με΄. Ὃν τρόπον ὑπὸ πλήθους βρωμάτων βαρυνόμενον τὸ σῶμα, δειλόν τινα καὶ δυσκίνητον τὸν νοῦν ἀπεργάζεται, οὕτω καὶ ἐξατονοῦν ὑπὸ πολλῆς ἐγκρατείας, στυγνόν τε, καὶ ἀφιλόλογον τὸ θεωρητικὸν τῆς ψυχῆς ἀποτελεῖ μέρος. δεῖ οὖν πρὸς τὰς τοῦ σώματος κινήσεις, καὶ τὰς τροφὰς εὐτρεπίζεσθαι· ἵνα ὅτε μὲν ὑγιαίνει, κολάζηται πρεπόντως. ὅτε δὲ ἀσθενεῖ, πιαίνοιτο μετρίως. οὐ γὰρ ἀτονεῖν δεῖ τῷ σώματι τὸν ἀγωνιζόμενον, ἀλλ' ὅσον ἀρκεῖν πρὸς τὸν ἀγῶνα δύνασθαι, ἵνα κἂν τοῖς πόνοις τοῦ σώματος, καὶ ἡ ψυχὴ πρεπόντως καθαίροιτο.

μϛ΄. Ὅταν ἡ κενοδοξία μεγάλως φλεγμαίνῃ καθ' ἡμῶν, τὴν ἀδελφῶν τινων ἐπιδημίαν, ἢ οἱονδήποτε ξένον εἰς πρόφασιν τῆς οἰκείας κακίας εὑρίσκουσα, καλὸν τότε τὸ σύμμετρον ἐπιτρέπειν χαλᾶν τῇ συνήθει διαίτῃ· καὶ γὰρ τὸν δαίμονα ἄπρακτον, καὶ μᾶλλον πενθοῦντα τὴν ἐπιχείρησιν ἀποπεμψόμεθα. καὶ τὸν θεσμὸν τῆς ἀγάπης ἐγκρίτως πληρώσομεν, καὶ τὸ μυστήριον τῆς ἐγκρατείας ἀνεπίδεικτον διὰ τῆς συγκαταβάσεως φυλάξομεν.

μζ΄. Ἡ νηστεία ἔχει μὲν καθ' ἑαυτὴν καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν· ἐργαλεῖον γάρ ἐστιν, ὥσπερ εἰς σωφροσύνην ῥυθμίζον τοὺς θέλοντας. οὐ δεῖ οὖν ἐπ' αὐτῇ μέγα φρονεῖν τοὺς τῆς εὐσεβείας ἀγωνιστάς, ἐκδέχεσθαι δὲ μόνον ἐν πίστει Θεοῦ τὸ πέρας ἡμῶν τοῦ σκοποῦ. οὔτε γὰρ οἱ τῶν οἱωνδήποτε τεχνῶν ἐπιστήμονες τὸ τοῦ ἐπαγγέλματος ἀποτέλεσμα ἐκ τῶν ἐργαλείων καυχῶνταί ποτε. ἀλλὰ περιμένει τέως ἕκαστος τὸ εἶδος τοῦ ἐγχειρήματος, ἵνα



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δι' ἐκείνην τὸ ἀκριβὲς τῆς τέχνης ἐνδείξηται.

μη΄. Ὥσπερ ἡ γῆ συμμέτρως ἀρδευομένη, καθαρὸν τὸ καταβαλλόμενον εἰς αὐτὴν σπέρμα μετὰ πλείστης προσθήκης ἀνίησιν· ὑπὸ πολλῶν δὲ μεθυσκομένη ὄμβρων, ἀκάνθας καὶ τριβόλους φέρει μόνον. οὕτω καὶ ἡ γῆ τῆς καρδίας ἐὰν μὲν συμμέτρως οἴνῳ χρώμεθα, καθαρὰ τὰ φυσικὰ αὐτῆς ἀναδίδωσι σπέρματα· καὶ τὰ ἀπὸ τοῦ Ἁγίου δὲ Πνεύματος εἰς αὐτὴν ἐπισπειρόμενα, εὐθαλῆ λίαν ἀναφέρει, καὶ πολύκαρπα. ἐὰν δὲ διάβροχος ὑπὸ τῆς πολυποσίας γίνεται, ἀκάνθας ὄντως φέρει τοὺς ἅπαντας αὐτῆς λογισμοὺς, καὶ τριβόλους.

μθ΄. Ὅταν ὁ νοῦς ἡμῶν τῷ τῆς πολυποσίας ἐννήχηται κύματι, οὐ μόνον τοῖς ὑπὸ τῶν δαιμόνων ἐν τῷ ὕπνῳ σχηματιζομένοις ἐμπαθῶς εἰδώλοις ἐνορᾷ, ἀλλὰ καὶ ἐν ἑαυτῷ ὄψεις τινὰς ἀναπλάττων εὐπρεπεῖς, ταῖς ἑαυτοῦ φαντασίαις ὡς ἐῤῥωμέναις τισὶ κέχρηται διαπύρως· θερμαινομένων γὰρ τῶν συνουσιαστικῶν ὀργάνων ὑπὸ τῆς τοῦ οἴνου ζέσεως, ἀνάγκη πᾶσα παριστᾶν ἑαυτῷ τὸν νοῦν, σκιὰν τοῦ πάθους ἐνήδονον. ἐχρῆν οὖν τῇ συμμετρίᾳ ἡμᾶς κεχρημένους, τὴν ἐκ τοῦ πλεονάζοντος διαφυγεῖν βλάβην· ὅτε γὰρ οὐκ ἔχει τὴν ὑποσύρουσαν αὐτὸν ὁ νοῦς ἡδονὴν πρὸς τὴν ζωγραφίαν τῆς ἁμαρτίας, ἀφάνταστος ὅλος διαμένει, καὶ τὸ κρεῖττον ἀθήλυντος.

ν΄. Πάντα τὰ κατασκευαστὰ πόματα, ἃ δὴ προπόματα καλοῦσιν οἱ ταύτης τεχνῖται τῆς ἐπινοίας, ὡς ἔοικε διὰ τὸ ὁδηγεῖν εἰς γαστέρα τὸ πλῆθος τῶν βρωμάτων, οὐ δεῖ μεταδιώκειν τοὺς θέλοντας τὰ οἰδαίνοντα κολάζειν μέρη τοῦ σώματος· οὐ γὰρ μόνον αὐτῶν ἡ ποιότης ἐπιβλαβὴς τοῖς ἀγωνιζομένοις σώμασι γίνεται, ἀλλὰ καὶ αὐτὴ ἡ παράλογος αὐτῶν σύγκρασις, πλήττει λίαν τὴν * θεόφοβον συνείδησιν· τί γὰρ ἄρα τὸ λεῖπον τῇ τοῦ οἴνου φύσει, ἵνα διαφόρων ἡδυσμάτων ἐπιμιξίᾳ, ἡ τούτου στερρότης θηλύνοιτο;

* ἐν ἄλ. θεοφόρον

να΄. Ὁ Κύριος ἡμῶν, καὶ ταύτης τῆς ἱερᾶς πολιτείας Διδάσκαλος, Ἰησοῦς Χριστὸς, ὄξος ἐν τῷ πάθει παρὰ τῶν ὑπουργούντων τοῖς διαβολικοῖς ἐπιτάγμασι πεπότισται, ἵνα ὑπογραμμὸν ἡμῖν, (ἐμοὶ δοκεῖ) ἐναργῆ καταλίπῃ τῆς τῶν ἱερῶν ἀγώνων διαθέσεως· οὐ δεῖ γάρ φησι τοῖς ἡδύνεσι κεχρῆσθαι βρώμασιν ἢ πόμασι τοὺς ἀγωνιζομένους κατὰ τῆς ἁμαρτίας· ἀλλὰ μᾶλλον τοῦ πικροῦ τῆς μάχης μετὰ καρτερίας ἀνέχεσθαι· προστεθείτω δὲ καὶ Ὕσσωπον τῷ σπόγγῳ * τῆς ὕβρεως, ὅπως ἂν τελείως ἐμφέροιτο τῷ ὑποδείγματι τὸ σχῆμα τῆς ἡμῶν καθάρσεως· τὸ μὲν γὰρ δριμὺ, τῶν ἀγώνων ἴδιον· τὸ δὲ καθαρτικὸν, πάντως τῆς τελειώσεως.

* ἐν ἄλ. βρέξεως

νβ΄. Τῷ λουτρῷ παραβάλλειν, οὐκ ἄν τις ἁμαρτωλὸν ἢ παράλογον ἀποφήναιτο· τὸ δὲ δι' ἐγκράτειαν καὶ τούτου ἀπέχεσθαι, καὶ ἀνδρεῖον λέγω, καὶ σωφρονέστατον· οὔτε γὰρ τὸ σῶμα ἡμῶν ἐκθηλύνει ἡ εὐείδετος ἐκείνη ὑγρασία, οὔτε μὴν εἰς ὑπόμνησιν τῆς γυμνότητος τοῦ Ἀδὰμ τῆς ἀδόξου ἐρχόμεθα· ἵνα καὶ τῶν ἐκείνου φύλλων εἰς τὸ σκεπάσαι τὴν ἐντεῦθεν τῆς αἰσχύνης φροντίζωμεν πρόφασιν· οἵ γε μάλιστα ἀπὸ τῆς τοῦ βίου πρὸ βραχέος ἐκπηδήσαντες ἐξωλείας, ἁγνείᾳ τοῦ ἑαυτῶν σώματος τῷ κάλλει τῆς σωφροσύνης ἑνωθῆναι ὀφείλομεν.

νγ΄. Ἰατροὺς μετακαλεῖσθαι ἐν τῷ καιρῷ τῶν νόσων, οὐδὲν τὸ κωλύον· ἐπειδὴ γὰρ ἔμελλεν ὑπὸ τῆς ἀνθρωπίνης πείρας ποτὲ συλλέγεσθαι ἡ τέχνη, διὰ τοῦτο καὶ προϋπῆρχε τὰ φάρμακα· πλὴν οὐκ ἐχρῆν εἰς αὐτοὺς τὴν ἐλπίδα ἔχειν τῆς ἰάσεως, ἀλλ' εἰς τὸν ἀληθινὸν ἡμῶν σωτῆρα καὶ ἰατρὸν, Ἰησοῦν Χριστόν· ταῦτα δὲ λέγω τοῖς ἐν Κοινοβίοις, ἢ ἐν Πόλεσι, τῆς ἐγκρατείας τὸν σκοπὸν κατορθοῦσι, διὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸ μὴ δύνασθαι αὐτὰς ἐκ τῶν συμβαινουσῶν αὐταῖς περιστάσεων, ἄπαυστον ἔχειν διὰ τῆς ἀγάπης τὴν ἐνέργειαν τῆς πίστεως. ἄλλως τε, καὶ διὰ τὸ μὴ εἰς κενοδοξίαν αὐτὰς καὶ πειρασμὸν ἐμπίπτειν τοῦ διαβόλου, οἷς ὥσπερ τινὲς αὐτῶν, ἰαμάτων μὴ χρήζειν ἐπὶ πολλῶν ἐπαγγέλλονται. εἰ δέ τις τὸν ἀναχωρητικὸν βίον ἐρημικωτέροις μεταξὺ δύο μόνον ἢ τριῶν ὁμοτρόπων ἀδελφῶν κατορθοῖ τόποις, μόνῳ τῷ Κυρίῳ, ἑαυτὸν τῷ ἰωμένῳ ἡμῶν πᾶσαν νόσον καὶ πᾶσαν Μαλακίαν, ἐν πίστει προσαγέτω, κἂν ὁποίοις ἂν περιπίπτῃ πάθεσι. ἔχει γὰρ τῶν νόσων ἱκανὴν μετὰ Κύριον τὴν ἐρημίαν παρήγορον. ὅθεν οὔτε τῆς ἐνεργείας ὁ τοιοῦτος πένεταί ποτε τῆς πίστεως. ἐπειδὴ μάλιστα οὔτε που ἐνδείξασθαι τὴν ἐκ τῆς ἰαματικῆς εὑρίσκει ἀρετήν· καλῷ τῷ τῆς ἐρημίας κεχρημένος παραπετάσματι. διὰ τοῦτο γὰρ ὁ Κύριος κατοικίζει μονοτρόπους ἐν οἴκῳ.

ιδ΄. Ὅταν πρὸς τὰς συμβαινούσας ἡμῖν σωματικὰς ἀνωμαλίας λίαν ἀπεχθανώμεθα, εἰδέναι δεῖ ὅτι ἡ ψυχὴ ἡμῶν ἔτι δεδούλωται ταῖς ἐπιθυμίαις τοῦ σώματος. διὸ καὶ τὰς ὑλώδεις ποθοῦσα εὐπραγίας, οὔτε ἀναχωρῆσαι τῶν καλῶν τοῦ βίου βούλεται, ἀλλὰ καὶ ἀσχολίαν μεγάλην ἡγεῖται, τὸ μὴ δύνασθαι διὰ τὰς νόσους κεχρῆσθαι τοῖς τοῦ βίου ὡραίοις· ἐὰν δὲ εὐχαρίστως τὰς ἐκ τῆς νόσου προσδέχηται αἰκίας, οὐ μακρὰν οὖσα τῶν τῆς ἀπαθείας ὅρων γνωρίζεται. ὅθεν καὶ τὸν θάνατον ὡς πρόφασιν οὔσης μᾶλλον ζωῆς ἀληθινῆς, τότε μετὰ χαρᾶς ἀπεκδέχεται.

ιε΄. Ὁπόταν ἐπιθυμήσῃ ἡ ψυχὴ χωρισθῆναι τοῦ σώματος, εἰ μὴ ἄποιος αὐτῇ ἡ πρὸς τὸν ἀέρα τοῦτον διάθεσις γένηται. πᾶσαι γὰρ αἱ αἰσθήσεις τοῦ σώματος τῇ πίστει ἀντίκεινται· ἐπειδὴ αἱ μὲν, τῶν παρόντων μόνον γίνονται. ἡ δὲ, τὴν τῶν μελλόντων ἀγαθῶν ἐπαγγέλλεται πολυτέλειαν. προσήκει οὖν τὸν ἀγωνιζόμενον, μὴ περὶ δένδρων τινῶν εὐκλόνων, ἢ συσκίων, ἢ πηγῶν καλλιρρόων, ἢ λειμώνων ποικίλων καὶ εὐανθῶν, ἢ οἴκων εὐπρεπῶν, ἢ καὶ συγγενῶν διατριβῶν ἐνθυμεῖσθαι πώποτε. μήτε δὲ τῶν πανηγυρικῶν, εἰ τύχοι, μεμνῆσθαι φιλοτιμιῶν, ἀλλὰ κεχρῆσθαι μὲν τοῖς ἀναγκαίοις εὐχαρίστως. ὅσον δέ τινα ξένον ἡγεῖσθαι τὸν βίον, πάσης σαρκικῆς διαθέσεως ἔρημον. οὕτω γὰρ τὸ μέσον στενώσαντες ἡμῶν τὴν διάνοιαν, εἰς τὸ ἴχνος αὐτὴν ὅλην τῆς αἰωνίου ἐπιστρέψωμεν ἔσω.

ις΄. Ὅτι ἡ βλέψις, καὶ ἡ γεῦσις καὶ αἱ λοιπαὶ αἰσθήσεις διαφθείρουσι τὴν μνήμην τῆς καρδίας ὅταν αὐταῖς ὑπὲρ τὸ μέτρον κεχρήμεθα, πρώτη Εὔα ἡμῖν ὁμιλεῖ τὸ τοιοῦτον. ἕως μὲν γὰρ ὅτε οὐκ ἐπεῖδεν ἐκείνη εἰς τὸ δένδρον, τῆς παραγγελίας ἡδέως, ἐμέμνητο τοῦ Θείου ἐπιμελῶς προστάγματος. διὸ καὶ ταῖς πτέρυξιν ἔτι τοῦ Θείου, ὥσπερ ἐσκέπετο ἔρωτος. ἐντεῦθεν τὴν αὐτῆς ἀγνοοῦσα γυμνότητα. ἐπειδὴ δὲ εἶδε τὸ ξύλον ἡδέως, καὶ μετὰ πολλῆς αὐτοῦ τῆς ἐπιθυμίας ἥψατο, καὶ λοιπὸν τοῦ ἐξ αὐτοῦ καρποῦ μετὰ ἐνεργοῦς τινος ἐγεύσατο ἡδονῆς, εὐθὺς μὲν ἐνεδόθη πρὸς σωματικὴν συμπλοκήν, ὡς γυμνὴ τῷ πάθει συναφθεῖσα, ὅλην δὲ αὐτῆς τὴν ἐπιθυμίαν εἰς τὴν τῶν παρόντων ἀπόλαυσιν δέδωκε, μίξασα διὰ τὸ τοῦ καρποῦ ἡδυφανὲς τῷ ἑαυτῆς, καὶ τῷ τοῦ Ἀδὰμ πταίσματι. ὅθεν δυσχερῶς λοιπὸν ὁ ἄνθρωπος τοῦ μεμνῆσθαι τοῦ Θεοῦ δύναται, ἢ τῶν αὐτοῦ ἐντολῶν. ἡμεῖς δὲ εἰς τὸ βάθος ἀεὶ τῆς καρδίας ἡμῶν μὴ ἀφορῶντες μετὰ μνήμης ἀπαύστου τοῦ Θεοῦ, ὡς πυροὶ τὰς ὄψεις, τῷ φιλαπατεῶνι τούτῳ ἐνδιάγωμεν βίῳ. φιλοσοφίας γὰρ ὄντως πνευματικῆς ἴδιον, ἄπτερον ἀεὶ τὸν ἔρωτα διαφυλάττειν τῶν ὄψεων. τ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

το δὲ καὶ ὁ πολυπείραστος Ἰὼβ διδάσκει ἡμᾶς λέγων, εἰ δὲ καὶ τῷ ὀφθαλμῷ μου ἐπηκολούθησεν ἡ καρδία μου· ὄντως ἀκροτάτης ἐγκρατείας ὑπάρχει ἡ ὑπόθεσις γνώρισμα.

νζʹ. Ὁ ἐνδημῶν ἀεὶ τῇ ἑαυτοῦ καρδίᾳ, ἐκδημεῖ πάντων τῶν τοῦ βίου ὡραίων. πνεύματι γὰρ περιπατῶν τὰς τῆς σαρκὸς ἐπιθυμίας εἰδέναι οὐδύναται. ἐπειδὴ λοιπὸν ἐν τῷ φρουρίῳ τῶν ἀρετῶν τὰς περιπάτους ὁ τοιοῦτος ποιεῖται, αὐτὰς ὥσπερ τὰς ἀρετὰς πυλωροὺς ἔχων, τοῦ τῆς ἁγνείας πολίσματος. διὸ καὶ ἄπρακτοι λοιπὸν αἱ τῶν δαιμόνων τότε ἐπ' αὐτῷ γίνονται μηχαναί. κἂν ἄχει τῶν θυρίδων τῆς φύσεως τὰ τοῦ πανδήμου ἔρωτος καταφθάσηπως βέλη.

νηʹ. Ὅταν μηκέτι τῶν τῆς γῆς ὡραίων ἄρξηται ἡμῶν ἐπιθυμεῖν ἡ ψυχὴ, τότε ἀκηδίαςκέτις ὡς τὰ πολλὰ τοὺς αὐτῇ ὑπεισέρχεται, μήτε τῇ διακονίᾳ τοῦ λόγου συγχωροῦν ἡδέως ὑπηρετεῖν, μήτε μὴν ζωηρὰν ἐπιθυμίαν τῶν μελλόντων αὐτῇ καταλιμπάνων ἀγαθῶν, ἀλλὰ καὶ τὴν πρόσκαιρον ταύτην ὑπερβαλλόντως ἐξαχρειοῦν ζωὴν, ὡς οὐκ ἔχουσαν ἔργον ἀρετῆς ἄξιον, καὶ αὐτὴν δὲ τὴν γνῶσιν ἐξουδενοῦν, ὡς καὶ ἄλλοις ἤδη πολλοῖς παραχεθεῖσαν, ἢ μηδὲν ἔτι τέλειον ἐπαγγελλομένην ἡμῖν. τοῦτο δὲ τὸ χλιαρὸν καὶ νωθροποιὸν ἐκφευξόμεθα πάθος, εἴγε εἰς στενοὺς ἄγαν ὅρους ἐπιστήσομεν ἡμῶν τὴν διάνοιαν, πρὸς μόνην τὴν μνήμην τοῦ Θεοῦ ἀφορῶντες. οὕτω γὰρ αὖ μόνον εἰς τὴν ἑαυτοῦ ὁ νοῦς ἐπαναδραμὼν θέρμην, τῆς διαφορήσεως ἐκείνης ἀναχωρῆσαι τῆς ἀλόγου δυνήσεται.

νθʹ. Ἀπαιτεῖ ἡμᾶς πάντως ὁ νοῦς, ὅταν αὐτοῦ πάσας τὰς διεξόδους τῇ μνήμῃ ἀποφράξωμεν τοῦ Θεοῦ, ἔργον ὀφεῖλον αὐτοῦ πληροφορεῖν τὴν εὐρεσιλογίαν. δεῖ οὖν αὐτῷ διδόναι, τὸ Κύριε Ἰησοῦ μόνον, εἰς ὁλόκληρον πραγματείαν τοῦ σκοποῦ. οὐδεὶς γάρ φησι λέγει Κύριον Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι Ἁγίῳ. ἀλλ' οὕτω στενῶς τὸ ῥητὸν διαπαντὸς ἐν τοῖς ἑαυτοῦ ταμείοις θεωρείτω, ἵνα μὴ εἰς φαντασίας ἐκτρέποιτό τινάς. ὅσοι γὰρ τοῦτο τὸ ἅγιον καὶ ἔνδοξον ὄνομα ἐν τῷ βάθει μελετῶσιν ἀπαύστως τῆς καρδίας, οὗτοι καὶ τὸ φῶς αὐτῶν τοῦ νοῦ δύνανται ὁρᾷν ποτε. στενῇ γὰρ * μερίμνῃ ὑπὸ τῆς διανοίας κρατούμενον, πάντα τὸν ἐπιπολάζοντα ῥύπον τῆς ψυχῆς, ἐν αἰσθήσει ἱκανῇ καταφλέγει. καὶ γὰρ ὁ Θεὸς ἡμῶν φησὶ πῦρ καταναλίσκον τὴν μοχθηρίαν. ὅθεν εἰς ἀγάπην λοιπὸν πολλὴν τὴν ψυχὴν τῆς αὐτοῦ δόξης προσκαλεῖται ὁ Κύριος. ἐγχρονίζον γὰρ τὸ ἔνδοξον ἐκεῖνο, καὶ πολυπόθητον ὄνομα διὰ τῆς μνήμης τοῦ νοῦ τῇ θέρμῃ τῆς καρδίας, ἕξιν ἡμῖν πάντως ἐμποιεῖ τοῦ ἀγαπᾶν τὴν αὐτοῦ ἀγαθότητα, μηδενὸς ὄντος λοιπὸν τοῦ ἐμποδίζοντος. οὗτος γάρ ἐστιν ὁ μαργαρίτης ὁ πολύτιμος, ὅντινα πωλήσας τὴν περιουσίαν αὐτοῦ ἅπασαν τις κτήσασθαι δύναται, καὶ ἔχειν ἀνεκλάλητον ἐπὶ τῇ αὐτοῦ εὑρέσει χαράν.

ξʹ. Ἄλλη ἐστὶν ἡ εἰσαγωγὸς χαρὰ, καὶ ἄλλη ἡ τελειοποιός. ἡ μὲν γὰρ, φαντασίας οὐχ ὑπάρχει ἄμοιρος, ἡ δὲ, ταπεινοφροσύνην ἔχει τὴν δύναμιν. μέσον δὲ τούτων ἐστὶ λύπη θεοφιλὴς, καὶ * ἀνάλγητον δάκρυον. ἐν γὰρ πλήθει ὄντως σοφίας, πλῆθος γνώσεως, καὶ ὁ προστιθεὶς γνῶσιν, προστίθησιν ἄλγημα. διὰ τοῦτο οὖν πρῶτον δεῖ τῇ εἰσαγωγῷ χαρᾷ πρὸς τοὺς ἀγῶνας προσκληθῆναι τὴν ψυχὴν, ἐλεγχθῆναι δ' αὐτὴν καὶ δοκιμασθῆναι ὑπὸ τῆς ἀληθείας τοῦ ἁγίου Πνεύματος, περί τε ὧν ἔπραξε κακῶν, ἢ καὶ ἔτι πράττει μετεωρισμῶν. ἐν ἐλεγμοῖς γάρ φησιν ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον, καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ. ἵνα τῆς θείας αὐτὴν ἐλέγξεως δοκιμασάσης, ὥσπερ

* ἐν ἄλ. τῇ μνήμῃ.

* ἐν ἄλ. ἐναργὲς

εὐχω-

ἐνχωριδιωτείῳ, οὕτω τὴν ἐνέργειαν λάβῃ τῆς ἀφάτου χαρᾶς, ἐν θερμῇ μνήμῃ τοῦ Θεοῦ.

ξα'. Ὅταν ὑπὸ ὀργῆς ἡ ψυχὴ ταράττηται, ἢ ὑπὸ κραιπάλης θολῶται, ἢ ὑπὸ χαλεπῆς ἀθυμίας ὀχλῆται, οὐ δύναται ὁ νοῦς ἐγκρατής, (κἂν ὅπως ἑαυτὸν βιάζοιτο) γενέσθαι τῆς τοῦ Θεοῦ μνήμης. ἐσκοτισμένος γὰρ ὅλος ὑπὸ τῆς δεινότητος τῶν παθῶν ὤν, ἀλλότριος τῆς οἰκείας πάντως γίνεται αἰσθήσεως. διόπερ οὐκ ἔχει ποῦ ἡ ἐπιθυμία τὴν ἑαυτῆς ἐκτυπώσει σφραγῖδα, ἵνα φέρῃ ἄληστον ὁ νοῦς τὸ εἶδος τῆς μελέτης, σκληρᾶς τῆς μνήμης τῆς διανοίας, ἐκ τῆς τῶν παθῶν γινομένης ὠμότητος. εἰ δὲ τούτων ἐκτὸς εἴη, κἂν βραχὺ ὑπὸ τῆς λήθης ὑποκλαπῇ τὸ ποθούμενον, εὐθέως πάλιν ὁ νοῦς τῇ οἰκείᾳ εὐεξίᾳ χρησάμενος, θερμῶς ἐπιλαμβάνεται τοῦ πολυποθήτου ἐκείνου, καὶ σωτηρίου θηράματος. ἔχει γὰρ αὐτὴν τὴν χάριν τότε, καὶ συμμελετῶσαν τῇ ψυχῇ, καὶ συγκράζουσαν τό, Κύριε Ἰησοῦ Χριστέ, καθὼς ἂν μήτηρ διδάσκοι, καὶ πάλιν συμμελετᾷ τῷ ἑαυτῆς τέκνῳ τό, Πάτερ ὄνομα. ἄχρις οὗ εἰς ἕξιν ἀγάγῃ, τοῦ ἀντ' ἄλλης οἵας δήποτε οὖν, βρεφοπρεποῦς ὁμιλίας, σαφῶς τὸν Πατέρα, κἂν ὑπνοῖ, καλεῖν. διὰ τοῦτο ὁ Ἀπόστολος λέγει. ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν. τὸ γὰρ τί προσευξόμεθα, καθ' ὃ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις. ἐπειδὴ γὰρ ἡμεῖς νηπιάζομεν πρὸς τὸ τῆς ἀρετῆς τέλειον, τῆς αὐτοῦ πάντως χρῄζομεν βοηθείας. ἵνα ὑπὸ τῆς αὐτοῦ ἀνεκλαλήτου γλυκύτητος, τῶν λογισμῶν ἡμῶν ἁπάντων συνεχομένων τε καὶ καθηδυνομένων, ἐξ ὅλης διαθέσεως πρὸς τὴν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν κινηθῶμεν μνήμην τε, καὶ ἀγάπην. διόπερ ἐν αὐτῷ, ὡς αὐτὸς πάλιν ὁ θεσπέσιος Παῦλος λέγει, κράζομεν, ὅτε ὑπ' αὐτοῦ Θεὸν πατέρα ῥυθμιζόμεθα καλεῖν ἀκαταπαύστως, ἀββᾶ ὁ πατήρ.

Ὁ θυμὸς πλέον τῶν ἄλλων παθῶν ταράττειν εἴωθε, καὶ συγχεῖν τὴν ψυχήν. ἔστι δ' ὅτε καὶ τὰ μέγιστα αὐτὴν ὠφελεῖ. ἡνίκα γὰρ κατὰ τῶν ἀσεβούντων, ἢ ὅπως δήποτε ἀσελγαινόντων ἀταράχως, αὐτῷ ἵνα ἢ σωθῶσιν, ἢ καταισχυνθῶσι, κεχρήμεθα, προσθήκην αὐτῇ προξενοῦμεν πραότητος. τῷ γὰρ σκοπῷ πάντως τῆς δικαιοσύνης καὶ τῆς ἀγαθότητος συντρέχομεν τοῦ Θεοῦ. ἀλλὰ καὶ τὸ θηλυδρῶδες αὐτῆς, βαρέως ὀργισθέντες κατὰ τῆς ἁμαρτίας, ἀναρρωννῦμεν πολλάκις· ὅτι δὲ καὶ αὐτῷ τῷ τῆς φθορᾶς πνεύματι ἐμβριμώμενοι, ὅταν ἐν πολλῇ ὦμεν ἀθυμίᾳ ἐπάνω τῆς τοῦ θανάτου φρονοῦμεν καυχήσεως, οὐ δεῖ ἀμφιβάλλειν. ὅπερ ἵνα διδάξῃ ἡμᾶς ὁ Κύριος, δὶς ἐν τῷ πνεύματι τῷ ᾅδῃ ἐμβριμησάμενος καὶ ταράξας ἑαυτόν, καίτοιγε ἀταράχῳ βουλήσει πάντα ὅσα θέλει ποιῶν, οὕτω τὴν Λαζάρου ψυχὴν ἀπέδωκε τῷ σώματι· ὥστε μοι δοκεῖν εἰς ὅπλον μᾶλλον δικαιοσύνης τῇ φύσει ἡμῶν, τὸν σώφρονα θυμὸν παρὰ τοῦ κτίσαντος ἡμᾶς παραχεθῆναι Θεοῦ. ὥσπερ εἰ κατὰ τοῦ ὄφεως ἐχρήσατο ἡ Εὔα, οὐκ ἂν ὑπ' ἐκείνης τῆς ἐμπαθοῦς ἐνηργεῖτο ἡδονῆς. ὥστε μοι φαίνεσθαι, ὅτι ὁ διὰ ζῆλον τῆς εὐσεβείας τῷ θυμῷ σωφρόνως κεχρημένος, δοκιμώτερος πάντως παρὰ τῇ τῶν ἀνταποδόσεων εὑρεθήσεται πλάστιγγι, τοῦ οὐδόλως διὰ δυσκινησίαν νοῦ, εἰς θυμὸν κινουμένου. ἐπειδὴ ὁ μέν, ἀγύμναστον τὸν τῶν ἀνθρωπίνων φρενῶν ἡνίοχον ἔχων φαίνεται. ὁ δὲ δὴ ἐπὶ τῶν ἵππων τῆς ἀρετῆς ἐναγώνιος γίνεται. καὶ φέρεται ἐν μέσῳ τῶν δαιμονικῶν παρατάξεων, ξβ'.

τὸ τῆς ἐγκρατείας ἀεὶ καταγυμνάζων ἐν φόβῳ Θεοῦ τέθριππον. ὅπερ ἅρμα Ἰσραὴλ ἐν τῇ ἀναλήψει τοῦ θείου Ἠλιοῦ παρὰ τῇ γραφῇ εἰρημένον, εὑρίσκομεν. ἐπειδὴ πρώτοις Ἰουδαίοις περὶ τῶν τεσσάρων ἀρετῶν διαφόρως φαίνεται ὁμιλήσας ὁ Θεός· διόπερ ὅλως καὶ ἐπὶ ἅρματος πυρὸς ἀνελήφθη ὁ τοσοῦτος καὶ τηλικοῦτος τῆς σοφίας τρόφιμος, ὡς ἵπποις ταῖς οἰκείαις, ἐμοὶ δοκεῖ, ὁ σώφρων χρησάμενος ἀρεταῖς, ἐν τῷ ἁρπάζοντι αὐτὸν ἐν αὔρᾳ πυρὸς πνεύματι.

ξγ΄. Ὁ γνώσεως μετέχων ἁγίας, καὶ γλυκύτητος Θεοῦ γευσάμενος, οὔτε δικάζειν ὀφείλει ποτέ, οὔτε δίκην ὅλως κινεῖν πρός τινας. κἂν αὐτὰ ἅπερ ἠμφίασται ἀφέληταί τις. ἡ γὰρ τῶν ἀρχόντων τοῦ κόσμου τούτου δικαιοσύνη, ἥττηται πάντως τῇ δικαιοσύνῃ τοῦ Θεοῦ. μᾶλλον δὲ οὐδέν ἐστι πρὸς τὸ δίκαιον τοῦ Θεοῦ, ἐπεὶ ποία διαφορὰ μεταξὺ τῶν τέκνων τοῦ Θεοῦ, καὶ τῶν τοῦ αἰῶνος τούτου ἀνθρώπων, εἰ μὴ τὸ τούτων δίκαιον ἀτελὲς ὂν πρὸς τὴν ἐκείνων δικαιοσύνην φαίνοιτο, ὥστε τὸ μέν, λέγεσθαι ἀνθρώπινον δίκαιον, τὸ δέ, θείαν δικαιοσύνην. οὕτως οὖν ὁ μὲν Κύριος ἡμῶν, οὔτε λοιδορούμενος ἀντελοιδόρει, οὔτε πάσχων ἠπείλει, ἀλλὰ καὶ τὴν ἀφαίρεσιν τῆς ἐσθῆτος σιωπῶν ὑπέμενε, καὶ ὑπὲρ τῆς ἡμῶν σωτηρίας ὠδύνατο, καὶ τὸ μεῖζον ὑπὲρ τῶν κακουργούντων τὸν πατέρα ἠξίου. οἱ δὲ τοῦ κόσμου ἄνθρωποι, οὐκ ἂν τοῦ δικάζεσθαι παύσωνται, εἰ μὴ μετὰ προσθήκης ἐνίοτε τὰ τῶν εἰσαγώγων ἀπολάβωσι πράγματα, ὁπόταν μάλιστα πρὸ τοῦ χρέους τοὺς τόκους κομίζωνται. ὥστε αὐτῶν γίνεσθαι τὸ δίκαιον, ἀρχὴν πολλάκις ἀδικίας μεγάλης.

ξδ΄. Οὐ δεῖ, φασίν, ἤκουσα τινῶν εὐλαβῶν λεγόντων, παραχωρεῖν τοῖς τυχοῦσι διαρπάζειν, ἅπερ πρὸς τὴν ἑαυτῶν διοίκησιν, ἢ πρὸς πενήτων ἀνάπαυσιν ἔχομεν· ἵνα μὴ ἁμαρτίας πρόξενοι τοῖς ἀδικοῦσιν ἡμᾶς δι' ὧν ἀνεξικακοῦμεν γινώμεθα, καὶ μάλιστα εἰ παρὰ χριστιανῶν τοῦτο πάσχομεν· τοῦτο δὲ οὐδὲν ἕτερόν ἐστιν, εἰ θέλειν τὰ ἑαυτοῦ ὑπὲρ ἑαυτὸν μετὰ ἀλόγου προφάσεως· εἰ γὰρ καταλιπὼν τὸ εὔχεσθαι, καὶ προσέχειν τῇ ἐμαυτοῦ καρδίᾳ, δίκας ἀγορεύειν πρὸς τοὺς θέλοντάς με ἐπηρεάζειν κατὰ μικρὸν ἄρξομαι, καὶ δικαστηρίων παρεδρεύειν προαυλίοις, δῆλον ὅτι τὰ ἐκδικούμενα, κρείττονα τῆς ἐμαυτοῦ ἡγοῦμαι σωτηρίας, ἵνα μὴ εἴπω, καὶ αὐτοῦ τοῦ σωτηρίου ἐντάλματος· πῶς γὰρ ὅλως τῷ εὐαγγελικῷ ἀκολουθήσω προστάγματι, τῷ κελεύοντί μοι, καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει; εἰ μὴ μετὰ χαρᾶς ὑπομείνω· κατὰ τὸ Ἀποστολικὸν λόγιον τὴν τῶν προσόντων μοι διαρπαγὴν πραγμάτων· ὁπότε οὔτε δικασάμενός τις καὶ ἀπολαβὼν ὅσαπερ ἐβιάσθη, τῆς ἁμαρτίας τὸν πλεονέκτην ἐλευθεροῖ· ἐπειδὴ τὰ φθαρτὰ δικαστήρια τὸ ἄφθαρτον τοῦ Θεοῦ κριτήριον ὁρίζειν οὐ δύναται· τούτους γὰρ πάντως τοὺς νόμους, ὁ αἴτιος πληροφορεῖ, παρ' οἷς καὶ ὑπὲρ τῆς αἰτίας ἀπολογεῖσθαι αὐτὸν συμβαίνει· ὥστε καλὸν τό, τὴν τῶν θελόντων ἡμᾶς ἀδικεῖν, φέρειν βίαν, καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν, ἵνα διὰ μετανοίας, οὐ μὴν διὰ τῆς ἀνταποδόσεως, ὧν ἀφ' ἡμῶν ἥρπασαν, ἀπολυθῶσι τοῦ τῆς πλεονεξίας ἐγκλήματος· τοῦτο γὰρ θέλει ἡ δικαιοσύνη τοῦ Θεοῦ, ἵνα αὐτὸν τὸν πλεονέκτην, οὐχὶ τὸ πλεονεκτηθέν, ἀπολάβωμεν ποτὲ τῆς ἁμαρτίας, διὰ τῆς μετανοίας, ἐλεύθερον·

Λίαν ἁρμόδιον καὶ διὰ πάντων ἐπωφελές, τὸ ἐπιγνόντας ἡμᾶς τὴν ὁδὸν τῆς εὐσεβείας, εὐθέως ἅπαντα τὰ προσόντα ἡμῖν διαπωλεῖν, καὶ τὰ ἀπὸ τούτων χρήματα διοικεῖν, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, καὶ μὴ προφάσει τοῦ θέλειν ἐντολὰς ποιεῖν διαπαντός, παρακούειν τοῦ σωτηρίου κελεύσματος· ἔσται γὰρ ἡμῖν ἐκ τούτου, πρῶτον μέν, ἡ καλὴ ἀμεριμνία, ξε΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ ἡ ἐντεῦθεν λοιπὸν ἀνεπιβούλευτος πτωχεία, ἥτις πάσης ἀδικίας καὶ πάσης δίκης ἐπάνω φρονεῖ, διὰ τὸ μὴ ἔχειν ἡμᾶς μηκέτι, τὴν τὸ πῦρ τῶν πλεονεκτῶν ἀνάπτουσαν ὕλην· περιθάλψει δὲ ἡμᾶς πλέον τῶν ἄλλων ἀρετῶν ἡ ταπεινοφροσύνη, καὶ εἰς τοὺς οἰκείους ὡς γυμνοὺς ὑπάρχοντας ἀναπαύσει κόλπους· οἷον μήτηρ τὸ ἑαυτῆς παιδίον εἰς τὰς οἰκείας προσλαμβανομένη καταθάλπει ἀγκάλας, ὅταν διὰ τὴν νηπιώδη ἁπλότητα τὴν ἑαυτοῦ ἐκδυσάμενον πόρρωθεν ἀπορρίψῃ ἐσθῆτα· τῇ γυμνότητι μᾶλλον διὰ πολλὴν ἀκακίαν, ἢ τῇ ποικιλίᾳ τῆς ἐσθῆτος τερπόμενον· φυλάσσων γάρ φησι· τὰ νήπια ὁ Κύριος· ἐταπεινώθην, καὶ ἔσωσέ με·

ξϛʹ. Καθὸ ἔχομεν, πάντως ὁ Κύριος ἡμᾶς ἀπαιτήσει τὸν λόγον τῆς ἐλεημοσύνης, οὐ καθὸ οὐκ ἔχομεν· ἐὰν οὖν ὅπερ εἶχον δοῦναι εἰς πολλοὺς χρόνους, ἐν ὀλίγῳ χρόνῳ δαπανήσω διὰ τὸν φόβον τοῦ Θεοῦ, χρηστῷ διαπύρῳ κελεύσματι, περὶ τίνος ἔτι ὁ μηδὲν ἔχων ἐγκληθήσομαι; ἀλλ' ἐρεῖ τις· πόθεν οὖν ἐλεηθήσονται οἱ λοιποὶ, οἱ ἐκ τῶν ἡμετέρων μετρίως ἐθισθέντες κατ' ὀλίγον διοικεῖσθαι πένητες; μανθανέτω δὲ ὁ τοιοῦτος μὴ προφάσει τῆς ἰδίας φιλοχρηματίας ὀνειδίζειν τῷ Θεῷ· οὐχ ὑστερήσει γὰρ ὁ Θεὸς τὸ οἰκεῖον οἰκονομῶν ὡς ἀπ' ἀρχῆς κτίσμα· οὔτε γὰρ πρὶν οὗτος, ἢ ἐκεῖνος πρὸς τὴν ἐλεημοσύνην ἐξηγείροντο ἐστεροῦντο τροφῆς, ἢ σκεπασμάτων οἱ πτωχοί. καλὸν οὖν τὸ, παρ' αὐτὴν τὴν ἐπίγνωσιν, μετὰ χρηστῆς διακονίας, διαρρίψαι τὸ ἐκ τοῦ πλούτου ἀλόγιστον φρόνημά τε, καὶ καύχημα, τὰς οἰκείας ἐπιθυμίας μισήσαντα, ὅπερ ἐστὶ μισῆσαι τὴν ἑαυτοῦ ψυχήν· ἵνα μηκέτι χαίροντες ἐπὶ τῇ τῶν χρημάτων διασπορᾷ, ἐξουδενώσωμεν τὴν ψυχὴν ἡμῶν σφόδρα, ὡς μηδὲν τῶν καλῶν ἐργαζόμενοι· ἕως μὲν γὰρ τῶν χρημάτων εὐποροῦμεν, χαίρομεν μεγάλως, (εἴπερ ἐστὶν εἰς ἡμᾶς ἡ τοῦ ἀγαθοῦ ἐνέργεια) ἐπὶ τῷ τούτων διασκορπισμῷ, ὡς ἱλαρῶς ὑπηρετούμενοι τῷ θείῳ κελεύσματι· ἐπειδὰν δὲ πάντα ἐξαντλήσωμεν, λύπη ἡμῖν ἄπειρος, καὶ ταπείνωσις ἐπεισέρχεται, ὡς μηδὲν δικαιοσύνης ἄξιον διαπραττομένοις· ὅθεν λοιπὸν ἐφ' ἑαυτὴν ἐπιστρέφει ἡ ψυχὴ ἐν πολλῇ ταπεινώσει· ἵν' ὅπερ οὐκ ἔχει κτᾶσθαι καθ' ἡμέραν διὰ τῆς ἐλεημοσύνης, τοῦτο ἐκ τῆς ἐπιπόνου εὐχῆς, καὶ τῆς ὑπομονῆς, καὶ τῆς ταπεινοφροσύνης ἑαυτῇ περιποιῆται· πτωχὸς γάρ φησι· καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου, Κύριε· οὔτε δὲ τὸ τῆς θεολογίας χάρισμα ἐπιμάζεταί τινι ὑπὸ τοῦ Θεοῦ, εἰ μήτις ἑτοιμάσοι ἑαυτὸν, ὥστε πάντα τὰ προσόντα αὐτῷ ἀποκτήσασθαι ἕνεκεν τῆς δόξης τοῦ Εὐαγγελίου τοῦ Θεοῦ· ἵνα ἐν θεοφιλεῖ πτωχείᾳ τὸν πλοῦτον εὐαγγελίζηται τῆς βασιλείας τοῦ Θεοῦ· ὁ γὰρ εἰρηκὼς, ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ Θεὸς, καὶ ἐπαγαγών· Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, τοῦτο σαφῶς σημαίνει.

Πάντα μὲν τὰ χαρίσματα τοῦ Θεοῦ ἡμῶν καλὰ λίαν, καὶ πάσης ἀγαθότητος παρεκτικά. οὐδὲν δὲ οὕτως ἡμῶν ἀναφλέγει, καὶ κινεῖ τὴν καρδίαν εἰς τὴν ἀγάπην τῆς αὐτοῦ ἀγαθότητος, ὡς ἡ θεολογία· γέννημα γὰρ οὖσα αὕτη πρώϊμον τῆς τοῦ Θεοῦ ἀγαθότητος, πρῶτα πάντως καὶ δῶρα χαρίζεται τῇ ψυχῇ. πρῶτον μὲν γὰρ παρασκευάζει ἡμᾶς πάσης τῆς τοῦ βίου χαίροντας καταφρονεῖν φιλίας, ὡς ἔχοντας ἀντὶ φθαρτῶν ἐπιθυμιῶν ἀνεκλάλητον πλοῦτον τὰ λόγια τοῦ Θεοῦ. ἔπειτα δὲ τῷ πυρὶ τὸν νοῦν ἡμῶν περιαυγάζει τῆς ἀλλοιώσεως, ὅθεν αὐτὸν καὶ κοινωνικὸν τῶν λειτουργικῶν πνευμάτων ποιεῖ. γνησίως οὖν οἱ εἰς τοῦτο προετοιμασθέντες τὴν ἀρετὴν ποθήσωμεν ἀγαπητοί· τὴν εὐπρεπῆ, τὴν πανθέω- ξζʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρεν, τὴν πάσης ἀμεριμνίας πρόξενον, τὴν ἐν αὐγῇ φωτὸς ἀρρήτου τὸν νοῦν ζωγραφοῦσαν τοῖς λόγοις τοῦ Θεοῦ, τὴν τῷ Θεῷ λόγῳ, ἵνα μὴ πολλὰ λέγω, τὴν λογικὴν ψυχὴν διὰ τῶν ἁγίων προφητῶν πρὸς κοινωνίαν ἁρμοσαμένην ἀχωρίστως· ἵνα καὶ παρὰ ἀνθρώποις· ὢ τοῦ θαύματος· τοὺς (1) θεώδεις φθόγγους ἡ νυμφαγωγὸς ἐναρμόσασα ἡ θεία, σαφῶς ᾄδει τὰς δυναστείας τοῦ Κυρίου.

ξη΄. Ὁ νοῦς ἡμῶν τὰ πολλά, περὶ μὲν τὴν προσευχὴν δυσαναγκάστως ἔχει, διὰ τὸ στενὸν ἄγαν καὶ περιεσταλμένον τῆς εὐκτικῆς ἀρετῆς· εἰς δὲ τὴν θεολογίαν χαίρων ἑαυτὸν ἐπιδίδωσι, διὰ τὸ πλατὺ, καὶ ἀπολελυμένον τῶν θείων θεωρημάτων. Ἵνα οὖν μὴ ὁδὸν αὐτῷ δῶμεν τοῦ πολλὰ λέγειν, ἢ καὶ ὑπὲρ τὸ μέτρον αὐτὸν πτεροῦσθαι, παραχωρῶμεν τῇ χαρᾷ, καὶ τῇ προσευχῇ τὰ πλεῖστα. καὶ τῇ ψαλμῳδίᾳ, καὶ τῇ τῶν γραφῶν ἀναγνώσει σχολάζωμεν· μήτε τῶν φιλολόγων ἀνδρῶν παρορῶντες τὰ θεωρήματα, ὧν ἡ πίστις διὰ τῶν λόγων γνωρίζεται· οὔτε γὰρ ἴδια, αὐτὸ τοῦτο ποιοῦντες, παρασκευάζομεν ῥήματα ἐπιμίγνυσθαι τοῖς λόγοις τῆς χάριτος, οὔτε μὴν ὑπὸ τῆς κενοδοξίας αὐτὸν ὑποσυρῆναι διαφορηθέντα διὰ τῆς πολλῆς χαρᾶς καὶ τῆς πολυλογίας παραχωρήσομεν, ἀλλὰ καὶ πάσης φαντασίας αὐτὸν ἐκτὸς ἐν τῷ καιρῷ τῆς θεωρίας φυλάξομεν, καὶ δακρυώδεις αὐτῷ σχεδὸν τὰς πάσας ἐκ τούτου ἐννοίας περιποιήσομεν· ἀναπαυόμενος γὰρ ἐν τοῖς καιροῖς τῆς ἡσυχίας, καὶ καθηδυνόμενος ὑπὸ τοῦ τῆς εὐχῆς μάλιστα γλυκάσματος, οὐ μόνον τῶν προειρημένων αἰτιῶν ἐκτὸς γίνεται, ἀλλὰ καὶ πλέον ἀνανεοῦται εἰς τὸ ὀξέως, καὶ δίχα πόνου τοῖς θείοις ἐπιβάλλειν θεωρήμασι, μετὰ τοῦ, καὶ εἰς τὴν θεωρίαν αὐτὸν τῆς διακρίσεως ἐν πολλῇ προκόπτειν ταπεινώσει· πλὴν δεῖ εἰδέναι, ὅτι ἐστὶν εὐχὴ παντὸς πλάτους ἐπάνω· αὕτη δὲ ἐκείνων μόνον ὑπάρχει, τῶν ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ ἐμπεπλησμένων τῆς ἁγίας χάριτος.

Ἡ χάρις τὴν ἀρχὴν ἐν αἰσθήσει πολλῇ τὴν ψυχὴν τῷ οἰκείῳ εἴωθε περιαυγάζειν φωτί. προϊόντων δὲ τῶν ἀγώνων, ἀγνώστως τὰ πολλὰ ἐνεργεῖ τῇ θεολόγῳ ψυχῇ τὰ ἑαυτῆς μυστήρια. ἵνα νῦν μὲν ἡμᾶς χαίροντας εἰς τὸ ἴχνος ἐπιβάλλῃ τῶν θείων θεωρημάτων, ὡς ἐξ ἀγνοίας εἰς γνῶσιν καλουμένους. ἐν δὲ τῷ μέσῳ τῶν ἀγώνων, ἀκενόδοξον ἡμῶν τὴν γνῶσιν διαφυλάττῃ. δεῖ οὖν λυπεῖσθαι μὲν ἡμᾶς συμμέτρως ὡς ἐγκαταλειφθέντας, ἵνα πλέον ταπεινωθῶμεν, καὶ ὑποταγῶμεν τῇ δόξῃ τοῦ Κυρίου, χαίρειν δὲ εὐκαίρως τῇ ἀγαθῇ ἐλπίδι πτερουμένους· ὡς γὰρ ἡ πολλὴ λύπη εἰς ἀπελπισμὸν καὶ ἀπιστίαν τὴν ψυχὴν περιΐστησιν, οὕτω καὶ ἡ πολλὴ χαρὰ εἰς οἴησιν αὐτὴν προσκαλεῖται, ἐπὶ τῶν ἔτι δὲ νηπιαζόντων λέγω· φωτισμοῦ μὲν γὰρ καὶ ἐγκαταλείψεως τὸ μέσον, πεῖρα. λύπης δὲ καὶ χαρᾶς τὸ μέσον, ἐλπίς. Ὑπομένων γάρ φησιν ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ πάλιν κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου. ξθ΄.

Ὥσπερ αἱ τῶν λουτρῶν συνεχῶς ἀνοιγόμεναι θύραι, τὴν ἔνδον θέρμην θᾶττον ὠθοῦνται πρὸς τὰ ἔξω, οὕτω καὶ ἡ ψυχή, ὅταν πολλὰ θέλῃ διαλέγεσθαι, κἂν πάντα καλὰ λέγῃ, τὴν ἑαυτῆς μνήμην διὰ τῆς φωνητικῆς πύλης διαφορεῖ. ὅθεν λοιπὸν ὁ νοῦς στερίσκεται μὲν τῶν * Κυρίων ἐννοιῶν, αὐτὴν δὲ τὴν τῶν * λόγων συμπληγάδα ὀχλοδῶς τοῖς τυχοῦσι διαλέγεται. ἐπειδὴ οὔτε τὸ Ἅ- ο΄.

* ἐν ἄλλ. στερ. καιρίων.
* ἐν ἄλλ. λογισμῶν.

(1) Ἐν ἄλ. τοὺς θεώδεις φθόγγους ἡ νυμφαγωγὸς ἐναρμόσασα ἡ θεία, τρανῶς ᾄδουσι τὰς δυναστείας τοῦ Θεοῦ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γιον, λοιπόν, ἔχει Πνεῦμα, εἰς ἀφάνταστον αὐτὴν σωτηρίαν ὁδηγοῦν. φεύγει γὰρ ἀεὶ τὸ ἀγαθὸν τὴν πολυλογίαν, ὡς ταραχῆς οὖν ἁπάσης καὶ φαντασίας ξένον. καλὴ οὖν ἡ εὔκαιρος σιωπή. οὐδὲν ἕτερον οὖσα, ἢ μήτηρ ἐννοιῶν σοφωτάτων.

οα'. Πολλὰ μὲν ἐν τῷ Θεολόγῳ ψυχῇ τὴν ἀρχὴν διενοχλεῖν, αὐτὸς ἡμᾶς ὁ λόγος τῆς γνώσεως διδάσκει πάθη. πλεῖον δὲ πάντων ὁ θυμός, καὶ τὸ μῖσος. τοῦτο δὲ πάσχει. οὐ τοσοῦτον διὰ τοὺς ἐνεργοῦντας ταῦτα δαίμονας, ὅσον διὰ τὴν οἰκείαν προκοπήν. ἕως μὲν γὰρ ἡ ψυχὴ τῷ τοῦ κόσμου φρονήματι συναπάγηται, κἂν ὁπωσοῦν ἴδῃ τὸ δίκαιον παρά τινων καταπατούμενον, ἀκίνητος καὶ ἀτάραχος μένει. τῶν γὰρ ἰδίων ἐπιθυμιῶν φροντίζουσα, εἰς τὸ δίκαιον οὐκ ἀφορᾷ τοῦ Θεοῦ. ὅτε δὲ τῶν ἑαυτῆς ἐπάνω ἄρξηται γενέσθαι * παθῶν, διάτε τὴν τῶν παρόντων καταφρόνησιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ, οὔτε ἐν ἑαυτῷ τὸ δίκαιον, οὔτε ἐν ἑτέρῳ ἀθετούμενον ἰδεῖν φέρει, ἀλλὰ χολᾷ κατὰ τῶν κακούργων καὶ ταράττεται, ἕως ὅτε τοὺς ὑβριστὰς ἴδῃ τῆς δικαιοσύνης εὐσεβεῖ λογισμῷ, τῷ ταύτης ὑπολογουμένους ἀξιώματι. διὰ τοῦτο οὖν τοὺς μὲν ἀδίκους μισεῖ, τοὺς δὲ δικαίους ὑπεραγαπᾷ. ἀσυνάρπακτον γὰρ πάντως τὸ ὄμμα τῆς ψυχῆς γίνεται, ὅταν τὸ ἑαυτῆς παραπέτασμα τὸ σῶμα λέγω, εἰς λεπτότητα πολλὴν διὰ τῆς ἐγκρατείας ἐξυφανθῇ. πλὴν κρεῖττόν ἐστι πολὺ τοῦ μισεῖν τοὺς ἀδίκους, τὸ κλαίειν τὴν ἑαυτῶν ἀναισθησίαν. εἰ γὰρ κακεῖνοι μίσους ὑπάρχουσιν ἄξιοι, ἀλλὰ τὴν * φιλόθεον ψυχὴν, ὁ λόγος οὐ θέλει, ὑπὸ μίσους διοχλεῖσθαι. ἐπειδὴ μίσους ἐμπαρόντος τῇ ψυχῇ, οὐκ ἐνεργεῖ ἡ γνῶσις.

* ἐν ἄλλ. ἐπιθυμιῶν.

* ἐν ἄλλ. θεοφιλῆ.

οβ'. Ὁ Θεολόγος τοὺς ὑπ' αὐτῶν τῶν λογίων τοῦ Θεοῦ καθηδυνόμενος τὴν ψυχὴν καὶ διαπυρούμενος, τοῖς τῆς ἀπαθείας * προβάλλει μέτροις ἐν εὐκαίροις πλάτεσι. τὰ λόγια γάρ φησι Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ. ὁ δὲ γνωστικὸς ἐκ τῆς καὶ τὴν ἐνέργειαν πείρας βεβαιούμενος, ἐπάνω τῶν παθῶν γίνεται. γεύεται δὲ καὶ ὁ Θεολόγος, εἴπερ ταπεινότερον ἑαυτὸν διαθοίη, τῆς πείρας τῆς γνωστικῆς, καὶ ὁ γνωστικὸς εἴπερ ἄπταιστον τὸ διακριτικὸν τῆς ψυχῆς ἔχῃ μέρος, τῆς θεωρητικῆς πρὸς ὀλίγον ἀρετῆς. τὰ γὰρ δύο οὐ συμβαίνει ἑκάστῳ ἐξ ὁλοκλήρου παραγίνεσθαι χαρίσματα. ἵνα τῶν ἀμφοτέρων θαυμαζόντων εἰς ὃ ἕκαστος ἑκάστου περιττεύει, ἡ ταπεινοφροσύνη ἐν αὐτοῖς μετὰ ζήλου δικαιοσύνης πλεονάζῃ. διὰ τοῦτο ὁ Ἀπόστολος λέγει· ᾧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας. ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα.

* ἴσ. προσβά.

ογ'. Ὅταν δὲ ἐν εὐθηνίᾳ ᾖ ἡ ψυχὴ τῶν φυσικῶν αὐτῆς καρπῶν, μεγαλοφωνότερον καὶ τὴν ψαλμῳδίαν ποιεῖται, καὶ φωνῇ μᾶλλον θέλει προσεύχεσθαι, ὅτε δὲ ὑπὸ τοῦ Ἁγίου Πνεύματος ἐνεργεῖται, μετὰ πάσης ἀνέσεως, καὶ ἡδύτητος ψάλλει καὶ εὔχεται, ἐν μόνῃ τῇ καρδίᾳ, ἕπεται δὲ ἐκείνῃ μὲν τῇ διαθέσει, χαρὰ πεφαντασμένη. ταύτῃ δὲ πνευματικὸν δάκρυον, καὶ μετὰ ταῦτα θυμηδία τις φιλήσυχος. θερμὴ γὰρ ἡ μνήμη διὰ τὴν τῆς φωνῆς μένουσα συμμετρίαν, δακρυώδεις τινὰς, καὶ ἠπίους ἐννοίας τὴν καρδίαν πάντως παρασκευάζει φέρειν. ὅθεν ὄντως ἔστιν ἰδεῖν τὰ σπέρματα τῆς εὐχῆς μετὰ δακρύων ἐν τῇ γῇ τῆς καρδίας, διὰ τὴν ἐλπίδα τῆς τοῦ θερισμοῦ ἐπιφερόμενα χαρᾶς· πλὴν, ὅτε ὑπὸ πολλῆς δυσθυμίας βαρούμεθα, δεῖ ὀλίγον μείζονι τῇ φωνῇ ποιεῖσθαι ἡμᾶς τὴν ψαλμῳδίαν, τῇ τῆς ἐλπίδος χαρᾷ, τοὺς φθόγγους τῆς ψυχῆς ἀνακρούοντας, ἄχρις οὗ τὸ νέφος ἐκεῖνο τὸ βαρὺ, ὑπὸ τῶν ἀνέμων τοῦ μέλους διαλυθῇ.

Ἠπι-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

οδ΄. Ἡνίκα ἐν τῇ ἑαυτῆς ἐνεργείᾳ ἡ ψυχὴ γένηται, φέρει καὶ τῆς ἑαυτῆς θέρμην τινὰ καὶ θεοφιλῆ αἰδῶ. μὴ συγχεομένη γὰρ ὑπὸ τῶν μεριμνῶν τοῦ βίου, ἐρωτικήν τινα ἀποτίκτει ἐν τῇ εἰρήνῃ συμμέτρως τὸν Θεὸν ζητοῦσα τῆς εἰρήνης. ἀλλὰ ταύτης μὲν ταχέως διαφορεῖται τῆς ἐνθυμήσεως, ἢ ὑπὸ τῶν αἰσθήσεων προδιδομένης τῆς μνήμης, ἢ καὶ ἀναλισκούσης τῆς φύσεως θᾶττον τὸ οἰκεῖον, διὰ ἔνδειαν, καλόν. ὅθεν οἱ τῶν ἑλλήνων σοφοὶ, ὅπερ διὰ τῆς ἐγκρατείας ἐπιτυγχάνειν ἐνόμιζον, τοῦτο οὐκ εἶχον ὡς ἔδει. διὰ τὸ μὴ ἐνεργεῖσθαι τὸν νοῦν αὐτῶν ὑπὸ τῆς ὄντως καὶ πάντα ἀληθινῆς σοφίας, ἡ δὲ ἐκ τοῦ παναγίου Πνεύματος φερομένη θέρμη τῇ καρδίᾳ, πρῶτον μὲν εἰρηνική ἐστιν ὅλη, καὶ ἀνένδοτος. καὶ ὅλα τὰ μέρη τῆς ψυχῆς, εἰς τὸν τοῦ Θεοῦ προσκαλουμένη πόθον, καὶ οὔτε ἔξω τῆς καρδίας ῥιπιζομένη, δι' ἑαυτῆς δὲ μᾶλλον ὅλον τὸν ἄνθρωπον εἰς ἀγάπην τινὰ ἄπειρον κατευφραίνουσα, καὶ χαράν. δεῖ μέντοι ἐπιγνόντας ἐκείνην, εἰς ταύτην καταφθάσαι. ὑγιαινούσης μὲν γάρ πως τῇ ἐγκρατείᾳ τῆς φύσεως, ὑπάρχει γνώρισμα ἡ φυσικὴ ἀγάπη, ἀχθῆναι δὲ τὸν νοῦν εἰς ἀπάθειαν, ὡς ἡ Πνευματικὴ ἀγάπη, οὐ δύναται.

οε΄. Ὥσπερ ὁ ἀὴρ οὗτος ὁ περὶ ἡμᾶς, ἐμπνέοντος μὲν τοῦ Βορρᾶ τῇ κτίσει, καθαρὸς διαμένει διὰ τὴν τοῦ ἀνέμου λεπτήν τινα καὶ αἰθριοποιὸν φύσιν. τοῦ δὲ Νότου πνέοντος ὅλος ὥσπερ δασύνεται, τῆς τοῦ ἀνέμου ταύτης ἀχλυοποιοῦ φύσεως, λόγῳ τινὸς συγγενείας ἐκ τῶν ἑαυτοῦ μερῶν τὰς νεφέλας καὶ πάσης ἐπιφέροντος τῆς οἰκουμένης. οὕτω καὶ ἡ ψυχὴ, ὅτε μὲν ὑπὸ τῆς τοῦ ἀληθινοῦ καὶ ἁγίου Πνεύματος ἐπιπνοίας ἐνεργεῖται, ἐκτὸς τῆς δαιμονικῆς ὅλη ἀχλύος εὑρίσκεται. ὅτε δὲ ὑπὸ τοῦ πνεύματος σφοδρῶς τῆς πλάνης ἐμπνέεται, ὑπὸ τῶν νεφελῶν ὅλη τῆς ἁμαρτίας σκεπάζεται. ἐχρῆν οὖν ἡμᾶς ἀεὶ τὴν πρόθεσιν ἐκ πάσης τῆς ἰσχύος πρὸς τὴν καθαρτικὴν καὶ ζωοποιὸν αὔραν ἐπιστρέφειν τοῦ Ἁγίου Πνεύματος, τουτέστι πρὸς ὃ εἶδεν ἀπὸ Βορρᾶ πνεῦμα ἐρχόμενον ἐν φωτὶ γνώσεως ὁ προφήτης Ἰεζεκιήλ· ἵνα αἴθριον ἡμῶν ἀεὶ τῆς ψυχῆς τὸ θεωρητικὸν μάλιστα διαμένῃ μέρος, πρὸς τὸ ἀπλανῶς ἡμᾶς τοῖς θείοις ἐπιβάλλειν θεωρήμασιν, ἐν αἴθρᾳ φωτὸς, τὰ τοῦ φωτὸς ὁρῶντας. τοῦτο γάρ ἐστι φῶς ἀληθινῆς γνώσεως.

ος΄. Τινὲς ὑπενόησαν τὴν χάριν ἅμα καὶ τὴν ἁμαρτίαν, τουτέστι τὸ πνεῦμα τῆς ἀληθείας, καὶ τὸ πνεῦμα τῆς πλάνης, ἐπὶ τῶν βαπτιζομένων ἐγκρύπτεσθαι εἰς τὸν νοῦν. ὅθεν φασὶ, τὸ μὲν ἓν πρόσωπον εἰς τὰ καλὰ παρακαλεῖ τὸν νοῦν. τὸ δὲ ἕτερον εὐθὺς πρὸς τὰ ἐναντία. ἐγὼ δὲ ἐκ τῶν θείων γραφῶν καὶ ἐξ αὐτῆς δὲ τοῦ νοῦ τῆς αἰσθήσεως κατείληφα. ὅτι πρὸ μὲν τοῦ ἁγίου βαπτίσματος, ἔξωθεν ἡ χάρις πρὸς τὰ καλὰ προτρέπεται τὴν ψυχὴν, ὁ δὲ σατανᾶς ἐν τοῖς αὐτῆς ἐμφωλεύει βάθεσιν, ὅλας τὰς τοῦ νοῦ ἀποφράττειν δεξιὰς πειρώμενος διεξόδους. ἀπὸ δὲ αὐτῆς τῆς ὥρας ἐν ᾗπερ ἀναγεννώμεθα, ἔξωθεν μὲν ὁ δαίμων γίνεται, ἔσωθεν δὲ ἡ χάρις. ὅθεν εὑρίσκομεν, ὅτι ὡς πάλαι ἐκυρίευεν ἡ πλάνη τῆς ψυχῆς, οὕτω μετὰ τὸ βάπτισμα, αὐτῆς κυριεύει ἡ ἀλήθεια. ἐνεργεῖ μέντοι καὶ ὁ σατανᾶς μετὰ τοῦτο τῇ ψυχῇ καθάπερ τὸ πρὶν, καὶ χείρω δὲ τὰ πολλά. οὐχ ὡς συμπαρὼν δὲ τῇ χάριτι. μὴ γένοιτο. ἀλλὰ καπνίζων ὥσπερ τὸν νοῦν διὰ τῆς ὑγρότητος τοῦ σώματος τὴν ἡδύτητα τῶν ἀλόγων ἡδονῶν. παραχωρήσει δὲ τοῦ Θεοῦ τοῦτο γίνεται. ἵνα διὰ τῆς ζάλης, καὶ τοῦ πυρὸς, καὶ τῆς δοκιμασίας διερχόμενος ὁ ἄνθρωπος, οὕτως ἐν ἀπολαύσει (εἰ θέλει) γένηται τοῦ ἀγαθοῦ. διήλθομεν γάρ φησι· διὰ πυρὸς

καὶ ὕδα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

οζ'. Ἡ χάρις· ὡς ἔφην. ἀπ᾽ αὐτῆς τῆς ῥοπῆς ἐν ᾗ βαπτιζόμεθα, ἐν αὐτῷ τῷ βάθει τοῦ νοῦ ἐγκρύπτεται. αὐτῇ τῇ αἰσθήσει αὐτοῦ, κρύπτουσα τὴν ἑαυτῆς παρουσίαν. ἐπειδὰν δὲ ἄρξηταί τις ἐκ πάσης προθέσεως ἐρᾶν τοῦ Θεοῦ, τότε ἀρρήτῳ τινὶ λόγῳ διὰ τῆς τοῦ νοῦ αἰσθήσεως προσομιλεῖ τῇ ψυχῇ, μέρος τι τῶν ἑαυτῆς ἀγαθῶν. ὅθεν εἰς ἐπιθυμίαν λοιπὸν ὁ οὕτω ὅλως θέλων ἀσφαλῶς κρατεῖν τὸ εὕρημα ἔρχεται, τοῦ πάντα τὰ παρόντα μετὰ πολλῆς χαρᾶς ἀποκτήσασθαι ἀγαθά, ἵνα τὸν ἀγρὸν ὄντως κτήσηται ἐν ᾧ περ εὗρε τὸν θησαυρὸν κεκρυμμένον τῆς ζωῆς. ὅταν γὰρ πάντα τις ἀποκτήσηται τὸν βιωτικὸν πλοῦτον, τότε εὑρίσκει τὸν τόπον, ἐν ᾧ ἡ χάρις κατακέκρυπται τοῦ Θεοῦ. κατὰ γὰρ τὴν προκοπὴν τῆς ψυχῆς, καὶ τὸ θεῖον δῶρον τὴν ἑαυτοῦ ἐν τῷ νοῒ ἐμφανίζει χρηστότητα. Πλέον μέντοι τότε ὑπὸ τῶν δαιμόνων τὴν ψυχὴν ὀχλεῖσθαι παραχωρεῖ ὁ Κύριος. ἵνα καὶ τὴν διάκρισιν αὐτὴν δεόντως ἐκδιδάσκῃ, καλοῦ τε καὶ κακοῦ, καὶ ταπεινοτέραν αὐτὴν ἀπεργάζηται. διὰ τό, πολλὴν αὐτῇ ὅτε καθαίρεται αἰσχύνην ἐκ τῆς τῶν δαιμονικῶν λογισμῶν ἐγγίνεσθαι αἰσχρότητος.

οη'. Κατ᾽ εἰκόνα ἐσμὲν τοῦ Θεοῦ, τῷ νοερῷ τῆς ψυχῆς κινήματι· τὸ γὰρ σῶμα, ὥσπερ οἶκος αὐτῆς ἐστιν· ἐπειδὴ οὖν ἐκ τῆς παραβάσεως τοῦ Ἀδάμ, οὐ μόνον αἱ γραμμαὶ τοῦ χαρακτῆρος τῆς ψυχῆς ἐρρυπώθησαν, ἀλλὰ καὶ τὸ σῶμα ἡμῶν τῇ φθορᾷ ὑπέπεσε· διὰ τοῦτο ὁ ἅγιος τοῦ Θεοῦ λόγος ἐσαρκώθη ὕδωρ ἡμῖν σωτηρίου διὰ τοῦ οἰκείου βαπτίσματος ὡς Θεὸς εἰς ἀναγέννησιν χαρισάμενος, ἀναγεννώμεθα γὰρ διὰ τοῦ ὕδατος, ἐν τῇ ἐνεργείᾳ τοῦ Ἁγίου καὶ ζωοποιοῦ Πνεύματος· ὅθεν εὐθέως καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα, εἴπερ ἐξ ὁλοκλήρου διαθέσεως προσερχώμεθα τῷ Θεῷ, καθαριζόμεθα· τοῦ μὲν Ἁγίου Πνεύματος εἰς ἡμᾶς κατασκηνοῦντος, τῆς δ᾽ ἁμαρτίας ὑπ᾽ αὐτοῦ φυγαδευομένης· οὐ γάρ ἐστι δυνατὸν ἑνὸς ὄντος, καὶ ἁπλοῦ τοῦ χαρακτῆρος τῆς ψυχῆς, δύω πρόσωπα ὡς ἐνόμισάν τινες, ἐν αὐτῇ ἐμπαρεῖναι· τῆς γὰρ θείας χάριτος προσαρμοζούσης ἑαυτὴν διὰ τοῦ Ἁγίου βαπτίσματος ἐν στοργῇ τινι ἀπείρῳ ταῖς γραμμαῖς τοῦ κατ᾽ εἰκόνα ἐπὶ ἀρραβῶνι τῆς ὁμοιώσεως, ποῦ δύναται χωρηθῆναι τὸ τοῦ πονηροῦ πρόσωπον; μηδεμιᾶς μάλιστα οὔσης κοινωνίας τοῦ φωτὸς πρὸς τὸ σκότος; ἐκβάλλεσθαι οὖν πιστεύομεν ἐκ τῶν ταμιείων τοῦ νοῦ διὰ τοῦ λουτροῦ τῆς ἀφθαρσίας, ἡμεῖς οἱ τῶν ἱερῶν ἀγώνων δρομεῖς, τὸν πολύμορφον ὄφιν· καὶ μὴ θαυμάζωμεν, τίνος ἕνεκεν μετὰ τὸ βάπτισμα πάλιν φαῦλα μετὰ τῶν καλῶν λογιζόμεθα; τὸ γὰρ λουτρὸν τῆς ἁγιότητος, τὸν μὲν ἐκ τῆς ἁμαρτίας περιαιρεῖ ἡμῶν ῥύπον, τὸ δὲ διπλοῦν τῆς θελήσεως ἡμῶν οὐκ ἀλλάσσει νῦν, οὔτε μὴν τοὺς δαίμονας τοῦ πολεμεῖν ἡμῖν, ἢ ἀπάτης προσλαλεῖν ῥήμασι, κωλύει· ἵνα ἅπερ οὐκ ἐφυλαξάμεθα φυσικοὶ ὑπάρχοντες, τὰ ὅπλα τῆς δικαιοσύνης λαβόντες, ἐν τῇ δυνάμει τηρήσωμεν τοῦ Θεοῦ.

Ὁ Σατανᾶς· ὡς εἶπον· διὰ μὲν τοῦ Ἁγίου βαπτίσματος ἐκβάλλεται ἀπὸ τῆς ψυχῆς· συγχωρεῖται δὲ αὐτῷ, ἕνεκεν τῶν προειρημένων αἰτιῶν, ἐνεργεῖν αὐτῇ διὰ τοῦ σώματος· ἡ μὲν γὰρ χάρις τοῦ Θεοῦ, αὐτὸ τὸ βάθος τῆς ψυχῆς τουτέστι τὸν νοῦν κατασκηνοῖ· πᾶσα γάρ φησιν· ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, οὐ φαινομένη τοῖς δαίμοσι· διόπερ ἐξ αὐτοῦ τοῦ βάθους τῆς καρδίας ἡμεῖς αἰσθανόμεθα τοῦ θείου, ὥσπερ ἀναβλύζοντος, πόθου, ὅτε θερμῶς τοῦ Θεοῦ μεμνήμεθα· τὰ δὲ πονηρὰ πνεύματα ταῖς αἰσθήσεσι λοιπὸν τοῦ σώματος ἐνδύεται, οθ'.

καὶ ἐμφωλεύειν· διὰ τῆς ὑγρείας τῆς σαρκὸς ἐνεργοῦντα, ἐπὶ τῶν ἔτι νηπιαζόντων τῇ ψυχῇ· ὥστε οὖν ὁ μὲν νοῦς ἡμῶν ἀεί, κατὰ τὸν θεῖον Ἀπόστολον, συνήδεται τῷ νόμῳ τοῦ Πνεύματος· τὰ δὲ αἰσθητήρια τῆς σαρκὸς τῇ λείᾳ τῶν ἡδονῶν συναπάγεσθαι θέλει· ὅθεν ἡ μὲν χάρις διὰ τῆς τοῦ νοὸς αἰσθήσεως, τὸ σῶμα εἰς ἀγαλλίασιν ἄρρητον ἐπὶ τῶν προκοπτόντων τῇ γνώσει κατευφραίνει· οἱ δὲ δαίμονες διὰ τῶν αἰσθήσεων τοῦ σώματος, ὅτε ἡμᾶς εὕρωσι μάλιστα ἀμελῶς καὶ ὀλιγώρως τὸν δρόμον τῆς εὐσεβείας τρέχοντας, τὴν ψυχὴν αἰχμαλωτίζουσι, βιαίως αὐτὴν εἰς ἃ μὴ θέλει, παρακαλοῦντες οἱ φονεῖς.

π'. Οἱ λέγοντες ὁμοῦ τὰ δύο πρόσωπα τῆς χάριτος, καὶ τῆς ἁμαρτίας ταῖς τῶν πιστῶν ἐμπαρεῖναι καρδίαις, ἐκ τοῦ εἰρηκέναι τὸν Εὐαγγελιστήν, τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε, συνίστασθαι θέλουσι τὴν ἑαυτῶν ὑπόνοιαν, λέγοντες μηδαμῶς τὴν θείαν λαμπρότητα ὑπὸ τῆς τοῦ πονηροῦ συνδιατριβῆς μολύνεσθαι· κἂν ὁπωσοῦν πλησιάζῃ· φησὶν· ἐν τῇ ψυχῇ τὸ φῶς τὸ θεῖον τῇ σκοτίᾳ τοῦ δαίμονος· ὑπὸ δὲ αὐτοῦ τοῦ εὐαγγελικοῦ ῥητοῦ ἔξω τῶν ἁγίων γραφῶν φρονοῦντες ἐλέγχονται· ἐπειδὴ γὰρ ὁ λόγος τοῦ Θεοῦ, τὸ φῶς τὸ ἀληθινόν, τῇ ἑαυτοῦ σαρκὶ ἐπιφανῆναι κατηξίωσε κτίσει, ἀμέτρῳ φιλανθρωπίᾳ τὸ φῶς αὐτοῦ παρ' ἡμῖν ἀνάψας τῆς ἁγίας γνώσεως, τὸ δὲ φρόνημα τοῦ κόσμου τὴν βουλὴν οὐ κατέλαβε τοῦ Θεοῦ, τουτέστιν οὐκ ἔγνω, ἐπειδὴ τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν· τούτου χάριν τοιούτῳ ὁ Θεολόγος ἐχρήσατο ῥήματι· ἀμέλει ὀλίγα εἰρηκὼς μέσα ὁ θεσπέσιος ἐπάγει· ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἀντὶ τοῦ ὁδηγοῦν καὶ ζωοποιοῦν, ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω· εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· λέγει δὲ καὶ ὁ σοφώτατος Παῦλος ἑρμηνεύων τὸ οὐ κατέλαβον. οὐχ ὅτι ἤδη ἔλαβον, ἢ ἤδη τετελείωμαι. διώκω δέ, εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Ἰησοῦ Χριστοῦ· ὥστε οὐ τὸν σατανᾶν λέγει ὁ Εὐαγγελιστὴς μὴ κατειληφέναι τὸ φῶς τὸ ἀληθινόν· ἀπ' ἀρχῆς γὰρ ἀλλότριον αὐτοῦ ἐστι· ἐπειδὴ οὐδὲ ἐν αὐτῷ φαίνει, ἀλλὰ τοὺς ἀκούοντας μὲν ἀνθρώπους τὰς δυναστείας, καὶ τὰ θαυμάσια τοῦ Θεοῦ, μὴ θέλοντας δὲ προσεγγίσαι διὰ τὴν ἐσκοτισμένην αὐτῶν καρδίαν τῷ φωτὶ τῆς γνώσεως αὐτοῦ, διὰ τοῦ λόγου ἀξίως ἀτιμάζει.

πα'. Δύο ὥσπερ γένη ὁ λόγος ἡμᾶς διδάσκει τῆς γνώσεως τῶν πονηρῶν πνευμάτων, τὰ μὲν γὰρ αὐτῶν εἰσὶν ὥσπερ λεπτότερα, τὰ δὲ ὑλωδέστερα· τὰ οὖν λεπτότερα, τῇ ψυχῇ πολεμεῖ· τὰ δὲ ἄλλα, τὴν σάρκα διὰ λιπαρωτέρων παρακλήσεων αἰχμαλωτίζειν εἴωθε· διόπερ ἐναντίως ἔχουσιν ἀεὶ πρὸς ἑαυτούς, οἵ, τε τῇ ψυχῇ προσπαλαίοντες δαίμονες, καὶ οἱ τῷ σώματι· κἂν εἰς τὸ βλάπτειν τοὺς ἀνθρώπους τὴν ἴσην ἔχωσι πρόθεσιν· ὅτε οὖν ἡ χάρις οὐ κατοικεῖ εἰς τὸν ἄνθρωπον, εἰς τὰ βάθη τῆς καρδίας, δίκην ὄντως ὄφεων ἐμφωλεύουσι, μὴ συγχωροῦντες ὅλως διαβλέψαι τὴν ψυχὴν πρὸς τὴν ἐπιθυμίαν τοῦ καλοῦ. ὅτε δὲ εἰς τὸν νοῦν ἡ χάρις ἐγκέκρυπται, ὡσὰν νεφέλαι τινὲς ζοφώδεις λοιπὸν διὰ τῶν τῆς καρδίας μερῶν διατρέχουσιν εἰς τὰ πάθη τῆς ἁμαρτίας· ἢ εἰς μετεωρισμοὺς ποικίλους σχηματιζόμενοι· ἵνα τὴν μνήμην μετεωρίζοντες τὸν νοῦν, τῆς πρὸς τὴν χάριν αὐτὸν ὁμιλίας ἀποσπῶσιν· ὅτε τοίνυν ὑπὸ τῶν τῇ ψυχῇ διενοχλούντων δαιμόνων εἰς τὰ ψυχικὰ ἐκπυρούμεθα πάθη, καὶ μάλιστα εἰς τὴν

οἴησιν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἶπεν, ἥτις ἐστὶ μήτηρ πάντων τῶν κακῶν. τὴν ἀνάλυσιν τοῦ σώματος ἡμῶν λογιζόμενοι, τὸν ὄγκον μάλιστα τῆς φιλοδοξίας καταχώσωμεν. τὸ αὐτὸ δὲ δεῖ ποιεῖν, καὶ ὅταν οἱ τῷ σώματι προσπαλαίοντες δαίμονες εἰς αἰσχρὰς ἐπιθυμίας τὴν καρδίαν ἡμῶν ἀναξίως παρασαλεύωσι· αὕτη γὰρ μόνη ἡ ἐνθύμησις πάσας τὰς διαφορὰς τῶν πονηρῶν πνευμάτων καταργεῖν δύναται ἐν τῇ μνήμῃ τοῦ Θεοῦ. εἰ δὲ ἀπὸ ταύτης τῆς ἐνθυμήσεως πάλιν ὑπεκδύωσιν ἡμῖν ἄπειρον τῆς ἀνθρωπείας φύσεως οἱ ψυχικοὶ ὑποβάλλουσι δαίμονες ὡς οὐδενὸς ὄντος αὐτῆς ἀξίας διὰ λόγου τὴν σάρκα, (τοῦτο γὰρ φιλοῦσι ποιεῖν ὅταν βούληταί τις βασανίσαι θέλη τῇ τοιαύτῃ ἐννοίᾳ) τὴν τῆς ἐπουρανίου λοιπὸν βασιλείας τιμήν τε καὶ δόξαν ἐνθυμώμεθα. μήτε τὸ πικρὸν καὶ ζοφῶδες παρορῶντες τῆς κρίσεως. ἵνα τῷ μὲν, τὴν ἀθυμίαν ἡμῶν παραμυθώμεθα. τῷ δὲ, τὸ εὔκολον τῆς καρδίας ἡμῶν ἐπιστύφωμεν.

πβʹ. Ὁ Κύριος ἡμῶν ἐν τοῖς Εὐαγγελίοις διδάσκει, ὅτι ὅταν ὑποστρέψας εὕρῃ σεσαρωμένον καὶ σχολάζοντα τὸν ἑαυτοῦ οἶκον, τουτέστι τὴν ἄκαρπον καρδίαν, ὁ σατανᾶς, τότε παραλαμβάνει ἕτερα ἑπτὰ πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσέρχεται εἰς αὐτὴν καὶ ἐμφωλεύει χείρονα τῶν πρώτων τὰ τοῦ ἀνθρώπου ἔσχατα ποιῶν. ὅθεν δεῖ νοεῖν, ὅτι ἐφ' ὅσον ἐστὶ τὸ Ἅγιον Πνεῦμα ἐν ἡμῖν, οὐ δύναται εἰσελθὼν ὁ σατανᾶς ἐν τῷ βάθει τῆς ψυχῆς παραμένειν. ἀλλὰ καὶ ὁ θεσπέσιος Παῦλος φανερῶς ταύτης ἡμᾶς διδάσκει τὸν νοῦν τῆς θεωρίας, ἐκ μὲν γὰρ τῆς ἀγωνιστικῆς γνώσεως θεωρήσας τὸ σχῆμα τῆς διαθέσεως, οὕτω λέγει· συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον. βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου. ἐκ δὲ τῆς τελειότητος, οὐδὲν ἄρα νῦν· φησί· κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ μὴ κατὰ σάρκα περιπατοῦσιν, ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. λέγει δὲ καὶ ἀλλαχοῦ, ἵνα πάλιν διδάξῃ ἡμᾶς, ὅτι ἐκ τοῦ σώματος πολεμεῖ ὁ σατανᾶς τὴν ψυχὴν τὴν μετέχουσαν τοῦ Ἁγίου Πνεύματος. στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ· καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης· ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθαι, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ. Ἄλλο δέ ἐστιν αἰχμαλωτισμὸς, καὶ ἄλλο πάλη. ἐπειδὴ τὸ μέν ἐστι βιαίας τινὸς ἀπαγωγῆς σημαντικόν. τὸ δὲ ἰσοσθενοῦς τινὸς ἀγῶνος δηλωτικόν. διόπερ ὅλως, καὶ βέλεσι πεπυρωμένοις ταῖς χριστοφόροις ψυχαῖς ἐπέρχεσθαι, λέγει ὁ Ἀπόστολος, τὸν διάβολον. ὁ γὰρ μὴ ὢν ἐγκρατὴς τοῦ ἑαυτοῦ ἀνταγωνιστοῦ, βέλεσι πάντως κατ' αὐτοῦ κέχρηται· ἵνα τὸν ἐκ μήκους αὐτῷ μαχόμενον τῷ πτερῷ δυνηθῇ θηρεῦσαι τῶν βελῶν. ὥσπερ οὖν καὶ ὁ σατανᾶς ἐπειδὴ οὐ δύναται διὰ τὴν παρουσίαν τῆς χάριτος ἐμφωλεύειν ὡς τὸ πρὶν τῷ τῶν ἀγωνιζομένων νοΐ, τῇ ὑγρότητι λοιπὸν ἐφίπταται ὡς ἐμφωλεύων τῷ σώματι, ἵνα διὰ τῆς αὐτοῦ εὐχερείας τὴν ψυχὴν δελεάζῃ. διόπερ δεῖ ἐκτήκειν αὐτὸ συμμέτρως· ἵνα μὴ διὰ τῆς αὐτοῦ ὑγρότητος, ὀλισθαίνῃ ὁ νοῦς εἰς τὸ λεῖον τῶν ἡδονῶν. ἐκ τούτου γὰρ τοῦ Ἀποστολικοῦ ῥητοῦ προσήκει πείθεσθαι, ὅτι ὁ μὲν νοῦς τῶν ἀγωνιζομένων ὑπὸ τοῦ θείου φωτὸς ἐνεργεῖται. διόπερ καὶ τῷ θείῳ νόμῳ δουλεύει, καὶ συνήδεται· ἡ δὲ σὰρξ τὸ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πονηρὰ ἡδέως διὰ τὴν αὐτῆς διχίρειαν προσίεται πνεύματα. διόπερ καὶ τῇ αὐτῶν ποτε ἐφέλκεται συλλεύειν πονηρίᾳ. ὅθεν μάλιστα φαίνεται μὴ εἶναι κοινόν τι καταπεκτήριον τὸν νοῦν Θεῦ τε, καὶ διαβόλυ. ἐπεὶ, πῶς τῷ μὲν νοΐ μυ δυλεύω νόμω Θεῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας. εἰμὴ ὁ μὲν νοῦς μυ ἐν πάσῃ ἐλευθερίᾳ πρὸς μάχλω ἵστατο τῶν δαιμόνων, τῇ χρηστότητι τῆς χάριτος ἡδέως δυλεύμενος. τὸ δὲ σῶμα ἥδιον τὴν ὀσμὴν προσίετο τῶν ἀλόγων ἡδονῶν. ἀλλὰ τὸ ἐν αὐτῷ· ὡς ἔφην παραχωρεῖσθαι ἐμφωλεύειν ἐπὶ τῶν ἀγωνιζομένων τὰ πονηρὰ πνεύματα. οἶδα γάρ φησι, ὅτι ὐκ οἰκεῖ ἐν ἐμοὶ, τυτέστιν ἐν τῇ σαρκί μυ τὸ ἀγαθόν. ὥστε ἐπὶ τῶν κατὰ τὸ μέσον τῶν ἀγώνων ἀνθισταμένων τῇ ἁμαρτίᾳ, ὐ γὰρ ἐπὶ αὐτῶ τῦτο ὁ Ἀπόστολος λέγει. τὸν μὲν νοῦ μάχονται οἱ δαίμονες, τὴν δὲ σάρκα λιπαραῖς ὑπεκλύειν πρὸς τὸ λεῖον τῶν ἡδονῶν ἐπιχειρῦσι παρακλήσεσι. παραχωρῦνται γὰρ ἅπαξ κατὰ δίκαιον κρίμα ἐνδιατρίβειν περὶ τὰ βάθη τῦ σώματος, καὶ ἐπὶ τῶν σφοδρῶς ἀγωνιζομένων κατὰ τῆς ἁμαρτίας. διὰ τὸ, ὑπὸ δοκιμὴν εἶναι ἀεὶ τὸ αὐτεξύσιον τῦ ἀνθρωπίνυ φρονήματος. εἰ δέ τις δυνηθῇ ζῶν ἔτι διὰ τῶν πόνων ἀποθανεῖν, ὅλως λοιπὸν γίνεται οἶκος τῦ Ἁγίου Πνεύματος. πρὶν γὰρ ἀποθάνῃ ὁ τοιῦτος ἤδη ἀνέστη. ὅπερ ἦν αὐτὸς ὁ μακάριος Παῦλος, καὶ ὅσοι τελείως ἠγωνίσαντο, ἢ ἀγωνίζονται κατὰ τῆς ἁμαρτίας.

πγ΄. Φέρει μὲν ἡ καρδία καὶ ἐξ ἑαυτῆς λογισμὺς καλύς τε καὶ ὐ καλὺς, ὐ φύσει δὲ καρποφορῦσα τὰς μὴ καλὰς ἐννοίας. ἀλλ' ὥσπερ εἰς ἕξιν ἔχυσα διὰ τὴν πρώτην ἅπαξ ἀπάτην τὴν μνήμην τῦ μὴ καλῦ. τὰς δὲ πλείστας καὶ πονηρὺς ἐκ τῆς τῶν δαιμόνων συλλαμβάνει πικρίας. πάντων δὲ ἡμεῖς, ὡς ἐκ τῆς καρδίας προϊόντων, αἰσθανόμεθα. καὶ διὰ τῦτό τινες ὑπενόησαν εἰς τὸν νοῦν εἶναι σὺν τῇ χάριτι καὶ τὴν ἁμαρτίαν· διόπερ λέγυσι καὶ τὸν Κύριον εἰρηκέναι, τὰ δὲ ἐξερχόμενα ἐκ τῦ στόματος ἐκ τῆς καρδίας ἐξέρχονται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον. ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροὶ, μοιχεῖαι, καὶ τὰ ἑξῆς. ὐκ ἴσασι δὲ, ὅτι ὁ νῦς ἡμῶν λεπτοτάτης τινὸς αἰσθήσεως ἔχων ἐνέργειαν, αὐτῶν τῶν ὑπὸ τῶν πονηρῶν πνευμάτων ὑποβαλλομένων αὐτῷ λογισμῶν, οἰκειῦται, ὥσπερ διὰ τῆς σαρκὸς τὴν ἐνέργειαν τῆς διχειρίας τῦ σώματος, πλέον εἰς τῦτο φερύσης διὰ τῆς συγκράσεως τὴν ψυχὴν, ὡς ὐκ οἴδαμεν. ἐπειδὴ ἀμέτρως φιλεῖ ἀεὶ ἡ σὰρξ, τὸ ὑπὸ τῆς ἀπάτης κολακεύεσθαι. καὶ διὰ τῦτο ἐκ τῆς καρδίας καὶ οἱ ἐκ τῶν δαιμόνων ἐνσπειρόμενοι τῇ ψυχῇ λογισμοὶ, ἐξερχόμενοι φαίνονται. ἰδιοποιύμεθα δὲ αὐτὺς, ὅταν αὐτοῖς συνήδεσθαι θέλομεν. ὅπερ ὁ Κύριος μεμφόμενος, ὡς αὐτὸ τὸ θεῖον δηλοῖ λόγιον, τῷ προειρημένῳ ῥητῷ ἐχρήσατο. ὁ γὰρ συνηδόμενος τοῖς ἐκ τῆς πονηρίας τῦ σατανᾶ αὐτῷ ὑποβαλλομένοις λογισμοῖς, καὶ τὴν μνήμην αὐτῶν, ὥσπερ ἐγγράφων ἐν τῇ ἑαυτῦ καρδίᾳ, ὐκ ἄδηλον, ὅτι ἐκ τῆς ἑαυτῦ λοιπὸν καρποφορεῖ ἐννοίας.

πδ΄. Λέγει ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριος, μὴ δύνασθαι ἐκβληθῆναι τὸν ἰσχυρὸν ἐκ τῦ οἴκυ αὐτῦ, ἐὰν μὴ ὁ ἰσχυρότερος αὐτῦ δήσας αὐτὸν, καὶ σκυλεύσας ἐκβάλῃ. πῶς ὖν δύναται ὁ μετὰ τοσαύτης αἰσχύνης ἐκβαλλόμενος πάλιν εἰσιέναι, καὶ τῷ ἀληθινῷ συνδιατρίβειν οἰκοδεσπότῃ, ἐν τῷ ἑαυτῦ, ὡς ἐὰν καὶ θέλῃ ἀναπαυομένῳ, οἴκῳ. ὔτε γὰρ βασιλεὺς τὸν ἀντιστάντα αὐτῷ ποτε καταγωνισάμενος τύραννον, συμπαρεῖναι αὐτῷ τῦτον ἐν ταῖς βασιλικαῖς αὐλαῖς ἐνθυμηθήσεται. ἀποσφάξει δὲ μᾶλλον εὐθέως, ἢ δήσας πρὸς μακρὰν τιμωρίαν, καὶ θάνατον οἴ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀκιςον παραδώσει τοῖς ἰδίοις ςρατεύμασιν.

πε'. Εἴτις διὰ τὸ καλὰ ἡμᾶς ὁμοῦ καὶ φαῦλα λογίζεσθαι, τό, τε Ἅγιον Πνεῦμα καὶ τὸν διάβολον, ὁμοῦ ἐνοικεῖν ἐν τῷ νοΐ ὑπολαμβάνει, μανθανέτω, ὅτι τοῦτο γίνεται, διὰ τό, μηδέπω ἡμᾶς γεγεῦσθαι καὶ ἑωρακέναι, ὅτι χρηςὸς ὁ Κύριος. πρῶτον μὲν γάρ, ὡς καὶ ἀνωτέρω ἔφην, κρύπτει τὴν ἑαυτῆς παρουσίαν ἐπὶ τῶν βαπτιζομένων ἡ χάρις, ἐκδεχομένη τὴν τῆς ψυχῆς πρόθεσιν. ἐπειδ' αὖ δὲ ὅλως ἐπιςρέψῃ ὁ ἄνθρωπος πρὸς τὸν Κύριον, τότε ἀρρήτῳ τινὶ αἰσθήσει τὴν παρουσίαν αὐτῆς ἐμφαίνει τῇ καρδίᾳ. καὶ πάλιν ἐκδέχεται τὴν τῆς ψυχῆς κίνησιν· παραχωροῦσα μέχρι τὰ δαιμονικὰ βέλη ἄχρι τῆς βαθείας αὐτῆς καταφθάνειν αἰσθήσεως, ἵνα θερμοτέρᾳ προθέσει, καὶ ταπεινῇ διαθέσει ἐκζητήσῃ τὸν Θεόν. ἐὰν οὖν λοιπὸν ἄρξηται προβαίνων ὁ ἄνθρωπος τῇ τηρήσει τῶν ἐντολῶν, καὶ ἀπαύςως ἐπικαλῆται τὸν Κύριον Ἰησοῦν, τότε καὶ ἐπὶ τὰ ἐξώτερα αἰσθητήρια τῆς καρδίας, τὸ πῦρ τῆς ἁγίας ἐπινέμεται χάριτος, τὰ ζιζάνια τῆς ἀνθρωπίνης γῆς πληροφορητικῶς καταφλέγοντα. ὅθεν καὶ αἱ δαιμονικαὶ βολαὶ πόρρωθεν ἐκεῖνον καταφθάνουσι τὸν τόπον, ἠρέμα λοιπὸν τύπτουσαι τὸ ἐμπαθὲς τῆς ψυχῆς. ὅτε δὲ πάσας τὰς ἀρετὰς ὁ τοῦ ἀγῶνος ἄνθρωπος ἐγκομβώσοιτο, καὶ μάλιςα τὴν τελείαν ἀκτημοσύνην, τότε τὴν πᾶσαν αὐτοῦ βαθυτέρᾳ τινὶ αἰσθήσει περιαυγάζει φύσιν, εἰς ἀγάπην αὐτὸν λοιπὸν πολλὴν περιθάλπουσα τοῦ Θεοῦ. διόπερ ἐξωτέρω τῆς τοῦ σώματος αἰσθήσεως, τότε τὰ δαιμονικὰ ἀποσβέννυται τόξα. ἡ γὰρ αὔρα τοῦ Ἁγίου Πνεύματος, πρὸς ἀνέμους εἰρηνικοὺς κινοῦσα τὴν καρδίαν, τὰ τοῦ πυρφόρου δαίμονος εἰς ἀέρα ἔτι φερόμενα καταςβεννῦσι βέλη. πλὴν καὶ τὸν εἰς τοῦτο τὸ μέτρον φθάσαντα, παραχωρεῖ ποτε τῇ κακίᾳ τῶν δαιμόνων ὁ Θεός, ἀφώτιςον αὐτοῦ τότε τὸν νοῦν καταλιμπάνων, ἵνα τὸ αὐτεξούσιον ἡμῶν, εἰς τὸ παντελὲς μὴ ᾖ δεδεμένον τῷ δεσμῷ τῆς χάριτος. οὐ μόνον διὰ τό, ἐξ ἀγῶνος ἐκπαθλῆσαι τὴν ἁμαρτίαν, ἀλλὰ καὶ διὰ τὸ ὀφείλειν ἔτι προκόπτειν εἰς τὴν πνευματικὴν πεῖραν τὸν ἄνθρωπον. τὸ γὰρ τοῦ παιδευομένου νομιζόμενον τέλειον, ἀτελὲς ἔτι πρὸς τὸν πλοῦτον τοῦ παιδεύοντος Θεοῦ ἐν ἀγάπῃ ὑπάρχει φιλοτιμίας, κἂν ὅλην τὴν Ἰακὼβ δειχθεῖσαν κλίμακα ἀνελθεῖν τις δυνηθῇ τῇ προκοπῇ τῶν πόνων.

Ὁ Κύριος αὐτὸς λέγει τὸν σατανᾶν ἐκ τοῦ οὐρανοῦ πεπτωκέναι, ἵνα μὴ ἀφορᾷ εἰς τὰ τῶν ἁγίων Ἀγγέλων ὁ δυσειδὴς ἐνδιαιτήματα· πῶς οὖν ὁ τῆς τῶν καλῶν δούλων κοινωνίας μὴ καταξιούμενος, κοινὸν δύναται ἔχειν μετὰ Θεοῦ οἰκητήριον τὸν ἀνθρώπινον νοῦν· ἀλλ' εἰ καὶ ἐροῦσιν, ὅτι κατὰ παραχώρησιν τοῦτο γίνεται, πλέον οὐδὲν λέξουσι· ἡ μὲν γὰρ παιδευτικὴ παραχώρησις, οὐδαμῶς τὴν ψυχὴν τοῦ θείου φωτὸς ἀποςερεῖ, κρύπτει δὲ μόνον, ὡς ἤδη εἶπον, τὰ πολλὰ τὸν νοῦν τὴν ἑαυτῆς παρουσίαν ἡ χάρις, ἵνα προωθοῖτο ὥςπερ τὴν ψυχὴν τῇ πικρίᾳ τῶν δαιμόνων· διὰ τὸ μετὰ παντὸς φόβου, καὶ πολλῆς ταπεινώσεως ἐκζητεῖν αὐτὴν τὴν ἐκ Θεοῦ βοήθειαν, τὴν τοῦ ἐχθροῦ αὐτῆς ἐπιγινώσκουσαν κατ' ὀλίγον κακίαν· ὃν τρόπον αὖ μήτηρ ἀτακτοῦν τὸ οἰκεῖον περὶ τοὺς θεσμοὺς τῆς γαλουχίας βρέφος, βραχὺ τῶν ἑαυτῆς ἐξωθοίη ἀγκαλῶν, ἵνα καταπληττόμενον ὑπό τινων περιεςώτων αὐτῇ σκυθρωπῶν ἀνθρώπων, ἢ θηρίων εἰδῶν δήποτε, μετὰ φόβου πολλοῦ καὶ δακρύων εἰς τοὺς μητρῴους ἀνθυποςρέφῃ κόλπους· ἡ δὲ κατὰ ἀποςροφὴν γινομένη παραχώρησις, ὡσανεὶ δέσμιον παραδίδωσι τὴν μὴ θέλουσαν ἔχειν ψυχὴν τὸν Θεόν, τοῖς δαίμοσι· ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποςο- πς'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λῆς τέκνα, μὴ γνήσια, ἀλλὰ βρέφη γνήσια τῆς τοῦ Θεοῦ εἶναι χάριτος πιστεύωμεν, μικραῖς παραχωρήσεσι, καὶ πυκναῖς παρακλήσεσιν ὑπ' αὐτῆς γαλουχούμενοι· ἵνα διὰ τῆς αὐτῆς χρηστότητος φθάσωμεν ἐλθεῖν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

πζ'. Ἡ παιδευτικὴ παραχώρησις φέρει μὲν λύπην πολλὴν, καὶ ταπείνωσιν, καὶ ἀπελπισμὸν δὲ σύμμετρον τῇ ψυχῇ· ἵνα τὸ φιλόδοξον αὐτῆς καὶ εὐπτόητον μέρος πρεπόντως εἰς ταπείνωσιν ἔρχηται. Εὐθέως δὲ φόβον Θεοῦ, καὶ δάκρυον ἐξομολογήσεως ἐπάγει τῇ καρδίᾳ, καὶ τῆς καλλίστης σιωπῆς πολλὴν ἐπιθυμίαν· ἡ δὲ κατὰ ἀποστροφὴν Θεοῦ γινομένη, ἀπελπισμοῦ ὁμοῦ, καὶ ἀπιστίας, καὶ τύφου, καὶ ὀργῆς τὴν ψυχὴν πληρωθῆναι παραχωρεῖ· δεῖ οὖν ἡμᾶς εἰδότας τὴν πεῖραν τῶν ἀμφοτέρων παραχωρήσεων, κατὰ τὸν ἑκάστης τρόπον προσιέναι τῷ Θεῷ· ἐκεῖ μὲν γὰρ εὐχαριστίαν μετὰ τῆς ἀπολογίας προσάγειν αὐτῷ ὀφείλομεν· ὡς τὴν τῆς γνώμης ἡμῶν ἀκολασίαν τῇ στολῇ τῆς παρακλήσεως κολάζοντι, ἵνα ἀρετῆς ἡμᾶς καὶ κακίας ὡς Πατὴρ ἀγαθὸς διδάσκῃ τὴν διαφοράν· ἐνταῦθα δὲ ἐξαγόρευσιν τῶν ἁμαρτημάτων ἄπαυστον, καὶ δάκρυον ἀνελλιπὲς, καὶ ἀναχώρησιν πλείονα· ὅπως ἂν οὕτω δυνηθῶμεν τῇ προσθήκῃ τῶν πόνων δυσωπῆσαι τὸν Θεὸν ἐπιβλέψαι ὡς τὸ πρὶν εἰς τὰς καρδίας ἡμῶν· πλὴν δεῖ εἰδέναι, ὅτι ὅταν κατ' οὐσιώδη συμβολὴν τῇ ψυχῇ καὶ τῷ σατανᾷ ἡ μάχη γίνεται ἐπὶ τῆς παιδευτικῆς λέγω παραχωρήσεως, ὑποστέλλει μὲν ἡ χάρις ἑαυτὴν, ὡς καὶ ἤδη εἶπον, ἀγνώστῳ δὲ τῇ ψυχῇ συνεργεῖ βοηθείᾳ, ἵνα τὴν νίκην τῆς ψυχῆς εἶναι μόνης ἐπιδείξῃ, τοῖς ἐχθροῖς αὐτῆς.

πη'. Ὥσπερ ὅταν τις τῇ χειμερινῇ ὥρᾳ ἐν ὑπαιθρίῳ τόπῳ ἑστηκὼς τύχῃ, ἀφορῶν δὲ πρὸς ἀνατολὰς ὅλος ἐν ἀρχῇ τῆς ἡμέρας, τὰ μὲν ἔμπροσθεν αὐτοῦ μέρη πάντα ὑποθερμαίνεται ὑπὸ τοῦ ἡλίου, τὰ δὲ ὄπισθεν αὐτοῦ πάντα ἄμοιρα ἔτι τῆς θέρμης, διὰ τὸ μὴ εἶναι κατὰ κεφαλῆς αὐτοῦ τὸν ἥλιον· οὕτω καὶ οἱ ἐν ἀρχῇ ὄντες πνευματικῆς ἐνεργείας, περιθάλπονται μὲν μερικῶς ποτε ὑπὸ τῆς ἁγίας χάριτος τὴν καρδίαν, διόπερ καὶ πνευματικά τινα ὁ νοῦς αὐτῶν καρποφορεῖν ἄρχεται φρονήματα· φανερὰ δὲ αὐτῆς μέρη, μένει τι κατὰ σάρκα φρονοῦντα, διὰ τὸ μηδέπω ἅπαντα τὰ μέλη τῆς καρδίας ἐν βαθείᾳ αἰσθήσει ὑπὸ τοῦ Ἁγίου φωτὸς καταυγάζεσθαι τῆς χάριτος· ὅπερ τινὲς μὴ νοήσαντες, δύο ὑποστάσεις ἐνόμισαν ἑαυτοῖς, ὥσπερ ἀντικαθεστηκυίας ἐν τῷ νῷ καὶ ἀγωνιζομένας εἶναι· ὅπως οὖν ἐν τῇ αὐτῇ ῥοπῇ καὶ καλὰ, καὶ οὐ καλὰ συμβαίνει τὴν ψυχὴν ἐννοεῖν· ὃν τρόπον ὁ τοῦ ὑποδείγματος ἄνθρωπος ἐν τῇ αὐτῇ θίξει, καὶ ῥιγοῖ, καὶ θάλπεται· ἀφ' οὗ γὰρ ὁ νοῦς ἡμῶν εἰς τὸ διπλοῦν τῆς γνώσεως ἀπωλίσθησε, ἀνάγκην ἔχει λοιπὸν, κἂν μὴ θέλῃ, κατὰ τὴν αὐτὴν ῥοπὴν καὶ καλὰ καὶ φαῦλα φέρειν ἐννοήματα, μάλιστα ἐπὶ τῶν εἰς λεπτότητα διακρίσεως ἐρχομένων· ὡς γὰρ σπεύδει ἀεὶ τὸ καλὸν ἐννοεῖν, εὐθὺς καὶ τοῦ κακοῦ μέμνηται· ἐπειδὴ εἰς διπλῆν τινα ἔννοιαν ἔσχισται ἀπὸ τῆς τοῦ Ἀδὰμ παρακοῆς ἡ τοῦ ἀνθρώπου μνήμη· ἐὰν οὖν ἀρξώμεθα θερμῷ ζήλῳ τὰς ἐντολὰς τοῦ Θεοῦ διαπράττεσθαι, ἅπαντα ἡμῶν τὰ αἰσθητήρια ἐν βαθείᾳ τινὶ αἰσθήσει φωτίζουσα ἡ χάρις, τὰ μὲν ἡμέτερα ὥσπερ καταφλέγει ἐνθυμήματα, ἡδύνουσα δὲ ἡμῶν τὴν καρδίαν ἐν εἰρήνῃ τινὶ φιλίας ἀνενδότου, πνευματικά τινα, καὶ οὐκ ἔτι κατὰ σάρκα λογίζεσθαι ἡμᾶς παρασκευάζει· τοῦτο δὲ τοῖς ἐγγίζουσι τῇ τελειότητι συνεχῶς ἄγαν συμβαίνει· οἵτινες ἄπαυστον ἔχουσιν ἐν τῇ καρδίᾳ τὴν μνήμην τοῦ Κυρίου.

Δύο ἡμῖν καλὰ ἡ χάρις ἡ ἁγία διὰ πθ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦ βαπτίσματος περιποιεῖται τῆς ἀναγεννήσεως· ὧντινων τὸ ἓν ἀπείρως τοῦ ἑνὸς ὑπερβάλλει· ἀλλὰ τὸ μὲν ἓν, εὐθέως χαρίζεται· ἀνακαινίζει γὰρ ἡμᾶς ἐν αὐτῷ τῷ ὕδατι, καὶ πάσας τὰς γραμμὰς τῆς ψυχῆς, τουτέστι τὸ κατ' εἰκόνα λαμπρύνει, πᾶσαν τὴν ῥυτίδα τῆς ἁμαρτίας ὑμῶν ἀπονίπτουσα· τὸ δὲ ἕτερον ἐκδέχεται ἵνα σὺν ἡμῖν ἐργάσηται, ὅπερ ἐστὶ τὸ καθ' ὁμοίωσιν· ὅτε γοῦν ἄρξεται ὁ νοῦς ἐν πολλῇ αἰσθήσει γεύεσθαι τῆς χρηστότητος τοῦ Παναγίου Πνεύματος, τότε ὀφείλομεν εἰδέναι, ὅτι ἄρχεται ἡ χάρις, ὥσπερ ἐπιζωγραφεῖν εἰς τὸ κατ' εἰκόνα τὸ καθ' ὁμοίωσιν· ὃν γὰρ τρόπον οἱ ζωγράφοι, πρῶτον μὲν ἑνὶ χρώματι διαγράφουσι τὸ σχῆμα τοῦ ἀνθρώπου, χροιᾷ δὲ τὴν χροιὰν κατ' ὀλίγον ἐπανθίζοντες, οὕτω τοῦ ὁμοιογραφουμένου ἄχρι καὶ τῶν τριχῶν, ἀποσώζουσι τὸ εἶδος· οὕτω καὶ ἡ ἁγία χάρις τοῦ Θεοῦ, πρῶτον μὲν διὰ τοῦ βαπτίσματος εἰς τὸ ὅπερ ἦν, ὅτε ἐγένετο ἄνθρωπος ῥυθμίζει τὸ κατ' εἰκόνα· ὅτε δὲ ἡμᾶς ἴδῃ ἐκ πάσης προθέσεως ἐπιθυμοῦντας τοῦ κάλλους τῆς ὁμοιώσεως, καὶ ἑστῶτας γυμνοὺς καὶ ἀπτοήτους εἰς τὸ ταύτης ἐργαστήριον, τότε ἀρετὴν τὴν ἀρετὴν ἐπανθίζουσα, καὶ ἀπὸ δόξης εἰς δόξαν τὸ τῆς ψυχῆς εἶδος ἀναφέρουσα, τὸν χαρακτῆρα τῆς ὁμοιώσεως αὐτῇ περιποιεῖ. ὥστε οὖν ἡ μὲν αἴσθησις δηλοῖ ἡμᾶς μορφοῦσθαι τὸ καθ' ὁμοίωσιν, τὸ δὲ τέλειον τῆς ὁμοιώσεως, ἐκ τοῦ φωτισμοῦ γνωσόμεθα· πάσας μὲν γὰρ τὰς ἀρετὰς διὰ τῆς αἰσθήσεως ὁ νοῦς, κατὰ μέτρον καὶ ῥυθμὸν ἄρρητον προκόπτων, ἀπολαμβάνει· τὴν δὲ πνευματικὴν οὐ δύναταί τις ἀγάπην κτήσασθαι, εἰ μὴ ἐν πάσῃ πληροφορίᾳ φωτισθῇ παρὰ τοῦ Ἁγίου Πνεύματος· ἐὰν γὰρ μὴ τελείως τὸ καθ' ὁμοίωσιν διὰ τοῦ θείου φωτὸς ἀπολάβῃ ὁ νοῦς, πάσας μὲν τὰς ἄλλας ἀρετὰς σχεδὸν ἔχειν δύναται, τῆς δὲ τελείας ἀγάπης ἔτι ἄμοιρος μένει· ὅταν γὰρ ὁμοιωθῇ τῇ τοῦ Θεοῦ ἀρετῇ, (ὡς χωρεῖ δὲ ἄνθρωπος λέγω ὁμοιωθῆναι Θεῷ) τότε καὶ τῆς θείας ἀγάπης φέρει τὴν ὁμοίωσιν· ὡς γὰρ ἐπὶ τῶν ὁμοιογραφουμένων τὸ ἀνθηρότερον τῶν χρωμάτων χρῶμα προστεθὲν τῇ εἰκόνι, ἄχρι καὶ τοῦ μειδιάσαι ἀποσώζει τὴν τοῦ ὁμοιογραφουμένου ὁμοιότητα· οὕτω καὶ ἐπὶ τῶν εἰς θείαν ὁμοίωσιν παρὰ τῆς θείας χάριτος διαζωγραφουμένων, ὁ φωτισμὸς τῆς ἀγάπης προστιθεὶς, εἰς τὴν τοῦ καθ' ὁμοίωσιν ὁλοκλήρως εὐπρέπειαν δηλοῖ εἶναι τὸ κατ' εἰκόνα· οὔτε γὰρ ἀπάθειαν ἄλλη δύναται ἀρετὴ περιποιήσασθαι τῇ ψυχῇ, εἰ μὴ ἡ ἀγάπη μόνη· πλήρωμα γὰρ νόμου ἡ ἀγάπη· ὥστε οὖν ἀνακαινοῦται μὲν ἡμέρᾳ καὶ ἡμέρᾳ ὁ ἔσω ἡμῶν ἄνθρωπος ἐν τῇ γεύσει τῆς ἀγάπης, πληροῦται δὲ ἐν τῇ ταύτης τελειότητι.

Γεύει μὲν τὸ Πανάγιον Πνεῦμα ἐν ϙ.
ἀρχῇ τῆς προκοπῆς, εἴπερ θερμῶς ἐρασθῶμεν τῆς ἀρετῆς τοῦ Θεοῦ, τὴν ψυχὴν ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ τῆς γλυκύτητος τοῦ Θεοῦ. ἵνα ἔχῃ εἰδέναι ὁ νοῦς ἐν ἀκριβεῖ ἐπιγνώσει τὸ τέλειον ἔπαθλον τῶν φιλοθέων πόνων. κρύπτει δὲ λοιπὸν ἐπὶ πολὺ τὴν τοῦ ζωοποιοῦ τούτου δώρου πολυτέλειαν. ἵνα κἂν πάσας τὰς ἄλλας ἀρετὰς κατεργαζώμεθα, μηδὲν ὅλως ἑαυτοὺς ὑπονοῶμεν εἶναι, διὰ τὸ μηδέπω ὥσπερ εἰς ἕξιν ἔχειν τὴν ἁγίαν ἀγάπην. ὅπως οὖν τότε ὁ τοῦ μίσους δαίμων ταῖς τῶν ἀγωνιζομένων ὀχλεῖ ψυχαῖς, ὥστε καὶ αὐτοὺς τοὺς ἀγαπῶντας αὐτοὺς πρὸς μῖσος διαβάλλειν. καὶ ἄχρι σχεδὸν τοῦ φιλήματος φέρειν, τὴν φθοροποιὸν τοῦ μίσους ἐνέργειαν. ὅθεν πλέον ἀλγύνεται ἡ ψυχὴ, φέρουσα μὲν τὴν μνήμην τῆς πνευματικῆς ἀγάπης, μὴ δυναμένη δὲ αὐτὴν ἐν αἰσθήσει κτήσασθαι, διὰ τὴν τῶν τελειοτάτων πόνων ὑστέρησιν. χρεία οὖν αὐτὴν τέως ἐκ βίας

κατερ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κατεργάζεσθαι, ἵνα εἰς τὴν γνῶσιν αὐτῆς ἐν πάσῃ αἰσθήσει καταφθάσωμεν, καὶ πληροφορίᾳ. τὸ γὰρ τέλειον αὐτῆς οὐδεὶς ἐν τῇ σαρκὶ ὢν ταύτῃ δύναται κτήσασθαι, εἰμὴ μόνον οἱ ἄχρι μαρτυρίου, καὶ τελείας ὁμολογήσεως ἐλθόντες ἅγιοι. ἐπειδὴ ὁ τούτου τυχὼν, ἀλλάσσεται ὅλος, καὶ οὔτε βρώσεως εὐχερῶς ὀρέγεται. τῷ γὰρ ὑπὸ τῆς θείας ἀγάπης τρεφομένῳ ποία ἔσται ἐπιθυμία τῶν ἐν κόσμῳ καλῶν; διὰ τοῦτο ὁ σοφώτατος Παῦλος, τὸ μέγα δοχεῖον τῆς γνώσεως, τὴν μέλλουσαν τρυφὴν τῶν δικαίων, ἡμᾶς ἐκ τῆς αὐτοῦ πληροφορίας εὐαγγελιζόμενος, οὕτω λέγει· οὐκ ἔστιν ἡ βασιλεία τῶν οὐρανῶν βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη, καὶ χαρὰ ἐν Πνεύματι Ἁγίῳ. ἅτινα ἐστὶν ὁ καρπὸς τῆς τελείας ἀγάπης. ὥστε ἂν γεύεσθαι μὲν αὐτῆς ἐνταῦθα συνεχῶς οἱ εἰς τελειότητα προκόπτοντες δύνανται, τελείως δὲ αὐτὴν οὐδεὶς δύναται κτήσασθαι, εἰμὴ ὅταν καταποθῇ τελείως τὸ θνητὸν ὑπὸ τῆς ζωῆς.

ϟα΄. Διηγήσατό μοί τις τῶν ἀπλήστῳ τινὶ γνώμῃ ἀγαπώντων τὸν Θεόν, ὅτι ἐπιθυμοῦντί ποτέ μοι γνωστῶς γνῶναι τὴν ἀγάπην τοῦ Θεοῦ, παρέσχε τοῦτο ἐν αἰσθήσει πολλῇ καὶ πληροφορίᾳ ὁ ἀγαθός. καὶ τοσαύτην φησὶ τῆς τοιαύτης ἐνεργείας ἐδεξάμην, ὥστε ἐπείγεσθαι μὲν τότε τὴν ψυχήν μου μετὰ ἀνεκλαλήτου τινὸς χαρᾶς καὶ ἀγάπης, ἐκβῆναι ἐκ τοῦ σώματος, καὶ ἀπελθεῖν πρὸς τὸν Κύριον, ἀγνοεῖν δὲ ὥσπερ, τῆς προσκαίρου ταύτης ζωῆς τὸν τρόπον. ὁ δὲ ταύτης τῆς ἀγάπης ἐν πείρᾳ γενόμενος, κἂν μυρία παρά τινος ὑβρισθῇ, ἢ ζημιωθῇ, συμβαίνει γὰρ αὐτὸν ἔχειν ἔτι τὸν πιστὸν τινὰ μέλλοντα ἐξαπατᾶσθαι, οὐκ ὀργίζεται κατ' αὐτοῦ. ἀλλὰ μένει ὥσπερ τῇ τοῦ ὑβρίσαντος αὐτὸν, ἢ καὶ ζημιώσαντος ψυχῇ κεκολλημένος. κατ' ἐκείνων δὲ μόνον ἀνάπτεται οἵτινες ἢ κατὰ πενήτων ἔρχονται, ἢ κατὰ τοῦ Θεοῦ, ὡς λέγει ἡ γραφὴ, λαλοῦσιν ἀδικίαν, ἢ ἄλλως πως βιοῦσι πονηρῶς. ὁ γὰρ ὑπὲρ ἑαυτὸν λοιπὸν πολὺ φιλῶν τὸν Θεὸν, μᾶλλον δὲ ὁ μηκέτι ἑαυτὸν φιλῶν, ἀλλὰ τὸν Θεὸν μόνον, οὐκ ἔτι τὴν ἑαυτοῦ τιμὴν ἐκδικεῖ, ἀλλὰ μόνον τὴν τοῦ τιμήσαντος αὐτὸν τιμῇ αἰωνίῳ, θέλει τιμᾶσθαι δικαιοσύνην. τοῦτο δὲ οὐκ ἔτι ὡς ἐκ θελήσεως τινὸς ὀλίγης ἔχει, ἀλλ' ὥσπερ εἰς ἕξιν λοιπὸν τὴν τοιαύτην ἔχει διάθεσιν, διὰ πολλὴν πεῖραν τῆς τοῦ Θεοῦ ἀγάπης. πρὸς δὲ τούτοις δεῖ εἰδέναι, ὅτι ὁ εἰς τοσαύτην ἀγάπην ἐνεργούμενος ὑπὸ τοῦ Θεοῦ, ἐπάνω καὶ πίστεως γίνεται ἐν τῷ καιρῷ τῆς ἐνεργείας τῆς τοιαύτης. ὡς ἐν αἰσθήσει λοιπὸν τῆς καρδίας κρατῶν διὰ τῆς πολλῆς ἀγάπης τὸν πίστει τιμώμενον. ὅπερ ἡμῖν σαφῶς κατασημαίνει ὁ Ἅγιος Παῦλος λέγων, νυνὶ δὲ μένει τὰ τρία ταῦτα, πίστις, ἐλπὶς, ἀγάπη. μείζων δὲ τούτων ἡ ἀγάπη. ὁ γὰρ ἐν πλούτῳ ἀγάπης ὡς ἔφην κρατῶν τὸν Θεὸν, μείζων ἐστὶ πολὺ τότε τῆς ἑαυτοῦ πίστεως ὡς ὅλος ὢν ἐν πόθῳ.

Ἡ μεσότης τῆς ἐνεργείας τῆς ἁγίας γνώσεως, οὐ μικρῶς ἡμᾶς λυπεῖσθαι παρασκευάζει, ὅταν ἐκ παροξυσμοῦ τινος ὑβρίσαντές τινα, ἐχθρὸν αὐτὸν ἑαυτοῖς κατασκευάσωμεν. διόπερ οὐδέποτε ἐνδίδωσι τύπτουσα τὴν συνείδησιν ἡμῶν, ἕως ὅτε διὰ πολλῆς ἀπολογίας εἰς τὴν παλαιὰν ἐπαναγάγωμεν τὸν ὑβρισθέντα διάθεσιν. ἡ δὲ ἀκροτάτη αὐτῆς διάνοιξις, καὶ ὅταν ἀδίκως τις τῶν τοῦ κόσμου ἀνθρώπων καθ' ἡμῶν ὀργισθῇ, ἀδολεσχεῖν ἡμᾶς καὶ φροντίζειν ἄγαν ποιεῖ· ἐπειδὴ ὅλως πρόσκομμα τινὶ τῶν ἐκ τοῦ αἰῶνος τούτου ἁπάντων γινόμεθα, ὅθεν καὶ ἀργὸς τότε ὁ νοῦς περὶ τὴν θεολογίαν γίνεται. ἀγάπη γὰρ ὢν ὅλως ὁ λόγος τῆς γνώσεως, οὐ συγχωρεῖ τὴν διάνοιαν πλατυνθῆναι πρὸς σύλληψιν θεωρη- ϟβ΄.

μάτων θείων, εἰ μὴ πρῶτον ἀπολάβωμεν ἐν τῇ ἀγάπῃ καὶ τὸν εἰκῇ ὀργιζόμενον ἡμῖν. οὐδὲ ἐκεῖνος οὐ θέλει τοῦτο γενέσθαι, ἢ πάλιν ἀπέστη τῶν ἡμετέρων διατριβῶν, τὸν χαρακτῆρα ἡμᾶς τοῦ προσώπου αὐτοῦ λοιπὸν προσήκει τῇ ἑαυτῶν ἐν ἀσυστάλτῳ τινὶ τῆς ψυχῆς * χύματι προστιθέντας διαθέσει, ὅπως ἐν τῷ βάθει τῆς καρδίας τῆς ἀγάπης ἀποπληροῦν τὸν νόμον. δεῖ γάρ φησι καὶ τὰ τῶν χολούντων ἀκαίρως πρόσωπα, ἀχόλῳ τῇ ἐννοίᾳ ἐν τῇ ἑαυτῶν ἐνορᾷν διανοίᾳ, τοὺς θέλοντας ἔχειν γνῶσιν Θεοῦ. τούτου δὲ γενομένου, οὐ μόνον περὶ τὴν θεολογίαν ὁ νοῦς ἡμῶν ἀπταίστως κινηθήσεται, ἀλλὰ καὶ εἰς τὴν ἀγάπην τοῦ Θεοῦ μετὰ πολλῆς ἀναβήσεται παρρησίας, ὡς ἐκ δευτέρας βαθμίδος εἰς πρώτην ἀνεμποδίστως ἐπειγόμενος.

*ἐν ἄλλ. χήματι

ϙγ'. Ἡ τῆς ἀρετῆς ὁδὸς, τοῖς μὲν ἀρχομένοις ἐρᾷν τῆς εὐσεβείας, τραχεῖα καὶ κατάστυγνος φαίνεται. οὐ διὰ τὸ ἐκείνην τοιαύτην εἶναι, ἀλλὰ διὰ τὸ τὴν ἀνθρωπείαν φύσιν εὐθὺς ἐκ γαστρὸς τῷ πλάτει συνεκτρέφεσθαι τῶν ἡδονῶν. τοῖς δὲ τὸ μέσον αὐτῆς παρελθεῖν δυνηθεῖσι, προσηνὴς ὅλη καὶ ἄπονος δείκνυται. τῷ γὰρ καλῷ ἔθει τὸ φαῦλον ὑποταγὲν διὰ τῆς ἐνεργείας τοῦ ἀγαθοῦ, τῇ τῶν ἀλογίστων ἡδονῶν συναπόλλυται μνήμῃ. ὅθεν λοιπὸν ἡδέως ἡ ψυχὴ τὰς τρίβους ἁπάσας διαπορεύεται τῶν ἀρετῶν. διὰ τοῦτο ὁ Κύριος εἰσάγων μὲν ἡμᾶς εἰς τὴν ὁδὸν τῆς σωτηρίας, λέγει, ὅτι στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι δι᾽ αὐτῆς εἰσπορεύονται. πρὸς δὲ τοὺς θέλοντας πολλῇ τῇ προθέσει προσιέναι τῇ τῶν ἁγίων αὐτοῦ ἐντολῶν τηρήσει, φησίν· ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. δεῖ οὖν παρὰ τὴν ἀρχὴν τῆς ἀγωνίας, βιαίῳ τινὶ θελήματι τὰς ἁγίας τοῦ Θεοῦ κατεργάζεσθαι ἐντολὰς, ἵνα θεωρήσας ἡμῶν ὁ ἀγαθὸς Κύριος τὸν σκοπὸν καὶ τὸν κόπον, ἕτοιμον ἡμῖν τὸ θέλημα αὐτοῦ, ἡδέως ἄγαν τοῖς αὐτοῦ ὑπηρετοῦσιν ἐνδόξοις θελήμασι, καταπέμψῃ. παρὰ γὰρ Κυρίου τότε ἑτοιμάζεται θέλησις, ὥστε ἐν πολλῇ τινι ἡμᾶς χαρᾷ ἐργάζεσθαι ἀπαύστως τὸ ἀγαθόν. τότε γὰρ ὄντως αἰσθησόμεθα, ὅτι ὁ Θεός ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας.

Ὃν τρόπον μὴ θερμανθεὶς ἢ μαλαχθεὶς ὁ κηρὸς ἐπὶ πολὺ, οὐ δύναται τὴν ἐπιτιθεμένην αὐτῷ σφραγῖδα δέξασθαι, ϙδ'.
οὕτως οὐδὲ ἄνθρωπος, ἐὰν μὴ διὰ πόνων, καὶ ἀσθενειῶν δοκιμασθῇ, οὐ δύναται χωρῆσαι τὴν τοῦ Θεοῦ ἀρετῆς τὴν σφραγῖδα. διὰ τοῦτο ὁ μὲν Κύριος λέγει τῷ θεσπεσίῳ Παύλῳ· ἀρκεῖ σοι ἡ χάρις μου, ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. αὐτὸς δὲ ὁ Ἀπόστολος καυχᾶται λέγων· ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ᾽ ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. ἀλλὰ καὶ ἐν ταῖς παροιμίαις γέγραπται· ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. καὶ ὁ μὲν Ἀπόστολος ἀσθενείας λέγει τὰς ἐπαναστάσεις τῶν ἐχθρῶν τοῦ σταυροῦ, αἵτινες συνεχῶς αὐτῷ τε, καὶ πᾶσι τοῖς τότε ἁγίοις συνέβαινον. ἵνα μὴ ὑπεραίρωνται ὡς αὐτός λέγει τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων. ἀλλὰ μᾶλλον ἐμμένοιεν διὰ τῆς ταπεινώσεως τῷ σχήματι τῆς τελειότητος, διὰ τῶν πυκνῶν ἐξουδενώσεων, τὸ θεῖον δῶρον ὁσίως φυλάττοντες. ἡμεῖς δὲ νῦν ἀσθενείας τοὺς πονηροὺς λογισμοὺς λέγομεν, καὶ τὰς σωματικὰς ἀνωμαλίας. τότε μὲν γὰρ ἐπειδὴ αἰκίαις θανατηφόροις, καὶ διαφόροις ἑτέραις θλίψεσι τὰ σώματα τῶν ἀγωνιζομένων ἁγίων παρεδίδοντο, ἐπάνω ἦσαν πολὺ τῶν τῇ ἀνθρωπείᾳ φύσει ἐκ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῆς ἁμαρτίας ἐπιτελεσθέντων πασῶν. νῦν δὲ ἐπειδὴ ἡ εἰρήνη πληθύνεται διὰ τὸν Κύριον τῶν ἐκκλησιῶν, διὰ τοῦτο δεῖ συνεχέσι μὲν ἀνωμαλίαις τὸ σῶμα, λογισμοῖς δὲ πονηροῖς τὰς ψυχὰς τῶν ἀγωνιστῶν τῆς εὐσεβείας δοκιμάζεσθαι. μάλιστα παρ' οἷς ἡ γνῶσις ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ ἐνεργεῖ. ἵνα καὶ πάσης κενοδοξίας καὶ μετεωρισμοῦ ἐκτὸς ὑπάρχωσι, καὶ χωρῆσαι δυνηθῶσι, ὡς ἔφην ἐν ταῖς καρδίαις αὐτῶν διὰ πολλῆς ταπεινώσεως τοῦ θείου κάλλους τὴν σφραγῖδα, κατὰ τὸν λέγοντα ἅγιον. ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε. δεῖ οὖν εὐχαριστοῦντας ὑπομένειν τὴν βουλὴν τοῦ Κυρίου. τότε γὰρ ἡμῖν εἰς λόγον δευτέρου μαρτυρίου, τό, τε συνεχὲς τῶν νόσων, καὶ ἡ πρὸς τοὺς δαιμονιώδεις λογισμοὺς μάχη, λογισθήσεται. ὁ γὰρ λέγων τότε τοῖς ἁγίοις μάρτυσι διὰ τῶν ἀνόμων ἐκείνων ἀρχόντων ἀρνήσασθαι τὸν Χριστόν, ποθῆσαι δὲ τὰς βιωτικὰς δόξας, καὶ νῦν τ' αὐτὰ ἐφίστησι δι' ἑαυτοῦ τοῖς δούλοις τοῦ Θεοῦ ἀδιαλείπτως λέγων. ὁ τότε ἀλγυνῶν τὰ τῶν δικαίων σώματα, καὶ ὑβρίζων ἐσχάτως τοὺς τιμίους διδασκάλους διὰ τῶν ὑπηρετούντων τοῖς διαβολικοῖς ἐκείνοις φρονήμασι, αὐτὸς καὶ νῦν τοῖς τῆς εὐσεβείας ὁμολογηταῖς ἐπάγει τὰ διάφορα παθήματα, μετὰ ὕβρεων πολλῶν καὶ ἐξουδενώσεων. ὅτε μάλιστα πολλῇ δυνάμει τοῖς καταπονουμένοις πένησι διὰ τὴν δόξαν τοῦ Κυρίου βοηθοῦσι. καὶ διὰ τοῦτο ἐχρῆν μετὰ ἀσφαλείας καὶ ὑπομονῆς τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν κατεργάζεσθαι ἡμᾶς ἐνώπιον τοῦ Θεοῦ. ὑπομένων γάρ. φησιν· ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι.

ϟε΄. Δυσπόριστον πρᾶγμα ἡ ταπεινοφροσύνη. ὅσῳ γὰρ μέγα ἐστί, τοσούτῳ μετὰ πολλῶν ἀγώνων κατορθοῦται· παραγίνεται δὲ τοῖς μετόχοις τῆς ἁγίας γνώσεως κατὰ δύο τρόπους· ὅτε μὲν γὰρ ἐν μεσότητι ἐστὶ τῆς πνευματικῆς πείρας ὁ τῆς εὐσεβείας ἀγωνιστής, δι' ἀσθένειαν σώματος ἢ διὰ τοὺς ἀκαίρως ἐχθραίνοντας τοῖς τὸ δίκαιον φροντίζουσιν, ἢ διὰ τοὺς λογισμοὺς τοὺς πονηρούς, ταπεινότερόν πως ἔχει τὸ φρόνημα· ὅτε δὲ ἐν αἰσθήσει πολλῇ καὶ πληροφορίᾳ ὁ νοῦς ὑπὸ τῆς ἁγίας καταυγασθῇ χάριτος, τότε ὥσπερ φυσικὴν ἔχει τὴν ταπεινοφροσύνην ἡ ψυχή· καταπιαινομένη γὰρ ὑπὸ τῆς θείας χρηστότητος οὐ δύναται οὐκ ἔτι εἰς τὸν ὄγκον τῆς φιλοδοξίας ἐπαίρεσθαι, κἂν ἀπαύστως τὰς ἐντολὰς κατεργάζοιτο τοῦ Θεοῦ· ταπεινοτέραν δὲ μᾶλλον ἑαυτὴν τῶν πάντων διὰ τὴν τῆς θείας ἐπιεικείας ἡγεῖται κοινωνίαν· ἔχει δὲ ἐκείνη μὲν ἡ ταπεινοφροσύνη, λύπην τὰ πολλὰ καὶ ἀθυμίαν· αὕτη δὲ χαρὰν μετὰ αἰδοῦς πανσόφου· διόπερ ἡ μέν, τοῖς ἐν μέσῳ, ὡς ἔφην, τῶν ἀγώνων οὖσι παραγίνεται· ἡ δέ, τοῖς ἐγγίζουσι τῇ τελειότητι καταπέμπεται· διὰ τοῦτο ἐκείνη μὲν ὑπὸ τῶν βιωτικῶν πολλάκις εὐπραγιῶν ὑποκλίζεται· αὕτη δέ, κἂν ὅλας τὰς βασιλείας τοῦ κόσμου τις αὐτῇ προσάγοι, οὔτε πτοεῖται, οὔτε ὅλως τῶν δεινῶν βελῶν τῆς ἁμαρτίας αἰσθάνεται· πνευματικὴ γὰρ ὅλη ὑπάρχουσα, ἀγνοεῖ πάντως τὰς σωματικὰς δόξας· ἐχρῆν δὲ δι' ἐκείνης παντὶ τρόπῳ παρελθόντα τὸν ἀγωνιστήν, ἐπὶ ταύτην ἐλθεῖν· εἰ μὴ γὰρ δι' ἐκείνης τῇ ἐπιφορᾷ τῶν παιδευτικῶν παθῶν, δοκιμαστικῶς τὸ αὐτεξούσιον ἡμῶν προμαλάξοι ἡ χάρις, οὐκ ἂν τὴν ταύτης ἡμῖν δωρήσηται πολυτέλειαν.

Οἱ τῶν τοῦ παρόντος βίου ἡδονῶν ὄντες ϟϛ΄.
φίλοι, ἐκ τῶν λογισμῶν ἐπὶ τὰ πταίσματα ἔρχονται· ἀδιακρίτῳ γὰρ γνώμῃ φερόμενοι, πάσας αὐτῶν σχεδὸν τὰς ἐμπαθεῖς ἐννοίας εἴς τε λόγους ἀνόμους, καὶ ἔργα ἀνόσια ἐπιθυμοῦσι φέρειν· οἱ δὲ τὸν ἀσκητικὸν ἐπιχειροῦντες κατορθοῦν βίον,

ἐκ τῶν πταισμάτων εἰς τοὺς πονηροτέρους λογισμούς, ἢ εἰς πονηρά τινα καὶ ἐπιβλαβῆ ἔρχοντας ῥήματα· Ἐὰν γὰρ οἱ δαίμονες τοὺς τοιούτους ἢ λοιδορίας ἀνεχομένους ἡδέως, ἢ ἀργά τινα καὶ ἄκαιρα ὁμιλοῦντας, ἢ γελῶντας ὡς οὐ δεῖ, ἢ θυμουμένους ἀμέτρως, ἢ τῆς κενῆς καὶ ματαίας ἐπιθυμοῦντας δόξης ἴδωσι, τότε ὁμοθυμαδὸν κατ' αὐτῶν ἐξοπλίζονται· τὴν γὰρ φιλοδοξίαν μάλιστα εἰς πρόφασιν τῆς ἑαυτῶν κακίας λαμβάνοντες, δι' ἐκείνης, ὥσπερ διὰ θυρίδος τινὸς σκοτεινῆς. εἰσπηδῶντες τὰς ψυχὰς διαρπάζουσιν· ἐχρῆν οὖν τοὺς θέλοντας συνδιαιτᾶσθαι τῷ πλήθει τῶν ἀρετῶν, μήτε δόξης ἐφίεσθαι, μήτε πολλοῖς συντυγχάνειν, μηδὲ προόδοις συνεχέσι κεχρῆσθαι, ἢ λοιδορεῖν τινάς, κἂν οἱ λοιδορούμενοι ὑπάρχωσιν ἄξιοι· μήτε δὲ πολλὰ ὁμιλεῖν, κἂν πάντα καλὰ λέγειν δύνωνται· ἡ γὰρ πολυλογία ἀμέτρως διαφοροῦσα τὸν νοῦν, οὐ μόνον περὶ τὴν πνευματικὴν αὐτὸν ἐργασίαν ἀργὸν ἀπεργάζεται, ἀλλὰ καὶ τῷ τῆς ἀκηδίας αὐτὸν παραδίδωσι δαίμονι· ὅστις αὐτὸν ὑπεκλύων ἀμέτρως, τῷ τῆς λύπης, λοιπὸν δέ, καὶ τῷ τῆς ὀργῆς παραδίδωσι δαίμονι· δεῖ οὖν ἀεὶ τῇ τῶν ἁγίων ἐντολῶν τηρήσει ἀπασχολεῖσθαι τὸν νοῦν, καὶ τῇ βαθείᾳ μνήμῃ τοῦ Κυρίου τῆς δόξης· ὁ γὰρ φυλάσσων, φησίν, ἐντολήν, οὐ γνώσεται ῥῆμα πονηρόν, τουτέστιν εἰς φαύλους λογισμούς, ἢ λόγους οὐκ ἐκτραπήσεται.

ϟζʹ. Ὅταν μετὰ ζέσεώς τινος ἀλγηδόνος ἡ καρδία δέχεται τὰ τοξεύματα τῶν δαιμόνων, ὡς αὐτὰ οἴεσθαι φέρειν τὰ βέλη τὸν πολεμούμενον, μισεῖ μετὰ πόνου ἡ ψυχὴ τὰ πάθη, ὡς ἐν ἀρχῇ οὖσα τοῦ καθαίρεσθαι· ἐὰν γὰρ μὴ ἀλγήσῃ μεγάλως ἐπὶ τῇ ἀναιδείᾳ τῆς ἁμαρτίας, οὐκ αὖ δυνηθείη πλουσίως χαρῆναι ἐπὶ τῇ τῆς δικαιοσύνης χρηστότητι· ὁ τοίνυν θέλων τὴν ἑαυτοῦ καθαρίσαι καρδίαν, τῇ μνήμῃ τοῦ Κυρίου Ἰησοῦ διαπαντὸς διαπυρέτω αὐτήν, τοῦτο μόνον μελέτην, καὶ ἔργον ἄπαυστον ἔχων· οὐ γὰρ ποτὲ μὲν εὔχεσθαι δεῖ, ποτὲ δὲ μή, τοὺς τὴν ἑαυτῶν σαπρίαν ἀποβαλεῖν θέλοντας, ἀλλ' ἀεὶ τῇ προσευχῇ σχολάζειν ἐν τῇ τηρήσει τοῦ νοῦ, κἂν ἔξωθεν αὐλίζοιντο τῶν εὐκτηρίων δόμων· ὃν γὰρ τρόπον ὁ θέλων καθαρίσαι χρυσίον ἐὰν πρὸς βραχὺ τὸ πῦρ ἐάσῃ χαλάσαι ἐκ τοῦ χωνευτηρίου, σκληρίαν πάλιν τῇ καθαιρομένῃ ὕλῃ ἐμποιεῖ· οὕτω καὶ ὁ ποτὲ μὲν μεμνημένος τοῦ Θεοῦ, ποτὲ δὲ μή, ὅπερ δοκεῖ κτᾶσθαι διὰ τῆς εὐχῆς, τοῦτο ἀπόλλυσι διὰ τῆς σχολῆς· ἀνδρὸς δέ ἐστι φιλαρέτου ἴδιον, τὸ ἀεὶ τῇ μνήμῃ τοῦ Θεοῦ, τὸ τῆς καρδίας καταναλίσκειν γεῶδες, ἵν' οὕτω κατ' ὀλίγον τοῦ κακοῦ ὑπὸ τοῦ πυρὸς τῆς ἀγαθῆς μνήμης δαπανωμένου, τελείως εἰς τὴν φυσικὴν αὐτῆς ἡ ψυχὴ μετὰ πλείονος δόξης, ἐπανέλθῃ λαμπρότητα.

ϟηʹ. Ἀπάθειά ἐστιν, οὐ τὸ μὴ πολεμεῖσθαι ὑπὸ τῶν δαιμόνων. ἐπεὶ ἄρα ὀφείλομεν ἐξεληλυθέναι, κατὰ τὸν Ἀπόστολον, ἐκ τοῦ κόσμου, ἀλλὰ τὸ πολεμουμένους ὑπ' αὐτῶν ἀπολεμήτους μένειν, καὶ γὰρ οἱ σιδηροφόροι πολεμισταὶ τοξεύονται μὲν παρὰ τῶν ἀντιπάλων, καὶ τοῦ ἤχου τῆς τοξείας ἀκούουσιν, ἀλλὰ καὶ αὐτὰ βλέπουσι τὰ πεμπόμενα βέλη, οὐ πλήττονται δὲ διὰ τὴν τῶν πολεμικῶν ἐνδυμάτων στερρότητα. ἀλλ' ἐκεῖνοι μὲν σιδήρῳ φραττόμενοι ἐν τῷ πολεμεῖσθαι τὸ ἀπολέμητον ἔχουσι. ἡμεῖς δὲ τῇ τοῦ φωτὸς τοῦ ἁγίου πανοπλίᾳ, καὶ σωτηρίῳ περικεφαλαίᾳ διὰ πάντων τῶν καλῶν ἔργων καθωπλισμένοι, τὰς σκοτεινὰς τῶν δαιμόνων διακόψωμεν φάλαγγας. οὐ γὰρ τὸ μηκέτι πρᾶξαι τὰ κακὰ μόνον καθαρότητα φέρει, ἀλλὰ τό, ἐπιμελείᾳ τῶν καλῶν, κατὰ κράτος ἀθετῆσαι τὰ κακά.

ϟθʹ. Ὅταν σχεδὸν ἅπαντα τὰ πάθη νικήσῃ ὁ τοῦ Θεοῦ ἄνθρωπος, δύο δαίμονες



Athos Library
Αγιορειτική Βιβλιοθήκη

αὐτῷ ἀπομείνωσι προσπαλαίοντες. ὧν ὁ μὲν τῇ ψυχῇ παρενοχλεῖ ἀπὸ πολλῆς θεοφιλίας εἰς ζῆλον αὐτὴν ἄκαιρον φέρων, ὥστε μὴ θέλειν ἄλλον τινὰ κατ᾿ αὐτὴν ἀρέσαι τῷ Θεῷ. ὁ δὲ τῷ σώματι εἰς ἐπιθυμίαν συνουσίας αὐτῷ ἐμπύρῳ τινὶ κινῶν ἐνεργείᾳ. τοῦτο δὲ συμβαίνει τῷ σώματι· πρῶτον μὲν διὰ τὸ τῆς φύσεως εἶναι ταύτην τὴν ἡδονὴν ἰδίαν, ὡς διὰ τὴν παιδογονίαν, καὶ διὰ τοῦτο δὲ εὐχερῶς ἡττωμένην. λοιπὸν δὲ καὶ διὰ παραχώρησιν τοῦ Θεοῦ. ὅταν γὰρ ἴδῃ τινὰ τῶν ἀγωνιστῶν μεγάλως ἀκμάζοντα τοῖς πλήθεσι τῶν ἀρετῶν ὁ Κύριος, παραχωρεῖ αὐτὸν ποτὲ ὑπὸ τοῦ τοιούτου καταῤῥυποῦσθαι δαίμονος, ἵνα πάντων τῶν τοῦ βίου ἀνθρώπων εὐτελέστερον ἑαυτὸν ὑπολαμβάνῃ. ἀμέλει, ἢ ἕπεται ἡ ὄχλησις τοῦ πάθους τοῖς κατορθώμασιν, ἢ καὶ προλαμβάνει ταῦτα ποτέ, ἵνα, ἢ τῇ προλήψει, ἢ τῇ ἐπιφορᾷ τοῦ πάθους ἀχρεῖαν ποιῇ τὴν ψυχὴν φαίνεσθαι, κἂν ὁποῖα ᾖ μεγάλα αὐτῆς τὰ κατορθώματα. ἀλλὰ τῷ μὲν, ἐν ταπεινοφροσύνῃ πολλῇ, καὶ ἀγάπῃ μαχησώμεθα, τῷ δὲ, ἐν ἐγκρατείᾳ, καὶ ἐν ἀοργησίᾳ, καὶ ἐννοίᾳ βαθείᾳ τοῦ θανάτου, ἵνα ἀπαύστως ἐντεῦθεν αἰσθόμενοι τῆς ἐνεργείας τοῦ Ἁγίου Πνεύματος, ἐπάνω καὶ τούτων γενώμεθα ἐν Κυρίῳ τῶν παθῶν.

ρ'. Ὅσοι τῆς ἁγίας Γνώσεως γινόμεθα μέτοχοι, καὶ τῶν ἀκουσίων μετεωρισμῶν πάντως ὑφέξομεν λόγον· ἐπισημειώσω μὴν γάρ, φησὶν ὁ θεῖος Ἰώβ, καὶ εἴ τι ἄκων παρέβην, καὶ δικαίως. ἐὰν γὰρ μὴ σχολάσῃ τις τοῦ ἀεὶ μεμνῆσθαι τοῦ Θεοῦ, καὶ τῶν ἁγίων αὐτοῦ μὴ παραμελήσῃ ἐντολῶν, οὐκ ἂν ἀκουσίῳ, ἢ ἑκουσίῳ ὑποπέσῃ πταίσματι. δεῖ οὖν εὐθέως καὶ περὶ τῶν ἀκουσίων πταισμάτων, ἐξομολόγησιν σύντονον προσφέρειν τῷ δεσπότῃ, τουτέστι περιττὴν ἐργασίαν τοῦ συνήθους κανόνος. οὐ γὰρ ἔστιν ἄνθρωπον ὄντα μὴ πταίειν ἀνθρώπινα, ἄχρις οὗ πληροφορηθῇ ἡ συνείδησις ἡμῶν ἐν δακρύῳ ἀγάπης περὶ τῆς τούτων ἀφέσεως. Ἐὰν γάρ φησιν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. προσέχειν οὖν δεῖ ἀδιαλείπτως τῇ αἰσθήσει τῆς ἐξομολογήσεως, μήπως ἡ συνείδησις ἡμῶν ἑαυτὴν ψεύδηται, ὑπονοήσασα ἀρκετῶς ἐξομολογήσασθαι τῷ Θεῷ. ὅτι πολὺ κρείττων ἐστὶν ἡ τοῦ Θεοῦ κρίσις τῆς ἡμετέρας συνειδήσεως, κἂν μηδὲν ἑαυτῷ τις ἐν πάσῃ συνειδῇ πληροφορίᾳ, καθὼς ὁ σοφώτατος ἡμᾶς Παῦλος διδάσκει λέγων· ἀλλ᾿ οὐδὲ ἐμαυτὸν ἀνακρίνω. οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ᾿ οὐκ ἐν τούτῳ δεδικαίωμαι. ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν. ἐὰν γὰρ μὴ πρεπόντως καὶ περὶ αὐτῶν ἐξομολογησώμεθα, δειλίαν τινὰ ἄδηλον ἐν τῷ καιρῷ τῆς ἐξόδου ἡμῶν εὑρήσομεν ἐν ἑαυτοῖς. ἐχρῆν δὲ καὶ ἡμᾶς εὔχεσθαι τοὺς ἀγαπῶντας τὸν Κύριον ἐκτὸς παντὸς φόβου τότε εὑρίσκεσθαι. ὁ μὲν γὰρ ἐν φόβῳ εὑρισκόμενος τότε, ἐλευθερίῳ τρόπῳ τοὺς ταρταρέους οὐ παρελεύσεται ἄρχοντας. συνήγορον γὰρ ἔχουσιν, ὥσπερ ἐκεῖνοι τὴν τῆς ψυχῆς δειλίαν τῆς ἑαυτῶν κακίας. ἡ δὲ ἀγαλλιωμένη ψυχὴ ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ, ἐν τῇ ὥρᾳ τῆς ἀναλύσεως, ἐπάνω πασῶν τῶν σκοτεινῶν παρατάξεων σὺν τοῖς ἀγγέλοις τῆς εἰρήνης φέρεται· ἐπτέρωται γὰρ ὥσπερ, ἐν τῇ πνευματικῇ ἀγάπῃ, ὡς τὸ πλήρωμα ἀδιαλείπτως ἔχουσα τοῦ νόμου, τὴν ἀγάπην. διόπερ καὶ ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου, μετὰ πάντων τῶν Ἁγίων, οἱ μετὰ τοιαύτης παῤῥησίας ἐξιόντες τοῦ βίου, ἁρπαγήσονται· οἱ δὲ κἂν ἐν βραχεῖ δειλιῶντες ἐν τῷ καιρῷ τοῦ θανάτου, ἐν τῇ πάντων τῶν ἄλλων ἀνθρώπων καταλειφθήσονται πληθυΐ, ὡς ὑπὸ κρί-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σιν ὄντες. Ἵνα διὰ τοῦ πυρὸς δοκιμασθέντες τῆς κρίσεως, τὰς κεχρεωστημένας αὐτοῖς καὶ τὰς αὐτῶν πράξεις ἀπολάβωσι κλήρους παρὰ τοῦ ἀγαθοῦ ἡμῶν Θεοῦ, καὶ Βασιλέως Ἰησοῦ Χριστοῦ. ὅτι αὐτὸς ἐστὶν ὁ Θεὸς τῆς δικαιοσύνης, καὶ αὐτοῦ ἐστὶν ἐφ' ἡμᾶς τοὺς ἀγαπῶντας αὐτὸν, ὁ πλοῦτος τῆς χρηστότητος τῆς βασιλείας αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἑρμηνεία εἰς τὸ ῥητὸν τοῦ παρόντος ἑκατοστοῦ Κεφαλαίου τὸ λέγον· „ἵνα „διὰ τοῦ πυρὸς δοκιμασθέντες τῆς κρί- „σεως, ὅπερ ἠρωτήθη παρά τινων, „ἑρμηνεία τοῦ Ἁγίου Μαξίμου.

ΟἹ τὸ τέλειον τῆς ἀγάπης κεκτημένοι πρὸς τὸν Θεὸν, καὶ τὸ πτερὸν τῆς ψυχῆς διὰ τῶν ἀρετῶν μετεωρίσαντες, κατὰ τὸν Ἀπόστολον ἐν νεφέλαις ἁρπάζονται καὶ εἰς κρίσιν οὐκ ἔρχονται. οἱ δέ γε μὴ πάντη τὸ τέλειον κτησάμενοι, ἀλλ' ἁμαρτήματα καὶ κατορθώματα κεκτημένοι· οὗτοι ἐν τῷ δικαστηρίῳ τῆς κρίσεως ἔρχονται. κἀκεῖ διὰ τῆς τῶν ἀγαθῶν καὶ φαύλων πράξεων ἀντεξετάσεως οἱονεὶ πυρούμενοι, εἴπερ ἡ τῶν ἀγαθῶν πλάστιγξ ἐπιβαρήσῃ, καθαίρονται τῆς κολάσεως. Ἀπόκρ.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΤΩ ἐν Ἁγίοις Πατρὶ ἡμῶν Ἰωάννῃ τῷ Καρπαθίῳ, τίς μὲν ἐγένετο ὁ καθ' ὃν ἤκμασε χρόνος, καὶ ποῦ τὰ τῆς ἀσκήσεως διήνυσε σκάμματα, καὶ τὰ κατ' αὐτὸν ἄλλα, ἄδηλα. Ταῦτα δὲ μόνα περὶ αὐτοῦ μαρτυρεῖ ὁ Φώτιος (ἀναγνώσει σά. σελίδι 266.) „Κρατεῖ δ' οὖν, (ὁ Διάδοχος δηλονότι) πολλῷ καὶ Ἰωάννου τοῦ Καρπαθίου. Ὃς ἐπιγραφὴν αὐτοῦ τῷ πονήματι δίδωσι. Πρὸς τοὺς ἀπὸ τῆς Ἰνδίας προτρέψαντας Μοναχοὺς παρακλητικός. Ἑκατὸν δὲ καὶ οὗτος Κεφαλαίοις περαιοῖ αὐτό. Ἐν οἷς ὡς τὰ πολλὰ πατρικῶς τοὺς ἀναγινώσκοντας ὑπαλείφει, καρτερεῖν ἐν τοῖς δεινοῖς, καὶ ὑπομονὴν πρὸς τοὺς ἐπερχομένους πειρασμοὺς ἐπιδείκνυσθαι.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ ΚΑΡΠΑΘΙΟΥ,

## Πρὸς τοὺς ἐν τῇ Ἰνδίᾳ Μοναχοὺς γράψαντας αὐτῷ, Παραμυθητικὰ Κεφάλαια ρ′.

α′. Τοῖς ἐπὶ γῆς βασιλεῦσιν ἐαρινὰ ἄνθη προσφέροντές τινες τῶν προσαιτῶν, οὐ μόνον οὐκ ἀπόβλητοι γεγόνασι πολλάκις, ἀλλὰ γὰρ καί τινας ἀντελάβοντο δωρεάς. κἀγὼ τοίνυν παρ᾽ ὑμῶν ἐπιταχθείς, μίαν ἑκατοντάδα ἀνθέων δρεψάμενος, καὶ προσφέρων λογίων καλῶν ὑμῖν τοῖς τὸ πολίτευμα ἐν οὐρανοῖς ἔχουσιν, εὐπρόσδεκτός τε γενοίμην, καὶ τὴν τῶν εὐχῶν δωρεὰν παρ᾽ ὑμῶν ἀντιλάβοιμι.

Ὅσῳ διηνεκὴς ὁ τῶν ὅλων βασιλεύς· οὐκ ἀρχὴν, οὐ πέρας τῆς βασιλείας ἔχων τῆς οἰκείας· τοσούτῳ τοῖς ὑπὲρ αὐτοῦ τε καὶ ὑπὲρ τῆς ἀρετῆς πονεῖν προῃρημένοις ἐπικερδεστέραν εἶναι συμβέβηκε τὴν σπουδήν. αἱ μὲν γὰρ τοῦ παρόντος βίου τιμαί, κἂν ἄγαν ὦσι λαμπραί, τῷ παρόντι βίῳ συγκαταλύονται πάντως, αἱ δὲ παρὰ Θεοῦ γινόμεναι τοῖς ἀξίοις, ἅτε σὺν ἀφθαρσίᾳ διδόμεναι, εἰς τὸ παντελὲς διαμένουσι.

β′. Ὁ μακάριος Δαβὶδ ὕμνον διὰ πάσης ἐργαζόμενος τῆς κτίσεως τοῦ Θεοῦ, ἐμνημόνευσε μὲν ἀγγέλων τε, καὶ ἀοράτων δυνάμεων ἁπασῶν, κατελήλυθε δὲ ἄχρι τῆς γῆς. ὡς μηδὲ θηρίων, μὴ κτηνῶν, μὴ πετεινῶν, μὴ ἑρπετῶν ἀπέχεσθαι· ἐπειδὴ τῷ πεποιηκότι προσκυνεῖν καὶ τὸν ἐκ τούτων ὕμνον ἡγεῖτο. ὡς βουλόμενος πᾶν τὸ γεγονὸς ὑπ᾽ αὐτοῦ, τὴν ὁμοίαν πλέκειν εἰσφοράν. καὶ πῶς ἄρα μοναχὸς ὁ συμβασταζόμενος τῷ ἐκ Σεραφεὶμ χρυσίῳ, τηρηκὼς ποτέ, ἢ ὀκνεῖν ἀνάσχοιτο πρὸς ὑμνῳδίαν;

γ′. Ὥσπερ τὴν βάτον πῦρ περιεῖχεν, οὐκ ἔφλεγε δὲ αὐτήν, οὕτω καὶ τοῖς λαβοῦσι τὸ χάρισμα τῆς ἀπαθείας, κἂν βαρὺ λίαν, καὶ θερμότατον περιφέρωσι σῶμα, οὐδὲν τὴν σάρκα, ἢ τὸν νοῦν ἐνοχλεῖ, ἢ λυμαίνεται ἡ θερμότης τοῦ σώματος. φωνὴ γὰρ Κυρίου διέκοψε τὴν φλόγα τῆς φύσεως. διότι τὸ βούλημα τοῦ Θεοῦ καὶ ὁ λόγος, τὰ τῇ φύσει ἡνωμένα διέστησεν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δ'. Ἡ Σελήνη αὐξουμένη, καὶ πάλιν μειουμένη, ἐμφανίζει ἀνθρώπου κατάστασιν, ποῦ μὲν καλὰ πράττοντος, ποῦ δὲ ἁμαρτάνοντος· εἶτα διὰ τῆς μετανοίας παλινδρομοῦντος εἰς ζωὴν ἐπιστρέφει· οὐκ οὖν οὐκ ἀπώλετο ὁ νοῦς τοῦ ἐπιτυχόντος, καθάπερ τινὲς παρ' ὑμῖν νομίζουσιν· ὥσπερ τῆς Σελήνης τὸ σῶμα οὐκ ἐμειώθη, ἀλλὰ τὸ φῶς· ἀνακτᾶται οὖν ὁ ἄνθρωπος πάλιν τὴν οἰκείαν λαμπρότητα διὰ μετανοίας, καθάπερ ἡ Σελήνη μετὰ τὸ φθινῆσαι οἴκοθεν τὸ φῶς ἀμφιέννυται· ὁ γὰρ πιστεύων εἰς Χριστόν, κἂν ἀποθάνῃ ζήσεται· καὶ γνώσεται, φησί, ὅτι ἐγὼ Κύριος λελάληκα, καὶ ποιήσω.

ε'. Ἐὰν ἐπαναστάντος σοι κατὰ τὴν διάνοιαν τοῦ ὁμίλου τῶν * ἐχθρῶν σχηματισμῶν ὑπενδοὺς ἡττηθῇς, γίνωσκε σεαυτὸν κεχωρίσθαι πρὸς καιρὸν τῆς θείας χάριτος· ὅθεν καὶ παρεδόθης εἰς χεῖρας τῆς ἀπιστίας σου, καὶ δίκαιον κρῖμα· διόπερ ἀγωνίζου μηδέποτε διὰ τῆς ἀμελείας ἀπολειφθῆναι τῆς χάριτος, μηδὲ πρὸς στιγμὴν χρόνου· ἐὰν δὲ δυνηθῇς κρείττων ἐλπίδος γενόμενος, ὑπερβῆναι τὸ τεῖχος τῶν ἐμπαθῶν λογισμῶν, καὶ τὰς ἐπαλλήλους ῥυπαρὰς προσβολὰς τῆς τῶν ἐχθρῶν πολυνοίας, μὴ ἀγνοήσῃς τὸ δῶρον τὸ ἄνωθεν δοθέν σοι· φησὶ γὰρ ὁ Ἀπόστολος· οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί, τὸ τοιοῦτον εἰργάσατο τρόπαιον· καὶ ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ μιαρῶν ἐνθυμημάτων ὕψωσέ με· καὶ ἀπὸ ἀνδρὸς ἀδίκου δηλαδὴ τοῦ διαβόλου, καὶ τοῦ παλαιοῦ ἀνθρώπου ἐρρύσατό με· ὅθεν τῷ πτερῷ τοῦ Πνεύματος κουφισθείς, καὶ ἀρθεὶς τοῦ σώματος, ἴσχυσα πετασθῆναι ἐπάνω τῶν θηρευόντων δαιμόνων, τῶν ἑλκόντων τὸν ἀνθρώπινον νοῦν διὰ τῆς ἡδυπαθείας, ὡς κατηναγκασμένως, καὶ βιαίως παρακαλοῦντες προφέρουσιν· ὁ τοίνυν ἐξαγαγών με ἐκ γῆς Αἰγύπτου· τουτέστι τῆς τοῦ κόσμου ψυχαπωλείας, ὅπως κραταιᾷ χειρὶ ὑπὲρ ἐμοῦ πολεμῶν ἐκτάξῃ τὸν Ἀμαλήκ, καὶ παρέχομαι ἐλπίζειν, ὅτι καὶ τὰ λοιπὰ τῶν αἰσχρῶν παθῶν ἔθνη ἐξολοθρεύσει Κύριος ἀπὸ προσώπου ἡμῶν· ὅπως ὁ Θεὸς ἡμῶν δώσει σοφίαν, καὶ δύναμιν· τινὲς γάρ, σοφίαν μὲν ἔλαβον, οὐ μέντοι καὶ δύναμιν Πνεύματος, εἰς τὸ νικῆσαι ἐχθρούς· ὅπως ὑψώσει κεφαλήν σου ἐπ' ἐχθρούς σου· καὶ δώσει σοι πτέρυγας, ὡσεὶ περιστερᾶς, καὶ πετασθεὶς καταπαύσῃ πρὸς Θεόν· θήσει Κύριος τόξον χαλκοῦν τοὺς βραχίονάς σου, στερρόν, καὶ εὐεξῆ, καὶ εὐτόνως δεικνύοντά σε κατὰ τοῦ ἀντιπάλου· καὶ συμποδίζων ὑποκάτω σου πάντας τοὺς ἐπανεστηκότας σοι· ἀνάθες τοιγαροῦν τῷ Κυρίῳ τὴν χάριν τῆς ἁγνείας, ὅτι οὐ συνέκλεισέ σε εἰς χεῖρας τῶν θελημάτων τῆς σαρκός σου, καὶ τοῦ αἵματος· καὶ τῶν προσκολλωμένων τύποις φθοροποιῶν, καὶ ἀκαθάρτων πνευμάτων, ἀλλὰ κατησφαλίσατό σε τῇ ἑαυτοῦ δεξιᾷ· οἰκοδόμησον αὐτῷ θυσιαστήριον, ὥσπερ καὶ Μωϋσῆς μετὰ τὸ τρέψασθαι τὸν Ἀμαλήκ. διὰ τοῦτο ἐξομολογήσομαι, καὶ αἰνέσω σε Κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ, μεγαλύνων τὰς δυναστείας σου· ὅτι ἐλυτρώσω ἐκ φθορᾶς τὴν ζωήν μου, καὶ ἐξήρπασάς με ἐκ τῶν βρόχων, καὶ σαγηνευμάτων, τῆς [illegible], καὶ πολυμόρφου καὶ τριβακῆς κακίας.

* ἴσ. τῶν αἰσχρῶν [illegible]

ϛ'. Ἀναζωπυροῦσιν ἡμῖν τὰ μιαρὰ πάθη καὶ ἀνακαινίζουσι, καὶ αὐξοῦσι, καὶ πολυπλασιάζουσιν, οἱ πονηροὶ δαίμονες· αἱ δὲ ἐπισκέψεις τοῦ Θείου λόγου καὶ μάλιστα αἱ διὰ τῆς τῶν δακρύων χύσεως γινόμεναι, νεκροποιοῦσι τὰ πάθη, κἂν χρόνια τυγχάνῃ, καὶ λύουσι· καὶ κατὰ μικρὸν εἰς ἀνυπαρξίαν περιιστῶσι τὰ ὀλέθρια τῆς ψυχῆς, καὶ τοῦ σώματος, ἁμαρτητικὰ ἐνεργήματα· μόνον ἡμεῖς μὴ ἀκηδιάσωμεν τοῦ, δι' εὐχῆς, καὶ ἐλπίδος ἀνενδότου καὶ ἀναιδοῦς, προσεδρεύειν τῷ Κυρίῳ·

ζ'. Διατί ἐκ τοῦ στόματος τῶν τῇ κακίᾳ

νηπιαζόντων πιστῶν, ὁ Χριστὸς καταρτίζει αἶνον; ἢ πάντως, ἵνα διὰ τῆς ὑμνῳδίας καταλύσῃ ἐχθρόν, καὶ ἐκδικητὴν τυραννοῦντα μεγάλως· ἐχθρὸν μὲν τῶν ἀρετῶν, ἐκδικητὴν δὲ κακίας· διάβολον. οὐκ οὖν καὶ ἡμεῖς τὸν δεσπότην ἁπλότητι καρδίας αἰνοῦντες, συντριβόμενοί τε, καὶ καταλύομεν τὰ τοῦ ἐχθροῦ μηχανήματα· τῷ γὰρ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς πολεμίους, καὶ τοὺς ὑπεναντίους τοὺς πολεμοῦντας ἡμᾶς.

η'. Εἴ τις ὑπάρχει κατὰ τὸ εἶδος ἔκτρωμα, τὸ ἥμισυ λέγεται νῦν τῶν σαρκικῶν κατεσθίειν, τὸ δὲ ἄλλο ἥμισυ, τῷ αἰῶνι τῷ μέλλοντι· τῆς γὰρ ἑαυτοῦ ὁδοῦ τοὺς καρποὺς, ἕκαστος γεύσεται.

θ'. Τὴν καλλίστην πορείαν, καὶ μὴ δουλοῦσθαι τοῖς πάθεσιν αἱρεῖσθαι χρεωστεῖ ὁ Μοναχὸς, καὶ μεγάλην ἡσυχίαν γεωργεῖν διαπαντός.

ι'. Οἱ μισοῦντες τὰς ψυχὰς ἡμῶν δαίμονες, ὑποτίθενταί τισιν ὥστε ψυχράν τινα εὐφημίαν ἡμῖν χαρίσασθαι, ὅπως πρὸς ταύτην ἡμᾶς διαχυθῆναι προξενοῦνται· ἐὰν τοίνυν χαυνωθέντες τῇ εἴξει, δῶμεν τόπον καὶ τῇ κενοδοξίᾳ, οὐ κάμνουσι λοιπὸν οἱ ἐχθροὶ ἡμῶν αἰχμαλωτίσαι ἡμᾶς.

ια'. Ἀποδέχου μᾶλλον τὸν σκώπτοντά σε, ἤπερ τὸν ἐπαινοῦντα· ὅστις οὐδὲν διαφέρει καταρωμένου γέγραπται.

ιβ'. Ὅταν περὶ τὴν ἐπίσημον σπουδάσας ἀρετὴν, διὰ τὴν ἀσθένειαν ἀποτυγχάνῃς αὐτῆς, καὶ συντρίψας τὴν καρδίαν, ἐπ' εὐχαριστίαν τράπῃς τοῦ πάντων προνοητοῦ, καὶ κριτοῦ. ἐὰν μέντοι τεταπεινωμένον διαπαντὸς δεικνύῃς ἑαυτὸν τῷ Κυρίῳ, καὶ μηδενός ποτε ἀνθρώπου κατεπαρθῇς.

ιγ'. Ἐπιστάμενος ὁ ἐχθρὸς τὴν εὐχὴν ὑπάρχουσαν ἡμῶν μὲν ὑπέρμαχον, αὐτοῦ δὲ ἐπίβουλον, καὶ ἀποσπᾶσαι ταύτης ἡμᾶς σπουδάζων, εἰς ἐπιθυμίαν ἡμᾶς ἐμβάλλει τῶν ἑλληνικῶν λόγων, ἀφ' ὧν καὶ ἀπέστημεν, καὶ περὶ τούτου σχολάζειν παρακαλεῖ· ᾧτινι μὴ πεισθῶμεν· ἵνα μὴ τοὺς τοῦ οἰκείου γεωργίου ἄξονας πλανηθέντες, ἀντὶ σύκων, καὶ σταφυλῶν, ἀκάνθας, καὶ τριβόλους τρυγήσωμεν· ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ Θεῷ λελόγισται.

ιδ'. Χαράν· φησί· μεγάλην εὐαγγελίζομαι ὑμῖν, ἥτις ἔσται παντὶ τῷ λαῷ, οὐ μέρει τοῦ λαοῦ· καὶ πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλλάτωσάν σοι, οὐ γὰρ δὴ μέρος τῆς γῆς. τὸ δὲ ψάλλειν, οὐκ ἔστι ποτνιωμένων, ἀλλὰ εὐθυμουμένων. εἰ τοίνυν ταῦτα οὕτως ἔχει, μηδαμῶς ἀπελπίσωμεν, ἀλλ' εὔθυμοι τὸν παρόντα διοδεύσωμεν βίον, τῆς ἀπ' αὐτοῦ ἐκείνης χαρᾶς, καὶ εὐθυμίας λαμβάνοντες ἔννοιαν· πλὴν τῷ θείῳ φόβῳ τὴν εὐφροσύνην κεράσωμεν· ὥσπερ φησὶν ἀγαλλιᾶσθε τῷ Κυρίῳ ἐν τρόμῳ. καὶ γὰρ αἱ περὶ Μαρίαν μετὰ φόβου καὶ χαρᾶς μεγάλης ἐξέδραμον τοῦ τάφου· τάχα καὶ ἡμεῖς ποτε σὺν δέει καὶ χαρᾷ, τοῦ νοητοῦ ἐξορμήσομεν τάφου. θαυμάζω γὰρ, εἰ χωρὶς φόβου, διότι οὐδεὶς ἀναμάρτητος, κἂν Μωϋσῆς, κἂν Πέτρος ὁ Ἀπόστολος ᾖ· ἀλλ' ὅμως ἐν τοῖς τοιούτοις ἡ θεία ἀγάπη νικήσασα, ἔξω βάλλει τὸν φόβον ἐν καιρῷ τῆς ἐξόδου.

ιε'. Ὅτι ὁ ἐμπαθὴς πιστεύσας ὁλοκαρδίως, καὶ τεταπεινωμένως λαμβάνει χάρισμα ἀπαθείας, ἔχεις μαρτυροῦσαν τὴν γραφήν· σήμερον γάρ· φησιν· μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ· καὶ ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην, τῆς μακαριωτάτης ἀπαθείας· καὶ ἴσα τοιουτότροπα· καὶ ἐν τῷ ἀπόρῳ περκάσει ἡ σταφυλή· καὶ κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν.

ιϛ'. Ὁπόταν ἐπαχθῶς πρὸς τὰ πάθη διακείμενοι, σφοδρότερον τοῖς αἰσχροῖς ἐνθυμήμασιν ὑπὸ τῶν δαιμόνων ὀχλούμε-

θα, τότε μᾶλλον εἰς τὴν τοῦ Κυρίου στηριζόμεθα πίστιν, καὶ βεβαιοτέραν τὴν πρὸς τὰ ἐπηγγελμένα αἰώνια ἀγαθὰ καθιστῶμεν ἐλπίδα· ὧν ἀποστερηθῆναι ἡμᾶς οἱ ἐχθροί, καὶ ἀπαλλοτριωθῆναι διὰ τῆς βασκανίας σπουδάζουσιν· εἰ μὴ γὰρ λίαν μέγιστα ἦν ἐκεῖνα τὰ ἀγαθά, οὐκ ἂν φθόνῳ τοσούτῳ καθ' ἡμῶν οἱ δαίμονες ἐκκαυθέντες, τοῖς ῥυπαροῖς λογισμοῖς πυκνὰ κατετόξευον, κἂν τούτῳ τὴν ἑαυτῶν μανίαν πληροφορεῖν δοκοῦντες, καὶ πρὸς ἀπόγνωσιν ἡμᾶς συνελαύνειν νομίζοντες, διὰ τῆς ἀφορήτου, καὶ πολλῆς ὀχλήσεως.

ιζ'. Γνῶσιν ἀληθεστάτην τινὲς ὑπάρχειν, τὴν πρᾶξιν δοξάζονται. σπουδάσατε τοίνυν μᾶλλον τοῖς ἔργοις, καὶ πίστιν, καὶ γνῶσιν ἐνδείκνυσθαι· ὁ γὰρ δὴ ἐπὶ τῇ γνώσει μόνῃ τετυφωμένος, ἀκούσεται, ὅτι Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται.

ιη'. Ὡς ἐπὶ τὸ πλεῖστον περὶ καιρὸν τῆς ἑορτῆς, καὶ τῶν ἁγίων συνάξεων, καὶ μάλισθ' ὅταν μέλλῃ τὶς τῇ μυστικῇ τραπέζῃ προσιέναι, τότε τοῖς αἰσχροῖς φαντάσμασι, καὶ τῇ ῥοῇ τῆς γονῆς τὸν ἀσκητὴν οἱ δαίμονες μολύνειν σπουδάζουσιν· ἀλλ' οὐδὲ ἐν τούτῳ θραύσουσιν ἢ ἐκλύσουσι τὸν πάντα καρτερικῶς καὶ γενναίως φέρειν συνεθισμένον· μὴ δὲ καυχάσθωσαν καθ' ἡμῶν οἱ κυρτοί, ὡς ὀρθοί.

ιθ'. Τὸ ἦθος, καὶ τὴν προθυμίαν οἱ ἐχθροὶ ἀμύνονται, τοῖς ποικίλοις, καὶ ἀφάτοις πειρασμοῖς τὴν ψυχὴν κολαφίζοντες· ἐκ γὰρ τῶν θλίψεών σοι τῶν πολλῶν, καὶ ἀμυθήτων, ὁ στέφανος πλέκεται· καὶ ἐν ταῖς ἀσθενείαις δὲ, τελειοῦται ἡ δύναμις τοῦ Χριστοῦ· καὶ ταῖς σκυθρωποτέραις καταστάσεσιν, ἐπανθεῖν εἴωθεν ἡ τοῦ Πνεύματος χάρις· ἐξανέτειλε γὰρ φῶς ἐν σκότει τοῖς εὐθέσιν· ἐάν γε τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος, μέχρι τέλους, βεβαίαν κατάσχωμεν.

κ'. Οὐδὲν οὕτως ἐξαφανίζειν τὴν ἀρετὴν πέφυκεν, ὡς ἡ εὐτραπελία, καὶ τὸ παίζειν, καὶ ἡ ἀργολογία. καὶ πάλιν οὐδὲν οὕτως τὴν πεπαλαιωμένην ἀνακαινίζει ψυχὴν, καὶ πλησιάζειν τῷ Θεῷ παρασκευάζει, ὡς ὁ φόβος τοῦ Θεοῦ, καὶ ἡ καλὴ προσοχὴ, καὶ τὸ μελετᾷν ἀπαύστως τὰ λόγια τοῦ Θεοῦ, καὶ τῇ προσευχῇ ἑαυτὸν καθοπλίζειν, καὶ τῆς ἀγρυπνίας τὸ κέρδος ἐξαντλεῖν.

κα'. Ἐπιτηδειότατον ἅμα, καὶ συμφέρον τῇ ψυχῇ, τὸ στιβαρῶς βαστάζειν πᾶσαν θλίψιν, εἴτε παρὰ ἀνθρώπων, εἴτε παρὰ δαιμόνων ἐπαγομένην. καὶ εἰδέναι ἀκριβῶς ὅτιπερ χρεῶσται ὑπάρχομεν τῆς καταποινήσεως. καὶ μηδένα ἕτερον, εἰ μὴ μόνον ἑαυτὸν διηνεκῶς μέμφεσθαι. ὁ γὰρ ἄλλον ἐπὶ τοῖς ἰδίοις θλιβεροῖς μεμφόμενος, ἐξώλισθεν τῆς δικαίας τοῦ προσήκοντος κρίσεως.

κβ'. Ἔστιν ὅτε τῆς δεξιᾶς ἄνθρωπος ἀποκινεῖται ἕδρας, κἂν σπουδαῖος τυγχάνῃ, πλεονασάντων τῶν πειρασμῶν, ἐξιστάμενος τῆς ἑαυτοῦ τάξεως. διὰ τὸ πᾶσαν αὐτοῦ· καθὼς φησὶν ἡ γραφή· καταπεπόσθαι σοφίαν τε, καὶ τέχνην. ὅπως μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς· καὶ ἵνα μὴ καυχήσηται Ἰσραὴλ, λέγων, ἡ χείρ μου σέσωκέ με. ἀλλ' ἔλπιζε ἀποκατασταθῆναι εἰς τὴν προτέραν ὡραίαν κατάστασιν, ἀποπεσόντος ἀπὸ σοῦ· θείᾳ κελεύσει· καὶ ἀποδιωχθέντος τοῦ πονηροῦ, ὅστις πάντα μὲν ἐμπαθῶς καὶ βλέπειν, καὶ ἀκούειν παροξύνει, καὶ πρὸς τὴν ἁμαρτίαν κατασπεύδει· παχύνας δὲ τὸν νοῦν καθάπερ νέφει πνικτῷ, ποιεῖ καὶ τὸ σαρκίον αἰσθάνεσθαι ἀφάτου βαρύτητός τε, καὶ ὄγκου. καὶ τὸν ἔμφυτον λογισμὸν, ἁπλοῦν τινα καθεστῶτα, καὶ ἄπλαστον. κατὰ τὴν ὁμοίωσιν τῶν ἀρτιγενῶν βρεφῶν. ποικίλον ἀποδείκνυσι, καὶ λίαν πολύπειρον παντοίας ἁμαρτίας. φαρμάξας καὶ παραξέψας τοῦτον διὰ τῆς * ἀμαρρονίας·

* ἴσ. ἀμοτισ-τίας.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κγʹ. Μέγα τι χρῆμα ὁ ἄνθρωπος, αὐξάνων ἔσω, καὶ μεγαλυνόμενος ταῖς ἀρεταῖς. ἀλλ᾽ ὅμως οὗτος ὁ μέγας, φοβεῖται τὴν ἁμαρτίαν, ὡς τὸν μῦν ὁ ἐλέφας. μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένηται.

κδʹ. Οὐ μόνον πλησίον τῆς τοῦ κόσμου συντελείας, ὁ διάβολος λόγους λαλήσει πρὸς τὸν ὕψιστον, ὥς φησιν ὁ Δανιήλ, ἀλλὰ γὰρ καὶ νῦν, ἔστιν ὅτε βαρείας, διὰ τῶν λογισμῶν ἡμῶν, εἰς αὐτὸν τὸν οὐρανὸν ἐκπέμπει βλασφημίας. καὶ κατ᾽ αὐτοῦ δὲ δυσφημῶν τοῦ ὑψίστου, καὶ τῶν κτισμάτων αὐτοῦ, καὶ τῶν ἁγίων τοῦ Χριστοῦ μυστηρίων. ἀλλ᾽ ἡμεῖς βεβηκότες ἐπὶ τὴν πέτραν τῆς γνώσεως, οὐκ ἂν καταπτήξαιμεν ἐπὶ τούτοις, οὐδὲ μὴ θαυμάσαιμεν τὴν τοῦ ἀλάστορος τόλμαν. πίστει δὲ, καὶ εὐχῇ θερμοτέρᾳ χρώμενοι, τῆς τε ἄνωθεν ἐπικουρίας τυχόντες, ἀμυνόμεθα τὸν ἐχθρόν.

κεʹ. Μαχόμενος, καὶ ὀνειδίζων μετὰ θράσους ἐπέρχεται ὁ ἐχθρὸς τῇ ψυχῇ ἐξελθούσῃ τοῦ σώματος. κατήγορος γινόμενος πικρός τε, καὶ φοβερὸς ἐπὶ τοῖς ἐπταισμένοις. ἀλλ᾽ ἔστιν ἰδεῖν ποτε τὴν θεοφιλῆ καὶ πιστοτάτην ψυχὴν, κἂν πολλάκις τὸ πρὶν ἐτρώθη ἁμαρτίαις, οὐ καταπληττομένην τὰς ἐκείνου ὁρμάς τε, καὶ ἀπειλάς. ἀλλὰ μᾶλλον ἑδρασμένην ἐν Κυρίῳ, καὶ πτερουμένην χαρᾷ. θαρσοποιουμένην τε ταῖς ὁδηγούσαις ἁγίαις δυνάμεσιν. καὶ περιτειχιζομένην τῷ φωτὶ τῆς πίστεως. καὶ ἀντικράζουσαν μετὰ πολλῆς παῤῥησίας τῷ πονηρῷ διαβόλῳ, τί σοι, καὶ ἡμῖν· ἀλλότριε τοῦ Θεοῦ; τί σοι, καὶ ἡμῖν· δραπέτα τῶν οὐρανῶν· καὶ δοῦλε πονηρέ; οὐκ ἔχεις σὺ τὴν ἐξουσίαν ἡμῶν, Χριστὸς γὰρ ὁ υἱὸς τοῦ Θεοῦ, ἡμῶν τε, καὶ πάντων τὴν ἐξουσίαν ἔχει· αὐτῷ ἡμάρτομεν, αὐτῷ καὶ ἀπολογησόμεθα. ἐνέχυρον ἔχοντες τῆς εἰς ἡμᾶς εὐσπλαγχνίας καὶ σωτηρίας, τὸν αὐτοῦ τίμιον σταυρόν. σὺ δὲ φεῦγε μακρὰν ἀφ᾽ ἡμῶν ὀλέθριε. μηδὲν σοι, καὶ τοῖς δούλοις τοῦ Χριστοῦ. ταῦτα λεγούσης τῆς ψυχῆς μετὰ θάρσους, τότε λοιπὸν δίδωσιν ὁ διάβολος, βοαῖς ὀδυρόμενος, μὴ δυνηθεὶς ἀντιστῆναι τῷ Χριστοῦ ὀνόματι. ὑπεράνω δὲ τυγχάνουσα ἡ ψυχὴ, καθίπταται τοῦ ἐχθροῦ κολαφίζουσα αὐτὸν, ὥσπερ ὁ λεγόμενος Ὀξυπτέρυξ τὸν Κόρακα. καὶ μετὰ ταῦτα ὑπὸ τῶν θείων ἀγγέλων διακομίζεται ἠγαλλιωμένη εἰς τοὺς τόπους τοὺς ὡρισμένους αὐτῇ, κατὰ τὴν κατάστασιν αὐτῆς.

κϛʹ. Ὅτι καὶ μικρῷ τινὶ πειρασμῷ κατὰ συγχώρησιν ἐμποδίζεται ποτὲ προκόψαι ὁ σπουδαῖος. πειθέτωσε ἡ Ἐχενηΐς, τὸ βραχύτατον, ἰχθύδιον, μυριοφόρον ὁλκάδα τῇ προσψαύσει καὶ μόνῃ * καταρρεῦσα καὶ προβιβᾶσαι τὸ ἐμποδισθέν· καὶ *ἴσ. καταργοῦσα
μέμνηται πάντως τοῦ λέγοντος. ὅτι ἐγὼ ὁ τηλικοῦτος Παῦλος, καὶ ἅπαξ καὶ δὶς τεθέληκα ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς. ἀλλὰ μὴ διὰ τοῦτο θορυβηθῇς. ἀνταγωνίζου δὲ μᾶλλον διὰ τῆς ὑπομονῆς, καὶ τόξῃ τῆς χάριτος.

κζʹ. Ὁ ταῖς ἀρεταῖς ἄγαν εὐθηνούμενος, ἐὰν διὰ ῥαθυμίαν ἀποσβέσῃ τοῦ πρέποντος, ἀνέρχονται πρὸς αὐτὸν οἱ υἱοὶ τῶν κακῶν ἀνατολῶν ἀπὸ Ἀμαλὴκ, καὶ μάλιστα Μαδιάμ· ἡ φιλόπορνος δύναμις· σὺν ταῖς καμήλοις αὐτῶν, δηλαδὴ ταῖς ἐμπαθέσι μνήμαις, αἷς οὐκ ἔστιν ἀριθμὸς, καὶ διαφθείρουσι πάντα τὰ ἐκφόρια τῆς γῆς. τουτέστι τῆς ἀρίστης πράξεώς τε, καὶ ἕξεως. καὶ τότε λοιπὸν πτωχεύει ὁ Ἰσραὴλ, καὶ πάνυ ὀλιγοψυχεῖ, καὶ ἀναγκάζεται βοῆσαι πρὸς Κύριον. καὶ οὕτως ἀποστέλλεται οὐρανόθεν λογισμὸς ἀγαθὸς, τὸν Γεδεὼν μιμούμενος, διὰ πολλῆς πίστεως καὶ ταπεινοφροσύνης. ἡ γὰρ χιλιάς μου· φησί· ταπεινοτέρα ἐν Μανασσῇ, ὥστε ἀντιπαραταξάσθαι τοῖς ποσοῖς πλήθεσιν, ἐν τοῖς τριακοσίοις ἀσθενέσιν ἀν-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

θρώποις, καὶ ῥόπαιν παραδόξως στῆσαι, κατὰ τῶν ἐναντίων, τῇ συμμαχίᾳ τῆς χάριτος.

κη'. Οὐ κἂν δυνηθῇς ἐπὶ Ἀσπίδα καὶ Βασιλίσκον ἐπιβῆναι, καὶ τὰ ἑξῆς, εἰμὴ διὰ πολλῆς ἱκεσίας τὸν Θεὸν δυσωπήσας λάβῃς ὑπερμάχους ἀγγέλους ἀνακουφίζοντάς σε ταῖς οἰκείαις χερσί, καὶ ἄνω σε ποιοῦντας τῆς ἰλυώδους γνώμης.

κθ'. Ὅταν τις πυκτεύων ἰσχυρῶς ἡττηθείη, μηδαμῶς δυσθυμείτω, μηδὲ ἀποκαμνέτω, ἀλλὰ τοῖς τοῦ Ἡσαΐου ῥήμασιν ἀνορθωθεὶς, εὐθυμείτω, τοιαῦτα κατεπᾴδων. ἰσχυκότες ἡττᾶσθε. ὦ πονηροὶ δαίμονες. ἐὰν γὰρ καὶ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε. καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει Κύριος, ὅτι μεθ' ἡμῶν ὁ Θεός ἐστιν. ὁ Θεὸς ὁ τοὺς κατερραγμένους ἐξανιστῶν, καὶ παρασκευάζων τοὺς ἐχθροὺς ἡμῶν κόπτεσθαι, ἡνίκα ἂν μετανοῶμεν.

λ'. Ἀμήχανον χωρὶς λύπης παρελθεῖν τὸν ἐμπαιζόμενον τοῖς πειρασμοῖς. ἀλλὰ μετὰ ταῦτα πολλῆς χαρᾶς πληροῦνται οἱ τοιοῦτοι. καὶ δακρύων γλυκαίων. καὶ νοημάτων θείων, ὅσοι ἐγεώργησαν τὸν πόνον, καὶ τὴν θλῖψιν ἐν ταῖς καρδίαις αὐτῶν.

λα'. Εἰ θέλων ὁ Ἰσαὰκ, καὶ στέργων ποτὲ ὁ Ἡσαῦ πρὸς τὴν ἐπιθυμίαν τῆς εὐλογίας, ἀποτετυχήκασιν· ἐλεοῦντος τοῦ Θεοῦ, καὶ εὐλογοῦντος, καὶ τῷ πνεύματι χρίοντος, οὐχ ὅπερ ἡμεῖς πάντως τεθελήκαμεν, ἀλλ' ὅπερ ὁ Θεὸς, πρὶν πλάσαι, προώρισεν εἰς τὸ διακονῆσαι· μηδαμῶς θορυβηθῶμεν, μήτε μὴν φθονήσωμεν, ὅταν θεωρήσωμεν ἀδελφοὺς τινὰς οἰκτροὺς, καὶ ἐλαχίστους ἐπὶ ἀρετὴν προκόψαντας· ἤκουσας καὶ τοῦ Κυρίου λέγοντος· δὸς τούτῳ τόπον, ὥστε κατακλιθῆναι ἀνώτερον· θαυμάζωμεν δὲ μᾶλλον ἐπὶ τούτοις τὸν δικαστὴν, σοφῶς καὶ ἀπορρήτως κεκρικότα· ἐκεῖνον μὲν τὸν ἐλάχιστον καὶ ὕστερον, πρωτεύειν καὶ καθηγεῖσθαι· ἡμᾶς δὲ ἐσχατίζειν τοὺς τῇ ἀσκήσει, καὶ τῷ χρόνῳ ἐκείνου πρωτεύοντας· ἑκάστῳ γὰρ ἀνθρώπῳ καθὼς μεμέρικεν ὁ Κύριος, οὕτω καὶ στοιχήσομεν· εἴπερ Πνεύματι ζῶμεν καὶ Πνεύματι στοιχῶμεν, κατὰ τὸ γεγραμμένον.

Μηδέποτε ἀποδέχου τὸν ἐν ὑποταγῇ σου, παράσχου μοι· λέγοντά σοι· ἐξουσίαν χρόνον πρὸς ἀρετὴν, τόδε, ἢ τόδε τὸ πρᾶγμα δοκιμάσαι, καὶ οὕτω κατορθῶσαι· ὁ γὰρ δὴ οὕτω λέγων, δῆλον ὅτι τὸ ἴδιον ἀποτελεῖ θέλημα καὶ τῆς βελτίστης ὑποταγῆς τὰς συνθήκας ἀθετεῖ. λβ'.

Τὰ μὲν τῆς σαρκὸς, καὶ τῆς ψυχῆς παθήματα, καθὼς ὄψει, τῷ χρόνῳ, καὶ τῷ θείῳ πνεύματι ἐξαφανισθήσεται καίτοι ἐπαυξηθέντα· τὸ δὲ τοῦ Χριστοῦ ἔλεος, οὐδαμῶς φθαρήσεται· τὸ γὰρ Κυρίου ἔλεος, ἀπὸ τοῦ αἰῶνος τούτου, καὶ ἕως τοῦ αἰῶνος τοῦ μέλλοντος ἐπὶ τοὺς φοβουμένους αὐτόν. λγ'.

Θησαυροὶ βασιλικοὶ πληθήσονται χρυσίου, καὶ οἱ νόες τῶν ἀληθῶς Μοναχῶν πληρωθήσονται γνώσεως. λδ'.

Ἔστιν ὅτε διδάσκαλος εἰς ἀτιμίαν ἐκδίδοται, ὑπὲρ τῶν πνευματικῶς ὠφεληθέντων τοὺς πειρασμοὺς ὑφιστάμενος· ἡμεῖς γάρ· φησίν· ἄτιμοι, καὶ ἀτιμαζόμενοι τῷ σκόλοπι, καὶ ἀσθενοῦντες· ὑμεῖς δὲ ἔνδοξοι καὶ ἰσχυροὶ ἐν Χριστῷ καθεστήκατε. λε'.

Πηγὴ καὶ ὑπόθεσις τῆς διὰ σαρκὸς φθορᾶς, ὁ ἐμπαθὴς λογισμός· ὃν διὰ μετανοίας ἐξορίζει τῆς ψυχῆς, ὁ νήψας μετὰ τὸ πταῖσμα· καλῶς γὰρ ἐπενθήσατε μᾶλλον, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο πρᾶξαι προτρέψας πονηρὸς, καὶ ἀνόσιος λογισμός· οὐκ οὖν τὸ πένθος ἀντίκειται τῷ Πνεύματι τῆς φθορᾶς. λς'.

Τίς ἀπαγγελεῖ τῷ ἐκπεπιεσμένῳ ἐν τῇ ἀδοξίᾳ, καὶ τῇ ἀδυναμίᾳ τῶν ἀρε- λζ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γῆρ(ας) ὅτι ὄψεται τὸν Υἱόν; οὐ μόνον κατὰ τὸ μέλλον, ἀλλὰ καὶ ἐντεῦθεν ἤδη μετὰ δυνάμεως, καὶ δόξης μεγάλης ἐρχόμενον πρὸς αὐτὸν διὰ τῆς ἀπαθείας; ὥστε εἰπεῖν κατὰ τὴν Σάῤῥαν, ψυχὴν τὴν ἐν τῇ σαρκώσει γηράσασαν, καὶ παρὰ προσδοκίαν τεκοῦσαν υἱὸν δικαιοσύνης, ὅτι γέλωτά μοι ἐποίησεν ὁ Θεός, τουτέστι μεγίστην χαρὰν δεδώρηται, τῇ πλείστοις ἔτεσι καταλελυπημένῃ τῇ πολυπαθείᾳ· ἢ ὥσπερ ἄλλος ἑρμηνεὺς ἐξέδωκε, τρυφερίαν μοι ἐποίησεν ὁ Θεός, τουτέστιν ἀνεκαινίσθη ὡς ἀετοῦ ἡ νεότης μου. παλαιωθεῖσα γὰρ τὸ πρὶν ἐν ἁμαρτίαις, καὶ πάθεσιν ἀτιμίας, νῦν ἀναγεγέννημαι, καὶ ἀνηβῶ καὶ ἁπαλύνομαι ὁ πρώην τετραχυμμένος τῇ ὕλῃ· καὶ λείως βλέπω τοῦ λοιποῦ, τὰ ἐν κόσμῳ πράγματα· ἀπειληφὼς τὸ κατὰ φύσιν ἁπλοῦν, καὶ ἀποίκιλον, ὑγιασθέντος τοῦ νοῦ τῇ τοῦ Θεοῦ πολυευσπλαγχνίᾳ· καὶ γέγονεν ἡ σάρξ μου, ὥσπερ τοῦ Σύρου Νεεμάν, καθάπερ ἡ τοῦ παιδίου, διὰ τὸ λελοῦσθαί με τῷ ἰορδάνῃ τῆς γνώσεως· καὶ εἰμὶ μονότροπος, τῇ τοῦ Θεοῦ χάριτι, ἀπηλλαγμένος τῆς τοῦ ὄφεως γνώμης· καὶ τοῦ τύφους ὅνπερ παρὰ τὴν φύσιν ἐκτησάμην τὸ πρότερον, πολυπείρων τε καὶ πολυΰλων λογισμῶν τῆς κακίας.

λη'. Ὑπόθου πρὸς σὲ λέγειν τὸν Κύριον, ὅτι καιρῷ τινι ἀφειλόμην σου τόδε, καὶ τόδε χάρισμα, ἐφ' οἷς ἐδόκεις τὸν νοῦν σου πληροφορεῖν, καὶ ἐπαναπαύεσθαι· δέδωκα δέ σοι ἀντ' αὐτῶν ἕτερον ἀντίσταθμον χάρισμα τόδε, καὶ τόδε· σὺ δέ, τὰ μὲν ἀφαιρεθέντα ἐννοῶν, τὰ δὲ δοθέντα ὑπὲρ ἐκείνων μὴ συνορῶν, στενάζεις, καὶ ἀλγεῖς, καὶ τῇ λύπῃ τιτρώσκῃ, ἀλλ' εὐφραίνεταί με λυπούμενος ἐξ ἐμοῦ· λυπῶ γὰρ ἐγὼ πρὸς τὸ συμφέρον, σῶσαι μᾶλλον, οὐκ ἀπολέσαι πραγματευόμενος τὸν λελογισμένον μοι * υἱόν.

* ἰσ. εἰς υἱόν.

λθ'. Ἐπιτάξαι σεαυτῷ μὴ φαγεῖν νόμισον ἰχθύων, καὶ ἐπιθεώρει μετὰ ταῦτα ὅτι πρὸς τὴν ἐπιθυμίαν τοῦ ἰχθύος ἀνενδότως ὁ ἐχθρὸς κατελαύνει· καὶ σὺ πάλιν ὁμοίως, πρὸς τὴν ἀπόλαυσιν τοῦ ἐβδελυγμένου σοι ἐμμανῶς κατεπείγῃ, ὅπως ἂν μαθῇς τὰ τοῦ Ἀδὰμ τυπικῶς συμβεβηκότα· ἀκούσας γὰρ ἐκεῖνος μὴ φάγῃς ἐκ τούτου μόνου τοῦ πράγματος, εἰς τοῦτο μάλιστα μετὰ πολλῆς ἐπιθυμίας καὶ μόνον, τὸ ἀπηγορευμένον δεδράμηκεν.

Ἄλλους γὰρ διὰ τῆς γνώσεως ὁ Θεὸς σώζει· καὶ ἄλλους διὰ τῆς ἀκεραιότητος, καὶ ἀκακίας· εἰδέναι γὰρ ὀφείλεις, ὅτι οὐ μὴ ἀποποιήσεται ὁ Θεὸς τὸν ἄκακον. μ'.

Ὅσοι τῇ ἀρχῇ σφοδρότερον κέχρηνται, ἔτι ὑπὸ τῶν φοβερῶν, καὶ ἀγρίων πειρασμῶν ἐκπορθοῦνται. μα'.

Εἴπερ τὴν ἀπάθειαν προείλου ἀμφιάσασθαι, μὴ ἀμερίμνως διάκεισο, ἀλλ' ὅση δύναμις σπούδαζε ταύτης ἐπιτυχεῖν· στενάζομεν γάρ, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες· ἵνα καταποθῇ, οὐ μόνον σωματικῶς μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος, ἀλλὰ καὶ ἐντεῦθεν ἤδη νοητῶς κατὰ τὸν ἀῤῥαβῶνα, τὸ θνητὸν ὑπὸ τῆς ζωῆς· κατεπόθη γὰρ ὁ θάνατος εἰς νῖκος· καὶ καταποθήσονται πάντες αἰγύπτιοι οἱ ἐκθλίβοντες ἡμᾶς, καταδιώκοντες ὀπίσω ἡμῶν, ἐν τοῖς κύμασι τῆς ἐξ οὐρανοῦ ἡμῖν καταπεμφθείσης δυνάμεως. μβ'.

Ἐὰν ἐπιλάθῃ τοῦ εἰπόντος, ὅτι δέδοικα, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι. καὶ ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ, καὶ σὺ ὁ πνευματικὸς σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρασθῇς. καὶ ἐὰν ἀλησμονήσῃς τῆς τοῦ Σολομῶντος, μετὰ τοσαύτην χάριν, ἐκτροπῆς καὶ ἀνομίας. καὶ ἐὰν λήθῃ παραδοὺς τὴν τοῦ μεγάλου Πέτρου ἀπροσδόκητον ἄρνησιν, θάρσησον τῇ γνώσει σου, καὶ μεγαλαύχει ἐπὶ τῇ πολιτείᾳ, καὶ τῷ χρόνῳ τῆς πολλῆς σου ἀσκήσεως ἐναβρύνου, καὶ δώσεις μγ'.

τόπον

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τόπον τῇ ὑπερηφανίᾳ. ἀλλὰ μηδαμῶς ὑπτιάσῃς, ὦ ἀδελφὲ, φοβοῦ δὲ μᾶλλον, μέχρις ὅτε ἐμπνέεις, κἂν εἰς τὸν ἀριθμὸν ἔφθασας τῶν Μωσέως ἐτῶν, καὶ εὔχου λέγων· Κύριε μὴ ἀπορρίψῃς με εἰς καιρὸν γήρως μου, ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου, μὴ ἐγκαταλίπῃς με· ὁ Θεὸς ὁ Σωτήρ μου. ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός.

μδʹ. Φείσεται ὁ Κύριος, ὡς τοῦ Ματθαίου ἀκολούθει μοι. σὺ δὲ τὸν σὸν πολυπόθητον τῇ προθυμίᾳ καταδίωκον δεσπότην, ἐὰν καὶ τὴν ὁδὸν τοῦ βίου προσκόψῃς πρὸς λίθον ἐμπαθῆ τὸν πόδα σου, καὶ πέσῃς πρὸς ἁμαρτίαν ἀδοκήτως, ἢ καὶ πολλάκις, ἰλυωδῶν διερχομένων τόπων, εἰς τὰ ὕδατα ὀλισθήσας καὶ ἐπτωματίσθης, ὁσάκις ἂν συμβῇ πεσόντα, καὶ ῥυπανθῆναι τὸ σῶμα, τοσαυτάκις ἀναστὰς τῇ αὐτῇ προθυμίᾳ καταδίωκε τὸν σαυτοῦ Κύριον, ἕως ἂν φθάσῃς αὐτόν. οὕτως ἐν τῷ Ἁγίῳ ἐνθυμήματι ὤφθην σοι, τοῦ ἰδεῖν τὴν σὴν ἐπ᾽ ἐμὲ δύναμιν καὶ δόξαν, καὶ ἐν τῷ ὀνόματί σου Κύριε, ἀρῶ τὰς χεῖράς μου, καὶ ἐκκολάψομαι. καὶ πλησθήσομαι στέατος, καὶ πιότητος πιμπλᾶσθαι, καὶ χαρήσεται τὰ χείλη μου ψάλλοντά σοι. μέγα γάρ μοι ὅτι ἐπωνομάσθην Χριστιανὸς, ὥσπερ λέγει μοι Κύριος διὰ τοῦ Ἠσαΐου. ὅτι μέγα σοί ἐστι τὸ κληθῆναί σε παῖδά μου.

μεʹ. Πῇ μὲν, φησὶν, ὅτι δώσει ἀγαθὰ ὁ πατὴρ τοῖς αἰτοῦσιν αὐτόν. πῇ δὲ, ὅτι δώσει Πνεῦμα Ἅγιον τοῖς δεομένοις. δι᾽ ὧν ῥημάτων τολμῶμεν, μὴ μόνον πλημμελημάτων ἄφεσιν, ἀλλὰ καὶ οὐρανίων χαρισμάτων χορηγίας τυγχάνειν τοὺς τοῦ Θεοῦ ἱκέτας ἰσχυροποιουμένους τοιαύτῃ διανοίᾳ. ὅτι οὐχὶ δικαίοις, ἀλλὰ ἁμαρτωλοῖς ταῦτα ἀγαθὰ ὑπισχνεῖται ὁ Κύριος. εἰ γὰρ ὑμεῖς, φησὶ, πονηροὶ ὑπάρχοντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει τοῖς αἰτοῦσιν αὐτὸν Πνεῦμα Ἅγιον; αἴτησον τοιγαροῦν ἀνενδότως, καὶ ἀδιστάκτῳ τῇ γνώμῃ, κἂν ἀτελὴς ὑπάρχῃς καὶ τὴν ἐνάρετον πολιτείαν, καὶ πάνυ ἀδύναμος, καὶ ὑπὲρ τὴν ἀξίαν, καὶ λήψῃ τὰ μεγάλα.

Πῶς ἂν πεισθείη ὁ ἄπιστος, ἢ ὁ ὀλιγόπιστος, ὅτι μύρμηξ πτεροῦται, καὶ σκώληξ τις πάλιν πετεινὸν γίνεται, καὶ ἔτι ἄλλα πλεῖστα παραδόξως γίνεται ἐν τῇ κτίσει, ἵνα κἂν οὕτως ἀποθέμενος τῆς ἀπιστίας τὴν νόσον, καὶ τῆς ἀνελπιστίας, πτεροφυήσῃ λοιπὸν, καὶ ἀναθάλῃ ὡς δένδρον τὴν πανεύφημον γνῶσιν. ἐγὼ γάρ εἰμι, φησὶν· ὁ τὸ ξύλον τὸ ξηρὸν ἀναθάλλων, καὶ ζωοποιῶν τὰ ξηρανθέντα ὀστᾶ. μϛʹ.

Μηδαμῶς ἕνεκεν τῆς χρείας τοῦ σώματος, ταῖς μερίμναις θελήσωμεν τήκεσθαι. ὅλῃ δὲ τῇ ψυχῇ πιστεύσωμεν τῷ Θεῷ, ὥσπερ τίς ποτε ἔλεγεν ἀνὴρ ἀγαθός. ἐμπιστεύσατε τῷ Κυρίῳ, καὶ ἐμπιστευθήσεσθε. καὶ ὡς γράφει ὁ μακάριος Πέτρος ὁ Ἀπόστολος· σωφρονήσατε, καὶ νήψατε ἐν προσευχαῖς, καὶ πᾶσαν ὑμῶν τὴν μέριμναν πρὸς Θεὸν ἐπιρρίψαντες, ὅτι αὐτῷ μέλει περὶ ὑμῶν. εἰ δὲ ἔτι διστάζεις, καὶ ἀπιστεῖς, ὅτι ὅλως μέλει αὐτῷ περὶ σοῦ πρὸς τὸ διαθρέψαι σε, βλέψον εἰς τὴν ἀράχνην, καὶ σύνιδε πόσον ἄνθρωπος ἀράχνης διαφέρει. ἀράχνης φημὶ, ἧς οὐδὲν ἀσθενέστερον, οὐδὲ ἀδυναμώτερον. αὕτη γὰρ μήτε κτήματα ἔχουσα, μήτε διαποντίους ἀποδημίας ποιουμένη, μήτε δικαζομένη, μήτε ὀργιζομένη, μήτε ἀποθήκας κεκτημένη, ἐν παντελεῖ πραότητι, καὶ σωφροσύνῃ, καὶ τῇ ἄκρᾳ ἡσυχίᾳ τὸν ἑαυτῆς ὑπεξάγουσα βίον. μήτε ὅλως τὰ τῶν πέλας περιεργαζομένη. μόνα δὲ τὰ ἴδια πράττουσα, τῷ ἔργῳ τῷ οἰκείῳ ἠρεμίᾳ τινὶ, καὶ ἀπράγμονι κέχρηται καταστάσει, μονονουχὶ φωνὴν ἀφιεῖσα τοῖς φι- μζʹ.

λοτί-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

λοτίμως τῆς ἀργίας. ὅτι πᾶς ἄνθρωπος ὁ ἀργεῖν βουλόμενος, μὴ δὲ ἐσθίειν βουλέσθω. τοσοῦτον δὲ σιωπᾷ, ὥστε Πυθαγόραν ὑπερβαλλόντως τιμῆσαι, ὅνπερ Ἕλληνες ὑπὲρ πάντας τοὺς φιλοσόφους θαυμάζουσι, διὰ τὸ τὴν ἐγκράτειαν τῆς γλώσσης ἐξασκῆσαι. Πυθαγόρας μὲν οὖν οὐδὲ πρὸς πάντας ἐλάλει, ἀλλά γε τοῖς προσφιλεστάτοις αὐτοῦ ἀνθρώποις διελέγετο λαθραίως διὰ χρείαν. καὶ βουσὶ δὲ πολλάκις, καὶ ἀετοῖς ἐφθέγξατο φιλοτίμως, λήρημά τινα καὶ παραφρονήματα. οἴνου δὲ παντελῶς ἀπεχόμενος, τῷ ὕδατι ἠρκεῖτο. αὕτη δὲ τῇ ὑπερβολῇ, καὶ ἄκρᾳ ἀφωνίᾳ, ὑπερέβη τὴν Πυθαγόρου τῆς γλώττης ἐγκράτειαν. διέπρεψε δὲ σὺν τῇ ἀσιτίᾳ, καὶ τὴν ὑδροποσίαν. σὺ τοιαύτῃ τοιγαροῦν καταστάσει ἡσύχῳ διατριβούσῃ τῇ ἀδρανεῖ, καὶ κενῇ ἀράχνῃ, καὶ μηδαμοῦ ἔξω ἀπερχομένῃ περιπατεῖν, μηδὲ περιπλανᾶσθαι τῇ σῇ κεφαλῇ φανταστικῶς, μηδὲ πονεῖν, καὶ μοχθεῖν ἀπέραντα, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν Κύριος, (οὐδὲν γὰρ τῆς ἀράχνης ἐστὶ ταπεινότερον) καὶ μέχρις αὐτῆς ἐκτείνων τὴν πρόνοιαν, πέμπει ταύτῃ τὸ καθημέραν βρωμάτιον πλεκτὸν τὸ σκηνίδιον αὐτῆς παρασκευάζων ἐμπίπτειν εἰς τὰ δίκτυα ταύτης, τὰ πρὸς τὴν χρείαν ζωΰφια.

μή. Ἀλλ' ἴσως ἐρεῖς καὶ τῇ λαιμαργίᾳ καταδεδουλωμένος, ὅτι ἐγὼ πάνυ πολλὰ ἐσθίω, καὶ ἐπειδὴ πολυδάπανός εἰμι, ἀναγκάζομαι ταῖς μυρίαις τοῦ βίου πραγματείαις ἐμπλέκεσθαι. ἀλλὰ καὶ οὕτος σκοπείτω τὰ κήτη τὰ μεγάλα, τὰ ἐν τῷ Ἀτλαντικῷ βοσκόμενα πελάγει, παρὰ τοῦ Θεοῦ ἀφθόνως τρεφόμενα, καὶ μηδέποτε λιμοῦ πεῖραν λαβόντα. τοσοῦτον γὰρ ἕκαστος αὐτῶν θὴρ κατατείνει τὸ ὄψον, ὅσον μηδεμία πόλις πολυάνθρωπος τὸ καθημέραν δαπανῆσαι δύναται.

πάντα γάρ· φησι· πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον· ἐὰν ἂν καὶ τὸν πολλὰ τρώγοντα, καὶ τὸν βραχυδίαιτον, ὁ Θεός ἐστιν ὁ τρέφων. ταῦτα ἀκούσας καὶ αὐτὸς ὁ τὴν πλατεῖαν, καὶ εὐρύχωρον κεκτημένος κοιλίαν, τῷ Θεῷ, καὶ τῇ πίστει λοιπὸν ὅλον σεαυτὸν ἀνάθες· παντοῖον ἀποτιναξάμενος τὸν κόσμου περισπασμόν, καὶ τὴν πολυφροντίδα, καὶ μηκέτι γίνου ἄπιστος, ἀλλὰ πιστός.

Ἐὰν θέλωμεν τῷ ὄντι εὐαρεστῆσαι Θεῷ, καὶ τὴν μακαριωτάτην φιλιωθῆναι φιλίαν, γυμνὸν τὸν νοῦν ἡμῶν τῷ Θεῷ παραστήσωμεν. μηδὲν ἐπισυρόμενοι τοῦ παρόντος αἰῶνος, μὴ τέχνην, μὴ νόημα, μὴ σόφισμα, μὴ δικαιολογίαν, κἂν πᾶσαν πεπαιδευμένοι ὦμεν τὴν τοῦ κόσμου σοφίαν. ἀποστρέφεται γὰρ ὁ Θεὸς τοὺς μετὰ οἰήματος τῷ θρόνῳ προσερχομένους αὐτοῦ, καὶ τῇ κενοδοξίᾳ στιζομένους, καὶ πεφυσιωμένους. καλῶς γάρ τινες τὴν ἐρμηνείαν τῆς, οἴησίν τε καὶ φύσιν, τὸ μάταιον ἐκδεδώκασιν οἴημα. μθ'.

Πῶς ἂν δυνηθείημεν καταπαλαῖσαι τῶν προκεχαραγμένων ἁμαρτιῶν; βίας χρεία. αὐτὴ γάρ· φησιν· ἐν ὁδοῖς πονεῖ, καὶ ἐκβιάζεται ἑαυτῆς τὴν ἀπώλειαν, φιλοπονοῦσα πάντοτε ἀπωθεῖν πρὸς τὴν ἀγνωσίαν τῶν οἰκείων λογισμῶν. τῇ δὲ βίᾳ τὴν βίαν λύειν, οὐκ ἀπείρηται τοῖς νόμοις. οἷον ἂν εἰσφέρωμεν βίαν τινὸς ἀναθέματος, εἰ καὶ ἀθετεστάτην, περιμένομεν δὲ λοιπὸν ἐπελθεῖν ἡμῖν ἐξ ὕψους δύναμιν, καθήμενοι ἐν τοῖς Ἱεροσολύμοις. πατέστιν ἐν τῇ ἀλήκτῳ εὐχῇ, καὶ ταῖς ἄλλαις ἀρεταῖς, ποιεῖ ἔξω πρὸς αὐτὰς βίαν κραταιάν, οὐδὲ γὰρ δὴ ἀναιρεῖ τὴν ἡμετέραν βίαν ἐργαζομένην. ἀλλὰ βίαν τινὰ φρασθῆναι μὴ δυναμένην διὰ σαρκικῶν χειλέων. ὑπομένει πολλῷ τῷ κράτει, καὶ καταγωνιζομένην, τί, τε κἀκι-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ςον ἦχος, καὶ τὴν τῶν δαιμόνων κακόνοιαν. μισῶσαν δὲ καὶ τὴν πρὸς τὸ χεῖρον ῥοπὴν τῶν ἡμετέρων ψυχῶν, μισῶσαν δὲ καὶ τὰς ἀπρεπεῖς τοῦ σώματος κινήσεις. ἐγένετο γάρ, φησιν, ἦχος ἐκ τοῦ οὐρανοῦ ὥσπερ φερομένης πνοῆς βιαίας. ἵνα ἐκβιάσωνται τὴν κακίαν, τὴν ἀεὶ πρὸς τὸ χεῖρον βιαζομένην ἡμᾶς.

να΄. Εἰσδράμει ὁ ἐχθρὸς ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ, καὶ κρύπτει ἡμῖν παγίδας καὶ θήραγρα, λογισμῶν ἀκαθάρτων, καὶ ἀσεβῶν· ἀλλὰ καὶ ἡμεῖς ἐὰν μὴ ὑπνώττωμεν, δυνησόμεθα μείζονάς τε καὶ χαλεπωτέρας αὐτῷ ἱστᾶν παγίδας, καὶ θήραγρα, καὶ λόχους. εὐχὴ γὰρ καὶ ψαλμός, ἀγρυπνία τε, καὶ ταπεινοφροσύνη, καὶ ἡ πρὸς τὸν πλησίον διακονία, καὶ ὁ ἔλεος, καὶ ἡ εὐχαριστία, καὶ ἡ τῶν θείων λογίων ἀκρόασις, λόχος τῷ ἐχθρῷ, καὶ παγίς, καὶ βόθρος, καὶ μάστιγες, καὶ ἀγχόνη, καὶ θήραγρα γίνεται.

νβ΄. Ἐπὶ πολὺ πᾶν τῆς ἡλικίας προκόψας ὁ θεσπέσιος Δαβίδ, εὐχαριστῶν τῷ ἐκλεξαμένῳ αὐτὸν Θεῷ, φησὶ περὶ τὰ τελευταῖα τῆς εὐλογίας. ὅτι εὗρεν ὁ δοῦλός σου τὴν καρδίαν ἑαυτοῦ εὔξασθαι τὴν προσευχὴν ταύτην. τοῦτο δὲ εἴρηται, ἵνα ἡμεῖς μάθωμεν, ὅτι πολλοῦ ἀγῶνος, καὶ χρόνου χρεία ἐν ταῖς προσευχαῖς· ὅπως μόλις εὕρωμεν τὴν ἀπαρενόχλητον τῆς διανοίας κατάστασιν, ἕτερόν τινα ἐγκάρδιον οὐρανὸν ἔνθα οἰκεῖ ὁ Χριστὸς ὥς φησιν ὁ Ἀπόστολος, ἢ οὐκ ἐπιγινώσκετε ὅτι Ἰησοῦς Χριστὸς οἰκεῖ ἐν ὑμῖν;

νγ΄. Εἰ Χριστὸς ἡμῖν γέγονε δικαιοσύνη, καὶ σοφία καὶ τὰ ἑξῆς, εὔδηλον, ὅτι καὶ ἀνάπαυσις. δεῦτε γάρ, φησι, πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. καλῶς πάνυ εἴρηται, ὅτι περ τὸ Σάββατον πεπέςιν ἡ ἀνάπαυσις οὐχ ὁ ἄνθρωπον γέγονεν. ἐν αὐτῷ γὰρ μόνῳ τῷ Χριστῷ, ἀναπαύσεως τεύξεται τὸ ἀνθρώπινον γένος.

νδ΄. Ὥσπερ ἐστὶ ποτήριον πτώσεως καὶ κόνδυ θυμοῦ, οὕτως ἐστὶ καὶ ἀσθενείας ποτήριον, ὅπερ λαβὼν ἀφ' ἡμῶν ὁ Κύριος, τῷ προσήκοντι καιρῷ, δίδωσιν εἰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν, ἵνα λοιπὸν μηκέτι ἡμεῖς, ἀλλ' οἱ δαίμονες ἀσθενῶσι καὶ πίπτωσι.

νε΄. Ὥσπερ ἐπὶ τῶν ἔξωθεν πραγμάτων εἰσὶ κολυμβισταί, ὑφανταί, ἱξευταί, πολεμισταί, κατασκευασταί. οὕτω καὶ ἐπὶ τῶν ἔνδον δῆλον, ὅτι εἰσὶ καὶ ἐν τοῖς διαλογισμοῖς, κυβευταί, φαρμακευταί, πειραταί, θηρευταί, κλεπταί, φονευταί, καὶ τὰ ἑξῆς. οὕστινας χρὴ συντόμως προαποκλείειν δι' εὐσεβοῦς ἀντιλογίας καὶ προσευχῆς, καὶ μάλιστα τοὺς κοινωτάς, ἵνα μὴ κοινώσωσι τὸν ἅγιον τόπον, καὶ βεβηλώσωσι τὸν ἄνθρωπον τοῦ Θεοῦ.

νϛ΄. Οὐ μόνον γλώσσῃ λιτανεύεται Κύριος πρὸς τὸ σῶσαι, καθάπερ ἐπὶ τοῦ λῃστοῦ βοῶντος ἀπὸ τοῦ σταυροῦ, ἀλλὰ καὶ λογισμῷ. ἔλεγε γάρ, φησιν, ἐν ἑαυτῇ ἡ αἱμόῤῥους. κἂν ἅψωμαι τοῦ κρασπέδου τῶν ἱματίων αὐτοῦ, σωθήσομαι. καὶ ὁ παῖς τοῦ Ἀβραὰμ περὶ Ῥεβέκκας λαλῶν τῷ Θεῷ κατὰ διάνοιαν.

νζ΄. Σχεδὸν αὕτη ἡ ἁμαρτία πρὸς Θεὸν ἐλαύνει τὸν μεταμελόμενον, αἴσθησιν λαμβάνουσα τῆς δυσωδίας, καὶ τοῦ βάρους, καὶ τῆς μανίας αὐτῆς· τὸν δὲ μὴ βουλόμενον εἰς μετάνοιαν ῥῖψαι, οὐκ ἐλαύνει πρὸς Θεόν. παρ' ἑαυτῇ δὲ μᾶλλον κρατοῦσα, δεσμοῖς ἀλύτοις καταδεσμεῖ, σκολιωτέρας καὶ δεινοτέρας λοιπὸν τὰς πέδας τῆς ἀπωλείας ἐργαζομένη.

νη΄. Πρόσεχε σεαυτῷ ἀπὸ τῶν φαρμάκων τῆς Ἰεζάβελ, ἃ μάλιστα εἰσὶν οἱ λογισμοὶ τοῦ τύφου, καὶ ματαίας δόξης. δυνήσῃ δὲ αὐτοῖς περιγενέσθαι, τῇ χάριτι τοῦ Θεοῦ, ἐξουδενῶν τὴν ψυχὴν καὶ ἀπελίζων αὐτήν, καὶ ῥίπτων σεαυτὸν ἐνώπιον



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Κυρίου, καὶ ἐπικαλούμενος αὐτὸν εἰς τὸ βοηθῆσαί σοι, καὶ γινώσκων ὅτι οὐράνιά ἐστι τὰ χαρίσματα, διὸ λέγει· οὐδεὶς δύναται λαμβάνειν οὐδέν, εἰ μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ.

νθ'. Φησὶν ὁ νόμος· ἐὰν δὲ ὦσι μεμαρτυρημένοι αὐτῷ καὶ μὴ ἀφανίσῃ αὐτόν, ἀποτίσει. ἔστιν ὅτε ἐν συμποσίῳ προπηδᾷ ὁ κενόδοξος λογισμός, λαλῆσαι βουλόμενος παρὰ τὸν καιρόν. διαμαρτύρονται δίκαιοι οἱ ἀγγελικοὶ λογισμοί, ἀφανίσαι τὸν φιλόφλυαρον καὶ ἄκαιρον λογισμόν. ἐὰν τοίνυν μὴ ἀφανίσῃς αὐτὸν τῇ ἀγαθῇ σιωπῇ, ἀλλὰ παραχωρήσῃς αὐτὸν προελθεῖν εἰς τὸ ἔξω, ὑποχαυνωθεὶς τῷ τύφῳ, τότε λοιπὸν ἀποτίσεις τὸ ὄφλημα. ἢ ἁμαρτίᾳ μεγάλῃ ὑπὸ τῆς δίκης παραδοθείς, ἢ βαρείαις τισὶν ὀδύναις σωματικαῖς, ἢ στιβαραῖς ἀδελφῶν προσκρούσεσιν, ἢ τῇ κατὰ τὸν μέλλοντα αἰῶνα τιμωρίᾳ. καὶ γὰρ ὑπὲρ ἀργοῦ, καὶ κενοδόξου λόγου, λόγον ἀποτίσωμεν διὰ τὴν τῆς γλώσσης ἀπαιδευσίαν. διὸ δεῖ τὴν γλῶτταν ἡμῶν ἐμφρόνως φυλάττειν.

ξ'. Ὅσοι ἐν ἡδοναῖς τε πειράζονται, καὶ θυμοῖς, καὶ φιλοδοξίᾳ, καὶ τοῖς ἑξῆς, οὗτοι λέγονται τῷ μὲν ἡλίῳ ἡμέρας συγκαίεσθαι, νύκτωρ δὲ τῇ σελήνῃ. εὖξαι τοίνυν τῇ θείᾳ σκεπασθῆναι δροσοβόλῳ νεφέλῃ, ὅπως ἂν τὸν φλογμὸν τῶν ἐχθρῶν διαφύγῃς.

ξα'. Μηδαμῶς πρὸς σὲ παῤῥησίαν δοὺς τοῖς τῆς οἰνοφλυγίας ὑπασπισταῖς, καὶ δόλοις τῆς ἀπάτης ῥαπίζῃ. μὴ δὲ τοῖς μετὰ ἀναισχυντίας λαλεῖν σοι βουλομένοις, κἂν πολιοὶ τὸ πρόσωπον ὑπάρχωσιν, κἂν πολὺν χρόνον ἔχωσιν ἐν τῷ μονήρει βίῳ, ἵνα μή, κατὰ τὴν γραφήν, σαπρία καλύψῃ σε, καὶ τοῖς ἀκαθάρτοις, καὶ τὴν καρδίαν ἀπεστραμμένοις συναπαχθῇς.

ξβ'. Πρῶτον ἐγχειρίζεται Πέτρος τὰς κλεῖς, εἶτα συγχωρεῖται πεσεῖν πρὸς τὴν ἄρνησιν, ὥστε σωφρονισθῆναι τῇ πτώσει τὸ φρόνημα. καὶ σὺ τοίνυν ἂν τῆς γνώσεως τὴν κλεῖδα δεξάμενος, ποικίλοις λογισμοῖς περιπίπτῃς, μὴ ξενίζου. δόξαζε δὲ τὸν μόνον σοφὸν ἡμῶν Κύριον, τὸν ταῖς περιπτώσεσι χαλινοῦντα τὴν οἴησιν τὴν ἐπαναβαίνουσαν τῇ θειοτέρᾳ γνώσει. οἱ γὰρ πειρασμοὶ χαλινὸς ὑπάρχουσι, χαλινοῦν δυνάμενοι τὸ ἀνθρώπινον φύσημα, τῇ τοῦ Θεοῦ προνοίᾳ.

Εἰ τὰ καλὰ πολλάκις ἐξ ἡμῶν ἀφαιρεῖται ὁ Κύριος, ὥσπερ τὸν πλοῦτον τοῦ Ἰώβ. Κύριος γὰρ ἔδωκε, Κύριος ἔλαβε, πάντως που καὶ τὰ κακὰ ἅπερ ἡμῖν ἐπήγαγεν ὁ αἰώνιος ἐκ χειρὸς ἡμῶν λήψεται. ἀγαθὰ γάρ· φησί· καὶ κακὰ παρὰ Κυρίου· καὶ ὁ ἐπαγαγὼν ἡμῖν τὰ κακά, αὐτὸς ἐπάξει ἡμῖν τὴν αἰώνιον εὐφροσύνην μετὰ δόξης αἰωνίου. ὥσπερ γὰρ ἐγρηγόρουν· φησί· Κύριος· εἰς τὸ καταστρέφειν καὶ κακοποιεῖν ὑμᾶς, καὶ ἀνοικοδομήσω, καὶ οὐ μὴ καθαιρήσω, καὶ φυτεύσω, καὶ οὐ μὴ ἐκτίλω. σιγάτω τοίνυν ἡ δημώδης λεγομένη παροιμία· ἐφ' ᾧ κακῶς, οὐκ ἔστι καλῶς. ὁ γὰρ ἐπὶ τὸ χεῖρον ἀλλοιώσας τὰ πράγματα Κύριος, δύναται πάντως ταῦτα πάλιν ἐπὶ τὸ λαμπρότερον ἀπροσδοκήτως μεταβάλλειν. ξγ'.

Ὁ τοῖς δαίμοσιν εἴτε δι' ἐγκρατείας, εἴτε δι' εὐχῆς, εἴτε διὰ πάσης ἀρετῆς σφοδρότερον καὶ φιλονεικότερον ἐπεμβαίνων, βαθυτέρας παρ' αὐτῶν τὰς πληγὰς ἀντιλήψεται. μέχρις οὗ καὶ εἰς ἀπελδοκίαν καταστῆναι, ἀπόκριμα τοῦ τοιούτου θανάτου κατοπτεύων ἐν τῇ ἑαυτοῦ ψυχῇ. ὡς παρεῖναι λέγειν αὐτόν· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; καταναγκάζομαι γὰρ ἀβουλήτως ὑποκύπτειν τοῖς νόμοις τοῦ ἀντιπάλου. ξδ'.

Οὐχ ἁπλῶς προέγραψεν ὅτι τινὲς πρὸς ἑαυτοὺς ἔλεγον, ἀνάστητε, καὶ ἥξομεν πρὸς λαὸν πεποιθότα ἐπ' ἐλπίδι, καὶ ἡσυχάζοντα. καὶ πάλιν· δεῦτε ἀναβῶ- ξε'.

τες συλλαλήσωμεν αὐτοῖς γλώσσῃ ἱερᾷ δολίᾳ, καὶ ἀποστρέψωμεν αὐτοὺς πρὸς ἡμᾶς ἀπὸ τῆς ἀληθείας. οἱ γὰρ δεινοὶ δαίμονες εἰώθασι παρὰ πᾶσαν τὴν ζωὴν τῶν τὸν ἡσύχιον προελομένων βίον, ἀκονᾷν τὰ ξίφη τῶν πειρασμῶν. καὶ μανικώτερον μᾶλλον τοῖς εὐλαβεστέροις τε, καὶ θεοσεβεστέροις ἐπιστρατεύειν εἰς τὴν κατ' αὐτὸ τὸ ἔργον ἁμαρτίαν ὠθοῦντες τούτους, πολέμοις ἀφορήτοις. τάχα κἂν οὕτω δυνηθῶσι τῆς εἰς Χριστὸν πίστεως, καὶ τῆς εὐχῆς, καὶ εὐελπιστίας ἀποστῆσαι τοὺς πεπολεμημένους. ἀλλ' ἡμεῖς ὥς φησι Δαβίδ, οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, ἕως οὗ οἰκτειρήσεις ἡμᾶς, καὶ μακρυνθῶσιν ἀφ' ἡμῶν οἱ καταπιόντες ἡμᾶς. οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ μέχρις ἂν προστάξῃς ἀφ' ἡμῶν ἀπελθεῖν τοὺς πειράζοντας ἡμᾶς, καὶ ζωοποιηθῶμεν διὰ ὑπομονῆς, καὶ στερρᾶς ἀπαθείας, διότι πειρατήριόν ἐστιν ὁ βίος τοῦ ἀνθρώπου. καὶ χρόνον πάντα πολλάκις ὑπὸ τοὺς πόδας τῶν ἀλλοτρίων πίπτειν ἐπιμάζεται παρὰ τοῦ ἀγωνοθέτου. μεγαλοφυοῦς δὲ ψυχῆς καὶ γενναίας ἴδιον, τὸ μὴ ἀπογινώσκειν ἐν συμφοραῖς.

ξς΄. Εἰ τοσοῦτον ἰσχύει δαίμων, ὥστε καὶ μὴ θέλοντος τοῦ ἀνθρώπου, μετασκευάζειν τοῦτον καὶ μεταφέρειν πρὸς τὴν οἰκείαν φορὰν, τῆς κατὰ φύσιν ἐκστάντα ἀγαθῆς καταστάσεως, πόσον ἰσχύει Ἄγγελος τῷ ὡρισμένῳ καιρῷ τὸ κέλευσμα τοῦ Θεοῦ δεξάμενος, πᾶσαν ἐπὶ τὸ κρεῖττον μεταγαγεῖν τὴν τοῦ ἀνθρώπου διάθεσιν; καὶ ὁ πάμψυχρος βορρᾶς τοσοῦτον ἐξίσχυσεν, ὥστε πρὸς τὴν τῶν λίθων σκληρότητα μεταποιῆσαι τὴν τοῦ ὕδατος ἁπαλωτάτην φύσιν, τί ἂν ποιήσῃ ὁ θερμότατος νότος; εἰ ὁ ἀὴρ λίαν κατεψυγμένος, τὰ πάντα αὐτῷ ὑπεῖξαι καὶ κατασκευάζει, τίς γὰρ ὑποστήσεται κατὰ πρόσωπον ψύχους; πῶς οὐκ ἂν πρὸς ἑαυτὴν ἡ θέρμη τὰ πάντα μεταβάλῃ; τί γὰρ ὑποστήσεται κατὰ πρόσωπον θέρμης; πιστεύσωμεν οὖν τὸν ψυχρόν τε, καὶ μέλανα ἄνθρακα τῆς διανοίας ἡμῶν ὀψέποτε, ἢ θᾶττον, θερμόν τε, καὶ φωτοειδῆ ἔσεσθαι τῇ προσβολῇ τοῦ θειοτάτου πυρός.

ξζ΄. Ἔστι τις καὶ ἐπὶ τοῦ παρόντος κατάστασις, μαρτύριον καὶ σημεῖον τῆς ἡμετέρας ἐν τῷ κρυπτῷ Ἰωσὴφ τιθεμένη ἀπαθείας ἐν ᾗ ἐσμεν. καθ' ἣν ὁ νοῦς ἐξελθὼν ἐξ Αἰγύπτου, ἀφίσταται μὲν τῶν ἐμπαθῶν ἄρσεων, καὶ τῆς ἐν τῷ κοφίνῳ αἰσχροτάτης δουλείας, γλῶσσαν δὲ ἣν οὐκ ἔγνω ἀκούει· οὐκ ἔτι γλῶσσαν δαιμόνων ῥυπαρὰν, καὶ φθαρτικὴν τῆς ὀρθῆς διανοίας, ἀλλὰ γλῶσσαν ἁγίων φωτοφόρων Ἀγγέλων, μετατυπωτικὴν τὸν νοῦν ἀπὸ τοῦ σώματος ἐπὶ τὸ ἀσώματον· γλῶσσαν φωτιστικὴν τῆς δεχομένης ψυχῆς.

ξη΄. Ἤκουσα τινῶν ἀδελφῶν ἀρρωστούντων τὸ σῶμα ἐνδόντες, καὶ μὴ δυναμένων κεχρῆσθαι τῇ νηστείᾳ, ἐρωτώντων πρός με· πῶς δυνάμεθα χωρὶς νηστείας ἀπαλλαγῆναι τοῦ διαβόλου καὶ τῶν παθῶν, πρὸς οὓς λεκτέον· ὅτι οὐ μόνον διὰ τῆς ἀποχῆς τῶν ἐδωδίμων, ἀλλὰ καὶ διὰ κραυγῆς καρδίας ἐκτρίψαι καὶ ἐξοστρακίσαι δυνήσεσθε, τούς τε φαῦλα καὶ τοὺς τῶν φαύλων ὑποβολέας. ἐκέκραξαν γάρ· φησι· πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐρρύσατο αὐτούς. καὶ πάλιν γέγραπται· ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου· καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου. διόπερ μέχρις οὗ παρέλθῃ ἡ ἀνομία, τουτέστιν ἡ ἐνόχλησις τῆς ἁμαρτίας, κεκράξομαι φησὶ πρὸς τὸν Θεὸν τὸν ὕψιστον, ὅπως μεγίστην εὐεργεσίαν δωρούμενος, αὐτήν τε τὴν προσβολὴν τῆς ἁμαρτίας ἐξαφανίσῃ τῇ ἑαυτοῦ ἐξουσίᾳ, καὶ τὰ τῆς ἐμπαθοῦς διανοίας εἴδωλα ἐξαλείψῃ, καὶ ἀνειδώλους δείξῃ τὰς παρ' * ἡμῶν κατειδώλους ἀθεΐας· εἰ τοίνυν μὴ εἴληφας χάρισμα ἐγκρατείας, γίνωσκε ὅτι διὰ εὐχῆς, καὶ ἐλπίδος θέλησεν ὁ Κύριος εἰσακουσθῆναι δεό-

* ἴσ. τὰς παρ' ἡμῖν κατειδώλους λ. εἶναι

μενον· ἐγνωκὼς ἂν τὸ δεσποτικὸν κρίμα, μὴ ἀθύμει ἐπὶ τῇ τῆς ἀσκήσεως ἀδυναμίᾳ· μᾶλλον δὲ δὸς ἐργασίαν ἀπηλλάχθαι τοῦ ἐχθροῦ, δι' εὐχῆς, καὶ ὑπομονῆς εὐχαρίστου· ἐὰν οὖν διώκωσιν ὑμᾶς οἱ λογισμοὶ τῆς ἀθυμίας, καὶ τῆς ταλαιπωρίας ἀπὸ τῆς πόλεως τῆς πολιτείας, φεύγετε εἰς τὴν ἄλλην· τουτέστιν εἰς τὴν εὐχὴν, καὶ εἰς τὴν εὐχαριστίαν.

ξθ΄. Φησὶν, ὁ Φαραὼ ἱκετεύων, περιελέτω ὁ Θεὸς ἀπ' ἐμοῦ τὸν θάνατον τοῦτον, καὶ εἰσηκούσθη· ὁμοίως δὲ καὶ οἱ δαίμονες παρακαλέσαντες τὸν Κύριον ἵνα μὴ τῇ ἀβύσσῳ παραπεμφθῶσιν, ἔτυχον τοῦ αἰτήματος· πόσῳ μᾶλλον εἰσακουσθήσεται Χριστιανὸς ἄνθρωπος, δεόμενος ἐλευθερίας τυχεῖν τοῦ νοητοῦ θανάτου;

ο΄. Ὁ χρόνον τινὰ ὑπὸ τῆς θείας φωτιζόμενος καὶ ἀναπαυόμενος χάριτος, μετὰ δὲ τὴν ταύτης ὑποστολὴν, ῥεμβασμοῖς περιπίπτων, καὶ γογγύζων διὰ τοῦτο, καὶ μὴ ἀνδριζόμενος, διὰ τῆς ἱκεσίας πάλιν ἐπανακαλέσασθαι τὴν σωτήριον ἐκείνην πληροφορίαν, ἀλλ' ἀποδυσπετῶν, ὅμοιός ἐστι πτωχῷ λαβόντι ἐλεημοσύνην ἀπὸ τοῦ παλατίου, καὶ δυσαναχετοῦντι, διότι οὐκ εἰσῆλθεν ἔσω συναριστῆσαι τῷ βασιλεῖ.

οα΄. Μακάριοι οἱ μὴ ἰδόντες με καὶ πιστεύσαντες, ὡς μακάριοι οἱ καθ' ὑποστολὴν τῆς χάριτος μὴ εὑρίσκοντες παράκλησιν ἐν ἑαυτοῖς· μᾶλλον δὲ παράτασιν βλέποντες τῶν θλιβερῶν, καὶ σκότος βαθὺ, καὶ μὴ ἀπογινώσκοντες· ἀλλὰ πίστει ῥωννύμενοι, ἐν τῷ νομίζειν ὁρᾷν τὸν ἀόρατον καὶ καρτεροῦν γενναίως.

οβ΄. Ἡ κατὰ χάριν Θεοῦ καιρῷ ἰδίῳ μετὰ πολλοὺς ἀγῶνας, καὶ λύπην, καὶ δάκρυα διδομένη οὐρανόθεν τοῖς ταύτην ζητοῦσι ταπεινοφροσύνη, ἰσχυροτέρα καθ' ὑπερβολὴν καὶ μείζων ὑπάρχει τῆς ταπεινώσεως τῆς ἐπιγινομένης τοῖς ἀποπεπτωκόσι τῆς ἀρετῆς· ἧς οἱ καταξιωθέντες, τέλειοι ἀληθῶς ἄνδρες, καὶ ἀνεπηρέαστοι.

ογ΄. Ὅτε ἀφῆκεν ὁ διάβολος τὸν Κύριον, τότε ἦλθον οἱ Ἄγγελοι καὶ διηκόνουν αὐτῷ· ἰστέον τοίνυν, ὅτι ὥσπερ οὐ γέγραπται ἐν τῷ πειράζεσθαι αὐτὸν ὅτι παρῆσαν οἱ Ἄγγελοι, οὕτω καὶ ἡμῶν πειραζομένων, καιρῷ τινὶ, ὑποχωροῦσιν οὐ μακρὰν οἱ Ἄγγελοι τοῦ Θεοῦ· εἶτα μετὰ τὴν ἀναχώρησιν τῶν πειραζόντων, ἔρχονται πρὸς ἡμᾶς, διακονοῦντες θεῖα νοήματα, στηρίγματα, φωτισμὸν, κατάνυξιν, παρηγορίαν, ὑπομονὴν, γλυκασμὸν, καὶ ὅσα σώζει, καὶ ἐνισχύει, καὶ ἀνακτᾶται ψυχὴν κοπιάσασαν· εἴρηται γὰρ τῷ Ναθαναὴλ· ὅτι ὄψει τοὺς Ἀγγέλους ἀναβαίνοντας, καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου· τουτέστιν, ἐπὶ τὸ γένος τῶν ἀνθρώπων, ἡ τῶν Ἀγγέλων διακονία καὶ βοήθεια, πλουσίως ἐκχυθήσεται·

οδ΄. Μέμνησο τοῦ ἀρχιερέως ἐκείνου, ᾧ ἐκ δεξιῶν ἐστάθη ὁ διάβολος ἀντικεῖσθαι αὐτῷ παντὶ δεξιῷ νοήματι, καὶ λόγῳ, καὶ πράγματι, ὅπως ἂν μὴ θαμβηθῇς ἐπὶ τοῖς συμβαίνουσιν.

οε΄. Ἐπίστασθαι προσήκει τὸν Μοναχὸν, τί μὲν ὑπάρχει ἀσθένεια; καὶ τὸ ἐλέησόν με ὅτι ἀσθενής εἰμι. τί δὲ ἀποστασία ἀπὸ τοῦ Θεοῦ, ὅπερ νόσημά ἐστι τῷ διαβόλῳ, καὶ τοῖς Ἀγγέλοις αὐτοῦ.

ος΄. Ὃν τρόπον τὸν σίδηρον ἀψηλάφητον ποιεῖ τοῦ πυρὸς ἡ συνάφεια, οὕτως αἱ πυκναὶ προσευχαὶ ἐρρωμενέστερον παρασκευάζουσι τὸν νοῦν εἰς τὸν πόλεμον τοῦ ἐχθροῦ· διὸ πάσῃ δυνάμει, ὄκνον ἡμῖν ἐμποιεῖν σπουδάζουσιν εἰς τὴν τῆς προσευχῆς προσεδρείαν, εἰδότες ταύτην, ἑαυτῶν μὲν ἐπίβολον, τοῦ δὲ νοῦ ὑπέρμαχον.

οζ΄. Ἀπεδέξατο Δαβὶδ τὴν προθυμίαν τῶν ἀπὸ τῆς Σικελὰγ συνεξεληλυθότων αὐτῷ ἐπὶ τοὺς ἀλλοφύλους, εἰ καὶ ἀποτήσαντες ἀπέμειναν εἰς τὸν χειμάρρουν Βοσόρ· ἀναστρέψας γὰρ πρὸς αὐτοὺς μετὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νίκας τῆς ἐκ τῶν βαρβάρων, καὶ ἀκούσας τῶν λεγόντων μὴ δεῖν δοθῆναι μερίδα ἐκ τῶν λαφύρων, τοῖς ἀπὸ ἐκλύσεως καθεσθεῖσιν εἰς τὸν χειμάῤῥουν, κἀκείνων αἰσχυνομένων, καὶ μηδὲν λαλησάντων, ὑπεραπολογεῖται αὐτῶν ὁ χρηστότατος Δαβὶδ λέγων· ὅτι ἐπὶ τῶν σκευῶν ἐκαθέσθησαν τηροῦντες· διόπερ καὶ τὴν ἴσην αὐτοῖς ἀπένειμεν μερίδα * τῆς δοθείσης τοῖς ἀνδρείοις καὶ εὐψύχοις πολεμισταῖς. σκόπησον τοίνυν εἴπερ καὶ ἐπὶ ἀδελφοῦ τινος, τὴν μὲν ἀρχὴν θερμὴν ἐπιδειξαμένου, ὕστερον δὲ πρὸς μικρὸν ὀκλάσαντος, σκεύη τῆς σωτηρίας νοηθεῖεν, ἡ πίστις, καὶ ἡ μεταμέλεια, ἡ ταπείνωσις, καὶ ὁ κλαυθμός· ἡ ὑπομονὴ, καὶ ἡ ἐλπὶς, καὶ ἡ μακροθυμία, καὶ τὰ ἑξῆς· ἐφ' ὧν τις ἀδρανὴς τὸν χρόνον παρακαθεσθεὶς καὶ προσκαρτερήσας τῇ εἰς Χριστὸν προσδοκίᾳ, ὡς εἰκὸς τυγχάνει τῆς αἰωνίου δωρεᾶς.

* Ἴσ. τῇ δοθείσῃ.

οη'. Λευῖται μὲν, καὶ Ἱερεῖς κέκληνται, οἱ ὅλους δι' ὅλου ἑαυτοὺς τῷ Θεῷ ἀναθέμενοι, καὶ πράξει, καὶ θεωρίᾳ· κτήνη δὲ Λευϊτῶν λέγονται, οἱ μὴ ἰσχύοντες μὲν κατ' ἴχνος βαίνειν τῶν παθῶν, γλιχόμενοι δὲ τῆς ἀρετῆς καὶ περὶ ταύτην κατὰ τὸ ἐγχωροῦν προθυμούμενοι, καὶ ταύτης ἐπιθυμοῦντες διηνεκῶς κἂν ἀποτυγχάνωσι πολλάκις, διὰ τὸ ὑπὸ τῆς κακίας ἐκδελεασθῆναι· εἰκὸς δὲ καιρῷ τῷ προσήκοντι καὶ τούτους τὸ χάρισμα δέξασθαι τῆς ἀπαθείας, μόνῃ φιλανθρωπίᾳ Θεοῦ· τὴν γὰρ ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσε Κύριος.

οθ'. Τοὺς αἰκισμοὺς, οὓς ἐπιφέρει ἡμῖν ὁ ἐχθρὸς εἴτε φανερῶς, εἴτε ἀοράτως, πολλάκις ἴσμεν, καὶ βλέπομεν· τὰς δὲ βασάνους, καὶ ἀλγηδόνας, ἃς παρ' ἡμῶν ὑφίσταται· κατορθούντων ἡμῶν ἔσθ' ὅτε τὰς ἀρετὰς, ἢ μεταμελουμένων ἐπὶ πλημμελήμασιν, ἢ μακροθυμούντων καὶ καρτερούντων ἐπὶ τοῖς συμπτώμασιν, ἢ εὐχομένων καὶ τὰ λοιπὰ ἐπιτηδευόντων, ἐφ' οἷς αὐτὸς διαπρίεται, καὶ τιμωρεῖται, καὶ θρηνεῖ, καὶ κόπτεται, ταῦτα πάντα ἡμεῖς κατ' οἰκονομίαν οὐ βλέπομεν, ἵνα μὴ χαυνωθῶμεν. δίκαιον γάρ φησι παρὰ τῷ Θεῷ, ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλίψιν.

π'. Εἰ τὸ γηρᾶσαν ἐν τῇ γῇ, καὶ ἐν πέτρᾳ στέλεχος, ἀπὸ ὀσμῆς ὕδατος ἀναθάλλει, ὥσπερ τὸ νεόφυτον, εἰκὸς καὶ ἡμᾶς διεγειρομένους τῇ δυνάμει τοῦ Ἁγίου Πνεύματος, ἀναβλαστῆσαι ἀφθαρσίαν, ἣν κατὰ φύσιν εἰλήφαμεν· καὶ ποιῆσαι θερισμὸν, καθὼς τὸ νεόφυτον, κἂν εἰς τὸν παλαιὸν κατεπέσαμεν ἄνθρωπον.

πα'. Πρὸς τὴν ἀποδοκιμάσασαν ἑαυτὴν διὰ ὑπερβολὴν πειρασμῶν καὶ ἁμαρτιῶν σμήνους ψυχὴν, καὶ λέγουσαν, ἀπώλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνήκαμεν, εἴρηται παρὰ τοῦ μὴ ἀπογινώσκοντος τὴν σωτηρίαν ἡμῶν Θεοῦ τὸ, ζήσεσθε, καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος. πρὸς δὲ τὴν διαπορήσασαν ψυχὴν, πῶς ἄρα δυνήσεται διὰ μεγάλων ἀρετῶν τεκεῖν Χριστὸν, λέλεκται· Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σέ· ὅπου δὲ Πνεύματος Ἁγίου παρουσία, μὴ ζητήσῃς λοιπὸν φύσεως καὶ συνηθείας ἀκολουθίαν καὶ νόμον· παντοδύναμον γὰρ τὸ προσκυνητὸν, καὶ Ἅγιον Πνεῦμα, καὶ τὰ μὴ ὑφεστῶτα ὑφίστησί σοι, ὅπως οὐκ ἐκπλαγῇς. ἀλλὰ καὶ νικητὴν νυνὶ δείκνυσι τὸν ἥττω, τὸν πρώην νικώμενον· ὁ γὰρ ἄνωθεν ἐρχόμενος ἐφ' ἡμᾶς δι' εὐσπλαγχνίαν παράκλητος, ἐπάνω πάντων ἐστίν· ἐπάνω σε γὰρ πάντων ἵστησι τῶν φυσικῶν κινημάτων, καὶ δαιμονικῶν παθῶν.

πβ'. Ἀγωνίζου τὴν ἐν τῷ ἡγεμονικῷ σου φωταυγείαν, διαφυλάττειν ἀλύμαντον· ἐὰν ἄρξῃ κατ' ἐμπάθειαν βλέπειν, ἐγνόφωσέ σε Κύριος καὶ ἐξαπέστειλε χαλινὸν τοῦ προσώπου σου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν σου οὐκ ἔστι μετὰ σοῦ· ἀλλ' εἰ καὶ ταῦτα



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὅπως ἔχοι, μὴ ἀποκάμῃς, μὴ δὲ ἐκλυθῇς, προσβαλλόμενος σὺν τῷ Ἁγίῳ Δαβίδ, ἐξαπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειάν σου· ἐμοὶ τῷ σκυθρωπάζοντι, σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου· ἐξαποστελεῖς γὰρ τὸ πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

πγʹ. Μακάριος, ὅστις ἀπλήστως φάγεται καὶ πίεται εὐχάς, καὶ ψαλμοὺς ἐνταῦθα νυκτὸς καὶ ἡμέρας, καὶ ἐπιρρώσει ἑαυτὸν τῇ ἐνδόξῳ τῆς γραφῆς ἀναγνώσει· ἡ γὰρ τοιαύτη μετάληψις, ἀναδώσει τῇ ψυχῇ ἀμείωτον εὐφροσύνην ἐν τῷ μέλλοντι αἰῶνι.

πδʹ. Πάσῃ δυνάμει ἀσφαλίζου μὴ πίπτειν. τὸ γὰρ πίπτειν οὐ πρέπει τῷ ἰσχυρῷ ἀθλητῇ. ἐὰν δὲ συμβῇ πεσεῖν, εὐθὺς ἀναπήδησον, καὶ στῆθι πάλιν εἰς τὸν καλὸν ἀγῶνα· κἂν μυριάκις τοῦτο συμβῇ καθ' ὑποστολὴν τῆς χάριτος, μυριάκις κἀκεῖνο ἔσω· τουτέστι τὸ τῆς ἐγέρσεως· καὶ ἕως τῆς τελευτῆς σου. γέγραπται γάρ· ὅτι ἐὰν ἑπτάκις πέσῃ δίκαιος, τουτέστι διαπαντὸς τοῦ βίου, ἑπτάκις ἀναστήσεται· ἕως ὅτε κρατεῖς τὸ ὅπλον τοῦ ἁγίου σχήματος, μετὰ δακρύων, καὶ ἱκεσίας τῆς πρὸς τὸν Θεόν, εἰς τοὺς στήκοντας λογίζῃ, κἂν πολλάκις πέπτωκας· ἕως ὅτε παραμένεις μοναχοῖς, ὡς ἀνδρεῖος στρατιώτης κατὰ τῶν ἐμπροσθίων δέχῃ τὰς πληγάς· δι' ὧν καὶ εὐφημηθήσῃ μᾶλλον, ὅτι οὐδὲ πληττόμενος ἠνέσχου ἐνδοῦναι ἢ ἀποστῆναι. ἐὰν δὲ ἀποστῇς τῶν Μοναχῶν, κατὰ νώτου πλήττῃ λοιπὸν ὡς φυγάς, καὶ δειλός, καὶ λειποτακτίτης, καὶ ἀπαρρησίαστος.

πεʹ. Χαλεπώτερον τοῦ ἁμαρτάνειν ἐστὶ τὸ ἀπελπίζειν· Ἰούδας γὰρ ὁ προδότης μικρόψυχος ἦν καὶ ἀπειροπόλεμος, καὶ διὰ τοῦτο ἀπογνόντι αὐτῷ, ἐπιδραμὼν ὁ ἐχθρός, ἀγχόνῃ περιῆψεν· Πέτρος δὲ ἡ πέτρα ἡ στερρά, φοβερὸν πτῶμα κατενεχθείς, ὡς ἐμπειροπόλεμος οὐκ ἐξελύθη οὐδὲ ἀπέγνω δυσθυμήσας· ἀλλὰ ἀναπηδήσας προσήγαγε πικρότατα δάκρυα ἀπὸ καρδίας θλιβομένης, καὶ τεταπεινωμένης· καὶ παραυτίκα ὁ πολέμιος ἡμῶν θεασάμενος ταῦτα, ὥσπερ φλοξὶ σφοδροτάτως τὰς ὄψεις φλεγόμενος, ἀπεπήδησε φεύγων μακράν, καὶ δεινῶς ὀλολύζων.

πϛʹ. Πρὸς ταῦτα τὰ τρία μάλιστα ὁ μονάζων, πόλεμον ἔχειν ὀφείλει ἀκήρυκτον. πρὸς τὴν κοιλιομανίαν, καὶ πρὸς τὴν ἀκερδῆ δόξαν, καὶ πρὸς τὴν φιλοχρηματίαν. ἥτις ἐστὶν εἰδωλολατρεία.

πζʹ. Βασιλεύς τις ἰσραηλίτης, τῶν ξωγλοδύτων τὸ ἔθνος, καὶ τοὺς ἄλλους βαρβάρους, ψαλμοῖς, καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς κατηγωνίσατο, ἐν τοῖς λόγοις καὶ τοῖς ὀργάνοις Δαβίδ. ἔχεις καὶ σὺ βαρβάρους ξωγλοδύτας, τοὺς εἰς τὰς αἰσθήσεις σου, καὶ τὰ μέλη ἐνδυόντας δαίμονας, καὶ τὴν σάρκα κολάζοντας διὰ τῆς πυρώσεως. καὶ παρασκευάζοντάς σε ἐμπαθῶς βλέπειν τε, καὶ ἀκούειν, καὶ ὀσφραίνεσθαι, καὶ λαλεῖν ἀπρεπῆ ῥήματα, καὶ ὀφθαλμοὺς μεστοὺς ἔχειν μοιχείας. καὶ συγχεῖσθαι ἔσωθεν, καὶ ἔξωθεν κατὰ τὴν Βαβυλωνίαν· φρόντισον οὖν καὶ αὐτὸς πίστει μεγάλῃ, καὶ ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, τοὺς ἐνεργοῦντας τὰ κακὰ ξωγλοδύτας ἄρδην ἐξολοθρεῦσαι.

πηʹ. Ὥσπερ ἄνθρωπον δι' ἀνθρώπου σώζεσθαι βούλεται ὁ Κύριος, οὕτως καὶ ἄνθρωπον δι' ἀνθρώπου ἀπολέσθαι σπεύδει ὁ σατανᾶς. διόπερ οὐ χρὴ κολλᾶσθαι ἀνδρὶ καταφρονητῇ, καὶ κακεντρεχεῖ, καὶ μὴ φυλάσσοντι γλῶσσαν, ἵνα μὴ σὺν αὐτῷ εἰς κόλασιν ἀπέλθῃς. μόλις γάρ τις τῷ δικαίῳ ἐγγίζων σωτηρίας τυγχάνει. ἐὰν δέ τις τῷ πονηρευομένῳ συναναστραφῇ μὴ παρατηρούμενος, καθάπερ λοιμόν, καὶ λέπραν ἕτοιμον εὑρήσει ταυ-

γιον.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

γιον. καὶ τίς λοιπὸν ἐλεεινότερος τοῦ ἱλαρῶς προσεγγίζοντος τῷ δράκοντι; φεῦγε τοίνυν τὰς ἀπαιδεύτους γλώσσας, καὶ τοὺς μαχησυμβόλους, καὶ τοὺς ταραττομένους τοῖς ἐντὸς, καὶ τοῖς ἐκτὸς μέλεσι.

πθ'. Τίς σοφὸς, καὶ συνετὸς, καὶ φίλος Θεοῦ κληθῆναι βουλόμενος, ἵνα τὴν ψυχὴν τὴν ἑαυτοῦ σπουδάσῃ παραστῆσαι τῷ Κυρίῳ τοιαύτην, οἵαν αὐτὴν ἔλαβε παρ' αὐτοῦ, καθαρὰν, καὶ ἄζυμον, καὶ ὅλην ἀμώμητον, καὶ διὰ τοῦτο στεφανωθῇ ἐν τοῖς οὐρανοῖς καὶ παρὰ τῶν Ἀγγέλων μακαρισθείη.

ϟ'. Ἓν ῥῆμα ἀγαθὸν, τὸν ποτὲ μιαρὸν ἐκεῖνον λῃστὴν, καθαρὸν, καὶ ἅγιον εἰργάσατο, καὶ εἰς τὸν Παράδεισον εἰσήνεγκεν. καὶ ἓν ῥῆμα ἀπρεπὲς, ἀπετείχισε τὸν Μωϋσῆν τὴν γῆν τῆς ἐπαγγελίας. μὴ οὖν μικρὰν νόσον τὴν γλωσσαλγίαν νομίσωμεν. οἱ γὰρ φιλολοίδοροι καὶ φλύαροι, ἀποκλείουσιν ἑαυτοὺς τὴν βασιλείαν τῶν οὐρανῶν. διότι ἀνὴρ γλωσσώδης, κἂν ἐνταῦθα κατευθυνθῇ, ἀλλ' ἐκεῖ οὐ μὴ κατευθυνθείη· μᾶλλον δὲ ὀλισθήσει καὶ κακὰ θηρεύσει αὐτὸν εἰς διαφθοράν. καλῶς οὖν ἔλεγε σοφός τις ἀνὴρ, ὅτι κρεῖσσόν ἐστι πεσεῖν ἀπὸ ὕψους εἰς ἔδαφος, ἢ ἀπὸ γλώσσης. πιστούμενον τυγχάνει Ἰακώβῳ τῷ Ἀποστόλῳ γράφοντι. ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, καὶ βραδὺς εἰς τὸ λαλῆσαι.

ϟα'. Ὅπως ἂν μὴ μετεωριζόμεθα ἀναπτόμενοι ὑπὸ τῶν αἰσθήσεων περὶ τὴν ματαιότητα, καλὸν προσέχειν τῷ λέγοντι. βάδιζε λαός μου, εἴσελθε εἰς τὸ ταμεῖον τῆς καρδίας σου τὸ ἀποκεκρυμμένον παντὶ αἰσθητῷ νοήματι, τὸ ἀνείδωλον ἐκεῖνον ἐνδιαίτημα, τὸ καταλαμπόμενον τῇ τε ἀπαθείᾳ, καὶ τῷ ἐπισκιασμῷ τῆς ἁγίας χάριτος. ἀπόκλεισον τὴν θύραν σου πᾶσι τοῖς ὁρωμένοις, ἀποκρύβηθι μικρὸν ὅσον, ὅσον, μικρὰ γάρ ἐστι πᾶσα ἡ ἀνθρωπίνη ζωὴ, καὶ μετὰ τοῦτο λέγει· ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου. ὥσπερ ἄλλος ἔλεγεν, ἕως οὗ παρέλθῃ ἡ ἀνομία. ὀργὴ γὰρ Κυρίου, καὶ ἀνομία, τάχα οὖν οἱ δαίμονες, καὶ τὰ πάθη καὶ τὰ ἁμαρτήματα· καθά φησι πρὸς τὸν Θεὸν ὁ Ἡσαΐας. ἰδοὺ σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν. διαφεύγει δὲ τὴν ὀργὴν ταύτην ἄνθρωπος, διηνεκῶς προσέχων τῇ καρδίᾳ ἐν προσευχῇ, καὶ ἐντὸς γενέσθαι τῶν ἀδύτων φιλοτιμῶν. ἕλκυσον γάρ· φησι· σοφίαν ὑπὲρ τὰ ἐσώτατα. διότι πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. κοπιῶ δὲ, ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ. καὶ εἰς ὄρος κληρονομίας· φησίν· εἰς ἕτοιμον κατοικητήριον, ὃ κατειργάσω Κύριε ἁγίασμα, ὃ ἡτοίμασαν αἱ χεῖρές σου.

Οἱ βουλόμενοι ἀληθῶς ἀποτάξασθαι, τὸν μακάριον μιμείσθωσαν προφήτην Ἐλισσαῖον, μηδὲν ἑαυτῷ ἀπολειψάμενον πρᾶγμα, πόθῳ καὶ πυριφλεγεῖ τῷ πρὸς Θεὸν ἔρωτι. πάντα οὖν τὰ προσόντα αὐτῷ διανεμέτω τοῖς δεομένοις, καὶ οὕτω βαστάσας τὸν σταυρὸν Κυρίου, τῇ προθέσει ἐπειγέσθω πρὸς ἑκούσιον θάνατον. πρόξενον γενόμενον τῆς αἰωνίου * βασιλείας. ϟβ'.

* ἴσ. ζωῆς.

Ὅταν φθάσῃς νοῆσαι, ὅτι ὁ ἀμορραῖος ἰσχύει ἐν σοὶ ὡς δρῦς, δεήθητι τοῦ Κυρίου ἐκτενῶς, ἵνα ξηράνῃ τὸν καρπὸν αὐτοῦ ὑπεράνωθεν, τουτέστι τὴν πρακτικὴν ἁμαρτίαν. καὶ τὰς ῥίζας αὐτοῦ ὑποκάτωθεν, τουτέστι τοὺς ἀκαθάρτους λογισμούς. καὶ ἵνα ἐξάρῃ Κύριος τὸν ἀμορραῖον ἀπὸ προσώπου σου. ϟγ'.

Οὐ χρὴ ξενίζεσθαι, ἡνίκα ἂν βλέπητε καταγελῶντας τῆς ἡσυχίας ὑμῶν, τοὺς μὴ δυναμένους ἡσυχάζειν, μᾶλλον δὲ καταψάλλετε αὐτῶν, μὴ μόνον μνησικακοῦντες, καὶ τὴν πρὸς Θεὸν ὑποταγὴν ὑμῶν, σφοδροτέρως ἀντιστήσατε αὐτοῖς, βοῶντες ἐν τῷ ὑμνεῖν. πλὴν τῷ Θεῷ ὑποτάγηθι ἡ ψυχή μου· αὐτὸς γὰρ τοῦ ἀ- ϟδ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γαπᾶν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην, ὑπὲρ τῆς ἐμαυτοῦ τε, καὶ τῆς ἐκείνων ἰάσεως.

ϟε'. Μὴ πνεύσαντος ἐν τῇ θαλάσσῃ ἀνέμου σκληροῦ, οὐκ ἂν φανείη κῦμα. καὶ μὴ ἐπιθυμήσαντος ἡμῖν δαίμονος, οὐ μὴ χειμασθῇ πάθεσιν ἡ ψυχή, οὔτε τὸ σῶμα.

ϟϛ'. Ἐὰν θερμαίνῃ ἀεὶ τῇ προσευχῇ, καὶ τῇ θείᾳ χάριτι, φησὶ πρὸς σὲ ἡ θεία γραφὴ ὡς πρὸς ἐνδεδυμένον τὰ ὅπλα τοῦ φωτός, σοῦ δὲ ἡ στολὴ θερμή. οἱ γὰρ ἐχθροί σου καθάπερ διπλοΐδα αἰσχύνην, περιβέβληνται, καὶ τὴν ταρταρότητα.

ϟζ'. Μνήμην λαμβάνων τῶν παραπτωμάτων σου, μὴ ὄκνει τύπτειν τὸ στῆθος. ὅπως ταῖς τοιαύταις πληγαῖς λατομήσῃς τὴν πωρωθεῖσαν καρδίαν, καὶ εὕρῃς τὸ μέταλλον τοῦ τελωνικοῦ χρυσίου, καὶ χαρείσῃ πάνυ ἐπὶ πλούτῳ κρυφίῳ.

ϟη'. Πῦρ τῶν πρὸς τὰ κρείττονα λιτῶν, τῆς ἁγίας μελέτης τῶν λογίων τοῦ Πνεύματος, καυθέτω διαπαντὸς ἐπὶ τὸ θυσιαστήριον τῆς ψυχῆς σου.

Ἐὰν ἀεὶ σπουδάζῃς ὑποδεδέσθαι τοὺς πόδας ἐν τῇ ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, οἰκοδομήσεις πάντως καὶ τὸν σεαυτοῦ οἶκον καὶ τὸν τοῦ πλησίον σου. ἐὰν δὲ ῥαθυμήσῃς, ἐμπτυσθήσῃ ἀοράτως, καὶ κατὰ τὸν νόμον κληρονομήσεις τὸ ὄνομα τοῦ ὑπολυσαμένου τὸ ὑπόδημα. ϟθ'.

Εἰ κατὰ τὸν Ἰωάννην, ὁ Θεὸς ἀγάπη ἐστίν, ὁ ἀγαπῶν, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. ὁ δὲ μισῶν τὸν πλησίον, ἐν τῇ τῆς ἀγάπης διαζεύξει, δῆλον ὅτι τὸ μῖσος ὑφίστησιν. ὁ μισῶν ἄρα τὸν ὁμογενῆ, ἐν τῇ ἀπὸ Θεοῦ ὑπάρχει διαστάσει· εἴπερ ὁ Θεὸς ἀγάπη ἐστί, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας, Ἀμήν. ρ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΙΩΑΝΝΟΥ
# ΚΑΡΠΑΘΙΟΥ,

Λόγος Ἀσκητικὸς, καὶ πάνυ παρηγορητικὸς πρὸς τοὺς ἀπὸ τῆς Ἰνδίας προτρέψαντας Μοναχοὺς, τῶν ρ΄. Κεφαλαίων τὸν ἀριθμὸν συναποπληρῶν.

ΜΗ᾿ θελήσῃς ποτὲ ὑπὲρ Μοναχὸν, κοσμικὸν μακαρίσαι, ἔχοντα γυναῖκα, καὶ παῖδας, καὶ ἱλαρευόμενον, διὰ τὸ εὖ ποιεῖν πολλοὺς, καὶ ἀφθόνως τὴν ἐλεημοσύνην ἐργάζεσθαι, καὶ μηδὲ ὅλως ὑπὸ τῶν δαιμόνων πειράζεσθαι, νομίζων σεαυτὸν ἐκείνου ὑπάρχειν ἐλάττονα πρὸς τὴν τοῦ Θεοῦ εὐαρέστησιν. μηδὲ ταλάνιζε σεαυτὸν, ὥσπερ ἀπολλύμενον. οὐ λέγω γὰρ ὅτι ἀμέμπτως βιοῖς, προσκαρτερῶν Μοναχοῖς. ἀλλ᾿ εἰ καὶ πάνυ ἁμαρτωλὸς τυγχάνεις, ἡ θλίψις τῆς ψυχῆς σου καὶ ἡ κακοπάθεια, τιμιωτέρα ἐστὶ παρὰ τῷ Θεῷ, τῆς τοῦ βιωτικοῦ ὑπερβαλλούσης ἀρετῆς· ἡ λύπη σου ἡ πολλὴ, καὶ ἡ ἀθυμία, καὶ οἱ στεναγμοὶ, καὶ ἡ ἀδημονία, καὶ τὰ δάκρυα, καὶ ὁ τοῦ συνειδότος βασανισμὸς, καὶ ἡ ἀπορία τοῦ λογισμοῦ, καὶ τὸ κατακρίνεσθαι τῇ διανοίᾳ, καὶ ὁ κοπετὸς, καὶ ὁ θρῆνος τοῦ νοὸς, καὶ ὁ ὀλολυγμὸς τῆς καρδίας, καὶ ὁ συντετριμμὸς, καὶ ἡ ταλαιπωρία, καὶ ἡ συγνότης, καὶ ἡ ἐξουδένωσις· ταῦτα πάντα καὶ τὰ τοιαῦτα, ἅπερ πολλάκις συμβαίνει τοῖς εἰς τὴν σιδηρὰν κάμινον τῶν πειρασμῶν βαλλομένοις, τιμιώτερά ἐστι, καὶ εὐπροσδεκτότερα καθ᾿ ὑπερβολὴν τῆς εὐαρεστήσεως τοῦ κοσμικοῦ. πρόσεχε οὖν μὴ ὑποπέσῃς τῇ μέμψει τῆς λεγούσης θείας Γραφῆς ἐκ προσώπου σου. ὅτι τί ὠφελήθημεν ἱκέται πορευθέντες ἐνώπιον Κυρίου, καὶ ἐν τῷ οἴκῳ αὐτοῦ διατρίβοντες ἀεί; δῆλον ὅτι πᾶς δοῦλος ἐγγὺς ὑπάρχων οἰκοδεσπότου, ἐσθ᾿ ὅτε καὶ μάστιγας λαμβάνει, καὶ κονδύλους, καὶ μέμψεις, καὶ ὀνειδισμούς· οἱ δὲ ἔξω ὄντες, τέως μακρὰν εἰσὶ τῶν πληγῶν ὡς ἀλλότριοι, ἢ νόθοι, ἢ ἀμελούμενοι. τί οὖν ὠφελήθημεν, φησὶν, ἡμεῖς μὲν θλιβεροῖς περιπίπτοντες ψυχῇ τε, καὶ σώματι, οἱ πάντοτε εὐχόμενοί τε, καὶ ψάλλοντες; οἱ δὲ μήτε εὐχόμενοι, μήτε ἀγρυπνοῦντες, χαίρουσι, καὶ εὐφραίνονται, καὶ κατευοδοῦνται, καὶ εὐθύμως διεξάγουσι τὸν βίον; καὶ, ὡς λέγει ὁ Προφήτης, ἰδοὺ ἀνοικοδομοῦνται οἶκοι ἀλλότριοι, καὶ ἡμεῖς μακαρίζομεν ἀλλοτρίους; καὶ ἐπάγει λέγων. ταῦτα κατελάλησαν οἱ δοῦλοι τοῦ Θεοῦ, οἱ τὴν γνῶσιν ἔχοντες. ἀλλ᾿ ὅμως χρὴ εἰδέναι, ὅτι οὐδὲν ξένον πάσχουσι θλιβόμενοι, καὶ διαφόρως λυπούμενοι, τὰ τοῦ δεσπότου αὐτῶν ὑπομένοντες διὰ πολλῶν πειρασμῶν, ἤκουσαν γὰρ αὐτοῦ λέγοντος ἐν τοῖς Εὐαγγελίοις. ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύσετε, καὶ θρηνήσετε ὑμεῖς οἱ πλησίον μου, ὁ δὲ κόσμος χαρήσεται. ἀλλ᾿ ἔτι μικρὸν, καὶ ἐπισκέψομαι ὑμᾶς διὰ τοῦ παρακλήτου, καὶ ἐκδιώξω τὴν ἀθυμίαν ὑμῶν, καὶ ἀνακτήσομαι ὑμᾶς λογισμοῖς οὐρανίου ζωῆς, καὶ ἀναπαύσεως, καὶ δάκρυσι γλυ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κεροῖς, ὧν ὀλίγας ἡμέρας ἐστερήθητε πειραζόμενοι· καὶ ἐπιδώσω ὑμῖν τὸν μαστὸν τῆς χάριτός μου, καθὰ μήτηρ τῷ βρέφει τῷ κλαυθμυριζομένῳ, καὶ ἐνισχύσω ὑμᾶς τῇ ἄνωθεν δυνάμει τοὺς ἐξασθενήσαντας ἐν τῷ πολεμεῖσθαι· καὶ καταγλυκανῶ ὑμᾶς τοὺς πικρανθέντας, ὡς λέγει Ἱερεμίας ἐν τοῖς Θρήνοις περὶ τῆς ἐν κρυπτῷ σου Ἱερουσαλήμ, ἀλλ' ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ἡ καρδία ὑμῶν διὰ τῆς κρυπτῆς ἐπισκέψεως, καὶ ἡ θλῖψις ὑμῶν εἰς χαρὰν μεταβληθήσεται. καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς δυνήσεται ἆραι. μὴ οὖν μυωπάζωμεν, μὴ δὲ ἀβλεπτῶμεν, μακαρίζοντες ὑπὲρ ἡμᾶς κοσμικούς· ἀλλ' ἐπιστάμενοι τὴν διαφορὰν τῶν γνησίων υἱῶν, καὶ τῶν νόθων, μᾶλλον ἀσπαζώμεθα τὴν νομιζομένην τῶν Μοναχῶν ἀθλιότητά τε, καὶ σφοδρὰν καταπόνησιν. ἧς τὸ τέλος εἰς ζωὴν αἰώνιον ἐκβαίνει, καὶ εἰς τὸν ἀμαράντινον τῆς δόξης τοῦ Κυρίου στέφανον. ἀσπασώμεθα οὖν τὴν τῶν δοκούντων ἁμαρτωλῶν ἀσκητῶν, ἵνα μὴ λέγω δικαίων, ταλαιπωρίαν· καὶ τὸ παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. τουτέστι τῷ τάγματι τῶν δουλευόντων ἀδιαλείπτως τῷ Χριστῷ· καὶ μὴ οἰκεῖν ἐν σκηνώμασιν ἁμαρτωλῶν, ἢ συναναστρέφεσθαι τοῖς κοσμικοῖς, κἂν τὰς μεγάλας ποιῶσι δικαιοσύνας. λέγει γὰρ πρός σε· ὦ Μοναχέ· ὁ πατήρ σου ὁ Οὐράνιος, ὁ ὑπεραγαπῶν σε, καὶ θλίβων, καὶ καταπονῶν σε ἐν ποικίλοις πειρασμοῖς, εὖ ἴσθι Μοναχὲ ταλαίπωρε. ὅτι καθὼς διὰ τοῦ Προφήτου ἐλάλησα, ἔσομαί σου παιδευτής, καὶ ἀπαντήσομαί σοι κατὰ τὴν ὁδὸν Αἰγύπτου, τοῖς θλιβεροῖς σε διαγυμνάζων. καὶ τὰς ὁδούς σου τὰς ψεκτὰς φράξω ἐν σκόλοψι τῆς ἐμαυτοῦ προνοίας. νύττων συμφοραῖς ἀδοκήτοις, καὶ ἐμποδίζων, ἵνα μὴ ἅπερ βούλει τῇ ἀνοήτῳ καρδίᾳ, ταῦτα πάντως καὶ εἰς ἔργον ἐκφέρῃς. καὶ φράξω τὴν θάλασσαν τῶν παθῶν σου, τὰς πύλας τῶν ἐμαυτοῦ οἰκτιρμῶν. καὶ ἔσομαί σοι ὥσπερ* θήρ, κατεθίωσε λογισμοῖς μέμψεως, καὶ καταγνώσεως, καὶ μεταμελείας ἐν τῇ συναισθήσει τῶν ἠγνοημένων σοι. Ταῦτα δὲ πάντα τὰ θλιβερά, μεγίστη χάρις Θεοῦ. οὐ μόνον δὲ πανθήρ, ἀλλὰ καὶ κέντρον σοι ἔσομαι τοῖς τῆς κατανύξεως λογισμοῖς τιτρώσκων σε, καὶ πόνοις καρδιακοῖς, καὶ οὐ μὴ διαλίπῃ ὀδύνη ἐκ τοῦ οἴκου σου, δηλονότι τῆς ψυχῆς καὶ τοῦ σώματος καλῶς καὶ ὠφελίμως ξενουμένων τοῖς τοῦ Θεοῦ γλυκέσιν ὄντως, καὶ μελιστάκτοις κολαστηρίοις. Τὸ δὲ τέλος τῶν κολάσεων, καὶ τῶν πόνων, καὶ τῆς ἐκταράξεως, καὶ τῆς ἐξοστῆς, καὶ τῶν φόβων, καὶ τῶν ἀπελπισμῶν τῶν ἐπισυμβαίνειν εἰωθότων, τοῖς ἀσκεῖν προθεμένοις, τούτων πάντων τῶν σκυθρωπῶν τὸ τέλος, χαρά ἐστιν ἐπουράνιος, καὶ τρυφὴ ἀνερμήνευτος, καὶ δόξα ἀνεκλάλητος, καὶ ἀγαλλίασις ἀκατάπαυστος. διὰ γὰρ τοῦτο ἔθλιψά σε, φησίν, ἵνα ψωμίσωσε τὸ μάννα τῆς γνώσεως, καὶ ἐλιμαγχόνησά σε, ἵνα εὖ ποιήσωσε ἐπ' ἐσχάτων, καὶ εἰς τὴν ἄνω βασιλείαν εἰσάξωσε. τότε γὰρ σκιρτήσετε οἱ ταπεινοὶ Μοναχοί, καθάπερ μοσχάρια ἀπολυθέντα τῶν δεσμῶν, παθῶν τε σαρκός, καὶ πειρασμῶν τῶν ἐχθρῶν. καὶ τότε καταπατήσετε τοὺς ἀνόμους δαίμονας, τοὺς νῦν καταπαλαίοντας. καὶ ἔσονται σποδὸς ὑποκάτω τῶν ποδῶν ὑμῶν. ἐὰν γὰρ θεοσεβὴς καὶ ταπεινόφρων ὑπάρχῃς, μὴ ὑπεραιρόμενος τῷ ματαίῳ ὄγκῳ, μήτε προπετευόμενος, ἀλλὰ κατανενυγμένος τῇ καρδίᾳ, καὶ λογιζόμενος ἑαυτὸν ἀχρεῖον δοῦλον εἶναι, καὶ συντετριμμένος τῷ πνεύματι. ἐὰν τοιοῦτος ταπεινόφρων ὑπάρχῃς, διαφορωτέρα ἐστὶν ἡ σὴ ὦ Μοναχὲ πλημμέλεια, τῆς δικαιοσύνης τῶν κοσμικῶν. καὶ ἀναγκαιότερα τὰ σὰ ῥύπη, τῆς τῶν βιωτικῶν μεγάλης καθάρσεως. Τί γάρ ἐστιν εἰ δὲ θλίβῃ; πάντως μῶμος ὑπάρ-

* ἐν ἄλλ. πατήρ, ἢ πανθήρ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

χεῖ ἐπιμέτρας. ἀλλὰ βλέπε τινὰ ἄνθρωπον πισσωθεῖσαν τὰς χεῖρας, δι' ὀλίγου ἐλαίου καθαρισθεῖσαν. πολλῷ δὲ μᾶλλον σὺ δύνασαι καθαρισθῆναι τῷ ἐλέει τοῦ Θεοῦ. Ὥσπερ γάρ σοι οὐκ ἔστι δύσκολον πλῦναί σου τὸ ἱμάτιον, οὕτως πολὺ μᾶλλον οὐκ ἔστι δίχα χάριτος τοῦ Κυρίου πλῦναί σε ἀπὸ πάσης μώμου, κἂν καθ' ἑκάστην ὡς εἰκὸς ἐγγίνεται σοι ἐξ ἀνάγκης πειρασμός. ἐν γὰρ τῷ λέγειν σε ἥμαρτον τῷ Κυρίῳ, ἀπόκρισις δίδοται ἀφέωνταί σου αἱ ἁμαρτίαι. ἐγώ εἰμι ὁ ἐξαλείφων, καὶ οὐ μὴ μνησθῶ. καθ' ὅσον γὰρ ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνα ἀπὸ σοῦ τὰς ἁμαρτίας σου· καὶ καθὼς οἰκτείρει πατὴρ υἱούς, ἐγὼ κατῳκτείρωσε. μόνον σὺ μὴ ἀποστῇς μηδὲ ἀπονηθεὶς τῷ ἐλέγχεσθαί σε εἰς τὸ ψάλλειν, καὶ εὔχεσθαι. ἀλλὰ κολλήθητι αὐτῷ ἐν πάσῃ τῇ ζωῇ σου, εἴτε διὰ παρρησίας καθαρᾶς, εἴτε διὰ αἰσχύνης θεοσεβοῦς, καὶ στερρᾶς αὐτῷ ἐξομολογήσεως. καὶ αὐτός σε καθαρίζει τῷ ἰδίῳ αἵματι. ὃ γὰρ ὁ Θεὸς τῇ ἑαυτοῦ βουλήσει καθαρίζει, οὐδὲ αὐτὸς Πέτρος ὁ μέγας Ἀπόστολος κοινοῦσαι δύναται, ἢ * καταδικάσασθαι. εἴρηται γὰρ πρὸς αὐτόν· ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. εἰ γὰρ ὁ Θεός ἐστιν ὁ τῇ οἰκείᾳ φιλανθρωπίᾳ δικαιώσας ἡμᾶς, τίς ἔσται ὁ κατακρίνων ἡμᾶς; ἐπικαλουμένων γὰρ ἡμῶν τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀμαρῶς καθαρίζεται ἡ συνείδησις ἡμῶν. καὶ οὐδὲν διακρίνει ἀναμέσον ἡμῶν τε, καὶ προφητῶν, καὶ τῶν ἄλλων ἁγίων. οὐ γὰρ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργήν, ἀλλ' εἰς περιποίησιν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν ἵνα εἴτε γρηγορῶμεν ἐν ἀρεταῖς, εἴτε καθεύδομεν κατά τινα περιστάσιν, ὡς εἰκός, ἤτοι ἐν ἐλαττώμασιν, ἅμα σὺν Χριστῷ ζήσωμεν. πρὸς αὐτὸν ἀναβλέποντες μετὰ μεγάλων στεναγμῶν καὶ ἀποδυρόμενοι ἀκαταπαύστως, καὶ αὐτὸν ἀναπνέοντες. ἐνδυσώμεθα οὖν τὸν τῆς πίστεως θώρακα, καὶ σχῶμεν περικεφαλαίαν ἐλπίδα σωτηρίας, ἵνα μὴ εὕρῃ παρείσδυσιν τὰ βέλη τῆς ἀπογνώσεως, καὶ τῆς ἀνελπιστίας. ἀλλ' αὐτὸς λέγεις ὅτι ὀργίζομαι ὅταν βλέπω μηδένα πειραζομένους τοὺς κοσμικούς, καὶ δεινῶς διαπείρομαι. ἀλλ' ἴσθι ἀγαπητέ, ὅτι οὐ χρείαν ἔχει ὁ σατανᾶς πειράζειν τοὺς αὐτοπειράστους, καὶ ἀεὶ εἰς τὰ χαμαὶ συρομένους διὰ τῶν βιωτικῶν πραγμάτων. γίνωσκε δὲ καὶ τοῦτο. ὅτι τοῖς πειραζομένοις, τὰ βραβεῖα ἀπόκειται, καὶ οἱ στέφανοι. οὐ γὰρ τοὺς μὴ μεριμνῶσι περὶ Θεοῦ; οὐδὲ τοῖς ὑπτίως νεμομένοις καὶ ῥέγχουσι κοσμικοῖς. ἀλλ' ἐγώ, φησι, πολλὰ πάνυ πειράζομαι. καὶ αἱ ψόαι μου ἐμπλῶνται ἐμπαιγμάτων, καθὼς λέγει ὁ προφήτης. καὶ ταλαιπωρία, καὶ κατακάμψις, καὶ οὐκ ἔστι ταῖς σαρξὶν ἴασις, καὶ ἐπιμέλεια τῆς ὀρέξεως. καὶ μὴν ἐγγύθεν ὁ μέγας τῶν καμνόντων ἰατρὸς πάρεστιν, ὁ βαστάζων τὰς ἀσθενείας ἡμῶν, καὶ τοὺς μώλωπας αὐτοῦ ἰασάμενος ἡμᾶς καὶ ἰώμενος. πάρεστι καὶ νῦν ἐπιτιθεὶς τὰ σωτήρια φάρμακα. ἐγὼ γάρ, φησιν, ἐπάταξα δι' ἐγκαταλείψεως, ἐγὼ καὶ ἰάσομαι. μὴ οὖν φοβηθῇς· ὅταν γὰρ ἡ ὀργὴ τοῦ θυμοῦ μου στάξῃ, πάλιν ἰάσομαι. ὡς γὰρ οὐκ ἐπιλήσεται γυνὴ τοῦ ἐλεῆσαι τὰ ἔγγονα τῆς κοιλίας αὐτῆς, οὕτως οὐδὲ ἐγὼ ἐπιλήσομαί σου λέγει Κύριος. εἰ γὰρ τοῦ πετεινοῦ τὰ σπλάγχνα κέχυται ἐπὶ τοὺς νεοττοὺς αὐτοῦ, καὶ καθ' ὥραν ἐπισκέπτεται αὐτούς, καὶ προσφωνεῖ αὐτοῖς, καὶ τροφὴν τῷ στόματι αὐτῶν ἐπιδίδωσι, πολλῷ μᾶλλον οἱ οἰκτιρμοί μου χέονται ἐπὶ τὰ κτίσματά μου. πολὺ δὲ πλέον τὰ ἐμὰ σπλάγχνα ἐπὶ σὲ κέχυνται, καὶ ἐπισκέπτομαί σε λεληθότως. καὶ προσομιλῶ σοι καὶ νῦν. καὶ τροφὴν τῇ διανοίᾳ σου ἐνίημι κεχηνυίᾳ ὡς μικρᾷ χελιδόνι. τροφὴν γάρ σοι χορηγῶ τοῦ φόβου τοῦ κρείτ-

* οὐ κατακρίνομαι.

νοίας, καὶ σοφίαν πόθου ἐγκρατείας, καὶ σοφίαν στεναγμῶν παρηγορίας, καὶ σοφίαν κατανύξεως, καὶ σοφίαν μελῳδίας, καὶ σοφίαν γνώσεως βαθυτέρας, καὶ σοφίαν θείων τινῶν μυστηρίων. Ἐὰν δὲ ψάλλωμαι ταῦτα λαλῶν σοι ὁ σὸς διάκονος, καὶ πατήρ, ἐλέγχομαι, καὶ ἀνέχομαι. Ταῦτα μὲν ὁ Κύριος ἡμῖν ἀεὶ διαλέγεται τοῖς διακονήμασιν. ἐγὼ δὲ ἐπίσταμαι ὅτι ὑπερέβην τὸ μέτρον, πολλὰ γράψας· ἀλλ' ὑμεῖς προετρέψασθέ με τοῦτο ποιῆσαι. ἐπλατύναμεν δὲ τὸν λόγον, διὰ στηριγμὸν τῶν κινδυνευόντων ἀπὸ ὀλιγωρίας πεσεῖν. διότι εὑρέθησαν καθὼς ἐγράψατέ μοι, παρ' ὑμῖν τοῖς ἐν τῇ Ἰνδίᾳ, τινὲς τῶν ἀδελφῶν παρὰ τὴν προσδοκίαν, λίαν καταβεβαρημένοι τοῖς πειρασμοῖς, καὶ ἀπολεγόμενοι καὶ τὸν βίον, καὶ τὴν διαγωγὴν τῶν Μοναχῶν, λέγοντες ὑπάρχειν αὐτὴν καταπεπνιγμένην, καὶ μυριοκίνδυνον. καὶ ὅτι φανερῶς τοὺς μὲν κοσμικοὺς ἐμακάρισαν, ἐμέμψαντο δὲ τὴν ἡμέραν, ἐν ᾗ τὸ σχῆμα εἰλήφασι. διὰ τοῦτο κἀγὼ ἠναγκάσθην μακρότερον ποιῆσαι τὸν παρόντα λόγον, καὶ διὰ * λείων ῥημάτων, ὥστε δύνασθαι καὶ τὸν ἰδιώτην καὶ ἀγράμματον τὰ λεγόμενα νοῆσαι. διὰ τοῦτο πολλὰ γέγραφα, ἵνα τοῦ λοιποῦ μηκέτι κοσμικὸν, ἀλλ' ἑαυτοὺς μόνους μακαρίζωσιν οἱ Μοναχοί. οἵτινες χωρὶς πάσης ἀντιλογίας κρείττους ὑπάρχουσι τῶν τὰ διαδήματα ἐπὶ τῆς κεφαλῆς φορούντων βασιλέων, καὶ λαμπρότεροι, καὶ ἐνδοξότεροι, ὡς τῷ Θεῷ ἀεὶ προσεδρεύοντες. ἐγὼ δὲ ταῦτα γράψας, ἱκετεύω τὴν ὑμετέραν ἀγάπην, μνείαν μου ἐν ταῖς εὐχαῖς διηνεκῶς ποιεῖσθαι, ὥστε καταξιωθῆναί με τὸν ἐλεεινὸν τῆς τοῦ Κυρίου χάριτος, ἐν τῷ βελτίστῳ καὶ ἀγαθῷ τέλει, περιγραφῆναι τὴν παροῦσαν ζωήν. ὁ δὲ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, χορηγήσοι ὑμῖν παράκλησιν αἰωνίαν, καὶ ἐλπίδα ἀγαθὴν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

* ἐν ἄλ. πλείων



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Θεόδωρος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν, ἦν μὲν ἐπὶ τῆς βασιλείας Ἡρακλείου, καὶ Κωνσταντίνου τοῦ Πωγωνάτου, περί που τὸ ἑξακοσιοστὸν ἑξηκοστὸν ἔτος, πρότερον δὲ τὸν ἀσκητικὸν βίον ἀγωνισάμενος κατὰ τὴν τοῦ Ἁγίου Σάββα μονήν· ὕστερον ψήφῳ θείᾳ ἐπὶ τὸν τῆς πόλεως Ἐδέσσης Ἐπισκοπικὸν θρόνον ἀνάγεται, καὶ πολλῶν θαυμάτων αὐτουργὸς γενόμενος ζῶν ἔτι, καὶ μετὰ θάνατον, καὶ ταῖς θείαις αὐτοῦ διδασκαλίαις πολλοὺς μάρτυρας, καὶ σωζομένους ἀναδείξας, κατὰ τὴν δεκάτην ἐνάτην Ἰουλίου πρὸς τὰς αἰωνίους μετέστη μονάς, ὡς ἐν τῇ βίβλῳ τῇ καλουμένῃ Καλοκαιρινῇ ὁ βίος αὐτοῦ συνεγράφη. Συγγράμματα δὲ ἔτι μὲν καὶ ἄλλα καταλέλοιπε, σαφὲς περὶ τούτων λέγειν οὐκ ἔχομεν. Τὰ δὲ παρόντα ἑκατὸν κεφάλαια, αὐτῷ φιλοπονηθέντα τῷ καταλόγῳ τῶν λοιπῶν νηπτικῶν ἐνεκρίθησαν· πολύχουν γὰρ ταῦτα τὸν τῆς Ἱερᾶς Νήψεως, καὶ πνευματικῆς ὠφελείας καρπὸν προβάλλονται τοῖς μετὰ ἀκριβείας ἀναγινώσκουσι, καὶ οἱ τῆς ἑαυτῶν σωτηρίας ἐφιέμενοι. Δεῦτε καὶ δαψιλέστατα δρέψασθε.

Ἐν δὲ τῷ τέλει τῶν παρόντων τουτωνὶ Κεφαλαίων, καὶ τὸ τοῦ Θεοδώρου ἐπιφερόμενον ὄνομα τουτὶ Θεωρητικὸν προσετέθη. ὃ δὴ τῆς αὐτῆς τοῖς κεφαλαίοις νηπτικῆς ἰδέας καθορῶντες ἐχόμενον, καὶ τῷ αὐτῷ χαρακτῆρι τοῦ λόγου ἑπόμενον, ὡς ἀπό τινων εἰκότων καὶ σημείων, γνήσιον εἶναι γόνον τοῦ αὐτοῦ Θεοδώρου συνεπεράναμεν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΤΟΥ ΟΣΙΟΥ

ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΘΕΟΔΩΡΟΥ

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΣΚΗΤΟΥ, ΚΑΙ ΕΠΙΣΚΟΠΟΥ ΕΔΕΣΣΗΣ,

### Κεφάλαια πάνυ ψυχωφελῆ ρ΄.

α΄. Ἐπειδήπερ, Θεοῦ τοῦ ἀγαθοῦ χάριτι, ἀποταξάμενοι τῷ Σατανᾷ, καὶ τοῖς ἔργοις αὐτοῦ, τῷ Χριστῷ συνεταξάμεθα ἔν τε τῷ λουτρῷ τῆς παλιγγενεσίας, καὶ νῦν αὖθις διὰ τοῦ μοναχικοῦ ἐπαγγέλματος, τηρήσωμεν αὐτοῦ τὰς ἐντολάς. τοῦτο γὰρ ἡμᾶς ἀπαιτεῖ, οὐ μόνον τὸ δηλωθὲν ἐπάγγελμα, ἀλλὰ καὶ ἡ φυσικὴ ὀφειλή, καθ᾽ ἣν κτισθέντες ὑπὸ τοῦ Θεοῦ πρώτως καλοὶ λίαν, τοῦτο εἶναι ὀφείλομεν. κἂν γὰρ ἡ ἁμαρτία ὑπεισελθοῦσα δι᾽ ἀπροσεξίας ἡμετέρας τὸ παρὰ φύσιν παρεισήγαγεν, ἀλλὰ πάλιν ἀνεκλήθημεν διὰ πλήθους ἐλέους Θεοῦ ἡμῶν, καὶ ἀνεκαινίσθημεν τῷ πάθει τοῦ ἀπαθοῦς. τιμῆς τε ἠγοράσθημεν τῷ αἵματι τοῦ Χριστοῦ, λυτρωθέντες τῆς ἀρχαίας παραβάσεως πατροπαραδότου. λοιπὸν εἰ γενώμεθα δίκαιοι, οὐδὲν μέγα· ἀλλὰ μᾶλλον τὸ ἐκπεσεῖν δικαιοσύνης, ἐλεεινόν, καὶ καταγνώσεως ἄξιον.

β΄. Ὥσπερ ἔργον ἀγαθόν, χωρὶς ὀρθῆς πίστεως γινόμενον, νεκρόν ἐστι πάμπαν, καὶ ἀνενέργητον· οὕτω δὴ καὶ πίστις μόνη, χωρὶς ἔργων δικαιοσύνης, οὐ ῥύεται ἡμᾶς τοῦ αἰωνίου πυρός. ὁ γὰρ ἀγαπῶν με, φησὶν ὁ Κύριος, τὰς ἐντολάς μου τηρήσει. εἰ οὖν ἀγαπῶμεν τὸν Κύριον, καὶ πιστεύωμεν εἰς αὐτόν, ἀντιποιώμεθα τῆς τῶν ἐντολῶν αὐτοῦ ἐργασίας, ἵνα τύχωμεν ζωῆς αἰωνίου. εἰ δὲ παροπτέα ἡμῖν ἡ τῶν προσταγμάτων αὐτοῦ τήρησις, οἷς ἡ κτίσις ἅπασα πειθαρχεῖ, πῶς πιστοὺς ἑαυτοὺς καλέσωμεν; τετιμημένοι ὑπὲρ πᾶσαν τὴν κτίσιν, μόνοι δὲ ἐκ πάντων ἀπειθεῖς τοῖς τοῦ πεποιηκότος προστάγμασι, καὶ ἀχάριστοι περὶ τὸν εὐεργέτην δεικνύμενοι;

γʹ. Τὰς ἐντολὰς τοῦ Χριστοῦ τηροῦντες, οὐδὲν ἐκείνῳ παρέχομεν, ἀνενδεεῖ τε ὄντι, καὶ πάντων τῶν ἀγαθῶν δοτῆρι· ἀλλ᾽ ἑαυτοὺς εὐεργετοῦμεν τὴν αἰώνιον ἑαυτοῖς προξενοῦντες ζωήν, καὶ ἀπόλαυσιν τῶν ἀνεκλαλήτων ἀγαθῶν.

δʹ. Πᾶς ὁ ἐναντιούμενος ἡμῖν πρὸς κατόρθωσιν τῶν ἐντολῶν τοῦ Θεοῦ, κἂν πατὴρ εἴη, κἂν μήτηρ, κἂν ὅστις οὖν, βδελυκτὸς ἡμῖν ἔστω, καὶ μισητός· ἵνα μὴ ἀκούσωμεν, ὅτι ὁ φιλῶν πατέρα, ἢ μητέρα ὑπὲρ ἐμέ, ἢ ἕτερόν τινα τῶν ἁπάντων, οὐκ ἔστι μου ἄξιος.

εʹ. Καὶ δὴ πάσῃ δυνάμει σφίγξωμεν ἑαυτοὺς πρὸς ἐργασίαν τῶν ἐντολῶν τοῦ Κυρίου, ἵνα μὴ σειραῖς δυσλύτοις ἐπιθυμιῶν πονηρῶν, καὶ ἡδονῶν ψυχοφθόρων σφιγχθῶμεν· καὶ λεχθήσεται καὶ περὶ ἡμῶν ἡ τῆς ἀκάρπου συκῆς ἀπόφασις· ἔκκοψον αὐτήν, λέγουσα, ἵνα μὴ καὶ τὸν τόπον καταργῇ· πᾶς γάρ, φησίν, ὁ μὴ ποιῶν καρπὸν καλόν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

ϛʹ. Ὁ ἐπιθυμίαις, καὶ ἡδοναῖς ἡττώμενος, καὶ ἐν τῷ κόσμῳ ἀναστρεφόμενος, ταχέως ταῖς τῆς ἁμαρτίας ἐμπεσεῖται δικτύοις· ἡ δὲ ἁμαρτία ἅπαξ πραχθεῖσα, πῦρ ἐστι τῆς καλάμης, λίθος κατὰ πρανοῦς, χαράδρα τὰς διεξόδους διαρρύουσα· ταῦτα δὴ τὰ ᾀδόμενα· καὶ παντὶ τρόπῳ τοῦ κεκτημένου αὐτὴν κατεργάζεται τὴν ἀπώλειαν.

ζʹ. Ἡ ψυχὴ ἐφόσον μὲν εἰς τὸ παρὰ φύσιν ἐστίν, ἀπηγριωμένη καὶ ἐξηκανθωμένη ταῖς ἡδοναῖς, οἰκητήριον ἐστὶ τῶν ἀλλοκότων θηρίων, καὶ τὸ εἰρημένον· ὅτι ἐκεῖ ἀναπαύσονται ὀνοκένταυροι, ἐκεῖ ἐνοσσεύσουσιν ἐχῖνοι, καὶ συναντήσουσι δαιμόνια ὀνοκενταύροις· ἅτινα εἰσὶ τὰ ποικίλα πάθη τῆς ἀτιμίας· ἐπὰν δὲ εἰς τὸ κατὰ φύσιν ἑαυτὴν ἀνακαλέσηται, (δύναται γὰρ ἡνίκα θελήσῃ ἕως τῷ σαρκίῳ συνέζευκται), καὶ ἡμερώσῃ ἑαυτὴν δι᾽ ἐπιμελοῦς φιλεργίας, καὶ τῷ τοῦ Θεοῦ νόμῳ πολιτεύσηται, τὰ μὲν πρώην ἐμφωλεύοντα θηρία δραπετεύσουσιν· οἱ δὲ τῆς ζωῆς ἡμῶν φύλακες Ἄγγελοι παραγίνονται, ἡμέραν εὐφροσύνης ποιούμενοι τὴν αὐτῆς ἐπιστροφήν· καὶ ἡ τοῦ Παναγίου Πνεύματος χάρις ἐπιδημεῖ ἐν αὐτῇ, διδάσκουσα γνῶσιν ὅπως ἂν διαφυλαχθῇ ἐν τῷ ἀγαθῷ, καὶ ἐπὶ μείζονα προέλθῃ.

ηʹ. Ὅπλον οἱ πατέρες πνευματικὸν τὴν προσευχὴν ὁρίζονται, καὶ οὐκ ἔστιν ἄνευ ταύτης εἰς πόλεμον ἐξιέναι, ἵνα μὴ δορυάλωτοι ἐν τῇ τῶν ἐχθρῶν ἀπαχθῶμεν χώρᾳ· προσευχὴν δὲ καθαρὰν οὐκ ἔστι κτήσασθαι μὴ προσκαρτεροῦντα τῷ Θεῷ ἐν εὐθείᾳ καρδίᾳ· αὐτὸς γάρ ἐστιν ὁ διδοὺς εὐχὴν τῷ εὐχομένῳ, καὶ διδάσκων ἄνθρωπον γνῶσιν.

θʹ. Τὸ μὲν παρενοχλεῖν τὰ πάθη τὴν ψυχήν, καὶ προσβάλλειν εἰς μάχην, τοῦτο οὐκ ἐφ᾽ ἡμῖν ἐστι· τὸ δὲ χρονίζειν ἐν ἡμῖν τὰς αὐτῶν ἐννοίας, καὶ τὰ πάθη κινεῖν, τοῦτο ἐφ᾽ ἡμῖν ὑπάρχει· τὸ μὲν οὖν πρῶτον ἀναμάρτητόν ἐστι, καθὸ καὶ οὐκ ἐφ᾽ ἡμῖν· τὸ δὲ δεύτερον, εἰ μὲν ἀνδρείως ἀντιμαχησάμενοι νικήσομεν, στεφάνων· εἰ δὲ χαυνώσει καὶ δειλίᾳ ἡττηθῶμεν, τιμωριῶν πρόξενοι.

ιʹ. Τρία μέν εἰσι τὰ γενικώτατα πάθη, δι᾽ ὧν γεννῶνται πάντα· φιληδονία, φιλαργυρία, καὶ φιλοδοξία· οἷς ἐπακολουθοῦσιν ἕτερα πέντε πονηρίας Πνεύματα· καὶ λοιπὸν ἐξ ἐκείνων πολὺς γεννᾶται ἑσμὸς παθῶν, καὶ εἴδη ποικιλόμορφα κακίας· ὁ οὖν τὰς τρεῖς ἀρχηγοὺς καὶ ἡγεμόνας νικήσας, συγκαθεῖλε καὶ τὰς πέντε, εἶτα καὶ πάντα ὑπέταξε τὰ πάθη.

ιαʹ. Ὅσα περ ἐμπαθῶς διεπράξαμεν, τούτων καὶ αἱ μνῆμαι τὴν ψυχὴν ἐμπαθῶς τυραννοῦσιν· ὅταν δὲ τὰ ἐμπαθῆ ἐνθυμήματα πάντῃ τῆς καρδίας ἐξαλειφθῇ, ὡς μηδὲ προσβάλλειν αὐτῇ, τότε



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σημεῖον φαίνεται τῆς συγχωρήσεως τῶν προτέρων ἁμαρτημάτων· ἕως γὰρ ἐμπαθῶς ἡ ψυχὴ κινεῖται, καὶ ἡ τῆς ἁμαρτίας ἐπικράτεια ἐν αὐτῇ γνωρίζεται.

ιβʹ. Τὰ μὲν σωματικὰ, καὶ ἔνυλα πάθη, διὰ τῶν τοῦ σώματος κακοπαθειῶν ἐλαττοῦσθαι καὶ ἀπομαραίνεσθαι πέφυκε· τὰ δὲ ψυχικὰ, καὶ ἀφανῆ, διὰ τῆς ταπεινοφροσύνης, καὶ πρᾳότητος, καὶ ἀγάπης ἀφανίζονται.

ιγʹ. Ἐπιθυμίαν μὲν ἐμπαθῆ, μαραίνει ἐγκράτεια σὺν ταπεινοφροσύνῃ· θυμὸν δὲ φλεγμαίνοντα, πραΰνει ἀγάπη· λογισμὸν δὲ ῥεμβόμενον, συνάγει προσευχὴ ἐκτεταμένη μετὰ μνήμης Θεοῦ· καὶ οὕτω τὸ τριμερὲς τῆς ψυχῆς καθαρίζεται· τοῦτο γὰρ διορθούμενος ὁ θεῖος Ἀπόστολος, ἔλεγεν· εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς, οὐδεὶς ὄψεται τὸν Κύριον.

ιδʹ. Τινὲς μὲν ἠπόρησαν εἰπόντες, πότερον, ἡ ἔννοια τὰ πάθη κινεῖ, ἢ τὰ πάθη τὴν ἔννοιαν· ὡς τινῶν μὲν τοῦτο λεγόντων, τινῶν δὲ ἐκεῖνο· ἐγὼ δέ φημι ἐκ τῶν παθῶν τὰς ἐννοίας κινεῖσθαι· εἰ γὰρ οὐκ ἦν ἐν τῇ ψυχῇ τὰ πάθη, οὐκ ἂν αἱ τούτων ἔννοιαι ἠνώχλουν αὐτήν.

ιεʹ. Ἔθος ἐστὶ τοῖς ἀεὶ πολεμοῦσιν ἡμᾶς δαίμοσιν, ὡς τὰ μὲν δυνατὰ καὶ ἐπιτήδεια ἡμῖν τῶν ἀρετῶν κωλύειν, τῶν δὲ ἀδυνάτων καὶ ἀκαίρων πόθον ἡμῖν ἰσχυρὸν ἐμβάλλειν· τοῖς μὲν ἐν κοινοβίῳ προκόπτουσι, τὰ τῶν ἡσυχαστῶν ἔργα πράττειν καταναγκάζουσι· ἡσυχασταῖς δὲ πάλιν καὶ ἀναχωρηταῖς, τοῦ κοινοβιακοῦ κανόνος ἐπιθυμίαν ἐμβάλλουσι· ταύτῃ δὲ τῇ μεθόδῳ καὶ ἐφ᾽ ἑκάστῃ ἀρετῇ χρῶνται, ἀλλ᾽ ἡμεῖς τὰ νοήματα αὐτῶν μὴ ἀγνοήσωμεν, πάντα καλὰ εἰδότες καιρῷ αὐτῶν, καὶ μέτρῳ, ἔμπαλιν δὲ βλαβερὰ τὰ ἄμετρα, καὶ ἄκαιρα πάντα.

ιϛʹ. Τοῖς μὲν τῷ κόσμῳ ἀναστρεφομένοις, καὶ πλησιάζουσι ταῖς ὕλαις τῶν παθῶν, διὰ τοῦ κατὰ τὴν πρᾶξιν πολέμου οἱ δαίμονες πολεμοῦσι, καὶ παλαίουσι· τοῖς δὲ ἐν ἐρήμοις διὰ τὴν τῶν πραγμάτων σπάνιν, τοῖς λογισμοῖς ἐνοχλοῦσι· πολὺ δὲ χαλεπώτερος ὁ δεύτερος τοῦ προτέρου καθέστηκε πόλεμος· ὁ μὲν γὰρ διὰ τῶν πραγμάτων, χρόνου δεῖται, καὶ τόπου, καὶ ἐπιτηδειότητος· ὁ δὲ τοῦ νοὸς εὐκίνητός πως, καὶ δυσκάθεκτος· ταύτης δὲ τῆς ἀσωμάτου πάλης ἀντίπαλος ἡμῖν ἡ καθαρὰ προσευχὴ δέδοται, διὸ καὶ ἀδιαλείπτως αὐτὴ νενομοθέτηται. ἐῤῥωμένον ἂν τὸν νοῦν πρὸς τὸν ἀγῶνα παρασκευάζει, ὡς δυναμένη καὶ δίχα τοῦ σώματος ἐπιτελεῖσθαι.

ιζʹ. Τὴν τελείαν τῶν παθῶν νέκρωσιν ὁ θεῖος δηλῶν Ἀπόστολος, οἱ δὲ τοῦ Χριστοῦ, φησὶ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. ὅταν γὰρ τὰ πάθη νεκρώσωμεν, καὶ τὰς ἐπιθυμίας ἐξαφανίσωμεν, καὶ τὸ τῆς σαρκὸς φρόνημα ὑποτάξωμεν τῷ Πνεύματι, τότε λαμβάνομεν τὸν σταυρὸν, καὶ ἀκολουθοῦμεν τῷ Χριστῷ· οὐδὲν γὰρ ἄλλο ἡ ἀναχώρησις πέφυκεν, ἀλλ᾽ ἢ νέκρωσις τῶν παθῶν, καὶ φανέρωσις τῆς ἐν Χριστῷ κρυπτομένης ζωῆς.

ιηʹ. Οἱ ἀπὸ τῆς ἐπαναστάσεως τοῦ σώματος τοῦ θανάτου τέως ταλαιπωρούμενοι, καὶ πρὸς τὸν καθ᾽ ὥραν αὐτοῦ πόλεμον ἀπαγορεύοντες, μὴ τὴν σάρκα, ἀλλ᾽ ἑαυτοὺς καταμεμφέσθωσαν· εἰ γὰρ μὴ αὐτοὶ δεδώκασιν αὐτῇ τὴν ἰσχὺν, πρόνοιαν αὐτῆς εἰς ἐπιθυμίαν ποιούμενοι, οὐκ ἂν τοσοῦτον ὑπ᾽ αὐτῆς τεταλαιπωρήκεισαν· ἢ οὐχ ὁρῶσι τοὺς σταυρώσαντας ἑαυτοὺς σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, καὶ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῇ θνητῇ αὐτῶν σαρκὶ περιφέροντας, ὅπως αὐτὴν συνεργὸν μᾶλλον πρὸς τὰ καλὰ, καὶ οὐκ ἀντίπαλον κέκτηνται, ἀλλ᾽ εἴκουσαν, καὶ ἀγομένην τῷ τοῦ Θεοῦ νόμῳ· καὶ αὐτοὶ τοίνυν οὕτω ποιείτωσαν, καὶ τῆς ὁμοίας ἀπολαύσουσιν ἀναπαύσεως.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ιθ'. Πᾶσα συγκατάθεσις λογισμοῦ πρός τινα ἀπηγορευμένην ἐπιθυμίαν, ἤγουν νεῦσις ἔνδοθεν, ἁμαρτία ἐστὶ Μοναχοῦ· πρότερον μὲν γὰρ ὁ λογισμὸς ἄρχεται διὰ τοῦ παθητικοῦ μέρους τὸν νοῦν σκοτίζειν, εἶτα ῥέπει ἡ ψυχὴ πρὸς τὴν ἡδονὴν, μὴ ἀντέχουσα τῆς πάλης. καὶ λοιπὸν συγκατάθεσις λέγεται, ἥτις· ὡς εἴρηται· ἁμαρτία ἐστί. χρονίζουσα δὲ, κινεῖ τὸ λεγόμενον πάθος· ἔπειτα κατὰ μικρὸν ἔρχεται καὶ εἰς τὴν κατ' ἐνέργειαν πρᾶξιν τῆς ἁμαρτίας· διὰ τοῦτο μακαρίζει ὁ προφήτης τοὺς τὰ Βαβυλώνεια νήπια προσαρράσσοντας τῇ πέτρᾳ· ἄλλη δὲ ἐστὶν ἡ ὑπόθεσις τοῖς συνετοῖς καὶ ἐχέφροσιν.

κ'. Ἀγάπης μὲν καὶ εἰρήνης οἱ Ἄγγελοι θεράποντες ὄντες, χαίρουσιν ἐπὶ τῇ ἡμετέρᾳ μετανοίᾳ, καὶ προκοπῇ τῇ πρὸς ἀρετήν· ἐντεῦθεν σπουδάζουσι πνευματικῶν ἡμᾶς ἐμπιπλᾶν θεωριῶν, καὶ συνεργοῦσι πρὸς πᾶν ἀγαθόν. ἔμπαλιν δὲ οἱ δαίμονες ὀργῆς καὶ κακίας ὄντες δημιουργοὶ, χαίρουσι μειουμένης τῆς ἀρετῆς, καὶ ἔργον τίθενται εἰς αἰσχρὰς φαντασίας τὰς ψυχὰς ἡμῶν ἐκκλίνειν.

κα'. Πίστις ἐστὶν ἐνδιάθετον ἀγαθόν· αὕτη γεννᾷ ἐν ἡμῖν τὸν φόβον τοῦ Θεοῦ· ὁ δὲ φόβος τοῦ Θεοῦ διδάσκει τὴν τῶν ἐντολῶν τήρησιν, ἥτις λέγεται πρακτική· ἐκ δὲ τῆς πρακτικῆς, βλαστάνει ἡ τιμία ἀπάθεια· ἀπαθείας δὲ ἔγγονον, ἀγάπη, πλήρωμα οὖσα πασῶν τῶν ἐντολῶν, καὶ πάσας συσφίγγουσα καὶ διακρατοῦσα.

κβ'. Ὥσπερ ἡ τοῦ σώματος αἴσθησις, ὑγιαίνουσα, αἰσθάνεται, τίς ἡ κατέχουσα αὐτὸ ἀρρωστία, ὁ δὲ μὴ νοῶν, ἀναισθησίαν νοσεῖ· οὕτω δὴ καὶ ὁ νοῦς, ἐφ' ὅσον τὴν οἰκείαν ἐνέργειαν σωζομένην κέκτηται, ἐπιγινώσκει τὰς ἑαυτοῦ δυνάμεις, καὶ οἶδε πόθεν αὐτοῦ τὰ πάθη τυραννικώτερον ἐπεισέρχονται, καὶ πρὸς ἐκεῖνο τὸ μέρος τὴν ἰσχυρὰν συνίστησι μάχην· χαλεπὸν δὲ, εἰ ἀναισθητῶν ἀναλίσκει τὰς ἡμέρας, τῷ νυκτομαχοῦντι ἐοικὼς, καὶ μὴ θεωρῶν τοὺς λογισμοὺς τῶν πολέμων.

Ὅτε τὸ λογιστικὸν ἡμῶν ἀνενδότως ἐπιβάλλει τῇ θεωρίᾳ τῶν ἀρετῶν, καὶ τὸ ἐπιθυμητικὸν πρὸς ταύτην μόνην τέταται, καὶ τὸν αὐτῆς δοτῆρα Χριστὸν, τὸ δὲ θυμικὸν κατὰ τῶν δαιμόνων ὁπλίζεται, τότε κατὰ φύσιν αἱ δυνάμεις ἡμῶν ἐνεργοῦσιν. κγ'.

Τριμερής ἐστι πᾶσα λογικὴ ψυχὴ κατὰ τὸν Θεολόγον Γρηγόριον· τὴν μὲν οὖν ἐν τῷ λογιστικῷ συνισταμένην ἀρετὴν, φρόνησιν ἐκάλεσε, καὶ σύνεσιν, καὶ σοφίαν. τὴν δὲ ἐν τῷ θυμικῷ, ἀνδρείαν, καὶ ὑπομονήν· τὴν δὲ ἐν τῷ ἐπιθυμητικῷ, ἀγάπην, καὶ σωφροσύνην, καὶ ἐγκράτειαν· ἡ δὲ δικαιοσύνη ἐν πᾶσι ταύταις ἐγκατέσπαρται, ἁρμοδίως ἐνεργεῖν παρασκευάζουσα. καὶ διὰ μὲν τῆς φρονήσεως, ταῖς ἀντικειμέναις πολεμοῦσα δυνάμεσι, καὶ ὑπερμαχοῦσα τῶν ἀρετῶν· διὰ δὲ τῆς σωφροσύνης, ἀπαθῶς βλέπουσα τὰ πράγματα· διὰ δὲ τῆς ἀγάπης, πάντας ἀνθρώπους ὡς ἑαυτὴν φιλεῖν πείθουσα· διὰ δὲ τῆς ἐγκρατείας, πᾶσαν ἡδονὴν περικόπτουσα· διὰ δὲ τῆς ἀνδρείας καὶ ὑπομονῆς, πρὸς τοὺς ἀοράτους ὁπλίζεται πολέμους· αὕτη ἡ ἁρμονία τοῦ ἐνήχου τῆς ψυχῆς ὀργάνου. κδ'.

Ὁ σωφροσύνης ἐπιμελούμενος, καὶ τὴν μακαρίαν ποθῶν ἁγνείαν, ἣν οὐκ ἄν τις ἁμάρτῃ καλέσας ἀπάθειαν, ὑπωπιαζέτω καὶ δουλαγωγείτω τὴν σάρκα, σὺν ταπεινόφρονι λογισμῷ, τὴν θείαν ἐπικαλούμενος χάριν, καὶ τεύξεται τοῦ ποθουμένου· ὁ δὲ ἐκτρέφων τὸ σῶμα ἐν ἀκρατείαις βρωμάτων, Πνεύματι πορνείας ἐνοχληθήσεται· ὃν τρόπον γὰρ ὕδωρ πολὺ σβέννυσι φλόγα, οὕτω πύρωσιν σαρκὸς, καὶ φαντασίας αἰσχρὰς ἀφανίζει πεῖνα, ἢ ἐγκράτεια σὺν ταπεινώσει ψυχῆς. κε'.

Τὸ τῆς μνησικακίας πάθος παντὶ σθένει τῆς ψυχῆς ἀπώσω, φιλόχριστε· μηδό- κς'.

λως δώσῃς τόπον τῇ ἔχθρᾳ· ὡς πῦρ γὰρ κεκρυμμένον ἐν λεπτοκαλάμῃ, οὕτω μνησικακία ἐμφωλεύουσα ἐν καρδίᾳ, μᾶλλον δὲ προσεύχου ὑπὲρ τοῦ λελυπηκότος σε θερμῶς, καὶ εὐεργέτει αὐτόν, εἴ τι αὖ ἡ χείρ σου εὐπορῇ, ὅπως ῥύσῃ ψυχήν σου ἐκ θανάτου, καὶ μὴ ἀπαρρησίαστος ἔσῃ ἐν καιρῷ προσευχῆς σου.

κζ'. Ἐν ψυχαῖς ταπεινῶν, ἀναπαύσεται Κύριος· ἐν καρδίᾳ δὲ ὑπερηφάνων, τὰ πάθη τῆς ἀτιμίας· οὐδὲν γὰρ οὕτως ἐνισχύει ταῦτα καθ' ἡμῶν, ὡς μεγαλόφρονες λογισμοί· καὶ οὐδὲν οὕτως ἐκριζοῖ τὰς πονηρὰς βοτάνας τῆς ψυχῆς, ὡς ἡ μακαρία ταπείνωσις· διὸ καὶ παθοκτόνος εἰκότως κέκληται.

κη'. Ἐνθυμήσεων πονηρῶν ἡ ψυχή σου καθαρευέτω, καὶ ἀεὶ θείαις ἐννοίαις φωταγωγείσθω, ἔχων ἐπὶ νοῦν ἀεὶ τὸ εἰρημένον, ὅτι φιλήδονος καρδία, εἱρκτὴ καὶ ἅλυσις ἐν καιρῷ ἐξόδου. ἡ δὲ φιλόπονος, θύρα ἠνεῳγμένη. τῷ ὄντι γὰρ ψυχὰς καθαρὰς ἐξερχομένας τοῦ σώματος, Ἄγγελοι ὁδηγοῦσι, πρὸς τὴν μακαρίαν χειραγωγοῦντες ζωήν· τὰς δὲ ῥερυπωμένας, καὶ ἀμετανοήτους, δαίμονες, οἶμαι, παραλήψονται.

κθ'. Ὡραία μὲν κεφαλὴ κεκοσμημένη διαδήματι πολυτίμῳ, λίθοις ἰνδικοῖς καὶ μαργάροις ἀποστίλβοντι· ὡραιοτέρα δὲ ἀσυγκρίτως ψυχὴ πλουτοῦσα γνῶσιν Θεοῦ, καὶ φανοτάταις θεωρίαις πεφωτισμένη, ἔνοικον ἔχουσα τὸ Πανάγιον Πνεῦμα· καὶ τίς διηγήσεται ἀξίως τὸ κάλλος ἐκείνης τῆς μακαρίας ψυχῆς;

λ'. Θυμὸν καὶ ὀργὴν αὐλίζεσθαι μὴ ἐάσῃς ἐν σοί· ἀνὴρ γάρ, φησί, θυμώδης οὐκ εὐσχήμων· ἐν καρδίᾳ δὲ πραέων, ἀναπαύσεται σοφία· εἰ δὲ τὸ τῆς ὀργῆς πάθος κυριεύσει τῆς ψυχῆς σου, κρείσσους σου εὑρεθήσονται οἱ ἐν κόσμῳ ἀναστρεφόμενοι, καὶ αἰσχυνθήσῃ, ἀδόκιμος μονάδος γενόμενος.

λα'. Ἐν παντὶ πειρασμῷ, καὶ παντὶ πολέμῳ, τὴν προσευχὴν κέκτησο ἀήττητον ὅπλον, καὶ νικήσεις τῇ τοῦ Χριστοῦ χάριτι. καθαρὰ δὲ αὕτη ἔστω, καθὼς ὁ σοφὸς ἡμῖν Διδάσκαλος ὑποτίθησι· βούλομαι γάρ φησι, προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας, χωρὶς ὀργῆς, καὶ διαλογισμῶν· ὁ μέντοι ταύτης ἀμελῶν εὐχῆς, ἔκδοτος ἔσται πειρασμοῖς καὶ πάθεσιν.

λβ'. Οἶνος μὲν εὐφραίνει καρδίαν ἀνθρώπου γέγραπται· σὺ δὲ ὁ πενθεῖν καὶ κλαίειν ἐπαγγειλάμενος, τὴν τοιαύτην ἔκκλινον εὐφροσύνην, καὶ εὐφρανθήσῃ χαρίσμασι πνευματικοῖς· εὐφραινόμενος δὲ οἴνῳ, αἰσχροῖς συμβιωτεύσεις λογισμοῖς, καὶ ποικίλαις περιπαρήσῃ λύπαις.

λγ'. Τὰς ἑορτὰς μὴ οἰνοποσίαις ἐκτέλει σύ, ἀλλ' ἀνακαινίσει νοός, καὶ ψυχῆς καθαρότητι. γαστριζόμενος δέ, καὶ οἰνοποτῶν, παροργίζεις μᾶλλον τὸν προεξάρχοντα τῆς πανηγύρεως.

λδ'. Ἀγρυπνεῖν ἐν ψαλμῳδίαις, καὶ προσευχαῖς, καὶ ἀναγνώσεσι, πάντοτε μέν, ἐν ἑορταῖς δὲ μάλιστα προστετάγμεθα. ἄγρυπνος γὰρ Μοναχός, λεπτύνει διάνοιαν αὐτοῦ πρὸς θεωρίας ψυχωφελεῖς. ὕπνος δὲ πολύς, τὸν νοῦν παχύνει. ἀλλ' ὅρα μὴ δῷς σεαυτὸν ἐν ἀγρυπνίᾳ διηγήμασι κενοῖς, ἢ λογισμοῖς πονηροῖς. κρεῖσσον γὰρ καθεύδειν, ἢ περὶ λόγους τε καὶ λογισμοὺς ἀγρυπνεῖν ματαίους.

λε'. Ὄφιν ὁ τρέφων ἐν κόλπῳ, καὶ λογισμὸν πονηρὸν ἐν καρδίᾳ, θανατωθήσεται. ὁ μέν, τὸ σῶμα πληγεὶς κέντρῳ ἰοβόλῳ, ὁ δέ, τῇ ψυχῇ ἀποθέμενος ἰὸν θανατηφόρον. ἀλλὰ γεννήματα ἐχιδνῶν ταχέως ἀποκτείνωμεν, καὶ λογισμοὺς πονηροὺς ἐν καρδίᾳ μὴ ὠδίνωμεν, ἵνα μὴ πικρῶς ὀδυνηθῶμεν.

λϛ'. Ψυχὴ καθαρά, σκεῦος ἐκλογῆς, εἰκότως ἂν κληθείη, κῆπός τε κεκλεισμένος, καὶ πηγὴ ἐσφραγισμένη, καὶ θρό-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τες αἰσθήσεις. ἡ δὲ μελισμοῖς ἀκαθάρτοις μελισσομένη, βορβόρου δυσωδίας πεπλήρωται.

λζʹ. Καλλωπισμῷ ἱματίων, καὶ πλησμονῇ γαστρός, καὶ ἐντεύξεσι βλαβεραῖς, τοὺς πονηροὺς γεννᾶσθαι λογισμοὺς ἐν τῇ ψυχῇ, τῶν ἐμπείρων καὶ πρακτικῶν γερόντων ἀκήκοα.

ληʹ. Ἐπιθυμία χρημάτων ἐν ψυχαῖς ἀσκητῶν μὴ αὐλιζέσθω. πολυκτήμων γὰρ Μοναχός, ναῦς ἐστιν ὕπαντλος, κύμασι φροντίδων χειμαζομένη, καὶ λύπης βυθῷ καταδυομένη. πολλῶν παθῶν τὸ τῆς φιλαργυρίας κακὸν γεννήτωρ τυγχάνει. ῥίζα πάντων τῶν κακῶν προσηκόντως κληθέν.

λθʹ. Ἀκτημοσύνη, καὶ σιωπή, θησαυρός ἐστι κεκρυμμένος ἐν ἀγρῷ τῆς μοναδικῆς πολιτείας. ἀπελθὼν οὖν πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ αὐτὸν κτῆσαι τὸν ἀγρόν, καὶ τὸν θησαυρὸν ἀνορύξας, ἄσυλον σεαυτῷ περιφύλαξον, ἵνα πλουτήσῃς πλοῦτον μὴ κενούμενον.

μʹ. Πατρὶ συνοικήσας πνευματικῷ, καὶ ὠφελείας αἰσθανθεὶς παρ' αὐτοῦ, μηδείς σε χωριζέτω τῆς ἀγάπης αὐτοῦ καὶ συναυλίας. μὴ κρίνῃς αὐτὸν ἔν τινι, μὴ κακολογήσῃς ἐλεγχόμενος, ἢ τυπτόμενος, μὴ δῷς ἀκρόασιν τινὶ καταλαλοῦντι, μὴ συνδυάσῃς τῷ λοιδοροῦντι αὐτόν, ἵνα μὴ ὀργισθῇ Κύριος ἐπὶ σοί, καὶ ἐξαλείψῃ σε ἐκ βίβλου ζώντων.

μαʹ. Τὸ τῆς ὑποταγῆς ἄθλον διὰ τῆς ἀποταγῆς τελεῖται, καθὼς μεμαθήκαμεν. ὁ δὲ ταύτην μετερχόμενος, τοῖς τρισὶ περιφραχθήτω ὅπλοις. πίστει φημί, καὶ ἐλπίδι, καὶ ἀγάπῃ τῇ πανσέπτῳ, καὶ θείᾳ, ἵνα δι' αὐτῶν τετειχισμένος, τὸν καλὸν ἀγωνίσηται ἀγῶνα, καὶ τοὺς τῆς δικαιοσύνης λάβῃ στεφάνους.

μβʹ. Μὴ τῶν ἔργων τοῦ πατρός σου ἔσο δικαστής, ἀλλὰ τῶν ἐντολῶν ἐκπληρωτής. ἔθος γὰρ τοῖς δαίμοσιν τὰς αὐτοῦ δεικνύειν σοι ἐλλείψεις, ἵνα σοι τὰ ὦτα κωφεύσωσι πρὸς τὰς ῥήσεις. καὶ ἢ τῆς παλαίστρας, ὡς ἀναλκῆ σε καὶ δειλόν, ἀποστήσωσι στρατιώτην, ἢ μάταις ἀπιστίας ἐκλύσωσι λογισμοῖς, καὶ χαῦνον ἀπεργάσωνται πρὸς πᾶσαν ἀρετῆς ἰδέαν.

μγʹ. Ὁ πατρικῶν παρακούων ἐντολῶν, τῆς ἐξαιρέτου ἐπαγγελίας συνθηκῶν παραβάτης εὑρίσκεται. ὁ δὲ τὴν ὑπακοὴν ἐγκολπωσάμενος, τὸ ἴδιον θέλημα μαχαίρᾳ ταπεινοφροσύνης ἀποσφάξας, οὗτος ἐξεπλήρωσε, τό γ' εἰς αὐτὸν ἧκον, ἅπερ ἐπὶ πολλῶν μαρτύρων Χριστῷ ἐπηγγείλατο.

μδʹ. Ἐπισυγκροτούμενοι διέγνωμεν, καὶ ἀκριβῶς μεμαθήκαμεν, ὅτι τοὺς ἐν ὑποταγῇ πατέρων ἀσκοῦντας, πάνυ ζηλοῦσιν οἱ ἐχθροὶ τῆς ζωῆς ἡμῶν δαίμονες, τρίζοντες κατ' αὐτῶν τοὺς ὀδόντας αὐτῶν, καὶ παντοίας ἐπινοούμενοι μηχανάς. τί μὲν οὐ ποιοῦντες, τί δὲ οὐχ ὑποβάλλοντες; ὥστε χωρίσαι αὐτοὺς τῶν πατρικῶν ἀγκαλῶν. προφάσεις δανείζουσιν ὡς δῆθεν εὐλόγους, παροξυσμοὺς μεθοδεύουσι, μῖσος πρὸς τὸν πατέρα ἐγείρουσι, τὰς αὐτοῦ νουθεσίας, ὡς ἐπιπλήξεις δεικνύουσι, τοὺς δὲ ἐλέγχους ὡς βέλη ἠκονημένα πηγνύουσι. καὶ τί, φησίν, ἐλεύθερος ὢν δοῦλος γέγονας, καὶ δοῦλος ἀνηλεοῦς δεσπότου; ἕως πότε δὲ τῷ ζυγῷ τῆς δουλείας ἐκτριβήσῃ, καὶ ἐλεύθερον φῶς οὐ θεάσῃ; ἔπειτα ξενοδοχίας, καὶ ἀρρώστων ἐπισκέψεις, καὶ πενήτων ἐπιμελείας ἐπιβάλλουσιν. εἶτα καὶ τῆς ἄκρας ἡσυχίας καὶ μονώσεως τὸ ἄθλον ὑπερεπαινοῦσι, καὶ πᾶν εἶδος πονηρῶν ζιζανίων ἐνσπείρουσιν ἐν τῇ καρδίᾳ τοῦ στρατιώτου τῆς εὐσεβείας, ἵνα μόνον τῆς πνευματικῆς αὐτὸν μάνδρας ἐκβάλλωσι, καὶ τοῦ ἀκυμάντου λιμένος αὐτὸν ἐκλύσαντες, πρὸς τὴν μαινομένην ψυχοφθόρῳ κλύδωνι θάλασσαν ἀπορρίψωσιν. ἔπειτα ὡς αἰχμάλωτον εἰς τὴν ἰ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δίαν ἐξουσίαν λαβόντες, καὶ τὰ πονηρὰ αὐτῶν θελήματα χρήσωνται.

με'. Σοὶ δὲ τῷ ἐν ὑποταγῇ ὄντι πατρὸς, ὁ τῶν ἐχθρῶν καὶ πολεμίων δόλος μὴ λανθανέτω. μηδὲ τῆς ἐπαγγελίας σου καὶ πρὸς Θεὸν ὑποσχέσεως ἐπιλανθάνου, μὴ ὕβρεσιν ἡττηθῇς, μὴ τοὺς ἐλέγχους, καὶ χλευασμοὺς, ἢ μυκτηρισμοὺς δειλιάσῃς, μὴ ταῖς ὑποβολαῖς τῶν πονηρῶν λογισμῶν εἴξῃς, μὴ αὐστηρότητα παῤῥησίαν ἐκφύγῃς, μὴ αὐταρεσκείας καὶ αὐθαδείας θρασύνητι, ταπεινώσεως χρηστὸν ἀτιμάσῃς ζυγόν. ἀλλὰ τὸ δεσποτικὸν ἐν καρδίᾳ θέμενος λόγιον, ὅτι ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται, μεθ' ὑπομονῆς τρέχε τὸν προκείμενόν σοι ἀγῶνα, ἀφορῶν εἰς τὸν τῆς πίστεως ἀρχηγὸν, καὶ τελειωτὴν Ἰησοῦν.

μϛ'. Χρυσοχόος μὲν χρυσὸν ἐν χωνευτηρίῳ βαλὼν, καθαρώτερον ἀπεργάζεται. καὶ τέλειος μοναχὸς, ὑποταγῆς ἄθλοις ἑαυτὸν ἐκδοὺς, καὶ πᾶσι τοῖς λυπηροῖς τοῦ κατὰ Θεὸν βίου πυρούμενος, μετὰ κόπου δὲ, καὶ ὑπομονῆς πολλῆς τὴν ὑπακοὴν ἐκμανθάνων, τὰ ἤθη ἀναχωνευθεὶς τὴν ταπείνωσιν ἐκμανθάνει, καὶ φαιδρὸς ἀποκαθίσταται, καὶ ἄξιος γίνεται τῶν οὐρανίων θησαυρῶν, τῆς ἀνωλέθρου διαγωγῆς, καὶ μακαρίας λήξεως, ἔνθα ἀπέδρα ὀδύνη καὶ στεναγμὸς, εὐφροσύνη δὲ, καὶ διηνεκὴς θυμηδία πεφύτευται.

μζ'. Πίστις ὀρθὴ καὶ ἐνδιάθετος, γεννᾷ τὸν τοῦ Θεοῦ φόβον. ὁ δὲ τοῦ Θεοῦ φόβος, τήρησιν ἐντολῶν ἡμᾶς ἐκδιδάσκει. οὗ γάρ· φησί. φόβος, ἐντολῶν τήρησις. ἐκ τῆς τῶν ἐντολῶν τηρήσεως, συνίσταται ἡ πρακτικὴ ἀρετὴ, ἀρχὴ οὖσα τῆς θεωρητικῆς. τούτων δὲ καρπός ἐστιν ἡ ἀπάθεια. δι' ἀπαθείας δὲ ἐγγίνεται ἡμῖν ἡ ἀγάπη. περὶ δὲ τῆς ἀγάπης· φησὶν ὁ ἠγαπημένος μαθητής· ὁ Θεὸς ἀγάπη ἐστὶ, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ.

Ὡς ὡραία ὄντως καὶ καλὴ ἡ τῶν Μοναχῶν πολιτεία. ὡς ὡραία ὄντως καὶ καλὴ, εἴπερ κατὰ τοὺς ὅρους καὶ νόμους, οὓς οἱ ἀρχηγοὶ ταύτης καὶ ἡγεμόνες ἐκ τοῦ Ἁγίου διδαχθέντες Πνεύματος ἔθεντο, γίνεται. τὸν γὰρ τοῦ Χριστοῦ στρατιώτην ἄϋλον δεῖ ὑπάρχειν, καὶ ἀμέριμνον πάσης ἐννοίας καὶ πράξεως κοσμικῆς, ὥς φησιν ὁ Ἀπόστολος. οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. μη'.

Χρὴ τοίνυν τὸν Μοναχὸν ἄϋλον εἶναι, ἀπαθῆ, πάσης ἐπιθυμίας πονηρᾶς ἐκτὸς, μὴ ῥυφητὴν, μὴ πάροινον, μὴ νωθρὸν, μὴ ῥάθυμον, μὴ φιλάργυρον, μὴ φιλήδονον, μὴ φιλόδοξον, εἰ μὴ γάρ τις τούτων ἑαυτὸν ὑπεξάρῃ, οὐκ ἂν δυνηθῇ τὴν ἀγγελικὴν ταύτην πολιτείαν κατορθῶσαι. τοῖς δέ γε ἁρμοδίως κατορθοῦσιν, ἐστὶν ὁ ταύτης ζυγὸς χρηστὸς, καὶ τὸ φορτίον ἐλαφρὸν, τῆς θείας ἐλπίδος ἐπικουφιζούσης πάντα. ἡδὺς ὁ τοιοῦτος βίος, ἡ πρᾶξις τερπνὴ, ἡ μερὶς ἀγαθὴ, ἥτις οὐκ ἀφαιρεθήσεται τῆς ταύτην κεκτημένης ψυχῆς. μθ'.

Ὁ τῶν βιωτικῶν ἀποταξάμενος μεριμνῶν, καὶ τὸν ἀσκητικὸν ἐνδυσάμενος ἀγῶνα, μὴ ἐπιθυμήσῃς πλοῦτον ἔχειν πρὸς διάδοσιν τῶν πενήτων. ἔστι γὰρ καὶ αὕτη ἀπάτη τοῦ πονηροῦ πρὸς κενοδοξίαν προσερχομένη, ἵνα εἰς πολυπραγμοσύνην ἐμβάλῃ τὸν νοῦν. κἂν γὰρ ἄρτον μόνον ἔχῃς, κἂν ὕδωρ, δύνασαι ἐν τούτοις ποιῆσαι τῆς φιλοξενίας τὸν μισθόν. κἂν μὴ δὲ ταῦτα ἔχῃς, μόνῃ δὲ προθέσει ἀγαθῇ ὑποδέξῃ τὸν ξένον, καὶ λόγον παρακλήσεως αὐτῷ δῷς, ὡσαύτως δύνασαι τὸν τῆς φιλοξενίας μισθὸν· πορίσασθαι. ἔχεις τὴν ἐν τῷ Εὐαγγελίῳ ὑπὸ τοῦ Κυρίου μαρτυρουμένην χήραν, διὰ δύο μόνων λεπτῶν τὴν τῶν πλουσίων ὑπερβεβηκυῖαν προαίρεσίν τε, καὶ δύναμιν. ν'.

Ταῦτα τοῖς ἐν ἡσυχίᾳ καθεζομένοις να'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἴρηται. οἱ δ' ἐν ὑποταγῇ παγέντες, ἓν μόνον ἐχέτωσαν ἐπὶ νοῦν, τὸ ἐν μηδενὶ τῆς πατρικῆς ἐκπίπτειν ἐντολῆς. τοῦτο γὰρ κατορθοῦντες, τὸ πᾶν εἰσὶ κατορθωκότες. ὥσπερ τὸ ἔμπαλιν, εἰ τῆς τοιαύτης ἐκπέσωσιν ἀκριβείας, καὶ πολιτείας, ἀδόκιμοι κατὰ πᾶσαν ἰδέαν ἀρετῆς, καὶ πολιτείαν πνευματικὴν ἔσονται.

νβʹ. Ἔχε καὶ ταύτην μου τὴν συμβουλὴν φιλόχριστε, ξενιτείαν ἀγάπα, ἀπαλλαττόμενος τῶν κατὰ τὴν ἰδίαν χώραν περισπάσεων. γονικαῖς μερίμναις, ἢ συγγενικαῖς φιλίαις μὴ συναπαχθῇς. τὰς ἐν πόλει διατριβὰς φεῦγε, καὶ ἐν ἐρημίᾳ καρτέρησον, λέγων μετὰ τοῦ προφήτου, ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.

νγʹ. Τοὺς ἡσυχάζοντας, καὶ ἀπῳκισμένους τοῦ κόσμου δίωκε τόπους, κἂν σπάνις ἔσω καὶ στενοχωρία τῶν ἀναγκαίων χρειῶν ἐ[illegible], μὴ δειλιάσῃς. ἐὰν κυκλώσωσί σε οἱ ἐχθροί, καθάπερ μέλισσαι, ἢ κακοὶ κηφῆνες, παντοδαπούς σοι προσβάλλοντες πολέμους, καὶ παντοίοις σε διαταράττοντες λογισμοῖς, μὴ πτοηθῇς, μὴ κλίνῃς αὐτοῖς ὑπήκοον οὖς, μὴ δὲ ἀποφύγῃς τὸ τῆς ἀθλήσεως στάδιον. μακροθύμως δὲ μᾶλλον καρτέρησον, κατεπᾴδων ἑαυτοῦ καὶ λέγων. ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου. καὶ τότε ὄψει Θεοῦ τὰ μεγαλεῖα, τὴν ἀντίληψιν, τὴν κηδεμονίαν, τὴν ἄλλην ἅπασαν ἐπὶ σωτηρίᾳ πρόνοιαν.

νδʹ. Φίλους ἔχειν σε δεῖ, φιλόχριστε, τοὺς ὠφελίμους, καὶ συμβαλλομένους σοι τῇ πολιτείᾳ· ἄνδρες γάρ, φησιν, εἰρηνικοί, ἔστωσάν οἱ φίλοι σου, ἀδελφοὶ πνευματικοί, Πατέρες ἅγιοι, περὶ ὧν καὶ ὁ Κύριος ἡμῶν ἔφη. μήτηρ μου, καὶ ἀδελφοί μου οὗτοί εἰσιν, οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

Μὴ ἔσο ἐπιθυμητὴς βρωμάτων ἐνηλλαγμένων καὶ πολυτελῶν, καὶ σπατάλων θανατηφόρων. ἡ σπαταλῶσα γάρ· φησι· ζῶσα τέθνηκε. καὶ αὐτῶν δὲ τῶν ἀδιαφόρων, εἰ δυνατόν, παραιτοῦ τὸν κόρον. γέγραπται γάρ, μὴ ἀπατηθῇς χορτασίᾳ κοιλίας. νεʹ.

Ἡ ἔξω τοῦ κελλίου σου συνεχὴς διατριβὴ ἔστω σοι παραιτητέα, εἴπερ ἡσυχάζειν [illegible]. ἔστι γὰρ ἐπιζήμιος πάνυ, ἀφαιρεῖται τὴν χάριν, σκοτοῖ τὸ φρόνημα, μαραίνει τὸν πόθον. διὰ τοῦτο εἴρηται, ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. [illegible] κόπτε τῶν πολλῶν τὰς σχέσεις, μήπως ὁ νοῦς περισπαστικὸς γένηται, καὶ καταρράξῃ τὸν τῆς ἡσυχίας θρόνον. νϛʹ.

Καθεζόμενος ἐν τῷ κελλίῳ σου, μὴ ἄλογον ποιήσῃς σου τὸ ἔργον, καὶ ἀργίας πεπληρωμένον. ὁ ἀσκόπως γάρ· φησιν· ὁδοιπορῶν, ματαιοπονήσει. ἀλλὰ κτῆσαι ἐργασίαν ἀγαθήν, συνάγαγε τὸν νοῦν, πρὸ ὀφθαλμῶν ἔχε ἀεὶ τὴν τελευταίαν τοῦ θανάτου ὥραν, μνήσθητι τῆς τοῦ κόσμου ματαιότητος ὡς ἀπατηλή ἐστιν, ὡς ἀσθενής, ὡς [illegible], ἐννόει τοῦ φρικτοῦ λογοθεσίου τὴν συμφοράν, ὅπως μέλλουσιν οἱ πικροὶ φορολόγοι κατ' εἶδος παριστᾶν τὰς πράξεις ἡμῶν, τοὺς λόγους, τὰς ἐνθυμήσεις, ἃς αὐτοὶ μὲν ὑπέβαλλον, ἡμᾶς δὲ ὑποδεχομένους εἶχον. μνημόνευε καὶ τῶν ἐν τῷ ᾅδῃ κολάσεων· καὶ πῶς ἄρα εἰσὶν ἐκεῖσε κατακλεισθεῖσαι αἱ ψυχαί, μνημόνευε καὶ τῆς μεγάλης καὶ φοβερᾶς ἡμέρας ἐκείνης, τῆς κοινῆς φημὶ ἀναστάσεως, καὶ παραστάσεως πρὸς τὸν Θεόν, τῆς τελευταίας ἀποφάσεως τοῦ ἀπαραλογίστου κριτοῦ· λογίζου τὴν καταληψομένην τοὺς ἁμαρτωλοὺς τιμωρίαν, τὸ ὄνειδος, τὸν ἔλεγχον τῆς συνειδήσεως, τὸ ἐξωσθῆναι τοῦ Θεοῦ, καὶ ἀπορριφῆναι εἰς τὸ αἰώνιον πῦρ, εἰς τὸν ἀτελεύτητον σκώληκα, εἰς τὸ σκότος τὸ ἀφεγγές, ὅ- νζʹ.

Athos Library Αγιορειτική Βιβλιοθήκη

κεν ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, τά τε ἄλλα κολαστήρια πάντα αὐστηρῶν, μὴ διαλίπῃς καὶ σταλαγμοῖς δακρύων καταβρέχουσα τὰς παρειὰς, τὴν ἐσθῆτα, τὴν κλίνην ἔνθα καθέζῃ. ταύταις γὰρ ταῖς ἐννοίαις, πολλοὺς εὕρηκα δακρύων πλῆθος πολὺ κτησαμένους, καὶ πάσας τὰς τῆς ψυχῆς δυνάμεις θαυμαστῶς ἐκκαθάραντας.

νη'. Ἀλλὰ καὶ τὰ τοῖς δικαίοις ἀποκείμενα ἀγαθὰ ἐννοοῦ, τὴν ἐκ δεξιῶν τοῦ Χριστοῦ παράστασιν, τὴν εὐλογημένην φωνὴν τοῦ δεσπότου, τὴν κληρονομίαν τῆς οὐρανίου βασιλείας, τῆς ὑπὲρ πᾶν δωρεᾶς, τὸ φῶς ἐκεῖνο τὸ γλυκύτατον, τὴν χαρὰν, τὴν τέλος οὐκ ἔχουσαν, τὴν λύπῃ μὴ διακοπτομένην, τὰς μονὰς ἐκείνας τὰς οὐρανίους, τὴν μετὰ Ἀγγέλων διαγωγὴν, τὰ ἄλλα πάντα τὰ ἐπηγγελμένα τοῖς φοβουμένοις τὸν Κύριον.

νθ'. Οὗτοι οἱ λογισμοὶ συνδιατριβέτωσάν σοι, συγκαθευδέτωσαν, καὶ συνανιστάσθωσαν. ὅρα μὴ ἐπιλάθῃ τούτων ποτὲ, ἀλλ' ὅπουπερ ἂν ᾖς, τῆς τούτων μνήμης μὴ ἐξάγῃς σου τὸν νοῦν, ἵνα καὶ οἱ πονηροὶ φύγωσι λογισμοὶ, καὶ παρακλήσεως θείας πεπληρωμένος ἔσῃ. ἡ δὲ μὴ ταύταις ταῖς ἐννοίαις τετειχισμένη ψυχὴ, ἡσυχίαν κατορθῶσαι οὐ δύναται. πηγὴ γὰρ ὕδωρ μὴ ἔχουσα, μάτην ἐπιφέρεται τὸ ὄνομα.

ξ'. Καὶ αὕτη δὲ ἡ πολιτεία τοῖς ἐν ἡσυχίᾳ κατορθοῦσθαι νενομοθέτηται. νηστεία, ὅση δύναμις, ἀγρυπνία τε, καὶ χαμευνία, καὶ ἄλλη πᾶσα κακοπάθεια, διὰ τὴν μέλλουσαν ἀνάπαυσιν. οὐ γὰρ ἄξια, φησὶ, τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. ἐξαιρέτως δὲ προσευχὴ καθαρὰ, σχεδὸν εἰπεῖν ἄπαυστος, καὶ ἀδιάλειπτος. αὕτη τεῖχος ἐστὶν ἀσφαλὲς, αὕτη λιμὴν εὔδιος, ἀρετῶν φυλακτήριον, παθῶν ἀναίρεσις, ψυχῆς εὐτονία, νοὸς καθαρτήριον, κεκμηκότων ἀνάπαυσις, πενθούντων παράκλησις. προσευχὴ Θεοῦ ὁμιλία, τῶν ἀοράτων θεωρία, τῶν ἐπιθυμουμένων πληροφορία, τῶν Ἀγγέλων διαγωγὴ, τῶν καλῶν προκοπὴ, τῶν ἐλπιζομένων ὑπόστασις. ταύτης τῆς βασιλίδος τῶν ἀρετῶν ἐπιλαβοῦ, ἀσκητὰ, πάσῃ δυνάμει. προσεύχου ἡμέρας τε, καὶ νυκτὸς, ἐν ἀθυμίᾳ, ἐν εὐθυμίᾳ. προσεύχου δὲ ἐμφόβως καὶ ἐντρόμως, νηφαλέῳ τε, καὶ ἐγρηγορότι νοῒ, ἵνα δεκτὴ Κυρίῳ γένηται ἡ προσευχή σου· ὀφθαλμοὶ γὰρ, φησὶ, Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.

Εἴρηταί τινι τῶν ἀρχαίων εὐστόχως, καὶ μάλα ἐπιτετευγμένως, ὅτι τῶν ἀντικειμένων ἡμῖν, φησὶ, δαιμόνων πρῶτοι κατὰ τὸν πόλεμον εἰσὶν οἱ ταῖς τῆς γαστριμαργίας ὀρέξεις πεπιστευμένοι, καὶ οἱ τὴν φιλαργυρίαν ἡμῖν ὑποβάλλοντες, καὶ οἱ πρὸς κενοδοξίαν ἡμᾶς ἐκκαλούμενοι. οἱ δὲ ἄλλοι πάντες κατόπιν τούτων βαδίζοντες, τοὺς ὑπὸ τούτων τιτρωσκομένους διαδέχονται. ξα'.

Καὶ οὕτως ἐπιτηρησάμενοι ἔγνωμεν, ξβ'. ὅτι οὐκ ἔστιν ἄνθρωπον περιπεσεῖν ἁμαρτίᾳ, ἢ πάθει τινὶ, μὴ πρότερον ὑπό τινος τῶν τριῶν τούτων κατατρωθέντα. διὸ καὶ τοὺς τρεῖς τούτους λογισμοὺς ὁ διάβολος τότε τῷ Σωτῆρι προσήγαγεν. ὧν ὁ Κύριος ἡμῶν κρείττων φανεὶς, εἰς τὰ ὀπίσω χωρεῖν τῷ διαβόλῳ προστέταχεν, διδοὺς ἡμῖν τὴν κατ' αὐτοῦ νίκην, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος δεσπότης, ὁ καὶ πάντα ὁμοιοπαθὲς ἡμῖν περιθέμενος σῶμα χωρὶς ἁμαρτίας, καὶ δείξας ἡμῖν τὴν τῆς ἀναμαρτησίας τρίβον ἀπλανῆ, ἐν ᾗ πορευόμενοι ἀναμορφούμεθα ἐνδυόμενοι τὸν νέον ἄνθρωπον, τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν.

Τέλειον μῖσος μισεῖν τοὺς δαίμονας, ξγ'. ὡς ἅτε τῆς σωτηρίας ἡμῶν ἐχθροὺς, ὁ Δαβιτικὸς διδάσκει λόγος, καὶ ἔστι τοῦτο



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πάνυ πρὸς ἀρετῆς ἐργασίαν ἐπιτήδειον. τί δὲ ἐστὶν ὁ τέλειον μῖσος μισῶν τοὺς ἐχθρούς; ὁ μηκέτι κατ' ἐνέργειαν, ἢ κατὰ διάνοιαν ἁμαρτάνων. ἐν ὅσῳ δὲ τὰ σκῦλα τῆς αὐτῶν φιλίας, ἤγουν τὰ αἴτια τῶν παθῶν ἐν ἡμῖν ὦσι, πῶς τὸ πρὸς αὐτοὺς μῖσος ἐν ἡμῖν κατορθωθήσεται; φιλήδονος γὰρ καρδία τοῦτο ἐκτρέφειν παρ' ἑαυτῇ οὐκ ἰσχύει.

ξδ'. Ἔνδυμα γαμικόν ἐστιν, ἀπάθεια ψυχῆς λογικῆς, τῶν κοσμικῶν κεχωρισμένης ἡδονῶν, καὶ πάσας ἀρνησαμένης τὰς ἀτόπους ἐπιθυμίας, ἐννοίαις δὲ φιλοθέοις, καὶ μελέτῃ καθαρωτάτῃ θεωριῶν ἀσχολουμένης. ἐκ δὲ τῶν τῆς ἀτιμίας παθῶν, καὶ τῶν ἐν τούτοις ἀδολεσχιῶν, τὸν χιτῶνα τῆς σωφροσύνης ταύτης ἐκδύεται, ῥάκεσι δὲ διερρωγόσι, καὶ κατερρυπωμένοις ἠχρείωται. καθὼς καὶ ἐν τοῖς Εὐαγγελίοις δηλοῦται, ὅτι ὁ δεσμούμενος ἐκεῖνος χεῖρας καὶ πόδας, καὶ εἰς τὸ ἐξώτερον σκότος βαλλόμενος, ἐκ τοιούτων λογισμῶν, καὶ πράξεων εἶχε καθυφασμένον τὸ ἔνδυμα, ὅνπερ οὐκ ἄξιον τῶν θείων καὶ ἀφθάρτων γάμων ὁ λόγος ἀπεφήνατο εἶναι.

ξε'. Ἀπὸ τῆς φιλαυτίας τῆς πάντας μισούσης, σοφός τις εἰκότως ἐφθέγξατο. πρῶτος γάρ ἐστι πάντων τῶν λογισμῶν ὁ δεινὸς οὗτος τῆς φιλαυτίας πόλεμος, καθάπερ τις τύραννος ὤν, μεθ' ὃν καὶ οἱ τρεῖς, καὶ οἱ πέντε τὸν νοῦν ἡμῶν ἁρπάζουσι.

ξς'. Θαυμάζω, εἰ βρώμασι κορεννύμενος, δυνήσεταί τις ἀπάθειαν κτήσασθαι. ἀπάθειαν δὲ λέγω, οὐ τὴν ἀποχὴν τῆς κατ' ἐνέργειαν ἁμαρτίας. αὕτη γὰρ ἐγκράτεια λέγεται. ἀλλὰ τὴν ἀπὸ τῆς διανοίας τὰς ἐμπαθεῖς ἐννοίας προρρίζους ἐκτίλλουσαν. ἥτις καὶ καθαρότης καρδίας ὠνόμασται.

ξζ'. Ῥᾷον ἀκάθαρτον καθᾶραι ψυχήν, ἢ καθαρθεῖσαν, καὶ πάλιν τραυματισθεῖσαν, εἰς ὑγείαν αὖθις ἀνακαλέσασθαι. τοῖς γὰρ ἄρτι τῆς τοῦ κόσμου συγχύσεως ἀποταξαμένοις, ὁποίοις ἂν τύχωσι περιπεπτωκότες πλημμελήμασιν, εὐκοπώτερόν ἐστι τῆς ἀπαθείας ἐπιλαβέσθαι. τοῖς δὲ γευσαμένοις καλῶν Θεοῦ ῥημάτων, καὶ βαδίσασιν ὁδὸν σωτηρίας, εἶτα παλινδρομήσασι πρὸς τὴν ἁμαρτίαν, δυσκατόρθωτός πως, ἡ ἀπάθεια γίνεται. τοῦτο μὲν διὰ τὴν κακίαν ἕξιν, καὶ πονηρὰν συνήθειαν· τοῦτο δὲ τοῦ δαίμονος τῆς λύπης ἀεὶ ταῖς κόραις τῶν ὀφθαλμῶν ἐμπεδῶντος, καὶ τὸ τῆς ἁμαρτίας προσφέροντος εἴδωλον. ἀνδρεία μέντοι καὶ φιλόπονος ψυχή, καὶ τὸ δυσκατόρθωτον τοῦτο ῥαδίως κατώρθωσε, συνεργούσης τῆς θείας χάριτος, μακροθύμως φιλανθρωπευομένης εἰς ἡμᾶς, καὶ πρὸς μετάνοιαν προσκαλουμένης, καὶ τοὺς ἐπιστρέφοντας σπλάγχνοις ἀρρήτοις οἰκτιρμῶν προσδεχομένης, καθὼς ἐν τοῖς Εὐαγγελίοις διὰ τῆς τοῦ ἀσώτου παιδὸς παραβολῆς ἐδιδάχθημεν.

Οὐδεὶς ἡμῶν ἐκ τῆς οἰκείας ἰσχύος ξη'.
δύναται περιγενέσθαι τῶν μεθόδων καὶ τεχνῶν τοῦ πονηροῦ, ἀλλ' ἐκ τῆς ἀηττήτου δυνάμεως τοῦ Χριστοῦ. μάτην οὖν πεπλάνηνται οἱ φυσιούμενοι διὰ τῶν παρ' αὐτοῖς τελουμένων ἀσκήσεων, καὶ τοῦ αὐτεξουσίου, καταργεῖν τὴν ἁμαρτίαν φημίζοντες, τὴν διὰ μόνης τῆς τοῦ Θεοῦ χάριτος καταργουμένην. ὡς ἔτι νεκρωθεῖσαν διὰ τοῦ ἐν τῷ σταυρῷ μυστηρίου. διὰ τοῦτο καὶ ὁ τῆς Ἐκκλησίας φωστὴρ Ἰωάννης ὁ Χρυσόστομος λέγει, ὅτι οὐκ ἀρκεῖ προθυμία ἀνθρώπου, ἂν μὴ καὶ τῆς ἄνωθεν ἀπολαύσῃ ῥοπῆς. καὶ ὅτι πάλιν οὐδὲν κερδαίνομεν ἀπὸ τῆς ἄνωθεν ῥοπῆς, προθυμίας οὐκ οὔσης. καὶ ταῦτα ἀμφότερα δεικνῦσιν Ἰούδας, καὶ Πέτρος. ὁ μὲν γὰρ πολλῆς ἀπολαύσας βοηθείας, οὐδὲν ὠφελήθη, ἐπεὶ μὴ ἠθέλησε, μηδὲ τὰ παρ' ἑαυτοῦ συνεισήνεγκεν. ὁ δὲ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Πέτρος, καίπερ προθυμηθεὶς, ἐπειδὴ μηδεμιᾶς ἀπήλαυσε βοηθείας, κατέπεσε. καὶ γὰρ ἀπὸ τῶν δύο τούτων ἡ ἀρετὴ ὑφαίνεται. διὸ παρακαλῶ, φησὶ, μήτε τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψαντας καθεύδειν, μήτε σπουδάζοντας, νομίζειν οἰκείοις πόνοις τὸ πᾶν κατορθοῦν.

ξθ'. Οὔτε γὰρ ὑπτίους εἶναι ἡμᾶς βούλεται ὁ Θεός. διὰ τοῦτο οὐ τὸ πᾶν αὐτὸς κατεργάζεται. οὔτε ἀλαζόνας βούλεται εἶναι, διὰ τοῦτο οὐ τὸ πᾶν ἡμῖν ἔδωκεν. ἀλλ' ἑκατέρου τὸ βλαβερὸν ἀνελὼν, τὸ χρήσιμον ἡμῖν εἴασε. καλῶς δὲ καὶ ὁ ψαλμῳδὸς διδάσκει, ἐὰν μὴ Κύριος, λέγων, οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἀγρυπνεῖ ὁ φυλάσσων καὶ κοπιῶν. ἀμήχανον γὰρ ἐπιβῆναι ἐπὶ ἀσπίδα, καὶ βασιλίσκον, καὶ καταπατῆσαι λέοντα, καὶ δράκοντα, εἰ μὴ πρότερον, καθόσον δυνατὸν ἀνθρώπῳ, ἐκκαθάρας ἑαυτὸν, δυναμωθῇ παρὰ τοῦ εἰπόντος τοῖς Ἀποστόλοις, ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. διὸ δὴ καὶ προσετάχθημεν ἐν τῇ προσευχῇ δέεσθαι τοῦ δεσπότου, μὴ εἰσενεγκεῖν ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥύσασθαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ἐὰν γὰρ μὴ διὰ τῆς δυνάμεως, καὶ βοηθείας τοῦ Χριστοῦ ῥυσθῶμεν τῶν πεπυρωμένων βελῶν τοῦ πονηροῦ καὶ καταξιωθῶμεν τῆς ἀπαθείας τυχεῖν, μάτην κοπιῶμεν, ἐξ οἰκείας δυνάμεως, ἢ σπουδῆς δοκοῦντές τι κατορθῶσαι. ὁ τοίνυν βουλόμενος ἀντιστῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου, καὶ ταύτας ἀπράκτους ἀπεργάσαι, καὶ τῆς θείας δόξης μέτοχος γενέσθαι, ὀφείλει δάκρυσι, καὶ στεναγμοῖς, καὶ ἀκορέστῳ πόθῳ, καὶ ζεούσῃ ψυχῇ νύκτωρ καὶ μεθ' ἡμέραν ζητεῖν τὴν τοῦ Θεοῦ βοήθειαν καὶ θείαν ἀντίληψιν· ταύτης δὲ ὁ θέλων μεταχεῖν, καθαρὰν ἀπεργάζεται τὴν ψυχὴν αὐτοῦ πάσης ἡδυπαθείας τοῦ Κόσμου, καὶ τῶν ἐναντίων παθῶν καὶ ἐπιθυμιῶν. περὶ τῶν τοιούτων γὰρ ψυχῶν φησὶν ὁ Θεὸς, ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· καὶ ὁ Κύριος τοῖς μαθηταῖς ἔλεγεν, ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

ό. Συνετὸν ἄγαν καὶ εὔληπτον λόγον πρὸς τοὺς λογισμοὺς εὕρηκέ τις τῶν ἀρχαίων· δίκαζε λέγων τοὺς λογισμοὺς ἐν τῷ βήματι τῆς καρδίας, ἤτοι ἡμέτεροι εἰσὶν, ἢ τῶν ὑπεναντίων· καὶ τοὺς μὲν οἰκείους ἡμῖν καὶ ἀγαθοὺς ἐν τῷ ἐνδοτέρῳ τῆς ψυχῆς ταμείῳ ἀποτίθεσο, ἐν ἀσύλῳ θησαυρῷ τούτους φυλάττων· τοὺς δὲ ἐναντίους, μάστιξι λογικῆς διανοίας τιμωρήσας, ἐξόριζε, μὴ τόπον, μὴ κατοίκησιν ἐν τῇ περιχώρῳ τῆς ψυχῆς σου τούτοις διδοὺς, ἢ μᾶλλον οἰκειότερον εἰπεῖν, τελείως ἀπόσφαττε μαχαίρᾳ προσευχῆς, καὶ θειοτέρας μελέτης· ἵνα τῶν λῃστῶν ἀναιρουμένων ὁ ἀρχιλῃστὴς φοβηθῇ· καὶ γὰρ ὁ ὢν, φησὶν, ἀκριβὴς τῶν λογισμῶν ἐξεταστὴς, ἔστι καὶ ἀληθὴς τῶν ἐντολῶν ἐραστής·

οά. Ὁ τὰ πολεμοῦντα καὶ παρενοχλοῦντα πνευμάτια ἐκκόψαι, πλείονας ὁπλίτας, συμμάχους ἐπιστρατηγείτω τῇ μάχῃ· φημὶ δὴ ταπείνωσίν τε ψυχῆς, καὶ κόπον σώματος, καὶ τὴν ἄλλην πᾶσαν τῆς ἀσκήσεως ταλαιπωρίαν, καὶ τὴν ἐκ τεθλιμμένης καρδίας μετὰ πλήθους δακρύων προσευχὴν, καθὼς ψάλλει ὁ Δαβὶδ, ἴδε τὴν ταπείνωσίν μου, καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου, καὶ τῶν δακρύων μου μὴ παρασιωπήσῃς· καὶ πάλιν ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτὸς, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων.

οβ'. Ὁ μὲν ἀντίδικος τῆς ζωῆς ἡμῶν διάβολος διὰ πολλῶν λογισμῶν τὰς ἁμαρτίας ἡμῶν κατασμικρύνει, καὶ πολλάκις λήθῃ ταύτας καλύπτει, ἵνα ὑποπεσόντες



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῖς πόνοις, μὴ λογιζώμεθα τῶν πταισμάτων τοὺς θρήνους· ἡμεῖς δὲ, ἀδελφοί, μὴ ἀμνημονῶμεν τῶν πταισμάτων ἡμῶν, κἂν δοκῶμεν τῇ μετανοίᾳ ταῦτα συγκεχωρῆσθαι, ἀλλὰ μνημονεύωμεν ἀεὶ τῶν ἁμαρτημάτων, καὶ ὑπὲρ αὐτῶν πενθεῖν μὴ παυσώμεθα· ἵνα τὴν ταπείνωσιν σύνοικον ἀγαθὴν κτησάμενοι, τοὺς τῆς κενοδοξίας καὶ ὑπερηφανίας βρόχους ἐκφύγωμεν.

ογ΄. Μηδεὶς ἐξ οἰκείας ἰσχύος τοὺς πόνους ὑποφέρειν, καὶ ἀρετὴν κατορθοῦν νομιζέτω· αἴτιος γὰρ ἁπάντων τῶν καλῶν ἡμῖν ὁ Θεός ἐστιν, ὥσπερ οὖν τῶν κακῶν ὁ τῶν ψυχῶν ἡμῶν ἀπατηλὸς δαίμων· δι' ἅπερ οὖν διαπράττῃ καλά, τῷ αἰτίῳ τὴν εὐχαριστίαν πρόσφερε· ἃ δὲ ὀχλεῖ σοι κακά, τῷ ἀρχηγέτῃ τούτων πρόσριπτε.

οδ΄. Ὁ τὴν πρακτικὴν τῇ γνώσει συζεύξας, γεωργός ἐστιν ἐπαινετός, ἐκ δύω διειδεστάτων πηγῶν, τὸ τῆς ψυχῆς χωρίον ἀρδεύων. ἡ μὲν γὰρ γνωστική, πτεροῖ τὴν νοερὰν οὐσίαν, τῇ τῶν κρειττόνων θεωρίᾳ· ἡ δὲ πρακτική, νεκροῖ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν. τούτων δὲ νεκρωθέντων, τὰ τῶν ἀρετῶν ἄνθη ὡραίως ἐκβλαστάνει, καρποφοροῦντα τὸν τοῦ Πνεύματος καρπόν, ἀγάπην, χαράν, εἰρήνην, μακροθυμίαν, χρηστότητα, ἀγαθωσύνην, πίστιν, πραότητα, ἐγκράτειαν· καὶ τότε λοιπὸν ὁ σώφρων οὗτος γεωργὸς σταυρώσας τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, ἐρεῖ μετὰ τοῦ θεοφόρου κήρυκος· ζῶ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός, ὃ ζῶ, τῇ πίστει ζῶ, τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ.

οε΄. Καὶ τοῦτο δέ σε, φιλόχριστε, μὴ λανθανέτω, ὅτι πάθος ἓν τόπον ἐν σοὶ εὑρόν, καὶ ἐν ἕξει ῥιζωθέν, εἰς τὸν αὐτὸν σηκὸν καὶ ἄλλα συνεισφέρει· κἂν γὰρ ἀλλήλοις ἀντίκεινται τὰ πάθη, καὶ οἱ τούτων δημιουργοὶ δαίμονες, ἀλλὰ τὴν ἡμετέραν ἀπώλειαν πάντες συμφώνως ζητοῦσιν.

Ὁ τῆς σαρκὸς τὸ ἄνθος τῇ ἀσκήσει ος΄.
μαραίνων, καὶ πᾶν θέλημα αὐτῆς ἐκκόπτων, οὗτος βαστάζει τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῇ θνητῇ σαρκὶ αὐτοῦ.

Οἱ τῆς ἀσκήσεως πόνοι τελευτῶσιν οζ΄.
εἰς τὴν τῆς ἀπαθείας ἀνάπαυσιν· οἱ δὲ τῆς τρυφῆς τρόποι καταντῶσιν εἰς τὰ τῆς ἀτιμίας πάθη.

Μὴ πολυετεῖς κύκλους τοῦ μονήρους βίου οη΄.
σου ἀνάγκῃ ψηφίζειν· μὴ δὲ ἐν τῇ ὑπομονῇ τῆς ἐρήμου, καὶ τῇ σκληρότητι τῶν ἀγώνων καυχήσει ζωγρηθῇς, ἀλλὰ τὸ δεσποτικὸν λόγιον ἐπὶ νοῦν ἔχε, τό, δοῦλος ἀχρεῖος εἶναι, καὶ μήπω τὴν ἐντολὴν πεπληρωκέναι· τῷ ὄντι γάρ, ἐφ' ὅσον ἐν τῷ παρόντι βίῳ ἐσμέν, οὔπω τῆς ἐξορίας ἀνακεκλήμεθα, ἀλλ' ἀκμὴν ἐπὶ τὸν ποταμὸν Βαβυλῶνος καθεζόμεθα, ἀκμὴν περὶ τὴν Αἰγύπτιον πλινθουργίαν ταλαιπωροῦμεν, μήπω τὴν γῆν τῆς ἐπαγγελίας θεασάμενοι. ἐπειδὴ οὔπω ἐξεδυσάμεθα τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· οὔπω ἐφορέσαμεν τὴν εἰκόνα τοῦ ἐπουρανίου· ἔτι γὰρ τὴν εἰκόνα τοῦ χοϊκοῦ φοροῦμεν· οὐκ ἔχομεν τοίνυν ὁδὸν καυχήσεως, ἀλλὰ δακρύειν, ὀφείλομεν, δεόμενοι τοῦ δυναμένου σώζειν ἡμᾶς τῆς μοχθηρᾶς δουλείας τοῦ πικροτάτου Φαραώ, καὶ ἐξελέσθαι τῆς δεινῆς τυραννίδος, καὶ εἰσαγαγεῖν εἰς τὴν ἀγαθὴν γῆν τῆς ἐπαγγελίας, τοῦ καταπαῦσαι εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ εὑρεθῆναι ἐν δεξιᾷ τῆς μεγαλωσύνης τοῦ ὑψίστου. τούτων δὲ τῶν ὑπὲρ ἔννοιαν ἀγαθῶν ἐπιτυχεῖν ἡμᾶς οὐκ ἐξ ἔργων ἐστὶν ἡμετέρων, ὧν δοκοῦμεν ἐν δικαιοσύνῃ ποιεῖν, ἀλλὰ τῷ ἀμετρήτῳ ἐλέει τοῦ Θεοῦ. τοιγαροῦν μὴ παυσώμεθα καταφέροντες δάκρυα ἡμέρας καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νυκτὸς, καὶ τὸν λέγοντα· ἐκοπίασα ἐν τῷ στεναγμῷ μου. λούσω καθ᾽ ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· οἱ γὰρ σπείροντες ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσι.

οθ′. Μακρὰν ἀπὸ σοῦ τὸ πολύρρημον ἀποδίωκε Πνεῦμα, ἐν αὐτῷ γὰρ κεῖνται παντοῖα πάθη· ἐντεῦθεν τὸ ψεῦδος, ἐκεῖθεν ἡ παρρησία, ἄλλοθεν ἡ εὐτραπελία, ἡ αἰσχρότης, ἡ μωρολογία ἑτέρωθεν, καὶ συνελόντι φάναι τὸ εἰρημένον, ὅτι ἐκ τῆς πολυλογίας οὐκ ἐκφεύξεται ἁμαρτία· ἀνὴρ δὲ σιωπηλὸς, θρόνος αἰσθήσεως· ἀλλὰ καὶ λόγον ἡμᾶς δίδοσθαι περὶ παντὸς ἀργοῦ ῥήματος, ὁ Κύριος ἔφη· ὥστε πάνυ ἀναγκαία καὶ ὠφέλιμός ἐστιν ἡ σιωπή.

π′. Τοὺς λοιδοροῦντας καὶ ὑβρίζοντας ἡμᾶς, ἢ ἄλλως πως ἐπηρεάζοντας, μὴ ἀντιλοιδορεῖν, ἢ ἀντεπηρεάζειν, εὐφημεῖν δὲ μᾶλλον, καὶ εὐλογεῖν, προστετάγμεθα. καθόσον γὰρ τοῖς ἀνθρώποις εἰρηνεύομεν, μαχόμεθα τοῖς δαίμοσι· μνησικακοῦντες δὲ τοῖς ἀδελφοῖς καὶ μαχόμενοι, εἰρηνεύομεν μετὰ τῶν δαιμόνων· οὓς τέλειον μῖσος μισεῖν, καὶ ἀκατάλλακτον ἔχειν τὸν πρὸς αὐτοὺς πόλεμον ἐδιδάχθημεν.

πα′. Φεῦγε τὸ πτερνίσαι τὸν πλησίον γλώσσῃ δολίᾳ, ἵνα μὴ πτερνισθῇς ὑπὸ τοῦ ὀλετῆρος· ἤκουσα γὰρ τοῦ προφήτου βοῶντος, ἄνδρα αἱμάτων, καὶ δόλιον βδελύσσεται Κύριος· καὶ ἐξολοθρεύσαι Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλορρήμονα. ὡσαύτως δὲ φεῦγε τὸ ὀνειδίσαι πταῖσμα τοῦ ἀδελφοῦ σου, ἵνα μὴ τῆς χρηστότητος, καὶ ἀγάπης ἐκπέσῃς· ὁ γὰρ χρηστότητα, καὶ ἀγάπην εἰς τὸν ἀδελφὸν μὴ ἔχων, οὐκ ἔγνω τὸν Θεόν· ὅτι ὁ Θεὸς ἀγάπη ἐστὶ, καθὼς Ἰωάννης βοᾷ ὁ τῆς βροντῆς υἱὸς, καὶ Χριστοῦ μαθητὴς ἠγαπημένος· εἰ γὰρ Χριστὸς, φησὶ, καὶ σωτὴρ τῶν ἁπάντων ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ τέθεικε, καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι.

Εἰκότως κέκληται ἡ ἀγάπη τῶν ἀρετῶν μητρόπολις, κεφάλαιόν τε νόμου καὶ προφητῶν· ἅπαντα τοίνυν πόνον ἐπιδειξώμεθα ἕως τῆς ὁσίας ἀγάπης ἐπιτύχωμεθα· καὶ δι᾽ αὐτῆς τὴν τῶν παθῶν τυραννίδα ἐκτιναξώμεθα, καὶ εἰς οὐρανοὺς ὑψωθῶμεν, πτεροῖς ἀρετῶν κουφιζόμενοι, καὶ Θεὸν ὀψώμεθα, ὡς δυνατὸν ἀνθρωπίνῃ φύσει. πβ′.

Εἰ ὁ Θεὸς ἀγάπη ἐστὶν, ὁ τὴν ἀγάπην ἔχων, τὸν Θεὸν ἔχει ἐν ἑαυτῷ· ταύτης δὲ ἀπούσης, ὄφελος ἡμῖν ἐστὶ τὸ παράπαν οὐδὲν, οὐδὲ λέγειν δυνάμεθα ὅτι ἀγαπῶμεν τὸν Θεόν· ἐὰν γάρ τις, φησὶν, εἴπῃ ὅτι ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισεῖ, ψεύστης ἐστί· καὶ πάλιν λέγει· Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ἐὰν ἀγαπῶμεν ἀλλήλους ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν· ἐντεῦθεν δῆλον, ὅτι ἡ ἀγάπη, πρᾶγμα ἐστὶ τῶν ἀγαθῶν ἁπάντων περιεκτικώτατον καὶ ἀκρότατον, τῶν διὰ τῆς ἁγίας γραφῆς εἰρημένων. καὶ οὐκ ἔστιν ἀρετῆς εἶδος, δι᾽ ἧς ἄνθρωπος οἰκειοῦται Θεῷ καὶ συνάπτεται, ὃ μὴ τῆς ἀγάπης ἐξήρτηται, καὶ ὑπ᾽ αὐτῆς περιείληπται, ἀρρήτῳ λόγῳ συνεχόμενον, καὶ φρουρούμενον. πγ′.

Τοὺς παραβάλλοντας ἡμῖν ἀδελφοὺς ὑποδεχόμενοι, μὴ ὄχλησιν τοῦτο, καὶ ἐκκοπὴν τῆς ἡσυχίας λογιζόμεθα, ἵνα μὴ τοῦ θεσμοῦ τῆς ἀγάπης ἐκπέσωμεν· μήτε δὲ ὡς χάριν αὐτοῖς παρέχοντες δεξιωσώμεθα, ἀλλ᾽ ὡς ἡμεῖς μᾶλλον δεχόμενοι χάριν, καὶ ὑπόχρεοι ὄντες τοῦ πράγματος, μεθ᾽ ἱκεσίας καὶ ἱλαρότητος ξενίζωμεν, καθὼς ἡμῖν ὑπέδειξεν Ἀβραὰμ ὁ Πατριάρχης· διὰ τοῦτο καὶ ὁ Θεολόγος αὖθις διδάσκει, τεκνία, λέγων, μὴ ἀγαπῶμεν λόγῳ, μὴ δὲ γλώσσῃ, ἀλλ᾽ ἔργῳ καὶ ἀληθείᾳ, καὶ ἐν πδ′.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τούτῳ γινώσκομεν, ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν.

πε΄. Ὁ πατριάρχης τὴν φιλοξενίαν ἐργασίαν πεποιημένος, πρὸ τῆς σκηνῆς ἐκαθέζετο, τοὺς παριόντας προσκαλούμενος, καὶ πᾶσιν ἐξέπλου τὴν τράπεζαν ἀσεβέσι τε, καὶ βαρβάροις, μὴ διακρινόμενος. διὸ δὴ καὶ τῆς θαυμαστῆς ἐκείνης ἑστιατορίας κατηξιώθη, ξενίσας Ἀγγέλους, καὶ τὸν τῶν ὅλων δεσπότην. καὶ ἡμεῖς τοίνυν τῆς φιλοξενίας μετὰ πολλῆς τῆς σπουδῆς καὶ τῆς προθυμίας ἐπιμελώμεθα, ἵνα μὴ μόνον Ἀγγέλους, ἀλλὰ καὶ τὸν Θεὸν ὑποδεξώμεθα. ἐφ' ὅσον γάρ, φησὶν ὁ Κύριος, ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. πάντας μὲν οὖν εὐεργετεῖν καλόν, μάλιστα δὲ τοὺς μὴ δυναμένους ἀμείβεσθαι.

πς΄. Οὗτινος ἡ καρδία μὴ καταγινώσκει αὐτοῦ, ἐπὶ ἐντολῆς Θεοῦ ἀθετήσει, ἢ ἀμελείᾳ, ἢ ἐναντίας ἐννοίας ὑποδοχῇ, οὗτος ἂν εἴη ὁ καθαρὸς τῇ καρδίᾳ, καὶ ἄξιος τοῦ ἀκοῦσαι· μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

πζ΄. Λόγῳ παιδαγωγεῖν τὰς αἰσθήσεις καὶ κατορθῶσαι σπουδάσωμεν, καὶ μάλιστά γε ὀφθαλμούς, καὶ ὦτα, καὶ γλῶσσαν, μὴ ἐμπαθῶς, ἀλλ' εἰς κέρδος ἡμέτερον ὁρῶντα, καὶ ἀκούειν, καὶ λαλεῖν ἐπιτρέποντες. οὐδὲν γὰρ τούτων τῶν ὀργάνων πρὸς ἁμαρτίαν ἐστὶν ὀλισθηρότερον, μὴ τῷ λόγῳ παιδαγωγουμένων. καὶ οὐδὲν πάλιν πρὸς σωτηρίαν αὐτῶν ἑτοιμότερον, ἡνιοχοῦντος αὐτὰ τοῦ λόγου, καὶ ῥυθμίζοντος, καὶ ἐφ' ἃ δεῖ, καὶ βούλεται ἄγοντος. τούτων γὰρ ἀτακτούντων, καὶ ὄσφρησις ἐκθηλύνεται, καὶ ἁφὴ προπετῶς ἐκτείνεται, καὶ ἀναριθμήτων παθῶν ἐσμὸς ἐπεισέρχεται. εὐτάκτως δὲ τῷ λόγῳ τασσομένων αὐτῶν, πολλάκις εἰρήνη καὶ γαλήνη σταθερὰ πανταχόθεν διαδείκνυται.

πη΄. Καθάπερ μύρον πολύτιμον, κἂν εἰς ἄγγος ἀποκλείηται, τὸν ἀέρα τῆς οἰκίας ἀποχεῖται εὐωδίας, οὐ τοὺς πλησίον ἑστῶτας μόνον, ἀλλὰ καὶ τοὺς πόῤῥω ἐμπίπλησι τῆς ἡδονῆς. οὕτω καὶ ἡ τῆς ἐναρέτου καὶ θεοφιλοῦς ψυχῆς εὐωδία, διὰ πασῶν τῶν αἰσθήσεων ἀναδιδομένη τοῦ σώματος, ἐνδείκνυσι τοῖς ὁρῶσι τὴν ἔνδον ἀποκειμένην ἀρετήν. τίς γὰρ ὁρῶν γλῶτταν μὲν μηδὲν ἀπηχὲς καὶ ἀνάρμοστον φθεγγομένην, ἀλλὰ πᾶν ὅτι καλὸν καὶ ὠφέλιμον τοῖς ἀκούουσιν. ὀφθαλμοὺς δὲ συνεσταλμένους, ἀκοὴν δὲ τῶν οὐ προσηκόντων μελῶντε, καὶ ῥημάτων μηδὲν δεχομένην, πόδας δὲ κοσμίως βαδίζοντας, καὶ πρόσωπον μὴ διακεχυμένον γέλωτι, πρὸς δάκρυα δὲ μᾶλλον, καὶ πένθος παρασκευασμένον, οὐ γνώσεται πολλὴν ἔνδον ἀποκεῖσθαι τῶν ἀρετῶν εὐωδίαν; διὸ καὶ ὁ σωτὴρ λέγει, οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Ἥνπερ, ἐν Εὐαγγελίοις ὁ Χριστὸς πθ΄.
καὶ Θεὸς ἡμῶν στενὴν καὶ τεθλιμμένην ἐκάλεσεν ὁδόν, ταύτην πάλιν καὶ ζυγὸν χρηστόν, καὶ φορτίον ἐλαφρὸν εἶπε. πῶς οὖν τὰ ἀμφότερα συναρμοσθείη, ἐναντία δοκοῦντα εἶναι; ἀλλ' ἢ πάντως τῇ μὲν φύσει, σκληρά ἐστι, καὶ ἀνάντης ἡ τοιαύτη ὁδός, τῇ δὲ τῶν κατορθούντων προαιρέσει, καὶ ταῖς ἐλπίσι ταῖς χρησταῖς, ποθεινή ἐστι, καὶ ἐπέραστος, καὶ ἡδονὴν μᾶλλον, οὐ θλίψιν ταῖς φιλαρέτοις προξενοῦσα ψυχαῖς· διὸ τῆς εὐρυχώρου καὶ πλατείας τὴν στενὴν καὶ τεθλιμμένην, μετὰ πλείονος αὐτῆς ἴδοι προθυμίας ὁδεύοντας τοὺς ἑλομένους αὐτήν. ἤκουσον γοῦν τοῦ μακαρίου Λουκᾶ λέγοντος, ὅτι μαστιχθέντες οἱ Ἀπόστολοι, ἀνεχώρουν ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες, καίτοι οὐ τοιαύτη τῶν μαστίγων ἡ φύσις. οὐ γὰρ ἡδονὴν καὶ χαράν, ἀλλ'

ὀδύνην

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὀδύνην καὶ πόνον ἐργάζεσθαι εἴωθεν. εἰ δὲ μάστιγες ἡδονὴν ἔτεκον διὰ Χριστὸν, τί θαυμαστὸν, εἰ καὶ ἡ λοιπὴ κακοπάθεια, καὶ ὁ ὑπωπιασμὸς τοῦ σώματος τὸ αὐτὸ ἐργάζεσθαι διὰ τὸν αὐτόν.

ϟʹ. Τυραννούμενοι, καὶ αἰχμαλωτιζόμενοι ὑπὸ τῶν παθῶν, διαποροῦμεν πολλάκις καθ' ἑαυτοὺς, διατί ταῦτα πάσχομεν; χρὴ τοιγαροῦν γινώσκειν, ὡς ἐκ τοῦ ἀνασχολεῖσθαι ἡμᾶς ἀπὸ τῆς εἰς Θεὸν θεωρίας, αἱ τοιαῦται γίνονται ἡμῖν αἰχμαλωσίαι· εἰ δέ γε προσηλώσειέ τις τὸν νοῦν αὐτοῦ ἀπερισπάστως τῷ δεσπότῃ καὶ Θεῷ ἡμῶν, πιστός ἐστιν αὐτὸς ὁ σωτὴρ τῶν ἁπάντων, ῥύσασθαι τὴν τοιαύτην ψυχὴν ἀπὸ πάσης ἐμπαθοῦς αἰχμαλωσίας, καθά φησιν ὁ προφήτης. προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ. τί δὲ γλυκύτερον, ἢ ἀσφαλέστερον τοῦ ἔχειν ἀεὶ τὸν Κύριον ἐκ δεξιῶν σκέποντα, καὶ φρουροῦντα, καὶ μὴ ἐῶντα σαλευθῆναι. τὸ δὲ τυχεῖν τούτου, τῶν ἐφ' ἡμῖν ἐστι.

ϟαʹ. Καλῶς εἶπον οἱ πατέρες, καὶ ἀναντιρρήτως, ὅτι· φησίν· οὐχ εὑρίσκει ἄνθρωπος ἀνάπαυσιν ἄλλως, εἰ μὴ τοιαύτην ἐν διαθέσει κτήσηται ἔννοιαν, αὐτὸν μόνον καὶ τὸν Θεὸν εἶναι ἐν τῷ κόσμῳ, πρὸς μηδ' ὁτιοῦν ὅλως τὸν νοῦν ῥεμβόμενος, ἀλλ' ἐκείνου ποθῶν, ἐκείνῳ μόνῳ κεκολλημένος, ὁ τοιοῦτος εὑρήσει τὴν ὄντως ἀνάπαυσιν καὶ ἐλευθερίαν, τῆς τῶν παθῶν τυραννίδος. ἐκολλήθη γάρ· φησίν· ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

ϟβʹ. Ἡ φιλαυτία, καὶ ἡ φιληδονία, καὶ ἡ φιλοδοξία, ἐκδιώκουσιν ἐκ τῆς ψυχῆς τὴν τοῦ Θεοῦ μνήμην. ἡ φιλαυτία ἀνεκάστων κακῶν γεννήτειρα τυγχάνει, τῆς δὲ μνήμης τοῦ Θεοῦ ἐκλειπούσης, ὁ τῶν παθῶν τάραχος ἐν ἡμῖν χώραν λαμβάνει·

ϟγʹ. Ὁ τὴν φιλαυτίαν τῆς ἑαυτοῦ καρδίας προθέλυμνον ἀνασπάσας, εὐχερῶς καὶ τῶν λοιπῶν πάντων κυριεύσει παθῶν, τοῦ Κυρίου συνεργοῦντος. ἐξ αὐτῆς γὰρ ἥτε ὀργὴ, καὶ λύπη, καὶ μνησικακία, καὶ φιληδονία, καὶ παρρησία γεννᾶσθαι πεφύκασιν. ὁ γὰρ ταύτης ἡττώμενος, ὑπόσπονδος καὶ τῶν λοιπῶν παθῶν ὑπάρχει. φιλαυτίαν δὲ λέγομεν, τὴν πρὸς τὸ σῶμα ἐμπαθῆ διάθεσιν, καὶ φιλίαν, καὶ τὴν τῶν σαρκικῶν θελημάτων ἐκπλήρωσιν,

ϟδʹ. Ὅπέρ τις ἀγαπᾷ, τούτῳ ἀδιαστάτως συνεῖναι πάντως καὶ ἀδιαλείπτως ἐφίεται, καὶ πάντα τὰ κωλύοντα αὐτὸν τῆς τοῦ φίλου προσρήσεως καὶ συναυλίας ἀποστρέφεται. δῆλον οὖν ὅτι καὶ ὁ τὸν Θεὸν ἀγαπῶν, ἐπιποθεῖ διαπαντὸς ἐντυγχάνειν αὐτῷ καὶ ὁμιλεῖν. τοῦτο δὲ προσγίνεται ἡμῖν διὰ τῆς καθαρᾶς προσευχῆς. ταύτης οὖν ἐπιμελητέον, ὅση δύναμις. αὕτη γὰρ οἰκειοῖ ἡμᾶς τῷ δεσπότῃ πέφυκε. τοιοῦτος ἦν ὁ λέγων. ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω, ἐδίψησέ σε ἡ ψυχή μου. ὀρθρίζει γὰρ πρὸς τὸν Θεὸν, ὁ μακρύνας τὸν νοῦν ἀπὸ πάσης κακίας, καὶ ἀπερισπάστως τῷ θείῳ ἔρωτι τετρωμένος.

ϟεʹ. Ἐξ ἐγκρατείας, καὶ ταπεινώσεως, τὴν ἀπάθειαν. ἐκ δὲ πίστεως, τὴν γνῶσιν γεννᾶσθαι μεμαθήκαμεν. ἐκ τούτων δὲ, εἰς διάκρισιν, καὶ ἀγάπην ἡ ψυχὴ προκόπτει. τὴν δὲ θείαν ἐγκολπωσαμένη ἀγάπην, πτέρυξι καθαρᾶς προσευχῆς πρὸς τὸ ταύτης ὕψος ἀλήκτως ἄνεισιν, ἕως καταντήσῃ εἰς τὴν ἐπίγνωσιν τοῦ υἱοῦ τοῦ Θεοῦ, ὥς φησιν ὁ Ἀπόστολος, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

ϟϛʹ. Διὰ μὲν τῆς πρακτικῆς ἀρετῆς δουλοῦται ἡ ἐπιθυμία, καὶ ὁ θυμὸς χαλινοῦται. διὰ δὲ τῆς γνώσεως καὶ θεωρίας, ὁ νοῦς πτεροῦται, καὶ ἀνυψωθεὶς τῶν ἐνύλων, πρὸς τὸν Θεὸν ἐκδημεῖ, τῆς ἀληθοῦς ἐπιτυχὼν μακαριότητος.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ϟζʹ. Οὗτος ἐστὶν ὁ πρῶτος ἀγὼν ὑπάρχων, μισῆσαι τὰ πάθη, καὶ τούτων κρατῆσαι νικῆσαι. δεύτερος δὲ ἆθλος τὸ κτήσασθαι τὰς ἀρετὰς, καὶ μὴ ποιεῖν, μηδὲ ἄπρακτον τὴν ψυχὴν ἡμῶν ἐᾶσαι. τρίτος δὲ δίαυλος τῆς πνευματικῆς πορείας, τὸ ἀσφαλῶς φυλάττειν τοὺς καρποὺς τῶν ἀρετῶν ἡμῶν, καὶ πόνων. οὐ ἐργάζεσθαι γὰρ μόνον ἐμπόνως, ἀλλὰ καὶ φυλάττειν ἀγρύπνως προστετάγμεθα.

ϟηʹ. Ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι, φησὶν ὁ Κύριος. ζώνη μὲν οὖν τῆς ὀσφύος ἀγαθὴ, δι' ἧς ἀσφαλεῖς καὶ κοῦφοι δυνάμεθα γενέσθαι, ἡ ἐγκράτειά ἐστι, σὺν ταπεινώσει καρδίας. ἐγκράτειαν δὲ φημὶ, τὴν ἀποχὴν πάντων τῶν παθῶν. ὁ δὲ πνευματικὸς λύχνος φωταγωγὸς, ἡ καθαρά ἐστι προσευχὴ, καὶ ἡ τελεία ἀγάπη. οἱ τοίνυν οὕτως ἑαυτοὺς εὐτρεπίσαντες, ὄντως ὅμοιοί εἰσιν ἀνθρώποις προσδεχομένοις τὸν Κύριον αὐτῶν, οἳ, ἐλθόντος καὶ κρούσαντος αὐτοῦ, εὐθὺς ἀνοίξουσι, καὶ εἰσελθὼν, σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι μονὴν παρ' αὐτοῖς ποιήσει, καὶ μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ Κύριος εὑρήσει ποιοῦντας οὕτως.

ϟθʹ. Δεῖ τὸν Μοναχὸν, ὡς μὲν υἱὸν, ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης τῆς διανοίας ἀγαπᾷν τὸν Θεόν· ὡς δὲ δοῦλον, εὐλαβεῖσθαι, καὶ ὑπακούειν αὐτῷ, καὶ μετὰ φόβου καὶ τρόμου τὰς ἐντολὰς αὐτοῦ κατεργάζεσθαι· τῷ πνεύματι ζέειν, ἐνδεδυμένον εἶναι τὴν πανοπλίαν τοῦ Ἁγίου Πνεύματος, καὶ τῆς αἰωνίου ζωῆς τυχεῖν τὴν ἀπόλαυσιν, καὶ πάντα τὰ διατεταγμένα ἀνυστερήτως ποιεῖν, νήφειν τε, καὶ τηρεῖν τὴν καρδίαν ἀπὸ λογισμῶν πονηρῶν, καὶ ἐννοίαις ἀγαθαῖς τὴν θείαν ἀπαύστως μελέτην ἐκτελεῖν, ἑαυτόν τε ἀνακρίνειν καθ' ἑκάστην περὶ τῶν λογισμῶν τῶν πονηρῶν, καὶ πράξεων, τὰ ἐλλείποντα ἀναπληροῦν. ἐπὶ δὲ τοῖς κατορθώμασι μὴ ἐπαίρεσθαι, ἀλλὰ δοῦλον ἑαυτὸν ἀχρεῖον λέγειν, καὶ πάνυ ὑστερημένον εἰς τὴν τῶν ὀφειλομένων ἐκπλήρωσιν· εὐχαριστεῖν δὲ τῷ Ἁγίῳ Θεῷ, καὶ αὐτῷ τὴν χάριν τῶν κατορθωμάτων ἐπιγράφεσθαι, μηδὲ τὸ σύνολον πρὸς κενοδοξίαν ἢ ἀνθρωπαρέσκειαν ποιεῖν, ἀλλ' ἐν κρυπτῷ πάντα πράττειν, καὶ μόνον τὸν παρὰ Θεοῦ ἔπαινον ζητεῖν. πρὸ πάντων δὲ καὶ ἐπὶ πᾶσιν, ὀρθοδόξῳ πίστει περιπεφράχθαι τὴν ψυχὴν καὶ τὰ θεῖα δόγματα τῆς καθολικῆς Ἐκκλησίας παρὰ τῶν θεοκηρύκων Ἀποστόλων, καὶ τῶν ἁγίων πατέρων. τοὺς γὰρ οὕτω πολιτευομένους ἀναπαύσεις πολλαὶ, ζωὴ ἀτελεύτητος, μονὴ ἀκατάλυτος παρὰ τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, τῇ ὁμοουσίῳ καὶ τρισυποστάτῳ Θεότητι.

ρʹ. Τέλος λόγου, τὸ πᾶν ἄκουε, εἶπεν ὁ ἐκκλησιαστής, τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλαττε· ὅτι τοῦτο πᾶς ἄνθρωπος· ἐγὼ δέ φημι κεφαλαιωδῶς καὶ ἐπιτομώτερον σωτηρίας ὁδὸν δείκνυμι, τὸν Θεὸν φοβεῖσθε, καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάσσετε· φόβον οὐ τὸν εἰσαγωγικὸν διὰ τὰς κολάσεις, ἀλλὰ τὸν τέλειον, καὶ τελειοποιὸν, ὃν διὰ τὴν στοργὴν τοῦ προστάξαντος ἔχειν ὀφείλομεν· εἰ μὲν γὰρ διὰ τὸ δέος τῆς κολάσεως μὴ ποιοῦμεν τὰς ἁμαρτίας, εὔδηλον, ὡς, εἰ μὴ προὔκειτο τὰ τῆς τιμωρίας, ἐποιήσαμεν ἄν, φιλαμαρτήμονα ἔχοντες τὴν προαίρεσιν· εἰ δὲ μὴ διὰ τὴν ἀπειλὴν τῆς κολάσεως, ἀλλὰ αὐτὰ μισήσαντες τὰ φαῦλα, ὧνπερ ἀπεχώμεθα, φιλίᾳ τῇ πρὸς τὸν Δεσπότην ἐργαζόμεθα τὰς ἀρετὰς, φοβούμενοι μὴ παραρρυῶμεν· ἐν γὰρ τῷ φοβεῖσθαι, μή τι τῶν ἐντεταλμένων παριδῶμεν, οὗτος ὁ φόβος ἅγιος τυγχάνει, δι' αὐτὸ τὸ καλὸν γινόμενος· καὶ ἁγιάζει τὰς ἡμετέρας ψυχὰς, ἰσοδυναμῶν ὢν τῇ τελείᾳ ἀγάπῃ· ὁ δὲ τοῦτον ἔχων τὸν φό-

βον,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

βου, καὶ τὰς ἐντολὰς φυλάττων, οὗτος ἐστὶν ὁ πᾶς ἄνθρωπος, αὐτὸ τοῦτο ὁ τέλειος καὶ ἀνελλιπής. ταῦτα οὖν ἐγνωκότες, τὸν Θεὸν φοβηθῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρήσωμεν, ἵνα τέλειοι ὦμεν καὶ ἀπηρτισμένοι ταῖς ἀρεταῖς· ἔχοντες δὲ φρόνημα καταβεβλημένον, καὶ συντετριμμένην καρδίαν, καὶ ἀδιαλείπτως τὴν παρὰ τοῦ θείου, καὶ μεγάλου Ἀρσενίου εἰρημένην εὐχὴν προσάδοντες τῷ Κυρίῳ· ὁ Θεός μου μὴ ἐγκαταλείπῃς με, οὐδὲν ἐποίησα ἐνώπιόν σου ἀγαθόν, ἀλλὰ δός μοι διὰ τὴν εὐσπλαγχνίαν σου βαλεῖν ἀρχήν. τὸ γὰρ ὅλον ἡμῶν τῆς σωτηρίας ἐν τοῖς οἰκτιρμοῖς κεῖται καὶ τῇ φιλανθρωπίᾳ τοῦ Θεοῦ. αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος, καὶ ἡ προσκύνησις τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας· Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΘΕΟΔΩΡΟΥ, ΘΕΩΡΗΤΙΚΟΝ.

ΠΌσῳ μείζων ἐστὶν ὁ ἀγὼν, ῥῆξαι μὲν τὸν στερρὸν τοῦτον δεσμὸν, ἐλευθερωθῆναι δὲ τῆς λαβρείας τῆς ὕλης, καὶ τὴν τῶν καλῶν ἕξιν κτήσασθαι· οὕτως γενναίας δεῖ, καὶ ἀνδρικῆς τῆς ψυχῆς, πρὸς τὴν τῆς ὕλης φυγήν· ἔστι δὲ τὸ σπουδαζόμενον, οὐχὶ τῶν παθῶν κάθαρσις μόνον· οὐ γὰρ ἀρετὴ τοῦτό γε καθ' αὐτὸ κυρίως, ἀλλὰ παρασκευὴ ἀρετῆς. δεῖ δὲ, πρὸς τῇ καθάρσει τῶν μοχθηρῶν ἕξεων, καὶ τῆς κτήσεως τῶν ἀρετῶν. κάθαρσις δὲ ψυχῆς ἐστὶ, τοῦ μὲν λογιστικοῦ, ἡ τῶν κάτω χαρακτήρων καὶ πλανωμένων, κατὰ τὴν θεολόγον φωνήν, τῶν βιωτικῶν λέγω φροντίδων τε, καὶ θορύβων, καὶ τῶν φαύλων κλίσεων, ἤτοι ἐντύπων προλήψεων ἀπαλλαγὴ, καὶ τελεία ἀπάλειψις· τοῦ δὲ ἐπιθυμητικοῦ, τὸ μηδὲν πρὸς τὴν ὕλην ὁρμᾶν, μηδὲ πρὸς τὴν αἴσθησιν ἀφορᾶν, ἀλλὰ τῷ λόγῳ γενέσθαι πειθήνιον. τοῦ δὲ θυμοειδοῦς ἀκολούθως, τὸ πρὸς μηδὲν ἐκταράττεσθαι τῶν συμπιπτόντων. μετὰ δὲ τὴν κάθαρσιν ταύτην, καὶ τὴν τῶν αἰσχίστων δυνάμεων νέκρωσιν, ἢ ῥύθμισιν, δεῖ καὶ τῆς ἀναβάσεως, καὶ θεώσεως· δέον γὰρ ἐκκλίνοντα ἀπὸ κακοῦ, πρᾶξαι τὸ ἀγαθόν· πρὸς δὲ, καὶ τὸ ἀπαρνήσασθαι μὲν ἑαυτὸν πρῶτον, καθ' οὕτω τὸν σταυρὸν ἀράμενον, ἀκολουθεῖν τῷ δεσπότῃ, πρὸς τὴν τῆς θεώσεως ἀκροτάτην κατάστασιν. τίς δὲ ἡ ἀνάβασις καὶ ἡ θέωσις; τοῦ μὲν νοῦ, ἡ τελεωτάτη ἐπιστήμη τῶν ὄντων, καὶ τοῦ ὑπὲρ τὰ ὄντα, ὡς ἐφικτὸν ἀνθρωπίνῃ φύσει. τῆς δὲ βουλήσεως, ἡ πρὸς τὸ πρῶτον καλὸν, παντελής τε, καὶ συνεχὴς τάσις καὶ κίνησις. τοῦ δὲ θυμοειδοῦς, ἡ ἐνεργεστάτη καὶ πρακτικωτάτη πρὸς τὸ ποθούμενον κίνησις, ἀνέκλυτός τε καὶ ἀνένδοτος. μηδενὶ τῶν συμπιπτόντων ἀνιαρῶν ἀνακοπτομένη τοῦ πρόσω· ἀλλὰ μανικῶς τε, καὶ ἀμεταστρόφως ὁρμῶσα. τοσούτῳ δὲ δεῖ σφοδροτέραν εἶναι τὴν πρὸς τὰ καλὰ τῆς ψυχῆς κίνησιν, τῆς πρὸς τὰ φαῦλα, ὅσῳ τὰ νοητὰ κάλλη, τῶν αἰσθητῶν ὑπερφέρει. τοσαύτην δὲ πρὸς τὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σάρκα ποιεῖσθαι δεῖ τὴν ἐπιστροφήν· ὅση πρὸς κηδεμονίαν καὶ πορισμὸν ἀρκεῖ τῶν ἀναγκαίων πρὸς σύστασιν, ὡς μὴ βιαίως φθαρῆναι τὸ ζῶον. ταῦτα δὲ κατορθώσασθαι μὲν ῥᾷστον, πρᾶξαι δὲ ἐργωδέστερον· οὐ γὰρ ἀμογητὶ τὰς δυσμοχλεύτους ἕξεις ἐκείνας ἐκριζοῦν ἐστὶ τῆς ψυχῆς· οὔτε μὴν ἡ τῆς ἐπιστήμης κτῆσις, ἀνιδρωτὶ περιγίνεται. καὶ μέντοι καὶ τὸ πρὸς τὴν μακαρίαν φύσιν ἀτενὲς ὁρᾶν τε καὶ τείνεσθαι, διὰ πολλῶν προσγίνεται μόχθων, καὶ χρόνῳ μακρῷ, μέχρις ἂν εἰς ἕξιν τὸ βουλητικὸν ἔλθοι μετὰ τοῦ ἑπομένου τῆς τοιαύτης ὁρμῆς· καὶ πολλῆς τῆς ἐνστάσεως δεῖ τῷ νῷ πρὸς τὴν αἴσθησιν, ἑλκούσαν πρὸς τὰ κάτω, καὶ αὕτη ἐστὶν ἡ πρὸς τὸ σῶμα πάλη, καὶ μάχη· ἥτις μέχρι θανάτου ἀδιάλειπτός ἐστιν, κἂν ἠλαττοῦσθαι δοκῇ τῇ μαράνσει τοῦ θυμοῦ, καὶ τῆς ἐπιθυμίας, καὶ τῇ δουλώσει τῆς αἰσθήσεως, ὑπὸ τὴν ὑπερβάλλουσαν ἐπιστήμην τοῦ νοῦ. Πλὴν ἐκεῖνο σημειωτέον· ὅτι ψυχὴ ἀφώτιστος, ἐπειδὴ μὴ πέφυκεν ὑπὸ Θεοῦ βοηθεῖσθαι, οὔτε καθαρθῆναι δύναται γνησίως, οὔτε πρὸς τὸ θεῖον φῶς ἀναβιβασθῆναι καθάπερ εἴρηται· τὰ γὰρ εἰρημένα περὶ τῶν πιστῶν ἡγητέον λελέχθαι· εἰς δὲ πλείω τούτων σαφήνειαν, διαληπτέον βραχέα περὶ γνώσεως διαφορᾶς. τῶν γὰρ ἐνταῦθα γνώσεων, ἡ μὲν κατὰ φύσιν ἐστίν, ἡ δὲ ὑπὲρ φύσιν. ἔσται δὲ δῆλον ἐκ τοῦ προτέρου τὸ δεύτερον. κατὰ φύσιν τοίνυν λέγομεν γνῶσιν, ἣν δύναται λαβεῖν ἡ ψυχή, δι' ἐρεύνης τε καὶ ζητήσεως, τοῖς φυσικοῖς χρωμένη μορίοις τε καὶ δυνάμεσι· περί τε τῆς κτίσεως, καὶ τοῦ αἰτίου τῆς κτίσεως· δηλονότι ὅσον ἐφικτὸν τῇ προσδεδεμένῃ τῇ ὕλῃ ψυχῇ· καὶ γὰρ εἴρηται ἐν τοῖς περὶ αἰσθήσεως καὶ φαντασίας καὶ νοῦ, ἀμβλύνεσθαι τὴν ἐνέργειαν τοῦ νοῦ, ἐκ τῆς πρὸς τὸ σῶμα συναφείας, καὶ ἀνακράσεως. κἀντεῦθεν μὴ δύνασθαι τῶν νοερῶν εἰδῶν ἐν ἐπαφῇ γενέσθαι· ἀλλὰ δεῖσθαι πρὸς τὸ νοεῖν τῆς φαντασίας, εἰδωλικῆς οὔσης φύσεως, καὶ τῆς ὑλικῆς διαστάσεως καὶ παχυμερείας. δεῖ τοίνυν συμμέτρων εἰδῶν τῷ ἐν τῇ σαρκὶ νῷ, ἵνα τούτων δυνηθείη ἀντιλαβέσθαι. ὁ τοίνυν οὕτως ἔχων νοῦς, ἣν ἂν λάβῃ γνῶσιν κατὰ τὴν οἰκείαν μέθοδον τὴν φυσικήν· φυσικὴν τὴν τοιαύτην γνῶσιν καλοῦμεν. ὑπερφυὴς δέ ἐστι γνῶσις, ἡ ἐγγινομένη τῷ νῷ ὑπὲρ τὴν ἑαυτοῦ μέθοδόν τε καὶ δύναμιν· ἤτοι ὁπηνίκα τὰ νοούμενα τὴν ἀναλογίαν ὑπερβαίνει, τοῦ μετὰ σαρκὸς νοῦ· ὡς εἶναι τὴν γνῶσιν προσήκουσαν τῷ χωρὶς σώματος νῷ· αὕτη δὲ ὑπὸ μόνου γίνεται τοῦ Θεοῦ· ὁπηνίκα μάλιστα κεκαθαρμένον εὕρῃ τὸν τοιοῦτον νοῦν ἀπὸ πάσης ὑλικῆς προσπαθείας, καὶ τῷ θείῳ ἔρωτι κάτοχον· οὐχ ἡ γνῶσις δὲ μόνον οὕτω διαιρεῖται, ἀλλὰ καὶ ἡ ἀρετή. ἄλλη μὲν γάρ ἐστιν, ὅση τὴν φύσιν οὐχ ὑπερβαίνει, ἣ καὶ φυσικὴ λέγοιτ' ἂν εἰκότως· ἄλλη δὲ ἡ ὑπὸ μόνου ἐνεργουμένη τοῦ πρώτου καλοῦ, ὑπὲρ τὴν φυσικὴν οὖσα δύναμιν, καὶ κατάστασιν, ἣν ὑπερφυῆ προσαγορευτέον προσφόρως· οὕτως οὖν τούτων διῃρημένων, τὴν μὲν φυσικὴν καὶ γνῶσιν, καὶ ἀρετήν, ἔχοι ἂν καὶ ἀφώτιστος ἴσως, τὴν ὑπερφυῆ δὲ οὐδαμῶς· πῶς γὰρ ἄμοιρος ὢν τοῦ ἐνεργοῦντος αἰτίου; ὁ δὲ πεφωτισμένος, ἀμφοτέρας ἔχειν δύναται· μᾶλλον δέ, τὴν μὲν ὑπερφυῆ ἀρετήν, οὐδ' ἂν ὅλως κτήσαιτο, μὴ πρότερον τὴν κατὰ φύσιν κτησάμενος· τῆς δὲ ὑπερφυοῦς γνώσεως ἐν μεθέξει γενέσθαι, χωρὶς τῆς κατὰ φύσιν, τὸ κωλῦον οὐδέν· πλὴν ἐκεῖνο χρεὼν εἰδέναι, ὅτι ὥσπερ αἴσθησιν, καὶ φαντασίαν ἔχει μὲν καὶ τὰ ἄλογα, ἔχει δὲ καὶ ὁ ἄνθρωπος ταύτας τὰς δυνάμεις, πολλῷ κρείττους καὶ ὑψηλοτέρας. οὕτω δὴ κἀπὶ τῶν φυσικῶν ἀρετῶν τε, καὶ γνώσεων, καὶ ἄμφω λέγονται ἔχειν, ἀλλὰ μακρῷ κρειττόνως



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὁ πεφωτισμένος, καὶ ὑψηλότερον ἔχει τοῦ ἀφωτίστου αὐτάς. ἔτι γε μὴν, τῆς φυσικῆς εἰρημένης γνώσεως, ὅση περὶ ἀρετὰς, καὶ τὰς ἐναντίας ἕξεις καταγίνεται, διττὴ καὶ αὕτη δοκεῖ· ἡ μὲν ψιλή ἐστιν, ὅτε μὴ πεπείραται ὁ φιλοσοφῶν τῶν τοιούτων διαθέσεων, ἥτις ἐστὶν ὅτε διστάζει. ἡ δὲ ἔμπρακτός ἐστι, καὶ οἷον εἰπεῖν ἔμψυχος· ὅτε διὰ τῆς πείρας τῶν τοιούτων διαθέσεων ἡ γνῶσις βεβαιοῦται. ἥτις ζωή ἐστι, καὶ πιστή· μηδόλως δισταγμὸν καὶ ἀμφιδοξίαν ἐπιδεχομένη τοσύνολον. Τούτων οὕτως ἐχόντων, τέσσαρά τινα εἶναι δοκεῖ ἀντιπίπτοντα τῷ νῷ, πρὸς ἀρετῆς κτῆσιν· ἓν μὲν, ἡ τῶν ἐναντίων ἕξεων πρόληψις, ἥπερ εἴρηται, πάθεσιν ἐπιχειροῦσα διὰ μακροῦ τοῦ ἔθους, πρὸς τὰ γεηρὰ καταφέρεσθαι. ἕτερον δὲ, ἡ τῆς αἰσθήσεως ἐνέργεια, τοῖς αἰσθητοῖς κάλλεσιν ἐμφαινομένη καὶ συνεφελκομένη τὸν νοῦν ἑαυτῇ. τρίτον δὲ, ἡ τῆς νοερᾶς ἐνεργείας ἀμβλύτης, ἣν διὰ τὴν πρὸς τὸ σῶμα συμπλοκὴν πέπονθεν. οὐ γὰρ ὥσπερ ὅρασις πρὸς ὁρατὸν, καὶ συλλήβδην εἰπεῖν, αἴσθησις πρὸς αἰσθητὸν, οὕτω νοῦς πρὸς νοητόν· νοῦν δὲ λέγω τὸν τῆς ψυχῆς ἐν σαρκὶ οὔσης ἔτι. ἐπεὶ οἵ γε ἄϋλοι Νόες, ἐνεργέστερον προσβάλλουσι τοῖς νοητοῖς, ἢ ὄψις τοῖς ὁρατοῖς· ἀλλὰ καθάπερ ὄψις λημῶσα, τῶν ὁρᾶσθαι πεφυκότων, οὐ τρανὰ, οὐδὲ σαφῆ, συγκεχυμένα δὲ μᾶλλον καὶ ἀσαφῆ ἐκμάττεται εἴδωλα. οὕτω δὴ καὶ ὁ ἐν ἡμῖν νοῦς ἀντιλαμβάνεται τῶν νοητῶν, μὴ δυνάμενος δὲ τὰ νοητὰ κάλλη ἐναργῶς κατοπτεύειν, ἅμα μὲν οὐδὲν ποθεῖν δύναται· ταὐτὸν γὰρ τὸ μέτρον τῆς γνώσεως, καὶ τὸ μέτρον τῆς ἐφέσεως. ἅμα δὲ πρὸς τὰ αἰσθητὰ κατασύρεσθαι κάλλη· ζωηρότερον τούτῳ προσπίπτοντα. ἐμφέρεσθαι γὰρ ἀναγκαῖον ἑνός γε τοῦ καλοῦ φαινομένου· εἴτ᾽ οὖν ὄντως, εἴτε καὶ μή. ἔτι δὲ παρὰ ταῦτα, ἡ τῶν ἀκαθάρτων καὶ μισανθρώπων πνευμάτων ἐπήρεια. παγίδας, οὐκ ἔστιν εἰπεῖν, ὅσας, καὶ οἵας ἁπανταχοῦ τῆς ὁδοῦ, φεῦ· ταῖς ψυχαῖς προπηγνῦσα πολυειδῶς τε καὶ πολυτρόπως, διὰ τῶν αἰσθήσεων, διὰ λόγου, διὰ νοῦ, διὰ πάντων· ὡς εἰπεῖν· τῶν ὄντων. ὧν εἰ μὴ ὁ τὸ πλανώμενον πρόβατον ἐπ᾽ ὤμων ἀναλαβὼν, ὑψηλοτέρως ἀπείρῳ κηδεμονίᾳ τὰς πρὸς αὐτὸν ὁρῶντας εἰργάζετο, οὐκ ἂν διέφυγεν οὐδαμῶς οὐδεμία ψυχή. πρὸς γοῦν τὸ ταῦτα πάντα διαφυγεῖν, τριῶν ἡμῖν τούτων δεῖ. ὧν πρῶτον καὶ μέγιστον, τὸ πρὸς τὸν Θεὸν ὁλοψύχως ὁρᾶν· καὶ παρ᾽ αὐτοῦ χεῖρα βοηθείας αἰτεῖν. πᾶσαν ἐπ᾽ αὐτῷ τὴν ἐλπίδα ἀνατιθέντας, ὡς ἀκριβῶς πεπεισμένους. ὡς εἰ μὴ ἐκεῖνος συνάροιτο, πᾶσα ἀνάγκη αὐθέλκυστον ἐνεχεθῆναι. δεύτερον δὲ, ὃ καὶ τοῦ προτέρου προὔχειν οἶμαι, ἡ συνεχὴς τοῦ νοῦ δι᾽ ἐπιστήμης τροφή. Ἐπιστήμην δὲ λέγω, τῶν τε ὄντων ἁπάντων αἰσθητῶν, καὶ νοητῶν. εἴτε καθ᾽ αὑτά ἐστι, καὶ ὅπως ἔχουσι πρὸς τὴν πρώτην ἀρχὴν, ὡς ἐκεῖθέν τε καὶ πρὸς τήνδε, καὶ τὴν τοῦ αἰτίου τῶν ὄντων, ἐκ τῶν περὶ αὐτὴν ὡς ἐφικτὸν θεωρίαν. καθαρτικώτατον γὰρ τὸ τὰς φύσεις τῶν ὄντων περιεργάζεσθαι, τῆς ἐμπαθοῦς πρὸς αὐτὰ διαθέσεως, καὶ τῆς περὶ ταῦτα ἀπάτης ἀπαλλακτικὸν, καὶ τὴν πρὸς τὴν πάντων ἀρχὴν ἀναγωγικώτατον. ἀπὸ τῶν καλῶν, καὶ θαυμαστῶν, καὶ μεγάλων, τὸ κάλλιστον, καὶ θαυμαστότατον καὶ μέγιστον, μᾶλλον δὲ τὸ ὑπὲρ τὸ κάλλος, καὶ τὴν θαυμασιότητα, καὶ τὸ μέγεθος διδοῦν ἐνοπτρίζεσθαι. περὶ ταῦτα δὲ στρεφομένης τῆς διανοίας ἀεὶ, οἷόν τε ἐστὶ μὴ ποθῆσαι τὸ ὄντως ἀγαθόν· εἰ γὰρ πρὸς ἀλλότριον φέρεται, πολλῷ μᾶλλον πρὸς τὸ οἰκεῖον. τούτου δὲ ἐρασθεῖσα ψυχὴ, τίνι ἀνάσχοιτο προσεδρεύειν τῶν κάτω; καὶ τῶν ἀφέλκειν πεφυκότων τοῦ ἐραστοῦ; ἀλλὰ μὴ καὶ πρὸς τὴν ἐν σαρκὶ δυσχερῆ ζωὴν, ὡς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐμποδιστικὴν τῶν καλῶν. εἰ γὰρ καὶ ἀμαυρῶς ἐποπτεύειν εἴρηται τοὺς ἐν ὕλῃ τὴν νοητὴν καλλονὴν, ἀλλὰ τοιαῦτα καὶ τηλικαῦτα τὰ νοητὰ ἀγαθὰ, ὡς καὶ βραχεῖάν τινα ἀπόρροιαν, καὶ ἀμυδρὰν ἔμφασιν τοῦ πελαγίζοντος κάλλους ἐκείνου, δύνασθαι πείθειν τὸν νοῦν, πάντων ὑπερορᾶσθαι τῶν μὴ νοητῶν, καὶ πρὸς ἐκεῖνα φέρεσθαι μόνα. μηδόλως δ' ἀνέχεσθαι τῆς τρυφῆς ἐκείνης ἀποχωρεῖν, ἤδ' ἂν ἔτι καὶ συμπεσεῖν γένοιτο τῶν ἀνιαρῶν. τρίτον δὲ προσεῖναι δεῖ, τὴν τοῦ συζύγου σώματος νέκρωσιν. ἄλλως γὰρ ἀδύνατον τὰς ἐμφάσεις ἐκείνας δέχεσθαι σαφεῖς καὶ τρανάς. νεκροῦται δὲ σάρξ διὰ νηστείας, καὶ ἀγρυπνίας, καὶ χαμευνίας, καὶ τραχείας περιβολῆς ἀναγκαίας, καὶ πόνων, καὶ μόχθων. οὕτω νεκροῦται σάρξ. μᾶλλον δὲ συσταυροῦται Χριστῷ. λεπτύνεταί τε, καὶ καθαίρεται, καὶ κούφη καὶ εὐσταλὴς γινομένη, τοῖς τοῦ νοῦ κινήμασιν ἕπεται ῥαδίως, οὐκ ἀντιτείνουσα, καὶ συνυψοῦται τῷ ὑψηλῷ. ὡς ταύτης γε χωρὶς, ἅπασα σπουδὴ ματαία ἐλέγχεται· αὕτη ἡ σεβασμία τριὰς, ἐπειδὰν πρὸς ἑαυτὴν συμφωνήσῃ, τὸν χορὸν τῶν μακαρίων ἀρετῶν, ἐγγεννᾷ τῇ ψυχῇ. ἀδύνατον γὰρ ἐν τοῖς τῇ τριάδι ταύτῃ κεκοσμημένοις, ἢ ἴχνος κακίας εὑρεῖν, ἢ τῶν ἀρετῶν ἀπεῖναί τινα· ἀλλ' ἴσως ἐνοχλεῖ τῷ λόγῳ ἡ τῶν χρημάτων ῥῖψις, καὶ ἡ τῆς δόξης διάπτυσις, ὡς ἄχρις ἂν προσδέδεται τούτοις ψυχὴν, πολλοῖς περιπείρεται πάθεσι. ἐγὼ δὲ, ὅτι μὲν ἀδύνατον ἀναπτῆναι ψυχὴν τὴν προσηλωμένην πλούτῳ, καὶ δόξῃ, καὶ πάνυ διϊσχυρίζομαι. οὐ μὴν δὲ φημὶ δυνατὸν εἶναι τούτοις προσεδρεύειν ψυχὴν, τοῖς εἰρημένοις τρισὶν ἐναθλήσασαν ἐφ' ἱκανὸν, ὡς εἰς ἕξιν τούτων ἐλθεῖν. εἰ γὰρ μηδὲν εἰδεῖα τῷ ὄντι καλὸν, ἢ τὸ ὑπὲρ πάντα, τῶν δ' ἄλλων. τὸ ὁμοιότερον τῷ πρώτῳ κάλλιον εἶναι πεπεισμένη καὶ τοῦτο μέχρι τῶν ἐσχάτων, πῶς ἂν ἄργυρον, ἢ χρυσὸν, ἢ ἄλλο τι τῶν κάτω συρομένων ἀγαπήσειε; καὶ ἀποδέξεται; ταῦτα δέ μοι καὶ περὶ τῆς δόξης εἰρήσθω. ἀλλ' οὐδὲ τὸ καθεκτικώτατον χρῆμα, τὰς φροντίδας λέγω, ἀντιπίπτει τῷ λόγῳ. περὶ τίνος γὰρ φροντιεῖ; ὁ πρὸς μηδὲν τῶν ἐνθάδε παθαινόμενος, καὶ στρεφόμενος; τὸ γὰρ φροντίδων νέφος, ἀπὸ τῆς οἷον ἀναθυμιάσεως τῶν γενικωτάτων παθῶν. φιληδονίας λέγω, φιλαργυρίας, καὶ φιλοδοξίας συνίσταται. ὡς ὅγε τούτων ἐλεύθερος, καὶ φροντίδος ἀλλότριος. ἀλλ' οὐδ' ἡ φρόνησις ἕτερον εἶναι τῆς σοφίας πεπιστευμένη· καὶ τὸ κράτιστον οὖσα τῶν πρὸς τὰ ἄνω φερόντων, τοῖς εἰρημένοις ἐλλείπει. Τῇ μὲν γὰρ τῶν ἀρετῶν ἐπιστήμῃ, συμπεριέχεται καὶ ἡ τοῦ ἀγαθοῦ, καὶ τοῦ ἐναντίου ἀκριβεστάτη διάκρισις. ὧν προὔργου φρόνησις δεῖται. τρόπους δὲ χρήσεως καὶ πάλης, ἡ πεῖρα καὶ ἡ πρὸς τὸ σῶμα πάλη διδάξει. ὁ δὲ τοῦ φόβου λόγος, οὐκ ἐκλείπει τῷ λόγῳ. ὅσῳ γὰρ μείζων ὁ ἔρως, καὶ ὁ φόβος συναύξεται. τοῦ γὰρ ἀγαθοῦ. ἴση ἐλπὶς πρὸς τὸ τυχεῖν, ὃ μᾶλλον οἶδε δάκνειν τοὺς τετρωμένους, ἢ μυρίων κολάσεων ἀπειλαί. τὸ γὰρ αὐτοῦ τυχεῖν μακαριώτατον, τοσοῦτος ὁ φόβος ἀποτυχεῖν, ὅπερ ἐστὶν ἀθλιώτατον. ἵνα δὲ καθ' ὁδὸν ἡμῖν ὁ λόγος καὶ ἄλλως προΐῃ, ληπτέον ἀπὸ τοῦ τέλους. οὕτω γὰρ δοκεῖ πᾶν τὸ γενόμενον ἀπὸ τοῦ οἰκείου τέλους, τήν τε τῶν μερῶν διάκρισιν, καὶ τὴν τούτων τάξιν λαμβάνειν. τὸ τοίνυν τέλος τῆς ζωῆς ἡμῶν, μακαριότης ἐστίν. ὅτ' αὐτὸν ἐστὶν εἰπεῖν, καὶ βασιλείαν οὐρανῶν, ἢ Θεοῦ. τοῦτο δὲ οὐκ ἔστι τὸ ὁρᾷν μόνον τὴν βασιλικωτάτην εἰπεῖν τριάδα, ἀλλὰ πρὸς τοῦτο, καὶ τὴν θείαν δέχεσθαι ἐπιρροὴν, καὶ οἱονεὶ, πάσχειν τὴν θέωσιν. καὶ τὸ ἐν ἡμῖν ἐνδεές τε καὶ ἀτελὲς, τῇ ἀναπληροῦσθαί τε, καὶ τελειοῦσθαι ἐπιρροῇ. καὶ τοῦτό ἐστι, τῶν νοερῶν ἡ τρο-

φὴ,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

φὴ, ἡ τοῦ ἐνδεοῦς ἀναπλήρωσις διὰ τῆς θείας ἐκείνης ἐπιῤῥοῆς. καὶ ἔστι κύκλος τὶς ἀΐδιος, ἀπὸ τοῦ αὐτοῦ ἀρχόμενος, καὶ εἰς τὸ αὐτὸ καταλήγων. ὅσον γὰρ νοεῖ, καὶ ἐφίεται. καὶ ὅσον ἐφίεται, ἀπολαύει. ἕως οὗ δ᾽ ἀπολαύει, πρὸς τὸ νοεῖν πάλιν ῥώννυται. καὶ αὖθις ἄρχεται τῆς ἀκινήτου κινήσεως. εἴτ᾽ οὖν τῆς ἀκινήτου ἀεικινησίας. τὸ μὲν οὖν τέλος, ὅσον ἡμῖν ἐφικτὸν, τοιοῦτον. ὅπως δὲ πρὸς τὸ αὐτὸ τέλος ἰτέον, σκεπτέον. ταῖς λογικαῖς ψυχαῖς, νοεραῖς οὔσαις οὐσίαις, καὶ μικροῦ τῶν Ἀγγέλων ἀποδεούσαις νοῶν, ὁ ἐνταῦθα βίος, ἄθλον ἐστὶ, καὶ ἀγὼν δεδομένος, ὁ ἔνσαρκος βίος. ἔπαθλον δὲ ἡ ῥηθεῖσα κατάστασις. δῶρον ὁμοῦ ἀγαθότητος θείας, καὶ δικαιοσύνης ἐπάξιον. τὸ μὲν, ὅτι ἐξ ἰδίων ἱδρώτων δοκεῖ τούτων τυγχάνειν τῶν ἀγαθῶν. τὸ δ᾽ ὅτι πάντα πόνον ἡ ἀπειρόδωρος δύναμις ὑπερβαίνει. ἄλλως δ᾽ ὅτι καὶ αὐτὸ τὸ δύνασθαί τε τὸ ἀγαθὸν, καὶ πρᾶξαι, αὐτοῦ ἐστι δώρημα. τίς οὖν ὁ ἐνταῦθα ἀγών; ψυχὴ λογικὴ, ζωώδει συνέζευκται σώματι, γῆθεν τὴν ὕπαρξιν ἔχοντι, καὶ πρὸς τὰ κάτω βρίθοντι. οὕτω δὲ πρὸς αὐτὸ ἀνακέκραται, ὡς ἐκ τῶν δύο γίνεσθαι τούτων ψυχῆς καὶ σώματος τῶν ἐναντιωτάτων. οὐκ ἐπακολουθούσης τροπῆς, ἢ συγχύσεως τῶν μερῶν ἄπαγε, ἀλλ᾽ ἐκ δύο τῶν κατὰ φύσιν διαφερόντων, μίαν ὑπόστασιν γίνεσθαι ἐν δυσὶ τελείαις ταῖς φύσεσιν. οὕτω γοῦν διφυές τι γενόμενον τὸ μικτὸν τοῦτο ζῶον ὁ ἄνθρωπος, ἑκατέρας φύσεως παρὰ μέρος τὰ οἰκεῖα πέφυκεν ἐνεργεῖν. καὶ τῷ μὲν σώματι προσφυὲς, τὸ τῶν ὁμοίων ἐφίεσθαι. ὁ ἔρως γὰρ οὗτος φυσικὸς τοῖς οὖσι πρὸς τὰ ὅμοια, ὡς δῆθεν βοηθουμένου τοῦ εἶναι, ὑπὸ τῆς τῶν ὁμοίων συνουσίας, καὶ τὸ ἀπολαύειν αὐτῶν διὰ τῆς αἰσθήσεως. ὅτι τε βαρεῖ ὄντι φίλον ἡ ἄνεσις. τῇ μὲν δὴ ζωώδει φύσει, προσφυῆ καὶ ἐράσμια ταῦτα. τῇ δὲ λογικῇ ψυχῇ καθὸ νοερᾷ οὐσίᾳ, φυσικά τε καὶ ὀρεκτὰ, ταῦτα δὴ τὰ νοητά. καὶ τούτων ἀπολαύειν, κατὰ τὸν οἰκεῖον τρόπον. πρὸ πάντων δὲ καὶ ἐπὶ πᾶσιν, ὁ πρὸς Θεὸν ἔρως αὐτῇ φυσικῶς ἐνεῤῥίζωται. καὶ βούλεται μὲν ἀπολαύειν αὐτοῦ τε καὶ τῶν ἄλλων νοητῶν, ἐδύνατο δὲ ἀνεμποδίστως τοῦτο ποιεῖν. ὁ μὲν δὴ πρῶτος ἄνθρωπος ἀνεμποδίστως, ὥσπερ διὰ τῆς αἰσθήσεως τῶν αἰσθητῶν, οὕτω δὴ τῶν νοητῶν διὰ τοῦ νοῦ, ἀντιλαμβάνεσθαί τε, καὶ ἀπολαύειν ἠδύνατο. χρεὼν δὲ ἦν ἐκεῖνον, τὸ μὴ τοῖς χείροσιν, ἀλλὰ τοῖς κρείττοσιν ἐνασχολεῖσθαι. ἀμφότερα γὰρ δυνάμενος ἐπ᾽ αὐτῷ ἦν, εἴτε τοῖς νοητοῖς συνεῖναι διὰ τοῦ νοῦ. εἴτε τοῖς αἰσθητοῖς διὰ τῆς αἰσθήσεως. λέγω δὲ, οὐχ ὅτι οὐκ ἐχρῆν τὸν Ἀδὰμ αἰσθήσει κεχρῆσθαι. οὐ γὰρ μάτην αὐτῷ περιέκειτο τὸ σῶμα. ἀλλ᾽ ὅτι τῶν αἰσθητῶν ἐντρυφᾶν, οὐκ ἐχρῆν. ἀλλὰ τῆς καλλονῆς ἀντιλαμβανόμενον τῶν κτισμάτων, πρὸς τὸ αἴτιον ἀνατρέχειν ἔδει. καὶ τούτου κἀντεῦθεν κατατρυφᾶν μετὰ θαύματος. διπλᾶς ἔχοντα τὰς ἀφορμὰς τοῦ θαυμάζειν τὸν κτίσαντα. οὐ μὴν δὲ, τοῖς αἰσθητοῖς προσπαγῆναι, καὶ ταῦτα θαυμάζειν, οὐ τὸν ποιήσαντα, τοῦ νοητοῦ κάλλους ἀφέμενον. ὁ μὲν οὖν Ἀδὰμ, οὕτως. ἐπεὶ δὲ κακῶς ἐκεῖνος τῇ αἰσθήσει χρησάμενος, τὸ αἰσθητὸν ἐθαύμαζε κάλλος, ὡραίου δόξαντος αὐτῷ τοῦ καρποῦ πρὸς ὅρασιν. καὶ καλοῦ εἰς βρῶσιν, οὗ γευσάμενος, ἀφῆκε τὴν ἀπόλαυσιν τῶν νοητῶν. ἐντεῦθεν ὁ δίκαιος κριτὴς, ὧν αὐτὸς κατεφρόνησε, τῆς θεωρίας φημὶ τοῦ Θεοῦ, καὶ τῶν ὄντων, ἀνάξιον ἑαυτὸν κρίνας, ἀφείλετο αὐτόν. θέμενος σκότος ἀποκρυφὴν, αὐτοῦ, καὶ τῶν ἀΰλων οὐσιῶν. οὐκ ἔδει γὰρ τοῖς βεβήλοις ἀνεῖσθαι τὰ ἅγια. ὧν δ᾽ ἠράσθη, τούτων συνεχώρησε τὴν ἀπόλαυσιν. αἰσθήσει ζῆν ἐάσας, καὶ μικροῖς νοὸς ἴχνεσιν. ἐντεῦθεν ἡμῖν ὁ πρὸς τὰ τῇδε ἀγὼν, βαρύτερος γέγονεν, οὐ γὰρ ἐπ᾽

ἐξο-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὀξυτησίας ἀπολαύειν τῶν νοητῶν, ὥσπερ τῶν αἰσθητῶν τῇ αἰσθήσει, καθάπερ εἴρηται. εἰ καὶ διὰ τοῦ βαπτίσματος ὅτι μάλιστα βοηθούμεθα, καθαιρόμενοι, καὶ ὑψούμενοι. πλὴν ὡς ἐφικτὸν ἡμῖν, τούτοις ἐνασχολεῖσθαι χρή, οὐ τοῖς αἰσθητοῖς. κἀκεῖνα θαυμάζειν καὶ βούλεσθαι. τῶν δ᾽ αἰσθητῶν μηδὲν καθ᾽ αὑτὸ θαυμάσαι, μὴ δ᾽ ἀπολαῦσαι θελῆσαι. τρόπτι γὰρ οὐδεμία πρὸς τὰ νοητὰ λόγον ἔχειν δοκεῖ. ὅσῳ δὲ τῆς οὐσίας ἡ οὐσία, τοσούτῳ καὶ τοῦ κάλλους τὸ κάλλος θαυμασιώτερον. τοῦ καλλίονος δὲ τὸ αἴσχιον, καὶ τοῦ τιμιωτέρου τὸ ἀτιμώτερον ποθῆσαι, ποίαν οὐχ ὑπερβάλλει παραπληξίαν; καὶ ταῦτα μὲν περὶ τῶν αἰσθητῶν τε, καὶ νοητῶν κτισμάτων ἀμφοῖν. τί δ᾽ ἂν εἴποις περὶ τοῦ ὑπὲρ ταῦτα, ὅταν καὶ τούτου τὴν ἄμορφον ὕλην καὶ ἀκαλλῆ προτιθέαμεν; οὗτος οὖν ἐστὶν ὁ ἀγών, τὸ προσέχειν ἑαυτοῖς μετ᾽ ἀκριβείας, ἵνα τῶν τε νοητῶν ἀεὶ ἀπολαύωμεν. πρὸς αὐτὰ καὶ τὸν νοῦν, καὶ ὄρεξιν ἀνατείναντες, μηδέποτε ὑπὸ τούτων κλαπῶμεν τῶν αἰσθητῶν, συναπαχθέντες πρὸς αὐτὰ διὰ τῆς αἰσθήσεως, ὡς θαυμάσαι αὐτὸ καθ᾽ αὑτό. ἀλλ᾽ εἴτι χρὴ καὶ αἰσθήσει χρήσασθαι, διὰ τοῦτο χρηστέον, ἵνα ἐκ τῶν κτισμάτων τὸν κτίστην καταλαμβάνωμεν. ἐν αὐτοῖς ὁρῶντες ἐκεῖνον, ὡς ἐν ὕδασιν ἥλιον. ἐπειδὴ εἰκόνες εἰσὶν ἐν τοῖς οὖσι τοῦ πρώτου πάντων αἰτίου. καὶ τὸ αὐτοῖς χρηστόν. τὸ μὲν οὖν κατόρθωμα τοῦτό ἐστιν. ὅπως δὲ τοῦτο κατορθωτέον, σκεπτέον· εἴρηται γάρ, ὅτι τὸ σῶμα ἀπολαύειν ἐφίεται τῶν οἰκείων διὰ τῆς αἰσθήσεως. ὅπερ ἐναντίον ἐστὶ τῇ προθέσει τῆς ψυχῆς, καὶ ὅσῳ μᾶλλον ἔρρωται, μᾶλλον ἐφίεται. πρὸς τοῦτο τοίνυν πεφρόντισο τῇ ψυχῇ, τὸ πάσαις αἰσθήσεσι χαλινὸν ἐπιτιθέναι, ἵνα μὴ τῶν αἰσθητῶν ἀπολαύσωμεν ὡς εἴρηται. ἐπεὶ δὲ μᾶλλον ἐρρωμένον τὸ σῶμα, μᾶλλον ὁρμᾷ, μᾶλλον δὲ ὁρμῶν δυσκάθεκτον γίνεται, ἐπενδέδασται τῇ ψυχῇ ἡ αὐτοῦ νέκρωσις διὰ νηστείας, ἀγρυπνίας, στάσεως, χαμευνείας, ἀλουσίας, καὶ πάσης ἄλλης κακοπαθείας. ἵνα καταμαράνασα τὴν δύναμιν αὐτοῦ, ἀσθενὲς ἔχῃ καὶ εὐπειθές, πρὸς τὰς ἑαυτῆς πράξεις τὰς νοεράς. τοῦτο γὰρ ἦν τὸ προκείμενον εἰς κατόρθωσιν. ἐπεὶ δὲ ταῦτα, εὔξασθαι μὲν ῥᾷστον, ποιῆσαι δὲ δυσχερές, καὶ πολλαπλάσιά ἐστι τῶν κατορθωμάτων τὰ σφάλματα, κἂν πάνυ προσέχῃ τις, πυκνὰ τῆς αἰσθήσεως ὑποκλεπτούσης. Τρίτον ἐπινενόηται φάρμακον, ἡ προσευχή, καὶ τὸ δάκρυον. ἡ μὲν γὰρ προσευχή, εὐχαριστίαν ἔχει τῶν δεδομένων ἀγαθῶν, καὶ αἴτησιν τῆς τε τῶν σφαλμάτων ἀφέσεως, καὶ δυναμοποιοῦ πρὸ τοῦ μέλλοντος δυνάμεως. ὡς ἄνευ γε τῆς θείας ῥοπῆς, καθάπερ καὶ πρότερον εἴρηται, οὐδὲν ἂν κατορθώσοι ψυχή. εἴτε ἕνωσιν πρὸς τὸν ποθούμενον, καὶ ἀπόλαυσιν, καὶ τῆς βελτίονος δυνάμεως πρὸς ἐκεῖνον νεῦσιν ὁλικήν. ὃ τοῦ κατορθώματος μέρος ἦν τὸ κράτιστον. τὸ ποιῆσαι τὴν βούλησιν ταῦτα βούλεσθαι, ὡς οἷόν τε σφόδρα. τὸ δὲ δάκρυον, πολλὴν ἔχει τὴν δύναμιν. ὑπέρ τε γὰρ τῶν ἐσφαλμένων, ἱλεοῦται τὸν δεσπότην, καὶ τὰς προσγενομένας ἡμῖν ἀπὸ τῆς αἰσθητῆς ἡδονῆς κηλῖδας καθαίρει, καὶ πρὸς τὰ ἄνω πτεροῖ τὴν ὄρεξιν· ταῦτα μὲν οὕτως. τὸ μὲν οὖν κατόρθωμα, ἡ τῶν νοητῶν θεωρία καὶ πόθησις παντελής. διὰ δὲ τοῦτο ἡ τῆς σαρκὸς δυσαγώγησις, ἧς μέρη, καὶ νηστεία, καὶ σωφροσύνη, καὶ ἕτερα. πάντα δι᾽ ἕτερον ἐπιτηδευόμενα. διὰ δὲ ταῦτα, καὶ μετὰ τούτων ἡ προσευχή. ἑκάτερον δὲ τούτων εἰς πλείω μέρη διείληπται. ὥσπερ γὰρ αὐτὰ δι᾽ ἄλλα, οὕτω δι᾽ αὐτὰ ἕτερα. μηδεὶς δὲ οἰέσθω τὴν φιλοδοξίαν, καὶ τὴν φιλαργυρίαν σώματι προσήκειν, ἡ γὰρ φιληδονία, τῷ σώματι μόνῳ, ἥτις φάρμακον εὗρεν ἁρμόδιον, τὴν τοῦ σώματος κάκωσιν. τὰ δὲ ῥηθέντα



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ταῦτα δύο, ἀγνοίας ἐστὶ γεννήματα. ἀπειρίᾳ γὰρ τῶν ὄντως καλῶν ἡ ψυχὴ, καὶ ἀνεπιστημοσύνῃ τῶν νοητῶν, τὰ νόθα εἰσεποιήσατο. τῷ μὲν πλούτῳ δοκοῦσα παραμυθεῖσθαι τὸ ἐνδεές. ἅμα δὲ καὶ διὰ φιληδονίαν ὁ πλοῦτος σπουδάζεται, καὶ διὰ φιλοδοξίαν. καὶ καθ' αὑτὸ ὡς ἄλλο τι καλόν· περὶ οὗ φαμὲν, ὅτι ἀγνοίᾳ τῶν ὄντως καλῶν γίνεται τοῦτο. ἡ δὲ φιλοδοξία, οὐ δι' ἔνδειαν μὲν σωματικήν, παραμυθεῖται γὰρ οὐδὲν τῶν τοῦ σώματος. ἀπειρίᾳ δὲ καὶ ἀγνοίᾳ τοῦ πρώτου καλοῦ, καὶ τῆς ἀληθινῆς δόξης. καὶ ταύτης αἴτιον, καὶ συλλήβδην εἰπεῖν, πάντων ῥίζα τῶν κακῶν ἡ ἄγνοια πέφυκεν. οὐκ ἔστι γὰρ ὡς δεῖ τῶν πραγμάτων τὴν φύσιν κατειληφότα. ὅθεν τε προῆλθεν ἕκαστον, καὶ ποῖ καταστρέφει, εἶτα τοῦ οἰκείου τέλους ἀλογήσαντα, πρὸς τὰ γήϊνα καταφέρεσθαι. οὐκ ὀρέγεται γὰρ ψυχὴ τοῦ φαινομένου καλοῦ. εἰ δὲ ὑπὸ τῆς ἕξεως τυραννεῖται. μάλιστα μὲν καὶ τῆς ἕξεως κρατῆσαι δύναται. πλὴν, ἀλλ' ὅτε οὔπω ἡ ἕξις ἦν, δι' ἄγνοιαν ἠπατᾶτο, ὥστε τῶν μάλιστα πρῶτον σπουδάσαι δεῖ, καὶ περὶ τῶν ὄντων ὀρθῶς δοξάσαι, εἶθ' ἑπομένως πτερῶσαι μὲν τὴν βούλησιν, πρὸς τὸ πρῶτον καλόν. καταφρονῆσαι δὲ τῶν παρόντων ἁπάντων, καταγνόντα πολλὴν τούτων τὴν ματαιότητα. τί γὰρ πρὸς τὸ οἰκεῖον ἡμῖν τέλος συμβάλλεται; καὶ ἵνα ἐν βραχεῖ συνέλω τὸ πᾶν. ἓν μόνον ἐστὶν ἔργον τῆς λογικῆς ἐν σώματι ψυχῆς, τὸ τοῦ οἰκείου τέλους ἐφίεσθαι. ἐπεὶ δὲ τῆς βουλήσεως ἡ ἐνέργεια, νοήσεως ἄτερ, ἀκίνητός ἐστι. διὰ τοῦτο τὸ νοερῶς ἐνεργεῖν προσλαμβάνομεν. εἴτ' οὖν διὰ τὸ βούλεσθαι τὸ νοεῖν· εἴτε καὶ δι' αὐτὸ, καὶ διὰ τὸ βούλεσθαι. ὃ καὶ μᾶλλον δοκεῖ. καὶ γὰρ ἡ μακαριότης, ἧς οὐ πρόξενος μόνον, ἀλλὰ καὶ τύπος ἡ ἐνταῦθα τοῦ σπουδαίου ζωὴ, ἀμφοτέρας ἔχει τὰς ἐνεργείας, τήν τε νόησιν, καὶ τὴν βούλησιν· ἤγουν ἀγάπην, καὶ ἡδονήν. εἴτ' οὖν ἄμφω αἱ ἐνέργειαι, εἴτε θατέρα κυριωτάτη, φιλοσοφείτωσαν μὲν οἱ βουλόμενοι. πρὸς δὲ τὸ παρὸν, ἄμφω τιθέαμεν τὰς ἐνεργείας. ὧν τὴν μὲν θεωρίαν τὴν δὲ πρᾶξιν καλοῦμεν. ἀδύνατον δὲ θατέραν χωρὶς τῆς ἄλλης εὑρίσκεσθαι, ἐπὶ τῶν ἀκροτάτων τούτων ἐνεργειῶν. ἐπὶ δὲ τῶν ὑποδεεστέρων, καὶ μετ' ἐκείνας, ἐνδέχεται. ὅσα δὲ τούτων ἐμποδιστικὰ τῶν ἐνεργειῶν, ἢ καὶ πρὸς τὰ ἐναντία ὁρῶσι, κακίας καλοῦμεν· ὅσα δὲ βοηθητικὰ, ἢ καὶ τῶν ἐμποδιστικῶν ἀπαλλακτικὰ, ἀρετάς. ἐνεργείας δὲ τὰς μὲν ἀπὸ τῶν ἀρετῶν, κατορθώματα. τὰς δὲ τῶν ἐναντίων, διαπτώματα καὶ ἁμαρτήματα. πάσης δὲ ἐνεργείας εἰδοποιὸν, εἴτε πρὸς τὸ χεῖρον, εἴτε πρὸς τὸ βέλτιον, ὁ σκοπὸς ὁ ἀκρότατος ὃν ἐνέργειαν ἴσμεν σύνθετον, ἐκ νοήσεως, καὶ βουλήσεως.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Μάξιμος ὁ Ὁμολογητής, ἦν ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου, κατὰ τὸ ἑξακοσιοστὸν ἑβδομηκοστὸν ἔτος ἀπὸ Χριστοῦ, ὁ τῆς τῶν Μονοθελητῶν κακοδόξου αἱρέσεως πρώτιστος καθαιρέτης· βασιλείοις δὲ πρότερον ἐνδιαπρέψας αὐλαῖς, καὶ τῷ τοῦ Πρωτασηκρίτου ἀξιώματι τετιμημένος, ὕστερον τὰς κοσμικὰς ἀρχὰς καταλιπών, πρὸς τοὺς ἀσκητικοὺς ἀγῶνας ἐπαποδύεται· τῇ πηγῇ δὲ τῆς σοφίας προσπελάσας τὸ στόμα, καὶ ταῖς ζωηρρύτοις ἀρδείαις τῶν θείων Γραφῶν διαπαντὸς ποτιζόμενος, ποταμοὺς ὡς ἀληθῶς ἐκ τῆς κοιλίας αὐτοῦ θείων δογμάτων, καὶ συγγραμμάτων ἐξέβλυσε, πάντα πελαγίζοντας τῆς οἰκουμένης τὰ πέρατα, ὧν καὶ ἡμεῖς τὸ γλυκὺ καὶ νεκρέγερτον ὕδωρ, διὰ τῶν παρόντων τουτωνὶ κεφαλαίων, εἰς τήνδε τὴν βίβλον μετοχετεύσαντες, παρεθήκαμεν τοῖς τῷ καλῷ δίψει τῆς σοφίας συνεχομένοις, ἵνα πίνοντες ἐξ αὐτοῦ δαψιλῶς, εἰς τὸν αἰῶνα οὐ μὴ διψήσωσιν. ἐν τούτοις καὶ γὰρ ἡ τῆς ἱερᾶς, καὶ θεοποιοῦ ἀγάπης γνῶσις, καὶ ἐργασία φιλοσοφεῖται· ἡ τῆς ὑψηλῆς Θεολογίας ἄπταιστος δόξα κρατύνεται· τὸ περὶ τῆς οἰκονομίας τοῦ λόγου μυστήριον εὐσεβῶς ἀναπτύσσεται· ἡ τῶν θεοειδῶν ἀρετῶν πρακτικὴ θεωρία ἐπιστημόνως τρανολογεῖται· καὶ ἡ τῶν ἀντικειμένων αὐταῖς κακιῶν, καὶ παθῶν βδελυκτὴ στηλιτεύεται συμμορία, καὶ συνελόντι φάναι· ἐν αὐτοῖς ἡ τῶν ἠθῶν διακόσμησις διαλάμπει, καὶ πολλῶν καὶ διαφόρων ψυχωφελῶν ὑποθέσεων ἀποταμιεύονται ὑποθῆκαι, δι᾽ ὧν ἄντις ῥαδίως, κακίας πάσης ἀπαλλαγείς, καὶ τῶν ἀρετῶν ἐν ἕξει γενόμενος, οὐρανοπολίτης γενέσθαι ἰσχύσειε, καὶ τῆς θείας δόξης ἐπιτυχεῖν. ἀλλὰ γὰρ καὶ ἡ τοῦ αὐτοῦ Πατρὸς εἰς τό, Πάτερ ἡμῶν ἐξηγητικὴ ἀνάπτυξις, ὡς πολλῷ τῶν ἄλλων ὑπερέχουσα, καὶ πολλὴν τὴν ὠφέλειαν τοῖς ἀναγινώσκουσι προμνηστεύουσα, προσετέθη τοῖς κεφαλαίοις. Τοῦτο δὲ τοῦ θείου Πατρὸς καὶ ὁ σοφὸς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μνημονεύει Φώτιος, ἀναγνώσει ρηά. σελ. 251. ἔστι δὲ τὴν φράσιν σχοινοτενής τε ταῖς περιόδοις, καὶ χαίρων ὑπερβατοῖς, ἐνακμάζων τε ταῖς περιβολαῖς, καὶ κυριολογεῖν οὐκ ἐσπουδασμένος.... Πλὴν εἴ τινι φίλον, ἀναγωγαῖς, καὶ θεωρίαις τὸν νοῦν ἀνελίσσειν, οὐκ ἂν ποικιλωτέραις, οὐδ' ἐσπουδασμέναις μᾶλλον, ἢ ταύταις περιτύχοι.

## ΤΟΥ ἘΝ ἉΓΙΟΙΣ ΠΑΤΡΟΣ ἩΜΩΝ

# Μ Α Ξ Ι Μ Ο Υ

## Τ Ο Υ ὉΜΟΛΟΓΗΤΟΥ,

# Π Ρ Ο Λ Ο Γ Ο Σ

## Π Ε Ρ Ι ἈΓΑΠΗΣ.

### ΠΡΟΣ ἘΛΠΙΔΙΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ

Ἰδοὺ πρὸς τῷ περὶ ἀσκητικοῦ βίου λόγῳ, καὶ τὸν περὶ ἀγάπης πέπομφα λόγον τῇ σῇ ὁσιότητι Πάτερ Ἐλπίδιε· ἐν ἰσαρίθμοις κεφαλαίων τῶν τεσσάρων Ἁγίων Εὐαγγελίων ἑκατοντάσιν. οὐδὲν μὲν ἴσως ἄξιον τῆς σῆς προσδοκίας, τῆς δέ γε ἡμετέρας δυνάμεως οὐκ ἔλαττον. πλὴν γινωσκέτω ἡ σὴ ἁγιωσύνη, ὅτι οὐδὲ ταῦτα, τῆς ἐμῆς εἰσὶ γεώργια διανοίας· ἀλλὰ τοὺς τῶν Ἁγίων Πατέρων διελθὼν λόγους, κἀκεῖθεν τὸν εἰς τὴν ὑπόθεσιν συντείνοντα νοῦν ἀναλεξάμενος, καὶ ἐν ὀλίγοις πολλὰ κεφαλαιωδέστερον συναγαγὼν, ἵνα εὐσύνοπτα γένωνται διὰ τὸ εὐμνημόνευτον, ἀπέστειλα τῇ σῇ ὁσιότητι· παρακαλῶν εὐγνωμόνως ἀναγινώσκειν, καὶ μόνην θηρεύειν τὴν ἐν αὐτοῖς ὠφέλειαν, τὸ δὲ ἀκαλλὲς τῶν λέξεων παραβλέπειν. καὶ εὔχεσθαι ὑπὲρ τῆς ἐμῆς μετριότητος, καὶ πάσης πνευματικῆς ὠφελείας ἐρήμου. Παρακαλῶ δὲ καὶ τοῦτο, μὴ εἰς ὄχλησιν ἡγεῖσθαι τὰ εἰρημένα. Ἐπιταγὴν γὰρ πεπλήρωκα· λέγω δὲ τοῦτο· ἐπειδὴ οἱ λόγοις ἐνοχλοῦντες, πολλοί ἐσμεν σήμερον· οἱ δὲ ἔργοις παιδεύοντες, ἢ καὶ παιδευόμενοι, πάνυ εἰσὶν ὀλίγοι, ἀλλὰ μᾶλλον ἐμπόνως ἑκάστῳ προσέχειν τῶν κεφαλαίων. οὐ πάντα γὰρ πᾶσιν· ὡς οἶμαι· εἰσὶν εὔληπτα, ἀλλὰ καὶ πολλῆς τὰ πολλὰ τοῖς πολλοῖς δεόμενα τῆς συνεξετάσεως, εἰ καὶ δοκεῖ ἁπλούστερον εἰρῆσθαι. ἴσως γὰρ ἄντι φανείη χρήσιμον τῇ ψυχῇ ἐξ αὐτῶν ἀνακαλυπτόμενον, ἀναφανήσεται δὲ πάντως, Θεοῦ χάριτι, τῷ ἀπεριέργοις ἐννοίαις, καὶ μετὰ φόβου Θεοῦ, καὶ ἀγάπης ἀναγινώσκοντι. τῷ δὲ μὴ ὠφελείας χάριν πνευματικῆς ἐντυγχάνοντι, ἢ τούτῳ τῷ πονήματι, ἢ καὶ ἄλλῳ τῷ οἱῳδήποτε, ἀλλὰ τὰς λέξεις θηρεύειν, πρὸς τὸ κακίζειν τὸν συγγραψάμενον, ἵνα ἑαυτὸν ἐκείνου δῆθεν, ὡς οἰηματίας, σοφώτερον παραστήσῃ, οὐδὲν ὠφέλιμον οὐδαμόθεν οὐδέ ποτε ἀναφανήσεται.

# ΕΚΑΤΟΝΤΑΣ ΠΡΩΤΗ ΤΩΝ ΠΕΡΙ ΑΓΑΠΗΣ ΚΕΦΑΛΑΙΩΝ.

α. Ἀγάπη μέν ἐστι, διάθεσις ψυχῆς ἀγαθὴ, καθ' ἣν οὐδὲν τῶν ὄντων, τῆς τοῦ Θεοῦ γνώσεως προτιμᾷ. ἀδύνατον δὲ εἰς ἕξιν ταύτης ἐλθεῖν τῆς ἀγάπης, τὸν πρός τι τῶν ἐπιγείων ἔχοντα προσπάθειαν.

β. Ἀγάπην μὲν, τίκτει ἀπάθεια, ἀπάθειαν δὲ, ἡ εἰς Θεὸν ἐλπὶς, τὴν δὲ ἐλπίδα, ὑπομονὴ καὶ μακροθυμία· ταύτας δὲ, ἡ περιεκτικὴ ἐγκράτεια, ἐγκράτειαν δὲ, ὁ τοῦ Θεοῦ φόβος, τὸν δὲ φόβον ἡ εἰς Θεὸν πίστις.

γ. Ὁ πιστεύων τῷ Κυρίῳ, φοβεῖται τὴν κόλασιν. ὁ δὲ φοβούμενος τὴν κόλασιν, ἐγκρατεύεται ἀπὸ τῶν παθῶν. ὁ δὲ ἐγκρατευόμενος ἀπὸ τῶν παθῶν, ὑπομένει τὰ θλιβερά. ὁ δὲ ὑπομένων τὰ θλιβερὰ, ἕξει τὴν εἰς Θεὸν ἐλπίδα. ἡ δὲ εἰς Θεὸν ἐλπὶς, χωρίζει πάσης γηΐνης προσπαθείας τὸν νοῦν· ταύτης δὲ ὁ νοῦς χωρισθεὶς, ἕξει τὴν εἰς Θεὸν ἀγάπην.

δ. Ὁ ἀγαπῶν τὸν Θεὸν πάντων τῶν ὑπ' αὐτοῦ γεγονότων προτιμᾷ τὴν γνῶσιν αὐτοῦ, καὶ ἀδιαλείπτως διὰ τοῦ πόθου, ταύτῃ προσκαρτερεῖ.

ε. Εἰ πάντα τὰ ὄντα διὰ τοῦ Θεοῦ, καὶ διὰ τὸν Θεὸν γέγονε, κρείττων δὲ ὁ Θεὸς τῶν δι' αὐτοῦ γεγονότων, ὁ καταλιμπάνων τὸν Θεὸν, καὶ τοῖς χείροσιν ἀσχολούμενος, δείκνυσιν ἑαυτὸν προτιμῶντα τοῦ Θεοῦ τὰ δι' αὐτοῦ γεγονότα.

ϛ. Ὁ τῇ εἰς Θεὸν ἀγάπῃ τὸν νοῦν ἔχων προσηλωμένον, πάντων τῶν ὁρωμένων, καὶ αὐτοῦ τοῦ σώματος ὡς ἀλλοτρίου, καταφρονεῖ.

ζ. Εἰ κρείττων τοῦ σώματος ἡ ψυχὴ, καὶ κρείττων τοῦ κόσμου ἀσυγκρίτως ὁ κτίσας αὐτὸν Θεὸς, ὁ προτιμῶν τῆς ψυχῆς τὸ σῶμα, καὶ τοῦ Θεοῦ τὸν ὑπ' αὐτοῦ κτισθέντα κόσμον, οὐδὲν τῶν εἰδωλολατρούντων διενήνοχεν.

η. Ὁ τὸν νοῦν τῆς εἰς Θεὸν ἀγάπης καὶ προσεδρίας ἀποχωρίσας, καί τινι τῶν αἰσθητῶν προσδεδεμένον ἔχων, οὗτός ἐστιν ὁ προτιμῶν τῆς ψυχῆς τὸ σῶμα, καὶ τοῦ κτίσαντος Θεοῦ τὰ ὑπ' αὐτοῦ γεγονότα.

θ. Εἰ ἡ ζωὴ τοῦ νοῦ, ὁ φωτισμός ἐστι



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῆς γνώσεως, ταύτην δὲ ἡ εἰς Θεὸν ἀγάπη τίκτει, καλῶς οὐδὲν τῆς θείας ἀγάπης εἴρηται μεῖζον.

ι΄. Ὅταν τῷ ἔρωτι τῆς ἀγάπης πρὸς Θεὸν ὁ νοῦς ἐκδημῇ, τότε οὔτε τινὸς τῶν ὄντων παντάπασιν ἐπαισθάνεται. ὑπὸ γὰρ τοῦ θείου, καὶ ἀπείρου φωτὸς καταλαμπόμενος, ἀναίσθητος πρὸς πάντα τὰ ὑπ' αὐτοῦ γεγονότα, καθάπερ ὀφθαλμὸς πρὸς τοὺς ἀστέρας, τοῦ ἡλίου ἀνατέλλοντος.

ια΄. Πᾶσαι μὲν αἱ ἀρεταὶ συνεργοῦσι τῷ νῷ πρὸς τὸν θεῖον ἔρωτα, πλέον δὲ πάντων ἡ καθαρὰ προσευχή· διὰ ταύτης γὰρ πρὸς τὸν Θεὸν πτερούμενος, ἔξω γίνεται πάντων τῶν ὄντων.

ιβ΄. Ὅταν διὰ τῆς ἀγάπης ὑπὸ τῆς θείας γνώσεως ὁ νοῦς ἁρπαγῇ, καὶ ἔξω γενόμενος τῶν ὄντων, τῆς θείας ἐπαισθάνηται ἀπειρίας, τότε κατὰ τὸν θεῖον Ἡσαΐαν ὑπὸ ἐκπλήξεως εἰς συναίσθησιν ἐλθὼν τῆς ἑαυτοῦ ταπεινώσεως, μετὰ διαθέσεως λέγει τὰ τοῦ προφήτου ῥήματα, ὦ τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ κατοικῶ, καὶ τὸν βασιλέα Κύριον σαββαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου.

ιγ΄. Ὁ ἀγαπῶν τὸν Θεὸν, οὐ δύναται μὴ καὶ πάντα ἄνθρωπον ὡς ἑαυτὸν ἀγαπῆσαι, εἰ καὶ πρὸς τὰ πάθη δυσχεραίνει τῶν μήπω κεκαθαρμένων· διὸ καὶ τὴν ἐπιστροφὴν αὐτῶν βλέπων, καὶ τὴν διόρθωσιν, ἀμετρήτῳ καὶ ἀνεκλαλήτῳ χαίρει χαρᾷ.

ιδ΄. Ἀκάθαρτός ἐστι ψυχὴ, λογισμῶν, καὶ ἐπιθυμίας, καὶ μίσους πεπληρωμένη.

ιε΄. Ὁ ἴχνος μίσους βλέπων ἐν τῇ ἑαυτοῦ καρδίᾳ διὰ οἱονδήποτε πταῖσμα πρὸς τὸν οἱονδήποτε ἄνθρωπον, ἀλλότριος τυγχάνει πάμπαν τῆς εἰς Θεὸν ἀγάπης. διότι ἡ εἰς Θεὸν ἀγάπη, τοῦ εἰς τὸν ἄνθρωπον μίσους παντελῶς οὐκ ἀνέχεται.

ιϛ΄. Ὁ ἀγαπῶν με, φησὶν ὁ Κύριος, τὰς ἐντολάς μου τηρήσει. αὕτη δέ ἐστιν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους. ὁ οὖν μὴ ἀγαπῶν τὸν πλησίον, τὴν ἐντολὴν οὐ τηρεῖ. ὁ δὲ τὴν ἐντολὴν μὴ τηρῶν, οὐδὲ τὸν Κύριον ἀγαπῆσαι δύναται.

Μακάριος ἄνθρωπος, ὃς πάντα ἄνθρωπον ἐξίσου ἀγαπῆσαι δύναται. ιζ΄.

Μακάριος ἄνθρωπος, ὁ μηδενὶ πράγματι φθαρτῷ ἢ προσκαίρῳ προσκείμενος. ιη΄.

Μακάριος ὁ νοῦς, ὁ πάντα τὰ ὄντα περάσας, καὶ τῆς θείας ὡραιότητος ἀδιαλείπτως κατατρυφῶν. ιθ΄.

Ὁ πρόνοιαν τῆς σαρκὸς εἰς ἐπιθυμίαν ποιούμενος, καὶ μνησικακίαν διὰ πρόσκαιρα πρὸς τὸν πλησίον ἔχων, ὁ τοιοῦτος λατρεύει τῇ κτίσει, παρὰ τὸν κτίσαντα. κ΄.

Ὁ ἀνήδονον καὶ ἄνοσον τὸ σῶμα διατηρῶν, σύνδουλον αὐτὸ ἔχει πρὸς τὴν τῶν κρειττόνων ὑπηρεσίαν. κα΄.

Ὁ φεύγων πάσας τὰς κοσμικὰς ἐπιθυμίας, πάσης ὕλης κοσμικῆς ἑαυτὸν ἀνώτερον καθίστησιν. κβ΄.

Ὁ τὸν Θεὸν ἀγαπῶν, καὶ τὸν πλησίον πάντως ἀγαπᾷ. ὁ δὲ τοιοῦτος, χρήματα τηρεῖν οὐ δύναται, ἀλλ' οἰκονομεῖ θεοπρεπῶς, ἑκάστῳ τῶν δεομένων παρέχων. κγ΄.

Ὁ κατὰ μίμησιν Θεοῦ τὴν ἐλεημοσύνην ποιούμενος, οὐκ οἶδε διαφορὰν πονηροῦ καὶ ἀγαθοῦ, δικαίου καὶ ἀδίκου, ἐν τοῖς τοῦ σώματος ἀναγκαίοις, ἀλλὰ πᾶσιν ἐξ ἴσου κατὰ τὴν χρείαν διανέμει, εἰ καὶ προτιμᾷ διὰ τὴν ἀγαθὴν προαίρεσιν τοῦ φαύλου τὸν ἐνάρετον. κδ΄.

Ὥσπερ ὁ Θεὸς φύσει ὢν ἀγαθὸς καὶ ἀπαθὴς, πάντας μὲν ἐξ ἴσου ἀγαπᾷ ὡς ἔργα αὐτοῦ, ἀλλὰ τὸν μὲν ἐνάρετον δοξάζει, ὡς καὶ τῇ γνώμῃ οἰκειούμενον, τὸν δὲ φαῦλον δι' ἀγαθότητα ἐλεεῖ, καὶ ἐν τῷ αἰῶνι τούτῳ παιδεύων ἐπιστρέφει· οὕτω καὶ ὁ τῇ γνώμῃ ἀγαθὸς καὶ ἀπαθὴς, πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπᾷ, τὸν κε΄.

μὲν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μὲν ἐπαίρειν, διά τε τὴν φύσιν, καὶ τὴν ἀγαθὴν προαίρεσιν, τὸν δὲ φαῦλον, διά τε τὴν φύσιν, καὶ τὴν συμπάθειαν ἐλεῶν ὡς ἄφρονα, καὶ ἐν σκότει διαπορευόμενον.

κϛ'. Οὐ μόνον διὰ μεταδόσεως χρημάτων ἡ διάθεσις τῆς ἀγάπης γνωρίζεται, ἀλλὰ πολλῷ μᾶλλον διὰ μεταδόσεως λόγου, καὶ σωματικῆς διακονίας.

κζ'. Ὁ τῶν τοῦ κόσμου πραγμάτων γνησίως ἀποταξάμενος, καὶ τῷ πλησίον διὰ τῆς ἀγάπης ἀνυποκρίτως δουλεύων, πάντων τῶν παθῶν ταχέως ἐλευθεροῦται, καὶ τῆς θείας ἀγάπης, καὶ γνώσεως μέτοχος καθίσταται.

κη'. Ὁ τὴν θείαν ἀγάπην ἐν ἑαυτῷ κτησάμενος, οὐ κοπιᾷ κατακολουθῶν ὀπίσω Κυρίου τοῦ Θεοῦ αὐτοῦ, κατὰ τὸν θεῖον Ἱερεμίαν· ἀλλὰ πάντα πόνον, ὀνειδισμόν τε, καὶ ὕβριν φέρει γενναίως, μηδενὶ παντελῶς κακὸν λογιζόμενος.

κθ'. Ὅταν ὑβρισθῇς παρά τινος, ἢ ἔν τινι ἐξουδενωθῇς, τότε πρόσεχε ἀπὸ τῶν λογισμῶν τῆς ὀργῆς, μή σε τῆς ἀγάπης διὰ τῆς λύπης χωρίσαντες, ἐν τῇ χώρᾳ τοῦ μίσους κατασκηνώσωσιν.

λ'. Ὅταν ἐφ' ὕβρει, ἢ ἀτιμίᾳ πονήσῃς, γίνωσκε σεαυτὸν μεγάλως ὠφεληθέντα, τῆς κενοδοξίας διὰ τὴν ἀτιμίαν ἀπὸ σοῦ ἐκβληθείσης.

λα'. Ὥσπερ μνήμη πυρὸς οὐ θερμαίνει τὸ σῶμα, οὕτω πίστις ἄνευ ἀγάπης οὐκ ἐνεργεῖ εἰς τὴν ψυχὴν τὸν τῆς γνώσεως φωτισμόν.

λβ'. Ὥσπερ τὸ φῶς τοῦ ἡλίου τὸν ὑγιῆ ὀφθαλμὸν εἰς ἑαυτὸ ἐφέλκεται· οὕτω καὶ ἡ γνῶσις τοῦ Θεοῦ τὸν καθαρὸν νοῦν φυσικῶς διὰ τῆς ἀγάπης πρὸς ἑαυτὴν ἐπισπᾶται.

λγ'. Νοῦς ἐστι καθαρὸς, ὁ ἀγνοίας χωρισθεὶς, καὶ ὑπὸ τοῦ θείου φωτὸς καταλαμπόμενος.

λδ'. Ψυχή ἐστι καθαρὰ, ἡ παθῶν ἐλευθερωθεῖσα, καὶ ὑπὸ τῆς θείας ἀγάπης ἀδιαλείπτως εὐφραινομένη.

λε'. Πάθος ἐστὶ ψεκτὸν, κίνησις ψυχῆς παρὰ φύσιν.

λϛ'. Ἀπάθειά ἐστιν, εἰρηνικὴ κατάστασις ψυχῆς, καθ' ἣν δυσκίνητος γίνεται ψυχὴ πρὸς κακίαν.

λζ'. Ὁ τοὺς καρποὺς τῆς ἀγάπης διὰ σπουδῆς κτησάμενος, οὐ μετατίθεται ταύτης, κἂν μυρία πάσχῃ κακά. καὶ πειθέτω σε Στέφανος ὁ τοῦ Χριστοῦ μαθητὴς, καὶ οἱ κατ' αὐτὸν, καὶ αὐτὸς ὑπὲρ τῶν φονευόντων εὐχόμενος, καὶ συγγνώμην παρὰ Θεοῦ ὡς ἀγνοοῦσιν αἰτούμενος.

λη'. Εἰ τῆς ἀγάπης ἐστὶ τὸ μακροθυμεῖν, καὶ χρηστεύεσθαι, ὁ θυμομαχῶν καὶ πονηρευόμενος, ἀλλότριος δηλονότι τῆς ἀγάπης καθίσταται. ὁ δὲ τῆς ἀγάπης ἀλλότριος, τοῦ Θεοῦ ἐστὶν ἀλλότριος, εἴπερ ὁ Θεὸς ἀγάπη ἐστί.

λθ'. Μὴ εἴπητε, φησὶν ὁ θεῖος Ἱερεμίας, ὅτι ναὸς Κυρίου ἐστί. καὶ σὺ μὴ εἴπῃς, ὅτι ἡ ψιλὴ πίστις ἡ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, δύναταί με σῶσαι. ἀμήχανον γὰρ τοῦτο, ἐὰν μὴ καὶ τὴν ἀγάπην εἰς αὐτὸν διὰ τῶν ἔργων κτήσῃ. τὸ γὰρ ψιλῶς πιστεύειν, καὶ τὰ δαιμόνια πιστεύουσι καὶ φρίσσουσιν.

μ'. Ἔργον ἀγάπης ἐστὶν ἡ εἰς τὸν πλησίον ἐκ διαθέσεως εὐεργεσία, καὶ μακροθυμία, καὶ ὑπομονὴ, καὶ τὸ μετὰ ὀρθοῦ λόγου χρῆσθαι τοῖς πράγμασιν.

μα'. Ὁ ἀγαπῶν τὸν Θεὸν οὐ λυπεῖ, οὐδὲ λυπεῖται πρός τινα διὰ πρόσκαιρα. μίαν δὲ λύπην καὶ λυπεῖ, καὶ λυπεῖται σωτήριον, ἣν ὁ μακάριος Παῦλος καὶ ἐλυπήθη, καὶ ἐλύπησε τοὺς Κορινθίους.

μβ'. Ὁ ἀγαπῶν τὸν Θεὸν, Ἀγγελικὸν βίον ἐπὶ γῆς ζῇ, νηστεύων καὶ ἀγρυπνῶν, ψάλλων, καὶ προσευχόμενος, καὶ περὶ παντὸς ἀνθρώπου ἀεὶ καλὰ λογιζόμενος.

μγ'. Εἴ του τινός τις ἐπιθυμεῖ, τούτου καὶ τυχεῖν ἀγωνίζεται. πάντων δὲ τῶν ἀγα-

θῶν,

θῶν, καὶ ἐπιθυμητῶν ἀγαθώτερον τὸ Θεῖον, καὶ ἐπιθυμητότερον ἀσυγκρίτως· πόσην ἄρα σπουδὴν ὀφείλομεν ἐνδείξασθαι, ἵνα τοῦ φύσει ἀγαθοῦ καὶ ἐπιθυμητοῦ τύχωμεν;

μδʹ. Μὴ μολύνῃς τὴν σάρκα σου ἐν αἰσχραῖς πράξεσι, καὶ μὴ μιαίνῃς τὴν ψυχήν σου πονηροῖς λογισμοῖς· καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἐπελεύσεται ἐπὶ σὲ τὴν ἀγάπην φέρουσα.

μεʹ. Αἴκιζε τὴν σάρκα σου ἀσιτίᾳ, καὶ ἀγρυπνίᾳ, καὶ σχόλασον ἀόκνως ψαλμῳδίᾳ, καὶ προσευχῇ· καὶ ὁ ἁγιασμὸς τῆς σωφροσύνης ἐπὶ σὲ ἐπελεύσεται τὴν ἀγάπην φέρων.

μςʹ. Ὁ τῆς θείας καταξιωθεὶς γνώσεως, καὶ τὸν ταύτης φωτισμὸν διὰ τῆς ἀγάπης κτησάμενος, οὐ ῥιπισθήσεταί ποτε ὑπὸ τοῦ τῆς κενοδοξίας Πνεύματος. ὁ δὲ ταύτης μήπω καταξιωθεὶς, εὐχερῶς ἐπ᾽ αὐτῆς φέρεται. ἐὰν οὖν ὁ τοιοῦτος ἐν πᾶσι τοῖς ὑπ᾽ αὐτοῦ πραττομένοις πρὸς τὸν Θεὸν ἀποβλέψῃ, ὡς δι᾽ αὐτὸν πάντα ποιῶν, ῥᾳδίως· σὺν Θεῷ· ἐκφεύξεται αὐτήν.

μζʹ. Ὁ μήπω τυχὼν τῆς θείας γνώσεως τῆς δι᾽ ἀγάπης ἐνεργουμένης, μέγα φρονεῖ ἐπὶ τοῖς ὑπ᾽ αὐτοῦ κατὰ Θεὸν πραττομένοις, ὁ δὲ ταύτης τυχεῖν καταξιωθεὶς, μετὰ διαθέσεως λέγει τὰ τοῦ Πατριάρχου Ἀβραὰμ ῥήματα, ἅπερ ἡνίκα τῆς θείας κατηξιώθη ἐπιφανείας, εἶπεν, ἐγώ εἰμι γῆ, καὶ σποδός.

μηʹ. Ὁ φοβούμενος τὸν Κύριον, συνόμιλον ἀεὶ ἔχει τὴν ταπεινοφροσύνην, καὶ διὰ τῶν ταύτης ἐνθυμημάτων, εἰς τὴν θείαν ἀγάπην καὶ εὐχαριστίαν ἔρχεται. μνημονεύει γὰρ τῆς κατὰ τὸν κόσμον προτέρας διαγωγῆς, καὶ τῶν ποικίλων παραπτωμάτων, καὶ τῶν ἐκ νεότητος συμβάντων αὐτῷ πειρασμῶν, καὶ πῶς πάντων ἐκείνων ἐρρύσατο αὐτὸν ὁ Κύριος, καὶ μετέστησεν ἀπὸ τῆς ἐμπαθοῦς ζωῆς εἰς τὸν κατὰ Θεὸν βίον, καὶ σὺν τῷ φόβῳ προσλαμβάνεται καὶ τὴν ἀγάπην, εὐχαριστῶν ἀεὶ μετὰ ταπεινοφροσύνης πολλῆς τῷ εὐεργέτῃ, καὶ κυβερνήτῃ τῆς ζωῆς ἡμῶν·

Μὴ ῥυπώσῃς τὸν νοῦν σου, λογισμῶν ἀνεχόμενος ἐπιθυμίας, καὶ θυμοῦ, ἵνα μθʹ.
μὴ τῆς καθαρᾶς προσευχῆς ἐκπεσὼν, τῷ τῆς ἀκηδίας πνεύματι περιπέσῃς.

Τηνικαῦτα ὁ νοῦς τῆς πρὸς Θεὸν παῤ- νʹ.
ῥησίας ἐκπίπτει, ὁπηνίκα πονηροῖς, ἢ ῥυπαροῖς λογισμοῖς συνόμιλος γένηται.

Ὁ μὲν ἄφρων ὑπὸ τῶν παθῶν ἀ- ναʹ.
γόμενος, ὅτε μὲν ὑπὸ τοῦ θυμοῦ κινούμενος ἐκταράσσεται, φεύγειν ἀλογίστως τοὺς ἀδελφοὺς ἐπείγεται. ὅτε δὲ πάλιν ὑπὸ τῆς ἐπιθυμίας ἐκθερμαίνεται, μεταμελόμενος αὖθις, προστρέχων ἀπαντᾷ. ὁ δὲ φρόνιμος, ἐπ᾽ ἀμφοτέρων τοὐναντίον ποιεῖ· ἐπὶ μὲν γὰρ τοῦ θυμοῦ, τὰς αἰτίας τῆς ταραχῆς ἐκκόψας, τῆς πρὸς τοὺς ἀδελφοὺς λύπης ἑαυτὸν ἀπαλλάττει· ἐπὶ δὲ τῆς ἐπιθυμίας, τῆς ἀλόγου ὁρμῆς, καὶ συντυχίας ἐγκρατεύεται.

Ἐν τῷ καιρῷ τῶν πειρασμῶν, μὴ νβʹ.
καταλίπῃς τὸ Μοναστήριόν σου· ἀλλὰ φέρε γενναίως τὰ κύματα τῶν λογισμῶν, καὶ μάλιστα τῶν τῆς λύπης καὶ ἀκηδίας. οὕτω γὰρ οἰκονομικῶς διὰ τῶν θλίψεων δοκιμασθεὶς, ἕξεις βεβαίαν τὴν εἰς Θεὸν ἐλπίδα. ἐὰν δὲ καταλιμπάνῃς, ἀδόκιμος καὶ ἄνανδρος καὶ ἄστατος εὑρεθήσῃ.

Ἐὰν θέλῃς τῆς κατὰ Θεὸν ἀγάπης μὴ νγʹ.
ἐκπεσεῖν, μήτε τὸν ἀδελφὸν ἀφῇς κοιμηθῆναι λυπούμενον κατὰ σοῦ, μήτε σὺ κοιμηθῇς λυπούμενος κατ᾽ αὐτοῦ, ἀλλ᾽ ὕπαγε, διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ ἐλθὼν πρόσφερε Χριστῷ, καθαρῷ τῷ συνειδότι, δι᾽ ἐκτενοῦς τῆς εὐχῆς, τὸ δῶρον τῆς ἀγάπης.

Εἰ ὁ πάντα τὰ χαρίσματα τοῦ Πνεύ- νδʹ.
ματος ἔχων, ἀγάπην δὲ μὴ ἔχων, οὐδὲν ὠφελεῖται, κατὰ τὸν θεῖον Ἀπόστολον· πόσην ὀφείλομεν ἐνδείξασθαι σπουδὴν, ἵνα ταύτην κτησώμεθα;



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νε'. Εἰ ἡ ἀγάπη, τῷ πλησίον κακὸν οὐκ ἐργάζεται, ὁ φθονῶν τὸν ἀδελφὸν, καὶ λυπούμενος ἐπὶ τῇ εὐδοκιμήσει αὐτοῦ, καὶ σκώμμασι χραίνων τὴν ὑπόληψιν αὐτοῦ, ἢ ἔν τινι κακοηθείᾳ ἐπιβουλεύων αὐτῷ, πῶς οὐκ ἀλλότριον αὐτὸν τῆς ἀγάπης καθίστησι, καὶ ἔνοχον τῆς αἰωνίου Κρίσεως;

νς'. Εἰ πλήρωμα νόμου ἡ ἀγάπη, ὁ μνησικακῶν τῷ ἀδελφῷ, καὶ δόλους κατ' αὐτοῦ σκευάζων, καὶ κατευχόμενος αὐτοῦ, ἐπιχαίρων τῷ πτώματι αὐτοῦ, πῶς οὐ παραβάτης ἐστὶ, καὶ τῆς αἰωνίου κολάσεως ἄξιος;

νζ'. Εἰ ὁ καταλαλῶν ἀδελφοῦ, καὶ κρίνων ἀδελφὸν, καταλαλεῖ νόμου, καὶ κρίνει νόμον, ὁ δὲ νόμος τοῦ Χριστοῦ ἐστὶν, ἡ ἀγάπη· πῶς τῆς ἀγάπης τοῦ Χριστοῦ ὁ κατάλαλος οὐκ ἐκπίπτει, καὶ αἴτιος ἑαυτῷ γίνεται κολάσεως αἰωνίου;

νη'. Μὴ δῷς τὴν ἀκοήν σου τῇ γλώσσῃ τοῦ καταλάλου, μηδὲ τὴν γλῶσσάν σου τῇ ἀκοῇ τοῦ φιλοψόγου, ἡδέως λαλῶν, ἢ ἀκούων κατὰ τοῦ πέλας, ἵνα μὴ ἐκπέσῃς τῆς θείας ἀγάπης, καὶ ἀλλότριος εὑρεθῇς τῆς αἰωνίου ζωῆς.

νθ'. Μὴ καταδέχου κατὰ πατρός σου λοιδορίας, μηδὲ προθυμοποιήσῃς τὸν ἀτιμάζοντα αὐτὸν, ἵνα μὴ ὀργισθῇ Κύριος ἐπὶ τοῖς ἔργοις σου, καὶ ἐξολοθρεύσῃ σε ἐκ γῆς ζώντων.

ξ'. Ἐπιστόμιζε τὸν καταλαλοῦντα ἐν ἀκοαῖς σου, ἵνα μὴ διπλῆν ἁμαρτίαν σὺν αὐτῷ ἁμαρτάνῃς, καὶ σαυτὸν ὀλεθρίῳ πάθει ἐθίζων, κἀκεῖνον κατὰ τοῦ πλησίον φλυαρεῖν οὐκ ἀνακόπτων.

ξα'. Ἐγὼ δὲ λέγω ὑμῖν (φησὶν ὁ Κύριος) ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς. Διὰ τί ταῦτα προσέταξεν; ἵνα σε μίσους, καὶ λύπης, καὶ ὀργῆς, καὶ μνησικακίας ἐλευθερώσῃ, καὶ τοῦ μεγίστου κτήματος τῆς τελείας ἀγάπης καταξιώσῃ, ἣν ἀμήχανον ἔχειν τὸν μὴ πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπῶντα κατὰ μίμησιν Θεοῦ, τοῦ πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπῶντος, καὶ θέλοντος σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

ξβ'. Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον, καὶ τῷ ἀγγαρεύοντί σε μίλιον ἓν, ὕπαγε μετ' αὐτοῦ δύο. Διὰ τί; ἵνα καὶ σὲ ἀόργητον, καὶ ἀτάραχον διαφυλάξῃ καὶ ἄλυπον, κἀκεῖνον διὰ τῆς σῆς ἀνεξικακίας παιδεύσῃ, καὶ ἀμφοτέρους ὡς Πατὴρ ἀγαθὸς ὑπὸ τὸν ζυγὸν τῆς ἀγάπης ἀγάγῃ.

ξγ'. Πρὸς ἅπερ πράγματα ποτὲ πεπόνθαμεν, τούτων καὶ τὰς φαντασίας ἐμπαθεῖς περιφέρομεν. Ὁ οὖν τὰς ἐμπαθεῖς νικῶν φαντασίας, καὶ τῶν πραγμάτων, ὧν αἱ φαντασίαι, πάντως καταφρονεῖ· ἐπειδὴ τοῦ πρὸς τὰ πράγματα πολέμου ὁ πρὸς τὰς μνήμας τοσοῦτόν ἐστι χαλεπώτερος, ὅσον τοῦ κατ' ἐνέργειαν ἁμαρτάνειν, τὸ κατὰ διάνοιαν ἐστὶν εὐκοπώτερον.

ξδ'. Τῶν παθῶν, τὰ μέν ἐστι σωματικὰ, τὰ δὲ ψυχικά· καὶ τὰ μὲν σωματικὰ, ἐκ τοῦ σώματος ἔχει τὰς ἀφορμάς· τὰ δὲ ψυχικὰ, ἐκ τῶν ἔξωθεν πραγμάτων· ἀμφότερα δὲ περικόπτει ἀγάπη καὶ ἐγκράτεια, ἡ μὲν τὰ ψυχικὰ, ἡ δὲ τὰ σωματικά.

ξε'. Τὰ μὲν τῶν παθῶν, τοῦ θυμικοῦ, τὰ δὲ, τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς τυγχάνει· ἀμφότερα δὲ διὰ τῶν αἰσθήσεων κινεῖται· τότε δὲ κινεῖται, ὅτε ἀγάπης ἡ ψυχὴ καὶ ἐγκρατείας ἐκτὸς εὑρίσκεται.

ξς'. Δυσκαταγωνιστότερα μᾶλλον τὰ τοῦ θυμικοῦ μέρους τῆς ψυχῆς πάθη, παρὰ τὰ τοῦ ἐπιθυμητικοῦ τυγχάνει· διὸ καὶ μεί-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ζον τὸ φάρμακον κατ᾽ αὐτῆς ἡ ἐντολὴ τῆς ἀγάπης ὑπὸ τοῦ Κυρίου ἐδόθη.

ξζ'. Πάντα τὰ ἄλλα πάθη, ἢ τοῦ θυμικοῦ μέρους τῆς ψυχῆς, ἢ τοῦ ἐπιθυμητικοῦ μόνου ἐφάπτεται, ἢ καὶ τοῦ λογιστικοῦ, ὡς ἡ λήθη καὶ ἄγνοια. ἡ δὲ ἀκηδία, πασῶν τῶν τῆς ψυχῆς δυνάμεων ἐπιδραττομένη, πάντα σχεδὸν ὁμοθυμαδὸν κινεῖ τὰ πάθη· διὸ καὶ πάντων τῶν ἄλλων παθῶν ἐστὶ βαρύτατον. καλῶς οὖν ὁ Κύριος τὸ κατ᾽ αὐτῆς φάρμακον διδοὺς, ἐν τῇ ὑπομονῇ ὑμῶν (λέγει) κτήσασθε τὰς ψυχὰς ὑμῶν.

ξη'. Μὴ πλήξῃς ποτέ τινα τῶν ἀδελφῶν, παραλόγως μάλιστα, μήποτε μὴ φέρων τὴν θλῖψιν ἀποχωρήσῃ, καὶ οὐ μὴ ἐκφύξῃ ποτὲ τὸν ἔλεγχον τοῦ συνειδότος, ἀεί σοι λύπην ἐν τῷ καιρῷ τῆς προσευχῆς προξενοῦντα, καὶ τῆς θείας παρρησίας τὸν νοῦν ἀπελαύνοντα.

ξθ'. Μὴ ἀνάσχῃ τῶν σκάνδαλά σοι φερουσῶν ὑπονοιῶν, ἢ καὶ ἀνθρώπων, κατά τινων. οἱ γὰρ παραδεχόμενοι σκάνδαλα ἐν οἱῳδήποτε τρόπῳ τῶν κατὰ προαίρεσιν, ἢ παρὰ προαίρεσιν συμβαινόντων, οὐκ ἴσασι τὴν ὁδὸν τῆς εἰρήνης, τὴν φέρουσαν διὰ τῆς ἀγάπης εἰς τὴν γνῶσιν τοῦ Θεοῦ τοὺς ταύτης ἐραστάς.

ο'. Οὔπω ἔχει τελείαν τὴν ἀγάπην, ὁ ἔτι ταῖς γνώμαις τῶν ἀνθρώπων συνδιατιθέμενος· οἷον, τὸν μὲν ἀγαπῶν, τὸν δὲ μισῶν. ἢ καὶ αὐτὸν, ποτὲ μὲν ἀγαπῶν, ποτὲ δὲ μισῶν, διὰ τὰς αὐτὰς αἰτίας.

οα'. Ἡ τελεία ἀγάπη, οὐ συνδιασχίζει τὴν μίαν τῶν αὐτῶν ἀνθρώπων φύσιν, ταῖς διαφόροις αὐτῶν γνώμαις, ἀλλ᾽ εἰς αὐτὴν ἀεὶ ἀποβλεπομένη, πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπᾷ· τοὺς μὲν σπουδαίους, ὡς φίλους, τοὺς δὲ φαύλους, ὡς ἐχθροὺς ἀγαπᾷ, εὐεργετοῦσα, καὶ μακροθυμοῦσα, ὑπομένουσα τὰ παρ᾽ αὐτῶν ἐπαγόμενα, τὸ κακὸν τὸ σύνολον μὴ λογιζομένη, ἀλλὰ καὶ πάσχουσα ὑπὲρ αὐτῶν, εἰ καιρὸς καλέσειεν· ἵνα καὶ αὐτοὺς ποιήσῃ φίλους, εἰ οἷόν τε· εἰ δὲ μὴ, τῆς γε ἰδίας διαθέσεως οὐκ ἐκπίπτει, τοὺς τῆς ἀγάπης καρποὺς ἀεὶ ἐξ ἴσου πρὸς πάντας ἀνθρώπους ἐνδεικνυμένη· διὸ καὶ ὁ Κύριος ἡμῶν καὶ Θεὸς, Ἰησοῦς Χριστὸς, τὴν αὐτοῦ ἀγάπην εἰς ἡμᾶς ἐνδειξάμενος, ὑπὲρ ὅλης τῆς ἀνθρωπότητος ἔπαθεν, καὶ πᾶσιν ἐξ ἴσου τὴν ἐλπίδα τῆς ἀναστάσεως ἐχαρίσατο· εἰ καὶ ἕκαστος ἑαυτὸν, εἴτε δόξης, εἴτε κολάσεως, καθίστησιν ἄξιον.

οβ'. Ὁ μὴ καταφρονῶν δόξης καὶ ἀτιμίας, πλούτου καὶ πενίας, ἡδονῆς τε καὶ λύπης, τελείαν ἀγάπην οὔπω ἐκτήσατο· ἡ γὰρ τελεία ἀγάπη οὐ μόνον τούτων καταφρονεῖ, ἀλλὰ καὶ αὐτῆς τῆς προσκαίρου ζωῆς τε, καὶ θανάτου.

ογ'. Ἄκουε τῶν καταξιωθέντων τῆς τελείας ἀγάπης, ποῖα λέγουσι· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα; καθὼς γέγραπται· ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. ἀλλ᾽ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε Ἄγγελοι, οὔτε Ἀρχαὶ, οὔτε Δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

οδ'. Περὶ δὲ τῆς εἰς τὸν πλησίον ἀγάπης, ἄκουε πάλιν οἷα λέγουσιν· ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι καὶ τῆς συνειδήσεώς μου, ἐν Πνεύματι Ἁγίῳ· ὅτι λύπη μοί ἐστι πολλὴ, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. ηὐχόμην γὰρ ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν κατὰ σάρκα, οἵ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τινές εἰσιν Ἰσραηλῖται, καὶ τὰ ἑξῆς. ὡσαύτως καὶ Μωϋσῆς, καὶ οἱ λοιποὶ ἅγιοι.

οε'. Ὁ μὴ καταφρονῶν δόξης, καὶ ἡδονῆς, καὶ τῆς τούτων αὐξητικῆς, καὶ δι' αὐτὰς συνισταμένης φιλαργυρίας, τὰς τοῦ θυμοῦ προφάσεις ἐκκόπτειν οὐ δύναται· ὁ δὲ ταύτας μὴ κόπτων, τῆς τελείας ἀγάπης τυχεῖν οὐ δύναται.

οϛ'. Ταπείνωσις καὶ κακοπάθεια, πάσης ἁμαρτίας ἐλευθεροῦσι τὸν ἄνθρωπον· ἡ μὲν τὰ τῆς ψυχῆς, ἡ δὲ τὰ τοῦ σώματος περικόπτουσα πάθη. τοῦτο γὰρ ποιῶν καὶ ὁ μακάριος Δαβίδ, ἐν οἷς εὔχεται πρὸς τὸν Θεὸν λέγων· ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.

οζ'. Διὰ μὲν τῶν ἐντολῶν ὁ Κύριος, ἀπαθεῖς τοὺς ἐργαζομένους αὐτὰς ἀποτελεῖ. διὰ δὲ τῶν θείων δογμάτων, τὸν φωτισμὸν τῆς γνώσεως αὐτοῖς χαρίζεται.

οη'. Πάντα τὰ δόγματα, ἢ περὶ Θεοῦ, ἢ περὶ ὁρατῶν καὶ ἀοράτων, ἢ περὶ τῆς ἐν αὐτοῖς προνοίας καὶ κρίσεως.

οθ'. Ἡ μὲν ἐλεημοσύνη, τὸ θυμικὸν μέρος τῆς ψυχῆς θεραπεύει· ἡ δὲ νηστεία, τὴν μὲν ἐπιθυμίαν μαραίνει, τῇ δὲ προσευχῇ τὸν νοῦν καθαίρει, καὶ πρὸς τὴν τῶν ὄντων θεωρίαν παρασκευάζει. πρὸς γὰρ τὰς δυνάμεις τῆς ψυχῆς, καὶ τὰς ἐντολὰς ὁ Κύριος ἡμῖν ἐχαρίσατο.

π'. Μάθετε ἀπ' ἐμοῦ, φησίν, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ τὰ ἑξῆς. ἡ μὲν πρᾳότης ἀτάραχον τὸν θυμὸν διαφυλάττει, ἡ δὲ ταπείνωσις τύφου καὶ κενοδοξίας τὸν νοῦν ἐλευθεροῖ.

πα'. Διττός ἐστιν ὁ τοῦ Θεοῦ φόβος. ὁ μὲν ἐκ τῶν ἀπειλῶν τῆς κολάσεως ἡμῖν ἐντικτόμενος, δι' ὃν ἡ ἐγκράτεια, καὶ ἡ εἰς Θεὸν ἐλπίς, καὶ ἡ ἀπάθεια, ἐξ ἧς ἡ ἀγάπη τῇ τάξει ἡμῖν ἐγγίνεται. ὁ δὲ, αὐτῇ τῇ ἀγάπῃ συνέζευκται, εὐλάβειαν τῇ ψυχῇ ἀεὶ ἐμποιῶν, ἵνα μὴ διὰ τὴν τῆς ἀγάπης παρρησίαν, εἰς καταφρόνησιν Θεοῦ ἔλθῃ.

πβ'. Τὸν μὲν πρῶτον φόβον ἔξω βάλλει ἡ τελεία ἀγάπη τῆς ψυχῆς τῆς κεκτημένης αὐτὴν, μηκέτι τὴν κόλασιν φοβουμένης· τὸν δὲ δεύτερον, ἑαυτῇ ἔχει ἀεὶ (ὡς εἴρηται) συνεζευγμένον. τῷ μὲν πρώτῳ φόβῳ, ἁρμόζει τό· τῷ φόβῳ Κυρίου, ἐκκλίνει πᾶς ἀπὸ κακοῦ, καὶ ἀρχὴ σοφίας φόβος Κυρίου. τῷ δὲ δευτέρῳ, τό· οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.

πγ'. Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, καὶ τὰ ἑξῆς. γῆν μὲν ὠνόμασε, τὸ φρόνημα τῆς σαρκός. πορνείαν δὲ εἶπε, τὴν κατ' ἐνέργειαν ἁμαρτίαν. ἀκαθαρσίαν δὲ, τὴν συγκατάθεσιν ἐκάλεσε. πάθος δὲ, τὸν ἐμπαθῆ λογισμὸν ὠνόμασεν. ἐπιθυμίαν δὲ κακὴν, τὴν ψιλὴν τοῦ λογισμοῦ, καὶ ἐπιθυμίας παραδοχήν. πλεονεξίαν δὲ, τὴν γεννητικήν τε, καὶ αὐξητικὴν τοῦ πάθους ὠνόμασεν ὕλην. ταῦτα οὖν πάντα ὡς μέλη ὄντα τοῦ φρονήματος τῆς σαρκός, ἐκέλευσεν ὁ θεῖος Ἀπόστολος νεκρῶσαι.

πδ'. Πρῶτον μὲν ἡ μνήμη ψιλὸν τὸν λογισμὸν ἐπὶ τὸν νοῦν ἀναφέρει, καὶ τούτου ἐγχρονίζοντος, κινεῖται τὸ πάθος· τούτου δὲ μὴ ἀναιρουμένου, κάμπτει τὸν νοῦν εἰς συγκατάθεσιν. ταύτης δὲ γινομένης, ἔρχεται λοιπὸν εἰς τὴν κατ' ἐνέργειαν ἁμαρτίαν. ὁ οὖν πάνσοφος Ἀπόστολος πρὸς τοὺς ἀπὸ ἐθνῶν γράφων, τὸ ἀποτέλεσμα πρῶτον κελεύει ἀναιρεῖν τῆς ἁμαρτίας· εἶτα κατὰ τάξιν ἀναποδίζοντας, εἰς τὴν αἰτίαν καταλήγειν. ἡ δὲ αἰτία ἐστὶν, ἡ γεννητικὴ, (ὡς προείρηται) καὶ αὐξητικὴ τοῦ πάθους, πλεονεξία. οἶμαι δὲ ἐνταῦθα, τὴν γαστριμαργίαν σημαίνειν, ὡς μητέρα, καὶ τροφὸν τῆς πορνείας ὑπάρχουσαν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σαι. ἡ γὰρ πλεονεξία οὐ μόνον ἐπὶ χρημάτων, ἀλλὰ καὶ ἐπὶ βρωμάτων κακή· ὥσπερ καὶ ἡ ἐγκράτεια οὐ μόνον ἐπὶ βρωμάτων, ἀλλὰ καὶ ἐπὶ χρημάτων.

πέ. Ὥσπερ στρουθίον τὸν πόδα δεδεμένον ἀρχόμενον πέτεσθαι, ἐπὶ τὴν γῆν κατασπᾶται χοινίῳ ἑλκόμενον· οὕτω καὶ ὁ νοῦς μήπω ἀπάθειαν κεκτημένος, καὶ ἐπὶ τὴν γνῶσιν τῶν οὐρανίων πετόμενος, ὑπὸ τῶν παθῶν καθελκόμενος, ἐπὶ τὴν γῆν κατασπᾶται.

πϛ'. Ὅτε ὁ νοῦς τελείως τῶν παθῶν ἐλευθερωθῇ, τότε καὶ ἐπὶ τὴν θεωρίαν τῶν ὄντων ἀμεταστρεπτὶ ὁδεύει, ἐπὶ τὴν γνῶσιν τῆς Ἁγίας Τριάδος τὴν πορείαν ποιούμενος.

πζ'. Καθαρὸς ὑπάρχων ὁ νοῦς τὰ νοήματα τῶν πραγμάτων ἀναλαμβάνων, εἰς τὴν πνευματικὴν θεωρίαν δι' αὐτῶν κινεῖται, ἀκάθαρτος δὲ ἐκ ῥαθυμίας γεγονώς, τὰ μὲν τῶν λοιπῶν πραγμάτων νοήματα ψιλὰ φαντάζεται, τὰ δὲ ἀνθρώπινα δεχόμενος εἰς αἰσχροὺς, ἢ πονηροὺς λογισμοὺς μετατρέπεται.

πή. Ὅταν ἀεὶ ἐν τῷ καιρῷ τῆς προσευχῆς μηδὲν τῶν τοῦ κόσμου νοημάτων διενοχλήσῃ τὸν νοῦν, τότε γίνωσκε σαυτὸν μὴ ἔξω εἶναι τῶν ὅρων τῆς ἀπαθείας.

πθ'. Ὅταν ἡ ψυχὴ ἄρχηται τῆς ἰδίας ὑγείας ἐπαισθάνεσθαι, τότε καὶ τὰς ἐν τοῖς ὕπνοις φαντασίας, ψιλὰς καὶ ἀταράχους ἄρχεται βλέπειν.

ϟ'. Ὥσπερ τὸν αἰσθητὸν ὀφθαλμὸν ἡ καλλονὴ τῶν ὁρατῶν, οὕτω καὶ τὸν καθαρὸν νοῦν, ἡ γνῶσις τῶν ἀοράτων πρὸς ἑαυτὴν ἐπισπᾶται. ἀόρατα δὲ λέγω, τὰ ἀσώματα.

ϟά. Μέγα μὲν τὸ πρὸς τὰ πράγματα μὴ πάσχειν, μεῖζον δὲ πολλῷ, τὸ πρὸς τὰς φαντασίας αὐτῶν ἀπαθῆ διαμένειν. διότι ὁ διὰ τῶν λογισμῶν πρὸς ἡμᾶς τῶν δαιμόνων πόλεμος, τοῦ διὰ τῶν πραγμάτων πολέμου ἐστὶ χαλεπώτερος.

ϟβ. Ὁ τὰς ἀρετὰς κατορθώσας, καὶ τῇ γνώσει πλουτήσας, ὡς φυσικῶς λοιπὸν τὰ πράγματα ὁρῶν, πάντα κατὰ τὸν ὀρθὸν λόγον καὶ πράττει καὶ διαλέγεται, τὸ σύνολον μὴ παρατρεπόμενος. ἐκ γὰρ τοῦ ἀλόγως τοῖς πράγμασι χρήσασθαι, ἢ ἐνάρετοι, ἢ φαῦλοι γινόμεθα.

ϟγ'. Σημεῖον ἄκρας ἀπαθείας, τὸ ψιλὰ τὰ νοήματα τῶν πραγμάτων ἀεὶ ἀναβαίνειν ἐπὶ τὴν καρδίαν, καὶ ἐγρηγορότος τοῦ σώματος, καὶ κατὰ τοὺς ὕπνους.

ϟδ'. Διὰ μὲν τῆς ἐργασίας τῶν ἐντολῶν, τὰ πάθη ὁ νοῦς ἀποδύεται· διὰ δὲ τῆς τῶν ὁρατῶν πνευματικῆς θεωρίας, τὰ ἐμπαθῆ τῶν πραγμάτων νοήματα· διὰ δὲ τῆς τῶν ἀοράτων γνώσεως, τὴν τῶν ὁρατῶν θεωρίαν· ταύτην δὲ, διὰ τῆς γνώσεως τῆς Ἁγίας Τριάδος.

ϟέ. Ὥσπερ ὁ ἥλιος ἀνατέλλων, καὶ τὸν κόσμον φωτίζων, δείκνυσί τε ἑαυτὸν, καὶ τὰ ὑπ' αὐτοῦ φωτιζόμενα πράγματα, οὕτω καὶ ὁ τῆς δικαιοσύνης ἥλιος τῷ καθαρῷ νῷ ἀνατέλλων, καὶ ἑαυτὸν δείκνυσι, καὶ πάντων τῶν ὑπ' αὐτοῦ γεγονότων, καὶ γενησομένων τοὺς λόγους.

ϟϛ'. Οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ τὸν Θεὸν γινώσκομεν, ἀλλ' ἐκ τῆς μεγαλουργίας αὐτοῦ, καὶ προνοίας τῶν ὄντων. διὰ τούτων γὰρ, ὡς δι' ἐσόπτρων, τὴν ἄπειρον ἀγαθότητα, καὶ σοφίαν, καὶ δύναμιν κατανοοῦμεν.

ϟζ'. Ὁ καθαρὸς νοῦς, ἢ ἐν τοῖς ψιλοῖς νοήμασι τῶν ἀνθρωπίνων πραγμάτων εὑρίσκεται, ἢ ἐν τῇ τῶν ὁρατῶν φυσικῇ θεωρίᾳ, ἢ ἐν τῇ τῶν ἀοράτων, ἢ ἐν τῷ φωτὶ τῆς Ἁγίας Τριάδος.

ϟή. Ἐν τῇ τῶν ὁρατῶν θεωρίᾳ γενόμενος ὁ νοῦς, ἢ τοὺς φυσικοὺς αὐτῶν λόγους ἐρευνᾷ, ἢ τοὺς δι' αὐτῶν σημαινομένους, ἢ αὐτὴν τὴν αἰτίαν ζητεῖ.

ϟθ'. Ἐν δὲ τῇ τῶν ἀοράτων διατρίβων θεωρίᾳ, τούς τε φυσικοὺς αὐτῶν λόγους ζητεῖ, καὶ τὴν αἰτίαν τῆς γενέσεως αὐ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῶν, καὶ τὰ τούτοις ἀκόλουθα, καὶ τίς ἡ περὶ αὐτὰ πρόνοια, καὶ κρίσις.

ρ'. Ἐν δὲ Θεῷ γινόμενος, τοὺς περὶ οὐσίας αὐτοῦ πρῶτον λόγους, ζητεῖ μὲν ὑπὸ τοῦ πόθου φλεγόμενος, οὐκ ἐκ τῶν κατ᾽ αὐτὸν δὲ τὴν παραμυθίαν εὑρίσκει. (ἀμήχανον γὰρ τοῦτο καὶ ἀνένδεκτον πάσῃ γενητῇ φύσει ἐξ ἴσου.) ἐκ δὲ τῶν περὶ αὐτὸν παραμυθεῖται. λέγω δὴ, τῶν περὶ ἀϊδιότητος, ἀπειρίας τε, καὶ ἀοριστίας, ἀγαθότητός τε, καὶ σοφίας, καὶ δυνάμεως δημιουργικῆς τε, καὶ προνοητικῆς, καὶ κριτικῆς τῶν ὄντων. καὶ τοῦτο πάντη καταληπτὸν αὐτοῦ μόνον, ἡ ἀπειρία, καὶ αὐτὸ τὸ μηδὲν γινώσκειν· ὥσπερ οἱ Θεολόγοι ἄνδρες εἰρήκασι Γρηγόριός τε, καὶ Διονύσιος.

# ΤΟΥ ΑΥΤΟΥ

# ΕΚΑΤΟΝΤΑΣ ΔΕΥΤΕΡΑ.

α'. Ὁ Γνησίως τὸν Θεὸν ἀγαπῶν, οὗτος καὶ ἀπερισπάστως πάντως προσεύχεται. καὶ ὁ ἀπερισπάστως πάντως προσευχόμενος, οὗτος καὶ γνησίως τὸν Θεὸν ἀγαπᾷ. οὐκ εὔχεται δὲ ἀπερισπάστως, ὅ τινι τῶν ἐπιγείων ἔχων τὸν νοῦν προσηλωμένον.

β'. Ὁ νοῦς πράγματι χρονίζων αἰσθητῷ, πάντως πάθος ἔχει πρὸς αὐτό· οἷον ἐπιθυμίας, ἢ λύπης, ἢ ὀργῆς, ἢ μνησικακίας. καὶ εἰ μὴ τοῦ πράγματος ἐκείνου καταφρονεῖ, τοῦ πάθους ἐκείνου ἐλευθερωθῆναι οὐ δύναται.

γ'. Τὰ μὲν πάθη κρατοῦντα τοῦ νοῦ, συνδεσμοῦσιν αὐτὸν τοῖς πράγμασι τοῖς ὑλικοῖς, καὶ τοῦ Θεοῦ χωρίσαντα, αὐτοῖς ἐναχολεῖσθαι ποιοῦσιν. ἡ δὲ τοῦ Θεοῦ ἀγάπη κρατήσασα, λύει αὐτὸν τῶν δεσμῶν, παραφρονεῖν πείθουσα οὐ μόνον τῶν αἰσθητῶν πραγμάτων, ἀλλὰ καὶ αὐτῆς ἡμῶν τῆς προσκαίρου ζωῆς.

δ'. Ἔργον τῶν ἐντολῶν, ψιλὰ ποιεῖν τὰ τῶν πραγμάτων νοήματα· ἀναγνώσεως δὲ καὶ θεωρίας, ἄυλον καὶ ἀνείδεον τὸν νοῦν ἀπεργάζεσθαι. ἐκ δὲ τούτου συμβαίνει, τὸ ἀπερισπάστως προσεύχεσθαι.

ε'. Οὐκ ἀρκεῖ πρακτικὴ μέθοδος πρὸς τὸ τελείως τὸν νοῦν παθῶν ἐλευθερωθῆναι, ὥστε δυνηθῆναι αὐτὸν ἀπερισπάστως προσεύχεσθαι, εἰ μὴ καὶ διάφοροι αὐτὸν διαδέχονται πνευματικαὶ θεωρίαι. ἡ μὲν γὰρ, ἀκρασίας καὶ μίσους μόνον τὸν νοῦν ἐλευθεροῖ, αἱ δὲ, καὶ λήθης καὶ ἀγνοίας αὐτὸν ἀπαλλάττουσι· καὶ οὕτω δυνήσεται ὡς δεῖ προσεύξασθαι.

Τῆς καθαρᾶς προσευχῆς δύω εἰσὶν ἀκρόταται καταστάσεις· ἡ μὲν τοῖς πρακτικοῖς, ἡ δὲ τοῖς θεωρητικοῖς ἐπισυμβαίνουσα. καὶ ἡ μὲν, ἐκ φόβου Θεοῦ, καὶ ἐλπίδος ἀγαθῆς, τῇ ψυχῇ ἐγγίνεται, ἡ δὲ ἀπὸ θείου ἔρωτος καὶ ἀκροτάτης καθάρσεως. γνωρίσματα δὲ, τοῦ μὲν πρώτου μέτρου, τὸ ἐν τῷ συναγαγεῖν τὸν νοῦν ἐκ πάντων τῶν τοῦ κόσμου νοημάτων, καὶ ὡς αὐτῷ αὐτοῦ παρισταμένου τοῦ Θεοῦ, ὥσπερ καὶ πάρεστι ποιεῖσθαι τὰς προσευχὰς ἀπερισπάστως, καὶ ἀνενοχλήτως. τοῦ δὲ δευτέρου, τὸ ἐν αὐτῇ τῇ ὁρμῇ τῆς προσευχῆς ἁρπαγῆναι τὸν νοῦν ὑπὸ τοῦ θείου καὶ ἀπείρου φωτὸς, καὶ μήτε ἑαυτοῦ, μήτε τινὸς ἄλλου τῶν ὄντων τοσύνολον ἐπαισθάνεσθαι, εἰ μὴ μόνου τοῦ διὰ τῆς ἀγάπης ἐν αὐτῷ τὴν τοιαύτην ἔλλαμψιν ἐνεργοῦντος· τότε δὲ καὶ περὶ τοὺς περὶ Θεοῦ λόγους κινούμενος, καθαρὰς καὶ τρανὰς τὰς περὶ αὐτοῦ λαμβάνει ἐμφάσεις. ϛ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ζ'. Ὅτις ἀγαπᾷ, τοῦτο καὶ ἀντέχεται πάντως, καὶ πάντων τῶν πρὸς τοῦτο ἐμποδιζόντων αὐτῷ καταφρονεῖ, ἵνα αὐτοῦ μὴ στερηθῇ. καὶ ὁ τὸν Θεὸν ἀγαπῶν, ἐπιμελεῖται καθαρᾶς προσευχῆς· καὶ πᾶν πάθος πρὸς τοῦτο ἐμποδίζον αὐτῷ ἀποβάλλει ἐξ ἑαυτοῦ.

η'. Ὁ τὴν μητέρα τῶν παθῶν ἀποβαλὼν φιλαυτίαν, καὶ τὰ λοιπὰ εὐχερῶς· σὺν Θεῷ· ἀποτίθεται, οἷον ὀργήν, λύπην, μνησικακίαν, καὶ τὰ ἑξῆς. ὁ δὲ ὑπὸ τοῦ πρώτου κρατούμενος, ὑπὸ τοῦ δευτέρου κἂν μὴ θέλῃ, τιτρώσκεται· φιλαυτία δέ ἐστι, τὸ πρὸς τὸ σῶμα πάθος.

θ'. Διὰ τὰς πέντε ταύτας αἰτίας, οἱ ἄνθρωποι ἀγαπῶσιν ἀλλήλους, εἴτε ἐπαινετῶς, εἴτε ψεκτῶς· οἷον, ἢ διὰ τὸν Θεόν, ὡς ὁ ἐνάρετος πάντας, καὶ ὡς ὁ τὸν ἐνάρετον κἂν μήπω ἐνάρετος· ἢ διὰ φύσιν, ὡς οἱ γονεῖς τὰ τέκνα, καὶ ἔμπαλιν· ἢ διὰ κενοδοξίαν, ὡς ὁ δοξαζόμενος τὸν δοξάζοντα· ἢ διὰ φιλαργυρίαν, ὡς ὁ τὸν πλούσιον διὰ λῆψιν· ἢ διὰ φιληδονίαν, ὡς ὁ τὴν γαστέρα θεραπευόμενος καὶ τὰ ὑπὸ γαστέρα. καὶ ἡ μὲν πρώτη, ἐπαινετή· ἡ δευτέρα, μέση· αἱ δὲ λοιπαί, ἐμπαθεῖς.

ι'. Ἐὰν τινὰς μὲν μισῇς, τινὰς δὲ οὐδὲ ἀγαπᾷς, οὐδὲ μισεῖς, ἑτέρους δὲ ἀγαπᾷς, ἀλλὰ συμμέτρως, ἄλλους δὲ σφόδρα ἀγαπᾷς, ἐκ ταύτης τῆς ἀνισότητος, γνῶθι ὅτι μακρὰν εἶ τῆς τελείας ἀγάπης ἥτις ὑποτίθεται πάντα ἄνθρωπον ἐξίσου ἀγαπῆται.

ια'. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν, τουτέστι, πολέμησον ἐχθρούς, ἵνα μειώσῃς τὰ πάθη, ἔπειτα δὲ νῆφε, ἵνα μὴ αὐξήσωσι. καὶ πάλιν πολέμησον, ἵνα κτήσῃ τὰς ἀρετάς, καὶ μετέπειτα νῆφε, ἵνα αὐτὰς διαφυλάξῃς. καὶ τοῦτο ἂν εἴη, τὸ ἐργάζεσθαι, καὶ φυλάσσειν.

ιβ'. Οἱ κατὰ συγχώρησιν Θεοῦ πειράζοντες ἡμᾶς, ἢ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς ἐκθερμαίνουσιν, ἢ τὸ θυμικὸν ἐκταράσσουσιν, ἢ τὸ λογιστικὸν ἐπισκοτίζουσιν, ἢ τὸ σῶμα ὀδύναις περιβάλλουσιν, ἢ τὰ σωματικὰ διαρπάζουσιν.

ιγ'. Ἢ δι᾽ ἑαυτῶν ἡμᾶς οἱ δαίμονες ἐκπειράζουσιν, ἢ τοὺς μὴ φοβουμένους τὸν Κύριον καθ᾽ ἡμῶν ἐξοπλίζουσιν. καὶ δι᾽ ἑαυτῶν μέν, ὅταν ἐκ τῶν ἀνθρώπων ἰδιάσωμεν, ὥσπερ τὸν Κύριον ἐν τῇ ἐρήμῳ. διὰ τῶν ἀνθρώπων δέ, ὅταν μετὰ τῶν ἀνθρώπων συνδιατρίψωμεν, ὥσπερ καὶ τὸν Κύριον διὰ τῶν Φαρισαίων. ἀλλ᾽ ἡμεῖς εἰς τὸν τύπον ἡμῶν ἀποβλεπόμενοι, ἀμφοτέρωθεν αὐτοὺς ἀποκρουσώμεθα.

ιδ'. Ὅταν ἄρχηται ὁ νοῦς εἰς τὴν ἀγάπην τοῦ Θεοῦ προκόπτειν, τότε καὶ ὁ δαίμων τῆς βλασφημίας ἄρχεται ἐκπειράζειν αὐτόν, καὶ τοιούτους αὐτῷ λογισμοὺς ὑποβάλλει, οἵους ἀνθρώπων μὲν οὐδείς, μόνος δὲ ὁ τούτων τεχνίτης διάβολος ἐφευρίσκει. τοῦτο δὲ ποιεῖ, φθονῶν τῷ θεοφιλεῖ, ἵνα εἰς ἀπόγνωσιν ἐλθὼν ὡς τοιαῦτα διανοηθείς, μηκέτι τολμήσῃ διὰ τῆς συνήθους προσευχῆς πρὸς αὐτὸν ἀναπτῆναι. οὐδὲν δὲ ἐντεῦθεν ὠφελεῖται ὁ ἀλάστωρ πρὸς τὸν ἴδιον σκοπόν, ἀλλὰ καὶ μᾶλλον βεβαιοτέρους ἡμᾶς ἀπεργάζεται. πολεμούμενοι γὰρ καὶ ἀντιπολεμοῦντες, δοκιμώτεροι, καὶ γνησιώτεροι εἰς τὴν ἀγάπην τοῦ Θεοῦ εὑρισκόμεθα. ἡ δὲ ῥομφαία αὐτοῦ, εἰσέλθοι εἰς καρδίαν αὐτοῦ, καὶ τὰ τόξα αὐτοῦ συντριβείη.

ιε'. Ὁ νοῦς ἐπιβάλλων τοῖς ὁρατοῖς, κατὰ φύσιν νοεῖ τὰ πράγματα διὰ μέσης τῆς αἰσθήσεως. καὶ οὔτε ὁ νοῦς κακόν, οὔτε τὸ κατὰ φύσιν νοεῖν, οὔτε δὲ τὰ πράγματα, οὔτε ἡ αἴσθησις. Θεοῦ γάρ εἰσι ταῦτα ἔργα. Τί οὖν ἐστι τὸ κακόν; δῆλον ὅτι τὸ πάθος τοῦ κατὰ φύσιν νοήματος, ὅπερ δύναται μὴ εἶναι ἐν τῇ τῶν νοημάτων χρήσει, ἐὰν ὁ νοῦς γρηγορῇ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ιϛʹ. Πάθος ἐστὶ, κίνησις ψυχῆς παρὰ φύσιν, ἢ ἐπὶ φιλίαν ἄλογον, ἢ ἐπὶ μῖσος ἄκριτον, ἢ τινὸς, ἢ διά τι τῶν αἰσθητῶν, οἷον ἐπὶ μὲν φιλίαν, ἢ βρωμάτων ἀλόγων, ἢ γυναικὸς, ἢ χρημάτων. ἢ δόξης παρερχομένης, ἢ τινος ἄλλου τῶν αἰσθητῶν, ἢ διὰ ταῦτα. ἐπὶ μῖσος δὲ, οἷον ἢ τινος τῶν προειρημένων (ὡς εἴρηται) ἄκριτον, ἢ πρός τινα διὰ ταῦτα.

ιζʹ. Ἢ πάλιν κακία ἐστὶν, ἡ ἐσφαλμένη κρίσις τῶν νοημάτων, ᾗ ἐπακολουθεῖ ἡ παράχρησις τῶν πραγμάτων, οἷον ὡς ἐπὶ τῆς γυναικὸς, ἡ ὀρθὴ κρίσις τῆς συνουσίας, ὁ σκοπός ἐστι τῆς παιδοποιΐας. ὁ οὖν εἰς τὴν ἡδονὴν ἀποβλεψάμενος, ἐσφάλη περὶ τὴν κρίσιν, τὸ μὴ καλὸν καλὸν ἡγησάμενος· ὁ γοῦν τοιοῦτος παραχρῆται γυναικὶ συνουσιαζόμενος. καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων, καὶ νοημάτων ὁμοίως.

ιηʹ. Ὅτε τὸν νοῦν σου οἱ δαίμονες τῆς σωφροσύνης ἐκβαλόντες, τοῖς τῆς πορνείας λογισμοῖς περικυκλώσωσι, τότε μετὰ δακρύων λέγε πρὸς τὸν δεσπότην· ἐκβαλόντες με νυνὶ, περιεκύκλωσάν με· τὸ ἀγαλλίαμά μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με, καὶ σωθήσῃ.

ιθʹ. Βαρὺς ὁ τῆς πορνείας δαίμων, καὶ σφοδρῶς ἐπιτίθεται τοῖς κατὰ τοῦ πάθους ἀγωνιζομένοις, καὶ μάλιστα ἐν τῇ ἀμελείᾳ τῆς διαίτης, καὶ ἐν ταῖς συντυχίαις τῶν γυναικῶν. λεληθότως γὰρ τῇ λειότητι τῆς ἡδονῆς ὑποκλέπτων τὸν νοῦν, μετέπειτα ἐπεμβαίνει διὰ τῆς μνήμης ἡσυχάζοντι, τό, τε σῶμα ἐμπυρίζων, καὶ ποικίλας μορφὰς τῷ νῷ παριστῶν. διὸ καὶ πρὸς τὴν συγκατάθεσιν τῆς ἁμαρτίας αὐτὸν ἐγκαλεῖται, ἃς ἐὰν θέλῃς μὴ ἐγχρονίζειν ἐν σοὶ, νηστείαν ἀνάλαβε, καὶ κόπον, καὶ ἀγρυπνίαν, καὶ τὴν καλὴν ἡσυχίαν μετὰ ἐκτενοῦς προσευχῆς.

κʹ. Οἱ τὴν ψυχὴν ἡμῶν ἀεὶ ζητοῦντες, διὰ τῶν ἐμπαθῶν λογισμῶν ζητοῦσιν, ἵνα αὐτὴν εἰς τὴν κατὰ διάνοιαν, ἢ τὴν κατ' ἐνέργειαν ἁμαρτίαν ἐμβάλλωσιν. ὅταν οὖν εὕρωσι τὸν νοῦν μὴ παραδεχόμενον, τότε αἰσχυνθήσονται καὶ ἐντραπήσονται. ὅταν δὲ τῇ πνευματικῇ θεωρίᾳ ἐνασχολούμενον, τότε ἀποστραφήσονται, καὶ καταισχυνθήσονται σφόδρα διὰ τάχους.

καʹ. Διακόνου λόγον ἐπέχει, ὁ πρὸς τοὺς ἱεροὺς ἀγῶνας ἀλείφων τὸν νοῦν, καὶ τοὺς ἐμπαθεῖς λογισμοὺς ἀπελαύνων ἀπ' αὐτοῦ. Πρεσβυτέρου δὲ, ὁ εἰς τὴν γνῶσιν τῶν ὄντων φωτίζων, καὶ τὴν ψευδώνυμον γνῶσιν ἐξαφανίζων. Ἐπισκόπου δὲ, ὁ τῷ ἁγίῳ μύρῳ τελειῶν τῆς γνώσεως, καὶ προσκυνήσεως τῆς Ἁγίας Τριάδος.

κβʹ. Ἀσθενοῦσι μὲν οἱ δαίμονες, ὅταν διὰ τῶν ἐντολῶν μειῶνται τὰ πάθη τὰ ἐν ἡμῖν. ἀπόλλυνται δὲ, ὅταν εἰς τέλος διὰ τῆς ἀπαθείας ἐξαφανίζωνται, μηκέτι εὑρίσκοντες, τὰ δι' ὧν ἐν ψυχῇ ἐνίσταντο καὶ ἐπολέμουν αὐτήν. καὶ τοῦτο ἂν εἴη, τό, ἀσθενήσουσι, καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου.

κγʹ. Οἱ μὲν τῶν ἀνθρώπων διὰ φόβον ἀνθρώπινον τῶν παθῶν ἀπέχονται. οἱ δὲ, διὰ κενοδοξίαν. ἄλλοι δὲ, δι' ἐγκράτειαν. ἕτεροι δὲ, διὰ θείων κριμάτων, παθῶν ἐλευθεροῦνται.

κδʹ. Πάντες οἱ λόγοι τοῦ Κυρίου, τὰ τέσσαρα ταῦτα περιέχουσι· τὰς ἐντολὰς, τὰ δόγματα, τὰς ἀπειλὰς, τὰς ἐπαγγελίας. καὶ πᾶσαν σκληραγωγίαν διὰ ταῦτα ὑπομένομεν· οἷον, νηστείας, ἀγρυπνίας, χαμευνίας, κόπους, καὶ μόχθους ἐν διακονίαις, ὕβρεις, ἀτιμίας, στρεβλώσεις, θανάτους, καὶ τὰ ὅμοια. διὰ γὰρ τοὺς λόγους τῶν χειλέων σου, φησὶν, ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.

κεʹ. Μισθὸς τῆς ἐγκρατείας, ἡ ἀπάθεια. τῆς δὲ πίστεως, ἡ γνῶσις. καὶ ἡ μὲν ἀπάθεια, τίκτει τὴν διάκρισιν· ἡ δὲ γνῶσις, τὴν εἰς Θεὸν ἀγάπην.

Πρα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κς΄. Πρακτικὴν μὲν ὁ τῆς κατορθῶν, εἰς φρόνησιν προκόπτει· θεωρητικὴν δέ, εἰς γνῶσιν. τῆς μὲν γὰρ ἐστιν, εἰς διάκρισιν ἀρετῆς καὶ κακίας φέρειν τὸν ἀγωνιζόμενον· τῆς δέ, εἰς τοὺς περὶ ἀσωμάτων, καὶ σωμάτων λόγους ἄγειν τὸν μέτοχον. τῆς δὲ θεολογικῆς χάριτος τηνικαῦτα καταξιοῦται, ὁπηνίκα τὰ προειρημένα πάντα διὰ τῶν τῆς ἀγάπης πτερῶν διαπεράσας, καὶ ἐν Θεῷ γενόμενος, τοὺς περὶ αὐτοῦ λόγους διὰ τοῦ Πνεύματος, ὡς ἀνθρωπίνῳ νῷ δυνατόν, διασκοπήσει.

κζ΄. Θεολογεῖν μέλλων, μὴ τοὺς κατ᾽ αὐτὸν ζήτει λόγους, οὐ μὴ γὰρ εὕρῃ ἀνθρώπινος νοῦς, ἀλλ᾽ οὐδὲ ἄλλου τινὸς τῶν μετὰ Θεόν· ἀλλὰ τοὺς περὶ αὐτόν, ὡς οἷόν τε διασκόπει· οἷον, τοὺς περὶ ἀϊδιότητος, ἀπειρίας τε, καὶ ἀοριστίας, ἀγαθότητός τε, καὶ σοφίας, καὶ δυνάμεως δημιουργικῆς τε, καὶ προνοητικῆς, καὶ κριτικῆς τῶν ὄντων. οὗτος γὰρ ἐν ἀνθρώποις μέγας θεολόγος, ὁ τούτων τοὺς λόγους κἂν ποσῶς διευρίσκων

κη΄. Δυνατὸς ἀνήρ, ὁ τῇ πράξει τὴν γνῶσιν συζεύξας. τῇ μὲν γάρ, τὴν ἐπιθυμίαν μαραίνει, καὶ τὸν θυμὸν ἡμεροῖ· τῇ δέ, τὸν νοῦν πτεροῖ, καὶ πρὸς Θεὸν ἐκδημεῖ.

κθ΄. Ὅταν λέγῃ ὁ Κύριος, ἐγώ, καὶ ὁ πατὴρ ἕν ἐσμεν, τὸ ταυτὸν τῆς οὐσίας σημαίνει. ὅταν δὲ πάλιν λέγῃ, ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί, τὸ ἀχώριστον δηλοῖ τῶν ὑποστάσεων. οἱ οὖν τριθεῗται χωρίζοντες τοῦ πατρὸς τὸν υἱόν, εἰς ἀμφίκρημνον ἐμπίπτουσιν. ἢ γὰρ συναΐδιον λέγοντες τῷ πατρὶ τὸν υἱόν, χωρίζοντες δὲ αὐτὸν ἐξ αὐτοῦ, ἀναγκάζονται λέγειν μὴ ἐξ αὐτοῦ γεγενῆσθαι, καὶ ἐμπεσεῖν εἰς τὸ τρεῖς λέγειν Θεούς, καὶ τρεῖς ἀρχάς. ἢ ἐξ αὐτοῦ γεγενῆσθαι λέγοντες, χωρίζοντες δέ, ἀναγκάζονται λέγειν μὴ συναΐδιον εἶναι τῷ πατρί, καὶ ποιῆσαι ὑπὸ χρόνον τὸν τῶν χρόνων δεσπότην. χρὴ γὰρ καὶ τὸν ἕνα Θεὸν τηρεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν, κατὰ τὸν μέγαν Γρηγόριον, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος. καὶ γὰρ διαιρεῖται μέν, ἀλλ᾽ ἀδιαιρέτως κατὰ τὸν αὐτόν, καὶ συνάπτεται μέν, διῃρημένως δέ. καὶ διὰ τοῦτο, παράδοξος καὶ ἡ διαίρεσις, καὶ ἡ ἕνωσις. ἐπεὶ τί ἔχει τὸ παράδοξον, εἰ ὡς ἄνθρωπος ἀνθρώπῳ ἥνωται καὶ κεχώρισται, οὕτω καὶ ὁ υἱὸς τῷ πατρί, καὶ οὐδὲν πλέον.

Ὁ τέλειος ἐν ἀγάπῃ, καὶ εἰς ἄκρον ἀ- λ΄.
παθείας οὐκ ἐλθών, ἐπίσταται διαφορὰν ἰδίου καὶ ἀλλοτρίου, ἢ ἰδίας καὶ ἀλλοτρίας, ἢ πιστοῦ καὶ ἀπίστου, ἢ δούλου καὶ ἐλευθέρου, ἢ ὅλως ἄρσενος καὶ θηλείας. ἀλλ᾽ ἀνώτερος τῆς τῶν παθῶν τυραννίδος γενόμενος, καὶ εἰς τὴν μίαν φύσιν τῶν ἀνθρώπων ἀποβλεπόμενος, πάντας ἐξίσου θεωρεῖ, καὶ πρὸς πάντας ἴσως διάκειται. οὐκ ἔστι γὰρ ἐν αὐτῷ Ἕλλην καὶ Ἰουδαῖος, οὐδὲ ἄρσεν καὶ θῆλυ, οὐδὲ δοῦλος καὶ ἐλεύθερος, ἀλλὰ τὰ πάντα, καὶ ἐν πᾶσι Χριστός.

Ἐκ τῶν ὑποκειμένων τῇ ψυχῇ πα- λα΄.
θῶν, λαμβάνουσιν οἱ δαίμονες τὰς ἀφορμὰς τοῦ κινεῖν ἐν ἡμῖν τοὺς ἐμπαθεῖς λογισμούς· εἶτα διὰ τούτων πολεμοῦντες τὸν νοῦν, ἐκβιάζονται αὐτὸν εἰς συγκατάθεσιν ἐλθεῖν τῆς ἁμαρτίας· ἡττηθέντος δὲ αὐτοῦ, ἄγουσιν εἰς τὴν κατὰ διάνοιαν ἁμαρτίαν, καὶ ταύτης ἀποτελεσθείσης, φέρουσιν αὐτὸν λοιπὸν αἰχμάλωτον εἰς τὴν πρᾶξιν· μετὰ δὲ ταύτης λοιπὸν οἱ τὴν ψυχὴν διὰ τῶν λογισμῶν ἐρημώσαντες, σὺν αὐτοῖς ὑποχωροῦσιν, μένει δὲ μόνον ἐν τῷ νῷ τὸ εἴδωλον τῆς ἁμαρτίας, περὶ οὗ φησιν ὁ Κύριος, ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω, ὅτι τόπος ἅγιος καὶ ναὸς Θεοῦ, ὁ νοῦς ὑπάρχει τοῦ ἀνθρώπου, ἐν ᾧ οἱ δαίμονες διὰ τῶν ἐμπαθῶν λογισμῶν τὴν ψυχὴν ἐρημώσαντες, τὸ

εἴδω-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἄθλον ἀντιτιθέασι τῆς ἁμαρτίας. ὅτι δὲ καὶ ἱστορικῶς ἤδη ταῦτα γέγονεν, οὐδεὶς τῶν τὰ Ἰωσήππεια ἀνεγνωκότων, ὡς οἶμαι, ἀμφιβάλλει. πλὴν τινές φασι καὶ ἐπὶ τοῦ ἀντιχρίστου ταῦτα γενήσεσθαι.

λβ'. Τρία εἰσὶ τὰ κινοῦντα ἡμᾶς ἐπὶ τὰ καλά, τὰ φυσικὰ σπέρματα, αἱ ἅγιαι δυνάμεις, καὶ ἡ ἀγαθὴ προαίρεσις. καὶ τὰ μὲν φυσικὰ σπέρματα, ὡς ὅταν ὃ θέλωμεν ἵνα ποιῶσιν ἡμῖν οἱ ἄνθρωποι, καὶ ἡμεῖς ὁμοίως ποιῶμεν αὐτοῖς, ἢ ὡς ὅταν ἴδωμεν τινὰ ἐν στενώσει ἢ ἐν ἀνάγκῃ, καὶ φυσικῶς ἐλεῶμεν. αἱ δὲ ἅγιαι δυνάμεις, οἷον, ὅταν κινούμενοι ἐπὶ καλῷ πράγματι, εὕρωμεν συνεργίαν ἀγαθήν, καὶ κατευοδώμεθα. ἡ δὲ ἀγαθὴ προαίρεσις, ὡς ὅταν διακρίνοντες τὸ καλὸν ἀπὸ τοῦ κακοῦ, αἱρώμεθα τὸ ἀγαθόν.

λγ'. Τρία δὲ πάλιν εἰσὶ τὰ κινοῦντα ἡμᾶς ἐπὶ τὰ κακά, τὰ πάθη, οἱ δαίμονες, καὶ ἡ κακὴ προαίρεσις. καὶ τὰ μὲν πάθη, ὡς ὅταν ἐπιθυμῶμεν πράγματος παρὰ λόγον, οἷον, ἢ βρώματος παρὰ τὸν καιρόν, ἢ παρὰ τὴν χρείαν, ἢ γυναικὸς παρὰ τὸν σκοπὸν τῆς παιδοποιΐας, καὶ τῆς μὴ νομίμου. καὶ πάλιν ὅταν ὀργιζώμεθα, ἢ λυπώμεθα παρὰ τὸ εἰκός, οἷον τῷ τοῦ ἀτιμάσαντος, ἢ ζημιώσαντος. οἱ δὲ δαίμονες, οἷον, ἐν τῇ ἀμελείᾳ ἡμῶν καιροσκοποῦντες ἐπιτίθενται ἡμῖν, ἄφνω μετὰ πολλῆς σφοδρότητος κινοῦντες τὰ προειρημένα πάθη καὶ τὰ ὅμοια. ἡ δὲ κακὴ προαίρεσις, οἷον, ὅτε ἐν γνώσει τοῦ καλοῦ, τὸ κακὸν αἱρούμεθα.

λδ'. Μισθοὶ τῶν πόνων τῆς ἀρετῆς εἰσιν, ἡ ἀπάθεια, καὶ ἡ γνῶσις. αὗται γὰρ πρόξενοι γίνονται, βασιλείας Οὐρανῶν, ὡς τὰ πάθη καὶ ἡ ἀγνωσία κολάσεως αἰωνίου. ὁ οὖν τούτους διὰ δόξαν ἀνθρώπων ζητῶν, καὶ μὴ δι' αὐτὸ τὸ καλόν, ἀκούει παρὰ τῆς Γραφῆς· αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε.

λε'. Εἰσὶ πολλά τινα φύσει καλὰ ὑπὸ τῶν ἀνθρώπων γινόμενα, ἀλλ' οὐ καλὰ πάλιν διά τινα αἰτίαν, οἷον· νηστεία, καὶ ἀγρυπνία, προσευχή, καὶ ψαλμῳδία, ἐλεημοσύνη, καὶ ξενοδοχία, φύσει καλὰ ἔργα εἰσίν, ἀλλ' ὅταν διὰ κενοδοξίαν γίνωνται, οὐκ ἔστι καλά.

λς'. Πάντων τῶν πραττομένων ὑφ' ἡμῶν, τὸν σκοπὸν ζητεῖ ὁ Θεός, εἴτε δι' αὐτὸν πράττομεν, εἴτε δι' ἄλλην αἰτίαν.

λζ'. Ὅταν ἀκούσῃς τῆς Γραφῆς λεγούσης, ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, οὐ τὰ παρὰ τὸν σκοπὸν τὸν ὀρθὸν πραττόμενα, εἰ καὶ δοκεῖ καλὰ εἶναι, ὁ Θεὸς καλὰ ἀποδίδωσιν, ἀλλὰ τὰ κατὰ τὸν ὀρθὸν δηλονότι. οὐ γὰρ εἰς τὰ γινόμενα, ἀλλ' εἰς τὸν σκοπὸν τῶν γινομένων ἡ τοῦ Θεοῦ κρίσις ἐφορᾷ.

λη'. Ὁ τῆς ὑπερηφανίας δαίμων, διπλῆν ἔχει τὴν πονηρίαν, ἢ γὰρ ἑαυτοῦ ἀναπείθει τὸν Μοναχὸν ἐπιγράφειν τὰ κατορθώματα, καὶ οὐχὶ τῷ Θεῷ, τῷ καὶ χορηγῷ τῶν καλῶν, καὶ βοηθῷ πρὸς κατόρθωσιν. ἢ τούτῳ μὴ πειθόμενον, τοὺς ἔτι ἀτελεστέρους τῶν Μοναχῶν ἀδελφοὺς ὑποβάλλει ἐξουθενεῖν. ἀγνοεῖ δὲ καὶ οὗτος ὁ ἐνεργούμενος, ὅτι τὴν τοῦ Θεοῦ βοήθειαν ἀναπείθει αὐτὸν ἀπαρνεῖσθαι. εἰ γὰρ ἐκείνους ὡς μὴ δυνηθέντας κατορθῶσαι ἐξουθενεῖ, ἑαυτὸν δηλονότι ὡς ἐξ ἰδίας δυνάμεως κατορθώσαντα εἰσάγει, ὅπερ ἐστὶν ἀμήχανον, τοῦ Κυρίου εἰπόντος, χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν· ἐπειδὴ ἡ ἡμετέρα ἀσθένεια κινουμένη ἐπὶ τὰ καλά, ἄνευ τοῦ χορηγοῦ τῶν καλῶν ὡς τέλος ἄγειν οὐ δύναται.

λθ'. Ὁ ἐγνωκὼς τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, οὗτος εἴληφε πεῖραν τῆς θείας δυνάμεως. καὶ οὗτος δι' αὐτῆς, τὰ μὲν κατορθώσας, τὰ δὲ σπεύδων κατορθῶσαι, οὐκ ἐξουθενεῖ ποτὲ οὐδένα ἀνθρώπων. οἶδε γὰρ ὅτι ὥσπερ αὐτῷ ἐβοήθησε, καὶ πολλῶν παθῶν καὶ χαλε-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πῶν, ἠλευθέρωσεν, οὕτω δυνατός ἐστι καὶ πᾶσι βοηθῆσαι ὅτε θέλει, καὶ μάλιστα τοῖς δι' αὐτὸν ἀγωνιζομένοις, εἰ καὶ κρίμασί τισιν ὑφ' ἓν πάντας τῶν παθῶν οὐκ ἀπαλλάττει, ἀλλ' ἰδίοις ὡς ἀγαθὸς καὶ φιλάνθρωπος ἰατρὸς, ἕκαστον τῶν σπουδαζόντων ἰᾶται.

μ'. Ἐπὶ τῇ τῶν παθῶν ἀνενεργησίᾳ, ἡ ὑπερηφανία ἐπισυμβαίνει, ἢ τῶν αἰτιῶν ἀποκοπτομένων, ἢ τῶν δαιμόνων δολερῶς ὑποχωρούντων.

μα'. Πᾶσα σχεδὸν ἁμαρτία, διὰ ἡδονὴν γίνεται, καὶ ἡ ταύτης ἀναίρεσις, διὰ κακοπαθείας καὶ λύπης, ἢ ἑκουσίου διὰ μετανοίας, ἢ οἰκονομικῆς περιφορᾶς διὰ τῆς προνοίας ἐπαγομένης. εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

μβ'. Ὅταν σοι ἔλθῃ ἐξ ἀπροσδοκήτου πειρασμὸς, μὴ τὸν δι' οὗ αἰτιῶ, ἀλλὰ τὸ διὰ τί ζήτει, καὶ εὑρίσκεις διόρθωσιν. ἐπεὶ, εἴτε δι' ἐκείνου, εἴτε δι' ἄλλου, πιεῖν εἶχες τῶν τοῦ Θεοῦ κριμάτων τὸ ἀψίνθιον.

μγ'. Ὡς ὢν κακότροπος, τοῦ κακοπαθεῖν μὴ ἀπαναίνου, ἵνα δι' αὐτοῦ ταπεινωθεὶς, τὴν ὑπερηφανίαν ἐμέσῃς.

μδ'. Οἱ μὲν τῶν πειρασμῶν, ἡδονὰς, οἱ δὲ, λύπας· οἱ δὲ, ὀδύνας σωματικὰς τοῖς ἀνθρώποις προσάγουσι. κατὰ γὰρ τὴν ἐγκειμένην τῇ ψυχῇ αἰτίαν τῶν παθῶν, καὶ τὸ φάρμακον ὁ ἰατρὸς τῶν ψυχῶν διὰ τῶν αὐτοῦ κριμάτων ἐπιτίθησιν.

με'. Αἱ ἐπιφοραὶ τῶν πειρασμῶν, τοῖς μὲν, πρὸς ἤδη γεγονότων ἁμαρτημάτων ἀναίρεσιν· τοῖς δὲ, πρὸς τὴν ἐνεργουμένων· ἄλλοις πρὸς μελλόντων ἐνεργεῖσθαι ἀνακοπὴν, ἐπάγονται, δίχα τῶν πρὸς δοκιμὴν ἐπισυμβαινόντων, ὡς ἐπὶ τοῦ Ἰώβ.

μϛ'. Ὁ μὲν ἐχέφρων, τῶν θείων κριμάτων τὴν ἰατρείαν ἀναλογιζόμενος, εὐχαρίστως φέρει τὰς διὰ τούτων ἐπισυμβαινούσας αὐτῷ συμφορὰς, μηδένα ἄλλον τούτων αἴτιον, ἢ τὰς ἑαυτοῦ ἁμαρτίας λογιζόμενος. ὁ δὲ ἄφρων, τὴν τοῦ Θεοῦ ἀγνοῶν σοφωτάτην πρόνοιαν, ἁμαρτάνων καὶ παιδευόμενος, ἢ τὸν Θεὸν, ἢ τοὺς ἀνθρώπους τῶν ἑαυτοῦ κακῶν αἰτίους λογίζεται.

Εἰσί τινα ἱστῶντα τὰ πάθη τῆς κινήσεως, καὶ μὴ ἐῶντα προβῆναι εἰς αὔξησιν. καὶ εἰσὶν ἕτερα, ἐλαττοῦντα, καὶ εἰς μείωσιν ἄγοντα, οἷον, νηστεία, καὶ κόπος, καὶ ἀγρυπνία, οὐκ ἐῶσιν αὔξειν τὴν ἐπιθυμίαν· ἀναχώρησις δὲ, καὶ θεωρία, καὶ προσευχὴ, καὶ ἔρως εἰς Θεὸν, ἐλαττοῦσιν αὐτὴν, καὶ εἰς ἀφανισμὸν ἄγουσι. καὶ ἐπὶ τοῦ θυμοῦ δὲ ὁμοίως· οἷον, μακροθυμία, καὶ ἀμνησικακία, καὶ πρᾳότης, ἱστῶσι, καὶ οὐκ ἐῶσιν αὐτὸν αὔξειν, ἀγάπη δὲ καὶ ἐλεημοσύνη καὶ χρηστότης καὶ φιλανθρωπία, εἰς μείωσιν ἄγουσιν. μζ'.

Οὗ τινος ὁ νοῦς διαπαντός ἐστι πρὸς τὸν Θεὸν, τούτου καὶ ἡ ἐπιθυμία εἰς τὸν θεῖον ὑπερηύξησεν ἔρωτα, καὶ ὁ θυμὸς ὅλος ὅλος εἰς τὴν θείαν μετεστράφη ἀγάπην. τῇ γὰρ χρονίᾳ τῆς θείας ἐλλάμψεως μετουσίᾳ, ὅλος φωτοειδὴς γεγονὼς, καὶ τὸ παθητικὸν αὐτοῦ μέρος πρὸς ἑαυτὸν συσφίγξας, εἰς ἔρωτα θεῖον· ὡς εἴρηται· ἀκατάληπτον, καὶ ἀγάπην ἀκατάπαυστον ἔστρεψεν, ὅλως ἐκ τῶν ἐπιγείων ἐπὶ τὸ θεῖον μεταγαγών. μη'.

Οὐ πάντως ὁ μὴ φθονῶν, μηδὲ ὀργιζόμενος, μηδὲ μνησικακῶν τῷ λυπήσαντι, ἤδη καὶ ἀγάπην ἔχει πρὸς αὐτόν. δύναται γὰρ καὶ μήπω ἠγαπῶν, κακὸν ἀντὶ κακοῦ μὴ ἀποδοῦναι διὰ τὴν ἐντολὴν, οὐ πάντως δὲ δύναται καὶ καλὸν ἀνταποδοῦναι κακοῦ ἀβιάστως. τὸ γὰρ ἐκ διαθέσεως καλῶς ποιεῖν τοῖς μισοῦσι, μόνης ἐστὶ τῆς πνευματικῆς τελείας ἀγάπης. μθ'.

Οὐχ ὁ μὴ ἀγαπῶν τινὰ, ἤδη πάντως ν'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ μισεῖ αὐτόν· οὐδὲ πάλιν ὁ μὴ μισῶν, ἤδη πάντως καὶ ἀγαπᾷ· ἀλλὰ δύναται ὡς μέσος εἶναι πρὸς αὐτόν, τουτέστι, μήτε ἀγαπᾶν, μήτε μισεῖν· τὴν γὰρ ἀγαπητικὴν διάθεσιν, μόνοι οἱ ἐν τῷ ἐνάτῳ κεφαλαίῳ ταύτης τῆς ἑκατοντάδος εἰρημένοι πέντε τρόποι, ἐμποιεῖν πεφύκασιν· ὅ,τε ἐπαινετός, καὶ ὁ μέσος, καὶ οἱ ψεκτοί.

ια′. Ὅταν ἴδῃς τὸν νοῦν σου τοῖς ὑλικοῖς ἡδέως ἐναγκαλιζόμενον, καὶ τοῖς τούτων νοήμασιν ἐμφιλοχωροῦντα, γίνωσκε σεαυτὸν ταῦτα μᾶλλον, ἢ τὸν Θεὸν ἀγαπῶντα. ὅπου γάρ ἐστιν ὁ θησαυρός σου (φησὶν ὁ Κύριος), ἐκεῖ καὶ ἡ καρδία ἔσται.

ιβ′. Νοῦς Θεῷ συναπτόμενος, καὶ αὐτῷ ἐγχρονίζων διὰ προσευχῆς, καὶ ἀγάπης, σοφὸς γίνεται, καὶ ἀγαθός, καὶ δυνατός, καὶ φιλάνθρωπος, καὶ ἐλεήμων, καὶ μακρόθυμος, καὶ ἁπλῶς εἰπεῖν, πάντα σχεδὸν τὰ θεῖα ἰδιώματα ἐν ἑαυτῷ περιφέρει· τούτου δὲ ἀναχωρῶν, ἢ κτηνώδης γίνεται, φιλήδονος γεγονώς· ἢ θηριώδης, διὰ ταῦτα τοῖς ἀνθρώποις μαχόμενος.

ιγ′. Κόσμον λέγει ἡ γραφή, τὰ ὑλικὰ πράγματα· καὶ κοσμικοί εἰσιν, οἱ τούτοις τὸν νοῦν ἐνασχολοῦντες, πρὸς οὓς καὶ λέγει ἐλεγκτικώτερον, μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. ἡ ἐπιθυμία τῆς σαρκός, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ἀλλ᾽ ἐκ τοῦ κόσμου ἐστί, καὶ τὰ ἑξῆς.

ιδ′. Μοναχός ἐστιν, ὁ τῶν ὑλικῶν πραγμάτων τὸν νοῦν ἀποχωρίσας, καὶ δι᾽ ἐγκρατείας, καὶ ἀγάπης, καὶ ψαλμῳδίας, καὶ προσευχῆς, προσκαρτερῶν τῷ Θεῷ.

ιε′. Κτηνοτρόφος μέν ἐστι νοητῶς, ὁ πρακτικός. κτηνῶν γὰρ λόγον ἐπέχουσι τὰ ἠθικὰ κατορθώματα. διὸ καὶ ἔλεγεν ὁ Ἰακώβ, ἄνδρες κτηνοτρόφοι εἰσὶν οἱ παῖδές σου. ποιμὴν δὲ προβάτων, ὁ γνωστικός. προβάτων γὰρ λόγον ἐπέχουσιν οἱ λογισμοὶ ἐπὶ τὰ ὄρη τῶν θεωρημάτων ὑπὸ τοῦ νοῦ ποιμαινόμενοι. διὰ τοῦτο καὶ βδέλυγμα τοῖς Αἰγυπτίοις πᾶς ποιμὴν προβάτων ἤγουν ταῖς ἐναντίαις δυνάμεσιν·

ις′. Ὁ μὲν φαῦλος νοῦς, κινουμένου τοῦ σώματος διὰ τῶν αἰσθήσεων ἐπὶ τὰς ἰδίας ἐπιθυμίας καὶ ἡδονάς, ἐξακολουθεῖ, καὶ συγκατατίθεται ταῖς τούτου φαντασίαις καὶ ὁρμαῖς. ὁ δὲ ἐνάρετος, ἐγκρατεύεται, καὶ κατέχει ἑαυτὸν ἀπὸ τῶν ἐμπαθῶν φαντασιῶν, καὶ ὁρμῶν, καὶ μᾶλλον φιλοσοφεῖ βελτίους ποιῆσαι τὰς τοιαύτας αὐτοῦ κινήσεις.

ιζ′. Τῶν ἀρετῶν, αἱ μέν εἰσι σωματικαί, αἱ δὲ ψυχικαί· καὶ σωματικαὶ μέν εἰσιν, οἷον νηστεία, ἀγρυπνία, χαμευνία, διακονία, ἐργόχειρον πρὸς τὸ μὴ ἐπιβαρῆσαι, ἢ πρὸς μετάδοσιν, καὶ τὰ ἑξῆς. ψυχικαὶ δέ εἰσιν, οἷον ἀγάπη, μακροθυμία, πραότης, ἐγκράτεια, προσευχή, καὶ τὰ ἑξῆς· ἐὰν οὖν ἔκ τινος ἀνάγκης, ἢ περιστάσεως σωματικῆς, οἷον ἀῤῥωστίας, ἤ τινος τῶν τοιούτων, συμβῇ ἡμῖν μὴ ἐκτελέσαι δυνηθῆναι τὰς προειρημένας σωματικὰς ἀρετάς, συγγνώμην ἔχομεν παρὰ Κυρίου τοῦ καὶ τὰς αἰτίας εἰδότος· τὰς δὲ ψυχικὰς μὴ ἐκτελοῦντες, οὐδὲ μίαν ἔχομεν ἀπολογίαν, οὐ γάρ εἰσιν ὑπὸ ἀνάγκην.

ιη′. Ἡ εἰς Θεὸν ἀγάπη, πάσης ἡδονῆς παρερχομένης, καὶ παντὸς πόνου, καὶ λύπης πείθει καταφρονεῖν τὸν μέτοχον αὐτῆς. καὶ πεισθήτωσάν σε οἱ ἅγιοι πάντες, τοσαῦτα πεπονθότες διὰ Χριστόν.

ιθ′. Πρόσεχε σεαυτῷ ἀπὸ τῆς μητρὸς τῶν κακῶν φιλαυτίας, ἥτις ἐστὶν ἡ τοῦ σώματος ἄλογος φιλία. ἐκ ταύτης γὰρ εὐλογοφανῶς τίκτονται οἱ πρῶτοι καὶ ἐμπαθεῖς καὶ γενικώτατοι τρεῖς ἐμμανεῖς λογισμοί, ὁ τῆς γαστριμαργίας λέγω, καὶ φιλαργυρίας, καὶ κενοδοξίας, τὰς ἀφορμὰς ἐκ τῆς ἀναγκαίας τοῦ σώματος δῆθεν λαμβάνοντες χρείας. ἐξ αὐτῶν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δὲ γεννᾶται ἅπας ὁ τῶν κακῶν κατάλογος. διὸ οὖν, ὡς εἴρηται, προσέχειν ἀναγκαίως, καὶ ταύτῃ πολεμεῖν μετὰ πολλῆς νήψεως. ταύτης γὰρ ἀναιρουμένης, συναναιροῦνται πάντες οἱ ἐξ αὐτῆς.

ξ'. Τὸ τῆς φιλαυτίας πάθος, τῷ μὲν Μοναχῷ ἐλεεῖν ὑποτίθεται τὸ σῶμα, καὶ συνελθεῖν παρὰ τὸ προσῆκον εἰς τὰ βρώματα, οἰκονομίας δῆθεν χάριν, καὶ κυβερνήσεως, ἵνα κατὰ μικρὸν παρασυρόμενος εἰς τὸν βόθρον τῆς φιληδονίας ἐμπέσῃ. τῷ δὲ κοσμικῷ ἐντεῦθεν ἤδη πρόνοιαν αὐτοῦ ποιεῖσθαι εἰς ἐπιθυμίας ὑποβάλλει.

ξα'. Τὴν τῆς προσευχῆς ἀκροτάτην κατάστασιν, ταύτην εἶναι λέγουσιν, τὸ ἔξω σαρκὸς καὶ κόσμου γενέσθαι τὸν νοῦν, καὶ ἄϋλον πάντῃ, καὶ ἀνείδεον ἐν τῷ προσεύχεσθαι. ὁ οὖν ταύτην ἀλώβητον διατηρῶν τὴν κατάστασιν, οὗτος ὄντως ἀδιαλείπτως προσεύχεται.

ξβ'. Ὥσπερ τὸ σῶμα ἀποθνῆσκον πάντως χωρίζεται τῶν τοῦ κόσμου, οὕτω καὶ ἡ ψυχὴ τὴν ἀκροτάτην ἐκείνην τῆς προσευχῆς κατάστασιν μελετῶσα, καὶ ἀποθνήσκουσα, πάντων χωρίζεται τῶν τοῦ κόσμου νοημάτων. ἐὰν γὰρ μὴ τὸν τοιοῦτον ἀποθάνῃ θάνατον μετὰ Θεοῦ εὑρεθῆναι, καὶ ζῆσαι οὐ δύναται.

ξγ'. Μηδείς σε ἀπατήσῃ Μοναχέ, ὅτι ἔνεστι σωθῆναι ἡδονῇ, καὶ κενοδοξίᾳ δουλεύοντα.

ξδ'. Ὥσπερ τὸ σῶμα διὰ τῶν πραγμάτων ἁμαρτάνει, καὶ ἔχει πρὸς παιδαγωγίαν τὰς σωματικὰς ἀρετὰς ἵνα σωφρονῇ· οὕτω καὶ ὁ νοῦς διὰ τῶν ἐμπαθῶν νοημάτων ἁμαρτάνει, καὶ ἔχει ὡσαύτως πρὸς παιδαγωγίαν τὰς ψυχικὰς ἀρετάς, ἵνα καθαρῶς καὶ ἀπαθῶς ὁρῶν τὰ πράγματα, σωφρονῇ.

ξε'. Ὥσπερ τὰς ἡμέρας διαδέχονται αἱ νύκτες, καὶ τὰ θέρη οἱ χειμῶνες, οὕτω κενοδοξίαν καὶ ἡδονήν, λῦπαι καὶ ὀδύναι, εἴτε ἐν τῷ παρόντι, εἴτε ἐν τῷ μέλλοντι.

ξς'. Οὐκ ἔστιν ἁμαρτήσαντα ἐκφυγεῖν τὴν μέλλουσαν κρίσιν, ἄνευ ἑκουσίων ἐνταῦθα πόνων, ἢ ἀκουσίων ἐπιφορῶν.

ξζ'. Διὰ πέντε αἰτίας φασὶ παραχωρεῖσθαι ἡμᾶς ὑπὸ Θεοῦ πολεμεῖσθαι ὑπὸ δαιμόνων. καὶ πρώτην μὲν εἶναι φασίν, ἵνα πολεμούμενοι, καὶ ἀντιπολεμοῦντες, εἰς διάκρισιν τῆς ἀρετῆς, καὶ τῆς κακίας ἔλθωμεν. δευτέραν δέ, ἵνα πολέμῳ καὶ πόνῳ τὴν ἀρετὴν κτώμενοι, βεβαίαν αὐτὴν καὶ ἀμετάπτωτον ἔχωμεν. τρίτην δέ, ἵνα προκόπτοντες εἰς τὴν ἀρετήν, μὴ ὑψηλοφρονῶμεν, ἀλλὰ μάθωμεν ταπεινοφρονεῖν. τετάρτην δέ, ἵνα πειραθέντες τῆς κακίας, τέλειον μῖσος αὐτὴν μισήσωμεν. πέμπτην δὲ ἐπὶ πάσαις, ἵνα ἀπαθεῖς γενόμενοι, μὴ ἐπιλαθώμεθα τῆς οἰκείας ἀσθενείας, μήτε τῆς τοῦ βοηθήσαντος δυνάμεως.

ξη'. Ὥσπερ τοῦ πεινῶντος ὁ νοῦς ἄρτον φαντάζεται, καὶ τοῦ διψῶντος ὕδωρ, οὕτω καὶ τοῦ γαστριμάργου ποικιλίας ἐδεσμάτων, καὶ τοῦ φιληδόνου, μορφὰς γυναικῶν· καὶ ὁ τοῦ κενοδόξου, τὰς ἐξ ἀνθρώπων τιμάς, καὶ τοῦ φιλαργύρου, τὰ κέρδη· καὶ τοῦ μνησικάκου, τὴν ἄμυναν τοῦ λυπήσαντος· καὶ τοῦ φθονεροῦ, τὴν κάκωσιν τοῦ φθονουμένου· καὶ ἐπὶ τῶν ἄλλων παθῶν ὁμοίως. ἐκ γὰρ τῶν παθῶν ὀχλούμενος ὁ νοῦς, λαμβάνει τὰ ἐμπαθῆ σχήματα, καὶ ἐγρηγορότος τοῦ σώματος, καὶ κατὰ τοὺς ὕπνους.

ξθ'. Ὅταν ἡ ἐπιθυμία αὔξῃ, τὰς ποιητικὰς τῶν ἡδονῶν ὕλας, ἐν τοῖς ὕπνοις ὁ νοῦς φαντάζεται. ὅταν δὲ ὁ θυμός, τὰ φόβων ποιητικὰ βλέπει πράγματα· αὔξουσι μέντοι τὰ πάθη, οἱ ἀκάθαρτοι δαίμονες, συνεργὸν τὴν ἡμετέραν ἀμέλειαν λαμβάνοντες, καὶ ταῦτα ἐρεθίζοντες· ἐλαττοῦσι δὲ οἱ ἅγιοι Ἄγγελοι, πρὸς τὴν τῶν ἀρετῶν ἡμᾶς κινοῦντες ἐργασίαν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ο΄. Τὸ μὲν ἐπιθυμητικὸν τῆς ψυχῆς συνεχέστερον ἐρεθιζόμενον, ἕξιν φιληδονίας δυσκίνητον τῇ ψυχῇ ἐντίθησιν. ὁ δὲ θυμὸς συνεχῶς ταρασσόμενος, δειλὸν καὶ ἄνανδρον αὐτὸν ἀπεργάζεται. ἰῶνται δὲ, τὸ μὲν, ἄσκησις ἐπιτεταμένη, νηστείας, καὶ ἀγρυπνίας, καὶ προσευχῆς· τὸν δὲ, χρηστότης, καὶ φιλανθρωπία, καὶ ἀγάπη, καὶ ἔλεος.

οα΄. Ἢ διὰ τῶν πραγμάτων οἱ δαίμονες πολεμοῦσιν, ἢ διὰ τῶν ἐν τοῖς πράγμασιν ἐμπαθῶν νοημάτων. καὶ διὰ μὲν τῶν πραγμάτων, τοὺς ἐν τοῖς πράγμασιν ὄντας, διὰ δὲ τῶν νοημάτων, τοὺς τῶν πραγμάτων κεχωρισμένους.

οβ΄. Ὅσον ἐστὶν εὐκοπώτερον τὸ κατὰ διάνοιαν ἁμαρτάνειν τοῦ κατ' ἐνέργειαν, τοσοῦτόν ἐστι βαρύτερος ὁ διὰ τῶν νοημάτων πόλεμος, τοῦ διὰ τῶν πραγμάτων.

ογ΄. Τὰ μὲν πράγματα ἔξωθέν εἰσι τοῦ νοῦ, τὰ δὲ τούτων νοήματα, ἔσωθεν συνίστανται. ἐν αὐτῷ ἔνεστι, τὸ εὖ τούτοις χρήσασθαι, ἢ κακῶς. τῇ γὰρ σφαλλομένῃ τῶν νοημάτων χρήσει, ἡ παράχρησις τῶν πραγμάτων ἀκολουθεῖ.

οδ΄. Διὰ τῶν τριῶν τούτων λαμβάνει ὁ νοῦς τὰ ἐμπαθῆ νοήματα, διὰ τῆς αἰσθήσεως, διὰ τῆς κράσεως, διὰ τῆς μνήμης. καὶ διὰ τῆς αἰσθήσεως, ὅταν προσβάλλοντα αὐτῇ τὰ πράγματα, πρὸς ἅπερ τὰ πάθη κεκτήμεθα, κινῇ αὐτὸν πρὸς ἐμπαθεῖς λογισμούς. διὰ δὲ τῆς κράσεως, ὅταν ἐξ ἀκολάστου διαίτης, ἢ ἐνεργείας δαιμόνων, ἢ νοσήματός τινος, ἀλλοιωμένη ἡ τοῦ σώματος κρᾶσις, κινῇ αὐτὸν πάλιν πρὸς ἐμπαθεῖς λογισμοὺς, ἢ καὶ τῆς προνοίας· διὰ δὲ τῆς μνήμης, ὅταν τῶν πραγμάτων πρὸς ἅπερ πεπόνθαμεν, τὰ νοήματα ἡ μνήμη ἀναφέρῃ, καὶ κινῇ αὐτὸν ὁμοίως πρὸς ἐμπαθεῖς λογισμούς.

οε΄. Τῶν εἰς χρῆσιν παρὰ Θεοῦ δοθέντων ἡμῖν πραγμάτων, τὰ μὲν ἐν τῇ ψυχῇ, τὰ δὲ ἐν τῷ σώματι, τὰ δὲ περὶ τὸ σῶμα εὑρίσκεται. οἷον, ἐν μὲν τῇ ψυχῇ, αἱ δυνάμεις αὐτῆς· ἐν δὲ τῷ σώματι, τὰ αἰσθητήρια, καὶ τὰ λοιπὰ μέλη· περὶ δὲ τὸ σῶμα, βρώματα, κτήματα, χρήματα, καὶ τὰ ἑξῆς. τὸ δὲ εὖ τούτοις χρήσασθαι, ἢ κακῶς, ἢ τοῖς περὶ ταῦτα συμβεβηκόσιν, ἢ ἐναρέτους, ἢ φαύλους ἡμᾶς ἀποφαίνει.

ος΄. Τῶν ἐν τοῖς πράγμασι συμβεβηκότων, τὰ μέν εἰσι τῶν ἐν τῇ ψυχῇ, τὰ δὲ τῶν ἐν τῷ σώματι, τὰ δὲ περὶ τὸ σῶμα πραγμάτων. καὶ τῶν μὲν ἐν τῇ ψυχῇ οἷον γνῶσις, καὶ ἄγνοια, λήθη, καὶ μνήμη, ἀγάπη, καὶ μῖσος, λύπη, καὶ χαρὰ, καὶ τὰ ἑξῆς. τῶν δὲ ἐν τῷ σώματι, οἷον ἡδονὴ, καὶ πόνος, αἴσθησις, καὶ πήρωσις, ὑγεία, καὶ νόσος, ζωὴ, καὶ θάνατος, καὶ τὰ τοιαῦτα. τῶν δὲ περὶ τὸ σῶμα, οἷον τεκνία, καὶ ἀτεκνία, πλοῦτος, καὶ πενία, δόξα, καὶ ἀδοξία, καὶ τὰ ἑξῆς. τούτων δὲ τὰ μὲν καλὰ, τὰ δὲ κακὰ τοῖς ἀνθρώποις νομίζεται· οὐδὲν αὐτῶν κακὸν ὂν τῷ ἰδίῳ λόγῳ, παρὰ δὲ τὴν χρῆσιν, εἴτε κακὰ κυρίως, εἴτε ἀγαθὰ εὑρίσκεται.

οζ΄. Καλὴ ἡ γνῶσις τῇ φύσει, ὁμοίως δὲ καὶ ἡ ὑγεία, ἀλλὰ τἀναντία τοὺς πολλοὺς ὑπὲρ ταῦτα ὤνησεν. τοῖς γὰρ φαύλοις, οὐκ εἰς καλὸν ἡ γνῶσις συμβαίνει, εἰ καὶ τῇ φύσει, ὡς εἴρηται, ἐστὶ καλά. ὁμοίως δὲ οὐδὲ ἡ ὑγεία, οὐδὲ ὁ πλοῦτος, οὐδὲ ἡ χαρά, οὐ γὰρ συμφερόντως τούτοις κέχρηνται. ἄρα οὖν τἀναντία τούτοις συμφέρει; οὐκοῦν οὐδὲ ἐκεῖνα κακὰ τῷ ἰδίῳ λόγῳ τυγχάνει, εἰ καὶ δοκεῖ κακὰ εἶναι.

οη΄. Μὴ παραχρῶ τοῖς νοήμασιν, ἵνα μὴ ἐξ ἀνάγκης καὶ τοῖς πράγμασι παραχρήσῃ. ἐὰν γὰρ μή τις πρῶτον κατὰ διάνοιαν * ἁμαρτάνῃ, οὐκ ἂν ἁμάρτῃ ποτὲ κατ' ἐνέργειαν.

* Ἴσως ἁμάρτῃ.

οθ΄. Εἰκὼν τοῦ χοϊκοῦ, αἱ γενικαὶ κακίαι

ὑπάρ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑπάρχουσιν, οἷον ἀφροσύνη, δειλία, ἀκολασία, ἀδικία. εἰκὼν δὲ τοῦ ἐπουρανίου, αἱ γενικαὶ ἀρεταί, οἷον φρόνησις, ἀνδρεία, σωφροσύνη, δικαιοσύνη. ἀλλὰ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.

π'. Εἰ θέλεις εὑρεῖν τὴν ὁδὸν τὴν ἀπάγουσαν εἰς τὴν ζωήν, ἐν τῇ ὁδῷ αὐτὴν ζήτει, κἀκεῖ αὐτὴν εὑρήσεις, τῇ εἰπούσῃ, ἐγώ εἰμι ἡ ὁδός, καὶ ἡ θύρα, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή. πλὴν σφόδρα ἐμπόνως ζήτει, διότι ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν, καὶ μήπως τῶν ὀλίγων ἀπολειφθεὶς, μετὰ τῶν πολλῶν εὑρεθήσῃ.

πα'. Διὰ τὰ πέντε ταῦτα ἡ ψυχὴ ἀπὸ ἁμαρτιῶν ἀνακόπτεται, ἢ διὰ τὸν φόβον τῶν ἀνθρώπων, ἢ διὰ τὸν φόβον τῆς κρίσεως, ἢ διὰ τὴν μέλλουσαν μισθαποδοσίαν, ἢ διὰ τὴν ἀγάπην τοῦ Θεοῦ, ἢ τελευταῖον διὰ τὴν συνείδησιν νύττουσαν.

πβ'. Τινές φασιν, ὅτι οὐκ ἂν ἦν τὸ κακὸν ἐν τοῖς οὖσιν, εἰ μή τι δ' ἂν ἑτέρα τις ἦν δύναμις ἡ ἀφέλκουσα ἡμᾶς ἐπ' αὐτό. αὕτη δέ ἐστιν οὐδὲν ἕτερον, ἢ ἡ τῶν κατὰ φύσιν τοῦ νοῦ ἐνεργειῶν ἀμέλεια. διόπερ οἱ τούτων τὴν ἐπιμέλειαν ποιούμενοι, τὰ μὲν καλά, ἀεὶ ποιοῦσι, τὰ δὲ κακά, οὐδέποτε. εἰ οὖν θέλεις καὶ σύ, ἄπωσαι τὴν ἀμέλειαν, καὶ συναπελάσεις τὴν κακίαν, ἥτις ἐστὶν ἡ ἐσφαλμένη χρῆσις τῶν νοημάτων, ᾗ ἐπακολουθεῖ ἡ παράχρησις τῶν πραγμάτων.

πγ'. Κατὰ φύσιν ἐστὶ τοῦ ἐν ἡμῖν λογικοῦ μέρους, τό, τε ὑποτάσσεσθαι τῷ θείῳ λόγῳ, καὶ τὸ ἄρχειν τοῦ ἐν ἡμῖν ἀλόγου μέρους. αὕτη οὖν ἡ τάξις ἐν πᾶσι φυλαχθήτω, καὶ οὔτε τὸ κακὸν ἔσται ἐν τοῖς οὖσιν, οὔτε τὸ ἐπ' αὐτὸ ἀφέλκον εὑρεθήσεται.

πδ'. Οἱ μὲν τῶν λογισμῶν, ἁπλοῖ εἰσίν. οἱ δέ, σύνθετοι. καὶ ἁπλοῖ μὲν εἰσιν, οἱ ἀπαθεῖς· σύνθετοι δέ, οἱ ἐμπαθεῖς, ὡς ἐκ πάθους καὶ νοήματος συγκείμενοι. τούτων οὕτως ἐχόντων, πολλὰ τῶν ἁπλῶν ἔστιν ἰδεῖν ἑπόμενα τοῖς συνθέτοις. ὅταν ἄρξωνται κινεῖσθαι πρὸς τὸ κατὰ διάνοιαν ἁμαρτάνειν· οἷον ὡς ἐπὶ τοῦ χρυσίου, ἀνέβη ἐπὶ τὴν μνήμην τινός, λογισμὸς περὶ χρυσίου ἐμπαθής, καὶ ὥρμησε τῇ διανοίᾳ ἐπὶ τὸ κλέπτειν, καὶ ἀπετέλεσε κατὰ νοῦν τὴν ἁμαρτίαν. συνέπονται δὲ τῇ μνήμῃ τοῦ χρυσίου, καὶ ἡ μνήμη τοῦ βαλλαντίου, καὶ τοῦ σκεβρίου κουβουκλείου, καὶ τῶν ἑξῆς. καὶ ἡ μὲν μνήμη τοῦ χρυσίου, ἦν σύνθετος, (εἶχε γὰρ τὸ πάθος) ἡ δὲ τοῦ βαλλαντίου, καὶ τοῦ σκεβρίου, καὶ τῶν ἑξῆς, ἁπλῆ. οὐ γὰρ εἶχε πρὸς αὐτὰ πάθος ὁ νοῦς. καὶ ἐπὶ παντὸς δὲ λογισμοῦ, ὁμοίως ἔχει, ἐπί τε κενοδοξίας, καὶ ἐπὶ γυναικός, καὶ τῶν λοιπῶν. οὐ γὰρ πάντες οἱ συνεπόμενοι τῷ ἐμπαθεῖ λογισμῷ λογισμοί, καὶ ἐμπαθεῖς εἰσίν, ὡς ἀπέδειξεν ὁ λόγος. ἐκ τούτων οὖν δυνάμεθα γνῶναι, ποῖα τὰ ἐμπαθῆ νοήματα, καὶ ποῖα τὰ ἁπλᾶ.

πε'. Τινὲς μέν φασιν ὅτι τῶν μορίων τοῦ σώματος καθαπτόμενοι οἱ δαίμονες κατὰ τοὺς ὕπνους, κινοῦσι τὸ πάθος τῆς πορνείας. εἶτα τὸ πάθος κινούμενον, ἀναφέρει τὴν μορφὴν τῆς γυναικὸς διὰ τῆς μνήμης ἐπὶ τὸν νοῦν. τινὲς δέ, ὅτι πρὸ μὲν τῷ ἐν σχήματι γυναικός, παραφαίνονται, τῶν δὲ μορίων τοῦ σώματος καθαπτόμενοι, τὴν ὄρεξιν κινοῦσι, καὶ οὕτω γίνονται αἱ φαντασίαι. ἕτεροι δὲ πάλιν, ὅτι τὸ πάθος τὸ ἐπικρατοῦν ἐν τῷ πλησιάζοντι δαίμονι, κινεῖ τὸ πάθος· καὶ οὕτως ἀνάπτεται πρὸς λογισμοὺς ἡ ψυχή, ἀναφέρουσα τὰς μορφὰς διὰ τῆς μνήμης. καὶ ἐπὶ τῶν ἄλλων δὲ ἐμπαθῶν φαντασιῶν, ὁμοίως· οἱ μὲν οὕτως, οἱ δὲ οὕτως συμβαίνειν φασί· πλὴν ἐν οὐδενὶ τῶν εἰρημένων τρόπων, ἰσχύουσι πάθος τὸ οἱονδήποτε κινῆσαι οἱ δαίμονες, παρούσης τῇ

ψυχῇ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ψυχῇ ἀγάπης, καὶ ἐγκρατείας, οὔτε ἐγρηγορότος τοῦ σώματος, οὔτε κατὰ τοὺς ὕπνους.

πς'. Τὰ μὲν, τῶν τοῦ νόμου ἐντολῶν, καὶ σωματικῶς καὶ πνευματικῶς ἀνάγκη φυλάττειν. τὰ δὲ, πνευματικῶς μόνον· οἷον τὸ, οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, καὶ τὰ ὅμοια, καὶ σωματικῶς, καὶ πνευματικῶς χρὴ φυλάττειν· καὶ πνευματικῶς δὲ τρισσῶς. τὸ δὲ περιτέμνεσθαι, καὶ φυλάττειν τὸ σάββατον, καὶ σφάζειν τὸν ἀμνὸν, καὶ ἐσθίειν ἄζυμα ἐπὶ πικρίδων, καὶ τὰ ὅμοια, πνευματικῶς μόνον.

πζ'. Τρεῖς εἰσιν ἠθικαὶ καταστάσεις γενικώτεραι ἐν τοῖς μοναχοῖς. καὶ πρώτη μὲν, τὸ μηδὲν ἁμαρτάνειν κατ' ἐνέργειαν. δευτέρα δὲ, τὸ μὴ ἐγχρονίζειν ἐν τῇ ψυχῇ τοὺς ἐμπαθεῖς λογισμούς. τρίτη δὲ, τὸ τὰς μορφὰς τῶν γυναικῶν, καὶ τῶν λυπησάντων ἀπαθῶς θεωρεῖν κατὰ διάνοιαν.

πη'. Ἀκτήμων ἐστὶν, ὁ ἀποταξάμενος πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, καὶ μηδὲν τὸ σύνολον ἐπὶ γῆς κεκτημένος, πλὴν τοῦ σώματος· καὶ τὴν πρὸς αὐτὸ δὲ σχέσιν διαῤῥήξας, τῷ Θεῷ καὶ τοῖς εὐσεβέσι τὴν ἑαυτοῦ κατεπίστευσεν οἰκονομίαν.

πθ'. Τῶν κτωμένων, οἱ μὲν ἀπαθῶς κτῶνται· διὸ καὶ στερούμενοι αὐτῶν, οὐ λυποῦνται, ὡς οἱ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων αὐτοῖς μετὰ χαρᾶς προσδεξάμενοι. οἱ δὲ ἐμπαθῶς κτῶνται, διότι καὶ μέλλοντες στερεῖσθαι, περίλυποι γίνονται· ὡς ὁ ἐν τῷ εὐαγγελίῳ πλούσιος, ἀπῆλθε λυπούμενος, εἰ δὲ καὶ στεροῦνται, μέχρι θανάτου λυποῦνται. τοῦ οὖν ἀπαθοῦς καὶ τοῦ ἐμπαθοῦς τὴν διάθεσιν, ἡ στέρησις ἐλέγχει.

ϟ'. Τοὺς μὲν ἄκρως προσευχομένους, πολεμοῦσιν οἱ δαίμονες, ἵνα τὰ νοήματα τῶν αἰσθητῶν πραγμάτων ψιλὰ μὴ ἀναλαμβάνωσι. τοὺς δὲ γνωστικοὺς, ἵνα ἐγχρονίζωσιν αὐτοῖς οἱ ἐμπαθεῖς λογισμοί. τοὺς δὲ περὶ τὴν πρᾶξιν ἀγωνιζομένους, ἵνα πείσωσιν αὐτοὺς κατ' ἐνέργειαν ἁμαρτάνειν. παντὶ δὲ τρόπῳ πρὸς πάντας ἀγωνίζονται, ἵνα ἀπὸ τοῦ Θεοῦ οἱ δείλαιοι τοὺς ἀνθρώπους χωρίσωσιν.

ϟα'. Οἱ κατὰ τὸν βίον τοῦτον ὑπὸ τῆς θείας προνοίας εἰς εὐσέβειαν ἐγγυμναζόμενοι, διὰ τῶν τριῶν τούτων πειρασμῶν δοκιμάζονται· οἷον, ἢ διὰ τῆς τῶν ἡδέων δόσεως, ὡς ἐπὶ ὑγείας, καὶ κάλλους, καὶ εὐτεκνίας, καὶ χρημάτων, καὶ δόξης, καὶ τῶν ὁμοίων· ἢ διὰ τῆς τῶν λυπηρῶν ἐπιφορᾶς, οἷον στερήσεως τέκνων, καὶ χρημάτων, καὶ δόξης· ἢ διὰ τῶν ὀδύνας ἐμποιούντων τῷ σώματι, οἷον νοσημάτων, καὶ βασάνων, καὶ τῶν ἑξῆς. καὶ πρὸς μὲν τοὺς πρώτους λέγει ὁ Κύριος, ὅστις οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ, οὐ δύναταί μου εἶναι μαθητής. πρὸς δὲ τοὺς δευτέρους καὶ τρίτους, ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

ϟβ'. Τὰ τέσσαρα ταῦτά φασιν ἀλλοιοῦν τὴν κρᾶσιν τοῦ σώματος, καὶ διδόναι τῷ νῷ λογισμοὺς, εἴτε ἐμπαθεῖς δι' αὐτῆς, εἴτε ἀπαθεῖς· οἷον, τοὺς Ἀγγέλους, τοὺς δαίμονας, τοὺς ἀέρας, τὴν δίαιταν. καὶ τοὺς μὲν Ἀγγέλους λόγῳ φασὶν ἀλλοιοῦν, τοὺς δὲ δαίμονας δι' ἐπαφῆς, τοὺς δὲ ἀέρας ταῖς μεταβολαῖς. τὴν δὲ δίαιταν ταῖς τῶν βρωμάτων ποιότησι, καὶ πλεονασμῷ καὶ ἐλαττώσει· πάρεξ τῶν διὰ μνήμης, καὶ ἀκοῆς, καὶ ὁράσεως συμβαινουσῶν αὐτῇ ἀλλοιώσεων, προπαθούσης τῆς ψυχῆς ἐκ τῶν συμπιπτόντων αὐτῇ λυπηρῶν, ἢ χαροποιῶν. καὶ ἐκ τούτων μὲν πάσχουσα ἡ ψυχὴ, ἀλλοιοῖ τὴν κρᾶσιν τοῦ σώματος. ἐκ δὲ τῶν προειρημένων ἡ κρᾶσις ἀλλοιουμένη, παρέχει τῷ νῷ λογισμούς.

ϟγ'. Θάνατος μέν ἐστι κυρίως ὁ τοῦ Θεοῦ χωρισμός, κέντρον δὲ θανάτου ἡ ἁμαρτία· ὃ δεξάμενος ὁ Ἀδὰμ ὁμοῦ τοῦ τῆς ζωῆς ξύλου, καὶ τοῦ παραδείσου, καὶ τοῦ

Θεοῦ ἐξόριστος γίνεται, ᾧ ἐπηκολούθησεν ἐξ ἀνάγκης, καὶ ὁ τοῦ σώματος θάνατος. ζωὴ δὲ κυρίως ἐστὶν ὁ εἰπών, ἐγώ εἰμι ἡ ζωή. ὅστις ἐν τῷ θανάτῳ γενόμενος, τὸν νεκρωθέντα πάλιν εἰς τὴν ζωὴν ἐπανήγαγεν.

ϟδ'. Ὁ λόγος συγγραφόμενος, ἢ πρὸς τὴν ἑαυτοῦ ὑπόμνησιν συγγράφεται, ἢ πρὸς ὠφέλειαν, ἢ καὶ ἄμφω· ἢ πρὸς βλάβην τινῶν, ἢ πρὸς ἐπίδειξιν, ἢ διὰ ἀνάγκης.

ϟε'. Τόπος ἐστὶ χλόης, ἡ πρακτικὴ ἀρετή. ὕδωρ δὲ ἀναπαύσεως, ἡ γνῶσις τῶν γεγονότων.

ϟϛ'. Σκιὰ θανάτου ἐστίν, ἡ ἀνθρωπίνη ζωή. εἴτις οὖν ἐστὶ μετὰ τοῦ Θεοῦ, καὶ ὁ Θεὸς μετ' αὐτοῦ ἐστίν, οὗτος δύναται εἰπεῖν ἐνεργῶς τό, ἐὰν καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ.

Νοῦς μὲν καθαρός, ὀρθῶς βλέπει τὰ πράγματα. λόγος δὲ γεγυμνασμένος, ὑπ' ὄψιν ἄγει τὰ ὁραθέντα. ἀκοὴ δὲ λαμπρά, ἐκδέχεται αὐτά. ὁ δὲ τῶν τριῶν ἐστερημένος, τὸν εἰρηκότα κακίζει. ϟζ'.

Μετὰ τοῦ Θεοῦ ἐστίν, ὁ τὴν Ἁγίαν γινώσκων Τριάδα, καὶ τὴν δημιουργίαν αὐτῆς, καὶ τὴν πρόνοιαν, καὶ τὸ παθητικὸν μέρος τῆς ψυχῆς ἀπαθὲς κεκτημένος. ϟη'.

Τὴν ῥάβδον σημαίνειν φασί, τὴν κρίσιν τὴν τοῦ Θεοῦ, τὴν δὲ βακτηρίαν, τὴν πρόνοιαν. τοῦ οὖν τῆς τούτων γνώσεως μετειληφότος, ἐστὶ τὸ λέγειν, ἡ ῥάβδος σου, καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. ϟθ'.

Ὅτε ὁ νοῦς τῶν παθῶν γυμνωθῇ, καὶ τῇ τῶν ὄντων καταλάμπηται θεωρίᾳ, τότε δύναται καὶ ἐν Θεῷ γενέσθαι, καὶ ὡς δεῖ προσεύχεσθαι. ρ'.

# ΤΟΥ ΑΥΤΟΥ
# ἙΚΑΤΟΝΤΑΣ ΤΡΙΤΗ.

α'. Ἡ Μὲν εὔλογος τῶν νοημάτων καὶ τῶν πραγμάτων χρῆσις, σωφροσύνης, καὶ γνώσεως ἐστὶ ποιητική. ἡ δὲ ἄλογος, ἀκολασίας, καὶ μίσους, καὶ ἀγνοίας.

β'. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, καὶ τὰ ἑξῆς. ἡ τράπεζα ἐνταῦθα σημαίνει τὴν πρακτικὴν ἀρετήν. αὕτη γὰρ διὰ ἐναντίας τῶν θλιβόντων ἡμᾶς παρὰ Χριστοῦ ἡτοιμάσθη. τὸ δὲ ἔλαιον τὸ λιπαῖνον τὸν νοῦν, τὴν θεωρίαν τῶν γεγονότων. τὸ δὲ ποτήριον τοῦ Θεοῦ, τὴν γνῶσιν τὴν τοῦ Θεοῦ. τὸ δὲ ἔλεος αὐτοῦ, τὸν λόγον αὐτοῦ, καὶ Θεόν. οὗτος γὰρ διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ καταδιώκει πάσας τὰς ἡμέρας, ἕως οὗ πάντας καταλάβῃ τοὺς σωθησομένους, ὥσπερ τὸν Παῦλον. ὁ δὲ οἶκος, τὴν βασιλείαν, ἐν ᾗ ἀποκαθίσονται πάντες οἱ Ἅγιοι. ἡ δὲ μακρότης τῶν ἡμερῶν, τὴν αἰώνιον ζωήν.

Κατὰ παράχρησιν αἱ κακίαι τῶν τῆς ψυχῆς δυνάμεων ἡμῖν ἐπισυμβαίνουσιν· οἷον, τῆς τε ἐπιθυμητικῆς, καὶ τῆς λογιστικῆς. καὶ τῆς μὲν λογιστικῆς δυνάμεως παράχρησις ἐστιν, ἀγνωσία, καὶ ἀφροσύνη. τῆς δὲ θυμοειδοῦς καὶ ἐπιθυμητικῆς, μῖσος, καὶ ἀκολασία. χρῆσις δὲ τούτων, γνῶσις, καὶ φρόνησις, ἀγάπη τε, καὶ σωφροσύνη. εἰ δὲ τοῦτο, οὐδὲν τῶν ὑπὸ Θεοῦ κτισθέντων καὶ γεγονότων, ἐστὶ κακόν. γ'.

Οὐ τὰ βρώματα κακά, ἀλλ' ἡ γαστριμαργία. οὐδὲ ἡ παιδοποιΐα, ἀλλ' ἡ πορνεία, οὐδὲ τὰ χρήματα, ἀλλ' ἡ φι- δ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λαργυρία· οὐδὲ ἡ δόξα, ἀλλ' ἡ κενοδοξία. εἰ δὲ τοῦτο, οὐδὲν ἐν τοῖς οὖσι κακόν, εἰ μὴ ἡ παράχρησις. ἥτις συμβαίνει ἐκ τῆς τοῦ νοῦ ἀμελείας περὶ τὴν φυσικὴν γεωργίαν.

ε'. Τὸ ἐν δαίμοσι κακόν, ταῦτα εἶναι φησὶν ὁ Μακάριος Διονύσιος, θυμὸν ἄλογον, ἄνουν ἐπιθυμίαν, φαντασίαν προπετῆ. ἀλογία δὲ καὶ ἄνοια, καὶ προπέτεια ἐπὶ τῶν λογικῶν, στερήσεις εἰσὶ λόγου, καὶ νοῦ, καὶ περισκέψεως. αἱ δὲ στερήσεις, τῶν ἕξεων εἰσὶ δεύτεραι. ἄρα οὖν ἦν ὅτε ὑπῆρχεν ἐν αὐτοῖς λόγος, καὶ νοῦς, καὶ περίσκεψις εὐλαβής. εἰ δὲ τοῦτο, οὐδὲ οἱ δαίμονες φύσει κακοί. ἀλλ' ἐκ παραχρήσεως τῶν φυσικῶν δυνάμεων κακοὶ γεγόνασι.

ς'. Τὰ μὲν τῶν παθῶν, ἀκολασίας· τὰ δέ, μίσους· τὰ δέ, καὶ ἀκολασίας καὶ μίσους εἰσὶ ποιητικά.

ζ'. Πολυλογία καὶ * ἡδυφαγία, ἀκολασίας εἰσὶν αἴτια. φιλαργυρία δὲ καὶ κενοδοξία, μίσους πρὸς τὸν πλησίον. ἡ δὲ τούτων μήτηρ φιλαυτία, τῶν ἀμφοτέρων ἐστὶν αἰτία.

* ἴσως ἀδδηφαγία.

η'. Φιλαυτία ἐστίν, ἡ πρὸς τὸ σῶμα ἐμπαθὴς, καὶ ἄλογος φιλία· ᾗ ἀντίκειται, ἀγάπη, καὶ ἐγκράτεια. ὁ ἔχων τὴν φιλαυτίαν, δῆλον ὅτι ἔχει πάντα τὰ πάθη.

θ'. Οὐδεὶς (φησὶν ὁ Ἀπόστολος) τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ὑπωπιάζει δηλονότι καὶ δουλαγωγεῖ, μηδὲν πλέον παρέχων, πλὴν διατροφῆς καὶ σκεπασμάτων, καὶ τούτων μόνων, τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. οὕτως οὖν ἀπαθῶς τις ἀγαπᾷ αὐτήν, καὶ ὡς ὑπηρέτιν τῶν θείων ἐκτρέφει, καὶ θάλπει αὐτήν, τοῖς τὴν ἔνδειαν αὐτῆς ἀποπληροῦσι μόνοις.

ι'. Ὅν τις ἀγαπᾷ, τοῦτον πάντως καὶ σπουδάζει θεραπεύειν. εἰ οὖν τὸν Θεόν τις ἀγαπᾷ, πάντως καὶ τὰ ἀρεστὰ αὐτῷ σπουδάζει ποιεῖν. εἰ δὲ τὴν σάρκα, τὰ ταύτην τέρποντα.

ια'. Τῷ μὲν Θεῷ ἀρέσκει, ἀγάπη καὶ σωφροσύνη, καὶ θεωρία, καὶ προσευχή. τῇ δὲ σαρκί, γαστριμαργία, καὶ ἀκολασία, καὶ τὰ τούτων αὐξητικά. διὰ τοῦτο οἱ σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται. οἱ δὲ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.

ιβ'. Ὁ νοῦς ἐὰν μὲν νεύσῃ πρὸς Θεόν, ἔχει δοῦλον τὸ σῶμα, καὶ πλέον οὐδὲν αὐτῷ παρέχει τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. ἐὰν δὲ νεύσῃ πρὸς τὴν σάρκα, δουλοῦται τοῖς πάθεσι, πρόνοιαν αὐτῆς ἀεὶ εἰς ἐπιθυμίας ποιούμενος.

ιγ'. Εἰ θέλεις τῶν λογισμῶν περιγενέσθαι, ἐπιμελοῦ τῶν παθῶν, καὶ εὐχερῶς αὐτοὺς ἐκ τοῦ νοῦ ἀπὸ τούτων ἐξελαύνεις· οἷον, ἐπὶ μὲν τῆς πορνείας, νήστευε, καὶ ἀγρύπνει, κοπίασον, ἰδίασον· ἐπὶ δὲ τῆς ὀργῆς καὶ τῆς λύπης καταφρόνει δόξης, καὶ ἀτιμίας, καὶ τῶν ὑλικῶν πραγμάτων· ἐπὶ δὲ τῆς μνησικακίας, προσεύχου ὑπὲρ τοῦ λυπήσαντος· καὶ ἀπαλλάττῃ.

ιδ'. Μὴ τῶν ἀνθρώπων τοῖς ἀσθενεστέροις ἑαυτὸν παραμέτρει· ἀλλὰ τῇ ἐντολῇ τῆς ἀγάπης μᾶλλον παράτεινον. τοῖς μὲν γὰρ παραμετρῶν, εἰς βόθρον τῆς οἰήσεως ἐμπίπτεις· τῇ δὲ παρατείνων, εἰς τὸ ὕψος τῆς ταπεινοφροσύνης προκόπτεις.

ιε'. Εἰ ὅλως τῆς πρὸς τὸν πλησίον ἀγάπης τὴν ἐντολὴν φυλάττεις, οὐδενὸς τῆς πρὸς αὐτὸν λύπης τὴν πικρίαν ἐνδείξῃ. ἢ δῆλον, ὅτι ταύτης τὰ πρόσκαιρα προτιμῶν, καὶ αὐτῶν ἀντιποιούμενος, τὸν ἀδελφὸν πολεμεῖς.

ις'. Οὐ διὰ τὴν χρείαν τοσοῦτον τὸ χρυσίον ζηλωτὸν τοῖς ἀνθρώποις γέγονεν, ὅσον διὰ τὸ τὰς πολλὰς τὰς ἡδονὰς θεραπεύειν.

ιζ'. Τρία εἰσὶ τὰ αἴτια τῆς τῶν χρημάτων ἀγάπης· φιληδονία, κενοδοξία, καὶ

ἀπι-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀπιστία· χαλεπωτέρα δὲ τῶν δύο, ἡ ἀπιστία καθέστηκεν.

ιη΄. Ὁ μὲν φιλήδονος ἀγαπᾷ ἀργύριον, ἵνα δι' αὐτοῦ τρυφήσῃ. ὁ δὲ κενόδοξος, ἵνα δι' αὐτοῦ δοξασθῇ· ὁ δὲ ἄπιστος, ἵνα κρύψῃ καὶ φυλάξῃ, λιμὸν φοβούμενος, ἢ γῆρας, ἢ νόσον, ἢ ξενιτείαν. καὶ ἐπ' αὐτῷ μᾶλλον ἐλπίζει, ἢ ἐπὶ τῷ Θεῷ, τῷ πάσης κτίσεως δημιουργῷ, καὶ προνοητῇ ἕως τῶν ἐσχάτων καὶ μικροτάτων ζώων.

ιθ΄. Τέσσαρές εἰσιν οἱ περιποιούμενοι χρήματα· οἱ προειρημένοι τρεῖς, καὶ ὁ οἰκονομικός· μόνος δὲ οὗτος δηλονότι ὀρθῶς περιποιεῖται, ἵνα ἑκάστῳ τὴν χρείαν παρέχων μὴ διαλείπῃ ποτέ.

κ΄. Πάντες οἱ ἐμπαθεῖς λογισμοί, ἢ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς ἐρεθίζουσιν, ἢ τὸ θυμικὸν ἐκταράσσουσιν, ἢ τὸ λογιστικόν. καὶ ἐκ τούτου συμβαίνει τὸν νοῦν ὀφθαλμιᾶσαι πρὸς τὴν πνευματικὴν θεωρίαν, καὶ τὴν τῆς προσευχῆς ἐκδημίαν. καὶ τούτου χάριν ὀφείλει ὁ Μοναχός, καὶ μάλιστα ὁ ἡσυχάζων, ἀκριβῶς τοῖς λογισμοῖς προσέχειν, καὶ τὰς τούτων αἰτίας καὶ γνῶναι, καὶ ἐκκόπτειν. γινώσκει δὲ οὕτως· οἷον, ἐρεθίζουσι τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς αἱ ἐμπαθεῖς μνῆμαι τῶν γυναικῶν· τούτων δὲ αἰτία, ἡ τῶν βρωμάτων, καὶ πομάτων ἀκρασία, καὶ ἡ αὐτῶν τῶν γυναικῶν πυκνὴ καὶ ἄλογος συντυχία. περικόπτει δὲ ταύτας πεῖνα, καὶ δίψα, καὶ ἀγρυπνία, καὶ ἀναχώρησις. τὸν δὲ θυμὸν πάλιν ἐκταράσσουσιν αἱ ἐμπαθεῖς μνῆμαι τῶν λυπησάντων· αἰτία δὲ τούτου, φιληδονία, καὶ κενοδοξία, καὶ φιλοϋλία, διὰ γὰρ ταῦτα ὁ ἐμπαθὴς λυπεῖται, ἢ ὡς στερηθείς, ἢ ὡς μὴ ἐπιτυχών· περικόπτει δὲ ταύτας, ἡ τούτων αὐτῶν καταφρόνησις, καὶ ἐξουδένωσις διὰ τὴν εἰς Θεὸν ἀγάπην.

κα΄. Γινώσκει ὁ Θεὸς ἑαυτόν, γινώσκει καὶ τὰ ὑπ' αὐτοῦ γεγονότα. γινώσκουσι δὲ καὶ αἱ ἅγιαι δυνάμεις τὸν Θεόν, γινώσκουσι δὲ καὶ τὰ ὑπὸ Θεοῦ γεγονότα. ἀλλ' οὐχ ὡς ὁ Θεὸς γινώσκει ἑαυτόν, καὶ τὰ ὑπ' αὐτοῦ γεγονότα, οὕτω καὶ αἱ ἅγιαι δυνάμεις τὸν Θεόν, καὶ τὰ ὑπ' αὐτοῦ γεγονότα.

κβ΄. Ὁ μὲν Θεὸς ἑαυτὸν γινώσκει, ἐκ τῆς μακαρίας οὐσίας αὐτοῦ. τὰ δὲ ὑπ' αὐτοῦ γεγονότα, ἐκ τῆς σοφίας αὐτοῦ, δι' ἧς, καὶ ἐν ᾗ τὰ πάντα ἐποίησεν. αἱ δὲ ἅγιαι δυνάμεις, τὸν μὲν Θεὸν μετοχῇ γινώσκουσιν, ὑπὲρ μετοχὴν ὄντα· τὰ δὲ ὑπ' αὐτοῦ γεγονότα, ἀναλήψει τῶν ἐν αὐτοῖς θεωρημάτων.

κγ΄. Ἔξω μὲν τοῦ νοῦ εἰσὶ τὰ γεγονότα· ἔνδον δέ, τὴν αὐτῶν θεωρίαν ἀναλαμβάνει. οὐχ οὕτως δὲ ἐπὶ Θεοῦ τοῦ ἀϊδίου, καὶ ἀπείρου, καὶ ἀορίστου, καὶ τὸ εἶναι, καὶ τὸ εὖ εἶναι, καὶ τὸ ἀεὶ εἶναι τοῖς οὖσι χαρισαμένου.

κδ΄. Θεοῦ μετέχει τοῦ Ἁγίου ἡ λογικὴ καὶ νοερὰ οὐσία, αὐτῷ τε τῷ εἶναι, καὶ τῇ πρὸς τὸ εὖ εἶναι ἐπιτηδειότητι, ἀγαθότητός τε φημὶ καὶ σοφίας, καὶ τῇ πρὸς τὸ ἀεὶ εἶναι χάριτι· ταύτῃ οὖν τὸν Θεὸν γινώσκει· τὰ δὲ ὑπ' αὐτοῦ γεγονότα, τῇ ἀναλήψει (ὡς προείρηται) τῆς ἐν τοῖς γεγονόσι θεωρουμένης τεχνικῆς σοφίας, ἥτις ἐστὶ ψιλή, καὶ ἀνυπόστατος ἐν τῷ νῷ συνισταμένη.

κε΄. Τέσσαρα τῶν θείων ἰδιωμάτων, συνεκτικά, καὶ φρουρητικά, καὶ διασωστικὰ τῶν ὄντων δι' ἄκραν ἀγαθότητα ἐκοινοποίησεν ὁ Θεός, παραγαγὼν εἰς τὸ εἶναι τὴν λογικὴν καὶ νοερὰν οὐσίαν τὸ ὄν, τὸ ἀεὶ ὄν, τὴν ἀγαθότητα, καὶ σοφίαν. τούτων τὰ μὲν δύο, τῇ οὐσίᾳ παρέσχε· τὰ δὲ δύο, τῇ γνωμικῇ ἐπιτηδειότητι, τὴν ἀγαθότητα, καὶ τὴν σοφίαν· ἵνα ἅπερ ἐστὶν αὐτὸς κατ' οὐσίαν, γένηται ἡ κτίσις κατὰ μετουσίαν· διὰ ταύτην καὶ κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ λέγεται γεγενῆσθαι. καὶ κατ' εἰκόνα μέν, ὡς ὂν ὄντος, καὶ ὡς ἀεὶ ὂν, ἀεὶ ὄντος, εἰ καὶ μὴ ἀνάρχως,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀλλ' ἀπελεύσεως. καθ' ὁμοίωσιν δέ, ὡς ἀγαθὸς ἀγαθοῦ· καὶ ὡς σοφός, σοφοῦ· τοῦ μὲν κατὰ φύσιν, ὁ κατὰ χάριν. κατ' εἰκόνα μέν, πᾶσα φύσις λογικὴ ἐστὶ τοῦ Θεοῦ. καθ' ὁμοίωσιν δέ, μόνοι οἱ ἀγαθοὶ καὶ σοφοί.

κϛʹ. Πᾶσα ἡ λογικὴ καὶ νοερὰ οὐσία, διῄρηται εἰς δύω· τουτέστιν εἰς τὴν Ἀγγελικήν, καὶ ἀνθρωπίνην φύσιν. καὶ πᾶσα ἡ Ἀγγελικὴ φύσις, διῄρηται πάλιν εἰς δύω καθολικὰς γνώμας τε, καὶ ἀγέλας· ἁγίας τε, καὶ ἐναγεῖς· τουτέστιν, εἰς ἁγίας δυνάμεις, καὶ ἀκαθάρτους δαίμονας. καὶ πᾶσα ἡ ἀνθρωπίνη διῄρηται εἰς γνώμας μόνον καθολικὰς δύω, εὐσεβῆ λέγω, καὶ ἀσεβῆ.

κζʹ. Ὁ μὲν Θεὸς ὡς αὐτοϋπαρξις ὢν καὶ αὐτοαγαθότης, καὶ αὐτοσοφία, μᾶλλον δὲ ἀληθέστερον εἰπεῖν, καὶ ὑπὲρ ταῦτα πάντα, οὐδὲν ἔχει τοπαράπαν ἐναντίον. τὰ δὲ κτίσματα, ὡς πάντα μέν, μεθέξει καὶ χάριτι τὴν ὕπαρξιν. * τὰ δὲ λογικὰ καὶ νοερά, καὶ τὴν ἀγαθότητος, καὶ σοφίας ἐπιτηδειότητα. ἔχει ἐναντίον, τῇ μὲν ὑπάρξει τὸ μὴ ὑπάρχειν. τῇ δὲ τῆς ἀγαθότητος καὶ σοφίας ἐπιτηδειότητι, κακίαν, καὶ ἀγνωσίαν. καὶ τὸ μὲν ὑπάρχειν ἀεί, ἢ μὴ ὑπάρχειν ταῦτα, ἐν τῇ ἐξουσίᾳ τοῦ πεποιηκότος ἐστί· τὸ δὲ μετέχειν τῆς ἀγαθότητος αὐτοῦ, καὶ τῆς σοφίας, ἢ μὴ μετέχειν, ἐν τῇ βουλήσει τῶν λογικῶν ὑπάρχει.

* ἴσως (λείπει) μετέχοντα.

κηʹ. Οἱ μὲν Ἕλληνες ἐξ ἀϊδίου λέγοντες συνυπάρχειν τῷ Θεῷ τὴν τῶν ὄντων οὐσίαν, τὰς δὲ περὶ αὐτὴν ποιότητας μόνον ἐξ αὐτοῦ ἐσχηκέναι. * τῇ μὲν οὐσίᾳ, οὐδὲν λέγουσιν ἐναντίον· ἐν δὲ ταῖς ποιότησι μόναις τὴν ἐναντίωσιν εἶναι. ἡμεῖς δὲ μόνην λέγομεν τὴν Θείαν οὐσίαν, μὴ ἔχειν τι ἐναντίον, ὡς ἀΐδιόν τε οὖσαν καὶ ἄπειρον, καὶ ἀϊδιότητος ταῖς ἄλλαις χαριστικήν. τῇ δὲ τῶν ὄντων οὐσίᾳ, εἶναι μὲν τὸ μὴ ὂν ἐναντίον. καὶ ἐν τῇ ἐξουσίᾳ τοῦ κυρίως ὄντος, ὑπάρχειν τὸ ἀεὶ εἶναι αὐτὴν ἢ μὴ εἶναι. ἀμεταμέλητα δὲ εἶναι τὰ χαρίσματα αὐτοῦ, καὶ διὰ τοῦτο, καί ἐστιν ἀεί, καὶ ἔσται, τῇ παντοκρατορικῇ δυνάμει διακρατουμένη, εἰ καὶ ἔχει τὸ ὂν ἐναντίον ὡς εἴρηται, ὡς ἐκ μὴ ὄντος εἰς τὸ εἶναι παραχθεῖσα, καὶ ἐν τῇ βουλῇ αὐτοῦ ἔχουσα τὸ εἶναι αὐτήν, ἢ μὴ εἶναι.

* ἴσως (λείπει) τὸ εἶναι.

Ὥσπερ τὸ κακὸν στέρησίς ἐστιν ἀγαθοῦ, καὶ ἡ ἀγνωσία στέρησίς ἐστι γνώσεως· οὕτω καὶ τὸ μὴ ὄν, στέρησίς ἐστι τοῦ ὄντος, οὐ τοῦ κυρίως δὲ ὄντος, οὐκ ἔχει γὰρ ἐναντίον, ἀλλὰ τοῦ κατὰ μέθεξιν ὄντος. καὶ αἱ μὲν τῶν προτέρων στερήσεις, τῇ γνώμῃ τῶν γεγονότων ἕπονται· ἡ δὲ τοῦ δευτέρου, ἐν τῇ βουλήσει τοῦ πεποιηκότος ὑπάρχει, τοῦ ἀεὶ δι' ἀγαθότητα βουλομένου εἶναι τὰ ὄντα, καὶ ἀεὶ ὑπ' αὐτοῦ εὐεργετεῖσθαι. κθʹ.

Πάντα τὰ γεγονότα, τὰ μέν εἰσι λογικὰ καὶ νοερά, καὶ τῶν ἐναντίων δεκτικά, οἷον ἀρετῆς καὶ κακίας, καὶ γνώσεως καὶ ἀγνωσίας· τὰ δέ, σώματα διάφορα, ἐκ τῶν ἐναντίων συνεστῶτα, τουτέστι, γῆς, ἀέρος, πυρός, ὕδατος. καὶ τὰ μὲν εἰσὶν ἀσώματα πάντη καὶ ἄϋλα, εἰ καί τινα τούτων συνέζευκται σώμασι· τὰ δὲ ἐξ ὕλης καὶ εἴδους μόνον ἔχει τὴν σύστασιν. λʹ.

Πάντα τὰ σώματα, κατὰ φύσιν ἐστὶν ἀκίνητα· κινεῖται δὲ ὑπὸ τῆς ψυχῆς· τὰ μὲν λογικῆς, τὰ δὲ ἀλόγου, τὰ δὲ ἀναισθήτου. λαʹ.

Τῶν ψυχικῶν δυνάμεων, ἡ μέν ἐστι θρεπτική, ἡ δὲ φανταστικὴ καὶ ὁρμητική, ἡ δὲ λογιστικὴ καὶ νοητική. καὶ τῆς μὲν πρώτης μόνης μετέχουσι τὰ φυτά· τῆς δὲ δευτέρας πρὸς ταύτῃ, τὰ ἄλογα ζῶα· τῆς δὲ τρίτης πρὸς ταῖς δυσίν, οἱ ἄνθρωποι. καὶ αἱ μὲν δύω δυνάμεις, φθαρταί, ἡ δὲ τρίτη, ἄφθαρτος καὶ ἀθάνατος ἀποδείκνυται. λβʹ.

Ἀλλήλαις μεταδίδονται φωτισμοῦ αἱ λγʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἅγιαι δυνάμεις, καὶ τῇ ἀνθρωπίνῃ φύσει, ἢ τῆς αὐτοῦ ἀρετῆς μεταδίδωσιν, ἢ τῆς ἐν αὐταῖς γνώσεως. καὶ ἀρετῆς μὲν οἷον τῆς θεομιμήτου ἀγαθότητος· καθ' ἣν καὶ ἑαυτὰς, καὶ ἀλλήλας, καὶ τὰς ὑποβεβηκυίας εὐεργετοῦσι, θεοειδεῖς ἐργαζόμεναι· γνώσεως δὲ, ἢ περὶ Θεοῦ τὶ ὑψηλότερον· σὺ γάρ φησιν ὕψιστος εἰς τὸν αἰῶνα Κύριε. ἢ περὶ ἀσωμάτων βαθύτερον, ἢ περὶ σωμάτων ἀκριβέστερον, ἢ περὶ προνοίας τρανότερον, ἢ περὶ κρίσεως σαφέστερον.

λδ΄. Νοός ἐστιν ἀκαθαρσία, πρῶτον μὲν, τὸ γνῶσιν ἔχειν ψευδῆ. δεύτερον δὲ, τὸ ἀγνοεῖν τι τῶν καθόλου, ὡς πρὸς ἀνθρώπινον νοῦν λέγω. Ἀγγέλου γάρ ἐστι τὸ μηδὲν τῶν ἐπὶ μέρους ἀγνοεῖν. τρίτον δὲ, τὸ ἐμπαθεῖς ἔχειν λογισμούς. τέταρτον δὲ, τὸ συγκατατίθεσθαι τῇ ἁμαρτίᾳ.

λε΄. Ψυχῆς ἐστιν ἀκαθαρσία, τὸ μὴ ἐνεργεῖν κατὰ φύσιν. ἐκ τούτου γὰρ τίκτονται τῷ νῷ οἱ ἐμπαθεῖς λογισμοί. τότε γὰρ κατὰ φύσιν ἐνεργεῖ, ὅταν αἱ παθητικαὶ αὐτῆς δυνάμεις, ὁ θυμὸς λέγω καὶ ἡ ἐπιθυμία ἐν τῇ τῶν πραγμάτων, καὶ τῶν ἐν αὐτοῖς νοημάτων προσβολῇ, ἀπαθεῖς διαμένωσι.

λϛ΄. Σώματός ἐστιν ἀκαθαρσία, ἡ κατ' ἐνέργειαν ἁμαρτία.

λζ΄. Ἀγαπᾷ ἡσυχίαν, ὁ μὴ πάσχων πρὸς τὰ τοῦ κόσμου· καὶ ἀγαπᾷ πάντας ἀνθρώπους, ὁ μηδὲν ἀγαπῶν ἀνθρώπινον· καὶ γνῶσιν ἔχει Θεοῦ καὶ τῶν θείων, ὁ μὴ σκανδαλιζόμενος εἴς τινα, εἴτε διὰ παραπτώματα, εἴτε διὰ λογισμοὺς τῆς ὑπονοίας.

λη΄. Μέγα μὲν τὸ μὴ πάσχειν πρὸς τὰ πράγματα· μεῖζον δὲ τούτου πολλῷ, τὸ πρὸς τὰ τούτων νοήματα ἀπαθῆ διαμεῖναι.

λθ΄. Ἀγάπη καὶ ἐγκράτεια, ἀπαθῆ τὸν νοῦν διατηροῦσι, πρός τε τὰ πράγματα, καὶ πρὸς τὰ τούτων νοήματα.

Οὐ πρὸς τὰ πράγματα ὁ νοῦς πολεμεῖ τοῦ θεοφιλοῦς, οὐδὲ πρὸς τὰ τούτων νοήματα· ἀλλὰ πρὸς τὰ πάθη τὰ τοῖς νοήμασι συνεζευγμένα· οἷον, οὐ πρὸς τὴν γυναῖκα πολεμεῖ, οὐδὲ πρὸς τὸν λυπήσαντα, οὐδὲ πρὸς τὰς τούτων φαντασίας. ἀλλὰ πρὸς τὰ πάθη τὰ ταῖς φαντασίαις συνεζευγμένα. μ΄.

Ἅπας ὁ πόλεμος τοῦ Μοναχοῦ πρὸς τοὺς δαίμονας, ἵνα τὰ πάθη τῶν νοημάτων χωρίσῃ. ἄλλως γὰρ ἀπαθῶς τὰ πράγματα βλέπειν οὐ δύναται. μα΄.

Ἄλλο ἐστὶ πρᾶγμα, καὶ ἄλλο νόημα, καὶ ἄλλο πάθος. καὶ πρᾶγμα μέν ἐστιν· οἷον ἀνὴρ, γυνὴ, χρυσὸς, καὶ τὰ ἑξῆς. νόημα δὲ, οἷον μνήμη ψιλή τινος τῶν προειρημένων· πάθος δὲ, οἷον φιλία ἄλογος, ἢ μῖσος ἄκριτον τινὸς τῶν προειρημένων. πρὸς οὖν τὸ πάθος ἐστὶ τοῦ Μοναχοῦ ἡ μάχη. μβ΄.

Νόημά ἐστιν ἐμπαθὲς, λογισμὸς σύνθετος, ἀπὸ πάθους καὶ νοήματος. χωρίσωμεν τὸ πάθος ἀπὸ τοῦ νοήματος, καὶ ἀπομένει ὁ λογισμὸς ψιλός. χωρίσωμεν δὲ δι' ἀγάπης πνευματικῆς, καὶ ἐγκρατείας, ἐὰν θέλωμεν. μγ΄.

Αἱ μὲν ἀρεταὶ, τῶν παθῶν τὸν νοῦν χωρίζουσιν· αἱ δὲ πνευματικαὶ θεωρίαι, τῶν ψιλῶν νοημάτων· ἡ δὲ καθαρὰ προσευχὴ, αὐτὸν αὐτῷ παρίστησι τῷ Θεῷ. μδ΄.

Αἱ μὲν ἀρεταὶ, διὰ τὴν γνῶσιν τῶν γεγονότων· ἡ δὲ γνῶσις, διὰ τὸν γινώσκοντα· ὁ δὲ γινώσκων, διὰ τὸν ἀγνώστως γινωσκόμενον, καὶ ὑπὲρ γνῶσιν γινώσκοντα. με΄.

Οὐχ ὡς προσδεόμενός τινος ὁ ὑπερπλήρης Θεὸς, παρήγαγεν εἰς τὸ εἶναι τὰ γεγονότα· ἀλλ' ἵνα αὐτὰ μὲν αὐτοῦ ἀναλόγως μετέχοντα ἀπολαύῃ, αὐτὸς δὲ εὐφρανθῇ ἐπὶ τοῖς ἔργοις αὐτοῦ, ὁρῶν αὐτὰ εὐφραινόμενα, καὶ τῶν ἀκορέστων ἀεὶ κορεννύμενα. μϛ΄.

Πολλοὺς ἔχει ὁ κόσμος πτωχοὺς τῷ μζ΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πνεύματι, ἀλλὰ παρὰ τὸ προσῆκον· καὶ πολλοὺς πενθοῦντας, ἀλλὰ διὰ ζημίαν χρημάτων, ἢ ἀποβολὰς τέκνων· καὶ πολλοὺς πρᾳεῖς, ἀλλὰ πρὸς τὰ ἀκάθαρτα πάθη· καὶ πολλοὺς πεινῶντας, καὶ διψῶντας, ἀλλὰ πρὸς τὸ ἁρπάζειν τὰ ἀλλότρια, καὶ κερδαίνειν ἐξ ἀδικίας· καὶ πολλοὺς ἐλεήμονας, ἀλλὰ πρὸς τὸ σῶμα, καὶ τὰ τοῦ σώματος· καὶ καθαροὺς τῇ καρδίᾳ, ἀλλὰ διὰ κενοδοξίαν· καὶ εἰρηνοποιούς, ἀλλὰ τὴν ψυχὴν τῇ σαρκὶ ὑποτάσσοντας· καὶ πολλοὺς δεδιωγμένους, ἀλλ' ὡς ἀτάκτους· καὶ πολλοὺς ὀνειδιζομένους, ἀλλ' ἐπ' αἰσχροῖς ἁμαρτήμασιν· ἀλλ' ἐκεῖνοι μόνοι μακάριοι, οἱ διὰ Χριστὸν ταῦτα καὶ ποιοῦντες, καὶ πάσχοντες· διὰ τί; ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ αὐτοὶ τὸν Θεὸν ὄψονται, καὶ τὰ ἑξῆς· ὥστε οὐχ ὅτι ποιοῦσι ταῦτα καὶ πάσχουσιν, εἰσὶ μακάριοι. καὶ γὰρ οἱ προειρημένοι, τὸ αὐτὸ ποιοῦσιν, ἀλλ' ὅτι διὰ Χριστὸν ταῦτα καὶ ποιοῦσι, καὶ πάσχουσιν.

μη'. Ἐν πᾶσι τοῖς ὑφ' ἡμῶν πραττομένοις, ὁ σκοπὸς ζητεῖται παρὰ Θεῷ (ὡς πολλάκις εἴρηται) εἴτε δι' αὐτόν, εἴτε δι' ἄλλο τι πράττομεν. ὅταν οὖν τι θέλωμεν πρᾶξαι ἀγαθόν, μὴ τὴν ἀνθρωπαρέσκειαν, ἀλλὰ τὸν Θεὸν ἔχωμεν σκοπόν, ἵνα εἰς αὐτὸν ἀεὶ ἀποβλεπόμενοι, δι' αὐτὸν πάντα πράξωμεν, ἵνα μὴ καὶ τὸν κόπον ὑπομείνωμεν, καὶ τὸν μισθὸν ἀπολέσωμεν.

μθ'. Καὶ τὰ ψιλὰ τῶν ἀνθρωπίνων πραγμάτων νοήματα, καὶ τὰ πάντων τῶν γεγονότων θεωρήματα, ἀπόβαλε τοῦ νοὸς ἐν τῷ καιρῷ τῆς προσευχῆς· ἵνα μὴ τὰ ἥττονα φανταζόμενος, τοῦ πάντων τῶν ὄντων ἀσυγκρίτως κρείττονος ἐκπέσῃς.

ν'. Ἐὰν τὸν Θεὸν γνησίως ἀγαπήσωμεν, δι' αὐτῆς τῆς ἀγάπης τὰ πάθη ἀποβάλλομεν· ἡ δὲ εἰς αὐτὸν ἀγάπη ἐστί, τὸ προτιμᾶν αὐτὸν τοῦ κόσμου, καὶ τὴν ψυχὴν τῆς σαρκός, ἐν τῷ τῶν κοσμικῶν μὲν καταφρονεῖν πραγμάτων, αὐτῷ δὲ σχολάζειν διὰ παντός, διά τε ἐγκρατείας, καὶ ἀγάπης, καὶ προσευχῆς, καὶ ψαλμῳδίας, καὶ τῶν ἑξῆς.

Ἐὰν σχολάζοντες τῷ Θεῷ χρόνῳ πολλῷ, τοῦ παθητικοῦ μέρους τῆς ψυχῆς ἐπιμελώμεθα, οὐκ ἔτι πρὸς τὰς τῶν λογισμῶν προσβολὰς ἐξοκέλλομεν· ἀλλὰ καὶ ἀκριβέστερον τὰς τούτων αἰτίας κατανοοῦντες καὶ ἐκκόπτοντες, διορατικώτεροι γενόμεθα· ὥστε πληρωθῆναι εἰς ἡμᾶς τό, καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις, ἀκούσεται τὸ οὖς μου. να'.

Ὅταν βλέπῃς τὸν νοῦν σου εὐσεβῶς καὶ δικαίως ἀναστρεφόμενον ἐν τοῖς τοῦ κόσμου νοήμασι, γίνωσκε καὶ τὸ σῶμά σου καθαρὸν καὶ ἀναμάρτητον διαμένειν. ὅταν δὲ τὸν νοῦν σου βλέπῃς κατὰ διάνοιαν ἁμαρτίαις σχολάζοντα καὶ μὴ ἀνακόπτῃς, γίνωσκε καὶ τὸ σῶμά σου μὴ πολυχρονίζειν τούτοις αὐτοῖς περιπεσεῖν. νβ'.

Ὥσπερ τὸ σῶμα ἔχει κόσμον τὰ πράγματα, οὕτω καὶ ὁ νοῦς ἔχει κόσμον τὰ νοήματα. καὶ ὥσπερ τὸ σῶμα πορνεύεται μετὰ τοῦ σώματος τῆς γυναικός· οὕτω καὶ ὁ νοῦς πορνεύει μετὰ τοῦ νοήματος τῆς γυναικός, διὰ τῆς φαντασίας τοῦ ἰδίου σώματος. τὴν γὰρ μορφὴν τοῦ ἰδίου σώματος βλέπει μιγνυμένην μετὰ τῆς μορφῆς τῆς γυναικὸς κατὰ διάνοιαν. ὡσαύτως καὶ τὴν μορφὴν τοῦ λυπήσαντος ἀμύνεται κατὰ διάνοιαν, διὰ τῆς μορφῆς τοῦ ἰδίου σώματος, καὶ ἐπὶ τῶν ἄλλων ἁμαρτημάτων ὁμοίως. ἅπερ γὰρ πράττει τὸ σῶμα κατ' ἐνέργειαν εἰς τὸν κόσμον τῶν πραγμάτων, ταῦτα πράττει καὶ ὁ νοῦς εἰς τὸν κόσμον τῶν νοημάτων. νγ'.

Οὐκ ἔστι φρῖξαι, καὶ ἐκπλαγῆναι, καὶ ἐκστῆναι τῇ διανοίᾳ, ὅτι ὁ μὲν Θεὸς καὶ πατὴρ κρίνει οὐδένα· πᾶσαν δὲ τὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κρίσιν δέδωκε τῷ υἱῷ· ὁ δὲ κράζει, μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· μὴ καταδικάζετε, ἵνα μὴ καταδικασθῆτε. ὁ δὲ Ἀπόστολος ὁμοίως, μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος· καὶ ἐν ᾧ κρίματι κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις. οἱ δὲ ἄνθρωποι ἀφέντες τὸ κλαίειν τὰς ἑαυτῶν ἁμαρτίας, ἦραν τὴν κρίσιν ἀπὸ τοῦ υἱοῦ· καὶ αὐτοὶ ὡς ἀναμάρτητοι, κρίνουσι καὶ καταδικάζουσιν ἀλλήλους. καὶ ὁ μὲν οὐρανὸς ἐξέστη ἐπὶ τούτῳ, ἡ δὲ γῆ ἔφριξεν, αὐτοὶ δὲ οὐκ αἰσχύνονται ἀναισθητοῦντες.

νε'. Ὁ τὰς τῶν ἄλλων ἁμαρτίας περιεργαζόμενος, ἢ καὶ ἐξ ὑπονοίας τὸν ἀδελφὸν κρίνων, οὔπω ἔβαλεν ἀρχὴν μετανοίας· οὐδὲ ἐρεύνησεν τοῦ γνῶναι τὰς ἑαυτοῦ ἁμαρτίας ἐν ἀληθείᾳ βαρυτέρας οὔσας μολύβδου πολυταλάντου· οὐδὲ ἔγνω πόθεν γίνεται ἄνθρωπος βαρυκάρδιος ἀγαπῶν ματαιότητα, καὶ ζητῶν ψεῦδος. διὰ τοῦτο ὡς ἄφρων, καὶ ἐν σκότει διαπορευόμενος, ἀφεὶς τὰς ἑαυτοῦ ἁμαρτίας, τὰς τῶν ἄλλων φαντάζεται, ἢ οὔσας, ἢ νομιζομένας ἐξ ὑπονοίας.

νς'. Ἡ φιλαυτία (ὡς πολλάκις εἴρηται) πάντων τῶν ἐμπαθῶν λογισμῶν αἰτία καθίσταται. ἐκ γὰρ ταύτης γεννῶνται οἱ τρεῖς γενικώτατοι τῆς ἐπιθυμίας λογισμοί· ὁ τῆς γαστριμαργίας, καὶ τῆς φιλαργυρίας, καὶ τῆς κενοδοξίας. ἐκ δὲ τῆς γαστριμαργίας, γεννᾶται ὁ τῆς πορνείας· ἐκ δὲ τῆς κενοδοξίας, ὁ τῆς ὑπερηφανίας· οἱ δὲ λοιποὶ πάντες, ἑκάστῳ τῶν τριῶν ἀκολουθοῦσιν· ὅ, τε τῆς ὀργῆς, καὶ ὁ τῆς λύπης, καὶ ὁ τῆς μνησικακίας, καὶ φθόνου, καὶ καταλαλιᾶς, καὶ οἱ λοιποί. ταῦτα οὖν τὰ πάθη συνδεσμοῦσι τὸν νοῦν τοῖς ὑλικοῖς πράγμασι· καὶ καθέλκουσιν αὐτὸν εἰς τὴν γῆν· λίθου δίκην βαρυτάτου αὐτῷ ἐπικείμενα, φύσει ὄντα αὐτὸν πυρὸς κουφότερον καὶ ὀξύτερον.

Ἀρχὴ μὲν πάντων τῶν παθῶν, ἡ φιλαυτία· τέλος δέ, ἡ ὑπερηφανία. φιλαυτία δέ ἐστιν, ἡ πρὸς τὸ σῶμα ἄλογος φιλία· ὁ ταύτην ἐκκόψας, συνέκοψε πάντα τὰ πάθη τὰ ἐξ αὐτῆς. νζ'.

Ὥσπερ οἱ γονεῖς τῶν σωμάτων, προσπάσχουσι τοῖς ἐξ αὐτῶν γεννωμένοις· οὕτω καὶ ὁ νοῦς φυσικῶς τοῖς ἑαυτοῦ πρόσκειται λόγοις· καὶ ὥσπερ τοῖς ἐκείνων ἐμπαθεστέροις, κἂν πάντων καὶ πάντῃ ὦσιν οἱ παῖδες καταγελαστότατοι, πάντων φαίνονται ἐπιεικέστατοι καὶ εὐμορφότατοι· οὕτω καὶ τῷ ἄφρονι νῷ οἱ αὐτοῦ λόγοι, κἂν πάντων ὦσι μοχθηρότεροι, πάντων φαίνονται φρονιμώτεροι· τῷ δὲ σοφῷ, οὐχ οὕτως οἱ ἑαυτοῦ λόγοι· ἀλλ' ὅταν δόξῃ πληροφορεῖσθαι, ὅτι ἀληθεῖς εἰσὶ καὶ καλοί, τότε μάλιστα οὐ πιστεύει τῇ ἑαυτοῦ κρίσει· ἀλλ' ἄλλους σοφοὺς τῶν ἑαυτοῦ λόγων καὶ λογισμῶν κριτὰς καθίστησι, μὴ εἰς κενὸν τρέχῃ, ἢ ἔδραμε, καὶ δι' αὐτῶν τὴν βεβαίωσιν λαμβάνει. νη'.

Ὅταν τινὰ νικήσῃς τῶν ἀτιμοτέρων παθῶν, οἷον ἢ γαστριμαργίαν, ἢ πορνείαν, ἢ ὀργήν, ἢ πλεονεξίαν, εὐθὺς ἐφίπταται ἐπὶ σὲ ὁ τῆς κενοδοξίας λογισμός· ἐὰν δὲ τοῦτον νικήσῃς, ὁ τῆς ὑπερηφανίας διαδέχεται. νθ'.

Πάντα τὰ ἄτιμα πάθη κρατοῦντα τῆς ψυχῆς, τὸν τῆς κενοδοξίας ἐξ αὐτῆς ἀπελαύνουσι λογισμόν· καὶ πάντων τῶν προειρημένων ἡττωμένων, ἐπ' αὐτήν, αὐτὸν ἀναλύουσιν. ξ'.

Ἡ κενοδοξία ποτὲ μὲν ἀναιρουμένη, ποτὲ δὲ μένουσα, τίκτει τὴν ὑπερηφανίαν· καὶ ἀναιρουμένη μὲν οἴησιν ἐμποιεῖ· μένουσα δέ, ἀλαζονείαν. κενοδοξίαν ἀναιρεῖ, ἡ κρυπτὴ ἐργασία· ὑπερηφανίαν δέ, τὸ τῷ Θεῷ ἐπιγράφειν τὰ κατορθώματα. ξα'.

Ὁ γνώσεως Θεοῦ καταξιωθείς, καὶ τῆς ἐκ ταύτης ἡδονῆς ἀπολαύσας γνησίως, ξβ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὅπως καταφρονῇ τῶν τῷ ἐπιθυμητικῷ τετιμημένων πασῶν ἡδονῶν.

ξγ'. Ὁ ἐπιθυμῶν τῶν ἐπιγείων, ἢ βρωμάτων ἐπιθυμεῖ, ἢ τῶν τὰ ὑπογάστρια θεραπευόντων, ἢ δόξης ἀνθρωπίνης, ἢ χρημάτων, ἢ τινὸς ἄλλου τῶν τούτοις ἑπομένων. καὶ εἰ μή τι τούτων κρεῖττον εὕροι ὁ νοῦς, ἐφ' ᾧ τὴν ἐπιθυμίαν μετενέγκοι, οὐκ ἂν τούτων καταφρονεῖν εἰς τέλος πεισθείη. κρεῖττον δὲ τούτων ἀσυγκρίτως ἡ τοῦ Θεοῦ γνῶσις καὶ τῶν θείων ἐστίν.

ξδ'. Οἱ τῶν ἡδονῶν καταφρονοῦντες, ἢ φόβῳ καταφρονοῦσιν, ἢ ἐλπίδι, ἢ γνώσει, ἢ καὶ τῇ εἰς Θεὸν ἀγάπῃ.

ξε'. Ἡ ἄνευ πάθους τῶν θείων γνῶσις, οὐ πείθει τὸν νοῦν εἰς τέλος καταφρονεῖν τῶν προσύλων, ἀλλ' ἔοικε λογισμῷ ψιλῷ πράγματος αἰσθητοῦ. διὸ πολλοὺς ἔστιν εὑρεῖν τῶν ἀνθρώπων γνῶσιν ἔχοντας πολλήν, καὶ ἐν τοῖς τῆς σαρκὸς πάθεσι δίκην χοίρων ἐν βορβόρῳ κυλινδουμένους. πρὸς ὀλίγον γὰρ διὰ τῆς ἐπιμελείας καθαρθέντες, καὶ τῆς γνώσεως ἐπιτυχόντες, ὕστερον ἀμελήσαντες, ὡμοιώθησαν τῷ Σαοὺλ, ὃς βασιλείας καταξιωθεὶς, καὶ ἀναξίως πολιτευσάμενος, μετ' ὀργῆς φοβερᾶς ἐξ αὐτῆς ἀπεβλήθη.

ξς'. Ὥσπερ ψιλὸς τῶν ἀνθρωπίνων πραγμάτων λογισμὸς, οὐκ ἀναγκάζει τὸν νοῦν καταφρονεῖν τῶν θείων· οὕτως οὐδὲ ψιλὴ γνῶσις τῶν θείων, πείθει εἰς τέλος καταφρονεῖν τῶν ἀνθρωπίνων. διότι ἐν σκιαῖς νῦν ὑπάρχει, καὶ εἰκασμοῖς ἡ ἀλήθεια, καὶ διὰ τοῦτο δεῖται τοῦ μακαρίου πάθους τῆς ἁγίας ἀγάπης, τῆς συνδεσμούσης τὸν νοῦν τοῖς πνευματικοῖς θεωρήμασι, καὶ πειθούσης προτιμᾷν τῶν ὑλικῶν τὰ ἄϋλα, καὶ τῶν αἰσθητῶν τὰ νοητὰ, καὶ θεῖα.

ξζ'. Οὐ πάντως ὁ τὰ πάθη ἐκκόψας καὶ ψιλοὺς τοὺς λογισμοὺς ἐργασάμενος, ἤδη αὐτοὺς καὶ ἐπὶ τὰ θεῖα ἔστρεψεν· ἀλλὰ δύναται, μήτε πρὸς τὰ ἀνθρώπινα πάσχειν, μήτε πρὸς τὰ θεῖα· ὅπερ ἐπισυμβαίνει ἐπὶ τῶν πρακτικῶν μόνον, καὶ μήπω γνώσεως καταξιωθέντων· οἳ φόβῳ κολάσεως, ἢ ἐλπίδι βασιλείας τῶν παθῶν ἀπέχονται.

ξη'. Διὰ πίστεως περιπατοῦμεν, οὐ διὰ εἴδους· καὶ ἐν ἐσόπτροις τὴν ἀρετὴν ἔχομεν, καὶ αἰνίγμασι· καὶ διὰ τοῦτο, πολλῆς δεόμεθα τῆς ἐν αὐτοῖς ἀσχολίας, ἵνα τῇ χρονίᾳ τούτων μελέτῃ καὶ ἐνδελεχείᾳ ἕξιν δυσαπόσπαστον τῶν θεωρημάτων ποιήσωμεν.

ξθ'. Ἐὰν πρὸς ὀλίγον τῶν παθῶν τὰς αἰτίας ἐκκόψαντες τοῖς πνευματικοῖς ἐνασχοληθῶμεν θεωρήμασι, μὴ ἐν αὐτοῖς δὲ ἀεὶ διατρίψωμεν αὐτὸ τοῦτο ἔχοντες ἔργον, εὐχερῶς πάλιν ἐπὶ τὰ τῆς σαρκὸς πάθη περιτρεπόμεθα, μηδὲν ἄλλο ἐκεῖθεν καρπωσάμενοι, ἢ ψιλὴν γνῶσιν μετὰ οἰήσεως· ἧς τὸ τέλος, ἥ, τε αὐτῆς κατὰ μικρὸν τῆς γνώσεως σκότωσις, καὶ ἡ παντελὴς τοῦ νοῦ ἐπὶ τὰ ὑλικὰ ἐκτροπή.

ο'. Πάθος ἀγάπης ψεκτὸν, τοῖς ὑλικοῖς πράγμασι τὸν νοῦν ἐνασχολεῖ. πάθος ἀγάπης ἐπαινετὸν, τοῖς θείοις αὐτὸν συνδεσμεῖ. εἴωθε γὰρ ὁ νοῦς ἐν οἷς χρονίζει πράγμασιν, ἐν αὐτοῖς καὶ πλατύνεσθαι· ἐν οἷς δὲ πλατύνεται, ἐν αὐτοῖς καὶ τὴν ἐπιθυμίαν, καὶ τὴν ἀγάπην τρέψαι· εἴτε ἐν τοῖς θείοις, καὶ οἰκείοις, καὶ νοητοῖς, εἴτε ἐν τοῖς τῆς σαρκὸς πράγμασί τε, καὶ πάθεσιν.

οα'. Ὁ Θεὸς ἔκτισε τὸν ἀόρατον κόσμον, καὶ τὸν ὁρώμενον, καὶ τὴν ψυχὴν, καὶ τὸ σῶμα δηλονότι αὐτὸς ἐποίησε. καὶ εἰ ὁ ὁρώμενος κόσμος τοιοῦτός ἐστι καλὸς, ποῖος ἆρα ἐστὶν ὁ ἀόρατος; εἰ δὲ κρείττων τούτου ἐκεῖνος, πόσον ὑπὲρ τοὺς δύο, ὁ κτίσας τούτους Θεός; εἰ οὖν κρείττων πάντων τῶν γεγονότων ὁ πάντων δημιουργὸς τῶν καλῶν, τίνι λόγῳ ὁ νοῦς

ἀφεὶς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀφῆς; τῶν πάντων κρείττων, τοῖς πάντων χείροσιν ἐνασχολεῖται; λέγω δὴ τοῖς τῆς σαρκὸς πάθεσιν; ἢ δῆλον, ὅτι τούτοις μὲν ἐκ γενέσεως συναναστραφεὶς, καὶ συνεθισθεὶς, τοῦ δὲ πάντων κρείττονος καὶ ὑπὲρ τὰ πάντα, οὔπω τελείαν εἴληφε πεῖραν. ἐὰν οὖν χρονίᾳ ἀσκήσει τῆς τῶν ἡδονῶν ἐγκρατείας, καὶ τῆς τῶν θείων μελέτης, κατὰ μικρὸν αὐτὸν τῆς τοιαύτης σχέσεως ἀπορρήξωμεν, πλατύνεταί τε ἐν τοῖς θείοις κατ' ὀλίγον προκόπτων, καὶ τὸ οἰκεῖον γνωρίζει ἀξίωμα· καὶ τέλος, ὅλον τὸν πόθον ἐπὶ τὸ θεῖον μεταφέρει.

οβ'. Ἀπαθῶς λέγων ἁμαρτήματα ἀδελφοῦ, κατὰ δύο αἰτίας λέγει, ἢ ἵνα αὐτὸν διορθώσηται, ἢ ἵνα ἄλλον ὠφελήσῃ. εἰ δὲ ἐκτὸς τούτων λέγει, εἴτε αὐτῷ, εἴτε ἄλλῳ, ὀνειδίζων, ἢ διασύρων αὐτὸν λέγει· καὶ οὐ μὴ ἐκφύγῃ τὴν θείαν ἐγκατάλειψιν· ἀλλ' ἢ τῷ αὐτῷ, ἢ ἄλλῳ πταίσματι πάντως περιπεσεῖται, καὶ ὑπὸ ἑτέρων ἐλεγχθεὶς καὶ ὀνειδισθεὶς, καταισχυνθήσεται.

ογ'. Οὐχ εἷς λόγος τῶν τὴν αὐτὴν ἁμαρτίαν κατ' ἐνέργειαν ἁμαρτανόντων ἐστὶν, ἀλλὰ διάφοροι· εἰσί, ἄλλο ἐστὶ, τὸ ἀπὸ ἕξεως ἁμαρτάνειν· καὶ ἄλλο, τὸ κατὰ συναρπαγήν· ὃς οὔτε πρὸ τῆς ἁμαρτίας εἶχε τὴν ἐνθύμησιν, οὔτε μετὰ τὴν ἁμαρτίαν· ἀλλὰ καὶ σφόδρα ἐπὶ τῷ γεγονότι ὀδυνᾶται. ὁ δὲ ἀπὸ ἕξεως, ἐκ τοῦ ἐναντίου· καὶ πρῶτον γὰρ κατὰ διάνοιαν οὐκ ἐπαύετο ἁμαρτάνων, καὶ μετὰ τὸ πρᾶξαι, τῆς αὐτῆς ἐστὶ διαθέσεως.

οδ'. Ὁ διὰ κενοδοξίαν τὰς ἀρετὰς μετερχόμενος, δῆλον ὅτι καὶ τὴν γνῶσιν διὰ κενοδοξίαν μετέρχεται· ὁ δὲ τοιοῦτος οὐδὲ πρὸς οἰκοδομὴν δηλονότι πράττει τι ἢ διαλέγεται, ἀλλ' ἐν πᾶσι τὴν παρὰ τῶν βλεπόντων, ἢ ἀκουόντων δόξαν θηρώμενος. ἐλέγχεται δὲ τὸ πάθος, ὅταν τινὲς τῶν προειρημένων, τοῖς ἔργοις ἢ τοῖς λόγοις αὐτοῦ ψόγον ἐπιφέρωσι· καὶ ἐπὶ τούτῳ σφόδρα λυπεῖται, οὐ διὰ τὸ μὴ ἐκείνους οἰκοδομεῖσθαι, οὐδὲ γὰρ τοῦτο εἶχε σκοπὸν, ἀλλὰ διὰ τὸ αὐτὸν ἐξουδενωθῆναι.

Τὸ τῆς φιλαργυρίας πάθος, ἐντεῦθεν ἐλέγχεται, ἐν τῷ χαίροντα λαμβάνειν, καὶ λυπούμενον μεταδιδόναι· οὐ δύναται ὁ τοιοῦτος οἰκονομικὸς εἶναι. οε'.

Διὰ ταῦτά τις πάσχων ὑπομένει, ἢ διὰ τὴν ἀγάπην τοῦ Θεοῦ, ἢ διὰ τὴν ἐλπίδα τῆς μισθαποδοσίας, ἢ διὰ τὸν φόβον τῆς κολάσεως, ἢ διὰ τὸν φόβον τῶν ἀνθρώπων, ἢ διὰ τὴν φύσιν, ἢ διὰ τὴν ἡδονὴν, ἢ διὰ κέρδος, ἢ διὰ κενοδοξίαν, ἢ διὰ ἀνάγκην. ος'.

Ἄλλο ἐστὶ λογισμῶν ἀπαλλαγῆναι, καὶ ἄλλο παθῶν ἐλευθερωθῆναι· καὶ πολλάκις τις λογισμῶν ἀπαλλάττεται, μὴ παρόντων τῶν πραγμάτων ἐκείνων, πρὸς ἅπερ τὰ πάθη κέκτηται. κρύπτεται δὲ τὰ πάθη ἐν τῇ ψυχῇ καὶ ἀναφανέντων ἐλέγχεται. χρὴ οὖν τηρεῖν τὸν νοῦν ἐπὶ τῶν πραγμάτων, καὶ γνῶναι πρὸς ποῖον ἔχει τὸ πάθος. οζ'.

Φίλος ἐκεῖνός ἐστι γνήσιος, ὁ τὰς ἐκ περιστάσεως θλίψεις, καὶ ἀνάγκας, καὶ συμφορὰς, ἐν καιρῷ πειρασμοῦ συνυποφέρων τῷ πλησίον ὡς ἰδίας, ἀθορύβως καὶ ἀταράχως. οη'.

Μὴ ἀτιμάσῃς τὴν συνείδησιν, ἄριστά σοι ἀεὶ συμβουλεύουσαν. γνώμην γὰρ θείαν, καὶ Ἀγγελικήν σοι ὑποτίθεται, καὶ τῶν κρυπτῶν τῆς καρδίας μολυσμάτων ἐλευθεροῖ, καὶ παρρησίαν πρὸς τὸν Θεὸν ἐν τῇ ἐξόδῳ σοι χαρίζεται. οθ'.

Εἰ θέλεις γενέσθαι ἐπιγνώμων καὶ μέτριος, καὶ τῷ πάθει τῆς οἰήσεως μὴ δουλεύειν, ἀεὶ ζήτει ἐν τοῖς οὖσι τί ἐστι κρυπτόμενον τὴν σὴν γνῶσιν, καὶ εὑρίσκων πάμπολλα καὶ διάφορα πράγματα λανθάνοντά σε, θαυμάσεις τε ἐπὶ τῇ σῇ ἀγνωσίᾳ, καὶ συστελεῖς τὸ φρόνημα· καὶ σεαυτὸν ἐπιγνοὺς, συνήσεις πολλὰ, καὶ π'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μεγάλα, καὶ θαυμαστὰ πράγματα· ἐπεὶ τὸ νομίζειν εἰδέναι, οὐκ ἐᾷ προκόπτειν εἰς τὸ εἰδέναι.

πά. Οὗτος ἀκριβῶς θέλει σωθῆναι, ὁ τοῖς ἰατρικοῖς φαρμάκοις μὴ ἀνθιστάμενος· αὗται δέ εἰσιν ὀδύναι καὶ λῦπαι διὰ ποικίλων ἐπιφορῶν ἐπαγόμεναι· ὁ δὲ ἀνθιστάμενος, οὐκ οἶδε τί ἐνταῦθα πραγματεύεται, οὐδὲ τί ἐντεῦθεν ἀνιστάμενος ἀπελεύσεται.

πβ'. Κενοδοξία καὶ φιλαργυρία, ἀλλήλων εἰσὶ γεννητικαί. οἱ μὲν γὰρ κενοδοξοῦντες, πλουτοῦσιν· οἱ δὲ πλουτοῦντες κενοδοξοῦσιν, ἀλλ' ὡς κοσμικοί. ἐπεὶ ὁ Μοναχὸς ἀκτήμων ὤν, μᾶλλον κενοδοξεῖ· ἀργύριον δὲ ἔχων κρύπτει αὐτὸ, αἰσχυνόμενος, ὡς ἀνοίκειον πρᾶγμα τοῦ σχήματος ἔχων.

πγ'. Τῆς τοῦ Μοναχοῦ κενοδοξίας ἴδιον, τὸ ἐπ' ἀρετῇ κενοδοξεῖν, καὶ τοῖς ταύτῃ ἀκολουθοῦσι· τῆς δὲ ὑπερηφανίας αὐτοῦ ἴδιον, τὸ ἐπὶ κατορθώμασιν ἐπαίρεσθαι, καὶ ἐξουθενεῖν τοὺς ἄλλους, καὶ τὸ ἑαυτῷ ταῦτα, καὶ μὴ τῷ Θεῷ ἐπιγράφειν. τῆς δὲ τοῦ κοσμικοῦ κενοδοξίας, καὶ ὑπερηφανίας ἴδιον, τὸ ἐπὶ κάλλει, καὶ πλούτῳ, καὶ δυναστείᾳ, καὶ φρονήσει, κενοδοξεῖν, καὶ ἐπαίρεσθαι.

πδ'. Τὰ τῶν κοσμικῶν κατορθώματα, πτώματά εἰσι τῶν Μοναχῶν· καὶ τὰ τῶν Μοναχῶν κατορθώματα, πτώματά εἰσι τῶν κοσμικῶν· οἷον, τὰ τῶν κοσμικῶν κατορθώματα, πλοῦτός ἐστι, καὶ δόξα, καὶ δυναστεία, καὶ τρυφή, καὶ εὐτεκνία, καὶ τὰ τούτων ἀκόλουθα· εἰς ἅπερ ἐλθὼν ὁ Μοναχὸς, ἀπόλλυται· τὰ δὲ τοῦ Μοναχοῦ κατορθώματα, ἀκτημοσύνη, ἀδοξία, ἀδυναμία, ἐγκράτεια, κακοπάθεια, καὶ τὰ τούτων ἀκόλουθα· εἰς ἅπερ ἐλθὼν ὁ φιλόκοσμος παρὰ πρόθεσιν, πτῶμα ἡγεῖται μέγα, καὶ κινδυνεύει πολλάκις καὶ ἀγχόνῃ χρήσασθαι· τινὲς δὲ καὶ ἐχρήσαντο.

πέ. Τὰ βρώματα, διὰ δύο αἰτίας ἐκτίσθησαν, τροφῆς ἕνεκα, καὶ θεραπείας· οἱ οὖν παρὲξ τούτων μεταλαμβάνοντες, ὡς παραχρώμενοι τοῖς εἰς χρῆσιν παρὰ Θεοῦ δοθεῖσι, ὡς τρυφηταὶ κατακρίνονται· καὶ ἐπὶ πάντων δὲ τῶν πραγμάτων, ἡ παράχρησίς ἐστιν ἡ ἁμαρτία.

πς'. Ταπεινοφροσύνη ἐστὶ, προσευχὴ συνεχὴς μετὰ δακρύων, καὶ πόνων· αὕτη γὰρ ἀεὶ τὸν Θεὸν εἰς βοήθειαν ἐπικαλουμένη, ὡς τὴν ἰδίαν δύναμιν καὶ σοφίαν ἀφρόνως θαρρεῖν οὐκ ἐᾷ, οὐδὲ ἄλλων κατεπαίρεσθαι· ἅτινά εἰσι χαλεπὰ νοσήματα τοῦ τῆς ὑπερηφανίας πάθους.

πζ'. Ἄλλο ἐστὶ μάχεσθαι, τῷ ψιλῷ λογισμῷ, ἵνα μὴ κινήσῃ τὸ πάθος. καὶ ἄλλο ἐστὶ, τῷ ἐμπαθεῖ μάχεσθαι, ἵνα μὴ γένηται συγκατάθεσις· οἱ ἀμφότεροι δὲ τρόποι οὐκ ἐῶσι χρονίσαι τοὺς λογισμούς.

πή. Ἡ λύπη τῇ μνησικακίᾳ συμπλέκεται· ὅταν ὁ νοῦς τὸ πρόσωπον τοῦ ἀδελφοῦ μετὰ λύπης ἐνοπτρίζηται, δῆλον ὅτι μνησικακίαν ἔχει πρὸς αὐτόν. ὁδοὶ μνησικάκων εἰς θάνατον, διότι πᾶς μνησίκακος παράνομος.

πθ'. Ἐὰν μὲν σὺ μνησικακῇς τινὶ, προσεύχου ὑπὲρ αὐτοῦ, καὶ ἱστᾷς τὸ πάθος τῆς κινήσεως· χωρίζων τὴν λύπην διὰ τῆς προσευχῆς, ἐκ τῆς μνήμης τοῦ κακοῦ ὅπερ σοὶ ἐποίησεν· ἀγαπητικὸς δὲ γενόμενος, καὶ φιλάνθρωπος, παντελῶς ἐκ τῆς ψυχῆς τὸ πάθος ἐξαφανίσεις. ἐὰν δὲ ἄλλος σοὶ μνησικακῇ, χαριστικὸς γενοῦ πρὸς αὐτὸν, καὶ ταπεινὸς, καὶ καλῶς συναυλίζου, καὶ ἀπαλλάττεις αὐτὸν τοῦ πάθους.

ϙ'. Τοῦ φθονοῦντος τὴν λύπην, κόπῳ στήσεις· συμφορὰν γὰρ ἡγεῖται, τὸ ἐν σοὶ φθονούμενον· καὶ οὐ δυνατὸν ἄλλως στῆσαι, εἰ μή τι κρύψεις αὐτό. εἰ δὲ πολλοὺς μὲν ὠφελεῖ, ἐκεῖνον δὲ λυπεῖ, ποῖον μέρος καταφρονήσεις; ἀναγκαῖον οὖν τὴν τῶν πολλῶν γενέσθαι ὠφέλειαν,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κακείνω δὲ καὶ δυνάμει μὴ ἀμελῶν, μηδὲ τῇ τοῦ πάθους ποιότητι συναπαχθῆναι, ὡς ἔχει τὸ πάθος, ἀλλὰ τὸν πάσχοντα ἀμύνεσθαι· ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἡγεῖσθαι αὐτὸν ὑπερέχοντα σεαυτοῦ, καὶ ἐν παντὶ καιρῷ καὶ τόπῳ καὶ πράγματι, προτιμᾷν αὐτόν· τὸν δὲ σὸν φθόνον δύνασαι στῆσαι, ἐὰν ἐν οἷς χαίρει ὁ ὑπὸ σοῦ φθονούμενος, συγχαίρῃς· καὶ ἐν οἷς λυπεῖται, καὶ σὺ λυπῇ, πληρῶν τὸ τοῦ Ἀποστόλου· τὸ χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων.

ϙα'. Ὁ νοῦς ἡμῶν μέσος ἐστὶ δύο τινῶν, ἑκάστου τὰ ἴδια ἐνεργοῦντος, τοῦ μὲν τὴν ἀρετήν, τοῦ δὲ τὴν κακίαν, τουτέστιν Ἀγγέλου, καὶ δαίμονος. ἐξουσίαν δὲ ἔχει ὁ νοῦς καὶ δύναμιν, ὃ θέλει, εἴτε ἕπεσθαι, εἴτε ἀντιστῆναι.

ϙβ'. Αἱ μὲν ἅγιαι δυνάμεις, προτρέπονται ἡμᾶς ἐπὶ τὰ καλά· τὰ δὲ φυσικὰ σπέρματα, καὶ ἡ ἀγαθὴ προαίρεσις, βοηθοῦσιν ἡμῖν. τὰς δὲ τῶν δαιμόνων προσβολάς, τὰ πάθη καὶ ἡ πονηρὰ προαίρεσις, συνιστῶσι.

ϙγ'. Τὸν καθαρὸν νοῦν, ποτὲ μὲν αὐτὸς ὁ Θεὸς αὐτῷ ἐπιβαίνων διδάσκει· ποτὲ δὲ αἱ ἅγιαι δυνάμεις τὰ καλὰ ὑποτίθενται· ποτὲ δὲ ἡ φύσις τῶν πραγμάτων θεωρουμένη.

ϙδ'. Χρὴ τὸν καταξιωθέντα γνώσεως νοῦν, τά τε νοήματα τηρεῖν ἀπαθῆ τῶν πραγμάτων· καὶ τὰ θεωρήματα ἀσφαλῆ· καὶ τὴν τῆς προσευχῆς κατάστασιν, ἀθόλωτον. οὐ δύναται δὲ ταῦτα τηρεῖν ἀεὶ ἐκ τῶν τῆς σαρκὸς ἀναδόσεων διὰ τῆς τῶν δαιμόνων ἐπιβουλῆς καπνιζόμενος.

Οὐ δι᾽ ὅσα λυπούμεθα, διὰ ταῦτα καὶ ὀργιζόμεθα· πλεονάζει γὰρ τὰ τὴν λύπην ἐμποιοῦντα, παρὰ τὰ τὴν ὀργήν· οἷον, ἐκλάσθη τόδε, ἀπώλετο τόδε· ἀπέθανεν ὁ δεῖνα. διὰ γὰρ τὰ τοιαῦτα λυπούμεθα μόνον· διὰ δὲ τὰ λοιπά, καὶ λυπούμεθα καὶ ὀργιζόμεθα, ἀφιλοσόφως διακείμενοι. ϙε'.

Δεχόμενος ὁ νοῦς τὰ τῶν πραγμάτων νοήματα, πρὸς ἕκαστον νόημα, μετασχηματίζεσθαι πέφυκε· θεωρῶν δὲ ταῦτα πνευματικῶς, πρὸς ἕκαστον θεώρημα ποικίλως μεταμορφοῦται· ἐν δὲ Θεῷ γενόμενος ἄμορφος πάντη, καὶ ἀσχημάτιστος γίνεται· τὸν γὰρ μονοειδῆ θεωρῶν μονοειδὴς γίνεται, καὶ ὅλος φωτοειδής. ϙϛ'.

Ψυχή ἐστι τελεία, ἧς ἡ παθητικὴ δύναμις νενεύκεν ὁλοτελῶς πρὸς τὸν Θεόν. ϙζ'.

Νοῦς ἐστι τέλειος, ὁ διὰ πίστεως ἀληθοῦς, τὸν ὑπεράγνωστον ὑπεραγνώστως ὑπερεγνωκώς, καὶ τῶν αὐτοῦ δημιουργημάτων τὰ καθόλου θεασάμενος· καὶ τῆς ἐν αὐτοῖς προνοίας καὶ κρίσεως τὴν περιληπτικὴν γνῶσιν παρὰ Θεοῦ εἰληφώς, ὡς ἀνθρώποις δέ φημι· ϙη'.

Τριχῶς τέμνεται ὁ χρόνος. καὶ ἡ μὲν πίστις, τοῖς τρισὶ συμπαρατείνεται τμήμασιν· ἡ δὲ ἐλπίς, τῷ ἑνί, ἡ δὲ ἀγάπη τοῖς δυσί. καὶ ἡ μὲν πίστις καὶ ἐλπὶς μέχρι τινός· ἡ δὲ ἀγάπη εἰς ἀπείρους αἰῶνας τῷ ὑπεραπείρῳ ὑπερηνωμένη, καὶ ἀεὶ ὑπεραύξουσα διαμένει· καὶ διὰ τοῦτο μείζων πάντων ἡ ἀγάπη. ρ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ
# ΕΚΑΤΟΝΤΑΣ ΤΕΤΑΡΤΗ.

α΄. ΠΡῶτον μὲν θαυμάζει ὁ νοῦς τὴν θείαν ἐννοούμενος καὶ πάντα ἀπειρίαν, καὶ τὸ ἀνέκβατον ἐκεῖνο καὶ πολυπόθητον πέλαγος· δεύτερον δὲ ἐκπλήττεται, πῶς ἐκ τοῦ μηδενὸς τὴν τῶν ὄντων εἰς τὸ εἶναι παρήγαγεν ὕπαρξιν. ἀλλ᾽ ὥσπερ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας, οὕτως οὐδὲ τῆς φρονήσεως αὐτοῦ ἐστὶν εὕρεσις.

β΄. Πῶς γὰρ οὐ θαυμάζει τὸ ἄπλετον ἐκεῖνο θεωρῶν καὶ ὑπὲρ ἔκπληξιν τῆς ἀγαθότητος πέλαγος; ἢ πῶς οὐκ ἐξίσταται ἐννοούμενος, πῶς καὶ πόθεν ἥτε λογικὴ καὶ νοερὰ γέγονεν οὐσία· καὶ τὰ τέσσαρα στοιχεῖα, ἐξ ὧν τὰ σώματα; μηδεμιᾶς ὕλης τῆς τούτων προϋπαρξάσης γενέσεως; ποία τε ἡ δύναμις ἐκείνη ἡ εἰς ἐνέργειαν κινηθεῖσα, ταῦτα εἰς τὸ εἶναι παρήγαγεν; ἀλλὰ τοῦτο Ἑλλήνων παῖδες οὐ παραδέχονται, ἀγνοοῦντες τὴν παντοδύναμον ἀγαθότητα, καὶ τὴν δραστήριον αὐτῆς, καὶ ὑπὲρ νοῦν σοφίαν, καὶ γνῶσιν.

γ΄. Ἐξ ἀϊδίου δημιουργὸς ὑπάρχων ὁ Θεός, ὅτε βούλεται δημιουργεῖ, Λόγῳ ὁμοουσίῳ καὶ Πνεύματι, δι᾽ ἄπειρον ἀγαθότητα. καὶ μὴ εἴπῃς τίνι λόγῳ νῦν ἐδημιούργησεν ἀεὶ ἀγαθὸς ὑπάρχων; ἐπεὶ κἀγώ σοι λέγω. ὅτι ἡ τῆς ἀπείρου οὐσίας ἀνεξιχνίαστος σοφία, τῇ ἀνθρωπίνῃ οὐχ ὑποπίπτει γνώσει.

δ΄. Τὴν ἐξ ἀϊδίου ἐν ἑαυτῷ ὁ δημιουργὸς τῶν ὄντων προϋπάρχουσαν γνῶσιν, ὅτ᾽ ἐβουλήθη, οὐσίωσε καὶ προεβάλετο. ἄτοπον γάρ ἐστιν ἐπὶ Θεοῦ τοῦ παντοδυνάμου διστάσαι, εἰ δύναταί τι οὐσιῶσαι, ὅτε βούλεται.

ε΄. Δι᾽ ἣν μὲν αἰτίαν ὁ Θεὸς ἐδημιούργησε, ζήτει. ἔστι γὰρ γνῶσις· τὸ δὲ πῶς, καὶ διὰ τί προσφάτως, μὴ ζήτει· οὐκ ἔστι γὰρ τῷ σῷ ὑποπίπτουσα νῷ. διότι τῶν θείων, τὰ μὲν ληπτά, τὰ δὲ ἄληπτα τοῖς ἀνθρώποις. θεωρία γὰρ ἀχαλίνωτος, τάχα ἂν καὶ τῶν κρημνῶν ὤσειεν, ὥς ἔφη τις τῶν ἁγίων.

Τινές φασι συνυπάρχειν ἐξ ἀϊδίου τῷ Θεῷ τὰ δημιουργήματα, ὅπερ ἀμήχανον. ϛ΄.
πῶς γὰρ τῷ πάντῃ ἀπείρῳ, τὰ κατὰ πάντα πεπερασμένα, συνυπάρχειν δύναται ἐξ ἀϊδίου; ἢ πῶς κυρίως δημιουργήματα, τὰ συναΐδια τοῦ δημιουργοῦ; ἀλλ᾽ οὗτος ὁ λόγος, τῶν Ἑλλήνων ἐστίν, οἵτινες οὐσίας μὲν οὐδαμῶς, ποιοτήτων δὲ μόνον δημιουργὸν τὸν Θεὸν εἰσάγουσιν. ἡμεῖς δὲ τὸν παντοδύναμον ἐγνωκότες Θεόν, οὐ ποιοτήτων, ἀλλ᾽ οὐσιῶν πεποιωμένων δημιουργὸν αὐτὸν εἶναί φαμεν· εἰ δὲ οὕτως, οὐκ ἐξ ἀϊδίου συνυπάρχουσι τῷ Θεῷ τὰ δημιουργήματα.

Κατά τι μὲν γνωστὸν τὸ θεῖον καὶ τὰ ζ΄.
θεῖα, κατά τι δὲ ἄγνωστον· καὶ γνωστὸν μέν, τοῖς περὶ αὐτὸ θεωρήμασιν· ἄγνωστον δέ, τοῖς κατ᾽ αὐτό.

Μὴ ἕξεις, καὶ ἐπιτηδειότητας ζητήσῃς η΄.
ἐπὶ τῆς ἁπλῆς καὶ ἀπείρου οὐσίας τῆς Ἁγίας Τριάδος, ἵνα μὴ σύνθετον αὐτὴν ποιήσῃς, ὥσπερ τὰ κτίσματα· ὅπερ ἄτοπον καὶ ἀθέμιτον ἐπὶ Θεοῦ ἐννοῆσαι.

Μόνη ἁπλῆ, καὶ μονοειδής, καὶ ἄποιος, θ΄.
καὶ εἰρηναῖος, καὶ ἀστασίαστος, ἡ ἄπειρος οὐσία, καὶ παντοδύναμος, καὶ δημιουργικὴ τῶν ὅλων. πᾶσα δὲ ἡ κτίσις, σύνθετος ὑπάρχει, ἐξ οὐσίας, καὶ συμβεβηκότος, καὶ ἐπιδεὴς ἀεὶ τῆς θείας προνοίας, ὡς τροπῆς οὐκ ἐλευθέρα.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ι. Πᾶσα ἡ νοερὰ οὐσία, καὶ αἰσθητική, ἔλαβε δυνάμεις παρὰ Θεοῦ εἰς τὸ εἶναι παραχθεῖσα, ἀντιληπτικὰς τῶν ὄντων· ἡ μὲν νοερά, τὰς νοήσεις· ἡ δὲ αἰσθητική, τὰς αἰσθήσεις.

ια. Ὁ μὲν Θεός, μετέχεται μόνον· ἡ δὲ κτίσις, καὶ μετέχει, καὶ μεταδίδωσι· καὶ μετέχει μὲν τοῦ εἶναι· μεταδίδωσι δέ, τοῦ εὖ εἶναι μόνον, ἀλλ᾽ ἑτέρως μὲν ἡ σωματική, ἑτέρως δὲ ἡ ἀσώματος οὐσία.

ιβ. Ἡ μὲν ἀσώματος οὐσία καὶ λέγουσα, καὶ πράττουσα, καὶ θεωρουμένη, τοῦ εὖ εἶναι μεταδίδωσιν· ἡ δὲ σωματική, θεωρουμένη μόνον.

ιγ. Τὸ μὲν ἀεὶ εἶναι, ἢ μὴ εἶναι τὴν λογικὴν καὶ νοερὰν οὐσίαν, ἐν τῇ βουλήσει ἐστὶ τοῦ τὰ πάντα καλὰ δημιουργήσαντος· τὸ δὲ ἀγαθὰ ταῦτα εἶναι κατὰ προαίρεσιν, ἢ φαῦλα, ἐν τῷ θελήματι τῶν γεγονότων ὑπάρχει.

ιδ. Οὐ περὶ τὴν οὐσίαν τῶν γεγονότων τὸ κακὸν θεωρεῖται· ἀλλὰ περὶ τὴν ἐσφαλμένην καὶ ἀλόγιστον κίνησιν.

ιε. Εὐλόγως κινεῖται ἡ ψυχή, ὅταν τὸ ἐπιθυμητικὸν αὐτῆς τὴν ἐγκράτειαν πεποίωται· τὸ δὲ θυμικόν, τῆς ἀγάπης ἀντέχεται, τὸ μῖσος ἀποστρεφόμενον· τὸ δὲ λογιστικόν, πρὸς τὸν Θεὸν διάγει, διὰ προσευχῆς καὶ θεωρίας πνευματικῆς.

ιϛ. Οὔπω ἔχει τελείαν ἀγάπην, οὐδὲ τῆς θείας προνοίας κατὰ βάθος τὴν γνῶσιν, ὁ ἐν καιρῷ πειρασμοῦ μὴ μακροθυμῶν ἐπὶ τοῖς συμβαίνουσι λυπηροῖς, ἀλλ᾽ ἀποκόπτων ἑαυτόν, τῆς τῶν πνευματικῶν ἀδελφῶν ἀγάπης.

ιζ. Σκοπὸς τῆς θείας προνοίας, τὸ τοὺς ὑπὸ τῆς κακίας ποικίλως διεσχισμένους, διὰ τῆς ὀρθῆς πίστεως καὶ πνευματικῆς ἀγάπης, ἑνοποιεῖν· ἐπειδὴ καὶ τοῦτο πέπονθεν ὁ Σωτήρ, ἵνα τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα, συναγάγῃ εἰς ἕν. Ὁ οὖν μὴ στέγων τὰ ὀχληρά, μηδὲ φέρων τὰ λυπηρά, μηδὲ ὑπομένων τὰ ἐπίπονα, ἐκτὸς τῆς θείας ἀγάπης, καὶ τοῦ σκοποῦ τῆς προνοίας περιπατεῖ.

ιη. Εἰ ἡ ἀγάπη μακροθυμεῖ, καὶ χρηστεύεται, ὁ ὀλιγοψυχῶν ἐπὶ τοῖς συμβαίνουσι λυπηροῖς, καὶ διὰ τοῦτο πονηρευόμενος ἐπὶ τοῖς λυπήσασι, καὶ τῆς πρὸς αὐτοὺς ἀγάπης ἑαυτὸν ἀποκόπτων, πῶς τοῦ σκοποῦ τῆς θείας προνοίας οὐκ ἐκπίπτει;

ιθ. Πρόσεχε σεαυτῷ μήποτε ἡ χωρίζουσά σε ἐκ τοῦ ἀδελφοῦ κακία, οὐκ ἐν τῷ ἀδελφῷ, ἀλλ᾽ ἐν σοὶ εὑρίσκηται, καὶ σπεῦσον αὐτῷ διαλλαγῆναι, ἵνα μὴ τῆς ἐντολῆς τῆς ἀγάπης ἐκπέσῃς.

κ. Μὴ καταφρονήσῃς τῆς ἐντολῆς τῆς ἀγάπης, ὅτι δι᾽ αὐτῆς υἱὸς Θεοῦ ἔσῃ· ἣν παραβαίνων, υἱὸς γεέννης εὑρεθήσῃ.

κα. Τὰ χωρίζοντα τῆς τῶν φίλων ἀγάπης, εἰσὶ ταῦτα· τὸ φθονεῖν ἢ φθονεῖσθαι, τὸ ζημιοῦν ἢ ζημιοῦσθαι, τὸ ἀτιμάζειν ἢ ἀτιμάζεσθαι, καὶ οἱ ἐξ ὑπονοίας λογισμοί· μήποτε οὖν ἔδρασάς τι τοιοῦτον, ἢ πέπονθας, καὶ διὰ τοῦτο τῆς τοῦ φίλου ἀγάπης χωρίζῃ;

κβ. Συνέβη σοι πειρασμὸς ἐκ τοῦ ἀδελφοῦ, καὶ ἡ λύπη εἰς μῖσός σε ἤγαγε· μὴ νικῶ ὑπὸ τοῦ μίσους, ἀλλὰ νίκα ἐν τῇ ἀγάπῃ τὸ μῖσος, νικήσεις δὲ τρόπῳ τοιούτῳ, προσευχόμενος ὑπὲρ αὐτοῦ γνησίως πρὸς τὸν Θεόν, τὴν ἀπολογίαν αὐτοῦ δεχόμενος· ἢ καὶ αὐτὸς διὰ ταύτης αὐτὸν θεραπεύων, καὶ σεαυτὸν αἴτιον τοῦ πειρασμοῦ λογιζόμενος, καὶ μακροθυμῶν, μέχρις οὗ παρέλθῃ τὸ νέφος.

κγ. Μακρόθυμός ἐστιν, ὁ τὸ τέλος ἐκδεχόμενος τοῦ πειρασμοῦ, καὶ τὸ καύχημα τῆς καρτερίας λαμβάνων.

κδ. Ἀνὴρ μακρόθυμος, πολὺς ἐν φρονήσει· ὅτι πάντα τὰ συμβαίνοντα ἐπὶ τὸ τέλος ἀναφέρει, κἀκεῖνο περιμένων, ἀνέχεται τῶν λυπηρῶν· τὸ δὲ τέλος ἐστί, ζωὴ αἰώνιος κατὰ τὸν Ἀπόστολον· αὕτη δὲ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐστὶν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

κε'. Μὴ εὔκολος ἔσο ἐπὶ ἐκβολῇ πνευματικῆς ἀγάπης, διότι ἄλλη σωτηρίας ὁδὸς οὐχ ὑπολέλειπται τοῖς ἀνθρώποις.

κς'. Μὴ τὸν χθὲς πνευματικὸν ἀδελφὸν καὶ ἐνάρετον, διὰ τὸ ἐν σοὶ σήμερον ἐξ ἐπηρείας τοῦ πονηροῦ ἐγγινόμενον μῖσος, κρῖνε φαῦλον καὶ πονηρόν· ἀλλὰ διὰ τῆς μακροθυμούσης ἀγάπης τὰ χθεσινὰ καλὰ λογιζόμενος, τὸ σήμερον μῖσος τῆς ψυχῆς ἀπόβαλε.

κζ'. Μὴ ὃν ἐπῄνεις χθὲς ὡς καλὸν, καὶ ἐνεκωμίαζες ὡς ἐνάρετον, σήμερον ὡς φαῦλον καὶ πονηρὸν κακολογήσῃς, διὰ τὴν σὴν ἐξ ἀγάπης εἰς μῖσος μεταβολὴν, τὸν τοῦ ἀδελφοῦ ψόγον ἀπολογίαν τοῦ ἐν σοὶ πονηροῦ μίσους ποιούμενος· ἀλλὰ τοῖς αὐτοῖς ἐγκωμίοις ἐπίμενον, κἂν ἔτι ὑπὸ τῆς λύπης κεκράτησαι, καὶ εἰς τὴν αὐτὴν σωτήριον ἀγάπην εὐχερῶς ἐπανέρχῃ.

κη'. Μὴ τὸν συνήθη τοῦ ἀδελφοῦ ἔπαινον, διὰ τὴν ἔτι ἐν σοὶ πρὸς αὐτὸν ὑπάρχουσαν κεκρυμμένην λύπην, ἐν τῇ τῶν λοιπῶν ἀδελφῶν συντυχίᾳ νοθεύσῃς, συμπαραμίσγων τοῖς λόγοις λεληθότως τὸν ψόγον· ἀλλὰ καθαρῷ τῷ ἐπαίνῳ ἐν τῇ συντυχίᾳ χρῆσαι, καὶ γνησίως ὑπὲρ αὐτοῦ ὡς σαυτοῦ προσεύχου, καὶ τοῦ ὀλεθρίου μίσους τάχιστα ἀπαλλάττῃ.

κθ'. Μὴ εἴπῃς, οὐ μισῶ τὸν ἀδελφὸν, τὴν μνήμην αὐτοῦ ἀποστρεφόμενος· ἀλλὰ ἄκουσον Μωϋσέως λέγοντος, μὴ μισήσῃς τὸν ἀδελφόν σου τῇ διανοίᾳ σου· ἐλεγμῷ ἐλέγξεις τὸν ἀδελφόν σου, καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν.

λ'. Ἐὰν ἀδελφὸς τυχὸν πειραζόμενος ἐπιμένῃ κακολογῶν σε, ἀλλὰ σύγε μὴ ἐξενεχθῇς τῆς ἀγαπητικῆς καταστάσεως, τοῦ αὐτοῦ πονηροῦ δαίμονος ἐνοχλοῦντος τὴν διάνοιαν· οὐκ ἐξενεχθήσῃ δὲ ταύτης, ἐὰν λοιδορούμενος εὐλογήσῃς, ἐὰν δυσφημούμενος, εὐνοήσῃς· αὕτη ἐστὶν ἡ ὁδὸς τῆς κατὰ Χριστὸν φιλοσοφίας· καὶ ὁ μὴ ταύτην ὁδεύων, οὐ συναυλίζεται αὐτῷ.

Μὴ ὡς εὐνοοῦντας λογίζου, τοὺς λόγους λα'.
σοι φέροντας, λύπην ἐν σοὶ καὶ μῖσος πρὸς τὸν ἀδελφὸν ἐργαζομένους, κἂν ἀληθεύειν δοκῶσιν· ἀλλ' ὡς θανατοῦντας ὄφεις, τοὺς τοιούτους ἀποστρέφου· ἵνα κἀκείνους τοῦ κακολογεῖν ἀνακόψῃς, καὶ τὴν σεαυτοῦ ψυχὴν, πονηρίας ἀπαλλάξῃς.

Μὴ λόγοις δι' αἰνιγμάτων τὸν ἀδελ- λβ'.
φὸν κεντήσῃς, ἵνα μὴ τὰ ὅμοια παρ' αὐτοῦ ἀντιδεχόμενος, τὴν τῆς ἀγάπης διάθεσιν ἐξ ἀμφοτέρων ἀπελάσῃς· ἀλλὰ μετὰ παρρησίας ἀγαπητικῆς, ὕπαγε ἔλεγξον αὐτὸν, ἵνα τὰς αἰτίας τῆς λύπης λύσας, ταραχῆς καὶ λύπης ἀμφοτέρους ἀπαλλάξῃς.

Ἐρεύνησον τὴν συνείδησιν μετὰ πάσης λγ'.
ἀκριβείας, μήποτε τῇ σῇ αἰτίᾳ ὁ ἀδελφὸς οὐ διηλλάγη· καὶ μὴ παραλογίζου ταύτην, τὰ κρυπτά σου γινώσκουσαν, καὶ κατηγοροῦσάν σου ἐν τῷ καιρῷ τῆς ἐξόδου, καὶ ἐν καιρῷ δὲ προσευχῆς πρόσκομμά σοι γενομένην.

Μὴ μνημόνευε ἐν τῷ καιρῷ τῆς εἰρή- λδ'.
νης, τῶν ἐν τῷ καιρῷ τῆς λύπης ὑπὸ τοῦ ἀδελφοῦ λεχθέντων, κἄντε κατὰ πρόσωπον τὰ λυπηρὰ ἐρρέθη, κἄντε πρὸς ἄλλον περὶ σοῦ, καὶ μετὰ ταῦτα ἤκουσας· ἵνα μὴ τῶν λογισμῶν τῆς μνησικακίας ἀνεχόμενος, εἰς τὸ ὀλέθριον μῖσος τοῦ ἀδελφοῦ ὑποστρέψῃς.

Οὐ δύναται ψυχὴ λογικὴ πρὸς ἄν- λε'.
θρωπον μῖσος τρέφουσα, πρὸς τὸν Θεὸν εἰρηνεῦσαι, τὸν τῶν ἐντολῶν δοτῆρα. ἐὰν γὰρ φησὶ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος, ἀφήσει τὰ παραπτώματα ὑμῶν· εἰ δὲ ἐκεῖνος εἰρηνεύειν οὐ θέλει, ἀλλὰ σύγε σεαυτὸν ἀπὸ μίσους φύλαξον, προσευχόμενος ὑπὲρ αὐτοῦ γνη-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σίως, καὶ μὴ κακολογῶν αὐτὸν πρός τινα.

λϛ'. Ἡ τῶν ἁγίων Ἀγγέλων ἄκρα εἰρήνη, ταῖς δυσὶ ταύταις κεκράτηται διαθέσεσι, τῇ τε πρὸς τὸν Θεὸν, καὶ τῇ πρὸς ἀλλήλους ἀγάπῃ· ὁμοίως δὲ, καὶ πάντων τῶν ἀπ᾽ αἰῶνος ἁγίων· παγκάλως οὖν εἴρηται, ὅτι ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὁ νόμος ὅλος, καὶ οἱ προφῆται κρέμανται.

λζ'. Μὴ ἔσο αὐτάρεσκος, καὶ οὐκ ἔσῃ μισάδελφος· καὶ μὴ ἔσο φίλαυτος, καὶ ἔσῃ φιλόθεος.

λη'. Πνευματικοῖς ἀδελφοῖς συζῆσαι προῃρημένος, τοῖς σοῖς θελήμασιν ἀπὸ θυρῶν ἀπόταξαι· οὐ μὴ γὰρ ἑτέρῳ τρόπῳ εἰρηνεῦσαι δυνήσῃ, οὔτε πρὸς τὸν Θεὸν, οὔτε πρὸς τοὺς συζῶντας.

λθ'. Ὁ τελείαν ἀγάπην κτήσασθαι δυνηθεὶς, καὶ ὅλον τὸν βίον αὐτοῦ πρὸς ταύτην ῥυθμίσας, οὗτος λέγει, Κύριον Ἰησοῦν ἐν Πνεύματι Ἁγίῳ.

μ'. Ἡ μὲν εἰς Θεὸν ἀγάπη, εἰς τὴν θείαν ὁμιλίαν ἀεὶ φιλεῖ πτεροῦσαι τὸν νοῦν· ἡ δὲ εἰς τὸν πλησίον, ἀεὶ καλὰ λογίζεσθαι περὶ αὐτοῦ παρασκευάζει.

μα'. Τοῦ ἔτι δόξαν ἀγαπῶντος κενὴν, ἢ τινι τῶν ὑλικῶν πραγμάτων προσκειμένου ἐστὶ, τὸ πρὸς ἀνθρώπους λυπεῖσθαι διὰ πρόσκαιρα, ἢ μνησικακεῖν αὐτοῖς, ἢ μῖσος ἔχειν πρὸς αὐτοὺς, ἢ λογισμοῖς δουλεύειν αἰσχροῖς· τῆς δὲ φιλοθέου ψυχῆς, πάντα ταῦτα ἀλλότρια.

μβ'. Ὅταν μηδὲν εἴπῃς, μηδὲ πράξῃς αἰσχρὸν κατὰ διάνοιαν· καὶ ὅταν τῷ ζημιώσαντι, ἢ κακολογήσαντι μὴ μνησικακῇς, καὶ ὅταν ἐν τῷ καιρῷ τῆς προσευχῆς ἄϋλον, καὶ ἀνείδεον ἀεὶ ἔχῃς τὸν νοῦν, τότε γνῶθι, ὅτι ἔφθασας εἰς τὸ μέτρον τῆς ἀπαθείας, καὶ τῆς τελείας ἀγάπης.

μγ'. Οὐ μικρὸς ἀγὼν κενοδοξίας ἀπαλλαγῆναι· ἀπαλλάττεται δέ τις, διὰ κρυπτῆς τῶν ἀρετῶν ἐργασίας, καὶ συχνοτέρας προσευχῆς· σημεῖον δὲ τῆς ἀπαλλαγῆς, τὸ μηκέτι μνησικακεῖν τῷ κακολογήσαντι, ἢ κακολογοῦντι.

μδ'. Εἰ θέλεις εἶναι δίκαιος, ἀπόνεμε ἑκάστῳ τῶν ἐν σοὶ μερῶν τὰ κατ᾽ ἀξίαν· ψυχῇ λέγω καὶ σώματι· καὶ τῷ μὲν λογιστικῷ τῆς ψυχῆς, ἀναγνώσματα, καὶ θεωρήματα πνευματικὰ, καὶ προσευχήν· τῷ δὲ θυμικῷ, ἀγάπην πνευματικὴν, τὴν τῷ μίσει ἀντικειμένην· τῷ δὲ ἐπιθυμητικῷ, σωφροσύνην, καὶ ἐγκράτειαν· τῷ δὲ σαρκίῳ, διατροφὰς, καὶ σκεπάσματα, τὰ μόνα ἀναγκαιότερα.

με'. Κατὰ φύσιν ὁ νοῦς ἐνεργεῖ, ὅταν τὰ πάθη ἔχῃ ὑποτεταγμένα, καὶ τοὺς λόγους τῶν ὄντων θεωρῇ, καὶ πρὸς τὸν Θεὸν διάγῃ.

μϛ'. Ὥσπερ ὑγεία καὶ νόσος πρὸς τὸ σῶμα θεωρεῖται τοῦ ζώου, καὶ φῶς καὶ σκότος πρὸς τὸν ὀφθαλμόν· οὕτως ἀρετὴ καὶ κακία πρὸς τὴν ψυχὴν, καὶ γνῶσις καὶ ἀγνωσία πρὸς τὸν νοῦν.

μζ'. Ἐν τρισὶ τούτοις ὁ Χριστιανὸς φιλοσοφεῖ· ἐν ταῖς ἐντολαῖς, ἐν τοῖς δόγμασι, καὶ ἐν τῇ πίστει· καὶ αἱ μὲν ἐντολαὶ, τῶν παθῶν τὸν νοῦν χωρίζουσι· τὰ δὲ δόγματα, εἰς τὴν γνῶσιν τῶν ὄντων αὐτὸν εἰσάγουσιν· ἡ δὲ πίστις, εἰς τὴν θεωρίαν τῆς Ἁγίας Τριάδος.

μη'. Οἱ μὲν τῶν ἀγωνιζομένων, ὑποκρούονται μόνον τοὺς ἐμπαθεῖς λογισμοὺς, οἱ δὲ καὶ τὰ πάθη περικόπτουσι· καὶ ἀποκρούεται μέν τις, οἷον ἢ ψαλμῳδίᾳ, ἢ προσευχῇ, ἢ μετεωρισμῷ, ἢ ἄλλῳ τινὶ τοπικῷ περισπασμῷ· ἐκκόπτει δὲ τὰ πάθη, τῶν πραγμάτων ἐκείνων καταφρονῶν, πρὸς ἅπερ τὰ πάθη κέκτηται.

μθ'. Πρὸς ἅπερ τὰ πάθη κεκτήμεθα πράγματα, εἰσὶ ταῦτα· οἷον, γυνὴ, χρήματα, δόξα, καὶ τὰ ἑξῆς· καὶ τῆς μὲν γυναικὸς, τότε δύναταί τις καταφρονεῖν, ὅτε καὶ μετὰ τὴν ἀναχώρησιν, καὶ τὸ σῶμα

ὡς δεῖ

ὡς διὰ δ᾽ ἐγκρατείας μαραίνει· τὴν δὲ χρημάτων, ὅτε πείθει τὸν λογισμὸν ἐν παντὶ, τῇ αὐταρκείᾳ στοιχεῖν· τὴν δὲ δόξης, ὅτε τὴν κρυπτὴν ἀγαπήσῃ τῶν ἀρετῶν ἐργασίαν, καὶ Θεῷ φαινομένην μόνῳ· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· ὁ δὲ τούτων καταφρονῶν, οὐδὲ εἰς μῖσος τινὸς ἔρχεταί ποτε.

ν'. Ὁ μὲν τοῖς πράγμασιν ἀποταξάμενος, οἷον τῇ γυναικὶ, καὶ τοῖς χρήμασι, καὶ τοῖς ἑξῆς, τὸν ἔξω ἄνθρωπον ἐποίησε Μοναχὸν, οὔπω δὲ καὶ τὸν ἔσω· ὁ δὲ τοῖς τούτων ἐμπαθέσι νοήμασι, τὸν ἔσω ἄνθρωπον, ὅς ἐστιν ὁ νοῦς· καὶ τὸν μὲν ἔξω ἄνθρωπον, εὐκόλως τις ποιεῖ Μοναχὸν, μόνον ἐὰν θελήσῃ· οὐκ ὀλίγος δὲ ἀγὼν, τὸν ἔσω ἄνθρωπον ποιῆσαι Μοναχόν·

να'. Τίς ἄρα ἐστὶν ἐν τῇ γενεᾷ ταύτῃ, ὁ παντάπασιν ἀπαλλαγεὶς ἐμπαθῶν νοημάτων, καὶ τῆς καθαρᾶς διὰ παντὸς καὶ ἀΰλου καταξιωθεὶς προσευχῆς, ὅπερ ἐστὶ σημεῖον τοῦ ἔνδον Μοναχοῦ;

νβ'. Πολλὰ πάθη ἐν ταῖς ψυχαῖς ἡμῶν κέκρυπται, τότε δὲ ἐλέγχονται, ὅταν τὰ πράγματα ἀναφαίνωνται.

νγ'. Δύναταί τις μὴ ὀχλεῖσθαι ὑπὸ παθῶν ἐν τῇ τῶν πραγμάτων ἀπουσίᾳ, μερικῆς τυχὼν ἀπαθείας· ἐὰν δὲ ἀναφανῶσι τὰ πράγματα, εὐθὺς τὰ πάθη τὸν νοῦν περισπῶσι.

νδ'. Μὴ νόμιζε τελείαν ἔχειν ἀπάθειαν, τοῦ πράγματος μὴ παρόντος· ὅταν δὲ φανῇ, καὶ μένῃς ἀκίνητος, πρός τε τὸ πρᾶγμα, καὶ τὴν μετὰ ταῦτα μνήμην αὐτοῦ, τότε γνῶθι σεαυτὸν, τῶν ὅρων αὐτῆς ἐπιβεβηκέναι, πλὴν μηδὲ οὕτω καταφρονήσῃς· διότι ἀρετὴ μὲν χρονίζουσα, νεκροῖ τὰ πάθη· ἀμελουμένη δὲ, πάλιν ἐγείρει αὐτά.

νε'. Ὁ ἀγαπῶν τὸν Χριστὸν, πάντως καὶ μιμεῖται αὐτὸν κατὰ δύναμιν· οἷον ὁ Χριστὸς τοὺς ἀνθρώπους εὐεργετῶν οὐκ ἐπαύσατο· καὶ ἀχαριστούμενος καὶ βλασφημούμενος, ἐμακροθύμει· καὶ τυπτόμενος ὑπ᾽ αὐτῶν καὶ φονευόμενος, ὑπέμενε, μηδενὶ τοπαράπαν τὸ κακὸν λογιζόμενος. ταῦτα δὲ τὰ τρία, τὰ ἔργα εἰσὶ τῆς εἰς τὸν πλησίον ἀγάπης, ὧν χωρὶς, ὁ λέγων ἀγαπᾷν τὸν Χριστὸν, ἢ τῆς Βασιλείας αὐτοῦ τυχεῖν, ἑαυτὸν ἀπατᾷ· οὐ γὰρ ὁ λέγων μοι (φησὶ) Κύριε Κύριε, οὗτος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου· καὶ πάλιν, ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει, καὶ τὰ ἑξῆς.

νς'. Ἅπας ὁ σκοπὸς τῶν ἐντολῶν τοῦ Σωτῆρος, ἵνα ἀκρασίας καὶ μίσους τὸν νοῦν ἐλευθερώσῃ· καὶ εἰς τὴν αὐτοῦ ἀγάπην καὶ τοῦ πλησίον ἀγάγῃ, ἐξ ὧν τίκτεται τὸ φέγγος τῆς κατ᾽ ἐνέργειαν ἁγίας γνώσεως.

νζ'. Μερικῆς γνώσεως παρὰ τοῦ Θεοῦ καταξιωθεὶς, μὴ ἀμέλει ἀγάπης καὶ ἐγκρατείας· αὗται γὰρ τὸ παθητικὸν μέρος τῆς ψυχῆς ἐκκαθαίρουσαι, τὴν ἐπὶ τὴν γνῶσιν ὁδὸν ἀεί σοι εὐτρεπίζουσι.

νη'. Ὁδὸς ἐπὶ τὴν γνῶσίν ἐστιν, ἀπάθεια καὶ ταπείνωσις· ὧν χωρὶς, οὐδεὶς ὄψεται τὸν Κύριον.

νθ'. Ἐπειδὴ ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ· σύζευξον τῇ γνώσει τὴν ἀγάπην, καὶ ἔσῃ ἄτυφος καὶ πνευματικὸς οἰκοδόμος, καὶ σεαυτὸν οἰκοδομῶν, καὶ πάντας τοὺς ἐγγίζοντάς σοι.

ξ'. Ἐντεῦθεν ἡ ἀγάπη, ἐπειδὴ οὐδὲ φθονεῖ, οὐδὲ πρὸς τοὺς φθονοῦντας πικραίνεται, οὐδὲ τὸ φθονούμενον δημοσιεύει ἐπιδεικτικῶς, οὐδὲ λογίζεται σκοπὸν ἤδη κατειληφέναι· καὶ ὧν οὐκ οἶδεν ὁμολογεῖ ἀνερυθριάστως τὴν ἄγνοιαν, οὕτως οὖν τὸν νοῦν ἄτυφον ἀπεργάζεται, καὶ προκόπτειν εἰς τὴν γνῶσιν ἀεὶ παρασκευάζει.

ξα'. Πεφυκότως παρέπεται τῇ γνώσει ἡ οἴησις, καὶ ὁ φθόνος, ἐν προοιμίοις μάλιστα· καὶ ἡ μὲν οἴησις, ἔνδοθεν μόνον·

ὁ δὲ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὁ δὲ φθόνος, καὶ ἔνδοθεν καὶ ἔξωθεν· καὶ ἔνδοθεν μὲν, πρὸς τοὺς ἔχοντας γνῶσιν· ἔξωθεν δὲ, ἀπὸ τῶν ἐχόντων ἄγνοιαν. ἡ οὖν ἀγάπη, τὰ τρία ἀνατρέπει· τὴν μὲν οἴησιν, ἐπειδὴ οὐ φυσιοῦται· τὸν δὲ ἔνδον φθόνον, ἐπεὶ οὐ ζηλοῖ· τὸν δὲ ἔξωθεν, ἐπειδὴ μακροθυμεῖ, καὶ χρηστεύεται· ἀνάγκη οὖν τὸν ἔχοντα γνῶσιν, προσλαβέσθαι καὶ τὴν ἀγάπην, ἵνα ἄτρωτον τὸν νοῦν ἐν παντὶ διαφυλάττῃ.

ξβʹ. Ὁ τοῦ χαρίσματος τῆς γνώσεως καταξιωθεὶς, καὶ λύπην, ἢ μνησικακίαν, ἢ μῖσος πρὸς ἄνθρωπον ἔχων, ὅμοιός ἐστι τῷ ἀκάνθαις καὶ τριβόλοις τοὺς ὀφθαλμοὺς κατακεντοῦντι· διὸ ἀναγκαίως δεῖται ἡ γνῶσις τῆς ἀγάπης

ξγʹ. Μὴ ὅλην τὴν σχολήν σου περὶ τὴν σάρκα ἔχε, ἀλλὰ ὅρισον αὐτῇ τὴν κατὰ δύναμιν ἄσκησιν, καὶ ὅλον τὸν νοῦν σου περὶ τὰ ἔνδον τρέψον. ἡ γὰρ σωματικὴ γυμνασία, πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια, πρὸς πάντα ἐστὶν ὠφέλιμος, καὶ τὰ ἑξῆς.

ξδʹ. Ὁ ἀδιαλείπτως περὶ τὰ ἔνδον τὰς διατριβὰς ποιούμενος, σωφρονεῖ, μακροθυμεῖ, χρηστεύεται, ταπεινοφρονεῖ· οὐ μόνον δὲ, ἀλλὰ καὶ θεωρεῖ, καὶ θεολογεῖ, καὶ προσεύχεται· καὶ τοῦτό ἐστιν, ὃ λέγει ὁ Ἀπόστολος, πνεύματι περιπατεῖτε, καὶ τὰ ἑξῆς.

ξεʹ. Ὁ τὴν πνευματικὴν ὁδὸν ὁδεύειν μὴ ἐπιστάμενος, τῶν ἐμπαθῶν νοημάτων οὐ ποιεῖται φροντίδα· ἀλλ᾽ ὅλην τὴν σχολὴν περὶ τὴν σάρκα ἔχει· καὶ ἢ γαστριμαργεῖ καὶ ἀκολασταίνει, λυπεῖται, καὶ ὀργίζεται, καὶ μνησικακεῖ, καὶ ἐντεῦθεν τὸν νοῦν σκοτίζει· ἢ ἀμέτρως τῇ ἀσκήσει κέχρηται, καὶ θολοῖ τὴν διάνοιαν.

ξϛʹ. Οὐδὲν τῶν ἐκ Θεοῦ εἰς χρῆσιν ἡμῖν δοθέντων, ἀναιρεῖ ἡ γραφή· ἀλλὰ τὴν ἀμετρίαν κολάζει, καὶ τὴν ἀλογιστίαν διορθοῦται· οἷον, οὐ κωλύει ἐσθίειν· οὐδὲ παιδοποιεῖν· οὐδὲ χρήματα ἔχειν καὶ ὀρθῶς διοικεῖν· ἀλλὰ κωλύει γαστριμαργεῖν, πορνεύειν, καὶ τὰ ἑξῆς. ἀλλ᾽ οὐδὲ τὸ νοεῖν ταῦτα κωλύει, διὰ τοῦτο γὰρ καὶ γεγόνασιν· ἀλλὰ τὸ ἐμπαθῶς νοεῖν.

Τὰ μὲν τῶν ὑφ᾽ ἡμῶν κατὰ Θεὸν πραττομένων, κατ᾽ ἐντολὴν πράττεται· τὰ δὲ, οὐ κατ᾽ ἐντολὴν, ἀλλ᾽ ὡς ἄν τις εἴποι, καθ᾽ ἑκούσιον προσφοράν· οἷον, κατ᾽ ἐντολὴν μὲν, τὸ ἀγαπᾶν τὸν Θεὸν καὶ τὸν πλησίον, τὸ ἀγαπᾶν τοὺς ἐχθροὺς, τὸ μὴ μοιχεύειν, καὶ φονεύειν, καὶ τὰ λοιπὰ, ἅτινα καὶ παραβαίνοντες κατακρινόμεθα. οὐ κατ᾽ ἐντολὴν δὲ, τὸ παρθενεύειν· ἡ ἀγαμία, ἡ ἀκτημοσύνη, ἡ ἀναχώρησις, καὶ τὰ ἑξῆς. ἵνα ἐὰν τινὰς τῶν ἐντολῶν τοῦ Χριστοῦ, κατορθῶσαι ἐξ ἀσθενείας μὴ δυνηθῶμεν, διὰ τῶν δώρων τὸν ἀγαθὸν ἡμῶν ἐξιλεωσώμεθα Δεσπότην. ξζʹ.

Ὁ τὴν ἀγαμίαν τιμῶν, ἢ παρθενίαν, ἀναγκαίως ὀφείλει ἔχειν τὴν ὀσφὺν περιεζωσμένην, καὶ τὸν λύχνον καιόμενον· τὴν μὲν ὀσφὺν, δι᾽ ἐγκρατείας· τὸν δὲ λύχνον διὰ προσευχῆς, καὶ θεωρίας, καὶ ἀγάπης πνευματικῆς. ξηʹ.

Τινὲς τῶν ἀδελφῶν, ἐκτὸς ἑαυτοὺς εἶναι νομίζουσι τῶν τοῦ Ἁγίου Πνεύματος χαρισμάτων· οὐ γὰρ ἴσασι διὰ τὴν ἀμέλειαν τῆς τῶν ἐντολῶν ἐργασίας, ὅτι ὁ τὴν εἰς Χριστὸν πίστιν ἀνόθευτον ἔχων, πάντα τὰ θεῖα χαρίσματα συλλήβδην ἔχει ἐν ἑαυτῷ. ἐπειδὴ γὰρ τῆς εἰς αὐτὸν κατ᾽ ἐνέργειαν ἀγάπης, διὰ τὴν ἀργίαν μακρὰν ἐσμὲν τῆς δεικνυούσης ἡμῖν τοὺς ἐν ἡμῖν θείους θησαυροὺς, εἰκότως ἐκτὸς ἑαυτοὺς τῶν θείων νομίζομεν χαρισμάτων. ξθʹ.

Εἰ ὁ Χριστὸς ἐν ταῖς καρδίαις ἡμῶν κατοικεῖ διὰ τῆς πίστεως, κατὰ τὸν θεῖον Ἀπόστολον, πάντες δὲ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἐν αὐτῷ εἰσιν ἀπόκρυφοι· πάντες ἄρα οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως, ἐν ταῖς καρ- οʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

οὐσίαις ἡμῶν εἰσὶν ἀπόκρυφοι· φανεροῦνται δὲ τῇ καρδίᾳ, κατὰ τὴν ἀναλογίαν τῆς ἑκάστου διὰ τῶν ἐντολῶν καθάρσεως.

οα'. Οὗτός ἐστιν ὁ θησαυρὸς ὁ ἐν τῷ ἀγρῷ κεκρυμμένος τῆς καρδίας σου, ὃν οὔπω εὗρες διὰ τὴν ἀργίαν· εἰ γὰρ εὗρες, ἄρα ἂν πέπρακας πάντα, καὶ ἐκτήσω τὸν ἀγρὸν τοῦτον· νῦν δὲ τὸν ἀγρὸν ἀφεὶς, τὰ περὶ τὸν ἀγρὸν περιέπεις, ἐν οἷς οὐδὲν ἄλλο εὑρίσκεται, πλὴν ἀκανθῶν καὶ τριβόλων.

οβ'. Διὰ τοῦτο λέγει ὁ σωτὴρ, μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται· τότε δὲ ὄψονται αὐτὸν, καὶ τοὺς ἐν αὐτῷ θησαυροὺς, ὅτε διὰ ἀγάπης καὶ ἐγκρατείας ἑαυτοὺς καθαίρουσι. καὶ τοσούτῳ πλέον, ὅσῳ τὴν κάθαρσιν ἐπιτείνουσι.

ογ'. Διὰ τοῦτο πάλιν λέγει· πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην, καὶ ἰδοὺ πάντα ὑμῖν καθαρὰ ἔσται· ὡς μηκέτι τοῖς περὶ τὸ σῶμα σχολαζόντων πράγμασιν, ἀλλὰ τὸν νοῦν καθαίρειν σπευδόντων, ἀπὸ μίσους καὶ ἀκρασίας, ὃν καρδίαν ὀνομάζει ὁ Κύριος· ταῦτα γὰρ τὸν νοῦν ῥυποῦντα οὐκ ἐῶσι βλέπειν τὸν ἐν αὐτῷ κατοικοῦντα Χριστὸν διὰ τῆς χάριτος τοῦ Ἁγίου Βαπτίσματος.

οδ'. Ὁδοὺς ἡ γραφὴ τὰς ἀρετὰς ὀνομάζει· μείζων δὲ πασῶν ἀρετῶν, ἡ ἀγάπη καθέστηκε. διὰ τοῦτο ἔλεγεν ὁ Ἀπόστολος· ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι, ὡς καταφρονεῖν πείθουσαν τῶν ὑλικῶν πραγμάτων, καὶ μηδὲν τῶν προσκαίρων προτιμᾶν τῶν αἰωνίων.

οε'. Ἡ εἰς Θεὸν ἀγάπη, ἀνθίσταται τῇ ἐπιθυμίᾳ· πείθει γὰρ τὸν νοῦν ἐγκρατεύεσθαι ἀπὸ τῶν ἡδονῶν· ἡ δὲ εἰς τὸν πλησίον, ἀνθίσταται τῷ θυμῷ· ποιεῖ γὰρ καταφρονεῖν δόξης καὶ χρημάτων· καὶ ταῦτά εἰσι τὰ δύο δηνάρια, ἅπερ ὁ σωτὴρ δέδωκε τῷ πανδοχεῖ, ἵνα σου ἐπιμέλειαν ποιήσηται. ἀλλὰ μὴ φανῇς ἀγνώμων, τοῖς λῃσταῖς συνδυάζων, μήποτε πάλιν πληγῇς, καὶ οὐκέτι ἡμιθανὴς, ἀλλὰ νεκρὸς εὑρεθήσῃ.

Κάθαρον τὸν νοῦν σου ἀπὸ ὀργῆς, καὶ μνησικακίας, καὶ τῶν αἰσχρῶν λογισμῶν· καὶ τότε δυνήσῃ γνῶναι τὴν τοῦ Θεοῦ ἐνοίκησιν. ος'.

Τίς σε ἐφώτισεν εἰς τὴν πίστιν τῆς ἁγίας καὶ ὁμοουσίου καὶ προσκυνητῆς Τριάδος; ἢ τίς σοι ἐγνώρισε τὴν ἔνσαρκον οἰκονομίαν τοῦ ἑνὸς τῆς Ἁγίας Τριάδος; τίς δέ σε ἐδίδαξε, τοὺς περὶ ἀσωμάτων λόγους; ἢ τοὺς περὶ γενέσεως καὶ συντελείας τοῦ ὁρωμένου κόσμου; ἢ περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως καὶ αἰωνίου ζωῆς; ἢ περὶ τῆς δόξης τῆς βασιλείας τῶν οὐρανῶν, καὶ τῆς φοβερᾶς κρίσεως; οὐχὶ ἡ χάρις τοῦ Χριστοῦ ἡ ἐνοικοῦσα ἐν σοί; ἥτις ἐστὶν ὁ ἀῤῥαβὼν τοῦ Ἁγίου Πνεύματος· τί μεῖζον ταύτης τῆς χάριτος; ἢ τί κρεῖττον ταύτης τῆς σοφίας, καὶ τῆς γνώσεως; ἢ τί τούτων τῶν ἐπαγγελιῶν ὑψηλότερον; εἰ δὲ ἐσμὲν ἀργοὶ καὶ ἀμελεῖς, καὶ μὴ καθαίρομεν ἑαυτοὺς τῶν μολυνόντων ἡμᾶς, καὶ τὸν νοῦν ἡμῶν ἐκτυφλούντων παθῶν, ὥστε δύνασθαι καὶ τρανώτερον ἡλίου τοὺς περὶ τούτων λόγους ὁρᾶν, ἑαυτοὺς αἰτιασώμεθα, καὶ μὴ τὴν τῆς χάριτος ἐνοίκησιν ἀρνησώμεθα. οζ'.

Ὁ ἐπαγγειλάμενός σοι Θεὸς τὰ αἰώνια ἀγαθὰ, καὶ τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος ἐν τῇ καρδίᾳ δεδωκὼς, ἐνετείλατό σοι ἐπιμελεῖσθαί σε τοῦ βίου, ἵνα ὁ ἔσω ἄνθρωπος τῶν παθῶν ἐλευθερωθεὶς, ἄρξηται ἀπεντεῦθεν τῆς τῶν μελλόντων ἀγαθῶν ἀπολαύσεως. οη'.

Τῶν θείων καὶ ὑψηλῶν καταξιωθεὶς θεωρημάτων, σφόδρα ἐπιμελοῦ ἀγάπης, καὶ ἐγκρατείας· ἵνα τὸ παθητικὸν ἀτάραχον διαφυλάττων, ἀνέκλειπτον ἕξεις τὸ τῆς ψυχῆς σου φέγγος. οθ'.

Τὸ θυμικὸν τῆς ψυχῆς, ἀγάπῃ χαλίνωσον· καὶ τὸ ἐπιθυμητικὸν αὐτῆς, ἐγκρατείᾳ καταμάρανον· καὶ τὸ λογιστικὸν π'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

αὐτῆς, προσευχῇ πτέρωσον, καὶ τὸ φῶς τὸ ταύτης οὐκ ἀμαυροῦται ποτέ.

πα'. Τὰ τὴν ἀγάπην λύοντα εἰσὶ ταῦτα· οἷον, ἀτιμία, ζημία, συκοφαντία, ἢ εἰς πίστιν, ἢ εἰς βίον, δαρμοί, πληγαί, καὶ τὰ ἑξῆς. καὶ ταῦτα, ἢ αὐτῷ συμβαίνοντα, ἢ τινι τῶν συγγενῶν, ἢ φίλων. ὁ οὖν διὰ τούτων λύων τὴν ἀγάπην, οὔπω ἔγνω τίς ὁ σκοπὸς τῶν τοῦ Χριστοῦ ἐντολῶν.

πβ'. Σπούδασον ὅσον δύνασαι πάντα ἄνθρωπον ἀγαπῆσαι· εἰ δὲ τοῦτο οὔπω δύνασαι, κἂν μηδένα μισήσῃς· οὐδύνασαι δὲ οὐδὲ τοῦτο ποιῆσαι, εἰμὴ τῶν τοῦ κόσμου πραγμάτων καταφρονήσῃς.

πγ'. Ὁ δεῖνα ἐβλασφήμησε; μὴ μισήσῃς ἐκεῖνον, ἀλλὰ τὴν βλασφημίαν· καὶ τὸν βλασφημῆσαι παρασκευάσαντα δαίμονα· εἰ δὲ τὸν βλασφημήσαντα μισεῖς, ἄνθρωπον ἐμίσησας, καὶ τὴν ἐντολὴν παρέβης· καὶ ὅπερ ἐκεῖνος τῷ λόγῳ ἐποίησε, ποιεῖς σὺ τῷ ἔργῳ· εἰ δὲ τὴν ἐντολὴν φυλάττεις, τὰ τῆς ἀγάπης ἐπίδειξαι· καὶ εἴτι δύνασαι βοήθησον, ἵνα τοῦ κακοῦ αὐτὸν ἀπαλλάξῃς.

πδ'. Οὐ θέλει σε ὁ Χριστὸς μῖσος ἔχειν πρὸς ἄνθρωπον, ἢ λύπην, ἢ ὀργήν, ἢ μνησικακίαν τὸ σύνολον, καθ' οἱονδήποτε πρᾶγμα πρόσκαιρον· καὶ τοῦτο παντὶ βοῶσι τὰ τέσσαρα Εὐαγγέλια.

πε'. Πολλοί ἐσμεν οἱ λέγοντες, ὀλίγοι δὲ οἱ ποιοῦντες· ἀλλ' οὖν τὸν λόγον τοῦ Θεοῦ, οὐδεὶς ὤφειλε νοθεύειν διὰ τὴν ἰδίαν ἀμέλειαν, ἀλλ' ὁμολογεῖν μὲν τὴν ἑαυτοῦ ἀσθένειαν, μὴ ἀποκρύπτειν δὲ τὴν τοῦ Θεοῦ ἀλήθειαν· ἵνα μὴ ὑπόδικοι γενώμεθα μετὰ τῆς τῶν ἐντολῶν παραβάσεως, καὶ τῆς τοῦ λόγου Θεοῦ παρεξηγήσεως.

πς'. Ἀγάπη καὶ ἐγκράτεια, παθῶν τὴν ψυχὴν ἐλευθεροῦσιν· ἀνάγνωσις, καὶ θεωρία, ἀγνοίας τὸν νοῦν ἀπαλλάττουσιν. ἡ δὲ τῆς προσευχῆς κατάστασις, αὐτῷ παρίστησιν αὐτὸν τῷ Θεῷ.

πζ'. Ὅταν ἴδωσιν ἡμᾶς οἱ δαίμονες τῶν πραγμάτων τοῦ κόσμου καταφρονοῦντας, ἵνα μὴ δι' αὐτὰ τοὺς ἀνθρώπους μισήσωμεν, καὶ τῆς ἀγάπης ἐκπέσωμεν· τότε συκοφαντίας καθ' ἡμῶν ἐγείρουσιν, ἵνα τὴν λύπην μὴ φέροντες, τοὺς συκοφαντήσαντας μισήσωμεν.

πη'. Οὐκ ἔστι πόνος ψυχῆς, βαρύτερος συκοφαντίας, κἄν τε εἰς πίστιν, κἄν τε εἰς βίον τὶς συκοφαντεῖται· καὶ οὐδεὶς ταύτης καταφρονεῖν δύναται, εἰμὴ μόνος ὁ εἰς Θεὸν ἀποβλεπόμενος· ὡς ἡ Σωσάννα, τὸν μόνον δυνάμενον καὶ ἐξ ἀνάγκης ῥύσασθαι, ὥσπερ κἀκείνην· καὶ τοὺς ἀνθρώπους πληροφορῆσαι ὡς περὶ ἐκείνης· καὶ τὴν ψυχὴν τῇ ἐλπίδι παραμυθήσασθαι.

πθ'. Ὅσον σὺ εὔχῃ ἐκ τῆς ψυχῆς ὑπὲρ τοῦ συκοφαντήσαντος, τοσοῦτον καὶ ὁ Θεὸς πληροφορεῖ τοὺς σκανδαλισθέντας.

ϙ'. Φύσει ἀγαθὸς, μόνος ὁ Θεός· καὶ γνώμῃ ἀγαθὸς, μόνος ὁ θεομίμητος· σκοπὸς γὰρ αὐτῷ ἐστί, τῷ φύσει ἀγαθῷ, τοὺς πονηροὺς συνάψαι, ἵνα γένωνται ἀγαθοί· διὰ τοῦτο ὑπ' αὐτῶν λοιδορούμενος, εὐλογεῖ· διωκόμενος, ἀνέχεται· βλασφημούμενος, παρακαλεῖ· φονευόμενος, ὑπερεύχεται· πάντα ποιεῖ, ἵνα τοῦ σκοποῦ τῆς ἀγάπης μὴ ἐκπέσῃ· ἥτις ἐστὶν αὐτὸς ὁ Θεὸς ἡμῶν.

ϙα'. Αἱ μὲν ἐντολαὶ τοῦ Κυρίου, διδάσκουσιν ἡμᾶς τοῖς μέσοις εὐλόγως χρήσασθαι πράγμασιν· ἡ δὲ εὔλογος τῶν μέσων χρῆσις, τὴν τῆς ψυχῆς καθαίρει κατάστασιν· ἡ δὲ καθαρὰ κατάστασις, τίκτει τὴν διάκρισιν· ἡ δὲ διάκρισις, τίκτει τὴν ἀπάθειαν· ἐξ ἧς τίκτεται ἡ τελεία ἀγάπη.

ϙβ'. Οὔπω ἔχει τὴν ἀπάθειαν, ὁ διὰ σύμβασιν πειρασμοῦ, τὸ ἐλάττωμα τοῦ φίλου παραβλέπειν μὴ δυνάμενος· ἢ ὂν τυχὸν, ἢ εἶναι δοκοῦν. τὰ γὰρ ἐγκείμενα τῇ ψυχῇ πάθη ἐκταρασσόμενα, ἐκτυφλοῖ τὴν διάνοιαν· καὶ οὐκ ἐᾷ διαβλέψαι



Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἰς τὰς τῆς ἀληθείας αὐγάς· οὐδὲ διακρῖναι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος. οὐκ ἄρα οὐδὲ τὴν τελείαν ἀγάπην ὁ τοιοῦτος ἐκτήσατο, τὴν ἔξω βάλλουσαν τὸν φόβον τῆς κρίσεως.

ϟγʹ. Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα· ἐπειδὴ τὰς τοῦ φίλου συμφορὰς, ἰδίας λογίζεται· καὶ συνυποφέρει αὐτῷ μέχρι θανάτου κακοπαθῶν.

ϟδʹ. Πολλοὶ μὲν οἱ φίλοι, ἀλλ' ἐν καιρῷ εὐημερίας. ἐν δὲ καιρῷ πειρασμῶν, μόλις ἂν εὑρήσεις ἕνα.

ϟεʹ. Πάντα ἄνθρωπον ἐκ ψυχῆς ἀγαπητέον· ἐπὶ τῷ Θεῷ δὲ μόνῳ τὴν ἐλπίδα θετέον· καὶ ἐξ ὅλης ἰσχύος αὐτὸν θεραπευτέον. ἐφ' ὅσον γὰρ αὐτὸς ἡμᾶς συντηρεῖ, οἵτε φίλοι πάντες ἡμᾶς περιέπουσι· καὶ οἱ ἐχθροὶ πάντες πρὸς ἡμᾶς ἀδυνατοῦσιν· ἐπὰν δὲ αὐτὸς ἡμᾶς ἐγκαταλίπῃ, οἵτε φίλοι πάντες ἡμᾶς ἀποστρέφονται, καὶ οἱ ἐχθροὶ πάντες καθ' ἡμῶν ἰσχύουσι.

ϟϛʹ. Τέσσαρές εἰσι γενικοὶ ἐγκαταλείψεως τρόποι· ἡ οἰκονομικὴ, ὡς ἐπὶ τοῦ Κυρίου· ἵνα διὰ τῆς δοκούσης ἐγκαταλείψεως, οἱ ἐγκαταλελειμμένοι σωθῶσιν. ἡ δὲ πρὸς δοκιμὴν, ὡς ἐπὶ τοῦ Ἰὼβ, καὶ Ἰωσήφ· ἵνα ὁ μὲν ἀνδρείας, ὁ δὲ σωφροσύνης στῆλαι ἀναφανῶσιν· ἡ δὲ, πρὸς παίδευσιν πατρικὴν, ὡς ἐπὶ τοῦ Ἀποστόλου, ἵνα ταπεινοφρονῶν, τὴν ὑπερβολὴν φυλάξῃ τῆς χάριτος· ἡ δὲ κατὰ ἀποστροφὴν, ὡς ἐπὶ τῶν Ἰουδαίων, ἵνα κολαζόμενοι, πρὸς μετάνοιαν ἀνακαμφθῶσιν. σωτήριοι δὲ πάντες οἱ τρόποι ὑπάρχουσι, καὶ τῆς θείας ἀγαθότητος καὶ φιλανθρωπίας ἀνάμεστοι.

ϟζʹ. Μόνοι οἱ ἀκριβεῖς τῶν ἐντολῶν φύλακες, καὶ γνήσιοι τῶν θείων κριμάτων μύσται, τοὺς κατὰ συγχώρησιν Θεοῦ πειραζομένους οὐ καταλιμπάνουσι φίλους. οἱ δὲ τῶν ἐντολῶν καταφρονηταὶ, καὶ τῶν θείων κριμάτων ἀμύητοι, ὅταν μὲν ὁ φίλος εὐημερῇ, συναπολαύουσιν αὐτῷ· ἐπὰν δὲ πειραζόμενος κακοπαθῇ, καταλιμπάνουσιν αὐτόν· ἔστι δὲ ὅτε καὶ μετὰ τῶν ἐναντίων ἵστανται.

ϟηʹ. Οἱ μὲν τοῦ Χριστοῦ φίλοι, πάντας ἀγαπῶσι γνησίως· οὐχ ὑπὸ πάντων δὲ ἀγαπῶνται· οἱ δὲ τοῦ κόσμου φίλοι, οὐδὲ ὑπὸ πάντων ἀγαπῶνται. καὶ οἱ μὲν τοῦ Χριστοῦ, μέχρι τέλους τὴν συνέχειαν τῆς ἀγάπης διατηροῦσιν· οἱ δὲ τοῦ κόσμου, μέχρις οὗ ἀλλήλοις διὰ τοῦ κόσμου προσκρούσωσιν.

ϟθʹ. Φίλος πιστὸς, σκέπη κραταιά· ἐπειδὴ καὶ εὐημεροῦντι τῷ φίλῳ σύμβουλός ἐστιν ἀγαθὸς, καὶ συνεργὸς σύμψυχος· καὶ κακοπαθοῦντι ἀντιλήπτωρ γνησιώτατος, καὶ ὑπέρμαχος συμπαθέστατος.

ρʹ. Πολλοὶ μὲν πολλὰ περὶ ἀγάπης εἰρήκασιν, ἐν μόνοις δὲ τοῖς τοῦ Χριστοῦ μαθηταῖς ταύτην ζητήσας, εὑρήσεις. ἐπειδὴ μόνοι αὐτοὶ εἶχον τὴν ἀληθινὴν ἀγάπην τῆς ἀγάπης διδάσκαλον· περὶ ἧς ἔλεγον· ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν· ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. ὁ οὖν κτησάμενος τὴν ἀγάπην, αὐτὸν τὸν Θεὸν ἐκτήσατο· ἐπειδὴ ὁ Θεὸς, ἀγάπη ἐστίν· αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας· Ἀμήν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ
## ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΜΑΞΙΜΟΥ
## ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ,

Περὶ Θεολογίας καὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Υἱοῦ τοῦ Θεοῦ, πρὸς Θαλάσσιον· Κεφάλ. σ΄.

## ΕΚΑΤΟΝΤΑΣ ΠΡΩΤΗ.

α΄. Εἷς Θεός, ἄναρχος, ἀκατάληπτος, ὅλην ἔχων τοῦ εἶναι τὴν δύναμιν δι' ὅλου· τὴν πότε καὶ πῶς εἶναι παντάπασιν ἀπωθούμενος ἔννοιαν· ὡς πᾶσιν ἄβατος, καὶ μηδενὶ τῶν ὄντων ἐκ φυσικῆς ἐμφάσεως διεγνωσμένος.

β΄. Ὁ Θεός, οὐκ ἔστι δι' ἑαυτὸν ὡς ἡμᾶς εἰδέναι δυνατόν· οὔτε ἀρχή, οὔτε μεσότης, οὔτε τέλος, οὔτε τι τοιοῦτον ἕτερον τῶν τοῖς μετ' αὐτὸν φυσικῶς ἐνθεωρουμένων· ἀόριστος γάρ ἐστι, καὶ ἀκίνητος, καὶ ἄπειρος, ὡς πάσης οὐσίας, καὶ δυνάμεως, καὶ ἐνεργείας ὑπερέκεινα ἀπείρως ὤν.

γ΄. Πᾶσα οὐσία τὸν ἑαυτῆς ὅρον ἑαυτῇ συνεισάγουσα, ἀρχὴ πέφυκεν εἶναι τῆς ἐπιθεωρουμένης αὐτῇ κατὰ δύναμιν κινήσεως· πᾶσα δὲ φυσικὴ πρὸς ἐνέργειαν κίνησις, τῆς μὲν οὐσίας μετεπινοουμένη· προεπινοουμένη δὲ τῆς ἐνεργείας, μεσότης ἐστίν, ὡς ἀμφοῖν κατὰ τὸ μέσον φυσικῶς διειλημμένη· καὶ πᾶσα ἐνέργεια τῷ κατ' αὐτὴν λόγῳ φυσικῶς περιγραφομένη, τέλος ἐστὶ τῆς πρὸ αὐτῆς κατ' ἐπίνοιαν οὐσιώδους κινήσεως.

δ΄. Οὐκ ἔστιν ὁ Θεὸς οὐσία, κατὰ τὴν ἁπλῶς, ἢ πῶς λεγομένην οὐσίαν, ἵνα καὶ ἀρχή· οὔτε δύναμις κατὰ τὴν ἁπλῶς, ἢ πῶς λεγομένην δύναμιν, ἵνα καὶ μεσότης· οὔτε ἐνέργεια, κατὰ τὴν ἁπλῶς ἢ πῶς λεγομένην ἐνέργειαν, ἵνα καὶ τέλος ᾖ τῆς κατὰ δύναμιν προεπινοουμένης οὐσιώδους κινήσεως· ἀλλ' οὐσιοποιὸς καὶ ὑπερούσιος ὀντότης· καὶ δυναμοποιὸς καὶ ὑπὲρ δύναμιν ἵδρυσις· καὶ πάσης ἐνεργείας δραστική, καὶ ἀτελεύτητος ἕξις· καὶ συντόμως εἰπεῖν, πάσης οὐσίας, καὶ δυνάμεως, καὶ ἐνεργείας, ἀρχῆς τε, καὶ μεσότητος, καὶ τέλους ποιητική.

ε΄. Ἡ ἀρχὴ καὶ ἡ μεσότης καὶ τὸ τέλος, τῶν χρόνῳ διαιρετῶν εἰσι γνωρίσματα· εἴποι δ' αὖτις ἀληθεύων, καὶ τῶν ἐν αἰῶνι συνορωμένων· ὁ μὲν γὰρ χρόνος, μεμετρημένην ἔχων τὴν κίνησιν ἀριθμῷ περιγράφεται· ὁ αἰὼν δὲ συνεπινοουμέ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὴν ἔχων τῇ ὑπάρξει τὴν ποτὲ κατηγορίαν, πάσχει διάστασιν, ὡς ἀρχὴν τοῦ εἶναι λαβών· οὐδὲ χρόνος καὶ αἰὼν οὐκ ἄναρχα, πολλῷ μᾶλλον τὰ ἐν τούτοις περιεχόμενα.

ς'. Εἷς καὶ μόνος κατὰ φύσιν ἀεὶ Κυρίως ἐστὶν ὁ Θεός, ὅλον τὸ Κυρίως εἶναι κατὰ πάντα τρόπον ἑαυτῷ περικλείων, ὡς καὶ αὐτοῦ τοῦ Κυρίως ὑπέρτερος· εἰ δὲ τοῦτο, οὐδαμῶς οὐδὲν οὐδαμοῦ τῶν εἶναι λεγομένων παντελῶς ἔχει τὸ Κυρίως εἶναι· οὐκοῦν οὐδὲν αὐτῷ τὸ παράπαν ἐξ ἀϊδίου συνθεωρεῖται κατ' οὐσίαν διάφορον· οὐκ αἰών, οὐ χρόνος, οὔτε τι τῶν τούτοις ἐνδιαιτωμένων. οὐ γὰρ συμβαίνουσιν ἀλλήλοις πώποτε, τὸ Κυρίως ὄν, καὶ οὐ Κυρίως.

ζ'. Ἀρχὴ πᾶσα, καὶ μεσότης, καὶ τέλος, εἰς ἅπαν τὴν σχετικὴν διόλου κατηγορίαν οὐκ ἤρνηται· Θεὸς δὲ καθόλου πάσης σχέσεως ὑπάρχων ἀπειράκις ἀπείρως ἀνώτερος, οὔτε ἀρχή, οὔτε μεσότης, οὔτε τέλος εἰκότως ἐστίν· οὐδέ τι παντελῶς ἕτερον, τῶν οἷς ἐνθεωρεῖσθαι κατὰ τὴν σχέσιν ἡ τοῦ πρός τι δύναται κατηγορία.

η'. Πάντα τὰ ὄντα, νοούμενα λέγεται· τῶν ἐπ' αὐτὰ γνώσεων ἀναποδείκτως ἔχοντα τὰς ἀρχάς· ὁ δὲ Θεός, οὐ νοούμενος ὀνομάζεται· ἀλλ' ἐκ τῶν νοουμένων μόνον εἶναι πιστεύεται· διόπερ οὐδὲν τῶν νοουμένων αὐτῷ καθότιοῦν παραβάλλεται.

θ'. Αἱ τῶν ὄντων γνώσεις, συνηρτημένας φυσικῶς ἔχουσι πρὸς ἀπόδειξιν τοὺς οἰκείους λόγους, οἷς περιγραφὴν φυσικῶς ὑπομένουσιν. ὁ δὲ Θεὸς διὰ τῶν ἐν τοῖς οὖσι λόγων εἶναι μόνον πιστεύεται· πάσης ἀποδείξεως βασιμώτερον, τοῖς εὐσεβέσι τὴν ὅτι Κυρίως ἐστὶν ὁμολογίαν καὶ πίστιν διδούς. πίστις γάρ ἐστι, γνῶσις ἀληθὴς ἀναποδείκτους ἔχουσα τὰς ἀρχάς, ὡς τῶν ὑπὲρ νοῦν καὶ λόγον ὑπαρχόντων πραγμάτων ὑπόστασις.

ι'. Ἀρχὴ τῶν ὄντων, καὶ μεσότης καὶ τέλος ἐστὶν ὁ Θεός, ὡς ἐνεργῶν ἀλλ' οὐ πάσχων· ὥσπερ καὶ τὰ ἄλλα πάντα οἷς παρ' ἡμῶν ὀνομάζεται. ἀρχὴ γάρ ἐστιν, ὡς δημιουργός· καὶ μεσότης, ὡς προνοητής· καὶ τέλος, ὡς περιγραφή. ἐξ αὐτοῦ γάρ, φησί, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα.

Οὐκ ἔστι ψυχὴ λογικὴ κατ' οὐσίαν, ψυχῆς λογικῆς τιμιωτέρα. πάσας γὰρ ψυχὰς κατ' εἰκόνα ἑαυτοῦ δημιουργῶν, ὡς ἀγαθὸς ὁ Θεός, αὐτοκίνητον εἰς τὸ εἶναι παράγει· ἑκάστη δὲ κατὰ πρόθεσιν, ἢ τὴν τιμὴν ἐπιλέγεται, ἢ τὴν ἀτιμίαν ἑκοῦσα διὰ τῶν ἔργων προσάγεται. ια'.

Ὁ Θεὸς ἥλιός ἐστι δικαιοσύνης, ὡς γέγραπται· πᾶσιν ἁπλῶς τὰς ἀκτῖνας ἐπιλάμπων τῆς ἀγαθότητος. ἡ δὲ ψυχή, ἢ κηρὸς ὡς φιλόθεος, ἢ πηλὸς ὡς φιλόϋλος κατὰ τὴν γνώμην γίνεσθαι πέφυκεν. ὥσπερ οὖν ὁ πηλὸς κατὰ φύσιν ἡλίῳ ξηραίνεται· ὁ δὲ κηρὸς φυσικῶς ἁπαλύνεται· οὕτω καὶ πᾶσα ψυχὴ φιλόϋλος καὶ φιλόκοσμος ἀπὸ Θεοῦ νουθετουμένη, καὶ ὡς πηλὸς κατὰ τὴν γνώμην ἀντιτυποῦσα, σκληρύνεται· καὶ ἑαυτὴν ὠθεῖ κατὰ τὸν Φαραὼ πρὸς ἀπώλειαν. πᾶσα δὲ φιλόθεος ὡς κηρὸς ἁπαλύνεται, καὶ τοὺς τῶν θείων τύπους καὶ χαρακτῆρας εἰσδεχομένη, γίνεται Θεοῦ κατοικητήριον ἐν πνεύματι. ιβ'.

Ὁ τὸν νοῦν ταῖς θείαις καταστράψας νοήσεσιν, καὶ τὸν λόγον ἐθίσας θείοις ὕμνοις ἀπαύστως γεραίρειν τὸν κτίσαντα, καὶ ταῖς ἀκηράτοις φαντασίαις καθαγιάσας τὴν αἴσθησιν· οὗτος τῷ φυσικῷ κατ' εἰκόνα καλῷ, προσέθηκε τὸ καθ' ὁμοίωσιν γνωμικὸν ἀγαθόν. ιγ'.

Φυλάττει τὶς τῷ Θεῷ τὴν ψυχὴν ἀκηλίδωτον, εἰ τὴν μὲν διάνοιαν περὶ μόνου Θεοῦ, καὶ τῶν αὐτοῦ ἀρετῶν διανοεῖσθαι βιάσαιτο· τὸν δὲ λόγον, ὀρθὸν ἑρμηνέα, καὶ ἐξηγητὴν τῶν αὐτοῦ ἀρετῶν καταστήσειε· καὶ τὴν αἴσθησιν εὐσεβῶς τὸν ιδ'.

ὁρατὸν κόσμον, καὶ τὰ ἐν αὐτῷ πάντα φαντάζεσθαι διδάξοι, τὴν τῶν ἐν αὐτοῖς λόγων μεγαλειότητα τῇ ψυχῇ διαγγέλλουσαν.

ιε'. Ὁ τῆς πικρᾶς δουλείας τοῦ τυραννοῦντος δαιμόνων ἐλευθερώσας ἡμᾶς Θεός, φιλάνθρωπον θεοσεβείας ζυγὸν ἐδωρήσατο τὴν ταπεινοφροσύνην· δι' ἧς πᾶσα μὲν διαβολικὴ δαμάζεται δύναμις· πᾶν δὲ τοῖς ἑλομένοις αὐτὴν ἀγαθὸν δημιουργεῖται, καὶ ἀραδιούργητον διαφυλάττεται.

ιϛ'. Ὁ πιστεύων, φοβεῖται· ὁ δὲ φοβούμενος, ταπεινοῦται· ὁ δὲ ταπεινούμενος, πραΰνεται, τὴν τῶν παρὰ φύσιν τοῦ θυμοῦ, καὶ τῆς ἐπιθυμίας κινημάτων ἀνενέργητον ἕξιν λαβών. ὁ δὲ πρᾶος τηρεῖ τὰς ἐντολάς· ὁ δὲ τηρῶν τὰς ἐντολάς, καθαίρεται· ὁ δὲ καθαρθείς, ἐλλάμπεται, ὁ δὲ ἐλλαμφθείς, ἐν τῷ ταμιείῳ τῶν Μυστηρίων ἀξιοῦται τῷ νυμφίῳ λόγῳ συγκαταλῦσαι.

ιζ'. Ὥσπερ γεωργός, ὑπὲρ τοῦ τι τῶν ἀγρίων μεταφυτεῦσαι δένδρων, ἐπιτήδειον σκοπῶν χωρίον, ἀνελπίστῳ θησαυρῷ περιπίπτει· οὕτω καὶ πᾶς ἀσκητὴς ταπεινόφρων, καὶ ἄπλαστος, καὶ λεῖος κατὰ ψυχὴν τῆς ὑλικῆς δασύτητος, κατὰ τὸν μακαριώτατον Ἰακώβ, ὑπὸ τοῦ Πατρὸς ἐρωτώμενος τῆς ἐπιστήμης τὸν τρόπον, τί τοῦτο ὃ ταχὺ εὗρες τέκνον; ἀποκρίνεται λέγων, ὃ παρέδωκε Κύριος ὁ Θεὸς ἐναντίον μου. ὅταν γὰρ ἡμῖν ὁ Θεὸς παραδῷ τῆς ἰδίας σοφίας τὰ σοφὰ θεωρήματα, καμάτου χωρίς, οὐ προσδοκήσασι, θησαυρὸν ἐξαίφνης πνευματικὸν εὑρηκέναι νομίσωμεν. γεωργὸς γὰρ πνευματικός ἐστιν ὁ δόκιμος ἀσκητής, τὴν πρὸς αἴσθησιν τῶν ὁρατῶν θεωρίαν, ὡς ἄγριον δένδρον πρὸς τὴν τῶν νοητῶν χώραν μεταφυτεύων· καὶ θησαυρὸν εὑρίσκων, τὴν κατὰ χάριν τῆς ἐν τοῖς οὖσι σοφίας φανέρωσιν.

ιη'. Ἄφνω προσπεσοῦσα γνῶσις θείων θεωρημάτων τῷ ἀσκητῇ, μὴ προσδοκήσαντι διὰ τὴν ταπείνωσιν, κατακλᾷ τὸν λογισμὸν τοῦ πρὸς ἐπίδειξιν μετὰ καμάτου καὶ πόνου ταύτην ζητοῦντος καὶ μὴ εὑρίσκοντος· καὶ γεννᾷ τῷ ἄφρονι φθόνον εἰκῇ πρὸς τὸν ἀδελφόν, καὶ φόνου μελέτην, καὶ ἑαυτοῦ λύπην, διὰ τὸ μὴ ἔχειν τὴν ἐκ τῶν ἐπαίνων φυσίωσιν.

ιθ'. Οἱ ζητοῦντες μετὰ πόνου γνῶσιν καὶ ἀποτυγχάνοντες, ἢ δι' ἀπιστίαν ἀποτυγχάνουσιν, ἢ τυχὸν διὰ τό, ἀφυῶς μέλλειν αὐτὰς ἀντιφιλονεικοῦντας, ἐπαίρεσθαι κατὰ τῶν γινωσκόντων, ὡς ὁ λαὸς πάλαι κατὰ Μωϋσέως· πρὸς οὓς ὁ νόμος ἐρεῖ δεόντως, ὅτι παραβιασάμενοι τινές, ἀνέβησαν εἰς τὸ ὄρος, καὶ ἐξῆλθεν ὁ Ἀμορραῖος ὁ οἰκῶν ἐν τῷ ὄρει ἐκείνῳ, καὶ ἐτίτρωσκεν αὐτούς. ἀνάγκη γὰρ τοὺς ἐπιδείξεως ἕνεκεν ἐπιμορφαζομένους τὴν ἀρετήν, μὴ μόνον σφάλλεσθαι δολοῦντας τὴν εὐσέβειαν, ἀλλὰ καὶ ὑπὸ συνειδότος τιτρώσκεσθαι.

κ'. Ὁ πρὸς ἐπίδειξιν ἐφιέμενος γνώσεως, καὶ ἀποτυγχάνων· μήτε φθονείτω τῷ πέλας, μήτε λυπείσθω· ἀλλ' ἐν τινι τῶν ὁμόρων ποιείτω τὴν παρασκευήν, ὡς προστέτακται· κατὰ τὴν πρᾶξιν, ἐν τῷ σώματι πρότερον φιλοπονῶν τῇ ψυχῇ τὴν ἑτοιμασίαν τῆς γνώσεως.

κα'. Οἱ ὀρθῶς μετ' εὐσεβείας τοῖς οὖσι προσβάλλοντες, καὶ μηδένα φιλενδειξίας τρόπον ἐπινοοῦντες, εὑρήσουσι προϋπαντώσας αὐτοῖς τὰς τῶν ὄντων παμφαεῖς θεωρίας, ἀκριβεστάτην αὐτοῖς ἐμποιούσας ἑαυτῶν τὴν κατάληψιν· πρὸς οὓς ὁ νόμος φησίν· εἰσελθόντες κληρονομήσατε πόλεις μεγάλας καὶ καλάς, καὶ οἰκίας πλήρεις πάντων ἀγαθῶν, ἃς οὐκ οἰκοδομήσατε· καὶ λάκκους λελατομημένους, οὓς οὐκ ἐλατομήσατε· καὶ ἀμπελῶνας, καὶ ἐλαιῶνας, οὓς οὐκ ἐφυτεύσατε. ὁ γὰρ μὴ ἑαυτῷ ζῶν, ἀλλὰ τῷ Θεῷ, πάντων γίνεται



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πλήρεις τῶν χαρισμάτων· τῶν τέως οὐδὲ τὴν ἐπικειμένην τῶν παθῶν ὄχλησιν μὴ φαινομένων.

κβʹ. Ὥσπερ διχῶς ἡ αἴσθησις λέγεται, ἡ μὲν καθ᾽ ἕξιν ἥτις καὶ κοιμωμένων ἡμῶν ἐστὶ, μηδενὸς ἀντιλαμβανομένη τῶν ὑποκειμένων, ἧς οὐδὲν ὄφελος, μὴ πρὸς ἐνέργειαν τεινομένης· ἡ δὲ κατ᾽ ἐνέργειαν, δι᾽ ἧς ἀντιλαμβανόμεθα τῶν αἰσθητῶν· οὕτω καὶ ἡ γνῶσις διττή, ἡ μὲν ἐπιστημονική, καθ᾽ ἕξιν μόνην τοὺς λόγους ἀναλεγομένη τῶν ὄντων· ἧς οὐδὲν ὄφελος μὴ πρὸς τὴν τῶν ἐντολῶν ἐνέργειαν ἐκτεινομένης· ἡ δὲ, κατ᾽ ἐνέργειαν πρακτική, αὐτὴν ἀληθῆ διὰ τῆς πείρας τῶν ὄντων πορίζουσα τὴν κατάληψιν.

κγʹ. Ὁ ὑποκριτὴς, ἕως μὲν δοκεῖ λανθάνειν, ἠρεμεῖ· τὴν ἐκ τοῦ δοκεῖν δίκαιος εἶναι δόξαν θηρώμενος· ἐπειδὰν δὲ φωραθῇ, θανατηφόρους προΐεται λόγους, ταῖς κατ᾽ ἄλλων λοιδορίαις δοκῶν τὴν οἰκείαν συγκαλύπτειν ἀσχημοσύνην· ὃν ἐχίδνης γεννήματι παρεικάσας ὁ λόγος, ὡς παλίμβολον, ἀξίους τῆς μετανοίας προσέταξεν αὐτῷ ποιῆσθαι καρπούς. τουτέστι πρὸς τοὺς φαινομένους τρόπους, μεταποιῆσαι τὴν κρυπτομένην τῆς καρδίας διάθεσιν.

κδʹ. Φασί τινες θηρίον εἶναι, πᾶν ὃ μὴ τῷ νόμῳ τῶν ἐν ἀέρι τε καὶ γῇ καὶ θαλάττῃ ζώων κέκριται καθαρὸν, κἂν ἥμερον εἶναι τῷ ἤθει δοκῇ· οἷς ἕκαστον τῶν ἀνθρώπων ἐκ τοῦ οἰκείου πάθους ὁ λόγος προσαγορεύει.

κεʹ. Ὁ ἐπὶ βλάβῃ τοῦ πέλας μορφαζόμενος φιλίαν, λύκος ἐστὶ κωδίῳ ἐπικρύπτων τὴν ἑαυτοῦ κακουργίαν· ὃς ἐπειδὰν εὕρῃ ψιλὸν ἦθος, ἢ ῥῆμα κατὰ Χριστὸν ἁπλοϊκῶς ἢ γινόμενον, ἢ λεγόμενον, ἥρπασε καὶ διέφθειρε· μυρίους καταχέων μώμους, ὧν τοῖς λόγοις, ἢ τοῖς ἤθεσιν ἐπιτίθεται, ὥσπερ κατάσκοπος τῆς ἐν Χριστῷ τῶν ἀδελφῶν ἐλευθερίας.

Ὁ ὑποκρινόμενος σιωπὴν κακουργίας χάριν, τῷ πλησίον τεκταίνεται δόλον· οὗ ἀποτυγχάνων ἄπεισι, τῷ ἰδίῳ πάθει προσθέμενος ὀδύνην. ὁ δὲ σιωπῶν ὠφελείας χάριν, αὔξει τε φιλίαν, καὶ ἀπολαύσεται χαίρων ὡς λαβὼν φωτισμὸν σκότους λυτήριον. κϛʹ.

Ὁ ἐν Συνεδρίῳ λόγων ἀκρόασιν προπετῶς ἀνακόπτων, οὐκ ἔλαθε φιλοδοξίαν νοσῶν· ὑφ᾽ ἧς ἁλισκόμενος, μυρίους προβάλλεται δρόμους καὶ περιδρόμους προτάσεων, τὸν εἱρμὸν τῶν λεγομένων διαστῆσαι βουλόμενος. κζʹ.

Ὁ σοφὸς διδάσκων καὶ διδασκόμενος, μόνα βούλεται τὰ ὠφελοῦντα διδάσκεσθαι, καὶ διδάσκειν· ὁ δὲ δοκήσει σοφὸς, καὶ ἐρωτῶν καὶ ἐρωτώμενος, τὰ περιεργότερα μόνον προβάλλεται. κηʹ.

Ὧν μετέχει τις κατὰ Θεοῦ χάριν ἀγαθῶν, καὶ ἄλλοις ἀφθόνως μεταδοῦναι χρεώστης ἐστί· δωρεὰν γάρ, φησιν, ἐλάβετε, δωρεὰν δότε. ὁ γὰρ κρύπτων τὴν δωρεὰν, ὡς σκληρὸν διαβάλλει τὸν Κύριον, φειδοῖ τῆς σαρκὸς τὴν ἀρετὴν ἐξομνύμενος· ὁ δὲ πιπράσκων ἐχθροῖς τὴν ἀλήθειαν, ὕστερον ἁλοὺς ὡς φιλόδοξος, μὴ φέρων τὴν αἰσχύνην ἀπάγχεται. κθʹ.

Τοὺς ἔτι δειλιῶντας τὸν πρὸς τὰ πάθη πόλεμον, καὶ φοβουμένους τὴν τῶν ἀοράτων ἐχθρῶν ἐπιδρομὴν, σιωπᾶν δεῖ· τουτέστι, τὸν ὑπὲρ ἀρετῆς ἀντιρρητικὸν μὴ μεταχειρίζεσθαι τρόπον· ἀλλὰ παραχωρεῖν τῷ Θεῷ δι᾽ εὐχῆς, τὴν ὑπὲρ ἑαυτῶν μέριμναν· πρὸς οὓς ἐν Ἐξόδῳ λέγεται, Κύριος πολεμήσει περὶ ὑμῶν, καὶ ὑμεῖς σιγήσεσθε· τοὺς δὲ ἤδη μετὰ τὴν ἀναίρεσιν τῶν διωκόντων, τοὺς τῶν ἀρετῶν ἐπιζητοῦντας τρόπους πρὸς εὐγνώμονα μάθησιν, δέον ἔχειν μόνον ἐντεταγμένον τῆς διανοίας τὸ οὖς· πρὸς οὓς φησιν, ἄκουε Ἰσραήλ· τοῖς δὲ σφόδρα διὰ τὴν κάθαρσιν, τῆς θείας ἐφιεμένοις γνώ- λʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σεως, ἁρμόδιον ἡ εὐλαβὴς παῤῥησία· πρὸς ὃν εἰρήσεται, τί βοᾷς πρός με; ἐκείνῳ τῷ μὲν σιωπὴ διὰ φόβον προστέτακται, πρόσφορος ἡ πρὸς Θεὸν καταφυγή· οὕτω δὲ ἀκούειν παρακελεύεται, ἁρμόδιος ἡ πρὸς ὑπακοὴν τῶν ἐντολῶν ἑτοιμότης· τῷ δὲ γνωστικῷ, τὸ δι' ἱκεσίαν ἀπαύστως βοᾶν ἐπιτήδειον, ὑπέρ τε τῆς τῶν κακῶν ἀποτροπῆς, καὶ εὐχαριστίας τῆς τῶν ἀγαθῶν μετουσίας.

λα'. Οὐδέποτε ψυχὴ δύναται πρὸς γνῶσιν ἐκταθῆναι Θεοῦ, εἰ μὴ αὐτὸς ὁ Θεὸς συγκαταβάσει χρησάμενος ἅψηται αὐτῆς, καὶ ἀναγάγῃ πρὸς ἑαυτόν. οὐ γὰρ ἂν τοσοῦτον ἴσχυσεν ἀναδραμεῖν ἀνθρώπινος νοῦς, ὡς ἀντιλαβέσθαι τινὸς θείας ἐλλάμψεως, εἰ μὴ αὐτὸς ὁ Θεὸς ἀνέσπασεν αὐτὸν, ὡς δυνατὸν ἦν ἀνθρώπινον ἀνασπασθῆναι, καὶ ταῖς θείαις αὐγαῖς κατεφώτισεν.

λβ'. Ὁ τοὺς μαθητὰς τοῦ Κυρίου μιμούμενος, οὐ παραιτεῖται διὰ τοὺς Φαρισαίους ὁδὸν ποιεῖν ἐν σαββάτῳ διὰ τῶν σπορίμων, καὶ στάχυας τίλλειν· ἀλλὰ μετὰ τὴν πρακτικὴν ἐν τῇ ἀπαθείᾳ γενόμενος, τοὺς λόγους ἀναλέγεται τῶν γεγονότων, εὐσεβῶς τὴν θείαν τῶν ὄντων ἐπιστήμην τρεφόμενος.

λγ'. Ὁ κατὰ τὸ Εὐαγγέλιον μόνον πιστὸς, τὸ ὄρος τῆς κακίας αὐτοῦ διὰ πράξεως μετατίθησιν· ἀπωθούμενος ἑαυτοῦ τῇ ἀστάτῳ περιφορᾷ τῶν ὑπὸ αἴσθησιν, τὴν ἐπ' αὐτοῖς προτέραν διάθεσιν. ὁ δὲ μαθητὴς εἶναι δυνάμενος, ἐκ τοῦ λόγου δεχόμενος χερσὶ τῶν γνωστικῶν ἄρτων τὰ κλάσματα, διατρέφει χιλιάδας· πράξει δεικνὺς πληθυνομένην τοῦ λόγου τὴν δύναμιν. ὁ δὲ καὶ Ἀπόστολος ἰσχύσας εἶναι, πᾶσαν ἰατρεύει νόσον καὶ μαλακίαν, ἐκβάλλων δαιμόνια· τουτέστι τὴν τῶν παθῶν φυγαδεύων ἐνέργειαν· τοὺς νοσοῦντας ἰώμενος, πρὸς ἕξιν εὐσεβείας τοὺς στερηθέντας αὐτῆς δι' ἐλπίδος ἐπανάγων· καὶ τοὺς δι' ὄκνον μαλακισθέντας, ἐπιστύφων τῷ λόγῳ τῆς κρίσεως· πατῶν γὰρ ἐπάνω ὄφεων καὶ σκορπίων κελευσθεὶς, ἀρχὴν καὶ τέλος τῆς ἁμαρτίας ἐξαφανίζει.

λδ'. Ὁ Ἀπόστολος καὶ μαθητὴς, πάντως ἐστὶ καὶ πιστός· ὁ δὲ μαθητὴς, οὐ πάντως μὲν καὶ Ἀπόστολος· πάντως δὲ πιστός· ὁ δὲ μόνον πιστὸς, οὔτε μαθητὴς οὔτε Ἀπόστολός ἐστι· πλὴν δύναται διὰ βίου καὶ θεωρίας, καὶ ὁ τρίτος εἰς τὴν τοῦ δευτέρου, καὶ ὁ δεύτερος εἰς τὴν τοῦ πρώτου μετενεχθῆναι τάξιν καὶ ἀξίαν.

λε'. Ὅσα μὲν ἐν χρόνῳ κατὰ χρόνον δημιουργεῖται, τελειωθέντα ἵσταται, λήγοντα τῆς κατὰ φύσιν αὐξήσεως. ὅσα δὲ κατ' ἀρετὴν ἐπιστήμη Θεοῦ κατεργάζεται, τελειωθέντα πάλιν κινεῖται πρὸς αὔξησιν. τὰ γὰρ τέλη αὐτῶν, ἑτέρων ἀρχαὶ καθεστήκασιν. ὁ γὰρ καταπαύσας ἐν ἑαυτῷ διὰ τῶν ἀρετῶν κατὰ τὴν πρᾶξιν τὴν τῶν φθειρομένων ὑπόστασιν, ἑτέρων ἀπήρξατο θειοτέρων διατυπώσεων. παύεται γὰρ οὐδέποτε τῶν καλῶν ὁ Θεὸς, ὧν οὐδὲ ἀρχὴν ἔχει, ὡς γὰρ φωτὸς ἴδιον τὸ φωτίζειν, οὕτως ἴδιον Θεοῦ τὸ εὐποιεῖν· διὸ τῷ μὲν νόμῳ τὴν κατὰ χρόνον τῶν ἐν γενέσει καὶ φθορᾷ, σύστασιν ἀφηγουμένῳ, τιμᾶται δι' ἀργίας τὸ σάββατον· τῷ Εὐαγγελίῳ δὲ τὴν τῶν νοητῶν εἰσηγουμένῳ κατάστασιν, δι' εὐποιΐας καλῶν ἔργων τοῦτο φαιδρύνεται κἂν ἀγανακτῶσιν οἱ μήπω γνόντες, ὅτι διὰ τὸν ἄνθρωπον τὸ σάββατον γέγονεν, ἀλλ' οὐ διὰ τὸ σάββατον ὁ ἄνθρωπος· καὶ ὅτι Κύριός ἐστι καὶ τοῦ σαββάτου ὁ Υἱὸς τοῦ ἀνθρώπου.

λς'. Ἔστι τῷ νόμῳ καὶ τοῖς προφήταις, καὶ σάββατον, καὶ σάββατα, καὶ σάββατα σαββάτων· ὥσπερ καὶ περιτομὴ, καὶ περιτομῆς περιτομή· καὶ θέρος, καὶ θέρους θέρος, κατὰ τὸ εἰρημένον ὅταν θερίσητε τὸν θερισμὸν ὑμῶν. ἔστιν οὖν τὸ μὲν πρῶτον, πρακτικῆς, καὶ φυσικῆς, καὶ θεολο-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γικῆς φιλοσοφίας ἀποπεράτωσις· τὸ δεύτερον δὲ, γενέσεως, καὶ τὴν κατὰ γένεσιν λόγων, εἰσφορὰ καὶ ἀπόλαυσις· καὶ τὸ τρίτον τελείως ἐφ' ἑκάστῳ δηλονότι τῶν εἰρημένων γινόμενον, ἵνα γνῷ τοὺς λόγους ὁ γνωστικός, καθ' οὓς ὁ μὲν Μωϋσῆς ἔξω τῆς ἁγίας γῆς σαββατίζει τελευτῶν. ὁ δὲ τοῦ Ναυῆ Ἰησοῦς περιτέμνει περάσας τὸν Ἰορδάνην. οἱ δὲ τὴν ἀγαθὴν γῆν κληρονομοῦντες, τὴν εἰσφορὰν τοῦ καθ' ὑπέρθεσιν διπλοῦ θέρους τῷ Θεῷ προσκομίζουσιν.

λζ'. Σάββατόν ἐστιν, ἀπάθεια ψυχῆς λογικῆς· καὶ τὴν πρακτικὴν παντελῶς ἀποβαλλομένης τῆς ἁμαρτίας τὰ στίγματα.

λη'. Σάββατά ἐστιν, ἐλευθερία ψυχῆς λογικῆς· καὶ αὐτὴν τὴν κατὰ φύσιν πρὸς αἴσθησιν, διὰ τῆς ἐν πνεύματι φυσικῆς θεωρίας ἀποθεμένης ἐνέργειαν.

λθ'. Σάββατα σαββάτων ἐστίν, ἠρεμία πνευματικὴ ψυχῆς λογικῆς· καὶ ἀπ' αὐτῶν πάντων τῶν ἐν τοῖς οὖσι θειοτέρων λόγων τὸν νοῦν συστειλάσης· καὶ μόνῳ τῷ Θεῷ κατ' ἐρωτικὴν ἔκστασιν ὁλικῶς ἐνδυσάσης, καὶ παντελῶς ἀκίνητον αὐτὸν τῷ Θεῷ διὰ τῆς μυστικῆς θεολογίας ποιησάσης.

μ'. Περιτομή ἐστιν, ἡ περὶ γένεσιν τῆς κατὰ ψυχὴν ἐμπαθοῦς ἀπόθεσις διαθέσεως.

μα'. Περιτομὴ περιτομῆς ἐστίν, ἡ καὶ αὐτῶν τῶν κατὰ ψυχὴν περὶ τὴν γένεσιν φυσικῶν κινημάτων παντελῶς ἀποβολὴ καὶ περιαίρεσις.

μβ'. Θέρος ἐστὶ ψυχῆς λογικῆς, ἡ τῶν κατ' ἀρετὴν καὶ φύσιν τῶν ὄντων πνευματικωτέρων λόγων μετ' ἐπιστήμης συλλογὴ καὶ ἐπίγνωσις.

μγ'. Θέρους θέρος ἐστίν, ἡ πᾶσιν ἄβατος μετὰ τὴν τῶν νοητῶν μυστικὴν θεωρίαν περὶ τὸν ἀγνώστως συναψαμένη τοῦ Θεοῦ κατανόησις· ἣν προσφέρει δεόντως ὁ ἐκ τῶν ὁρατῶν καὶ ἀοράτων κτισμάτων ἀξίως γεραίρων τὸν κτίσαντα.

Ἔστι καὶ ἄλλο πνευματικώτερον θέρος, αὐτὴ λεγομένη εἶναι τοῦ Θεοῦ· καὶ ἄλλη μυστικωτέρα περιτομή· καὶ ἄλλο κρυφιώτερον σάββατον, ἐν ᾧ ἀπὸ τῶν ἰδίων ἔργων σαββατίζων ὁ Θεὸς ἀναπαύει, καὶ τὸ, ὁ μὲν θερισμὸς, πολύς, οἱ δὲ ἐργάται, ὀλίγοι· καὶ περιτομὴ καρδίας ἐν πνεύματι· καὶ, εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν· ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι. μδ'.

Θεοῦ θέρος ἐστίν, ἡ εἰς αὐτὸν κατὰ τὴν τῶν αἰώνων ἀποπεράτωσιν γινομένη τῶν ἀξίων καθ' ὅλου μονή τε, καὶ ἵδρυσις. με'.

Ἐν πνεύματι περιτομὴ καρδίας ἐστίν, ἡ γινομένη τῶν κατ' αἴσθησιν καὶ τῶν περὶ τὰ αἰσθητὰ καὶ τὰ νοητὰ φυσικῶν ἐνεργειῶν παντελὴς περιαίρεσις· διὰ τῆς ἀμέσως τό, τε σῶμα καὶ τὴν ψυχὴν ὁλικῶς μεταμορφούσης πρὸς τὸ θειότερον, παρουσίας τοῦ Πνεύματος. μς'.

Θεοῦ σαββατισμός ἐστιν, ἡ εἰς αὐτὸν δι' ὅλου τῶν πεποιημένων κατάστασις· καθ' ἣν καταπαύει τῆς ἐπ' αὐτοῖς φυσικῆς ἐνεργείας, τὴν αὐτοῦ θειοτάτην ἀπορρήτως ἐνεργουμένοις ἐνέργειαν. παύεται γὰρ ὁ Θεὸς τῆς ἐν ἑκάστῳ τῶν ὄντων τυχὸν φυσικῆς ἐνεργείας, καθ' ἣν ἕκαστον τῶν ὄντων φυσικῶς κινεῖσθαι πέφυκεν, ὁπότε ἕκαστον τῆς θείας ἀναλόγως ἐπιλαβόμενον ἐνεργείας, τὴν κατὰ φύσιν οἰκείαν περὶ αὐτὸν ὁρίσει τὸν Θεὸν ἐνέργειαν. μζ'.

Ζητητέον τοῖς σπουδαίοις, τίνα καθήκει νοεῖν εἶναι τὰ ἔργα ὧν ἤρξατο τῆς γενέσεως ὁ Θεός· καὶ τίνα πάλιν ὧν οὐκ ἤρξατο. εἰ γὰρ πάντων κατέπαυσε τῶν ἔργων ὧν ἤρξατο ποιῆσαι, δῆλον, ἐκείνων οὐ κατέπαυσεν, ὧν οὐκ ἤρξατο ποιῆσαι· μήποτε οὖν, ἔργα μὲν Θεοῦ χρονικῶς ἠργμένα τοῦ εἶναί ἐστι, πάντα τὰ ὄντα μετέχοντα· οἷον αἱ διάφοροι τῶν ὄντων οὐσίαι. τὸ γὰρ μὴ ὄν, ἔχουσιν αὐτῶν τοῦ μη'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἶναι πρεσβύτερα. Οὐκ ἦν γάρ ποτε, ὅτε τὰ ὄντα μετέχοντα οὐκ ἦν· Θεοῦ δὲ ἔργα τυχὸν οὐκ ἠργμένα τοῦ εἶναι χρονικῶς, τὰ ὄντα μεθεκτά, ὧν κατὰ χάριν μετέχουσι τὰ ὄντα μετέχοντα· οἷον, ἡ ἀγαθότης, καὶ πᾶν εἴ τι ἀγαθότητος ἐμπεριέχεται λόγῳ· καὶ ἁπλῶς πᾶσα ζωή, καὶ ἀθανασία, καὶ ἁπλότης, καὶ ἀτρεψία, καὶ ἀπειρία, καὶ ὅσαπερ αὐτὸν οὐσιωδῶς θεωρεῖται· ἅτινα καὶ ἔργα Θεοῦ εἰσί, καὶ οὐκ ἠργμένα χρονικῶς. Οὐ γάρ ποτε πρεσβύτερον ἀρετῆς τὸ οὐκ ἦν· οὐδέ τινος ἄλλου τῶν εἰρημένων· κἂν τὰ μετέχοντα αὐτῶν καθ' αὐτά, ἤρκται τοῦ εἶναι χρονικῶς. Ἄναρχος γὰρ πᾶσα ἀρετή, μὴ ἔχουσα τὸν χρόνον ἑαυτῆς πρεσβύτερον· οἷα τὸν Θεὸν ἔχουσα τοῦ εἶναι μόνον ἀϊδίως γεννήτορα.

μθ'. Πάντων τῶν ὄντων καὶ μετεχόντων, καὶ μεθεκτῶν, ἀπειράκις ἀπείρως * ὑπεξῄρηται. Πᾶν γὰρ εἴ τι τὸν τοῦ εἶναι λόγον ἔχει κατηγορούμενον, ἔργον Θεοῦ τυγχάνει· κἂν τὸ μὲν κατὰ γένεσιν ἤρκται τοῦ εἶναι χρονικῶς, τὸ δέ, κατὰ χάριν τοῖς γεγονόσιν ἐμπέφυκεν, οἷά τις δύναμις ἔμφυτος, τὸν ἐν πᾶσιν ὄντα Θεὸν διαπρυσίως κηρύττουσα.

* ἴσως ὑπερεξῄρηται.

ν'. Τὰ ἀθάνατα πάντα, καὶ αὐτὴ ἡ ἀθανασία· καὶ τὰ ζῶντα πάντα, καὶ αὐτὴ ἡ ζωή· καὶ τὰ ἅγια πάντα, καὶ αὐτὴ ἡ ἁγιότης· καὶ τὰ ἐνάρετα πάντα, καὶ αὐτὴ ἡ ἀρετή· καὶ τὰ ἀγαθὰ πάντα, καὶ αὐτὴ ἡ ἀγαθότης· καὶ τὰ ὄντα πάντα, καὶ αὐτὴ ἡ ὀντότης, Θεοῦ προδήλως ἔργα τυγχάνουσιν. Ἀλλά, τὰ μέν, τοῦ εἶναι χρονικῶς ἠργμένα· ἦν γάρ ποτε, ὅτε οὐκ ἦν ἀρετή, καὶ ἀγαθότης, καὶ ἁγιότης, καὶ ἀθανασία. Καὶ τὰ μὲν ἠργμένα χρονικῶς, τῇ μετοχῇ τῶν οὐκ ἠργμένων χρονικῶς εἰσὶ καὶ λέγονται τοῦθ' ὅπερ καὶ εἰσί, καὶ λέγονται. Πάσης γὰρ ζωῆς καὶ ἀθανασίας, ἁγιότητός τε, καὶ ἀρετῆς δημιουργός ἐστιν ὁ Θεός· ὑπὲρ οὐσίαν γὰρ πάντων τῶν τε νοουμένων καὶ λεγομένων ἐξῄρηται.

να'. Ἡ ἕκτη κατὰ τὴν γραφὴν ἡμέρα, τὴν τῶν ὑπὸ φύσιν ὄντων εἰσηγεῖται συμπλήρωσιν· ἡ δὲ ἑβδόμη, τῆς χρονικῆς ἰδιότητος περιγράφει τὴν κίνησιν· ἡ δὲ ὀγδόη, τῆς ὑπὲρ φύσιν καὶ χρόνον ὑποδηλοῖ καταστάσεως τὸν τρόπον.

νβ'. Ὁ τὴν ἕκτην μόνον κατὰ τὸν νόμον ἄγων ἡμέραν, τὴν κατ' ἐνέργειαν ἐκθλίβουσαν τὴν ψυχὴν τῶν παθῶν φεύγων δυναστείαν, διὰ τῆς θαλάσσης ἀφόβως ἐπὶ τὴν ἔρημον διαβαίνει· τὴν τῶν παθῶν ἀργίαν μόνην σαββατίζων· ὁ δὲ τὸν Ἰορδάνην διαβάς, καὶ αὐτὴν ἀπολιπὼν τὴν τῶν παθῶν μόνον ἀργοῦσαν κατάστασιν, ἦλθεν εἰς τὴν τῶν ἀρετῶν κληρονομίαν.

νγ'. Ὁ τὴν ἕκτην Εὐαγγελικῶς ἄγων ἡμέραν, ἀποκτείνας πρότερον τὰ τῆς ἁμαρτίας πρῶτα κινήματα, τὴν πάσης κακίας ἔρημον διὰ τῶν ἀρετῶν καταλαμβάνει τῆς ἀπαθείας κατάστασιν· σαββατίζων κατὰ νοῦν καὶ αὐτῆς ψιλῆς τῆς τῶν παθῶν φαντασίας. Ὁ δὲ τὸν Ἰορδάνην διαπεράσας, εἰς τὴν τῆς γνώσεως μετατίθεται χώραν, καθ' ἣν ὁ νοῦς ναὸς μυστικῶς ὑπὸ τῆς εἰρήνης οἰκοδομούμενος, Θεοῦ κατοικητήριον γίνεται ἐν πνεύματι.

νδ'. Ὁ τὴν ἕκτην θεϊκῶς μετὰ τῶν προσφόρων ἔργων, καὶ ἐννοιῶν ἑαυτῷ συμπληρώσας ἡμέραν, καὶ αὐτὸς μετὰ τοῦ Θεοῦ καλῶς τὰ ἑαυτοῦ τετελέσας ἔργα, διέβη τῇ καταλήψει πᾶσαν τὴν τῶν ὑπὸ φύσιν καὶ χρόνον ὑπόστασιν, καὶ εἰς τὴν τῶν αἰώνων καὶ τῶν αἰωνίων μετετάξατο μυστικὴν θεωρίαν· σαββατίζων ἀγνώστως κατὰ νοῦν, τὴν ὁλικὴν τῶν ὄντων ἀπόλειψίν τε, καὶ ὑπέρβασιν. Ὁ δὲ καὶ τῆς ὀγδόης ἀξιωθείς, ἐκ τῶν νεκρῶν ἀνέστη· τῶν μετὰ Θεοῦ· λέγω πάντων, αἰσθητῶν τε καὶ νοητῶν, καὶ λόγων καὶ νοημάτων· καὶ ἔζησε τὴν τοῦ Θεοῦ μακαρίαν ζωήν, τοῦ μόνου κατ' ἀλήθειαν κυρίως ζωῆς καὶ



Athos Library Αγιορειτική Βιβλιοθήκη

λεγομένη καὶ ὄντος· εἶτα καὶ αὐτὸς γενόμενος τῇ θεώσει Θεός.

νέ. Ἕκτη ἡμέρα ἐστὶν, ἡ τῶν πρακτικῶν περὶ τὴν ἀρετὴν τῶν κατὰ φύσιν ἐνεργειῶν, παντελὴς ἀποπλήρωσις. ἑβδόμη δὲ ἐστὶν, ἡ τῶν θεωρητικῶν περὶ τὴν ἄῤῥητον γνῶσιν πασῶν τῶν φυσικῶν ἐννοιῶν ἀποπεράτωσις καὶ ἀπόπαυσις. ὀγδόη δὲ, ἡ πρὸς θέωσιν τῶν ἀξίων μετάταξίς τε, καὶ μετάβασις. καὶ μήποτε ταύτην τὴν ἑβδόμην καὶ τὴν ὀγδόην τυχὸν μυστικώτερον ὑποφαίνων ὁ Κύριος, προσηγόρευσεν ἡμέραν συντελείας καὶ ὥραν, ὡς πάντων περιγράφουσα τὰ μυστήρια καὶ τοὺς λόγους· ἃς οὐδὲν οὐδαμῶς τοπαράπαν τῶν ἐπουρανίων καὶ ἐπιγείων δυνάμεων γνῶναι πρὸ πείρας τοῦ παθεῖν δυνήσεται, πλὴν αὐτῆς τῆς ταῦτα ποιησάσης μακαρίας Θεότητος.

νς'. Ἡ ἕκτη ἡμέρα, τὸν τοῦ εἶναι λόγον τῶν ὄντων ὑποδηλοῖ. ἡ δὲ ἑβδόμη, τὸν τοῦ εὖ εἶναι τῶν ὄντων τρόπον ὑποσημαίνει. ἡ δὲ ὀγδόη, τὸ τοῦ ἀεὶ εὖ εἶναι τῶν ὄντων ἄῤῥητον μυστήριον ὑπαγορεύει.

νζ'. Πρακτικῆς ἐνεργείας σύμβολον ὑπάρχουσαν τὴν ἕκτην ἡμέραν γινώσκοντες, πᾶσαν ἐν αὐτῇ τῶν ἔργων τῆς ἀρετῆς τὴν ὀφειλὴν ἀποπληρώσωμεν· ὅπως καὶ ἐφ' ἡμῶν ῥηθείη, τὸ, καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν·

νη'. Ἀποπληροῖ τὴν ὀφειλὴν τῆς ἐπαινουμένης τοῦ Θεοῦ καλῆς ἐργασίας, ὁ διὰ σώματος τῇ ψυχῇ φιλοποιῶν τὴν εὔκοσμον ποικιλίαν τῶν ἀρετῶν

νθ'. Ὁ τὴν παρασκευὴν τῶν ἔργων τῆς δικαιοσύνης πληρώσας, διέβη πρὸς τὴν ἀνάπαυσιν τῆς γνωστικῆς θεωρίας· καθ' ἣν τοὺς λόγους τῶν ὄντων περιλαβὼν θεοπρεπῶς, τῆς κατὰ τὸν περὶ αὐτὴν κινήσεως ἀναπαύεται.

ξ'. Ὁ τῆς δι' ἡμᾶς ἑβδοματικῆς τοῦ Θεοῦ μετεσχηκὼς ἀναπαύσεως, καὶ τῆς αὐτοῦ δι' ἡμᾶς μεθέξει κατὰ τὴν θέωσιν ὀγδοατικῆς ἐνεργείας, εἴτ' οὖν μυστικῆς ἀναπαύσεως· ἀφ' ἧς καὶ αὐτὸς ἐν τῷ τάφῳ κείμενα τὰ ὀθόνια, καὶ τὸ ἐπὶ τῆς κεφαλῆς σουδάριον· ἅπερ θεωροῦντες οὗτοι Πέτρος καὶ Ἰωάννης, πιστεύουσιν ἐγηγέρθαι τὸν Κύριον.

Μνημεῖον ἐστὶν ἴσως δεσποτικὸν, ἢ ὁ κόσμος οὗτος, ἢ ἡ ἑκάστου τῶν πιστῶν καρδία· τὰ δὲ ὀθόνια, οἱ τῶν αἰσθητῶν μετὰ τῶν κατ' ἀρετὴν τρόπων ὑπάρχουσι λόγοι. τὸ δὲ σουδάριον, ἡ τῶν νοητῶν ἐστὶ μετὰ τῆς ἐνδεχομένης θεολογίας ἁπλῆ καὶ ἀποίκιλος γνῶσις, δι' ὧν ἐγνωρίζετο πρότερον ὁ Λόγος, ἀχώρητον ἡμῖν ἔχων παντάπασι δίχα τούτων τὴν ὑπὲρ ταῦτα κατάληψιν. ξά.

Οἱ θάπτοντες ἐντίμως τὸν Κύριον, καὶ ἐνδόξως ἀναστάντα θεάσονται· πᾶσιν ὄντα τοῖς μὴ τοιούτοις ἀθέατον. οὐκέτι γὰρ τοῖς ἐπιβουλεύουσιν ἐστὶν ἁλωτὸς, οὐκ ἔχων τῶν ἐκτὸς τὰ προκαλύμματα, δι' ὧν ἐδόκει θέλων ἁλίσκεσθαι παρὰ τῶν βουλομένων, καὶ πάσχειν ὑπὲρ τῆς πάντων σωτηρίας ἠνείχετο. ξβ'.

Ὁ θάπτων ἐντίμως τὸν Κύριον, πᾶσιν ἐστὶ τοῖς φιλοθέοις αἰδέσιμος. θριάμβου γὰρ αὐτὸν, καὶ ὀνείδους καθηκόντως ἐῤῥύσατο, βλασφημίας ὑπόθεσιν οὐκ ἀφεὶς τοῖς ἀπίστοις, τὴν ἐν τῷ ξύλῳ αὐτοῦ προσήλωσιν. οἱ δὲ σφραγίδας ἐπιτιθέντες τῷ τάφῳ, καὶ στρατιώτας προσκαθιστῶντες, μισητοὶ τῆς ἐγχειρήσεως· οἳ καὶ ἀναστάντα τὸν Λόγον, ὡς κλαπέντα διαβάλλουσιν· ἀργυρίῳ, ὥσπερ τὸν νόθον μαθητὴν εἰς προδοσίαν. λέγω δὲ τὸν ἐπιδεικτικὸν τρόπον τῆς ἀρετῆς· οὕτω καὶ τοὺς στρατιώτας πρὸς συκοφαντίαν τοῦ ἀναστάντος Σωτῆρος ὠνούμενοι. γινώσκει τῶν λεγομένων τὴν ἔμφασιν ὁ γνωστικός· οὐκ ἀγνοῶν πῶς τε, καὶ ποσαχῶς σταυροῦται ὁ Κύριος, καὶ θάπτεται, καὶ ἀνίσταται, ὡσεὶ νεκροὺς μὲν ποιῶν τοὺς ὑπὸ δαιμόνων τῇ καρδίᾳ παρακαθημένους ἐμπαθεῖς ξγ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λογισμούς· τοὺς διαμεριζομένους ἐν τοῖς πειρασμοῖς ὥσπερ ἱμάτια, τοὺς τρόπους τῆς ἠθικῆς εὐπρεπείας· καὶ ὑπερβαίνων ὥσπερ σφραγῖδας τοὺς ἐπικειμένους τῇ ψυχῇ τύπους, τῶν κατὰ πρόληψιν ἁμαρτημάτων.

ξδ'. Πᾶς φιλάργυρος δι' εὐλαβείας τὴν ἀρετὴν ὑποκρινόμενος, ἐπειδὰν εὕρῃ τὴν ποθουμένην ὕλην πορίσασθαι, τὸν τρόπον ἐξόμνυται, καθ' ὃν μαθητὴς εἶναι τοῦ Λόγου τὸ πρὶν ἐνομίζετο.

ξε'. Ὅταν ἴδῃς τινὰς ὑπερηφάνως μὴ φέροντας ἐπαινεῖσθαι τοὺς κρείττονας, ἀκήρυκτόν τε μηχανωμένους ποιεῖν τὴν λαλουμένην ἀλήθειαν, μυρίοις αὐτὴν ἀπείργοντας πειρασμοῖς, καὶ ἀθεμίτοις διαβολαῖς· νόει μοι πάλιν ὑπὸ τούτων σταυροῦσθαι τὸν Κύριον, καὶ θάπτεσθαι· καὶ στρατιώταις, καὶ σφραγῖσι φυλάττεσθαι· οὓς ἑαυτοῖς περιτρέπων ὁ Λόγος, ἀνίσταται· πλέον τοῦ πολεμεῖσθαι, διαφαινόμενος· ὡς πρὸς ἀπάθειαν διὰ τῶν παθημάτων στομούμενος· πάντων γάρ ἐστιν ἰσχυρότερος, ὡς ἀλήθεια καὶ ὢν καὶ καλούμενος.

ξς'. Τὸ τῆς ἐνσωματώσεως τοῦ Λόγου μυστήριον, πάντων ἔχει τῶν τε κατὰ τὴν Γραφὴν αἰνιγμάτων καὶ τύπων τὴν δύναμιν· καὶ τῶν φαινομένων κτισμάτων τὴν ἐπιστήμην. καὶ ὁ μὲν γνοὺς σταυροῦ καὶ ταφῆς τὸ μυστήριον, ἔγνω τῶν προειρημένων τοὺς λόγους. ὁ δὲ τῆς ἀναστάσεως μυηθεὶς τὴν ἀπόρρητον δύναμιν, ἔγνω τὸν ἐφ' ᾧ τὰ πάντα προηγουμένως ὁ Θεὸς ὑπεστήσατο σκοπόν.

ξζ'. Τὰ φαινόμενα πάντα, δεῖται σταυροῦ· τῆς τῶν ἐπ' αὐτοῖς κατ' αἴσθησιν ἐνεργουμένων ἐπεχούσης τὴν σχέσιν ἕξεως. τὰ δὲ νοούμενα πάντα, χρήζει ταφῆς· τῆς τῶν ἐπ' αὐτοῖς κατὰ νοῦν ἐνεργουμένων ὁλικῆς ἀκινησίας. τῇ γὰρ σχέσει συναναιρουμένης τῆς περὶ πάντα φυσικῆς ἐνεργείας τε καὶ κινήσεως, ὁ Λόγος μόνος ἐφ' ἑαυτοῦ ὑπάρχων, ὥσπερ ἐκ νεκρῶν ἐγηγερμένος ἀναφαίνεται, πάντα κατὰ περιγραφὴν ἔχων τὰ ἐξ αὐτοῦ, μηδενὸς φυσικῇ σχέσει τὴν πρὸς αὐτὸν οἰκειότητα τὸ σύνολον ἔχοντος. κατὰ χάριν γάρ, ἀλλ' οὐ κατὰ φύσιν ἐστὶν ἡ τῶν σωζομένων σωτηρία.

ξη'. Τῶν πρός τι, καὶ οἱ αἰῶνές εἰσι, καὶ οἱ χρόνοι, καὶ οἱ τόποι, ὧν ἄνευ, οὐδὲν τῶν συνεπινοουμένων τούτοις ἐστίν· ὁ δὲ Θεός, οὐ τῶν πρός τι ἐστίν· οὐ γὰρ ἔχει τι καθόλου συνεπινοούμενον. εἴπερ οὖν, ἄρα κληρονομία τῶν ἀξίων αὐτός ἐστιν ὁ Θεός, ὑπὲρ πάντας αἰῶνας, καὶ χρόνους, καὶ τόπους ὁ ταύτης ἀξιούμενος τῆς χάριτος ἔσται, τόπον ἔχων αὐτὸν τὸν Θεὸν κατὰ τὸ γεγραμμένον, γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν, καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με.

ξθ'. Τὸ τέλος οὐδὲν τὸ παράπαν ἐμφερὲς ἔχει τῇ μεσότητι· ἐπεὶ οὐδὲ τέλος. μεσότης δέ ἐστιν, πάντα τὰ μετὰ τὴν ἀρχὴν κατόπιν ὄντα τοῦ τέλους. εἰ τοίνυν πάντες οἱ αἰῶνες, καὶ οἱ χρόνοι, καὶ οἱ τόποι μετὰ τῶν συνεπινοουμένων αὐτοῖς ἁπάντων, μετὰ τὸν Θεόν εἰσιν, ἀρχὴν ἄναρχον ὄντα· καὶ ὡς πολὺ κατόπιν ὑπάρχουσι, μεσότητος οὐδὲν διαφέρουσι. τέλος δὲ τῶν σωζομένων ἐστὶν ὁ Θεός, οὐδὲν ἔσται μεσότητος κατὰ τὸ ἀκρότατον τέλος γενομένοις τοῖς σωζομένοις συνθεωρούμενον.

ο'. Ὁ πᾶς κόσμος ἰδίοις περιοριζόμενος λόγοις, καὶ τόπος λέγεται, καὶ αἰών, τῶν ἐν αὐτῷ διαιτωμένων· τρόπους θεωρημάτων ἔχων κατὰ φύσιν τοὺς αὐτῷ προσφυεῖς, μερικὴν κατανόησιν αὐτοῖς ἐμποιῆσαι τῆς ἐπὶ πάντα σοφίας τοῦ Θεοῦ δυναμένους· οἷς ἕως χρῶνται πρὸς κατανόησιν, οὐ δύνανται δίχα μεσότητος εἶναι, καὶ μερικῆς καταλήψεως. ἐπειδὴ δὲ τὸ ἐκ μέρους, τοῦ τελείου φανέντος, καταργεῖται, καὶ τὰ ἔσοπτρα πάντα καὶ τὰ αἰνίγματα παρέρχονται, τῆς πρόσωπον πρὸς πρόσωπον παραγινομένης ἀληθείας, ὑπὲρ πάντας



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἴσω κόσμους, καὶ αἰῶνας, καὶ τόπους, οἷς τέως ὡς νήπιος ἐπαιδαγωγεῖτο, τελειωθεὶς κατὰ Θεὸν ὁ σωζόμενος.

οα'. Ὁ Πιλᾶτος, τοῦ κατὰ φύσιν νόμου τύπος ἐστί· τοῦ δὲ γραπτοῦ νόμου, τὸ πλῆθος τῶν Ἰουδαίων. ὁ τοίνυν κατὰ πίστιν ὑπὲρ τοὺς δύο μὴ γενόμενος νόμους, οὐ δύναται δέξασθαι, τὴν ὑπὲρ φύσιν καὶ * λόγον ἀλήθειαν· ἀλλὰ σταυροῖ πάντως τὸν λόγον· ἢ ὡς Ἰουδαῖος σκάνδαλον, ἢ ὡς Ἕλλην μωρίαν ἡγούμενος τὸ Εὐαγγέλιον.

* ἴσως νόμον.

οβ'. Ὅταν ἴδῃς Ἡρώδην καὶ Πιλᾶτον ἀλλήλοις φιλιάζοντας ἐπὶ τῇ ἀναιρέσει τοῦ Ἰησοῦ, τότε νόει τὴν εἰς τὸ αὐτὸ συνδρομήν· τοῦ τε τῆς πορνείας, καὶ τῆς κενοδοξίας δαίμονος, ἐπὶ τὸ θανατῶσαι τὸν λόγον τῆς ἀρετῆς καὶ τῆς γνώσεως ἀλλήλοις συμφωνούντων. ὁ μὲν γὰρ κενοδοξος δαίμων, πνευματικὴν γνῶσιν ὑποκρινόμενος, παραπέμπει τῷ δαίμονι τῆς πορνείας· ὁ δὲ τῆς πορνείας καθ' ὑπόκρισιν * καθαρότητος προσποιούμενος, ἀναπέμπει τῷ δαίμονι τῆς κενοδοξίας· διὸ λαμπρὰν περιτιθεὶς ἐσθῆτα, φησὶν, ὁ Ἡρώδης ἀνέπεμψε Πιλάτῳ τὸν Ἰησοῦν.

* ἴσ. καθαρότητα.

ογ'. Καλὸν μὴ συγχωρεῖν σαρκὶ καὶ πάθεσι προσανέχειν τὸν νοῦν. οὐ γὰρ συλλέγουσι, φησὶν, ἐξ ἀκανθῶν, σῦκα· τουτέστιν, ἐκ παθῶν ἀρετήν· οὔτε ἐκ βάτου σταφυλήν· τουτέστιν, ἐκ τῆς σαρκὸς τὴν εὐφραίνουσαν γνῶσιν.

οδ'. Διὰ τῆς ὑπομονῆς τῶν πειρασμῶν δοκιμαζόμενος ὁ ἀσκητὴς, καὶ διὰ τῆς σωματικῆς παιδαγωγίας καθαιρόμενος, καὶ διὰ τῆς ἐπιμελείας τῶν ὑψηλῶν θεωρημάτων τελειούμενος, ἀξιοῦται τῆς θείας παρακλήσεως. Κύριος γὰρ, φησὶν, ὁ Μωϋσῆς, ἐκ Σινᾶ ἥκει· τουτέστιν, ἐκ τῶν πειρασμῶν· καὶ ἐπέφανεν ἡμῖν ἐκ Σηεὶρ· τουτέστιν, ἐκ τῶν σωματικῶν πόνων· καὶ κατέσπευσεν ἐξ ὄρους Φαρὰν σὺν μυριάσι Κάδης· τουτέστιν, ἐξ ὄρους τῆς πίστεως, σὺν μυριάσιν ἁγίων γνώσεων.

οε'. Ὁ Ἡρώδης, φρονήματος λόγον ἐπέχει σαρκός· ὁ δὲ Πιλᾶτος, αἰσθήσεως· ὁ δὲ Καῖσαρ, τῶν αἰσθητῶν· οἱ δὲ Ἰουδαῖοι τῶν ψυχικῶν λογισμῶν. ἐπειδὰν οὖν ἐξ ἀγνοίας ἡ ψυχὴ τοῖς αἰσθητοῖς προστεθῇ, προδίδωσι τῇ αἰσθήσει τὸν λόγον εἰς θάνατον, καθ' ἑαυτῆς κυροῦσα δι' ὁμολογίας τὴν τῶν φθαρτῶν βασιλείαν. φασὶ γὰρ οἱ Ἰουδαῖοι, οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα.

ος'. Ὁ Ἡρώδης, ἐνεργείας τρόπον ἐπέχει παθῶν· ὁ δὲ Πιλᾶτος, τῆς ἐπ' αὐτοῖς ἀπατωμένης ἕξεως· ὁ δὲ Καῖσαρ, τοῦ σκοτεινοῦ κοσμοκράτορος· οἱ δὲ Ἰουδαῖοι, ψυχῆς. ὁπηνίκα γοῦν ὑποκλιθεῖσα ψυχὴ τοῖς πάθεσι, τὴν ἀρετὴν παραδῷ τῇ ἕξει τῆς κακίας ὑποχείριον, τὴν μὲν τοῦ Θεοῦ προδήλως ἀρνεῖται βασιλείαν· πρὸς δὲ τὴν τοῦ διαβόλου μετέρχεται φθοροποιὸν τυραννίδα.

οζ'. Οὐκ ἀρκεῖ τῇ ψυχῇ πρὸς εὐφροσύνην πνευματικὴν ἡ ὑποταγὴ τῶν παθῶν, εἰ μὴ τὰς ἀρετὰς κτήσηται τῇ πληρώσει τῶν ἐντολῶν. μὴ χαίρετε γὰρ, φησὶν, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται· τουτέστι, τὰ ἐνεργήματα τῶν παθῶν· ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν οὐρανῷ· τῇ δι' ἀρετῶν τῆς υἱοθεσίας χάριτι, πρὸς τὸν τόπον τῆς ἀπαθείας μεταγραφέντα.

οη'. Ἀναγκαῖος τῷ γνωστικῷ πάντως ἐστὶν, ὁ διὰ πράξεως πλοῦτος τῶν ἀρετῶν. ὁ ἔχων γὰρ, φησὶ, βαλάντιον· τουτέστι, γνῶσιν πνευματικήν· ἀράτω ὁμοίως καὶ πήραν· τουτέστι, τὴν δαψιλῶς τὴν ψυχὴν διατρέφουσαν τῶν ἀρετῶν ἀφθονίαν. ὁ δὲ μὴ ἔχων βαλάντιον δηλονότι καὶ πήραν· τουτέστι, γνῶσιν καὶ ἀρετὴν, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν· ἐκδότω, φησὶ, προθύμως τὴν ἑαυτοῦ σάρκα τοῖς πόνοις τῶν ἀρετῶν, καὶ μεταχειρισάσθω σοφῶς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑπὲρ τῆς εἰρήνης τοῦ Θεοῦ, τὸν πρὸς τὰ πάθη, καὶ τοὺς δαίμονας πόλεμον· ἤγουν τὴν ἐν ῥήματι Θεοῦ διακρίνουσαν ἕξιν τὸ χεῖρον τοῦ κρείττονος.

οθ΄. Τριακοντούτης ὢν ὁ Κύριος ἀναφαίνεται· τοὺς διορατικοὺς τῷ ἀριθμῷ τούτῳ, τὰ περὶ ἑαυτοῦ κρυφίως μυστήρια διδάσκων. ὁ γὰρ τριάκοντα ἀριθμὸς μυστικῶς μετανοούμενος, χρόνου τε καὶ φύσεως, καὶ τῶν ὑπὲρ τὴν ὁρατὴν φύσιν νοητῶν, δημιουργὸν, καὶ προνοητὴν εἰσάγει τὸν Κύριον. χρόνου μὲν, διὰ τοῦ ἑπτά· ἑβδοματικὸς γὰρ ὁ χρόνος· φύσεως δὲ, διὰ τοῦ πέντε· πενταδικὴ γὰρ ἡ φύσις, διὰ τὴν αἴσθησιν πενταχῶς διῃρημένην· νοητῶν δὲ, διὰ τοῦ ὀκτώ· ὑπὲρ γὰρ τὴν μετρουμένην τοῦ χρόνου περίοδον, ἡ τῶν νοητῶν ἐστὶ γένεσις· προνοητὴν δὲ, διὰ τοῦ δέκα· διά τε τὴν τῶν ἐντολῶν ἁγίαν δεκάδα, τὴν πρὸς τὸ εὖ τοὺς ἀνθρώπους ἐνάγουσαν, καὶ διὰ τὸ τοῦτο τοῦ γράμματος μυστικῶς ἀπάρχεσθαι τῆς προσηγορίας τὸν Κύριον, ἡνίκα γέγονεν ἄνθρωπος. συνάψας οὖν τὸν πέντε, καὶ τὸν ἑπτὰ, καὶ τὸν ὀκτὼ, καὶ τὸν δέκα, τὸν τριάκοντα πληροῖς ἀριθμόν. ὁ τοίνυν ὡς ἀρχηγῷ τῷ Κυρίῳ καλῶς ἕπεσθαι γινώσκων, οὐκ ἀγνοήσει τὸν λόγον, καθ' ὃν καὶ αὐτὸς τριακοντούτης ἀναφανήσεται, κηρύττειν δυνάμενος τὸ Εὐαγγέλιον τῆς βασιλείας. ὅταν γὰρ ἀμέμπτως, ὥσπερ τινὰ φύσιν ὁρατὴν, τὸν κατὰ πρᾶξιν τῶν ἀρετῶν δημιουργήσῃ κόσμον, τὴν ἐπ' αὐτῆς τῆς ψυχῆς, ὥσπερ τινὰ χρόνον, διὰ τῶν ἐναντίων συμβαίνουσαν μὴ ἀλλοιώσας περίοδον, καὶ διὰ θεωρίας ἀπταίστως δρέψεται γνῶσιν, καὶ τὴν αὐτὴν καὶ ἄλλοις ἕξιν προνοητικῶς ἐνθεῖναι δεδύνηται· τότε καὶ αὐτὸς, ὡς δ' ἂν ἔχοι σωματικῆς ἡλικίας, τριακοντούτης ἐστὶ τῷ πνεύματι, συνεμφαίνων τῶν οἰκείων ἀγαθῶν τὴν ἐν ἄλλοις ἐνέργειαν.

π΄. Ὁ ταῖς ἡδοναῖς παρειμένος τοῦ σώματος, οὔτε πρὸς ἀρετήν ἐστιν ἐνεργὸς, οὔτε πρὸς γνῶσιν εὐκίνητος· ὅθεν οὐδὲ ἄνθρωπον ἔχει, τουτέστιν ἔμφρονα λογισμὸν, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ βάλλῃ αὐτὸν εἰς τὴν κολυμβήθραν· τουτέστιν εἰς τὴν δεκτικὴν τῆς γνώσεως ἀρετὴν, τὴν ἰατρεύουσαν πᾶσαν νόσον· εἰ μήπου διὰ ῥαθυμίας ὁ τοσοῦτον ἀναβαλλόμενος, ὑπ' ἄλλου προληφθῇ τοῦ κωλύοντος αὐτῷ παραγενέσθαι τὴν ἴασιν. διὸ καὶ τριάκοντα καὶ ὀκτὼ ἔτη νόσῳ συγκατακλίνεται. ὁ γὰρ μὴ πρὸς δόξαν Θεοῦ τὴν ὁρατὴν θεώμενος κτίσιν καὶ πρὸς τὴν νοητὴν φύσιν εὐσεβῶς ἀναβιβάζων τὴν ἔννοιαν, εἰκότως τοσοῦτον διαμενεῖ τῶν εἰρημένων ἐτῶν τὸν ἀριθμόν. ὁ γὰρ τριάκοντα φυσικῶς λαμβανόμενος ἀριθμὸς, τὴν αἰσθητὴν σημαίνει φύσιν· ὥσπερ καὶ πρακτικῶς σκοπούμενος, τὴν πρακτικὴν ἀρετήν. ὁ δὲ ὀκτὼ μυστικῶς κατανοούμενος, τὴν νοητὴν τῶν ἀσωμάτων παραδηλοῖ φύσιν· ὥσπερ καὶ γνωστικῶς θεωρούμενος τὴν πάνσοφον θεολογίαν· αἷς ὁ μὴ κινούμενος πρὸς Θεὸν, πάρειτος μένει, μέχρις ἂν ἐλθὼν ὁ Λόγος δείξῃ αὐτῷ τὸν σύντομον τῆς ἰάσεως τρόπον φάσκων, ἔγειραι· ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει· διαναστῆναι τὸν νοῦν τῆς κατεχούσης φιληδονίας, καὶ ἆραι τὸ σῶμα τοῖς ὤμοις τῶν ἀρετῶν, καὶ ἀπελθεῖν εἰς τὸν οἶκον δηλαδὴ τὸν οὐρανὸν ἐγκελευόμενος. καλὸν γὰρ ὑπὸ τοῦ κρείττονος τοῖς ὤμοις τῆς πράξεως τὸ χεῖρον αἴρεσθαι πρὸς ἀρετὴν, ἢ τὸ κρεῖττον διὰ θρύψεως πρὸς φιληδονίαν ὑπὸ τοῦ χείρονος φέρεσθαι.

πα΄. Ἕως τὴν ἡμῶν τε, καὶ πάντων τῶν μετὰ Θεὸν οὐσίαν κατὰ διάνοιαν καθαρῶς οὐκ ἐκβεβήκαμεν, τὴν ἕξιν οὔπω τῆς κατ' ἀρετὴν ἀῤῥεψίας ἐλάβομεν· ὁπηνίκα δὲ τοῦτο δι' ἀγάπης ἡμῖν κατορθωθῇ τὸ ἀξίωμα, τότε γνωσόμεθα τῆς θείας ἐ-

πηγ-

παγγελίας τὴν δύναμιν. ἐκεῖ γὰρ εἶναι χρὴ πιστεύειν καθίδρυσιν ἀμετάθετον τῆς ἀξίας, ἔνθα προλαβὼν ὁ νοῦς δι' ἀγάπης τὴν σφετέραν ἐνερρίζωσε δύναμιν. ὁ γὰρ μὴ ἐκβὰς ἑαυτοῦ, καὶ πάντων τῶν ὁπωσοῦν νοεῖσθαι δυναμένων, καὶ εἰς τὴν ὑπὲρ νόησιν σιγὴν καταστάς, οὐ δύναται τροπῆς εἶναι πάμπαν ἐλεύθερος.

πβ'. Πᾶσα νόησις, πλῆθος, ἢ πλεῖστον, δυάδος πάντως ἔμφασιν ἔχει. μέση γὰρ τινῶν ἐστὶν ἀκροτήτων σχέσις, ἀλλήλοις συνάπτουσα τό, τε νοοῦν, καὶ τὸ νοούμενον· οὐδ' ἕτερον δὲ δι' ὅλου τὴν ἁπλότητα πέφυκε σώζειν. τό, τε γὰρ νοοῦν, ὑποκείμενόν τί ἐστι, πάντως συνεπινοουμένην αὐτῷ τὴν τοῦ νοεῖν ἔχον δύναμιν. καὶ τὸ νοούμενον ὑποκείμενόν τι πάντως ἐστίν, ἢ ἐν ὑποκειμένῳ συνεπινοουμένην αὐτῷ τὴν τοῦ νοεῖσθαι δύναμιν ἔχον, ἢ προϋποκειμένην τὴν οὗ ἐστὶ δύναμις, οὐσίαν. οὐ γάρ τι τῶν ὄντων τὸ σύνολον αὐτὸ καθ' αὑτὸ ἁπλῆ τίς οὐσία, ἢ νόησίς ἐστιν, ἵνα καὶ μονὰς ἀδιαίρετος. τὸν δὲ Θεὸν εἴτε οὐσίαν εἴπωμεν, οὐκ ἔχει φυσικῶς συνεπινοουμένην αὐτῷ τὴν τοῦ νοεῖσθαι δύναμιν, ἵνα μὴ σύνθετος· εἴτε νόησιν, οὐκ ἔχει φυσικῶς δεκτικὴν τῆς νοήσεως ὑποκειμένην οὐσίαν, ἀλλ' αὐτὸ κατ' οὐσίαν νόησίς ἐστιν ὁ Θεός· καὶ ὅλος νόησις, καὶ μόνον· καὶ αὐτὸς κατὰ τὴν νόησιν οὐσία, καὶ ὅλος οὐσία καὶ μόνον, καὶ ὑπὲρ οὐσίαν ὅλος· διότι καὶ μονὰς ἀδιαίρετος, καὶ ἀμερής, καὶ ἁπλῆ. ὁ τοίνυν καθοτιοῦν νόησιν ἔχων, οὔπω τῆς δυάδος ἐξῆλθεν· ὁ δὲ ταύτην πάμπαν ἀπολιπών, γέγονε ποσῶς ἐν τῇ μονάδι, τὴν τοῦ νοεῖν ὑπεροχικῶς ἀποθέμενος δύναμιν.

πγ'. Ἐν μὲν τοῖς πολλοῖς, ἑτερότης, καὶ ἀνομοιότης ἐστί, καὶ διαφορά· ἐν δὲ τῷ Θεῷ, κυρίως ἑνὶ καὶ μόνῳ τυγχάνοντι, ταυτότης, καὶ ἁπλότης μόνον ἐστί, καὶ ὁμοιότης· οὐκ ἀσφαλὲς οὖν πρὶν ἔξω γενέσθαι τῶν πολλῶν, ἐπιβάλλειν ταῖς περὶ Θεοῦ θεωρίαις. καὶ δηλοῖ τοῦτο Μωϋσῆς ἔξω τῆς παρεμβολῆς πηγνύμενος τὴν σκηνὴν τῆς διανοίας, καὶ τότε προσομιλῶν τῷ Θεῷ. τὸ γὰρ μετὰ λόγου τοῦ κατὰ προφορὰν πειρᾶσθαι φάναι τὸ ἄρρητον, ἐπικίνδυνον, διότι καὶ δυάς, καὶ πλέον ἐστὶν ὁ κατὰ προφορὰν λόγος. Τὸ δὲ ἄνευ φωνῆς μόνῃ τῇ ψυχῇ τὸ ὂν θεωρεῖν, ἰσχυρότατον· ἔτι κατὰ τὴν ἀδιαίρετον ἵσταται μονάδα, καὶ οὐκ ἐν τοῖς πολλοῖς. ὁ γὰρ Ἀρχιερεὺς ἅπαξ τοῦ ἔτους εἰς τὰ Ἅγια τῶν Ἁγίων ἔσω τοῦ καταπετάσματος εἰσιέναι μόλις προστεταγμένος, διδάσκει μόνον δεῖν ἐκεῖνον τὸν τὴν ἄϋλον καὶ τὰ Ἅγια διαβάντα, καὶ εἰς τὰ Ἅγια τῶν Ἁγίων ἔσω γενόμενον, τουτέστι τὴν ἅπασαν τῶν αἰσθητῶν τε, καὶ νοητῶν παρελθόντα φύσιν, καὶ πάσης τῆς κατὰ τὴν γένεσιν ἰδιότητος γενόμενον καθαρόν, ἀνείμονα, καὶ γυμνὸν τῇ διανοίᾳ προσβάλλειν ταῖς περὶ Θεοῦ φαντασίαις.

Μωϋσῆς ὁ μέγας ἔξω τῆς παρεμβολῆς πηξάμενος ἑαυτοῦ τὴν σκηνήν, τουτέστι τὴν γνώμην, καὶ τὴν διάνοιαν ἱδρυσάμενος ἔξω τῶν ὁρωμένων, προσκυνεῖν τὸν Θεὸν ἄρχεται, καὶ εἰς τὸν γνόφον εἰσελθὼν τὸν ἀειδῆ, καὶ ἄϋλον τῆς γνώσεως τόπον, ἐκεῖ τελειούμενος τὰς ἱερωτάτας τελετάς. πδ'.

Ὁ γνόφος ἐστίν, ἡ ἀειδής, καὶ ἄϋλος, καὶ ἀσώματος κατάστασις· ἡ τὴν παραδειγματικὴν τῶν ὄντων ἔχουσα γνῶσιν· ἐν ᾗ ὁ γενόμενος ἐντός, καθάπερ τις ἄλλος Μωϋσῆς * φύσει θνητῷ κατανοεῖ τὰ ἀθάνατα· δι' ἧς τῶν θείων ἀρετῶν ἐν ἑαυτῷ ζωγραφήσας τὸ κάλλος, ὥσπερ γραφὴν εὐμιμήτως ἔχουσαν τοῦ ἀρχετύπου κάλλους τὸ ἀπεικόνισμα, κάτεισιν ἑαυτὸν προβαλλόμενος τοῖς βουλομένοις μιμεῖσθαι τὴν ἀρετήν· καὶ ἐν τούτῳ δεικνὺς ἧς μετείληφε χάριτος τὸ φιλάνθρωπόν τε, καὶ ἄφθονον. πε'.

* ἴσως λείπει, σώματι.

Οἱ ἀ-

πς'. Οἱ ἀκριβῶς τὴν κατὰ Θεὸν μετερχόμενοι φιλοσοφίαν, μέγιστα ἐκ τῆς κατὰ ταύτην ἐπιστήμης κέρδος εὑρίσκουσι, τὸ μηκέτι τὴν γνώμην τοῖς πράγμασι συμμεταβάλλεσθαι, ἀλλὰ μετ' εὐσταθοῦς βεβαιότητος πᾶσιν ἐγχειρεῖν προθύμως, τοῖς ἁρμόζουσι τῷ λόγῳ τῆς ἀρετῆς.

πζ'. Τὴν κατὰ σάρκα πρώτην ἐν Χριστῷ διὰ Πνεύματος βαπτισθέντες ἀφθαρσίαν, τὴν ἐσχάτην κατ' αὐτὴν ἐν Πνεύματι δι' ἐπιδόσεως ἔργων ἀγαθῶν δηλονότι, καὶ τῷ κατὰ πρόθεσιν θανάτῳ τὴν προτέραν φυλάξαντες ἀκηλίδωτον ἐκδεχόμεθα· καθ' ἣν τῶν ἐχόντων οὐδεὶς ἀποβολὴν δέδοικε τῶν κτηθέντων ἀγαθῶν.

πη'. Τοῖς ἐπὶ γῆς τῆς θείας ἀρετῆς ἀπ' οὐρανοῦ δι' ἔλεος πρὸς ἡμᾶς τὴν χάριν καταπέμψαι βουληθεὶς ὁ Θεός, συμβολικῶς τὴν ἱερὰν σκηνήν, καὶ τὰ ἐν αὐτῇ πάντα κατεσκεύασε σοφίας οὖσαν ἀπεικόνισμα, καὶ τύπον, καὶ μίμημα.

πθ'. Ἡ χάρις τῆς νέας διαθήκης μυστικῶς τῷ τῆς παλαιᾶς κέκρυπται γράμματι. διὸ φησὶν ὁ Ἀπόστολος, ὅτι ὁ νόμος πνευματικός ἐστιν. ὁ οὖν νόμος τῷ μὲν γράμματι παλαιοῦται, καὶ γηράσκει καταργούμενος· τῷ δὲ πνεύματι νεάζει διὰ παντὸς ἐνεργούμενος. ἡ γὰρ χάρις παντελῶς ἀπαλαίωτος.

ϟ'. Ὁ μὲν νόμος σκιὰν ἔχει τοῦ Εὐαγγελίου· τὸ δὲ Εὐαγγέλιον, εἰκών ἐστι τῶν μελλόντων ἀγαθῶν. ὁ μὲν γὰρ κωλύει τὰς τῶν κακῶν ἐνεργείας· ὁ δέ, τὰς πράξεις τῶν ἀγαθῶν παρατίθεται.

ϟα'. Τὴν Ἁγίαν ὅλην Γραφήν, σαρκὶ διαιρεῖσθαι λέγομεν, καὶ πνεύματι· καθάπερ τινὰ πνευματικὸν ἄνθρωπον οὖσαν. ὁ γὰρ τὸ ῥητὸν τῆς γραφῆς εἰπὼν εἶναι σάρκα· τὸν δὲ ταύτης νοῦν Πνεῦμα ἤγουν ψυχήν, τῆς ἀληθείας οὐχ ἁμαρτήσεται. σοφὸς δὲ προδήλως, ὁ τὸ μὲν φθειρόμενον ἀφείς, ὅλος τοῦ ἀφθάρτου γενόμενος.

Ὁ μὲν νόμος σάρξ ἐστι τοῦ κατὰ τὴν Ἁγίαν Γραφὴν πνευματικοῦ ἀνθρώπου· αἴσθησις δὲ οἱ Προφῆται· τὸ δὲ Εὐαγγέλιον ψυχὴ νοερά· διὰ σαρκὸς τοῦ νόμου, καὶ διὰ αἰσθήσεως τῶν Προφητῶν ἐνεργοῦσα· καὶ τὴν ἑαυτῆς δύναμιν ταῖς ἐνεργείαις ἐκφαίνουσα. ϟβ'.

Σκιὰν μὲν εἶχεν ὁ νόμος· εἰκόνα δὲ οἱ Προφῆται, τῶν ἐν τῷ Εὐαγγελίῳ θείων καὶ πνευματικῶν ἀγαθῶν. αὐτὸ δὲ τὸ Εὐαγγέλιον αὐτὴν παροῦσαν ἡμῖν διὰ τῶν πραγμάτων ἔδειξε τὴν ἀλήθειαν· τὴν τῷ νόμῳ προσκιασθεῖσαν· καὶ τοῖς Προφήταις προεικονισθεῖσαν. ϟγ'.

Ὁ τὸν νόμον διὰ βίου καὶ πολιτείας ἐπιτελῶν, μόνων τῶν τῆς κακίας ἀργεῖ συμπερασμάτων, καταθύων τῷ Θεῷ τῶν ἀλόγων παθῶν τὴν ἐνέργειαν· καὶ τούτῳ πρὸς σωτηρίαν ἀρκεῖται τῷ τρόπῳ, διὰ τὴν ἐν αὐτῷ πνευματικὴν νηπιότητα· ϟδ'.

Ὁ τῷ προφητικῷ λόγῳ παιδαγωγούμενος πρὸς τῇ ἀποβολῇ τῆς τῶν παθῶν ἐνεργείας, καὶ τὰς κατὰ ψυχὴν συνισταμένας αὐτῷ ἐκτίθεται συγκαταθέσεις· ἵνα μὴ τῷ χείρονι, φημὶ δὲ τῇ σαρκὶ δοκῶν κακίας ἀπέχεσθαι, τῷ κρείττονι, λέγω δὲ τῇ ψυχῇ, λάθῃ ταύτην δαψιλῶς ἐνεργούμενος. ϟε'.

Ὁ τὴν Εὐαγγελικὴν ζωὴν γνησίως ἀσπαζόμενος, καὶ ἀρχὴν καὶ τέλος ἑαυτοῦ τῆς κακίας ἐξέτεμε· καὶ πᾶσαν ἀρετὴν ἔργῳ καὶ λόγῳ μετέρχεται· θύων θυσίαν αἰνέσεως καὶ ἐξομολογήσεως· πάσης τῆς κατ' ἐνέργειαν τῶν παθῶν ἀπηλλαγμένος ὀχλήσεως· καὶ τῆς κατὰ νοῦν πρὸς αὐτὰ μάχης ὑπάρχων ἐλεύθερος, καὶ μόνον ἔχων τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν τὴν ψυχὴν διατρέφουσαν, ἀκόρεστον ἡδονήν. ϟς'.

Τοῖς σπουδαιοτέροις τῶν θείων γραφῶν ἐπιμεληταῖς, δύο ἔχων ἀναφαίνεται μορφὰς ὁ κατὰ τὸν Κύριον λόγος· τὴν μὲν κοινήν, καὶ δημωδεστέραν, καὶ ὀλίγοις θεα- ϟζ'.

τὴν, καθ' ἣν λέγεται τό, εἴδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος. τὴν δέ, κρυφιωτέραν καὶ ὀλίγοις ἐφικτήν, τοῖς ἤδη κατὰ Πέτρον καὶ Ἰωάννην τοὺς Ἁγίους Ἀποστόλους γεγονόσιν· ἐφ' ὧν ὁ Κύριος μετεμορφώθη πρὸς δόξαν νικῶσαν τὴν αἴσθησιν· καθ' ἣν ἐστιν ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. τούτων δὲ τῶν δύο μορφῶν, ἡ μὲν προτέρα τοῖς εἰσαγομένοις ἁρμόδιος· ἡ δευτέρα δὲ τοῖς κατὰ τὴν γνῶσιν ὡς ἐφικτὸν τελειωθεῖσιν ἀναλόγως. καὶ ἡ μὲν, τῆς πρώτης παρουσίας τοῦ Κυρίου ἐστὶν εἰκών· ἐφ' ἧς τὸ ῥητὸν τοῦ Εὐαγγελίου θετέον διὰ παθημάτων καθαιρούσης τοὺς πρακτικούς· ἡ δέ, τῆς δευτέρας καὶ ἐνδόξου παρουσίας ἐστὶ προδιατύπωσις, ἐφ' ἧς τὸ πνεῦμα νοεῖται τῆς διὰ σοφίας τοὺς γνωστικοὺς μεταμορφούσης πρὸς θέωσιν· ἐκ τῆς ἐν αὐτοῖς τοῦ λόγου μεταμορφώσεως, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζομένοις.

ϟη'. Ὁ μὲν ἀκατάσειστος ὑπὲρ ἀρετῆς ἐγκαρτερῶν τοῖς δεινοῖς, ἐνεργουμένην ἐφ' ἑαυτὸν ἔχει τὴν πρώτην τοῦ λόγου παρουσίαν, πάσης αὐτὸν κηλῖδος καθαίρουσαν. ὁ δὲ τὸν νοῦν πρὸς τὴν τῶν Ἀγγέλων διὰ θεωρίας μεταβιβάσας κατάστασιν, τῆς δευτέρας ἔχει παρουσίας τὴν δύναμιν, ἐνεργοῦσαν αὐτῷ τὸ ἀπαθὲς καὶ καὶ ἀνάλωτον.

ϟθ'. Αἴσθησις μὲν ἕπεται τῷ πρακτικῷ, διὰ πόνων κατορθοῦντι τὰς ἀρετάς. ἀναισθησία δὲ τῷ γνωστικῷ τὸν νοῦν ἀπὸ τῆς σαρκὸς καὶ τοῦ κόσμου συστείλαντι πρὸς Θεόν. ὁ μὲν γὰρ λῦσαι τῆς ψυχῆς τὸν κατὰ φύσιν τῆς σχέσεως πρὸς τὴν σάρκα δεσμὸν διὰ τῆς πρακτικῆς ἀγωνιζόμενος, ἔχει τὴν γνώμην τοῖς πόνοις συνεχῶς ὑποκλάζουσαν. ὁ δὲ ταύτης τῆς σχέσεως ἀναπαύσας διὰ τῆς θεωρίας τοὺς ἥλους, οὐδὲ τὸ σύνολόν ἐστι καθεκτός· καθαρὸς ἤδη τοῦ κατέχοντος καὶ κρατεῖσθαι πεφυκότος παρὰ τῶν ἑλεῖν βουλομένων γενόμενος.

ρ'. Τὸ Μάννα τὸ δοθὲν τῷ Ἰσραὴλ κατὰ τὴν ἔρημον, ὁ τοῦ Θεοῦ λόγος ἐστὶ πρὸς πᾶσαν ἡδονὴν πνευματικὴν ἀρκῶν τοῖς ἐσθίουσιν αὐτόν· καὶ πρὸς πᾶσαν γεῦσιν κατὰ τὴν διαφορὰν τῆς τῶν ἐσθιόντων ἐπιθυμίας μεταποιούμενος· πάσης γὰρ ἔχει πνευματικῆς βρώσεως ποιότητα. διὸ τοῖς μὲν ἄνωθεν ἐκ σπορᾶς ἀφθάρτου διὰ πνεύματος γεννηθεῖσι, λογικὸν ἄδολον γίνεται γάλα· τοῖς δὲ ἀσθενοῦσι, λάχανον τὴν παθοῦσαν τῆς ψυχῆς παραμυθούμενος δύναμιν· τοῖς δὲ διὰ τὴν ἕξιν τὰ αἰσθητήρια τῆς ψυχῆς γεγυμνασμένα ἔχουσι πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ, στερεὰν αὐτοῖς δίδωσι τροφήν. ἔχει δὲ καὶ ἄλλας ἀπείρους δυνάμεις ὁ τοῦ Θεοῦ λόγος, ἐνταῦθα μὴ χωρουμένας· ἀναλύσας δέ τις, καὶ ἄξιος γενόμενος ἐπὶ πολλῶν, ἢ ἐπὶ πάντων κατασταθῆναι, λήψεται κἀκείνας ὅλας, ἢ τινάς, τοῦ λόγου τὰς δυνάμεις, διὰ τὸ ἐν ἐλαχίστῳ αὐτὸν ἐνταῦθα γεγονέναι. πᾶσα γὰρ τῶν ἐνταῦθα διδομένων θείων χαρισμάτων ἀκρότης, συγκρίσει τῶν μελλόντων, ἐλαχιστόν τι καὶ μέτριόν ἐστι.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ
# ΕΚΑΤΟΝΤΑΣ ΔΕΥΤΕΡΑ.

α'. Εἷς ὁ Θεός, ὅτι μία Θεότης· ἄναρχος, ἁπλῆ, καὶ ὑπερούσιος, καὶ ἀμερής, καὶ ἀδιαίρετος· ἡ αὐτὴ μονάς, καὶ τριάς· ὅλη μονὰς ἡ αὐτή, καὶ ὅλη τριὰς ἡ αὐτή· μονὰς ὅλη κατὰ τὴν οὐσίαν ἡ αὐτή, καὶ τριὰς ὅλη κατὰ τὰς ὑποστάσεις ἡ αὐτή. Πατὴρ γάρ, καὶ Υἱός, καὶ Πνεῦμα Ἅγιον ἡ Θεότης· καὶ ἐν Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι ἡ Θεότης· ὅλη ἐν ὅλῳ τῷ Πατρὶ ἡ αὐτή, καὶ ὅλος ἐν ὅλῃ τῇ αὐτῇ ὁ Πατήρ· καὶ ὅλη ἐν ὅλῳ τῷ Υἱῷ ἡ αὐτή· καὶ ὅλος ἐν ὅλῃ τῇ αὐτῇ ὁ Υἱός· καὶ ὅλη ἐν ὅλῳ τῷ Πνεύματι τῷ Ἁγίῳ ἡ αὐτή· καὶ ὅλον ἐν ὅλῃ τῇ αὐτῇ τὸ Πνεῦμα τὸ Ἅγιον· ὅλη Πατήρ· καὶ ἐν ὅλῳ τῷ Πατρί· καὶ ὅλος ἐν ὅλῃ ὁ Πατήρ· καὶ ὅλη ὅλος ὁ Πατήρ· καὶ ἐν ὅλῃ ὅλος ὁ Υἱὸς τῇ αὐτῇ· καὶ ὅλη ἐν ὅλῳ τῷ Υἱῷ ἡ αὐτή· καὶ ὅλος ὅλη καὶ ἐν ὅλῃ τῇ αὐτῇ ὁ Υἱός. καὶ ὅλη Πνεῦμα Ἅγιον ἡ αὐτή· καὶ ἐν ὅλῳ τῷ Πνεύματι τῷ Ἁγίῳ· καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ὅλον ὅλη· καὶ ὅλον ἐν ὅλῃ τῇ αὐτῇ τὸ Πνεῦμα τὸ Ἅγιον. οὐ γὰρ ἐκ μέρους ἡ Θεότης ἐν τῷ Πατρί, ἢ ἐκ μέρους Θεὸς ὁ Πατήρ· οὔτε ἐκ μέρους ἐν τῷ Υἱῷ ἡ Θεότης, ἢ ἐκ μέρους Θεὸς ὁ Υἱός· οὔτε ἐκ μέρους ἐν τῷ Ἁγίῳ Πνεύματι ἡ Θεότης, ἢ ἐκ μέρους Θεὸς τὸ Πνεῦμα τὸ Ἅγιον. οὔτε γὰρ μεριστὴ ἡ Θεότης, οὔτε ἀτελὴς Θεὸς ὁ Πατήρ, ἢ ὁ Υἱὸς ἢ τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλ' ὅλη ἐστὶν ἡ αὐτὴ τελεία τελείως ἐν τελείῳ τῷ Πατρί, καὶ ὅλη τελείως ἐν τελείῳ τῷ Υἱῷ ἡ αὐτή, καὶ ὅλη τελείως ἡ αὐτὴ ἐν τελείῳ τῷ Ἁγίῳ Πνεύματι. ὅλος γὰρ ἐν ὅλῳ τῷ Υἱῷ καὶ τῷ Πνεύματι τελείως ἐστὶν ὁ Πατήρ· καὶ ὅλος ἐν ὅλῳ τῷ Πατρὶ καὶ τῷ Πνεύματι τελείως ἐστὶν ὁ Υἱός· καὶ ὅλον ἐν ὅλῳ τῷ Πατρὶ καὶ τῷ Υἱῷ τελείως ἐστὶ τὸ Πνεῦμα τὸ Ἅγιον· διὸ καὶ εἷς Θεὸς ὁ Πατήρ, καὶ ὁ Υἱός, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. μία γὰρ καὶ ἡ αὐτὴ οὐσία, καὶ δύναμις, καὶ ἐνέργεια Πατρός, καὶ Υἱοῦ, καὶ Ἁγίου Πνεύματος, οὐκ ὄντος οὐδενὸς τοῦ ἑτέρου χωρίς, ἢ νοουμένου.

β'. Πᾶσα νόησις, τῶν νοούντων, καὶ νοουμένων ἐστίν. ὁ δὲ Θεὸς οὔτε τῶν νοούντων ἐστίν, οὔτε τῶν νοουμένων. ὑπὲρ ταῦτα γάρ· ἐπεὶ περιγράφεται τῆς τοῦ νοουμένου σχέσεως, ὡς νοῶν προσδεόμενος· ἢ τῷ νοοῦντι φυσικῶς ὑποπίπτων διὰ τὴν σχέσιν νοούμενος. λείπεται οὖν μήτε νοεῖν, μήτε νοεῖσθαι τὸν Θεὸν ὑπολαμβάνειν, ἀλλ' ὑπὲρ τὸ νοεῖν εἶναι καὶ νοεῖσθαι. τῶν γὰρ μετ' αὐτὸν φυσικῶς ἐστὶ τὸ νοεῖν καὶ τὸ νοεῖσθαι.

γ'. Πᾶσα νόησις ὥσπερ ἐν οὐσίᾳ πάντως ἔχει τὴν θέσιν ὡς ποιότης, οὕτω καὶ περὶ οὐσίαν πεποιωμένην ἔχει τὴν κίνησιν. οὐ γὰρ ἄφετόν τε καθόλου καὶ ἁπλοῦν καθ' ἑαυτὸ ὑφεστὼς δυνατόν ἐστιν αὐτὴν ὑποδέξασθαι, ὅτι μὴ ἄφετός ἐστι καὶ ἁπλῆ. ὁ δὲ Θεὸς κατ' ἄμφω πάμπαν ὑπάρχων ἁπλοῦς καὶ οὐσία τοῦ ἐνυποκειμένου χωρίς· καὶ νόησις μὴ ἔχουσά τι καθάπαξ ὑποκείμενον, οὐκ ἔστι τῶν νοουμένων· ὡς ὑπὲρ οὐσίαν ὑπάρχων δηλονότι, καὶ νόησιν.

δ'. Ὥσπερ ἐν τῷ κέντρῳ τῶν ἐξ αὐτοῦ κατ' εὐθεῖαν ἐκτεταμένων γραμμῶν, ἀδιαίρετος θεωρεῖται παντελῶς ἡ θέσις, οὕτως

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὁ ἀξιωθεὶς ἐν τῷ Θεῷ γενέσθαι, πάντας εἴσεται τοὺς ἐν αὐτῷ τῶν γεγονότων προϋφεστῶτας λόγους καθ' ἁπλῆν τινα, καὶ ἀδιαίρετον γνῶσιν.

ε'. Μορφουμένη τοῖς νοουμένοις ἡ νόησις, πολλαὶ νοήσεις ἡ μία καθίσταται νόησις· κατ' εἶδος ἕκαστον ἐκμορφουμένη τῶν νοουμένων. ὁπηνίκα δὲ τῶν μορφούντων αὐτὴν αἰσθητῶν τε καὶ νοητῶν τὸ πλῆθος περάσασα γένηται πάμπαν ἀνείδεος· τηνικαῦτα προσφυῶς αὐτὴν ὁ ὑπὲρ νόησιν οἰκειοῦται Λόγος· καταπαύων αὐτὴν τῶν ἀλλοιούντων αὐτὴν ταῖς τῶν νοημάτων μορφαῖς πεφυκότων· ὅπερ ὁ παθών, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

ς'. Ὁ τὴν ἐφικτὴν ἀνθρώποις ἐνταῦθα τελειότητα φθάσας, καρποφορεῖ τῷ Θεῷ ἀγάπην· χαράν· εἰρήνην· μακροθυμίαν· πρὸς δὲ τὸ μέλλον, ἀφθαρσίαν, καὶ ἀϊδιότητα, καὶ τὰ τούτοις ὅμοια. καὶ μήποτε τὰ μὲν πρῶτα, προσήκει τῷ τὴν πρακτικὴν τελειώσαντι· τὰ δεύτερα δὲ τῷ διὰ γνώσεως ἀληθοῦς ἐκστάντι τῶν πεποιημένων.

ζ'. Ὥσπερ ἴδιον παρακοῆς ἔργον ἐστὶν ἡ ἁμαρτία, οὕτως ἴδιον ὑπακοῆς ἔργον ἐστὶν ἡ ἀρετή. καὶ ὥσπερ τῇ μὲν παρακοῇ παρακολουθεῖ παράβασις ἐντολῶν, καὶ τοῦ ἐντειλαμένου διαίρεσις· οὕτως τῇ ὑπακοῇ ἕπεται συντήρησις ἐντολῶν, καὶ ἡ πρὸς τὸν ἐντειλάμενον ἕνωσις. ὁ γοῦν συντηρήσας δι' ὑπακοῆς ἐντολήν, καὶ δικαιοσύνην εἰργάσατο καὶ τῆς κατ' ἀγάπην ἑαυτὸν πρὸς τὸν ἐντειλάμενον οὐ διέλιπεν ἑνώσεως.

η'. Ὁ ἐκ τῆς κατὰ τὴν παράβασιν διαιρέσεως συναγόμενος, πρῶτον χωρίζεται τῶν παθῶν, ἔπειτα τῶν ἐμπαθῶν λογισμῶν· εἶτα φύσεως καὶ τῶν περὶ φύσιν λόγων· εἶτα νοημάτων, καὶ τῶν περὶ αὐτὰ γνώσεων. καὶ τελευταῖον, τῶν περὶ προνοίας λόγων διαδὺς τὸ ποικίλον, εἰς αὐτὴν ἀγνώστως καταντᾷ τὸν περὶ μονάδος λόγον· καθ' ὃν μόνην θεωρήσας ἑαυτοῦ τὴν ἀβλεψίαν ὁ νοῦς, χαίρει τὴν ἀνεκλάλητον χαράν, ὡς τὴν εἰρήνην εἰληφὼς τοῦ Θεοῦ τὴν ὑπερέχουσαν πάντα νοῦν, καὶ φρουροῦσαν διηνεκῶς ἄπτωτον τὸν αὐτῆς ἀξιούμενον.

θ'. Ὁ τῆς γεέννης φόβος, κακίαν φεύγειν παρασκευάζει τοὺς εἰσαγομένους. ὁ δὲ πόθος τῆς τῶν ἀγαθῶν ἀντιδόσεως, τοῖς προκόπτουσι τὴν ἐπ' ἐνεργείᾳ τῶν ἀρετῶν χαρίζεται προθυμίαν. τὸ δὲ τῆς ἀγάπης μυστήριον, πάντων ὑπεραίρει τῶν γεγονότων, τὸν νοῦν πρὸς πάντα τὰ μετὰ Θεὸν τυφλὸν ἀπεργαζόμενον. μόνους γὰρ τοὺς τυφλοὺς πρὸς πάντα τὰ μετὰ Θεὸν γεγενημένους, ὁ Κύριος σοφίζει δεικνὺς τὰ θειότερα.

ι'. Ὁ τοῦ Θεοῦ λόγος, κόκκῳ σινάπεως ἐοικώς, πρὸ τῆς γεωργίας εἶναι δοκεῖ πάνυ μικρός· ἐπειδὰν δὲ γεωργηθῇ δεόντως, τοσοῦτον διαδείκνυται μέγας, ὥστε τοὺς τῶν αἰσθητῶν καὶ τῶν νοητῶν κτισμάτων μεγαλοφυεῖς λόγους, πτηνῶν δίκην αὐτῷ ἐπαναπαύεσθαι. πάντων γὰρ οἱ λόγοι καθεστήκασιν αὐτῷ χωρητοί· αὐτὸς δὲ τῶν ὄντων ἐστίν, οὐδενὶ χωρητός. διὸ τὸν ἔχοντα πίστιν ὡς κόκκον σινάπεως δύνασθαι μεταθεῖναι λόγῳ τὸ ὄρος ὁ ὁ Κύριος ἔφη· τουτέστι τὸ καθ' ἡμῶν τοῦ διαβόλου κράτος ἀποδιώκειν καὶ μετατιθέναι τῆς βάσεως.

ια'. Κόκκος τοῦ σινάπεώς ἐστιν ὁ Κύριος, κατὰ πίστιν ἐν πνεύματι σπειρόμενος ἐν ταῖς καρδίαις τῶν δεχομένων· ὃν ἐπιμελῶς διὰ τῶν ἀρετῶν γεωργήσας, τὸ μὲν ὄρος τοῦ χοϊκοῦ φρονήματος μετατίθησι· τὴν δυσκίνητον ἕξιν ἑαυτοῦ τῆς κακίας κατ' ἐξουσίαν ἀπωθούμενος· τοὺς δὲ λόγους ἐν ἑαυτῷ τῶν ἐντολῶν, καὶ τοὺς τρόπους, ἢ καὶ τὰς θείας δυνάμεις, ὥσπερ πετεινὰ οὐρανοῦ ἐπαναπαύει.

ιβ'. Τῷ Κυρίῳ καθάπερ τινὶ θεμελίῳ πίστεως, τὸ ὕψος ἐποικοδομοῦντες τῶν ἀ-

γαθῶν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

γαθῶν, χρυσίον· ἀργύριον· λίθους τιμίους ἐπιθῶμεθα· τουτέστι θεολογίαν καθαρὰν καὶ ἀκίβδηλον, καὶ βίον διαφανῆ καὶ λαμπρόν· καὶ θείους λογισμοὺς, καὶ μαργαρώδη νοήματα· ἀλλὰ μὴ ξύλα· μήτε χόρτον· μήτε καλάμην· τουτέστι μήτε εἰδωλολατρείαν, ἤγουν τὴν περὶ τὰ αἰσθητὰ πτόησιν· μήτε βίον ἀλόγιστον· μήτε λογισμοὺς ἐμπαθεῖς, καὶ τῆς κατὰ σοφίας συνέσεως ὥσπερ ἀστάχυον ἐστερημένους.

ιγ΄. Ὁ γνώσεως ἐφιέμενος, ἀμετακινήτους τὰς βάσεις τῆς ψυχῆς ἐρεισάτω παρὰ τῷ Κυρίῳ, καθά φησιν ὁ Θεὸς τῷ Μωϋσῇ· σὺ δὲ αὐτοῦ στῆθι μετ᾽ ἐμοῦ. ἰστέον δὲ ὅτι, καὶ ἐν αὐτοῖς τοῖς ἱσταμένοις παρὰ τῷ Κυρίῳ, ἔστι διαφορά· εἴπερ ἐκεῖνο μὴ παρέργως ἀναγινώσκεται τοῖς φιλομαθέσι, τὸ, Καὶ εἰσί τινες τῶν ὧδε ἑστώτων, οἵτινες οὐ μὴ γεύσονται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει. οὐ γὰρ πᾶσιν ἀεὶ μετὰ δόξης ὁ Κύριος ἐπιφαίνεται τοῖς παρ᾽ αὐτῷ ἱσταμένοις· ἀλλὰ τοῖς μὲν εἰσαγομένοις, ἐν δούλου μορφῇ παραγίνεται· τοῖς δὲ δυναμένοις ἀκολουθῆσαι αὐτῷ ἐπὶ τὸ ὑψηλὸν ἀναβαίνοντι τῆς αὐτοῦ μεταμορφώσεως ὄρος, ἐν μορφῇ Θεοῦ ἐπιφαίνεται· ἐν ᾗ ὑπῆρχε πρὸ τοῦ τὸν κόσμον εἶναι. δυνατὸν οὖν ἐστι μὴ κατὰ τὸ αὐτὸ τὸν αὐτὸν πᾶσι τοῖς παρ᾽ αὐτῷ τυγχάνουσιν ἐπιφαίνεσθαι Κύριον· ἀλλὰ τοῖς μὲν οὕτως, τοῖς δὲ ἑτέρως· κατὰ τὸ μέτρον τῆς ἐν ἑκάστῳ πίστεως.

ιδ΄. Ὅταν περιφανὴς καὶ λαμπρὸς ἐν ἡμῖν ὁ τοῦ Θεοῦ γενήσεται λόγος, καὶ τὸ πρόσωπον αὐτοῦ λάμψῃ καθάπερ ἥλιος, τότε καὶ τὰ ἱμάτια αὐτοῦ φαίνεται λευκά· τουτέστι τὰ ῥήματα τῆς ἁγίας τῶν Εὐαγγελίων Γραφῆς, τρανὰ, καὶ σαφῆ, καὶ μηδὲν ἔχοντα κεκαλυμμένον· ἀλλὰ καὶ Μωϋσῆς, καὶ Ἠλίας μετ᾽ αὐτοῦ παραγίνονται· τουτέστιν οἱ τοῦ νόμου καὶ τῶν Προφητῶν πνευματικώτεροι λόγοι.

ιε΄. Ὥσπερ ἔρχεται ὁ υἱὸς τοῦ ἀνθρώπου, ὡς γέγραπται, μετὰ τῶν Ἀγγέλων αὐτοῦ ἐν τῇ δόξῃ τοῦ Πατρὸς, οὕτως καθ᾽ ἑκάστην ἀρετῆς προκοπὴν μεταμορφοῦται τοῖς ἀξίοις ὁ Θεοῦ λόγος, ἐρχόμενος μετὰ τῶν Ἀγγέλων αὐτοῦ, ἐν τῇ δόξῃ τοῦ Πατρός. οἱ γὰρ ἐν νόμῳ καὶ Προφήταις πνευματικώτεροι λόγοι, οὓς Μωϋσῆς, καὶ Ἠλίας δι᾽ ἑαυτῶν προτυποῦσι μετὰ τοῦ Κυρίου φαινόμενοι κατὰ τὴν μεταμόρφωσιν τοῦ Θεοῦ, τὴν ἀναλογίαν σώζουσι τῆς ἐν αὐτοῖς δόξης, τὴν τέως χωρητὴν τοῖς ἀξίοις ἀποκαλύπτοντες δύναμιν.

ις΄. Ὁ τὸν περὶ μονάδος ποσῶς μυηθεὶς λόγον, πάντως καὶ τοὺς περὶ προνοίας καὶ κρίσεως, ἐπέγνω λόγους συνόντας αὐτῷ· διὸ καὶ τρεῖς γενέσθαι σκηνὰς παρ᾽ ἑαυτῷ κατὰ τὸν ἅγιον Πέτρον τοῖς ὀραθεῖσι, καλὸν εἶναι ψηφίζεται· τουτέστι τὰς τρεῖς ἕξεις τῆς σωτηρίας, τὴν τῆς ἀρετῆς λέγω, καὶ τὴν τῆς γνώσεως, καὶ τὴν τῆς θεολογίας. ἡ μὲν γὰρ δεῖται, τῆς κατὰ πρᾶξιν ἀνδρείας, καὶ σωφροσύνης· ἧς ὁ μακάριος τύπος ὑπῆρχεν Ἠλίας· ἡ δὲ τῆς κατὰ φυσικὴν θεωρίαν δικαιοσύνης, ἣν ὁ μέγας ἐμήνυε δι᾽ ἑαυτοῦ Μωϋσῆς· ἡ δὲ τῆς κατὰ τὴν φρόνησιν ἀκραιφνοῦς τελειότητος, ἣν ὁ Κύριος ἐδήλου. σκηναὶ δὲ προσηγορεύθησαν, διὰ τὸ ἄλλας εἶναι παρὰ ταύτας κρείττους καὶ περιφανεστέρας τὰς τοὺς ἀξίους κατὰ τὸ μέλλον διαδεξομένας λήξεις·

ιζ΄. Ὁ μὲν πρακτικὸς ἐν σαρκὶ λέγεται παροικεῖν· ὡς τῆς ψυχῆς τὴν πρὸς τὴν σάρκα σχέσιν διὰ τῶν ἀρετῶν ἐκτέμνων, καὶ τῶν ὑλικῶν ἑαυτοῦ περιελόμενος τὴν ἀπάτην. ὁ δὲ γνωστικὸς καὶ ἐν αὐτῇ τῇ ἀρετῇ λέγεται παροικεῖν, ὡς ἐν ἐσόπτροις * ἐστὶ, καὶ ἐν αἰνίγμασι θεωρῶν τὴν ἀλήθειαν· οὔπω γὰρ αὐτῷ τὰ τῶν ἀγαθῶν αὐθυπόστατα εἴδη, καθώς εἰσιν, ἐθεάθησαν, διὰ τῆς πρόσωπον πρὸς πρόσωπον ἀπολαύσεως. ἐν εἰκόνι γὰρ τῶν ἀγαθῶν ὡς πρὸς τὸ μέλλον πᾶς

* ἴσως ἔτι.

ἅγιος διαπεραίνεται βοῶν, πάροικός εἰμι, καὶ παρεπίδημος καθὼς πάντες οἱ πατέρες μου.

ιη'. Τὸν διωκόμενον, οὐδὲ στῆναί ποτε τῆς ἐπὶ Θεὸν ἐγκόσης ὑψηλῆς ἀναβάσεως. ὡς γὰρ ἀναβάσεις χρὴ ποιεῖσθαι καὶ τὴν ἐκ δυνάμεως εἰς δύναμιν ἐν τῇ πρακτικῇ τῶν ἀρετῶν προκοπῇ, καὶ τὴν ἀπὸ δόξης εἰς δόξαν τῶν πνευματικῶν τῆς θεωρίας γνώσεων ἐπανάβασιν· καὶ τὴν ἀπὸ τοῦ ῥητοῦ τῆς ἁγίας γραφῆς ἐπὶ τὸ πνεῦμα μετάβασιν, οὕτω καὶ ἐν τῷ περὶ εὐχῶν τόπῳ γινομένους χρὴ ποιεῖν· ἐπαίρειν τὸν νοῦν ἀπὸ τῶν ἀνθρωπίνων· καὶ τὸ φρόνημα τῆς ψυχῆς ἐπὶ τὰ θειότερα, ἵνα δυνηθῇ ὁ νοῦς ἀκολουθῆσαι τῷ διεληλυθότι τοὺς οὐρανοὺς Ἰησοῦ τῷ υἱῷ τοῦ Θεοῦ πανταχοῦ ὄντι, καὶ πάντα διερχομένῳ δι' ἡμᾶς οἰκονομικῶς, ἵνα ἡμεῖς ἀκολουθοῦντες αὐτῷ, πάντα διέλθωμεν τὰ μετ' αὐτόν, καὶ γενώμεθα πρὸς αὐτόν. ἐάνγε νοῶμεν αὐτὸν οὐ κατὰ τὴν σμικρότητα τῆς οἰκονομικῆς συγκαταβάσεως, ἀλλὰ κατὰ τὴν μεγαλειότητα τῆς φυσικῆς ἀοριστίας.

ιθ'. Καλὸν ἀεὶ σχολάζειν καὶ ζητεῖν τὸν Θεὸν ὡς προσετάγημεν. κἂν γὰρ κατὰ τὴν παροῦσαν ζωὴν ζητοῦντες ἐπὶ τὸ πέρας ἐλθεῖν τοῦ βάθους τοῦ Θεοῦ οὐ δυνάμεθα, ἀλλ' ἴσως κἂν ἐπ' ὀλίγον τοῦ βάθους αὐτοῦ φθάνοντες, θεωροῦμεν ἁγίων ἁγιώτερα, καὶ πνευματικῶν πνευματικώτερα. καὶ δηλοῖ τυπικῶς ὁ Ἀρχιερεύς, ἀπὸ τῶν ἁγίων τῶν τῆς αὐλῆς ἁγιωτέρων, ἐπὶ τὰ ἅγια * τῶν ἁγίων τῶν τῶν ἁγιωτέρων εἰσιών.

* ἴσως τῶν τῶν ἁγιωτέρων ἅγιον.

κ'. Πᾶς τοῦ Θεοῦ λόγος, οὔτε πολύλογος, οὔτε πολυλογία ἐστίν· ἀλλ' εἷς συνεστὼς ἐκ διαφόρων θεωρημάτων· ὧν ἕκαστον μέρος ἐστὶ τοῦ λόγου. ὥστε ὁ λέγων ὑπὲρ ἀληθείας, κἂν οὕτως εἰπεῖν δυνηθῇ ὡς μηδὲν εἰς τὸ ζητούμενον παραλιπεῖν, ἕνα λόγον εἴρηκε τοῦ Θεοῦ.

κα'. Ἐν μὲν τῷ Χριστῷ Θεῷ ὄντι καὶ Λόγῳ τοῦ πατρός, ὅλον κατ' οὐσίαν οἰκεῖ τὸ πλήρωμα τῆς θεότητος σωματικῶς· ἐν ἡμῖν δὲ κατὰ χάριν οἰκεῖ τὸ πλήρωμα τῆς θεότητος, ἡνίκα πᾶσαν ἐν ἑαυτοῖς ἀθροίσωμεν ἀρετὴν καὶ σοφίαν, καὶ μηδενὶ τρόπῳ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ λειπομένην, τῆς πρὸς τὸ ἀρχέτυπον ἀληθοῦς ἐκμιμήσεως. οὐ γὰρ ἀπεικὸς κατὰ τὸν θέσει λόγον καὶ ἐν ἡμῖν οἰκῆσαι τὸ πλήρωμα τῆς θεότητος, τὸ ἐκ διαφόρων συνεστηκὸς πνευματικῶν θεωρημάτων.

κβ'. Ὥσπερ ὁ παρ' ἡμῖν λόγος ἐκ τοῦ νοῦ κατὰ φύσιν προερχόμενος, Ἄγγελος τῶν κρυπτομένων τοῦ νοῦ κινημάτων ἐστίν· οὕτως ὁ τοῦ Θεοῦ λόγος κατ' οὐσίαν ἐγνωκὼς τὸν πατέρα καθάπερ λόγος τὸν γεννήσαντα νοῦν, οὐδενὸς τῶν γενητῶν προσβαλεῖν αὐτῷ χωρὶς αὐτοῦ δυναμένου, ἀποκαλύπτει ὃν ἔγνω πατέρα ὡς κατὰ φύσιν λόγος· καθὸ καὶ μεγάλης βουλῆς Ἄγγελος λέγεται.

κγ'. Μεγάλη βουλὴ τοῦ Θεοῦ καὶ πατρός ἐστι, τὸ σεσιγημένον καὶ ἄγνωστον τῆς οἰκονομίας μυστήριον· ὅπερ πληρώσας διὰ τῆς σαρκώσεως ὁ μονογενὴς υἱὸς ἀπεκάλυψεν, Ἄγγελος γενόμενος τῆς μεγάλης τοῦ Θεοῦ καὶ πατρὸς προαιωνίου βουλῆς. γίνεται δὲ τῆς μεγάλης τοῦ Θεοῦ βουλῆς Ἄγγελος, ὁ γνοὺς τοῦ μυστηρίου τὸν λόγον· καὶ πάντων ἔργῳ τε καὶ λόγῳ διὰ πάντων ἀκαταλήπτως ὑψούμενος, μέχρις ἂν φθάσῃ τὸν πρὸς αὐτὸν τοσοῦτον κατελθόντα.

κδ'. Εἰ δι' ἡμᾶς ὁ τοῦ Θεοῦ λόγος οἰκονομικῶς κατῆλθεν εἰς τὰ κατώτερα μέρη τῆς γῆς· καὶ ἀνῆλθεν ὑπεράνω πάντων τῶν οὐρανῶν ὁ πάντη κατὰ φύσιν ἀκίνητος· ἐν ἑαυτῷ κατ' οἰκονομίαν ὡς ἀνθρώπῳ προενεργῶν τὰ ἐσόμενα, σκοπείτω χαίρων μυστικῶς ὁ τὴν φιλίαν στέργων τῆς γνώσεως, ὁποῖόν ἐστι τὸ κατ' ἐπαγγελίαν τέλος τῶν ἀγαπώντων τὸν Κύριον.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κε΄. Εἰ διὰ τοῦτο γέγονεν υἱὸς ἀνθρώπου καὶ ἄνθρωπος ὁ τοῦ Θεοῦ καὶ πατρὸς Θεὸς λόγος· ἵνα ποιήσῃ θεοὺς, καὶ Θεοῦ υἱοὺς τοὺς ἀνθρώπους, ἐκεῖ γενήσεσθαι πιστεύσωμεν, ἔνθα νῦν αὐτός ἐστιν ὁ Χριστὸς, ὡς κεφαλὴ τοῦ ὅλου σώματος, καὶ ὑπὲρ ἡμῶν γενόμενος πρόδρομος πρὸς τὸν πατέρα τὸ καθ᾽ ἡμᾶς. ἐν γὰρ συναγωγῇ θεῶν τῶν σωζομένων ἔσται Θεὸς· μέσος ἱστάμενος καὶ διανέμων τὰς ἀξίας τῆς ἐκεῖθεν μακαριότητος· τοπικὴν οὐκ ἔχων ἀπὸ τῶν ἀξίων διάστασιν.

κϛ΄. Ὁ τὰς ἐμπαθεῖς τῆς σαρκὸς ὀρέξεις ἔτι πληρῶν, ὡς εἰδωλολάτρης καὶ εἰδωλοποιὸς τὴν γῆν οἰκεῖ τῶν Χαλδαίων· ἐπὰν δὲ μικρὸν τὰ πράγματα διακρίνας, αἴσθησιν λάβῃ τῶν καθηκόντων τῆς φύσεως τρόπων, τὴν γῆν τῶν Χαλδαίων ἀφεὶς, ἔρχεται εἰς Χαρρὰν τῆς Μεσοποταμίας, τὴν μεταίχμιον ἀρετῆς καὶ κακίας λέγω κατάστασιν· τὴν μήπω τῆς κατ᾽ αἴσθησιν πλάνης καθαρὰν γενομένην, τοῦτο γὰρ ἡ Χαρράν. εἰ δὲ καὶ τὴν δι᾽ αἰσθήσεως γινομένην σύμμετρον τοῦ καλοῦ σύνεσιν ὑπερκύψει, πρὸς τὴν γῆν ἐπείγεται τὴν ἀγαθήν· τουτέστιν εἰς τὴν πάσης κακίας καὶ ἀγνωσίας ἐλευθέραν κατάστασιν· ἣν ὁ ἀψευδὴς Θεὸς δείκνυσι καὶ ἐπαγγέλλεται δώσειν, ὥσπερ ἔπαθλον ἀρετῆς τοῖς ἀγαπῶσιν αὐτόν.

κζ΄. Εἰ ἐσταυρώθη δι᾽ ἡμᾶς ἐξ ἀσθενείας ὁ τοῦ Θεοῦ λόγος· καὶ ἠγέρθη ἐκ δυνάμεως Θεοῦ, δηλονότι πνευματικῶς δι᾽ ἡμᾶς ἀεὶ τοῦτο ποιεῖ καὶ πάσχει ὡς πάντα γενόμενος, ἵνα σώσῃ τοὺς πάντας· οὐκοῦν καλῶς ὁ θεῖος Ἀπόστολος ἐν τοῖς Κορινθίοις ἀσθενοῦσιν, οὐδὲν ἔκρινεν εἰδέναι, εἰ μὴ Χριστὸν Ἰησοῦν καὶ τοῦτον ἐσταυρωμένον· Ἐφεσίοις δὲ γράφων τελείοις οὖσι, τό, συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ὁ Θεὸς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ· κατὰ τὴν ἀναλογοῦσαν ἑκάστῳ δύναμιν τὸν Θεοῦ λόγον γίνεσθαι φάσκων. σταυροῦται τοίνυν τοῖς πρὸς εὐσέβειαν πρακτικῶς εἰσαγομένοις· τὰς ἐμπαθεῖς αὐτῶν τῷ θείῳ φόβῳ προσηλῶν ἐνεργείας. ἀνίσταται δὲ καὶ ἄνεισιν εἰς οὐρανοὺς, τοῖς ὅλον τὸν παλαιὸν ἀπεκδυσαμένοις ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, καὶ ὅλον τὸν νέον ἐνδυσαμένοις, τὸν διὰ Πνεύματος κατ᾽ εἰκόνα Θεοῦ κτιζόμενον, καὶ πρὸς τὸν πατέρα τῆς ἐν αὐτοῖς χάριτος γενομένοις, ὑπεράνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ δυνάμεως, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου· εἴτε ἐν τῷ αἰῶνι τούτῳ, εἴτε ἐν τῷ μέλλοντι. πάντα γὰρ τὰ μετὰ Θεὸν καὶ πράγματα, καὶ ὀνόματα, καὶ ἀξιώματα, ὑπὸ τὸν ἐν τῷ Θεῷ διὰ τῆς χάριτος γενησόμενον ἔσται.

Ὥσπερ πρὸ τῆς ἐμφανοῦς, καὶ κατὰ σάρκα παρουσίας νοητῶς ὁ τοῦ Θεοῦ λόγος τοῖς Πατριάρχαις καὶ Προφήταις ἐνεδήμει προτυπῶν τὰ μυστήρια τῆς αὐτοῦ παρουσίας· οὕτω καὶ μετὰ ταύτην τὴν ἐνδημίαν οὐ μόνον ἐν τοῖς ἔτι νηπίοις παραγίνεται διατρέφων πνευματικῶς, καὶ ἄγων πρὸς ἡλικίαν τῆς κατὰ Θεὸν τελειότητος, ἀλλὰ καὶ ἐν τοῖς τελείοις, προδιαγράφων αὐτοῖς κρυφίως τῆς μελλούσης αὐτοῦ παρουσίας, ὡς ἐν εἰκόνι τοὺς χαρακτῆρας.

Ὥσπερ οἱ τοῦ νόμου καὶ τῶν Προφητῶν λόγοι, πρόδρομοι τυγχάνοντες τῆς κθ΄.
κατὰ σάρκα τοῦ λόγου παρουσίας, τὰς ψυχὰς εἰς Χριστὸν ἐπαιδαγώγουν, οὕτω καὶ αὐτὸς ὁ δεδοξασμένος τοῦ Θεοῦ λόγος σαρκωθεὶς, πρόδρομος τῆς πνευματικῆς αὐτοῦ παρουσίας γεγένηται· παιδαγωγῶν τὰς ψυχὰς διὰ τῶν οἰκείων λόγων πρὸς ὑποδοχὴν τῆς ἐμφανοῦς αὐτοῦ θεϊκῆς παρουσίας· ἣν ἀεὶ μὲν ποιεῖται μεταβάλλων ἀπὸ τῆς σαρκὸς πρὸς τὸ πνεῦμα, διὰ τῶν ἀρετῶν τοὺς ἀξίους. ποιήσει δὲ καὶ ἐπὶ τέλει τοῦ αἰῶνος, ἐμφανῶς ἀποκαλύπτων τὰ τέως πᾶσιν ἀπόρρητα.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λ'. Ὅσον ἐγώ εἰμι ἀτελὴς, καὶ ἀνυπότακτος· μὴ ὑπακούων τῷ Θεῷ διὰ τῆς ἐργασίας τῶν ἐντολῶν· μήτε γινόμενος κατὰ τὴν γνῶσιν τέλειος ταῖς φρεσὶν, ἀτελὴς καὶ ἀνυπότακτος τὸ κατ' ἐμὲ καὶ ὁ Χριστὸς νομίζεται δι' ἐμέ. μειῶ γὰρ αὐτὸν καὶ κολοβῶ μὴ συναυξάνων αὐτῷ κατὰ πνεῦμα, ὡς σῶμα Χριστοῦ τυγχάνων, καὶ μέλη ἐκ μέρους.

λα'. Ἀνατέλλει ὁ ἥλιος καὶ δύνει ὁ ἥλιος φησὶν ἡ γραφή. οὕτω καὶ ὁ λόγος· ποτὲ μὲν νομίζεται ἄνω, ποτὲ δὲ κάτω· κατὰ τὴν ἀξίαν δηλονότι καὶ τὸν λόγον, ἢ τὸν τρόπον τῶν μετερχομένων τὴν ἀρετὴν, καὶ περὶ τὴν θείαν γνῶσιν κινουμένων. μακάριος δὲ ὁ κρατῶν ἄδυτον ἐν ἑαυτῷ κατὰ τὸν τοῦ Ναυῆ Ἰησοῦν τὸν τῆς δικαιοσύνης ἥλιον· ὅλον τὸ μέτρον τῆς κατὰ τὴν παροῦσαν ζωὴν ἡμέρας, κακίας ἑσπέρᾳ καὶ ἀγνωσίας μὴ περιγραφόμενον· ἵνα δυνηθῇ νομίμως τροπώσασθαι τοὺς ἐπανισταμένους αὐτῷ πονηροὺς δαίμονας.

λβ'. Ὑψούμενος ἐν ἡμῖν ὁ τοῦ Θεοῦ λόγος διὰ πράξεως καὶ θεωρίας, πάντας ἕλκει πρὸς ἑαυτόν· τούς τε περὶ σάρκα, καὶ ψυχὴν, καὶ φύσιν τῶν ὄντων ἡμετέρους λογισμούς τε καὶ λόγους· καὶ αὐτὰ τὰ μέλη τοῦ σώματος καὶ τὰς αἰσθήσεις, κατ' ἀρετὴν ἁγιάζων καὶ γνῶσιν ὑπὸ τὸν ἑαυτοῦ ζυγὸν ποιούμενος. ὁ τοίνυν θεατὴς τῶν θείων, ἀναβαινέτω κατὰ σπουδὴν ἀκολουθῶν τῷ λόγῳ, μέχρις ἐφθάσῃ τὸν τόπον οὗ ἐστίν. ἐκεῖ γὰρ ἕλκει καθὼς φησὶν ὁ Ἐκκλησιαστής· καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει· δηλονότι τοὺς ἀκολουθοῦντας αὐτῷ ὡς μεγάλῳ Ἀρχιερεῖ καὶ εἰσάγοντι εἰς τὰ Ἅγια τῶν Ἁγίων ἔνθα ὁ καθ'* ἡμῶν αὐτὸς ὑπὲρ ἡμῶν πρόδρομος εἰσῆλθεν.

* ἴσως καθ' ἡμᾶς.

λγ'. Ὁ τὴν κατ' εὐσέβειαν μετιὼν φιλοσοφίαν· καὶ πρὸς τὰς ἀοράτους παραταττόμενος δυνάμεις, εὐχέσθω τήν τε φυσικὴν διάκρισιν αὐτῷ παραμεῖναι, φῶς ἔχουσαν σύμμιξον, καὶ τὴν φωτιστικὴν τοῦ πνεύματος χάριν. ἡ μὲν γὰρ παιδαγωγεῖ τὴν σάρκα πρὸς ἀρετὴν διὰ πράξεως, ἡ δὲ φωταγωγεῖ τὸν νοῦν τὴν τῆς σοφίας προκρῖναι πάντων συμβίωσιν· καθ' ἣν τῶν τε τῆς κακίας ὀχυρωμάτων, καὶ παντὸς ὑψώματος ἐπαιρομένου κατὰ τῆς γνώσεως τοῦ Θεοῦ ποιεῖται τὴν καθαίρεσιν. καὶ δηλοῖ δι' εὐχῆς αἰτῶν, ὁ τοῦ Ναυῆ Ἰησοῦς, στῆναι τὸν ἥλιον κατὰ Γαβαώ· τουτέστιν ἄδυτον αὐτῷ τὸ φῶς τῆς γνώσεως τοῦ Θεοῦ κατὰ τὸ ὄρος τῆς κατὰ νοῦν θεωρίας φυλαχθῆναι· καὶ τὴν σελήνην κατὰ Φάραγγα· τουτέστι τὴν φυσικὴν διάκρισιν ἐπὶ τῆς σαρκικῆς ἀσθενείας κειμένην, ἀπὸ τῆς ἀρετῆς ἀναλλοίωτον.

λδ'. Ἡ Γαβαὼ ἐστὶν, ὁ ὑψηλὸς νοῦς. ἡ δὲ Φάραγξ ἐστὶν, ἡ τῷ θανάτῳ ταπεινωθεῖσα σάρξ. ὁ μὲν ἥλιός ἐστιν, ὁ φωτίζων τὸν νοῦν λόγος, καὶ χορηγῶν αὐτῷ θεωρημάτων δύναμιν, καὶ πάσης αὐτὸν ἀγνοίας ἀπαλλάσσων· ἡ δὲ σελήνη, ὁ κατὰ φύσιν νόμος ἐστὶν, ὁ πείθων τὴν σάρκα νομίμως ὑποταγῆναι τῷ πνεύματι, πρὸς τὸ δέξασθαι τῶν ἐντολῶν τὸν ζυγόν. φύσεως σύμβολον ἡ σελήνη διὰ τὸ τρεπτόν· ἀλλ' ἐν τοῖς ἁγίοις ἄτρεπτος διαμένει, διὰ τὴν ἀναλλοίωτον ἕξιν τῆς ἀρετῆς.

λε'. Οὐκ ἔξω τῶν ζητούντων χρὴ ζητεῖσθαι τὸν Κύριον, ἀλλ' ἐν ἑαυτοῖς διὰ τῆς ἐν ἔργοις πίστεως αὐτὸν χρὴ ζητεῖν τοὺς ζητοῦντας. ἐγγύς σου γάρ φησι· τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου· τουτέστι τὸ ῥῆμα τῆς πίστεως, ὡς αὐτοῦ ὄντος τοῦ Χριστοῦ καὶ ῥήματος τοῦ ζητουμένου.

λς'. Μήτε τὸ ὕψος τῆς θεϊκῆς ἀπειρίας ἐννοήσαντες, ἀπελπίσωμεν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ὡς οὐ φθάνουσαν διὰ τὸ ὕψος μέχρις ἡμῶν· μήτε τὸ ἄπειρον βάθος τῆς ἡμῶν διὰ τὴν ἁμαρτίαν πτώ-

σεως

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σιως συνταφέντες, ἀνάστασιν γίνεσθαι τῆς ἐν ἡμῖν νεκρωθείσης ἀρετῆς ἀπιστήσωμεν. ἀρκοῦσα γὰρ δύναμις τοῦ Θεοῦ· καὶ τὸ κατελθεῖν καὶ φωτίσαι τὸν νοῦν ἡμῶν διὰ γνώσεως· καὶ τὸ ἀναστῆσαι πάλιν τὴν ἀρετὴν ἐν ἡμῖν, καὶ ἑαυτὴν συνυψῶσαι διὰ τῶν ἔργων τῆς δικαιοσύνης. μὴ εἴπῃς γάρ φησιν ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τοῦτ' ἔστι Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τοῦτ' ἔστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. τυχὸν δὲ κατ' ἄλλην ἐκδοχὴν, ἄβυσσός ἐστι πάντα τὰ μετὰ Θεὸν ἐν οἷς ὅλος ὅλοις κατὰ πρόνοιαν ὁ τοῦ Θεοῦ γίνεται λόγος, ὡς ζωὴ νεκροῖς ἐπιφοιτῶν τοῖς οὖσι. νεκρὰ γὰρ πάντα τὰ ζῶντα μεθέξει ζωῆς. οὐρανὸν δὲ, τὴν φυσικὴν τοῦ Θεοῦ λέγων κρυφιότητα· καθ' ἣν πᾶσιν ἐστὶν ἀκατάληπτος. εἰ δέ τις ἐκλάβοι πάλιν οὐρανὸν μὲν εἶναι τὸν τῆς θεολογίας λόγον, ἄβυσσον δὲ τὸ τῆς οἰκονομίας μυστήριον, οὐκ ἀπεικότως ἐρεῖ κατὰ τὸν ἐμὸν λόγον. ἀμφότερα γὰρ δυσεπίβατα τοῖς ἀποδεικτικῶς ζητοῦσιν ἐπιχειροῦσι· μᾶλλον δὲ παντελῶς ἄβατα δίχα πίστεως ἐρευνώμενα.

λζ'. Ἐν μὲν τῷ πρακτικῷ τοῖς τῶν ἀρετῶν τρόποις παχυνόμενος ὁ λόγος, γίνεται σάρξ· ἐν δὲ τῷ θεωρητικῷ τοῖς πνευματικοῖς νοήμασι λεπτυνόμενος, γίνεται ὅπερ ἦν ἐν ἀρχῇ Θεὸς λόγος πρὸς τὸν Πατέρα.

λη'. Ποιεῖ σάρκα τὸν λόγον, ὁ παραδείγμασι, καὶ ῥήμασι παχυτέροις διὰ τὴν ἀνάλογον τῶν ἀκουόντων δύναμιν, ἠθικὴν τοῦ λόγου τὴν διδασκαλίαν ποιούμενος. καὶ πάλιν ποιεῖ πνεῦμα τὸν λόγον ὁ τοῖς ὑψηλοῖς θεωρήμασι τὴν μυστικὴν ἐκτιθέμενος θεολογίαν.

λθ'. Ὁ μὲν ἐκ τῶν θέσεων καταφατικῶς θεολογῶν, σάρκα ποιεῖ τὸν λόγον· οὐκ ἔχων ἄλλοθεν ἢ ἐκ τῶν ὁρωμένων καὶ ψηλαφωμένων τὸν Θεὸν γινώσκειν ὡς αἴτιον· ὁ δὲ ἀποφατικῶς ἐκ τῶν ἀφαιρέσεων θεολογῶν, πνεῦμα ποιεῖ τὸν λόγον· ὡς ἐν ἀρχῇ Θεὸν ὄντα· ἐξ οὐδενὸς τὸ παράπαν τῶν γνωσθῆναι δυναμένων, καλῶς γινώσκων τὸν ὑπεράγνωστον.

μ'. Ὁ μαθὼν ὀρύσσειν, κατὰ τοὺς Πατριάρχας, διὰ πράξεως καὶ θεωρίας τὰ ἐν αὐτῷ τῆς ἀρετῆς καὶ τῆς γνώσεως φρέατα, τὸν Χριστὸν ἔνδον εὑρήσει τὴν πηγὴν τῆς ζωῆς· ἐφ' ἧς πίνειν ἡμᾶς ἡ σοφία παρακελεύεται λέγουσα, πίνε ὕδατα ἀπὸ τῶν ἀγγείων· καὶ ἀπὸ σῶν φρεάτων πηγῆς· ὅπερ ποιοῦντες εὑρήσομεν ἔνδον ἡμῶν ὄντας τοὺς αὐτῆς θησαυρούς.

μα'. Οἱ κτηνωδῶς πρὸς μόνην τὴν αἴσθησιν ζῶντες, ἐπισφαλῶς ἑαυτοῖς σάρκα ποιοῦσι τὸν λόγον· εἰς ὑπηρεσίαν μὲν παθῶν τοῖς τοῦ Θεοῦ καταχρώμενοι κτίσμασι· τὸν δὲ τῆς σοφίας τῆς πᾶσιν ἐμφαινομένης οὐ κατανοοῦντες λόγον, πρὸς τὸ γνῶναι καὶ δοξάσαι τὸν Θεὸν ἐκ τῶν αὐτοῦ ποιημάτων· καὶ συνιέναι πόθεν, καὶ τί, καὶ ἐπὶ τίνι, καὶ ποῦ φέρεσθαι διὰ τῶν ὁρωμένων γεγόναμεν, ἀλλ' ἐν σκότει τὸν αἰῶνα τοῦτον διαπορευόμενοι, μόνην τὴν περὶ Θεὸν ἀμφοῖν ταῖν χεροῖν ψηλαφῶσιν ἀγνωσίαν.

μβ'. Οἱ μόνῳ τῷ ῥητῷ τῆς ἁγίας γραφῆς παρακαθήμενοι, καὶ τῇ σωματικῇ τοῦ νόμου λατρείᾳ δεσμοῦντες τῆς ψυχῆς τὸ ἀξίωμα, ψεκτῶς ποιοῦσιν ἑαυτοῖς σάρκα τὸν λόγον, ἀλόγων ζώων θυσίαις εὐαρεστεῖσθαι νομίζοντες τὸν Θεόν· οἷς πολὺ τὸ σῶμα πεφρόντισται τοῖς ἐκτὸς καθαρσίοις· τῆς δὲ ψυχῆς παρημέληται τὸ κάλλος, ταῖς τῶν παθῶν κηλῖσι στιζόμενον· ὑπὲρ ἧς ἡ πᾶσα τῶν ὁρωμένων προβέβληται δύναμις· καὶ πᾶς λόγος θεῖος, καὶ νόμος ἐκδέδοται.

μγ'. Εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ κεῖσθαι τὸν Κύριον λέγει τὸ ἅγιον Εὐαγγέλιον. Οὐκοῦν σκεπτέωμεν,

μήπως εἰς πτῶσιν μὲν τῶν τε πρὸς μόνην τὴν αἴσθησιν, τὴν ὁρωμένην θεωρούντων κτίσιν, καὶ τῶν μόνῳ τῷ ῥητῷ στοιχούντων τῆς ἁγίας γραφῆς, ὡς μὴ δυναμένων πρὸς τὸ καινὸν πνεῦμα διαβῆναι τῆς χάριτος διὰ τὴν ἄνοιαν· ἀνάστασιν δὲ, ὡς πνευματικῶς τά τε κτίσματα τοῦ Θεοῦ, καὶ τὰ ῥήματα θεωρούντων τε, καὶ ἀκουόντων, καὶ τοῖς καθήκουσι τρόποις μόνης τῆς κατὰ ψυχὴν θείας εἰκόνος ἐπιμελουμένων.

μδ'. Τὸ κεῖσθαι τὸν Κύριον εἰς πτῶσιν πολλῶν καὶ ἀνάστασιν ἐν τῷ Ἰσραὴλ, ἐπαινετῶς μόνον νοούμενον. εἰς πτῶσιν μὲν κεῖται, τῶν ἐν ἑκάστῳ τῶν πιστευόντων παθῶν τε καὶ πονηρῶν λογισμῶν· ἀνάστασιν δὲ, τῶν ἀρετῶν, καὶ παντὸς θεοφιλοῦς λογισμοῦ.

με'. Ὁ μόνον τῶν ἐν γενέσει καὶ φθορᾷ δημιουργὸν νομίζων τὸν Κύριον, εἰς κηπουρὸν αὐτὸν παραγνωρίζει κατὰ τὴν Μαγδαληνὴν Μαρίαν. διὸ πρὸς ὠφέλειαν φεύγει τοῦ τοιούτου τὴν ἁφὴν ὁ δεσπότης· μήπω παρ' αὐτοῦ δυνηθεὶς ἀναβῆναι πρὸς τὸν Πατέρα, λέγων μή μου ἅπτου. γινώσκει γὰρ βλάπτεσθαι, τὸν μετὰ τοιαύτης αὐτῷ προσερχόμενον ταπεινοτέρας προλήψεως.

μϛ'. Οἱ διὰ τὸν φόβον τῶν Ἰουδαίων κατὰ τὴν Γαλιλαίαν ἐν τῷ ὑπερῴῳ κλείσαντες τὰς θύρας, καὶ καθήμενοι, τουτέστιν οἱ διὰ τὸν φόβον τῶν πνευμάτων τῆς πονηρίας κατὰ τὴν χώραν τῶν Ἀποκαλύψεων ἐν τῷ ὕψει τῶν θείων θεωρημάτων ἀσφαλῶς βεβηκότες, θυρῶν δίκην μύσαντες τὰς αἰσθήσεις, παραγενόμενον ἀγνώστως δέχονται τὸν Θεὸν Θεοῦ λόγον, ἄνευ τῆς κατ' αἴσθησιν ἐνεργείας αὐτοῖς ἐπιφαινόμενον· ἀπάθειάν τε διὰ τῆς εἰρήνης, καὶ μερισμὸν Πνεύματος Ἁγίου διὰ τῆς ἐμπνεύσεως δωρούμενον, καὶ τὴν κατὰ πνευμάτων πονηρῶν ἐξουσίαν παρέχοντα, καὶ δεικνύοντα τῶν αὐτοῦ μυστηρίων τὰ σύμβολα.

μζ'. Τοῖς μὲν κατὰ σάρκα τὸν περὶ τοῦ Θεοῦ λόγον ἐρευνῶσιν, ὁ Κύριος οὐκ ἀναβαίνει πρὸς τὸν Πατέρα· τοῖς δὲ κατὰ Πνεῦμα διὰ τῶν ὑψηλῶν θεωρημάτων ἐκζητοῦσιν αὐτὸν, ἀναβαίνει πρὸς τὸν Πατέρα. μὴ τοίνυν διαπαντὸς κρατῶμεν κάτω, τὸν ὑπὲρ ἡμῶν κάτω διὰ φιλανθρωπίαν γενόμενον, ἀλλ' ἄνω σὺν αὐτῷ πρὸς τὸν Πατέρα γενώμεθα, τὴν γῆν ἀφέντες καὶ τὰ περὶ γῆν, ἵνα μὴ καὶ ἡμῖν εἴπῃ τὸ ῥηθὲν τοῖς Ἰουδαίοις ἀδιορθώτοις μείνασιν, ὑπάγω ὅπου ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. χωρὶς γὰρ τοῦ λόγου πρὸς τὸν Πατέρα τοῦ λόγου, γενέσθαι ἀμήχανον.

μη'. Ἡ γῆ τῶν Χαλδαίων ἐστὶν, ὁ ἐμπαθὴς βίος· ἐν ᾧ τῶν ἁμαρτημάτων δημιουργεῖται, καὶ προσκυνεῖται, τὰ εἴδωλα. ἡ δὲ μέση τῶν ποταμῶν ἐστὶν, ὁ ἐπαμφοτερίζων τοῖς ἐναντίοις τρόποις. * ἡ δὲ γῆ τῆς ἐπαγγελίας ἐστὶν, ἡ παντὸς ἀγαθοῦ πεπληρωμένη κατάστασις. πῶς οὖν ὁ ταύτης κατὰ τὸν παλαιὸν Ἰσραὴλ ἀμελῶν τῆς ἕξεως, πρὸς δουλείαν πάλιν καταστρέφεται παθῶν, τῆς δοθείσης ἐλευθερίας στερούμενος.

* ἴσως τρόπος.

μθ'. Σημειωτέον ὡς οὐδεὶς τῶν Ἁγίων ἑκουσίως φαίνεται κατελθὼν εἰς τὴν Βαβυλωνίαν. οὐ γὰρ θέμις, οὔτε συνέσεώς ἐστι λογικῆς, τῶν ἀγαθῶν αἱρεῖσθαι τὰ χείρονα τοὺς τὸν Θεὸν ἀγαπῶντας. εἰ δέ τινες αὐτῶν κατὰ βίαν ἐκεῖ τοῦ λαοῦ συναπήχθησαν, νοοῦμεν διὰ τούτων τοὺς μὴ προηγουμένως, ἀλλὰ κατὰ περίστασιν, σωτηρίας ἕνεκεν τῶν χρῃζόντων χειραγωγίας, ἀφέντας τὸν ὑψηλότερον τῆς γνώσεως λόγον, καὶ τὴν περὶ παθῶν μετερχομένους διδασκαλίαν, καθ' ἣν καὶ ὁ μέγας Ἀπόστολος ἐν σαρκὶ λυσιτελέστερον ἔκρινεν εἶναι· τουτέστι τῇ ἠθικῇ διδασκαλίᾳ διὰ τοὺς μαθητὰς, ὅλον ἔχων τὸν πόθον ἀναλῦσαι τῆς ἠθικῆς διδασκαλίας, καὶ σὺν Θεῷ γενέσθαι διὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῆς καὶ τῶν ὑπερκοσμίων καὶ ἀΰλου θεωρίας.

ν'. Ὥσπερ συγγινόμενος τῷ πονηρῷ πνεύματι τοῦ Σαοὺλ ψάλλων μετὰ τῆς κινύρας ἀνέπαυεν ὁ μακάριος Δαβίδ, οὕτω καὶ πᾶς λόγος πνευματικὸς γνωστικοῖς ἡδυνόμενος θεωρήμασιν, ἀναπαύει τὸν ἐπιληπτευόμενον νοῦν, τῆς πνιγούσης αὐτὸν πονηρᾶς ἐλευθερῶν συνειδήσεως.

να'. Πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν ἐστι, κατὰ τὸν μακάριον Δαβίδ, ὁ τῷ φαιδρῷ τῷ κατὰ Θεὸν βίῳ τὸν τῆς γνώσεως λόγον ἔχων συναπολάμποντα· καθ' ὃν ἥ τε πρᾶξίς τε, καὶ ἡ θεωρία συνεστήκασιν. ἡ μὲν, ἀρετῶν λαμπρυνομένη τρόποις· ἡ δὲ, θείοις φωτιζομένη νοήμασιν.

νβ'. Ἡ μὲν τοῦ Σαοὺλ βασιλεία, τῆς σωματικῆς τοῦ νόμου λατρείας ἐστὶν εἰκών· ἣν ὁ Κύριος κατήργησεν ὡς μηδὲν τελειώσασαν· οὐδὲν γάρ φησιν ἐτελείωσεν ὁ νόμος. ἡ δὲ τοῦ μεγάλου Δαβὶδ βασιλεία, τῆς εὐαγγελικῆς ἐστὶ λατρείας προδιατύπωσις· περιέχει γὰρ τὰ ἐγκάρδια τοῦ Θεοῦ θελήματα τελείως.

νγ'. Ὁ Σαοὺλ, ὁ φυσικός ἐστι νόμος ὁ κατ' ἀρχὰς κυριεύειν τῆς φύσεως παρὰ τοῦ Κυρίου λαχών· ὃς ἐπειδὴ παρέβη τὴν ἐντολὴν διὰ παρακοῆς φεισάμενος τοῦ Ἀγὰγ βασιλέως Ἀμαλήκ· τουτέστι τοῦ σώματος, καὶ πρὸς τὰ πάθη κατώλισθεν, ἐξωθεῖται τῆς βασιλείας, ἵνα παραλάβῃ τὸν Ἰσραὴλ ὁ Δαβίδ· τουτέστι τοῦ πνεύματος ὁ νόμος ὁ γεννῶν τὴν εἰρήνην τὴν οἰκοδομήσασαν περιφανῶς τῷ Θεῷ τὸν τῆς θεωρίας ναόν.

νδ'. Σαοὺλ ὑπακοὴ Θεοῦ ἑρμηνεύεται. ἐκεῖνος ἐστιν ὁ καθ' ὑπακοὴν λόγος ἐν ἡμῖν ἱερατεύων, κἂν φείσηται τοῦ Ἀγὰγ ὁ Σαοὺλ, τουτέστι τοῦ χοϊκοῦ φρονήματος, ἀλλ' οὖν ἀποκτενεῖ τοῦτον ζηλώσας ὁ ἱερὸς λόγος, καὶ πλήττει καταισχύνων τὸν φιλαμαρτήμονα νοῦν, ὡς παραβάτην τῶν θείων δικαιωμάτων.

νε'. Ἐπὰν ὁ νοῦς ὑψηλοφρονήσας τὸν κατὰ τῶν παθῶν αὐτοῦ χειρώσαντα τῆς διδασκαλίας λόγον, διὰ τῆς προσηκούσης εὐλαβείας ἐπερωτᾷν τὸν περὶ ποιητέων καὶ οὐ ποιητέων παύσηται, τοῖς πάθεσι πάντως ἐξ ἀγνοίας ἁλίσκεται· δι' ὧν κατὰ μέρος τοῦ Θεοῦ χωριζόμενος, ἐν ταῖς ἀκουσίοις περιστάσεσι προχωρεῖ, τοῖς δαίμοσι τὴν κοιλίαν θεοποιῶν, ἐκεῖθεν εὑρέσθαι θέλων τῶν πιεζόντων παράκλησιν. καὶ πεπονθὼς ὡς Σαοὺλ ἐν πᾶσι σύμβολον μὴ λαμβάνων τὸν Σαμουὴλ, ἐξ ἀνάγκης πρὸς εἰδωλολατρείαν καταστρεφόμενος· καὶ τὴν ἐγγαστρίμυθον ὡς δή τινα Θεὸν ἐπερωτᾷν ἀνεχόμενος.

νς'. Ὁ τὸν ἄρτον δεχόμενος λαβεῖν τὸν ἐπιούσιον, οὐ πάντως ὅλον δέχεται, καθὼς αὐτὸς ὁ ἄρτος ἐστὶν, ἀλλὰ καθὼς αὐτὸς ὁ δεχόμενος δύναται. πᾶσι μὲν γὰρ ἑαυτὸν δίδωσι τοῖς αἰτοῦσιν ὁ τῆς ζωῆς ἄρτος, ὡς φιλάνθρωπος· οὐ κατὰ τὸ αὐτὸ δὲ πᾶσιν, ἀλλὰ τοῖς μὲν μεγάλα δικαιοσύνης ἔργα πεποιηκόσι, πλειόνως· τοῖς δὲ τὰ ποσῶς ἥττοσιν, ἡττόνως· ἑκάστῳ καθὼς ἡ κατὰ νοῦν ἀξία δέξασθαι δύναται.

νζ'. Ὁ Κύριος ποτὲ μὲν ἀποδημεῖ, ποτὲ δὲ ἐνδημεῖ· καὶ τὴν πρόσωπον πρὸς πρόσωπον θεωρίαν, ἐνδημεῖ· κατὰ, * τὴν ἐν ἐσόπτρῳ, καὶ ἐν αἰνίγματι θεωρίαν ἀποδημεῖ.

νη'. Τῷ μὲν πρακτικῷ, ἐνδημεῖ διὰ τῶν ἀρετῶν ὁ Κύριος· τῷ δὲ μηδένα λόγον ποιουμένῳ τῆς ἀρετῆς, ἀποδημεῖ. καὶ πάλιν, τῷ μὲν θεωρητικῷ, διὰ γνώσεως τῶν ὄντων ἀληθοῦς ἐνδημεῖ· τῷ δὲ ταύτης κατά τι παρασφαλέντι ἀποδημεῖ.

νθ'. Ἀποδημεῖ σαρκὸς, ὁ πρὸς τὴν γνωστικὴν ἕξιν μεταβὰς ἀπὸ τῆς πρακτικῆς· ἁρπαζόμενος ὡς ἐν νεφέλαις τοῖς ὑψηλοτέροις νοήμασιν, εἰς τὸν διαφανῆ τῆς μυστικῆς θεωρίας ἀέρα· καθ' ὃν σὺν Κυρίῳ εἶναι δυνήσεται πάντοτε. ἐκδημεῖ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δὲ ἀπὸ τοῦ Κυρίου, ὁ μήπω δίχα τῶν κατ' αἴσθησιν ἐνεργειῶν καθαρῷ τῷ νοῒ θεωρῆσαι κατὰ τὸ ἐφικτὸν τὰ νοήματα μὴ δυνάμενος· καὶ τὸν περὶ τοῦ Κυρίου λόγον ἁπλοῦν χωρὶς αἰνιγμάτων μὴ χωρῶν.

ξ'. Ὁ τοῦ Θεοῦ λόγος οὐ μόνον καθ' ὅτι σεσάρκωται λέγεται σάρξ, ἀλλὰ καὶ καθ' ὅτι Θεὸς λόγος ἁπλῶς νοούμενος ἐν ἀρχῇ πρὸς τὸν Θεὸν καὶ πατέρα, καὶ σαφεῖς καὶ γυμνοὺς τοὺς τῆς ἀληθείας περὶ τῶν ὅλων ἔχων τύπους, οὐ περιέχει παραβολὰς καὶ αἰνίγματα, οὐδὲ ἱστορίας δεομένας ἀλληγορίας. ἐπειδὰν δὲ ἀνθρώποις ἐπιδημήσῃ μὴ δυναμένοις γυμνῷ τῷ νοῒ γυμνοῖς προσβαλεῖν τοῖς νοητοῖς, ἀπὸ τῶν αὐτοῖς συνήθων διαλεγόμενος, διὰ τῆς τῶν ἱστοριῶν, καὶ αἰνιγμάτων, καὶ παραβολῶν, καὶ τῶν σκοτεινῶν λόγων, ποικιλίας συντιθέμενος, γίνεται σάρξ. κατὰ γὰρ τὴν πρώτην προσβολὴν, οὐ γυμνῷ προσβάλλει λόγῳ ὁ ἡμέτερος νοῦς, ἀλλὰ λόγῳ σεσαρκωμένῳ, δηλαδὴ τῇ ποικιλίᾳ τῶν λέξεων· λόγῳ μὲν ὄντι τῇ φύσει, σαρκὶ δὲ τῇ ὄψει· ὥστε τοὺς πολλοὺς σάρκα καὶ οὐ λόγον ὁρᾷν δοκεῖν, κἂν εἰ κατ' ἀλήθειαν ἐστὶ λόγος. οὐ γὰρ ὅπερ δοκεῖ τοῖς πολλοῖς τοῦτο τῆς γραφῆς ἐστὶν ὁ νοῦς, ἀλλ' ἕτερος παρὰ τὸ δοκοῦν. ὁ γὰρ λόγος δι' ἑκάστου τῶν ἀναγεγραμμένων ῥημάτων γίνεται σάρξ.

ξα'. Ἡ ἀπαρχὴ τῆς πρὸς εὐσέβειαν μαθητείας τῶν ἀνθρώπων, * οὐ πρὸς σάρκα γίνεσθαι πέφυκε. γράμματι γὰρ, ἀλλ' οὐ πνεύματι κατὰ τὴν πρώτην ἡμῶν εἰς θεοσέβειαν προσβολὴν ὁμιλοῦμεν. κατὰ μέρος δὲ προβαίνοντες τῷ πνεύματι, καὶ τὸ παχὺ τῶν ῥημάτων τοῖς λεπτοτέροις θεωρήμασιν ἀποξέοντες, ἐν καθαρῷ καθαρῶς τῷ Χριστῷ γινόμεθα κατὰ τὸ δυνατὸν ἀνθρώποις· εἰς τὸ δύνασθαι λέγειν κατὰ τὸν μέγαν Ἀπόστολον, εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκ ἔτι γινώσκομεν· διὰ τὴν ἁπλῆν δηλονότι πρὸς τὸν λόγον χωρὶς τῶν ἐπ' αὐτῷ καλυμμάτων, τοῦ νοὸς προσβολήν· ἀπὸ τοῦ σάρκα τὸν λόγον γινώσκειν, εἰς τὴν ὡς μονογενοῦς παρὰ πατρὸς αὐτοῦ δόξαν προκόψαντες.

* ἴσως πρὸς σάρκα μόνον χωρεῖ ἄν,

Ὁ τὴν ἐν Χριστῷ ζήσας ζωὴν, τήν τε τοῦ νόμου, καὶ τῆς φύσεως ὑπερέβη δικαιοσύνην· ὅπερ ὁ θεῖος ἐνδεικνύμενος Ἀπόστολος φησὶν, ἐν γὰρ Χριστῷ Ἰησοῦ, οὔτε περιτομή ἐστιν, οὔτε ἀκροβυστία. διὰ μὲν τῆς περιτομῆς, τὴν νομικὴν δικαιοσύνην δηλώσας· διὰ δὲ τῆς ἀκροβυστίας, τὴν φυσικὴν ἰσονομίαν αἰνιξάμενος. ξβ'.

Οἱ μὲν δι' ὕδατος ἀναγεννῶνται, καὶ Πνεύματος· οἱ δὲ, ἐν Πνεύματι ἁγίῳ, καὶ πυρὶ τὸ βάπτισμα δέχονται. τὰ τέσσαρα δὲ ταῦτα, τὸ ὕδωρ τέ φημι, καὶ τὸ πνεῦμα, καὶ τὸ πῦρ, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα νοῶ τοῦ Θεοῦ. τοῖς μὲν γὰρ ὕδωρ ἐστὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ὡς ῥυπτικὸν τῶν ἐκτὸς περὶ τὸ σῶμα μολυσμῶν. τοῖς δὲ, Πνεῦμα, ὡς ἐνεργητικὸν τῶν κατ' ἀρετὴν ἀγαθῶν. τοῖς δὲ, πῦρ, ὡς καθαρτικὸν τῶν ἐντὸς κατὰ τὸ βάθος περὶ ψυχὴν κηλίδων. τοῖς δὲ κατὰ τὸν μέγαν Δανιὴλ Πνεῦμα Ἅγιον, ὡς σοφίας καὶ γνώσεως χορηγόν. ἐκ γὰρ τῆς διαφόρου περὶ τὸ ὑποκείμενον ἐνεργείας, διαφόρους λαμβάνει τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα τὰς προσηγορίας. ξγ'.

Ὁ νόμος τὸ σάββατον δέδωκεν, ἵνα φησὶν ἀναπαύσηται, τὸ ὑποζύγιόν σου, καὶ ὁ παῖς σου. ἀμφότερα δὲ ταῦτα δι' αἰνιγμάτων τὸ σῶμα δηλοῦσι. τοῦ γὰρ πρακτικοῦ νοὸς ὑποζύγιόν ἐστι τὸ σῶμα· ἀχθοφορεῖν βίᾳ τοῖς τρόποις τῶν ἀρετῶν κατὰ τὴν πρᾶξιν ἀναγκαζόμενον. τοῦ δὲ θεωρητικοῦ παῖς, ὡς ἤδη λογισθὲν τοῖς θεωρήμασι, καὶ λογικῶς ταῖς γνωστικαῖς ἐπιταγαῖς τοῦ νοὸς ὑπηρετήμενον· ἀμφο- ξδ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πέρας δὲ σάββατόν ἐστι, τῶν αὐτοῖς ἐνηργημένων κατά τε πρᾶξιν καὶ θεωρίαν καλῶν τὸ πέρας, τὴν πρόσφορον ἑκάστῳ παρέχον ἀνάπαυσιν.

ξε'. Ὁ τὴν ἀρετὴν μετὰ τῆς πρεπούσης γνώσεως ἐξανύων, ὁμόζυγιον ἔχει τὸ σῶμα· λόγῳ ἐλαύνων πρὸς τὴν τῶν καθηκόντων ἐνέργειαν. παῖδα δὲ, τὸν ἐπ' ἀρετῇ κατὰ τὴν πρᾶξιν τρόπον· ἤγουν αὐτὸν τὸν καθ' ὃν ἡ ἀρετὴ πέφυκε γίνεσθαι τρόπον, ὥσπερ ἐν ἀργυρίῳ τοῖς διακριτικοῖς ἐντιθέντα λογισμοῖς. σάββατον δὲ, ἡ κατ' ἀρετὴν ἀπαθὴς καὶ εἰρηναία τῆς τε ψυχῆς καὶ τοῦ σώματος κατάστασις, ἤγουν ἀναλλοίωτος ἕξις.

ξϛ'. Ὁ τοῦ Θεοῦ λόγος, τοῖς μὲν ἔτι περὶ τὰ σωματικὰ τῆς ἀρετῆς εἴδη τὸ πλέον ἔχουσι τῆς φροντίδος, ἄχυρον γίνεται, καὶ χόρτος, διατρέφων αὐτῶν τὸ παθητικὸν μέρος τῆς ψυχῆς πρὸς τὴν τῶν ἀρετῶν ὑπηρεσίαν. τοῖς ἀνηγμένοις δὲ τῇ θεωρίᾳ τῆς ἀληθοῦς τῶν θείων κατανοήσεως, ἐστὶν ἄρτος, διατρέφων αὐτῶν τῆς ψυχῆς τὸ νοερὸν πρὸς θεοειδῆ τελειότητα. διὸ τοὺς Πατριάρχας εὑρίσκομεν ἐπισιτιζομένους ἐν τῇ ὁδῷ, καὶ ἑαυτοῖς ἄρτους, καὶ τοῖς ὄνοις αὐτῶν χορτάσματα. καὶ ὁ ἐν τοῖς κριταῖς δὲ Λευΐτης τῷ ἐν Γαβαὼ ξεναγήσαντι αὐτὸν πρεσβύτῃ φησὶν, εἰσὶ καὶ ἡμῖν ἄρτοι, καὶ τοῖς ὄνοις ἡμῶν ἄχυρα, καὶ οὐκ ἔστιν ὑστέρημα τοῖς παισί σου παντός τινος.

ξζ'. Ὁ τοῦ Θεοῦ λόγος, καὶ δρόσος λέγεται καὶ ἔστι, καὶ ὕδωρ, καὶ πηγὴ, καὶ ποταμὸς ὡς γέγραπται, κατὰ τὴν ὑποκειμένην δηλονότι τῶν δεχομένων δύναμιν, ταῦτα καὶ ὢν, καὶ γινόμενος. τοῖς μὲν γάρ ἐστι δρόσος, ὡς τῆς ἔξωθεν ἐπικειμένης αὐτοῖς περὶ τὸ σῶμα τῶν παθῶν πυρώσεώς τε καὶ ἐνεργείας σβεστικός. τοῖς δὲ τὸ βάθος, τῆς κακίας τῷ ἰῷ φρυσσομένοις, ἐστὶν ὕδωρ· οὐ μόνον ὡς δι' ἀντιπαθείας τοῦ ἀντικειμένου φθαρτικὸς, ἀλλὰ καὶ ὡς μεταδοτικὸς ζωτικῆς πρὸς τὸ εὖ εἶναι δυνάμεως. πηγὴ δὲ τοῖς ἀενάως ἔχουσιν ἀναβλύζουσαν τὴν ἕξιν τῆς θεωρίας, ὡς σοφίας χορηγός. ποταμὸς δὲ, τοῖς τὴν εὐσεβῆ, καὶ ὀρθὴν, καὶ σωτήριον ποταμηδὸν προχέουσι διδασκαλίαν, ὡς ἀνθρώπους, καὶ κτήνη, καὶ θηρία, καὶ φυτὰ δαψιλῶς ποτίζων, ἵνα καὶ ἄνθρωποι θεωθῶσιν, τοῖς τῶν λεγομένων ὑψωθέντες νοήμασι. καὶ οἱ κτηνωθέντες τοῖς πάθεσι διὰ τῆς ἀκριβοῦς τῶν κατ' ἀρετὴν τρόπων ἀποδείξεως, ἀνθρωπισθέντες τὴν φυσικὴν ἐπαναλάβωσι λογιότητα. καὶ οἱ θηριωθέντες ταῖς πονηραῖς ἕξεσι καὶ κακοπραγίαις, διὰ τῆς προσηνοῦς τε, καὶ ἁπαλῆς παραινέσεως τιθασσευθέντες, πρὸς τὴν τῆς φύσεως ἐπανέλθωσιν ἡμερότητα. καὶ οἱ φυτῶν δίκην ἀναισθητοῦντες τῶν ἀγαθῶν, διὰ τῆς εἰς βάθος τοῦ λόγου διαβρέξεως ἀπαλυνθέντες, λάβωσιν αἴσθησιν πρὸς καρπογονίαν καὶ δύναμιν τὴν αὐτοὺς διατρέφουσαν τοῦ λόγου ποιότητα.

ξη'. Ὁδός ἐστιν ὁ τοῦ Θεοῦ λόγος, τοῖς καλῶς κατὰ τὴν πρακτικὴν, καὶ εὐθέως τὸ τῆς ἀρετῆς τρέχουσι στάδιον. καὶ μήτε δεξιὰ διὰ κενοδοξίας, μήτε ἀριστερὰ διὰ τῆς πρὸς τὰ πάθη ῥοπῆς ἐκκλίνουσιν, εὐθύνων κατὰ Θεὸν τὰ διαβήματα· ὅπερ εἰς τέλος μὴ φυλάξας Ἀσὰ ὁ βασιλεὺς Ἰούδα, λέγεται περὶ τὸ γῆρας αὐτοῦ πεπονηκέναι τοὺς πόδας, ὡς περὶ τὸν δρόμον τοῦ κατὰ Θεὸν βίου ἀσθενήσας.

ξθ'. Θύρα λέγεται ὁ τοῦ Θεοῦ λόγος, τοὺς καλῶς πᾶσαν διανυκότας τὴν ὁδὸν τῶν ἀρετῶν, κατὰ τὸν ἄμεμπτον δρόμον τῆς πράξεως, πρὸς γνῶσιν εἰσάγων, καὶ ὡς φῶς δεικνὺς τοὺς πολυφαεῖς τῆς σοφίας θησαυρούς. ὁ αὐτὸς γὰρ καὶ ὁδός ἐστι, καὶ θύρα, καὶ κλεὶς, καὶ βασιλεία· ὁδὸς μὲν, ὡς ὁδηγός· κλεὶς δὲ, ὡς ἀνοίγων τοῖς ἀξίοις τῶν θείων καὶ ἀνοιγόμενος· θύρα δὲ, ὡς εἰσαγωγεὺς, βασιλεία δὲ, ὡς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κληρονομήσαντος, καὶ τὴν μέθεξιν ἐν πᾶσι γινόμενος.

ο΄. Φῶς ὁ Κύριος λέγεται, καὶ ζωὴ, καὶ ἀνάστασις, καὶ ἀλήθεια. φῶς μὲν καὶ ὡς λαμπρότης ψυχῶν, καὶ ὡς ἀγνοίας σκότους διώκτης, καὶ ὡς φωτίζων τὸν νοῦν πρὸς κατανόησιν τῶν ἀπορρήτων, καὶ δυνατῶς τὰ μόνοις θεατὰ τοῖς καθαροῖς μυστήρια· ζωὴ δὲ, ὡς τὴν πρέπουσαν ψυχαῖς ἀγαπώσαις τὸν Κύριον ἐν τοῖς θείοις παρεχόμενος κίνησιν. ἀνάστασιν δὲ, ὡς τῆς νεκρᾶς τῶν ὑλικῶν προσπαθείας τὸν νοῦν ἀνιστῶν, φθορᾶς πάσης καθαρὸν, καὶ τηρῶν. ἀλήθεια δὲ, ὡς ἕξιν τῶν ἀγαθῶν τοῖς ἀξίοις δωρούμενος ἄτρεπτον.

οα΄. Ὁ μὲν τοῦ Θεοῦ καὶ Πατρὸς Θεὸς Λόγος, ἑκάστῃ μυστικῶς ἐνυπάρχει τῶν ἐντολῶν ἐντολῶν. ὁ δὲ Θεὸς καὶ Πατὴρ, ὅλος ἐστὶν ἀχώριστος ἐν ὅλῳ τῷ οἰκείῳ Λόγῳ φυσικῶς. ὁ τοίνυν δεχόμενος θείαν ἐντολὴν καὶ ποιῶν αὐτὴν, τὸν ἐν αὐτῇ τοῦ Θεοῦ δέχεται Λόγον· ὁ δὲ τὸν Λόγον διὰ τῶν ἐντολῶν δεξάμενος, δι' αὐτοῦ τὸ ἐν αὐτῷ φυσικῶς συνεδέξατο Πνεῦμα. „Ἀμὴν γάρ φησι λέγω ὑμῖν, ὁ λαμ„βάνων ἐάν τινα πέμψω, ἐμὲ λαμβά„νει· ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνει „τὸν πέμψαντά με. ὁ γοῦν ἐντολὴν δεξάμενος καὶ ποιήσας αὐτὴν, λαβὼν ἔχει μυστικῶς τὴν Ἁγίαν Τριάδα.

οβ΄. Δοξάζει τὸν Θεὸν ἐν ἑαυτῷ, οὐχ ὁ λόγοις μόνοις γεραίρων τὸν Θεὸν, ἀλλ' ὁ διὰ τὸν Θεὸν ὑπὲρ ἀρετῆς τὰ τῶν πόνων ὑπομένων παθήματα· καὶ ἀντιδοξάζεται παρὰ Θεοῦ τὴν ἐν τῷ Θεῷ δόξαν, οἷον ἀρετῆς ἔπαθλον τὴν μέθεξιν τὴν τῆς ἀπαθείας κομιζόμενος χάριν. πᾶς γὰρ ὁ δοξάζων τὸν Θεὸν ἐν ἑαυτῷ διὰ τῶν κατὰ τὴν πρακτικὴν ὑπὲρ ἀρετῆς παθημάτων, καὶ αὐτὸς ἐν τῷ Θεῷ δοξάζεται διὰ τῆς κατὰ τὴν θεωρίαν ἀπαθοῦς τῶν θείων ἐλλάμψεων. φησὶ γὰρ ὁ Κύριος ἐπὶ τὸ πάθος ἐρχόμενος· νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ· καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν αὐτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν. ὡς ἐντεῦθεν εἶναι δῆλον, ὅτι τοῖς ὑπὲρ ἀρετῆς παθήμασιν, ἐπακολουθοῦσι τὰ θεῖα χαρίσματα.

Ἕως ἐν τῷ ῥητῷ τῆς ἁγίας γραφῆς ποικίλως διὰ τῶν αἰνιγμάτων σεσωματωμένον ὁρῶμεν τὸν τοῦ Θεοῦ Λόγον, οὔπω τὸν ἀσώματον, καὶ ἁπλοῦν, καὶ ἑνιαῖον καὶ μόνον ὡς ἐν ἀσωμάτῳ, καὶ ἁπλῷ, καὶ ἑνιαίῳ, καὶ μόνῳ Υἱῷ νοητῶς τεθεάμεθα Πατέρα. κατὰ τὸ, ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα· κἀγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί. πολλῆς οὖν χρεία τῆς ἐπιστήμης, ὥστε διαδύντας πρότερον τὰ περὶ τὸν Λόγον τῶν ῥημάτων καλύμματα, οὕτω γυμνῷ τῷ νοῒ καθαρὸν αὐτὸν ἐφ' ἑαυτὸν ἑστῶτα θεάσασθαι τὸν Λόγον, τὸν ἐν αὐτῷ σαφῶς, ὡς ἐφικτὸν ἀνθρώποις Πατέρα δεικνύντα. διόπερ ἀνάγκη τὸν εὐσεβῶς τὸν Θεὸν ἐπιζητοῦντα, μηδενὶ κρατεῖσθαι ῥητῷ, ἵνα μὴ ἀντὶ Θεοῦ τὰ περὶ Θεὸν λάθῃ λαβὼν· τουτέστιν, ἀντὶ τοῦ Λόγου τὰ ῥητὰ στέργων ἐπισφαλῶς τῆς γραφῆς, τοῦ Λόγου διαφυγόντος τὸν νοῦν τὸν ἐκ τῶν περιβλημάτων κρατεῖν δοκοῦντα τὸν ἀσώματον Λόγον. κατά γε τὴν Αἰγυπτίαν ἐκείνην, οὐ τοῦ Ἰωσὴφ, ἀλλὰ τῶν αὐτοῦ ἐπιλαβομένην ἱματίων· καὶ τοὺς παλαιοὺς ἀνθρώπους, οἳ μόνῃ τῇ εὐπρεπείᾳ τῶν ὁρωμένων ἐναπομείναντες, ἔλαθον τῇ κτίσει λατρεύοντες παρὰ τὸν κτίσαντα.

ογ΄.

Ὁ τῆς ἁγίας γραφῆς λόγος, κατὰ μὲν τοῖς ὑψηλοτέροις* νοήμασι, τὴν τῶν ἐπ' αὐτῷ σωματικῶς διαπεπλασμένων ῥητῶν ἐκδυσάμενος σύνθεσιν, ὡς ἐν φωνῇ αὔρας λεπτῆς ὑπάρχων δείκνυται τῷ διορατικωτέρῳ νοῒ τῷ διὰ τῆς ἄκραν ἀπόλαυσιν τῶν κατὰ φύσιν ἐνεργειῶν, αἴσθησιν μόνον δυνηθέντι λα- οδ΄.

* ἤγουν ἀκριβέσιν ἐνταῦθα κεῖται ἢ ὡς θεατικοῖς νοήμασι.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

βίαν τῆς τὸν λόγον πιστῶς μιμούσης ἁπλότητος, καὶ τὸν μέγαν Ἠλίαν τὸν ἐν τῷ σπηλαίῳ Χωρὴβ ταύτης ἀξιωθέντα τῆς ὄψεως. Χωρὴβ δὲ ἑρμηνεύεται νέωμα· ὅπερ ἐστὶν ἡ ἐν τῷ καινῷ πνεύματι τῆς χάριτος ἕξις τῶν ἀρετῶν. Τὸ δὲ σπήλαιον, ἡ τῆς σοφίας ἐστὶ κατὰ νοῦν κρυφιότης, ἐν ᾗ ὁ γενόμενος τῆς ὑπὲρ αἴσθησιν μυστικῶς αἰσθήσεται γνώσεως, ἐν ᾗ λέγεται τυγχάνειν ὁ Θεός. Πᾶς οὖν κατὰ τὸν μέγαν Ἠλίαν ζητῶν ἀληθῶς τὸν Θεόν, οὐ μόνον ἐν Χωρὴβ γενήσεται, τουτέστιν ὡς πρακτικὸς ἐν τῇ ἕξει τῶν ἀρετῶν, ἀλλὰ καὶ ἐν τῷ σπηλαίῳ τῷ ἐν τῷ Χωρήβ· τουτέστιν ὡς θεωρητικὸς ἐν τῇ κρυφιότητι τῆς σοφίας, τῇ ἐν μόνῃ τυγχανούσῃ τῇ ἕξει τῶν ἀρετῶν.

οε'. Ὅταν ὁ νοῦς τὰς ἐπικειμένας αὐτῷ πολλὰς περὶ τῶν ὄντων ἐκτινάξηται δόξας, τότε σαφὴς αὐτῷ τῆς ἀληθείας ὁ λόγος ἀναφαίνεται, διδοὺς αὐτῷ τῆς ὄντως γνώσεως τὰς ὑποθήκας, καὶ τὰς πρώην ἐπ' αὐτῷ προλήψεις, ὡσεὶ λεπίδας τῶν ὀπτικῶν δυνάμεων ἀπωθούμενος, κατὰ τὸν θεσπέσιον καὶ μέγαν Ἀπόστολον Παῦλον. Λεπίδες γάρ εἰσιν ὡς ἀληθῶς ἐπικείμεναι τῷ ὁρατικῷ τῆς ψυχῆς καὶ ἀπείργουσαι τὴν πρὸς τὸν ἀκραιφνῆ τῆς ἀληθείας λόγον διάβασιν· αἵ τε πρὸς τὸ ῥητὸν μόνον τῆς γραφῆς ὑπολήψεις, καὶ τῶν ὁρωμένων αἱ κατ' αἴσθησιν προσπαθεῖς θεωρίαι.

οϛ'. Ὁ μὲν θεῖος Ἀπόστολος Παῦλος τὴν τοῦ λόγου γνῶσιν ἐκ μέρους ἔφη γινώσκειν. Ὁ δὲ μέγας Εὐαγγελιστὴς Ἰωάννης, τεθεᾶσθαι λέγει τὴν αὐτοῦ δόξαν. Ἐθεασάμεθα γάρ φησι, τὴν δόξαν αὐτοῦ ὡς μονογενοῦς παρὰ Πατρός, πλήρης χάριτος καὶ ἀληθείας. Καὶ μήποτε ὁ μὲν Ἅγιος Παῦλος, τὴν ὡς Θεοῦ λόγου γνῶσιν ἐκ μέρους ἔφη γινώσκειν· ἐκ γὰρ τῶν ἐνεργειῶν ποσῶς μόνον γινώσκεται. Ἡ γὰρ ἐπ' αὐτῷ κατ' οὐσίαν τε καὶ ὑπόστασιν γνῶσις, ὁμοίως πᾶσιν Ἀγγέλοις τε καὶ ἀνθρώποις καθέστηκεν ἄβατος, κατ' οὐδὲν γινωσκομένη. Ὁ δὲ Ἅγιος Ἰωάννης τέλειον ὡς ἐν ἀνθρώποις τὸν τῆς ἐνανθρωπήσεως τοῦ λόγου μυηθεὶς λόγον, τήν, * ὡς σάρκα λόγον δόξαν ἔφη τεθεᾶσθαι· τουτέστι τὸν λόγον· ἤγουν τὸν σκοπόν, καθ' ὃν ὁ Θεὸς γέγονεν ἄνθρωπος, πλήρης χάριτος· ἐθεάσατο· καὶ ἀληθείας. Οὐ γὰρ καθὸ κατ' οὐσίαν Θεός, καὶ τῷ Θεῷ Πατρὶ ὁμοούσιος ὁ μονογενὴς κεχαρίτωται· ἀλλὰ καθὸ φύσει κατ' οἰκονομίαν γέγονεν ἄνθρωπος, καὶ ἡμῖν ὁμοούσιος δι' ἡμᾶς κεχαρίτωται τοὺς χρῄζοντας χάριτος· καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ διαπαντὸς κατὰ πᾶσαν ἡμῶν προκοπὴν τὴν ἀναλογοῦσαν δεχομένης χάριν. Ὥστε ὁ τὸν λόγον τέλειον ἐν ἑαυτῷ φυλάξας ἀβέβηλον, τοῦ δι' ἡμᾶς σαρκωθέντος Θεοῦ λόγου τὴν πλήρης χάριτος καὶ ἀληθείας κομίσεται δόξαν, τοῦ δι' ἡμᾶς ἑαυτὸν καθ' ἡμᾶς δοξάσαντός τε, καὶ ἁγιάσαντος, κατὰ τὴν αὐτοῦ παρουσίαν. Ὅταν γάρ φησιν, ἐκεῖνος φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα.

* ἴσως κατὰ σάρκα λόγου.

οζ'. Ἕως ἡ ψυχὴ τὴν ἀπὸ δυνάμεως εἰς δύναμιν, καὶ τὴν ἀπὸ δόξης εἰς δόξαν ποιεῖται μετάβασιν, τουτέστι τὴν ἀπὸ ἀρετῆς εἰς ἀρετὴν μείζονα προκοπήν, καὶ τὴν ἀπὸ γνώσεως εἰς γνῶσιν ὑψηλοτέραν ἀνάβασιν, οὐκ ἐπαύσατο παροικοῦσα κατὰ τὸ εἰρημένον· πολλὰ παρῴκησεν ἡ ψυχή μου· πολὺ γὰρ ἐστι τὸ διάστημα, καὶ τὸ πλῆθος τῶν ὀφειλουσῶν παρ' αὐτῆς διαβαθῆναι γνώσεων, μέχρις οὗ διελεύσεται ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως ἤχου ἑορτάζοντος· αἰεὶ φωναῖς φωνήν, καιναῖς καινὴν προστιθεῖσα τῇ προκοπῇ τῶν θείων θεωρημάτων, μετὰ τῆς κατὰ νοῦν ἐπὶ τοῖς θεωρηθεῖσιν ἀγαλλιάσεως, ἤγουν χαρᾶς, καὶ τῆς ἀναλογούσης εὐχαριστίας. Τοιαύτας γὰρ ἑορ-

τὰς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὰς ἑορτάζουσι πάντες οἱ τὸ Πνεῦμα τῆς χάριτος εἰληφότες ἐν ταῖς καρδίαις αὐτῶν, κράζοντες· Ἀββᾶ ὁ Πατήρ.

οη'. Ὁ τῆς θαυμαστῆς σκηνῆς τύπος, ἡ ἀγαθή ἐστι καὶ ἀνήμονος ἕξις τῶν ἀρετῶν· καθ' ἣν ὁ τοῦ Θεοῦ γινόμενος λόγος, διαφόροις ἀρετῶν κάλλεσι κατακοσμεῖ, καθάπερ σκηνὴν, τὴν ψυχήν. ὁ δὲ οἶκος τοῦ Θεοῦ, ἡ ἐκ πολλῶν καὶ διαφόρων συγκειμένη θεωρημάτων γνῶσίς ἐστι, καθ' ἣν ἐνδημῶν τῇ ψυχῇ ὁ Θεὸς, τοῦ τῆς σοφίας κρατῆρος ἐμπίπλησιν· ἡ δὲ φωνὴ τῆς ἀγαλλιάσεώς ἐστι, τὸ ἐπὶ τῷ πλάτει τῶν ἀρετῶν τῇ ψυχῇ σκίρτημα. ἡ δὲ ἐξομολογήσεως, ἡ ἐπὶ τῇ δόξῃ τῆς κατὰ τὴν σοφίαν εὐωχίας, ἐστὶν εὐχαριστία. ὁ δὲ ἦχος, ἡ ἐξ ἀμφοῖν ἀγαλλιάσεώς φημι, καὶ ἐξομολογήσεως κατὰ σύγκρασιν γινομένη διηνεκὴς μυστικὴ δοξολογία.

οθ'. Ὁ γενναίως καταπαλαίσας τὰ πάθη τοῦ σώματος, καὶ τοῖς ἀκαθάρτοις πνεύμασιν ἱκανῶς πολεμήσας· καὶ τῆς ἑαυτοῦ κατὰ ψυχὴν χώρας ἐξελάσας αὐτῶν τὰ νοήματα, καρδίαν εὐχέσθω καθαρὰν αὐτῷ δοθῆναι καὶ πνεῦμα εὐθὲς ἐν τοῖς ἐγκάτοις ἐγκαινισθῆναι· τουτέστι τελείως τῶν μὲν φαύλων κενωθῆναι λογισμῶν, τῶν δὲ θείων ἐννοιῶν πληρωθῆναι διὰ τῆς χάριτος· ἵνα γένηται κόσμος Θεοῦ νοητὸς, λαμπρός τε, καὶ μέγας, ἐξ ἠθικῶν, καὶ φυσικῶν, καὶ θεολογικῶν συνεστῶς θεωρημάτων.

π'. Ὁ τὴν καρδίαν καθαρὰν ἐργασάμενος, οὐ μόνον τῶν ὑποβεβηκότων καὶ μετὰ Θεὸν γνώσεται τοὺς λόγους, ἀλλὰ καὶ αὐτὸν πως μετὰ τὴν τῶν ὅλων διάβασιν ἐνορᾷ τὸν Θεὸν, ὅπερ ἐστὶν ἀκρότατον τέλος τῶν ἀγαθῶν· ἐν ᾗ γενόμενος ὁ Θεὸς, ἀξιοῖ τὰ ἴδια γράμματα διὰ τοῦ Πνεύματος ἐγχαράττειν, καθάπερ τισὶ πλαξὶ Μωσαϊκαῖς· τοσοῦτον, ὅσον ἑαυτὴν διὰ πράξεως ἐπιδέδωκε καὶ θεωρίας, κατὰ τὴν τοῦ, αὔξανε, μυστικῶς κελεύουσαν ἐντολήν.

Καρδία καθαρὰ τάχα ἐκείνη λέγεται, ἡ μηδεμίαν ἔχουσα φυσικὴν καθοτιοῦν ποτε τρόπον πρὸς ὁτιοῦν κίνησιν· ἐν ᾗ καθάπερ πυξίῳ καλῶς λεανθέντι διὰ τὴν ἄκραν ἁπλότητα γενόμενος ὁ Θεὸς, τοὺς ἰδίους νόμους ἐγγράφει. πα'.

Καρδία ἐστὶ καθαρὰ, ἡ παντάπασιν ἀνείδεον τῷ Θεῷ καὶ ἀδιαμόρφωτον παραστήσασα τὴν μνήμην· καὶ μόνοις τοῖς αὐτοῦ ἕτοιμον ἐνσημανθῆναι τύποις, δι' ὧν ἐμφανὴς πέφυκε γίνεσθαι. πβ'.

Ὁ τοῦ Χριστοῦ νοῦς, ὃν λαμβάνειν οἱ ἅγιοι κατὰ τὸν φάσκοντα, ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν, οὐ κατὰ στέρησιν τῆς ἐν ἡμῖν νοερᾶς δυνάμεως ἐπιγίνεται· οὐδὲ ὡς συμπληρωτικὸς τοῦ ἡμετέρου νοός· οὐδ' ὡς μεταβαίνων οὐσιωδῶς καθ' ὑπόστασιν εἰς τὸν ἡμέτερον νοῦν, ἀλλ' ὡς τῇ οἰκείᾳ ποιότητι τὴν τοῦ ἡμετέρου νοὸς λαμπρύνων δύναμιν, καὶ πρὸς τὴν αὐτὴν ἑαυτοῦ φέρων ἐνέργειαν. νοῦν γὰρ ἔχειν Χριστοῦ ἐγώ φημι, τὸν κατ' αὐτὸν νοοῦντα, καὶ διὰ πάντων αὐτὸν νοοῦντα. πγ'.

Σῶμα Χριστοῦ εἶναι λεγόμεθα, κατὰ τὸ, ἡμεῖς δὲ σῶμα Χριστοῦ ἐσμὲν, καὶ μέλη ἐκ μέρους· οὐ κατὰ στέρησιν τῶν ἡμετέρων σωμάτων ἐκεῖνο τὸ σῶμα γινόμενοι· οὐδ' αὖ πάλιν ἐκείνου καθ' ὑπόστασιν εἰς ἡμᾶς μεταβαίνοντος, ἢ μεληδὸν διατεμνομένου· ἀλλὰ τῷ καθ' ὁμοιότητα Κυρίου σαρκὸς τὴν φθορὰν ἀποσείεσθαι τῆς ἁμαρτίας. ὡς γὰρ ὁ Χριστὸς κατὰ φύσιν σαρκί τε καὶ ψυχῇ καθὸ νοεῖται ἄνθρωπος, ἀναμάρτητος ἦν, οὕτω καὶ ἡμεῖς οἱ πεπιστευκότες αὐτῷ χωρὶς ἁμαρτίας εἶναι δυνάμεθα. πδ'.

Εἰσὶ κατὰ τὴν γραφὴν, καὶ χρονικοὶ αἰῶνες· καὶ ἄλλων αἰώνων συντέλειαν περιέχοντες, κατὰ τὸ, νυνὶ δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων· καὶ τὰ ἑξῆς. καὶ ἕτεροι πάλιν χρονικῆς ἐλεύθεροι φύσεως πε'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

αἰῶνες, μετὰ τὸν ἐνεστῶτα τοῦτον χρονικὸν αἰῶνα τὸν ἐπὶ συντελείᾳ τῶν αἰώνων· καὶ τό, Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις, τὸ ὑπερβάλλον πλοῦτος καὶ τὰ ἑξῆς. Εὑρίσκομεν δὲ παρὰ τῇ γραφῇ καὶ πλῆθος αἰώνων παρελθόντων τε, καὶ ἐνεστώτων, καὶ μελλόντων. καὶ αἰῶνας αἰώνων εἶναι τινὰς αἰῶνας· καὶ αἰῶνας αἰῶνα· καὶ χρόνους αἰωνίους· καὶ γενεὰς συνημμένας αἰῶσι. καὶ ἵνα μὴ νῦν, τί μὲν διὰ τῶν χρονικῶν αἰώνων· τί δὲ διὰ τῶν αἰωνίων χρόνων, καὶ γενεῶν βούλεται δηλοῦν ὁ λόγος, λέγοντες· τίνες δὲ πάλιν ἁπλῶς αἰῶνες· καὶ τίνες οἱ αἰῶνες τῶν αἰώνων· τίς δὲ ὁ ἁπλῶς αἰὼν τοῦ αἰῶνος· πολλὴν παρὰ τὴν ὑπόθεσιν ἐκτείνωμεν λόγον, τὰ περὶ τούτων τοῖς φιλομαθέσι σκοπεῖν ἐάσαντες, πρὸς τὸν σκοπόν· δι' ὃν ταῦτα προηγάγομεν, ἐπανέλθωμεν.

πς'. Οἴδαμεν τί κατὰ τὴν γραφὴν ὑπεραιώνιον· ὅπερ ὅτι μὲν ἔστιν, ἐσήμανε· τί δὲ τοῦτό ἐστιν, οὐκ ὠνόμασεν. καὶ τό, Κύριος βασιλεύων τὸν αἰῶνα καὶ ἐπ' αἰῶνα, καὶ ἔτι. οὐκοῦν ἐστί τι πρᾶγμα ὑπὲρ αἰῶνας, ἡ ἀκραιφνὴς τοῦ Θεοῦ βασιλεία. οὐ γὰρ δὴ θέμις εἰπεῖν ἄρχεσθαι, ἢ φαίνεσθαι ὑπὸ αἰώνων, ἢ χρόνων τὴν τοῦ Θεοῦ βασιλείαν· ταύτην δὲ πιστεύομεν εἶναι, τῶν σωζομένων κληρονομίαν, καὶ μονήν, καὶ τόπον· καθὼς ὁ ἀληθινὸς παραδίδωσι λόγος, ὡς τέλος τῶν δι' ἐφέσεως πρὸς τὸ ἔσχατον ὀρεκτὸν κινουμένων· ἐν ᾧ γινόμενοι πάσης τῆς ὁποιασοῦν δέχονται παῦλαν κινήσεως· ὡς μηκέτι χρόνου τινὸς ὄντος αὐτοῖς, ἢ αἰῶνος, τοῦ διαβαθῆναι ὀφείλοντος· οἷα δὴ μετὰ πάντα καταντήσασιν εἰς τὸν Θεὸν τὸν πρὸ πάντων ὄντα τῶν αἰώνων, καὶ ὃν φθάνειν αἰώνων φύσις οὐ πέφυκεν.

πζ'. Ἐφ' ὅσον χρόνον τίς ἐστιν ἐν τῇ ζωῇ ταύτῃ, κἂν τέλειός ἐστι κατὰ τὴν ἐνθάδε κατάστασιν, καὶ πράξει καὶ θεωρίᾳ, τὴν ἐκ μέρους ἔχει καὶ γνῶσιν, καὶ προφητείαν, καὶ ἀρραβῶνα Πνεύματος Ἁγίου, ἀλλ' οὐκ αὐτὸ τὸ πλήρωμα. ἐλευσόμενός ποτε μετὰ τὴν τῶν αἰώνων περαίωσιν, εἰς τὴν τελείαν λῆξιν τὴν πρόσωπον πρὸς πρόσωπον τοῖς ἀξίοις δεικνῦσαν αὐτὴν ἐφ' ἑαυτῆς ἑστῶσαν τὴν ἀλήθειαν· ὡς μηκέτι ἐκ τοῦ πληρώματος μέρος ἔχειν, ἀλλ' αὐτὸ τὸ πλήρωμα τῆς χάριτος κατὰ μέθεξιν ὅλον κομίζεσθαι. καταντήσεσθαι γάρ φησιν ὁ θεῖος Ἀπόστολος, πάντας δηλονότι τοὺς σωζομένους εἰς ἄνδρα τέλειον· εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἐν ᾧ εἰσὶν οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι· οἷς φανερουμένοις, τὸ ἐκ μέρους καταργηθήσεται.

Ζητοῦσί τινες πῶς ἔσται τῶν ἀξιουμένων τῆς ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ τελειότητος ἡ κατάστασις; πότερον κατὰ προκοπὴν καὶ μετάβασιν, ἢ κατὰ τὴν ἐν στάσει ταυτότητα; πῶς τε τὰ σώματα καὶ τὰς ψυχὰς εἶναι χρεὼν ὑπολαμβάνειν; πρὸς δὴ τοῦτο στοχαστικῶς ἐρεῖ τις· ὅτι καθάπερ ἐπὶ τῆς σωματικῆς ζωῆς διττός ἐστιν ὁ τῆς τροφῆς λόγος· ὁ μὲν πρὸς αὔξησιν· ὁ δέ, πρὸς συντήρησιν τῶν τρεφομένων. μέχρι γὰρ φθάσωμεν τὸ τέλειον τῆς σωματικῆς ἡλικίας, τρεφόμεθα πρὸς αὔξησιν· ἐπειδὰν δὲ τὸ σῶμα στῇ τῆς εἰς μέγεθος ἐπιδόσεως, οὐκ ἔτι τρέφεται πρὸς αὔξησιν ἀλλὰ πρὸς συντήρησιν, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς διττὸς ὁ τῆς τροφῆς λόγος· τρέφεται γὰρ προκόπτουσα ταῖς ἀρεταῖς, καὶ τοῖς θεωρήμασι, μέχρις οὗ διαβᾶσα τὰ ὄντα πάντα, φθάσῃ τὸ μέτρον τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· ἐν ᾧ γενομένη πάσης τῆς πρὸς ἐπίδοσίν τε, καὶ αὔξησιν διὰ τῶν μέσων ἵσταται προκοπῆς, ἀμέσως τρεφομένη τὸ ὑπὲρ νόησιν· καὶ διὰ τοῦτο τυχὸν ὑπὲρ αὔξησιν τῆς ἀφθάρτου τροφῆς τὸ εἶδος πρὸς συντήρησιν τῆς δοθείσης αὐτῇ θεοειδοῦς τελειότητος, πη'.

καὶ ἐκφαν-

καὶ ἔμφασιν τῶν τῆς τρυφῆς ἐκείνης ἀπείρων ἀγλαϊῶν, καθ' ἣν τὸ ἀεὶ εὖ ὡσαύτως εἶναι ἐνδημοῦσαν αὐτῇ δεχομένη, γίνεται Θεὸς τῇ μεθέξει τῆς θεϊκῆς χάριτος· πασῶν τῶν κατὰ νοῦν τε, καὶ αἴσθησιν αὐτή τε παυσαμένη, καὶ ἑαυτῇ τὰς τοῦ σώματος συναποπαύσασα φυσικὰς ἐνεργείας, συνθεωθέντος αὐτῇ κατὰ τὴν ἀναλογοῦσαν αὐτῷ μέθεξιν τῆς θεώσεως· ὡς μόνον τὸν Θεὸν διά τε τῆς ψυχῆς καὶ τοῦ σώματος φαίνεσθαι, νικηθέντων αὐτοῖς τῇ ὑπερβολῇ τῆς δόξης τῶν φυσικῶν γνωρισμάτων.

πθ'. Ζητοῦσί τινες τῶν φιλομαθῶν, κατὰ ποῖον ἐστὶ τρόπον ἡ τῶν αἰωνίων μονῶν τε, καὶ ἐπαγγελιῶν διαφορά; πότερον καθ' ὑπόστασιν τοπικήν, ἢ κατ' ἐπίνοιαν τῆς ἰδιαζούσης καθ' ἑκάστην μονὴν πνευματικῆς ποιότητός τε καὶ ποσότητος; καὶ τοῖς μὲν δοκεῖ τὸ πρῶτον· τοῖς δὲ τὸ δεύτερον. ὁ δὲ γνοὺς τί τό, ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστι· καὶ τί τό, πολλαὶ μοναὶ παρὰ τῷ Πατρί, τὸ δεύτερον μᾶλλον γνώσεται.

ϙ'. Ζητοῦσί τινες ποίαν διαφορὰν ἔχει πρὸς τὴν τοῦ Θεοῦ βασιλείαν, ἡ τῶν οὐρανῶν βασιλεία· πότερον καθ' ὑπόστασιν διαφέρουσιν ἀλλήλων, ἢ κατ' ἐπίνοιαν; πρὸς οὓς ῥητέον· ὅτι διαφέρουσι μὲν οὐ καθ' ὑπόστασιν ἄμφω, ἀλλὰ κατ' ἐπίνοιαν. ἡ μὲν γὰρ βασιλεία τῶν οὐρανῶν, τῆς τῶν ὄντων ἀκραιφνὴς καὶ τοὺς ἑαυτῶν λόγους, ἐν τῷ Θεῷ προαιωνίων γνώσεώς ἐστι κατάληψις. ἡ δὲ τοῦ Θεοῦ βασιλεία, τῶν προσόντων τῷ Θεῷ φυσικῶν ἀγαθῶν, κατὰ χάριν ἐστὶ μετάδοσις. καὶ ἡ μὲν κατὰ τὸ τέλος τῶν ὄντων· ἡ δέ, κατ' ἐπίνοιαν μετὰ τὸ τέλος τῶν ὄντων ἐστίν.

ϙα'. Τό, ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν, οὐκ ἔστιν ὡς οἶμαι χρονικῆς συστολῆς. οὐ γὰρ ἔρχεται μετὰ παρατηρήσεως· οὔτε ἐροῦσιν ἰδοὺ ὧδε, ἰδοὺ ἐκεῖ, ἀλλὰ τῆς πρὸς αὐτὴν τῶν ἀξίων αὐτῆς κατὰ διάθεσιν σχέσεώς ἐστιν. ἡ βασιλεία γὰρ τοῦ Θεοῦ· φησίν· ἐντὸς ὑμῶν ἐστίν·

ϙβ'. Ἡ τοῦ Θεοῦ καὶ Πατρὸς βασιλεία, δυνάμει μὲν ἐν πᾶσιν ἐστὶ τοῖς πιστεύουσιν. ἐνεργείᾳ δέ, ἐν τοῖς ἀποθεμένοις ὅλως ἐκ διαθέσεως πᾶσαν τὴν κατὰ φύσιν ψυχῆς τε, καὶ σώματος ζωήν, καὶ μόνην κτησαμένοις τὴν τοῦ πνεύματος, καὶ δυναμένοις λέγειν· ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός.

ϙγ'. Τὴν βασιλείαν τῶν οὐρανῶν εἶναί τινες λέγουσι, τὴν ἐν οὐρανοῖς τῶν ἀξίων διαγωγήν. ἕτεροι δέ, τὴν ὁμοίαν τοῖς Ἀγγέλοις τῶν σωζομένων κατάστασιν· ἄλλοι δέ, τὸ εἶδος αὐτὸ τῆς θεϊκῆς ὡραιότητος τῶν φορεσάντων τὴν εἰκόνα τοῦ ἐπουρανίου. συμφέρουσι δὲ τῇ ἀληθείᾳ, καὶ τὸ ἐμοὶ δοκεῖν, καὶ αἱ τρεῖς περὶ τὴν δόξαι. πᾶσι γὰρ κατὰ τὴν ἀναλογίαν τῆς ἐν αὐτοῖς κατὰ ποιόν τε καὶ ποσὸν δικαιοσύνης, ἡ μέλλουσα δίδοται χάρις.

ϙδ'. Ἕως ὅτε κατὰ τὴν πρακτικὴν φιλοσοφίαν, ἀθλητικῶς τὶς θείως διεξέρχεται τοὺς ἀγῶνας· τὸν διὰ τῶν ἐντολῶν ἐξελθόντα παρὰ τοῦ Πατρὸς εἰς τὸν κόσμον, παρ' ἑαυτῷ κατέχει Λόγον. ἐπειδὰν δὲ τῶν κατὰ τὴν πρᾶξιν πρὸς τὰ πάθη παλαισμάτων ἀφέμενος, ὡς νικητὴς παθῶν καὶ δαιμόνων ἀναρρηθείς, πρὸς τὴν διὰ θεωρίας γνωστικὴν μετέλθῃ φιλοσοφίαν, συγχωρεῖ τῷ Λόγῳ μυστικῶς ἀφεῖναι πάλιν τὸν κόσμον, καὶ πορευθῆναι πρὸς τὸν Πατέρα. διό φησιν ὁ Κύριος τοῖς μαθηταῖς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλθον· ἐξῆλθον παρὰ τοῦ Πατρός, καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν Πατέρα· κόσμον εἰπὼν τυχόν, τὴν κατὰ τὴν πρᾶξιν τῶν ἀρετῶν ἐπίπονον ἐργασίαν· Πατέρα δέ, τὴν κατὰ νοῦν ὑπερκόσμιον καὶ πάσης ἐλευθέραν ὑ-

λικῆς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

λικοῦ φρονήματος κατάστασιν· καθ' ἣν ἐν ἡμῖν ὁ τοῦ Θεοῦ γίνεται λόγος, τῆς πρὸς τὰ πάθη καὶ τοὺς δαίμονας μάχης παυόμενος.

ϟε'. Ὁ δυνηθεὶς νεκρῶσαι διὰ πράξεως τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ νικῆσαι διὰ τοῦ λόγου κατὰ τὰς ἐντολὰς τὸν ἐν αὐτῷ τῶν παθῶν κόσμον, οὐδεμίαν ἕξει λοιπὸν θλῖψιν· τὸν κόσμον ἐάσας ἤδη, καὶ ἐν Χριστῷ γεγενημένος, τῷ τὸν κόσμον νικήσαντι τῶν παθῶν, καὶ πάσης εἰρήνης χορηγῷ. ὁ γὰρ τὴν προσπάθειαν τῶν ὑλικῶν μὴ ἀφεὶς διὰ παντὸς θλῖψιν ἕξει· τοῖς κατὰ φύσιν ἀλλοιουμένοις, τὴν γνώμην συναλλοιούμενος. ὁ δὲ, γενόμενος ἐν Χριστῷ, κατ' οὐδένα λόγον αἰσθήσεται τῆς οἱασοῦν ὑλικῆς μεταπτώσεως. διό φησιν ὁ Κύριος, ταῦτα λελάληκα ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε. ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον· τουτέστιν, ἐν ἐμοὶ τῷ λόγῳ τῆς ἀρετῆς, εἰρήνην ἔχετε· ἀπηλλαγμένοι τῆς τῶν ὑλικῶν παθῶν τε καὶ πραγμάτων στροβώσεώς τε καὶ ταραχῆς· ἐν δὲ τῷ κόσμῳ τουτέστιν ἐν τῇ ἀπροσπαθείᾳ τῶν ὑλικῶν, θλῖψιν διὰ τὴν αὐτῶν ἀλληπάλληλον μετάπτωσιν. θλῖψιν γὰρ ἔχουσιν ἀμφότεροι καὶ ὁ πράττων τὴν ἀρετὴν διὰ τὸν αὐτῇ συνημμένον πόνον, καὶ ὁ τὸν κόσμον ἀγαπῶν διὰ τὴν τῶν ὑλικῶν ἀποτυχίαν. ἀλλ' ὁ μὲν θλῖψιν σωτήριον· ὁ δὲ, φθαρτικὴν, καὶ ὀλέθριον· ἀμφοτέρων δέ ἐστιν ὁ Κύριος αἴτιος· τῷ μὲν καταπαύων ἐν ἑαυτῷ κατὰ τὴν θεωρίαν δι' ἀπαθείας τοὺς πόνους τῶν ἀρετῶν· τῷ δὲ, τὴν πρὸς τὰ φθειρόμενα σχετικὴν προσπάθειαν διὰ μετανοίας ἀφαιρούμενος.

ϟϛ'. Ἡ ἐν τῷ τίτλῳ προγραφὴ τῆς τοῦ Σωτῆρος αἰτίας, πρακτικῆς, καὶ φυσικῆς, καὶ θεολογικῆς φιλοσοφίας οὖσα βασιλέα τὸν σταυρωθέντα σαφῶς καὶ Κύριον ἐδίδαξε. Ῥωμαϊστὶ γὰρ, καὶ Ἑλληνιστὶ, καὶ Ἑβραϊστὶ φησὶν ἀναγεγράφθαι τὸν λόγον. νοῶ δὲ διὰ μὲν τοῦ Ῥωμαϊστὶ, τὴν πρακτικὴν, ὡς τῆς Ῥωμαίων βασιλείας κατὰ τὸν Δανιὴλ ὁρισθείσης εἶναι πασῶν ἀνδρικωτέρας τῶν ἐπὶ γῆς βασιλειῶν· πρακτικῆς δὲ ἴδιον εἴπερ τι ἄλλο, ἡ ἀνδρεία· διὰ δὲ τοῦ Ἑλληνιστὶ, τὴν φυσικὴν θεωρίαν, ὡς μᾶλλον τοῦ Ἑλλήνων ἔθνους παρὰ τοὺς λοιποὺς ἀνθρώπους, τῇ φυσικῇ σχολάσαντος φιλοσοφίᾳ· διὰ δὲ τοῦ Ἑβραϊστὶ, τὴν θεολογικὴν μυσταγωγίαν, ὡς τοῦ ἔθνους τούτου προδήλως ἀνάκαθεν τῷ Θεῷ διὰ τοὺς πατέρας ἀνατεθέντος.

ϟζ'. Δεῖ μὴ μόνον ἡμᾶς παθῶν σωματικῶν φονευτὰς, ἀλλὰ καὶ τῶν κατὰ ψυχὴν ἐμπαθῶν λογισμῶν ὀλετῆρας. κατὰ τὸν λέγοντα ἅγιον· εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, ,, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· τουτέστι τὰ τοῦ σώματος πάθη, καὶ τῆς ψυχῆς τοὺς ἀνομοῦντας λογισμούς.

ϟη'. Ὁ τὴν ὁδὸν τῶν ἀρετῶν χωρὶς τῆς ἐφ' ἑκάτερα ῥοπῆς μετ' εὐσεβείας, καὶ ὀρθῆς γνώσεως συντηρήσας ἀλώβητον, αἰσθήσεται τὴν γινομένην πρὸς αὐτὸν τοῦ Θεοῦ διὰ τῆς ἀπαθείας παρουσίαν. ,, Ψαλῶ ,, γὰρ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ πότε ,, ἥξεις πρός με. ὁ γὰρ Ψαλμὸς τὴν ἐνάρετον πρᾶξιν δηλοῖ· ἡ δὲ σύνεσις τὴν ἐπ' ἀρετῇ γνωστικὴν ἐπιστήμην, καθ' ἣν τῆς θείας αἰσθάνεται παρουσίας. Ὁ δὲ δι' ἀγρυπνίας τῶν ἀρετῶν προσδεχόμενος τὸν Κύριον αὐτοῦ, πιστὸς ἂν εἴη, καὶ ἀγαθός.

ϟθ'. Οὐ δεῖ τὸν εἰσαγόμενον εἰς εὐσέβειαν διὰ μόνης ἄγεσθαι χρηστότητος πρὸς τὴν πρᾶξιν τῶν ἐντολῶν, ἀλλὰ μὴν καὶ τῇ μνήμῃ τῶν θείων δικαιωμάτων δι' ἀποτομίας συχνότερον αὐτὸν ἀγωνίσασθαι· ἐφ' ᾧ μὴ μόνον πόθῳ, τῶν θείων ἐρᾶν,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀλλὰ καὶ φόβῳ, τῆς κακίας ἀπέχεσθαι. ἔλεον γὰρ, καὶ κρίσιν ᾄσομαί σοι Κύριε· ἵνα καὶ ᾄδῃ τῷ Θεῷ τῷ πόθῳ τερπόμενος, καὶ αὐτοῦ πρὸς τὸ ᾆσμα τῷ φόβῳ στομούμενος.

μ΄. Ὁ δὲ ἀρετῆς καὶ γνώσεως ἁρμοσάμενος τὸ σῶμα πρὸς τὴν ψυχὴν, γέγονε κιθάρα Θεοῦ, καὶ ναὸς, καὶ αὐλός· κιθάρα μὲν, ὡς καλῶς φυλάξας τὴν τῶν ἀρετῶν ἁρμονίαν· αὐλὸς δὲ, ὡς διὰ τῶν θείων θεωρημάτων εἰσδεχόμενος τὴν τοῦ Πνεύματος ἔμπνευσιν· ναὸς δὲ, ὡς διὰ τὴν κατὰ νοῦν καθαρότητα, τῷ Λόγῳ γεγονὼς κατοικητήριον.

# ΤΟΥ ΑΥΤΟΥ

# ΕΚΑΤΟΝΤΑΣ ΤΡΙΤΗ.

## Κεφάλαια διάφορα θεολογικά τε καὶ οἰκονομικὰ, καὶ περὶ ἀρετῆς καὶ κακίας.

α΄. ΕΝ ἐστι τὸ ὑπεράναρχον, καὶ ὑπερούσιον ἀγαθὸν, ἡ Ἁγία Τρισυπόστατος μονὰς, Πατὴρ, καὶ Υἱὸς, καὶ Ἅγιον Πνεῦμα. Τριῶν ἀπείρων ἄπειρος συμφυΐα· οὔτε τοῦ εἶναι, καὶ πῶς, καὶ τί, καὶ ποῖον εἶναι, λόγον πάμπαν τοῖς οὖσιν ἄβατον ἔχουσα· πᾶσαν γὰρ διαφεύγει νόησιν τῶν νοούντων, τῆς κατὰ φύσιν οὐδαμῶς κρυφίας ἐνδείξεως ἐξιοῦσα· καὶ πάσης πασῶν γνώσεων ἀπείρως ὑπερεκτείνεται γνώσεως.

β΄. Τὸ κατ' οὐσίαν κυρίως ὂν ἀγαθὸν, ἐστι, τὸ μήτε ἀρχὴν, μήτε τέλος, μήτε αἰτίαν τοῦ εἶναι, μήτε τὴν οἰκεῖαν κατὰ τὸ εἶναι, πρὸς αἰτίαν τινὰ κίνησιν ἔχον· τὸ δὲ μὴ οὕτως ἔχον, οὐδὲ κυρίως, ὄν, ὡς ἀρχὴν, καὶ τέλος, καὶ αἰτίαν τοῦ εἶναι, καὶ τὴν κατὰ τὸ εἶναι πρὸς αἰτίαν τινὰ κίνησιν ἔχον· τὸ δὲ κυρίως οὐκ ὂν, κἂν εἶναι λέγηται, κατὰ μέθεξιν βουλήσει τοῦ κυρίως ὄντος, καὶ ἔστι καὶ λέγεται.

γ΄. Εἰ λόγους προκαθηγοῦνται τῆς τῶν ὄντων γενέσεως, οὔτε ἦν, οὔτε ἔστιν, οὔτε ἔσται τοῦ Λόγου λόγος ἀνώτερος· λόγος δὲ οὐκ ἄνους, ἢ ζωῆς ἄμοιρος, ἀλλ' ἔννους, καὶ ζῶν, ὡς γεννῶντα νοῦν ἔχων οὐσιωδῶς ὑφεστῶτα τὸν Πατέρα, καὶ ζωὴν ὑφεστῶσαν οὐσιωδῶς συνυπάρχουσαν τὸ Πνεῦμα τὸ Ἅγιον.

δ΄. Εἷς Θεὸς, ἑνὸς Υἱοῦ Γεννήτωρ Πατὴρ, καὶ Πνεύματος Ἁγίου πηγή· μονὰς ἀσύγχυτος, καὶ Τριὰς ἀδιαίρετος· νοῦς ἄναρχος· μόνη, μόνος, οὐσιωδῶς, ἀνάρχου λόγου Γεννήτωρ· καὶ μόνης ἀϊδίου ζωῆς, ἤγουν Πνεύματος Ἁγίου πηγή.

ε΄. Εἷς Θεὸς, ὅτι μία θεότης· μονὰς ἄναρχος, καὶ ἁπλῆ, καὶ ὑπερούσιος, καὶ ἀμερὴς, καὶ ἀδιαίρετος· ἡ αὐτὴ μονὰς, καὶ Τριὰς, καὶ τὰ ἑξῆς.

ϛ΄. Εἰ πᾶσα μετοχὴ τῶν μετεχόντων προεπινοεῖται· πάντων δηλαδὴ σαφῶς ὑπέρκειται τῶν ὄντων ἀσυγκρίτως κατὰ πάντα τρόπον ἡ τῶν ὄντων αἰτία, κατὰ φύσιν προϋπάρχουσά τε, καὶ προεπινοουμένη τῶν ὄντων· οὐχ ὡς οὐσία συμβεβηκότων. ἐπεὶ σύνθετον ἀποδειχθήσεται τὸ θεῖον, εἰς συμπλήρωσιν ἔχον τῆς οἰκείας ὑπάρξεως



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὴν τῶν ὄντων ὑπόστασιν· ἀλλ' ὡς οὐσίας, τὸ ὑπερούσιον. εἰ γὰρ αἱ μὲν τέχναι, τῶν ἐξ αὐτῶν ἔφεδροι τὰ σχήματα· ἡ δὲ καθόλου φύσις, τὰ εἴδη τῶν ὑπ' αὐτὴν, πολλῷ μᾶλλον ὁ Θεὸς τὰς τῶν ὄντων οὐσίας ἐκ μὴ ὄντων ὑπέστησεν, ὡς ὑπερούσιος, καὶ ἔτι μᾶλλον τῆς καθ' ὑπερουσιότητα θέσεως, ἀπείρως ἐξῃρημένος· ὁ καὶ ταῖς τέχναις συγχωρήσας πρὸς διάφορσιν σχημάτων τὰς ἐπιστήμας, καὶ τῇ φύσει δοὺς τὴν ἀπεργαστικὴν τῶν εἰδῶν ἐνέργειαν, καὶ αὐτὸ τὸ εἶναι τῶν οὐσιῶν, ὅπερ ἐστὶν, ὑποστησάμενος.

ζʹ. Ὁ τοῖς οὖσι μὴ κατ' οὐσίαν μεθεκτὸς, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τῆς κατ' οὐσίαν κρυφιότητος παντελῶς οὐκ ἐξίσταται· ὁπότε καὶ αὐτὸς ὁ τρόπος, καθ' ὃν θέλων μετέχεται, καθ' ὃν αὐτὸς οἶδε τρόπον, μένει διηνεκῶς τοῖς πᾶσιν ἀνέκφαντος· οὕτω καὶ θέλων ὑπέστησε τὰ μετέχοντα, καθ' ὃν αὐτὸς ἐπίσταται λόγον, δι' ὑπερβάλλουσαν ἀγαθότητος δύναμιν. οὐκοῦν τῇ θελήσει τοῦ πεποιηκότος γενόμενον, οὐκ ἂν εἴη ποτὲ θελήσαντι αὐτὸ γενέσθαι συναΐδιον.

ηʹ. Ὁ τοῦ Θεοῦ λόγος ἐφάπαξ κατὰ σάρκα γεννηθεὶς, ἀεὶ γεννᾶται θέλων κατὰ πνεῦμα διὰ φιλανθρωπίαν τοῖς θέλουσι· καὶ γίνεται βρέφος, ἑαυτὸν ἐν ἐκείνοις διαπλάττων ταῖς ἀρεταῖς· καὶ τοσοῦτον φαινόμενος, ὅσον χωρεῖν ἐπίσταται τὸν δεχόμενον· οὐ φθόνῳ σμικρύνων τοῦ οἰκείου μεγέθους τὴν ἔκφανσιν, ἀλλὰ μέτρῳ σταθμίζων τῶν ὁρᾶν ποθούντων τὴν δύναμιν. οὕτως ἀεὶ καὶ φαινόμενος ὁ τοῦ Θεοῦ λόγος τοῖς τρόποις τῶν μετεχόντων, ἀεὶ διαμένει κατὰ τὴν ὑπερβολὴν τοῦ μυστηρίου, τοῖς πᾶσιν ἀθέατος· ὅθεν σοφῶς τοῦ μυστηρίου τὴν δύναμιν διασκοπήσας ὁ θεῖος Ἀπόστολος, φησὶν, Ἰησοῦς Χριστὸς, χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας· εἰδὼς ἀεὶ καινὸν τὸ μυστήριον, καὶ μηδέποτε περιλήψει νοὸς παλαιούμενον.

θʹ. Γεννᾶται Χριστὸς ὁ Θεὸς, προσλήψει σαρκὸς ψυχὴν ἐχούσης νοερὰν γενόμενος ἄνθρωπος· ὁ παρασχόμενος τοῖς οὖσιν ἐκ μὴ ὄντων τὴν γένεσιν· ὃν Παρθένος ὑπερφυῶς τεκοῦσα, παρέλυσεν οὐδὲν τῆς παρθενίας τεκμήριον. ὡς γὰρ αὐτὸς ἄνθρωπος γέγονεν, οὐκ ἀλλοιώσας τὴν φύσιν, οὐδ' ἀμείψας τὴν δύναμιν· οὕτω τὴν τεκοῦσαν, καὶ Μητέρα ποιεῖ, καὶ παρθένον διατηρεῖ· θαύματι θαῦμα κατὰ ταυτὸ διερμηνεύων ἅμα, καὶ θατέρῳ κρύπτων τὸ ἕτερον, ἐπειδὴ δι' ἑαυτὸν ὁ Θεὸς ἀεὶ κατ' οὐσίαν ὑπάρχει μυστήριον, τοσοῦτον ἐξάγων τῆς φυσικῆς κρυφιότητος, ὅσον ταύτην πλέον διὰ τῆς ἐκφάνσεως κρυφιωτέραν ἐργάζεσθαι· καὶ τοσοῦτον πάλιν μητέρα τὴν Παρθένον τεκοῦσαν ποιούμενος, * ὅσον τὴν κύησιν ἄλυτα τῆς παρθενίας τὰ δεσμὰ ἀπεργάσασθαι.

* ἴσως ὅσον διὰ τῆς κυήσεως ἄλυτα τὰ

ιʹ. Καινοτομοῦνται φύσεις, καὶ Θεὸς ἄνθρωπος γίνεται. οὐ μόνον ἡ θεία, καὶ σταθερὰ, καὶ ἀκίνητος, κινουμένη πρὸς τὴν κινουμένην καὶ ἄστατον, ἵνα στήσῃ τοῦ φέρεσθαι· οὐ δὲ μόνον ἡ ἀνθρωπίνη δίχα σπορᾶς ὑπὲρ φύσιν γεωργοῦσα σάρκα τῷ λόγῳ τελεσφορουμένην, ἵνα στῇ τοῦ φέρεσθαι· ἀλλὰ καὶ ἀστὴρ ἐξ ἀνατολῶν ἐν ἡμέρᾳ φαινόμενος, καὶ τοὺς Μάγους ὁδηγῶν εἰς τὸν τόπον τῆς τοῦ λόγου σαρκώσεως, ἵνα δείξῃ μυστικῶς νικῶντα τὴν αἴσθησιν, τὸν ἐν νόμῳ, καὶ προφήταις λόγον, καὶ ὁδηγοῦντα τὰ ἔθνη πρὸς τὸ μέγιστον φῶς τῆς ἐπιγνώσεως. πρὸς γὰρ ἐπίγνωσιν τοῦ σαρκωθέντος λόγου, σαφῶς ὁ νομικὸς καὶ προφητικὸς λόγος, καὶ καθάπερ ἀστὴρ εὐσεβῶς κατανοούμενος, ὁδηγεῖ τοὺς κατὰ πρόθεσιν κεκλημένους τῆς χάριτος.

ιαʹ. Ἐπειδὴ θέλων ἐγὼ, τὴν θείαν ἐντολὴν παρέβην ὁ ἄνθρωπος, καὶ τὸ στερρὸν μου τῆς φύσεως, θεότητος ἐλπίδι δε-

λεάσας πρὸς ἡδονὴν κατέστρεψεν ὁ διάβολος, δι᾽ ἧς ὑποστήσας τὸν θάνατον ἐβρύετο, τρυφῶν τὴν φθορὰν τῆς φύσεως. διὰ τοῦτο γίνεται τέλειος ἄνθρωπος ὁ Θεός, μηδὲν παραμείψας τῆς φύσεως, πλὴν τῆς ἁμαρτίας, ἐπεὶ μηδὲ τῆς φύσεως ἦν· ἵνα σαρκὸς προβλήματι δελεάσας, ἐρεθίσῃ τὸν ἄπληστον δράκοντα περιχανόντα τὴν σάρκα καταπιεῖν, γενησομένην αὐτῷ μὲν δηλητήριον, τῇ δυνάμει τῆς ἐν αὐτῇ θεότητος παντελῶς διαφθείρουσαν· τῇ δὲ φύσει τῶν ἀνθρώπων ἀλεξιτήριον πρὸς τὴν ἐξ ἀρχῆς χάριν, δυνάμει τῆς ἐν αὐτῇ θεότητος ἀνακαλουμένην· ὡς γὰρ αὐτὸς τὸν ἰὸν αὐτοῦ τῆς κακίας τῷ ξύλῳ τῆς γνώσεως ἐγχέας, τὴν γευσαμένην διέφθειρε φύσιν, οὕτω καὶ αὐτὸς ἐμφαγεῖν βουληθεὶς τῆς σαρκὸς τοῦ Δεσπότου, τῇ δυνάμει τῆς ἐν αὐτῇ θεότητος διεφθάρη.

ιβ΄. Τὸ μέγα τῆς ἐνανθρωπήσεως μυστήριον, ἀεὶ μένει μυστήριον· οὐ μόνον ὅτι συμμέτρως τῇ δυνάμει τῶν ὑπ᾽ αὐτοῦ σωζομένων ἐκφαινόμενον, ἔχει μεῖζον τοῦ ἐκφανθέντος τὸ μήπω ὁρώμενον, ἀλλ᾽ ὅτι καὶ αὐτὸ τὸ φανέν, ἔτι μένει πάμπαν ἀπόκρυφον, οὐδενὶ λόγῳ καθώς ἐστι γινωσκόμενον· καὶ μὴ τῷ δόξῃ παράδοξον τὸ λεγόμενον. ὁ γὰρ Θεὸς ὑπερούσιος ὤν, καὶ ὑπερουσιότητος ἁπάσης ὑπερανεστηκώς, εἰς οὐσίαν ἐλθεῖν βουληθείς, ὑπερουσίως οὐσιώθη· διὸ καὶ ὑπὲρ ἄνθρωπον, ὡς φιλάνθρωπος, ἐκ τῆς ἀνθρώπων οὐσίας ἀληθῶς ἄνθρωπος γεγονώς, τὸν τοῦ πῶς ἄνθρωπος γέγονε τρόπον, μένει διαπαντὸς ἔχων ἀνέκφαντον, ὑπὲρ ἄνθρωπον γὰρ γέγονεν ἄνθρωπος.

ιγ΄. Σκοπήσωμεν πιστῶς τὸ μυστήριον τῆς θείας ἐνανθρωπήσεως, καὶ μόνον δοξάσωμεν ἀπεριέργως τὸν τοῦτο γενέσθαι δι᾽ ἡμᾶς εὐδοκήσαντα. τίς γὰρ δυνάμει θαρρῶν λογικῆς ἀποδείξεως, ἐξειπεῖν δύναται, πῶς Θεοῦ Λόγου γίνεται σύλληψις; πῶς γένεσις σαρκὸς ἄνευ σπορᾶς; πῶς γέννησις ἄνευ φθορᾶς; πῶς Μήτηρ, ἡ μετὰ τὸν τόκον διαμείνασα Παρθένος; πῶς ὁ ὑπερτελής, καθ᾽ ἡλικίαν προέκοπτε; πῶς ὁ καθαρός, ἐβαπτίζετο; πῶς διέτρεφεν ὁ πεινῶν; πῶς ὁ κοπιῶν ἐχαρίζετο δύναμιν; πῶς ὁ πάσχων, ἐδίδου ἰάματα; πῶς ὁ θνήσκων, ἐζωοποίει; καὶ ἵνα τὸ πρῶτον καὶ τελευταῖον εἴπω, πῶς Θεὸς ἄνθρωπος γίνεται; καὶ τὸ δὴ πλέον μυστηριωδέστερον, πῶς οὐσιωδῶς ἐν σαρκὶ καθ᾽ ὑπόστασιν ὁ Λόγος, ὁ κατ᾽ οὐσίαν ὑποστατικῶς ὅλος ὑπάρχων ἐν τῷ Πατρί· πῶς ὁ αὐτός, καὶ ὅλος ἐστὶ Θεὸς τῇ φύσει, καὶ ὅλος γέγονε τῇ φύσει ἄνθρωπος· μηδ᾽ ἡμίαν φύσιν ἠρνημένος παντάπασι· μήτε τὴν θείαν, καθ᾽ ἣν ὑπάρχει Θεός, μήτε τὴν ἡμετέραν, καθ᾽ ἣν γέγονεν ἄνθρωπος. ταῦτα πίστις μόνη χωρεῖ τὰ μυστήρια, τῶν ὑπὲρ νοῦν καὶ λόγον ὑπάρχουσα πραγμάτων ὑπόστασις.

Ὁ Ἀδὰμ παρακούσας, ἐξ ἡδονῆς ἔρχεσθαι τὴν τῆς φύσεως ἐδίδαξε γένεσιν· ὁ Κύριος ταύτην ἐξοικίζων τῆς φύσεως, τὴν ἐκ σπορᾶς οὐ προσήκατο σύλληψιν· ἡ γυνὴ παραβᾶσα τὴν ἐντολήν, ἐξ ὀδύνης ἄρχεσθαι τὴν τῆς φύσεως κατέδειξε γένεσιν· ὁ Κύριος ταύτην ἀποτινάσσων τῆς φύσεως, γεννηθείς, φθορὰν ὑπομεῖναι τὴν τεκοῦσαν οὐ συνεχώρησεν· ἵν᾽ ὁμοῦ τήν τε ἑκούσιον ἡδονήν, καὶ τὴν δι᾽ αὐτὴν ἀκούσιον ὀδύνην, ἐξέλῃ τῆς φύσεως· ὧν οὐκ ἦν δημιουργός, ἀναιρέτης γενόμενος· καὶ διδάξῃ μυστικῶς τῷ γνώμην ἄλλης ἀπάρχεσθαι ζωῆς, ἐξ ὀδύνης μὲν τυχὸν ἀρχομένης καὶ πόνων, ληγούσης δὲ πάντως εἰς ἡδονὴν θείαν καὶ εὐφροσύνην ἀπέραντον. διὰ τοῦτο γίνεται ἄνθρωπος, καὶ γεννᾶται ὡς ἄνθρωπος ὁ ποιήσας τὸν ἄνθρωπον, ἵνα σώσῃ τὸν ἄνθρωπον· καὶ πάθη πάθεσιν ἰασάμενος, πάθος αὐτὸς ὑπάρχων ἀποδειχθῇ, τῆς ιδ΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἡμετέρων παθῶν ὑπερρυεῖς ταῖς αὐτοῦ καὶ σάρκα στερήσεσι, τὰς ἡμῶν καὶ πνεῦμα φιλανθρώπως ἕξεις ἀνακαινούμενος.

ιε΄. Ὁ τῷ θείῳ πόθῳ νικήσας τὴν πρὸς τὸ σῶμα τῆς ψυχῆς διάθεσιν, ἀπερίγραφος γέγονε, κἂν ἔστιν ἐν σώματι. ὁ γὰρ ἕλκων τὴν τοῦ ποθοῦντος ἔφεσιν Θεὸς, πάντων ἐστὶν ἀσυγκρίτως ὑψηλότερος, οὐκ ἐῶν τὸν ποθοῦντα τινὶ τῶν μετὰ Θεὸν προσηλῶσαι τὴν ἔφεσιν. ποθήσωμεν οὖν τὸν Θεὸν καθ' ὅλην ἡμῶν τὴν τῆς φύσεως δύναμιν, καὶ πᾶσι τοῖς σωματικοῖς τὴν προαίρεσιν ἀκράτητον ποιησώμεθα· καὶ πάντων τῶν ὄντων αἰσθητῶν τε καὶ νοητῶν ὑπεράνω τῇ διαθέσει γενώμεθα, καὶ οὐδὲν κατὰ τὴν γνώμην πρὸς τὸ συνεῖναι Θεῷ τῷ κατὰ φύσιν ἀπεριγράφῳ, παντελῶς ὑπὸ τῆς φυσικῆς περιγραφῆς ζημιωσώμεθα.

ιϛ΄. Ἀγών ἐστι φθόνου, καὶ ἀρετῆς ἡ τῶν ἁγίων κακοπάθεια· τοῦ μὲν, ὅπως κρατήσῃ φιλονεικοῦντος· τῆς δὲ, ὅπως ἀήττητος διαμείνῃ, πάντα φερούσης· καὶ τοῦ μὲν βουλομένου κακίαν ἀγωνιζομένου διὰ τῆς τῶν κατορθούντων κολάσεως· τῆς δὲ, ὅπως καταισχύνῃ τοὺς ἀγαθοὺς κἂν ταῖς συμφοραῖς τὸ πλέον ἔχοντας.

ιζ΄. Ἀρετῆς ἄθλον ἐστὶ, τὸ τοῖς πόνοις ἐναγωνίζεσθαι. νικᾷ ὡς ἔπαθλον φερούσης τῆς ὑπομονῆς, τῆς ψυχῆς τὴν ἀπάθειαν· καθ' ἣν δι' ἀγάπης ἑνωμένη Θεῷ, σώματος καὶ κόσμου τῇ διαθέσει χωρίζεται. ψυχῆς γὰρ ῥῶσίς ἐστι τῆς ὑπομενούσης, ὁ τοῦ σώματος αἰκισμός.

ιη΄. Ἡδονῆς ἀπάτῃ κλαπέντες τὸ ἀπαρχῆς, τὸν θάνατον τῆς ὄντως ζωῆς προεκρίναμεν· ταύτης οὖν τὸ φρόνημα διαχαρίστως ἐνέγκωμεν πόνον τοῦ σώματος· ὅπως τῷ ταύτης θανάτῳ ἑαυτοὺς συναφανίσαντες τὸν διὰ * γενόμενον θάνατον, ἀπολάβωμεν ἡμῖν ἐπαναβρύουσαν τὴν ἡδονῇ πραθεῖσαν ζωὴν, μικροῖς πόνοις σαρκὸς ἀγορασθεῖσαν.

* ἴσως ἡμᾶς.

ιθ΄. Εἰ σαρκὸς εὐπαθούσης ὁ τῆς ἁμαρτίας εἴωθε τίκτεσθαι τόκος, δῆλον ὅτι ταύτης δυσπαθούσης, ὁ τῆς ἀρετῆς ἀναβλαστάνειν εἰκότως πέφυκε. γενναίως οὖν ἐνέγκωμεν τῆς σαρκὸς τὴν δυσπάθειαν τῶν κατὰ ψυχὴν οὖσαν ῥυπτικὴν μολυσμῶν, καὶ τῆς μελλούσης δόξης πρόξενον. οὐκ ἄξια γὰρ τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἡμῖν ἀποκαλύπτεσθαι.

κ΄. Οὔτε σῶμα θεραπεύοντες ἰατροὶ, ἓν καὶ τὸ αὐτὸ πᾶσι προσφέρουσι φάρμακον, οὔτε Θεὸς ψυχῶν ἰατρεύων νοσήματα, ἕνα μόνον θεραπείας οἶδε τρόπον πάσαις ἁρμόδιον· ἀλλ' ἑκάστῃ τὸν πρόσφορον ἀπονέμων, τὰς ἰάσεις ἐργάζεται· εὐχαριστήσωμεν οὖν θεραπευόμενοι, κἂν ἔχῃ βάσανον τὸ γινόμενον. τὸ γὰρ τέλος μακάριον.

κα΄. Οὐδὲν οὕτω ψυχῆς ἐλέγχει διάθεσιν, ὡς σαρκὸς δυσπαθούσης ἐπιτάσεις ἐπιτηδεύματα· οἷς ἐὰν ὑπενδῷ, Θεοῦ πλέον στέργουσα τὴν σάρκα φανήσεται· ἐὰν δὲ τοῖς πόνων διαμείνῃ ταπεινώμασιν ἄσειστος, σαρκὸς πλέον ἀρετὴν τιμῶσα δειχθήσεται· δι' ἧς τὸν Θεὸν ἔνοικον ὑποδέξεται τὸν δι' αὐτὴν παθεῖν καθ' ἡμᾶς ἀνεχόμενον· βοῶντα καθάπερ πάλαι τοῖς μαθηταῖς. θαρσεῖτε ἐγὼ νενίκηκα τὸν κόσμον.

κβ΄. Εἰ πάντες παιδείας οἱ ἅγιοι γεγόνασι μέτοχοι, καὶ ἡμεῖς εὐχαριστήσωμεν ὑπ' αὐτῆς παιδευόμενοι, ἵνα τῆς αὐτῶν μέτοχοι γενέσθαι δόξης ἀξιωθῶμεν. ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.

κγ΄. Ὁ Ἀδὰμ τὴν πλάνην ἡδονὴν προτείνασαν παραδεξάμενος, ἔξω τοῦ Παραδείσου ποιεῖ τὸν ἄνθρωπον. ὁ δὲ Κύριος πόνῳ ταύτην διὰ τῆς λόγχης * ἀναχεθεὶς, τὸν λῃστὴν ἔσω τοῦ παραδείσου ἐποίησεν. ἀγαπήσωμεν τοίνυν τὸν πόνον τῆς σαρκὸς, μισήσωμεν δὲ ταύτης τὴν ἡδονήν· ὁ μὲν γὰρ εἰσάγει, καὶ τοῖς ἀ-

* ἴσ. ἀναχθεὶς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γαθοῖς ἀποκαθίστησιν· ἡ δὲ, ἐξάγει, καὶ τῶν ἀγαθῶν ἀποδίστησιν.

κδ'. Εἰ Θεὸς πάσχει σαρκὶ γενόμενος ἄνθρωπος, τίς πάσχων οὐ γέγηθε Θεὸν ἔχων τοῦ πάθους συμμέτοχον; ὧν τὸ συμπάσχειν, βασιλείας πρόξενον γίνεται· ἀληθὴς γὰρ ὁ εἰπὼν, εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν.

κε'. Εἰ πάντως πονῆσαι δεῖ διὰ τὴν ἐμφυρεῖσαν τῇ φύσει διὰ τοῦ προπάτορος ἡδονὴν, γενναίως τοὺς προσκαίρους καρτερήσωμεν πόνους· τῆς τε ἡδονῆς τὸ κέντρον ἡμῖν ἀμβλύνοντας, καὶ τῶν δι' αὐτὴν ἡμᾶς τῶν αἰωνίων ἐλευθεροῦντας κολάσεων.

κϛ'. Πάντων τῶν ἀγαθῶν τέλος ἐστὶν ἡ ἀγάπη, ὡς πρὸς τὸν Θεὸν τὸ τῶν ἀγαθῶν ἀκρότατον, καὶ παντὸς αἴτιον ἀγαθοῦ, τοὺς ἐν αὐτῇ περιπατοῦντας ἄγουσα, καὶ προσάγουσα, καὶ συνάγουσα· ὡς πιστὴ καὶ ἀδιαπτώτως μένουσα. ἡ πίστις γὰρ, βάσις ἐστὶ τῶν μετ' αὐτήν· ἐλπίδος λέγω, καὶ ἀγάπης, βεβαίως τὸ ἀληθὲς ὑφεστῶσα· ἡ δὲ ἐλπὶς, τῶν ἄκρων ἐστὶν ἰσχὺς, ἀγάπης λέγω, καὶ πίστεως, τὸ πιστόν τε δι' ἑαυτῆς τὸ ἐραστὸν ἐμφανῶς ὑποφαίνουσα, καὶ πρὸς αὐτὸ τὸν δρόμον δι' ἑαυτῆς ποιεῖσθαι διδάσκουσα· ἡ δὲ ἀγάπη, τούτων ἐστὶ συμπλήρωσις, τὸ ἔσχατον ὀρεκτὸν, ὅλον ὅλη περιπτυσσομένη, καὶ ταύταις τῆς ἐπ' αὐτὸ κινήσεως παῦσιν παρεχομένη, τῷ πιστεύειν εἶναι, καὶ ἐλπίζειν παρέσεσθαι, τὸ ἀπολαύειν παρόντος δι' ἑαυτῆς ἀντεισάγουσα.

κζ'. Ἔργον τῆς ἀγάπης τελειότατον, καὶ τῆς κατ' αὐτὴν ἐνεργείας πέρας, δι' ἀντιδόσεως σχετικῆς τῶν κατ' αὐτὴν συνημμένων, ἀλλήλοις ἐμπρέπειν τὰ ἰδιώματα, καὶ τὰς κλήσεις παρασκευάζειν· καὶ Θεὸν μὲν τὸν ἄνθρωπον ποιεῖν, ἄνθρωπον δὲ Θεὸν χρηματίζειν καὶ φαίνεσθαι, διὰ τὴν μίαν καὶ ἀπαράλλακτον ἀμφοτέρων κατὰ τὸ θέλημα βούλησίν τε καὶ κίνησιν.

Εἰ κατ' εἰκόνα Θεοῦ πάντως ἡμεῖς, γενώμεθα ἑαυτῶν καὶ τοῦ Θεοῦ· μᾶλλον δὲ, μόνου, καὶ ὅλου Θεοῦ, καὶ ὅλοι, μηδὲν ἐπίγειον ἐν ἡμῖν αὐτοῖς φέροντες, ἵνα Θεῷ πλησιάσωμεν, καὶ θεοὶ γενώμεθα, ἐκ Θεοῦ τὸ θεοὶ εἶναι λαβόντες. οὕτω γὰρ τιμᾶται τὰ θεῖα δωρήματα, καὶ ἡ τῆς θείας εἰρήνης φιλοφρονεῖται παρουσία. κη'.

Μέγα ἀγαθὸν ἡ ἀγάπη, καὶ τῶν ἀγαθῶν τὸ πρῶτον καὶ ἐξαίρετον ἀγαθὸν, ὡς Θεὸν καὶ ἀνθρώπους δι' ἑαυτῆς περὶ τὸν αὐτὴν ἔχοντα συνάπτουσα· καὶ ὡς ἄνθρωπον τὸν ποιητὴν τῶν ἀνθρώπων φαίνεσθαι παρασκευάζουσα, διὰ τὴν τοῦ θεουμένου πρὸς τὸν Θεὸν κατὰ τὸ ἀγαθὸν ὡς ἐφικτὸν ἀνθρώπῳ, ἀπαραλλαξίαν· ἣν ἐνεργεῖν ὑπολαμβάνω τὸ, ἀγαπῆσαι Κύριον τὸν Θεὸν ἐξ ὅλης καρδίας, καὶ ψυχῆς, καὶ δυνάμεως· καὶ τὸν πλησίον ὡς ἑαυτόν· κθ'.

Ἰστέον ὡς δόλῳ κακούργως καὶ μεμηχανημένως διὰ φιλαυτίας, καθ' ἡδονῆς προσβολὴν ἀπατήσας ἡμᾶς ὁ διάβολος, Θεοῦ, καὶ ἀλλήλων κατὰ γνώμην διέστησε· τὸ εὐθὲς διαστρέψας, καὶ τὴν φύσιν κατὰ τὸν τρόπον τοῦτον μερίσας, καὶ κατατεμὼν εἰς πολλὰς δόξας, καὶ φαντασίας· λ'.

Τρία ἐστὶ τὰ μέγιστα καὶ ἀρχέκακα, καὶ πάσης ἁπλῶς εἰπεῖν κακίας γεννητικά· ἄγνοια φημὶ, καὶ φιλαυτία, καὶ τυραννίς· ἀλλήλων ἐξηρτημένα καὶ δι' ἀλλήλων συνιστάμενα· ἐκ γὰρ τῆς περὶ Θεοῦ ἀγνοίας, ἡ φιλαυτία· ἐκ δὲ ταύτης ἡ πρὸς τὸ συγγενὲς τυραννίς ἐστι· καὶ οὐδεὶς ἀντερεῖ λόγος, μὴ οὐχὶ τῷ κατὰ παράχρησιν τρόπῳ τῶν οἰκείων δυνάμεων, λόγου τε καὶ ἐπιθυμίας, καὶ θυμοῦ, ταύτας ἐν ἡμῖν τὸν πονηρὸν ὑποστήσασθαι. λα'.

Δέον, λόγῳ μὲν ἀντὶ τῆς ἀγνοίας πρὸς τὸν Θεὸν διὰ γνώσεως κατὰ ζήτη- λβ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σιν μονώτατον κινεῖσθαι· δι᾽ ἐπιθυμίας δὲ, τοῦ τῆς φιλαυτίας πάθους καθαρᾶς, τὸν πόθον πρὸς τὸν Θεὸν μόνον ἑλκύεσθαι· καὶ τοῦ θυμοῦ τυραννίδος κεχωρισμένου, πρὸς τὸ Θεοῦ μόνου τυχεῖν ἀγωνίζεσθαι· καὶ τὴν ἐκ τούτων, καὶ δι᾽ αὐτὴν ταύτην θείαν, καὶ μακαρίαν ἀγάπην δημιουργῆσαι, τῷ Θεῷ συνάπτουσάν τε καὶ Θεὸν ἀποφαίνουσαν τὸν φιλόθεον.

λγ'. Τῆς φιλαυτίας, ὡς ἀρχῆς καθὼς εἶπον, καὶ μητρὸς τῶν κακῶν * ἀποτελέσεως, πάντα τὰ ἐξ αὐτῆς τε, καὶ μετ᾽ αὐτὴν συναποτίλλεσθαι εἴωθεν· ἐπειδὴ ταύτης μὴ οὔσης, οὐδὲ οὐδαμῶς τὸ παράπαν κακίας ἴχνος, ἢ εἶδος ὑφίστασθαι δύναται.

* ἴσως ἀποτιλλομένης.

λδ'. Δέον ἐστὶν ἑαυτῶν καὶ ἀλλήλων τοσοῦτον ἀντέχεσθαι, ὅσον αὐτὸς δι᾽ αὐτοὺς ὁ Χριστὸς προλαβὼν ἀπεδείξατο, ὑπὲρ ἡμῶν παθεῖν ἀνασχόμενος.

λε'. Διὰ τὴν ἀγάπην οἱ ἅγιοι πάντες πρὸς τὴν ἁμαρτίαν ἀντικατέστησαν, τῆς παρούσης ζωῆς οὐδένα λόγον ποιησάμενοι· καὶ τοὺς πολυειδεῖς τοῦ θανάτου τρόπους ὑπέστησαν, ἵνα πρὸς ἑαυτοὺς ἀπὸ τοῦ κόσμου, καὶ τὸν Θεὸν συναχθῶσι, καὶ τὰ τῆς φύσεως ἐφ᾽ ἑαυτῶν ἑνώσωσι ῥήγματα. αὕτη γάρ ἐστιν ἡ ἀληθὴς, καὶ ἀμώμητος τῶν πιστῶν θεοσοφία· ἧς τέλος, τὸ ἀγαθόν ἐστι καὶ ἡ ἀλήθεια· εἴπερ ἀγαθὸν τὸ φιλάνθρωπον, καὶ ἀληθὲς τὸ κατὰ πίστιν φιλόθεον τὰ τῆς ἀγάπης γνωρίσματα· ὡς Θεῷ καὶ ἀλλήλοις τοὺς ἀνθρώπους συνάπτουσα, καὶ διὰ τοῦτο τῶν ἀγαθῶν τὴν διαμονὴν ἀδιάπτωτον ἔχουσα.

λς'. Ἐνέργεια καὶ ἀπόδειξις τῆς πρὸς Θεὸν τελείας ἀγάπης ἐστὶν, ἡ γνησία δι᾽ εὐνοίας ἑκουσίου πρὸς τὸν πλησίον διάθεσις. ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακε, φησὶν ὁ θεῖος Ἰωάννης, τὸν Θεὸν ὃν οὐχ ἑώρακεν οὐ δύναται ἀγαπᾶν.

λζ'. Ἡ τῆς ἀληθείας ὁδὸς, ἡ ἀγάπη ἐστίν· ἣν ἑαυτὸν ὀνομάσας ὁ τοῦ Θεοῦ Λόγος, τοὺς ἐν αὐτῇ ὁδεύοντας, τῷ Θεῷ καὶ Πατρὶ καθαροὺς παντοίων γενομένους παρίστησιν.

λη'. Αὕτη ἐστὶν ἡ θύρα, δι᾽ ἧς ὁ εἰσερχόμενος εἰς τὰ Ἅγια γίνεται τῶν Ἁγίων, καὶ τοῦ ἀπροσίτου κάλλους τῆς ἁγίας καὶ βασιλικῆς Τριάδος καθίσταται θεατὴς γενέσθαι.

λθ'. Φοβερὸν ὄντως καὶ πάσης κατακρίσεως ὑπερέκεινα, τὸ τὴν δοθεῖσαν ἡμῖν παρὰ Θεοῦ κατὰ δωρεὰν τοῦ Ἁγίου Πνεύματος ἑκουσίως νεκρῶσαι ζωὴν, διὰ τῆς πρὸς τὰ φθειρόμενα ἀγάπης· καὶ ἴσασι πάντως τοῦτον τὸν φόβον, οἱ τὴν ἀλήθειαν τῆς φιλαυτίας προτιμᾷν μελετήσαντες.

μ'. Χρεωστοῦμεν ὡς δέον τῇ εἰρήνῃ, καὶ τὴν πρὸς τὸν κόσμον καὶ τὸν κοσμοκράτορα κακῶς ἡμῖν συνυπάρξασαν ἀθετήσαντες φιλίαν, τὸν διὰ τῶν παθῶν πρὸς τὸν Θεὸν συνιστάμενον, κἂν ὀψέ ποτε καταλύσωμεν πόλεμον· καὶ σπονδὰς ἀλύτους τῆς πρὸς αὐτὸν εἰρήνης ποιήσαντες, ἐν τῇ καταργήσει τοῦ σώματος τῆς ἁμαρτίας, τῆς πρὸς αὐτὸν ἔχθρας παυσώμεθα.

μα'. Ἀδύνατόν ἐστιν ἡμᾶς φιλιωθῆναι Θεῷ, διὰ τῶν παθῶν πρὸς αὐτὸν στασιάζοντας, καὶ τοῦ πονηροῦ τυράννου, καὶ φονευτοῦ τῶν ψυχῶν διαβόλου διὰ κακίας δασμοφορεῖν ἀνεχομένους, μὴ πρότερον δόλη πολεμωθέντας τοῦ πονηροῦ· μέχρι γὰρ τότε τούτῳ καθεστήκαμεν ἐχθροὶ καὶ πολέμιοι, κἂν πιστῶν προσηγορίαν ἡμῖν αὐτοῖς περιπλάττωμεν, μέχρις οὗ πάθεσιν ἀτιμίας δουλεύειν βουλόμεθα. καὶ οὐδὲν ὄφελος ἡμῖν ἐκ τῆς κατὰ κόσμον εἰρήνης λοιπὸν περιγενήσεται, τῆς ψυχῆς κακῶς διακειμένης, καὶ πρὸς τὸν ἴδιον ποιητὴν στασιαζούσης, καὶ ὑπὸ τὴν αὐτοῦ βασιλείαν γενέσθαι οὐκ ἀνεχομένης· ἔτι μυρίοις πεπραγμένης



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὡμεῖς δεσπόταις εἰς κακίαν αὐτὴν καταπείγουσι καὶ τὴν εἰς ἀπώλειαν φέρουσαν ὁδὸν, τῆς σωζούσης μᾶλλον ἀπατηλῶς αἱρεῖσθαι παρασκευάζουσιν.

μβ'. Εἰς τοῦτο ἡμᾶς πεποίηκεν ὁ Θεὸς, ἵνα γενώμεθα θείας κοινωνοὶ φύσεως, καὶ τῆς αὐτοῦ ἀϊδιότητος μέτοχοι, καὶ φανῶμεν αὐτῷ ὅμοιοι κατὰ τὴν ἐκ χάριτος θέωσιν, δι' ἣν πᾶσά τε τῶν ὄντων ἡ σύστασίς ἐστι, καὶ διαμονὴ, καὶ ἡ τῶν μὴ ὄντων παραγωγὴ, καὶ γένεσις.

μγ'. Εἰ τῷ Θεῷ ὀνομάζεσθαί τε, καὶ εἶναι ἐφιέμεθα, ἀγωνισώμεθα μὴ προδοῦναι τοῖς πάθεσι τὸν λόγον· κατὰ τὸν Ἰούδαν· ἢ μὴ ἀρνήσασθαι, κατὰ τὸν Πέτρον. ἄρνησις γάρ ἐστι τοῦ λόγου, ἡ τοῦ πράττειν τὸ ἀγαθὸν, διὰ φόβον παραίτησις· προδοσία δὲ, ἡ κατ' ἐνέργειαν ἐμπρόθετος ἁμαρτία, καὶ ἡ πρὸς τὴν ἁμαρτίαν ὁρμή.

μδ'. Πάσης θλίψεως, τέλος ἐστὶν ἡ χαρά· καὶ παντὸς κόπου, ἡ ἀνάπαυσις· καὶ πάσης ἀτιμίας ἡ δόξα· καὶ ἁπλῶς, πάντων τῶν ὑπὲρ ἀρετῆς ἀλγεινῶν τέλος ἐστὶν, τὸ μετὰ Θεοῦ γενέσθαι, καὶ εἶναι διαπαντὸς, καὶ τῆς αἰωνίου καὶ πέρας μὴ ἐχούσης ἀνέσεως ἀπολαῦσαι.

με'. Ὁ Θεὸς πρὸς τῇ φύσει, καὶ τῇ γνώμῃ ἀλλήλοις ἡμᾶς ἑνῶσαι βουλόμενος, καὶ πρὸς τοῦτο ἅπαν ὡς ἀγαθὸς ὠθῶν τὸ ἀνθρώπινον, τὰς σωτηρίας φιλανθρώπως ἡμῖν ἐντολὰς διεχάραξε, καὶ τοῦ χάριν ἐλεεῖν, καὶ ἐλεεῖσθαι ἁπλῶς ἐνομοθέτησεν.

μϛ'. Ἡ τῶν ἀνθρώπων φιλαυτία, καὶ σύνεσις, ἀλλήλους, καὶ τὸν νόμον ἡ ἀπωσαμένη, ἡ σοφισαμένη, εἰς πολλὰς μοίρας τὴν μίαν φύσιν κατέτεμε· καὶ τὴν νῦν ἐπικρατοῦσαν αὐτῆς διήπλωσεν ἀναλγησίαν εἰσηγησαμένη, αὐτὴν καθ' ἑαυτῆς τὴν φύσιν διὰ τῆς γνώμης ἐξώπλισε. διά τοι τοῦτο, πᾶς ὅστις σώφρονι λογισμῷ καὶ φρονήσεως εὐγενείᾳ, ταύτην λῦσαι δεδύνηται τῆς φύσεως τὴν ἀνωμαλίαν, ἑαυτὸν πρὸ τῶν ἄλλων ἠλέησε, τὴν γνώμην κατὰ τὴν φύσιν δημιουργήσας, καὶ Θεῷ κατὰ τὴν γνώμην διὰ τὴν φύσιν προχωρήσας, καὶ δείξας ἐφ' ἑαυτοῦ, τίς τοῦ κατ' εἰκόνα λόγου ὁ τρόπος, καὶ πῶς ἑαυτῷ ὁ Θεὸς πρεπόντως κατ' ἀρχὰς ὁμοίαν τὴν ἡμετέραν φύσιν, καὶ τῆς ἰδίας ἀγαθότητος ἀρίδηλον ἀπεικόνισμα δημιουργήσας, κατέστησεν αὐτὴν ἑαυτῇ κατὰ πάντα ταυτὸν, ἄμαχον, εἰρηνικὴν, ἀστασίαστον, πρὸς τὸν Θεὸν, καὶ ἑαυτὴν δι' ἀγάπης ἐσφιγμένην, καθ' ἣν Θεοῦ μὲν ἐφετῶς, ἀλλήλων δὲ, συμπαθῶς ἀντεχόμεθα.

μζ'. Ὁ φιλάνθρωπος Θεὸς διὰ τοῦτο γέγονεν ἄνθρωπος, ἵνα τὴν φύσιν τῶν ἀνθρώπων πρὸς ἑαυτὸν συναγάγῃ, καὶ στήσῃ τοῦ φέρεσθαι κακῶς πρὸς ἑαυτὴν, μᾶλλον δὲ καθ' ἑαυτῆς στασιάζουσάν τε, καὶ μεμερισμένην, καὶ μηδεμίαν ἔχουσαν στάσιν, διὰ τὴν περὶ ἕκαστον τῆς γνώμης ἀστάθμητον κίνησιν.

μη'. Οὐδέν ἐστι τῶν μετὰ Θεὸν τοῖς νοῦν ἔχουσι τιμιώτερον, μᾶλλον δὲ τῷ Θεῷ προσφιλέστερον, τῆς τελείας ἀγάπης· ὡς τοὺς διῃρημένους εἰς ἓν συναγούσης, καὶ μίαν τοῖς πολλοῖς, ἢ τοῖς πᾶσι, καὶ ἀστασίαστον κατὰ τὴν γνώμην δημιουργῆσαι διῃρημένοις ταυτότητα. καὶ γὰρ ἴδιον τῆς ἀγάπης τῶν κατ' αὐτὴν ζώντων, μίαν ἀποδεῖξαι τὴν γνώμην.

μθ'. Εἰ φύσει τὸ καλόν ἐστιν ἑνοποιητικὸν τῶν διῃρημένων καὶ συνεκτικὸν, τὸ κακὸν δηλονότι τῶν ἡνωμένων ἐστὶ διαιρετικόν τε καὶ φθαρτικόν. καὶ γὰρ φύσει τὸ κακὸν σκεδαστὸν ὑπάρχει, καὶ ἄστατον, καὶ πολύμορφον, καὶ διαιρετικόν.

ι'. Πάντων τῶν κακῶν ἀπαλλαγὴ, καὶ σύντομος πρὸς σωτηρίαν ὁδὸς, ἡ ἀληθὴς τοῦ Θεοῦ κατ' ἐπίγνωσιν ἀγάπη ἐστὶ, καὶ ἡ καθόλου τῆς κατὰ ψυχὴν πρός τε τὸ σῶμα, καὶ τὸν κόσμον τοῦτον στοργῆς διάρ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοις· καθ᾿ ἣν τῆς μὲν ἡδονῆς τὴν ἐπιθυμίαν, τῆς ὀδύνης δὲ τὸν φόβον ἀποβαλλόμενοι, τῆς κακῆς ἐλευθερώμεθα φιλαυτίας, πρὸς τὴν γνῶσιν ἀναβιβασθέντες τοῦ κτίσαντος· καὶ πονηρᾶς ἀγαθὴν ἀντιλαβόντες νοερὰν φιλαυτίαν σωματικῆς κεχωρισμένην στοργῆς, οὐ παυόμεθα λατρεύοντες τῷ Θεῷ διὰ ταύτης τῆς καλῆς φιλαυτίας, ἐκ Θεοῦ ἀεὶ ζητοῦντες τῆς ψυχῆς τὴν σύστασιν. αὕτη γάρ ἐστιν ἀληθὴς λατρεία, καὶ ὄντως θεάρεστος, ἡ τῆς ψυχῆς διὰ τῶν ἀρετῶν ἀκριβὴς ἐπιμέλεια.

να΄. Ὁ σωματικῆς ἡδονῆς μὴ ἐφιέμενος, καὶ ὀδύνην παντελῶς μὴ φοβούμενος, γέγονεν ἀπαθής. ταύταις γὰρ μετὰ τῆς τεκούσης αὐτὰς φιλαυτίας, πάντα τὰ δι᾿ αὐτάς τε καὶ ἐξ αὐτῶν μετὰ τῆς ἀρχηγικωτάτης τῶν κακῶν ἀγνοίας, ὁμοθυμαδὸν συναπέκτεινε πάθη· καὶ ὅλος γέγονε τοῦ ἑστῶτος, καὶ μένοντος, καὶ ἀεὶ ὡσαύτως ἔχοντος φύσει καλοῦ, παντάπασιν αὐτῷ συνεζευγμένος ἀκίνητος, καὶ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τοῦ Θεοῦ κατοπτριζόμενος· ἐκ τῆς ἐν αὐτῷ φωτοειδοῦς λαμπρότητος, τὴν θείαν καὶ ἀπρόσιτον δόξαν θεώμενος.

νβ΄. Τὴν ἡδονὴν τῆς παρούσης ζωῆς, καὶ τὴν ὀδύνην, ὅση δύναμις ἀρνησώμεθα, καὶ πάσης παθῶν ἐπηρείας, καὶ δαιμονιώδους κακουργίας παντελῶς ἀπαλλαγησώμεθα. διὰ γὰρ τὴν ἡδονὴν ἀγαπῶμεν τὰ πάθη, καὶ διὰ τὴν ὀδύνην φεύγομεν τὴν ἀρετήν.

νγ΄. Ἐπειδὴ πᾶσα κακία πέφυκε τοῖς συνιστῶσιν αὐτὴν συμφθείρεσθαι τρόποις, εὑρίσκων δι᾿ αὐτῆς τῆς πείρας ὁ ἄνθρωπος, πάσης ἡδονῆς εἶναι πάντως τὴν ὀδύνην διάδοχον. πρὸς μὲν τὴν ἡδονὴν, τὴν ὅλην ἔχει ὁρμήν· πρὸς δὲ τὴν ὀδύνην, τὴν ὅλην ἀποφυγήν. τῆς μὲν, κατὰ πᾶσαν ὑπεραγωνιζόμενος δύναμιν· τῆς δὲ, κατὰ πᾶσαν σπουδὴν καταγωνιζόμενος, οἰόμενος, ὅπερ ἀμήχανον ἦν, διὰ τῆς τοιαύτης μεθοδείας, ἀλλήλων ταύτας διαστῆσαι, καὶ μόνην τῇ ἡδονῇ συνημμένην, τὴν φιλαυτίαν ἔχειν παντελῶς ὀδύνης ἀπείρατον, ἀγνοήσας ὑπὸ τοῦ πάθους ὡς ἔοικεν, ὡς οὐκ ἐνδέχεταί ποτε χωρὶς ὀδύνης εἶναι τὴν ἡδονήν· ἐγκέκραται γὰρ τῇ ἡδονῇ τῆς ὀδύνης ὁ πόνος, κἂν λανθάνειν δοκῇ τοὺς ἔχοντας, διὰ τὴν κατὰ τὸ πάθος τῆς ἡδονῆς ἐπικράτειαν· ἐπειδὴ τὸ ἐπικρατοῦν ἀεὶ διαφαίνεσθαι πέφυκε, καλύπτον τοῦ παρακειμένου τὴν αἴσθησιν. ἡδονῆς οὖν διὰ τὴν φιλαυτίαν ἀντιποιούμενοι, καὶ ὀδύνην διὰ τὴν αὐτὴν αἰτίαν πάλιν φεύγειν σπουδάζοντες, τὰς ἀμυθήτους τῶν φθοροποιῶν παθῶν ἐπινοοῦμεν γενέσεις.

Ἀγνοεῖ τις καθ᾿ ἡδονὴν, καὶ ὀδύνην τῆς αἰσθήσεως πεῖραν, ὅταν τῷ Θεῷ τῷ ὄντως ἀγαπητῷ, καὶ ἐραστῷ, καὶ ἐφετῷ προσδήσῃ, μᾶλλον δὲ κολλήσῃ τὸν νοῦν, τῆς σωματικῆς γενόμενον ἐλεύθερον σχέσεως. νδ΄.

Ὥσπερ οὐ δύναταί τις λατρεύειν τῷ Θεῷ καθαρῶς, μὴ τὴν ψυχὴν πρότερον ἐκκαθαίρων· οὕτως οὔτε τῇ κτίσει λατρεύειν, μὴ τὸ σῶμα περιποιούμενος· καθ᾿ ὃ σῶμα τὴν φθοροποιὸν ἐπιτελῶν λατρείαν ὁ ἄνθρωπος, καὶ κατ᾿ αὐτὸ γενόμενος φίλαυτος, ἡδονὴν ἔχει ἀπαύστως καὶ ὀδύνην ἐνεργουμένην, ἐσθίων ἀεὶ τὸ ξύλον τῆς παρακοῆς, τὸ καλοῦ τε καὶ κακοῦ, κατὰ ταυτὸν μεμιγμένην κατὰ τὴν αἴσθησιν, διὰ τῆς πείρας ἔχοι τὴν γνῶσιν· καὶ τάχα ξύλον εἶναι γνωστὸν καλοῦ καὶ πονηροῦ, τὴν φαινομένην κτίσιν εἰπών τις, οὐχ ἁμαρτήσει τῆς ἀληθείας. ἡδονῆς γὰρ καὶ ὀδύνης ποιητικὴν ἔχει φυσικῶς τὴν μετάληψιν. νε΄.

Ἔνθα λόγος οὐ κρατεῖ, τὸ κατ᾿ αἴσθησιν πέφυκεν ἐπιγίνεσθαι κράτος, ἐν ᾧ τῆς ἁμαρτίας πέφυρταί πως ἡ δύναμις, πρὸς οἶκτον τῆς συγγενοῦς σαρκὸς καθ᾿ ὑπόστασιν τὴν ψυχὴν δι᾿ ἡδονῆς ὑποσύρου- νϛ΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σα· καθ' ἣν ὡς ἔργον αὐτῇ φυσικὸν ἐγχειρήσασα τὴν ἐμπαθῆ καὶ καθήδονον τῆς σαρκὸς ἐπιμέλειαν, ἀγάπῃ τῆς κατὰ φύσιν ζωῆς, καὶ πόθῳ τῆς ἀνυποστάτου κακίας γενέσθαι δημιουργόν.

νζ΄. Κακία ἐστὶ ψυχῆς νεκρᾶς, ἡ λήθη τῶν κατὰ φύσιν καλῶν· ἥτις ἐκ τῆς περὶ τὴν σάρκα τε, καὶ κόσμον, ἐμπαθοῦς ἐπιγίνεται σχέσεως· ἣν ἀφανίζει στρατηγῶν ὁ λόγος κατ' ἐπιστήμην πνευματικήν, τόν τε τοῦ κόσμου καὶ τῆς σαρκὸς διερευνώμενος τὴν φύσιν, καὶ πρὸς τὴν συγγενῆ τῶν νοητῶν χώραν τὴν ψυχὴν ἀπελαύνων, πρὸς ἣν οὐδεμίαν ὁ νόμος τῆς ἁμαρτίας ποιεῖται διάβασιν, οὐκ ἔχων καθάπερ γέφυραν πρὸς τὸ ταῦτα διαβιβάζουσαν αὐτὸν ἔτι τὴν αἴσθησιν, διαλυθεῖσαν ἤδη πρὸς τὴν ψυχὴν κατὰ τὴν σχέσιν, καὶ τοῖς αἰσθητοῖς ἐναπορριφεῖσαν θεάμασιν, ὧν διαβὰς τὴν σχέσιν καὶ τὴν φύσιν ὁ νοῦς, παντελῶς οὐκ αἰσθάνεται.

νη΄. Καθάπερ ὁ λόγος κρατῶν τῶν παθῶν, ἀρετῆς ὄργανον ποιεῖται τὰς αἰσθήσεις· οὕτω καὶ τὰ πάθη κρατοῦντα τοῦ λόγου, μορφοῦσι τὰς αἰσθήσεις πρὸς ἁμαρτίαν. καὶ χρὴ ἐμφρόντως σκοπεῖν τε, καὶ μελετᾶν, πῶς ἡ ψυχὴ τὴν καλὴν ποιήσεται δεόντως ἀντιστροφὴν, ταῖς δι' ὧν τὸ πρὶν ἐπλημμέλει χρωμένη πρὸς γένεσιν ἀρετῶν, καὶ ὑπόστασιν.

νθ΄. Τὸ ἅγιον Εὐαγγέλιον, σαρκικῆς μὲν εἰσηγεῖται ζωῆς ἄρνησιν· πνευματικῆς δὲ ὁμολογίαν. περὶ τούτων δὲ λέγω, τῶν ἀεὶ μὲν κατὰ ἄνθρωπον, λέγω δὲ τὴν ἀνθρωπίνην ἐν σαρκὶ κατὰ τὸν αἰῶνα τοῦτον ζωὴν ἀποθνησκόντων, ζώντων δὲ κατὰ Θεὸν, μόνῳ τῷ πνεύματι· κατὰ τὸν θεῖον Ἀπόστολον· καὶ τοὺς ἀμφ' αὐτὸν· τοὺς ζῶντας μὲν οὐδαμῶς ἰδίαν ζωὴν, ζῶντα δὲ τὸν Χριστὸν ἐν ἑαυτοῖς κατὰ μόνην ἔχοντας τὴν ψυχήν. οὗτοι οἱ διὰ τὸν Θεὸν ἐν τῷ αἰῶνι τούτῳ νεκροὶ σαρκὶ, κρίνονται, θλίψεις καὶ βασάνους πολλὰς καὶ στενοχωρίας ἔχοντες, καὶ διωγμοὺς, καὶ μυρία πειρασμῶν εἴδη μετὰ χαρᾶς ὑπομένοντες.

Πᾶν πάθος κατὰ συμπλοκὴν πάντως αἰσθητοῦ τινὸς καὶ αἰσθήσεως, καὶ φυσικῆς δυνάμεως, θυμοῦ λέγω τυχὸν, ἢ ἐπιθυμίας παρατραπείσης τοῦ κατὰ φύσιν, συνίσταται. ἐὰν οὖν τὸ πρὸς ἄλληλα κατὰ σύνθεσιν τέλος τοῦ τε αἰσθητοῦ, καὶ τῆς αἰσθήσεως, καὶ τῆς ἐπ' αὐτῆς φυσικῆς δυνάμεως θεωρήσας ὁ νοῦς, δυνηθῇ πρὸς τὸν οἰκεῖον φύσει λόγον τούτων ἕκαστον διακρίτως ἐπαναγαγεῖν, καὶ θεωρῆσαι καθ' ἑαυτὸ τὸ αἰσθητὸν ἐκτὸς τῆς πρὸς αὐτὸ τῆς αἰσθήσεως σχέσεως, καὶ τὴν αἴσθησιν δίχα τῆς τοῦ αἰσθητοῦ πρὸς αὐτὴν οἰκειότητος. καὶ τὴν ἐπιθυμίαν φέρε εἰπεῖν ἢ ἄλλην τινὰ τῶν κατὰ φύσιν δυνάμεων χωρὶς τῆς ἐμπαθοῦς ἐπ' αἰσθήσει τε καὶ αἰσθητῷ διαθέσεως· ὡς ἡ τοῦ πάθους ποιὰ παρασκευάζει τὴν θεωρίαν γίνεσθαι κίνησις, διεσκέδασε καὶ ἐλέπτυνε κατὰ τὸν πάλαι τοῦ Ἰσραὴλ μόσχον τὸν οἱονδήποτε συμβαίνοντος πάθους τὴν σύστασιν, καὶ ὑπὸ τὸ ὕδωρ τῆς γνώσεως ἔσπειρε, ἀφανίσας παντελῶς καὶ αὐτὴν τῶν παθῶν τὴν ψιλὴν φαντασίαν, διὰ τῆς πρὸς ἑαυτὰ τῶν συντελούντων αὐτὸ κατὰ φύσιν πραγμάτων ἀποκαταστάσεως. ξ΄.

Ὁ πολλοῖς πλημμελήμασι τῶν ἐκ τῆς σαρκὸς παθημάτων κεκηλιδωμένος βίος, χιτών ἐστιν ἐσπιλωμένος. ὡς ἐκτικὸς γὰρ ἐνδύματος τῆς κατὰ τὸν βίον ἀναστροφῆς, ἕκαστος τῶν ἀνθρώπων διαφαίνεσθαι πέφυκεν, εἴτε δίκαιος, εἴτε ἄδικος· ὁ μὲν χιτῶνα καθαρὸν ἔχων τὸν ἐνάρετον βίον· ὁ δὲ πονηροῖς ἐσπιλωμένην ἔργοις τὴν ζωὴν κεκτημένος. ἢ μᾶλλον ἐσπιλωμένος ὑπὸ τῆς σαρκός ἐστι χιτὼν, ἡ κατὰ συνείδησιν μορφοῦσα διὰ τῆς μνήμης τῶν ἐκ τῆς σαρκὸς πονηρῶν κινημάτων τε καὶ ἐνεργημάτων τὴν ψυχὴν ἕξις τε, καὶ διάθεσις, ἣν ὁρῶσα διαπαντὸς καθάπερ ξα΄.

χιτῶνα τινὰ περὶ ἑαυτὴν, δυσωδίας πληροῦται παθῶν. ὡς γὰρ ἀπὸ τοῦ Πνεύματος διὰ τῶν ἀρετῶν ἀλλήλαις κατὰ λόγον συνυφαινομένων, ἀφθαρσίας γίνεται τῇ ψυχῇ χιτὼν, ὃν ἐνδυσαμένη γίνεται καλὴ, καὶ ἐπίδοξος· οὕτω καὶ ἀπὸ τῆς σαρκὸς, τῶν παθῶν ἀλλήλοις κατὰ ἀναλογίαν συνυφαινομένων, γίνεταί τις χιτὼν ἀκάθαρτος καὶ ἐσπιλωμένος, ὃς ἑαυτοῦ δεικνὺς γνώριμον τὴν ψυχὴν, μορφὴν ἄλλην αὐτῇ, καὶ εἰκόνα παρὰ τὴν θείαν ἐνθέμενος.

ξβʹ. Βεβαία πίστις ἐστὶ τῆς πρὸς ἐκθέωσιν ἐλπίδος τῇ φύσει τῶν ἀνθρώπων, ἡ τοῦ Θεοῦ ἐνανθρώπησις, τοσοῦτον Θεὸν ποιοῦσα τὸν ἄνθρωπον, ὅσον αὐτὸς γέγονεν ἄνθρωπος. ὁ γὰρ χωρὶς ἁμαρτίας γενόμενος ἄνθρωπος, δῆλον ὅτι χωρὶς τῆς εἰς θεότητα μεταβολῆς τὴν φύσιν θεοποιήσει, καὶ τοσοῦτον ἀναβιβάσει δι' ἑαυτὸν, ὅσον αὐτὸς διὰ τὸν ἄνθρωπον ἑαυτὸν κατεβίβασεν· ὅπερ μυστικῶς διδάσκων ὁ μέγας Ἀπόστολος, φησὶν, ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν εἰς ἡμᾶς ὑπερβάλλοντα πλοῦτον τῆς τοῦ Θεοῦ χρηστότητος ἐνδειχθήσεσθαι.

ξγʹ. Τοῦ μὲν θυμοῦ καὶ τῆς ἐπιθυμίας ἐπιστατῶν ὁ λόγος, ποιεῖ τὰς ἀρετάς· ὁ δὲ νοῦς τοῖς λόγοις ἐπιβάλλων τῶν γεγονότων, τὴν ἄπταιστον συλλέγεται γνῶσιν. ὅταν οὖν ὁ λόγος μετὰ τὴν τῶν ἀντικειμένων ἀποβολὴν, εὕρῃ τὸ κατὰ φύσιν ἐραστὸν, καὶ ὁ νοῦς μετὰ τὴν τῶν γινωσκομένων διάβασιν λάβηται τῆς ὑπὲρ οὐσίαν καὶ γνῶσιν καὶ ὄντων αἰτίας, τηνικαῦτα τὸ τῆς θεώσεως κατὰ χάριν ἐπιγίνεται πάθος, τὸν μὲν λόγον ἀπάγον τῆς φυσικῆς διακρίσεως, ἔνθα τὸ διακρινόμενον οὐκ ἔστι· τὸν δὲ νοῦν καταπαῦον τῆς κατὰ φύσιν νοήσεως, ἔνθα μὴ ἔστι τὸ γινωσκόμενον, καὶ ποιοῦν τῇ κατὰ τὴν στάσιν ταυτότητι Θεὸν τὸν ἀξιούμενον τῆς θείας μεθέξεως.

ξδʹ. Κατιωθεῖσαν τὴν ψυχὴν τῷ ῥύπῳ τῆς ἡδονῆς, ἀποκαθαίρει πόνος, καὶ ἀφιλοῖ παντελῶς αὐτῆς τὴν σχέσιν τῶν ὑλικῶν, τῆς πρὸς αὐτὰ φιλίας τὴν ζημίαν μεταμαθούσης· δι' ἣν αἰτίαν ὁ Θεὸς συγχωρεῖ τῷ διαβόλῳ, κατὰ κρίσιν δικαίαν τοὺς ἀνθρώπους βασάνοις καταπιέζειν.

ξεʹ. Ἡδονὴ καὶ λύπη, ἐπιθυμία καὶ φόβος, καὶ τὰ τούτοις ἑπόμενα, τῇ φύσει τῶν ἀνθρώπων προηγουμένως οὐ συνεκτίσθη· ἐπεὶ καὶ εἰς τὸν ὅρον ἂν συνετέλουν τῆς φύσεως. λέγω δὴ παρὰ τοῦ Νυσσαέως μεγάλου Γρηγορίου μαθὼν, ὅτι διὰ τὴν τῆς τελειότητος ἔκπτωσιν ἐπεισήχθη ταῦτα, τῷ ἀλογωτέρῳ μέρει προσφυέντα τῆς φύσεως· δι' ὧν ἀντὶ τῆς μακαρίας καὶ θείας εἰκόνος εὐθὺς ἅμα τῇ παραβάσει, διαφανὴς καὶ ἐπίδηλος ἐν τῷ ἀνθρώπῳ γέγονεν ἡ τῶν ἀλόγων ζώων ὁμοίωσις. ἔδει γὰρ τῆς ἀξίας τοῦ λόγου καλυφθείσης, ὑφ' ὧν ἐπεσπάσατο τῆς ἀλογίας γνωρισμάτων, ἐνδίκως τὴν φύσιν τῶν ἀνθρώπων κολάζεσθαι· σοφῶς εἰς συναίσθησιν τῆς λογικῆς μεγαλονοίας ἐλθεῖν οἰκονομοῦντος τοῦ Θεοῦ τὸν ἄνθρωπον.

ξϛʹ. Καλὰ γίνεται καὶ τὰ πάθη ἐν τοῖς σπουδαίοις, ὁπηνίκα σοφῶς αὐτὰ τῶν σωματικῶν ἀποσχίσαντες, πρὸς τὴν τῶν οὐρανίων μεταχειριζώμεθα κτῆσιν· οἷον, ὅτε τὴν μὲν ἐπιθυμίαν τῆς νοερᾶς τῶν θείων ἐφέσεως ὀρεκτικὴν ἐργασώμεθα κίνησιν· τὴν ἡδονὴν δὲ, τῆς ἐπὶ τοῖς θείοις χαρίσμασι τοῦ νοῦ θελητικῆς ἐνεργείας εὐφροσύνην ἀπήμονα· τὸν δὲ φόβον, τῆς μελλούσης ἐπὶ πλημμελήμασι τιμωρίας προφυλακτικὴν ἐπιμέλειαν· τὴν δὲ λύπην, διορθωτικὴν ἐπὶ παρόντι κακῷ μεταμέλειαν. καὶ συντόμως εἰπεῖν, κατὰ τοὺς σοφοὺς τῶν ἰατρῶν, σώματι φθαρτικοῦ θηρὸς ἐχίδνης, τὴν οὖσαν, ἢ μελετωμένην ἀφαιρουμένους λώβησιν, τοῖς πάθεσι τούτοις πρὸς ἀναίρεσιν χρώ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μένων παρούσης κακίας, ἢ προσδοκωμένης, καὶ κτήσει καὶ φυλακῇ ἀρετῆς τε καὶ γνώσεως.

ξζ'. Ὁ μὲν τῆς πρώτης διαθήκης νόμος, διὰ τῆς πρακτικῆς φιλοσοφίας, παντὸς μολυσμοῦ τὴν φύσιν ἀποκαθαίρει· ὁ δὲ τῆς καινῆς, διὰ τῆς θεωρητικῆς μυσταγωγίας ἀπὸ τῶν σωματικῶν πρὸς τὰ συγγενῆ τῶν νοητῶν θεάματα, τὸν νοῦν γνωστικῶς ἀναβιβάζει.

ξη'. Ἡ θεία Γραφὴ, τοὺς μὲν εἰσαγομένους, καὶ ἐπὶ τὰ προπύλαιά που τυγχάνοντας τῆς θείας αὐλῆς τῶν ἀρετῶν, φοβουμένους καλεῖ· τοὺς δὲ κτησαμένους σύμμετρον ἕξιν τῶν κατ' ἀρετὴν λόγων τε καὶ τρόπων, οἶδεν ὀνομάζειν προκόπτοντας· τοὺς δὲ κατ' ἀρετὴν γνωστικῶς ἤδη γεγενημένους τῆς τῶν ἀρετῶν ἐκφαντικῆς ἀληθείας τὴν κορυφὴν, προσαγορεύει τελείους. ὁ τοίνυν τὴν ἐν τοῖς πάθεσιν ἀρχαίαν ἀναστροφὴν ἀπογραφεὶς, καὶ πᾶσαν ἑαυτοῦ τὴν διάθεσιν διὰ τὸν φόβον ἐκδεδωκὼς τοῖς θείοις πράγμασιν, οὐδενὸς καλοῦ τῶν εἰσαγομένοις πρεπόντων καθυστερεῖ· κἂν οὔπω τὴν ἐν ἀρεταῖς ἕξιν ἐκτήσατο, καὶ τῆς ἐν τοῖς τελείοις λαλουμένης σοφίας γέγονε μέτοχος· ἀλλ' οὐδὲ ὁ προκόπτων τῶν ἐπιβεβλημένων ἔσται αὐτῷ τῷ βαθμῷ καλῶν τινὸς ὑστερεῖ· κἂν τὴν αὐτὴν οὔπω τοῖς τελείοις ὑπερέχουσαν τῶν θείων ἐκτήσατο γνῶσιν. οἱ γὰρ τέλειοι τῆς θεωρητικῆς ἤδη μυστικῶς ἀξιωθέντες θεολογίας, καὶ πάσης φαντασίας ὑλικῆς τὸν νοῦν καθαρὸν καταστήσαντες, καὶ * εἰκόνος τῆς θείας ὡραιότητος ὅλην ἀνελλιπῶς φέρουσαν τὴν ἐκμίμησιν, τὴν θείαν ἀγάπην ἐν ἑαυτοῖς ἐνεργησάμενοι φαίνονται.

* ἴσως εἰκόνα.

ξθ'. Διττός ἐστιν ὁ φόβος· ὁ μὲν ἁγνός· ὁ δὲ, οὐχ ἁγνός. ὁ μὲν γὰρ ἐπὶ πλημμελήμασι κατ' ἐξοχὴν κολάσεως συνιστάμενος φόβος, αἰτίαν ἔχων τῆς οἰκείας γενέσεως τὴν ἁμαρτίαν, οὐχ ἁγνός· οὐδὲ ἔσται διαπαντὸς, τῇ ἁμαρτίᾳ διὰ τῆς μετανοίας συναφανιζόμενος. ὁ δὲ δίχα τῆς ἐπὶ πλημμελήμασι λύπης ἀεὶ συνεστὼς, οὗτος φόβος ἁγνὸς, καὶ οὐκ ἀπογενήσεταί ποτε· διότιπερ οὐσιωδῶς ἐμπέφυκέ πως τῷ Θεῷ πρὸς τὴν κτίσιν, ποιούμενος ἔκδηλον αὐτοῦ πᾶσι τὴν φυσικὴν αἰδεσιμότητα, τὴν ὑπερπᾶσαν βασιλείαν καὶ δύναμιν ὑπεροχήν.

ό. Ὁ μὴ φοβούμενος τὸν Θεὸν ὡς κριτὴν, ἀλλ' αἰδούμενος αὐτὸν διὰ τὴν ὑπερβάλλουσαν τῆς ἀπείρου δυνάμεως ὑπεροχὴν, οὐκ ἔχει δικαίως ὑστέρημα, τέλειος ὑπάρχων ἐν τῇ ἀγάπῃ, μετ' αἰδοῦς, καὶ τῆς πρεπούσης σεβασμιότητος ἀγαπῶν τὸν Θεόν· καὶ οὗτός ἐστιν ὁ κτησάμενος τὸν διαμένοντα φόβον εἰς αἰῶνα αἰῶνος, καὶ οὐκ ἔστιν αὐτῷ ὑστέρημα τὸ παράπαν οὐδέν.

οά. Ἐκ τῶν ὄντων, τὸν τῶν ὄντων γινώσκομεν αἴτιον· καὶ ἐκ τῆς διαφορᾶς τῶν ὄντων, τὴν ἐνυπόστατον τοῦ ὄντος διδασκόμεθα σοφίαν· καὶ ἐκ τῆς * ὄντως φυσικῆς κινήσεως, τὴν ἐνυπόστατον τοῦ ὄντος μανθάνομεν ζωὴν, τὴν τῶν ὄντων ζωοποιὸν δύναμιν τὸ Πνεῦμα τὸ Ἅγιον.

* ἴσ. αὐτῶν ὄντων.

οβ'. Τὸ Πνεῦμα τὸ Ἅγιον, οὐδενὸς ἄπεστι τῶν ὄντων, καὶ μάλιστα τῶν λόγου καθ' ὁτιοῦν μετειληφότων· συνεκτικὸν γὰρ ὑπάρχει τῆς ἑκάστου γνώσεως, ὅτι Θεὸς, καὶ Θεοῦ Πνεῦμα, κατὰ δύναμιν προνοητικῶς διὰ πάντων χωροῦν, καὶ τὸν ἐν ἑκάστῳ λόγον κατὰ φύσιν ἀνακινοῦν, καὶ δι' αὐτοῦ πρὸς συναίσθησιν τῶν πλημμελῶς παρὰ τὸν θεσμὸν τῆς φύσεως πεπραγμένων ἄγον τὸν αἰσθανόμενον· καὶ τὴν προαίρεσιν εὐάγωγον ἔχοντα πρὸς ὑποδοχὴν τῶν ἐκ φύσεως ὀρθῶν λογισμῶν. διὸ καὶ πολλοὺς εὑρίσκομεν καὶ τῶν ἄγαν βαρβάρων καὶ νομάδων ἀνθρώπων, καλοκἀγαθίας μεταποιουμένους, καὶ τοὺς ἀνέκαθεν κρατήσαντας ἐν αὐτοῖς θηριώδεις ἀθετοῦντας νόμους.

ογ'. Ἔστι μὲν ἐν πᾶσιν ἁπλῶς τὸ Πνεῦ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μα τὸ Ἅγιον, καθ' ὃ πάντων ἐστὶ συνεκτικὸν, καὶ τῶν φυσικῶν σπερμάτων ἀνακινητικόν· προσδιωρισμένως δὲ ἐν πᾶσι τοῖς ἐν νόμῳ, καθ' ὅτι τῆς τῶν ἐντολῶν ἐστὶν ὑποδεικτικὸν παραβάσεως, καὶ τῆς κατὰ Χριστὸν προσαγορευθείσης ἐπαγγελίας φωτιστικόν· ἐν δὲ πᾶσι τοῖς κατὰ Χριστὸν πρὸς τοῖς εἰρημένοις, καὶ ὡς υἱοθετικόν. ὡς δὲ σοφίας ποιητικὸν, ἐν οὐδενὶ τῶν εἰρημένων ἐστὶν ἁπλῶς, πλὴν τῶν συνιέντων, καὶ ἑαυτοὺς διὰ τῆς ἐνθέου πολιτείας ἀξίους πεποιημένων τῆς αὐτοῦ θεωτικῆς ἐνοικήσεως· πᾶς γὰρ μὴ ποιῶν τὰ θεῖα θελήματα κἂν πιστὸς ᾖ, ἀσύνετον ἔχει τὴν καρδίαν, ὡς πονηρῶν λογισμῶν ἐργαστήριον, καὶ τὸ σῶμα κατάχρεων ἁμαρτίαις, ὡς διαπαντὸς μολυσμοῖς παθῶν ἐνεχόμενον.

οδ'. Ὁ τῆς σωτηρίας ὀρεγόμενος πάντων ἀνθρώπων Θεὸς, καὶ πεινῶν αὐτῶν τὴν ἐκθέωσιν, τὴν πῶρον εἶπεν ὡς τὴν ἄκαρπον ἀναξηραίνει συκῆν, ὅπως τοῦ δοκεῖν εἶναι δίκαιοι, τὸ εἶναι μᾶλλον προκρίναντες. τὸν μὲν καθ' ὑπόκρισιν τῆς ἠθικῆς ἐπιδείξεως ἐκδυσάμενοι χιτῶνα, τὸν ἐνάρετον δὲ, καθὼς ὁ θεῖος βούλεται λόγος, αὐθεντῶς μετελθόντες βίον, δι' εὐσεβῶς τὴν ζωὴν διενέγκωσι, Θεῷ μᾶλλον τῆς ψυχῆς τὴν διάθεσιν, ἢ τοῖς ἀνθρώποις τὸν ἐκτὸς ἐπιδεικνύμενοι περὶ τὰ ἤθη σχηματισμόν.

οε'. Ἕτερός ἐστιν ὁ τοῦ ποιεῖν, καὶ ἕτερος ὁ τοῦ πάσχειν λόγος. καὶ ὁ μὲν τοῦ ποιεῖν λόγος ἐστὶν, ἡ φυσικὴ πρὸς ἀρετῶν ἐνέργειαν δύναμις· ὁ δὲ τοῦ πάσχειν, ἡ χάρις τῶν ὑπὲρ φύσιν, ἢ σύμβασις τῶν παρὰ φύσιν. ὡς γὰρ τοῦ ὑπερόντος φυσικὴν οὐκ ἔχομεν δύναμιν, οὕτως τοῦ μὴ ὄντος ἔχομεν φύσει τὴν δύναμιν· πάσχομεν οὖν ὡς ὑπὲρ φύσιν οὖσαν τῇ χάριτι, ἀλλ' οὐ ποιοῦμεν τὴν θέωσιν. οὐ γὰρ ἔχομεν φύσει δεκτικὴν τῆς θεώσεως δύναμιν. καὶ πάσχομεν πάλιν ὡς παρὰ φύσιν, γνώμῃ κατὰ σύμβασιν τὴν κακίαν. οὐ γὰρ ἔχομεν πρὸς γένεσιν κακίας φυσικὴν δύναμιν. ποιοῦμεν οὖν ἐνταῦθα φύσει ὄντες τὰς ἀρετὰς, πρὸς τὸ ταύτας ποιεῖν ἔχοντες φυσικὴν τὴν δύναμιν. πάσχομεν δὲ κατὰ τὸ μέλλον τὴν θέωσιν, τὴν πρὸς τὸ παθεῖν ταύτην κατὰ δωρεὰν χάριν δεχόμενοι.

Ποιοῦμεν ἡμεῖς, ἐφ' ὅσον τήν τε τῶν ἀρετῶν ποιητικὴν φύσει λογικὴν ἔχομεν δύναμιν ἐνεργουμένην· καὶ τὴν πάσης γνώσεως δεκτικὴν νοερὰν ἀχέτως δύναμιν, πᾶσαν τῶν ὄντων καὶ γινωσκομένων φύσιν διαβαίνουσαν, καὶ πάντας κατόπιν ἑαυτῆς τοὺς αἰῶνας ποιουμένην. πάσχομεν δὲ, ἡνίκα τῶν ἐξ ὄντων τοὺς λόγους τελείως περάσαντες, εἰς τὴν τῶν ὄντων ἀγνώστως ἔλθωμεν αἰτίαν, καὶ συγκαταπαύσωμεν τοῖς φύσει πεπερασμένοις τὰς οἰκείας δυνάμεις ἐκεῖνο γινόμενοι, ὅπερ τῆς κατὰ φύσιν δυνάμεως οὐδαμῶς ὑπάρχει κατόρθωμα· ἐπειδὴ τοῦ ὑπὲρ φύσιν, ἡ φύσις καταληπτικὴν οὐ κέκτηται δύναμιν. θεώσεως γὰρ οὐδὲν γενητὸν κατὰ φύσιν ἐστὶ ποιητικὸν, ἐπειδὴ μηδὲ Θεοῦ καταληπτικόν. μόνης γὰρ τῆς θείας χάριτος ἴδιον τοῦτο πέφυκεν εἶναι, τὸ ἀναλόγως τοῖς οὖσι χαρίζεσθαι θέωσιν· τῆς λαμπρυνούσης τὴν φύσιν τῷ ὑπὲρ φύσιν φωτὶ, καὶ τῶν οἰκείων ὅρων αὐτὴν ὑπεράνω κατὰ τὴν ὑπερβολὴν τῆς δόξης ποιουμένης. ς'.

Τὰς ἀρετὰς ποιοῦντες, μετὰ τὴν δὲ παυόμεθα τὴν ζωήν· τὴν δὲ κατὰ χάριν ὑπὲρ αὐτῶν, οὐ παυόμεθα πάσχοντες θέωσιν. τὸ γὰρ ὑπὲρ φύσιν πάθος, ἀόριστον, ὅτι καὶ δραστικόν· τὸ δὲ παρὰ φύσιν, ἀνύπαρκτον, καὶ ἀδρανές. οζ'.

Τῶν θείων ἀγαθῶν τύποι, οἵ τε κατ' ἀρετὴν τρόποι, καὶ οἱ τῶν ὄντων λόγοι· οἷς Θεὸς διαπαντὸς ἄνθρωπος γίνεται. ὡς μὲν σῶμα, τοὺς τρόπους ἔχων τῶν ἀρετῶν· ὡς δὲ ψυχὴν, τοὺς οη'.

ἐν πνεύ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐν πνεύματι λόγους τῆς γνώσεως, οἷς τοὺς ἀξίους θεοποιεῖ, χαρακτῆρα διδοὺς ἀρετῆς ἐνυπόστατον, καὶ ἀπλανοῦς γνώσεως ἐνύπιον χαριζόμενος ὕπαρξιν.

οθʹ. Ὁ πιστὸς, κατὰ τὸν Ἅγιον Πέτρον, καὶ πρακτικὸς νοῦς, ὑπὸ Ἡρώδου κρατούμενος τοῦ δερματίνου νόμου, δερμάτινος γὰρ ὁ Ἡρώδης ἑρμηνεύεται, ὅπερ ἐστὶ τὸ φρόνημα τῆς σαρκὸς, ὑπὸ δύω συγκλείεται φύλακας, καὶ μίαν πύλην σιδηρᾶν, πολεμούμενος ἔκ τε τῆς τῶν παθῶν ἐνεργείας, καὶ ἐκ τῆς κατὰ διάνοιαν ἐπὶ τοῖς πάθεσι συγκαταθέσεως· ἅς τινας καθάπερ φύλακας, ἤγουν εἱρκτὰς διὰ τοῦ λόγου τῆς πρακτικῆς φιλοσοφίας, ὡς δι᾿ ἀγγέλου διαπεράσας, ἔρχεται ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν· τὴν πρὸς τὰ αἰσθητὰ λέγω τῶν αἰσθήσεων, στερρὰν, καὶ ἀπόπημον, καὶ δυσκαταμάχητον σχέσιν· ἣν ὁ τῆς φυσικῆς ἐν πνεύματι θεωρίας διανοίγων λόγος, αὐτομάτην πρὸς τὰ συγγενῆ κατὰ λοιπὸν ἀφόβως τὸν νοῦν παραπέμπει τῆς Ἡρώδου μανίας ἐλεύθερον.

πʹ. Ὁ διάβολος, καὶ ἐχθρός ἐστι τοῦ Θεοῦ, καὶ ἐκδικητής· ἐχθρὸς μὲν, ὅταν ὡς μισῶν αὐτὸν, δοκεῖ πως τὴν ὀλέθριον κεκινῆσθαι πρὸς ἡμᾶς τοὺς ἀνθρώπους ἀγάπην, τοῖς τῶν ἑκουσίων παθῶν τρόποις διὰ τῆς ἡδονῆς πείθων ἡμῶν τὴν προαίρεσιν τῶν αἰωνίων ἀγαθῶν, προκρίνειν τὰ πρόσκαιρα· δι᾿ ὧν κλέπτων ὅλην τῆς ψυχῆς τὴν ἔφεσιν, τῆς θείας παντελῶς ἀγάπης ἡμᾶς ἀφίστησιν, ἑκουσίως ἐχθροὺς ποιῶν τοῦ ποιήσαντος· ἐκδικητὴς δὲ, ὅταν γυμνώσας τὸ πρὸς ἡμᾶς μῖσος, ὡς ἤδη γενομένους αὐτῷ διὰ τὴν ἁμαρτίαν ὑποχειρίους, ἐξαιτεῖται τὴν καθ᾿ ἡμῶν τιμωρίαν. οὐδὲ γὰρ οὕτω φίλον τῷ διαβόλῳ καθέστηκεν, ὡς ἄνθρωπος τιμωρούμενος· οὗ δὲ συγχωρηθεὶς, τὰς ἐπαλλήλους ἐπινοῶν τῶν ἀκουσίων παθῶν ἐπαγωγὰς, λαίλαπος δίκην ἀπηνῶς ἐπιφέρεται τοῖς καθ᾿ ὧν ἐκομίσατο συγχωρήσει Θεοῦ τὴν ἐξουσίαν, οὐ τὸ πρόσταγμα τὸ θεῖον ἐκπληρῶσαι βουλόμενος, ἀλλὰ τὸ οἰκεῖον τοῦ καθ᾿ ἡμῶν μίσους διαθρέψαι πάθος ἐπιθυμῶν· ἵνα τῷ πολλῷ βάρει τῶν ὀδυνηρῶν συμφορῶν, ἡ ψυχὴ δι᾿ ἀπορίαν ὀκλάσασα, τῆς θείας ἐλπίδος ἑαυτῆς περικόψῃ τὴν δύναμιν, ἀντὶ εὐθεσίας, ἀθείας αἰτίαν ποιουμένη τὴν τῶν ἀλγεινῶν συμβαινόντων ἐπαγωγήν.

Ὅταν οἱ τὴν πρακτικὴν ἕξιν, καὶ τὴν θεωρητικὴν ἐπιστήμην ἀπειληφότες, πρὸς τὴν τῶν ἀνθρώπων ταύτας μετέρχωνται δόξαν, ἤθη μὲν ἀρετῶν τῷ φαινομένῳ τρόπῳ σκιαγραφοῦντες· λόγους δὲ σοφίας καὶ γνώσεως μόνον λαλοῦντες· δίχα τῶν κατὰ δικαιοσύνην ἔργων καὶ τὸν ὡς ἐπ᾿ ἀρετῇ καὶ γνώσει τοῖς ἄλλοις ἐπιδεικνύονται τῦφον, εἰκότως πρέπουσι παραδίδονται πόνοις, διὰ τὸ πάχειν, τὴν ἀγνοηθεῖσαν αὐτοῖς ἐκ τῆς ματαίας οἰήσεως ταπεινοφροσύνην μεταμανθάνοντες. παʹ.

Ἕκαστος τῶν δαιμόνων κατὰ τὴν ἐνδιάθετος ὑποκειμένην ἐπιτηδειότητα, πρὸς τήνδε, ἢ τὴν δὲ τῶν πειρασμῶν τὴν ἐπαγωγὴν τυγχάνει, λειτουργῶν. ἄλλος γὰρ ἄλλης ἐστὶ ποιητικὸς κακίας, καὶ ἄλλος ἄλλου σαφῶς ἐστὶ μιαρώτερος, καὶ πρὸς τόδε μᾶλλον τῆς κακίας τὸ εἶδος ἐπιτηδειότερος. πβʹ.

Ἄνευ τῆς θείας συγχωρήσεως, οὐδὲ αὐτοὶ οἱ δαίμονες κατ᾿ οὐδενὸς ὑπουργεῖν δύνανται τῷ διαβόλῳ. οἶδε γὰρ αὐτὸς ὁ Θεὸς ὅπως μετὰ τῆς δεούσης φιλανθρώπου καὶ ἀγαθῆς προνοίας συγχωρεῖ τῷ διαβόλῳ διὰ τῶν αὐτοῦ ὑπουργῶν, διαφόρους ποιεῖσθαι τιμωρίας καὶ δηλοῖ τοῦτο σαφῶς ἡ περὶ τοῦ Ἰὼβ συγγραφὴ, μὴ δυνάμενον τῷ Ἰὼβ παντελῶς προσπελάσαι τὸν διάβολον ἀναγραφομένη, δίχα τοῦ θείου βουλήματος. πγʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πδʹ. Ἐνυπόστατος πίστις ἐστὶν, ἡ ἐναργὴς καὶ ἔμπρακτος· καθ' ἣν ὁ τοῦ Θεοῦ λόγος ἐν τοῖς πρακτικοῖς δείκνυται, ταῖς ἐντολαῖς σωματούμενος, δι' ὧν ὡς λόγος πρὸς τὸν ἐν ᾧ κατὰ φύσιν ἐστὶν, ἀνάγει Πατέρα τοὺς πράττοντας.

πεʹ. Ζωῆς μετάθεσιν, καὶ λατρείαν ἀγγελικὴν, καὶ πρὸς σῶμα ψυχῆς ἑκούσιον ἀλλοτρίωσιν, καὶ τῆς ἐν πνεύματι θείας μετακοινώσεως γένεσιν, τὸ τῆς νέας διαθήκης καταγγέλλει μυστήριον. πνευματικὴν δὲ περιτομὴν ὁ λόγος οἶδε καλεῖν, τὴν τῆς ἐμπαθοῦς σχέσεως πρὸς σῶμα τῆς ψυχῆς ἐκτομήν.

πςʹ. Ἀγαθὸς ὑπάρχων ὁ Θεὸς, καὶ θέλων ἡμῶν ἐκτῖλαι παντελῶς τὸ τῆς κακίας σπέρμα, τὴν ἡδονὴν, τὴν τὸν νοῦν τῆς θείας ἀποσυλήσασαν ἀγάπης, συγχωρεῖ τῷ διαβόλῳ πόνους ἡμῖν καὶ τιμωρίας ἐπαγαγεῖν. κατὰ ταυτὸν καὶ τῆς προλαβούσης ἡδονῆς τὸν ἰὸν, διὰ τῶν πόνων τῆς ψυχῆς ἀποξέων, καὶ πρὸς τὰ παρόντα καὶ μόνην τὴν αἴσθησιν σαίνοντα, μῖσος ἡμῖν καὶ τελείαν ἀποδιάθεσιν, ὡς μηδὲν τιμωρίας πλέον ὡς * κέρδος κεκτημένα κατὰ τὴν χρῆσιν ἐμποιῆσαι βουλόμενος, καὶ τὴν ἐκείνου τιμωρὸν δύναμιν καὶ μισάνθρωπον, τῆς πρὸς ἀρετὴν ἐπαναγωγῆς περιστατικὴν αἰτίαν ποιήσασθαι τῶν αὐτῆς ἑκουσίως ἀπολισθησάντων.

* ἴσως εἰς τὸ

πζʹ. Πρέπον ἐστὶ καὶ δίκαιον ὑπὸ τοῦ διαβόλου κολάζεσθαι τοὺς τὰς αὐτοῦ πονηρὰς ὑποθήκας τῶν ἑκουσίων ἁμαρτημάτων ἡδέως δεξαμένους. καὶ γὰρ καὶ ἡδονῆς ἐστι διὰ τῶν ἑκουσίων παθῶν σπορεὺς ὁ διάβολος, καὶ ὀδύνης διὰ τῶν ἀκουσίων ἐπαγωγεύς.

πηʹ. Ὁ θεωρητικὸς τὶς καὶ γνωστικὸς, πρὸς τιμωρίαν ἐκδίδοται διὰ τοῦτο πολλάκις τῷ διαβόλῳ, πόνους αὐτῷ δικαίως ἐπάγοντι καὶ συμφορὰς, ἵνα μάθῃ πάσχων περὶ καρτερίας μᾶλλον, καὶ πόνων ὑπομονῆς φιλοσοφεῖν, ἢ διακενῆς τοῖς οὐκ οὖσιν ὑπερηφάνως ἐμματαιάζειν.

Ὁ πάσχων ὑπὲρ θείας ἐντολῆς παραβαθείσης, ἐὰν ἐπιγνῷ τῆς ἰωμένης αὐτὸν θείας προνοίας τὸν λόγον, τήν τε συμφορὰν εὐχαρίστως δέχεται χαίρων, καὶ τὴν ὑπὲρ ἧς παιδεύεται διορθοῦται πλημμέλειαν· ὁ δὲ ταύτης ἀναισθητῶν τῆς ἰατρείας, τῆς τε δοθείσης ἐνδίκως ἀπάγεται χάριτος, καὶ τῇ συγχύσει τῶν παθῶν παραδίδοται, πρὸς τὴν πρᾶξιν ἐλθεῖν καταλιμπανόμενος, ὧν ἐνδιαθέτως εἶχε τὴν ἔφεσιν. πθʹ.

Πᾶς ἀνεχόμενος ἑκουσίως ἐκ τῆς τῶν αὐτῷ πεπραγμένων συναισθήσεως, δέξασθαι τὰς ἐπιπόνους τῶν ἀκουσίων ἐπιφορὰς πειρασμῶν, μετὰ τῆς δεούσης εὐχαριστίας, οὐκ ἐξοικίζεται τῆς κατ' ἀρετὴν ἕξεώς τε καὶ χάριτος, ὡς ὑπελθὼν ἑκουσίως τὸν ζυγὸν Βασιλέως Βαβυλῶνος, καὶ ὡς χρέος ἀποτιννὺς, τὰς τῶν βασάνων ἐπιφορὰς καταδεχόμενος· ἀλλ' ἐν αὐταῖς μένων, τελεῖ, τῷ μὲν Βασιλεῖ Βαβυλῶνος, τοὺς ἐκ τοῦ παθητικοῦ τῆς φύσεως βιαίους πόνους καὶ τὴν ἐπ' αὐτοῖς κατὰ διάνοιαν ὡς ὀφειλέτης αὐτῶν, διὰ τὰς προλαβούσας πλημμελείας, συγκατάθεσιν· τῷ δὲ Θεῷ προσφέρων διὰ τῆς λατρείας ἀληθινῆς, τῆς ταπεινῆς διαθέσεως λέγω, τὴν τῶν παρημελημένων διόρθωσιν. ϟʹ.

Ὁ τὴν κατὰ συγχώρησιν Θεοῦ πρὸς διόρθωσιν ἐπαγομένην αὐτῷ διὰ τῶν ἀκουσίων πειρασμῶν συμφορὰν, εὐχαρίστως μὴ καταδεχόμενος, καὶ τὴν ἐπὶ τῷ δοκεῖν δίκαιος εἶναι, μεταγνοὺς, οὐκ ἀποτιθέμενος οἴησιν, ὡς τοῖς θείοις τῶν δικαίων κριμάτων ἀντιπίπτων θεσπίσμασι, καὶ μὴ καταδεχόμενος ἑκουσίως ὑπὸ τὸν ζυγὸν γενέσθαι τοῦ Βασιλέως Βαβυλῶνος, κατὰ τὴν θείαν διαταγὴν, εἰς αἰχμαλωσίαν παραδίδοται· καὶ κλοιὸς, καὶ δεσμὰ, καὶ λοιμὸν, καὶ θάνατον, καὶ ϟαʹ.

μάχαι-

μάχαιραν, καὶ τῆς ἰδίας παντελῶς ἀποικίζεται γῆς. πάντα γὰρ ταῦτα, καὶ τούτων πλείονα, ὁ τῆς κατ' ἀρετὴν καὶ γνῶσιν ὡς ἰδίας γῆς ἐξοικιζόμενος ἕξεως πάσχει· διὰ τὸ μὴ θέλειν αὐτὸν ἐξ ὑπερηφανίας, καὶ ματαίας οἰήσεως τὰς ἐφ' οἷς ἐπλημμέλησεν ἐκτῖσαι δίκας, ἐν θλίψεσιν εὐδοκῆσαι, καὶ ἀνάγκαις, καὶ στενοχωρίαις, κατὰ τὸν θεῖον Ἀπόστολον. ἤδει γὰρ ὁ μέγας Ἀπόστολος φυλακτικὴν τῶν θείων τῆς ψυχῆς θησαυρῶν ὑπάρχουσαν, τὴν ἐκτὸς περὶ τὸ σῶμα συνισταμένην διὰ τῶν πόνων ταπείνωσιν· καὶ διὰ τοῦτο στέργων ὑπέμενε, καὶ δι' ἑαυτόν, καὶ τούς, οἷς ἀρετῆς καὶ πίστεως προέκειτο τύπος· ἵνα κἂν ὡς ὑπεύθυνοι πάσχωσι κατὰ τὸν ἐπιτιμηθέντα Κορίνθιον, εἰς παρηγορίαν ἔχωσι καὶ ὑπομονῆς μίμησιν τὸν ἀνευθύνως πάσχοντα.

ϙβʹ. Ὁ μὴ τοῖς σχήμασι τῶν ὁρατῶν ἐναπομένων διὰ τὴν αἴσθησιν, ἀλλὰ κατὰ τοὺς λόγους αὐτῶν ἀναζητῶν ὡς τοπικῶν τύπους, ἢ λόγους αἰσθητῶν θεώμενος κτισμάτων, οὐδὲν ἀκάθαρτον εἶναι τῶν ὁρωμένων διδάσκεται. πάντα γὰρ φύσει καλὰ λίαν καθέστηκεν.

ϙγʹ. Ὁ τῇ κινήσει τῶν αἰσθητῶν μὴ συναλλοιούμενος, ἀκίβδηλον τὴν τῶν ἀρετῶν μετέρχεται πρᾶξιν· ὁ δὲ τοῖς αὐτῶν σχήμασι μὴ διατυπώσας τὸν νοῦν, τὴν ἀληθῆ τῶν ὄντων ἀπείληφε δόξαν. ὁ δὲ καὶ αὐτὴν τὴν οὐσίαν τῶν ὄντων τῇ διανοίᾳ παραδραμών, ὡς ἄριστος θεολόγος, μετὰ ταύτην ἀγνώστως τῇ μονάδι προσέβαλε.

ϙδʹ. Πᾶς θεωρητικὸς νοῦς, ἔχων τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, ἐν ἑαυτῷ τῆς φαινομένης κτίσεως ἀποκτείνας τὴν κίνησιν, κατώρθωσεν ἀρετήν· καὶ τῶν αἰσθητῶν σχημάτων ἑαυτῷ τὴν φαντασίαν ἀποτεμών, τὴν ἐν τοῖς λόγοις τῶν ὄντων εὗρεν ἀλήθειαν, καθ' ἣν ἡ φυσικὴ θεωρία συνέστηκε· καὶ τῆς οὐσίας τῶν ὄντων ὑπεράνω γενόμενος, τὸν τῆς θείας καὶ ἀνάρχου μονάδος δέχεται φωτισμόν, καθ' ὃν τῆς ἀληθοῦς θεολογίας συνέστηκε τὸ μυστήριον.

Ἑκάστῳ κατὰ τὴν ὑποκειμένην αὐτῷ περὶ Θεοῦ δόξαν, ὁ Θεὸς ἐμφανίζεται· τοῖς μὲν κατ' ἔφεσιν τὴν ὑλικὴν περάσασι σύνθεσιν, καὶ τὰς δυνάμεις τῆς ψυχῆς ἰσοδυναμούσας ἀλλήλαις κεκτημένοις κατὰ μίαν καὶ τὴν αὐτὴν ἀεικινησίαν περὶ Θεόν, ὡς μονὰς ἐκφαίνεται, καὶ τριάς, ἵνα καὶ τὴν ἐκείνης ὕπαρξιν παραδείξῃ, καὶ τὸν αὐτῆς τρόπον μυστικῶς ἐκδιδάξῃ· τοῖς δὲ περὶ μόνην τὴν ὑλικὴν σύνθεσιν ἔχουσι κινουμένην τὴν ἔφεσιν, καὶ ἀλλήλαις ἀσυνδέτως τὰς τῆς ψυχῆς δυνάμεις κεκτημένοις, οὐχ ὡς ἐστίν, ἀλλ' ὡς εἰσὶν ἐμφανίζεται, δυοῖν ὅτι τῆς ὑλικῆς δυάδος ἀμφοῖν ἐπελάβοντο τοῖν χεροῖν· καθ' ἣν ὁ σωματικός, ὡς ἐξ ὕλης καὶ εἴδους συνέστηκε κόσμος. ϙεʹ.

Ὁ θεῖος Ἀπόστολος, τὰς διαφόρους ἐνεργείας τοῦ ἑνὸς Ἁγίου Πνεύματος, χαρίσματα λέγει διάφορα, ὑφ' ἑνὸς δηλονότι καὶ τοῦ αὐτοῦ ἐνεργούμενα Πνεύματος. εἰ τοίνυν κατὰ τὸ μέτρον τῆς ἐν ἑκάστῳ πίστεως δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος ἐν τῇ μετοχῇ τοῦ τοιοῦδε χαρίσματος, ἕκαστος τῶν πιστῶν δηλονότι κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, καὶ τῆς ὑποκειμένης αὐτῷ κατὰ ψυχὴν διαθέσεως· συμμεμετρημένην δέχεται τοῦ Πνεύματος τὴν ἐνέργειαν, χαρίζουσαν αὐτῷ τήνδε ἢ τήνδε τῆς ἐντολῆς τὴν ἁρμόζουσαν πρὸς ἐνέργειαν ἕξιν. ϙϛʹ.

Ὥσπερ ὁ μέν, λαμβάνει λόγον σοφίας· ὁ δέ, λόγον γνώσεως· ἕτερος δέ, πίστεως· καὶ ἄλλος, ἄλλο τι τῶν ἀπηριθμημένων τῷ μεγάλῳ Ἀποστόλῳ χαρισμάτων τοῦ Πνεύματος· οὕτως, ὁ μὲν δέχεται διὰ τοῦ Πνεύματος χάρισμα τῆς τελείας, καὶ ἀμέσου πρὸς Θεόν, καὶ μηδὲν ἐχούσης ὑλικὸν ἀγάπης, κατὰ ἀνα- ϙζʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λογίαν τῆς πίστεως. ἕτερος δὲ διὰ τοῦ αὐτοῦ Πνεύματος, τῆς τελείας ἀγάπης πρὸς τὸν πλησίον χάρισμα· ἄλλος δὲ, ἄλλο τι, κατὰ τὸ αὐτὸ Πνεῦμα, ὡς ἔφην, ἔχοντες ἑκάστου ἐνεργούμενον τὸ οἰκεῖον χάρισμα· πᾶσαν γὰρ ἐντολῆς ἕξιν ἐνεργουμένην, Πνεύματος εἶναι χάρισμα λέγει.

ϟη΄. Τὸ τοῦ Κυρίου Βάπτισμά ἐστιν, ἡ παντελὴς πρὸς τὸν αἰσθητὸν κόσμον τῆς προαιρέσεως ἡμῶν νέκρωσις· τὸ δὲ ποτήριον, ἡ καὶ αὐτῆς ἡμῶν τῆς παρούσης ζωῆς ὑπὲρ ἀληθείας καθέστηκεν ἄρνησις.

ϟθ΄. Τὸ τοῦ Κυρίου Βάπτισμα, τῶν ὑπὲρ ἀρετῆς κατὰ πρόθεσιν ἑκουσίων καὶ ἡμετέρων πόνων, τύπος ὑπάρχει· δι' ὧν τὰς κατὰ συνείδησιν ἀπορρύπτοντες κηλῖδας, τὸν πρὸς τὰ φαινόμενα τῆς προαιρέσεως ἑκούσιον καταδεχόμεθα θάνατον· τὸ δὲ ποτήριον, τῶν ἐκ περιστάσεως παρὰ προαίρεσιν ἐπανισταμένων ἡμῖν ὑπὲρ τῆς ἀληθείας ἀκουσίων πειρασμῶν τύπος ἐστί· δι' ὧν καὶ αὐτῆς προκρίνοντες τὸν θεῖον πόθον τῆς φύσεως, ἑκόντες τὸν περιστατικὸν ὑπερχόμεθα τῆς φύσεως θάνατον.

Ταύτην ἔχει τὴν διαφορὰν τὸ Βάπτισμα πρὸς τὸ ποτήριον. ὅτι, τὸ μὲν Βάπτισμα, ὑπὲρ ἀρετῆς πρὸς τὰ ἴδια τοῦ βίου νεκρὰν ἐργάζεται τὴν προαίρεσιν· τὸ δὲ ποτήριον, τὴν ἀλήθειαν καὶ αὐτῆς προκρίνειν τῆς φύσεως τοὺς εὐσεβεῖς.* ρ΄.

* ἴσως ποιεῖ.

# ΤΟΥ ΑΥΤΟΥ
# ἙΚΑΤΟΝΤΑΣ ΤΕΤΑΡΤΗ.

α΄. ΠΡότερον τοῦ Βαπτίσματος ἔθετο τὸ ποτήριον, ὅτι διὰ τὴν ἀλήθειαν ἐστὶν ἡ ἀρετὴ, ἀλλ' οὐ διὰ τὴν ἀρετὴν ἡ ἀλήθεια· ὅθεν ὁ διὰ τὴν ἀλήθειαν πράττων τὴν ἀρετὴν, κενοδοξίας οὐ τιτρώσκεται βέλεσιν· ὁ δὲ τὴν ἀλήθειαν ἀρετῆς ἕνεκεν ἐπιτηδεύων, σύνοικον ἔχει τῆς κενοδοξίας τὴν οἴησιν.

β΄. Ἀλήθειαν μὲν εἶναι λέγει, τὴν θείαν γνῶσιν· ἀρετὴν δὲ, τοὺς ὑπὲρ ἀληθείας τῶν ἐφιεμένων αὐτῆς ἀγῶνας. ὁ τοίνυν γνώσεως ἕνεκεν, ἀρετῆς ὑπομένων πόνους, οὐ κενοδοξεῖ, γινώσκων ἀπερίληπτον εἶναι φύσει τοῖς πόνοις τὴν ἀλήθειαν. τοῖς δευτέροις γὰρ οὐ περιγράφεται φύσει τὸ πρῶτον· ὁ δὲ, τὴν γνῶσιν, διὰ τοὺς ὑπὲρ αὐτῆς * ἀγῶνας ἐπιτηδεύων, πάντως κενόδοξος, ὡς εἰληφέναι δοκῶν τοὺς στεφάνους πρὸ τῶν ἱδρώτων· οὐκ εἰδὼς ὅτι διὰ τοὺς στεφάνους οἱ πόνοι, ἀλλ' οὐ διὰ τοὺς πόνους οἱ στέφανοι. φύσει γὰρ ἀμελέτητοι πᾶσα καθέστηκε μέθοδος, τοῦ δι' ὃ πέφυκεν, ἐξανυσθέντος, ἢ ἀνυσθῆναι δόξαντος.

* ἴσ. ἀρετῆς

γ΄. Ὁ μόνην τῆς γνώσεως τὴν μορφὴν, ὅπερ ἐστὶν ὁ ψιλὸς λόγος, καὶ ὁ τὴν εἰκόνα τῆς ἀρετῆς, ὅπερ ἐστὶ τὸ ψιλὸν ἦθος ἐπιτηδεύων, Ἰουδαῖός ἐστι καὶ αὐτὸς, ἀληθείας τύποις φυσιούμενος.

δ΄. Ὁ πᾶσαν τὴν φαινομένην τοῦ νόμου λατρείαν μὴ κατ' αἴσθησιν ὁρῶν, ἀλλὰ ταῖς κατὰ νοῦν ἐφόδοις ἕκαστον τῶν ὁρωμένων συμβόλων διασκοπήσας, τὸν ἐν ἑκάστῳ κεκρυμμένον θεοτελῆ λόγον ἐκδιδασκόμενος, ἐν τῷ νόμῳ τὸν Θεὸν εὑρίσκει, καλῶς ψηλαφῶν διὰ τῆς νοερᾶς δυνάμεως, ὡς ἐν φορυτῷ, τῇ ὕλῃ τῶν νομικῶν διατάξεων, εἴπου κεκρυμμένον εὕροι τῇ σαρκὶ τοῦ νόμου, τὸν τὴν αἴσθησιν διαφεύγοντα παντελῶς μαργαρίτην λόγον.

ε΄. Καὶ ὁ τὴν φύσιν δὲ τῶν ὁρωμένων

μὴ τῇ αἰσθήσει μόνῃ περιγράφων, ἀλλὰ κατὰ τὸν σοφῶς τὸν ἑκάστῳ κτίσματι λόγον ἐρευνώμενος, δείκνυσι Θεόν, ἀπὸ τῆς προβεβλημένης τῶν ὄντων μεγαλουργίας, τὴν αὐτῶν τῶν ὄντων διδασκόμενος αἰτίαν.

ϛʹ. Ἐπειδὴ τούτου ἴδιον τοῦ ψηλαφῶντος ἡ διάκρισίς ἐστιν· ὁ τὰ νομικὰ σύμβολα γνωστικῶς ἐπερχόμενος, καὶ τὴν φαινομένην τῶν ὄντων φύσιν ἐπιστημονικῶς θεώμενος, διακρίνων τὴν Γραφήν, καὶ τὴν κτίσιν, καὶ ἑαυτόν· τὴν μὲν γραφήν, εἰς γράμμα, καὶ πνεῦμα· τὴν δὲ κτίσιν, εἰς λόγον, καὶ ἐπιφάνειαν· ἑαυτὸν δέ, εἰς νοῦν, καὶ αἴσθησιν· καὶ τῆς μὲν γραφῆς, τὸ πνεῦμα· τῆς δὲ κτίσεως, τὸν λόγον· ἑαυτοῦ δέ, τὸν νοῦν λαβών, καὶ ἀλλήλοις ἀλύτως ἑνώσας, εὗρε Θεόν· ὡς ἐπιγνοὺς καθὼς δεῖ, καὶ δυνατόν ἐστι, τὸν Θεόν, τὸν ἐν νῷ, καὶ Λόγῳ, καὶ Πνεύματι· πάντων τῶν πλανώντων καὶ εἰς μυρίας δόξας κατασυρόντων ἀπαλλαγείς, λέγω δὲ γράμματος, καὶ ἐπιφανείας, καὶ αἰσθήσεως, ἐν οἷς ἡ διάφορος ὑπάρχει * ποσότητες· καὶ τῆς μονάδος ἀντίθετος. εἰ δὲ τὸ γράμμα τοῦ νόμου, καὶ τὴν τῶν ὁρωμένων ἐπιφάνειαν, καὶ τὴν οἰκείαν αἴσθησιν ἀλλήλοις τις προσπλέξας συμφύρει, τυφλός ἐστι μυωπάζων, τὴν τῆς αἰτίας τῶν ὄντων ἀγνωσίαν νοσῶν·

* ἴσ. ποσότης· ἢ ἡ διαφορὰ ποσότητος.

ζʹ. Ὁ θεῖος καὶ μέγας Ἀπόστολος, τί ἐστι πίστις ὁρίζων, φησί, πίστις ἐστὶν ἐλπιζομένων ὑπόστασις, καὶ πραγμάτων ἔλεγχος οὐ βλεπομένων· εἰ δέ τις καὶ ἐνδιάθετον αὐτὴν ἀγαθὸν ὁρίζοιτο, ἢ γνῶσιν ἀληθῆ τῶν ἀπορρήτων ἀγαθῶν ἀποδεικτικήν, τῆς ἀληθείας οὐ διήμαρτεν.

ηʹ. Ἡ πίστις, δύναμίς ἐστι σχετική, ἢ σχέσις δραστικὴ τῆς ὑπὲρ φύσιν ἀμέσου τοῦ πιστεύοντος πρὸς τὸν πιστευόμενον Θεόν, τελείας ἑνώσεως.

θʹ. Ἐπειδὴ τοίνυν ὁ ἄνθρωπος ἐκ ψυχῆς ὑπάρχων καὶ σώματος, δυσὶ ταλαντεύεται νόμοις, σαρκός λέγω καὶ Πνεύματος. καὶ ὁ μὲν τῆς σαρκὸς νόμος, κατὰ τὴν αἴσθησιν· ὁ δὲ τοῦ Πνεύματος, κατὰ τὸν νοῦν κέκτηται τὴν ἐνέργειαν. καὶ ὁ μὲν τῆς σαρκός, τῇ ὕλῃ συνδεῖν πέφυκε κατὰ τὴν αἴσθησιν ἐνεργούμενος· ὁ δὲ τοῦ Πνεύματος κατὰ τὸν νοῦν ἐνεργούμενος, πρὸς τὸν Θεὸν ἀμέσως ποιεῖται τὴν ἕνωσιν. εἰκότως ὁ μὴ διακριθεὶς ἐν τῇ καρδίᾳ αὐτοῦ, τουτέστιν ἐν τῷ νοΐ μὴ διακρίνας, ἤγουν διατεμὼν τὴν διὰ πίστεως πρὸς τὸν Θεὸν γεγενημένην ἄμεσον ἕνωσιν, ὡς ἀπαθής, μᾶλλον δὲ Θεὸς ἤδη διὰ τῆς πίστεως τῇ ἑνώσει γεγενημένος, ἐρεῖ τῷ ὄρει τούτῳ μεταβῆναι, καὶ μεταβήσεται· δεικτικῶς διὰ τοῦ τούτου φάναι, τὸ φρόνημα καὶ τὸν νόμον δηλῶν τῆς σαρκός. τὸν βαρὺν ὄντως καὶ δυσμετακίνητον, καὶ ὅσον πρὸς δύναμιν φυσικήν, παντελῶς ἀκίνητον, καὶ ἀσάλευτον.

Τοσοῦτον ἐρρίζωται τῇ φύσει τῶν ἀνθρώπων διὰ τῆς αἰσθήσεως ἡ τῆς ἀλογίας δύναμις, ὥστε τοὺς πολλοὺς μηδ᾽ ἄλλο τι νομίζειν εἶναι τὸν ἄνθρωπον, ἢ σάρκα, δύναμιν πρὸς ἀπόλαυσιν τῆς παρούσης ζωῆς τὴν αἴσθησιν ἔχουσαν. ιʹ.

Πάντα, φησί, δυνατὰ τῷ πιστεύοντι, καὶ μὴ διακρινομένῳ, τουτέστι μὴ διαιρουμένῳ τῆς κατὰ νοῦν διὰ πίστεως γεγενημένης αὐτῷ πρὸς τὸν Θεὸν ἑνώσεως, διὰ τὴν πρὸς τὸ σῶμα τῆς ψυχῆς κατὰ τὴν αἴσθησιν σχέσιν· ὅσα κόσμου καὶ σαρκὸς τὸν νοῦν ἀλλοτριοῖ· Θεῷ δὲ προσοικειοῖ, τετελειωμένον τοῖς κατορθώμασι. τοῦτο γὰρ προσυπακουστέον τῷ, πάντα δυνατὰ τῷ πιστεύοντι. ιαʹ.

Ἡ πίστις ἀναπόδεικτος γνῶσίς ἐστιν· εἰ δὲ γνῶσίς ἐστιν ἀναπόδεικτος, ἄρα σχέσις ἐστὶν ὑπὲρ φύσιν ἡ πίστις, δι᾽ ἧς ἀγνώστως, ἀλλ᾽ οὐκ ἀποδεικτικῶς ἑνούμεθα τῷ Θεῷ κατὰ τὴν ὑπὲρ νόησιν ἕνωσιν. ιβʹ.

Τὴν ἄμεσον λαβὼν ἕνωσιν πρὸς τὸν Θεὸν ὁ νοῦς, τὴν τοῦ νοεῖν καὶ νοεῖσθαι παν- ιγʹ.

τελῶς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τελῶς δύναμιν ἔχει χαλάζουσαν· ὁπηνίκα γοῦν ταύτην λύσῃ, νοήσας τί τῶν μετὰ Θεόν, διεκρίθη, τεμὼν τὴν ὑπὲρ νόησιν ἕνωσιν, καθ' ἣν ἕως ἐστὶ τοῦ Θεοῦ συνημμένος, ὡς ὑπὲρ φύσιν, καὶ τῇ μεθέξει Θεὸς γεγενημένος, καθάπερ ὅρος ἀκίνητον, ἑαυτοῦ τὸν τῆς φύσεως μετατίθησι νόμον.

ιδ'. Ὁ πρὸς εὐσέβειαν εἰσαγόμενος, περὶ τῶν ἔργων διδασκόμενος τῆς δικαιοσύνης, τὴν πρᾶξιν μόνον ἐπιτελεῖ μετὰ πάσης ὑπακοῆς, καὶ πίστεως, καθάπερ σάρκας ἐσθίων τῶν ἀρετῶν τὰ φαινόμενα, τὴν ἠθικὴν δηλονότι παιδαγωγίαν· τοὺς δὲ τῶν ἐντολῶν λόγους, ἐν οἷς ἡ τῶν τελείων ὑπάρχει γνῶσις, τῷ Θεῷ παραχωρεῖ διὰ τῆς πίστεως, μὴ δυνάμενος συνεπεκταθῆναι τέως τῷ μήκει τῆς πίστεως.

ιε'. Ὁ τέλειος, οὐ μόνον τὴν τῶν εἰσαγομένων τάξιν, ἀλλὰ καὶ τὴν τῶν προκοπτόντων διαδραμών, οὐκ ἀγνοεῖ τῶν ὑπ' αὐτοῦ κατ' ἐντολὴν γινομένων τοὺς λόγους, ἀλλ' ἐκείνους πνεύματι πρῶτον διαπιών, πᾶσαν ἐσθίει διὰ τῶν ἔργων τὴν σάρκα τῶν ἀρετῶν, πρὸς τὴν κατὰ νοῦν γνῶσιν ἀναβιβάζων, τὴν τῶν γινομένων κατ' αἴσθησιν κίνησιν.

ις'. Ὁ Κύριος εἰπών, ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ· τουτέστι πρὸ πάντων τὴν ἐπίγνωσιν τῆς ἀληθείας, καὶ ἔπειτα τὴν τῶν καθηκόντων τρόπων διάσκησιν. σαφῶς ἔδειξε, περὶ μόνης τῆς θείας γνώσεως δεῖν ζητεῖν τοὺς πιστεύοντας, καὶ τῆς αὐτὴν κοσμούσης διὰ τῶν ἔργων ἀρετῆς.

ιζ'. Ἐπειδὴ πολλὰ τυγχάνει τὰ πρὸς γνῶσιν Θεοῦ καὶ ἀρετὴν ζητούμενα τοῖς πιστεύουσιν, ἀπαλλαγὴ παθῶν, ὑπομονὴ πειρασμῶν, ἀρετῶν λόγοι, τρόπων ἐνέργειαι, ἐξήλωσις τῆς πρὸς σάρκα τῆς ψυχῆς διαθέσεως· ἀποξένωσις τῆς πρὸς τὰ αἰσθητὰ τῆς αἰσθήσεως σχέσεως, ἡ τοῦ παντελὴς ἀπὸ πάντων τῶν γεγονότων ἀναχώρησις· καὶ ἁπλῶς μυρία ἄλλα εἰσί, τὰ πρὸς ἀποχὴν μὲν κακίας καὶ ἀγνωσίας, κατόρθωσιν δὲ γνώσεως καὶ ἀρετῆς. εἰκότως ὁ Κύριος ἔφησε, πάντα ὅσα ἂν αἰτῆτε πιστεύοντες, λήψεσθε. πάντα ἁπλῶς τὰ πρὸς ἐπίγνωσιν Θεοῦ, καὶ ἀρετὴν συντείνοντα μόνα καὶ ζητεῖν, καὶ αἰτεῖν μετ' ἐπιστήμης καὶ πίστεως δεῖν εἰπὼν τοὺς εὐσεβεῖς. ταῦτα γὰρ πάντα συμφέρει, καὶ πάντως δίδωσιν αὐτὰ τοῖς αἰτοῦσιν ὁ Κύριος.

ιη'. Ὁ πίστιν διὰ μόνην τὴν πίστιν, ἤγουν τὴν πρὸς Θεὸν ἄμεσον ἕνωσιν, πάντα ζητῶν τὰ πρὸς τὴν ἕνωσιν, πάντως λήψεται· ὁ δὲ ταύτης δίχα τῆς αἰτίας κἂν ἄλλα, κἂν τὰ προειρημένα ζητῇ, οὐ λήψεται. οὐ γὰρ πιστεύει, ἀλλ' οἰκείαν ὡς ἄπιστος διὰ τῶν θείων πραγματεύεται δόξαν

ιθ'. Ὁ γνώμῃ τῆς καθ' ἁμαρτίαν καθαρεύων φθορᾶς, φθείρει τὴν τῶν φθείρειν πεφυκότων φθοράν. ἡ γὰρ ἀφθαρσία τῆς προαιρέσεως, τὴν φθορὰν συντηρεῖν τῆς φύσεως πέφυκεν ἄφθαρτον, καὶ πρόνοιαν διὰ τῆς ἐν αὐτῇ τοῦ Πνεύματος χάριτος, μὴ συγχωροῦσα ταῖς ἐναντίαις ποιότησιν αὐτὴν διαφθείρεσθαι.

κ'. Ἐπειδὴ φύσεως καὶ χάριτος εἷς καὶ ὁ αὐτὸς οὐκ ἔστι λόγος, οὐκ ἔστιν ἀπορίας ἄξιον, πῶς τινὲς τῶν ἁγίων, ποτὲ μὲν παθῶν ὑπερεῖχον, ποτὲ δὲ μᾶλλον ὑπέπιπτον πάθεσι. γινωσκόντων ἡμῶν, ὅτι τὸ μὲν θαῦμα, τῆς χάριτος ἦν· τὸ δὲ πάθος, τῆς φύσεως.

κα'. Ὁ διὰ μιμήσεως τὴν μνήμην ἔχων τῆς τῶν ἁγίων ἀναστροφῆς, τὴν μὲν τῶν παθῶν ὑποτίθεται νέκρωσιν· τὴν δὲ τῶν ἀρετῶν ζωὴν ἀποδέχεται.

κβ'. Ὧ τρόπῳ βούλεται ὁ τὴν ἑκάστου διορίσας ζωὴν πρὸ τῶν αἰώνων Θεός, ἕκαστον πρὸς τὸ οἰκεῖον τῆς ζωῆς ἄγει τέλος, εἴτε δίκαιον, εἴτε ἄδικον.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κγ'. Τὸν τῷ μακαρίῳ Παύλῳ συμβάντα ζοφερὸν χειμῶνα, τὸ βάρος εἶναι τῶν ἀκουσίων πειρασμῶν τεκμαίρομαι· τὴν δὲ νῆσον, τὴν παγίαν ἕξιν τῆς θείας ἐλπίδος ἄσειστον· τὴν δὲ πυράν, τὴν ἕξιν τῆς γνώσεως· τὰ δὲ φρύγανα, τὴν τῶν ὁρωμένων φύσιν· ἣν συνέστρεψε μὲν τῇ χειρί, τῇ κατὰ θεωρίαν λέγω ψηλαφητικῇ τοῦ νοῦ δυνάμει, διαζέφων τοῖς ἐξ αὐτῆς νοήμασι τὴν ἕξιν τῆς γνώσεως, τὴν θεραπεύσασαν τὴν ἐκ τοῦ χειμῶνος τῶν πειρασμῶν προστριβεῖσαν τῇ διανοίᾳ κατήφειαν· τὴν δὲ ἔχιδναν, τὴν λανθάνουσαν ἐγκεκρυμμένην τῇ φύσει τῶν αἰσθητῶν πονηρὰν καὶ ὀλέθριον δύναμιν· δήξασαν μὲν τὴν χεῖρα, τουτέστι, τὴν κατὰ νοῦν ψηλαφητικὴν τῆς θεωρίας ἐνέργειαν· οὐ βλάψασαν δὲ τὸν διορατικὸν νοῦν, τῷ φωτὶ τῆς γνώσεως αὐτὴν εὐθὺς ὡς ἐν πυρὶ διαφθείραντα, τὴν τῷ πρακτικῷ κινήματι τοῦ νοῦ προσαφθεῖσαν ἐκ τῆς τῶν αἰσθητῶν θεωρίας ὀλέθριον δύναμιν.

κδ'. Ὀσμὴ ἦν ἀπὸ ζωῆς εἰς ζωὴν ὁ Ἀπόστολος, ὡς τοὺς πιστοὺς τῷ καθ' ἑαυτὸν ὑποδείγματι, διὰ πράξεως πρὸς τὴν ὁδὸν τῶν ἀρετῶν κινεῖσθαι παρασκευάζων· ἢ τοὺς πειθομένους τῷ λόγῳ τῆς χάριτος, ὡς κῆρυξ ἀπὸ τῆς κατ' αἴσθησιν ζωῆς, εἰς τὴν ἐν πνεύματι μετάγων ζωήν· ὀσμὴ δὲ θανάτου εἰς θάνατον, τοῖς ἀπὸ τοῦ θανάτου τῆς ἀγνοίας εἰς τὸν τῆς ἀπιστίας ἐλάσασι θάνατον, διδοὺς αὐτοῖς αἴσθησιν τῆς μελλούσης αὐτοὺς κατακρίσεως· ἢ πάλιν ὀσμὴ ἀπὸ ζωῆς εἰς ζωήν, τοῖς ἀπὸ πράξεως εἰς θεωρίαν ἀναγομένοις· ὀσμὴ δὲ θανάτου εἰς θάνατον, τοῖς ἀπὸ τοῦ νεκρῶσαι τῇ καθ' ἁμαρτίαν ἀργίᾳ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, εἰς τὴν τῶν ἐμπαθῶν νοημάτων τε καὶ φαντασιῶν ἐπαινουμένην μεταβαίνουσι νέκρωσιν.

κε'. Τρεῖς εἰσὶν αἱ τῆς ψυχῆς δυνάμεις, λόγος, θυμός, καὶ ἐπιθυμία· τῷ μὲν λόγῳ, ζητοῦμεν· τῇ ἐπιθυμίᾳ δέ, ποθοῦμεν τὸ ζητηθὲν ἀγαθόν· τῷ δὲ θυμῷ, ὑπεραγωνιζόμεθα. κατὰ ταύτας δὴ τὰς δυνάμεις προσμένοντες οἱ τὸν Θεὸν ἀγαπῶντες, τῷ θείῳ λόγῳ τῆς ἀρετῆς καὶ τῆς γνώσεως· τῇ μέν, ζητοῦντες· τῇ δέ, ποθοῦντες· τῇ δὲ ὑπεραγωνιζόμενοι, δέχονται τροφὴν ἄφθαρτον, καὶ τὸν τὴν πιαίνουσαν τὴν * γνῶσιν τῶν γεγονότων.

* ἴσ. τῇ γνώσει.

κς'. Τὴν νεκρωθεῖσαν τῆς ἀληθείας γνώσεως φύσιν, γενόμενος ἄνθρωπος ὁ τοῦ Θεοῦ λόγος πάλιν ἐπλήρωσε γνώσεως· καὶ στομώσας πρὸς ἀτρεψίαν, οὐ φύσει, ποιότητι δέ, ταύτην ἐθέωσεν· ἀνεξαλείπτως αὐτὴν τῷ οἰκείῳ χαρακτηρίσας πνεύματι· καθάπερ ὕδωρ, οἴνου ποιότητι πρὸς τόνον μετακεράσας. διὰ τοῦτο γὰρ καὶ γίνεται κατ' ἀλήθειαν ἄνθρωπος, ἵνα κατὰ χάριν ἡμᾶς καταστήσῃ θεούς.

κζ'. Ὁ τὴν φύσιν τῶν ἀνθρώπων δημιουργήσας Θεός, ἅμα βουλήσει τὸ εἶναι αὐτῇ δέδωκε, συνήρμοσεν αὐτῇ καὶ δύναμιν τῶν καθηκόντων ποιητικήν. δύναμιν δὲ λέγω, τὴν οὐσιωδῶς μὲν κατεσπαρμένην τῇ φύσει, πρὸς ἀρετῶν ἐνέργειαν κίνησιν· γνωμικῶς δέ, πρὸς τὴν τοῦ κεκτημένου βούλησιν, κατὰ τὴν χρῆσιν ἐκφαινομένην.

κη'. Φυσικὸν ἔχομεν κριτήριον, τὸν κατὰ φύσιν νόμον· διδάσκοντα ἡμᾶς, ὅτι πρὸ τῆς ἐν ὅλοις σοφίας, ἔδει πρὸς τὴν τοῦ ποιητοῦ τῶν ὅλων μυσταγωγίαν ἡμῶν κινεῖσθαι τὴν ἔφεσιν.

κθ'. Τὸ φρέαρ ἐστὶ τοῦ Ἰακώβ, ἡ γραφή· τὸ δὲ ὕδωρ ἐστίν, ἡ ἐν τῇ γραφῇ γνῶσις· τὸ δὲ βάθος ἡ τῶν γραφικῶν αἰνιγμάτων δυσδιεξίτητος θέσις· τὸ δὲ ἄντλημα ἐστίν, ἡ διὰ τῶν γραμμάτων τοῦ θείου λόγου μάθησις, ὃν οὐκ εἶχεν ὁ Κύριος αὐτολόγος ὑπάρχων, καὶ οὐ τὴν ἐκ μαθήσεως καὶ μελέτης διδοὺς γνῶσιν τοῖς πιστεύουσιν, ἀλλὰ τὴν ἐκ χάριτος πνευματικῆς ἀέναον σοφίαν, καὶ μηδέ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ποτε λάχωσιν τοῖς ἀξίοις δωρούμενος. τὸ γὰρ ἄντλημα, τουτέστιν ἡ μάθησις, μέρος ἐλάχιστον λαμβάνουσα γνώσεως, τὸ πᾶν ἐᾷ μηδενὶ λόγῳ κρατούμενον. ἡ δὲ κατὰ χάριν γνῶσις ὅλην ἔχει καὶ δίχα μελέτης, τὴν ἐφικτὴν ἀνθρώποις σοφίαν, πρὸς τὰς χρείας ποικίλως βλυστάνουσαν.

λ΄. Τὸ ξύλον τῆς ζωῆς, καὶ τὸ μὴ τοιοῦτον δὲ αὐτῷ μόνῳ, τῷ, τὸ μέν, ζωῆς ξύλον ὀνομασθῆναι· τὸ δὲ οὐ ζωῆς, ἀλλὰ μόνον γνωστὸν καλοῦ καὶ πονηροῦ, πολλὴν καὶ ἄφατον ἔχουσι τὴν διαφοράν. τὸ γὰρ τῆς ζωῆς ξύλον, πάντως καὶ ζωῆς ἐστι ποιητικόν· τὸ δὲ μὴ ζωῆς ξύλον, δῆλον ὅτι θανάτου ποιητικόν. τὸ γὰρ μὴ ποιητικὸν ζωῆς ἐκ τοῦ μὴ προσαγορευθῆναι ξύλον τῆς ζωῆς, θανάτου σαφῶς ἂν εἴη ποιητικόν. ἄλλο γὰρ οὐδὲν τῇ ζωῇ κατ' ἐναντίωσιν ἀντιδιαιρεῖται.

λα΄. Τὸ ξύλον τῆς ζωῆς, καὶ ὡς σοφία πλείστην ἔχει διαφορὰν πρὸς τὸ ξύλον τὸ γνωστὸν καλοῦ τε καὶ πονηροῦ, τὸ μήτε ὂν σοφία, μήτε ὠνομασμένον. τῆς μὲν γὰρ σοφίας ἴδιον, νοῦς, καὶ λόγος· τῆς δὲ τῇ σοφίᾳ κατὰ τὸ ἐναντίον ἀντικειμένης ἕξεως ἴδιον, ἀλογία, καὶ αἴσθησις.

λβ΄. Ἐπειδὴ ἐκ ψυχῆς νοερᾶς, καὶ σώματος αἰσθητικοῦ συνεστὼς πρὸς γένεσιν ἦλθεν ὁ ἄνθρωπος, ἔστω κατὰ μίαν ἐπιβολὴν ξύλον ζωῆς ὁ τῆς ψυχῆς νοῦς, ἐν ᾧ τῆς σοφίας ὑπάρχει τὸ χρῆμα. ξύλον δὲ γνωστὸν καλοῦ καὶ πονηροῦ, ἡ τοῦ σώματος αἴσθησις, ἐν ᾗ τῆς ἀλογίας ὑπάρχει σαφῶς κίνησις, ἧς κατὰ τὴν πεῖραν μὴ ἅψασθαι δι' ἐνεργείας ὁ ἄνθρωπος τὴν θείαν λαβὼν ἐντολήν, οὐκ ἐφύλαξεν.

λγ΄. Ἀμφότερα τὰ ξύλα κατὰ τὴν γραφήν, τινῶν εἰσὶ χαρακτηριστικά, ἤγουν, ὁ νοῦς, καὶ ἡ αἴσθησις· οἷον, ὁ μὲν νοῦς ἔχει δύναμιν διακριτικήν, νοητῶν καὶ αἰσθητῶν, προσκαίρων καὶ αἰωνίων· μᾶλλον δὲ ψυχῆς ὑπάρχων δύναμις διακριτική, τῶν μέν, αὐτὴν ἀντέχεσθαι πείθει· τῶν δὲ ὑπεραίρεσθαι. ἡ δὲ αἴσθησις, ἔχει δύναμιν διακριτικὴν ἡδονῆς σωμάτων, καὶ ὀδύνης· μᾶλλον δὲ δύναμις ὑπάρχουσα ἐμψύχων καὶ αἰσθητικῶν σωμάτων, τὴν μὲν ἡδονὴν ἐνστερνίζεσθαι πείθει, τὴν δὲ ὀδύνην ἀποπέμπεσθαι.

λδ΄. Ὁ ἄνθρωπος ἐὰν μὲν μόνης τῆς καθ' ἡδονὴν καὶ ὀδύνην αἰσθητικῆς τῶν σωμάτων γένηται διακρίσεως, τὴν θείαν παραβὰς ἐντολήν, ἐσθίει τὸ ξύλον τὸ γνωστὸν καλοῦ καὶ πονηροῦ· τουτέστι, τὴν κατ' αἴσθησιν ἀλογίαν· ἔχων μόνην τὴν συστατικὴν τῶν σωμάτων διάκρισιν· καθ' ἥν, ὡς μὲν καλοῦ, τῆς ἡδονῆς ἀντέχεται· ὡς δὲ κακοῦ, τῆς ὀδύνης ἀπέχεται. ἐὰν δὲ μόνης τῆς τῶν αἰωνίων διακρινόμενος πρὸς τὰ πρόσκαιρα δόλου γένηται νοερᾶς διακρίσεως, τὴν θείαν φυλάξας ἐντολήν, ἐσθίει τὸ ξύλον τῆς ζωῆς· τὴν κατὰ τὸν λόγῳ συνισταμένην σοφίαν· μόνην ἔχων τὴν συστατικὴν τῆς ψυχῆς διάκρισιν· καθ' ἥν, ὡς μὲν καλοῦ, τῆς τῶν αἰωνίων ἀντέχεται δόξης· ὡς δὲ κακοῦ, τῆς τῶν προσκαίρων ἀπέχεται φθορᾶς.

λε΄. Νῷ μὲν καλόν ἐστιν, ἡ ἀπαθὴς πρὸς τὸ πνεῦμα διάθεσις· κακὸν δέ, ἡ ἐμπαθὴς πρὸς τὴν αἴσθησιν σχέσις. αἰσθήσεως δὲ καλόν ἐστιν, ἡ καθ' ἡδονὴν ἐμπαθὴς πρὸς σῶμα κίνησις· κακὸν δέ, ἡ κατὰ στέρησιν ταύτης ἐπιγινομένη διάθεσις.

λϛ΄. Ὁ πείσας τὸ συνειδὸς ὡς φύσει καλόν, πραττόμενον ἔχειν τὸ κάκιστον, οὗτος χεῖρας δίκην ἐκτείνας τὸ πρακτικόν, ἔλαβε ψεκτῶς τοῦ ξύλου τῆς ζωῆς, ἀθάνατον ἡγησάμενος φύσει τὸ κάκιστον. διόπερ τὴν κατὰ τὸ συνειδὸς τοῦ κακοῦ διαβολὴν τῷ ἀνθρώπῳ φυσικῶς ἐνθέμενος ὁ Θεός, διέκρινεν αὐτὸν τῆς ζωῆς, κακὸν τῇ προαιρέσει γεγενημένον· ἵνα μὴ τὸ κακὸν πράττων, δυνηθῇ πεῖσαι τὴν ἰδίαν συνείδησιν, ὅτι φύσει καλὸν ὑπάρχει τὸ κάκιστον.

λζ'. Ἡ ἄμπελος, οἶνον ποιεῖ· ὁ οἶνος, μέθην· ἡ μέθη, ἔκστασιν. οὐκοῦν ὁ ἐμφυὴς λόγος, ὅπερ ἐστὶν ἡ ἄμπελος, γεωργούμενος ταῖς ἀρεταῖς, γεννᾷ τὴν γνῶσιν· ἡ δὲ γνῶσις, γεννᾷ τὴν καλὴν ἔκστασιν, τὴν τὸν νοῦν τῆς κατ' αἴσθησιν σχέσεως ἐξιστῶσαν.

λη'. Τοῖς τῶν αἰσθητῶν νοήμασιν εἴωθε κακούργως ὁ πονηρὸς συμβάλλειν τὰ τῶν αἰσθητῶν εἴδη καὶ σχήματα· δι' ὧν πέφυκε τὰ πάθη δημιουργεῖσθαι περὶ τὰς ἐμφασίας τῶν ὁρατῶν, στάσιν λαμβανούσης διὰ τῆς μέσης αἰσθήσεως τῆς περὶ τὰ ἐκτὸς διαβάσεως τῆς ἐν ἡμῖν λογικῆς ἐνεργείας. διὸ καὶ κατισχύει πορθεῖν τὴν ψυχὴν, καὶ εἰς τὴν τῶν παθῶν σύγχυσιν κατασύρειν.

λθ'. Λύχνος ἐστὶν κατὰ ταὐτὸν ὁμοῦ, καὶ φῶς ὁ τοῦ Θεοῦ λόγος, καὶ ὡς φωτίζων τοὺς κατὰ φύσιν λογισμοὺς τῶν πιστῶν, καὶ ὡς καίων τοὺς παρὰ φύσιν· καὶ ὡς λύων τὸν ζόφον τῆς κατ' αἴσθησιν ζωῆς, τοῖς διὰ τῶν ἐντολῶν πρὸς τὴν ἐλπιζομένην ἐπειγομένοις ζωὴν, καὶ ὡς κολάζων τῇ καύσει τῆς κρίσεως τοὺς ταύτης τῆς σκοτεινῆς τοῦ βίου νυκτὸς κατὰ γνώμην διὰ φιλίαν σαρκὸς ἀντεχομένους.

μ'. Ὁ μὴ πρότερον πρὸς ἑαυτὸν, φησὶν, ἀναχθεὶς διὰ τῆς ἀποβολῆς τῶν παρὰ φύσιν παθῶν, πρὸς τὴν ἰδίαν αἰτίαν, ἤγουν τὸν Θεὸν, διὰ τῆς ἐν χάριτι τῶν ὑπὲρ φύσιν ἀγαθῶν ἐπικτήσεως, οὐκ ἀναχθήσεται. τῶν γὰρ πεποιημένων χωρισθῆναι δεῖ κατὰ διάνοιαν, τὸν πρὸς Θεὸν ἀληθῶς συναγόμενον.

μα'. Τοῦ μὲν γραπτοῦ νόμου ἔργον ἐστὶν, ἡ τῶν παθῶν ἀπαλλαγή· φυσικοῦ δὲ νόμου, ἡ κατ' ἰσονομίαν πρὸς πάντας ἀνθρώπους ἰσοτιμία. πνευματικοῦ δὲ νόμου τελείωσις, ἡ πρὸς τὸν Θεὸν ὡς ἐστὶν ἀνθρώπῳ δυνατὸν, ἐξομοίωσις.

μβ'. Τῆς μὲν τῶν σωμάτων καὶ ἀσωμάτων γνώσεως, δεκτικὴ κατὰ φύσιν ἐστὶν ἡ τοῦ νοῦ δύναμις· τῆς δὲ τῆς Ἁγίας Τριάδος, κατὰ μόνην τὴν χάριν δέχεται τὰς ἐμφάσεις· ὅτι ἐστὶ μόνον πιστεύουσα, ἀλλ' οὐ τί ποτε κατ' οὐσίαν ἐστὶν αὐθαδιαζομένη, ὡς ὁ δαιμόνιος νοῦς. ὁ γὰρ γνώσεως ἄμοιρος, τὸν κατ' ἀρετὴν ῥυπτικὸν τῆς κακίας οὐδαμῶς ἐπίσταται τρόπον.

Ὁ τὸ ψεῦδος ἀγαπῶν, αὐτῷ παραδίδοται πρὸς ἀπώλειαν, ἵνα γνῷ πάσχων ὅπερ ἑκὼν περιεῖπε, καὶ μάθῃ κατὰ τὴν πεῖραν γενόμενος, ὡς ἐλάνθανεν ἀντὶ ζωῆς περιπτυσσόμενος θάνατον. μγ'.

Μόνην ἔχει τοῦ καλοῦ τὴν γνῶσιν ὁ Θεὸς, ὡς κατ' οὐσίαν τοῦ καλοῦ φύσις τε καὶ γνῶσις ὑπάρχων· τοῦ δὲ κακοῦ τὴν ἄγνοιαν, ὡς τὴν αὐτοῦ ἔχων ἀδυναμίαν· ὧν γὰρ ἔχει τὴν δύναμιν φυσικῶς, τούτων οὐσιωδῶς κέκτηται τὴν γνῶσιν. μδ'.

Τὸ ἐν τῷ Λευϊτικῷ στηθύνιον τὴν ἀμείνω καὶ ὑψηλὴν θεωρίαν δηλοῖ· ὁ δὲ βραχίων, τὴν πρᾶξιν, ἤγουν τοῦ διανοητικοῦ τὴν ἕξιν καὶ τὴν ἐνέργειαν, ἢ τὴν γνῶσιν καὶ τὴν ἀρετήν· ὡς τῆς μὲν γνώσεως, αὐτῷ προσαγούσης ἀμέσως τὸν νοῦν τῷ Θεῷ· τῆς ἀρετῆς δὲ, κατὰ τὴν πρᾶξιν πάσης ἀφαιρουμένης αὐτὸν τῆς τῶν ὄντων γνώσεως· ἅπερ ἱερεῦσιν ἀφώρισεν ὁ λόγος, τοῖς μόνοις τὸν Θεὸν διὰ πάντων κτησαμένοις κληρονομίαν, καὶ μηδὲν τὸ σύνολον κεκτημένοις ἐπίγειον. με'.

Ἐπειδὴ τὰς ἄλλων καρδίας διὰ τοῦ λόγου τῆς διδασκαλίας, οἱ γνώσει καὶ ἀρετῇ δι' ὅλου ποιωθέντες τῷ πνεύματι, εὐσεβείας καὶ πίστεως ποιοῦνται δεκτικὰς, καὶ τὴν πρακτικὴν αὐτῶν ἕξιν, καὶ δύναμιν ἀφαιρούμενοι, τῶν ἐπὶ τῇ φθαρτῇ φύσει ἐνδεσμάτων πρὸς τὴν τῶν ὑπὲρ φύσιν ἀφθάρτων ἐνέργειαν ἀγαθῶν μεταφέρουσιν. εἰκότως τῶν προσαγομένων εἰς θυσίαν Θεῷ, τὸ στηθύνιον τοῦ ἐπιθέματος· τουτέστι, τῶν προσαγομένων τὴν καρδίαν· καὶ τὸν βραχίονα, τῶν αὐ- μς'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῶν δηλονότι τὴν πρᾶξιν· προσέταξεν ἀφιεροῦσθαι τοῖς ἱερεῦσιν ὁ λόγος.

μζ΄. Πᾶσα ἡ ἐνταῦθα δικαιοσύνη συγκρινομένη πρὸς τὴν μέλλουσαν, ἐσόπτρου λόγον ἐπέχει, τὴν τῶν ἀρχετύπων πραγμάτων εἰκόνα, οὐκ αὐτὰ δὲ τὰ πράγματα κατ' εἶδος ὑφιστάμενα ἔχουσα. καὶ πᾶσα γνῶσις ἐνταῦθα τῶν ὑψηλῶν συγκρινομένη πρὸς τὴν μέλλουσαν, αἴνιγμά ἐστιν, ἔμφασιν τῆς ἀληθείας, ἀλλ' οὐκ αὐτὴν ὑφισταμένην ἔχουσα τὴν φανήσεσθαι μέλλουσαν ἀλήθειαν.

μη΄. Ἐπειδὴ ἀρετῇ καὶ γνώσει τὰ θεῖα συνέχεται, τῶν κατ' ἀρετὴν πρωτοτύπων ἐστὶν ἐνδεικτικὸν τὸ ἔσοπτρον, καὶ τῶν κατὰ γνῶσιν ἀρχετύπων ἐκφαντικὸν ὑπάρχει τὸ αἴνιγμα.

μθ΄. Ὁ ἐκ πράξεως εὐαρεστήσας τῷ Θεῷ, διὰ θεωρίας πρὸς τὴν τῶν κρειττόνων χώραν, τὸν νοῦν δηλαδὴ μετατίθησιν· ἵνα μὴ διὰ φαντασίας τινὸς τὸν ἐν τοῖς πάθεσι θεάσηται θάνατον κατὰ τὴν αἴσθησιν, ὡς ὑπὸ μηδενὸς τῶν ἑλεῖν βουλομένων παντελῶς εὑρισκόμενος.

ν΄. Ὁ καθαρῷ πίστεως ὀφθαλμῷ τῶν μελλόντων ἀγαθῶν ἰδὼν τὴν εὐπρέπειαν, ὑπακούει γῆς, καὶ συγγενείας, καὶ οἴκου πατρικοῦ προθύμως ἐξελθεῖν, καταλιπὼν σάρκα, καὶ αἴσθησιν, καὶ αἰσθητά, σχέσιν τε, καὶ προσπάθειαν· καὶ φύσεως ἐν καιρῷ πειρασμοῦ καὶ ἀγώνων ὑψηλότερος ὤν, προτιμήσας τὴν αἰτίαν τῆς φύσεως, ὡς τοῦ Ἰσαὰκ τὸν Θεόν, ὁ μέγας Ἀβραάμ.

να΄. Ὁ μήτε δόξης ἕνεκεν, μήτε προφάσει πλεονεξίας, μήτε κολακείας χάριν, καὶ ἀνθρωπαρεσκείας καὶ ἐπιδείξεως, τὴν ἀρετήν, ἢ τὴν μελέτην τῶν θείων λόγων μετελθεῖν ἐπιτηδεύων, ἀλλὰ πάντα διὰ τὸν Θεὸν καὶ ποιῶν καὶ λέγων καὶ διανοούμενος, οὗτος ἐν τῇ ὁδῷ τῆς ἀληθείας ἐν γνώσει περιέρχεται. τρίβοις γὰρ οὐκ εὐθείαις ὁ θεῖος οὐ πέφυκεν ἐμφιλοχωρεῖν λόγος, κἂν εὕρῃ τὴν ὁδὸν ἔν τισιν ἕτοιμον.

Νηστεύει τις, καὶ ἀπέχεται τῆς ἐξαπτικῆς τῶν παθῶν διαίτης· καὶ τὰ ἄλλα ποιεῖ, ὅσα πρὸς ἀπαλλαγὴν κακίας συμβάλλεσθαι δύναται, τὴν λεγομένην ὁδὸν οὗτος ἡτοίμασε· κενοδοξίας δέ, ἢ πλεονεξίας, ἢ κολακείας, ἢ ἄλλης τινὸς ἕνεκεν αἰτίας, δίχα τῆς θείας εὐαρεστήσεως τοὺς τοιούτους ἐπιτηδεύει τρόπους, οὗτος οὐκ ἐποίησεν εὐθείας τὰς τρίβους τοῦ Θεοῦ. καὶ τὸν μὲν τῆς ἑτοιμασίας τῆς ὁδοῦ πόνον ὑπέμεινε, τὸν δὲ Θεὸν οὐκ ἔχει ταῖς αὐτοῦ τρίβοις ἐμπεριπατοῦντα. νβ΄.

Πᾶσα φάραγξ πληρωθήσεται· οὐχ ἁπλῶς πᾶσα, ἀλλὰ πάντων. οὔτε γὰρ τῶν μὴ ἑτοιμασάντων τὴν ὁδὸν τοῦ Κυρίου καὶ εὐθείας ποιησάντων τὰς τρίβους αὐτοῦ. ἡνίκα ἡ φάραγξ, ἤγουν, σάρξ, ἢ ψυχή, τῶν ἑτοιμασάντων ὡς εἶπον, τὴν ὁδὸν τοῦ Κυρίου, καὶ εὐθείας ποιησάντων τὰς τρίβους αὐτοῦ, διὰ τῆς τοῦ περιπατοῦντος ἐν αὐτοῖς διὰ τῶν ἐντολῶν Θεοῦ Λόγου παρουσίας πληρωθῇ γνώσεώς τε καὶ ἀρετῆς, πάντα τὰ τῆς ψευδωνύμου γνώσεως καὶ κακίας τὰ ὑψώματα ταπεινοῦται· πατοῦντος αὐτὰ τοῦ Λόγου καὶ ὑποπίπτοντος, καὶ τὸ ἐπαιρόμενον κατὰ τῆς ἀνθρωπίνης φύσεως, πονηρὸν κράτος καταβάλλοντος, καὶ οἷον τὸ μέγεθος καὶ τὸ ὕψος τῶν ὀρέων καὶ τῶν βουνῶν κατασκάπτοντος· καὶ εἰς τὴν τῶν φαράγγων ἄγοντος πλήρωσιν. ἡ γὰρ τῶν παρὰ φύσιν ἀποβολὴ παθῶν, καὶ ἡ τῶν κατὰ φύσιν ἀρετῶν ἐπιβολή, τὴν φαραγγωθεῖσαν ψυχὴν ἀναπληροῖ, καὶ τὴν * ὀρεινωμένην διὰ τῶν πονηρῶν ὑψωμάτων ταπεινοῖ διαστείαν. νγ΄. *ἴσ. ὀ-ρωμένην

Αἱ τραχεῖαι πᾶσαι αἱ τῶν ἀκουσίων πειρασμῶν ἐπιφοραί, ἔσονται εἰς ὁδοὺς λείας. ὅταν μάλιστα χαίρων καὶ εὐφραινόμενος ὁ νοῦς, ἐν ἀσθενείαις διδακῇ καὶ θλίψεσι, καὶ ἀνάγκαις, διὰ τῶν ἀ- νδ΄.

κουσίων πόνων, τὴν ἕλξιν τῶν ἑκουσίων παθῶν ἀφῃρημένος δυναστείαν. τραχείας γὰρ κέκληκε, τὰς τῶν ἀκουσίων πειρασμῶν συμβάσεις, εἰς ὁδοὺς δὲ λείας διὰ τῆς κατὰ τὴν εὐχαριστίαν ὑπομονῆς μεταποιήσας.

νε. Ὁ τῆς ἀληθινῆς ἐφιέμενος ζωῆς, γνοὺς ὅτι πᾶς πόνος, εἴτε ἑκούσιος, εἴτε ἀκούσιος, τῆς τοῦ θανάτου μητρὸς ἡδονῆς γίνεται θάνατος, πάσας τὰς τραχείας τῶν ἀκουσίων πειρασμῶν ἐπιφορὰς, δέξεται μετ᾽ εὐφροσύνης χαίρων· διὰ τῆς ὑπομονῆς, ὁδοὺς εὐπρεπεῖς τε καὶ λείας, τὰς θλίψεις ποιούμενος, καὶ πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἀπλανῶς παραπεμπούσας αὐτὸν, εὐσεβῶς ἐν αὐταῖς τὸν θεῖον δρόμον ποιούμενον. καὶ γὰρ τοῦ μὲν θανάτου μήτηρ ἐστὶν ἡ ἡδονή· τῆς ἡδονῆς δὲ θάνατος ἐστὶν ὁ πόνος· ὅ, τε προαιρετικὸς, καὶ ὁ παρὰ προαίρεσιν.

νς΄. Πᾶς τοιγαροῦν ὁ τὴν πολυέλικτόν τε καὶ πολύπλοκον ἡδονὴν, καὶ πᾶσιν ὁμοῦ τοῖς αἰσθητοῖς πολυτρόπως συμπεπλεγμένην, τῇ ἐγκρατείᾳ διαλύσας, τὰς σκολιὰς εἰς εὐθείας ἐποίησε. καὶ ὁ τὴν δύσβατον καὶ τραχεῖαν τῶν πόνων ἐπιφορὰν δι᾽ ὑπομονῆς πατήσας, τὰς τραχείας ἐποίησεν εἰς ὁδοὺς λείας· ὅθεν ὥσπερ ἔπαθλον ἀρετῆς καὶ τῶν ὑπὲρ αὐτῆς καμάτων, οἷα καλῶς τε καὶ νομίμως ἀθλήσας, καὶ τὴν ἡδονὴν νικήσας τῷ πόθῳ τῆς ἀρετῆς, καὶ τὴν ὀδύνην πατήσας τῷ τῆς γνώσεως ἔρωτι, καὶ δι᾽ ἀμφοτέρων γενναίως τοὺς θείους διενέγκας ἀγῶνας, ὄψεται κατὰ τὸ γεγραμμένον, τὸ σωτήριον τοῦ Θεοῦ.

νζ΄. Ὁ τὴν ἀρετὴν ἀγαπῶν, τὴν τῶν ἡδονῶν ἑκουσίως ἀπομαραίνει κάμινον. ὁ δὲ τῇ γνώσει τῆς ἀληθείας πεποιωμένος τὸν νοῦν, ἀκουσίοις οὐκ ἐπέχεται πόνοις, τῆς κατὰ τὴν ἔφεσιν πρὸς τὸν Θεὸν φερούσης ἀεικινησίας.

νη΄. Ὁ τὰ σκολιὰ τῶν ἑκουσίων παθῶν, ἤγουν τῆς ἡδονῆς τὰ κινήματα διὰ τῆς ἐγκρατείας εὐθείας, καὶ τραχείας τῶν ἀκουσίων πειρασμῶν συμφορὰς, ἤγουν τὰς τροπὰς τῆς ὀδύνης διὰ τῆς ὑπομονῆς ὁμαλίσας, καὶ εἰς ὁδοὺς λείας καταστήσας· ὁ τοιοῦτος εἰκότως ὄψεται τὸ σωτήριον τοῦ Θεοῦ, καθαρὸς τῇ καρδίᾳ γενόμενος· καθ᾽ ἣν διὰ τῶν ἀρετῶν καὶ τῶν εὐσεβῶν θεωρημάτων, ὁρᾷ τὸν Θεὸν ἐπὶ τέλει τῶν ἄθλων, κατὰ τό, μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. τῶν ὑπὲρ ἀρετῆς πόνων, τῆς ἀπαθείας τὴν χάριν ἀντιλαβών, ἧς οὐδὲν πλέον τὸν Θεὸν ἐμφανίζει τοῖς ἔχουσι.

νθ΄. Λάκκους καλεῖ ἡ γραφὴ, τὰς δεκτικὰς τῶν οὐρανίων χαρισμάτων τῆς ἁγίας γνώσεως καρδίας, λατομημένας τῷ στερρῷ λόγῳ τῶν ἐντολῶν, καὶ ἀποβαλλομένας καθάπερ * πωρώματα, τήν τε πρὸς τὰ πάθη φιληδονίαν, καὶ τὴν πρὸς τὰ αἰσθητὰ τῆς φύσεως σχέσιν, καὶ πληρουμένας τῆς ἄνωθεν φερομένης ῥυπτικῆς τε τῶν παθῶν, καὶ ζωοποιητικῆς καὶ οἷον θρεπτικῆς τῶν ἀρετῶν ἐν πνεύματι γνώσεως.

* ἴσως προχώματα.

ξ΄. Λάκκους λατομεῖ ὁ Κύριος ἐν τῇ ἐρήμῳ· λέγω δὲ τῷ κόσμῳ, καὶ τῇ φύσει τῶν ἀνθρώπων· τὰς τῶν ἀξίων καρδίας ἐκχοΐζων, καὶ ἀποκαθαίρων τοῦ ὑλικοῦ βάρους τε καὶ φρονήματος, καὶ ποιῶν εὐρυχώρους πρὸς ὑποδοχὴν τῶν θείων τῆς σοφίας καὶ τῆς γνώσεως ὑετῶν, ἵνα ποτίζωσι τὰ κτήνη τοῦ Χριστοῦ, τοὺς δεομένους λέγω διὰ ψυχῆς νηπιότητα, τῆς ἠθικῆς διδασκαλίας.

ξα΄. Ὀρεινὴν ἡ γραφὴ, τὴν ὑψηλὴν ἐν πνεύματι θεωρίαν τῆς φύσεως λέγει· ἣν γεωργοῦσιν, οἱ τῶν αἰσθητῶν ἀπογενόμενοι φαντασιῶν, καὶ πρὸς τοὺς αὐτῶν νοητοὺς διὰ μέσου τῶν ἀρετῶν διαβάντες λόγους.

ξβ΄. Ὁ νοῦς ἐφ᾽ ὅσον ἔχει ζῶσαν ἐν ἑαυ-

τῷ τὴν

τοῦ τὴν τοῦ Θεοῦ μνήμην, διὰ τῆς θεωρίας ἐκζητεῖ τὸν Κύριον, οὐχ ἁπλῶς, ἀλλ' ἐν φόβῳ Κυρίου· τουτέστιν ἐν τῇ πράξει τῶν ἐντολῶν. ὁ γὰρ ζητῶν διὰ θεωρίας τὸν Κύριον χωρὶς πράξεως, οὐχ εὑρίσκει αὐτόν· ὅτι οὐκ ἐν φόβῳ Κυρίου τὸν Κύριον ἐξεζήτησε· καὶ εὐώδωσεν αὐτῷ ὁ Κύριος. πᾶσι γὰρ τοῖς μετὰ γνώσεως πράττουσιν, εὐοδοῖ ὁ Κύριος, τούς τε τῶν ἐντολῶν διδάσκων τρόπους, καὶ τοὺς τῶν ὄντων ἀληθεῖς λόγους ἀποκαλύπτων.

ξγ'. Ὁ περὶ θεότητος ὑψηλὸς λόγος, πύργος ἐστὶν τῇ ψυχῇ ταῖς τῶν ἐντολῶν ἐνεργείαις ὠχυρωμένος· καὶ τοῦτό ἐστιν ὅ φησιν, ὅτι ᾠκοδόμησεν Ὀζίας πύργους ἐν Ἱερουσαλήμ. ὁ γὰρ καλῶς εὐοδούμενος ἐπὶ τὴν διὰ θεωρίας ἐκζήτησιν τοῦ Κυρίου, μετὰ τοῦ * βεβλημένου φόβου, τουτέστι, τῆς τῶν ἐντολῶν πράξεως, οἰκοδομεῖ πύργους ἐν Ἱερουσαλήμ, κατὰ τὴν ἁπλῆν δηλαδὴ καὶ ἠρεμαίαν τῆς ψυχῆς κατάστασιν, τοὺς περὶ θεότητος ἀνυψῶν λόγους.

*ἴσ. ἐπιβεβλημένου δηλαδὴ τοῦ πρέποντος.

ξδ'. Οἱ τῶν ἐπὶ μέρους λόγοι, τοῖς καθόλου προχωροῦντες, τὰς τῶν διῃρημένων ἑνώσεις ποιοῦνται· διότι τῶν μερικωτέρων ἑνοειδῶς οἱ καθολικώτεροι τοὺς λόγους περιλαμβάνουσι, πρὸς οὓς φυσικῶς τὴν ἀναφορὰν ἔχει τὰ κατὰ μέρος. ἀλλὰ καὶ νοῦ πρὸς αἴσθησιν, καὶ οὐρανοῦ πρὸς γῆν, καὶ αἰσθητῶν πρὸς νοητά, καὶ φύσεως πρὸς λόγον, ἔστι τις καὶ τούτων σχετικὸς ἐν πνεύματι λόγος, τὴν πρὸς ἄλληλα διδοὺς αὐτοῖς ἕνωσιν.

ξε'. Ὁ τῶν παθῶν δυνηθεὶς ἐξηλῶσαι τὰς αἰσθήσεις, καὶ τῆς τῶν αἰσθήσεων σχέσεως τὴν ψυχὴν ἀποδιαστείλας, κατίσχυσεν ἀποτειχίσαι τὴν γινομένην τοῦ διαβόλου πρὸς τὸν νοῦν διὰ μέσων τῶν αἰσθήσεων εἴσοδον. διὰ τοῦτο κατὰ τὴν ἔρημον, φημὶ δὲ τὴν φυσικὴν θεωρίαν, οἱονεὶ πύργους ἀσφαλεῖς, τὰς εὐσεβεῖς περὶ τῶν ὄντων ᾠκοδόμησε δόξας· ἐν αἷς ὁ καταφεύγων, οὐ φοβεῖται τοὺς κατὰ τὴν ἔρημον ταύτην· λέγω δὲ τὴν φύσιν τῶν ὁρωμένων ληστεύοντας δαίμονας, καὶ πλανῶντας τὸν νοῦν διὰ τῆς αἰσθήσεως, καὶ πρὸς ἀγνοίας κατασύροντας ζόφον, οὐ δέδοικε τοὺς διὰ τῶν φαινομένων πλανῶντας τοὺς ἀνθρώπους δαίμονας.

Πᾶς τὴν ἰσχὺν πρὸς θεωρίαν ἔχων, ἀληθής ἐστι γεωργός, καὶ καθαρὰ ζιζανίων διὰ τῆς οἰκείας σπουδῆς καὶ ἐπιμελείας τὰ θεῖα τῶν ἀγαθῶν διαφυλάττων σπέρματα, μέχρις οὗ συντηροῦσαν αὐτὸν ἔχει τὴν τοῦ Θεοῦ μνήμην. φησὶ γάρ, καὶ ἦν ἐκζητῶν τὸν Κύριον, ἐν ταῖς ἡμέραις Ζαχαρίου ἐν φόβῳ Κυρίου· Ζαχαρίαν δέ, μνήμην Θεοῦ πρὸς τὴν Ἑλλάδα φωνὴν μεταφερόμενον, οἶδεν ὁ λόγος. διὸ πάντοτε δεηθῶμεν τοῦ Κυρίου, τὴν σωτήριον αὐτοῦ φυλαχθῆναι ἡμῖν μνήμην· ἵνα μὴ καὶ αὐτὴ διαφθείρῃ τὴν ψυχὴν τὸ κατορθούμενον, πρὸς ὕψος ἀρθεῖσαν καὶ τῶν ὑπὲρ φύσιν ὡς Ὀζίας κατατολμήσασαν. ξϛ'.

Ἡ τῶν ὄντων ἀπλανὴς θεωρία, παθῶν ἀπηλλαγμένης δεῖται ψυχῆς· ἥτις Ἱερουσαλὴμ λέγεται, διότι τὴν ἄρτιον ἀρετήν, καὶ τὴν ἄϋλον γνῶσιν· ἥτις οὐ μόνον κατὰ στέρησιν παθῶν, ἀλλὰ καὶ φαντασιῶν αἰσθητῶν ἐπιγίνεται. ξζ'.

Χωρὶς πίστεως καὶ ἐλπίδος καὶ ἀγάπης, οὐδὲν οὔτε τῶν κακῶν καταργεῖται παντελῶς, οὔτε τῶν καλῶν κατορθοῦται τὸ σύνολον. ἡ μὲν γὰρ πίστις, πείθει τῷ Θεῷ προχωρεῖν τὸν νοῦν πολεμούμενον, πάσης αὐτῷ γινομένη παρασκευῆς ὅπλων πνευματικῶν πρὸς τὸ θαρρεῖν παραμύθιον· ἡ δὲ ἐλπίς, τῆς θείας αὐτῷ καθίσταται βοηθείας ἐγγυητὴς ἀψευδέστατος, τὴν τῶν ἐναντίων καθαίρεσιν ἐπαγγελλομένη δυνάμεων· ἡ δὲ ἀγάπη, δυσμετακίνητον, μᾶλλον δὲ πάμπαν ἀκίνητον τῆς θείας στοργῆς αὐτὸν ξη'.

[illegible] παρασκευάζει καὶ πολεμούμενον, προσηλῶσα τῷ θείῳ πόθῳ πᾶσαν αὐτοῦ τὴν τῆς φύσεως δύναμιν.

ξθ'. Ἡ πίστις παραμυθεῖται τὸν νοῦν πολεμούμενον, βοηθείας ἐλπίδι ῥωννύμενον· ἡ δὲ ἐλπίς, ὑπ' ὄψιν ἄγουσα τὴν ἐπαγγελθεῖσαν βοήθειαν, ἀποκρούεται τὴν τῶν ἀντικειμένων καταδρομήν· ἡ δὲ ἀγάπη, νεκρὰ καθίστησι τῷ φιλοθέῳ νῷ τῶν πολεμίων τὴν προσβολήν, τῇ πρὸς Θεὸν ἐφέσει παντελῶς ἀμαυρουμένην.

ο'. Θείας ὄντως μερίδος, ἤγουν γνώσεως ἀληθοῦς υἱὸς πρῶτός τε καὶ μόνος, ὁ κατὰ τὴν πίστιν τῆς ἐν ἡμῖν θείας ἀναστάσεως ἐστὶ λόγος, μετὰ τῆς θέσεως καὶ τὴν γνώμην οἰκονομίας, ἤγουν διακρίσεως, καλῶς διαφέρων τὰς τῶν ἑκουσίων πειρασμῶν ἐπαναστάσεις. καὶ γὰρ πρώτη ἐν ἡμῖν ἀνάστασις τοῦ διὰ τῆς ἀγνοίας ἡμῖν νεκρωθέντος Θεοῦ, ἡ πίστις ἐστί, καλῶς τοῖς ἔργοις τῶν ἐντολῶν οἰκοδομουμένη.

οα'. Ἡ πρὸς Θεὸν ἐπιστροφή, σαφῶς μηνύει δι' ἑαυτῆς τὸν πληρέστατον τῆς θείας ἐλπίδος λόγον· οὗ χωρίς, οὐδαμῶς οὐδενὶ καθοτιοῦν πρὸς Θεὸν ἐπίστασις γίνεσθαι πέφυκεν. εἴπερ ἐλπίδος ἴδιον, τό ὑπ' ὄψιν ἄγειν ὡς παρόντα τὰ μέλλοντα· καὶ μηδαμῶς ἀνιέναι πάθεσι τῶν πολεμουμένων ὑπὸ τῆς ἀντικειμένης δυνάμεως, τὸν ὑπερασπίζοντα Θεόν· ὑπὲρ οὗ, καὶ δι' ὃν ἁγίοις ὁ πόλεμος. χωρὶς γάρ τινος προσδοκίας ἢ δυσχερῶς, ἢ δυσχερῶς, ἐπιστροφὴ πρὸς τὸ καλὸν οὐδενί ποτε πέφυκε γίνεσθαι.

οβ'. Οὐδὲν ὄντως οὕτως ὡς ἡ ἀγάπη συνάγει τὰ ἐσκορπισμένα, καὶ μίαν αὐτοῖς δημιουργεῖ τὴν γνώμην συμπνοίᾳ κρατουμένην· ἧς χαρακτήρ, τὸ τῆς ἰσοτιμίας καθέστηκε κάλλος. οὐκοῦν τῆς ἐπὶ τὸ αὐτὸ περὶ τὸ θεῖον συναγωγῆς τε καὶ ἑνώσεως τῶν ψυχικῶν δυνάμεων· τουτέστι, τῆς λογικῆς, καὶ θυμικῆς, καὶ ἐπιθυμητικῆς, ἡ ἀγάπη καθέστηκε γέννημα· καθ' ἣν ἐγγράφοντες τῇ μνήμῃ τὸ τῆς θείας ὡραιότητος κάλλος, οἱ τὸ ἰσότιμον ἤδη πρὸς Θεὸν διὰ τῆς χάριτος κομισάμενοι, ἀνεπίληστον ἔχουσι· τῆς τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς ὑπομνηματογραφήσας τε καὶ ἐντυπώσας τὸ ἀκήρατον κάλλος, τῆς θείας ἀγάπης τὴν ἔφεσιν.

Πᾶς ὁ τῷ θείῳ κράτει διεζωσμένος, καθάπερ πρεσβυτέρας τινάς, καὶ ἄρχοντας κέκτηται τήν τε λογικὴν δύναμιν, ἐξ ἧς ἡ γνωστικὴ γεννᾶσθαι πέφυκε πίστις, καθ' ἣν ἀεὶ παρόντα τὸν Θεὸν ἀρρήτως διδάσκεται, καὶ ὡς παροῦσι συγγίνεται διὰ τῆς ἐλπίδος τοῖς μέλλουσι· καὶ τὴν ἐπιθυμητικὴν δύναμιν, καθ' ἣν ἡ θεία συνέστηκεν ἀγάπη, δι' ἣν ἑκουσίως προσηλώσας τῷ πόθῳ τῆς ἀκηράτου θεότητος, ἄλυτον ἔχει τοῦ ποθουμένου τὴν ἔφεσιν. ἔτι μὴν καὶ θυμικὴν δύναμιν, καθ' ἣν ἀπρὶξ τῆς θείας εἰρήνης ἀντέχεται, ἐπιστρέφων πρὸς τὸν θεῖον ἔρωτα τῆς ἐπιθυμίας τὴν κίνησιν. ταύτας δὲ ἔχει τὰς δυνάμεις πᾶς ὡς συνεργούσας αὐτῷ πρός τε τὴν τῆς κακίας καθαίρεσιν, καὶ τὴν τῆς κακίας καθαίρεσιν, καὶ τὴν τῆς ἀρετῆς σύστασίν τε, καὶ συντήρησιν. ογ'.

Δίχα λογικῆς δυνάμεως, ἐπιστημονικὴ γνῶσις οὐκ ἔστι· καὶ γνώσεως χωρίς, οὐ συνίσταται πίστις, ἀφ' ἧς τὸ καλὸν γέννημα πρόεισιν ἡ ἐλπίς, καθ' ἣν ὡς παροῦσι συγγίνεται τοῖς μέλλουσιν ὁ πιστός· δίχα τῆς κατ' ἐπιθυμίαν δυνάμεως, οὐ συνίσταται πόθος, οὗ τέλος ἐστὶν ἡ ἀγάπη. τὸ γὰρ ἐρᾶν τινος, ἴδιον ἐστὶν ἐπιθυμίας· καὶ δίχα θυμικῆς δυνάμεως [illegible] τὴν ἐπιθυμίαν πρὸς τὴν τοῦ ἐσθλοῦ ἕνωσιν, οὐδαμῶς γίνεσθαι πέφυκεν εἰρήνη· εἴπερ ἀληθῶς εἰρήνη ἐστὶν ἡ ἀνενόχλητος καὶ παντελὴς τοῦ καταθυμίου κατάσχεσις. οδ'.

Οὐ δεῖ τὸν μὴ πρότερον καθαρθέντα παθῶν, φυσικῆς ἅπτεσθαι θεωρίας, οε'.

διὰ τὰς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

διὰ τὰς εἰκόνας τῶν αἰσθητῶν, δυναμένας τυπῶσαι πρὸς πάθος τὸν νοῦν τοῦ μὴ τελείως ἀπαλλαγέντος παθῶν. ὁ γὰρ κατὰ φαντασίαν ταῖς ἐπιφανείαις τῶν αἰσθητῶν ἐναπομένων διὰ τὴν αἴσθησιν νοῦς, ἀκαθάρτων γίνεται παθῶν δημιουργός, διὰ θεωρίας πρὸς τὰ συγγενῆ νοητὰ μὴ δυνάμενος διαβῆναι.

οϛʹ. Ὁ ἐν καιρῷ τῆς τῶν παθῶν ἐπαναστάσεως γενναίως μύσας τὰς αἰσθήσεις, καὶ τὴν τῶν αἰσθητῶν φαντασίαν τε καὶ μνήμην παντελῶς ἀπωσάμενος, καὶ συστείλας πάντη τὰς τοῦ νοῦ περὶ τὴν τῶν ἐκτὸς ἔρευναν φυσικὰς κινήσεις, κατήσχυνε νικήσας διὰ τῆς θείας χειρὸς τὴν ἐπαναστᾶσαν αὐτῷ πονηράν, καὶ τυραννικὴν δυναστείαν.

οζʹ. Ὅταν ἄνους ὁ λόγος γένηται, καὶ προπετὴς ὁ θυμός, καὶ ἄλογος ἡ ἐπιθυμία, καὶ ἄγνοια, καὶ τυραννὶς καὶ ἀκολασία κρατοῦσι τῆς ψυχῆς, τότε ἡ τῆς κακίας ἕξις ἔμπρακτος γίνεσθαι πέφυκε, συμπλακεῖσα τῇ διαφόρῳ τῶν αἰσθήσεων ἡδονῇ.

οηʹ. Χρὴ τὸν γνωστικῶς τὰς ἀοράτους συμπλοκὰς ὑπαλύσειν ἐπιστάμενον νοῦν, μήτε φυσικὴν μετιέναι θεωρίαν, μήδ᾽ ἄλλο τι ποιεῖν ἐν τῷ καιρῷ τῆς τῶν πονηρῶν δυνάμεων προσβολῆς, ἢ μόνον προσεύχεσθαι, καὶ τὸ σῶμα πόνοις δαμάζειν, καὶ τὴν τοῦ χοϊκοῦ φρονήματος διὰ πάσης σπουδῆς ποιεῖσθαι καθαίρεσιν, καὶ φυλάττειν τὰ τείχη τῆς πόλεως· λέγω δὲ τὰς φρουρητικὰς τῆς ψυχῆς ἀρετάς, ἢ τὰς τῶν ἀρετῶν φυλακτικὰς μεθόδους· ἐγκράτειαν λέγω, καὶ ὑπομονήν· μήπως διὰ τῶν δεξιῶν ἀπατήσας, ἀποστήσῃ Θεοῦ κλέψας τὴν ἔφεσιν, ὁ τὴν ψυχὴν ποτίζων ἀνατροπὴν θολεράν, καὶ διὰ τῶν νομιζομένων καλῶν, πρὸς τὰ χείρονα τὴν τὰ καλὰ ζητοῦσαν ὑποσύρῃ διάνοιαν.

οθʹ. Ὁ γενναίως διὰ τῆς λελογισμένης, καὶ πεισμονικῆς ἐγκρατείας, καὶ ὑπομονῆς μύσας τὰς αἰσθήσεις, καὶ διὰ τῶν κατὰ ψυχὴν δυνάμεων τὰς πρὸς τὸν νοῦν τῶν αἰσθητῶν σχημάτων ἀποτειχίσας εἰσόδους, εὐχερῶς τοῦ διαβόλου τὰς πονηρὰς διαλύσει μηχανάς, ὑποστρέφων αὐτὸν μετ᾽ αἰσχύνης τῇ ὁδῷ ᾗ ἦλθεν. ὁδὸς δὲ δι᾽ ἧς ὁ διάβολος ἔρχεταί ἐστι, τὰ πρὸς σύστασιν τοῦ σώματος εἶναι δοκοῦντα ὑλικά.

πʹ. Νοῦς ἑαυτῷ καὶ φύσιν διὰ μέσου λόγου συνάψας τὴν αἴσθησιν, τὴν ἐκ τῆς φυσικῆς θεωρίας ἀληθῆ συλλέγεται γνῶσιν.

παʹ. Πηγαί εἰσιν ἔξω τῆς πόλεως, πέντε τῆς ψυχῆς· ἃς Ἐζεκίας ἐμφράττει, τὰ αἰσθητὰ πάντα· ὕδατα δὲ τούτων τυγχάνουσι τῶν πηγῶν, τὰ τῶν αἰσθητῶν νοήματα. ποταμὸς δὲ διορίζων διὰ μέσης τῆς πόλεώς ἐστιν, ἡ κατὰ φυσικὴν θεωρίαν ἐκ τῶν αἰσθητῶν νοημάτων συναγομένη γνῶσις, διὰ μέσης διερχομένη τῆς ψυχῆς, ὡς νοῦ, καὶ αἰσθήσεως οὖσα μεθόριος. ἡ γὰρ γνῶσις τῶν αἰσθητῶν, οὔτε πάντη νοερᾶς ἀπεξένωται δυνάμεως, οὔτε ὅλου προσνενέμηται τῇ κατ᾽ αἴσθησιν ἐνεργείᾳ· ἀλλ᾽ οἷον τῆς τε τοῦ νοῦ πρὸς τὴν αἴσθησιν, καὶ πρὸς τὸν νοῦν τῆς αἰσθήσεως συνόδου, μέση τυγχάνουσα, δι᾽ ἑαυτῆς ποιεῖται τὴν πρὸς ἄλληλα τούτων συνάφειαν· κατὰ μὲν τὴν αἴσθησιν, κατ᾽ εἶδος τυπουμένη τοῖς σχήμασι τῶν αἰσθητῶν· κατὰ δὲ τὸν νοῦν, εἰς λόγους τῶν σχημάτων τοὺς τύπους μεταβιβάζουσα. διὸ ποταμὸς διορίζων διὰ μέσης τῆς πόλεως εἰκότως προσηγορεύθη τῶν ὁρωμένων ἡ γνῶσις, ὡς τῶν ἄκρων λέγω δὲ νοῦ καὶ αἰσθήσεως οὖσα μεταίχμιος.

πβʹ. Ὁ κατὰ τὸν καιρὸν τῆς τῶν πειρασμῶν ἐπαναστάσεως, τῆς μὲν φυσικῆς ἀπεχόμενος θεωρίας, τῆς δὲ προσευχῆς κατὰ τὴν ἐκ πάντων πρὸς ἑαυτόν τε, καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸν Θεὸν τῇ τῆς συστολῆς ἀπεχόμενος, ἀποκτείνει τὴν ποιητικὴν τῆς κακίας ἕξιν, καὶ ἀποστρέφει μετ' αἰσχύνης τὸν διάβολον ὑποβαλλόμενον τὴν εἰρημένην ἕξιν, ἐφ' ἧς πεποιθὼς μετὰ τῆς οἰκείας ἀλαζονείας ἦλθε πρὸς τὴν ψυχὴν, διὰ τῶν ὑπερηφάνων λογισμῶν τῆς ἀληθείας κατεπαιρόμενος, ὅπερ τυχὸν καὶ γνοὺς, καὶ παθὼν, καὶ ποιήσας ὁ Μέγας Δαβίδ, ὁ πάντων μάλιστα πεῖραν ἔχων τῆς τῶν νοητῶν πολέμων παρατάξεως, ἐν τῷ συστῆναι, φησὶ, τὸν ἁμαρτωλὸν ἐναντίον μου, ἐκωφώθην, καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν. καὶ μετ' αὐτὸν ὁ θεῖος Ἱερεμίας, προστάττων τῷ λαῷ μὴ ἐκβῆναι τῆς πόλεως, διὰ τὴν κύκλωθεν παροικοῦσαν τῶν ἐχθρῶν ῥομφαίαν.

πγʹ. Καὶ ὁ μακάριος ἴσως Ἄβελ, εἴπερ ἐφυλάξατο καὶ μὴ ἐξῆλθε τῷ Κάϊν ἐν τῷ πεδίῳ· τουτέστιν ἐν τῷ πλάτει τῆς φυσικῆς θεωρίας πρὸ τῆς ἀπαθείας, οὐκ ἂν ἐπαναστὰς, ἀπέκτεινεν αὐτὸν μετὰ δόλου, κλέψας τοῖς δεξιοῖς κατὰ τὴν τῶν ὄντων θεωρίαν πρὸ τῆς τελείας ἕξεως, ὁ τῆς σαρκὸς νόμος, ὁ Κάϊν καὶ ὢν καὶ καλούμενος.

πδʹ. Ὁμοίως καὶ Δεῖνα ἡ τοῦ Μεγάλου θυγάτηρ Ἰακώβ, εἰ μὴ συνεξῆλθε ταῖς θυγατράσι τῶν ἐγχωρίων· τουτέστι, ταῖς αἰσθητικαῖς φαντασίαις, οὐκ ἂν Συχὲμ ὁ υἱὸς Ἐμμὼρ ἐπαναστὰς αὐτὴν ἐταπείνωσεν.

πεʹ. Καλόν ἐστι πρὸ τῆς τελείας ἕξεως μὴ ἅπτεσθαι ἡμᾶς τῆς φυσικῆς θεωρίας, ἵνα μὴ λόγους ἐπιζητοῦντες πνευματικοὺς ἐκ τῶν ὁρωμένων κτισμάτων, λάθωμεν πάθη συλλέγοντες. πλέον γὰρ ἐν τοῖς ἀτελέσι δυναστεύει πρὸς τὴν αἴσθησιν τὰ φαινόμενα σχήματα τῶν ὁρωμένων, ἢ πρὸς τὴν ψυχὴν οἱ κεκρυμμένοι τοῖς σχήμασι λόγοι τῶν γεγονότων. οἱ μέντοι μόνῳ τῷ γράμματι προσδήσαντες Ἰουδαϊκῶς τὴν διάνοιαν, κατὰ τὸν αἰῶνα τοῦτον ἐκδέχονται τὰς ἐπαγγελίας τῶν ἀκηράτων ἀγαθῶν, ἀγνοοῦντες τὰ κατὰ φύσιν τῆς ψυχῆς ἀγαθά.

πςʹ. Ὁ τὴν εἰκόνα φορέσας τοῦ ἐπουρανίου, τῷ πνεύματι διὰ πάντων ἕπεσθαι σπεύδει τῆς ἁγίας γραφῆς, ἐν ᾧ δι' ἀρετῆς καὶ γνώσεως, ἡ τῆς ψυχῆς ὑπάρχει συντήρησις. ὁ δὲ τὴν εἰκόνα φορῶν τοῦ χοϊκοῦ, τὸ γράμμα μόνον περιέπει· ἐν ᾧ ἡ κατ' αἴσθησιν πρὸς σῶμα λατρεία συνέστηκε τὰ πάθη δημιουργοῦσα.

πζʹ. Κράτος Θεοῦ καθέστηκεν, ἡ ἀναιρετικὴ τῶν παθῶν ἀρετὴ, καὶ τῶν ἀσεβῶν φρουρητικὴ λογισμῶν· ἣν γεννᾷ πρᾶξις ἐντολῶν, δι' ἧς τὰς ἀντικειμένας τοῦ ἀγαθοῦ πονηρὰς δυνάμεις, συνεργείᾳ Θεοῦ μᾶλλον δὲ μόνῃ δυνάμει Θεοῦ, διαφθείρομεν. ὕψος δὲ Θεοῦ ἐστιν, ἡ γνῶσις τῆς ἀληθείας, ἣν γεννᾷ τῆς τῶν γεγονότων θεωρίας ὁ πόνος, καὶ οἱ ἐπὶ τῇ πράξει τῶν ἀρετῶν ἱδρῶτες πόνου πατέρες γενόμενοι· δι' ἧς τὴν ἀντικειμένην τῇ ἀληθείᾳ τοῦ ψεύδους δύναμιν παντελῶς ἐξαφανίζομεν, πᾶν ὕψωμα τῶν ἐπαιρομένων κατὰ τῆς γνώσεως τοῦ Θεοῦ πονηρῶν πνευμάτων ταπεινοῦντες καὶ καταβάλλοντες. καὶ γὰρ ὥσπερ ἡ πρᾶξις γεννᾷ τὴν ἀρετὴν, οὕτως ἡ θεωρία τὴν γνῶσιν.

πηʹ. Ἡ ἄληστος γνῶσις, ἀόριστον ἔχουσα περὶ τὴν θείαν ἀπειρίαν τὴν κατὰ νοῦν ὑπὲρ νόησιν κίνησιν, εἰκονίζει διὰ τῆς ἀοριστίας τὴν ὑπεράπειρον δόξαν τῆς ἀληθείας. ἡ δὲ τῆς κατὰ τὴν πρόνοιαν σοφῆς ἀγαθότητος αὐθαίρετος μίμησις, τιμὴν φέρει τὴν πρὸς τὸν Θεὸν τοῦ νοῦ κατὰ τὴν διάθεσιν ἀξίδηλον, ὡς ἔστι δυνατὸν ἐξομοίωσιν.

πθʹ. Ἡ γλῶσσα, τῆς κατὰ ψυχὴν γνωστικῆς ἐστι σύμβολον· ὁ δὲ λάρυγξ, τῆς πρὸς τὸ σῶμα φυσικῆς φιλαυτίας τεκμήριον. ὁ γοῦν ταῦτα ψεκτῶς κολλήσας ἀλλήλοις, μνησθήσεται τῆς κατ' ἀρετὴν καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γνώσιν εἰρήνης ἕξεως οὐ δύναται, τῇ συγχύσει διὰ παντὸς τῶν σωματικῶν ἡδόμενος παθῶν.

ϟ'. Αἱ κατὰ φύσιν ὀρέξεις καὶ ἡδοναὶ, μὴ φέρουσαι τοῖς κεκτημένοις διαβολὴν, ὡς ἀναγκαῖον παρακολούθημα τῆς φυσικῆς ὀρέξεως καθεστήκασιν. ἡδονὴν γὰρ κατὰ φύσιν ποιεῖ καὶ μὴ βουλομένων ἡμῶν, καὶ ἡ τυχοῦσα τροφὴ, προλαβοῦσαν ἔνδειαν παραμυθουμένη· καὶ πόσις ἀποκρουομένη τοῦ δίψους τὴν ἔκλυσιν· καὶ ὕπνος τὴν ἐκ τῆς ἐγρηγόρσεως δαπανηθεῖσαν ἀνανεούμενος δύναμιν. καὶ ὅσα τῶν καθ᾽ ἡμᾶς φυσικῶν ἕτερα τυγχάνει, πρὸς μὲν σύστασιν φύσεως ἀναγκαῖα· πρὸς δὲ κτῆσιν ἀρετῆς, ὑπάρχοντα χρήσιμα τοῖς σπουδαίοις· ἅπερ συμβαίνει παντὶ τῷ φεύγοντι τῆς ἁμαρτίας τὴν σύγχυσιν· ἵνα μὴ δι᾽ αὐτὰ μόνη κρατούμενος εἰς δουλείαν τῶν ἐφ᾽ ἡμῖν, καὶ διαβεβλημένων, καὶ παρὰ φύσιν παθῶν, οὐκ ἐχόντων ἄλλην ἐν ἡμῖν, πλὴν τῆς κινήσεως τῶν κατὰ φύσιν παθῶν, τῶν μηδὲ πεφυκότων πρὸς τὴν ἀθάνατον καὶ μακραίωνα ζωὴν συμμεταβαίνειν ἡμῖν.

ϟα'. Οἱ λόγοι τοῦ Θεοῦ, ψιλῶς κατὰ μόνην λαλούμενοι προφορὰν οὐκ ἀκούονται, φωνὴν τὴν τῶν αὐτοὺς λαλούντων πρᾶξιν οὐκ ἔχοντες· εἰ δὲ τῇ πράξει τῶν ἐντολῶν ἐκφωνοῦνται, τούς τε δαίμονας ἔχουσι τῇ τοιαύτῃ διατηκομένους φωνῇ, καὶ τοὺς ἀνθρώπους τῇ προκοπῇ τῶν ἔργων τῆς δικαιοσύνης, εὐπειθῶς τὸν θεῖον τῆς καρδίας οἰκοδομοῦντας ναόν.

ϟβ'. Ὥσπερ ὁ Θεὸς κατ᾽ οὐσίαν οὐχ ὑποπέπτωκε γνώσει, οὕτως οὔτε ὁ λόγος αὐτοῦ γνώσει τῇ καθ᾽ ἡμᾶς περιλαμβάνεται. ὁ γὰρ τῆς ἁγίας γραφῆς λόγος, κἂν ἐνδέχεται περιγραφὴν κατὰ τὸ γράμμα, τοῖς χρόνοις τῶν ἱστορουμένων πραγμάτων συναπολήγων· ἀλλὰ κατὰ πνεῦμα ταῖς τῶν νοουμένων θεωρίαις μένει διαπαντὸς ἀπερίγραφος.

Χρὴ τὸν γνωστικῶς πρὸς ψυχὴν τὴν ἁγίαν γραφὴν κατὰ Χριστὸν ἐκδεχόμενον, ἀσκηθῆναι φιλοπόνως καὶ τῶν ὀνομάτων τὴν ἑρμηνείαν, αὐτόθεν δυνάμενον ὅλην τὴν τῶν γεγραμμένων σαφηνίσαι διάνοιαν, εἴπερ μέλλοι αὐτοῦ τῆς ἀκριβοῦς τῶν γεγραμμένων κατανοήσεως· ἀλλ᾽ οὐκ Ἰουδαϊκῶς πρὸς σῶμα καὶ γῆν κατάγειν τὸ ὕψος τοῦ Πνεύματος, καὶ τὰς θείας καὶ ἀκηράτους τῶν νοητῶν ἀγαθῶν, τῇ τῶν παρερχομένων φθορᾷ περιγράφειν ἐπαγγελίας. ϟγ'.

Ὥσπερ εὐχή ἐστιν ὑπόσχεσις τῶν ἐξ ἀνθρώπων Θεῷ κατ᾽ ἐπαγγελίαν προσαγομένων καλῶν, οὕτω προσευχὴ κατὰ τὸν εἰκότα λόγον ἔσται σαφῶς, ἡ τῶν ἐκ Θεοῦ πρὸς σωτηρίαν χορηγουμένων τοῖς ἀνθρώποις ἀγαθῶν ἐξαίτησις, ἀντίδοσιν φέρουσα τῆς τῶν προηγουμένων καλῆς διαθέσεως. βοὴ δέ ἐστιν ἡ τῶν κατὰ τὴν πρᾶξιν ἐναρέτων τρόπων, καὶ τῶν κατὰ τὴν θεωρίαν γνωστικῶν θεωρημάτων, ἐν τῷ καιρῷ τῆς τῶν πονηρῶν δαιμόνων ἐπαναστάσεως, ἐπίδοσίς τε καὶ ἐπαύξησις, ἧς πάντων οὐχ ἥκιστα φυσικῶς ἀκούει Θεὸς, ἀντὶ μεγάλης φωνῆς, τὴν τῶν τῆς ἀρετῆς καὶ γνώσεως ἐπιμελουμένων διάθεσιν. ϟδ'.

Ἡ πονηρὰ καὶ ὀλέθριος τοῦ διαβόλου βασιλεία, διὰ τῆς τῶν Ἀσσυρίων τυπουμένη βασιλείας, τὸν κατὰ τῆς ἀρετῆς καὶ τῆς γνώσεως συναγείρασα πόλεμον, διὰ τῶν αὐτῆς ἐμφύτων δυνάμεων τροποῦσθαι μηχανᾶται τὴν ψυχήν. τὴν μὲν ἐπιθυμίαν πρῶτον, εἰς ὄρεξιν τῶν παρὰ φύσιν διερεθίζουσα, καὶ τὰ αἰσθητὰ τῶν νοητῶν προτιμᾶν ἀναπείθουσα· τὸν δὲ θυμὸν ὑπεραγωνίζεσθαι τοῦ αἱρεθέντος ὑπὸ τῆς ἐπιθυμίας, αἰσθητοῦ διεγείρουσα· τὸ δὲ λογικὸν, τοὺς τρόπους ἐπινοεῖν τῶν κατ᾽ αἴσθησιν ἡδονῶν ἐκδιδάσκουσα. ϟε'.

Τῆς ἄκρας ἀγαθότητος ἴδιον, τὸ, μὴ ϟϛ'.
μόνον τὰς θείας καὶ ἀσωμάτους τῶν νοη-

τῶν καλῶν, τῆς ἀπορρήτου καὶ θείας ἀπεικονίσματα κατέστησε δόξης, ὅλην κατὰ τὸ θεμιτὸν ἀναλόγως αὐταῖς εἰσδεχομένας τὴν ἀπερινόητον ὡραιότητα τοῦ ἀπροσίτου κάλλους· ἀλλὰ καὶ τοῖς αἰσθητοῖς, καὶ τῶν νοητῶν οὐσιῶν κατὰ πολὺ ἀποδέουσιν, ἀπηχήματα τῆς οἰκείας ἐγκαταμίξαι μεγαλειότητος, δυνάμενα τὸν ἄνθρωπον τὸν ἐπεχόμενον αὐτοῖς, πρὸς Θεὸν ἀπλανῶς διαπορθμεύειν, ὑπεράνω πάντων τῶν ὁρωμένων γινόμενον, οἷα τῆς ἄκρας ἐπιβάντα μακαριότητος.

ϟζ΄. Πᾶς ὁ τῇ ἀρετῇ καὶ γνώσει κατεστεμμένος, οἷα δὴ κατὰ τὸν Μέγαν Ἐζεκίαν βασιλεύειν λαχὼν τῆς Ἱερουσαλήμ· τουτέστι, τῆς εἰρήνης μόνης ὁράσεως ἕξεως, ἤγουν τῆς παντοίων παθῶν ἐξῃρημένης καταστάσεως. ὅρασις γὰρ εἰρήνης Ἱερουσαλὴμ ἑρμηνεύεται· πᾶσαν ἔχει τὴν κτίσιν ὑποχείριον, διὰ τῶν αὐτὴν συμπληρούντων εἰδῶν· τῷ μὲν Θεῷ, δι᾽ αὐτοῦ τὰς αὐτῇ πνευματικὰς τῆς γνώσεως καθάπερ δῶρα προσκομιζούσας λόγους· αὐτῷ δὲ καθάπερ δόματα, τοὺς ἐνυπάρχοντας αὐτῇ κατὰ τὸν φυσικὸν νόμον πρὸς ἀρετὴν τρόπους παρεχούσας, καὶ διὰ τῶν ἀμφοτέρων δεξιουμένην τὸν κατ᾽ ἀμφότερα κρατίστως εὐδοκιμοῦν δυνάμενον· λέγω δὴ, τὸν κατὰ λόγον, καὶ βίον, διὰ πράξεώς τε καὶ θεωρίας τελειωθέντα φιλόσοφον νοῦν.

ϟη΄. Ὁ διὰ πράξεως καὶ θεωρίας κατορθώσας εἰς ἄκρον τὴν ἀρετὴν καὶ τὴν γνῶσιν, εἰκότως ὑπεραίρεται πάντων τῶν σαρκικῶν καὶ διαβεβλημένων παθῶν, ὑπεράνω κατὰ τὴν πρᾶξιν γινόμενος, καὶ τῶν φυσικῶν λεγομένων σωμάτων, λέγω δὴ, τῶν ὑπὸ γένεσιν ὄντων καὶ φθοράν. καὶ ἁπλῶς ἵνα συνελὼν εἴπω, πάντων τῶν ὑπὸ αἴσθησιν εἰδῶν κατὰ τὴν θεωρίαν, τοὺς ἐν αὐτοῖς πάντας γνωστικῶς διαπεράσας λόγους, τὸν νοῦν ὁ τοιοῦτος πρὸς τὰ συγγενῆ καὶ θεῖα ἀνήγαγεν.

Ὁ τὴν ἀπάθειαν καθάπερ Ἱερουσαλὴμ οἰκεῖν διὰ τῶν κατὰ τὴν πρᾶξιν πόνων λαχὼν, καὶ πάσης τῆς καθ᾽ ἁμαρτίαν ἀπηλλαγμένος ὀχλήσεως, καὶ μόνην εἰρήνην καὶ πράττων, καὶ λαλῶν, καὶ ἀκούων, καὶ λογιζόμενος· μετὰ τὸ δέξασθαι διὰ τῆς φυσικῆς θεωρίας τὴν φύσιν τῶν ὁρατῶν, τοὺς ἐν αὐτῇ θειοτέρους καθάπερ δῶρα τῷ Κυρίῳ δι᾽ αὐτοῦ προσκομιζούσαν λόγους, καὶ τοὺς ἐν αὐτῇ νόμους αὐτοῦ καθάπερ βασιλεῖ δόγματα φέρουσαν, κατ᾽ ὀφθαλμοὺς ἐπαίρεται πάντων τῶν ἐθνῶν, ὑπεράνω γινόμενος πάντων, δηλονότι τῶν τε κατὰ σάρκα παθῶν διὰ τῆς πράξεως, τῶν τε φυσικῶν σωμάτων, καὶ τῶν ὑπὸ τὴν αἴσθησιν πάντων εἰδῶν διὰ τῆς θεωρίας, τοὺς ἐν αὐτοῖς πνευματικοὺς διαβὰς λόγους τε, καὶ τρόπους. ϟθ΄.

Ἡ πρακτικὴ φιλοσοφία, τὸν πρακτικὸν ὑπεράνω ποιεῖ τῶν παθῶν. ἡ θεωρία δὲ, τὸν γνωστικὸν, ὑπεράνω τῶν ὁρωμένων καθίστησιν, ἀναβιβάζουσα τὸν νοῦν πρὸς τὰ συγγενῆ νοητά. ρ΄.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ
# ἙΚΑΤΟΝΤΆΣ ΠΈΜΠΤΗ.

α'. Ὁ μετὰ πράξεως γινώσκων, καὶ μετὰ γνώσεως πράττων, θρόνος καὶ ὑποπόδιόν ἐστι τοῦ Θεοῦ· θρόνος μὲν, διὰ τὴν γνῶσιν· ὑποπόδιον δὲ, διὰ τὴν πρᾶξιν. εἰ δὲ καὶ τὸν ἀνθρώπινον νοῦν φαίη τις εἶναι οὐρανὸν, πάσης ὑλικῆς καθαιρόμενον φαντασίας, τοῖς δὲ θείοις τῶν νοητῶν ἐνσχολούμενον μᾶλλον δὲ κατακοσμούμενον λόγοις, οὐκ ἔξω τῆς ἀληθείας ἔμοιγε δοκεῖ·

β'. Πᾶς φιλόσοφος, δηλονότι, καὶ εὐσεβὴς, ἀρετῇ καὶ γνώσει, ἢ πράξει καὶ θεωρίᾳ φρουρούμενος, ἐπειδὰν ἴδῃ διὰ τῶν παθῶν ἐπαναστᾶσαν αὐτῷ τὴν πονηρὰν δύναμιν, καθάπερ τῷ Ἐζεκίᾳ ὁ τῶν Ἀσσυρίων βασιλεὺς, μίαν ἔχει πρὸς τὴν τῶν κακῶν λύσιν βοήθειαν, τὸν Θεὸν, ὃν ἱλεοῦται βοῶν ἀλαλήτως διὰ τῆς κατὰ τὴν ἀρετὴν καὶ γνῶσιν πλείονος ἐπιτάσεως· καὶ δέχεται πρὸς συμμαχίαν, μᾶλλον δὲ πρὸς σωτηρίαν, Ἄγγελον, δηλονότι, μείζονα σοφίας καὶ γνώσεως λόγον, ἐκτρίβοντα πᾶσαν δύναμιν, καὶ πολεμιστὴν, καὶ ἄρχοντα, καὶ στρατηγὸν ἐν τῇ παρεμβολῇ.

γ'. Παντὸς πέφυκε πάθους ἄρχειν τὸ προσφυὲς αἰσθητόν. οὐδὲ γάρ τινος ὑποκειμένου, καὶ τὰς δυνάμεις τῆς ψυχῆς διὰ μέσης τινὸς αἰσθήσεως ἐπικινοῦντος πρὸς ἑαυτὸ, πάθος οὐκ ἂν συσταίη ποτέ. χωρὶς γὰρ αἰσθητοῦ πράγματος, πάθος οὐ συνίσταται. μὴ γὰρ οὔσης γυναικὸς, οὐκ ἔστι πορνεία· καὶ βρωμάτων, οὐκ ἔσται γαστριμαργία· καὶ χρυσοῦ μὴ ὄντος, οὐκ ἔσται φιλαργυρία. οὐκοῦν πάσης ἐμπαθοῦς κινήσεως τῶν ἐν ἡμῖν φυσικῶν δυνάμεων ἄρχει τὸ αἰσθητὸν, ἤγουν, δι' αὐτοῦ τὴν ψυχὴν ἐρεθίζων πρὸς ἁμαρτίαν δαίμων.

δ'. Ἡ θλῖψις, τὴν ἐνέργειαν· ἡ ἔκτριψις δὲ, καὶ αὐτὴν ἀφανίζει τῆς κακίας τὴν ἐνθύμησιν. ἡ μὲν γὰρ θλῖψις, τῆς ἐμπαθοῦς κατ' ἐνέργειαν μόνης ὑπάρχει πράξεως κατάργησις· ἡ δὲ ἔκτριψις, καὶ τῶν κατὰ διάνοιαν πονηρῶν κινημάτων παντελής ἐστιν ἀφανισμός.

ε'. Μέσα εἰσὶ Θεοῦ καὶ ἀνθρώπων τὰ αἰσθητὰ καὶ τὰ νοητά· ὧν ὑπεράνω γίνεται χωρῶν πρὸς Θεὸν ὁ ἀνθρώπινος νοῦς. τοῖς μὲν αἰσθητοῖς κατὰ τὴν πρᾶξιν μὴ δουλούμενος· τοῖς δὲ νοητοῖς κατὰ τὴν θεωρίαν μηδόλως κρατούμενος.

ς'. Κατήγορος ἡ κτίσις γίνεται τῶν ἀσεβῶν ἀνθρώπων. διὰ μὲν τῶν ἐν αὐτοῖς λόγων, τὸν ἑαυτῆς κηρύττουσα ποιητήν· διὰ δὲ τῶν ἐν αὐτῇ κατ' εἶδος ἕκαστον φυσικῶν νόμων, πρὸς ἀρετὴν παιδαγωγοῦσα τὸν ἄνθρωπον. οἱ μὲν οὖν λόγοι, ἐν τῇ συνοχῇ τῆς καθ' ἕκαστον εἴδους γνωρίζονται μονιμότητος· οἱ δὲ νόμοι, ἐν τῇ ταυτότητι φαίνονται τῆς τοῦ καθ' ἕκαστον εἴδους φυσικῆς ἐνεργείας· οἷς μὴ ἐπιβάλλοντες κατὰ τὴν ἐν ἡμῖν νοερὰν δύναμιν, τήν τε τῶν ὄντων ἠγνοήσαμεν αἰτίαν, καὶ πᾶσι τοῖς παρὰ φύσιν προσετήκαμεν πάθεσι.

ζ'. Δῶρα τῷ Θεῷ προσφέρεσθαι παρ' ἡμῶν ὁ λόγος διακελεύεται, ἵνα παραστήσῃ τὸ τῆς θείας ἀγαθότητος ἄπειρον, ὡς μηδὲν προσενεγκούσης, δέχεται παρ' ἡμῶν ὡς δῶρα τὰ δόματα, τὸ πᾶν ἡμῖν λογιζομένης τῆς εἰσφορᾶς· πολλὴν καὶ ἄφατον εἶναι περὶ ἡμᾶς δεικνύων τοῦ Θεοῦ τὴν ἀγαθότητα, δεχομένης ὡς ἡμῶν τὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἑαυτοῦ, ἐξ ἡμῶν αὐτῷ προσφερόμενα, καὶ τὴν ὑπὲρ αὐτῶν ὡς ἀλλοτρίων ὀφειλὴν ὁμολογοῦντος.

η΄. Ὁ ἄνθρωπος τοὺς πνευματικοὺς τῶν ὁρωμένων λόγους κατανοῶν, διδάσκεται ὡς ἔστι τις τῶν φαινομένων ποιητής· τὴν τοῦ ὁποῖός ἐστιν ἔννοιαν, ὡς ἀνέφικτον ἀφεὶς ἀνεξέταστον. τὴν γὰρ ὅτι ποιητής, ἀλλ' οὐχ ὁποῖός ἐστιν ὁ ποιητής, ὁρωμένη σαφῶς ἡ κτίσις, παρέχει κατάληψιν.

θ΄. Ὀργὴ Θεοῦ ἐστιν, ἡ τῶν παιδαγωγουμένων ἐπίπονος αἴσθησις· ἐπίπονος δὲ καθέστηκεν αἴσθησις, ἡ τῶν ἀκουσίων πόνων ἐπαγωγή, δι' ἧς τὸν ἐπ' ἀρετῇ καὶ γνώσει φυσιούμενον νοῦν ὁ Θεὸς ἄγει πολλάκις πρὸς συστολὴν καὶ ταπείνωσιν· αὐτὸν ἑαυτοῦ γενέσθαι διδοὺς ἐπιγνώμονα, καὶ τῆς οἰκείας ἀσθενείας συνίστορα· ἧς ἐπαισθόμενος, τὸ μάταιον οἴδημα τῆς καρδίας ἀποτίθεται.

ι΄. Ὀργὴ Κυρίου ἐστίν, ἡ ἀνακοπὴ τῆς τῶν θείων χαρισμάτων χορηγίας· ἥτις συμφερόντως ἐπὶ πάντα γίνεται νοῦν ὑψηλὸν καὶ μετέωρον· καὶ τοῖς δοθεῖσιν αὐτῷ θεόθεν καλοῖς, ἐπ' ἰδίοις κατορθώμασι μεγαλαυχούμενον.

ια΄. Πᾶς γνωστικὸς καὶ φιλόσοφος νοῦς, καὶ τὴν Ἰουδαίαν ἔχει καὶ τὴν Ἱερουσαλήμ· τὴν μὲν Ἰουδαίαν, ὡς πρακτικὴν φιλοσοφίαν· τὴν δὲ Ἱερουσαλήμ, ὡς θεωρητικὴν μυσταγωγίαν. ὁπηνίκα οὖν διὰ τῆς θείας χάριτος, ὁ φιλόθεος νοῦς, κατά τε τὴν πρακτικήν, καὶ θεωρητικὴν φιλοσοφίαν πᾶσαν ἀντικειμένην ἀρετῇ καὶ γνώσει διακρουσάμενος δύναμιν, τελείως τὸ κατὰ τῶν πνευμάτων τῆς πονηρίας ἀναδήσηται κράτος, καὶ μὴ τὴν δέουσαν εὐχαριστίαν ἀναθῆται τῷ αἰτίῳ τῆς νίκης Θεῷ, ἀλλ' ὑψωθῇ τὴν καρδίαν, ἑαυτὸν τοῦ παντὸς κατορθώματος ἡγησάμενος αἴτιον· τηνικαῦτα ὡς μὴ ἀνταποδοὺς τῷ Θεῷ κατὰ τὸ ἀνταπόδομα ὃ ἀνταπέδωκεν αὐτῷ, δέχεται οὐ μόνον αὐτὸς γινομένην ἐπ' αὐτὸν τὴν ὀργὴν τῆς ἐγκαταλείψεως, ἀλλὰ καὶ Ἰουδαία καὶ Ἱερουσαλήμ· τουτέστιν ἡ τῆς πράξεως ἕξις, καὶ τῆς θεωρίας· παθῶν ἀτιμίας ἀδείως· συγχωρήσει Θεοῦ· κατεπανισταμένων τῆς πράξεως, καὶ τὴν τέως καθαρὰν μολυνόντων συνείδησιν· καὶ ψευδῶν ἐννοιῶν συνεπιπλεκομένων τῇ θεωρίᾳ τῶν ὄντων, καὶ τὴν τέως ὀρθὴν διαστρεφουσῶν δόξαν τῆς γνώσεως. τὸν γὰρ ἐπαιρόμενον ἐπὶ πράξει, παθῶν ἀτιμία διαδέχεται· τὸν δὲ ἐπὶ γνώσει ὑψούμενον, περὶ τὴν ἀληθῆ θεωρίαν πταίειν ἡ δικαία κρίσις συγχωρεῖ.

ιβ΄. Θεῖος ὡς ἀληθῶς ὅρος τε καὶ νόμος κατὰ τὴν πρόνοιαν ἐνυπάρχει τοῖς οὖσι, παιδεύεσθαι διὰ τῶν ἐναντίων ἐπιξένων πρὸς εὐγνωμοσύνην τοὺς ἐπὶ κρείττοσι φανέντας ἀγνώμονας, καὶ τὴν πεῖραν τῶν ἀντικειμένων, τῆς τῶν καλῶν κατορθωτικῆς θείας ἐπίγνωσιν ποιεῖσθαι δυνάμεως· ὡς ἂν μὴ παντελῶς ἐπὶ τοῖς ἀμείνοσιν ἀκαθαίρετον παρὰ τῆς προνοίας ἔχειν συγχωρηθέντες τὴν οἴησιν, εἰς τὴν ἀντίθετον τῆς ὑπερηφανίας διάθεσιν κατολισθήσωμεν, ἑαυτῶν κατὰ φύσιν, ἀλλ' οὐκ ἐπίκτητον χάριτι τὴν τῆς ἀρετῆς καὶ τῆς γνώσεως κτῆσιν εἶναι νομίζοντες· καὶ εὑρεθῶμεν τῷ καλῷ πρὸς τὴν τοῦ κακοῦ χρώμενοι γένεσιν· καὶ δι' ὧν ἔδει πλέον διασφιγχθεῖσαν ἐν ἡμῖν ἀσάλευτον μένειν τὴν θείαν ἐπίγνωσιν, δι' ἐκείνων ὡς οὐκ ὄφελον τὴν ταύτης νοσήσαντες ἄγνοιαν.

ιγ΄. Ὅρους καὶ νόμους ἐνυπάρχοντας θείους τοῖς οὖσιν ἴσμεν, τὴν τῶν ὄντων συνεκτικὴν πρόνοιαν, κατὰ κρίσιν δικαίαν τῇ στερήσει τῶν ἀγαθῶν παιδεύουσαν πρὸς εὐγνωμοσύνην τοὺς ἐπὶ τῇ ἀφθονίᾳ τῶν ἀγαθῶν πρὸς τὸν ταύτης χορηγὸν φανέντας ἀγνώμονας, διὰ τῶν ἐναντίων αὐτοὺς πρὸς συναίσθησιν ἄγουσαν, τῆς τοῦ χαριζομένου τὰ καλὰ διαγνώσεως. ἡ ἐπ' ἀρετῇ γὰρ οἴησις, ἀπαιδαγώγητος μέ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ποῖα, τὸ τῆς ὑπερηφανίας γεννᾶν πέφυκε νόσημα, τὸ τὴν ἀντικειμένην τῷ Θεῷ φέρον διάθεσιν.

ιδ'. Ὁ οἰόμενος ἑαυτὸν κατειληφέναι τὸ τέλος τῆς ἀρετῆς, οὐδαμῶς ζητήσει λοιπὸν τὴν πηγαίαν τῶν καλῶν αἰτίαν, ἑαυτῷ μόνῳ περιγράψας τὴν τῆς ἐφέσεως δύναμιν, καὶ αὐτὸν τῆς σωτηρίας τὸν ὅρον, ὑφ' ἑαυτοῦ, φημὶ δὲ τὸν Θεόν, ζημιούμενος. ὁ δὲ τῆς ἑαυτοῦ περὶ τὰ καλὰ φυσικῆς συναισθόμενος πενίας, οὐ παύεται προτροπάδην τρέχων πρὸς τὸν δοῦναι δυνάμενον τῆς ἐνδείας τὴν πλήρωσιν.

ιε'. Ὁ τὴν ἀπειρίαν τῆς ἀρετῆς διαγνούς, οὐδέποτε τοῦ κατ' αὐτὴν παύεται δρόμου, ἵνα μὴ ζημιωθῇ αὐτὴν τῆς ἀρετῆς τὴν ἀρχὴν καὶ τὸ τέλος, τὸν Θεὸν λέγω, περὶ ἑαυτὸν στήσας τὴν κίνησιν τῆς ἐφέσεως· καὶ λάθῃ νομίζων ἐπειλῆφθαι τῆς τελειότητος, ζημιούμενος τοῦ ἀληθῶς ὄντος τὴν ἔκπτωσιν, πρὸς ὅπερ ἐπείγεται πᾶσα σπουδαίου ἡ κίνησις.

ιϛ'. Γίνεται δικαίως ἐπὶ τὸν ὑψηλόφρονα Θεοῦ ὀργή· τουτέστιν, ἐγκατάλειψις, καθὰ εἴρηται· ἤγουν ἡ τοῦ διοχληθῆναι αὐτὸν κατά τε τὴν θεωρίαν ὑπὸ δαιμόνων συγχώρησις· ἵνα λάβῃ, τῆς μὲν ἑαυτοῦ φυσικῆς ἀσθενείας συναίσθησιν· τῆς δὲ σκεπούσης αὐτόν, καὶ τὸ πᾶν κατορθούσης τῶν ἀγαθῶν, θείας δυνάμεώς τε καὶ χάριτος τὴν ἐπίγνωσιν· καὶ ταπεινωθῇ πόρρω παντελῶς ἑαυτοῦ τὸ ἀλλόκοτον καὶ παραφύσιν ὕψος ποιούμενος· ὥστε μὴ ἐπελθεῖν ἐπ' αὐτὸν τὴν ἄλλην ὀργήν, τῆς τῶν δοθέντων χαρισμάτων ἀφαιρέσεως, ταπεινωθέντα καὶ γενόμενον τῆς τοῦ παρέχοντος τὰ καλὰ συναισθήσεως.

ιζ'. Ὁ μὴ σωφρονισθεὶς τῷ πρώτῳ εἴδει τῆς ὀργῆς, ἤγουν ἐγκαταλείψεως ἐλθεῖν πρὸς ταπείνωσιν, ἡγησάμενος αὐτὴν τῆς καλῆς ἐπιγνωμοσύνης διδάσκαλον, τὴν ἄλλην δέχεται σαφῶς ἐπ' αὐτὸν ἐρχομένην ὀργήν, ἀφαιρουμένην αὐτοῦ τὴν τῶν χαρισμάτων ἐνέργειαν, καὶ ἔρημον αὐτὸν καθιστῶσαν τῆς τέως φρουρούσης δυνάμεως. ἀφελῶ γάρ, φησί, τὸν φραγμὸν αὐτοῦ, περὶ τοῦ ἀγνώμονος Ἰσραὴλ ὁ Θεὸς λέγων, καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα· καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδὲ μὴ σκαφῇ· καὶ ἀναβήσεται εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθα, καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτόν.

ιη'. Ἔτι πρὸς ἀσέβειαν πρώτης καθέστηκεν ὁδός, ἡ περὶ τὴν ζημίαν τῶν ἀρετῶν ἀναισθησία. ὁ γὰρ ἐθίσας ἑαυτὸν διὰ τὰς ἡδονὰς τῆς σαρκός, Θεοῦ παρακούειν, καὶ αὐτὸν ἀρνήσεται τὸν Θεόν, καλούσης προφάσεως· Θεοῦ τὴν σαρκὸς ζωὴν προτιμῶν, ἧς καὶ μόνης τὰς ἡδονὰς τῶν θείων κρείττους ἔγνωκε θελημάτων.

ιθ'. Ὅταν τι καθ' οἱονδήποτε τρόπον τὸν νοῦν πεπονθέναι νομίσωμεν, τῷ τοιούτῳ νοΐ, τήν τε πρακτικὴν αὐτοῦ καὶ θεωρητικὴν δύναμιν, κατὰ τοὺς φυσικοὺς αὐτῶν λόγους συμπεπονθέναι πάντως πιστεύσωμεν. οὐ γὰρ ἔστι δυνατὸν παθεῖν τὸ ὑποκείμενον, τῶν ἐν ὑποκειμένῳ μὴ πασχόντων· ὑποκείμενον δὲ λέγω, τὸν νοῦν, ὡς ἀρετῆς καὶ γνώσεως δεκτικόν· ἐν ὑποκειμένῳ δέ, τὴν πρᾶξιν καὶ τὴν θεωρίαν, αἵτινες πρὸς τὸν τοῦ συμβεβηκότων λόγον ἐπέχουσι· διὸ κατὰ πάντα τρόπον καὶ συμπάσχουσι πάσχοντι, τὴν αὐτοῦ ποιὰν κίνησιν, ἀρχὴν τῆς οἰκείας ἀλλοιώσεως ἔχουσαι.

κ'. Πᾶς θεοφιλὴς καὶ ἐνάρετος ἄνθρωπος, κατὰ τὸν Ἐζεκίαν, γνωστικῶς τὸ κατὰ τῶν δαιμόνων διαζωσάμενος κράτος, ἂν γένηταί τις αὐτῷ προσβολὴ πνευμάτων πονηρῶν, ἀοράτως καὶ τῶν πρὸς αὐτὸν συμπλεκόντων τὸν πόλεμον, καὶ διὰ προσευχῆς δέχεται θεόθεν αὐτῷ πεμπόμενον Ἄγγελον· λέγω δὲ σοφίας λόγον μείζονα,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ πᾶσαν ἐκτρίψας διασκεδάσῃ τοῦ διαβόλου τὴν φάλαγγα· καὶ τῆς τοιαύτης νίκης τε καὶ σωτηρίας αἴτιον τὸν Θεὸν μὴ ἐπιγράψηται, ἀλλ' ἑαυτῷ τὴν ὅλην ἀναθῆται νίκην, ὁ τοιοῦτος, οὐκ ἀνταπέδωκε τῷ Θεῷ κατὰ τὸ ἀνταπόδομα αὐτοῦ, μὴ ἐξισώσας τῷ μεγέθει τῆς σωτηρίας, τὸ πλῆθος τῆς εὐχαριστίας, μηδὲ τῇ εὐεργεσίᾳ τοῦ σώσαντος, ἀντιμετρήσας τὴν οἰκείαν διάθεσιν.

κα'. Φωτίσωμεν τὸν νοῦν τοῖς θείοις νοήμασι· τὸ δὲ σῶμα, τοῖς τῶν νοηθέντων θειοτέρων λόγων τρόποις φαιδρύνωμεν, ἀρετῆς αὐτὸ ποιοῦντες λογικὸν ἐργαστήριον, τῇ ἀποβολῇ τῶν παθῶν. τὰ γὰρ ἔμφυτα πάθη τοῦ σώματος, λόγῳ μὲν κυβερνώμενα, οὐκ ἔχει διαβολήν· κινούμενα δὲ τούτου χωρίς, φέρει διαβολήν·

σχόλ. τούτων οὖν (λέγει) γίνεσθαι δεῖ ἀποβολήν, ὧν ἔμφυτος μὲν ἡ κίνησις, παρὰ φύσιν δὲ γίνεται πολλάκις ἡ χρῆσις, λόγῳ μὴ κυβερνωμένη.

κβ'. Πᾶς ὁ ὑψώσας ἑαυτοῦ τὴν καρδίαν, ἐφ' οἷς ἔλαβε χαρίσμασι, μέγα φρονήσας, ὡς μὴ λαβών, ἐνδίκως δέχεται γινομένην ἐπ' αὐτῷ τὴν ὀργήν· συγχωροῦντος τοῦ Θεοῦ τῷ διαβόλῳ νοητῶς αὐτῷ συμπλακῆναι· καὶ τοὺς κατὰ τὴν πρᾶξιν παρασαλεῦσαι τρόπους τῆς ἀρετῆς, καὶ τοὺς κατὰ θεωρίαν διαυγεῖς ἐπιθολῶσαι λόγους τῆς γνώσεως, ἵνα μαθὼν τὴν οἰκείαν ἀσθένειαν, ἐπιγνῷ τὴν μόνην δύναμιν, τὴν τὰ πάθη ἐν ἡμῖν καταπαλαίουσαν, καὶ ταπεινωθῇ μετανοήσας τὸν ὄγκον ἀποβαλὼν τῆς οἰήσεως, καὶ τὸν Θεὸν ἱλεώσηται, καὶ ἀποστρέψῃ τὴν ἐπερχομένην τοῖς μὴ μετανοοῦσιν ὀργήν, τὴν ἀφαιρουμένην τὴν φρουροῦσαν τὴν ψυχὴν χάριν, καὶ ἔρημον καταλιμπάνουσαν τὸν ἀγνώμονα νοῦν.

κγ'. Ὀργὴ σωτήριός ἐστιν, ἡ πρὸς τὸ πολεμεῖσθαι τὸν ὑψηλόφρονα νοῦν τοῖς πάθεσιν ὑπὸ τῶν δαιμόνων, θείᾳ συγχωρήσει· ἵνα γνοὺς πάσχων ἀτίμως, ἐπ' ἀρεταῖς μεγαλαυχούμενος, τίς ὁ τούτων ὑπάρχει δοτήρ· ἢ γένηται τῶν ἀλλοτρίων γυμνός, ἅπερ ὡς μὴ λαβών, ἔχειν ἐνόμιζε.

Μακάριος καὶ ὄντως ἐκεῖνος ὁ νοῦς, ὁ τοῖς οὖσιν ἅπασιν ἐπαινετῶς ἀποθανών. κδ'.
τοῖς μὲν αἰσθητοῖς, τῇ ἀποθέσει τῆς κατ' αἴσθησιν ἐνεργείας· τοῖς δὲ νοητοῖς, τῇ τῆς νοερᾶς ἀποπαύσει κινήσεως. σημείωσαι δέ, ὅτι τὸν θάνατον ἐπαινούμενον
(λέγει,) τὴν πρὸς πάντα τὰ ὄντα γνωμικὴν ἀπογένεσιν, μεθ' ἣν τὴν θείαν χάριτι ζωὴν ὑποδέχεσθαι πέφυκεν· ἀντὶ τῶν ὄντων, τὸ αἴτιον τῶν ὄντων ἀνεννοήτως ἀπολαβών. σχόλ.

Μακάριος ὁ συνάψας τὸ μὲν πρακτικόν, τῷ κατὰ φύσιν ἀγαθῷ· τὸ δὲ θεωρητικόν, τῇ κατὰ φύσιν ἀληθείᾳ. πᾶσα γὰρ πρᾶξις, διὰ τὸ ἀγαθὸν γίνεσθαι πέφυκε· καὶ πᾶσα θεωρία, τὴν γνῶσιν διὰ μόνην ζητεῖ τὴν ἀλήθειαν· ὧν διανυσθέντων, οὐδὲν ἔσται τὸ σύνολον τὸ πλῆττον τῆς ψυχῆς τὸ πρακτικόν, ἔτι μὴν τὸ θεωρητικὸν αὐτῆς διαξέον * δριμύττον θεωρημάτων· παντὸς ἐπέκεινα γενομένης καὶ ὄντος καὶ νοουμένης, καὶ εἰς αὐτὸν εἰσδυσάσης τὸν Θεὸν τὸν μόνον ἀγαθόν, καὶ ἀληθινόν, καὶ ὑπὲρ πᾶσαν οὐσίαν ὄντα, καὶ νόησιν. κε'.

Ἴσ. ἔτι μὴν δριμὺ τῶν θεωρημάτων τὸ θεωρητικὸν αὐτῆς ἀποξέον.

κς'. Πρακτικῆς ἀρετῆς τέλος εἶναι φασί, τὸ ἀγαθόν· τοῦτο δέ, θείας ἐνεργείας ὑπάρχει συμπλήρωσις, πρὸς ἣν ἄγει τὸ λογικὸν τῆς ψυχῆς, τῷ θυμῷ καὶ τῇ ἐπιθυμίᾳ χρώμενον κατὰ φύσιν· ἐν ᾧ τὸ καθ' ὁμοίωσιν ἀναφαίνεσθαι πέφυκε κάλλος. Θεωρητικῆς δέ φασι φιλοσοφίας εἶναι τὴν ἀλήθειαν τέλος· ἥτις ἀμερῶς τῶν περὶ Θεὸν ἁπάντων ἑνοειδής ἐστι γνῶσις, πρὸς ἣν ὁ καθαρὸς φέρεται νοῦς· ἀποσβέσας ἑαυτοῦ παντελῶς τὴν κατ' αἴσθησιν κρίσιν· ἐν ᾗ γνώσει δηλονότι, ἀκίβδηλον τὸ τῆς θείας εἰκόνος ἀξίωμα δείκνυται.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κζ'. Οὐδεὶς δύναται τὸν Θεὸν εὐλογεῖν ἀληθῶς, μὴ τὸ σῶμα καθαγιάσας ταῖς ἀρεταῖς, καὶ τὴν ψυχὴν καταφωτίσας ταῖς γνώσεσιν. ἡ γὰρ κατ' ἀρετὴν διάθεσις, πρόσωπόν ἐστι τοῦ θεωρητικοῦ νοός, ὡς εἰς ὁρατὸν πρὸς τὸ ὕψος τῆς ἀληθινῆς ἐπαιρόμενον γνώσεως.

κη'. Μακάριος ὁ ἐν ἀληθείᾳ εἰδώς, ὅτι πᾶσαν ἐν ἡμῖν ὡς ὀργάνοις ὁ Θεὸς ἐπιτελεῖ πρᾶξιν καὶ θεωρίαν, ἀρετήν τε καὶ γνῶσιν, καὶ νίκην καὶ σοφίαν, καὶ ἀγαθότητα καὶ ἀλήθειαν, μηδὲν ἡμῶν συνεισφερόντων τὸ σύνολον, πλὴν τῆς θελούσης τὰ καλὰ διαθέσεως· ἣν ἔχων ὁ μέγας Ζοροβάβελ, πρὸς τοῖς εἰρημένοις φησίν, Εὐλογητὸς εἶ, πρὸς τὸν Θεὸν λέγων, ὃς ἔδωκάς μοι σοφίαν, καὶ σοὶ ὁμολογῶ Δέσποτα τῶν Πατέρων· παρὰ σοῦ ἡ νίκη, καὶ παρὰ σοῦ ἡ σοφία, καὶ σοῦ ἡ δόξα, καὶ ἐγὼ σὸς οἰκέτης. ὡς εὐγνώμων ὄντως οἰκέτης, πάντα τῷ Θεῷ ἀνέθετο τῷ πάντα δωρησαμένῳ, ἐξ οὗ λαβὼν εἶχε τὴν σοφίαν, αὐτῷ ὁμολογῶν ὡς Δεσπότῃ Πατέρων τῶν κεχαρισμένων ἀγαθῶν τὴν δύναμιν, ἥπερ ἐστίν, ἕνωσις νίκης, ὡς εἴρηται, καὶ σοφίας, ἀρετῆς τε καὶ γνώσεως, πράξεως καὶ θεωρίας, ἀγαθότητος καὶ ἀληθείας. αὗται γὰρ ἀλλήλαις ἑνούμεναι, μίαν ἀπαστράπτουσι δόξαν καὶ αὐγὴν Θεοῦ.

κθ'. Πάντα τὰ τῶν ἁγίων κατορθώματα, Θεοῦ προδήλως ὑπάρχει χαρίσματα· μηδενὸς τὸ παράπαν ἔχοντος μηδέν, ἢ τὸ δοθὲν ἀγαθόν· ὡς παρὰ Δεσπότου τοῦ Θεοῦ, πρὸς ἀναλογίαν τῆς εὐγνωμοσύνης τε καὶ εὐνοίας τοῦ δεχομένου μετρούμενον· κἀκεῖνα μόνα κεκτημένου, ὅσα τῷ Δεσπότῃ δωρουμένῳ παρίσταται.

λ'. Ὁ τῆς ἀρετῆς καὶ τῆς γνώσεως προϊστάμενος νοῦς, καὶ τῆς κακῆς τῶν παθῶν δουλείας τὴν ψυχὴν στερηθῆναι βεβουλημένος, φησίν, ὑπερισχύουσιν αἱ γυναῖκες, καὶ ὑπερνικᾷ ἡ ἀλήθεια. γυναῖκας μὲν εἰπών, τὰς θεοποιοὺς ἀρετάς, ἐξ ὧν ἡ πρὸς Θεὸν καὶ ἀλλήλους τοῖς ἀνθρώποις ἑνοποιὸς ἀγάπη συνέστηκεν· ἁπάντων τὴν ψυχὴν ἐξαρπάζουσα τῶν ὑπὸ γένεσιν καὶ φθοράν, καὶ τῶν ὑπὲρ αὐτὰ νοητῶν οὐσιῶν, καὶ αὐτῷ τῷ Θεῷ κατ' ἐρωτικήν τινα σύγκρασιν περιπλέκουσα, καθ' ὅσον ἐστὶ δυνατὸν ἀνθρωπίνῃ φύσει, καὶ τὴν ἄχραντον καὶ θείαν μυστικῶς δημιουργοῦσα συμβίωσιν. ἀλήθειαν δὲ φήσας, τὴν μόνην καὶ μίαν αἰτίαν τῶν ὄντων, καὶ ἀρχήν, καὶ βασιλείαν, καὶ δύναμιν καὶ δόξαν, ἐξ ἧς καὶ δι' ἣν πάντα γέγονέ τε καὶ γίνεται, καὶ πρὸς τὸ εἶναι ὑπ' αὐτῆς καὶ δι' αὐτῆς συγκροτεῖται· καὶ ὑπὲρ ἧς πᾶσα τοῖς φιλοθέοις ἐστὶ σπουδή τε καὶ κίνησις.

Διὰ μὲν τῶν γυναικῶν, τὸ τέλος
ἐνεδείξατο τῶν ἀρετῶν, τὴν ἀγάπην· λα'.
ὅπερ ἐστὶν ἡ κατ' ἔφεσιν τοῦ φύσει ἀγαθοῦ τῶν μετεχόντων ἀδιάπτωτος ἡδονὴ καὶ ἀδιαίρετος ἕνωσις· διὰ δὲ τῆς ἀληθείας, τὸ πέρας πασῶν ἐπεσήμανε τῶν γνώσεων, καὶ αὐτῶν πάντων τῶν γινωσκομένων· εἰς ὅπερ, ὡς ἀρχὴν καὶ πέρας πάντων τῶν ὄντων, αἱ κατὰ φύσιν κινήσεις γνωστικῷ τινι λόγῳ συνέλκονται· πάντα νικώσης κατὰ φύσιν ὡς ἀληθείας τῆς τῶν ὄντων ἀρχῆς καὶ αἰτίας, καὶ πρὸς ἑαυτὴν συνελκούσης τῶν γεγονότων τὴν κίνησιν.

Τῇ καθ' ὑπεροχὴν στερήσει τῶν πολ- λβ'.
λῶν, ὡς ἓν καὶ μόνον ἡ ἀλήθεια πέφυκεν ἀναφαίνεσθαι, καλύπτουσα πάντων τῶν νοεῖν ἢ νοεῖσθαι δυναμένων τὰς γνωστικὰς δυνάμεις, ὡς ὑπὲρ τὰ νοοῦντά τε καὶ νοούμενα καθ' ὕπαρξιν ὑπερούσιον οὖσα· καὶ ἀπείρῳ δυνάμει τὰς κατὰ τὴν ἀρχὴν καὶ τὸ τέλος τῶν ὄντων ἀκρότητας περιγράφουσα, πᾶσαν πάντων πρὸς ἑαυτὴν συνέλκει κίνησιν· τοῖς μὲν παρεχομένη γνῶσιν ἀρίδηλον ἧς ἐστερήθησαν χάριτος· τοῖς δὲ δωρουμένη κατ' αἴσθησιν ἄρρητον, ἧς εἶχον τὴν ἔφεσιν ἀγαθότητος, τῇ μεθέξει φανερὰν τὴν ἐπίγνωσιν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λγ'. Ὁ νοῦς, σοφίας ὄργανον, φησίν· ὁ λόγος, γνώσεως· ἡ κατ' ἄμφω φυσικὴ πληροφορία, τῆς κατ' ἄμφω συνισταμένης πίστεως· τοῦ δὲ τῶν ἰαμάτων χαρίσματος, ἡ φυσικὴ φιλανθρωπία. πᾶν γὰρ χάρισμα θεῖον, ἐπιτήδειον ἐν ἡμῖν ἔχει καὶ προσφυὲς, ὥσπερ δύναμιν, ἢ ἕξιν, ἢ διάθεσιν, ὄργανον δεκτικόν· οἷον ὁ τὸν νοῦν πάσης αἰσθητῶν φαντασίας ποιήσας καθαρὸν, δέχεται σοφίαν· ὁ δὲ τὸν λόγον τῶν ἐμφύτων παθῶν θυμοῦ λέγω καὶ ἐπιθυμίας καταστήσας δεσπότην, δέχεται γνῶσιν· ὁ δὲ τὴν κατὰ νοῦν καὶ λόγον περὶ τὰ θεῖα ἀσάλευτον πληροφορίαν ἔχων, τὴν πάντα δυναμένην δέχεται πίστιν· ὁ δὲ τὴν φυσικὴν κατορθώσας φιλανθρωπίαν, μετὰ τὴν τελείαν τῆς φιλαυτίας ἀναίρεσιν, ἰαμάτων δέχεται χαρίσματα.

λδ'. Ἕκαστος ἡμῶν κατὰ τὴν ἀναλογίαν τῆς ἐν αὐτῷ πίστεως, φανερουμένην κέκτηται τοῦ Πνεύματος τὴν ἐνέργειαν· ὥστε ταμείας ὑπάρχει τῆς χάριτος ἕκαστος ἑαυτοῦ· καὶ οὔποτε ἂν εὖ φρονῶν ἄλλῳ φθονήσειεν εὐδοκιμοῦντι ταῖς χάρισιν, ἐπ' αὐτῷ κειμένης τῆς δεκτικῆς τῶν θείων ἀγαθῶν διαθέσεως.

λε'. χὐλ. Αἴτιον εἶναι (φησὶ) τῆς τῶν θείων διανομῆς ἀγαθῶν, τὸ μέτρον τῆς ἑκάστου πίστεως. καθὼς γὰρ πιστεύομεν, καὶ τὴν ἐπὶ τὸ πράττειν τῆς προθυμίας ἐπίδοσιν ἔχομεν. ὁ γοῦν πράττων κατὰ τὴν ἀναλογίαν τῆς πράξεως ἐπιδείκνυται τὸ μέτρον τῆς πίστεως, δεχόμενος ὡς ἐπίστευσε τὸ μέτρον τῆς χάριτος· ὁ δὲ μὴ πράττων κατὰ τὴν ἀναλογίαν τῆς ἀπραξίας, ἐπιδείκνυται τὸ μέτρον τῆς ἀπιστίας, δεχόμενος ὡς ἠπίστησε, τῆς χάριτος τὴν στέρησιν. οὐκοῦν κακῶς ποιεῖ βασκαίνων τοῖς κατορθοῦσιν ὁ φθονερὸς, ἐπ' αὐτῷ σαφῶς, καὶ οὐκ ἐπ' ἄλλῳ κειμένης τῆς τοῦ πιστεύειν τε καὶ πράττειν, καὶ πρὸς τὸ μέτρον τῆς πίστεως ἐρχομένην δέξασθαι τὴν χάριν ἐπιλογῆς.

Ὁ τῶν καλῶν ἐραστὴς, κατὰ πρόνοιαν σοφίας λόγοις ἑκουσίως ἐπείγεται πρὸς τὴν τῆς θεώσεως χάριν. ὁ δὲ τούτων ἀνέραστος, κατὰ δικαίαν κρίσιν, παιδείας τρόποις, ἀκουσίως κακίας ἀπάγεται. ὁ μὲν ὡς φιλόθεος διὰ τῆς προνοίας θεούμενος· ὁ δὲ διὰ τῆς κρίσεως, ὡς φιλόϋλος εἰς κατάκρισιν ἐλθεῖν μὴ συγχωρούμενος. ὁ γὰρ Θεὸς ὡς ἀγαθὸς, σοφίας μὲν λόγοις θεραπεύει τοὺς θέλοντας· παιδείας δὲ τρόποις, τοὺς πρὸς ἀρετὴν δυσκινήτους ἰᾶται. λς'.

Ἡ μὲν ὄντως πίστις, ἀλήθειά ἐστι συνεκτική τε καὶ συστατικὴ, ψεῦδος οὐκ ἔχουσα. ἡ δὲ ἀγαθὴ συνείδησις, τὴν τῆς ἀγάπης ἐπιφέρεται δύναμιν, ὡς μηδὲ μίαν ἔχουσα παράβασιν ἐντολῆς. λζ'.

Καὶ ἐπαναπαύσεται, φησὶν, ἐπ' αὐτὸν, ἑπτὰ πνεύματα· πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα γνώσεως, πνεῦμα ἐπιστήμης, πνεῦμα βουλῆς, πνεῦμα ἰσχύος, πνεῦμα φόβου Θεοῦ. ἔστι δὲ ἴδιον τῶν πνευματικῶν τούτων χαρισμάτων, φόβου μὲν, ἡ ἀποβολὴ τῶν κακῶν· ἰσχύος δὲ, ἡ πρᾶξις τῶν ἀγαθῶν· βουλῆς δὲ, ἡ τῶν ἀντικειμένων διάκρισις· ἐπιστήμης δὲ, ἡ τῶν καθηκόντων [illegible] εἴδησις· γνώσεως δὲ, ἡ κατ' ἐνέργειαν τῶν ἐν ταῖς ἀρεταῖς θείων λόγων περίληψις· συνέσεως δὲ, ἡ πρὸς τὰ γνωσθέντα δι' ὅλου τῆς ψυχῆς συνδιάθεσις· σοφίας δὲ, ἡ πρὸς Θεὸν ἀδιάγνωστος ἕνωσις, καθ' ἣν τοῖς ἀξίοις ἡ ἔφεσις ἀπόλαυσις γίνεται, μεθέξει ποιοῦσα Θεὸν τὸν μετέχοντα, καὶ τῆς θείας αὐτὸν ὑποφήτην καθιστῶσα μακαριότητος, κατὰ τὴν ἄπαυστον πρὸς τοὺς δεομένους τῶν θείων μυστηρίων, ἀνεκπόμπευτον * προσβολὴν, καὶ διέξοδον. λη'.

* ἴσως προβολήν

Τὸ πνεῦμα τοῦ φόβου τοῦ Θεοῦ, τῶν λθ'.

κατ' ἐ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κατ᾽ ἐνέργειαν κακῶν ἐστὶν ἀποχή· τὸ δὲ πνεῦμα τῆς ἰσχύος, ἡ πρὸς ἐνέργειαν καὶ πρᾶξιν τῶν ἐντολῶν πρόθυμος ὁρμὴ καὶ κίνησις· τὸ δὲ πνεῦμα τῆς βουλῆς, ἡ ἕξις τῆς διακρίσεως, καθ᾽ ἣν σὺν λόγῳ τὰς θείας πράττομεν ἐντολάς, καὶ τῶν κρειττόνων διαιροῦμεν τὰ χείρονα· τὸ δὲ πνεῦμα τῆς ἐπιστήμης, ἡ τῶν κατ᾽ ἀρετὴν τῆς πράξεως τρόπων ἄπταιστος εἴδησις· καθ᾽ ἣν πράττοντες τῆς ὀρθῆς τοῦ λόγου κρίσεως οὐδαμῶς πίπτομεν· τὸ δὲ πνεῦμα τῆς γνώσεως, ἡ τῶν ἐντολῶν, καὶ τῶν ἐν αὐταῖς λόγων περίληψις, καθ᾽ οὓς οἱ τρόποι τῶν ἀρετῶν συνεστήκασι· πνεῦμα δὲ συνέσεώς ἐστιν, ἡ πρὸς τοὺς τρόπους, καὶ τοὺς λόγους τῶν ἀρετῶν συγκατάθεσις, ἢ κυριώτερον εἰπεῖν μεταποίησις, καθ᾽ ἣν σύγκρασις γίνεται τῶν φυσικῶν δυνάμεων πρὸς τοὺς τρόπους, καὶ τοὺς λόγους τῶν ἐντολῶν· πνεῦμα δὲ σοφίας ἐστίν, ἡ πρὸς τὴν αἰτίαν τῶν ἐν ταῖς ἐντολαῖς πνευματικωτέρων ἀνάληψίς τε καὶ ἕνωσις, καθ᾽ ἣν ἀγνώστως τοῖς ἐν Θεῷ κατὰ τὸ θεμιτὸν ἀνθρώποις, ἁπλῶς μυούμενοι τῶν ὄντων λόγους, ὡς ἔκ τινος βλυσταινούσης πηγῆς τῆς καρδίας, τὴν ἐν τοῖς ὅλοις ἀλήθειαν ποικίλως τοῖς ἀνθρώποις προσφέρομεν.

μ΄. Ἀπὸ μὲν τῶν ἐκ Θεοῦ τελευταίων, ἡμῖν δὲ προσεχῶν, ἐπὶ τὰ πρῶτα, καὶ ἡμῶν μὲν πόρρω, τοῦ δὲ Θεοῦ προσεχῆ, καθ᾽ ὁδὸν καὶ τάξιν ἀναβαίνομεν. ἀπὸ γὰρ τῆς ἀργίας τῶν κακῶν διὰ φόβου, ἐπὶ τὴν τῶν ἀρετῶν δι᾽ ἰσχύος ἐρχόμεθα πρᾶξιν· ἀπὸ δὲ τῆς τῶν ἀρετῶν πράξεως, ἐπὶ τὴν διάκρισιν τῆς βουλῆς· ἀπὸ δὲ τῆς διακρίσεως, ἐπὶ τὴν ἕξιν τῶν ἀρετῶν, ἤγουν ἐπιστήμην· ἀπὸ δὲ τῆς ἕξεως τῶν ἀρετῶν, ἐπὶ τὴν γνῶσιν τῶν ἐν αὐταῖς ταῖς ἀρεταῖς λόγων· ἀπὸ δὲ ταύτης, εἰς τὴν πρὸς τοὺς ἐγνωσμένους λόγους τῶν ἀρετῶν μεταποιητικὴν ἕξιν· φημὶ δέ, τὴν σύνεσιν· καὶ ἀπὸ ταύτης, εἰς τὴν ἁπλῆν τῆς ἐν ὅλοις ἀληθείας ἀκριβῆ θεωρίαν· ἀφ᾽ ἧς ὁρμώμενοι, πολλοὺς καὶ ποικίλους ἐκ τῆς τῶν ὄντων αἰσθητῶν τε καὶ νοητῶν οὐσιῶν σοφῆς θεωρίας, εὐσεβεῖς λόγους περὶ τῆς ἀληθείας ἀποδώσομεν.

Τὸ πρὸς ἡμᾶς κατ᾽ ἐνέργειαν πρῶτον ἀγαθόν, ὅπερ ἐστὶν ὁ φόβος, τελευταῖον ἀπηριθμήσατο τῆς γραφῆς ὁ λόγος, ὡς σοφίας ἀρχήν· ἀφ᾽ οὗ κινούμενοι πρὸς τὸ τῆς σοφίας τέλος τὴν σύνεσιν ἀναβαίνομεν, μεθ᾽ ἣν προσεχεῖς αὐτοῦ γινόμεθα τοῦ Θεοῦ, μόνην τὴν σοφίαν τῆς πρὸς αὐτὸν ἑνώσεως μεσιτεύουσαν ἔχοντες. οὐ γάρ ἐστι δυνατὸν ἐπιλαβέσθαι σοφίας, τὸν μὴ πρότερον διὰ τοῦ φόβου, καὶ τῶν διὰ μέσου λοιπῶν χαρισμάτων, τήν τε λοίμην τῆς ἀγνοίας, καὶ τὸν τῆς κακίας κονιορτόν, ἑαυτοῦ παντελῶς ἀποσεισάμενον. διὰ τοῦτο Θεῷ μὲν προσεχῆ τὴν σοφίαν· ἡμῖν δὲ τὸν φόβον ἡ γραφικὴ τάξις διέθηκεν, ἵνα ἡμεῖς εὐταξίας μάθωμεν ὅρον καὶ νόμον. μα΄.

Διὰ τούτων οὖν ἀναβαίνοντες τῶν ὀφθαλμῶν τῆς πίστεως, ἤγουν φωτισμῶν, πρὸς τὴν θείαν τῆς σοφίας συναγόμεθα μονάδα· τὴν γεγενημένην δι᾽ ἡμᾶς τῶν χαρισμάτων διαίρεσιν, πρὸς τὴν αἰτίαν τῶν χαρισμάτων συνάγοντες, ταῖς κατὰ μέρος τῶν ἀρετῶν ἐπιβάσεσι, μηδὲν τῶν εἰρημένων συνεργείᾳ Θεοῦ παραλιμπάνοντες, ἵνα μὴ κατ᾽ ὀλίγον ἀμελοῦντες τυφλὴν ἡμῶν τὴν πίστιν καὶ ἀνόμματον καταστήσωμεν, οὐκ ἔχουσαν τοὺς διὰ τῶν ἔργων τοῦ πνεύματος φωτισμούς, καὶ κολασθῶμεν δικαίως εἰς ἀπείρους αἰῶνας, ὡς ἐν αὐτοῖς κατὰ πίστιν, ὅσον τὸ ἐφ᾽ ἡμῖν, τοὺς θείους ἐκτυφλώσαντες ὀφθαλμούς. μβ΄.

Πᾶς ὁ τῆς πίστεως ἐν αὐτῷ διὰ τῆς ἀργίας τῶν ἐντολῶν, τοὺς τοιούτους ἀνορύξας ὀφθαλμούς, πάντως κατάκριτος, μηκέτι τὸν Θεὸν ἔχων εἰς αὐτὸν ἐπιβλέ- μγ΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ποιοῦντα. εἰ γὰρ τὰς ἐνεργείας τοῦ Πνεύματος, φησὶν, ὀφθαλμοὺς Κυρίου προσαγορεύει ὁ λόγος, ὁ μὴ πάσας τῇ πράξει τῶν ἐντολῶν διανοίγων, ἐπιβλέποντα τὸν Θεὸν αὐτὸν οὐκ ἔχει. δι' ἄλλων γὰρ ὡς εἰκὸς ὀφθαλμῶν ἐπισκοπεῖν τοὺς ἐπὶ γῆς οὐ πέφυκεν ὁ Θεὸς, εἴπερ θείας ὁράσεως ἀκτίς ἐστιν, ὁ κατ' ἀρετὴν ἡμῶν φωτισμός.

μδ'. Ἡ σοφία μονάς ἐστι, ταῖς ἐξ αὐτῆς διαφόροις ἀρεταῖς ἀτμήτως ἐνθεωρουμένη· καὶ μονοειδῶς ταῖς αὐτῶν ἐνεργείαις ἐπιγνωσκομένη. καὶ πάλιν ἁπλῆ μονὰς ἀποδεικνυμένη, ταῖς πρὸς αὐτὴν τῶν ἐξ αὐτῆς ἀρετῶν ἀποκαταστάσεσιν, ὅταν ἡμεῖς, δι' ἧς κατὰ τὴν ἑκάστης ἀρετῆς γνῶσιν ποιεῖται τὴν πρόοδον, ἀναλυτικῶς δι' ἑκάστης ἀρετῆς πρὸς αὐτὴν συναγόμεθα.

με'. Τυφλὴν ἔχει τὴν πίστιν, ὁ τὰ κατὰ τὴν πίστιν θεῖα προστάγματα μὴ ἐργαζόμενος. εἰ γὰρ φῶς εἰσὶ τὰ τοῦ Θεοῦ προστάγματα, δῆλον ὅτι δίχα θείου φωτός ἐστιν, ὁ μὴ πράττων τὰ θεῖα προστάγματα, καὶ ψιλὴν, ἀλλ' οὐκ ἀληθῆ τὴν θείαν περιφέρεται κλῆσιν.

μς'. Οὐδεὶς ἁμαρτάνων δύναται τῆς ἁμαρτίας συνήγορον ἔχειν τῆς σαρκὸς τὴν ἀσθένειαν. ἡ γὰρ πρὸς τὸν Θεὸν Λόγον ἕνωσις, ὅλην τὴν φύσιν τῇ λύσει τῆς κατάρας ἀνέρρωσεν, ἀπροφάσιστον ἡμῖν ποιησαμένη, τὴν πρὸς τὰ πάθη τῆς γνώμης προσπάθειαν. ἡ γὰρ τοῦ Λόγου θεότης, κατὰ χάριν ἀεὶ συνοῦσα τοῖς εἰς αὐτὸν πιστεύουσι, τὸν ἐν τῇ σαρκὶ νόμον τῆς ἁμαρτίας ἀπομαραίνει.

μζ'. Ὁ τῶν παρὰ φύσιν παθῶν διὰ τῆς εἰς Θεὸν πίστεως καὶ ἀγάπης νικήσας τὰς παραλόγους ἐπιθυμίας, εἴτ' οὖν κινήσεις, καὶ αὐτοῦ τοῦ κατὰ φύσιν ἔξω γίνεται νόμου, καὶ εἰς τὴν χώραν τῶν νοητῶν ὅλος μεταβιβάζεται, καὶ τὸ κατὰ φύσιν ὁμόφυλον, μετὰ τῶν προσγενομένων αὐτῇ τῆς ἀλλοτρίας ἑαυτοῦ συνεκβάλλει δουλείας.

μη'. Μὴ χαλινουμένη τῷ θείῳ φόβῳ κατὰ τὴν πρᾶξιν ἡ γνῶσις, τῦφον ἐργάζεται, ὡς οἰκεῖον τὸ δεδανεισμένον προβάλλεσθαι πείθουσα τὸν ἐπ' αὐτῇ τυφωθέντα, πρὸς οἰκεῖον ἔπαινον τὸν ἔρανον τοῦ λόγου ποιούμενον. ἡ δὲ πρᾶξις τῷ θείῳ συναυξάνουσα πόθῳ τὴν ὑπὲρ τὰ πρακτέα μὴ λαμβάνουσα γνῶσιν, τὸν πρακτικὸν ἐργάζεται ταπεινόφρονα, τοῖς ὑπὲρ τὴν οἰκείαν δύναμιν λόγοις πρὸς ἑαυτὸν συστελλόμενον.

μθ'. Οὐράνιον οἰκητήριόν ἐστιν, ἡ κατ' ἀρετὴν ἀπαθὴς ἕξις, καὶ ἡ μηδὲν ἔχουσα πλάνης πολεμοῦν αὐτῇ νόμιμα γνῶσις.

ν'. Ὥσπερ τέλος κινηθείσης μονάδος ἐστὶν ἡ μυριάς, καὶ ἀρχὴ μὴ κινηθείσης μυριάδος ἐστὶν ἡ μονάς· ἀρχὴ γὰρ παντὸς τέλους, ἡ κατ' αὐτὸ σαφῶς ἀκινησία καθέστηκε· καὶ τέλος πάσης ἀρχῆς, ἡ τῆς κατ' αὐτὴν κινήσεως ὑπάρχει συμπλήρωσις· οὕτω καὶ ἡ πίστις, ἀρχὴ κατὰ φύσιν ἀρετῶν ὑπάρχουσα, τέλος ἔχει τοῦ δι' αὐτῶν ἀγαθοῦ τὴν συμπλήρωσιν· καὶ τὸ κατὰ φύσιν ἀγαθὸν, ὡς ἀρετῶν τέλος, ἀρχὴν ἔχον τὴν πίστιν, πρὸς αὐτὴν ἐνδιαθέτως συνάγεται. πίστις γάρ ἐστιν ἐνδιάθετον ἀγαθὸν, καὶ ἀγαθόν ἐστιν ἐνεργηθεῖσα πίστις· πιστὸς δὲ κατὰ φύσιν καὶ ἀγαθός ἐστιν ὁ Θεός· τὸ μὲν, ὡς πρῶτον ἀγαθόν· τὸ δὲ, ὡς ἔσχατον ὀρεκτόν. ταυτὸν δὲ ταῦτα καθέστηκε παντὶ τρόπῳ ἀλλήλοις ὄντα, μηδενὶ λόγῳ, πλὴν τοῦ κατ' ἐπίνοιαν, ἀλλήλων διαιρούμενα παντελῶς, διὰ τὴν τῶν ἀπ' αὐτοῦ ἀρχομένων, καὶ εἰς αὐτὸν ληγόντων κίνησιν. ἄρα ἡ μυριὰς ἐσχάτου ὀρεκτοῦ φέρουσα τύπον, τῶν πρὸς αὐτὸ κινουμένων τελείαν περιγράφει τὴν ἔφεσιν· καὶ ἡ μονὰς, πρώτου ἀγαθοῦ φέρουσα σύμβολον, τῶν ἀπ' αὐτοῦ κινουμένων τελείαν ἐπιφέρεται * βάσιν.

* ἐν ἄλλ. φύσιν.

Πρώτη

να'. Πρώτη ἀπάθεια, ἡ παντελὴς ἀποχὴ τῶν κατ' ἐνέργειαν κακῶν, ἐν τοῖς εἰσαγομένοις θεωρουμένη· δευτέρα δέ, ἡ παντελὴς κατὰ διάνοιαν περὶ τὴν τῶν κακῶν συγκατάθεσιν ἀποβολὴ λογισμῶν, ἐν τοῖς μετὰ λόγου τὴν ἀρετὴν μετιοῦσι γινομένη· τρίτη δέ, ἡ κατ' ἐπιθυμίαν περὶ τὰ πάθη παντελὴς ἀκινησία, ἐν τοῖς διὰ τῶν σχημάτων τοὺς λόγους νοητῶς θεωμένους τῶν ὁρωμένων· τετάρτη δὲ ἀπάθεια, ἡ καὶ αὐτῆς τῆς ψιλῆς φαντασίας παντελὴς κάθαρσις, ἐν τοῖς διὰ γνώσεως καὶ θεωρίας καθαρὸν καὶ διειδὲς ἔσοπτρον τοῦ Θεοῦ ποιησαμένοις τὸ ἡγεμονικόν, συνισταμένη. ὁ τοίνυν καθάρας ἑαυτὸν ἐνεργείας παθῶν, καὶ τῆς ἐπ' αὐτοῖς κατὰ διάνοιαν συγκαταθέσεως ἐλευθερωθείς, καὶ τῆς περὶ αὐτὰ κατ' ἐπιθυμίαν κινήσεως στάσιν λαβών, καὶ τῆς αὐτῶν ψιλῆς φαντασίας τὸν νοῦν καταστήσας ἀμόλυντον, τὰς τέσσαρας γενικὰς ἀπαθείας ἔχων, διέρχεται τῆς ὕλης καὶ τῶν ὑλικῶν, καὶ πρὸς τὴν ἱερὰν καὶ θείαν καὶ εἰρηνικὴν τῶν νοητῶν ἐπείγεται λῆξιν.

νβ'. χόλ. Πρώτην ἀπάθειαν (λέγει) τὴν πρὸς ἁμαρτίαν τοῦ σώματος κατ' ἐνέργειαν ἀνέπαφον κίνησιν· δευτέραν δέ, τὴν τῆς ψυχῆς τῶν ἐμπαθῶν λογισμῶν τελείαν ἀποβολήν, δι' ἧς τῶν παθῶν ἀπομαραίνεται κατὰ τὴν πρώτην ἀπάθειαν κίνησις, διεξάπτοντας αὐτὴν πρὸς ἐνέργειαν οὐκ ἔχουσα τοὺς ἐμπαθεῖς λογισμούς· τρίτην δέ, τὴν περὶ τὰ πάθη τελείαν τῆς ἐπιθυμίας ἀκινησίαν, δι' ἣν καὶ ἡ δευτέρα γίνεσθαι πέφυκε, τῇ τῶν λογισμῶν καθαρότητι συνισταμένη. τετάρτην δὲ λέγει ἀπάθειαν, τὴν τῆς διανοίας πασῶν τῶν αἰσθητῶν φαντασιῶν τελείαν ἀπόθεσιν, καθ' ἣν ἡ τρίτη τὴν γένεσιν εἴληφεν, οὐκ ἔχουσα τὰς φαντασίας τῶν αἰσθητῶν εἰδοποιούσας αὐτῇ τῶν παθῶν τὰς εἰκόνας.

νγ'. Παντὶ πρακτικῷ, παιδὸς καὶ παιδίσκης δίκην, ὁ λόγος καὶ ἡ διάνοια μοχθοῦσι, τοὺς κατ' ἀρετὴν τῆς πράξεως τρόπους ἐπινοοῦντές τε, καὶ δημιουργοῦντες, καὶ οἷον πᾶσαν ἑαυτῶν κατὰ τῶν ἀντικειμένων τῆς πρακτικῆς πνευμάτων τῆς πονηρίας τὴν δύναμιν ἔχοντες ἀντιτεταγμένην· πληρώσαντες δὲ τὴν πρακτικὴν φιλοσοφίαν, ἣν ὁ ἕκτος τῶν ἐνιαυτῶν παρεδήλωσεν ἀριθμός. εἴρηται γὰρ ὅτι ὁ ἓξ ἀριθμός, τὴν πρακτικὴν σημαίνει φιλοσοφίαν· ἐλεύθεροι πρὸς τὴν πνευματικὴν ἀπολύονται, δηλονότι τὴν ἐν τοῖς οὖσι συγγενῶν λόγων θεωρίαν ὑπερχόμενοι, ὅ, τε λόγος καὶ ἡ διάνοια.

νδ'. Ἀλλόφυλος παῖς ἐστι, καὶ παιδίσκη, ὁ θυμός, καὶ ἡ ἐπιθυμία· οὓς ὑποζεύγνυσι διὰ παντὸς τῇ δεσποτείᾳ τοῦ λόγου, πρὸς ὑπηρεσίαν τῶν ἀρετῶν, δι' ἀνδρείας καὶ σωφροσύνης ὁ θεωρητικὸς νοῦς, μὴ διδοὺς αὐτοῖς παντελῶς τὴν πρὸς ἐλευθερίαν ἄφεσιν, ἕως ἂν καταποθῇ τῷ νόμῳ τοῦ πνεύματος τελείως ὁ τῆς φύσεως νόμος, καθάπερ ὑπὸ ζωῆς ἀπείρου, σαρκὸς δυστήνου θάνατος, καὶ πᾶσα δειχθῇ καθαρῶς ἡ τῆς ἀνάρχου βασιλείας εἰκών, πᾶσαν ἔχουσα τοῦ ἀρχετύπου διὰ μιμήσεως τὴν μορφήν· καθ' ἣν γενόμενος ὁ θεωρητικὸς νοῦς, ἐλευθέρους ποιεῖται τόν τε θυμόν, καὶ τὴν ἐπιθυμίαν· τὴν μέν, πρὸς τὴν ἀκήρατον τοῦ θείου ἔρωτος ἡδονὴν καὶ τὴν ἄχραντον θέλξιν μετασκευάζων· τὸν δέ, πρὸς ζέσιν πνευματικήν, καὶ διάπυρον ἀεικινησίαν, καὶ σώφρονα μανίαν μεταβιβάζων.

νε'. Ἀνάρχου βασιλείας ἐστὶν εἰκών, ἡ τοῦ νοῦ περὶ τὴν ἀληθῆ γνῶσιν ἀτρεψία, καὶ ἡ τῆς αἰσθήσεως περὶ τὴν ἀρετὴν ἀφθαρσία· τῆς ψυχῆς καὶ τοῦ σώματος, κατὰ τὴν ἐν πνεύματι πρὸς τὸν νοῦν τῆς αἰσθήσεως μεταποίησιν, μόνῳ τῷ θείῳ νόμῳ τοῦ πνεύματος ἀλλήλοις συνδεδεμέ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

των, καθ' ἣν τὴν ἀεικίνητον τοῦ λόγου καὶ ζῶσαν διαπαντὸς ἔχουσι δεδειγμένην ἐνέργειαν· ἐν ᾗ πᾶσα παντελῶς ἄπεστι πρὸς τὸ θεῖον ἀπέμφασις.

ιϛʹ. Ἐνεργουμένην ἐπιθυμίαν εἶναί φασι τὴν ἡδονήν, εἴπερ παρὸν ἀγαθόν, κατὰ τὸν αὐτῆς ἐστὶν ὁρισμόν· ἀνενέργητον δὲ ἡδονήν, τὴν ἐπιθυμίαν, εἴπερ μέλλον ἀγαθόν, κατὰ τὸν αὐτῆς ὁρισμόν· τὸν δὲ θυμόν, μανίας μελετωμένην κίνησιν, καὶ τὴν μανίαν, θυμὸν ἐνεργούμενον. Ὁ γοῦν ταύτας ὑποτάξας τῷ λόγῳ τὰς δυνάμεις, εὑρήσει, τὴν μὲν ἐπιθυμίαν, αὐτὴν γινομένην ἡδονήν, κατὰ τὴν ἐν χάριτι πρὸς τὸ θεῖον τῆς ψυχῆς ἄχραντον συμπλοκήν· τὸν δὲ θυμόν, ζέσιν ἀκέραιον, τῆς περὶ τὸ θεῖον ἡδονῆς φρουρητικήν, καὶ σώφρονα μανίαν, κατὰ τὴν ἔκστασιν τῆς ψυχῆς θελκτικῆς δυνάμεως ἀπὸ τῶν ὄντων τελείως ἐκστατικήν. Ἕως οὖν ἐν ἡμῖν ὁ κόσμος ᾖ, καὶ ἡ πρὸς τὰ ὑλικὰ τῆς ψυχῆς ἑκούσιος χρῆσις, οὐδὲ ταύταις παρέχειν ἐλευθερίαν ταῖς δυνάμεσι, μήπως συγγενέσι τοῖς αἰσθητοῖς ὡς ὁμοφύλοις, πολεμήσωσι τὴν ψυχήν, καὶ λάβωσιν αὐτὴν δορυάλωτον γεγενημένην τοῖς πάθεσιν, ὡς πάλαι τὴν Ἱερουσαλὴμ οἱ Βαβυλώνιοι. Τὸν γὰρ αἰῶνα καθ' ὃν τοὺς ἀλλοφύλους παῖδας ἐδαφίζειν ὁ νόμος ἐκέλευσε, τὴν πρὸς τὸν κόσμον τοῦτον, ἤγουν τὴν παροῦσαν ζωήν, γνωμικὴν τῆς ψυχῆς ἐσήμανε σχέσιν ὁ λόγος, διὰ τῶν ἱστορουμένων παραδεικνὺς τὰ νοούμενα·

ιζʹ. Ἠργμένον λέγει, τὸ κακόν· ἀρχὴν γὰρ ἔχει τὴν ἡμῶν παρὰ φύσιν κίνησιν. Οὐκ ἠργμένον δέ, τὸ ἀγαθόν· πρὸ παντὸς γὰρ αἰῶνος, καὶ χρόνου, φύσει τὸ ἀγαθόν. Νοητὸν λέγει, τὸ ἀγαθόν, ὃ δεῖ μόνον νοεῖν· οὐ νοητὸν δέ, τὸ κακόν, ὅπερ δεῖ μόνον μὴ νοεῖν. Ῥητὸν δὲ λέγει τὸ ἀγαθόν, αὐτὸ γὰρ δεῖ μόνον λαλεῖσθαι· καὶ γινόμενον λέγει τὸ ἀγαθόν, κατὰ φύσιν γὰρ ὑπάρχον ἀγένητον, καὶ χάριν διὰ φιλανθρωπίαν παρ' ἡμῶν ἀνέχεται γίνεσθαι, πρὸς τὴν ἡμῶν τῶν ποιούντων, καὶ λαλούντων ἐκθέωσιν· ποιήσωμεν δὲ τὸ ἀγαθόν, ὅπερ δεῖ μονώτατον γίνεσθαι. Οὐ ποιήσωμεν δὲ τὸ κακόν, ὅπερ δεῖ μόνον μὴ γίνεσθαι. Φθαρτὸν λέγει τὸ κακόν· φθορὰ γάρ ἐστιν ἡ τοῦ κακοῦ φύσις, οὐδαμῶς κατ' οὐδὲν ὕπαρξιν ἔχουσα. Ἄφθαρτον δέ, τὸ ἀγαθόν, ὡς ἀεὶ ὄν, καὶ μηδέποτε τοῦ εἶναι παυόμενον, καὶ πάντων οἷς ἐγγίνεται, φρουρητικόν. Τοῦτο γοῦν τῷ μὲν λογιστικῷ, ζητήσωμεν· τῷ δὲ ἐπιθυμητικῷ, ποθήσωμεν· τῷ δὲ θυμικῷ, φυλάξωμεν ἄσυλον· τῷ δὲ αἰσθητικῷ κατ' ἐπιστήμην, ἀμιγὲς αὐτὸ τῶν ἐναντίων διακρίνωμεν· τῷ δὲ φωνητικῷ, λαλοῦντες αὐτὸ ποιήσωμεν τοῖς ἀγνοοῦσι φανερόν· καὶ τῷ γονίμῳ, πληθύνωμεν αὐτό, μᾶλλον δὲ ἀληθέστερον εἰπεῖν, αὐτοὶ κατ' αὐτὸ πληθυνώμεθα.

Δεῖ τὸν θεωρητικὸν τὸν βασιλεύοντα τῶν ἐν τοῖς ἔσω νοημάτων τε, καὶ θεαμάτων, καὶ τῶν οἰκείων κινημάτων, ἔξω ἴχνους ἔχειν κακίας· ἐπεί τοι κακίᾳ μήτε συλληφθήσεται παντελῶς, μήτε τίκτεται· ἐφ' ᾗς αὐτὸν δεῖ περὶ θεωρίαν κινούμενον φέρεσθαι, μήπως πνευματικὴν ποιούμενος τὴν τῶν ὄντων διάσκεψιν, λαθὼν πορνεύσῃ τινὶ τῶν παραφθείρειν διά τινος τῶν αἰσθητῶν πεφυκότων πονηρῶν πολεμίων, τὴν ἁγίαν τῆς καρδίας διάσκεψιν. ιηʹ.

Ὁ κενοδοξίᾳ τινί, δι' ἀρετὴν ἢ γνῶσιν ζωσθείς, τὴν κόμην ματαίως διατρέφων, καθάπερ Ἀβεσσαλώμ, τῆς οἰήσεως ἐπιτεχνασμένην τε καὶ μικτὴν ὥσπερ ἡμίονον πρὸς ἀπάτην τῶν θεωμένων, τὴν ἠθικὴν ἐπιδείκνυται πολιτείαν· ἐφ' ἧς αἰωρούμενος, οἴεται τὸν γεννήσαντα διὰ τῆς διδασκαλίας τοῦ λόγου πατέρα χειρώσασθαι, πᾶσαν βουλόμενος τὴν τῷ Πατρὶ προσοῦσαν θεόθεν ιθʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δόξαν τῆς ἀρετῆς καὶ τῆς γνώσεως, ὡς ὑπερήφανος εἰς ἑαυτὸν τυραννικῶς ἐφελκύσασθαι· ἀλλ' ὁ πιστὸς ἐξελθὼν εἰς τὸ πλάτος τῆς ἐν πνεύματι φυσικῆς θεωρίας, πρὸς τὸν ὑπὲρ ἀληθείας λογικὸν πόλεμον, διὰ τὴν ζῶσαν αἴσθησιν, τῷ δάσει τῆς δρυὸς τῶν ὑλικῶν θεαμάτων κρατεῖται τῆς κοσμικῆς, αὐτὴν ἔχων συνδεσμοῦσαν πρὸς θάνατον, τὴν δυσέκλυτον οἴησιν, τὴν κρεμῶσαν αὐτὸν ἀναμέσον τοῦ οὐρανοῦ καὶ ἀναμέσον τῆς γῆς. οὐ γὰρ ἔχει γνῶσιν ὁ κενόδοξος, καθάπερ οὐρανὸν ἀνελκύσαι αὐτὸν τῆς κατασπώσης οἰήσεως· οὐδ' αὖ πάλιν γῆν, τὴν ἐν τῇ ταπεινώσει λόγῳ βάσιν τῆς πράξεως καθελκύσαι αὐτὸν τῆς ἀνασπώσης φυσιώσεως· ὃν πενθεῖν καὶ θανόντα διὰ φιλανθρωπίαν ὡς φιλόθεος ὁ γεννήσας διδάσκαλος, μιμήσει Θεοῦ, μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν.

ξ'. Ἀρχὴ καὶ τέλος ἐστὶ τῆς ἑκάστου σωτηρίας, ἡ σοφία· φόβον μέν, ἀρχομένη πρῶτον δημιουργοῦσα, καὶ πόθον, ὕστερον τελειουμένη συνιστῶσα· μᾶλλον δὲ φόβος αὐτὴ κατ' ἀρχὰς δι' ἡμᾶς οἰκονομικῶς γινομένη, ἵνα παύσῃ κακίας τὸν ἐραστήν· καὶ πόθος ὕστερον εὑρισκομένη δι' ἑαυτὴν κατὰ τὸ τέλος, ἵνα πληρώσῃ γέλωτος τοκοῦ, τοὺς τὴν αὐτῆς πάντων τῶν ὄντων ἀλλαξαμένους συμβίωσιν.

ξα'. Ἡ σοφία καὶ φόβος ἐστὶ κατὰ τὴν ἀποφυγὴν γενομένη στέρησις, τοῖς οὐκ ὀρεγομένοις αὐτῆς· καὶ πόθος ἐστίν, ἕξις ἀπολαυστικῆς ἐνεργείας εὑρισκομένη τοῖς ἀγαπῶσιν αὐτήν. αὕτη γὰρ ἐλπίδι κολάσεως παθῶν ἀπαλλάσσουσα, καὶ φόβον ποιεῖ· καὶ πόθον ἐργάζεται, τῇ τῶν ἀρετῶν ἐπικτήσει τὸν νοῦν ἐθίζουσα βλέπειν τὰ μέλλοντα.

ξβ'. Πᾶσα ἐξομολόγησις, ταπεινοῖ τὴν ψυχήν. ἡ μέν, χάριτι Θεοῦ δικαιωθεῖσαν· ἡ δέ, ῥᾳθυμίᾳ γνώμης οἰκείας ἐπ' ἐγκλήμασιν ἐνεχομένην, αὐτὴν ἐκδιδάσκουσα.

Διττὸς ὁ τῆς ἐξομολογήσεως λόγος. ὁ μέν, ἐπ' εὐχαριστίᾳ τῶν δεδωρημένων ἀγαθῶν γινόμενος· ὁ δέ, ἐπ' ἐλέγχῳ καὶ ἐτασμῷ τῶν κακῶς πεπραγμένων λεγόμενος. Ἐξομολόγησις γὰρ λέγεται, καὶ ἡ τῶν εὖ παθόντων μετ' εὐχαριστίας τῶν θείων εὐεργεσιῶν ἀπαρίθμησις, καὶ ἡ τῶν κακῶς πεπραγμένων παρὰ τῶν ὑπαιτίων ἐξαγόρευσις· ἀμφότερα δέ, ταπεινώσεως ὑπάρχει ποιητικά. ὅ, τε γὰρ ἐπ' ἀγαθοῖς εὐχαριστῶν ὁμοῦ, καὶ ὁ ἐπ' ἐγκλήμασιν ἐταζόμενος, ταπεινοῦται. ὁ μὲν ἑαυτὸν ἀνάξιον κρίνων τῶν δοθέντων καλῶν· ὁ δέ, λαβεῖν ἄφεσιν τῶν πλημμελημάτων δεόμενος. ξγ'.

Τὸ τῆς ὑπερηφανίας πάθος, ἐκ δύο συνέστηκεν ἀγνοιῶν· δύο δὲ συνελθοῦσαι πρὸς ἕνωσιν ἄγνοιαι, μίαν φρόνησιν συγκεχυμένην ἀποτελοῦσιν. μόνος γὰρ ἐκεῖνος ἐστὶν ὑπερήφανος, ὁ καὶ τὴν θείαν βοήθειαν, καὶ τὴν ἀνθρωπίνην ἀγνοήσας ἀσθένειαν. οὐκοῦν ὑπερηφανία ἐστί, θείας καὶ ἀνθρωπίνης γνώσεως στέρησις. τῇ γὰρ τῶν ἀληθῶν ἄκρων ἀποφάσει, μία, καὶ ψευδὴς ὑπάρχει κατάφασις. ξδ'.

Ἡ κενοδοξία, σκοποῦ μὲν τοῦ κατὰ Θεὸν ἐστὶν ἔκστασις· πρὸς δὲ ἄλλον σκοπὸν παρὰ τὸν θεῖον ὑπάρχει μετάβασις. κενόδοξος γάρ ἐστιν, ὁ τῆς οἰκείας, ἀλλὰ μὴ τῆς θείας ἕνεκα δόξης, τὴν ἀρετὴν ἐπιτηδεύων, καὶ πόνοις οἰκείοις τοὺς ἐξ ἀνθρώπων ἀνυποστάτους ἐπαίνους ὠνούμενος. ξε'.

Ὁ ἀνθρωπάρεσκος, μόνον ἐπιμελεῖται τῶν φαινομένων ἠθῶν, καὶ μὴν καὶ λόγους τοῦ κόλακος· ἵνα τοῖς μὲν τὴν ὅρασιν, τοῖς δέ, τὴν ἀκοὴν σφετερίζηται, τῶν μόνοις ἡδομένων, ἢ καὶ καταπληττομένων τοῖς φαινομένοις τε καὶ ἀκουομένοις, καὶ μόνῃ τῇ αἰσθήσει περιγραφόντων τὴν ἀρετήν. ἀνθρωπαρέσκειαν οὖν φαμέν, τὴν ξς'.

ὡς ἐπ᾽ ἀρετῇ δι᾽ ἀνθρώπων γινομένην τῶν ἠθῶν τε καὶ λόγων ἐπίδειξιν.

ξζ′. Ὑπόκρισίς ἐστι, φιλίας προσποίησις· ἢ μῖσος, σχήματι φιλίας κεκαλυμμένον· ἢ ἔχθρα, δι᾽ εὐνοίας ἐνεργουμένη· ἢ φθόνος, ἀγάπης χαρακτῆρα μιμούμενος· ἢ βίος, ἀρετῆς πλάσματι, ἀλλ᾽ οὐ πράγματι τὸ κόσμιον ἔχων· ἢ δικαιοσύνης προσποίησις, τῷ τὸ εἶναι δοκήσει συντηρουμένη· ἢ ἀπάτη, ἀληθείας ἔχουσα μόρφωσιν· ἣν οἱ τὸν ὄφιν τῇ τῶν ἠθῶν σκολιότητι μιμούμενοι, ἐπιτηδεύουσιν.

ξη′. Ἡ τῶν ὄντων αἰτία, καὶ τῶν ἐν αὐτοῖς ὄντων ἀγαθῶν, ἐστὶν ὁ Θεός. ὁ τοίνυν περὶ τὴν ἀρετὴν, ἢ τὴν γνῶσιν ἐπαιρόμενος, καὶ μὴ τῷ μέτρῳ τῆς ἐν χάριτι ἀρετῆς ἤτοι προκοπῆς, συνεισενεκτέον τοῖς οἰκείας ἀσθενείας τὴν ἐπιγνωμοσύνην, τὸ τῆς ὑπερηφανίας κακὸν οὐ διέφυγεν. ὁ δὲ δόξης ἕνεκεν ἰδίας τὸ καλὸν ἐπιτηδεύων, ἑαυτὸν τῷ Θεῷ προτετίμηκε, τῷ τῆς κενοδοξίας ἥλῳ περιπαρείς. ὁ δὲ πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις ποιῶν, ἢ λαλῶν τὴν ἀρετὴν, τῆς θείας πολλῷ τὴν ἀνθρωπίνην ἀποδοχὴν ὑπερέθηκε, τῷ τῆς ἀνθρωπαρεσκείας πάθει τοσηλούμενος. ὁ δὲ μόνον τῷ κατ᾽ ἀρετὴν σχήματι πρὸς ἀπάτην κακούργως ἐπιχρώσας τὰ ἤθη, καὶ τὴν πονηρὰν τῆς γνώμης διάθεσιν τῷ φαινομένῳ σχήματι καλύπτων τῆς εὐλαβείας, τῷ τῆς ὑποκρίσεως ἐξωνεῖται δόλῳ τὴν ἀρετήν. ὅλως ὁ τοιοῦτος, ἐπ᾽ ἄλλα παρὰ τὴν αἰτίαν ἑκάστου τούτων ἀπήγαγε τὸν σκοπόν.

ξθ′. Οὐδεὶς τῶν πονηρῶν δαιμόνων, τὸ ἐνάρετον ποτὲ κωλύει τὸ πρόθυμον· ἀλλὰ καὶ μᾶλλον τὰς ἐλλείψεις δολερῶς περικόψας τῶν ἀρετῶν, τὰς ἐπιτάσεις ὑπαγορεύει, τοῖς ἀγωνισταῖς συμπροθυμούμενος· ἵνα πρὸς ἑαυτὸν ὅλην ποιήσηται τὴν ἀσκουμένην τὴν ἔννοιαν, παραπολέσασαν τὸ ἴσον τῆς μεσότητος στάθμιον, καὶ λάθῃ πρὸς ἄλλο, παρὰ τὸ δοκοῦν ὑψοῦσα καταγόμενον.

Οἱ δαίμονες οὔτε σωφροσύνην μισοῦσιν, οὔτε νηστείαν βδελύσσονται, οὐ χρημάτων διάδοσιν, οὐ φιλοξενίαν, οὐ ψαλμῳδίαν, οὐ σχολὴν ἀναγνώσεως, οὐχ ἡσυχίαν, οὐ τῶν μαθημάτων τὸ ὑψηλότατον, οὐ χαμευνίαν, οὐκ ἀγρυπνίαν, οὐ τὰ λοιπὰ πάντα, δι᾽ ὧν ὁ κατὰ Θεὸν χαρακτηρίζεται βίος, ἕως πρὸς αὐτοὺς νένευκεν ὁ σκοπὸς, καὶ ἡ αἰτία τῶν γινομένων. ο′.

Τοὺς μὲν ἄλλους δαίμονας, τάχιον ἴσως ὁ ἀσκητὴς καταβαλλόμενος, ῥᾳδίως τὴν ἐξ αὐτῶν βλάβην διαδιδράσκει. τοὺς δὲ δοκοῦντας συνεργεῖν τῷ δρόμῳ τῆς ἀρετῆς, καὶ οἷον συνοικοδομεῖν βουλομένους τὸν ναὸν Κυρίου, τίς ἂν τῶν ἄγαν ὑψηλῶν καταλάβοι ποτε, χωρὶς τοῦ διὰ πάντων χωροῦντος ἐνεργοῦς Λόγου καὶ ζῶντος, καὶ διϊκνουμένου ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, τουτέστι, διαγινώσκοντος, τίνα τῶν ἔργων ἢ νοημάτων εἰσὶ ψυχικὰ, τουτέστιν ἄλλα φυσικὰ τῆς ἀρετῆς ἢ κινήματα; καὶ τίνα τυγχάνει πνευματικὰ, τουτέστιν ὑπὲρ φύσιν καὶ Θεὸν χαρακτηρίζοντα· τῇ φύσει δὲ κατὰ χάριν διδόμενα· ἁρμῶν τε καὶ μυελῶν, τὴν πρὸς τοὺς πνευματικοὺς λόγους τῶν κατ᾽ ἀρετὴν τρόπων, ἁρμόδιον, ἢ ἀνάρμοδιον δῆλον σύνθεσιν ἐπισταμένου, κριτικός τε τῶν ἐνθυμήσεων καὶ τῶν ἐννοιῶν τῶν καρδιῶν, τουτέστι, τὰς ἐπὶ τοῖς εἰρημένοις ἀφανεῖς κατὰ τὸ βάθος σχέσεις, καὶ τὰς κατὰ ψυχὴν ἀοράτους τούτων αἰτίας, ᾧ οὐκ ἔστι κτίσις ἀφανὴς ἐν ἡμῖν τοῖς λανθάνειν δοκοῦσι· πάντα δὲ τὰ γεγενημένα τε καὶ νενοημένα, ἀλλ᾽ ἤδη καὶ τὰ γενησόμενα παρ᾽ ἡμῶν καὶ νοηθησόμενα. οα′.

Μερισμὸν ψυχῆς καὶ πνεύματος (λέγει), τὴν διαφορὰν τῶν ἐκ φύσεως ἀρετῶν, ὧν φυσικῶς ἔχομεν τοὺς λόγους· καὶ τῶν ἐκ Πνεύματος, ὧν κατὰ δωρεὰν δεχόμεθα τὴν χάριν. τούτων γὰρ διακρι- οβ′. σχόλ.

τικῶς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῆς τὴν διαβολὴν ποιεῖται κρείττων ὁ λόγος.

ογ'. Τὰς ἐνθυμήσεις καὶ τὰς ἐννοίας, ὧν ἐστὶ διακριτικὸς ὁ λόγος, (φησὶν) εἶναι τὰς τῆς ψυχῆς ἤγουν τοῖς θείοις λόγοις καὶ τοῖς λογισμοῖς σχέσεις, καὶ τὰς αὐτῶν δηλαδὴ τῶν σχέσεων αἰτίας. ἡ γὰρ ἐνθύμησις, κινεῖ μνήμην, ἧς οἰκεῖον σχέσις. ἡ δὲ ἔννοια, πέρας ἀποσκοπεῖ, ὅπερ αἰτίαν χαρακτηρίζει.

οδ'. Εἰ κατ' οὐσίαν γνῶσίς ἐστιν ὁ Θεός, προηγεῖται δὲ σαφῶς πάσης γνώσεως νοῦς, ᾧ καὶ ὑποπίπτειν πέφυκεν, ἄρα ὑπὲρ ταύτην ἐστὶν ὁ Θεός, ὅτι καὶ ὑπὲρ πάντα νοῦν, ᾧ γνῶσις καθόλου πέφυκεν ὑποπίπτειν, ὑπεραπείρως καθέστηκε.

οε'. Τίς τὸν θεῖον οὐκ ἔχων ἐνοικοῦντα λόγον, τῷ βάθει τῆς καρδίας, δυνήσεται τὰς ἀφανεῖς δόλους τῆς καθ' ἡμῶν ὑποκρίσεως τῶν δαιμόνων ὑποκλίνας, εἶναι καθ' ἑαυτὸν μονάσας, χωρίς τινος ἐπιμιξίας, καὶ οἰκοδομῆσαι τῷ Κυρίῳ τὸν ναὸν, κατὰ τὸν Μέγαν Ζοροβάβελ, καὶ τὸν Ἰησοῦν, καὶ τὰς ἡγουμένους τῶν πατριῶν, φάσκοντας διαῤῥήδην μεγάλῃ τῇ φωνῇ τοῖς ἀπατεῶσι τῆς ὑπερηφανίας, καὶ τῆς κενοδοξίας, καὶ τῆς ἀνθρωπαρεσκείας, καὶ τῆς ὑποκρίσεως, οὐχ ἡμῖν, καὶ ὑμῖν τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου τοῦ Θεοῦ ἡμῶν; ἡμεῖς γὰρ μόνοι οἰκοδομήσομεν τῷ Κυρίῳ τοῦ Ἰσραήλ. γινώσκων ὡς ἡ τούτων ἐπιμιξία, τῆς ὅλης οἰκοδομῆς ποιεῖται τὴν φθορὰν καὶ καθαίρεσιν, καὶ συγχέει τῆς τῶν θείων αἰσθημάτων εὐπρεπείας τὴν χάριν.

ος'. Οὐδεὶς δύναται τινὰ τῶν εἰρημένων δαιμόνων ἔχων τὴν ἀρετὴν συμμετερχόμενον, ταύτην τῷ Κυρίῳ οἰκοδομῆσαι. οὐ γὰρ ἔχει τὸν Θεὸν τῶν γινομένων τέλος, ὃν θεώμενος ταύτην διέξεισιν· ἀλλὰ τὸ πάθος, ὅπερ διὰ ταύτης συνίστησιν.

Οἱ κατ' ἔλλειψιν ἀρετῆς πολεμοῦντες, δαίμονές εἰσιν, οἱ πορνείαν, καὶ μέθην, φιλαργυρίαν τε, καὶ φθόνον διδάσκοντες. οἱ δὲ καθ' ὑπερβολὴν πολεμοῦντες, εἰσὶν οἱ τὴν οἴησιν, καὶ τὴν κενοδοξίαν, καὶ τὴν ὑπερηφανίαν διδάσκοντες, καὶ διὰ τῶν δεξιῶν τοῖς ἀριστεροῖς ἐπικεκρυμμένως ἐμπείροντες. οζ'.

Εἴθε γένοιτο καὶ ἡμᾶς ἀεὶ λέγειν τοῖς ἐν πλάσματι φιλίας πνευματικῆς ἀοράτως προσβάλλουσι πνεύμασι τῆς πονηρίας, καὶ διὰ τοῦ ἀγαθοῦ λεληθότως βουλομένοις κατεργάζεσθαι τῆς ἁμαρτίας τὸν θάνατον· καὶ λέγουσι συνοικοδομήσωμεν ὑμῖν τὸν ναὸν τοῦ Κυρίου ὑμῶν, οὐχ ἡμῖν, καὶ ὑμῖν τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου τοῦ Θεοῦ ἡμῶν. ἡμεῖς γὰρ μόνοι οἰκοδομήσομεν τῷ Κυρίῳ τοῦ Ἰσραήλ. μόνοι μὲν, ὅτι τῶν κατ' ἔλλειψιν τῆς ἀρετῆς πολεμούντων ἐλευθερωθέντες πνευμάτων, ὧν καὶ ἐκβεβήκαμεν, οὐ βουλόμεθα ταῖς ὑπερβολαῖς δι' ὑμῶν ἐπαρθέντες πάλιν περιπαρεῖναι, καὶ πεσεῖν πτῶσιν, πολὺ τῆς προτέρας χαλεπωτέραν, ὅσον τῆς μὲν ἡ ἐπάνοδος ἐλπὶς εὐχερὴς, συγγνωσθεῖσι διὰ τὴν ἀσθένειαν. τῇ δὲ, ἢ οὐκ ἔστιν, ἢ δυσχερὴς ἔσται μισηθεῖσι διὰ τὴν ὑπερηφανίαν, καὶ τοῦ δεξιοῦ ποιουμένοις ἕτερόν τι δεξιώτερον. οὐ μόνοι δὲ πάλιν, ὅτι τὰς Ἁγίας Ἀγγέλους ἔχομεν τῶν καλῶν συλλήπτορας· μᾶλλον δὲ τὸν Θεὸν αὐτὸν, ἡμῖν ἑαυτὸν ἐμφανίζοντα διὰ τῶν ἔργων τῆς δικαιοσύνης, καὶ ἡμᾶς ἑαυτῷ ναὸν ἅγιον οἰκοδομοῦντα, καὶ παντὸς πάθους ἐλεύθερον. οη'.

Ἀρετῆς ὅρος ἐστὶν, ἡ τῆς ἀνθρωπίνης ἀσθενείας κατ' ἐπίγνωσιν πρὸς τὴν θείαν δύναμιν ἕνωσις. ὁ τοίνυν ἑαυτὸν τῇ ἀσθενείᾳ περιγράφων τῆς φύσεως, καὶ πρὸς τὸν ὅρον ἐκ ἦλθε τῆς ἀρετῆς· καὶ διὰ τοῦτο πλημμελεῖ, μήπω λαβὼν τὴν τὸ ἀσθενὲς ἰσχύουσαν δύναμιν. ὁ δὲ τῆς θείας δυνάμεως τὴν οἰκείαν ἀσθένειαν, ὡς ἰσχυρὸν οθ'.

αὐθαδῶς ἀντιπροβαλλόμενος, τὸν ὅρον παρῆλθε τῆς ἀρετῆς· καὶ διὰ τοῦτο πλημμελῶν, ὡς τὸ κατόπιν, ὑπερφηφανείας παρ' ἑαυτοῦ γινομένης, οὐκ ἐπιγινώσκει· ἀρετὴν γὰρ εἶναι νομίζει τὸ πλημμέλημα. συγγνωστὸς οὖν μᾶλλον ὁ τῆς κατὰ φύσιν ἀσθενείας ἑαυτὸν περιγράψας, παθὼν μᾶλλον ἐκ ῥαθυμίας τὴν ἔκπτωσιν τῆς ἀρετῆς. ἢ ὁ τὴν οἰκείαν ἀσθένειαν ὡς ἰσχὺν πρὸς τὴν τῶν καθηκόντων πρᾶξιν ἀντιπροβαλλόμενος τῆς θείας δυνάμεως, δράσας μᾶλλον ἐξ αὐθαδείας τῆς ἀρετῆς τὴν ἔκπτωσιν.

π΄. Ἐπειδὴ εἴρηται, πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη, κατὰ δύο τρόπους οἶδα ταύτην ἐνεργουμένην. καθ' ἕνα μὲν, ὁπόταν μετὰ τῶν κατ' ἐντολὴν ἔργων, τῷ Θεῷ τὴν ταύτης ποιεῖται προσαγωγὴν τῆς δεήσεως ὁ εὐχόμενος, ὡς μὴ μόνον ἐν ψιλῷ λόγῳ καὶ διακένῳ φωνῆς ἤχῳ τῆς γλώττης ἐκπίπτουσαν ἀργὴν κεῖσθαι τὴν δέησιν, καὶ ἀνυπόστατον, ἀλλ' ἐνεργὸν, καὶ ζῶσαν, τοῖς ἔργοις τῶν ἐντολῶν ψυχουμένην. εὐχῆς γὰρ καὶ δεήσεως ὑπόστασις, ἡ διὰ τῶν ἀρετῶν τῶν ἐντολῶν ὑπάρχει προδήλως ἐκπλήρωσις, καθ' ἣν ἰσχυρὰν καὶ πάντα δυναμένην ὁ δίκαιος ἔχει τὴν δέησιν, ἐνεργουμένην ταῖς ἐντολαῖς. καθ' ἕτερον δὲ τρόπον, ὁπόταν ὁ τῆς εὐχῆς τοῦ δικαίου δεόμενος, τὰ ἔργα τῆς εὐχῆς διαπράττηται, τόν τε πρότερον διορθούμενος βίον, καὶ τὴν δέησιν ἰσχυρὰν τοῦ δικαίου ποιούμενος, διὰ τῆς οἰκείας καλῆς ἀναστροφῆς δυναμουμένην.

πα΄. Οὐδὲν ὄφελος τῆς τοῦ δικαίου δεήσεως τῷ ταύτης χρήζοντος, πλέον τῶν ἀρετῶν ἡδομένου τοῖς πλημμελήμασιν· ἐπεὶ καὶ ὁ Μέγας ποτὲ Σαμουὴλ ἐπένθει τὸν Σαοὺλ πλημμελοῦντα, ἀλλ' οὐκ ἴσχυσε τὸν Θεὸν ἱλεώσασθαι, μὴ λαβὼν σύλληπτρα τοῦ πένθους τὴν καθήκουσαν τοῦ πλημμελοῦντος διόρθωσιν. διὸ τὸ ἀνόνητον πένθους ὁ Θεὸς, καταπαύων τὸν ἑαυτοῦ θεράποντα, φησὶ πρὸς αὐτὸν, ἕως πότε σὺ πενθεῖς ἐπὶ Σαοὺλ; καὶ ἐγὼ ἐξουδένωκα αὐτὸν, τοῦ βασιλεύειν ἐπὶ τὸν Ἰσραήλ.

πβ΄. Καὶ πάλιν Ἱερεμίας ὁ συμπαθέστατος, ὑπὲρ τοῦ λαοῦ τῶν Ἰουδαίων, περὶ τὴν πλάνην μαινομένων τῶν δαιμόνων οὐκ εἰσακούεται προσευχόμενος, οὐκ ἔχων εἰς προσευχῆς δύναμιν, τὴν ἀπὸ τῆς πλάνης τῶν ἀθέων Ἰουδαίων ἐπιστροφήν. ὅθεν τὸ διακενῆς προσεύχεσθαι καὶ τοῦτον ἀπάγων ὁ Θεὸς, φησὶ, καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου τοῦ ἐλεηθῆναι αὐτοὺς, καὶ μὴ εὔχου, καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν ἔτι, ὅτι οὐκ εἰσακούσομαι.

πγ΄. Πολλῆς ὄντως ἐστὶν ἀβελτηρίας, ἵνα μὴ λέγω παραφροσύνης, δι' εὐχῆς δικαίων ἐπιζητεῖν σωτηρίαν, τὸν κατὰ διάθεσιν ἡδόμενον· κἀκείνων αἰτεῖσθαι συγχώρησιν, οἷς ἐγκαυχᾶται κατ' ἐνέργειαν προθέσει ῥυπούμενος. δέον μὴ ἀργὸν ἑαυτὸν γίνεσθαι, καὶ ἀκίνητον τοῦ δικαίου τὴν δέησιν, τὸν ταύτης δεόμενον, εἴπερ ἀληθῶς τοῖς πονηροῖς ἀπεχθάνεται· ἀλλ' ἐνεργὸν ποιεῖν καὶ ἰσχυρὰν, ταῖς οἰκείαις ἀρεταῖς πτερουμένην, φθάνουσαν τὴν συγχώρησιν διδόναι τῶν πλημμεληθέντων δυναμένην.

πδ΄. Πολὺ ἰσχύει τοῦ δικαίου ἡ δέησις, εἴτε ἐκ τοῦ ποιουμένου ταύτην δικαίου, εἴτε ἐκ τοῦ γίνεσθαι αὐτὴν αἰτουμένου τὸν δίκαιον, ἐνεργουμένη. ὑπὸ μὲν γὰρ τοῦ δικαίου ἐνεργουμένη, δίδωσιν αὐτῷ παῤῥησίαν πρὸς τὸν δεῖσθαι δυνάμενον τὰ τῶν δικαίων αἰτήματα. ὑπὸ δὲ τοῦ ταύτην αἰτουμένου τὸν δίκαιον, τῆς προτέρας αὐτὸν μοχθηρίας ἀφίστησι, μεταβάλλουσα πρὸς ἀρετὴν αὐτοῦ τὴν διάθεσιν.

πε΄. Ἐρώτ. * Τοῦ Ἀποστόλου εἰρηκότος, ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι, εἰ δέον ἐστὶ λυπηθέντας ὑμᾶς ἐν ποικίλοις πειρασμοῖς, πῶς τις λυπούμενος ἐν πειρασμοῖς, δύναται ἀγαλλιᾶσθαι, ἐν ᾧ λυπεῖται;



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πϛ'. Ἀπόρ. * Τὴν λύπην διττὴν οἶδε τῆς ἀληθείας ὁ λόγος. τὴν μὲν, κατὰ ψυχὴν ἀφανῶς· τὴν δὲ, κατ' αἴσθησιν φανερῶς συνισταμένην. καὶ τὴν μὲν, ὅλον τὸ βάθος τῆς ψυχῆς περιλαμβάνουσαν, τῇ μάστιγι τῆς συνειδήσεως αἰκιζομένην. τὴν δὲ, πᾶσαν τὴν αἴσθησιν περιγράφουσαν, τῷ βάρει τῶν ἀλγεινῶν συστελλομένην τῆς φυσικῆς διαχύσεως. καὶ τὴν μὲν, τῆς κατ' αἴσθησιν ἡδονῆς. τὴν δὲ, τῆς κατὰ ψυχὴν εὐφροσύνης τέλος ὑπάρχουσαν· μᾶλλον δὲ τὴν μὲν, τῶν κατ' αἴσθησιν γνωμικῶν· τὴν δὲ τῶν κατ' αὐτὴν συμπέρασμα παρὰ γνώμην παθῶν τυγχάνουσαν.

πζ'. Λύπη ἐστὶ κατ' ἐμὲ φάναι διάθεσις ἡδονῶν ἐστερημένη. στέρησις δὲ καθέστηκεν ἡδονῶν, πόνων ἐπαγωγή. πόνος δὲ σαφῶς ἐστὶ, φυσικῆς ἕξεως ἔλλειψις, ἢ ὑποχώρησις. ἔλλειψις δὲ φυσικῆς ἕξεως, πάθος τῆς κατὰ φύσιν ὑποκειμένης τῇ ἕξει δυνάμεως. τὸ δὲ πάθος τῆς κατὰ φύσιν τῇ ἕξει δυνάμεως ἐστὶν, ὁ κατὰ τὴν παράχρησιν τῆς φυσικῆς ἐνεργείας τρόπος. παράχρησις δὲ τοῦ κατ' ἐνέργειαν τρόπου καθέστηκεν, ἡ πρὸς τὸ μὴ πεφυκὸς κατὰ φύσιν καὶ ὑφιστάμενον τῆς δυνάμεως κίνησις.

πη'. σχόλ. Τὴν κατὰ ψυχὴν λύπην τέλος εἶναι (φησὶ) τῆς κατ' αἴσθησιν ἡδονῆς. ἐκ γὰρ ταύτης συνίσταται λύπη ψυχῆς. ὥσπερ ἂν καὶ τῆς κατὰ ψυχὴν ἡδονῆς τέλος ἐστὶν ἡ κατὰ σάρκα λύπη. ψυχῆς γὰρ εὐφροσύνη σαρκὸς γίνεται λύπη.

πθ'. σχόλ. Διττὴν τὴν λύπην (λέγει·) τὴν μὲν περὶ τὴν αἴσθησιν, κατὰ στέρησιν τῶν σωματικῶν ἡδονῶν συνισταμένην· τὴν δὲ, περὶ νοῦν κατὰ στέρησιν τῶν τῆς ψυχῆς ἀγαθῶν γινομένην. διττοὺς δὲ λέγει καὶ τοὺς πειρασμοὺς, τοὺς μὲν, ἑκουσίους, τοὺς δὲ ἀκουσίους. καὶ τοὺς μὲν ἑκουσίους, τῆς κατ' αἴσθησιν σωματικῆς ἡδονῆς εἶναι πατέρας· τῆς δὲ κατὰ ψυχὴν λύπης εἶναι γεννήτορας. μόνη γὰρ πραχθεῖσα, λυπεῖ τὴν ψυχὴν ἡ ἁμαρτία. τοὺς δ' ἀκουσίους, οἵτινες ἐν τοῖς παρὰ γνώμην δείκνυνται πόνοις, τῆς μὲν κατὰ ψυχὴν ἡδονῆς εἶναι πατέρας· τῆς δὲ κατ' αἴσθησιν σωματικῆς λύπης εἶναι γεννήτορας.

Ὥσπερ τὴν λύπην διττὴν, ὡς ἔφην, οἶδεν ὁ λόγος, οὕτω καὶ τῶν πειρασμῶν διττὸν ἐπίσταται τὸν τρόπον. τὸν μὲν, κατὰ γνώμην· τὸν δὲ, παρὰ γνώμην. καὶ τὸν μὲν, ἑκουσίων ἡδονῶν δημιουργόν· τὸν δὲ, ἀκουσίων ὀδυνῶν ἐπακτικόν. ὁ γὰρ κατὰ γνώμην πειρασμὸς, τὰς κατὰ προαίρεσιν ἑκουσίους σαφῶς συνίστησιν ἡδονάς. ὁ δὲ παρὰ γνώμην, προδήλως τοὺς ἀκουσίους παρὰ προαίρεσιν ἐφίστησι πόνους. καὶ ὁ μὲν, τῆς κατὰ ψυχήν· ὁ δὲ, τῆς κατ' αἴσθησιν λύπης καθέστηκεν αἴτιος. ϙ'.

Ὁ μὲν κατὰ γνώμην πειρασμὸς, τὴν κατὰ ψυχὴν λύπην συνίστησι· τὴν δὲ κατ' αἴσθησιν δημιουργεῖ σαφῶς ἡδονήν. ὁ δὲ παρὰ γνώμην, τὴν μὲν τῆς ψυχῆς ἡδονὴν, τὴν δὲ, τῆς σαρκὸς λύπην ὑφίστησιν. ϙα'.

Οἶμαι τὸν Κύριον ἡμῶν καὶ Θεὸν, πῶς δεῖ προσεύχεσθαι τοὺς οἰκείους διδάσκοντα μαθητὰς, πρὸς τὸ κατὰ γνώμην εἶδος τῶν πειρασμῶν ἀπεύχεσθαι, φάσκειν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν. τῶν ἡδονικῶν δηλονότι, καὶ γνωμικῶν, καὶ ἑκουσίων πειρασμῶν, μὴ ἐγκαταλειφθῆναι πεῖραν λαβεῖν εὔχεσθαι. τὸν δὲ Μέγαν Ἰάκωβον τὸν τοῦ Κυρίου λεγόμενον ἀδελφὸν, πρὸς τὸ τῶν ἀκουσίων πειρασμῶν εἶδος, διδάσκοντα μὴ συστέλλεσθαι τοὺς ὑπὲρ τῆς ἀληθείας ἀγωνιζομένους, φάναι, Πᾶσαν χαρὰν ἡγήσασθε ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, δηλονότι, τοῖς ἀκουσίοις, καὶ παρὰ γνώμην, καὶ πόνων ποιητικοῖς πειρασμοῖς. καὶ δηλοῦσι σαφῶς, ἐκεῖ μὲν ἐπάγων ὁ Κύριος· Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ἐνταῦθα δὲ, ὁ Μέγας Ἰάκωβος· Γινώσ- ϙβ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κότες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν· ἡ δὲ ὑπομονή, ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι.

ϟγʹ. Ὁ μὲν Κύριος ἀποδέχεσθαι τοὺς ἑκουσίους ἡμᾶς διδάσκει πειρασμούς, τοὺς σαρκὸς μέν, ἡδονῆς· ψυχῆς δὲ ποιητικοὺς ὀδύνης· ὁ δὲ Μέγας Ἰάκωβος, ἐπὶ τοῖς ἀκουσίοις ἡμῖν παραινεῖ χαίρειν πειρασμοῖς, τοῖς σαρκὸς μὲν ἡδονήν, ψυχῆς δὲ ὀδύνην ἀφαιρουμένοις.

ϟδʹ. Τέλειός ἐστιν, ὁ τοῖς ἑκουσίοις δι᾽ ἐγκρατείας μαχόμενος, καὶ τοῖς ἀκουσίοις δι᾽ ὑπομονῆς ἐγκαρτερῶν πειρασμοῖς· καὶ ὁλόκληρος δέ, ὁ καὶ τὴν πρᾶξιν μετὰ γνώσεως, καὶ τὴν θεωρίαν οὐκ ἄπρακτον διασώζων.

Διῃρημένης εἰς ψυχήν τε καὶ αἴσθησιν, ὥσπερ λύπης καὶ τῆς ἡδονῆς, ὁ τὴν μὲν τῆς ψυχῆς πεπειραμένος ἡδονήν, τὴν δὲ τῆς αἰσθήσεως μεθ᾽ ὑπομονῆς καταδεχόμενος λύπην, δόκιμος γίνεται, καὶ τέλειος καὶ ὁλόκληρος· δόκιμος μέν, διὰ τὴν πεῖραν τῶν κατ᾽ αἴσθησιν ἐναντίων· τέλειος δέ, ὡς τῇ κατ᾽ αἴσθησιν ἡδονῇ τε καὶ λύπῃ δι᾽ ἐγκρατείας καὶ ὑπομονῆς ἀνδρείως μαχόμενος· ὁλόκληρος δέ, ὡς καὶ μαχομένας ταῖς κατ᾽ αἴσθησιν ἀλλήλαις ἀντικειμένας διαθέσεσιν ἕξεις, ἐν τῷ κρατοῦντι τῆς κατὰ τὸν λόγον αὐτοῦ ἀπαραβλάβως διαφυλάττων· φημὶ δὲ τὴν πρᾶξιν καὶ τὴν θεωρίαν, ἀλλήλαις συνεχομένας, καὶ μηδεμίαν τῆς ἑτέρας διεζευγμένην· ἀλλὰ τὴν μὲν πρᾶξιν, τῆς θεωρίας τὴν γνῶσιν διὰ τῶν τρόπων προφαίνουσαν· τὴν δὲ θεωρίαν, οὐχ ἧττον τοῦ λόγου, τὴν ἀρετὴν τεθωρακισμένην τῆς πράξεως.

ϟϛʹ. Ὁ λύπης καὶ ἡδονῆς σαρκὸς πεῖραν λαβών, λέγοιτ᾽ ἂν δόκιμος· ὡς εὐχερείας καὶ δυσχερείας τῶν περὶ σάρκα πραγμάτων πεπειραμένος. τέλειος δέ, ὁ τὴν ἡδονὴν τῆς σαρκός, καὶ τὴν ὀδύνην τῇ τοῦ λόγου δυνάμει καταπαλαίσας. ὁλόκληρος δέ, ὁ τὰς κατὰ τὴν πρᾶξιν καὶ θεωρίαν ἕξεις, ἀτρέπτους τῷ περὶ τὸν θεῖον πόθον σιωπείᾳ διατηρήσας.

ϟζʹ. Τῆς μὲν κατὰ ψυχὴν λύπης ἐστί, διττὸς ὁ τρόπος· ὁ μὲν ἐπὶ τοῖς οἰκείοις, ὁ δὲ ἐπὶ τοῖς ἀλλοτρίοις πλημμελήμασι συνιστάμενος. αἰτία δὲ τῆς τοιαύτης λύπης, ἡ κατ᾽ αἴσθησιν τοῦ λυπουμένου σαφῶς, ἢ τοῦ δι᾽ ὃν λυπεῖται καθέστηκεν ἡδονή. κατὰ γὰρ τὸν ἀκριβῆ λόγον, οὐκ ἔστι παντελῶς ἁμαρτία σχεδὸν ἐν ἀνθρώποις, μὴ τῆς ψυχῆς πρὸς αἴσθησιν, ἡδονῆς ἕνεκεν ἀλόγιστον σχέσιν, ἀρχὴν τῆς οἰκείας γενέσεως ἐχούσης. τῆς δὲ κατὰ ψυχὴν ἡδονῆς αἰτία, προδήλως ἐστίν, ἡ κατ᾽ αἴσθησιν τοῦ ἐπὶ ταῖς οἰκείαις, ἢ ταῖς ἀλλοτρίαις ἀρεταῖς ἡδομένου τε, καὶ χαίροντος λύπη. κατὰ γὰρ τὸν ἀκριβῆ λόγον οὐκ ἔστιν ἀρετὴ σχεδὸν ἐν ἀνθρώποις, μὴ τῆς ψυχῆς πρὸς αἴσθησιν λελογισμένην ἀποδιάθεσιν, ἀρχὴν τῆς οἰκείας γενέσεως ἐχούσης.

ϟηʹ. Χωρὶς τῆς κατὰ ψυχὴν ἐμπαθοῦς πρὸς αἴσθησιν σχέσεως, οὐκ ἔστιν ἐν ἀνθρώποις ὑποστᾶσα ἁμαρτία. πάσης δὲ λύπης συνισταμένης τῇ ψυχῇ, ἡδονὴ σαρκὸς προηγεῖται.

ϟθʹ. Γένεσις ἀρετῆς ἐστὶν ἀληθής, ἡ πρὸς τὴν σάρκα τῆς ψυχῆς ἑκούσιος ἀλλοτρίωσις. ἀδρύνει δὲ τὴν ψυχὴν πνευματικῶς, ὁ τοῖς ἑκουσίοις τὴν σάρκα πόνοις δαμάζων.

ρʹ. Τῆς ψυχῆς ὑπὲρ ἀρετῆς πρὸς τὴν αἴσθησιν ἀποδιάθεσιν κτησαμένης, ἐξ ἀνάγκης ἡ αἴσθησις ἐν πόνοις ἐστί· τὴν τῶν ἡδονῶν ποιητικὴν συμπάθειαν αὐτῆς κατὰ γνωμικὴν σχέσιν, τῆς ψυχῆς οὐκ ἔχουσα δύναμιν. τοὐναντίον δέ, τὴν μὲν τῶν αὐτῆς ἡδονῶν ἐπανάστασιν, δι᾽ ἐγκρατείας ἀνδρικῶς ἀπορραπιζούσης. πρὸς δὲ τὴν τῶν παρὰ φύσιν καὶ ἀκουσίων πόνων ἐπαγωγήν, διὰ τῆς ὑπομονῆς ἀμειλίκτως

παντε-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

παντελῶς διαμένουσι, καὶ τῆς κατ' ἀρετὴν θεοπρεποῦς ἀξίας τε καὶ δόξης, ἀλλὰ τὴν ἀνυπόστατον ἡδονὴν οὐκ ἐξισαμένην, καὶ πρὸς τὴν τῶν πόνων ἀντίληψιν φειδοῖ τῆς σαρκὸς ἀλλὰ τὴν ὀδυνῶσαν αἴσθησιν, τοῦ ὕψους τῶν ἀρετῶν οὐκ ἀποπίπτουσιν. τῆς δὲ κατ' αἴσθησιν λύπης αἰτία καθέστηκεν, ἡ πρὸς τὰ κατὰ φύσιν τῆς ψυχῆς παντελῶς ἀσχολία. τὴν δὲ κατ' αἴσθησιν ἡδονὴν, ἡ παρὰ φύσιν ἐνέργεια τῆς ψυχῆς προδήλως ὑφίστησιν, ἄλλην ἀρχὴν ἔχειν οὐ δυναμένην συστάσεως, ἢ τῆς ψυχῆς τῶν κατὰ φύσιν ἀπόθεσιν.

# ΤΟΥ ΑΥΤΟΥ

# ἙΚΑΤΟΝΤΑΣ ἝΚΤΗ.

α. Ἐποπτικὴν οἶδε τὴν νοερὰν τῆς ψυχῆς δύναμιν· ἥτις χωριζομένη τῆς κατ' αἴσθησιν σχέσεως, ἔρημον τῆς πρὸς ἡδονὴν τὴν σάρκα καταλιμπάνει προνοίας, κατὰ τὴν ἐν γνώμῃ σχέσιν, οὐδὲ τὴν ὀδύνην τῆς σαρκὸς ἀνεχομένη παραμυθεῖσθαι, ἀλλὰ τὴν ἐν σχέσει τῆς γνώμης πρὸς τὰ θεῖα ὁλικὴν σχολήν.

β. Νοῦς καὶ αἴσθησις ἀντικειμένην ἔχουσι πρὸς ἄλληλα τὴν κατὰ φύσιν ἐνέργειαν, διὰ τὴν τῶν αὐτοῖς ὑποκειμένων ἀκροτάτην διαφορὰν καὶ ἑτερότητα. Ὁ μὲν γὰρ ὑποκειμένας ἔχει τὰς νοητὰς καὶ ἀσωμάτους οὐσίας, ὧν κατ' οὐσίαν ἀντιλαμβάνεσθαι πέφυκεν· ἡ δὲ, τὰς αἰσθητὰς καὶ σωματικὰς φύσεις, ὧν καὶ αὐτὴ φυσικῶς ἀντιλαμβάνεται.

γ. Ἡ τῆς ψυχῆς τῶν κατὰ φύσιν ἀπόθεσις, τῆς κατ' αἴσθησιν ἡδονῆς ἀρχὴ γίνεσθαι πέφυκε. τῆς γὰρ ψυχῆς περὶ τὰ κατὰ φύσιν ἀγαθὰ ποιουμένης, οὐκ ἔστιν ἡ τὸν κατ' αἴσθησιν τῆς ἡδονῆς τρόπον ἐφευρίσκουσα δύναμις.

δ. Ἔνθα λόγος προκαθηγεῖται τῆς αἰσθήσεως κατὰ τὴν τῶν ὁρατῶν θεωρίαν, πάσης εἴργεται τῆς κατὰ φύσιν ἡ σὰρξ ἡδονῆς, οὐκ ἔχουσα τὴν ἔφεσιν ἄφετον, τῶν λογικῶν ἀπολελυμένην δεσμῶν, εἰς ὑπηρεσίαν τῶν κατ' αὐτὴν ἡδονῶν. ὅθεν καὶ ἐξ ἀνάγκης κρατοῦντος τοῦ ἐν ἡμῖν λόγου, ἡ πρὸς ἀρετὴν αὐτοῦ δουλωθεῖσα βασανίζεται σάρξ.

ε. Ὁ νοῦς ἅμα τὴν αἴσθησιν οἰκείαν κατὰ φύσιν ἡγήσεται δύναμιν, ταῖς τῶν αἰσθητῶν ἐμπλεκόμενος ἐπιφανείαις, ἐμποιεῖται τὰς σαρκικὰς ἡδονὰς, οὐ δυνάμενος τῶν ὁρατῶν διαβῆναι τὴν φύσιν, τῇ πρὸς τὴν αἴσθησιν ἐμπαθεῖ σχέσει καταχεθείς.

ϛ. Εἰ οὐκ ἔστι δυνατὸν πρὸς τὰ συγγενῆ νοητὰ τὸν νοῦν διαβῆναι, δίχα τῆς τῶν ἀνὰ μέσον προβεβλημένων αἰσθητῶν θεωρίας· ταύτην δὲ γενέσθαι παντελῶς ἀμήχανον, χωρὶς τῆς αὐτοῦ μὲν συγκειμένης, τοῖς αἰσθητοῖς δὲ κατὰ φύσιν συγγενοῦς αἰσθήσεως. εἰκότως ὁ μὲν προσβαλὼν ἐνσχεθῇ ταῖς ἐπιφανείαις τῶν ὁρατῶν, ἐνέργειαν εἶναι φυσικὴν τὴν συγκειμένην οἰόμενος αἴσθησιν, τῶν μὲν κατὰ φύσιν ἐκπέπτωκε νοητῶν, τῶν δὲ παρὰ φύσιν ἀμφοῖν ταῖν χεροῖν, ὃ δὴ λέγεται, ἐπελάβετο σωμάτων· οἷς παρὰ τὸν λόγον ἐνεργούμενος, ἀλλὰ τὴν αὐτοῦ ἐκνικήσασαν αἴσθησιν, τῆς μὲν κατὰ ψυχὴν λύπης γεννήτωρ καθίσταται, συχναῖς ταῖς κατὰ συνείδησιν μάστιξιν αἰκιζόμενος· τῆς δὲ κατ' αἴσθησιν ἡδονῆς ἀριδήλως γίνεται ποιητὴς, ταῖς ἐπινοίαις, τῶν περιποιητικῶν τρόπων τῆς σαρκὸς λιπαινόμενος. εἰ δὲ τὴν πρὸς αἴσθησιν

ἅμα τῇ προσβολῇ τῶν ὁρωμένων διαπρεπῶς ἐπιφαινομένους, τοὺς πνευματικοὺς τῶν ὄντων καθαροὺς τῶν ἐπ' αὐτοὺς σχημάτων θεάσεται λόγους· τὴν μὲν τῆς ψυχῆς ἡδονὴν κατεργασαμένους, μηδενὶ τῶν αἰσθητῶν θεωρουμένων κρατουμένους· τὴν δὲ τῆς αἰσθήσεως συνιστῶσαν λύπην, πάντων τῇ φύσει τῶν αἰσθητῶν ἐστερημένους.

ζ. Ἐπειδὴ τὴν μὲν τῆς ψυχῆς λύπην, ἤγουν τὸν πόνον· ταυτὸν γὰρ ἀλλήλοις ἀμφότερα· ἡ κατ' αἴσθησιν ἡδονὴ συνίστησι· τὴν δὲ τῆς αἰσθήσεως λύπην, ἤγουν τὸν πόνον, ἡ κατὰ ψυχὴν ποιεῖν ἡδονὴ πέφυκεν· εἰκότως ὁ τῆς κατ' ἐλπίδα ζωῆς τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' Ἀναστάσεως νεκρῶν εἰς κληρονομίαν ἄφθαρτον, καὶ ἀμίαντον, καὶ ἀμάραντον τετηρημένην ἐν οὐρανοῖς, ἐφιέμενος, κατὰ μὲν τὴν ψυχὴν ἀγαλλίασιν ἔχει, καὶ χαρὰν ἀνεκλάλητον, διηνεκῶς τῇ τῶν μελλόντων ἐλπίδι γανύμενος ἀγαθῶν· κατὰ δὲ τὴν σάρκα καὶ τὴν αἴσθησιν, λύπην, τοὺς ἐκ τῶν ποικίλων πειρασμῶν ἐπιγινομένους αὐτῇ πόνους, καὶ τὰς ἐπ' αὐτοῖς ὀδύνας. πάσῃ γὰρ ἀρετῇ, ἡδονὴ καὶ πόνος παρέπεται. πόνος μέν, σαρκός, ἐστερημένης τῆς προσηνοῦς καὶ λειοτέρας αἰσθήσεως· ἡδονὴ δέ, ψυχῆς, παντὸς αἰσθητοῦ καθαροῖς ἐντρυφώσης τοῖς ἐν πνεύματι λόγοις.

η. Δέον ἐστὶ τὸν νῦν κατὰ τὴν παροῦσαν ζωήν. Τοῦτο γάρ μοι νοεῖται, τὸ νῦν, κατὰ σάρκα λυπούμενον, διὰ τοὺς πολλοὺς πόνους τῶν ὑπὲρ ἀρετῆς αὐτῷ προσαγομένων πειρασμῶν, ἀεὶ χαίρειν κατὰ ψυχήν, καὶ ἥδεσθαι διὰ τὴν ἐλπίδα τῶν αἰωνίων ἀγαθῶν, κἂν ἔχῃ καταπονουμένην τὴν αἴσθησιν. Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς· φησὶν ὁ θεῖος Ἀπόστολος.

θ. Ψυχῆς, ἡ σάρξ. ἀλλ' οὐ σαρκός, ἡ ψυχή. τοῦ γὰρ κρείττονος, φησί, τὸ ἧττον, ἀλλ' οὐ τοῦ ἥττονος, τὸ κρεῖττον. καὶ μὴν ἐπειδὴ τῇ σαρκὶ διὰ τὴν παράβασιν ἐνεφύρη τῆς ἁμαρτίας ὁ νόμος, ὅπερ ἐστὶν ἡ κατ' αἴσθησιν ἡδονή, δι' ἣν κατεκρίθη διὰ πόνων τῆς σαρκὸς ὁ θάνατος, εἰς τὴν τοῦ νόμου τῆς σαρκὸς ἀναίρεσιν ἐπινοούμενος. ὁ διαγνοὺς ὅτι διὰ τὴν ἁμαρτίαν εἰς τὴν αὐτῆς ἀναίρεσιν ἐπεισῆλθεν ὁ θάνατος, ἀεὶ χαίρουσαν ἔχει τὴν ψυχήν, ὑπὸ πόνων ποικίλων θεωμένην ἀπογινόμενον τῆς οἰκείας σαρκὸς τὸν νόμον τῆς ἁμαρτίας, πρὸς ὑποδοχὴν τῆς μελλούσης ἐν πνεύματι μακαρίας ζωῆς· ἧς ἄλλως οὐκ ἔστι τυχεῖν, μὴ πρότερον κενωθέντος ὡς ἐξ ἀγγείου τινὸς τῆς σαρκὸς ἐν τῇ παρούσῃ ζωῇ, κατὰ τὴν πρὸς αὐτὴν σχέσιν τῆς γνώμης, τοῦ νόμου τῆς ἁμαρτίας.

ι. Ὁ τῇ ἀρετῇ κατὰ σάρκα διὰ τοὺς πόνους λυπούμενος, ἐν αὐτῇ χαίρει τῇ ἀρετῇ κατὰ ψυχήν, ὡς παροῦσαν θεώμενος τὴν τῶν μελλόντων εὐπρέπειαν· ὑπὲρ ἧς, κατὰ τὸν Μέγαν Δαβίδ, τῇ κατὰ γνώμην ἀπογεννήσει τῆς σαρκός, καθ' ἑκάστην ἀποθνήσκει τὴν ἡμέραν, ὁ κατὰ τὴν τῆς ψυχῆς ἐν πνεύματι γένεσιν ἀεὶ καινιζόμενος, ἅτε δὴ καὶ τὴν ἡδονὴν ἔχων συνιοῦσαν, καὶ τὴν λύπην ὠφέλιμον. λύπην γάρ φαμεν, οὐ τὴν παράλογον, καὶ πολλῶν, ἐπὶ στερήσει παθῶν, ἢ πραγμάτων ὑλικῶν τὴν ψυχὴν βασανίζουσαν, ὡς τὰς ὁρμὰς παρὰ φύσιν ἐφ' ἃ μὴ δεῖ, καὶ τὰς ἀποφυγάς, ἀφ' ὧν μὴ δεῖ ποιουμένων· ἀλλὰ τὴν λελογισμένην, καὶ τοῖς τὰ θεῖα σοφοῖς ἐγκριθεῖσαν, καὶ τὸ παρὸν κακὸν ὑποσημαίνουσαν. παρὸν γὰρ κακόν, φασὶν εἶναι τὴν λύπην, συνισταμένην μὲν κατὰ ψυχήν, ὅταν ἡ κατ' αἴσθησιν ἡδονὴ τῆς λογικῆς κρατεῖ διακρίσεως· ὑφισταμένην δὲ κατ' αἴσθησιν, ὅταν τῆς ψυχῆς κατ' ἀρετὴν ἀκωλύτως ὁ δρόμος ἀνύεται· πόνον ἐ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πάγων τῇ αἰσθήσει τὰς ποιότητας, ὅσον ἡδονὴν ἐμποιεῖ καὶ χαρὰν τῇ ψυχῇ, τῷ Θεῷ προσαγομένη διὰ τῆς συγγενοῦς κατ' ἀρετήν τε καὶ γνῶσιν ἐλλάμψεως.

ια΄. σχόλ. Ἡδονὴν (λέγει) σωτήριον, τὴν ἐπ' ἀρετῇ χαρὰν τῆς ψυχῆς· ὠφέλιμον δὲ λύπην, τὴν ὑπὲρ ἀρετῆς ὀδύνην τῆς σαρκός. ὁ γοῦν πάθεσι προστετηκὼς καὶ πράγμασιν, ἐφ' ἃ μὴ δεῖ τὰς ὁρμὰς ποιεῖται. καὶ ὁ τὰς ποιητικὰς τῆς τῶν παθῶν καὶ τῶν πραγμάτων στερήσεως συμβάσεις οὐκ ἀσπαζόμενος, ἀφ' ὧν μὴ δεῖ τὰς ἀποφυγὰς ποιεῖται.

ιβ΄. Οὔτε ἡ θεία χάρις ἐνεργεῖ φωτισμοὺς γνώσεως, οὐκ ὄντος τοῦ κατὰ δύναμιν φυσικὴν δεχομένου τὸν φωτισμόν. οὔτε μὴν τὸ δεκτικὸν δίχα τῆς χορηγούσης χάριτος, τὸν φωτισμὸν ἐνεργεῖ γνώσεως.

ιγ΄. Οὔτε ἡ χάρις τοῦ Παναγίου Πνεύματος ἐνεργεῖ σοφίαν ἐν τοῖς ἁγίοις, χωρὶς τοῦ ταύτην δεχομένου νοός· οὔτε γνῶσιν χωρὶς τῆς δεκτικῆς τοῦ λόγου δυνάμεως· οὔτε πίστιν ἄνευ τῆς κατὰ νοῦν καὶ λόγον τῶν μελλόντων καὶ πᾶσι τέως ἀδήλων πληροφορίας· οὔτε ἰαμάτων χαρίσματα, δίχα τῆς κατὰ φύσιν φιλανθρωπίας· οὔτε τι ἕτερον τῶν λοιπῶν χαρισμάτων, χωρὶς τῆς ἑκάστου δεκτικῆς ἕξεώς τε, καὶ δυνάμεως· οὔτε μὴν πάλιν ἓν τῶν ἀπηριθμημένων ἄνθρωπος κτήσεται κατὰ δύναμιν φυσικήν, δίχα τῆς χορηγούσης ταῦτα θείας δυνάμεως. καὶ δηλοῦσι τοῦτο σαφῶς πάντες οἱ ἅγιοι, μετὰ τὰς ἀποκαλύψεις τῶν θείων, ζητοῦντες τῶν ἀποκαλυφθέντων τοὺς λόγους.

ιδ΄. Ὁ δίχα πάθους αἰτῶν, λαμβάνει τὴν τοῦ ἐνεργεῖν δύνασθαι χάριν κατὰ τὴν πρᾶξιν τὰς ἀρετάς. καὶ ὁ ζητῶν ἀπαθῶς, εὑρίσκει κατὰ τὴν φυσικὴν θεωρίαν τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν. καὶ ὁ κρούων ἀπαθῶς τὴν θύραν τῆς γνώσεως, ἀκωλύτως εἰς τὴν ἀπόκρυφον τῆς μυστικῆς θεολογίας ἐλεύσεται χάριν.

ιε΄. Ὁ ἀπαθῶς τὰ θεῖα ζητῶν, πάντως λήψεται τὸ ζητούμενον. ὁ δὲ μετά τινος πάθους ζητῶν, ἀποτεύξεται τοῦ ζητουμένου. φησὶ γάρ, Αἰτεῖτε καὶ οὐ λαμβάνεται, διότι κακῶς αἰτεῖτε.

ιϛ΄. Ζητεῖ ἐν ἡμῖν τὴν τῶν ὄντων γνῶσιν τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ ἐρευνᾷ· ἀλλ' οὐχ ἑαυτῷ ζητεῖ τὸ ζητούμενον, ὅτι Θεός, καὶ πάσης ἐπέκεινα γνώσεως. ὥσπερ ἀμέλει καὶ ὁ Λόγος γίνεται σάρξ, οὐχ ἑαυτῷ, ἀλλ' ἡμῖν τὸ διὰ τῆς σαρκὸς ἐξανύων μυστήριον. ὡς γὰρ χωρὶς σαρκὸς νοερῶς ἐμψυχωμένης, οὐκ ἐνήργει θεοπρεπῶς τὰ κατὰ φύσιν ὁ Λόγος τῆς σαρκός, οὕτως οὐδὲ τὸ Πνεῦμα τὸ Ἅγιον ἐν τοῖς ἁγίοις ἐνεργεῖ τὰς γνώσεις τῶν μυστηρίων, χωρὶς τῆς κατὰ φύσιν ζητούσης, καὶ ἐρευνώσης τὴν γνῶσιν δυνάμεως.

ιζ΄. Ὥσπερ οὐκ ἔστι χωρὶς ἡλιακοῦ φωτὸς ὀφθαλμὸν ἀντιλαμβάνεσθαι τῶν αἰσθητῶν, οὕτω δίχα πνευματικοῦ φωτὸς νοῦς ἀνθρώπινος οὔποτ' ἂν δέξηται θεωρίαν πνευματικήν. τὸ μὲν γὰρ αἰσθητὸν φῶς, κατὰ φύσιν φωτίζει τὴν αἴσθησιν πρὸς τὴν τῶν σωματικῶν ἀντίληψιν. τὸ δὲ πνευματικόν, πρὸς τὴν θεωρίαν τὸν νοῦν καταυγάζει πρὸς κατανόησιν τῶν ὑπὲρ αἴσθησιν.

ιη΄. Τὰς μὲν ζητητικάς τε καὶ ἐξερευνητικὰς τῶν θείων δυνάμεις, οὐσιωδῶς ἔχει καταβεβλημένας αὐτῇ παρὰ τοῦ κτίσαντος κατ' αὐτὴν τὴν εἰς τὸ εἶναι πάροδον, ἡ τῶν ἀνθρώπων φύσις· τὰς δὲ τῶν θείων ἀποκαλύψεις, κατὰ χάριν ἡ τοῦ Παναγίου Πνεύματος ἐπιφοιτῶσα ποιεῖται δύναμις. ἐπειδὴ δὲ κατ' ἀρχὰς διὰ τῆς ἁμαρτίας, τῇ φύσει τῶν ὁρατῶν ταύτας ὁ πονηρὸς προσήλωσε τὰς δυνάμεις, καὶ οὐκ ἦν ὁ συνιών, ἢ ἐκζητῶν τὸν Θεόν, πάντων τῶν μετειληφότων τῆς φύσεως, τὴν νοεράν τε καὶ λογικὴν δύναμιν ἐχόν-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

των περιγεγραμμένων τῇ ἐπιφανείᾳ τῶν αἰσθητῶν, καὶ μηδεμίαν κεκτημένων ἔννοιαν τῶν ὑπὲρ αἴσθησιν, εἰκότως ἡ τοῦ Παναγίου Πνεύματος χάρις, τοὺς μὴ κατὰ πρόθεσιν ἐνδιαθέτως ὑπὸ τὴν ἀπάτην γενομένους, τῶν ὑλικῶν ἀφηλώσασα, τὴν προσηλωμένην ἀποκατέστησε δύναμιν· ἣν καθαρὰν ἀπολαβόντες διὰ τῆς χάριτος, πρῶτον ἐζήτησαν καὶ ἠρεύνησαν, καὶ οὕτως ἐξεζήτησαν καὶ ἐξηρεύνησαν· διὰ τῆς αὐτῆς δηλαδὴ τοῦ Πνεύματος χάριτος.

ιθʹ. Σωτηρία δηλαδὴ ψυχῶν, κυρίως ἐστὶ, τὸ τέλος τῆς πίστεως· τέλος δὲ πίστεως ἐστὶν, ἡ τοῦ πιστευθέντος ἀληθὴς ἀποκάλυψις· ἀληθὴς δὲ τοῦ πιστευθέντος ἐστὶν ἀποκάλυψις, ἡ κατὰ ἀναλογίαν τῆς ἐν ἑκάστῳ πίστεως ἄρρητος τοῦ πεπιστευμένου περιχώρησις· περιχώρησις δὲ τοῦ πεπιστευμένου καθέστηκεν, ἡ πρὸς τὴν ἀρχὴν κατὰ τὸ τέλος τῶν πεπιστευκότων ἐπάνοδος· ἡ δὲ πρὸς τὴν οἰκείαν ἀρχὴν κατὰ τὸ τέλος τῶν πεπιστευκότων ἐπάνοδος ἐστὶν, τῶν πρὸς Θεὸν δηλονότι κινουμένων ἡ τῆς ἐφέσεως πλήρωσις· ἐφέσεως δὲ πλήρωσίς ἐστιν, ἡ περὶ τὸ ἐφετὸν τῶν ἐφιεμένων ἀεικίνητος στάσις· ἀεικίνητος δὲ στάσις περὶ τὸ ἐφετὸν τῶν ἐφιεμένων ἐστὶν, ἡ τοῦ ἐφετοῦ διηνεκής τε καὶ ἀδιάστατος ἀπόλαυσις· ἀπόλαυσις δὲ διηνεκής τε καὶ ἀδιάστατος τοῦ ἐφετοῦ, ἡ τῶν ὑπὲρ φύσιν θείων καθέστηκε μέθεξις· μέθεξις δὲ τῶν ὑπὲρ φύσιν θείων ἐστὶν, ἡ πρὸς τὸ μετεχόμενον τῶν μετεχόντων ὁμοίωσις· ἡ δὲ πρὸς τὸ μετεχόμενον τῶν μετεχόντων ὁμοίωσις ἐστὶν, ἡ κατ' ἐνέργειαν πρὸς αὐτὸ τὸ μετεχόμενον τῶν μετεχόντων δι' ὁμοιότητος ταυτότης· ἡ δὲ τῶν μετεχόντων ἐνδεχομένη κατ' ἐνέργειαν δι' ὁμοιότητος ταυτότης, ἡ δι' ὁμοιότητος πρὸς τὸ μετεχόμενον ἐστὶ θέωσις τῶν ἀξιουμένων θεώσεως· ἡ δὲ θέωσίς ἐστι, καθ' ὑπογραφῆς λόγον πάντων τῶν χρόνων καὶ τῶν αἰώνων, καὶ τῶν ἐν χρόνῳ, καὶ αἰῶνι, περιοχὴ καὶ πέρας· περιοχὴ δὲ καὶ πέρας, τῶν χρόνων καὶ τῶν αἰώνων ἐστὶ, καὶ πάντων τῶν ἐν αὐτοῖς, ἡ τῆς ἀκραιφνοῦς καὶ κυρίως ἀρχῆς, πρὸς τὸ κυρίως τέλος καὶ ἀκραιφνὲς ἐν τοῖς σωζομένοις ἑνότης· ἀδιάστατος δὲ τῆς ἀκραιφνοῦς τε ἀρχῆς καὶ τέλους ἑνότης ἐν τοῖς σωζομένοις ἐστὶν, ἡ κρείττων τῶν οὐσιωδῶς ἀρχῇ τε καὶ τέλει μεμετρημένων, τῶν κατὰ φύσιν ἔκβασις· ἔκβασις δὲ τῶν κατὰ φύσιν, τῶν κατ' ἀρχήν τε καὶ τέλος περιγεγραμμένων ἐστὶν, ἡ ἄμεσος καὶ ἄπειρος, καὶ ἐπ' ἄπειρον ἐν τοῖς ἀξιωθεῖσι τῆς κατὰ τὸ κρεῖττον γινομένης τῶν κατὰ φύσιν ἐκβάσεως, ἐνέργεια τοῦ Θεοῦ πανσθενὴς καὶ ὑπερδύναμος· ἄμεσος δὲ καὶ ἄπειρος καὶ ἐπ' ἄπειρον ἐνέργεια τοῦ Θεοῦ πανσθενής ἐστι καὶ ὑπερδύναμος, ἡ κατὰ τὴν ἄφθεγκτον καὶ ὑπὲρ νόησιν ἕνωσιν, ἄρρητός τε καὶ ὑπεράρρητος ἡδονὴ καὶ χαρὰ τῶν ἐνεργουμένων· ἧς οὐκ ἔστιν ἢ λόγον παντάπασιν, ἢ νόησιν, ἢ ῥῆσιν ἐν τῇ φύσει τῶν ὄντων εὑρεῖν.

κʹ. Οὐκ ἔχει ἡ φύσις τῶν ὑπὲρ φύσιν τοὺς λόγους, ὥσπερ οὐδὲ τῶν παρὰ φύσιν τοὺς νόμους. ὑπὲρ φύσιν δὲ λέγω, τὴν θείαν καὶ ἀνεννόητον ἡδονὴν, ἣν ποιεῖν πέφυκεν ὁ Θεὸς φύσει, κατὰ χάριν τοῖς ἀξίοις ἑνούμενος· παρὰ φύσιν δὲ, τὴν κατὰ στέρησιν ταύτης συνισταμένην ἀνεκλάλητον ὀδύνην, ἣν ποιεῖν εἴωθεν ὁ Θεὸς φύσει, παρὰ τὴν χάριν τοῖς ἀναξίοις ἑνούμενος. κατὰ γὰρ τὴν ὑποκειμένην ἑκάστῳ ποιότητα τῆς διαθέσεως, ὁ Θεὸς τοῖς πᾶσιν ἑνούμενος, ὡς οἶδεν αὐτὸς, τὴν αἴσθησιν ἑκάστῳ παρέχεται, καθὼς ἐστιν ἕκαστος ὑφ' ἑαυτοῦ διαπεπλασμένος, πρὸς ὑποδοχὴν τοῦ πάντως πᾶσιν ἑνωθησομένου κατὰ τὸ πέρας τῶν αἰώνων.

Τοὺς ἐκζητοῦντας τῆς ταύτης πνευμα- καʹ.

τικῆς τῆς σωτηρίας λόγους τε καὶ τρόπους, ὁδηγεῖ πρὸς κατανόησιν τὸ Πνεῦμα τὸ Ἅγιον, οὐκ ἐῶν ἀκίνητον αὐτοῖς μένειν καὶ ἀνενέργητον τὴν δι' ἧς τὰ θεῖα ἐκζητεῖν πεφύκασι δύναμιν.

κβ'. Πρῶτον τὶς ζητεῖ τῇ προαιρέσει νεκρῶσαι τὴν ἁμαρτίαν, καὶ τὴν προαίρεσιν, τῇ ἁμαρτίᾳ· καὶ οὕτως ἐρευνᾷ, πῶς δεῖ καὶ ποίῳ τρόπῳ νεκρῶσαι ταύτας ἀλλήλαις. καὶ πάλιν μετὰ τὴν τούτων ἀλλήλαις τελείαν νέκρωσιν, ζητεῖ τὴν κατ' ἀρετὴν τῆς προαιρέσεως, καὶ τῆς ἀρετῆς τὴν ἐν προαιρέσει ζωήν· καὶ οὕτως ἐρευνᾷ, πῶς δεῖ καὶ ποίῳ τρόπῳ τὴν ἐν ἀλλήλαις τούτων δημιουργῆσαι ζωήν. ἔστιν οὖν ὡς ἐν ὁρισμῷ λαβεῖν, ἡ μὲν ζήτησις, ὄρεξις καταθυμίου τινός· ἡ δὲ ἐρεύνησις, τρόπος τῆς πρὸς τὸ καταθύμιον ὀρέξεως ἀνυστικός.

κγ'. Δεῖ ὡς ἀληθῶς τὸν σωθησόμενον, μὴ μόνον τῇ προαιρέσει νεκρῶσαι τὴν ἁμαρτίαν, ἀλλὰ καὶ αὐτὴν τὴν προαίρεσιν τῇ ἁμαρτίᾳ· καὶ μὴ μόνον ἀναστῆσαι τῇ ἀρετῇ τὴν προαίρεσιν, ἀλλὰ καὶ αὐτὴν τῇ προαιρέσει τὴν ἀρετήν· ἵνα νεκρὰ νεκρᾶς, ὅλη ὅλης τῆς ἁμαρτίας διαιρεθεῖσα μὴ αἰσθάνηται, καὶ ζῶσα ζώσης, ὅλη ὅλης τῆς ἀρετῆς ἐπαισθάνηται, καθ' ἕνωσιν ἀδιάστατον ἡ προαίρεσις. ὁ γὰρ νεκρώσας τῇ ἁμαρτίᾳ τὴν προαίρεσιν, σύμφυτος γέγονε τῷ ὁμοιώματι τοῦ θανάτου τοῦ Χριστοῦ· καὶ ὁ ταύτην ἀναστήσας τῇ δικαιοσύνῃ, σύμφυτος γέγονε καὶ τῆς ἀναστάσεως αὐτοῦ.

κδ'. Ἡ ἁμαρτία καὶ ἡ προαίρεσις νεκρούμεναι ἀλλήλαις, διπλῆν ἔχουσι πρὸς ἀλλήλας τὴν ἀναισθησίαν. καὶ ἡ δικαιοσύνη καὶ ἡ προαίρεσις ἀλλήλαις ἔχουσαι τὴν ζωὴν, διπλῆν ἔχουσι τὴν αἴσθησιν.

κε'. Θεὸς ὑπάρχων φύσει καὶ ἄνθρωπος ὁ Χριστὸς, ὑφ' ἡμῶν ὡς Θεὸς ὑπὲρ φύσιν χάριτι κληρονομεῖται σὺν τὴν ἄρρητον μέθεξιν· καὶ δι' ἡμᾶς ἐν εἴδει τοῦ καθ' ἡμᾶς ὡς ἄνθρωπος ἡμᾶς οἰκειούμενος, ἑαυτὸν κληρονομεῖ σὺν ἡμῖν καὶ τὴν ἀνεννόητον συγκατάβασιν. ὃν τῷ πνεύματι μυστικῶς οἱ ἅγιοι προθεωρήσαντες, ἐδιδάχθησαν ὡς χρὴ τῆς κατὰ τὸ μέλλον φανησομένης διὰ τὴν ἀρετὴν ἐν Χριστῷ δόξης, τὰ εἰς αὐτὸν ὑπὲρ ἀρετῆς κατὰ τὸ παρὸν προκαθηγεῖσθαι παθήματα.

Ὁ μὲν νοῦς κατὰ μόνην τὴν ἔφεσιν ἀγνώστως πρὸς τὴν τῶν ὄντων αἰτίαν κινούμενος, ζητεῖ μόνον. ὁ δὲ λόγος τοὺς ἐν τοῖς οὖσιν ἀληθεῖς ποικίλως ἐφοδεύων ἐρευνᾷ λόγους. κϛ'.

Ζήτησίς ἐστιν, ἡ τοῦ νοῦ πρώτη τε καὶ ἁπλῆ πρὸς τὴν ἰδίαν αἰτίαν μετ' ἐφέσεως κίνησις. ἐρεύνησις δέ ἐστιν, ἡ πρώτη τε καὶ ἁπλῆ τοῦ λόγου περὶ τὴν ἰδίαν αἰτίαν μετά τινος ἐννοίας διάκρισις. ἐκζήτησις δὲ πάλιν ἐστὶν, ἡ τοῦ νοῦ κατ' ἐπιστήμην γνωστικὴ πρὸς τὴν ἰδίαν αἰτίαν μετά τινος ζεούσης ἐφέσεως κίνησις. ἐξερεύνησις δέ ἐστιν, ἡ τοῦ λόγου κατ' ἐνέργειαν τῶν ἀρετῶν περὶ τὴν ἰδίαν αἰτίαν μετά τινος ἔμφρονος καὶ σοφῆς ἐννοίας γινομένη διάκρισις. κζ'.

Οἱ ἅγιοι καὶ θεῖοι Προφῆται, περὶ τῆς σωτηρίας τῶν ψυχῶν ἐκζητήσαντές τε καὶ ἐξερευνήσαντες, διάπυρον εἶχον καὶ ζέουσαν μετ' ἐπιστήμης, καὶ γνώσεως πρὸς τὸν Θεὸν τὴν τοῦ νοῦ κατ' ἔφεσιν κίνησιν, καὶ ἔμφρονα, καὶ σοφὴν τὴν τοῦ λόγου κατὰ τὴν ἐνέργειαν τῶν θείων διάκρισιν· οὓς καὶ οἱ μιμούμενοι, μετὰ γνώσεως καὶ ἐπιστήμης τὴν τῶν ψυχῶν ἐκζητοῦσι σωτηρίαν· καὶ μετὰ φρονήσεως καὶ σοφίας ἐξερευνῶντες, μετέρχονται τὴν ἐν τοῖς θείοις ἔργοις διάκρισιν. κη'.

Διττὴν οἶδε τὴν τῶν θείων γνῶσιν ὁ Λόγος· τὴν μὲν σχετικὴν, ὡς ἐν λόγῳ μόνῳ κειμένην καὶ νοήμασι, καὶ τὴν κατ' ἐνέργειαν τοῦ γνωσθέντος διὰ πείρας κθ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

οὐκ ἔχουσαν αἴσθησιν, δι' ἧς κατὰ τὴν παροῦσαν ζωὴν οἰκονομούμεθα· τὴν δὲ κυρίως καὶ ἀληθινὴν, ἐπὶ μόνῃ τῇ πείρᾳ, κατ' ἐνέργειαν δίχα λόγου καὶ νοημάτων, ὅλην τοῦ γνωσθέντος κατὰ χάριν μεθέξει παρεχομένην τὴν αἴσθησιν, δι' ἧς κατὰ τὴν μέλλουσαν λῆξιν, τὴν ὑπὲρ φύσιν ὑποδεχόμεθα θέωσιν ἀπαύστως ἐνεργουμένην· καὶ τὴν μὲν σχετικὴν, ὡς ἐν λόγῳ κειμένην καὶ τοῖς νοήμασι, κινητικὴν εἶναί φασι, τῆς πρὸς τὴν μέθεξιν κατ' ἐνέργειαν γνῶσιν ἐφέσεως· τὴν δὲ κατ' ἐνέργειαν, διὰ τῆς πείρας μεθέξει παρεχομένην τοῦ γνωσθέντος τὴν ἔφεσιν, ἀφαιρετικὴν εἶναι τῆς ἐν λόγῳ κειμένης καὶ νοήμασι γνώσεως.

λ΄. ἑξ. Διττὴν εἶναι (λέγει) τὴν γνῶσιν, τὴν μὲν ἐν λόγῳ κειμένην, καὶ θείοις νοήμασιν κατ' εἶδος παροῦσαν τὴν αἴσθησιν τῶν νοηθέντων οὐκ ἔχουσαν· τὴν δὲ κατ' ἐνέργειαν μόνην ἔχουσαν, δίχα λόγου καὶ νοημάτων τῶν ἀληθῶν τὴν κατ' εἶδος ἀπόλαυσιν. ἐπειδὴ γὰρ διὰ γνώσεως ὁ λόγος τὸ γνωστικὸν πέφυκεν ὑποσημαίνειν, κινεῖ τὴν ἔφεσιν τῶν δι' αὐτοῦ κινουμένων, πρὸς τὴν τοῦ σημανθέντος ἀπόλαυσιν.

λα΄. Ἀμήχανον εἶναί φασιν οἱ σοφοὶ, συνυπάρχειν τῇ πείρᾳ τοῦ Θεοῦ, τὸν περὶ αὐτοῦ λόγον, ἢ τῇ αἰσθήσει τοῦ Θεοῦ, τὴν περὶ αὐτοῦ νόησιν. λόγον δὲ περὶ Θεοῦ φημὶ, τὴν ἐκ τῶν ὄντων ἀναλογίαν τῆς περὶ αὐτοῦ γνωστικῆς θεωρίας· αἴσθησιν δὲ, τὴν ἐν τῇ μεθέξει πεῖραν τῶν ὑπὲρ φύσιν ἀγαθῶν· νόησιν δὲ, τὴν ἐκ τῶν ὄντων ἁπλῆν περὶ αὐτοῦ, καὶ ἑνιαίαν γνῶσιν. τάχα δὲ καὶ ἐπ' ἄλλου παντὸς τοῦτο γνωρίζεται. εἴπερ ἡ τοῦδε τοῦ πράγματος πεῖρα, τὸν περὶ αὐτοῦ καταπαύει λόγον· καὶ ἡ τοῦδε τοῦ πράγματος αἴσθησις, τὴν περὶ αὐτοῦ σχολάζουσαν ἐργάζεται νόησιν. πεῖραν δὲ λέγω, αὐτὴν τὴν κατ' ἐνέργειαν γνῶσιν, τὴν μετὰ πάντα λόγον ἐπιγινομένην· αἴσθησιν δὲ, αὐτὴν τοῦ γνωσθέντος τὴν μέθεξιν, τὴν μετὰ πᾶσαν νόησιν ἐκφαινομένην. καὶ τοῦτο τυχὸν μυστικῶς διδάσκων ὁ Μέγας Ἀπόστολος, φησὶν, Εἴτε δὲ προφητεῖαι καταργηθήσονται, εἴτε γλῶσσαι παύσονται, εἴτε γνῶσις καταργηθήσεται, περὶ τῆς ἐν λόγῳ κειμένης καὶ νοήμασι γνώσεως δηλονότι φάσκων.

Ἐχρῆν ὡς ἀληθῶς τὸν κατὰ φύσιν τῆς τῶν ὄντων οὐσίας δημιουργὸν, καὶ τῆς κατὰ χάριν αὐτουργὸν γενέσθαι τῶν γεγονότων θεώσεως· ἵνα ὁ τοῦ εἶναι δοτὴρ, φανῇ καὶ τοῦ ἀεὶ εὖ εἶναι χαριστικός. ἐπεὶ οὖν οὐδὲν τῶν ὄντων ἑαυτὸ τὸ παράπαν ἢ ἄλλο γινώσκει ὅ, τί ποτε κατ' οὐσίαν ἐστὶν, εἰκότως οὐδὲ τῶν γενησομένων οὐδὲ ἓν οὐδὲν τῶν ὄντων ἔχει κατὰ φύσιν τὴν πρόγνωσιν, πλὴν τοῦ ὑπὲρ τὰ ὄντα Θεοῦ, καὶ ἑαυτὸν γινώσκοντος, ὅ, τι κατ' οὐσίαν ἐστὶ, καὶ πάντων τῶν ὑπ' αὐτοῦ πεποιημένων, καὶ πρὶν γενέσθαι προεγνωκότος τὴν ὕπαρξιν· καὶ μέλλοντος κατὰ χάριν φιλοτιμεῖσθαι τοῖς οὖσι, τὴν ἑαυτῶν, καὶ ἄλλων, ὅ, τί ποτε κατ' οὐσίαν ὑπάρχουσι γνῶσιν, καὶ τοὺς ἐν αὐτῷ μονοειδῶς προόντας τῆς αὐτῶν γενέσεως φανερῶσαι λόγους. λβ΄.

Ὁ τὴν φύσιν τῶν ἀνθρώπων δημιουργήσας Θεὸς Λόγος, οὐ συνέκτισεν αὐτῇ κατ' αἴσθησιν, οὔτε ἡδονὴν, οὔτε ὀδύνην· ἀλλὰ δύναμίν τινα κατὰ νοῦν αὐτῇ πρὸς ἡδονὴν, καθ' ἣν ἀρρήτως ἀπολαύειν αὐτοῦ δυνήσεται ἐνετεκτήνατο. ταύτην δὲ τὴν δύναμιν, λέγω δὲ τὴν κατὰ φύσιν τοῦ νοῦ πρὸς τὸν Θεὸν ἔφεσιν, ἅμα τῷ γενέσθαι τῇ αἰσθήσει δοὺς, ὁ πρῶτος ἄνθρωπος πρὸς τὰ αἰσθητὰ κατ' αὐτὴν τὴν πρώτην κίνησιν, διὰ μέσης τῆς αἰσθήσεως ἔσχε παρὰ φύσιν ἐνεργουμένην τὴν ἡδονήν· ἣ τηνικαῦτα πρόνοιαν ὁ τῆς ἡμῶν σωτηρίας κηδόμενος, παρέπηξεν ὥσπερ τινὰ τιμω- λγ΄.

ρὸν δύναμιν, τὴν ὀδύνην· καθ' ἣν ὁ τοῦ θανάτου μετὰ σοφίας ἐνερριζώθη τῇ τοῦ σώματος φύσει νόμος, περιορίζων τῆς τοῦ νοῦ μανίας παρὰ φύσιν ἐπὶ τὰ αἰσθητὰ κινουμένην τὴν ἔφεσιν.

λδʹ. Ἡδονὴ, καὶ ὀδύνη, τῇ φύσει τῆς σαρκὸς οὐ συνεκτίσθησαν· ἀλλ' ἡ παράβασις, τὴν μὲν ἐπενόησεν εἰς φθορὰν τῆς προαιρέσεως· τὴν δὲ κατεδίκασεν εἰς λύσιν τῆς φύσεως· ἵνα ἡ μὲν ἡδονὴ, ψυχῆς ἑκούσιον ἐργάσηται θάνατον τὴν ἁμαρτίαν· ἡ δὲ ὀδύνη διὰ τῆς λύσεως, τὴν κατ' εἶδος ποιήσηται τῆς σαρκὸς ἀπογένεσιν. κατὰ πρόνοιαν γὰρ πρὸς κόλασιν τῆς κατὰ προαίρεσιν ἡδονῆς, δέδωκεν ὁ Θεὸς τῇ φύσει, τὴν παρὰ προαίρεσιν ὀδύνην, καὶ τὸν ἐπ' αὐτῇ θάνατον.

λεʹ. Διὰ τὴν ἐπελθοῦσαν τῇ φύσει παράλογον ἡδονὴν, ἡ κατὰ λόγον ἐπεισῆλθεν ὀδύνη, διὰ πολλῶν παθημάτων, ἐν οἷς, καὶ ἐξ ὧν ὁ θάνατος, ποιουμένη τῆς παρὰ φύσιν ἡδονῆς τὴν ἀφαίρεσιν· οὐ μὴν δὲ καὶ τελείαν ἀναίρεσιν, καθ' ἣν ἡ κατὰ νοῦν τῆς θείας ἡδονῆς ἀναδείκνυσθαι πέφυκε χάρις.

λϛʹ. Ἡ τῶν ἑκουσίων πόνων ἐπίνοια, καὶ ἡ τῶν ἀκουσίων ἐπαγωγὴ, ἀφαιροῦνται μὲν τὴν ἡδονὴν, καὶ τὴν κατ' ἐνέργειαν αὐτῆς καταπαύουσι κίνησιν· οὐκ ἀναιροῦσι δὲ τὴν ὥσπερ νόμον τῇ φύσει ἐγκειμένην πρὸς γένεσιν αὐτῇ δύναμιν. ἡ γὰρ κατ' ἀρετὴν φιλοσοφία, γνώμης ἀπάθειαν, ἀλλ' οὐ φύσεως ἐργάζεσθαι πέφυκε· καθ' ἣν δηλαδὴ τὴν γνωμικὴν ἀπάθειαν, ἡ κατὰ νοῦν τῆς θείας ἡδονῆς ἐπιγίνεται χάρις.

λζʹ. Πᾶς πόνος ὡς αἰτίαν τῆς ἰδίας γενέσεως ἔχων κατ' ἐνέργειαν προηγουμένην τὴν ἡδονὴν, χρέος ἐστὶ δηλαδὴ φυσικῶς κατ' αἰτίαν παρὰ πάντων τῶν μετειληφότων τῆς φύσεως ἐκτιννύμενον. τῇ γὰρ παρὰ φύσιν ἡδονῇ, πάντως παρέπεται φυσικὸς ὁ πόνος ἐν πᾶσιν, ὧν ὁ τῆς ἡδονῆς νόμος ἀναιτίως προκαθηγήσατο τῆς γενέσεως· ἀναίτιον δέ φημι τὴν ἐκ τῆς παραβάσεως ἡδονὴν, ὡς μὴ γενομένην δηλονότι προλαβόντος πόνου διάδοχον.

ληʹ. Ἀμήχανον ἦν παντελῶς τὴν φύσιν ὑποκλιθεῖσαν τῇ τε κατὰ προαίρεσιν ἡδονῇ, καὶ τῇ παρὰ προαίρεσιν ὀδύνῃ, πάλιν εἰς τὴν ἐξ ἀρχῆς ἀνακληθῆναι ζωὴν, εἰ μὴ γέγονεν ἄνθρωπος ὁ δημιουργὸς, προαιρέσει δεχόμενος τὴν πρὸς κόλασιν τῆς κατὰ προαίρεσιν τῆς φύσεως ἡδονῆς ἐπινοηθεῖσαν, ὀδύνην οὐκ ἔχουσαν προηγουμένην αὐτῆς τὴν ἐξ ἡδονῆς γένεσιν· ἵνα τῆς ἐκ καταδίκης ἐλευθερώσῃ τὴν φύσιν γεννήσεως, ἐξ ἡδονῆς ἀρχὴν οὐκ ἔχουσαν καταδεχόμενος γέννησιν.

λθʹ. Ἐπειδὴ μετὰ τὴν παράβασιν πάντες ἄνθρωποι τὴν ἡδονὴν εἶχον τῆς ἰδίας φυσικῶς προκαθηγουμένην γενέσεως, καὶ οὐδεὶς ἦν τὸ σύνολον ὁ τῆς καθ' ἡδονὴν ἐμπαθοῦς γενέσεως φυσικῶς ὑπάρχων ἐλεύθερος· ἀλλ' ὡς χρέος πάντες φυσικὸν ἀποδιδόντες τοὺς πόνους, καὶ τὸν ἐπ' αὐτῇ ὑπέμενον θάνατον. καὶ ἦν ἄπορος παντάπασιν ὁ τῆς ἐλευθερίας τρόπος, τοῖς ὑπὸ τῆς ἀδίκου τυραννουμένοις ἡδονῆς, καὶ ὑπὸ τῶν δικαίων πόνων, καὶ τοῦ ἐπ' αὐτοῖς δικαιοτάτου θανάτου φυσικῶς συνεχομένοις. ἔδει δὲ πρὸς ἀναίρεσιν μὲν τῆς ἀδικωτάτης ἡδονῆς, καὶ τῶν δι' αὐτὴν δικαιοτάτων πόνων, ὑφ' ὧν ἐλεεινῶς διεσπᾶτο πάσχων ὁ ἄνθρωπος, ἐκ φθορᾶς τῆς καθ' ἡδονὴν ἔχων τὴν ἀρχὴν τῆς γενέσεως, καὶ εἰς φθορὰν τὴν διὰ τοῦ θανάτου τὸ τῆς ζωῆς καταλήγων τέλος. πρὸς δὲ τὴν ἐπανόρθωσιν τῆς πασχούσης φύσεως ἐπινοηθῆναι πόνον καὶ θάνατον, ἄδικον ὁμοῦ, καὶ ἀναίτιον· ἀναίτιον μὲν, ὡς οὐδαμῶς προλαβοῦσαν ἡδονὴν ἐσχηκότα πρὸς γένεσιν· ἄδικον δὲ, ὡς μηδεμιᾶς τὸ παράπαν ζωῆς ἐμπαθοῦς ὄντα διάδοχον, ἵνα μέσος ληφθεὶς ἡδονῆς ἀδίκου,

καὶ πό-

Athos Library Αγιορειτική Βιβλιοθήκη

καὶ πόνου, καὶ θανάτου δικαιοτάτου, πόνος καὶ θάνατος ἀδικώτατος, ἀνέλῃ διόλου τὴν ἐξ ἡδονῆς ἀδικωτάτην ἀρχήν, καὶ τὸ δι' αὐτὴν διὰ θανάτου δικαιότατον τέλος τῆς φύσεως, καὶ γένηται πάλιν ἡδονῆς καὶ ὀδύνης ἐλεύθερον τὸ γένος τῶν ἀνθρώπων, τὴν ἐξ ἀρχῆς εὐκληρείαν ἀπολαβούσης τῆς φύσεως· μηδενὶ τῶν ἐμπεφυκότων τοῖς ὑπὸ γένεσιν καὶ φθορὰν γνωρισμάτων μεμολυσμένην. Διὰ τοῦτο Θεὸς ὑπάρχων τέλειος κατὰ φύσιν ὁ τοῦ Θεοῦ λόγος, γίνεται τέλειος ἄνθρωπος ἐκ ψυχῆς νοερᾶς καὶ σώματος παθητοῦ κατὰ φύσιν παραπλησίως ἡμῖν, χωρὶς μόνης ἁμαρτίας συνεστώς· τὴν μὲν ἐκ τῆς παρακοῆς ἡδονικὴν, οὐδαμῶς τὸ σύνολον ἔχων, προηγουμένην αὐτοῦ τῆς ἐκ γυναικὸς ἐν χρόνῳ γεννήσεως· τὴν δὲ δι' αὐτὴν ὀδύνην, ὑπάρξασαν τέλος τῆς φύσεως, διὰ φιλανθρωπίαν κατὰ θέλησιν προσιέμενος, ἵνα πάσχων ἀδίκως, ἀνέλῃ τὴν ἐξ ἡδονῆς ἀδίκου τυραννοῦσαν τὴν φύσιν ἀρχὴν τῆς γενέσεως· οὐκ ἔχουσαν ὡς χρέος ὑπὲρ αὐτῆς ἐκτινύμενον κατὰ τοὺς ἄλλους ἀνθρώπους, καὶ τοῦ Κυρίου τὸν θάνατον, ἀλλὰ μᾶλλον κατ' αὐτῆς προβεβλημένον· καὶ τὸ διὰ τοῦ θανάτου δίκαιον τέλος ἐξαφανίσῃ τῆς φύσεως, οὐκ ἔχων τὴν δι' ἣν ἐπεισῆλθε, καὶ ὑπ' αὐτοῦ δικαίως τιμωρουμένην, ὡς αἰτίαν τοῦ εἶναι παράνομον ἡδονήν.

μ΄. Ἔδει ὡς ἀληθῶς ἔδει, σοφόν, καὶ δίκαιον, καὶ δυνατὸν εἶναι κατὰ φύσιν τὸν Κύριον, ὡς μὲν σοφόν, μὴ ἀγνοῆσαι τὸν τρόπον τῆς ἰατρείας· ὡς δίκαιον δέ, μὴ τυραννικὴν ποιήσασθαι τοῦ κατειλημμένου κατὰ γνώμην ὑπὸ τῆς ἁμαρτίας ἀνθρώπου τὴν σωτηρίαν· ὡς δὲ πάντα δυνάμενον, μὴ ἀτονῆσαι πρὸς τὴν τῆς ἰατρείας ἐκπλήρωσιν.

μά. Τὸ μὲν σοφὸν τοῦ Θεοῦ, ἐν τῷ γενέσθαι φύσει κατ' ἀλήθειαν, δείκνυται· τὸ δὲ δίκαιον, ἐν τῷ τὸ παθητὸν κατὰ τὴν γένεσιν ὁμοίως ἡμῖν ἀναλαβεῖν τῆς φύσεως· τὸ δὲ δυνατόν, ἐν τῷ διὰ παθημάτων καὶ θανάτου, ζωὴν ἀΐδιον τῇ φύσει δημιουργῆσαι ἀπάθειαν ἔχουσαν.

Τὸν μὲν τῆς σοφίας λόγον ἐν τῷ τρόπῳ τῆς ἰατρείας, φανερὸν ὁ Κύριος ἐποίησε, χωρὶς τροπῆς, καὶ τῆς οἱασοῦν ἀλλοιώσεως, γενόμενος ἄνθρωπος· τὴν ἰσότητα δὲ τῆς δικαιοσύνης ἐν τῷ μεγέθει τῆς συγκαταβάσεως ἔδειξε, τὸ ἐν τῷ παθητῷ κατάκριμα τῆς φύσεως, κατὰ θέλησιν ὑποδύς, κἀκεῖνο ποιήσας ὅπλον πρὸς τὴν τῆς ἁμαρτίας ἀναίρεσιν, καὶ τοῦ δι' αὐτὴν θανάτου, ἤγουν τῆς ἡδονῆς, καὶ τῆς δι' αὐτῆς ὀδύνης, ἐν ᾧ τῆς ἁμαρτίας ὑπῆρχε, καὶ τοῦ θανάτου τὸ κράτος, καὶ ἡ κατὰ τὴν ἡδονὴν τῆς ἁμαρτίας τυραννίς, καὶ ἡ δι' αὐτὴν κατὰ τὴν ὀδύνην τοῦ θανάτου δυναστεία. ἐν γὰρ τῷ παθητῷ προδήλως ὑπάρχει τῆς φύσεως, τὸ τῆς ἡδονῆς κράτος, καὶ τὸ τῆς ὀδύνης. καὶ γάρ πως τῆς ὀδύνης πλέον τὸ κατὰ φύσιν * ἐπιτεινόμενον πρόσιμον, διὰ τῆς ἡδονῆς αὐτὸν παραμυθεῖσθαι * σπουδάζομεν. θέλοντες γὰρ ἐκφυγεῖν τὴν κατὰ τὴν ὀδύνην αἴσθησιν, πρὸς τὴν ἡδονὴν καταφεύγομεν, τῷ τῆς ὀδύνης αἰκισμῷ πιεζομένην τὴν φύσιν, ἐπιχειροῦντες παραμυθεῖσθαι· σπουδάζοντες δὲ διὰ τῆς ἡδονῆς, τὰ τῆς ὀδύνης ἀμβλῦναι κινήματα, πλέον αὐτῆς τὸ καθ' ἑαυτῶν ἐπικυροῦμεν χειρόγραφον, ὀδύνης καὶ πόνων ἔχειν τὴν ἡδονὴν ἀπολελυμένην οὐ δυνάμενοι.

μγ΄. Τὴν δὲ τῆς ὑπερβαλλούσης δυνάμεως ἰσχὺν δείλην κατέστησε * τῶν οἷς αὐτὸς ἔπαγεν ἐναντίων, ὑποστήσας τῇ φύσει τὴν γένεσιν ἄτρεπτον. διὰ πάθους γὰρ τὴν ἀπάθειαν, καὶ διὰ πόνων τὴν ἄνεσιν, καὶ διὰ θανάτου τὴν ἀΐδιον ζωὴν τῇ φύσει δούς, πάλιν κατέστησε ταῖς ἑαυτοῦ κατὰ σάρκα στερήσεσι τὰς ἕξεις ἀνακαινίσας τῆς φύσεως, καὶ διὰ τῆς ἰδίας σαρ-

* ἴσως ἐπιτεινόμενον πρός

* ἴσως σπουδάζοντες

* ἴσως [illegible], δια

κώσεως, τὴν ὑπὲρ φύσιν χάριν δωρησάμενος τῇ φύσει τὴν θέωσιν.

μδ'. Γέγονεν ὁ Θεὸς κατ' ἀλήθειαν ἄνθρωπος, καὶ δέδωκεν ἄλλην * τῇ φύσει δευτέρας γενέσεως, διὰ πόνου πρὸς ἡδονὴν μελλούσης ζωῆς καταλήγουσαν. ὡς γὰρ Ἀδὰμ ὁ Προπάτωρ τὴν θείαν ἐντολὴν παραβὰς, ἄλλην ἀρχὴν γενέσεως, ἐξ ἡδονῆς μὲν συνισταμένην, εἰς δὲ τὸν διὰ πόνου θάνατον τελευτῶσαν τῇ φύσει παρὰ τὴν πρώτην παρεισήγαγε, καὶ ἐπενόησε κατὰ τὴν συμβουλὴν τοῦ ὄφεως ἡδονὴν οὐκ οὖσαν προλαβόντος πόνου διάδοχον, ἀλλὰ μᾶλλον εἰς τὸν πόνον περαιουμένην, πάντας τοὺς ἐξ αὐτοῦ σαρκὶ γενομένους κατ' αὐτὸν, διὰ τὴν ἐξ ἡδονῆς ἄδικον ἀρχὴν, εἶχε συνυπαγομένους αὐτῷ δικαίως, πρὸς τὸ διὰ πόνου κατὰ τὸν θάνατον τέλος· οὕτω καὶ ὁ Κύριος γενόμενος ἄνθρωπος, καὶ ἄλλην ἀρχὴν δευτέρας γενέσεως ἐκ Πνεύματος Ἁγίου τῇ φύσει δημιουργήσας, καὶ τὸν διὰ πόνου τοῦ Ἀδὰμ δικαιότατον καταδεξάμενος θάνατον, ἐν αὐτῷ δηλαδὴ γενόμενον ἀδικώτατον, ὡς οὐκ ἔχοντα τῆς ἰδίας γενέσεως ἀρχὴν τὴν ἐκ παρακοῆς ἀδικωτάτην τοῦ Προπάτορος ἡδονὴν, ἀμφοτέρων αὐτῶν ἀναιρῶν ἀρχῆς τε λέγω καὶ τέλους τῆς κατὰ τὸν Ἀδὰμ ἀνθρωπίνης γενέσεως, οἷα δὴ προηγουμένως οὐκ ὄντων ἐκ τοῦ Θεοῦ, τὴν ἀναίρεσιν ἐποιήσατο, καὶ πάντας τοὺς πνευματικῶς ἐξ αὐτοῦ ἀναγεννωμένους, τῆς ἐπ' αὐτοῖς ἐνοχῆς ἐλευθέρους κατέστησε.

* ἴσ. (λείπει) τὴν, ἀρχὴν.

με'. Τὴν ἐκ τοῦ νόμου τῆς ἁμαρτίας ἡδονὴν εἰς ἀθέτησιν τῆς κατὰ σάρκα γεννήσεως τῶν ἐν αὐτῷ χάριτι διὰ Πνεύματος γεννωμένων ὁ Κύριος ἀφελόμενος, τὸν εἰς καταδίκην τὸ πρότερον ὄντα τῆς φύσεως, εἰς τὴν τῆς ἁμαρτίας κατάκρισιν αὐτοῖς συγχωρεῖ δέχεσθαι θάνατον, ἔχοντας μὲν τοῦ Ἀδὰμ οὐκ ἔτι τὴν ἐκ τοῦ Ἀδὰμ ἡδονὴν τῆς γενέσεως· μόνην δὲ τὴν διὰ τὸν Ἀδὰμ ὀδύνην, ἐνεργοῦσαν ἐν αὐτοῖς· οὐ κατὰ χρέος ὑπὲρ ἁμαρτίας, ἀλλὰ κατ' οἰκονομίαν, διὰ τὴν κατὰ φύσιν περίστασιν, κατὰ τῆς ἁμαρτίας τὸν θάνατον· ὡς ὁπόταν μὴ ἔχῃ γεννῶσαν αὐτὸν μητέρα τὴν, ἧς γίνεσθαι πέφυκε τιμωρὸς, ἡδονὴν, ἀϊδίου ζωῆς προδήλως καθίσταται Πατήρ. ὡς γὰρ τοῦ Ἀδὰμ ἡ καθ' ἡδονὴν ζωὴ, θανάτου καὶ φθορᾶς γέγονε μήτηρ, οὕτω καὶ ὁ διὰ τὸν Ἀδὰμ τοῦ Κυρίου θάνατος ὑπάρχων τῆς ἐκ τοῦ Ἀδὰμ ἐλεύθερος ἡδονῆς, ἀϊδίου γεννήτωρ γίνεται ζωῆς.

μς'. Ἀρχὴν ἔχει μετὰ τὴν παράβασιν ἡ τῶν ἀνθρώπων φύσις τῆς ἰδίας γενέσεως, τὴν καθ' ἡδονὴν ἐκ σπορᾶς σύλληψιν, καὶ τὴν κατὰ ῥεῦσιν γέννησιν. καὶ τέλος, τὸν κατ' ὀδύνην διὰ φθορᾶς θάνατον. ὁ δὲ Κύριος ταύτην οὐκ ἔχων ἀρχὴν τῆς κατὰ σάρκα γεννήσεως, οὔτε τῷ τέλει, τουτέστι τῷ θανάτῳ ὑπῆρχεν ἁλωτός.

μζ'. Τὸν Ἀδὰμ κατ' ἀρχὰς ἡ ἁμαρτία δελεάσασα, πρὸς παράβασιν τῆς θείας παρέπεισεν ἐλθεῖν ἐντολῆς, καθ' ἣν τὴν ἡδονὴν ὑποστήσασα, καὶ ἑαυτὴν διὰ τῆς ἡδονῆς ἐν αὐτῷ καθηλώσασα τῷ πυθμένι τῆς φύσεως, τὸν θάνατον τῆς ὅλης κατέκρινε φύσεως, ὠθοῦσα πρὸς ἀπογένεσιν κατὰ τὸν θάνατον δι' ἀνθρώπου τὴν φύσιν τῶν γεγονότων. τοῦτο γὰρ καὶ μεμηχάνητο τῷ σπορεῖ τῆς ἁμαρτίας, καὶ πατρὶ τῆς κακίας πονηρῷ διαβόλῳ, τῷ ἑαυτὸν μὲν ἐξ ὑπερηφανίας τῆς θείας ἐξοικήσαντι δόξης, διὰ φθόνον δὲ τόντε πρὸς ἡμᾶς καὶ τὸν Θεὸν, τοῦ Παραδείσου τὸν Ἀδὰμ ἐξοικήσαντι, ἀφανίσαι τὰ ἔργα τοῦ Θεοῦ, καὶ διαλῦσαι τὰ συνεστῶτα πρὸς γένεσιν.

μη'. Φθονῶν τῷ Θεῷ καὶ ἡμῖν ὁ διάβολος, δόλῳ τὸν ἄνθρωπον ὑπὸ Θεοῦ φθονεῖσθαι παραπείσας, παραβῆναι τὴν ἐντολὴν παρεσκεύασε. τῷ Θεῷ μὲν, ἵνα φανερὰ μὴ γένηται κατ' ἐνέργειαν ἡ πανύμνητος αὐτοῦ δύναμις θεουργοῦσα τὸν ἄνθρωπον· τῷ

δὲ αὐ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

δὲ ἀνθρώπῳ προδήλως, ἵνα μὴ γένηται τῆς θείας ἐν εἴδει κατ' ἀρετὴν μέτοχος δόξης. φθονεῖ γὰρ ὁ μιαρώτατος, οὐ μόνον ἡμῖν τῆς ἐπὶ τῷ Θεῷ διὰ τὴν ἀρετὴν δόξης. ἀλλὰ καὶ τῷ Θεῷ τῆς ἐφ' ἡμῖν διὰ τὴν σωτηρίαν πανυμνήτου δυνάμεως.

μθ'. Ὥσπερ ἐν τῷ Ἀδὰμ ὁ θάνατος τῆς φύσεως ὑπῆρχε κατάκρισις, ἀρχὴν ἐχούσης τὴν ἡδονὴν τῆς ἰδίας γενέσεως· οὕτως ὁ θάνατος ἐν Χριστῷ, τῆς ἁμαρτίας κατάκρισις γέγονεν, ἡδονῆς καθαρὰν ἐν Χριστῷ πάλιν τῆς φύσεως ἀπολαβούσης τὴν γένεσιν.

ν'. Εἰ ἡμεῖς οἱ οἶκος τοῦ Θεοῦ χάριτι γενέσθαι ἀξιωθέντες διὰ πνεύματος, πᾶσαν τὴν ὑπὲρ δικαιοσύνης εἰς κατάκρισιν τῆς ἁμαρτίας ὑπομονὴν ἐπιδείκνυσθαι παθημάτων ὀφείλομεν, καὶ ὡς κακοῦργοι τὸν ἐφ' ὕβρεσιν ἀγαθοὶ τυγχάνοντες, προθύμως ἀποφέρεσθαι θάνατον, τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ Εὐαγγελίῳ· κτέστι, ποῖον ἔσται τὸ τέλος ἤγουν ἡ κατάκρισις τῶν μὴ μόνον ζῶσάν τε καὶ ἐνεργουμένην, κατά τε ψυχὴν καὶ σῶμα, γνώμῃ τε καὶ φύσει τὴν καθ' ἡδονὴν τοῦ Ἀδὰμ κρατήσασαν τῆς φύσεως γένεσιν μέχρι τέλους διὰ συνήθους ἐσχηκότων, ἀλλὰ μήτε προσδεξαμένων παρακαλοῦντα τὸν Θεὸν καὶ Πατέρα δι' Υἱοῦ σαρκωθέντος· μήτε μὴν αὐτὸν τὸν ὑπὲρ τοῦ Πατρὸς πρεσβεύοντα μεσίτην καὶ Υἱόν, καὶ ὑπὲρ τῆς ἡμῶν εἰς τὸν Πατέρα καταλλαγῆς, ἑαυτὸν βουλήσει τοῦ Πατρὸς εἰς τὸν ὑπὲρ ἡμῶν θάνατον κατὰ θέλησιν προϊέμενον, ὅπως δι' ἑαυτὸν ἡμᾶς τοσοῦτον δοξάσῃ, τῷ κάλλει καταφαιδρύνας τῆς οἰκείας θεότητος, ὅσον δι' ἡμᾶς αὐτὸς κατεδέξατο τοῖς ἡμῶν ἀτιμασθῆναι παθήμασιν;

να'. Ἐπειδὴ πάντων τῶν σωζομένων ὁ Θεός, ἔσται τόπος ἀπερίγραφός τε, καὶ ἀδιάστατος, καὶ ἄπειρος, πᾶσι πάντα γινόμενος κατὰ τὴν ἀναλογίαν τῆς δικαιοσύνης, μᾶλλον δὲ κατὰ τὸ μέτρον τῶν μετὰ γνώσεως ὑπὲρ δικαιοσύνης ἐνταῦθα παθημάτων, ἑαυτὸν ἑκάστῳ δωρούμενος μέλει, κατὰ τὴν ὑποκειμένην ἑκάστῳ μέλει δύναμιν ἑαυτὴν ἐνεργοῦσαν ἐκφαίνουσα, καὶ πρὸς τὸ εἶναι δι' ἑαυτῆς τὰ μέλη συνέχουσα πρὸς ζωὴν συγκρατούμενα· ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται, ταύτης ἐστερημένος τῆς χάριτος; ὁ γὰρ μὴ δυνάμενος ἐνεργουμένην τὴν κατὰ τὸ εὖ εἶναι τοῦ Θεοῦ δέξασθαι παρουσίαν, ποῦ φανεῖται τῆς θείας ζωῆς τῆς ὑπὲρ αἰῶνα καὶ χρόνον καὶ τόπον, ὑπομείνας τὴν ἔκπτωσιν.

Ὁ τὸν Θεὸν οὐκ ἔχων πρὸς τὸ εὖ εἶναι συνέχοντα τὴν ζωήν, τὸν μέλλοντα πᾶσι γίνεσθαι τόπον τοῖς ἀξίοις, πῶς ἔσται, τόπον αὐτὸν οὐκ ἔχων τὸν Θεὸν κατὰ τὴν τοῦ εὖ εἶναι ἐν Θεῷ μονήν τε καὶ ἵδρυσιν; καὶ εἰ μετὰ πολλῆς δυσχερείας ὁ δίκαιος σώζεται, τί ἔσται, ἢ τί πείσεται ὁ μηδένα λόγον εὐσεβείας καὶ ἀρετῆς κατὰ τὴν παροῦσαν ζωὴν ποιησάμενος; νβ'.

Ὁ μὲν Θεὸς κατὰ μίαν ἀπειροδύναμον τῆς ἀγαθότητος βούλησιν, πάντας συνέξει καὶ Ἀγγέλους καὶ ἀνθρώπους, ἀγαθούς τε καὶ πονηρούς. οὗτοι δὲ πάντες, οὐκ ἴσως μεθέξουσι Θεοῦ, τοῦ διὰ πάντων ἀσχέτως χωρήσαντος, ἀλλ' ἀναλόγως ἑαυτοῖς. νγ'.

Οἱ μὲν τῇ φύσει φυλάξαντες διὰ πάντων ἰσονομοῦσαν τὴν γνώμην, καὶ τὸν τῆς φύσεως λόγον κατ' ἐνέργειαν δεκτικὴν αὐτὴν καταστήσαντες καθ' ὅλον τὸν τοῦ εὖ εἶναι λόγον, διὰ τὴν πρὸς τὴν θείαν βούλησιν τῆς γνώμης εὐπάθειαν, ὅλως μεθέξουσι τῆς ἀγαθότητος, κατὰ τὴν αὐτῆς ἐπιλάμπουσαν ὡς ἐν Ἀγγέλοις, ἢ ὡς ἐν ἀνθρώποις θείαν ζωήν. οἱ δὲ τῇ φύσει ποιήσαντες ἀνισονομοῦσαν διὰ πάντων τὴν γνώμην, καὶ τὸν τῆς φύσεως λόγον κατὰ τὴν ἐνέργειαν ἀνεδεκτικὴν αὐτὴν ἀποδείξαντες καθ' ὅλον νδ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

...ται τοῦ εὖ εἶναι λόγον, διὰ τὴν πρὸς τὴν θείαν βούλησιν τῆς γνώμης ἀντιπάθειαν, ὅλης ἐκπέπτωκε τῆς ἀγαθότητος, κατὰ τὴν ἐμφαινομένην αὐτῆς πρὸς τὸ εὖ εἶναι τῆς γνώμης* οἰκείωσιν· καθ' ἣν ἡ πρὸς τὸν Θεὸν ἐστὶ τῶν τοιούτων διάστασις, οὐκ ἐχόντων κατὰ τὴν πρόθεσιν τῆς γνώμης, ταῖς ἐνεργείαις τῶν ἀγαθῶν, τὸν τοῦ εὖ εἶναι λόγον ζωογονούμενον, καθ' ὃν ἡ θεία ζωὴ διαφαίνεσθαι πέφυκε.

* ἴσ. ἐναντίωσιν, ἢ ἀλλοτρίωσιν.

νε΄. Ζυγὸς τῆς ἑκάστου γνώμης ἐστὶ τῶν πρὸς κρίσιν, ὁ τῆς φύσεως λόγος, τὴν πρὸς τὸ εὖ, ἢ οὐ, αὐτῆς διελέγχων κίνησιν, καθ' ἣν ἡ τῆς θείας ζωῆς μέθεξις, ἢ ἀμεθεξία γίνεσθαι πέφυκε. κατὰ γὰρ τὸ εἶναι, καὶ ἀεὶ εἶναι, πάντας συνέχει παρὼν ὁ Θεός· κατὰ δὲ τὸ ἀεὶ εὖ εἶναι, μόνους ἰδιοτρόπως τοὺς Ἁγίους Ἀγγέλους τε καὶ ἀνθρώπους, τὸ ἀεὶ φεῦ εἶναι, τοῖς μὴ τοιούτοις ὡς γνώμης καρπὸν ἀφεὶς ἐπικιρτώμενον.

νς΄. Οὐ συναπάγεται τῇ κατὰ φύσιν τῶν ἐξ ὧν συνέστηκεν, ἑτερότητι, καὶ τὴν καθ' ὑπόστασιν διαφορὰν τὸ μυστήριον τῆς θείας σαρκώσεως. τὸ μὲν, ἵνα μὴ προσθήκην λάβῃ τὸ τῆς Τριάδος μυστήριον· τὸ δὲ, ἵνα μηδὲν ᾖ τῇ θεότητι κατὰ φύσιν ὁμογενὲς, καὶ ὁμοούσιον. δύο γὰρ φύσεων πρὸς ὑπόστασιν, ἀλλ' οὐ πρὸς φύσιν μίαν γέγονε σύνοδος· ἵνα καὶ τὸ καθ' ὑπόστασιν ἓν ἐκ τῶν ἀλλήλαις συνδραμουσῶν φύσεων δειχθῇ κατὰ τὴν ἕνωσιν ἀποτελούμενον, καὶ τὸ διάφορον τῶν συνελθόντων πρὸς τὴν ἀδιάσπαστον ἕνωσιν κατὰ τὴν φυσικὴν ἰδιότητα πιστωθῇ, πάσης ἐκτὸς μένον τροπῆς καὶ συγχύσεως.

νζ΄. Οὐ λέγομεν ἐπὶ Χριστοῦ διαφορὰν ὑποστάσεων, ὅτι Τριὰς μεμένηκεν ἡ Τριὰς, καὶ σαρκωθέντος τοῦ Λόγου, προσθήκης προσώπου οὐ προσγενομένης τῇ Ἁγίᾳ Τριάδι διὰ τὴν σάρκωσιν. λέγομεν δὲ φύσεων διαφορὰν, ἵνα μὴ τῷ Λόγῳ κατὰ τὴν φύσιν ὁμοούσιον τὴν σάρκα πρεσβεύωμεν.

νη΄. Ὁ μὴ λέγων φύσεων διαφορὰν, οὐκ ἔχει πόθεν πιστώσασθαι τὴν ὅτι γέγονε σὰρξ ὁ Λόγος δίχα τροπῆς ὁμολογίαν· μὴ γνωρίζων σωζόμενον κατὰ τὴν φύσιν ἐν τῇ μιᾷ τοῦ ἑνὸς Χριστοῦ καὶ Θεοῦ Σωτῆρος ὑποστάσει μετὰ τὴν ἕνωσιν, τὸ προσληφθὲν, καὶ τὸ προσειληφμένον.

νθ΄. Εἰ σαρκὸς ἐν Χριστῷ καὶ θεότητος, μετὰ τὴν ἕνωσιν ὑπάρχει διαφορὰ κατὰ φύσιν. οὐ γὰρ ταυτὸν κατ' οὐσίαν ποτὲ θεότης καὶ σὰρξ, πρὸς φύσεως μιᾶς γένεσιν, ἡ τῶν συνελθόντων οὐδαμῶς γέγονεν ἕνωσις, ἀλλὰ πρὸς μίαν ὑπόστασιν, καθ' ἣν οὐδὲ μίαν ἐν Χριστῷ καθ' οἱονδήποτε τρόπον εὑρίσκομεν διαφοράν· ταυτὸν γὰρ τῇ οἰκείᾳ σαρκὶ κατὰ τὴν ὑπόστασιν ὁ Λόγος, καθ' ὃ γὰρ ἂν ὁ Χριστὸς ἔχοι διαφορὰν, ἓν εἶναι κατὰ πάντα τρόπον οὐ δύναται· καθ' ὃ δὲ τὴν οἱανοῦν παντελῶς οὐκ ἐπιδέχεται διαφορὰν, κατὰ πάντα τρόπον τὸ ἓν ἐπ' αὐτοῦ διαπαντὸς εὐσεβῶς ἔχει καὶ ὂν καὶ λεγόμενον.

ξ΄. Ἡ πίστις διὰ τῆς ἐλπίδος τὴν εἰς Θεὸν ἀγάπην τελείαν συνίστησιν. ἡ ἀγαθὴ συνείδησις, τὴν εἰς τὸν πλησίον διὰ τῆς φυλακῆς τῶν ἐντολῶν ἀγάπην ὑφίστησιν. ἡ γὰρ ἀγαθὴ συνείδησις, παραβαθεῖσαν ἐντολὴν οὐκ ἔχει κατήγορον· ταύτης δὲ μόνη καρδία πιστεύεσθαι πέφυκε, τῶν ἐφιεμένων τῆς ἀληθοῦς σωτηρίας.

ξα΄. Οὐδὲν τοῦ πιστεύειν ταχύτερον, καὶ τοῦ διὰ στόματος ὁμολογεῖν τοῦ πιστευθέντος τὴν χάριν ἐστὶν εὐκολώτερον. τὸ μὲν γὰρ, δηλοῖ τὴν ἔμψυχον πρὸς τὸν πεποιηκότα τοῦ πεπιστευκότος ἀγάπην· τὸ δὲ τὴν θεοφιλῆ πρὸς τὸν πλησίον διάθεσιν. ἀγάπη δὲ, καὶ γνησία διάθεσις, ἤγουν πίστις, καὶ ἀγαθὴ συνείδησις, ἔργον προδήλως τοῦ κατὰ καρδίαν ὑπάρχει κινήματος, τῆς ἐκτὸς ὕλης πρὸς γένεσιν παντελῶς οὐ δεόμενον.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ξβ. Ὁ τὴν παντελῆ περὶ τὸ καλὸν ἀκινησίαν νοσῶν, περὶ τὸ κακὸν πάντως ὑπάρχει εὐκίνητος. κατ' ἄμφω γὰρ ἀκίνητον ὑπάρχειν, ἀδύνατον. ὅθεν καὶ λίθους καλεῖν οἶδεν ἡ γραφὴ, τὴν περὶ τὰ καλὰ τῆς ψυχῆς ῥαθυμίαν, ὡς ἀρετῶν ἀναισθητούσης· ξύλα δὲ, τὴν περὶ τὰ κακὰ προθυμίαν. ἡ δὲ κατ' αἴσθησιν κίνησις συναπτομένη τῇ κατὰ νοῦν ἐνεργείᾳ, ποιεῖ τὴν μετὰ γνώσεως ἀρετήν.

ξγ. Μεσότοιχον, τὸν κατὰ φύσιν, ὡς οἶμαι, νόμον τοῦ σώματος κέκληκε· φραγμὸν δὲ, τὴν ἐν τῷ νόμῳ τῆς σαρκὸς πρὸς τὰ πάθη σχέσιν, ἤγουν τὴν ἁμαρτίαν. μόνη γὰρ ἡ πρὸς τὰ πάθη τῆς ἀτιμίας σχέσις, τοῦ νόμου τῆς φύσεως, ἤγουν τοῦ παθητικοῦ τῆς φύσεως μέρους, φραγμὸς γίνεται τῆς ψυχῆς τὸ σῶμα διατειχίζων, καὶ τοῦ λόγου τῶν ἀρετῶν τὴν πρὸς σάρκα διὰ μέσης ψυχῆς κατὰ τὴν πρᾶξιν, μὴ συγχωρῶν γενέσθαι διάβασιν. ὁ δὲ λόγος παραγενόμενος, καὶ τὸν τῆς φύσεως νόμον, ἤγουν τὸ τῆς φύσεως παθητικὸν καταπαλαίσας, τὴν ἐν αὐτῷ τῶν παρὰ φύσιν παθῶν σχέσιν κατήργησεν.

ξδ. Ἡνίκα μὲν δι' ἀπάτης δόλῳ συλῶν τὴν περὶ Θεὸν ἔμφυτον γνῶσιν τῆς φύσεως, ταύτην ὁ πονηρὸς εἰς ἑαυτὸν σφετερίζεται, κλέπτης ἐστὶ, πρὸς ἑαυτὸν ἀπὸ τοῦ Θεοῦ τὸ σέβας μεταφέρειν πειρώμενος. ἀπάγων δηλονότι τῶν ἐν τοῖς γεγονόσι πνευματικῶν λόγων, τὴν κατὰ νοῦν τῆς θεωρίας, καὶ μόνην περιγράφων τὴν νοερὰν δύναμιν, τῆς κατὰ τὴν ἐπιφάνειαν προσόψει τῶν αἰσθητῶν. ὁπηνίκα δὲ διὰ τῶν φυσικῶν ἀπαρχόμενος κινημάτων πρὸς τὰ παρὰ φύσιν σοφιστικῶς κατασύρῃ τὴν πρακτικὴν δύναμιν, καὶ διὰ τῶν νομιζομένων καλῶν τοῖς χείροσι πιθανῶς προσηλώσῃ ταύτης τὴν ἔφεσιν, ἐπὶ τῷ ὀνόματι Κυρίου ὀμνύει ψευδῶς, πρὸς ἄλλα παρ' ὑπόσχεσιν ἄγων τὴν πειθομένην ψυχήν. καὶ ἔστι κλέπτης μὲν, ὡς πρὸς ἑαυτὸν συλῶν τὴν γνῶσιν τῆς φύσεως· ἐπίορκος δὲ, ὡς τὸ πρακτικὸν τῆς ψυχῆς μάτην διαπονεῖσθαι πείθων τοῖς παρὰ φύσιν.

ξε. Ἢ πάλιν κλέπτης ἐστὶν, ὁ πρὸς ἀπάτην τῶν ἀκουόντων, τοὺς θείους δῆθεν ἀσκούμενος λόγους, ὧν οὐκ ἐπέγνω διὰ τῶν ἔργων τὴν δύναμιν, τὴν ψιλὴν προφορὰν δόξης ἐμπορίαν ποιούμενος, καὶ τῷ διὰ γλώσσης λόγῳ τὸν τοῦ δικαίου νομίζεσθαι παρὰ τῶν ἀκροωμένων θηρώμενος ἔπαινον. καὶ ἁπλῶς εἰπεῖν, ὁ τῷ λόγῳ τὸν βίον ἀνάρμοστον, καὶ τῇ γνώσει τὴν διάθεσιν τῆς ψυχῆς, ἔχων ἀντικειμένην, κλέπτης ἐστὶν, ἐκ τῶν ἀλλοτρίων ἀγαθῶν οὐ καλῶς διαφαινόμενος· πρὸς ὃν ὁ λόγος εἰκότως ἐρεῖ, Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεὸς, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;

ξϛ. Κλέπτης ὡσαύτως ἐστὶ, καὶ ὁ τοῖς φαινομένοις τρόποις καὶ ἤθεσι, τὴν μὴ φαινομένην συγκαλύπτων τῆς ψυχῆς κακουργίαν, ἐπιεικείας πλάσματι τὴν ἔνδον ἐπικαλύπτων διάθεσιν· κλέπτων, ὥσπερ ἐκεῖνος τῇ προφορᾷ τῶν λόγων τῆς γνώσεως, τὴν τῶν ἀκουόντων διάνοιαν· οὕτω δὴ καὶ αὐτὸς τῷ τρόπῳ τῆς τῶν ἠθῶν ὑποκρίσεως, τῶν θεωμένων τὴν αἴσθησιν· πρὸς ὃν ὁμοίως εἰρήσεται, Αἰσχύνθητε οἱ ἐνδεδυμένοι ἱμάτια ἀλλότρια· καὶ τὸ, Ἀποκαλύψει Κύριος τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καθ' ἑκάστην γὰρ ἐν τῷ κρυπτῷ τῆς καρδίας ἐργαστηρίῳ, ταῦτά μοι λέγοντες ἀκούειν δοκῶ τοῦ Θεοῦ τὴν ἡμέραν, ὡς ἐπ' ἀμφοῖν διαρρήδην κατεγνωσμένος.

ξζ. Ἐπίορκός ἐστιν, ἤγουν ὀμνύων ἐπὶ τῷ ὀνόματι Κυρίου ψευδῶς, ὁ ἐπαγγελλόμενος τῷ Θεῷ τὸν κατ' ἀρετὴν βίον, καὶ ἀλλότρια παρὰ τὴν ὑπόσχεσιν τῆς οἰκείας ἐπαγγελίας ἐπιτηδεύων, καὶ τὴν ναυτη-

κλω

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κλιν τῆς ὁμολογίας τοῦ οἰκείου βίου διὰ τῆς ἀργίας τῶν ἐντολῶν παραβαίνων. καὶ συντόμως εἰπεῖν, ὁ κατὰ Θεὸν ζῆν προελόμενος, καὶ μὴ τελείως τῷ παρόντι βίῳ νεκρούμενος, ψεύστης ἐστὶ, καὶ ἐπίορκος, ὀμόσας μὲν τῷ Θεῷ, τουτέστιν ἐπαγγειλάμενος τὸν ἐν τοῖς θείοις ἀγῶσιν ἄμεμπτον δρόμον, καὶ μὴ πληρώσας, καὶ διὰ τοῦτο μηδαμῶς ἐπαινούμενος. Ἐπαινεθήσεται γὰρ πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, τουτέστι πᾶς ὁ τῷ Θεῷ ἐπαγγειλάμενος βίον, καὶ διὰ τῆς ἀληθείας τῶν ἔργων τῆς δικαιοσύνης τοὺς ὅρκους πληρῶν τῆς καλῆς ὑποσχέσεως.

ξη΄. Ὁ κατὰ μόνην τὴν ἐν τοῖς λόγοις προφορὰν, γνῶσιν ὑποκρινόμενος, πρὸς δόξαν οἰκείαν τὴν τῶν ἀκουόντων κλέπτει διάνοιαν. καὶ ὁ τοῖς ἤθεσι τὴν ἀρετὴν ὑποκρινόμενος, πρὸς δόξαν οἰκείαν, κλέπτει τῶν θεωμένων τὴν ὅρασιν· καὶ δι᾽ ἀπάτης ἀμφότεροι κλέπτοντες, πλανῶσιν, ὁ μὲν διάνοιαν ψυχῆς τῶν ἀκουόντων· ὁ δὲ τῶν θεωμένων σώματος αἴσθησιν.

ξθ΄. Εἰ πάντως ἔπαινον ἔχει ὁ τῶν οἰκείων πληρωτὴς ἐπαγγελιῶν, ὡς ὀμνύων ἐν τῷ Θεῷ, καὶ ἀληθεύων· δῆλον ὅτι ψόγον ἕξει καὶ ἀτιμίαν, ὁ τῶν οἰκείων συνθηκῶν παραβάτης γενόμενος, ὡς ὀμόσας ἐν τῷ Θεῷ, καὶ ψευσάμενος.

ο΄. Οὐ πᾶς ἄνθρωπος εἰς τοῦτον ἐρχόμενος τὸν κόσμον, ὑπὸ τοῦ Λόγου πάντως φωτίζεται· πολλοὶ γὰρ ἀφώτιστοι διαμένουσι, καὶ τοῦ κατ᾽ ἐπίγνωσιν ἀμέτοχοι φωτός· ἀλλὰ δῆλον ὅτι πᾶς ἄνθρωπος κατ᾽ οἰκείαν γνώμην, εἰς τὸν ἀληθῆ κόσμον ἐρχόμενος τῶν ἀρετῶν. πᾶς γὰρ ὁ κατ᾽ ἀλήθειαν διὰ τῆς αὐθαιρέτου γεννήσεως εἰς τοῦτον ἐρχόμενος τὸν κόσμον, ὑπὸ τοῦ Λόγου πάντως φωτίζεται, λαμβάνων ἕξιν ἀρετῆς ἀμετακίνητον, καὶ γνώσεως ἀληθοῦς ἐπιστήμην ἄπταιστον.

οα΄. Οὐ πάντες καὶ πάντα τὰ τὴν αὐτὴν ἐκφώνησιν ἔχοντα, καθ᾽ ἕνα καὶ τὸν αὐτὸν πάντως νοηθήσεται τρόπον· ἀλλ᾽ ἕκαστον τῶν λεγομένων πρὸς τὴν ὑποκειμένην δηλοῦντι τῷ τρόπῳ, τῆς ἁγίας γραφῆς δύναμιν νοητέον, εἰ μέλλοιμεν ὀρθῶς τοῦ σκοποῦ τῶν γεγραμμένων καταστοχάζεσθαι.

οβ΄. Οὐδὲν τῶν ἀναγεγραμμένων τῇ γραφῇ προσώπων, ἢ τόπων, ἢ χρόνων, ἢ ἑτέρων πραγμάτων ἐμψύχων τε καὶ ἀψύχων, αἰσθητῶν τε καὶ νοητῶν, κατὰ τὸν αὐτὸν ἀεὶ νοούμενον τρόπον, ἔχει συμβαίνουσαν ἑαυτῇ ὅλως τὴν ἱστορίαν, ἢ τὴν θεωρίαν. διὸ χρὴ τὸν ἀπταίστως τὴν θείαν τῆς γραφῆς διασκούμενον εἴδησιν, ταῖς διαφοραῖς τῶν γινομένων, ἢ λεγομένων, διαφόρως ἐκδέχεσθαι τῶν ἀπηριθμημένων ἕκαστον, καὶ τὴν ἁρμόζουσαν αὐτῷ κατὰ τὸν τόπον ἢ τὸν χρόνον δεόντως θεωρίαν προσνέμειν.

ογ΄. Διδάσκειν χρὴ πάντας τοὺς ἐν παντὶ τῷ κόσμῳ, λόγῳ ζῆν μόνῳ, καὶ πολιτεύεσθαι, καὶ τοσοῦτον ἔχειν περὶ τῶν σωμάτων τὴν μέριμναν, ὅσον διὰ πολλῆς φροντίδος τὴν πρὸς αὐτὰ σχέσιν τῆς ψυχῆς διακόψαι, καὶ μηδεμίαν διδόναι τὸ σύνολον ὕλης τῇ ψυχῇ φαντασίαν· σβεσθείσης ἤδη τῷ λόγῳ τῆς κατ᾽ ἀρχὰς, τὸν μὲν λόγον παρωσαμένης, τὴν ἀλογίαν δὲ τῆς ἐχθρᾶς ὄφεως δίκην ἐρπιστικοῦ προσδεξαμένης, αἰσθήσεως, καθ᾽ ἧς ὡρίσθη δικαίως ὁ θάνατος, ἵνα παύσηται τῷ διαβόλῳ πρὸς τὴν ψυχὴν παρεχομένη τὴν εἴσοδον.

οδ΄. Μία ὑπάρχουσα κατὰ τὸ γένος ἡ αἴσθησις, πενταπλοῦται τοῖς εἴδεσι, διὰ τῆς καθ᾽ ἕκαστον εἶδος ἀντιληπτικῆς ἐνεργείας, τὸ προσφυὲς αἰσθητὸν, ἀντὶ Θεοῦ στέργειν τὴν πλανωμένην ψυχὴν ἀναπείθουσα. διόπερ ὁ τῷ λόγῳ σοφῶς ἑπόμενος πρὸ τοῦ βεβιασμένου καὶ παρὰ γνώμην θανάτου, τὸν θάνατον τῆς σαρκὸς ἑκουσίως καταψηφίζεται, τὸν πρὸς αἴσθησιν τῆς γνώμης παντελῆ ποιούμενος χωρισμόν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

οέ. Λαβοῦσα τὴν τοῦ ἡ αἴσθησις ὑποχείριον, διδάσκει πολύθεον διὰ ἑκάστης αἰσθήσεως, τῇ περὶ τὰ πάθη ἐνεργείᾳ ὡς θεῖον τὸ προσφυὲς αἰσθητὸν θεραπεύουσα.

οϛ'. Ὁ μόνῳ τῷ γράμματι τῆς γραφῆς παρακαθήμενος, μόνην ἔχει τὴν αἴσθησιν κρατοῦσαν τῆς φύσεως, καθ' ἣν ἡ πρὸς τὴν σάρκα τῆς ψυχῆς σχέσις μόνη διαφαίνεσθαι πέφυκε. τὸ μὲν γράμμα μὴ νοούμενον πνευματικῶς, μόνην ἔχει τὴν αἴσθησιν περιγράφουσαν αὐτοῦ τὴν ἐκφώνησιν, καὶ μὴ συγχωροῦσαν πρὸς τὸν νοῦν διαβῆναι τῶν γεγραμμένων τὴν δύναμιν. εἰ δὲ πρὸς μόνην τὴν αἴσθησιν ἔχει τὸ γράμμα τὴν οἰκειότητα, πᾶς ὁ καθ' ἱστορίαν μόνην Ἰουδαϊκῶς τὸ γράμμα δεχόμενος, κατὰ σάρκα ζῇ, τῆς ἁμαρτίας καθ' ἑκάστην ἡμέραν διὰ τὴν ζῶσαν αἴσθησιν γνωμικῶς ἀποθνήσκων τὸν θάνατον, μὴ δυνάμενος πνεύματι τὰς πράξεις θανατοῦσαι τοῦ σώματος, ἵνα ζῇ τὴν ἐν πνεύματι μακαρίαν ζωήν. Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν, φησὶν ὁ θεῖος Ἀπόστολος· εἰ δὲ πνεύματι, τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε.

οζ'. Μὴ τοίνυν τὸν θεῖον λύχνον, ἤγουν τὸν φωτιστικὸν τῆς γνώσεως λόγον ἀνάπτοντες διὰ θεωρίας καὶ πράξεως, ὑπὸ τὸν μόδιον θήσωμεν, ἵνα μὴ κατακριθῶμεν ὡς περιγράφοντες τῷ γράμματι τῆς σοφίας τὴν ἀπερίληπτον δύναμιν· ἀλλ' ἐπὶ τὴν λυχνίαν, λέγω τὴν Ἁγίαν Ἐκκλησίαν ἐν τῷ ὕψει τῆς ἀληθοῦς θεωρίας, πᾶσι τὸ φῶς τῶν θείων πυρσεῦσαν.

οη'. Ὁ τὰς προσβολὰς τῶν ἀκουσίων πειρασμῶν, κατὰ τὸν Μακάριον Ἰώβ, καὶ τὰς γενναίας μάρτυρας, ἀκαταπτώτως φέρων τῷ φρονήματι, λύχνος ἐστὶν ἰσχυρός, ἀκατάσβεστον καὶ αὐτὸς φυλάττων τὸ φῶς τῆς σωτηρίας, ἐν τῷ τρόπῳ τῆς κατὰ τὴν ἀνδρείαν ὑπομονῆς φυλαττόμενον, ὡς τὸν Κύριον ἰσχὺν ἔχων καὶ ὕμνησιν. ὁ δὲ γινώσκων τοῦ πονηροῦ τὰ μηχανήματα, καὶ τὰς συμπλοκὰς τῶν ἀφανῶν πολέμων οὐκ ἀγνοῶν, καὶ ὅλος τῷ φωτὶ τῆς γνώσεως περιλαμπόμενος, ἄλλος πέφυκε λύχνος, τῷ Μεγάλῳ Ἀποστόλῳ προσηκόντως φθεγγόμενος, Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.

Τὴν μὲν κάθαρσιν τοῖς ἀξίοις τῆς τῶν ἀρετῶν καθαρότητος διὰ φόβου, καὶ εὐσεβείας, καὶ γνώσεως ποιεῖται τὸ Πνεῦμα τὸ Ἅγιον· τὸν δὲ φωτισμὸν τῆς τῶν ὄντων, καθ' οὓς ὑπάρχουσι λόγους, γνώσεως, δι' ἰσχύος, καὶ βουλῆς, καὶ συνέσεως δωρεῖται τοῖς ἀξίοις φωτός· τὴν δὲ τελειότητα διὰ τῆς παμφαοῦς, καὶ ἁπλῆς, καὶ ὁλοχεροῦς σοφίας χαρίζεται τοῖς ἀξίοις θεώσεως, πρὸς τὴν τῶν ὄντων αἰτίαν, ἀμέσως αὐτοὺς ἀνάγον κατὰ πάντα τρόπον, ὡς ἐστὶν ἀνθρώπῳ δυνατόν, ἐκ μόνων τῶν θείων τῆς ἀγαθότητος ἰδιωμάτων γνωριζομένους, καθ' ἣν ἐκ Θεοῦ μὲν ἑαυτούς, ἐξ ἑαυτῶν δὲ γινώσκοντες τὸν Θεόν, οὐκ ὄντος τινὸς μέσου διατειχίζοντος. σοφίας γὰρ μέσον οὐδὲν πρὸς Θεόν· τὴν ἀναλλοίωτον ἔχουσιν ἀτρεψίαν, τῶν μέσων αὐτῆς ὁλικῶς πάντων διαβαθέντων, ἐν οἷς ὑπῆρχεν ὁ περὶ τὴν γνῶσιν ποτὲ τοῦ σφάλλεσθαι κίνδυνος. μέσα δὲ καλεῖ τὴν τῶν νοητῶν καὶ τῶν αἰσθητῶν οὐσίαν, δι' ὧν πρὸς Θεὸν ὡς αἰτίαν τῶν ὄντων, ὁ ἀνθρώπινος νοῦς ἀνάγεσθαι πέφυκε. οθ'.

Τὴν μὲν πρακτικὴν φιλοσοφίαν, φόβος, εὐσέβειά τε, καὶ γνῶσις ἐργάζονται· τὴν δὲ φυσικὴν ἐν πνεύματι θεωρίαν, ἰσχύς, καὶ βουλή, καὶ σύνεσις καρποῦσι· τὴν δὲ μυστικὴν θεολογίαν, σοφία θεία μόνη χαρίζεται. π'.

Ὥσπερ ἐλαίου χωρίς, ἄσβεστον διατηρηθῆναι λύχνον ἀμήχανον, οὕτως ἕξεως χωρίς, προσφόροις καὶ λόγοις, καὶ τρόποις, καὶ ἤθεσι, νοήμασί τε αὖ, καὶ λογισμοῖς τοῖς καθήκουσι τὰ καλὰ διαξε- πά.

φύσεως

φύσεως, ἄσβεστον φυλαχθῆναι τὸ φῶς τῶν χαρισμάτων ἀμήχανον. πᾶν γὰρ χάρισμα πνευματικόν, προσφυοῦς χρήζει τῆς ἕξεως, ἀπαύστως ἐπιχεούσης αὐτῷ καθάπερ ἔλαιον τὴν ὕλην τὴν νοεράν, ἵνα διαμένῃ κατὰ τὴν ἕξιν τοῦ δεξαμένου κρατούμενον.

πβʹ. Ὥσπερ ἐλαίας χωρίς, οὐκ ἔστιν οὐδαμῶς εὑρεῖν φύσει κατ᾽ ἀλήθειαν γνήσιον ἔλαιον· ἄγγους δὲ δίχα κρατεῖσθαι τοῦ δεχομένου τὸ ἔλαιον οὐ δυνατόν· ἐλαίῳ δὲ μὴ τρεφόμενον σβέννυται πάντως τὸ λυχναῖον φῶς· οὕτω τῶν Ἁγίων Γραφῶν χωρίς, οὐκ ἔστι κατὰ ἀλήθειαν δύναμις νοημάτων θεοπρεπής· ἕξεως δὲ δίχα, καθάπερ ἄγγους νοημάτων δεκτικοῦ, οὐδαμῶς ἂν συσταίη νόημα θεῖον· θείοις δὲ νοήμασι μὴ τρεφόμενον τὸ φῶς τῆς ἐν τοῖς χαρίσμασι γνώσεως, ἄσβεστον οὐ συντηρεῖται τοῖς ἔχουσι.

πγʹ. Τὴν μὲν παλαιὰν Διαθήκην, τὴν ἐξ εὐωνύμων ἐλαίαν ὑπολαμβάνω σημαίνειν, ὡς τῆς πρακτικῆς μᾶλλον προνοουμένην φιλοσοφίας· τὴν ἐκ δεξιῶν δέ, τὴν νέαν Διαθήκην, ὡς καινοῦ μυστηρίου διδάσκαλον, καὶ τῆς ἐν ἑκάστῳ τῶν πιστῶν θεωρητικῆς ἕξεως ποιητικήν· ἡ μὲν γάρ, ἀρετῆς τρόπους· ἡ δέ, γνώσεως λόγους παρέχεται τοῖς τὰ θεῖα φιλοσοφοῦσι· καὶ ἡ μὲν τῆς τῶν ὁρωμένων ὁμίχλης ὑφαρπάζουσα πρὸς τὸ συγγενὲς ἀνάγει τὸν νοῦν, πάσης καθαρὸν ὑλικῆς φαντασίας γεγενημένον· ἡ δὲ τῆς ὑλικῆς προσπαθείας αὐτὸν ἀποκαθαίρει, τῷ τῆς ἀνδρείας τόνῳ, καθάπερ σφύρᾳ τινὶ τοὺς πρὸς σῶμα τῆς γνώμης κατὰ τὴν σχέσιν ἐκκρουομένη ἥλους.

πδʹ. Ἡ μὲν παλαιά, τὸ σῶμα πρὸς ψυχὴν λογικὴν ἀναβιβάζει διὰ μέσων τῶν ἀρετῶν, κωλύουσα τοῦ πρὸς σῶμα τὸν νοῦν καταβιβάζεσθαι· ἡ δὲ νέα, τὸν νοῦν πρὸς τὸν Θεὸν ἀναβιβάζει, τῷ πυρὶ τῆς ἀγάπης πυρούμενον. καὶ ἡ μὲν ταυτὸν ἐργάζεται τῷ νοῒ τὸ σῶμα κατὰ τὴν θέσει κίνησιν· ἡ δὲ ταυτὸν τῷ Θεῷ τὸν νοῦν ἀποτελεῖ κατὰ τὴν ἕξιν τῆς χάριτος, τοσαύτην ἔχοντα πρὸς Θεὸν τὴν ἐμφέρειαν, ὥστε τὸν Θεὸν δι᾽ αὐτοῦ γνωρίζεσθαι, τὸν ἐξ ἑαυτοῦ κατὰ φύσιν οὐδαμῶς τὸ παράπαν οὐδενὶ γινωσκόμενον, ὡς ἐκτύπου εἰκόνος ἀρχέτυπον.

πεʹ. Ἡ μὲν παλαιὰ Διαθήκη, πράξεως ἀρετῆς ὑπάρχουσα σύμβολον, συμφωνεῖν τὸ σῶμα τῷ νοῒ παρασκευάζει κατὰ τὴν κίνησιν· ἡ δὲ νέα, θεωρίας οὖσα καὶ γνώσεως ποιητική, τὸν μυστικῶς αὐτῆς ἀντεχόμενον νοῦν τοῖς θείοις νοήμασι καταφαιδρύνει, καὶ τοῖς χαρίσμασι. καὶ ἡ μὲν παλαιά, τῷ γνωστικῷ χορηγεῖ τοὺς τρόπους τῶν ἀρετῶν· ἡ δὲ νέα, τῷ πρακτικῷ γνώσεως ἀληθοῦς λόγους χαρίζεται.

πςʹ. Ἐκείνων ὁ Θεὸς λέγεται καὶ γίνεται κατὰ χάριν Πατήρ, τῶν μόνην ἐχόντων τὴν κατ᾽ ἀρετὴν γνωμικὴν ἐν πνεύματι γέννησιν· καθ᾽ ἣν ὥσπερ ψυχῆς πρόσωπον, τὸν ἐν ἀρεταῖς τοῦ γεννήσαντος Θεοῦ χαρακτῆρα φαινόμενον ἔχοντες κατὰ τὸν βίον τοὺς θεωμένους τῇ μεταβολῇ τῶν τρόπων δοξάζειν τὸν Θεὸν παρασκευάζουσι, τὸν οἰκεῖον βίον πρὸς μίμησιν παρέχοντες αὐτοῖς ἐξαίρετον ἀρετῆς ἐξομπλάριον. οὐ γὰρ λόγῳ ψιλῷ Θεὸς δοξάζεσθαι πέφυκεν, ἀλλ᾽ ἔργοις δικαιοσύνης πολλῷ πλείονα λόγον βοῶσι τὴν θείαν μεγαλοπρέπειαν.

πζʹ. Ἀριστερὸς μέν, ὁ φυσικὸς νόμος διὰ τὴν αἴσθησιν· προσάγει δὲ τῷ λόγῳ τοὺς τρόπους τῶν ἀρετῶν καὶ ποιεῖ γνῶσιν ἐνεργουμένην. ὁ δὲ πνευματικὸς νόμος, δεξιὸς μέν ἐστι διὰ τὸν νοῦν· μίγνυσι δὲ τῇ αἰσθήσει τοὺς ἐν τοῖς οὖσι πνευματικοὺς λόγους, καὶ ποιεῖ πρᾶξιν λελογισμένην.

πηʹ. Ὁ τῇ πράξει σωματουμένην τὴν γνῶσιν, καὶ τῇ γνώσει ψυχουμένην τὴν πρᾶ-

ξιν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ξιν δεικνύς, τὸν ἀκριβῆ τρόπον εὗρε τῆς ἀληθοῦς θεουργίας. ὁ δ' ὁποτέραν τούτων τῆς ἑτέρας ἔχων διεζευγμένην, ἢ τὴν γνῶσιν ἀνυπόστατον πεποίηκε φαντασίαν, ἢ τὴν πρᾶξιν κατέστησεν εἴδωλον. γνῶσις γὰρ ἄπρακτος, φαντασίας οὐδὲν διενήνοχεν, ὑφιστῶσαν αὐτὴν τὴν πρᾶξιν οὐκ ἔχουσα· καὶ πρᾶξις ἀλόγιστος ταυτὸν εἰδώλῳ καθέστηκε, ψυχοῦσαν τὴν γνῶσιν οὐκ ἔχουσα·

πθ'. Τὸ τῆς σωτηρίας ἡμῶν μυστήριον, ἐπίδειξιν μὲν λόγου, τὸν βίον· δόξαν δὲ βίου, τὸν λόγον ποιεῖται. καὶ τὴν μὲν πρᾶξιν, θεωρίαν ἐνεργουμένην· τὴν δὲ θεωρίαν, πρᾶξιν μυσταγωγουμένην. καὶ συντόμως εἰπεῖν, τὴν μὲν ἀρετήν, φανέρωσιν γνώσεως· τὴν δὲ γνῶσιν, ἀρετῆς συντηρητικὴν ἐργάζεται δύναμιν. καὶ δι' ἀμφοῖν, ἀρετῆς λέγω καὶ γνώσεως, μίαν σοφίαν συνισταμένην ἐπιδεικνύμενον· ἵνα γνῶμεν ὅτι συμφωνοῦσιν ἀλλήλαις διὰ πάντων αἱ δύο Διαθῆκαι κατὰ τὴν χάριν, πλέον εἰς ἑνὸς μυστηρίου συμπλήρωσιν, ἢ ὅσον ψυχὴ καὶ σῶμα πρὸς ἑνὸς ἀνθρώπου γένεσιν, κατὰ τὴν σύνθεσιν ἀλλήλαις συμβαίνουσαι.

ϙ'. Ὥσπερ ψυχὴ καὶ σῶμα ποιεῖ κατὰ σύνθεσιν ἄνθρωπον, οὕτω πρᾶξις καὶ θεωρία, μίαν κατὰ σύνοδον ἀποτελεῖ σοφίαν γνωστικήν. καὶ παλαιὰ καὶ νέα Διαθήκη, μυστήριον ἓν ἀπεργάζεται. μόνῳ δὲ τῷ Θεῷ κατὰ φύσιν ἐστὶ τὸ ἀγαθόν, ἐξ οὗ κατὰ μετοχὴν πάντα φωτίζεταί τε, καὶ ἀγαθύνεται, τὰ φωτὸς κατὰ φύσιν, καὶ ἀγαθότητος δεκτικά.

ϙα'. Ὁ τὸν φαινόμενον κόσμον νοῶν, θεωρεῖ τὸν νοούμενον. τυποῖ γὰρ τῇ αἰσθήσει τὰ νοητὰ φανταζόμενος, καὶ κατὰ νοῦν σχηματίζει τοὺς θεαθέντας λόγους. καὶ μεταφέρει, πρὸς μὲν αἴσθησιν πολυειδῶς, τοῦ νοητοῦ κόσμου τὴν σύστασιν· πρὸς δὲ νοῦν, τοῦ αἰσθητοῦ κόσμου πολυπλόκως τὴν σύνθεσιν. καὶ τοῦ, ἐν μὲν τῷ νοητῷ, τὸν αἰσθητὸν μετενέγκας πρὸς τὸν νοῦν τοῖς λόγοις τὴν αἴσθησιν· ἐν δὲ τῷ αἰσθητῷ, τὸν νοητὸν πρὸς αἴσθησιν ἐπιστημόνως τοῖς τύποις μετεγκλειώσας τὸν νοῦν.

Τὸν πρῶτον περὶ μονάδος λόγον, ὡς ἀρχὴν πάσης ἀρετῆς, κεφαλὴν ὁ Προφήτης ὠνόμασεν· ὡς τό, Ἡ κεφαλή μου εἰς χισμὰς ὀρέων. τὰς δὲ διανοίας τῶν πνευμάτων τῆς πονηρίας, χισμὰς τῶν ὀρέων, ὑφ' ὧν κατεπόθη διὰ τῆς παραβάσεως ὁ ἡμέτερος νοῦς· γῆν δὲ κατωτάτην, τὴν μηδαμῶς γνώσεως αἰσθανομένην θείας, ἢ τῆς κατ' ἀρετὴν ζωῆς, τὴν ἀίδιον κίνησιν ἔχουσαν ἕξιν· ἄβυσσον δὲ τὴν ἐπικειμένην ἄγνοιαν τῇ ἕξει τῆς κακίας, ἐφ' ᾗ βέβηκε καθάπερ γῆ τὰ τῆς κακίας πελάγη· ἢ γῆν, τὴν παγίαν τῆς κακίας ἕξιν εἶπεν· αἰωνίους δὲ μοχλούς, τὰς συγκρατούσας τὴν χειρίστην ἕξιν ἐμπαθεῖς προσπαθείας τῶν ὑλικῶν. ϙβ'.

Ἡ τῶν ἁγίων ὑπομονή, τὴν πονηρὰν δύναμιν προσβάλλουσαν, δαπανᾷ· ὡς πείθουσα τοῖς ὑπὲρ ἀληθείας ἐγκαλλωπίζεσθαι πόνοις, καὶ πλέον ἐμπλατύνεσθαι διδάσκουσα τοῖς παθήμασιν, ἢ ταῖς ἀνέσεσιν, οἱ τῆς ἐν σαρκὶ ζωῆς ἄγαν φροντίζοντες, ὑπόθεσιν αὐτοῖς ὑπερβαλλούσης κατὰ πνεῦμα δυνάμεως ποιουμένην, τὴν κατὰ φύσιν τῆς σαρκὸς περὶ τὸ πάσχειν ἀσθένειαν. ὅρα γὰρ ὅπως τῆς καθ' ὑπερβολὴν θείας δυνάμεως ἐστὶν ὑπόθεσις, ἡ κατὰ φύσιν τῶν ἁγίων ἀσθένεια, ἧς ἥττονα τὸν ὑπερήφανον διάβολον ὁ Κύριος ἔδειξεν. ϙγ'.

Ὁ λόγος τῆς χάριτος, διὰ πολλῶν πειρασμῶν πρὸς τὴν τῶν ἀνθρώπων φύσιν, ἤγουν τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, ὥσπερ Ἰωνᾶς διὰ πολλῶν θλίψεων πρὸς Νινευὶ διαβὰς τὴν πόλιν τὴν μεγάλην, ἔπεισε τὸν βασιλεύοντα νόμον τῆς ϙδ'.

φύσεως

Athos Library
Αγιορειτική Βιβλιοθήκη

φύσεως διαναστῆναι τοῦ θρόνου, τῆς προτέρας δηλαδὴ περὶ τὸ κακὸν κατὰ τὴν αἴσθησιν ἕξεως, καὶ περιελέσθαι τὴν στολὴν αὐτοῦ, τὸν ἐπὶ τοῖς ἤθεσι λέγω τῆς κοσμικῆς δόξης ἀποθέσθαι τῦφον, καὶ περιβαλλέσθαι σάκκον, τὸ πένθος δηλαδὴ, καὶ τὴν δυσχερῆ καὶ τραχεῖαν τῆς κακοπαθείας, καὶ βίῳ τῷ κατὰ Θεὸν πρέπουσαν ἀγωγήν· καὶ καθίσαι ἐπὶ σποδοῦ, σποδὸς δέ ἐστιν ἡ πτωχεία τοῦ πνεύματος, ἐφ' ἧς καθέζεται πᾶς εὐσεβῶς ζῆν διδασκόμενος, καὶ τὴν μάστιγα τῆς συνειδήσεως ἔχων ἐπὶ τοῖς πλημμεληθεῖσιν αὐτὸν καταικίζουσαν.

ϟε'. σχόλ. Ὅρα ὅπως βασιλέα μὲν λέγει, τὸν φυσικὸν νόμον· θρόνον δὲ, τὴν ἐμπαθῆ κατ' αἴσθησιν ἕξιν· τὴν δὲ στολὴν, τὴν τῆς κενῆς δόξης * προσβολήν· τὸν δὲ σάκκον, τὸ κατὰ τὴν μετάνοιαν πένθος· τὴν δὲ σποδὸν, τὴν ταπεινοφροσύνην· ἀνθρώπους δὲ, τοὺς περὶ τὴν ἐπιθυμίαν· βόας δὲ, τοὺς περὶ τὸν θυμόν· πρόβατα δὲ, τοὺς περὶ τὴν θεωρίαν τῶν ὁρατῶν πταίοντας.

* ἴσ. προβολὴν, ἢ περιβολήν.

ϟϛ'. Ὁ διὰ τὴν ἔννομον ἀρετὴν τῶν ἐν σαρκὶ παθῶν ὡς ἀριστερῶν ποιούμενος λήθην, καὶ διὰ τὴν ἄπταιστον γνῶσιν, ἐπὶ τοῖς κατορθώμασι τῇ νόσῳ τῆς φυσιώσεως οἰήσεως ὡς δεξιᾶς οὐχ ἁλισκόμενος, ἀνὴρ γέγονε, μὴ γινώσκων δεξιὰν αὐτοῦ, ὡς δόξης οὐκ ἐρῶν λυομένης· οὐδὲ ἀριστερὰν, ὡς τοῖς τῆς σαρκὸς οὐκ ἐρεθιζόμενος πάθεσι. δεξιὰν οὖν, ὡς ἔοικεν εἶπεν ὁ λόγος, τὴν ἐπὶ τοῖς ἠθικοῖς κατορθώμασι κενοδοξίαν· ἀριστερὰν δὲ, τὴν ἐπὶ τοῖς αἰσχροῖς πάθεσιν ἀκολασίαν. ὁ γὰρ τῆς ἀρετῆς λόγος, τῆς σαρκὸς ὡς ἀριστερᾶς οὐκ οἶδεν ἁμαρτίαν· ὁ δὲ τῆς γνώσεως, τῆς ψυχῆς ὡς δεξιᾶς οὐ γινώσκει κακίαν.

ϟζ'. Ἡ κατὰ λόγον γνῶσις τῶν ἀρετῶν, ἤγουν ἡ κατ' ἐνέργειαν ἀληθὴς τῆς τῶν ἀρετῶν αἰτίας ἐπίγνωσις, ἄγνοιαν παντελῆ πέφυκε ποιεῖν, τῆς δεξιᾶς καὶ ἀριστερᾶς ἑκατέρωθεν παρακειμένης τῇ μεσότητι τῶν ἀρετῶν ὑπερβολῆς καὶ ἐλλείψεως. εἰ γὰρ οὐδὲν ἐν τῷ λόγῳ παντελῶς πέφυκεν εἶναι παράλογον, σαφῶς ὁ πρὸς τὸν λόγον τῶν ἀρετῶν ἀναχθεὶς, τὴν τῶν παραλόγων οὐδαμῶς ἐπιγνώσεται θέσιν. οὐ γὰρ δυνατὸν ἄμφω κατὰ ταυτὸν ἅμα καταθρῆσαι τὰ ἀντικείμενα, καὶ θατέρῳ ἅμα τὸ ἕτερον γνῶναι συνεμφαινόμενον.

ϟη'. Εἰ ἀπιστίας ἐν τῇ πίστει λόγος οὐδεὶς, οὐδὲ σκότους αἰτία κατὰ φύσιν ὑπάρχει τὸ φῶς, οὐδὲ Χριστῷ συνενδείκνυσθαι πέφυκεν ὁ διάβολος· δῆλον ὡς οὐδὲ τῷ λόγῳ τοπαράπαν συνυπάρχει τὸ παράλογον· εἰ δὲ τῷ λόγῳ συνεῖναι παντελῶς οὐ δύναται τὸ παράλογον, ὁ πρὸς τὸν λόγον τῶν ἀρετῶν ἀναχθεὶς, τὴν τῶν παραλόγων οὐδαμῶς ἐπιγνώσεται θέσιν, μόνην ὥς ἐστιν ἀλλ' οὐχ ὡς νομίζεται γινώσκων τὴν ἀρετήν· καὶ διὰ τοῦτο μήτε δεξιὰν διὰ τῆς ὑπερβολῆς, μήτε ἀριστερὰν διὰ τῆς ἐλλείψεως ἐπιστάμενος. ἐπ' ἀμφοῖν γὰρ θεωρεῖται σαφῶς τὸ παράλογον.

ϟθ'. σχόλ. Ἀπιστίαν (λέγει) τὴν ἄρνησιν τῶν ἐντολῶν· πίστιν δὲ, τὴν αὐτῶν συγκατάθεσιν· τὸ δὲ σκότος, τοῦ καλοῦ τὴν ἄγνοιαν· τὸ δὲ φῶς, τὴν τούτου διάγνωσιν. Χριστὸν δὲ κέκληκε, τὴν οὐσίαν τοῦ καλοῦ, καὶ τὴν ὑπόστασιν· τὸν διάβολον δὲ, τὴν πάντων γεννητικὴν τῶν κακῶν χειρίστην ἕξιν.

ρ'. Εἰ ὅρος ὑπάρχει καὶ μέτρον τῶν ὄντων ὁ λόγος, ἴσον πρὸς ἀλογίαν ἐστὶ καὶ διὰ τοῦτο παράλογον, τὸ παρὰ τὸν ὅρον, καὶ παρὰ τὸ μέτρον, ἢ πάλιν ὑπὲρ τὸν ὅρον κινεῖσθαι, καὶ ὑπὲρ τὸ μέτρον. ἐπίσης γὰρ ἄμφω τοῖς οὕτω κινουμένοις τοῦ κυρίως ὄντος φέρει τὴν ἔκπτωσιν. τὸ μὲν, ἄδηλον αὐτοῖς ποιεῖσθαι τοῦ δρόμου πόθον τὴν κίνησιν καὶ ἀόριστον, οὐκ ἔχουσαν σκοπὸν

τὸν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸν Θεὸν δι᾽ ἀμετρίαν νοός, ὡς τέλος αὐτῆς προσποιούμενον· τοῦ ὀξέος, ὀξύτερον αὐταπλοῖ κινήσεις· τὸ δὲ, παρὰ τὸν σκοπὸν, πρὸς μόνην τὴν αἴσθησιν αὐτόθεν πάντοθεν, τοῦ δρόμου ποιεῖσθαι τὴν κίνησιν, δι᾽ ἀγνοίας νοὸς, προσποιούμενον τέλος νομίζοντας, τὸ κατ᾽ αἴσθησιν αὐτοῖς περιγραφόμενον· ὅπερ ἀγνοεῖ μὴ πάσχειν, ὁ μόνῳ τῷ λόγῳ τῆς ἀρετῆς συνημμένος, καὶ πᾶσαν αὐτῷ τῆς κατὰ τὴν οἰκείαν δυνάμεως περιγράψας τὴν κίνησιν· καὶ διὰ τοῦτο μηδὲν ὑπὲρ τὸν λόγον, ἢ παρὰ τὸν λόγον διανοεῖσθαι δυνάμενος.

# ΤΟΥ ΑΥΤΟΥ

# ἙΚΑΤΟΝΤΑ'Σ ἙΒΔΟ'ΜΗ.

α΄. Ὁ κατὰ φύσιν λόγος, διὰ μέσων τῶν ἀρετῶν, πρὸς τὸν νοῦν ἀνάγειν πέφυκε τὸν ἐπιμελούμενον πράξεως. ὁ δὲ νοῦς, πρὸς τὴν σοφίαν εἰσάγει διὰ θεωρίας τὸν ἐφιέμενον γνώσεως. τὸ δὲ παράλογον πάθος, πρὸς τὴν αἴσθησιν πάλιν καταφέρεσθαι τὸν ἀμελοῦντα τῶν ἐντολῶν, ἧς τὸ τέλος ἐστὶ, τὸ πρὸς τὴν ἡδονὴν καθέλκεσθαι τὸν νοῦν.

β΄. Ἀρετὴν καλῶ, τὴν ἀπαθεστάτην καὶ παγίαν περὶ τὸ καλὸν ἕξιν, ἧς ἐφ᾽ ἑκάτερα καθέστηκεν οὐδὲν, Θεοῦ φερώνυμον χαρακτῆρα, ᾧ οὐδέν ἐστιν ἐναντίον. αἰτία δὲ τῶν ἀρετῶν ἐστιν ὁ Θεός· τέλος δὲ ἡ κατ᾽ ἐνέργειαν γνῶσις, ἣν οἱ κατ᾽ ἀλήθειαν ἐπεγνωκότες τὸν Θεὸν πρὸς τὸ Πνεῦμα καὶ τὴν ἕξιν ἀλλοίωσις.

γ΄. Εἰ ὁ λόγος διώρισεν ὡς πέφυκεν ἐπάγειν τὴν γένεσιν, οὐδὲν τῶν ὄντων ἑαυτοῦ φυσικῶς ἢ ὑπερβέβηκεν, ἢ ὑποβέβηκεν. ὅκαν ὅρος μὲν τῶν ὄντων ἐστὶν, ἡ κατ᾽ ἔφεσιν τῆς αἰτίας ἐπίγνωσις· μεῖζον δὲ, ἡ ἐφικτὴ τῆς οὔσης κατ᾽ ἐνέργειαν τῆς αἰτίας ἐπιμονῆς· τὸ δὲ ὑπὲρ τὸν ὅρον φέρεσθαι, καὶ τὸ μεῖζον τῶν κειμένων τὴν ἔφεσιν, ἀνήνυτον ποιεῖ τὸν δρόμον μὴ καταντῶντα εἰς Θεὸν, ἐν ᾧ ἡ κατ᾽ ἔφεσιν πάντων ἵσταται κίνησις, αὐθυπόστατον δεχομένη τέλος τοῦ Θεοῦ τὴν ἀπόλαυσιν· τὸ δὲ παρὰ τὸν ὅρον φέρεσθαι καὶ τὸ μεῖζον τῶν κειμένων τὴν ἔφεσιν, ἀνήνυτον ποιεῖ τὸν δρόμον, ἀντὶ Θεοῦ καταντῶντα πρὸς τὴν αἴσθησιν, ἐν ᾗ καθ᾽ ἡδονὴν βέβηκεν ἡ τῶν παθῶν ἀνυπόστατος ἀπόλαυσις.

Ὁ πρὸς τὴν αἰτίαν τῶν ὄντων ἀχέτως ἀναπαθείς τις, ἀγνοήσει παντελῶς, μηδένα θεωρῶν λόγον ἐν τῇ κατὰ πᾶσαν αἰτίᾳ ὑπὲρ πάντα λόγον ὄντι κατ᾽ αἰτίαν Θεῷ· πρὸς ὃν ἀπὸ τῶν ὄντων ἀπάντων συσταλεὶς, οὐδένα τῶν ἀφ᾽ ὧν ἀνέστη λόγον ἐπίσταται, μόνον τὸν πρὸς ὃν γέγονε κατὰ χάριν, ἀνερμηνεύτως θεώμενος. καὶ γὰρ καὶ τῇ, τῶν ἀσωμάτων ἀφίησι λόγους, ὁ πρὸς τὸν Θεὸν ἀναδραμὼν κατ᾽ ἔκστασιν νοῦς. οὐ γὰρ πέφυκέ τι Θεῷ τῶν μετὰ Θεὸν, ἅμα συγκαταπτῆσθαι. δ΄.

Ἐπάρατον ὄντως πάθος ὁ τῦφος, καὶ ἐκ δύο κακῶν κατὰ σύνθεσιν συστάμενον, ὑπερηφανίας φημὶ καὶ κενοδοξίας· ὧν ἡ μὲν ὑπερηφανία, τὴν αἰτίαν ἀρνεῖται τῆς ἀρετῆς, καὶ τῆς φύσεως· ἡ δὲ κενοδοξία, τήν τε φύσιν, καὶ αὐτὴν νόθον τὴν ἀρετὴν καθίστησιν. οὐδὲν γὰρ τῷ ὑπερηφάνῳ κατὰ Θεὸν διαπράττεται· καὶ οὐδὲν τῷ κενοδόξῳ τῇ φύσει προέρχεται. ε΄.

Ὑπερηφανίας ἴδιον, τὸ ἀγνοῆσθαι τὸν Θεὸν ἀρετῆς εἶναι γενέτην, καὶ φύσεως· κενοδοξίας δὲ, τὸ μερίζειν τὴν φύσιν ϛ΄.

πρὸς ὕφεσιν· ὧν ὁ τῦφος εἶναι γέννημα πέφυκεν, ἕξις κακίας ὑπάρχων σύνθετος, Θεοῦ ἄρνησιν ἑκούσιον ἔχουσα, καὶ τῆς κατὰ φύσιν ἰσοτιμίας ἄγνοιαν.

ζ. Ὑπερηφανίας καὶ κενοδοξίας μῖξις, ὁ τῦφος καθέστηκεν· πρὸς μὲν τὸν Θεὸν ἔχων τὴν καταφρόνησιν, καθ' ἣν πέφυκε βλασφήμως διαβάλλειν τὴν πρόνοιαν· πρὸς δὲ τὴν φύσιν κεκτημένος τὴν ἀλλοτρίωσιν, καθ' ἣν πάντα τὰ τῆς φύσεως παρὰ τὴν φύσιν μεταχειρίζεται, τῷ κατὰ παράχρησιν τρόπῳ, τὴν τῆς φύσεως παραφθείρων εὐπρέπειαν.

η. Τὸ πνεῦμα τοῦ καύσωνος, οὐ μόνον τοὺς πειρασμούς, ἀλλὰ καὶ τὴν ἐγκατάλειψιν τοῦ Θεοῦ τὴν ἀφαιρεμένην τῶν Ἰουδαίων τὴν τῶν θείων χαρισμάτων χορηγίαν, δηλοῖ. ἡ δὲ διὰ πνεύματος ἀγχιστεία, σαρκὸς μὲν λύει τὴν σχέσιν τῆς προαιρέσεως, Θεῷ δὲ προσδραμεῖν * κατὰ πόθον προσκολληθεῖσαν.

* ἴσ. (λείπει) πείθει.

θ. Ὁ μὲν φυσικὸς νόμος, ὅταν οὐκ ἔχῃ πλεονεκτοῦσαν τὸν λόγον τὴν αἴσθησιν, ἀδιδάκτως ἀσπάζεσθαι πάντας πείθει τὰ συγγενὲς καὶ ὁμόφυλον, αὐτὴν ἔχοντας τὴν φύσιν τῆς τῶν δεομένων ἐπικουρίας διδάσκαλον, κἀκεῖνο βούλεσθαι πᾶσιν ἅπαντας, ὅπερ ἕκαστος ἑαυτῷ παρὰ τῶν ἄλλων γινόμενον, εἶναι δοκεῖ καταθύμιον. καὶ τοῦτο διδάσκων ὁ Κύριος, φησίν, Ὅσα θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ὁμοίως καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς.

ι. χόλ. Ἔργον εἶναι τοῦ φυσικοῦ νόμου φησί, τὴν γνωμικὴν πάντων πρὸς πάντας ὁμόθυμον σχέσιν. ἐφ' ὧν γὰρ ἡ φύσις λόγῳ βραβεύεται, τούτων μία πέφυκεν ἡ διάθεσις· ὧν δὲ διάθεσις ἡ αὐτή, καὶ ὁ κατ' ἦθος τρόπος, καὶ ὁ τοῦ βίου δρόμος εἷς ὑπάρχειν προδήλως πέφυκεν· ὧν δὲ τρόπος ἠθῶν, καὶ βίου δρόμος ἐστὶν ὁ αὐτός, εἷς δηλονότι καὶ ὁ αὐτὸς κατὰ τὴν γνώμην τῆς πρὸς ἀλλήλους σχέσεως ὑπάρχει δεσμός, κατὰ μίαν γνώμην ἄγων τοὺς πάντας πρὸς τὸν ἕνα λόγον τῆς φύσεως· ἐν ᾧ παντελῶς οὐκ ἔστιν ἡ νῦν κρατοῦσα τῆς φύσεως διὰ τῆς φιλαυτίας διαίρεσις. ὁ δὲ γραπτὸς νόμος, φόβῳ τῶν ἐπιτιμίων ἐπέχων τὰς ἀτάκτους τῶν ἀφρονεστέρων ὁρμάς, ἐθίζει διδάσκων, πρὸς μόνην αὐτοὺς ὁρᾷν τὴν τοῦ ἴσου διανομήν, καθ' ἣν τῆς δικαιοσύνης τὸ κράτος χρόνῳ βεβαιωθέν, εἰς φύσιν μεθίσταται, ποιοῦν, τὸν μὲν φόβον, διάθεσιν, ἠρέμα κατὰ μικρὸν τῇ περὶ τὸ καλὸν γνώμῃ συγκρατυνομένην· ἕξιν δέ, τὴν συνήθειαν, τῇ λήθῃ τῶν προτέρων καθαρομένην, καὶ τὸ φιλάλληλον ἑαυτῇ συναποτίκτουσαν.

Ὁ γραπτὸς νόμος (φησί,) κωλύων φόβῳ τὴν ἀδικίαν, ἐθίζει πρὸς τὸ δίκαιον· χρόνῳ δὲ τὸ ἔθος ποιεῖ διάθεσιν φιλοδίκαιον, ὑφ' ἧς παγία πρὸς τὸ καλὸν ἕξις ἐπιγίνεται, λήθην προλαβούσης πονηρίας ἐπάγουσα. ια. χόλ.

Ὁ δὲ τῆς χάριτος νόμος, αὐτὸν ἀμέσως διδάσκει τοὺς ἀγομένους μιμεῖσθαι τὸν Θεόν, ὃς τοσοῦτον ὑπὲρ ἑαυτὸν ἡμᾶς, εἰ θέμις εἰπεῖν, καὶ ταῦτα διὰ τὴν ἁμαρτίαν ὄντας ἐχθρούς, ἠγάπησεν, ὥστε καὶ εἰς τὴν καθ' ἡμᾶς οὐσίαν ἐλθεῖν ἀτρέπτως, ὑπὲρ πᾶσαν οὐσίαν ὄντα· καὶ φύσιν ὑπερουσίως καταδέξασθαι, καὶ ἄνθρωπον γενέσθαι, καὶ τῶν ἀνθρώπων ἕνα χρηματίσαι βούλεσθαι, καὶ τὴν ἡμετέραν κατάκρισιν οἰκείαν ποιῆσαι μὴ παραιτήσασθαι· καὶ τοσοῦτον ἡμᾶς ἐθέωσε κατὰ χάριν, ὅσον κατ' οἰκονομίαν αὐτὸς γέγονεν ἄνθρωπος· ἵνα μὴ μόνον μάθωμεν ἀλλήλων ἀντέχεσθαι φυσικῶς, καὶ ὡς ἑαυτοὺς ἀλλήλους ἀγαπᾷν πνευματικῶς, ἀλλὰ καὶ ὑπὲρ ἑαυτοὺς ἀλλήλων κήδεσθαι θεϊκῶς, καὶ ταύτην τῆς εἰς ἀλλήλους ἀγάπης ἀπόδειξιν ποιεῖσθαι, τὸ κατ' ἀρετὴν ὑπὲρ ἀλλήλων τὸν ἑκούσιον προθύμως αἱρεῖσθαι θάνατον. Οὐκ ἔστι γὰρ ἄλλη μείζων ταύτης ιβ.



Athos Library Αγιορειτική Βιβλιοθήκη

ἀγάπην, φησίν, ἵνα τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τοῦ φίλου αὐτοῦ.

ιγʹ. Ὁ μὲν τῆς φύσεως νόμος ἐστίν, ἵνα συνελὼν εἴπω, λόγος φυσικός, τὴν αἴσθησιν λαβὼν ὑποχείριον, πρὸς ἀφαίρεσιν τῆς ἀλογίας· καθ' ἣν τῶν φυσικῶν συνημμένων ἐστὶν ἡ διαίρεσις. ὁ δὲ γραπτὸς νόμος ἐστί, λόγος φυσικὸς μετὰ τὴν κατ' αἴσθησιν τῆς ἀλογίας ἀφαίρεσιν, προσλαβὼν καὶ πόθον πνευματικὸν τῆς πρὸς τὸ συγγενὲς ἀλληλουχίας συνεκτικόν. ὁ δὲ τῆς χάριτος νόμος, ὑπὲρ φύσιν καθέστηκε λόγος, πρὸς θέωσιν ἀτρέπτως τὴν φύσιν μεταλλάττων, καὶ ὡς ἐν εἰκόνι δεικνὺς ἀκαταλήπτως τῇ φύσει τῶν ἀνθρώπων, τὸ ὑπὲρ οὐσίαν καὶ φύσιν ἀρχέτυπον, καὶ τὴν τοῦ ἀεὶ εὖ εἶναι διαμονὴν παρεχόμενος.

ιδʹ. Τὸ μὲν ἔχειν ὡς ἑαυτὸν τὸν πλησίον, μόνης ἐστὶ φροντίσαι τῆς πρὸς τὸ εἶναι ζωῆς· ὅπερ φυσικοῦ νόμου καθέστηκε. τὸ δὲ τὸν πλησίον ἀγαπᾷν ὡς ἑαυτόν, καὶ τῆς πρὸς τὸ εὖ εἶναι κατ' ἀρετὴν ἐστὶ προνοεῖσθαι τοῦ πέλας· ὅπερ ὁ γραπτὸς ἐπιτρέπει νόμος. τὸ δὲ ὑπὲρ ἑαυτὸν ἀγαπῆσαι τὸν πλησίον, τοῦ νόμου τῆς χάριτός ἐστιν ἰδιαίτατον.

ιεʹ. Ὁ κωλυόμενος τῶν πρὸς ἡδονὴν σώματος ἀφορμῶν, μανθάνει προνοίας λόγους, ἐπεχούσης τὴν ἐξαπτικὴν ὕλην τῶν παθῶν. ὁ δὲ τὰς πρὸς ὀδύνην σώματος δεχόμενος μάστιγας, διδάσκεται κρίσεως λόγους, προλαβόντων μολυσμῶν ἀκουσίοις πόνοις αὐτὸν ἐκκαθαιρούσης.

ιϛʹ. Εἰ τὸν Προφήτην διὰ τὴν σκηνὴν καὶ τὴν κολοκύνθην λυπούμενον, λέγω δὲ τὴν σάρκα, καὶ τὴν τῆς σαρκὸς ἡδονήν, τῆς δὲ Νινευῒ τὸν Θεὸν ἀντεχόμενον ἀντεισήγαγεν ὁ τῆς γραφῆς λόγος, δῆλον ὡς τῶν τοῖς ἀνθρώποις τιμίων ἐπεράστων, τὸ * δὲ Θεῷ φανὲν προσφιλές, πάντων τῶν ὄντων πολλῷ κρεῖττόν ἐστι καὶ τιμιώτερον· ὅπουγε τῶν οὐκ ὄντως,

* ἴσ. στεργόμενον τό, δὲ

καὶ μόνῃ προσλήψει κατ' ἐσφαλμένην κρίσιν εἶναι δοκούντων· ὧν οὐδεὶς τὸ παράπαν ἐστὶ κατὰ τὴν ὕπαρξιν λόγος, μόνη δὲ φαντασία τὸν νοῦν φενακίζουσα, καὶ σχῆμα τοῖς οὐκ οὖσι διδοῦσα * ἀλλ' ὑπόστασιν τῷ πάθει παρεχομένη.

* ἴσ. ἀλλ' οὐχ ὑπόστασιν.

ιζʹ. Ἡ μὲν ἀκριβὴς γνῶσις τῶν λογίων τοῦ πνεύματος, μόνοις ἀποκαλύπτεσθαι πέφυκε τοῖς ἀξίοις τοῦ πνεύματος· οἳ διὰ πολλὴν τῶν ἀρετῶν ἐπιμέλειαν, τῆς τῶν παθῶν αἰθάλης τὸν νοῦν ἐκκαθάραντες, ἐσόπτρου δίκην καθαροῦ καὶ διαυγοῦς, ἅμα τῇ προσβολῇ καθάπερ πρόσωπον ἐντυπουμένην αὐτοῖς καὶ ἐμπίπτουσαν, τὴν τῶν θείων δέχονται γνῶσιν· οἷς δὲ ταῖς τῶν παθῶν * ὁ βίος κατέστικται, μόλις κἂν ἐξ εἰκότων στοχασμῶν τεκμηριῶσαι τὴν τῶν θείων γνῶσιν ἐστὶ δυνατόν, μή ὅτι γε νοῆσαί τε καὶ φράσαι ταύτην δι' ἀκριβείας ἀπαυθαδίζεσθαι.

* ἴσως λείπει κηλῖσιν

ιηʹ. Ὁ τῷ νῷ μορφὴν, τὴν ἐξ ἀρετῶν ἐν πνεύματι θείῳ δεξάμενος γνῶσιν, τὰ θεῖα λέγεται παθεῖν, ὅτι μὴ φύσει κατὰ τὴν ὕπαρξιν, ἀλλὰ χάριτι κατὰ τὴν μέθεξιν, ταύτην προσέλαβεν. ὁ δὲ τὴν ἐκ χάριτος μὴ δεξάμενος γνῶσιν, κἂν λέγῃ τι γνωστικόν, οὐκ οἶδε κατὰ πεῖραν τοῦ λεγομένου τὴν δύναμιν. ψιλὴ γὰρ μάθησις, τὴν καθ' ἕξιν γνῶσιν οὐ δίδωσι.

ιθʹ. Νοῦς εἰς ἄκρον διὰ τῶν ἀρετῶν καθαιρόμενος, τοὺς τῶν ἀρετῶν πέφυκεν εἰκότως ἐκδιδάσκεσθαι λόγους, τὴν ἐξ αὐτῶν θεοειδῶς χαρακτηρισθεῖσαν γνῶσιν οἰκεῖον ποιούμενος πρόσωπον. καθ' ἑαυτὸν γὰρ ἀνείδεός τε καὶ ἀχαρακτήριστος πᾶς καθέστηκε νοῦς, μορφὴν ἔχων ἐπίκτητον, ἢ τὴν ἐκ τῶν ἀρετῶν ὑποστᾶσαν ἐν πνεύματι γνῶσιν, ἢ τὴν ἐκ τῶν παθῶν ἐπισυμβαίνουσαν ἄγνοιαν.

κʹ. Πᾶς ὁ τῆς θείας ἐκπεπτωκὼς ἀγάπης, τὸν ἐν τῇ σαρκὶ νόμον ἔχει διὰ τῆς ἡδονῆς βασιλεύοντα, τὸν μηδεμίαν θείαν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐντολὴν φυλάξαι δυνάμενον, ἢ βουλόμενον. τῆς γὰρ ἐν πνεύματι Θεοῦ κατ' ἀρετὴν διεξαγομένης ζωῆς τε καὶ βασιλείας, προτιμήσας τὴν φιλήδονον ζωήν, τὴν ἄγνοιαν, ἀντὶ τῆς γνώσεως ἑαυτῷ ἐπεσπάσατο.

κα'. Ὁ μὴ διαβαίνων κατὰ νοῦν πρὸς τὴν ἔνδον ἐν πνεύματι τοῦ νομικοῦ γράμματος θείαν εὐπρέπειαν, τὴν τῆς γνώμης φιλήδονον σχέσιν ἤγουν τὴν κοσμικὴν προσπάθειαν, καὶ φιλοκοσμίαν γεννᾷν πέφυκεν, ἐκ τῆς κατὰ μόνην τὴν ἐν λόγῳ μαθήσεως προφοράν.

κβ'. Αἰσχύνη στόματός ἐστιν, ἡ κατὰ νοῦν φιλόκοσμος μελέτη τῶν λογισμῶν, καὶ φιλοσώματος. ἐν ᾧ * γὰρ ὁ κόσμος ἐκ τῆς ἐμφαινομένης τῷ γράμματι τοῦ νόμου σωματικῆς διαπλάσεως, κατὰ τὴν γνωμικὴν σχέσιν γεννᾶσθαι πέφυκεν, ἤγουν, ἡ τὸν κόσμον φιλοῦσα διάθεσις, καὶ ἡ κατὰ νοῦν φιλήδονος μελέτη τῶν λογισμῶν. πρὸς ὃ γὰρ σχετικῶς διακείμεθα, πρὸς ἐκεῖνο καὶ κατὰ νοῦν μελέτην κεκτήμεθα.

* ἴσ. τὸ γὰρ πειστόν

κγ'. Ἢ πάλιν, αἰσχύνη στόματός ἐστιν, ἡ τοῖς πάθεσιν εἶδος ἐπάγουσα, καὶ τὸ καθ' ἡδονὴν πρὸς αἴσθησιν διαπλάττουσα κάλλος, τοῦ νοῦ κίνησις. χωρὶς γὰρ τῆς κατὰ νοῦν ἐπινοητικῆς δυνάμεως, πρὸς διάπλασιν μορφῆς, οὐδαμῶς πάθος ἄγεται. ἢ ἀνάθημά ἐστι, καὶ ἡ πρόσυλος, καὶ ἀναλλὴς τῶν παθῶν καὶ διατυπωτικὴ κίνησις. αἰσχύνη δὲ στόματος, ἡ τὸ πάθος εἰδοποιοῦσα πρὸς αἴσθησιν κίνησις, καὶ ταῖς ἐπινοίαις ὕλην ἁρμόδιον τῷ πάθει πορίζουσα.

κδ'. Ὁ διὰ τρυφὴν σωματικήν, καὶ ἀνάπαυσιν τὰς θυσίας, καὶ τὰς ἑορτάς, τά τε σάββατα, καὶ τὰς νεομηνίας κατὰ τὸν νόμον τὸν Θεὸν διατεταχέναι πιστεύων, πάντῃ τε, καὶ πάντως, ὑπὸ τὴν ἐνοχὴν γενήσεται τῆς τῶν παθῶν ἐνεργείας, καὶ τὴν αἰσχύνην, τῆς τῶν ἐπ' αὐτοῖς αἰσχρῶν λογισμῶν ῥυπαρίας· ὑπό τε τὸν φθειρόμενον ἔσω κόσμον, καὶ τὴν ἐν λογισμοῖς φιλοσώματον μελέτην· ὑπό τε τὴν ὕλην τῶν παθῶν, καὶ τὸ εἶδος, μηδὲν ἄλλο πλὴν φθειρομένων τίμιον ἔχειν δυνάμενος.

Ὁ πεισθεὶς θείαν εἶναι διαταγὴν τὸ σωματικῶς κατὰ νόμον τρυφᾷν, τὴν γαστριμαργίαν, ὡς Θεοῦ δῶρον λαμβάνει πρὸς συμβίωσιν μετὰ χαρᾶς, ἐξ ἧς γεννᾷ τοὺς μολύνοντας τῇ παραχρήσει τὴν ἐνέργειαν τῶν αἰσθητηρίων τρόπους. κε'.

Ἐπειδὰν τὸ θεωρητικὸν τῆς ψυχῆς τὴν τρυφὴν κατὰ τὸν ἐν γράμματι νόμον ὡς θείαν διὰ τὴν ἐντολὴν ἀσπάσηται πρὸς συμβίωσιν, τὴν τῶν αἰσθήσεων παρὰ φύσιν μετέρχεται χρῆσιν, μηδεμιᾶς συγχωροῦν κατὰ φύσιν διαφαίνεσθαι τὴν χρῆσιν τῆς ἐνεργείας. γεννᾷ γὰρ τήν τε τῶν παθῶν ἕξιν, καὶ τὴν ἐνέργειαν, καὶ ὡς θείαν εἰσοικίζεται τὴν γαστριμαργίαν, πρὸς γένεσιν τῶν ῥυπαινόντων τῇ παραχρήσει τὰς αἰσθήσεις τρόπων, εἰς ἀναίρεσιν τῶν ἐν τοῖς οὖσι φυσικῶν λόγων τε καὶ σπερμάτων. κϛ'.

Οὐδεὶς μόνῃ προσανέχων τῇ σωματικῇ τοῦ νόμου λατρείᾳ, φυσικὸν τὸ παράπαν δύναιτ' ἂν παραδέξασθαι λόγον, ἢ λογισμόν, ὅτι μηδὲ πέφυκε ταὐτὸν εἶναι τῇ φύσει τὰ σύμβολα. ὁ γὰρ τοῖς συμβόλοις ἑπομένων τοῦ νόμου, οὐ δύναται κατὰ λόγον τὴν τῶν ὄντων φύσιν ὁρᾷν, καὶ τοὺς τεθέντας οὐσιωδῶς ὑπὸ τοῦ δημιουργοῦ τοῖς οὖσι λόγους περιποιεῖσθαι διὰ τὸ τῶν συμβόλων πρὸς τὴν τῶν ὄντων φύσιν διάφορον. κζ'.

Ὁ Θεὸν τὴν κοιλίαν ἡγούμενος, καὶ ὡς ἐπὶ δόξῃ τῇ αἰσχύνῃ καλλωπιζόμενος, μόνων οἶδεν ὡς θείων ἀντέχεσθαι διὰ σπουδῆς τῶν παθῶν τῆς ἀτιμίας· καὶ διὰ τοῦτο μόνα περιέπει τὰ χρονικά, τουτέστι, τὴν ὕλην καὶ τὸ εἶδος, καὶ τὴν κατὰ παράχρησιν πενταπλῆν ἐνέργειαν τῶν αἰσθήσεων. τῇ γὰρ ὕλῃ, καὶ τῷ εἴδει κη'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

συμπλακεῖσα κατὰ μίξιν ἡ αἴσθησις, ἀποτελεῖ μὲν πάθος, ἀποκτείνει δὲ, καὶ ἀναιρεῖ τοὺς κατὰ φύσιν πέφυκε λόγους. πάθος γὰρ καὶ φύσις κατὰ τὸν τοῦ εἶναι λόγον, οὐδαμῶς ἀλλήλοις συνυπάρχουσιν. οὐ γὰρ πέφυκε πάθει συνεμφαίνεσθαι τὸ παράπαν φύσεως λόγος, ὥσπερ οὔτε φύσει συναποτίκτεσθαι κατὰ γένεσιν πάθος.

κθʹ. Ὁ μὴ πιστεύων τὴν γραφὴν εἶναι πνευματικὴν, τῆς οἰκείας κατὰ τὴν γνῶσιν πενίας οὐκ αἰσθάνεται, ἀλλὰ λιμῷ διαφθείρεται. λιμὸς γάρ ἐστιν ὡς ἀληθῶς, ἔκλειψις τῶν κατ' αὐτὴν τὴν πεῖραν ἐγνωσμένων ἀγαθῶν, καὶ ἀπορία, καὶ σπάνις παντελὴς τῶν τὴν ψυχὴν συγκρατούντων πνευματικῶν βρωμάτων. πῶς γὰρ οὐ λιμὸν ἡγήσεταί τις ἢ ζημίαν, τὴν τῶν καθάπαξ αὐτῷ μηδαμῶς ἐγνωσμένων ἀφαίρεσιν;

λʹ. Λιμώττει ἐπ' ἀληθείας τῶν πιστῶν καὶ ἐπεγνωκότων τὴν ἀλήθειαν ὁ λαὸς, καὶ ἡ ψυχὴ τοῦ καθ' ἕκαστον ἀφειμένη τῆς ἐν χάριτι πνευματικῆς θεωρίας, καὶ γενομένη τῆς τυπικῆς ἐν τῷ γράμματι δουλείας, μὴ διατρέφουσα τὸν νοῦν ταῖς τῶν νοημάτων μεγαλοφυΐαις, ἀλλὰ πληροῦσα τὴν αἴσθησιν ἐμπαθοῦς φαντασίας, ταῖς σωματικαῖς τῶν γραφικῶν συμβόλων διατυπώσεσι.

λαʹ. Πᾶς ὁ τὴν πνευματικὴν τῆς ἁγίας γραφῆς θεωρίαν μὴ προσιέμενος, τόν τε φυσικὸν ταύτῃ, καὶ τὸν γραπτὸν κατὰ τοὺς Ἰουδαίους συναπώσατο νόμον, καὶ τὸν ἐν τῇ χάριτι νόμον ἠγνόησε, καθ' ὃν δίδοται τοῖς κατ' αὐτὸν ἀγομένοις ἡ θέωσις. ὁ τοίνυν τὸν γραπτὸν νόμον λαμβάνων σωματικῶς, ἀρεταῖς τὴν ψυχὴν οὐ διατρέφει· καὶ ὁ τοῖς λόγοις τῶν ὄντων οὐκ ἐπιβάλλων, τῇ ποικίλῃ τοῦ Θεοῦ σοφίᾳ τὸν νοῦν οὐχ ἑστιᾷ φιλοτίμως· καὶ ὁ τὸ μέγα τῆς καινῆς χάριτος μὴ γινώσκων μυστήριον, τῇ ἐλπίδι τῆς μελλούσης θεώσεως, οὐκ ἐπαγάλλεται. οὐκοῦν ἡ ἔλλειψις τῆς κατὰ τὸν γραπτὸν νόμον θεωρίας, ἔχει παρεπομένην αὐτῇ τὴν ἔνδειαν τῆς καὶ τὸν φυσικὸν νόμον τοσμένης ποικίλης σοφίας τοῦ Θεοῦ, ἐφεπομένην ἔχουσαν τῆς καὶ τὸ καινὸν μυστήριον χάριτι δοθησομένης θεώσεως πάντων τὴν ἄγνοιαν.

λβʹ. Πᾶς νοῦς κατὰ Χριστὸν διορατικὸς καὶ ἰσχυρὸς ὁράσει, ἀεὶ ἐφίεται καὶ ζητεῖ τὸ πρόσωπον Κυρίου· πρόσωπον δὲ Κυρίου καθέστηκεν, ἡ κατ' ἀρετὴν τῶν θείων ἀληθὴς θεωρία καὶ γνῶσις, ἣν ζητῶν, διδάσκεται τὴν αἰτίαν τῆς κατ' αὐτὸν ἐνδείας καὶ ἀπορίας. ὥσπερ γὰρ τὸ πρόσωπον χαρακτηριστικόν ἐστι τοῦ καθ' ἕκαστον, οὕτω καὶ ἡ πνευματικὴ γνῶσις ἐμφαντικῶς χαρακτηρίζει τὸ θεῖον· ἣν ὁ ζητῶν, λέγεται ζητεῖν τὸ πρόσωπον Κυρίου. ὁ δὲ κατασαρκούμενος κατὰ τὸ γράμμα τοῦ νόμου ταῖς ἑτοίμοις θυσίαις, ποθουμένην ἄγνοιαν ἔχει, πρὸς μόνην σαρκὸς ἡδονὴν ἐντολὴν ἐκδεχόμενος, καὶ μόνης κατ' αἴσθησιν ἀντεχόμενος σωματικῶς τῆς ὕλης τοῦ γράμματος.

λγʹ. Ὁ μὲν σωματικῶς κατὰ τὸν νόμον λατρεύων, καθάπερ ὕλην γεννᾷ τὴν κατ' ἐνέργειαν ἁμαρτίαν, καὶ ὡς εἶδος τὴν ἐπ' αὐτῇ τοῦ νόμου συγκατάθεσιν ταῖς προσφόροις ἡδοναῖς τῶν αἰσθήσεων, ὑλικῶς διαπλάττεται. ὁ δὲ πνευματικῶς τὴν γραφὴν ἐκδεχόμενος, ὡς μὲν ὕλην τὴν ἐνέργειαν, ὡς εἶδος δὲ τῆς ἁμαρτίας τὴν συγκατάθεσιν, μετὰ τῶν κατὰ παράχρησιν πρὸς ἡδονὴν τῆς αἰσθήσεως τρόπων θανατοῖ, διὰ τῶν φυσικῶν λογισμῶν ἐν τῷ ὕψει τῆς θεωρίας.

λδʹ. Τὴν ὕλην καὶ τὸ εἶδος, καὶ τοὺς περὶ τὴν ὕλην καὶ τὸ εἶδος κατὰ παράχρησιν πέντε τρόπους τῶν πέντε αἰσθήσεων· λέγω δὲ τὴν ἐμπαθῆ τε καὶ παρὰ φύσιν πρὸς τὰ αἰσθητὰ τῶν αἰσθήσεων συμπλοκὴν, ἤγουν τὰ ὑπὸ χρόνον καὶ ῥεῦσιν,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μετὰ τὴν πάροδον τῆς ἐν νόμῳ κατὰ τὸ γράμμα σωματικῆς λατρείας, καὶ τὴν τῆς ἀγνοίας διάβασιν, παραδίδωσι θανατωθῆναι τῇ κατὰ φυσικὴν θεωρίαν ὑψηλοτέροις λόγοις, καὶ λογισμοῖς, ὁ πνευματικὸς νόμος, ἢ νοῦς· τὴν ἐν τοῖς συμβόλοις πρὸς αἴσθησιν καὶ σῶμα καθολικωτάτην τῶν ὑπὸ χρόνον σχέσιν, ἀφανίσαι καὶ θανατῶσαι, κατὰ τὸ ὕψος γενομένοις τοῦ νόμου τῆς πνευματικῆς θεωρίας.

λε'. Χωρὶς φυσικῆς θεωρίας, οὐδεὶς τὴν πρὸς τὰ θεῖα τῶν νομικῶν συμβόλων ἀπέμφασιν διαγινώσκει. εἰ γὰρ μὴ φυσικῶς πρότερόν τις τὴν ἐν τοῖς συμβόλοις τῶν θείων, καὶ νοητῶν διασκοπήσας ἀπέμφασιν, ἐλθεῖν ποθῆσαι κατὰ τὸν ἔξω παντελῶς τῶν θείων ἀδύτων τὴν αἴσθησιν θέμενος, πρὸς τὴν τῶν νοητῶν εὐπρέπειαν, τῆς ἐν τοῖς τύποις ἀπολυθῆναι καθάπαξ οὐ δύναται σωματικῆς ποικιλίας· καθ' ἣν ἕως βέβηκε τοῦ γράμματος, ἀντεχόμενος, τὴν ἐκ τοῦ λιμοῦ τῆς γνώσεως εἰκότως ἀπορίαν οὐ παραμυθεῖται, τῆς γραφῆς τὴν γῆν, ἤγουν τὸ σῶμα, κατὰ τὸν ἀπατηλὸν ὄφιν ἐσθίειν ἑαυτὸν καταδικάσας· ἀλλ' οὐ κατὰ Χριστὸν, τὸν οὐρανὸν, ἤγουν τῆς γραφῆς τὸ πνεῦμα, καὶ τὴν ψυχὴν, κτήσει τὸν οὐράνιον, καὶ ἀγγελικὸν ἄρτον· λέγω δὲ, τὴν ἐν Χριστῷ τῶν γραφῶν πνευματικὴν θεωρίαν, καὶ γνῶσιν βρωματιζόμενος, ἣν δίδωσι δαψιλῶς ἐπιχορηγουμένην τοῖς ἀγαπῶσιν αὐτὸν ὁ Θεὸς, κατὰ τὸ γεγραμμένον, Ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς, ἄρτον Ἀγγέλων ἔφαγεν ἄνθρωπος.

λϛ'. Χρὴ τὴν κατ' αἴσθησιν πρὸς σῶμα τῆς γραφῆς ἐκδοχὴν, ὡς παθῶν προδήλως, καὶ τῆς πρὸς τὰ χρονικὰ καὶ ῥέοντα σχετικῆς διαθέσεως οὖσαν γεννητικὴν, ἤγουν τῆς πρὸς τὰ αἰσθητὰ τῶν αἰσθήσεων ἐμπαθοῦς ἐνεργείας, ὡς Σαοὺλ τέκνα καὶ ἔκγονα, διὰ τῆς φυσικῆς ἐν ὄρει, τῇ τῶν θείων ἀναγωγῇ λογίων ἀφανίσαι θεωρίας, ὅπως ἐμφορηθῆναι θείας ἐφιέμεθα χάριτος.

λζ'. Ἀδικεῖ τὴν ἀλήθειαν ὅ, τε νόμος κατὰ μόνον τὸ γράμμα νοούμενος, καὶ ὁ τῶν Ἰουδαίων λαὸς, καὶ ὅστις ἐκείνων ὑπάρχει κατὰ διάνοιαν μιμητὴς, μόνῳ τῷ γράμματι περιγράφων τοῦ νόμου τὴν δύναμιν, καὶ μὴ δεχόμενος πρὸς τὴν φανέρωσιν τῆς μυστικῶς ἐγκεκρυμμένης τῷ γράμματι γνώσεως τὴν φυσικὴν θεωρίαν, μέσην ὑπάρχουσαν τύπου καὶ ἀληθείας· τῆς μὲν, τοὺς ἀγομένους ἀπάγουσαν, πρὸς δὲ τὴν, ἐπανάγουσαν· ἀλλ' οἷον ταύτην πάμπαν ἀρνούμενος, καὶ τῆς τῶν θείων ἔξω ποιούμενος μυσταγωγίας. ταύτην τοιγαροῦν χρὴ τοῦ νόμου τὴν σωματικὴν καὶ πρόσκαιρον ἐκδοχὴν, ὡς ὑπὸ χρόνον καὶ ῥέουσαν, ἀποκτείνειν διὰ τῆς φυσικῆς θεωρίας, καὶ ἐν ὄρει τῷ ὕψει τῆς γνώσεως, τοὺς τῶν θείων ἐπιμελητὰς θεαμάτων.

λη'. Τὸν σωματικὸν νοῦν τῆς γραφῆς ἀφανίζει παντελῶς, ὁ πράξει διὰ τῆς φυσικῆς θεωρίας ἀποκτείνων τὴν γενομένην ἐκ τοῦ γραπτοῦ νόμου, πρὸς τὴν ἄστατον ὕλην καὶ ῥέουσαν τῇ ψυχῇ φιλήδονον σχέσιν καὶ φιλοσώματον, καταφράττων ὡς τέκνα Σαοὺλ καὶ ἔκγονα, τὴν χαμαίζηλον τοῦ νόμου διάνοιαν, διὰ μέσης τῆς φυσικῆς θεωρίας, ὡς ἐν ὄρει τῷ ὕψει τῆς γνώσεως, καὶ φανερὰν ποιούμενος ἐνώπιον Κυρίου, δι' ἐξομολογήσεως δηλαδὴ, τὴν πρὸς σῶμα τοῦ νόμου προτέραν ἐκδοχήν. τοῦτο γὰρ τὸ, ἐξηλιάσαι νοεῖσθαι δύναται τοῖς φιλομαθέσιν ἔναντι Κυρίου· εἰς φῶς ἀγαγών τε, διὰ τῆς γνώσεως δηλαδὴ, τὴν κατὰ τὸ γράμμα πεπλασμένην πρόληψιν· ὅπερ ἐστὶ, φανερῶσαι κατὰ τὸ ὕψος τῆς θεωρίας τὸ γράμμα τοῦ νόμου νεκρὸν διὰ τῆς ἐν πνεύματι γνώσεως.

λθ'. Τὸ γράμμα, φησὶν, ἀποκτείνει· τὸ δὲ πνεῦμα ζωοποιεῖ. διὸ χρὴ τὸ ἀποκτείνειν πεφυκὸς, ἀποκτείνεσθαι πνεύματι



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ζωοποιῷ. συνυπάρχειν γὰρ ἀλλήλοις κατ᾽ ἐνέργειαν ἅμα κατὰ τὸ αὐτὸ, τὸ σωματικὸν τοῦ νόμου, καὶ τὸ θεῖον, ἤγουν τὸ γράμμα, καὶ τὸ πνεῦμα, παντελῶς ἀμήχανον· ὅτι μηδὲ συμφωνεῖν πέφυκε τῷ παρεχομένῳ κατὰ φύσιν ζωὴν, τὸ ταύτην ἀφαιρεῖσθαι δυνάμενον.

μ΄. Τὸ μὲν πνεῦμα, ζωῆς ὑπάρχει παρεκτικόν· τὸ δὲ γράμμα, ζωῆς ἀφαιρετικόν. οὐκοῦν οὐ δύναται, καὶ τὸ γράμμα πράττειν κατὰ τὸ αὐτὸ, καὶ τὸ πνεῦμα, ὥσπερ οὐδὲ τὸ ζωοποιὸν τῷ φθοροποιῷ συνυπάρχειν.

μα΄. Περιτομή ἐστι μυστικὴ, τῆς ἐμπαθοῦς κατὰ τὴν περὶ τὴν ἐπείσακτον γένεσιν σχέσεως, παντελὴς περιαίρεσις. φυσικῶς γὰρ ἐπιβάλλοντες τοῖς πράγμασιν, οἴδαμεν ὡς οὐκ ἔστι τελειότης ἡ τῆς ἐκ Θεοῦ κατὰ φύσιν ἀρτιότητος περιαίρεσις. οὐ γὰρ ποιεῖ τελειότητα ἡ φύσις διὰ τέχνης κολοβουμένη, καὶ διὰ περινοίας, ἀποτιθεμένη τὸ προσὸν αὐτῇ θεόθεν κατὰ λόγον δημιουργίας, ἵνα μὴ τὴν τέχνην, Θεοῦ πρὸς βεβαίωσιν δικαιοσύνης, ἰσχυροτέραν εἰσάγωμεν, καὶ τὴν περινενοημένην τῆς φύσεως ἔλλειψιν, ἀναπληρωτικὴν ποιώμεθα τῆς ἐν δικαιοσύνῃ κατὰ δημιουργίαν ἐλλείψεως· ἀλλ᾽ ἐκ τῆς τοπικῆς τοῦ περιτεμνομένου μορίου θέσεως, διδασκώμεθα ποιεῖσθαι, γνωμικῶς τὴν περιτομὴν τῆς κατὰ ψυχὴν ἐμπαθοῦς διαθέσεως· καθ᾽ ἣν μᾶλλον τῇ φύσει συνέχειν ἡ γνώμη ῥυθμίζεται τὸν ἐμπαθῆ τῆς ἐπικτήτου γενέσεως νόμον διορθουμένη.

μβ΄. Φυσικὸν ἡ ἀκροβυστία. πᾶν δὲ φυσικὸν θείας ἔργον δημιουργίας ἐστὶ, καὶ λίαν καλὸν, κατὰ τὴν φάσκουσαν φωνὴν, Καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. ὁ δὲ νόμος ὡς ἀκάθαρτον περιαιρεῖσθαι κελεύων τὴν ἀκροβυστίαν διὰ περιτομῆς, τὸν Θεὸν εἰσάγει, διὰ τέχνης τὸ οἰκεῖον διορθούμενον ἔργον, ὅπερ, καὶ μόνον ἐννοεῖν, ἀσεβέστατον. οὐκοῦν ὁ τοῖς συμβόλοις τοῦ νόμου φυσικῶς ἐπιβάλλων, οἶδεν ὡς οὐ τὴν φύσιν ὁ Θεὸς διορθοῦται διὰ τῆς τέχνης, ἀλλὰ τὸ ἐπεισαχθὲς λόγῳ τῆς ψυχῆς παθητικὸν περιτέμνεσθαι κελεύει, τὸ διὰ τοῦ σωματικοῦ μορίου τυπικῶς δηλούμενον, ὅπερ γνῶσις διὰ τῆς κατὰ πρᾶξιν ἀνδρείας, τῆς γνώμης ἀποτίθεσθαι πέφυκεν· ὁ γὰρ περιτέμνων σίδηρος, σημαίνει τὴν γνῶσιν, τὴν ἔχουσαν καθάπερ σίδηρον κατὰ τοῦ πάθους, τὴν τοῦ λόγου κατὰ τὴν πρᾶξιν ἀνδρείαν. ἀφανίζεται γὰρ ἡ τοῦ νόμου παράδοσις, πλεονεκτοῦντος τὸ γράμμα τοῦ πνεύματος.

Τὸ σάββατον, παθῶν ἐστι, καὶ τῆς περὶ τὴν φύσιν τῶν ὄντων τοῦ νοῦ κινήσεως ἀνάπαυσις. ἡ τελεία παθῶν ἀπραξία, καὶ τῆς περὶ τὰ πεποιημένα καθολικὴ τοῦ νοῦ παῦλα κινήσεως, καὶ πρὸς τὸ θεῖον τελεία διάβασις· ἐν ᾧ τὸν διὰ ἀρετῆς καὶ γνώσεως κατὰ τὸ θεμιτὸν ἀφικόμενον, οὐ δεῖ καθάπερ ξύλα τὴν οἰκείαν παντελῶς ὕλην ἐξαπτικὴν ἐνθυμεῖσθαι παθῶν, οὔτε μὴν φύσεως τοπαράπαν ἀναλέγεσθαι λόγους, ἵνα μὴ πάθεσιν ἡδόμενον, ἢ φύσεως ὅροις μετρούμενον, κατὰ τοὺς Ἕλληνας τὸν Θεὸν δογματίζωμεν· ὅνπερ ἡ τελεία μόνη κέκραγε σιγὴ, καὶ ἡ παντελὴς καθ᾽ ὑπεροχὴν ἀγνωσία παρίστησι. μγ΄.

Στέφανός ἐστι χρηστότητος, πίστις καθαρὰ, λίθων τιμίων δίκην ταῖς τῶν δογμάτων ὑψηγορίαις, καὶ λόγοις διανθισμένη πνευματικοῖς, καὶ νοήμασι, τὸν θεοφιλῆ καθάπερ κεφαλὴν διασφίγγουσα νοῦν. ἢ μᾶλλον στέφανος χρηστότητός ἐστιν, αὐτὸς ὁ τοῦ Θεοῦ λόγος, ὁ τῇ ποικιλίᾳ τῶν κατὰ πρόνοιαν καὶ κρίσιν τρόπων, ἤγουν ἐγκρατείᾳ τῶν ἑκουσίων, καὶ ὑπομονῇ τῶν ἀκουσίων παθῶν, ὡς κεφαλὴν τὸν νοῦν περιγράφων, καὶ τῇ μετοχῇ τῆς κατὰ θέωσιν χά- μδ΄.

ριτος

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ερισης αὐτὸν ἑαυτῷ τὸν τῶν ποιῶν ὡραιότερον.

μέ. χόλ. Ἐνταῦθα τὴν ἐγκράτειαν, ἔργον εἶναι (λέγει) τῆς προνοίας, ὡς τῶν γνωμικῶν καθαρτικὴν παθῶν. τὴν ὑπομονὴν δὲ, τῆς κρίσεως εἶναι κατόρθωμα φησὶν, ὡς τοῖς ἀκουσίοις ἀντιπαρατασσομένην πειρασμοῖς, καὶ τῆς πρακτικῆς φιλοσοφίας ὑπάρχουσαν σύμβολον. πρὸς ἀρετὴν, ὡς ἀπ' Αἰγύπτου τῆς ἁμαρτίας, τοὺς ὑπ' αὐτῆς κρατουμένους διαβιβάζουσαν.

μς'. Οὐ τὰς ἡμέρας τιμᾶσθαι θέλων ὁ Θεὸς ὑπὸ τῶν ἀνθρώπων, προσέταξε τιμηθῆναι τό, τε σάββατον, καὶ τὰς νεομηνίας, καὶ τὰς ἑορτάς. ὅπου γὰρ ἂν λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα κατὰ νόμου ἐντολὴν ἐδογμάτισεν, οἰομένους σεπτὰς εἶναι τὰς ἡμέρας, καὶ διὰ τοῦτο προσκυνητάς· ἀλλ' ἑαυτὸν τιμᾶσθαι συμβολικῶς διὰ τῶν ἡμερῶν παρεδήλωσεν. αὐτὸς γάρ ἐστι, σάββατον μὲν, ὡς τῶν ἐν σαρκὶ τῆς ψυχῆς μόχθων ἀνάπαυσις, καὶ τῶν κατὰ δικαιοσύνην πόνων κατάπαυσις. Πάσχα δὲ, ὡς ἐλευθερωτὴς τῶν τῇ πικρᾷ δουλείᾳ κεκρατημένων τῆς ἁμαρτίας. Πεντηκοστὴ δὲ, ὡς ἀπαρχὴ καὶ τέλος τῶν ὄντων. καὶ λόγος, ᾧ τὰ πάντα φύσει συνέστηκε. σκόπει δὲ πῶς ὁ νόμος ἀπόλλυσι τοὺς τηροῦντας αὐτὸν σωματικῶς, τῇ κτίσει λατρεύειν παρὰ τὸν κτίσαντα πείθων, καὶ ἡγεῖσθαι φύσει σεπτὰ, τὰ δι' αὐτοὺς γεγονότα, τὸν, δι' ὃν αὐτοὶ γεγόνασιν, ἀγνοήσαντας.

μζ'. Ὁ μὲν κόσμος, τόπος ἐστὶ πεπερασμένος, καὶ στάσις περιγεγραμμένη· ὁ δὲ χρόνος περιγραφομένη καθέστηκε κίνησις, ὅθεν καὶ ἀλλοιωτὴ τῶν ἐν αὐτῷ καθέστηκεν, ἡ κατὰ τὴν ζωὴν κίνησις. ὁπηνίκα δὲ τὸν τόπον διέλθοι, καὶ τὸν χρόνον, κατ' ἐνέργειάν τε καὶ ἔννοιαν ἡ φύσις, ἤγουν τὰ ὧν οὐκ ἄνευ, τουτέστι τὴν πεπερασμένην στάσιν καὶ κίνησιν, ἀμέσως συναφθῇ τῇ προνοίᾳ, λόγον εὑρίσκει τὴν πρόνοιαν, κατὰ φύσιν ἁπλοῦν τε, καὶ στάσιμον, καὶ μηδεμίαν ἔχοντα παντὶ περιγραφὴν, καὶ διὰ τοῦτο παντελῶς οὔτε κίνησιν.

Ἐν μὲν τῷ κόσμῳ ὑπάρχουσα χρονικῶς ἡ φύσις, ἀλλοιωτὴν ἔχει τὴν κίνησιν διὰ τὴν τοῦ κόσμου πεπερασμένην στάσιν, καὶ τὴν καθ' ἑτεροίωσιν τοῦ χρόνου φοράν· ἐν δὲ τῷ Θεῷ γινομένη, διὰ τὴν φυσικὴν τοῦ ἐν ᾧ γέγονε μονάδα, στάσιν ἀεικίνητον ἕξει, καὶ στάσιμον ταυτοκινησίαν, περὶ τὸ ταυτὸν, καὶ ἓν, καὶ μόνον ἀϊδίως γινομένην, ἣν οἶδεν ὁ λόγος, ἄμεσον εἶναι περὶ τὸ πρῶτον αἴτιον, τῶν ἐξ αὐτοῦ πεποιημένων μόνιμον ἵδρυσιν. μή.

Μυστήριόν ἐστι νεομηνίας, ἡ πρὸς τὴν πρόνοιαν ἄμεσος τῶν προνοουμένων ἕνωσις· ἤγουν ἡ πρὸς τὸν λόγον κατὰ τὴν τῆς προνοίας ἐπίνοιαν τῆς φύσεως ἕνωσις, καθ' ἣν οὐδεμία παντάπασιν ἐστὶ χρόνου καὶ γενέσεως ἔμφασις. σάλπιγξ δὲ πάλιν ἡμῶν ἐστὶν ὁ λόγος, ὡς τῆς θείας καὶ ἀρρήτου ἡμῖν ἐνηχούμενος γνώσεως. ἱλασμὸς δὲ, ὡς ἐν αὐτῷ τὰ ἡμέτερα, καθ' ἡμᾶς γενόμενος, διαλύων ἐγκλήματα· καὶ τῇ δωρεᾷ τῆς χάριτος ἐν Πνεύματι, τὴν ἁμαρτήσασαν φύσιν θεοποιῶν. σκηνοπηγία δὲ, ὡς τῆς ἡμῶν κατὰ τὴν θεομίμητον ἕξιν περὶ τὸ καλὸν ἀρρεψίας πρᾶξις, καὶ ὁ τῆς * ἀθανασίας μεταποιήσεως συνεκτικὸς δεσμός. μθ'. * ἴσ. πρὸς ἀθανασίαν

Ὁ ψιλαῖς ταῖς ἐναίμοις χαίρων θυσίαις, περὶ τὰ πάθη σπουδάζειν ὡς ἐμπαθὴς παρασκευάζει τοὺς θύοντας. φιλεῖ γὰρ χαίρειν τὸ γνησίως σέβον, οἷς χαίρει τὸ προσκυνούμενον. ὅθεν θυσίας οἶδεν ὁ λόγος, τὴν τῶν παθῶν μᾶλλον σφαγὴν, καὶ τὴν τῶν φυσικῶν δυνάμεων προσαγωγήν· ὧν, τοῦ μὲν λόγου, τύπος ἐστὶν ὁ κριός· τοῦ δὲ θυμοῦ φέρει σύμβολον ὁ ταῦρος· τῆς δὲ ἐπιθυμίας, ἡ αἲξ ὑπάρχει δήλωσις. ν'.

Θυ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ια'. Θυσίας πνευματικὰς εἶναι γινώσκομεν, οὐ μόνον τὴν τῶν παθῶν νέκρωσιν σφαττομένων τῇ μαχαίρᾳ τοῦ Πνεύματος, ὅπερ ἐστὶ ῥῆμα Θεοῦ, καὶ πάσης τῆς ἐν σαρκὶ ζωῆς, ὡς αἵματος τὴν κατὰ πρόθεσιν, κένωσιν ἢ χύσιν, ἀλλὰ καὶ τῶν κατὰ φιλοσοφίαν ἠθῶν, καὶ πασῶν τῶν κατὰ φύσιν δυνάμεων προσαγωγὴν ἀφιερωμένων Θεῷ, καὶ τῷ πυρὶ τῆς ἐν Πνεύματι χάριτος πρὸς τὴν θείαν λῆξιν ὁλοκαυτωμένων.

ιβ'. Ὁ χοϊκὸς τοὺς τῆς γραφῆς, κρατῶν τῆς ψυχῆς, τοὺς φυσικοὺς ἀποβάλλεται λόγους, τῇ παραχρήσει τῶν κατὰ φύσιν δυνάμεων αὐτοὺς ἐξαφανίζων. οὗτος γὰρ ζῶν, ἐπ' ἀληθείας συντελεῖ, καὶ διώκει, καὶ ἀπόλλυσι, σαρκὶ μόνῃ τὸν νόμον περιγράφων, καὶ τοὺς κατὰ φύσιν φημὶ, λόγους, καὶ λογισμοὺς, τιμῶν ὡς θεῖα τὰ πάθη τῆς ἀτιμίας, ἅπερ οἱ κατὰ φύσιν λογισμοὶ, λαμβάνοντες ἄδειαν ὑπὸ τοῦ νόμου τοῦ πνεύματος ἀποκτείνουσιν ἐπὶ τὸ αὐτὸ, καὶ θανατοῦσιν.

ιγ'. Ἅμα τίς τὴν τῶν ἀρετῶν λογικῶς μετέλθῃ * φιλοσοφίαν, ἅμα καὶ τὴν τῶν γραφῶν πρὸς τὸ πνεῦμα φυσικῶς μετήνεγκεν ἐκδοχὴν, ἐν καινότητι πνεύματος πρακτικῶς διὰ τῶν ὑψηλῶν θεωρημάτων τῷ Θεῷ λατρεύων, καὶ οὐ παλαιότητι γράμματος, διὰ τῆς κατ' αἴσθησιν πρὸς σῶμα ταπεινοτέρας τοῦ νόμου παραδοχῆς, ζοφερᾶς παθῶν κατὰ τοὺς Ἰουδαίους γενόμενος, καὶ ἁμαρτίας θεραπευτής.

* ἴσως μετελθὼν, ἢ μετῆλθε.

ιδ'. Ἅμα τίς παύσεται κατ' αἴσθησιν πρὸς σῶμα τὴν γραφὴν ἐκδεχόμενος, ἅμα καὶ πρὸς τὸ πνεῦμα κατὰ τὸν διὰ μέσου ἀνατρέχει τῆς φύσεως· ἐκεῖνα πράττων πνευματικῶς, ἅπερ σωματικῶς ὁ Ἰουδαῖος ἐπιτελῶν ἔχει τὸν Θεὸν ὀργιζόμενον.

ιε'. Πᾶς τοὺς κατὰ Θεὸν ὑψηλὸς καὶ μετέωρος, κατὰ τὸ αὐτὸ, τήν τε τῶν παθῶν κατασφάττει ἐνέργειαν, καὶ τὴν τῶν λογισμῶν ἀσχήμονα κίνησιν· πρὸς δὲ, καὶ τοὺς κατὰ παράχρησιν τῆς τῶν αἰσθήσεων ἐνεργείας ζῶντας ἀκολάστους. ἀναιρεῖται γὰρ τὰ πάθη ὑπὸ τῶν ὑψηλῶν τῆς φύσεως λογισμῶν, κατὰ τὴν ὑψηλὴν θεωρίαν θελαμβανόμενα.

Τὸ κράτος τῆς ἁμαρτίας, ἤγουν τὸ φρόνημα τῆς σαρκὸς, ἡ χάρις ἀφανίζειν πέφυκε τοῦ Ἁγίου Βαπτίσματος. καὶ ἡ κατ' ἐνέργειαν ὑπακοὴ τῶν θείων ἐντολῶν, ἀποκτείνειν τῇ μαχαίρᾳ τοῦ Πνεύματος, ἤγουν τῷ ῥήματι τῆς θείας ἐν πνεύματι γνώσεως, βοῶσα μυστικῶς πρὸς τὸ πάθος τῆς ἁμαρτίας, ὡς ὁ Μέγας πρὸς τὸν Ἄγαγ Σαμουὴλ, ἀνθ' ὧν ἠτέκνωσε γυναῖκας ἡ μάχαιρά σου, ἀτεκνωθήσεται σήμερον ἐκ γυναικῶν ἡ μήτηρ σου. ιϛ'.

Πολλὰς τὸ πάθος τῆς γαστριμαργίας ὡς ἐν μαχαίρᾳ τῷ λείῳ τῆς ἡδονῆς λογισμῷ, ἠτέκνωσεν ἀρετάς. τῆς μὲν γὰρ σωφροσύνης, διὰ τῆς ἀκρασίας ἀποκτείνει τὰ σπέρματα· τῆς δικαιοσύνης δὲ διὰ τῆς πλεονεξίας διαφθείρει τὴν ἰσοτιμίαν· τῆς φιλανθρωπίας δὲ, διὰ τῆς φιλαυτίας, τὴν ἐκ φύσεως διατέμνει συνέχειαν· καὶ συντόμως εἰπεῖν, πάντων τῶν κατ' ἀρετὴν γεννημάτων ἀναιρετικόν ἐστι τῆς γαστριμαργίας τὸ πάθος. ιζ'.

Τὸ τῆς γαστριμαργίας πάθος, αὐτὰ τὰ θεῖα τῶν ἀρετῶν ἀποκτείνει γεννήματα, αὐτὸ δὲ τῇ τε χάριτι τῆς πίστεως, καὶ τῇ ὑπακοῇ τῶν θείων ἐντολῶν, διὰ τοῦ κατὰ τὴν γνῶσιν ἀποκτείνεται λόγου. ιη'.

Φῶς ἐστιν ὡς ἀληθῶς ἐθνῶν ὁ Κύριος ἡμῶν, ἀποκαλύπτων αὐτοῖς διὰ τῆς ἀληθοῦς ἐπιγνώσεως, τοὺς τῷ ζόφῳ τῆς ἀγνοίας ἐπιμεμυκότας ὀφθαλμοὺς τῆς διανοίας, καὶ θείας ἀγωγῆς πάλιν ἑτοιμάσας ἑαυτὸν τοῖς πιστοῖς λαοῖς, ἀγαθὸν ἀρετῆς ἐξομπλάριον προσώπου τοῦ κατ' ἀρετὴν, ὑπογραμμὸς αὐτοῖς γενόμενος, ιθ'.

καὶ ὑπο-

καὶ ὑποτύπωσις, πρὸς ὃν ἀφορῶντες ὡς ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, τὰς ἀρετὰς κατὰ μίμησιν ὡς ἡμῖν ἐστὶ δυνατὸν κατορθοῦμεν διὰ τῆς πράξεως.

ξ΄. Πᾶς ὁ διὰ φθόνον μισῶν, καὶ κακῶς διαθρυλλῶν ταῖς διαβολαῖς τὸν ἐν τοῖς ἀγῶσι τῶν ἀρετῶν, καὶ τῇ περιουσίᾳ τοῦ λόγου τῆς πνευματικῆς γνώσεως δυνατώτερον, Σαοὺλ ἐστὶ πονηρῷ καταπνιγόμενος πνεύματι, μὴ φέρων τὸ κλέος τῆς κατ' ἀρετὴν καὶ γνῶσιν εὐδαιμονίας τοῦ κρείττονος· καὶ διὰ τοῦτο πλέον μαινόμενος, ὅτι μὴ δύναται τὸν εὐεργέτην διαχειρίσασθαι. πολλάκις δὲ καὶ αὐτὸν ἀποπέμπεται πικρῶς τὸν φίλτατον Ἰωνάθαν, τὸν ἔμφυτον λέγω καὶ συνειδήσει λογισμόν, τὸ ἄδικον μῖσος ἐλέγχοντα, καὶ τοῦ μισουμένου φιλαλήθως ἀφηγούμενον τὰ κατορθώματα.

ξα΄. Παρακαλέσωμεν καὶ ἡμεῖς τὸν νοητὸν Δαβίδ, ἐπηχῆσαι τῇ κιθάρᾳ τῆς πνευματικῆς θεωρίας καὶ γνώσεως, ἐπιληπτευόμενον τοῖς ὑλικοῖς τὸν ἡμέτερον
* ἴσ. τὸν νοῦν, καὶ ἀπελάσαι * τὸ πονηρὸν τῆς πρὸς αἴσθησιν ὑλικῆς περιπετείας, ἵνα δυνηθῶμεν νοῆσαι τὸν νόμον πνευματικῶς, καὶ τὸν ἐν αὐτῷ κεκρυμμένον λόγον μυστικῶς εὑρεῖν, καὶ κτῆμα ποιήσασθαι διαρκὲς πρὸς ἐφόδιον ζωῆς ἀϊδίου.

ξβ΄. Πᾶς ὁ σωτηρίας ἐρῶν, ἢ πράξει πάντως ἢ θεωρίᾳ προσανέχει. ἀρετῆς γὰρ καὶ γνώσεως χωρὶς οὐδαμῶς οὐδεὶς πώποτε τυχεῖν σωτηρίας δεδύνηται. εἴπερ ἀρετῆς μέν, τὸ πιέζειν τὴν τοῦ σώματος κίνησιν, οἷον χαλινῷ τινι τῷ ὀρθῷ λογισμῷ τῆς πρὸς ἀτοπίαν φορᾶς ἐπιστημόνως ἀναχαιτιζούσης· θεωρίας δέ, τὸ τὰ καλῶς νοηθέντα τε καὶ κριθέντα ἐμφρόνως αἱρεῖσθαι ψηφίζεσθαι.

ξγ΄. Ἐπειδὴ νοερὸν μέν ἐστι τὸ νοοῦν, νοητὸν δὲ τὸ νοούμενον, τροφὴ δὲ καὶ οἷον σύστασις τοῦ νοοῦντος τὸ νοούμενον· εἰκότως ὁ Θεὸς ἅτε νόων ὄντων τῶν ἀσωμάτων, αὐτοῖς νοούμενος, καὶ νοητὸς αὐτοῖς καθ' ὅσον ἐφικνοῦνται γινόμενος, ἔσωθεν αὐτοὺς ἐλλάμπει τοῦ τοῦ νοοῦντός τε καὶ τρεφομένου.

ξδ΄. Ἕτερόν ἐστι νοητόν, καὶ ἕτερον νοερόν. τὸ γὰρ νοητόν, τροφὴ οἷά τις, ὡς εἴρηται, τοῦ νοεροῦ ἐστίν. εἴπερ τὸ νοούμενον, ὅ ἐστι νοητόν, μεῖζόν ἐστι καὶ προσεπινοούμενον, τοῦ νοοῦντος, ὅ ἐστι νοερόν. νοερὰ γὰρ λέγεται, ὅσα διὰ τὸ νοῦς εἶναι νοεῖ, τὰ ὑπερκείμενα νοητά. νοητὸν γάρ ἐστι τὸ νοούμενον, ὅπερ καὶ τροφή ἐστι τοῦ νοεροῦ, ἤτοι τοῦ νοοῦντος.

ξε΄. Ἰστέον ὡς ἔχει τὰ αἰτιατά, τὰς τῶν αἰτίων ἐνδεχομένας εἰκόνας. αἰτιατὰ γάρ ἐστι πάντα τὰ παραχθέντα εἰς κτίσιν· αἴτια δέ, τὰ παραγαγόντα. οὐδεμία δὲ ἐμφέρεια πρὸς ἄλληλα, αἰτίων φημὶ καὶ αἰτιατῶν.

ξς΄. * Δέον εἰδέναι τὸν καθ' ἡμᾶς νοῦν, τὴν μὲν ἔχειν δύναμιν εἰς τὸ νοεῖν, δι' ἧς τὰ νοητὰ βλέπει· τὴν δὲ ἕνωσιν ὑπεραίρουσαν τὴν τοῦ νοῦ φύσιν, δι' ἧς συνάπτεται πρὸς τὰ ἐπέκεινα ἑαυτοῦ. κατὰ ταύτην οὖν τὰ θεῖα νοητέον, οὐ καθ' ἡμᾶς. ἀλλ' ὅλους ἑαυτούς, ὅλων ἑαυτῶν ἐξισταμένους, καὶ ὅλους Θεοῦ γινομένους. κρεῖττον γὰρ εἶναι Θεοῦ, καὶ μὴ ἑαυτῶν. οὕτω γὰρ ἔσται τὰ θεῖα δοτὰ τοῖς μετὰ Θεοῦ γινομένοις.

* αὕτη τὸ κεφάλαιον ὁλόκληρον ἐστὶ λέξεις ἐκ τῶν τοῦ Διονυσίου τοῦ Ἀρεοπαγίτου παρείληπται.

ξζ΄. * Ὁ νοῦς νοεῖν βουλόμενος, κάτεισιν ἑαυτοῦ εἰς τὰς νοήσεις καταβαίνων. αἱ γὰρ νοήσεις, καταδεέστεραί εἰσι τοῦ νοοῦντος, ὡς νοούμεναι, καὶ καταλαμβανόμεναι, καὶ σκεδασμὸς εἰκότως, καὶ μερισμὸς τῆς ἑνότητος τοῦ νοῦ αὐτοῦ. ὁ μὲν γὰρ νοῦς, ἁπλοῦς καὶ ἀμερής, αἱ δὲ νοήσεις, παμπληθεῖς καὶ σκεδασταί, καὶ οἷον εἴδη τοῦ νοῦ. διὰ τοῦτο τὰ νοερά, τουτέστι τὰ νοοῦντα, ἐλάττονά ἐστι τῶν νοητῶν, ἤγουν τῶν νοουμένων. ἕνωσιν δέ φησι τοῦ νοῦ, καθὼς ἐν τοῖς ἑξῆς σαφέστερον λέγει, δι' ἧς πρὸς τὰ ἐπέκεινα ἑαυτοῦ ἀνατείνεται, ἤγουν τῇ περὶ Θεοῦ προσβάλλει θεωρίᾳ· τῷ παν-

σχόλ. * εἰς τὸ αὐστηρῷ

που ἐκστῆναι τῶν αἰσθητῶν καὶ νοητῶν, ἔτι δὲ καὶ τῆς οἰκείας κινήσεως· οὕτως ὅπως τῆς θείας γνώσεως δέξασθαι τὴν ἀκτῖνα.

ξη'. Εἰ κινεῖται ἀναλόγως ἑαυτῷ νοερῶς τὸ νοερόν, καὶ νοεῖ πάντως· εἰ δὲ νοεῖ, καὶ ἐρᾷ πάντως τοῦ νοηθέντος· εἰ δὲ ἐρᾷ, καὶ πάσχει πάντως τὴν πρὸς αὐτὸ ὡς ἐραστὸν ἔκστασιν· εἰ δὲ πάσχει, δῆλον ὅτι καὶ ἐπείγεται· εἰ δὲ ἐπείγεται, καὶ ἐπιτείνει πάντως τὸ σφοδρὸν τῆς κινήσεως· εἰ δὲ ἐπιτείνει σφοδρῶς τὴν κίνησιν, οὐχ ἵσταται μέχρις ἂν γένηται ὅλον ἐν ὅλῳ τῷ ἐραστῷ, καὶ ὑφ' ὅλου περιληφθῇ ἑκουσίως ὅλον, κατὰ προαίρεσιν τὴν σωτήριον περιγραφὴν δεχόμενον· ἵν' ὅλον ὅλῳ ποιωθῇ τῷ περιγράφοντι, ὡς μηδ' ὅλως λοιπὸν βούλεσθαι ἐξ ἑαυτοῦ αὐτὸ ἐκεῖνο ὅλον γνωρίζεσθαι δύνασθαι τὸ περιγραφόμενον· ἀλλ' ἐκ τοῦ περιγράφοντος, ὡς ἀὴρ δι' ὅλου πεφωτισμένος φωτί· καὶ πυρὶ σίδηρος ὅλος ὅλῳ πεπυρακτωμένος, ἢ εἴ τι ἄλλο τῶν τοιούτων ἐστί.

ξθ'. Οὐκ ἔστιν ἀκριβὴς ἐμφέρεια τοῖς αἰτιατοῖς καὶ τοῖς αἰτίοις· ἀλλ' ἔχει μὲν τὰ αἰτιατὰ τὰς τῶν αἰτίων ἐνδεχομένας εἰκόνας· αὐτὰ δὲ τὰ αἴτια, τῶν αἰτιατῶν ἐξῄρηται, καὶ ὑπερίδρυται κατὰ τὸν οἰκείας ἀρχῆς λόγον· καὶ γὰρ περιεκτικῶς καὶ ἑνιαίως προέχει τὰ τῶν αἰτιατῶν τοῖς αἰτίοις.

ο'. Αἰτιατά ἐστι, πάντα τὰ παραχθέντα εἰς κτίσιν· εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς. αἴτια δέ, τὰ παραγαγόντα, τουτέστιν, αἱ τρεῖς ὑποστάσεις τῆς Ἁγίας Τριάδος. πρόδηλον οὖν, ὅτι οὐδεμία ἐμφέρεια τούτων πρὸς ἄλληλα, αἰτίων φημὶ καὶ αἰτιατῶν.

οα'. Πολλὴ ἡ πρὸς τὰ νοούμενα τῶν νοούντων, καὶ πρὸς τὰ αἰσθητὰ τῶν αἰσθανομένων σχέσις. ὁ δὲ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος τυγχάνων αἰσθητικοῦ, διὰ τῆς κατ' ἐπαλλαγὴν πρὸς ἑκάτερα τὰ τῆς κτίσεως τμήματα φυσικῆς σχέσεώς τε, καὶ ἰδιότητος, καὶ περιγράφεται καὶ περιγράφει· τὸ μέν, τῇ οὐσίᾳ· τὸ δέ, τῇ δυνάμει. περιγράφεσθαι γὰρ τοῖς νοητοῖς καὶ αἰσθητοῖς ὡς ψυχὴ τυγχάνων καὶ σῶμα, καὶ περιγράφειν ταῦτα κατὰ δύναμιν πέφυκεν, ὡς νοῶν, καὶ αἰσθανόμενος. ὁ δὲ Θεὸς ἁπλῶς καὶ ἀορίστως ὑπὲρ πάντα τὰ ὄντα ἐστί, τὰ περιέχοντά τε καὶ περιεχόμενα, ὡς πᾶσι παντελῶς ἄσχετος ὤν.

οβ'. Πᾶσα ἡδονὴ τῶν ἀπηγορευμένων, ἐκ πάθους διὰ μέσης αἰσθήσεως πρός τι πάντως γίνεσθαι πέφυκεν αἰσθητόν. οὐδὲ γὰρ ἄλλο τί ἐστιν ἡδονή, ἢ εἶδος αἰσθήσεως, ἐν τῷ αἰσθητικῷ διά τινος αἰσθητοῦ μορφουμένη· ἢ τρόπος αἰσθητικῆς ἐνεργείας κατ' ἐπιθυμίαν ἄλογον συνιστάμενος. ἐπιθυμία γὰρ αἰσθήσει προστεθεῖσα, εἰς ἡδονὴν μεταπίπτει, εἶδος αὐτῇ ἐπάγουσα· καὶ αἴσθησις κατ' ἐπιθυμίαν κινηθεῖσα, ἡδονὴν ἀπεργάζεται, τὸ αἰσθητὸν προσλαβοῦσα. γνόντες οὖν οἱ ἅγιοι, ὅτι διὰ μέσης σαρκὸς πρὸς τὴν ὕλην ἡ ψυχὴ παρὰ φύσιν κινουμένη τὴν χοϊκὴν μορφὴν ὑποδύεται, διὰ μέσης μᾶλλον ψυχῆς κατὰ φύσιν αὐτοὶ πρὸς τὸν Θεὸν κινούμενοι, καὶ τὴν σάρκα τῷ Θεῷ πρεπόντως οἰκειῶσαι διενοήθησαν, δι' ἀσκήσεως ἀρετῶν ἐνδεχομένως αὐτὴν ταῖς θείαις ἐμφάσεσι καλλωπίσαντες.

ογ'. Μεγαλοφυῶς οἱ ἅγιοι κατὰ τὸν ἀληθῆ καὶ ἄπταιστον τῆς κατὰ φύσιν κινήσεως τρόπον, τὸν παρόντα τῶν σχημάτων αἰῶνα διέβησαν. τὴν μὲν αἴσθησιν, * ἀλοὺς διὰ μέσου τοῦ λόγου πρὸς τὸν νοῦν τοὺς τῶν ὄντων ἔχοντα λόγους ἑνώσαντες. τὸν δὲ νοῦν τῆς περὶ τὰ ὄντα πάντα κινήσεως καθαρῶς ἀπολυθέντα, καὶ αὐτῆς τῆς καθ' αὐτὸν φυσικῆς ἐνεργείας ἠρεμοῦντα, τῷ Θεῷ προσκομίσαντες· καθ' ὃν ὁλικῶς πρὸς Θεὸν συναχθέντες, ὅλοι ὅλῳ Θεῷ ἐγκραθῆναι διὰ τοῦ Πνεύματος ἠξιώθησαν, ὅλην τοῦ ἐπουρανίου κατὰ τὸ δυνατὸν ἀνθρώποις τὴν εἰκόνα φορέσαντες, καὶ

* ἴσ. περιττὸν δοκεῖ.

τοσοῦτον ἕλξαντες τῆς θείας ἐμφάσεως, εἰ θέμις εἰπεῖν, ὅσον ἑλχθέντες αὐτοὶ τῷ Θεῷ * ἐνετέθησαν.

* ἴσ. ἐναπετέθησαν

οδ'. Ἀλλήλων εἶναί φασι παραδείγματα, τὸν Θεὸν καὶ τὸν ἄνθρωπον. καὶ τοσοῦτον τῷ ἀνθρώπῳ τὸν Θεὸν διὰ φιλανθρωπίαν ἀνθρωπίζεσθαι, ὅσον ὁ ἄνθρωπος ἑαυτὸν τῷ Θεῷ δι' ἀγάπης δυνηθεὶς ἀπεθέωσε. καὶ τοσοῦτον ὑπὸ Θεοῦ τὸν ἄνθρωπον κατὰ νοῦν ἁρπάζεσθαι πρὸς τὸ γνωστόν, ὅσον ὁ ἄνθρωπος τὸν ἀόρατον φύσει Θεὸν διὰ τῶν ἀρετῶν ἐφανέρωσε.

οε'. Πᾶς ὁ τὰ μέλη νεκρώσας τὰ ἐπὶ γῆς, καὶ ὅλον ἑαυτοῦ τῆς σαρκὸς κατασβέσας τὸ φρόνημα, καὶ τὴν πρὸς αὐτὴν ὅλου σχέσιν ἀποσεισάμενος, δι' ἧς ἡ τῷ Θεῷ μόνῳ χρεωστουμένη παρ' ἡμῶν ἀγάπη μερίζεται, καὶ ἀρνησάμενος πάντα τὰ τῆς σαρκὸς καὶ κόσμου γνωρίσματα, τῆς θείας ἕνεκεν χάριτος· ὥστε λέγειν δύνασθαι μετὰ τοῦ μακαρίου Παύλου τοῦ Ἀποστόλου, Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; καὶ τὰ ἑξῆς. ὁ τοιοῦτος ἀπάτωρ, καὶ ἀμήτωρ, καὶ ἀγενεαλόγητος κατὰ τὸν Μέγαν Μελχισεδὲκ γέγονεν, οὐκ ἔχων ὅπως ἀπὸ σαρκὸς κρατηθῇ καὶ φύσεως, διὰ τὴν γεγενημένην πρὸς τὸ πνεῦμα συνάφειαν.

ος'. Τὸ πέρας τῆς παρούσης ζωῆς οὐ δίκαιον οἶμαι θάνατον ὀνομάζειν, ἀλλὰ θανάτου ἀπαλλαγήν, καὶ φθορᾶς χωρισμόν, καὶ δουλείας ἐλευθερίαν, καὶ ταραχῆς παῦλαν, καὶ πολέμων ἀναίρεσιν, καὶ σκότους ὑποχώρησιν, καὶ πόνων ἄνεσιν, καὶ βράσματος ἠρεμίαν, καὶ αἰσχύνης συγκάλυμμα, καὶ παθῶν ἀποφυγήν, καὶ πάντων, ἵνα συνελὼν εἴπω, τῶν κακῶν περιγραφήν· ἅπερ δι' ἑκουσίου νεκρώσεως οἱ ἅγιοι κατορθώσαντες, ξένους ἑαυτοὺς τοῦ βίου καὶ παρεπιδήμους παρέστησαν. κόσμῳ τε, γὰρ καὶ σώματι, καὶ ταῖς ἐξ αὐτῶν ἐπαναστάσεσι γενναίως μαχόμενοι· καὶ τὴν ἐξ ἀμφοῖν κατὰ τὴν τῶν αἰσθήσεων πρὸς τὰ αἰσθητά, συμπλοκὴν παραγενομένην ἀπάτην ἀποπνίξαντες ἀδούλωτον ἑαυτοῖς ἐφύλαξαν τῆς ψυχῆς τὸ ἀξίωμα.

Τεκμήριον οὐ σμικρὸν τοῦ φυσικῶς ἡμῖν ἐνεσπάρθαι τὴν τῆς προνοίας γνῶσιν ἡ φύσις αὐτὴ δίδωσιν· ἐπηνίκα αὖ ἡμᾶς ἀδιδάκτως ὥσπερ ὠθοῦσα πρὸς τὸν Θεὸν διὰ τῶν εὐχῶν ἐν ταῖς ἐξαίφνης περιστάσεσιν, ἐκεῖθεν ζητεῖν τὴν σωτηρίαν παρασκευάζοι. ὑπ' ἀνάγκης γὰρ ἄφνω συλληφθέντες ἀπροαιρέτως πρίν τι σκέψασθαι, τὸν Θεὸν ἐπιβοώμεθα· ὡς αὖ τῆς προνοίας αὐτῆς πρὸς ἑαυτήν, καὶ λογισμῶν χωρίς, ἑλκούσης ἡμᾶς, καὶ τὸ τάχος τῆς ἐν ἡμῖν νοερᾶς νικώσης δυνάμεως, καὶ πάντων ἰσχυροτέραν τὴν θείαν προδεικνυούσης βοήθειαν· οὐκ ἂν δὲ ἡμᾶς ἦγεν ἀπροαιρέτως ἡ φύσις, ἐπὶ τὸ μὴ φύσιν ἔχον γίνεσθαι. πᾶν δὲ τὸ ὁπωσοῦν φυσικῶς ἑπόμενον, ὡς πᾶσιν εὔδηλον, ἰσχυρὰν ἔχει καὶ ἀκαταμάχητον τὴν ἀπόδειξιν τῆς ἀληθείας τὴν δύναμιν. οζ'.

Ἐπειδὴ τῶν ὄντων, τὰ μέν ἐστιν ἀγαθά, τὰ δὲ φαῦλα. ταῦτα δέ, ἢ παρόντα ἐστίν, ἢ μέλλοντα. προσδοκώμενον μὲν ἀγαθόν, ἐπιθυμίαν καλεῖ· παρὸν δέ, ἡδονήν. καὶ πάλιν προσδοκώμενον μὲν κακόν, φόβον· παρὸν δέ, λύπην. ὡς εἶναί τε καὶ θεωρεῖσθαι, περὶ μὲν τὰ καλά, εἴτε τὰ ὄντως ὄντα, εἴτε τὰ νομιζόμενα, τὴν ἡδονήν· καὶ τὴν ἐπιθυμίαν· περὶ δὲ τὰ φαῦλα, τὴν λύπην· καὶ τὸν φόβον. καὶ γὰρ ἐπιτυγχάνουσα μὲν ἡ ἐπιθυμία, ἡδονὴν ἐργάζεται· ἀποτυγχάνουσα δέ, λύπην. οη'.

Κακὸν εἶναί φασι πᾶσαν λύπην τῇ ἑαυτῆς φύσει. κἂν γὰρ ὁ σπουδαῖος ἐπ' ἀλλοτρίοις λυπῆται κακοῖς, ὡς ἐλεήμων, ἀλλ' οὐ προηγουμένως κατὰ πρόθεσιν, ἀλλ' ἐφεπομένως κατὰ περίστασιν. ὁ δὲ θεωρητικός, κἂν τούτοις ἀπαθής, συνάψας ἑαυτὸν τῷ Θεῷ, καὶ τῶν τῇδε πάντων ἀλλοτριώσας. οθ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

π'. Οἱ ἅγιοι πάντες τοῦ θείου καὶ ἀπλανοῦς λόγου γνησίως ἐπειλημμένοι, τὸν αἰῶνα τοῦτον διεβίωσαν, οὐδενὶ τῶν ἐν αὐτῷ τερπνῶν τὸ τῆς ψυχῆς ἴχνος ἐναπερείσαντες. πρὸς γὰρ τοὺς ἄκρους τῶν ἀνθρώποις ἐφικτῶν περὶ Θεοῦ λόγους, τῆς ἀγαθότητός τε φημὶ καὶ τῆς ἀγάπης, μάλαγε εἰκότως τὸν νοῦν ἀναπετάσαντες· οἷς κινηθέντα τὸν Θεὸν, τὸ εἶναί τε δοῦναι τοῖς οὖσι, καὶ τὸ εὖ εἶναι χαρίσασθαι, ἐπαιδεύθησαν· εἴπερ κίνησιν ἐπὶ Θεοῦ, τοῦ μόνου ἀκινήτου θέμις εἰπεῖν, ἀλλὰ, μὴ μᾶλλον βούλησιν, τὴν πάντα κινοῦσάν τε καὶ εἰς τὸ εἶναι παράγουσαν καὶ συνέχουσαν, κινουμένην δὲ οὐδαμῶς οὐδέποτε.

πα'. Ἡ ψυχὴ οὐσία νοερά τε καὶ λογικὴ ὑπάρχουσα, καὶ νοεῖ καὶ λογίζεται· δύναμιν μὲν ἔχουσα τὸν νοῦν· κίνησιν δὲ τὴν νόησιν· ἐνέργειαν δὲ τὸ νόημα. πέρας γὰρ τοῦτο τῆς τε τοῦ νοοῦντος καὶ τοῦ νοουμένου νοήσεώς ἐστιν, ὡς περιοριστικὸν τῆς πρὸς ἄλληλα τῶν ἄκρων ὑπάρχον σχέσεως. νοοῦσα γὰρ ἡ ψυχὴ, ἵσταται τοῦ νοεῖν ἐκεῖνο τὸ νοηθὲν μετὰ τὴν αὐτοῦ νόησιν. τὸ γὰρ νοηθὲν κυρίως ἅπαξ, οὐκ ἔτι τὴν πρὸς τὸ νοηθῆναι πάλιν ἐκκαλεῖται τὴν δύναμιν· καὶ καθέκαστον νόημα οὕτω στάσιν δέχεται τῆς ποιᾶς ἐπὶ τῷ νοήματι τοῦ νοηθέντος νοήσεως.

πβ'. Ὥσπερ ἡ ἄγνοια διαιρετικὴ τῶν πεπλανημένων ἐστὶν, οὕτως ἡ τοῦ νοητοῦ φωτὸς παρουσία συναγωγὸς καὶ ἑνωτικὴ τῶν φωτιζομένων ἐστὶ, καὶ τελειωτικὴ, καὶ ἐπιστρεπτικὴ πρὸς τὸ ὄντως ὂν, ἀπὸ τῶν πολλῶν δοξασμάτων ἐπιστρέφουσα, καὶ τὰς ποικίλας ὄψεις, ἢ κυριώτερον εἰπεῖν, φαντασίας, εἰς μίαν ἀληθῆ, καὶ καθαρὰν, καὶ μονοειδῆ συνάγουσα γνῶσιν· καὶ ἑνὸς καὶ ἑνωτικοῦ φωτὸς ἐμπιπλῶσα.

πγ'. Ταὐτόν ἐστι τῷ ἀγαθῷ τὸ καλὸν, ὅτι τοῦ καλοῦ καὶ ἀγαθοῦ κατὰ πᾶσαν αἰτίαν πάντα ἐφίεται, καὶ οὐκ ἔστι τί τῶν ὄντων, ὃ μὴ μετέχει τοῦ καλοῦ καὶ ἀγαθοῦ. πᾶσι γάρ ἐστι τὸ καλὸν καὶ ἀγαθὸν, ὡς ὄντως ἀγαστὸν, ἐφετὸν, καὶ ἐραστὸν, καὶ ἀρεστὸν, καὶ αἱρετὸν, καὶ ἀγαπητόν. σημείωσαι δὲ πῶς ὁ θεῖος ἔρως ἐν τῷ ἀγαθῷ προϋπάρχων, ἔτεκε τὸν ἐν ἡμῖν ἀγαθὸν ἔρωτα, δι᾽ οὗ τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐφιέμεθα, κατὰ τὸν εἰπόντα, Ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς. καὶ, Ἐράσθητι αὐτῆς, καὶ τηρήσει σε· περιχαράκωσον αὐτὴν, καὶ ὑψώσει σε.

πδ'. Τὸ θεῖον οἱ Θεολόγοι, ποτὲ μὲν ἔρωτα, ποτὲ δὲ ἀγάπην, ποτὲ δὲ ἐραστὸν, καὶ ἀγαπητὸν καλοῦσιν. ὅθεν, ὡς μὲν ἔρως ὑπάρχων καὶ ἀγάπη, κινεῖται· ὡς δὲ ἐραστὸν καὶ ἀγαπητὸν, κινεῖ πρὸς ἑαυτὸν πάντα τὰ ἔρωτος καὶ ἀγάπης δεκτικά. καὶ σαφέστερον αὖθις φάναι, κινεῖται μὲν ὡς σχέσιν ἐμποιοῦν ἐνδιάθετον ἔρωτος καὶ ἀγάπης τοῖς τούτων δεκτικοῖς· κινεῖ δὲ, ὡς ἑλκτικὸν φύσει, τῆς τῶν ἐπ᾽ αὐτὸ κινουμένων ἐφέσεως. καὶ πάλιν, κινεῖ καὶ κινεῖται, ὡς διψῶν τὸ διψᾶσθαι, καὶ ἐρῶν τοῦ ἐρᾶσθαι, καὶ ἀγαπῶν τὸ ἀγαπᾶσθαι.

πε'. *Τὸ παρὸν ἐπὶ λέξεως τῶν ἐν Ἀρεοπαγίτῃ εἴληπται.*

Ἔστι δὲ καὶ ἐκστατικὸς ὁ θεῖος ἔρως, οὐκ ἐῶν ἑαυτῶν εἶναι τοὺς ἐραστὰς, ἀλλὰ τῶν ἐρωμένων. καὶ δηλοῦσι τὰ μὲν ὑπέρτερα τῆς προνοίας τῶν καταδεεστέρων γινόμενα· καὶ τὰ ὁμόστοιχα, τῆς ἀλλήλων συνοχῆς· καὶ τὰ ὑφειμένα, τῆς πρὸς τὰ πρῶτα θειοτέρας ἐπιστροφῆς. διὸ καὶ Παῦλος ὁ Μέγας ἐν κατοχῇ τοῦ θείου γεγονὼς ἔρωτος, καὶ τῆς ἐκστατικῆς δυνάμεως μεταληφὼς, ἐνθέῳ στόματι, Ζῶ ἐγὼ φησὶν, οὐκ ἔτι, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. ὡς ἀληθὴς ἐραστὴς, καὶ ἐξεστηκὼς, ὡς αὐτός φησι τῷ Θεῷ, καὶ οὐ τὴν ἑαυτοῦ ζῶν, ἀλλὰ τὴν τοῦ ἐραστοῦ ζωὴν, ὡς σφόδρα ἀγαπητήν.

πϛ'. *ὡσαύτως καὶ τὸ παρόν.*

Τολμητέον καὶ τοῦτο ὑπὲρ ἀληθείας εἰπεῖν· ὅτι καὶ αὐτὸς ὁ πάντων αἴτιος, τῷ καλῷ καὶ ἀγαθῷ τῶν πάντων ἔρωτι δι᾽ ὑπερβολὴν τῆς ἐρωτικῆς ἀγαθότητος, ἔ-

ξω ἑαυ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ζω ἑαυτοῦ γίνεται, ταῖς εἰς τὰ ὄντα πάντα προνοίαις, ϗ οἷον ἀγαθότητι, ϗ ἀγαπήσει, ϗ ἔρωτι θέλγεται· ϗ ἐκ τοῦ ὑπὲρ πάντα, ϗ πάντων ἐξῃρημένου, πρὸς τὸ ἐν πᾶσι κατάγεται κατ' ἐκστατικὴν ὑπερούσιον δύναμιν ἀνεκφοίτητον ἑαυτοῦ. διὸ ϗ ζηλωτὴν οἱ τὰ θεῖα δεινοὶ προσαγορεύουσιν, ὡς πολλὴν τὸν εἰς τὰ ὄντα ἀγαθὸν ἔρωτα, ϗ ὡς πρὸς ζῆλον ἐγερτικὸν τῆς ἐφέσεως αὐτοῦ τῆς ἐρωτικῆς· ϗ ὡς ζηλωτὴν αὐτὸν ἀποδεικνύντα, ᾧ ϗ τὰ ἐφιέμενα ζηλωτά, καὶ ὡς τῶν προνοουμένων ὄντων αὐτῷ ζηλωτῶν.

πζ'. Τῆς ἀγάπης ϗ τοῦ ἔρωτος, αὐτὸν δηλαδὴ τὸν Θεόν, προβολέα φησὶ ϗ γεννήτορα. αὐτὸς γὰρ ταῦτα ἐν ἑαυτῷ ὄντα, προήγαγεν εἰς τὰ ἐκτός, τουτέστι, περὶ τὰ κτίσματα. ϗ κατὰ τοῦτο εἴρηται, ὁ Θεὸς ἀγάπη ἐστί, ϗ πάλιν γλυκασμὸς ϗ ἐπιθυμία, ὅ ἐστιν ἔρως· τὸ δὲ ἀγαπητὸν καὶ ὄντως ἐραστόν, αὐτός ἐστι. τῷ μὲν οὖν τὸν ἀγαπητικὸν ἔρωτα ἐξ αὐτοῦ προχεῖσθαι, αὐτὸς κινεῖσθαι λέγεται ὁ τούτου γεννήτωρ· ᾧ δὲ αὐτὸν εἶναι τὸ ἀληθῶς ἐραστόν, ϗ ἀγαπητόν, ϗ ἐφετὸν καὶ αἱρετόν, κινεῖ τὰ πρὸς τοῦτο ὁρῶντα· καὶ οἷς ἡ τοῦ ἐφίεσθαι δύναμις, ἀναλόγως αὐτοῖς.

πη'. Προαγωγικὸν ϗ κινητικὸν πρὸς ἐρωτικὴν συνάφειαν τὴν ἐν πνεύματι, τὸν Θεὸν εἶναί μοι νόει· τουτέστι μεσίτην ταύτης, ϗ πρὸς αὐτὴν συναρμοστήν, τοῦ ἐρᾶσθαι αὐτὸν ὑπὸ τῶν αὐτοῦ ποιημάτων ϗ ἀγαπᾶσθαι. κινητικὸν δέ φησιν, ὡς κινοῦντα ἕκαστα κατὰ τὸν οἰκεῖον λόγον πρὸς αὐτὸν ἐπιστρέφεσθαι. τὸ δὲ τῆς προαγωγίας ὄνομα, εἰ καὶ παρὰ τοῖς ἔξωθεν πρᾶγμα σημαίνει οὐκ εὐαγές, ἀλλ' ἐνταῦθα τὴν πρόξενον τῆς ἐν Θεῷ ἑνώσεως φησὶ μεσιτείαν.

πθ'. Ἡ ἐρωτικὴ κίνησις τοῦ ἀγαθοῦ προϋπάρχουσα ἐν τῷ ἀγαθῷ, ἁπλῆ ϗ αὐτοκίνητος οὖσα, ϗ ἐκ τοῦ ἀγαθοῦ προϊοῦσα, αὖθις ἐπὶ τὸ αὐτὸ ἐπιστρέφει, ἀτελεύτητος ϗ ἄναρχος οὖσα· ὅπερ δηλοῖ τὴν ἡμῶν ἀεικίνητον ἔφεσιν πρὸς τὸ θεῖον ϗ ἕνωσιν. ἡ γὰρ πρὸς Θεὸν ἀγαπητικὴ ἕνωσις, πάσης ἐξῄρηται ϗ ὑπέρκειται ἑνώσεως.

ϟ'. (τοῦ Γερ. θεῖν ἀπολέξει.) Τὸν ἔρωτα εἴτε θεῖον, εἴτε ἀγγελικόν, εἴτε νοερόν, εἴτε ψυχικόν, εἴτε φυσικὸν εἴπωμεν, ἑνωτικήν τινα καὶ συγκρατικὴν ἐννοήσωμεν δύναμιν· τὰ μὲν ὑπέρτερα κινοῦσα ἐπὶ πρόνοιαν τῶν καταδεεστέρων· τὰ δὲ ὁμόστοιχα πάλιν, εἰς κοινωνικὴν ἀλληλουχίαν· ϗ ἐπ' ἐσχάτων τὰ ὑφειμένα πρὸς τὴν τῶν κρειττόνων ϗ ὑπερκειμένων ἐπιστροφήν.

ϟα'. (ἐκ τῶν τ. Διονυσίου ἀπολέξει.) Εἰ ἡ γνῶσις ἑνωτικὴ τῶν ἐγνωσμένων· ἡ δ' ἄγνοια, μεταβολῆς ἀεὶ ϗ τῆς ἐξ αὐτοῦ τῷ ἀγνοοῦντι διαιρέσεως αἰτία, τὸν ἐν ἀληθείᾳ πιστεύσαντα κατὰ τὸν ἱερὸν λόγον, οὐδὲν ἀποκινήσει τῆς κατὰ τὴν ἀληθῆ πίστιν ἑστίας· ἐφ' ᾗ τὸ μόνιμον ἕξει τῆς ἀκινήτου ϗ ἀμεταβόλου ταυτότητος. εὖ γὰρ οἶδεν ὁ πρὸς τὴν ἀλήθειαν ἑνωθείς, ὅτι εὖ ἔχει, κἂν οἱ πολλοὶ ἐπιτιμῶσιν αὐτὸν ὡς ἐξεστηκότα. λανθάνει μὲν γὰρ ὡς εἰκὸς αὐτούς, ἐκ πλάνης τῇ ἀληθείᾳ τῆς ὄντως πίστεως ἐξεστηκώς, αὐτὸς δ' ἀληθῶς οἶδεν ἑαυτὸν οὐχ, ὥς φασιν ἐκεῖνοι, μαινόμενον, ἀλλὰ τῆς ἀστάτου καὶ ἀλλοιωτῆς περὶ τὴν παντοδαπῆ τῆς πλάνης ποικιλίαν φθορᾶς, διὰ τῆς ἁπλῆς καὶ ἀεὶ κατὰ τὰ αὐτά, ϗ ὡσαύτως ἐχούσης ἀληθείας ἠλευθερωμένον.

ϟβ'. Ἀγαθοὶ ϗ φιλάνθρωποι, εὔσπλαγχνοί τε καὶ οἰκτίρμονες γεγόνασιν οἱ ἅγιοι· μίαν πρὸς ἅπαν τὸ γένος διάθεσιν * ἔχοντες ἀγάπης πεισθέντες· ὑφ' ἧς τὸ πάντων ἐξαίρετον εἶδος τῶν ἀγαθῶν τὴν ταπείνωσιν λέγω, διὰ πάσης αὐτῶν τῆς ζωῆς βεβαίως κατέχοντες, τὴν φυλακτικὴν μὲν τῶν ἀγαθῶν· φθαρτικὴν δὲ τῶν ἐναντίων, οὐδενὶ τοπαρά-

* ἴσ. ἔχειν

παν

παν ἁλώσιμοι τῶν διοχλούντων γεγόνασι πειρασμῶν, τῶν τε ἑκουσίων καὶ τῷ ἐφ' ἡμῖν λόγῳ, καὶ τῶν ἀκουσίων καὶ οὐκ ἐφ' ἡμῖν· τῶν μὲν, δι' ἐγκρατείας ἀπομαραίνων τὰς ἐπαναστάσεις· τῶν δὲ, δι' ὑπομονῆς τὰς προσβολὰς ἀποσείεσθαι.

ϟγ΄. Τὴν μὲν τελείαν πρᾶξιν τῆς ἀρετῆς, πίστις ὀρθὴ ποιεῖ, καὶ φόβος εἰς Θεὸν ἀνόθευτος. τὴν δὲ καὶ τὴν ἀνάβασιν ἄπταιστον φυσικὴν θεωρίαν, ἐλπὶς βεβαία καὶ ἀληθὴς σύνεσις. τὴν δὲ καὶ τὴν ἀνάληψιν θέωσιν, ἀγάπη τελεία, καὶ νοῦς τοῖς οὖσι καθ' ὑπεροχὴν πάμπαν ἑκουσίως πεπηρωμένος.

ϟδ΄. Τῆς μὲν πρακτικῆς φιλοσοφίας ἔργον εἶναί φασι, πάσης τὸν νοῦν ἐμπαθοῦς φαντασίας καθαρὸν καταστῆσαι. τῆς δὲ φυσικῆς θεωρίας, πάσης τῆς ἐν τοῖς οὖσι καθ' ἣν αἰτίαν ὑπάρχουσιν, ἀληθοῦς γνώσεως αὐτὸν ἐπιστήμονα δεῖξαι. τῆς δὲ θεολογικῆς μυσταγωγίας, ὅμοιον Θεῷ καὶ ἴσον ὡς ἐφικτὸν τῇ χάριτι κατὰ τὴν ἕξιν ποιῆσαι, μηδενὸς παντελῶς ἔτι τῶν μετὰ Θεὸν, διὰ τὴν ὑπεροχὴν ὄντα νοοῦντα.

ϟε΄. Ὅπερ ἐστὶν ὁ αἰθὴρ, ἤγουν τὸ πύριον στοιχεῖον ἐν τῷ κατ' αἴσθησιν κόσμῳ, τοῦτο ἐν τῷ κόσμῳ τῆς διανοίας ἐστὶν ἡ φρόνησις, ὡς ἕξις φωτιστικὴ, καὶ τῶν ἐφ' ἑκάστου τῶν ὄντων, ἰδίως πνευματικῶν λόγων ἀποδεικτικὴ, τὴν ἐν ὅλοις ἁπλανῶς αἰτίαν δι' αὐτῶν ἐκφαίνουσα, καὶ τῆς κατὰ ψυχὴν περὶ τὸ θεῖον ἐφέσεως ἑλκτική. καὶ ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ἐστὶν ὁ ἀὴρ, τοῦτο ἐν τῷ κατὰ διάνοιαν κόσμῳ ἐστὶν ἡ ἀνδρεία, ὡς ἕξις κινητικὴ καὶ τῆς ἐμφύτου κατὰ πνεῦμα ζωῆς συνεκτική τε ἅμα καὶ δραστικὴ, καὶ τῆς κατὰ ψυχὴν περὶ τὸ θεῖον ἀεικινησίας ποιωτική. καὶ ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ἐστὶ τὸ ὕδωρ, τοῦτο ἐν τῷ τῆς διανοίας κόσμῳ ἐστὶν ἡ σωφροσύνη, ἕξις ὑπάρχουσα τῆς ἐν πνεύματι ζωτικῆς γονιμότητος ποιητικὴ, καὶ τῆς ἀειβλάστου κατὰ τὴν ἔφεσιν περὶ τὸ θεῖον ἐρωτικῆς θέλξεως γεννητική. καὶ ὅπερ ἐν τῷ αἰσθητῷ κόσμῳ ἐστὶν ἡ γῆ, τοῦτο ἐν τῷ τῆς διανοίας κόσμῳ ἐστὶν ἡ δικαιοσύνη, ἕξις ὑπάρχουσα κατ' εἶδος γεννητικὴ πάντων τῶν ἐν τοῖς οὖσι λόγων, καὶ τῆς ἐν πνεύματι κατὰ τὸ ἴσον ἑκάστῳ ζωτικῆς ἐκδόσεως ἀπονεμητική· καὶ τῆς οἰκείας ἐν τῷ καλῷ κατὰ τὴν θέσιν βάσεως ἀμετάθετος ἵδρυσις.

Ὥσπερ σαρκὸς διεκπεσούσης, καὶ πιαινομένης, τοῖς πάθεσιν ἡ ψυχὴ βορβορίζεται καὶ σκοτίζεται, τῆς τῶν ἀρετῶν ἕξεως, καὶ τοῦ φωτισμοῦ τῆς γνώσεως ὑποχωρούντων· οὕτω καὶ τῆς ψυχῆς τῷ θείῳ κάλλει τῶν ἀρετῶν, καὶ τῷ φωτισμῷ τῆς γνώσεως φρουρουμένης τε καὶ λαμπρυνομένης, ὁ ἔξω ἄνθρωπος διαφθείρεται, τῆς σαρκὸς διὰ τὴν ἐπιδημίαν τοῦ λόγου τὴν φυσικὴν ἀξίαν ἀποβαλλομένης. ϟϛ΄.

Οὐκ ἦν δυνατὸν ἄλλως Υἱὸν ἀποδειχθῆναι Θεοῦ, καὶ Θεὸν κατὰ τὴν ἐκ χάριτος θέωσιν, τὸν γενόμενον ἄνθρωπον, μὴ πρότερον κατὰ προαίρεσιν γεννηθέντα τῷ πνεύματι, διὰ τὴν ἐνοῦσαν αὐτῷ φυσικῶς αὐτοκίνητον καὶ ἀδέσποτον δύναμιν· ἥντινα θεοποιὸν καὶ θείαν καὶ ἄϋλον γέννησιν, διὰ τὸ προτιμῆσαι τῶν νοουμένων καὶ ἀδήλων τέως ἀγαθῶν τὸ κατ' αἴσθησιν τερπνὸν καὶ ἐπίδηλον, παραλιπὼν ὁ πρῶτος ἄνθρωπος, τὴν ἐκ σωμάτων εἰκότως ἀπροαίρετον, καὶ ὑλικὴν, καὶ ἐπίκηρον ἔχειν καταδικάζεται γένεσιν. ϟζ΄.

Κινεῖται νῦν ὁ ἄνθρωπος, ἢ περὶ φαντασίας ἀλόγους παθῶν ἐξ ἀπάτης διὰ φιληδονίαν· ἢ περὶ λόγους τεχνῶν ἐκ περιστάσεως διὰ τὴν χρείαν· ἢ περὶ φυσικοὺς λόγους τῆς φύσεως διὰ μάθησιν· ὧν οὐδὲν κατ' ἀρχὰς ἐξ ἀνάγκης ἕλκειν τὸν ἄνθρωπον, εἰκότως ὑπεράνω ϟη΄.

παν-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πάντων γενόμενον. οὕτω γὰρ ἔπρεπεν εἶναι τὸν ἀπ' ἀρχῆς, μηδενὶ τοσοῦτον περισπώμενον τῶν μετ' αὐτὸν, ἢ περὶ αὐτὸν, ἢ κατ' αὐτὸν, καὶ πρὸς τελείωσιν, ἑνὸς μόνου προσδεόμενον, τῆς πρὸς τὸν ὑπὲρ αὐτὸν, φημὶ δὲ τὸν Θεὸν, καθ' ὅλην τὴν ἀγαπητικὴν δύναμιν ἀχέτου κινήσεως.

ϙθʹ. Οὐδὲν εἶχεν ὁ πρῶτος ἄνθρωπος μεταξὺ Θεοῦ καὶ αὐτοῦ προβεβλημένον πρὸς εἴδησιν, καὶ κωλύον τὴν δι' ἀγάπης αὐθαίρετον κατὰ τὴν πρὸς Θεὸν κίνησιν γενησομένην συγγένειαν. ἀπαθὴς γὰρ χάριτι ὢν, ἀπάτην παθῶν φαντασίας δι' ἡδονῆς οὐ προσήγετο· καὶ ἀπροσδεὴς ὑπάρχων, τῆς περὶ τέχνας πειρατικῆς ἀνάγκης διὰ τὴν χρείαν ἐλεύθερος ἦν· καὶ σοφὸς ὢν τῆς περὶ τὴν φύσιν θεωρίας, ὑπεράνω καθειστήκει διὰ τὴν γνῶσιν.

Ὁ πᾶσαν μετὰ σοφίας τὴν φύσιν ὑποστήσας Θεὸς, καὶ πρὸς τὴν ἑκάστου τῶν λογικῶν οὐσιῶν δύναμιν τὴν αὐτοῦ γνῶσιν κρυφίως ἐνθέμενος, δέδωκε καὶ ἡμῖν τοῖς ἀνθρώποις, ὡς μεγαλόδωρος δεσπότης, κατὰ φύσιν τὸν εἰς αὐτὸν πόθον καὶ ἔρωτα, συνεπιπλέξας αὐτῷ φυσικῶς τοῦ λόγου τὴν δύναμιν· ἐφ' ᾧ δυνηθῆναι μετὰ ῥᾳστώνης γνῶναι τοὺς τρόπους τῆς τοῦ πόθου πληρώσεως, καὶ μὴ παρασφαλέντα διαμαρτεῖν οὗ τυχεῖν ἀγωνιζόμεθα. κατὰ τοῦτον οὖν κινούμενοι τὸν πόθον, περί τε τῆς ἀληθείας αὐτῆς, σοφίας τε, καὶ διοικήσεως, ζητεῖν ἐναγόμεθα, ἐκείνου τυχεῖν, διὰ τούτου γλιχόμενοι, οὗ χάριν τὸν πόθον ἐλάβομεν. ρʹ.

Τέλος τῶν ἑκατοντάδων τοῦ Ἁγίου Μαξίμου.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ
# ΜΑΞΙΜΟΥ
## ΕΙΣ ΤΗΝ ΠΡΟΣΕΥΧΗΝ ΤΟΥ
## ΠΑΤΕΡ ΗΜΩΝ,

Πρός τινα φιλόχριστον ἑρμηνεία σύντομος.

Αὐτὸν ἐδεξάμην τὸν θεοφύλακτόν μου δεσπότην διὰ τῶν αὐτοῦ πανευφήμων γραμμάτων παραγινόμενον· τὸν ἀεὶ μὲν παρόντα, καὶ ἀπεῖναι τῷ πνεύματι παντελῶς οὐ δυνάμενον. ὅμως δὲ δι᾽ ἀρετῆς περιουσίαν θεομιμήτως συγγενέσθαι τοῖς αὐτοῦ δούλοις, καὶ δι᾽ ἧς ὁ Θεὸς δέδωκε τῇ φύσει προφάσεως, οὐκ ἀπαναινόμενον. διὸ θαυμάσας αὐτοῦ τὸ μέγεθος τῆς συγκαταβάσεως, πόθῳ σύγκρατον τὸν πρὸς αὐτὸν φόβον ἐποιησάμην. καὶ μίαν ἐξ ἀμφοτέρων, φόβου τε καὶ πόθου, ἀγάπην συνεστησάμην, δι᾽ αἰδοῦς καὶ εὐνοίας συνισταμένην· ἵνα μήτε μῖσος ὁ φόβος γένηται τοῦ πόθου γυμνούμενος, μήτε καταφρόνησις ὁ πόθος, τὸν σώφρονα φόβον συνημμένον οὐκ ἔχων· ἀλλὰ νόμος ἡ ἀγάπη τυγχάνουσα δειχθῇ, στοργῆς ἐνδιάθετος, ἅπαν τὸ κατὰ φύσιν συγγενὲς οἰκειούμενος. δι᾽ εὐνοίας μὲν, τὸ μῖσος χειρούμενος· δι᾽ αἰδοῦς δὲ, πόῤῥω ποιούμενος τὴν καταφρόνησιν. ὃν δὴ μάλιστα πάντων φημὶ δὲ τὸν φόβον, τῆς θείας ἀγάπης συστατικὸν ἐπιγνοὺς Δαβὶδ ὁ μακάριος, φησὶν, Ὁ φόβος Κυρίου ἁγνὸς διαμένων εἰς αἰῶνα αἰῶνος. ἕτερον δηλαδὴ τοῦτον εἰδὼς, παρὰ τὸν ἐπ᾽ ἐγκλήμασι δέει τιμωρίας συνιστάμενον φόβον. ὅπερ ὁ μὲν ἔξω γίνεται, τῇ παρουσίᾳ τῆς ἀγάπης παντελῶς ἀφανιζόμενος, ὥσπερ τοῖς ἑαυτοῦ λόγοις ὁ μέγας Εὐαγγελιστὴς Ἰωάννης δείκνυται, φάσκων· Ἡ ἀγάπη ἔξω βάλλει τὸν φόβον. ὁ δὲ, τὸν τῆς ἀληθοῦς στοργῆς φυσικῶς χαρακτηρίζει νόμον· αἰδοῖ συντηρῶν εἰς αἰῶνας τοὺς * ἁγίους, πρός τε τὸν Θεὸν, καὶ ἀλλήλους τὸν τῆς ἀγάπης θεσμόν τε καὶ τρόπον παντελῶς ἀδιάφθορον. πόθῳ γοῦν ὡς ἔφην, κἀγὼ κεράσας τὸν φόβον, πρὸς τὸν ἐμὸν δεσπότην, τοῦτον τῆς ἀγάπης συνεστησάμην τὸν νόμον μέχρι τῆς σήμερον. αἰδοῖ μὲν τοῦ γράφειν εἰργόμενος, ἵνα μὴ λάβῃ χώραν ἡ καταφρόνησις. εὐνοίᾳ δὲ πρὸς τὸ γράφειν ὠθούμενος, ἵνα μὴ νομισθῇ μῖσος ἡ τελεία τοῦ γράφειν παραίτησις. γράφω δὲ ταῦτα πράττειν κελευόμενος, οὐχ ὅσα λογίζομαι, ἀλλ᾽ ὅσα βούλεται Θεὸς, καὶ χάριτι πρὸς τὴν τοῦ συμφέροντος * γένεσιν ἐπιδίδωσιν. Ἡ γὰρ βουλὴ τοῦ Κυρίου, φησὶν ὁ Δαβὶδ, εἰς τὸν αἰῶνα μένει· λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. βουλὴν μὲν τυχὸν φήσας τοῦ Θεοῦ καὶ Πατρὸς, τὴν ἐπὶ θεώσει τῆς ἡμετέρας φύσεως ἀπόρρητον κένωσιν τοῦ μονογενοῦς Υἱοῦ, καθ᾽ ἣν ἔχει πάντων τῶν αἰώνων τὸ πέρας περιγραφόμενον. λογισμοὺς δὲ

* ἴσ. τοῖς ἁγίοις

* ἴσ. γνῶσιν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῆς καρδίας αὐτοῦ, τοὺς τῆς προνοίας, καὶ τῆς κρίσεως λόγους· καθ' οὓς, τήν τε παροῦσαν ἡμῶν ζωὴν καὶ τὴν μέλλουσαν, ὥσπερ τινὰς γενεὰς διαφόρους σοφῶς διεξάγει, καταλλήλως ἑκάστῃ τὸν πρέποντα τρόπον τῆς ἐνεργείας προσνέμων. Εἰ δὲ θείας ὑπάρχει βουλῆς ἔργον, ἡ τῆς ἡμετέρας φύσεως θέωσις· καὶ τῶν θείων λογισμῶν ἐστὶ σκοπός, ἡ πρὸς τὸ πέρας διεξαγωγὴ τῶν ζητουμένων τῆς ἡμετέρας ζωῆς· ἄρα συμφέρει τῆς τοῦ Κυρίου προσευχῆς, γνῶναί τε καὶ πρᾶξαι, καὶ οὕτω δεόντως γράψαι τὴν δύναμιν. ἐπεὶ δὲ μάλιστα ταύτης καὶ ὁ ἐμὸς δεσπότης πρὸς ἐμὲ τὸν αὐτοῦ δοῦλον γράφων θεόθεν κινηθεὶς, ἐπεμνήσθη τῆς προσευχῆς· ἣν καὶ τῶν ἐμῶν ἀναγκαίως ὑπόθεσιν λόγων ποιούμενος, αἰτοῦμαι τὸν ταύτης διδάσκαλον τῆς προσευχῆς Κύριον, διανοῖξαί μου τὸν νοῦν πρὸς κατανόησιν τῶν ἐν αὐτῇ μυστηρίων, καὶ δοῦναι σύμμετρον λόγον πρὸς τὴν τῶν νοουμένων σαφήνειαν. ὅλον γὰρ ἔχει κατὰ περιγραφὴν τὸν ἐν τοῖς εἰρημένοις σκοπὸν μυστικῶς κεκρυμμένον· ἢ τό γε κυριώτερον εἰπεῖν, τοῖς ἐρρωμένοις τὸν νοῦν, ἐμφανῶς κηρυττόμενον. πάντων γὰρ ὧν διὰ σαρκὸς γέγονεν αὐτουργὸς κενωθεὶς ὁ τοῦ Θεοῦ λόγος, αἴτησιν ἔχει τῆς προσευχῆς ὁ λόγος· διδάσκων ἐκείνων μεταποιεῖσθαι τῶν ἀγαθῶν, ὧν μόνος ὁ Θεὸς καὶ Πατὴρ, δι' Υἱοῦ φυσικῶς μεσιτεύοντος, ἐν Ἁγίῳ Πνεύματι, κατ' ἀλήθειαν ἐστὶ χορηγός. εἴπερ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, κατὰ τὸν θεῖον Ἀπόστολον ὁ Κύριος ἐστὶν Ἰησοῦς· τοῖς μὲν ἀνθρώποις, διὰ σαρκὸς ἐμφανῆ ποιῶν ἀγνοούμενον τὸν Πατέρα· τῷ δὲ Πατρὶ, διὰ Πνεύματος ἐν αὐτῷ τοὺς ἀνθρώπους καταλλαγέντας προσάγων· ὑπὲρ ὧν, καὶ δι' οὓς ἀτρέπτως γενόμενος ἄνθρωπος. πολλῶν ὅσων οὐδέπω μέτρῳ περιλαβεῖν, τό, τε πλῆθος καὶ μέγεθος δεδύνηται λόγος, καινῶν μυστηρίων αὐτουργὸς γίνεται καὶ διδάσκαλος· ὧν ἑπτὰ τὸν ἀριθμὸν γενικώτερα τῶν λοιπῶν, κατ' ἐξαίρετον φιλοτιμίας, πέφανται τοῖς ἀνθρώποις δεδωρημένος· ὧν μυστικῶς περιέχει τὴν δύναμιν, ὡς ἔφην, τῆς προσευχῆς ὁ σκοπός· θεολογίαν, υἱοθεσίαν ἐν χάριτι, ἰσοτιμίαν τὴν πρὸς Ἀγγέλους, ἀϊδίου ζωῆς μετοχὴν, φύσεως ἀπαθῶς πρὸς ἑαυτὴν νευούσης ἀποκατάστασιν, τοῦ νόμου τῆς ἁμαρτίας κατάλυσιν, καὶ τῆς τοῦ κρατήσαντος ἡμῶν δι' ἀπάτης πονηροῦ τυραννίδος καθαίρεσιν. σκοπῶμεν οὖν τὴν τῶν λεχθέντων ἀλήθειαν. Θεολογίαν μὲν γὰρ διδάσκει σαρκούμενος ὁ τοῦ Θεοῦ λόγος, ὡς ἐν ἑαυτῷ δεικνὺς τὸν Πατέρα, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. ὅλος γὰρ ἦν ὁ Πατὴρ, καὶ ὅλον τὸ Πνεῦμα τὸ Ἅγιον, οὐσιωδῶς ἐν ὅλῳ τελείως τῷ Υἱῷ, καὶ σαρκουμένῳ. οὐ σαρκούμενοι, ἀλλ' ὁ μὲν εὐδοκῶν, τὸ δὲ συνεργοῦν, αὐτουργοῦντι τῷ Υἱῷ τὴν σάρκωσιν. εἴπερ ἔννους ὁ λόγος διέμεινε καὶ ζῶν, μηδενὶ τὸ παράπαν ἄλλῳ κατ' οὐσίαν χωρούμενος, ἢ μόνῳ τῷ Πατρὶ καὶ τῷ Πνεύματι, καὶ πρὸς τὴν σάρκα διὰ φιλανθρωπίαν, τὴν καθ' ὑπόστασιν ποιησάμενος ἕνωσιν. υἱοθεσίαν δὲ δίδωσι, τὴν ὑπὲρ φύσιν ἄνωθεν διὰ πνεύματος ἐν χάριτι δωρούμενος γέννησιν, καὶ ἐνθέωσιν· ἧς ἐν Θεῷ φυλακή τε καὶ τήρησίς ἐστιν, ἡ τῶν γεννωμένων προαίρεσις· διαθέσει γνησίᾳ τὴν δοθεῖσαν στέργουσα χάριν, καὶ τῇ πράξει τῶν ἐντολῶν ἐπιμελῶς τὸ κατὰ χάριν δοθὲν ὡραΐζουσα κάλλος· καὶ τοσοῦτον τῇ κενώσει τῶν παθῶν μεταποιουμένη θεότητος, ὅσον ὁ τοῦ Θεοῦ λόγος τῆς οἰκείας ἀκραιφνοῦς δόξης, οἰκονομικῶς ἑαυτὸν κατὰ θέλησιν κενώσας, γενόμενος ἀληθῶς κεχρημάτικεν ἄνθρωπος. ἰσοτίμους δὲ τοῖς Ἀγγέλοις τοὺς ἀνθρώπους πεποίηκεν, οὐ καθ' ὅτι μόνον εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καταργήσας τὰς πληρούσας τὸν μέσον οὐρανοῦ καὶ γῆς τόπον, ἀντικειμένας δυνάμεις, μίαν πρὸς τὴν τῶν θείων δώρων διανομὴν τῶν ἐπιγείων καὶ οὐρανίων δυνάμεων ἀπέδειξεν οὖσαν πανήγυριν· τῆς ἀνθρωπίνης φύσεως ἐν ἀγαλλιάσει κατὰ τὸ ἓν καὶ τὸ αὐτὸ θέλημα ταῖς ἄνω δυνάμεσι τὴν δόξαν τοῦ Θεοῦ συνεπηχούσης· ἀλλ᾽ ὅτι καὶ μετὰ τὴν πλήρωσιν τῆς ὑπὲρ ἡμῶν οἰκονομίας, μετὰ τοῦ προσληφθέντος ἀναληφθεὶς σώματος, οὐρανὸν καὶ γῆν ἥνωσε δι᾽ ἑαυτοῦ· καὶ τοῖς νοητοῖς συνῆψε τὰ αἰσθητά, καὶ μίαν ἔδειξε τὴν κτιστὴν φύσιν ταῖς τῶν ἑαυτῆς ἀκρότησι μερῶν, κατ᾽ ἀρετήν τε καὶ τῆς πρώτης αἰτίας ἐπίγνωσιν, πρὸς ἑαυτὴν συνδεομένην. δεικνύς, οἶμαι, δι᾽ ὧν ἐπετέλει μυστικῶς, ὡς ὁ μὲν λόγος ἐστὶ τῶν διεστώτων ἕνωσις· ἡ δὲ ἀλογία, τῶν ἡνωμένων διαίρεσις. καὶ μάθωμεν λόγου μεταποιεῖσθαι διὰ τῆς πράξεως, ἵνα μὴ μόνον Ἀγγέλοις κατ᾽ ἀρετήν, ἀλλὰ καὶ Θεῷ γνωστικῶς κατὰ τὴν τῶν ὄντων ἑνωθῶμεν ἀφαίρεσιν. ζωῆς δὲ θείας ποιεῖται μετάδοσιν, ἐδώδιμον ἑαυτὸν ἐργαζόμενος, ὡς οἶδεν αὐτός, καὶ οἱ παρ᾽ αὐτοῦ τοιαύτην αἴσθησιν νοερὰν εἰληφότες, ὥστε τῇ γεύσει ταύτης τῆς βρώσεως, εἰδέναι κατ᾽ ἐπίγνωσιν ἀληθῶς, ὅτι Χρηστὸς ὁ Κύριος, ποιότητι θείᾳ πρὸς θέωσιν μετακιρνῶν τοὺς ἐσθίοντας, οἷα δὴ σαφῶς ζωῆς καὶ δυνάμεως ἄρτος καὶ ὤν, καὶ καλούμενος. τὴν φύσιν δὲ πρὸς ἑαυτὴν ἀποκαθίστησιν, ᾗ καθ᾽ ὅτι μόνον γενόμενος ἄνθρωπος, ἀπαθῆ τὴν γνώμην πρὸς τὴν φύσιν ἐτήρησε καὶ ἀστασίαστον. μηδὲ πρὸς αὐτοὺς τοὺς σταυρώσαντας· τῆς κατὰ φύσιν οἰκείας σαλευομένην παντελῶς βάσεως· τοὐναντίον δὲ μᾶλλον αἱρουμένην ἀντὶ ζωῆς τὸν ὑπὲρ αὐτῶν θάνατον. καθ᾽ ὃ καὶ τὸ τοῦ πάθους ἑκούσιον δείκνυται, τῇ τοῦ πάσχοντος φιλανθρώπῳ διαθέσει κυρούμενον. ἀλλ᾽ ὅτι καὶ τὴν ἔχθραν κατήργησε, προσηλώσας τῷ σταυρῷ τὸ τῆς ἁμαρτίας χειρόγραφον, δι᾽ ὃ πρὸς ἑαυτὴν ἀσπόνδως εἶχεν ἡ φύσις τὸν πόλεμον. καὶ τοὺς μακρὰν καὶ τοὺς ἐγγὺς καλέσας, τοὺς ὑπὸ νόμον δηλαδή, καὶ τοὺς ἔξω νόμου. καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὸν νόμον δηλονότι τῶν ἐντολῶν σαφηνίσας ἐν δόγμασι. τοὺς δύο ἔκτισεν εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάσσων ἡμᾶς δι᾽ ἑαυτοῦ τῷ Πατρί, καὶ ἀλλήλοις, οὐκ ἔχοντας ἔτι τὴν γνώμην ἀνθισταμένην τῷ λόγῳ τῆς φύσεως. ἀλλ᾽ ὥσπερ τὴν φύσιν, οὕτω καὶ τὴν γνώμην ὄντας ἀναλλοιώτους. Καθαρὰν δὲ τοῦ νόμου τῆς ἁμαρτίας τὴν φύσιν καθίστησιν, ἡδονὴν προκαθηγεῖσθαι τῆς δι᾽ ἡμᾶς αὐτοῦ μὴ συγχωρήσας σαρκώσεως. ἄσπορος γὰρ γέγονε παραδόξως ἡ σύλληψις, καὶ ἄφθορος ὑπὲρ φύσιν ἡ γέννησις. ἐπισφίγγοντος δηλαδὴ τοῦ τεχθέντος Θεοῦ τῇ μητρὶ πλέον τῆς φύσεως, τὰ δεσμὰ τῆς παρθενίας διὰ γεννήσεως. καὶ τὴν φύσιν ἅπασαν, τῆς τοῦ κρατήσαντος νόμου δυναστείας, ἐν τοῖς βουλομένοις ἐλευθεροῦντος· τῇ κατ᾽ αἴσθησιν νεκρώσει τῶν ἐπὶ γῆς μελῶν, τὸν αὐτοῦ μιμουμένοις αὐθαίρετον θάνατον. βουλομένων γάρ, οὐ τυραννουμένων τὸ τῆς σωτηρίας μυστήριον. τῆς δὲ τοῦ κρατήσαντος ἡμῶν δι᾽ ἀπάτης πονηροῦ τυραννίδος ποιεῖται καθαίρεσιν, τὴν σάρκα τὴν νικηθεῖσαν ἐν τῷ Ἀδάμ, ὅπλον κατ᾽ αὐτοῦ προβαλλόμενος καὶ νικῶν· ἵνα δείξῃ τὴν πρότερον ἁλοῦσαν πρὸς θάνατον, ἑλοῦσαν τὸν ἑλόντα, καὶ θανάτῳ φυσικῷ, τὴν ἐκείνου ζωὴν διαφθείρασαν. καὶ γινομένην αὐτῷ μὲν δηλητήριον, πρὸς τὸ πάντας, οὓς κατέπιεν ἰσχύσας, ὡς ἔχον τοῦ θανάτου τὸ κράτος, ἐμέσαι. ζωὴν δὲ τῷ γένει τῶν ἀνθρώπων πᾶσαν ὥσπερ φύραμα τὴν φύσιν πρὸς ἀνάστασιν ὠθοῦσαν ζωῆς, ὑπὲρ ἧς μάλιστα Θεὸς ὢν ὁ λόγος, ἄνθρωπος γίνεται· (τὸ ξένον ὄντως πρᾶγμα καὶ ἄκουσμα.)

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἄκουσμα.) καὶ τὸν τῆς σαρκὸς θέλων καταδέχεται θάνατον. τούτων ἁπάντων, ὡς ἔφην, αἴτησιν ἔχων ὁ τῆς προσευχῆς εὑρεθήσεται λόγος. Πατέρα γάρ, καὶ Πατρὸς ὄνομα λέγει, καὶ βασιλείαν. καὶ τοῦ Πατρὸς αὖθις Υἱὸν ἐν χάριτι, τὸν προσευχόμενον ὄντα παρίστησιν. ἑνός τε θελήματος τοὺς ἐν οὐρανῷ καὶ γῇ γενέσθαι ζητεῖ. ἄρτον αἰτεῖσθαι προστάττει τὸν ἐπιούσιον. καταλλαγὴν τοῖς ἀνθρώποις νομοθετεῖ, καὶ τῷ συγχωρεῖν καὶ συγχωρεῖσθαι τὴν φύσιν πρὸς ἑαυτὴν συνδεῖ, τῇ διαφορᾷ τῆς γνώμης μὴ τεμνομένην. εἴς τε πειρασμὸν εἰσελθεῖν, ὡς νόμον ἁμαρτίας, ἀπεύχεσθαι διδάσκει. καὶ ῥυσθῆναι τοῦ πονηροῦ παραινεῖ. ἔδει γὰρ τὸν αὐτουργὸν καὶ δοτῆρα τῶν ἀγαθῶν, εἶναι καὶ διδάσκαλον, οἷα δὴ μαθηταῖς τοῖς πιστεύουσιν εἰς αὐτόν, καὶ μιμουμένοις αὐτοῦ τὴν διὰ σαρκὸς ἀγωγήν, ὑποθήκας ζωῆς ταύτης παρεχόμενον τῆς προσευχῆς τὰ ῥήματα· δι᾽ ὧν τοὺς ἐν αὐτῷ κατ᾽ εἶδος ὑφεστῶτας τῆς σοφίας καὶ τῆς γνώσεως ἀποκρύφους ἐμήνυε θησαυρούς, πρὸς τὴν αὐτῶν ἀπόλαυσιν δηλονότι, τῶν αἰτούντων ἐλαύνων τὴν ἔφεσιν. Διὰ τοῦτο προσευχήν, οἶμαι, ταύτην κέκληκε τὴν διδασκαλίαν ὁ λόγος, ὡς αἴτησιν ἔχουσαν τῶν ἀνθρώποις κατὰ χάριν ἐκ Θεοῦ διδομένων δώρων. οὕτω γὰρ οἱ θεόπνευστοι πατέρες ἡμῶν ὁριστικῶς περὶ τῆς προσευχῆς διεξῆλθον, φήσαντες, εἶναι τὴν προσευχὴν αἴτησιν ὧν Θεὸς πρεπόντως ἑαυτῷ δωρεῖσθαι πέφυκεν ἀνθρώποις. ὥσπερ καὶ τὴν εὐχὴν ὑπόσχεσιν, ἤγουν ἐπαγγελίαν ὧν γνησίως λατρεύοντες Θεῷ προσκομίζουσιν ἄνθρωποι, τὴν γραφὴν μαρτυροῦσαν τῷ οἰκείῳ λόγῳ πολλαχῶς παραστήσαντες, ὡς τό, Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν. καί, Ὅσα ηὐξάμην ἀποδώσω σοι τῷ Κυρίῳ. περὶ τῆς εὐχῆς εἰρημένα. καὶ αὖθις περὶ προσευχῆς ὡς τό, Καὶ προσηύξατο Ἄννα πρὸς Κύριον, λέγουσα, Κύριε ἀδωναΐ, ἐλωῒ σαββαώθ· ἐὰν ἐπακούων ἐπακούσῃς τῆς δούλης σου, καὶ δός μοι καρπὸν κοιλίας. καὶ προσηύξατο Ἐζεκίας βασιλεὺς Ἰούδα, καὶ Ἡσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης πρὸς Κύριον. καὶ τό, Ὅταν ὑμεῖς προσεύχησθε λέγετε, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, παρὰ τοῦ Κυρίου τοῖς μαθηταῖς εἰρημένον. ὡς εἶναι δύνασθαι τὴν μὲν εὐχήν, ἐντολῶν τήρησιν καὶ γνώμην τοῦ ηὐγμένου κεκυρωμένην. τὴν δὲ προσευχήν, τῆς πρὸς τὰ τηρηθέντα καλὰ τοῦ τετηρηκότος μεταποιήσεως αἴτησιν. ἢ μᾶλλον, τὴν μὲν εὐχὴν ἀρετῆς ἆθλον, ὃ δὴ μάλιστα προσφιλῶς δέχεται Θεὸς προσκομιζόμενον. τὴν δὲ προσευχὴν ἀρετῆς ἔπαθλον, ὃ δὴ μάλα χαίρων Θεὸς ἀντιδίδωσιν. οὐκοῦν, ἐπειδὴ δέδεικται τῶν ὑπὸ τοῦ λόγου σαρκωθέντος ἀγαθῶν αἴτησιν εἶναι τὴν προσευχήν, αὐτὸν προστησάμενοι τοῦ λόγου τῆς προσευχῆς τὸν διδάσκαλον, θαρροῦντες ἐπέλθωμεν, ἐπιμελῶς ἑκάστου ῥητοῦ γυμνάσαντες, ὡς οἷόν τε, θεωρίᾳ τὴν ἔννοιαν. ὡς αὐτός τε χορηγεῖν συμφερόντως εἴωθεν ὁ λόγος, καὶ χωρεῖν δίδωσι τῆς τοῦ λέγοντος διανοίας τὴν δύναμιν.

„ Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς· Κείμενον.
„ ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ
„ βασιλεία σου". Εὐθὺς καθηκόντως Ἐξήγ.
θεολογίας ἐν τύποις ἀπάρξασθαι διδάσκει τοὺς προσευχομένους ὁ Κύριος, καὶ τὴν πῶς ὕπαρξιν τῆς τῶν ὄντων ποιητικῆς αἰτίας μυσταγωγεῖ, κατ᾽ οὐσίαν τῶν ὄντων αἴτιος ὤν. Πατρὸς γάρ, καὶ ὀνόματος Πατρός, καὶ βασιλείας Πατρὸς δήλωσιν ἔχει τῆς προσευχῆς τὰ ῥήματα· ἵν᾽ ἀπ᾽ αὐτῆς διδαχθῶμεν τῆς ἀρχῆς, τὴν μοναδικὴν Τριάδα σέβειν· ἐπικαλεῖσθαί τε, καὶ προσκυνεῖν. ὄνομα γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς οὐσιωδῶς ὑφεστὼς ἐστὶν ὁ Μονογενὴς Υἱός. καὶ βασιλεία τοῦ Θεοῦ καὶ Πατρός, οὐσιωδῶς ἐστὶν ὑφεστῶσα τὸ Πνεῦμα τὸ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἅγιον. ὃ γὰρ ἐνταῦθα Ματθαῖός φησι βασιλείαν, ἀλλαχοῦ τῶν Εὐαγγελιστῶν ἕτερος, Πνεῦμα κέκληκεν Ἅγιον, φάσκων, ἐλθέτω τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ καθαρισάτω ἡμᾶς. οὐ γὰρ ἐπίκτητον ὁ Πατὴρ ἔχει τὸ ὄνομα, οὔτε μὴν ὡς ἀξίαν ἐπιθεωρουμένην αὐτῷ ἴσμεν τὴν βασιλείαν. οὐκ ἤρξατο γὰρ τοῦ εἶναι, ἵνα καὶ τοῦ Πατὴρ, ἢ βασιλεὺς εἶναι ἄρξηται· ἀλλ' ἀεὶ ὤν, ἀεὶ καὶ Πατήρ ἐστι καὶ βασιλεύς. μήτε τοῦ εἶναι, μήτε τοῦ Πατὴρ ἢ βασιλεὺς εἶναι τὸ παράπαν ἠργμένος. εἰ δὲ ἀεὶ ὤν, ἀεὶ καὶ Πατήρ ἐστι καὶ βασιλεύς, ἀεὶ ἄρα καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον οὐσιωδῶς τῷ Πατρὶ συνυφεστήκασιν· ἐξ αὐτοῦ τε ὄντα, καὶ ἐν αὐτῷ φυσικῶς, ὑπὲρ αἰτίαν καὶ λόγον· ἀλλ' οὐ μετ' αὐτόν, γενόμενα δι' αἰτίαν ὕστερον. ἡ γὰρ σχέσις συνενδείξεως κέκτηται δύναμιν· τὰ ὧν ἐστί τε καὶ λέγεται σχέσις, μετ' ἄλληλα θεωρεῖσθαι μὴ συγχωροῦσα. Ταύτης οὖν ἀπαρξάμενοι τῆς προσευχῆς, γεραίρειν * ἐπαγόμεθα τὴν ὁμοούσιόν τε, καὶ ὑπερούσιον Τριάδα, ὡς ποιητικὴν αἰτίαν τῆς ἡμετέρας γενέσεως· πρὸς δέ, καὶ τὴν εἰς ἡμᾶς διαγγέλλειν διδασκόμεθα χάριν τῆς υἱοθεσίας, τὸν φύσει δημιουργόν, χάριτι Πατέρα καλεῖν ἀξιούμενοι· ἵνα τοῦ κατὰ χάριν γεννήτορος αἰδεσθέντες τὴν προσηγορίαν, ἐν τῷ βίῳ τοὺς χαρακτῆρας ἐπισημαίνειν σπουδάζωμεν τοῦ γεννήσαντος, ἁγιάζοντες αὐτοῦ ἐπὶ γῆς τὸ ὄνομα, καὶ πατρίζοντες, καὶ τέκνα διὰ τῶν πραγμάτων δεικνύμενοι, καὶ τὸν ταύτης αὐτουργὸν τῆς υἱοθεσίας φυσικὸν τοῦ Πατρὸς Υἱόν, δι' ὧν νοοῦμεν, ἢ πράττομεν μεγαλύνοντες. ἁγιάζομεν δὲ τοῦ ἐν οὐρανοῖς κατὰ χάριν Πατρὸς τὸ ὄνομα, τὴν πρόσυλον δηλαδὴ νεκροῦντες ἐπιθυμίαν, καὶ φθοροποιῶν ἐκκαθαιρόμενοι παθῶν. εἴπερ ἁγιασμός ἐστιν, ἡ κατ' αἴσθησιν τῆς ἐπιθυμίας παντελὴς ἀκινησία καὶ νέκρωσις· ἐν ᾗ

* ἐν ἄλλ. ἀναγόμεθα.

γενόμενοι, τὰς ἀπρεπεῖς τοῦ θυμοῦ κατασιγάζομεν ὑλακάς, οὐκ ἔχομεν * ἔτι διεγείρουσαν αὐτόν, καὶ τῶν οἰκείων ἡδονῶν ὑπεραγωνίζεσθαι πείθουσαν τὴν ἐπιθυμίαν, ἤδη τῇ κατὰ τὸν λόγον ἁγιότητι νεκρωθεῖσαν. κατὰ φύσιν γὰρ τῆς ἐπιθυμίας ὑπάρχων ἔκδικος ὁ θυμός, τοῦ μαίνεσθαι παύεσθαι πέφυκεν, ὁπηνίκα ταύτην ἴδῃ νενεκρωμένην. Εἰκότως οὖν, τῇ τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας ἀποβολῇ, τὸ τῆς βασιλείας τοῦ Θεοῦ καὶ Πατρὸς κατὰ τὴν προσευχὴν ἐπιγίνεται κράτος, τοῖς μετὰ τὴν τούτων ἀπόθεσιν λέγειν ἀξιουμένοις, Ἐλθέτω ἡ βασιλεία. τουτέστι τὸ Πνεῦμα τὸ Ἅγιον· ἤδη διὰ τῆς πραότητος λόγῳ τε καὶ τρόπῳ ναοποιηθεῖσι τοῦ Θεοῦ διὰ τοῦ Πνεύματος. Ἐπὶ τίνα γάρ φησι καταπαύσω; ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον, καὶ ταπεινόν, καὶ τρέμοντά μου τοὺς λόγους. ὡς ἐντεῦθεν εἶναι δῆλον, ὅτι τῶν ταπεινῶν καὶ πραέων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ καὶ Πατρός. Μακάριοι γάρ φησιν οἱ πρᾳεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. γῆν ταύτην τὴν κατὰ φύσιν μέσην τοῦ παντὸς ἀπολαύουσαν θέσιν, ὁ Θεὸς οὐκ ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτὸν κληρονομίαν. εἴπερ ἀληθεύει φάσκων, Ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι ἐν τοῖς οὐρανοῖς. καί, Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. καὶ ἀλλαχοῦ πάλιν ἑτέρῳ μετ' εὐνοίας δουλεύσαντι, Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. καὶ μετ' αὐτὸν ὁ θεῖος Ἀπόστολος, Σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ πρῶτοι ἐγερθήσονται ἄφθαρτοι, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. Τούτων οὖν οὕτως ἐ-

* ἴσ. οὐκ ἔχοντες.

Κείμ.

Ἐξήγ.

πηγγελ-

ἐπηγγελμένων τοῖς ἀγαπῶσι τὸν Κύριον, Τίς μόνῳ τῷ ῥητῷ τῆς γραφῆς προσκλώσας τὸν νοῦν, τὸν οὐρανόν, καὶ τὴν ἡτοιμασμένην ἀπὸ καταβολῆς κόσμου βασιλείαν. καὶ τὴν τοῦ Κυρίου μυστικῶς ἀποκεκρυμμένην χαράν, καὶ τὴν διηνεκῆ καὶ παντελῶς ἀδιάστατον σὺν Κυρίῳ τῶν ἀξίων μονήν τε καὶ ἵδρυσιν, ταυτὸν ποτ' ἂν τῇ γῇ φήσειε, λόγῳ κινούμενος, καὶ μόνου θεραπευτὴς εἶναι παθῶν; ἀλλὰ νῦν γῆν φάσκειν οἶμαι, τὴν παγίαν καὶ παντελῶς ἀμετάθετον ἀπὸ τοῦ καλοῦ τῆς τῶν πραέων ἀξίας ἕξιν καὶ δύναμιν, ὡς ἀεὶ σὺν Κυρίῳ ὑπάρχουσαν, καὶ χαρὰν ἀνέκλειπτον ἔχουσαν, καὶ βασιλείας ἀνέκαθεν ἡτοιμασμένης ἐπειλημμένην, καὶ τῆς ἐν οὐρανῷ στάσεώς τε καὶ τάξεως ἠξιωμένην. οἷα δὲ γῆν τινὰ μέσην τοῦ παντὸς θέσιν ἀπολαβοῦσαν τῆς ἀρετῆς τὸν λόγον· καθ' ὃν μέσος εὐφημίας καὶ δυσφημίας ὑπάρχων ὁ πρᾶος, ἀπαθὴς διαμένει, μήτε ταῖς εὐφημίαις φυσώμενος, μήτε ταῖς δυσφημίαις συντεμνόμενος. ὧν γὰρ ὁ λόγος ὑπάρχει κατὰ φύσιν ἐλεύθερος, ἀποσείσας τὴν ἔφεσιν, τούτων διοχλούντων ταῖς προσβολαῖς οὐκ αἰσθάνεται, καταπαύσας ἑαυτὸν τῆς περὶ ταῦτα ζάλης, καὶ πρὸς τὴν θείαν καὶ ἄπρακτον ἐλευθερίαν ὅλην τῆς ψυχῆς μεθορμήσας τὴν δύναμιν· ἧς τοῖς ἑαυτοῦ μαθηταῖς ὁ Κύριος μεταδοῦναι ποθῶν, Ἄρατέ φησι, τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ἀνάπαυσιν λέγων, τὸ τῆς θείας βασιλείας κράτος, ὡς πάσης ἀπηλλαγμένην δουλείας τοῖς ἀξίοις ἐμποιοῦν δεσποτείαν. Εἰ δὲ τοῖς ταπεινοῖς καὶ πρᾴοις τὸ ἀκαθαίρετον τῆς ἀκηράτου βασιλείας δίδοται κράτος, τίς οὕτως ἀνέραστος, καὶ πάντη τῶν θείων ἀνόρεκτος ἀγαθῶν, ὡς μὴ κατ' ἄκρον ἐφίεσθαι ταπεινώσεως καὶ πρᾳότητος, ἵνα γένηται τῆς θείας χαρακτὴρ βασιλείας ὡς ἐφικτὸν ἐστιν ἀνθρώπῳ; φέρων ἐν ἑαυτῷ τοῦ φύσει κατ' οὐσίαν ὡς ἀληθῶς μεγάλου βασιλέως Χριστοῦ, κατὰ τὴν χάριν ἀπαράλλακτον τὴν ἐν πνεύματι μόρφωσιν; ἐν ᾧ, φησίν, ὁ θεῖος Ἀπόστολος, Οὐκ ἔστιν ἄρρεν καὶ θῆλυ, τουτέστι, θυμὸς καὶ ἐπιθυμία. ὁ μὲν τυραννικῶς ἐκφέρων τὸν λογισμόν, καὶ τοῦ νόμου τῆς φύσεως ἔξω ποιούμενος τὴν διάνοιαν. ἡ δὲ τῆς μιᾶς καὶ μόνης ἐφετῆς τε καὶ ἀπαθοῦς αἰτίας καὶ φύσεως, ποιουμένη τὰ μετ' αὐτὴν ἐρασμιώτερα, καὶ διὰ τοῦτο τὴν σάρκα προτιμοτέραν τιθεμένη τοῦ πνεύματος, καὶ τῆς τῶν νοουμένων δόξης τε καὶ λαμπρότητος ἐπιτερπεστέραν ἐργαζομένη τὴν τῶν φαινομένων ἀπόλαυσιν· τῷ κατ' αἴσθησιν λείῳ τῆς ἡδονῆς ἀπείργουσα τὸν νοῦν τῆς θείας συγγενοῦς τῶν νοητῶν ἀντιλήψεως. ἀλλ' ὁ λόγος μονώτατος, καὶ αὐτῆς εἰς ἄκρον τῆς ἀπαθοῦς μέν, φυσικῆς δὲ ὅμως τοῦ σώματος διὰ ἀρετῆς περιουσίαν, γυμνούμενος στοργῆς καὶ διαθέσεως, νικῶντος τελείως τὴν φύσιν τοῦ πνεύματος, καὶ τῆς ἠθικῆς πείθοντος σχολάσαι φιλοσοφίας, ἡνίκα συγγίνεσθαι δέοι τῷ ὑπερουσίῳ λόγῳ, δι' ἁπλῆς καὶ ἀμεροῦς θεωρίας τὸν νοῦν, κἂν συντελεῖν αὐτῷ πέφυκεν εἰς ῥᾳδίαν τῶν χρονικῶς ῥεόντων τομὴν καὶ διάβασιν· ὧν διαβαθέντων οὐκ εὔλογον ἐπιβαρεῖσθαι καθάπερ μηλωτῇ τῷ κατ' ἦθος τρόπῳ, τὸν ἀποφανθέντα τοῖς αἰσθητοῖς ἀνεπίσχετον. καὶ δηλοῖ τοῦτο σαφῶς Ἠλίας ὁ Μέγας, δι' ὧν ἔπραττε τυπικῶς τοῦτο παραδεικνὺς τὸ μυστήριον. τὴν μὲν μηλωτήν, φημὶ δὲ τῆς σαρκὸς τὴν νέκρωσιν, ἐν ᾗ τὸ μεγαλοπρεπὲς πέπηγε τῆς ἠθικῆς κοσμιότητος, κατὰ τὴν ἁρπαγὴν Ἐλισσαίῳ διδοὺς εἰς συμμαχίαν τοῦ πνεύματος, κατὰ πάσης ἀντικειμένης δυνάμεως, καὶ πληγὴν τῆς ἀστάτου καὶ ῥεούσης φύσεως· ἧς τύπος ὑπῆρχεν ὁ Ἰορδάνης,

πρὸς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πρὸς τὸ μὴ χεθῆναι τὸν μαθητὴν τῆς πρὸς τὴν ἁγίαν γῆν διαβάσεως, τῷ θολερῷ τε καὶ ἁλιθηρῷ περικλυσθέντα τῆς τῶν ὑλικῶν προσπαθείας. αὐτὸς δὲ χωρῶν πρὸς τὸν Θεὸν ἄνετος, οὐδενὶ τῶν ὄντων παντελῶς κατὰ τὴν σχέσιν κρατούμενος, ἁπλοῦς τε τὴν ἔφεσιν, καὶ τὴν γνώμην ἀσύνθετος, πρὸς τὸν ἁπλοῦν τῇ φύσει διὰ τῶν ἀλληλούχων γενικῶν ἀρετῶν, γνωστικῶς ἀλλήλαις συνηρμένων ὡς ἵππων πυρίνων, τὴν ἐκδημίαν ποιούμενος. ἔγνω γὰρ ὅτι δεῖ τὸν Χριστοῦ μαθητὴν ἀπογενέσθαι τὰς ἀνίσους διαθέσεις, ὧν ἡ διαφορότης ἐλέγχει τὴν ἀλλοτρίωσιν. ἅπερ διάχυσιν μὲν τοῦ περὶ καρδίαν αἵματος, τὸ κατ᾿ ἐπιθυμίαν πάθος. αἵματος δὲ ζέσιν, κινούμενον σαφῶς τὸ θυμικὸν ἀπεργάζεται. καὶ φθάσας εἶτα δὴ ζῶν ἐν Χριστῷ καὶ κινούμενος, καὶ ὤν, ἑαυτοῦ τὴν τῶν ἀνίσων καὶ ἀλλοιούντων ἀπέθετο γένεσιν· μὴ φέρων ἐν ἑαυτῷ καθάπερ ἄρρεν καὶ θῆλυ, τὰς ἐναντίας ὡς ἔφην τούτων τῶν παθῶν διαθέσεις· ἵνα μὴ δουλωθῇ τούτοις ὁ λόγος, ταῖς αὐτῶν ἀστάτοις μεταβολαῖς ἀλλοιούμενος, ᾧ φυσικῶς τὸ τῆς θείας εἰκόνος ἐγκέκραται σέβας, πεῖσαι τὴν ψυχὴν μεταπλασθῆναι κατὰ τὴν γνώμην πρὸς τὴν θείαν ὁμοίωσιν, καὶ γενέσθαι τῆς συνυφισταμένης οὐσιωδῶς τῷ Θεῷ καὶ Πατρὶ τῶν ὅλων μεγάλης βασιλείας, ὡς Πνεύματος Ἁγίου, παμφαὲς οἰκητήριον, ὅλην δεχόμενον εἰ θέμις εἰπεῖν, τῆς θείας φύσεως κατὰ τὸ δυνατόν, τὴν ἐξουσίαν τῆς γνώσεως. καθ᾿ ἣν, ἡ μὲν τῶν χειρόνων ἀπογίνεσθαι, τῶν δὲ κρειττόνων ὑφίστασθαι πέφυκε γένεσις, ἴσα Θεῷ τῆς ψυχῆς κατὰ τὴν χάριν τῆς κλήσεως, ἄσυλον φυλαττούσης ἐν ἑαυτῇ τῶν δωρηθέντων καλῶν τὴν ὑπόστασιν. καθ᾿ ἣν ἀεὶ θέλων Χριστὸς γεννᾶται μυστικῶς, διὰ τῶν σωζομένων σαρκούμενος· καὶ Μητέρα Παρθένον ἀπεργαζόμενος τὴν γεννῶσαν ψυχήν, οὐκ ἔχουσαν, ἵνα συνελὼν εἴπω, κατὰ τὴν σχέσιν ὥσπερ ἄρρεν καὶ θῆλυ, τὰ γνωρίσματα τῆς ὑπὸ φθορὰν καὶ γένεσιν φύσεως. ξενιζέσθω δὲ μηδεὶς τὴν φθορὰν τῆς γενέσεως ἀκούων προταττομένην. ἀπαθῶς γὰρ τῷ ὀρθῷ λόγῳ τὴν τῶν γινομένων καὶ ἀπογινομένων φύσιν διασκοπήσας, εὑρήσει σαφῶς, ἐκ φθορᾶς καὶ εἰς φθορὰν τὴν γένεσιν ἀρχομένην καὶ λήγουσαν. ἧς τὰ σημαντικὰ πάθη, καθάπερ ἔφην, οὐκ ἔχει Χριστός· ἤγουν ὁ τοῦ Χριστοῦ τε καὶ κατὰ Χριστὸν βίος τε καὶ λόγος. εἴπερ ὁ λέγων ἐστὶν ἀληθής, ἐν γὰρ Χριστῷ Ἰησοῦ, οὐκ ἔστιν ἄρσεν καὶ θῆλυ· τὰ σημεῖα δηλαδή, καὶ τὰ πάθη δηλοῦν τῆς ὑπὸ φθορὰν καὶ γένεσιν φύσεως· ἀλλ᾿ ἢ μόνος θεοειδὴς λόγος γνώσει θείᾳ πεποιωμένος, καὶ γνώμης μοναδικὴ κίνησις, μόνην αἱρουμένη τὴν ἀρετήν. οὔτε Ἕλλην καὶ Ἰουδαῖος, δι᾿ ὧν τῆς περὶ Θεοῦ δόξης ὁ διάφορος σημαίνεται λόγος· ἢ τό γε μᾶλλον ἀληθέστερον εἰπεῖν, ἀντικείμενος. ὁ μὲν ἀφθόνως ἐκχεόμενος πολυαρχίαν, καὶ τὴν μίαν ἀρχὴν ἀντικειμέναις ἐνεργείαις τε, καὶ δυνάμεσι καταμερίζων· καὶ πλαττόμενος σέβας πολύθεον, τῷ τε πλήθει τῶν προσκυνουμένων στασιαζόμενον, καὶ τῷ διαφόρῳ τῆς προσκυνήσεως τρόπῳ γελώμενον. ὁ δὲ μίαν μέν, στενὴν δὲ καὶ ἀτελῆ, καὶ σχεδὸν ἀνυπόστατον, ὡς λόγου καὶ ζωῆς ἔρημον· πρὸς ἴσον κακὸν τῷ προτέρῳ λόγῳ διὰ τῶν ἐναντίων ἐκπίπτον, τὴν ἀθεΐαν· ἐνὶ περιγράφων προσώπῳ τὴν μίαν ἀρχήν, καὶ ταύτην δίχα Λόγου καὶ Πνεύματος ὑφισταμένην, ἢ Λόγῳ καὶ Πνεύματι πεποιωμένην· μὴ συνορῶν, ὅτι τίς Θεὸς τούτων ἠμοιρημένος; ἢ πῶς Θεός, μεθέξει παραπλησίως τοῖς ὑπὸ γένεσιν καὶ λογικοῖς ὡς συμβεβηκότων τούτων μεμοιραμένος; ὧν ἐν Χριστῷ πα-

ράπαν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ῥέπων, ὡς ἔφην, οὐδείς· ἀλλὰ μόνος ὁ ἀληθὴς εὐσεβείας λόγος, καὶ πάγιος μυστικῆς θεολογίας θεσμός, τήν τε τοῦ προτέρου λόγου διαστολὴν τῆς θεότητος ἀποπεμπόμενος, καὶ τὴν τοῦ δευτέρου μὴ παραδεχόμενος συστολήν· ἵνα μὴ τῷ φυσικῷ πλήθει στασιαστικόν, Ἑλληνικὸν γάρ· ἢ τῷ καθ᾿ ὑπόστασιν ἑνικῷ παθητόν. Ἰουδαϊκὸν γάρ, ὡς λόγου καὶ πνεύματος ἐστερημένον, ἢ λόγῳ καὶ πνεύματι προσποιούμενον. ἀλλ᾿ οὐκ ἂν νοῦς καὶ λόγος καὶ πνεῦμα τὸ θεῖον πρεσβεύεται· καὶ διδάσκων ἡμᾶς τοὺς κλήσει χάριτος κατὰ πίστιν εἰσπεποιημένους εἰς ἐπίγνωσιν ἀληθείας, μίαν εἰδέναι θεότητος φύσιν καὶ δύναμιν· ἤγουν ἕνα Θεὸν ἐν Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι θεωρούμενον. οἷα δὴ μόνον ἀναίτιον νοῦν, οὐσιωδῶς ὑφεστῶτα, μόνου κατ᾿ οὐσίαν ὑφεστῶτος ἀνάρχου λόγου γεννήτορα, καὶ μόνης ἀϊδίου ζωῆς οὐσιωδῶς ὑφεστώσης, ὡς Πνεύματος Ἁγίου πηγήν· ἐν μονάδι Τριάδα, καὶ ἐν Τριάδι μονάδα. οὐκ ἄλλην καὶ * ἄλλην. οὐ γὰρ ὡς ἐν οὐσίᾳ τῇ μονάδι συμβεβηκός ἐστιν ἡ Τριάς. οὐ τὸ ἔμπαλιν, ἐν Τριάδι μονάς. ἄποιος γάρ· οὐδ᾿ ὡς ἄλλην καὶ ἄλλην. οὐ γὰρ ἑτερότητι φύσεως τῆς Τριάδος ἡ μονὰς διενήνοχεν· ἁπλῆ τε καὶ μία φύσις τυγχάνουσα· οὐδ᾿ ὡς ἄλλην παρ᾿ ἄλλην. οὐ γὰρ ὑφέσει δυνάμεως διακέκριται τῆς μονάδος ἡ Τριάς, ἢ τῆς Τριάδος ἡ μονάς· οὐ ὡς κοινόν τι καὶ γενικὸν ἐπινοίᾳ μόνῃ θεωρητὸν τῶν ὑπ᾿ αὐτὸ μερικῶν, παρήλλακται τῆς Τριάδος ἡ μονάς, οὐσία κυρίως αὐθύπαρκτος οὖσα, καὶ δύναμις ὄντως αὐτοσθενής· οὐδ᾿ ὡς δι᾿ ἄλλης ἄλλην. οὐ γὰρ κατὰ παραγωγὴν ἐκ μονάδος Τριάς, ἀγέννητος ὑπάρχουσα καὶ αὐτέκφαντος· ἀλλὰ τὴν αὐτὴν ὡς ἀληθῶς, μονάδα, καὶ Τριάδα, καὶ λεγομένην, καὶ νοουμένην· τὸ μέν, τῷ κατ᾿ οὐσίαν λόγῳ· τὸ δέ, τῷ καθ᾿ ὕπαρξιν τρόπῳ· ὅλην μονάδα τὴν αὐτήν, μὴ μεμερισμένην ταῖς ὑποστάσεσι· καὶ ὅλην Τριάδα τὴν αὐτήν, τῇ μονάδι μὴ συγκεχυμένην. ἵνα μὴ τῷ μερισμῷ τὸ πολύθεον, ἢ τῇ συγχύσει τὸ ἄθεον εἰσκομίζηται· ἅπερ φεύγων ὁ κατὰ Χριστὸν λαμπρύνεται λόγος· λέγω δὲ Χριστοῦ λόγον, τὸ καινὸν κήρυγμα τῆς ἀληθείας· ἐν ᾧ οὐκ ἔστιν ἄρρεν καὶ θῆλυ· φημὶ δὲ τὰ σημεῖα καὶ τὰ πάθη τῆς ὑπὸ φθορὰν καὶ γένεσιν φύσεως· οὐχ Ἕλλην καὶ Ἰουδαῖος, οἱ περὶ θεότητος ἀντικείμενοι λόγοι· οὐ περιτομὴ καὶ ἀκροβυστία, αἱ τούτοις δηλαδὴ κατάλληλοι λατρεῖαι· ἡ μέν, διὰ τὰ σύμβολα τοῦ νόμου, τὴν φαινομένην κτίσιν κακίζουσα, καὶ τὸν κτίστην ὡς κακῶν ποιητὴν διαβάλλουσα· ἡ δέ, διὰ τὰ πάθη, ταύτην θεοποιοῦσα, καὶ τῷ κτίστῃ ἐπανισοῦσα τὸ ποίημα· καὶ πρὸς ἴσον κακὸν ἄμφω τὴν θείαν ὕβριν ἀλλήλαις συλλέγουσαι· οὐ βάρβαρος, καὶ Σκύθης· τουτέστιν, ἡ πρὸς ἑαυτὴν στασιαστικὴ τῆς μιᾶς φύσεως κατὰ γνώμην διάστασις· καθ᾿ ἣν ὁ τῆς ἀλληλοκτονίας παρὰ φύσιν τοῖς ἀνθρώποις εἰσεφθάρη νόμος· οὔτε δοῦλος καὶ ἐλεύθερος, ἡ τῆς αὐτῆς δηλονότι παρὰ γνώμην διαίρεσις φύσεως· ἄτιμον ποιουμένη τὸν κατὰ φύσιν ὁμότιμον· νόμον ἐπίκυρον ἔχουσα, τὴν τυραννοῦσαν τὸ τῆς εἰκόνος ἀξίωμα, τῶν δεσποζόντων διάθεσιν· ἀλλὰ πάντα καὶ ἐν πᾶσι Χριστός, διὰ τῶν ὑπὲρ φύσιν καὶ νόμον, τὴν τῆς ἀνάρχου βασιλείας δημιουργῶν ἐν πνεύματι μόρφωσιν· ἣν ὡς ἀποδέδεικται, πέφυκε χαρακτηρίζειν, καρδίας ταπείνωσις, καὶ πραότης· ὧν ἡ σύνοδος, τέλειον τὸν κατὰ Χριστὸν κτιζόμενον ἀποδείκνυσιν ἄνθρωπον. πᾶς γὰρ ταπεινόφρων πάντως καὶ πρᾶος· καὶ πᾶς πρᾶος, πάντως καὶ ταπεινόφρων. ταπεινόφρων μέν, ὡς γνοὺς ἑαυτὸν ἔχοντα τὸ εἶναι δεδανεισμένον. πρᾶος δέ, ὡς διαγνοὺς τῶν δοθεισῶν αὐτῷ κατὰ φύσιν δυνάμεων τὴν χρῆσιν. καὶ τῷ μὲν λόγῳ,

* ἴσ. ἐν ἄλλ.

πρὸς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πρὸς ἀρετῆς γένεσιν τούτων διδοὺς τὴν ὑπηρεσίαν· τῆς αἰσθήσεως δὲ, τελείως τὴν τούτων συστέλλων ἐνέργειαν. καὶ διὰ τοῦτο κατὰ μὲν τὸν νοῦν, πρὸς Θεὸν ἀκινήτως ὤν· κατὰ δὲ τὴν αἴσθησιν, οὐδὲ πάντων ὁμοῦ τῶν πρὸς σῶμα λυπηρῶν πεῖραν λαμβάνων παντελῶς κινούμενος, ἢ λύπης ἴχνος ἐντυπῶν τῇ ψυχῇ, πρὸς παραλλαγὴν τῆς ἐν αὐτῇ χαροποιοῦ διαθέσεως. οὐ γὰρ ἡγεῖται στέρησιν ἡδονῆς ὑπάρχειν, τὸ κατ' αἴσθησιν ἀλγεινόν. ἡδονὴν γὰρ μίαν ἐπίσταται, τὴν τῆς ψυχῆς πρὸς τὸν Λόγον συμβίωσιν· ἧς ἡ στέρησις, κόλασίς ἐστιν ἀτελεύτητος, πάντας φυσικῶς περιγράφουσα τοὺς αἰῶνας. καὶ διὰ τοῦτο, τό, τε σῶμα, καὶ πάντα τὰ τοῦ σώματος ἀφεὶς, πρὸς τὴν θείαν φέρεται συντόνως συμβίωσιν· μίαν ζημίαν ἡγούμενος, κἂν πάντων δεσπόζῃ τῶν ἐπὶ γῆς, τὴν τῆς προσδοκωμένης κατὰ χάριν θεώσεως ἀποτυχίαν. Ἁγιάσωμεν οὖν ἑαυτοὺς παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἵνα τὸ θεῖον ἁγιάσωμεν ὄνομα, ἀκκιζομένην τοῖς πάθεσιν ἀπρεπῶς τὴν ἐπιθυμίαν κατασβέσαντες· καὶ λόγῳ, ταῖς ἡδοναῖς ἀτάκτως ἐπιμαινόμενον τὸν θυμὸν, καταδήσωμεν· ἵνα διὰ τῆς πραότητος παραγινομένην ὑποδεξώμεθα τὴν τοῦ Θεοῦ καὶ Πατρὸς βασιλείαν. καὶ τὸν ἐφεξῆς λόγον τῆς προσευχῆς, τοῖς προτέροις ἁρμόσωμεν λέγοντες·

Κυρ. Εὐχ. „ Γενηθήτω τὸ θέλημά σου, „ ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς". Ὁ κατὰ μόνην τὴν λογικὴν δύναμιν, ἐπιθυμίας τε καὶ θυμοῦ κεχωρισμένην μυστικῶς προσάγων τῷ Θεῷ τὴν λατρείαν, οὗτος ἐπὶ γῆς ὡς ἐν οὐρανῷ τῶν Ἀγγέλων αἱ τάξεις, τὸ θεῖον πεπλήρωκε θέλημα· διὰ πάντων τοῖς Ἀγγέλοις ὁμολάτρης γενόμενος, καὶ ὁμοδίαιτος, καθάπερ φησὶν ὁ Μέγας Ἀπόστολος, Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει· παρ' οἷς οὐκ ἔστιν ἐπιθυμία, δι' ἡδονῆς τοὺς νεκροὺς παραλύουσα τόνους· οὔτε θυμὸς λυσσῶν, καὶ τὸ συγγενὲς ἀσμένως καθυλακτῶν· ἀλλὰ λόγος μονώτατος πρὸς τὸν πρῶτον Λόγον φυσικῶς ἄγων τοὺς λογικούς· ᾧ μόνῳ χαίρει Θεὸς καὶ παρ' ἡμῶν αἰτεῖ τῶν αὐτοῦ δούλων. καὶ τοῦτο δηλοῖ πρὸς τὸν Μέγαν φάσκων Δαβίδ, Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς; ὑπάρχει δὲ τῷ Θεῷ ἐν οὐρανοῖς προσαγόμενον παρὰ τῶν Ἁγίων Ἀγγέλων, πλὴν τῆς λογικῆς λατρείας οὐδέν· ἣν καὶ παρ' ἡμῶν ἐπιζητῶν, προσευχομένους λέγειν ἐδίδαξε· Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. κινείσθω οὖν καὶ ἡμῶν πρὸς τὴν τοῦ Θεοῦ ζήτησιν ὁ λόγος, πρός τε τὸν αὐτοῦ πόθον ἡ κατ' ἐπιθυμίαν δύναμις, καὶ πρὸς τὴν αὐτοῦ φυλακὴν ἀγωνιζέσθω τὸ θυμικόν· μᾶλλον δὲ κυριώτερον εἰπεῖν, ὁ μὲν νοῦς τετάσθω πᾶς πρὸς Θεόν· οἱονεὶ τόνῳ τινὶ τῷ θυμικῷ τρόπῳ νευρούμενος, καὶ πόθῳ τῷ κατ' ἄκρον ἐφέσει τῆς ἐπιθυμίας πυρούμενος. οὕτω γὰρ τοὺς κατ' οὐρανὸν Ἀγγέλους μιμούμενοι, τῷ Θεῷ διαπαντὸς λατρεύοντες εὑρεθησόμεθα· τὴν αὐτὴν τοῖς Ἀγγέλοις ἐπὶ τῆς γῆς πολιτείαν ἐπιδεικνύμενοι· πρὸς οὐδὲν τῶν μετὰ Θεὸν ἴσως ἐκείνοις, ἔχοντες τὸν νοῦν τὸ παράπαν κινούμενον. δεξόμεθα γὰρ κατ' εὐχὰς οὕτω πολιτευόμενοι, καθάπερ ἄρτον ἐπιούσιόν τε καὶ ζωτικὸν εἰς ἀποτροφὴν τῶν ἡμετέρων ψυχῶν, καὶ συντήρησιν τῆς τῶν χαρισθέντων ἡμῖν ἀγαθῶν ἕξεως, τὸν εἰπόντα Λόγον, Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ· ἀναλόγως ἡμῖν τοῖς τρεφομένοις δι' ἀρετῆς καὶ σοφίας πάντα γινόμενον· καὶ δι' ἑκάστου τῶν σωζομένων ποικίλως, ὡς οἶδεν αὐτὸς, σωματούμενον, ἔτι κατὰ τὸν αἰῶνα τοῦτον ὑπάρχοντες, κατὰ τὴν τοῦ ῥητοῦ τῆς προσευχῆς δύναμιν τοῦ λέγοντος·

„ Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς Κυρ.

Ἐξηγ. „ἡμῖν σήμερον." Τοῦτον γὰρ οἶμαι δηλοῦσθαι τὸν αἰῶνα διὰ τοῦ σήμερον· ὡς ὅτις ἐπὶ τὸ σαφέστερον ἐκλαβὼν εἴποι, τὸν τύπον τῆς προσευχῆς, τὸν ἄρτον ἡμῶν, ὃν κατ᾽ ἀρχὰς ἐπ᾽ ἀθανασίᾳ τῆς φύσεως ἡτοίμασας, δὸς ἡμῖν σήμερον, κατὰ τὴν παροῦσαν ζωὴν οὖσιν τῆς θνητότητος· ἵνα νικήσῃ τὸν θάνατον τῆς ἁμαρτίας, ἡ τροφὴ τοῦ ἄρτου τῆς ζωῆς καὶ τῆς ἐπιγνώσεως· ἧς μέτοχον γενέσθαι τὸν πρῶτον ἄνθρωπον, ἡ παράβασις τῆς θείας ἐντολῆς οὐ συνεχώρησεν· ὡς εἴγε ταύτης ἐνεφορήθη τῆς θείας τροφῆς, οὐκ ἂν τῷ θανάτῳ τῆς ἁμαρτίας ἡλίσκετο. (πλὴν ὁ τὸν ἄρτον τοῦτον λαβεῖν εὐχόμενος τὸν ἐπιούσιον, οὐ πάντως ὅλον δέχεται καθὼς αὐτὸς ὁ ἄρτος ἐστίν· ἀλλὰ καθὼς αὐτὸς ὁ δεχόμενος δύναται. πᾶσι μὲν γὰρ δίδωσι τοῖς αἰτοῦσιν ὁ τῆς ζωῆς ἄρτος ὡς φιλάνθρωπος, οὐ κατὰ τὸ αὐτὸ δὲ πᾶσιν· ἀλλὰ τοῖς μὲν μεγάλα ἔργα πεποιηκόσι, πλειόνως· τοῖς δὲ τούτων ἧττοσιν, ἡττόνως· ἑκάστῳ μὲν οὖν καθὼς ἡ κατὰ νοῦν ἀξία δέξασθαι δύναται.) Πρὸς ταύτην δέ με τοῦ παρόντος ῥητοῦ τὴν ἔννοιαν ἤγαγεν ὁ σωτήρ, προστάσσων διαρρήδην τοῖς μαθηταῖς τροφῆς αἰσθητῆς παντελῶς μὴ ποιεῖσθαι λόγον, εἰπών, Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε, ἢ τί πίητε, μήτε τῷ σώματι ὑμῶν τί περιβάλησθε· ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητοῦσιν· ἀλλὰ ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. πῶς οὖν διδάσκει προσεύχεσθαι, περὶ ὧν * ζητεῖν προλαβὼν ἐνετείλατο· δῆλον γὰρ ὅτι διὰ προσευχῆς αἰτεῖν οὐ προσέταττεν, ἅπερ δι᾽ ἐντολῆς ζητεῖν οὐ παρῄνεσε. διὰ προσευχῆς γὰρ μόνον ἐστὶν αἰτητόν, τὸ κατ᾽ ἐντολὴν ζητητόν. ὅπερ οὖν ζητεῖν δι᾽ ἐντολῆς οὐκ ἐπετράπημεν, διὰ προσευχῆς αἰτεῖν, τυχὸν θεμιτὸν οὐ καθέστηκεν. εἰ δὲ μόνην ζητεῖν τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην ὁ σωτὴρ ἐνετείλατο, ταύτην εἰκότως καὶ διὰ προσευχῆς αἰτεῖν τοὺς τῶν θείων ἐφιεμένους δώρων ἐνήγαγεν· ἵνα τῷ φύσει ζητητῷ διὰ προσευχῆς τὴν χάριν ἐπικυρώσας, τὴν τῶν αἰτούντων γνώμην τῷ τοῦ παρεχομένου τὴν χάριν συνάψῃ θελήματι, δι᾽ ἑνώσεως σχετικῆς ταυτὸ ποιουμένην. Εἰ δὲ καὶ τὸν ἐφήμερον ἄρτον, ᾧ συγκρατεῖσθαι πέφυκεν ἡμῶν ἡ παροῦσα ζωὴ διὰ προσευχῆς αἰτεῖν κελευόμεθα, μὴ παρέλθωμεν τοὺς ὅρους τῆς προσευχῆς, πολλὰς ἐτῶν περιόδους πλεονεκτικῶς περισκοποῦντες, καὶ λάθωμεν ὄντες θνητοί, καὶ σκιᾶς δίκην τὴν ζωὴν παροδεύουσαν ἔχοντες· ἀλλὰ τὸν πρὸς ἡμέραν ἀπεριμερίμνως διὰ τῆς προσευχῆς αἰτήσωμεν ἄρτον. καὶ δείξωμεν, ὅτι φιλοσόφως κατὰ Χριστόν, μελέτην θανάτου τὸν βίον ποιούμεθα, τῇ γνώμῃ φθάνοντες τὴν φύσιν, καὶ πρὶν ἐπιστῆναι τὸν θάνατον, τῆς τῶν σωματικῶν μερίμνης τὴν ψυχὴν ἀποτέμνοντες· ἵνα μὴ προσηλωθῇ τοῖς φθειρομένοις, ἀμείψασα πρὸς τὴν ὕλην τὴν χρῆσιν τῆς κατὰ φύσιν ἐφέσεως, καὶ μάθῃ πλεονεξίαν τῆς τῶν θείων ἀγαθῶν περιουσίας στερητικήν. φύγωμεν οὖν ὅση δύναμις τὴν φιλίαν τῆς ὕλης, καὶ τὴν αὐτῆς σχέσιν καθάπερ κονιορτὸν τῶν νοερῶν ὀμμάτων ἀπονιψώμεθα. καὶ μόνοις ἀρκεσθῶμεν τοῖς συνιστῶσιν, ἀλλὰ μὴ τοῖς ἡδύνουσιν ἡμῶν τὴν παροῦσαν ζωήν. καὶ ὑπὲρ αὐτῶν τὸν Θεόν, ὡς ἐδιδάχθημεν ἀξιώσωμεν· ἵνα δυνηθῶμεν ἀδούλωτον φυλάξαι τὴν ψυχήν, μηδενὶ τῶν ὁρωμένων διὰ τὸ σῶμα παντελῶς κρατουμένην. καὶ τοῦ ζῆν ἕνεκεν δειχθῶμεν ἐσθίοντες, ἀλλὰ μὴ τοῦ ἐσθίειν χάριν ζῶντες ἐλεγχθῶμεν. τὸ μὲν γὰρ λογικῆς, τὸ δὲ τῆς ἀλόγου σαφῶς ἴδιον καθέστηκε φύσεως. καὶ φύλακες ὦμεν τῆς προσευχῆς ἀκριβεῖς, δι᾽ αὐτῶν δεικνύμενοι τῶν πραγμάτων,

* ἴσ. μὴ ζητεῖν



Athos Library Αγιορειτική Βιβλιοθήκη

ὅτι μιᾶς καὶ μόνης ἀπρὶξ ἀντεχόμεθα, τῆς ἐν πνεύματι ζωῆς, καὶ πρὸς τὴν αὐτῆς κτῆσιν τῆς παρούσης ζωῆς δηλονότι τὴν χρῆσιν ποιούμεθα· δι᾽ ἣν τοσοῦτον τὴν ταύτης στέργομεν χρῆσιν, ὅσον ἄρτῳ τούτῳ μόνῳ συνέχειν μὴ παραιτεῖσθαι, καὶ τὴν αὐτῆς φυσικὴν εὐεξίαν φυλάττειν ὅσον τὸ ἐφ᾽ ἡμῖν ἀδιάφθορον· οὐχ ἵνα ζῶμεν, ἀλλ᾽ ἵνα Θεῷ ζῶμεν· ψυχῆς ἄγγελον τὸ σῶμα καθιστῶντες λελογισμένον ταῖς ἀρεταῖς, καὶ ταύτην Θεοῦ κήρυκα ποιοῦντες τῇ περὶ τὸ καλὸν παγιότητι πεποιωμένην· καὶ τοῦτον μιᾷ φυσικῶς ἡμέρᾳ περικλείοντες τὸν ἄρτον· ὑπὲρ αὐτοῦ μὴ τολμῶντες εἰς δευτέραν ἡμέραν, διὰ τὸν δοτῆρα τῆς προσευχῆς ἐπεκτεῖναι τὴν δέησιν. οὕτω γὰρ αὖ πραγματικῶς κατὰ τὴν δύναμιν τῆς προσευχῆς ἑαυτοὺς διαθέντες δυνηθείημεν καὶ τοῖς λειπομένοις καθαρῶς προσβῆναι ῥητοῖς, φάσκοντες, „Καὶ ἄφες ἡμῖν τὰ
Κυρ. „ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίε-
Εὐχ. „μεν τοῖς ὀφειλέταις ἡμῶν“. Ὁ καὶ τὴν πρώτην τῆς τοῦ προλαβόντος ῥητοῦ θεωρίας ἐπιβολὴν, καὶ τὸν αἰῶνα τοῦτον, οὗ σύμβολον εἶναι τὸ σήμερον ἔφαμεν, τὸν ἄφθαρτον ἄρτον τῆς σοφίας, οὗ κατ᾽ ἀρχὰς διετείχισεν ἡμᾶς ἡ παράβασις, διὰ προσευχῆς ἐπιζητῶν, ἅτε δὴ μίαν ἡδονὴν ἐπιστάμενος τὴν τῶν θείων ἐπιτυχίαν, ἧς δοτὴρ μὲν κατὰ φύσιν ἐστὶν ὁ Θεός, φύλαξ δὲ κατὰ θέλησιν ἡ τοῦ λαβόντος προαίρεσις· καὶ μίαν ὀδύνην εἰδὼς, τὴν τούτων ἀποτυχίαν, ἧς ὑποβολεὺς μὲν ἐστὶν ὁ διάβολος· αὐτουργὸς δὲ πᾶς ὁ τῶν θείων δι᾽ ἀτονίαν γνώμης ἀποκναιόμενος, μὴ φυλάττων τὸ τίμιον γνώμης διαθέσει στεργόμενον· πρὸς οὐδὲν ἔχων τῶν ὁρωμένων ῥέπουσαν τὸ σύνολον τὴν προαίρεσιν· καὶ διὰ τοῦτο τοῖς σωματικῶς αὐτῷ συμβαίνουσι λυπηροῖς, οὐχ ὑπαγόμενος, οὗτος ὡς ἀληθῶς ἀφίησι τοῖς εἰς αὐτὸν ἁμαρτάνουσιν· ὅτι μηδὲ τὸ κατ᾽ ἔφεσιν αὐτῷ σπουδαζόμενον δύναταί τις τὸ παράπαν χειροῦσθαι καλὸν, ἀνάλωτον καὶ φύσιν ὑπάρχειν πεπιστευμένον· καὶ τῷ Θεῷ καθίστησιν ἑαυτὸν ἀρετῆς ἐξομπλάριον, εἰ καὶ τοῦτο θέμις εἰπεῖν, πρὸς μίμησιν ἑαυτοῦ τὸν ἀμίμητον ἐλθεῖν ἐγκελευόμενος, λέγων, Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ οἷος αὐτὸς γέγονε τοῖς πέλας, γενέσθαι παρακαλῶν τὸν Θεόν. εἰ γὰρ ὡς αὐτὸς ἀφῆκε τὰ ὀφειλήματα τοῖς εἰς αὐτὸν ἡμαρτηκόσι, βούλεται καὶ αὐτῷ ἀφεθῆναι παρὰ Θεοῦ, δηλονότι ὥσπερ ὁ Θεὸς ἀπαθῶς ἀφίησιν οἷς ἀφίησιν, οὕτως καὶ αὐτὸς ἀπαθὴς ἐπὶ τοῖς συμβαίνουσι διαμένων, ἀφίησι τοῖς πλημμελήσασι· μὴ συγχωρῶν μνήμῃ τινὶ τῶν φθασάντων λυπηρῶν τυποῦσθαι τὸν νοῦν, ἵνα μὴ τέμνων τῇ γνώμῃ τὴν φύσιν ἐλέγχηται, πρός τινα τῶν ἀνθρώπων διεστηκὼς, ἄνθρωπος ὤν. οὕτω γὰρ αὖ ἑνωθείσης τῆς γνώμης τῷ λόγῳ τῆς φύσεως, ἡ τοῦ Θεοῦ πρὸς τὴν φύσιν καταλλαγὴ γίνεσθαι πέφυκεν. ὅτι μήτε δυνατὸν ἑτέρως καὶ τὴν γνώμην πρὸς ἑαυτὴν στασιάζουσαν τὴν φύσιν, τὴν θείαν καὶ ἀνεκλάλητον ὑποδέξασθαι συγκατάβασιν. καὶ τυχὸν διὰ τοῦτο πρότερον ἡμᾶς βούλεται τὰς πρὸς ἀλλήλους ποιεῖσθαι καταλλαγὰς ὁ Θεός, οὐχ ἵνα παρ᾽ ἡμῶν μάθῃ καταλλάττεσθαι τοῖς ἁμαρτάνουσι, καὶ τῶν πολλῶν συγχωρεῖν, καὶ φοβερῶν ἐγκλημάτων τὴν ἔκτισιν, ἀλλ᾽ ἵνα ἡμᾶς καθάρῃ παθῶν, καὶ δείξῃ συμβαίνουσαν τῇ σχέσει τῆς χάριτος τὴν τῶν συγκεχωρημένων διάθεσιν. σαφῶς δὲ καθέστηκε δῆλον, ὅτι τῆς γνώμης ἑνωθείσης τῷ λόγῳ τῆς φύσεως, ἀστασίαστος ἔσται πρὸς τὸν Θεὸν ἡ τῶν τοῦτο κατορθωκότων προαίρεσις. εἴπερ οὐδὲν πέφυκεν ἐνθεωρεῖσθαι παράλογον τῷ λόγῳ τῆς φύσεως, ὃς καὶ νόμος ἐστὶ φυσικός τε καὶ θεῖος, ὅταν καθ᾽ ἑαυτὸν ἐνεργουμένην λάβῃ τῆς

γνώμης

Athos Library
Αγιορειτική Βιβλιοθήκη

γνώμης τὴν κίνησιν. εἰ δὲ παράλογον οὐδὲν ἔστιν ἐν τῷ λόγῳ τῆς φύσεως, εἰκότως ἡ γνώμη κατὰ τὸν λόγον κινουμένη τῆς φύσεως, συμβαίνουσαν ἕξει διὰ πάντων τοῦ Θεοῦ τὴν ἐνέργειαν· ἥτις ἐστὶ διάθεσις ἔμπρακτος, τῇ χάριτι τοῦ φύσει καλοῦ πρὸς ἀρετῆς γένεσιν πεποιωμένη. Οὕτω μὲν οὖν ὁ τὸν γνωστικὸν ἄρτον αἰτῶν διάκειται προσευχόμενος, μεθ' ὃν κἀκεῖνος, ὁ μόνον τὸν ἐφήμερον ἄρτον ἐπιζητῶν διὰ τὴν βίαν τῆς φύσεως, καὶ τὸν αὐτὸν διατεθήσεται τρόπον· ἀφεὶς τοῖς ὀφειλέταις τὰ ὀφειλήματα, οἷα δὴ γνοὺς ὅτι κατὰ φύσιν ὑπάρχει θνητός, καὶ λοιπὸν καθ' ἑκάστην ἡμέραν διὰ τὴν ἀδηλίαν τὸ φύσει πεφυκὸς ἐκδεχόμενος, προλαμβάνει τὴν φύσιν κατὰ τὴν γνώμην· αὐθαίρετος νεκρὸς πρὸς τὸν κόσμον γινόμενος, κατὰ τὸ φάσκον λόγιον, Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· καὶ διὰ τοῦτο σπενδόμενος ἅπασιν, ἵνα μηδὲν ἑαυτοῦ συνεπικομίζηται γνώρισμα τῆς μοχθηρίας τοῦ νῦν αἰῶνος, πρὸς τὴν ἀγήρω ζωὴν μεθιστάμενος· καὶ λάβῃ παρὰ τοῦ κριτοῦ τοῦ σωτῆρος τῶν ὅλων, ὧν ἐνταῦθα προκέχρηκε τὴν ἴσην ἀντίδοσιν. ἀναγκαία γὰρ ἀμφοτέροις πρὸς τὴν τῶν σφῶν αὐτῶν λυσιτέλειαν καθέστηκεν ἡ καθαρὰ πρὸς τοὺς λελυπηκότας διάθεσις. πάντων μὲν ἕνεκεν, οὐκ * ἥκιστα δὲ διὰ τῶν λειπομένων ῥητῶν τὴν δύναμιν, τοῦτον ἔχουσαν τὸν τρόπον.

* ἴσ. ἥκιστα

Κείμ. „Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, „ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ“.

Ἐξήγ. Δηλοῖ γὰρ ἐν τούτοις ὁ λόγος, ὡς ὁ μὴ συγχωρήσας τελείως τοῖς πταίουσι, καὶ καθαρὰν λύπης παραστήσας τῷ Θεῷ τὴν καρδίαν λελαμπρυσμένην τῷ φωτὶ τῆς πρὸς τὸν πέλας καταλλαγῆς, τῆς τῶν εὐχομένων καλῶν ἀποτεύξεται χάριτος· καὶ τῷ πειρασμῷ καὶ τῷ πονηρῷ κατὰ δικαίαν ἐκδοθήσεται κρίσιν· ἵνα μάθῃ καθαίρεσθαι πλημμελῶν, τὰς κατ' ἄλλων ἑαυτοῦ μομφὰς ἀφαιρούμενος. πειρασμὸν δὲ λέγει νῦν, τὸν τῆς ἁμαρτίας νόμον· ὃν οὐκ ἔχων ὁ πρῶτος ἄνθρωπος ἦλθεν εἰς γένεσιν· πονηρὸν δὲ, τὸν τοῦτον ἐμφύραντα τῇ φύσει τῶν ἀνθρώπων διάβολον, καὶ πείσαντα δι' ἀπάτης τὸν ἄνθρωπον ἀπὸ τοῦ συγκεχωρημένου πρὸς τὸ κεκωλυμένον τῆς ψυχῆς μετενέγκαι τὴν ἔφεσιν, καὶ πρὸς τὴν τῆς θείας ἐντολῆς τραπῆναι παράβασιν· ἧς ἔργον γέγονεν ἡ τῆς δοθείσης κατὰ χάριν ἀφθαρσίας ἀπόθεσις. ἢ πάλιν πειρασμὸν μὲν, φησὶ, τὴν τῆς ψυχῆς ἑκούσιον πρὸς τὰ πάθη τῆς σαρκὸς διάθεσιν· πονηρὸν δὲ, τὸν κατ' ἐνέργειαν συμπληρωτικὸν τῆς ἐμπαθοῦς διαθέσεως τρόπον· ὧν οὐδενὸς ὁ δίκαιος ἐξαιρεῖται κριτής, τὸν μὴ τοῖς ὀφειλέταις ἀφιέντα τὰ ὀφειλήματα· κἂν τοῦτο ψιλῶς διὰ τῆς προσευχῆς ἐξαιτῆται. ἀλλὰ καὶ τῷ νόμῳ τῆς ἁμαρτίας συγχωρεῖ μολύνεσθαι τὸν τοιοῦτον, καὶ ὑπὸ τοῦ πονηροῦ κυριεύεσθαι τὸν σκληρὸν καὶ ἀπότομον τὴν γνώμην ἐγκαταλιμπάνει· οἷα δὴ τὰ πάθη τῆς ἀτιμίας, ὧν σπορεύς ἐστιν ὁ διάβολος, προτετιμηκότα τῆς φύσεως, ἧς ἐστι δημιουργὸς ὁ Θεός. καὶ μὴν καὶ πρὸς τὰ πάθη τῆς σαρκὸς ἑκουσίως συνδιατιθέμενον οὐ κωλύει, καὶ τοῦ κατ' ἐνέργειαν συμπληρωτικοῦ τρόπου, τῆς κατ' αὐτὰ διαθέσεως οὐ λυτροῦται· ὅτι παθῶν ἀνυποστάτων ἧττον τὴν φύσιν ἡγησάμενος, τῇ περὶ ταῦτα σπουδῇ, τὸν ταύτης λόγον ἠγνόησε· καθ' ὃν ἔδει κινηθέντα γνῶναι, τίς μὲν φύσεως νόμος, τίς δὲ παθῶν ἢ καθ' αἵρεσιν γνωμικῶς, ἀλλ' οὐ φυσικῶς ἐπισυμβαίνουσα κατέστη τυραννίς. καὶ τὸν μὲν περιποιήσασθαι, ταῖς φυσικαῖς συντηρούμενον ἐνεργείαις, τὴν δὲ τῆς γνώμης ἀπελάσαι μακράν, καὶ τῷ λόγῳ διατηρῆσαι τὴν φύσιν, ἐφ' ἑαυτῆς ἑστῶσαν καθαρὰν καὶ ἀμώμητον, ἄμωμον, χωρὶς μί-

σης καὶ διαστάσεως· καὶ τῇ φύσει πάλιν καταστῆσαι τὴν γνώμην σύμφορον, μηδὲν παντελῶς ἐπιφερομένην, ὧν ὁ τῆς φύσεως οὐκ ἐπιδίδωσι λόγος. καὶ διὰ τοῦτο μῖσος ἅπαν, καὶ πᾶσαν τὴν κατὰ φύσιν συγγενῆ ἀποστῆσαι διάστασιν, ἵνα ταύτην λέγων τὴν προσευχὴν εἰσακούηται, καὶ διπλῆν αὐθ' ἁπλῆς παρὰ τοῦ Θεοῦ δέχηται χάριν, τήν τε τῶν φθασάντων πλημμελημάτων συγχώρησιν, καὶ τὴν ἐπὶ τοῖς μέλλουσι σκέπην καὶ λύτρωσιν· εἴς τε πειρασμὸν ἐλθεῖν μὴ συγχωρούμενος, καὶ τῷ πονηρῷ δουλωθῆναι μὴ ἀφιέμενος, ὑπὲρ ἑνὸς, τοῦ τοῖς πέλας ἑτοίμως ἀφιέναι τὰ ὀφειλήματα. Τοιγαροῦν καὶ ἡμεῖς, ἵνα μικρὸν ἀναποδίζων ἐπιτόμως ἐπέλθω τῶν εἰρημένων τὴν δύναμιν, εἴπερ τοῦ πονηροῦ ῥυσθῆναι, καὶ εἰς πειρασμὸν εἰσελθεῖν οὐ βουλόμεθα, πιστεύσωμεν τῷ Θεῷ, καὶ ἀφῶμεν τὰ ὀφειλήματα τοῖς ὀφειλέταις ἡμῶν. Ἐὰν γὰρ, φησὶ, μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ ἁμαρτήματα αὐτῶν, οὔτε ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν. ἵνα μὴ μόνον ἄφεσιν λάβωμεν ὧν πεπλημμελήκαμεν, ἀλλὰ καὶ τὸν νόμον νικήσωμεν τῆς ἁμαρτίας, εἰς τὴν αὐτοῦ πεῖραν εἰσελθεῖν οὐκ ἐγκαταλειπόμενοι· καὶ τὸν τούτου γεννήτορα πονηρὸν πατήσωμεν ὄφιν, ἀφ' οὗ ῥυσθῆναι παρακαλοῦμεν· στρατηγοῦντος ἡμῖν τοῦ τὸν κόσμον νικήσαντος Χριστοῦ, καὶ τοῖς νόμοις τῶν ἐντολῶν καθοπλίζοντος, καὶ νομίμως τῇ τῶν παθῶν ἀποθέσει, πρὸς ἑαυτὴν δι' ἀγάπης τὴν φύσιν συνδέοντος· καὶ πρὸς ἑαυτὸν ἄρτον ὄντα ζωῆς, σοφίας τε, καὶ γνώσεως, καὶ δικαιοσύνης κινοῦντος ἡμῶν ἀκορέστως τὴν ὄρεξιν· καὶ τῇ πληρώσει τοῦ πατρικοῦ θελήματος, τοῖς Ἀγγέλοις ὁμολάτρας ἡμᾶς καθιστῶντος, τῇ κατὰ τὸν βίον ἀγωγῇ τὴν ἐπουράνιον ἐκμιμήτως ἐμφαίνοντας εὐαρέστησιν· κἀκεῖθεν πάλιν ἐπὶ τὴν ἀκροτάτην τῶν θείων ἀνάβασιν πρὸς τὸν πατέρα τῶν φώτων ἀνάγοντος, καὶ θείας ἀπεργαζομένου φύσεως κοινωνοὺς, τῇ κατὰ χάριν μεθέξει τοῦ Πνεύματος, καθ' ἣν τέκνα Θεοῦ χρηματίσωμεν, αὐτὸν τὸν ταύτης αὐτουργὸν τῆς χάριτος ἢ κατὰ φύσιν τοῦ Πατρὸς Υἱὸν, ὅλον ὅλοι δίχα περιγραφῆς ἀχράντως περικομίζοντες· ἐξ οὗ, καὶ δι' οὗ, καὶ ἐν ᾧ τὸ εἶναί τε, καὶ κινεῖσθαι, καὶ ζῆν ἔχομέν τε, καὶ ἕξομεν. Πρὸς τοῦτο δὲ τῆς θεώσεως τὸ μυστήριον βλέπων ἡμῖν ἔστω τῆς προσευχῆς ὁ σκοπὸς, ἵνα γνῶμεν αὐθ' οἵων, οἵους ἡμᾶς ἡ διὰ σαρκὸς κένωσις τοῦ μονογενοῦς ἀπειργάσατο, καὶ πόθεν, ποῦ, τῆς τὸ κατώτατον τοῦ παντὸς εἰληφότας χωρίον, εἰς ὅπερ ἡμᾶς τὸ τῆς ἁμαρτίας βάρος κατέωσε, δυνάμει φιλανθρώπου χειρὸς ἀνεβίβασε. καὶ πλέον ἀγαπήσωμεν τὸν ταύτην οὕτω σοφῶς ἡμῖν τὴν σωτηρίαν ἑτοιμασάμενον, καὶ δι' ὧν πράττομεν, δείξωμεν τὴν προσευχὴν πληρουμένην, καὶ τὸν ἀληθῶς κατὰ χάριν Πατέρα Θεὸν φανῶμεν κηρύττοντες. ἀλλὰ μὴ διὰ τῶν παθῶν τῆς ἀτιμίας τὸν ἀντυραννικῶς διασώζειν ἐπιχειροῦντα τῆς φύσεως πονηρὸν ἔχοντες τοῦ βίου πατέρα, σαφῶς ἀποδειχθῶμεν, καὶ λάθωμεν ζωῆς ἀντικαταλλάττοντες θάνατον. ἐπειδήπερ τῶν προσόντων ἑκάτερος τοῖς προχωροῦσι ποιεῖσθαι μετάδοσιν πέφυκεν· ὁ μὲν, ἀΐδιον ζωὴν τοῖς ἀγαπῶσιν αὐτὸν χορηγῶν· ὁ δὲ, θάνατον τῇ τῶν ἑκουσίων ὑποβολῇ πειρασμῶν τοῖς ἐγγίζουσιν ἐμποιῶν. Διττὸς γὰρ κατὰ τὴν γραφὴν τῶν πειρασμῶν ὁ τρόπος. ὁ μὲν, ἡδονικός· ὁ δὲ, ὀδυνηρός. καὶ ὁ μὲν προαιρετικός· ὁ δὲ ἀπροαίρετος. καὶ ὁ μὲν τῆς ἁμαρτίας γεννήτωρ, εἰς ὃν εἰσελθεῖν κατὰ τὴν τοῦ Κυρίου διδαχὴν, ἀπεύχεσθαι προστεταγμένοι, φάσκοντες, Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· καὶ, Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σέλθητε εἰς πειρασμόν. ὁ δὲ τῆς ἁμαρτίας τιμωρός, ἀκουσίους πόνους ἐπιφέρων τὴν φιλαμαρτήμονα κολάζων διάθεσιν· ὃν εἴτις ὑπομείνῃ, καὶ μάλιστα κακίας ἥλοις οὐκ ἐμπεπαρμένος, ἀκούσεται τοῦ Μεγάλου διαῤῥήδην βοῶντος Ἰακώβου, Πᾶσαν χαρὰν ἡγήσασθε ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως ὑπομονὴν κατεργάζεται. ἡ δὲ ὑπομονή, δοκιμήν· ἡ δὲ δοκιμή, ἔργον τέλειον ἐχέτω. ἀμφοτέρους δὲ τοὺς πειρασμοὺς τόν ἑκούσιόν τε, καὶ τὸν ἀκούσιον, περιέπει κακούργως ὁ πονηρός· τὸν μέν, σπείρων καὶ ἀνερεθίζων τὴν ψυχὴν ἡδοναῖς σώματος ἀποστῆσαι τῆς θείας ἀγάπης τὴν ἔφεσιν μηχανώμενος· τὸν δὲ σοφιστικῶς ἐξαιτεῖται, δι᾽ ὀδυνῶν φθεῖραι τὴν φύσιν βουλόμενος, ἵνα βιάσηται τὴν ψυχὴν ἀτονίᾳ πόνων καταβληθεῖσαν, πρὸς τὴν τοῦ κτίσαντος διαβολὴν κινῆσαι τοὺς λογισμούς. Ἀλλ᾽ ἐπεγνωκότες ἡμεῖς τοῦ πονηροῦ τὰ νοήματα, τὸν μὲν ἑκούσιον ἀπευξώμεθα πειρασμόν, ἵνα μὴ τῆς θείας ἀγάπης τὴν ἔφεσιν ἀποστήσωμεν· τὸν δὲ ἀκούσιον ἐπερχόμενον συγχωρήσει Θεοῦ, γενναίως ὑπομένωμεν, ἵνα φανῶμεν προτετιμηκότες τῆς φύσεως, τὸν κτίστην τῆς φύσεως. Γένοιτο δὲ πάντας ἡμᾶς τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῶν τε νῦν ἡδέων τοῦ πονηροῦ λυτρωθῆναι, καὶ τῶν μελλόντων ἀλγεινῶν ἐλευθερωθῆναι, τῇ μεθέξει τῆς κατ᾽ εἶδος τῶν μελλόντων ἀγαθῶν ὑποστάσεως, ἐποφθείσης ἡμῖν ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, τῷ μόνῳ σὺν Πατρὶ καὶ Ἁγίῳ Πνεύματι δοξαζομένῳ παρὰ πάσης τῆς κτίσεως· Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Θαλάσσιος ὁ Ὅσιος Πατὴρ ἡμῶν, ὁ καὶ Πρεσβύτερος γεγονώς, καὶ Ἡγούμενος, ἦν ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου, κατὰ τὸ ἑξακοσιοστὸν ἑξηκοστὸν ἔτος, σύγχρονος τῷ Ἁγίῳ Μαξίμῳ· ὃς καὶ ἀπορημάτων τινῶν γραφικῶν, καὶ λύσεων ἔκθεσιν αὐτῷ προσφωνεῖ. Αἱ δὲ πᾶσαι τῶν Κεφαλαίων τέσσαρες ἑκατοντάδες αὐτῷ φιλοπονηθεῖσαι, ἐνταῦθα τοῖς λοιποῖς συνεπλέχθησαν, ὡς πολλῆς οὖσαι πνευματικῆς ὠφελείας τοῖς ἀναγινώσκουσι πρόξενοι.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΤΟΥ͂ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩ͂Ν

# ΘΑΛΑΣΣΙΟΥ

ΤΟΥ ΛΙΒΥΟΣ, ΚΑΙ ΑΦΡΙΚΑΝΟΥ,

ΠΕΡΙ ΑΓΑΠΗΣ, ΚΑΙ ΕΓΚΡΑΤΕΙΑΣ, ΚΑΙ ΤΗ͂Σ ΚΑΤΑ ΝΟΥ͂Ν ΠΟΛΙΤΕΙΑΣ,

Πρὸς Παῦλον Πρεσβύτερον.

## ΕΚΑΤΟΝΤΑΣ ΠΡΩΤΗ.

Ἧς ἡ ἀκροστιχὶς ἥδε.

Πνευματικῷ ἀδελφῷ, καὶ ἀγαπητῷ Κυρίῳ Παύλῳ Θαλάσσιος.
τῷ μὲν φαινομένῳ ἡσυχαστής, τῇ δ' ἀληθείᾳ
Πραγματευτὴς κενοδοξίας.

α΄. Πόθος πρὸς Θεὸν ὁλικῶς τεταμένος, Θεῷ καὶ ἀλλήλοις συνδεσμεῖ τοὺς ποθοῦντας.

β΄. Νοῦς πνευματικὴν ἀγάπην κτησάμενος, οὐ λογίζεται περὶ τοῦ πέλας τὰ τῇ ἀγάπῃ μὴ πρέποντα.

γ΄. Ἐν πλάσματι ἀγάπης τὴν ὑπόκρισιν κρύπτει, ὁ τῷ μὲν στόματι εὐλογῶν, τῇ δὲ καρδίᾳ ἐξουθενῶν.

δ΄. Ὑπομένει ἀταράχως, ὁ ἀγάπην κτησάμενος, τὰ παρ' ἐχθρῶν ἐπαγόμενα λυπηρά, καὶ ἐπίπονα.

Μόνη ἡ ἀγάπη συνάπτει τὴν κτίσιν, Θεῷ, καὶ ἀλλήλοις εἰς ὁμόνοιαν. ε΄.

Ἀγάπην ἀληθινὴν ἐκεῖνος κέκτηται, ὁ ὑπονοιῶν μὴ ἀνεχόμενος, μηδὲ λόγων κατὰ τοῦ πέλας. ς΄.

Τίμιος ὑπάρχει παρὰ Θεῷ, καὶ ἀνθρώποις, ὁ πρὸς κατάλυσιν ἀγάπης μηδὲν ἐπιτηδεύων. ζ΄.

Ἴδιον ὑπάρχει τῆς ἀνυποκρίτου ἀγάπης, λόγος ἀληθὴς ἐκ συνειδήσεως ἀγαθῆς. η΄.

Κρύπτει τὸν φθόνον ἐν σχήματι εὐνοίας, ὁ ψόγους τοῦ ἀδελφοῦ ἐξ ἑτέρου προσφέρων. θ΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ι'. Ὥσπερ αἱ σαρκικαὶ ἀρεταὶ τὴν τῶν ἀνθρώπων δόξαν, οὕτω καὶ αἱ πνευματικαὶ, τὴν τοῦ Θεοῦ ἐπισπῶνται.

ια'. Ἀγάπη, καὶ ἐγκράτεια ψυχὴν καθαίρουσι, νοῦν δὲ λαμπρύνει προσευχὴ καθαρά.

ιβ'. Δυνατὸς ἀνὴρ ἐκεῖνος ὑπάρχει, ὁ πράξει καὶ γνώσει τὴν κακίαν ἀπελαύνων.

ιγ'. Εὗρε χάριν οὗτος παρὰ τῷ Θεῷ, ὁ ἀπάθειαν κτησάμενος, καὶ γνῶσιν πνευματικήν.

ιδ'. Λογισμῶν ἐμπαθῶν εἰ περιγενέσθαι θέλεις, ἐγκράτειαν κτῆσαι, καὶ ἀγάπην εἰς τὸν πλησίον.

ιε'. Φύλαξον σεαυτὸν ἀπὸ ἀκρασίας καὶ μίσους, καὶ οὐ μὴ εὕρῃς πρόσκομμα ἐν καιρῷ προσευχῆς σου.

ιϛ'. Ὥσπερ οὐκ ἔστιν ἰδεῖν ἐν βορβόρῳ ἀρώματα, οὕτως οὐδὲ ἐν ψυχῇ μνησικάκου, ἀγάπης εὐωδίαν.

ιζ'. Κράτει γενναίως θυμοῦ, καὶ ἐπιθυμίας· καὶ πονηρῶν λογισμῶν τάχιστα ἀπαλλάττῃ.

ιη'. Ἀναιρεῖ κενοδοξίαν, ἡ κρυπτὴ ἐργασία· ἀπελαύνει δὲ ὑπερηφανίαν, τὸ μηδένα ἐξουθενεῖν.

ιθ'. Ἴδιον κενοδοξίας, ὑπόκρισις· καὶ ψεῦδος. τῆς δὲ ὑπερηφανίας, οἴησις· καὶ φθόνος.

κ'. Ἄρχων ἐκεῖνος ὁ ἑαυτοῦ ἄρξας, καὶ ψυχὴν καὶ σῶμα τῷ λόγῳ ὑποτάξας.

κα'. Γνησιότης φίλου ἐν πειρασμῷ δείκνυται, ἡνίκα τῆς ἀνάγκης συγκοινωνὸς γένηται.

κβ'. Ἀσφάλισαι τὰς αἰσθήσεις τῷ τρόπῳ τῆς ἡσυχίας, καὶ δίκασον τοὺς λογισμοὺς ἐφεστῶτας τῇ καρδίᾳ.

κγ'. Πρὸς τοὺς λογισμοὺς τοὺς λυπηροὺς, ἀμνησικάκως ἀπάντα· πρὸς δὲ τοὺς φιληδόνους, ἐχθρωδῶς διάκεισο.

κδ'. Ἡσυχία, καὶ προσευχὴ, καὶ ἀγάπη, καὶ ἐγκράτεια, τετράπλοκόν ἐστιν ἅρμα πρὸς οὐρανοὺς ἀνάγον τὸν νοῦν.

κε'. Τῆξον τὸ σῶμά σου ἀσιτίᾳ καὶ ἀγρυπνίᾳ, καὶ ἀπελαύνεις τὸν δήμιον τῆς ἡδονῆς λογισμόν.

κϛ'. Ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπὸ φόβου Θεοῦ ἀκάθαρτος λογισμός.

κζ'. Κακὴ ζημία ψυχῆς συνετῆς, ἐγχρονίσαι τὸν νοῦν πάθει ψεκτῷ.

κη'. Ὑπόμενε τὰς τῶν λυπηρῶν καὶ ὀδυνηρῶν ἐπαγωγάς, διὰ γὰρ τούτων σε καθαίρει ἡ τοῦ Θεοῦ πρόνοια.

κθ'. Ῥίψας τὴν ὕλην, καὶ τῷ κόσμῳ ἀποταξάμενος, ἀπόταξαι λοιπὸν καὶ τοῖς πονηροῖς λογισμοῖς.

λ'. Ἴδιον ἔργον ὑπάρχει τοῦ νοῦ, τὸ λόγοις Θεοῦ σχολάζειν ἀεί.

λα'. Ὥσπερ ἔργον Θεοῦ διοικῆσαι τὸν κόσμον, οὕτω καὶ ψυχῆς κυβερνῆσαι τὸ σῶμα.

λβ'. Ποίᾳ ἐλπίδι τῷ Χριστῷ ἀπαντήσωμεν, ταῖς τῆς σαρκὸς ἡδοναῖς μέχρι τοῦ νῦν δουλεύοντες;

λγ'. Ἀναιρεῖ ἡδονὴν κακοπάθεια καὶ λύπη, ἢ ἑκούσιος, ἢ ἐκ τῆς προνοίας ἐπαγομένη.

λδ'. Ὕλη παθῶν φιλαργυρία τυγχάνει, ὡς αὐξητικὴ οὖσα τῆς περιεκτικῆς ἡδονῆς.

λε'. Λύπην τίκτει ἀποτυχία ἡδονῆς, ἡδονὴ δὲ παντὶ πάθει συνέζευκται.

λϛ'. Ὡς μέτρῳ μετρεῖς τῷ σώματί σου, ἀντιμετρηθήσεταί σοι ἀντιστρόφως παρὰ Θεοῦ.

λζ'. Θείων κριμάτων ἔργα τυγχάνει, αἱ ἀνταποδόσεις δίκαιαι τῶν διὰ σώματος πεπραγμένων.

λη'. Ἀθανασίαν τίκτει ἀρετὴ, καὶ γνῶσις· ὧν ἡ στέρησις, θανάτου γέγονε μήτηρ.

λθ'. Λύπη κατὰ Θεὸν, ἀναιρεῖ ἡδονήν· ἡδονῆς δὲ ἀναίρεσις, ἀνάστασις ὑπάρχει ψυχῆς.

μ'. Ἀπάθειά ἐστιν, ἀκινησία ψυχῆς πρὸς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κακίαν· ἧς τυχεῖν ἀμήχανον, ἄνευ ἐλέους Χριστοῦ.

μα'. Σωτὴρ ὑπάρχει ψυχῆς καὶ σώματος ὁ Χριστὸς, οὗ τοῖς ἴχνεσιν ὁ ἀκολουθῶν, ἐλευθεροῦται κακίας.

μβ'. Σωτηρίας, εἰ θέλεις τυχεῖν, ἀπόταξαι τῇ ἡδονῇ, καὶ ἐγκράτειαν καὶ ἀγάπην ἀναλαβοῦ, σὺν ἐκτενεῖ προσευχῇ.

μγ'. Ἴδιον ἀπαθείας, διάκρισις ἀληθινή· καθ' ἣν πάντα * πράττε, μέτρῳ καὶ κανόνι.

* ἴσ. πράττει

μδ'. Ὁ Κύριος ἡμῶν καὶ Θεὸς, Ἰησοῦς ἐστὶν ὁ Χριστός· καὶ πᾶς ὁ ἀκολουθῶν αὐτῷ, οὐ μὴ μείνῃ ἐν τῇ σκοτίᾳ.

μέ. Συνάγαγε τὸν νοῦν σου, καὶ τήρει τοὺς λογισμοὺς, καὶ οὓς ἂν εὕρῃς ἐμπαθεῖς, πολέμησον πρὸς αὐτούς.

μς'. Τρία ὑπάρχουσι πράγματα δι' ὧν λαμβάνεις λογισμοὺς, ἡ αἴσθησις, καὶ ἡ μνήμη, καὶ ἡ κρᾶσις τοῦ σώματος. χαλεπώτεροι δὲ οἱ ἀπὸ τῆς μνήμης εἰσίν.

μζ'. Ὧ ἐδόθη σοφία, ἔγνω λόγους ἀσωμάτων, καὶ τίς ἡ ἀρχὴ ὑπάρχει καὶ τί τὸ τέλος τοῦ κόσμου.

μή. Μὴ ἀμέλει πρακτικῆς, καὶ φωτισθήσεται ὁ νοῦς σου. Θησαυροὺς φησὶν ἀοράτους, ἀποκρύφους ἀνοίξω σοι.

μθ'. Εὗρε χάριν Θεοῦ, ὁ παθῶν ἐλευθερωθείς· καὶ τὸ μέγα ἔλεος, ὁ γνώσεως καταξιωθείς.

ν'. Νοῦς παθῶν ἐλευθερωθεὶς, φωτοειδὴς γίνεται· ταῖς τῶν ὄντων θεωρίαις, ἀδιαλείπτως καταλαμπόμενος.

να'. Φέγγος ψυχῆς, ἡ ἁγία γνῶσις ἐστίν· ἧς στερηθεὶς ὁ ἄφρων, ὡς ἐν σκότει διαπορεύεται.

νβ'. Ἄφρων ἐστὶν, ὁ ἐν σκότει διάγων, ὃν διαδέχεται τὸ σκότος τῆς ἀγνωσίας.

νγ'. Ἰησοῦν ὁ ἀγαπῶν, ἐλευθερωθήσεται κακίας· καὶ ὁ ἀκολουθῶν αὐτῷ, ὄψεται γνῶσιν ἀληθῆ.

νδ'. Νοῦς παθῶν ἐλευθερωθεὶς ψιλὰ βλέπει τὰ νοήματα, καὶ ἐγρηγορότος τοῦ σώματος, καὶ κατὰ τοὺς ὕπνους.

Ὁ νοῦς εἰς ἄκρον καθαρθεὶς στενοχωρεῖται τοῖς οὖσι, καὶ ἔξω θέλει ἀεὶ γίνεσθαι πάντων τῶν γεγονότων. νέ.

Μακάριος ὁ φθάσας εἰς τὴν ἀπέραντον ἀπειρίαν· ἐκεῖνος δὲ ἔφθασεν, ὁ τὰ πεπερασμένα περάσας. νς'.

Εὑρίσκει λόγους Θεοῦ, ὁ σεβόμενος αὐτόν. εὑρίσκει δὲ αὐτοὺς, ὁ ἀληθείας ἐραστής. νζ'.

Νοῦς διὰ ὀρθότητος κινούμενος, εὑρίσκει ἀλήθειαν. ὁ δὲ ἐκ πάθους τινὸς, ἀποτεύξεται αὐτῆς. νή.

Ὥσπερ τῇ οὐσίᾳ ἄγνωστος ὁ Θεὸς, οὕτω καὶ τῇ μεγαλωσύνῃ ἐστὶν ἀπέραντος. νθ'.

Ἧς οὐσίας ἀρχὴ καὶ τέλος οὐκ ἔστι, ταύτης οὔτε τῆς φύσεως διαίρεσις. ξ'.

Σωτηρία ὑπάρχει πάσης κτίσεως, ἡ ὑπεράγαθος τοῦ κτίσαντος περὶ αὐτὴν πρόνοια. ξά.

Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας ἐν οἰκτιρμοῖς, καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους. ξβ'.

Χριστὸς ἐστὶ ζώντων καὶ νεκρῶν, καὶ τῆς ἑκάστου πράξεως δίκαιος ἀνταποδότης. ξγ'.

Ἄρξαι, εἰ θέλεις, τῆς ψυχῆς καὶ τοῦ σώματος, προλαβὼν τὰς τῶν παθῶν αἰτίας περίκοπτε. ξδ'.

Σύζευξον ταῖς ἀρεταῖς τὰς τῆς ψυχῆς δυνάμεις, καὶ ἀποζεύγνυται πάντως τῆς τῶν παθῶν τυραννίδος. ξέ.

Τὰς τῆς ἐπιθυμίας ὁρμὰς, ἐγκρατείᾳ χαλίνωσον. τὰς δὲ τοῦ θυμοῦ, ἀγάπῃ πνευματικῇ. ξς'.

Ἡσυχία καὶ προσευχὴ, μέγιστα ὅπλα ἀρετῆς. αὗται γὰρ τὸν νοῦν καθαίρουσαι, διορατικὸν ἀπεργάζονται. ξζ'.

Συντυχία ὠφελεῖ, μόνον ἡ πνευματική. τῶν δὲ λοιπῶν ἁπασῶν, προτιμοτέρα ἡ ἡσυχία. ξή.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ξθ'. Τῶν πέντε τρόπων τῆς συντυχίας, τοὺς τρεῖς ἐπίλεξαι, τῷ δὲ τετάρτῳ μὴ συχνάσῃς. τοῦ δὲ πέμπτου ἀπόστηθι.

ο'. Ἡσυχίαν ἀγαπᾷ, ὁ μὴ πάσχων πρὸς τὰ τοῦ κόσμου. καὶ πάντας ἀνθρώπους, ὁ μηδὲν ἀγαπῶν ἀνθρώπινον.

οα'. Διδάσκαλος ἀληθὴς ἡ συνείδησις ὑπάρχει, ἧς ὁ ὑπακούων, ἀπρόσκοπος διαμένει.

οβ'. Ἐκείνους μόνους οὐ κρίνει τὸ συνειδὸς, τοὺς τὸ ἄκρον τῆς ἀρετῆς, ἢ τῆς κακίας φθάσαντας.

ογ'. Ἄκρα * ἀπαθείας, ψιλὰ ποιεῖ τὰ νοήματα. ἄκρα δὲ γνῶσις, τῷ ὑπεραγνώστῳ παρίστησι.

* ἴσ. ἀπάθεια

οδ'. Λύπη ἐστὶ ψεκτὴ, ἀποτυχία ἡδονῶν. ὧν ὁ καταφρονήσας, ἄλυπος διαμένει.

οε'. Ἡ λύπη καθόλου στέρησις ἐστὶν ἡδονῆς, κἄντε τῆς κατὰ Θεὸν, κἄντε τῆς κατὰ κόσμον νοήσεως.

ος'. Θεοῦ ἐστὶ βασιλεία ἀγαθότης καὶ σοφία, ὧν ὁ ἐπιτυχὼν ἐν οὐρανοῖς πολιτεύεται.

οζ'. Ἐκεῖνος ἄθλιος ἄνθρωπος, ὁ τῆς ψυχῆς μὲν τὸ σῶμα, τοῦ Θεοῦ δὲ τὸν κόσμον, τοῖς ἔργοις προτιμήσας.

οη'. Ἴσην τὴν ἀγάπην πρὸς πάντας κέκτηται, ὁ τοῖς μὲν σπουδαίοις μὴ φθονῶν, τοὺς δὲ φαύλους ἐλεῶν.

οθ'. Ἄρξαι ὡς ἀληθῶς ἐκεῖνος ὤφειλεν, ὁ καὶ ψυχῇ καὶ σώματι τὰ τῆς ἀρετῆς νομοθετήσας.

π'. Πραγματευτὴς πνευματικὸς ἐκεῖνος ὑπάρχει, ὁ ἐξ ἴσου διὰ τὰ μέλλοντα καὶ τῶν ἡδέων τοῦ βίου, καὶ τῶν λυπηρῶν ἀποταξάμενος.

πα'. Ῥώννυσι ψυχὴν μὲν, ἀγάπη καὶ ἐγκράτεια, νοῦν δὲ, προσευχὴ καθαρὰ καὶ θεωρία πνευματική.

πβ'. Ἀκούων λόγον ὠφέλιμον, μὴ κρῖνε τὸν λέγοντα, ἵνα μὴ τῆς ἐπωφελοῦς νουθεσίας ἑαυτὸν ἀποστερήσῃς.

πγ'. Γνώμη πονηρὰ, κακὰ ἐνθυμεῖται, καὶ τὰ κατορθώματα τοῦ πλησίον, εἰς ἐλαττώματα παραγνωρίζει.

πδ'. Μὴ πιστεύσῃς τῷ λογισμῷ κρίνοντι τὸν πλησίον, ὅτι πονηρὸν ἔχων θησαυρὸν, πονηρὰ καὶ λογίζεται.

πε'. Ἀγαθὴ καρδία, ἀγαθὰς ἐννοίας φέρει. πρὸς γὰρ τὸν θησαυρὸν αὐτῆς καὶ τὰ ἐνθυμήματα αὐτῆς.

πς'. Τήρει τοὺς λογισμοὺς, καὶ φεῦγε ἀπὸ κακίας. ἵνα μὴ σκοτισθεὶς ὁ νοῦς, ἄλλα ἀντ᾽ ἄλλων βλέπῃ.

πζ'. Ἐννόει τοὺς Ἰουδαίους, καὶ ἀσφάλισαι σεαυτὸν, οἱ ἐκ τοῦ φθόνου τυφλωθέντες, τὸν Κύριον καὶ Θεὸν εἰς Βεελζεβοὺλ παρεγνώρισαν.

πη'. Ὑπόνοια πονηρὰ, σκοτίζει διάνοιαν, καὶ ποιεῖ τὰ παρὰ τὴν ὁδὸν ἀντὶ τῆς ὁδοῦ θεωρεῖν.

πθ'. Ταῖς ἀρεταῖς ἁπάσαις, παραπεπήγασιν αἱ κακίαι, καὶ διὰ τοῦτο τὰς ἀρετὰς οἱ πονηροὶ εἰς κακίας παραγνωρίζουσιν.

ϟ'. Ἡδονῇ, ἢ λύπῃ ἐγχρονίζων ὁ νοῦς, τῷ τῆς ἀκηδίας πάθει τάχιστα περιπίπτει.

ϟα'. Συνείδησις καθαρὰ, διεγείρει ψυχήν. λογισμὸς δὲ ῥυπαρὸς, καταχθονίζει αὐτήν.

ϟβ'. Κινούμενα τὰ πάθη, ἀπελαύνουσι κενοδοξίαν· ἀναιρούμενα δὲ πάλιν, ὑποστρέφουσιν.

ϟγ'. Εἰ πάντων ὁμοῦ τῶν παθῶν ἀπαλλαγῆναι θέλεις, ἐγκράτειαν, καὶ ἀγάπην, καὶ προσευχὴν ἀνάλαβε.

ϟδ'. Νοῦς διὰ προσευχῆς τῷ Θεῷ ἐγχρονίζων, καὶ τὸ παθητικὸν τῆς ψυχῆς τῶν παθῶν ἀπαλλάττει.

ϟε'. Ὁ Θεὸς τὸ εἶναι τοῖς οὖσι δεδωκὼς, τῇ προνοίᾳ αὐτοῦ ἅμα τὰ πάντα συνέδησε.

ϟς'. Δεσπότης δὲ ὑπάρχων, καὶ δοῦλος γενόμενος, τὸ ἄκρον τῆς προνοίας τῇ κτίσει ἐξέφανε.

ϟζ'. Ὁ Θεὸς καὶ Λόγος ἀτρέπτως σαρκω-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θεὶς, πάσῃ τῇ κτίσει διὰ τῆς σαρκὸς ἑνώθη.

ϙη'. Ξένον θαῦμα ἐν οὐρανῷ, ϗ ἐπὶ γῆς γίνεται, ὅτι Θεὸς ἐπὶ γῆς, ϗ ἄνθρωπος ἐν οὐρανοῖς.

ϙθ'. Ἵνα Ἀγγέλοις ἀνθρώπους συνάψας, ἅμα πάσῃ τῇ κτίσει, τὴν θέωσιν χαρίσηται.

ρ'. Ἁγιασμὸς, ϗ θέωσις Ἀγγέλων, ϗ ἀνθρώπων, ἡ γνῶσις τῆς Ἁγίας, ϗ Ὁμοουσίου Τριάδος.

ρα'. Συγχώρησις ἁμαρτιῶν, παθῶν ἐστὶν ἐλευθερία. ὧν ὁ μήπω ἐλευθερωθεὶς χάριτι, τῆς συγχωρήσεως οὔπω ἔτυχε.

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ,

# ΕΚΑΤΟΝΤΑΣ ΔΕΥΤΕΡΑ,

Ἧς ἡ ἀκροστιχὶς ἥδε.

Εὖξαι ὑπὲρ ἐμοῦ ἀδελφὲ τιμιώτατε, ὅτι μεγάλα κακὰ προσδοκῶ, ἄξια τῆς ἐμῆς προαιρέσεως, λύπας τῇ ψυχῇ ϗ ὀδύνας τῷ σώματι.

α'. Εἰ θέλεις ὑφὲν τῶν κακῶν ἀπαλλαγῆναι, τῇ μητρὶ τῶν κακῶν τῇ φιλαυτίᾳ ἀπόταξαι.

β'. Ὑγεία ψυχῆς, ἀπάθεια ϗ γνῶσις, ἧς τυχεῖν ἀμήχανον τὸν ἡδοναῖς δουλεύοντα.

γ'. Ξηραίνει τὰς ἡδονὰς τὰς σωματικάς τε ϗ ψυχικὰς, ἐγκράτεια μετὰ ὑπομονῆς, ϗ ἀγάπη μετὰ μακροθυμίας.

δ'. Ἀρχὴ κακῶν τῇ ψυχῇ, ἡ φιλαυτία γέγονεν. φιλαυτία δὲ ἐστὶν, ἡ πρὸς τὸ σῶμα φιλία.

ε'. Ἴδιον τοῦ λογικοῦ, τὸ ὑποταγῆναι τῷ λόγῳ, ϗ τὸ ὑπωπιάσαι καὶ δουλαγωγῆσαι τὸ σῶμα.

ϛ'. Ὕβρις τοῦ λογικοῦ, ὑποταγῆναι τῷ ἀλόγῳ, ϗ πρόνοιαν αὐτοῦ ποιεῖσθαι εἰς ἐπιθυμίας αἰσχράς.

ζ'. Πονηρὸν ἔργον ψυχῆς λογικῆς, καταλιμπάνειν τὸν κτίσαντα, ϗ λατρεύειν τῷ σώματι.

η'. Ἐκελεύσθης τὸ σῶμα ὑπηρέτην ἔχειν, οὐ μὴν δὲ ταῖς ἡδοναῖς αὐτοῦ παρὰ φύσιν δουλεύειν.

θ'. Ῥῆξον τὰ δεσμὰ τῆς πρὸς τὸ σῶμα φιλίας, καὶ μηδὲν παρέχῃς τῷ θέλῳ, ὅτι μὴ πᾶσα ἀνάγκη.

ι'. Ἔγκλεισον τὰς αἰσθήσεις ἐν τῷ φρουρίῳ τῆς ἡσυχίας, ἵνα μὴ τὸν νοῦν περισπῶσιν εἰς τὰς ἰδίας ἐπιθυμίας.

ια'. Μέγιστα ὅπλα τοῦ μεθ' ὑπομονῆς ἡσυχάζοντος, ἐγκράτεια, ϗ ἀγάπη, καὶ προσευχὴ, ϗ ἀνάγνωσις.

ιβ'. Οὐ παύεται ὁ νοῦς περὶ τὰς ἡδονὰς κυκλεύων, ἄχρις οὗ τὴν σάρκα δουλαγωγήσας, θεωρίᾳ σχολάσῃ.

ιγ'. Ὑπὲρ τῶν ἐντολῶν ἀγωνισώμεθα, ἵνα παθῶν ἐλευθερωθῶμεν. ὑπὲρ δὲ τῶν θείων δογμάτων, ἵνα γνώσεως ἀξιωθῶμεν.

ιδ'. Ἀθανασία ψυχῆς, ἀπάθεια ϗ γνῶσις· ἧς τυχεῖν ἀμήχανον, τὸν ἡδοναῖς δουλεύοντα.

ιε'. Δουλαγώγει τὸ σῶμα, περιελὼν τὰς

ἡδο-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἡδονῆς, καὶ ἀπάλλαξον αὐτὸ τῆς μοχθηρᾶς δουλείας.

ιϛ'. Ἐλεύθερος κτισθεὶς, καὶ ἐπ' ἐλευθερίᾳ κληθεὶς, μὴ ἀνάγκῃ δουλεύειν πάθεσιν ἀκαθάρτοις.

ιζ'. Λύπαις καὶ ἡδοναῖς, ἐπιθυμίαις καὶ φόβοις, συνδεσμοῦσι τὸν νοῦν τοῖς αἰσθητοῖς οἱ δαίμονες.

ιη'. Φόβος Κυρίου, κρατεῖ ἐπιθυμιῶν. καὶ λύπη κατὰ Θεὸν, ἀπελαύνει ἡδονήν.

ιθ'. Ἐπιθυμία σοφίας, καταφρονεῖ φόβου, καὶ ἡδονὴ γνώσεως, ἀποδιώκει λύπην.

κ'. Τὰ τέσσαρα ταῦτα αἱ γραφαὶ περιέχουσι, τὰς ἐντολὰς, τὰ δόγματα, τὰς ἀπειλὰς, καὶ τὰς ἐπαγγελίας.

κα'. Ἵστησι τὴν ἐπιθυμίαν, ἐγκράτεια, καὶ κόπος. μειοῖ δὲ αὐτὴν, ἡσυχία, καὶ θεῖος ἔρως.

κβ'. Μὴ λόγοις δι' αἰνιγμάτων τὸν ἀδελφὸν κεντήσῃς, οὐ μὴ γὰρ βαστάσῃς τὰ ὅμοια ἀντιδεχόμενος.

κγ'. Ἵστησι τὸν θυμὸν, μακροθυμία, καὶ ἀμνησικακία. μειοῖ δὲ αὐτὸν, ἀγάπη, καὶ συμπάθεια.

κδ'. Ὡς ἐδόθη γνῶσις, ἐδόθη φῶς ἱερόν. ὃς δὲ λαβὼν ἀτιμάζει, ὄψεται σκότος.

κε'. Τήρησις ἐντολῶν Θεοῦ, τίκτει ἀπάθειαν. ἀπάθεια δὲ ψυχῆς, συντηρεῖ γνῶσιν.

κϛ'. Ἀνάγαγε τὰ αἰσθητὰ ἐπὶ νοητὴν θεωρίαν, καὶ ἀνθέλκεις τὴν αἴσθησιν ἐπάνω τῶν αἰσθητῶν.

κζ'. Τὸ αἰσθητὸν γύναιον, σημαίνει ψυχὴν πρακτικήν· ᾗ ὁ νοῦς συγγινόμενος, ἀποτίκτει τὰς ἀρετάς.

κη'. Ἔρευνα λόγων Θεοῦ, διδάσκει γνῶσιν Θεοῦ, τὸν ἐν ἀληθείᾳ, καὶ πόθῳ, καὶ εὐλαβείᾳ ζητοῦντα.

κθ'. Ὅπερ ἐστὶ τὸ φῶς τοῖς ὁρῶσι, καὶ ὁρωμένοις, τοῦτο καὶ ὁ Θεὸς τοῖς νοοῦσι, καὶ νοουμένοις.

λ'. Τὸ αἰσθητὸν στερέωμα, τὸ τῆς πίστεως σημαίνει στερέωμα, ἐν ᾧ πάντες οἱ ἅγιοι δίκην φωστήρων λάμπουσιν.

Ἱερουσαλήμ ἐστιν ἐννοουμένως, γνῶσις τῶν ἀσωμάτων. ἐν αὐτῇ γὰρ θεωρεῖται ἡ ὅρασις τῆς εἰρήνης. λα'.

Μὴ ἀμέλει τῆς πράξεως, ἐπεὶ μειοῦται ἡ γνῶσις, καὶ λιμοῦ γενομένου, καταβαίνεις εἰς Αἴγυπτον. λβ'.

Ἐλευθερία ἐστὶ νοητὴ, ἡ τῶν παθῶν ἀπαλλαγή· ἧς οὐδεὶς ἐπιτυγχάνει ἄνευ ἐλέους Χριστοῦ. λγ'.

Γῆ ἐστιν ἐπαγγελίας, ἡ βασιλεία τῶν οὐρανῶν, ἧς πρόξενοι γίνονται ἀπάθεια, καὶ γνῶσις. λδ'.

Αἴγυπτος ἐστὶ νοητὴ, ὁ σκοτασμὸς τῶν παθῶν· εἰς ὃν οὐδεὶς καταβαίνει, εἰ μὴ λιμῷ περιπέσει. λε'.

Λόγοις πνευματικοῖς ἐπισυχνάσει τὸ ἔσω σου, καὶ λογισμῶν ἀκαθάρτων ἀπομακρυνεῖ ὁ νοῦς σου. λϛ'.

Ἀγαθὸς, καὶ σοφὸς μόνος φύσει ὁ Θεός. γίνεται δὲ μεθέξει καὶ ὁ νοῦς, ἂν σπουδάσῃ. λζ'.

Κράτει γαστρὸς, καὶ ὕπνου, καὶ θυμοῦ, καὶ γλώσσης, καὶ οὐ μὴ προσκόψεις πρὸς λίθον τὸν πόδα σου. λη'.

Ἀγώνισαι ἀγαπῆσαι πάντα ἄνθρωπον ἐξίσου, καὶ ἀπελαύνεις συλλήβδην πάντα τὰ πάθη σου. λθ'.

Κοινὴ νοῦ καὶ αἰσθήσεως, ἡ θεωρία τῶν αἰσθητῶν· ἰδία δὲ τοῦ νοῦ, ἡ γνῶσις τῶν νοητῶν. μ'.

Ἀδύνατον τὸν νοῦν σχολάσαι τοῖς νοητοῖς, εἰ μὴ τὴν σχέσιν τὴν πρὸς τὴν αἴσθησιν, καὶ τὰ αἰσθητὰ ἀποκόψῃ. μα'.

Προσπάθειαν φυσικὴν ἡ αἴσθησις ἔχει πρὸς τὰ αἰσθητὰ, καὶ συμπεριστᾷ τὸν νοῦν, περισπωμένη περὶ αὐτά. μβ'.

Ῥέψον τὴν αἴσθησιν περὶ τὴν τοῦ νοῦ ὑπουργίαν, καὶ μὴ δῷς αὐτῇ καιρὸν ἀντιπερισπάσαι αὐτόν. μγ'.

Ὅταν τὸν νοῦν σχολᾶσαι συμβῇ τοῖς αἰσθητοῖς, ἀντιπερίσπασον τὴν αἴσθησιν, πρὸς νοῦν ἄγων τὰ παρακείμενα. μδ'.

Σημεῖον ὅτι σχολάζει ὁ νοῦς περὶ τὰ με'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νοητά, τὸ, πάντων περιφρονεῖν τῶν τὴν αἴσθησιν σαινόντων.

μϛ'. Διανοιγόμενος ὁ νοῦς περὶ τὴν τῶν νοητῶν θεωρίαν, δυσαπόσπαστον ἔχει τὴν περὶ αὐτὰ ἡδονήν.

μζ'. Ὅταν ὁ νοῦς πλουτήσῃ τὴν τῆς μονάδος γνῶσιν, τότε καὶ τὴν αἴσθησιν πάντῃ δεδουλωμένην ἔχει.

μη'. Κώλυε τὸν νοῦν σου κυκλεύειν τὰ αἰσθητά, ἵνα μὴ ἡδονὰς καὶ λύπας ἐν αὐτοῖς καρπώσηται.

μθ'. Ὧν ὁ νοῦς ἐν τοῖς θείοις σχολάζει διὰ παντός, τούτων καὶ τὸ παθητικὸν μέρος θεῖον γέγονεν ὅπλον.

ν'. Ἀδύνατον τὸν νοῦν τῇ γνώσει ποιωθῆναι, εἰ μὴ πρότερον τὸ παθητικὸν ταῖς οἰκείαις ἀρεταῖς ἐξ ἑαυτοῦ ἀπελάσει.

να'. Ξένος τῶν τοῦ κόσμου τότε ὁ νοῦς γίνεται, ὅταν τὴν πρὸς τὴν αἴσθησιν σχέσιν παντελῶς ἀποκόψῃ.

νβ'. Ἴδιον τοῦ λογιστικοῦ τῆς ψυχῆς, σχολάζειν γνώσει Θεοῦ. τοῦ δὲ παθητικοῦ αὐτῆς, ἀγάπῃ καὶ ἐγκρατείᾳ.

νγ'. Ἀδύνατον τὸν νοῦν πράγματι σχολάζειν αἰσθητῷ, εἰμὴ πάντως πάθος κέκτηται πρὸς αὐτό.

νδ'. Τέλειος ἐστὶν ὁ νοῦς, ὁ ποιωθεὶς τῇ γνώσει. ψυχὴ δὲ ἐστὶ τελεία, ἡ ταῖς ἀρεταῖς ἀνακραθεῖσα.

νε'. Ἡ πρὸς τὴν αἴσθησιν σχέσις τοῦ νοῦ, δοῦλον αὐτὸν καθίστησι τῶν τοῦ σώματος ἡδονῶν.

νϛ'. Σαλεύεται ὁ νοῦς ἐκ τοῦ τόπου τῆς γνώσεως, ὅτε τὸ παθητικὸν τῆς ψυχῆς κινηθῇ ἐκ τῶν ἰδίων ἀρετῶν.

νζ'. Ἐλάβομεν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι· οὐ γινόμεθα δὲ, εἰμὴ τὰ πάθη ἀποδυσώμεθα.

νη'. Μηδεὶς οἰέσθω τέκνον Θεοῦ κατ' ἐνέργειαν γεγονέναι, μήπω τοὺς θείους χαρακτῆρας ἐν ἑαυτῷ κτησάμενος.

νθ'. Ἡ κατὰ τὸν τρόπον ὁμοίωσις τοῦ ἀγαθοῦ, ἢ τοῦ πονηροῦ. ἢ τοῦ Θεοῦ Υἱοὺς, ἢ τοῦ σατανᾶ ἀπεργάζεται.

Συνετὸς ἀνὴρ ὁ προσέχων ἑαυτῷ, καὶ σπεύδων χωρισθῆναι ἀπὸ παντὸς μολυσμοῦ. ξ'.

Πεπωρωμένη ψυχή, μαστιζομένη οὐκ αἰσθάνεται, καὶ εἰς συναίσθησιν ἐλθεῖν τοῦ εὐεργέτου οὐκ ἀνέχεται. ξα'.

Ῥυπαρὰ ἐσθὴς, θείων γάμων ἐκβάλλει, καὶ κοινωνὸν ἀπεργάζεται σκότους ἐξωτέρου. ξβ'.

Ὁ φοβούμενος τὸν Θεὸν, ἐπιμελεῖται ψυχῆς αὐτοῦ, καὶ πονηρᾶς κοινωνίας ἀπαλλάττει ἑαυτόν. ξγ'.

Ἀμήχανον ἐστὶ τυχεῖν ἐλέους Θεοῦ, τὸν καταλιπόντα αὐτὸν, καὶ ἡδοναῖς δουλεύοντα. ξδ'.

Ἰησοῦς ἐστὶν ὁ λέγων, κἂν πιστεύειν οὐ θέλωμεν· ὅτι οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν. ξε'.

Ῥυπωθεῖσα ψυχὴ ὑπὸ παθῶν, πεπώρωται· καὶ οὐδὲ τομῶν, καὶ καυτήρων, πιστεύειν οὐκ ἀνέχεται. ξϛ'.

Ἐπασμοὶ φοβεροὶ τοὺς σκληροὺς διαδέχονται· δίχα γὰρ μεγάλων πόνων, μαλαχθῆναι οὐ καταδέχονται. ξζ'.

Συνετὸς ἀνὴρ, ἐπιμελεῖται ἑαυτοῦ, καὶ δι' ἑκουσίων πόνων, τοὺς ἀκουσίους ἐκφεύγει. ξη'.

Ἐπιμέλεια ψυχῆς, κακοπάθεια καὶ ταπείνωσις. δι' ὧν ὁ Θεὸς συγχωρεῖ πάσας τὰς ἁμαρτίας. ξθ'.

Ὥσπερ ἐπιθυμίαι καὶ ὀργαὶ, ἁμαρτίας πληθύνουσιν, οὕτως ἐγκράτεια καὶ ταπείνωσις, ἐξαλείφουσιν αὐτάς. ο'.

Συντρίβει καρδίαν, λύπη κατὰ Θεόν. αὐτὴν δὲ τίκτει, φόβος κολάσεως. οα'.

Λύπη κατὰ Θεὸν, καθαίρει καρδίαν. καὶ μολυσμοὺς ἡδονῶν, μακρύνει ἀπ' αὐτῆς. οβ'.

Ὑπομονή ἐστὶ, φιλοπονία ψυχῆς. ἔνθα δὲ φιλοπονία, φιληδονία ἐξώρισται. ογ'.

Πᾶσα ἁμαρτία, διὰ ἡδονὴν γίνεται. καὶ πᾶσα συγχώρησις, διὰ κακοπαθείας καὶ λύπης. οδ'.

Ἀκου-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

οε'. Ἀκουσίοις πόνοις εἰς πρόνοιαν περιπίπτει, ὁ τῶν ἑκουσίων πόνων μετανοεῖν μὴ ἀνεχόμενος.

ος'. Σωτήρ ἐστιν ὁ Χριστὸς τοῦ σύμπαντος κόσμου, καὶ τὴν μετάνοιαν τοῖς ἀνθρώποις εἰς σωτηρίαν ἐχαρίσατο.

οζ'. Τήρησις ἐντολῶν, τίκτει μετάνοιαν. ἡ δὲ τῶν ἐντολῶν τήρησις, ψυχῆς ποιεῖ κάθαρσιν.

οη'. Ἡ τῆς ψυχῆς κάθαρσις, παθῶν ἐστὶν ἀπαλλαγή. ἀπαλλαγὴ δὲ παθῶν, ἀγάπην τίκτει.

οθ'. Ψυχή ἐστι καθαρὰ, ἡ τὸν Θεὸν ἀγαπῶσα. καὶ νοῦς ἐστι καθαρὸς, ὁ ἀγνοίας χωρισθείς.

π'. Ὑπὲρ τῶν ἐντολῶν τοῦ Χριστοῦ μέχρι θανάτου ἀγώνισαι, ὅτι δι' αὐτῶν καθαρθεὶς, εἰς τὴν ζωὴν εἰσελεύσῃ.

πα'. Χρῆσαι τῷ σώματι ὡς ὑπηρέτῃ τῶν ἐντολῶν, ἀνένδοτον αὐτὸ τηρῶν, καὶ ἄνοσον ὅση δύναμις.

πβ'. Ἡ τῆς σαρκὸς ἐπανάστασις ἐξ ἀμελείας γίνεται, τῆς προσευχῆς τε, καὶ διαίτης, καὶ καλῆς ἡσυχίας.

πγ'. Καλὰ ἔγκυα τίκτει ἡ καλὴ ἡσυχία, ἐγκράτειαν, καὶ ἀγάπην, καὶ προσευχὴν καθαράν.

πδ'. Ἀνάγνωσις καὶ προσευχὴ, τὸν νοῦν καθαίρουσιν. ἀγάπη δὲ καὶ ἐγκράτεια, τὸ παθητικὸν τῆς ψυχῆς.

πε'. Ἴσην διαπαντὸς τήρει τὴν ἐγκράτειαν, ἵνα μὴ τῇ ἀνωμαλίᾳ εἰς τὰ ἐναντία ἐμπέσῃς.

πς'. Ὁ νομοθετῶν ἑαυτῷ, μὴ παραβῇ ἑαυτόν. ὁ γὰρ ἑαυτὸν παραλογιζόμενος, ἑαυτὸν ἀπατᾷ.

πζ'. Δυσμαί εἰσι νοηταὶ, ψυχαὶ ἐμπαθεῖς. ταῖς γὰρ τοιαύταις ἔδυσεν ὁ τῆς δικαιοσύνης ἥλιος.

Υἱός ἐστι Θεοῦ, ὁ ὁμοιωθεὶς τῷ Θεῷ πη'.
δι' ἀγαθότητα σοφίας, καὶ δυνάμεως, καὶ δικαιοσύνης.

Νόσος ἐστὶ ψυχῆς, ἡ τῆς κακίας ἕξις. θάνατος δὲ, ἡ κατ' ἐνέργειαν ἁμαρτία. πθ'.

Ἀκτημοσύνη ἐστὶ νοητὴ, ἡ παντελὴς ἀπάθεια· καθ' ἣν γενόμενος ὁ νοῦς, ἀναχωρεῖ τῶν ἐνταῦθα. ϙ'.

Συμφώνως τήρει τὰς τῆς ψυχῆς ἀρετὰς, καὶ ἐκ τούτου τίκτεται ὁ τῆς δικαιοσύνης καρπός. ϙα'.

Τὴν τῶν νοητῶν θεωρίαν, ἀσώματον εἶναί φασιν, ὡς ὕλην καὶ εἶδος πάντη ἀπηλλαγμένην. ϙβ'.

Ὥσπερ τὰ τέσσαρα στοιχεῖα ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους, οὕτω καὶ τὰ ἐξ αὐτῶν σώματα, ἐκ τῶν αὐτῶν συνέστηκεν. ϙγ'.

Σὰρξ γενόμενος διὰ φιλανθρωπίαν ὁ Λόγος, οὔτε ὃ ἦν μετέβαλεν, οὔτε γέγονεν ἠλλοίωσεν. ϙδ'.

Ὥσπερ ἐκ Θεότητος καὶ ἀνθρωπότητος, καὶ ἐν Θεότητι καὶ ἀνθρωπότητι, οὕτως καὶ ἐκ δύο φύσεων καὶ ἐν δύο φύσεσι λέγομεν τὸν ἕνα Χριστόν. ϙε'.

Μίαν ὑπόστασιν ἐπὶ Χριστοῦ εἶναί φαμεν, ἐν δύο φύσεσιν ἡνωμένως ἀδιαιρέτως. ϙς'.

Ἀδιαίρετον τὴν μίαν Χριστοῦ ὑπόστασιν δοξάζομεν, καὶ ἀσύγχυτον τὴν τῶν φύσεων ἕνωσιν ὁμολογοῦμεν. ϙζ'.

Τρισυπόστατον μίαν τῆς Θεότητος οὐσίαν προσκυνοῦμεν, καὶ ὁμοούσιον τὴν Ἁγίαν Τριάδα ὁμολογοῦμεν. ϙη'.

Ἴδια τῶν τριῶν ὑποστάσεων, πατρότης, υἱότης, ἐκπόρευσις. καὶ κοινὰ τῶν τριῶν ὑποστάσεων, ἡ οὐσία, ἡ φύσις, ἡ θεότης, ἡ ἀγαθότης. ϙθ'.

# ΤΟΥ ΑΥΤΟΥ
## ΠΕΡΙ ΤΩΝ ΑΥΤΩΝ,
# ΕΚΑΤΟΝΤΑΣ ΤΡΙΤΗ,

Ἧς ἡ ἀκροστιχὶς ἥδε.

Πλὴν κακὰ κυρίως, οὐ τὰ τὴν σάρκα μὲν κακοῦντα, τὴν δὲ ψυχὴν καθαίροντα. τὰ δὲ τὴν συνείδησιν λυποῦντα, τέρποντα δὲ τὴν σάρκα.

α'. Περὶ τῶν φύσει ἀγαθῶν, ἀγαθὰ διανοοῦ. καὶ περὶ παντὸς ἀνθρώπου, καλὰ διαλογίζου.

β'. Λόγων, καὶ ἔργων, καὶ ἐννοιῶν, ἀπολογίαν ἀπαιτούμεθα παρὰ Θεοῦ ἐν ἡμέρᾳ κρίσεως.

γ'. Ἡ ἕξις τῆς ἀρετῆς, ἢ τῆς κακίας, κινεῖ ἡμᾶς ἐπὶ τὸ, καλὰ ἢ κακὰ ἐννοεῖν, ἢ λέγειν, ἢ διαπράττεσθαι.

δ'. Νοῦς ὑπὸ παθῶν κεκρατημένος, ἐννοεῖ τὰ μὴ πρέποντα· φανεροῦσι δὲ τὴν ἔννοιαν, οἱ λόγοι καὶ τὰ ἔργα.

ε'. Κακῆς ἐννοίας, προηγεῖται πάθος. τοῦ δὲ πάθους αἰτία καθέστηκεν, ἡ αἴσθησις. τῆς δὲ κακῆς αὐτῆς χρήσεως, δηλονότι ὁ νοῦς.

ϛ'. Ἀπόκλεισον τὴν αἴσθησιν, καὶ πολέμησον τὴν πρόληψιν. καὶ τοῖς ὅπλοις τῶν ἐντολῶν, ἀνελέσεις τὰ πάθη.

ζ'. Κακία χρονίσασα, ἀσκήσεως δεῖται χρονίας. συνήθεια γὰρ παγιωθεῖσα, ἀθρόως οὐ μετακινεῖται.

η'. Ἄσκησις ἐπιτεταμένη δι' ἐγκρατείας, καὶ ἀγάπης, δι' ὑπομονῆς καὶ ἡσυχίας, ἀναιρεῖ τὰ ἐγκείμενα.

θ'. Κίνει τὸν νοῦν εἰς προσευχὴν συνεχῶς, καὶ φθείρεις τοὺς λογισμοὺς, ἐφεστῶτας τῇ καρδίᾳ.

ι'. Ὑπομονῆς δεῖται καὶ μακροθυμίας ἡ ἄσκησις. χρονία γὰρ φιλοπονία, φιληδονίαν ἐξορίζεται.

ια'. Ῥαδίως γυμνάζῃ εἰς τοὺς τῆς ἀσκήσεως πόνους, ἐὰν πάντα μέτρῳ καὶ κανόνι διαπράξῃ.

ιβ'. Ἴσον τὸ μέτρον τῆς ἀσκήσεως διαφύλαττε, καὶ μὴ λύσῃς κανόνα, ἐκτὸς ἀνάγκης.

ιγ'. Ὥσπερ λογισμοὺς καθαίρει ἀγάπη καὶ ἐγκράτεια, οὕτω πᾶν ὕψωμα ἐπαιρόμενον, θεωρία καὶ προσευχή.

ιδ'. Συνείδησιν καθαρὰν, πόνοι ποιοῦσιν ἀσκήσεως. οἷον νηστεία, ἀγρυπνία, ὑπομονὴ, καὶ μακροθυμία.

ιε'. Ὁ τῶν ἀκουσίων πειρασμῶν τὰς ἐπαγωγὰς ὑπομένων, ταπεινόφρων, καὶ εὔελπις, καὶ δόκιμος γίνεται.

ιϛ'. Ὑπομονή ἐστι, φιλοπονία ψυχῆς. συνίσταται δὲ αὕτη, ἐξ ἑκουσίων πόνων, καὶ ἀκουσίων πειρασμῶν.

ιζ'. Τήκει κακίαν ἡ τῶν δεινῶν καρτερία, καὶ ἀπόλλυσιν εἰς τέλος, ἡ μέχρι τέλους ὑπομονή.

ιη'. Αἴσθησιν ὀδυνᾷ, πόνων ἐπαγωγή. καὶ ἡδονὴν ἀναιρεῖ, λύπης ἐπιφορά.

ιθ'. Τέσσαρά ἐστι γενικώτατα πάθη, οἷς σοφῶς καταλλήλοις ἡ πρόνοια κέχρηται.

κ'. Ἡδονὴν γὰρ συστέλλει, λύπης ἐπαγωγή. καὶ ἐπιθυμίαν μαραίνει, φόβος κολάσεως.

κα'. Νοῦς φρόνιμος γυμνάζει ψυχὴν αὐτοῦ, καὶ εἰς πᾶσαν ἄσκησιν ἐθίζει σῶμα αὐτοῦ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κβ'. Σπεῦσον δεῖξαι Μοναχὸν μὴ τὸν ἔξω ἄνθρωπον, ἀλλὰ καὶ τὸν ἔσω, τῶν παθῶν ἀπαλλάττων.

κγ'. Ἀποταγὴ πρώτη, ἡ τῶν πραγμάτων ἀπαλλαγὴ, δευτέρα δὲ καὶ τρίτη, ἡ τῶν παθῶν, καὶ τῆς ἀγνοίας.

κδ'. Ῥαδίως τὶς βουληθεὶς τῶν πραγμάτων ἀπαλλάττεται. οὐκ ὀλίγῳ δὲ καμάτῳ τῶν πρὸς αὐτὰ * νοημάτων.

* ἐν ἄλλ. παθημάτων.

κε'. Κρατοῦν ἐπιθυμίας, καὶ θυμοῦ περιέσῃ, αὕτη γὰρ αἰτία τῆς τοῦ θυμοῦ παροχῆς.

κϛ'. Ἄρα ἀπηλλάγημεν τῶν ἐμπαθῶν νοημάτων, καὶ τῆς καθαρᾶς καὶ ἀΰλου ἀντελάβομεν προσευχῆς, ἢ οὔπω;

κζ'. Μέγας ὁ νοῦς ὁ τῶν παθῶν ἀπαλλαγεὶς, καὶ τῶν ὄντων χωρισθεὶς, καὶ ἐν τῷ Θεῷ διάγων.

κη'. Ἐν τοῖς τρισὶ τόποις ὁ προκόπτων φιλοσοφεῖ, ἐν ταῖς ἐντολαῖς, ἐν τοῖς δόγμασι, καὶ ἐν τῇ πίστει τῆς Ἁγίας Τριάδος.

κθ'. Νοῦς παθῶν ἀπαλλαγεὶς, ἐν τούτοις εὑρίσκεται. ἐν τοῖς ψιλοῖς νοήμασιν, ἐν τῇ θεωρίᾳ τῶν ὄντων, καὶ ἐν τῷ ἰδίῳ φωτί.

λ'. Κάκιστα πάθη ἐν ταῖς ψυχαῖς ἡμῶν κέκρυπται, τότε δὲ φαίνονται, ὅτε τὰ πράγματα ἐλέγχονται.

λα'. Ἀνενόχλητος μένει ἔσθ' ὅτε ὁ τῆς μερικῆς τυχὼν ἀπαθείας, ἀδόκιμος δὲ ἐστὶ διὰ τὴν τῶν πραγμάτων ἀπουσίαν.

λβ'. Κινοῦνται τὰ πάθη διὰ τῶν τριῶν τόπων, διά τε τῆς μνήμης, καὶ τῆς κράσεως, καὶ τῆς αἰσθήσεως, ὡς προείρηται.

λγ'. Ὁ νοῦς τὴν αἴσθησιν ἀποκλείσας, καὶ τὴν κρᾶσιν ὁμαλίσας, πρὸς μόνην τὴν μνήμην ἔχει τὸν πόλεμον.

λδ'. Ὑπὸ τῶν αἰσθήσεων τότε τὰ πάθη κινοῦνται, ὁπηνίκα ἐγκράτεια μὴ παρῇ, καὶ ἀγάπη πνευματική.

λε'. Νηστεία σύμμετρος, καὶ ἀγρυπνία, καὶ ψαλμῳδία, πεφύκασιν ὁμαλίζειν τὴν κρᾶσιν τοῦ σώματος.

λϛ'. Τὰ τρία ταῦτα τὴν κρᾶσιν κατὰ τὸ χεῖρον δηλονότι ἀλλοιοῦσιν, ἡ τῆς διαίτης ἀταξία, ἡ τῶν ἀέρων μεταβολὴ, καὶ ἡ τῶν δαιμόνων ἐπαφή.

λζ'. Αἱ ἐμπαθεῖς μνῆμαι διὰ τούτων ψιλοῦνται, διὰ προσευχῆς, καὶ ἀναγνώσεως, καὶ ἐγκρατείας, καὶ ἀγάπης.

λη'. Τὴν αἴσθησιν πρῶτον τῇ ἡσυχίᾳ ἀπόκλεισον, καὶ τότε τοῖς ὅπλοις τῶν ἀρετῶν πρὸς τὰς μνήμας πολέμησον.

λθ'. Ἡ κατὰ διάνοιαν κακία, ἡ παράχρησις ἐστὶ τῶν νοημάτων. ἡ δὲ κατ' ἐνέργειαν ἁμαρτία, ἡ παράχρησις ἐστὶ τῶν πραγμάτων.

μ'. Νοημάτων καὶ πραγμάτων ἐστὶ παράχρησις, τὸ μὴ εὐσεβῶς καὶ δικαίως τοῖς ἀμφοτέροις χρήσασθαι.

μα'. Δεσμὰ ὑπάρχουσι τοῦ νοῦ, πάθη ψεκτὰ, κατέχοντα αὐτὸν ἐν τοῖς αἰσθητοῖς πράγμασι.

μβ'. Ἐκεῖνος τελείαν ἔχει ἀπάθειαν, ὁ μηδὲ πρὸς τὰ πράγματα πάσχων, μηδὲ πρὸς τὰς μνήμας αὐτῶν.

μγ'. Ψυχὴ ἀγαθὴ εὐεργετεῖ τὸν πλησίον, καὶ ἀγνωμονουμένη, μακροθυμεῖ ἐπ' αὐτῷ, καὶ πάσχουσα ὑπομένει τὰ παρ' αὐτοῦ.

μδ'. Ὑπάρχοντα εἰσὶ κακὰ, λογισμοὶ πονηροί. εἷς ὁ μὴ ἀποταττόμενος, οὐ μαθητεύεται τῇ γνώσει.

με'. Χριστοῦ ὁ ἀκούων, ἑαυτὸν φωταγωγεῖ. καὶ ὁ μιμούμενος αὐτὸν, ἑαυτὸν διορθοῦται.

μϛ'. Ἡ μνησικακία, λέπρα ἐστὶ ψυχῆς. συμβαίνει δὲ αὐτῇ ἀπὸ ἀτιμίας, ἢ ζημίας, ἢ λογισμῶν ὑπονοίας.

μζ'. Νοῦν φθονερὸν ἐκτυφλοῖ ὁ Κύριος, ὅτι λυπεῖται ἀδίκως ἐπὶ τοῖς ἀγαθοῖς τοῦ πλησίον.

μη'. Κατάλαλος ψυχὴ, τρίβολον ἔχει γλῶσσαν· ἑαυτὸν γὰρ καὶ τὸν ἀκούοντα, ἔσθ' ὅτε καὶ τὸν καταλαλούμενον βλάπτει.

μθ'. Ἀμνησίκακός ἐστι, προσευχόμενος ὑπὲρ λυπήσαντος. καὶ ἀπαλλάσσεται μνησικακίας, ὁ μὴ φειδόμενος δώρων.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ν'. Θάνατος ψυχῆς, μῖσος πρὸς τὸν πλησίον. τοῦτο γὰρ ἔχει, καὶ πράττει ἡ τοῦ καταλάλου ψυχή.

να'. Ἀκηδία ἐστὶν, ὀλιγωρία ψυχῆς. ὀλιγωρεῖ δὲ ψυχὴ, φιληδονίαν νοσοῦσα.

νβ'. Γνησίως ὁ ἀγαπῶν, γυμνάζεται ἐν πόνοις. καρτερία δὲ πόνων, ἀπελαύνει ἀκηδίαν.

νγ'. Ῥώννυται ψυχὴ διὰ πόνων ἀσκήσεως, καὶ ἐν τῷ τὰ πάντα μέτρῳ ποιεῖν, ἀπελαύνει ἀκηδίαν.

νδ'. Ὁ κρατῶν γαστρὸς, μαραίνει ἐπιθυμίαν, καὶ λογισμοῖς πορνείας οὐ δουλεύει ὁ νοῦς αὐτοῦ.

νε'. Νοῦς ἐγκρατὴς, ναὸς Ἁγίου Πνεύματος. ὁ δὲ τοῦ γαστριμάργου, κατοικητήριον κοράκων.

νς'. Τῆς τῶν βρωμάτων ποικιλίας, ὁ κόρος ποιεῖ ἐπιθυμίαν. ἡ δὲ ἔνδεια, ἡδύνει καὶ αὐτὸν τὸν ψιλὸν ἄρτον.

νζ'. Ἀπαλλάττεται φθόνου, ὁ συγχαίρων τῷ φθονουμένῳ κρυπτῶς. καὶ ἀπαλλάττει φθόνου, ὁ τὸν φθονούμενον κρύπτων.

νη'. Τοῦ ἀμελῶς βιοῦντος, μάκρυνον σεαυτὸν, κἂν ὄνομα μέγα παρὰ πολλοὺς κέκτηται.

νθ'. Ἄνδρα φιλόπονον κτῆσαι φίλον, καὶ εὑρίσκεις σκέπην τῶν σῶν ὀφθαλμῶν.

ξ'. Δεσπόταις πολλοῖς ὁ ἀμελὴς πέπραται, καὶ ὡς ἄγουσιν αὐτὸν, οὕτω διάγεται.

ξα'. Εὐνοεῖ σοι ὡς φίλος, ἐν καιρῷ εἰρήνης· καὶ ἐν καιρῷ πειρασμοῦ, ὡς ἐχθρὸς πολεμεῖ.

ξβ'. Τὴν ψυχὴν τιθεῖ ὑπὲρ σοῦ πρὸ τῆς κινήσεως τῶν παθῶν, καὶ ὅτε κινηθῶσι, τὴν ψυχὴν συλλαμβάνει.

ξγ'. Ἡ χερσωθεῖσα γῆ, ἀκανθῶν πεπλήρωται. καὶ ἡ ἀμελὴς ψυχὴ, παθῶν ἀκαθάρτων.

ξδ'. Νοῦς φρόνιμος χαλινοῖ ψυχὴν αὐτοῦ, καὶ ὑπωπιάζει τὸ σῶμα, καὶ δουλαγωγεῖ τὰ πάθη.

Σημεῖον τῶν ἔνδον τὰ προφανῆ κινήματα, ὡς καὶ τῶν ἀγνώστων δένδρων οἱ προφερόμενοι καρποί. ξε'.

Ὑποκειμένην ἐλέγχουσιν οἱ λόγοι καὶ τὰ ἔργα, καὶ τὴν κεκρυμμένην ψευδοπροφήτην εἰς φανερὸν ἄγουσιν. ξς'.

Νοῦς ἠλογημένος, οὐ παιδεύει ψυχὴν αὐτοῦ. καὶ ἀγάπης καὶ ἐγκρατείας, ἀπομακρύνει αὐτήν. ξζ'.

Ἐννοιῶν φαύλων αἰτία, ἕξις πονηρὰ, ἀπὸ ὑπερηφανίας καὶ ἀλαζονείας συνεσταμένη. ξη'.

Ἴδια τῶν προειρημένων ὑπόκρισις, καὶ δόλος, πανουργία τε, καὶ εἰρωνεία, καὶ τὸ πᾶν φαῦλον ψεῦδος. ξθ'.

Δουλεύουσι τοῖς προλεχθεῖσι, φθόνος, καὶ ἔρις, θυμὸς, καὶ ὀργὴ, λύπη, καὶ μνησικακία. ο'.

Ἤδη ἡ ὁδὸς τῶν ἐν ἀμελείᾳ βιούντων, καὶ οὗτος ὁ θησαυρὸς τῶν ἐν ἐμοὶ κεκρυμμένων. οα'.

Σώζουσι ψυχὴν, κακοπάθεια καὶ ταπείνωσις. καὶ ἐκ τῶν προειρημένων παθῶν ἀπαλλάττουσιν αὐτήν. οβ'.

Ἴδιον ἐννοίας συνετῆς, λόγος ὠφέλιμος, καὶ ψυχῆς ἀγαθῆς, πρᾶξις ἐνάρετος. ογ'.

Νοῦς πεφωτισμένος, λόγους προφέρει σοφίας. καὶ ψυχὴ καθαρὰ, λογισμοὺς γεωργεῖ θείους. οδ'.

Λογισμοὶ σπουδαίου, σοφίαν μελετῶσι, καὶ οἱ λόγοι αὐτοῦ, φωτίζουσι τοὺς ἀκούοντας. οε'.

Ὑποκειμένων ἐν ψυχῇ ἀρετῶν, ἀγαθοὺς γεωργεῖ λογισμούς. κακιῶν δὲ ὑποκειμένων, φαύλας τίκτει ἐννοίας. ος'.

Πονηρῶν ἐννοιῶν ἐργαστήριον, ψυχὴ ἐμπαθοῦς. καὶ ἐκ τοῦ ἑαυτῆς θησαυροῦ, προφέρει τὰ πονηρά. οζ'.

Ὁ ἀγαθὸς θησαυρὸς, ἡ ἕξις ἐστὶ τῶν ἀρετῶν. καὶ ὁ ἀγαθὸς νοῦς, ἐκ ταύτης προφέρει τὰ ἀγαθά. οη'.

Ὑπὸ θείας ἀγάπης ἐνεργούμενος ὁ οθ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νοῦς, ἀγαθὰς ἐννοίας περὶ Θεοῦ γεωργεῖ. ὑπὸ δὲ τῆς φιλαυτίας, ἐκ τοῦ ἐναντίου.

π'. Νοῦς ὑπὸ τῆς εἰς τὸν πλησίον ἀγάπης κινούμενος, καλὰ περὶ αὐτοῦ ἀδιαλείπτως λογίζεται. καὶ πάλιν ἐκ τοῦ ἐναντίου τὰ πονηρὰ ὑποτίθεται.

πα'. Τῶν ἀγαθῶν ἐννοιῶν, αἱ ἀρεταὶ αἰτίαι. τῶν δὲ ἀρετῶν, αἱ ἐντολαί, τῆς δὲ τούτων ἐργασίας, ἡ προαίρεσις.

πβ'. Αἱ ἀρεταὶ καὶ αἱ κακίαι γινόμεναι, καὶ ἀπογινόμεναι, εὖ ἢ κακῶς τὴν ψυχὴν διατιθέασιν, κινοῦσαι εἰς ἐννοίας καταλλήλους.

πγ'. Τῶν πονηρῶν ἐννοιῶν αἰτίαι αἱ κακίαι, τῶν δὲ κακιῶν ἡ παρακοή, τῆς δὲ παρακοῆς ἡ τῆς αἰσθήσεως ἀπάτη, τῆς δὲ ἀπάτης ταύτης ἡ τοῦ νοῦ περὶ τὴν ἀσφάλειαν αὐτῆς ἀμέλεια.

πδ'. Ἐν μὲν τοῖς προκόπτουσιν, ἀμετάπτωτοι γίνονται αἱ διαθέσεις τῶν ἐναντίων. ἐν δὲ τοῖς τελείοις, κατ' ἄμφω ἕξεις δυσκίνητοι.

πε'. Ῥώμη ψυχῆς ἐστιν, ἕξις ἀρετῆς δυσκίνητος, εἰς ἣν ὁ φθάσας, ὡς ἀνάλωτος ἔλεγε· Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; καὶ τὰ ἑξῆς.

πϛ'. Προηγεῖται μὲν πάντων τῶν παθῶν ἡ φιλαυτία, ἕπεται δὲ πάντων ἔσχατον ἡ ὑπερηφανία.

πζ'. Οἱ τρεῖς γενικώτατοι τῆς ἐπιθυμίας λογισμοί, ἐκ τοῦ πάθους τῆς φιλαυτίας τὴν γένεσιν ἔχουσιν.

πη'. Νοεῖς πάντως τούς τε τῆς γαστριμαργίας, καὶ τῆς κενοδοξίας, καὶ φιλαργυρίας λογισμούς. οἷς ἕπονται πάντες οἱ ἐμπαθεῖς λογισμοί, ἀλλ' οἱ πάντες κοινῶς.

πθ'. Τῷ τῆς γαστριμαργίας λογισμῷ, ἕπεται ὁ τῆς πορνείας. τῷ δὲ τῆς κενοδοξίας, ὁ τῆς ὑπερηφανίας. οἱ δὲ λοιποὶ κοινῶς τοῖς τρισίν.

ϟ'. Ἀκολουθοῦσι κοινῶς τοῖς τρισίν, ὅ, τε τῆς λύπης, καὶ τῆς ὀργῆς, καὶ τῆς μνησικακίας, καὶ φθόνου, καὶ ἀκηδίας, καὶ οἱ λοιποί.

Εὐχή.

ϟα'. Δέσποτα τῶν ἁπάντων Χριστέ, ἐκ πάντων τούτων ἡμᾶς ἐλευθέρωσον· τῶν τε ὀλεθρίων παθῶν, καὶ τῶν ἐξ αὐτῶν τικτομένων λογισμῶν.

ϟβ'. Ἕνεκά σου γεγόναμεν, ἵνα κατατρυφήσωμεν ἐν Παραδείσῳ τεθέντες τῷ ὑπὸ σοῦ φυτευθέντι.

ϟγ'. Τὴν τε νῦν ἀτιμίαν ἑαυτοῖς ἐπεσπασάμεθα, τῆς μακαρίας τρυφῆς, τὴν ὀλεθρίαν προτιμήσαντες.

ϟδ'. Ἧς τὴν ἀντιμισθίαν ἐν ἑαυτοῖς ἀπελάβομεν, ζωῆς ἀϊδίου θάνατον ἀνταλλαξάμενοι.

ϟε'. Νῦν οὖν Δέσποτα καθὼς ἐπέβλεψας, καὶ εἰς τέλος ἐπίβλεψον, καθὼς ἐνηνθρώπησας, καὶ σῶσον πάντας ἡμᾶς.

ϟϛ'. Σῶσαι γὰρ ἦλθες τοὺς ἀπολωλότας ἡμᾶς. μὴ χωρίσῃς ἡμᾶς τῆς τῶν σωζομένων μερίδος.

ϟζ'. Ἀνάστησον ψυχάς, καὶ σῶσον τὰ σώματα· καθάρισον πάντας ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ.

ϟη'. Ῥῆξον τὰ δεσμὰ τῶν κατεχόντων ἡμᾶς παθῶν, ὁ ῥήξας τὰς φάλαγγας τῶν ἀκαθάρτων δαιμόνων.

ϟθ'. Καὶ ἀπάλλαξον ἡμᾶς τῆς ἐξ αὐτῶν τυραννίδος, ἵνα σοι μόνῳ λατρεύσωμεν τῷ αἰωνίῳ φωτί.

ρ'. Ἀναστάντες ἐκ νεκρῶν, καὶ σὺν Ἀγγέλοις χορεύοντες τὴν μακαρίαν, καὶ αἰωνίαν, καὶ ἀκατάλυτον χορείαν, Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΕΡΙ ΤΩΝ ΑΥΤΩΝ,

## ΕΚΑΤΟΝΤΑΣ ΤΕΤΑΡΤΗ,

Ἧς ἡ ἀκροστιχὶς ἥδε.

Ὅμως οὖν καὶ ἐκ τῶν κυρίως κακῶν, καὶ τῶν μὴ κυρίως, νομιζομένων δέ, εὖξαι ἐκτενῶς πρὸς Κύριον τὸν Θεὸν ἡμῶν λυτρωθῆναι ἡμᾶς.

α΄. Ὁ τῆς πρὸς τὴν σάρκα φιλίας καὶ κολακείας τὸν νοῦν ἀποχωρίσας, οὗτος τῷ ζωτικῷ Πνεύματι, τὰς πράξεις τοῦ σώματος ἐθανάτωσε.

β΄. Μὴ νόμιζε κεχωρίσθαι τῆς πρὸς τὴν σάρκα σχέσεως, ἔτι ἐν τοῖς τῆς σαρκὸς οἰκείοις τὸν νοῦν ἔχων ἐνασχολούμενον.

γ΄. Ὥσπερ τῆς σαρκὸς ἴδια ἡ αἴσθησις καὶ τὰ αἰσθητά, οὕτω καὶ τῆς ψυχῆς ἴδια ὁ νοῦς καὶ τὰ νοητά.

δ΄. Σύστειλον τὴν ψυχὴν ἀπὸ τῆς αἰσθήσεως τῶν αἰσθητῶν, καὶ εὑρίσκεται ὁ νοῦς ἐν τῷ Θεῷ, καὶ ἐν τοῖς νοητοῖς.

ε΄. Οἰκεῖον Θεότητος, αἱ νοεραὶ φύσεις, καὶ τῷ μόνῳ ληπταί. ἡ δὲ αἴσθησις καὶ τὰ αἰσθητά, εἰς ὑπουργίαν τοῦ νοῦ ἔκτισται.

ϛ΄. Ὑπουργείτωσαν ἡ αἴσθησις καὶ τὰ αἰσθητά, πρὸς θεωρίαν πνευματικήν, καὶ μὴ συναντιστρόφως τῇ αἰσθήσει τὰ πρὸς ἐπιθυμίαν τῆς σαρκός.

ζ΄. Νεκρῶσαι ἐκελεύσθης τὰς πράξεις τοῦ σώματος, ἵνα τὴν ψυχὴν νεκρωθεῖσαν ἡδοναῖς τοῖς πόνοις ἐξαναστήσῃς.

η΄. Κυριεύου ὑπὸ Θεοῦ, καὶ κυρίευε τῆς αἰσθήσεως, καὶ μὴ δῷς τὴν ἐξουσίαν ὁ κρείττων τῷ χείρονι.

θ΄. Ἀΐδιος ὁ Θεός, καὶ ἀπέραντος, καὶ ἀόριστος, καὶ ἀΐδια ἀγαθά, καὶ ἀπέραντα, καὶ ἀνεκλάλητα τοῖς αὐτῷ ὑπακούουσιν ἐπηγγείλατο.

ι΄. Ἴδιον τοῦ νοῦ, τὸ ἐν Θεῷ διάγειν, καὶ περὶ αὐτοῦ διανοεῖσθαι, καὶ τῆς αὐτοῦ προνοίας, καὶ τῶν φοβερῶν αὐτοῦ κριμάτων.

ια΄. Ἔχεις τὴν ἐξουσίαν τῆς ἐπ' ἀμφότερα ῥοπῆς, γενοῦ τοῦ κρείττονος, καὶ ὑποπάτει τὸ χεῖρον.

ιβ΄. Καλὴ ἡ αἴσθησις καὶ καλὰ τὰ αἰσθητά, ὡς ἔργα τοῦ ἀγαθοῦ Θεοῦ. οὐ συγκρίνονται δὲ ὅμως παντάπασι τῷ νῷ καὶ τοῖς νοητοῖς.

ιγ΄. Τὴν λογικὴν καὶ νοερὰν οὐσίαν δεκτικὴν τοῦ παντός, καὶ τῆς ἑαυτοῦ γνώσεως ὁ δεσπότης ἐδημιούργησε, τὴν δὲ αἴσθησιν καὶ τὰ αἰσθητά, εἰς χρῆσιν αὐτῆς παρήγαγεν.

ιδ΄. Ὥσπερ ἄτοπον δούλῳ φαύλῳ, δεσπότην ἀγαθὸν ὑποτάξαι, οὕτως ἄτοπον νοῦν λογικὸν σώματι δουλῶσαι φθαρτῷ.

ιε΄. Νοῦς μὴ ἐπιστατῶν τῇ αἰσθήσει, δι' αὐτῆς περιπίπτει κακοῖς. ὑφ' ἡδονῆς γὰρ τῶν αἰσθητῶν ἀπατηθείς, τίκτει ἑαυτῷ φαυλότητα.

ιϛ΄. Κρατῶν τῆς αἰσθήσεως, ἀσφαλίζου καὶ τὴν μνήμην. αἱ γὰρ διὰ τῆς αἰσθήσεως προλήψεις, ἀνακινοῦσι τὰ πάθη.

ιζ΄. Ὑπωπίαζε τὸ σῶμα, καὶ προσεύχου συνεχῶς, καὶ τῶν ἐκ προλήψεων λογισμῶν τάχιστα ἀπαλλάττῃ.

ιη΄. Ῥήμασι θείοις ἀδιαλείπτως σχόλαζε,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἡ γὰρ περὶ αὐτὰ φιλοπονία, καταναλίσκει τὰ πάθη.

ιθʹ. Ἴσχνει τὸν νοῦν τῆς περὶ τὰ πάθη πλάνης, ἀνάγνωσις, καὶ ἀγρυπνία, προσευχή, καὶ ψαλμωδία.

κʹ. Ὥσπερ τὸ ἔαρ πρὸς τὸ βλαστάνειν ἀνακινεῖ τὰ φυτά, οὕτω καὶ ἡ ἀπάθεια τὸν νοῦν πρὸς τὴν γνῶσιν τῶν ὄντων.

καʹ. Συντήρησον ἐντολάς, καὶ εὑρήσεις εἰρήνην, καὶ τὸν Θεὸν ἀγαπήσεις, καὶ γνώσεως ἐπιτεύξῃ.

κβʹ. Κόπῳ καὶ μόχθῳ καὶ ἱδρῶτι προσώπου, τὸν ἄρτον τῆς γνώσεως κατεκρίθης ἐσθίειν.

κγʹ. Ἀμέλεια τὸν Προπάτορα εἰς παράβασιν ἤγαγεν, καὶ ἀντὶ τρυφῆς Παραδείσου, κατέκρινε θανάτῳ.

κδʹ. Κράτει καὶ σὺ τῆς Εὔας· τὸν ὄφιν φύλαξαι, ἵνα μὴ ἀπατηθεῖσα, τοῦ ξύλου σοι μεταδῷ.

κεʹ. Ὥσπερ τὸ σῶμα κατὰ φύσιν ἡ ψυχὴ ζωοποιεῖ, οὕτω καὶ τὴν ψυχὴν ἡ ἀρετή, καὶ ἡ γνῶσις.

κϛʹ. Νεφέλη ἐστὶν ἄνυδρος, νοῦς οἰήσει σοφός, ὑπὸ τῶν τῆς κενοδοξίας καὶ ὑπερηφανίας πνευμάτων παραφερόμενος.

κζʹ. Κενοδοξίας κρατῶν, ἀπὸ τῆς πορνείας πρόσεχε. μήποτε τὰς τιμὰς φεύγων, ἀτιμίᾳ περιπέσῃς.

κηʹ. Ἀποφεύγων κενοδοξίας, εἰς τὸν Θεὸν ἀπόβλεπε. εἰδὲ μήγε οἰήσει πάντως, ἢ πορνείᾳ περιπίπτεις.

κθʹ. Ἴδιον κενοδοξίας, ἡ ἐπιδεικτικὴ ἐπιτήδευσις. τοῦ δὲ ὑπερηφανίας, τὸ ἐξουθενεῖν, καὶ θυμοῦσθαι.

λʹ. Τὴν γαστριμαργίαν φεύγων, τὴν ἀνθρωπαρεσκίαν φύλαξαι, τὴν ὠχρότητα τοῦ προσώπου ἐπιδείξασθαι προφαντάζουσαν.

λαʹ. Ὡραία νηστεία ἡ βραχυφαγία χαίρουσα, καὶ λιτοφαγίαν ἔχουσα, καὶ ἀνθρωπαρεσκίαν φεύγουσα.

λβʹ. Νηστεύων ἕως ὀψέ, μὴ χορτασθῇς εἰς κόρον, ἵνα μὴ ἅπερ καταλύεις, ταῦτα πάλιν οἰκοδομήσῃς.

λγʹ. Μὴ πίνων οἶνον, μὴ χορτασθῇς ὕδατος, εἰδὲ μήγε, τὴν αὐτὴν ὕλην τῇ πορνείᾳ παρέχεις.

λδʹ. Ἡ ὑπερηφανία, τῆς θείας ἀφίστασθαι ποιεῖ βοηθείας, καὶ ἐφ᾽ ἑαυτῷ πεποιθέναι, καὶ τῶν ἀνθρώπων κατεπαίρεσθαι.

λεʹ. Κατὰ τῆς ὑπερηφανίας δύο πρόκεινται πράγματα, ἅπερ ὁ μὴ καταδεχόμενος, τρίτον ἕξει σφόδρα δεινότατον.

λϛʹ. Ὑπερηφανίαν αἴρει, προσευχὴ μετὰ δακρύων, καὶ τὸ μηδένα ἐξουθενεῖν, καὶ αἱ ἀκούσιοι ἐπιφοραί.

λζʹ. Ῥάβδος ἐστὶ νοητή, ἡ διὰ πειρασμῶν παίδευσις, ταπεινοφρονεῖν διδάσκουσα τὸν ἐν ἀφροσύνῃ ἐπαιρόμενον.

ληʹ. Ἴδιον ἔργον τοῦ νοῦ, τὸ μὴ ἀνέχεσθαι λογισμοῦ λάθρα καταλαλοῦντος κατὰ τοῦ πλησίον.

λθʹ. Ὥσπερ ὁ κηπουρὸς μὴ ἐπαίρων τὰς βοτάνας ἀποπνίγει τὰ λάχανα, οὕτω καὶ ὁ νοῦς μὴ καθαίρων τοὺς λογισμοὺς ἀπόλλυσι τοὺς πόνους.

μʹ. Συνετὸς ἀνήρ, ὁ συμβουλῆς ἀνεχόμενος, καὶ μάλιστα πνευματικοῦ πατρὸς κατὰ Θεὸν συμβουλεύοντος.

μαʹ. Νενεκρωμένος ὑπὸ παθῶν, συμβουλῆς οὐκ αἰσθάνεται. καὶ παιδεύσεως πνευματικῆς, τοσοῦτον οὐκ ἀνέχεται.

μβʹ. Ὁ μὴ δεχόμενος συμβουλήν, οὐ κατορθοῖ τὰς ὁδοὺς αὐτοῦ, ἀλλὰ κατὰ κρημνῶν ἀεὶ καὶ φαράγγων φέρεται.

μγʹ. Μοναχός ἐστι, νοῦς ὁ τῇ αἰσθήσει ἀποταξάμενος, καὶ λογισμὸν ἡδονῆς μηδὲ ἰδεῖν ἀνεχόμενος.

μδʹ. Ἰατρός ἐστι νοῦς ὁ ἑαυτὸν ἰασάμενος, καὶ ἐξ ὧν ἴαθη τοὺς ἄλλους ἰώμενος.

μεʹ. Ζήτησον τὴν ἀρετὴν καὶ μὴ ζημιωθῇς αὐτήν, ἵνα μὴ καὶ ζήσῃς αἰσχρῶς καὶ ἀποθάνῃς ἐλεεινῶς.

μϛʹ. Ὁ Κύριος ἡμῶν Ἰησοῦς πᾶσι τὸ φῶς

ἔχα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐχαρίσατο, ἀλλ' οἱ μὴ πειθόμενοι αὐτῷ ἑαυτοὺς σκοτίζουσι.

μζʹ. Μὴ μικρὰν εἶναι νόμιζε τὴν τῆς ἀρετῆς ζημίαν, διὰ ταύτην γὰρ ὁ θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν.

μηʹ. Ἐντολῆς ὑπακοὴ, νεκρῶν ἐστιν ἀνάστασις. τῇ γὰρ ἀρετῇ κατὰ φύσιν ἐπακολουθεῖ ἡ ζωή.

μθʹ. Νεκρωθέντος τοῦ νοῦ τῇ τῆς ἐντολῆς παραβάσει, ἐπηκολούθησεν ἐξ ἀνάγκης καὶ ὁ τοῦ σώματος θάνατος.

νʹ. Ὥσπερ ὁ Ἀδὰμ παραβὰς, θανάτῳ ὑπέπεσεν, οὕτως ὁ Σωτὴρ ὑπακούσας, τὸν θάνατον ἐνέκρωσε.

ναʹ. Νέκρωσον τὴν κακίαν, ἵνα μὴ νεκρὸς ἀναστῇς. καὶ ἐκ μικροῦ θανάτου, εἰς μέγα μεταβαίνῃς.

νβʹ. Διὰ τὴν τοῦ Ἀδὰμ παράβασιν ὁ Σωτὴρ ἐνηνθρώπησεν, ἵνα τὸ κατάκριμα λύσας τοὺς πάντας ἐξαναστήσῃ.

νγʹ. Ἐκ ζωῆς εἰς ζωὴν ἐκεῖνος μεταβαίνει, ὁ τὰ πάθη νεκρώσας, καὶ τῆς ἀγνοίας χωρισθείς.

νδʹ. Ἐρεύνησον τὰς γραφὰς, καὶ εὑρίσκεις τὰς ἐντολὰς, καὶ τὰ λεγόμενα ποίησον, καὶ τῶν παθῶν ἀπαλλάττῃ.

νεʹ. Ὑπακοὴ ἐντολῆς, ψυχῆς ποιεῖ κάθαρσιν. ἡ δὲ τῆς ψυχῆς κάθαρσις, φωτὸς ποιεῖ μέθεξιν.

νϛʹ. Ξύλον ζωῆς γνῶσις ἐστὶ Θεοῦ, οὗ μετέχων ὁ καθαρὸς, ἀθάνατος διαμένει.

νζʹ. Ἀρχὴ πρακτικῆς πίστις Χριστοῦ, τέλος δὲ ταύτης ἀγάπη Χριστοῦ.

νηʹ. Ἰησοῦς ἐστὶν ὁ Χριστὸς καὶ Κύριος ἡμῶν καὶ Θεὸς, ὁ τὴν εἰς αὐτὸν πίστιν εἰς ζωὴν ἡμῖν χαρισάμενος.

νθʹ. Ἐκ ψυχῆς, καὶ σώματος, καὶ θεότητος ἡμῖν ἐπεφάνη, ἵνα καὶ ψυχὴν, καὶ σῶμα· ὡς Θεὸς· ἐκ θανάτου λυτρώσηται.

ξʹ. Κτησώμεθα πίστιν ἵνα ἔλθωμεν εἰς ἀγάπην, ἐξ ἧς τίκτεται ὁ τῆς γνώσεως φωτισμός.

ξαʹ. Τῷ τῆς πίστεως κτήματι ταῦτα καθεξῆς ἐπακολουθεῖ, φόβος Θεοῦ, ἐγκράτεια ἡδονῶν, ὑπομονὴ πόνων, ἐλπὶς εἰς Θεὸν, ἀπάθεια, καὶ ἀγάπη.

ξβʹ. Ἐξ ἀγάπης εἰλικρινοῦς, τίκτεται γνῶσις φυσική. ταύτην δὲ διαδέχεται, τὸ ἔσχατον ὀρεκτόν. τοῦτο δέ ἐστιν, ἡ τῆς θεολογίας χάρις.

ξγʹ. Νοῦς κρατῶν τῶν παθῶν, ἐκ φόβου πάντως κρατεῖ· πιστεύων τῷ Θεῷ περὶ ὧν ἤλπισε, καὶ περὶ ὧν ἐπηγγείλατο.

ξδʹ. Ὡς ἐδόθη πίστις, ἀπαιτεῖται ἐγκράτεια. ἥτις χρονίζουσα, τίκτει τὴν ὑπομονὴν, ἕξιν οὖσαν πολύπονον.

ξεʹ. Σημεῖον ὑπομονῆς, ἡ τῶν πόνων φιλία. εἰς οὓς θαρρῶν ὁ νοῦς, ἐλπίζει τυχεῖν τῶν ἐπηγγελμένων, καὶ ἐκφυγεῖν τὰ ἠπειλημένα.

ξϛʹ. Προσδοκία τῶν μελλόντων ἀγαθῶν, συνάπτει τὸν νοῦν τοῖς προσδοκωμένοις. ἐν αὐτοῖς δὲ χρονίζων, ἐπιλανθάνεται τῶν παρόντων.

ξζʹ. Ῥίπτει τὰ παρόντα, ὁ τῶν ἐλπιζομένων γευσάμενος. ὅλον γὰρ τὸν πόθον, ἐν ἐκείνοις ἐκένωσεν.

ξηʹ. Ὁ Θεός ἐστιν ὁ τὰ μέλλοντα ἐπαγγειλάμενος ἀγαθὰ, ᾧ πιστεύων ὁ ἐγκρατὴς, ὡς παρόντα ποθεῖ τὰ μέλλοντα.

ξθʹ. Σημεῖον τοῦ ἐν τοῖς ἐλπιζομένοις ἀγαθοῖς διατρίβειν τὸν νοῦν, τὸ, λήθην ποιεῖσθαι παντελῆ τῶν ἐνταῦθα, πλατύνεσθαι δὲ αὐτὸν ἐν τῇ γνώσει τῶν μελλόντων.

οʹ. Καλὴ ἡ ἀπάθεια, ἣν ὁ Θεὸς διδάσκει τῆς ἀληθείας, ἀπεντεῦθεν πληροφορῶν τὴν θεοφιλῆ ψυχήν.

οαʹ. Ὑπεραιώνια, καὶ πρὸ παντὸς αἰῶνος, καὶ ὑπὲρ νοῦν καὶ λόγον, τὰ ἀποκείμενα ἀγαθὰ τοῖς κληρονόμοις τῆς ἐπαγγελίας.

οβʹ. Ῥυθμίσωμεν ἑαυτοὺς τοῖς κανόσι τοῖς εὐσεβείας, ἵνα μὴ εἰς πάθη παραξαπεσόντες, ἐκπέσωμεν τῆς ἐλπίδος.

Γνῶσις

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ογ΄. Γνωστὸς ἐστὶν ὁ Χριστὸς ὁ εἷς τῆς Τριάδος, οὗ καὶ κληρονόμος μέλλεις ἔσεσθαι.

οδ΄. Ὁ τὴν γνῶσιν τῶν ὄντων παρὰ Θεοῦ διδαχθεὶς, οὐ δυσπιστεῖ τῇ γραφῇ περὶ τῶν προειρημένων.

οε΄. Νοῦν παθῶν γυμνωθέντα εὑρίσκον τὸ Πνεῦμα τὸ Ἅγιον, μυσταγωγεῖ αὐτὸν ἀναλόγως περὶ πάντων τῶν ἐλπιζομένων.

ος΄. Τῇ ἀναλογίᾳ τῆς τοῦ νοῦ καθάρσεως, καὶ τὴν τῶν θείων λόγων γνῶσιν ἡ ψυχὴ χορηγεῖται.

οζ΄. Ὁ τὸ σῶμα κακώσας, καὶ ἐν τῇ γνώσει διατρίβων, ἀπ᾽ αὐτῆς τῆς γνώσεως ἐπιπλέον καθαίρεται.

οη΄. Νοῦς ἀρχόμενος τὰ θεῖα φιλοσοφεῖν, ἀπὸ πίστεως ἄρχεται, καὶ διὰ τῶν ἐν μέσῳ διάγων, εἰς πίστιν πάλιν καταλήγει τὴν ἀνωτάτην.

οθ΄. Θεωρεῖται τῇ μὲν ἀρχῇ τῆς φιλοσοφίας, φόβος ἑπόμενος. τῷ δὲ τέλει, ἀγάπη προηγουμένη.

π΄. Ἐκ πίστεως τῆς προσεχοῦς ὁ νοῦς ἀρχόμενος φιλοσοφίας, εἰς τὴν παντὸς ἐπέκεινα νοῦ καταλήγει θεολογίαν, ἣν ἄληστον πίστιν, καὶ πράγματος ἀφανοῦς θεωρίαν ὁρίζουσιν.

πα΄. Οἱ περὶ Θεοῦ λόγοι, οὐκ ἐκ τῶν κατ᾽ αὐτὸν, ἀλλ᾽ ἐκ τῶν περὶ αὐτὸν τοῖς ἁγίοις θεωροῦνται.

πβ΄. Νοοῦνται οἱ περὶ αὐτὸν δηλονότι τὸν Θεὸν, πάντες λόγοι, οἱ μὲν κατὰ θέσιν, οἱ δὲ κατὰ ἀφαίρεσιν οἷον.

πγ΄. Ἡ οὐσία, ἡ θεότης, ἡ ἀγαθότης, καὶ ὅσα ἄλλα καταφατικῶς λέγεται καὶ κατὰ θέσιν. τὸ δὲ ἄναρχον πάλιν, καὶ ἄπειρον, καὶ ἀόριστον, καὶ ὅσα ἀποφατικῶς, κατὰ ἀφαίρεσιν.

πδ΄. Μιᾶς οὐσίας οὔσης τῆς ὑπὲρ νοῦν, καὶ λόγον, καὶ κρυφίας θεότητος τῆς Ἁγίας Τριάδος, τὰ περὶ αὐτὴν θεωρούμενα, τὰ προειρημένα εἶναι φασὶ, καὶ τὰ ὅμοια.

πε΄. Ὥσπερ δὲ μίαν θεότητα τῆς Ἁγίας Τριάδος λέγουσιν, οὕτω καὶ τρεῖς τὰς ὑποστάσεις τῆς μιᾶς θεότητος δοξάζουσι.

πς΄. Νοοῦσι δὲ τὰ κατὰ ἀφαίρεσιν καὶ θέσιν προειρημένα, κοινὰ ἐπὶ τῆς Ἁγίας καὶ ὁμοουσίου Τριάδος, χωρὶς τῶν ἰδιωμάτων, ἐπειδὴ καὶ αὐτῶν τὰ πλεῖστα μὲν κατὰ θέσιν, τινὰ δὲ κατὰ ἀφαίρεσιν λέγουσιν.

πζ΄. Λέγουσι δὲ πάλιν τὰ ἰδιώματα τῶν θείων ὑποστάσεων ταῦτα, τὴν πατρότητα, τὴν υἱότητα, τὴν ἐκπόρευσιν, καὶ ὅσα ἄλλα ἰδικῶς λέγεται.

πη΄. Ὑπόστασιν δὲ ὁρίζουσιν, οὐσίαν μετὰ ἰδιωμάτων· διὸ ἑκάστη ὑπόστασις, ἔχει καὶ τὸ κοινὸν τῆς οὐσίας, καὶ τὸ ἴδιον τῆς ὑποστάσεως.

πθ΄. Τὰ δὲ κοινῶς πάλιν ἐπὶ τῆς Ἁγίας Τριάδος κατὰ ἀφαίρεσιν λεχθέντα, κυριώτερα κρίνουσιν. οὐχ οὕτω μέντοι καὶ ἐπὶ τῶν ἰδιωμάτων. ἐπειδὴ καὶ αὐτῶν τὰ μὲν κατὰ θέσιν, τὰ δὲ κατὰ ἀφαίρεσιν, ὡς προείρηται, λέγουσιν, ὡς τὸ γεννητὸν καὶ τὸ ἀγέννητον, καὶ τὰ ὅμοια. ἡ γὰρ ἀγεννησία, τῆς μὲν γεννήσεως κατὰ μόνην διαφέρει τὴν σημασίαν. ἡ μὲν γὰρ, τὸ μὴ * γεννᾶσθαι τὸν Πατέρα, ἡ δὲ, τὸ γεγεννῆσθαι τὸν Υἱὸν σημαίνει.

* ἐν ἄλ. γεγεννῆσθαι.

ϙ΄. Ῥήμασι δ᾽ αὖ καὶ ὀνόμασι κέχρηνται πρὸς τὴν τῶν περὶ τὴν οὐσίαν ὡς εἴρηται, τῆς Ἁγίας Τριάδος, θεωρουμένων λόγων σαφήνειαν· ἄγνωστοι γὰρ οὗτοι καὶ ἄρρητοι τῷ καὶ λόγῳ παντὶ, καὶ μόνῃ τῇ Ἁγίᾳ Τριάδι εἰσὶ γινωσκόμενοι.

ϙα΄. Ὥσπερ δὲ τρισυπόστατον τὴν μίαν οὐσίαν τῆς θεότητος λέγουσιν, οὕτω καὶ ὁμοούσιον τὴν Ἁγίαν Τριάδα ὁμολογοῦσιν.

ϙβ΄. Θεωρεῖται δὲ αὐτοῖς πάλιν ὁ Πατὴρ, καὶ ἄναρχος, καὶ ἀρχή. καὶ ἄναρχος μὲν, ὡς ἀγέννητος. ἀρχὴ δὲ, ὡς γεννήτωρ, καὶ προβολεὺς τῶν ἐξ αὐτοῦ κατ᾽ οὐσίαν, καὶ ἐξ ἀϊδίου ὑπαρχόντων ἐν αὐτῷ, Υἱοῦ τε λέγω, καὶ Πνεύματος Ἁγίου.

ϙγ΄. Ἡ μονὰς μέχρι Τριάδος παρ᾽ αὐτοῖς κινουμένη, μένει μονάς. καὶ ἡ Τριὰς μέ-

χεῖ μονάδος πάλιν συναγομένη, μονὴ τελειάς· ὃ καὶ παράδοξον.

ϟδ'. Νοοῦσι δὲ πάλιν τὸν Υἱόν, καὶ τὸ Πνεῦμα, καὶ ἄναρχα μέν, ἀΐδια δέ. οὐκ ἄναρχα μέν, ὡς πρὸς ἀρχήν, καὶ πηγὴν ἀναφερόμενα τὸν Πατέρα. ἀΐδια δέ, ὡς ἐξ ἀϊδίου, τοῦ μὲν γεννητῶς, τοῦ δὲ ἐκπορευτῶς, Πατρὶ συνυπάρχοντος.

ϟε'. Ἀδιαίρετον δὲ τὴν μίαν Θεότητα τῆς Τριάδος φυλάττουσι, καὶ ἀσυγχύτους τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς Θεότητος διατηροῦσιν.

ϟϛ'. Ἰδιότητας δέ, τοῦ μὲν Πατρός, ἄναρχον, καὶ ἀγέννητον λέγουσι. τοῦ δὲ Υἱοῦ, τὸ ἐν ἀρχῇ, καὶ τὸ γεννητόν. τοῦ δὲ Ἁγίου Πνεύματος, τὸ μετὰ τῆς ἀρχῆς, καὶ τὸ ἐκπορευτόν. ἀρχὴν δὲ τοῦ Υἱοῦ, καὶ τοῦ Πνεύματος, οὐ χρονικὴν λέγουσι. πῶς γάρ; ἀλλὰ τὴν αἰτίαν δηλοῦσιν, ἐξ ἧς ὡς ἐξ ἡλίου τὸ φῶς, οὕτως ἐξ ἀϊδίου τὴν ὕπαρξιν ἔχουσιν· ἐξ αὐτῆς γὰρ κατ' οὐσίαν, εἰ καὶ μὴ μετ' αὐτήν.

ϟζ'. Ἡ ἰδιότης πάλιν τῶν ὑποστάσεων, ἀκίνητος, καὶ ἀμεταπτώτως παρ' αὐτοῖς φυλάττεται. καὶ ἡ κοινότης δὲ τῆς οὐσίας, ἤγουν Θεότητος, ἀδιαίρετος.

ϟη'. Μονάδα ἐν Τριάδι, καὶ Τριάδα ἐν μονάδι ὁμολογοῦσι· διαιρουμένην ἀδιαιρέτως, καὶ συναπτομένην διῃρημένως.

Ἀρχὴν δὲ μίαν τῶν ὅλων, τὸν Πατέρα οἴδασι· τοῦ μὲν Υἱοῦ, καὶ τοῦ Πνεύματος· ὡς γεννήτορα, καὶ ὡς πηγὴν ἀΐδιον, καὶ συναΐδιον, καὶ συνάπειρον, καὶ ἀόριστον, καὶ ὁμοούσιον, καὶ ἀχώριστον. τῶν δὲ κτισμάτων, ὡς δημιουργόν, καὶ προνοητήν, καὶ κριτήν· δι' Υἱοῦ δηλονότι ἐν Ἁγίῳ Πνεύματι. ἐξ αὐτοῦ γάρ φησι, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. ϟθ'.

Συναΐδια πάλιν λέγουσι τῷ Πατρὶ τὸν Υἱόν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον· οὐ συνάναρχα δέ. καὶ συναΐδια μέν, ὡς ἐξ ἀπείρου τῷ Πατρὶ συνυπάρχοντα, οὐ συνάναρχα δέ, ὡς οὐκ ἀναίτια· ἐξ αὐτοῦ γάρ, εἰ καὶ μὴ μετ' αὐτόν, ὡς ἐξ ἡλίου τὸ φῶς· καθὼς προείρηται. λέγουσι δὲ πάλιν καὶ ἄναρχα, ὅταν τὴν ἀπὸ χρόνου λαμβάνῃ ἀρχήν, ἵνα μὴ ὑπὸ χρόνον νοηθῇ, τὰ ἐξ ὧν ὁ χρόνος. οὐκ ἄναρχα οὖν τῷ αἰτίῳ, τῷ δὲ χρόνῳ ἄναρχα· ὡς πρὸ παντὸς καὶ χρόνου, καὶ αἰῶνος· καὶ ὑπὲρ αἰῶνα, καὶ χρόνον, δι' ὧν ἅπας καὶ αἰών, καὶ χρόνος· καὶ τὰ ἐν αἰῶσι, καὶ τὰ ἐν χρόνῳ, καὶ ὡς τῷ Πατρί· ὡς προείρηται· συναΐδια. μεθ' ὧν αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ρ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Ἰωάννης ὁ Δαμασκηνός, ὁ, διὰ τὴν χρυσαυγίζουσαν αὐτοῦ τῆς διδασκαλίας χάριν, ἐπικληθεὶς Χρυσορρόας, ἦν ἐπὶ Λέοντος τοῦ Ἰσαύρου, κατὰ τὸ ἑπτακοσιοστὸν τριακοστὸν ἔτος. Μοῦσα δὲ Ἱερὰ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας χρηματίσας, πάμπολλα συγγράμματα αὐτῇ καταλέλοιπε, κόσμης ἀφάτου, καὶ πνευματικῆς χάριτος ἀποστάζοντα. οἷς, καὶ τὸν παρόντα λόγον ὑπάρχοντα ἐναρίθμιον, ἐνταῦθα τεθείκαμεν, ὡς πάμπολυ συντελοῦντα εἰς τὴν προκειμένην τῆς βίβλου ὑπόθεσιν, καὶ τοῖς εἰδέναι ποθοῦσι τὴν τοὺς πολλοὺς λανθάνουσαν γνῶσιν τῶν ἀρετῶν καὶ κακιῶν χρειωδέστατον. Τίνες τε γάρ, καὶ ὅσαι, καὶ εἰς ὅσας διαιροῦνται κατ᾽ εἶδος, καὶ γένος σαφῶς ἐκδιδάσκει, καὶ ὅπως ἂν ἔχοι τις ἐκείνων μὲν ἐν κτήσει, τούτων δ᾽ ἐν ἀποκτήσει γενέσθαι. καὶ ὅλως Λυδία λίθος ἐστί, τὸ δόκιμον χρυσίον τῶν ἀρετῶν, καὶ τὸ ὑπόχαλκον τῶν κακιῶν ἐπιστημονικῶς διακρίνουσα. ὥστε ὁ τὴν γνῶσιν αὐτοῦ ἀκριβῶς ἐναποταμιεύσας τῷ στήθει, ἐπιστήμων ἔσεται πάντων ἐν βραχεῖ πασῶν ἁπαξαπλῶς τῶν ἀρετῶν, καὶ παθῶν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

### Λόγος Ψυχωφελὴς, καὶ θαυμάσιος.

Ἰστέον οὖν, ὅτι διπλοῦς ἐστιν ὁ ἄνθρωπος, ἤγουν ἐκ ψυχῆς καὶ σώματος· καὶ διπλᾶς ἔχει καὶ τὰς αἰσθήσεις, διπλᾶς καὶ τὰς τούτων ἀρετάς. καὶ πέντε μέν εἰσι τῆς ψυχῆς, καὶ πέντε τοῦ σώματος. καὶ αἱ μὲν ψυχικαὶ αἰσθήσεις, ἃς καὶ δυνάμεις αὐτὰς οἱ σοφοὶ λέγουσιν, εἰσὶν αὗται· νοῦς, διάνοια, δόξα, φαντασία, καὶ αἴσθησις. αἱ δὲ σωματικαί εἰσιν αὗται, ὅρασις, ὄσφρησις, ἀκοὴ, γεῦσις, καὶ ἁφή. ἐντεῦθεν, διπλαῖ τούτων αἱ ἀρεταὶ, διπλαῖ καὶ αἱ κακίαι. ὥστε ἀναγκαῖόν ἐστιν εἰδέναι σαφῶς πάντα ἄνθρωπον, πόσαι μέν εἰσι ψυχικαὶ ἀρεταὶ, πόσαι δὲ σωματικαί. καὶ ποῖα αὖθις εἰσὶ τὰ ψυχικὰ πάθη, ποῖα δὲ τὰ σωματικά. Καὶ ψυχικὰς μὲν ἀρετὰς λέγομεν εἶναι προηγουμένας, τὰς γενικωτάτας τέσσαρας ταύτας. αἵτινές εἰσιν· ἀνδρεία, φρόνησις, σωφροσύνη, καὶ δικαιοσύνη. καὶ ἐκ τούτων ἀποτίκτονται αἱ ψυχικαὶ ἀρεταί· πίστις, ἐλπὶς, ἀγάπη, προσευχὴ, ταπείνωσις, πραότης, μακροθυμία, ἀνεξικακία, χρηστότης, ἀοργησία, γνῶσις θεία, τὸ * ἄθυμον, τὸ ἁπλοῦν, τὸ ἀτάραχον, τὸ ἀνυπόκριτον, τὸ ἄτυφον, τὸ ἀνυπερήφανον, τὸ ἄφθονον, τὸ ἄδολον, τὸ ἀφιλάργυρον, τὸ συμπαθὲς, τὸ ἐλεημονητικὸν, τὸ μεταδοτικὸν, τὸ ἄφοβον, τὸ ἄλυπον, τὸ κατανυκτικὸν, τὸ αἰδέσιμον, ἡ εὐλάβεια, ἡ τῶν μελλόντων ἀγαθῶν ἔφεσις, ἡ τῆς βασιλείας τοῦ Θεοῦ ὄρεξις, ἡ τῆς υἱοθεσίας ἐπιθυμία. Ἀρεταὶ δὲ σωματικαὶ αὗται· μᾶλλον δὲ ἐργαλεῖα ἀρετῶν· ἐν γνώσει, καὶ κατὰ Θεὸν γινόμεναι, ἔξω δὲ πάσης ὑποκρίσεως, καὶ ἀνθρωπαρεσκείας, εἰς προκοπὴν ταπεινώσεως, καὶ ἀπαθείας φέρεται τὸν ἄνθρωπον. ἐγκράτεια, νηστεία, πεῖνα, δίψα, ἀγρυπνία, στάσις πάννυχος, κάμψις γονάτων συνεχὴς, ἀλουσία, μονοχιτωνία, ξηροφαγία, βραδυφαγία, ὑδροποσία, χαμευνία, πτωχεία, ἀκτημοσύνη, τὸ αὐχμηρὸν, τὸ ἀκαλλώπιστον, τὸ ἀφίλαυτον, τὸ μεμονωμένον, τὸ ἥσυχον, τὸ ἀπρόϊτον, τὸ ἐνδεὲς, τὸ αὔταρκες, τὸ σιωπηλὸν, τὸ ταῖς οἰκείαις χερσὶν ἐργόχειρον μετέρχεσθαι· καὶ πᾶσα κακοπάθεια, καὶ ἄσκησις σω-

* ἢ εὔθυμον.

ματικὴ,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ματικὴ, καὶ ἄλλα τοιαῦτα. ἅπερ ἅπαντα τοῦ σώματος θρασύνοντος, καὶ ὑπὸ τῶν σαρκικῶν παθῶν ὀχλουμένου, ἀναγκαιότατα τυγχάνουσι, καὶ ὠφελιμώτατα. ἀσθενοῦντος δὲ, καὶ Θεοῦ βοηθείᾳ, τούτων περιγενομένου, οὐ πάντη ἀναγκαῖα εἰσὶν, ὡς τῆς ἁγίας ταπεινώσεως, καὶ εὐχαριστίας πάντα ἀναπληρούσης. ὀφείλομεν οὖν εἰπεῖν καὶ περὶ τῶν ψυχικῶν, καὶ σωματικῶν κακιῶν· ἤγουν παθῶν. καὶ ψυχικὰ μὲν εἰσὶ πάθη ταῦτα λήθη· ῥαθυμία· καὶ ἄγνοια. ὑφ' ὧν δηλαδὴ τῶν τριῶν τούτων ὁ ὀφθαλμὸς τῆς ψυχῆς, εἴτε ὁ νοῦς, σκοτιζόμενος, κυριεύεται ὑπὸ πάντων τῶν παθῶν· ἅτινά εἰσι ταῦτα. ἀσέβεια, κακοδοξία, ἤγουν πᾶσα αἵρεσις. βλασφημία, θυμὸς, ὀργὴ, πικρία, ὀξυχολία, μισανθρωπία, μνησικακία, καταλαλιὰ· κατάκρισις, λύπη ἄλογος, φόβος, δειλία, ἔρις, ζῆλος, φθόνος, κενοδοξία, ὑπερηφανία, ὑπόκρισις, ψεῦδος, ἀπιστία, πλεονεξία, φιλοϋλία, προσπάθεια, σχέσις γηΐνων πραγμάτων, ἀκηδία, μικροψυχία, ἀχαριστία, γογγυσμὸς, τῦφος, οἴησις, σοβαρότης, ἀλαζονεία, φιλαρχία, ἀνθρωπαρέσκεια, δολιότης, ἀναίδεια, ἀναισθησία, κολακεία, ὑπουλότης, εἰρωνεία, διψυχία, αἱ συγκαταθέσεις τῶν ἁμαρτημάτων ἐκ τοῦ παθητικοῦ μέρους, καὶ ἡ συνεχὴς τούτων μελέτη· πλάνη λογισμῶν, φιλαυτία, ἡ τῶν κακῶν γεννήτρια, καὶ ἡ ῥίζα πάντων τῶν κακῶν, φιλαργυρία· κακοήθειά τε, καὶ πονηρία. σωματικὰ δὲ πάθη· γαστριμαργία, λαιμαργία, τρυφὴ, μέθη, λαθροφαγία, φιληδονία ποικίλη· πορνεία, μοιχεία, ἀσέλγεια, ἀκαθαρσία, αἱμομιξία, παιδοφθορία, κτηνοβατία, ἐπιθυμίαι κακαί. καὶ πάντα τὰ παρὰ φύσιν αἰσχρὰ πάθη. κλεψία, ἱεροσυλία, ληστεία, φόνος, ἡ πᾶσα σωματικὴ ἄνεσις, καὶ ἀπόλαυσις τῶν θελημάτων τῆς σαρκὸς, ὑγιαίνοντος μᾶλλον τοῦ σώματος· μαντεῖαι, μαγεῖαι, οἰωνισμοὶ, κληδονισμοὶ, φιλοκοσμίαι, περπερεῖαι, βλακεῖαι, καλλωπισμοὶ, ἐπιτρίμματα προσώπων, ἡ κατάκειτος ἀργία, μετεωρισμοὶ, κυβεῖαι, ἡ ἐμπαθὴς τῶν τοῦ κόσμου ἡδέων παράχρησις· ἡ φιλοσώματος ζωὴ, ἥτις παχύνουσα τὸν νοῦν, γεώδη καὶ κτηνώδη τοῦτον ἀποτελεῖ, καὶ οὐδέποτε πρὸς Θεὸν, καὶ τὴν τῶν ἀρετῶν ἐργασίαν ἀνανεῦσαι ἐᾷ. ῥίζαι δὲ τούτων πάντων τῶν παθῶν, καὶ ὡς ἂν εἴποι τις πρωταίτιαι, φιληδονία, φιλοδοξία, καὶ φιλαργυρία· ἀφ' ὧν ἀποτίκτεται πᾶν κακόν. οὐχ ἁμαρτάνει δὲ ὁ νοῦς οὐδεμίαν ἁμαρτίαν, εἰμὴ πρότερον οἱ κραταιοὶ οὗτοι γίγαντες, καθὼς φησὶν ὁ ἐν ἀσκηταῖς σοφώτατος, Μάρκος, περιγένωνται, καὶ κατακυριεύσωσιν. ἤτοι λήθη, ῥαθυμία, καὶ ἄγνοια. ταύτης δὲ ἀποτίκτει ἡδονὴ, καὶ ἄνεσις, καὶ τὸ ἀγαπᾶν τὴν δόξαν τῶν ἀνθρώπων, καὶ τὸν περισπασμόν. πρωταίτιος δὲ τούτων ἁπάντων, καὶ οἷα μήτηρ κακίστη, ὡς προείρηται, ἡ φιλαυτία, ἤγουν ἡ ἄλογος φιλία τοῦ σώματος, καὶ ἐμπαθὴς προσπάθεια. διάχυσις δὲ καὶ ἔκλυσις νοὸς, μετὰ εὐτραπελίας, καὶ αἰσχρολογίας, πολλῶν κακῶν καὶ πτωμάτων πρόξενοι, ὡς ἡ παρρησία καὶ ὁ γέλως. πρὸς τούτοις δὲ πᾶσι, χρὴ γινώσκειν ὡς ποικίλη τίς ἐστι, καὶ πολύτροπος ἡ ἐμπαθὴς φιληδονία. καὶ πολλαὶ αἱ ἀπατῶσαι τὴν ψυχὴν ἡδοναί. ὅταν μὴ νήφουσα πρὸς Θεὸν ἔρρωται τῷ θείῳ φόβῳ. καὶ τῇ τοῦ Χριστοῦ ἀγάπῃ τῆς τῶν ἀρετῶν ἐργασίας ἐπιμελουμένη. μυρίαι γὰρ φαίνονται ἡδοναὶ πρὸς ἑαυτὰς ἕλκουσαι τοὺς τῆς ψυχῆς ὀφθαλμούς. αἱ τῶν σωμάτων, αἱ τῶν χρημάτων, αἱ τῆς τρυφῆς, αἱ τῆς δόξης, αἱ τῆς ῥαθυμίας, αἱ τῆς ὀργῆς, αἱ τῆς δυναστείας, αἱ τῆς φιλαργυρίας, αἱ τῆς πλεονεξίας. καὶ φαίνονται ἐν ἀπάτῃ λαμπρὰς ἔχουσαι τὰς ὄψεις, καὶ ἐπεράστους, ἱκανὰς ἐπισπάσασθαι



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὰς περὶ ταῦτα ἐπτοημένας, καὶ μὴ σφόδρα τῆς ἀρετῆς ἐρώσας, καὶ τὴν ταύτης ὑπομενούσας σκληρότητα. καὶ πᾶσα δὲ σχέσις γηΐνη, καὶ ἡ πρός τι τῶν ὑλικῶν προσπάθεια ἡδονὴν καὶ τέρψιν ποιεῖ τῷ προσπαθοῦντι. καὶ αἴτιον καὶ βλαβερὸν τὸ τῆς ψυχῆς ἐπιθυμητικὸν ἐμπαθῶς ἐν τούτῳ δεικνύει· ὡς τὸ μὲν ἕνεκεν θυμῷ καὶ ὀργῇ, λύπῃ τε, καὶ μνησικακίᾳ, τῇ τοῦ ποθουμένου ἀποστερήσει, τὸν ἡττώμενον καθυποβάλλεσθαι. εἰ δὲ μετὰ τῆς προσπαθείας, καὶ μικρά τις ἐπικρατήσῃ συνήθεια, ἀναισθήτως· φεῦ· καὶ ἀνιάτως μέχρι τέλους τῆς ἀλόγου προσπαθείας ἔχεσθαι διὰ τῆς ἐνταῦθα κεκρυμμένης ἡδονῆς, τὸν ἁλόντα παρασκευάζει. πολυσχεδὴς γάρ ἐστιν ἡ τῆς ἐπιθυμίας ἡδονή, ὡς προείρηται. καὶ οὐ μόνον ἐν τῇ πορνείᾳ, καὶ τῇ ἄλλῃ σωματικῇ ἀπολαύσει ἀποπληροῦται, ἀλλὰ καὶ τοῖς λοιποῖς πάθεσιν. ἐπεὶ σωφροσύνη, οὐ τοῦτο μόνον ἐστί, τὸ πορνείας ἀπέχεσθαι, καὶ τῶν ὑπογαστρίων ἡδονῶν, ἀλλὰ καὶ ἀπὸ τῶν λοιπῶν ἡδονῶν, ἐκτὸς εἶναι. ἔνθεν ὁ φιλοχρηματίας, καὶ ὁ φιλαργυρίας καὶ ὁ πλεονεξίας ἐρῶν, ἀκόλαστος. ὥσπερ γὰρ ἐκεῖνος σωμάτων ἐρᾷ, οὕτω καὶ οὗτος χρημάτων· μᾶλλον δὲ οὗτος ἀκολαστότερος. ὅσῳ οὐδὲ τοσαύτην ἔχει βίαν τὴν ἐκ τῆς φύσεως συνωθοῦσαν αὐτόν. καὶ γὰρ ἀμαθὴς ἡνίοχος, ἐκεῖνος ἂν ὡς ἀληθῶς, καὶ μάλιστα λέγοιτο, οὐχ ὁ τὸν σκληρόν, καὶ δυσήνιον μὴ κατέχων ἵππον, ἀλλ᾽ ὁ τὸν ἥμερον, καὶ ἐπιεικέστερον μὴ δυνάμενος ὑποτάξαι. καὶ δῆλον ἐστι πανταχόθεν, ὡς περιττὴ καὶ οὐ κατὰ φύσιν ἐστὶν ἡ τῶν χρημάτων ἐπιθυμία· ἅτε μὴ ἐκ φύσεως τὴν βίαν ἔχουσα, ἀλλ᾽ ἐκ μοχθηρᾶς προαιρέσεως· διὸ καὶ ἀσύγγνωστα ἁμαρτάνει ὁ ταύτῃ ἑκὼν ἡττώμενος. ὥστε χρὴ σαφῶς ἐπιγινώσκειν ἡμᾶς, ὅτι οὐκ εἰς τρυφὴν μόνον καὶ τὴν τῶν σωμάτων ἀπόλαυσιν ἡ φιληδονία ὁρίζεται, ἀλλ᾽ ἐν παντὶ τρόπῳ, καὶ πράγματι, προαιρέσει ψυχῆς ἀγαπωμένῳ, καὶ προσπαθείᾳ. ἵνα δὲ σαφέστερον ἔτι τὰ πάθη κατὰ τὸ τῆς ψυχῆς τριμερὲς διαγινώσκηται, καὶ τάδε ἐν ἐπιτόμῳ προσθεῖναι διεκρίναμεν. ψυχὴ διαιρεῖται εἰς τρία, λογιστικόν. θυμικόν· καὶ ἐπιθυμητικόν. καὶ τοῦ μὲν λογιστικοῦ ἁμαρτήματα εἰσὶ ταῦτα. ἀπιστία, αἵρεσις, ἀφροσύνη, βλασφημία, ἀχαριστία, καὶ αἱ συγκαταθέσεις τῶν ἁμαρτημάτων, αἱ γίνονται ἐκ τοῦ παθητικοῦ μέρους. ἡ δὲ τούτων τῶν κακῶν ἴασις καὶ θεραπεία, ἡ ἀδίστακτος ἐστι πίστις πρὸς τὸν Θεόν. καὶ τὰ ἀληθινά, καὶ ἀπλανῆ, καὶ ὀρθόδοξα δόγματα τῆς εὐσεβείας· ἡ συνεχὴς μελέτη τῶν λογίων τοῦ πνεύματος· ἡ καθαρὰ προσευχή, καὶ ἀδιάλειπτος, καὶ ἡ πρὸς Θεὸν εὐχαριστία. τοῦ δὲ θυμικοῦ τὰ ἁμαρτήματά εἰσι ταῦτα· ἡ ἀσπλαγχνία, τὸ μῖσος, τὸ ἀσυμπαθές, τὸ μνησίκακον, ὁ φθόνος, ὁ φόνος, καὶ ἡ συνεχὴς πρὸς τὰ τοιαῦτα μελέτη. ἡ δὲ τούτων ἴασις, καὶ θεραπεία· ἡ φιλανθρωπία, ἡ ἀγάπη, ἡ πραότης, ἡ φιλαδελφία, ἡ συμπάθεια, ἡ ἀνεξικακία, καὶ ἡ χρηστότης. τοῦ δὲ ἐπιθυμητικοῦ, τὰ ἁμαρτήματά εἰσι ταῦτα· ἡ γαστριμαργία, ἡ λαιμαργία, ἡ οἰνοφλυγία, ἡ πορνεία, ἡ μοιχεία, ἡ ἀκαθαρσία, ἡ ἀσέλγεια, ἡ φιλοχρηματία, ἡ τῆς κενῆς δόξης ἐπιθυμία, χρυσοῦ τε, καὶ πλούτου, καὶ τῶν σαρκικῶν ἡδονῶν· ἡ δὲ τούτων ἴασις καὶ θεραπεία ἐστίν· ἡ νηστεία, ἡ ἐγκράτεια, ἡ κακοπάθεια, ἡ ἀκτημοσύνη, ὁ τῶν χρημάτων πρὸς πένητας σκορπισμός, ἡ τῶν μελλόντων ἐκείνων ἀθανάτων ἀγαθῶν ἔφεσις, ἡ τῆς βασιλείας τοῦ Θεοῦ ὄρεξις, καὶ ἡ τῆς υἱοθεσίας ἐπιθυμία. δέον οὖν ἐνθεῖναι ὑμᾶς καὶ διάγνωσιν τῶν ἐμπαθῶν λογισμῶν, δι᾽ ὧν πᾶσα ἁμαρτία τελεῖται. ὀκτὼ εἰσὶ πάντες οἱ περιεκτικοὶ τῆς κακίας λογισμοί· ὁ τῆς γαστριμαρ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γίας, ὁ τῆς πορνείας, ὁ τῆς φιλαργυρίας, ὁ τῆς ὀργῆς, ὁ τῆς λύπης, ὁ τῆς ἀκηδίας, ὁ τῆς κενοδοξίας, καὶ ὁ τῆς ὑπερηφανίας· τούτους τοὺς ὀκτὼ λογισμοὺς, παρενοχλεῖν μὲν, ἢ μὴ παρενοχλεῖν, τῶν οὐκ ἐφ' ἡμῖν ἐστίν· ἐμμένειν δὲ, καὶ μὴ ἐμμένειν, ἢ πάθη κινεῖν, ἢ μὴ κινεῖν, τῶν ἐφ' ἡμῖν ἐστίν· ἄλλο δὲ ἐστὶν προσβολὴ, καὶ ἕτερον συνδυασμὸς, καὶ ἄλλο πάλη, καὶ ἄλλο πάθος, καὶ ἄλλο συγκατάθεσις ἡ ἐγγίζουσα καὶ παρομοιοῦσα τῇ πράξει· καὶ ἄλλο ἐνέργεια, καὶ ἄλλο αἰχμαλωσία. καὶ προσβολὴ μὲν ἐστὶν, ἡ ἁπλῶς γινομένη παρὰ τοῦ ἐχθροῦ ὑπόμνησις, οἷον, ποίησον τόδε, ἢ τόδε· ὡς ἐπὶ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν· εἰπὲ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται· τοῦτο ὡς εἴρηται, οὐκ ἐφ' ἡμῖν ἐστίν· συνδυασμὸς δὲ ἐστὶν, ἡ παραδοχὴ τοῦ ὑποβαλλομένου λογισμοῦ παρὰ τοῦ ἐχθροῦ, καὶ οἷον μετ' αὐτοῦ μελέτη, καὶ ἐνήδονος ὁμιλία ἡ παρὰ τῆς προαιρέσεως ἡμῶν. πάθος δὲ, ἡ ἀπὸ τοῦ συνδυασμοῦ ἕξις γινομένη τοῦ παρὰ τοῦ ἐχθροῦ ὑποβαλλομένου πάθους, καὶ οἱονεὶ συνεχὴς μελέτη, καὶ φαντασία. πάλη δὲ, ἡ ἀντίστασις τοῦ λογισμοῦ, ἡ πρὸς ἀναίρεσιν τοῦ ἐν τῷ λογισμῷ πάθους, ἤτοι τοῦ ἐμπαθοῦς λογισμοῦ, ἢ πρὸς συγκατάθεσιν· καθὼς φησὶν ὁ Ἀπόστολος, ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀλλήλοις ἀντίκειται. αἰχμαλωσία δὲ ἐστι, βιαία καὶ ἀκούσιος τῆς καρδίας ἀπαγωγὴ, ὑπὸ προλήψεως, καὶ μακρᾶς συνηθείας τυραννουμένης. συγκατάθεσις δὲ, ἡ κατάνευσις πρὸς τὸ πάθος τοῦ λογισμοῦ. ἐνέργεια δὲ, αὐτὴ ἡ πρᾶξις τοῦ ἐν συγκαταθέσει ἐμπαθοῦς λογισμοῦ. τοίνυν ὁ τὸ πρῶτον ἀπαθῶς λογιζόμενος, ἢ ἀντιρρήσει, καὶ ἐμβριθείᾳ ἐκ πρώτης ἀποπεμπόμενος, ἤτοι τὴν προσβολὴν, πάντα τὰ ἔσχατα ὑφ' ἓν περιέκοψεν. τῶν δὲ ὀκτὼ παθῶν ἡ ἀναίρεσις, οὕτω γινέσθω. ἀναιρεῖται μὲν ὑπὸ ἐγκρατείας, ἡ γαστριμαργία· ὑπὸ δὲ θείου πόθου, καὶ ἐφέσεως τῶν μελλόντων ἀγαθῶν, ἡ πορνεία. ὑπὸ δὲ συμπαθείας τῆς πρὸς τοὺς πένητας, ἡ φιλαργυρία· ὑπὸ δὲ τῆς ἀγάπης τῆς πρὸς πάντας καὶ τῆς ἀγαθότητος, ἡ ὀργή· ὑπὸ δὲ τῆς πνευματικῆς χαρᾶς, ἡ κοσμικὴ λύπη· ὑπὸ δὲ τῆς ὑπομονῆς, καὶ τῆς καρτερίας, καὶ τῆς πρὸς Θεὸν εὐχαριστίας, ἡ ἀκηδία· ὑπὸ δὲ τῆς κρυπτῆς τῶν ἀρετῶν ἐργασίας, καὶ τῆς ἐν συντετριμμένῃ καρδίας συνεχοῦς προσευχῆς, ἡ κενοδοξία· ὑπὸ δὲ τοῦ μὴ κρίνειν τινὰ, ἢ ἐξουθενεῖν ὡς ὁ μεγάλαυχος Φαρισαῖος, ἀλλ' ἡγεῖσθαι ἑαυτὸν ἔσχατον πάντων, ἡ ὑπερηφανία. οὕτως οὖν τῶν εἰρημένων παθῶν ὁ νοῦς ἐλευθερωθεὶς, καὶ πρὸς Θεὸν ἀνυψωθεὶς, ἀπεντεῦθεν ζῇ τὴν μακαρίαν ζωὴν, τὸν ἀρραβῶνα δεχόμενος τοῦ Ἁγίου Πνεύματος· καὶ τῶν ἐντεῦθεν ἀποδημήσας μετὰ ἀπαθείας, καὶ γνώσεως ἀληθοῦς, παρίσταται τῷ φωτὶ τῆς Ἁγίας Τριάδος· μετὰ τῶν θείων ἀγγέλων εἰς αἰῶνας ἀπεράντους καταλαμπόμενος. τριμερὴς τοίνυν οὖσα· ὡς προδεδήλωται ἡ ψυχή· τρία γὰρ μέρη ταύτης εἰσί. λογισμὸς, θυμὸς, καὶ ἐπιθυμία· ἐὰν ἐστὶν ἐν τῷ θυμικῷ ἀγάπη, καὶ φιλανθρωπία, καὶ ἐν τῇ ἐπιθυμίᾳ καθαρότης, καὶ σωφροσύνη, ὁ λογισμός ἐστι πεφωτισμένος. ἐὰν δὲ ἐν τῷ θυμικῷ μισανθρωπία, καὶ ἐν τῇ ἐπιθυμίᾳ ἀκολασία, ὁ λογισμός ἐστιν ἐσκοτισμένος. ὁ μὲν οὖν λογισμὸς, τότε ὑγιαίνει, καὶ σωφρονεῖ, καὶ φωτίζεται, ὅτε τὰ πάθη ἔχει ὑποτεταγμένα, καὶ τοὺς λόγους τῶν κτισμάτων τοῦ Θεοῦ πνευματικῶς θεωρεῖ, καὶ πρὸς τὴν Μακαρίαν, καὶ Ἁγίαν Τριάδα ἀνάγεται· ὁ δὲ θυμὸς τότε πάλιν κινεῖται κατὰ φύσιν, ὅτε πάντας ἀνθρώπους ἀγαπᾷ, καὶ πρὸς οὐδένα αὐτῶν, ἢ λύπην, ἢ μνησικακίαν κέκτηται. ἡ δὲ ἐπιθυμία, ὅταν

ὑπὸ ταπεινοφροσύνης, καὶ ἐγκρατείας, καὶ ἀκτημοσύνης νεκρώσῃ τὰ πάθη. τουτέστι, ἡδονὴν σαρκὸς, καὶ χρημάτων, καὶ δόξης παρερχομένης ἔφεσιν, καὶ ἐραστῇ πρὸς τὸν Θεὸν, καὶ ἀθάνατον ἔρωτα. καὶ γὰρ ἡ ἐπιθυμία, πρὸς τρία τὴν κίνησιν ἔχει· ἢ πρὸς ἡδονὴν σαρκὸς, ἢ πρὸς δόξαν κενὴν, ἢ πρὸς ἀπάτην χρημάτων. καὶ διὰ τὴν παράλογον ταύτην ἔφεσιν καταφρονεῖ τοῦ Θεοῦ, καὶ τῶν θείων αὐτοῦ ἐντολῶν, καὶ τῆς θείας συγγενείας ἐπιλανθάνεται, καὶ πρὸς τὸν πλησίον ἐκθηριοῦται, καὶ τὸν λογισμὸν σκοτίζει, καὶ οὐκ ἐᾷ ἀναβλέψαι πρὸς τὴν ἀλήθειαν. ὧν ὁ ἀνώτερον κτησάμενος φρόνημα, ἐντεῦθεν ὡς προείρηται, ἀπολαμβάνει τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ζῇ μακαρίαν ζωὴν, τῇ προσδοκίᾳ τῆς ἀποκειμένης μακαριότητος τοῖς ἀγαπῶσι τὸν Θεόν. ἧς καὶ ἡμεῖς ἀξιωθείημεν διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· Ἀμήν.

Ἰστέον δὲ καὶ τοῦτο, ὡς οὐκ ἔστι πρὸς μέτρον τῆς οἵας οὖν ἀρετῆς ἐλθεῖν, εἰμὴ ἐμπόνῳ φιλοπονίᾳ, εἰς ἐπίκτησιν ταύτης· ὅση δύναμις· συνδέσαντα ὅλην τὴν ζωὴν διὰ πρακτικῆς ἐπιμελείας. ὡς φέρε εἰπεῖν περὶ ἐλεημοσύνης· ἢ ἐγκρατείας· ἢ εὐχῆς· ἢ ἀγάπης· ἤ τινος τῶν γενικῶν ἀρετῶν. ἐκ τούτων γὰρ ἕκαστος τῆς ἀρετῆς μερικῶς μετέρχεται. οἷον τῇ ἐλεημοσύνῃ κέχρηταί τις πρὸς καιρὸν, ἀλλ' ἐκ τοῦ ὀλιγάκις ταύτῃ χρήσασθαι, ἐλεήμονα τοῦτον κυρίως οὐκ ἐροῦμεν· καὶ μᾶλλον ὅταν μὴ καλῶς καὶ θεαρέστως τὸ γινόμενον τελῆται. οὐδὲ γὰρ καλὸν, τὸ καλὸν, ὅταν μὴ καλῶς γένηται. ἀλλὰ καλὸν ὄντως, ὅπερ μὴ ἀπέχει τὸν μισθὸν διὰ τόδε, ἢ τόδε· ἀνθρωπαρέσκειαν τυχὸν ἐκ φήμης, καὶ θηροδοξίαν, ἢ ἐκ πλεονεξίας, καὶ ἀδικίας. ἐπεὶ μηδὲ τὰ γινόμενα καὶ δοκοῦντα καλὰ ζητεῖ ὁ Θεὸς, ἀλλὰ τὸν σκοπὸν, δι' ὃν γίνονται. λέγουσι γὰρ καὶ οἱ θεοφόροι Πατέρες, ὅταν ὁ νοῦς τοῦ τῆς εὐσεβείας σκοποῦ ἐπιλάθηται, τότε τὸ προφανὲς ἔργον τῆς ἀρετῆς, ἀνόνητον γίνεται· τὰ γὰρ ἀδιακρίτως καὶ ἀσκόπως γινόμενα, οὐ μόνον οὐδὲν ὠφελοῦσι, κἂν καλὰ ὦσιν, ἀλλὰ καὶ βλάπτουσιν· ὥσπερ τοὐναντίον καὶ ἐπὶ τῶν δοκούντων κακῶν, σκοπῷ δὲ θεοσεβεῖ καὶ κατὰ Θεὸν γινομένων· ὡς τοῦ εἰς χαμαιτυπεῖον εἰσελθόντος, καὶ τὴν πόρνην τῆς ἀπωλείας ἐκσπάσαντος. ἐντεῦθεν δῆλον, ὅτι οὐδὲ ἐλεήμων, ὁ ὀλιγάκις τὴν ἐλεημοσύνην· οὐδὲ ἐγκρατὴς, ὁ τὴν ἐγκράτειαν ὡσαύτως χρησάμενος. ἀλλ' ὁ ἐπὶ πλεῖστον, καὶ διὰ πάσης αὐτοῦ τῆς ζωῆς τὴν ἀρετὴν ὁλικῶς μετελθὼν, μετὰ διακρίσεως ἀνεπισφαλοῦς· μείζων γὰρ πασῶν τῶν ἀρετῶν ἡ διάκρισις· ὡς βασίλισσα οὖσα, καὶ ἀρετὴ τῶν ἀρετῶν. ὥσπερ οὖν αὖθις καὶ ἐπὶ τῶν ἐναντίων· οὐ λέγομεν πόρνον· ἢ μέθυσον· ἢ ψεύστην, τὸν ἅπαξ τούτων ἑκάστῳ ὀλισθήσαντα, ἀλλὰ τὸν ὡς ἐπὶ τὸ πλεῖστον τοῖς τοιούτοις περιπίπτοντα, καὶ ἀδιόρθωτον μένοντα. Καὶ τοῦτο δὲ μᾶλλον πρὸς τοῖς εἰρημένοις δέον εἰδέναι, καὶ πᾶσιν ἀναγκαιότατον, τοῖς ἀρετὴν μὲν προθυμουμένοις κατορθοῦν, κακίαν δὲ ἐκκλίνειν σπουδάζουσιν. Ὅτι ὅσῳπερ ψυχὴ σώματος ἀσυγκρίτως ἀμείνων, καὶ ἐν πολλοῖς καὶ μεγίστοις πάντως διαφορωτέρα, καὶ τιμιωτέρα, τοσοῦτον αἱ ψυχικαὶ ἀρεταὶ, καὶ μάλιστα αἱ θεομίμητοι, καὶ θεώνυμοι, ὑπάρχουσι τῶν σωματικῶν ἀρετῶν. τοὐναντίον δὲ νόει καὶ τὰς ψυχικὰς κακίας τῶν σωματικῶν παθῶν· ἐπί τε ταῖς δι' αὐτῶν ἐνεργείαις, ἢ τῇ τῶν κολάσεων ἐκτίσει διαφέρειν· κἂν τοὺς πολλοὺς, οὐκ οἶδ' ὅπως, τοῦτο λανθάνον διαφεύγει. μέθην μὲν, καὶ πορνείαν, μοιχείαν τε, καὶ κλοπὴν, καὶ τὰ τούτοις ἔγγιστα, εὐλαβουμένους, καὶ φοβουμένους, καὶ φεύγοντας, ἢ κολάζοντας, ὡς τοῖς πολλοῖς, ἐκ τοῦ φαινομένου βδελυκτά. πρὸς δὲ τὰ πολλῷ τούτων καὶ χείρονα, καὶ βαρύτερα

πάθη ψυχικά· ἃ καὶ εἰς διαιωνίαν κατάστασιν φέρει, καὶ τὴν τούτοις ἀποκειμένην αἰωνίαν κόλασιν, τοῖς ἀδιορθώτως τούτων ἐχομένοις, ἀναλγήτως ἔχουσι. φθόνον, φημί, καὶ μνησικακίαν, πονηρίαν τε, καὶ ἀναλγησίαν, καὶ τὴν πάντων τῶν κακῶν ῥίζαν, τὴν φιλαργυρίαν· καὶ τὸν ἀπόστολον, καὶ τὰ τούτοις ὅμοια·

Ἀλλὰ ταῦτα μὲν οὕτως, ὡς εἴχομεν ἀμαθίας ἀφελῶς διεξεθέμεθα. Συνοπτὸν καὶ σαφῆ σχεδιάσαντες τὸν περὶ ἀρετῶν, καὶ παθῶν λόγον. ἵνα εὐχερῶς ἔχῃ τις διακρίνειν τε, καὶ διαγινώσκειν τήν τε τούτων διαίρεσίν τε, καὶ διαφοράν, τῇ περὶ τούτων λεπτομερεῖ σαφηνείᾳ. δι' αὐτὸ γὰρ τοῦτο καὶ ποικίλον ἕκαστον, καὶ πολυειδὲς ἐξεθέμεθα, ὡς μηδεμίαν εἰ δυνατὸν ἰδέαν ἀρετῆς ἢ κακίας ἀγνοεῖσθαι. καὶ ὅπως τὰς μὲν προθύμως πρὸς ἑαυτοὺς ἐπισπασώμεθα, τὰς ἀρετὰς δηλονότι, καὶ μᾶλλον τὰς ψυχικάς, δι' ὧν καὶ τῷ Θεῷ ἐγγίζομεν. τὰς δέγε κακίας, καὶ σφόδρα ἐκκλίνοντες διαδιδράσκωμεν. μακάριος γὰρ ὡς ἀληθῶς, ὁ ἀρετὴν ζητῶν, καὶ ταύτην μετιών, καὶ ὅτι τί ἐστιν ἀρετὴ ἐπιμελῶς ἐρευνῶν, ὡς δι' αὐτῆς ἐγγίζων Θεῷ, καὶ τούτῳ νοερῶς συγγινόμενος. τούτῳ γὰρ κυρίως φρόνησις καὶ ἀνδρεία, σοφία τε, καὶ γνῶσις ἀψευδής, καὶ πλοῦτος ἀναφαίρετος, τὸ διὰ πρακτικῆς ἀρετῆς πρὸς θεωρίαν ἀνάγεσθαι τοῦ ποιήσαντος. ἀρετὴ δὲ καλεῖται, διὰ τὸ αἱρεῖσθαι. αἱρετὴ γάρ, καὶ θελητὴ διὰ τὸ αἱρετῶς καὶ αὐτοθελῶς τὸ ἀγαθὸν ποιεῖν ἡμᾶς, οὐχὶ ἀβουλήτως καὶ ἀναγκαστικῶς. φρόνησις δὲ λέγεται, τὸ παρὰ τοῦ νοῦ φέρειν τὸ ὠφέλημα. εἰ βούλει δὲ προσθήσωμεν τοῦ ἀφελοῦς τούτου λόγῳ, ὡς χρυσοῦν ἐπισφράγισμα, καὶ περὶ τοῦ κατ' εἰκόνα, καὶ καθ' ὁμοίωσιν μικρόν, τοῦ τιμιωτέρου πάντων τῶν τοῦ Θεοῦ κτισμάτων τὸ νοερόν, καὶ λογικὸν ζῶον ὁ ἄνθρωπος μόνος ἐκ πάντων ἐστὶ κατ' εἰκόνα, καὶ καθ' ὁμοίωσιν Θεοῦ. κατ' εἰκόνα μὲν λέγεται πᾶς ἄνθρωπος κατὰ τὸ τοῦ νοὸς ἀξίωμα, καὶ τὸ τῆς ψυχῆς. ἤγουν τὸ ἀκατάληπτον· τὸ ἀθεώρητον· τὸ ἀθάνατον· τὸ αὐτεξούσιον. ναὶ μὴν καὶ τὸ ἀρχικὸν· καὶ τεκνογονικὸν· καὶ οἰκοδομικόν. καθ' ὁμοίωσιν δέ, κατὰ τὸν τῆς ἀρετῆς λόγον, καὶ τὰς θεωνύμους ταύτας, καὶ θεομιμήτους πράξεις. ἤγουν κατὰ τὸ φιλανθρώπως πρὸς τὸ ὁμογενὲς διακεῖσθαι. οἰκτείρειν τε, καὶ ἐλεεῖν, καὶ ἀγαπᾷν τὸ ὁμόφυλον. εὐσπλαγχνίαν τε πᾶσαν, καὶ συμπάθειαν ἐνδείκνυσθαι, Γίνεσθε γάρ· φησι Χριστὸς ὁ Θεός· οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστί. καὶ τὸ μὲν κατ' εἰκόνα, πᾶς ἄνθρωπος κέκτηται· ἀμεταμέλητα γὰρ τὰ χαρίσματα τοῦ Θεοῦ. τὸ δὲ καθ' ὁμοίωσιν, σπάνιοι, καὶ μόνοι οἱ ἐνάρετοι, καὶ ἅγιοι, καὶ τὴν τοῦ Θεοῦ ἀγαθότητα· κατὰ τὸ δυνατὸν ἀνθρώποις· μιμούμενοι. οὗ τῆς ὑπεραγάθου φιλανθρωπίας ἀξιωθείημεν καὶ ἡμεῖς εὐαρεστήσαντες αὐτῷ δι' ἀγαθοεργίας, καὶ μιμηταὶ γενόμενοι τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων Χριστῷ· ὅτι αὐτοῦ ἐστι τὸ ἔλεος· καὶ αὐτῷ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Φιλέ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Φιλήμων ὁ Ὁσιώτατος Πατὴρ ἡμῶν, τῶν Θεοφόρων Πατέρων ὁ νηπτικώτατος ἅμα καὶ πενθικώτατος, ἐν τίσι μὲν ἤκμασε χρόνοις ἡ κατ᾽ αὐτὸν ἱστορία ἡμῖν οὐκ ἐδήλωσεν. Ὅτι δὲ κατέστη, εἴπερ τις καὶ ἄλλος τῶν γερόντων, εὐλαβέστατος, καὶ πολύπειρος, φιλήσυχός τε, καὶ τοῦ Μεγάλου Ἀρσενίου μιμητὴς γνησιώτατος, ἐκ τοῦ παρόντος λόγου τοῖς βουλομένοις πρόκειται θεωρεῖν.

Ταῖς προσευχαῖς γὰρ καὶ δεήσεσι νυκτὸς καὶ ἡμέρας, ἐν τῇ ἀσκητικῇ καλύβῃ, ὡς ἔν τινι ὑπερῴῳ τοῦ βίου, προσκαρτερῶν, καὶ ταῖς ἀειρρύτοις τῶν δακρύων, καὶ γλυκυτάτων κλαυθμῶν πηγαῖς ἐπιπλεῖον πλύνων ἑαυτόν, οὐχ ὅπως τῶν, ὅ,τι δήποτε τοῦ πονηροῦ κόμματος, ἀλλὰ δὴ καὶ τῶν τῆς χρηστοτέρας μερίδος, καὶ πάντων ὁμοῦ αἰσθητῶν τε, καὶ νοητῶν θεοφιλῶς ὑπεραναβάς, κωφός τε καὶ ἄλαλος, κατὰ τὸ γεγραμμένον παρέστη Θεῷ, καὶ τοῦ ὑπερκάλλου τῆς θείας αὐτοῦ χάριτος ἐπέτυχε φωτισμοῦ. παρ᾽ οὗ καὶ ὡς ἐξ ἡλιακοῦ δίσκου τό, τε ἀνακρίνειν, καὶ διακρίνειν, καὶ τὸ διορᾷν τε, καὶ προορᾷν δι᾽ ἀκροτάτης ἡσυχίας καὶ σιωπῆς ἀφθόνως πεπλούτηκεν ὁ ἀοίδιμος. Μάρτυς δὲ τῶν εἰρημένων ἐχέγγυος ὁ προκείμενος αὐτοῦ οὑτοσὶ λόγος. ἐν ᾧ ἡ τῆς Ἱερᾶς νήψεως διακριτικωτάτη διδασκαλία, εἴ τινι καὶ ἄλλῳ, οἱονεὶ ποικίλη, καὶ θεοΰφαντος ἀλουργὶς εἰς τὸ ἄριστον συνεξυφαίνεται, ὅση τε εἰς πρᾶξιν τείνει, καὶ ὅση τὴν θεωρίαν συνιστᾷ, τῇ διὰ τῶν ἔργων μακροτάτῃ πείρᾳ τὸ αὐτόπιστον παρεχομένη. Καὶ τοίνυν, εἴ τινι φίλον, τὸν ἐσπιλωμένον μέν, καὶ εἰδεχθῆ τῶν παθῶν χιτῶνα, ταυτὸν εἰπεῖν, τὸν παλαιὸν ἀποδύσασθαι ἄνθρωπον, τὸ φωτεινὸν δὲ τῆς ἀπαθείας ἐνδύσασθαι, καὶ χάριτος περιβόλαιον, ὅπερ ἐστὶν ὁ κατὰ Χριστὸν Ἰησοῦν καινὸς ἄνθρωπος, τοῦτον συνεχῶς μελετῶν, καὶ τοῖς κατὰ δύναμιν ἔργοις τὰ μελετώμενα ἐκπληρῶν, τῆς ἐπαινετῆς ἐφέσεως ἐπιτεύξεται.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΠΕΡΙ ΤΟΥ ἈΒΒΑ̃

# ΦΙΛΗΜΟΝΟΣ

## Λόγος πάνυ ὠφέλιμος.

Ἔλεγον περὶ τοῦ Ἀββᾶ Φιλήμονος τοῦ ἀναχωρητοῦ, ὅτι καθεῖρξεν ἑαυτὸν ἔν τινι σπηλαίῳ ὀλίγον ἀφεστῶτι τῆς Λαύρας τῶν Ῥωμίων καλουμένης· καὶ τῶν τῆς ἀσκήσεως εἴχετο παλαισμάτων, ἐκεῖνο κατεπᾴδων αὐτοῦ τῇ διανοίᾳ, ὅπερ, φασί, τὸν Μέγαν Ἀρσένιον λέγειν ἑαυτῷ· Φιλήμων διὸ ἐξῆλθες. Διεκαρτέρει γοῦν ἐν τῷ σπηλαίῳ χρόνον ἱκανὸν ἐργαζόμενος τὴν σειράν· καὶ ῥάπτων σπυρίδας, ἐδίδου τῷ οἰκονόμῳ λαμβάνειν παρ' αὐτοῦ ἄρτους βραχεῖς εἰς ἀποτροφήν. Οὐδὲν γὰρ ἤσθιε, πλὴν ἄρτου, καὶ ἁλῶν· καὶ τούτων δι' ἡμερῶν. Ἐντεῦθεν τῆς σαρκὸς καθόλου πρόνοιαν οὐκ ἐποιεῖτο· ἀλλὰ τῇ θεωρίᾳ σχολάζων, ἐντὸς ἐγένετο τοῦ θείου φωτισμοῦ· κἀκεῖθεν τὴν ἄρρητον μυσταγωγίαν τελούμενος ἐν εὐφροσύνῃ διετέλει. Ἀπερχόμενος ἐν τῇ ἐκκλησίᾳ τῷ σαββάτῳ, καὶ κυριακῇ, μόνος, καὶ σιωπῶν περιεπάτει, μηδένα συγχωρῶν πλησιάσαι αὐτῷ· πρὸς τὸ μὴ ἐκκοπῆναι τὸν νοῦν, ἧς περ εἶχεν ἐργασίας. Ἐν δὲ τῇ ἐκκλησίᾳ ἐν τῇ γωνίᾳ ἑστώς, καὶ τὸ πρόσωπον ἐν τῇ γῇ προσερείδων, πηγὰς ἠφίει δακρύων· ἀδιάλειπτον ἔχων τὸ πένθος, καὶ τὴν τοῦ θανάτου μνήμην, καὶ τὸν τῶν Ἁγίων Πατέρων τύπον, καὶ μάλιστα τοῦ Ἀρσενίου τοῦ Μεγάλου· οὗ καὶ κατ' ἴχνος βαίνειν ἠπείγετο. Αἱρέσεως δὲ γενομένης ἐν Ἀλεξανδρείᾳ, καὶ ἐν τῇ περιχώρῳ αὐτῆς, ἀνεχώρησε, καὶ ἀπῆλθεν ἐν τῇ Λαύρᾳ τῇ Νικάνορος διακειμένῃ. Καὶ δεξάμενος αὐτὸν Παυλῖνος ὁ θεοφιλέστατος, καὶ ἀφιερώσας αὐτῷ τὸν ἑαυτοῦ ἰδιάζοντα τόπον, ἐν πάσῃ καθίστησιν ἡσυχίᾳ. Ἐπὶ γὰρ ἐνιαυτὸν ὅλον, οὐδένα συνεχώρησε καθάπαξ αὐτῷ συντυχεῖν, ἀλλὰ μήν, οὐδὲ αὐτὸς αὐτῷ παντελῶς διενώχλησεν, ἢ μόνον τὸν καιρόν, καθ' ὃν τὸν τῆς χρείας ἄρτον ἐδίδου. Ἐνστάσης οὖν τῆς Ἁγίας τοῦ Χριστοῦ ἀναστάσεως· ἐν συντυχίᾳ γενόμενος, ἐν τῷ μεταξὺ αὐτῶν· μνήμη γίνεται τῆς ἐρημικῆς καταστάσεως· καὶ γνοὺς ὡς καὶ τῷ εὐλαβεστάτῳ ἀδελφῷ, οὗπερ ἐστὶν ὁ σκοπὸς αἱρετώτερος, λόγους αὐτῷ ἐγκατασπείρει ἀσκητικούς, γραφικούς τε, καὶ πατρικούς· διὰ πάντων δεικνύς, ὡς ἄνευ τῆς τελείας ἡ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

συχίας, ἀδύνατον εὐαρεστῆσαι Θεῷ· καθάπερ καὶ Μωϋσῇ τῷ θεσπεσίῳ Πατρὶ πεφιλοσόφηται· ὅτι ἡ ἡσυχία τίκτει τὴν ἄσκησιν· ἡ δὲ ἄσκησις τίκτει τὸν κλαυθμόν· ὁ δὲ κλαυθμὸς, τὸν φόβον· ὁ δὲ φόβος, τὴν ταπείνωσιν· ἡ ταπείνωσις, τὸ προορᾷν· τὸ προορᾷν, τὴν ἀγάπην· ἡ δὲ ἀγάπη ποιεῖ τὴν ψυχὴν, ἄνοσον καὶ ἀπαθῆ· καὶ τότε γινώσκει ὁ ἄνθρωπος, ὅτι οὐ μακράν ἐστι τοῦ Θεοῦ. ἔλεγεν οὖν αὐτῷ· δεῖ σε διὰ τῆς ἡσυχίας τέλεον ἀποκαθᾶραι τὸν νοῦν, καὶ δοῦναι αὐτῷ ἀδιάλειπτον ἐργασίαν πνευματικήν. ὥσπερ γὰρ ὁ ὀφθαλμὸς ἐπιβάλλει τοῖς αἰσθητοῖς, καὶ θαυμάζει τῇ θέᾳ· οὕτω καὶ ὁ καθαρὸς νοῦς ἐπιβάλλει τοῖς νοητοῖς, καὶ ὑπὸ τῆς πνευματικῆς θεωρίας ἐξίσταται, καὶ δυσαπόσπαστος γίνεται. καὶ ὅσον διὰ τῆς ἡσυχίας γυμνοῦται τῶν παθῶν, καὶ καθαίρεται, τοσαύτης ἀξιοῦται καὶ τῆς γνώσεως. τότε δὲ τέλειός ἐστιν ὁ νοῦς, ὅταν τὴν οὐσιώδη γνῶσιν καταπατήσῃ, καὶ ἑνωθῇ τῷ Θεῷ. ὥστε τὸ βασίλειον ἔχων ἀξίωμα, πτωχεύειν ἔτι οὐκ ἀνέχεται· οὐδὲ συναίρεται ταῖς κάτω ἐπιθυμίαις, εἰ καὶ πάσας αὐτῷ τὰς βασιλείας προσάγεις. εἰ οὖν βούλει ἐπὶ ταύταις ἁπάσαις ἐλθεῖν ταῖς ἀρεταῖς, ἀμέριμνος ἔσο ἀπὸ παντὸς ἀνθρώπου. καὶ φεύγων φεῦγε τὸν κόσμον· καὶ βάδιζε προθύμως τὴν ὁδὸν τῶν ἁγίων· καὶ ἔχε σχῆμα ἠμελημένον, καὶ ῥυπῶσαν στολὴν, καὶ ἐσθῆτα ταπεινήν· καὶ ἦθος ἁπλοῦν· καὶ ῥῆμα ἀφελές· καὶ βάδισμα ἀκενόδοξον· καὶ ἀσχημάτιστον φωνήν· καὶ ἐν πενίᾳ συζῆν· καὶ τὸ καταφρονεῖσθαι ὑπὸ πάντων. καὶ ὑπὲρ πάντα, τὴν τοῦ νοῦ φυλακὴν, καὶ νῆψιν· καὶ καρτερίαν ἐν πᾶσι τοῖς στενωτάτοις· καὶ πάντα, ὅσα πρόσεστιν ἀγαθὰ, φυλάττειν ἀκέραια καὶ ἀσάλευτα. καὶ πρόσεχε ἀκριβῶς σαυτῷ, μηδεμίαν παραδέξασθαι τῶν παρεισάκτων ἡδονῶν. τὰ γὰρ τῆς ψυχῆς πάθη, τῇ ἡσυχίᾳ, κατευνάζεται. κνιζόμενα δὲ, καὶ παροξυνόμενα μᾶλλον ἀγριαίνεσθαι πέφυκε· καὶ τοὺς ἔχοντας αὐτὰ πλέον ἁμαρτάνειν βιάζονται. καὶ καθάπερ τὰ τῶν σωμάτων τραύματα προσθλιβόμενα, καὶ ξεόμενα, δυσίατα γίνεται. δύναται οὖν καὶ λόγος ἀργὸς χωρίσαι τὸν νοῦν ἀπὸ τῆς μνήμης τοῦ Θεοῦ· τῶν δαιμόνων εἰς τοῦτο βιαζομένων, καὶ τῶν αἰσθήσεων πειθομένων αὐτοῖς. μέγας γὰρ ἀγὼν, καὶ φόβος, ψυχὴν φυλάξαι. δεῖ οὖν σε χωρισθῆναι ἀπὸ τοῦ κόσμου παντός· καὶ τῆς πρὸς τὸ σῶμα συμπαθείας τὴν ψυχὴν ἀπορρῆξαι· καὶ γενέσθαι ἄπολιν· ἄοικον· ἀνίδιον· ἀφιλάργυρον· ἀκτήμονα· ἀπράγμονα· ἀσυνάλλακτον· ἀμαθῆ τῶν ἀνθρωπίνων πραγμάτων· ταπεινόφρονα· συμπαθῆ· ἀγαθόν· πρᾶον· ἡσύχιον· ἕτοιμον ὑποδέξασθαι τῇ καρδίᾳ τὰς ἐκ τῆς θείας γνώσεως ἐγγινομένας διατυπώσεις. οὐδὲ γὰρ ἐν κηρῷ γράψαι δυνατὸν, μὴ πρότερον ἀπολεάναντα τοὺς ἐναποκειμένους χαρακτῆρας. ταῦτα γὰρ ἡμᾶς διδάσκει ὁ Μέγας Βασίλειος. τοιοῦτος γέγονεν ὁ τῶν ἁγίων χορός· κεχωρισμένος παντελῶς τῆς ἐν κόσμῳ διαγωγῆς. καὶ τὸ οὐράνιον φρόνημα ἀθόλωτον ἐν ἑαυτοῖς τηροῦντες, τοῖς θείοις νόμοις κατελάμπρυναν. καὶ διὰ τῶν εὐσεβῶν ἔργων τε, καὶ λόγων ἀπήστραπτον· νεκρώσαντες τὰ μέλη τὰ ἐπὶ τῆς γῆς διὰ τῆς ἐγκρατείας, καὶ τοῦ πρὸς Θεὸν φόβου, καὶ πόθου. τῇ γὰρ ἀδιαλείπτῳ προσευχῇ, καὶ τῇ μελέτῃ τῶν θείων γραφῶν, ἀνοίγονται τῆς ψυχῆς οἱ νοεροὶ ὀφθαλμοὶ, καὶ ὁρῶσι τὸν Βασιλέα τῶν δυνάμεων, καὶ γίνεται χαρὰ μεγάλη, καὶ πόθος δριμὺς ἐκκαιόμενος τῆς ψυχῆς σφόδρα· συνεπαιρομένης καὶ τῆς σαρκὸς ὑπὸ τοῦ Πνεύματος, γίνεται ὁ ἄνθρωπος ὅλος πνευματικός. ταῦτα οἱ τῆς μακαρίας ἡσυχίας, καὶ στενωτάτης διαγωγῆς ἐργάται· οἵτινες πάσης ἀνθρωπίνης παρακλήσεως ἑαυτοὺς χωρίσαντες, μόνοι πρὸς μόνον τὸν ἐν οὐρανοῖς δεσπότη



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καθαρῶς προσλαλοῦσι. τούτων ἀκούσας αὐτὸς ὁ θεοφιλὴς ἀδελφός, καὶ τῷ θείῳ πόθῳ τρωθεὶς τὴν ψυχήν, καταλαμβάνει σὺν αὐτῷ τὴν σκήτην· ἔνθα οἱ μέγιστοι τῶν ἁγίων πατέρων, τὸν τῆς εὐσεβείας διήνυσαν δρόμον· ᾤκησάν τε τὴν Λαύραν τοῦ Ἁγίου Ἰωάννου τοῦ Κολοβοῦ· τὴν φροντίδα ἑαυτῶν δεδωκότες τῷ οἰκονόμῳ τῆς Λαύρας· διὰ τὸ αὐτοὺς βούλεσθαι ἐν ἡσυχίᾳ διάγειν. διῆγον δέ· τῇ τοῦ Θεοῦ χάριτι· ἐν πάσῃ ἡσυχίᾳ· τάς τε προσελεύσεις ἀπροσκόπως ποιούμενοι, κατὰ σάββατον, καὶ κυριακήν. τὰς δὲ λοιπὰς τῆς ἑβδομάδος ἡμέρας, διεκαρτέρουν, τὰς προσευχὰς καὶ τὰς λειτουργίας ἕκαστος ποιούμενοι. ἦν δὲ τοῦ Ἁγίου Γέροντος ἡ λειτουργία τοιαύτη. ἐν μὲν τῇ νυκτί, ἔψαλλεν ὅλον τὸ ψαλτήριον, καὶ τὰς ᾠδὰς ἀθορύβως· καὶ ἔλεγεν μίαν περικοπὴν τοῦ μεγαλείου. καὶ λοιπὸν ἐκάθητο καθ' ἑαυτὸν λέγων· Κύριε ἐλέησον· συντεταμένως οὕτω καὶ ἐπὶ ἱκανόν, ὡς μηκέτι ἐκφωνεῖν δύνασθαι. καὶ λοιπὸν μετελάμβανεν ὕπνου. καὶ οὕτω πάλιν περὶ τὸ αὖγος ἔψαλλε τὴν πρώτην ὥραν. καὶ ἐκάθητο εἰς τὸ κάθισμα αὐτοῦ προσέχων κατὰ ἀνατολάς· καὶ ψάλλων κατὰ διαδοχάς· καὶ πάλιν ἀποστηθίζων ἀπὸ τοῦ Ἀποστόλου, καὶ τοῦ μεγαλείου. καὶ οὕτω διετέλει κατὰ πᾶσαν ἡμέραν, ἀδιαλείπτως ψάλλων· καὶ προσευχόμενος· καὶ τῇ τῶν οὐρανίων ἐντρεφόμενος θεωρίᾳ· ὥστε αὐτοῦ πολλάκις εἰς θεωρίαν τὸν νοῦν ἀνάγεσθαι, καὶ μὴ εἰδέναι εἰ ἐπὶ γῆς ὑπῆρχεν. ὁρῶν οὖν αὐτὸν ὁ ἀδελφὸς οὕτως ἀνενδότως ταῖς λειτουργίαις ἐκτεταμένον, καὶ ταῖς θείαις ἐννοίαις ὁλοτελῶς ἀλλοιούμενον, εἶπε πρὸς αὐτόν· σὺ κάμνεις πάτερ ἐν τοσούτῳ γήρᾳ οὕτως, ὑπωπιάζων σου τὸ σῶμα, καὶ δουλαγωγῶν; ὁ δὲ ἀποκριθεὶς εἶπε· πίστευσον τέκνον· τοσαύτην προθυμίαν καὶ πόθον περὶ τὴν λειτουργίαν ἐγκατέθετό μου ὁ Θεὸς τῇ ψυχῇ, ὅτι οὐκ ἐξισχύω αὐτῆς τὴν ἐπίτασιν πληρῶσαι. ὁ δὲ πρὸς τὸν Θεὸν πόθος καὶ ἡ τῶν μελλόντων ἐλπὶς ἀγαθῶν, τὴν σωματικὴν ἀσθένειαν νικᾷ. οὕτως ὅλον τὸν πόθον ἀναπτερούμενον εἶχε τὸν νοῦν εἰς τὸν οὐρανόν· καὶ οὐκ ἐν τοῖς ἄλλοις μόνον καιροῖς, ἀλλὰ δὴ καὶ κατ' αὐτὸν τὸν καιρὸν τῆς τραπέζης. ποτὲ γοῦν συνεσθίων αὐτῷ ἀδελφός τις, ἐπηρώτησεν αὐτόν· τί τὸ τῆς θεωρίας εἴη μυστήριον; ἐπεὶ δὲ φιλομαθοῦντα καὶ ἐγκείμενον αὐτὸν εἶδεν, εἶπε πρὸς αὐτόν· λέγωσι φύσει τέκνον, ὅτι ἄν τινος καθαρεύσῃ εἰς ἄκρον ὁ νοῦς, αὐτῶν τε τῶν λειτουργικῶν δυνάμεων, καὶ τάξεων τὰς θεωρίας ἀποκαλύπτει αὐτῷ ὁ Θεός. ἐπηρώτησε δὲ αὐτῷ καὶ τοῦτο· διατί Πάτερ ὑπὲρ πᾶσαν τὴν θείαν γραφὴν τῷ ψαλτηρίῳ καταγλυκαίνῃ; καὶ διατί ψάλλων ἠρέμα, ὡς πρός τινα διαλεγόμενος ὑποκρίνῃ τοὺς λόγους; ὁ δὲ πρὸς αὐτὸν ἔφη· λέγω σοι τέκνον· οὕτω προσετύπωσεν ὁ Θεὸς τὴν δύναμιν τῶν ψαλμῶν ἐν τῇ ταπεινῇ μου ψυχῇ, ὥσπερ τῷ προφήτῃ Δαβίδ· καὶ χωρισθῆναι τῆς γλυκύτητος τῆς ἐν αὐτοῖς παντοδαπῶν θεωρημάτων οὐ δύναμαι. πάσης γὰρ τῆς θείας γραφῆς εἰσὶ περιεκτικοί. καὶ ταῦτα μὲν πολλὰ βιασθείς· ὠφελείας χάριν· μετὰ πολλῆς ταπεινοφροσύνης τῷ ἐρωτήσαντι ἐξηγήσατο. Ἀδελφός τις τοὔνομα Ἰωάννης ἐκ τῆς παραλιώτιδος ὁρμώμενος, παρέβαλε τῷ Ἁγίῳ τούτῳ, καὶ Μεγάλῳ Πατρὶ Φιλήμονι, καὶ κρατήσας αὐτοῦ τοὺς πόδας εἶπε πρὸς αὐτόν· τί ποιήσω πάτερ, ἵνα σωθῶ; ὁρῶ γὰρ ὅτι ὁ νοῦς μου περιάγεται καὶ ῥέμβεται ὧδε κἀκεῖ, εἰς ἃ μὴ δεῖ. ὁ δὲ μικρὸν ἐπισχὼν ἔφη· τοῦτο τὸ πάθος τῶν ἔξω ἐστί, καὶ παραμένει· ἐπειδὴ ἀκμὴν οὐκ ἔχεις τέλειον πόθον εἰς τὸν Θεόν. οὔπω γὰρ ἦλθεν ἐν σοὶ θέρμη τοῦ πόθου, καὶ τῆς ἐπιγνώσεως αὐτοῦ. λέγει ὁ ἀδελφός, καὶ τί ποιήσω Πάτερ; λέγει αὐτῷ· ὕπαγε



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τέως ἔχε κρυπτὴν μελέτην ἐν τῇ καρδίᾳ σου· ἥτις δυνήσεταί σου τὸν νοῦν ἐκκαθᾶραι ἀπὸ πάντων. Ὁ ἀδελφὸς ἀμύητος ὢν τῶν λεγομένων, λέγει τῷ Γέροντι· τίς ἐστιν ἡ κρυπτὴ μελέτη Πάτερ; καί φησι πρὸς αὐτόν· ὕπαγε, νῆφε ἐν τῇ καρδίᾳ σου· καὶ ἐν τῇ διανοίᾳ σου νηφόντως μετὰ φόβου καὶ τρόμου λέγε· Κύριε Ἰησοῦ Χριστὲ ἐλέησόν με. καὶ γὰρ ὁ Μακάριος Διάδοχος τοῖς ἀρχομένοις, οὕτω παραδίδωσιν. Ἀπελθὼν δὲ, καὶ συνεργείᾳ τοῦ Θεοῦ, καὶ τῶν προσευχῶν τοῦ Πατρὸς, ἡσυχάσας, ἐγλυκάνθη ταύτῃ τῇ μελέτῃ, πρὸς ὀλίγον. ὡς δὲ ἀπέστη ἄφνω ἀπ' αὐτοῦ, καὶ οὐκ ἠδύνατο ταύτην νηφόντως γεωργῆσαι, καὶ προσεύξασθαι· ἐλθὼν πάλιν πρὸς τὸν Γέροντα, τὸ συμβὰν αὐτῷ ἀνήγγειλεν. ὁ δὲ λέγει αὐτῷ· τέως ἰδὼν ἔγνως ἴχνος ἡσυχίας, καὶ ἐργασίας, καὶ τῆς ἐκ ταύτης γλυκύτητος ἐπειράθης. ἔχε οὖν ἐν τῇ καρδίᾳ σου τοῦτο πάντοτε· εἴτε ἐσθίεις, εἴτε πίνεις, εἴτε ἐν συντυχίᾳ τινῶν διάγεις, εἴτε ἔξω τῆς κέλλης, εἴτε ἐν ὁδῷ τυγχάνεις, μὴ παρελθέτω σε, νηφούσῃ διανοίᾳ, καὶ ἀπλανεῖ τῷ νῷ ταύτην τὴν εὐχὴν προσεύξασθαι· καὶ ψάλλειν, καὶ μελετᾷν εὐχὰς, καὶ ψαλμούς. ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ἀναγκαίᾳ σου χρείᾳ, μὴ ἀργείτω ὁ νοῦς σου, κρυπτῶς μελετῶν καὶ προσευχόμενος. οὕτω γὰρ δύνασαι νοῆσαι τὰ βάθη τῆς θείας γραφῆς, καὶ τὴν ἐν αὐτῇ κρυπτομένην δύναμιν· καὶ δοῦναι ἀδιάλειπτον ἐργασίαν τῷ νῷ· ὅπως πληροῖς τὸ ἀποστολικὸν λόγιον τὸ διαγορεῦον· Ἀδιαλείπτως προσεύχεσθε. Πρόσεχε οὖν ἀκριβῶς, καὶ φύλασσε τὴν καρδίαν σου τοῦ μὴ δέχεσθαι πονηροὺς λογισμούς· ἢ οἵους δήποτε ματαίους, καὶ ἀνωφελεῖς. ἀλλὰ πάντοτε καὶ κοιμώμενος· καὶ ἀνιστάμενος· καὶ ἐσθίων· καὶ πίνων· καὶ συντυγχάνων, ἡ καρδία σου κρυπτῶς κατὰ διάνοιαν, ποτὲ μὲν, μελετάτω ἐν τοῖς ψαλμοῖς, ποτὲ δὲ, προσευχέσθω τὸ, Κύριε Ἰησοῦ Χριστὲ υἱὲ τοῦ Θεοῦ ἐλέησόν με. καὶ πάλιν ἡνίκα ψάλλῃς τῇ γλώσσῃ, πρόσεχε· μὴ ἄλλα λέγειν τῷ στόματι, καὶ ἐν ἄλλοις ῥέμβεσθαι τὴν διάνοιαν. καὶ πάλιν ἐρωτᾷ ὁ ἀδελφός· ἐν τοῖς ὕπνοις πολλὰς φαντασίας ματαίας θεωρῶ. Ὁ δὲ Γέρων πρὸς αὐτὸν ἔφη· μὴ ὀκνήσῃς, μήτε ὀλιγωρήσῃς· ἀλλὰ πρὶν ἢ κοιμηθῇς, πολλὰς εὐχὰς ποίησον ἐν τῇ καρδίᾳ σου, καὶ ἀντίστασο τοῖς λογισμοῖς, μὴ περιάγεσθαι τοῖς θελήμασι τοῦ διαβόλου· ὅπως ὁ Θεὸς ἀποδέξηταί σε. Ὅση δὲ δύναμίς σοι φρόντισον, ἵνα μετὰ τοὺς ψαλμοὺς, καὶ τὴν συνεχῆ μελέτην ὑπνώσῃς· καὶ μὴ ἀμελήσῃς καὶ ἀφήσῃς τὴν διάνοιάν σου δέξασθαι ἀλλοτρίους λογισμούς· ἀλλ' ἐν οἷς ηὔξω, ἐν ἐκείνοις καὶ μελετῶν κατακλίθητι· ὅπως κοιμωμένῳ σοι συνυπάρξηται, καὶ ἐγειρομένῳ συλλαλήσῃ σοι. λέγε δὲ καὶ τὸ ἅγιον σύμβολον τῆς ὀρθοδόξου πίστεως πρὸ τοῦ καθευδῆσαί σε. τὸ γὰρ περὶ Θεοῦ δοξάζειν ὀρθῶς, πηγή ἐστι, καὶ φυλακὴ πάντων τῶν ἀγαθῶν. Πάλιν ἐρωτᾷ αὐτὸν λέγων· ποίησον ἀγάπην Πάτερ· εἰπέ μοι ποίαν ἐργασίαν ἔχει ὁ σὸς νοῦς; δίδαξόν με, ἵνα κἀγὼ σωθῶ; ὁ δέ φησι· Τί θέλεις ταῦτα πολυπραγμονεῖν; ὁ δὲ ἀναστὰς, καὶ κρατήσας τοὺς πόδας τοῦ Ἁγίου καταφιλῶν, παρεκάλει εἰπεῖν αὐτῷ. μετὰ δὲ πολλὰς ὥρας ἔφη· οὐ δύνασαι βαστάσαι τέως. ἀνδρὸς γάρ ἐστι τῶν τῆς δικαιοσύνης ἀγαθῶν ἐν ἕξει γινομένου, τὸ διανέμειν ἑκάστῃ αἰσθήσει τὸ ἐπιτήδειον ἔργον. οὐδὲ γὰρ δυνατόν τινα μὴ καθαρεύοντα παντελῶς τῶν τοῦ κόσμου ματαίων ἐννοιῶν, ἀξιωθῆναι τοῦ τοιούτου χαρίσματος. διὸ εἰ τῶν τοιούτων ἐπιθυμητὴς εἶ, κράτησον τὴν κρυπτὴν μελέτην ἐν καθαρᾷ καρδίᾳ. Εἰ γὰρ ἐπιμένῃ ἀδιαλείπτως σοι ἡ προσευχὴ, καὶ ἡ μελέτη τῶν γραφῶν, ἀνοίγονταί σοι οἱ νοεροὶ ὀφθαλμοὶ τῆς ψυχῆς· καὶ γίνεται αὐτῇ χαρὰ μεγάλη· καὶ πό-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θος τις ἄῤῥητος, καὶ θερμός. ἐκκαιομένης καὶ τῆς σαρκὸς ὑπὸ τοῦ πνεύματος· ὥστε ὅλον τὸν ἄνθρωπον * πνευματικόν. εἴτε οὖν ἐν νυκτί, εἴτε ἐν ἡμέρᾳ, ἀξιώσειε ὁ Θεὸς καθαρῷ τῷ νῷ προσεύξασθαι ἀπερισπάστως, μὴ προσχῇς τῷ ἰδίῳ κανόνι· ἀλλ' ὅση δύναμίς σοί ἐστιν, ἐπεκτείνου τῷ Θεῷ κολλώμενος· καὶ αὐτὸς φωτίζει τὴν καρδίαν σου, περὶ ἧς ἐργασίας ἐπιχειρεῖς πνευματικῆς. καὶ τοῦτο δὲ προσετίθει, ὅτι παρέβαλέ μοί ποτέ τις γέρων, καὶ ἐρωτηθεὶς παρ' ἐμοῦ περὶ καταστάσεως τοῦ νοός, εἶπεν· ὅτι δύο ἔτη ἔμεινα παρακαλῶν τὸν Θεὸν ἐξ ὅλης καρδίας αἰτῶν ἀνενδότως, ἵνα μοι δώῃ ἀδιαλείπτως καὶ ἀπερισπάστως ἐντυπωθῆναι ἐν τῇ καρδίᾳ μου τὴν εὐχήν, ἣν παρέδωκεν αὐτὸς τοῖς ἰδίοις μαθηταῖς· καὶ ἰδὼν τὸν κόπον μου καὶ τὴν ὑπομονήν, παρέσχε τὸ αἴτημα ὁ μεγαλόδωρος Κύριος. ἔλεγε δὲ καὶ τοῦτο, ὅτι οἱ γενόμενοι τῇ διανοίᾳ περὶ τὰ μάταια λογισμοί, ἀῤῥωστήματά εἰσιν ἀργῆς, καὶ ῥαθύμου ψυχῆς. προσήκει οὖν, κατὰ τὸ γεγραμμένον, πάσῃ φυλακῇ τηρεῖν ἡμᾶς τὸν ἑαυτῶν νοῦν· καὶ ἀπερισπάστως ψάλλειν ἐν γνώσει· καὶ καθαρῷ τῷ νῷ προσεύχεσθαι. Τοιγαροῦν ἀδελφοί, βούλεται ἡμᾶς ὁ Θεός, πρῶτον ἐν κόποις· ἔπειτα ἐν ἀγάπῃ, καὶ ἀδιαλείπτῳ προσευχῇ, τὴν πρὸς αὐτὸν ἐπιδείκνυσθαι σπουδήν, καὶ αὐτὸς παρέχει τὴν τῆς σωτηρίας ὁδόν. εὔδηλον δὲ ὡς οὐκ ἄλλη ὁδός ἐστιν, ἡ πρὸς τὸν οὐρανὸν ἀνάγουσα, εἰμὴ ἡ τελεία ἡσυχία· καὶ ἡ τῶν κακῶν ἁπάντων φυγή· καὶ ἡ τῶν ἀγαθῶν κτῆσις· καὶ ἡ πρὸς αὐτὸν τελεία ἀγάπη· καὶ τὸ συγγενέσθαι Θεῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ὡς εἴ τις ἐν τούτοις γένηται, τάχιστα ἐπὶ τὸν οὐράνιον ἀναδραμεῖται χῶρον. δεῖ δὲ πάντως τὸν ἐπὶ τοῦτο ἀνελθεῖν τὸ ὕψος ἐπιθυμοῦντα, νεκρῶσαι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. ὅταν γὰρ ἡ ψυχὴ ἡμῶν τῇ θεωρίᾳ τοῦ ὄντος ἀγαθοῦ εὐφραίνηται, πρὸς οὐδὲν ἐπιστρέφεται τῶν καθ' ἡδονὴν ἐνεργουμένων παθῶν· ἀλλὰ πᾶσαν ἀποστραφεῖσα σωματικὴν ἡδυπάθειαν, καθαρᾷ καὶ ἀμολύντῳ διανοίᾳ, τὴν τοῦ Θεοῦ δέχεται ἐμφάνειαν. πολλῆς οὖν χρήζομεν φυλακῆς, καὶ πόνων σωματικῶν, καὶ καθάρσεως ψυχῆς, ὅπως ἐνοικήσωμεν τὸν Θεὸν ἐν ταῖς καρδίαις ἡμῶν· ἵνα τοῦ λοιποῦ ἐκτελῶμεν ἀπλανῶς τὰς θείας αὐτοῦ ἐντολάς, αὐτός τε λοιπὸν διδάσκει ἡμᾶς ἀσφαλῶς τοὺς νόμους αὐτοῦ τηρεῖν· καθάπερ ἀκτῖνας ἡλιακὰς τὰς οἰκείας ἐνεργείας ἐκπέμπων, διὰ τῆς ἐντεθείσης τοῦ πνεύματος χάριτος. διὰ γὰρ πόνων, καὶ πειρασμῶν δεῖ ἐκκαθᾶραι ἡμᾶς τὴν εἰκόνα, καθ' ἣν γεγόναμεν λογικοί, καὶ πάσης συνέσεως δεκτικοί, καὶ τῆς πρὸς Θεὸν ὁμοιώσεως· πάσης κηλῖδος ἀμιγεῖς φέροντες τὰς αἰσθήσεις· ἀναχαλκευόμενοι τρόπον τινὰ διὰ τῆς καμίνου τῶν πειρασμῶν· καὶ μεταποιούμενοι εἰς τὸ βασιλικὸν ἀξίωμα. μέτοχον γὰρ παντὸς ἀγαθοῦ, καὶ τὴν ἀνθρωπίνην φύσιν ἐδημιούργησεν ὁ Θεός· δυναμένην νοερῶς θεωρεῖν τὰς τῶν ἀγγέλων χορείας· τὰς δόξας τῶν κυριοτήτων· τὰς δυνάμεις· τὰς ἀρχάς· τὰς ἐξουσίας· τὸ φῶς τὸ ἀπρόσιτον· τὴν δόξαν τὴν ὑπεραστράπτουσαν. Ὅταν δὲ κατορθώσῃς ἀρετήν, μὴ ἐπαρθῇ σου ὁ λογισμὸς κατὰ τοῦ ἀδελφοῦ· ὡς σοῦ κατορθώσαντος, κἀκείνου ἀμελήσαντος· ἀρχὴ γὰρ ὑπερηφανίας τοῦτό ἐστι. πάσῃ δυνάμει τήρει μηδὲν ποιεῖν κατ' ἀνθρωπαρέσκειαν. ἐὰν δὲ ἀγωνίζῃ πρὸς τὸ πάθος, μὴ ἐκκακήσῃς· μηδὲ ὀλιγωρήσῃς, εἴπερ ἐπιμένει ὁ πόλεμος· ἀλλ' ἀναστὰς ῥῖψον σεαυτὸν ἐνώπιον τοῦ Θεοῦ ἐν ὅλῃ καρδίᾳ μετὰ τοῦ Προφήτου λέγων· Δίκασον Κύριε τοὺς ἀδικοῦντάς με· ἐγὼ γὰρ οὐ δύναμαι πρὸς αὐτούς. καὶ αὐτὸς βλέπων τὴν ταπείνωσίν σου, τάχιον ἀποστελεῖ σοι τὴν βοήθειαν αὐτοῦ. Ὅταν δὲ περιπατῇς

* ἴσ. (λείπει) εἶναι.



Athos Library Αγιορειτική Βιβλιοθήκη

μετά τινος ἐν ὁδῷ, μὴ παραδέξῃ ματαίαν ὁμιλίαν· ἀλλὰ δὸς τῷ νοΐ, ἥνπερ εἶχε πνευματικὴν ἐργασίαν, ὅπως γένηται αὐτῷ συνήθεια ἀγαθή, καὶ λήθη τῶν τοῦ κόσμου εἰδώλων· καὶ εἰς τοὺς τῆς ἀπαθείας καταντήσῃ λιμένας. Τούτοις καὶ πλείοσι λόγοις κατηχήσας τὸν ἀδελφὸν ἀπέλυσε. μετὰ δὲ χρόνον ὀλίγον, πάλιν ἐπανῆλθε πρὸς αὐτόν· καὶ τῆς ἐρωτήσεως ἀπαρξάμενος ἔλεγε. Τί ποιήσω Πάτερ, ὅτι ἐν τῇ νυκτερινῇ μου λειτουργίᾳ ὁ ὕπνος βαρεῖ με, καὶ οὐκ ἐᾷ νηφόντως προσεύχεσθαι· ἀλλ᾽ οὔτε ἀγρυπνῆσαι ἐκ περισσοῦ; καὶ θέλω ἐργόχειρον ψηλαφῆσαι ἡνίκα ψάλλω; Ὁ δὲ ἔφη· ὅταν δυνηθῇς νηφόντως προσεύχεσθαι, μὴ ψηλαφήσῃς ἐργόχειρον. εἰ δὲ ἀκηδίᾳ κατασχεθῇς, μικρὸν κινήθητι ἐπαπειλῶν τῷ λογισμῷ, καὶ ψηλάφησον τὸ ἐργόχειρον. Ὁ δὲ πάλιν πρὸς αὐτὸν ἔφη· αὐτὸς δέσποτα οὐ βαρῇ τῷ ὕπνῳ ἐν τῇ λειτουργίᾳ σου; λέγει αὐτῷ· δυσχερῶς μέν, πλήν, εἰ φθάσῃ ποτὲ μικρόν, κινοῦμαι· καὶ λέγω ἐκ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου ἀπαρχῆς, ἐκτείνων πρὸς τὸν Θεὸν τὸ ὄμμα τῆς διανοίας, καὶ εὐθὺς ἀφανὴς γίνεται. ὡσαύτως δέ, καὶ περὶ τῶν λογισμῶν κέχρημαι. ὅταν γὰρ ἐπέλθῃ, ἀπαντῶ αὐτῷ ὡς πῦρ μετὰ δακρύων, καὶ ἀφανὴς γίνεται. σὺ δὲ τέως οὕτως οὐ δύνασαι ὁπλίσασθαι· ἀλλὰ μᾶλλον κράτει πάντοτε κρυπτὴν μελέτην, καὶ τὰς τυπωθείσας παρὰ τῶν Ἁγίων Πατέρων ἡμερινάς τε εὐχάς· λέγω δή, τρίτην· ἕκτην· καὶ ἐνάτην· ἑσπερινὰ καὶ τὰς νυκτερινὰς λειτουργίας σπούδασον ἐπιτελεῖν· πάσῃ δὲ δυνάμει τηρεῖν, μηδὲν ποιεῖν κατὰ ἀνθρωπαρέσκειαν· μηδὲ ἔχειν ποτὲ ἔχθραν κατὰ τοῦ ἀδελφοῦ σου, ἵνα μὴ χωρίσῃς σεαυτὸν ἀπὸ τοῦ Θεοῦ σου. σπούδασον ἀμετεώριστόν σου τὴν διάνοιαν φυλάξαι· ἐπιμελῶς ἔχουσαν πρὸς τοὺς ἔσωθεν λογισμούς. ἐπειδὰν ἐν τῇ ἐκκλησίᾳ ὤν, καὶ μέλλεις μεταλαμβάνειν τῶν θείων τοῦ Χριστοῦ μυστηρίων, μὴ ἐξέλθῃς ἄχρις οὗ λάβῃς τὴν τελείαν εἰρήνην· ἐν ᾧ τόπῳ ἕστηκας· μὴ κινηθῇς ἐκεῖθεν ἕως ἀπολύσεως. νόμιζε δὲ σεαυτὸν ἐν τῷ οὐρανῷ ἑστάναι· καὶ μετὰ τῶν Ἁγίων Ἀγγέλων τῷ Θεῷ ἀπαντῆσαι· καὶ αὐτὸν ὑποδέξασθαι ἐν τῇ καρδίᾳ· ἐν φόβῳ οὖν, καὶ τρόμῳ πολλῷ παρασκεύαζε, ἵνα μὴ ἀναξίως μετάσχῃς τῶν Ἁγίων δυνάμεων. καὶ ἐπὶ τούτοις καλῶς καθοπλίσας τὸν ἀδελφόν, τῷ Κυρίῳ, καὶ τῷ Πνεύματι τῆς χάριτος αὐτοῦ, τοῦτον παραθέμενος, ἀπέλυσεν. Πρὸς δὲ τούτοις, διηγεῖτο ἔτι καὶ ὁ συνὼν αὐτῷ ἀδελφὸς ταῦτα· ὅτι περ καθεζομένου μου ποτὲ πλησίον αὐτοῦ, ἠρώτησα αὐτόν· εἰ ἐπειράσθη ἐπιβουλαῖς δαιμόνων ἐν ταῖς ἐρήμοις καθεζόμενος. ὁ δέ φησι· συγχώρησόν ἀδελφέ· ἐὰν συγχωρήσῃ ὁ Θεὸς ἐλθεῖν εἰς σέ, οὓς ὑπέστην πειρασμοὺς ὑπὸ τοῦ διαβόλου, οὐκ οἶμαι δύνασθαί σε ὑπενεγκεῖν τὴν τούτων πικρίαν. ἑβδομηκοστὸν τοῦτο ἔτος ἔχω, ἢ καὶ πρός· πλεῖον ἐν τοῖς πειρασμοῖς ὑπομένων· καὶ διαφόρους οἰκήσας ἐρήμους ἐν ἡσυχίᾳ ἀκροτάτῃ· τοσαῦτα ἐπειράσθην, καὶ πέπονθα ὑπ᾽ αὐτῶν, ἅπερ οὐ συμφέρει τοῖς μήπω εἰληφόσι πεῖραν ἡσυχίας, διηγήσασθαι τὴν τούτων πικρίαν· Τοῦτο δὲ ἀεὶ ἐν τοῖς πειρασμοῖς ἐποίουν, πᾶσαν τὴν ἐλπίδα μου τῷ Θεῷ ἀνετίθουν· πρὸς ὃν καὶ τὰς συνθήκας τῆς ἀποταγῆς ἐποιησάμην. καὶ αὐτὸς εὐθέως πάσης ἀνάγκης ἐρρύετό με. διὸ ἀδελφὲ οὐκ ἔτι ἐμαυτοῦ πρόνοιαν ποιοῦμαι. οἶδα γὰρ αὐτὸν ὑπὲρ ἐμοῦ μεριμνῶντα, καὶ κουφοτέρως φέρω τοὺς ἐπαγομένους μοι πειρασμούς. Τοῦτο δὲ αὐτὸ μόνον οἴκοθεν προσφέρω· τό, ἀδιαλείπτως προσεύχεσθαι. οἶδα γάρ, ὅτι ὅσον ἐπιτείνεται τὰ δεινά, τοσοῦτον προξενοῦνται οἱ στέφανοι τῷ ὑπομένοντι. συναλλάγματα γάρ εἰσι ταῦτα παρὰ τῷ δικαίῳ κριτῇ. Ταῦτ᾽



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σου εἰδὼς ἀδελφέ, μὴ τῇ ῥαθυμίᾳ καταπέσῃς· εἰδὼς ὅτι μέσον τοῦ πολέμου ἕστηκας ἀγωνιζόμενος· καὶ πλείους ἔχεις τοὺς ὑπὲρ ἡμῶν πολεμοῦντας τοῦ ἐχθροῦ τοῦ Θεοῦ. πῶς γὰρ οἷόν τε ἦν ἡμᾶς κατατολμᾶν πρὸς οὕτω φοβερὸν ἀντίπαλον τοῦ ἡμετέρου γένους· εἰμὴ ἡ κρατίστη δεξιὰ τοῦ Θεοῦ Λόγου, συνεῖχεν ἡμᾶς περιέπουσα καὶ σκέπουσα; πῶς ὑφίστατο ἡ ἀνθρωπίνη φύσις τὰς ἐπιβουλὰς αὐτοῦ; Τίς γάρ, φησίν· ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ; εἰς δὲ πτύξιν θώρακος αὐτοῦ, τίς ἂν εἰσέλθῃ; ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύονται λαμπάδες καιόμεναι, καὶ διαρριπτοῦνται ἐσχάραι πυρός· ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καιομένης αἰθάλης πυρὶ ἀνθράκων· ἡ ψυχὴ αὐτοῦ ἄνθρακες· φλὸξ δὲ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται· ἐν δὲ τραχήλῳ αὐτοῦ αὐλίζεται δύναμις· Ἔμπροσθεν αὐτοῦ τρέχει ἀπώλεια· ἡ καρδία αὐτοῦ πέπηγεν ὡσεὶ λίθος· ἕστηκεν, καὶ ὥσπερ ἄκμων ἀνήλατος. ἀναζεῖ τὴν ἄβυσσον, ὥσπερ χαλκεῖον. ἡγεῖται τὴν θάλασσαν, ὥσπερ ἐξάλειπτρον· τὸν δὲ τάρταρον τῆς ἀβύσσου, ὥσπερ αἰχμάλωτον. πᾶν ὑψηλὸν ὁρᾷ. αὐτὸς βασιλεύων πάντων τῶν ἐν τοῖς ὕδασι. πρὸς τοῦτον ἡμῖν ἡ πάλη ἀδελφέ. τὸν τοιοῦτον καὶ τηλικοῦτον ὑπέγραψεν ὁ λόγος τύραννον. Ἀλλὰ τούτου ἡ νίκη ῥᾳδίως τοῖς νομίμως τὸν μονήρη βίον ἐπανῃρημένοις γίνεται· διὰ τὸ μὴ ἔχειν τι τῶν αὐτοῦ· διὰ τῆς ὑποταγῆς τοῦ κόσμου, καὶ τῆς ἀνδραγαθίας τῶν ἀρετῶν. διὰ τὸ ἔχειν ἡμᾶς τὸν ὑπὲρ ἡμῶν πολεμοῦντα. Τίς γὰρ προσελθὼν τῷ Κυρίῳ, εἰπέ μοι; καὶ τὸν φόβον αὐτοῦ ἐν νῷ λαβών, οὐ μετεποιήθη τῇ φύσει; καὶ τοῖς θείοις νόμοις τε, καὶ ἔργοις καταλαμπρύνας ἑαυτόν, φαεινοτάτην ψυχὴν οὐκ εἰργάσατο; καὶ τοῖς θείοις νοήμασι, καὶ λογισμοῖς ἀπαστράπτειν οὐ παρεσκεύασεν; ἀργὴν δὲ αὐτὴν οὐκ ἐᾷ. ἔχει γὰρ τὸν Θεὸν διεγείροντα τὸν νοῦν, ἀκορέστως ἐφίεσθαι τοῦ φωτός. καὶ πυκνῶς ἐνεργουμένη ἡ τοιαύτη ψυχὴ οὐ συγχωρεῖται ὑπὸ τοῦ πνεύματος ἐν τοῖς πάθεσι καταμελανίζεσθαι. ἀλλ᾽ οἷά τις βασιλεὺς δεινός, καὶ φοβερὸς κατὰ τῶν ἐναντίων πνέων, κόπτων τε ἀφειδῶς, καὶ μηδαμῶς ἐπιστρεφόμενος εἰς τὰ ὀπίσω· ἀλλὰ διὰ τῆς πρακτικῆς τὰς χεῖρας εἰς οὐρανὸν κινῶν, καὶ διὰ τῆς προσευχῆς τοῦ νοῦ, τὴν νίκην ποιεῖται τοῦ πολέμου. Διηγεῖτο δὲ πάλιν καὶ τοῦτο ὁ αὐτὸς ἀδελφός· ὅτι περ πρὸς ταῖς ἄλλαις αὐτοῦ ἀρεταῖς, καὶ ταύτην ἐκέκτητο· οὐδέ ποτε ἀργὸν ἠνείχετο ἀκοῦσαι λόγον. εἰ δὲ καί τις ἐξ ἀπροσεξίας διηγεῖτο πρᾶγμα μὴ συντεῖνον εἰς ὠφέλειαν ψυχῆς, οὐδ᾽ ὅλως ἀπεκρίνετο. ἀλλ᾽ οὐδὲ ἀπερχομένου μου ποτὲ εἰς διακονίαν, ἠρώτα διατί ἀπέρχῃ; ἢ πάλιν ἐρχομένου μου, ἔλεγε, ποῦ ἦς; ἢ πῶς, ἢ τί πεποίηκας; Ποτὲ γοῦν καταπλεύσαντός μου ἐπὶ Ἀλεξάνδρειαν διά τινα ἀναγκαίαν χρείαν· κἀκεῖθεν ἀνελθόντος μου ἐπὶ τὴν βασιλίδα τῶν πόλεων, ἐκκλησιαστικοῦ πράγματος ἕνεκα. καὶ δή, συνταξάμενος τοῖς ἐκεῖ εὐλαβεστάτοις ἀδελφοῖς ἀνῆλθον. μηδεμίαν ἀπόκρισιν δηλώσας τῷ τοῦ Θεοῦ θεράποντι. διατρίψας οὖν ἐκεῖ χρόνον ἱκανόν, ἐπανῆλθον πάλιν ἐν τῇ σκήτῃ πρὸς αὐτόν. ὁ δὲ ἰδών με, καὶ περιχαρὴς γενόμενος, καὶ ἀσπασάμενός με, ποιήσας εὐχὴν ἐκάθισε· οὐδὲν τὸ παράπαν ἐρωτήσας με, ἀλλὰ τῇ θεωρίᾳ προσασχολούμενος ἔμενε. Ποτὲ γοῦν δοκιμάσαι αὐτὸν βουλόμενος, ἔμεινα ἐπὶ ἡμέρας μὴ ἐπιδιδοὺς αὐτῷ ἄρτον φαγεῖν. ὁ δὲ οὐκ ἐζήτησεν, οὐδὲ εἶπέ τι. ἐγὼ δὲ μετὰ ταῦτα βαλὼν αὐτῷ μετάνοιαν, εἶπον [illegible] σύνην· ποίησον ἀγάπην, πάτερ, καὶ [illegible] ἆρα οὐκ ἐλυπήθης, ὅτι οὐκ [illegible]

κατὰ τὴν συνήθειαν φαγεῖν; ὁ δέ φησι· συγχώρησον ἀδελφέ· εἴκοσι ἡμέρας ἐὰν μὴ μοι δῷς ἄρτον φαγεῖν, οὐκ ἔτι ζητῶ παρὰ σοῦ, ἄχρις οὗ γὰρ ὑπομένω τῇ ψυχῇ, οὕτω καὶ τῷ σώματι. τοσοῦτον ἦν τῇ θεωρίᾳ τοῦ ὄντως ἀγαθοῦ προσασχολούμενος. ἔλεγε δὲ, ὅτι ἀφ' οὗ ἦλθον ἐν τῇ σκήτῃ οὐ συνεχώρησα τὸν λογισμόν μου ἐξελθεῖν ἔξω τῆς κέλλης· ἀλλ' οὐδὲ ἄλλον λογισμὸν ἐν τῇ διανοίᾳ μου παραδέδεγμαι, πλὴν τοῦ φόβου τοῦ Θεοῦ· καὶ τῶν τοῦ μέλλοντος αἰῶνος δικαιωτηρίων· ἐνθυμούμενος τήν τε τοῖς ἁμαρτωλοῖς ἀπειλημμένην κρίσιν, καὶ τὸ πῦρ τὸ αἰώνιον, καὶ τὸ ἐξώτερον σκότος. καὶ πῶς αἱ τῶν ἁμαρτωλῶν ψυχαὶ διάγουσι, καὶ τῶν δικαίων· καὶ τὰ τοῖς δικαίοις ἀποκείμενα ἀγαθά. καὶ ἕκαστον λαμβάνοντα τὸν ἴδιον μισθὸν, κατὰ τὸν ἴδιον κόπον. τὸν μὲν, ὑπὲρ τῆς τῶν πόνων αὐξήσεως. τὸν δὲ, ὑπὲρ ἐλεημοσύνης, καὶ ἀγάπης ἀνυποκρίτου. τὸν δὲ, ὑπὲρ ἀκτημοσύνης, καὶ τῆς τοῦ κόσμου παντὸς ἀποταγῆς. ἕτερον, ὑπὲρ ταπεινοφροσύνης, καὶ ἀκροτάτης ἡσυχίας. ἄλλον, ὑπὲρ τῆς εἰς ἄκρον ὑποταγῆς. ἕτερον, ὑπὲρ ξενιτείας. ταῦτα πάντα διαλογιζόμενος, οὐ συγχωρῶ ἕτερον λογισμὸν ἐνεργεῖσθαι ἐν ἐμοί· οὐδὲ δύναμαι ἔτι μετὰ ἀνθρώπων εἶναι· ἢ πρὸς τούτοις ἀσχολῆσαί μου τὸν νοῦν, ἵνα μὴ τῶν θειοτέρων ἐννοιῶν χωρισθῶ. Προσετίθει τούτοις, καὶ διήγησιν ἑνός τινος μονάζοντος, καὶ ἔλεγεν· ὅτι εἰς ἀπάθειαν ἦν ἐληλακὼς, καὶ ἐκ χειρὸς ἀγγέλου τὸν ἄρτον ἐδέχετο τῆς τροφῆς· καὶ διὰ τῆς ἀμελείας, τῆς τιμῆς ταύτης ἐζημιώθη. ὅταν γὰρ ἡ ψυχὴ τὸ πυκνὸν, καὶ σύντονον τοῦ νοὸς ὑποχαλάσῃ, κρατεῖ τῆς ψυχῆς ἡ νύξ. ὅπου γὰρ ὁ Θεὸς μὴ ἐπιλάμπει, πάντα ὡς ἐν ζόφῳ διακέχυνται· καὶ οὐ δύναται πρὸς τὸν Θεὸν μόνον βλέπειν, καὶ τρέμειν τοὺς λόγους αὐτοῦ. Θεὸς γὰρ ἐγγίζων ἐγώ εἰμι λέγει Κύριος· καὶ οὐ Θεὸς πόῤῥω. εἰ κρυβήσεται ἄνθρωπος ἐν κρυφῇ, κἀγὼ οὐκ ὄψομαι αὐτόν; μή. οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος. καὶ ἑτέρων πολλῶν ἐμέμνητο τὰ ὅμοια παθόντων. Πρὸς τούτοις δὲ καὶ τὸ Σολομῶντος παρήγαγε πτῶμα· ὅς φησι· τοσαύτην σοφίαν εἰληφὼς, καὶ παρὰ πάντων δοξαζόμενος. ἦν γὰρ ὡς ἑωσφόρος τὸ πρωῒ ἀνατέλλων, τὸ φαιδρὸν τῆς σοφίας πάντας φωτίζων· καὶ διὰ μικρὰν ἡδονὴν, τὴν δόξαν ἀπώλεσε. φόβος οὖν ἐστὶ τὸ ἀμελεῖν. ἀδιαλείπτως δεῖ προσεύχεσθαι, ἵνα μὴ ἕτερος λογισμὸς ἐπελθὼν, χωρίσῃ ἡμᾶς ἀπὸ τοῦ Θεοῦ· καὶ τοῦ ἡμετέρου νοὸς παρυφιστάμενόν τι. ἡ γὰρ καθαρὰ καρδία, τοῦ Πνεύματος τοῦ Ἁγίου γενομένη ὅλη χωρητική, ὅλον αὐτὸν καθαρῶς ἐνοπτρίζεται τὸν Θεόν. ταῦτα οὖν ἀκούων ἐγὼ φησι, καὶ ἔργοις αὐτοῖς κατέλαβον ὅτι ἄπρακτα ἦν ἐν αὐτῷ παντελῶς τὰ σαρκικὰ πάθη· ἐπιθυμητὴς δὲ τῶν κρειττόνων πάντως ἦν, ὡς πάντοτε ὁρᾶσθαι αὐτὸν τῷ θείῳ Πνεύματι διαμορφούμενον, καὶ στενάζοντα στεναγμοῖς ἀλαλήτοις· καὶ εἰς ἑαυτὸν συστρεφόμενον· καὶ ἑαυτὸν σταθμίζοντα, καὶ ἀγωνιῶντα μήπως τὸ τῆς διανοίας καθαρὸν ἐπιθολώσῃ ἐπεισελθόντα· καὶ μῶμός τις λανθανόντως αὐτῷ προσγένηται. Ὁρῶν οὖν ἐγὼ ταῦτα· φησὶν ὁ συνὼν αὐτῷ ἀδελφὸς, καὶ ὥσπερ εἰς ζῆλον διεγειρόμενος τῶν ὁμοίων κατορθωμάτων, συνεχῶς ἐπεκείμην, καὶ πυκνὰς τὰς πρὸς αὐτὸν ἐρωτήσεις ἐποιούμην. πῶς δύναμαι· λέγων· κτήσασθαι καθαρὸν τὸν νοῦν· ὥσπερ καὶ σύ; ὁ δὲ ἔλεγεν· ὕπαγε πόνησον· κόπου γὰρ χρεία, καὶ πόνου καρδίας. οὐ γὰρ κοιμωμένοις ἡμῖν, καὶ ἀναπεπτωκόσι, τὰ σπουδῆς ἄξια, καὶ πόνου παρα-

γίνεται. ὅπου δέ, οὐδὲ τὰ τῆς γῆς ἀγαθά, χωρὶς κόπου παραγίνεταί τισι. δέον οὖν τὸν βουλόμενον εἰς πνευματικὴν προκοπὴν ἐλθεῖν, πρὸ πάντων ἀποτάξασθαι τοῖς οἰκείοις θελήμασι, καὶ κτήσασθαι διαπαντὸς τὸ πένθος· καὶ τὴν ἀκτημοσύνην· μὴ προσέχοντα ταῖς ἁμαρτίαις ἑτέρων, ἀλλὰ ταῖς ἰδίαις καὶ μόνον, καὶ ὑπὲρ τούτων κλαίειν ἡμέρας καὶ νυκτός. καὶ μὴ ἔχειν φιλίαν μετὰ ἀνθρώπου. ψυχὴ γὰρ κατώδυνος συμφοραῖς, καὶ τῇ μνήμῃ τῶν προημαρτημένων κεντουμένη, νεκρὰ γίνεται τοῦ κόσμου· καὶ ὁ κόσμος νεκροῦται αὐτῇ· τουτέστιν ἄπρακτα γίνεται τῆς σαρκὸς τὰ πάθη, καὶ ὁ ἄνθρωπος τοῖς πάθεσιν. ὁ γὰρ ἀποταττόμενος τοῦ κόσμου, καὶ συνταττόμενος τῷ Χριστῷ, καὶ τῇ ἡσυχίᾳ σχολάζων, ἀγαπᾷ τὸν Θεόν, καὶ φυλάττει τὴν εἰκόνα, καὶ τὸ ὁμοίωμα πλουτεῖ. ἄνωθεν γὰρ δέχεται παρ' αὐτοῦ τὴν χορηγίαν τοῦ Πνεύματος· καὶ γίνεται οἶκος Θεοῦ, καὶ οὐ δαιμόνων· ἔργα δίκαια ἐπίσταται τοῦ Θεοῦ. καὶ ψυχὴ κεκαθαρμένη τοῦ βίου, καὶ ἐλευθέρα τῶν τῆς σαρκὸς μολυσμάτων, μὴ ἔχουσα σπίλον ἢ ῥυτίδα· τὸν τῆς δικαιοσύνης ἀναδύσεται στέφανον, ὑπερλάμπουσα τῷ κάλλει τῆς ἀρετῆς. Ἐν ᾧ γὰρ ἐν ἀρχῇ τῆς ἀποταγῆς οὐ γίνεται πένθος ἐν καρδίᾳ· οὔτε δάκρυα πνευματικά· οὔτε μνήμη τῆς ἀπεράντου κολάσεως· οὔτε ἡσυχία ἀληθής· οὔτε ἐπίμονος προσευχή· οὔτε ψαλμῳδία, καὶ μελέτη τῶν θείων γραφῶν· καὶ οὐκ ἐν ἔθει γέγονε τούτων, ἵνα τῷ ἀδιαλείπτῳ τῆς καρτερίας ἀναγκάζηται, καὶ μὴ βουλόμενον αὐτοῦ, ὑπὸ τοῦ νοὸς ταῦτα πράττειν· καὶ ἐνακμάζει ὁ φόβος τοῦ Θεοῦ ἐν τῇ διανοίᾳ αὐτοῦ· ἀκμὴν τῇ φιλίᾳ τοῦ κόσμου ὁ τοιοῦτος ἐπαναπαύεται· καὶ οὐ δύναται κτήσασθαι καθαρὸν τὸν νοῦν ἐν τῇ προσευχῇ. ἡ γὰρ εὐσέβεια, καὶ ὁ φόβος τοῦ Θεοῦ, καθαίρουσι τὴν ψυχὴν ἀπὸ τῶν παθῶν· καὶ τὸν νοῦν ἐλεύθερον παρασκευάζει γενέσθαι· καὶ πρὸς φυσικὴν θεωρίαν ἄγει· καὶ θεολογίας ἐφάπτεσθαι ποιεῖ· ἣν ἐν σχήματι μακαριότητος ἐκδέχεται, καὶ τοῖς μετιοῦσιν αὐτὴν ἐντεῦθεν τοὺς ἀρραβῶνας παρέχει· καὶ ἀσάλευτον αὐτὴν φυλάττει. πάσῃ οὖν δυνάμει τῆς πρακτικῆς ἐπιμελησώμεθα ἐργασίας· δι' ἧς πρὸς τὴν εὐσέβειαν ἀναγόμεθα· ἥ ἐστιν ἡ κατὰ διάνοιαν καθαρότης· ἧς ὁ καρπός, φυσική, καὶ θεολογικὴ θεωρία. πρᾶξις γάρ, ἐπίβασις θεωρίας, ὡς ὁ διαπρύσιος καὶ θεολογικώτατος * νοῦς. Ἐὰν τοίνυν τῆς πράξεως ἀμελήσωμεν, πάσης ἔρημοι φιλοσοφίας ἐσόμεθα. κἂν γάρ τις πρὸς τὸ ἀκρότατον ἐλάσῃ τῆς ἀρετῆς, δεῖται τοῦ τῆς ἀσκήσεως πόνου, χαλινοῦντος τὰς τοῦ σώματος ἀτάκτους ὁρμάς· καὶ τὴν τῶν λογισμῶν ἐπιτήρησιν φυλάξαι. οὕτω γὰρ ἂν μόλις ἐπιτύχωμεν τῆς τοῦ Χριστοῦ ἐνοικήσεως. ὅσῳ γὰρ πλεονάζει ἐν ἡμῖν ἡ δικαιοσύνη, τοσοῦτον ἡ πνευματικὴ ἀνδρεία ἐπιγίνεται. καὶ τελειωθεὶς ὁ νοῦς, πρὸς τὸν Θεὸν ὅλος ἀνακιρνᾶται· καὶ τῷ θείῳ φωτὶ περιλάμπεται· καὶ ἀποκαλύπτεται τῶν μυστηρίων τὰ ἀπόρρητα· καὶ τότε μανθάνει ἀληθῶς, ποῦ ἐστι φρόνησις· ποῦ ἐστιν ἰσχύς· ποῦ σύνεσις, τοῦ γνῶναι πάντα· ποῦ ἐστι μακροβίωσις, καὶ ζωή· ποῦ φῶς ὀφθαλμῶν, καὶ εἰρήνη. ἕως οὗ γὰρ ἐν τῇ τῶν παθῶν μάχῃ ἀσχολεῖται, οὔπω τούτων ἐν ἀπολαύσει γενέσθαι ἔξει καιρόν. αἱ γὰρ ἀρεταὶ καὶ κακίαι, τυφλὸν ἀπεργάζονται τὸν νοῦν. αἱ μέν, ἵνα μὴ ἴδῃ τὰς ἀρετάς· αἱ δέ, ἵνα μὴ βλέπῃ τὰς κακίας. ὅταν δὲ τοῦ πολέμου ἀνακοπὴν λάβῃ, καὶ πνευματικῶν ἀξιωθῇ χαρισμάτων, τότε ὅλος φωτοειδὴς γίνεται πυκνῶς ἐνεργούμενος παρὰ τῆς χάριτος· καὶ ἀκλινὴς ἕστηκε πρὸς

* ἴσ. λείπη φυσί

τὴν

τὴν τῶν πνευματικῶν θεωρίαν· ὁ τοιοῦτος, οὐκ ἔστι τοῖς ἐνταῦθα προσδεδεμένος· ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. δεῖ οὖν τὸν προσιέμενον τὸν ζηλωτὴν βίον, καὶ προσερχόμενον τῷ Θεῷ, ἁγνὴν ἔχειν καρδίαν, καὶ στόμα καθαρόν· ὅπως καθαρὸς ὁ λόγος ἐκ τοῦ στόματος προερχόμενος, ἀξίως δυνηθῇ ἀνυμνῆσαι τὸν Θεόν. ἡ γὰρ κεκολλημένη ψυχὴ τῷ Θεῷ, διηνεκῶς πρὸς αὐτὸν διαλέγεται. Θελήσωμεν οὖν ἀδελφοὶ εἰς ἐκείνην φθάσαι τὴν ἀκρώρειαν τῶν ἀρετῶν· καὶ μὴ μείνωμεν ἐν τῇ γῇ προσηλωμένοι τοῖς πάθεσιν. ὁ γὰρ ἀγωνιζόμενος, καὶ φθάσας προσεγγίσαι Θεῷ, καὶ ἐν μεθέξει τοῦ ἁγίου φωτὸς γενέσθαι, καὶ τῷ πόθῳ αὐτοῦ τρωθῆναι, κατατρυφᾷ τοῦ Κυρίου πνευματικήν τινα, καὶ ἀκατάληπτον εὐφροσύνην· καθά φησιν ὁ θεῖος ψαλμός. Κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου· καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν. τοῖος γὰρ πόθος ψυχῆς οὕτω δριμὺς, καὶ ἀφόρητος, ὡς ὁ ἀπὸ Θεοῦ ἐγγινόμενος τῇ ψυχῇ, τῇ ἀπὸ πάσης κακίας κεκαθαρμένῃ; καὶ ὑπὸ ἀληθινῆς διαθέσεως καρδίας λεγούσῃ. τετρωμένη ἀγάπης ἐγώ εἰμι. ἄρρητοι παντελῶς, καὶ ἀνεκδιήγητοι τοῦ θείου κάλλους αἱ ἀστραπαί· οὐ παρίστησι λόγος. οὐ δέχεται ἀκοή. κἂν ἑωσφόρου αὐγὰς εἴπῃς· κἂν σελήνης λαμπρότητα· κἂν ἡλίου φῶς. πάντα ἄτιμα πρὸς εἰκασίαν τῆς δόξης ἐκείνης. καὶ πλέον ἀπολειπόμενα πρὸς τὴν τοῦ ἀληθινοῦ φωτὸς σύγκρισιν, ἢ καθόσον βαθεῖα νὺξ, ἢ στυγνὴ σκοτομήνη, μεσημβρίας καθαρωτάτης. οὕτω γὰρ καὶ Βασίλειος ὁ ἐν διδασκάλοις θεσπέσιος, τῇ πείρᾳ παραλαβὼν, καὶ διδαχθεὶς παρέδωκεν ἡμῖν. ταῦτα μὲν οὖν, καὶ πλεῖστα τούτων ὁ συνὼν αὐτῷ ἀδελφὸς διηγήσατο. ἀλλὰ μὴν καὶ τοῦτο, τίς αὐτοῦ μὴ θαυμάσειε, τῆς ταπεινοφροσύνης αὐτοῦ ἔχον ἀπόδειξιν μεγάλην, ἐκ πολλοῦ γὰρ πρεσβυτερίου ἀξιωθεὶς, καὶ τῶν ὁμηλίκων ἁψάμενος τῇ πολιτείᾳ καὶ γνώσει· οὕτω τῶν θείων Ἱερουργιῶν ὑπέφευγε τὸν ὄγκον, ὥστε ἐν πλείστοις αὐτοῦ ἀγωνισμάτων χρόνοις, μὴ καταδέξασθαι σχεδὸν τῇ ἱερᾷ προσεγγίσαι τραπέζῃ. ἀλλὰ καὶ τὴν τῶν θείων μυστηρίων μετάληψιν· τοσαύτῃ ἀκριβείᾳ συζῶν ὁπηνίκα τὴν πρὸς ἀνθρώπους συντυχίαν ἐποιεῖτο, οὐ μετελάμβανε· καίπερ μηδενὸς γηΐνου λεγομένου παρ' αὐτοῦ, ἀλλ' ἐπ' ὠφελείᾳ τῶν αἰτούντων τὴν συντυχίαν ποιούμενος. μέλλων δὲ τῶν θείων μεταλαμβάνειν μυστηρίων, εὐχαῖς, καὶ ψαλμῳδίαις, καὶ ἐξομολογήσεσι τὸν Θεὸν ἐδυσώπει. τὴν γὰρ τοῦ Ἱερέως ἔφριττε φωνὴν· ἐν ταύτῃ διὰ τοῦτο προσφωνοῦντος καὶ λέγοντος· τὰ Ἅγια, τοῖς Ἁγίοις. ἔλεγε γὰρ, πᾶσαν τὴν Ἐκκλησίαν πληροῦσθαι ἁγίων Ἀγγέλων· καὶ αὐτὸν δὲ τὸν βασιλέα τῶν δυνάμεων μυστικῶς ἱερουργούμενον, καὶ ἐν ταῖς ἡμετέραις καρδίαις μεταποιούμενον εἰς σῶμα καὶ αἷμα. διὸ καὶ ἔλεγε· χρὴ ἡμᾶς ἁγνῶς καὶ καθαρῶς, καὶ οἱονεὶ ἔξω σαρκὸς γενομένους, χωρὶς παντὸς δισταγμοῦ, καὶ ἐνδοιασμοῦ, καταπολμᾶν τῆς ἁγίας κοινωνίας τῶν ἀχράντων τοῦ Χριστοῦ μυστηρίων· ὅπως τοῦ ἐξ αὐτῶν φωτισμοῦ γενώμεθα μέτοχοι. πολλοὶ γὰρ τῶν Ἁγίων Πατέρων, ἐθεώρουν τοὺς Ἀγγέλους παραφυλάττοντας αὐτούς. διὸ καὶ τῇ σιωπῇ ἐφύλαττον ἑαυτὸς, πρός τινα μὴ διαλεγόμενοι. ἔλεγε δὲ καὶ τοῦτο· ὅτι εἰ ἐγένετο αὐτοῦ χρεία, δι' ἑαυτοῦ πωλῆσαι τὸ ἴδιον ἐργόχειρον· ἵνα μὴ ἐκ τοῦ λέγειν καὶ ἀνταποκρίνεσθαι, ψεῦ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δός τι· ἢ ὅρκος· ἢ περιττολογία· ἢ ἕτερον εἶδος ἁμαρτίας, ἀκολουθήσῃ, τὸ δοκεῖν εἶναι σαλὸς ὑποκρινόμενος ἵστατο. καὶ πᾶς ὁ βουλόμενος ἀγοράσαι, ἐλάμβανε παρ' αὐτοῦ, καὶ παρεῖχεν ὃ ἠβούλετο. εἰργάζετο δὲ τὸ καλούμενον μαλάκιον. ἐδέχετο δὲ τὸ διδόμενον εὐχαρίστως, μηδὲν τὸ παράπαν λαλῶν, ὁ ὄντως φιλόσοφος ἀνήρ.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὁ Ὅσιος Θεόγνωστος, ὁ τῶν παρόντων κεφαλαίων Πατήρ· πότερον ὁ Ἀλεξανδρεὺς, καὶ Ἐξηγητὴς, περὶ οὗ γίνεται μνεία παρὰ Φωτίῳ, ἀναγνώσει ρϛʹ. σελ. 151. οὗτός ἐστιν, ἢ ἄλλος τίς, ἢ ἐν τίσιν ἤκμασε χρόνοις, ἐπ᾽ ἀκριβείας εἰπεῖν οὐκ ἔχομεν. Ὅσον δὲ ἐκ τοῦ καρποῦ αὐτοῦ τὸ δένδρον γνωρίσαι, ἀνὴρ καὶ οὗτος ἦν τῶν πράξει, καὶ γνώσει διαβεβηκότων, καὶ διὰ καθαρότητα βίου ἔνοικον ἔχων τὴν χάριν τοῦ Πνεύματος. οὗ καὶ ταῖς ἐλλάμψεσι τὸν νοῦν φωτιζόμενος· αἷς φύσει πρόσεστιν ἡ πάντων ἀποκάλυψις. καὶ ταῖς ζωηραῖς αὐτοῦ αὔραις, καθάπερ ὄργανον, ἐμπνεόμενος, οἷόν τι παραρμόνιον, καὶ Ἱερὸν μέλος, τὰ παρόντα κεφάλαια ἐκελάδησε, καὶ διὰ τῆς ἐγκειμένοις αὐτοῖς χάριτος, καὶ τῶν πνευματικῶν νοημάτων θέλγει τῶν ἀναγινωσκόντων καὶ ἀκοὴν, καὶ διάνοιαν, καὶ πρὸς τὸν τῆς κατορθώσεως ἔμπρακτον ζῆλον ἀνερεθίζει. τῆς τε γὰρ πρακτικῆς δι᾽ αὐτῶν ὁ ἐξαίρετος ὑφηγεῖται τρόπος, καὶ ἡ τῆς θεωρίας ἀνάβασις ἀπλανῶς ἐκδιδάσκεται. καὶ τίνα, καὶ ὅπως χρὴ εἶναι, τὸν Ἱερωσύνῃ τετιμημένον, ἐκ τούτων ἄν τις ἐπ᾽ ἀκριβὲς καταμάθοι. καὶ ὅλως πολλῆς τινος τῆς ἠθικῆς ὠφελείας, καὶ σωτηριώδους νήψεως τοῖς φιλοπόνως μετιοῦσι γίνεται πρόξενα.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΠΕΡΙ' ΠΡΑ'ΞΕΩΣ, ΚΑΙ' ΘΕΩΡΙ'ΑΣ, ΚΑΙ' ΠΕΡΙ' ΙΕΡΩΣΥ'ΝΗΣ.

Ἧς ἡ ἀκροστιχὶς ἥδε.

Τοῖς ὁσιωτάτοις πατράσι, Λαζάρῳ, καὶ Βαρλαάμ. Θεόγνωστος πανευτελὴς ἀνάξιος τοῦ παντὸς κόσμου.

α'. Τότε νόμιζε ἀληθῆ ἔχειν ἀρετήν, ὅταν πάντων τῶν ἐπὶ γῆς τελείως καταφρονήσῃς, ἐπιμελῶς ἔχων τὴν καρδίαν διὰ καθαρᾶς συνειδήσεως πάντοτε τοῦ ἐκδημῆσαι πρὸς Κύριον. ἐὰν δὲ γνωσθῆναι θέλῃς παρὰ Θεοῦ, ἀγνοήθητι παρὰ τῶν ἀνθρώπων, ὅσον τὸ κατὰ δύναμιν.

β'. Ὅρα τὰς περιττὰς τοῦ σώματος παρακλήσεις, καὶ ὑποστέλλου ἐξ αὐτῶν, μήπως ἀφέλωνταί τι τῶν κόπων σου· καθ' ὅσον δηλαδὴ τοῖς προηγουμένοις πόνοις, πρὸ ἀπαθείας, ἡ ἐντεῦθεν ἐκ τούτων ἐπεισέρχεται ἄνεσις. ζημίαν ἡγούμενος, οὐ τὴν στέρησιν τῶν ἡδέων, ἀλλὰ τὸ διὰ τῆς ἀπολαύσεως τούτων, τῶν κρειττόνων ἀποπεσεῖν.

γ'. Ἴσθι μύρμηκα σεαυτὸν ἔχων, καὶ σκώληκα ἐν πάσῃ αἰσθήσει, ὅπως γένῃ θεόπλαστος ἄνθρωπος. εἰ μὴ γὰρ ἐκεῖνο πρῶτον, οὐκ ἂν τοῦτο ἐπακολουθήσῃ· καὶ ὅσον ἂν κατέλθῃς, τοσοῦτον ἀνέλθῃς. ὅταν δὲ καὶ σεαυτὸν ὡσεὶ οὐδὲν ἐνώπιον Κυρίου λογίζῃ κατὰ τὸν ψαλμῳδόν, τότε γίνῃ μέγας ἐκ μικροῦ λεληθότως. καὶ ὁπηνίκα ὑποπτεύῃς ἔχειν καὶ εἰδέναι οὐδέν, τὸ τηνικαῦτα πλουτεῖς καὶ πράξει καὶ γνώσει ἐν Κυρίῳ ἐπαινετῶς.

δ'. Συνέτριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ, ἰδικῶς λέγω καὶ πορνείας, ἀφ' ὧν πᾶσα τίκτεται κακία. συνέτριψον δὲ δι' ἐγκρατείας, καὶ τῇ ἐκ ταπεινώσεως ἀκακίᾳ· ἵνα εἰ καὶ ἐκζητηθήσεται ἡ ἁμαρτία, γενναίῳ λόγῳ, ἅπασα ἐν καιρῷ ἐρεύνης τῶν πεπραγμένων, μὴ εὑρεθῇ τι. ἐξαλείφεται γὰρ τὰ πεπλημμελημένα, ἡνίκα τὰ αἴτια τούτων, δι' ὧν ἐτελεσιουργήθησαν μεμισηκότες ἡμᾶς, κατ' αὐτῶν στρατευσώμεθα· τὴν πρώην ἧτταν, ὑστάτῃ νίκῃ ἀνακαλούμενοι.

ε'. Οὐδέν ἐστι κρεῖττον καθαρᾶς προσευχῆς, ἀφ' ἧς ὡς ἐκ πηγῆς αἱ ἀρεταὶ βρύουσιν· ἥ, τε σύνεσις καὶ ἡ πραότης, ἡ ἀγάπη, καὶ ἡ ἐγκράτεια, καὶ ἡ ἐκ δακρύων ἐγγινομένη θεόθεν ἀντίληψις ὁμοῦ, καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

παράκλησις. κάλλος δὲ ταύτης, ἐν μόνοις τοῖς λεγομένοις, καὶ νοουμένοις εἶναι τὴν διάνοιαν, καὶ ἀόριστος διαπαντὸς τῆς τοῦ θείου ἐπιτυχίας ὄρεξις. ὁπότε τὸν ἴδιον δεσπότην διὰ τῆς τῶν ὄντων θεωρίας ἀνιχνεύων ὁ νοῦς, καὶ ζητῶν φλεγομένῳ πόθῳ διψητικῶς εὑρεῖν, καὶ ἰδεῖν τὸν ἀθέατον, ἡ θ' ὁρῶν σκότος ἀποκρυφὴν αὐτοῦ, ἀποστρέφει πάλιν εἰς ἑαυτὸν πανευλαβῶς συστελλόμενος· ἀρκούμενος μὲν ἄρτι τῇ συμφερόντως ἀποκαλυπτομένῃ θεωρίᾳ, καὶ ταύτῃ παραμυθούμενος. εὔελπις δὲ ὢν πάντως ποτὲ καταλαβεῖν τὸ ποθούμενον, ὅταν τῶν ἐκφάσεων λυθέντων, καὶ τῆς ἐν σκιαῖς φαντασίας ὡς ἐν ἐσόπτρῳ τε, καὶ αἰνίγμασιν, καὶ κατὰ πρόσωπον ἀκραιφνὴς ὄψις ἔσται διηνεκῶς.

ς'. Συστέλλου ἀπὸ τῶν ὑψηλοτάτων θεωριῶν, εἰ μήπω ἀκροτάτης ἀπαθείας ἐπέβης. καὶ μὴ ζήτει ἀκίχητα τῶν ὑπὲρ σὲ ἐφιέμενος. εἰ βούλει γάρ φησι· θεολόγος γενέσθαι ὁμοῦ, καὶ θεωρητικός, διὰ πολιτείας ἄνελθε. καὶ διὰ καθάρσεως, κτῆσαι τὸ καθαρόν. ἐπεὶ δὲ θεολογίας ἐμνήσθην, ὅρα μὴ τὸ ταύτης ὕψος εἰς ἀπειρίαν ἐπεκτεινόμενος. καὶ σκόπει, ὅτι οὐ θέμις ἡμῖν γάλα ἔτι ποτιζομένοις τῶν ἀρετῶν, πρὸς τοῦτο πειρᾶσθαι διαπετᾶν, μήπως πτερορρυήσωμεν, ὡς τὰ τῶν νεοττῶν ἀτέλεστα· εἰ καὶ τὸ τῆς γνώσεως μέλι τὸν πόθον παραβιάζεται. ὁπηνίκα δὲ σωφροσύνῃ καὶ δάκρυσι καθαιρόμενοι, γῆθεν ὡς Ἠλίας αἰρώμεθα ἢ Ἀββακούμ, τὴν ἐν νεφέλαις ἀπάρτι τότε προοιμιαζόμενοι ἁρπαγήν. καὶ καθαρᾷ προσευχῇ θεωρητικῇ τε, καὶ ἀρεμβάστῳ, ἔξω τῶν αἰσθήσεων εὑρισκόμενοι, ζητῶμεν Θεόν, τότε ἴσως καὶ τῆς θεολογίας ποσῶς προσαψόμεθα.

ζ'. Ἴσως ἐπιθυμῶν θέας ἀξιωθῆναι θείας, καὶ ἐμφανείας κατὰ διάνοιαν, εἰρηνικὸν καὶ ἡσύχιον πρότερον ἄσπασαι βίον· καὶ σχολάσας γνῶθι καὶ σαυτόν, καὶ Θεόν. εἰ γὰρ τοῦτο, οὐδὲν τὸ κωλῦον ὡς ἐν αὔρᾳ λεπτῇ τῇ καθαρᾷ καταστάσει καὶ ἀθορύβῳ παντὶ πάθει, τὸν πᾶσι ἀθέατον ὄψεσθαι κατὰ νοῦν, σωτηρίαν σοι διὰ τῆς ἑαυτοῦ ἐκτυπωτέρας γνώσεως εὐαγγελιζόμενον.

Ὥσπερ ἀστραπῆς προτρεχούσης, εὐθέως προσδοκᾶται καὶ ἡ βροντή, οὕτως ἔνθα θεῖος ἱλασμὸς ἐπέλαμψε, καὶ ἡ τῶν παθῶν ζάλη γαληνιᾷ. ὅπου δὲ τοῦτο, συμπαρεδρεύει τῷ κτησαμένῳ καὶ ὁ ἀρραβὼν τῆς ἐκεῖθεν μακαριότητος. οὐκ ἔστι δὲ θείου ἔλεος, ἢ ἀπαθείας ἐλπίς, ἐν ψυχῇ ἀγαπώσῃ τὸν κόσμον ὑπὲρ τὸν κτίσαντα, καὶ προσπαθῶς ἐχούσῃ πρὸς τὰ ὁρώμενα. καὶ ὁλικῶς ἀντεχομένῃ τῶν σαρκικῶν ἡδονῶν τε, καὶ ἀπολαύσεων. η'.

Τὸ θεῖον ὅ, τί ποτέ ἐστι, καὶ πῶς, μὴ ζήτει κατὰ νοῦν. ὑπερούσιον γάρ, καὶ τόπῳ μὴ ἀνεχόμενον, ὡς ὑπὲρ τὸ πᾶν. μόνον δὲ ἐμπερίγραπτον Θεὸν λόγον ἐνοπτρίζου, ὡς ἐφικτόν, ἀκτινοφωτοβολοῦντα τῇ θείᾳ φύσει, καὶ τόπῳ ὑπονοούμενον τὸν ἁπανταχοῦ, διὰ τὸ ἀπερίγραπτον τῆς θεότητος. πλὴν ὅσον ἂν καθαίρῃ, κατὰ τοσοῦτον καὶ τῆς ἐλλάμψεως καταξιωθήσῃ. θ'.

Ἀληθοῦς γνώσεως ἐρῶν, καὶ πληροφορίαν σωτηρίας ἀνενδοιάστου, πρότερον φιλοσόφησον διαρρῆξαι τοὺς ἐμπαθεῖς τῆς ψυχῆς πρὸς τὸ σῶμα δεσμούς, καὶ γυμνωθεὶς τῆς προσπαθείας τῶν ὑλικῶν, κάτελθε εἰς τὴν τῆς ταπεινώσεως ἄβυσσον, καὶ εὑρήσεις τὸν πολύτιμον μαργαρίτην τῆς σωτηρίας σου, ὡς ἐν ὀστράκῳ τῇ θείᾳ γνώσει ἐγκεκρυμμένον· καὶ τὴν λαμπρότητά σοι τῆς τοῦ Θεοῦ βασιλείας, προμνηστευόμενον. ι'.

Τῷ μὲν τὴν ἐντελῆ κατορθωκότι ὑποταγήν, καὶ ὑποτάξαντι τὴν σάρκα τῷ πνεύματι, οὐ χρεία ἀνθρωπίνης ὑποταγῆς. ὑποτάσσεται γὰρ οὗτος τῷ τοῦ Θεοῦ λόγῳ καὶ νόμῳ, ὡς εὐγνώμων ὑπήκοος· ἐν οἷς δὲ μάχη καὶ πόλεμος σώματος πρὸς ψυ- ια'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

χὴν, ἀναγκαῖον ὑποταγῆναι, καὶ κτήσασθαι στρατηγὸν καὶ κυβερνήτην, πηδαλιουχοῦντα ἐπιστημόνως καὶ ἄριστα καθοπλίζοντα, μήπως ὑπὸ τῶν νοητῶν πολεμίων ἀναλωθῶμεν, καὶ ὑπὸ τῶν παθῶν ὑπὸ ἀπειρίας καταποντισθῶμεν.

ιβʹ. Ὅταν ὑπό τινος πάθους οὐ διενοχλῇ, καὶ ὁ θεῖος πόθος αὔξῃ ἔνδον ἐν τῇ καρδίᾳ σου· καὶ ὁπηνίκα ὡς ὕπνον λογιζόμενος οὐ φοβῇ τὸν θάνατον, ἀλλὰ καὶ μᾶλλον ἐπιποθῇς τὴν ἀνάλυσιν, τότε καὶ τὸν ἀρραβῶνα ἐκτήσω τῆς σωτηρίας ὡς δεῖ· καὶ τὴν βασιλείαν τῶν οὐρανῶν περιφέρεις ἔνδοθεν, ἀνεκλαλήτῳ χαίρων χαρᾷ.

## Περὶ ἱερωσύνης.

ιγʹ. Ἱερωσύνης καταξιωθεὶς τῆς θείας καὶ σεβασμίου, σεαυτὸν πρότερον κεχρεώστηκας ἔχειν τεθυμένον τῇ θύσει τῶν παθῶν, καὶ τῶν ἡδονῶν, καὶ οὕτω κατατολμᾶν προσάπτεσθαι τῆς ζωηρᾶς, καὶ φρικώδους θυσίας, εἰ μὴ βούλει, ὡς ὕλη εὔπρηστος τῷ θείῳ κατακαῆναι πυρί. εἰ γὰρ τὸ Σεραφεὶμ λαβίδος χωρὶς οὐ τετόλμηκε τοῦ θείου προσάψασθαι ἄνθρακος, πῶς αὐτὸς ἐκτὸς ἀπαθείας ἅψῃ; δι' ἧς τήν τε γλῶσσαν ἕξεις ἡγιασμένην, καὶ τὰ χείλη κεκαθαρμένα, καὶ τὴν ψυχὴν ἁγίαν σὺν τῷ σώματι. καὶ αὐτὰς δὲ τὰς χεῖρας, χρυσίου λαμπροτέρας παντός, ὡς ὑπουργὰς τοῦ ὑπερουσίου πυρός, καὶ θύματος.

ιδʹ. Συνιεὶς τῶν λεγομένων ἅπαξ τὴν δύναμιν, ὅτι ἐκεῖνο καθεκάστην ἐποπτεύεις τοῦ Θεοῦ τὸ σωτήριον, ὅπερ ἅπαξ ἰδὼν Συμεὼν ὁ πρέσβυς, ἐξεθαμβήθη, καὶ τὴν ἀπόλυσιν ηὔχετο· καὶ εἰ μὴ ἐχρηματίσθης ὑπὸ τοῦ Ἁγίου Πνεύματος δεκτὸς εἶναι μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ὥσπερ ἰσάγγελος, μὴ κατατολμᾷς ῥιψοκινδύνως τῆς τῶν θείων φρικτῆς καὶ πανάγνου ἱεροτελεστίας, ἣν καὶ Ἄγγελοι σέβονται, καὶ πολλοὶ τῶν ἁγίων ὡς ἀκήρατον πανευλαβῶς ὑπεστάλησαν· μήπως, ὡς ὁ Ζαν ἐκεῖνος, δοκήσει τοῦ ἀγαθοῦ ἐξολοθρευθῇς.

ιεʹ. Πρόσεχε σεαυτῷ κατὰ τὸν εἰπόντα. ἵνα εἰ καίτι σοι πρώην ἢ ἐγγίνεται ἴσως ῥυπῶδες ἐξ ἀσθενείας τῷ θείῳ καταδαπανᾶται πυρί, ὑπὲρ τῶν ἰδίων πρότερον ἁμαρτιῶν διαπαντὸς προσκομίζῃς· οὕτω γὰρ ἂν ὡς ἐκλογῆς εὔχρηστον σκεῦος, καὶ καθαρὸν καὶ τιμίου θύματος ἄξιον, ἰσχύσειας εἰς ἀργυρίου φύσιν, ἢ καὶ χρυσίου μεταβαλεῖν, εἰ καίτινα ξύλινα καὶ ὀστράκινα ἦν, εἰ μόνον ἕξεις ἐκ παρρησίας τὸ θεῖον ἐπικαλούμενον. ὅπου γὰρ Θεὸς εἰς ὑπακοὴν ἕτοιμος, οὐδὲν ἐμπόδιον τῇ ἐκ τούτου εἰς τοῦτο μεταβολῇ.

ιϛʹ. Ἄθρει δὲ ὅσης κατηξιώθης ἰσαγγέλου τιμῆς, καὶ σπεῦδε διαμένειν ἀνέπαφος ἐν ᾧ ἐκλήθης βαθμῷ, δι' ἀρετῆς πάσης καὶ καθαρότητος. τὸν γὰρ πεσόντα ἑωσφόρον, οἶδας ἐκ ποίου οἷος κατέστη δι' ἔπαρσιν. ὅπερ μὴ πάθῃς αὐτός, μεγάλα σεαυτῷ φανταζόμενος, ἀλλ' ἔχων σεαυτὸν γῆν καὶ σποδόν, καὶ κάθαρμα, καὶ κύνα τινά. καὶ θρήνει διαπαντός, ὅτι ὅλως ἀξιοῦσαι εἰς κοινωνίαν θείαν, καὶ συγγένειαν προσκαλεῖσθαι, διὰ τῆς τῶν ἁγίων μεταχειρίσεως τῆς φρικτῆς ἱεροτελεστίας, φιλανθρωπίᾳ ἀπορρήτῳ Θεοῦ καὶ ἀφάτῳ χρηστότητι.

ιζʹ. Τὸν ἱερωμένον καὶ πάντων μὲν χρὴ καθαρεύειν τῶν παθῶν, ἐξαιρέτως δὲ πορνείας, καὶ μνησικακίας, μηδὲ ψιλὴν ἔχειν φαντασίαν, εἰ μὴ μέλλῃ καθάπερ λελωβημένος ἢ ἀσβόλῃ κεχρισμένος τὰς ὄψεις, σώματος ἁπτόμενος βασιλικοῦ, στυγητὸς εἶναι, καὶ βδελυκτός.

ιηʹ. Ῥείθροις δακρύων πρότερον ὑπὲρ χιόνα λευκαινόμενος, οὕτω δὴ καὶ λελευκασμένῃ συνειδήσει διὰ καθαρότητος, ἅπτου τῶν ἁγίων, ὡς ἅγιος. τῇ ἐκτὸς ἀγγελομόρφῳ λευχημοσύνῃ, τὴν ἔνδοθεν ὑπεμφαίνων τῆς ψυχῆς ὡραιότητα. ὅρα δὲ μὴ πληροφορεῖσθαι ἐν τῇ τῶν θείων τελεταρχίᾳ ταῖς ὑπ' ἀνθρώπων μόνον παραδόσεσιν, ἀλλ' ἔσω σοι καὶ ἡ χάρις κρυ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πτως ἅμα καὶ μυστικῶς, τὰ ὑψηλότερα συνετίζουσα.

ιθ'. Ἀφθαρσίας ἐρῶν καὶ ἀθανασίας, σεβασμίως, καὶ μετ' εὐλαβείας πίστει μέτελθε τὰ ζωοποιὰ, καὶ μὴ φθειρόμενα. ἱμειρόμενος καὶ τῆς ἐντεῦθεν ἐκδημίας, ὡς τετελειωμένος διὰ τῆς πίστεως. εἰ δὲ δεδίττῃ θάνατον, οὔπω ἀνεκράθης διὰ τῆς ἀγάπης Χριστῷ· ὃν κατηξιώθης αὐτόχειρ θύειν, καὶ ὅπερ ἐμφορῇ τῶν σαρκῶν. οὐ γὰρ ἂν, ἐπόθεις ἀπελθεῖν ὅπουπερ ὁ φιλούμενος, τῆς ζωῆς τε καὶ τῆς σαρκὸς μηδένα λοιπὸν λόγον ποιούμενος.

κ'. Σαρκὸς Θεοῦ, καὶ θύτης γεγενημένος, καὶ κοινωνὸς διὰ τῆς μεταλήψεως, σύμφυτος γενέσθαι καὶ τῷ τοῦ θανάτου αὐτοῦ ὁμοιώματι κεχρεώστηκας, μηκέτι ζῶν ἑαυτῷ, κατὰ τὸν Ἀπόστολον, ἀλλὰ τῷ ὑπὲρ σοῦ σταυρωθέντι, καὶ ἀποθανόντι. εἰ δὲ σαρκὶ, καὶ κόσμῳ ζῇς ἐμπαθῶς, διεξεπίζῃ διὰ θανάτου, πρὸς τιμωρίαν ἀθάνατον, εἰ μὴ σχῇς ἑκουσίως πρὸ τελευτῆς τῆς ἀναιμάκτου θυσίας. πλὴν ὅτι πολλοὶ κατὰ ταῦτα τῶν ἀναξίως ἱερουργούντων αἰφνιδίῳ ἀναρπασθέντες θανάτῳ, τοῖς ἐκεῖσε παρεπέμφθησαν δικαιωτηρίοις.

κα'. Ἱερεὺς γάρ τις ἐν ταὐτῷ ἅμα, καὶ Μοναχὸς εὐλαβείας δόξαν ἔχων, καὶ πολλοῖς τῆς ἔξωθεν ἐπιφανείας τίμιος νομιζόμενος, ἔνδοθεν δὲ κρυπτῶς λαγνεύων, καὶ μολυνόμενος, τὴν θείαν καὶ ἱερὰν ἐπιτελῶν λατρείαν, ἐπεὶ τῇ τοῦ χερουβικοῦ προσήγγισεν ὑμνῳδίᾳ, τὸν αὐχένα ὑποκλίνας, ὡς σύνηθες, ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ τὸ, οὐδεὶς ἄξιος ἐπαναγινώσκων, ἐξαίφνης εὑρέθη νεκρός. ἐπὶ τούτου σχήματος καταλιπούσης αὐτὸν τῆς ψυχῆς.

κβ'. Λόγου ὀρθοῦ, καὶ γνώσεως οὐδὲν προυργιαίτερον. ἐντεῦθεν γὰρ προσγίνεται, ὁ εἰς Θεὸν φόβος, καὶ πόθος. ὁ μὲν καθαίρων δι' εὐλαβείας καὶ συστολῆς· ὁ δὲ τελειοποιῶν διὰ φωτιστικῆς ἕξεώς τε καὶ διαχύσεως, καὶ τὸν νοῦν μετεωρότερον ἀπεργαζόμενος δι' ὑψηλῆς θεωρίας καὶ ἀναβάσεως. ἀμήχανον δὲ φόβου χωρὶς, πρὸς τὸν θεῖον ἔρωτα διαπορθμευθῆναι, καὶ δι' αὐτοῦ πετάσαι καὶ καταπαῦσαι πρὸς τὰ ἐλπιζόμενα.

Ἄγε δὴ ἐμοὶ πειθόμενος, ὁ τῆς σωτηρίας διακαῶς καὶ ἀνασχέτως, ἕως οὐ καταλάβῃς στέργε, ζήτει ἐμπόνως, αἴτει ἀπαύστως, καὶ κροῦε ὑπομονητικῶς, ἕως ἐπιτύχῃς, ὑπὸ βάθρων, πίστιν στερρὰν πηξάμενος, καὶ ταπείνωσιν. τότε δὲ κατέλαβες τὸ ποθούμενον, οὐχ ὅταν ἀφέσεως ἁμαρτιῶν μόνον τύχῃς, ἀλλ' ὅταν οὐκ ἔτι πτοῇ οὐδὲ δέδοικας πάθους τινὸς ἐπανάστασιν, ἀφόβως καὶ μετὰ παῤῥησίας τῆς σαρκὸς χωριζόμενος. κγ'.

Ζήτει πληροφορίαν λαβεῖν μετὰ πολλῶν δακρύων. πλὴν μὴ πρὸ τελευτῆς, εἰ ταπεινόφρων εἴης, μήπως εἰς τὸ ἑξῆς ὡς ἀμεριμνήσας, καταφρονήσῃς, ἀλλὰ τότε πλησίον οὔσης τῆς ἐξόδου, πλὴν ἀναστόχητον· ἵνα μὴ θαῤῥήσας ἔχειν χλιδαστικῶς διὰ οἰήσεως, ἀστοχήσῃς τοῦ ἐφετοῦ· τοῦ ἐλπιζομένου τότε καταλαβόντος καιροῦ. καὶ τῆς περιούσης ταλαίπωρε ἀῤῥαβῶνος χωρὶς, καὶ τῆς σωζούσης ἀναμφιβόλου πληροφορίας διδομένης διὰ τοῦ πνεύματος. κδ'.

Ἀπαθείας ἐρῶν τῆς θεοποιοῦ, δι' ὑπακοῆς πρῶτον, καὶ ταπεινώσεως εὗρε τὸ ποθούμενον· ἵνα μὴ δι' ἄλλης ὁδεύσας, κόπους σεαυτῷ προξενήσῃς. ἀπάθειαν δὲ κέκτηται, οὐχ ὁ ποτὲ μὲν ὑπὸ τῶν παθῶν παρενοχλούμενος, ποτὲ δὲ ἠρεμῶν καὶ ἀναπαυόμενος, ἀλλ' ὁ διηνεκῶς συμφυῶν τῇ ἀπαθείᾳ· καὶ τῶν αἰτιῶν παρόντων τῶν παθῶν, μένων ἀκίνητος. ἐξαιρέτως δὲ καὶ ὁ μὴ πάσχων πρὸς τὰ τούτων νοήματα. κε'.

Μαχόμενος καὶ ὀνειδίζων, μετὰ θράσους ἐπέρχεται ὁ ἐχθρὸς τῇ ψυχῇ, ἐξελθούσῃ τοῦ σώματος, κατήγορος γινόμε- κϛ'.

ιος πικρός τε καὶ φοβερὸς ἐπὶ τοῖς ἐπταισμένοις. ἀλλ' ἔστιν ἰδεῖν τότε τὴν φιλόθεον ψυχὴν, κἂν πολλαῖς τὸ πρὶν πολλάκις ἐτρώθη ἁμαρτίαις, οὐ καταπληττομένην τὰς ἐκείνου ὁρμὰς καὶ ἀπειλάς· ἀλλὰ μᾶλλον τεθαρρημένην ἐν Κυρίῳ, καὶ πτερουμένην ἐν χαρᾷ, θαρσοποιουμένην τε ταῖς ὁδηγούσαις ἁγίαις δυνάμεσι, καὶ περιτειχιζομένην τῷ φωτὶ τῆς πίστεως, καὶ ἀντικράζουσαν μετὰ πολλῆς παῤῥησίας τῷ πονηρῷ· τί σοὶ, καὶ ἡμῖν ἀλλότριε τῶν οὐρανῶν καὶ δοῦλε πονηρέ; οὐκ ἔχεις σὺ τὴν ἐξουσίαν καθ' ἡμῶν. Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ ἡμῶν τε, καὶ πάντων ἔχει τὴν ἐξουσίαν, αὐτῷ ἡμάρτομεν, αὐτῷ καὶ ἀπολογησόμεθα. ἐνέχυρον ἔχοντες τῆς ἡμῶν εὐσπλαγχνίας καὶ σωτηρίας, τὸν τίμιον σταυρόν· σὺ δὲ φεῦγε μακρὰν ἀφ' ἡμῶν ὀλέθριε, μηδὲν σοι, καὶ τοῖς δούλοις τοῦ Χριστοῦ. ταῦτα λεγούσης τῆς ψυχῆς μετὰ θάρσους, νῶτα λοιπὸν δίδωσιν ὁ διάβολος, βοαῖς ὀδυρόμενος, μὴ δυνηθεὶς ἀντιστῆναι τῷ τοῦ Χριστοῦ ὀνόματι. ὑπεράνω δὲ τυγχάνουσα ἡ ψυχὴ, καθίπταται τοῦ ἐχθροῦ, κολαφίζουσα αὐτὸν ὥσπερ ὁ λεγόμενος ὀξύπτερος τὸν κόρακα. καὶ μετὰ ταῦτα ὑπὸ τῶν θείων Ἀγγέλων διακομίζεται ἀγαλλιωμένη εἰς τοὺς ὡρισμένους τόπους αὐτῇ, καὶ τὴν αὐτῆς κατάστασιν.

κζ'. Ῥεόντων πόθος οὐ καθελκύσει σε πρὸς τὴν γῆν, τὰ ὡραῖα φανταζόμενον. εἰ δέ τις σε προσπάθεια τῶν γηΐνων πρὸς ἑαυτὴν δεσμεῖ, ἔοικας ἀετῷ κατεχομένῳ ἐν παγίδι ὑπὸ τοῦ ὄνυχος, καὶ κωλυομένῳ τὴν ὑψιπέτησιν. ἔχε οὖν πάντα, καὶ τὰ γῆς σκύβαλα, ἐλπίδι τῶν ἀμεινόνων. ἀλλὰ καὶ αὐτὸ τὸ σαρκίον, καιροῦ καλοῦντος, ἀποταξάμενος, ἀκολούθει ἐκπωτίσε τῷ Ἀγγέλῳ τοῦ Θεοῦ.

κη'. Ὥσπερ ἀμήχανον τὸ μὴ ἔχον νόμισμα χαρακτῆρα βασιλικὸν, εἰς θησαυροὺς βασιλικοὺς μετὰ τῶν συνήθων καταταγῆναι, οὕτως ἀδύνατον γνώσεως ὀρθῆς ἄτερ καὶ ἀπαθείας, δέξασθαι ἀῤῥαβῶνα τῆς ἐκεῖθεν μακαριότητος, καὶ μετὰ παῤῥησίας ἐξελθεῖν, καὶ πληροφορίας ἀπὸ τῶν ὧδε πρὸς τὰ ἐλπιζόμενα, καὶ συνταγῆναι μετὰ τῶν ἐκλεκτῶν. γνῶσιν δέ φημι οὐ σοφίαν, ἀλλὰ τὴν ἀπλανῆ Θεοῦ, καὶ τῶν θείων εἴδησιν, δι' ὧν ὁ φιλόθεος ὑψοῦται μὴ καθελκόμενος ὑπὸ τῶν παθῶν, πρὸς ἐνθέωσιν, τῇ τοῦ Πνεύματος χάριτι.

Κἂν πᾶσαν τὴν πρακτικὴν μετέλ- κθ'.
θῃς, μὴ δ' οὔπω θαῤῥήσῃς ἑαυτῷ, ὅτι πέφθακας εἰς ἀπάθειαν, καὶ ἀμερίμνως ἐμφιλοχωρῇς τῷ κόσμῳ· μήπως τύπους παθῶν ἐντεῦθεν ἀναμαξάμενος, διχόνοιαν εἰρήνης ἀναχωρῶν. ἀλλ' ἀεὶ τῷ φόβῳ παιδαγωγούμενος, τῆς ξενικῆς ἐπιμελοῦ καὶ ἀλλοιουμένης σου φύσεως. μάκρυνον ἐν σοφίᾳ τῶν αἰτιῶν τῶν παθῶν. ἡ γὰρ εἰς ἄκρον ἀναλλοίωτος ἀπάθεια, ἐν τοῖς φθάσασιν ἐστὶ τὴν τελείαν ἀγάπην. καὶ διὰ θεωρίας διηνεκοῦς, ὑπεραρθεῖσι τῶν αἰσθητῶν, καὶ τῷ σῶμα ὑπεραναβᾶσι τῆς ταπεινώσεως. ὧν οὐχ ἅπτεται φλὸξ παθῶν ἔτι, διακοπεῖσα τῇ φωνῇ τοῦ Κυρίου, διὰ τὸ μεταστοιχειωθῆναι τούτους ἤδη πρὸς ἀφθαρσίαν.

Ἀπαθείας ἔρα μὴ πρὸ καιροῦ, ἵνα λ'.
μὴ πάθῃς ὅπερ ἔπαθεν ὁ πρωτόπλαστος, ἄωρα μεταλαβὼν τοῦ ξύλου τῆς γνώσεως. ἀλλ' ἐργαζόμενος ἐν ὑπομονῇ διὰ περιεκτικῆς ἐγκρατείας, καὶ ἐκτενοῦς δεήσεως· καὶ φυλάττων δι' αὐτομεμψίας καὶ ταπεινοφροσύνης ἄκρας τὰ εἰργασμένα, ἐκδέχου μετὰ ταῦτα ἐν καιρῷ εὐθέτῳ τὴν χάριν τῆς ἀπαθείας, μετὰ τὴν πολλὴν ζάλην καὶ ταραχὴν, τὸν λιμένα τῆς ἀναπαύσεως. οὐ γὰρ ἄδικος ὁ Θεὸς τοῖς ὀρθῶς βαδίζουσι τὴν τῆς ἀπαθείας ἀποκλεῖσαι πύλην ὁπότε δεῖ.

Ἴθι πρὸς τὸν μύρμηκα τῇ ἀτελείᾳ λα'.
καὶ ἀσθενείᾳ· ὦ ὀκνηρὲ, πρὸς τοῦτο σὺ, καὶ ἀπείρασε, καὶ μαθήσῃ ἐξ ἐμοῦ, ὅτι τῶν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀγαθῶν ἡμῶν, οὐ χρείαν ἔχει ὁ Θεὸς ὁ ἀνενδεὴς καὶ ὑπερπλήρης, ἀλλὰ πλουσιοδώρως εὐεργετεῖ, καὶ σώζει κατὰ χάριν τοὺς προαιρετικοὺς εὐγνώμονας, εἰ καὶ τὴν κατὰ δύναμιν φιλανθρώπως ἀποδέχεται ἐργασίαν. εἰ μὲν οὖν ὡς ὀφειλέτης κάμῃς, τῶν προϋπαρξάντων ἀγαθῶν πρὸς αὐτοῦ, εὖ ποιεῖς, καὶ πλουτεῖς τὸ θεῖον ἔλεος. εἰ δὲ χρεωστεῖν νομίζεις ἔχειν Θεὸν, δι᾽ ὧν δοκεῖς ἐργάζεσθαι ἀγαθῶν, τῆς εὐθείας ἀπεπλανήθης, πῶς γὰρ χρεώστης ὁ εὐεργέτης; πλὴν καὶ οὕτως ζήτει ὡς μισθωτὸς. καὶ κατὰ μικρὸν προκόπτων, καταλάβῃς, ἐλέει Θεοῦ, τὸ ζητούμενον.

λβʹ. Βούλεσθαι καὶ ἑτέρας σωτηρίας, μᾶλλον δὲ ἀπαθείας, ὑποδείξω ὁδόν; παραβιάζε τὸν κτίστην ἐν ταῖς δεήσεσιν, ὅση δύναμις, μὴ ἀσχολῆσαι τοῦ προκειμένου, μεσίτας πρὸς αὐτὸν διαπαντὸς προβαλλόμενος τὰς ἐπουρανίους πάσας δυνάμεις· καὶ πάντας ὁμοῦ τοὺς ἁγίους, μετὰ τῆς παναγίου καὶ Θεομήτορος. καὶ ἀπάθειαν μὲν μὴ ζήτει, ὡς ἀνάξιος ταύτης τῆς δωρεᾶς· αἴτει δὲ σωτηρίαν ἐμπόνως καὶ λήψῃ σὺν ταύτῃ καὶ τὴν ἀπάθειαν. ἡ μὲν γὰρ ἀργυρίῳ· ἡ δὲ χρυσίῳ ἔοικε καθαρῷ. ἔχε δὲ καὶ κρυπτὴν ὡς μάλιστα ἐργασίαν Θεοῦ θεραπεύτειαν, καί τινων ἀποκρύφων πρὸς αὐτὸν μυστηρίων λόγους θεοποιοῦντάς σε· ἐν οἷς ἥδεται ὁμοῦ τὸ θεῖον καὶ ἐπικάμπτεται.

λγʹ. Ἀγώνισαι τὸν ἀρραβῶνα τῆς σωτηρίας λαβεῖν κρυπτῶς ἔνδον ἐν τῇ καρδίᾳ σου, πληροφορίᾳ ἀνενδοιάστῳ, ἵνα μὴ θρόησιν εὕρῃς, καὶ πτόησιν ἀπροσδόκητον ἐν καιρῷ ἐξόδου. τότε δὲ ἔλαβες, εἰ μηκέτι ἔχεις καρδίαν καταγινώσκουσαν ἐν ἐλλείμμασι, καὶ τὴν συνείδησιν τύπτουσαν ἐν παροργισμοῖς· εἰ τῶν θηρίων παθῶν ἡ ἀγριότης ἐτιθασσεύθησαν, θείᾳ χάριτι· εἰ τὸ δάκρυον τῆς παρακλήσεως βρύει, καὶ ὁ νοῦς καθαρῶς καὶ ἀμετεωρίστως προσεύχεται. καὶ ὁπηνίκα προσιμιῶς ἐν ἑτοιμασίᾳ καρδίας ἐκδέχῃ τὸν φευκτὸν τοῖς πολλοῖς ὁμοῦ, καὶ φοβερὸν θάνατον.

Ῥήματα ζωῆς αἰωνίου, ἅπερ ἔχειν ὁ Θεὸς λόγος ὑπὸ τοῦ τῶν Ἀποστόλων κορυφαίου ἐμαρτυρήθη, οἱ λόγοι εἰσὶν τῶν λδʹ.
ὑπ᾽ αὐτοῦ γεγονότων, οὓς ὁ μυσταγωγούμενος πρὸς αὐτὸν ὡς ἀβίβηλος, ἤδη ἀπεντεῦθεν ἐκτήσατο καὶ τὴν ζωὴν τὴν αἰώνιον, καὶ τὸν ἀρραβῶνα τοῦ Πνεύματος, καὶ τὴν ἀκαταίσχυντον ἐλπίδα τῆς σωτηρίας. οὐ καταξιοῦται δὲ τούτων, ὁ προτιμῶν τῆς ψυχῆς τὴν σάρκα, καὶ προσπάθειαν ἔχων, καὶ σχέσιν πρὸς τὰ ἐπίγεια.

Λογικὸς, οὐχ ὁ προφορικὸν ἔχων λό- λεʹ.
γον ἐστὶ, τοῦτο γὰρ πᾶς ἄνθρωπος, ἀλλ᾽ ὁ διὰ τοῦ λογικοῦ ζητῶν τε, καὶ ἀνιχνεύων εὑρεῖν τὸν Θεόν. εὑρήσει δὲ, οὐ, τί ποτε τὴν οὐσίαν ὁ ὑπερούσιος, οὐδαμῶς. πάσῃ γὰρ φύσει τοῦτο ἀμήχανον, ἀλλὰ διὰ τῆς τῶν ὄντων δημιουργικῆς σοφίας, καὶ προνοίας, καὶ διοικήσεως, συνοχῆς τε, καὶ κυβερνήσεως ἅμα, καὶ συντηρήσεως. ἐν οἷς εὑρίσκεται καὶ οἱονεὶ καθορᾶται ὁ ἀριστοτέχνης, καθ᾽ ὅσον τρόπον καὶ οἰκοδόμος, διὰ τοῦ ἔργου τῶν ἰδίων χειρῶν.

Ἀκτημοσύνην ὡς δεῖ, ἀπαθείας πα- λϛʹ.
ρεξ οὐ κατορθώσεις. οὐδὲ ἀπάθειαν, ἀγάπης χωρίς. οὐδὲ ταύτην ἐκτὸς φόβου, καὶ καθαρᾶς προσευχῆς· οὐδὲ ταῦτα, πίστεως ἄτερ καὶ ἀμεριμνίας. δι᾽ ὧν πτερούμενος ὁ νοῦς, τὸ μὲν χαμαίζηλον, ῥίπτει φρόνημα, πέταται δὲ εἰς τὰ ὑψηλὰ, καὶ μετέωρα, τὸν ἴδιον δεσπότην ἐπιζητῶν.

λζʹ. Ἄσπασαι τὴν ἁγνείαν, ὡς κόρην ὀφθαλμοῦ, ἵνα γένῃ ναὸς Θεοῦ καὶ οἶκος ἐπέραστος. ἀδύνατον γὰρ σωφροσύνης χωρὶς, προσοικειωθῆναι Θεῷ. Τίκτει δὲ ταῦτα, πόθος θεῖος, καὶ ἀπροσπάθεια, καὶ κόσμου φυγή. συντηρεῖ δὲ ταπεινοφροσύνη ὁμοῦ, καὶ ἐγκράτεια, προσευχὴ διη-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τικῆς, καὶ θεωρία πνευματική, καὶ σὺν ἀοργησίᾳ, ἐκτενὲς δάκρυον. τοῦ δὲ κάλλους τῆς διακρίσεως ἀπαθείας πάρεξ, οὐκ ἐπιτεύξῃ.

λή. Μηδείς σε ἀπατήσῃ ἀδελφέ, ὅτι, πλὴν ἁγιασμοῦ, κατὰ τὸν Ἀπόστολον, καθορᾶται Θεός. οὐ γὰρ καταδέχεται Κύριος ὁ ὑπεράγιος, καὶ πάσης καθαρότητος ὑπερκείμενος, ἀκαθάρτῳ ἐμφανισθῆναι. ὡς γὰρ ἀνάξιος αὐτοῦ ὁ πατέρα, καὶ μητέρα ὑπὲρ τοῦτον φιλῶν, ἢ αὖθις θυγατέρα, καὶ υἱόν, ἔτι καὶ ὅ, τί ποτε τῶν προσκαίρων καὶ ὑλικῶν. καὶ πολλῷ πλέον, ὁ τὴν βδελυρὰν, καὶ δυσώδη προτιμῶν ἁμαρτίαν, τῆς ἀγάπης Κυρίου· ἀποσείεται γὰρ μὴ ἀποστρεφόμενον τὴν ῥυπαρίαν Θεός. ὅτι μηδ' ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ.

λθ΄. Θείας ἀγάπης, γνώσεως χωρὶς, οὐ καταξιωθήσῃ· ἄνευ δὲ ταύτης, πλὴν πίστεως. πίστιν δέ φημι, οὐ τὴν ψιλὴν ἁπλῶς, ἀλλὰ τὴν ἐκ πράξεως προγινομένην τῶν ἀρετῶν. τῆς δ' ἀληθοῦς κατανύξεως τότ' ἐπιτεύξῃ, ὅταν διὰ ἐγκρατείας, καὶ ἀγρυπνίας, προσευχῆς τε, καὶ ταπεινώσεως, τὴν ἔμφυτον τῆς σαρκὸς ἀπομαράνῃς ἡδονὴν, συσταυρωθῇς τῷ Ἰησοῦ· μηκέτι ζῶν ἐμπαθῶς, ἀλλὰ τῷ θείῳ Πνεύματι καὶ ζῶν, καὶ στοιχῶν ἐλπίδι τῆς ἄνω λήξεως.

μ΄. Ἐν τούτῳ ἔγνων, ὅτι τεθέληκάς με, βοᾷ πρὸς τὸν Θεὸν, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ, μέχρι τέλους τυραννῶν διὰ τῶν παθῶν καὶ ὑπωπιάζων με. ἀλλ' ἵνα προτελευτῆς τῆς αὐτοῦ χειρὸς ἀφαρπάσῃς με, καὶ ζῶ πνευματικῶς, κατὰ τὸ σοὶ εὐάρεστον, καταξιώσας διὰ χρηστοῦ τέλους, σεσωσμένον τῷ σῷ παραστήσεσθαι βήματι· ἔνθεν τὸν ἀρραβῶνα τῆς σωτηρίας, τῷ σῷ ἐλέει, καὶ τὴν ἀνενδοίαστον κομιζόμενον πληροφορίαν. ὥσπερ μὴ τεταραγμένος, ἐν καιρῷ ἐξόδου, καὶ ἀνέτοιμος εὑρισκόμενος, ἀφόρητον ἡγοῦμαι τὴν θλῖψιν καὶ τοῦ θανάτου καὶ τῆς κολάσεως, πικροτέραν καὶ χείρονα.

Οὐκ ἔστιν ἁπλῶς ψιλὸν πρᾶγμα καὶ τὸ τυχὸν, ἡ πίστις καὶ ἡ ἐλπίς. ἀλλ' ἡ μὲν πίστις, στεῤῥᾶς δεῖται ψυχῆς· ἡ δὲ ἐλπὶς, γνώμης καὶ καρδίας εὐθείας. πῶς γάρ τις πιστεύσει τοῖς οὐχ ὁρωμένοις εὐκόλως, χωρὶς τῆς χάριτος; πῶς δὲ ἐλπίσει περὶ τῶν μελλόντων ἀδήλων, εἰ μὴ σχοίη τινὰ ἐξ εὐθύτητος πεῖραν τῶν χαρισμάτων Κυρίου; δι' ὧν κἀκείνων λάβῃ πληροφορίαν, ὡς ἐνεστώτων. οὐκ οὖν ἐν ἀμφοτέροις, καὶ ἀρετῆς χρεία, καὶ τῆς τοῦ Θεοῦ ῥοπῆς τε, καὶ βοηθείας· ὧν μὴ παρόντων ἡμῖν, εἰκῆ κοπιῶμεν. μά.

Γέννημα ἀληθινῆς ἀρετῆς, ἡ γνῶσις, ἢ ἀπάθεια, ἢ καὶ ἄμφω ταῦτα· εἰ δ' οὖν, ἀλλὰ μεματαίωται ἡμῖν, καὶ ἡ δοκοῦσα ἀρετὴ οὐκ ἀληθής ἐστιν· ἢ γὰρ ἂν, ἐκόμα, καὶ καρποῖς, οὐ φύλλοις μόνον. τινὶ δὲ, ἢ ἀρέσκειαν ἀνθρώπων, ἢ αὐταρέσκειαν ἐπισυρόμενος, ἢ ἄλλο τι τῶν μὴ ἀρεσκόντων Θεῷ, νόθος, καὶ οὐ θεοφιλής ἐστιν. ἀλλ' ἡμεῖς τὸ αἴτιον ἐπιδιορθωσάμενοι, τρεξόμεθα πρὸς τὸ λυσιτελὲς ἀναμφιβόλως, καὶ τῆς κομιζήσαις ὁπότε δεῖ καὶ καθ' ὅσον. καὶ γνῶσίν τε καὶ ἀπάθειαν, τοῦ ἀγαθοῦ Θεοῦ ἡμῶν χάριτος. μβ΄.

Νίκα τὰ τοῦ ἐχθροῦ νοήματα διὰ φωτισμοῦ τῆς χάριτος, καὶ ῥίπτων ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ μετὰ κλαυθμοῦ, ἐξάγγελε τὴν ἀσθένειάν σου. μηδὲν ἡγοῦ ἑαυτὸν, εἰ καὶ δοκεῖν εἶναι τινὰ παραπείθει ὁ ἀπατεών. μήτε μὴν ἀξίου περὶ βραβεύσεως χαρισμάτων, εἰ μὴ σωτηρίας εἶεν πρόξενα, καὶ ταπεινοφροσύνης φυλακτικά. ζήτει δὲ τὴν μὴ φυσιοῦσαν γνῶσιν ὡς θεογνωσίας αἰτίαν· καὶ τὸ μὴ καταδυναστεύεσθαι μέχρι τέλους τυραννικῶς τοῖς πάθεσιν. ἀλλ' ἀπολυθῆναι τῆς σαρκὸς ἐν ἀπαθείᾳ· ἢ συμπαθείᾳ σφαλμάτων, τὸ ταπεινότερον. μγ΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μδʹ. Ὥσπερ οὐκ ἔστιν ἀκοντίσαι εἰς τὰ ὑψηλὰ καὶ μετέωρα ἄνευ πτερῶν, οὕτως οὐδὲ τυχεῖν τῶν ἐλπιζομένων, ἐκτὸς τῆς ἐντεῦθεν ἀνενδοιάστου πληροφορίας. ἡ δὲ πληροφορία, ἐκ ταπεινοφροσύνης ἄκρας, ἢ ἐκ τῆς τοῦ Ἁγίου Πνεύματος χάριτος ἐν τοῖς τελείως καταλλαττομένοις Θεῷ. ἐν οἷς καὶ ἀνάγκη πάντως, ἢ ἐκ μέρους, ἢ τελεώτερον κατὰ τὴν καταλλαγὴν καὶ τὴν κάθαρσιν· οἱ δ' ἄλλως τοῦ σώματος χωριζόμενοι, ὡς ἐν χειμῶνι παθῶν ἔτι, ἢ σαββάτῳ, (ἀργοὶ δηλονότι τῶν ἀρετῶν) ὑπὸ κρίσιν εἰσί, καὶ ἐξέτασιν, ὡς ὑπεύθυνοι ἐν τῷ καιρῷ τῆς ἀνταποδόσεως.

μεʹ. Σωζόμενος δωρεάν, εὐχαρίστει τῷ Σωτῆρι Θεῷ. εἰ δὲ βούλει καὶ δῶρα προσενεγκεῖν, πρόσφερε ἀπὸ τῆς χηρευούσης ψυχῆς σου τὰ δύο λεπτὰ εὐγνωμόνως, ταπείνωσιν φημί, καὶ ἀγάπην· καὶ προσδέξεται ταύτας, εὖ οἶδα, ὑπὲρ ἀρετῶν πληθυσμὸν καταβαλλομένων παρὰ πολλῶν, εἰς τὸ τῆς σωτηρίας γαζοφυλάκιον. εἰ δὲ καὶ ὡς ὁ Λάζαρος δέῃ ἀναζωώσεως, τεθνηξας ὑπὸ τῶν παθῶν, αὐτὰς ταύτας ὡς ἀδελφὰς γνησίας προβαλοῦ μεσιτίδας πρὸς αὐτόν, καὶ τεύξῃ πάντως τοῦ ζητουμένου.

μϛʹ. Τὴν πρακτικὴν κατορθῶν, οὐ δυνήσῃ δι' αὐτῆς καὶ μόνης προσπελάσαι τῇ ἀπαθείᾳ, ὥστε καθαρῶς ἅμα, καὶ ἀρρεμβάστως προσεύχεσθαι· εἰ μὴ καὶ πνευματικαὶ τὸν νοῦν διαδέχονται θεωρίαι, τῆς τε φωτιστικῆς γνώσεως, καὶ τῆς τῶν ὄντων κατανοήσεως· ὑφ' ὧν πτερούμενός τε, καὶ ἐλλαμπόμενος, ὑψοῦται τῷ τῆς ἀληθοῦς προσευχῆς ἠλικῶς ἔρωτι, ἀνατατικῶς πρὸς τὰ συγγενῆ φῶτα τῶν ἄνω ἀΰλων τάξεων, κἀκεῖθεν, ὡς ἐφικτόν, πρὸς τὸ μέγα φέρεται φῶς, καὶ ὑπερήλιον τῆς θεαρχικῆς Τριάδος.

μζʹ. Οὐ κολασθησόμεθα ἐν τῷ μέλλοντι, ὅτι ἡμάρτομεν, οὐδὲ κατακριθησόμεθα τούτου χάριν, τρεπτῆς, καὶ ἀλλοιωτῆς λαχόντες φύσεως, ἀλλ' ὅτι ἁμαρτήσαντες, οὐ μετενοήσαμεν· οὐδὲ ἐστράφημεν τῆς πονηρᾶς ὁδοῦ πρὸς τὸν Κύριον· ἐξουσίαν λαβόντες καὶ καιρὸν μετανοίας, ἵνα καὶ μᾶλλον τὸ ἀγαθόν, ὅπερ ἐστὶ τὸ θεῖον, ἀλλὰ μὴ τοὐναντίον, ὡς ἐμπαθές, ἀποδείξωμεν, ἀμυνόμενον εἶναι, καὶ ὀργιζόμενον. πλὴν τὴν κακίαν, ἀλλ' οὐχ ἡμᾶς, αὐτὸ γὰρ παντὸς πάθους καὶ πάσης ἀμύνης ἐκτός· εἰ καὶ λέγεται συσχηματίζεσθαι τοῖς ἔργοις ἡμῶν, καὶ ταῖς διαθέσεσιν, ἐσόπτρου δίκην, ἑκάστῳ κατὰ τὴν τῶν βεβιωμένων ἀξίαν δόσιν ἀντιπαρέχον.

Σαλευόμενος τῆς κρείττονος στάσεως, μὴ θροοῦ, ἀλλὰ διορθοῦ. θᾶττον ἐπανατρέχων εἰς τὴν προτέραν κατάστασιν. λύπῃ καὶ σκυθρωπότητι, καὶ αὐτομεμψίᾳ σφοδρᾷ· ἀλλὰ γὰρ καὶ δακρύων ἱκανῇ ἐκχύσει, ἐν συντριβῇ πνεύματος· δι' ὧν ἀξιῶν τοῦ συμβατικοῦ πτώματος, εἰς τὴν κοιλάδα ἥξεις τῆς σωτηρίου ἀγαλλιάσεως, εἰς τὸ ἑξῆς ἀσφαλιζόμενος ὅση δύναμις· ἵνα μὴ πάλιν τὸν κριτὴν παροργίσας, δέῃ δακρύων καὶ θλίψεως εἰς ἐξίλασμα. εἰ δὲ μὴ ὧδε τοῦτο, ἀλλὰ πάντως κολάσεως ἐν τῷ μέλλοντι. μηʹ.

### Περὶ Ἱερωσύνης.

Πάλιν περὶ τῆς σεβασμίου ἱερωσύνης ἡμῖν ὁ λόγος, ὡς ἀγγελικῆς δεῖται τάξεως καὶ καθάρσεως, καὶ πλείονος τῆς μετὰ ταῦτα ἀσφαλείας, καὶ σωφροσύνης, ἢ τὸ πρόσθεν. εἴπερ τὸ μιαρὸν ποτῶς καθαρὸν γενέσθαι, τὸ καθαρὸν δέ, πῶς ἄρα καὶ βεβηλωθήσεται· εἰ μὴ μέλλοιμεν φωτὶ σκότος μιγνῦντες, καὶ μύρῳ τὴν δυσωδίαν, τὸ οὐαὶ κληροῦσθαι, καὶ τὴν ἀπώλειαν. ὡς ἱερόσυλοι πάντες κατὰ τὸν Ἀνανίαν τε καὶ τὴν Σάπφειραν. μθʹ.

Ἀπὸ σκεύους ἀπολωλότος ὄντος, καὶ ἀχρήστου, εἰ καὶ δοκεῖς ἀξίως ἐπιβῆναι ἴσως ἱερωσύνης τῆς ἰσαγγέλου καὶ οὐρανίου, νʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀλλὰ μικρὰν κάθαρσιν, σκεῦος ἐκλογῆς καὶ τῷ Κυρίῳ εὔχρηστον κατὰ Παῦλον γενόμενος, τήρει τὴν τιμὴν ἄχραντον ἧς ἠξίωσαι. φυλάσσων τὸ θεῖον δῶρον, ὡς κόρην ὀφθαλμοῦ, ἵνα μὴ κοπωθεὶς ἀπρόσεκτος, ἀπορριφῇς ἐξ ὄψεως παντὸς εἰς βύθιον, δυσχερῶς ἕξεις τὴν ἐπάνοδον.

ρα'. Νόει ὡς ἐχέφρων, ὅτι Θεοῦ δικαιοῦντος, ὁ κατακρίνων οὐδείς. καὶ εἰ κληθεὶς εἰσῆλθες εἰς τὴν ὑπερκόσμιον τῆς θείας ἱερωσύνης χάριν, μηδέν σοι μελέτω περὶ τοῦ προλαβόντος βίου, εἴ πού τι ἴσως καὶ κεκηλίδωται. διὰ Θεοῦ δὲ αὖθις, καὶ σοῦ κεκάθαρται διορθώσεως· ἀλλ' ἔστω σοι σπουδή, καὶ τῆς ψυχῆς μετέπειτα, μὴ ἀμαυρῶσαι τὴν χάριν. ἵνα εἰ καί τις ἀφρόνως ἐπὶ τῇ σῇ διακρίνηται ἱεροτελεστίᾳ, διὰ τὰ προλαβόντα, ἐνωτισθῇ θείας ἐνηχήσεως φωνῆς· ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

ρβ'. Ἐλαφρὸν τὸ τῆς ἱερωσύνης ἀξίωμα, καὶ ὁ ζυγὸς χρηστός· ἀλλ' ἕως οὗ τήρηται ἅμα ὡς θέμις καὶ κατορθοῦνται· καὶ εἰ μὴ ὤνιον ἡ τοῦ Θείου Πνεύματος χάρις. ἐπὰν δὲ σπουδῇ ἀνθρωπίνῃ, καὶ δώρῳ φθαρτῷ πραγματευθείη τὸ ἄπρατον, καὶ ἡ κλῆσις, οὐκ ἄνωθεν, βαρὺ μὲν τὸ φορτίον ἄγαν, ὡς βασταζόμενον παρ' ἀξίαν, καὶ ὑπὲρ δύναμιν. ὁ δὲ ζυγὸς σκληρὸς λίαν ἐκτρίβων καὶ τὸν αὐχένα, καὶ τὴν ἰσχὺν τοῦ ἕλκοντος, εἰ μὴ αἰσθοίη, ἕως ἂν τοῦτον ἐκδαπανήσῃ καὶ ἀναλώσῃ τέλεον.

ργ'. Ὑπελθὼν τὸν τῆς ἱερωσύνης ζυγὸν τολμηρῶς, κατεύθυνε τὰς ὁδούς σου, καὶ ὀρθοτόμει τὸν τῆς ἀληθείας λόγον, μετὰ φόβου καὶ τρόμου, δι' αὐτῆς τὴν σὴν κατεργαζόμενος σωτηρίαν· ὅτι ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον. καὶ εἰ μὲν ἄπτῃ τινὸς ὡς χρυσὸς ἢ καὶ ἄργυρος, μὴ φοβοῦ τὸν ἐμπρησμόν, ὡς οὐδ' οἱ ἐν Βαβυλῶνι παῖδες τὸ πῦρ. εἰ δὲ χόρτινος εἶ, καὶ καλαμώδης τῆς εὐπρηστοτέρας ὕλης ὡς γεν-νόφρων, δεῖμε μὴ κατακαῇς τοῦ οὐρανίου πυρί, εἰ μὴ φύγῃς ὡς Λὼτ τὴν ὀργὴν διὰ τῆς ἀποχῆς τῶν φρικωδεστάτων. οὐκ οἶδα, εἰ μή τινα εἶεν ἐξ ἀσθενείας βραχύτατα τῶν ἐλαττωμάτων τῷ θείῳ τούτῳ πυρὶ δαπανώμενα ἐν τῇ μεγίστῃ λατρείᾳ. κἀντεῦθεν μένῃς αὐτὸς ἄφλεκτος ἐν τῷ πυρὶ καὶ ἀλώβητος, ὡς τὸ ἀσθενὲς ἐκεῖνο τῆς βάτου φυτόν.

Τῆς παθητικῆς ἕξεως ὡς γονοῤῥυὴς μὴ θέλων ἀποσπασθῆναι διὰ τὴν χρονίαν συνήθειαν, πῶς κατατολμᾷς τῶν, καὶ ἀγγέλοις ἀψαύστων, ταλαίπωρε. ἢ οὖν φεῦγε, καὶ ἀπόσχου λοιπὸν τῆς θείας ἱεροτελεστίας, καὶ ὅπως ἐξιλεώσῃ τὸ θεῖον, ἢ ἐκδέχου ὡς ἀναίσθητος ἅμα καὶ ἀδιόρθωτος, εἰς χεῖρας Θεοῦ ζῶντος μετ' ὀργῆς ἐκπεσεῖν. οὐ φειδομένου φιλανθρώπως, ἀλλ' ἀσυμπαθῶς σε κολάζοντος· διὰ τὸ κατατολμᾷν ἀναιδῶς τοῦ βασιλικοῦ γάμου κεχραμμένῃ καὶ ψυχῇ καὶ στολῇ, ὡς ἀνάξιον καὶ αὐτῆς εἰσόδου, μήτιγε κατακλίσεως. ρδ'.

Ἔγνων ἔγωγε τῶν ἱερωμένων τινά, ὃς τῶν θείων κατατολμῶν ἀναξίως, διὰ τὸ πάθει πορνείας περιπεσεῖν, πίπτει μὲν πρότερον νόσῳ ἀνιάτῳ, καὶ χαλεπῇ καὶ ἤδη τῷ θανάτῳ προσήγγιζεν. ἐπεὶ δὲ πάντα ποιῶν εἰς τὴν τοῦ κακοῦ λύσιν ἤνυε πλέον οὐδέν· μᾶλλον δ' αὐτῷ καὶ τὸ κακὸν ἐπετείνετο, εἰς συναίσθησίν που ἐλθών, καὶ ὅτι θανατοῦται τῷ παρ' ἀξίαν ἱερουργεῖν, ἀπαλλάσσεται μὲν παραυτίκα καθ' ὅρκον τῆς ἱερᾶς λειτουργίας. κατὰ πόδας δ' εὐθέως καὶ ἡ θεραπεία ἐπηκολούθει· ὡς μηδ' ἴχνος τούτῳ ἐν ὑπομεῖναι νοσήματος. ρε'.

Λαμπρὸν τὸ τῆς ἱερωσύνης ἀξίωμά τε καὶ ἔνδυμα. ἀλλ' ἕως οὗ ἔχει συναπολάμποντα ἔνδον καὶ τὴν ψυχὴν διὰ καθαρότητος. ἐπὰν δὲ μαυρωθῇ ὑπὸ ἀπροσεξίας, καὶ ἡ συνείδησις μαρτυροῦσα περὶ τῆς ψυχῆς καταφρονῆται, γίνεται σκότος τὸ φῶς, καὶ αἰωνίου σκότους καὶ πυρὸς πρόξενον. εἰ μὲν- ρς'.

πῶς ἄρα ταύτην ἀφέντες τὴν ὁδὸν ὡς ἀμφίκρημνον, ἑτέραν τραπώμεθα τὴν διʼ ἀρετῆς καὶ ταπεινώσεως, ἀκινδύνως εἰς βασιλείαν Θεοῦ ἄγουσαν.

νζ'. Ἡ τῆς σωτηρίας ἐπιτυχία, διʼ εὐτελείας καὶ ἀρετῆς προσγίνεται, οὐ διὰ τῆς ἐνδόξου ἱερωσύνης, καὶ ἰσάγγελον ἀπαιτουμένης πολίτευμα. ἢ οὖν γενοῦ κατʼ ἀγγέλους ἀπαθής, ὡς ἔξω κόσμου καὶ σαρκὸς τῷ φρονήματι· καὶ οὕτως ἐπὶ τὴν οὐράνιον ταύτην βαῖνε κλίμακα, ἢ ἐπιγνώμων τῆς ἰδίας ἀσθενείας γενόμενος, φοβοῦ τὸ ὕψος ὡς μεγάλου πτώματος τοῖς μὴ κατορθοῦσι· καὶ τὴν τοῖς πολλοῖς στεργομένην ἑλοῦ πολιτείαν, οὐκ ἔλαττον ἐκείνης Θεῷ οἰκειοῦσαν· ἐν ᾗ κἂν καὶ συμβῇ σε πεσεῖν, ῥᾳδία πάλιν ἡ ἔγερσις τῇ μεταμελείᾳ, τῷ τοῦ Θεοῦ ἐλέει ἅμα, καὶ χάριτι.

νη'. Σάρξ, καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομεῖ, καὶ πῶς σὺ σαρκὸς Θεοῦ μετέχων καὶ αἵματος, οὐ γίνῃ σύσσωμος, καὶ συνανακιρνᾷ τούτου τῷ αἵματι; ἤδη ἔχων ἐντὸς τὴν τῶν οὐρανῶν βασιλείαν; ἀλλʼ ὑπὸ παθῶν πολιορκῇ σαρκὸς καὶ αἵματος; φοβοῦμαι μήπως οὐ καταμενεῖ ἐν σοὶ τὸ τοῦ Θεοῦ Πνεῦμα ὡς σαρκικῷ, καὶ διχοτομηθῇς τότε ἐν καιρῷ κρίσεως, αἱρομένης ἐκ σοῦ τῆς σεβασμίας ἱερωσύνης ὡς ἀναξίου τοιαύτης χάριτος· καὶ παραπεμπομένου σου κολάσει αἰωνίῳ.

νθ'. Ἀπέναντι τῶν ὀφθαλμῶν σου φόβου μὴ ὄντος Θεοῦ, δοκεῖς ψιλόν τι πρᾶγμα εἶναι τὸ ἀναξίως ἱερουργεῖν, ὑπὸ τῆς φιλαυτίας δὲ ἀπατώμενος, καὶ ἀγαθὸν ἐντεῦθεν τὸ Θεῖον ὑποτοπάζων· τοῦτο καὶ Δαθὰν πάλαι πέπονθε καὶ Ἀβειρών, ἕως αὐτοὺς ἡ γῆ κατέπιεν· ὅπερ αὐτὸς δεδοικώς, καὶ φοβούμενος ἀληθῶς, οὗ ἐστι φόβος, νόει τὸ τοῦ πράγματος μέγεθος. καὶ ἢ ἀξίως καὶ καθαρῶς ἵνα μὴ εἴπω ἰσάγγελος, μεταχείριζε τὸ τῆς θείας ἱερωσύνης χρῆμα, ἢ στῆθι τῆς φρικτῆς λατρείας ὡς συνετός· μήπως ἐν τούτῳ καταφρονητής σου καὶ τὴν ἰδίαν παραλογιζομένην συνείδησιν διελέγχουσαν, εἴπῃς τότε κατακρινόμενος μετʼ ὀδύνης, ὅταν τὰ πάντα κρίνηται καὶ διευθύνηται. φόβος ὃν ἐφοβούμην ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν συνήντησέ μοι.

Νηφόντως καὶ πεποιημένως ὑπὲρ σεαυτοῦ πρῶτον πρόσφερε μετὰ συντριμμοῦ, καὶ δακρύων τὴν σωσίκοσμον καὶ ἱερὰν θυσίαν εἰς ἐξίλασμα. τίνα γὰρ ἕξεις ποιοῦντα ὑπὲρ σοῦ ὡσαύτως, καὶ προσφέροντα μετὰ θάνατον; διόπερ ὡς ἀγχίνους προλαβών, σαυτὸν ἐνταφίασον ἤδη καὶ προμνημόνευσον· ὡς μεσιτείαν τῆς σωτηρίας, αὐτὰ τὰ ἅγια ἐπὶ τῆς ἁγίας τραπέζης προτιθεὶς τῷ Θεῷ. καὶ τῆς ἑκουσίου ἐντεῦθεν καὶ φιλανθρώπου ἀναμιμνήσκων αὐτοῦ σφαγῆς. ξ'.

Ἄρρητος καὶ ἀνέκφραστος ἡδονὴ τῆς ἐν πληροφορίᾳ χωριζομένης ψυχῆς τοῦ σώματος, καὶ ἀπεκδυομένης τοῦτο, ὥσπερ ἱμάτιον. τῇ γὰρ τῶν ἐλπιζομένων ἤδη ἐπιτυχίᾳ, ἀποτίθεται τοῦτο ἀλύπως, χωροῦσα μετʼ εἰρήνης, πρὸς τὸν ὑψόθεν ἥκοντα φαιδρόν τε καὶ ἱλαρὸν Ἄγγελον, καὶ ἀνεμποδίστως διαπερῶσα σὺν αὐτῷ τὸν ἀέρα, μηδʼ ὅλως παραβλαπτομένη ἀπὸ τῶν τῆς πονηρίας πνευμάτων, ἀλλʼ ἀνιοῦσα ἐν χαρᾷ μετὰ θάρσους, καὶ φωνῶν εὐχαριστηρίων, ἕως εἰς προσκύνησιν καταντήσει τοῦ ποιητοῦ. κἀκεῖθεν δέξηται τὴν ἀπόφασιν μετὰ τῶν ὁμοίων καταταγῆναι, καὶ ἰσομέτρων τῆς ἀρετῇ, μέχρι τῆς κοινῆς ἀναστάσεως. ξα'.

Ξένον σοι λόγον φημὶ καὶ μὴ θαύμαζε. εἰ καὶ τῆς ἀπαθείας οὐκ ἐπιτύχῃς διὰ τὰς τυραννούσας ἴσως προλήψεις· ἀλλʼ εὑρισκόμενος ἐν καιρῷ ἐξόδου εἰς τὴν τῆς ταπεινώσεως ἄβυσσον. οὐδὲν ἧττον τοῦ ἀπαθοῦς ὑπὲρ τὰς νεφέλας ἀνυψωθήσῃ. εἰ γὰρ καὶ ὁ τῶν ἀπαθῶν θησαυρὸς ἐκ πάσης ἀρετῆς συνήθροισται, ἀλλὰ καὶ ὁ τίμιος λίθος τῆς ταπεινώσεως, πασῶν ἐστιν ξβ'.

ὑπε-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑπεράξιος. οὐχ ἱλασμοῦ τοῦ κατόπιν πράξεως μόνον παρὰ Θεοῦ, ἀλλὰ καὶ συμβασιλεύσεως μετὰ τῶν ἐκλεκτῶν ἐν τῷ νυμφῶνι τῆς αὐτοῦ βασιλείας.

ξγʹ. Ἱλασμὸν λαμβάνων παρὰ Θεοῦ τῶν πταισμάτων, δόξαζε τὸν ἀμνησίκακον ἅμα, καὶ ἀνεξίκακον· ἀσφαλιζόμενος ὑπὲρ τῶν ἑκουσίων σφαλμάτων πάσῃ δυνάμει. εἰ γὰρ καὶ αὐτῶν ἐστιν ἐξιλέωσις μέχρις ἐξόδου τὸ καθ' ἡμέραν, ἀλλὰ δοκεῖς ἀγνώμων εἶναι, τὸ ἐν γνώσει εὐκόλως ἐξαμαρτάνειν. ὅμως ἀποθεμένοις τῆς ἀπελπισίας λίθον τὸν κύτα τῆς ἀπογνώσεως, καὶ ἀναιδῶς πάντοτε καὶ ἐπιμόνως ἐξαιτουμένοις, ἀφεθήσονται αἱ πολλαὶ ἁμαρτίαι· ἵνα χρεωστικῶς καὶ αὐτὸς ἀγαπήσῃς πολλὰ τὸν συμπαθῆ καὶ ὑπεράγαθον ἐν τῷ αἰῶνι τῷ μέλλοντι.

ξδʹ. Ὅταν ὑπὸ τῆς θείας ἐνεργούμενος χάριτος ἔμπροσθεν Θεοῦ εὑρεθῇς μετὰ δακρύων ἐν τῇ προσευχῇ, κυλίου σταυροτύπως ἡπλωμένος ἐπὶ τῆς γῆς καὶ τύπτων τὴν κεφαλήν, καὶ ζήτει τὴν ἐντεῦθεν ἀπόλυσιν, ὡς φθορᾶς ἐλευθερίαν, καὶ πειρασμῶν ἀλλοτρίωσιν. πλὴν μὴ κατὰ τὸ σοὶ θελητὸν, ἀλλ' ὡς Θεῷ δοκεῖ. καὶ ὁπηνίκα, καὶ ὅπου· ἐπιθυμῶν μὲν ἤδη τὴν ἐκδημίαν, καὶ ἀγαπῶν, εἰ συναπῆλθες, τοῖς δάκρυσι πρὸς Κύριον, ἐκ τῇ ἀβύσσῳ τῆς ταπεινώσεως. ἵνα ἔσῃς ἀμεριμνήσας τοῦ φλογμοῦ τοῦ πόθου καὶ τῆς δεήσεως. στέγων δ' ὅμως τὴν ἀναβολὴν ἄρτι πρὸς τὸ παρὸν, ὡς κρεῖττόν τι προβλεπομένου τοῦ Θεοῦ. τὸ δὲ ἀνασχέτητον, βιαστικῶς καὶ μεθ' ὀργῆς ζήτει. τί μὲν οὐ ποιῶν, τί δὲ οὐ λέγων, τί δὲ οὐ σκοπῶν, καὶ πραγματευόμενος; ὡς ἂν μὴ ἐκπέσῃς Θεοῦ.

ξεʹ. Σαρκοφόρος ὢν, μὴ πειρῶ τὰ νοητὰ ὡς ἔστιν ἀνερευνᾶν, εἰ καὶ τὸ νοερὸν τῆς ψυχῆς φέρει πρὸς ταῦτα διὰ καθαρότητος. εἰ μὴ γὰρ τὸ ἀσώματον πνοῇ καὶ αἵματι κεκρατημένον λυθῇ τῆς παχύτητος, καὶ μετὰ τῆς νοητῆς γένηται, οὐκ ἰσχύσει ταῦτα, ὡς δεῖ, στοχάσασθαι καὶ καταλαβεῖν. τοιγαροῦν προσξενιζόμενος ἐξελθεῖν τῆς ὕλης, ὡς ἔκτιος ἄλλης δευτέρας μητρικῆς ἰλύος, καὶ σκοτεινῆς, πρὸς ἐκεῖνα τὰ ἄϋλά τε καὶ φωτεινὰ, εὐθυμεῖ δοξάζων τὸν εὐεργέτην, διαπορθμεύοντα ἡμᾶς διὰ θανάτου πρὸς τὰ ἡμῖν ἐλπιζόμενα. καὶ ὑφορᾶ διαπαντὸς διὰ τοὺς κύκλῳ περιπατοῦντας ἀσεβεῖς δαίμονας, καὶ ἡμῶν ἀεὶ τῇ εὐδοκιμήσει ἐπιβουλεύοντας, καὶ τὴν πτέρναν ἡμῶν δολερῶς τηροῦντας τὴν τοῦ βίου τελείωσιν. τρέμων μέχρις ἐξόδου διὰ τὸ τοῦ μέλλοντος ἄδηλον· ὡς τρεπτὸς κτισθεὶς καὶ ἀλλοιωτὸς διὰ τὸ αὐτεξούσιον.

ξςʹ. Τηνικαῦτα ὁ ἐχθρὸς ἀγρίοις ἡμᾶς καὶ φοβεροῖς προσυπαντᾷ πειρασμοῖς, ὅταν αἴσθηται τὴν ψυχὴν μεγάλων ἀρετῆς μέτρων ἐπιλαβομένην. τεκμηριοῦται δὲ τοῦτο, ἀπό τε τῶν τῆς προσευχῆς ῥημάτων, καὶ τῆς ὑπὲρ τὴν ὑλικὴν δυάδα, σαρκός τε καὶ τῶν αἰσθητῶν ἀναβάσεως. καὶ ποσάκις φθονερῶς ὁ μισάνθρωπος ἐκπειράζει, ὥστε ἐξαπορεῖσθαι ἡμᾶς καὶ τοῦ ζῆν. ἀγνοεῖ δὲ ἄρα ὁ μάταιος ὅσων πρόξενος ἡμῖν γίνεται ἀγαθῶν, δοκίμους τε ἐντεῦθεν ἡμᾶς διὰ τῆς ὑπομονῆς ἐργαζόμενος, καὶ λαμπροτέρους τοὺς στεφάνους πλέκων ἡμῖν.

ξζʹ. Οὐκ ἔστιν ἕτερος μείζων ἀγὼν τῆς Σωφροσύνης καὶ παρθενίας. καὶ ὑπ' αὐτῶν γὰρ τῶν Ἀγγέλων θαυμάζεται, ὁ τὴν ἀγαμίαν τιμῶν, καὶ τῶν ἀθλητῶν οὐκ ἔλαττον στεφανοῦται. τὸ γὰρ σαρκὶ συνδεδεμένον τινὰ καὶ αἵματι, σπεύδειν μιμεῖσθαι τὴν τῶν ἀσωμάτων ἀϋλίαν διὰ τῆς ἁγνείας ἀεὶ, πόσων δεῖται τῶν μόχθων καὶ τῶν ἱδρώτων; καὶ ὄντως ταῖς ἀληθείαις μέγα καὶ ὑψηλὸν τὸ κατόρθωμα, ὥστε μικροῦ καὶ ἀδύνατον εἶναι δοκεῖν, ὡς ὑπὲρ φύσιν· εἰ μήπου Θεὸς ἄνωθεν ἀντιλάβηται, τὸ ἀσθενὲς τῆς φύσεως ἐνισχύων, καὶ τὸ σαθρὸν ὑπερείδων,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ ῥοπῇ τινί, τῆς γῆς ἀνακουφίζων ἔρωτι θείῳ, καὶ ἐλπίδι τῶν ἀποκειμένων γερῶν.

ξη'. Ὑγραινομένη σὰρξ πολυποσίᾳ καὶ πολυϋπνίᾳ, μέγα πρὸς σωφροσύνην ἐμπόδιον. σωφροσύνη δὲ ἀληθής, καὶ ἐν τοῖς καθ' ὕπνον φαντάσμασι μένει ἀκίνητος. τὸ γὰρ προσέχειν ἐν τούτοις τὸν νοῦν, σύμβολόν ἐστι περιφέρειν ἔτι αὐτὸν τὸ τοῦ πάθους ἐκ βάθους ἀῤῥώστημα. εἰ δὲ διὰ τῆς χάριτος καταξιωθείης καὶ σώματος δίχα, ἐν ὕπνῳ προσομιλεῖν τῷ Θεῷ, μένει ἀνέπαφος αὐτός, καὶ ψυχῆς καὶ σώματος φύλαξ ἐγρήγορος, κρεμάντων αὐτῶν, οἷόν τις σκύλαξ διὰ τὰς ἐπιβούλους λύκους ὑφορῶν καὶ μὴ συλούμενος.

ξθ'. Παράδοξόν σοι λόγον φημὶ καὶ μὴ θαύμαζε. ἔστι τί μυστήριον κρυπτῶς μεταξὺ Θεοῦ, καὶ τῆς ψυχῆς τελούμενον. τῶν ὑψηλοτάτων δὲ τοῦτο μέτρων, καὶ τῆς τελείας καθάρσεως, καὶ ἀγάπης, καὶ πίστεως. ὅταν ὁ ἄνθρωπος εἰς ἄκρον καταλλαγείς, ἑνωθῇ Θεῷ διὰ τῆς οἰκειώσεως, προσευχῇ καὶ θεωρίᾳ ἀδιαλείπτῳ. ἐν τούτῳ Ἠλίας μὲν κλείει οὐρανὸν τῇ ἀβροχίᾳ, καὶ οὐρανίῳ φλέγει πυρὶ τὴν θυσίαν. Μωϋσῆς δὲ τέμνει θάλασσαν, καὶ χειρῶν ἐκτάσει τροποῦται Ἀμαλήκ· καὶ Ἰωνᾶς κήτους καὶ βυθοῦ διασώζεται. βίᾳ γὰρ ἄγει Θεὸν τὸν φιλανθρωπότατον οἷ καὶ βούλεται. ὁ τούτου καταξιωθείς, εἰ καὶ ἐν σαρκὶ περίεστιν, ἀλλ' ὑπερέβη τὸ μέτρον τῆς φθορᾶς καὶ τῆς θνητότητος, ὡς κοινὸν ὕπνον τὸν θάνατον ἐκδεχόμενος, ἡδέως παραπέμποντα πρὸς τὰ ἐλπιζόμενα.

Περὶ Ἱερωσύνης.

ο'. Αἰδούμενος τὰ δεσποτικὰ πάθη, καὶ τὴν ὑπὲρ ἡμῶν τοῦ Θεοῦ Λόγου κένωσιν, ἀλλὰ γὰρ καὶ τὴν θύσιν καὶ ἀνάκρασιν ἐν ἡμῖν τοῦ ζωοποιοῦ καὶ θείου σώματός τε καὶ αἵματος· ὧν οὐ τῆς μεθέξεως μόνον, ἀλλὰ καὶ τῆς ἱερουργίας κατηξιώμεθα, ταπείνου σεαυτὸν ὡσεὶ καὶ σφαγῆς πρόβατον ὑπερέχοντάς σου πάντας ἐν ἀληθείᾳ ἡγούμενος. καὶ σπεῦδε μήποτε ἀλύπητον συνείδησιν, παραλόγως μάλιστα, ἁγιασμοῦ δὲ χωρίς, μὴ κατατόλμα τῆς τῶν ἁγίων προσψαύσεως, ἵνα μὴ ὡσεὶ χόρτος φλεχθεὶς τῷ θείῳ πυρί, καὶ ὡσεὶ κηρὸς τακείς, συναναιρεθῇς.

οα'. Ναὶ μὴν ἐάν, ὡς δεῖ, μεταχειρίζῃ τὴν τῆς θείας, καὶ σεβασμίας ἱερουργίας φρικτὴν τελεταρχίαν, καὶ μὴ καθάπτηταί σου τὸ συνειδός, ἐν οὐδενὶ τῶν πάντων, ὡς ἐκ ταύτης ἐλπίσεις τὴν σωτηρίαν. ὑπὲρ γὰρ πᾶσαν ἐργασίαν καὶ θεωρίαν ἡ ἐντεῦθεν προσγίνεταί σοι ὠφέλεια· εἰ δὲ μὴ οὕτως, ὄψει αὐτός. καὶ κρεῖττον πάντως ὑποχωρεῖσθαι δι' ἐπιγνωμοσύνης τῆς οἰκείας ἀσθενείας τοῦ τῆς ἱερωσύνης ὕψους, ἢ ἀτελῶς καὶ ἀνάγνως ταύτης ἐπειλημμένον. καὶ τοῖς πολλοῖς δοκοῦντα εἶναι μετέωρον, πτῶμα πεσεῖσθαι κλαυθμοῦ ἄξιον διὰ ἀναξιότητα.

οβ'. Τόσον ὑπέρκειται ἡ τῆς σεβασμίας ἱερωσύνης λατρεία, καὶ πρὸς τὸ θεῖον ἐξίλασις καὶ δυσώπησις πάσης ψαλμῳδίας καὶ προσευχῆς, ὅσον ἀστέρων ἥλιος. αὐτὸν γὰρ ἐκεῖνον τὸν μονογενῆ θυσιάζομεν, καὶ προτίθεμεν, καὶ προσάγομεν εἰς παράκλησιν, τὸν ὑπὲρ ἁμαρτωλῶν δωρεὰν σφαγέντα διὰ φιλανθρωπίαν. οὐχ ὑπὲρ ἁμαρτιῶν ἀφέσεως μόνον, ἀλλὰ καὶ ὑπὲρ ὧν αὖ δεόμεθα πρὸς τὸ συμφέρον πάντως, εἰ μὴ ἡ συνείδησις βεβηλοῦται. καὶ τὸ μὲν σῶμα ἡνωμένον θεότητι, ὥσπερ τις ἄνθραξ φλέγει πᾶσαν ὕλην ἁμαρτημάτων, καὶ τὰς καρδίας φωτίζει τῶν μετὰ πίστεως προσιόντων. ὡσαύτως δὲ καὶ τὸ θεῖον αἷμα καὶ τίμιον, ῥύπτει καὶ καθαίρει παντὸς προσώπου ἐπέκεινα, κηλῖδα πᾶσαν καὶ σπίλον· τῶν ὅση δύναμις καθαρῶς καὶ οὐκ ἀνάγνως τῶν ἁγίων κατατολμώντων. εἴπε τίς ἐναπολειφθείη ὕπο συμβάν.

ογ'. Οὐ τὸ σῶμα τὸ ἀναληφθὲν τοῦ Θεοῦ

λόγου,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

λόγῳ, ὥς τις ἔφησε τῶν ἁγίων, ἐξ ὀρανῷ κατιὸν θύεται, ἀλλ' αὐτὸς ὁ ἄρτος καὶ ὁ οἶνος μεταβάλλεται εἰς σῶμα ϗ αἷμα Χριστῶ, πίστει, ϗ φόβῳ, ϗ πόθῳ, ϗ εὐλαβείᾳ, ὑπὸ τῶν καταξιωθέντων τῆς θείας ἱερωσύνης ἱεροτελεσέμενος· ϗ τὴν ἐκ τότε εἰς τῶτο ἄμειψιν δεχόμενος· ἐνεργείᾳ ϗ ἐπιφοιτήσει τῶ Παναγίω Πνεύματος. ὀχὶ γινόμενος ἕτερον σῶμα παρ' ἐκεῖνο τὸ δεσποτικόν, ἀλλ' εἰς τῶτο μεταβαλλόμενος, ἀφθαρτίζων, ὀχὶ φθειρόμενος. πόσης ἆν δεῖται τῆς καθαρότητος ϗ τῆς ἁγιότητος ὁ ἱερεὺς, θείω ψαύων σώματος· ϗ παῤῥησίας ὁποίας, μεσίτης Θεῶ ϗ ἀνθρώπων γινόμενος. καὶ συμπρεσβευτὰς περιλαμβάνων σὺν τῇ Παναγίῳ καὶ Θεομήτορι, πάσας τε τὰς ἐπουρανίως τῶν Ἀγγέλων δυνάμεις ϗ τὰς ἀπ' αἰῶνος ἁγίας. ἐμοὶ δοκεῖ, ἀγγελικῆς αὐτὸν ἢ ἀρχαγγελικῆς ὥσπερ δὴ τῆς ἀξίας, ὅτω χρήζειν ϗ τῆς οἰκειότητος.

οδʹ Σημειωτέον σοι ὦ Πιστεύε, ὅτι διὰ τῶτο ἀνακεκαλυμμένα πρόκειται τὰ ἅγια, μετὰ τὸ τῆς πίστεως σύμβολον, ἐπὶ τῆς ἁγίας τραπέζης μέλλοντα ἁγιάζεσθαι, ὡς ἂν δέχεται τρόπον τινὰ ὑπὲρ τῶν προσφερόντων, ϗ κράζειν ἀλαλήτοις φωναῖς πρὸς τὸν ἐν ὀρανοῖς κατοικῶντα. ὁρῶν γὰρ ἐκεῖνος ὀπαρορᾷ· ϗ βλέπων ὀ παραβλέπει· ἐνθυμέμενος τὴν ὑπὲρ τῶν ἁμαρτωλῶν ἑκούσιον κένωσιν, ϗ ἄῤῥητον συγκατάβασιν, ϗ φιλάνθρωπον σφαγήν. ὀ γὰρ δεδικαιωμένοις ὄσιν ἡμῖν, τὰ λύτρον ἐχαρίσατο διὰ τῶ παθεῖν καὶ τὴν σωτηρίαν, ὁ ἀγαθός τε καὶ ἀνεξίκακος, ἀλλὰ προσκεκρουκότας ἠλέησε, καὶ ἀνεκαλέσατο.

Κἂν καθαρᾶς ἐπιμελόμενος προσευχῆς ἐνώσῃς Θεῷ ἀΰλως τὸν ἄϋλον νῶν, καὶ ἔφθασας ὡς ἐν ἐσόπτρῳ ἰδεῖν τὴν ἐκδεξαμένην σε λῆξιν μετὰ τὸ τέλος τῆς ἐνταῦθα ζωῆς, ὡς τὸν τῶ Πνεύματος δεξάμενος ἀῤῥαβῶνα, καὶ τὴν τῶν ὀρανῶν βασιλείαν ἐντὸς κεκτημένος ἐν πάσῃ αἰσθήσει ϗ πληροφορίᾳ, μὴ ἀνάγκη ἀπολυθῆναι τῆς σαρκὸς χωρὶς προγνώσεως τῶ θανάτω· ἀλλὰ καὶ δέε λιπαρῶς περὶ τότε, καὶ ἔσο εὔελπις τότε τυχεῖν, τῆς ἐξόδε πλησίον, εἰ ὄντι συμφέρον. πρὸς ἣν διεξενίζε δυσεκῶς, δειλίαν πᾶσαν ἀπεῤῥιπτόμενος. ὡς ἂν τὸν ἀέρα διαπεράσας, ϗ τὰ τῆς πονηρίας διαδρὰς πνεύματα, θαρσαλέως καὶ ἀδειμάντως ἔσω γένῃ τῶν ὀρανίων ἀψίδων. τάξεσιν ἀγγελικαῖς συναπτόμενος, καὶ προσθήκη τοῖς ἀπ' αἰῶνος ἐκλεκτοῖς ϗ δικαίοις γινόμενος· ϗ τὸ θεῖον ὁρῶν ὅσον ἐφικτόν. εἰδ' ἦν, ἀλλὰ τὰ ὑπ' αὐτῷ ἀγαθά· καὶ τὸν τῶ Θεῶ λόγον κατανοῶν ἀκτινοφωτοβολῶντα τὰ ὑπερώρανια, λατρευόμενον μιᾷ προσκυνήσει, μετὰ τῆς ἀχράντε σαρκὸς αὐτῶ, ἅμα τῷ Πατρὶ, ϗ τῷ Πνεύματι, ὑπὸ πάσης ἐπερανίω σρατιᾶς, ϗ τῶν ἁγίων ἁπάντων. ἀμήν. οεʹ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Φιλόθεος ὁ Ὁσιώτατος Πατὴρ ἡμῶν, ὁ τῆς κατὰ τὸ Σίναιον λογικῆς τῶν Μοναχῶν ποίμνης χρηματίσας Ἡγούμενος, καὶ διὰ τοῦτο Σιναΐτης ἐπικαλούμενος· ἐν τίσιν ἤκμασε χρόνοις, καὶ ἐτελεύτησεν, ἄδηλον. Ὁ δὲ παρὼν οὑτοσὶ λόγος, εἰς κεφάλαια διῃρημένος τεσσαράκοντα. ὡς εἰς τὸ ἄριστον αὐτῷ φιλοπονηθεὶς, καὶ πλείστης ὅσης, ὡς οὐκ ἄν τις εἴποι, τῆς πνευματικῆς σοφίας, καὶ ψυχικῆς ὠφελείας πεπληρωμένος, τῆς χορείας τῶν λοιπῶν Νηπτικῶν διαζευχθῆναι οὐκ ἔδοξε δίκαιος. πολλοῦ γε καὶ δεῖ. γνώμονα γὰρ τοῦτον ἀκριβῆ, νήψεως, καὶ νοὸς φυλακῆς, καὶ καθαρότητος καρδίας εἰπών τις, οὐκ ἂν ἁμάρτοι τῆς ἀληθείας.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΦΙΛΟΘΕΟΥ
# ΤΟΥ ΣΙΝΑΪΤΟΥ.

## Νηπτικὰ κεφάλαια μ'.

α'. Ἔστιν ἐν ἡμῖν νοητὸς πόλεμος τοῦ αἰσθητοῦ χαλεπώτερος. καὶ δεῖ τὸν τῆς εὐσεβείας ἐργάτην τρέχειν, καὶ τὸν σκοπὸν διώκειν ἐν νῷ, τοῦ τελείως τὴν τοῦ Θεοῦ μνήμην ἐν καρδίᾳ, ὥσπερ μαργαρίτην, ἢ λίθον τίμιον θησαυρίσαι. καὶ χρὴ πάντα προέσθαι, καὶ σῶμα καὶ αὐτῆς τῆς παρούσης ζωῆς καταφρονεῖν, ἵνα Θεὸν ἐν καρδίᾳ κτησώμεθα μόνον. ἀρκεῖ γάρ· ἔφη ὁ θεῖος Χρυσόστομος· ἡ τοῦ νοῦ θεοπτία ἀπολέσαι τοὺς πονηρούς.

β'. Πάσῃ δὲ δυνάμει ὀφείλουσιν οἱ νοητῶς ἀγωνιζόμενοι, ἐργασίας πνευματικὰς ἐκ τῶν θείων γραφῶν ἐκλέγεσθαι, καὶ τῷ νοΐ ὥσπερ ὑγιεινὰς ἐμπλάστρους τιθέναι. καὶ ἀπὸ μὲν πρωΐας· φησί· μετὰ ἀκριβοῦς μνήμης Θεοῦ, καὶ ἀδιαλείπτου ἐν ψυχῇ Ἰησοῦ Χριστοῦ εὐχῆς χρὴ ἀνδρείως καὶ ἀποτόμως ἵστασθαι ἐν πύλῃ καρδίας, καὶ ἀποκτείνειν τῇ νοητῇ φυλακῇ πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· καὶ ἐν ἐκστάσει, καὶ ἐκτάσει τῆς πίστεως τοῦ Θεοῦ μνήμης, συγκόπτειν κεφαλὰς δυναστῶν διὰ Κύριον, καὶ ἀρχὰς λογισμῶν πολεμίων. ἐπείπερ ἴσμεν καὶ ἐν νοητοῖς ἱδρῶσιν ἔνθεον τινὰ ἐργασίαν καὶ τάξιν. καὶ οὕτω χρή γε βιαζομένους ποιεῖν, ἕως ἐνστῇ ὁ τῆς ἑστιάσεως παρὼν καιρός. μετέπειτα δὲ εὐχαριστήσαντας τῷ Κυρίῳ, τῷ διὰ μόνην φιλανθρωπίαν διττῶς ἐμπιπλῶντι ἡμᾶς τροφῆς καὶ ἐν πνεύματι, καὶ σώματι, τῇ τοῦ θανάτου μνήμῃ καὶ μελέτῃ δεῖ ἀναλίσκειν, καὶ τῇ ἐφεξῆς πάλιν, τοῦ πρωϊνοῦ ἔργου ἰσχυρῶς ἔχεσθαι. μόλις γὰρ οὕτω καθ' ἡμέραν ποιοῦντες, ἐκφυγεῖν ἐξισχύσωμεν ἐν Κυρίῳ τὰ δίκτυα τοῦ νοητοῦ ἐχθροῦ. ἅτινα ἐν ἡμῖν ἐγχρονίζοντα, γεννῶσι τὰ τρία ταῦτα, πίστιν, ἐλπίδα, καὶ ἀγάπην. καὶ ἡ μὲν πίστις, ἀληθινῶς ἡμᾶς παρασκευάζει φοβεῖσθαι Θεόν. ἡ δὲ ἐλπὶς τὸν δουλικὸν ὑπερπηδῶσα φόβον, ἀγάπῃ Θεοῦ συνάπτει τὸν ἄνθρωπον. εἴπερ ἡ ἐλπὶς οὐ καταισχύνει. ἐπειδὴ γεννᾷ οἶδε τὴν διτ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὴν ἀγάπην, ἐφ' ᾗ ὁ νόμος κρέμαται καὶ οἱ Προφῆται. ἡ δὲ ἀγάπη, οὐδέποτε ἐκπίπτει μετὰ καὶ τοῦ αἰτία γενέσθαι ἐν τῷ δε τῷ αἰῶνι τοῖς μετόχοις αὐτῆς, τοῦ πληροῦντος τῆς θείας νομοθεσίας, καὶ ἐν τῷ μέλλοντι.

γ'. Σπάνιοι δέ εἰσι λίαν εὑρεῖν τοὺς τῷ λογιστικῷ ἡσυχάζοντας. κἀκεῖνοι μόνοι εἰσίν, οἱ τὴν θείαν χάριν καὶ παράκλησιν διὰ τοῦδε τοῦ πράγματος ἐγγίζειν αὐτοῖς μηχανῶνται. εἰ τοίνυν τὴν κατὰ Χριστὸν φιλοσοφίαν, ἐν τηρήσει νοὸς καὶ νήψει, τὴν νοητὴν ἐργασίαν βαδίζειν βουλόμεθα, δι' ἐγκρατείας βρωμάτων πολλῶν πρὸς τῆς ὁδοῦ ταύτης ἀρχόμεθα, σταθμῷ τὰ * βρώματα, καὶ ποτὰ λαμβάνοντες, ἐν τῷ δύνασθαι. λεγέσθω γὰρ ἡ νῆψις εἰκότως, ὁδὸς μὲν εἰς βασιλείαν ἄγουσα εἴς τε τὴν ἐντὸς ἡμῶν, καὶ εἰς τὴν μέλλουσαν. νοητὴ δὲ ἐργασία, ὡς ἐξεργαζομένη καὶ λεαίνουσα τὰ τοῦ νοῦ ἤθη, καὶ ἀπὸ τοῦ ἐμπαθοῦς εἰς τὸ ἀπαθὲς μεταβάλλουσα. θυρίδι γὰρ φωτεινῇ ἔοικεν, ἀφ' ἧς ὁ Θεὸς διακύψας, ἐπιφαίνεται τῷ νοΐ.

* ἴσ. βρωτὰ

δ'. Ὅπου δὲ ταπείνωσις, μνήμη τε Θεοῦ ἐκ νήψεως συνεστῶσα καὶ προσοχῆς, προσευχῆς τε πυκνότης κατ' ἐχθρῶν ἐστηλωμένη, ἔστιν ἄρα ἐκεῖ ὁ τόπος τοῦ Θεοῦ. ἤτοι καρδιακὸς οὐρανός, ἐν ᾧ δαιμόνιος φάλαγξ δέδοικε προσκαρτερεῖν, διὰ τὸν ἐν τῷ τόπῳ κατοικοῦντα Θεόν.

ε'. Οὐδὲν πολυλογίας συγχυτικώτερον, καὶ γλώσσης ἀκρατοῦς φαυλότερον, καὶ καταστάσει ψυχῆς ἀφανίσαι δυνάμενον. ἃ γὰρ καθ' ἡμέραν οἰκοδομοῦμεν, καταλύει. καὶ ἃ κόπῳ συνάγομεν, διὰ γλωσσαλγίας ἡ ψυχὴ σκορπίζει. τί γὰρ αὐτῆς χεῖρον; ἀκατάσχετον κακόν. δεῖ οὖν αὐτῇ ὅρισαι, καὶ βίαν ἐπιθεῖναι, καὶ ἄγξαι αὐτήν. ἵν' οὕτως εἴπω, τὰ πρὸς χρείαν μόνον ὑπηρετεῖν. καὶ τίς ἂν ἐξείποι ὅλην τὴν ἐκ τῆς γλώττης ψυχικὴν ζημίαν;

ς'. Πρώτη πύλη ἡ εἰσάγουσα εἰς τὴν νοητὴν Ἱερουσαλὴμ τὴν τοῦ νοῦ προσοχήν, ἐστιν, ἡ ἐν γνώσει σιωπὴ τοῦ στόματος, κἂν μήπω ὁ νοῦς τέως ἡσυχάζῃ. δευτέρα δέ, ἡ ἀπὸ βρωμάτων καὶ πομάτων ἐγκράτεια ἔμμετρος. τρίτη, ἡ τὸν νοῦν καὶ σῶμα ἁγνίζουσα, τοῦ θανάτου ἀδιάλειπτος μνήμη, καὶ μελέτη. ταύτης ἔγωγε τὴν ὥραν ἅπαξ ἰδών, καὶ πνεύματι, ἀλλ' οὐκ ὄμματι, τρωθείς, καὶ τερφθείς, ὁμόζυγον ἐμοὶ παρ' ὅλον τὸν βίον ἠθέλησα κτήσασθαι, ἐρασθεὶς τῇ αὐτῆς εὐπρεπείᾳ τε, καὶ σεμνότητι. ὅπως ἐστὶ ταπεινή, χαρμολυπημένη, σκεπτική, ἔμφοβος τῆς μελλούσης δικαίας ἀποφάσεως, δεδοικυῖα τὴν τοῦ βίου μέλλησιν. καὶ ἐκ μὲν αἰσθητῶν ὀμμάτων, ὕδωρ ζωηρὸν ἰαματικὸν πέφυκεν στάζειν. ἐκ δὲ νοητῶν ὀφθαλμῶν πηγὴν ἀφιεῖσαν ἐννοιῶν σοφωτάτων ἥτις ῥέουσα, καὶ ἁλλομένη, εὐφραίνει τὴν φρένα. ταύτην, ὡς ἔφην, τὴν τοῦ Ἀδὰμ θυγατέρα, τὴν μνήμην λέγω τοῦ θανάτου, ἐδίψων ἀεὶ σύμβιον κτήσασθαι, καὶ σὺν αὐτῇ καθεύδειν, αὐτῇ τε ὁμιλεῖν. καὶ τί μέλλει γενέσθαι μετὰ τὴν τοῦ σώματος ἀπόθεσιν, συζητεῖν. ἀλλ' οὐκ εἴασεν ἡ μιαρὰ πολλάκις λήθη, ἡ ἐζοφωμένη τοῦ διαβόλου θυγάτηρ.

ζ'. Ἔστι γὰρ πόλεμος ἐν τῷ κρυπτῷ ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων, διὰ λογισμῶν μετὰ τῆς ψυχῆς συγκροτούμενος. ἀοράτῳ γὰρ αὐτῇ οὔσῃ καὶ αἱ κακοθελεῖς δυνάμεις ἐκεῖναι καταλλήλως τῇ ταύτης οὐσίᾳ, διὰ τοῦ ἀοράτου πολέμου αὐτῇ προσφέρονται. καὶ ἔστιν ἰδεῖν μεταξὺ αὐτῶν, καὶ αὐτῆς, καὶ ὅπλα, καὶ παρατάξεις, καὶ δολίας ἀπάτας, καὶ πόλεμον φοβερόν, καὶ συμβολὴν ἔμμαχον, καὶ νίκας, καὶ ἥττας ἐξ ἑκατέρων μερῶν. ἐν δὲ ἀπολείπεται οὗτος ὁ νοητός, ὃν ὑφηγούμεθα, πόλεμος, τοῦ αἰσθητοῦ πολέμου, τὸν καιρὸν τῆς τοῦ πολέμου προθεσμίας. ὁ μὲν γὰρ αἰσθητὸς πόλεμος, οἶδε καὶ και-

ρὸν ἑαυτῷ, καὶ τάξιν ὁρίζειν. ὁ δὲ ἀμηνύτως προσβάλλει ἐξάπινα περὶ τὰ τῆς καρδίας μεσαίτατα, καίρια λοχῶν ψυχὴν θανατοῖ διὰ τῆς ἁμαρτίας. ἕνεκεν τίνος, καὶ διατί, ὁ ἀγὼν οὗτος, καὶ ἡ πάλη συνίσταται καθ' ἡμῶν; ἵνα μὴ τὸ τοῦ Θεοῦ θέλημα, ὅπερ εὐχόμεθα, γενηθήτω λέγοντες ἐν ἡμῖν τὸ θέλημά σου, δι' ἡμῶν γένηται· τὸ δέ ἐστιν αἱ τοῦ Θεοῦ ἐντολαί. καὶ εἴ τις λεπτῶς ἐν Κυρίῳ τὸν ἴδιον νοῦν νηφαλέως στήσας τῆς πλάνης, τὰς εἰσβολὰς αὐτῶν καὶ μετεμπλοκὰς τὰς ἐκ φαντασιῶν συνισταμένας, ἀκριβῶς παρατηρήσειεν, εὑρήσει διὰ πείρας. διὸ καὶ ὁ Κύριος κατὰ τῶν ἀλιτηρίων δαιμόνων σκοπὸν ἀποτεινόμενος, ἅτε Θεὸς τὰ νοήματα αὐτῶν προθεωρῶν, ἐξ ἐναντίας αὐτῶν τοῦ σκοποῦ, τὰς ἐντολὰς αὐτοῦ σὺν ἀπειλῇ τοῖς παραβαίνουσι τέθεικεν.

ή. Ὅταν ἐν ἕξει τινὶ γενώμεθα ἐγκρατείας λέγω, καὶ ἀποχῆς κακῶν φαινομένων, διὰ τῶν πέντε αἰσθήσεων ἐνεργουμένων, ὡς τὸ ἑξῆς τούτων δυνησόμεθα καὶ τὴν καρδίαν τηρεῖν μετὰ Ἰησοῦ, καὶ παρ' αὐτοῦ ἐν αὐτῇ φωτίζεσθαι, καὶ μετὰ πόθου τινὸς θερμοῦ τῆς χρηστότητος αὐτοῦ διὰ τοῦ νοὸς ἀπογεύεσθαι. ἐπεὶ μὴ δι' ἄλλο τι καθαίρεσθαι τὴν καρδίαν νόμον ἐλάβομεν, ἀλλ' ἵνα τῶν τῆς πονηρίας νεφῶν ἐκβάντων ἐκ τοῦ ἀέρος τῆς καρδίας, καὶ διασκεδασθέντων τῇ συνεχείᾳ τῆς προσοχῆς, ὡς ἐν αἰθρίᾳ καθαρῶς ἰδεῖν δυνηθῶμεν τὸν ἥλιον τῆς δικαιοσύνης Ἰησοῦν, καὶ ποσῶς ἐλλαμφθῆναι τοὺς λόγους ἐν νῷ τῆς αὐτοῦ μεγαλειότητος. ἐπειδὴ μὴ πᾶσι φανεροῦσθαι πεφύκασιν, εἰμὴ τοῖς καθαίρουσι τὴν διάνοιαν.

θ'. Οὕτως ἑαυτοὺς τὸ καθ' ἡμέραν χρὴ καταρτίζειν, οἵους χρὴ φαίνεσθαι ἐνώπιον τοῦ Θεοῦ. φησὶ γὰρ ὁ Προφήτης Ὠσηέ· Ἔλεον, καὶ κρίσιν φυλάσσου. καὶ ἔγγιζε τῷ Θεῷ σου διαπαντός. καὶ πάλιν ὁ Μαλαχίας, ἐκ προσώπου τοῦ Θεοῦ φησί. Υἱὸς δοξάζει πατέρα, καὶ δοῦλος τὸν Κύριον αὐτοῦ. καὶ εἰ πατὴρ εἰμὶ ἐγώ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ Κύριος εἰμὶ ἐγώ, ποῦ ἐστιν ὁ φόβος μου; λέγει Κύριος παντοκράτωρ. καὶ ὁ Ἀπόστολος. Καθαρίσωμεν ἑαυτούς· φησὶν· ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος. καὶ ἡ Σοφία πάλιν. Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν. ἐκ γὰρ τούτων ἔξοδος ζωῆς. καὶ ὁ Κύριος Ἰησοῦς Χριστὸς ἔφη. Καθάρισον τὸ ἔσωθεν τοῦ ποτηρίου, ἵνα γένηται καὶ τὸ ἔξωθεν καθαρόν.

ι. Αἱ ἄκαιροι ὁμιλίαι, ποτὲ μὲν μῖσος παρὰ τῶν ἀκουόντων ἡμῖν προξενοῦσιν. ἄλλοτε δέ, λοιδορίας, καὶ καταγέλωτα, τὴν τῶν ῥημάτων ἄνοιαν καταγινωσκόντων. ἄλλαι δέ, μολυσμὸν συνειδήσεως. ἄλλαι, τὴν ἐκ Θεοῦ κατάκρισιν, καὶ τὴν λύπην τοῦ Ἁγίου Πνεύματος· ὃ καὶ φρικτὸν τῶν ἄλλων ἁπάντων.

ιά. Ὁ τὴν καρδίαν αὐτοῦ καθαίρων καὶ ἐκ ῥιζῶν ἀνασπῶν τὴν ἁμαρτίαν ἐν Κυρίῳ, καὶ ποιῶν χάριν γνώσεως θειοτέρας, καὶ βλέπων ἐν νῷ τὰ πολλοῖς ἀθέατα, οὐ χρὴ διὰ τοῦτο τινὸς κατεπαίρεσθαι. οὐδὲν γὰρ καθαρώτερον ἐν κτιστοῖς ἀσωμάτου, οὐδὲν ἀγγέλου γνωστικώτερον. ἀλλ' ἐπαρθείς, ὡς ἀστραπὴ ἐξ οὐρανοῦ κατερράγη. οὕτως αὐτῷ ἡ ὑψηλοφροσύνη, ἀκαθαρσία παρὰ τῷ Θεῷ λογισθεῖσα. φανεροὶ δὲ εἰσιν οἱ τὸν χρυσὸν ἀνορύττοντες.

ιβ'. Φησὶν ὁ Ἀπόστολος, Ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται. ὡς μὴ δυνατὸν μετὰ κόρου βρωμάτων, πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἀφανεῖς, καὶ κακοθελεῖς δυνάμεις παρατάττεσθαι τοὺς τῇ σαρκὶ ταύτῃ συνδεδεμένους, τῇ μοχθηρᾷ, καὶ ἀεὶ ἐπιθυμούσῃ κατὰ τοῦ πνεύματος. οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις, καὶ πόσις. τὸ φρόνημα τῆς σαρκός, ἔχθρα εἰς Θεόν. τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑποτάσσεται. οὐδὲ γὰρ δύναταί φησι. δῆλον ὅτι διὰ τοῦτο οὐ δύναται, ἐπειδὴ γήϊνον ὄν, χυμῷ, καὶ αἵματι, καὶ φλέγματι συγκεκραμμένον, καὶ ἀεὶ κάτω βρίθον, ἀεὶ προσπάσχει τοῖς γηΐνοις, καὶ ἥδεται ταῖς ὀλλυμέναις ἡδοναῖς τοῦ ἐνεστῶτος αἰῶνος. τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος· οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται.

ιγ΄. Πολλῆς δὲ ταπεινώσεως ἡμῖν χρεία, ἐπιμελλομένοις νοὸς φυλακῆς ἐν Κυρίῳ, πρῶτον εἰς Θεόν, καὶ εἰς ἀνθρώπους. παντοίως δὲ πάντοθεν ὀφείλομεν συντρίβειν τὴν καρδίαν, πᾶν τὸ ταπεινοῦν ἐπιτηδεύοντες. συντρίβειν δέ, καὶ ταπεινοῦν οἶδε καρδίαν, μνήμη τοῦ ἀρχαίου ἡμῶν ἐν τῷ κόσμῳ βίου, ἡ κατὰ ἀκρίβειαν μνημονευομένη παρ' ἡμῶν. καὶ μνήμη ἁμαρτημάτων πάντων ἐκ νεότητος, κατ' εἶδος παρὰ τοῦ νοὸς ἀναθεωρουμένων, (παρεκτὸς τῶν σαρκικῶν, τούτων γὰρ ἡ ἐνθύμησις ἐπιζήμιός ἐστι.) καὶ ταπεινοῖ οἶδε καὶ δάκρυα γεννᾷ, καὶ πρὸς εὐχαριστίαν Θεοῦ ὁλοκαρδίως ἡμᾶς κινεῖ, ὥσπερ καὶ ἡ ἀένναος, καὶ ἐναργὴς μνήμη τοῦ θανάτου. ἡ αὐτὴ γὰρ καὶ πένθος τίκτει μετὰ ἡδύτητός τινος, καὶ χαρᾶς, καὶ νῆψιν νοός. κραταιῶς δὲ ταπεινοῖ φρόνημα, καὶ γῆν ὁρᾷν, καὶ ἡ μνήμη τῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παθῶν, κατ' εἶδος καὶ αὐτῶν τῇ μνήμῃ ἀναλεγομένων, καὶ μνημονευομένων· καίγε δάκρυα καὶ ταῦτα παρέχουσι. καὶ πρὸς τούτοις ταπεινοῦσιν ἀληθῶς ψυχήν, καὶ αἱ πολλαὶ εὐεργεσίαι τοῦ Θεοῦ. αἱ εἰς ἡμᾶς κατ' εἶδος ἀριθμούμεναι, καὶ ἀναθεωρούμεναι. ἐπειδὴ πρὸς ὑπερηφάνους δαίμονας τὴν πάλην ἔχομεν.

ιδ΄. Μὴ ἀπαναίνου ἐκ φιλαυτίας τὰ τοιάδε σωτήρια φάρμακα ψυχῆς, ὦ οὗτος. ἐπεὶ οὐκ εἶ λοιπὸν Χριστοῦ μαθητής, οὐ μήν, οὐδὲ Παύλου μιμητής. ὅς, οὐκ εἰμὶ ἱκανός, φησ., καλεῖσθαι Ἀπόστολος καὶ πάλιν· τὸν πρότερον ὄντα βλάσφημον, καὶ διώκτην, καὶ ὑβριστήν. ὁρᾷς· ὑπερήφανε· τὸν ἅγιον, ὅπως οὐκ ἐπιλήσμων τοῦ προτέρου βίου ἦν; καὶ οἱ ἅγιοι δὲ πάντες οἱ ἐξ ἀρχῆς κτίσεως, μέχρι καὶ νῦν, ταύτην ἐνεδιδύσκοντο τὴν * ὑστάτην Θεοῦ ἁγίαν διπλοΐδα. καὶ αὐτὸς γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, Θεὸς ὢν ἀκατάληπτος, καὶ ἄγνωστος, καὶ ἀνεκλάλητος, θέλων δεῖξαι τὴν ὁδὸν τῆς αἰωνίου ζωῆς, καὶ ἁγιότητος, τὴν ταπείνωσιν ὅλῳ τῷ ἐνσάρκῳ αὐτοῦ βίῳ ἐνεδύσατο· * ὄντως ἄρα καὶ θεϊκὴ ἀρετὴ δικαίως ὀφείλει καλεῖσθαι, καὶ δεσποτικὴ ἐντολή, καὶ στολή, ἡ ἁγία ταπείνωσις. καὶ οἱ Ἄγγελοι δέ, καὶ πᾶσαι αἱ λαμπραὶ καὶ θεῖαι δυνάμεις ἐκεῖναι, ταύτην τὴν ἀρετὴν ἐξασκοῦσι, καὶ φυλάττουσιν. εἰδότες οἵῳ πτώματι πέπτωκεν ὑπερηφανευθεὶς ὁ σατανᾶς· καὶ εἰς ὑπόδειγμα φόβου πτώσεως Ἀγγέλων τε, καὶ ἀνθρώπων, κεῖται ἐν τῇ ἀβύσσῳ ὁ πονηρός· πάσης τῆς ἄλλης κτίσεως ἀτιμότερος πρὸς Θεοῦ, διὰ οἰκείαν ὑπερηφανίαν ἀποδειχθείς. οἴδαμεν δὲ καὶ ᾧπερ πτώματι ὁ Ἀδὰμ ἐξ ὑπερηφανίας πέπτωκε. τοσαῦτα οὖν ἔχοντες ὑποδείγματα τῆς ψυχοποιοῦ ἀρετῆς, παντοίως ἀεὶ ταπεινούμεθα, ὅση δύναμις τούτοις χρώμενοι. ταπεινωθῶμεν ψυχῇ, καὶ σώματι, καὶ φρονήματι, καὶ θελήματι, καὶ ῥήμασι, καὶ διανοήμασι, καὶ σχήματι, καὶ ἔκτοθι καὶ ἔνδοθι· ὃ μάλιστα ζητητέον, ἵνα μὴ τὸν ὑπὲρ ἡμῶν Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ Θεόν, καθ' ἡμῶν ἕξωμεν. Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. καὶ ἀκάθαρτος παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος. καὶ ὁ ἑαυτὸν ταπεινῶν ὑψωθήσεται. καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ. διὸ προσεκτέον.

* τὸ ἐκ-τελεστικὴν

* ἴσ. ὄντως

ιε΄. Ὁρᾶτε, φησὶν ὁ σωτὴρ ἡμῶν, μὴ βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν, καὶ τὰ ἑξῆς. ὁ δὲ ἀγωνιζόμενος πάντα ἐγκρα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τελεῖται. πάντα οὖν ταῦτα πρὸς ἡμᾶς παρὰ τῇ θείᾳ γραφῇ εἰρημένα εἰδότες, ἐγκρατῶς τὸν βίον διάξωμεν· πρὸ πάντων ἀπὸ πολλῶν βρωμάτων, τάξει ἐναρέτῳ, καὶ συνηθείᾳ τῷ σώματι ἐθίσωμεν, μείζω τὴν ζωφίαν αὐτοῦ παρεχόμενοι. οὕτω γὰρ καὶ τὰ σκιρτήματα αὐτοῦ τοῦ ἐπιθυμητικοῦ μέρους, ῥᾷον κατευνάζονται, καὶ ὑποτάσσονται τῷ ἡγεμόνι λογιστικῷ· εἴπερ δεῖ πιθανῶς εἰπεῖν, καὶ ἀληθῶς, καὶ τὰ τοῦ θυμοῦ. ἀλλὰ καὶ τῶν λοιπῶν σφαλμάτων, εὐκόλως ἀπεχέμεθα· ἐπεὶ καὶ ἀρετὴ τοῦτο κεῖται τοῖς πεῖραν ἀρετῆς εἰληφόσι, τὸ περιεκτικῶς ἐγκρατεύεσθαι. τουτέστιν ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθαι. αἴτιον γὰρ τῆς ἁγνείας προηγουμένως μὲν ὁ Θεός, ὁ πάντων τῶν καλῶν αἴτιος, καὶ δοτήρ. ἔπειτα δέ, ἡ ἀπὸ βρωμάτων πολλῶν ἴση καθ᾽ ἑκάστην καὶ μεμετρημένη ἐγκράτεια.

ιϛʹ. Ὥσπερ γὰρ ὁ σατᾶν τῷ Θεῷ ἀντιτατόμενος, πρὸς τὸ τοῦ Θεοῦ μὴ γίνεσθαι θέλημα ὅπερ εἰσὶν αἱ ἐντολαί, δι᾽ ὧν κωλύειν πειρᾶται αὐτό, δι᾽ ἡμῶν Θεῷ πολεμεῖ, οὕτω πάλιν δι᾽ ἡμῶν ὁ Θεὸς ἀνύεσθαι βούλεται τὸ πανάγιον αὐτοῦ βούλημα ὅ ἐστιν· ὡς εἶπον· αἱ θεῖαι, καὶ ζωοποιαὶ ἐντολαί, δι᾽ ἡμῶν καὶ τῆς αὐτοῦ ῥοπῆς, τὸν ὀλέθριον σκοπὸν τοῦ πονηροῦ καταβάλλων. τὴν γὰρ τοῦ ἐχθροῦ * ἀνήνυτον βούλησιν, ἥ τις δοκεῖ Θεῷ ἀντιτάττεσθαι, δι᾽ ὧν ποιεῖ τὰς ἐντολὰς αὐτοῦ παραβαίνεσθαι, αὐτὰς πάλιν ὁ Θεὸς δι᾽ ἀνθρωπίνης ἀσθενείας καταστρέφει. καὶ ὅρα, εἰ μὴ οὕτως ἔχει. αἱ μὲν ἐντολαὶ πᾶσαι τοῦ θείου Εὐαγγελίου, τὸ τριμερὲς τῆς ψυχῆς δοκοῦσι νομοθετεῖν καὶ ὑγιὲς ποιεῖν, δι᾽ ὧν προστάττουσιν. μᾶλλον δὲ οὐδὲ δοκοῦσι μόνον, ἀλλὰ καὶ ἀληθινῶς αὐτὸ ὑγιάζουσιν. τοῦτο οὖν τὸ τριμερὲς τῆς ψυχῆς καὶ ὁ διάβολος φαίνεται νυκτὸς καὶ ἡμέρας πολεμῶν. καὶ εἰ τὸ τριμερὲς πολεμεῖ ὁ σατᾶν, δηλονότι τὰς ἐντολὰς τοῦ Χριστοῦ πολεμεῖ· ὁ Χριστὸς γὰρ τὸ τριμερὲς τῆς ψυχῆς νομοθετεῖ διὰ τῶν ἐντολῶν. τὸ δὲ ἐστι, θυμικόν, ἐπιθυμητικόν, καὶ λογιστικόν. καὶ σκόπει· ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει, καὶ τὰ ἑξῆς αὐτοῦ παραγέλματα ἰδοὺ θεραπεῖαι τοῦ θυμοῦ. ὁ δὲ ἐχθρὸς πάλιν τὴν ἐντολὴν ταύτην, καὶ τὰς περὶ αὐτήν, διὰ φιλονεικιῶν, καὶ μνησικακίας, καὶ φθόνου λογισμῶν ἔνδον πειρᾶται καταστρέψαι. οἶδε γὰρ καὶ αὐτὸς ὁ ἀντίπαλος, ὅτι τοῦ θυμικοῦ καθηγεμών, τὸ λογιστικόν ἐστι. καὶ τοῦτο διὰ λογισμῶν, ὡς εἶπον, πικριῶν, ὑπονοιῶν φθόνου, φιλονεικίας, ἔριδος, δόλου, κενοδοξίας, πείθει τὸ λογιστικὸν καταλεῖψαι τὴν οἰκείαν ἀρχήν, καὶ ἐνδοῦναι τῷ θυμῷ τὰς ἡνίας, καὶ ἀκυβέρνητον ἐᾶσαι. ὁ δὲ θυμὸς ὥσπερ τὸν κυβερνήτην ἀποβαλών, ἐξάγει διὰ στόματος ἐν λόγοις, τὰ αὐτῷ προαποκείμενα ἐν καρδίᾳ· ἃ διὰ λογισμῶν τοῦ ἐχθροῦ, καὶ ἀμελείας τοῦ νοῦ, ἐν καρδίᾳ ἀπεθησαυρίσθησαν καὶ τὴν καρδίαν ἀντὶ θείου πνεύματος, καὶ θείων ἐννοιῶν, κακίας οὔσης ἰδεῖν ἔστιν ἀνάπλεων. καθὼς εἶπεν ὁ Κύριος· Ἐκ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα. εἰ γὰρ εἰς λόγους τὰ ἔσω μελετώμενα ἐξαγαγεῖν ἰσχύσει ὁ πονηρός, οὐ ῥακὰ εἰπεῖν ὁ ἀδελφὸς ὁ ἄλλος τῷ ἀδελφῷ καὶ οὐ μωρὸν μόνον, ἀλλ᾽ ἕτερα ὑβριστικὰ ῥήματα, καὶ φόνῳ περιπεσεῖται πολλάκις. καὶ οὕτως μὲν χρᾶται ὁ πονηρός, διὰ τὸ δοῦναι ἐντολὴν Θεὸν τοῦ μὴ ὀργίζεσθαι εἰκῆ. ἅπερ ἠδύνατο μὴ ἐκβῆναι εἰς ῥήματα ὑβριστικὰ καὶ τὰ τούτοις ἐπακολουθοῦντα, εἰ ἐκ προσβολῆς εὐθὺς, δι᾽ εὐχῆς, καὶ προσοχῆς * τῆς ἔνδον ἐκ καρδίας ἀπεδιώχθησαν. οὕτως ὁ ἀλάστωρ τοῦ ἰδίου σκοποῦ τυγχάνει, εἴγε ἃ διὰ λογισμῶν ἐν καρδίᾳ ἐπέβαλεν, εὑρίσκει θείαν ἐντολὴν λύοντα. * ἐν ἄλ. τῶν ἔνδον

ιζʹ. Τίνα δὲ καὶ τὰ τοῦ ἐπιθυμητικοῦ παρὰ τῆς

* ἴσ. ἀνήνυτον

ρὰ τῆς θείας ἐντολῆς τῆς δεσποτικῆς ἐντέταλται; Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ ταύτην δὲ διδαχθεῖσαν ἰδὼν ὁ κακοῦργος, οἷον κατὰ τῆς ἐντολῆς ἀμφίβληστρον ἐν τῷ πλέκει. πόῤῥω γὰρ τῆς ἐρεθιζούσης ὕλης μακρύνας τὸν πόλεμον τούτοις, ἔνδον ὑφίσταται. καὶ ἔστιν ἰδεῖν ἐν νῷ ζωγραφούμενα παρ' αὐτοῦ, καὶ σχήματα, καὶ τυπώματα περιττά· καὶ λόγους ἀκούειν ἐστὶν ἐρεθίζοντας πρὸς πάθος. καὶ ἄλλα ἅπερ οἱ τοῦ πεῖραν ἔχοντες ἴσασιν.

ιη'. Τίς δὲ καὶ ἡ τοῦ λογιστικοῦ παραινοῦσα ἐντολή; ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως. ἔστω δὲ ὁ λόγος ὑμῶν, ναὶ, ναί· οὒ, οὔ. καὶ, ὁ μὴ ἀρνησάμενος πάντα καὶ ἀκολουθῶν μοι, οὐκ ἔστι μου ἄξιος. καὶ, εἰσέλθετε διὰ τῆς στενῆς πύλης. ταῦτα τὰ τοῦ λογιστικοῦ παραγγέλματα. πάλιν δὲ ὁ πολέμιος, ὥσπερ τινὰ στρατηγὸν ἄριστον βουλόμενος χειρώσασθαι, ὅς ἐστι τὸ λογιστικὸν, διὰ λογισμῶν γαστριμαργίας, καὶ ῥᾳθυμίας αὐτὸ τῶν φρενῶν ἐκστήσας, τῆς δὲ ἡγεμονίας, οἷα μέθυσον στρατηγὸν διαχλευάσας τε, καὶ ἐκβαλὼν, θυμῷ, καὶ ἐπιθυμίᾳ ὑπηρέταις ὁ δράκων κέχρηται τῶν ἰδίων θελημάτων· αἱ δὲ δυνάμεις αὗται, τὸ ἐπιθυμητικὸν λέγω, καὶ τὸ θυμικὸν, ἐκ τοῦ λογιστικοῦ ἄφετοι οὖσαι, ταῖς πέντε ἡμῶν αἰσθήσεσιν, εἰς τὸ φανερῶς ἁμαρτάνειν ὑπουργοῖς κέχρηνται. καὶ ταῦτά εἰσι τὰ πτώματα. τότε πλέον καὶ ὀφθαλμοὶ περίεργοι, οὐκ ἔχοντες τὸν νοῦν ἔνδον αὐτοὺς δεσμεύοντα· καὶ ἀκοὴ ματαία ἀκούειν ἀγαπῶσα· καὶ ὄσφρησις ἐκθηλυνομένη· καὶ στόμα ἀκρατές· καὶ χεῖρες ἁπτόμεναι ὧν μὴ δεῖ· οἷς ἐπακολουθεῖ, ἀδικία, ἀντὶ δικαιοσύνης. ἄνοια, ἀντὶ φρονήσεως. ἀκολασία, ἀντὶ σωφροσύνης. δειλία, ἀντὶ ἀνδρείας. αὗται γὰρ αἱ γενικαὶ τέσσαρες ἀρεταί· ἤγουν ἡ δικαιοσύνη· ἡ φρόνησις· ἡ σωφροσύνη, καὶ ἀνδρεία ὑγιαίνουσαι, τὸ τριμερὲς διακυβερνῶσι. τὸ τριμερὲς δὲ καλῶς ἰθυνόμενον, τὰς αἰσθήσεις τῶν ἀτόπων ἀπείργει. καὶ τότε δὴ γαλήνην ὁ νοῦς ἄγων, τῶν ἑαυτοῦ δυνάμεων εὐθέως κυβερνωμένων, καὶ ὑπεικόντων, ῥᾳδίως ἐν τῷ νοητῷ πολέμῳ ἀνδραγαθεῖ. εἰ δὲ συγχέει αὐτοῦ τὰς δυνάμεις ἀπροσεξία, διὰ τῶν τοῦ πονηροῦ προσβολῶν ἡττώμενος, τὰς θείας ἐντολὰς παραβαίνει. τῇ παραβάσει δὲ πάντως ἕπεται, ἢ μετάνοια ἀνάλογος, ἢ κόλασις ἐν τῷ μέλλοντι. καλὸν δὲ τὸ ἀεὶ νήφειν τὸν νοῦν, δι' οὗ πράγματος εἰς τὸ κατὰ φύσιν σταθεὶς, γίνεται ἐνταλμάτων θείων φύλαξ ἀληθής.

Ἡ ψυχὴ ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων περιτετείχισταί τε, καὶ περιπέφρακται, καὶ δέδεται ἁλύσεσι σκότους. μὴ δυναμένη διὰ τὸ περὶ αὐτὴν σκότος, ὡς θέλει προσεύξασθαι· ἐν τῷ κρυπτῷ γὰρ δεσμεῖται, τυφλώττουσα τοῖς ἔνδον ὄμμασιν. ὅταν δὲ ἀρχὴν λάβῃ εὔχεσθαι τῷ Θεῷ, καὶ νήφειν διὰ εὐχῆς, τότε τοῦ σκότους ἐκείνη διὰ εὐχῆς λυθήσεται· ἄλλως γὰρ, οὐ δυνατὸν λυθῆναι. τότε γὰρ δύναται ἡ ψυχὴ ἐπιγνῶναι, ὅτι ἔστιν ἔνδον ἐν τῇ καρδίᾳ, ἄλλη πάλη, καὶ ἄλλη ἐναντιότης κρυπτὴ, καὶ ἄλλος πόλεμος λογισμῶν πνευμάτων πονηρίας. ὥσπερ καὶ αἱ ἅγιαι γραφαὶ μαρτυροῦσι. λέγει γάρ· ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς. τόπος δὲ τοῦ νοῦ ἡ στάσις ἐστὶν αὐτοῦ ἐν τῇ ἀρετῇ βεβαία, καὶ ἡ νῆψις. καὶ γὰρ στάσις ἐστὶ καὶ ἐπὶ ἀρετῆς, καὶ κακίας· φησὶ γάρ· Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη. καὶ ὁ Ἀπόστολος· Στῆτε οὖν περιεζωσμένοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ. ιθ'.

Κρατῶμεν Χριστοῦ κραταιῶς ἄγαν, διὰ τὸ ἀεννάως λαβεῖν τοῦτον ἐκ ψυχῆς ἀγωνιζομένους. ἵνα μὴ ἐκνεύσῃ Γνησίως, ὄχλου λογισμῶν ἀτόπων ἐν τῷ τόπῳ τῆς ψυχῆς· κ'.

ὃν οὐκ ἐξὸν χωρὶς πόνου ψυχῆς κραταιῶς κρατεῖν· καὶ ψηλαφῶμεν τὸν ἐν σαρκὶ αὐτοῦ βίον, ἵνα τὸν ἡμέτερον ταπεινῶς διεξάγωμεν. καὶ κρατῶμεν τὰ αὐτοῦ πάθη, ἵνα τὰ θλιβερὰ ὑπομένωμεν, αὐτὸν ζηλοῦντες. καὶ γευώμεθα τὴν ἄρρητον καὶ συγκαταβατικὴν δι' ἡμᾶς οἰκονομίαν αὐτοῦ, ἵνα ἐκ τῆς γεύσεως τῆς ψυχῆς τῆς γλυκείας, γινώσκωμεν ὅτι χρηστὸς ὁ Κύριος. ἐπὶ πᾶσι δὲ τούτοις, ἢ καὶ πρὸ πάντων, ἀνενδοιάστως πιστεύωμεν αὐτῷ, ἐν οἷς λέγει· τὴν πρόνοιάν τε αὐτοῦ τὴν εἰς ἡμᾶς ἥκουσαν, καθ' ἑκάστην ἐκδεχώμεθα. καὶ ὡς ἂν τύχῃ ἐλθοῦσα, εὐχαρίστως, καὶ ἀσπαστῶς, καὶ προθύμως δεχώμεθα· ἵνα μάθωμεν, πρὸς τὸν Θεὸν μόνον ὁρᾷν· ὃς τὰ ὅλα διοικεῖ λόγοις σοφίας θεϊκοῖς. καὶ ὅταν ταῦτα ποιήσωμεν πάντα, τότε οὐ μακρὰν τοῦ Θεοῦ τυγχάνομεν. εἴπερ εὐσέβεια, ἀτέλεστος τελειότης, ὡς εἶπέ τις τῶν θεοφόρων ἀνδρῶν, καὶ τελείων τῷ πνεύματι.

κα′. Ὁ γὰρ τὴν ἑαυτοῦ ζωὴν καλῶς ἐξαγοραζόμενος, ἐννοίᾳ τε δόλου, καὶ μνήμῃ θανάτου σχολάζων, καὶ σοφῶς ἐκ παθῶν κλέπτων τὸν νοῦν, διὰ τοῦδε τοῦ πράγματος, οὗτος καὶ τὰς καθ' ὥραν παρουσίας τῶν δαιμονικῶν προσβολῶν, ὀξυτέρως ὁρᾷν πάντως πέφυκε παρ' ἐκεῖνον, ὅς, ἄτερ μνήμης θανάτου, διάγειν βεβούληται· ἕνεκεν γνώσεως μόνης τὴν καρδίαν καθαίρων, καὶ μὴ * πενθήρει ἐννοίᾳ σώζων διόλου, ἐνίοτε δοκῶν οὗτος πάντων κρατεῖν, ἐνδελεχείᾳ, παθῶν ὀλεθρίων, ὑφ' ἑνὸς δέδεται, ὡς οὐκ οἶδε, τοῦ χειρίστου πάντων, καὶ πίπτει ἐσθ' ὅτε, χωρὶς Θεοῦ, ὑψηλοφροσύνῃ. τοῦτον χρὴ νήφειν σφόδρα, ἵνα μὴ τυφωθεὶς χαώσῃ τὰς φρένας. πέφυκε γὰρ ὡς Παῦλος φάσκει, ψυχὰς ἔνθεν κἀκεῖθεν ἐρανιζούσας γνῶσιν, φυσιοῦσθαι κατ' ἐλαττόνων ὡς δοκοῦσιν, αἷς ἀνθὴρ, ὡς οἶμαι, τῆς οἰκοδομούσης ἀγάπης οὐκ ἐνυπάρχει. ὁ δέ γε τὸν θάνατον μελέτην κατ' ὄψιν μεμνημένος, τὰς καταδρομὰς τῶν δαιμόνων ὀξύτερον ὑπὲρ τὸν ἄλλως ἔχοντα βλέπων, ἐκδιώκων βάλλει.

* ἴσ. πενθήρη ἔννοιαν

κβ′. Πέφυκεν ἡ τερπνὴ μνήμη τοῦ Θεοῦ, τουτέστιν ὁ Ἰησοῦς μετὰ θυμοῦ καρδίας καὶ πικρίας σωστικῆς, διαλύειν λογισμῶν πάσας μαγγανείας, νοήματα, λόγους, φαντασίας· ἰνδάλματα σκοτεινά· καὶ ἁπαξαπλῶς εἰπεῖν, δι' ὧν παρατάσσεται, καὶ νεανιεύεται ὁ πανώλης· τὰς ψυχὰς διαψηλαφῶν καταπιεῖν. καλούμενος δὲ Ἰησοῦς, πάντα φλογίζει εὐχερῶς. ἐν οὐδενὶ γὰρ ἄλλῳ ἡ σωτηρία ἡμῶν ἐστιν, εἰ μὴ ἐν Χριστῷ Ἰησοῦ· ὃ δὴ καὶ αὐτὸς ἔφησεν ὁ σωτήρ. Χωρὶς γὰρ ἐμοῦ, οὐ δύνασθε ποιεῖν οὐδέν.

κγ′. Πάσῃ οὖν φυλακῇ τὴν καρδίαν ἡμῶν πάσῃ ὥρᾳ καὶ τὸ ἀκαριαῖον γοῦν, τηρήσωμεν ἐκ λογισμῶν ἀχλυόντων τὸ ψυχικὸν ἔσοπτρον. ἐν ᾧ δὴ τυποῦσθαι καὶ φωτεινογραφεῖσθαι Ἰησοῦς Χριστὸς πέφυκεν, ἡ τοῦ Θεοῦ Πατρὸς σοφία καὶ δύναμις, καὶ ἔνδον καρδίας ἅπαυστα τῶν οὐρανῶν τὴν βασιλείαν ζητήσωμεν. τόν τε κόκκον, καὶ τὸν μαργαρίτην, καὶ τὴν ζύμην· καὶ τἄλλα πάντα μυστικῶς εὑρήσομεν ἔνδον ἡμῶν αὐτῶν, εἴγε τὸ ὄμμα τοῦ νοῦ ἐκκαθάρωμεν. διὰ τοῦτο ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἔφη, ἡ βασιλεία τῶν οὐρανῶν, ἐντὸς ἡμῶν ἐστι. δηλῶν μένουσαν ἔνδον καρδίας τὴν θεότητα.

κδ′. Καὶ νῆψις μὲν, τηλαυγῶς καθαίρει συνείδησιν. τῆς δὲ καθαρθείσης, ὡς φῶς καλυπτόμενον εὐθὺς * ἐκλάμψασα, μέγα ἐκδιώκει σκότος. τοῦ δὲ διωχθέντος, συχνῇ νήψει γνησίᾳ, τὰ λανθάνοντα πάλιν ἡ συνείδησις δεικνύει. καὶ διὰ τοῦ ἐκδιδάσκει τῇ νήψει τὴν ἀόρατον πάλην, καὶ λογικὴν μάχην, καὶ πῶς δεῖ ῥίπτειν λόγχας ἐν τῇ μονομαχίᾳ, καὶ βάλλειν μὲν εὐστόχοις ἀκοντίοις λογισμοῖς, μὴ βάλ-

* ἴσ. ἐκλάμψαν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λεῦσαι δὲ τὸν νοῦν κρυβόμενον ἀκοντίως πρὸς Χριστὸν, ἀντὶ σκότους βλαπτικοῦ, ἱμειρόμενον φῶς· ὃ ὁ γευσάμενος, συνίησιν ὃ λέγω· οὗ φωτὸς ἡ γεῦσις, λιμαγχονεῖ μᾶλλον ψυχὴν τρεφομένην, ἀκ κορεννυμένην δὲ ποτέ· ἀλλ᾽ ὅσον ἐσθίουσαν, ἔτι αὖθις πεινῶσαν. φῶς * νοῦν ἕλκει ὥσπερ ἥλιος ὄμματα· ὁ ἀνερμήνευτον ὂν, ἑρμηνευόμενον * οὐ λόγῳ, πείρᾳ δὲ παθόντος, ἢ τρωθέντος ἀληθέστερον φανεῖται, σιγᾶν με διαγγέλλει· καίγε τοῦ νοῦ θέλοντος τρυφᾶν ἐν τῷ λέγειν τὰ περὶ ὧν λέγω. εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν· οὗ χωρὶς, οὐδεὶς ὄψεται τὸν Κύριον. ἕνεκεν γὰρ κτήσεως ἀγάπης καὶ ἁγνείας, αὗται γὰρ ἡ εἰρήνη, καὶ ὁ ἁγιασμός.

* ἐν ἄλλ. ὂν
* ἐν ἄλλ. λόγῳ

κε. Ὁπλίζειν χρὴ τὸν θυμὸν πρὸς μόνους τοὺς δαίμονας, τοὺς λογιστικῶς ἡμῖν ἐχθραίνοντας, καὶ * κατ᾽ αὐτῶν θυμουμένους. τὸν τρόπον δὲ τοῦ καθ᾽ ὥραν πολέμου τοῦ ἐν ἡμῖν, ἄκουσον καὶ ποίησον. νήψει συνάπτε προσευχὴν, νῆψις γὰρ προσευχὴν καθαίρει, ἡ δὲ, τὴν καθαίρουσαν. ἡ μὲν γὰρ νῆψις, ἀδιαλείπτως ὁρῶσα, νοεῖ τοὺς εἰσερχομένους· κωλύουσα δὲ αὐτοὺς μικρὸν τῆς εἰσόδου, εἰς βοήθειαν καλεῖ τὸν Κύριον Ἰησοῦν Χριστὸν ἐκδιῶξαι πολεμίους πονηρούς· ἡ δὲ προσοχὴ, κωλύει ἀντιλέγουσα * αὐτοὺς. φωνούμενος δὲ ὁ Ἰησοῦς, ἐκδιώκει δαίμονας σὺν φαντασίαις αὐτῶν.

* ἴσ. καθ᾽ ἡμῶν
* ἴσ. αὐτοῖς

κς΄. Λίαν ἔσο ἀκριβῶς τηρῶν σου τὸν νοῦν. ὅταν δὲ λογισμὸν νοήσῃς, ἀντιλογήθητι αὐτῷ· εὐθέως δὲ τάχος, κάλεσον Χριστὸν εἰς ἐκδίκησιν. ὁ δὲ γλυκὺς Ἰησοῦς, ἔτι σου λαλοῦντος, ἐρεῖ· ἰδοὺ πάρειμι [illegible] σοι ἀντίληψιν. σὺ δὲ τούτων τῶν ἐχθρῶν ὅλων, διὰ προσευχῆς, καταδυναστευθέντων πάντων, πάλιν πρόσεχε τῷ νῷ. ἰδοὺ πάλιν κύματα πλείονα τῶν προτέρων, ἀλλεπάλληλος φορὰ, ἐφ᾽ ὧν ψυχὴ νήχεται· ἀλλ᾽ ἰδοὺ αὖ ὁ Ἰησοῦς, ἐγειρόμενος παρὰ τοῦ μαθητοῦ καὶ τοῖς πονηροῖς αὐταις ἐπιτιμῶν ὡς Θεός. διακαρπῶν δ᾽ ἐκ τούτων ὥραν ἴσως, ἢ στιγμὴν, δόξαζε τὸν σεσωκότα, καὶ ἐννόιαζε θάνατον.

κζ. Πάσῃ προσοχῇ καρδίας ἐν αἰσθήσει ψυχῆς ὁδεύσωμεν· προσοχὴ γὰρ, καὶ προσευχὴ καθ᾽ ἡμέραν ζευγνύμεναι, παρόμοια πέλουσιν ἅρματι πυρφόρῳ Ἠλιοῦ, εἰς ὕψος οὐρανοῦ τὸν ἔχοντα μέτοχον κουφίζοντα. καὶ τί λέγω; τοῦ γὰρ νήψει κατορθοῦντες, ἢ κατορθῶσαι σπεύδοντες, καρδία * μακαρία, σὺν ἡλίῳ τε, καὶ σελήνῃ, καὶ ἄστροις, τοπικὸς, οὐρανὸς κατεσκεύασται, Θεοῦ τε τοῦ ἀχωρήτου χώρημα γίνεται, κατὰ μυστικὴν θεωρίαν τε καὶ ἀνάβασιν. ᾧτινι οὖν * αἶνος ἀρετῆς θείας, δοκιμαζέτω ἐκφέρειν σὺν ῥοπῇ Κυρίου, καὶ προθυμίᾳ τοὺς λόγους εἰς ἔργα. καὶ βίᾳ τινὶ τὴν πεντάδα τῶν ἰδίων αἰσθήσεων, ἐξ ὧν ἡ ψυχὴ βλάπτεσθαι εἴωθε, κωλύων, ἐλαφρότερον τῷ νοῒ ἑαυτοῦ τὸν ἐγκάρδιον ἀγῶνα, καὶ πόλεμον πάντως τεύχει· εἴργει οὖν ταύτας τὰς ἔξω, τισὶν ἐπινοίαις, καὶ πολεμεῖ τοὺς ἐξ αὐτῶν τικτομένους λογισμοὺς ἔνδον, ἀσωμάτοις θείαις μεθοδείαις· ἀγρυπνιῶν κόπῳ ἡδονὰς ἀποσβέσει. καὶ περὶ βρωτὰ καὶ ποτὰ ἐγκρατῶς ἔχει. καὶ τὸ σῶμα ἱκανῶς λέπτυνον, ἵνα κοῦφον τὸν ἐγκάρδιον πόλεμον εὐχερῶς σεαυτῷ κατασκευάζῃς· ἑαυτὸν εὐεργετῶν οὐχ ἕτερον· καὶ ἐννοίᾳ θανάτου τὴν ψυχὴν τιμώρει· Ἰησοῦ Χριστοῦ μνήμῃ συνάγαγε σου τὸν νοῦν ἐσκορπισμένον. ταῖς νυξὶ γὰρ μᾶλλον εἴωθεν ὁ νοῦς αἰθεριάζειν λαμπραῖς θεωρίαις Θεοῦ, καὶ τῶν θείων.

* ἐν ἄλλ. καθαρὰ
* ἴσ. ἔρως

κη. Μὴ ἀπαναινόμεθα καὶ σωματικῶν ἀσκήσεων κόπους· ἐκ μὲν γὰρ γῆς, σῖτος. ἐκ δὲ τῶν πόνων, χαρὰ πνευματικὴ, καὶ πεῖρα καλῶν ἐκβλαστάνει. μὴ δὲ τὴν συνείδησιν παραλογιζώμεθα ὁμιλοῦσαν ἡμῖν τὰ σωτήρια, καὶ πρακτέα, τάτε δέοντα, καὶ τὰ ὀφειλόμενα ἐκλαλοῦσαν ἀπαύστως, καὶ μάλιστά γε εἰ τύ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

χοι δι' ἐνεργοῦς τε, καὶ ἐμπρέπει, καὶ λεπτῆς τῆς τοῦ νήψεως καθαιρομένη. ἁρμοδίως γὰρ ἥτε, καὶ ἀναμφιλέκτως τὰς συνειδοτικὰς κρίσεις· διὰ τὸ καθαρὸν αὐτῆς, ἔσωθεν ἐκφέρειν. διὸ οὐ παραλογιστέον αὐτὴν διὰ ταῦτα, βίον γὰρ ἀρέσκοντα Θεῷ, ἔνδον ἐπαγγέλλει· καὶ ἐλέγχουσα τὴν ψυχὴν ἀποτόμως, ἁμαρτίαις ἔσθ' ὅτε βαφεῖσαν τὴν φρένα, τὴν τοῦ σφάλματος πάλιν ἐπανόρθωσιν δεικνύει, ἰθύνουσα τὴν καρδίαν πταίσασαν μετανοεῖν, ὑποδεικνῦσα τὸ ἄκος τερπνῇ ὑπαγορίᾳ.

κθ'. Καπνὸς ἐκ ξύλων ἀναθρώσκων, βαρὺς γίνεται ὄμμασιν, ἀλλὰ δεικνύει φῶς αὐτοῖς, καὶ τέρπει οὓς ἐλύπει πρότερον· καὶ προσοχὴ ἀδιαλείπτως μὲν ὁρῶσα, ἐπιφέρει βάρος· φθάσας δὲ ἐν αὐτῇ Ἰησοῦς καλούμενος, φωτίζει καρδίαν· ἡ γὰρ αὐτοῦ μνήμη, παρέχει ὁμοῦ τῇ ἐλλάμψει, τὸ κράτιστον τῶν καλῶν.

λ'. Πέφυκέ πως ὁ ἐχθρὸς ἡμῶν τὸν νοῦν ἐκμολύνειν, καὶ χοῦν ἐσθίειν καὶ ἡμᾶς σὺν αὐτῷ ἐπιθυμεῖ. καὶ τὴν κατ' εἰκόνα Θεοῦ, ἐπὶ κοιλίας βαδίζειν ἐφίεται. διὰ τοῦτό φησιν ὁ Θεὸς, Ἔχθραν θήσω ἀναμέσον σοῦ καὶ αὐτοῦ· τούτου ἕνεκα, δεῖ ἡμᾶς τὸν Θεὸν ἀεὶ ἀναπνέειν· ἵν' ἐκ τούτου, ἄτρωτοι ἐκ τῶν τοῦ διαβόλου πεπυρωμένων βελῶν, τὸ καθ' ἡμέραν διαβαίνωμεν. σκεπάσω αὐτὸν, φησὶν, ὅτι ἔγνω τὸ ὄνομά μου. καὶ πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ.

λα'. Ὁ μακάριος Ἀπόστολος, τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ ἐν Χριστῷ λαλῶν, πεῖραν πολλὴν τοῦ ἔνδον, καὶ ἐν ἡμῖν αὐτοῖς ἀθεάτου, καὶ νοητοῦ πολέμου ἔχων, Ἐφεσίοις γράφων ἔλεγεν· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα· ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου· πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. ὁ δὲ Ἀπόστολος Πέτρος φησί· Νήψατε, γρηγορήσατε, ὅτι ὁ ἀντίδικος ἡμῶν διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ ζητῶν, τίνα καταπίῃ. ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει. ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διαλεγόμενος περὶ διαφόρων προαιρέσεων τῶν ἀκουόντων τῶν τοῦ Εὐαγγελίου λόγων, ἔφη. Εἶτα ἔρχεται ὁ διάβολος, καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας· δηλαδὴ, λήθῃ πονηρᾷ τὴν κλοπὴν ἐνεργῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν. καὶ πάλιν ὁ Ἀπόστολος· Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ εἰς τὸν ἔσω ἄνθρωπον, βλέπω δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με· εἰρήκασι δὲ ταῦτα διδάσκοντες ἡμᾶς, καὶ τὸ λανθάνον γνωρίζοντες.

λβ'. Πέφυκέ πως ἡ γνῶσις φυσιοῦσθαι, οἰομένη ὡς ὑπὲρ πολλοὺς εἶναι, ὅπερ στερηθῇ τῆς αὐτομεμψίας, καὶ ταπεινώσεως. οἷς οὖν ἐπίγνωσις ἰδίας ἀσθενείας, τοῦτο φρονοῦμεν, ἀκούοντες τοῦ φάσκοντος. Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι, ἓν δὲ, τὰ μὲν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος· κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Χριστοῦ. καὶ πάλιν. Ἐγὼ οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων· ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. οἶδας ταπείνωσιν, ὅση ἐν ταύτῃ, καὶ δρόμος εἰς ἀρετήν; ὁρᾷς τοῦ Ἁγίου Παύλου τοσούτου, καὶ τηλικούτου τὴν ταπείνωσιν ὁποίαν; Χριστὸς φησίν· ἦλθεν ἐν κόσμῳ ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτος εἰμὶ ἐγώ. οὐκ οὖν ἀνάγκη ταπεινοῦσθαι ἡμᾶς, εἴγε τὸ ἀτελὲς τῆς φύσεως ἔχομεν· τί γὰρ πηλοῦ ἀτελέστερον; καὶ Θεοῦ δεῖ μνημονεύειν ἡμᾶς, εἴγε διὰ τοῦτο ἐποιήθημεν. ἀλλὰ καὶ ἐγκράτειαν δεῖ ἀσκεῖν, ἵνα κοῦφοι τρέχωμεν ἐν Κυρίῳ ἡμῶν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λγʹ. Ἀδύνατον τὸν πονηροῖς λογισμοῖς ἐν αὐτῷ ὄντα, καθαρεύειν ἐξ ἁμαρτιῶν εἰς τὸν ἔξω ἄνθρωπον. καὶ οὐ δυνατὸν μὴ ἐκ καρδίας ἐκριζουμένους τοὺς πονηροὺς λογισμοὺς, μὴ προφέρειν εἰς ἔργα πονηρὰ τούτους· καὶ τοῦ ὁρᾷν μοιχικῶς αἴτιον, τὸ τὸν ἔσω ὀφθαλμὸν προμοιχευθῆναι, καὶ σκοτισθῆναι· καὶ τοῦ θέλειν ἀκούειν αἰσχρὰ, αἴτιον, τὸ ἀκούειν τοῖς ψυχικοῖς ὠσὶ τοὺς ἔνδον αἰσχροὺς δαίμονας, οἷα καθ' ἡμῶν ψιθυρίζουσιν. ὀφείλομεν οὖν ἐν Κυρίῳ καθαίρειν ἑαυτοὺς ἔνδον, καὶ ἔξω, τηρεῖν δὲ ἕκαστος ἡμῶν τὰς ἰδίας αἰσθήσεις, καὶ καθαίρειν τὸ καθ' ἑκάστην ἐξ ἐμπαθῶν ἐνεργειῶν τε, καὶ ἐφαμαρτίων, καὶ καθάπερ πρῴην ἐν τῇ ἀγνοίᾳ ἡμῶν ἐν τῷ κόσμῳ ἀναστρεφόμενοι ἐν τῇ ματαιότητι τοῦ νοὸς ἡμῶν, ὅλῳ τῷ νοῒ, καὶ ταῖς αἰσθήσεσι δεδουλεύκαμεν τῇ ἀπάτῃ τῆς ἁμαρτίας, οὕτω πάλιν χρὴ ἡμᾶς εἰς τὸν κατὰ Θεὸν βίον μεταθεμένους, ὅλῳ τῷ νοῒ, καὶ ταῖς αἰσθήσεσι δουλεύειν Θεῷ ζῶντι, καὶ ἀληθινῷ, καὶ Θεοῦ δικαιοσύνῃ, καὶ θελήματι.

λδʹ. Ἔστι πρῶτον προσβολή· ἔπειτα συνδυασμός. εἶτα συγκατάθεσις. ἔπειτα αἰχμαλωσία. εἶτα πάθος ποιωθὲν συνηθείᾳ καὶ συνεχείᾳ· ἰδοὺ δὴ τῆς καθ' ἡμῶν πάλης ἡ νίκη. οὕτω γὰρ καὶ παρὰ τῶν Ἁγίων Πατέρων ὁρίζεται.

λεʹ. Καὶ προσβολὴν μὲν εἶναί φασιν, λογισμὸν ψιλὸν, ἢ εἰκόνα πράγματος τυχὸν νεοφανῶς γεννηθεῖσαν ἐν τῇ καρδίᾳ, καὶ τῷ νῷ παραφαινομένην. συνδυασμὸν δὲ, τὸ συλλαλῆσαι τῷ φανέντι κατὰ πάθος, ἢ ἀπαθῶς. συγκατάθεσιν δὲ, νεῦσιν ἐνήδονον τῆς ψυχῆς πρὸς τὸ ὀφθὲν γινομένην. αἰχμαλωσίαν δὲ, βιαίαν, καὶ ἀκούσιον τῆς καρδίας ἀπαγωγὴν, ἢ ἐπίμονον, καὶ τῆς ἀρίστης ἡμῶν καταστάσεως ἀφανιστικὴν συνουσίαν πρὸς τὸ τυχόν. πάθος δὲ κυρίως λέγουσι, τὸ χρόνῳ μακρῷ ἐμπαθῶς τῇ ψυχῇ ἐμφωλεῦον. τούτων ἁπάντων, τὸ μὲν πρῶτον, ἀναμάρτητον· τὸ δὲ δεύτερον, οὐ πάντως· τὸ δὲ τρίτον, πρὸς τὴν τοῦ ἀγωνιζομένου κατάστασιν· ἡ δὲ πάλη, ἢ στεφάνων, ἢ τιμωριῶν αἴτιος.

λϛʹ. Ἡ γὰρ αἰχμαλωσία, ἑτέρως ἐν καιρῷ προσευχῆς, καὶ ἑτέρως ἐν οὐ καιρῷ. τὸ δὲ πάθος, ἀναμφιβόλως ἢ ἀντιζύγῳ μετανοίᾳ, ἢ τῇ μελλούσῃ κολάσει ὑπόκειται. τοίνυν ὁ τὴν * πρώτην ἀνθιστάμενος ἢ ἀπαθῶς λογιζόμενος, ἤτοι τὴν προσβολὴν, πάντα τὰ αἰσχρὰ ὑφ' ἓν περιέκοψεν. αὕτη ἡ πάλη, πρὸς Μοναχούς τε, καὶ οὐ Μοναχοὺς τῶν πονηρῶν δαιμόνων, καὶ ἧττα καὶ νίκη, ὡς ἔφημεν. καὶ ἐκ τῆς νίκης, ἢ στέφανοι, ἢ ποιναὶ, πταίσασι, καὶ μὴ μετανοήσασιν. ἀγωνισώμεθα οὖν νοητῶς κατ' αὐτῶν, ἵνα μὴ τὰ πονηρὰ αὐτῶν βουλεύματα, εἰς ἐφάμαρτα αἰσθητὰ ἔργα ἐξενέγκωμεν. ἀλλ' ἀπὸ καρδίας τὴν ἁμαρτίαν ἐκκόπτοντες, τὴν τῶν οὐρανῶν βασιλείαν ἐντὸς ἑαυτῶν εὑρήσομεν· τήν τε καθαρότητα τῆς καρδίας ἡμῶν, καὶ κατάνυξιν διηνεκῆ πρὸς Θεὸν φυλαξώμεθα διὰ τῆς τοιαύτης καλλίστης ἐργασίας.

* ἰσ. τῇ πρώτῃ

λζʹ. Πολλοὶ τῶν Μοναχῶν οὐκ ἴσασι τοῦ νοὸς τὴν πλάνην, ἣν ἀντλᾷ ἐκ δαιμόνων. διάκεινται δὲ τῇ πράξει, οὐ φροντίζοντες τοῦ νοῦ, ἁπλοῖ καὶ ἄπλαστοι ὄντες, πλέουσι τὸν βίον· οἶμαι· ἄγευστοι ὄντες καρδίας καθαρότητος, ὅλως τῶν παθῶν τῶν ἔνδον τὸ σκότος ἀγνοοῦντες. ὅσοι οὖν οὐκ ἴσασι πάλην, ἣν λέγει Παῦλος, οὔτε τῷ καλῷ ἐκ πείρας ἴσως ποιωθέντες, τὰς κατ' ἐνέργειαν ἁμαρτίας, πτώματα κρίνουσι μόνον, τὰς κατ' ἔννοιαν ἥττας καὶ νίκας οὐ λογιζόμενοι· ἐπεὶ μὴ δὲ ὄψις αὐτὰς πέφυκεν ὁρᾷν ὑπορρήτους οὔσας καὶ μόνῳ τῷ ἀγωνοθέτῃ Θεῷ, καὶ τῇ συνειδήσει τοῦ ἀγωνιζομένου γινωσκομένας. οἷς λελέχθαι δοκῶ τὸ γραφικὸν ἐκεῖνο, Καὶ εἶπον· φησίν· εἰρήνη, ἀλλ' οὐκ ἦν εἰρήνη·



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἔχουσιν οὖν ἐν τοῖς ἀδελφοῖς εἰς ἁπλότητος οὕτως, δέχεσθαι αὐτοῖς καὶ διδάσκειν ὡς μάλιστα, ἵνα τῶν κατ᾽ ἐνέργειαν κακῶν ἀπέχωνται πράξεων. οἷς δὲ ἔφεσις θεία τὸ τῆς ψυχῆς ὀπτικὸν ἐκκαθαίρεσθαι, πρᾶξις ἄλλη Χριστοῦ, καὶ ἄλλο μυστήριον.

λη'. Περιεκτικὴ τῷ ὄντι πολλῶν ἀρετῶν ἡ ἐναργὴς τοῦ θανάτου μνήμη. γεννήτρια πένθους. προξενεῖ ἐγκρατῶς ἔχειν ἐκ πάντων. ὑπόμνησις γεέννης. μήτηρ εὐχῆς καὶ δακρύων. φυλακὴ καρδίας. ἀπροσπάθεια τῆς πηλοῦ, ὡς πηλίνης. βρύσις ἀγχινοίας σὺν διακρίσει. ὧν τέκνα, ὁ διττὸς Θεοῦ φόβος. καὶ κάθαρσις λογισμῶν ἐμπαθῶν ἐκ καρδίας, περιεκτικὴ πολλῶν ἐντολῶν δεσποτικῶν τυγχάνει. ἐν αὐτῇ θεωρεῖται ὁ καθ᾽ ὥραν ἀγὼν ὁ δυσμαχώτατος, καὶ τοῖς πολλοῖς ὢν ἐν φροντίδι τῶν ἀθλητῶν τοῦ Χριστοῦ.

Ἐξ ἀπροσδοκήτων σύμβασις, ἢ συμφορὰ ἐπελθοῦσα, λυμαίνεται οὐ μικρῶς προσοχὴν διανοίας. καὶ τὸν νοῦν ἐκστήσασα ἰδάσεως τῆς κρείττονος, καὶ ἐναρέτου, καὶ καλῆς καταστάσεως, πρὸς φιλονεικίας καὶ ἔριδας ἐφαμάρτους ἐκτρέπει. αἴτιον δὲ τοῦ ὀλέθρου ἡμῖν τούτου, τὸ ἀμερίμνως τῶν ἐπιφορῶν διαΐσκεσθαι πάντως. λθ'.

μ'. Οὐδὲν ἡμᾶς λυμανεῖται, οὔτε λυπήσει τῶν καθ᾽ ἡμέραν ἀνιαρῶν, ἡμῖν προσπιπτόντων, ἅπαξ εἰδότας καὶ μελέτην ποιουμένους αὐτὸ πάντοτε. διό φησιν ὁ θεῖος Ἀπόστολος Παῦλος. Εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις. καὶ, Πάντες οἱ θέλοντες εὐσεβῶς ζῇν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Ἠλίας

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἠλίας ὁ Θεῖος οὗτος Πατὴρ, ὁ καὶ Ἔκδικος ἐπονομαζόμενος, πότερον Ἠλίας ὁ Κρήτης, ὁ καὶ τῶν τοῦ Γρηγορίου θεολογικῶν λόγων σχολιαστὴς, οὗτός ἐστιν, ἢ ἕτερός τις, ἡμῖν ἄδηλον. Ὅσον γε μὴν ἐκ τῶν παρόντων αὐτοῦ κεφαλαίων, ὡς ἔκτινων ἀποτελεσμάτων τὸν ποιητὴν, ἐπιγνῶναι, ἀνὴρ ἦν, εἴτις καὶ ἄλλος, σοφίας εἰς ἄκρον ἐληλακὼς, τῆς τε θύραθεν, καὶ πολλῷ μᾶλλον τῆς καθ' ἡμᾶς τε, καὶ κρείττονος. τήν τε γὰρ ἐν λόγοις δύναμιν, καὶ τὸ περιὸν αὐτῷ τῆς ἀρετῆς κλέος ῥᾳδίως ἂν ἐν τούτοις κριτικὸς ἀνὴρ καταμάθοι. ἃ δὴ καὶ ἡμεῖς κατιδόντες, καὶ τὸν ἐν αὐτοῖς πολύχουν καρπὸν τῆς ἠθικῆς, καὶ γνωστικῆς διδασκαλίας θαυμάσαντες, ναὶ μὴν, καὶ κάθεντες οἷον τισι φύλλοις σκέπην τε τῷ καρπῷ, καὶ ὄψιν παρεχομένοις οὐκ ἄωρον, ταῖς τῶν μεταφορῶν φημὶ, καὶ λέξεων χάρισιν, αἷς εἰς τὸ ἄριστον ὁ Πατὴρ αὐτῶν ἐχαρίτωσε, τούτοις τοὺς φιλομαθοῦντας φιλοφρονούμεθα, καὶ εἰσελθεῖν αὐτοὺς παρακαλοῦμεν ἐν ἀγάπῃ, τὸν ἀνθηρὸν τουτονὶ καὶ εὐώδη λειμῶνα, ὡς οὕτως ἐπιγράφεται, πολλαῖς μὲν καὶ ὑψηλαῖς ἀειδενδράσι τῶν πνευματικῶν λογίων πεπυκασμένον, ῥείθροις δὲ θείας σοφίας ποτιμωτάτοις κατάρρυτον· καὶ τῇ σκιᾷ τούτου ὑποκαθίσαι. ὡς ἂν καὶ αὐτοὶ, οὐ μόνον τῶν τῆς πρακτικῆς ῥοῶν ἀπολαύσωσιν, ἀλλὰ καὶ τῶν ἀκροδρύων τῆς θεωρίας, ᾀσματικῶς εἰπεῖν, ζακόρως κατατρυφήσωσιν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη



# ἈΝΘΟΛΟΓΙΟΝ

## ΓΝΩΜΙΚῸΝ ΦΙΛΟΣΟΦΩΝ ΣΠΟΥΔΑΙΩΝ,

Συλλεχθὲν καὶ πονηθὲν

## ἩΛΙΑ

## ἘΛΑΧΙΣΤΩ, ΠΡΕΣΒΥΤΕΡΩ, ΚΑῚ ἘΚΔΙΚΩ.

Πηγὴν μάνσαν, ἠθικὴν δρόσον λόγον· ἐν ταῦθ᾽ ἐφεύροις.
εἰ μετέλθῃς γνησίως.

α΄ Ἔστι παντὶ Χριστιανῷ τῷ ὀρθῶς πιστεύοντι εἰς τὸν Θεόν, μὴ ἀμεριμνεῖν, ἀλλὰ πάντοτε προσδοκᾷν, καὶ ἐκδέχεσθαι πειρασμόν. ἵν᾽ ὅταν ἔλθῃ, μὴ ξενίζηται μηδὲ ταράσσηται, ἀλλ᾽ εὐχαρίστως ὑπομένῃ τὸν κόπον τῆς θλίψεως, καὶ σὺν τῷ τί ψάλλων σὺν τῷ Προφήτῃ λέγει. Δοκίμασόν με Κύριε, καὶ πείρασόν με. καὶ οὐκ ἤρκεσεν ὅτι ἡ παιδεία σου κατέστρεψεν, ἀλλ᾽ ἀνώρθωσέ με εἰς τέλος.

β΄ Ἀρχὴ μὲν τῶν καλῶν, φόβος Θεοῦ. τέλος δέ, ὁ πόθος αὐτοῦ.

γ΄ Ἀρχὴ παντὸς ἀγαθοῦ, λόγος ἔμπρακτος, καὶ πρᾶξις ἐλλόγιμος. διὸ οὔτε πρᾶξις, λόγου χωρίς, ἀγαθή· οὔτε λόγος, πράξεως αὐτοῦ, ὁ προερχόμενος.

δ΄ Πρᾶξίς ἐστι, σώματος μέν, νηστεία, καὶ ἀγρυπνία. στόματος δὲ ψαλμῳδία, καὶ προσευχή, καὶ σιωπὴ λόγου τιμιωτέρα· καὶ χειρῶν πρᾶξις, τὸ ὑπ᾽ ἐκείνων ἀγογγύστως γινόμενον. ποδῶν δέ, τὸ δι᾽ αὐτῶν ἐκ πρώτης προτροπῆς ἀνυόμενον.

Προηγεῖται πασῶν τούτων, ἔλεος καὶ ε΄
ἀλήθεια. ὧν κύημα ἡ ταπείνωσις, καὶ ἡ ἐκ ταύτης πρὸς τοὺς πατέρας προσγινομένη διάκρισις. ἧς ἄνευ, οὐδ᾽ ἑτέρα τὸ ἑαυτῆς ἰδεῖν πέρας δυνήσεται. ἡ μὲν γὰρ πρᾶξις τὸν τοῦ λόγου ζυγὸν ἀτιμάζουσα, ὧδε κἀκεῖσε περὶ τὰ ἀνωφελῆ οἷά τις δάμαλις περιπλανωμένη εὑρίσκεται· ὁ δὲ λόγος τῆς πρακτικῆς τοὺς ἐντίμους χιτῶνας ἀποποιούμενος, ἐξ εὐσχήμων καὶ πτωχὸς εἶναί πως τῷ δοκεῖν σχηματίζεται.

Ἡ ἀνδρεία ψυχή, ὡς γυνὴ παρ᾽ ὅλον ϛ΄
αὐτῆς τὸν βίον, ὡς δύο λύχνους τὸ πρακτικόν τε καὶ θεωρητικὸν καιομένη, κα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τέχνασι, πράττει τὰ ὀφειλόμενα. τὰ ἐναντία δὲ πάλιν, ἡ παρειμένη ταῖς ἡδοναῖς.

ζ'. Οὐκ ἀρκεῖ τῇ ψυχῇ πρὸς τελείαν κακίας ἀπαλλαγὴν, ἡ ἑκούσιος κακοπάθεια, εἰ μὴ καὶ διὰ τῆς ἀκουσίου, ἐκπυρωμένη μὴ διαλύηται. οἷα γάρ τις μάχαιρα ἡ ψυχὴ, εἰ μὴ διὰ πυρὸς διέλθῃ καὶ ὕδατος, τουτέστιν ἑκουσίων πόνων καὶ ἀκουσίων, ἄθραυστος ταῖς ἀντιτυπίαις τῶν ἐπισυμβαινόντων οὐ συντηρεῖται.

η'. Ὥσπερ τῶν ἑκουσίων πειρασμῶν τρία εἰσὶ τὰ καθολικώτερα αἴτια, ὑγεία, πλοῦτος, καὶ εὔκλεια. οὕτω καὶ τῶν ἀκουσίων τρία εἰσὶ, ζημίαι, λοιδορίαι, ἀσθένειαι. γίνονται δὲ ταῦτα τισὶ μὲν εἰς οἰκοδομὴν, τισὶ δὲ εἰς καθαίρεσιν.

θ'. Παρυφέστηκε ψυχῇ μὲν, ἐπιθυμία, καὶ λύπη. σώματι δὲ, ἡδονὴ, καὶ ὀδύνη. αἴτιον δὲ τῆς μὲν ὀδύνης, ἡ ἡδονή. θέλοντες γὰρ ἐκφυγεῖν τὴν κατὰ τὴν ὀδύνην ἐπίπονον αἴσθησιν, πρὸς τὴν ἡδονὴν καταφεύγομεν. τῆς δὲ λύπης, ἐπιθυμία.

ι'. Ἐνδιάθετον μὲν ὁ ἐνάρετος κέκτηται τὸ καλὸν, περιεστεμμένον δὲ ὁ κενόδοξος. τὸ δὲ κακὸν, ὁ μὲν σπουδαῖος, ἐξ ἐπιπολῆς ἔχει, κατὰ βάθος δὲ ὁ φιλήδονος.

ια'. Πρᾶξις ψυχῆς ἐστιν, ἐγκράτεια τῇ ἁπλότητι, καὶ ἁπλότης τῇ ἐγκρατείᾳ ἐστεργμένη.

ιβ'. Νοῦ πρᾶξίς ἐστιν, ἡ ἐν θεωρίᾳ εὐχὴ, καὶ ἡ ἐν εὐχῇ θεωρία.

ιγ'. Ὀλιγάκις μὲν, καὶ οὐκ ἐπιμελῶς πρὸς τὸ κακὸν εὑρίσκεται ὁ τοῦτο μισῶν. πλεονάκις δὲ καὶ προσεκτικώτερον, ὁ ἐπὶ ταῖς αἰτίαις ἐκείνου προσκείμενος.

ιδ'. Οἷς μὴ κατὰ πρόθεσιν τὸ μετανοεῖν, τούτοις συνεχῶς καὶ τὸ πλημμελεῖν. οἷς δὲ παρὰ πρόθεσιν τὸ ἁμαρτάνειν, ἐμπληροφόρητος ἡ μετάνοια, καὶ τὸ αἴτιον ταύτης οὐχ' συχνόν.

Αὔξησις, καὶ συμμείωσις, λόγῳ τῷ κατὰ προφορὰν, συνερχέσθωσαν. ὅπως ὁ εἰρηνικὸς καὶ θεῖος λόγος, ἐν μέσῳ τούτων εὑρίσκεσθαι, μὴ καταισχύνηται διὰ τῆς προπετείας, ἢ τῆς ἀμετρίας τῶν λεγομένων. ιε'.

Οὐχ ὁ τοῖς ἔργοις μὴ ἀδικῶν τὴν ψυχὴν αὐτοῦ, οὗτος καὶ τοῖς λόγοις ἀμίαντον αὐτὴν συντήρησεν. οὐδὲ ὁ τούτοις φυλάττων, ἤδη καὶ μολυσμοῖς οὐκ ἐμόλυνε. τριττὸν γὰρ τὸ ἁμαρτάνειν καθέστηκεν. ιϛ'.

Οὐ δυνήσῃ τὸ πρόσωπον τῆς ἀρετῆς κατιδεῖν, ἡδέως ἔτι τὸ τῆς κακίας κατανοῶν. μισητὸν δέ σοι τότε φανεῖται τὸ δεύτερον, ὅτε τρυφῆς ἐπιθυμητῆς τὴν γεῦσιν, καὶ πικρότης τὴν ὄψιν ἀποξενώσῃς μορφῆς. ιζ'.

Διὰ τῶν λογισμῶν, οὐ διὰ τῶν πραγμάτων προηγουμένως πολεμοῦσιν οἱ δαίμονες τὴν ψυχήν. αὐτὰ γὰρ καθ' ἑαυτὰ πολεμοῦσι τὰ πράγματα. καὶ τῶν μὲν πραγμάτων, ἡ ἀκοὴ αἴτιος, καὶ ἡ ὅρασις. τῶν δὲ λογισμῶν ἡ συνήθεια, καὶ οἱ δαίμονες. ιη'.

Τριττὸν μὲν τὸ ἁμαρτητικὸν μέρος τῆς ψυχῆς εὑρίσκομεν. ἐν ἔργοις, ἐν λόγοις, καὶ ἐννοίαις. ἑξαδικὸν δὲ τὸ τῆς ἀναμαρτησίας καλόν. ἀπταίστους γὰρ τὰς πέντε αἰσθήσεις, καὶ τὸν προφορικὸν δεῖ συντηρεῖν λόγον. ἐν οἷς ὁ μὴ πταίων, ἀνὴρ τέλειος, δυνατὸς χαλιναγωγῆσαι καὶ τὰ λοιπὰ μέρη τῆς ψυχῆς. ιθ'.

Ἑξαχῶς τὸ ἄλογον μέρος διαιρεῖται τῆς ψυχῆς, εἴς τε τὰς πέντε αἰσθήσεις, καὶ εἰς τὸν κατὰ προφορὰν λόγον. ὃς συνδιατηρεῖται μὲν ἀδιαιρέτως τῷ πάσχοντι, ἀπαθὴς ὤν. ἀναμάττεται δὲ τὴν αὐτοῦ κακίαν, παθητικὸς εὑρισκόμενος. κ'.

Οὔτε σῶμα δύναται νηστείας, καὶ ἀγρυπνίας καθαρθῆναι χωρὶς, οὔτε ἐλέους, καὶ ἀληθείας ψυχή. ἀλλ' οὔτε νοῦς ἄνευ ὁμιλίας, καὶ θεωρίας Θεοῦ. αὗται κα'.

γὰρ αἱ συζυγίαι, ἐν πάσαις ἐπισημαίνονται.

κβʹ. Κυκλοφορουμένη ταῖς ἐναντίαις ἀρεταῖς ἡ ψυχή, ἀπερικτύπητον τὸ ταύτης ἐκ πειρασμῶν καθίστησι φρούριον, ὅ ἐστιν ἡ ὑπομονή. Ἐν τῇ ὑπομονῇ ὑμῶν γὰρ κτήσασθε τὰς ψυχὰς ὑμῶν, ὁ Λόγος φησίν. εἰ δὲ ἑτέρως ἐχόμενα εἴη, οἷά τις πόλις ἀτείχιστος καὶ ὑπὸ τῶν πόρρωθεν ψόφων, δειλίας μοχλοῖς κατασείεσθαι εἴωθεν.

κγʹ. Οὐχ ὅσοι εἰς τὰ κατὰ λόγον εἰσὶ φρόνιμοι, ἤδη καὶ εἰς τὰ κατ' ἔννοιαν. οὐδὲ ὅσοι εἰς τὰ κατ' ἔννοιαν, ἤδη καὶ εἰς τὰ κατ' αἴσθησιν τὴν ἔξωθεν εὑρεθήσονται. εἰ γὰρ καὶ πάντας ὑποφόρους ἔχει ἡ αἴσθησις, ἀλλ' οὐχ ὁμοίως αὐτῇ τοὺς φόρους ἀποδιδόασι. δι' ἀφελότητος γὰρ οἱ πλείους εἰς τὰ κατ' αὐτὴν τιμᾶν αὐτήν, ὡς αὐτὴ ἀπαιτεῖ, οὐκ ἐπίστανται.

κδʹ. Τῇ φύσει ἄτμητος οὖσα ἡ φρόνησις, τέμνεται εἰς διαφόρους τομάς. ᾧ μὲν γὰρ δίδοται πλέον, ᾧ δὲ ἔλαττον αὐτῆς, ἕως αὐξηθεῖσα ἡ πρακτικὴ ἀρετή, συνδρόμους τε αὐτῇ τὰς γενικὰς ἔχουσα ἀρετάς, τὸ ἐνδεχόμενον ἑκάστῃ ἀναπληρώσῃ καλόν. οἱ πλείους γὰρ κατὰ τὴν ἔλλειψιν τῆς ἐμπράκτου ζωῆς, καὶ τὸ φρονεῖν ἐκληρώσαντο.

κεʹ. Εἰς μὲν τὰ κατὰ φύσιν, ὀλίγοι φρόνιμοι εὑρεθήσονται. εἰς δὲ τὰ παρὰ τὴν φύσιν, πολλοί. διὰ γὰρ τοῦ περὶ αὐτά, ὅλην αὐτῶν τὴν φυσικὴν φρόνησιν ἐκκενώσαντες, ἔχουσιν ἐκεῖ μὲν τὸ φρονεῖν ὀλίγον. τὸ πλεῖστον δὲ ἐν τοῖς περιττοῖς, καὶ οὐ τῇ φύσει ἐπαινετοῖς.

κϛʹ. Τῆς ἀλόγου σιωπῆς, ὁ καιρὸς καὶ τὸ μέτρον συνεστιάτορες. πανδαισία δὲ ταύτης γίνεται ἡ ἀλήθεια. καθ' ἣν ὁ τοῦ ψεύδους πατὴρ ἐπὶ ψυχὴν ἀποδημοῦσαν ἐρχόμενος, εὑρίσκει τῶν ἐπιζητουμένων οὐδέν.

κζʹ. Ἐλεήμων ἀληθής, οὐχ ὁ παρέχων ἑκουσίως τὰ περιττά, ἀλλ' ὁ συγχωρῶν τὰ ἀναγκαῖα τοῖς ἁρπάζουσι.

κηʹ. Οἱ μέν, τῷ ἐνύλῳ πλούτῳ κτῶνται τὸν ἄϋλον ἐλεημοσύνης θεσμοῖς. οἱ δέ, τῷ ἀΰλῳ ἀποκτῶνται τὸν ἔνυλον ἐν αἰσθήσει τοῦ ἀνελλιποῦς γινόμενοι.

κθʹ. Φίλον μὲν παντί, τὸ πλουτεῖν ἐν καλοῖς· λυπηρὸν μὲν τῷ θείως πλουτίσαντι μέν, μὴ ἐπιπλεῖστον συγχωρηθῆναι δὲ ἐνευφρανθῆναι αὐτοῦ.

λʹ. Ἔξωθεν μὲν ἡ ὑγεία δοκεῖ τῇ ψυχῇ, ἔνδοθεν δὲ ἐν τῷ τῆς αἰσθήσεως πυθμένι πέφυκε κρύπτεσθαι ἡ ἀρρωστία αὐτῆς. εἰ δὲ δεῖ πάντως ἔξωθεν μὲν τὴν ἀρρωστίαν ἐκείνην τῷ ἀναθερισμῷ τῶν ἐλέγχων γενέσθαι, ἔνδοθεν δὲ τὴν ὑγείαν δηλονότι ταύτην τῷ ἀνακαινισμῷ τοῦ νοός. ἄφρων ὁ τοὺς ἐλέγχους ἀποσειόμενος, καὶ ἐν τῷ τῆς ἀπαλγησίας πάντοτε ἀνακεῖσθαι νοσοκομείῳ μὴ αἰσχυνόμενος.

λαʹ. Μὴ ζαχωθῇς κατὰ τοῦ ἀκουσίως σε χειρουργήσαντος. ἀλλὰ πρὸς τὴν ἐκ κενώσεως ταύτην ἀηδίαν ἀποβλεψάμενος, ταλάνισον μὲν σεαυτόν, μακάρισον δὲ τὸν αἴτιόν σοι ταύτης γενόμενον τῆς ὠφελείας, οἰκονομίᾳ Θεοῦ.

λβʹ. Μὴ πρός τι δεινὸν ἀποδειλιάσῃς τῆς ἀρρωστίας σου. ἀλλὰ διὰ τῶν τῆς φιλοπονίας δραστικωτέρων φαρμάκων, πόρρω γενοῦ ταύτης, ὁ τῆς κατὰ ψυχὴν ὑγείας ἐπιμελούμενος.

λγʹ. Μὴ συσταλῇς ἀπὸ τοῦ καιρίως σε πλήττοντος. πρόσιθι δὲ τούτῳ καὶ ἀπόδειξαι σοι, ὅσον τὸ ἀποτμητικὸν τὴν αἴσθησίν σου καλόν. καὶ φύγῃ ὄψον ἡδὺ τὸ ἐκ τῆς ὑγείας, μετὰ τὸ ἀναλωθῆναι τὸ ἐκ πικρίας ἀπόβλεπε.

λδʹ. Ὅσοι αἰσθάνῃ τῶν πόνων, τοσοῦτον ἀποδέχου τὸν πόνον διὰ τῶν ἐλέγχων ὑποδεικνύοντά σοι. καθάρσεως γὰρ τελείας, αἴτιός σοι καθίσταται· ὡς αὐτός, ὁ πο-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θαρῷ χωρίῳ πρὸ τῆς ἀρχῆς, οὐ δύναται γενέσθαι ὁ νοῦς.

λε'. Ἐν τῷ ἐλέγχεσθαι, ἢ σιωπᾶν δεῖ, ἢ ἠπίως ἀπολογεῖσθαι τῷ καταλέγοντι· οὐ διὰ τὸ συστῆσαι τὰ οἰκεῖα τὸν ἐλεγχόμενον. διὰ δὲ τὸ ἀναστῆσαι ἴσως προσκόψαντα, τὸν ἐν ἀγνοίᾳ ἐλέγχοντα.

λς'. Τῷ λυπήσαντι δικαίως, ὁ πρὸ τοῦ προσκληθῆναι ὑπ' αὐτοῦ μετανοῶν, ἐζημίωται τῶν ἀνηκόντων οὐδέν. ὁ δὲ μετὰ τὴν πρόσκλησιν, τῆς ἀφοσίας τὸ ἥμισυ. κερδαίνει μέντοι ὅλον τὸ προκαταβληθὲν, ὁ μηδέποτε διὰ λύπην ἀποσυνάγωγος εὑρισκόμενος. προςίθησι δὲ καὶ μισθὸν ἑαυτῷ, ὁ τῷ σφάλμα βάλλων ἐπαίνῳ αὐτοῦ ἐν παντί.

λζ'. Οὔτε ὁ ὑψηλόφρων ἐπιγινώσκει οἷα τὰ ἑαυτοῦ ἐλαττώματα, οὔτε τὰ οἰκεῖα ὁ ταπεινόφρων καλά. καλύπτει γὰρ τὸν μὲν, ἄνοια φαύλη. τὸν δὲ, ἡ θεάρεστος.

λη'. Τοῖς ἰσοτίμοις ὁ ὑπερήφανος, ἐν καλοῖς παραμετρεῖσθαι οὐ βούλεται· ἐν δὲ τοῖς ἐναντίοις, πρὸς τοὺς ὑπερέχοντας, φορητὸν, τὸ ἑαυτοῦ παραβαλλόμενος ἡγεῖται ἐλάττωμα.

λθ'. Ὁ μὲν ψόγος, στεῤῥάν· ἔκλυτον δὲ ὁ ἔπαινος τὴν ψυχὴν ἀπεργάζεται· καὶ νωθροτέραν πρὸς τὰ καλά.

μ'. Ὑπόστασις μὲν πλούτου, χρυσός· ἀρετῆς δὲ, ἡ ταπείνωσις. ὡς οὖν ὁ χρυσοῦ ἀπορῶν πένης ἐστὶ, κἂν μὴ τοῖς ἔξωθεν φαίνηται. οὕτω ταπεινώσεως ἄνευ, ἐνάρετος οὐκ ἔσται ὁ ἀγωνιζόμενος.

μα'. Χρυσοῦ δίχα, ὥσπερ ὁ ἔμπορος οὐ πέφυκεν ἔμπορος, κἂν λίαν πρὸς ἐμπορίαν ἐστὶν ἐπιτήδειος, οὕτως οὐδὲ ταπεινοφροσύνης χωρὶς, ἐν κατασχέσει τῶν τῆς ἀρετῆς ἠθῶν εὑρεθήσεται ὁ ἀσκούμενος, κἂν πάνυ τῇ ἑαυτοῦ συνεχείᾳ θαῤῥῇ.

μβ'. Τῇ ταπεινοφροσύνῃ ὁ ἀνιῶν, κατώτερος τοῦ ἑαυτοῦ φρονήματος γίνεται· ἀνώτερος δὲ, ὁ ἐκείνης χωρίς· ὃς οὐδὲ παραμετρεῖσθαι τοῖς ἐλαχίστοις ἑκουσίως ἀνέχεται. καὶ διὰ τοῦτο ἐν ταῖς πρωτοκλισίαις, τὸ λυπηρὸν ἐπιδείκνυται.

Καλὸν τῷ ἀγωνιστῇ φρονεῖν μὲν, ἥττονα τῆς ἐργασίας αὐτοῦ· πράττειν δὲ, κρείττονα τῆς δειλίας αὐτοῦ. οὕτω γὰρ ἂν καὶ ἀνθρώποις αἰδέσιμος, καὶ Θεῷ ἐργάτης εὑρίσκεται ἀνεπαίσχυντος. μγ'.

Ἢ κατορθοῦσθαι δεῖ πρὸς πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ, ἢ μιᾶς ἀντιποιεῖσθαι τῆς ταπεινοφροσύνης, τὸν δεδιότα μὴ ξένον τῶν ἐν τῷ νυμφῶνι ἀνακειμένων ὀφθήσεσθαι. μδ'.

Μῖξον τῇ ἁπλότητι τὴν ἐγκράτειαν, καὶ σύζευξον τῇ ταπεινοφροσύνῃ τὴν ἀλήθειαν, καὶ ὀφθήσῃ δικαιοσύνης συνέστιος. ἧς ἐπὶ τραπέζης, ἄλλη πᾶσα φιλεῖ συνάγεσθαι ἀρετή. με'.

Τυφλὴ τῆς ταπεινοφροσύνης χωρὶς, ἡ ἀλήθεια. διὰ τοῦτο καὶ τῇ ἀντιλογίᾳ χρῆται χειραγωγῷ· ἐρεῖσαι μὲν αὐτῇ ἐπί τι μοχθούσῃ, μὴ εὑρισκούσῃ δὲ, εἰμὴ τὸ τῆς μνησικακίας ὀχύρωμα. μς'.

Ἦθος χρηστὸν, ὡραιότητα μαρτυρεῖ ἀρετῆς, μελῶν δὲ εὐστάθεια, εἰρηναίαν ψυχήν. μζ'.

Πρῶτον μὲν καλὸν, τὸ ἐν μηδενὶ μέρει προσπταίειν. δεύτερον δὲ, τὸ μὴ αἰδοῖ κατακρύπτειν τὸ σφάλμα αὐτοῦ. μήτε μὴν ἀναδύεσθαι ἐν αὐτῷ· μᾶλλον δὲ ταπεινοῦσθαι. καὶ κατηγορουμένῳ ἑαυτοῦ συγκατηγορεῖν, καὶ δέχεσθαι ἀσμένως τὸ ἐπιτίμιον. τούτου δὲ μὴ γινομένου, ἀνίσχυρον ἅπαν τὸ τῷ Θεῷ προσφερόμενον. μη'.

Πρὸς τῇ ἑκουσίᾳ κακοπαθείᾳ, χρὴ καὶ τὴν ἀκούσιον καταδέχεσθαι, τὴν ἐκ διαβόλων λέγω, ζημιῶν τε, καὶ ἀσθενειῶν. ταύτας γὰρ ὁ μὴ καταδεχόμενος, ἀλλὰ ἀποδυσπετῶν, ὅμοιός ἐστι τῷ μὴ μετὰ ἁλὸς μετὰ δὲ μέλιτος μόνου βουλομένῳ ἐσθίειν τὸν ἄρτον αὐτοῦ. ὃς οὐ πάντοτε μὲν μθ'.

τὴν ἡδονὴν ἔχει σύντροφον, τὸν δὲ κόρον ἀεὶ γείτονα κέκτηται.

ν΄. Δεσπότης ὢν δούλου σχῆμα περιβαλλόμενος φαίνεται, ὁ τὸ διεῤῥωγὸς πλύνων τοῦ πλησίον λόγοις εὐθέοις ἱμάτιον, ἢ καταῤῥάπτων ταῖς μεταδόσεσι. σκοπείτω δὲ ὁ τοῦτο ποιῶν, μήποτε διὰ τὸ μὴ, ὡς δοῦλος τοῦτο τελεῖν, συναπολέσῃ καὶ τὸν μισθὸν καὶ τὸ προσὸν αὐτῷ τῆς ἐξουσίας διὰ κενοδοξίαν ἀξίωμα.

να΄. Ὥσπερ ἡ πίστις ἐλπιζομένων ὑπόστασις πέφυκεν, οὕτω ψυχῆς μὲν ἡ φρόνησις, ἀρετῆς δὲ ἡ ταπείνωσις. καὶ θαῦμα πῶς τὰ αὐτοτελῆ, τῶν συμβεβηκότων δίχα, ἀτελῆ καθεστήκασι.

νβ΄. Κύριος φυλάξει τὴν εἴσοδόν σου· φησί· καὶ τὴν ἔξοδόν σου, τῶν βρωμάτων δηλονότι καὶ τῶν ῥημάτων, τῇ ἐγκρατείᾳ. ἐγκρατῶς γὰρ ὁ ἔχων περὶ τὴν τῶν βρωμάτων καὶ ῥημάτων εἴσοδόν τε καὶ ἔξοδον, ἐπιθυμίαν μὲν τὴν ἐξ ὀφθαλμῶν ἀποδιδράσκει· θυμὸν δὲ τὸν ἐξ ἀνοίας καταπραΰνει. ὧν καὶ δεῖ πρὸ πάντων ποιεῖσθαι τὴν ἐπιμέλειαν τὸν ἀγωνιζόμενον, καὶ παντὶ τρόπῳ σπουδαστέον. ἐν τούτοις γὰρ τὸ μὲν πρακτικὸν ἔῤῥωται, τὸ δὲ θεωρητικὸν ἐστερέωται.

νγ΄. Τινὲς μὲν περὶ τὴν εἴσοδον τῶν βρωμάτων, πολλὴν ποιοῦνται τὴν ἐπιμέλειαν. περὶ δὲ τὴν ἔξοδον τῶν ῥημάτων, ἀμελῶς διατίθενται. οἱ τοιοῦτοι, οὐκ ἐπίστανται παράγειν θυμὸν ἀπὸ καρδίας, ἐπιθυμίαν δὲ ἀπὸ σαρκὸς, κατὰ τὸν Ἐκκλησιαστήν. δι' ὧν ἡ καθαρὰ καρδία κτίζεσθαι εἴωθε παρὰ τοῦ καινουργοῦ πνεύματος.

νδ΄. Τὸ μὲν τῶν βρωμάτων ἀπέριττον, περὶ τὴν ἥττω τροφῆς ποιότητα. τὸ δὲ τῶν ῥημάτων ἀνέγκλητον, περὶ τὴν κρείττω σιωπῆς ποιότητα εὑρεθήσεται.

νε΄. Πύρωσον τοὺς νεφρούς σου ἀσιτίᾳ βρωμάτων, καὶ ἔπασον τὴν καρδίαν σου ἐγκρατείᾳ ῥημάτων· καὶ ἕξεις ἐπὶ ὑπηρεσίαν καλῶν, τὸ ἐπιθυμητικόν τε, καὶ θυμικόν.

νς΄. Ἡ μὲν τῶν ὑπογαστρίων ἡδονὴ, καταπίπτει ἐν ἀσκουμένοις, τοῦ σώματος παρακμάσαντος. ἔτι δὲ παραμένει ἡ τοῦ φάρυγγος, τῷ μὴ φθάσαντι ταύτην ἐνδίκως κολάσαι. σπουδάσαι οὖν χρὴ διὰ τοῦ αἰτίου, τοῦ αἰτιατοῦ τὸν ὀνειδισμὸν ἀποτρίψασθαι· ὡς ἂν μὴ ξένος ἐκεῖσε τῆς κατὰ τὴν ἐγκράτειαν ἀρετῆς εὑρεθεὶς, αἰσχύνῃ περιβληθῇς.

νζ΄. Ἀναγκαῖον εἰδέναι τὸν ἀσκητὴν, πότε καὶ τίσι βρώμασι δεῖ τὸ σῶμα ὡς ἐχθρὸν τρέφειν. πότε δὲ ὡς φίλον παρακαλεῖν, καὶ πότε παραμυθεῖσθαι ὡς ἀσθενῆ. ἵνα μὴ λάθῃ τὰ μὲν τοῦ ἐχθροῦ τῷ φίλῳ, τὰ δὲ τοῦ φίλου τῷ ἐχθρῷ, καὶ τὰ τούτων πάλιν τῷ ἀσθενεῖ παρατιθεὶς, καὶ ἑκατέρους ὡς σκανδαλίσας, καιρῷ πειρασμοῦ εὑρήσει πολεμοῦντας αὐτόν.

νη΄. Ὅταν τῆς τρυφῆς τὴν τροφὴν ὁ τρεφόμενος προτιμοτέραν ποιήσηται, τότε ἡ τῶν δακρύων ἐπιδημήσασα χάρις αὐτῷ, παρακαλεῖν ἄρχεται. καὶ ἄλλης πάσης ἡδύτητος ἐπιλανθάνεσθαι, ὡς ἤδη τῇ τούτων καταποθείσης ἀσυγκρίτως ἡδύτητι.

νθ΄. Τῷ μὲν πλατυνομένῳ, συνεστάλη τὰ δάκρυα. ἐξεβλήθη δὲ ταῦτα, τῷ τὴν στενὴν ὁδὸν ἀγαπήσαντι.

ξ΄. Οὐκ ἔστι λύπης ἐκτὸς, οὔτε ἁμαρτωλὸς, οὔτε δίκαιος. ἀλλ' ὁ μὲν, ὅτι μὴ παντὴ ἀπέλιπε τὸ κακὸν, ὁ δὲ, ὅτι οὔπω τῆς τελειότητος ἥψατο.

ξα΄. Τῶν ἐφ' ἡμῖν, αἱ κατὰ δύναμιν ἀρεταὶ, εὐχή τε, καὶ σιωπή. τῶν οὐκ ἐφ' ἡμῖν δὲ, ἀλλ' ὡς τὰ πολλὰ τῆς τοῦ σώματος κατασκευῆς, νηστεία, καὶ ἀγρυπνία εἰσί. ὅπερ οὖν τῷ ἀγωνιστῇ εὐληπτότερον, τοῦτο μετέρχεσθαι χρή.

ξβ΄. Οἶκος μὲν ψυχῆς, ἡ ὑπομονή· περικρατεῖται γὰρ ἐν αὐτῇ. χρῆμα δὲ, ἡ ταπείνωσις. τρέφεται γὰρ δι' αὐτῆς.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ξγ΄. Πόνοις μὴ καρτερῶν, ἐπαίνοις οὐ τιμηθήσῃ. πρὸ δὲ τῆς ἰάσεως τὴν ὀδύνην διισκοπῶν, ἐκφεύξῃ ταύτης τὸ λυπηρόν.

ξδ΄. Μὴ ἀμελήσῃς τοῦ μικροῦ, καὶ οὐχ ἁλώσῃ τῷ μείζονι· οὐ γὰρ πέφυκε τὸ μεῖζον κακὸν, πρὸ τοῦ μικροῦ διαπλάττεσθαι.

ξε΄. Ἀφορῶν πρὸς τὰ μείζονα, φοβερὸς ἔσῃ τοῖς ἥττοσιν. ἀκαταφρόνητος δὲ πάντως ὀφθήσῃ, πρὸς ἐκεῖνα ἀπαρκῶν.

ξς΄. Οὐ δυνήσῃ ἐπὶ τὰς μείζους φθάσαι τῶν ἀρετῶν, μὴ τὴν καθ' δύναμιν καταλαβὼν τὴν ἀκρότητα.

ξζ΄. Ἐν οἷς κρατεῖ ἔλεος, καὶ ἀλήθεια, ἐν ἐκείνοις, καὶ πᾶν ἐστι θεάρεστον. ἡ μὲν γὰρ, ἀδεῶς κρίνει, ἐλέους χωρίς. ὁ δὲ, φιλανθρωπεύεται ἐν ἔλεει, ἀληθείας ἐκτός.

ξη΄. Τῷ ἀνελλιπεῖ κερασάμενος τὴν ἐγκράτειαν, ἐν περιλήψει γενήσῃ τῆς ἐκεῖθεν μακαριότητος.

ξθ΄. Οὐκ ὄψει πάντως τὰ πολεμοῦντά σε πάθη, εἰ μὴ πρότερον τὴν γῆν, ἐξ ἧς ἐτρέφοντο, ἐάσῃς ἀνήροτον.

ο΄. Οἱ μὲν, τὴν τοῦ σώματος ὕλην μόνην ἐκκαθᾶραι σπεύδουσιν· οἱ δὲ, καὶ τῆς ψυχῆς. οἱ μὲν γὰρ πρὸς μόνην τὴν κατ' ἐνέργειαν ἁμαρτίαν ἰσχὺν ἔλαβον· οἱ δὲ πρὸς τὸ πάθος. πρὸς δὲ τὴν κατ' ἐπιθυμίαν, πάνυ ἐλάχιστοι.

οα΄. Ὕλη πονηρὰ σώματος, ἐμπάθεια. ψυχῆς δὲ, ἡδυπάθεια. προσπάθεια δὲ, τοῦ νοός. κατηγορεῖται δὲ τῆς μὲν, ἁφή. τῆς δὲ, αἱ λοιπαὶ αἰσθήσεις. τῆς δὲ τελευταίας, ἐναντία διάθεσις.

οβ΄. Ὁ μὲν ἡδυπαθὴς, πλησίον ἐστὶ τοῦ ἐμπαθοῦς· ὁ δὲ προσπαθὴς, τοῦ ἡδυπαθοῦς. μακρὰν δὲ ἀμφοτέρων ὁ ἀπαθής.

ογ΄. Ἐμπαθής ἐστιν, ὁ τὸ ἁμαρτητικὸν τοῦ λογισμοῦ βιαιότερον ἔχων, κἂν τέως μὴ ἁμαρτάνῃ ἐκτός. ἡδυπαθὴς δὲ, ὁ τὴν ἐνέργειαν τῆς ἁμαρτίας ἔχων τοῦ λογισμοῦ, κἂν πάσχῃ ἐκτός. προσπαθὴς δὲ, ὁ τῇ ἐλευθερίᾳ μᾶλλον ἢ τῇ δουλείᾳ τῶν μέσων προσκείμενος. ἀπαθὴς δ' αὖ εἴη, ὁ τέλεον πάντων τὴν διαφορὰν ἀγνοῶν.

οδ΄. Ἀπόλλυται ἐκ ψυχῆς ἐμπάθεια μὲν, διὰ νηστείας, καὶ προσευχῆς· ἡδυπάθεια δὲ, δι' ἀγρυπνίας, καὶ σιωπῆς· ἡ δὲ προσπάθεια, διὰ ἡσυχίας, καὶ προσοχῆς. ἀπάθεια δὲ συνίσταται, ἐκ μνήμης Θεοῦ.

οε΄. Τῆς ἀπαθείας ἀπὸ χειλέων, κηρία μέλιτος οἷα, λόγοι τῆς αἰωνίου ζωῆς ἀποστάζουσι. τίς ἂν ἀξιωθείη τοῖς χείλεσιν ἐκείνης προσάψαι τὰ ἴδια· καὶ μαστοὺς ἀναμέσον αὐτῆς αὐλισθῆναι. καὶ ὀσμῆς ἡδείας μεταλαβεῖν ἱματίων ἐκείνης. πτέςι νόμοις ἐνδυναμωθῆναι τῆς ἀρετῆς, τῆς ὑπὲρ πάντα· φησί· τὰ ἀρώματα ὄντων τῆς αἰσθητικῆς διαγνώσεως.

ος΄. Γυμνοὶ τοῦ μὲν τῆς φιλαυτίας χιτῶνος, ἴσως πολλοί· ὀλίγοι δὲ τοῦ τῆς φιλοκοσμίας εἰσί. τοῦ δὲ τῆς κενοδοξίας, ὃς καὶ ἔσχατος λέγεται, γυμνοὺς εὑρήσεις τοὺς ἀπαθεῖς.

οζ΄. Τοῦ μὲν ὁρωμένου σώματος, πᾶσα ψυχὴ γυμνωθήσεται. τοῦ δὲ τῆς ἁμαρτίας, ἡ τῆς ἐνταῦθα ζωῆς ὀλίγον τῶν ἡδέων προαπολαύσασα.

οη΄. Νεκροὶ μὲν ἐκ ζώντων, πάντες ὀφθήσονται. νεκρωθήσονται δὲ τῆς ἁμαρτίας, μόνοι οἱ ἐκ διαθέσεως ταύτην μισήσαντες.

οθ΄. Τίς ἑαυτὸν πρὸ τοῦ κοινοῦ θανάτου τοῦ σώματος ἤδη τῆς ἁμαρτίας γυμνόν; καὶ τίς ὁ γνοὺς ἑαυτόν τε, καὶ τὴν ἰδίαν φύσιν, ὁποία ἐστὶ, πρὸ τῆς μελλούσης γυμνώσεως.

Ψυχὴν ἔρωτι νυμφικῷ τετρωμένην,
Εὐχὴ συνάπτειν οἶδεν ὧδε νυμφίῳ.

π΄. Τοῦ αἰσθητοῦ τε, καὶ νοεροῦ φωτὸς ἡ λογικὴ ἐν μεθορίῳ κειμένη ψυχὴ, διὰ μὲν τῶν καὶ κρείττονι τὰ τοῦ σώματος ἐπεξά-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τη. δι᾽ ἐκείνου δὲ, τὰ τοῦ Πνεύματος. ἀλλ᾽ ἐπειδὴ ἠμαυρώθη μὲν αὕτη, ἐκεῖνο. ἐζωώθη δὲ τοῦτο, διὰ τὴν ἀρχῆθεν συνήθειαν, εἰ μὴ ὅλως μετὰ τοῦ νοεροῦ ἐν τῇ εὐχῇ γένηται, ὁλικῶς τοῖς θείοις ἐνατενίζειν οὐ δύναται. ἀνάγκη δὲ εἶναι αὐτὴν ἐν μεταιχμίῳ, σκότους, καὶ φωτός. κατὰ σχέσιν μὲν τούτου, κατὰ δὲ φαντασίαν ἐκείνου ἀναστρεφομένην.

πα'. Ἔνδον τῆς κατὰ τὴν εὐχὴν στενῆς πύλης, νοῦς παθητικὸς οὐ δύναται εἰσελθεῖν, πρὸ τοῦ τὴν κατὰ σχέσιν ὑπολιπεῖν μέριμναν. περὶ δὲ τὰ περισκήνια ἐκείνης, ὀδυνηθήσεται διαπαντὸς ἀσχολούμενος.

πβ'. Συμπαραμενέτω τῷ νῷ ἡ εὐχὴ, ὡς ἐν ἡλίῳ ἀκτίς· ὡς αὐτῷ αἱ κατ᾽ αἴσθησιν μέριμναι, οἷάτινες ἄνυδροι νεφέλαι περιπετόμεναι, τὸν νοῦν εἴργουσι τῆς οἰκείας λαμπρότητος.

πγ'. Δύναμις μὲν εὐχῆς, πεῖνα βρωμάτων ἑκούσιος. τεῖχος δὲ, τὸ μήτε ἀκούειν, μήτε ὁρᾷν. ὅτι μὴ πᾶσα ἀνάγκη τῶν ἐγκοσμίων μηδέν, τούτων ὁ μὴ ποιούμενος πρόνοιαν, τὸ μὲν τῆς νηστείας οὐκ ἐστερέωσεν οἰκοδόμημα. τὸ δὲ τῆς εὐχῆς ἐν αὐτῇ περιρραγῆναι ἐποίησεν.

πδ'. Ἀπερίσπαστος εἰ μὴ ἐκ πάντων ὁ νοῦς τῶν κατ᾽ αἴσθησιν γένηται, ἀνωφερὴς γενέσθαι οὐ δύναται, καὶ τὸ οἰκεῖον γνωρίσαι ἀξίωμα.

πε'. Ἡμέρας μὲν σύμβολον ἡ νηστεία, διὰ τὸ ἔκδηλον· νυκτὸς δὲ διὰ τὸ ἄδηλον, ἡ εὐχή. ἑκατέραν οὖν τούτων ἐν ἑκατέρᾳ ἐνδίκως ὁ μετερχόμενος, πρὸς τὴν κατὰ σκοπὸν ἀπαντήσεται πόλιν, ἐν ᾗ ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός.

πς'. Ἡ πνευματικὴ ἐργασία, καὶ σωματικῆς ἐπιπόνου ἐκτὸς, συνίστασθαι πέφυκε. μακάριος οὖν, ὁ κρείττονα τοῦ ἐνύλου ἔργου τὴν ἄϋλον ἡγησάμενος ἐργασίαν. δι᾽ αὐτῆς γὰρ τὴν τοῦ ἔργου ἀνεπλήρωσεν ἔλλειψιν, ζήσας τὴν κεκρυμμένην ζωὴν τῆς εὐχῆς, καὶ φανερὰν τῷ Θεῷ.

Ὑπομένειν μὲν ἡμᾶς τῇ πίστει, παρακαλεῖ ὁ θεῖος Ἀπόστολος· χαίρειν δὲ τῇ ἐλπίδι· τῇ εὐχῇ δὲ προσκαρτερεῖν, ἵνα τὸ τῆς χαρᾶς ἡμῖν παραμένῃ καλόν. εἰ δὲ τοῦτο, ἄρα ὁ μὴ ὑπομένων, οὐ πιστός· ὁ δὲ μὴ χαίρων, οὐκ εὔελπις. ἀπεβάλλετο γὰρ τὴν αἰτίαν τῆς χαρᾶς τὴν προσευχὴν, ἐν τῷ μὴ προσκαρτερεῖν ἐν αὐτῇ. πζ'.

Εἰ ἐν τοῖς ἐγκοσμίοις λογισμοῖς ὁ νοῦς ἐξ ἀρχῆς συναναστραφεὶς, τοσαύτην ἐν αὐτοῖς τὴν φιλίαν ἐκτήσατο, πόσην οὐκ ἂν οἰκειότητα σχῇ ἐν εὐχῇ συνεχεῖ; καὶ γὰρ ἐν οἷς· φησί· χρονίζει, ἐν αὐτοῖς καὶ πλατύνεσθαι εἴωθεν. πη'.

Ὥσπερ τοῦ ἰδίου οἰκητηρίου πάλαι διαιρεθεὶς ὁ νοῦς, τῆς ἐκεῖθεν λαμπρότητος ἐπελάθετο, οὕτω δεῖ τοῦτον αὖθις εἰς λήθην τῶν ὧδε γενόμενον, πρὸς ἐκεῖνο ἀναδραμεῖν δι᾽ εὐχῆς. πθ'.

Καθάπερ τι νήπιον πρὸς μαστοὺς ἐκαποφυγόντας μητρὸς, εὐθύνεται νοῦς πρὸς προσευχὴν, τὴν μὴ δυναμένην παρακαλέσαι αὐτόν. πρὸς δὲ τὴν ἄλλως ἔχουσαν, ὡς παιδίον τὸ ὑφ᾽ ἡδονῆς ἐναφυπνοῦν ἐν ταῖς ἀγκάλαις αὐτῆς. ϙ'.

Ἐκεῖ, φησὶν, ἐν τῇ πενθήμῳ δηλονότι ὁδῷ τῆς ἐναρέτου ζωῆς, κατὰ τὴν ἐν τῷ ᾄσματι, φάσκει καὶ ἡ νύμφη εὐχὴ πρὸς τὸν ἑαυτῆς ἐραστὴν, δώσω τοὺς μαστούς μου σοὶ, εἰ ὁλικῶς μοι ἀνατεθῇς. ϙα'.

Φιλίαν πρὸς τὴν εὐχὴν ἔχειν οὐ δύναται, ὁ μὴ πᾶσαν ἀπαρνησάμενος ὕλην. ϙβ'.

Πλὴν ζωῆς, καὶ πνοῆς, ἔξω τῶν ἄλλων γενοῦ ἐν εὐχῇ, εἰ θέλεις μετὰ μόνου γενέσθαι τοῦ νοῦ. ϙγ'.

Νοῦ θεοφιλοῦς μαρτύριον, εὐχὴ μονολόγιστος, καὶ λόγος καίριος, ἔμφρονος λογισμοῦ. μονοειδὴς δὲ γεῦσις, τῆς ἐλευθέρας εἴη αἰσθήσεως. ἐν τούτοις οὖν τοῖς τρισὶν ἐρρῶσθαι τὰ τῆς ψυχῆς λέγεται. ϙδ'.

Λεπτυνθῆναι καλῶς δεῖ, καὶ ἀπαλυνθῆ- ϙε'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ται, ὥσπερ τῶν παιδίων, τὴν φύσιν τοῦ εὐχομένου. ὡς αὖ καὶ τὴν ἐκείνων, καὶ ἡ τούτου διάνοια δέχεται τὴν ἐκ τῆς εὐχῆς ἐντιθεμένην ἀνάπτυξιν, διὸ μὴ ἀμέλει ὁ συναφθῆναι ταύτῃ φιλῶν.

ϟϛʹ. Οὐ πάντες τὸν αὐτὸν σκοπὸν ἐν εὐχῇ κέκτηνται, ὁ μὲν, τοῦτον, ὁ δὲ, ἄλλον. ὁ μὲν εὔχεται, εἰ οἷόν τε, μετὰ τῆς εὐχῆς εἶναι τὴν καρδίαν αὐτοῦ πάντοτε· ὁ δὲ, καὶ πρὸς τὸ ὑπερβῆναι αὐτήν· ὁ δὲ, ἵνα μὴ λογισμοὺς ἐν εὐχῇ περικέκτηται. πάντες δὲ εὔχονται, ἢ συντηρηθῆναι ἐν ἀγαθοῖς, ἢ μὴ συναπαχθῆναι κακοῖς.

ϟζʹ. Εἰ ἐξ εὐχῆς οὐδεὶς ἀταπείνωτος. (συντρίβεται ἐν ταπεινώσει καὶ γὰρ ὁ εὐχόμενος) οὐκ ἄρα ἐν ταπεινώσει προσεύχεται ὁ ἔξωθεν θρασυνόμενος.

ϟηʹ. Πρὸς τὴν χήραν τὴν πρὸς τὸν ὠμὸν τὴν δίκην κινοῦσαν κριτὴν ἀφορῶν ὁ εὐχόμενος, οὐκ ἐκκακήσει ποτὲ διὰ τὴν βραδυτῆτα τῶν ἀγαθῶν ὑποσχέσεων.

ϟθʹ. Οὐ παραμένει εὐχή, τῷ πρὸς τὰ συλλογιζόμενα ἔσωθεν, καὶ ὁμιλούμενα ἔξωθεν ἐμβραδύνοντι. ἡ αὐτὴ δὲ ὀφθήσεται ὑποστρέψασα, τῷ δι' αὐτὴν ὑποτεμνομένῳ τὰ πλείονα.

ρʹ. Εἰ μὴ εἰς λαγόνας ψυχῆς εἰσδύουσι τὰ ῥήματα τῆς εὐχῆς, οὐκ αὖ εἰς τὰς τοῦ προσώπου σιαγόνας τὰ δάκρυα περικλυσθῆναι συγχωρηθήσονται.

ραʹ. Ἀτελέσι γεωργῷ μὲν τὰ δράγματα, μὴ κατ' ὄψιν τῶν σπερμάτων ῥιφέντων τῆς γῆς. Μοναχῷ δὲ τὰ δάκρυα ἀναβλύσασιν, οὐκ ὑπεικτὶ τῷ μετερχομένῳ τὰ ῥήματα τῆς εὐχῆς.

ρβʹ. Κλεὶς οὐρανῶν βασιλείας, εὐχή. ταύτην ὁ κατέχων ὡς δεῖ, ὁρᾷ τὰ ἐν αὐτῇ ἀποκείμενα ἀγαθὰ τοῖς φίλοις αὐτῆς. μόνα δὲ τὰ παρόντα περισκοπεῖ, ὁ παῤῥησίαν ἐν ἐκείνῃ μὴ ἐσχηκώς.

ργʹ. Οὐ δύναται ὁ νοῦς ἐν καιρῷ τῆς εὐχῆς μετὰ παῤῥησίας λέγειν πρὸς τὸν Θεόν, Διέῤῥηξας τοὺς δεσμούς μου· σοὶ θύσω θυσίαν αἰνέσεως, εἰμὴ δειλίας, καὶ ῥᾳθυμίας, πολυϋπνίας, καὶ ἡδυφαγίας, ἐξ ὧν τὸ πταίειν, ἐπιθυμίᾳ τῶν κρειττόνων, ἀποῤῥαγῇ.

Ἔξω τοῦ πρώτου καταπετάσματος ἵσταται, ὁ ἐν εὐχῇ ῥεμβόμενος. ἔνδοθεν δὲ γίνεται, ὁ μονολόγιστον ἐξανύων αὐτήν. μόνος δὲ εἰς τὰ ἅγια τῶν ἁγίων παρέκυψεν, ὁ μετὰ τῆς εἰρήνης τῶν φυσικῶν λογισμῶν, καὶ τὰ περὶ τῆς πάντα τὸν ὑπερεχούσης διασκεπτόμενος, καὶ τινὸς ἐκεῖθεν θεοφανείας καταξιούμενος. ρδʹ.

Ὁπόταν ἀπὸ τῶν ἔξωθεν σχολάσασα ἡ ψυχὴ συναφθῇ τῇ εὐχῇ, τότε οἷά τις φλὸξ περικυκλώσασα ταύτην ἐκείνη, σίδηρον καθάπερ τὸ πῦρ, πεπυρακτωμένην ὅλην καθίστησιν. καὶ ἔστι ψυχὴ μὲν ἡ αὐτή, οὐκ ἔτι δὲ καὶ ἁπτή· οὐδὲ γὰρ ὁ πυρακτωθεὶς σίδηρος, ταῖς ἔξωθεν ἐπαφαῖς. ρεʹ.

Μακάριος ὁ ἐν τῷ βίῳ τούτῳ ὑπνοὶ θεωρηθῆναι καταξιωθείς, καὶ τὸν αὐτοῦ φύσει πήλινον ἀδελφόν, χάριτι πύρινον κατιδών. ρϛʹ.

Τοῖς μὲν εἰσαγομένοις, βαρύς οἷά τις δεσπότης ὁ νόμος ἐπίκειται τῆς εὐχῆς· τοῖς προκόψασι δέ, ὡς ἔρως, ὁ συνελαύνων πεινῶντα καθάπερ πολυτελῆ πρὸς ἑστίασιν. ρζʹ.

Τοῖς καλῶς μετερχομένοις τὴν πρακτικήν, ποτὲ μὲν ἡ εὐχὴ νεφέλη καθάπερ ἐπισκιάζουσα, τοὺς καυστικοὺς ἀπείργει ἐξ αὐτῶν λογισμούς. ποτὲ δὲ σταγόνας οἷα δακρύων τούτους ἐπιψεκάζουσα, δίδωσι τὰ πνευματικὰ θεωρήματα. ρηʹ.

Ἡδὺ μὲν ἤδυσμα κιθάρας τῆς κρουομένης ὑπάτης ἔξωθεν εὑρεθήσεται. ψυχὴ δέ, μὴ συνηχούσης αὐτῇ ἐν εὐχῇ τῆς ἐν πνεύματι μυστικῆς προσφωνήσεως, εὐκατάνυκτος οὐ πέφυκε γίνεσθαι. τὸ γὰρ τί προσευξόμεθα καθὸ δεῖ, οὐκ οἴδαμεν καὶ τὰ ἑξῆς, εἰς τοῦτο ἐνάγει τὸν προσευχόμενον. ρθʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ
# ΓΝΩΣΤΙΚΑ Α'.

Φωτίζεται νοῦς γνωστικῆς θεωρίας,
Πρὸς ὕψος ἀρθείς, τοῖς δ' ἐπεντυχὼν λόγοις.
Σκοτίζεται δ' αὖ, ἐγκυλισθεὶς εἰς πάθος.

α'. Ἀναγκαῖον εἰδέναι τὸν γνωστικόν, πότε μὲν ὁ νοῦς αὐτοῦ εἰς τὴν χώραν τῶν νοημάτων ἐστί, πότε δέ, εἰς τὴν τῶν λογισμῶν, καὶ πότε εἰς τὴν κατ' αἴσθησιν. καὶ ἐν ταύτῃ πάλιν, εἰ ἐν τοῖς κατὰ καιρόν, ἢ ἐν τοῖς παρὰ καιρὸν μᾶλλον εὑρίσκεται.

β'. Ἐν νοήμασιν οὐκ ὢν ὁ νοῦς, ἐν λογισμοῖς πάντως ἐστίν. ἐν λογισμοῖς δὲ ὤν, ἐν νοήμασιν οὐκ ἔστι. ἐν δὲ τῇ αἰσθήσει γινόμενος, μετὰ πάντων ἐστίν.

γ'. Διὰ τοῦ νοήματος μὲν ὁ νοῦς, διέρχεται πρὸς τὰ νοητά. διὰ δὲ τοῦ λογισμοῦ, πρὸς τὰ λογικὰ ὁ λόγος. πρὸς δὲ τὰ πρακτικά, διὰ τῆς φαντασίας ἡ αἴσθησις.

δ'. Εἰς ἑαυτὸν ὁ νοῦς συναγόμενος, οὐδέν, οὔτε τῶν κατ' αἴσθησιν, οὔτε τῶν κατὰ λογισμὸν θεωρεῖ. γυμνὰς δὲ νέας καὶ θείας αὐγὰς βλυζούσας εἰρήνην τε καὶ χαράν.

ε'. Ἄλλο ὁ νοῦς τοῦ πράγματος, καὶ ἄλλο ὁ λόγος αὐτοῦ, καὶ ἕτερον τὸ ὑπὸ τὴν αἴσθησιν ἀναγόμενον. καὶ τὸ μὲν ἐστὶν οὐσία. τὸ δέ, συμβεβηκός· τὸ δέ, ἡ τοῦ ὑποκειμένου διαφορά.

ϛ'. Πολλὰς ὁδοὺς ἀνατέμνων ὁ νοῦς, ἀκόρεστος δείκνυται. πρὸς μίαν δὲ συναγόμενος τῆς ἀρχῆς, πρὸ τῆς ἐντελείας, στενοχωρούμενος φαίνεται, λιπαρῶν τὸν μέτοχον ἀπολυθῆναι πρὸς τὰ ἀφ' ὧν ἐξελήλυθεν.

ζ'. Ἄνωθεν ἡγμένος ὁ νοῦς, οὐκ ἀναδραμεῖται αὖθις ἐκεῖσε, εἰ μὴ τελείαν τὴν κάτω ποιήσηται καταφρόνησιν, διὰ τῆς περὶ τὰ θεῖα σχολῆς.

η'. Εἰ μὴ τὴν ψυχήν σου δύνῃ μετὰ μόνων ποιῆσαι τῶν περὶ αὐτὴν λογισμῶν, κἂν τὸ σῶμά σου μονάζειν ἀνάγκασον, τὴν περὶ αὐτὸ ἀθλιότητα διαπαντὸς ἐννοούμενος. οὕτω γὰρ τῷ χρόνῳ· ἐλέει Θεοῦ· καὶ πρὸς τὸ πρῶτον ἀναδραμεῖν δυνήσῃ, τῆς εὐγενείας ἀξίωμα.

θ'. Ὁ μὲν πρακτικός, ὑποτάσσειν τὸν νοῦν εὐκόλως δύναται τῇ ἀρχῇ· ὁ δὲ θεωρητικός, τὴν ἀρχὴν τῷ νοΐ. ὁ μὲν ἀπὸ τῶν φαινομένων συστέλλων σχημάτων τὴν αἴσθησιν. ὁ δὲ τὴν ψυχὴν πρὸς τοὺς ἐγκεκρυμμένους τοῖς σχήμασι λόγους μεταβιβάζων. καὶ ὁ μέν, σωμάτων πείθει λόγους τὸν νοῦν ἀγνοεῖν, ὁ δὲ ἀσωμάτων κατανοεῖν. ἀσώματοι δέ εἰσι λόγοι σωμάτων, ἰδιότητές τε, καὶ οὐσίαι αὐτῶν.

ι'. Ὅταν τὸν νοῦν σου τῆς τῶν σωμάτων, καὶ χρημάτων, καὶ βρωμάτων ἡδυπαθείας ἐλευθερώσῃς, τότε καὶ ὅπερ ἂν ποιῇς, δῶρον καθαρὸν τῷ Θεῷ λογισθήσεται. ἀντιδοθήσεται δέ σοι, τὸ διανοιγῆναι τοὺς τῆς καρδίας σου ὀφθαλμούς, καὶ σαφῶς ἐμμελετᾷν τοὺς ἐγγεγραμμένους ἐν αὐτῷ λόγους Θεοῦ. οἵτινες ὑπὲρ μέλι καὶ κηρίον τῷ νοητῷ σου λογισθήσονται λάρυγγι, τῇ ἀπ' αὐτῶν ἐκδιδομένῃ ἡδύτητι.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ια'. Οὐ δύναται σωμάτων καὶ χρημάτων καὶ τῆς τῶν οὐκ ἀναγκαίων βρωμάτων ἐπιθυμίας ὑπέρτερον ποιῆσαι τὸν νοῦν, εἰ μὴ ἐν τῇ καθαρᾷ τῶν δικαίων χώρᾳ εἰσάξῃς αὐτόν. καθ' ἣν ἥ, τε τοῦ θανάτου, καὶ ἡ τοῦ Θεοῦ μνήμη ἐπαναβλύσασα, ἀπὸ γηΐνης καρδίας ἀπαλείψει τὸ τῆς ἐπιθυμίας ἀνάστημα.

ιβ'. Οὐδὲν, οὔτε ἐννοίας θανάτου φοβερώτερον, οὔτε Θεοῦ μνήμης θαυμασιώτερον. ἡ μὲν γὰρ ἐστὶ λύπης σωτηριώδους παρεκτική, ἡ δὲ εὐφροσύνης χαριστική. ἐμνήσθην γάρ· φησιν ὁ Προφήτης· τοῦ Θεοῦ, καὶ ηὐφράνθην. καὶ ὁ σοφός· μιμνήσκου τὰ ἔσχατά σου καὶ οὐχ ἁμαρτήσεις. ἀδύνατον δὲ τοῦ δευτέρου τινὰ ἐν κατασχέσει γενέσθαι, μὴ πεῖραν τῆς τοῦ προτέρου λαβόντα στρυφνότητος.

ιγ'. Ἕως ἂν τὴν τοῦ Θεοῦ δόξαν ἀνακεκαλυμμένῳ προσώπῳ ἴδῃ ὁ νοῦς, οὐ δύναται ἡ ψυχὴ λέγειν ἐν αἰσθήσει αὐτῆς, Ἐγὼ δὲ ἀγαλλιάσομαι ἐπὶ τῷ Κυρίῳ, τερφθήσομαι ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ. κάλυμμα γὰρ κεῖται τὸ τῆς φιλαυτίας ἐπὶ τὴν καρδίαν αὐτῆς, πρὸς τὸ μὴ ἀνακαλυφθῆναι αὐτῇ τὰ θεμέλια τῆς οἰκουμένης, ἅτινά εἰσιν οἱ λόγοι τῶν γεγονότων. ὅπερ ἐξ αὐτῆς οὐ περιαιρεῖται, ἑκουσίων πόνων, καὶ ἀκουσίων χωρίς.

ιδ'. Οὐ μετὰ τὴν ἐξ Αἰγύπτου φυγὴν, ἥτις ἐστὶν ἡ κατ' ἐνέργειαν ἁμαρτία. οὐδὲ μετὰ τὴν τῆς θαλάσσης διάβασιν, τῆς κατὰ σχέσιν λέγω δουλείας. ἀλλὰ μετὰ τὴν ἐν ἐρήμῳ διατριβὴν μεταξὺ κειμένην ἐνεργημάτων, καὶ κινημάτων κακίας, τοῦ Ἰσραὴλ ὁ δημαγωγὸς κατασκοπεῖν δύναται τὴν γῆν τῆς ἐπαγγελίας, ἥτις ἐστὶν ἡ ἀπάθεια. τὴν ὀπτικὴν ἀποστέλλων καὶ ἐποπτικὴν αὐτοῦ δύναμιν.

ιε'. Οἱ μὲν ἐν τῇ ἐρήμῳ καθήμενοι, τουτέστιν ἐν τῇ τῶν παθῶν ἀνενεργησίᾳ, ἀκοῇ μόνῃ τῆς μακαρίας ἐκείνης ἔχουσι τὰ ἀγαθὰ γῆς. οἱ δὲ τὰ ἐν ἐκείνῃ σκοπήσαντες, ἐν περινοίᾳ δηλονότι ψιλῇ τῆς τῶν ὁρωμένων θεωρίας γεγόνασιν. οἱ δὲ καταξιωθέντες ἐν αὐτῇ εἰσελθεῖν, ὅλῃ αἰσθήσει τῶν ἐξ αὐτῆς ἀπορρεόντων, ὡς γάλα καὶ μέλι, τῆς πρώτης φημὶ, καὶ δευτέρας θεωρίας λόγων, ἐνεφορήθησαν.

ιϛ'. Οὔπω συνεσταυρώθη Χριστῷ, ὁ ἔτι φυσικὰς κινήσεις ἔχων σαρκός. οὐδὲ συνετάφη, ὁ ψυχικὰς ἐνθυμήσεις ἐπισυρόμενος. πῶς ἂν συναναστῇ αὐτῷ ὁ τοιοῦτος, ἐν καινότητι ζωῆς πολιτεύεσθαι.

ιζ'. Τριῶν οὐσῶν τῇ ψυχῇ περιεκτικωτέρων ἀρετῶν· νηστείας, εὐχῆς τε, καὶ σιωπῆς, ἀναγκαῖον τὸν μὲν ἐξ εὐχῆς λύεσθαι μέλλοντα, εἰς τινα φυσικὴν θεωρίαν ἐπαναπαύεσθαι. τὸν δὲ ἐκ σιωπῆς, εἰς ἠθικὴν ὁμιλίαν. εἰς δευτέραν δὲ κεχαρισμένην τροφὴν τὸν νηστεύοντα.

ιη'. Ἐν τοῖς θείοις ἕως ὑπάρχει ὁ νοῦς, σώζει τὸ καθ' ὁμοίωσιν, ἀγαθός τε καὶ συμπαθὴς εὑρισκόμενος. ἐν δὲ τοῖς κατ' αἴσθησιν γεγονὼς, εἰ μὲν εὐκαίρως, καὶ προσηκόντως κατέρχεται, πεῖραν διδοὺς καὶ λαμβάνων, εὐρωστῶν αὖθις, πρὸς ἑαυτὸν ἐπανέρχεται. παρὰ δὲ τὸν καιρὸν, καὶ τὴν χρείαν, ὥς τις στρατηγὸς, ἀπερίσκεπτος εὑρεθήσεται, τὸ πολὺ αὐτοῦ ὑποτεμνόμενος τῆς δυνάμεως, ἐν τῷ μάχεσθαι.

ιθ'. Ὁ ἐν ἡμῖν ἐγκεκρυμμένος τῆς ἀπαθείας Παράδεισος, εἰκών ἐστι τοῦ μέλλοντος τοὺς δικαίους ὑποδέχεσθαι. πλὴν οὐ πάντες ἐκείνου ἐκτὸς εὑρεθήσονται, ὅσοι ἐντὸς τοῦ ἐμπεριεχομένου γενέσθαι οὐκ ἴσχυσαν.

κ'. Ὁ μὲν αἰσθητὸς ἥλιος, ξένας τὰς ἑαυτοῦ ἀκτῖνας ἐξ οἰκίας κεκλεισμένης καθίστησι. οὐκ αὖ δὲ τὰς γλυκείας ὁ νοητὸς ἐπαφήσει τῇ προσδεχομένῃ μὲν, μὴ κεκλεισμένας δὲ ἐχούσῃ τὰς αἰσθήσεις ἀπὸ τῶν ὁρωμένων, ψυχῇ.

κα'. Γνωστικός ἐστιν, ὁ τὰς μὲν καταβάσεις



Athos Library
Αγιορειτική Βιβλιοθήκη

αὐτοῦ μεγαλοπρεπῶς, ταπεινοπρεπῶς δὲ τῆς ψυχῆς τὰς ἀναβάσεις διατιθέμενος.

κβʹ. Μέλιττα μὲν λειμῶνας περινοστοῦσα, ἐκεῖθεν τῷ μέλιτι τὰς ἀφορμὰς προσπορίζεται· ψυχὴ δὲ αἰῶνας περινοστοῦσα ποικίλους, αὐτόθεν τὸν γλυκασμὸν τῇ διανοίᾳ ἐνίησιν.

κγʹ. Ἡ ἐμφαγοῦσα μὲν ἔλαφος ὄφεις, ἰὸν τοῦ σβέσαι, πρὸς ὑδάτων τρέχει πηγάς· ψυχὴ δὲ ἡ βέλεσι θείοις τρωθεῖσα, ἄπαυστον ἕλκει τὸν πρὸς τὸν τρώσαντα ἔρωτα.

κδʹ. Ψιλοὶ μὲν λογισμοὶ, τῇ μοναδικῇ ζωῇ ἐπιφύονται. ἐπιλογισμοὶ δὲ τῇ δυαδικῇ· τῇ δὲ πολυσχιδεῖ ψυχῇ, λογισμοὶ μὲν ἀπελήλανται· νόες δὲ μόνον γυμνοὶ σωμάτων αὐτῇ προσπελάζοντες τοὺς περὶ προνοίας καὶ κρίσεως λόγους, ὥς τινα θεμέλια γῆς ἀνακαλύπτοντες αὐτῇ ἐμφανίζουσιν.

κεʹ. Ἐν τῇ δυαδικῇ ζωῇ, τὸ ἄρρεν καὶ τὸ θῆλυ, ἁπλῶς ὁρᾶσθαι οὐ πέφυκε, τοῦτο γὰρ ἐν τῇ μοναδικῇ εὑρεθήσεται· καθ' ἣν ἄρρενος, καὶ θηλείας διαφορὰ, διὰ τὸ καθ' ὁμοίωσιν, ἐν Χριστῷ Ἰησοῦ οὐ γνωσθήσεται.

κϛʹ. Οἱ λογισμοὶ οὔτε τοῦ ἀλόγου μέρους εἰσὶ τῆς ψυχῆς· (οὐ γάρ ἐστι λογισμοὺς ἐν ἀλόγοις) οὔτε τοῦ νοεροῦ. (ἐπεὶ μηδὲ ἐν Ἀγγέλοις) αὐτῆς δὲ τῆς λογικῆς ὄντες γεννήματα, ὡς κλίμακι, τῇ φαντασίᾳ χρώμενοι, ἀναβαίνουσι μὲν πρὸς τὸν νοῦν ἀπὸ τῆς αἰσθήσεως, τὰ ἐκείνης αὐτῷ ἀπαγγέλλοντες, καταβαίνουσι δὲ πρὸς αὐτὴν ἐξ αὐτοῦ, τὰ ἐκείνου ὑποτιθέμενοι.

κζʹ. Ὥς τινες ἐκ βυθοῦ ἀναφερόμενοι, καί τινος εἰς βοήθειαν ἐπιλαβέσθαι πειρώμενοι, οἱ πονηροὶ λογισμοὶ εὑρεθήσονται, ὁλκάδος καθάπερ κινδυνευούσης τῆς κακίας, δακρύων κατακλυσμῷ.

κηʹ. Κατὰ τὴν ὑποκειμένην ποιότητα τῆς ψυχῆς, ἢ ὡς πειραταὶ καταποντίζειν, ἢ ὡς ἐρέται συμβοηθεῖν κινδυνευούσῃ, οἱ περὶ αὐτὴν συνάγονται λογισμοί. οἱ μὲν πρὸς πέλαγος ἕλκοντες τῶν ἀπρεπῶν λογισμῶν, οἱ δὲ τὴν ἆσον παρεκλεγόμενοι, πρὸς γαληνίας ἀκτὰς, τὴν ναῦν ἀποκέλλουσι.

κθʹ. Ἕβδομον τὸν τῆς κενοδοξίας λογισμὸν ὄντα, ἡ ἐφιεμένη ὡς ἔσχατον ἀποβαλέσθαι ψυχὴ, εἰ μὴ τοὺς πρὸ αὐτοῦ ἀπεκδύσεται, οὐ δυνήσεται τὸν μετ' αὐτοὺς ὄγδοον ἐπενδύσασθαι· ὃν καὶ οἰκητήριον οὐράνιον καλεῖν οἶδεν ὁ θεῖος Ἀπόστολος. καὶ διὰ στεναγμῶν ἐπενδύεσθαι δυνάσθαι τοῖς δι' αὐτὸ τῶν ὑλικῶν γυμνιτεύουσιν.

λʹ. Τῇ μὲν τελείᾳ ψυχῇ ἀγγελικοὶ παραβάλλειν πεφύκασι λογισμοί· τῇ δὲ μέσῃ, πνευματικοί. τῇ εἰσαγωγικῇ δὲ, οἱ φυσιολογικοί.

λαʹ. Ὥσπερ τὸ εὐγενὲς τοῦ κόκκου διὰ τοῦ στάχυος, οὕτω καὶ τὸ εἰλικρινὲς τῆς θεωρίας, διὰ προσευχῆς ἐμφανίζεσθαι εἴωθε. κέκτηται δὲ ὁ μὲν εἰς ἀποτροπὴν ὀρνέων τῶν σπερμολόγων, οἷά τινα δόρατα, τοὺς περιστοιχοῦντας ἀνθέρικας. ὁ δὲ τοὺς φιλοσοφοῦντας ἐν πειρασμοῖς λογισμοὺς, πρὸς τὴν ἐκείνων ἀναίρεσιν.

λβʹ. Τὰ μὲν ὁρώμενα τῆς ψυχῆς διὰ τὴν πρᾶξιν, περιηργυρωμένα πτέρυγες περιστερᾶς καθάπερ, εἰσί. τὰ δὲ νοούμενα, φημὶ δὴ τὰ μετάφρενα διὰ τὴν θεωρίαν, ὡς ἐν χλωρότητι χρυσίου, καθίστανται. ἡ γὰρ μὴ ὡραιωθεῖσα ψυχὴ, πετασθῆναι, καὶ καταπαῦσαι οὐ δύναται ἔνθα πάντων τῶν εὐφραινομένων ἡ κατοικία ἐστίν.

## Τοῦ αὐτοῦ πρακτικὰ, καὶ θεωρητικά.

Λειμὼν ἐνθάδε, καρπῶν πεπληρωμένος.
Πνευματικῆς πράξεως, καὶ θεωρίας.

λγʹ. Ἀπαρχὰς ἅλωνος, καὶ ληνοῦ, πάλαι μὲν τοῖς παλαιοῖς προσφέρειν ἐν τῷ ναῷ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

προτετέτακται. ἡμεῖς δὲ ἡμεῖς πρακτικῆς μὲν ἀπαρχάς, ἐγκράτειαν χρὴ Θεῷ προσφέρειν, καὶ τὴν ἀλήθειαν. θεωρητικῆς δὲ ἀρετῆς, ἀγάπην, καὶ προσευχήν. διὰ ἐκείνων μὲν, ἐπιθυμίας ἀλόγου καὶ τοῦ θυμοῦ τὰς ὁρμὰς ἀνακόπτοντα. διὰ τούτων δὲ, ἐννοίας κενάς, καὶ τὰς ἐκ τοῦ πλησίον ἐπιβουλάς.

λδ΄. Πρακτικῆς μὲν ἀρχή, ἐγκράτεια καὶ ἀλήθεια. μεσότης δὲ, σωφροσύνη, καὶ ταπεινοφροσύνη· τέλος δὲ αὐτῆς, λογισμῶν εἰρήνη, καὶ ἁγιασμὸς σώματος.

λε΄. Πρᾶξίς ἐστιν, οὐ τὸ πράττειν ἁπλῶς δύνασθαι τὰ καλά, ἀλλὰ καὶ τὸ ὡς δεῖ πράττειν αὐτά. τὸν καιρὸν, καὶ τὸ μέτρον πρὸς τὰ πρακτὰ συνεπιφερομένου τοῦ πράττοντος.

λϛ΄. Θεωρία ἐστὶν, οὐ τὸ θεωρεῖν μόνον ὡς ἔχουσι τὰ σώματα. ἀλλὰ καὶ τὸ τοὺς λόγους αὐτῶν, πρὸς τί βλέπουσιν.

λζ΄. Οὐκ ἔστιν οὔτε πρᾶξις ἀσφαλὴς, θεωρίας ἐκτός, οὔτε θεωρία ἀληθὴς, ἄνευ πράξεως. χρὴ γὰρ καὶ πρᾶξιν ἐλλόγιμον εἶναι, καὶ θεωρίαν ἔμπρακτον. ἵνα τῇ μὲν, ἀνίσχυρος εὑρίσκηται ἡ κακία. τῇ δὲ, δυνατὴ ἡ ἀρετὴ ἐν εὐδοκίαις χρηστότητος.

λη΄. Πέρας μὲν πρακτικῶν, ἡ νέκρωσις τῶν παθῶν. τέλος δὲ γνωστικῶν, ἡ θεωρία τῶν ἀρετῶν.

λθ΄. Ὡς ὕλη τῷ εἴδει, οὕτω πρᾶξις τῇ θεωρίᾳ. καὶ ὡς ὀφθαλμὸς προσώπῳ, οὕτω θεωρία τῇ πράξει ὀφθήσεται.

μ΄. Ἐν τῷ τῆς κατὰ τὴν πρακτικὴν ἀρετῆς σταδίῳ, πολλοὶ μὲν τρέχουσιν. εἷς δὲ λαμβάνει τὸ βραβεῖον, ὁ πρὸς τὸ πέρας αὐτῆς ἐλθεῖν τῇ θεωρίᾳ ἐπιθυμῶν.

μα΄. Κατανύξεως μὲν πόμα πίνει ὁ πρακτικὸς ἐν εὐχῇ· ποτηρίῳ δὲ κρατίστῳ μεθύσκεται ὁ θεωρητικός. ὁ μὲν ἐν τοῖς κατὰ φύσιν φιλοσοφῶν, ὁ δὲ καὶ ἑαυτὸν ἀγνοῶν ἐν τῷ εὔχεσθαι.

μβ΄. Οὐ συγχωρεῖται ὁ πρακτικὸς εἰς πνευματικὴν θεωρίαν ἐπὶ πολὺ ἐγκαρτερεῖν, εὑρίσκεται γὰρ ὡς ἐπιξενωθείς τινι, καὶ ἐκ τῆς ἐκείνου οἰκίας ταχέως ὑπεξερχόμενος.

Ὡς ἐν πύλαις μὲν εἰσέρχονται οἱ πρακτικοὶ τῶν ἐπαύλεων τοῦ Θεοῦ, ἐν τῷ εὔχεσθαι. ὡς ἐν αὐλαῖς δὲ ἀρετῶν ἐν ὕμνοις, οἱ θεωρητικοί. εὐχαριστοῦντες· οἱ μὲν, ὅτι ἐλύθησαν τῶν δεσμῶν. οἱ δὲ, ὅτι καὶ αἰχμαλώτους εἰλήφασι τοὺς πολεμοῦντας αὐτούς. μγ΄.

Χρὴ κατὰ τὸ τῆς πρακτικῆς κράτος, καὶ τὸ τῆς θεωρίας εὑρίσκεσθαι. ἵνα μὴ καθ' ὁμοιότητα πλοίου τοῦ μὴ κατάλληλα τὰ ἱστία περιφερομένου, ἢ κίνδυνον ὑπομείνῃ ἀνέμων σφοδρότητι διὰ τὴν ἀμετρίαν αὐτῶν, ἢ ζημίαν πνεύματος διὰ τὴν πρὸς τὸ σκάφος σμικρότητα. μδ΄.

Ἐρέτας μὲν τοῦ νοητοῦ πλοίου νόει, τοὺς εὐσεβεῖς λογισμούς. κώπας δὲ, τὰς ζωτικὰς δυνάμεις τῆς ψυχῆς, θυμὸν, καὶ ἐπιθυμίαν, βούλησιν, καὶ προαίρεσιν. τούτων ὁ μὲν πρακτικὸς ἐν χρείᾳ ἐστὶ πάντοτε. οὐ πάντοτε δὲ καὶ ὁ θεωρητικός. ἐν γὰρ τῷ καιρῷ τῆς εὐχῆς χαίρειν οὗτος πᾶσιν εἰπών, αὐτὸς ἑαυτὸν ἐπὶ τῶν τῆς διαγνώσεως οἰάκων καθίζων, διὰ πάσης ἐγρήγορε τῆς κατὰ θεωρίαν νυκτὸς, αἰνέσεις προσάγων τῷ συνοχεῖ τοῦ παντός. καί που τί καὶ μέλος ἐρωτικὸν ἀναλαβόμενος, τῇ ἑαυτοῦ προσεπάδει ψυχῇ, τοὺς τῆς ἅλμης θαλάσσης ἀποσκοπῶν μετεωρισμούς, καὶ ῥοθίους κινήσεις, τὰ θεῖα καταπληττόμενος κρίματά τε καὶ δικαιώματα. με΄.

Ὁ μέσως ἔχων περὶ πρᾶξιν καὶ θεωρίαν, οὔτε πάντη ταῖς κώπαις κατὰ τοὺς ναυτικοὺς ποιεῖται τὸν πλοῦν, οὔθ' ὅλως τοῖς νοητοῖς ἱστίοις, ἀλλὰ δι' ἀμφοτέρων τὴν χρείαν τῆς εὐπλοΐας ἐργάζεται. ἡδέως φέρων καὶ τοὺς πόνους τῆς πράξεως, διὰ τὸ μέτρον τῆς θεωρίας. καὶ τοὺς λόγους τῆς ἀτελοῦς θεωρίας, διὰ τὸ βεβαιοῦσθαι ὑπὸ τῆς πράξεως. μϛ΄.

Ὁ

μζ'. Ὁ μὲν θεωρητικὸς, τῇ γνώμῃ τὴν φύσιν ἔχων συντρέχουσαν, ὡς ἐπί τι ῥεῦμα ἀπόνως ποιεῖται τὸν πλοῦν. ὁ δὲ πρακτικὸς ἐναντιουμένην εὑρίσκων τῇ προαιρέσει τὴν κλίσιν, πολὺν λογισμῶν ὑφίσταται κλύδωνα, καὶ εἰς ἀπελπιδοκίαν, μικροῦ δεῖν, κινδυνεύει διὰ τὸ βάρος ἐλθεῖν.

μη'. Οὔτε χώρα μὴ καλῶς κατεργασθεῖσα, πολύχουν καὶ καθαρὸν ἀντιπαρέχει τὸ σπέρμα τῷ σπείροντι ἔωθεν, οὔτε ὁ τὴν πρακτικὴν μετερχόμενος, εἰ μὴ ἐπιμελῶς ταύτην, καὶ φροντίζων αὐτῆς, μετέρχεται, τὸν ἐξ ἀρχῆς ὄψεται καρπὸν πολύν τε, καὶ καθαρόν.

μθ'. Τῇ πατουμένῃ συχνῶς ἔοικε γῇ, διάνοια ἡ ἀδιαλείπτως εὐχῆς ἴχνεσι τριβομένη. ἐκείνη τε γὰρ λεία ἐστι, καὶ αὕτη εὐθεῖα πρὸς ὑποδοχήν. ἐκείνη μὲν ποδῶν ζοφερῶν, καὶ αὕτη εὐχῶν καθαρῶν.

ν'. Ἐπὶ μὲν τῶν ἐνύλων, ὁ νοῦς συνεργὸν ἔχει τὸν λογισμόν. ἐπὶ δὲ τῶν ἀΰλων, εἰ μὴ αὐτὸν παραιτήσεται, ὡς σκόλοπα ἕξει τὸν κολαφίζοντα.

να'. Κάλυμμα μὲν ἔχει ὁ πρακτικὸς ἐπὶ τῆς καρδίας αὐτοῦ ἐν ἀρχῇ, τὴν γνῶσιν τῶν αἰσθητῶν, ἀνακαλυφθῆναι διὰ τὴν κλίσιν μὴ δυνάμενον. μόνος δὲ ὁ θεωρητικὸς διὰ τὸ ἄσχετον, ἀνακεκαλυμμένῳ προσώπῳ ὁρᾶν ἀπὸ μέρους δύναται τὴν δόξαν τοῦ Θεοῦ.

νβ'. Ἡ μετὰ πνευματικῆς θεωρίας εὐχὴ, ἡ γῆ τῆς ἐπαγγελίας ἐστί· καθ' ἣν ῥέει, ὡς γάλα καὶ μέλι, ἡ γνῶσις τῶν περὶ προνοίας, καὶ κρίσεως λόγων Θεοῦ. ἡ δὲ μετά τινος φυσικῆς, ἡ Αἴγυπτος· ἐν ᾗ τῶν παχυτέρων ἐπιθυμιῶν μνήμη τοῖς εὐχομένοις ἐγγίνεται. ἡ δέ γε ἁπλῆ, τὸ Μάννα ἐστὶ τὸ ἐν τῇ ἐρήμῳ· ὃ διὰ τὸ μονοειδὲς, τοῖς μὲν ἀκαρτερήτοις, ἐναποκλεῖσαν τὰ δι' ἐπιθυμίας τῶν ἐπηγγελμένων καλά. τοῖς δὲ ἐγκαρτεροῦσι τῇ τοιαύτῃ ἀπεστενωμένῃ τροφῇ, προξενοῦν τὴν κρείττω γεῦσιν, καὶ μείνασαν.

νγ'. Πρᾶξις σὺν θεωρίᾳ μὲν, ὡς σῶμα μετὰ πνεύματος ἡγεμονικοῦ. ἄνευ δὲ θεωρίας, ὡς σὰρξ μετὰ πνεύματος προαιρετικοῦ λογισθήσεται.

νδ'. Τῆς λογικῆς ψυχῆς, αὐλὴ μὲν ἡ αἴσθησις, ναὸς δὲ ἡ διάνοια, ἀρχιερεὺς δὲ ὁ νοῦς. ἐν τῇ αὐλῇ μὲν ἵσταται, ὁ ὑπ' ἀκαίρων ἔτι περικοπτόμενος λογισμῶν. ἐν τῷ ναῷ δὲ, ὁ ὑπ' εὐκαίρων. ὑπ' οὐδενὸς δὲ τούτων, ὁ εἰς τὸ θεῖον ἱερατεῖον ἀξιωθεὶς εἰσελθεῖν.

νε'. Θρῆνος μὲν, καὶ μέλος, καὶ οὐαὶ ἐν οἴκῳ τῆς πρακτικῆς ψυχῆς διὰ τὸν κόπον εὑρίσκεται. φωνὴ δὲ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως διὰ τὴν γνῶσιν, ἐν τῷ τῆς θεωρητικῆς ἐξακούεται.

νϛ'. Ὁ πρακτικὸς μὲν, ἐπιθυμεῖ ἀναλῦσαι διὰ τοὺς πόνους, καὶ συγγενέσθαι Χριστῷ. ὁ δὲ θεωρητικὸς, δοκεῖ μᾶλλον σαρκὶ παραμένειν, καὶ διὰ τὴν χαρὰν, ἣν δέχεται ἐκ τῆς εὐχῆς, καὶ διὰ τὴν τοῦ πλησίον προσγινομένην ὠφέλειαν.

νζ'. Ἐπὶ μὲν τῶν λογικωτέρων, ἡ θεωρία προηγεῖται τῆς πράξεως. ἐπὶ δὲ τῶν ἀγροικοτέρων, τῆς θεωρίας ἡ πρᾶξις. εἰς ἓν δὲ τέλος χρηστὸν ἀμφότεραι καταλήγουσαι. συντομώτερον δὲ τοῦτο ὀφθήσεται, οὗ ἡ θεωρία προηγεῖται τῆς πράξεως.

νη'. Παράδεισός ἐστιν, ἡ θεωρία τῶν νοητῶν. ἐν τούτῳ ὁ μὲν γνωστικὸς, ὡς ἐν οἰκείῳ οἴκῳ ἔνδοθεν εἰσέρχεται ἐν εὐχῇ. ὁ δὲ πρακτικὸς, ὡς παροδίτης ὀφθήσεται, ἐπιθυμῶν μὲν, ἔνδοθεν παρακύπτειν, μὴ συγχωρούμενος δὲ, διὰ τὸ ὑπερανεστηκέναι τὸν φραγμὸν τῆς πνευματικῆς ἡλικίας αὐτοῦ.

νθ'. Τὰ μὲν σωματικὰ πάθη, θηρίοις ἐοίκασι. πτηνοῖς δὲ τὰ ψυχικά. ἀλλὰ τὰ μὲν ἀποτειχίζει ἀπὸ τοῦ λογικοῦ ἀμ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πελῶνος ὁ πρακτικὸς, οὐκ ἔτι δὲ καὶ τὰ πετεινὰ, εἰ μὴ ἐν θεωρίᾳ πνευματικῇ γένηται· καὶ ὅτι μάλιστα πολλὴν ποιῆται σπουδὴν πρὸς τὴν τῶν ἔνδον φυλακήν.

ξ'. Ἠθικῆς εὐπρεπείας κρείττων, πρακτικὸς γενέσθαι οὐ δύναται. εἰ μὴ καὶ αὐτὸς, κατὰ τὸν Πατριάρχην Ἀβραὰμ ἔξω γένηται, ὡς μὲν γῆς οἰκείας, τοῦ φυσικοῦ νόμου, ὡς δὲ συγγενείας, τῆς ἥλικος αὐτῷ κατὰ σχέσιν ζωῆς. οὕτω γὰρ καὶ οὗτος ὡς σφραγῖδα λήψεται τῆς γεννικῆς ἡδονῆς τὴν ἀφαίρεσιν. καθ' ἣν τὸ ἀπὸ γενέσεως κάλυμμα περικείμενον, τὴν παντελῆ ἐλευθερίαν οὐ συγχωρεῖ παραχεθῆναι ἡμῖν.

ξα'. Οὔτε πῶλος ἐν ἔαρι, ἔνδον φάτνης μένειν, καὶ τὰ ἐκείνης ἐσθίειν ἀνέχεται. οὔτε νεοτελὴς νοῦς τὸ ἀπεστενωμένον ἐπὶ πολὺ καρτερεῖν τῆς εὐχῆς οὐ δύναται. ἡδέως μᾶλλον κατ' ἐκεῖνον ἔχων, ἐπὶ τὸ πλάτος τῆς φυσικῆς θεωρίας διέρχεσθαι τῆς κατὰ τὴν ψαλμῳδίαν διεισκομένης, καὶ τὴν ἀνάγνωσιν.

ξβ'. Ὡς μὲν ὀσφύας ἔχει περιεζωσμένας νηστείᾳ καὶ ἀγρυπνίᾳ ἡ πρακτικὴ, τὰς ζωτικὰς δυνάμεις αὐτῆς. ὡς λύχνους δὲ καιομένους, σιωπῇ τε, καὶ προσευχῇ τὰς γνωστικὰς ἡ θεωρητικὴ ἀρετὴ ἐφιστῶσα. ἡ μὲν ἐκείναις, τὸν λογισμὸν ὡς παιδαγωγόν· ἡ δὲ, ταύταις ὡς νυμφοστόλον λόγον τὸν ἐνδιάθετον.

ξγ'. Νοῦς ἀτελὴς εἰς τὸν κατάκαρπον ἀμπελῶνα τὸν τῆς εὐχῆς, οὐ συγχωρεῖται εἰσέρχεσθαι. εἰς μόνα δὲ καὶ μόλις, ὡς πρὸς ἐπιφυλλίδας πτωχὸς, τὰ ψιλὰ τῶν ψαλμῶν ἀπηχὴν ἄπεισι.

ξδ'. Ὥσπερ οὐ πάντες οἱ εἰς βασιλέως ὁμιλίαν ἐρχόμενοι, συνεστιᾶσθαι αὐτῷ δύνανται· οὕτως οὐδὲ οἱ εἰς ἐντυχίαν εὐχῆς ἥκοντες, ἐν θεωρίᾳ τῇ κατ' ἐκείνην ὀφθήσονται.

ξε'. Θυμοῦ μὲν χαλινὸς, ἡ εὔκαιρος γίνεται σιωπή. ἐπιθυμίας δὲ ἀλόγου, ἡ σύμμετρος ἐδωδή. δυσκαθέκτου δὲ λογισμοῦ, ἡ μονολόγιστος προσευχή.

Καὶ ὁ εἰς τὸν κάτω βυθὸν εἰσδύων διὰ τὸν αἰσθητὸν, καὶ ὁ εἰς τὸν γνωστικὸν διὰ τὸν νοητὸν μαργαρίτην, ἵνα αὐτὸν ἀνιμήσηται, εἰ μὴ γυμνωθῇ ἐκεῖνος μὲν τῆς ἐσθῆτος, οὗτος δὲ τῆς αἰσθήσεως, ἀμφότεροι τοῦ ἐπιζητουμένου διαμαρτήσονται. ξϛ'.

Ὁ μὲν ἔνδοθεν τῆς διανοίας αὐτοῦ γινόμενος νοῦς, ἐν τῷ εὔχεσθαι, ὡς μετὰ νύμφης νυμφίος ἐν τῷ νυμφῶνι διαλεγόμενος, εὐφρανθήσεται. ὁ δὲ μὴ συγχωρούμενος εἰσελθεῖν, ἔξωθεν ἱστάμενος στενάζων βοᾷ, Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τοῦ μὴ βλέπειν εἰς ματαιότητας, καὶ μανίας ψευδεῖς ἐν τῷ εὔχεσθαι; ξζ'.

Ὁποία ἡ χωρὶς ἁλὸς τῷ λάρυγγι λογιζομένη τροφὴ, τοιαύτη, καὶ ἡ ἐκτὸς κατανύξεως λογισθήσεται τῷ νῷ μετερχομένη εὐχή. ξη'.

Ἡ μὲν ἔτι καταδιώκουσα ψυχὴ τὴν εὐχὴν, τῇ ὠδινούσῃ ὑπάρχει παρεμφερής. ἡ δὲ καταλαβοῦσα, τῇ κυησάσῃ, καὶ πλήρει γενομένῃ διὰ τὸν τόκον χαρᾶς. ξθ'.

Πάλαι μὲν ὁ Ἀμορραῖος ἐν τῷ ὄρει οἰκῶν, ἐτίτρωσκεν ἐξερχόμενος τοὺς παραβιαζομένους διέρχεσθαι. νυνὶ δὲ ἡ πονηρὰ λήθη διώκει τοὺς πρὸ τῆς ἁγνείας ἐπὶ τὴν ὑψηλοτέραν ἐπιχειροῦντας ἀναβαίνειν εὐχὴν τῆς ἁπλότητος. ο'.

Τῆς καθαρᾶς εὐχῆς, ἐν ἔχθρᾳ πολλῇ πεφύκασιν εἶναι οἱ δαίμονες. καταπλήττει δὲ τούτους, οὐχ ἡ πληθὺς τῶν ψαλμῶν ὡς τοὺς ἔξωθεν πολεμίους τὸ στράτευμα, ἀλλ' ἡ τριῶν συμφωνία. νοῦ πρὸς λόγον, καὶ λόγου πρὸς αἴσθησιν. οα'.

Ἡ μὲν ψιλὴ εὐχὴ, ὡς ἄρτος ὀφθήσεται τοῖς εὐχομένοις, στηρίζουσα. ἡ δὲ μετά τινος θεωρίας, ὡς ἔλαιον πιαίνουσα· ἡ δὲ ἀνειδέως, ὡς οἶνος εὐώδης· οὗ οἱ ἐμφορούμενοι ἀπλήστως ἐξίστανται. οβ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ογ'. Ἄγριος μὲν ὄνος, πόλεως λέγεται πολυοχλίας καταγελᾶν. καὶ μονόκερως δὲ ὑπ' οὐδενὸς δεσμεῖσθαι δυνάμενος. νοῦς δὲ, φύσεως, καὶ τῶν παρὰ φύσιν βασιλεύσας λογισμῶν, ματαιότητος μὲν καταγελᾷ λογισμῶν, προσευχόμενος, παρ' οὐδενὸς δὲ δύναται τῶν ὑπὸ αἴσθησιν κατεξουσιάζεσθαι.

οδ'. Ῥάβδον μὲν ὁ κυσὶν ἐπισείων, ἠγρίωσε καθ' ἑαυτοῦ. δαίμονας δὲ, ὁ καθαρῶς ἐκβιαζόμενος εὔχεσθαι.

οε'. Χρὴ τὸν ἀγωνιζόμενον, τὴν μὲν αἴσθησιν αὐτοῦ, εἰς τὴν μονοειδῆ συστέλλειν τροφήν. τὸν δὲ νοῦν, εἰς τὴν μονολόγιστον προσευχήν. οὕτω γὰρ ἄγευστος γεγονὼς ἐκ παθῶν, καὶ ἐπὶ τὸ ἁρπάζεσθαι πρὸς Κύριον ἥξει ἐν τῷ προσεύχεσθαι.

ος'. Οἱ μὲν ἡδυπαθῶς προσευχόμενοι, ἅτε ὑλώδεις ὄντες, ὡς βατράχους ἔχουσι τοὺς λογισμοὺς περιεπτῶντας αὐτούς. οἱ δὲ μετεωροπαθεῖς, τὰς θεωρίας ὡς ἀηδόνας κατατερπούσας αὐτούς, τῇ, ἀπ' ἄλλων εἰς ἄλλους ἀκρέμονας, τουτέστι, ποικίλας θεωρίας, μεταβάσει. σιγὴ δὲ πρόσεστι τοῖς ἀπαθέσι, καὶ ἠρεμία πολλὴ ἐκ λογισμῶν, καὶ νοημάτων ἐν τῷ προσεύχεσθαι.

οζ'. Πάλαι μὲν ἡ τοῦ Μωσέως Μαρία τῶν πολεμίων τὴν πτῶσιν θεασαμένη, τὸ τύμπανον ἀραμένη, ἐξῆρχε ταῖς ᾀδούσαις τὰ ἐπινίκια. νυνὶ δὲ εἰς εὐφημίαν τῆς νικησάσης τὰ πάθη ψυχῆς, ἡ κρείττων ἐν ἀρεταῖς ἀγάπη διεγερθεῖσα, τὴν μετ' ᾠδῆς κιθάραν ὥσπερ θεωρίαν μεταχειριζομένη ταύτῃ, πάλαι τὴν ποθηθεῖσαν εἰς κάλλους περιουσίαν, οὐ παύεται σὺν ταῖς περὶ αὐτὴν ἀγαλλιωμένη αἰνεῖν τὸν Θεόν.

οη'. Ὁπόταν συνεχείας τῆς κατὰ τὴν εὐχὴν καταχεθῇ τὰ λόγια τῶν ψαλμῶν ἐν τῇ καρδίᾳ τοῦ εὐχομένου, τότε καὶ αὐτὴ ἡ γῆ καθάπερ ἀγαθὴ, ἄρχεται αὐτομάτη ἀναφέρειν· ὡς μὲν ῥόδα, τὴν θεωρίαν τῶν ἀσωμάτων. ὡς δὲ κρίνα, τὸ τηλαυγὲς τῶν σωμάτων. ὡς δὲ ἴα, τὸ ποικίλον τῶν θείων κριμάτων, καὶ δυσθεώρητον.

οθ'. Ἐν ὕλῃ μὲν δεσμευθεῖσα φλὸξ, φωτοφόρος καθίσταται. τῆς ὕλης δὲ λυθεῖσα ψυχὴ, θεοφόρος εὑρίσκεται. κἀκείνη αἴρεσθαι πέφυκεν, ἄχρι τοῦ ὑπεκκαύματος. αὕτη δὲ, μέχρι τοῦ κατὰ τὸν θεῖον ἔρωτα συμπεράσματος.

π'. Ἡ τελείως ἑαυτὴν ἀρνησαμένη ψυχὴ, καὶ ὁλικῶς ἀνατεθεῖσα πρὸς προσευχὴν, αὐτὴ οὐχ ὅτε βούλεται κάτω γίνεται, ἄνωθεν εὑρισκομένη τῆς κτίσεως. ἀλλ' ὅτε δίκαιον εἶναι δόξει, τῷ πάντα σταθμῷ καὶ μέτρῳ διεξάγοντι τὰ ἡμέτερα.

πα'. Ὅταν ἐκ ψυχῆς μὲν, ἀκηδία ἀπελαθῇ, ἐκ διανοίας δὲ ἡ πονηρία ἐκτιναχθῇ, τότε ὁ νοῦς γυμνὸς γενόμενος τῇ ἁπλότητι, ζῶν τε τῇ ἀτέχνῳ, καὶ δίχα παντὸς τοῦ κατὰ τὴν αἰσχύνην ἐπικαλύμματος, ᾆσμα μὲν ᾄδει καὶ οὕτως καινὸν τῷ Θεῷ. εὐχαριστεῖ δὲ μέλος ἀνακρουόμενος ἐν εὐφροσύνῃ, τῷ τῆς μελλούσης τὰ ἐγκαίνια ἑορτάζειν βιώσεως.

πβ'. Ὅταν εἰς θειοτέρας ἐνεργείας ἐνεργεῖσθαι ἄρξηται, ἡ εὐχομένη ψυχὴ, τότε καὶ αὐτὴ, κατὰ τὴν ἐν ᾄσματι νύμφην, πρὸς τοὺς ὁμοιοτρόπους τοιαῦτα ἀποφωνεῖ, ἀδελφιδοῦς μου ἀπέστειλε τὴν χεῖρα αὐτοῦ ἀπὸ τῆς ὀπῆς, καὶ ἡ κοιλία μου ἐθροήθη ἐπ' αὐτόν.

πγ'. Καὶ στρατιώτης ἐκ τοῦ πολέμου ἐπαναλύσας, τὸ βάρος τῶν ὅπλων ἀποσκευάζεται. καὶ πρακτικὸς τοὺς λογισμοὺς, εἰς θεωρίαν ἐρχόμενος. οὔτε γὰρ ἐκεῖνος εἰμὴ ἐν πολέμῳ, χρείαν ἔχει τῶν ὅπλων, οὔτε οὗτος, τῶν λογισμῶν, εἰ μὴ ἀποχωρίζει τοῖς ὑπὸ αἴσθησιν.

πδ'. Οἱ μὲν πρακτικοὶ ὡς ἔχουσι θέσεως θεωροῦσι τὰ σώματα. οἱ δὲ θεωρητικοὶ ὡς ἔχουσι φύσεως. μόνοι δὲ τοὺς λόγους ἀμφοτέρων ὁρῶσιν οἱ γνωστικοί.

πε'. Ἐν μὲν τοῖς λόγοις τῶν σωμάτων, γι-

γινώσκονται τὰ ἀσώματα, ἐν ἀσωμάτοις δέ, ὁ λόγος ὁ ὑπερούσιος· πρὸς ὃν ἐπείγεται πᾶσα σπουδαία ἀπολῦσαι ψυχήν.

πϛ′. Οἱ λόγοι τῶν ἀσωμάτων, ὡς ὀστᾶ εἰσι τοῖς αἰσθητοῖς ἐπικαλυπτόμενοι· οὓς ἴδοι οὐδείς, τῶν ἔξω μὴ γενομένων τῆς προσπαθείας τῶν αἰσθητῶν.

πζ′. Ἀποτίθεται καὶ στρατιώτης τὰ ὅπλα, καταλείψας τὸν πόλεμον· καὶ θεωρητικός, τοὺς λογισμούς, ἀναλύων πρὸς Κύριον.

πη′. Καὶ στρατηγὸς ἐν πολέμῳ σκύλων διαμαρτάνων, ἐν ἀθυμίᾳ καθίσταται· καὶ πρακτικὸς ἐν εὐχῇ, θεωρίας πνευματικῆς.

πθ′. Ἔλαφος μὲν ἐπὶ σωματικὰς ὑδάτων τρέχει πηγάς, ὑπὸ θηρίου διψηθεῖσα· ψυχὴ δὲ ἡ τῷ γλυκυτάτῳ βέλει τρωθεῖσα τῆς εὐχῆς, ἐπὶ ἀσωμάτους αὐγάς.

ϙ′. Οὔτε σωματικὸς ὀφθαλμὸς τὸν κύκλον τοῦ ἡλίου ἰδεῖν δύναται, οὔτε νοῦς πρακτικὸς τὴν φύσιν τὴν ἑαυτοῦ, εἰ μὴ γυμνωθῇ ἐκεῖνος μὲν ἀχλύος, οὗτος δὲ σχέσεως τῆς περικαλυπτούσης αὐτόν.

ϙα′. Κρύπτονται ἀστέρες μέν, ἡλίου ἀνατολῇ· λογισμοὶ δὲ ἐκλιμπάνουσι, τοῦ νοῦ πρὸς τὴν οἰκείαν βασιλείαν ἐπαναστρέφοντος.

ϙβ′. Μετὰ τὸ τέλος τῆς πρακτικῆς, αἱ πνευματικαὶ θεωρίαι περιχυθεῖσαι τῷ νῷ, οἷά τινες ἀκτῖνες τοῦ ἡλίου ἐκ τοῦ ὁρίζοντος ὑπερκύψασαι, δοκοῦσιν ἔξωθεν αὐτοῦ προσβάλλειν οἰκεῖαι οὖσαι, καὶ διὰ καθαρότητα ἐκεῖνον περιπτυσσόμεναι.

ϙγ′. Τοιαῦτα καὶ νοῦς θεωρητικὸς ἐκλαλεῖν δύναται, ὅταν ἄνωθεν ἀπ᾽ οὐρανοῦ καταβῇ φύσεως ἀνάγκαις ἐπικλιθείς, οἷα καὶ ὁ φθεγξάμενος, θείου κάλλους τί ὑπάρχει θαυμασιώτερον; καὶ τίς ἔννοια τῆς τοῦ Θεοῦ μεγαλοπρεπείας χαριεστέρα; ποῖος δὲ οὕτω πόθος δριμύς, καὶ ἀφόρητος; ὡς ὁ ἀπὸ Θεοῦ ἐγγινόμενος τῇ ἀπὸ πάσης κακίας κεκαθαρμένῃ ψυχῇ; καὶ ἀπὸ διαθέσεως λεγούσῃ, ὅτι τετρωμένη ἀγάπης ἐγώ;

Ἐκείνης ἐστὶ τὸ λέγειν, Ἐθερμάνθη ἡ ϙδ′.
καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ, τοῦ μὴ κοπιῶντος ὀπίσω τοῦ Θεοῦ κατακολουθεῖν δι᾽ εὐχῆς· μηδὲ ἡμέραν ἀνθρώπου ἐπιθυμοῦντος θεάσασθαι.

Λεγέτω καὶ ψυχὴ πρακτικὴ μετὰ τὴν ϙε′.
ἀπόθεσιν τῶν κακῶν, κατὰ τὴν ἐν τῷ ᾄσματι, ἐπὶ τῶν ἐκβιαζομένων αὖθις αὐτὴν πονηρῶν δαιμόνων, καὶ λογισμῶν, ἐπιβλέπειν εἰς ματαιότητας, καὶ μανίας ψευδεῖς· ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσωμαι αὐτόν· ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς.

Ψυχῆς θεοφιλοῦς τῆς λέγειν τολμώ- ϙϛ′.
σης πρὸς τὸν Θεόν, ἀπάγγειλόν μοι ὁ ποιμὴν ὁ καλὸς ποῦ ποιμαίνεις τὰ πρόβατά σου; καὶ ποῦ κοιτάζεις ἐν μεσημβρίᾳ τὰς ἀρνάς σου; ἵνα τούτοις ἀκολουθοῦσα, μὴ γένωμαι ὡς περιβαλλομένη ἐν ἀγέλαις ἑταίρων σου.

Ζητοῦσα τὸν τῆς εὐχῆς ἡ πρακτικὴ ϙζ′.
κρατοῦσα λόγον ψυχή, καὶ μὴ δυναμένη, τοιαῦτα κατὰ τὴν ἐν ᾄσματι καὶ αὐτὴ βοᾷ· ἐπὶ κοίτην μου ἐν νυξὶν ἐζήτησα, ὃν ἠγάπησα, ἐζήτησα, καὶ οὐχ εὗρον αὐτόν, ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου. ἀναστήσομαι δὴ δι᾽ εὐχῆς ἐπιπονωτέρας. καὶ κυκλώσασα ἐν τῇ πόλει ἐν ταῖς πλατείαις, καὶ ἐν ταῖς ἀγοραῖς, ζητήσω ὃν ἠγάπησα· ἴσως ὀφθήσεταί μοι ὁ ἐν τῷ παντὶ μὲν ὤν, καὶ τοῦ παντὸς ἔξω. χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν αὐτοῦ.

Ὅταν ὅλη δακρύων ἐκ τῆς περὶ τὴν ϙη′.
εὐχὴν χαρᾶς ἄρξηται γίνεσθαι ἡ ψυχή, τότε καὶ αὐτὴ παρρησιαζομένη, ὡς πρὸς τὸν ἑαυτῆς νυμφίον νύμφη, βοᾷ· καταβήτω ὁ ἀδελφιδοῦς μου εἰς κῆπον αὐτοῦ. καὶ φαγέτω τῶν ἐμῶν δακρύων, ὡς ἀκροδρύων, τὴν ποθοῦσαν παράκλησιν.

Ὅταν ἡ πρακτικὴ ψυχὴ ἐκ μεγέθους ϙθ′.
καὶ καλλονῆς κτισμάτων θαυμάζειν ἄρξη-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ται τὸν δημιουργόν, καὶ τῆς ἐκ τούτων κατατρυφᾶν ἡδονῆς, ταῦτα καὶ αὐτὴ ἐκπληττομένη βοᾷ. τί ὡραιώθης νυμφίε, παράδεισε πατρικός; ἄνθος τοῦ παιδίου, καὶ κέδρος αὐτοῦ ὡς κέδροι τοῦ Λιβάνου. ὑπὸ τὴν σκιὰν αὐτοῦ ἐπεθύμησα, καὶ ἐκάθισα, καὶ ὁ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγί μου.

ρ΄. Εἰ ὁ βασιλεὺς ὑποδεχόμενος εἰς τὸ δωμάτιον ἑαυτοῦ, οὕτω περιφανὴς ἀρέσκεται, καὶ περίβλεπτος καὶ πάσης χαρᾶς ἔμπλεως, πόσῳ μᾶλλον ψυχὴ ἡ τὸν βασιλέα τῶν βασιλέων ἐν τῷ καθαρθῆναι ὑποδεξαμένη, κατὰ τὴν ἀψευδῆ ἐκείνου ὑπόσχεσιν. πλὴν, ἀληθῶς ἄγαν ἡ τοιαύτη ἑαυτὴν ἀσφαλίζεσθαι ὀφείλει. ἔξω μὲν βάλλουσα, πᾶν τὸ μὴ εἰς ἀνάπαυσιν ἐκείνου δοκοῦν· ἔνδοθεν δὲ εἰσάγουσα πᾶν τὸ εἰς ἐκείνου ἀρέσκειαν.

ρα΄. Ὁ κληθῆναι προσδοκῶν παρὰ βασιλέως τῇ αὔριον, τίνος ἐν φροντίδι ἄλλου ὀφθήσεται; ἢ λόγων μελέτης, τῶν εἰς ἐκείνου τυγχανόντων ἀρέσκειαν; τοῦτο τηροῦσα ψυχὴ, οὐκ ὀφθήσεται ἀπαρασκεύαστος πρὸς τὸ ἐκεῖθεν κελευσμόν.

ρβ΄. Μακαρία ψυχὴ ἡ διὰ τὸ σήμερον ἥξειν προσδοκᾶν τὸν Κύριον ἑαυτῆς, μηδὲν ἡγουμένη ὅλον τὸν κόπον τῆς ἡμέρας, μὴ δὲ τὸν τῆς νυκτὸς, διὰ τὸ εὐθὺς ἐπὶ τὸ πρωῒ τοῦτον μέλλειν ἐμφανίζεσθαι.

ργ΄. Πάντας μὲν ὁρᾷ ὁ Θεὸς, ὁρῶσι δὲ τὸν Θεὸν, οἱ θεωροῦντες μηδὲν, ἐν τῷ εὔχεσθαι. καὶ ὅσοι μὲν ὁρῶσι τὸν Θεὸν, καὶ εἰσακούονται παρ' αὐτοῦ. ὅσοι δὲ οὐκ εἰσακούονται, οὐδὲ ὁρῶσιν αὐτόν. μακάριος δὲ ὁ πιστεύων, ὅτι βλέπεται ὑπὸ τοῦ Θεοῦ· οὐ σφαλήσεται γὰρ ὁ πᾶς αὐτοῦ, τῆς ἀρεσκείας ἐκείνου χωρίς.

ρδ΄. Τῆς ἐντὸς ἡμῶν οὔσης βασιλείας τὰ ἀγαθὰ, ἃ φιλόκαλος ὀφθαλμὸς οὐκ εἶδε, καὶ ἀκοὴ φιλότιμος οὐκ ἤκουσε, καὶ ἐπὶ καρδία Πνεύματος Ἁγίου κενὴ οὐκ ἀνέβη, ἀρραβῶνές εἰσι τῶν μελλόντων δίδοσθαι τοῖς δικαίοις ἀγαθῶν, ἐν τῇ μελλούσῃ βασιλείᾳ παρὰ Θεοῦ. καὶ ὁ μὴ ἐν τούτοις τρυφῶν, οἵτινες εἰσὶν οἱ καρποὶ τοῦ Πνεύματος, ἐν ἀπολαύσει ἐκείνων γενέσθαι οὐ δύναται.

Οἱ τῶν πρακτικῶν λογισμοὶ, ἐλάφοις ἐοίκασιν. ρέ. ὡς γὰρ ἐκεῖναι ποτὲ μὲν ἄνω εἰσὶν ἐν τοῖς ὄρεσι, διὰ τὸν φόβον τῶν θηρατῶν, ποτὲ δὲ κάτω ἐν ταῖς κοιλάσι διὰ τὸν πόθον τῶν ἐν αὐταῖς, οὕτω καὶ οὗτοι· οὔτε πάντοτε ἐν θεωρίᾳ πνευματικῇ δύνανται εἶναι, διὰ τὸ αὐτῶν ἀτελές· οὔτε ἀεὶ ἐν τῇ φυσικῇ, διὰ τὸ μὴ τὴν ἀνάπαυσιν διώκειν ἀεί. τῶν μέντοι θεωρητικῶν, περιστερίων ὑπερόπται θεωρημάτων καθίστανται.

Βόλοι μὲν δρόσου, γῆς μεθύσκουσιν ρϛ΄. αὔλακας· διαθέσεις δὲ ψυχῆς ἐν εὐχῇ, ἔμβροχοι στεναγμοὶ ἀπὸ καρδίας ἀναδιδόμενοι.

Τῆς ἐν Τριάδι νοουμένης θεότητος, ρζ΄. οὐδεὶς ἐν θεωρίᾳ ὀφθήσεται, ὑλικῆς δυάδος, καὶ τῆς γείτονος μονάδος ἄνωθεν μὴ ὀφθείς· οὐδὲ ταύτης γενήσεται ὑψηλότερος, μὴ μοναδικὸν τὸν ἑαυτοῦ ἐν νοουμένοις ἐργασάμενος νοῦν.

Οὐ τοσοῦτον δυσχερὲς εὑρεθήσεται, τοῦ ρή. ποταμοῦ ἀνακόψαι ὁδὸν ἐπὶ τὰ κάτω μὴ φέρεσθαι, ὅσον νοῦ ῥύμην ἀναχαιτίσαι, μὴ ἐν τοῖς ὁρωμένοις σκεδάννυσθαι, πρὸς δὲ τὰ ἄνω, καὶ συγγενῆ, ὅτε βούλεται, τῷ εὐχομένῳ συνάγεσθαι· κἂν τοῦτο μὲν κατὰ φύσιν, ἐκεῖνο δὲ παρὰ φύσιν καθέστηκεν.

Τὸν νοῦν οἱ καθαιρόμενοι εἴσω τῶν ὁ- ρθ΄. ρωμένων παραπέμποντες, τοσούτου πίμπλανται θάμβους, καὶ τοσαύτης πληροῦνται χαρᾶς, ὡς μηδὲν ἕτερον χωρῆσαι τῶν ἐπιγείων δύνασθαι, μηδ' ἂν εἰ πάντα πρὸς αὐτοὺς συρρεύσειε τὰ περιμάχητα.

Ἐξαρκοῦσι καὶ μόνοι οἱ νόμοι ῥηθέντες, ρί. τῆς φύσεως πρὸς τὸ λίαν θαυμάζεσθαι



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κατανυγμένοι δὲ, λειμῶνες εὑρίσκονται ἀνανθεῖς, ὡς τοῦ οὐρανίου νέκταρος, ἀκράτως βρύοντες ἄνθεσι τῆς πνευματικῆς πανδαισίας τὸν γλυκασμόν.

ρια'. Ἐν δροσεροῖς μὲν ἄνθεσι λειμώνων, τὴν βασιλίδα τοῦ σμήνους περιζῶσι μέλιτται. ἐν κατανύξει δὲ τῇ γινομένῃ ἀδιαλείπτως ψυχῇ, ὡς οἰκεῖαι, αἱ νοεραὶ δυνάμεις περικυκλοῦσαι, συνεκπονοῦσι τὰ καταθύμια.

ριβ'. Ἐν μὲν τῷ ὁρωμένῳ κόσμῳ, ὡς ἄλλος τὶς ὁρᾶται κόσμος, ὁ ἄνθρωπος. ἐν δὲ τῷ νοουμένῳ, ὁ λογισμός. οὐρανοῦ μὲν γὰρ, καὶ γῆς, καὶ τῶν ἐν μέσῳ, οὗτος ἐκείνων καταγγελεύς. τοῦ δέ, καὶ αἰσθήσεως, καὶ τῶν περὶ αὐτὴν, ὑποφήτης ὑπάρχει ὁ λογισμός. ὧν ἄνευ, ἀμφότεροι κόσμοι ἐκκεκώφωντο ἄν.

ριγ'. Οὐχ οὕτω μετὰ χαρᾶς ἀπολυθεὶς αἰχμάλωτος διὰ χρόνου, πορεύεται, ὡς τῆς σχέσεως ἐλευθερωθεὶς πρὸς τὰ οὐράνια ὡς πρὸς οἰκεῖα πορεύεται, ἀγαλλομένῳ ποδί.

ριδ'. Τοῦ μὴ μετὰ προσοχῆς εὐχομένου, ἀλλὰ διαχεομένου, βάρβαρος μὲν ὁ ψαλμὸς λογισθήσεται. αὐτὸς δὲ τῷ ψαλμῷ ὡς βάρβαρος. καὶ ὡς μαινόμενοι ἀμφότεροι δαίμοσιν.

ριε'. Οὐ ταὐτόν ἐστιν, οἷς ἐσταυρώθη ὁ κόσμος, καὶ οἵτινες τῷ κόσμῳ ἐσταύρωνται. τοῖς γὰρ, ἧλοι· νηστεία, καὶ ἀγρυπνία. τοῖς δὲ, ἀκτημοσύνη, καὶ ἐξουδένωσις. τῶν δὲ δευτέρων χωρὶς, οἱ πόνοι τῶν προτέρων ἀνωφελεῖς.

ρις'. Οὐδεὶς καθαρῶς εὔξασθαι δύναται, φιλοκάλῳ πάθει καὶ φιλοτίμῳ κρατούμενος. περὶ ταῦτα γὰρ αἱ σχέσεις καὶ οἱ τῆς ματαιότητος λογισμοὶ τὴν εἰκαιότητα ἔχοντες, σχοινία καθάπερ ἐκείνῳ περιπλεκόμενα γίνονται· κατασπῶντες ὡς οἷα στρουθίῳ δεδεμένῳ ἀναπτῆναι πειρωμένῳ τῷ νοΐ, ἐν τῷ καιρῷ τῆς εὐχῆς.

ριζ'. Ἀδύνατον ἐν τῷ καιρῷ τῆς εὐχῆς, εἰρηνικὸν γενέσθαι τὸν νοῦν, τὸν μὴ τὴν φίλην κτησάμενον ἐγκράτειαν, καὶ ἀγάπην. ἡ μὲν γὰρ τὴν κατὰ τῆς ψυχῆς ἐκ τοῦ σώματος ἔχθραν καταλύειν ἐπαγωνίζεται, ἡ δὲ τὴν πρὸς τὸν πλησίον διὰ τὸν Θεόν. κἀντεῦθεν ἡ ὑπερέχουσα πάντα νοῦν εἰρήνη ἐπιδημοῦσα, μονὴν ποιεῖσθαι πρὸς τὸν οὕτω κατειρηνεύσαντα ἐπαγγέλλεται.

Ἀνάγκη τὸν εἰς βασιλείαν Θεοῦ ἀγωνιζόμενον εἰσελθεῖν, περισσεύειν ἐν ἀγαθοῖς, τὸ ἔργον αὐτοῦ τῆς δικαιοσύνης. ἐν ἐλεημοσύναις μὲν, διὰ τῆς ἐκ τοῦ ὑστερήματος παροχῆς. ἐν πόνοις δὲ τοῖς ὑπὲρ εἰρήνης, διὰ τοῦ ἀποκρίματος τῆς ἐν Κυρίῳ ὑπομονῆς. ριη'.

Οὔτε ὁ ἐνδεῶς πρὸς ἀρετὴν ἔχων δι' ἀμέλειαν, οὔτε ὁ περιττῶς διὰ τὴν οἴησιν, εἴσω λιμένος τοῦ κατὰ τὴν ἀπάθειαν εὑρεθήσονται. οὐδ' ἕτερος γὰρ τῶν ἐκ δικαιοσύνης ἐν ἀπολαύσει γέγονεν ἀγαθῶν, μεσίτιδος εὑρισκομένης αὐτοῖς ἐλλείψεως, καὶ ὑπερβολῆς. ριθ'.

Οὔτε ἡ γῆ, εἰ μὴ πολυπλασίονα τῷ γεωργῷ τὸν σπόρον χαρίσεται, πλούσιον δύναται ἀπεργάσασθαι αὐτόν, μόνον τὸν σπόρον παρεχομένη, ἢ καὶ μικράν τινα προσθήκην. οὔτε τὸν πρακτικὸν τὸ ἀνυόμενον, εἰ μὴ κρεῖττον τῆς προαιρέσεως αὐτοῦ ἡ σπουδὴ πρὸς τὸν Θεὸν εὑρεθῇ, δίκαιον ἀπεργάσασθαι δύναται. ρκ'.

Οὔτε πάντες οἱ μὴ ἀγαπῶντες τὸν πλησίον, μισεῖν δύνανται. οὔτε οἱ μὴ μισοῦντες αὐτὸν ἀγαπᾶν. καὶ ἄλλο μέν ἐστι, τὸ βασκαίνειν ἐκείνου τὴν προκοπήν, ἕτερον δὲ τὸ μὴ ἐμποδὼν αὐτῷ γίνεσθαι πρὸς τὴν προκοπήν. ἐσχάτης δὲ κακίας βαθμὸς εὑρεθήσεται, τὸ μὴ μόνον δάκνεσθαι ἐν τοῖς ἐκείνου προτερήμασιν, ἀλλὰ καὶ διαβάλλειν τὰ ἐκείνου καλά, ὡς μὴ τοιαῦτα τυγχάνοντα. ρκα'.

Ἄλλα τὰ σωματικὰ πάθη, καὶ ἄλλα τὰ ψυχικά. ἄλλα τὰ κατὰ φύσιν, καὶ ἄλ- ρκβ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λα τὰ παρὰ φύσιν. ὁ δὲ τὰ μὲν ἀπωθούμενος, τῶν δὲ πρόνοιαν μὴ ποιούμενος, ὅμοιός ἐστιν ἀνθρώπῳ, φραγμὸν μὲν ὑψηλὸν καὶ συνηρεφῆ κατὰ τῶν θηρίων ἱστῶντι· συγχωροῦντι δὲ τοῖς πτηνοῖς ἐσθίειν τὰς τοῦ λογικοῦ ἀμπελῶνος σταφυλὰς, τὰς ὄντως περιφανεῖς.

ρκγʹ. Ἐν πρώτοις ἡ ψυχὴ ἐν φαντασίᾳ γίνεται τοῦ κακοῦ, εἶτα ἐν ἐπιθυμίᾳ, ἔπειτα ἐν ἡδονῇ, ἢ λύπῃ, εἶθ᾽ οὕτως ἐν αἰσθήσει, καὶ μετ᾽ αὐτὴν, ἐν ἁφῇ τῇ φαινομένῃ καὶ ἀφανεῖ. ἐν πᾶσι συνεπομένων τῶν λογισμῶν, πλὴν τῆς προτέρας κινήσεως, ἧς μὴ παραδεχθείσης, πᾶν τὸ μετ᾽ αὐτὴν κακὸν ἀνενέργητον εὑρεθήσεται.

ρκδʹ. Οἱ μὲν τῇ ἀπαθείᾳ ἐγγίζοντες, φαντασίαις μόναις σαλεύονται· ἐπιθυμίαις δὲ, οἱ μετριοπαθεῖς· ἐν αἰσθήσει δὲ γίνονται τοῦ κακοῦ, οἱ παραχρώμενοι μὲν τὰ τῆς χρείας, λυπούμενοι δέ· ἐν δὲ ἁφῇ, οἱ ἀλύπως αὐτῇ συγγινόμενοι.

ρκεʹ. Ἡ ἡδονὴ, ἐν πᾶσι μὲν τοῖς τοῦ σώματος ἐγκαθίδρυται μέλεσιν, οὐ πᾶσι δὲ ὡσαύτως παρενοχλοῦσα φαίνεται. ἀλλὰ τοῖς μὲν μᾶλλον εἰς τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς μέρος, τοῖς δὲ εἰς τὸ θυμικὸν, ἑτέροις δὲ, εἰς τὸ ταύτης λογιστικόν· διὰ γαστριμαργίας, ὀξυχολίας, καὶ πονηρίας, τῆς πάντων αἰτίας τῶν ἀνοσίων παθῶν.

ρκϛʹ. Ἀνάγκη μὲν τὰ αἰσθητήρια, ὡς πύλας ἀνοίγειν πόλεως· ἀνάγκη δὲ μὴ συγχωρεῖν ἐν τῇ ἀνοίξει τῶν ἀναγκαίων, συνεισέρχεσθαι ἔθνη τὰ τοὺς πολέμους θέλοντα, καὶ μάχης αἴτια καθιστάμενα.

ρκζʹ. Ἡ ἡδονὴ μὲν, μήτηρ ἐπιθυμίας· θυμοῦ δὲ, ὀξυχολία· βασκανίας δὲ, πονηρία καθίσταται. οὐκ εἰρηνεύει δὲ μετὰ τῶν ἐσχάτων, ὁ μὴ κατὰ τῶν ἀρχόντων ἀγωνιζόμενος. οὐδὲ εἰς τὸν τῆς μετριοπαθείας δύναται λιμένα εἰσέρχεσθαι, ὁ βίᾳ τὰς ἐντολὰς μετερχόμενος.

ρκηʹ. Τὰς προσβολὰς οἱ ἀποκρουόμενοι, οὐ συγχωροῦσιν ἔνδοθεν τοῦ λογικοῦ ἀμπελῶνος, ὡς θηρία τοὺς λογισμοὺς εἰσέρχεσθαι, καὶ τὸν ἐκείνου ἐν λύμῃ καθίστασθαι. οἱ δὲ συνδιάζοντες μὲν, μὴ συνηδόμενοι δὲ, ἁπλῶς εἰσέρχεσθαι αὐτοὺς συγχωροῦσι, μὴ ἅπτεσθαι δὲ μηδενὸς τῶν αὐτοῦ. οἱ δὲ ἡδέως μὲν συνομιλοῦντες τοῖς πάθεσι διὰ τῶν λογισμῶν, εἰς συγκατάθεσιν δὲ μὴ ἐρχόμενοι, ὁμοιώθησαν τοῖς ἐάσασι τὸν μονιὸν ἔνδοθεν τοῦ ἀγροῦ, καὶ τοῦ φραγμοῦ εἰσελθεῖν, ἐν κόρῳ δὲ αὐτὸν τῶν τοῦ ἀμπελῶνος γενέσθαι βοτρύων μὴ συγχωρήσασιν· εἶτα εὗρον αὐτὸν τῆς ἑαυτῶν δυνάμεως ἰσχυρότερον, ἐν συγκαταθέσει πολλάκις παθῶν ἁλισκόμενοι.

ρκθʹ. Οὔπω ἔφθασεν εἰς ἁπλότητα, ὁ ἔτι δεόμενος ἐπιμελείας φραγμοῦ τοῦ κατὰ τὴν ἐγκράτειαν. ὁ τέλειος γὰρ, φησὶν, οὐκ ἐγκρατεύεται, ἀλλ᾽ ὁ ἔτι ἀγωνιζόμενος. ἔοικε δὲ τῷ ἔχοντι ἄμπελον, ἢ ἄρουραν οὐ μέσον πολλῶν ἄλλων ἀμπελώνων ἢ χωρῶν, ἀλλ᾽ ἐν γωνίᾳ που· καὶ διὰ τοῦτο δεόμενον πολλῆς τῆς φυλακῆς, καὶ τῆς νήψεως. τοῦ γὰρ εἰς ἁπλότητα φθάσαντος, ἐκ παντὸς ἡ ἄμπελος ἀνέπαφος γίνεται· καθάπερ βασιλέως ἢ τινὸς ἄλλου παραδυναστεύοντος φοβεροῦ, καὶ μόνης τῆς ἀκοῆς, τούς τε κλέπτας καὶ παροδίτας, φρίττειν ποιούσης τὴν ἐπιχείρησιν.

ρλʹ. Πολλοὶ μὲν εἰς τὸν τῆς κακοπαθείας σταυρὸν ἀνέρχονται, ὀλίγοι δὲ καὶ τοὺς ἥλους αὐτοῦ καταδέχονται. τῶν μὲν γὰρ κατὰ προαίρεσιν πόνων καὶ θλίψεων, ὑπήκοοι πολλοί. τῶν ἀπροαιρέτως δὲ ἐρχομένων, μόνοι οἱ τῷ κόσμῳ τούτῳ τελείως ἀποθανόντες καὶ τῇ ἀναπαύσει αὐτοῦ.

ρλαʹ. Πάντας μὲν τοὺς δερματίνους χιτῶνας πολλοὶ ἐξεδύσαντο, τὸν ἔσχατον δὲ τὸν τῆς κενοδοξίας, μόνοι οἱ τὴν αὐτῆς μητέρα τὴν αὐταρέσκειαν βδελυξάμενοι.

ρλβʹ. Ἔπαινον ἀνθρώπων, καὶ ἄνεσιν σώματος, ὁ ὑποδεχόμενος μὲν, μὴ καταδεχόμενος δὲ, οὔπω τοῦ ἐσχάτου τῆς κενοδοξίας



Athos Library
Αγιορειτική Βιβλιοθήκη

χιτῶνας γυμνὸς γεγονώς, τὸ ἐν πολλοῖς στεναγμοῖς ἐπιζητούμενον οἰκητήριον, τὸ ἐξ οὐρανοῦ τὴν λαμπρότητα, ἵν᾽ ἐντεῦθεν ἀξιωθῇ ἐνδύσασθαι.

ρλγ'. Ἄλλο ἐνέργεια, καὶ ἄλλο ἐνέργημα· καὶ τὸ μὲν, ἁμαρτίας ἀπηρτισμένης ἐστὶ δεικτικόν· ἡ δὲ, ἡδυπαθείας μόνης τῆς ἔνδοθεν ἐνεργουμένης, ἀλλ᾽ οὐκ ἐκτός· ὡς οἱ τῆς ἰδίας μὲν μὴ μετακινούμενοι γῆς, δεσμοφοροῦντες δὲ ὅμως τοῖς καταδυναστεύουσι τὰ αὐτοῖς καταθύμια.

ρλδ'. Τῆς γεύσεως κρατούσης ἐν ἡδοναῖς, ἀδύνατον μὴ καὶ πάσας τὰς αἰσθήσεις συνέπεσθαι· κἂν τῶν ψυχροτέρων ὑπάρχειν δοκῶσι τὰ σπουδάσματα, ὡς τὰ τῶν γεγηρακότων, πύρωσιν μὴ ὑπομενόντων ἐκ μαρασμοῦ· ἀλλ᾽ οὐ παρὰ τὸ μὴ γονᾶν, σώφρων ἡ στεῖρα μοιχευομένη κληθήσεται. σωφρονεῖν δὲ πάντα τὸν μὴ παθαινόμενον ἔνδοθεν εἴποιμεν ἄν, μηδὲ ὁράσει κατακυλιόμενον.

ρλε'. Ἐν τροφαῖς, καὶ μορφαῖς, καὶ φωναῖς, τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς ἐλέγχεται οἷόν ἐστι. ταῖς θελκτικαῖς τε καὶ ταῖς ἄλλως ἐχούσαις, ἐν γεύσει, καὶ ὄψει, καὶ ἀκοῇ, εἴτε ὡς χρώμενον αὐταῖς, εἴτε ὡς παραχρώμενον, εἴτε μέσως πρὸς τὰ ἀμφότερα εὑρισκόμενον.

ρλϛ'. Ἐν οἷς ὁ φόβος οὐ προηγεῖται, ὡς πρόβατα μὴ ἔχοντα ποιμένα, ἐν συγχύσει οἱ λογισμοὶ εὑρεθήσονται. ἐν εὐταξίᾳ δὲ, καὶ μάνδρας ἔσω τῆς κατὰ εὐνομίαν, ἑπομένου, ἢ προηγουμένου αὐτοῦ.

ρλζ'. Τῆς πίστεως, ὁ φόβος υἱός· τῶν ἐντολῶν δὲ οὗτος τοκεύς· καὶ ὁ μὴ τὴν μητέρα ταύτην κτησάμενος, πρόβατον ὀφθῆναι τῆς τοῦ Κυρίου νομῆς οὐκ ἀξιωθήσεται.

Οἱ μὲν τὰς ἀρχὰς μόνας ἔχουσι τῶν καλῶν, οἱ δὲ καὶ τὰς τούτων μεσότητας, οἱ δὲ καὶ τὰ τέλη αὐτῶν. ὧν αὖθις, ὡς στρατιώτης ψιλὸς ἕκαστος εὑρεθήσεται, ἢ ἀξιωματικός, τῶν συμπρεσίων ἐκτός· καὶ διὰ τοῦτο, ὁ μὲν τὴν ἑαυτοῦ μόνον οἰκίαν ἀπὸ τῶν ἐπιχειρούντων αὐτὴν ἐμπρήζειν συντηρῶν. ὁ δὲ, οὐκ ἐν τιμῇ τῇ προσηκούσῃ εὑρισκόμενος ἐν οἷς ἂν συνέρχηται. ρλη'.

Οἱ ταῖς ἡδοναῖς ἡμᾶς συνέρχεσθαι παρακαλοῦντες τοῦ φάρυγγος, ἀτελεῖς ὄντας, ὅμοιόν τι ποιοῦσι τοῖς ἀναθερίζειν παρακελευομένοις τὰς εἰς ὑγείαν πληγὰς ἤδη ἐλθούσας, ἢ τὰς ψώρας διὰ τὴν ἡδύτητα κνήθειν, ἢ τὰ τὸν πυρετὸν ἐσθίειν ἀνάπτοντα, ἢ ὑποφράττειν τὸν ἀμπελῶνα αὐτοῦ, καὶ συγχωρεῖν εἰσέρχεσθαι, ὡς μονιὸν ἄγριον, τὸ φρόνημα τῆς σαρκὸς, καὶ τὰς ἐννοίας τὰς ἀγαθὰς ὡς σταφυλὰς διαβόσκεσθαι· οἷς οὐ πείθεσθαι χρὴ, οὐδὲ ταῖς ἀκαίροις κάμπτεσθαι κολακείαις, ἀνθρώπων τε, καὶ παθῶν. κατοχυροῦν δὲ μᾶλλον τὸν φραγμὸν δι᾽ ἐγκρατείας ἕως παύσωνται οἵ, τε θῆρες· τὰ σαρκικὰ πάθη· ὠρύεσθαι, καὶ ὡς πετεινὰ, οἱ μάταιοι λογισμοὶ, μὴ καταβαίνειν λυμαίνεσθαι τὴν ἄμπελον διηθουμένην ψυχὴν θεωρίαις ταῖς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν. ρμ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Οἰκτρὸς Μοναχὸς τοὔνομα Θεοφάνης.
Κλίμακα ἐκτίθημι θείαν χαρίτων.
Ἣν πεῖρα ἐγνώρισε τοῖς Θεοφόροις.

Πρῶτον προσευχὴ καθαρωτάτη πέλει.
Ἐξ ἧς πρόεισι καρδιακή τις θέρμη.
Μεθ' ἣν ἐνέργεια ξένη τε, καὶ ἁγία.
Εἶτα δάκρυα θεῖα τὰ τῆς καρδίας.
Ἐφ' οἷς λογισμῶν παντοδαπῶν εἰρήνη.
Ἐξ ἧς νοὸς κάθαρσις ἀναβλυστάνει.
Θεωρία τε τῶν ἄνω μυστηρίων.
Ξένη μεθ' ἣν ἔλλαμψις ἀφράστῳ τρόπῳ.
Ἄρρητος ἐξ ἧς φωτισμὸς τῆς καρδίας.
Κἀντεῦθεν αὖθις ἀτελὴς τελειότης.
Πλάτος μὲν οὖν ἄπειρον ἡ βαθμὶς ἔχει,
Κἂν ἐξ ἑνός γε συμπεραίνηται στίχου.
Αὐτίκα τῇ κλίμακι βαθμὶς ἡ κάτω,
Μόνον προσευχὴν καθαρὰν ὑπογράφει.
Εἴδη δὲ αὐτῆς ἐστὶ καὶ πολλὰ πάνυ,
Κἂν εἰ θέλοιμεν αὐτὰ νῦν καταλέγειν,
Εἰς μῆκος ἡμῖν ἐκτενεῖ τὰ τοῦ λόγου.
Ταὐτὸν τί μοι τέκνον ἐν πᾶσι φίλος,
Πεῖρα δὲ διδάσκαλος αὐτῶν, οὐ λόγος.
Κλίμαξ ἀνατείνουσα πρὸς πόλον ξένως.
Δεκὰς βαθμίδων, ζώωσις ψυχῆς ξένη.
Δεκὰς βαθμίδων, ζωὴν ψυχῆς κερδαίνει.
Καὶ φησί πέτις τῶν Θεοφόρων τάδε.
Ὁ μὴ σπεύδων κτήσασθαι ζωὴν ἐνταῦθα,
Ψυχῆς ἐλπίσι μὴ κεναῖς ἀπατάτω,
Ἑαυτὸν ὡς λήψεται αὐτὴν ἐκεῖσε.
Δεκὰς βαθμίδων, θεία φιλοσοφία.
Δεκὰς βαθμίδων, καρπὸς πάντων βιβλίων.
Δεκὰς βαθμίδων, τὸ τέλειον δεικνύει.
Δεκὰς βαθμίδων, εἰς οὐρανοὺς ἀνάγει.
Δεκὰς βαθμίδων, ποιεῖ Θεὸν εἰδέναι.
Κλίμαξ ὁρᾶται τῷ μήκει βραχυτάτη,
Εἰ δὲ πεῖρα λάβοι τις καρδίας ἔσω.
Πλοῦτον εὑρήσει ἀχώρητον τῷ κόσμῳ,
Πηγήν τε θείαν νάουσαν ζωὴν ξένην.
Διδάσκαλος ἄριστος ἡ κλίμαξ αὕτη,

| | |
|---|---|
| Τελειότης. | |
| | ι'. |
| Καρδίας φωτισμός. | |
| | θ'. |
| Ξένη ἔλλαμψις. | |
| | η'. |
| Μυστηρίων θεωρία. | |
| | ζ'. |
| Νοὸς κάθαρσις. | |
| | ς'. |
| Λογισμῶν εἰρήνη. | |
| | ε'. |
| Καρδιακὰ δάκρυα. | |
| | δ'. |
| Ἁγία ἐνέργεια. | |
| | γ'. |
| Καρδίας θέρμη. | |
| | β'. |
| Καθαρὰ προσευχή. | |
| | α'. |
| Ἀνάβασις θεία. | |

Σαφῶς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Σαφῶς γνῶναι ἕκαστον ἑαυτοῦ μέτρα.
Ὁρῶν θείαν κλίμακα χαρίτων δέκα,
Εἰ νομίζεις ἵστασθαι παγίως ταύτῃ,
Εἰπὲ σὺ ποίᾳ ταύτης βαθμίδι πέλεις,
Εἰς ὠφέλειαν καὶ ἡμῶν τῶν ῥαθύμων;
Εἰ θέλεις φίλος τί μαθεῖν περὶ τούτων,
Ἀμερίμνησον ἐκ παντοίων πραγμάτων,
Ἐξ ἀλόγων τε, καὶ τὸ δοκεῖν εὐλόγων.
Οὐ γὰρ μάθῃς τί χωρὶς ἀμεριμνίας·
Πείρᾳ δὲ γινώσκονται ταῦτα, οὐ λόγῳ.
Τοῦτο δ᾿ ὡς ὑπόμνησιν λέγω σοι μόνον,
Ἔστι δ᾿ ὁ λόγος Ἁγίων Θεοφόρων.
Εἰ καὶ βαρέως εἰς ἀκοὴν εἰσέλθῃ.
Ὁ μὴ εὑρεθεὶς εἰς μίαν τῶν βαθμίδων,
Ἢ μὴ μελετῶν πάντοτε ἐν ταύταις,
Ἐν τῇ τελευτῇ, καὶ καιρῷ τοῦ θανάτου,
Φόβον ὄντως μέγαν τε, καὶ τρόμον ἕξει,
Καὶ δειλίαν ἄμετρον μὴ ἀποστήσῃ.
Εἰς τὸ φοβερὸν κατέληξαν οἱ στίχοι,
Συμφερόντως δὲ λίαν ἔλαχεν οὕτως.
Οὐ γὰρ ἀγαθοῖς ἀνάγονται δὴ μᾶλλον,
Εἰς μετάνοιαν καὶ καλοκἀγαθίαν,
Οἱ σκληρότεροι· ὧν ἐγώ εἰμι πρῶτος.
Ὡς τοῖς φοβεροῖς καὶ δέος ἐμποιοῦσιν.
Ὦτα ὁ ἔχων ἀκούειν ἀκουέτω.
Ἄκουσον καὶ σιγὲς σὺ ὁ γράψας ταῦτα.
Πῶς ἐτόλμησας σύ γε εἰπεῖν τοιαῦτα;
Ἄνθρωπος μὴ ἔχων τί ὅλως ἐκ τούτων;
Πῶς δ᾿ οὐκ ἔφριξας περὶ τούτων διδάσκειν;
Οὐκ ἤκουσας Ζὰν τί ἔπαθεν ἐκεῖνος;
Θέλων διορθώσασθαι Κιβωτὸν Θείαν;
Μὴ νομίσῃς ὡς διδάσκων ταῦτα λέγω,
Ἀλλ᾿ ἵν᾿ ἐμαυτὸν στηλιτεύσω ἐν τούτοις,
Ὁρῶν ἔπαθλα τῶν ἀγωνιζομένων,
Καὶ τὴν ἐμαυτοῦ ἀκαρπίαν ἐκ πάντων.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὁ Ὅσιος Πατὴρ ἡμῶν Πέτρος, ὁ τῆς Δαμασκοῦ χρηματίσας Ἐπίσκοπος, ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Κοπρωνύμου, ἐν ἔτει ἑπτακοσιοστῷ ἑβδομηκοστῷ πέμπτῳ. οὗτος τοίνυν πρότερον τὸν μονήρη καὶ ἀναχωρητικὸν μετερχόμενος βίον, τοσαύτῃ ἀκτημοσύνῃ συνέζη, ὥστε μηδὲ βίβλον ἰδίαν κεκτῆσθαι· ὡς αὐτὸς περὶ ἑαυτοῦ μαρτυρεῖ· παρ' ἑτέρων δὲ τὰς βίβλους λαμβάνων τῆς τε παλαιᾶς φημὶ καὶ νέας Γραφῆς· τῶν μεγάλων διδασκάλων τῆς Ἐκκλησίας, καὶ τῶν ἄλλων ἁπάντων ἁπαξαπλῶς μυστικῶν καὶ Θεοφόρων Πατέρων, ἐπὶ τοσοῦτον φιλόπονος ἐγένετο· ὥστε, νυκτὸς καὶ ἡμέρας ἐν τῷ νόμῳ Κυρίου μελετῶντα, καὶ τοῖς ἐκεῖθεν ζωηρρύτοις ῥεύμασιν ἀρδευόμενον, δένδρον ἀληθῶς κατὰ τὸ ψαλμικὸν, ὑψίκομον καὶ οὐράνιον τοῦτον καθωραθῆναι, παρ' αὐτὰς τὰς διεξόδους πεφυτευμένον τῶν ὑδάτων τοῦ πνεύματος. πλὴν ὅτι, τὸ μὲν, καθ' ἕνα μόνον· φησί· καιρὸν ἀποδίδωσι τὸν καρπὸν αὐτοῦ· τὸ δὲ οὐχ οὕτως· ἀλλὰ κατὰ πάντας καιροὺς ἀνεκλείπτως, καὶ ἀμειώτως ἀειθαλὲς διαμένον, πνευματικοὺς καρποὺς ἀνεβλάστησε, καλοὺς μὲν τῇ ὄψει· γλυκεῖς τῇ γεύσει· εὐώδεις δὲ τῇ ὀσφρήσει. καὶ πᾶσαν αἴσθησιν ἑστιῶντας σώματος, καὶ ψυχῆς, τοῖς δὲ αὐτῶν ἀπορρεύσεσιν ἀθανάτοις, καὶ εὐώδεσι γλυκασμοῖς. πολλοὺς μὲν γὰρ ἐν τῇ ζωῇ, καὶ μεγάλους τοὺς διὰ τῶν ἀσκητικῶν αὐτοῦ καμάτων καρποὺς ἀποδέδωκε, πλείους δὲ καὶ μείζους ἐν τῷ θανάτῳ, τὸν διὰ τοῦ μαρτυρίου ἀναδησάμενος στέφανον, (τὴν γὰρ τῶν Ἀράβων, καὶ Μανιχαίων διελέγχων κακόδοξον αἵρεσιν, ὑπὸ Οὐαλὶδ υἱοῦ τοῦ τῶν Ἀράβων ἀρχηγοῦ Γσὴμ, γλωσσοτμηθεὶς, εἰς τὴν εὐδαίμονα Ἀραβίαν ὑπερορίζεται· ἔνθα καὶ καθαρῶς λαλῶν, καὶ ἱερουργῶν, ἐτελεύτησε.) πλείστους δὲ μετὰ θάνατον, καὶ μεγίστους καθ' ὑπερβολὴν ἀποδίδωσι, καταλιπὼν ἡμῖν οἷόν τινα πατρικὴν, καὶ ἀναφαίρετον κληρονομίαν, τὴν ὡς ἀληθῶς πάγκαλον, καὶ πανάρετον ταύτην



Athos Library
Αγιορειτική Βιβλιοθήκη

βίβλον, τὴν ἐμμελῶς, καὶ μεθ' ὅσης εἰπεῖν οὐκ ἔνι, τῆς χάριτος, αὐτῷ φιλοπονηθεῖσαν. τὴν κοινὴν πασῶν τῶν ἀρετῶν καὶ ψυχωφελεστάτην φιλοτιμίαν. τῶν θεωριῶν τὸ Γαζοφυλάκιον. τῶν πνευματικῶν χαρισμάτων τὴν συστοιχίαν. τὸν Ἑλικῶνα τῶν θείων μακαρισμῶν. τῶν σωματικῶν πράξεων τὴν ἑστίαν. τῶν κατὰ μέρος παθῶν τὴν λεπτοπέτην ἀνατομίαν. τῆς ἀσκητικῆς Ἀμαλθείας τὸ κέρας. τῆς θείας γνώσεως καὶ σοφίας τὸ ταμιεῖον. καί, ἵνα συνελὼν εἴπω, τὴν τῆς ἱερᾶς Νήψεως ἀνακεφαλαίωσιν. Ταύτην τοίνυν καὶ ἡμεῖς συγγενίδα πρὸς τὴν παροῦσαν βίβλον εἰδότες καὶ πάμπολύ τι συμβάλλουσαν τῷ προκειμένῳ ἡμῖν σκοπῷ, συναρμόσαι ταύτῃ τῶν ἀναγκαιοτάτων εἶναι ἐκρίναμεν, ἅπερ αὖτις ἀστείως, οἱονεὶ κύκλον κύκλῳ· καὶ φιλοκαλίαν φιλοκαλίᾳ μείζονι μέγαν, καὶ τῇ συνεπτυγμένῃ τὴν πλατυτέραν. οὐ γὰρ ἡμῖν ἔδοξεν ἀνεκτόν, τήν, τοσούτων ὡς ἔφθημεν εἰπόντες καρπῶν πνευματικῶν σωρείαν οὖσαν, Πυκτίδα, τῷ θείῳ χορῷ τῶν Ἱερῶν Νηπτικῶν διαζεῦξαι. (ἢ γὰρ ἂν καὶ αὐτὴ ἡ βίβλος πολλὰ ἡμῶν τῆς ἀπειροκαλίας κατεβόησε τὴν ἀπὸ τῶν γνωρίμων καὶ φίλων αὐτῇ Πατέρων διάστασιν οὐκ ἀνεχομένη, οὐδέ, εἴ τι καὶ γένοιτο) καὶ κολοβῶσαι ἐν τῷ μέρει τούτῳ τὴν πραγματείαν, ἀναγκαίως καὶ ταύτης ἀπαιτοῦσαν τὴν συναυλίαν. πρὸς δέ, καὶ τοσαύτης ὠφελείας ἀποστερῆσαι τοὺς ἀδελφούς. ἀεὶ γὰρ τῶν καλῶν ἡ ἐπίτασις, πλείω πέφυκε καὶ τὴν εὐεργεσίαν ποιεῖν. Εἴ τις οὖν δι' ἐφέσεως ἔχει ἀναλαβεῖν τὰς καὶ παρὰ τοῦ Δαβὶδ ποτὲ ζητουμένας μέν, οὐχ εὑρισκομένας δέ, τῆς πνευματικῆς περιστερᾶς διπλᾶς πτέρυγας, φιλοπόνως ταύτην ἀνελιττέτω. εὑρήσει καὶ γὰρ θαυμασίως ἐν αὐτῇ, ἐντεῦθεν μὲν τὴν τῆς πράξεως ὅλην περιηργυρωμένην, ἐκεῖθεν δὲ τὴν τῆς θεωρίας ὅλην χρυσοειδῆ, καὶ δι' ἀμφοτέρων, τῶν γηΐνων ἁπάντων ὑπεραιρόμενος, πρὸς αἰθέριον πεπαθήσεται ὕψος, καὶ τοῖς ἄνω καλιαῖς οἷα καλὴ ἐνσκηνώσας περιστερά, εἰς τὴν οὐράνιον καταπαύσει μακαριότητι.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΑΡΧΗ ΣΥΝ ΘΕΩ.

## ΤΗΣ ΥΠΟΘΕΣΕΩΣ ΤΟΥ ΒΙΒΛΙΟΥ.

### ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΠΕΤΡΟΥ

## ΔΑΜΑΣΚΗΝΟΥ

## ΤΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ.

ΠΟλλῶν, καὶ μεγάλων καὶ χάριν ἀξιωθεὶς δωρεῶν ὁ ἄθλιος ἐγὼ παρὰ Θεοῦ, καὶ μηδέποτέ τι ἀγαθὸν ποιήσας, ἐφοβήθην μήπως διὰ τῆς ἀργίας καὶ νωχελίας εἰς λήθην ἔλθω τῶν τοσούτων (δωρεῶν) καὶ τηλικούτων εὐεργεσιῶν τοῦ Θεοῦ, καὶ τῶν ἐμῶν πταισμάτων, καὶ οὐδὲ κἂν εὐγνώμων γίνωμαι καὶ εὐχάριστος περὶ τὸν εὐεργέτην, διὰ τοῦτο ἔγραψα πρὸς ἔλεγχον τῆς ἀθλίας μου ψυχῆς τὴν ὑπόμνησιν ταύτην, καὶ ὅσας γραφὰς Ἁγίων Πατέρων, βίους τε, καὶ λόγους ἐνέτυχον, κατ᾽ ὄνομα τέθεικα, ἵνα ταύτας ἔχω πρὸς τὸ μιμνήσκεσθαι τοὺς λόγους αὐτῶν κἂν ἐκ μέρους. ἐπειδὴ οὐδ᾽ ὅλως βίβλον ἰδίαν κέκτημαι, ἢ ἐκτησάμην ποτέ, ἀλλ᾽ ἐκ τῶν φιλοχρίστων ἐλάμβανον, ὥσπερ καὶ τὰς σωματικὰς χρείας ἁπάσας, διὰ τὴν ἀγάπην τοῦ Θεοῦ. καὶ ταύτας διερχόμενος μετὰ χολῆς ἁπάσης, ἀπεδίδουν πάλιν τοῖς ἰδίοις, ἅτινά εἰσι ταῦτα. Παλαιά τε καὶ νέα. ἤγουν τὴν παλαιάν, τὸ Ψαλτήριον, τὸ Τετραβασίλειον, τὸ Ἑξατόφιν, τὰς Προφητείας, τὰ Παραλειπόμενα, τὰς Πράξεις τῶν Ἀποστόλων, τὰ Ἅγια Εὐαγγέλια, καὶ τῶν εἰρημένων πάντων τὰς ἑρμηνείας. τὰ Πατερικά, καὶ Διδασκαλικὰ ἅπαντα τῶν μεγάλων· ἤτοι Διονυσίου, Ἀθανασίου, Βασιλείου, Θεολόγου, Χρυσοστόμου, Γρηγορίου Νύσσης, Ἀντωνίου, Ἀρσενίου, Μακαρίου, Νείλου, Ἐφραίμ, Ἰσαάκ, Μάρκου, Δαμασκηνοῦ, Κλίμακος, Μαξίμου, Δωροθέου, Φιλήμονος, καὶ πάντων τῶν Ἁγίων τοὺς βίους, καὶ τοὺς λόγους. καὶ ἀξιωθεὶς ὁ ἀνάξιος τῆς πάντων ἐρεύνης, μετὰ πάσης ἀδείας καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ανεδῆς, ζητῶν τὴν ἀρχὴν τῆς σωτηρίας τοῦ ἀνθρώπου, καὶ τῆς ἀπωλείας. καὶ εἰ ἄρα πᾶν ἐγχείρημα, ἢ ὡς ἐπιτήδευμα, σώζει ἢ οὔ. καὶ τίς ἐστι τὸ ζητούμενον παρὰ πᾶσι. καὶ πῶς παλαιοί τε καὶ νέοι τῷ Θεῷ εὐηρέστησαν, ἐν πλούτῳ καὶ πενίᾳ, ἐν μέσῳ πολλῶν ἁμαρτωλῶν, καὶ ἐν ἐρημίᾳ, ἐν συζυγίᾳ καὶ παρθενίᾳ. καὶ ἁπλῶς ἐν παντὶ τόπῳ, καὶ ἐγχειρήματι, εὑρίσκομεν ζωὴν, καὶ θάνατον, σωτηρίαν, καὶ ἀπώλειαν. οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐφ' ἡμῖν τοῖς Μοναχοῖς, διαφόρους εὑρίσκομεν καταστάσεις. Λέγω δὴ * ὑποταγὴ Πατρὸς, σώματος καὶ ψυχῆς, ἡσυχία ἡ καθαίρουσα τὴν ψυχήν. * συμβουλὴ πνευματικὴ ἀντὶ ὑποταγῆς. * ἡγουμενεία τε καὶ ἀρχιερωσύνη. καὶ ἐκ πάντων σωζομένους καὶ ἀπολλυμένους εὑρίσκομεν. καὶ οὐ τοῦτο μόνον ἐθαύμαζον, ἀλλὰ καὶ τὸν πάλαι Ἄγγελον ἐν οὐρανῷ, ἐν ἀΰλῳ φύσει ὄντα, ἐν σοφίᾳ, καὶ πάσῃ ἀρετῇ, ἐξαίφνης διάβολον γενόμενον, σκότους καὶ ἀγνωσίαν, πάσης τε κακίας, καὶ πονηρίας ἀρχὴν, καὶ τέλος. Ἔπειτα τὸν Ἀδὰμ, ἐν τοσαύτῃ τιμῇ καὶ ἀπολαύσει τῶν ἀγαθῶν, καὶ οἰκειότητι τοῦ Θεοῦ, σοφίᾳ τε, καὶ ἀρετῇ, κεκοσμημένον ἔνδον τοῦ Παραδείσου μόνον σὺν τῇ Εὔᾳ, ἄφνω ἐξόριστον γενόμενον, ἐμπαθῆ τε, καὶ θνητὸν, ἐν κόπῳ, καὶ μόχθῳ ἐργαζόμενον, ἐν ἱδρῶτι, καὶ θλίψει πολλῇ, ἐξ οὗ ὁ Κάϊν σὺν Ἄβελ μόνοι ἀδελφοὶ ἐν πάσῃ τῇ γῇ. πῶς ἐνίκησεν ὁ φθόνος, ὁ δόλος καὶ ἔτεκε φόνον, τὴν κατάραν, τὸν τρόμον. Εἶτα τοὺς ἐξ αὐτῶν, δι' οὓς πλήθους ἕνεκεν πταισμάτων ὁ κατακλυσμὸς ἐγένετο. καὶ πάλιν διὰ φιλανθρωπίαν τοὺς ἐν τῇ Κιβωτῷ ὁ Θεὸς σώσας, ὁ εἷς ἐξ αὐτῶν κεκατήραται ἤγουν ὁ Χαναὰν, ὁ υἱὸς τοῦ ἁμαρτήσαντος Χάμ. Ἵνα γὰρ μὴ τὴν τοῦ Θεοῦ εὐλογίαν ἀνατρέψῃ, ὁ δίκαιος Νῶε, τὸν υἱὸν, ἀντὶ τοῦ πατρὸς κατηράσατο. Μετὰ δὲ

τούτων, τοὺς ἐπὶ τοῦ πύργου, τοὺς Σοδομίτας, τοὺς Ἰσραηλίτας, τὸν Σολομῶντα, τοὺς Νινευΐτας, τὸν Γιεζῆ, τὸν Ἰούδαν, καὶ πάντας τοὺς ἐν ἀγαθοῖς γινομένους, καὶ εἰς κακίαν τρεπομένους. Καὶ πῶς ἀγαθὸς ὢν ὁ ὑπεράγαθος Θεὸς καὶ πολυεύσπλαγχνος, τοὺς τοῦ κόσμου πολλοὺς, καὶ ποικίλους πειρασμοὺς, καὶ θλίψεις παρεχώρησε γενέσθαι. Τοὺς μὲν θέλων κατὰ παραχώρησιν, ἤγουν τοὺς κόπους τῆς μετανοίας. λέγω δὴ, πείνης, δίψης, πένθους, στερήσεως τῶν ἀναγκαίων, ἐγκρατείας τῶν ἡδέων, τήξεως τοῦ σώματος ἐν ἀσκήσει, ἀγρυπνίας, κόπους, πόνους, δάκρυα πολλὰ καὶ πικρὰ, στεναγμοὺς, φόβον τοῦ θανάτου, τῆς ἐξόδου, τοῦ λογοθεσίου, τῆς ἐν τῷ Ἅδῃ κατοικήσεως μετὰ τῶν δαιμόνων, τὴν φρικτὴν ἡμέραν ἐκείνην τῆς κρίσεως, τὴν μέλλουσαν αἰσχύνην ἐπὶ πάσης τῆς κτίσεως, τὸν τρόμον· τὸν πικρὸν ἔλεγχον περὶ τῶν πράξεων, λόγων τε καὶ ἐννοιῶν. τὴν ἀπειλὴν. τὴν ὀργήν. Τὰς πολυτρόπους κολάσεις καὶ αἰωνίους. Τὸ ἀνωφελὲς θρῆνος, καὶ τὰ ἄπαυστα δάκρυα. τὸ ἀφεγγὲς σκότος, τὸν φόβον, τὸν πόνον, τὴν ἔκπτωσιν, τὴν λύπην, τὴν στενοχωρίαν καὶ πνιγμὸν τῆς ψυχῆς ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. Μετὰ τῶν ἐν τῷ κόσμῳ κινδύνων τὰ ναυάγια, τὰ πολυποίκιλα νοσήματα, τὰς ἀστραπὰς, τὰς βροντὰς, τὴν χάλαζαν, τοὺς σεισμοὺς, τοὺς λιμοὺς, τοὺς καταποντισμοὺς, τοὺς ἀώρους θανάτους. καὶ ἁπλῶς πάντας τοὺς ἀκουσίως ἡμῖν κατὰ παραχώρησιν γινομένους ὀδυνηρούς. Τοὺς δὲ μὴ θέλων ὁ Θεὸς, ἀλλ' ἡμεῖς καὶ οἱ δαίμονες, οἷον τὰς μάχας, τὰ πάθη, τὰς πολυτρόπους ἁμαρτίας, ὧν παρειῶν ὁ λόγος, δηλώσει τὰ ὀνόματα, ἀπὸ τῆς ἀφροσύνης μέχρι τῆς ἀπογνώσεως, καὶ τελείας ἀπωλείας. τὴν ἐπιδρομὴν τῶν δαιμόνων. τοὺς πολέμους, τὴν τυραννίδα τῶν παθῶν. τὰς ἐγκαλύψεις. τὰς ταραχὰς, καὶ μεταβολὰς τοῦ βίου. τὰς

* ἴσ. ὑποταγὴ
* ἴσ. συμβουλὴ, ἡ
* ἴσ. ἡγουμενεία



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὀργάς, τὰς συκοφαντίας, καὶ πᾶσαν θλῖψιν, ἣν ἡμεῖς θέλοντες, ἑαυτοῖς, καὶ ἀλλήλοις προσφέρομεν Θεοῦ μὴ βουλομένου. καὶ πάλιν, πῶς ἐν μέσῳ τῶν τοσούτων κακῶν, πολλοὶ ἐσώθησαν, μηδενὸς ἐμποδίσαι ἰσχύοντος.* καὶ πολλοὶ ἀπωλέσθησαν τοῦ Θεοῦ μὴ θέλοντος. καὶ ταῦτα πάντα καὶ ἄλλα πλεῖστα, ἐκ τῶν θείων γραφῶν καταννοῶν ἐμπόνως, συνετρίβην τῇ ψυχῇ, καὶ ὡς ὕδωρ χυθεὶς πολλάκις εἰς ἀμηχανίαν κατήντων. καίπερ μὴ ἔχων κατὰ πολὺ ἐν αἰσθήσει τὰ λεγόμενα. εἰ γὰρ εἶχον οὐκ ἂν ἠδυνήθην παραμένειν τῇ ζωῇ ταύτῃ πεπληρωμένῃ κακίας, καὶ παρακοῆς Θεοῦ, δι' ἧς πάντα τὰ ἐν τῷ νῦν, καὶ ἐν τῷ μέλλοντι δεινὰ ἐγένοντο. ἀλλ' ὅμως τῆς ἐπιθυμίας τῶν ζητημάτων μου ὑπὸ τῆς χάριτος τυχών, ἐκ τῶν ἁγίων Πατέρων τὰς διακρίσεις εὗρον οὕτως. ὅτι ἀρχὴ μὲν παντὸς ἀγαθοῦ, ἡ ἐκ Θεοῦ διδομένη φυσικὴ γνῶσις, ἢ ἐκ τῶν γραφῶν δι' ἀνθρώπου, ἢ δι' Ἀγγέλου. ἢ ὡς τοῦ διδομένου ἐκ τοῦ θείου βαπτίσματος πρὸς φυλακὴν ἑκάστου πιστοῦ ψυχῆς, τοῦ καὶ συνείδησιν λεγομένου, καὶ ὑπόμνησιν τῶν θείων ἐντολῶν τοῦ Χριστοῦ. δι' ὧν φυλάσσεται ἡ χάρις τοῦ Ἁγίου Πνεύματος τῷ βαπτιζομένῳ, ἐὰν τηρῆσαι αὐτὰς βουληθῇ. καὶ μετὰ τὴν γνῶσιν ἡ τοῦ ἀνθρώπου προαίρεσις. αὕτη δέ ἐστιν ἡ ἀρχὴ τῆς σωτηρίας. τοῦτ' ἔστι, τὸ καταλεῖψαι τὰ ἴδια θελήματα, καὶ νοήματα ὁ ἄνθρωπος, καὶ ποιῆσαι τὰ τοῦ Θεοῦ νοήματά τε, καὶ θελήματα. καὶ ἐὰν ταῦτα δυνηθῇ ποιῆσαι, οὐχ εὑρίσκεται ἐν πάσῃ τῇ κτίσει πρᾶγμα, ἢ ἐγχείρημα, ἢ τόπος δυνάμενος ἐμποδίσαι τοῦ γενέσθαι αὐτόν, ὡς ὁ Θεὸς ἐξ ἀρχῆς ἠβουλήθη εἶναι κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν αὐτοῦ. καὶ θέσει Θεὸς κατὰ χάριν. ἀπαθής, δίκαιος, ἀγαθός, καὶ σοφός. εἴτε ἐν πλούτῳ, εἴτε ἐν πενίᾳ, εἴτε ἐν παρθενίᾳ, εἴτε ἐν συζυγίᾳ. εἴτε ἐν ἀρχῇ καὶ ἐν ἐλευθερίᾳ, εἴτε ἐν ὑποταγῇ καὶ δουλείᾳ. καὶ ἁπλῶς ἐν παντὶ καιρῷ, τόπῳ τε, καὶ πράγματι. διὰ τοῦτο καὶ οἱ πρὶν τοῦ νόμου καὶ ἐν τῷ νόμῳ, καὶ ἐν τῇ χάριτι πολλοὶ δίκαιοι εὑρίσκονται, * δι' ὃ προετίμησαν τὴν γνῶσιν τοῦ Θεοῦ καὶ τὸ θέλημα αὐτοῦ, τῶν οἰκείων νοημάτων τε καὶ θελημάτων. καὶ πάλιν πολλοὺς ἐν τοῖς αὐτοῖς καιροῖς καὶ ἐγχειρήμασιν εὑρίσκομεν ἀπωλεσμένους· διότι τὰ οἰκεῖα νοήματα καὶ θελήματα προετίμησαν τῶν τοῦ Θεοῦ. καὶ ταῦτα μετὰ οὕτως. ἔχουσι δὲ διαφορὰν οἱ τόποι καὶ τὰ ἐπιτηδεύματα, καὶ ὀφείλει τις διάκρισιν ἔχειν, εἴτε διὰ ταπεινοφροσύνης παρὰ Θεοῦ διδομένης, εἴτε διὰ τῆς ἐρωτήσεως τῶν ἐχόντων τὰ χαρίσματα τῆς διακρίσεως. Ἐπειδὴ χωρὶς ταύτης, οὐκ εἰσὶ τὰ γινόμενα καλά, κἂν μὴ γινώσκοντες * δοκοῦμεν ὅτι καλά εἰσιν. ἐκ δὲ τῆς διακρίσεως, περὶ τῆς δυνάμεως ἑαυτοῦ μαθὼν πρὸς ὁποῖον βούλεται ἐλθεῖν ἐγχείρημα, οὕτως ἄρχεται τὸ πρᾶγμα τὸ εὐαρεστῆσαι τῷ Θεῷ. πλὴν ὡς εἴρηται, ἐν πᾶσι τὰ ἴδια θελήματα ὀφείλει ἀρνήσασθαι, ἵνα τοῦ θείου σκοποῦ ἐπιτύχῃ, ἢ ὡς, ἐν ᾧ ὁ Θεὸς βούλεται μετελθεῖν ἐπιτηδεύματι. εἰ δὲ μὴ οὕτως, οὐ δύναται σωθῆναι ἐν οὐδενί. διότι ἐκ τῆς παραβάσεως τοῦ Ἀδάμ, ἐμπαθεῖς ἅπαντες ἀναφερόμεθα ἐκ τῆς συνηθείας τῶν παθῶν, οὐ θέλομεν τὸ ἀγαθὸν μετὰ χαρᾶς, οὐδὲ τὴν γνῶσιν τοῦ Θεοῦ ἐφιέμεθα, οὐδὲ ἐξ ἀγάπης τοῦτο ποιοῦμεν, ὡς οἱ ἀπαθεῖς. ἀλλὰ μᾶλλον τὰ πάθη καὶ τὰς πονηρίας φιλοῦμεν, τὰ δὲ ἀγαθὰ οὐδ' ὅλως ἐθέλομεν, εἰ μὴ κατὰ ἀνάγκην ἀπὸ τοῦ φόβου τῶν κολάσεων. καὶ ταῦτα οἱ πίστει βεβαίᾳ, καὶ προθέσει δεχόμενοι τὸν λόγον. οἱ δὲ λοιποὶ οὐδ' οὕτως θέλομεν. ἀλλὰ καὶ τὰς τοῦ βίου θλίψεις, καὶ τὰς μελλούσας κολάσεις ἀντ' οὐδενὸς λογιζόμενοι, τοῖς πάθεσι δουλεύομεν ὁλοψύχως, τοῖς δὲ οὐδὲ αἰ-

* ἴσ. ἰσχύσαντος

* ἴσ. διότι

* ἴσ. δοκῶμεν

σθανό-

θανόμενοι τούτων τὴν πικρότητα, ἐξ ἀνάγκης καὶ οὐχ ἑκόντες τὰς πύλας τῶν ἀρετῶν μετέρχονται. καὶ ἐγένοντο ἡμῖν τὰ μίσους ἄξια, ποθητὰ ἐξ ἀγνοίας. ὥσπερ γὰρ οἱ νοσοῦντες χρήζουσι τὰς τομὰς καὶ τὰς καυστηρίας διὰ τὴν ὑγείαν ἣν ἀπώλεσαν, οὕτω καὶ ἡμεῖς χρήζομεν τοὺς πειρασμούς, καὶ τοὺς τῆς μετανοίας πόνους, καὶ τὸν φόβον τοῦ θανάτου, καὶ τῶν κολάσεων, ἵνα τὴν ἀρχαίαν ὑγείαν τῆς ψυχῆς ἀνακαλεσώμεθα, καὶ τὴν νόσον ἣν ἡ ἀφροσύνη ἡμῶν προεξένησεν ἡμῖν, ἀποβαλλώμεθα, καὶ μᾶλλον ὅσον ὁ ἰατρὸς τῶν ψυχῶν ἡμῶν χαρίζεται ἑκούσιον, ἢ ἀκούσιον πόνον, τοσοῦτον εὐχαριστεῖν αὐτοῦ τῇ φιλανθρωπίᾳ ὀφείλομεν, καὶ δέχεσθαι τοῦτον μετὰ χαρᾶς. εὐεργετῶν γὰρ ἡμᾶς, τὰ ὀδυνηρὰ ἐπλήθυνεν, ἑκουσίως διὰ τῆς μετανοίας, καὶ ἀκουσίως διὰ τῶν πειρασμῶν, καὶ κολάσεων, ἵνα οἱ μὲν θέλοντες θλιβῆναι ἑκουσίως, λυτρῶνται τῆς νόσου, καὶ τῶν μελλουσῶν κολάσεων, ἴσως δὲ καὶ τῶν παρόντων. οἱ δὲ ἀγνώμονες κἂν διὰ τῶν κολάσεων, καὶ τῶν ποικίλων πειρασμῶν ἰαθήσονται κατὰ χάριν τοῦ ἰατροῦ. οἱ μέντοι ἀγαπῶντες τὴν νόσον καὶ μένοντες ἐν αὐτῇ, τῶν αἰωνίων κολάσεων ἀξίως ἑαυτοῖς προξενοῦσιν ὁμοιωθέντες τοῖς δαίμοσι, καὶ δικαίως σὺν αὐτοῖς ἀπολαύσουσι τῶν αἰωνίων καὶ ἡτοιμασμένων τοῖς δαίμοσι κολάσεων, καθ' ὅ, τι ἠθέλησαν σὺν αὐτοῖς ἀγνωμονεῖν περὶ τὸν εὐεργέτην. Ἐπειδὴ οὐ πάντες δεχόμεθα τὰς εὐεργεσίας ὁμοίως. ἀλλ' οἱ μέν, τὸ πῦρ τοῦ Κυρίου, ἤτοι τὸν λόγον αὐτοῦ, διὰ τῆς ἐργασίας ὡς κηρὸς ἁπαλώτεροι γίνονται τῇ καρδίᾳ. οἱ δέ, διὰ τῆς ἀργίας ὡς πηλὸς σκληρότεροι μᾶλλον, καὶ λιθώδεις ἐπιδεικνύμεθα. καὶ ἐν τῷ μὴ δέχεσθαι ὁμοίως, οὐκ ἀναγκάζει τινὰ ἡμῶν. ἀλλ' ὥσπερ ὁ ἥλιος τὰς ἀκτῖνας καταπέμπει καὶ φωτίζει πάντα τὸν κόσμον. καὶ ὁ μὲν θέλων ὁρᾷν, αὐτόν, ὁρᾶται παρ' αὐτοῦ, ὁ δὲ μὴ θέλων αὐτὸν ὁρᾷν, οὐ βιάζεται παρ' αὐτοῦ, καὶ οὐδεὶς αἴτιος τῆς τοῦ φωτὸς στερήσεως εἰμὴ αὐτὸς ὁ μὴ θέλων ἔχειν αὐτό. ὁ γὰρ Θεὸς τὸν ἥλιον ἐποίησε, καὶ τὸν ὀφθαλμόν. ὁ δὲ ἄνθρωπος ἔχει ἐξουσίαν. οὕτω καὶ ἐνταῦθα, ὁ Θεὸς πᾶσι μὲν καταλάμπει τὰς γνώσεις ὡς ἀκτῖνας, ἔδωκε δὲ μετὰ τὴν γνῶσιν, καὶ τὴν πίστιν ὡς ὀφθαλμόν. ὁ οὖν προαιρούμενος διὰ τῆς πίστεως βεβαίαν τὴν γνῶσιν λαβεῖν, δι' ἔργων φυλάττει τὴν μνήμην, ᾧ καὶ δίδωσιν ὁ Θεὸς μείζονα προθυμίαν γνῶσίν τε, καὶ δύναμιν. Ἐκ γὰρ τῆς φυσικῆς γνώσεως γεννᾶται προθυμία τῷ προαιρουμένῳ ταύτην, καὶ ἐκ τῆς προθυμίας δύναμις εἰς τὸ ἐργάζεσθαι, καὶ διὰ τῆς ἐργασίας φυλάττεται ἡ μνήμη, καὶ ἐκ τῆς μνήμης γίνεται μείζων ἐργασία, καὶ διὰ ταύτης δίδοται μείζων γνῶσις, καὶ ἐκ ταύτης τῆς φρονήσεως λεγομένης γεννᾶται ἡ ἐγκράτεια τῶν παθῶν, καὶ ἡ ὑπομονὴ τῶν ὀδυνηρῶν, ἐξ ὧν ἡ κατὰ Θεὸν σχολή, καὶ ἐπίγνωσις τῶν δωρεῶν τοῦ Θεοῦ, καὶ τῶν ἰδίων πταισμάτων, ἐξ ὧν ἡ εὐγνωμοσύνη, δι' ἧς ὁ τοῦ Θεοῦ φόβος, ἔνθα τῶν ἐντολῶν ἡ τήρησις, λέγω δὴ τὸ πένθος, ἡ πρᾳότης, ἡ ταπεινοφροσύνη, ἐξ ὧν γεννᾶται ἡ διάκρισις, καὶ ἐκ ταύτης ἡ διόρασις, ἤτοι τὸ προορᾷν τὰ μέλλοντα πταίσματα, καὶ ἐκκόπτειν πρὸ καιροῦ ἐκ τῆς πείρας, καὶ μνήμης τῶν προγεγονότων διὰ καθαρότητος νοός, καὶ τῶν ἐνεστώτων, καὶ τῶν κλοπῇ γινομένων· καὶ ἐκ τούτων ἡ ἐλπίς, ἑξῆς ἡ ἀπροσπάθεια, καὶ τελεία ἀγάπη. τότε λοιπὸν ὁ τοιοῦτος οὐδ' ὅλως θέλει τι παρὰ τοῦ Θεοῦ τὸ θέλημα, ἀλλὰ καὶ ταύτην τὴν πρόσκαιρον ζωὴν μετὰ χαρᾶς καταλιμπάνει ἕνεκα τῆς τοῦ Θεοῦ, καὶ τοῦ πλησίον ἀγάπης, τῇ σοφίᾳ, καὶ τῇ ἐνοικήσει τοῦ Ἁγίου Πνεύματος, καὶ τῇ υἱοθεσίᾳ, διὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸ συσταυρωθῆναί τε, καὶ συνταφῆναι, συνεγερθῆναί τε καὶ συναναληφθῆναι τῷ Χριστῷ ἱερῶς διὰ τῆς αὐτοῦ μιμήσεως, ἤτοι τῆς ἐν τῷ κόσμῳ διαγωγῆς. καὶ ἁπλῶς θέσει Θεὸς κατὰ χάριν γίνεται, λαβὼν τὸν Ἀρραβῶνα τῆς ἐκεῖθεν μακαριότητος, ὥς φησιν ὁ Θεολόγος, ἐν τῷ περὶ τῶν ὀκτὼ λογισμῶν. ἀπαθὴς, δίκαιος, ἀγαθὸς, καὶ σοφὸς γενόμενος, τὸν Θεὸν ἔχων ἐν ἑαυτῷ, καθὼς αὐτὸς ἔφη ὁ Χριστὸς διὰ τῆς τηρήσεως τῶν αὐτοῦ ἐντολῶν κατὰ τάξιν, ἀπὸ τῆς πρώτης καὶ καθ᾽ ἑξῆς. ὑπὲρ ὧν ἐρῶ μετὰ ταῦτα, τὸ πῶς ἡ ἐργασία τῶν ἐντολῶν ὀφείλει γίνεσθαι. Ἀλλ᾽ ἐπειδὴ περὶ τῆς γνώσεως τῶν ἀρετῶν εἴρηται, εἴπωμεν καὶ περὶ τῶν παθῶν. Ἔρχεται ἡ γνῶσις ὥσπερ ἥλιος καὶ θέλων ὁ ἄφρων * μύσει τοὺς ὀφθαλμοὺς, ἤτοι τὴν προαίρεσιν, δι᾽ ἀπιστίας, ἢ ὀκνηρίας, καὶ ἀθέως τὴν γνῶσιν εἰς λήθην μεταπέμπει διὰ τῆς ἀργίας, τῆς ἐκ ῥαθυμίας γινομένης. ἐκ γὰρ τῆς ἀφροσύνης γίνεται ἡ ῥαθυμία, ἐξ ἧς ἡ ἀργία, δι᾽ ἧς ἡ λήθη· καὶ ἐκ ταύτης ἡ φιλαυτία, ἤτοι τὸ ἀγαπᾷν τὰ ἴδια θελήματα καὶ νοήματα, ἡ φιληδονία, καὶ φιλοδοξία λεγομένη· δι᾽ ὧν ἡ φιλαργυρία ἡ ῥίζα πάντων τῶν κακῶν. δι᾽ ἧς ὁ περισπασμὸς εἰς τὰ βιωτικά. ἐξ οὗ ἡ τελεία ἀγνωσία τῶν τοῦ Θεοῦ δωρεῶν, καὶ τῶν ἰδίων πταισμάτων. ἐξ ἧς ἡ κατοίκησις τῶν λοιπῶν παθῶν, ἤτοι τῶν ὀκτὼ προεστώτων, λέγω δὴ γαστριμαργίας, ἐξ ἧς ἡ πορνεία. δι᾽ ὧν ἡ φιλαργυρία, ἐξ ἧς ἡ ὀργὴ, ὅταν μὴ ἐπιτύχῃ τις τοῦ ποθουμένου, ἤτοι τοῦ ἰδίου θελήματος. ἐξ ἧς ἡ λύπη, δι᾽ ἧς καὶ ἡ ἀκηδία. εἶτα ἡ κενοδοξία, ἐξ ἧς ἡ ὑπερηφανία. καὶ ἀπὸ τῶν ὀκτὼ τούτων πᾶσα κακία, πάθος τε, καὶ ἁμαρτία· δι᾽ ὧν καταντᾷ ὁ ὑπὸ τούτων καταποθεὶς εἰς ἀπόγνωσιν, καὶ τελείαν ἀπώλειαν, καὶ ἔκπτωσιν ἀπὸ Θεοῦ, καὶ ὁμοίωσιν τῶν δαιμόνων, καθὼς εἴρηται. μέσον δὲ τῶν δύο ὁδῶν τούτων ἵσταται ὁ ἄνθρωπος, λέγω δὴ τῆς δικαιοσύνης, καὶ τῆς ἁμαρτίας. καὶ εἰς οἵαν θέλει τὸν δρόμον ποιεῖ, καὶ αὐτὴν μετέρχεται. ἡ ὁδὸς δὲ λαμβάνει αὐτὸν, καὶ οἱ ἐν αὐτῇ ὁδηγοῦντες, εἴτε Ἄγγελοι, καὶ κατὰ Θεὸν ἄνθρωποι, εἴτε δαίμονες καὶ πονηροὶ ἄνθρωποι, ἄχρι τοῦ τέλους αὐτῆς ἀπάγουσιν αὐτὸν, καὶ μὴ βουλόμενον. οἱ μὲν ἀγαθοὶ εἰς τὸν Θεὸν, καὶ εἰς τὴν οὐρανῶν βασιλείαν. οἱ δὲ τῆς ἁμαρτίας εἰς τὸν διάβολον, καὶ εἰς τὴν αἰώνιον κόλασιν. οὐδεὶς δὲ ἐστὶ τῆς ἀπωλείας αἴτιος, εἰ μὴ τὸ ἴδιον θέλημα. τῆς σωτηρίας ὁ Θεὸς, ὁ χαρισάμενος μετὰ τὸ εἶναι, καὶ τὸ εὖ εἶναι, τήν τε γνῶσιν, καὶ δύναμιν. ἅπερ οὐ δύναται ἔχειν ὁ ἄνθρωπος ἐκτὸς τῆς χάριτος τοῦ Θεοῦ. ἀλλ᾽ οὔτε ὁ διάβολος δύναταί τι πρὸς ἀπώλειαν, οἷον προαίρεσιν ἐναντίαν, ἢ ἀδυναμίαν, ἢ ἀκούσιον ἀγνωσίαν, ἢ ἄλλο τι τὸ παράπαν, ὥστε βιάσαι τὸν ἄνθρωπον, ἀλλὰ μόνην ὑπόμνησιν τοῦ κακοῦ ὑποβάλλει. ὁ μὲν ἐργαζόμενος τὸ ἀγαθὸν, τῷ Θεῷ τὴν χάριν ὀφείλει ἐπιγράψασθαι, ὡς τὰ πάντα μετὰ τὸ εἶναι δωρησαμένῳ ἡμῖν. ὁ δὲ τὸ ἐναντίον προαιρούμενος, καὶ ποιῶν, ἑαυτὸν μόνον αἰτιάτω. διότι οὐδεὶς βίᾳ αὐτὸν ἕλκειν δύναται, ἐπεὶ αὐτεξούσιον ὁ Θεὸς αὐτὸν ἐποίησεν, ὅπως ἐπαίνων ἄξιος γενήσεται παρ᾽ αὐτοῦ, ὁρῶν αὐτὸν προτιμᾷν θέλοντα τὸ ἀγαθὸν, καὶ μὴ ἐξ ἀνάγκης τῆς φύσεως, ὥσπερ τὰ ἄλογα, καὶ ἄψυχα μετέχειν τοῦ ἀγαθοῦ, ἀλλ᾽ ὡς πρέπει τῷ λογικῷ, καθὼς ὁ Θεὸς αὐτὸν ἐτίμησεν. ἡμεῖς δὲ ἑκουσίως, καὶ ἰδίᾳ γνώμῃ τὸ κακὸν προαιρούμεθα ποιεῖν, μαθόντες τοῦτο ἀπὸ τοῦ τῆς κακίας εὑρετοῦ· καὶ οὐ βιάζει ἡμᾶς ὁ καθ᾽ ὑπερβολὴν ἀγαθὸς Θεὸς ἵνα μὴ βιαζόμενοι καὶ παρακούοντες μείζονα κατάκρισιν ἔχωμεν. μηδὲ τὸ αὐτεξούσιον αἴρει ἀφ᾽ ἡμῶν, ὃ καλῶς ἐχαρίσατο ἡμῖν. ἀλλ᾽ ὁ θέλων

* ἴσ. μύει

τὸ ἀγα-

τὸ ἀγαθὸν ποιεῖν, αἰτεῖ τοῦτο διὰ προσευχῆς τὸν Θεὸν καὶ εὐθέως δίδοται αὐτῷ ἡ γνῶσις, καὶ δύναμις, ἵνα φαίνηται ἐκ δικαίου ἡ χάρις πεμπομένη παρὰ Θεοῦ· ἐπεὶ καὶ χωρὶς εὐχῆς ἐδωρήσατο αὐτῷ, ὥσπερ καὶ μετὰ τὴν εὐχήν. ἀλλ' ὥσπερ οὐκ ἔχει ἔπαινον ὁ τὸν ἀέρα δεχόμενος πρὸς τὸ ζῆν, εἰδὼς ὅτι χωρὶς αὐτοῦ οὐ δύναται ζῆσαι· ἀλλὰ μᾶλλον χρεωστεῖ πολλὰ εὐχαριστεῖν τῷ ποιήσαντι αὐτόν, καὶ χαρισαμένῳ τὴν δεχομένην ὄσφρησιν, καὶ τὴν ὑγείαν, εἰς τὸ δέχεσθαι, καὶ ζῆσαι. οὕτω καὶ ἡμεῖς ὀφείλομεν μᾶλλον εὐχαριστεῖν τῷ Θεῷ, ὅτι καὶ τὴν εὐχήν, καὶ τὴν γνῶσιν, καὶ τὴν δύναμιν, καὶ τὰς ἀρετάς, καὶ ἡμᾶς, καὶ τὰ περὶ ἡμᾶς πάντα ἐποίησεν τῇ χάριτι. οὐ μόνον δέ, ἀλλὰ καὶ πᾶσαν μηχανὴν ποιῶν οὐ παύεται, πρὸς τὸ νικῆσαι τὴν κακίαν ἡμῶν, καὶ τῶν ἐχθρῶν ἡμῶν, * καὶ δαιμόνων. ἐπειδὴ γὰρ καὶ αὐτὸς ὁ διάβολος τὴν γνῶσιν τοῦ Θεοῦ ἀπωλέσας, τῇ ἀγνωμοσύνῃ καὶ ὑπερηφανίᾳ ἐξ ἀνάγκης ἐγένετο ἄγνωστος. καὶ τούτου χάριν οὐ δύναται ἀφ' ἑαυτοῦ γινώσκειν τί ποιῆσαι, ἀλλὰ τὸν Θεὸν βλέπει τί ποιεῖ πρὸς τὸ σωθῆναι ἡμᾶς, καὶ ἐκ τούτου μανθάνει πονηρευόμενος, καὶ παρόμοια ποιεῖν μηχανᾶται πρὸς τὴν ἀπώλειαν ἡμῶν. διότι μισεῖ τὸν Θεόν, καὶ μὴ δυνάμενος πρὸς ἐκεῖνον, ἡμᾶς τοὺς κατ' εἰκόνα Θεοῦ πολεμεῖ, δοκῶν ἐν τούτῳ τὸν Θεὸν ἀμύνασθαι. καὶ εὑρίσκει ἡμᾶς ὑπηκόους αὐτοῦ τῷ θελήματι, ὡς φησὶν ὁ Χρυσόστομος· ἰδὼν γὰρ τὸν Θεόν, * τὸν ποιήσαντα τὴν Εὔαν πρὸς βοήθειαν τοῦ Ἀδάμ, ἐποίησεν ὁ διάβολος αὐτὴν συνεργὸν πρὸς τὴν παρακοὴν καὶ παράβασιν. ἔδωκεν ὁ Θεὸς ἐντολήν, ἵνα αὐτὴν τηρήσας ὁ Ἀδάμ, φυλάττῃ τὴν μνήμην τῶν τηλικούτων δωρεῶν, καὶ εὐγνωμονῇ περὶ τὸν εὐεργέτην. ὁ δὲ διάβολος ἐποίησεν αὐτὴν τὴν ἐντολὴν ἀφορμὴν παρακοῆς, καὶ θανάτου γενέσθαι. καὶ ἀντὶ προφητῶν, ψευδοπροφήτας. ἀντὶ Ἀποστόλων, ψευδαποστόλους. ἀντὶ νόμου, παρανομίαν. ἀντὶ ἀρετῶν, κακίας. ἀντὶ ἐντολῶν, παραβάσεις. ἀντὶ πάσης δικαιοσύνης, μυσαρὰς αἱρέσεις. καὶ πάλιν ἰδὼν τὸν Χριστὸν συγκαταβαίνοντα δι' ἄκραν ἀγαθότητα πρὸς τοὺς ἁγίους μάρτυρας, καὶ ὁσίους πατέρας, εἴτε δι' ἑαυτοῦ, εἴτε δι' Ἀγγέλων, ἢ δι' ἄλλης τινὸς οἰκονομίας ἀρρήτου ἐμφανιζόμενον, καθὼς εἶπεν, ἤρξατο καὶ ὁ διάβολος δεικνύειν τισὶ πλάνας πολλὰς πρὸς ἀπώλειαν. καὶ διὰ τοῦτο ἔγραψαν οἱ διακριτικοὶ πατέρες, ὅτι τὰς τοιαύτας οὐ χρὴ δέχεσθαι, εἴτε διά τινων εἰκόνων, εἴτε φωτός, εἴτε πυρός, εἴτε ἄλλης τινὸς πλάνης. μηχανᾶται γὰρ πλανῆσαι κἂν ἐν τούτῳ καθ' ὕπνους, ἢ αἰσθητῶς. εἰ δὲ τοῦτο δεχόμεθα, ποιεῖ τὸν νοῦν ἐξ οἰήσεως, καὶ ἐσχάτης ἀγνωσίας ζωγραφῆσαί τινα σχήματα, ἢ χρώματα πρὸς τὸ δοκῆσαι ὅτι ἐμφάνειά ἐστι Θεοῦ, ἢ Ἀγγέλου. πολλάκις δὲ καὶ δαίμονας καθ' ὕπνους, ἢ αἰσθητῶς δεικνύουσιν ἡττωμένους δῆθεν. καὶ ἁπλῶς πᾶσαν μηχανὴν ἐπιτηδεύει πρὸς ἀπώλειαν ἡμετέραν ἐν τοῖς πειθομένοις αὐτῷ. ὅταν δὲ ταῦτα ποιήσας ἀστοχήσῃ τῆς ἐλπίδος· διὰ τὸ λέγειν τοὺς Ἁγίους Πατέρας, ὅτι ἐν τῷ καιρῷ τῆς προσευχῆς ὀφείλομεν ἔχειν τὸν νοῦν ἀνείδεον ἀσχημάτιστον, ἄχροον, μηδ' ὅλως δεχόμενόν τι, εἴτε φῶς, εἴτε πῦρ, ἢ ἕτερόν τι τὸ παράπαν, ἀλλ' ἐν τοῖς λεγομένοις ῥήμασι μόνοις ὀφείλομεν, πάσῃ δυνάμει κλίνειν τὴν διάνοιαν· διότι ὁ τῷ στόματι μόνῳ προσευχόμενος, τῷ ἀέρι προσεύχεται, καὶ οὐ τῷ Θεῷ. ὁ γὰρ Θεὸς τῷ νῷ προσέχει, καὶ οὐ τῇ λαλιᾷ, ὡς οἱ ἄνθρωποι. ἐν πνεύματί φησι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν τῷ Θεῷ. καὶ θέλω πέντε λόγους τῷ νοΐ μου λαλῆσαι, ἢ μυρίους ἐν γλώσσῃ. τότε δὴ τότε ἀπορῶν τούτων ἁπάντων ὁ διάβολος,

* ἴσ. ἐκ καὶ

* ἴσ. ὡς τὸν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λογισμὸν ἀπογνώσεως φέρει ἡμῖν, ὅτι ἄλλοι καιροὶ ἦσαν ἐκεῖνοι, καὶ ἄλλοι οἱ ἄνθρωποι, ἐν οἷς ὁ Θεὸς τὰ θαυμάσια ἔδειξεν εἰς τὸ πιστεῦσαι. τινὶ δὲ οὐκ ἔστι καιρὸς τῆς χρείας ταύτης τοῦ κοπιάσαι· ἰδοὺ χριστιανοί ἐσμεν ἅπαντες, καὶ βάπτισμα φοροῦμεν. ὁ πιστεύσας φησὶ, καὶ βαπτισθεὶς σωθήσεται· τί λοιπὸν χρήζομεν; ἡμεῖς δὲ ἐὰν τούτῳ πεισθῶμεν, καὶ οὕτω μείνωμεν, ἔρημοι πάντως ἐσόμεθα, ὄνομα μόνον ἔχοντες χριστιανοῦ. ἀγνοοῦντες, ὅτι ὁ πιστεύσας καὶ βαπτισθεὶς ὀφείλει πάσας τὰς ἐντολὰς τοῦ Χριστοῦ τηρεῖν, καὶ ὅταν πάντα κατορθώσῃ, λέγειν, ἀχρεῖος δοῦλός εἰμι· ὡς ὁ Κύριος πρὸς τοὺς Ἀποστόλους ἔφη, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. πᾶς γὰρ ὁ βαπτιζόμενος ἀποτάσσεται λέγων, ἀποτάσσομαι τῷ σατανᾷ, καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ· καὶ συντάσσομαι τῷ Χριστῷ, καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ. ποῦ δὲ ἐστὶν ἡ ἀποταγὴ ἡμῶν, ἐὰν μὴ πᾶν πάθος, καὶ πᾶσαν ἁμαρτίαν ἣν θέλει ὁ διάβολος, καταλείψωμεν; μᾶλλον δὲ ἀπὸ ψυχῆς μισήσωμεν, καὶ ἀγαπήσωμεν τὸν Χριστὸν διὰ τῆς τηρήσεως τῶν αὐτοῦ ἐντολῶν; πῶς δὲ τὰς ἐντολὰς αὐτοῦ τηρήσωμεν, ἐὰν μὴ πᾶν θέλημα ἴδιον, καὶ πᾶν νόημα ἀρνησώμεθα; θελήματα δὲ καὶ νοήματα ἐκεῖνα λέγοιτ' ἂν, τὰ ἀνθιστάμενα τοῖς τοῦ Θεοῦ προστάγμασιν. ἐπειδὴ πολλάκις εἰσί τινες, εἴτε ἀπὸ κράσεως, εἴτε ἀπὸ συνηθείας τὸ καλὸν ἔν τισι πράγμασιν ἀγαπῶντες, τὸ δὲ χεῖρον μισοῦντες. εἰσὶ δὲ καὶ νοήματα καλὰ, ὡς καὶ ἀπὸ τῶν θείων γραφῶν ἔχοντα μαρτυρίαν, δέονται δὲ καὶ διακρίσεως παρὰ τῶν ἐμπείρων. ἐπειδὴ χωρὶς διακρίσεως, οὐδ' αὐτὰ τὰ νομιζόμενα καλὰ, εἰσὶ καλά· εἴτε διὰ τὸ παρὰ καιρὸν, εἴτε παρὰ τὸ δέον, ἤτοι παρὰ ἀξίαν, ἢ ἀγνώστως νοοῦντες τὰ λεγόμενα· ὅτι οὐ μόνον τὴν γραφὴν, ἀλλὰ καὶ τὸ τυχὸν ἐρώτημα, ἐὰν μὴ προσέχωσιν ἀμφότεροι ὅ, τε ἐρωτώμενος, καὶ ὁ ἐρωτῶν, μακρὰν τῆς ἐννοίας τῶν λεγομένων γίνονται, καὶ οὐ τὴν τυχοῦσαν φέρει ζημίαν. καὶ γὰρ κἀγὼ πολλάκις ἔπαθον καὶ ἐρωτῶν, καὶ ἐρωτώμενος. ὅταν δὲ ὡς δεῖ τὸ λεγόμενον κατελάμβανον, ὕστερον τοῦτο μαθὼν ἐξιστάμην, πῶς ὁμοίως εἰσὶν οἱ λόγοι, αἱ δὲ ἔννοιαι μακρὰν ἀπ' ἀλλήλων καθεστήκασιν. οὕτω καὶ ἐν τοῖς λοιποῖς πᾶσι διακρίσεως χρήζομεν, πῶς ὀφείλομεν ποιῆσαι, ἵνα τὰ τοῦ Θεοῦ θελήματα πράξωμεν. ὅτι αὐτὸς οἶδε τὴν φύσιν ἡμῶν ἀκριβῶς ὡς ποιητὴς τῶν ἁπάντων, καὶ τὸ συμφέρον ἡμῖν ᾠκονόμησε, καὶ ἐνομοθέτησεν, οὐχὶ ξένα τῆς φύσεως, ἀλλὰ τὰ ἴδια ταύτης. εἰ μὴ πρὸς τελειότητα ἴσως τοῖς θέλουσιν ἑκουσίως πρὸς αὐτὸν ἀνελθεῖν ὑπερφυῶς· εἴτ' οὖν ἡ παρθενία, ἡ ἀκτημοσύνη, ἡ ταπεινοφροσύνη, οὐχὶ δὲ ἡ ἀγνωμοσύνη, αὕτη γὰρ φυσική ἐστιν. ἡ δὲ ταπεινοφροσύνη ὑπὲρ φύσιν, διότι πᾶσαν ἀρετὴν μετέρχεται ὁ ταπεινόφρων, καὶ μηδὲν χρεωστῶν, χρεώστην ἑαυτὸν ἔχει, καὶ ὑποκάτω πάντων. ὁ δὲ ἀγνώμων, χρεωστῶν ὁμολογεῖ τὸ χρέος· ὥσπερ ὁ ἐλεῶν, ἐξ ὧν ἔχει ἐλεεῖ· καὶ οὐκ ἔστιν ὑπὲρ φύσιν, ὡς ὁ ἀκτήμων. οὐδὲ ὁ συζυγίας μετερχόμενος, ὡς ὁ παρθενεύων· ὑπὲρ φύσιν γάρ ἐστι τοῦτο τὸ χάρισμα. διὰ τοῦτο ὁ μὲν, σώζεται, εἴπερ τὰ ἴδια θελήματα καταλείψας, τὰ τοῦ Θεοῦ πληροῖ. ὁ δὲ, στέφανον τῆς ὑπομονῆς, καὶ δόξαν παρὰ Θεοῦ κομίσεται, ὡς οὐ μόνον τὰ ἀπηγορευμένα τοῖς νόμοις ἐάσας, ἀλλὰ σὺν ἐκείνοις καὶ τὴν ἰδίαν φύσιν, Θεοῦ βοηθοῦντος, τὸν ὑπὲρ φύσιν Θεὸν ἠγάπησεν ἐξ ὅλης ψυχῆς, καὶ κατὰ δύναμιν μιμησάμενος τὴν αὐτοῦ ἀπάθειαν. ἀλλ' ἐπειδὴ ἀγνοοῦμεν οὐ μόνον ἑαυτοὺς, καὶ τὰ ὑφ' ἡμῶν γινόμενα, ἀλλὰ καὶ τὸν σκοπὸν αὐτῶν, ἢ τὸ ζητούμενον ἐκ πάντων. διὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦτο φαίνονται ἡμῖν αἱ θεῖαι γραφαί, καὶ οἱ λόγοι τῶν ἁγίων ἀσύμφωνοι, τῶν τε παλαιῶν ἀνδρῶν, προφητῶν, λέγω, καὶ δικαίων, καὶ τῶν νέων ἁγίων πατέρων· καὶ νῦν θέλοντες σωθῆναι, ἀσυμφώνως ἔχουσι πρὸς ἀλλήλους, ὅπερ οὐκ ἔστιν. ἰδοὺ δι' ὀλίγων ῥημάτων, ἐκ τῆς τῶν πραγμάτων φύσεως ἴδωμεν, ὅτι πᾶς ἄνθρωπος ἐὰν θέλῃ σωθῆναι, οὐδεὶς δύναται αὐτὸν ἐμποδίσαι, οὔτε καιρός, οὔτε τόπος, οὔτε ἐγχείρημα· μόνον ἂν μὴ παρὰ τὴν χρῆσιν τοῦ πράγματος, οὗ βούλεται ποιεῖν, μετέρχηται. ἀλλ' ὡς δεῖ μετὰ διακρίσεως πρὸς τὸν θεῖον σκοπὸν πᾶν νόημα ἐλθών. διότι οὐ τὰ γινόμενα ἐστὶν ἀναγκαῖα, ἀλλὰ δι' οὗ γίνονται. οὐδὲ ἀκουσίως ἁμαρτάνομεν, εἰμὴ ἑκουσίως τῷ λογισμῷ πρῶτον συγκατατιθέμεθα, καὶ εἰς αἰχμαλωσίαν ἐμπίπτομεν· καὶ τότε αὐτὸς ἄκοντα καὶ μὴ βουλόμενον εἰς τὸ ἁμαρτάνειν φέρει τὸν αἰχμάλωτον. Ὁμοίως δὲ καὶ τὰ ἐν ἀγνοίᾳ γινόμενα πταίσματα, ἐκ τῶν ἐν γνώσει γίνονται· εἰ μὴ γὰρ μεθύει τις, εἴτε οἴνῳ, εἴτε ἐπιθυμίᾳ, οὐκ ἀγνοεῖ. ἐκ δὲ τοῦ μεθύειν ἄρχεται τοῦ σκοτοῦσθαι ὁ νοῦς, καὶ ἐκ τούτου τὸ πίπτειν, ἐξ ἐκείνου δὲ τὸ ἀποθνήσκειν· ὥστε οὐχ ὁ θάνατος ἦλθεν ἀγνώστως, ἀλλ' ἡ ἐν γνώσει μέθη τὸν ἐν ἀγνοίᾳ θάνατον ἤγαγε. καὶ πολλὰ εὑρήσει τις μάλιστα ἐν τοῖς νοήμασιν, ὅτι ἐξ ἑκουσίων εἰς τὰ ἀκούσια, καὶ ἀπὸ τῶν ἐν γνώσει εἰς τὰ ἐν ἀγνοίᾳ προσπίπτομεν. ἀλλὰ διὰ τὸ φαίνεσθαι ἡμῖν τὰ πρῶτα ἐλαφρὰ καὶ γλυκέα, διὰ τοῦτο ἐρχόμεθα εἰς τὰ δεύτερα ἀβουλήτως καὶ ἀγνώστως. εἰ γὰρ ἐξ ἀρχῆς ἠθελήσαμεν τὰς ἐντολὰς τηρεῖν, καὶ μένειν ὡς ἐβαπτίσθημεν, οὐκ ἂν εἰς τοσαῦτα ἤλθομεν, καὶ ἐδεήθημεν τῶν τῆς μετανοίας κόπων, καὶ πόνων. Ὅμως καὶ πάλιν ἐὰν θέλωμεν, ἡ δευτέρα τοῦ Θεοῦ χάρις, ἤτοι ἡ μετάνοια, δύναται εἰς τὸ ἀρχαῖον κάλλος ἀνάξαι ἡμᾶς. εἰδὲ οὐδὲ ταύτης ἐπιμελούμεθα, ἐξ ἀνάγκης ὡς οἱ μὴ μετανοοῦντες δαίμονες, εἰς τὴν αἰώνιον κόλασιν μετ' αὐτῶν ἀπερχόμεθα, θέλοντες μᾶλλον, ἢ μὴ θέλοντες. οὐ γὰρ εἰς ὀργὴν ὁ Θεὸς ἔκτισεν ἡμᾶς, ἀλλ' εἰς περιποίησιν· ἵνα τῶν ἀγαθῶν αὐτοῦ ἀπολαύωμεν, εὐχαρίστως διακείμεθα, καὶ εὐγνωμόνως περὶ τὸν εὐεργέτην. ἀλλ' ἡ ἀμέλεια ἡμῶν, περὶ τὴν γνῶσιν τῶν αὐτοῦ δωρεῶν, εἰς ῥαθυμίαν ἡμᾶς ἤγαγε. καὶ αὕτη εἰς λήθην παρέπεμψεν, ἐξ ἧς ἡ ἄγνοια εἰς ἡμᾶς ἐβασίλευσεν.

Ὅταν δὲ ἀρχὴν θέλωμεν βαλεῖν, εἰς τὸ στραφῆναι ὅθεν ἐξεπέσαμεν, πολλοῦ κόπου δεόμεθα, διότι οὐ θέλομεν καταλεῖψαι τὰ θελήματα ἡμῶν· ἀλλὰ δοκοῦμεν ὅτι μετὰ τοῦ Θεοῦ καὶ τὰ ἡμέτερα ποιεῖν δυνάμεθα, ὅπερ ἀμήχανον. αὐτὸς γὰρ καὶ Κύριος ἔφη· οὐ ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τοῦ πέμψαντός με Πατρός· καίπερ ἓν θέλημα Πατρός, καὶ Υἱοῦ, καὶ Πνεύματος, ὡς μία φύσις ἀχώριστος· ἀλλὰ δι' ἡμᾶς ταῦτα εἴρηκε, καὶ κατὰ τὸ τῆς σαρκὸς θέλημα. εἰ μὴ γὰρ καταποθῇ ἡ σάρξ, καὶ γένηται ὁ ἄνθρωπος ὅλος ἀγόμενος τῷ πνεύματι τοῦ Θεοῦ, οὐ ποιεῖ τὸ θέλημα τοῦ Θεοῦ ἐκτὸς βίας. ὅταν δὲ βασιλεύσῃ ἡ χάρις τοῦ πνεύματος ἐν ἡμῖν, τότε οὐκ ἔτι ἴδιον ἔχομεν, ἀλλ' ὅτι γένηται, θέλημα Θεοῦ ἐστί· τότε εἰρηνεύομεν. καὶ Υἱοὶ Θεοῦ κληθήσονται οἱ τοιοῦτοι, ὅτι τὸ θέλημα τοῦ Πατρὸς θέλουσιν, ὥσπερ ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ Θεός. τοῦτο δὲ ἀδύνατον εὑρεῖν τινὰ, ἐκτὸς συντηρήσεως τῶν ἐντολῶν, δι' ὧν πάσης ἡδονῆς, ἤτοι θελήματος ἰδίου * ἐκκοπῇ, καὶ πάσης ὀδύνης, τῆς ὑπὲρ τούτου γινομένης ὑπομονῆς. ἐκ γὰρ ἀφροσύνης ἡδονή, καὶ ὀδύνη γεννῶνται, ὡς προείρηται, καὶ ἐκ τούτων πᾶσα κακία. διότι ὁ ἄφρων φίλαυτός ἐστι, καὶ οὐ δύναται φιλάδελφος εἶναι, οὐδὲ φιλόθεος. καὶ οὔτε

* ἴσ. ἐκκοπή



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐγκράτειαν τῶν ἡδονῶν, ἤτοι τῶν θελημάτων τῶν ἀρεσκόντων αὐτῷ ἔχει, οὔτε ὑπομονὴν τῶν ὀδυνηρῶν· ἀλλὰ ποτὲ μὲν ἐπιτυγχάνοντι τοῦ ἰδίου θελήματος, αὔξεται ἐν αὐτῷ ἡδονὴ καὶ ἔπαρσις· ποτὲ δὲ ἀποτυχών, καὶ ὑπὲρ τῆς τούτου ὀδύνης συραντόμενος ἔρχεται εἰς μικροψυχίαν καὶ πνιγμὸν τῆς ψυχῆς, ἥτις ἐστὶν ἀρραβὼν τῆς γεέννης. ἐκ δὲ τῆς γνώσεως, ἤγουν τῆς φρονήσεως γεννᾶται ἐγκράτεια, καὶ ὑπομονή. διότι ὁ φρόνιμος κατέχει τὸ ἴδιον θέλημα, καὶ ὑπομένει τὴν ὑπὲρ τούτου ὀδύνην, καὶ τῶν μὲν ἡδέων ὡς ἀνάξιον ἑαυτὸν λογιζόμενος, γίνεται εὐγνώμων καὶ εὐχάριστος περὶ τὸν εὐεργέτην, φοβούμενος μήπως διὰ τῶν πολλῶν ἀγαθῶν, ὧν ἐδωρήσατο αὐτῷ ὁ Θεὸς ἐν τῷ νῦν αἰῶνι, ζημιωθῇ ἐν τῷ μέλλοντι, καὶ οὕτω δι᾽ ἐγκρατείας καὶ τὰς ἄλλας ἀρετὰς ἐργάζεται, λογιζόμενος ἑαυτὸν χρεώστην πάντων. μικρὸν δὲ ἀντιμεῖψαι τῷ εὐεργέτῃ μὴ εὑρίσκων τί, ἀλλὰ καὶ τὰς ἀρετὰς ὡς μεῖζον χρέος λογίζεται. λαμβάνει γὰρ καὶ οὐ παρέχει. τοῦτο δὲ μόνον, ὅτι ἠξιώθη εὐχαριστῆσαι τῷ Θεῷ, καὶ * δέχεται αὐτοῦ τὴν εὐχαριστίαν, μεῖζον χρέος λογίζεται. καὶ εὐχαριστῶν διαμένει ἀεί, πᾶν ἀγαθὸν ποιῶν. καὶ ἀεὶ ἐπὶ πλεῖον χρεώστην ἑαυτόν, καὶ ὑποκάτω πάντων ἔχει ταπεινοφρονῶν. εὐφραινόμενος ἐν Θεῷ τῷ εὐεργετοῦντι αὐτόν, καὶ ἐν τρόμῳ ἀγαλλιώμενος, καὶ πρὸς θείαν καὶ ἄπτωτον ἀγάπην ἐρχόμενος διὰ ταπεινοφροσύνης τὰ ὀδυνηρὰ ὡς ἄξιος δέχεται. μᾶλλον δὲ καὶ πλείονα τῶν ἐπερχομένων αὐτῷ, ἄξιον ἑαυτὸν εἶναι λογίζεται, καὶ χαίρει ὅτι μικρὸν ἠξιώθη ἐν τῷ νῦν αἰῶνι θλιβῆναι, καὶ κἂν κουφισμὸν λάβῃ τῶν πολλῶν κολάσεων, ὧν προεξένησεν ἑαυτῷ ἐν τῷ μέλλοντι. καὶ ὅτι ἐν τούτῳ γινώσκει τὴν ἰδίαν ἀσθένειαν· καὶ μὴ ἐπαίρεσθαι. καὶ ὅτι ἠξιώθη ταῦτα γινώσκειν, καὶ ὑπομένειν ὑπὸ

* ἴσ. ὅτι

τῆς χάριτος τοῦ Θεοῦ, εἰς θεῖον πόθον ἔρχεται. ἡ γὰρ ταπεινοφροσύνη γέννημά ἐστι τῆς γνώσεως, ἡ δὲ γνῶσις γέννημα τῶν πειρασμῶν, ὁ γνοὺς ἑαυτόν, δίδοται αὐτῷ ἡ γνῶσις τῶν πάντων. καὶ ὁ ὑποτασσόμενος τῷ Θεῷ, ὑποτάσσει ἑαυτῷ πᾶν φρόνημα σαρκικόν, καὶ μετὰ ταῦτα ὑποταγήσεται αὐτῷ τὰ πάντα, ὅτε βασιλεύσῃ ἡ ταπείνωσις ἐν τοῖς μέλεσιν αὐτοῦ. ὁ γὰρ γνοὺς ἑαυτὸν ὥς φασιν οἱ ἅγιοι, Βασίλειός τε, καὶ Γρηγόριος, ὅτι μέσον ἐστὶ μεγέθους, καὶ ταπεινότητος, ὡς νοερὰν ἔχων ψυχήν, καὶ ὡς θνητὸν καὶ γήϊνον ἔχων σῶμα, οὐδέποτε ἐπαίρεται, οὐδὲ ἀπογινώσκει. Ἀλλ᾽ αἰσχυνόμενος τὸ νοερὸν τῆς ψυχῆς, πάντα τὰ αἴσχιστα ἀποστρέφεται, καὶ τὴν ἀσθένειαν ἑαυτοῦ γινώσκων, πᾶσαν ἔπαρσιν φεύγει. Ὁ τοίνυν γνοὺς τὴν ἰδίαν ἀσθένειαν ἐκ τῶν πολλῶν πειρασμῶν, τῶν τε ψυχικῶν, καὶ σωματικῶν παθῶν, αὐτὸς εἶδε τὴν ἄπειρον τοῦ Θεοῦ δύναμιν, πῶς τοὺς ταπεινοὺς ῥύεται βοῶντας πρὸς αὐτόν, διὰ τῆς ἐμπόνου προσευχῆς ἀπὸ καρδίας. καὶ λοιπὸν γίνεται τῷ τοιούτῳ ἡ εὐχή, ὥσπερ τροφή· εἰδώς, ὅτι χωρὶς τοῦ Θεοῦ οὐ δύναταί τι ποιῆσαι. καὶ ἀπὸ τοῦ φόβου τοῦ μὴ πεσεῖν προσκολλᾶσθαι μὲν τῷ Θεῷ ἀγωνίζεται, θαυμάζει δὲ λογιζόμενος, πῶς αὐτὸν ὁ Θεὸς ἐκ πειρασμῶν καὶ παθῶν ἐρρύσατο ποσάκις, καὶ εὐχαριστεῖ τὸν δυνάμενον ῥύσασθαι, καὶ σὺν τῇ εὐχαριστίᾳ τὴν ταπείνωσιν, καὶ τὴν ἀγάπην προσλαμβάνει, καὶ οὐ τολμᾷ ὅλως κρῖναι τινά. γινώσκων ὅτι ὥσπερ ὁ Θεὸς * αὐτὸν ἐβοήθησεν, οὕτω καὶ πᾶσι βοηθῆσαι, ὅτε θέλει, δύναται, ὥς φησιν ὁ Ἅγιος Μάξιμος. ἴσως δὲ ὅτι καὶ δύναταί τις παλαίειν πάθεσι * πολλῶν, καὶ νικᾶν, ἑαυτὸν δὲ ἀσθενῆ ὄντα ἔχει. καὶ τούτου χάριν ὁ Θεὸς διὰ τάχους αὐτὸν ἐβοήθησεν, ἵνα μὴ τελείως ἀπόληται ἡ ψυχὴ αὐτοῦ. Καὶ ἄλλα πλεῖστα ὁ γι-

* ἴσ. αὐτῷ

* ἴσ. πολλοῖς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νώσκων τὴν ἰδίαν ἀσθένειαν λογιζόμενος, μένει ἄπτωτος. Ἀδύνατον δέ τινα ἐλθεῖν ἐν τούτῳ, εἰ μὴ πολλοὺς πειρασμοὺς ψυχικούς τε καὶ σωματικοὺς πάθοι· καὶ τῇ τοῦ Θεοῦ δυνάμει δι᾽ ὑπομονῆς κρατήμενος, τὴν πεῖραν μάθῃ. ὁ δὲ ποιητὴς οὐ τολμᾷ ὅλως ἴδιον θέλημα ποιῆσαι, ἐκτὸς ἐρωτήσεως τῶν ἐμπείρων, οὐδὲ νόημα στῆσαι. ἐπεὶ τίς ἡ χρεία, μὴ πρὸς τὸ ζῆν σωματικῶς, ἢ σωθῆναι ψυχικῶς, ποιῆσαί τι, ἢ λογίσασθαι θέλοντα. Εἰ δέ τις οὐ γινώσκει ποῖον θέλημα ὀφείλει καταλιπεῖν, καὶ ποῖον νόημα, δοκιμαζέτω, πᾶν πρᾶγμα, καὶ πᾶν νόημα τῇ τούτου ἀποχῇ, καὶ ἐπικρατείᾳ, καὶ ὁποίαν ὄχλησιν ἐπιφέρει, καὶ γινόμενον μὲν ἡδονήν, κωλυόμενον δὲ ὀδύνην, κακόν ἐστι, καὶ ὀφείλει καταφρονεῖν αὐτὸ πρὶν χρονίσει, καὶ ἔχει κοπιάσαι εἰς τὸ νικῆσαι αὐτό, ὅταν αἴσθηται τῆς βλάβης αὐτοῦ. Τοῦτο δὲ λέγω περὶ παντὸς πράγματος, καὶ νοήματος, οὗ χωρὶς δυνάμεθα ζῆσαι σωματικῶς, καὶ τῷ Θεῷ εὐαρεστῆσαι· ἐπειδὴ ἡ συνήθεια χρονίζουσα φύσεως ἰσχὺν λαμβάνει· καὶ ἐὰν οὐ παρέχῃς αὐτήν, ἀτονεῖ καὶ κατὰ μικρὸν ἀπόλλυται. εἴτε γὰρ ἀγαθὴν συνήθειαν, εἴτε κακήν, ὁ χρόνος οἶδε τρέφειν, ὥσπερ τὸ πῦρ τρέφουσιν αἱ ὗλαι. διὰ τοῦτο ὀφείλομεν τὸ ἀγαθὸν πάσῃ δυνάμει μελετᾷν καὶ ποιεῖν, ἵνα ἔλθῃ ἡ ἕξις, καὶ αὐτομάτως ἡ συνήθεια ἐργάζεται, τὸ τυχὸν ἀκόπως, ὡς οἱ Πατέρες ἐν τοῖς μικροῖς τὰ μεγάλα ἐνίκησαν. Ὁ γὰρ μὴ πειθόμενος ἔχειν τὴν ἀναγκαίαν χρείαν τοῦ σώματος, ἀλλὰ ταύτην ἀπαθεῖται, ἵνα τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν πορεύηται, πότε εἰς φιλοκτημοσύνην ἔλθῃ; οὐ γάρ ἐστιν ἡ πολλὴ κτῆσις μόνον φιλοκτημοσύνη, ἀλλ᾽ ὅτι δ᾽ αὖ ἔχῃ προσπαθῶς, ἢ παρὰ χρῆσιν, ἢ καὶ ὑπὲρ τὴν χρῆσιν. διότι πολλοὶ τῶν παλαιῶν Ἁγίων, πολλὴν μὲν κτῆσιν εἶχον, ὅ,τε Ἀβραάμ, Ἰώβ, καὶ Δαβίδ, καὶ ἄλλοι πολλοί. οὐκ ἦν δὲ ἐν αὐτοῖς προσπάθεια, ἀλλ᾽ εἶχον τὰ πράγματα, ὡς τοῦ Θεοῦ, καὶ μᾶλλον δι᾽ ἐκείνων ἐδόκουν εὐαρεστῆσαι αὐτῷ. ὁ δὲ Κύριος ὑπερτελὴς ὤν, καὶ αὐτοσοφία τὴν ῥίζαν ἔκοψεν. οὐ μόνον γὰρ χρήματα, καὶ κτήματα μὴ ἔχειν τοὺς ἀκολουθοῦντας αὐτῷ διὰ τῆς μιμήσεως τῆς ἀκροτάτης ἀρετῆς ἐνομοθέτησεν, ἀλλὰ μηδὲ ψυχήν, ἤτοι θέλημα, ἢ νόημα ἴδιον. καὶ τοῦτο εἰδότες οἱ Πατέρες ἔφυγον τὸν κόσμον, ὡς ἐμπόδιον πρὸς τὴν τελειότητα, οὐ μόνον δὲ ἀλλὰ καὶ τὰ θελήματα, οὐδεὶς γὰρ αὐτῶν ποτὲ θέλημα ἴδιον ἐποίησεν. Ἀλλ᾽ οἱ μὲν ἐν ὑποταγῇ σωματικῇ, ἵνα ἀντὶ τοῦ Χριστοῦ, τὸν Πατέρα τὸν Πνευματικὸν ἔχοιεν εἰς πᾶν νόημα· οἱ δὲ ἐν ἐρήμῳ καὶ τελείᾳ φυγῇ τῶν ἀνθρώπων, αὐτὸν τὸν Θεὸν εἶχον διδάσκαλον, ὑπὲρ οὗ καὶ τὸν κατὰ προαίρεσιν θάνατον ὑπομεῖναι ἠβουλήθησαν. ἕτεροι δὲ τὴν βασιλικὴν ὁδὸν ἐκράτησαν, ἤτοι μετὰ ἑνός, ἢ δύω ἡσυχάζοντες καλῶς, ἔχοντες ἀλλήλους συμβούλους ἀγαθοὺς πρὸς εὐαρέστησιν Θεοῦ. καὶ ὅσοι μετὰ τὴν ὑποταγὴν κατ᾽ ἐπιτροπὴν τοῦ Πατρὸς ἄρχειν ἄλλων ἀδελφῶν ἐτάχθησαν, ὡς ἐν ὑποταγῇ ἔτι διῆγον, τὰς παραδόσεις φυλάττοντες τῶν αὐτῶν Πατέρων, καὶ ἐγένετο πᾶν ἐγχείρημα καλόν. Νυνὶ δέ, ἐπειδὴ οὐ θέλομεν, οὔτε οἱ ἐν ὑποταγῇ, οὔτε οἱ ἐν ἀρχῇ, καταλεῖψαι τὰ ἴδια θελήματα, διὰ τοῦτο οὐδεὶς εἰς προκοπὴν ἔρχεται. Καὶ λοιπὸν ἔμενε τάχα, ὅπερ καὶ ἔστιν, ἡ φυγὴ τῶν ἀνθρώπων, καὶ βιωτικῶν πραγμάτων, ἐν τῇ βασιλικῇ ὁδῷ πορεύεσθαι, καὶ ἡσυχάζειν μετὰ ἑνὸς ἢ δύω, καὶ τὰς ἐντολὰς τοῦ Χριστοῦ νυκτὸς καὶ ἡμέρας μελετᾷν, καὶ πάσαν γραφήν. ἵνα κἂν ἐκ πάντων ἐλεγχόμενος, καὶ ὑπὸ τῆς συνειδήσεως, καὶ προσοχῆς τῆς ἀναγνώσεως,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κ᾽ ἀρχῆς καταντήσῃ τις εἰς τὴν πρώτην ἐντολήν, ἤτοι τὸν φόβον τοῦ Θεοῦ, τὸν γινόμενον ἐκ τῆς πίστεως, καὶ μελέτης τῶν θείων γραφῶν. καὶ δι᾽ αὐτοῦ εἰς τὸ πένθος ἔλθῃ, δι᾽ οὗ εἰς τὰς ἐντολάς, ἃς ἔφη ὁ Ἀπόστολος. πίστις, ἐλπίς, ἀγάπη. ὁ γὰρ πιστεύων τῷ Κυρίῳ φοβεῖται τὴν κόλασιν· καὶ ὁ φοβούμενος τὴν κόλασιν τηρεῖ τὰς ἐντολάς. καὶ ὁ τὰς ἐντολὰς τηρῶν, ὑπομένει τὰς θλίψεις. καὶ ὁ τὰς θλίψεις ὑπομένων, ἕξει τὴν εἰς Θεὸν ἐλπίδα. καὶ ἡ ἐλπὶς χωρίζει πάσης προσπαθείας τὸν νοῦν. ταύτης δὲ χωρισθείς, ἕξει τὴν εἰς Θεὸν ἀγάπην. Ταῦτα οὖν ἐὰν θέλῃ τις ποιεῖν σώζεται. ἡ δὲ ἡσυχία, ὡς ἀρχὴ καθάρσεως ψυχῆς ὑπάρχουσα, καὶ χωρὶς κόπου τὰς ἐντολὰς πάσας κατασκευάζει τῷ προαιρουμένῳ. φεῦγε, φησί, σιώπα, ἡσύχαζε. αὗται γάρ εἰσιν αἱ ῥίζαι τῆς ἀναμαρτησίας. καὶ πάλιν φεῦγε τοὺς ἀνθρώπους, καὶ σώζῃ. διότι οὐκ ἐῶσιν αἱ συντυχίαι τὸν νοῦν ἰδεῖν, οὔτε τὰ ἑαυτοῦ πταίσματα, οὔτε τὰς τῶν δαιμόνων πανουργίας, ἵνα φυλάττῃ ἑαυτὸν ὁ ἄνθρωπος. οὔτε πάλιν τὰς τοῦ Θεοῦ εὐεργεσίας, καὶ προνοίας, ἵνα ἐκ τούτων γνῶσιν Θεοῦ καὶ ταπείνωσιν κτήσηται. καὶ διὰ τοῦτο ὀφείλει ὁ θέλων ὁδεύειν σύντομον ὁδὸν πρὸς Χριστόν, ἤτοι τὴν ἀπάθειαν, καὶ τὴν γνῶσιν, καὶ μετὰ χαρᾶς τὴν τελειότητα φθάσαι. μὴ ἀλλαχόθεν, ἤγουν δεξιά, ἢ ἀριστερά, ἀλλ᾽ ἐν πάσῃ αὐτοῦ τῇ διαγωγῇ τὴν βασιλικὴν ὁδὸν σπουδαίως πορευέσθω. Τάς τε ὑπερβολὰς καὶ ἐλλείψεις ἰσχυρῶς φεύγων, ὡς κίνδυνον ἀμφοτέρων ποιούντων· καὶ μήτε τῷ πλήθει τῶν βρωμάτων καὶ τῶν συντυχιῶν σκοτῶσαι τὸν νοῦν, καὶ ἐκ τῶν πειρασμῶν τυφλὸν κατασκευάσαι· μήτε πάλιν τῇ ἐκτεταμένῃ νηστείᾳ καὶ ἀγρυπνίᾳ θολοῦν τὴν διάνοιαν. Ἀλλὰ τὰς ἑπτὰ ἰδίας, τὰς σωματικὰς λέγω πράξεις, καλῶς μεθ᾽ ὑπομονῆς ἐργαζόμενος, ὡς ἐν κλίμακι ἀνέρχεται. ἀπαύστως τὰς ἑπτὰ ἐφάπαξ κατέχων, καὶ ὁδεύων πρὸς τὴν ἠθικὴν πρᾶξιν, δι᾽ ἧς αἱ πνευματικαὶ θεωρίαι παρὰ τῆς χάριτος τοῦ Θεοῦ δίδονται τῷ πιστεύοντι, ὥς φησιν ὁ Κύριος. Καὶ ὅτι πᾶσα γραφὴ θεόπνευστος, καὶ ὠφέλιμός ἐστι. καὶ ὅτι οὐ δύναταί τις ἐμποδίσαι τὸν θέλοντα σωθῆναι, οὐδὲ ἔχει ἄλλος εἰς ἡμᾶς ἐξουσίαν, εἰμὴ μόνον ὁ πλάσας ἡμᾶς Θεός. ὃς καὶ ἕτοιμός ἐστι πρὸς βοήθειαν καὶ σκέπην ἀπὸ παντὸς πειρασμοῦ, τῶν βοώντων πρὸς αὐτόν, καὶ θελόντων τὸ ἅγιον αὐτοῦ θέλημα ποιεῖν. χωρὶς γὰρ αὐτοῦ, οὐ δύναταί τις ἀγαθὸν ποιῆσαι. οὐδὲ κακὸν παθεῖν ἀβουλήτως, εἰ μὴ αὐτὸς παραχωρεῖ πρὸ τοῦ παιδεῦσαι τὸν πταίοντα καὶ σῶσαι τὴν ψυχὴν αὐτοῦ. Καὶ ὅτι τὰ μὲν πονηρὰ ἔργα, ἡμέτερά εἰσιν, ἐκ ῥαθυμίας ἡμετέρας γινόμενα, καὶ συνεργείας τῶν δαιμόνων. Πᾶσα δὲ γνῶσις, ἀρετή τε, καὶ ἰσχύς, χάρις Θεοῦ εἰσίν, ὥσπερ τ᾽ ἄλλα πάντα. Καὶ ὅτι κατὰ χάριν ἔδωκεν ἐξουσίαν πᾶσι τέκνα Θεοῦ γενέσθαι, διὰ τῆς τηρήσεως τῶν θείων ὅπλων. καὶ ὅτι αἱ ὅπλαι αὗται φυλάττουσι μᾶλλον ἡμᾶς, καὶ χάρις Θεοῦ εἰσί. διότι ἐκτὸς τῆς αὐτοῦ χάριτος, οὐδὲ αὐτὰς τηρεῖν ἰσχύομεν. καὶ οὐκ ἔχομεν τί προσφέρειν αὐτῷ, εἰ μὴ πίστιν, καὶ προαίρεσιν. καὶ ἁπλῶς, πάντα τὰ ὀρθὰ δόγματα ἐκ πίστεως βεβαίας, καὶ ἀκαῶς κατέχοντες, ἄρχεσθαι τὴν ἐργασίαν ἀμετεωρίστως, ὡς ἐν χολείῳ τὰ μαθήματα, καὶ οὕτως ἐπιμελῶς τὰς προειρημένας ἑπτὰ πράξεις ἔργῳ μανθάνειν. Αἵτινές εἰσιν αὗται.

Δήλω-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Δήλωσις ἀναγκαία καὶ ὡραιοτάτη περὶ τῶν ἑπτὰ σωματικῶν πράξεων.

Πρώτη, ἡσυχία, ἤτοι ἀπερίσπαστος διαγωγή, ἀπέχουσα πάσης μερίμνης βιωτικῆς, ἵνα δυνηθῇ ἐκ τοῦ μακρυσμοῦ τῶν ἀνθρώπων, καὶ τῶν περισπασμῶν φυγεῖν τὸν θόρυβον, καὶ τὸν, ὡς λέοντα ὠρυόμενον, περιπατοῦντα, καὶ ζητοῦντα καταπιεῖν τινά, διὰ τῶν συντυχιῶν, καὶ μεριμνῶν τοῦ βίου· καὶ ἵνα μίαν μέριμναν ἔχῃ πῶς τῷ Θεῷ ἀρέσῃ, καὶ τὴν ψυχὴν ἀκατάκριτον ἐν τῇ ὥρᾳ τοῦ θανάτου παρασκευάσῃ, καὶ μετὰ σχολῆς ἁπάσης μάθῃ τὰς κλοπὰς τῶν δαιμόνων, καὶ τὰ ἴδια σφάλματα τὰ ὑπὲρ ψάμμον θαλάσσης γινόμενα, καὶ ὡσεὶ χνοῦς τῇ λεπτότητι τοῖς πολλοῖς ἀγνοούμενα. καὶ θρηνῶν ἀεί, λυπεῖται μὲν τὴν ἀνθρωπίνην φύσιν, παρακαλεῖται δὲ ὑπὸ τοῦ Θεοῦ, ὡς εὐγνώμων γενόμενος, καὶ παρηγορεῖται, ὅτι ἔφθασεν ἰδεῖν, ἅπερ οὐκ ἤλπιζε θεάσασθαι, ἔξωθεν τῆς κέλλης διάγων ποτέ· καὶ τὴν ἰδίαν ἀσθένειαν ἐπεγνωκώς, καὶ τὴν τοῦ Θεοῦ δύναμιν, φοβεῖται, καὶ ἐλπίζει. ὡς μήτε θαρρῶν διὰ ἀγνωσίας πέσῃ, μήτε τὴν φιλανθρωπίαν τοῦ Θεοῦ ἐπιλαθόμενος, ἀπογινώσκῃ, εἴτι δ' ἂν συμβῇ αὐτῷ.

Δευτέρα, νηστεία σύμμετρος, ἤγουν τὸ ἅπαξ ἐσθίειν καθ' ἡμέραν, καὶ μὴ κορέννυσθαι· διὰ τῶν ἁπλῶν τροφῶν ἓν εἶδος ἐκ τῶν ἀπερισπάστως εὑρισκομένων, ὧν οὐκ ἐπιθυμεῖ ἡ ψυχή, εἰ μήπου οὐκ ἔστιν ἄλλο. ἵνα γαστριμαργίαν, λαιμαργίαν, ἐπιθυμίαν νικήσῃ, καὶ ἀπερισπάστως διαμένῃ. ἅμα δέ, ἵνα μὴ εἶδός τι ἀπέχηται καθόλου, ἀποβλητὰ ποιῶν κακῶς, τὰ παρὰ Θεοῦ καλὰ λίαν γινόμενα, μήτε πάντα ὑφ' ἓν κατεσθίῃ ἀκρατῶς, καὶ φιληδόνως, ἀλλ' ἓν εἶδος καθ' ἑκάστην παρ' ἓν ἐσθίων μετὰ ἐγκρατείας, πᾶσιν εἰς δόξαν Θεοῦ χρήσηται. μηδενὸς ἀπεχόμενος, ὡς οἱ ἐπικατάρατοι αἱρετικοὶ ποιοῦσιν, ὡς κακοῦ. οἶνος δέ, κατὰ καιρόν. ἐν γὰρ γήρᾳ, ἀσθενείᾳ τε καὶ ψύχει χρήσιμός ἐστι πάνυ, πλὴν καὶ τότε ὀλιγοστός. ἐν δὲ νεότητι, θέρμῃ τε, καὶ ὑγείᾳ τὸ ὕδωρ κρεῖττον. πλὴν καὶ τοῦτο ὀλίγον πάσῃ δυνάμει. ἡ γὰρ δίψα κρείσσων ἐστὶ πασῶν τῶν σωματικῶν πράξεων.

Τρίτη, ἀγρυπνία σύμμετρος, τὸ ἥμισυ δηλαδὴ τῆς νυκτὸς εἰς ὕπνον ἔχειν, καὶ τὸ ἥμισυ εἰς ψαλμῳδίαν καὶ προσευχήν, στεναγμούς τε, καὶ δάκρυα· ἵνα τῇ συμμέτρῳ νηστείᾳ, καὶ ἀγρυπνίᾳ, τὸ μὲν σῶμα εὐπειθὲς τῇ ψυχῇ γένηται, ὑγιές τε, καὶ πρὸς πᾶν ἔργον ἀγαθόν, ἕτοιμον. ἡ δὲ ψυχὴ ἀνδρείαν λάβῃ, καὶ φωτισμόν, εἰς τὸ βλέπειν, καὶ ποιεῖν τὰ προσήκοντα.

Τετάρτη, ψαλμῳδία, ἤτοι προσευχὴ σωματικὴ διὰ ψαλμῶν καὶ γονυκλισιῶν. ἵνα σκυλθῇ τὸ σῶμα, καὶ ταπεινωθῇ ἡ ψυχή, καὶ φύγωσιν οἱ ἐχθροὶ ἡμῶν δαίμονες, καὶ παραγίνωνται οἱ σύμμαχοι Ἄγγελοι, καὶ ἐπιγνώσηταί τις πόθεν λαμβάνει βοήθειαν. μήπως ἀγνοῶν ἐπαρθῇ, δοκῶν ὅτι ἴδιαί εἰσιν αἱ ἐργασίαι. καὶ ἐγκαταλειφθῇ ἀπὸ τοῦ Θεοῦ πρὸς τὸ γινώσκειν τὴν ἰδίαν ἀσθένειαν.

Πέμπτη, προσευχὴ νοηματικὴ διὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦ νοὸς γινομένη, ἀπέχουσα πάσης ἐννοίας. καὶ ἐν τοῖς λεγομένοις ἱστάμενος ὁ νοῦς, καὶ προσπίπτων τῷ Θεῷ μετὰ στεναγμῶν ἀμυθήτων, ζητεῖ μόνον τὸ θεῖον θέλημα γενέσθαι ἐν πᾶσι τοῖς αὐτοῦ ἐγχειρήμασι, καὶ νοήμασι, μηδ' ὅλως δεχόμενος λογισμὸν, ἢ σχῆμα, ἢ χρῶμα ἢ φῶς, ἢ πῦρ, ἢ ἄλλο τι τὸ παράπαν· ἀλλ' ὡς παρὰ Θεῷ βλεπόμενος, καὶ αὐτῷ μόνῳ διαλεγόμενος, ἀνείδεος, ἄχροος, ἀσχημάτιστος γενόμενος. αὕτη γάρ ἐστιν ἡ καθαρὰ προσευχὴ, ἡ πρέπουσα τῷ ἔτι πρακτικῷ. τῷ δὲ θεωρητικῷ ἄλλα μείζονα τούτων.

Ἕκτη, ἀνάγνωσις ἐν τοῖς λόγοις, καὶ βίοις τῶν πατέρων, μηδ' ὅλως περὶ δογμάτων ξένων, ἢ ἄλλων τινῶν ἀκούων, καὶ μάλιστα αἱρετικῶν. ἵνα μάθῃ ἐκ τῶν θείων γραφῶν, καὶ ἐκ τῆς διηγήσεως τῶν Πατέρων, πῶς νικήσῃ τὰ πάθη, καὶ τὰς ἀρετὰς κτήσηται. καὶ ἵνα ἐμπλησθῇ ὁ νοῦς αὐτοῦ λόγων Πνεύματος Ἁγίου, καὶ ἐπιλάθηται τὰ πρώην ἀπρεπῆ ῥήματα, καὶ νοήματα, ἅπερ ἤκουσεν ἔξω τῆς κέλλης ὤν, καὶ ἵνα τῇ πολλῇ ὁμιλίᾳ τῆς προσευχῆς, καὶ ἀναγνώσεως, ἔλθῃ εἰς τὸ ἐννοεῖν χρηστὰς ἐννοίας. καὶ γὰρ ἡ προσευχὴ βοηθεῖται ὑπὸ τῆς ἀναγνώσεως ἐν ἡσυχίᾳ, καὶ ἡ ἀνάγνωσις ὑπὸ τῆς καθαρᾶς προσευχῆς, ὅταν τις προσέχῃ τοῖς λεγομένοις, καὶ μὴ παρέργως ἀναγινώσκῃ, ἢ ψάλλῃ, εἰ καὶ οὐδ' ὅλως δύναται καταλαβεῖν, ὡς δεῖ, τὴν δύναμιν αὐτῶν ὑπὸ τῆς τῶν παθῶν σκοτώσεως, καὶ ἐξ οἰήσεως πολλάκις πλανώμεθα. καὶ μάλιστα οἱ δοκοῦντες, ὅτι τὴν σοφίαν τοῦ κόσμου τούτου ἔχουσιν, ἀγνοοῦντες, ὅτι ἐμπράκτου γνώσεως δεόμεθα εἰς τὸ ταῦτα κατανοεῖν, καὶ οὐκ ἐξ ἀκοῆς μόνης ὠφελεῖται ὁ θέλων μαθεῖν τὴν γνῶσιν τοῦ Θεοῦ. διότι, ἄλλο ἐστὶν ἀκοὴ, καὶ ἄλλο πρᾶξις. ὥσπερ γὰρ ἐκ μόνης ἀκοῆς οὐ δύναταί τις τεχνίτης γενέσθαι, ἀλλ' ἐκ τοῦ ποιεῖν, καὶ βλέπειν, καὶ πολλὰ σφάλλειν, καὶ διορθοῦσθαι ὑπὸ τῶν ἐμπείρων, καὶ διὰ τῆς ὑπομονῆς, καὶ ἐκκοπῆς τῶν ἰδίων θελημάτων, καὶ τῇ πολυημερίᾳ εἰς ἕξιν ἔρχεται τῆς τέχνης. οὕτω καὶ ἡ πνευματικὴ γνῶσις οὐ γίνεται ἐκ μόνης μελέτης, ἀλλ' ἐκ Θεοῦ κατὰ χάριν τοῖς ταπεινόφροσι δίδοται. ὁ γὰρ ἀναγινώσκων γραφὰς, καὶ ἴσως ἐκ μέρους δοκεῖ γινώσκειν, οὐδὲν θαυμαστὸν, ἐὰν μάλιστα πρακτικὸς ὑπάρχῃ. οὐ μὴν δὲ γνῶσιν Θεοῦ ὁ τοιοῦτος ἔχει, ἀλλὰ τοὺς λόγους τῶν ἐχόντων γνῶσιν ἀκούων. ὥστε οἱ μὲν γράψαντες εἶχον πολλάκις γνῶσιν Θεοῦ, καθάπερ οἱ προφῆται, αὐτὸς δὲ οὔπω. κἀγὼ τοίνυν ὡσαύτως ἐκ τῶν θείων γραφῶν συλλέξας, καὶ οὐχὶ ἐκ τοῦ πνεύματος ἀξιωθεὶς ἀκοῦσαι, ἀλλ' ἐκ τῶν ἀκουόντων παρ' ἐκείνου ἤκουσα. ὥσπερ τινὲς περί τινος πόλεως, ἢ ἀνθρώπου ἀκούοντες παρὰ τοῖς εἰδόσι ταῦτα.

„ Ἑβδόμη, ἐρώτησις τῶν ἐμπείρων περὶ παντὸς λόγου, καὶ ἐγχειρήματος. ἵνα μὴ ἐξ ἀπειρίας, ἢ αὐταρεσκείας, ἀλλ' ἀντ' ἄλλου νοῶν, καὶ ποιῶν τις πλανᾶται πολλάκις, καὶ εἰς οἴησιν πίπτῃ. δοκῶν εἰδέναι ὡς δεῖ, μηδὲν εἰδὼς μηδέπω, κατὰ τὸν Ἀπόστολον.

Ἔπειτα μετὰ τὰς σωματικὰς ταύτας πράξεις, ὑπομονὴν δεῖ ἔχειν πάντων τῶν ἐπερχομένων, ὧν μέλλει ὁ Θεὸς παραχωρεῖν πρὸς μάθησιν, καὶ πεῖραν, καὶ γνῶσιν τῆς ἰδίας ἀσθενείας. καὶ μήτε θαρρεῖν, μήτε ἀπογινώσκειν, εἴτι δ' ἂν αὐτῷ συμβῇ καλὸν, ἢ κακόν. πᾶν δὲ ὄνειρον, καὶ πᾶν ῥῆμα, καὶ ἔργον ἀργὸν ὀφείλει ἀποστρέφεσθαι ἀεί. μελετᾶν τε τὸ τοῦ Θεοῦ ὄνομα ὑπὲρ τὸ ἀναπνεῖν ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ πράγματι. καὶ προσπίπτειν αὐτῷ ἀπὸ ψυχῆς, συνάγων τὸν νοῦν ἐκ πάντων τῶν τοῦ κόσμου νοημάτων, καὶ μόνον ζητῶν γενέσθαι τὸ τοῦ Θεοῦ θέλημα. καὶ τότε ἄρχεται ὁ νοῦς

βλέπειν τὰ πταίσματα αὐτοῦ ὡς ψάμμον θαλάσσης. καὶ αὕτη ἐστὶν ἡ ἀρχὴ τοῦ φωτισμοῦ τῆς ψυχῆς, καὶ τεκμήριον τῆς ὑγείας αὐτοῦ. καὶ ἁπλῶς, γίνεται ἡ ψυχὴ συντετριμμένη, καὶ ἡ καρδία τεταπεινωμένη, καὶ ἡγεῖται ἑαυτὴν κάτω πάντων ἐν ἀληθείᾳ. καὶ ἄρχεται μὲν κατανοεῖν τὰς τοῦ Θεοῦ εὐεργεσίας, τάς τε ἰδικὰς καὶ περιεκτικάς, τὰς ἐν ταῖς θείαις γραφαῖς εὑρισκομένας, καὶ τὰ οἰκεῖα πλημμελήματα. τηρεῖ δὲ καὶ τὰς ἐντολὰς ἐν γνώσει, ἀπὸ τῆς πρώτης, καὶ καθ' ἑξῆς. Ἐπειδὴ ὁ Κύριος ὡς ἐν κλίμακι τέθεικεν αὐτάς, καὶ οὐ δύναταί τις ὑπερβαίνων τῆς μιᾶς εἰς τὴν ἄλλην ἀνελθεῖν ποτε. ἀλλ' ὥσπερ ἐπὶ τῶν βαθμίδων, ἤγουν ἀπὸ τῆς πρώτης, εἰς τὴν δευτέραν· καὶ ἀπ' αὐτῆς, εἰς τὴν τρίτην. ἄχρις ἂν θεὸν ποιήσωσι τὸν ἄνθρωπον κατὰ χάριν τοῦ δωρησαμένου αὐτὰς τοῖς προαιρουμένοις.

## Ὅτι ὁ βουλόμενος τὰς ἐντολὰς τηρῆσαι, ἐκ τοῦ θείου φόβου ἀρξάτω, ἵνα μὴ εἰς χάος ὀλισθήσῃ.

Εἰ δέ τις θέλει προλαβεῖν, ἐπ' αὐταῖς μᾶλλον τὴν σπουδὴν ἐπιδεικνύτω, καὶ μὴ ἀλλαχόθεν. ἐπεὶ εἰς κρημνόν, μᾶλλον δὲ εἰς χάος μέλλει πίπτειν. ὥσπερ γὰρ ἐπὶ τῶν ἑπτὰ χαρισμάτων τοῦ πνεύματος, εἰ μὴ ἀπὸ τοῦ φόβου ἄρξηται, οὐ δύναταί τις εἰς τὰ λοιπὰ ἀνελθεῖν ποτε. οὕτω καὶ ἐν τοῖς μακαρισμοῖς τοῦ Κυρίου. ἀρχὴ γὰρ σοφίας, φησὶν ὁ Δαβίδ, φόβος Κυρίου. ὁ δὲ ἄλλος προφήτης ἄνωθεν εἰρηκὼς περὶ πάντων ἔφη. πνεῦμα σοφίας, καὶ συνέσεως. πνεῦμα βουλῆς, καὶ ἰσχύος. πνεῦμα γνώσεως, καὶ εὐσεβείας. πνεῦμα φόβου Θεοῦ. Καὶ ὁ Κύριος ἀπὸ τοῦ φόβου ἤρξατο διδάσκειν. καί φησι, μακάριοι πτωχοὶ τῷ πνεύματι, τοῦτ' ἔστι τὸ γενέσθαι τινὰ κατάπτηχον τῷ φόβῳ τοῦ Θεοῦ, ἔχοντα ἀμύθητον συντριμμὸν ψυχῆς. διότι ὁ Κύριος ὡς θεμέλιον τέθεικε τὴν ἐντολὴν ταύτην, γινώσκων ὅτι ἐκτὸς ταύτης, κἂν εἰς οὐρανόν τις πολιτεύηται, οὐκ ὠφελεῖται ἔχων τὴν ἀπόνοιαν, δι' ἧς ὁ διάβολος, καὶ ὁ Ἀδάμ, καὶ ἄλλοι πλεῖστοι πεπτώκασι. καὶ τούτου χάριν ὀφείλει ὁ θέλων ταύτην πρώτην ἐντολὴν τηρῆσαι, ἤτοι τὸ φόβον, ὡς εἴρηται, ἐν σχολῇ μελετᾶν πολλῇ, τὰ πρότερον γεγραμμένα τοῦ βίου συναντήματα, καὶ τὰς τοῦ Θεοῦ εὐεργεσίας τὰς ἀπειράστους, καὶ ἀνεξιχνιάστους· καὶ ὅσα ἐποίησε, καὶ ποιεῖ μεθ' ἡμῶν δι' ὁρατῶν τε, καὶ ἀοράτων, ἐντολῶν τε, καὶ δογμάτων, ἀπειλῶν τε, καὶ ἐπαγγελιῶν. φυλάττων, τρέφων, προνοῶν, ζωογονῶν, ῥυόμενος ἀπὸ ὁρατῶν, καὶ ἀοράτων ἐχθρῶν. τὰς νόσους, ἃς ἡ ἀναξία ἡμῶν προσφέρει, ἰώμενος δι' εὐχῶν, καὶ πρεσβειῶν τῶν Ἁγίων αὐτοῦ. ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, ἀσεβείαις τε, καὶ ἀνομίαις μακροθυμῶν ἀεί. ὅσα ἐποιήσαμεν, καὶ ποιοῦμεν, καὶ ὅσα μέλλομεν ποιεῖν, ἐξ ὧν ἐρρύσατο ἡμᾶς ἡ χάρις αὐτοῦ. καὶ πόσα παροργίζομεν αὐτὸν ἔργῳ τε, καὶ λόγῳ, καὶ διαλογισμῷ. καὶ οὐ μόνον ἀνέχεται ἡμᾶς, ἀλλὰ καὶ μείζονα εὐεργετεῖ δι' ἑαυτοῦ, δι' Ἀγγέλων, διὰ γραφῶν, δικαίων, καὶ Προφητῶν, Ἀποστόλων τε, καὶ Μαρτύρων, διδασκάλων, καὶ ὁσίων Πατέρων. καὶ κατανοεῖν τῶν μέν, τοὺς ἄθλους, τῶν δέ, τοὺς ἀγῶνας. ἔπειτα θαυμάζων τὴν συγκατάβασιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν διαγωγὴν αὐτοῦ τὴν ἐν τῷ κόσμῳ, τὰ ἄχραντα αὐτοῦ πάθη, τὸν Σταυρόν, τὸν θάνατον, τὴν ταφήν, τὴν ἀνάστασιν, τὴν ἀνάληψιν, τὴν παρουσίαν τοῦ Ἁγίου Πνεύματος, τὰ ἄρρητα θαύματα τὰ ἀεί, καὶ καθ' ἑκά-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ςὶν γινόμενα, τὸν παράδεισον, τοὺς στεφάνους, τὴν υἱοθεσίαν ἧς ἠξίωσεν ἡμᾶς, καὶ πάντα ὅσα περιέχει ἡ θεία γραφή, καὶ πλείονα λογιζόμενος, ἐκπλήττεται μέν, καταινῶν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, τρέμει δέ, καὶ θαυμάζει τὴν μακροθυμίαν καὶ ἀνοχὴν αὐτοῦ ἐφ' ἡμᾶς, καὶ λυπεῖται τὴν ζημίαν, ἣν ἔπαθεν ἡ φύσις ἡμῶν, λέγω δὴ τὴν ἀγγελοειδῆ ἀπάθειαν, τὸν παράδεισον, καὶ πάντα τὰ ἀγαθά, ἀφ' ὧν ἐξεπέσαμεν, καὶ εἰς ὅσα κακὰ ἐνεπέσαμεν, λέγω δὴ τοὺς δαίμονας, τὰ πάθη, καὶ τὰς ἁμαρτίας. καὶ συντρίβεται ἡ ψυχή, ἐννοοῦσα ὅσα κακὰ γεγόνασιν, ἐκ τῆς ἡμετέρας πονηρίας, καὶ τῆς τῶν δαιμόνων πανουργίας.

## Περὶ τῆς δευτέρας ἐντολῆς, καὶ ὅτι γεννήτωρ τοῦ πένθους ὁ φόβος.

ΚΑὶ οὕτω χαρίζεται αὐτῷ ὁ Θεὸς τὸ μακάριον πένθος, ἤτοι τὴν δευτέραν ἐντολήν, μακάριοι, φησίν, οἱ πενθοῦντες, ἤγουν τὸν ἑαυτόν, καὶ τὸν πλησίον ἐξ ἀγάπης καὶ προσπαθείας πενθεῖν. καὶ γίνεται ὡς ἐπὶ νεκρῷ πενθοῦντος ἐκ τῶν φρικτῶν νοημάτων τῶν πρὸ τοῦ θανάτου γινομένων μετὰ θάνατον. ὀλολύζων ἐν στεναγμοῖς βάθους καρδίας, καὶ πολλῶν, πικρῶν τε, καὶ ἐπιπόνων δακρύων, καὶ ἀμυθήτων θρήνων. καὶ οὔτε περὶ τιμῆς, οὔτε ἀτιμίας φροντίζει, ἀλλὰ καὶ αὐτὴν τὴν ζωὴν καταφρονεῖ, καὶ τῆς τροφῆς ἐπιλανθάνεται πολλάκις ἐκ τοῦ πόνου τῆς καρδίας, καὶ τῶν διηνεκῶν θρήνων. καὶ οὕτως ἡ χάρις τοῦ Θεοῦ, καὶ κοινὴ πάντων Μήτηρ δωρήσηται αὐτῷ τὴν πραότητα, καὶ ἀρχὴν τῆς τοῦ Χριστοῦ μιμήσεως, ἤγουν τὴν τρίτην ἐντολήν, ὥς φησιν ὁ Κύριος. Μακάριοι οἱ πραεῖς. καὶ γίνεται ὡς πέτρα ἐρηρεισμένος, καὶ μηδαμῶς σαλευόμενος ὑπὸ ἀνέμων, ἢ κυμάτων τοῦ βίου, ἀλλ' ὡσαύτως ἔχει ἀεί, ἐν δαψιλείᾳ, καὶ ἐν ἐνδείᾳ, καὶ ἐν εὐχερείᾳ, καὶ ἐν δυσχερείᾳ, ἐν τιμῇ, καὶ ἀτιμίᾳ. καὶ ἁπλῶς ἐν παντὶ καιρῷ, καὶ πράγματι γινώσκει ἐν διακρίσει, ὅτι πάντα παρέρχονται, τά τε ἡδέα, καὶ τὰ ἐπίπονα. καὶ ὅτι ὁδός ἐστιν ὁ βίος οὗτος πρὸς τὸν μέλλοντα αἰῶνα. καὶ ὅτι ἴσως κἂν μὴ θέλωμεν τὰ γινόμενα γίνονται, καὶ μάτην παραιτούμεθα, καὶ τὸν στέφανον τῆς ὑπομονῆς ζημιούμεθα, καὶ ἀντιστάται τῆς βουλῆς τοῦ Θεοῦ φαινόμεθα. διότι πάντα ὅσα ὁ Θεὸς ποιεῖ, καλά εἰσι λίαν, καὶ ἡμεῖς ἀγνοοῦμεν. Ὁδηγήσει γάρ, φησι, πραεῖς ἐν κρίσει, μᾶλλον δὲ ἐν διακρίσει τῶν πραγμάτων. ἀλλὰ καὶ ἐν καιρῷ παροργισμοῦ οὐδ' ὅλως ταράσσεται ὁ τοιοῦτος, ἀλλὰ μᾶλλον χαίρεται, ὡς εὑρὼν καιρὸν κέρδους, καὶ φιλοσοφίας. λογιζόμενος, ὅτι χωρὶς αἰτίας οὐκ ἐγένετο ὁ πειρασμός· ἀλλ' ἢ τὸν Θεόν, ἢ τὸν ἀδελφόν, ἢ ἄλλον τινὰ προελύπησεν ἐν ἀγνοίᾳ, ἢ ἐν γνώσει. καὶ ὅτι μᾶλλον εὑρέθη ἀφορμὴ τῆς συγχωρήσεως αὐτοῦ. ἵνα κἂν διὰ τῆς ὑπομονῆς λάβῃ συγχώρησιν τῶν πολλῶν αὐτοῦ κακῶν. καὶ ὅτι ἐὰν μὴ ἀφῇ τὰ ὀφειλήματα τῷ ὀφειλομένῳ αὐτῷ, οὐδὲ ὁ Πατὴρ ἀφήσει τὰ αὐτοῦ ὀφειλήματα. καὶ ὅτι οὐκ ἔστι τῆς ἀρετῆς ταύτης, ἤγουν τῆς ἐντολῆς, πρὸς ἄφεσιν ἁμαρτιῶν συντομωτέρα. ἄφετε γάρ, φησι, καὶ ἀφεθήσεται ὑμῖν· καὶ ὅτι ἠξιώθη ταῦτα γινώσκειν, καὶ ποιεῖν τὴν μίμησιν τοῦ Χριστοῦ, πρᾶος διὰ τῆς χάριτος τῆς ἐντολῆς γενόμενος. λυπεῖται δὲ ὑπὲρ τοῦ ἀδελφοῦ, ὅτι διὰ τὰς αὐτοῦ ἁμαρτίας ἐπειράσθη ὁ ἀδελφὸς ὑπὸ τοῦ κοινοῦ ἐχθροῦ, γενόμενος φάρμακον πρὸς ἴασιν τῆς ἀσθενείας αὐτοῦ. ἐπειδὴ πᾶς πειρασμός, ὡς ἰατρεία ἐκ Θεοῦ πα-

ραχωρεῖται πρὸς ἴασιν ψυχῆς τοῦ τοσούτους. καὶ γὰρ προγεγονότων, καὶ ἐνεστώτων ἄφεσιν δωρεῖται, καὶ ἐμπόδιον μελλόντων κακῶν· οὐχὶ δὲ ἔπαινον ἔχει οὔτε ὁ διάβολος, οὔτε ὁ πειράζων, οὔτε ὁ πειραζόμενος. διότι ὁ μὲν διάβολος, ἄξιός ἐστι μίσους ὡς κακοποιός, οὐ γὰρ κηδόμενος τοῦτο ποιεῖ. ὁ δὲ πειράζων, ἄξιος ἐστὶν ἐλέους ὑπὸ τοῦ πειραζομένου, οὐχ ὅτι ἀγάπην ποιῶν, ἀλλ' ὅτι ἐμπαιζόμενός ἐστι, καὶ καταποιούμενος. ὁ δὲ πειραζόμενος * ὑπὸ τῶν ἰδίων πταισμάτων ὑπομένει τὰς θλίψεις, καὶ οὐχ ὑπὲρ ἄλλου τινός, ἵνα ἔπαινον ἔχῃ· οὐδὲ γὰρ ἀναμάρτητος. εἰδὲ καὶ ἔστιν, ὅπερ ἀμήχανον· ἀλλ' ἐν ἐλπίδι μισθῶν, καὶ φόβῳ τῶν κολάσεων ὑπομένει· καὶ οὗτοι μὲν οὕτως. Ὁ δὲ Θεὸς ὡς ἐνδεὴς πᾶσι τὸ συμφέρον οἰκονομῶν, ἄξιός ἐστιν εὐχαριστίας, ὅτι καὶ διάβολον, καὶ πονηρίας ἀνθρώπων μακροθύμως ἀνέχεται, ἀμείβων πᾶν ἀγαθὸν καὶ πρὸ τῆς ἁμαρτίας, καὶ μετὰ τὴν ἁμαρτίαν τοῖς μετανοοῦσι. πᾶσαν τοίνυν διάκρισιν μαθὼν ὁ ἀξιωθεὶς τῆς τρίτης ἐντολῆς φύλαξ γενέσθαι, οὐκ ἔτι ἐμπαιχθήσεται ἐν γνώσει, ἢ ἀγνοίᾳ. ἀλλὰ λαβὼν χάρισμα ταπεινώσεως, λογίζεται ἑαυτὸν οὐδὲν ὄντα. πραότης γάρ ἐστιν ὕλη ταπεινώσεως, αὕτη δὲ ἐστὶ θύρα ἀπαθείας· καὶ δι' αὐτῆς εἰς τὴν ἄπταιστον, καὶ τελείαν ἀγάπην εἰσέρχεται ὁ γινώσκων τὴν ἰδίαν φύσιν, τί ἦν πρὸ τοῦ γενέσθαι καὶ τί μετὰ θάνατον γίνεται. οὐδὲν γάρ ἐστιν ὁ ἄνθρωπος, ἀλλ' ἢ μικρά, καὶ ἄνθωρος ἀπολλυμένη δυσωδία, καὶ χείρων πάσης κτίσεως· διότι οὐδεμία ἄλλη κτίσις ἄψυχος, ἢ ἔμψυχος ἀνέτρεψε τὴν βουλὴν τοῦ Θεοῦ ποτέ, ἀλλ' ἢ ἡ ἀνθρώπειος φύσις, ἡ πολλὰ μὲν εὐεργετουμένη, πολλὰ δὲ τὸν Θεὸν ἀεὶ παροργίζουσα. καὶ οὕτω καταξιοῦται τῆς τετάρτης ἐντολῆς, δηλονότι τοῦ πόθου πρὸς τὴν κτῆσιν τῶν ἀρετῶν.

Μακάριοι, φησιν, οἱ πεινῶντες, καὶ διψῶντες τὴν δικαιοσύνην, καὶ γίνεται ὡς ὁ διψῶν, καὶ πεινῶν πρὸς πᾶσαν δικαιοσύνην, ἤγουν ἀρετὴν σωματικήν τε, καὶ ἠθικήν· ἤτοι ψυχικήν. ἐὰν γάρ τις μὴ γεύσηται πράγματος, οὐκ οἶδε τί ὑστερεῖται, φησὶν ὁ Μέγας Βασίλειος. ὁ δὲ γευσάμενος πολλὰ ποθεῖ. οὕτω καὶ ὁ τῆς γλυκύτητος τῶν ἐντολῶν γευσάμενος, καὶ εἰδὼς ὅτι κατὰ μικρὸν πρὸς τὴν τοῦ Χριστοῦ μίμησιν αἱ ἐντολαὶ αὐτὸν φέρουσι, πολλὰ ποθεῖ τὴν τῶν λοιπῶν κτῆσιν, ὥστε ὑπὲρ τούτων καὶ τὸν θάνατον πολλάκις καταφρονεῖ· αἰσθόμενος μικρὸν τινῶν ἐν ταῖς θείαις γραφαῖς κεκρυμμένων μυστηρίων Θεοῦ, διψᾷ πολλὰ πρὸς τὸ καταλαβεῖν. καὶ ὅσον λάβῃ γνῶσιν, πλείονα διψᾷ, καὶ καίεται, ὡς πίνων φλόγα· διὰ δὲ τὸ ἀκατάληπτον εἶναι πᾶσι τὸ θεῖον, μένει διψῶν ἀεί, ὥσπερ τοίνυν ὑγεία, καὶ νόσος πρὸς τὸ σῶμα, οὕτω καὶ ἀρετή, καὶ κακία πρὸς τὴν ψυχήν, καὶ γνῶσις, καὶ ἀγνωσία πρὸς τὸν νοῦν. καὶ ὅσον τις ἐπιμελεῖται τὴν εὐσέβειαν, ἤτοι τὴν πρᾶξιν, τοσοῦτον ὁ νοῦς φωτίζεται εἰς τὴν γνῶσιν. καὶ οὕτω τοῦ ἐλέους καταξιοῦται διὰ τῆς πέμπτης ἐντολῆς, ὥς φησιν ὁ Κύριος· Μακάριοι οἱ ἐλεήμονες. ἐλεήμων δὲ ἐστιν ὁ ἐλεῶν τὸν πλησίον, ἐξ ὧν αὐτὸς ἔλαβε παρὰ Θεοῦ, εἴτε χρήματα, εἴτε βρώματα, εἴτε ἰσχύν, εἴτε λόγον πρὸς ὠφέλειαν, εἴτε εὐχήν, εἴτε ἔχει δυνατὸν τοῦ οἰκτειρῆσαι τὸν δεόμενον αὐτοῦ λογιζόμενος χρεώστης εἶναι, διότι πλεῖστα ἔλαβεν ὑπὲρ * οὗ ζητεῖται· καὶ ὅτι ἠξιώθη, ὡς Θεὸς ἐλεήμων καλεῖσθαι, καὶ ταῦτα * ὑπὲρ τοῦ Χριστοῦ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι ἐπὶ πάσης τῆς κτίσεως· καὶ ὅτι, διὰ τοῦ ἀδελφοῦ ὁ Θεὸς δέεται αὐτοῦ, καὶ χρεωφειλέτης αὐτοῦ γίνεται. καὶ ὅτι, ἐκτὸς μὲν τοῦ ζητουμένου ἐξ αὐτοῦ, δύναται ὁ πτωχὸς ζῆσαι, ἐκτὸς δὲ τοῦ ἐλεεῖν, κατὰ τὸ δυ-

* ἴσ. ὑπὲρ

* ἴσ. ὑπὲρ οὗ

* ἴσ. ὑπὸ τοῦ Χριστοῦ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ταιὸν αὐτῷ, ἢ δύναται αὐτοὺς ζῆσαι, ἢ σωθῆναι, ἐπεὶ τὴν ἰδίαν φύσιν οὐ βούλεται οἰκτειρῆσαι, πῶς τὸν Θεὸν οἰκτειρῆσαι αὐτὸν εὔχεται; καὶ οὕτω ἄλλα πολλὰ λογιζόμενος ὁ ἀξιωθεὶς τῶν ἐντολῶν, δίδωσιν οὐ μόνον τὰ ἑαυτοῦ, ἀλλὰ καὶ αὐτὴν τὴν ψυχὴν ὑπὲρ τοῦ πλησίον. αὕτη γάρ ἐστιν ἡ τελεία ἐλεημοσύνη, ὥσπερ ὁ Χριστὸς ὑπὲρ ἡμῶν τὸν θάνατον ὑπέμεινε, πᾶσι τεθεικὼς ὑπογραμμὸν, καὶ τύπον, ἵνα ὑπὲρ ἀλλήλων ἀποθάνωμεν. οὐ μόνον δὲ ὑπὲρ τῶν φίλων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐχθρῶν, καιροῦ καλοῦντος.

Οὐκ ἔστι δὲ ἀναγκαῖον τὸ ἔχειν πρᾶγμα, πρὸς τὸ ἐλεεῖν δῆθεν. τοῦτο μᾶλλον μεγάλη ἀσθένειά ἐστιν, ἀλλ' ἵνα μηδ' ὅλως ἔχων τί ἐλεεῖν, σπλάγχνα ἔχῃ πρὸς πάντας. καὶ ἐξ ὧν δύναται βοηθῆσαι τοῖς χρῄζουσιν, ἀπροσπαθὴς μὲν πρὸς τὰ τοῦ βίου πράγματα γινόμενος, πρὸς δὲ τοὺς ἀνθρώπους προσπάθειαν ἔχων. ἀλλ' οὔτε διδάσκειν χρὴ, κενοδοξίας χάριν, τὸν μὴ ἔργῳ πρῶτον ἐπιδειξάμενον, ὡς δῆθεν ὠφελῶν ψυχὰς ἀσθενούντων, αὐτὸς δὲ μᾶλλον ὑπὲρ οὓς δοκεῖ ὠφελῆσαι ἀσθενέστερος ὤν. ἐπειδὴ πᾶν πρᾶγμα καιροῦ δέεται, καὶ διακρίσεως, ἵνα μὴ παρὰ τὸν καιρὸν, ἢ παρὰ τὴν χρῆσιν γένηταί τι· τῆς γὰρ ἀσθενείας κρεῖττον ἡ φυγὴ ἐν πᾶσι· καὶ ἡ ἀκτημοσύνη καθ' ὑπερβολὴν κρείττων τῆς ἐλεημοσύνης. διὰ δὲ τῆς ἀπροσπαθείας καταξιοῦται τῆς ἕκτης ἐντολῆς, ὡς φησὶν ὁ Κύριος, Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, τοῦτ' ἔστιν οἱ πᾶσαν ἀρετὴν κατορθώσαντες κατὰ τοὺς ἁγίους διαλογισμοὺς, καὶ φθάσαντες εἰς τὸ βλέπειν κατὰ φύσιν τὰ πράγματα. καὶ οὕτω εἰς τὴν εἰρήνην τῶν λογισμῶν διέρχεταί τις. Μακάριοι, φησὶν, οἱ εἰρηνοποιοὶ, τοῦτ' ἔστιν οἱ εἰρηνοποιοῦντες τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐν τῷ ὑποτάξαι τὴν σάρκα τῷ πνεύματι· ἵνα μηκέτι ἐπιθυμῇ ἡ σὰρξ κατὰ τοῦ πνεύματος, ἀλλ' ἡ χάρις τοῦ Ἁγίου Πνεύματος * βασιλεύσῃ ἐν τῇ ψυχῇ, καὶ ἄγῃ αὐτὴν ὡς βούλεται, δωρησαμένη τὴν θείαν γνῶσιν· δι' ἧς δύναται ὁ τοιοῦτος ὑπομένειν τὸν διωγμὸν, ὀνειδισμόν τε, καὶ κάκωσιν ἕνεκεν δικαιοσύνης· καὶ χαίρει ὅτι ὁ μισθὸς αὐτοῦ πολὺς ἐν τοῖς οὐρανοῖς. πάντες γὰρ οἱ μακαρισμοὶ, Θεὸν κατὰ χάριν ποιοῦσι τὸν ἄνθρωπον, πρᾷον γενόμενον, πᾶσαν δικαιοσύνην ποθοῦντα, ἐλεήμονα, ἀπαθῆ, εἰρηνοποιὸν, ὑπομένοντα πᾶσαν θλῖψιν μετὰ χαρᾶς διὰ τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ τοῦ πλησίον. ὥστε δῶρά εἰσι Θεοῦ, καὶ ὀφείλομεν μεγάλως εὐχαριστεῖν αὐτῷ ἕνεκα τούτων, καὶ διὰ τὰ τιθέμενα ἔπαθλα, ἤτοι βασιλείαν οὐρανῶν ἐν τῷ μέλλοντι, καὶ παράκλησιν ὧδε, καὶ πλησμονὴν παντὸς ἀγαθοῦ, καὶ ἔλεος παρὰ Θεῷ· καὶ ἐμφάνειαν Θεοῦ, διὰ τῆς θεωρίας τῶν κεκρυμμένων μυστηρίων τῶν ἐν ταῖς θείαις γραφαῖς, καὶ πᾶσι τοῖς κτίσμασιν αὐτοῦ, καὶ πολὺν μισθὸν ἐν τοῖς οὐρανοῖς. μίμημα Χριστοῦ γενόμενος ἐπὶ τῆς γῆς, καὶ μακαρισμὸς ἑκάστης ἐντολῆς, ἤγουν τὸ ἀκρότατον τῶν ἀγαθῶν, ἤτοι τῶν ὀρεκτῶν τὸ ἔσχατον. ἐπειδὴ, κατὰ τὸν Ἀπόστολον, αὐτὸς ὁ Θεὸς μόνος ἐστὶ μακάριος, ὁ φῶς οἰκῶν ἀπρόσιτον· ἀλλ' εἰ καὶ χρέος ἔχομεν τοῦ φυλάξαι, μᾶλλον δὲ τοῦ φυλαχθῆναι ὑπὸ τῶν ἐντολῶν, ἀλλ' ὁ φιλάνθρωπος Θεὸς τὰ ἔπαθλα ὧδε καὶ ἐκεῖ χαρίζεται ἀπὸ τῆς ἐντολῆς τῷ πιστεύοντι αὐτῷ.

* ἴσ. βασιλεύῃ

Πάντα δὲ ταῦτα ἐκ τοῦ μακαρίου πένθους γινόμενα, λαμβάνει ὁ τοῦ κουφισμὸν τῶν παθῶν, καταλλασσόμενος τῷ Θεῷ περὶ τῶν ἁμαρτιῶν αὐτοῦ διὰ τῶν πικρῶν, καὶ πολλῶν δακρύων. συσταυροῦται μὲν τῷ Χριστῷ νοερῶς διὰ τῆς ἠθικῆς πράξεως, δηλαδὴ, τῆς τηρήσεως τῶν ἐντολῶν, ὡς εἴρηται· καὶ φυλακῆς τῶν πέντε αἰσθήσεων, ἵνα μὴ παρὰ τὴν χρῆσίν τι ποιῶσιν ὅλως.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Κατέχων δὲ τὰς ἀλόγους ὁρμὰς ὁ νοῦς, ἄρχεται ἡνιοχεῖν τὰ περὶ αὐτὸν πάθη, λέγω δὴ τὸν θυμόν, καὶ τὴν ἐπιθυμίαν. καὶ νῦν μὲν τὸν θυμὸν ἀγριαινόμενον καταπαύει τῇ τῆς ἐπιθυμίας μαλακότητι, νῦν δὲ τῇ αὐστηρότητι τοῦ θυμοῦ κατευνάζει τὴν ἐπιθυμίαν, καὶ εἰς ἑαυτὸν ἐλθὼν ὁ νοῦς γινώσκει τὸ οἰκεῖον ἀξίωμα, ὅτι αὐτοκράτωρ ἐστί· καὶ λαμβάνει τὸ βλέπειν τὰ πράγματα κατὰ φύσιν. ἀνοίγεται γὰρ ὁ εὐώνυμος ὀφθαλμός, ὃν ἐτύφλωσεν ὁ διάβολος τῇ ἐπικρατείᾳ τῶν παθῶν· καὶ καταξιοῦται ὁ ἄνθρωπος τοῦ συνταφῆναι τῷ Χριστῷ νοερῶς ἀπὸ τῶν τοῦ κόσμου πραγμάτων, καὶ οὐκ ἔτι κλέπτεται τῇ ἔξωθεν εὐμορφίᾳ, ἀλλὰ βλέπει τὸν χρυσόν, τὸν ἄργυρον, τοὺς τιμίους λίθους, καὶ γινώσκει ὅτι ἐκ τῆς γῆς εἰσιν, ὡς τὰ λοιπὰ ἄψυχα, ξύλα τε, καὶ λίθοι· καὶ τὸν ἄνθρωπον ὁμοίως ὡς σαπρίαν, καὶ μικρὸν χοῦν ἐν τάφῳ μετὰ θάνατον ὄντα· καὶ πάντα τὰ τοῦ βίου τερπνά, ὡς οὐδὲν λογιζόμενος, τὰς ἀλλοιώσεις αὐτῶν βλέπει ἀεὶ μετὰ πολλῆς βουλῆς τῆς ἀπὸ τῆς γνώσεως γινομένης. καὶ γίνεται νεκρὸς τῷ κόσμῳ, καὶ ὁ κόσμος νεκροῦται αὐτῷ μετὰ χαρᾶς, καὶ οὐκ ἔτι (οὐκ) ἔχει βίαν, ἀλλὰ μᾶλλον ἀνάπαυσιν, καὶ ἀπροσπάθειαν.

Καὶ οὕτω διὰ τῆς καθαρότητος τῆς ψυχῆς καταξιοῦται τοῦ ἀναστῆναι σὺν Χριστῷ νοερῶς. καὶ λαμβάνει ἰσχὺν εἰς τὸ βλέπειν ἀπαθῶς καὶ τὰ ἔξωθεν κάλλη τῶν
* ἴσ. δοξάζειν — πραγμάτων, καὶ * δοξάζει δι' αὐτῶν τὸν ποιήσαντα τὰ πάντα. καὶ τὰ ἐν τοῖς αἰσθητοῖς κτίσμασι θεωρῶν, δύναμίν τε, καὶ πρόνοιαν τοῦ Θεοῦ, ἀγαθότητά τε, καὶ σοφίαν, κατὰ τὸν Ἀπόστολον, καὶ τὰ κεκρυμμένα ἐν ταῖς θείαις γραφαῖς μυστήρια ὁρῶν καταξιοῦται τῆς ἀναλήψεως ὁ νοῦς σὺν Χριστῷ διὰ τῆς θεωρίας τῶν νοητῶν κτισμάτων, τουτέστι τῆς γνώσεως τῶν νοερῶν δυνάμεων. καὶ συνιεὶς ἐκ τῶν πολλῶν δακρύων τῆς συνέσεως καὶ τῆς χαρᾶς, ἐκ τῶν ὁρωμένων τὰ ἀόρατα, καὶ ἐκ τῶν προσκαίρων τὰ αἰώνια λογίζεται, ὅτι εἰ ὁ πρόσκαιρος κόσμος οὗτος, ὁ ἐξορία, καὶ καταδίκη τῶν παραβάντων τὴν ἐντολὴν τοῦ Θεοῦ λεγόμενος, τοσοῦτόν ἐστιν ὡραῖος, πόσῳ μᾶλλον τὰ αἰώνια, καὶ ἀκατανόητα ἀγαθά, ἃ ὁ Θεὸς ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν; καὶ εἰ ἐκεῖνα τὰ ἀγαθά, ἀκατανόητα καθ' ὑπερβολήν, πόσῳ μᾶλλον ὁ τὰ πάντα ποιήσας Θεὸς ἐξ οὐδενός.

Ἂν γάρ τις σχολάζῃ ἐκ πάντων, καὶ ἐπιμελῆται τῶν σωματικῶν, καὶ ψυχικῶν πράξεων, τῶν λεγομένων παρὰ τῶν Πατέρων, εὐσέβεια. ἀπιστῇ δὲ πᾶν ὄνειρον, καὶ ἴδιον νόημα, μὴ ἔχον μαρτυρίαν ἐκ τῆς γραφῆς. καὶ φεύγῃ πᾶσαν ἀργὴν συντυχίαν, ἵνα μηδ' ὅλως ἀκούων τι, ἢ ἀναγινώσκων ἀργόν, καὶ μάλιστα περὶ αἱρέσεως, πληθύνονται ἐν αὐτῷ τὰ τῆς συνέσεως, καὶ τῆς χαρᾶς δάκρυα, ὥστε πίνειν αὐτὰ ἐκ τοῦ πλήθους αὐτῶν. καὶ ἔρχεται εἰς τὴν ἄλλην εὐχὴν τὴν καθαράν, τὴν πρέπουσαν τῷ θεωρητικῷ. ὥσπερ γὰρ ἄλλα ἀναγνώσματα ὀφείλει ἔχειν ποτέ, καὶ ἄλλα δάκρυα, καὶ εὐχήν, οὕτω καὶ νῦν. Ἐπειδὴ εἰς θεωρίας πνευματικὰς ἦλθεν ὁ νοῦς, διὰ τοῦτο ἀπ' ἄρτι ἀναγινώσκειν ὀφείλει ἐν πάσαις ταῖς θείαις γραφαῖς, ὡς μὴ φοβούμενος τῶν δυσδιακρίτων ῥημάτων τῆς γραφῆς, ὥσπερ οἱ πρακτικοὶ ἔτι, καὶ ἀσθενεῖς διὰ τὴν ἄγνοιαν. διὰ γὰρ τὸ ἐγχρονίσαι αὐτόν, καὶ ἀγωνίσασθαι περὶ τῶν σωματικῶν τε καὶ ἠθικῶν πράξεων, συνεσταυρώθη τῷ Χριστῷ, καὶ συνετάφη διὰ τῆς γνώσεως τῶν πραγμάτων, κατά τε τὴν φύσιν, καὶ ἀλλοίωσιν, συνηγέρθη δὲ δι' ἀπαθείας καὶ γνώσεως τῶν τοῦ Θεοῦ μυστηρίων, τῶν ἐν τοῖς αἰσθητοῖς αὐτοῦ κτίσμασιν· ἐξ ἧς σὺν αὐτῷ εἰς τὰ ὑπερκόσμια ἀνέβη διὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῆς τῶν νοητῶν γνώσεως, καὶ τῶν ἐν ταῖς θείαις γραφαῖς κεκρυμμένων μυστηρίων. ἀπὸ τοῦ φόβου εἰς εὐσέβειαν, ἐξ ἧς ἡ γνῶσις· δι' ἧς ἡ βουλὴ, ἤτοι ἡ διάκρισις. ἐξ ἧς ἡ ἰσχὺς, δι' ἧς ἡ σύνεσις, καὶ ἔρχεται εἰς τὴν σοφίαν. Διὰ πάντων γὰρ τῶν προειρημένων πράξεων, καὶ θεωριῶν καταξιοῦται τῆς καθαρᾶς καὶ τελείας προσευχῆς, τῆς ἀπὸ τῆς εἰρήνης καὶ ἀγάπης τοῦ Θεοῦ γενομένης, καὶ τῆς τοῦ Ἁγίου Πνεύματος ἐνοικήσεως. καὶ τοῦτό ἐστι τὸ λεγόμενον, κτῆσαι Θεὸν ἐν ἑαυτῷ· καὶ τὴν ἐμφάνειαν, καὶ τὴν ἐνοίκησιν τοῦ Θεοῦ, καθὼς ἔφη ὁ Χρυσόστομος, ἐν τῷ γενέσθαι σῶμα καὶ ψυχὴν, κατὰ τὸ δυνατὸν ὥσπερ τοῦ Χριστοῦ, ἀναμάρτητα· καὶ νοῦν ἔχειν διὰ Χριστὸν νοοῦντα τῇ τοῦ πνεύματος,* καὶ σοφία, ἥτις ἐστὶ γνῶσις θείων, καὶ ἀνθρωπίνων πραγμάτων.

* ἰσχάνει

## Περὶ τῶν τεσσάρων ἀρετῶν τῆς ψυχῆς.

Ἰδέαι δὲ τῆς σοφίας καθεστήκασι τέσσαρες. φρόνησις, ἤτοι γνῶσις τῶν τε ποιητέων, καὶ οὐ ποιητέων, καὶ ἐγρήγορσις τοῦ νοός. σωφροσύνη, τοῦτ' ἔστι τὸ σῶον γενέσθαι τὸ φρόνημα, ὥστε κατέχειν ἀπαθῆ ἑαυτὸν ἐκτὸς ἔργου, λογισμοῦ τε, καὶ λόγου μὴ ἀρέσκοντος τῷ Θεῷ. ἀνδρεία, ἤτοι ἰσχὺς, καὶ καρτερεία ἐν τοῖς κατὰ Θεὸν πόνοις, καὶ πειρασμοῖς. Δικαιοσύνη, τοῦτ' ἔστι διανομὴ, τὸ ἴσον παρέχουσα πᾶσι τούτοις. αὗται δὲ αἱ τέσσαρες γενικαὶ ἀρεταὶ γεννῶνται μὲν ἐκ τῶν τριῶν δυνάμεων τῆς ψυχῆς οὕτως. ἐκ μὲν τοῦ λογισμοῦ, ἤγουν τοῦ νοὸς, δύο, φρόνησις, καὶ δικαιοσύνη, ἤγουν διάκρισις. ἐκ δὲ τοῦ ἐπιθυμητικοῦ, σωφροσύνη, καὶ ἐκ τοῦ θυμικοῦ, ἀνδρεία. μεσολαβεῖ δὲ ἑκάστη ὑπὸ δύο παθῶν παρὰ φύσιν, ἡ φρόνησις ἄνω μὲν, ἀπὸ τοῦ ὑπερφρονεῖν, κάτω δὲ, ὑπὸ ἀφροσύνης. ἡ σωφροσύνη, ἄνω μὲν, ὑπὸ ἠλιθιότητος, κάτω δὲ, ἀπὸ ἀκολασίας. ἡ ἀνδρεία, ἄνω μὲν, ἀπὸ θρασύτητος, κάτω δὲ, ἀπὸ δειλίας. ἡ δικαιοσύνη, ἄνω μὲν, ἀπὸ μειονεξίας, κάτω δὲ ἀπὸ πλεονεξίας. καὶ αἱ μὲν τέσσαρες εἰκών εἰσι τοῦ ἐπουρανίου, αἱ δὲ ὀκτὼ τοῦ χοϊκοῦ. ταῦτα δὲ πάντα ἀκριβῶς μὲν ὁ Θεὸς γινώσκει, ὥσπερ τὰ προγεγονότα, ἐνεστῶτά τε, καὶ μέλλοντα, ἐκ μέρους δὲ ὁ κατὰ χάριν Θεοῦ, ἔργα μαθὼν παρ' αὐτοῦ, καὶ ἀξιωθεὶς κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν αὐτοῦ γενέσθαι. ἐξ ἀκοῆς γὰρ μόνης ὁ λέγων εἰδέναι ὡς δεῖ, ἐψεύσατο. διότι, ὁ νοῦς τοῦ ἀνθρώπου οὐ δύναται ἐκτὸς τοῦ χειραγωγοῦ εἰς τὸν οὐρανὸν ἀνελθεῖν ποτὲ, οὐδὲ πάλιν μὴ ἀνελθὼν, καὶ θεασάμενος εἰπεῖν τι ὃ οὐκ εἶδεν. ἀλλ' εἴτι παρὰ τῆς γραφῆς ἀκούων ἔκειτο μόνον ὀφείλει λέγειν ἐξ ἀκοῆς μετὰ εὐγνωμοσύνης, καὶ ὁμολογεῖν τὸν Πατέρα τοῦ λόγου, ὡς ἔφη ὁ μέγας Βασίλειος. καὶ μὴ οἰόμενος γνῶσιν ἔχειν, μένειν ἀγνώστου χείρων. ὁ γὰρ οἴεσθαι οὐκ ἐᾷ γενέσθαι τὸ οἰόμενον, φησὶν ὁ ἅγιος Μάξιμος. ἔστι γὰρ ἀγνωσία ἐπαινετὴ, ὥς φησιν ὁ Χρυσόστομος, ὅταν ἅπαντις ἐν γνώσει γινώσκῃ, ὅτι ἀγνοεῖ. καὶ ἔστιν ἀγνωσία, ἐπέκεινα πάσης ἀγνωσίας, ὅταν μὴ γινώσκῃ τις, ὅτι ἀγνοεῖ. ἔστι μὲν οὖν καὶ γνῶσις ψευδώνυμος, ὅταν δοκῇ τις εἰδέναι μηδὲν εἰδὼς, κατὰ τὸν Ἀπόστολον.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Περὶ ἐμπράκτου γνώσεως,

Ἔστι δὲ γνῶσις ἀληθὴς, καὶ ἔστιν ἀγνωσία καθόλου, κρείττων δὲ πάντων, ἡ ἔμπρακτος γνῶσις. ἐπειδὴ τί ὠφελεῖται ἄνθρωπος, ἐὰν πᾶσαν γνῶσιν ἔχων, μᾶλλον δὲ λαβὼν ἀπὸ Θεοῦ κατὰ χάριν, ὡς ὁ Σολομὼν, ὅπερ ἀμήχανον πάντων ἕτερον γενέσθαι ποτὲ, καὶ εἰς τὴν αἰώνιον κόλασιν ἀπελθεῖν; μὴ ἐξ ἔργων καὶ πίστεως βεβαίας πληροφορίαν λαβὼν διὰ τῆς μαρτυρίας τῆς συνειδήσεως, ὅτι ἐλευθεροῦται τῆς μελλούσης κολάσεως, ἐν τῷ μὴ καταγινώσκειν ἑαυτὸν, ὅτι ἠμέλησέ τι τῶν ὀφειλομένων κατὰ τὸ δυνατὸν αὐτῷ, ὥς φησιν ὁ Ἅγιος Ἰωάννης ὁ Θεολόγος; Ἐὰν μὴ ἡ καρδία ἡμῶν καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεόν. ἀλλὰ μὴν ὥς φησιν ὁ Ἅγιος Νεῖλος, ὅτι καὶ αὐτὴ ἡ συνείδησις ἐψεύσατο, διὰ τῆς τῶν παθῶν σκοτώσεως κακίσασα, ὥς φησιν ὁ τῆς Κλίμακος. εἰ γὰρ μόνη πονηρία σκοτίζειν τὸν νοῦν πέφυκε, φησὶν ὁ μέγας Βασίλειος, καὶ οἴησις τυφλὸν ἐμποιεῖ, καὶ οὐκ ἐᾷ γενέσθαι τὸ οἰόμενον. τί λοιπὸν εἴπωμεν περὶ τῶν δουλευόντων τοῖς πάθεσιν, οἳ δοκοῦσι καθαρὰν συνείδησιν ἔχειν, καὶ μάλιστα ὁρῶντες τὸν Ἀπόστολον Παῦλον, τὸν ἔχοντα ἐν ἑαυτῷ τὸν Χριστὸν, ἔργῳ καὶ λόγῳ εἰρηκότα, ὅτι οὐδὲν ἐμαυτῷ σύνοιδα, πταίοντι δηλονότι, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι; Ἐκ γὰρ ἀναισθησίας πολλῆς δοκοῦμεν οἱ πολλοὶ, ὅτι ἐσμέν τι, μηδὲν ὄντες. ἀλλ' ὅταν, φησὶν ὁ Ἀπόστολος, λέγωσιν εἰρήνην, τότε αὐτοῖς ὁ ὄλεθρος ἔρχεται, διότι οὐκ ἔσχον εἰρήνην, ἀλλ' ἔλεγον, νομίζοντες εἰρήνην ἔχειν, φησὶν ὁ Χρυσόστομος, ἐκ πολλῆς ἀναισθησίας. καὶ ὥς φησιν ὁ Ἅγιος Ἰάκωβος ὁ ἀδελφόθεος περὶ τῶν τοιούτων, ὅτι ἐπιλήσμονες γενόμενοι τῶν ἑαυτῶν ἁμαρτιῶν. ἔλαθον ἑαυτοὺς ὑπερηφανίᾳ πλανᾶσθαι, φησὶν ὁ τῆς Κλίμακος, ἀπάθειαν οἰόμενοι ἔχειν. Κἀγὼ τοίνυν τοὺς τρεῖς γίγαντας τοῦ διαβόλου τρέμων, περὶ ὧν ἔγραψεν ὁ Ἅγιος Μάρκος ὁ ἀσκητὴς, ἤγουν τὴν ῥαθυμίαν, τὴν λήθην τε, καὶ ἄγνοιαν, ὡς ὑπ' αὐτῶν κατεχόμενος ἀεὶ, καὶ φοβούμενος μήπως ἀγνοήσας τὸ ἴδιον μέτρον, εὑρεθήσομαι ἔξω τῆς ἀληθείας ὁδοῦ, ὥς φησιν ὁ Ἅγιος Ἰσαὰκ, τὴν παροῦσαν συλλογὴν ἔγραψα. ὁ γὰρ μισῶν ἔλεγχον, δῆλον ὅτι τὸ πάθος ἐσήμανε τῆς ὑπερηφανίας, φησὶν ὁ τῆς Κλίμακος. ὁ δὲ προστρέχων τοῦ δεσμοῦ λέλυται. καὶ ὁ Σολομὼν, ἀνοήτῳ ἐπερωτῶντι σοφίας, σοφία αὐτῷ λογισθήσεται. Διὰ τοῦτο καὶ τὰ ὀνόματα τῶν βιβλίων, καὶ τῶν ἁγίων εἰς τὴν ἀρχὴν τέθεικα, ἵνα μὴ καθ' ἕκαστον ῥῆμα λέγων τινός ἐστι, μηκύνηται ὁ λόγος. καὶ γὰρ οἱ ἅγιοι Πατέρες τὰ τῶν θείων γραφῶν ῥήματα, καθὼς κεῖνται πολλάκις ἔγραψαν. ὡς ὁ Θεολόγος Γρηγόριος τὰ τοῦ Σολομῶντος, καὶ οἱ λοιποί. καὶ ὡς ὁ λογοθέτης Συμεὼν ὁ Μεταφραστὴς ἔφη περὶ τοῦ Χρυσοστόμου, ὅτι οὐκ ἀληθείας ἐστὶ τὰ ἐκείνου ῥήματα καταλιπεῖν, λέγειν τὰ ἐμὰ, καίπερ ἠδύνατο. ἐκ τοῦ αὐτοῦ γὰρ Πνεύματος Ἁγίου οἱ πάντες ἔλαβον. Ἀλλὰ τὰ μὲν ὀνομάζουσι τίνος ἐστὶ τὸ ῥητὸν, ὡς ἐγκαλλωπιζόμενοι, ταπεινώσεως χάριν· προτιμῶντες τὰ τῶν γραφῶν ῥήματα. Τὰ δὲ, ἀνώνυμα καταλιπόντες διὰ τὸ πλῆθος, ἵνα μὴ εἰς μῆκος πολὺ ἔρχηται τὸ λεγόμενον.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Ὅτι αἱ σωματικαὶ ἀρεταὶ ἐργαλεῖά εἰσι τῶν ψυχικῶν.

Ἀλλ' ἐπειδὴ κρείττων ἐστὶν ἡ πυκνοτέρα ὑπόμνησις, ἰδοὺ τὰ πλεῖστα τῶν εἰρημένων ἄρξομαι. καὶ ὅτι οὐκ ἐμά ἐστι ταῦτα, ἀλλὰ τῶν Θείων γραφῶν τε, καὶ Ἁγίων ἀνδρῶν ῥήματα, καὶ διηγήσεις. λέγει γὰρ ὁ ἐκ Δαμασκοῦ, ὅτι αἱ σωματικαὶ ἀρεταί, μᾶλλον δὲ ἀρετῶν ἐργαλεῖα, ἀναγκαῖαι μέν εἰσιν, ὅταν τις ἐν ταπεινώσει, καὶ γνώσει πνευματικῇ αὐτὰς * μετέρχεται. διότι τούτων δίχα, οὐδὲ αἱ ψυχικαὶ ἀρεταὶ γίνονται. εἰδὲ μὴ οὕτως, ἀλλὰ καθ' ἑαυτὰς οὐδὲν ὠφελοῦσι. ὡς οὐδὲ τὰ φυτὰ δίχα τῶν καρπῶν. οὐδὲ σχολῆς, καὶ θελημάτων ἐκκοπῆς ἐκτός, δύναταί τις ἐπιστημόνως, καὶ ἀσφαλῶς τέχνην τινὰ μαθεῖν πώποτε. διὰ τοῦτο οὖν μετὰ τὴν πρᾶξιν χρήζομεν καὶ τὴν γνῶσιν, καὶ διὰ πάντων τὴν κατὰ Θεὸν σχολὴν ἐκ πάντων, καὶ ἐπιμέλειαν τῶν Θείων γραφῶν, ἧς χωρὶς οὐδεὶς δύναται κτήσασθαί ποτε ἀρετήν. καὶ ὁ μὲν καταξιωθεὶς ὁλοκλήρως, καὶ ἀεί ποτε σχολάζων, τοῦ ἀκροτάτου ἀγαθοῦ ἐπέτυχεν. ὁ δὲ μὴ οὕτως, κἂν ἐκ μέρους μὴ ἀμελήσωμεν. ἀλλὰ μακάριοί εἰσιν οἱ ὁλοκλήρως σχολάζοντες, εἴτε ἐν τῷ ἐνασχοληθῆναί τινι πρακτικῷ, καὶ ἡσυχάζοντι κατὰ τὸν λόγον, εἴτε ἐν ἡσυχίᾳ καὶ ἀμεριμνίᾳ ἐκ πάντων, ἐν τῷ ὑποταγῆναι τῷ Θείῳ θελήματι, μετὰ ἀκριβείας, καὶ συμβουλῆς τῶν ἐμπείρων εἰς πᾶν ἐγχείρημα, λόγων τε, καὶ νοημάτων. οἱ θέλοντες μάλιστα ἀκόπως φθάσαι πρὸς ἀπάθειαν, καὶ γνῶσιν πνευματικήν, διὰ τῆς ὁλοκλήρου καὶ κατὰ Θεὸν σχολῆς. ὡς αὐτὸς ἔφη διὰ τοῦ Προφήτου· Σχολάσατε, καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός.

* ἰσ. μετέρχονται.

Οἱ δὲ βιωτικοὶ ἄνθρωποι, οἱ κατὰ κόσμον φημί, καὶ οἱ δῆθεν Μοναχοί, κἂν ἐκ μέρους σχολάσωμεν, ὡς οἱ πάλαι δίκαιοι, πρὸς τὸ ἐρευνᾶν τὴν ἀθλίαν ψυχὴν πρὶν τοῦ θανάτου, καὶ διόρθωσιν ἢ ταπείνωσιν αὐτῇ προξενῆσαι, καὶ μὴ τελείαν ἀπώλειαν διὰ τῆς καθόλου ἀγνωσίας, καὶ τῶν κατ' ἄγνοιαν, καὶ γνῶσιν πταισμάτων. καὶ γὰρ ὁ Δαβὶδ βασιλεὺς ὑπῆρχεν, ἀλλὰ καθ' ἑκάστην νύκτα τὴν στρωμνὴν αὐτοῦ, καὶ κλίνην ἔβρεχε τοῖς δάκρυσιν, ἐκ τῆς αἰσθήσεως τοῦ Θείου, ὥς φησιν ὁ Ἰώβ, ἔφριξάν μου αἱ τρίχες, καὶ τὰ ἑξῆς. καὶ ἡμεῖς οὖν κἂν μέρος τι τῆς ἡμέρας, καὶ τῆς νυκτός, ὥσπερ οἱ βιωτικοὶ σχολάσωμεν, καὶ ἴδωμεν τί μέλλομεν ἀπολογήσασθαι τῷ δικαίῳ κριτῇ ἐν τῇ φρικτῇ ἡμέρᾳ τῆς κρίσεως; καὶ μεριμνήσωμεν περὶ τούτου μᾶλλον, ὡς ἀναγκαῖον διὰ τὸν φόβον τῆς αἰωνίου κολάσεως; καὶ μὴ περὶ τοῦ πῶς ζῆσαι ἔχουσιν οἱ πτωχοί, καὶ πλουτῆσαι οἱ φιλάνθρωποι, καὶ ὅλην ἡμῶν τὴν μέριμναν ἐν τοῖς βιωτικοῖς πράγμασι ποιῶμεν ἀφρόνως. ὥς φησιν ὁ Θεῖος Χρυσόστομος, ὅτι ἐργάσασθαι μὲν δεῖ, οὐ μέντοι δὲ μεριμνᾶν, καὶ τυρβάζειν περὶ πολλῶν, ὡς ἔφη ὁ Κύριος πρὸς τὴν Μάρθαν. διότι καὶ ἡ μέριμνα τοῦ βίου οὐκ ἐᾷ τινὰ μεριμνᾶν περὶ τῆς ἰδίας ψυχῆς, καὶ γινώσκειν πῶς ἔχει, ὥσπερ ὁ σχολάζων, καὶ προσέχων ἑαυτῷ. ὥς φησιν ἐν τῷ νόμῳ, Πρόσεχε σεαυτῷ, καὶ τὰ ἑξῆς. καὶ περὶ μὲν τοῦ ῥητοῦ τούτου ἔγραψεν ὁ Μέγας Βασίλειος λόγον ἀξιάγαστον, καὶ πάσης σοφίας μεστόν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Ὅτι ἀδύνατον ἄλλως σωθῆναι, εἰμὴ διὰ προσοχῆς ἀκριβοῦς, καὶ τηρήσεως νοός.

Χωρὶς δὲ προσοχῆς, καὶ ἐγρηγόρσεως τοῦ νοὸς ἀδύνατον σωθῆναι ἡμᾶς, καὶ ῥυσθῆναι ἐκ τοῦ διαβόλου, ὡς λέοντος ὠρυομένου περιπατοῦντος, καὶ ζητοῦντος καταπιεῖν τινα, ὥς φησιν ὁ Δαμασκηνός. διὰ τοῦτο συχνοτέρως πρὸς τοὺς μαθητὰς αὐτοῦ ὁ Κύριος ἔλεγε· Γρηγορεῖτε, καὶ προσεύχεσθε, ὅτι οὐκ οἴδατε· καὶ τὰ ἑξῆς. περὶ τῆς μνήμης τοῦ θανάτου πᾶσι δι' ἐκείνων προκαταγγέλλων, ἵνα ἕτοιμοι ὦμεν πρὸς ἀπολογίαν δεκτήν, τὴν ἐξ ἔργων, καὶ προσοχῆς γινομένην. διότι οἱ μὲν δαίμονες, ὥς φησιν ὁ Ἅγιος Γλαζίων, Ἄϋλοι, Ἄϋπνοι, καὶ πᾶσαν τὴν μέριμναν ἔχοντες εἰς τὸ πολεμεῖν ἡμᾶς, καὶ ἀπολέσαι ἡμῶν τὰς ψυχὰς διὰ λόγου, ἔργου τε, καὶ λογισμοῦ. ἡμεῖς δὲ οὐχ οὕτως. Ἀλλὰ ποτὲ μὲν περὶ τρυφῆς μεριμνῶμεν, καὶ δόξης παρερχομένης. ποτὲ δὲ περὶ βιωτικῶν πραγμάτων, καὶ περὶ ἄλλων πολλῶν ἀείποτε. καὶ οὐδὲ κἂν μέρος τι θέλομεν ἔχειν, πρὸς τὸ ἐρευνᾷν ἡμῶν τὸν βίον, ἵνα ἐκ τούτου συνήθειαν λαβεῖν δυνηθῇ ὁ νοῦς, καὶ δίχα χολῆς πολλάκις προσέχειν ἑαυτῷ, φησιν ὁ Σολομών. ὅτι μέσον πολλῶν παγίδων διαβαίνεις· περὶ ὧν ὁ Χρυσόστομος ἔγραψε, σαφηνίζων τίνες εἰσὶν αὗται, μετὰ πολλῆς ἀκριβείας, καὶ σοφίας πληρεστάτης. Ὁ δὲ Κύριος πᾶσαν μέριμναν περικόψαι βουλόμενος, καὶ αὐτὴν τὴν τροφήν, καὶ τὴν ἐνδυμασίαν καταφρονεῖν ἡμᾶς ἐκέλευσεν, ἵνα μίαν μέριμναν ἔχωμεν, τὸ πῶς σωθῆναι ὡς δορκὰς ἐκ βρόχου, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. καὶ ἵνα φθάσωμεν εἰς τὴν τοῦ ζώου τούτου ὀξυδερκίαν, καὶ τὴν ὀρνέου ὑψιπέτειαν διὰ τῆς ἀμεριμνίας. καὶ τὸ δὴ θαυμαστόν, ὅτι βασιλεὺς πέλων ὁ Σολομὼν ταῦτα ἔλεγε· καὶ ὁ τούτου Πατὴρ ὡσαύτως λέγων, καὶ ποιῶν. καὶ μετὰ τοσαύτης προσοχῆς, καὶ ἀγώνων πολλῶν ἐν πάσῃ σοφίᾳ τε, καὶ ἀρετῇ ὄντες, μετὰ τοσαῦτα χαρίσματα, καὶ ἐμφάνειαν Θεοῦ. ὑπὸ τῆς ἁμαρτίας, φεῦ, ἐνικήθησαν. ὥστε ὁ μὲν ἐφάπαξ μοιχείαν, καὶ φόνον ἐθρήνησεν, ὁ δὲ ἐν τοσούτοις δεινοῖς περιέπεσεν. Ἆρα οὐκ ἔστι τοῦτο τρόμου γέμον, καὶ φρίκης τοῖς γε νοῦν ἔχουσι; ὥς φασιν ὅ, τε τῆς Κλίμακος, καὶ ὁ Ἀσκητὴς Φιλήμων. Πῶς ἄρα οὐ φρίσσομεν καὶ φεύγομεν τὸν περισπασμὸν τοῦ βίου διὰ τὴν ἀσθένειαν ἡμῶν, οἱ μηδὲν ὄντες, ἀλλ' ὡς ἄλογα ἀναισθητοῦμεν; καὶ εἴθε, ὡς τὰ ἄλογα, τὴν φύσιν ὁ ἄθλιος ἐφύλαξα, ὅτι ὁ Κύων κρείττων μου ἐστίν. καὶ τὰ ἑξῆς.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Ὅτι οἱ βουλόμενοι ἰδεῖν ἑαυτοὺς ἐν ποίῳ τρόπῳ εἰσίν, οὐκ ἄλλως, ἀλλ᾽ ἢ διὰ τῆς φυγῆς τῶν οἰκείων θελημάτων, καὶ δι᾽ ὑποταγῆς, καὶ ἡσυχίας. καὶ μάλιστα οἱ ἐμπαθεῖς.

ΕἸ οὖν βουλόμεθα ἰδεῖν ἑαυτούς, ἐν ποίῳ θανατηφόρῳ τρόπῳ ἐσμέν, φύγωμεν τὰ οἰκεῖα θελήματα, καὶ τὰ τοῦ βίου πράγματα. καὶ διὰ τῆς φυγῆς τῶν πάντων σχολάσωμεν ἐμπόνως εἰς τὴν μακαρίαν, καὶ κατὰ Θεὸν σχολήν, ζητοῦντες τὴν ἑαυτοῦ ψυχὴν ἕκαστος ἐν τῇ μελέτῃ τῶν θείων γραφῶν, εἴτε ἐν ὑποταγῇ τελείᾳ ψυχῆς τε, καὶ σώματος, εἴτε εἰς τὴν πανύμνητον διαγωγὴν τῶν Ἀγγέλων ἡσυχίαν. οἱ ἔτι ἐμπαθεῖς μάλιστα, καὶ οἱ ἀκρατεῖς ὄντες περὶ τὰς οἰκείας ὀρέξεις μικράς τε, καὶ μεγάλας.

Κάθου, φησίν, εἰς τὸ κελλίον σου, καὶ αὐτό σε πάντα διδάξει. καὶ πάλιν. ἡσυχία ἐστίν, ἀρχὴ καθάρσεως ψυχῆς, ὥς φησιν ὁ Μέγας Βασίλειος, καὶ ὁ Σολομών, περισπασμὸν πονηρὸν ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων, φησί, τὸ περισπᾶσθαι ἐν τοῖς ματαίοις, ἵνα μὴ ἐκ τῆς ἀλόγου, καὶ ἐμπαθοῦς ἀργίας ἐκκλίνωσιν εἰς τὰ χείρονα δηλαδή. ὁ δὲ τῶν ἀμφοτέρων κρημνῶν· Θεοῦ χάριτι· ῥυσθείς, καὶ Μοναχὸς γενέσθαι καταξιωθείς, φέρων τε τὸ ἀγγελοειδὲς σχῆμα, καὶ μοναδικόν, ὥστε ἐκ τούτου μίμημα Θεοῦ τοῦ μόνου, κατὰ τὸ δυνατόν, ἔργῳ, καὶ λόγῳ φανῆναι, ὥς φησιν ὁ Μέγας Διονύσιος, πῶς οὐκ ὀφείλει σχολάζειν ἀεί, καὶ τὸν νοῦν προσέχειν ἐν παντὶ ἐπιτηδεύματι, καὶ ἔχειν μελέτην τινὰ διηνεκῆ κατὰ Θεόν, πρὸς τὴν κατάστασιν ἣν ἔφθασεν; ὥς φασιν οἱ ἅγιοι Πατέρες ὅ, τε Ἐφραίμ καὶ οἱ λοιποί, πρὸς τοὺς ἀρχαρίους. ὁ μέν, τὸν ψαλμὸν ἔχειν ἐπὶ τὰ χείλη. ὁ δέ, τὸν στίχον. καὶ ἕτεροι, τὸν νοῦν ἐν τοῖς ψαλμοῖς, καὶ τροπαρίοις προσέχειν, φάσκοντες, τοὺς μήπω καταξιωθέντας ἔτι ἐλθεῖν εἰς θεωρίαν τινά, ἤγουν γνῶσιν. ἵνα μηδόλως ἐκτὸς μελέτης τινὸς εὑρίσκηταί τις, εἴτε ἐργαζόμενος, εἴτε ὁδεύων, εἴτε ἀνακλινόμενος, πρὸ τοῦ ὑπνῶσαι. ἀλλ᾽ ἅμα τὸν πληρῶσαι τὸν ὡρισμένον αὐτῷ κανόνα, εὐθὺς τὸν νοῦν εἴς τινα μελέτην κλεῖσαι δεῖ· ἵνα μὴ ἀργὸν ἐκ θείας μνήμης εὑρὼν ὁ ἐχθρός, προσβάλῃ τὰ αὐτοῦ δεινά. καὶ ταῦτα μὲν πρὸς πάντας εἴρηται. ὅταν δέ τις διὰ πολλῶν ἀγώνων, σωματικῶν τε ἀρετῶν φημι, καὶ ψυχικῶν, εἰς ἐργασίαν πνευματικήν, ἤγουν νοητήν, χάριτι Χριστοῦ, ἀνελθεῖν δυνηθῇ νοερῶς, πρὸς τὸ πενθῆσαι τὴν ἑαυτοῦ ψυχήν, ὀφείλει τὴν φέρουσαν τὰ ἐπίπονα δάκρυα ἔννοιαν, ὡς κόρην ὀφθαλμοῦ φυλάττειν, ὥς φησιν ὁ τῆς Κλίμακος, ἄχρις ἂν τὸ πῦρ, καὶ τὸ ὕδωρ ἀναχωρῇ οἰκονομικῶς, διὰ τὴν ἔπαρσιν δηλαδή. τὸ μὲν πῦρ ἐστιν, ὁ καρδιακὸς πόνος, καὶ ἡ θερμὴ πίστις· τὸ δὲ ὕδωρ, τὰ δάκρυα. οὐ πᾶσι δὲ ταῦτα δέδοται, φησὶν ὁ Μέγας Ἀθανάσιος, ἀλλὰ τοῖς ὁρᾶν καταξιωθεῖσι· τὰ πρὸ θανάτου, καὶ μετὰ θάνατον δεινά, διὰ τῆς περὶ τούτων διηνεκοῦς μνήμης ἐν ἡσυχίᾳ, ὥς φησιν Ἡσαΐας, τὸ οὖς ἡσυχάζοντος ἀκούει ἐξαίσια. καὶ πάλιν, σχολάσατε, καὶ γνῶτε.

Αὕτη γὰρ μόνη τὴν γνῶσιν τοῦ Θεοῦ γεννᾶν πέφυκεν, ἣ μάλιστα βοηθῆσαι δυναμένη καὶ τοῖς λίαν ἐμπαθέσι, καὶ ἀσθενεστέροις, διὰ τῆς ἀπερισπάστου διαγωγῆς, καὶ φυγῆς τῶν ἀνθρώπων, καὶ τῶν σκοτιζουσῶν τὸν νοῦν συντυχιῶν, καὶ μεριμνῶν, οὐ μόνον τῶν βιωτικῶν, ἀλλὰ καὶ τῶν

μηδαμινῶν, καὶ τῶν δοκουμένων ἀναμαρτήτων· ὥς φησιν ὁ τῆς Κλίμακος, μικρὰ θρὶξ ἐνοχλεῖ ὀφθαλμὸν καὶ τὰ ἑξῆς. Καὶ ὁ Ἅγιος Ἰσαάκ· μὴ νομίζῃς ὅτι τὸ ἔχειν χρυσίον, ἢ ἀργύριον μόνον ἐστὶ φιλαργυρία, * ἀλλ' εἴτινα δ' αὖ ὁ λογισμὸς πρόσκειται. Καὶ ὁ Κύριος φησὶν, Ὅπου ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν, εἴτε ἐν τοῖς θείοις, εἴτε ἐν τοῖς γηΐνοις πράγμασι, καὶ νοήμασι. Διότι τοῦτο πᾶσι μὲν προσήκει ἡ ἀμεριμνία, καὶ τὸ κατὰ Θεὸν σχολάζειν. εἴτε ἐκ μέρους οἱ βιωτικοὶ, ὡς εἴρηται, ἵνα κατὰ μικρὸν ἔλθωσιν εἰς φρόνησιν, καὶ γνῶσιν πνευματικήν. εἴτε οἱ δυνάμενοι ὁλοκλήρως σχολάζειν, καὶ πᾶσαν μέριμναν ἔχειν, διαρεστῆσαι Θεῷ. ἵνα ἴδῃ ὁ Θεὸς τὴν προαίρεσιν αὐτῶν, καὶ χαρίσηται αὐτοῖς τὴν ἀνάπαυσιν διὰ τῆς πνευματικῆς γνώσεως, καὶ φθάσαι αὐτοὺς ποιήσῃ εἰς τὸ μελετᾷν τὴν πρώτην θεωρίαν, πρὸς τὸ κτήσασθαι συντετριμμένον ψυχῆς ἀμύθητον, καὶ γενέσθαι τῷ πνεύματι πτωχοί· καὶ οὕτω κατὰ μικρὸν εἰς τὰς λοιπὰς θεωρίας ἀνάγων αὐτοὺς, τῆς τῶν μακαρισμῶν φυλακῆς καταξιώσει αὐτοὺς, ἄχρις ἂν εἰς τὴν εἰρήνην τῶν λογισμῶν φθάσωσιν, ἥτις ἐστὶ τόπος Θεοῦ, φησὶν ὁ Ἅγιος Νεῖλος, λαβὼν τὴν χρῆσιν ἐκ τοῦ ψαλτηρίου. Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ.

* ἴσ. ἀλλ' ὁ εἴτινα

## Περὶ τῶν ὀκτὼ νοητῶν θεωριῶν.

ΑΙ δὲ πνευματικαὶ θεωρίαι, ὡς οἶμαι, ὀκτώ εἰσι. καὶ αἱ μὲν ἑπτὰ, τοῦ αἰῶνος τούτου εἰσὶν, ἡ δὲ ὀγδόη, τοῦ μέλλοντος αἰῶνος ἐστὶν ἐργασία, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ. πρώτη οὖν ἐστὶν, ἡ γνῶσις τῶν τοῦ βίου τούτου θλίψεων, καὶ πειρασμῶν, ὥς φησιν ὁ Ἅγιος Δωρόθεος, καὶ πᾶσαν λυπεῖται ζημίαν, ἣν ἔπαθεν ἡ ἀνθρώπινος φύσις ἀπὸ τῆς ἁμαρτίας.

Δευτέρα, ἡ γνῶσις τῶν ἡμετέρων πταισμάτων, καὶ τῶν τοῦ Θεοῦ εὐεργεσιῶν, ὥς φησιν ὁ τῆς Κλίμακος, ὁ Ἅγιος Ἰσαάκ· καὶ ἄλλοι πολλοὶ τῶν πατέρων.

Τρίτη, ἡ γνῶσις τῶν πρὸ τοῦ θανάτου, καὶ μετὰ θάνατον δεινῶν, ὡς ἐν ταῖς θείαις γραφαῖς.

Τετάρτη, ἡ κατανόησις τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διαγωγῆς ἐν τῷ κόσμῳ τούτῳ, καὶ τῶν μαθητῶν αὐτοῦ, καὶ τῶν λοιπῶν ἁγίων μαρτύρων τε, καὶ ὁσίων πατέρων τὰ ἔργα, καὶ λόγια.

Πέμπτη, ἡ γνῶσις τῶν πραγμάτων φύσεώς τε, καὶ ἀλλοιώσεως, ὥς φασιν οἱ ἅγιοι πατέρες, ὅ, τε Γρηγόριος, καὶ ὁ Δαμασκηνός.

Ἕκτη, ἡ θεωρία τῶν ὄντων, δηλαδὴ ἡ γνῶσις, καὶ κατανόησις τῶν αἰσθητῶν κτισμάτων τοῦ Θεοῦ.

Ἑβδόμη, ἡ κατανόησις τῶν νοητῶν κτισμάτων τοῦ Θεοῦ.

Ὀγδόη, ἡ περὶ Θεοῦ γνῶσις, ἡ λεγομένη Θεολογία.

Αὗται οὖν αἱ ὀκτὼ θεωρίαι. αἱ μὲν τρεῖς πρέπουσι τῷ ἔτι πρακτικῷ, ἵνα διὰ πολλῶν δακρύων, καὶ πικρῶν καθάραι τὴν ἑαυτοῦ ψυχὴν ἐκ πάντων τῶν παθῶν δυνηθῇ. καὶ κατὰ χάριν δέχεται παρὰ Θεοῦ τὰς λοιπάς.

Αἱ δὲ πέντε τῷ θεωρητικῷ, ἤτοι γνωστικῷ, διὰ τὸ καλῶς τάς τε σωματικὰς πράξεις καὶ ἠθικὰς δηλαδὴ ψυχικὰς φυλάττειν, καὶ ποιεῖν ἀεί. Ἐξ ὧν τῆς τῶν τοιούτων αἰσθήσεως ἐναργῶς καταξιοῦται, καὶ νοερῶς. ἀπὸ γὰρ τῆς πρώτης λαμβάνει τὴν ἀρχὴν τῆς γνώσεως· ὁ πρακτικὸς, καὶ ὅσον ἔκτοτε ἐπιμελεῖται τὴν ἐργασίαν, καὶ ἐν τοῖς δυναμένοις αὐ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῷ νοήματι μελετᾷ, καὶ προκόπτει ἐν αὐτοῖς· ἄχρις ἂν εἰς ἕξιν τῶν τοιούτων ἔλθοι. καὶ οὕτως αὐτομάτως ἡ ἄλλη γνῶσις ἔρχεται ἐν τῷ νοΐ, ὡσαύτως καὶ αἱ λοιπαί.

Ἀλλ᾽ ἵνα εὔδηλον γένηται τὸ λεγόμενον, ἐκ μέρους ἐρῶ, εἰ καὶ οὐ δύναμαι λέγειν, περὶ ἑκάστης θεωρίας· καὶ τίνα εἰσὶ τὰ κατανοούμενα καὶ λεγόμενα. ἵνα ἀφορμὴν εὕρωμεν πρὸς τὸ γνῶναι ἡμᾶς, τὸ πῶς ὀφείλομεν ποιεῖν, ὅταν ἡ χάρις ἄρχηται ἀνοίγειν τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς εἰς τὸ κατανοεῖν, καὶ ἐκπλήττεσθαι ἐκ τῶν νοημάτων, καὶ ῥημάτων τῶν δυναμένων * οἰκῆσαι ἐν ἡμῖν τὸν φόβον, ὡς προείρηται, ἤτοι τὸν συντριμμὸν τῆς ψυχῆς.

* ἴσ. οἰκίσαι

## Περὶ τῆς πρώτης γνώσεως ἀναγκαία δήλωσις, καὶ οὕτως δεῖ ἄρξασθαι ταύτης.

ΠΡώτη γνῶσις, δι᾽ ἧς δίδονται αἱ λοιπαὶ τῷ προαιρουμένῳ. ὁ οὖν καταξιωθεὶς εἰς ταύτην ἐλθεῖν, οὕτω ποιεῖν ὀφείλει. καθίσαι κατὰ ἀνατολάς, ὥσπερ ποτὲ ὁ Ἀδάμ, καὶ μελετᾶν οὕτως· Ἐκάθισεν Ἀδὰμ τότε, καὶ ἔκλαυσεν ἀπέναντι τῆς τρυφῆς τοῦ Παραδείσου, χερσὶ τύπτων τὰς ὄψεις, καὶ ἔλεγεν· ἐλεῆμον ἐλέησόν με τὸν παραπεσόντα. ὡσαύτως καὶ τὸν ἄλλον οἶκον. Ἰδὼν Ἀδὰμ τὸν Ἄγγελον ὠθήσαντα, καὶ κλείσαντα τὴν τοῦ θείου κήπου θύραν, ἀνεστέναξε μέγα, καὶ ἔλεγεν. Ἐλεῆμον ἐλέησόν με τὸν παραπεσόντα. ἔπειτα κατανοῶν τὰ γινόμενα, τότε ἄρχεται τὸν θρῆνον οὕτω, στενάζων ἐξ ὅλης ψυχῆς, καὶ σείων τὴν κεφαλὴν αὐτοῦ, λέγει μετὰ πόνου καρδίας.

Οἴμοι τῷ ἁμαρτωλῷ τί ἔπαθον; οἴμοι τί ἤμην, καὶ τί γέγονα; οἴμοι τί ἀπώλεσα, καὶ τί εὗρον; ἀντὶ τοῦ Παραδείσου τὸν φθαρτὸν τοῦτον κόσμον. ἀντὶ τοῦ Θεοῦ, καὶ τῆς μετὰ Ἀγγέλων διαγωγῆς, τὸν διάβολον, καὶ τοὺς ἀκαθάρτους δαίμονας. ἀντὶ τῆς ἀναπαύσεως, τὸν κόπον. ἀντὶ τῆς ἀπολαύσεως, καὶ τῆς χαρᾶς, τὴν τοῦ κόσμου θλίψιν, καὶ λύπην. ἀντὶ τῆς εἰρήνης καὶ ἀλήκτου εὐφροσύνης, τὸν φόβον, καὶ τὰ ἐπίπονα δάκρυα. ἀντὶ τῶν ἀρετῶν καὶ τῆς δικαιοσύνης, τὰς ἀδικίας, καὶ τὰς ἁμαρτίας. ἀντὶ τῆς ἀγαθότητος καὶ τῆς ἀπαθείας, τὴν πονηρίαν καὶ τὰ πάθη. ἀντὶ τῆς σοφίας, καὶ τῆς εἰς Θεὸν οἰκειώσεως, τὴν ἀγνωσίαν καὶ τὴν διαφορίαν. ἀντὶ τῆς ἀμεριμνίας καὶ ἐλευθερίας, τὴν πολυμέριμνον ζωήν, καὶ κακίστην δουλείαν. οἴμοι, οἴμοι. πῶς βασιλεὺς ἐκτίσθην, καὶ δοῦλος τοῖς πάθεσιν ἐν τῇ ἀφροσύνῃ μου γέγονα· οὐαί μοι τῷ ἀθλίῳ, πῶς ἀντὶ ζωῆς τὸν θάνατον ἐπεσπασάμην διὰ τῆς παρακοῆς. αἲ, αἲ· οἴμοι, οἴμοι· τί ἔπαθον ὁ ταλαίπωρος τῇ ἀβουλίᾳ· τί ποιήσω; ἔνθεν μάχαι, καὶ ἔνθεν ταραχαί. ἔνθεν νοσήματα, καὶ ἔνθεν πειρασμοί. ἔνθεν κίνδυνοι, καὶ ἔνθεν ναυάγια· ἔνθεν φόβοι, καὶ ἔνθεν λῦπαι. ἔνθεν πάθη, καὶ ἔνθεν ἁμαρτίαι· ἔνθεν πικρίαι, καὶ ἔνθεν στενοχωρίαι. οὐαί μοι τῷ ἀθλίῳ τί ποιήσω; ποῦ φύγω; στενά μοι πάντα, ὥς φησιν ἡ Σωσάννα. τί αἰτήσασθαι οὐκ ἐπίσταμαι. ἂν γὰρ ζωὴν αἰτήσωμαι, φοβοῦμαι τοὺς πειρασμοὺς τοῦ βίου, καὶ τὰς αὐτοῦ μεταβολάς, καὶ τὰ συναντήματα. ὁρῶ τὸν Ἄγγελον, σατᾶν. τὸν ὡς πρωῒ ἑωσφόρον ἀνατέλλοντα, διάβολον γενόμενον, καὶ λεγόμενον. τὸν πρωτόπλαστον, ἐξόριστον. τὸν Κάϊν, ἀδελφοκτόνον. τὸν Χαναάν, κεκατηραμένον, τοὺς Σοδομίτας, πυρικαύστους. τὸν Ἡσαῦ, ἔκπτωτον. τοὺς Ἰσραηλίτας, ὀργιζομένους. τὸν Γιεζῆ, καὶ

Ἰούδαν τὸν Ἀπόστολον, ἐκπτώτους φιλαργυρίαν νοσήσαντας. τὸν μέγαν Προφήτην καὶ βασιλέα, ἐπὶ δυσὶν ἁμαρτήμασι πενθοῦντα· τὸν Σολομῶντα μετὰ τῆς τοσαύτης σοφίας, ἔκπτωτον. τοὺς ἐκ τῶν ἑπτὰ Διακόνων, καὶ τεσσαράκοντα Μαρτύρων ἐκπτώτους ὥς φησιν ὁ Μέγας Βασίλειος. Γεγηθὼς ὁ ἀρχέκακος ἥρπασεν ἐκ τῆς δωδεκάδος Ἰούδαν τὸν δείλαιον, ἐκ τῆς Ἐδὲμ, τὸν ἄνθρωπον, καὶ τῆς τεσσαρακοντάδος, τὸν ἔκπτωτον. ὃν θρηνῶν ὁ αὐτὸς πάλιν φησί. ματαιόφρων καὶ θρήνων ἐπάξιος, ὅς τις τῶν ζωῶν ἀμφοτέροιν διήμαρτε, ἀλλὰ πυρὸς γὰρ λέλυται, καὶ πρὸς πῦρ ἐξεδήμησεν ἄσβεστον. καὶ πολλοὺς ἄλλους, ὧν οὐκ ἔστιν ἀριθμὸς, ἐκπτώτους. οὐ μόνον ἀπίστους, ἀλλὰ καὶ ἀπὸ τῶν Πατέρων πλείονας μετὰ πολλῶν ἱδρώτων. Τίς γάρ εἰμι ἐγὼ, ὁ καὶ πάντων χείρων, καὶ ἀναισθητότερος, καὶ ἀσθενέστερος; τί εἴπω ἐμαυτὸν ἄρα; Ἐπειδὴ Ἀβραὰμ γῆν εἶναι λέγει ἑαυτὸν, καὶ σποδόν. Δαβὶδ, Κύνα τεθνεῶτα, καὶ ψύλλον ἐν τῷ Ἰσραὴλ, Σολομῶν, παιδάριον μικρὸν, μὴ γινῶσκον δεξιὰ, ἢ ἀριστερά. οἱ τρεῖς Παῖδες, αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν. φασίν. Ἠσαΐας ὁ Προφήτης, ὢ Τάλας εἰμὶ ἐγώ· φησιν. Ἀββακοὺμ ὁ Προφήτης, καὶ ἐγώ εἰμι πώτερος· φησιν. Ὁ Ἀπόστολος, πρῶτον, εἶναι λέγει ἁμαρτωλῶν, ἑαυτόν. οἱ δὲ λοιποὶ πάντες, μηδὲν εἶναι· φασι. Τί οὖν ἐγὼ ποιήσω; ποῦ κρυβήσωμαι ἀπὸ τῶν πολλῶν μου κακῶν; τί γένωμαι ὁ μηδὲν ὤν; καὶ τοῦ μηδαμοῦ μηδὲν ὄντος χείρων; τὸ γὰρ μηδὲν ὂν οὐχ ἥμαρτεν, ἀλλ' οὐδὲ εὐηργετήθη, ὥσπερ ἐγώ. οἴμοι· πῶς ἔχω λύσαι τὸν ὑπόλοιπον τῆς ζωῆς μου χρόνον; ἢ πῶς ἄρα ἔχω φυγεῖν τὰς τοῦ διαβόλου παγίδας; οἱ γὰρ δαίμονες ἄϋπνοι, καὶ ἄϋλοι, ὁ δὲ θάνατος ἐγγὺς, κἀγὼ ἀσθενής. Κύριε βοήθει μοι. μὴ ἐάσῃς τὸ πλάσμα σου ἀπολεσθῆναι, ὅτι σοὶ μέλει περὶ ἐμοῦ τοῦ ἀθλίου· Γνώρισόν μοι Κύριε ὁδὸν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. μὴ ἐγκαταλίπῃς με Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. πρόσχες εἰς τὴν βοήθειάν μου Κύριε τῆς σωτηρίας μου. Καὶ οὕτω συντρίβεται ἡ ψυχὴ ἐν τῶν τοιούτων ῥημάτων, εἴπερ αἴσθησιν ἔχῃ ποσῶς. Ἐγχρονίζοντος δὲ αὐτοῦ ἐν τούτοις, καὶ ἐν ἕξει γινομένου τοῦ θείου φόβου, ἄρχεται ὁ νοῦς τὰ τῆς δευτέρας θεωρίας κατανοεῖν καὶ μελετᾶν ῥήματα. ἅτινά εἰσι ταῦτα.

## Περὶ τῆς δευτέρας Θεωρίας.

Οἴμοι τῷ ἀθλίῳ τί ποιήσω; τί γένωμαι; πολλὰ ἥμαρτον. πολλὰ εὐεργετοῦμαι. πολλὰ ἀσθενῶ. οἱ πειρασμοὶ πολλοί. ἡ ῥαθυμία συνέχει με. ἡ λήθη σκοτίζει με, καὶ οὐκ ἐᾷ με ἰδεῖν ἐμαυτὸν, καὶ τὸ πλῆθος τῶν κακῶν μου. ἡ ἄγνοια κακή. ἡ ἐν γνώσει παράβασις χείρων. ἡ ἀρετὴ δυσκατόρθωτος. τὰ πάθη πολλά. οἱ δαίμονες πανοῦργοι. ἡ ἁμαρτία πρόχειρος. ὁ θάνατος ἐγγύς. τὸ λογοθέσιον πικρόν. οὐαί μοι τί ποιήσω; ποῦ φύγω ἀπ' ἐμαυτοῦ; ἐπειδὴ ἐγώ εἰμι ἡ αἰτία τῆς ἐμῆς ἀπωλείας. αὐτεξουσιότητι γὰρ τετίμημαι, καὶ οὐδεὶς βιάσαι με δύναται. ἐγὼ ἥμαρτον, καὶ ἁμαρτάνω ἀεὶ, καὶ ἀμελῶς ὀλίγω εἰς πᾶν ἔργον ἀγαθόν, ὁ δὲ βιάζων οὐχ εὑρίσκεται, τίνα ἔχω αἰτιάσασθαι; ὁ Θεὸς, ἀγαθὸς καὶ φιλάνθρωπος, ἀεὶ ποθῶν τὴν πρὸς αὐτὸν ἐπιστροφὴν, καὶ μετάνοιαν. οἱ Ἄγγελοι, ἀγαπῶσί με, καὶ φυλάττουσιν. οἱ ἄνθρωποι, ὡσαύτως τὴν προκοπήν μου θέλουσιν. οἱ δαίμονες, οὐ δύνανται βιάσαι τινὰ μὴ θέλοντα ἀπολέσθαι,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἴτε ἐξ ἀμελείας, εἴτε ἐξ ἀπογνώσεως. τίς ἐστὶν λοιπὸν ὁ αἴτιος; εἰμὴ αὐτὸς ἐγὼ ὁ ταλαίπωρος. ἰδοὺ μικρὸν ἔγνων, ὅτι ἀπόλλυταί μου ἡ ψυχή, καὶ οὐ θέλω ἀρχὴν εὐσεβείας βαλεῖν. Διατί ψυχή μου ἀμελεῖς σεαυτήν; διατί οὐκ αἰσχύνῃ ἐνώπιον τοῦ Θεοῦ, καὶ τῶν Ἀγγέλων αὐτοῦ ἁμαρτάνουσα, ὥσπερ αἰσχύνῃ τοὺς ἀνθρώπους; οἴμοι τῷ ἀθλίῳ, οἴμοι, οἴμοι, ὅτι οὐδὲ ὡς ἄνθρωπον αἰσχύνομαι τὸν ποιητήν μου καὶ δεσπότην. ἐνώπιον γὰρ ἑνὸς ἀνθρώπου, οὐ δύναμαι ἁμαρτάνειν, ἀλλὰ πᾶσαν μηχανὴν ποιῶ, ἵνα ἐπιδεικνύω ἐμαυτὸν δικαιοπραγοῦντα. καὶ ἐνώπιον Θεοῦ ἱστάμενος, τὰ πονηρὰ λογίζομαι, καὶ λέγειν πολλάκις οὐκ αἰσχύνομαι, ὢ τῆς ἀφροσύνης μου, τὸ κακὸν πράττων, τὸν Θεὸν ὁρῶντα οὐ φοβοῦμαι. καὶ ἀνθρώπῳ ἑνὶ λέγειν τὰ κατ' ἐμὲ πρὸς διόρθωσιν, οὐ δύναμαι. οὐαί μοι, οὐαί μοι. ὅτι τὴν κόλασιν γινώσκω, καὶ μετανοεῖν οὐ βούλομαι. τὴν οὐράνιον Βασιλείαν ἀγαπῶ, καὶ ἀρετὴν οὐκ ἔκτημαι. τὸν Θεὸν πιστεύω, καὶ τὰς ἐντολὰς αὐτοῦ παρακούω ἀεί. τὸν διάβολον μισῶ, καὶ τὰ ἀρέσκοντα αὐτῷ, ποιεῖν οὐ παύομαι. ἂν εὔχωμαι, ἀμελῶ, καὶ ὡς ἀναίσθητος διάκειμαι. ἂν νηστεύω, ἐπαίρομαι, καὶ μειζόνως κατακέκριμαι. ἂν ἀγρυπνήσω, δοκῶ ποιεῖν τι, ἵνα μηδὲ τοῦτο χρήσιμον γένηται. ἂν ἀναγινώσκω. ἓν ἐκ τῶν ἀμφοτέρων κακῶν ποιῶ ὁ ἀναίσθητος. εἴτε χάριν πολυμαθείας, καὶ κενοδοξίας τοῦτο ποιῶ, καὶ ἐπὶ πλεῖον σκοτίζομαι. εἴτε γινώσκων, καὶ μὴ ποιῶν, μειζόνως κατακέκριμαι. ἂν τὸ κατ' ἐνέργειαν ἁμαρτάνειν ἴσως. κατὰ χάριν Θεοῦ παύωμαι, ἀλλὰ διὰ λόγου ἁμαρτάνειν ἀεὶ οὐ παύομαι. ἂν καὶ ἐκ τούτου ἡ χάρις σκεπάζῃ με, διὰ λογισμῶν τὸν Θεὸν παροργίζω ἀεί ποτε ὁ τάλας. αἴ, αἴ. τί ἔχω ποιῆσαι; ὅπου δ' ἂν οὐ πορεύωμαι, ἁμαρτίας εὑρίσκω. πανταχοῦ οἱ δαίμονες. ἡ ἀπόγνωσις χείρων πάντων. τὸν Θεὸν παρώργισα. τοὺς Ἀγγέλους ὡσαύτως ἐλύπησα. τοὺς ἀνθρώπους ἔβλαψα πολλάκις, καὶ ἐσκανδάλισα.

Ἤθελον δάκρυσιν ἐξαλεῖψαι, τῶν ἐμῶν πταισμάτων Κύριε τὸ χειρόγραφον, καὶ τὸ ὑπόλοιπον τῆς ζωῆς μου διὰ μετανοίας εὐαρεστῆσαί σοι. ἀλλ' ὁ ἐχθρὸς ἀπατᾷ με, καὶ πολεμεῖ τὴν ψυχήν μου, Κύριε, πρὶν εἰς τέλος ἀπόλλωμαι, σῶσόν με.

Ἥμαρτον εἰς σὲ Σωτὴρ, ὡς ὁ Ἄσωτος υἱός. δέξαι με Πάτερ μετανοοῦντα, καὶ ἐλέησόν με ὁ Θεός.

Κράζω σοι· Χριστὲ Σωτήρ· τοῦ Τελώνου τὴν φωνήν, Ἱλάσθητί μοι ὥσπερ ἐκείνῳ, καὶ ἐλέησόν με ὁ Θεός.

Ἄρα τί ἔσται ἐπ' ἐσχάτων. ἢ τί τὸ ἐσόμενον; οἴμοι τῷ ἀθλίῳ, οἴμοι. τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ; καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων; τίς με θρηνῆσαι δυνηθῇ ἐπάξιον; ἐπειδὴ ἐγὼ τοῦτο ποιῆσαι οὐ δύναμαι. Δεῦτε ὄρη καλύψατέ με τὸν ἄθλιον. αἴ, αἴ. τί ἔχω εἰπεῖν; ὢ πόσα καλά μοι ὁ Θεὸς ἐποίησεν, ἅπερ αὐτὸς μόνος ἐπίσταται, καὶ πόσα δεινὰ ἡ ἀγνωμοσύνη μου ἐνεδείξατο. ἔργῳ, λόγῳ τε, καὶ διανοίᾳ ἀεὶ παροργίζων τὸν εὐεργέτην. καὶ ὅσον ἐκεῖνος μακροθυμεῖ, τοσοῦτον καταφρονῶ ὁ ταλαίπωρος, καὶ ἀναισθητότερος τῶν ἀψύχων λίθων γενόμενος. πλὴν οὐκ ἀπογινώσκω, ἀλλ' ἐπιγινώσκω τὴν σὴν φιλανθρωπίαν.

Μετάνοιαν οὐ κέκτημαι, ἀλλ' οὐδὲ πάλιν δάκρυα, διὰ τοῦτο ἱκετεύω σε Σωτὴρ, πρὸ τέλους ἐπιστρέψαι, καὶ δοῦναί μοι μετάνοιαν, ὅπως ῥυσθήσωμαι τῆς κολάσεως.

Κύριε ὁ Θεός μου, μὴ ἐγκαταλίπῃς με, οὐδὲν γάρ εἰμι ἐνώπιόν σου, ἀλλὰ ἁμαρτωλὸς ὅλος, καὶ ποῦ ἄρα εὕρω αἴσθησιν τῶν πολλῶν μου κακῶν; αὐτὸ γὰρ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦτο τὸ μὴ ποιεῖν με, μεγάλης ἐστὶ κατακρίσεως. δι᾽ ἐμὲ, οὐρανὸς καὶ γῆ. δι᾽ ἐμὲ, τὰ τέσσαρα στοιχεῖα καὶ τὰ ἐξ αὐτῶν γινόμενα, ὥς φησιν ὁ Θεολόγος. τὰ δὲ λοιπὰ σιωπήσομαι, ὅτι οὐκ εἰμὶ ἄξιος τοῦ λέγειν τι, ἀπὸ τοῦ πλήθους τῶν κακῶν μου. Τὰς γὰρ εἰς ἐμὲ γινομένας ἀμετρήτους εὐεργεσίας, τίς δυνήσεται κατανοῆσαι, κἂν ἀγγελικὸν νοῦν ἔχειν καταξιωθῇ; ἀλλ᾽ ἰδοὺ διὰ τὸν ἀμετανόητόν μου τρόπον, ἐκ παντὸς μέλλω πίπτειν ὁ ἄθλιος. Καὶ οὕτω τὰ τοιαῦτα μελετῶν ἔρχεται μετὰ κατανύξεως εἰς τὴν τρίτην γνῶσιν, καὶ θρηνῶν ἀεὶ λέγει.

## Περὶ τῆς τρίτης θεωρίας.

Οἴμοι, οἷον ἀγῶνα ἔχει ἡ ψυχὴ, χωριζομένη ἐκ τοῦ σώματος. οἴμοι πόσα δακρύει τότε, καὶ οὐδεὶς ὁ ἐλεῶν αὐτήν. πρὸς τοὺς ἀγγέλους τὰ ὄμματα ῥέπουσα, ἄπρακτα καθικετεύει, πρὸς τοὺς ἀνθρώπους τὰς χεῖρας ἐκτείνουσα, οὐκ ἔχει τὸν βοηθοῦντα αὐτῇ.

Θρηνῶ καὶ ὀδύρομαι· ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ᾽ εἰκόνα Θεοῦ πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος. ὢ τοῦ θαύματος, τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε μυστήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ; πῶς συνεζεύχθημεν τῷ θανάτῳ; ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται. αἲ, αἲ, τί ἄρα μέλλω ποιῆσαι ὁ πανάθλιος ἐν τῷ καιρῷ τοῦ θανάτου, ὅταν οἱ δαίμονες περικυκλώσουσί μου τὴν ἀθλίαν ψυχὴν, τὰ πεπραγμένα μοι δεινὰ ἐγγράφως κατέχοντες, τὰ ἐν γνώσει, καὶ ἀγνοίᾳ, τὰ ἐν λόγῳ, ἔργῳ τε, καὶ διανοίᾳ· καὶ ἀπαιτοῦντές με λόγον ὑπὲρ πάντων τούτων, Ἀλλ᾽ οἴμοι, ὅτι καὶ χωρὶς ἄλλης ἁμαρτίας, μεγάλως κατακέκριμαι ὑπὲρ τῶν ἐντολῶν, ὧν οὐκ ἐφύλαξα· καὶ εἰκότως.

Ὦ ταλαίπωρε ψυχή μου, εἰπέ μοι ἄρτι, ποῦ αἱ συνθῆκαι τοῦ Βαπτίσματος; ποῦ ἡ συνταγὴ τοῦ Χριστοῦ; καὶ ἡ ἀποταγὴ τοῦ Σατανᾶ; ποῦ ἡ φυλακὴ τῶν ἐντολῶν τοῦ Θεοῦ, ποῦ ἡ μίμησις τοῦ Χριστοῦ διὰ τῶν σωματικῶν τε, καὶ ψυχικῶν ἀρετῶν; δι᾽ ἧς Χριστιανὸς ἐκλήθης; καὶ τὸ ἐπάγγελμα τοῦ μοναχικοῦ σχήματος; εἰ δ᾽ ἴσως ἀσθένειαν σωματικὴν προφασίζῃ, ποῦ ἡ πίστις, ἡ πᾶσαν μέριμναν πρὸς τὸν Θεὸν ἀπορρίπτουσα, δι᾽ ἧς καὶ τὰ ὄρη μεταστῆσαι ἐδυνήθης ἄν, εἴπερ ὡς κόκκον σινάπεως ἐκτήσω ταύτην; ποῦ ἡ ὁλόκληρος μετάνοια, ἡ ἀπέχουσα ἀπὸ παντὸς ἔργου, καὶ λόγου πονηροῦ; ποῦ ὁ συντετριμμὸς τῆς ψυχῆς, καὶ τὸ ἀκρόατον πένθος; ἡ πρᾳότης, ἡ ἐλεημοσύνη, ἡ καθαρότης τῆς καρδίας ἀπὸ τῶν πονηρῶν ἐννοιῶν; ἡ περιεκτικὴ ἐγκράτεια, ἡ κατέχουσα πᾶν μέλος τοῦ σώματος, καὶ πᾶν νόημα, καὶ θέλημα, μὴ παρὰ τὴν ἀναγκαίαν χρῆσιν κινούμενον πρὸς σωτηρίαν ψυχῆς, ἢ σωματικὴν ζωήν; ποῦ ἡ ὑπομονὴ, ἡ ὑποφέρουσα τὰς πολυτρόπους θλίψεις, διὰ τὴν βασιλείαν τῶν οὐρανῶν; ἡ ἐν παντὶ εὐχαριστία; ἡ ἀδιάλειπτος προσευχή; ἡ μνήμη τοῦ θανάτου, τὰ τῆς λύπης δάκρυα, εἴπερ εἰς τὰ τῆς ἀγάπης οὐκ ἔφθασα; ἡ κατὰ Θεὸν φρόνησις, ἡ φυλάττουσα τὴν ψυχὴν ἐκ τῶν παγίδων τῶν ἐχθρῶν, καὶ πολεμίων; ἡ σωφροσύνη, ἡ ἀπέχουσα παντὸς ὅ,τι ἐστὶ μὴ κατὰ Θεὸν γινόμενον, ἢ ἑκουσίως λογιζόμενον; ἡ ἀνδρεία, ἡ ὑπομένουσα τὰ δεινὰ; καὶ καταπολμῶσα τῶν ἐχθρῶν διὰ τῆς ἐλπίδος; ἡ δικαιοσύνη ἡ ἀπονέμουσα ἑκάστῳ τὸ ἴσον; ἡ ταπεινοφροσύνη, ἡ γινώσκουσα τὴν ἰδίαν ἀσθένειαν, καὶ ἀγνωσίαν, καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, δι᾽ ἧς ῥυσθῆναι ἔμελλες ἐκ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πάντων τῶν τοῦ ἐχθροῦ μηχανημάτων; ποῦ ἡ ἀπάθεια, καὶ ἡ τελεία ἀγάπη, ἡ ὑπερέχουσα πάντα νοῦν εἰρήνη, δι᾽ ἧς υἱὸς Θεοῦ ἔμελλον κληθῆναι; ταῦτα γὰρ πάντα καὶ δίχα σωματικῆς ἰσχύος, ὁ βουλόμενος ἔχειν δύναται, ἐκ μόνης προαιρέσεως. Ἆρα τί ἔχω εἰπεῖν πρὸς ταῦτα; τί ἔχω ποιῆσαι ὁ ταλαίπωρος; ἐπεὶ αὖ πρὸς βραχὺ δειλιῶ ἐκ τῆς ἀπληροφορίας· ὅτι ὅλως ἠμέλησα τί τῶν ὀφειλομένων κατὰ τὸ δυνατόν μου ποιῆσαι, ὑπὸ τὸν ᾅδην ἔσεσθαι μέλλω, ὥς φησιν ὁ Μέγας Ἀθανάσιος. φεῦ τῆς ἐμῆς ἀθλιότητος. τί ἐμαυτῷ προσέφερον, οὐ μόνον δι᾽ ὧν ἥμαρτον, ἀλλὰ μᾶλλον, δι᾽ ὧν μετανοῆσαι οὐκ ἠβουλήθην. εἰ γὰρ μετεμελόμην, ὡς ὁ ἄσωτος, ἐδέξατο ἄν μου τὴν ἐπιστροφὴν ὁ φιλόστοργος Πατήρ· καὶ εἰ εὐγνώμων ἐγενόμην ὡς ὁ τελώνης, ἐμαυτὸν μόνον, καὶ οὐκ ἄλλον τινὰ κατακρίνων, ἄφεσιν ἁμαρτιῶν ἐλάμβανον κἀγὼ παρὰ Θεοῦ· μάλιστα οὖν εἴπερ ἐξ ὅλης ψυχῆς ὡς ἐκεῖνος παρεκάλεσα· νῦν δὲ οὔπω τοῦτο ὁρῶ ἐμαυτόν, διὰ τοῦτο φοβοῦμαι τὴν ἐν τῷ ᾅδῃ μετὰ τῶν δαιμόνων κατοίκησιν, καὶ τὴν μέλλουσαν κρίσιν. ὅτι ἐκεῖ ὁ πύρινός ἐστι ποταμός, θρόνοι τε, καὶ βίβλοι ἀνεῳγμέναι, Ἄγγελοι προτρέχουσι, πᾶσα ἡ τῶν βροτῶν φύσις παρίσταται, πάντα γυμνὰ καὶ τετραχηλισμένα ἐνώπιον τοῦ φοβεροῦ, καὶ δικαίου κριτοῦ.

Οἴμοι, πῶς ὑποφέρειν μέλλω τὸν ἔλεγχον, τὴν ἀγανάκτησιν τοῦ φρικτοῦ, καὶ ἀδεκάστου κριτοῦ, τὴν τῶν ἀμετρήτων Ἀγγέλων συνδρομήν, τὴν ἀπαίτησιν μετὰ ἀπειλῆς φοβερᾶς, τὴν μὴ ἔχουσαν * ἐπιστροφὴν ἀπόφασιν, τὸ ἄπαυστον θρῆνος, καὶ ἀνωφελὲς δάκρυον, τὸ ἀφεγγὲς σκότος, καὶ τὸν ἀκοίμητον σκώληκα. τὸ ἄσβεστον πῦρ, καὶ τὰς πολυτρόπους κολάσεις. τὴν ἔκπτωσιν ἐκ τῆς βασιλείας, καὶ χωρισμὸν τῶν ἁγίων. τὸν μακρυσμὸν τῶν Ἀγγέλων, καὶ Θεοῦ ἀλλοτρίωσιν. τὴν μικροψυχίαν, καὶ τὸν αἰώνιον θάνατον. τὸν φόβον, τὸν πόνον, τὴν λύπην, καὶ τὴν αἰσχύνην, καὶ βασανισμὸν τῆς συνειδήσεως. οἴμοι τῷ ἁμαρτωλῷ, τί ἔπαθον· διατί ἀπόλλωμαι κακῶς; ἔχω ἔτι καιρὸν μετανοίας. ὁ δεσπότης παρακαλεῖ, κἀγὼ ἀναβάλλομαι; Ἕως πότε ψυχή μου ἐπιμένεις τοῖς πταίσμασιν; ἕως τίνος λαμβάνεις μετανοίας ὑπέρθεσιν; λάβε κατὰ νοῦν τὴν κρίσιν τὴν μέλλουσαν. βόησον Χριστῷ τῷ Θεῷ. καρδιογνῶστα ἥμαρτον, πρὶν καταδικάσῃς με, ἐλέησόν με. Ἐν τῇ φρικτῇ Χριστὲ παρουσίᾳ σου, μὴ ἀκούσωμεν οὐκ οἶδα ὑμᾶς. τὴν γὰρ ἐλπίδα ἐπὶ σὲ τὸν σωτῆρα ἐθέμεθα, εἰ καὶ τὰ σὰ προστάγματα οὐ πράττομεν διὰ τὴν ἀμέλειαν ἡμῶν, ἀλλὰ φεῖσαι τῶν ψυχῶν ἡμῶν δεόμεθα. οὐαί μοι, Κύριε· ὅτι ἐλύπησά σε, καὶ οὐκ ᾐσθάνθην· ἀλλ᾽ ἰδοὺ ἡ χάρις σου ἐποίησέ με αἰσθανθῆναι μικρόν, δι᾽ ὃ καὶ ἠπόρησα ὁ τάλας, ἐτρόμαξε γὰρ ἡ ἀθλία μου ψυχή. ἀλλ᾽ ἆρα ἔχω ζῆσαι μικρὸν πρὸς τὸ κλαῦσαι πικρῶς, καὶ πλῦναί μου τὴν μεμιασμένην σάρκα, καὶ ψυχήν; ἢ πάλιν μίαν ὥραν πενθήσας, αὖθις * παύομαι ἀναισθητῶν ὡσαεί. ἆρα τί ποιήσας εὕρω πόνον ψυχῆς ἀκατάπαυστον; νηστεύσω, καὶ ἀγρυπνήσω; ἀλλὰ δίχα ταπεινώσεως οὐδὲν ὠφελοῦμαι. ψάλλω τῷ στόματι μόνῳ, καὶ ἀναγινώσκω; ἀλλὰ τὰ πάθη ἐσκότισάν μου τὸν νοῦν, καὶ οὐ δύναμαι καταλαβεῖν τὴν τῶν λεγομένων δύναμιν. προσπίπτω ἐκτενῶς σοὶ τῷ δοτῆρι τῶν ἀγαθῶν; ἀλλ᾽ οὐκ ἔχω παρρησίαν. ἀπήλπισταί μου ἡ ζωή. ἀπώλεσά μου τὴν ψυχήν· Κύριε βοήθησόν μοι, καὶ ὡς τὸν τελώνην δέξαι με· ὡς γὰρ ὁ ἄσωτος ἥμαρτον εἰς τὸν οὐρανόν, καὶ ἐνώπιόν σου, καὶ ὡς ἡ πόρνη ἡ δακρύσασα, περὶ ἧς εἴρηται. Ἡ ἀνεγνωσμένη διὰ τὸν βίον, καὶ ἐπεγνωσμένη διὰ τὸν τρόπον, τὰ μύρα βαστά-

* ἴσ. ἐπιστροφῆς

* ἴσ. παύσομαι



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ζοῦσα προσῆλθέ σοι βοῶσα, μή με τὴν πόρνην ἀποῤῥίψῃς, ὁ τεχθεὶς ἐκ Παρθένου· μή μου τὰ δάκρυα παρίδῃς, ἡ χαρὰ τῶν Ἀγγέλων. ἀλλὰ δέξαι με μετανοοῦσαν, ἣν οὐκ ἀπώσω ἁμαρτήσασαν Κύριε, διὰ τὸ μέγα σου ἔλεος, ἐπεὶ κἀγὼ ὁ ἄθλιος ἀπεγνωσμένος μέν εἰμι διὰ τὰς πολλάς μου ἁμαρτίας, ἐπεγνωσμένος δὲ διὰ τῆς ἀφάτου σου φιλανθρωπίας, καὶ τὸ ἄπειρον πέλαγος τῶν οἰκτιρμῶν σου, εἰς ὅπερ ἀποῤῥίψας τὴν ἀπόγνωσιν τῆς ψυχῆς μου, τολμῶ συνάγειν μου τὸν νοῦν εἰς τὴν ἁγίαν σου μνήμην· καὶ ἀνιστάμενος κἂν μίαν αἴτησιν ἐν φόβῳ, καὶ τρόμῳ πολλῷ ποιήσω, ἵνα καταξιωθῶ κἀγὼ ὁ ἀνάξιος τοῦ εἶναι δοῦλός σου· καὶ τὴν χάριν τὴν νῦν ἔχειν ἀΐδιόν τε, καὶ ἀσχημάτιστον, ἄχροόν τε, καὶ ἄϋλον. σοὶ τῷ μόνῳ Θεῷ καὶ ποιητῇ τῶν ἁπάντων προσπίπτειν ὡς ποτὲ ὁ Δανιὴλ ἐνώπιον τοῦ Ἀγγέλου σου, ἐπὶ γόνατα καὶ ἴχνη τῶν χειρῶν. καὶ πρῶτον εὐχαριστεῖν, ἔπειτα ἐξομολόγησιν προσφέρειν ἐνώπιόν σου καὶ οὕτω τὸ παναγιόν σου θέλημα αἰτεῖν ἄρχομαι ὁ ταλαίπωρος, τὴν χάριν σοι ὁμολογῶν περὶ πάντων τῶν ἀγαθῶν, ὧν με ἠξίωσας, τὸν χοῦν, τὴν κόνιν, τὴν τέφραν. καὶ ὅτι τῷ μόνῳ κατηξιώθην παραστῆναί σοι ὁ γήϊνος ὅλος, καὶ ὡς δοκῶν ὁρᾶσθαι παρὰ σοῦ ἐξ ὅλης ψυχῆς κράζω, καὶ λέγω. Δέσποτα πολυέλεε· εὐχαριστῶ σοι, δοξάζω σε, ὑμνῶ σε, καὶ προσκυνῶ σε, ὅτι ἠξίωσάς με τὸν ἀνάξιον ἐν τῇ ὥρᾳ ταύτῃ τοῦ εὐχαριστεῖν σοι· καὶ ὅλως ἀκοὴν ἔχειν περί τινων τῶν θαυμασίων, καὶ εὐεργεσιῶν σου, ὧν ἐποίησας καὶ ποιεῖς μεθ' ἡμῶν κατὰ χάριν· ψυχικῶν τε, καὶ σωματικῶν, ἀμετρήτων τε, καὶ ἀνεξιχνιάστων, φανερῶν, καὶ ἀφανῶν, ὧν τε ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν· ὁμολογῶ τὰς χάριτας· οὐ κρύπτω τὰς εὐεργεσίας· κηρύττω τὰ ἐλέη σου· ἐξομολογοῦμαί σοι Κύριε ὁ Θεός μου ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάζω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ, καὶ ἄφραστός ἐστιν ἡ ἀνοχή, καὶ μακροθυμία σου ἐπὶ τὸ πλῆθος τῶν ἀνομιῶν, καὶ ἁμαρτιῶν μου, τῶν ἀσεβειῶν, καὶ πονηριῶν μου, ὧν ἐποίησα, καὶ ποιῶ ἀεί, καὶ ὧν ἔμελλον ποιῆσαι· ἐξ ὧν με ἐῤῥύσατο ἡ χάρις σου, τῶν τε ἐν γνώσει, καὶ ἀγνοίᾳ, καὶ τῶν ἐν λόγῳ, ἔργῳ τε, καὶ διανοίᾳ, ὧν οἶδας καρδιογνῶστα Κύριε, ἀπὸ τῆς γεννήσεώς μου μέχρι τέλους τῆς ζωῆς μου, ὑπὲρ ὧν τολμῶ ὁ πανάθλιος ἐξομολόγησιν ποιῆσαι ἐνώπιόν σου· ἥμαρτον, ἠνόμησα, ἠσέβησα, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι, καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ. ἀλλὰ θαῤῥῶν εἰς τὴν ἄφατον φιλανθρωπίαν σου, καὶ ὑπὲρ νοῦν ἀγαθότητα, καὶ εὐσπλαγχνίαν σου, προσπίπτων ἱκετεύω σοι. Ἐλέησόν με Κύριε· ὅτι ἀσθενής εἰμι, καὶ συγχώρησόν μοι τὸ πλῆθος τῶν κακῶν μου· καὶ μὴ ἐάσῃς με ἔτι ἁμαρτῆσαι, ἢ πλανηθῆναι ἀπὸ τῆς εὐθείας ὁδοῦ σου, μηδὲ βλάψαι, ἢ λυπῆσαί τινα· ἀλλὰ χαλίνωσόν μου πᾶσαν κακίαν, καὶ πονηρὰν συνήθειαν, καὶ ἄλογον ὁρμὴν τῆς ψυχῆς, καὶ τοῦ σώματος, καὶ τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας, καὶ δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, καὶ ἐλέησον τοὺς ἀδελφούς, καὶ πατέρας μου, καὶ πάντας τοὺς πανταχόθεν Μοναχούς τε, καὶ ἱερεῖς. τοὺς ἐμοὺς γονεῖς, ἀδελφούς τε, καὶ συγγενεῖς· τοὺς διακονοῦντας ἡμῖν, καὶ διακονήσαντας. τοὺς εὐχομένους, καὶ ἐντειλαμένους ἡμῖν εὔχεσθαι ὑπὲρ αὐτῶν. τοὺς μισοῦντας καὶ ἀγαπῶντας ἡμᾶς· οὓς ἔβλαψα, ἢ ἐλύπησα· τοὺς ταῦτά μοί ποτε ποιήσαντας, ἢ ποιῆσαι μέλλοντας· καὶ πάντας τοὺς πιστεύοντας εἰς σέ. καὶ συγχώρησον ἡμῖν πᾶν ἁμάρτημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ διατήρησον ἡμῶν τὴν ζωήν, καὶ τὴν ἔξοδον ἐκ τοῦ κόσμου τούτου, ἀπὸ τῶν ἀκαθάρτων πνευμάτων, καὶ ἀπὸ παντὸς πειρασμοῦ, καὶ πάσης ἁμαρτίας, καὶ πονηρίας, οἰήσεώς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τε, καὶ ἀπογνώσεως, ἀπιστίας τε, καὶ ἀπονοίας, ἐπάρσεώς τε, καὶ δειλίας, πλάνης τε, καὶ τυραννίδος, κλοπῆς τε, καὶ παγίδος τοῦ διαβόλου. καὶ χάρισαι ἡμῖν τὰ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, ὡς εὐδοκεῖ ἡ φιλανθρωπία σου. καὶ ἀνάπαυσον τοὺς προαπελθόντας πατέρας, καὶ ἀδελφοὺς ἡμῶν. καὶ δι' εὐχῶν πάντων οἰκτείρησόν μου τὴν ἀθλιότητα, σπλαγχνίσθητί μου τῇ ἀπωλείᾳ, ἴδε μου τὴν καταπόνησιν εἰς πάντα. διόρθωσόν μου τὸν βίον, κυβέρνησόν μου τὴν ζωὴν, καὶ τὸ τέλος ἐν εἰρήνῃ. καὶ ποίησόν με οἷον θέλεις, καὶ ὡς θέλεις, κἂν θέλω, κἂν μὴ θέλω, μόνον μὴ ἀποτύχω τῆς ἐκ δεξιῶν σου στάσεως ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, κἂν ἔσχατος πάντων τῶν σωζομένων δούλων σου. καὶ ὡραΐσον τὸν κόσμον σου, καὶ ἐλέησον πάντας ὡς οἶδας. καὶ καταξίωσόν με τῆς μεταλήψεως τοῦ ἀχράντου σου σώματος, καὶ τοῦ τιμίου αἵματος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ Ἁγίου Πνεύματος, εἰς ἀῤῥαβῶνα τῆς ἐν σοὶ ζωῆς αἰωνίου σὺν τοῖς ἐκλεκτοῖς σου, πρεσβείαις τῆς Παναχράντου σου Μητρὸς, τῶν Ἁγίων σου, καὶ ἐπουρανίων δυνάμεων, καὶ πάντων τῶν Ἁγίων σου. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Δέσποινα Θεοτόκε. πᾶσαι αἱ οὐράνιαι δυνάμεις τῶν Ἁγίων Ἀγγέλων καὶ Ἀρχαγγέλων, καὶ πάντες Ἅγιοι πρεσβεύσατε ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ.

Δέσποτα Θεὲ Πάτερ Παντοκράτορ, Κύριε υἱὲ μονογενὲς Ἰησοῦ Χριστὲ, καὶ Ἅγιον καὶ τὰ ἑξῆς.

Καὶ εὐθέως πρὸς τοὺς οἰκείους λογισμοὺς λέγει. Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ. ἐκ γ΄. καὶ ἄρχεται τοὺς ψαλμοὺς, ποιῶν καθ' ἀντίφωνον Τρισάγιον κλίνων τε τὸν νοῦν ἐν τοῖς λεγομένοις. καθ' δὲ τὸ τέλος τῶν Μ΄. Κύριε ἐλέησον. τοῦ ἑκάστου ἀντιφώνου, προσευχὴν ποιῶν, λέγει καθ' ἑαυτὸν προσκυνῶν μὲν, τὸ, Ἥμαρτον Κύριε συγχώρησόν μοι, ἅπαξ. ἀνιστάμενος δὲ καὶ τὰς χεῖρας ἀνατείνων, τὸ, ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, ἅπαξ. καὶ μετὰ τὸ προσεύξασθαι αὐτὸν, ὀφείλει λέγειν τὴν δευτέραν εὐχὴν, τὸ, Δεῦτε προσκυνήσωμεν, ἐκ γ΄. καὶ τὸ ἄλλο ἀντίφωνον ὡσαύτως. πλὴν ὁσάκις ἡ χάρις κατανύσσει αὐτοῦ τὴν καρδίαν, ἐν τοῖς νάμασι τῆς κατανύξεως ὀφείλει μᾶλλον τὸν νοῦν ἔχειν. κἂν ἴσως ἀργῇ τὸ στόμα ἐκ τοῦ ψάλλειν, καὶ αἰχμαλωτίζεται ἡ διάνοια τὴν καλὴν αἰχμαλωσίαν. ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ. καιρὸς γὰρ τοῦ ζυγητοῦ, καὶ οὐ καιρὸς τοῦ φυτεύειν ἐστὶ τότε. καὶ διὰ τοῦτο ὀφείλει ἐμμένειν ἐν τοῖς τοιούτοις νοήμασιν, ἵνα μειζόνως κατανυχθῇ ἡ καρδία, καὶ τὸν καρπὸν δίδωσιν, ἤτοι τὰ δάκρυα τὰ κατὰ Θεόν. κατανυσσόμενός φησιν ὁ τῆς Κλίμακος, ἐν ῥήματι ἑνὶ, μένε ἐν αὐτῷ. Ἐπειδὴ πᾶσα σωματικὴ ἐνέργεια, νηστεία φημὶ, καὶ ἀγρυπνία, ψαλμῳδία τε, καὶ ἀνάγνωσις, ἡσυχία τε καὶ τὰ λοιπὰ, διὰ τὸ καθαίρειν τε τὸν νοῦν γίνονται. ὁ δὲ νοῦς ἐκτὸς πένθους καθαρθῆναι οὐ δύναται, ἵνα ἑνῶται τῷ Θεῷ διὰ καθαρᾶς προσευχῆς, τῆς ἁρπαζούσης αὐτὸν ἐκ πάντων τῶν νοημάτων, καὶ ποιούσης αὐτὸν ἀνείδεόν τε, καὶ ἀσχημάτιστον. διότι, πάντα μὲν ἐκτὸς τῶν καλὰ ὄντα, καλὰ γίνονται, ὥσπερ τὸ ἔμπαλιν. καὶ γὰρ πᾶν πρᾶγμα δέεται διακρίσεως, ἵνα καλῶς γένηται. καὶ ταύτης χωρὶς οὐ γινώσκομεν τὴν φύσιν τῶν πραγμάτων. καὶ ἴσως οἱ πολλοὶ σκανδαλιζόμεθα, ὅταν ἴδωμεν διαφωνοῦντα τὰ λεγόμενα παρὰ τῶν Ἁγίων Πατέρων, καὶ πραττόμενα. οἷον ἡ μὲν Ἐκκλησία παρέλαβε τοῦ ψάλλειν τροπάρια μετὰ μέλους, καὶ ᾄσματα πολλά. ὁ δὲ τῆς Κλίμακος, τοὺς πενθοῦντας κατὰ Θεὸν ἐγκω-

μιάζων, φησὶν, ὅτι οἱ τοιοῦτοι οὐκ ἀλλάξουσι πρὸς ἑαυτοὺς ἐν ὕμνοις. καὶ ὁ Ἅγιος Ἰσαὰκ περὶ τῶν καθαρῶς προσευχομένων φησὶν, ὅτι πολλάκις βούλεταί τις συνάγων τὸν νοῦν αὐτοῦ ἐν τῇ προσευχῇ· καὶ εὐθέως προσπίπτει ἀβιάστως εἰς τὴν γῆν ἐπὶ τὰ γόνατα, ὡς ποτὲ ὁ Δανιὴλ ὁ προφήτης, καὶ ἔχει τὰς χεῖρας αὐτοῦ τεταμένας, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀτενίζουσιν εἰς τὸν Σταυρὸν τοῦ Χριστοῦ. οὐδὲ λογισμοὶ αὐτοῦ ἐναλλάσσονται, καὶ ἐκλύονται αὐτοῦ τὰ μέλη ἐκ τῆς καινῶν νοημάτων τῶν αὐτομάτως ἐν τῷ νοῒ ἐρχομένων. Καὶ πάλιν ὡσαύτως πολλοὶ τῶν Ἁγίων Πατέρων περὶ τινῶν τοιούτων γράφουσιν, ὅτι οὐ μόνον ᾄσματα, καὶ ψαλμῳδίας ὑπερανέβησαν τῇ τοῦ νοὸς ἐκπλήξει, ἀλλὰ καὶ αὐτὸν τὸν νοῦν ἐπελάθοντο, ὡς φησὶν ὁ Ἅγιος Νεῖλος. Καὶ ἡ μὲν Ἐκκλησία καλῶς καὶ θεαρέστως τὰ ᾄσματα, καὶ τὰ λοιπὰ τροπάρια ἐδέξατο, διὰ τὴν ἀσθένειαν τοῦ νοὸς ἡμῶν. ἵνα, τῇ τῆς μελῳδίας ἡδύτητι, τὸν Θεὸν ὑμνῶμεν οἱ ἄγνωστοι ὡς ἄκοντες. οὐδὲ γνῶσιν ἔχοντες πρὸς κατανόησιν τῶν εἰρημένων λογίων, ἔρχονται εἰς κατάνυξιν. καὶ ὡς ἐν κλίμακι ἀναγόμεθα πρὸς τὸ ἐννοεῖν χρυσᾶς ἐννοίας, ὡς φησὶν ὁ Δαμασκηνός. καὶ ὅσον προκόπτομεν τῇ συνηθείᾳ τῶν κατὰ Θεὸν ἐννοιῶν, τοσοῦτον ὁ πόθος τοῦ Θεοῦ ἕλκει ἡμᾶς κατανοεῖν, καὶ προσκυνεῖν ἐν πνεύματι καὶ ἀληθείᾳ τῷ Πατρὶ φθάσωμεν, ὡς φησὶν ὁ Κύριος. καὶ κατὰ τὸν Ἀπόστολον, ὃς ἔφη· πέντε λόγους θέλω τῷ νοΐ μου,* ἢ μυρίους ἐν γλώσσῃ. καὶ πάλιν βούλομαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ ἄραι ὁσίας χεῖρας, χωρὶς ὀργῆς, καὶ διαλογισμοῦ. ὥστε τὰ μὲν εἰσὶ φάρμακα ἀσθενείας, τὰ δὲ, τελειότητες τοῦ νοός. καὶ αὕτη ἐστὶν ἡ λύσις τῶν τοιούτων ζητημάτων. Διότι πάντα μὲν καλὰ ἐν καιρῷ αὐτῶν. ἐν οὐ καιρῷ δὲ πάντα ἀσύμφωνα φαίνονται τοῖς ἀγνοοῦσι τὸν τοῦ ἑκάστου καιρὸν, ὡς φησὶν ὁ Σολομών, καιρὸς παντὶ πράγματι. πλὴν ὅταν τις φθάσῃ εἰς χρυσᾶς ἐννοίας, ὀφείλει προσέχειν ἀκριβῶς ἵνα μένωσιν ἐν αὐτῷ αἱ τοιαῦται θεωρίαι, μήπως διὰ ἀμελείας, ἢ ἐπάρσεως ἐγκαταλειφθῇ ὑπὸ τῆς χάριτος. ὡς φησὶν ὁ Ἅγιος Ἰσαάκ. ὅτι εἰ μὲν αὔξονται ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου αἱ κατὰ Θεὸν ἔννοιαι, καὶ πρὸς κατάνυξιν, καὶ ταπείνωσιν μείζονα ἄγουσιν, ὀφείλει εὐχαριστεῖν ἀεὶ, καὶ ὁμολογεῖν τῷ Θεῷ τὴν χάριν, ὡς ὅτι ὅλως τὰ τοιαῦτα ἠξιώθη γινώσκειν, ἀνάξιον ὄντα ἑαυτὸν λογιζόμενος. εἰ δὲ παύσονται, καὶ σκοτίζεται πάλιν ἡ διάνοια, καὶ τὸν φόβον ἀποβάλλει, καὶ τὸ πένθος, ὀφείλει πολλὰ λυπηθῆναι, καὶ ταπεινῶσαι ἑαυτὸν ἔργῳ, καὶ λόγῳ, ὡς ἤδη ἐγκατέλιπεν αὐτὸν ἡ χάρις, ἵνα γινώσκῃ τὴν ἰδίαν ἀσθένειαν, καὶ ταπείνωσιν κτήσηται, καὶ τὴν διόρθωσιν ἐπιμελήσηται, ὡς φησὶν ὁ Μέγας Βασίλειος. ὅτι εἰ μὴ ἠμέλησέ τις περὶ τὸ κατὰ Θεὸν πένθος, οὐκ ἂν τὰ δάκρυα ὑστερεῖτο, ὅτε ἐβούλετο. Διὰ τοῦτο ὀφείλομεν ἀεὶ γινώσκειν τὴν ἀσθένειαν ἡμῶν, καὶ τὴν χάριν τοῦ Θεοῦ. καὶ μήτε ἀπογινώσκειν ἑαυτοὺς, ὅτι δ᾽ ἂν ἡμῖν συμβῇ. μήτε πάλιν θαῤῥεῖν ὅτι ἐσμέν τι ὅλως. ἀλλὰ μᾶλλον ἐλπίζειν ἀεὶ ἐπὶ τὸν Θεὸν μετὰ ταπεινώσεως. καὶ ταῦτα μὲν τῷ πολλὰ ζητοῦντι τὰ δάκρυα ἔργῳ, καὶ λόγῳ προσήκει, διότι τοσαύτης χάριτος ἠξιώθη, καὶ οὐκ ἐφύλαξε τὴν πρόγνωσιν τοῦ Θεοῦ, διὰ προλαβοῦσαν, ἢ ἐνεστῶσαν, ἢ μέλλουσαν ἀμέλειαν, ἢ ἔπαρσιν· ὡς εἴρηται. Τῷ δὲ ἑκουσίως καταλιπόντι τὰ τοιαῦτα χαρίσματα, δηλαδὴ τὸ πένθος, καὶ τὰ δάκρυα, καὶ τὰ φωτολαμπῆ νοήματα, τί ἄλλο πρέπει, εἰ μὴ τὸ οὐαί; διότι οὐκ ἔχει ὁ κόσμος τοῦ τοιούτου ἀφρονέστερον, ὡς καταξιωθέντα ἀπὸ τῆς παρὰ φύσιν, δι᾽ ὧν ἔμελλε κατὰ χάριν εἰς τὰ

* ἴσ. λείπει κελεῦσαι

ὑπὲρ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑπὲρ φύσιν φθάσαι, λέγω δὴ τὰ τῆς συνέσεως, καὶ τῆς ἀγάπης δάκρυα. καὶ διὰ μηδαμινῶν πραγμάτων τινῶν, ἢ λογισμῶν ξένων, καὶ θελημάτων ἰδίων εἰς τὴν τῶν κτηνῶν ἀγνωσίαν στρέφεται, ὥσπερ κύων εἰς τὸν ἴδιον ἐμετόν· πλὴν ἐὰν θέλῃ πάλιν, καὶ χολάσῃ τοῦ Θεοῦ ἐν τῇ ἀναγνώσει τῶν θείων γραφῶν, μετὰ προσοχῆς καὶ μερίμνης τοῦ θανάτου, καὶ τὸν νοῦν τηρήσει ὅσον δυνηθῇ ἐκ τῶν ματαίων λογισμῶν ἐν τῇ προσευχῇ, εὑρεῖν ἔχει, ἅπερ ἀπώλεσε. καὶ μάλιστα εἴπερ οὐδέποτε λυπεῖται κατά τινος, κἂν τὰ μέγιστα δεινὰ ὑπ᾽ αὐτοῦ πάσχῃ πολλάκις, μηδένα ἀφῇ λυπηθῆναι κατ᾽ αὐτοῦ, ἀλλὰ πάσῃ δυνάμει τοῦτον θεραπεύειν ἔργῳ, καὶ λόγῳ. τότε μᾶλλον μεζόνως εὐφραίνεται ὁ νοῦς, λυζόμενος τὴν τοῦ θυμοῦ ταραχήν.* καὶ γίνεται ἔμπειρος εἰς τὸ μηδέποτε ἀμελῆσαι τὴν ἰδίαν ψυχήν, φοβούμενος μήπως πάλιν ἐγκαταλειφθῇ. καὶ ἐκ τοῦ φόβου μένει ἄπτωτος, ἔχων ἀεὶ τὰ τῆς μετανοίας, καὶ τοῦ πένθους δάκρυα, ἄχρις ἂν ἀναχθῇ εἰς τὰ τῆς ἀγάπης, καὶ τῆς χαρᾶς, δι᾽ ὧν εἰς τὴν εἰρήνην τῶν λογισμῶν ἔλθῃ· χάριτι Χριστοῦ. καὶ ταῦτα μὲν οὕτως. Ἡμεῖς δὲ οἱ ἔτι ἐμπαθεῖς, καὶ βαρυκάρδιοι ὀφείλομεν ἀείποτε μελετᾶν τὰ τοῦ πένθους ῥήματα, καὶ ἐρευνᾶν ἑαυτοὺς καθ᾽ ἑκάστην, περί τε τοῦ ὡρισμένου κανόνος, καὶ διὰ μέσου τούτου, καὶ εἰς τὸ τέλος. εἴτε ἐργαζόμενοι, εἰ ἀθυμότεροι ἔτι πρὸς τὴν τοῦ Θεοῦ ἐργίαν, καὶ χολὴν πάντων, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ. εἴτε ἀργοὶ ἐπὶ τὸ αὐτὸ καθήμενοι, εἰ ἔχοντες ἀτυστάκτους ὀφθαλμούς, καὶ νήφουσαν διάνοιαν, ὥς φησιν ὁ τῆς Κλίμακος. βλέπε εἰς προκοπὴν σου ἔσαι, ἵνα συφθῇ ἡμῶν ἡ ψυχή, καὶ δακρύειν ἄρχεται, ὥς φησιν ὁ Ἅγιος Δωρόθεος. ἀλλὰ ταῦτα μὲν εἴρηται περὶ τῶν προειρημένων ἐν ταῖς τρισὶ θεωρίαις, ἵνα καταξιωθῶμεν ἐλθεῖν εἰς τὰς λοιπὰς θεωρίας, δι᾽ ὧν ἡ τετάρτη.

* ἴσ. τὰς ταραχὰς

## Περὶ τῆς τετάρτης Θεωρίας.

Ἥτις ἐστὶ κατανόησις τῆς τοῦ γλυκυτάτου Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ συγκαταβάσεως, καὶ διαγωγῆς ἐν τῷ κόσμῳ, καὶ τοῦ μικρὸν εἰς τὸ ἐπιλαθέσθαι ἡμᾶς καὶ αὐτῆς τῆς τροφῆς ὥς φησιν ὁ Μέγας Βασίλειος. καὶ ὥσπερ τοῦ Μακαρίου Δαβὶδ ἠκούσαμεν, ὅτι ἐπελάθετο τοῦ φαγεῖν τὸν ἄρτον αὐτοῦ. φησὶν ὁ τῆς Κλίμακος ἐν τῷ ἁρπαγῆναι τὴν διάνοιαν αὐτοῦ πρὸς τὰ θαυμάσια τοῦ Θεοῦ, ἐν ἐκπλήξει πολλῇ, καὶ ἀπορεῖν πρὸς τὴν ἀνταπόδοσιν, ὥς φησιν ὁ οὐρανοφάντωρ Βασίλειος. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν; δι᾽ ἡμᾶς Θεὸς ἐν ἀνθρώποις διὰ τὴν καταφθαρεῖσαν φύσιν, ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. πρὸς τοὺς ἀχαρίστους ὁ εὐεργέτης· πρὸς τοὺς αἰχμαλώτους ὁ ἐλευθερωτής· πρὸς τοὺς ἐν σκότει καθημένους ὁ ἥλιος τῆς δικαιοσύνης. ἐπὶ τὸν Σταυρὸν ὁ ἀπαθής· ἐπὶ τὸν Ἅδην τὸ φῶς· ἐπὶ τὸν θάνατον ἡ ζωή, ἡ ἀνάστασις διὰ τοὺς πεσόντας· πρὸς ὃν βοήσομεν, ὁ Θεὸς ἡμῶν δόξα σοι. Καὶ ὁ ἐκ Δαμασκοῦ. Ἐξέστη ἐπὶ τοῦτο ὁ οὐρανός, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεὸς ὤφθη τοῖς ἀνθρώποις σωματικῶς, καὶ ἡ γαστήρ σου γέγονεν εὐρυχωροτέρα τῶν οὐρανῶν. διὸ ὅσε Θεοτόκε Ἀγγέλων, καὶ ἀνθρώπων ταξιαρχίαι μεγαλύνουσι.* καὶ πάλιν. Ἔφριξε πᾶσα ἀκοὴ τὴν ἀπόρρητον Θεοῦ συγκα-

* ἴσ. μεγαλύνουσιν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πάθωσιν, ὅπως ὁ ὕψιστος ἑκὼν κατῆλθε μέχρι καὶ σώματος, παρθενικῆς ἀπὸ γαστρὸς γενόμενος ἄνθρωπος, δι᾽ ὃ τὴν ἄχραντον Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν. Δεῦτέ μοι πείθεσθε λαοί, ἀναβάντες εἰς τὸ ὄρος τὸ Ἅγιον, τὸ ἐπουράνιον, ἀΰλως στῶμεν ἐν πόλει ζῶντος Θεοῦ, καὶ ἐποπτεύσωμεν νοΐ, Θεότητα ἄϋλον Πατρός, καὶ Πνεύματος, ἐν Υἱῷ μονογενεῖ ἀπαστράπτουσαν. Ἔθελξας πόθῳ με Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι. ἀλλὰ κατάφλεξον πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου, καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν μεγαλύνω ἀγαθὲ παρουσίας σου. Ὅλος εἶ σῶτερ γλυκασμός. ὅλος εἶ ἐπιθυμία, καὶ ἔφεσις ὄντως ἀκόρεστος. ὅλος ὑπάρχεις κάλλος ἀμήχανον. καὶ ὁ μὲν διὰ σωματικῶν τε, καὶ ψυχικῶν ἀρετῶν τὴν τῶν πάντων γνῶσιν λαβών, καὶ τῶν κεκρυμμένων Μυστηρίων ἔν τε τοῖς λόγοις τῶν Ἁγίων Ἀνδρῶν, καὶ τῶν θείων γραφῶν, καὶ μάλιστα τῶν Ἁγίων Εὐαγγελίων· οὗτος οὐκ ἔτι κρεμᾶ ἐκ τοῦ πόθου, καὶ τῶν πολλῶν δακρύων, τῶν ἀεὶ γινομένων ἀβιάστως αὐτῷ. Ἡμεῖς δὲ οἱ ἐκ μόνων τῶν γραφῶν ἀκούοντες, ὀφείλομεν ἀεὶ σχολάζειν, καὶ μελετᾶν, ἵνα ἐκ τοῦ πολλοῦ χρόνου ἐντυπωθῇ ὁ πόθος τοῦ Θεοῦ ἐν τῇ καρδίᾳ ἡμῶν, ὡς φησιν Μάξιμος, καὶ ὡς οἱ Πατέρες ἐποίουν, πρὶν λαβεῖν τὴν αὐτόματον γνῶσιν. Ὅλος ὁ πόθος τῶν Μαρτύρων ἀνεπέπτατο, πρὸς μόνον τὸν Δεσπότην, δι᾽ ἀγάπης αὐτῷ ἑνούμενος καὶ μέλπων. καὶ ὡς ὁ ἐκ Δαμασκοῦ ἔφη περὶ τῶν τριῶν Παίδων. Νόμων Πατρῴων οἱ μακάριοι ἐν Βαβυλῶνι παῖδες προκινδυνεύοντες βασιλεύοντος κατέπτυσαν προσταγῆς ἀλογίστου· καὶ συνημμένοι ᾧ οὐκ ἐχωνεύθησαν πυρί, τοῦ κρατοῦντος ἐπάξιον ἀνέμελπον τὸν ὕμνον. καὶ εἰκότως. ὅταν αἰσθανθῇ τις τῶν θαυμασίων τοῦ Θεοῦ, ὅλος ἐξίσταται, καὶ ἐπιλανθάνεται καὶ αὐτῆς τῆς προσκαίρου ζωῆς, ἐκ τῆς τῶν θείων γραφῶν κατανοήσεως, φησὶν ὁ Ἅγιος Ἰσαάκ. καὶ οὐχὶ ὥσπερ ἡμεῖς ἴσως ἐκ τῶν γραφῶν κατανυσσόμεθα μικρόν, καὶ ἐκ τῆς ῥαθυμίας, καὶ λήθης, καὶ ἀγνωσίας πάλιν σκοτιζόμεθα, καὶ ἀναισθητοῦμεν ἐκ τῶν παθῶν. ὁ γὰρ καθαρθεὶς διὰ τοῦ πένθους ἐκ τῶν παθῶν, ἐκεῖνος αἰσθάνεται τῶν κεκρυμμένων μυστηρίων ἐν πάσαις ταῖς γραφαῖς, καὶ ἐκ παντὸς ἐκπλήττεται. ἐξαιρέτως δὲ ἐκ τοῦ Ἁγίου Εὐαγγελίου, τῶν τε ἔργων, καὶ λόγων. καὶ πῶς τὰ δυσχερῆ, ἡ σοφία τοῦ Θεοῦ, εὐχερῆ κατεσκεύασεν, ὥστε κατὰ μικρὸν Θεὸν ποιεῖν τὸν ἄνθρωπον. ἀγαθόν, ὡς τοὺς ἐχθροὺς ἀγαπᾶν δυνάμενον· οἰκτίρμονα, ὡς τὸν Πατέρα οἰκτίρμονα ὄντα· ἀπαθῆ, ὡς τὸν ἀπαθῆ Θεόν. πᾶσαν ἀρετὴν ἔχοντα, καὶ τὸ τέλειον, ὡς τὸν Πατέρα τέλειον ὄντα. καὶ ἁπλῶς, ὅσα τῷ Θεῷ πρέπουσι, διδάσκει ἡ Ἁγία Βίβλος αὕτη τὸν ἄνθρωπον, ἵνα θέσει Θεὸς γένηται. καὶ τίς οὐ θαυμάζει τὴν τοῦ Ἁγίου Εὐαγγελίου πραγματείαν; ὅτι ἐκ μόνης προαιρέσεως πᾶσαν ἀνάπαυσιν ἐν τῷ νῦν, καὶ ἐν τῷ μέλλοντι χαρίζεται μετὰ τιμῆς πολλῆς, ὥς φησιν ὁ Κύριος. ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. καὶ ἐνταῦθα μαρτυρεῖ ὁ Πέτρος, καταλιπὼν τὰ δίκτυα, καὶ λαβὼν τὰς κλεῖς τῶν οὐρανῶν. καὶ οἱ λοιποὶ Ἀπόστολοι, ἕκαστος. ἅπερ εἶχε καταλιπὼν μικρά τινα, τὸν κόσμον ὅλον ὑπὸ χεῖρας ἔλαβον, ἐν τῷ νῦν, καὶ ἐν τῷ μέλλοντι. ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, καὶ οὐ μόνον ἐπὶ τοὺς Ἀποστόλους ταῦτα γέγονεν, ἀλλ᾽ ἐπὶ πάντας τοὺς προαιρουμένους ταῦτα γίνεται ἄχρι τῆς σήμερον, ὥς φησί τις τῶν Πατέρων, ὅτι εἰ καὶ ἐκοπίων ἐν τῇ ἐρήμῳ, ἀλλ᾽ οὖν πολλὴν ἀνάπαυσιν εἶχον. τοῦτο δὲ ἔλεγε περὶ τῆς ἀπράκτου ζωῆς, καὶ ἀμερίμνου.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ τίς ἄρα ἡμῖν δοκεῖ ἀνάπαυσιν καὶ τιμὴν ἔχειν μείζονα. ὁ κατὰ Θεὸν σχολάζων, καὶ πράττων τὰ ἴδια; ἢ ὁ ἐν ταραχαῖς, καὶ δικαστηρίοις διάγων, καὶ μερίμναις βιωτικαῖς; ὁ προσομιλῶν ἀεὶ τῷ Θεῷ διὰ τῆς μελέτης τῶν θείων γραφῶν, καὶ ἀπερισπάστου προσευχῆς, καὶ δακρύων; ἢ ὁ κοπιῶν, καὶ ἀγρυπνῶν ἐν κλοπαῖς, καὶ ἀθέσμοις πράξεσιν, αἷς ἀποτυχών, μάτην τοῦ κόπου καὶ τοῦ διπλοῦ θανάτου ἴσως ἔτυχεν; ἰδοὺ τοίνυν καὶ τὸν θάνατον ὑπομένομεν μετὰ πολλοῦ κόπου, καὶ ἀτιμίας· δίχα κέρδους. μᾶλλον δὲ καὶ μεγίστην ζημίαν πολλάκις τινὲς ἔπαθον ψυχῆς, ἀπωλείας ἕνεκα. λῃσταί φημι, καταποντισταί, πόρνοι, καὶ μάχιμοι, οἵτινες οὐκ ἐβουλήθησαν μετὰ ἀναπαύσεως τιμῆς τε, καὶ κέρδους σωθῆναι. ἀλλ' ὢ τῆς τυφλότητος, τὸν θάνατον διὰ τὸ ἀπολεσθῆναι ὑπομένομεν, καὶ διὰ τὸ σωθῆναι οὐδὲ τὴν ζωὴν ἀγαπῶμεν. εἰ δὲ καὶ θάνατος πρόκειται ὑπὲρ τῆς βασιλείας τῶν οὐρανῶν,* τί τὸ περιττὸν ποιοῦμεν τοῦ λῃστοῦ, καὶ τοῦ τυμβορύχου, ἢ τοῦ στρατιώτου; οἵτινες, ἄρτου μόνου ἕνεκα, τὸν μέλλοντα μετὰ τοῦ παρόντος ὑπέμειναν πολλάκις θάνατον. εἰ μὴ ὅτε διὰ Χριστὸν ὁ πρῶτος γένηται σκοπός, δι' οὗ βασιλεία τῶν οὐρανῶν δίδοται τοῖς προῃρημένοις, ἐν μὲν τῷ παρόντι, νοητῶς. ἐν τῷ καταφρονεῖν πάντα, καὶ δοῦλα ἔχειν αὐτῷ, βασιλεύειν τε οὐ μόνον ἐπὶ τὰ πράγματα, ἀλλὰ καὶ ἐπὶ τὸ σῶμα, τῇ τούτου καταφρονήσει, καὶ ἐπὶ τὸν θάνατον, τῇ τῆς πίστεως εὐτολμίᾳ. ἐν δὲ τῷ μέλλοντι σὺν Χριστῷ αἰωνίως βασιλεύειν μετὰ σώματος, διὰ τῆς χάριτος τῆς κοινῆς ἀναστάσεως. καὶ ὁ μὲν θάνατος ἐπίσης ἁμαρτωλοῦ, καὶ δικαίου γίνεται, ἡ δὲ διαφορὰ πολλή. καὶ ὡς μὲν θνητοὶ θνήσκουσιν ἀμφότεροι, καὶ οὐ θαυμαστόν. ἀλλ' ὁ μὲν ἄμισθος, καὶ κατάκριτος ἴσως. ὁ δὲ, μακάριος ἐν τῷ νῦν, καὶ ἐν τῷ μέλλοντι. τί δὲ μέγα, τὸ ἀποκτᾶν χρήματα; ἅπερ ἄκων καταλιπεῖν ἔμελλεν ὁ ταῦτα ἔχειν δοκῶν, οὐ μόνον ἐν τῷ καιρῷ τοῦ θανάτου, ἀλλὰ καὶ πρὸ τούτου πολλάκις μετὰ πολλῆς αἰσχύνης, κόπου τε, καὶ πόνου; ἴσως δὲ καὶ θάνατόν τινες ὑπέμειναν, ἕνεκα τούτων, μετὰ τοὺς ἀναριθμήτους πειρασμοὺς τοῦ πλούτου, τὸν φόβον φημί, τὴν μέριμναν, καὶ διηνεκῆ λύπην τε, καὶ ταραχήν, ἑκουσίως, καὶ ἀκουσίως. ἡ δὲ ἁγία ἐντολὴ ἐκ πάντων τούτων ῥύεται τὸν ἄνθρωπον, καὶ πᾶσαν ἀμεριμνίαν, καὶ ἀφοβίαν αὐτῷ χαρίζεται, πολλάκις δὲ καὶ εὐφροσύνην ἀνεκλάλητον τοῖς μάλιστα προτιμῶσιν ἑκουσίως τὴν ἀκτημοσύνην. Τί ἄρα θυμηδέστερον τοῦ γενέσθαι τινὰ ἀπαθῆ, μηδ' ὅλως κρατούμενον ὑπὸ θυμοῦ, ἢ ἐπιθυμίας τινὸς τῶν κατὰ κόσμον πραγμάτων; ἀλλὰ τὰ τοῖς πολλοῖς ἐπιθυμητὰ εἰς οὐδὲν λογιζόμενον, καὶ ἐπάνω πάντων γινόμενον, ὡς ἐν Παραδείσῳ, μᾶλλον δὲ ἐν Οὐρανῷ διάγειν, καὶ πάσης ἀνάγκης ἀνώτερον τῇ ἀμεριμνίᾳ, καὶ κατὰ Θεὸν σχολῇ; ἐν γὰρ τῷ ὑπομένειν τὰ ἐπερχόμενα μετὰ χαρᾶς, πᾶν ὅ,τι γίνεται, ἀναπαύει αὐτόν. καὶ ἐν τῷ ἀγαπᾶν πάντας, ὑπὸ πάντων ἀγαπᾶται. καὶ ἐν τῷ καταφρονεῖν αὐτὸν πάντα, ἐπάνω πάντων γίνεται. καὶ ἐν τῷ μὴ θέλειν ἔχειν τί, ὑπὲρ οὗ μάχεται ἄλλος, καὶ λυπεῖται μὲν ἀποτυχών, κατακέκραται δὲ ἴσως ἐπιτυχὼν τοῦ ποθουμένου. Ὁ δὲ ποθῶν τι, λυτροῦται αὐτὸς διὰ τῆς ἐντολῆς πάντων τῶν ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι δεινῶν. ἐπειδὴ τὸ μὴ θέλειν τί ἔχειν, ὅπερ οὐ κέκτηται, πάσης ἀναπαύσεώς ἐστι, καὶ πλούτου ἐπέκεινα. ὥσπερ καὶ ὁ ἐπιθυμῶν ἅπερ οὐκ ἔχει, κόλασίς ἐστι μεγίστη πρὸ τῆς αἰωνίου κολάσεως· καὶ ὁ τοιοῦτος δοῦλός ἐστι, κἄν τε βασιλεὺς εἶναι δοκῇ, καὶ πλούσιος. Τί δὲ βάρος λέγουσιν αἱ ἐντολαὶ τοῦ Κυρίου; ἅπερ οὐ ποιοῦμεν οἱ ἄθλιοι ἄμισθα μετὰ πολλῆς προθυμίας.

* ἴσ. παρέλκει τὸ τί.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὁ οὖν δυνηθεὶς τὴν τοῦ ἁγίου Εὐαγγελίου χάριν κατανοεῖν ἐκ μέρους, καὶ τὰ ἐν αὐτῷ κείμενα, λέγω δὴ τὰς πράξεις, καὶ διδασκαλίας τοῦ Κυρίου, τάς τε ἐντολὰς αὐτοῦ, καὶ τὰ δόγματα, τάς τε ἀπειλὰς, καὶ ἐπαγγελίας, οὗτος οἶδε ποίους θησαυροὺς ἀνεκλαλήτους εὗρεν. εἰ καὶ οὐ δύναται περὶ τῶν τοιούτων διηγήσασθαι ὡς δεῖ, διότι ἄφραστά εἰσι τὰ κρύφια. ὁ γὰρ Χριστὸς ἐν τῷ Εὐαγγελίῳ κέκρυπται. καὶ ὁ θέλων αὐτὸν εὑρεῖν, ὀφείλει πρῶτον πωλῆσαι πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ ἀγοράσαι τὸ Εὐαγγέλιον, ἵνα μὴ μόνον αὐτὸν εὑρεῖν δυνηθῇ ἐκ τῆς ἀναγνώσεως ἴσως, ἀλλὰ καὶ λαβεῖν ἐν ἑαυτῷ διὰ τῆς μιμήσεως αὐτοῦ τῆς ἐν τῷ κόσμῳ διαγωγῆς. ὅτι ὁ ζητῶν τὸν Χριστὸν, φησὶν ὁ Ἅγιος Μάξιμος, οὐκ ὀφείλει ζητεῖν αὐτὸν ἔξωθεν, ἀλλ᾽ ἐν ἑαυτῷ, ἵνα τῷ γενέσθαι σῶμα, καὶ ψυχήν· ὥσπερ ὁ Χριστὸς, ἀναμάρτητος κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, καὶ τὸ μαρτύριον τῆς συνειδήσεως φυλάττειν πάσῃ δυνάμει, ἵνα παντὸς ἰδίου θελήματος βασιλεύσῃ, καὶ περιγένηται τῇ τούτου καταφρονήσει· κἂν κατὰ κόσμον πτωχὸς ὑπάρχῃ, καὶ ἀγενής. διότι ποίαν ὠφέλειαν ἔχει ὁ δοκῶν εἶναι βασιλεὺς, καὶ ὑπὸ τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας τυραννεῖται μὲν ἐν τῷ αἰῶνι τούτῳ, ἐν δὲ τῷ μέλλοντι τὴν αἰώνιον κόλασιν εὑρίσκει, εἴπερ ἀκηδῆσαι βουληθῇ τὰς θείας ἐντολάς; ἀλλ᾽ ὢ τῆς ἀνοίας, πῶς οὐ θέλομεν διὰ μικρῶν τινων καὶ προσκαίρων, τὰ μεγάλα καὶ αἰώνια ἀγαθὰ λαβεῖν, ἀλλὰ τὰ μὲν ἀγαθὰ ἀποβαλλόμεθα, τῶν δὲ ἐναντίων ἐφιέμεθα. τί δὲ ἐστὶν εὐτελέστερον ποτηρίου ψυχροῦ ὕδατος, ἢ κλάσματος ἄρτου δόσεως, ἢ θελήματος, καὶ μικροῦ νοήματος ἰδίου ἀποχῆς; δι᾽ ὧν βασιλεία οὐρανῶν ἡμῖν πρόκειται, χάριτι τοῦ εἰπόντος, ἰδοὺ ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστιν; οὐ γὰρ μακρὰν ὑπάρχει, φησὶν ὁ Δαμασκηνὸς, οὐδὲ ἔξωθεν, ἀλλ᾽ ἐντός· μόνον θέλησον περιγενέσθαι τῶν παθῶν, καὶ ἰδοὺ ἔχεις αὐτὴν ἐν ἑαυτῷ, διὰ τὸ θεαρέστως βιοῦν· ἐὰν δὲ οὐ θέλεις, οὐδὲν ἔχεις. ἐπεὶ ἡ βασιλεία τοῦ Θεοῦ φασὶν οἱ Πατέρες, λέγεται τὸ θεαρέστως ζῆν, καὶ ἡ πρώτη παρουσία τοῦ Κυρίου, καὶ ἡ δευτέρα· καὶ περὶ μὲν τῆς δευτέρας προσγραφὴ εἰς τὰ τοῦ πάθους ῥήματα. τὴν δὲ πρώτην ὁ καταλαβὼν ὑπὸ τῆς χάριτος ἐν αἰσθήσει ψυχῆς, μετὰ πολλῆς ἐκπλήξεως ὀφείλει λέγειν. Μέγας εἶ Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου. ἰδοὺ γλυκύτατέ μου δέσποτα ὁ δοῦλός σου ἐνώπιόν σου ἄφωνος ἀργὸς ἱστάμενος πρὸς σὲ, ἀναμένω τὸν παρὰ σοῦ φωτισμὸν τῆς γνώσεως. σὺ γὰρ εἶπας Κύριε, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. σὺ οὖν δίδαξόν με τὰ περὶ σοῦ. τῇ σῇ χάριτι ἐτόλμησα πρὸς τοὺς ἀχράντους σου πόδας, ὡς ἡ ἀδελφὴ Λαζάρου τοῦ φίλου σου, καθεσθῆναι, ἵνα ἀκούσω κἀγώ τι ἱερῶς. εἰ καὶ μὴ περὶ τῆς σῆς ἀκαταλήπτου θεότητος, ἀλλ᾽ οὖν περὶ τῆς ἐν κόσμῳ σωματικῆς σου διαγωγῆς· ὅπως αἴσθησίν τινα μικρὰν λάβω τῶν εἰρημένων, ἐν τῷ ἁγίῳ Εὐαγγελίῳ τῆς χάριτός σου· καὶ πῶς ἀνεστράφης μεθ᾽ ἡμῶν, πρᾶός τε, καὶ ταπεινὸς τῇ καρδίᾳ ὡς ἔφη τὸ πανάγιόν σου στόμα, πρὸς τὸ μαθεῖν ἡμᾶς ἀπὸ σοῦ ταῦτα. καὶ τοσαύτῃ πενίᾳ ὁ πλούσιος ἐν ἐλέει, ἐν κόπῳ τε, καὶ δίψῃ ἑκουσίως, ὁ τὸ ὕδωρ τὸ ζῶν παρέχων τῇ Σαμαρείτιδι. ὡς εἶπας Κύριε, ὁ διψῶν ἐρχέσθω πρός με, καὶ πινέτω, σὺ γὰρ εἶ ἡ πηγὴ τῶν ἰαμάτων. καὶ τίς δύναται ὑμνεῖν σου τὴν ἐν κόσμῳ διαγωγήν; ἀλλ᾽ ἐπειδὴ ἠξίωσάς με τὸν χοῦν, τὴν τέφραν, τὴν κόνιν, τὸν παραβάτην, τὸν αὐτοκτόνον, τὸν πολλά σοι ἡμαρτηκότα, καὶ ἔτι ἁμαρτάνοντα, κατιδεῖν ὅλως τι ἐκ τῶν σῶν πράξεών τε, καὶ ῥημάτων, καὶ τολμῶ σε



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐρωτῆσαι περὶ τούτων, ὡς ἐκ πίστεως δοκῶν βλέπειν σε τὸν ἀόρατον πάσῃ τῇ κτίσει. συγχώρησόν μοι τῇ τόλμῃ. σὺ γὰρ οἶδας, Κύριε καρδιογνῶστα, ὅτι οὐ περιεργαζόμενος ἐρωτῶ, ἀλλὰ ζητῶ μαθεῖν, πιστεύων, ὅτι ἐὰν ἀξιωθῶ τῆς παρὰ σοῦ γνώσεως, ὡς καὶ τοῖς σὲ ποθοῦσι χαρίσαι μοι ἔχεις ὁ φιλάνθρωπος, καὶ τὴν κατὰ δύναμιν ἐργασίαν, πρὸς τὸ μιμήσασθαί σου τὴν κατὰ σάρκα διαγωγήν, δι᾿ ἧς τῇ χάριτι ἐκλήθην Χριστιανός. εἰ καὶ οὐδεὶς δύναται ὥσπερ οἱ μαθηταί σου ὑπομεῖναι τὸν ὑπὲρ τῶν ἐχθρῶν θάνατον, ἀλλ᾿ οὐδὲ τὴν σήν, καὶ αὐτῶν πτωχείαν καὶ ἀρετὴν κτήσασθαι, ἀλλ᾿ ἐκ μέρους ἕκαστος ἡμῶν πρὸς τὴν προαίρεσιν αὐτοῦ· κἂν γάρ τις, ὑπὲρ σοῦ καθ᾿ ἑκάστην ἀποθάνῃ, οὐδ᾿ οὕτως τὸ χρέος ἀποβληθῆναι δύναται. διότι σὺ μὲν Κύριε Θεὸς τέλειος ὤν, καὶ ἄνθρωπος τέλειος, ἀναμαρτήτως διῆγες ἐν τῷ κόσμῳ τούτῳ, καὶ ὑπὲρ πάντων πάντα ὑπέμεινας. ἡμεῖς δὲ κἄν τι ἴσως ὑπομένωμεν, ὑπὲρ ἑαυτῶν, καὶ τῶν οἰκείων ἁμαρτιῶν πάσχομεν. καὶ τίς οὐκ ἐξίσταται κατανοῶν σου τὴν ἄφατον συγκατάβασιν; ὅτι Θεὸς ὢν ἀκατάληπτος, παντοδύναμός τε, καὶ παντοκράτωρ· καθήμενος ἐπὶ τῶν Χερουβίμ, τῶν λεγομένων, πληθυνομένην σοφίαν, δι᾿ ἡμᾶς τοὺς πολλά σε παροργίζοντας ἐξ ἀρχῆς καὶ ἄνωθεν, ἐταπείνωσας σεαυτόν, ὥστε κατεδέξω γέννησιν, καὶ ἀνατροφήν, διωγμούς τε, καὶ λιθασμούς, χλευασμούς τε, καὶ μυκτηρισμούς, κολαφισμούς τε, καὶ ῥαπισμούς, ἐμπαιγμούς τε, καὶ ἐμπτύσματα. ἔπειτα Σταυρόν, καὶ ἥλους, σπόγγον τε, καὶ κάλαμον, ὄξος τε, καὶ χολήν, καὶ ὅσα οὐκ εἰμὶ ἄξιος ἀκοῦσαι. εἶτα λόγχῃ ἡ ἀκήρατός σου πλευρὰ ἐκεντήθη, ἐξ ἧς ἐπήγασας ἡμῖν τὴν αἰώνιον ζωήν· τὸ τίμιόν σου αἷμα καὶ ὕδωρ. ὑμνῶ σου τὸν τόκον, καὶ τὴν τεκοῦσάν σε, ἣν ἐφύλαξας Παρθένον καὶ μετὰ τόκον ὡς πρὸ τόκου. προσκυνῶ σε ἐν σπηλαίῳ καὶ φάτνῃ σπαργανούμενον. δοξάζω σε, εἰς Αἴγυπτον σὺν τῇ Παρθένῳ σου μητρί, καὶ ἀχράντῳ, ἀναχωροῦντα, καὶ εἰς Ναζαρὲτ οἰκοῦντα, καὶ ὑποταττόμενον τοῖς κατὰ σάρκα γονεῦσι· τῷ νομιζομένῳ πατρί, καὶ τῇ κατὰ ἀλήθειαν μητρί. ὑμνῶ σε ἐν τῷ Ἰορδάνῃ βαπτιζόμενον ὑπὸ τοῦ προδρόμου σου, Κύριε, καὶ τὸν μαρτυρήσαντά σε Πατέρα, καὶ τὸ δηλοποιῆσάν σε Ἅγιον Πνεῦμα, καὶ τὴν σὴν βάπτισιν, καὶ τὸν βαπτιστὴν Ἰωάννην τὸν Προφήτην, καὶ δοῦλόν σου. δοξάζω σε νηστεύοντα δι᾿ ἡμᾶς, καὶ πειραζόμενον ἑκουσίως, καὶ νικήσαντα τὸν ἐχθρὸν ἐν τῷ σώματι, ὃ ἔλαβες ἐξ ἡμῶν, καὶ δωρούμενον ἡμῖν τὴν νίκην κατ᾿ αὐτοῦ τῇ ἀφράστῳ σου σοφίᾳ, συνάγοντά τε τοὺς μαθητάς σου, καὶ λεπροὺς καθαίροντα, χωλούς τε ἀνορθοῦντα, καὶ τυφλοῖς τὸ φῶς χαρίζοντα, κωφοῖς τε, καὶ ἀλάλοις τὸ λαλεῖν, καὶ ἀκούειν παρέχοντα, εὐλογοῦντά τε τοὺς ἄρτους, καὶ ἐπὶ τῆς θαλάσσης ὡς ἐπὶ ξηρᾶς περιπατοῦντα, καὶ ὄχλους διδάσκοντα περὶ πράξεών τε, καὶ θεωριῶν, περὶ τοῦ Πατρός, καὶ τοῦ Ἁγίου Πνεύματος ἀναγγέλλοντα, καὶ περὶ τῶν μελλόντων ἀπειλῶν τε, καὶ ἐπαγγελιῶν προλέγοντα, καὶ περὶ πάντων τῶν εἰς σωτηρίαν ἡμῶν συντεινόντων. τὸν ἐχθρόν τε προκαταλαμβάνοντα, καὶ ἐκριζῶν τὰ πάθη ἀνασπῶντα, τῇ πανσόφῳ διδασκαλίᾳ· καὶ τοὺς μὲν μωρούς, σοφίζοντα, τοὺς δὲ πανούργους, ἀσόφους καταβαλόντα τῇ ἀπείρῳ σου σοφίᾳ, τούς τε νεκροὺς ἐγείροντα, τῇ ἀφάτῳ σου δυναστείᾳ, καὶ ἐκβάλλοντα τὰ δαιμόνια ἐξουσιαστικῶς, ὡς Θεὸς τῶν ἁπάντων, καὶ οὐ μόνον ταῦτα ποιῶν δι᾿ ἑαυτοῦ, ἀλλὰ καὶ τοῖς δούλοις σου ἐξουσίαν δωρούμενος εἰς τὸ ποιῆσαι μείζονα, ἵνα μειζόνως θαυμάζωμεν, ὡς εἶπας Κύριε, Μέγα σου τὸ ὄνομα, ὅτι διὰ σοῦ πάντα γίνονται τὰ τεράστια ὑπὸ τῶν ἁγίων σου.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λόγε τοῦ Θεοῦ· τὸ γλυκύτατον ὄνομα τῆς ἡμῶν σωτηρίας. μεγάλη σου ἡ δόξα, μεγάλα σου τὰ ἔργα. θαυμαστοὶ οἱ λόγοι σου, καὶ γλυκύτεροι ὑπὲρ μέλι, καὶ κηρίον. δόξα σοι Κύριε, δόξα σοι, καὶ τίς δύναται δοξάζειν καὶ ὑμνεῖν σου τὴν συγκατάβασιν, τὴν ἀγαθότητα, τὴν δύναμιν, τὴν σοφίαν, τὴν διαγωγὴν ἐν τῷ κόσμῳ, καὶ διδασκαλίαν; καὶ πῶς φυσικῶς αἱ ἅγιαί σου ἐντολαὶ τὸν ἐνάρετον βίον μετὰ εὐκολίας διδάσκουσιν; ὡς ἔφης Κύριε· ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν. καὶ πάλιν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. καὶ ὅσα ἂν θέλητε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· καὶ τίς ἄρα αἴσθησιν λαβὼν τῶν σῶν ἐντολῶν, καὶ λοιπῶν ῥημάτων, οὐκ ἐκπλαγήσεται, κατανοῶν σου τὴν ἄπειρον σοφίαν; ἡ σοφία τοῦ Θεοῦ, ἡ ζωὴ τῶν ἁπάντων, ἡ χαρὰ τῶν Ἀγγέλων, τὸ ἄρρητον φῶς, ἡ ἀνάστασις τῶν νεκρῶν, ὁ ποιμὴν ὁ καλὸς ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων. ὑμνῶ σου τὴν μεταμόρφωσιν, τὴν σταύρωσιν, τὴν ταφὴν, καὶ τὴν ἀνάστασιν, τὴν ἀνάληψιν, καὶ τὴν ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ Πατρὸς καθέδραν. τὴν ἐπιδημίαν τοῦ Ἁγίου Πνεύματος, καὶ τὴν δευτέραν παρουσίαν τὴν σὴν μετὰ δυνάμεως, καὶ δόξης πολλῆς, καὶ ἀκαταλήπτου. ἐπτόησα· Κύριέ μου· ἐναντίον τῶν θαυμασίων σου, καὶ πρὸς τὴν σιωπὴν ἐξ ἀπορίας φεύγειν βούλομαι· ἀλλὰ τί ποιῆσαι οὐκ οἶδα· ὅτι ἐὰν μὲν σιωπήσω, ἐκπλήττομαι. ἐὰν δὲ τολμήσω εἰπεῖν τι, ἀπορῶ καὶ ἐξίσταμαι. ἀνάξιον ἐμαυτὸν ἡγοῦμαι τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ ἄξιον πάσης κολάσεως. οὐ μόνον διότι ἥμαρτον, ἀλλὰ πολλῷ μᾶλλον διότι εὐηργετήθην, ἀχάριστος ὢν ὁ ἄθλιος. ἐνέπλησας γάρ μου τὴν ψυχὴν παντὸς ἀγαθοῦ· ὑπεράγαθε Κύριε. κατενόησα τὰ ἔργα σου ἐκ μέρους, καὶ ἐξέστη μου ἡ διάνοια. εἰς οὐδὲν ὅλως γέγονα, μόνα τὰ σὰ βλέπων· Δέσποτα· πλὴν οὐκ ἐμὴ ἡ γνῶσις, οὐδὲ ἡ ἐργασία, ἀλλὰ σοῦ ἡ χάρις. διὰ τοῦτο τίθημι χεῖρα ἐπὶ στόματός, ὡς ποτὲ ὁ Ἰὼβ, καὶ πρὸς τοὺς ἁγίους καταφεύγω ἐξ ἀπορίας ὁ ἄθλιος. Δέσποινα τοῦ κόσμου ἀγαθὴ, σὺ οἶδας ὅτι οὐκ ἔχομεν παῤῥησίαν οἱ ἁμαρτωλοὶ, πρὸς ὃν ἔτεκες Θεόν. ἀλλ' εἰς σὲ θαῤῥοῦντες οἱ δοῦλοί σου, προσπίπτομεν τῷ δεσπότῃ διὰ σοῦ, ὡς ἔχουσα παῤῥησίαν πρὸς αὐτὸν, ὡς υἱόν σου καὶ Θεὸν ἡμῶν. τούτῳ πείθομαι κἀγὼ ὁ ἀνάξιος πιστεύων, παρακαλῶ σε Δέσποινα, ἵνα μοι δωρήσηται αἴσθησιν τῶν σῶν χαρισμάτων, καὶ τῶν λοιπῶν ἁγίων. καὶ πῶς τοσαύτας ἀρετὰς ἀπεδείξασθε· καὶ σοῦ μὲν αὐτὸ τοῦτο μόνον, τὸ γεννηθῆναι τὸν υἱὸν τοῦ Θεοῦ ἐκ σοῦ, ὑπερτέραν πάντων οὖσαν τῶν ὄντων ἐμαρτύρησεν. εὗρε γάρ σε δοχεῖον ἄξιον τῆς αὐτοῦ κατοικίας ὁ γινώσκων τὰ πάντα πρὶν γενέσθαι, ὡς ποιητὴς ἁπάντων. καὶ οὐδεὶς δύναται περὶ τῶν σῶν ἐρωτᾷν, ὑπὲρ φύσιν ὄντων, ὑπὲρ νοῦν τε, καὶ ἔννοιαν. Κυρίως Θεοτόκον σὲ ὁμολογοῦμεν οἱ διὰ σοῦ σεσωσμένοι Παρθένε ἁγνὴ, σὺν ἀσωμάτοις χορείαις σὲ μεγαλύνοντες. διότι· Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα. διὰ σοῦ δὲ πανάγνε ὡράθη βροτοῖς λόγος σεσαρκωμένος, ὃν μεγαλύνοντες σὺν ταῖς οὐρανίαις στρατιαῖς σὲ μακαρίζομεν. καὶ, Τί σε καλέσωμεν ὦ κεχαριτωμένη; οὐρανὸν, ὅτι καὶ τὰ ἑξῆς. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. σὲ ἱκετεύομεν πρέσβευε ἔνδοξε μετὰ τῶν Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν, τῶν ὀρθοδόξως Θεοτόκον ὁμολογούντων, καὶ μακαριζόντων σε τὴν ἀειμακάριστον, ὡς προέφης, Δέσποινα. καὶ γὰρ πᾶσαι αἱ γενεαὶ σε μακαρίζομεν τὴν μόνην Θεοτόκον, τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ραν ἀσυγκρίτως καὶ τὰ ἑξῆς. Ἀλλὰ μὴ δυνάμενος τὰ σὰ κατανοεῖν, τὰ τῶν λοιπῶν ἁγίων θαυμάζων ἐρῶ. Πῶς διῆγες ὦ Βαπτιστὰ, καὶ Πρόδρομε τοῦ Κυρίου ἐν τῇ ἐρήμῳ; καὶ τίσε καλέσωμεν Προφήτην; Ἄγγελον, Ἀπόστολον, ἢ Μάρτυρα; Ἄγγελον, ὅτι ὡς ἀσώματος διῆλθες. Ἀπόστολον, ὅτι ἐσαγήνευσας τὰ ἔθνη. Μάρτυρα δὲ, ὅτι σοῦ ἡ κεφαλὴ ὑπὲρ Χριστοῦ ἐτμήθη, αὐτὸν ἱκέτευε σωθῆναι, τὰς ψυχὰς ἡμῶν. φησὶ μὲν ὁ Σολομών. Μνήμη δικαίου, μετ᾽ ἐγκωμίων. σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου, Πρόδρομε, ἀνεδείχθης γὰρ ὄντως καὶ τὰ ἑξῆς. Ἅγιοι Ἀπόστολοι, καὶ Μαθηταὶ τοῦ Σωτῆρος, μυστηρίων αὐτόπται γενόμενοι, τὸν μὴ θεωρούμενον, καὶ ἀρχὴν μὴ ἔχοντα ἐκηρύξατε λέγοντες, ἐν ἀρχῇ ἦν ὁ Λόγος. οὐκ ἐκτίσθητε πρὸ τῶν Ἀγγέλων, οὐκ ἐμάθετε παρὰ ἀνθρώπων, ἀλλ᾽ ἐκ τῆς ἄνωθεν σοφίας. διὸ παῤῥησίαν ἔχοντες, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν δεόμεθα. Θαυμάζω δὲ ὑμῶν τὴν θεοφίλειαν ὥς φησιν εἰς τὰ ἀρχαῖα βοτάρια. Κύριε σὲ εἰλικρινῶς ἐπὶ τῆς γῆς οἱ Ἀπόστολοι ποθήσαντες, σκύβαλα ἡγήσαντο πάντα, ἵνα σὲ μόνον κερδήσωσι, καὶ ὑπὲρ σοῦ αἰκισμοῖς τὰ σώματα παρέδωκαν. διὰ τοῦτο δοξασθέντες, πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ πῶς ἄνθρωποι ὄντες, ὡς ἡμεῖς, καὶ σάρκα φοροῦντες πηλίνην, τοσαύτας ἀρετὰς ἐπεδείξασθε, ὥστε ὑπὲρ τῶν ἀποκτεινόντων ὑμᾶς, θάνατον ὑπεμείνατε; καὶ πῶς οἱ ὀλίγοι ὅλου τοῦ κόσμου περιεγένεσθε; καὶ ἰδιῶται, καὶ ἀγράμματοι τοὺς βασιλεῖς, καὶ δυνάστας ἐνικήσατε; καὶ ταῦτα ἄοπλοι, καὶ γυμνοί, καὶ δι᾽ ἐκείνων, τοὺς ἀοράτους δαίμονας· οἱ πτωχοί, καὶ ἀσθένειαν σαρκὸς περικείμενοι. καὶ τί μὲν ἦν ἡ τοιαύτη δύναμις, μᾶλλον δὲ πίστις, διὰ τῆς τοῦ Ἁγίου Πνεύματος δύναμιν ἐλάβετε, ὑμεῖς τε καὶ οἱ Ἅγιοι Μάρτυρες οἱ καλῶς ἀθλήσαντες καὶ στεφανωθέντες; πρεσβεύσατε πρὸς Κύριον ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Ἀπόστολοι, Μάρτυρες, καὶ Προφῆται, Ἱεράρχαι, Ὅσιοι καὶ τὰ ἑξῆς. Καὶ τίς οὐκ ἐξίσταται ὁρῶν· Ἅγιοι Μάρτυρες· τὸν ἀγῶνα τὸν καλὸν ὃν ἠγωνίσασθε; πῶς ἐν σώματι ὄντες, τὸν ἀσώματον ἐχθρὸν ἐνικήσατε; Χριστὸν ὁμολογήσαντες, καὶ σταυρῷ ὁπλισάμενοι. ὅθεν ἐπαξίως ἀνεδείχθητε δαιμόνων φυγαδευταί, καὶ βαρβάρων πολέμιοι. ἀπαύστως πρεσβεύσατε σωθῆναι τὰς ψυχὰς ἡμῶν. ὥσπερ γὰρ οἱ πρὸ ὑμῶν τρεῖς Παῖδες, οὐκ ἐλπίδι μισθῶν τοὺς ἄθλους ὑπεμείνατε, ἀλλ᾽ ἀγάπης θείας ἕνεκα, ὡς αὐτοὶ εἰρήκατε. ἐὰν καὶ μὴ ῥύεται ἡμᾶς δηλαδὴ οὐδ᾽ οὕτως αὐτὸν ἀρνησόμεθα, ὡς μὴ ῥυόμενον. Θαυμάζω δὲ τὴν ὑμῶν ἄκραν ταπείνωσιν ἅγιοι τρεῖς Παῖδες, ὅτι ἀπορεῖν πρὸς εὐχαριστίαν, ἐν μέσῳ τῆς φλογὸς ὄντες εἰρήκατε. καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων, καὶ Προφήτης, καὶ ἡγούμενος καὶ τὰ ἑξῆς· ἀλλ᾽ ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως. Θαυμάζω δὲ καὶ τὴν δύναμιν τοῦ Θεοῦ τὴν γενομένην εἰς ὑμᾶς, καὶ εἰς Ἠλίαν τὸν Προφήτην, ὥς φησιν, ὁ Δαμασκηνός. Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας, καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας, ἅπαντα γὰρ δρᾷς· Χριστέ· μόνῳ τῷ βούλεσθαι. ἀλλὰ ποῖα κατανοήσω πρῶτον; τὴν τοῦ Ἁγίου Εὐαγγελίου πραγματείαν; ἢ τῶν Ἁγίων Ἀποστόλων τὰς πράξεις; τῶν Ἁγίων Μαρτύρων τοὺς ἄθλους, ἢ τῶν Ἁγίων Πατέρων τοὺς ἀγῶνας; τῶν παλαιῶν, ἢ τῶν νέων Ἁγίων ἀνδρῶν τε, καὶ γυναικῶν; τοὺς πάντων βίους τε, καὶ λόγους; ἢ τὰς ἑρμηνείας καὶ διαιρέσεις αὐτῶν; ἀπορῶ καὶ ἐξίσταμαι.

Ἀλλὰ δέομαί σου· Κύριε φιλάνθρωπε· τοῦ μὴ ἔσεσθαι ταῦτα πρὸς κατάκρι-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σιν με γενέσθαι, διὰ τὸ ἀνάξιον τὸ ἐμόν, καὶ τὸν ἀχάριστόν μου τρόπον, ἐν τῷ κατανοῆσαί με τοσαῦτα μυστήρια, ἅπερ τοῖς ἁγίοις σου ἀπεκάλυψας, καὶ δι' ἐκείνων ἐμοὶ τῷ ἁμαρτωλῷ, καὶ ἀναξίῳ δούλῳ σου. ἰδοὺ γὰρ δέσποτα· ὁ δοῦλός σου ἐνώπιόν σου ἀργὸς ἐκ πάντων, καὶ ἄφωνος, νεκροῦ δίκην ἐπέχων, καὶ οὐ* τολμᾷ ἄλλο τι εἰπεῖν, ἢ ἀναιδῶς κατανοῆσαι, ἀλλὰ συνήθως προσπίπτω ἐκ βάθους ψυχῆς κράζων, καὶ λέγων. Δέσποτα πολυέλεε, καὶ τὸ ἐπίλοιπον τῆς εὐχῆς. Τήν τε ἑτέραν εὐχήν, καὶ τοὺς ψαλμοὺς ἐπιμελεῖσθαι δεῖ ἐν φυλακῇ τῶν ἠθῶν τῆς ψυχῆς, καὶ τοῦ σώματος, ἵνα ἔλθῃ εἰς ἕξιν τῶν θείων νοημάτων. ὥστε πάντα τὰ ἐν ταῖς θείαις γραφαῖς κείμενα μυστήρια, καὶ ἐξαίσια πράγματα ἐν αἰσθήσει πολλῇ κατανοεῖν δυνηθῇ, καὶ ἐκπληττόμενος τὰς τοῦ Θεοῦ δωρεάς, φθάσῃ εἰς τὸ ἀγαπᾷν αὐτὸν μόνον, καὶ μετὰ χαρᾶς ὑπὲρ αὐτοῦ πάσχειν, ὥσπερ οἱ Ἅγιοι πάντες· καὶ γὰρ πᾶσαν ἔκπληξιν γέμουσιν αἱ θεῖαι γραφαί, ὥς φησιν ὁ Σολομών.

* ἴσ. τολμῶ

Μετὰ τῶν ἄλλων θαυμασίων, καὶ περὶ τοῦ Μάννα θαυμάζω τοῦ Θεοῦ τὴν δύναμιν, ὅτι τὸ αὐτὸ εἶδος μέχρι τῆς αὔριον οὐκ ἐφυλάττετο, ἀλλ' ἐλύετο, καὶ σκωλήκων μεστὸν εὑρίσκετο, ἵνα μὴ οἱ ἄπιστοι περὶ τῆς αὔριον μεριμνῶσιν, ἐν δὲ τῇ στάμνῳ τῇ οὔσῃ ἐν τῇ σκηνῇ, ἀβλαβὲς ὑπῆρχεν ἀείποτε. καὶ πάλιν. ὑπὸ μὲν πυρὸς ὀπτώμενον ἔμενεν ἄκαυστον, ὑπὸ δὲ ἀμυδρᾶς ἀκτῖνος ἡλίου ἐλύετο, ἵνα μὴ οἱ ἄπληστοι ὑπὲρ ἀναγκαίαν χρείαν συνάγωσιν. ὢ τοῦ θαύματος, πῶς πανταχοῦ ὁ Θεὸς τὴν τῶν ἀνθρώπων σωτηρίαν ἐργάζεται, ὥς φησιν ὁ Κύριος, περὶ τῆς θείας προνοίας. ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. ὁ οὖν εἰς αὐτὸ τοῦτο σχολάζων τῷ Θεῷ, διδάσκεται μὲν ὑπὸ τῶν θείων γραφῶν αἰσθητῶς, ὑπὸ δὲ τῆς προνοίας τοῦ Θεοῦ νοερῶς. ἄρχεται δὲ βλέπειν τὰ πράγματα τῇ φύσει, ὥς φησι Γρηγόριός τε ὁ Νύσσης, καὶ ὁ Δαμασκηνός, καὶ οὐκ ἔτι κλέπτεται ὑπὸ τῆς ἔξωθεν ὡραιότητος τῶν πραγμάτων τοῦ κόσμου τούτου, λέγω δὲ κάλλους, πλούτου, δόξης παρερχομένης, καὶ τῶν τοιούτων, οὐδὲ δελεάζεται ἐκ τοῦ κειμένου ἐπ' αὐτοῖς σκιάσματος, ὡς οἱ ἔτι ἐμπαθεῖς.

## Περὶ τῆς πέμπτης Γνώσεως.

ΕΚ γὰρ τῆς αὐτῆς πέμπτης γνώσεως, τῆς λεγομένης βουλῆς, κατὰ τὸν Προφήτην, γινώσκει τις, ὡς εἴρηται εἰς τὸ τέλος τῶν μακαρισμῶν, τὴν φύσιν, καὶ τὴν ἀλλοίωσιν τῶν αἰσθητῶν κτισμάτων, ὅτι ἐκ τῆς γῆς εἰσι, καὶ πάλιν εἰς τὴν γῆν στρέφονται. κατὰ τὸ ῥητὸν τοῦ Ἐκκλησιαστοῦ, Ματαιότης ματαιοτήτων τὰ πάντα ματαιότης. καὶ ὁ Δαμασκηνὸς τὸ αὐτό. Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον· οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα, ἐπελθὼν γὰρ ὁ θάνατος, ταῦτα πάντα ἐξηφάνισται. καὶ πάλιν. Ἀληθῶς ματαιότης τὰ σύμπαντα, ὁ δὲ βίος σκιά, καὶ ἐνύπνιον, καὶ γὰρ μάτην ταράττεται πᾶς γηγενής, ὡς εἶπεν ἡ γραφή. ὅτε τὸν κόσμον κερδήσωμεν, τότε τῷ τάφῳ οἰκήσομεν, ὅπου ὁμοῦ βασιλεῖς καὶ πτωχοί.



Athos Library Αγιορειτική Βιβλιοθήκη

## Περὶ τῆς ἕκτης γνώσεως.

Καὶ ὁ νοῦς ἔξω γινόμενος τῆς προπαθείας, δίδοται αὐτῷ ἡ ἕκτη γνῶσις, ἡ λεγομένη ἰσχύς, καὶ ἄρχεται ἀπαθῶς βλέπειν τὰ κάλλη τῶν κτισμάτων τῶν αἰσθητῶν. διότι τρεῖς καταστάσεις εἰσὶ πάντες οἱ λογισμοί, ὅ, τε ἀνθρώπινος, ὁ δαιμονιώδης, καὶ ὁ Ἀγγελικός. Καὶ ὁ μὲν ἀνθρώπινος, ὡς ὅταν ἀναβῇ ἐπὶ τὴν καρδίαν ἔννοια ψιλὴ τινὸς τῶν κτισμάτων, οἷον ἀνήρ, χρυσός, καὶ εἴτι ἄλλο τῶν αἰσθητῶν κτισμάτων. ὁ δὲ δαιμονιώδης γίνεται συνθέτως ἀπὸ νοήματος, καὶ πάθους. οἷον τὸν μὲν ἄνθρωπον, ἢ πρὸς φιλίαν ἄλογον, ἤτοι χάριν μὴ διὰ τὸν Θεὸν γινομένην, πρὸς φίλον, ἀλλ' ἢ διὰ πορνείαν. ἢ πάλιν, πρὸς μῖσος ἄκριτον, τοῦτ' ἔστι μνησικακίαν, ἢ μέμψιν τινός. τὸν δὲ χρυσὸν ὁμοίως πρὸς φιλαργυρίαν, ἢ κλοπήν, ἁρπαγήν τε, καὶ εἴτι τῶν τοιούτων, ἢ πρὸς μῖσος, καὶ βλασφημίαν κατὰ τῶν ἔργων τοῦ Θεοῦ, ἵν' ἐξ ἀμφοτέρων τὴν ἀπώλειαν ἐργάσηται. Ἐπειδὴ ἐὰν οὐκ ἀναλόγως τὰ πράγματα φιλῶμεν, καὶ ταῦτα τῆς ἀγάπης τοῦ Θεοῦ προτιμῶμεν, οὐδὲν τῶν εἰδωλολατρούντων διενηνόχαμεν, φησὶν ὁ Ἅγιος Μάξιμος. καὶ πάλιν. ἐὰν μισῶμεν αὐτά, ὡς μὴ καλὰ λίαν γινόμενα, τὸν Θεὸν παροργίζομεν. ὁ δὲ Ἀγγελικός, ἡ ἀπαθὴς θεωρία ἐστὶ τῶν πραγμάτων, ἤτοι, ἡ ἀληθὴς γνῶσις. ἥτις ἐστὶν ἡ μέση τῶν ἀμφοτέρων κρημνῶν, ἡ φυλάττουσα τὸν νοῦν, καὶ χωρίζουσα τὸν ὀρθὸν σκοπὸν ἐκ τῶν περικυκλούντων αὐτὸν ἓξ παγίδων τοῦ διαβόλου. λέγω δὴ τῆς ἄνωθεν, καὶ κάτω, τῆς ἐκ δεξιῶν τε, καὶ ἀριστερῶν, τῆς τε ἔσωθεν, καὶ ἔξωθεν τοῦ ὀρθοῦ σκοποῦ. τοῦτ' ἔστιν ἡ μέσον τῶν εἰρημένων ἓξ παγίδων ἱσταμένη, ὥσπερ κέντρον, ἀληθὴς γνῶσις. ἡ παρὰ τοῖς ἐπιγείοις Ἀγγέλοις διδασκομένη τοῖς νεκρώσασιν ἑαυτοὺς τῷ κόσμῳ, ἵνα ἀπαθὴς ὁ νοῦς γένηται, πρὸς τὸ βλέπειν τὰ πράγματα ὡς δεῖ. καὶ μήτε ἄνωθεν τοῦ ὀρθοῦ σκοποῦ ὑπερβῇ, διὰ τῆς ἐπάρσεως, δοκοῦντι καταλαμβάνειν ἐξ ἰδίας φρονήσεως. μήτε πάλιν κάτω, διὰ τῆς ἀγνωσίας, ὡς μὴ δυνάμενος φθάσαι τὸ τέλειον. μήτε δεξιά, διὰ τῆς ἀποστροφῆς τῶν πραγμάτων, καὶ μίσους. μήτε ἀριστερά, διὰ τῆς ἀλόγου φιλίας, ἤτοι προπαθείας. μήτε πάλιν ἔσωθεν τοῦ ὀρθοῦ σκοποῦ, διὰ τῆς καθόλου ἀγνωσίας καὶ ὀκνηρίας. μήτε ἔξωθεν, διὰ πολυπραγμοσύνης καὶ σπουδῆς ἀλόγου ἐξ ὀλιγωρίας, ἢ πονηρίας. ἀλλὰ τὴν γνῶσιν μεθ' ὑπομονῆς τε, καὶ ταπεινοφροσύνης, καὶ ἐλπίδος ἀγαθῆς, ἐκ πίστεως βεβαίας δέχεσθαι. ἵνα * τὸ μὲν γνῶναί τι ἐκ μέρους, πρὸς ἔρωτα θεῖον ἀνάγηται. διὰ τὸ ἀγνοεῖν ἐν γνώσει ἐξ ἀπορίας, ταπεινοφροσύνην κτήσηται, καὶ διὰ τῆς ἐπιμονῆς ἐλπίδος τε καὶ πίστεως, τὸν σκοπὸν ἐπιτύχῃ τοῦ ζητουμένου πράγματος. καὶ μήτε τι ὅλως μισῶν ὡς κακόν, μήτε πάλιν ἀλόγως φιλῶν. ἀλλὰ τὸν ἄνθρωπον κατανοῇ πρὸς τὸ θαυμάζειν πῶς εἰκών ἐστιν ὁ νοῦς τοῦ ἀοράτου Θεοῦ ἀόριστος; εἰ καὶ ὑπὸ τοῦ σώματος τέως ὁρίζεται, φησὶν ὁ μέγας Βασίλειος, καὶ πῶς φθάνει μέχρι περάτων τοῦ χήματος, ὡς ὁ Θεὸς τὸν κόσμον προνοῶν. καὶ γὰρ ὁ νοῦς εἰς πᾶν πρᾶγμα μετασχηματίζεται, καὶ βάπτεται πρὸς τὸ εἶδος τοῦ ἀναλαμβανομένου παρ' αὐτοῦ πράγματος. ὅταν δὲ καταξιωθῇ ἐν τῷ ἀνειδέῳ, καὶ ἀσχηματίστῳ Θεῷ γενέσθαι, τότε ἀνείδεος γίνεται, καὶ ἀσχημάτιστος.

Ἔπειτα θαυμάζει πῶς πᾶσαν ἔννοιαν φυλάττειν δύναται ὁ αὐτός, καὶ οὐ-

* ἴσ. διὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δὲ τὰ ἔσχατα τῶν νοημάτων τὰ πρῶτα ἀλλοιῶσαι δύνανται. οὐδὲ πάλιν τὰ πρῶτα νοήματα, τὰ ἔσχατα παραβλάψαι ὅλως. ἀλλ' ὥσπερ θησαυρὸν ἡ διάνοια πάντα κατέχουσα ἀληθαργήτως. καὶ βουλόμενος ὁ νοῦς διὰ τῆς γλώττης ἐμφανίζει τὰ λογιζόμενα οὐ μόνον τὰ πρόσφατα, ἀλλὰ καὶ τὰ πρὸ πολλοῦ τεθησαυρισμένα; καὶ πῶς πάλιν διερχόμενα ἀεὶ τὰ λόγια, ὁ αὐτὸς νοῦς ἀνελλιπὴς εὑρίσκεται; καὶ πάλιν κατανοῶν τὸ σῶμα, πῶς οἱ ὀφθαλμοί, ἀκοαί τε, καὶ ἡ γλῶσσα δέχονται ἔξωθεν τὴν χρῆσιν πρὸς τὸ βούλημα τῆς ψυχῆς. οἱ μὲν διὰ τοῦ φωτός, αἱ δὲ διὰ τοῦ ἀέρος. καὶ οὐδεμία τῶν αἰσθήσεων τὴν ἑτέραν παρεμποδίζει, ἢ παρὰ τὸν σκοπὸν τῆς ψυχῆς δύναται ποιεῖν τι. καὶ πῶς τὸ ἄψυχον σῶμα τῇ τοῦ Θεοῦ κελεύσει ἀναμὶξ ἐγένετο τῇ νοερᾷ καὶ λογικῇ ψυχῇ, ἥτις ὑπὸ τοῦ Ἁγίου Πνεύματος ἐδημιουργήθη, ὥς φησιν ὁ Δαμασκηνός, διὰ τοῦ ἐμφυσήματος. εἰ καί τινες ταῦτα ἀγνοοῦσιν, δοκοῦντες ὅτι ἐκ τῆς ὑπερουσίου Θεότητός ἐστιν, ὅπερ ἀμήχανον. φησὶ γὰρ ὁ Χρυσόστομος, ἵνα μὴ Θεὸν ὁ ἀνθρώπινος νοῦς λογίζηται ἑαυτόν, λήθην, καὶ ἄγνοιαν, ὁ Θεὸς αὐτῷ καθυπέβαλεν, ἵνα ἐκ τούτου ταπείνωσιν κτήσηται. καὶ πάλιν· βουλομένου τοῦ δημιουργοῦ, τὴν φυσικὴν ταύτην μίξιν ποιεῖν τὸν χωρισμόν. καὶ ἡ μὲν λογικὴ ψυχή, ὥς φησιν ὁ τῆς Κλίμακος, ἢ ἄνω εἰς τὸν οὐρανὸν δηλαδή, ἢ κάτω εἰς τὸν ᾅδην, φεῦ, ἀπέρχεται. Τὸ δὲ γεῶδες σῶμα εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη, στρέφεται. καὶ πάλιν, τῇ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ χάριτι, τὰ διεστῶτα ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ συνάπτονται, ἵνα ἕκαστος ἡμῶν ἀπολάβῃ κατὰ τὰ ἔργα αὐτοῦ. ὢ τοῦ θαύματος. τίς τὸ μυστήριον τοῦτο μικρὸν ἡγεῖται, καὶ οὐκ ἐκπλήττεται; ὅτι τὸν ἄνθρωπον ἐγείρει πάλιν ἐκ τῆς γῆς μετὰ τοσοῦτα δεινά, ἅπερ ἔπραξε, καταφρονήσας αὐτοῦ τὰς ἐντολάς. καὶ ἀθανασίαν χαρίζεται, ἣν εἶχε τὸ πρίν, καὶ οὐκ ἐφύλαξε τὴν φυλάττουσαν αὐτὸν ἐντολὴν ἐκ τοῦ θανάτου καὶ τῆς φθορᾶς. ἀλλὰ τραχηλιάσαντα τὸν θάνατον ἐπεσπάσατο.

Θαυμάζων τοίνυν ταῦτα πάντα περὶ τοῦ ἀνθρώπου, ὑπὸ ἀγγελικῆς κινήσεως νοερῶς διδασκόμενος ὁ ἄνθρωπος, καὶ ἄλλα πολλά, ἐκπλήττεται, καὶ πάλιν θεωρεῖ τοῦ χρυσοῦ τὸ κάλλος, καὶ τὴν χρῆσιν, καὶ θαυμάζει πῶς ἐκ τῆς γῆς τοιοῦτος ἐγένετο δι' ἡμᾶς. ἵνα οἱ μὲν ἀσθενεῖς διὰ τῆς ἐλεημοσύνης ἀναλίσκωσι τὰ χρήματα. καὶ οἱ τοῦτο μὴ βουληθέντες, ἴσως διὰ πειρασμῶν τινων ἄκοντες βοηθήσονται εἰς τὸ σωθῆναι, εἴγε εὐχαρίστως ὑπομένωσι τὰ ἐπερχόμενα, καὶ σώζονται ἀμφότεροι. οἱ δὲ τὴν ἀκτημοσύνην προτιμῶντες, στεφανωθήσονται, ὡς ὑπὲρ φύσιν ποιοῦντες, καθὼς καὶ οἱ Παρθενίαν ἀσκοῦντες. καὶ ὡς μὲν φθαρτόν, καὶ γήϊνον πρᾶγμα, οὐ προτιμᾷ τοῦτο τῆς ἐντολῆς τοῦ Θεοῦ. ὡς δὲ ποίημα Θεοῦ, καὶ χρήσιμον εἰς τὸ ζῆσαι σωματικῶς, καὶ σωθῆναι οὐ μίσους ἄξιον, ἀλλ' ἐγκρατείας, καὶ ἀγάπης. καὶ ἁπλῶς παντὸς πράγματος τὸ κάλλος, καὶ τὴν χρῆσιν ἀπαθῶς θεωρῶν ὁ φωτιζόμενος, ποθεῖ τὸν ποιητήν. καὶ κατανοῶν τὰ αἰσθητὰ πάντα, τὰ ἄνω τε, καὶ κάτω κτίσματα, λέγω δὴ τὸν οὐρανόν, τὸν ἥλιον, τὴν σελήνην, τὰ ἄστρα, τὰ νέφη, τοὺς σίφωνας, τοὺς ὄμβρους, τὴν χιόνα, τὴν χάλαζαν. καὶ πῶς ἐν καύσωνι τοσούτῳ πήξει τὸ ὕδωρ; εἶτα τὰς βροντάς, τὰς ἀστραπάς, τοὺς ἀνέμους, τὸν ἀέρα, καὶ τὴν τούτων ἐναλλαγήν, τοὺς καιρούς, τοὺς ἐνιαυτούς, τὰς ἡμέρας, τὰς νύκτας, τὰς ὥρας, τὰς στιγμάς, τὴν γῆν, τὴν θάλασσαν, τὰ ἀμέτρητα κτήνη, τὰ τετράποδα ζῶα, θηρία καὶ ἑρπετά, τῶν πετεινῶν τὰ πολλὰ γένη, τὰς πηγάς, καὶ ποταμούς. τῶν φυτῶν καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

βοτάνων τὰ ἄπειρα γένη, τά τε ἥμερα, καὶ ἄγρια. ὁρᾷ γὰρ ἐν πᾶσι τὴν τάξιν, τὴν κατάστασιν, τὰ μεγέθη, τὰ κάλλη, τὸν ῥυθμὸν, τὴν συνάφειαν, τὴν ἁρμονίαν, τὴν χρῆσιν, τὴν ὁμόνοιαν, τὴν ποικιλίαν, τὴν τέρψιν, τὴν στάσιν, τὴν κίνησιν, τὰς χροιὰς, τὰ σχήματα, τὰ εἴδη, τὴν εἰς αὐτὰ πάλιν ἐπιστροφὴν, τὴν ἐν φθαρτοῖς διαμονήν. καὶ ἁπλῶς πάντα τὰ αἰσθητὰ κτίσματα κατὰ νοῦν ἐπιφέρων, ἐκπλήττεται μὲν θαυμάζων τὸν δημιουργὸν, πῶς ἐκ μὴ ὄντων, κελεύσει μόνῃ, παρήγαγε τὰ τέσσαρα στοιχεῖα. καὶ πῶς τὰ ἐναντία ὄντα τῇ τοῦ Θεοῦ σοφίᾳ ὑπ' ἀλλήλων οὐ λυμαίνονται; καὶ πῶς ἐκ τούτων τὰ πάντα ἐποίησε δι' ἡμᾶς, καὶ ταῦτα μικρὰ ὄντα πρὸς τὴν συγκατάβασιν τοῦ Χριστοῦ, κατὰ τὸν Θεολόγον, καὶ πρὸς τὰ μέλλοντα ἀγαθά. κατανοῶν δὲ τὴν κεκρυμμένην τοῦ Θεοῦ ἐν τοῖς κτίσμασιν ἀγαθότητα, καὶ σοφίαν, δύναμίν τε, καὶ πρόνοιαν, ὡς αὐτὸς ἔφη πρὸς τὸν Ἰὼβ διὰ τῶν τεχνῶν. ἔπειτα τὴν ἐν λόγοις, καὶ γράμμασι, πῶς διὰ τοῦ μικροῦ τύπου, καὶ ἀψύχου μέλανος τοσαῦτα, καὶ τηλικαῦτα μυστήρια ἀπεκάλυψεν ἡμῖν διὰ τῶν Ἁγίων γραφῶν. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι οἱ μὲν Ἅγιοι Προφῆται, καὶ Ἀπόστολοι μετὰ πολλοῦ κόπου, καὶ ἀγάπης τῆς πρὸς τὸν Θεὸν τῶν τοσούτων ἐπέτυχον ἀγαθῶν, ἡμᾶς δὲ ἐκ μόνης ἀναγνώσεως μανθάνομεν. ὡς γὰρ λογικαὶ γραφαὶ * λαλοῦσιν ἡμῖν παραδοξότατα. καὶ ταῦτα γινώσκων πιστεύει, ὅτι οὐκ ἔστιν ἐν τῇ κτίσει τι πάρεργον, οὐδὲ κακόν. ἀλλὰ τὰ παρὰ τὸ θεῖον θέλημα γινόμενα, εἰς ἀγαθὰ μεταποιεῖ ὁ Θεὸς θαυμασίως. οἷον ἡ πτῶσις τοῦ διαβόλου, θέλημα Θεοῦ οὐκ ἦν, ἀλλ' ἰδοὺ πρὸς ὠφέλειαν τῶν σωζομένων γέγονε. παραχωρούμενος γὰρ εἰς τὸ πειράζειν τοὺς προαιρουμένους, πρὸς τὴν ἑκάστου δύναμιν, ὥς φησιν ὁ Ἅγιος Ἰσαὰκ, ἵνα ἐμπαίζηται ὑπὸ τῶν ἰσαγγέλων ἀνθρώπων. καὶ νικᾶται τῇ τοῦ Θεοῦ συνεργείᾳ οὐ μόνον ὑπὸ τῶν ἀνδρῶν, ἀλλὰ καὶ γυναικῶν πλείστων, δι' ὑπομονῆς τε καὶ πίστεως πρὸς τὸν ἀγωνοθέτην, ἐξ οὗ τοὺς στεφάνους τῆς ἀφθαρσίας λαμβάνουσι τῇ αὐτοῦ χάριτι, καὶ φιλανθρωπίᾳ. Ἐπεὶ αὐτός ἐστιν ὁ νικήσας, καὶ νικῶν τὸν ἀναίσχυντον ὄφιν, καὶ ἀνθρωποκτόνον. καὶ ὁ μὲν λαβὼν χάρισμα γνώσεως πνευματικῆς, γινώσκει ὅτι πάντα καλὰ λίαν. ὁ δὲ ἔτι ἀρχὴν ἔχων θεογνωσίας; ὀφείλει γινώσκειν ἐν ταπεινώσει, ὅτι ἀγνοεῖ, εἰς πᾶν πρᾶγμα, λέγων οὐκ οἶδα, ὥς φησιν ὁ Χρυσόστομος. ἔφη γὰρ, ἐάν τις εἴπῃ περὶ τοῦ ὕψους τοῦ οὐρανοῦ, ὅτι πόσον ἐστὶ, κἀγὼ εἴποιμι, οὐκ οἶδα, πάντως ἐγὼ τὴν ἀλήθειαν εἶπον. κἂν ἐκεῖνος πλανᾶται δοκῶν εἰδέναι, ἢ μὴ εἶδεν ὡς δεῖ, κατὰ τὸν Ἀπόστολον. διὰ τοῦτο ὀφείλομεν ἐκ πίστεως βεβαίας καὶ ἐρωτήσεως τῶν ἐμπείρων δέχεσθαι τὰ τῆς Ἐκκλησίας δόγματα, καὶ τὰς τῶν διδασκάλων διακρίσεις, περί τε τῶν θείων γραφῶν, καὶ περὶ αἰσθητῶν, καὶ νοητῶν κτισμάτων, ἵνα μὴ τῇ ἑαυτῶν συνέσει στοιχοῦντες, πίπτωμεν ταχέως, ὥς φησιν ὁ Ἅγιος Δωρόθεος. ἀλλ' ἐν πᾶσιν εὑρεῖν τὴν ἰδίαν ἀγνωσίαν ὀφείλομεν. ἵνα ζητῶν τις καὶ ἀπιστῶν τὰ οἰκεῖα νοήματα, ποθῇ τοῦ μαθεῖν. καὶ εὐπορήσας ἐν γνώσει πολλῇ, γινώσκῃ τὴν ἰδίαν ἀγνωσίαν ἐκ τῆς τοῦ Θεοῦ ἀπείρου σοφίας. πᾶς γὰρ· φησι· νοερὸς, νοερῶς πάντως αἴσθησιν δέχεται, ὅσον καθαίρῃ ἑαυτὸν τῷ Θεῷ, κατὰ τὸν Θεολόγον· πλὴν ὀφείλομεν πρὸς μείζονα φόβον ἔχειν τὴν γνῶσιν, μήπως εὑρεθῇ ἓν δόγμα πονηρὸν κεκρυμμένον ἐν τῇ ψυχῇ, δυνάμενον ἀπολέσαι αὐτὴν ἐκτὸς ἄλλης ἁμαρτίας, φησὶν ὁ Μέγας Βασίλειος. διὰ τοῦτο οὐ χρὴ ἀπὸ ὀλιγωρίας, ἢ κενοδόξου προθυμίας εἰς τὴν θεωρίαν ταύτην πρὸ καιροῦ τρέχειν. ἀλλὰ κατὰ τάξιν

* ἴσ. αἱ γραφαὶ



Athos Library
Αγιορειτικη Βιβλιοθηκη

τὰς ἐντολὰς τοῦ Χριστοῦ, καὶ τὰς προειρημένας θεωρίας ἐργαζόμενος ἀμετεωρίστως. καὶ διὰ τῆς ὑπομονῆς, καὶ δακρύων πολλῶν τῶν τοῦ φόβου, καὶ τοῦ πένθους ἀπολέσας τὴν ἑαυτοῦ ψυχὴν, καὶ εἰς τὸ βλέπειν κατὰ φύσιν ἐλθὼν, καὶ ἐν ἕξει τούτων γενόμενος, τότε ἐπὶ τὴν θεωρίαν ταύτην ὁ νοῦς αὐτομάτως ἔρχεται, ὑπὸ τῶν Ἀγγέλων ὁδηγούμενος νοερῶς. εἰ δὲ τολμηρότερός τις εὑρεθῇ, καὶ πρὶν τὰ πρῶτα εἰς τὰ δεύτερα εἰσελθεῖν βουληθῇ, γινωσκέτω, ὅτι οὐ μόνον ἐπιτυχεῖν οὐ δύναται τοῦ σκοποῦ τῆς τοῦ Θεοῦ εὐαρεστήσεως, ἀλλὰ πολλοὺς πολέμους ἐγείρειν ἔχει καθ' ἑαυτοῦ, καὶ μάλιστα ἐκ τῆς περὶ τὸν ἄνθρωπον θεωρίας, ὡς ἠκούσαμεν περὶ τοῦ Ἀδάμ. οὐδὲν γὰρ συμφέρει τοῖς ἐμπαθέσιν ἔτι τὰ τῶν ἀπαθῶν ἔργα ποιεῖν, ἢ ἐννοεῖν νοήματα. ὥσπερ οὐδὲ τοῖς νηπίοις ἔτι ἡ στερεὰ τροφὴ, κἂν λίαν ἐστὶν ὠφέλιμος τοῖς τελείοις. ἀλλὰ μετὰ διακρίσεως ὀφείλει ποθεῖν, καὶ ἀπέχεσθαι, ὡς ἀνάξιος. καὶ μήτε ἐξ ἀπογνώσεως, καὶ ὀκνηρίας ἀποστρέφεσθαι τὴν χάριν ὅταν ἔλθῃ, μήτε πάλιν ἐξ αὐθαδείας τί πρὸ καιροῦ ζητεῖν. ἵνα τὰ τοῦ καιροῦ πρὸ καιροῦ ζητοῦντες, ὥς φησιν ὁ τῆς Κλίμακος, οὐδὲ ἐν τῷ καιρῷ ἐπιτύχωμεν τούτων. ἀλλὰ πλανηθέντες ἴσως, οὐδὲ διόρθωσιν εὕρωμεν ἔκ τινος ἀνθρώπου, ἢ γραφῆς. ἂν γάρ τις ἔχῃ κατὰ Θεὸν σκοπὸν, ἐν ταπεινώσει τε, καὶ ὑπομονῇ τῶν ἐπερχομένων αὐτῷ πειρασμῶν, ζητήσῃ πρᾶγμα ἐξ ἀγνοίας, καὶ ἴσως πλανηθῇ ἐν τούτῳ, εὑρεῖν ἔχει λύσιν παρὰ τοῦ Θεοῦ. καὶ οὕτω μετὰ πολλῆς αἰσχύνης, καὶ χαρᾶς στρέφεται εἰς τὰ ὀπίσω, ζητῶν τὴν ὁδὸν τῶν Πατέρων. διότι τὸ κατὰ Θεὸν γινόμενον, καὶ οὐ κατά τι ἄλλο, φησὶν ὁ τῆς Κλίμακος, εἰς ἀγαθὸν λογίζεται ἡμῖν ἀπὸ τῆς χάριτος, κἂν λίαν ᾖ οὐ καλὸν τὸ γινόμενον. εἰ δὲ οὐκ ἔστιν οὕτως, οὐδὲ ὑπομονὴν, καὶ ταπείνωσιν πολλὴν ἔχει, μέλλει παθεῖν, ἅπερ ἔπαθον πολλοὶ, καὶ ἀπωλέσθησαν, τῇ ἀφροσύνῃ αὐτῶν, πιστεύοντες τοῖς οἰκείοις νοήμασι, καὶ ἔδοξαν καλῶς ὁδεῦσαι ἐκτὸς ὁδηγοῦ, ἢ πείρας ἐξ ὑπομονῆς, καὶ ταπεινώσεως γινομένης. ὁ γὰρ πεῖραν οὐκ ἔχει θλίψιν, οὐδὲ πειρασμὸν, τάχα οὐδὲ πόλεμον. εἰ δὲ παραχωρηθῇ μικρὸν πολεμηθῆναι, πολλῆς χαρᾶς καὶ ὠφελείας πρόξενος γίνεται οὗτος ὁ πειρασμὸς τῷ ἐμπείρῳ. διότι πρὸς τὸ μαθεῖν τὴν πεῖραν, καὶ ἀνδρείαν λαβεῖν κατὰ τῶν ἐχθρῶν, παραχωρεῖται ὑπὸ τοῦ Θεοῦ. σημεῖα δὲ τούτου τὰ δάκρυα καὶ ὁ συντριμμὸς τῆς ψυχῆς ἐνώπιον τοῦ Θεοῦ, καὶ τὸ φεύγειν εἰς τὴν ἡσυχίαν, καὶ εἰς τὸν Θεὸν μεθ' ὑπομονῆς, καὶ τὸ ἐρευνᾷν μετὰ πόνου τὰς γραφὰς, καὶ ἐκ πίστεως θέλειν τὸν τοῦ Θεοῦ σκοπόν. τοῦ δὲ πρώτου σημεῖον τοῦτό ἐστι, τὸ διστάζειν περὶ Θεοῦ βοηθείας, καὶ τὸ αἰσχύνεσθαι ἐν τῷ ἐρωτᾷν μετὰ ταπεινώσεως, καὶ τὸ φεύγειν τὴν ἡσυχίαν, καὶ τὴν ἀνάγνωσιν, ἀγαπᾷν τε τὸν περισπασμὸν, καὶ τὰς συντυχίας, δοκῶν ἐκ τούτων, ἀναπαύσεως τυχεῖν, ὅπερ οὐκ ἔστιν. ἀλλὰ μᾶλλον ἐν τῷ τοιούτῳ καιρῷ ῥιζοβολοῦσι τὰ πάθη καὶ ἰσχυρότεροι γίνονται οἱ πειρασμοὶ, καὶ πληθύνεται ἡ μικροψυχία, ἀχαριστία τε, καὶ ἀκηδία ἐκ τῆς πολλῆς ἀγνωσίας. διότι ἄλλοι εἰσὶν οἱ πειρασμοὶ τῶν υἱῶν, πρὸς παίδευσιν, καὶ μάθησιν τοῦ τυχόντος μαθήματος, καὶ ἄλλοι οἱ τῶν ἐχθρῶν, πρὸς ἀπώλειαν. ἐπὶ πλεῖον δὲ ὅταν ἐξ ὑπερηφανίας τις ἐμπαίζηται, ὅτι ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

Πᾶσα θλίψις ἔχουσα ὑπομονὴν, ἀγαθή ἐστι καὶ ὠφέλιμος. ἡ δὲ μὴ ἔχουσα, ἀποστροφή ἐστι τοῦ Θεοῦ, καὶ ἀνωφελὴς, ἐὰν μὴ διὰ ταπεινοφροσύνης τις αὐτὴν ἰάσηται, ἄλλο φάρμακον οὐκ ἔστι. διότι ὁ ταπεινόφρων ἑαυτὸν μέμφεται, καὶ αἰ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τίκτεται ὅταν θλιβῇ, καὶ οὐκ ἄλλον τινά. καὶ ἐκ τούτου ὑπομένει ζητῶν παρὰ Θεοῦ τὴν λύσιν, καὶ εὑρὼν χαίρεται, καὶ μετὰ εὐχαριστίας ὑπομένει, καὶ ἐν πείρᾳ γενόμενος τῶν τοιούτων, λαμβάνει γνῶσιν· καὶ γινώσκων τὴν ἰδίαν ἀσθένειαν, καὶ ἀγνωσίαν, ζητεῖ ἐμπόνως τὸν ἰατρόν, καὶ ζητῶν εὑρίσκει τὴν ἴασιν, ὡς αὐτὸς ἔφη ὁ Χριστός. καὶ τυχὼν ταύτης ποθεῖ, καὶ ποθῶν ἐπὶ πλεῖον ποθεῖται. καὶ καθαίρων ἑαυτόν, κατὰ τὸ δυνατόν, τόπον ποιῆσαι τοῦ ποθουμένου ἀγωνίζεται. κἀκεῖνος τόπον εὑρὼν κατοικεῖ, ὡς λέγει τὸ Γεροντικόν. καὶ κατοικῶν φυλάττει τὸν οἶκον αὐτοῦ, καὶ λαμπρύνειν ἄρχεται. λαμπρυνόμενος δὲ γινώσκει, καὶ γινώσκων γινώσκεται, ὡς φησὶν ὁ Δαμασκηνός. ταῦτα τοίνυν καὶ τὰ πρώην εἰρημένα, κατὰ τάξιν φυλάττειν ὀφείλει τις, καὶ ὅσα μὲν καταλαβεῖν δυνηθῇ, ἐργάζεσθαι δεῖ. ὅσα δὲ οὐκ ἰσχύσει καταλαβεῖν, μετὰ σιγῆς εὐχαριστῆσαι δεῖ, ὡς φησὶν ὁ Ἅγιος Ἰσαάκ, καὶ μὴ ἀναιδῶς εἰσελθεῖν τομίσειν. φησὶ γὰρ ὁ αὐτός, ἐκ τοῦ Σειρὰχ λαβὼν τὴν χρῆσιν· ὅταν εὕρῃς μέλι, συμμέτρως φάγε, ἵνα μὴ ἐμπλησθεὶς ἐμέσῃς. καὶ ὥς φησιν ὁ Θεολόγος. θεωρία ἀχαλίνωτος, τάχα ἂν καὶ κατὰ κρημνῶν ὤσειεν, ἤγουν τὸ ζητεῖν τινὰ τὰ ὑπέρμετρα, καὶ μὴ θέλειν εἰπεῖν, ὅτι ὁ Θεὸς οἶδε ταῦτα, ἐγὼ δὲ τίς εἰμι; καὶ πιστεύειν, ὅτι ὁ ποιήσας τὰ ὄρη, καὶ τὰ κήτη τὰ μεγάλα, αὐτὸς κοιλάνας καὶ τὸ κέντρον τῆς μελίσσης ὥς φησιν ὁ Μέγας Βασίλειος. ὁ οὖν ἐκ τῆς ἰσχύος εἰς τὴν σύνεσιν φθάσας, γινώσκει ἐκ τῶν αἰσθητῶν, τὰ νοητά, ἐκ καὶ τῶν ὁρατῶν καὶ προσκαίρων, τὰ ἀόρατα καὶ αἰώνια. καὶ συνιεὶς ὑπὸ τῆς χάριτος τὰ περὶ τῶν ἄνω δυνάμεων, ὅτι ἑνὸς δικαίου οὐκ ἔστιν ἀντάξιος ὅλος ὁ κόσμος. καὶ σκόπει μοι· φησὶν ὁ Χρυσόστομος· τῶν τοσούτων ἐθνῶν καὶ γλωσσῶν, ὧν ὁ δίκαιος μείζων ἐστίν, Ἄγγελος πάντως τοῦ ἀνθρώπου μείζων· καὶ ἀρκεῖ ἡ θεωρία τοῦ ἑνός, πρὸς πᾶσαν ἔκπληξιν. καὶ πάλιν τί ἔπαθεν ὁ ἰσάγγελος Δανιὴλ ὁρῶν τὸν Ἄγγελον.

## Περὶ τῆς ἑβδόμης Γνώσεως.

Καταξιωθεὶς γὰρ τῆς ἑβδόμης γνώσεως θαυμάζει τὸ πλῆθος τῶν ἀσωμάτων δυνάμεων, Ἐξουσιῶν, Θρόνων, Κυριοτήτων, Σεραφίμ, καὶ Χερουβίμ, τῶν ἐννέα μὲν ταγμάτων, τῶν ἐν πάσαις ταῖς θείαις γραφαῖς εὑρισκομένων· ὧν τὴν φύσιν, ἰσχύν τε, καὶ τὰ λοιπὰ ἀγαθά, ἃ περὶ αὐτῶν θεωροῦνται, τῷ Θεῷ καὶ ποιητῇ αὐτῶν γινωσκόμενα. καὶ πῶς κατὰ τάξιν ἵστανται. ἀλλὰ καὶ ἄλλα ἀξιώματα ἔχουσιν αἱ ἄνω στρατιαί, περὶ ὧν φησιν ὁ Χρυσόστομος· ὅτι τό, Κύριος σαβαώθ, Κύριος στρατιῶν δυνάμεων ἑρμηνεύεται, καὶ πῶς ἀλλήλοις μεταδιδοῦσι τὸν φωτισμόν. οἱ μὲν Ἄγγελοι· φησὶ· τοὺς ἀνθρώπους φωτίζουσιν, αὐτοὶ δὲ ὑπὸ τῶν Ἀρχαγγέλων τὸν φωτισμὸν λαμβάνουσι, κἀκεῖνοι ὑπὸ τῶν Ἀρχῶν, καὶ οὕτως ἕκαστον τάγμα ὑπὸ τοῦ ἑτέρου τὸν φωτισμόν, καὶ τὴν γνῶσιν δέχεται. καὶ πάλιν, πῶς τῶν ἀνθρώπων τὸ γένος ἓν πρόβατον εἶναι, φασίν, ὃ ἀπώλεσεν οὐχ ὁ Θεός, ἀλλ' αὐτὸ ἑαυτό. τῶν δὲ Ἀγγέλων ἐνενήκοντα ἐννέα· καὶ κατανοῶν τοῦ δημιουργοῦ τὴν σοφίαν καὶ τὴν δύναμιν, πῶς τοσαῦτα πλήθη κελεύσει μόνῃ ἐποίησε; πρῶτα μέν, φησὶν ὁ Θεολόγος, ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις, καὶ τὰ ἑξῆς· καὶ εἰσελθὼν νοερῶς ἔσωθεν τοῦ βήλου, ἤγουν τοῦ καταπετάσματος, γίνεται Ἄϋλος, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ. τύπον μὲν ἐπέχει, ὁ μὲν ἔξωθεν ναός, τοῦ κόσμου τούτου, τὸ δὲ

κατα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καταπέτασμα, ἤτοι βηλόθυρον, τοῦ στερεώματος τοῦ οὐρανοῦ, τὰ δὲ ἅγια τῶν ἁγίων, τῶν ὑπερκοσμίων, ὅπου οἱ ἀσώματοι καὶ ἄϋλοι ἀπαύστως ὑμνοῦσι τὸν Θεόν, καὶ ὑπὲρ ἡμῶν ἱκετεύουσιν αὐτόν, κατὰ τὸν Μέγαν Ἀθανάσιον. καὶ οὕτως ἔρχεται εἰς τὴν εἰρήνην τῶν λογισμῶν, καὶ υἱὸς Θεοῦ κατὰ χάριν γίνεται, γινώσκων τὰ κεκρυμμένα ἐν ταῖς θείαις γραφαῖς μυστήρια, ὥς φησιν ὁ Δαμασκηνός. Ἐῤῥάγη τὸ τοῦ ναοῦ θεῖον καταπέτασμα, ἐν τῷ σταυρῷ τοῦ δημιουργοῦ τὴν ἐγκεκρυμμένην τῷ γράμματι δηλοῦν τοῖς πιστοῖς ἀλήθειαν· εὐλογητὸς εἶ κράζουσιν ὁ Θεὸς τῶν πατέρων ἡμῶν. καὶ ὥς φησιν ὁ Ἅγιος Κοσμᾶς ὁ Μελῳδός. Ξύλου γευσάμενος ὁ πρῶτος ἐν βροτοῖς, φθορᾷ παρῴκησεν. ῥίψιν γὰρ ζωῆς ἀτιμωτάτην κατακριθείς, ὅλῳ τῷ γένει σωματοφθόρος τις ὡς λύμη τῆς νόσου μετέδωκεν. ἀλλ' εὑρηκότες γηγενεῖς ἀνάκλησιν σταυροῦ τὸ ξύλον κράζομεν, ὁ ὑπερύμνητος καὶ τὰ ἑξῆς.

## Περὶ τῆς ὀγδόης Γνώσεως.

Ἐκ ταύτης δὲ τῆς ὀγδόης γνώσεως εἰς τὴν περὶ Θεοῦ θεωρίαν ἀνάγεται διὰ τῆς δευτέρας καὶ καθαρᾶς προσευχῆς τῆς πρεπούσης τῷ θεωρητικῷ. ὥστε ἐν αὐτῇ τῇ ὁρμῇ τῆς προσευχῆς ἁρπάζεται ὁ νοῦς ὑπὸ τοῦ θείου πόθου, καὶ οὐκ ἔτι ἐπίσταταί τι τὸ παράπαν ἐκ τοῦ κόσμου τούτου, ὥς φασιν ὅ, τε Μάξιμος, καὶ ὁ Δαμασκηνός. καὶ οὐ μόνον τὰ πάντα ὁ νοῦς ἐπιλανθάνεται, ἀλλὰ καὶ ἑαυτόν, φησὶ γὰρ ὁ Ἅγιος Νεῖλος, ὅτι ἐὰν ἔτι ἑαυτὸν ὁ νοῦς ἐπίσταται, οὐκ ἔστιν ἐν τῷ μόνῳ Θεῷ, ἀλλὰ καὶ ἐν ἑαυτῷ. τότε γὰρ λαμβάνει, φησὶν ὁ Ἅγιος Μάξιμος, περὶ Θεοῦ ἐμφάσεις, καὶ θεολόγος γίνεται, καταξιωθεὶς τῆς τοῦ Ἁγίου Πνεύματος ἐπιφοιτήσεως. περὶ δὲ Θεοῦ ἀκούων, μὴ δοκεῖ ἐξ ἀγνωσίας τις, ὅτι αὐτὸν τὸν Θεὸν εἶναι, τὰ περὶ αὐτοῦ θεωρούμενα, οἷον ἀγαθότητα, χρηστότητα, δικαιοσύνην, ἁγιασμόν, φῶς, πῦρ, οὐσίαν, φύσιν, δύναμιν, σοφίαν, καὶ τὰ τοιαῦτα φησὶν ὁ Μέγας Διονύσιος. ἀλλ' οὐδὲ ὅσα ὁ νοῦς περιορίζειν δύναται. ἀόριστον γὰρ τὸ θεῖον, καὶ ἀπερίγραπτον, καὶ οὐκ ἐκ τῶν κατ' αὐτὸν θεολογεῖται, ἀλλ' ἐκ τῶν περὶ αὐτόν, ὥς φησιν ὁ Μέγας Διονύσιος, πρὸς τὸν Ἅγιον Τιμόθεον, τὴν μαρτυρίαν ἐπιφέρων ἐκ τοῦ Ἁγίου Ἱεροθέου. δικαιότερον μᾶλλον εἰπεῖν τὸ ἀκατάληπτον, τὸ ἀνεξιχνίαστον, τὸ ἀνερμήνευτον, καὶ ὅσα οὐ δυνατὸν ὁρίζειν. ὑπὲρ νοῦν γάρ ἐστι, καὶ ἔννοιαν, καὶ μόνῳ ἑαυτῷ γνωστόν, ἕνα Θεόν, τρισυπόστατον, ἄναρχον, ἀπερίληπτον, ὑπεράγαθον, ὑπερύμνητον. καὶ τὰ μὲν περὶ αὐτοῦ λεγόμενα ὑπὸ τῆς θείας γραφῆς ἐξ ἀναλογίας λέγονται, πρὸς τὸ γνῶναι ἡμᾶς, ὅτι ἐστὶ Θεός, καὶ οὐχὶ τί ἐστι, διὰ τὸ ἀκατάληπτον εἶναι πάσῃ τῇ λογικῇ, καὶ νοερᾷ φύσει. ὁμοίως δὲ καὶ τὴν σάρκωσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν, ὥς φησιν ὁ Ἅγιος Κύριλλος, δεῖ θαυμάζειν, καὶ πῶς ἐν τῇ θεότητι αὐτοῦ ὑποστᾶσα ἡ σάρξ, ἣν ἔλαβεν ἐξ ἡμῶν κατὰ τὸν Μέγαν Βασίλειον. ὅτι καθάπερ σίδηρος καὶ πῦρ, οὕτως ὑπάρχει ἡ ἕνωσις, ἵνα τὸν ἕνα Χριστὸν ἐν δύω φύσεσι γνωρίσωμεν, ὡς ἔφη ὁ Δαμασκηνὸς πρὸς τὴν Θεοτόκον. μίαν μὲν ὑπόστασιν, ἐν δυσὶ δὲ φύσεσι παναμώμως τέτοκας τὸν σεσαρκωμένον Θεόν, ᾧ πάντες μελῳδοῦμεν ὁ Θεὸς εὐλογητὸς εἶ. καὶ πάλιν. Ὁ ἀπερόριστος διαμείνας ἄτρεπτος, σαρκὶ καθ' ὑπόστασιν ἡνώθη ὡς εὔσπλαγχνος ἐν σοὶ τῇ παναγίᾳ ὁ μόνος εὐλογημένος.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Ὅτι οὐκ ἔχουσι διαφωνίαν αἱ θεῖαι γραφαί.

Καὶ ἁπλῶς πᾶσαν ἀνάγνωσιν ἢ ψαλμῳδίαν κατανοῶν ὁ φωτισθεὶς μικρὸν, θεωρίαν εὑρίσκει, καὶ θεολογίαν, καὶ ἑκάστην γραφὴν μαρτυρουμένην ὑπὸ ἑτέρας γραφῆς. ὁ δὲ ἔτι ἀφώτιστον νοῦν ἔχων, δοκεῖ ὅτι ἔχουσιν αἱ θεῖαι γραφαὶ διαφωνίαν, ἀλλ᾽ οὐ παρὰ ταῖς θείαις γραφαῖς τοῦτο, μὴ γένοιτο, διότι αἱ θεῖαι γραφαὶ, αἱ μὲν μαρτυρίαν ἔχουσιν ἀπὸ ἄλλων γραφῶν, αἱ δὲ ἔχουσι τὸν καιρὸν αἴτιον, ἢ τὸ πρόσωπον, καὶ διὰ τοῦτο πᾶσα λέξις γραφικὴ ἄμεμπτός ἐστι. τὸ δὲ ἔξωθεν τούτων τῶν τρόπων, τῆς ἡμῶν ἀγνωσίας ἔργον ἐστὶν, καὶ οὐκ ὀφείλει τις τὰς γραφὰς μέμφεσθαι, ἀλλὰ πάσῃ δυνάμει ταύτας τηρεῖν, καθὼς κεῖνται· καὶ οὐχ ὡς αὐτὸς θέλει, ὥσπερ οἱ Ἕλληνες καὶ οἱ Ἰουδαῖοι ἐποίουν· μὴ καταδεχόμενοι λέγειν τὸ οὐκ οἶδα τί ἐστίν. ἀλλ᾽ ἐξ οἰήσεως καὶ αὐταρεσκείας τὰς γραφὰς, καὶ τῶν πραγμάτων τὴν φύσιν ἐμέμφοντο, καὶ κατὰ τὸ δοκοῦν αὐτοῖς ἐνενόησαν καὶ οὐ κατὰ τὸ βούλημα τοῦ Θεοῦ. διὰ τοῦτο ἐπλανήθησαν, καὶ εἰς πᾶσαν κακίαν ἐξέκλιναν. Πᾶς γὰρ ὁ τὸν σκοπὸν τῆς γραφῆς ζητῶν, οὐ στήσει ποτὲ ἴδιον νόημα, ἢ καλὸν, ἢ κακόν. ἀλλ᾽ ὡς ἔφησαν ὁ Μέγας Βασίλειος, καὶ ὁ Χρυσόστομος τὴν θείαν γραφὴν ἔχει διδάσκαλον, καὶ οὐ τὰ τοῦ κόσμου μαθήματα. ἵνα εἴ τι βάλῃ ὁ Θεὸς εἰς τὴν καθαρὰν καρδίαν χωρὶς σκέψεως, ἐκεῖνο δέχηται. ἅμα σὺν αὐτῷ καὶ ἡ μαρτυρία εὑρίσκηται ἐκ τῶν θείων γραφῶν, ὥς φησιν ὁ Μέγας Ἀντώνιος. αἱ γὰρ ἐρχόμεναι ἔννοιαι αὐτομάτως ἐν τῷ νοῒ τῶν ἡσυχαζόντων κατὰ Θεὸν, χωρὶς σκέψεως, δεκταί εἰσι, φησὶν ὁ Ἅγιος Ἰσαάκ. τὸ δὲ ἐρευνᾷν, καὶ σκέπτεσθαι τινὰ, ἴδιόν ἐστι θέλημα, καὶ ἐπιστήμη σωματική· καὶ μάλιστα εἴπερ βιάζει ὡς κλέπτης τὴν γραφὴν, πρὸς ἀλληγορίαν, φησὶν ὁ Χρυσόστομος καὶ οὐκ ἀπὸ τῆς θύρας τῆς ταπεινοφροσύνης εἰσέρχεται, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν· διότι ὁ τὸν σκοπὸν τῆς γραφῆς βιάζων, ἢ μεμφόμενος πρὸς τὸ στῆσαι τὴν ἰδίαν γνῶσιν, μᾶλλον δὲ ἀγνωσίαν, οὐκ ἔστιν ἐπὶ τῆς γῆς τοῦ τοιούτου ἀφρονέστερος. ποίας οὖν ἐπιστήμης τοῦτο, ἵνα ὡς θέλει τις τὸν σκοπὸν τῆς γραφῆς ποιῆσαι, καὶ κατατολμᾷν τὰς λέξεις παραλλάξαι; ἐκεῖνος δέ ἐστιν ἐπιστήμων, ὅς τις τὰς ῥήσεις ἀσαλεύτως ὁρῶν, καὶ διὰ τῆς τοῦ Πνεύματος σοφίας τὰ κεκρυμμένα μυστήρια ἐξευρίσκων, μαρτυρούμενα ἐκ τῶν θείων γραφῶν, καὶ μάλιστα οἱ τρεῖς φωστῆρες ἤτοι οἱ μεγάλοι, Βασίλειος, Χρυσόστομος, καὶ Γρηγόριος· ἢ ἐξ αὐτοῦ τοῦ ῥητοῦ τὴν μαρτυρίαν εὑρίσκοντες, ἢ ἐξ ἄλλου ῥητοῦ τῆς γραφῆς· καὶ οὐκ ἔχει ὁ ἀντιλέγων βουλόμενός τι εἰπεῖν, ὅτι οὐκ ἔξωθεν φέρουσι τὴν μαρτυρίαν, ἵνα εἴπῃ τις ἴδιόν ἐστι νόημα· ἀλλ᾽ ἐξ αὐτῆς τῆς προκειμένης ὑποθέσεως, ἢ ἄλλης γραφῆς περὶ τούτου δηλούσης· καὶ εἰκότως. ἐκ γὰρ τοῦ Ἁγίου Πνεύματος ἔχουσι τὸ νοεῖν τε, καὶ λέγειν ὡς ἄξιοι. πᾶν οὖν πρᾶγμα μὴ ἔχον μαρτυρίαν, ὅτι καλόν ἐστιν, ἀλλὰ δισταγμὸν, οὐκ ὀφείλει τις τοῦτο ποιεῖν, ἢ συγκαταβαίνειν τῷ λογισμῷ. τίς γὰρ χρεία καταλιπεῖν πρᾶγμα φανερὸν, καὶ μαρτυρούμενον καλὸν εἶναι καὶ θεάρεστον, ποιεῖν ἄλλο, εἴτε καλὸν, εἴτε οὔ; εἰμὴ ὅτι καὶ πάθος ἐστί. καὶ οὕτω μὲν ταῦτα.

## Διαίρεσις τῆς ἀρχῆς τῶν ὅλων Γνώσεων.

Περὶ δὲ τῶν ὀκτὼ γνώσεων εἰδέναι ἡμᾶς χρή, ὅτι εἰς μὲν τὰς τέσσαρας, τὰ προγεγραμμένα ἐν ἑκάστῃ λέγειν ὀφείλομεν· εἰς δὲ τὰς λοιπάς, τὸ Κύριε ἐλέησον δι᾽ ὅλου, ὡς εἴρηται περὶ τοῦ Ἁγίου Φιλήμονος, καὶ ἔχειν τὸν νοῦν δι᾽ ὅλου ἐθισάμενοι πρὸς τὰ νοήματα. οὕτω γὰρ εἶναι προσήκει ἡ διαγωγὴ τοῦ σπουδαίου· ποτὲ μὲν ἔχειν τὸν νοῦν εἰς θεωρίαν τῶν αἰσθητῶν, ποτὲ δὲ εἰς γνῶσιν τῶν νοητῶν, καὶ εἰς τὸ ἀνείδεον, καὶ πάλιν, εἰς ἔννοιάν τινα τῆς γραφῆς, καὶ εἰς τὴν καθαρὰν προσευχήν. τὸ δὲ σῶμα, ποτὲ εἰς ἀνάγνωσιν, ποτὲ εἰς προσευχήν, ποτὲ εἰς δάκρυα ὑπὲρ ἑαυτοῦ, ἢ καὶ ἄλλου τινός, ἀπὸ συμπαθείας κατὰ Θεόν. ποτὲ εἰς ἐργασίαν, πρὸς βοήθειαν τινὶ ἀσθενοῦντι ψυχικῶς, ἢ σωματικῶς. ἵνα ὅλως δι᾽ ὅλου τὰ τῶν Ἁγίων Ἀγγέλων ἔργα ποιῇ, καὶ μηδ᾽ ὅλως περί τινος τῶν τοῦ κόσμου τούτου μεριμνῶν· καὶ ὁ Θεὸς ὁ ἐκλεξάμενος αὐτὸν καὶ ἀφορίσας εἰς τὸ συνόμιλον αὐτῷ γενέσθαι, καὶ χαρισάμενος αὐτῷ τὴν διαγωγὴν ταύτην, καὶ ἀμεριμνίαν, αὐτὸς φροντίδα αὐτοῦ ποιήσεται, καὶ διαθρέψει ψυχικῶς τε καὶ σωματικῶς. Ἐπίρριψον γάρ, φησίν, ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. καὶ ὅσον αὐτὸς εἰς αὐτὸν τὴν ἐλπίδα ἀνατίθησιν, ἐν πᾶσι τοῖς κατ᾽ αὐτὸν ψυχῇ τε καὶ σώματι, τοσοῦτον εὑρίσκει αὐτὸν προνοοῦντα αὐτόν, ὥστε ἡγεῖσθαι ἑαυτὸν ὑποκάτω πάσης κτίσεως ἐκ τῶν πολλῶν δωρεῶν τοῦ Θεοῦ, τῶν φανερῶν, καὶ ἀφανῶν, τῶν ψυχικῶν τε, καὶ σωματικῶν, ὡς πολλὰ χρεωστῶν, οὐ δύναται ὅλως ἐπαίρεσθαι ἔν τινι πράγματι ἐκ τῆς αἰσχύνης, ἐνώπιον τῶν εὐεργεσιῶν τοῦ Θεοῦ. καὶ ὅσον εὐχαριστεῖ αὐτῷ, καὶ ἀγωνίζεται βιάζειν ἑαυτὸν ὑπὲρ τῆς ἀγάπης αὐτοῦ, τοσοῦτον ὁ Θεὸς ἐγγίζει αὐτῷ διὰ τῶν χαρισμάτων αὐτοῦ, καὶ ἐπιθυμεῖ τοῦ ἀναπαῦσαι αὐτόν, καὶ ποιῆσαι προτιμᾶν τὴν ἡσυχίαν καὶ ἀκτημοσύνην ὑπὲρ πάσας τὰς βασιλείας τῆς γῆς καὶ ἐκτὸς ἀμοιβῆς ἐν τῷ μέλλοντι, καὶ γὰρ οἱ Ἅγιοι Μάρτυρες ἤλγουν μὲν αἰκιζόμενοι ὑπὸ τῶν ἐχθρῶν, ἀλλ᾽ ὁ πόθος τῆς βασιλείας, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ ἐνίκα τοὺς πόνους, καὶ αὐτὸ τοῦτο τὸ λαβεῖν δύναμιν εἰς τὸ νικᾷν τοὺς ἐχθρούς, μεγάλην παράκλησιν ἡγοῦντο, καὶ χρέος· ὅτι ἠξιώθησαν ὑπὲρ Χριστοῦ θανάτῳ ζημιοῦσθαι, ὥστε ἐκ τούτου πολλάκις ἀναίσθητοι ἐγένοντο. ὡσαύτως καὶ οἱ Ἅγιοι Πατέρες πολλὰ βιάσαντες ἑαυτοὺς κατ᾽ ἀρχὰς διὰ πολυτρόπων ἀσκήσεων καὶ πολέμων τῶν ἐκ τῶν πνευμάτων τῆς πονηρίας γινομένων· ἀλλ᾽ ἐνίκα ὁ πόθος, καὶ ἐλπὶς τῆς ἀπαθείας. διότι μετὰ τὸν κόπον ἀμέριμνος γίνεται ὁ ἀπαθής, ὡς τὰ πάθη νικήσας. δοκεῖ μὲν καλῶς ἔχειν καὶ ὁ ἐμπαθής, ἀλλ᾽ ἀπὸ τῆς τυφλότητος. μόνος δὲ ὁ λεγόμενος ἀγωνιστής, ἔχει τὸν κόπον καὶ τὸν πόλεμον, ἐκ τοῦ θέλειν νικῆσαι τὰ πάθη, καὶ μὴ δύνασθαι· παραχωρεῖται γὰρ ὁ τοιοῦτός ποτε ἡττηθῆναι ὑπὸ τῶν πολεμούντων αὐτόν, ἵνα ταπείνωσιν κτήσηται· καὶ τούτου χάριν ὀφείλει γνῶναι τὴν ἰδίαν ἀσθένειαν, καὶ φεύγειν τὰ βλάπτοντα αὐτὸν ἰσχυρῶς, ἵνα ἐπιλάθηται τὴν πρώτην αὐτοῦ συνήθειαν· ὅτι εἰ μὴ φύγῃ τις πρῶτον τὸν πειρασμόν, καὶ σιωπὴν τελείαν κτήσηται, οὐ δύναται ἐλθεῖν εἰς τὸ ἔχειν τι ἀπαθῶς, ἢ εἰς τὸ λέγειν ἀεὶ καλά· καὶ ἁπλῶς εἰς πᾶν πρᾶγμα προσήκει πρῶτον ἡ τελεία φυγὴ τοῦ πειρασμοῦ, ἵνα μὴ ἕλκηταί τις ὑπὸ τῆς προτέρας συνηθείας.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πλὴν μηδεὶς ἐξ ἀγνωσίας, ἀκούων περὶ ταπεινοφροσύνης, ἀπαθείας τε, καὶ τῶν τοιούτων, οἴεται ἔχειν ταῦτα, ἀλλὰ τοῦ ἑκάστου πράγματος τὸ σημεῖον ζητεῖν ὀφείλει, καὶ εὑρεῖν ἐν ἑαυτῷ.

## Περὶ Ταπεινοφροσύνης.

Σημεῖα δὲ εἰσὶ τῆς μὲν ταπεινοφροσύνης, τὸ πᾶσαν ἀρετὴν σωματικήν τε, καὶ ψυχικὴν ἔχων, ἡγεῖσθαι ἑαυτὸν μείζονα χρεωστεῖν τῷ Θεῷ, ὡς πολλὰ λαβὼν, χάριτι, ἀνάξιος ὤν. καὶ εἴτις δ' αὖ ἔλθοι αὐτῷ πειρασμὸς ἀπὸ δαιμόνων, ἢ ἀνθρώπων, ἄξιον ἡγεῖται ἑαυτὸν τῶν τοιούτων, καὶ ἄλλων πλειόνων. ἵνα κἂν μικρὸν τοῦ χρέους ὑπολειφθῇ καὶ κουφισμὸν εὕρῃ ἐν τῇ κρίσει τῶν ἐλπιζομένων αὐτῷ κολάσεων. καὶ ὅταν μὲν τοιοῦτον μὴ πάθῃ, πολλὰ θλίβεται, καὶ ἀγωνιᾷ, ζητοῦντι εὑρεῖν βιάσαι ἑαυτόν. ὅταν δὲ τοῦτο ἐπιτύχῃ, πάλιν ὡς δῶρον παρὰ Θεοῦ λαβὼν ταπεινοῦται, καὶ τί ἀνταμεῖψαι τῷ εὐεργέτῃ μὴ δυνάμενος εὑρεῖν, μένει ἐργαζόμενος ἀεὶ, καὶ ἐπὶ πλεῖον χρεώστην ἑαυτὸν λογιζόμενος.

## Περὶ Ἀπαθείας.

Τῆς ἀπαθείας τυχὰ τοῦτό ἐστι τὸ σημεῖον, τὸ ἐν πᾶσι ἀτάραχον εἶναι, καὶ ἄφοβον, ὡς λαβὼν Θεοῦ χάριτι τὸ πάντα ἰσχύειν, κατὰ τὸν Ἀπόστολον, ἐν τῷ μηδ' ὅλως φροντίδα ἔχειν περὶ τοῦ σώματος, ἀλλ' ὅσην βίαν ἀσκήσει, καὶ φθάσει εἰς ἀνάπαυσιν τῆς ἕξεως. καὶ εὐχαριστῶν, πάλιν ἄλλην ἐπιτηδεύεται βίαν, ἵνα εὑρίσκηται ἀεὶ πολεμούμενος, καὶ νικῶν μετὰ ταπεινώσεως. καὶ αὕτη ἐστὶν ἡ προκοπὴ τοῦ ἀνθρώπου, τὰ γὰρ ἀβιάστως γινόμενα, οὐκ εἰσὶν ἔργα, ὥς φησιν ὁ Ἅγιος Ἰσαὰκ, ἀλλὰ μᾶλλον δῶρα. οὐδὲ ἀπὸ πρώτου κόπου ἐγένετο ἡ ἀνάπαυσις, ἥτις ἔπαθλόν ἐστι, καὶ οὐ καυχήματος ἄξια· οὐ γὰρ οἱ λαμβάνοντες μισθὸν ἐπαινοῦνται, ἀλλ' οἱ βιαζόμενοι ἐν τῇ ἐργασίᾳ, καὶ μηδὲν λαμβάνοντες. καὶ τί ἔχομεν εἰπεῖν; ὅσα ἂν ποιῶμεν, καὶ ὅσα εὐχαριστῶμεν τῷ εὐεργέτῃ, τοσαῦτα χρεωστοῦμεν, καὶ πολλῷ πλείονα. διότι αὐτὸς μὲν ἀνενδεὴς ὑπάρχει, καὶ οὐδενὸς χρήζει, ἡμεῖς δὲ χωρὶς αὐτοῦ οὐ δυνάμεθά τι ἀγαθὸν ποιῆσαι. ὁ γὰρ καταξιωθεὶς τοῦ ὑμνῆσαι τὸν Θεὸν, αὐτὸς κερδαίνει μᾶλλον, ὡς μέγα καὶ ἀξιάγαστον χάρισμα λαβών. καὶ ὅσον ὑμνεῖ, πλεῖον χρεώστης γίνεται. καὶ τέλος, ἢ ἐκκοπὴν τῆς γνώσεως τοῦ Θεοῦ, ἢ τῆς εὐχαριστίας, ἢ τῆς ταπεινώσεως, ἢ τῆς ἀγάπης οὐχ εὑρίσκει. οὐ γὰρ εἰσὶν αὗται * αἱ τοῦ αἰῶνος τούτου ἵνα τέλος ἔχωσιν, ἀλλ' ἐκ τοῦ ἀτελευτήτου αἰῶνος ἐκείνου * τὸ τέλος μὴ ἔχοντος, ἀλλὰ μᾶλλον αὔξησιν τῶν γνώσεων, καὶ τῶν χαρισμάτων. καὶ ὁ μὲν τούτου καταξιωθεὶς ἔργῳ, καὶ λόγῳ, ἐλευθεροῦται ἐκ πάντων τῶν παθῶν. ὁ δὲ τούτων τυχεῖν βουλόμενος ὀφείλει παραμένειν τῷ Θεῷ, καὶ μηδ' ὅλως φροντίδα ἔχειν περὶ τοῦ αἰῶνος τούτου, μηδὲ πτοεῖσθαι ὑπ' οὐδενὸς πειρασμοῦ, διότι ἐκ τούτου πρὸς μείζονα προκοπὴν ἀνάγεσθαι μέλλει, καὶ βαθμὸν ὑψηλότερον· καὶ μήτε ἀπὸ ὀνείρων κακῶν, ἢ δῆθεν καλῶν, μηδὲ ἀπὸ νοήματός τινος πονηροῦ, ἢ ἀγαθοῦ, μήτε ἀπὸ λύπης, ἢ δῆθεν χαρᾶς, μήτε ἀπὸ οἰήσεως, ἢ ὑπογνώσεως, ἢ βάθους, ἢ ὕψους, ἢ ἐγκαταλείψεως, ἢ συνεργίας τινὸς δῆθεν, καὶ ἰσχύος. μήτε ἀπὸ ἀμελείας, ἢ προκοπῆς, ἢ ῥᾳθυμίας, ἢ

* ἴσ. ἐκ τοῦ

* ἴσ. τοῦ τέλος



Athos Library
Αγιορειτική Βιβλιοθήκη

προθυμίας δῆθεν, ἢ φαινομένης ἀπαθείας, ἢ πολλῆς πρωταθείας. ἀλλὰ τὸν ἥσυχον βίον, καὶ ἀπείραστον φυλάττειν μετὰ ταπεινώσεως, πιστεύων, ὅτι οὐδεὶς δύναται ἡμᾶς κακοποιῆσαι, μὴ θελόντων ἡμῶν. διὰ δὲ τὸ ἓν αἱρεῖσθαι μόνον, καὶ μὴ προσφεύγειν ἀεὶ εἰς τὸν Θεόν, ἴσως, ῥίπτειν τε ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ, ζητῶν ἐν πᾶσι τὸ θέλημα αὐτοῦ γενέσθαι· λέγων πρὸς πάντα λογισμὸν ἐρχόμενον πρὸς αὐτόν. οὐκ οἶδα τίς εἶ, ὁ Θεὸς οἶδεν, εἴτε καλὸς εἶ, εἴτε οὔ. ἐγὼ γὰρ εἰς τὰς χεῖρας αὐτοῦ ἀπέρριψα, καὶ ἀπορρίπτω ἐμαυτόν, καὶ αὐτῷ μέλλει περὶ ἐμοῦ. ὡς γὰρ ἐκ μὴ ὄντος με ἐποίησεν, οὕτω καὶ κατὰ χάριν σῶσαί με ἔχει, ἂν ἀρεστὸν αὐτῷ ᾖ. τὸ Ἅγιον αὐτοῦ μόνον θέλημα γενέσθω ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι, ὡς θέλει, καὶ ὅταν θέλῃ. ἐγὼ γὰρ θέλημα οὐκ ἔχω. ἓν οἶδα, ὅτι πολλὰ ἥμαρτον, πολλὰ εὐεργετήμαι. καὶ οὐδὲ κἂν, κατὰ τὸ δυνατόν, ἔργῳ, ἢ λόγῳ εὐχαριστῶ τῇ αὐτοῦ ἀγαθότητι. ἀλλ' ἐν τούτοις πᾶσι δύναται καὶ θέλει πάντας σῶσαι, καὶ μετὰ πάντων κἀμέ, ὡς θέλει. πόθεν γὰρ οἶδα ἄνθρωπος ὤν, ἢ οὕτως εἶναί με θέλει, ἢ οὕτως; ἐγὼ τοίνυν διὰ τὸν φόβον τοῦ ἁμαρτάνειν ἔφυγον, καὶ ἦλθον ἐνταῦθα, καὶ διὰ τὰς ἁμαρτίας μου, καὶ πολλὰς ἀσθενείας κάθημαι ἀργὸς ἐν τῷ κελλίῳ, ὡς οἱ κατεχόμενοι ἐν τῷ δεσμωτηρίῳ, ἀναμένων τὴν ἀπόφασιν τοῦ δεσπότου· καὶ κἂν ἀργὸν θεάσηται ἑαυτόν, καὶ ἀπολεσμένον μὴ φοβηθῇ, πρὸς γὰρ συντριμμὸν ψυχῆς, καὶ ἐπίποτα δάκρυα ἐλθεῖν μέλλει, ἂν μὴ ἐξέλθῃ τῆς κέλλης. κἂν πάλιν πολλὴν προθυμίαν εἰς πᾶσαν πνευματικὴν ἐργασίαν, καὶ δάκρυα ἔχῃ, μὴ χαρὰν ἡγεῖσθαι τοῦτο, ἀλλὰ κλοπήν, καὶ ἑτοιμασίαν πολέμου. καὶ ἁπλῶς, πᾶν πρᾶγμα καλόν, ἢ ἐναντίον ὀφείλει καταφρονεῖν, ἵνα μένῃ ἀτάραχος ἐν πᾶσιν, ἡσυχάζων καὶ κατὰ δύναμιν ἀγωνιζόμενος, ποιῶν ὅσα παρέλαβεν, εἴπερ οὐχί τινα σύμβουλον. εἰδ' οὖν, τὸν Χριστὸν ὀφείλει ἔχειν, ἵνα εἰς πᾶν ἐγχείρημα, καὶ λογισμόν, αὐτὸν ἐρωτᾷ διὰ καθαρᾶς προσευχῆς, ἀπὸ καρδίας μετὰ ταπεινώσεως· μηδ' ὅλως θαρρῶν ὅτι δόκιμος γέγονε Μοναχός, ἄχρις ἂν τὸν Χριστὸν ἀπαντήσῃ ἐν τῷ μέλλοντι. ὥς φασιν ὁ τῆς Κλίμακος, καὶ ὁ Ἀββᾶς Ἀγάθων. καὶ ἂν πρὸς τὸ εὐαρεστῆσαι τῷ Θεῷ ἔχῃ πάντα σκοπόν, αὐτὸς διδάσκει αὐτὸν τὸ θέλημα αὐτοῦ, εἴτε νοερῶς πληροφορῶν αὐτόν, εἴτε διά τινος ἀνθρώπου, ἢ γραφῆς· καὶ ἂν κόπτῃ τὰ ἑαυτοῦ θελήματα δι' αὐτόν, αὐτὸς μετὰ χαρᾶς ἀνεκλαλήτου ποιήσει αὐτὸν φθάσαι τὴν τελειότητα, ὡς οὐκ οἶδεν αὐτός. καὶ τοῦτο ἰδὼν λίαν θαυμάζει, πῶς πανταχόθεν ἄρχεται βρύειν ἡ χαρά, καὶ ἡ γνῶσις, καὶ ἐκ παντὸς πράγματος ὠφέλειαν εὑρίσκει. καὶ βασιλεύει ὁ Θεὸς ἐν αὐτῷ, ὡς μὴ ἔχοντι ἴδιον θέλημα, διὰ τὸ ὑποταγῆναι αὐτὸν τῷ Ἁγίῳ αὐτοῦ θελήματι· καὶ γίνεται ὡς βασιλεύς, ὥστε ὅτι ἐνθυμηθῇ ἀκοπότως, καὶ ἑτοίμως γίνεται αὐτῷ παρὰ τῷ Θεῷ, τῷ τὴν αὐτοῦ φροντίδα ποιοῦντι. καὶ αὕτη ἐστὶν ἡ πίστις ἣν ἔφη ὁ Κύριος, Ἐὰν ἔχητε πίστιν καὶ τὰ ἑξῆς, καὶ ἐπ' αὐτὴν τὴν πίστιν οἰκοδομοῦνται αἱ λοιπαὶ ἀρεταί, κατὰ τὸν Ἀπόστολον. τούτου χάριν ὁ ἐχθρὸς πᾶσαν μηχανὴν ποιεῖ, ἵνα τῆς ἡσυχίας χωρισθῇ ὁ ἄνθρωπος, καὶ πεσεῖται εἰς τὸν πειρασμόν. καὶ εἰς τρόπον τινὰ ἄπιστος εὑρίσκηται, ἐλπίζων ἐπὶ τὴν ἰδίαν ἰσχύν, καὶ φρόνησιν ἢ ὁλοτελῶς, ἢ ἐκ μέρους. καὶ ἐκ τούτου ἀφορμὴν λαμβάνει ὁ ἐχθρὸς εἰς τὸ νικῆσαι αὐτόν, καὶ αἰχμάλωτον λαβεῖν τὸν ἄθλιον. ὁ δὲ ταῦτα γνούς, πᾶσαν τὴν τοῦ κόσμου τρυφήν, καὶ ἀνάπαυσιν καταλιπών, ὡς εἶδεν ὅτι ἀπάγει εἰς τὴν ἀμεριμνίαν. εἴτε εἰς τὴν ὑποταγήν, ἔχων τὸν ἐπιστάτην, ἀντὶ Χρι-



Athos Library
Αγιορειτικη Βιβλιοθηκη

ςοῦ, καὶ ἀντίθησιν αὐτῷ πᾶν νόημα, λόγῳ τε, καὶ ἔργῳ, ἵνα μηδ' ὅλως ἔχῃ τί, εἴτε εἰς τὴν ἡσυχίαν ἐκ πίστεως βεβαίας, πάντα φεύγων. καὶ ἔχει ἀντὶ πάντων τὸν Χριστόν. καὶ αὐτὸς γίνεται αὐτῷ πάντα, ὥς φασιν ὁ Χρυσόστομος, καὶ ὁ Δαμασκηνός, ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι. τρέφων, ἐνδύων, χαροποιῶν, παρακαλῶν, εὐφραίνων, ἀναπαύων, διδάσκων, φωτίζων. καὶ ἁπλῶς, ὥσπερ τῶν μαθητῶν αὐτοῦ, οὕτω καὶ τούτου ποιεῖ φροντίδα. εἰ καὶ μή, ὥσπερ ἐκεῖνοι κοπιᾶν ἔχῃ, ἀλλ' ἂν πίστιν ἔχῃ βεβαίαν, δι' ἣν οὐ ποιεῖται τὴν ἑαυτοῦ φροντίδα, ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων. ἀλλὰ διὰ τὸν φόβον τῶν πνευμάτων, ὡς οἱ Ἀπόστολοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, κάθηται ἐν τῷ Κελλίῳ ἀναμένων τὸν ἑαυτοῦ διδάσκαλον, ἵνα διὰ τῆς ὄντως θεωρίας, ἤτοι τῆς τῶν κτισμάτων αὐτοῦ γνώσεως, συνεγείρῃ νοητῶς ἐκ τῶν παθῶν, καὶ τὴν εἰρήνην χαρίσηται, ὥσπερ τοῖς Ἀποστόλοις, τῶν θυρῶν κεκλεισμένων, φησὶν ὁ Ἅγιος Μάξιμος.

## Περὶ τῶν ἑπτὰ σωματικῶν πράξεων διάγνωσις Ἀρίστη.

ΤΑ' δὲ πρώην γεγραμμένα ἐν τῇ ἀρχῇ τοῦ λόγου περὶ τῶν ἑπτὰ πράξεων τῶν σωματικῶν καὶ ἠθικῶν, ἀείποτε φυλάττειν δεῖ. καὶ μήτε ἐλαττώσειν τῇ ἐλλείψει, μήτε αὔξειν τῇ ὑπερβολῇ· εἰ μήπου καιρὸς πολέμου ἐστὶ σωματικοῦ διὰ τὴν νεότητα, ἢ ἰσχὺν ὑπερβάλλουσαν, δι' ἣν χρήζει ὑπερβαλλούσης ἀσκήσεως, ἢ πάλιν δι' ἀσθένειαν, δι' ἣν μικρᾶς ἀναπαύσεως δέεται. πλὴν μὴ εἰς λύσιν τελείαν, αὕτη γὰρ καὶ τοὺς ἀπαθεῖς βλάψαι δύναται, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ. ἀλλὰ εἰς ἀνάγκην ἔστω ἡ ἀνάπαυσις, ὡς ἰατρεία τῆς ἀῤῥωστίας· καὶ μὴ ἀφορμὴν διδοῦσα ἡ ψυχὴ τὸν πόνον ὑποχαλᾶν βούλεται. αὕτη γάρ ἐστιν ἡ λύσις, ὅταν ὁλοψύχως τις θέλῃ τὴν ἀνάπαυσιν· ἡ δὲ ἀνάπαυσις, φησί, τοὺς νέους, καὶ ὑγιεῖς βλάπτειν εἴωθε. Ἐπειδὴ φασὶν οἱ Ἅγιοι Πατέρες Βασίλειός τε καὶ Μάξιμος. ὅτι πρὸς μὲν θεραπείαν πείνης, καὶ δίψης, ἄρτος μόνος, καὶ ὕδωρ χρήσιμα. πρὸς δὲ ὑγείαν, καὶ ἰσχὺν τοῦ σώματος, τὰ λοιπὰ ὑπὸ τοῦ Θεοῦ φιλανθρώπως δεδώρηνται. καὶ ἵνα μὴ τὸ ἓν εἶδος, ἀεὶ ἐσθιόμενον εἰς ἀηδίαν φέρῃ τὸν ἀσθενοῦντα, ἀλλ' ἓν παρ' ἕν, ὡς προείρηται, χρήσιμα. ἡ γὰρ ἀποχή, καὶ ἡ ἀκρασία εἰσὶν αἱ τῆς ἀσθενείας προσφέρουσαι. ἡ δὲ ἐγκράτεια, καὶ ἐναλλαγὴ τῶν βρωμάτων καθ' ἑκάστην, τῆς ὑγείας πρόξενοι γίνονται, ἵνα τὸ σῶμα τηρηθῇ ἀνώδυνον καὶ ἄνοσον, καὶ γένηται συνεργὸν πρὸς τὴν κτῆσιν τῶν ἀρετῶν. καὶ ταῦτα μὲν πρὸς τοὺς ἀγωνιζομένους, ὡς εἴρηται. οἱ δὲ ἀπαθεῖς διὰ τῆς κατὰ Χριστὸν πιότητος πολλάκις δι' ἡμερῶν πολλῶν οὐκ ἐσθίουσιν ἐπιλαθόμενοι τοῦ σώματος. ὡς ὁ Ἅγιος Σισώης, ὅστις μετὰ τὸ ἐσθίειν ἐζήτει μεταλαβεῖν τῶν ἀχράντων μυστηρίων ἐκ τῆς πρὸς Θεὸν ἐκστάσεως, ὡς φησιν ὁ Ἀπόστολος, πρὸς ὠφέλειαν πολλῶν, εἴτε ἐξέστημεν Θεῷ. εἴτε σωφρονοῦμεν, ὑμῖν. καὶ ὡς ὁ Μέγας Βασίλειος περιέπιπτον, καὶ ἄλλοι τινές. οἱ δὲ πάλιν μετέπιπτον ἐσθίοντες οἱ τοιοῦτοι, πολλῶν ἐδεσμάτων, οὐκ εἶχον αἴσθησιν τῶν τοιούτων, ἀλλ' ὡς μηδὲν ἐσθίοντες διέκειντο. ὁ γὰρ νοῦς τῶν τοιούτων οὐκ ἔστιν ἐν τῷ σώματι, ἵνα αἴσθηται αὐτοῦ τὴν ἀνάπαυσιν, ἢ τὸν πόνον. καὶ δῆλον μὲν ἐκ τῶν πολλῶν Πατέρων, καὶ Ἁγίων Μαρτύρων. δῆλον δὲ καὶ ἐκ τοῦ Ἁγίου ἐκείνου, περὶ οὗ ἔγραψεν ὁ Ἅγιος Νεῖλος, ὅτι ἦν τις γέρων, φησίν, ἐν τῇ ἐρήμῳ προσευχόμενος εἰς τοσοῦτον, ὅν, παραχωρήσει



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Θεοῦ, πρὸς ὠφέλειαν αὐτοῦ καὶ ἄλλων πολλῶν, ἀπὸ τῶν χειρῶν καὶ ποδῶν οἱ δαίμονες ἐλάμβανον, καὶ εἰς τὸ ὕψος ἐτίνασσον. καὶ πάλιν ἵνα μὴ βλαβῇ τὸ σῶμα, ἐν τῷ ἐμπίπτειν ἐκ τοσούτου ὕψους, ἐν τῷ ψαθίῳ ἐδέχοντο. καὶ τοῦτο ἐπὶ πολὺ ποιοῦντες, δοκιμάζοντες εἰ κατέρχεται ὁ νοῦς αὐτοῦ ἐκ τῶν οὐρανῶν, καὶ οὐκ ἴσχυσαν τοῦτο ἀνύσαι· ὁ τοιοῦτος ἆρα πότε αἴσθηται βρώσεως, ἢ πόσεως, ἢ τινὸς τῶν σωματικῶν; καὶ πάλιν ὁ Ἅγιος Ἐφραὶμ μετὰ τὸ νικῆσαι πάντα τά τε ψυχικὰ, καὶ σωματικὰ πάθη, χάριτι Χριστοῦ, ἵνα μὴ ἀργὸς ἐκ τῶν πολέμων τοῦ ἐχθροῦ εὑρεθῇ, καὶ τὴν χάριν κατακριθῇ, ὡς ἐδόκει δι' ἄκρας ταπεινώσεως ἐζήτει τὴν χάριν τῆς ἀπαθείας ἀρθῆναι ἀπ' αὐτοῦ, περὶ οὗ Ἰωάννης ὁ τῆς Κλίμακος ἐκπλαγεὶς ἔγραψεν, ὅτι εἰσί τινες ἀπαθῶν ἀπαθέστεροι. ὡς ὁ Σύρος ἐκεῖνός φησι, καὶ τὰ ἑξῆς.

## Περὶ Διακρίσεως.

Διὰ τοῦτο εἰς πᾶν πρᾶγμα χρήζομεν τῆς διακρίσεως, ἵνα κατὰ τὸν καιρὸν κρίνωμεν πᾶν ἐπιτήδευμα. ἡ γὰρ διάκρισις φῶς ἐστι δεικνύουσα, τῷ ἔχοντι αὐτὴν, τὸν καιρὸν, τὸ ἐγχείρημα, τὸ ἐπιτήδευμα τὴν κατάστασιν ἀνθρώπου, τὴν ἰσχὺν, τὴν γνῶσιν, τὴν ἡλικίαν, τὴν δύναμιν, τὴν ἀσθένειαν, τὴν προαίρεσιν, τὴν προθυμίαν, τὴν συντριβὴν, τὴν ἕξιν, τὴν ἀγνωσίαν, τὴν τοῦ σώματος δύναμιν, καὶ κρᾶσιν, ὑγείαν τε, καὶ ταλαιπωρίαν, τὸν τρόπον, τὸν τόπον, τὴν ἀναστροφὴν, τὴν ἀνατροφὴν, τὴν πίστιν, τὴν διάθεσιν, τὸν σκοπὸν, τὴν διαγωγὴν, τὴν ἄδειαν, τὴν ἐπιστήμην, τὴν φυσικὴν φρόνησιν, τὴν σπουδὴν, τὴν ἐγρήγορσιν, τὴν βραδύτητα, καὶ τὰ ὅμοια· Ἔπειτα τῶν πραγμάτων τὴν φύσιν, τὴν χρῆσιν, τὴν ποσότητα, τὰ εἴδη, τὸν σκοπὸν τοῦ Θεοῦ τὸν ἐν ταῖς θείαις γραφαῖς κείμενον, τὸν νοῦν τῆς ἑκάστης λέξεως, οἷον τὸ λεγόμενον ῥητὸν ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ. ὅτε ἦλθον οἱ Ἕλληνες ζητοῦντες ἰδεῖν τὸν Κύριον, καὶ εὐθέως εἶπεν, ἐλήλυθεν ἡ ὥρα, καὶ τὰ ἑξῆς. πρόδηλον, ὅτι ἔφθασεν ἡ κλῆσις τῶν ἐθνῶν. ἤρξατο γὰρ ὁ καιρὸς τοῦ πάθους, καὶ τοῦτο ὡς σημεῖον τίθησιν. καὶ γὰρ ἡ διάκρισις ταῦτα πάντα σαφηνίζει. οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸν σκοπὸν τῆς τῶν Πατέρων ἑρμηνείας. ὅτι οὐ τὸ γινόμενον πρᾶγμά, ἐστι τὸ ζητούμενον, ἀλλὰ δι' ὃ γίνεται, φησὶν ὁ Ἅγιος Νεῖλος. καὶ ὁ δίχα τῆς τῶν εἰρημένων γνώσεως ποιῶν τι, κοπιᾷ μὲν ἴσως πολλὰ, οὐδὲν δὲ ἀνύσαι δύναται, ὥς φησιν ὁ Μέγας Ἀντώνιος καὶ ὁ Ἅγιος Ἰσαὰκ, περὶ τῶν ἀγωνιζομένων εἰς τὰς σωματικὰς ἀρετὰς, ἀμελούντων δὲ εἰς τὴν τοῦ νοὸς ἐργασίαν, καίπερ αὐτὴν μᾶλλον εἶναι τὸ ζητούμενον· ὥς φησιν ὁ Ἅγιος Μάξιμος. δὸς τῷ σώματι τὴν κατὰ δύναμιν ἐργασίαν, καὶ ὅλον σου τὸν ἀγῶνα ἐπὶ τὸν νοῦν τρέψον. ὁ γὰρ σωματικῶς, φησιν, ἐργαζόμενος, ποτὲ μὲν ἡττᾶται, γαστριμαργίᾳ, καὶ πολυϋπνίᾳ, περισπασμῷ τε, καὶ πολυλογίᾳ, καὶ ἐκ τούτων σκοτίζει τὸν νοῦν. ποτὲ δὲ τῇ ἐκτεταμένῃ νηστείᾳ, ἀγρυπνίᾳ τε, καὶ ὑπερβολῇ τῶν καμάτων θολοῖ τὴν διάνοιαν. ὁ δὲ τὸν νοῦν ἐπιμελούμενος, θεωρεῖ, εὔχεται, θεολογεῖ, καὶ πᾶσαν ἀρετὴν κατορθῶσαι δύναται. διότι ὁ φρόνιμος ἄνθρωπος ἐπιστημόνως ἀγωνίζεται ποιεῖν, ὅσον δύναται, μικρὰς τὰς τοῦ σώματος χρείας, ἵνα ἐκ τούτου γένηται ὀλιγομέριμνος, ἢ καὶ ἀμέριμνος, πρὸς τὸ τηρεῖν τὰς ἐντολάς· ὥς φησιν ὁ Κύριος, μὴ μεριμνᾶτε καὶ τὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἑξῆς. Ἐν δὲ πολυμεριμνίᾳ οὐδὲ ἑαυτόν τις βλέπειν δύναται, καὶ πῶς τὰς πρὸ καιροῦ ἡτοιμασμένας τοῦ ἐχθροῦ παγίδας δύναται βλέπειν; ἐπεὶ ὁ ἐχθρὸς οὐ πάντοτε πόλεμον φανερὸν ποιεῖ ἔξωθεν, ὥς φησιν ὁ Χρυσόστομος· εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν εὐχερῶς εἰς τὰς παγίδας αὐτοῦ πολλοὶ ἐνεπέσαμεν, ἵνα ὀλίγοι οἱ σωζόμενοι εὑρεθήσονται ὥς φησιν ὁ Κύριος. ἀλλ' ὅταν εἰς τὰ μεγάλα βουληθῇ ῥίψαι τινά, ἀμελεῖν κατασκευάζει πρῶτον τὰ μικρά, καὶ ἀφανῆ, καὶ πρὸ τῆς μοιχείας, τὴν πυκνὴν καὶ ἀκόλαστον θεωρίαν. καὶ πρὸ τοῦ φόνου, τὸν μικρὸν θυμόν. καὶ πρὸ τοῦ σκότους τῆς διανοίας, τὸν μικρὸν περισπασμόν. καὶ πρὸ τούτου πάλιν, τὴν δῆθεν ἀναγκαίαν τοῦ σώματος χρείαν. διὰ τοῦτο ὁ Κύριος, ὡς πάντα προγινώσκων, ὡς τοῦ πατρὸς σοφία ὑπάρχων, προκαταλαμβάνων τὰς τοῦ διαβόλου πανουργίας, κελεύει τοῖς ἀνθρώποις πρὸ τοῦ καιροῦ κόπτειν τὰς ἀφορμάς· ἵνα μὴ δοκοῦντες εὐσυμπάθητα εἶναι τὰ μικρά, πίπτωμεν ἐλεεινῶς ἐν τοῖς δεινοῖς καὶ μεγάλοις ἁμαρτήμασι· καὶ φησίν. ἐῤῥέθη τοῖς ἀρχαίοις, τοῖς ἐν τῷ νόμῳ δηλαδὴ τάδε, καὶ τάδε. ἐγὼ δὲ λέγω ὑμῖν καὶ τὰ ἑξῆς. Ὁ οὖν μαθητευθεὶς τῷ Ἁγίῳ Εὐαγγελίῳ, ὀφείλει τὰ διδασκόμενα αὐτῷ ὑπὸ τοῦ σωτῆρος προσέχειν, καὶ ποιεῖν, ἵνα ῥυσθῇ τῶν παγίδων τοῦ ἐχθροῦ, καὶ ἔχειν τὰς ἐντολὰς φιλοτιμίαν μᾶλλον, καὶ εὐεργεσίαν μεγάλην, ὅτι μετὰ σοφίας μεγάλης δύναται σώζειν τὴν ψυχήν. Θεοῦ δῶρα γάρ εἰσιν αἱ ἐντολαί, καὶ εἰκότως πᾶσα δόσις ἀγαθή, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, φησὶν ὁ Ἀδελφόθεος· ὥς φησι καὶ ὁ Δαμασκηνός· Ἔθου ἡμῖν ἀκαταίσχυντον πρέσβιν τὴν τεκοῦσάν σε Χριστέ, ταύτης ταῖς ἐντεύξεσιν, ἵλεων πέμψοις ἡμῖν πνεῦμα μεταδοτικόν τε ἀγαθότητος, ἐκ πατρὸς διὰ σοῦ προερχόμενον.

Ὁ γὰρ λαβὼν χάρισμα προσοχῆς τῶν θείων γραφῶν, ὥς φασιν οἱ πατέρες, πᾶν ἀγαθὸν εὑρίσκει κεκρυμμένον ἐν πάσαις ταῖς γραφαῖς, ὥς φησιν ὁ Κύριος· ὁ μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, καὶ τὰ ἑξῆς· ἤτοι ἐν τῇ κατὰ Θεὸν σχολῇ, καὶ ἀναγνώσει τῶν θείων γραφῶν. ὅτι ἄλλο πρόσωπον δείκνυσιν ἡ γραφὴ τοῖς λοιποῖς ἀνθρώποις, κἂν δοκοῦσι γινώσκειν, καὶ ἄλλο δείκνυσι τῷ ἀφορίσαντι ἑαυτὸν εἰς τὸ ἀδιαλείπτως προσεύχεσθαι, ἤτοι τὸ ἔχειν τὴν τοῦ Θεοῦ ἔννοιαν, ἀντὶ ἀναπνοῆς, ἐν πᾶσι. κἂν κατὰ κόσμον ἰδιώτης ᾖ, καὶ ἀμαθεὶς τὰ τῶν ἀνθρώπων μαθήματα, ὥς φησιν ὁ Μέγας Βασίλειος. ἁπλότητι δὲ μᾶλλον, καὶ ταπεινώσει Θεὸς ἐμφανίζεται, φησὶν ὁ τῆς Κλίμακος, καὶ οὐ κόποις, ἢ καταργουμένῃ σοφίᾳ· ὑποστρέφεται δὲ μᾶλλον ταύτην ὁ Θεός· ἐὰν οὐκ ἔχῃ ταπείνωσιν. κρείττων γάρ ἐστί τις ἰδιώτης τῷ λόγῳ, καὶ μὴ τῇ γνώσει· κατὰ τὸν Ἀπόστολον. ἐπειδὴ ἡ μὲν πνευματικὴ γνῶσις χάρισμά ἐστι, ἡ δὲ τοῦ λόγου ἐπιστήμη, μάθημά ἐστιν ἀνθρώπινον, ὥσπερ τὰ λοιπὰ μαθήματα τοῦ κόσμου τούτου, καὶ οὐ συμβάλλεταί τισι πρὸς σωτηρίαν ψυχῆς· καὶ δῆλον ἐκ τῶν Ἑλλήνων. ἡ δὲ ἀνάγνωσις πρὸς μνήμην τοῖς ἴσασι τὰ εἰρημένα ἐκ τῆς πείρας, πρὸς δὲ μάθησιν τοῖς ἀπείροις γίνεται. Ὅταν, φησὶν ὁ Μέγας Βασίλειος, εὕρῃ ὁ Θεὸς καθαρὰν τὴν καρδίαν ἀπὸ πάντων τῶν κοσμικῶν πραγμάτων, καὶ μαθημάτων, τότε ὡς πτυχεῖον ἄγραφον γράφει τὰ ἑαυτοῦ δόγματα. τοῦτο δὲ λέγω, ἵνα μὴ ἀναγνώσῃ τίς τὰ μὴ συμβάλλοντα πρὸς ἀρέσκειαν Θεοῦ· ἀλλὰ κἂν ἀγνοῶν τοῦτο ποτὲ ἀνέγνω, ἀγωνιζέσθω ταχέως ἐξαλεῖψαι τὴν τούτου μνήμην διὰ πνευματικῆς ἀναγνώσεως θείων γραφῶν, καὶ μάλιστα τῶν συμβαλλόντων αὐτῷ πρὸς σωτηρίαν ψυχῆς κατὰ τὴν κατάστασιν, ἣν ἔφθασεν. εἰ μὲν πρακτικὸς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἔτι ὑπάρχει, ἐν τοῖς βίοις, καὶ λόγοις τῶν πατέρων, εἰ δὲ εἰς θείαν γνῶσιν ἡ χάρις ἀνήγαγεν αὐτόν, ἀναγινωσκέτω ἐν πάσαις ταῖς θείαις γραφαῖς, ὡς δυνάμενος κατὰ τὸν Ἀπόστολον, καθελεῖν πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ ἐκδικεῖν πᾶσαν παρακοήν, καὶ παράβασιν διὰ πράξεως, καὶ ἀληθοῦς γνώσεως τῶν θείων ἐντολῶν τε καὶ δογμάτων τοῦ Χριστοῦ. ἔξωθεν δὲ τούτων μηδ᾽ ὅλως ἀναγινώσκει, τίς γὰρ χρεία τὸ λαβεῖν πνεῦμα ἀκάθαρτον ἀντὶ Πνεύματος Ἁγίου; διότι εἰς ὁποῖον λόγον σχολάζει τίς, τὸ τοῦ λόγου πνεῦμα ἔχειν βούλεται· εἰ καὶ οὐ φαίνεται αὐτῷ δυσχερὲς τὸ πρᾶγμα ὡς τοῖς ἐμπείροις.

## Περὶ τῆς κατὰ Θεὸν Ἀναγνώσεως.

ΕΣτω οὖν ἡ κατὰ Θεὸν ἀνάγνωσις, πρὸς τὸ μὴ ῥέμβεσθαι τὸν νοῦν, ὅτι αὕτη ἐστὶν ἡ ἀρχὴ τῆς σωτηρίας. μισεῖ, φησὶν ὁ Σολομών, ἦχον ἀσφαλείας, ὁ ἐχθρὸς δηλαδή, ὥσπερ ὁ ῥεμβασμὸς τῆς διανοίας, ἀρχή ἐστι τοῦ ἁμαρτάνειν, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ. Ὁ δὲ θέλων τοῦτο φυγεῖν τελείως, ἐν τῇ κέλλῃ δεῖ τὰ πολλὰ σχολάζειν. εἰ μὲν τῆς ἀκηδίας ὑπόσπονδός ἐστιν, ἐργαζέσθω μικρόν, ὡς καὶ ὁ ἀπαθὴς καὶ γνωστικὸς πρὸς ὠφέλειαν ἄλλων, καὶ βοήθειαν ἀσθενοῦσι τισίν· ὡς οἱ μεγάλοι τῶν πατέρων ἐποίουν συγκαταβαίνοντες, καὶ ἐξομοιοῦντο τοῖς ἐμπαθέσι, ταπεινοφροσύνης χάριν, ὡς δυνάμενοι πανταχοῦ ἔχειν τὸν Θεὸν ἐν ἑαυτοῖς, καὶ εἰς τὴν ἐν Θεῷ θεωρίαν σχολάζειν, καὶ ἐν ἐργοχείρῳ, καὶ ἐν ἀγορᾷ, ὥς φησιν ὁ Μέγας Βασίλειος, πρὸς τοὺς τελείους σφόδρα, ὡς καὶ ἐν πλήθει ὄχλου, φησίν, ὡς μόνοι ἐν ἑαυτοῖς, καὶ τῷ Θεῷ πάντοτε εἰσίν. Ὁ δὲ ταῦτα ἔτι μὴ ἔχων, ἀλλὰ τῇ ἀκηδίᾳ ὑποστάτιον βούλεται εἶναι, πᾶσαν ὁμιλίαν ἀνθρώπων, καὶ ὕπνον παρὰ τὸ δέον ὀφείλει ἀποβάλλειν ἐξ ἑαυτοῦ, καὶ ἐᾶσαι ταύτην τῆξαι αὐτοῦ τὸ σῶμα καὶ τὴν ψυχήν, ἕως οὗ ἀκηδιάσασα ἀναχωρήσῃ, βλέπουσα αὐτοῦ τὴν ὑπομονὴν ἐν διηνεκεῖ σχολῇ τῷ Θεῷ, καὶ ἐν τῇ ἀναγνώσει, καὶ καθαρᾷ προσευχῇ. πᾶς γὰρ πολέμιος, εἰ μὲν εἴδοι ἑαυτὸν τί ἀνύσαι δυνάμενον, παραμένει πολεμῶν. εἰ δὲ μήγε, ἀναχωρεῖ, ἢ τελείως, ἢ πρὸς ὥραν. διὰ τοῦτο ὀφείλει ὁ θέλων περιγενέσθαι τῶν πολεμίων, πᾶσαν ὑπομονὴν ἔχειν. ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. δίκαιόν ἐστι· φησὶν ὁ Ἀπόστολος· διδόναι θλίψιν τοῖς λυποῦσιν ἡμᾶς, ἡμῖν δὲ τοῖς θλιβομένοις ἄνεσιν. οὐκ ἔστι δὲ κακὸν οὐδὲ ἓν πρᾶγμα γινόμενον κατὰ Θεὸν μετὰ ταπεινώσεως. πλὴν διαφορὰς ἔχουσι τὰ πράγματα, καὶ τὰ ἐπιτηδεύματα. πᾶν οὖν ὅτι ἐστὶ παρὰ τὴν ἀναγκαίαν χρῆσιν, ἐμπόδιον γίνεται τῷ θέλοντι σωθῆναι, ἤγουν πᾶν ὅτι οὐ συμβάλλεται πρὸς σωτηρίαν ψυχῆς, ἢ πρὸς σωματικὴν ζωήν. ἐπειδὴ οὐ τὰ βρώματα, ἀλλ᾽ ἡ γαστριμαργία κακή· οὐ δὲ τὰ χρήματα, ἀλλ᾽ ἡ προσπάθεια· οὐ δὲ τὸ λέγειν, ἀλλ᾽ ἡ ἀργολογία· οὐ δὲ τὰ ἡδέα τοῦ κόσμου, ἀλλ᾽ ἡ ἀκρασία· οὐ δὲ ἡ ἀγάπη πρὸς τοὺς ἰδίους, ἀλλ᾽ ἡ ἐκ ταύτης ἀργία πρὸς τὴν τοῦ Θεοῦ διαρέσκησιν· οὐ δὲ τὰ ἐνδύματα πρὸς τὸ σκεπασθῆναι μόνον, καὶ φεύγειν τὸ ψῦχος, καὶ καύσωνα, ἀλλὰ τὰ περιττὰ καὶ πολύτιμα· οὐδὲ αἱ οἰκίαι πρὸς τὸ φεύγειν μόνον μετὰ τῶν εἰρημένων καὶ τὰς ἐπιβουλάς, θηρία τε, καὶ ἀνθρώπους, ἀλλ᾽ αἱ διώροφοι καὶ τριώροφοι, μεγάλαι τε, καὶ πολυδάπαναι· οὐδὲ τὸ ἔχειν τι πρᾶγμα, ἀλλὰ τὸ μὴ εἰς ἀναγκαίαν χρῆσιν αὐτὸ ἔχειν· οὐδὲ τὸ βίβλους ἔχειν τὰς λίαν ἀκτήμονας κακόν, ἀλλὰ τὸ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μὴ ἔχειν αὐτάς, διὰ τὴν κατὰ Θεὸν ἀνάγνωσιν· οὐδὲ τὸ ἔχειν φίλους, ἀλλὰ τοὺς μὴ πρὸς ὠφέλειαν ψυχῆς χρησίμως ἔχοντας· οὐδὲ γυνὴ κακόν, ἀλλ' ἡ πορνεία· οὐδὲ ὁ πλοῦτος, ἀλλ' ἡ φιλαργυρία· οὐδὲ ὁ οἶνος, ἀλλ' ἡ μέθη· οὐδὲ ὁ φυσικὸς θυμὸς ὁ δοθεὶς πρὸς τὸ κολάζειν τὴν ἁμαρτίαν, ἀλλὰ τὸ χρήσασθαι τούτῳ κατὰ τῶν ὁμογενῶν ἀνθρώπων. οὐδὲ τὸ ἄρχειν, ἀλλ' ἡ φιλαρχία· οὐδὲ ἡ δόξα, ἀλλ' ἡ φιλοδοξία, καὶ ἡ χείρων ταύτης κενοδοξία· οὐδὲ τὸ ἀρετὴν κεκτῆσθαι, ἀλλὰ τὸ οἴεσθαι ἔχειν· οὐδὲ ἡ γνῶσις, ἀλλὰ τὸ δοκεῖν εἶναι γνωστικόν, καὶ τὸ χεῖρον τούτου, τὸ τὴν ἰδίαν ἀγνωσίαν ἀγνοεῖν. οὐδὲ ἡ ἀληθινὴ γνῶσις, ἀλλ' ἡ ψευδώνυμος· οὐδὲ ὁ κόσμος κακός, ἀλλὰ τὰ πάθη· οὐδὲ ἡ φύσις, ἀλλὰ τὰ παρὰ φύσιν· οὐδὲ ἡ ὁμόνοια, ἀλλὰ ἡ ἐπὶ τὸ κακοποιῆσαι, καὶ μὴ πρὸς σωτηρίαν ψυχῆς γινομένη· οὐδὲ τὰ μέλη τοῦ σώματος, ἀλλ' ἡ τούτων παράχρησις. οὐ γὰρ ἵνα ἐπιθυμῶμεν, ἃ μὴ δεῖ ἐγένετο ἡ ὅρασις, ἀλλ' ἵνα ὁρῶντες τὰ κτίσματα δοξάζωμεν δι' αὐτῶν τὸν ποιητήν, πρὸς τὸ ὁδεῦσαι καλῶς ἡμᾶς εἰς τὰ συμφέροντα τῆς ψυχῆς, καὶ τοῦ σώματος ἡμῶν. οὐδὲ αἱ ἀκοαὶ πρὸς τὸ ἐνωτίζεσθαι καταλαλιάς, καὶ μωρολογίαν, ἀλλὰ πρὸς τὸ ἀκοῦσαι λόγον Θεοῦ, καὶ πᾶσαν λαλιάν, ἣν ἀκούομεν παρὰ ἀνθρώπων, πετεινῶν τε, καὶ τῶν λοιπῶν, καὶ ἐκ τούτου δοξάσαι τὸν ποιητήν. οὐδὲ ἡ ὄσφρησις πρὸς τὸ ἐκθηλύνειν τὴν ψυχήν, καὶ λύειν τὸν τόνον αὐτῆς τῇ εὐοσμίᾳ, ὥς φησιν ὁ Θεολόγος, ἀλλὰ πρὸς τὸ ἀναπνεῖν, καὶ δέχεσθαι τὸν δεδωρημένον ἡμῖν παρὰ Θεοῦ ἀέρα, καὶ δοξάζειν αὐτὸν ἕνεκα τούτου· οὐ χωρὶς οὐδεὶς δύναται ζῆσαι σωματικῶς, οὔτε ἄνθρωπος, οὔτε κτῆνος. καὶ θαυμάζω τὴν σοφίαν τοῦ εὐεργέτου πῶς τὰ ἀναγκαιότερα πράγματα εὐκόλως πᾶσιν εὑρίσκονται, λέγω δὴ τὸν ἀέρα, τὸ πῦρ, τὸ ὕδωρ, καὶ τὴν γῆν. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ τὰ δυνάμενα σῶσαι τὴν ψυχὴν εὐκολώτερα τῶν ἄλλων πραγμάτων ἐποίησε, τὰ δὲ ἀπώλειαν αὐτῇ προσφέροντα δυσκολώτερα. οἷον ἡ πενία, πλεῖστα σώζειν εἴωθεν τὴν ψυχήν, ὁ δὲ πλοῦτος, ἐμπόδιον γίνεται τοῖς πολλοῖς. καὶ τὴν μέν, ὁ τυχὼν εὑρίσκει. ὁ δέ, οὐκ ἔστιν ἐν ἡμῖν. εἶτα τὴν ἀτιμίαν, τὴν ταπείνωσιν, τὴν ὑπομονήν, τὴν ὑπακοήν, τὴν ὑποταγήν, τὴν ἐγκράτειαν, τὴν νηστείαν, τὴν ἀγρυπνίαν, τὴν ἐκκοπὴν τοῦ ἰδίου θελήματος, τὴν σωματικὴν ἀσθένειαν, τὴν εὐχαριστίαν ἐν πᾶσι τούτοις. τοὺς πειρασμούς, τὰς ζημίας, τὴν στέρησιν τῶν ἀναγκαίων, τὴν ἀνοχὴν τῶν ἡδέων, τὴν γυμνότητα, τὴν μακροθυμίαν. καὶ ἁπλῶς πάντα τὰ διὰ τὸν Θεὸν γινόμενα ἐπιτηδεύματα καὶ ἀνεμπόδιστα εἰσί, καὶ οὐδεὶς ὑπὲρ τῶν τοιούτων μάχεται, ἀλλὰ μᾶλλον παραχωρεῖ τοῖς προαιρουμένοις ταῦτα ἔχειν, εἴτε ἑκουσίως, εἴτε ἀκουσίως ἐπερχομένων. τὰ δὲ πρὸς ἀπώλειαν συντείνοντα, δυσεύρετα. οἷον ὁ πλοῦτος, ἡ δόξα, ἡ ὑπερηφανία, ἡ ἀκαταδεξία, ἡ ἐξουσία, τὸ ἄρχειν, ἡ ἀκρασία, ἡ πολυφαγία, ἡ πολυυπνία, τὸ ποιεῖν ἃ βούλεται, ἡ ὑγεία, καὶ ἡ ἰσχὺς τοῦ σώματος, ὁ ἀνεπειράστος βίος, τὰ κέρδη, τὸ ἔχειν ὅσα ἐπιθυμεῖ, ἡ τῶν ἡδέων ἀπόλαυσις, τὸ ἔχειν ἐνδύματα, καὶ σκεπάσματα πολλά, καὶ πολύτιμα, καὶ τὰ τοιαῦτα, ὑπὲρ ὧν πολὺς μὲν ὁ ἀγών, ὀλίγη δὲ ἡ εὕρεσις, καὶ πρόσκαιρος ἡ ὠφέλεια. καὶ πολλὴ μὲν ἡ θλίψις, ὀλίγη δὲ ἡ ἀπόλαυσις. διότι τοῖς ἔχουσιν αὐτὰ καὶ τοῖς μὴ ἔχουσιν αὐτά, ἀλλ' ἔχειν ἐπιθυμοῦσι, πᾶσαν θλίψιν προξενοῦσι, καίπερ οὐκ ἔστι κακὸν οὐδέν, ἀλλ' ἡ τούτων παράχρησις, ὡς εἴρηται. οὐ γὰρ ἵνα κλέπτωμεν, καὶ ἁρπάζωμεν, καὶ χεῖρας ἐπ' ἀλλήλων ἐκτείνωμεν κακῶς, ἐγένοντο ἡμῖν χεῖρες, καὶ πόδες, ἀλλ' ἵνα



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ταύτας πρὸς πᾶσαν ἐργασίαν κατὰ Θεὸν κτησώμεθα, εἴς τε ἐλεημοσύνην τοῖς πτωχοῖς οἱ ἀσθενέστεροι τὴν ψυχὴν πρὸς τελειότητα, καὶ πρὸς βοήθειαν τοῖς χρήζουσιν. οἱ δυνατώτεροι δὲ τὴν ψυχὴν, καὶ τὸ σῶμα διὰ τῆς ἀκτημοσύνης, καὶ μιμήσεως τοῦ Χριστοῦ, καὶ τῶν ἁγίων αὐτοῦ μαθητῶν, καὶ πρὸς τὸ δοξάζειν τὸν Θεὸν, καὶ θαυμάζειν τὴν κεκρυμμένην αὐτοῦ σοφίαν ἐν τοῖς μέλεσιν ἡμῶν. καὶ πῶς αἱ χεῖρες αὗται, καὶ οἱ μικροὶ δάκτυλοι πρὸς πᾶσαν ἐπιστήμην, καὶ ἐργασίαν, γραφήν τε, καὶ ἐπιτήδευμα εὑρίσκονται ἕτοιμοι, τῇ τοῦ Θεοῦ προνοίᾳ. ἐξ οὗ ἡ γνῶσις τῶν ἀναριθμήτων τεχνῶν τε, καὶ γραφῶν, σοφίας τε, καὶ ἰαματικῶν φαρμάκων, γλωσσῶν τε, καὶ γραμμάτων διαφόρων. καὶ ἁπλῶς πάντα τὰ προγεγονότα, γινόμενά τε, καὶ γενησόμενα δι᾽ ἄκραν ἀγαθότητα ἡμῖν δεδώρηται, καὶ ἐνὶ δίδονται πρὸς τὸ ζῆσαι σωματικῶς, καὶ σωθῆναι ψυχικῶς· ἐὰν κατὰ τὸν τοῦ Θεοῦ σκοπὸν χρησώμεθα πᾶσι τοῖς οὖσι, καὶ διὰ τούτων δοξάζωμεν αὐτὸν μετὰ πάσης εὐγνωμοσύνης· εἰδὲ μήγε, ἐκπίπτομεν, καὶ ἀπολλύμεθα, καὶ πάντα τὰ ὄντα πρὸς θλῖψιν ἡμῖν ἐν τῷ νῦν αἰῶνι γίνονται, οὐ μὴν, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι πρὸς κόλασιν αἰώνιον, ὡς προείρηται.

## Περὶ Διακρίσεως Ἀληθοῦς.

Ὁ Μὲν, χάριτι Θεοῦ, λαβὼν χάρισμα διακρίσεως, ἐκ πολλῆς ταπεινοφροσύνης ὀφείλει πάσῃ δυνάμει φυλάττειν τὸ χάρισμα τοῦτο, εἰς τὸ μηδ᾽ ὅλως ἀδιακρίτως τι ποιεῖν, ἵνα μὴ ἐν γνώσει ἐξ ἀμελείας πταίων, μείζονα τὴν κατάκρισιν ἐμποιῇ ἑαυτῷ. ὁ δὲ μὴ λαβὼν τὸ χάρισμα τοῦτο, ἔτι ὀφείλει μηδ᾽ ὅλως νόημα στῆσαι, ἢ λόγον, ἢ ἔργον, ἐκτὸς ἐρωτήσεως, πίστεώς τε βεβαίας, καὶ προσευχῆς καθαρᾶς, ὧν χωρὶς εἰς διάκρισιν ἀψευδῶς ἀνελθεῖν οὐ δύναται. αὕτη μὲν γεννᾶται ἐκ ταπεινοφροσύνης. γεννᾷ δὲ τῷ ἔχοντι αὐτὴν, διόρασιν· ὥς φασιν Μωϋσῆς τε, καὶ ὁ τῆς Κλίμακος· ἵνα ὁ ἔχων προβλέπῃ τὰ κεκρυμμένα τοῦ ἐχθροῦ μηχανήματα, καὶ ἐκκόπτῃ τὰς ἀφορμὰς αὐτῶν πρὸ καιροῦ, κατὰ τὸν Δαβίδ· καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου. σημεῖα δὲ τῆς μὲν διακρίσεως τὸ ἀψευδῶς γινώσκειν τὰ καλὰ καὶ τὰ ἐναντία. ἔπειτα καὶ τὸ θεῖον θέλημα εἰδέναι ἐν πᾶσι τοῖς ἐπιτηδεύμασι. τῆς δὲ διοράσεως, τὸ γινώσκειν τά τε ἴδια πταίσματα, πρὶν εἰς τὸ ἔργον φθάσωσι, καὶ τὰ κατὰ κλοπὴν γινόμενα ὑπὸ τῶν δαιμόνων. ἔπειτα καὶ τὰ κεκρυμμένα ἐν ταῖς θείαις γραφαῖς μυστήρια· καὶ ἐν τοῖς αἰσθητοῖς κτίσμασιν. ἔχει μὲν καὶ ἡ τούτων μήτηρ ταπείνωσις σημεῖον, ὡς προείρηται περὶ ἑαυτῆς, γινώσκεται δὲ ἐκ τούτου. ὁ μὲν γὰρ ἐστὶ ταπεινόφρων, ὀφείλει πᾶσαν ἀρετὴν ἔχειν, καὶ ὡς μείζονα χρεωστῶν, ὑποκάτω πάσης κτίσεως εἶναι ἐν ἀληθείᾳ πιστεύειν. εἰ δὲ μὴ οὕτως διάκειται, αὐτὸ τοῦτο πληροφορία ἐστὶν, ὅτι χείρων πάσης τῆς κτίσεως ὑπάρχει, κἂν ἰσάγγελον πολιτείαν δοκῇ ἔχειν. ἐπεὶ ὁ κατὰ ἀλήθειαν Ἄγγελος οὐκ ἠδυνήθη μετὰ τοσαύτης ἀρετῆς, καὶ σοφίας ἀρέσαι τῷ ποιητῇ, ταπεινώσεως δίχα. τί λοιπὸν ἔχει εἰπεῖν ὁ οἰόμενος εἶναι Ἄγγελος, ἐκτὸς ταπεινώσεως, τῆς πάντων τῶν ὄντων καὶ ἐσομένων ἀγαθῶν αἰτίας; ἐξ ἧς γεννᾶται ἡ διάκρισις ἡ φωτίζουσα τὰ πέραντα· ἧς χωρὶς πάντα εἰσὶ ζοφώδη. φῶς γάρ ἐστι, καὶ λέγεται, καὶ διὰ τοῦτο πρὸ παντὸς λόγου, καὶ ἐπιτηδεύματος χρήζομεν τούτου τοῦ φωτὸς, ἵνα τὰ λοιπὰ ὁ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρῶντες θαυμάζωμεν. Θαυμάζομεν δὲ καὶ τὸν Θεόν, πῶς ἐν τῇ πρώτῃ, καὶ κυρίᾳ τῶν ἡμερῶν, πρῶτον τὸ φῶς ἐποίησεν, ἵνα μὴ τὰ γινόμενα μετὰ * ταῦτα ἀθεώρητα μένωσιν, ὡς οὐκ ὄντα, φησὶν ὁ ἐκ Δαμασκοῦ. φῶς μὲν ὡς προείρηται, ὑπάρχει ἡ διάκρισις, ἀναγκαιοτέρα δὲ πάντων τῶν χαρισμάτων ἐστὶν ἡ ἐκ ταύτης γεννηθεῖσα διόρασις. τί γὰρ ἀναγκαιότερον τοῦ βλέπειν τινὰ τὰς κλοπὰς τῶν δαιμόνων, καὶ φυλάττειν τὴν ψυχὴν αὐτοῦ, συνεργούσης τῆς χάριτος; ἀναγκαιοτέρα δὲ πάλιν πασῶν τῶν ἐργασιῶν ἡ καθαρότης τῆς συνειδήσεως, φησὶν ὁ Ἅγιος Ἰσαάκ, καὶ ὁ ἁγιασμὸς τοῦ σώματος, οὗ χωρὶς, οὐδεὶς ὄψεται τὸν Κύριον, ὡς φησὶν ὁ Ἀπόστολος.

* ἴσ. μετὰ τοῦτο

## Περὶ τοῦ μὴ Ἀπογινώσκειν, εἰ καὶ πολλὰ πταίει τις.

Πλὴν, οὐδὲ ἀπογινώσκειν ἡμᾶς, μὴ ὄντας ὡς δεῖ εἶναι. κακὸν μὲν, ὅτι ἥμαρτες ἄνθρωπε. τί δὲ τὸν Θεὸν ἀδικεῖς, καὶ ἔχεις αὐτὸν διὰ ἀγνωσίας ἀδύνατον; μὴ γὰρ τὸ σῶσαί σου τὴν ψυχὴν ἀδυνατεῖ ὁ τοσοῦτον κόσμον, ὃν ὁρᾷς διὰ σὲ πεποιηκώς; εἰ δὲ λέγεις, ὅτι μᾶλλον καὶ τοῦτο κατάκρισίς μου ἐστὶν, ὥσπερ καὶ ἡ αὐτοῦ συγκατάβασις. μετανόησον, καὶ δέχεταί σου τὴν μετάνοιαν, ὡς τοῦ ἀσώτου, καὶ τῆς πόρνης. εἰδὲ οὐδὲ τοῦτο δύνασαι, ἀλλ' ἐκ συνηθείας πταίεις εἰς ἅπερ κἂν μὴ βούλεσαι, ἔχε ταπείνωσιν ὡς ὁ τελώνης, καὶ ἀρκεῖ σοι εἰς σωτηρίαν. ὁ γὰρ ἀμετανοήτως ἁμαρτάνων, καὶ μὴ ἀπογινώσκων, διὰ ἀνάγκης ὑπὸ κάτω πάσης κτίσεως ἑαυτὸν ἔχει, καὶ οὐ τολμᾷ κατακρῖναι, ἢ μέμψασθαί τινα ἄνθρωπον· Ἀλλὰ μᾶλλον θαυμάζει τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. καὶ εὐγνώμων πρὸς τὸν εὐεργέτην εὑρίσκεται, καὶ ἄλλα πολλὰ καλὰ ἔχειν δύναται. καὶ εἰ τῷ διαβόλῳ εἰς τὸ ἁμαρτάνειν ὑπόκειται, ἀλλ' οὖν πάλιν διὰ τὸν φόβον τοῦ Θεοῦ παρακούει τὸν ἐχθρὸν, εἰς τὸ ἀπογινώσκειν ὠθοῦντα αὐτόν. καὶ ἐκ τούτου μέρος τοῦ Θεοῦ ἐστιν, ἔχων εὐγνωμοσύνην, εὐχαριστίαν, ὑπομονὴν, φόβον Θεοῦ, τὸ μὴ κρίνειν, ἵνα μὴ κριθῇ, ἅτινα ἀναγκαῖά εἰσι πάνυ. ὥς φησιν ὁ Χρυσόστομος περὶ τῆς γεέννης, ὅτι σχεδὸν εὐεργετεῖ ἡμᾶς, καὶ ὑπὲρ τὴν βασιλείαν τῶν οὐρανῶν, ὅτι διὰ ταύτης μὲν πολλοὶ εἰς τὴν βασιλείαν εἰσέρχονται, διὰ δὲ τῆς βασιλείας ὀλίγοι, ἀλλὰ διὰ τῆς φιλανθρωπίας τοῦ Θεοῦ. ἡ μὲν διώκει τῷ φόβῳ, ἡ δὲ ἀγκαλίζεται, καὶ δι' ἀμφοτέρων σωζόμεθα· χάριτι Χριστοῦ. ὥσπερ γὰρ οἱ πολεμούμενοι ὑπὸ πολλῶν παθῶν ψυχικῶν, καὶ σωματικῶν, ἂν ὑπομένωσι, καὶ οὔτε παραδίδουσι τὸ αὐτεξούσιον διὰ ἀμελείας, οὔτε ἀπογινώσκουσι, στεφανοῦνται. οὕτω καὶ ὁ εὑρὼν ἀπάθειαν μετὰ ἀδείας καὶ κουφισμοῦ, ἐκπίπτει ταχέως, ἂν μὴ ὁμολογῇ τὰς χάριτας ἀεὶ ἐν τῷ μηδ' ὅλως τινὰ κατακεῖται. εἰ δὲ τοῦτο τολμήσειεν, ἐμφαίνων, ὅτι ἰδίᾳ δυνάμει τὸν πλοῦτον ἑαυτῷ περιεποιήσατο, φησὶν ὁ Ἅγιος Μάξιμος. καὶ ὡς μέγαν κίνδυνον ἔχει ὁ ἐμπαθὴς ἔτι, καὶ ἄμοιρος φωτισμοῦ γνώσεως, ἂν ἄρχῃ τινῶν, φησὶν ὁ Δαμασκηνός. οὕτω καὶ ὁ λαβὼν ἀπάθειαν παρὰ Θεοῦ, καὶ πνευματικὴν γνῶσιν, ἂν μὴ καὶ ἄλλας ὠφελήσῃ ψυχάς. Οὐδὲν γὰρ ἄλλο συμφέρει τῷ ἀσθενεῖ, ὡς ἡ φυγὴ εἰς τὴν ἡσυχίαν. οὐδὲ τῷ ἐμπαθεῖ, καὶ ἀγνώστῳ, ὡς ἡ ἐν αὐτῇ ὑποταγή. οὐδὲ κρεῖττον τοῦ γνῶναι τὴν οἰκείαν ἀσθένειαν, καὶ ἀγνωσίαν. οὐδὲ χεῖρον τοῦ ταῦτα ἀγνοεῖν. οὐδὲ οὕτω μισητὸν ἄλλο πάθος, ὡς ἡ ὑπερηφανία. οὐδὲ καταγέλωτος ἄξιον, ὡς ἡ φιλαργυρία, αὐ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὴ ῥίζα πάντων τῶν κακῶν. διότι τὰ ἐκ τοῦ μετάλλου τῆς γῆς μετὰ πολλοῦ κόπου χρήματα ἀντλοῦντες ἄνθρωποι, εἰς τὴν γῆν πάλιν ἀργὰ τιθέασιν. διὰ τοῦτο φησὶν ὁ Κύριος, Μὴ θησαυρίζετε ἐπὶ τῆς γῆς· καὶ τὰ ἑξῆς. καὶ πάλιν· Ὅπου ὁ θησαυρὸς ὑμῶν ἐστίν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν. ὁ γὰρ ἀνθρώπινος νοῦς, ἐν οἷς χρονίζει, τῷ πόθῳ ἕλκεται ὑπὸ τῆς συνηθείας, εἴτε εἰς τὰ γήϊνα πράγματα, εἴτε εἰς τὰ πάθη, εἴτε εἰς τὰ οὐράνια, καὶ αἰώνια ἀγαθά. ἡ συνήθεια δὲ χρονίζουσα φύσεως ἰσχὺν λαμβάνειν πέφυκε, φησὶν ὁ Μέγας Βασίλειος. ὅταν δὲ ἀσθενῇ τις, τότε μάλιστα ὀφείλει προσέχειν τῆς συνειδήσεως τῷ μαρτυρίῳ, ἵνα ἐκ πάσης κατακρίσεως ἐλευθερώσῃ τὴν ἑαυτοῦ ψυχήν, μήπως τὸ τέλος φθάσῃ τῆς ζωῆς, καὶ μέλλει μεταμελεῖσθαι ἀνόνητα, καὶ θρηνεῖν αἰώνια. Ὁ τοίνυν μὴ δυνάμενος ὑπὲρ Χριστοῦ αἰσθητὸν θάνατον ὑπομεῖναι ὡς ἐκεῖνος, κἂν τὸν τῇ προαιρέσει, ὑπομενέτω δὴ νοητῶς. καὶ ἔσται μάρτυς τῇ συνειδήσει, ἐν τῷ μὴ ὑποταγῆναι τοῖς πολεμοῦσιν αὐτὸν δαίμοσιν, ἢ θελήμασιν, ἀλλὰ νικᾶν αὐτούς. ὥσπερ οἱ Ἅγιοι Μάρτυρες, καὶ οἱ Ὅσιοι Πατέρες. ὅτι οἱ μέν, αἰσθητῶς, οἱ δέ, νοητῶς ἐμαρτύρησαν. μικρὸν τοίνυν βιασθείς, περιεγένετό τις τοῦ ἐχθροῦ. ἢ μικρὸν ἀμελήσας, καὶ σκοτισθεὶς ἀπώλετο.

## Συντομία πρὸς κτῆσιν τῶν ἀρετῶν, καὶ ἀποχὴν τῶν παθῶν.

ΟΥδὲν οὕτω, φησὶν ὁ Μέγας Βασίλειος, σκοτίζειν τὴν διάνοιαν πέφυκεν, ὡς ἡ πονηρία. οὐδὲ * φωτίζει τὸν νοῦν, ὡς ἡ ἀνάγνωσις ἐν ἡσυχίᾳ. οὐδὲ πρὸς σύντομον πόνον ψυχῆς, ὡς ἡ τοῦ θανάτου ἔννοια πέφυκεν. οὐδὲ ἀφανὴς προκοπή, ὡς ἡ αὐτομεμψία, καὶ ἐκκοπὴ τῶν οἰκείων θελημάτων. οὐδὲ ἀφανὴς ἀπώλεια, ὡς ἡ οἴησις, καὶ ἡ αὐταρέσκεια. οὐδὲ πρόξενος ἀποστροφῆς Θεοῦ, καὶ παιδεύσεως τοῦ ἀνθρώπου, ὡς ὁ γογγυσμός. οὐδὲ εὔκολος εἰς τὸ ἁμαρτάνειν, ὡς ἡ σύγχυσις, καὶ ἡ πολυλογία. οὐδὲ σύντομον πρᾶγμα πρὸς κτῆσιν ἀρετῆς, ὡς ἡ μόνωσις, καὶ ἡ σύννοια. οὐδὲ πρὸς εὐγνωμοσύνην, καὶ εὐχαριστίαν, ὡς ἡ μελέτη τῶν τοῦ Θεοῦ δωρεῶν, καὶ τῶν ἡμετέρων κακῶν. οὐδὲ πρὸς αὔξησιν τῶν εὐεργεσιῶν, ὡς αἱ τούτων εὐφημίαι. οὐδὲ σωτηρίαν ἀκούσιον προσφέρει ἄνωθεν, ὡς οἱ πειρασμοί. οὐδὲ σύντομος ὁδὸς πρὸς τὸν Χριστόν, ἤτοι πρὸς τὴν ἀπάθειαν, καὶ τὴν σοφίαν τοῦ Πνεύματος, ὡς ἡ ὁδὸς ἡ Βασιλικὴ ἡ ἀπέχουσα τῶν ὑπερβολῶν, καὶ ἐλλείψεων ἐν πᾶσιν. οὐδὲ ἄλλη ἀρετὴ δύναται καταλαβεῖν τὸ θεῖον θέλημα, ὡς ἡ ταπεινοφροσύνη, καὶ τὸ καταλιπεῖν πᾶν νόημα, καὶ θέλημα ἴδιον. οὐδὲ συνεργὸς εἰς πᾶν ἔργον ἀγαθόν, ὡς ἡ καθαρὰ προσευχή. οὐδὲ ἐμπόδιον πρὸς κτῆσιν ἀρετῶν, ὡς ὁ περισπασμός, καὶ ὁ μετεωρισμὸς τῆς διανοίας, κἂν λίαν μικρὸς ᾖ. ὅσην γὰρ καθαρότητα ἔχει τίς, τοσοῦτον φαίνεται πταίειν πολλὰ ἐκ τοῦ βλέπειν, καὶ ὅσον πολλὰ πταίει, σκοτίζεται, κἂν φαίνηται ἔχειν καθαρότητα. καὶ πάλιν· ὅσην γνῶσιν ἔχει, τοσοῦτον φαίνεται ἄγνωστος. καὶ ὅσον ἀγνοεῖ τις τὴν ἑαυτοῦ ἀγνωσίαν, καὶ τὴν ἐκ μέρους πνευματικὴν γνῶσιν, τοσοῦτον δοκεῖ γνωστικὸς εἶναι. καὶ ὅσον ὑπομένει τὰς θλίψεις ὁ ἀθλητής, τοσοῦτον νικήσει τὸν ἐχθρόν. καὶ ὅσον ἀγωνίζεταί τις ποιῆσαί τι ἀγαθὸν μίαν ἡμέραν, τοσοῦτον χρεωστεῖ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, φησὶν ὁ Ἅγιος Μάρκος. ἂν αὐτοῦ ᾖ ἡ δύναμις καὶ ἡ προθυμία δηλαδή· * εἰδὲ χάρις ἐστὶ τοῦ Θεοῦ, καὶ διὰ τοῦτο ὅταν

* ἴσ. φωτίζειν

* ἴσ. ἢ δὲ

ἤλπιζεν ἡ χάρις ἐδύνατο, τί καύχημα ἔχει ὁ τοιοῦτος; ὅτι οἴεταί τι ποιεῖν ἀγαθὸν ἀφ' ἑαυτοῦ δύνασθαι, καὶ τοὺς μὴ δυναμένους κατακρίνων ἀδίκως. ὁ γὰρ τὸν πλησίον τι ἀπαιτῶν ἑαυτοῦ μᾶλλον ὀφείλει ἀπαιτεῖν δικαιότερον. ὥσπερ γὰρ οὖν οἱ ἁμαρτάνοντες ὀφείλουσιν, ὡς παροργίσαντες τὸν Θεόν. οὕτω καὶ οἱ σκεπασθέντες ὑπὸ τῆς χάριτος αὐτοῦ διὰ τὴν ἀσθένειαν αὐτῶν, καὶ ἑτοιμότητα πρὸς ἀπόγνωσιν, ὀφείλουσι ζέμειν μᾶλλον ὡς πολλὰ χρεωστοῦντες· καὶ ὥσπερ μέγας ἐστὶ κρημνὸς, ἡ ἄγνοια τῶν γραφῶν, φησὶν ὁ Ἅγιος Ἐπιφάνιος, οὕτω μεῖζόν ἐστι κακὸν, ἡ ἐν γνώσει παράβασις. καὶ μείζων ἐστὶν ἡ εὐεργεσία τῆς ψυχῆς διὰ λόγου, ἢ τῆς προσευχῆς. Καὶ ὅταν ὑπομείνῃ τις τὸν πλησίον, ἵνα μὴ θλίβηται ὁ ἀδικῶν αὐτὸν. Ἀλλ' ὅπως ἀναπαύσῃ αὐτοῦ τὸ θέλημα ἐν τῷ καιρῷ τῆς ταραχῆς αὐτοῦ, φησὶν ὁ Ἅγιος Δωρόθεος ποιῶν ἔλεος μετὰ τῆς ψυχῆς αὐτοῦ, βαστάζων αὐτοῦ τὸ βάρος, καὶ εὔχεται ὑπὲρ αὐτοῦ ποθῶν αὐτοῦ τὴν σωτηρίαν, καὶ εἴτι ἄλλο ἐστὶν ἀγαθὸν, σωματικόν τε, καὶ ψυχικόν. καὶ αὕτη ἐστὶν ἡ καθαρὰ ἀνεξικακία, ἡ καθαίρουσα τὴν ψυχὴν, καὶ ἀνάγουσα αὐτὴν πρὸς τὸν Θεόν. ὅτι ἡ θεραπεία τοῦ ἀνθρώπου, κρείττων ἐστὶ πάσης ἐργασίας, καὶ ἀρετῆς· οὐδὲ γὰρ μεῖζον καὶ πλεώτερον τῆς τοῦ πλησίον ἀγάπης ἐν ἀρεταῖς. σημεῖον δὲ ταύτης οὐ μόνον τὸ μὴ ἔχειν τι πρᾶγμα, ὅπερ ἄλλος δέεται, ἀλλὰ καὶ τὸν θάνατον αὐτοῦ ὑπομένειν μετὰ χαρᾶς, καὶ τὴν ἐντολὴν τοῦ Κυρίου, καὶ ταῦτα ὡς χρέος λογίζεσθαι. καὶ εἰκότως. χρεωστεῖ γὰρ οὐ μόνον τὸν πλησίον μέχρι θανάτου φιλεῖν, διὰ τὸ τῆς φύσεως δικαίωμα, ἀλλὰ καὶ τὸ ἐκχυθὲν ὑπὲρ ἡμῶν ὑπέρτιμον αἷμα τοῦ ἐντειλαμένου Χριστοῦ. Μὴ γίνου φίλαυτος, φησὶν ὁ Ἅγιος Μάξιμος, καὶ ἔσῃ φιλόθεος· μὴ γίνου αὐτάρεσκος, καὶ ἔσῃ φιλάδελφος. αὕτη μὲν οὖν ἐκ τῆς ἐλπίδος γίνεται. ἐλπὶς δέ ἐστι τὸ ἀδιστάκτως πιστεύειν ἐκ πάσης διανοίας, ὅτι πάντως τεύξεται τοῦ ἐλπιζομένου. καὶ αὕτη πάλιν ἐκ τῆς βεβαίας πίστεως γεννᾶται, ὅτι τὸ μηδόλως φροντίδα ποιεῖν τινα περὶ τῆς ἑαυτοῦ ζωῆς, ἢ θανάτου, ἀλλὰ πᾶσαν μέριμναν εἰς τὸν Θεὸν ἐᾶσαι. ὡς προείρηται, περὶ τοῦ θέλοντος τυχεῖν τῆς ἀπαθείας τῶν σημείων, ὧν ἡ πίστις θεμέλιον ὑπάρχει. τὴν ὁ ἔχων λογίζεσθαι ὀφείλει, ὅτι ὥσπερ τὰ πάντα ἐποίησεν ὁ Θεὸς, καὶ ἡμᾶς μετὰ πάντων, ἐκ μὴ ὄντων, δι' ἄκραν ἀγαθότητα, οὕτω πάντως καὶ τὴν ψυχὴν, καὶ τὸ σῶμα οἰκονομῆσαι ἔχει, ὡς οἶδεν αὐτός.

## Περὶ τοῦ πῶς κτᾶταί τις τὴν ἀληθῆ πίστιν.

Πλὴν ὁ ταύτης ποθῶν τὴν κτῆσιν (ἥτις ἐστὶ θεμέλιον πάντων τῶν ἀγαθῶν, καὶ θύρα τῶν μυστηρίων τοῦ Θεοῦ, καὶ νίκη ἀκόπωτος τῶν ἐχθρῶν, καὶ ἀναγκαιοτέρα πάσης ἀρετῆς, καὶ πτερὰ τῆς προσευχῆς, καὶ ἐνοίκησις τοῦ Θεοῦ ἐν τῇ ψυχῇ.) χρεωστεῖ ὑπομένειν πᾶσαν δοκιμήν· τὴν μέλλει δοκιμασθῆναι ὑπὸ τῶν ἐχθρῶν, καὶ τῶν πολλῶν καὶ ποικίλων λογισμῶν, ὧν οὐδεὶς δύναται κατανοεῖν, μήτε λέγειν τί περὶ τούτων, ἢ εὑρεῖν, εἰ μὴ ὁ εὑρετὴς τῆς κακίας διάβολος. ἀλλὰ θαρσείτω ὁ τοιοῦτος, ὅτι ἐὰν περιγένηται τῶν ἐπερχομένων αὐτῷ πειρασμῶν μετὰ βίας πολλῆς, καὶ κατέχῃ τὸν νοῦν αὐτοῦ, τοῦ μὴ ἐνδοῦναι τοῖς λογισμοῖς τοῖς φυομένοις ἐν τῇ καρδίᾳ αὐτοῦ, νικῆσαι ἔχει ἐφάπαξ πάντα τὰ πάθη. ὅτι οὐκ αὐτός ἐστιν ὁ νικήσας, ἀλλ' ὁ ἐν αὐτῷ παραγενόμε-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τος Χριστὸς διὰ τῆς πίστεως. περὶ τῶν τοιούτων φησὶν ὁ Κύριος, ὅτι ὁ ἔχων πίστιν, ὡς κόκκον σινάπεως καὶ τὰ ἑξῆς. ἀλλὰ κἂν ὁ λογισμὸς ἀσθενήσας ἐνδώσῃ, μὴ δειλιάσῃ, μηδὲ ἀπογινώσκῃ, μὴ δὲ τῆς ἰδίας ψυχῆς ἐπιγράφῃ τὰ λεγόμενα ὑπὸ τοῦ ἀρχεκάκου. ἀλλὰ μεθ' ὑπομονῆς τὴν κατὰ δύναμιν ἐργασίαν τῶν ἀρετῶν, καὶ φυλακὴν τῶν ἐντολῶν ἐπιμελῶς ποιῶν, ἐν ἡσυχίᾳ καὶ χολῇ κατὰ Θεὸν, ἐκ πάντων τῶν ἑκουσίως λογιζομένων. ἵνα πᾶσαν μηχανὴν, καὶ φαντασίαν νύκτωρ καὶ μεθ' ἡμέραν κινήσας ὁ ἐχθρὸς, καὶ μὴ εὑρὼν αὐτὸν φροντίδα ποιοῦντα τοῖς γινομένοις ὑπ' αὐτοῦ παιγνίοις, καὶ σχήμασι, σὺν πᾶσι τοῖς νοήμασιν, οἷς καταπτήσσων ἐπῆλθεν, ὡς ἀληθῶς δεικνύων τὰ ψευδῆ μεστὰ παίγνια, ἀηδιάσας ἀναχωρῇ. καὶ λαβὼν πεῖραν ὁ ἐργάτης τῶν ἐντολῶν τοῦ Χριστοῦ τῆς τοῦ ἐχθροῦ ἀσθενείας, οὐκ ἔτι ὑπ' οὐδενὸς αὐτοῦ μηχανήματος θροεῖται. ἀλλὰ μετὰ χαρᾶς πᾶν ὅπερ θέλει, καὶ βούλεται κατὰ Θεὸν, ἀκωλύτως ποιεῖ, τῇ πίστει κραταιούμενος καὶ βοηθούμενος ὑπὸ τοῦ Θεοῦ, εἰς ὃν πεπίστευκεν. ὡς αὐτὸς ὁ Κύριος φησί. Πάντα δυνατὰ τῷ πιστεύοντι. διότι οὐκ αὐτός ἐστιν ὁ πολεμῶν τὸν ἐχθρὸν, ἀλλ' ὁ μεριμνῶν περὶ αὐτοῦ Θεὸς διὰ τῆς πίστεως· φησὶν ὁ Προφήτης. Τὸν ὕψιστον ἔθου καταφυγήν σου καὶ τὰ ἑξῆς· οὐκ ἔτι γὰρ ὁ τοιοῦτος ὅλως περί τινος φροντίδα ποιεῖ, γινώσκων, ὅτι ἵππος ἑτοιμάζεται εἰς πόλεμον, παρὰ δὲ Θεῷ ἡ σωτηρία αὐτοῦ, φησὶν ὁ Σολομών· καὶ διὰ ταύτης πάντων καταπολεμᾷ. ὡς φησὶν ὁ Ἅγιος Ἰσαάκ. κτῆσαι πίστιν ἐν σεαυτῷ, ἵνα καταπατήσῃς τοὺς ἐχθρούς σου. οὐδὲ γὰρ ὡς αὐτεξούσιος διάγει, ἀλλ' ὡς κτῆνος ἀγόμενος τῷ θελήματι τοῦ Θεοῦ. ὡς φησὶν ὁ Προφήτης. κτηνώδης ἐγενήθην παρὰ σοὶ, κἀγὼ διὰ παντὸς μετὰ σοῦ. βούλει με, φησὶν, ἀναπαῦσαι διὰ τῆς σῆς γνώσεως, οὐκ ἀντιλέγω. θέλεις πάλιν, ταπεινώσεως χάριν, πειρασμοὺς παραχωρεῖν με ἔχειν, ὡσαύτως εἰμὶ μετὰ σοῦ, οὐκ ἔχω τι ποιῆσαι ὅλως ἀπ' ἐμαυτοῦ. ἐκτὸς σοῦ γὰρ οὐκ ἐγενόμην ἐκ μὴ ὄντος, οὐδὲ ζῆσαι, ἢ σωθῆναι δύναμαι. εἴτι βούλει τὸ σὸν πλάσμα ποίησον. πιστεύω δὲ, ὅτι ἀγαθὸς ὢν, ἀγαθά μοι οἰκονομῆσαι ἔχεις, κἂν πρὸς τὸ συμφέρον οὐ γινώσκω ταῦτα. ἀλλ' οὔτε ἄξιός εἰμι τοῦ γνῶναι, οὐδὲ αἰτοῦμαι τοῦ μαθεῖν, ἵνα ἄνεσιν ἔχω, ἴσως οὐ συμφέρει μοι. οὐδὲ κουφισμὸν πολέμου τινὸς παρακαλέσαι τολμῶ, εἰ καὶ ἀσθενῶ, καὶ ἐν πᾶσι καταπονοῦμαι, ὅτι οὐ γινώσκω ποῖον συμφέρει. Σὺ εἶδας πάντα, καὶ ὡς οἶδας ποίησον. μόνον μὴ ἀστοχήσω, εἴτι κἂν γένηται. ἀλλὰ κἂν θέλω, κἂν μὴ θέλω, σῶσόν με. καὶ τοῦτο εἰ ἀρεστόν σοι ἐστίν. ἐγὼ ἴδιον πρᾶγμα οὐκ ἔχω. ἐνώπιόν σου εἰμὶ, ὡς ἄψυχός τις. τὴν ψυχήν μου εἰς τὰς ἀχράντους σου χεῖρας παρατίθημι ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι. σὺ μὲν πάντα δύνασαι, καὶ πάντα γινώσκεις, καὶ πᾶν ἀγαθὸν πᾶσι θέλεις, καὶ ποθεῖς ἀεὶ τὴν σωτηρίαν μου. καὶ δῆλον ἐκ πασῶν τῶν εὐεργεσιῶν, ὧν ἐποίησας, καὶ ποιεῖς ἀεὶ μεθ' ἡμῶν κατὰ χάριν, φανερῶς καὶ ἀφανῶς, ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, καὶ ἐξ αὐτῆς τῆς ὑπὲρ νοῦν συγκαταβάσεώς σου πρὸς ἡμᾶς, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ. Ἐγὼ δέ τις εἰμὶ, ὅτι τολμῶ ἀναγγέλλειν σοι καρδιογνῶστα; ἀλλ' ἵνα ἐμαυτὸν γνωρίσω, καὶ τοῖς ἐχθροῖς ὅτι πρὸς σὲ καταφεύγων τὸν λιμένα τῆς σωτηρίας μου, ταῦτα λέγω. ἰδοὺ γὰρ ἔγνων ὑπὸ τῆς χάριτός σου, ὅτι Θεός μου εἶ σύ, καὶ οὐκ ἔτι πολλὰ τολμῶ λέγειν, ἀλλὰ τὸν νοῦν μόνον ἀργὸν, κωφόν τε, καὶ ἄλαλον παραστῆσαί σοι βούλομαι· οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις σου τὸ πᾶν ἐργάζεται. οὐ γὰρ οἶδα ἐμαυτὸν ποτὲ ἀγαθὸν ποιοῦντα,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀλλὰ πλήθη κακῶν ἀεί· ὑπὲρ ὧν τὸ δουλικὸν σχῆμα προσπίπτουσα δεικνύω, ὅτι μετανοεῖν με ἠξίωσας, καὶ ὅτι δοῦλός σου εἰμί, καὶ υἱὸς τῆς παιδίσκης σου. ἀλλὰ μὴ ἐάσῃς με Κύριέ μου, Κύριε, Ἰησοῦ Χριστὲ ὁ Θεός μου, ποιεῖν, ἢ λαλεῖν, ἢ λογίζεσθαι ἅπερ οὐ θέλεις. ἀρκεῖ μοι γὰρ τὸ πλῆθος τῶν τοσούτων* προγινομένων μου ἁμαρτιῶν, ἀλλ᾽ ὡς θέλεις, ἐλέησόν με. ἥμαρτον, ἐλέησόν με, ὡς οἶδας. πιστεύω Κύριε, ὅτι ἐπακούεις μου τῆς ἐλεεινῆς ταύτης φωνῆς. βοήθει μου τῇ ἀπιστίᾳ, ὁ χαρισάμενός μοι μετὰ τὸ εἶναι, καὶ τὸ εἶναί με χριστιανόν. μέγα μοί ἐστιν, φησὶν ὁ Καρπάθιος, ὅτι ἐκλήθην Μοναχὸς, καὶ χριστιανός· ὡς εἶπας Κύριε πρός τινα τῶν δούλων σου, ὅτι μέγα σοί ἐστιν, ὅτι ἐκλήθη ἐπὶ σοὶ, τὸ ὄνομά μου. κρεῖττόν μοι ἐστὶ τοῦτο, ὑπὲρ πάσας τὰς βασιλείας τῆς γῆς, καὶ τοῦ οὐρανοῦ, μόνον μὴ ἀποτύχω τῆς κλήσεως τοῦ γλυκυτάτου ὀνόματός σου. Δέσποτα πολυέλεε εὐχαριστῶ σοι καὶ τὰ ἑξῆς· ὡς προεγράφη. ὥσπερ οὖν ἄλλα ἀναγνώσματα πρέπουσι τοῦ πρακτικοῦ, καὶ ἄλλα ῥήματα, καὶ δάκρυα, καὶ εὐχή. οὕτω καὶ ἄλλη πίστις αὕτη παρὰ τὴν πρώτην τὴν γεννῶσαν τὴν ἡσυχίαν. ἐκείνη μὲν πίστις τῆς ἀκοῆς, αὕτη δὲ τῆς θεωρίας, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ. ἡ δὲ θεωρία τῆς ἀκοῆς ἀσφαλεστέρα. ἐκ γὰρ τῆς φυσικῆς γνώσεως γεννᾶται ἡ πρώτη καὶ κοινὴ τῶν ὀρθοδόξων πίστις, ἐξ ἧς γεννᾶται ἡ κατὰ Θεὸν σχολὴ, ὡς εἴρηται, ἡ νηστεία, καὶ ἀγρυπνία, ἡ ἀνάγνωσις, ἡ ψαλμῳδία, ἡ προσευχὴ, καὶ ἐρώτησις τῶν ἐμπείρων. καὶ ἐκ τούτων πάντων γεννῶνται αἱ ἀρεταὶ τῆς ψυχῆς, ἤτοι ἡ τῶν ἐντολῶν καὶ ἠθῶν φυλακὴ, καὶ κατάστασις, δι᾽ ὧν ἡ μεγάλη πίστις, ἐλπὶς, καὶ τελεία ἀγάπη, ἡ ἁρπάζουσα τὸν νοῦν πρὸς τὸν Θεὸν, ὡς εἴρηται, ἐν τῇ προσευχῇ, ὅταν τὶς ἑνοῦται τῷ Θεῷ νοερῶς, ὥς φησιν ὁ Ἅγιος Νεῖλος. τὰ ῥήματα δὲ τῆς προσευχῆς ἅπαξ ἐγράφη, ἵνα ἀεὶ τὴν αὐτὴν εὔχηται ὁ βουλόμενος τὸν νοῦν αὐτοῦ ἀκίνητον παραστῆσαι ἐνώπιον τῆς Ἁγίας, καὶ ζωαρχικῆς Τριάδος, ὡς δοκῶν ὁρᾶσθαι, εἰ καὶ ὁρᾶν τι τὸ παράπαν ἀδύνατον, ἀλλὰ ἀνείδεον, ἀσχημάτιστον, ἄχροον, ἀτάραχον, ἀπερίσπαστον, ἀκίνητον, ἄϋλον, μηδενὸς ὅλως τῶν ἐν πάσῃ τῇ κτίσει νοουμένων, καὶ κατανοουμένων, ἀλλ᾽ ἐν ἠρεμίᾳ βαθείᾳ, καὶ τελείᾳ ἀπραξίᾳ προσομιλεῖν τῷ Θεῷ, καὶ τὴν Ἁγίαν αὐτοῦ μνήμην ἔχειν, καὶ μόνην, ἄχρις ἂν φθάσῃ εἰς τὴν ἁρπαγὴν τοῦ νοὸς, μετὰ τοῦ καταξιωθῆναι αὐτὸν λέγειν, ὡς δεῖ, τὴν τοῦ Κυρίου εὐχὴν, ἤτοι τὸ Πάτερ ἡμῶν. ὥσπερ ὁ Ἅγιος Φιλήμων, ἡ ἁγία εἰρήνη μετὰ τῶν Ἁγίων Ἀποστόλων, Μαρτύρων τε καὶ Ὁσίων εἶπον. τὸ δὲ τύπον ἐκτὸς, χλεύη ἐστὶν ἐξ οἰήσεως γινομένη. ἀόρατον γὰρ τὸ Θεῖον, καὶ ἀπερίγραπτον, καὶ ὁ γενόμενος ἐν* ἑαυτῷ νοῦς, οὕτω δεῖ εἶναι, ἵνα κατὰ χάριν ἀξιωθῇ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος, οὐκ ἀπὸ εἴδους, ἀλλὰ διὰ πίστεως περιπατοῦμεν, φησὶν ὁ Ἀπόστολος. διὰ τοῦτο χρονίζειν ὀφείλομεν ἐν τῇ ἀσκήσει, ἵνα τῷ πολλῷ χρόνῳ ὁ νοῦς ἐπὶ τὰ θεῖα τῷ πόθῳ ἕλκηται ἐκ τῆς συνηθείας. ὅτι ἐὰν μὴ εὕρῃ ὁ νοῦς ἄλλο τι μεῖζον τῶν αἰσθητῶν πραγμάτων, οὐχ ἕλκει τὴν ἐπιθυμίαν ἐπὶ τοῦτο, καὶ καταλείπειν ἅπερ ἐκ τῆς πολυχρονίας ἐσυνήθισεν. ὥσπερ οὖν οἱ φιλάνθρωποι καὶ ἀπαθεῖς οὐ κατὰ πολὺ βλάπτονται ἀπὸ τῶν πραγμάτων τοῦ βίου, διότι καλῶς ταῦτα οἰκονομοῦσιν. οὕτω καὶ οἱ ἔχοντες τὰ μεγάλα χαρίσματα, διότι τῷ Θεῷ ἐπιγράφουσι τὰ κατορθώματα.

* ἴσ. προγινομένων

* ἴσ. ἐν αὐτῷ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Ὅτι μᾶλλον συμφέρει τοῖς ἐμπαθέσιν ἡ ἡσυχία.

Πᾶσι μὲν συμφέρει ἡ ἡσυχία, καὶ ἡ φυγὴ τῶν πραγμάτων τε καὶ ἀνθρώπων, ἐπὶ πλεῖον δὲ τοῖς ἐμπαθέσι, καὶ ἀσθενέσιν. ὅτι οὐ δύναται ὁ νοῦς ἐκ μόνης πράξεως τῆς ἔξωθεν, ἀπαθὴς γενέσθαι, ἐὰν μὴ διαδέχωνται αὐτὸν πολλαί, καὶ πνευματικαὶ θεωρίαι. οὐδὲ ὁ πειρασμός, καὶ τὸ ἄρχειν ἀβλαβῶς παρέρχεται τινά, ἐὰν μὴ πρῶτον ἀπὸ τῆς φυγῆς ἀπάθειαν κτήσηται. ἡ δὲ μέριμνα τοῦ βίου, καὶ ἡ σύγχυσις καὶ τοὺς τελείους βλάπτειν εἴωθε, καὶ τοὺς ἀπαθεῖς· οὐδὲν γὰρ ὄφελος γίνεται, φησὶν ὁ Χρυσόστομος, ἐκ τῆς ἐργασίας τοῦ ἀνθρώπου, δίχα τῆς ἄνωθεν ῥοπῆς. οὐδὲ ἡ ἄνωθεν ῥοπὴ ἐπὶ τὸν μὴ προαιρούμενον πάλιν παραγίνεται. ἀλλ' ἀμφοτέρων δεόμεθα καὶ θείας, καὶ ἀνθρωπίνης. καὶ πράξεως, καὶ γνώσεως. καὶ φόβου, καὶ ἐλπίδος. καὶ πένθους, καὶ παρακλήσεως. καὶ δειλίας, καὶ ταπεινώσεως. καὶ διακρίσεως, καὶ ἀγάπης, διότι, φησί, πάντα τὰ τοῦ βίου διπλᾶ εἰσιν, ἡμέρα, καὶ νύξ. φῶς, καὶ σκότος. ὑγεία, καὶ νόσος. ἀρετή, καὶ κακία. εὐχέρεια, καὶ δυσχέρεια. ζωή, καὶ θάνατος. ἵνα διὰ τῶν μέν, εἰ ἀσθενεῖς τὸν Θεὸν ἀγαπῶμεν, διὰ τῶν δέ, τὸ ἁμαρτάνειν φύγωμεν φόβῳ τῶν πειρασμῶν. εἰ δὲ δυνατοὶ διὰ πάντων ἀγαπῶμεν ὡς Πατέρα τὸν Θεόν, γινώσκοντες ὅτι πάντα καλὰ λίαν εἰσί, καὶ συμφερόντως ταῦτα ὁ Θεὸς οἰκονομεῖ. καὶ ἐκ μὲν τῶν ἡδέων ἐγκρατεύονται, τῶν δὲ δυσχερῶν ἐφίενται, εἰδότες, ὅτι διὰ μὲν τῶν, τὰ σώματα ζωογονοῦνται πρὸς δόξαν τοῦ ποιητοῦ, διὰ δὲ τῶν, αἱ ψυχαὶ πρὸς τὸ σωθῆναι βοηθήσονται, δι' ἄφατον ἔλεος Θεοῦ. τρεῖς γάρ εἰσι καταστάσεις οἱ ἄνθρωποι, δοῦλοι, μισθωτοί, καὶ υἱοί. καὶ οἱ μὲν δοῦλοι οὐκ ἀγαπῶσι τὸ ἀγαθόν, ἀλλὰ τοῦ πονηροῦ, φόβῳ τῶν κολάσεων, ἀπέχονται. καὶ ἔστι μὲν τοῦτο, φησὶν ὁ Ἅγιος Δωρόθεος, ἀγαθόν, οὐ μέντοι καὶ εὐάρεστον: οἱ δὲ μισθωτοί, ἀγαπῶσι τὸ ἀγαθόν, καὶ μισοῦσι τὸ πονηρὸν ἀλλ' ἐλπίδι μισθοῦ. οἱ δὲ υἱοὶ ὡς τέλειοι ὄντες, οὔτε φόβῳ τῶν κολάσεων ἀπέχονται τοῦ πονηροῦ, ἀλλ' ἰσχυρῶς τοῦτο μισοῦσιν. οὔτε πάλιν τὸ ἀγαθὸν ἐλπίδι μισθοῦ ποιοῦσιν, ἀλλ' ὡς χρέος τοῦτο λογίζονται. καὶ τὴν ἀπάθειαν φιλοῦσιν ὡς μίμημα Θεοῦ, καὶ πρόξενον τῆς αὐτοῦ ἐνοικήσεως· δι' ἧς πάσης κακίας ἀπέχονται, κἂν μὴ πρόκειται ἀπειλή. Ἐπειδὴ εἰ μὴ ἀπαθὴς γένηταί τις, οὐ καταπέμπει ὁ Ἅγιος Θεὸς τὸ πανάγιον Πνεῦμα ἐπ' αὐτόν, ἵνα μὴ ἐκ τῆς συνηθείας ἔτι ἑλκόμενος πρὸς τὰ πάθη ὑβρισθῇ. καὶ γίνεται ἔνοχος τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος, καὶ μείζονα κατάκρισιν ἔχει. ἀλλ' ὅταν ἀπὸ τῆς ἕξεως τῆς ἀρετῆς μηκέτι φιλίαν ἔχῃ μετὰ τῶν ἐχθρῶν, μηδὲ ἀπὸ τῆς τῶν παθῶν συνηθείας ἕλκηται, τότε μεταλαμβάνει τὴν χάριν, καὶ οὕτως ἀκατάκριτος μένει ἐν τῷ λαβεῖν τὸ χάρισμα. διὰ τοῦτό φησιν ὁ τῆς Κλίμακος, οὐκ ἀποκαλύπτει ἡμῖν ὁ Θεὸς τὸ θέλημα αὐτοῦ, ἵνα μὴ τοῦτο μαθόντες παρακούσωμεν, καὶ μειζόνως κατακριθῶμεν, εἰ καὶ ὡς νήπιοι ἀγνοοῦμεν τὴν ἄπειρον αὐτοῦ εὐσπλαγχνίαν * εἰς ἡμᾶς τοὺς ἀχαρίστους. ὁ γὰρ τὸ θεῖον, θέλημα, φησί, μαθεῖν θέλων, χρεωστεῖ ἀποθανεῖν ἀπὸ παντὸς τοῦ κόσμου, καὶ τῶν οἰκείων θελημάτων ἐν πᾶσι. Διὰ τοῦτο πᾶν πρᾶγμα ἔχον δισταγμὸν οὐκ ὀφείλει τις ποιεῖν τοῦτο, ἢ στέργειν ὡς καλόν, εἰ μήπου οὐ δύναται ζῆσαι, ἢ σωθῆναι, δίχα τούτου. καὶ λοιπὸν ἐρωτήσεως τῶν ἐμπείρων δεῖται, τότε

* ἴσ. τὴν αἰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐκ βεβαίας πίστεως καὶ προσευχῆς ἡ τοιαύτη πληροφορία, πρὶν τῆς τελείας ἀπαθείας τῆς ποιούσης τὸν τοιοῦτον ἀήττητον, καὶ ἀνίκητον, εἰς πᾶν ἔργον ἀγαθόν. ὥστε πολὺς ἐστὶν ὁ πόλεμος, ὁ δὲ ἄνθρωπος ἀβλαβὴς διαμένει. Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται, φησὶν ὁ Κύριος. καὶ ὁ Ἀπόστολος, ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι. τὸ γὰρ ἀπολέμητον εἶναί τινα, οὐκ ἔστι καλόν. Ἐπειδὴ ἀναχωροῦσιν οἱ δαίμονες πολλάκις, φησὶν ὁ τῆς Κλίμακος, διὰ πολλῶν τρόπων, ἢ ἐνέδρας χάριν, ἢ οἰήσεως, καταλιπόντες, ἢ ἔπαρσιν, ἢ ἄλλο τι κακόν, ἀρκούμενοι ἐν τούτῳ, ὡς ἀναπληροῦν δυναμένῳ τῶν ἄλλων παθῶν τὸν τόπον. διότι, οἱ μὲν Πατέρες, φησὶ τὸ Γεροντικόν, ἐφύλαξαν τὰς ἐντολάς, οἱ δὲ μετ' ἐκείνους ἔγραψαν ταύτας, ἡμεῖς δὲ τὰ γεγραμμένα εἰς τὰς θυρίδας τεθείκαμεν. εἰδέ, καὶ ἀναγινώσκειν βουλόμεθα, οὐ σχολάζομεν κἂν εἰς αὐτὸ τοῦτο τὸ κατανοεῖν τὰ λεγόμενα, καὶ ποιεῖν αὐτά. ἀλλ' ἢ ὡς πάρεργον ἀναγινώσκομεν, ἢ δοκοῦμεν μέγα τι ποιοῦντες, ἐπαιρόμεθα. ἀγνοοῦντες, ὅτι μᾶλλον κατάκρισιν ἔχομεν, ἂν μὴ ἐργαζώμεθα, ὥς φησιν ὁ Χρυσόστομος· ὁ γνούς, φησὶν ὁ Κύριος, τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ καὶ τὰ ἑξῆς. ὥστε καλὴ μὲν ἡ ἀνάγνωσις, καὶ ἡ γνῶσις, ἀλλ' ὅταν πρὸς μείζονα ταπείνωσιν ἄγῃ. ὡσαύτως καὶ ἡ συμβουλή, ὅταν μὴ περιεργάζηταί τις τὸν βίον τοῦ διδασκάλου, ὥς φησιν ὁ Θεολόγος, μὴ ζήτει ἀξιοπιστίαν τοῦ διδάσκοντός σε, ἢ Κηρύσσοντος· καὶ ὥς φησιν ὁ Κύριος. ὅσα ἂν λέγωσιν ὑμῖν οἱ Ἱερεῖς καὶ τὰ ἑξῆς· οὐδεμία γὰρ βλάβη τινὶ ἐρωτῶντι γίνεται, ἐκ τῶν ἔργων τοῦ διδάσκοντος αὐτόν, ἀλλ' οὔτε πάλιν ὠφέλεια, εἰ μὴ ἐργάζεται αὐτός. διότι ἕκαστος ὑπὲρ ἑαυτοῦ λόγον δώσει. ὁ μὲν διδάσκαλος ὑπὲρ τοῦ λόγου αὐτοῦ, * ὁ δὲ διδασκόμενος, ὑπὲρ τῆς διὰ ἔργων ὑπακοῆς αὐτοῦ. τὸ δὲ ἔξωθεν τούτων, παρὰ τὴν φύσιν ἐστί, καὶ κατακρίσεως ἄξιον. διότι, ὥς φησιν ὁ Ἅγιος Εὐστράτιος, ἀγαθὸς ὢν ὁ Θεὸς καὶ δίκαιος· καὶ διὰ τῆς ἀγαθότητος πᾶν ἀγαθὸν ἡμῖν χαρίζεται, ὅταν κατ' εὐγνωμοσύνην ἔχωμεν, ὡς ἀπὸ δικαίου πόρου δοθὲν διὰ τῆς εὐχαριστίας. ἀλλ' ἐὰν ἀγνώμονες φανώμεθα, ἐκπίπτομεν τοῦ ἀγαθοῦ τῇ δικαιοκρισίᾳ τοῦ Θεοῦ. ὥστε ταύτης μὲν ἀγαθοῦ, ἡ τοῦ Θεοῦ ἀγαθότης, καὶ δικαιοσύνη ἡμῖν πρόξενοι κατὰ φύσιν, κατὰ δὲ παράχρησιν, κολάσεως αἰωνίου.

* ἐν ἄλλ. ὁ δὲ μαθητὴς ὑπὲρ ὧν διδασκόμενος, ἀμελεῖ.

## Ὅτι μέγα ἀγαθὸν ἡ ἀληθὴς μετάνοια.

Πλήν, ἐάν τις βουληθῇ πάλιν, βάλλει ἀρχὴν διὰ τῆς μετανοίας. ἔπεσας, φησίν, ἀνάστα. καὶ πάλιν ἔπεσας, πάλιν ἀνάστα, μὴ ἀπογινώσκων ὅλως τὴν σεαυτοῦ σωτηρίαν, ὅτι κἂν γίνηται· μηδὲ προδίδου σαυτὸν ἑκουσίως τῷ ἐχθρῷ, καὶ ἀρκεῖ σοι ἡ ὑπομονὴ αὕτη σὺν τῇ αὐτομεμψίᾳ εἰς σωτηρίαν. ἦμεν, φησὶν ὁ Ἀπόστολος, καὶ ἡμεῖς ποτε ἀνόητοι πορευόμενοι κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας καὶ τὰ ἑξῆς· καὶ σὺ οὖν μὴ ἀπελπίσῃς ὅλως τὴν τοῦ Θεοῦ βοήθειαν ἀγνοῶν, δύναται γὰρ ὅσα θέλει ποιῆσαι, ἀλλ' ἔλπιζον ἐπ' αὐτόν, καὶ ἐν τούτῳ μέλλει ποιῆσαι. ἢ ὅτι διὰ πειρασμῶν τινῶν, ἢ ἄλλων τρόπων, ὧν οἶδεν αὐτός τὴν σὴν διόρθωσιν γενέσθαι κατασκευάσει. ἢ δέχεταί σου τὴν ὑπομονήν, καὶ ταπείνωσιν ἀντὶ ἐργασίας· ἢ ἄλλον τρόπον ὃν οὐκ οἶδας διὰ τῆς ἐλπίδος ποιήσεται φιλανθρώπως, πρὸς τὸ σῶσαί σου τὴν ἀπαρρησίαστον ψυχήν, μόνον μὴ καταλίπῃς τὸν ἰατρόν, ἐπεὶ κακῶς μέλλεις ὑπομένειν τὸν διπλοῦν θάνατον, διὰ τὸ μὴ γι-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νώσκειν τὸν σκοπὸν τοῦ Θεοῦ τὸν κεκρυμμένον· ὡς εἴρηται περὶ τῆς γνώσεως, καὶ νῦν ῥηθήσεται περὶ τῆς πράξεως· ὅτι μέσον δύο παγίδων ἐστὶ πᾶσα σωματική, καὶ ψυχικὴ πρᾶξις· δεξιὰ λέγω, καὶ ἀριστερά, ἤτοι ὑπερβολῇ κινημάτων, καὶ ἐλλείψει· ἄνω, καὶ κάτω, ἐπάρσει, καὶ ἀπογνώσει· ἔσωθεν, καὶ ἔξωθεν, ἤτοι δειλίᾳ, καὶ θράσει· περὶ οὗ φησιν ὁ Θεολόγος, ὅτι μακράν ἐστιν ἀπὸ τοῦ θάρσους καθ' ὑπερβολήν, εἰ καὶ τῷ ὀνόματι παρόμοιόν ἐστι. μέσον δὲ τῶν δύο παγίδων ἡ σύμμετρος ἐργασία ἐν ταπεινώσει, καὶ ὑπομονῇ. θαυμάσαι δὲ χρὴ τὸν ἀνθρώπινον νοῦν, πῶς μεταστρέφει τὰ ὄντα πάντα ἐν ἑαυτῷ, ὡς βούλεται, εἰ καὶ ἀμετάτρεπτά εἰσι, καὶ ἐν ἄλλοις ὑπομένουσι. καὶ πῶς χρεὼν τὸν αὐτὸν σκοπὸν οὐ πάντες ἔχομεν περὶ τῶν ὄντων, ἀλλ' ἕκαστος ὡς θέλει χρῆται τοῖς πράγμασιν, εἴτε καλῶς, εἴτε κακῶς· τὰ μὲν αἰσθητά, ἔργῳ· τὰ δὲ νοητά, λόγῳ, καὶ διαλογισμῷ. τέσσαρες, ὡς ἐμοὶ δοκεῖ, θεωρίαι εἰσί, κατὰ δὲ τὸν Θεολόγον καταστάσεις, πάντες οἱ ἄνθρωποι. οἱ μέν, καλῶς ὧδε, καὶ ἐν τῷ μέλλοντι, ὡς οἱ ἅγιοι πάντες, καὶ οἱ ἀπαθεῖς γενόμενοι. οἱ δέ, ὧδε μόνον καλῶς, ὡς εὐεργετούμενοι ἀναξίως ψυχικῶς, ἢ σωματικῶς, διὰ τὸ μὴ ἔχειν εὐγνωμοσύνην περὶ τὸν εὐεργέτην, ὡς ὁ πλούσιος ἐκεῖνος, καὶ οἱ πιστοί. ἄλλοι πάλιν ὧδε μόνον κολάζονται, ὡς οἱ μακρᾷ νόσῳ κεκρατημένοι, ὡς ὁ παράλυτος ἐκεῖνος, καὶ οἱ πειραζόμενοι εὐχαρίστως ἐκ τῆς ἰδίας γνώμης. καὶ ἕτεροι πάλιν ὧδε κἀκεῖ κολάζονται· ὡς οἱ πειραζόμενοι ἐκ τῶν ἰδίων θελημάτων, κατὰ τὸν Γιέζην, καὶ τοὺς τοιούτους. καὶ πάλιν τέσσαρας ἔχουσι σκοποὺς περὶ τῶν αἰσθητῶν πραγμάτων· οἱ μέν, μισοῦσι τὰ ἔργα τοῦ Θεοῦ, ὡς οἱ δαίμονες, καὶ ἐκ κακῆς προαιρέσεως κακίζουσιν. οἱ δέ, ὡς καλὰ φιλοῦσι, πλὴν ἐμπαθῶς, ὡς τὰ ἄλογα ζῶα, μηδὲν περὶ φυσικῆς θεωρίας, ἢ εὐχαριστίας μεριμνῶντες. καὶ ἄλλοι, ὡς ἄνθρωποι φυσικῶς μετὰ γνώσεως πνευματικῆς, καὶ εὐχαριστίας· χρώμενοι πᾶσι μετ' ἐγκρατείας. ἕτεροι δὲ πάλιν ὑπερφυῶς, ὡς Ἄγγελοι, θεωροῦσι πρὸς δόξαν τοῦ ποιητοῦ πάντα, μηδὲν χρῄζοντες τούτων, εἰ μὴ μόνον τὰ πρὸς τὸ ζῆν, κατὰ τὸν Ἀπόστολον, ἀναγκαῖα.

## Περὶ τῶν περιεκτικῶν, καὶ ἰδικῶν εὐεργεσιῶν τοῦ Θεοῦ.

ΔΙὰ τοῦτο ὀφείλομεν εὐχαριστεῖν ἀεὶ τῷ Θεῷ πάντες οἱ ἄνθρωποι, ὑπέρ τε τῶν περιεκτικῶν, καὶ τῶν ἰδικῶν εὐεργεσιῶν, τῶν τε ψυχικῶν, καὶ τῶν σωματικῶν. καὶ τὰ μὲν περιεκτικά εἰσι τέσσαρα στοιχεῖα, καὶ πάντα τὰ ἐξ αὐτῶν γινόμενα, καὶ πάντα τὰ ἐν ταῖς θείαις γραφαῖς κείμενα τοῦ Θεοῦ θαυμάσια, καὶ ἐξαίσια πράγματα. τὰ δὲ ἰδικά, ὅσα ὁ Θεὸς ἑκάστῳ ἀνθρώπῳ δέδωκεν· εἴτε πλοῦτον πρὸς ἐλεημοσύνην, εἴτε πενίαν πρὸς ὑπομονὴν εὐχάριστον, εἴτε ἐξουσίαν πρὸς δικαιοκρισίαν, καὶ σύστασιν ἀρετῆς, εἴτε ὑποταγὴν καὶ δουλείαν πρὸς ἑτοίμην σωτηρίαν ψυχῆς, εἴτε ὑγείαν πρὸς βοήθειαν τοῖς χρῄζουσι καὶ ἐργασίαν κατὰ Θεόν, εἴτε νόσον πρὸς στέφανον τῆς ὑπομονῆς, εἴτε γνῶσιν καὶ δύναμιν πρὸς κτῆσιν ἀρετῶν, εἴτε ἀδυναμίαν καὶ ἀγνωσίαν πρὸς ὑποταγὴν ἐν ἡσυχίᾳ μετὰ ταπεινώσεως, καὶ φυγῆς τῶν πραγμάτων· εἴτε ἀκούσιον στέρησιν τῶν πραγμάτων, πρὸς σωτηρίαν ἑκούσιον, καὶ βοήθειαν τοῖς μὴ δυναμένοις ἐλθεῖν πρὸς τελειότητα τῆς ἀκτημοσύνης, ἢ κἂν πρὸς ἐλεημοσύνην εἴτε αὔξησιν καὶ εὐημερίαν, πρὸς τὸ ἑκουσίως ἀ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γωνίζεσθαι καὶ πονεῖν εἰς τὰς ἀρετάς, ὥστε ἀπαθεῖς γενέσθαι, καὶ ἄλλας σῶσαι ψυχάς· εἴτε πειρασμὸν καὶ δυσχέρειαν πρὸς τὸ ἀκουσίως σωθῆναι τοὺς μὴ δυναμένους ἐκκόψαι τὰ οἰκεῖα θελήματα, ἢ πάλιν πρὸς τελειότητα τῶν δυναμένων ὑπομεῖναι μετὰ χαρᾶς. πάντα τοίνυν τὰ εἰρημένα κἂν ἐναντία ἀλλήλων εἰσίν, ἀλλ' οὖν καὶ χρῆσιν μὲν πάντα καλὰ λίαν. παρὰ δὲ τὴν χρῆσιν, οὐκ εἰσὶ καλά, ἀλλὰ μᾶλλον βλαβερὰ τῇ ψυχῇ καὶ τῷ σώματι. κρείττων δὲ πάντων τῶν εἰρημένων ἡ τῶν θλιβερῶν ὑπομονή· καὶ ὁ καταξιωθεὶς τοῦ μεγάλου τούτου χαρίσματος ὀφείλει εὐχαριστεῖν τῷ Θεῷ ὡς μείζονα εὐεργετηθείς. μίμημα γὰρ Χριστοῦ, καὶ τῶν ἁγίων Ἀποστόλων αὐτοῦ, Μαρτύρων τε, καὶ Ὁσίων ἐγένετο. διότι πολλὴν δύναμιν, καὶ γνῶσιν παρὰ Θεοῦ ἔλαβε, πρὸς τὸ ἑκουσίως τῶν ἡδέων ἀπέχεσθαι, καὶ τῶν δυσχερῶν μᾶλλον ἐφίεσθαι δι' ἐκκοπῆς τῶν οἰκείων θελημάτων, καὶ ἀρνήσεως τῶν μὴ κατὰ Θεὸν νοημάτων, ἵνα τὰ ἀρέσκοντα Θεῷ ποιῇ, καὶ τοῦ ἀεί ποτε. καὶ οἱ μὲν καταξιωθέντες μετελθεῖν τὰ πράγματα κατὰ χρῆσιν, ὀφείλουσι τῷ Θεῷ μεγάλως εὐχαριστεῖν, ἐν ταπεινώσει πολλῇ, ὅτι ἀπὸ τῶν παρὰ φύσιν καὶ τῆς παραβάσεως τῶν ἐντολῶν ἠλευθερώθησαν, χάριτι Θεοῦ. ἡμεῖς δὲ οἱ ἔτι ἐμπαθεῖς, καὶ παραχρώμενοι τοῖς πράγμασιν, ὡς παρὰ φύσιν ποιοῦντες, ζέμειν ὀφείλομεν, καὶ μεγάλως εὐχαριστεῖν τῷ εὐεργέτῃ μετὰ πάσης εὐγνωμοσύνης, θαυμάζοντες αὐτοῦ τὴν ἄφατον μακροθυμίαν, ὅτι καὶ παρακούοντες αὐτοῦ τὰς ἐντολὰς καὶ παραχρώμενοι τοῖς πράγμασι, καὶ τὰς δωρεὰς αὐτοῦ διαστρεφόμενοι, ἀνέχεται ἡμῶν τὴν ἀγνωμοσύνην, καὶ εὐεργετῶν ἡμᾶς οὐ διαλιμπάνει, ἀλλ' ἀναμένει τὴν ἐπιστροφὴν ἡμῶν καὶ μετάνοιαν ἕως ἐσχάτης ἀναπνοῆς. ὥστε εὐχαριστεῖν αὐτῷ ὀφείλομεν πάντες οἱ ἄνθρωποι, ὡς εἴρηται. ἐν παντὶ εὐχαριστεῖτε. καὶ ἐκ τούτου γίνεται ἕτερον ῥῆμα τοῦ Ἀποστόλου, ὥς φησιν, ἀδιαλείπτως προσεύχεσθε, ἤτοι τὸ ἔχειν μνήμην Θεοῦ ἐν παντὶ καιρῷ, τόπῳ τε, καὶ πράγματι. ὅτι εἴ τι δ' ἂν ποιῇ τις, ὀφείλει ἔχειν τὴν μνήμην τοῦ ποιητοῦ τοῦ τυχόντος πράγματος. οἷον βλέπεις τὸ φῶς, μὴ ἐπιλάθῃ τὸν τοῦτό σοι δωρησάμενον. βλέπεις οὐρανὸν καὶ γῆν, θάλασσαν καὶ πάντα τὰ ὄντα, θαύμασον καὶ δόξασον τὸν ποιήσαντα. ἱμάτιον περιεβάλου, γίνωσκε τίνος τὸ δώρημα, καὶ ὕμνησον τὸν προνοοῦντά σου τὴν ζωήν. καὶ ἁπλῶς· πᾶν κίνημα, ἀφορμὴ πρὸς δόξαν Θεοῦ γενέσθω σοι, καὶ ἰδοὺ ἀδιαλείπτως προσεύχῃ. καὶ ἐκ τούτων πάντοτε ἡ ψυχὴ χαίρεται κατὰ τὸν Ἀπόστολον. ἡ γὰρ μνήμη τοῦ Θεοῦ εὐφραίνει αὐτήν, φησὶν ὁ Ἅγιος Δωρόθεος, μάρτυρα τὸν Δαβὶδ ἐπιφέρων. ἐμνήσθην, φησί, τοῦ Θεοῦ, καὶ ηὐφράνθην.

## Ὅτι πάντα πρὸς τὸ συμφέρον ἡμῖν ἐποίησεν ὁ Θεός.

Διότι, πάντα τὰ ὄντα πρὸς ὠφέλειαν ἡμῶν ὁ Θεὸς ἐποίησεν, ὑπὸ μὲν τῶν Ἀγγέλων φυλαττόμεθα, καὶ διδασκόμεθα, ὑπὸ δὲ τῶν δαιμόνων πειραζόμεθα, πρὸς τὸ ταπεινωθῆναι καὶ φεύγειν πρὸς τὸν Θεόν. δι' ὧν σωζόμεθα καὶ τῆς ἐπάρσεως, καὶ ἀμελείας λυτρούμεθα φόβῳ τῶν πειρασμῶν. καὶ πάλιν· ἐκ μὲν τῶν ἡδέων τοῦ κόσμου, ὑγείας, φημί, εὐημερίας, ἰσχύος, ἀναπαύσεως, χαρᾶς φωτός, γνώσεως, πλούτου, προκοπῆς ἐν πᾶσιν, εἰρηνικῆς καταστάσεως, ἀπολαύσεως, τιμῆς, ἐξουσίας, δαψιλείας, καὶ πάντων τῶν νομιζομένων καλῶν ἐν τῷ βίῳ τούτῳ, ἀναγόμεθα πρὸς εὐχαριστίαν, καὶ εὐγνωμοσύνην περὶ τὸν εὐεργέτην· καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πρὸς τὸ ἀγαπᾶν αὐτόν, καὶ ποιεῖν τὸ κατὰ δύναμιν ἀγαθόν, ὡς χρέος ἔχοντες φυσικὸν ὑπὲρ τῶν δωρεῶν δι' ἀγαθοεργίας ἀνταμείψαι νομίζοντες δῆθεν, καίπερ οὐκ ἔστι δυνατὸν τοῦτο, ἀλλὰ μεῖζον χρέος. ἐκ δὲ τῶν νομιζομένων δυσχερῶν, νόσου, δυσχερείας, κόπου, ἀσθενείας, λύπης ἀκουσίου, σκότους, ἀγνωσίας, πενίας, δυστυχίας ἐν πᾶσι, φόβου, στερήσεως, ἀτιμίας, καταπονήσεως, ἐνδείας, καὶ πάντων τῶν ἐναντιουμένων τοῖς προειρημένοις, ἐρχόμεθα πρὸς ὑπομονήν, ταπείνωσίν τε, καὶ ἀγαθὴν ἐλπίδα ἐν τῷ μέλλοντι· οὐ μόνον δέ, ἀλλὰ καὶ ἐν τῷ νῦν αἰῶνι μεγάλων παρακλήσεων ἡμῖν πρόξενοι γίνονται· ὥστε πάντα καλὰ ἡμῖν ὁ Θεὸς ᾠκονόμησε θαυμασίως, δι' ἄφατον ἀγαθότητα. καὶ ὁ μὲν θέλων ταῦτα γινώσκειν, καὶ ὡς δεῖ ἔχειν, ἀγωνιζέσθω εἰς τὴν κτῆσιν τῶν ἀρετῶν, ὥστε πάντα τὰ εἰρημένα δέχεσθαι μετ' εὐχαριστίας, τά τε καλά, καὶ τὰ φαινόμενα ἐναντία, καὶ ἐν πᾶσιν ἀτάραχος εὑρίσκεται. καὶ οὐ μόνον ἐν τούτοις, ἀλλὰ καὶ ὅταν ὑπερήφανον λογισμόν, πρὸς τὸ ὑψῶσαι αὐτὸν οἱ δαίμονες, προβάλλωσι, τότε μιμνήσκεται τὰ πρώην ὑπ' αὐτῶν λεγόμενα αἴσχιστα, καὶ καταβάλλει τοῦτον, καὶ πρὸς ταπείνωσιν ἔρχεται. καὶ ὅταν πάλιν, αἴσχιστόν τι προβάλλωσι, τὸν ὑπερήφανον ἐκεῖνον μνησθείς, καταβάλλει τοῦτον· ὥστε καταβάλλειν ἀλλήλους ποιεῖ συνεργίᾳ τῆς χάριτος διὰ τῆς μνήμης. ἵνα μήτε πρὸς ἀπόγνωσιν διὰ τὰ αἴσχιστα, μήτε πρὸς ἀπόνοιαν διὰ τὴν οἴησιν ἔλθῃ ποτέ. ἀλλ' ὅταν ὑψώσῃ τὸν νοῦν αὐτοῦ, φεύγει πρὸ τὴν ταπείνωσιν, καὶ ὅταν ταπεινώσωσιν αὐτὸν οἱ ἐχθροὶ πρὸς τὸν Θεόν, ὑψοῦται διὰ τῆς ἐλπίδος, ἵνα μηδέποτε θαρρήσας πέσῃ, μηδὲ πάλιν δειλιάσας ἀπογνώσῃ, ἕως ἐσχάτης ἀναπνοῆς. καὶ αὕτη ἐστὶν ἡ μεγάλη ἐργασία τοῦ Μοναχοῦ, ὡς λέγει τὸ Γεροντικόν. ἀλλ' ὅταν ταύτην προβάλλωσιν οἱ πολέμιοι, αὐτὸς τὴν ἄλλην προβάλλει. καὶ ὅταν ἐκεῖνοι τὴν ἄλλην, αὐτὸς ταύτην εἰς μέσον ἄγει, γινώσκων ὅτι οὐδέν ἐστιν ἐν τῷ βίῳ τούτῳ ἀναλλοίωτόν τι τὸ παράπαν· ἀλλ' ὁ μὲν ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. ὁ δὲ θέλων τὰ πράγματα γενέσθαι ὡς θέλει, οὐκ οἶδε ποῦ ὑπάγει· ἀλλ' ὡς τυφλὸς ῥιπιζόμενος παντὶ ἀνέμῳ, ὅτι δ' ἂν αὐτῷ ἔρχηται, ὅλος δι' ὅλου ἐκείνου γίνεται· καὶ ὡς δειλὸς φοβεῖται τὰ λυπηρά, καὶ ὡς αἰχμάλωτος συναπάγεται τῇ οἰήσει· ἐκ τῆς ἀλόγου χαρᾶς δοκῶν ἔχειν, ἅπερ οὐδέποτε εἶδε· * καὶ πόθεν ἐστίν. εἰ δὲ λέγει εἰδέναι, τότε μᾶλλον μειζόνως τυφλοῦται· τοῦτο γὰρ ἐκ τοῦ μὴ μέμφεσθαι ἑαυτὸν γίνεται. ἥτις λέγεται αὐταρέσκεια, καὶ ἀφανὴς ἀπώλεια, ὥς φησιν ὁ Ἅγιος Μακάριος εἰς τὰ κεφάλαια περὶ τοῦ ἀπωλεσθέντος Μοναχοῦ μετὰ τὸ ἰδεῖν αὐτὸν τὴν ἄνω Ἱερουσαλήμ, εὐχομένου αὐτοῦ μετά τινων ἀδελφῶν, ἐν τῷ ἁρπαγῆναι τὸν νοῦν αὐτοῦ· διὰ τὸ οἴεσθαι αὐτὸν τί πεφθακέναι, καὶ οὐ μᾶλλον χρέος μεῖζον ἔχειν. ὥσπερ τοίνυν οἱ ἄγαν ἐμπαθεῖς, οὐδὲ τὰ φανερὰ τοῖς πολλοῖς ἴσασιν ἐκ τῆς ἀχλύος τῶν παθῶν. οὕτω καὶ οἱ ἀπαθεῖς τὰ τοῖς πολλοῖς ἀγνοούμενα γινώσκουσιν ἐκ τῆς τοῦ νοὸς καθαρότητος.

* ἐν ἄλλ. τί, καὶ

Ὅτι

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Ὅτι οὐκ ἔστι πολυλογία ὁ Λόγος τοῦ Θεοῦ.

Ὁ Λόγος γὰρ τοῦ Θεοῦ, φησὶν ὁ Ἅγιος Μάξιμος, οὐκ ἔστι πολυλογία, ἀλλ' ὅταν λέγωμεν πάντες οἱ ἄνθρωποι πολλά, τότε ἕνα λόγον Θεοῦ οὐκ ἐπληρώσαμεν. οἷον, εἰ εἶπεν ὁ Θεός, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης καὶ τὰ ἑξῆς. πόσα ἄρα εἶπον οἱ Πατέρες, πόσα δὲ καὶ ἔγραψαν, καὶ ἔτι λέγουσι, καὶ γράφουσι, καὶ οὐκ ἐπλήρωσαν τὸ ἓν τοῦτο ῥητόν. Τὸ γὰρ ἐξ ὅλης ψυχῆς, φησὶν ὁ Μέγας Βασίλειος, τὸ μηδ' ὅλως τι σὺν Θεῷ ἀγαπᾷν ἐστίν. Ἐπειδὴ ἐάν τις τὴν ἑαυτοῦ ψυχὴν φιλῇ, οὐκ ἀγαπᾷ ἐξ ὅλης ψυχῆς τὸν Θεόν, ἀλλ' ἐξ ἡμισείας. εἰ δὲ ἑαυτούς, καὶ ἄλλα ἀναρίθμητα ἀγαπῶμεν, πῶς τὸν Θεὸν ἀγαπᾷν δυνάμεθα, ἢ τολμῶμεν τοῦτο εἰπεῖν; ὡσαύτως δὲ καὶ ἐπὶ τῆς τοῦ πλησίον ἀγάπης. οὐ τὴν πρόσκαιρον ζωήν, τάχα δὲ καὶ τὴν μέλλουσαν, μὴ ὑπὲρ τοῦ πλησίον ἀποβαλλώμεθα, ὡς ὁ Μωϋσῆς, καὶ ὁ Ἀπόστολος, πῶς λέγωμεν ἀγαπᾷν αὐτόν; διότι ὁ μὲν ἔφη περὶ τοῦ λαοῦ πρὸς τὸν Θεόν. εἰ μὲν ἀφήσεις αὐτοῖς τὰ πταίσματα, ἄφες. εἰδ' οὖν καὶ ἐμὲ ἐξάλειψον ἐκ τῆς βίβλου τῆς ζωῆς, ἧς ἔγραψας. ὁ δὲ Ἀπόστολός φησιν, ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ καὶ τὰ ἑξῆς· ηὔχετο γὰρ τὴν ἑαυτοῦ ἀπώλειαν γενέσθαι, ἵνα ἄλλοι σωθῶσι, καὶ ταῦτα οἱ ζητοῦντες αὐτὸν ἀποκτεῖναι, οἵτινές εἰσιν Ἰσραηλῖται. Τοιαῦται ψυχαί εἰσιν αἱ τῶν Ἁγίων, τοὺς ἐχθροὺς ὑπὲρ ἑαυτοὺς φιλοῦσιν. ὥστε ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι προτιμῶσι τὸν πλησίον ἐν πᾶσι, κἂν ἴσως ἐχθρὸς αὐτῶν ἐκ κακῆς προαιρέσεως ὑπάρχῃ. μὴ ζητοῦντες ἀντάμειψιν ἀπὸ τῶν φιλουμένων παρ' αὐτῶν, ἀλλ' ὡς λαμβάνοντες χαίρουσιν, ἐν τῷ διδόναι ἄλλοις τὰ ἑαυτῶν πάντα. ἵνα τῷ εὐεργέτῃ ἀρέσωσι, καὶ κατὰ δύναμιν μιμήσονται αὐτοῦ τὴν φιλανθρωπίαν, ὅτι χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους, καὶ ἁμαρτωλούς. μᾶλλον δὲ ὅσον τὰ τοιαῦτα χαρίσματα ἀξιωθήσεταί τις ἔχειν, τοσοῦτον ὀφείλει χρεώστην ἑαυτὸν ἡγεῖσθαι τῷ ὑψώσαντι αὐτὸν ἐκ τῆς γῆς Θεῷ, καὶ καταξιώσαντι τὸν χοῦν, μιμεῖσθαι τὸν πλάστην καὶ Θεὸν ἐκ μέρους. τὸ γὰρ ὑπομένειν τὰς ἀδικίας μετὰ χαρᾶς, καὶ ἀνεξικάκως εὐεργετεῖν τοὺς ἐχθρούς, καὶ τιθέναι τὴν ἰδίαν ψυχὴν ὑπὲρ τοῦ πλησίον, καὶ τὰ τοιαῦτα, δῶρα μὲν εἰσὶ τοῦ Θεοῦ, διδόμενα δὲ τοῖς προαιρουμένοις ταῦτα λαβεῖν παρ' αὐτοῦ διὰ τῆς ἐπιμελείας, εἰς τὸ ἐργάζεσθαι καὶ φυλάττειν, ὡς ἐρρέθη πρὸς τὸν Ἀδάμ, ἵνα μένωσι τὰ δῶρα διὰ τῆς εὐγνωμοσύνης περὶ τὸν εὐεργέτην. Ἐπειδὴ οὐδὲν ἀγαθὸν κεκτήμεθα ἴδιον πώποτε, ἀλλὰ πάντα ἡμῖν τὰ ἀγαθὰ παρὰ τοῦ Θεοῦ κατὰ χάριν. ὥσπερ ἐκ τοῦ μὴ ὄντος τὸ εἶναι γίνονται. Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες, φησὶν ὁ Ἀπόστολος, δωρεὰν ἐκ Θεοῦ δηλαδή; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; ἀλλ' αὐτὸς δι' ἑαυτοῦ ποιῶν; ὅπερ ἀμήχανον, τοῦ Κυρίου εἰπόντος, Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Ὅτι ταπεινοφροσύνης δίχα ἀμήχανον σωθῆναι.

ΟΥ̓Κ οἶδα μὴ ἐκ τῆς πολλῆς σκοτώσεως τῶν παθῶν εἰς τοσαύτην ἄνοιάν τις ἔλθοι, ἴσως, καὶ δοκεῖ εἶναι τῶν Ἀγγέλων ἴσος, μᾶλλον δὲ μείζων, ὥστε οἴεσθαι ἐκτὸς ταπεινοφροσύνης· ἧς ἀστοχήσας ὁ πρωΐαν ἑωσφόρος, ἐκτὸς ἄλλης ἁμαρτίας σκότος ἐγένετο. λοιπὸν τί μέλλει παθεῖν ὁ μὴ ἔχων ταπείνωσιν, ὁ θνητὸς καὶ ὁ χοῦς, ἵνα μὴ εἴπω ὁ ἁμαρτωλός; ἴσως τυφλὸς ὢν, οὐ πιστεύει ὅτι ἁμαρτωλός ἐστι. πάσῃ ἀνάγκῃ, φησὶν ὁ Χρυσόστομος, τὸν τέλειον ἄνθρωπον γενέσθαι ἰσάγγελον, ὥς φησιν ὁ Κύριος, ἐν τῇ ἀναστάσει τῶν νεκρῶν δηλαδὴ, καὶ οὐχὶ ἐν τῷ νῦν αἰῶνι. ἀλλ᾽ οὔτε ἄγγελοι τότε, ἀλλ᾽ ἰσάγγελοι ἔσονται ἔφη. οὐ γὰρ τῆς ἰδίας φύσεως οἱ ἄνθρωποι, φησὶ, καταλιμπάνειν ἰσχύουσιν, ἀλλ᾽ ὡς ἐκεῖνοι ἄτρεπτοι τῇ χάριτι, καὶ πάσης ἀνάγκης ἀπηλλαγμένοι, αὐθαίρετον ἔχουσι τὴν ἐξουσίαν, καὶ ἄληκτον τὴν εὐφροσύνην, καὶ τὴν πρὸς Θεὸν ἀγάπην, καὶ ὅσα ὀφθαλμὸς οὐκ εἶδε καὶ τὰ ἑξῆς. ἐνταῦθα δὲ τέλειος γενέσθαι τίς ἀμήχανον. ἀλλ᾽ ὡς ἀρραβῶνα τῶν ἐπηγγελμένων ἀγαθῶν λαμβάνει. ὥσπερ γὰρ οἱ ἄμοιροι τῶν χαρισμάτων, ὀφείλουσι ταπεινωθῆναι ὡς πτωχοί, οὕτω καὶ οἱ ἔχοντες ταῦτα, ὡς λαβόντες παρὰ Θεοῦ, ἵνα μὴ διὰ * ἀγνωμοσύνης κατακριθῶσι. καὶ ὥσπερ οἱ πλούσιοι, χάριν τῷ Θεῷ ὁμολογεῖν χρεωστοῦσι διὰ τῶν δωρεῶν, οὕτω καὶ οἱ πλουτοῦντες ἐν ἀρεταῖς πολλῷ πλείονα. καὶ ὥσπερ ὀφείλουσιν οἱ πτωχοὶ τῷ Θεῷ εὐχαριστεῖν, καὶ τοὺς εὐεργετοῦντας πλουσίους ἀγαπᾷν, διὰ τὸ εὐεργετεῖσθαι ὑπ᾽ αὐτῶν, οὕτω καὶ οἱ πλούσιοι πολλῷ πλείονα, διὰ τὸ, καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι σώζεσθαι τῇ τοῦ Θεοῦ προνοίᾳ· διὰ τῆς ἐλεημοσύνης. ὅτι ἐκτὸς τῶν πτωχῶν οὐκ ἔχουσι σωτηρίαν ψυχῆς, ἀλλ᾽ οὔτε τοὺς πειρασμοὺς τοῦ πλούτου ἐκφυγεῖν δύνανται. καὶ ὥσπερ οἱ μαθηταὶ τοὺς διδασκάλους, οὕτω καὶ οἱ διδάσκαλοι τοὺς μαθητὰς ὀφείλουσιν ἀγαπᾷν, καὶ ὑπὲρ ἀλλήλων ὁμολογεῖν τῷ Θεῷ τὴν χάριν, τῷ διδόντι πᾶσι τὴν γνῶσιν, καὶ πᾶν ἕτι ἄλλο ἀγαθὸν, ὑπὲρ ὧν ὀφείλομεν ἅπαντες ἀεὶ εὐχαριστεῖν αὐτῷ, καὶ μάλιστα οἱ λαβόντες δύναμιν εἰς τὸ ἀνακαλέσασθαι τὸ θεῖον Βάπτισμα διὰ τῆς μετανοίας. ἧς χωρὶς οὐδεὶς δύναται σωθῆναι. διότι εἶπεν ὁ Κύριος. τί με καλεῖτε Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω; ἀλλὰ μήτις ἄφρων ταῦτα καὶ τὰ τοιαῦτα ἀκούσας, δοκεῖ, ὅτι ἂν μὴ τὸν Κύριον ἐπικαλέσηται, ἀνέγκλητος γίνεται. μᾶλλον δὲ πλείονα κατακέκριται, ὥς φησιν ὁ Κύριος. εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται; καὶ εἰ ὁ δίκαιος μόλις σώζεται, φησὶν ὁ Σολομὼν, ὁ ἄδικος, καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; μὴ πάλιν πανταχόθεν στενοχωρούμενον ὁρῶν ἑαυτὸν ἀπὸ τῶν θείων ἐντολῶν, ἀπογινώσκει, καὶ αὐτοκτόνως χεῖρον κατακριθῇ. ἀλλὰ μᾶλλον θαυμάσαι ὀφείλει τὰς θείας γραφάς τε καὶ ἐντολὰς, πῶς ὧδε κἀκεῖσε τὸν ἄνθρωπον πρὸς τὴν τελειότητα ὠθοῦσιν, ἵνα μὴ εὕρῃ τὸ ποῦ φυγεῖν ἐκ τοῦ ἀγαθοῦ, ἐν τῷ εὑρίσκειν ἄνεσιν εἰς τὰ χείρονα. Ἀλλ᾽ ἅμα τῷ κινῆσαι τοιοῦτόν τι βουληθῇ, πάντα τὰ δεινὰ ἔμπροσθεν αὐτοῦ εὑρίσκων, στρέφεται πρὸς τὸ ἀγαθόν. τοῦ Θεοῦ φιλανθρώπως οἰκονομοῦντος ἀξιάγαστα. ἵνα πᾶς ἄνθρωπος τέλειος γένηται τρόπον τινὰ καὶ μὴ βουλόμενος, εἰ καὶ ἐξουσίαν ἔχει ἐν ἑαυτῷ. Οἱ δὲ εὐγνώμονες μᾶλλον

* ἴσ. ἀγνωμοσύνης

ἐκ τῶν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐκ τῶν εὐεργεσιῶν αἰσχυνόμενοι ἀγωνίζονται, ὡς οἱ περάσαντες κυμαινόμενον τὸν ποταμόν, καθὼς ἔφη ὁ Ἅγιος Ἐφραίμ. Διὰ τοῦτο φησὶν ὁ Ἅγιος Ἰσαάκ. ἐπλήθυνεν ὁ Θεὸς τοὺς πειρασμούς, ἵνα φόβῳ τῶν τοιούτων φεύγωμεν πρὸς αὐτόν. ὁ δὲ τοῦτο μὴ συνιών, ἀλλὰ τὴν δωρεὰν ταύτην κακίζων ἐκ φιληδονίας, αὐτὸς ἑαυτὸν ἀπέκτεινε, καὶ ἀπώλεσε· λαβὼν ὅπλα κατὰ τῶν ἐχθρῶν, ἐχρήσατο ταῦτα πρὸς τὴν ἰδίαν σφαγήν. ὥσπερ γάρ, φησὶν ὁ μέγας Βασίλειος, ἀγαθὸς ὢν ὁ Θεός, πάντας ἀγαθοποιῆσαι θέλει. οὕτω καὶ ὁ διάβολος πονηρὸς ὑπάρχων, πάντας εἰς τὴν αὐτοῦ μοχθηρίαν ἐπιθυμεῖ ἑλκύσαι, εἰ καὶ οὐ δύναται. Καὶ ὡς οἱ φιλότεκνοι τῶν γονέων μετὰ ἀπειλῆς τῶν ἰδίων τέκνων παράλογα ποιούντων ἐπιστρέφουσι, στοργῇ φερόμενοι. οὕτω καὶ ὁ Θεὸς τοὺς πειρασμοὺς παραχωρεῖ, ὡς ῥάβδον ἐπιστρέφουσαν τοὺς ἀξίους ἀπὸ τῆς τοῦ διαβόλου κακοβουλίας. ὁ φειδόμενος τὴν ἑαυτοῦ βακτηρίαν, μισεῖ τὸν ἑαυτοῦ υἱόν, ὁ δὲ ἀγαπῶν, ἐπιμελῶς παιδεύει. ἀλλ' ἐπειδὴ ἡμῖν τοῖς φιληδόνοις καὶ φιλαύτοις * ἐξ ἑτέρων τῶν μερῶν πρόκειται ὁ κίνδυνος, εἰ καὶ τοῖς φιλοθέοις μᾶλλον σωτηρία ἐστίν, οἱ πειρασμοί φημι, παραχωροῦντος τοῦ Θεοῦ. καὶ ἡ ἔκπτωσις πρὸς ἀπώλειαν ἐξ ὑπερηφανείας καὶ τὸ μὴ παραμένειν τῷ Θεῷ, ὡς υἱοὶ παιδευόμενοι καὶ μὴ θανατούμενοι, τὸ κουφότερον ἐκλέξασθαι ἡμᾶς δεῖ. κρεῖττον γάρ ἐστι διὰ τῆς ὑπομονῆς τῶν ἐπερχομένων καταφεύγειν πρὸς τὸν Θεόν. ἢ φόβῳ τῶν κινδύνων, τὴν ἔκπτωσιν ὑπομένειν, καὶ εἰς τὰς τοῦ διαβόλου χεῖρας ἐμπεσεῖν, τὴν αἰώνιον ἔκπτωσιν, μᾶλλον δὲ κόλασιν σὺν αὐτῷ ἐπισπᾶσθαι. ἐπειδὴ ἓν ἐκ τῶν δύο πρόκειται ἡμῖν, ἢ τὸ ὑπομένειν τὰ πρῶτα, καὶ πρόσκαιρα, ἢ τὰ δεύτερα, καὶ αἰώνια. Τῶν δὲ δικαίων οὐδὲν ὅλως τῶν ἀμφοτέρων κινδύνων ἅπτεται, διότι μετὰ χαρᾶς τὰ δυσχερῆ ἡμῖν φαινόμενα ἀγαπῶσι, καὶ ὡς καιρὸν κέρδους εὑρόντες, τοὺς πειρασμούς, ἀσπάζονται, καὶ μένουσιν ἄτρωτοι ἐξ αὐτῶν. οὐ γὰρ ὁ λαβὼν βέλος καὶ μὴ πληγεὶς ἀποθνήσκει ἔσωθεν, ἀλλ' ὁ λαβὼν καιρίαν, ταύτης ἐκεῖνος ἀπώλετο. Τί δὲ ἔβλαψε τὸν Ἰὼβ ἡ πληγή, καὶ οὐ μᾶλλον ἐστεφάνωσεν; ἢ τοὺς Ἀποστόλους, καὶ Μάρτυρας ἐθρήνησε πώποτε; ἔχαιρον, φησίν, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. ὅσον δὲ ὁ νικητὴς πολεμεῖται, τοσοῦτον στεφανοῦται, καὶ ἐκ τούτου πολλὴν χαρὰν ἔχει. ὅταν ἀκούσῃ σάλπιγγος φωνήν, οὐχ ὡς σφαγὴν κηρύττουσαν δειλιᾷ ὁ πιστός, ἀλλ' ὡς στεφάνων δόσεις προλέγουσαν, εὐφραίνεται μᾶλλον. οὐδὲν γὰρ οὕτως ἀκοπιάτως κατασκευάσαι τὴν νίκην οἶδεν, ὡς εὐτολμία μετὰ βεβαίας πίστεως. οὐδὲ τὴν ἧτταν, ὡς ἡ φιλαυτία, καὶ ἡ ἐκ τῆς ἀπιστίας δειλία ποιεῖν πέφυκεν. οὐδὲ πρὸς ἀνδρείαν χειραγωγός, ὡς ἡ ἐπιμέλεια, καὶ ἡ πεῖρα τοῦ πράγματος. οὐδὲ πρὸς λεπτότητα λογισμῶν, ὡς ἡ ἀνάγνωσις ἐν ἡσυχίᾳ. οὐδὲ λήθης πρόξενος, ὡς ἡ ἀργία. οὐδὲ πρὸς ἄφεσιν ἁμαρτημάτων σύντομος, ὡς ἡ ἀνεξικακία. οὐδὲ καταλλαγῆς πταισμάτων πρόξενος, ὡς ἡ μετάνοια, καὶ ἡ ἐκκοπὴ τοῦ κακοῦ. οὐδὲ προκοπὴ ψυχῆς σύντομος, ὡς ἡ ἐκκοπὴ τῶν οἰκείων θελημάτων, καὶ νοημάτων. οὐδὲ μεῖζόν ἐστιν, ὡς τὸ ῥίψαι ἑαυτόν τινα ἐνώπιον τοῦ Θεοῦ νυκτὸς καὶ ἡμέρας, καὶ παρακαλεῖν αὐτὸν γενέσθαι τὸ θέλημα αὐτοῦ ἐν πᾶσιν. οὐδὲ χεῖρον, ὡς τὸ ἀγαπᾶν τὴν ἐλευθερίαν καὶ μετεωρισμὸν τῆς ψυχῆς, ἢ τοῦ σώματος. διότι ἡμῖν τοῖς, ἔτι φόβῳ τῶν κολάσεων καὶ τῶν πειρασμῶν, ἀγαπῶσι τὸ ἀγαθόν, οὐ συμφέρει ἡ ἐλευθερία ὅλως, ἀλλ' ἡ φυλακή, καὶ ἡ φυγὴ τῶν πραγμάτων. ἵνα κἂν ἐκ τῆς ἀνοχῆς τῶν βλαπτόντων ἡμῶν τὴν ἀσθέ-

* ἐν ἄλλ. ἐξ ἑκατέρων



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νειαν, δυνηθῶμεν παλαίειν τοῖς λογισμοῖς. τὰ μὲν γὰρ ἀρχοντικὰ πνεύματα, οἱ ἄρχοντες οἱ ἀπαθεῖς, ὡς ἤδη νικήσαντες τὰ αἴσχιστα πάθη. οἱ δὲ ἐν ὑποταγῇ πατρὸς, τὰ ἀρχόμενα. Ἐπειδή φασιν, ὅ, τε Ἅγιος Μακάριος, καὶ ὁ Ἀββᾶς Κρόνιος, ἄρχοντές εἰσι, καὶ ἀρχόμενοι οἱ δαίμονες. καὶ ἀρχοντικὰ μὲν εἰσι, κενοδοξία, οἴησις, καὶ τὰ ὅμοια. ἀρχόμενα δὲ, γαστριμαργία, πορνεία, καὶ τὰ τοιαῦτα. οἱ γὰρ εἰς τὴν τελείαν ἀγάπην φθάσαντες ἐξουσίαν ἔχουσιν, ὅτι ἐβιάσθησαν ποιεῖν τὸ ἀγαθὸν, καὶ χαίρουσιν ἐν τῷ ποιεῖν αὐτὸ, καὶ μηδέποτε καταλιμπάνειν τοῦτο βουλόμενοι. ἀλλ' ὅταν ἴσως αὐτοῖς ἐμπόδιον ἀκουσίως γένηται, ὡς τυραννούμενοι διάκεινται. καὶ ἑλκόμενοι ὑπὸ τοῦ θείου πόθου, εὐθέως φεύγουσιν εἰς τὴν ἡσυχίαν, καὶ ἐργασίαν, ὡς ἀπόλαυσιν, καὶ οἰκείαν συνήθειαν, πρὸς γὰρ τοὺς τοιούτους, φασὶν οἱ Πατέρες, μικρὸν εὔχου, μικρὸν ἀναγίνωσκε, μικρὸν μελέτα, μικρὸν ἐργάζου, μικρὸν τήρει τὸν νοῦν, καὶ οὕτως ἀνάλισκε τὸν καιρόν. ταῦτα δὲ φασι διὰ τὸ ἐξουσιάζειν ἑαυτοὺς οἱ ἀπαθεῖς, καὶ μὴ αἰχμαλωτίζεσθαι ὑπό τινος θελήματος, παρὰ τὸ δέον. ἀλλ' ὅταν βούλωνται, τὸν νοῦν ἔχουσι, καὶ τὸ σῶμα ὡς δοῦλον ἐπιτάσσουσιν. Ἡμεῖς δὲ ὀφείλομεν ἔσεσθαι ὑπὸ νόμον καὶ κανόνα, ἵνα ἄκοντες καὶ μὴ βουλόμενοι, ὡς ὑπὸ τοῦ χρέους ἀναγκαζόμενοι, ποιῶμεν τὸ ἀγαθόν. διότι ἔτι τὰ πάθη, καὶ τὰς ἡδονὰς μᾶλλον ἀγαπῶμεν, ἤτοι τὴν ἀνάπαυσιν τοῦ σώματος, καὶ τὰ οἰκεῖα θελήματα. καὶ ὅπου βούλεται ὁ ἐχθρὸς ἄγει τὸν νοῦν ἡμῶν. ὡσαύτως καὶ τὸ σῶμα ἀτάκτους ἔχοντας ὁρμὰς, ὅτι βούλεται, ὡς ἄλογον ποιεῖ. καὶ εἰκότως· ὅπου οὐκ ἔστι νοὸς ἐπιστασία, πάντα ἀλόγως καὶ παρὰ φύσιν γίνονται. καὶ οὐχ ὡς οἱ ἀληθινοὶ Ἰσραηλῖται. ὥς φησιν ὁ Κύριος πρὸς τὸν ζηλωτὴν Σίμωνα τὸν Κανανίτην, Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι, τὴν τοῦ ἀνδρὸς ἀρετὴν κηρύττων. τὸ γὰρ Ναθαναὴλ, ζῆλος Θεοῦ ἑρμηνεύεται. καὶ τὸ μὲν γεννικὸν αὐτοῦ ὄνομα, Σίμων ἦν. Κανανίτης δὲ, διὰ τὸ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας ὑπάρχειν. καὶ Ναθαναὴλ πάλιν, διὰ τὴν αὐτοῦ ἀρετήν. ὡς καὶ τὸ Ἰσραηλίτης, τουτ' ἔστι νοῦς ὁρῶν τὸν Θεὸν, ἐκτὸς παντὸς δόλου. ἔθος γὰρ, φησὶν ὁ Μέγας Βασίλειος, τῇ θείᾳ γραφῇ ἐκ τῆς τοῦ ἀνδρὸς ἀρετῆς μᾶλλον ὀνομάζειν, ἢ ἐκ τῆς γεννήσεως. καὶ γὰρ οἱ κορυφαῖοι τῶν Ἀποστόλων Πέτρος, καὶ Παῦλος· ὁ μὲν Σίμων ἐκέκλητο, καὶ Πέτρον, διὰ τὴν στερρότητα τοῦ ἀνδρὸς, ὁ Κύριος ἐκάλεσεν. ὁ δὲ, Σαῦλος, ἤτοι ζάλη, καὶ εἰς Παῦλον μετέθηκεν, ἤτοι ἀνάπαυλα, ἀνάπαυσις. καὶ εἰκότως. ὅσον γὰρ ἐτάραξε τὸ πρὶν τοὺς πιστοὺς, τοσοῦτον ὕστερον ἀνέπαυσε πάντων τὰς ψυχὰς, ἔργῳ, καὶ λόγῳ, ὥς φησι περὶ αὐτοῦ ὁ Χρυσόστομος. Ἴδε τὴν εὐλάβειαν τοῦ Ἀποστόλου. μισθωθεὶς γὰρ τοῦ Θεοῦ, οὐκ ἐδίδαξε, μέχρις ἂν τὴν ὀφειλομένην εὐχαριστίαν, καὶ εὐχὴν ἀπέτεινε τῷ Θεῷ. δεικνύων ὅτι ἐκεῖθεν ἔχει τὴν γνῶσιν, καὶ ἰσχύν. καὶ εἰκότως· μετὰ τῆς εὐχῆς τὴν νουθεσίαν. καὶ ὁ μὲν θεσπέσιος Λουκᾶς ἀπληρώτους καταλιπὼν τὰς τῶν Ἀποστόλων πράξεις, οὐκ ἐξ ἀμελείας, ἢ ἄλλης τινὸς ἀνάγκης, ἀλλὰ πρὸς τὸν Θεὸν ἀπεδήμησεν. ἡμεῖς δὲ ὅταν ἀτελὲς πρᾶγμα, ἢ ἐγχείρημα καταλίπωμεν, ἐξ ἀμελείας ἢ ἀνικανίας τοῦτο πάσχομεν. διότι οὐ ποιοῦμεν τὸ ἔργον τοῦ Θεοῦ ἐπιμελῶς, καὶ οὐχ ὡς Κυρίως ἔργον φιλοῦμεν, ἀλλὰ καταφρονοῦμεν ὡς πάρεργον, καὶ φορτικὸν, καὶ τούτου χάριν ἀπρόκοποι μένομεν. ἢ καὶ στρεφόμεθα εἰς τὰ ὀπίσω πολλάκις τινὲς, ὡς οἱ στραφέντες ποτὲ εἰς τὰ ὀπίσω, καὶ οὐκ ἔτι ἠκολούθησαν τῷ Ἰησοῦ. καί περ φησὶν ὁ Χρυσόστομος, οὐκ ἦν ὁ λόγος σκληρὸς,

ὡς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὡς ἐνόμιζον. ἀλλὰ περὶ δογμάτων ἦν τὸ εἰρημένον αὐτοῖς τότε. ἀλλ' ὅπου προαίρεσις οὐκ ἔστιν, οὐδὲ προθυμία, καὶ τὰ εὐχερῆ, δυσχερῆ εὑρίσκονται, ὥσπερ καὶ τὸ ἔμπαλιν.

## Περὶ οἰκοδομῆς τῆς ψυχῆς δι' ἀρετῶν.

Δέον γὰρ πᾶς ἄνθρωπος ὑπομονῆς πρὸ πάντων, φησὶν ὁ Μέγας Βασίλειος, ὥσπερ γῆ οὖσα, ἵνα τὸ θεμέλιον, ὥς φησιν ὁ Ἀπόστολος, ἤτοι τὴν πίστιν ἐπ' αὐτῆς τίθησι· καὶ κατὰ μικρὸν οἰκοδομεῖ ἡ διάκρισις, ὡς ἔμπειρος οἰκοδόμος τὸν οἶκον τῆς ψυχῆς. διηνεκῶς μὲν πηλὸν τίθησιν ἐκ τῆς γῆς τῆς ταπεινώσεως, ἵνα συνέχῃ λίθον πρὸς λίθον, ἤτοι ἀρετὴν πρὸς ἀρετήν, μέχρις οὗ ἡ στέγη τίθηται, ἤγουν ἡ τελεία ἀγάπη. καὶ οὕτως ὁ οἰκοδεσπότης εἰσέρχεται, καὶ κατοικεῖ εἰς τὴν ψυχήν, εἴπερ θυρωροὺς ἔχει καλούς, ἀείποτε ὅπλα κατέχοντας, ἤγουν νοήματα φωτεινά, καὶ θεοπρεπεῖς ἐργασίας, δυναμένας ἀνενόχλητον ποιῆσαι τὸν βασιλέα. καὶ μὴ γυναῖκα θυρωρόν, καὶ αὐτὴν ἐργόχειρον κατέχουσα, ὥς φησιν ὁ Ἅγιος Νεῖλος ἑρμηνεύων τὴν παλαιὰν Ἱστορίαν. διὰ τοῦτό φησιν οὐκ ἔθετο ὁ Πατριάρχης Ἀβραὰμ γυναῖκα θυρωρόν, ἀλλὰ μᾶλλον * Ἀνδρεῖός τις, καὶ ἀπότομος λογισμός, καὶ οὗτος ὅπλα φέρων, ὥς φησιν ὁ Ἀπόστολος, μετὰ τῶν ἄλλων καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, ἵνα τοὺς εἰσερχομένους πρὸς αὐτὸν ἢ κτείνων, ἢ ἀποσειόμενος. Ἐπεὶ ἀνύστακτός ἐστι καὶ ἱστάμενος, κτείνων μὲν τοὺς ἀλλοτρίους λογισμούς, τῇ ἐναντιουμένῃ ἐργασίᾳ, καὶ ἀντιρρητικῷ λόγῳ. ἀποσείεται δὲ πᾶν ὅ, τι παρὰ τὸν τοῦ Θεοῦ σκοπὸν ἐρχόμενον ἐν τῇ καρδίᾳ, τῇ τούτου καταφρονήσει καὶ ἀποβολῇ, εἰς τὸ μηδ' ὅλως ἐκ τῆς περὶ Θεοῦ θεωρίας, καὶ τῶν θείων νοημάτων ἄδειαν ἔχειν ὁ πεφωτισμένος νοῦς. ἔργον τῆς ἡσυχίας, φησίν, ἐστὶ τὸ λεγόμενον. ὥσπερ ἀλλαχοῦ εὑρίσκεται ἀνάγων ὁ Ἅγιος Νεῖλος τὴν θείαν γραφήν, καὶ σαφηνίζων, ὅτι ὁ περισπασμός ἐστιν αἰτία τοῦ σκοτασμοῦ τοῦ νοός· καὶ εἰκότως. Εἰ μὴ γὰρ συνέχεται πανταχόθεν ὁ νοῦς, ὥσπερ ἐν σωλῆνι ὕδωρ, οὐκ αὖ πρὸς ἑαυτὸν ἡ διάνοια ἠδύνατο συναχθῆναι, ἵνα καὶ πρὸς τὸν Θεὸν ἀνέλθῃ· μὴ ἀνελθὼν δέ τις νοερῶς, καὶ μὴ γευσάμενος τί τῶν ἄνω, πῶς εὐχερῶς τῶν κάτω καταφρονῆσαι δύναται; ὥστε ἐκ πίστεως ὀφείλομεν τρέχειν κατὰ τὸν Ἀπόστολον, μεθ' ὑπομονῆς ἔργον ἔχοντες αὐτὸ τοῦτο, τὸ εὐαρεστῆσαι Θεῷ. καὶ καιροῦ καλοῦντος οἱ καλῶς τρέχοντες τὸ ἐκ μέρους γινώσκειν καὶ καταβαλεῖν ἰσχύουσι. καὶ μετὰ ταῦτα τὸ πᾶν ἐν τῷ μέλλοντι, λυθησομένου τοῦ ἐσόπτρου δηλαδή, τῆς φθαρτῆς ταύτης ζωῆς, ὅπου οὐκ ἔτι ἡ ψυχὴ ἐπιθυμεῖ κατὰ τῆς σαρκός, οὐδὲ ἡ σὰρξ κατὰ τοῦ Πνεύματος· οὐδὲ ἡ ῥαθυμία τὴν λήθην, καὶ ἡ λήθη τὴν ἄγνοιαν προσφέρειν δύναται. ὥσπερ ἄρτι πάσχομεν οἱ πολλοί, ὥστε γράψαι πρὸς ὑπόμνησιν δεόμεθα. καὶ γὰρ πολλάκις ἔννοιά τις αὐτομάτως ἐπῆλθε, * καὶ ἡ μὲν γραφὴ παρέδωκε ταύτην πρὸς μνήμην. εἶχον δὲ αὐτὴν ἐν καιρῷ πολέμου, πρόξενον βοηθείας, ἢ κουφισμοῦ, ἢ εὐχαριστίας, ὅταν ὑπὸ τῆς θείας γραφῆς τὴν μαρτυρίαν εἶχεν. οὐδὲ ἀμελῶς περὶ τῶν τοιούτων διεκείμην, οὐκ ἔτι εὑρίσκετο ὅτε ἔχρῃζον αὐτῆς, καὶ ἐζημιώθην τὴν ταύτης ὠφέλειαν, ἐκ τῆς παγκακίστου λήθης. διὰ τοῦτο ὀφείλομεν ἔργῳ μαθεῖν τὰς ἀρετάς, ἵνα τῇ ἕξει τούτων φυλάττηται ἡ τοῦ ἀγαθοῦ μνήμη, καὶ μὴ

* ἐν ἄλ. ἀνδρεῖόν τινα καὶ λογισμὸν ἀπότομον,

* ἐν ἄλ. ἐπῆλθέ μοι



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λόγῳ μόνῳ. οὐκ ἔστι· φησὶν ὁ Ἀπόστολος· ἡ βασιλεία τοῦ Θεοῦ ἐν λόγῳ, ἀλλ' ἐν δυνάμει. ὁ γὰρ ἔργῳ ζητήσας, ἐκεῖνος οἶδε τὴν ζημίαν, καὶ τὸ κέρδος, ἐν ᾧ μετέρχεται πράγματι, φησὶν ὁ Ἅγιος Ἰσαάκ, καὶ οὗτος δύναται συμβουλὴν δοῦναι ἑτέροις, ὡς παθὼν, πολλάκις, καὶ μαθὼν τὴν πεῖραν. διότι εἰσὶ πράγματα, καλὰ μὲν φαινόμενά φησιν, ἔχουσι δὲ οὐ τὴν τυχοῦσαν ζημίαν κεκρυμμένην. καὶ εἰσὶν ἄλλα φαινόμενα πονηρὰ, ἔχουσι δὲ ἔσωθεν μέγιστον κέρδος. διὰ τοῦτο, φησὶν, οὐκ ἔστι πᾶς ἄνθρωπος πιστὸς πρὸς τὸ δοῦναι συμβουλὴν τοῖς ζητοῦσιν. ἀλλ' ὅστις παρὰ Θεοῦ λαβὼν χάρισμα διακρίσεως, καὶ ἐκ τῆς ἐγχρονίσεως ἐν τῇ ἀσκήσει διορατικὸν νοῦν κτησάμενος, ὥς φησιν ὁ Ἅγιος Μάξιμος. καὶ τοῦτο μετὰ πολλῆς ταπεινώσεως, συμβουλεύειν οὐ πᾶσιν, ἀλλὰ τοῖς ἑκουσίως ζητοῦσι, καὶ ἀβιάστως ἐρωτῶσιν αὐτὸν, καὶ ὡς ἐν τάξει μανθανόντος· ἵνα διὰ τῆς ταπεινώσεως, καὶ τῆς ἑκουσίου αἰτήσεως τοῦ ἐπερωτῶντος, ἐντυπωθῇ ὁ λόγος ἐν τῇ ψυχῇ τοῦ ἀκούοντος τὸν λόγον. καὶ θερμαίνηται ἐκ τῆς πίστεως, ὁρῶν τὸν σύμβουλον ἀγαθὸν, ὡς τὸν θαυμαστὸν σύμβουλον ἐκεῖνον, ὃν ἔφη ὁ Προφήτης Ἡσαΐας. Θεὸν ἰσχυρὸν, ἐξουσιαστὴν καὶ τὰ ἑξῆς· φημὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν εἰπόντα πρὸς ἐκεῖνον τὸν ἐγκαλοῦντα, τίς με κατέστησεν ἄρχοντα καὶ μεριστὴν ἐφ' ἡμᾶς; καίτοι γε φησὶ, πᾶσαν κρίσιν δέδωκε τῷ Υἱῷ ὁ Πατήρ. ἀλλὰ δεικνύων ἡμῖν ὡς ἐν πᾶσι, καὶ ἐν τούτῳ ὁδὸν σωτηρίας, διὰ τῆς ἁγίας αὐτοῦ ταπεινώσεως· ὅτι οὐκ ἀναγκάζει, ἀλλ' εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀκολουθείτω μοι, φησί, τουτ' ἔστι, μηδ' ὅλως περὶ τῆς ἑαυτοῦ ζωῆς φροντίδα ποιήσῃ, ἀλλ' ὡς ἐγὼ ποιῶ καὶ ὑπομένω τὸν αἰσθητὸν, καὶ ἑκούσιον θάνατον ὑπὲρ πάντων, οὕτω καὶ αὐτὸς ἔργῳ καὶ λόγῳ ἀκολουθείτω, ὡς οἱ Ἀπόστολοι, καὶ οἱ Μάρτυρες, εἰ δὲ μή γε, κἂν τὸν κατὰ προαίρεσιν θάνατον, ὑπομενέτω. καὶ πάλιν πρὸς τὸν πλούσιον ἐκεῖνόν φησιν, εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ τὰ ἑξῆς· περὶ οὗ φησιν ὁ Μέγας Βασίλειος, ὅτι ἐψεύσατο εἰρηκὼς, ὅτι ἐφυλαξάμην τὰς ἐντολάς. εἰ γὰρ ἐφύλαξεν, οὐκ ἂν κτήματα πολλὰ ἐκέκτητο· τοῦ νόμου εἰρηκότος ἐν πρώτοις· ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς ψυχῆς σου. τὸ γὰρ εἰπεῖν ἐξ ὅλης, οὐκ εἴασε τὸν ἀγαπῶντα τὸν Θεὸν, καὶ ἄλλο τι φιλεῖν, ὑπὲρ οὗ λυπούμενος εὑρίσκεται ἐν τῇ τούτου ἀποταγῇ. πάλιν ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν, ἤγουν πάντα ἄνθρωπον. καὶ πῶς φύλαξ ὑπάρχει, πολλῶν ἄλλων δεομένων τῆς ἐφημέρου τροφῆς, αὐτὸς ἔχων κτήματα πολλὰ, καὶ ταῦτα προσπαθῶς; εἰ γὰρ εἶχεν αὐτὰ ὡς ὁ Ἀβραὰμ, Ἰώβ τε, καὶ οἱ λοιποὶ δίκαιοι, ὡς τὰ τοῦ Θεοῦ κτήματα, οὐκ ἂν ἀπῆλθε λυπούμενος. ὡσαύτως καὶ ὁ Χρυσόστομος φησὶν, ἐπίστευσε μὲν ὅτι τὰ εἰρημένα πρὸς αὐτὸν ὑπὸ τοῦ Κυρίου ἀληθῆ εἰσι, διὸ καὶ λυπούμενος ἀπῆλθεν, ἠσθένησε δὲ πρὸς τὴν ἐργασίαν. εἰσὶ γὰρ πολλοὶ οἱ πιστεύοντες μὲν τὰ τῶν γραφῶν λόγια, ἀσθενοῦσι δὲ πρὸς τὴν ἐκπλήρωσιν τῶν γεγραμμένων.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Ὅτι μέγα ἀγαθὸν ἡ ἀγάπη, καὶ ἡ συμβουλὴ μετὰ ταπεινώσεως.

Ταῦτα τοίνυν καὶ ἄλλα τούτων πλεῖστα εὑρίσκεται ὁ Κύριος συμβουλεύων, ὁμοίως καὶ οἱ Ἀπόστολοι γράφοντες, παρακαλοῦμεν ὑμᾶς ἀγαπητοί, τόδε, καὶ τόδε ποιήσατε. ἡμεῖς δὲ οὐ καταδεχόμεθα παρακαλέσαι τοὺς ζητοῦντας παρ' ἡμῶν συμβουλήν, ἵνα ὅταν θεάσωνται ἡμᾶς τεταπεινωμένους, καὶ τιμῶντας αὐτοὺς μετὰ χαρᾶς ὑπακούσωσι, καὶ πληροφορίαν λάβωσιν, ὅτι μετὰ ἀγάπης πολλῆς, καὶ ταπεινώσεως λαλοῦμεν τὸν λόγον τῆς ἁγίας γραφῆς. καὶ πρὸς τὴν τιμὴν καὶ ἀγάπην ἣν ἔχουσιν ἐξ ἡμῶν ἀποδώσουσι, καὶ σὺν τούτοις τὰ δυσχερῆ καταδέξονται, καὶ ὡς εὐχερῆ αὐτοῖς ἐκ τῆς ἀγάπης φανήσονται· ὡς ὁ Ἅγιος Ἀπόστολος Πέτρος, σταυρὸν καὶ θάνατον ἀκούων πολλάκις, ἠγάλλετο, καὶ ὡς μηδὲν τοιοῦτον ἀκούων διέκειτο ἐκ τῆς ἀγάπης ἧς ἐκέκτητο πρὸς τὸν διδάσκαλον· καὶ περὶ μὲν τῶν θαυμάτων οὐδεμίαν εἶχεν φροντίδα, ὡς οἱ ἄπιστοι. ἀλλὰ ῥήματα ζωῆς αἰωνίου φησὶν ἔχεις καὶ τὰ ἑξῆς· οὐχ οὕτω δὲ ὁ Ἰούδας ὁ δὶς ἀποθανών· ἀπήγξατο καὶ οὐκ ἀπέθανεν, ἀλλὰ ζήσας ἀμετανοήτως, καὶ ἀσθενήσας δεινῶς ἐλάκησε μέσος· ὥς φησιν ὁ Ἀπόστολος Πέτρος ἐν ταῖς πράξεσι τῶν Ἀποστόλων. καὶ πάλιν ὁ Ἅγιος Ἀπόστολος Παῦλος πρὸς τοὺς ἀδελφοὺς γράφων, ποτὲ μὲν φησίν· ἱμειρόμενοι εὐδοκοῦμεν δοῦναι ὑμῖν, οὐ μόνον τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ τὰς * ἐμαυτῶν ψυχάς. ποτὲ δὲ ἡμεῖς δοῦλοι ὑμῶν διὰ Χριστόν. καὶ πάλιν πρὸς Τιμόθεον γράφων, λέγει. ἔχειν τοὺς Πρεσβυτέρους ὡς πατέρας, τοὺς νεωτέρους ὡς ἀδελφούς. καὶ τίς ἱκανὸς κατανοεῖν τὴν ταπείνωσιν τῶν Ἁγίων, καὶ τὴν διάπυρον ἀγάπην, ἣν εἶχον πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον; οὐ μόνον τοίνυν τούτοις ὀφείλομεν προσέχειν, ἀλλὰ καὶ πρὸς ὅντινα λέγομεν, ἢ γράφομεν, ὁ γὰρ θέλων νουθετεῖν, ἢ συμβουλὴν δοῦναι τινί, μᾶλλον δὲ ὑπόμνησιν, ὥς φησιν ὁ τῆς Κλίμακος· ὀφείλει πρῶτον καθαρθῆναι ἐκ τῶν παθῶν, ἵνα γινώσκῃ ἀψευδῶς τὸν τοῦ Θεοῦ σκοπόν, καὶ τὴν κατάστασιν τοῦ αἰτοῦντος παρ' αὐτοῦ λόγον. διότι οὐ πᾶσι τὸ αὐτὸ φάρμακον πρέπει, κἂν ἴσως ἡ ἀσθένεια μία ὑπάρχῃ. ἔπειτα πληροφορηθῆναι παρὰ τοῦ αἰτοῦντι συμβουλίαν, εἴτε ἐκ τοῦ ὑποταγῆναι αὐτὸν ἐφάπαξ ψυχῇ τε καὶ σώματι, εἴτε ἐκ τοῦ αὐτομάτως παρακαλέσαι μετὰ θερμῆς πίστεως, καὶ λόγον ζητῆσαι δίχα ἐρωτήσεως τοῦ διδασκάλου, ἢ ἄλλης ἀνάγκης καταναγκαζούσης αὐτὸν πρὸς τὸ ὑποκρίνεσθαι, ὅτι δῆθεν ποθεῖ λόγον ἀκοῦσαι, ἵνα μὴ οἱ δύω εἰς ψεῦδος ἐμπέσωσι καὶ πολυλογίαν, πονηρίαν τε, καὶ ἄλλα πολλά. καὶ ὁ μὲν βιαζόμενος ὑπὸ τοῦ δῆθεν διδάσκοντος αὐτὸν εἰπεῖν παρὰ προαίρεσιν, καὶ ψεύδεται αἰσχυνόμενος, καὶ ὑποκρίνεται ὅτι ἀγαθὸν θέλει ποιῆσαι. ὁ δὲ πονηρευόμενος, κολακεύει τὸν διδασκόμενον, ἵνα δῆθεν τὰ κεκρυμμένα ἐν τῇ διανοίᾳ αὐτοῦ ἐπιτύχῃ, καὶ ἁπλῶς πᾶσαν μηχανὴν κινῶν, καὶ πολυλογίαν. καὶ ὥς φησιν ὁ Σολομών, ἐκ πολυλογίας οὐκ ἐκφεύξεται ἁμαρτία. Ἔγραψε δὲ καὶ ὁ Μέγας Βασίλειος, τίνα εἰσὶ ταύτης τὰ πταίσματα, οὐκ ἐρρέθησαν δὲ ταῦτα, οὐχ ἵνα μὴ τοὺς ὑπὸ χεῖρα καὶ πίστει βεβαίᾳ προσερχομένους νουθετεῖν ἀποβάλλωμεν, καὶ μάλιστα οἱ ἀπαθῶς διακείμενοι, ἀλλ' ἵνα μὴ αὐθαδῶς τοὺς μήτε ἐξ ἔργων, μήτε ἐκ θερμῆς πίστεως θέλοντας ἀκοῦσαι, ἐκ κενοδοξίας διδάσκωμεν,

* ἴσ. ἑαυτῶν

οἱ ἔτι ἐμπαθεῖς τυγχάνοντες, μήτε αὐθεντικῶς τοῦτο ποιῶμεν· ἀλλ' ὡς οἱ Πατέρες ἔλεγον· ὅτι ἐκτὸς ἐρωτήσεως τῶν ἀδελφῶν οὐ δεῖ λαλεῖν τινὰ ὠφελείας χάριν· ἵνα ἐκ προαιρέσεως γένηται τὸ ἀγαθὸν, ὥς φασιν οἱ Ἀπόστολοι, μὴ ὡς κατακυριεύοντες * τῶν ποιμνίων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου καὶ τὰ ἑξῆς. καὶ πρὸς τὸν Ἅγιον Τιμόθεον ὁ Ἀπόστολος ἔφη· δεῖ τὸν γεωργὸν πρῶτον τῶν καρπῶν μεταλαμβάνειν, περὶ τὸ ἐργάζεσθαι * ἅπερ μέλλει διδάσκειν, λέγων δηλαδή· καὶ πάλιν· μηδείς σου τῆς νεότητος καταφρονείτω, ἤτοι μηδ' ὅλως ποιήσῃς τι νεωτερικὸν, ἀλλ' ὡς τέλειος ἐν Χριστῷ ἔσο. ὁμοίως καὶ εἰς τὸ Γεροντικὸν λέγει, ὅτι δίχα ἐπερωτήσεως τῶν ἀδελφῶν οὐκ ἔλεγον οἱ Πατέρες πρὸς σωτηρίαν ψυχῆς, ἀλλ' ἡγοῦντο τοῦτο ἀργολογίαν. καὶ εἰκότως· ἐκ γὰρ τοῦ οἴεσθαι ἡμᾶς γνῶσιν ἔχειν ὑπὲρ τοὺς ἄλλους, λόγον κινοῦμεν αὐτόματοι. καὶ γὰρ ὅσον ὑπερήφανοι ἐσμὲν, τοσοῦτον δοκοῦμεν ἀλήθειαν ἔχειν. καθάπερ οἱ Ἅγιοι, ὅσον ἐγγίζουσι τῷ Θεῷ, τοσοῦτον ἔχουσιν ἑαυτοὺς ἁμαρτωλοὺς, φησὶν ὁ Ἅγιος Δωρόθεος. ἐκ γὰρ τῆς περὶ Θεοῦ γνώσεως ἐκπληττόμενοι, ὡς ταύτης τυχόντες, εἰς ἀμηχανίαν ἔρχονται. ὡσαύτως καὶ οἱ Ἅγιοι Ἄγγελοι ἐκ τῆς ἀπείρου εὐφροσύνης, καὶ ἐκπλήξεως, τῆς δοξολογίας κόρον οὐ λαμβάνουσι. καὶ ὅτι κατηξιώθησαν τοιοῦτον διαπαντὸς ὑμνεῖν, ἀπαύστως ὑμνοῦσι, θαυμάζοντες τὰ ὑπ' αὐτοῦ γινόμενα, ὡς ἔφη ὁ Χρυσόστομος, καὶ προκόπτοντες εἰς μείζονα γνῶσιν, ὥς φησιν ὁ Θεολόγος, ὁμοίως καὶ οἱ Ἅγιοι πάντες ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. καὶ ὥσπερ αἱ νοεραὶ δυνάμεις μεταδιδοῦσιν ἀλλήλαις τὸν φωτισμὸν, οὕτω καὶ οἱ λογικοὶ ὑπ' ἀλλήλων διδάσκονται. οἱ μὲν ἐκ τῶν θείων γραφῶν τὴν πεῖραν λαμβάνοντες, τοὺς ὑποδεεστέρους διδάσκουσιν. οἱ δὲ νοερῶς ἐκ τοῦ Ἁγίου Πνεύματος μανθάνοντες, καὶ τοῖς ἄλλοις τὰ αὐτοῖς ἀποκαλυφθέντα μυστήρια διὰ γραφῆς δηλοποιοῦσι. διὰ τοῦτο πάντες χρήζομεν τοῦ ταπεινωθῆναι τῷ Θεῷ, καὶ ἀλλήλοις, ὡς τὸ εἶναι λαβόντες, καὶ τὰ ἄλλα πάντα παρὰ Θεοῦ, καὶ δι' αὐτοῦ παρ' ἀλλήλων τὴν γνῶσιν. καὶ ὁ μὲν ταπείνωσιν ἔχων, ἐπὶ πλεῖον φωτίζεται. ὁ δὲ μὴ θέλων ταπεινωθῆναι μένει ἐν τῷ σκότει, ὡς ὁ πρὶν ἑωσφόρος, καὶ ὕστερον διάβολος. διότι πρῶτον ὑπῆρχε τοῦ κατωτέρου τάγματος τῶν νοερῶν δυνάμεων, ἤτοι τοῦ δεκάτου μὲν ἀπὸ τοῦ ἀνωτάτου τάγματος τοῦ παρισταμένου τῷ ἀστέκτῳ θρόνῳ, πρώτου δὲ ἀπὸ τῆς γῆς· ἀλλὰ διὰ τὴν ἔπαρσιν, οὐ μόνον τῶν ἐννέα ταγμάτων, καὶ ἡμῶν τῶν γηΐνων, κάτωθεν ἐγένετο σὺν τοῖς ὑπακούουσιν αὐτῷ, ἀλλὰ καὶ ὑπὸ τῶν καταχθονίων ἐν τῷ ταρτάρῳ ῥιφθεὶς διὰ τὴν ἀγνωμοσύνην. διὰ τοῦτο πολλάκις εἴρηται, ὅτι ἐκτὸς ἄλλης ἁμαρτίας ἀρκεῖ ἡ ἀπόνοια πρὸς ἀπώλειαν ψυχῆς. ὁ γὰρ ἔχων τὰ ἑαυτοῦ πταίσματα μικρὰ, παραχωρεῖται πεσεῖν εἰς μείζονα, φησὶν ὁ Ἅγιος Ἰσαάκ. καὶ ὁ λαβὼν παρὰ Θεοῦ δῶρον, καὶ ἀχαρίστως διακείμενος, τὴν τούτου στέρησιν γενέσθαι κατασκευάζει. διότι ἀνάξιον ἑαυτὸν ἐποίησε τῆς τοῦ Θεοῦ δωρεᾶς, ὥς φησιν ὁ Μέγας Βασίλειος. ἡ γὰρ εὐχαριστία πρεσβεύει πλείω· μὴ ἔστω ἡ ἀχαριστία, ὡς ἡ τοῦ Φαρισαίου ἐκείνου. τοὺς μὲν ἄλλους κατακρίνουσα, ἑαυτὸν δὲ δικαιοῦσα· ἀλλὰ μᾶλλον ὡς πλεῖστα πάντων χρεωστοῦσα, καὶ ἐξ ἀπορίας εὐχαριστοῦσα, καὶ ἐκπληττομένη· κατανοοῦσα τὴν ἄφατον τοῦ Θεοῦ μακροθυμίαν, καὶ ἀνοχήν. οὐ μόνον δὲ, ἀλλὰ καὶ θαυμάσαι χρὴ πῶς ἀνενδεὴς ὢν ὁ ὑπερύμνητος Θεὸς, παρ' ἡμῶν δέχεται τὴν εὐχαριστίαν, καὶ ταῦτα παροργιζόντων, καὶ παραπικραινόντων ἡμῶν ἀεὶ μετὰ τοσούτων, καὶ τηλικούτων εὐεργεσιῶν, τῶν περιεκτικῶν τε, καὶ ἰδικῶν. περὶ ὧν ἔγραψεν

* ἴσ. τὴν ποίμνην.

* ἴσ. ὧν πρὶν μέλλει διδάσκειν, λέγων δηλαδή.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὅ,τε Θεολόγος Γρηγόριος, καὶ οἱ λοιποὶ πατέρες, οὐ μόνον τῶν σωματικῶν, ἀλλὰ καὶ τῶν ψυχικῶν διὰ πολλῶν τρόπων, ὧν οὐκ ἔστιν ἀριθμός. ἐξ ὧν καὶ τοῦτο ὑπάρχει, τὸ εἶναί τινα μὲν φανερὰ, καὶ εὔληπτα ἐν ταῖς θείαις γραφαῖς κείμενα, τινὰ δὲ ἀσαφῆ, καὶ δύσληπτα. ἵνα διὰ τῶν μὲν, τοὺς ῥαθυμοτέρους ἕλκῃ πρὸς πίστιν, καὶ ζήτησιν τῶν λειπομένων, καὶ μὴ ἐκ τῆς ἄγαν ἀκαταληψίας εἰς ἀπόγνωσιν, καὶ ἀπιστίαν ἐμπέσωμεν. διὰ τῶν δὲ, ἵνα μὴ κατάκρισιν μείζονα ἕξωμεν, καταφρονοῦντες τοῦ νοουμένου ῥητοῦ, ἀλλ' ὅπως ἑκουσίως ποιοῦντες οἱ βουλόμενοι ἔργῳ ζητεῖν τὰ ἄδηλα, καὶ ἔχουσιν ἔπαινον ἐκ τούτου, ὥς φησιν ὁ Χρυσόστομος.

## Ὅτι οὐκ ἔστι πολυλογία ἡ συχνοτέρα ὑπόμνησις τῆς θείας γραφῆς.

ΚΑὶ πάλιν, τὸ αὐτὸ ῥητὸν πολλάκις περιέχει ἡ θεία γραφὴ, καὶ οὐ πολυλογία ἐστὶν, ἀλλ' ἵνα τῇ πυκνοτέρᾳ ὑπομνήσει. καὶ τοὺς λίαν ῥαθυμοτέρους περὶ τὴν ἀκρόασιν, πρὸς μνήμην, καὶ κατανόησιν τῶν λεγομένων ἄγῃ παραδόξως, καὶ φιλανθρώπως, καὶ μὴ διαφύγῃ τὰς ἀκοὰς ὁ λόγος διὰ τὴν ταχύτητα, καὶ σμικρότητα τοῦ τυχόντος ῥητοῦ. καὶ μάλιστα ὅταν ἀσχολούμεθα ἐν τοῖς βιωτικοῖς πράγμασιν, οἱ μηδὲν κἂν ἐκ μέρους γινώσκοντες. καίπερ, φησὶν ὁ Χρυσόστομος· τὸ ἐκ μέρους οὐκ ἔστι μέρος ὁλόκληρον, ἀλλὰ μέρος τοῦ μέρους. καταργηθήσεται δὲ οὐχ ἵνα ἀφανισθῇ, καὶ εἰς μηδὲν χωρήσῃ. Ἐπεὶ ἂν γνῶσιν οὐκ ἔχομεν, οὐδὲ ἄνθρωποι ἦμεν. ἀλλὰ καταργηθήσεται μὲν τὸ ἐκ μέρους ὡς ὑπὸ τοῦ προσώπου πρὸς πρόσωπον, ὡς ἡ τοῦ νηπίου ἡλικία ἐκ τοῦ γενέσθαι ἀνὴρ, ὡς αὐτὸς ὁ Ἀπόστολος ἔφη, ἑρμηνεύων αὐτοῦ τὸ ῥητὸν διὰ τῆς παραβολῆς τοῦ νηπίου. οἷον πάλιν φησὶν ὁ Χρυσόστομος ὅτι ἄρτι μὲν γινώσκομεν τὸν οὐρανὸν ὅτι ἐστὶ, καὶ οὐκ οἴδαμεν τί ἐστι. τότε δὲ καταργηθήσεται τὸ ἔλαττον ὑπὸ τοῦ μείζονος, τοῦτ' ἔστι τοῦ γνῶναι ἡμᾶς καὶ τὸ τί ἐστιν, ὥστε αὔξει μᾶλλον ἡ γνῶσις. καὶ γάρ εἰσι πολλὰ κεκρυμμένα ἐν ταῖς θείαις γραφαῖς μυστήρια, καὶ οὐκ γινώσκομεν τὸν σκοπὸν τοῦ Θεοῦ ἐν τοῖς λεγομένοις. ἀλλὰ μὴ καταπαρθῇς, φησὶν ὁ Θεολόγος, τὴν ἡμῶν ἀγνωμοσύνην ὁμολογούντων τὴν ἄγνοιαν, τὰς λέξεις μεμφόμενος· ἄλογον γὰρ καὶ σκαιὸν τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσι, φησὶν ὁ Μέγας Διονύσιος. Ὅταν δέ τις διὰ τοῦ μακαρίου πένθους ζητήσῃ, τότε εὑρίσκει. αὕτη γάρ ἐστιν ἡ ἐργασία τοῦ φόβου, δι' ἧς ἡ ἀποκάλυψις τῶν κρυπτῶν γίνεται. ἰδοὺ τοίνυν ὁ Προφήτης Ἡσαΐας λέγει, οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσι. καὶ πάλιν, ἀναστήσονται οἱ νεκροί. ἀλλ' οὐκ ἔστι τοῦτο διαφωνία, ὡς δοκοῦσιν οἱ μὴ γινώσκοντες τὸν σκοπὸν, ὡς εἴρηται, ἐκ τῆς θεωρίας τῆς θείας γραφῆς· ὅτι διὰ μὲν τὰ εἴδωλα τῶν ἐθνῶν ἔφη, ζωὴν οὐ μὴ ἴδωσι διὰ τὸ ἄψυχα εἶναι. περὶ δὲ τῆς κοινῆς ἀναστάσεως, καὶ τῆς τῶν δικαίων εὐφροσύνης, τὸ ἀναστήσονται οἱ νεκροί. οὐ μὴν δὲ, ἀλλὰ καὶ περὶ τῆς τῶν κεκοιμημένων συνεγέρσεως τοῦ σωτῆρος ἡμῶν ἡμῶν Ἰησοῦ Χριστοῦ προφητεύων. ὡσαύτως δὲ καὶ ἐν τῷ Ἁγίῳ Εὐαγγελίῳ περὶ τῆς μεταμορφώσεως τοῦ Κυρίου φασὶν οἱ Εὐαγγελισταί· ὁ μὲν καὶ μεθ' ἡμέρας ἓξ, ὁ δὲ, καὶ μεθ' ἡμέρας ὀκτὼ, μετὰ τῆς προλαβούσης θαυματοποιΐας, καὶ διδασκαλίας τοῦ Κυρίου δηλαδή. ἀλλ' ὁ μὲν, φησὶ, τὴν πρώτην, καὶ τὴν ἐσχάτην

παρα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

παραδραμὼν, τὰς τούτων μέσον εὕρηκεν ἕξ· ὁ δὲ καὶ ταύτην κἀκείνην συμπεριλαβὼν ἔφη ὀκτώ. Καὶ πάλιν ὁ Θεολόγος Ἰωάννης ἐν τῷ κατ' αὐτὸν Ἁγίῳ Εὐαγγελίῳ ἐν δυσὶ τόποις λέγει· ἐν μὲν τῷ ἑνὶ, εἰσὶ δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα καὶ τὰ ἑξῆς· ἐν δὲ τῷ ἑτέρῳ, εἰσὶ δὲ καὶ ἄλλα πολλὰ, ἃ ἐποίησεν ὁ Ἰησοῦς, καὶ οὐ λέγει ἐνώπιον τῶν μαθητῶν αὐτοῦ· περὶ ὧν ἔγραψεν ὁ Ἅγιος Πρόχορος ὁ γράψας τὰ ἀμφότερα, ὅτι τὸ μὲν διὰ τὰ θαυμάσια, καὶ τὰ λοιπὰ ἃ ἐποίησεν ὁ Κύριος, λέγει ὁ Εὐαγγελιστής· ἅπερ οὐκ ἔγραψε, διὰ τὸ προγραφῆναι ὑπὸ τῶν ἄλλων Εὐαγγελιστῶν, διὸ καὶ ἐνώπιον τῶν μαθητῶν αὐτοῦ προσέθηκε. τὸ δὲ ἕτερον ῥητὸν περὶ κοσμοποιΐας, ὅτε ἀσώματος ἦν ὁ λόγος τοῦ Θεοῦ, μεθ' οὗ τὰ πάντα ὁ Πατὴρ ἐκ μὴ ὄντων ἐποίησε, λέγων, γενηθήτω τόδε, καὶ ἐγένετο. ἅτινα ἐὰν γράφηται καθ' ἓν φησὶν ὁ Θεολόγος καὶ τὰ ἑξῆς. Καὶ ἁπλῶς πᾶσα γραφὴ, καὶ πᾶς λόγος Θεοῦ, ἢ Ἁγίου τινὸς, ἢ τῶν αἰσθητῶν, ἢ τῶν νοητῶν κτισμάτων σκοπὸν ἔχει ἐν ἑαυτῷ κεκρυμμένον· οὐ μόνον δὲ ἀλλὰ καὶ πᾶς ἀνθρώπινος λόγος. καὶ οὐδεὶς γινώσκει τὸν νοῦν τοῦ τυχόντος ῥητοῦ, εἰ μὴ δι' ἀποκαλύψεως. ὥς φησιν ὁ Κύριος περὶ τοῦ ἀνέμου, ὅτι τὸ πνεῦμα ὅπου θέλει πνεῖ καὶ τὰ ἑξῆς· περὶ οὗ ἔφη ὁ Χρυσόστομος. οὐχ ὅτι ἐξουσίαν ἔχει ὁ ἀὴρ, εἴρηκεν ὁ Χριστὸς ὅπου θέλει, ἀλλὰ συγκαταβαίνων τῇ τοῦ Νικοδήμου ἀσθενείᾳ, τέθεικε τὸν ἄνεμον ὁ Κύριος, ἵνα γινώσκῃ τὸ λεγόμενον αὐτῷ. καὶ τὸν ἀέρα ἐν παραβολῇ τοῦ Ἁγίου Πνεύματος εἶπεν, ἤτοι τοῦ λόγου ἢ πρὸς αὐτὸν ἔλεγε, καὶ πρός τινας ἑτέρους, ὅτι ἅπερ λέγω ὑμῖν πνεῦμά ἐστιν, ἤγουν πνευματικὰ, καὶ οὐχ ὡς ὑμεῖς δοκεῖτε. οὐ γὰρ περὶ σωματικῶν πραγμάτων λέγω, ἵνα ὡς σωματικοὶ ὄντες γινώσκητε. Διὰ τοῦτό φησιν ὁ Δαμασκηνὸς, ὅτι εἰ μὴ ἀκούσῃ τίς παρ' ἐκείνου οὗ ἐστιν ὁ λόγος περὶ αὐτοῦ τοῦ σκοποῦ οὐ δύναται λέγειν γινώσκω τὸν σκοπὸν τὸν λεγόμενον ὑπ' αὐτοῦ. καὶ πῶς τολμᾷ τις εἰπεῖν, ὅτι γινώσκω τὸν σκοπὸν τοῦ Θεοῦ τὸν ἐν ταῖς θείαις γραφαῖς κεκρυμμένον, χωρὶς ἀποκαλύψεως τοῦ Υἱοῦ αὐτοῦ; ὡς αὐτὸς ἔφη ὁ Χριστός. καὶ ᾧ ἂν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. ἂν αὐτὸς προαιρῆται δηλαδὴ λαβεῖν παρ' αὐτοῦ ἱερῶς διὰ τῆς τηρήσεως τῶν θείων αὐτοῦ ἐντολῶν, ὧν ἐκτὸς ὁ λέγων γινώσκειν ἐψεύσατο. στοχαστικῶς γὰρ λέγει, καὶ οὐ κυρίως ἐκ Θεοῦ μαθὼν, φησὶν ὁ τῆς Κλίμακος, κἂν ἐξ οἰήσεως εἰς τὰ ἄμετρα καυχᾶται. πρὸς ὅν φησιν ὁ Θεολόγος, πότε ὦ φιλοσοφώτατε σὺ καὶ τὰ ἑξῆς· πότε ὦ γραμματικὲ σὺ, ὀνειδίζων τὴν ἔπαρσιν, ἐξ ἧς ἀγνώστως ὁ τοιοῦτος δοκεῖ ἔχειν τί. ὅπερ καὶ αὐτὸ, ὃ δοκεῖ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ, διὰ τὸ μὴ θέλειν εἰπεῖν, οὐκ οἶδα, ὡς οἱ ἅγιοι πάντες. ἵνα διὰ τῆς ταπεινώσεως δοθήσεται αὐτῷ, καὶ περισσευθήσεται, καθάπερ ἐκείνοις· οἵ καίπερ εἰδότες, ἔλεγον μηδὲν εἰδέναι, ὥς φησιν ὁ Χρυσόστομος· ὅτι οὐκ εἶπεν ὁ Ἀπόστολος, οὐδέπω οὐδὲν εἶδον, ἀλλ' οὐδὲν οἶδεν, ὡς δεῖ εἰδέναι· ὥστε οἶδε μὲν, οὐχ ὡς δεῖ δέ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Περὶ ψευδωνύμου γνώσεως δήλωσις.

Αὕτη ἐστὶν ἡ ψευδώνυμος γνῶσις, διότι δοκεῖ εἰδέναι, ἅπερ οὐδέποτε οἶδεν· αὕτη δὲ χείρων ἐστὶ τῆς καθόλου ἀγνωσίας, φησὶν ὁ Χρυσόστομος, ὡς μὴ καταδεχομένη λαβεῖν παρά τινος διδασκάλου διόρθωσιν ἐκ τοῦ νομίζειν καλῶς ἔχειν ἡ παγκάκιστος ἀγνωσία· διὰ τοῦτο λέγουσιν οἱ πατέρες, ὅτι τὰ μὲν ἐν ταῖς γραφαῖς κείμενα ὀφείλομεν ζητεῖν ἐμπόνως μετὰ ταπεινώσεως, καὶ συμβουλῆς τῶν ἐμπείρων, ἔργῳ μᾶλλον, ἢ λόγῳ μαθεῖν, τὰ δὲ σεσιγημένα ὑπὸ τῶν θείων γραφῶν μηδ᾽ ὅλως ζητεῖν· ἄλογον γάρ ἐστι τοῦτο, ὥς φησιν ὁ Μέγας Ἀντώνιος περὶ τῶν αἰτούντων προγινώσκειν τὰ μέλλοντα, καὶ οὐ μᾶλλον παραιτεῖσθαι τοῦτο ὡς ἀνάξιοι· κἂν ἴσως ἐκ θείας προνοίας γίνεται, ὡς εἰς τὸν Ναβουχοδονόσωρ, καὶ τὸν πάλαι Βαλαὰμ ἐγένετο πρὸς κοινὴν ὠφέλειαν, εἰ καὶ ἀνάξιοι ἐτύγχανον. καὶ οὐκ ἐκ δαιμόνων, καὶ μάλιστα, ὅταν γίνηται δι᾽ ὀνείρων, καὶ φαντασιῶν τινῶν, οὐκ ἐρρέθη δὲ τοῦτο, ἵνα διὰ πράξεων σωματικῶν τε καὶ ἠθικῶν ἐρευνῶμεν τὰς γραφάς, κατὰ τὴν τοῦ Κυρίου ἐντολήν, καὶ ζωὴν αἰώνιον εὕρειν. καὶ ἵνα μὴ λόγῳ ζητῶμεν, καὶ ἐξ οἰήσεως, νομίζωμέν τι καταλαβεῖν· καὶ μάλιστα τὰ κεκρυμμένα ἐξ ἡμῶν, πρὸς ταπείνωσιν μείζονα, καὶ ἵνα μὴ κατακριθῶμεν ὡς ἐν γνώσει * παραλαμβάνοντες· διότι ὁ γνώσεως νοῦν κτήσασθαι καταξιωθεὶς, καὶ οὐκ ἀγωνίζεται εἰς τὴν μελέτην τῶν θείων γραφῶν, καὶ τῶν διδομένων αὐτῷ γνώσεων ἐν σχολῇ πολλῇ, καὶ προσοχῇ μετὰ ταπεινώσεως, καὶ φόβου Θεοῦ ὡς ἀνάξιος τῶν δεδωρημένων αὐτῷ ὑπ᾽ αὐτοῦ μετὰ ἀπειλῆς ἐκβάλλεται τῆς γνώσεως, ὡς ὁ Σαοὺλ τῆς βασιλείας, φησὶν ὁ Ἅγιος Μάξιμος. ὁ δὲ σχολάζων, καὶ ἀγωνιζόμενός φησιν, ὀφείλει ὡς ὁ Δαβὶδ παρακαλεῖν ἀεὶ, καὶ λέγειν, καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου, ἵνα ἄξιος γένηται τῆς αὐτοῦ ἐπιφοιτήσεως. ὥσπερ ποτὲ οἱ Ἀπόστολοι ἔλαβον τὴν χάριν ἐν τῇ ὥρᾳ τῇ τρίτῃ, ὡς λέγεται ἐν ταῖς πράξεσιν. ἦν γὰρ ὥρα τρίτη τῆς ἡμέρας, ἡμέρα δὲ Κυριακή, ὥς φησιν ὁ θεσπέσιος Λουκᾶς. Πεντηκοστὴ γάρ ἐστιν ἡ ἑβδόμη Κυριακή, ἀπὸ τῆς Κυριακῆς, ἐν ᾗ γίνεται τὸ λεγόμενον κατὰ τὴν Ἰουδαϊκὴν γλῶσσαν Φάσκα. ἑρμηνεύεται δὲ διάβασις καὶ ἐλευθερία, κατὰ τὴν Ἑλλάδα. καὶ ἡ μετὰ πεντήκοντα ἡμέρας Κυριακή, λέγεται Πεντηκοστή, ὡς πλήρης οὖσα τῶν ἐν μέσῳ αὐτῆς, καὶ τοῦ πάσχα πεντήκοντα ἡμερῶν κατὰ τὸν νόμον. ὡς καὶ Ἰωάννης ὁ Θεολόγος, ἐν τῷ κατ᾽ αὐτὸν Ἁγίῳ Εὐαγγελίῳ λέγει. τῇ ἐσχάτῃ, καὶ μεγάλῃ ἑορτῇ, διὰ τὸ ὑπάρχειν τότε ἀπόδοσις τῆς Ἑορτῆς τοῦ Πάσχα. Τριττῇ μὲν διεμοίρησεν ὡρῶν τὴν χάριν, φησὶν ὁ Δαμασκηνὸς καὶ τὰ ἑξῆς· τοῦτ᾽ ἔστιν ἐν τρίτῃ μὲν ὥρᾳ, ἀλλ᾽ ἐν μιᾷ φησὶ τῇ Κυρίᾳ τῶν ἡμερῶν. ὅπως ὑπεμφήνῃ τρεῖς ὑποστάσεις σέβειν ἐν ἁπλότητι τῆς ἐξουσίας, ἤτοι τῆς μιᾶς Θεότητος. μία γὰρ ἡ Κυριακὴ τῆς ἑβδομάδος, καὶ οὐ πρώτη λέγεται, φησὶν ὁ Χρυσόστομος. διὰ τὸ χωρίζειν αὐτὴν ἡ θεία γραφή. ἡ μὲν παλαιὰ προφητεύουσα περὶ αὐτῆς, διὸ καὶ οὐκ ἀκολούθως αὐτὴν ὀνομάζει, ὥσπερ τὴν δευτέραν, καὶ τὰς λοιπάς. εἰ γὰρ ἐνεχώριστο πρώτη ἂν ἐλέγετο, ἀλλὰ τούτου χάριν λέγεται μία τῶν Σαββάτων, ἤτοι τῆς ἑβδομάδος. ἐν δὲ τῇ νέᾳ χάριτι, Κυριακὴ ἡ ἁγία αὕτη καὶ κλητὴ ἡμέρα ὀνομάζεται, διότι ἐν αὐτῇ τὰ κυριώτερα, καὶ δεσποτικὰ

* ἴσ. παραβαίνοντες.

πραγ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πράγματα ἐγένοντο, ὅ, τε Εὐαγγελισμὸς, ἡ Γέννησις τοῦ Κυρίου, ἡ Ἀνάστασις αὐτοῦ, καὶ ἡ κοινὴ τῶν νεκρῶν ἀνάστασις μέλλει γενέσθαι. ἐν αὐτῇ γὰρ ἐγένετο τὸ αἰσθητὸν φῶς ὑπὸ τοῦ Θεοῦ φησιν ὁ Δαμασκηνὸς, καὶ πάλιν ἐν αὐτῇ ἡ παρουσία τοῦ Κυρίου μέλλει ἔσεσθαι. ἵνα εἰς ἀπεράντους αἰῶνας μένῃ ἡ ἡμέρα, ἡ μία αὕτη καὶ ὀγδόη, ὡς ἔξωθεν οὖσα τῶν ἑπτὰ αἰώνων τούτων τῶν ἐχόντων ἡμέρας, καὶ νύκτας. ἀλλ᾽ ἐπειδὴ τὸν σκοπὸν τῶν τοιούτων πραγμάτων ἠξιώθημεν ὑπὸ τῶν ἁγίων μαθεῖν, μάθωμεν λοιπὸν καὶ τὸν σκοπὸν ἑκάστου ἐπιτηδεύματος τοῦ παρόντος λόγου ἐξ ἀρχῆς καὶ ἄνωθεν. ἔστι τοίνυν τὸ μὲν λέγειν ἐφ᾽ ἅπαξ τὰ ὀνόματα τῶν βιβλίων, καὶ τῶν Ἁγίων, ἵνα διὰ παντὸς τὰ τούτων λόγια μνησθῶμεν καὶ πρὸς ζῆλον τῶν βίων αὐτῶν, ὥς φησιν ὁ μέγας Βασίλειος. καὶ γνῶσιν τοῖς ἀγνοοῦσι ταῦτα. ὁ μὲν γινώσκων, μιμνήσκεται. ὁ δὲ ἀγνοῶν ταῦτα πρὸς ζήτησιν ἔλθῃ τῆς τυχούσης βίβλου. τὸ δὲ ὀνομάζειν μετὰ ταῦτα κατὰ τόπον τὸν Ἅγιον, ἢ τὴν τυχοῦσαν γραφὴν, διὰ συχνοτέραν μνήμην τίθενται. καὶ ἵνα δι᾽ ὀλίγων ῥημάτων τὰ ἑκάστου αὐτῶν ἔργα τε, καὶ λόγια μνησθῶμεν. καὶ πρὸς τὸ κατανοεῖν τὰ ἑξῆς τοῦ ἑκάστου ῥητοῦ τῆς θείας γραφῆς, ἢ τοῦ διδασκάλου διάκρισίν τε, καὶ συμβουλὴν ἀγαθήν. καὶ ὅτι οὐκ ἐμά εἰσι τὰ λεγόμενα, ἀλλὰ τῶν θείων γραφῶν· καὶ πρὸς τὸ θαυμάζειν, καὶ κατανοεῖν τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, πῶς διὰ χάρτου καὶ μέλανος ᾠκονόμησε τὴν τῶν ψυχῶν ἡμῶν σωτηρίαν, καὶ ἐχαρίσατο ἡμῖν τοσαύτας γραφάς τε, καὶ διδασκάλους τῆς ὀρθοδόξου πίστεως. καὶ πῶς ἰδιώτης ὢν ἐγὼ, καὶ ῥᾴθυμος, ἠξιώθην τοσαύτας γραφὰς διελθεῖν, μηδ᾽ ὅλως ἰδίαν ἔχων βίβλον, ἢ ἄλλο τι τὸ παράπαν· ἀλλὰ ξένος, καὶ πένης ὑπάρχων ἀεὶ, καὶ ταῦτα ἐν πάσῃ ἀπαιδευσίᾳ καὶ ἀμεριμνίᾳ διάγων μετὰ πολλῆς ἀπολαύσεως σωματικῆς. τὸ δὲ καταλιμπάνειν τινὰ ἀνώνυμα διὰ ὀλιγωρίας μή ἐστι, καὶ ἵνα μὴ μηκύνηται ὁ λόγος. τὰ δὲ ζητήματα καὶ λύσεις τῶν κοινῶν πραγμάτων, πρὸς γνῶσιν τέθειται, καὶ διὰ εὐχαριστίαν τοῦ χαρισαμένου τοῖς Ἁγίοις αὐτοῦ πατράσιν ἡμῶν τήν, τε γνῶσιν καὶ διάκρισιν, καὶ δι᾽ ἐκείνων ἡμῖν τοῖς ἀναξίοις· καὶ πρὸς κατάγνωσιν ἡμῶν τῶν ἀσθενῶν, καὶ ἀγνώστων. Εἴρηται καὶ περὶ σωζομένων πάλαι δικαίων ἐν πολλῷ πλούτῳ, καὶ ἐν μέσῳ ἁμαρτωλῶν, καὶ ἀπίστων ἀνθρώπων. καίπερ τῆς αὐτῆς φύσεως ὑπάρχοντες ἄνθρωποι· ὥσπερ καὶ ἡμεῖς, οἱ μὴ βουλόμενοι φθάσαι εἰς τὸ μέτρον τῆς τελειότητος. καίπερ γε πλείονα πεῖραν καὶ γνῶσιν τοῦ καλοῦ καὶ κακοῦ ἐλάβομεν, ὡς τὰ ἐκείνων μαθόντες, καὶ ὡς πλείστης χάριτος ἀξιωθέντες, καὶ τοσαύτης γνώσεως τῶν γραφῶν. τὰ δὲ πάλιν τῶν ἐπιτηδευμάτων ἡμῶν τῶν Μοναχῶν, πρὸς τὸ γνῶναι ἡμᾶς ὅτι σωθῆναι δυνάμεθα πανταχοῦ, ἐὰν τὰ ἐκείνου θελήματα καταλάβωμεν. καὶ ὅτι ἂν μὴ οὕτω ποιήσωμεν, οὐ δυνάμεθα ἔχειν ἀνάπαυσιν. ἀλλ᾽ οὔτε τῶν θείων θελημάτων ἔχειν δυνάμεθα τὴν γνῶσιν, οὐ τὴν πρᾶξιν. διότι μεσότοιχόν ἐστι τὸ ἡμέτερον θέλημα, χωρίζον ἡμᾶς ἀπὸ τοῦ Θεοῦ. καὶ εἰ μὴ καταλυθῇ τὸ μεσότοιχον, οὐ δυνάμεθα τὰ τοῦ Θεοῦ μαθεῖν, καὶ ποιεῖν, ἀλλ᾽ ἔξωθεν αὐτοῦ εὑρισκόμεθα, καὶ ὑπὸ τῶν ἐχθρῶν τυραννούμεθα ἄκοντες καὶ μὴ βουλόμενοι. καὶ ὅτι ἡ ἡσυχία μείζων πάντων ἐστὶ, καὶ χωρὶς ταύτης οὐ δυνάμεθα καθαρθῆναι, καὶ γινώσκειν τὴν ἀσθένειαν ἡμῶν, καὶ τὰ τῶν δαιμόνων πανουργεύματα. ἀλλ᾽ οὔτε τὴν τοῦ Θεοῦ δύναμιν καὶ πρόνοιαν καταλαβεῖν ἰσχύσαμεν ἐκ τῶν θείων λογίων τῶν τε ψαλλομένων, καὶ ἀναγινωσκομένων. διότι πάντες οἱ ἄν-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θρωποι χρήζομεν τῆς τοιαύτης σχολῆς, εἴτε ἐκ μέρους, εἴτε ὁλοκλήρως, καὶ ἐκ ταύτης ἀδυνατοῦν εἰς γνῶσιν πνευματικὴν καὶ ταπεινοφροσύνην ἐλθεῖν τινα· δι᾽ ἧς τὰ κεκρυμμένα μυστήρια ἐν ταῖς θείαις γραφαῖς καὶ ἐν πᾶσι τοῖς κτίσμασι καταλαμβάνει ὁ προαιρούμενος. καὶ ὅτι οὐ δεῖ χρήσασθαι, πρᾶγμα, ἢ λόγον, ἢ ἐγχείρημα, ἢ νόημα παρὰ τὴν ἀναγκαίαν χρῆσιν τήν τε ψυχικὴν καὶ σωματικήν, καὶ ζωὴν σωματικήν. καὶ ὅτι ἐκτὸς διακρίσεως, οὐδὲ τὰ δοκούμενα καλὰ δεκτά εἰσι παρὰ τοῦ Θεοῦ, ἀλλ᾽ οὔτε ἐκτὸς τοῦ ὀρθοῦ σκοποῦ ἡ καλὴ ἐργασία δύναται ὠφελῆσαι τινά. τὰ δὲ προγεγραμμένα τροπάρια πρὸς τὴν κατανόησιν αὐτῶν, καὶ τῶν ἄλλων γραφῶν, καὶ ἀφορμὴν εἰς τὸ κατανύσσεσθαι τοὺς ἔτι αἴσθησιν ἔχοντας τὸν νοῦν, ὥς φησιν ὁ τῆς Κλίμακος. τὸ γὰρ μέλος φησὶν ὁ Μέγας Βασίλειος· ἕλκει τὴν διάνοιαν τοῦ ἀνθρώπου πρὸς ὃ βούλεται, εἴτε εἰς πένθος, εἴτε εἰς πόθον, εἴτε εἰς λύπην, εἴτε εἰς εὐφροσύνην· καὶ ὅτι ὀφείλομεν ἐρευνᾶν τὰς γραφάς, καὶ τὴν τοῦ Κυρίου ἐντολήν, ἵνα αἰώνιον ζωὴν εὕρωμεν ἐν αὐταῖς. καὶ τῷ νοήματι τῶν ψαλμῶν, καὶ τῶν τροπαρίων προσέχειν. καὶ ὅπως γνῶμεν ἐν γνώσει πολλῇ, ὅτι ἀγνοοῦμεν. ἐὰν γάρ, φησὶν ὁ Μέγας Βασίλειος, οὐ γεύσηταί τις τῆς γνώσεως, οὐκ οἶδε πόσων ὑστερεῖται. αἱ δὲ γενέσεις τῶν ἀρετῶν, καὶ τῶν παθῶν πρὸς πεῖραν καὶ γνῶσιν ἐγράφησαν, ἵνα γινώσκῃ τις ταῦτα, καὶ πρὸς τοὺς γεννήτορας αὐτῶν ἀγωνίσηται, τὰς μὲν κτήσασθαι, τὰ δὲ ἀποκτήσασθαι, τοὺς δὲ νικᾶν τῇ ἐναντιουμένῃ ἐργασίᾳ. καὶ ὅτι τὰς μὲν σωματικὰς πράξεις ὥσπερ τὰ φυτὰ ὀφείλομεν τηρεῖν ἀεὶ ἐφάπαξ διὰ τῆς ἐργασίας, τὰς δὲ ψυχικὰς ἀρετάς, ὀφείλομεν ἀεὶ προσέχειν, καὶ μελετᾶν, τὸ πῶς κτήσασθαι τὴν ἑκάστην ἀρετήν. καὶ ἐκ τῶν θείων γραφῶν, καὶ Ἁγίων Ἀνδρῶν μαθεῖν περὶ τούτου, καὶ φυλάττειν τοῦτο ἀκριβῶς μετὰ πόνου ψυχῆς ὡς θησαυρὸν διὰ τῆς ἐργασίας, μέχρις ἂν εἰς ἕξιν ἔλθωμεν τῆς τυχούσης ἀρετῆς· καὶ οὕτως ἐπιμελῶς τῆς ἑτέρας ἀρχώμεθα, ὥς φησιν ὁ Μέγας Βασίλειος, ἵνα μὴ ἐφάπαξ * πάσας προσβάλλοντες, ἴσως ἀπνίσωμεν. ἀλλ᾽ ἀπὸ τῆς ὑπομονῆς τῶν ἐπερχομένων ἀρξώμεθα, καὶ οὕτω ἐπὶ τὰς λοιπὰς πορευόμεθα ἐντόνως μετὰ πάσης προθυμίας σκοπὸν ἔχοντες τοῦ εὐαρεστῆσαι Θεῷ. πάντες γὰρ ὀφείλομεν τὰς ἐντολὰς φυλάττειν ὡς Χριστιανοί, ἐπειδὴ ἡ κόπου σωματικοῦ δεόμεθα, ἐν τῇ κτήσει τῶν ψυχικῶν ἀρετῶν, ἀλλὰ μόνης προαιρέσεως καὶ προθυμίας εἰς τὸ λαβεῖν τὴν δωρεάν, ὥς φασιν ὅ, τε Μέγας Βασίλειος, ὁ Θεολόγος Γρηγόριος, καὶ οἱ λοιποί. πλὴν διὰ τῶν σωματικῶν πράξεων γίνονται εὐκοπωτέρως, καὶ μάλιστα τοῖς ἡσυχάζουσι διὰ τῆς ἀπερισπάστου διαγωγῆς, καὶ τῆς ἐκ πάντων ἀμεριμνίας. διότι οὐ δύναταί τις τὰ ἤθη αὐτοῦ βλέπειν, καὶ διορθοῦσθαι, εἰ μὴ ἐν ἀδείᾳ τυγχάνῃ καὶ μερίμνῃ τῶν τοιούτων. Διὰ τοῦτο ὀφείλει τις πρῶτον ἀπάθειαν διὰ τῆς φυγῆς τῶν πραγμάτων, καὶ τῶν ἀνθρώπων κτήσασθαι, καὶ τότε καιροῦ καλοῦντος ἄρχειν ἑτέρων, καὶ οἰκονομεῖν πράγματα ἀκαταπτώτως καὶ ἀβλαβῶς ἐκ τῆς ἕξεως τῆς ἀπροσπαθείας, εἰς τελείαν ἀπάθειαν καταντήσας. καὶ μάλιστα εἴπερ ἐκ Θεοῦ κλῆσιν ἔλαβε, φησὶν ὁ Δαμασκηνός, ὡς ὁ Μωϋσῆς, Σαμουήλ τε, καὶ οἱ λοιποὶ Προφῆται, καὶ οἱ Ἅγιοι Ἀπόστολοι, πρὸς σωτηρίαν πολλῶν. οὐ μόνον δέ φησι τοῦτο, ἀλλὰ καὶ ἀναβάλλεσθαι δεῖ ὡς ὁ Μωϋσῆς, Ἀββακούμ, Γρηγόριος ὁ Θεολόγος, καὶ ἄλλοι, καὶ ὡς ἔφη ὁ Ἅγιος Πρόχορος περὶ τοῦ Ἁγίου Ἰωάννου, ὅτι περ οὐκ ἐβουλήθη καταλιπεῖν τὴν φίλην αὐτῷ ἡσυχίαν, καίπερ χρέος ἔχων ὡς Ἀπόστολος τὸ μὴ ἡσυχάζειν,

* ἴσ. πέσωμεν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀλλὰ κρύπτειν. καὶ οὐδὲ ὡς ἐμπαθὴς ἔφυγεν εἰς τὴν ἡσυχίαν ὁ ἀπαθέστατος, μὴ γένοιτο. ἀλλ᾽ ὡς μὴ θέλων τῆς περὶ Θεοῦ θεωρίας χωρίζεσθαι, καὶ τῆς γλυκύτητος τῆς ἡσυχίας ὑστερηθῆναι ποτέ. ἄλλοι δὲ πάλιν ἐκ ταπεινοφροσύνης ἀπαθεῖς ὄντες, ἔφυγον εἰς τὰς ἐσωτέρας ἐρήμους, φοβούμενοι τὴν σύγχυσιν, ὡς ὁ Μέγας Σισόης, καλούμενος πρὸς ἀνάπαυσιν ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ οὐκ ἐπείθετο, ἀλλ᾽ ἔφη, ὅπου οὐκ εἰσὶν ἄνθρωποι, ἐκεῖ ἀπέλθωμεν· καίπερ εἰς τοσαύτην ἀπάθειαν ἔφθασεν, ὥστε αἰχμάλωτος ἐγένετο ἐκ τῆς πρὸς Θεὸν ἀγάπης, καὶ ἐκ ταύτης ἀναίσθητος, ἀγνοῶν εἰ ἔφαγεν, ἢ οὔ. καὶ ἁπλῶς πάντες ἔκοπτον τὰ ἴδια θελήματα ἐν ἡσυχίᾳ πάσῃ, καὶ οὕτως ὡς μαθηταὶ ὑπὸ τοῦ διδασκάλου προεχειρίσθησαν τινὲς εἰς τὸ διδάσκειν ἄλλους, καὶ δέχεσθαι λογισμοὺς, καὶ ἄρχειν ἑτέρων, εἴτε διὰ τῆς ἀρχιερωσύνης, εἴτε διὰ τῆς ἡγουμενείας, ὑπὸ τοῦ Ἁγίου Πνεύματος νοερᾷ αἰσθήσει τὴν σφραγῖδα λαμβάνοντες διὰ τῆς ἐπιφοιτήσεως αὐτοῦ. ὡς οἱ Ἅγιοι Ἀπόστολοι, καὶ οἱ πρὸ τούτων. Ἀαρὼν, Μελχισεδὲκ, καὶ οἱ λοιποί. Ὁ δὲ Δαμασκηνὸς φησὶν, ὁ τολμηρῶς ἐπιβαίνειν ἐπιχειρῶν τοῦ τοιούτου βαθμοῦ κατακρίνεται. εἰ γὰρ δίχα βασιλικοῦ προστάγματος οἱ τὰ ἀξιώματα ἀναιδῶς μετερχόμενοι, κατάκρισιν μεγίστην ὑπομένουσι, πόσῳ μᾶλλον οἱ τὰ τοῦ Θεοῦ κατατολμῶντες ἐκτὸς τῆς αὐτοῦ κελεύσεως κατακρίνονται. καὶ μάλιστα εἴπερ ἐξ ἀγνωσίας, καὶ οἰήσεως δοκοῦσιν ἀκατάκριτοι εἶναι τὸ φρικτὸν ἐγχείρημα τοῦτο, ἢ πρὸς τιμήν τε, καὶ ἀνάπαυσιν μετέρχεσθαι τοῦτο νομίζοντες, καὶ οὐ μᾶλλον ὡς εἰς ἄβυσσον ταπεινώσεως, καὶ θάνατον ὑπὲρ τῶν ὑπηκόων, καὶ τῶν ἐχθρῶν, καιροῦ καλοῦντος ὑπεισέρχεσθαι· ὡς οἱ Ἅγιοι Ἀπόστολοι ἐποίησαν ἐν τῷ διδάσκειν αὐτοὺς ἑτέρους, καὶ ταῦτα ἀπαθεῖς, καὶ σοφοὶ ὄντες καθ᾽ ὑπερβολήν· οὐδὲ οὐδ᾽ αὐτὸ τοῦτο, ὅτι ἀσθενεῖς καὶ ἀνίκανοι ἐσμὲν γινώσκομεν, τί χρὴ καὶ λέγειν; ἡ γὰρ οἴησις καὶ ἡ ἀγνωσία τυφλοὺς ποιεῖ τοὺς μὴ θέλοντας ἐν σχολῇ βλέπειν τὴν ἑαυτῶν ἀσθένειαν καὶ ἀγνωσίαν, ὡς λέγει τὸ Γεροντικόν. ὅτι ἡ κέλλα τοῦ Μοναχοῦ ἐστὶν ἡ κάμινος ἡ Βαβυλωνία, ἐν ᾗ οἱ τρεῖς Παῖδες τὸν υἱὸν τοῦ Θεοῦ εὗρον· καὶ πάλιν, κάθου, φησὶν, εἰς τὸ κελλίον σου, καὶ πάντα σε διδάξει. καὶ ὁ Κύριος, ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι ἐπὶ τῷ ὀνόματί μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. καὶ ὁ τῆς Κλίμακος· μὴ ἐκκλίνῃς φησὶν ὁ Σολομὼν εἰς τὰ δεξιὰ ἢ ἀριστερὰ, ἀλλὰ βασιλικὴν ὁδὸν πορεύθητι, ἤτοι μετὰ ἑνὸς, ἢ δύο ἡσυχάζων. καὶ μήτε μόνος ἐν τῇ ἐρήμῳ, μήτε ἐν συνοδίᾳ πολλῇ· ἡ γὰρ μέση τῶν ἀμφοτέρων, φησὶ, τοῖς πολλοῖς ἁρμοδία καθέστηκε. καὶ πάλιν. ἡ νηστεία ταπεινοῖ τὸ σῶμα, ἡ ἀγρυπνία φωτίζει τὸν νοῦν, ἡ ἡσυχία φέρει τὸ πένθος, τὸ πένθος βαπτίζει τὸν ἄνθρωπον καὶ αὐτὸ πλύνει τὴν ψυχὴν, καὶ ποιεῖ αὐτὴν ἀναμάρτητον. τούτου χάριν ἐγράφησαν πρὸς τὸ τέλος τὰ ὀνόματα, πασῶν σχεδὸν τῶν ἀρετῶν, καὶ τῶν παθῶν ἵνα γνῶμεν, τὸ, πόσας ἀρετὰς ὀφείλομεν κτήσασθαι, καὶ πόσα πενθεῖν δεινά. διότι ἐκτὸς πένθους κάθαρσις οὐ γίνεται, πένθος δὲ ἐν περισπασμῷ δυνατὸν οὐκ ἔστι· καὶ ἐκτὸς καθάρσεως ψυχῆς πληροφορία οὐ γίνεται, χωρὶς πληροφορίας χωρισμὸς τῆς ψυχῆς ἐκ τοῦ σώματος ἐπικίνδυνος. τὸ γὰρ ἄδηλον, φησὶν ὁ τῆς Κλίμακος, τάχα αὖ καὶ ἄπιστον. αἱ δὲ προειρημέναι ὀκτὼ θεωρίαι, οὐκ εἰσὶν ἡμῶν ἐργασίαι, ἀλλὰ τῆς τῶν ἀρετῶν ἡμῶν ἐργασίας μισθός. καὶ οὐκ ὀφείλομεν ἐκ τῆς ἀναγνώσεως καὶ μόνης κτήσασθαι ταύτας, κἂν σπουδάζωμεν ἐξ ὑπερηφάνου προθυμίας, ὡς φησὶν ὁ τῆς Κλίμακος



Athos Library
Αγιορειτική Βιβλιοθήκη

περὶ τῶν τελεωτέρων, ἤτοι τῶν τεσσάρων ἐσχάτων, διότι οὐράνιά εἰσι, καὶ ἀκάθαρτος νοῦς οὐ χωρεῖ τὰ τοιαῦτα. ἀλλὰ πᾶσαν ἡμῶν τὴν σπουδὴν ἐπὶ τὰς σωματικὰς, καὶ ψυχικὰς ἀρετὰς ἔχειν ὀφείλομεν, καὶ οὕτω γεννᾶται ἐν ἡμῖν ἡ πρώτη ἐντολὴ, ἤτοι ὁ φόβος τοῦ Θεοῦ· καὶ χρονίζοντες ἐν τούτῳ γεννᾶται τὸ πένθος. καὶ ὁσάκις ἐν ἕξει τῆς μιᾶς θεωρίας γενώμεθα, τότε ἡ χάρις τοῦ Θεοῦ, καὶ κοινὴ πάντων μήτηρ, ὥς φησιν ὁ Ἅγιος Ἰσαὰκ, δωρίσεται ἡμῖν τὰ ἐπέκεινα ταύτης. μέχρις αὖ τὰς ἑπτὰ γνώσεις κτησώμεθα ἐν ἑαυτοῖς, καὶ τῆς ὀγδόης, ἥτις ἐστὶν ἐργασία τοῦ μέλλοντος, καταξιώσεται τοὺς ἐπιμελῶς τὰς ἀρετὰς ἐργαζομένους μετὰ ὀρθοῦ σκοποῦ τῆς τοῦ Θεοῦ εὐαρεστήσεως. ἡμεῖς δὲ ὀφείλομεν ὁσάκις αὐτομάτως ἡ κατὰ Θεὸν ἔννοια ἔλθῃ, εἴτε ἡ πρώτη, εἴτε ὁποία ἐστὶν, ἐξαίφνης ἡμῶν μὴ εἰδότων, εὐθέως πᾶσαν μέριμναν βιωτικὴν, καὶ αὐτὸν τὸν κανόνα καταλιπεῖν πολλάκις, τὴν τυχοῦσαν πνευματικὴν γνῶσίν τε καὶ κατάνυξιν, ὡς κόρην ὀφθαλμοῦ φυλάττειν, μέχρις αὖ οἰκονομικῶς ἀναχωρήσῃ, καὶ ἔκτοτε τὰ γεγραμμένα ῥητὰ τοῦ φόβου, καὶ τοῦ πένθους μελετᾷν ἀεὶ καὶ πρὸ τοῦ κανόνος, καὶ μετὰ ταῦτα. καὶ ὁσάκις ἄδειαν ἔχομεν νυκτὸς καὶ ἡμέρας, εἴτε ἐργόχειρον κατέχοντες, οἱ ἔτι ἀσθενεῖς καὶ πρὸς ὕπνον καὶ ῥαθυμίαν εὐχερεῖς, εἴτε ἀργοὶ, οἱ δυνάμενοι ὅλως δι' ὅλου τοῦ πένθους γενέσθαι, καὶ αἰχμαλωτίζεσθαι ἐν τοῖς λεγομένοις ὑπ' αὐτῶν ῥήμασι, καὶ γενομένοις δάκρυσι. τούτου γὰρ χάριν ἐγράφησαν, ἵνα καὶ οἱ ἄπειροι τῶν τοιούτων, κἀγὼ διὰ τῶν ῥημάτων τὴν τοῦ νοὸς ῥαθυμίαν διεγείρωμεν, τῇ τούτων μελέτῃ καὶ προσοχῇ. οἱ γὰρ ἔχοντες προθυμίαν, καὶ πεῖραν ἐκ τῆς ἕξεως ἐν τῇ ἐργασίᾳ τῶν ἀρετῶν, πολλῷ πλείονα τῶν εἰρημένων ἴσασι, καὶ λέγουσι, μάλιστα δὲ ἐν τῷ καιρῷ τῆς αὐτομάτου κατανύξεως, διότι πολλὴν ἰσχὺν κέκτηται ἡ ὥρα αὕτη· ὑπὲρ τῆς ἐξ ἡμετέρας ἐπιτηδεύσεως. πλὴν μήτις δοκεῖ εἶναι ἐργάτης τῶν τοιούτων χαρισμάτων, ἀλλὰ μᾶλλον ὡς ὑπὲρ τὴν αὐτοῦ ἀξίαν λαβὼν, μεγάλως εὐχαριστῆσαι δεῖται, καὶ φοβεῖσθαι, μήπως κατάκρισιν μείζονα ἔχῃ τούτων ἕνεκα. ὅτι μηδὲν κοπιάσας τῆς τῶν Ἀγγέλων ἐργασίας καταξιωθῆναι μέλλει. πρὸς ἀλειφὴν γὰρ τοῦ νοὸς δέδοται ἡ γνῶσις, καὶ ἰσχὺν εἰς τὸ φυλάξαι ἡμᾶς τὰς ἐντολὰς, καὶ ἐργάζεσθαι τὰς ἀρετάς. καὶ ἵνα γνῶμεν πῶς, καὶ διὰ τί ταύτας ποιοῦμεν, καὶ τί δεῖ μὲν ποιεῖν, τίνος δὲ ἀπέχεσθαι, ἵνα μὴ κατακριθῶμεν. καὶ ἵνα ἀπὸ τῆς γνώσεως πτερούμενοι μετὰ χαρᾶς ἐργαζόμεθα, καὶ μείζονα γνῶσιν λάβωμεν, καὶ ἰσχὺν ἐν τῷ ἐργάζεσθαι, καὶ ἀγαλλίασιν, καὶ τούτου γινομένου, εὐχαριστῆσαι τῷ ταῦτα δωρησαμένῳ καταξιωθῶμεν, γινώσκοντες πόθεν ἐλάβομεν τὰ τοιαῦτα ἀγαθά. εὐχαριστούμενος δὲ μείζονα ἀγαθὰ χαρίζεται ἡμῖν, καὶ λαβόντες τὰ δῶρα ἐπὶ πλεῖον αὐτὸν ἀγαπήσωμεν, καὶ διὰ τῆς ἀγάπης εἰς τὴν σοφίαν τοῦ Θεοῦ κατανοήσωμεν. ἧς ἡ ἀρχὴ ὁ τοῦ Θεοῦ φόβος. καὶ ἡ μὲν ἐργασία τοῦ φόβου, ἡ μετάνοιά ἐστι, φησὶν ὁ Ἅγιος Ἰσαάκ· δι' ἧς γίνεται ἡ ἀποκάλυψις τῶν κρυπτῶν. τὰ δὲ τοῦ φόβου νοήματα μελετᾷν δεῖ οὕτως. μετὰ τὴν τοῦ ἀποδείπνου ἀκολουθίαν ὀφείλει τις λέγειν. τὸ Πιστεύω, τὸ Πάτερ ἡμῶν, καὶ τὸ Κύριε ἐλέησον πλειστάκις. καὶ οὕτω κάθηται κατ' ἀνατολὰς, ὡς οἱ πενθοῦντες ἐπὶ νεκρῷ, σείων τὴν κεφαλὴν αὐτοῦ μετὰ πόνου ψυχῆς, καὶ στεναγμοῦ καρδίας, λέγει τὰ τῆς τυχούσης γνώσεως ῥήματα· ἀρξάμενος ἀπὸ τῆς πρώτης, μέχρις αὖ φθάσῃ εἰς τὴν εὐχήν· καὶ οὕτω πίπτει ἐπὶ πρόσωπον ἐνώπιον τοῦ Θεοῦ μετὰ φρίκης ἀμυθήτου, καὶ προσεύχεται. πρῶτον εὐχαριστίαν, ἔπειτα ἐξομο-

λόγησιν, καὶ τὰ λοιπὰ ῥήματα τῆς ἀρχῆς ὡς προείρηται· φησὶ γὰρ ὁ Μέγας Ἀθανάσιος· ἐξομολογήσασθαι ὀφείλομεν ὑπὲρ τῶν ἐν ἀγνοίᾳ πταισμάτων, καὶ ὑπὲρ ὧν ἐμέλλομεν πταίειν, ἐξ ὧν ἡ χάρις τοῦ Θεοῦ ἡμᾶς ἐρρύσατο. ἵνα μὴ ἐν τῇ ὥρᾳ τοῦ θανάτου λογοθετηθῶμεν ἕνεκα τούτων. καὶ ὑπὲρ ἀλλήλων πάλιν κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, καὶ τοῦ Ἀποστόλου. Ὁ δὲ σκοπὸς τῶν λεγομένων ἐν τῇ προσευχῇ οὗτός ἐστιν. ἡ μὲν εὐχαριστία, ὑπὲρ τῆς ἐν τῇ ὥρᾳ ταύτῃ εὐχαριστίας, τὸ ἀνίκανον πρὸς εὐχαριστίαν ὁμολογεῖ. καὶ τὸ ἀμελεῖν κατὰ τοὺς ἄλλους καιρούς, καὶ ὅτι χάρις τοῦ Θεοῦ ἐστιν ἡ ὥρα αὕτη. ἡ δὲ ἐξομολόγησις κηρύττει τὰ δεδωρημένα, ὅτι ἄμετρά εἰσι, καὶ ὅτι ἡ πάντα ἰσχύουσα καταλαβεῖν, ἀλλ' οὔτε γινώσκειν, εἰ μὴ ἀκοὴν μόνην ἔχειν, καὶ ταύτην ὅλως περιττὴν, καὶ οὐ περὶ πάντων. καὶ ὅτι φανερῶς καὶ ἀφανῶς ἀεὶ εὐεργετούμεθα, καὶ ὅτι ἄφραστός ἐστιν ἡ ἀνοχὴ αὐτοῦ ἐπὶ τὸ πλῆθος τῶν ἁμαρτιῶν μου. καὶ ὅτι ἀνάξιός εἰμι καὶ * αὐτὸ τὸ ἀτενίσαι ἄνω ὡς ὁ Τελώνης ἐποίησε, καὶ ὅτι οὐκ εἰς ἄλλο τι θαρρῶν, εἰ μὴ εἰς τὴν σὴν ἄφατον φιλανθρωπίαν. προσπίπτω, ὡς ὁ Δανιὴλ ἐνώπιον τοῦ θείου Ἀγγέλου, καὶ ὡς ὁ Ἀπόστολος, καὶ οἱ λοιποὶ Πατέρες ἐξ ὅλης ψυχῆς, καὶ τοῦτο τολμηρῶς, διὰ τὸ ἀνάξιον εἶναί με τοῦτο ποιῆσαι. καὶ τὸ ἐξαγορεῦσαι τὰ εἴδη τῶν πταισμάτων μου ἐν ἐπιτόμῳ, πρὸς τὸ μιμνήσκεσθαι ταῦτα, καὶ πενθεῖν ὑπὲρ τούτων. ὁμολογεῖν τε τὴν ἐμὴν ἀσθένειαν, ἵνα ἔλθῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ, κατὰ τὸν Ἀπόστολον· καὶ τὸ συγχωρηθῆναι τὸ πλῆθος τῶν κακῶν μου· ὡς μὴ τολμῶν ὑπὲρ πάντων αἰτεῖν, ἀλλ' ὑπὲρ τοῦ πλήθους τῶν κακῶν μου. καὶ τὸ χαλινωθῆναί μου πᾶσαν κακίαν, καὶ πονηρὰν συνήθειαν, ὡς μὴ δυνάμενος ἀντιστῆναι, παρακαλῶ τὸν παντοδύναμον

στῆσαι τὰς ὁρμὰς τῶν παθῶν, καὶ τὸ μὴ ἐᾶσαί με ἁμαρτῆσαι εἰς αὐτὸν, ἢ εἰς τινὰ ἄνθρωπον, ἵνα κἂν ἐκ τούτου τύχω σωτηρίας κατὰ χάριν. καὶ ἵνα ἐκ τῆς μνήμης πόνον ψυχῆς κτήσωμαι, καὶ τὸ ὑπὲρ τῶν ἄλλων αἰτεῖν, ὡς ἐντολὴν πληρῶν, κατὰ τὸν Ἀπόστολον, καὶ ἀγάπην πρὸς πάντας. καὶ τὸ τὰ εἴδη τῶν παθῶν καταλέγειν, ὡς ὑπ' αὐτῶν τυραννούμενος, καταφεύγειν πρὸς τὸν δεσπότην, καὶ πρὸς κατάνυξιν. καὶ τὸ αἰτεῖν με ὑπὲρ ὧν ἐλύπησα, καὶ τῶν λυπησάντων με, ἢ λυπῆσαι μελλόντων, ὡς μηδ' ὅλως ἴχνος μνησικακίας ἔχειν βουλόμενος, καὶ φοβούμενος τὴν οἰκείαν ἀσθένειαν κατὰ καιρὸν τὸν τότε, μήπως οὐ δυνήσομαι ἀνεξικάκως φέρειν, ἢ εὔχεσθαι ὑπὲρ αὐτῶν, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου. καὶ τοῦτο χάριν προλαμβάνων τὸν καιρὸν, ὡς φησὶν ὁ Ἅγιος Ἰσαὰκ, πρὸ τῆς ἀρρωστίας ζήτησον τὸν ἰατρὸν, καὶ πρὸς τοῦ πειρασμοῦ εὐχου. καὶ τὸ ὑπὲρ τῶν προαπελθόντων, ἵνα σωτηρίας τύχωσι. καὶ ἵνα * τὸν θάνατον μνησθῶ, καὶ ἔνδειξις ἀγάπης τὸ εὔχεσθαι ὑπὲρ πάντων, καὶ δεόμενος τῆς τῶν πάντων ἀρχῆς. καὶ τὸ κυβερνηθῆναι ὑπὸ Θεοῦ, καὶ γενέσθαι οἷον θέλει, καὶ τὸ μιγῆναι μετὰ τῶν ἄλλων, ἵνα δι' εὐχῶν ἐκείνων ἐλεηθῶ, καὶ ὡς ἔχων αὐτοὺς ὑπερέχοντας. παντὸς δὲ ἁμαρτήματος ἄρτι οὐ τολμῶ ζητεῖν συγχώρησιν, ἵνα μὴ ὡς ἐμαυτὸν σμικρύνων, τοὺς ἄλλους ἀναξίους συγχωρήσεως ἡγήσωμαι. καὶ ὡς ἀγνοῶν καὶ μὴ δυνάμενός τι ποιῆσαι καταφεύγω, καὶ ζητῶ, ὡς εὐδοκεῖ ἡ φιλανθρωπία αὐτοῦ γενέσθαι, φοβούμενος τὴν δικαιοσύνην ὡς ἁμαρτωλὸς, καὶ τὸ λέγειν με, μόνον μὴ ἀποτύχω τῆς ἐκ δεξιῶν σου στάσεως, κἂν ἔσχατος πάντων τῶν σωζομένων εὑρεθήσωμαι, ὡς μηδὲ τούτου ὢν ἄξιος. καὶ τὸ εὔχεσθαί με ὑπὲρ τοῦ κόσμου παντὸς, ὡς παρελάβομεν ἀπὸ τῆς Ἐκκλησίας. καὶ τὸ ὑπὲρ τοῦ κα-

* ἴσ. [illegible] τὸ

* ἴσ. τῷ θανάτῳ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

παξιωθῶσί με τῆς θείας μεταλήψεως ὡς χρέος. καὶ ἵνα πρὸ τούτου δεχόμενος εὕρω ἕτοιμον τὸν βοηθὸν, ὅταν βουληθῶ μεταλαβεῖν, καὶ ἵνα μνησθῶ τὰ ἄχραντα πάθη τοῦ Σωτῆρος ἡμῶν, καὶ πρὸς ἀγάπην ἔλθω τῆς τούτου μνήμης. καὶ ἵνα εἰς κοινωνίαν τοῦ Ἁγίου Πνεύματος γένηται ἡ μετάληψις. ὅτι αὐτὸς ὁ Παράκλητος παρακαλεῖ τοὺς πενθοῦντας κατὰ Θεὸν, ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι, καὶ τοὺς ἐξ ὅλης ψυχῆς μετὰ πολλῶν δακρύων παρακαλοῦντας αὐτὸ καὶ λέγοντας. Βασιλεῦ οὐράνιε καὶ τὰ ἑξῆς. καὶ ἵνα γένηται εἰς ἀρραβῶνα τῆς ἐν Χριστῷ ζωῆς αἰωνίου ἡ κοινωνία τῶν ἀχράντων μυστηρίων, διὰ πρεσβειῶν τῆς αὐτοῦ Μητρὸς, καὶ πάντων τῶν Ἁγίων. Εἶτα τοῖς ἁγίοις πᾶσι προσπίπτω, παρακαλῶν αὐτοὺς ἱκεσίαν ποιεῖσθαι ὑπὲρ ἐμοῦ, ὡς δυναμένους προσφέρειν τῷ δεσπότῃ τὴν ἱκεσίαν. καὶ οὕτω τὴν κατὰ συνήθειαν εὐχὴν τοῦ Μεγάλου Βασιλείου ὡς ἔχουσαν τὴν θαυμασίαν θεολογίαν· καὶ τὸ ζητεῖν μόνον τὸ θεῖον θέλημα, καὶ εὐλογεῖν τὸν Θεόν. καὶ μετὰ ταῦτα εὐθέως πρὸς τοὺς οἰκείους λογισμοὺς μετ᾽ ἐπιτάσεως πολλῆς καὶ προσοχῆς. Δεῦτε προσκυνήσωμεν γ΄. καὶ καθεξῆς ὡς προγράφη. ἵνα διὰ τῆς καρδιακῆς προσευχῆς, καὶ τῆς μελέτης τῶν θείων γραφῶν καθαίρηται ὁ νοῦς, καὶ ἄρχηται βλέπειν τὰ κεκρυμμένα ἐν ταῖς θείαις γραφαῖς μυστήρια. πλὴν ἐκτὸς πάσης κακίας ἡ ψυχὴ ἔστω, ἐξαιρέτως δὲ τῆς μνησικακίας, ὥς φησιν ὁ Κύριος, κατὰ τὸν καιρὸν τῆς προσευχῆς. διὰ τοῦτο καὶ ὁ μέγας Βασίλειος τὴν ἀντιλογίαν κολάζων ὡς ταύτης γεννήτειραν, φησὶ πρὸς τὸν Ἡγούμενον, δοῦναι τῷ ἀντιλέγοντι αὐτῷ μετανοίας πολλὰς, ἄχρι χιλίας. τὸν ἀριθμὸν δὲ ἀναβιβάζων ἔφη, ἢ χιλίας, ἢ μίαν. τοῦτ᾽ ἔστιν ἢ χιλίας μετανοίας πρὸς τὸν Θεὸν ὀφείλει ποιεῖν ὁ ἀντιλέγος, ἢ μίαν πρὸς τὸν προεστῶτα, ἤτοι συγχώρησον Πάτερ. καὶ λύσιν τῶν δεσμῶν λαμβάνει διὰ τῆς μιᾶς μόνης, τῆς οὔσης κυρίως μετανοίας, καὶ ἐκκοπῆς τοῦ πάθους τῆς ἀντιλογίας. οὐκ ἔστι ἡ ἀντιλογία, φησὶν ὁ Ἅγιος Ἰσαὰκ, τῆς πολιτείας τῶν Χριστιανῶν, λαβὼν τὴν χρῆσιν τοῦ Ἀποστόλου. φησὶ γὰρ, εἰδέ τις ἀντιλέγειν δοκιμάζῃ, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν. καὶ ἵνα μὴ ἐξεώσειν ἐξ ἑαυτοῦ μόνου τὸν ἀντιλέγοντα δόξῃ τινὶ, ἐπήγαγεν, οὐδὲ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ. ἵνα γνῶτις, ὅτι ἐξωθούμενός ἐστι πασῶν τῶν Ἐκκλησιῶν, καὶ τοῦ Θεοῦ, ὅταν ἀντιλέγῃ· καὶ δεῖται τῆς θαυμαστῆς μιᾶς ἐκείνης μετανοίας, ἧς ἀστοχήσας, οὐδὲ αἱ χίλιαι αὐτῷ ὠφελῆσαι δύνανται, τὸν ἀμετανόητον ἔχοντι τρόπον. μετάνοια γάρ ἐστιν ἡ ἐκκοπὴ τοῦ κακοῦ, φησὶν ὁ Χρυσόστομος· αἱ δὲ λεγόμεναι μετάνοιαι, γονυκλισίαι εἰσὶ μᾶλλον, καὶ σχῆμα δουλικὸν ἐπιδεικνύουσιν ἔχειν τὸν προσπίπτοντα ἀμετεωρίστως τῷ Θεῷ, καὶ τοῖς ἀνθρώποις, ὅταν προσκρούσῃ τις ἔν τινι. ἵνα τόπον ἀπολογίας εὕρῃ, ἐὰν ὅλως οὐκ ἀντιλέγῃ, οὐδὲ δικαιώσειν ἑαυτὸν ἐπιχειρήσειεν, ὡς ὁ Φαρισαῖος ἐκεῖνος. ἀλλὰ μᾶλλον τὸν Τελώνην μιμεῖσθαι, ἐν τῷ ἡγεῖσθαι ἑαυτὸν χείρονα πάντων, καὶ ἀνάξιον τοῦ ἀτενίσαι ἄνω. Ἐπεὶ ὁ δοκῶν μετάνοιαν ἔχειν, καὶ ἀντιλέγειν ἐπιχειρεῖ τῷ δικάζοντι αὐτὸν εὐλόγως, ἢ ἀλόγως, οὐκ ἔστιν ἄξιος τῆς κατὰ χάριν συγχωρήσεως, ὡς δικαστήριον ζητῶν, καὶ δικαιώματα, καὶ ὡς ἀπὸ δικαίου πόρου δοκῶν τι ἀνύσαι. ὅπερ ξένον ἐστὶ τοῦτο τὸ ἐγχείρημα τῶν τοῦ Κυρίου ἐντολῶν. καὶ εἰκότως· ὅπου δικαιολογίαι, ἐκεῖ τὸ δίκαιον ζητεῖται, καὶ οὐ τὸ φιλάνθρωπον· καὶ ἤργησε λοιπὸν ἡ χάρις, ἡ ἐκτὸς ἔργων δικαιοσύνης, δικαιοῦσα τὸν ἀσεβῆ, διὰ μόνης εὐγνωμοσύνης, καὶ ὑπομονῆς τῶν ἐλέγχων, ἐν εὐχαριστίᾳ τῶν

ἐλεγχθέντων, καὶ αἰσχυνθῇ τῶν κατηγορηθέντων μετὰ πάσης ἀνεξικακίας, ἵνα καθαρὰ ἡ προσευχὴ αὐτοῦ γένηται καὶ ἡ μετάνοια ἐνεργής. ὅσον γὰρ εὔχεταί τις ὑπὲρ τῶν συκοφαντούντων αὐτὸν, καὶ κατηγορούντων, τοσοῦτον ὁ Θεὸς πληροφορεῖ τοὺς ἐχθραίνοντας αὐτὸν, καὶ ἀνάπαυσιν αὐτῷ χαρίζεται διὰ τῆς καθαρᾶς καὶ ἐπιμόνου προσευχῆς, οὐχ' ὅτι δὲ τὸν καρδιογνώστην Θεὸν διδάσκοντες, λέγομεν τὰ αἰτήματα κατὰ λεπτὸν, ἀλλ' ἵνα ἡμεῖς ἐκ τῶν τοιούτων κατανυσσώμεθα. καὶ ὡς ποθοῦντες ἐπὶ πλεῖον παραμονὴν αὐτοῦ, τῇ ἐπιμελείᾳ τοὺς λόγους πληθύνωμεν, εὐχαριστοῦντες, καὶ ἐξομολογούμενοι αὐτῷ ἐπὶ τῶν τηλικούτων αὐτοῦ εὐεργεσιῶν, καὶ τὸ ἐγχωροῦν, ὥς φησιν ὁ Χρυσόστομος, περὶ τοῦ Μακαρίου Δαβίδ. ὅτι ἡ πολυλογία, οὐκ ἀλλολογία ἐστὶ, τὸ λέγειν πολλάκις τὸ αὐτὸ ῥητὸν, ἢ τὸ ὅμοιον τούτου. ἀλλὰ πόθῳ φερόμενος ὁ Προφήτης, καὶ ἵνα ἐντυπωθῇ ὁ λόγος τῆς θείας γραφῆς ἐν τῷ νοΐ τοῦ εὐχομένου, ἢ τοῦ ἀναγινώσκοντος. ὁ γὰρ Θεὸς πάντα οἶδε πρὸ τοῦ γενέσθαι, καὶ οὐ χρείαν ἔχει τοῦ ἀκοῦσαι διαλόγου. ἀλλ' ἡμεῖς τούτου δεόμεθα, πρὸς τὸ γνῶναι ἡμᾶς τί αἰτοῦμεν, καὶ τί εὐχόμεθα· ὅπως εὐγνωμοσύνην ἔχωμεν, καὶ αὐτῷ προσκολλώμεθα διὰ τῆς αἰτήσεως· καὶ ἵνα μὴ ὑπὸ τῶν λογισμῶν χειμαζόμενοι, νικώμεθα ὑπὸ τῶν ἐχθρῶν, ὡς ὄντες ἔξωθεν τῆς τοῦ Θεοῦ μνήμης. ἀλλ' ἵνα βοηθούμενοι ὑπὸ τῆς εὐχῆς, καὶ μελέτης τῶν θείων γραφῶν τελειώμεθα τῇ κτήσει τῶν ἀρετῶν, περὶ ὧν οἱ Ἅγιοι Πατέρες ἄλλος ἀλλαχοῦ ἔγραψαν τῇ τοῦ Ἁγίου Πνεύματος χάριτι. ἐξ ὧν κἀγὼ μαθὼν, ἐρῶ τέως τὰ ὀνόματα· καὶ τὸ ἐγχωροῦν· εἰ καὶ μὴ πάντων, διὰ ἔλλειψιν γνώσεως. εἰσὶ τοίνυν.

## Δήλωσις τῶν ἀρετῶν.

Φρόνησις, σωφροσύνη, ἀνδρεία, δικαιοσύνη, πίστις, ἐλπὶς, ἀγάπη, φόβος, εὐσέβεια, γνῶσις, βουλὴ, ἰσχὺς, σύνεσις, σοφία, συμβιμμός, πένθος, πραότης, ἔρευνα τῶν θείων γραφῶν, ἐλεημοσύνη, καθαρότης καρδίας, εἰρήνη, ἡσυχία, ἐγκράτεια, καρτερία, προαίρεσις ἀγαθὴ, πρόθεσις, αἴσθησις, ἐπιμέλεια, ἔρεισμα θεῖον, θέρμη, ἐγρήγορσις, ζέσις Πνεύματος, μελέτη, ᾠδὴ, νῆψις, μνήμη, σιωπή, εὐλάβεια, αἰδὼς, ἐντροπὴ, μεταμέλεια, ἀποχὴ κακῶν, μετάνοια, ἐπιστροφὴ πρὸς Θεὸν, συνταγὴ Χριστοῦ, ἀποταγὴ τοῦ διαβόλου, τήρησις ἐντολῶν, φυλακὴ ψυχῆς, καθαρότης συνειδήσεως, μνήμη θανάτου, πόνος ψυχῆς, ἐργασία τῶν καλῶν, κόπος, μόχθος, σκληραγωγία, νηστεία, ἀγρυπνία, πεῖνα, δίψα, ὀλιγοδεΐα, αὐτάρκεια, εὐταξία, εὐσχημοσύνη, σεμνότης, ἀπεριττεία, χρημάτων ὑπεροψία, ἀφιλαργυρία, ἀποταγὴ τῶν βιωτικῶν, ὑποταγὴ, ὑπακοὴ, εὐπείθεια, πτωχεία, ἀκτημοσύνη, φυγὴ τοῦ κόσμου, θελημάτων ἐκκοπὴ, ἄρνησις ἑαυτοῦ, συμβουλὴ, μεγαλοψυχία, σχολὴ κατὰ Θεὸν, ἡσυχία, παίδευσις, ξηροκοιτία, ἀλουσία, παράστασις, ἀγὼν, προσευχὴ, ξηροφαγία, γυμνότης, τῆξις σώματος, μόνωσις, ἠρεμία, γαλήνη, εὐθυμία, θάρσος, εὐτολμία, ζῆλος θεῖος, πυρπόλησις, προκοπὴ, μωρία διὰ Χριστὸν, νοὸς τήρησις, κατάστασις ἠθῶν, ὁσιότης, παρθενία, ἁγιασμὸς, καθαρότης σώματος, ἁγνεία ψυχῆς, ἀνάγνωσις διὰ Χριστὸν, θεῖα νοήματα, ἐπίγνωσις, ἐπιτηδειότης, ἀλήθεια, ἀπειρογαμία, ἀνυποκρισία, ἄφεσις τῶν ὀφειλημάτων, οἰκονομία, ἐπιδεξιοσύνη, ἀγχίνοια, ἐπιείκεια, χρῆσις ὀρθὴ τῶν πραγμάτων, ἐπιστήμη, εὐ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

φυΐα, ἐμπειρία, ψαλμῳδία, προσευχή, εὐχαριστία, ἐξομολόγησις, ἱκεσία, γονυκλισία, παράκλησις, δέησις, αἴτησις, ἔντευξις, ὑμνῳδία, δοξολογία, ἐξαγόρευσις, φροντίς, θρῆνος, θλῖψις, ὀδύνη, ἀδημονία, ὀδυρμός, στεναγμός, κλαυθμός, ἐπίπονα δάκρυα, κατάνυξις, σιωπή, θεία ζήτησις, ὀλολυγμός, ἀμεριμνία ἐκ πάντων, ἀνεξικακία, ἀκενοδοξία, ἀφιλοδοξία, ἁπλότης ψυχῆς, συμπάθεια, ἀφιλενδειξία, καλοήθεια, τὰ κατὰ φύσιν ἔργα, τὰ ὑπὲρ φύσιν, φιλαδελφία, ὁμόνοια, κατὰ Θεὸν κοινωνία, γλυκύτης, διάθεσις πνευματική, ἡμερότης, εὐθύτης, ἀκακία, ἠπιότης, ἀκεραιότης, ἁπλότης, εὐφημία, καλολογία, καλοεργία, προτίμησις τοῦ πλησίον, στοργὴ κατὰ Θεόν, ἕξις ἐνάρετος, συνέχεια, ποίωσις, εὐγνωμοσύνη, ταπείνωσις, ἀπροσπάθεια, μεγαλοπρέπεια, ἀνοχή, μακροθυμία, χρηστότης, ἀγαθότης, διάκρισις, τὸ εὐπρόσιτον, τὸ εὐπροσήγορον, ἀταραξία, θεωρία, ὁδηγία, παγίωσις, διόρασις, ἀπάθεια, χαρὰ πνευματική, ἀσφάλεια, δάκρυα τῆς συνέσεως, τὸ ψυχικὸν δάκρυον, θεῖος πόθος, οἰκτιρμός, εὐσπλαγχνία, φιλανθρωπία, καθαρότης ψυχῆς, καθαρότης νοός, προόρασις, καθαρὰ προσευχή, ἀναιχμάλωτος λογισμός, στερρότης, εὐτονία ψυχῆς, καὶ σώματος, φωτισμός, ψυχῆς ἀνάκτησις, μῖσος ζωῆς, διδασκαλία ὡς δεῖ, πόθος θανάτου ἀγαθός, ἠπιότης ἐν Χριστῷ, ἑδραίωσις υἱοθεσία, καὶ παραίνεσις, σύμμετρος, καὶ βιαστή, ἐπαινετὴ ἀλλοίωσις, * ἔκπασις πρὸς Θεόν, τελειότης ἐν Χριστῷ, ἀψευδὴς ἔλλαμψις, θεῖος ἔρως, ἁρπαγὴ νοός, Θεοῦ ἐνοίκησις, φιλοθεΐα, φιλοσοφία ἐσωτική, θεολογία, ὁμολογία, θανάτου καταφρόνησις, ἁγιωσύνη, κατόρθωμα, ὑγεία τελεία ψυχῆς, ἀρετή, ἔπαινος ἐκ Θεοῦ, χάρις, βασιλεία, υἱοθεσία, καὶ διὰ πάντων ὁμοῦ, σκή. Τὸ δὲ θέσει γενέσθαι τὸν ἄνθρωπον, χάριτι τοῦ διδόντος ἡμῖν νίκην κατὰ τῶν παθῶν, ὧν τὰ ὀνόματα εἰσὶ ταῦτα, ὡς οἶμαι.

* ἴσ. ἔκστασις

## Δήλωσις τῶν παθῶν.

Δεινότης, πανουργία, πονηρία, κακοφροσύνη, ἀλογία, ἀκολασία, δελεασμός, ἀφυΐα, ἀνεπιστημοσύνη, ἀεργία, ψυχρότης, ἠλιθιότης, κολακεία, μωρία, ἐξήχησις, ἔκστασις φρενῶν, παραφρόνησις, ἀγροικία, θράσος, δειλία, νάρκησις, ἀργία τῶν καλῶν, πλημμέλημα, πλεονεξία, μειονεξία, ἄγνοια, ἄνοια, γνῶσις ψευδώνυμος, λήθη, ἀδιακρισία, ἀναισθησία, ἀδικία, κακὴ προαίρεσις, ἀσυνείδητος ψυχή, νωθρότης, φλυαρία, ἀθέτησις, σφάλμα, ἁμαρτία, ἀνομία, παρανομία, πάθος, αἰχμαλωσία, συγκατάθεσις πονηρά, συνδυασμὸς ἄλογος, προσβολὴ δαιμονική, ἐγχρόνισις, ἀνάπαυσις σωματικὴ παρὰ τὸ δέον, κακία, πταῖσμα, νόσος ψυχῆς, ἀπονία, ἀσθένεια νοός, ἀμέλεια, ῥαθυμία, ἀθυμία ψεκτή, καταφρόνησις Θεοῦ, παραῤῥοπή, παράβασις, ἀπιστία, δυσπιστία, κακοπιστία, ὀλιγοπιστία, αἵρεσις, συναίρεσις, πολυθεΐα, εἰδωλολατρεία, ἀγνωσία Θεοῦ, ἀσέβεια, μαγεία, ἐπιτήρησις, μαντεία, γοητεία, ἄρνησις, εἰδωλομανία, ἀκρασία, σπατάλη, φιλολογία, ὀκνηρία, φιλαυτία, ἀπροσεξία, ἀπροκοπία, ἀπάτη, πλάνη, τόλμη, φαρμακεία, μιαροσύνη, μιαροφαγία, τρυφή, ἀσωτία, γαστριμαργία, πορνεία, φιλαργυρία, ὀργή, λύπη, ἀκηδία, κενοδοξία, ὑπερηφανία, οἴησις, ἔπαρσις, ἀλαζονεία, ἀπόνοια, αἰσχρότης, κόρος, βλακεία, κάρωσις, ἡ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὀδύνη, ἀπληστία, λαιμαργία, ἀχορταγία, λαθροφαγία, ἁβροφαγία, μονοφαγία, ἀδδηφαγία, δειλία, ἀντιβουλία, ἀβουλία, αὐταρέσκεια, ἀνθρωπαρέσκεια, ἀγνωσία τοῦ καλοῦ, ἀπαιδευσία, ἀνεπιτηδειότης, γνώμης κουφότης, ἰδιωτεία, χωρισία, ἀντιλογία, φιλονεικία, κακολογία, κραυγή, ταραχή, μάχη, θυμός, ἐπιθυμία ἄλογος, χολή, παροξυσμός, σκάνδαλον, ἔχθρα, πολυπραγμοσύνη, συκοφαντία, πικρία, καταλαλιά, ψόγος, διαβολή, κατάκρισις, κατηγορία, μῖσος, λοιδορία, ὕβρις, ἀτιμία, ἀγριότης, μανία, αὐστηρία, ἀψόρης, ἐπιορκία, ὅρκος, ἀνελεημοσύνη, μισαδελφία, ἀνισότης, πατραλοία, μητραλοία, κατάλυσις, παράλυσις, δωροληψία, κλοπή, ἁρπαγή, ζῆλος, ἔρις, φθόνος, ἀσχημοσύνη, χλεύη, ὀνειδισμός, μυκτηρισμός, καταγέλως, καταπραγματεία, καταδυναστεία, καταφρόνησις τοῦ πλησίον, μαστίγωσις, ἐμπαιγμός, ἀγχόνη, πνιγμός, τὸ ἄστοργον, τὸ ἄσπονδον, τὸ ἀσυμπαθὲς, τὸ ἀσμένεστι, βασκανία, ἀπήνεια, ἀναίδεια, ἀναισχυντία, αἰχμαλωσία λογισμῶν, σκοτισμός, ἀβλεψία, τύφλωσις, προσπάθεια προσκαίρων, ἐμπάθεια, ματαιότης, ἀπείθεια, καρηβαρία, νυσταγμὸς ψυχῆς, πολυϋπνία, φαντασία, πολυποσία, μέθη, ἀχρηστία, χαυνότης, τέρψις ἄλογον, φιληδονία, λαγνεία, αἰσχρολογία, θηλυμός, οἶστρος ἀκόλαστος, πύρωσις, μαλακία, μαύλισις, μοιχεία, ἀρσενοκοιτία, κτηνοβατία, μολυσμός, ἀσέλγεια, ῥύπος ψυχῆς, αἱμομιξία, ἀκαθαρσία, μαγγανεισμός, μιασμός, μερικὴ φιλία, γέλως, παίγνια, ὄρχησις, κρότοι, ᾄσματα ἀπρεπῆ, χορεύματα, αὐλίσματα, παρρησία, πολιτεία, ἀνυποταξία, ἀκαταστασία, ὁμόνοια ψεκτή, ἐπιβουλή, πόλεμος, φόνος, λῃσταρχία, ἱεροσυλία, αἰσχροκέρδεια, τόκος, δόλος, τυμβωρυχία, σκληρότης καρδίας, δυσφημία, γογγυσμός, βλασφημία, μεμψιμοιρία, ἀχαριστία, κακοβουλία, ὀλιγωρία, μικροψυχία, σύγχυσις, ψεῦδος, γλωσσαλγία, ματαιολογία, ἄλογος χαρά, μετεωρισμός, ἄλογος φιλία, κακοήθεια, λῆρος, μωρολογία, πολυλογία, σκνιφότης, μοχθηρία, ἀκαταδεξία, ἀγανάκτησις, πολυκτημοσύνη, μνησικακία, παράχρησις, πλεονεξία, φιλοζωΐα, περπερεία, τῦφος, φιλαρχία, ὑπόκρισις, εἰρωνεία, ὑπουλότης, εὐτραπελία, ἧττα, ἔρως σατανικός, περιεργία, προσκρούσματα, ἀφοβία Θεοῦ, ἀνηκοΐα, ἀγνωμοσύνη, ὑψηλοφροσύνη, καύχησις, φυσίωσις, ἐξουδένωσις τοῦ πλησίον, ἀσπλαγχνία, ἀναλγησία, ἀνελπιστία, πώρωσις, μισοθεΐα, ἀπόγνωσις, αὐτοκτονία, καὶ διὰ πάντων ἔκπτωσις ἀπὸ Θεοῦ, καὶ τελεία ἀπώλεια. ὁμοῦ πάντα σγʹ.

Ταῦτα τοίνυν τὰ πάθη ὀνομαζόμενα ἐν ταῖς θείαις γραφαῖς εὗρον, καὶ ἐφάπαξ τέθεικα, ὡς τὰς βίβλους εἰς τὴν ἀρχὴν τοῦ λόγου. τὴν τάξιν δὲ οὔτε ἐδυνήθην, οὔτε ἐπεχείρησα τὴν κατάθεσιν, ὡς ὑπὲρ ἐμὲ οὖσαν, ἀλλὰ τὸν λόγον ὃν εἴρηκεν ὁ τῆς Κλίμακος. ζητήσεις παρὰ κακοῖς σύνεσιν, φησι, καὶ οὐχ εὑρήσεις, διότι ἄτακτά εἰσιν ἅπαντα τὰ τῶν δαιμόνων. ἕνα καὶ μόνον σκοπὸν ἔχουσιν, ἐν ᾧ καὶ ἰσάζουσιν οἱ ἄτιμοι, καὶ ἀνόσιοι, τὸ ἀπολέσαι τὰς ψυχὰς τῶν δεχομένων τὴν κακίστην αὐτῶν συμβουλήν. εἰ καὶ ἄλλοις τισὶν ἀνθρώποις γίνονται στεφάνων πρόξενοι, ὅταν νικῶνται ὑπὸ τῆς πίστεως καὶ ὑπομονῆς τῶν ἐλπιζόντων ἐπὶ τὸν Κύριον. καὶ τῇ ἐργασίᾳ τῶν καλῶν καὶ ἀντιστάσει τῶν λογισμῶν ἀντιπραττόντων, καὶ κατευχομένων αὐτῶν.

Περὶ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## Περὶ Διαφορᾶς λογισμῶν καὶ προσβολῶν.

Ἐπειδὴ οἱ λογισμοὶ διαφορὰς ἔχουσιν ἐν πᾶσι, καὶ οἱ μὲν ἀναμάρτητοί εἰσιν, οἱ δὲ οὔπω, οἷον ἡ λεγομένη προσβολή, ἤγουν ἐνθύμησις τοῦ καλοῦ, ἢ τοῦ κακοῦ· ἥτις οὔτε ἀμοιβήν, οὔτε μέμψιν ἔχει. μετὰ ταύτην ὁ λεγόμενος συνδυασμός, τουτέστιν ἡ ὁμιλία τοῦ λογισμοῦ, ἢ πρὸς συγκατάθεσιν, ἢ ἀποβολήν. καὶ ἔχει μὲν ἔπαινον, ὅταν θεάρεστον ᾖ, ἀλλὰ μικρόν· ὥσπερ καὶ ψόγον, ὅταν πονηρὸν ᾖ. ἔπειτα ἡ λεγομένη πάλη, ἢ νικῶσα, ἢ νικωμένη ὑπὸ τοῦ νοός, καὶ στέφανον, ἢ κόλασιν προξενοῦσα, ὅταν εἰς ἔργον φθάσῃ. ὁμοίως δὲ καὶ ἡ συγκατάθεσις, ἥτις ἐστὶ νεῦσις ἐνήδονος τῆς ψυχῆς πρὸς τὸ ὀφθὲν γινομένη, ἐξ ἧς γίνεται ἡ αἰχμαλωσία, ἡ ἀπάγουσα βιαίως, καὶ ἀκουσίως τὴν καρδίαν πρὸς ἐργασίαν· ἐν δὲ τῷ χρονίζειν τὸν ἐμπαθῆ λογισμὸν ἐν τῇ ψυχῇ, γίνεται τὸ λεγόμενον πάθος, ὥσπερ εἰς ἕξιν διὰ τῆς πρὸς ἑαυτὸ συνηθείας τὴν ψυχὴν φέρον αὐθαιρέτως, καὶ οἰκείως αὐτομολοῦσαν αὐτὴν πρὸς τὴν πρᾶξιν ἀπεργάζεται. ὅπερ πάθος ἀναμφιβόλως ἐν πᾶσιν, ἢ ἀντιζύγῳ μετανοίᾳ, ἢ τῇ μελλούσῃ κολάσει ὑπόκειται, φησὶν ὁ τῆς Κλίμακος. διὰ τὸ ἀμετανόητον δηλαδή, καὶ οὐ διὰ τὸν πόλεμον, εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν ἐκτὸς τελείας ἀπαθείας ἄφεσιν οἱ πολλοὶ λαβεῖν ἠδυνήθημεν· ὡς αὐτὸς ἔφη ὁ τῆς Κλίμακος, ὅτι οὐ πάντας μὲν ἀπαθεῖς γενέσθαι δυνατόν, πάντας δὲ σωθῆναι, καὶ Θεῷ διαλλαγῆναι οὐκ ἀδύνατον. ὁ τοίνυν ἐχέφρων τὴν μὲν μιξόκακον καὶ πονηρὰν προσβολὴν ἀποβάλλεται, ἵνα πάντα δι' αὐτῆς τὰ δεινὰ περικόψῃ ἐφάπαξ. τὴν δὲ ἀγαθὴν προσβολήν, ἐργασίαν ἐπιμασμένην ἔχει ἀεί· ἵνα ἡ ψυχὴ καὶ τὸ σῶμα ἐν ἕξει τῆς ἀρετῆς γένωνται, καὶ τῶν παθῶν λυτρῶνται χάριτι Χριστοῦ. ὅτι οὐκ ἔχομέν τι ὅλως, ὃ οὐκ ἐλάβομεν παρ' αὐτοῦ, οὐδὲ τί προσφέρειν αὐτῷ, εἰμὴ προαίρεσιν, ἧς τινος ἀστοχήσαντες, οὔτε γνῶσιν, οὔτε δύναμιν ἐν τῷ ἐργάζεσθαι τὸ ἀγαθὸν εὑρίσκομεν. Καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον ἐστίν, ἵνα μὴ κατακριθῶμεν, ὡς ἀργοί. ἀργία γάρ ἐστιν, ἀρχὴ πάσης κακίας. οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτὸ τὸ ἐργάζεσθαι τὸ ἀγαθόν, φησὶ τὸ Γεροντικόν, δέεται διακρίσεως. καὶ γὰρ ἡ παρθένος, ἡ νηστεύουσα τὰς ἑβδομάδας ἓξ, ἕξ, καὶ τὴν παλαιὰν καὶ τὴν καινὴν μελετῶσα ἀεί, οὐκ εἶχεν ὁμοίως τὰ δυσχερῆ, καὶ εὐχερῆ πράγματα, καίτοι γε ἔδει αὐτὴν ἐκ τῶν τοσούτων κόπων καρποῦσθαι τὴν ἀπάθειαν, ἀλλ' οὐκ ἐγένετο. διότι τὸ καλὸν οὐκ ἔστι καλόν, ἐὰν μὴ πρὸς τὸ θεῖον θέλημα ἔχῃ τὸν σκοπόν. ἐπειδὴ εὑρίσκεται ἐν τῇ θείᾳ γραφῇ πολλάκις ἔν τισι πράγμασιν ἀγανακτῶν ὁ Θεὸς κατά τινος ποιοῦντος ἔργον, τοῖς πᾶσι φαινόμενον καλόν, καὶ πάλιν ἀποδεχόμενος ἄλλο φαινόμενον κακοποιόν. καὶ μάρτυς ὁ Προφήτης ἐκεῖνος, ὃς ἐζήτει παρά τινων πληγῆναι, καὶ πῶς φησὶν ὁ παρακούσας, ὡς καλὸν ποιῶν δῆθεν, θηριάλωτος ἐγένετο. καὶ ὁ Πέτρος δοκῶν τι καλὸν ποιεῖν, παραιτησάμενος τὸ νίψασθαι, ἐπετιμήθη. ὅθεν πάσῃ δυνάμει τὸ θεῖον θέλημα ὀφείλομεν εὑρεῖν, καὶ ποιεῖν, κἂν δοκῇ ἡμῖν καλὸν εἶναι. διὰ τοῦτο οὐδὲ ἀσκόπως γίνεται ἡ ἐργασία τοῦ ἀγαθοῦ, ἵνα μὴ ζημιωθῶμεν, μετὰ τοῦ αὐτεξουσίου καὶ τὸν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐκ τῆς βίας ἔπαινον. καὶ ἁπλῶς, πάντα ὅσα οἰκονομεῖ ὁ Θεός, θαυμαστά εἰσιν, ὑπὲρ νοῦν τε καὶ ἔννοιαν· ὅτι οὐ μόνον δεῖ θαυμάζειν τὸν νοῦν τῶν τελουμένων ἐν τῇ Ἐκκλησίᾳ τῶν ὀρθοδόξων, ἀλλὰ καὶ τὰ σύμβολα τούτων. πῶς διὰ τοῦ θείου Βαπτίσματος υἱοὶ γενόμεθα κατὰ χάριν μηδὲν πρὸ τούτου ἐργασάμενοι, οὐδὲ πάλιν μετὰ τοῦτο, εἰμὴ τὴν τῶν ἐντολῶν τήρησιν. καὶ πῶς τὰ φρικτὰ πράγματα ταῦτα, λέγω δὴ τὸ Ἅγιον Βάπτισμα, τὴν ἁγίαν μετάληψιν ἐκτὸς ἱερωσύνης οὐ γίνονται, φησὶν ὁ θεῖος Χρυσόστομος, ἐν τούτῳ γὰρ φαίνεται ἡ δοθεῖσα τῷ κορυφαίῳ τῶν Ἀποστόλων Πέτρῳ ἐξουσία· διότι εἰ μὴ ἀνοιχθῶσιν αἱ πύλαι τῆς βασιλείας τῶν οὐρανῶν διὰ τῆς ἱερουργίας, οὐδεὶς δύναται εἰσελθεῖν· ὥς φησιν ὁ Κύριος. ἐὰν μὴ γεννηθῇ τις ἐξ ὕδατος καὶ πνεύματος. καὶ πάλιν ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίνητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. καὶ πῶς ὑπῆρχεν ὁ παλαιὸς ναὸς ἔξωθεν μὲν τύπος τοῦ κόσμου, ἐν ᾧ τὰς θυσίας ἐπετέλουν οἱ ἱερεῖς· ἔσωθεν δὲ τὰ Ἅγια τῶν Ἁγίων, ἔνθα προσεφέρετο τὸ θυμίαμα τὸ ἐκ τῶν τεσσάρων εἰδῶν, λιβάνου, φημί, σμύρνης, στακτῆς, καὶ κασίας· ἐξ ὧν δηλοῦνται αἱ τέσσαρες γενικαὶ ἀρεταί. τὰ γὰρ ἔξωθεν γινόμενα συγκατάβασις τοῦ Θεοῦ ὑπῆρχε τότε, ἵνα μὴ διὰ τῶν ᾀσμάτων καὶ ζυφῆς ἐκκλίνωσιν οἱ νηπιόφρονες Ἰουδαῖοι εἰς τὰ εἴδωλα. Ἡ δὲ νέα Ἐκκλησία, τύπος ἐστὶ τῶν μελλόντων, διὰ τοῦτο καὶ τὰ τελέμενα ἐν αὐτῇ, οὐράνιά εἰσι καὶ πνευματικά. ὅτι ὥσπερ ἐννέα τάγματά εἰσιν ἐν τῷ οὐρανῷ, οὕτως ἐν τῇ Ἐκκλησίᾳ, οὗτοι Πατριάρχαι, Μητροπολῖται, Ἐπίσκοποι, Ἱερεῖς, Διάκονοι, Ὑποδιάκονοι, Ἀναγνῶσται, Ψάλται, καὶ Μοναχοί. Καὶ πῶς πάλιν διὰ τοῦ χαρακτῆρος τοῦ τιμίου, καὶ ζωοποιοῦ Σταυροῦ φυγαδεύονται δαίμονες, καὶ ποικίλα νοσήματα, πρᾶγμα παρὰ πᾶσιν ἀνέξοδόν τε, καὶ ἀκόπονον, καὶ τὰ μὲν αὐτοῦ ἐγκώμια τίς δύναται ἐξαριθμῆσαι, τὰ δὲ σύμβολα τοῦ ἁγίου αὐτοῦ Χαρακτῆρος οἱ Ἅγιοι Πατέρες παρέδωκαν ἡμῖν, εἰς τὸ ἀντιλέγειν τοὺς ἀπίστους καὶ αἱρετικούς. ὅτι οἱ μὲν δύω δάκτυλοι, καὶ ἡ μία χεὶρ ἐμφαίνουσι τὸν ἐσταυρωμένον Κύριον Ἰησοῦν Χριστὸν ἐν δυσὶ φύσεσι, καὶ μιᾷ ὑποστάσει γνωριζόμενον. ἡ δεξιὰ δὲ τὴν ἄπειρον αὐτοῦ δύναμιν, καὶ τὴν ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδραν ἀναμιμνήσκει. καὶ ἄνωθεν ἀρξαμένης διὰ τῆς ἐκ τῶν οὐρανῶν πρὸς ἡμᾶς αὐτοῦ συγκαταβάσεως. καὶ πάλιν ἀπὸ τοῦ δεξιοῦ μέρους ἐπὶ τὸ εὐώνυμον, ἀποσοβεῖ μὲν τοὺς ἐχθρούς, δηλοῖ δὲ ὅτι τῇ ἀηττήτῳ αὐτοῦ δυνάμει ὁ Κύριος ἐνίκησε τὸν διάβολον, ἀριστερὸν ὄντα, καὶ ἀνίσχυρον, καὶ σκοτεινόν. καὶ πῶς πάλιν διὰ μικρῶν χρωμάτων ἡ ἱστορία τοσαῦτα θαυμάσια, τὰ ἐκ τῶν τοσούτων ἐτῶν γινόμενα ὑπὸ τοῦ Κυρίου, καὶ τῶν Ἁγίων πάντων, ὡς ἀρτίως τελούμενα δείκνυσιν ἡμῖν, τῇ τοῦ Θεοῦ προνοίᾳ, ἵνα ὀφθαλμοφανῶς ὁρῶντες ταῦτα, ποθῶμεν ἐπὶ πλεῖον, ὥς φησιν ὁ Ἅγιος καὶ Κορυφαῖος τῶν Ἀποστόλων Πέτρος ἐν τῷ μαρτυρίῳ τοῦ Ἁγίου Παγκρατίου, καὶ μαθητοῦ αὐτοῦ. Πάντα οὖν τὰ εἰρημένα ἐξ ἀρχῆς τοῦ λόγου, χωρὶς ὀρθῆς πίστεως οὐδὲν ὠφελοῦσιν, ἀλλ᾽ οὐδὲ γίνονται. ὥσπερ οὐδὲ πίστις χωρὶς ἔργων. Καὶ περὶ μὲν τῆς πίστεως, καὶ τῶν ἔργων ἔγραψαν πολλοὶ τῶν Ἁγίων Πατέρων. πρὸς δὲ ὑπόμνησιν ἐρῶ ἐν ἐπιτόμῳ, ὅτι ἔργα μὲν ὀφείλομεν ἔχειν τὰ γεγραμμένα ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι. πίστιν δὲ ὀρθόδοξον, ἣν παρελάβομεν ἀπὸ τῶν προγεγραμμένων Ἁγίων,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἵνα σὺν αὐτοῖς τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι, καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ᾧ πρέπει πᾶσα τιμή, καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ Παναγίῳ, καὶ Ἀγαθῷ, καὶ Ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πληρώσας εἶπον, Χριστέ, σοὶ δόξα πρέπει.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ
## ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΠΕΤΡΟΥ
## ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ
## ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Λόγοι Συνοπτικοὶ ΚΔ΄. πλήρεις ὄντες πνευματικῆς Γνώσεως.

Πρόλογος ἰδὲ καὶ ἄλφα τὸ στοιχεῖον,
Τὴν πνευματικὴν περιέχει σοφίαν.
Ὥσπερ γὰρ αὐτὸ τῶν γραμμάτων ἁπάντων,
Ἀρχὴ τυγχάνει διαλέκτῳ ἐν πάσῃ.
Οὕτως ἁπασῶν τῶν ἀρετῶν καὶ αὕτη.
Ἔναρξίς ἐστι, κἂν τέλος πάλιν πάντων.
Ἀλλὰ καθάπερ ὁ Ἀλφάβητος πέλει,
Νηπιῶδες μάθημα, οὗτινος ἄνευ
Οὐκ ἔστι μαθεῖν τῶν κάτω μαθημάτων.
Καὶ τῆς γνώσεως ἡ ἀρχὴ οὑτωσί περ,
Μικρὰ κἂν πάνυ ἐστὶν, ἀλλ' ἧς περ δίχα
Οὐκ ἔστιν εὑρεῖν ἀρετὴν τὸ παράπαν.

Νῦν δὲ τὴν ἀρχὴν εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ Α΄.

Ἀρχὴ πάντων τῶν γραμμάτων εἰς ἑκάστην διάλεκτον τὸ α ὑπάρχει, κἂν τινες ἀγνοῶσι. καὶ ἀρχὴ πασῶν τῶν ἀρετῶν, ἡ πνευματικὴ σοφία, κἂν τέλος ὑπάρχῃ πάλιν. διότι εἰμὴ αὐτὴ προσπελάσῃ τῷ νῷ, οὐ δύναται ὁ ἄνθρωπος τὶ ἀγαθὸν ἐργάσασθαι, διὰ τὸ μηδέποτε ἀκοὴν ἔχειν περὶ τούτου. εἰδὲ ποσῶς ἠξιώθη ἀκοῦσαι, αὐτὸ τοῦτο σοφία ἐστίν. ἀλλ' ὥσπερ ὁ ἀλφάβητος νηπιῶδές ἐστι μάθημα, χωρὶς δὲ τούτου οὐκ ἔστιν εὑρεῖν σοφίαν τῶν κάτω μαθεῖν μαθημάτων. οὕτω καὶ ἡ ἀρχὴ τῆς γνώσεως, εἰ καὶ μικρά ἐστι πάνυ, ἀλλὰ ταύτης ἐκτὸς, οὐκ ἔστιν εὑρεῖν ἀρετὴν τὸ παράπαν. διά τοι τοῦτο δειλιῶ τοῦ γράψαι τί περὶ σοφίας, ἄσοφος ὢν ὅλως. καὶ γὰρ ὡς οἶμαι τέσσαρές εἰσιν αἱ κατασκευάζουσαι τὸν νοῦν πρὸς τὸ δύνασθαι λέ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γων διαφοραί. ἢ χάρις ἄνωθεν ὑπερφυῶς καὶ μακαριότης, ἢ καθαρότης ἐξ ἀσκήσεως κατὰ Θεὸν γινομένη, καὶ δυναμένη εἰς τὸ ἀρχαῖον κάλλος φέρειν τὴν ψυχήν, ἢ πεῖρα τῶν κάτω διδαγμάτων, διὰ παιδεύσεως ἀνθρωπίνης, καὶ ἀσκήσεως τῆς ἔξω σοφίας γινομένης, ἢ πάλιν ἐπικατάρατος καὶ σατανικὴ πλάνη ἐξ ὑπερηφανίας, καὶ δαιμόνων πονηρίας ἐνεργουμένη καὶ παρατροπὴ φύσεως. ἐγὼ δὲ πάντων τῶν προειρημένων ἄμοιρος ὑπάρχων, πῶς δύναμαι γράψαι, ἀπορῶ. οὐκ οἶδα μήπως ἡ πίστις ὑμῶν τῶν εἰς τοῦτο βιαζόντων κατὰ Θεόν, ἕλξῃ τὴν χάριν πρὸς τὸν κάλαμον. ἐπειδὴ ὁ νοῦς, καὶ ἡ χεὶρ ἡ ἐμή, ἀνάξιά εἰσι καὶ ἀκάθαρτα. οἶδα σαφῶς ἐκ τῆς πείρας. ὡς καὶ ἐγένετό μοι πολλάκις τοῦτο, καὶ γίνεται ἀεί. ὁσάκις γάρ, πιστεύσατέ μοι Πατέρες, ἠβουλήθην γράψαι τι, οὐκ ἠδυνήθην εἰς νοῦν τοῦτο φέρειν, πρὸ τοῦ κατέχειν με τὸν κάλαμον. ἀλλὰ μόνον νόημα πολλάκις μικρὸν ἐκ τῆς γραφῆς, ἢ ἐξ ἀκοῆς, καὶ θέας τινὸς τῶν αἰσθητῶν πραγμάτων τοῦ κόσμου. ἐξ οὗ πολλάκις τὴν ἀφορμὴν ἐλάμβανεν ὁ νοῦς, καὶ ἅμα τοῦ βαστάζειν με τὸν κάλαμον, καὶ τῆς γραφίδος ἀπάρξασθαι, εὐθέως εὕρισκον τὸ πρᾶγμα, ὃ ἤμελλον γράφειν· περὶ οὗ εἶχον τὸν βιάζοντα γράψαι τοῦτο, καὶ οὕτως ἀκωλύτως, καὶ ἀμερίμνως γράφω ἔκτοτε, ὅσον εὐποιεῖ ἡ χείρ, μηδ᾽ ὅλως ἔχουσα ἀναμονήν. ἀλλ᾽ ὅτι βάλλει ὁ Θεὸς εἰς τὴν σκοτεινήν μου καρδίαν, τοῦτο γράφω χωρὶς σκέψεως. οἶμαι δὲ ἵνα μὴ δοκῶ ἔχειν ὃ ἔλαβον ἐξ εὐχῶν ἑτέρου τινός, κατὰ τὸν τοῦ τῆς Κλίμακος λόγον, ἐκ τοῦ Ἀποστόλου τὴν χρῆσιν λαβόντος, φησὶ γάρ. τί ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; ἀλλ᾽ αὐτὸς ποιῶν; καὶ γὰρ αἱ ἐρχόμεναι ἔννοιαι αὐτομάτως ἐν τῷ νοῒ τῶν ἡσυχαζόντων κατὰ Θεόν, χωρὶς σκέψεως, θεϊκαί εἰσι, (καθὼς) φησὶν ὁ Ἅγιος Ἰσαάκ. τὸ δὲ σκέψασθαί τινα, ἴδιόν ἐστι νόημα. καὶ ὁ Ἅγιος Ἀντώνιός φησι. πᾶν ἔργον, ἢ λόγος ὀφείλει ἔχειν μαρτυρίαν ἐκ τῶν θείων γραφῶν. διά τοι τοῦτο ὥσπερ ποτὲ ἡ ὄνος τοῦ Βαλαὰμ ἐλάλησεν, οὕτω καὶ νῦν ἄρχομαι γράφειν. οὐ διδάσκων, μὴ γένοιτο. ἀλλὰ πρὸς ἔλεγχον τῆς ἀθλίας μου ψυχῆς, ἵνα κἂν τοὺς λόγους αἰσχυνόμενος, ὥς φησιν ὁ τῆς Κλίμακος, ἄρξηται τῆς ἐργασίας, ὁ μὴ ἔργον κεκτημένος, ἀλλὰ λόγον δηλαδή. τίς δὲ οἶδεν, ἢ ζῆσαι ἔχω, καὶ γράψαι ἰσχύσω. ἢ πάλιν ὑμεῖς ἔργα ἐκτελεῖν δυνηθῆτε; ἀλλ᾽ ὅμως ἀρξώμεθα ἀμφότεροι τὰ ἀμφότερα, καὶ ὅπου ἕκαστος φθάσαι δυνηθῇ. ἄδηλος γὰρ ὁ ἡμέτερος θάνατος. καὶ πότε ἕξει τὸ τέλος ἀγνοοῦμεν. τῷ δὲ πάντα προγινώσκοντι Θεῷ, γνωστὰ τὰ ἡμέτερα. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὁ Πρόλογος νῦν ἐγράφη παρ᾽ ἐλπίδα.
Πάλιν δὲ ἰδοὺ τὸ δεύτερον στοιχεῖον,
Τὸ βῆτα φημί, καὶ δεύτερος ὁ λόγος,
Ἐν ἐπιτομῇ ῥηθήσεται σὺν πόνῳ.
Πίστις γὰρ γεννᾷ τὴν ἄλλην, καὶ μεγάλην·
Πίστιν ὥς φασιν οἱ Ἅγιοι Πατέρες.
Τὴν τῶν ἀρετῶν θεμέλιον, ὡς ἔφη,
Ὁ ταύτην τιθεὶς Ἀπόστολος Κυρίου.
Ἡ μὲν γάρ, χωρὶς ἐργασιῶν τοῦ νόμου
Γίνεται, ἡ δέ, ἐξ ἔργων τελειοῦται.
Εὑρίσκεται μὲν ἐν ἡσυχίᾳ αὕτη,
Διὰ δὲ πολλῶν πολέμων κατορθοῦται.

Νῦν δὲ τὴν ἀρχὴν εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ Β΄.

Βουλόμενος ὁ Ὅσιος ἡμῶν Πατὴρ Ἰσαὰκ δεῖξαι τὴν πίστιν, ἣν ἔφη ὁ Ἀπόστολος θεμέλιον εἶναι πάντων τῶν κατὰ Θεὸν ἐργασιῶν. * τὴν μὲν τοῦ θείου Βαπτίσματος ἐλάβομεν· χάριτι Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων. καὶ ὅτι αὕτη γεννᾷ τὸν τῆς πίστεως φόβον, δι᾽ οὗ ἡ τῶν ἐντολῶν φυλακὴ γίνεται, καὶ ὑπομονὴ τῶν πειρασμῶν, ὥς φησιν ὁ Ἅγιος Μάξιμος. καὶ ὅτι μετὰ τὸ ἐργάζεσθαι ἡμᾶς, τότε γίνεται ἐν ἡμῖν ἡ μεγάλη πίστις τῆς θεωρίας. περὶ ἧς ἔφη ὁ Κύριος, Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως καὶ τὰ ἑξῆς. ἔφη, ὅτι ἄλλη ἡ πίστις ἡ κοινὴ τῶν ὀρθοδόξων, ἤγουν τὰ ὀρθὰ δόγματα, περί τε τοῦ Θεοῦ, καὶ τῶν αὐτοῦ κτισμάτων νοητῶν τε καὶ αἰσθητῶν, καθὼς Θεοῦ χάριτι ἡ Ἁγία καὶ Καθολικὴ Ἐκκλησία παρέλαβε. καὶ ἄλλη ἡ τῆς θεωρίας, ἤγουν τῆς γνώσεως, ἥτις οὐδ᾽ ὅλως ἐναντιοῦται τῇ γεννώσῃ αὐτήν, ἀλλὰ μᾶλλον βεβαιοτέραν ἐμποιεῖν πέφυκε. διότι τὴν μὲν ἐξ ἀκοῆς ἐμάθομεν, κληρονομήσαντες ἐκ γονέων εὐσεβῶν, καὶ διδασκάλων τῆς ὀρθοδόξου πίστεως. ἡ δὲ ἐκ τοῦ πιστεύειν ὀρθῶς, καὶ φοβεῖσθαι τὸν Κύριον, εἰς ὃν ἐπιστεύσαμεν, ἐγγίνεται. ἐκ γὰρ τοῦ φόβου τὰς ἐντολὰς φυλάξαι προῃρήθημεν, καὶ τὰς χάριν τὰς σωματικὰς ἀρετὰς ἐργάσασθαι ἠβουλήθημεν, ἡσυχίαν, φημί, νηστείαν, ἀγρυπνίαν σύμμετρον, ψαλμῳδίαν, προσευχήν, ἀνάγνωσιν, καὶ ἐρώτησιν τῶν ἐν πείρᾳ ὄντων περὶ παντὸς λογισμοῦ, λόγου τε, καὶ ἐγχειρήματος. ἵνα διὰ τῶν τοιούτων πράξεων καθαίρηται μὲν τὸ σῶμα τῶν αἰσχίστων παθῶν, λέγω δὴ γαστριμαργίας, καὶ πορνείας, καὶ χρημάτων περιττῶν, ἀρκούμενοι τοῖς παροῦσι, κατὰ τὸν Ἀπόστολον. καὶ ἐντεῦθεν λαμβάνει ἰσχὺν ὁ ἄνθρωπος εἰς τὸ παραμένειν τῷ Θεῷ διὰ τῆς ἐμπειρίας. μανθάνει ἐκ τῶν γραφῶν, καὶ ἐμπείρων ἀνθρώπων περὶ τῶν θείων δογμάτων τε, καὶ ἐντολῶν. κἀντεῦθεν τῶν λοιπῶν ὑπὸ προστασιῶν τῆς κακίας καταφρονεῖν ἄρχεται. καὶ κατανοῶν τὰς ἀπειλάς, φοβεῖται τὸν Θεὸν οὐχ ἁπλῶς, ἀλλ᾽ ὡς Θεόν, κατὰ τὸν

* ἐν ἄλλῳ, ἥν τινα ἐκ τοῦ

Ἅγιον Νεῖλον. καὶ τότε τοῦ φόβου ἄρχεται τὴν τῶν ἐντολῶν φυλακὴν ἐν γνώσει. καὶ ὅσον ὑπομένει ὑπὲρ ἑκάστης ἐντολῆς τὸν τῇ προαιρέσει θάνατον, τοσοῦτον ἔρχεται εἰς μείζονα γνῶσιν, καὶ θεωρεῖ τὰ γινόμενα ἐν ἑαυτῷ ὑπὸ τῆς χάριτος τοῦ Χριστοῦ. καὶ τότε πιστεύει, ὅτι ὄντως μεγάλη ἡ πίστις τῶν ὀρθοδόξων. καὶ ποθεῖν ἄρχεται τοῦ ἀρέσαι τῷ Θεῷ. καὶ οὐκ ἔτι ὡς τὸ πρὶν διστάζει περὶ τῆς τοῦ Θεοῦ βοηθείας, ἀλλὰ πᾶσαν αὐτοῦ τὴν μέριμναν ἐπ' αὐτὸν τίθησι, κατὰ τὸν Προφήτην. καὶ ὥς φησιν ὁ Μέγας Βασίλειος. ὅτι ὁ βουλόμενος τὴν μεγάλην πίστιν ἐν ἑαυτῷ ἔχειν, οὐκ ὀφείλει ὅλως φροντίδα ποιεῖν, περὶ τῆς ἑαυτοῦ ζωῆς, ἢ θανάτου. ἀλλὰ κἂν θηρίον θεάσηται, κἂν δαιμόνων ἐπαναστάσεις, ἢ ἀνθρώπων πονηρῶν οὐδ' ὅλως πτοεῖται, ὡς γινώσκων, ὅτι ἑνὸς εἰσὶ δημιουργοῦ κτίσματα, καὶ ὅτι σύνδουλα αὐτῷ εἰσί, καὶ οὐκ ἔχουσιν ἐξουσίαν κατ' αὐτοῦ, εἰ μὴ ὁ Θεὸς παραχωρήσει. αὐτὸν γὰρ μόνον ὡς ἔχοντα ἐξουσίαν φοβεῖσθαι, καθὼς εἶπεν αὐτὸς ὁ Κύριος. Ὑποδείξω ὑμῖν τίνα φοβηθῆτε; καὶ ἐπήγαγε· Φοβήθητε τὸν ἔχοντα ἐξουσίαν καὶ ψυχήν, καὶ σῶμα ἐμβαλεῖν εἰ γέενναν. καὶ ἵνα βεβαιώσῃ τὸν λόγον, φησί, ναὶ λέγω ὑμῖν, τοῦτον φοβεῖσθε· καὶ εἰκότως. εἰ μὲν γὰρ ἦν ἄλλος ἔχων ἐξουσίαν ἐκτὸς τοῦ Θεοῦ· ἔδει ἡμᾶς ἐκεῖνον φοβεῖσθαι. ἐπεὶ δὲ αὐτὸς μόνος ἐστὶν ὁ τῶν ἄνω, καὶ κάτω ποιητής, καὶ δεσπότης, τίς ἐστιν ὁ χωρὶς αὐτοῦ δυνάμενος τί ποιῆσαι; εἰδὲ λέγει τίς, ὅτι εἰσὶ κτίσματα ἔχοντα τὴν αὐτεξουσιότητα. ἐρῶ κἀγώ, ὅτι ἔχουσι μὲν αἱ νοεραὶ δυνάμεις, καὶ οἱ ἄνθρωποι, ὁμοίως καὶ οἱ δαίμονες. ἀλλ' αἱ μὲν τάξεις τῶν οὐρανίων ἀσωμάτων, καὶ οἱ ἀγαθοὶ ἄνθρωποι οὐκ ἀνέχονται βλάψαι τινὰ τὸ παράπαν τῶν ὁμοδούλων, κἂν λίαν πονηρός ἐστιν, ἀλλὰ μᾶλλον οἰκτείρουσι, καὶ τὸν Θεὸν ὑπὲρ αὐτοῦ ἱκετεύουσιν, ὥς φησιν ὁ Μέγας Ἀθανάσιος. οἱ δὲ πονηροὶ ἄνθρωποι, καὶ οἱ τούτων διδάσκαλοι τῆς πονηρίας δαίμονες, θέλουσι μέν, οὐ δύνανται δὲ ὅλως βλάψαι τινά. εἰ μήπου αὐτὸς ἀφορμὴν δώσῃ τοῦ ἐγκαταλειφθῆναι ἀπὸ τοῦ Θεοῦ δι' ἔργων πονηρῶν. καὶ τοῦτο πρὸ παιδεύσιν αὐτοῦ, καὶ σωτηρίαν γίνεται παρὰ τοῦ ὑπεραγάθου Θεοῦ. εἴπερ βούλεται καὶ αὐτός, διὰ τῆς συχνῆς ὑπομονῆς διορθωθῆναι τῆς ἰδίας κακίας. εἰδὲ μήγε, πρὸς ὠφέλειαν ἄλλου, ὡς θέλοντος αὐτοῦ τοῦ παναγάθου Θεοῦ πάντας σωθῆναι. οἱ δὲ πειρασμοὶ τῶν δικαίων, καὶ ἁγίων ἀνθρώπων κατ' εὐδοκίαν Θεοῦ γίνονται, καὶ πρὸς τελείωσιν τῶν ψυχῶν αὐτῶν, καὶ αἰσχύνην τῶν ἐχθρῶν αὐτῶν δαιμόνων. Ταῦτα τοίνυν ἐν γνώσει λαβὼν ὁ ἐργάτης τῶν θείων ἐντολῶν τοῦ Χριστοῦ, πιστεύει οὐχ ἁπλῶς, ὅτι Θεός ἐστιν ὁ Χριστός, καὶ ὅτι δύναται. (Τοῦτο γὰρ οἱ δαίμονες ἐξ ἔργων εἶδον καὶ ἔφριξαν.) ἀλλ' ὅτι πάντα αὐτῷ δυνατά, καὶ πᾶν θέλημα αὐτοῦ ἀγαθόν ἐστι, καὶ χωρὶς αὐτοῦ οὐ δύναται τι γενέσθαι ἀγαθόν. καὶ τότε χρείαν οὐ θέλει ὁ πιστὸς τί παρὰ τὸ θεῖον θέλημα ποιεῖν, κἂν ζωή ἐστι. καίπερ οὐκ ἔστιν ἀρεστὸν τοῦτο. ἀλλὰ μᾶλλον τὸ θέλημα τοῦ Θεοῦ, ζωή ἐστιν αἰώνιος, καὶ ἀγαθὴ σφόδρα. κἂν φαίνηταί τισι, ἐπίπονος ἡ ἐργασία τῆς τοιαύτης ζωῆς. καὶ διὰ τοῦτο ἀπίστου χείρων εἰμὶ ὁ ἄθλιος, ὅτι οὐ θέλω ἐργάσασθαι, ἵνα εὕρω τὴν μεγάλην πίστιν, καὶ δι' αὐτῆς ἔλθω εἰς τὸν φόβον τοῦ Θεοῦ, καὶ ἀρχὴν τῆς σοφίας τοῦ Πνεύματος. ἀλλὰ ποτὲ μὲν ἑκὼν τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς μύσας παραβαίνω τὸν νόμον. ποτὲ δὲ ὑπὸ τῆς λήθης σκοτιζόμενος εἰς τελείαν ἄγνοιαν ἔρχομαι. κἀντεῦθεν ἀγνοῶ τὸ συμφέρον τῇ ψυχῇ μου, καὶ εἰς συνήθειαν ἐρχόμενος πονηράν, εἰς ἕξιν γίνομαι τῆς κακίας.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὥστε κἂν θελήσω στραφῆναι, ὅθεν ἐξέπεσα, οὐ δύναμαι· διότι μεσότειχον γίνεται τὸ ἐμὸν θέλημα, χωρίζον με ἀπὸ τοῦ Θεοῦ, ὡς φασὶν οἱ Πατέρες· καὶ οὐ θέλω κοπιάσαι εἰς τὸ καταλῦσαι τὸ μεσότειχον τοῦτο. εἰ γὰρ εἶχον πίστιν, τὴν ἐξ ἔργων τῆς μετανοίας γινομένην, ἠδυνήθην ἂν εἰπεῖν, ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος· καὶ οὐ μὴ ἐδειλίασα ἐκ τοῦ δισταγμοῦ, λέγων ἐν ἐμαυτῷ. ἆρα τί ἀπαντήσει με ἐν τῷ ὁρμῆσαί με βαίνειν τὸ ὕψος τοῦ τείχους; μὴ βόθρος ἐκεῖ ἐστι; μὴ οὐκ ἰσχύω ἄνω ὑπερβαίνειν, καὶ κοπωθεὶς πάλιν στρέφομαι κάτω μετὰ τὸ κοπιᾶσαι; καὶ ἄλλα πολλὰ τοιαῦτα. ἅπερ ὁ ἔχων πίστιν, ὅτι ὁ Θεὸς ἐγγύς ἐστι, καὶ οὐ πόρρω, οὐδέποτε λογίζεται ταῦτα. ἀλλὰ πρὸς τὸν Θεὸν τὸν ἔχοντα πᾶσαν δύναμιν, καὶ ἐξουσίαν, καὶ πᾶσαν ἀγαθότητα, καὶ φιλανθρωπίαν, εὐθέως τρέχει ἵνα καταλάβῃ, ὡς οὐκ ἀέρα δέρων, ἀλλὰ τηκόμενος τὰ ἄνω ζητεῖ. καὶ τὸ θέλημα κάτω ἐάσας, πρὸς τὸ θεῖον θέλημα ποιεῖται τὴν ὁδοιπορίαν, μέχρις ἂν γλώσσαις καινοῖς ἀκούσῃ καὶ αὐτός, ἢ καὶ λαλήσῃ ἴσως τὰ μυστήρια γινώσκων. καὶ ἐκ δυνάμεως πρακτικῆς εἰς δύναμιν θεωρίας τὰς ἀναβάσεις ποιῶν, μᾶλλον δὲ λαμβάνων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμή, καὶ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Τρίτον μὲν ἐστὶ τὸ Γάμμα ἐν στοιχείοις.
Τρίτος δὲ ἰδοὺ ὁ λόγος περὶ φόβου.
Δύο γὰρ εἰσὶν οἱ φόβοι τοῦ Κυρίου,
Εἰσαγωγικὸς ἀπέχων τῆς κακίας.
Καὶ τέλειος, ὃς ἐργάζεται σπουδαίως.

Νῦν δὲ τὴν ἀρχὴν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ Γʹ.

Γαστριμαργία ἐστὶ πρώτη τῶν ὀκτὼ προστατῶν τῆς κακίας. ὁ δὲ θεῖος φόβος, καὶ πρώτη ἐντολὴ πάντα καταβάλλει. καὶ ὁ μὴ ἔχων τοῦτον, οὐδ᾽ ἄλλο ἀγαθὸν ἔχειν δύναται. πῶς γὰρ ὁ μὴ φοβούμενος, ἐντολὴν τηρῆσαι δυνηθῇ; εἰ μήπω εἰς τὴν ἀγάπην φθάσας ὁ πιστός. πλὴν καὶ οὗτος ἐκ τοῦ φόβου ἤρξατο, κἂν ἴσως ἀγνοεῖ πῶς παρῆλθεν ἐξ αὐτοῦ ὁ φόβος ὁ εἰσαγωγικός. εἰ δὲ λέγει τις, ὅτι δι᾽ ἄλλης ὁδοῦ ὥδευσε πρὸς τὴν ἀγάπην, αἰχμάλωτος ὑπάρχει εἴτε ὑπὸ τῆς πνευματικῆς χαρᾶς, εἴτε ἐξ ἀναισθησίας. ὡς οἱ περάσαντες κοιμώμενοι τὸν ποταμόν, κατὰ τὸν λόγον τοῦ Ἁγίου Ἐφραίμ. διότι ὁ πιστὸς ἐκ τῶν πολλῶν τοῦ Θεοῦ εὐεργεσιῶν, ὧν ἠξιώθη χάριτι, ἐκπληττόμενος, ἀγαπᾷ τὸν εὐεργέτην. ὅταν δέ τις ἀναισθήτως διάγων ἐν τρυφῇ, καὶ δόξῃ, ὡς ὁ πλούσιος ἐκεῖνος, καὶ δοκεῖ ὅτι οἱ πονούμενοι ὑπὸ τοῦ φόβου, καὶ ἐν πειρασμοῖς διάγοντες ἐξ ἁμαρτιῶν πάσχουσι, κατεπαίρεται τούτων ἐξ ἀνοίας, ἡγούμενος ἑαυτὸν ἄξιον τῆς τοιαύτης ἀνέσεως, ὡς ἔτυχεν ἀνάξιος ὤν, ἐκ τοῦ ἀνάξιον ἑαυτὸν ποιῆσαι τῆς μελλούσης ζωῆς· καὶ διὰ τῆς ἀλόγου φιλίας τῆς προσκαίρου σκοτίζεται. καὶ ἴσως δοκεῖ ὅτι εἰς τὴν ἀγάπην ἔφθασεν, καὶ πῶς εὐεργετεῖται ὑ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

περ ἐκείνης. δι' ὃ καὶ ταῦτα ἠγνόησε τὴν περὶ αὐτὸν τοῦ Θεοῦ συγκατάβασιν. ὅθεν καὶ ἀναπολόγητος ἐν τῇ κρίσει εὑρεθήσεται ὁ τοιοῦτος, καὶ ἀκούσει δικαίως τό, Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου. καὶ τοῦτο δῆλον, ἐκ τοῦ εἶναι πολλοὺς τῶν ἀπίστων τοιούτους ἀναξίως εὐεργετημένους, καὶ οὐδεὶς τῶν εὐφρονούντων μακαρίζει αὐτούς, ἢ λέγει, ὅτι ἄξιοί εἰσι τοῦ ὑπὸ Θεοῦ ἀγαπᾶσθαι, ἢ τὸν Θεὸν ἀγαπῶσι, καὶ τούτου χάριν εὐημεροῦσιν ἴσως κατὰ τὸν βίον. καὶ ταῦτα μὲν οὕτως·

Ὁ δὲ φόβος Κυρίου διττός ἐστιν, ὡς ἡ πίστις. τὰ μὲν εἰσαγωγικά, τὰ δὲ τέλεια, καὶ ἐκ τῶν εἰσαγωγικῶν γινόμενα. ὁ γὰρ φοβούμενος τὰς κολάσεις, φοβεῖται ὡς δοῦλος, καὶ ἐκκλίνει ἀπὸ τῶν κακῶν. τῷ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. καὶ φόβον Κυρίου διδάξω ὑμᾶς. ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα περὶ τοῦ εἰσαγωγικοῦ φόβου εἴρηται, κατὰ τὸν Ἅγιον Δωρόθεον, ἵνα φόβῳ τῶν ἀπειλῶν, ἐρχώμεθα οἱ ἁμαρτωλοὶ εἰς μετάνοιαν, ζητοῦντες πῶς εὕρωμεν λύσιν τῶν ἁμαρτιῶν ἡμῶν. καὶ πάλιν ἀναστρεφόμενος ἐν ἡμῖν ὁ φόβος διδάσκει ἡμᾶς τὴν ὁδὸν τῆς ζωῆς· ὡς λέγει· ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. καὶ ὅσον τις ἀγωνίζεται εἰς τὸ ἀγαθόν, τοσοῦτον ὁ φόβος αὔξει ἐν αὐτῷ, μέχρις ἂν καὶ τὰ λεπτότατα αὐτοῦ πταίσματα, ἅπερ εἰς οὐδὲν ἐλογίζετο ποτέ, ἐν σκότει τῆς ἀγνωσίας ὑπάρχων, δείκνυσιν αὐτῷ. καὶ τοῦ φόβου τελειωθέντος, τελειοῦται ὁ ἄνθρωπος διὰ τοῦ πένθους, καὶ οὐκ ἔτι ἁμαρτῆσαι θελήσειεν, ἀλλὰ φοβούμενος τὴν ἐπιστροφὴν τῶν παθῶν, μένει ἐν τῷ ἁγνῷ φόβῳ ἄτρωτος. ὁ φόβος Κυρίου, φησίν, ἁγνὸς διαμένων εἰς αἰῶνα αἰῶνος. διότι ὁ πρῶτος φόβος οὐχ ἁγνός, ἀλλὰ μᾶλλον ἐξ ἁμαρτιῶν ἐστιν· ὁ δὲ χωρὶς ἁμαρτίας, φοβεῖται ὁ καθαρθείς, οὐχ ὡς πταίων, ἀλλ' ὡς τρεπτὸς ἄνθρωπος, καὶ πρόχειρος εἰς τὸ κακόν. καὶ ὅσον ὑψωθῇ τῇ κτήσει τῶν ἀρετῶν, τοσοῦτον φοβεῖται, ὡς ταπεινόφρων· καὶ εἰκότως. πᾶς γὰρ ὁ ἔχων πλοῦτον, φοβεῖται πολλὰ τήν τε ζημίαν, τὴν κόλασιν, καὶ τὴν ἀτιμίαν, μετά, καὶ τὴν τοῦ ὕψους πτῶσιν· ὁ δὲ πτωχὸς ἄφοβος μένει ὡς τὰ πολλά. μόνον τὸ μὴ δαρῆναι φοβεῖται. καὶ ταῦτα μὲν περὶ τῶν τελείων σφόδρα καὶ καθαρῶν τῇ ψυχῇ καὶ τῷ σώματι εἴρηται. εἰ δέ τις πταίων ἔτι, κἂν ἐλάχιστα, καὶ μηδαμινὰ πταίσματα, μὴ πλανηθῇ. πεπλάνηται, φησὶν ὁ τῆς Κλίμακος· οὐ γάρ ἐστιν ὁ τοιοῦτος φόβος ἁγνός· οὐδὲ ταπείνωσις, ἀλλὰ δουλικὴ εὐγνωμοσύνη, καὶ φόβος τῶν ἀπειλῶν. δι' ὃ καὶ δεῖται ὁ τοιοῦτος διορθώσεως τοῦ λογισμοῦ, ἵνα μάθῃ ἐν ποίῳ φόβῳ ἐστί, καὶ διὰ τοῦ ἀκροτάτου πένθους ἐν τῇ ὑπομονῇ τῶν θλίψεων καθαίρῃ αὐτοῦ τὰ πταίσματα, καὶ οὕτως ἐλθεῖν δυνηθῇ εἰς τὸν τέλειον φόβον, χάριτι Χριστοῦ. σημεῖον δὲ τοῦ πρώτου φόβου, τὸ μισεῖν, καὶ ὀργίζεσθαι τὴν ἁμαρτίαν, ὡς ὁ πληγεὶς ὑπὸ θηρός. τοῦ δὲ τελείου, τὸ ἀγαπᾶν τὴν ἀρετήν, καὶ φοβεῖσθαι τὴν τροπήν, ὅτι οὐδεὶς ἀναλλοίωτος. ὅθεν ἐπὶ παντὸς πράγματος ἐν τῷ βίῳ τούτῳ ὀφείλομεν ἀεὶ τὴν πτῶσιν φοβεῖσθαι, ὁρῶντες τὸν Μέγαν Προφήτην καὶ Βασιλέα ἐπὶ δυσὶν ἁμαρτήμασι πενθοῦντα, καὶ τὸν Σολομῶντα εἰς τοσαύτην κακίαν ἐκκλίναντα. καὶ ὥς φησιν ὁ Ἀπόστολος. ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. εἰ δὲ λέγει τις, ὅτι ἡ ἀγάπη ἔξω βάλλει τὸν φόβον κατὰ τὸν Θεολόγον, καλῶς λέγει· ἀλλὰ τὸν πρῶτον, καὶ εἰσαγωγικόν. περὶ δὲ τοῦ τελείου φόβου φησὶν ὁ Δαβίδ. μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα· ἤγουν τὸ φιλεῖν σφόδρα τὴν ἀρετήν. οὗτος δὲ ἐν τῇ τάξει τοῦ υἱοῦ ὑπάρχει, διότι οὐκ ἐκ φό-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

βου τῶν κολάσεων τοῦτο ποιεῖ, ἀλλ' ἐκ τῆς ἀγάπης τῆς ἔξω βαλλούσης τὸν φόβον. διὰ τοῦτο θελήσει σφόδρα, καὶ οὐχ ὡς δοῦλος ἐξ ἀνάγκης, ποιῶν τὰς ἐντολάς, φόβῳ τῶν κολάσεων. ὧν ῥυσθείημεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ᾧ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

Τέταρτος ἰδοὺ περὶ τῆς εὐσεβείας
Λόγος ὁ παρὼν τυγχάνει, καὶ στοιχεῖον
Τὸ δέλτα καὶ γὰρ ὁ ψῆφος οὗτος κεῖται,
Ἔχει δὲ αὐτὸς ἐγκράτειαν, διότι
Ἀρχὴ τῶν ὀκτὼ ἀντιπάλων τυγχάνει,
Τῶν ὀκτὼ παθῶν, ἅμα τῇ σωφροσύνῃ.
Αὗται γάρ εἰσιν ἔργα τῆς εὐσεβείας.

Νῦν δὲ τὴν ἀρχήν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ Δ'.

ΔΗλον ὅτι ἡ εὐσέβεια πολυειδής, καὶ πολύτροπος ὀνομασία ἐστί, καθὼς ἡ ἔξω φιλοσοφία· διότι ὥσπερ τὰ δέκα μαθήματα ὅταν συντελεσθῶσι, τότε λέγεται φιλοσοφία, καὶ οὐχ ἓν μόνον, ἢ δύο μαθήματά ἐστιν ἡ ὀνομασία αὕτη, ἀλλ' ἡ τῶν δέκα μαθημάτων προσηγορία. οὕτω καὶ ἡ εὐσέβεια οὐκ ἔστι μιᾶς ἀρετῆς ὀνομασία, ἀλλὰ πασῶν τῶν ἐντολῶν προσηγορία. ἐκ τοῦ εὐσεβεῖν, ἤγουν καλῶς δουλεύειν, εἰ δέ τις λέγει, ὅτι περὶ πίστεως ὁ λόγος, τὸ σέβεσθαι καλῶς· εἰπάτω ἡμῖν πῶς μετὰ τὸ φοβεῖσθαι τὸν Κύριον τότε πιστεύει τίς; καὶ οὐ μᾶλλον πρῶτον πιστεύει τῷ Κυρίῳ, καὶ τότε φοβεῖται αὐτόν; ὥστε ἐκ πίστεως ὁ φόβος, κἀκ τούτου ἡ εὐσέβεια κατὰ τὸν Προφήτην· ὃς ἄνωθεν εἰρηκὼς περὶ τῆς σοφίας, καὶ κατερχόμενος, ἔφη. πνεῦμα γνώσεως, καὶ εὐσεβείας, πνεῦμα φόβου Θεοῦ. καὶ ὁ Κύριος ἀπὸ φόβου ἀρξάμενος εἰς τὸ πένθος ὡδήγησε τὸν ἔχοντα φόβον. καὶ λοιπὸν κατὰ τάξιν εἰπεῖν περὶ πάσης εὐσεβείας ἤγουν ἐργασίας πνευματικῆς οὐκ ἔστι καιρός. ἀλλὰ τὰς πρὸ τῆς μεγάλης πίστεως, καὶ τοῦ ἁγνοῦ φόβου σωματικὰς πράξεις ἐάσαντες, ὡς ὑπὸ πάντων γινωσκομένας, περὶ τῶν φυτῶν τοῦ νοητοῦ Παραδείσου, ἤγουν τῶν ψυχικῶν ἀρετῶν ἐν ἐπιτόμῳ, τῆς χάριτος συνεργούσης, ῥηθήσεται. ἐξ ὧν ἡ περιεκτικὴ ἐγκράτεια, ἡ ἀποχὴ πάντων τῶν παθῶν φημί. ἀλλ' ἐπεὶ ἔστιν ἄλλη μερικὴ ἐν ταῖς σωματικαῖς πράξεσιν, ἐκείνη μέν, τὴν χρῆσιν διδάσκει τῶν βρωμάτων καὶ πομάτων, αὕτη δέ, κατέχει πάντα λογισμὸν καὶ πᾶσαν κίνησιν μελῶν μὴ κατὰ Θεὸν γινομένην, ἥτις λέγεται ἐγκράτεια τῶν παθῶν· οὐκ ἀνέχεται δὲ ὁ ταύτην ἔχων, ὅλως λογισμόν, ἢ λόγον, ἢ κίνημα ποδός, ἢ χειρός, ἢ τινὸς τῶν λοιπῶν μελῶν τοῦ σώματος, παρὰ τὴν χρῆσιν τὴν ἀναγκαίαν τοῦ σώματος, ἤγουν τοῦ ζῆσαι σωματικῶς, καὶ σωθῆναι ψυχικῶς. κἀντεῦθεν πληθύνονται οἱ πειρασμοὶ τῶν δαιμόνων, ὁρῶντες τὸν ἐν σώματι Ἄγγελον, τῇ προθυμίᾳ καὶ ἐργασίᾳ τῶν καλῶν. καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦτο ἂν εἴη τὸ ἐργάζεσθαι καὶ φυλάττειν, διότι ἔργον ἐστὶ τέλειον, καὶ δεῖται φυλακῆς ἀδιαλείπτου, μήπως λάθῃ τι τῶν ἔξω ἱσταμένων παθῶν καὶ εἰσέλθῃ. καὶ οὐχ ὁμοίως ἔχουσιν αἱ δύω ἐγκράτειαι, καὶ αἱ σωφροσύναι· ἀλλ᾽ ἡ μὲν τὴν πορνείαν κατέχει, καὶ τὰ αἴσχιστα πάθη· ἡ δὲ καὶ τὸν λεπτότατον λογισμὸν, καὶ ἀναμάρτητον συνάγει πρὸς ἑαυτὴν, καὶ δι᾽ ἑαυτῆς ἀνάγει πρὸς τὸν Θεόν. διὰ τοῦτο οὐδὲ ἀκριβῶς διὰ λόγου δύναταί τις λέγειν, ἢ γινώσκειν ἀπὸ ἀκοῆς, ἀλλ᾽ ἐκ τῆς πείρας εἰς τὴν ἐργασίαν καὶ γνῶσιν ἀναστὰς τούτων τῶν σφόδρα ἐκπληκτόντων τὸν νοῦν ἔρχεται. καὶ πῶς ὀνομασία ψιλὴ τοσαῦτα δύναται, ὥστε ἀνάγειν τὸν χοῦν, καὶ ποιῆσαι ἄϋλον τὸν ἔνυλον. ἄλλα μὲν ὀνόματα καὶ ἡ ἔξω παιδεία γινώσκει, τί εἰσιν, ἀπὸ ἐτυμολογίας τὴν ἀφορμὴν λαμβάνουσα. ἡ δὲ πεῖρα καὶ κτῆσις τῶν ἀρετῶν, Θεοῦ δεῖται, καὶ διὰ κόπου πολλοῦ καὶ χρόνου γίνεται, καὶ μάλιστα τῶν τῆς ψυχῆς, διὰ τὸ εἶναι ταύτας μυστικωτέρας, καὶ κυρίως ἀρετάς. αἱ γὰρ σωματικαὶ ἀρεταί, μᾶλλον δὲ ἀρετῶν ἐργαλεῖα, ἁπλούστεραί εἰσιν, εἰ καὶ πόνων σωματικῶν δέονται· αἱ δὲ τῆς ψυχῆς, εἰ καὶ λογισμοῦ μόνου ἐπιστασίας δέονται, ἀλλὰ δυσκατόρθωτον ἔχουσι τὴν κτῆσιν. διὰ τοῦτο ὁ νόμος ἐν πρώτοις φησὶ, πρόσεχε σεαυτῷ. περὶ τούτου τοίνυν τοῦ ῥητοῦ ἔγραψεν ὁ Μέγας Βασίλειος λόγον ἀξιάγαστον· ἡμεῖς δὲ τί ἐροῦμεν μηδ᾽ ὅλως προσέχοντες, ἀλλὰ κατὰ τοὺς Φαρισαίους τινὲς ἐσμέν. πτωχείας μὲν, καὶ ἀγρυπνίας καὶ τὰ τοιαῦτα ἴσως ἔχουσί τινες, καὶ πολλάκις ἐν γνώσει μερικῇ· διάκρισιν δὲ μὴ ἔχοντες, διὰ τὸ μὴ θέλειν ἡμᾶς προσέχειν ἑαυτοῖς, καὶ γινώσκειν τί τὸ ζητούμενον ἀφ᾽ ἡμῶν. οὐδὲ γὰρ θέλει τις ὑπομένειν ἐν προσοχῇ λογισμῶν, ἵνα ἴσως πεῖραν λάβῃ ἐκ τῶν πολλῶν πολέμων, καὶ πειρασμῶν, καὶ ἐὰν γένηται

τοῖς ἄλλοις ἔμπειρος ταύτης, μήτι γε ναύκληρος· ἀλλ᾽ ὡς ὁρῶμεν πάντες τυφλοὶ ὄντες, λέγομεν ὅτι βλέπομεν κατὰ τοὺς Φαρισαίους. διὰ τοῦτο, φησὶ μεῖζον λήψονται κρίμα· εἰ γὰρ τυφλοὶ ἦμεν, οὐκ ἂν εἴχομεν κρίμα, ἀλλ᾽ ἤρκει ἡμῖν ἡ ἀγνωμοσύνη, καὶ τὸ ὁμολογεῖν τὴν ἧτταν, καὶ τὴν ἀγνωσίαν. ἀλλ᾽ οἴμοι· διὰ τοῦτο μείζονα ἔχομεν κατάκρισιν, κατὰ τοὺς Ἕλληνας, ὥς φησιν ὁ Σολομών. ὅτι τοσαῦτα ἐπενόησαν, καὶ τὸ ζητούμενον ἀπώλεσαν, λοιπὸν σιωπήσωμεν ὡς μὴ ἔχοντες ἐργασίαν; ἀλλὰ χεῖρον γίνεται· μᾶλλον δὲ φησὶ, καὶ ἐλέγχετε. τὰ γὰρ κρυφῇ γινόμενα, αἰσχρόν ἐστι καὶ λέγειν. διὸ περὶ τούτων μὲν σιωπήσω· περὶ δὲ τῶν ἀξιοθαυμάστων ἀρετῶν ἄρξομαι λέγειν. ἡδονὴν γὰρ ἔχει ἡ ἐμὴ σκοτεινὴ καρδία ἐκ τῆς μνήμης, καὶ τῆς γλυκύτητος αὐτῶν, διὸ καὶ ἐκ ταύτης ἐπιλανθάνομαι τοῦ μέτρου μου, καὶ οὐ μέλει μοι περὶ τῆς ἀποκειμένης μοι κατακρίσεως ἐκ τοῦ λέγειν, καὶ μὴ ποιεῖν. ἐγκράτεια τοίνυν, καὶ σωφροσύνη ὡσαύτως ἔχουσι τὸ κράτος, καὶ διπλαῖ εἰσὶν ὡς εἴρηται, πλὴν ἄρτι περὶ τῶν τελεωτέρων λέξομεν. Ὁ οὖν Θεοῦ χάριτι τὴν μεγάλην πίστιν τῆς θεωρίας, καὶ τὸν ἁγνὸν καὶ θεῖον φόβον ἔχων, κἀκ τούτων τὴν ἐγκράτειαν καὶ σωφροσύνην κατέχειν βουληθῇ, ὀφείλει ἑαυτὸν ἔσωθεν, καὶ ἔξωθεν κατέχειν διόλου, καὶ ὡς νεκρὸς τὸ σῶμα, καὶ τὴν ψυχὴν ἐκ τοῦ κόσμου τούτου καὶ τῶν ἀνθρώπων διακεῖσθαι· λέγων εἰς πάντα πρὸς τὸν ἴδιον λογισμὸν, τίς εἰμὶ ἐγώ; καὶ τίς ἡ ὑπόστασίς μου; ἀλλ᾽ ἢ βδέλυγμα. καὶ ἄνω μὲν γῆ, ὕστερον δὲ σαπρία, ἡ δὲ μέση πάσης ὕβρεως, καὶ ἐπέκεινα· τί ἐστιν ἡ ζωή μου; καὶ πόσον ἐστίν; ὥρα μία, καὶ ὁ θάνατος. τί μέλλει μοι περὶ τούτου, ἢ ἐκείνου; ἄρτι ἀποθνήσκω, ζωὴν γὰρ καὶ θάνατον Χριστὸς κατέχει, ἐγὼ δὲ τί μεριμνῶ,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μνῶ, καὶ φιλονεικῶ εἰς μάτην; μικροῦ ἄρτου χρεία, τὸ δὲ περισσὸν διατί; εἰ μὲν ἔχω τοῦτο, ἔπαυσε πᾶσα μέριμνα· εἰ δ' οὔ, περὶ τούτου μόνου διὰ τὸ ἀτελὲς τῆς γνώσεως μεριμνήσω ἴσως, καίπερ ἐστὶν ὁ Θεὸς ὁ προνοῶν. πᾶσα τοίνυν μέριμνα ἀνθρώπῳ περὶ τῆς φυλακῆς τῶν αἰσθήσεων ἔστω, καὶ τῶν λογισμῶν, ἵνα μηδόλως στήσειεν, ἢ ποιήσειέ τι, ἃ μὴ μετὰ Θεὸν δοκεῖ εἶναι. ἑτοιμαζέτω δὲ ἑαυτὸν καὶ πρὸς ὑπομονὴν τῶν ἐπερχομένων ἔκτε δαιμόνων, καὶ ἀνθρώπων ἀθέων καὶ δυσχερῶν, ὥστε μηδ' ἐκ τούτων, μηδ' ἐξ ἐκείνων πτοηθῇ, ἢ ἔλθῃ εἰς χαρὰν ἄλογον, καὶ οἴησιν, ἢ εἰς λύπην καὶ ἀπόγνωσιν, μηδὲν δεχόμενος λογισμοῦ θάρσος, μέχρις ἂν ἔλθῃ ὁ Κύριος. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

Πέμπτης μονὲς ἐστὶν ὁ λόγος καὶ στοιχεῖον  
Τὸ ἐψιλόν, περὶ δὲ ὑπομονῆς τυγχάνει.  
Αὕτη γάρ ἐστιν ἡ πρώτη καὶ μεγάλη,  
Ἐν ταῖς ἀρεταῖς, καὶ πάσῃ ἐπιστήμῃ.

Νῦν δὲ τὴν ἀρχήν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ Ε'.

Εἶπεν ὁ Κύριος, ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. ὑπομονὴ δὲ ἐστὶ πασῶν ἀρετῶν συγκρότησις. οὐδὲ γὰρ μία τῶν ἀρετῶν δίχα ταύτης ἵσταται· διότι πᾶς ὁ στραφεὶς εἰς τὰ ὀπίσω, οὐκ εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' εἰ καὶ πασῶν τῶν ἀρετῶν ἐν μετοχῇ δοκεῖ εἶναί τινι, οὐκ εὔθετός ἐστι, μὴ εἰς τέλος ὑπομείνας, καὶ σωθεὶς ἐκ τῶν παγίδων τοῦ διαβόλου, εἰς τὴν βασιλείαν τῶν οὐρανῶν καταντήσειεν. ἐπειδὴ καὶ αὐτοὶ οἱ τὸν ἀρραβῶνα λαβόντες, ὑπομονῆς δέονται, ἵνα τὸ τέλειον ἔπαθλον ἐν τῷ μέλλοντι κομίσωνται. ἐν πάσῃ γὰρ ἐπιστήμῃ, καὶ γνώσει, ὑπομονῆς χρεία, καὶ εἰκότως, διότι οὐδὲ αὐτὰ τὰ αἰσθητὰ πράγματα δίχα ταύτης γίνονται· ἀλλὰ κἂν γένηταί τι ἐξ αὐτῶν, ὑπομονῆς δεῖται, ἵνα παραμένῃ αὐτοῦ τὸ γινόμενον. καὶ ἁπλῶς εἰπεῖν, πᾶν πρᾶγμα πρὸ τοῦ γενέσθαι δι' αὐτῆς γίνεται, καὶ γενόμενον, δι' αὐτῆς παραμένει, καὶ ταύτης χωρὶς οὐχ ἵσταται, ἀλλ' οὐδὲ τελειοῦται. διότι εἰ μὲν καλόν ἐστιν, αὕτη χορηγὸς καὶ φύλαξ. εἰ δὲ κακόν, αὕτη ἄνεσιν καὶ μεγαλοψυχίαν δίδωσι, καὶ οὐκ ἐᾷ τὸν πειραζόμενον στενοχωρηθῆναι ἐκ τῆς μικροψυχίας, τοῦ ἀρραβῶνος τῆς γεέννης. αὕτη ἀποκτείνειν εἴωθε τὴν ἀποκτείνασαν τὴν ψυχὴν ἀπόγνωσιν. αὕτη διδάσκει παρηγορηθῆναι τὴν ψυχήν, καὶ μὴ ἀκηδιᾷν ἐκ τοῦ πλήθους τῶν πολέμων καὶ τῶν θλίψεων. ταύτης ὁ Ἰούδας ἀστοχήσας, τὸν διπλοῦν θάνατον εὗρεν, ὡς ἀπειροπόλεμος. ταύτης τυχὼν ὁ κορυφαῖος Πέτρος, ὡς ἐμπειροπόλεμος, καὶ πεσὼν ἐνίκησε τὸν καταβαλόντα διάβολον. ταύτην εὑρὼν ὁ Μοναχὸς ἐκεῖνος ὁ ποτὲ πεσὼν εἰς πορνείαν ἐνίκησε τὸν νικήσαντα, διὰ τὸ μὴ ὑπείκειν τῷ λογισμῷ τῆς ἀπογνώσεως, ὠθοῦντι εἰς τὸ ἀποχωρῆσαι τῆς κέλλης, καὶ τῆς ἐρήμου, ἀλλὰ μεθ' ὑπομονῆς ἔλεγε πρὸς τοὺς λογισμούς, οὐχ ἥμαρτον, καὶ πάλιν λέγω ὑμῖν, οὐχ ἥμαρτον, ὢ τῆς ἐνθέου φρονήσεως, καὶ ὑπομονῆς τοῦ γενναίου ἀν-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θρός. Αὕτη ἡ μακαρία τὸν Ἰώβ, καὶ τὰ πρῶτα αὐτοῦ ἀγαθὰ ἔργα ἐτελείωσε, καὶ γὰρ εἰ μικρὸν ταύτης ἀστοχήσειεν ὁ δίκαιος, πάντα τὰ πρῶτα ἐκεῖνα ἀπώλεσεν ἄν. ἀλλ' ὁ γινώσκων αὐτοῦ τὴν ὑπομονὴν, τὴν πληγὴν παρεχώρησεν πρὸς τελείωσιν αὐτοῦ, καὶ πολλῶν ὠφέλειαν. Ὁ οὖν γινώσκων τὴν αὐτοῦ ὠφέλειαν, πρὸ πάντων ταύτην ἔχειν ἀγωνίζεται, κατὰ τὸν Μέγαν Βασίλειον, φησὶ γὰρ, μὴ πάντα τὰ πάθη πολεμήσῃς ἐφάπαξ, καὶ ἴσως ἀστοχήσας στρέψεται εἰς τὰ ὀπίσω, καὶ οὐκ εὐθέτως εὑρεθήσῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἀλλὰ πρὸς ἓν ἕκαστον πολέμησον τῶν παθῶν, ἀρξάμενος ἀπὸ τῆς ὑπομονῆς τῶν ἐπερχομένων. καὶ εἰκότως. εἰ μὴ γὰρ ταύτην ἔχῃ τις οὐδέποτε δυνηθῇ στῆναι εἰς πόλεμον αἰσθητὸν, ἀλλὰ μόνον ἑαυτῷ, καὶ τοῖς ἄλλοις τὴν φυγὴν καὶ τὴν ἀπώλειαν προσφέρει διὰ τροπῆς. κατὰ τὸν λόγον, ὃν ἔφη ὁ Θεὸς πρὸς Μωϋσῆν, ὅτι δειλὸς εἰς πόλεμον μὴ ἐξιέτω, καὶ τὰ ἑξῆς. καὶ ἐν μὲν τῷ αἰσθητῷ πολέμῳ δύναταί τις μένειν ἔσω ἐν τῷ οἴκῳ, καὶ μὴ εἰς πόλεμον ἴσως ἐξελθεῖν. κἀκ τούτου τῶν μὲν δωρεῶν καὶ στεφάνων ἐκπίπτει, μένει δ' ἴσως ἐν πενίᾳ, καὶ ἀτιμίᾳ μόνῃ, ἐν δὲ τῷ νοητῷ πολέμῳ οὐκ ἔστιν εὑρεῖν τόπον μὴ ἔχοντα πόλεμον, κἂν πᾶσαν τὴν κτίσιν διέλθῃ τίς, ἀλλ' ὅπου δ' ἂν ἀπέλθῃ πόλεμον εὑρίσκει. εἰς τὴν ἔρημον, θηρία, καὶ δαίμονας, καὶ τὰς λοιπὰς κακουχίας, καὶ φόβητρα. ἐν ἡσυχίᾳ, δαίμονας, καὶ πειρασμούς. ἐν μέσῳ τῶν ἀνθρώπων, δαίμονας, καὶ ἀνθρώπους πειράζοντας. καὶ οὐκ ἔστι τόπος ἀνεπηρέαστος πώποτε. διὰ τοῦτο δίχα ὑπομονῆς οὐκ ἔστιν εὑρεῖν ἀνάπαυσιν. αὕτη δὲ γίνεται ἐκ τοῦ φόβου, καὶ τῆς πίστεως, ἄρχεται δὲ ἐκ τῆς φρονήσεως. δοκιμάζει δὲ ὁ ἔχεφρων τὰ πράγματα κατὰ νοῦν, καὶ εὑρίσκων ταῦτα στενά, ὡς ἔφη ἡ Σωσάννα, προαιρεῖται τὰ κρείττονα, ὡς ἐκείνη, ἔφη γὰρ αὕτη ἡ μακαρία πρὸς τὸν Θεὸν, στενά μοι πάντα, ἐὰν ποιήσω τῶν ἀνόμων * Ἱερέων τὸ βούλημα, ἀπόλλυταί μου ἡ ψυχὴ διὰ τῆς μοιχείας, εἰδὲ παρακούσω αὐτῶν, κατηγοροῦσί μου μοιχείαν, καὶ ὡς κριταὶ τοῦ λαοῦ κατακρινοῦσί με θανάτῳ. ἀλλὰ κρεῖττόν μοι καταφεύγειν πρὸς τὸν παντοδύναμον, κἂν θάνατος πρόκειται. ὢ τῆς φρονήσεως τῆς μακαρίας ἐκείνης· ὅτι οὕτω διέκρινε καὶ οὐκ ἀπέτυχε τῆς ἐλπίδος. ἀλλ' ἅμα τῷ συναχθῆναι τὸν λαὸν, καὶ καθεσθῆναι τοὺς ἀνόμους κριτὰς πρὸς τὸ κατηγορεῖν αὐτῆς, καὶ κατακρῖναι θανάτῳ, ὡς μοιχαλίδα τὴν ἄμεμπτον, εὐθέως ὁ Δανιὴλ δωδεκαετὴς ὢν, Προφήτης ἀνεδείχθη ὑπὸ Θεοῦ, καὶ ἐρρύσατο αὐτὴν ἐκ τοῦ θανάτου, στρέψας τὸν θάνατον ἐπὶ τοὺς ἀνόμους κρῖναι αὐτὴν μέλλοντας ἱερεῖς. καὶ ἐκ ταύτης ἔδειξεν ὁ Θεὸς, ὅτι ἐγγύς ἐστι τοῖς δι' αὐτὸν πειρασμὸν ὑπομεῖναι θέλουσι, καὶ μὴ προδοῦναι τὴν ἀρετὴν ἐξ ὀλιγωρίας διὰ τὸν πόνον, ἀλλὰ προτιμᾶν τὸν νόμον τοῦ Θεοῦ διὰ τῆς ὑπομονῆς τῶν ἐπερχομένων τῇ ἐλπίδι τῆς σωτηρίας εὐφραινομένοις. καὶ εἰκότως. ἐὰν γὰρ δύω κίνδυνοι πρόκεινται, ὁ μὲν πρόσκαιρος, ὁ δὲ αἰώνιος, ἆρα οὐκ ἔστι καλὸν τὸν πρῶτον ἐκλέξασθαι; διὰ τοῦτο φησὶν ὁ Ἅγιος Ἰσαὰκ, κρεῖττον ὑπομεῖναι τοὺς κινδύνους, ὑπὲρ τῆς τοῦ Θεοῦ ἀγάπης, καὶ φέρειν πρὸς αὐτὸν, τῇ ἐλπίδι τῆς αἰωνίου ζωῆς. ἢ φόβῳ τῶν πειρασμῶν ἐκπίπτειν τινὰ ἀπὸ τοῦ Θεοῦ εἰς τὰς χεῖρας τοῦ διαβόλου, καὶ σὺν αὐτῷ εἰς τὴν κόλασιν ἀπελθεῖν. Ὅθεν καλὸν μὲν ἦν, ἐάν τις χαίρηται, κατὰ τοὺς ἁγίους, ἐν τοῖς πειρασμοῖς ὡς φιλόθεος, εἰδὲ οὐκ ἐσμὲν τοιοῦτοι, κἂν τὸ κοῦφον ἐκλεξώμεθα διὰ τὴν προκειμένην ἀνάγκην. Ἐπειδὴ ἀνάγκη πρόκειται, ἢ ἐνταῦθα κινδυνεῦσαι σωματικῶς, καὶ

* ἴσ. γερόντων

ἐν

σὺν Χριστῷ βασιλεῦσαι νοητῶς ἐν τῷ νῦν αἰῶνι διὰ τῆς ἀπαθείας, καὶ ἐν τῷ μέλλοντι. ἢ ἐκπεσεῖν φόβῳ τῶν πειρασμῶν, ὡς εἴρηται, καὶ εἰς τὴν αἰώνιον κόλασιν ἀπελθεῖν. ἐξ ἧς ῥύσαιτο ἡμᾶς ὁ Θεὸς διὰ τῆς τῶν δεινῶν ὑπομονῆς, ἥτις ἐστὶν ὡς πέτρα ἀσάλευτος ἐναντίον τῶν ἀνέμων, καὶ κυμάτων τοῦ βίου, καὶ οὔτε πλημμύρας γενομένης ἀπατεῖ, ἢ στρέφεται εἰς τὰ ὀπίσω ὁ ταύτης τυχών. οὐδὲ πάλιν ἄνεσιν εὑρὼν, καὶ χαρὰν συμπαγεῖται τῇ οἰήσει, ἀλλ' ὡσαύτως ἔχει ἀεὶ ἐν δυσημερίᾳ τε, καὶ εὐημερίᾳ, διὰ τοῦτο καὶ ἔξωθεν διαμένει ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ. ὅτε καὶ χειμῶνα εὑρίσκει, ὑπομένει μετὰ χαρᾶς ἀναμένων τὸ τέλος. ὅτε δὲ εὔδιος καιρὸς γίνεται προσδοκᾷ πειρασμὸν, ἕως ἐσχάτης ἀναπνοῆς, κατὰ τὸν Μέγαν Ἀντώνιον. ὁ τοιοῦτος γὰρ γινώσκει, ὅτι οὐκ ἔστιν ἐν τῷ βίῳ τούτῳ ἀναλλοίωτόν τι τὸ παράπαν, ἀλλὰ πάντα παρέρχονται. διὸ καὶ οὐδεμίαν ποιεῖται φροντίδα περί τινος τούτων, ἀλλὰ τῷ Θεῷ πάντα καταλιμπάνει, ὅτι αὐτῷ μέλει περὶ ἡμῶν, καὶ αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

Εὐαγγελικὸς ἐγράφη πάλιν λόγος,
Νῦν δὲ περὶ τῆς ἐλπίδος τῶν μελλόντων.
Ζωὴ γάρ ἐστι τὸ ἔχειν ἐν στοιχείοις,
Ζητεῖ δὲ ὁ νοῦς ἀμέριμνος γενέσθαι.

Νῦν δὲ τὴν ἀρχὴν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ ϛʹ.

Ζωή ἐστιν, ἐλπὶς ἀμέριμνος, καὶ πλοῦτος ἄδηλος μὲν κατ' αἴσθησιν, μαρτυρούμενος δὲ ὑπὸ τῆς φρονήσεως, καὶ τῆς τῶν πραγμάτων φύσεως. καὶ γὰρ γεωργοὶ κοπιῶσι, σπείροντες καὶ φυτεύοντες. καὶ ναυτικοὶ ὁμοίως πολλοὺς κινδύνους ὑπομένουσι· καὶ παῖδες γράμματα, καὶ τὰς λοιπὰς ἐπιστήμας μανθάνοντες. καὶ οὗτοι πάντες εἰς τὴν ἐλπίδα βλέπουσι, διὸ μετὰ χαρᾶς κοπιῶσι, καὶ τὰ ἕτοιμα πράγματα πέμπουσιν εἰς ἀπώλειαν κατὰ τὸ φαινόμενον. καὶ διὰ τὸ νοούμενον, πρὸς τὸ κερδῆσαι μείζονα ὑπομένουσι. πολλάκις καὶ ὑστερούμενοι ὧνπερ μέλλουσι καταβαλεῖν. ἀλλὰ ταῦτα μὲν ἴσως ἐρεῖ τις ἐκ τῆς πείρας μανθάνοντες περὶ τοῦ κέρδους. περὶ δὲ τῶν νοητῶν, οὐδεὶς ἀνέστη ἐκ τῶν νεκρῶν, ἵνα μάθωμεν. τοῦτο πάνυ γίνεται ἐξ ἀπειρίας τῶν πνευματικῶν χαρισμάτων, καὶ γνώσεων, καὶ οὐ θαῦμα. ἐπειδὴ καὶ οἱ ἄπειροι τῶν προτέρων δειλιῶσι μέχρις ἂν πεῖραν λάβωσι. καὶ γὰρ οἱ παῖδες τῶν γραμμάτων, καὶ τῶν λοιπῶν μαθημάτων τὴν ὠφέλειαν ἀγνοοῦντες, φεύγουσι ταῦτα. ἀλλ' οἱ γονεῖς αἰσθόμενοι τοῦ κέρδους, ὡς φιλότεκνοι ἀγχοῦσι, καὶ βιάζουσι πρὸς τὰ τοιαῦτα. καιροῦ δὲ καλοῦντος, λαμβάνουσι καὶ οἱ παῖδες τὴν πεῖραν. καὶ ἄρχονται οὐ μόνον ἀγαπᾷν ταῦτα καὶ τοὺς βιάζοντας, ἀλλὰ καὶ αὐτοὶ μετὰ χαρᾶς ὑπερπάσχουσι τῶν μαθημάτων, ὧν ἔτυχον. διά τοι τοῦτο καὶ ἡμεῖς ὀφείλομεν πρῶτον ἐκ πίστεως διὰ τῆς ὑπομονῆς τρέχειν, καὶ μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσι, καὶ καιροῦ καλοῦντος, εἰς τὸ γνῶναι τῶν γινο-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μένων τὴν ὠφέλειαν ἔλθωμεν, καὶ οὕτω μετὰ χαρᾶς καὶ εὐφροσύνης ἐργαζόμεθα ἀκόπως. διὰ πίστεως περιπατοῦμεν, ὥς φησιν ὁ Ἀπόστολος, καὶ οὐκ ἀπὸ εἴδους. ἀλλ' ὥσπερ ἀμήχανον ἐξ αὐτῆς εὑρεῖν τὸ κέρδος τινὰ τῶν πραγματευομένων ἐν τῷ καιρῷ τούτῳ, οὕτως ἀδύνατον εὑρεῖν τινὰ, τὴν γνῶσιν καὶ ἄνεσιν πρὸ τοῦ κοπιάσαι ἔργῳ, καὶ λόγῳ ἐν ταῖς ἀρεταῖς. καὶ ὡς ἐκεῖνοι ἀείποτε φοβοῦνται τὴν ζημίαν, καὶ ἐλπίζουσιν εἰς τὸ κέρδος, οὕτω καὶ ἐνταῦθα ὀφείλει γίνεσθαι, ἕως ἐσχάτης ἀναπνοῆς. καὶ ὥσπερ οἱ πρότεροι, οὐ μόνον ὅτε κερδήσουσι τρέχουσιν, ἀλλὰ καὶ μετὰ τὴν ζημίαν, καὶ τοὺς κινδύνους, πάλιν τρέχουσιν, οὕτω καὶ οἱ δεύτεροι ποιῆσαι ὀφείλουσιν, εἰδότες ὅτι ὁ ἀργὸς οὐκ ἐσθίει ἐξ ἰδίων πόνων, διὸ καὶ πένης γίνεται, καὶ χρεώστης ἴσως πολλῶν ταλάντων. διὰ τοῦτο ἐπ' ἐλπίδι κατῴκισάς με· φησὶν ὁ Προφήτης. καὶ ἐπ' ἐλπίδι ἐτελειώθησαν, φησὶν ὁ Ἀπόστολος. Καὶ ταῦτα μὲν ἐκ τῶν πραγμάτων τῆς φύσεως, καὶ τῶν θείων γραφῶν ἐν ἐπιτόμῳ εἴρηται. εἰ δέ τις βούλεται μαθεῖν τὴν πεῖραν, ἐργαζέσθω, κατὰ τὸ δυνατὸν αὐτῷ, τὰς ἑπτὰ σωματικὰς πράξεις δι' ὅλου ὡς ἐν σχολείῳ ἀμετεωρίστως, καὶ τῆς ἠθικῆς ἐπιμελείσθω πράξεως, ἤγουν ψυχικῆς. κἀντεῦθεν εἰς τὴν ἐλπίδα φθάσας, καὶ καρτερήσας ἐν αὐτῇ, εὑρήσει τὴν γνῶσιν τῶν λεγομένων ἐν ἀκριβείᾳ. καὶ ὅτι ἐξ ἀρχῆς τῆς μετανοίας, ὅτε τὰς ἑπτὰ ἤρξατο, ἐκ τῆς πρώτης πράξεως, ἤτοι ἡσυχίας, ἦν ὁ μισθὸς τῆς ἐλπίδος καὶ τὸ κέρδος ἕτοιμον, πρὸ τοῦ κοπιάσαι ἐν ταῖς λοιπαῖς ἕξ, ἤγουν νηστείᾳ, ἀγρυπνίᾳ καὶ τὰ ἑξῆς. ἀλλ' ἅμα τὴν πρώτην καὶ ἀρχὴν τῆς καθάρσεως τῆς ψυχῆς, ἡσυχίαν, ἀσκήσαντος αὐτοῦ, εὐθέως τὸ κέρδος ἡτοίμαστο. ἀλλ' ἄπειρος ὢν ὁ μαθητὴς, οὐκ ἐγίνωσκε τὴν χάριν τοῦ δεσπότου.

ὡς οὐδὲ ὁ νήπιος τὴν ὠφέλειαν τῶν γονέων, καίτοιγε πρὸ τοῦ γεννηθῆναι αὐτὸν, κατὰ προαίρεσιν οἱ γονεῖς αὐτοῦ εὐεργέται ἦσαν, προσδεχόμενοι γεννηθῆναι αὐτὸν, καὶ ζῆσαι. οὐ μόνον δὲ, ἀλλὰ καὶ κληρονομῆσαι αὐτοὺς, καὶ ἔχειν ὅσα τε προητοιμάσαντο, καὶ μετὰ ταῦτα μοχθήσονται. ἀλλ' οὗτος μὲν ἀγνοῶν, οὐδ' ὅλως φροντίδα περὶ τῶν τούτων ποιεῖται, ἀλλὰ πειρασμὸν ἡγεῖται τὴν ὑποταγὴν τῶν γονέων. καὶ εἰμὴ ἦν τροφῆς ἡ ἀνάγκη, καὶ τῆς φύσεως, οὐδ' ὅλως ἠγνωμόνει. ὁ δὲ θέλων τὴν βασιλείαν κληρονομῆσαι τῶν οὐρανῶν, καὶ οὐχ ὑπομένει τὰ ἐπερχόμενα, ἀγνωμονέστερος φαίνεται. διότι ἐκτίσθη, χάριτι, καὶ πάντα τὰ ὄντα λαβὼν, καὶ τὰ ἑπόμενα ἐλπίζων, καὶ αἰωνίως συμβασιλεύει Χριστῷ, τῷ καταξιώσαντι αὐτὸν τὸν οὐδὲν ὄντα, τοσούτων, καὶ τηλικούτων δωρεῶν, αἰσθητῶν τε, καὶ νοητῶν. ὥστε καὶ τὸ ὑπέρτιμον αὐτοῦ αἷμα, ὑπὲρ αὐτοῦ ἐκχέαι εὐδοκήσαντι, μηδὲν ἐξ αὐτοῦ ζητοῦντι, πλὴν τοῦ λαβεῖν τὰ ἀγαθὰ αὐτοῦ προαιρεῖσθαι, καὶ πλέον οὐδέν. αὕτη γάρ ἐστιν ἡ ἀπαίτησις αὐτοῦ καὶ μόνη, ἣν ὁ κατανοεῖν δυνηθεὶς ἐκπλήττεται. τί γὰρ ἐκζητεῖ ἀπὸ σοῦ ὁ Θεὸς φησίν; ὢ τῆς ἀνοίας. πῶς βλέποντες οὐ βλέπομεν τὰ φρικτὰ αὐτοῦ μυστήρια. αὐτὸ γὰρ τοῦτο, ὃ καὶ ζητῶν φαίνεται μεῖζόν ἐστι δῶρον. πῶς οὐ συνιῶμεν, ὅτι κρείττων ἐστὶ πάντως ὁ τῆς ἀρετῆς ἐπιμελούμενος, καὶ ἐπάνω πάντων ἵσταται καὶ ὑψιπετής, κἂν πένης ᾖ, καὶ ἀγενής; οὐκ οἴδαμεν τοὺς Προφήτας ἐν τῷ νῷ, οὐδὲ τοὺς Ἀποστόλους καὶ Μάρτυρας, καὶ περὶ τῶν μελλόντων διστάζομεν; ἴδωμεν τοὺς βίους αὐτῶν, καὶ τί ἐποίησαν, καὶ πόθεν λέγουσιν αὐτοὶ λαμβάνειν τὴν χάριν, καὶ τὴν ἰσχύν; οὐ μόνον, ἀλλὰ καὶ μετὰ θάνατον θαυματουργοῦσιν; ἴδωμεν τοὺς βασιλεῖς καὶ πλουσίους, πῶς τὰς ἁγίας αὐτῶν εἰ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νοίας προτιμῶσιν; ἴδωμεν τοὺς ἐναρέτους νῦν ἐν διχοστασίᾳ πάσῃ, καὶ ἀρετῇ διάγοντας, καὶ χαρᾷ πνευματικῇ; τοὺς δὲ πλουσίους ἀγανακτοῦντας, καὶ πλεῖστα τῶν ἀσκητῶν καὶ ἀκτημόνων πειραζομένους; κἂν τούτῳ ἐλπίζομεν ὅτι ὄντως ἡ ἀρετή, κρείττων ἐστὶ πάντων. εἰ δὲ μήγε, σκοπήσωμεν πῶς οἱ ἄπιστοι τὸν μὲν Θεὸν ἴσως ἀγνοοῦσι, τὴν δὲ ἀρετὴν διαφημίζουσι, καὶ ἀξιόπιστος φαίνεται αὐτοῖς ὁ ἐνάρετος· οὐδὲ γὰρ ἀρετὴν αἰδεῖται καὶ πολέμιος. καὶ ἐὰν πιστεύωμεν ὅτι ἡ ἀρετὴ ἀγαθή ἐστιν, ἐξ ἀνάγκης ὁ ποιήσας τὴν ἀρετήν, καὶ χαρισάμενος τοῖς ἀνθρώποις Θεὸς ἀγαθός ἐστι. καὶ εἰ ἀγαθός, ἐξ ἀνάγκης καὶ δίκαιος, ἀρετὴ γὰρ ἡ δικαιοσύνη, δι' ὃ καὶ ἀγαθή. εἰ δὲ ἀγαθὸς καὶ δίκαιός ἐστιν ὁ Θεός, πάντως καὶ ἐξ ἀγαθότητος ποιεῖ ὅσα ἐποίησε, καὶ ποιεῖ, κἂν τοῖς πονηροῖς οὕτω οὐ φαίνεται. οὐδὲν οὕτω σκοτίζειν οἶδεν, ὡς ἡ πονηρία. ἁπλότητι δὲ καὶ ταπεινώσει ὁ Θεὸς ἐμφανίζεται, καὶ οὐ κόποις. ἐμφανίζεται δὲ οὐχ ὡς δοκοῦσί τινες ἐξ ἀπειρίας, ἀλλὰ διὰ τῆς θεωρίας τῶν ὄντων, ἤτοι τῶν κτισμάτων αὐτοῦ, καὶ Ἀποκαλύψεων τῶν ἐν ταῖς θείαις γραφαῖς μυστηρίων. οὗτος ὁ μισθὸς τῆς ἡσυχίας, καὶ τῶν λοιπῶν πράξεων ἐν τῷ νῦν, ἐν δὲ τῷ μέλλοντι, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν, καὶ καταλείπουσι τὰ θελήματα αὐτῶν διὰ τῆς ὑπομονῆς, καὶ ἐλπίδος τῶν μελλόντων ἀγαθῶν, ὧν εὐχόμεθα τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμή, καὶ κράτος, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἔβδομόν ἐστιν ἐν στοιχείοις τὸ ἦτα,
Λόγος ὁ παρὼν περὶ ἀπροσπαθείας.
Καὶ γεννᾶται μὲν ἐκ τῆς ἐλπίδος αὕτη.
Αὕτη δὲ ἐστὶ φυγὴ παντὸς τοῦ Κόσμου.

Νοῦ δὲ τὴν ἀρχήν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ Ζʹ.

Ἡ Ἀπροσπάθεια γίνεται ἐκ τῆς ἐλπίδος, διότι ὁ ἐλπίζων τεύξεσθαι ἀλλαχοῦ αἰωνίου πλούτου, εὐχερῶς τοῦ ὑπὸ χεῖρα καταφρονεῖ, κἂν πᾶσαν ἀνάπαυσιν ἔχῃ ὁ πρόσκαιρος. εἰ δὲ καὶ ἐπίπονός ἐστιν ὁ βίος καὶ πολυώδυνος, τίς πείθει τὸν λογικὸν ἄνθρωπον προτιμᾶν τοῦτον ὑπὲρ τὴν ἀγάπην τοῦ Θεοῦ, τοῦ διδόντος τοῦτον, κἀκεῖνον τοῖς ἀγαπῶσιν αὐτόν; εἰ μήπου τυφλὸς ὤν, μηδ' ὅλως βλέπειν δυνάμενος διὰ ἀπιστίας ἢ κακῆς προαιρέσεως, καὶ πονηρᾶς συνηθείας. εἰ γὰρ ἐπίστευσεν, ἐφωτίσθη ἄν· καὶ εἰ μικρὸν φωτισμὸν γνώσεως ἐκ βεβαίας πίστεως ἔλαβεν, ἠγωνίσατο ἂν καταλῦσαι τὴν κακίστην αὐτοῦ συνήθειαν· καὶ εἰ τοῦτο ἐν τῇ ψυχῇ ἔθετο, ἡ χάρις ἂν συνήργει, καὶ συνηγωνίζετο. ἀλλὰ διὰ τοῦτο, φησὶν ὁ Κύριος, ὀλίγοι οἱ σωζόμενοι, διότι γλυκέα φαίνονται τὰ βλεπόμενα, κἂν πικρά εἰσι. καὶ γὰρ ὁ κύων λείχων τὴν ῥίνα τῇ γλώττῃ αὐτοῦ, ἐκ τῆς γλυκύτητος οὐκ αἰσθάνεται τοῦ πόνου, ὅτι ἐκ τοῦ ἰδίου αἵματος πίνει. καὶ γαστρίμαρ-

γος ἐσθίων τὰ βλάπτοντα αὐτὸν ψυχικῶς τε, καὶ σωματικῶς, οὐκ αἴσθησιν λαμβάνει τῆς βλάβης αὐτοῦ· καὶ πάντες οἱ τοῖς πάθεσι δουλεύοντες ὡσαύτως πάσχουσιν ἐξ ἀναισθησίας, εἰδ᾽ ἴσως καὶ αἰσθάνωσιν, ἀλλ᾽ ἐκ τῆς συνηθείας πάλιν ἕλκονται. διὰ τοῦτο φησὶν ὁ Κύριος, βιαστή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, οὐχὶ φυσικῶς, ἀλλ᾽ ἐκ τῆς συνηθείας τῶν παθῶν. εἰ γὰρ φύσει ἦν βιαστή, οὐδεὶς ἂν εἰσῆλθεν εἰς αὐτήν· ἀλλὰ τοῖς μὲν προαιρουμένοις χρηστὸς ὁ ζυγός, καὶ ἐλαφρὸν τὸ φορτίον τοῦ Κυρίου, τοῖς δὲ μὴ προαιρουμένοις στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδός, καὶ βιαστὴ ἡ βασιλεία. τοῖς γὰρ προτέροις ἐντὸς καὶ ἐγγὺς ὑπάρχει, διὰ τὸ θέλειν αὐτήν, καὶ εὐθὺς τεύξεσθαι τῆς ἀπαθείας· θέλημα γάρ ἐστι τὸ συνεργοῦν, καὶ κωλύον εἰς τὸ σωθῆναι, καὶ οὐδὲν ἕτερον. ἠβουλήθης τί ἀγαθόν, ποίησον τοῦτο· οὐ δύνασαι, προαιροῦ, καὶ ἰδοὺ ἔχεις αὐτό, καίπερ μὴ ἔχων τοῦτο. καὶ ἰδοὺ οὕτω κατὰ μικρὸν ἡ συνήθεια αὐτομάτως ἐργάζεται, εἴτε καλόν, εἴτε κακόν. εἰ γὰρ οὐκ ἦν τοῦτο, οὐδεὶς λῃστὴς ἐσώθη. οὐ μόνον δέ, ἀλλὰ καὶ ἔλαμψαν πολλοὶ τῶν λῃστῶν. ἴδε πόσον ἐστὶ μακρὰν ὁ δρόμος ἀναμέσον λῃστοῦ, καὶ ἁγίου. οὐκ ἴσχυσε δὲ ἡ συνήθεια, ἀλλ᾽ ἐνίκησεν ἡ προαίρεσις. ὁ δὲ χάριτι Χριστοῦ εὐλαβής, ἢ καὶ Μοναχός, τί τὸ κωλῦον κατ᾽ ἐκείνους γενέσθαι; ἐκεῖνος μακράν, οὗτος ἐγγύς, καὶ πλεῖστον τῆς ὁδοῦ ἔλαβε κατὰ χάριν, ἢ φυσικῶς, ἢ ἐκ τῶν γονέων τὴν εὐσέβειαν, καὶ εὐλάβειαν ἐκληρονόμησεν. ἆρα οὐκ ἔστι ξένον, ὅταν λῃσταὶ καὶ τυμβωρύχοι ἅγιοι γίνονται, καὶ Μοναχοὶ κατακριθήσονται; ἀλλ᾽ οἴμοι τῷ ἀθλίῳ, ὅτι ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με. οἱ βασιλεῖς πτωχεύουσι κατὰ τὸν Ἰωάσαφ, καὶ τοὺς πένητας, καὶ ὁ πτωχὸς οὐ δύναται τὴν ἀρχαίαν συνήθειαν

κατέχειν, καὶ ἀκοπιάστως εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, διὰ ἀπροσπαθείας τῶν πραγμάτων, ὧν οὐκ ἔτυχεν ἐκ τῆς τῶν γονέων κληρονομίας. ἀλλ᾽ ὅτε εἶπεν ἀποτάσσομαι, καὶ οἷσπερ οὐκ εἶχε (τὸν γὰρ κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ ἄλλος κατέχει, οὗτος δὲ τοῦ ἐπιθυμεῖν εἶχεν ἐξουσίαν) καὶ ὅτε τούτοις ἀπετάξατο, τότε πολυκτήμων ἐγένετο· καὶ λέγει οὐ δύναμαι ἀκτημονεῖν, οὐδὲ ὑπομένειν τὰ ἐπερχόμενα. ποῖα ἐκεῖνα; τὰς φυλακάς, καὶ τὰ κλειδιά, ἅπερ εἶχε πρότερον κἂν ἄρχων ἦν; καὶ γὰρ οἱ ἔχοντες τὰς ἀρχάς, καὶ τὰ πλοῦτη, αὐτοὶ καὶ ταῦτα πάσχουσι. ἀλλὰ ποῖα; τὴν στέρησιν τῶν ἀναγκαίων, τὴν γυμνότητα, καὶ τὰ λοιπά, ἅπερ εἶχε δεινά; καὶ ἵνα μὴ κατὰ λεπτὸν λέγων, μηκύνω τὸν λόγον, καὶ καταισχύνω τοὺς γέμοντας αἰσχύνης. ἀρκεῖ γὰρ ἡμῖν αὐτὸ τοῦτο· τὸ προσπάθειαν ἔχειν τινὸς τῶν ὁρωμένων, ὧν τῇ ἐπιθυμίᾳ ἀπεταξάμεθα, εἰς αἰσχύνην καὶ ὄνειδος ἐν τῷ μέλλοντι, κατὰ τὸν Γιεζῆ, καὶ Ἰούδαν. ὅτι ὁ μὲν ἐπεθύμησεν, ὧνπερ οὐκ εἶχε, διὸ καὶ τὴν λέπραν σὺν τῇ πτώσει ἐκ Θεοῦ ἔλαβεν. ὁ δὲ οἷς εἶχεν ἀποταξάμενος, πάλιν ἐπεθύμησεν ἔχειν. διὸ καὶ σὺν τῇ ἀγχόνῃ τὴν ἀπώλειαν ἐκληρονόμησεν. τί δὲ τὸ περιττὸν τοῦ Μοναχοῦ, ἐὰν οὐ παρθενεύῃ, καὶ ἀκτημονῇ; τὰς γὰρ λοιπὰς ἐντολάς, καὶ οἱ λοιποὶ πάντες φυλάξαι χρεωστοῦσιν, ὡς φυσικὰς οὔσας, τὸ γὰρ ἀγαπᾷν τὸν Θεόν, καὶ τὸν πλησίον, καὶ τὸ ὑπομένειν τὰ ἐπερχόμενα, καὶ τὸ χρήσασθαι κατὰ φύσιν τοῖς πράγμασι, καὶ ἀπέχεσθαι τῶν πονηρῶν ἔργων, κἂν μὴ θέλῃ τις χρεωστεῖ, καὶ δίχα τῆς φυλακῆς τούτων, οὐδὲ ἐν τῷ νῦν εὑρίσκει ἀνάπαυσιν. διότι καὶ οἱ νόμοι κολάζουσι τοὺς πταίοντας, καὶ οἱ ἄρχοντες βιάζουσι πρὸς σύστασιν ἀρετῆς, κατὰ τὸν Ἀπόστολον. οὐ γὰρ εἰκῆ, φησί, τὴν μάχαιραν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

φορεῖ. καὶ πάλιν, θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν, τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. καὶ ταῦτα μὲν πάντα ὡς φυσικὰ οἱ πάντες, καὶ ποιοῦσι, καὶ θέλουσιν, οὐ μὴν, ἀλλὰ καὶ ἐκδικοῦσιν. Ὁ δὲ κλῆρος τοῦ Μοναχοῦ τὰ ὑπὲρ φύσιν, ὡς στρατιώτης Χριστοῦ, διὸ καὶ ὀφείλει γεύσασθαι ἐκ τῶν παθημάτων αὐτοῦ, ἵνα τύχῃ καὶ τῆς δόξης αὐτοῦ. ἀλλὰ καὶ τοῦτο πάλιν φυσικός ἐστι νόμος, μαρτυρούμενος ὑπὸ τῶν αἰσθητῶν πραγμάτων· οὐχ οἱ στρατιῶται τοῦ βασιλέως ἐκ τοῦ συμπάσχειν δοξάζονται; οὐχ ὅσον πάσχει ἕκαστος, τοσοῦτον ἔπαινον ἔχει ἐνταῦθα; καὶ ὅσον φανῇ ἀνίκανος, ἀτιμάζεται; οὐχ ὅσον καθ' ὁμοίωσιν τῆς ἐσθῆτος τοῦ βασιλέως φορεῖ τις, φαίνεται οἰκειότερος αὐτοῦ; καὶ ὅσον μακρὰν ταύτης, φαίνεται ξένος; οὕτω δεῖ σκοπεῖν καὶ περὶ τοῦ ἡμετέρου βασιλέως· ὅσον γάρ τις συμπάσχει, καὶ μιμεῖται τὴν πτωχείαν τοῦ Χριστοῦ, γευόμενος ἐκ τῶν παθημάτων, καὶ ὕβρεων αὐτοῦ, τῶν πρὸ τοῦ σταυρωθῆναι δι' ἡμᾶς καὶ ταφῆναι, τοσοῦτον γίνεται οἰκειότερος αὐτοῦ, καὶ συγκοινωνὸς τῆς δόξης αὐτοῦ, κατὰ τὸν Ἀπόστολον. εἴπερ συμπάσχομεν, φησὶ, καὶ συνδοξασθῶμεν. βαβαὶ, πῶς ἀγνοοῦμεν ὅτι ὑπὲρ ἄρτου μόνου πόσον πάσχουσι κοπιῶντες στρατιῶται, καὶ λῃσταί; καὶ πόσον ξενιτεύονται ὁδοιπόροι, καὶ θαλασσομάχοι; καὶ πόσον πόνον ὑπομένουσιν ἅπαντες οἱ ἄνθρωποι ἕνεκα τῆς βασιλείας τῶν οὐρανῶν ἐλπίδος; καίτοι γε πολλάκις οὐδὲ τοῦ σκοποῦ, δι' οὗ μοχθοῦσιν ἐπιτυγχάνουσι. καὶ ἡμεῖς ὑπὲρ βασιλείας οὐρανῶν, καὶ αἰωνίων ἀγαθῶν, οὐ θέλομεν μικρόν τι ὑπομεῖναι. καὶ τοῦτο ἴσως οὐ γίνεται πολυκόπως, ἐὰν ἡ προαίρεσις εὐδοκῇ, καὶ μὴ φορτικὴν καὶ ἀνύποιστον λογίζεται τὴν κτῆσιν τῶν ἀρετῶν, ἀλλὰ μᾶλλον χαρὰν, καὶ ἀνάπαυσιν διὰ τῆς ἐλπίδος, ἀμεριμνίας τε, καὶ τῆς ἀκουσίου τιμῆς τῆς ἑπομένης τῇ ἀρετῇ. (οἶδε γὰρ αὐτὴν καὶ πολέμιος αἰδεῖσθαι, καὶ θαυμάζειν) καὶ τὸ πέρας ταύτης εὐφροσύνη, καὶ ἀγαλλίασις· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐν αὐτῇ ἔχει τὴν χαρὰν μεμιγμένην ἡ ἀπροσπάθεια, ὥσπερ τὴν λύπην ἐν τοῖς πάθεσι τῆς ἀτιμίας ἡ ὑλώδης ζωή. ἧς ῥυσθείημεν, καὶ τύχοιμεν τῆς ἀΰλου ζωῆς, καὶ αἰωνίου διὰ τῆς ἀπροσπαθείας τῆς γεννώσης τὴν νέκρωσιν τοῦ σώματος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα πᾶσα, τιμή τε, καὶ προσκύνησις πρέπει εἰς τοὺς αἰῶνας. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὄγδοός ἐστιν ὁ λόγος, καὶ τὸ θέμα,
Νέκρωσιν παθῶν γεννᾷ ἀπροσπάθεια.
Εἰ μὴ γὰρ αὐτὴν κατέχει τὶς ἐμπόνως,
Οὐδὲ τῶν παθῶν λύεται ὁ τοιοῦτος.

Νῦν δὲ τὴν ἀρχήν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ Η΄.

Θεοῦ διὰ παντὸς προσέχει διὰ τῆς θεωρίας ὁ ἀπροσπαθής. ἀπροσπάθεια γὰρ αἰσθητῶν, θεωρίαν νοητῶν ἐγείρει. θεωρίαν δὲ ἐνταῦθα οὐ τὴν τῶν ὄντων, ἀλλὰ τὴν τῶν πρὸ θανάτου, καὶ μετὰ θάνατον δεινῶν. περὶ ὧν διδάσκεται ὑπὸ τῆς χάριτος ὁ ἀπροσπαθής, πρὸς νέκρωσιν παθῶν ἐκ τοῦ πένθους, ἵνα εἰς πραότητα λογισμῶν ἔλθῃ, καιροῦ καλοῦντος. ἐκ γὰρ πίστεως· φόβος, κἀντεῦθεν· ἡ εὐσέβεια, ἤτοι ἐγκράτεια, ὑπομονή, πένθος, πραότης, πεῖνα, καὶ δίψα τῆς δικαιοσύνης, ἤγουν πασῶν τῶν ἀρετῶν, ἐλεημοσύνη, κατὰ τοὺς μακαρισμοὺς τοῦ Κυρίου, ἀπροσπάθεια, καὶ ἐκ ταύτης, νέκρωσις τοῦ σώματος, ἐκ τῶν πολλῶν στεναγμῶν, καὶ πικρῶν δακρύων τῶν τῆς μετανοίας, καὶ τῆς λύπης, ἐξ ὧν ἡ ψυχὴ ἀποβάλλεται τὴν χαρὰν τοῦ Κόσμου, καὶ αὐτὴν τὴν σοφίαν ἐκ τῆς ἀδημονίας. διότι ἄρχεται βλέπειν τὰ ἑαυτῆς πταίσματα, ὡς τὴν ἄμμον τῆς θαλάσσης. καὶ τοῦτό ἐστιν ἡ ἀρχὴ τοῦ φωτισμοῦ τῆς ψυχῆς, καὶ τεκμήριον τῆς ὑγείας αὐτῆς. τὰ γὰρ πρὸ τούτου γινόμενα ἴσως δάκρυα, καὶ ἔνθεα νοήματα θεῖα, καὶ κατάνυξις, καὶ τὰ τοιαῦτα, χλεύη εἰσί, καὶ κλοπὴ τῶν δαιμόνων, καὶ μάλιστα τοῖς ἐν μέσῳ ἀνθρώπων διάγουσιν, ἢ ἐν περισπασμῷ, κἂν λίαν σμικρὸς εἴη. διότι οὐκ ἔστι δυνατὸν ἔτι πρός τινα τῶν αἰσθητῶν διακειμένους περιγενέσθαι τῶν παθῶν. εἰ δέ τις προβάλλεται τοὺς ἀρχαίους, ὡς εἶχον τὰ ἀμφότερα, γινωσκέτω, ὅτι εἶχον μέν, οὐ κατὰ πάθος δὲ ἐχρήσαντο τινὶ τὸ παράπαν· καὶ δῆλον ἐκ τοῦ λαβεῖν αὐτοὺς γυναῖκας, καὶ μετὰ πολλὰ ἔτη γινώσκειν ταύτας· ὡς γέγραπται ἐν τῇ παλαιᾷ περὶ τῆς γενεαλογίας τῶν ἀνθρώπων, πῶς ἔχοντας, καὶ μὴ ἔχοντας ὡσαύτως ἦν. καὶ ἐκ τοῦ Ἰώβ, καὶ ἐκ τῶν λοιπῶν δικαίων. οὐ μόνον δέ, ἀλλὰ καὶ ὁ Δαβὶδ Βασιλεὺς ἦν, καὶ Προφήτης. καὶ ὁ Σολομὼν μέχρι τινός. καὶ πῶς ἔφη ὁ αὐτός. περισπασμὸν πονηρὸν ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων, τοῦ περισπᾶσθαι ἐν τοῖς ματαίοις, ἵνα μὴ ἐκκλίνωσιν εἰς τὰ χείρονα. καὶ ταῦτα τῶν πραγμάτων ἡ φύσις διδάσκει. εἰ γὰρ καὶ μυρίων περισπασμῶν ὄντων, τινὲς εὐκαιρίαν εὑρίσκουσιν εἰς τὸ ποιεῖν τὰ ἄθεσμα. πόσῳ μᾶλλον, εἰ ἦν ἡ ζωὴ ἡμῶν ἀπερίσπαστος; διὰ τοῦτο ὁ μὲν τοιοῦτος περισπάσθω. κρεῖττον γὰρ τὸ πονηρῶς περισπασθῆναι αὐτόν, καὶ ἐκ τῶν θείων πραγμάτων καὶ νοημάτων ἀργὸν εὑρίσκεσθαι, ἢ ποιεῖν ἄλλα πονηρὰ πολλὰ χείρονα τούτων. ὁ δὲ Θεοῦ χάριτι· εἰς μερικὴν γνῶσιν φθάσας καὶ κατανοεῖν δυνηθῇ τὰ πρὸ θανάτου, καὶ μετὰ θάνατον δεινά, ἅπερ ἡ παρακοὴ προσέφερεν, οὐκ ὀφείλει καταλιπεῖν τὰ τοιαῦτα νοήματα, καὶ τὰ φέροντα ταῦτα ἔργα ἐν ἡσυχίᾳ πάσῃ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ ἀμεριμνία, καὶ περισπᾶσθαι ἐν τοῖς ματαίοις· ματαιότης γὰρ ματαιοτήτων, τὰ πάντα ματαιότης. διὸ καὶ λαβὼν ὁ Δαμασκηνὸς τὴν ἀφορμήν, ἔφη, ἀληθῶς ματαιότης τὰ σύμπαντα. ὁ δὲ βίος σκιὰ καὶ ἐνύπνιον. καὶ γὰρ μάτην ταράττεται πᾶς ἄνθρωπος, ὡς εἶπεν ἡ γραφή· καὶ εἰκότως· ὅπου γὰρ τὸ τέλος σαπεία, καὶ χοῦς, τί ματαιότερον; διὰ τοῦτο νέκρωσις μὲν ἡ ἀπροσπάθεια, πλὴν οὐ τοῦ νοός, ἀλλὰ τοῦ σώματος ἐκ τῶν προτέρων κινημάτων αὐτοῦ πρὸς τρυφήν, καὶ ἀνάπαυσιν· σαρκικὸν γὰρ θέλημα ἐστιν ἡ ἀνάπαυσις, κἂν λίαν σμικρὰ ὑπάρχῃ. Ἐπειδὴ ἡ ψυχὴ ἐκ τούτου μᾶλλον λυπεῖται, ὅπερ ὁρᾷ τι πνευματικὸν ὅλως ἔργον ἐν αὐτῇ, ἢ γνῶσιν. εἰ δὲ ἐστὶ καὶ αὐτὴ σάρξ, οὐ μὴ καταμείνῃ τὸ Πνεῦμα τοῦ Θεοῦ. ὅθεν οὐδὲ μέλει αὐτῇ περί τινος ἔργου ἀγαθοῦ, ἀλλὰ τὰ τοῦ σώματος, καὶ τῶν ἐν αὐτῇ κειμένων παθῶν ἐκπληροῦν ἀγωνίζεται θελήματα, καὶ σκότος ἐπὶ σκοτώσει λαμβάνουσα, ἀεὶ ἐν καθόλου ἀγνωσίᾳ διάγει μετὰ προθυμίας. ὁ δὲ φωτισθεὶς εἰς τὸ βλέπειν τὰ ἑαυτοῦ πταίσματα, οὐ παύεται θρηνῶν ἑαυτόν, καὶ πάντας ἀνθρώπους, βλέπων τὴν τοσαύτην τοῦ Θεοῦ ἀνοχήν, καὶ τοσαῦτα πταίσματα, ἅπερ ἐξ ἀρχῆς καὶ ἄνωθεν ἐποιήσαμεν, καὶ ποιοῦμεν ἀεὶ οἱ ἄθλιοι. κἀκ τούτου γίνεται εὐγνώμων, μηδ' ὅλως τολμῶν κατακρῖναί τινα, αἰσχυνόμενος ἐκ τῶν πολλῶν εὐεργεσιῶν τοῦ Θεοῦ, καὶ τῶν ἡμετέρων πταισμάτων. κἀντεῦθεν μετὰ χαρᾶς καταλιμπάνει πᾶν ἴδιον θέλημα, μὴ κατὰ Θεὸν γινόμενον, καὶ τῶν αἰσθήσεων ἐπιμελεῖται, ἵνα μή τι τὸ παράπαν ποιῶσι παρὰ τὴν ἀναγκαίαν χρῆσιν, κατὰ τὸν Προφήτην. Κύριε οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου. ἀλλὰ δεῖ προσέχειν, μήπως καὶ αὐτὸς μετὰ τὸ φθάσαι εἰς τοσοῦτον ὕψος, ἐξ ἀμελείας, ἢ ἐπάρσεως πάθῃ τὰ ἐκείνου, καὶ ἴσως οὐ μὴ δυνηθῇ μετανοῆσαι κατ' ἐκεῖνον, διότι ἡ μὲν ἁμαρτία, πρόχειρος καὶ τοῖς λίαν δικαίοις· ἡ δὲ μετάνοια, οὐ πᾶσι πρόχειρος, διὰ τὸ ἐγγὺς εἶναι τὸν θάνατον, καὶ πρὸ τούτου τὴν ἀπόγνωσιν. καλὸν μὲν οὖν τὸ μὴ πίπτειν, ἢ πίπτειν, καὶ ἐγείρεσθαι. εἰ δὲ πεσεῖν συμβῇ, καλὸν τὸ μὴ ἀπογνῶναι ἑαυτῆς, καὶ ἀποξενοῦσθαι τῆς φιλανθρωπίας τοῦ δεσπότου· δύναται γὰρ θέλων καὶ ποιῶν ἔλεος μετὰ τῆς ἀσθενείας ἡμῶν, μόνον αὐτοῦ μὴ ἀναχωρῶμεν, μηδὲ στενοχωρώμεθα ὑπὸ τῶν ἐντολῶν βιαζόμενοι, καὶ μὴ δυνάμενοι φθάσαι ἀποκάμωμεν. ἀλλὰ μάθωμεν ὅτι χίλια ἔτη ἐνώπιον Κυρίου, ὡς ἡμέρα μία, καὶ ἡμέρα μία, ὡς χίλια ἔτη. μηδὲ σπουδάζωμεν, μηδὲ ὀκλάζωμεν, ἀλλ' ἀεὶ ἀρχὴν βάλλωμεν. ἔπεσες, ἀνάστα· καὶ πάλιν ἔπεσες, ἀνάστα. μόνον τὸν ἰατρὸν μὴ καταλείπῃς, καὶ αὐτοκτόνου χείρων κατακριθήσῃ τῇ ἀπογνώσει. παραμένων αὐτῷ καὶ αὐτὸς ποιήσει ἔλεος, εἴτε δι' ἐπιστροφῆς, εἴτε διὰ πειρασμῶν, εἴτε δι' ἄλλης προνοίας· ἀγνοοῦντός σου. ἔχει γὰρ ἔθος ὁ διάβολος ἐπιβάλλειν τῇ ψυχῇ, οἷα εὑρίσκει αὐτῇ προκείμενα, εἴτε χαρὰν καὶ οἴησιν, εἴτε λύπην καὶ ἀπόγνωσιν, εἴτε καμάτων ὑπερβολήν, εἴτε ἀργίαν παντελῆ, εἴτε δῆθεν παρὰ καιρόν, καὶ παρὰ χρῆσιν πράγματα, καὶ νοήματα· εἴτε σκοτασμὸν καὶ μῖσος ἄκαιρον πρὸς πάντα τὰ ὄντα. καὶ ἁπλῶς, οἵαν εὑρίσκει κειμένην ἐν ἑκάστῃ ψυχῇ ὕλην, τοιαύτην καὶ ἐπιβάλλει, ἵνα μὴ χρήσιμος γένηται. κἂν ἴσως ἀγαθή ἐστι καὶ θεάρεστος, ἐὰν μεμετρημένη γένηται ὑπὸ τῶν δυναμένων κρίνειν τὰ πράγματα καὶ εὑρεῖν τὸν σκοπὸν τοῦ Θεοῦ, τὸν κεκρυμμένον μέσον τῶν κυκλούντων αὐτὸν ἐξ παθῶν, λέγω, τοῦ ἄνωθεν αὐτοῦ, καὶ κάτω, τῶν δεξιῶν αὐτοῦ, καὶ ἀριστερῶν, καὶ τοῦ ἔξω-

θεν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

θεν αὐτῷ, καὶ ἔσωθεν. εἴτε γὰρ πρᾶξις κατὰ Θεὸν, εἴτε γνῶσις, ἔχει σκοπὸν ἀγαθὸν ἐγκείμενον τῶν ἐναντίων αὐτοῦ ἐξ παθῶν. διὰ τοῦτο εἰς πᾶν πρᾶγμα δέεταί τις τοῦ ἐρωτᾶν κατὰ τὸν Ἅγιον Ἀντώνιον, καὶ τοῦτο οὐ τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς ἔχουσι χάρισμα διακρίσεως, ἵνα μὴ ἄπειροι ὄντες, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται κατὰ τὸ Εὐαγγελικὸν παράδειγμα. διότι χωρὶς διακρίσεως οὐδὲν καλὸν γίνεται, κἂν λίαν καλὸν φαίνηται τοῖς ἀγνοοῦσιν, εἴτε διὰ τὸ παρὰ καιρὸν, ἢ παρὰ τὴν χρῆσιν, εἴτε παρὰ τὸ μέτρον τοῦ πράγματος, ἢ τὴν ἰσχὺν τοῦ ἀνθρώπου, ἢ τὴν γνῶσιν αὐτοῦ, καὶ ἄλλα πολλά. ὁ γὰρ ἔχων διακρίσεως χάρισμα, ἐκ ταπεινοφροσύνης ἔλαβεν αὐτό. διὰ τοῦτο πάντα γινώσκει κατὰ χάριν, καὶ καιρὸν καλοῦντος, εἰς διόρασιν ἔρχεται. ἐκ τοῦ πένθους τοίνυν, καὶ τῆς ὑπομονῆς γίνεται ἐλπὶς, καὶ ἀπροσπάθεια, δι' ὧν ἡ νέκρωσις ἐκ τοῦ κόσμου. καὶ ἐὰν καλῶς ὑπομένῃ τις μὴ ἀπογνώσηται ἐκ τοῦ βλέπειν παντοίας στενοχωρίας, καὶ θανάτους, ἀλλὰ γινώσκων ὅτι δοκιμή ἐστι, καὶ φωτισμός. μήτε πάλιν θαῤῥήσας ὅτι ἔφθασεν εἰς μέτρον. βλέπων τὰ πολλὰ δάκρυα τῆς λύπης, ἔρχεται εἰς τὸ βλέπειν ἐναργῶς τὰ τοῦ Κυρίου ἅγια παθήματα, καὶ μεγάλως παρηγορεῖσθαι ἐκ τούτων, καὶ ἡγεῖται ἑαυτὸν ὑπὸ κάτω πάντων ἐν ἀληθείᾳ, ὁρῶν τοσαῦτα ἀγαθὰ γινόμενα εἰς αὐτὸν ὑπὸ τῆς χάριτος τοῦ Θεοῦ. αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

Γνῶσα ἰδὲ καὶ ἕνατος λόγος,
Περὶ τῶν σεπτῶν τοῦ Χριστοῦ παθημάτων.
Ἐκ θανάτου γὰρ καὶ πταισμάτων τῆς μνήμης,
Δάκρυα πολλὰ γεννῶνται τῷ ἐργάτῃ,
Καὶ ἐν τούτοις τίς ἐν τῷ ἰσχύει ἔχειν.
Τὰ πάθη Χριστοῦ, καὶ τῶν αὐτοῦ Ἁγίων.

Νῦν δὲ τὴν ἀρχὴν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ Θ'.

Ἵνα μὴ δοκῇ τις μέγα τι ποιῶν ἐκ τῆς ἀσκήσεως, καὶ τῶν πολλῶν στεναγμῶν καὶ δακρύων, δίδοται αὐτῷ ἡ γνῶσις τῶν τοῦ Χριστοῦ παθημάτων, καὶ τῶν Ἁγίων πάντων, καὶ ταῦτα κατανοῶν ἐκπλήττεται θαυμάζων ἅμα καὶ καταμέμφων ἑαυτὸν ἐν ἀσκήσει. καταγινώσκει γὰρ τὴν ἑαυτοῦ ἀσθένειαν ἐκ τῆς θεωρίας τῶν τοσούτων πειρασμῶν, ὧν οὐκ ἔστιν ἀριθμός. καὶ πῶς τοσαῦτα ὑπέμειναν οἱ ἅγιοι μετὰ χαρᾶς; καὶ πόσα δι' ἡμᾶς ἔπαθεν ὁ Κύριος; καὶ σὺν τούτοις φωτίζεται εἰς γνῶσιν τῶν γινομένων, καὶ λεγομένων ὑπ' αὐτοῦ. καὶ πάντα τὰ εἰρημένα ἐν τῷ Εὐαγγελίῳ κατανοῶν, ἄρχεται ποτὲ μὲν θρηνεῖν πικρῶς ἐκ τῆς λύπης, ποτὲ δὲ ἐκ τῆς εὐχαριστίας χαίρεται πνευματικῶς. οὐχ ὅτι ἔργα λογίζεται ἔχειν ἀγαθὰ, τοῦτο γὰρ οἴησίς ἐστιν, ἀλλ' ὅτι ἁμαρτωλὸς ὢν σφόδρα, τούτων τῆς θεωρίας ἠξιώθη, καὶ ταπεινοῦται μᾶλλον ἔργῳ, καὶ λόγῳ, διὰ τῶν εἰρημένων ἑπτὰ πράξεων, καὶ διὰ τῆς ἠθικῆς πράξεως, ἤγουν ψυχικῆς, καὶ τῆς



Athos Library Αγιορειτική Βιβλιοθήκη

φυλακῆς τῶν πέντε αἰσθήσεων, καὶ τῶν ὅπλων τοῦ Κυρίου. καὶ ταῦτα οὐχ ὡς ἔργα ἀγαθά, καὶ μισθοῦ ἄξια λογίζεται, ἀλλὰ μᾶλλον χρέος, καὶ οὐδὲ ποσῶς ἀπολαυθῆναι ἐλπίζων τοῦ χρέους, ἐκ τοῦ μεγέθους τῶν δεδωρημένων αὐτῷ γνώσεων. καὶ γίνεται τρόπῳ τινὶ ὡς αἰχμάλωτος, πρὸς τὰ νοήματα τῶν ἀναγινωσκομένων, καὶ ψαλλομένων λογίων. καὶ ἐκ τῆς ἡδονῆς πολλάκις λανθάνεται ἄκων τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ ἄρχεται ἐκ τῆς χαρᾶς δακρύειν τῇ τοῦ μέλιτος γλυκύτητι, καὶ πάλιν φοβούμενος τὴν πλάνην, μήπως παρὰ καιρόν ἐστι τοῦτο συστέλλεται. καὶ μιμνησκόμενος τῆς πρώτης διαγωγῆς αὐτοῦ πικρῶς δακρύει πάλιν, καὶ οὕτω μέσον τῶν ἀμφοτέρων δακρύων ὁδεύει. ἐὰν προσέχῃ καὶ εἰς πάντα συμβουλεύηται τινὶ ἐμπείρῳ, καὶ προσκυνῇ τῷ Θεῷ διὰ καθαρᾶς προσευχῆς τῆς πρεπούσης τῷ πρακτικῷ, ἐν τῷ συνάξαι τὸν νοῦν αὐτοῦ ἐκ παντὸς ὧν οἶδεν, ἢ ἤκουσε πρὸς τὴν τοῦ Θεοῦ μνήμην, καὶ ζητῇ μόνον τὸ θέλημα τοῦ Θεοῦ γενέσθαι ἐν πᾶσι τοῖς ἐγχειρήμασιν αὐτοῦ, καὶ νοήμασιν. εἰ δὲ μήγε, ἔχει πλανηθῆναι, ἐν τῷ δοκεῖν ὅτι ἐμφάνειαν μέλλει θεάσασθαι τινὸς τῶν Ἁγίων Ἀγγέλων, ἢ τοῦ Χριστοῦ. ἀγνοῶν, ὅτι ὁ ζητῶν ἰδεῖν τὸν Χριστόν, οὐκ ἔξωθεν ὀφείλει ζητεῖν, ἀλλ᾽ ἐν ἑαυτῷ διὰ τῆς μιμήσεως αὐτοῦ τῆς ἐν τῷ κόσμῳ διαγωγῆς, καὶ τὸ γενέσθαι σῶμα καὶ ψυχὴν ἀναμάρτητος, ὡς ὁ Χριστός. καὶ τὸν ἔχων διὰ Χριστὸν νοεῖται ἀεί. τὸ δὲ σχῆμα, ἢ χρῶμα, ἢ λογισμὸν ἔχειν κατὰ τὸν καιρὸν τῆς προσευχῆς, οὐκ ἔστι καλόν, ἀλλὰ μᾶλλον βλαβερὸν πάνυ. τὸ γὰρ ἐν τόπῳ Θεοῦ εἶναι τὸν νοῦν, ἐδίδαξεν ὁ Ἅγιος Νεῖλος, λαβὼν τὴν χρῆσιν ἐκ τοῦ ψαλτῆρος, καὶ ἐγενήθη, φησίν, ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ. εἰρήνη δὲ ἐστὶ τὸ μηδόλως ἔχειν λογισμὸν καλόν, ἢ πονηρόν, ἐπειδή, φησὶν ὁ αὐτός, ἐὰν ὁ νοῦς αὐτοῦ αἰσθῆται, οὐκ ἔστιν ἐν τῷ μόνῳ Θεῷ, ἀλλὰ καὶ ἐν ἑαυτῷ. καὶ εἰκότως. ἀπερίγραπτον γὰρ τὸ Θεῖον, καὶ ἀόριστον, ἀνείδεόν τε, καὶ ἄχροον. καὶ ὁ λέγων εἶναι μετὰ μόνου Θεοῦ, οὕτως ὀφείλει εἶναι, ἀνείδεος, ἄχροος, ἀσχημάτιστος, καὶ ἀπερίσπαστος. τὸ δὲ ἔξωθεν τούτου, πλάνη ἐστὶ δαιμονική. διὰ τοῦτο ὀφείλει τις προσέχειν, καὶ ἐκτὸς ἐρωτήσεως τῶν ἐμπείρων μηδόλως λογισμὸν στήσῃ καλόν, ἢ κακόν. διότι τὰ ἀμφότερα ἀγνοοῦμεν. οἱ γὰρ δαίμονες σχηματίζονται εἰς ὅπερ βούλονται, καὶ φαίνονται, ὡς καὶ ὁ ἀνθρώπινος νοῦς, πρὸς ἃ βούλεται καὶ αὐτὸς σχηματίζεται, καὶ βάπτεται πρὸς τὸ εἶδος τοῦ ἀναλαμβανομένου ὑπ᾽ αὐτοῦ πράγματος. ἀλλ᾽ οἱ μὲν δαίμονες πρὸς τὸ ἀποπλανῆσαι ἡμᾶς τοῦτο ποιοῦσιν, ὁ δὲ ἡμέτερος νοῦς ῥέμβεται ἀλόγως, πρὸς τὸ φθάσαι αὐτὸν εἰς τελειότητα. πλὴν ὅσον δύναταί τις κατέχειν αὐτὸν ὀφείλει εἴς τινα μελέτην κατὰ Θεόν. ὥσπερ γὰρ ἑπτά εἰσιν αἱ σωματικαὶ ἐργασίαι, οὕτω καὶ ὀκτώ εἰσιν αἱ θεωρίαι τοῦ νοός, ἤτοι γνώσεις. τρεῖς μὲν εἰσιν αἱ προειρημέναι περὶ τῶν ἀχράντων παθημάτων τοῦ Κυρίου, ἃς καὶ ὀφείλει τις ἀφ᾽ ἑαυτοῦ μελετᾶν ἀεὶ πρὸς τὸ πενθεῖν τὴν ἑαυτοῦ ψυχὴν, καὶ τῶν ὁμογενῶν. τοῦτ᾽ ἔστιν ἐννοεῖν τὰ γενόμενα ἐξ ἀρχῆς δεινὰ ὑπὸ τῆς παραβάσεως, καὶ πῶς εἰς τοσαῦτα πάθη ἡ φύσις ἐξέπεσε, καὶ τὰ ἑαυτοῦ πταίσματα, καὶ τοὺς πειρασμοὺς τοὺς γινομένους πρὸς διόρθωσιν. ἔπειτα τὸν θάνατον, καὶ τὰ μετὰ θάνατον ἀναμένοντα τοὺς ἁμαρτωλοὺς δεινά, ὅπως στιφθεῖσα ἡ ψυχὴ χαλάζῃ εἰς τὸ πένθος πρὸς παράκλησιν, καὶ ταπείνωσιν ταύτης. ἵνα μὴ ἴσως ἀπογινώσκῃ ἐκ τῶν πολλῶν καὶ φρικτῶν ἐκείνων νοημάτων, μηδὲ πάλιν δοκῇ εἰς ἔργον πραγματικὸν πεφθακέναι. ἀλλ᾽ ἵνα μένῃ εἰς τὸν φόβον, καὶ τὴν ἐλπίδα, ὅπερ λέγε-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ται πραότης τῶν λογισμῶν, ἥτις ὡσαύτως ἔχει. καὶ αὕτη εἰς γνῶσιν καὶ διάκρισιν φέρει τὸν νοῦν κατὰ τὸν Προφήτην· ὁδηγήσει πραεῖς ἐν κρίσει, μᾶλλον δὲ ἐν διακρίσει. ἥτις λέγεται ὑπὸ τοῦ Προφήτου γνῶσις μετ' εὐσεβείας. ἀλλ' ὥσπερ ἡ εὐσέβεια, μία μέν ἐστιν ὀνομασία, πολλὰς δὲ ἔχει τὰς ἐργασίας. οὕτω καὶ ἡ γνῶσις, μία μὲν ὀνομάζεται, πολλὰς δὲ γνώσεις, καὶ θεωρίας ἔχει. καὶ γὰρ ἡ ἀρχὴ τῆς σωματικῆς πράξεως γνῶσίς ἐστι, καὶ δίχα γνώσεως, οὐδεὶς ἔρχεται εἰς τὸ ποιεῖν τὸ ἀγαθόν. καὶ μέχρι τέλους τῆς υἱοθεσίας φημὶ, καὶ τῆς τοῦ νοὸς εἰς τὸν οὐρανὸν ἀναλήψεως ἐν Χριστῷ, γνῶσις λέγεται καὶ θεωρία. ἀλλ' ἡ μὲν πρὸ τοῦ καμάτου, ἵνα δι' αὐτῆς κατορθῆται τὸ ἔργον, ὥσπερ δι' ἐργαλείου κτίσις. ἡ δὲ μετὰ τὴν κτίσιν ἵνα φυλάττηται ὡς τεῖχος ἐκ τοῦ φόβου. καὶ πάλιν ἡ γνῶσις καὶ ἐργασία τῶν ἀρετῶν τῆς ψυχῆς γίνεται, ἵνα τὰ τοῦ παραδείσου φυτὰ ἑτοιμάζωνται, καὶ φυτεύωνται. εἶθ' οὕτως ἡ γνῶσις τοῦ νοὸς, καὶ ἡ πνευματικὴ ἐργασία, ἤγουν ἡ τῶν ἐπιστασία, καὶ κατάστασις τῶν ἠθῶν τῆς ψυχῆς, ἵνα ἐπιστημόνως ἐργάζηται, καὶ φυλάττῃ ὁ ἐργάτης τῶν ἐντολῶν. ἐξ ὧν ἐπιμέλεια τῶν φυτῶν, καὶ ἡ θεία κυβέρνησις γίνεται, ὡς ἥλιος, βροχὴ, ἄνεμος, καὶ αὔξησις, ὧν χωρὶς, ὅλος ὁ κόπος τοῦ ἐργάτου μάταιός ἐστι, κἂν ἴσως κατὰ λόγον γίνεται. διότι οὐδὲ δίχα τῆς ἄνωθεν ῥοπῆς, δύναταί τι ἀγαθὸν γενέσθαι, οὐδὲ ἡ ἄνωθεν ῥοπὴ, οὔτε ἡ χάρις ἐπὶ τὸν μὴ προαιρούμενον γίνεται· φησὶν ὁ θεῖος Χρυσόστομος. ἀλλὰ πάντα διπλᾶ τὰ τοῦ βίου τούτου, πρᾶξις, καὶ γνῶσις· προαίρεσις, καὶ χάρις· φόβος, καὶ ἐλπίς· ἆθλα, καὶ ἔπαθλα. ἀλλ' οὐδὲ τὰ δεύτερα γίνονται, πρὶν τελεσθῶσι τὰ πρῶτα. εἰ δ' ἴσως φαίνονται, ἀλλὰ πλάνη ἐστίν. ὥσπερ ὁ ἄπειρος τῆς γεωργικῆς ἐπιστήμης, ὅταν ἴδῃ τὸ ἄνθος, καὶ δοκῇ ὅτι καρπός ἐστιν, εὐθέως ὁρμήσει τοῦ ἐπισυνάγειν αὐτὸ, καὶ οὐκ οἶδεν, ὅτι τὸν καρπὸν ἀπόλλυσιν ἐν τῷ συνάγειν τὸ φαινόμενον. οὕτω καὶ ἐνταῦθα. τὸ γὰρ οἴεσθαι οὐκ ἐᾷ γενέσθαι τὸ οἰόμενον, φησὶν ὁ Ἅγιος Νεῖλος. διὰ τοῦτο ὀφείλει τις παραμένειν τῷ Θεῷ, καὶ μετὰ διακρίσεως ποιεῖν πάντα. αὕτη δὲ γίνεται ἐκ τοῦ ἐρωτᾷν μετὰ ταπεινώσεως, καὶ τοῦ μέμφεσθαι ἑαυτὸν, καὶ τὰ ὑπ' αὐτοῦ γινόμενα καὶ νοούμενα. διότι σχηματίζεται ὁ διάβολος εἰς Ἄγγελον φωτός· καὶ οὐ θαῦμα. Ἐπεὶ καὶ οἱ παρ' αὐτοῦ φυόμενοι λογισμοὶ, ὡς νοήματα δικαιοσύνης φαίνονται τοῖς ἀπείροις. ταπείνωσις μέν ἐστι θύρα ἀπαθείας, φησὶν ὁ τῆς Κλίμακος. ὕλη δὲ ταύτης ἡ πραότης ἐστί· κατὰ τὸν Μέγαν Βασίλειον. αὕτη γὰρ ποιεῖ τὸν ἄνθρωπον ἀεὶ ἔχειν ὡσαύτως, ἔν τε δυσχερέσι, καὶ εὐχερέσι πράγμασι, καὶ νοήμασι. καὶ οὔτε τιμῆς, οὔτε ἀτιμίας φροντίζει, ἀλλὰ τὰ ἡδέα καὶ ἐπίπονα μετὰ χαρᾶς δέχεται, καὶ οὐ ταράσσεται, ὡς ἡ παρθένος ἐκείνη, περὶ ἧς ἔφη ὁ Μέγας Ἀντώνιος. ὅτι καθημένου μου ποτὲ πρὸς τὸν Ἀββᾶν ὁδεῖνα, ἦλθε παρθένος τίς, καὶ εἶπε τῷ γέροντι. Ἀββᾶ ἕλκω τὰς ἓξ ἓξ, καὶ τὴν παλαιὰν καὶ καινὴν ἐκστηθίζω καθ' ἑκάστην. πρὸς ἣν ἀπεκρίθη ὁ γέρων ἐκεῖνος. ἐγένετό σοι ἡ ἔνδεια, ὡσεὶ δαψίλεια; ἡ δὲ ἔφη, οὐχί. οὐδὲ ἡ ἀτιμία, ὡς ἡ εὐφημία; οὐχὶ Ἀββᾶ. οὐδὲ οἱ ἐχθροὶ, ὡς οἱ φίλοι; καὶ εἶπεν οὐχί. λέγει πρὸς αὐτὴν ὁ σοφὸς γέρων ἐκεῖνος. ὕπαγε· ἐργάζου, οὐδὲν γὰρ ἔχεις. καὶ εἰκότως. ἐκείνη τοσαῦτα ἐνήστευεν, ὥστε ἅπαξ τῆς ἑβδομάδος ἤσθιε, καὶ τοῦτο ἐλάχιστόν τι βρῶμα, οὐκ ἔδει αὐτὴν ἔχειν τὴν ἔνδειαν, ὡς τὴν δαψίλειαν; καὶ πάλιν τὴν παλαιὰν καὶ νέαν ἐκστήθιζε καθ' ἑκάστην, καὶ οὐκ ἔμαθε ταπεινωθῆναι; καὶ μὴ ἔ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

χωσάτι ὅλως ἐκ τοῦ βίου, οὐκ ἔδει πάντας φίλους ἔχειν; οὐδὲ καὶ τοὺς ἐχθρούς, ὡς φίλους μαθεῖν ἔγνωσεν ἐκ τοσούτων καμάτων; καλῶς λοιπὸν εἶπεν, ὅσον ἔχεις. ἐγὼ δὲ καὶ προστίθημι, ὅτι ὁ τοιοῦτος καὶ μεγάλως κατακαίεται, ὥς φησιν ὁ Χρυσόστομος περὶ τῶν πέντε παρθένων τῶν μωρῶν. ὅτι τὸ βαρύτερον ἴσχυσαν ἀσκῆσαι, ἤγουν τὴν ὑπὲρ φύσιν παρθενίαν, καὶ τὸ ἐλαφρότερον οὐκ ἐδίωξαν, ἤγουν τὴν ἐλεημοσύνην, οὐ μᾶλλον καὶ ἔθλιψαν, καὶ ἄπιστοι, ὡς φυσικὴν ποιοῦσι, μέχρι τῆς σήμερον. ἀλλὰ καθὼς οὐκ ἐγίνωσκε τὸ ζητούμενον, ἐκοπία εἰς μάτην. ἔδει ὑμᾶς, φησὶν ὁ Κύριος, ταῦτα ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι· καλὴ μὲν ἡ ἄσκησις, ἀλλὰ μετὰ ὀρθοῦ σκοποῦ. καὶ οὐ τοῦτο ὡς ἔργον, ἀλλ' ὡς ἐργαλεῖον ἔργων ὀφείλομεν ἔχειν, μηδὲ ὡς καρπόν, ἀλλ' ὡς γῆν, δυναμένην μετὰ χρόνου, κόπου τε, καὶ Θεοῦ φέρειν φυτά, ἐξ ὧν ὁ καρπὸς γίνεται, ὅστις ἐστὶ κάθαρσις τοῦ νοός, καὶ ἕνωσις τῷ Θεῷ, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Δέκατον ἰδοὺ τὸ πάντα, καὶ ὁ λόγος,
Περὶ τῆς Χριστοῦ ταπεινώσεως πάλιν.
Ἐκ τοῦ μηδαμῶς περί τινος φροντίζειν,
Ἀλλὰ ἑαυτὸν ἐργάζεσθαι ὅλως,
Ἀεὶ ἡ ψυχὴ σὺν πάσῃ ἐργασίᾳ.

Νῦν δὲ τὴν ἀρχήν, Εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ Ι΄.

Κυρίως ὁ ταπεινόφρων οὐδέποτε παύεται τοῦ μέμφεσθαι ἑαυτόν, κἂν ὅλος ὁ Κόσμος μάχωνται αὐτῷ, καὶ ἀτιμάζωσιν· ἵνα μὴ μόνον ἀκουσίως σωθῇ, ὡς οἱ ἔχοντες ὑπομονήν, ἀλλ' ἵνα ἑκουσίως ἔχῃ πρὸς τὰ πάθη τοῦ Χριστοῦ· ἐξ ὧν ἔμαθεν ὁ τοιοῦτος τὴν μείζονα πασῶν τῶν ἀρετῶν, εἰς ἣν κατοικεῖ τὸ Πνεῦμα τὸ Ἅγιον. αὕτη γάρ ἐστιν ἡ θύρα τῆς βασιλείας, ἤγουν τῆς ἀπαθείας. καὶ ὁ εἰσελθὼν δι' αὐτῆς πρὸς τὸν Θεὸν ἔρχεται· καὶ χωρὶς ταύτης, μάταιος ὁ κόπος, καὶ πολύπονος ὁ δρόμος. αὕτη δὲ πᾶσαν ἀνάπαυσιν χαρίζει τῷ ἔχοντι αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ, διότι τὸν Χριστὸν ἔχει ἔνοικον. διὰ ταύτης γὰρ ἡ χάρις παραμένει, καὶ τὰ χαρίσματα φυλάττονται. αὕτη μὲν γεννᾶται ἐκ πλειόνων ἀρετῶν· ἤγουν ἐξ ὑπακοῆς, ὑπομονῆς
1 ἀκτημοσύνης, πτωχείας, Θείου φόβου, γνώσεως, καὶ ἄλλων. κυριώτερον δὲ ἐξ ὧν ἡ διάκρισις, ἡ φωτίζουσα τὰ πέρατα τοῦ νοός. πλὴν μὴ δοκῇ τις, ὅτι ἁπλῶς καὶ ὡς ἔτυχε γίνεται ταπεινόφρων, ἀλλὰ πρᾶγμά ἐστιν ὑπὲρ φύσιν, καὶ σχεδὸν καθ' ὅσον μέγα ἐστὶ τὸ χάρισμα, κατὰ τοσοῦτον πολλὴν ἔχει καὶ τὴν δυσχέρειαν, καὶ πολλῆς φροντίσεως δέεται, καὶ ὑπομονῆς * ἐναντίον τῶν ἐναντιουμένων αὐτῇ πειρασμῶν καὶ δαιμόνων· διότι πάσας τὰς αὐτῶν παρέρχεται παγίδας. ἡ ταπείνωσις γέννημά ἐστι τῆς γνώσεως, ἡ δὲ γνῶσις γέννημα τῶν πειρασμῶν. ὁ γνοὺς ἑαυτόν, δίδοται αὐτῷ ἡ γνῶσις τῶν πάντων· καὶ ὁ ὑποταγεὶς τῷ Θεῷ, ὑποταγήσεται αὐτῷ τὰ πάντα, ὅτε βασιλεύσῃ ἡ ταπείνωσις ἐν τοῖς μέλεσιν αὐτοῦ· καὶ εἰκότως. ἐκ γὰρ τῶν πολλῶν πειρασμῶν, καὶ τῆς τούτων

* ἐν ἄλλ. ἐναντίων



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑπομονῆς γίνεταί τις ἔμπειρος, κἀκεῖθεν γινώσκει τὴν ἰδίαν ἀσθένειαν, καὶ τὴν τοῦ Θεοῦ δύναμιν. καὶ ἐκ τῆς γνώσεως τῆς ἰδίας ἀσθενείας, καὶ ἀγνωσίας, ὅτι ἠγνόει ποτέ, ἅπερ νῦν ἔμαθεν, ὑπολαμβάνει. ὅτι ὄντως ὡς ταῦτα ἠγνόει ποτὲ καὶ οὐκ οἶδεν ὅτι ἀγνοεῖ, οὕτω καὶ ἄλλα πολλά εἰσιν, ἅπερ μετὰ ταῦτα ἴσως γνῶσιν ἔχει λαβεῖν, κατὰ τὸν Μέγαν Βασίλειον. φησὶ γάρ, εἰ μήτις γεύσηται πράγματος, οὐκ οἶδε τί ὑστερεῖται· ὁ δὲ γευσάμενος τῆς γνώσεως, γινώσκει ἐκ μέρους ὅτι ἀγνοεῖ, καὶ γίνεται αὐτῷ ἡ γνῶσις ταπεινώσεως πρόξενος. καὶ πάλιν ὁ γνοὺς ἑαυτόν, ὅτι κτίσμα ἐστὶ τρεπτόν, οὐδέποτε ἐπαίρεται ἐν μηδενί. ὅτι κἂν τί ἔχῃ ἴσως, τοῦ κτίσαντος αὐτόν ἐστιν. οὐδεὶς γὰρ σκεῦός τι ἐπαινεῖ, ὅτι αὐτὸ ἑαυτὸ ἐποίησεν εὔχρηστον, ἀλλὰ τὸν ποιητὴν τούτου ἐγκωμιάζει· ὅταν δὲ ἀφανισθῇ, τότε τὸν αἴτιον μέμφεται, καὶ οὐχὶ τὸν ποιητήν· εἰ δὲ λογικόν ἐστι σκεῦος, ἐξ ἀνάγκης καὶ αὐτεξούσιόν ἐστι. καὶ λοιπὸν εἰς μὲν τὰ καλά, ὁ ποιητὴς δοτήρ, ὥσπερ καὶ τῆς πλάσεως αἴτιος, εἰς δὲ τὴν πτῶσιν, καὶ παρατροπήν, ἡ προαίρεσις τοῦ αὐτεξουσίου· ὥσπερ οὖν ἕπεται καὶ κατὰ χάριν ἔπαινος μένοντι ἀτρέπτῳ, οὕτω καὶ ψόγος δεχομένῳ τὴν κακίαν τοῦ ὄφεως· οὐ γὰρ τῷ λαμβάνοντι δῶρα ἔπαινος, ἀλλὰ τῷ παρέχοντι πρέπει σὺν τῇ εὐχαριστίᾳ. κατὰ χάριν δὲ ἴσως ἔχει ὁ λαβὼν ἔπαινον, διὰ τὸ προθέσει λαβεῖν ἃ οὐκ εἶχε, μᾶλλον δὲ διὰ τὸ εὐγνωμονεῖν περὶ τὸν εὐεργέτην· καὶ εἰ μὴ τοῦτο γίνεται, οὐ μόνον ἐκπίπτει τῶν ἐπαίνων, ἀλλὰ καὶ κατακρίνεται τῇ ἀγνωμοσύνῃ αὐτοῦ. οὐδεὶς δὲ οὕτως ἀναιδῶς τολμᾷ λέγειν, ὅτι οὐκ ἔλαβε δωρεάν, ἀλλὰ μετὰ πανουργίας κλέπτων τὸν ἔπαινον, καὶ καυχώμενος ἡσυχῇ, ταπεινεῖ τὰς ἔνδοθεν μὴ κατ᾽ αὐτὸν γινομένας, ὡς ὅτι αὐτὸς τὸν πλοῦτον, ὃν δοκεῖ ἔχειν, προτέφερεν ἑαυτοῦ, καὶ οὐ κατὰ χάριν ἔλαβεν· εἰ δὲ ἴσως εὐχαριστεῖ ὁ τοιοῦτος τῷ δοτῆρι, ἀλλὰ κατὰ τὸν Φαρισαῖον ἐκεῖνον σχηματίζεται, καὶ λέγει πρὸς ἑαυτόν, εὐχαριστῶ σοι ὅτι τάδε, καὶ τάδε εἰμί. καλῶς οὖν εἶπεν ὁ Εὐαγγελιστής, μᾶλλον δὲ ὁ καρδιογνώστης Θεός· πρὸς ἑαυτόν, ἀλλ᾽ οὐ πρὸς τὸν Θεὸν ἔλεγεν. εἰ γὰρ καὶ πρὸς τὸν Θεὸν ἐδόκει τῷ στόματι λέγειν, ἀλλ᾽ ὁ γινώσκων τὴν ἐπηρμένην αὐτοῦ ψυχήν, οὐ πρὸς τὸν Θεὸν εἶπεν. ἀλλὰ φησί, σταθεὶς ὁ Φαρισαῖος πρὸς ἑαυτόν, τάδε ἔλεγε. Τὸ δὲ λέγειν τὴν γραφὴν πολλάκις τὰ αὐτὰ ῥητά, ἢ τὰ τούτοις ὅμοια, οὐκ ἔστι, φησὶν ὁ Χρυσόστομος ἀλληλογία, ἢ πολυλογία, ἀλλ᾽ ἵνα ἐντυπωθῇ ὁ λόγος ἐν τῇ καρδίᾳ τῶν ἀκροατῶν. ὁ δὲ ψαλμῳδὸς ἐκ πόθου οὐκ ἤθελε τὸ ῥητὸν καταλιπεῖν, ὡς οἱ μὴ γευσάμενοι τῆς τούτου γλυκύτητος, ἀλλ᾽ ἀπὸ τῆς ἀκηδίας καὶ αὐτὸ τὸ ῥητὸν καταπατοῦσιν ἵνα λυτρωθῶσι τοῦ βάρους αὐτοῦ. ἆρα ὁ τοιοῦτος πότε καρπώσαιτο ἐκ τῶν θείων γραφῶν τί χρήσιμον; καὶ οὐ μόνον κατάκεισιν, καὶ σκοπασμὸν τοὺς ἐν τῷ ἀνοῖξαι θύραν τοῖς πολεμοῦσιν αὐτὸν δαίμοσι; κατὰ τὸ ῥητὸν τοῦ Κυρίου, εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται; καὶ εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἄδικος καὶ ἀσεβὴς ποῦ φανεῖται; καὶ εἰ τοὺς ἔχοντας ὅλον τὸν νοῦν εἰς τὴν μνήμην τοῦ Θεοῦ ἄυλον, καὶ ἀνενδότως πολεμοῦσιν οἱ δαίμονες, καὶ εἰ μὴ ὁ Θεὸς ἀντελαμβάνετο αὐτῶν, διὰ τῆς ταπεινοφροσύνης τῶν τοιούτων, οὐκ ἂν ἴσχυσεν ἀνελθεῖν ἡ προσευχὴ αὐτῶν, ἀλλ᾽ ἐπεστρέφετο κενή; τί ποιήσωμεν ἡμεῖς οἱ ἄθλιοι, ὅτι οὐδὲ κἂν τῷ ἀέρι διὰ στόματος προσλαλοῦμεν, ἵνα ὀψέποτε σπλαγχνισθεὶς ὁ Θεός, συγκαταβήσεται τῇ ἀγνωσίᾳ ἡμῶν, καὶ ἀσθενείᾳ διὰ τῆς εὐγνωμοσύνης; ὅτι δὲ καὶ τοὺς τελείους πολεμοῦσιν οἱ δαίμονες, ἀκούσωμεν τί φη-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σιν ὁ Ἅγιος Μακάριος, ὅτι οὐδεὶς ἐνταῦθα τέλειος γίνεται ἐν τῷ νῦν αἰῶνι, ἐπεὶ οὐκ ἀῤῥαβὼν ἦν τὸ διδόμενον ἐνταῦθα. καὶ μαρτυρίαν ἐπιφέρει τινὰ τῶν ἀδελφῶν, ὅς τις ηὔχετο μετά τινων, καὶ αἴφνης ἡρπάγη εἰς τὸν οὐρανὸν κατὰ διάνοιαν, καὶ εἶδε τὴν ἄνω Ἱερουσαλὴμ, καὶ σκηνὰς τῶν ἁγίων, καὶ κατελθὼν, ἐξέπεσε τῆς ἀρετῆς, καὶ εἰς τελείαν ἀπώλειαν κατήντησεν, διὰ τὸ οἴεσθαι αὐτὸν τί πεφθακέναι, καὶ οὐ μᾶλλον μεῖζον χρέος ἔχειν, ὡς ἀξιωθέντα τοιούτου ὕψους, ἀνάξιον ὄντα, καὶ χοῦν τῇ φύσει. καὶ πάλιν ὁ αὐτὸς ἔφη, πολλοὺς οἶδα, καὶ ἐκ τῆς πείρας κἀγὼ ἐν τοῖς τοιούτοις εἰσῆλθον, καὶ οἶδα ἀκριβῶς, ὅτι οὐδεὶς ἐνταῦθα τέλειος. ἀλλὰ κἂν ἄϋλος τάχα γένηται, καὶ τῷ Θεῷ σχεδὸν ἑνούμενος, ἡ ἁμαρτία πάλιν ἀκολουθεῖ ὄπισθεν αὐτοῦ, καὶ οὐδέποτε πρὸ τοῦ θανάτου ἀφανίζεται τέλεον. καὶ ὁ Ἅγιος Νεῖλος περί τινος ἔφη· ὅτι προσηύχετο καὶ κατὰ συγχώρησιν Θεοῦ πρὸς ὠφέλειαν αὐτοῦ καὶ ἄλλων πολλῶν, ἐτίνασσον αὐτὸν οἱ δαίμονες εἰς τὸ ὕψος, λαμβάνοντες ἐκ τῶν χειρῶν καὶ τῶν ποδῶν αὐτοῦ, καὶ ἵνα μὴ βλαβῇ αὐτοῦ τὸ σῶμα πεσὸν εἰς τὴν γῆν, ἐν τῷ ψιαθίῳ ἐδέχοντο. καὶ τοῦτο ποιοῦντες ἐπὶ πολὺ, οὐκ ἠδυνήθησαν καταβιβάσαι τὸν νοῦν αὐτοῦ ἐκ τῶν οὐρανῶν. ἆρα ὁ τοιοῦτος ποτὲ αἴσθοιτο βρώσεως; ἢ ποτὲ ψαλμῳδίας, καὶ ἀναγνώσεως δεηθήσεται; ἀλλ' ἡμεῖς δεόμεθα τούτων διὰ τὴν ἀσθένειαν τοῦ νοὸς ἡμῶν, εἰ καὶ οὐδ' οὕτω θέλομεν προσέχειν. βαβαὶ, ὁ τοιοῦτος ἅγιος ἐπολεμεῖτο, καὶ ἡμεῖς ἀμεριμνοῦμεν ἐκ τοῦ πολέμου; οἱ ἅγιοι διὰ τῆς ταπεινώσεως φυλάττονται ἐκ τῶν τοῦ διαβόλου παγίδων, καὶ ἡμεῖς ἐπαιρόμεθα ἐξ ἀγνωσίας; καὶ εἰκότως. ἀγνωσία μεγάλη ἐστὶ, τὸ ἐπαίρεσθαί τινα εἰς ὃ οὐκ ἔχει. τί γὰρ ἔχεις, φησὶν, ὃ ἔλαβες δωρεὰν ἐκ Θεοῦ, ἢ δι' εὐχῶν ἄλλων τινῶν; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβὼν, ἀλλ' αὐτὸς ποιῶν; φησὶν ὁ Ἀββᾶς Κασσιανός. ἡ ταπείνωσις τοίνυν γεννᾶται ἐκ τῆς γνώσεως· αὕτη δὲ γεννᾷ τὴν διάκρισιν· ἐξ ἧς γεννᾶται ἡ διόρασις, ἣν καλεῖ ὁ Προφήτης βουλήν· ἥτις βλέπει τὰ πράγματα τῇ φύσει, καὶ νεκροῦται ὁ νοῦς ἐκ τοῦ Κόσμου, διὰ τῆς θεωρίας τῶν κτισμάτων τοῦ Θεοῦ. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἔνδε-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἕνδεκά εἰσιν οἱ λόγοι καὶ τὸ λάμβδα.
Ταπείνωσις δὲ γεννᾷ τὸ διακρίνειν
Τὴν τῶν αἰσθητῶν κτισμάτων κατὰ φύσιν.

Νῦν δὲ τὴν ἀρχήν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ ΙΑ.

Λίαν ἐστὶ καλὸν τὸ ἐρωτᾷν εἰς πάντα, τοῖς ἐμπείροις ὅμως, τοῖς δὲ ἀπείροις ἐπισφαλές, διὰ τὸ μὴ ἔχειν διάκρισιν. γινώσκει γὰρ αὕτη τὸν καιρόν, τὴν χρῆσιν, τὴν κατάστασιν τοῦ ἀνθρώπου, τὴν ποσότητα, τὴν δύναμιν, τὴν γνῶσιν τοῦ ἐρωτῶντος, καὶ τὴν προαίρεσιν, τὸν σκοπὸν τοῦ Θεοῦ, καὶ ἑκάστου ῥητοῦ τῆς θείας γραφῆς, καὶ ἄλλα πολλά. διότι ὁ μὴ ἔχων τὴν διάκρισιν, ἴσως κοπιᾷ μὲν πολλά, οὐδὲν δὲ ἀνύσαι δύναται. καὶ εἰ μὲν εὑρεθῇ τις ἔχων ταύτην, ὁδηγός ἐστι τυφλῶν, καὶ φῶς τοῖς ἐν σκότει. καὶ ὀφείλομεν αὐτῷ ἀνατεθῆναι πάντα, καὶ τὰ παρὰ τοῦ τοιούτου δέχεσθαι, κἂν ἴσως οὐχ ὁρῶμεν ὡς θέλομεν διὰ ἀπειρίας. ἀλλ' ὅμως ὁ ἔχων ταύτην, ἐκ τούτου μᾶλλον φαίνεται ἐκ τοῦ δύνασθαι αὐτὸν κατασκευάζειν νοεῖν τὰ λεγόμενα ἄκοντας καὶ μὴ * βουλόμενος· ἐπειδὴ τὸ πνεῦμα ἐρευνᾷ, καὶ ἐμφαίνει τῶν θείων πραγμάτων, ἐκ τοῦ δύνασθαι καὶ μὴ θέλοντα τὸν νοῦν πεῖσαι πιστεῦσαι, κατὰ τὸν Ἰωνᾶν, Ζαχαρίαν, καὶ Δαβὶδ τὸν ἀπὸ λῃστῶν, ὃν ἐκράτησεν ὁ Ἄγγελος τοῦ λαλεῖν τι τὸ παράπαν, ἐκτὸς τοῦ κανόνος αὐτοῦ ἐν τῷ ψάλλειν. εἶδ' ἴσως οὐκ ἔστι νῦν τὸ εἶναί τινα ἐν διακρίσει ἐν τῇ γενεᾷ ταύτῃ, διὰ τὸ μὴ εἶναι τὴν γεννῶσαν αὐτὴν ταπείνωσιν, ἐμπόνως περὶ ἑκάστου ἐγχειρήματος ὀφείλομεν εὔχεσθαι, κατὰ τὸν Ἀπόστολον· κἂν γὰρ ἀπορῶμεν ὁσίων χειρῶν, ἁγνῆς καθαρότητος ψυχῆς καὶ σώματος, ἀλλ' οὖν τέως ἐκτὸς μνησικακίας, καὶ λογισμῶν σπουδάσωμεν εἶναι· τοῦτο γάρ ἐστι τὸ Ἀποστολικόν, τὸ χωρὶς ὀργῆς, καὶ διαλογισμῶν ὁσίας χεῖρας αἴρειν. καὶ εἴ τι νοοῦμεν κατὰ Θεὸν εἶναι, ἀπαθῶς ποιήσωμεν, κἂν ἴσως οὐ πάνυ καλόν ἐστι, διὰ γοῦν τὴν ἀπορίαν καὶ τὸν κατὰ Θεὸν σκοπόν, εἰς καλὸν ἡμῖν τὸ πραχθὲν ὑπὸ τῆς χάριτος λογισθήσεται. εἴπερ ἐστὶ πάθος, ἀλλὰ τὸ θεῖον θέλημα, ὡς εἴρηται. καὶ ταῦτα μὲν κατὰ ἀνάγκην, διὰ μόνην Θεοῦ ἀγαθότητα· ὅπου δὲ ἴδιον θέλημα, καὶ οὐ θεῖον, ἐκεῖ ἔπαρσις, καὶ ὁ Θεὸς οὐκ εὐδοκεῖ, οὐδὲ ἀποκαλύπτει τὴν αὐτοῦ βουλήν, ἵνα μήτις γινώσκων, καὶ μὴ ποιῶν, μειζόνως κατακριθῇ. διότι ὅσα ὁ Θεὸς δίδωσιν ἡμῖν, καὶ ὅσα κατέχει ἀφ' ἡμῶν, πρὸς τὸ συμφέρον ποιεῖ, κἂν ἡμεῖς ὡς νήπιοι ἀγνοοῦμεν. οὐ καταπέμπει τὸ Ἅγιον αὐτοῦ Πνεῦμα τῷ μὴ καθάραντι ἑαυτὸν ἐκ τῶν παθῶν, διὰ σωματικῶν, καὶ ἠθικῶν πράξεων, ἵνα μὴ ἐκ τῆς συνηθείας πρὸς τὰ πάθη ἐκκλίνῃ ὁ τοιοῦτος, καὶ γένηται ἔνοχος τῆς τοῦ Ἁγίου Πνεύματος ἐπιφοιτήσεως. ἀλλ' ὅταν χρονίσῃ τις ἐν τῇ ἀσκήσει, καὶ καθάρῃ πρῶτον τὸ σῶμα ἐκ τῆς κατ' ἐνέργειαν ἁμαρτίας, μικρᾶς τε καὶ μεγάλης, εἶτα τὴν ψυχὴν ἐκ πάσης ἐπιθυμίας, καὶ εἴδους θυμοῦ, καὶ τὰ ἤθη τῇ καλῇ συνηθείᾳ καταστήσῃ, πρὸς τὸ μηδ' ὅλως τι παρὰ τὸ θέλημα τοῦ Θεοῦ ποιεῖν αὐτὰ διὰ

* ἴσ. μὴ βουλομένους

τῶν πέντε αἰσθήσεων, μήτε κατὰ τὸν ἔσω ἄνθρωπον συγκατάβασις γένηται πρός τι τοιοῦτον, καὶ ὑποταγήσεται ἑαυτῷ ὁ ἄνθρωπος, τότε καὶ ὁ Θεὸς ὑποτάσσει αὐτῷ τὰ πάντα· τῇ τοῦ Ἁγίου Πνεύματος χάριτι· διὰ τῆς ἀπαθείας. δεῖ γὰρ αὐτὸν ὑποταγῆναι πρῶτον τῷ νόμῳ τοῦ Θεοῦ, καὶ οὕτως ὑποτάσσει ὡς λογικὸς τοὺς ὑπὸ χεῖρα, ὥστε τὸν νοῦν βασιλεύειν, καθὼς ἀρχῆθεν ἐκτίσθη, βασιλείαν φρόνιμον, σώφρονα, ἀνδρείαν τε, καὶ δικαίαν. καὶ τὸν μὲν καταπαύει τὸν θυμὸν τῇ τῆς ἐπιθυμίας μαλακότητι, τὴν δὲ τὴν ἐπιθυμίαν κατευνάζει τῇ αὐστηρότητι τοῦ θυμοῦ, καὶ γινώσκει ὅτι αὐτοκράτωρ ἐστί, καὶ πράττει πάντα τὰ μέλη τοῦ σώματος, κατὰ τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ οὐκ ἔτι ὑπὸ τῆς λήθης, καὶ ἀγνωσίας κλέπτεται ὡς τὸ πρίν. τότε τοίνυν ἀπὸ τῆς κατὰ Θεὸν σχολῆς διορατικὸς γίνεται, καὶ προβλέπειν ἄρχεται τὰς ἡτοιμασμένας παγίδας τοῦ διαβόλου, καὶ τὰ ἀφανῆ, καὶ κατὰ κλοπὴν γινόμενα· οὐ μέντοι δὲ προορᾷ τὰ μέλλοντα ὡς οἱ Προφῆται· τοῦτο γὰρ ὑπὲρ φύσιν ἐστί, καὶ δίδοται πρὸς τὸ συμφέρον τοῦ κοινοῦ. ἡ δὲ διόρασις φυσική ἐστι, καὶ τοῦ νοὸς καθαρθέντος, φαίνεται αὕτη ἐκ τῆς ἐπικρατείας τῶν παθῶν, ὡς ἐν σκότει καλυπτομένη. διὰ δὲ τῆς ταπεινοφροσύνης ἔρχεται ἡ χάρις, καὶ ἀνοίγει τὸν ὀφθαλμὸν τῆς ψυχῆς, ὃν ἐτύφλωσεν ὁ διάβολος, καὶ εὐθέως ἄρχεται ὁ ἄνθρωπος βλέπειν τὰ πράγματα κατὰ φύσιν, καὶ οὐκ ἔτι δελεάζεται ὑπὸ τῆς ἔξωθεν θεωρίας τῶν πραγμάτων, ὡς τὸ πρίν. βλέπει γὰρ ἀπροσπαθῶς ὁ τοιοῦτος, τὸν χρυσόν, τὸν ἄργυρον, τοὺς τιμίους λίθους καὶ οὐ πλανᾶται, οὐδὲ παρακρίνει ἐμπαθῶς, ἀλλὰ γινώσκει, ὅτι ἐκ τῆς γῆς εἰσι ταῦτα, ὡς καὶ αἱ λοιπαὶ ὗλαι τοῦ κόσμου, κατὰ τοὺς ἁγίους Πατέρας. βλέπει ἄνθρωπον, καὶ γινώσκει, ὅτι ἐκ τῆς γῆς ἐστι, καὶ εἰς τὴν γῆν στραφῆναι μέλλει, τοῦτο δὲ οὐχ ἁπλῶς λογίζεται. καὶ γὰρ πάντες οἱ ἄνθρωποι ἐκ τῆς πείρας ταῦτα γινώσκουσιν, ἀλλ' ἐκ τῶν παθῶν τυραννούμενοι προσπαθοῦσι τὰ πράγματα. εἰ δέ τις διὰ τῆς οἰήσεως δοκεῖ, ὅτι χωρὶς τῶν προτέρων πόνων, καὶ ἀρετῶν ἔφθασεν εἰς τὸ βλέπειν τὰ πράγματα κατὰ φύσιν, οὐδὲν θαυμαστόν. οἶδε γὰρ αὕτη ποιεῖν καὶ τυφλοὺς δοκοῦντας βλέπειν, καὶ ἄφρονας μεγαλαυχεῖν διακενῆς. εἰ γὰρ οὕτως ἐλαφρὸν ἦν τὸ βλέπειν κατὰ φύσιν τὰ πράγματα ἐκ τοῦ λογίζεσθαι μόνον, περιττὸν ἦν τὸ πένθος, καὶ ἡ ἐκ τούτου κάθαρσις. οὐ μήν, ἀλλὰ καὶ ἡ πολύτροπος ἄσκησις, καὶ ἡ ταπείνωσις, καὶ ἡ ἄνωθεν χάρις, καὶ ἡ ἀπάθεια· ἀλλ' οὐκ ἔστι τοῦτο οὐκ ἔστι. γίνεται γὰρ εὐκοπώτερον πολλάκις εἰς τοὺς ἁπλουστάτους, καὶ καθαρὸν ἔχοντας τὸν νοῦν ἐκ τῶν τοῦ κόσμου πραγμάτων, καὶ πονηρῶν, ὅταν συμβῇ τοιούτῳ ὑποταγῆναι ἐμπείρῳ καὶ Πνευματικῷ Πατρί, ἢ πάλιν κατὰ τοὺς ἀρχαίους κατ' οἰκονομίαν τῆς χάριτος, πρὸ τοῦ γνῶναι δεξιά, ἢ ἀριστερὰ αὐτοῦ, ὥς φησιν ὁ Σολομών. τὸ δὲ δουλεῦσαι ἡμᾶς τοῖς πάθεσιν ἐκ νεαρᾶς ἡλικίας, καὶ πᾶσαν πονηρίαν, καὶ ῥᾳδιουργίαν ἀσκῆσαι σχεδὸν μετὰ πάσης προθυμίας, χωρὶς κόπου, καὶ χρόνου, καὶ Θεοῦ, τῶν τοιούτων κακῶν ἐκλυτρωθῆναι, καὶ οὕτω βλέπειν, ἀμήχανον εἰ μή πῃ ὡς ἐκεῖνα, καὶ τὴν κτῆσιν τῶν ἀρετῶν ἀγαπήσαντες, ἔργῳ καὶ λόγῳ τούτων σπουδαίως ἐπιμελούμεθα· εἰ καὶ οὐδ' οὕτω πολλάκις γίνονται χρήσιμα ἡμῖν τὰ σπουδάσματα, εἴτε διὰ τὸ μὴ ὑπομένειν τοὺς πειρασμοὺς μέχρι τέλους, εἴτε ἐκ τοῦ ἀγνοεῖν ἡμᾶς τὴν ὁδόν, ἢ τὸν σκοπόν, ἢ διὰ ὀκνηρίας, ἢ ἀπιστίας, ἢ ἄλλων πολλῶν τρόπων, ὧν οὐκ ἔστιν ἀριθμός· εἰ δὲ καὶ ταῦτα οὕτως ἔχει, καὶ μακρὰν τυγχάνομεν καθ' ὑπερβολήν, πῶς τολμήσωμεν εἰπεῖν, ὅτι ἐφθάσαμεν εἰς τὸ ἀρχαῖον

κάλ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κάλλος; εἰ μὴ διὰ αὐταρεσκείας πλανώμεθα, καὶ ἀφανοῦς ἀπωλείας. ὡς γὰρ ἡ αὐτομεμψία ἀφανὴς προκοπή ἐστι, διὰ τὸ ὁδεύειν καλῶς, καὶ μὴ αἰσθάνεσθαι· οὕτω καὶ ἡ οἴησις καὶ αὐταρέσκεια, ἀφανὴς ἀπώλειά ἐστι, διὰ τὸ στραφῆναι ἡμᾶς εἰς τὰ ὀπίσω, καὶ μὴ γινώσκειν. καὶ εἰκότως. ἐν κενοδόξῳ ψυχῇ καὶ τὰ ὑπὸ τῆς χάριτος καθαρθέντα πάθη στρέφονται, καὶ ὁ Κύριος, ὅταν ἐξέλθῃ, φησὶ, τὸ ἀκάθαρτον πνεῦμα καὶ τὰ ἑξῆς· διατί; ὅτι οὐκ ἔχει ἐργασίαν πνευματικὴν ὁ τόπος, ἀφ' οὗ ἐξῆλθεν, οὐδὲ ταπείνωσιν, διὰ τοῦτο καὶ μετὰ προσθήκης ἄλλων κακῶν, καὶ πολλῶν ἐκ τῆς δουλείας ἔρχεται, καὶ κατοικεῖ· ὁ νοῶν νοείτω. οὐ βούλεται γὰρ ὁ λόγος παραδοῦναι σαφῆ πάντα, οὐδὲ πάλιν καταλιπεῖν τὸ ἔμπαλιν, ἀλλ' ὡς συμφέρει. καὶ γὰρ, φησὶν ὁ Χρυσόστομος, μεγάλη καὶ αὕτη εὐεργεσία τοῦ Θεοῦ, ἐν τῷ εἶναι τινὰ μὲν τῶν θείων γραφῶν εὔδηλα, τινὰ δὲ ἄδηλα. ἵνα διὰ μὲν τῶν, εἰς πίστιν καὶ προθυμίαν ἐρχώμεθα, καὶ μὴ ἐκ τῆς ἄγαν ἀκαταληψίας, εἰς ἀπιστίαν καὶ ῥαθυμίαν ἐκπίπτωμεν. διὰ δὲ τῶν, εἰς ζήτησιν, καὶ πόνον διεγειρώμεθα, καὶ τῆς ὑπονοίας λυτρώμεθα, καὶ τὴν ταπείνωσιν εὑρίσκωμεν, ἐκ τοῦ μὴ δύνασθαι ἡμᾶς καταλαβεῖν. καὶ οὕτως ἐξ ἀμφοτέρων καρπώμεθα ταπείνωσιν, καὶ πόθον πρὸς τὸν Θεὸν, εἰ αἴσθησιν λάβωμεν τῶν γινομένων εἰς ἡμᾶς δωρεῶν. ἡ πέμπτη τοίνυν θεωρία, περὶ ἧς ὁ λόγος, καὶ ἡ ἀσφάλεια αὕτη ἐστὶ, τὸ δύνασθαί τινα ἔργῳ βλέπειν τὰ αἰσθητὰ κτίσματα, καὶ τοὺς λογισμοὺς, ἐκ τῆς διακρίσεως, καὶ μὴ ἔκ τινος πλάνης ἀγνοεῖν, καὶ παρὰ τὸν θεῖον σκοπὸν οἱ ἐμπαθεῖς ποιοῦντι, ἢ συγκαταβαίνειν τῷ λογισμῷ. ἀλλὰ κἂν θάνατον πρόκειται ἐκ τοῦ θείου σκοποῦ μὴ διέρχεσθαι λόγῳ, καὶ ἔργῳ. τοῦτο δὲ περὶ τοῦ τέλους τῆς γνώσεως ἐρρέθη, ἐπειδὴ εἰς τὴν ἀρχὴν ὡς μαθητὴς ἐξ ἀνάγκης *ἐπιτυγχάνει τοῦ σκοποῦ. ἴσως δὲ καὶ ἐκ τοῦ ἔργου, ἡττώμενος ἐκ τῆς συνηθείας. καὶ ποτὲ μὲν κατ' οἰκονομίαν πλανᾶται μικρὸν, καὶ εὐθὺς στρέφεται μετὰ πολλῆς ταπεινώσεως· ποτὲ δὲ ἐκ τῆς οἰήσεως σχηματίζεται πρὸς ἔπαρσιν. ὅταν δὲ οὕτω διάκειται, ὀφείλει γινώσκειν, ὅτι ἡ χάρις παιδεύουσα διδάσκει αὐτὸν ταπεινωθῆναι, καὶ γινώσκειν πόθεν λαμβάνει τὴν ἰσχὺν, καὶ τὴν γνῶσιν. ἵνα μὴ ὦμεν πεποιθότες ἐφ' ἑαυτοῖς, φησὶν, ἀλλ' ἐπὶ τὸν ἐγείραντα, καὶ τὰ ἑξῆς. ὅπερ καὶ ἐνταῦθα γίνεται. οὐ γὰρ ὑπομένων τις μήτε ἐπαιρόμενος, μήτε στρεφόμενος ἐκ τῆς ἀρετῆς, ἐγείρεται καὶ αὐτὸς ἐκ τῆς νεκρώσεως τοῦ σώματος, καὶ τῶν πραγμάτων, πρὸς τὴν τῶν ὄντων γνῶσιν· καὶ γὰρ κατὰ τὸν Ἀπόστολον συσταυροῦται διὰ τῶν σωματικῶν πράξεων ὁ ἄνθρωπος σωματικῶς, καὶ διὰ τῶν ψυχικῶν πράξεων ψυχικῶς, εἶθ' οὕτω συνθάπτεται διὰ τῆς νεκρώσεως τῶν αἰσθήσεων, καὶ τῆς κατὰ φύσιν γνώσεως, καὶ ἀνίσταται διὰ τῆς ἀπαθείας νοερῶς, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* ἴσ. ἀποτυγχάνει



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Στοιχεῖον τὸ μῦ, καὶ δωδέκατος λόγος.
Τοίνυν ὁ παρὼν αἰσθητῶν τε κτισμάτων
Τὴν πεῖραν δηλοῖ τῆς θεωρίας πάντων,
Καὶ ἵνα μηδεὶς, παρὰ καιρὸν ζητήσῃ.

Νοῦ δὲ τὴν ἀρχὴν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ ΙΒ.

ΜΗ' νέκρωσιν ὁ νοῦς ἐκ τῶν παθῶν κτησάμενος, οὐ συμφέρει αὐτῷ εἰς τὴν τῶν αἰσθητῶν θεωρίαν ἐλθεῖν. ἐὰν δὲ περισπᾶται καὶ οὐ σχολάζῃ ἐν τῇ μελέτῃ τῶν θείων γραφῶν ἐν γνώσει καὶ ἡσυχίᾳ, σκοτίζεται ὁ ἄνθρωπος μᾶλλον ὑπὸ τῆς λήθης, καὶ εἰς ἄγνοιαν κατὰ μικρὸν ἔρχεται, κἂν ἴσως εἰς γνῶσιν νοὸς ἔφθασεν ὁ τοιοῦτος, καὶ μάλιστα ἐὰν οὐχ ὑπὸ τῆς χάριτος ἦλθεν ἡ γνῶσις, αὐτοῦ μὴ εἰδότος, ἀλλ' ἀπὸ τῆς ἀναγνώσεως, καὶ τῶν ἐμπείρων ἔτι μανθάνων περὶ τῶν τοιούτων μυστηρίων. ὡς γὰρ ὁ γεωργὸς ἐὰν μὴ ἐργάζηται τὴν γῆν, ὑλώδης γίνεται, καὶ μάλιστα ὅσον τυγχάνει καλή. οὕτω καὶ ὁ νοῦς ἐὰν μὴ σχολάζῃ εἰς τὴν εὐχὴν, καὶ ἀνάγνωσιν, καὶ μὴ ἔχῃ τοῦτο ἔργον, παχύνεται καὶ ἀγνοεῖ. καὶ ὥσπερ ἐὰν βρέχηται γῆ, καὶ ἡλιάζηται οὐκ ὠφελεῖται ὁ γεωργὸς, ἐὰν μὴ σπείρῃ καὶ φυλάττῃ αὐτὴν, οὕτως οὐδὲ ὁ νοῦς δύναται ἔχειν τὴν γνῶσιν ἐκτὸς τῆς ἠθικῆς πράξεως, κἂν ἴσως ἐκ τῆς χάριτος ἔλαβε ταῦτα. ἀλλ' ἅμα τοῦ στραφῆναι μικρὸν ἐξ ἀμελείας πρὸς τὰ πάθη, εὐθέως πλανᾶται, ἐὰν δὲ καὶ πρὸς οἴησιν ὁρᾷ ποσῶς, ἐγκαταλιμπάνεται ὑπὸ τῆς χάριτος. διὰ τοῦτο οὖν οἱ Πατέρες κἂν ἐκ τοῦ γήρως καὶ τῆς ἀδυναμίας τὰς σωματικὰς πράξεις ἐλάττωσαν πολλάκις, ἀλλ' οὐ τὰς ψυχικὰς οὐδέποτε. διότι ἀντὶ τῶν σωματικῶν ἔργων τὴν σωματικὴν ἀσθένειαν, δυναμένην τὴν σάρκα ταλαίπωρον κατασκευάσαι. τὸ δὲ φυλάττειν τὴν ψυχὴν ἀναμάρτητον, ἵνα φωτισθῇ ὁ νοῦς, δίχα τῆς ἠθικῆς πράξεως, ἀμήχανον. ἐπεὶ τὰ μὲν ἐργαλεῖα μεταλλάσσει ὁ γεωργὸς πολλάκις, ἴσως δὲ καὶ συστέλλει αὐτά. τὴν δὲ γῆν ἀνέργαστον, ἢ ἄσπορον, καὶ ἀφύτευτον, ἢ πάλιν τὸν καρπὸν ἀφύλακτον οὐδέποτε ἐάσει, εἴγε βούλεται ἐκ τοῦ καρποῦ μεταλαβεῖν. εἰ δέ τις κλέπτης ἐστὶ καὶ λῃστὴς, καὶ οὐκ ἐκ τῆς θύρας ταύτης εἰσελθεῖν βουληθῇ, ἀλλὰ ἀλλαχόθεν ἀναβαίνων, ὥς φησιν ὁ Κύριος, τοῦ τοιούτου οὐκ ἀκούσει τὰ πρόβατα, ἤγουν τὰ θεῖα νοήματα, κατὰ τὸν θεῖον Μάξιμον. διότι ὁ κλέπτης οὐκ εἰσέρχεται, εἰ μὴ, ἵνα κλέψῃ διὰ τῆς ἀκοῆς, καὶ θύσῃ διὰ τῆς ἀλληγορίας, μὴ δυνάμενος ἀνάγειν τὴν γραφὴν, καὶ ἀπολέσει ἑαυτὸν, καὶ τὰ νοήματα τῇ ψευδωνύμῳ αὐτοῦ γνώσει διὰ τῆς οἰήσεως. ὁ γὰρ ποιμὴν συγκακοπαθεῖ μὲν τοῖς νοήμασιν ὡς καλὸς στρατιώτης Χριστοῦ, κατὰ τὸν Ἀπόστολον, διὰ τῆς φυλακῆς τῶν θείων ἐντολῶν, εἰσέρχεται δὲ, διὰ τῆς στενῆς πύλης, ἤγουν τῆς ταπεινοφροσύνης, καὶ θύρας τῆς ἀπαθείας. καὶ πρὶν μὲν καταξιωθῇ τῆς ἄνωθεν χάριτος, σχολάζει, καὶ ἐξ ἀκοῆς μανθάνει περὶ κλέπτου. καὶ ὁσάκις ἔρχεται λύκος ἐν σχήματι προβάτου, διώκει αὐτὸν τῇ αὐτομεμψίᾳ, λέγων· οὐκ οἶδα



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τίς εἶ; ὁ Θεὸς οἶδεν. ἐν ᾧ ἴσως ἀναιδῶς ἔρχεται τὸ νόημα, καὶ ζητεῖ τοῦ δεχθῆναι, λέγον, ὅτι ἐὰν οὐ στέρξῃς τὰ νοήματα, οὐδὲ διακρίνῃς τὰ πράγματα, ἄπιστος εἶ καὶ ἀγνώστος. ἀποκρίνεται οὗτος· ἀλλὰ μωρὸς οὐ ὅπως εἰμί, καὶ τὸν θεῖον Χρυσόστομον γινώσκων, ὅτι ὁ μωρὸς ἐν τῷ κόσμῳ τούτῳ, σοφὸς γίνεται, κατὰ τὸν Ἀπόστολον· καὶ ὡς φησὶν ὁ Κύριος, ὅτι οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι παρὰ τοὺς υἱοὺς τῆς βασιλείας τῶν οὐρανῶν ἐν τῇ γενεᾷ αὐτῶν εἰσι. καὶ εἰκότως. ὅτι οἱ μὲν νικᾶν, καὶ πλουτεῖν, φρονεῖν τε, καὶ δοξάζεσθαι, ἐξουσιάζειν τε, καὶ ἄλλα τοιαῦτα ποθοῦσι, κἂν ἴσως ἀποτύχωσι τῶν τοιούτων, καὶ μείνῃ ἀνόνητος ὁ κόπος, ἀλλ᾽ οὖν τέως σπουδάζουσι καὶ ὑπὲρ δύναμιν εἰς τὰ τοιαῦτα. οἱ δὲ τὰ τῶν προειρημένων ἐναντία θέλουσιν ἔχειν, δι᾽ ὧν καὶ ἐνταῦθα πολλάκις λαμβάνουσι τὸν ἀρραβῶνα τῆς ἐκεῖθεν μακαριότητος, καὶ σπουδάζουσι κἂν κατ᾽ ἐκείνους, ἵνα ἐλευθερίαν ὁ νοῦς λάβῃ κατὰ χάριν, δι᾽ ἧς δύναται ἔχειν τὴν μνήμην ἀλήθαργητον, καὶ τὰ νοήματα, ἃ γινώσκει ὡς μαρτυρούμενα ὑπὸ τῶν θείων γραφῶν, καὶ τῶν ἐν πείρᾳ ὄντων πνευματικῆς γνώσεως, ἢ κἂν ἐν γνώσει πολλῇ ἀγνοῶν διὰ ἀπορίας, γινώσκων, ὅτι τὰ πρὸ τοῦ τὰ νοήματα πειρασμοὶ ἐτύγχανον πρὸς δοκιμὴν τοῦ αὐτεξουσίου. ἵνα ὁ μὲν ταπεινόφρων ὑποστρέφηται, καὶ ἀπιστῇ τῷ ἰδίῳ λογισμῷ, καὶ σκοπῇ, μᾶλλον δὲ φοβῆται, καὶ ἐρωτᾷ μετὰ πολλῶν δακρύων, καὶ φεύγῃ εἰς τὴν ταπείνωσιν, καὶ αὐτομεμψίαν, καὶ ὡς μεγάλην ζημίαν ἡγῆται τὴν γνῶσιν καὶ τὰ χαρίσματα. Ὁ δὲ ὑπερήφανος τρέχῃ στῆσαι τὰ ἴδια νοήματα, οὐκ ἀκούων τοῦ τῆς Κλίμακος λέγοντος, μὴ τὰ τοῦ καιροῦ πρὸ καιροῦ ζητήσωμεν, καὶ τὰ ἑξῆς. καὶ τοῦ Ἁγίου Ἰσαὰκ διδάσκοντος, μὴ ἀναιδῶς εἰσέλθῃς ἔσω, ἀλλὰ μετὰ σιγῆς εὐχαρίστου. καὶ τοῦ Χρυσοστόμου, οὐκ οἶδα· φάσκοντος· ἐκ τοῦ Ἀποστόλου μαθόντος. καὶ τοῦ Δαμασκηνοῦ, περὶ τοῦ Ἀδὰμ εἰπόντος, ὅτι οὐκ ἦν καιρὸς τοῦ προσβάλλειν τῇ θεωρίᾳ τῶν * αἰσθητῶν. Τὰ γὰρ αἰσθητήρια τῶν νηπίων πρὸς τροφὴν στερεὰν ἀδύνατά εἰσι, δέονται δὲ γάλακτος, ὡς φησὶν ὁ Ἀπόστολος. διὰ τοῦτο μὴ ζητήσωμεν θεωρίαν, ἐν οὐ καιρῷ θεωρίας, ἀλλὰ πρῶτον τὰς μητέρας τῶν ἀρετῶν κτησώμεθα ἐν ἑαυτοῖς, καὶ αὐτομάτη ἡ γνῶσις ἔρχεται, χάριτι Χριστοῦ. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* ἴσ. τῶν νοητῶν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Στοιχεῖον τὸ νῦ, τρισκαιδέκατος λόγος
Περὶ νοητῶν τῆς γνώσεως ἐνταῦθα,
Ἤγουν νοερῶν στρατιῶν ἀσωμάτων,
Ἐκ τῶν αἰσθητῶν τεκμαίρεται ὁ βλέπων.

Νῦν δὲ τὴν ἀρχήν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ ΙΓ΄.

Νοητὴ μὲν γίνεται ἡ γνῶσις μετὰ τὴν ἕξιν εἰς τὴν αἰσθητὴν θεωρίαν. οὐκ Ἄγγελον δὲ βλέπειν ἔχει ὁ γνωστικός. πῶς γὰρ ἄϋλον πρᾶγμα, καὶ τῷ ποιητῇ καὶ μόνῳ γινωσκόμενον, δύναται ἄνθρωπος ἰδεῖν, ὅς τις οὐδὲ τὴν οἰκείαν ὁρᾷ ψυχήν; πρὸς κοινὴν μὲν ὠφέλειαν κατὰ πρόνοιαν Θεοῦ ἐσχηματίζοντο πολλάκις οἱ Ἄγγελοι εἰς τοὺς Πατέρας ἡμῶν. εἰς ἡμᾶς δὲ οὐδὲ τοῦτο γίνεται, διότι ἐξ οἰήσεως θέλομεν τοῦτο, καὶ οὔτε περὶ κοινῆς ὠφελείας φροντίζομεν, οὔτε πάσχομέν τι κατὰ Θεόν. διά τοι τοῦτο καὶ ὁ τινὸς τοιούτου ἐπιθυμῶν, δαίμονα μᾶλλον ἐπιποθεῖ ἰδεῖν. καὶ γὰρ εἰς Ἄγγελον φωτὸς σχηματίζεται φησὶν ὁ Ἀπόστολος. μᾶλλον δὲ ὅταν τις οὐδ' ὅλως τοιαῦτα λογίζεται, οὐδὲ πιστεύει, κἂν καὶ γίνεται ἴσως, ποτὲ γίνεται, ἐὰν δέχηται πρὸς ὠφέλειαν τοῦ κοινοῦ. γινώσκεται τοίνυν τοῦτο ἐκ τοῦ μὴ θέλειν ἡμᾶς μηδὲ κατ' ὄναρ τί ποτε ἀποδέχεσθαι, ἢ εἰς ψῆφον ἔχειν, ἐὰν γένηται, ἀλλ' ὡς μηδὲ εἰδότες τί διακεῖσθαι ἡμᾶς. διότι ὁ τῇ ἀληθείᾳ Ἄγγελος ἔχει ἐξουσίαν ἀπὸ Θεοῦ, καὶ μὴ θέλοντα τὸν νοῦν ποιεῖν εἰρηνεύειν, καὶ δέχεσθαι αὐτόν. ὁ δὲ δαίμων οὐ δύναται τοῦτο ποιῆσαι, ἀλλ' ἐὰν ἴδῃ τὸν νοῦν δεχόμενον αὐτόν, ἐμφανίζεται κατὰ παραχώρησιν. εἰ δὲ μήγε, ἀναχωρεῖ ὑπὸ τοῦ φυλάσσοντος Ἀγγέλου ἀπὸ τοῦ θείου βαπτίσματος διωκόμενος, διὰ τὸ μὴ προδοῦναι τὸ αὐτεξούσιον ὁ νοῦς. καὶ ταῦτα μὲν οὕτως· ῥηθήσεται δὲ περὶ μιᾶς θεωρίας τῶν ἄνω τάξεων, πῶς τε ἐννέα μέν εἰσι τάγματα, κατὰ τὸν Μέγαν Διονύσιον, καὶ ὡς εὑρίσκομεν ἐν πάσαις ταῖς γραφαῖς, ἔχουσι μὲν τὰ ἐννέα τάγματα, ὀνόματα κατὰ φύσιν, καὶ ἐνέργειαν. καὶ ἀσώματοι μὲν λέγονται, ὡς ἄϋλοι, νοεροὶ δέ, ὡς νόες τυγχάνοντες, καὶ στρατιαί, ὡς τοῦ πάντων Βασιλέως λειτουργικὰ ὄντα πνεύματα. καὶ πάλιν ἄλλας κλήσεις ἔχουσιν ὁμοῦ κοινάς τε, καὶ ἰδικάς, τουτ' ἔστι δυνάμεις, καὶ Ἄγγελοι καλοῦνται. ἀλλ' ἡ μὲν τοῦ ἑνὸς τάγματος κλῆσις, κατ' ἐνέργειαν δὲ λέγονται τὰ ἐννέα, δυνάμεις, ὡς δυνάμενα πάντα ἐκτελεῖν τὰ θεῖα θελήματα. Ἄγγελοι δὲ πάλιν, ἰδικὴ κλῆσις τοῦ ἑνὸς τάγματος, τοῦ ἐξ ἡμῶν μὲν πρώτου, ἐκ δὲ τοῦ ἀστέκτου θρόνου ἐννάτου ὄντος. κατ' ἐνέργειαν δὲ λέγονται Ἄγγελοι πάντες, ὡς ἀναγγέλοντες τὰ θεῖα προστάγματα τοῖς ἀνθρώποις. καὶ γὰρ ἐν τῷ Ἰώβ, ἄλλος Ἄγγελος, φησὶν ὁ Σολομών, ἦλθε, καὶ οὐκ ἦν Ἅγιος Ἄγγελος. Ἐπεὶ κατελείφθη μόνος, φησὶν ὁ Χρυσόστομος, καὶ ἦλθεν ἀναγγεῖλαι· ἀλλὰ καὶ τὸν Κύριον, Ἄγγελον, ἡ θεία γραφὴ ἐν διαφόροις τόποις προλέγει. Ἀγγέλους φησὶν ἐξένισεν ὁ Ἀβραάμ· καὶ ὁ Κύριος ἦν ἄσαρκος, ὥς φησιν ὁ Δαμασκηνὸς πρὸς τὴν Θεοτόκον.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐν σκιᾷ Ἀβραὰμ ἐθεάσατο τὸ ἐν σοὶ Θεοτόκε μυστήριον, τὸν γὰρ υἱόν σου ἄσαρκον ὑπεδέξατο καὶ τὰ ἑξῆς. καὶ πάλιν ἐν τῇ καμίνῳ σὺν τοῖς παισὶν, ὁ αὐτὸς ὤν, λέγεται δὲ κατ᾽ ἐνέργειαν Ἄγγελος, ὥς φησιν ὁ Προφήτης Ἡσαΐας, τῆς μεγάλης βουλῆς Ἄγγελος. ὡς καὶ αὐτὸς ἔφη ὁ Κύριος, ὅτι ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου, ταῦτα ἀναγγελῶ ὑμῖν. τούτῳ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Λόγος ὁ παρὼν καὶ τὸ Ξοῦ στοιχεῖον,
Περὶ ἀληθοῦς ἀπαθείας καθόλου.
Κεφάλαια δὲ δεκατέσσαρα ἤδη,
Χάριτι Χριστοῦ εἰσὶν ἐν ἐπιτόμῳ.

Νῦν δὲ τὴν ἀρχὴν, διάλογισον ὦ Πάτερ

## ΛΟΓΟΣ ΙΔ΄.

Ξένον πρᾶγμα καὶ παράδοξόν ἐστιν ἡ ἀπάθεια, διότι δύναται μετὰ τὸ εἰς ἕξιν περιγενέσθαι τὸν ἄνθρωπον τῶν παθῶν, μιμητὴν Θεοῦ ποιῆσαι αὐτὸν, κατὰ τὸ δυνατὸν ἀνθρώπῳ. πάσχων γὰρ ὁ ἀπαθὴς καὶ πολεμούμενος ὑπὸ δαιμόνων, καὶ πονηρῶν ἀνθρώπων, ὡς ἕτερος πάγκαλος διάκειται, καθάπερ ἐτύγχανον οἱ Ἅγιοι Ἀπόστολοι, καὶ Μάρτυρες, καὶ οὔτε δοξαζόμενος ἐπαίρεται, οὔτε ὑβριζόμενος θλίβεται. λογιζόμενος γὰρ, ὅτι τὰ μὲν ἡδέα, χάρις Θεοῦ καὶ συγκατάβασις παρ᾽ ἀξίαν εἰσὶ, τὰ δὲ δυσχερῆ, δοκιμή· καὶ τὰ μὲν ἐνταῦθα κατὰ χάριν πρὸς παρηγορίαν δίδονται, τὰ δὲ πρὸς ταπεινοφροσύνην, καὶ ἐλπίδα ἀγαθὴν ἐν τῷ μέλλοντι, καὶ ὡς ἀναίσθητος ἐν πολλῇ αἰσθήσει τῶν ἀλγεινῶν διάκειται ἐκ τῆς διακρίσεως. ἡ ἀπάθεια γὰρ οὐκ ἔστιν ἀρετὴ μία, ἀλλὰ πασῶν τῶν ἀρετῶν προσηγορία. ὥσπερ γὰρ ὁ ἄνθρωπος οὐχ ἓν μέλος ἐστὶν, ἀλλὰ τὰ πολλὰ μέλη τοῦ σώματος ἐμφαίνουσι τὸν ἄνθρωπον, καὶ οὐδὲ πάλιν αὐτὰ μόνα, ἀλλὰ σὺν τῇ ψυχῇ. οὕτω καὶ ἡ ἀπάθεια πολλῶν ἀρετῶν σύνθεσίς ἐστι, καὶ αὐτὴ ψυχὴν ἔχει τὸ Ἅγιον Πνεῦμα. διότι ἄψυχά εἰσι πάντα τὰ λεγόμενα πνευματικὰ ἔργα, ἐὰν οὐκ ἔχωσι Πνεῦμα Ἅγιον, δι᾽ ὃ καὶ τὴν προσηγορίαν ὁ λεγόμενος πνευματικὸς ἔλαβεν. εἰ μὴ γὰρ τὰ πάθη ἡ ψυχὴ ἀποβάληται, οὐκ ἐλλάμπεται τὸ Ἅγιον Πνεῦμα ἐν αὐτῇ. ἀλλ᾽ οὔτε πάλιν τούτων δίχα, ἀπάθεια λέγεται ἡ περιεκτικὴ αὕτη ἀρετή. ἀλλὰ κἄν τις τοιοῦτος γένηται ἴσως, ἐν ἀναισθησίᾳ μᾶλλον ἐστί. διὰ τοῦτο καὶ οἱ Ἕλληνες μὴ γινώσκοντες ταῦτά φασι. μὴ γίνου ἀπαθὴς ὡς ἄψυχος, μηδὲ ἐμπαθὴς ὡς ἄλογος. καὶ τὸ μὲν εἰπεῖν ἀπαθὴς ὡς ἄψυχος, κατὰ τὴν ἐκείνων γνῶσιν εἶπον, μὴ ἔχοντες γνῶσιν Πνεύματος Ἁγίου. τὸ δὲ εἰπεῖν τὸν ἐμπαθῆ ἄνθρωπον ἄλογον· καὶ ἡμεῖς τὸ αὐτὸ λέγομεν, οὐχ᾽ ὅτι ἐξ ἐκείνων μαθόντες τοῦτο ἁπλῶς λέγομεν. τοῦτο γὰρ οὔτε γνῶσίς ἐστιν, οὔτε πεῖρα. ἀλλ᾽ ὅτι ἐν πείρᾳ γεγονότες τῆς τῶν παθῶν τυραννίδος, ἐμάθομεν* ὅθεν ἐπάθομεν. καὶ πάλιν ἐκ τῶν Πατέρων τῶν τῆς ἀπαθείας ἀξιωθέντων μαθόντες τὴν τῶν ἀρετῶν κτῆσιν, γράφομεν. φησὶ γὰρ, ὅτι ὡς αἰχμάλωτος

*ἐν ἄλ. ὅπερ

γίνεται, καὶ ἀναίσθητος ὁ ἄγαν ἐμπαθὴς ἐκ τῆς πρὸς τὰ πάθη φιλίας. καὶ ποτὲ μὲν ὑπὸ ἐπιθυμίας τινὸς ὁρμῶν ἀσκέπτως ὡς ἄλογον, ποτὲ δὲ ὑπὸ θυμοῦ ἐκδικοῦντος τὴν ἐπιθυμίαν, ὡς θηρίον τοὺς ὀδόντας βρύχων κατὰ τῶν ὁμογενῶν. οὕτω καὶ ὁ ἀπαθὴς ἄνθρωπος ὑπὸ τῆς τελείας ἀγάπης τοῦ Θεοῦ ἀναίσθητος γίνεται· καὶ ποτὲ μὲν εἰς τὸν Θεὸν ἔχει τὴν ἀδολεσχίαν, ποτὲ δὲ εἰς θεωρίαν τινὰ τῶν θαυματουργιῶν αὐτοῦ, καὶ * ὡς ῥητόν τι τῶν θείων γραφῶν, κατὰ τὸν Ἅγιον Νεῖλον. καὶ κἂν ἐν μέσῳ πολλῶν, καὶ ἐν ἀγορᾷ τυγχάνῃ, ὡς μόνος διάκειται ὁ νοῦς αὐτοῦ· αὕτη δὲ ἡ κατάστασις γίνεται ἐκ τῆς φυλακῆς τῶν θείων ἐντολῶν τοῦ Χριστοῦ. ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

* ἴσ. εἰς

Θείων ἐντολῶν τὴν φυλακὴν ἀγάπης,
Τεκμήριόν ἐστι Θεοῦ, καὶ τοῦ πλησίον.
Διὰ τοῦτο γὰρ καὶ περὶ τῆς ἀγάπης λόγος
Ἐστὶν ὁ παρὼν, καὶ ὁ μικρὸν στοιχεῖον ἔχει,
Πέντε πάλιν δὲ καὶ δέκατον τυγχάνει,
Νόμου γὰρ ἀρχὴ, καὶ τέλος ἡ ἀγάπη.

Νοῦ δὲ τὴν ἀρχὴν, διαλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ ΙΕ΄.

Ὁ βουλόμενος εἰπεῖν τι περὶ ἀγάπης, περὶ Θεοῦ λέγειν τολμᾷ, κατὰ τὸν Θεολόγον Ἰωάννην. ἡ ἀγάπη, φησὶν, ὁ Θεός ἐστι, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ Θεῷ μένει. ὢ τοῦ θαύματος. αὕτη ἡ κυριωτέρα πασῶν τῶν ἀρετῶν φυσική ἐστιν· διὸ καὶ ἐν πρώτοις ὁ Νόμος ταύτην εἶπεν, ἀγαπήσεις Κύριον τὸν Θεόν σου καὶ τὰ ἑξῆς. ἐγὼ τούτου ἀκούσας τοῦ ἐξ ὅλης, ἐξέστην, καὶ οὐκ ἔτι ἐλήθην τῶν λοιπῶν ῥημάτων. τὸ γὰρ ἐξ ὅλης τῆς ψυχῆς, τὸ λογιστικὸν, θυμικόν τε, καὶ ἐπιθυμητικόν ἐστιν. ἐκ γὰρ τῶν τριῶν τούτων σύγκειται ἡ ψυχή. καὶ ὁ μὲν νοῦς, τὰ θεῖα λογίζεται ἀεί. ἡ δὲ ἐπιθυμία, αὐτὸν μόνον ἐπιθυμεῖ διηνεκῶς, καὶ οὐκ ἄλλον τινὰ τὸ παράπαν, ἐπεὶ ἐξ ὅλης ὁ νόμος ἔφη. καὶ ὁ θυμὸς, φυσικῶς ἐνεργεῖται κατὰ τῶν κωλυόντων τὴν τοιαύτην ἐπιθυμίαν, καὶ μόνον· καλῶς οὖν εἶπεν ὅτι ὁ Θεός ἐστιν ἀγάπη. ἐὰν τοίνυν τὰς τρεῖς δυνάμεις τῆς ψυχῆς βλέπῃ ὁ Θεὸς πρὸς αὐτὸν καὶ μόνον ἐχούσας τὸν πόθον, καθὼς ἐνετείλατο, ἐξ ἀνάγκης καὶ αὐτὸς ὡς ἀγαθὸς, οὐ μόνον φιλεῖ, ἀλλὰ καὶ ἐνοικήσει, καὶ ἐμπεριπατήσει ἐν αὐτῷ, καθὼς ἔφη, διὰ τῆς ἐπιφοιτήσεως τοῦ Πνεύματος. τὸ δὲ σῶμα ἄκον, καὶ μὴ βουλόμενον ὑποταγήσεται τῷ λόγῳ ὡς ἄλογον, καὶ οὐκ ἔτι ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ Πνεύματος, ὥς φησιν ὁ Ἀπόστολος. ἀλλ' ὡς ὁ ἥλιος καὶ ἡ σελήνη τῇ τοῦ Θεοῦ κελεύσει ὁδηγοῦσι πρὸς τὸ φωτίζειν τὸν κόσμον, εἰ καὶ ἄψυχά εἰσιν· οὕτω καὶ τὸ σῶμα τῷ βουλήματι τῆς ψυχῆς ἐργάζεται τὰ ἔργα τοῦ φωτός· καὶ ὥσπερ ὁ μὲν ἥλιος ἐκ τῆς ἀνατολῆς εἰς τὴν δύσιν καθ' ἑκάστην ὁδεύων, ἡμέρα γίνεται μία, καὶ ἐκλείψει τούτου, γίνεται νύξ. οὕτω καὶ ἑκάστη ἀρετὴ ἥνπερ ποιεῖ ὁ ἄνθρωπος φωτίζει τὴν ψυχὴν, καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῇ ἐλλείψει ταύτης, πάθος καὶ σκότος γίνεται, μέχρις ἂν πάλιν ἀρετὴν κτήσηται, καὶ οὕτω τὸ φῶς ἔρχεται. καὶ ὥσπερ ὁ ἥλιος ἀπ᾽ ἄκρου τῆς ἀνατολῆς ἀρξάμενος, ἕως τῆς ἄλλης ἄκρας κατὰ μικρὸν μεταίρων τὰς αὐγάς, τελειοῦται ὁ χρόνος, οὕτω καὶ ὁ ἄνθρωπος ἀπ᾽ ἀρχῆς τὴν ἀρετὴν κατὰ μικρὸν αὐξάνων, ἀπαθὴς γίνεται· καὶ ὡς ἡ σελήνη αὔξει καὶ μειοῦται κατὰ μῆνα, οὕτω καὶ κατὰ μίαν ἀρετὴν εἰς αὔξησιν, καὶ ἐλάττωσιν καθ᾽ ἑκάστην ἔρχεται ὁ ἄνθρωπος, μέχρις ἂν ἐν ἕξει γένηται τῆς τυχούσης ἀρετῆς· καὶ ποτὲ μὲν θλίβεται κατὰ Θεόν, ποτὲ δὲ εὐφραίνεται εὐχαριστῶν τῷ Θεῷ, ἀνάξιος ὢν τῆς τῆς ἀρετῆς κτήσεως. καὶ ποτὲ μὲν πάλιν φωτίζεται, ποτὲ δὲ σκοτίζεται, μέχρις ἂν τελειωθῇ ὁ δρόμος. καὶ τὰ μέν, διὰ τὴν ἔπαρσιν, τὰ δέ, διὰ τὴν ἀπόγνωσιν γίνονται οἰκονομικῶς· ὥσπερ ἐν μὲν τῷ νῦν αἰῶνι ὁ ἥλιος ποιεῖ τὰς τροπάς, καὶ ἡ σελήνη τὰς αὐξήσεις καὶ μειώσεις. ἐν δὲ τῷ μέλλοντι ἀείποτε φῶς ἐστὶ τοῖς δικαίοις, καὶ σκότος τοῖς κατ᾽ ἐμὲ φεῦ ἁμαρτωλοῖς· οὕτω καὶ νῦν περὶ τῆς τελείας ἀγάπης, καὶ τῆς ἐνθέου θεωρίας, τὰς τροπὰς ἔχει ἡ ψυχὴ μεμιγμένας, καὶ τοὺς σκοτασμοὺς ὁμοῦ μετὰ τῶν ἀρετῶν, καὶ τῆς γνώσεως, μέχρις ἂν καταξιωθῇ ὁ ἄνθρωπος τῆς τοῦ μέλλοντος ἐργασίας διὰ τῆς τελείας ἀγάπης, περὶ ἧς ἅπας ὁ κόπος γίνεται· καὶ γὰρ διὰ τὴν ἀγάπην ὑπακούει τῷ ἐπιτάγματι ὁ ἐν ὑποταγῇ. καὶ δι᾽ αὐτὴν ἀκτήμων γίνεται, καὶ δοῦλος, ὁ πλούσιος καὶ ἐλεύθερος, ἵνα παραχωρῇ τοῖς βουλομένοις ἔχειν τὰ αὐτοῦ, καὶ τὸν ἑαυτόν· καὶ ὁ νηστεύων ὡσαύτως, ἵνα ἄλλοι ἐσθίωσι τὰ ἀναλώματα, ἅπερ αὐτὸς ἔμελλεν ἐσθίειν· καὶ ἁπλῶς, πᾶσα ἐργασία, ἢ διὰ τὴν τοῦ Θεοῦ ἀγάπην, ἢ διὰ τὴν τοῦ πλησίον γίνεται· καὶ τὰ μὲν εἰρημένα καὶ τὰ τούτοις ὅμοια διὰ τὴν τοῦ πλησίον ἀγάπην γίνονται. ἡ δὲ ἀγρυπνία, ἡ ψαλμῳδία, καὶ ὅσα τοιαῦτα διὰ τὴν τοῦ Θεοῦ, αὐτῷ ἡ δόξα, τιμὴ καὶ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

Στοιχεῖον τὸ τῦ ἓξ καὶ δέκατος λόγος,
Περὶ τῆς τοῦ Θεοῦ γνώσεως ἐν συντόμῳ.
Ἐπειδὴ πολλοὶ περὶ Θεολογίας
Εἶπον ἐν πολλοῖς κανόσι τε, καὶ λόγοις.

Νῦν δὲ τὴν ἀρχήν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ Ιϛ΄.

Πάντα μὲν ὅσα ἐποίησεν ὁ Θεὸς ἔχουσιν ἀρχήν, εἰ δὲ βουληθῇ, καὶ τέλος· διότι ἐκ μὴ ὄντων ἐγένοντο. ὁ δὲ Θεὸς οὔτε ἀρχὴν ἔχει, οὔτε τέλος· ὡσαύτως καὶ αἱ ἀρεταὶ αὐτοῦ, διότι οὐδέποτε δίχα τούτων ἦν. ἀλλ᾽ ἀεὶ ὑπεράγαθός ἐστι, καὶ δίκαιος, πάνσοφος, παντοδύναμος, ἄπτωτος, ἀπαθής, ἀπερίγραπτος, ἀόριστος, ἀνεξιχνίαστος, ἀκατάληπτος, ἀτελεύτητος, ἀΐδιος, ἄκτιστος, ἄτρεπτος, ἀναλλοίωτος, ἀληθινός, ἀσύνθετος, ἀόρατος, ἀψηλάφητος, ἀπερίληπτος, τέλειος, ὑπερούσιος, ἀνέκφραστος, ἀκατανόητος, πολυέλεος, πανοικτίρμων, πολυεύσπλαγχνος, παντοκράτωρ, παντεπόπτης. οὐχ ὅτι φησὶν ὁ Μέγας Διονύσιος,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ούσιος, ἔχων τὰς ἀρετὰς, βιάζεται εἰς τὸ ποιεῖν ἑκάστην, ὡς οἱ ἐνάρετοι, ἀλλὰ θέλων ποιεῖ τὴν ἀρετὴν, καὶ ὡς ἐν ἐργαλείῳ χρῆται μετ᾽ ἐξουσίας αὐθαιρέτως. οἱ Ἄγγελοι δὲ πάλιν, καὶ οἱ ἐνάρετοι ἄνθρωποι· κατὰ χάριν· ἐξ αὐτοῦ ἔλαβον μετὰ τὸ εἶναι αὐτοὺς, καὶ τὰς ἀρετὰς, δι᾽ ὧν καὶ τὴν μίμησιν αὐτοῦ ἐγένοντο δίκαιοι, ἀγαθοὶ, καὶ σοφοί. καὶ οἱ μὲν ὡς κτίσματα ὄντες, δέονται τῆς ἐπικουρίας, καὶ ῥοπῆς τοῦ παντοκράτορος, οὗ χωρὶς, οὔτε ἀρετὴν, οὔτε σοφίαν ἔχειν δύνανται, διότι δεκτικά εἰσι τὰ κτίσματα τροπῆς, καὶ ὡς συγκείμενα ἐκ διαφόρων τινῶν, σύνθετα λέγονται. ὁ δὲ Θεὸς ἀσώματος, ἁπλοῦς, ἄναρχος, εἷς Θεὸς, ἐν Πατρὶ, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι προσκυνούμενός τε, καὶ δοξαζόμενος ὑπὸ πάσης τῆς κτίσεως. καὶ ὁ κατὰ μίμησιν αὐτοῦ γενόμενος, ἓν θέλημα ἔχει, καὶ οὐ πολλὰ σύνθετα, ἀλλ᾽ ἁπλοῦν ἔχει τὸν νοῦν, πολλάκις ἐν τῷ ἀνειδέῳ σχολάζει, ὅσον ἐπ᾽ αὐτῷ, καὶ κατ᾽ οἰκονομίαν δὲ κατέρχεται ἄκων ἐκ τοῦ ἀνειδέου πρὸς θεωρίαν τινὸς τῆς γραφῆς, ἢ τῶν κτισμάτων. καὶ ἵνα μὴ κατακριθῇ, πρόνοιαν ποιεῖται τῷ σώματι, οὐχ ὅτι φιλῶν τοῦτο ζωογονεῖν βούλεται, ἀλλ᾽ ἵνα μὴ ἄχρηστον κατασκευάζῃ τελείως, καὶ τοῦ χάριν κατακριθῇ, ὡς προείρηται. ὥσπερ γὰρ ὁ νοῦς οὐκ ἀποβάλλεται τὰ περὶ αὐτὸν πάθη, ἀλλὰ χρήσεται τούτοις φυσικῶς· οὕτως οὐδὲ ἡ ψυχὴ ἀποβάλλεται τὸ σῶμα, ἀλλὰ χρήσεται τούτῳ εἰς πᾶν ἔργον ἀγαθόν. καὶ ὡς ὁ νοῦς, τὰς μὲν ἀλόγους ὁρμὰς τῶν παθῶν κατέχων, ἰθύνων δὲ ἑκάστην αὐτῶν πρὸς τὸ θεῖον θέλημα, οὕτω καὶ τὰ μέλη τοῦ σώματος κατέχοι ὁ ἄνθρωπος, ἓν θέλημα γίνεται, καὶ οὐ πολλά. οὔτε γὰρ τὰ τέσσαρα στοιχεῖα τοῦ σώματος, ἢ τὰ πολλὰ αὐτοῦ μέλη, ἅπερ βούλονται ἐάσει πράττειν, οὔτε τὰς τρεῖς δυνάμεις τῆς ψυχῆς ἀσκέπτως καὶ ἀκολάστως λογίζεσθαι, ἢ κινεῖν πρὸς ἐργασίαν τὸ σῶμα, ἀλλὰ τῇ πνευματικῇ σοφίᾳ προνοῶν, ἀχώριστον ποιεῖ τῶν τριῶν δυνάμεων τὸ θέλημα. ἴδιαι δὲ τῆς σοφίας ταύτης καθεστήκασι τέσσαρες. φρόνησις, σωφροσύνη, ἀνδρεία, καὶ δικαιοσύνη, περὶ ὧν ἔγραψεν ὁ Θεολόγος ὑψηλότατα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἴδε νῦν ἑπτακαιδέκατος ὁ λόγος
Περὶ τῆς μιᾶς τῶν γενικῶν τυγχάνει
Ἐπὶ τὸ ρῶ ἐφθάσαμεν στοιχεῖον,
Φρόνησίς ἐστιν ἡ πρώτη τῶν τεσσάρων.

Νῦν δὲ τὴν ἀρχήν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ ΙΖ.

Ρᾷστον μὲν ἐστὶ πᾶσι τοῖς βουλομένοις περὶ τῶν τεσσάρων γενικῶν ἀρετῶν ἐκ τοῦ Θεολόγου μαθεῖν, ὅμως δὲ περὶ ἑκάστης μικρὸν ῥηθήσεται καὶ ἐνταῦθα. διότι πᾶσα ἀρετὴ δέεται τῶν τεσσάρων τούτων, καὶ πᾶν ἐγχείρημα τῆς πρώτης, ἤγουν τῆς φρονήσεως δέεται, καὶ χωρὶς ταύτης οὐ γίνεται. πῶς γὰρ δίχα φρονήσεως τὸ τυχὸν γίνεται πρᾶγμα; αὕτη γεννᾶται μὲν ἐκ τοῦ λογικοῦ, μεσολαβεῖ δὲ τῆς δεινότητος, ἤτοι τοῦ ὑπερφρονεῖν, καὶ τῆς ἀφροσύνης. καὶ ἡ μὲν ἄνω παρασύρει τὴν φρόνησιν πρὸς τὸ πονηρεύεσθαι, καὶ καταβλάπτειν τὴν ψυχὴν τοῦ ἔχοντος αὐτήν, καὶ ὅσους δύναται. ἡ δὲ, ἀναίσθητον ποιεῖ, καὶ μάταιον, καὶ οὔτε περὶ τῶν θείων πραγμάτων ἐᾷ τὸν νοῦν φροντίζειν, οὔτε περίτινος τῶν συμφερόντων τῆς ψυχῆς, ἢ τοῦ πλησίον. καὶ ἔοικεν ἡ μὲν, ὄρει ὑψηλοτάτῳ, ἡ δὲ, χάσματι. καὶ ὁ ὁδεύων ἐν τῇ μέσῃ τούτων κειμένῃ πεδιάδι, ἐστὶ φρόνιμος. ὁ δὲ παροδεύων, ἢ κάτω, εἰς τὸ χάσμα πίπτει, ἢ ἄνωθεν ἐπὶ πολὺ ἀναβαίνειν ἐπιχειρεῖ, καὶ μὴ εὑρίσκων πόρον κρημνίζεται ἄκων, καὶ μὴ βουλόμενος εἰς τὸ χάσμα πάλιν, καὶ οὐ δύναται ἵστασθαι, διὰ τὸ μὴ θέλειν στραφῆναι διὰ τῆς μετανοίας εἰς τὴν φρόνησιν, ἐκ τοῦ ὕψους τοῦ ὄρους. ὁ δὲ εἰς τὸ χάσμα πεσὼν, παρακαλεῖ μετὰ ταπεινώσεως τὸν δυνάμενον ἀγαγεῖν αὐτὸν εἰς τὴν βασιλικὴν ὁδὸν τῆς ἀρετῆς. ὁ δὲ φρόνιμος, οὔτε ἀνέρχεται κατεπαιρόμενος, καὶ καταβλάπτειν ζητῶν τινά, οὔτε κατέρχεται ἀφρόνως καὶ καταβλάπτεται ὑπότινος, ἀλλὰ τὰ κρείττονα συλλέγων φυλάττει ἐν Χριστῷ τῷ Κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Σίγμα τὸ ἑπτωκαιδέκατον στοιχεῖον,
Λόγος ὁ παρὼν περὶ τῆς σωφροσύνης.

Νοῦ δὲ τὴν ἀρχήν, εὐλόγητον ὦ Πάτερ.

## ΛΟΓΟΣ ΙΗ΄.

Σωφροσύνη ἐστί, φρόνημα σῶον, ἤγουν ἀνελλιπές. καὶ οὔτε πρὸς ἀκολασίαν ἐκκλίνειν ἐᾷ τὸν ἔχοντα ταύτην, οὔτε πρὸς ἠλιθιότητα. ἀλλὰ τὰ συλλεγόμενα καλὰ ἐκ τῆς φρονήσεως φυλάττει, καὶ ὑποβάλλεται πάντα τὰ χείρονα, καὶ συνάγει πρὸς ἑαυτὴν τὸν λογισμόν, καὶ δι' ἑαυτῆς ἀνάγει πρὸς τὸν Θεόν. καὶ ὡς καλὸς ποιμὴν τὰ πρόβατα, ἤτοι τὰ θεῖα νοήματα, ἔσω περισφίγγει, καὶ τὴν ἀκολασίαν, ὡς λυσσώδη Κύνα, ἀποκτείνει τῇ ὑποχῇ τῶν βλαβερῶν. τὴν δὲ ἠλιθιότητα διώκει, ὡς λύκον ἄγριον, καὶ οὐκ ἐᾷ ἐν μονῇ κατεσθίειν τὰ πρόβατα, ἀλλὰ διηνεκῶς βλέπει τοῦτον, καὶ κατάδηλον ποιεῖ τῷ λογιστικῷ, ἵνα μὴ ἐν σκοτομήνῃ κρυβῇ, καὶ σινδιάγῃ τοῖς νοήμασιν αὐτοῦ. γεννᾶται μὲν αὕτη ἐκ τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς. δίχα δὲ ταύτης οὐ φυλάττεταί τι ἀγαθόν, κἂν γένηται ἴσως. διότι μὴ οὔσης σωφροσύνης, ἢ ἄνω φέρεται τὸ τριμερὲς τῆς ψυχῆς, ἢ κάτω, ἤγουν πρὸς ἠλιθιότητα, ἢ πρὸς ἀκολασίαν. οὐ λέγω δὲ ἀκολασίαν τὴν περὶ γαστριμαργίας, καὶ πορνείας μόνον τὴν φροντίδα ἔχουσαν, ἀλλὰ περὶ παντὸς πάθους, καὶ λογισμοῦ, μὴ κατὰ Θεὸν ἑκουσίως λογιζομένου. κολάζει γὰρ αὕτη ταῦτα πάντα, καὶ κατέχει τὰς ἀλόγους ὁρμὰς τῆς ψυχῆς, καὶ τοῦ σώματος, καὶ ἰθύνει ταύτας πρὸς τὸν Θεόν. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Στοιχεῖον τὸ ταῦ, περὶ ἀνδρείας λόγος
Ἐννέα λοιπὸν καὶ δέκατος τυγχάνει.
Καὶ γεννᾶται μὲν ἐκ τοῦ θυμικοῦ αὕτη,
Μέσον δὲ ἐστὶ θράσους τε, καὶ δειλίας.

Νῦν δὲ τὴν ἀρχήν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ ΙΘʹ.

Τὸ τῆς ἀνδρείας ἰδίωμα οὐκ ἐν τῷ νικᾶν καὶ καταπονεῖν τὸν πλησίον. αὕτη γὰρ θρασύτης ἐστί, καὶ ἄνωθεν τυγχάνει τῆς ἀνδρείας. οὐδὲ πάλιν ἐκ τοῦ φεύγειν φόβῳ τῶν πειρασμῶν ἀπὸ τῶν κατὰ Θεὸν ἐργασιῶν τε, καὶ ἀρετῶν. Αὕτη δὲ πάλιν δειλία ἐστί, καὶ κάτωθεν ὑπάρχει. ἀλλ' ἐν τῷ ὑπομένειν εἰς πᾶν ἔργον ἀγαθόν, καὶ νικᾶν τὰ πάθη τῆς ψυχῆς, καὶ τοῦ σώματος. ἐπεὶ οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἤγουν πρὸς ἀνθρώπους, ὡς πάλαι οἱ Ἰουδαῖοι, ἵνα ὁ νικῶν ἐν τοῖς πολέμοις τοὺς ἀλλοφύλους, ἔργον Θεοῦ ποιῇ. ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, ἤτοι πρὸς τοὺς ἀοράτους δαίμονας. καὶ ὁ νικῶν, ἱερῶς νικᾷ, ἢ νικᾶται ὑπὸ τῶν παθῶν. ἐκεῖνος γὰρ ὁ πόλεμος τύπος ἦν τοῦ ἡμετέρου πολέμου. τὰ γὰρ δύο πάθη ταῦτα, εἰ καὶ φαίνονται ἐναντία ἀλλήλων, ἀλλ' οὖν ἐκ τῆς ἀδυναμίας παράγονται. καὶ ἡ μὲν θρασύτης ἄνω παρασύρει, καὶ ἐκφοβεῖ ἔξωθεν καταπλήττουσα, ὥσπερ Ἄρκτος ἀδυνάτως, ἡ δὲ δειλία φεύγει, ὥσπερ Κύων διωκόμενος. διότι οὐδεὶς τῶν ἐχόντων ἓν τῶν δύο παθῶν τούτων, ἐλπίζει ἐπὶ Κύριον. διὰ τοῦτο οὐ δύναται ἐστάναι εἰς πόλεμον, κἂν θρασύνηται, κἂν δειλιᾷ. ὁ δὲ δίκαιος, ὡς λέων πέποιθεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Λόγος εἰκοστὸς ἐν ᾧ τὸ υ ψιλὸν στοιχεῖον
Περὶ ἀρετῶν πασῶν δικαιοσύνης,
Αὕτη μένει ἡ νέμουσα τὸ ἴσον·
Ἐκ τοῦ νοὸς γεννᾶται αὕτη δὲ πάλιν.

Ναῦν δὲ τὴν ἀρχήν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ Κ΄.

Ὑμνεῖται ὁ Θεός, φησὶν ὁ Μέγας Διονύσιος, καὶ διὰ δικαιοσύνης. καὶ εἰκότως. δίχα γὰρ ταύτης πάντα ἄδικα, καὶ ταύτης χωρὶς οὐχ ἵστανται. καὶ λέγεται μὲν διάκρισις, νέμει δὲ τὸ ἴσον εἰς πᾶν ἐγχείρημα, ἵνα μήτε ἔλλειψις διὰ τῆς μειονεξίας γένηται ἔν τινι, μήτε διὰ τῆς πλεονεξίας ὑπερβολή. διότι εἰ καὶ ἐναντίαι φαίνονται, ὡς ἄνωθεν, καὶ κάτωθεν τῆς δικαιοσύνης οὖσαι, ἀλλ' ἓν εἰς ἀδικίαν ἐκκλίνουσι τὸ ἓν μέρος αἱ ἀμφότεραι. ἡ γραμμὴ γὰρ κἂν κυρτὴν ἔχῃ, κἂν κοίλην ἔξωθεν τοῦ ὀρθοῦ σκοποῦ * τυγχάνει. καὶ ὁ ζυγὸς ὡσαύτως εἰς ὁποῖον μέρος βαρεῖ, πλεονεκτεῖ τοῦ ἄλλου. ὁ δὲ δυνάμενος τὴν δικαιοσύνην κατέχειν, οὔτε κάτω διὰ τῆς ἀφροσύνης, ἀκολασίας τε, καὶ δειλίας, καὶ πλεονεξίας πίπτει, καὶ σύρεται, ὡς ὄφις ἐπὶ τῇ κοιλίᾳ, ἐσθίων χοῦν, καὶ λούων πάθεσι τῆς ἀτιμίας. οὔτε πάλιν ἄνω διὰ τῆς δεινότητός τε, καὶ θρασύτητος, λιθιότητός τε, καὶ μειονεξίας κατεπαίρεται καὶ ὑπερφρονεῖ, πονηρευόμενος παρ' ἀξίαν, ἀλλὰ φρονεῖ ἐν τῷ σωφρονεῖν, καὶ ὑπομένει μετὰ ταπεινώσεως, γινώσκων ὅτι ἔλαβεν ὅπερ ἔχει κατὰ χάριν κατὰ τὸν Ἀπόστολον, καὶ οὐκ ἀρνεῖται. ἀδικεῖ γὰρ ἑαυτόν, καὶ τὸν πλησίον, μᾶλλον δὲ τὸν Θεὸν ἐν τῷ ἐπιγράφειν ἑαυτῷ τὰ κατορθώματα, ἀλλ' εἰ δοκεῖ ἔχειν ἀφ' ἑαυτοῦ ὅλως τι ἀγαθόν, ὅπερ αὐτῷ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ, ὥς φησιν ὁ Κύριος. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

* ἴσ. ἀποτυγχάνει

Στοιχεῖον τὸ φῖ, λόγος εἰκοστὸς πρῶτος,
Περὶ λογισμῶν εἰρήνης τῆς τελείας,
Ὡς οἱ μαθηταὶ τυχόντες ἐκ τοῦ Κυρίου.
Αὕτη γάρ ἐστιν ἡ ἐκ Θεοῦ δοθεῖσα.

Νοῦ δὲ τὴν ἀρχὴν, ἀλόγιστον ὦ Πάτερ.

## Λ Ο Γ Ο Σ ΚΑ΄.

ΦΑ΄σκων ὁ Κύριος πρὸς τοὺς Ἀποστόλους εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, ἐπήγαγεν, οὐ καθὼς ὁ κόσμος δίδωσιν. ἤγουν οὐχ ἁπλῶς. ὡς οἱ τῆς χώρας ἐκείνης ἄνθρωποι, ὅταν ἀλλήλους χαιρετίζουσι λέγοντες, εἰρήνη ὑμῖν. καὶ ὡς ἔφη ἡ Σωμανίτης, εἰρήνη σοι. καὶ πάλιν ὁ Ἐλισσαῖος πρὸς τὸν Γιεζῆ, καὶ ἐρωτᾷς εἰρήνη σοι, πρὸς αὐτὴν δηλαδὴ εἰρήνη τῷ ἀνδρί σου, εἰρήνη τῷ παιδαρίῳ; ἀλλ᾽ εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν, ἣν δίδωσιν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν ἐξ ὅλης ψυχῆς, διὰ τοὺς πρὸ ταύτης γενομένους πολέμους καὶ κινδύνους. διὰ τοῦτο γὰρ πάλιν ἔφη ὁ Κύριος, Ἐν ἐμοὶ εἰρήνην ἔχετε. καὶ ἐπήγαγεν. Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε, ἀλλὰ θαρσεῖτε, ἐγὼ τὸν κόσμον νενίκηκα. τοῦτ᾽ ἔστι κἂν πολλὰς θλίψεις ἔχῃ τις, καὶ πολλοὺς κινδύνους ἐκ δαιμόνων, καὶ ἀνθρώπων, κατέχων δὲ τὴν τοῦ Κυρίου εἰρήνην, πάντα εἰς οὐδὲν λογίζεται. καὶ αὖθις εἴρηκεν, εἰρηνεύετε ἐν ἀλλήλοις. ταῦτα δὲ πάντα προεῖπεν αὐτοῖς ὁ Κύριος, ὅτι ἔμελλον ἐκεῖνοι εἰς πολέμους ἐλθεῖν, καὶ ψλίψεις ὑπομεῖναι ὑπὲρ αὐτοῦ. κατὰ δὲ ἀναγωγὴν ἕκαστος ἡμῶν τῶν πιστῶν τὰ πάθη ἔχει πολεμοῦντα, καὶ σκανδαλίζοντα αὐτόν, καὶ ἐὰν ἔχῃ μετὰ τοῦ Θεοῦ εἰρήνην, καὶ μετὰ τοῦ πλησίον νικᾷ πάντα. ταῦτα γάρ εἰσιν ὁ κόσμος, ὃν ἐκέλευσεν Ἰωάννης ὁ Θεολόγος μισεῖν, καὶ οὐχὶ τὰ κτίσματα, ἀλλὰ τὰς κοσμικὰς ἐπιθυμίας. εἰρηνεύει δὲ ἡ ψυχὴ μετὰ τοῦ Θεοῦ, ὅταν ἐν ἑαυτῇ εἰρηνεύῃ, καὶ γένηται ὅλη κατὰ Θεόν. γίνεται δὲ πάλιν οὕτως, ὅταν μετὰ πάντων ἀνθρώπων εἰρηνεύῃ, κἂν δεινὰ πάσχῃ ὑπ᾽ αὐτῶν. διὰ γὰρ τῆς ἀνεξικακίας οὐδ᾽ ὅλως ταράττεται, ἀλλὰ πάντα στέγει, πᾶσι τὸ καλὸν θέλει, πάντας ἀγαπᾷ διὰ τὸν Θεὸν, καὶ διὰ τὴν φύσιν, καὶ ὑπὲρ τῶν ἀπίστων, ὡς ἀπολλυμένων θρηνεῖ, καθὼς ἐποίησεν ὁ Κύριος, καὶ οἱ Ἀπόστολοι, ὑπὲρ δὲ τῶν πιστῶν εὔχεται, καὶ ποιεῖ, καὶ οὕτω τὴν εἰρήνην τῶν λογισμῶν λαμβάνει, καὶ διάγει κατὰ νοῦν τῇ θεωρίᾳ, καὶ καθαρᾷ προσευχῇ πρὸς Θεόν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Λόγος εἰκοστὸς δεύτερος καὶ στοιχεῖον
Τὸ χῖ, ὡς χαρὰ γεννᾶται ἐξ εἰρήνης·
Περὶ ἧς μικρὸν ῥηθήσεται, διότι
Καὶ πνευματικὴ χαρά ἐστι, καὶ ἄλλη.

Νῦν δὲ τὴν ἀρχήν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟΓΟΣ ΚΒ'.

Χαίρετε ἐν Κυρίῳ, φησὶν ὁ Ἀπόστολος, καλῶς εἶπεν ἐν Κυρίῳ· εἰ μὴ γὰρ ἐν Κυρίῳ γένηται ἡ χαρά, οὐ μόνον οὐ χαίρει τις, ἀλλὰ χεδὸν οὐδέποτε * χαίρεται. (* ἴσ. χαρήσεται) καὶ γὰρ ὁ Ἰὼβ καταλέγων τὸν ἀνθρώπινον βίον, πᾶσαν θλῖψιν ἔχοντα εὗρεν, ὁμοίως καὶ ὁ Μέγας Βασίλειος. ὁ δὲ Γρηγόριος ὁ Νύσσης διὰ τὸ ἀναίσθητον τῶν ὀρνέων καὶ τῶν λοιπῶν ζώων ἔφη χαίρεσθαι, τὸν δὲ λογικὸν ἄνθρωπον μηδ᾽ ὅλως ἔχειν εὐχέρειαν ἐκ τοῦ πένθους. διότι, φησίν, οὐδὲ αὐτῶν ἀγαθῶν * ὧν ἐξεπέσαμεν τὴν γνῶσιν ἠξιώθημεν ἔχειν. (* ἴσ. ἐξ ὧν) διὸ καὶ ἡ φύσις διδάσκει τοῦ πενθεῖν μᾶλλον, ὡς πολυώδυνος ἡ ζωὴ καὶ πολυκόπος, καὶ ὡς ἐξορία πολυαμάρτητος. ἀλλ᾽ ἐάν τις τὴν μνήμην τοῦ Θεοῦ ἔχῃ διηνεκῶς, εὐφραίνεται, κατὰ τὸν ψαλμῳδόν, ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην. ἐκ γὰρ τῆς τοῦ Θεοῦ μνήμης εὐφραινόμενος ὁ νοῦς, ἐπιλανθάνεται τῶν τοῦ κόσμου θλίψεων, κἀνταύτης ἐλπίζει ἐπ᾽ αὐτόν, καὶ ἀμέριμνος γίνεται, καὶ ἡ ἀμεριμνία χαροποιεῖ, καὶ εὐχαριστεῖν κατασκευάζει. ἡ δὲ εὐχαριστία μετ᾽ εὐγνωμοσύνης γινομένη, αὔξει τὰς δωρεὰς καὶ τὰ χαρίσματα, καὶ ὅσον πληθύνονται αἱ εὐεργεσίαι, αὔξει ἡ εὐχαριστία καὶ ἡ καθαρὰ προσευχὴ μετὰ τῶν τῆς χαρᾶς δακρύων, καὶ κατὰ μικρὸν ἐκ τῶν τῆς λύπης δακρύων, καὶ τῶν παθῶν· καὶ ἐκ τῶν παθῶν ἐξέρχεται ὁ ἄνθρωπος, εὐθ᾽ οὕτως εἰς τὴν πνευματικὴν χαρὰν ἐκ παντὸς τρόπου ἔρχεται. καὶ διὰ μὲν τὰ ἡδέα ταπεινοῦται καὶ εὐχαριστεῖ, διὰ δὲ τοὺς πειρασμοὺς βεβαιοῦται ἐν ἑαυτῷ ἐλπὶς ἐν τῷ μέλλοντι, καὶ δι᾽ ἀμφοτέρων χαίρεται, καὶ ἀγαπᾷ τὸν Θεόν, καὶ πάντας φυσικῶς ὡς εὐεργέτας, καὶ οὐχ εὑρίσκει ἐν πάσῃ τῇ κτίσει τί δυνάμενον βλάψαι αὐτόν, ἀλλ᾽ ἀπὸ τῆς γνώσεως τοῦ Θεοῦ φωτιζόμενος ἐκ πάντων τῶν κτισμάτων χαίρεται ἐν Κυρίῳ, θαυμάζων αὐτοῦ τὴν ἐπιμέλειαν, ἣν ἔχει περὶ τῶν κτισμάτων αὐτοῦ. καὶ γὰρ οὐ μόνα τὰ φαινόμενα ἀξιέπαινα θαυμάζει, ὁ εἰς πνευματικὴν γνῶσιν φθάσας, ἀλλὰ καὶ τὰ μὴ φαινόμενα τοῖς ἀπείροις ἀναγκαῖα καταπλήττεται ἐκ τῆς αἰσθήσεως· καὶ οὐ θαυμάζει τὴν ἡμέραν μόνην διὰ τὸ φῶς, ἀλλὰ καὶ τὴν νύκτα. πᾶσι γὰρ ἡ νὺξ ὠφέλιμος, τοῖς μὲν πρακτικοῖς ἡσυχίαν, καὶ ἄδειαν παρέχει, τοὺς δὲ πενθικοὺς πρὸς μνήμην θανάτου καὶ ᾅδου ἄγει, καὶ τοὺς τὴν ἠθικὴν μετερχομένους πρὸς ἀκριβεστέραν μελέτην καὶ ἔρευναν εὐεργεσιῶν, καὶ ἠθῶν κατάστασιν κατασκευάζει. ὥς φησιν ὁ ψαλμῳδός· ἃ λέγετε ἐν ταῖς καρδίαις ἡμῶν ἐπὶ ταῖς κοίταις ἡμῶν κατανύγητε, ἤγουν ἐν τῇ ἡσυχίᾳ τῆς νυκτὸς κατανύγητε μνημονεύοντες τῶν εἰς τὴν σύγχυσιν τῆς ἡμέρας γινομένων ὀλισθημάτων, καὶ εὐθετοῦντες ἑαυτοὺς ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ἤγουν ἐν

προσευ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

προσευχαῖς καὶ ψαλμῳδίαις διεγείρειν ἑαυτὰς διδάσκετε, διὰ τῆς μελέτης, καὶ προσοχῆς τῆς ἀναγνώσεως. οὕτω γὰρ κατορθοῦται ἡ ἠθικὴ πρᾶξις, ἐν τῷ μελετᾷν τὰ τῆς ἡμέρας, ἵνα τίς λάβῃ αἴσθησιν διὰ τῆς ἡσυχίας τῆς νυκτὸς, καὶ δυνηθῇ πενθεῖν, ἐφ' οἷς ἥμαρτε. καὶ ὅταν ἡ χάρις εἰς προκοπὴν φέρῃ αὐτὸν, καὶ εὕρῃ ἐν ἀληθείᾳ καὶ οὐ φαντασίᾳ τινὰ τῶν ἠθικῶν τῆς ψυχῆς ἢ τοῦ σώματος, δι' ἔργων ἢ λόγων κατὰ τὴν ἐντολὴν τοῦ Χριστοῦ γινόμενα, εὐχαριστεῖ μετὰ φόβου καὶ ταπεινώσεως, καὶ ἀγωνίζεται διὰ προσευχῆς καὶ δακρύων πολλῶν πρὸς τὸν Θεὸν φυλάττειν τὸ χρηστὸν ἦθος ἐκεῖνο, τιθεὶς ἑαυτὸν πρὸς μνήμην τούτου, ἵνα μὴ ὑπὸ τῆς λήθης πάλιν ἀπώληται τοῦτο. ὅτι χρόνῳ πολλῷ κατορθοῦται ἐν ἡμῖν ἦθος χρηστόν. καὶ τὸ πολλῷ χρόνῳ καὶ κόπῳ κατορθούμενον, δυνατὸν ἐν μιᾷ καιροῦ ἀπολέσθαι ῥοπῇ. καὶ ταῦτα μὲν περὶ τῶν πρακτικῶν. περὶ δὲ τῶν θεωρητικῶν, ἡ νὺξ ἔχει πολλὰς θεωρίας, ὥς φησιν ὁ Μέγας Βασίλειος, καὶ γὰρ καθ' ἑκάστην ὑπομιμνήσκει αὕτη τῆς κοσμοποιΐας, διὰ τὸ ἀφανῆ ὑπὸ τοῦ σκότους γενέσθαι τὴν κτίσιν πᾶσαν, ὡς τὸ πρότερον, καὶ θεωρεῖν κατασκευάζει. πῶς ὁ οὐρανὸς ἦν μόνος ποτὲ, καὶ ἀστέρων δίχα, ὅταν ὑπὸ νεφῶν νῦν ἀφανῶν γενομένων· καὶ εἰς τὸ κελλίον εἰσελθὼν, καὶ τὸ σκότος μόνον θεωρῶν, μιμνήσκεται τοῦ ἐπάνω τῆς ἀβύσσου σκότους ἐκείνου, καὶ πάλιν ἐξαίφνης καθαρὸς ὁ οὐρανὸς γινόμενος, καὶ ἔξω τῆς κέλλης ἱστάμενος ὁ τοιοῦτος ἐκπλήττεται ὁμοῦ τὸν ἄνω κόσμον, καὶ αἶνον τῷ Θεῷ προσφέρει· ὥς φησιν ἐν τῷ Ἰὼβ, περὶ τῶν Ἀγγέλων· ὅτε εἶδον τὰ ἄστρα. θεωρεῖ δὲ καὶ τὴν γῆν ἀόρατον καὶ ἀκατασκεύαστον καθάπερ τότε, καὶ τοὺς ἀνθρώπους ὕπνῳ κατεχομένους ὡς οὐκ ὄντας, καὶ γίνεται διὰ τῆς αἰσθήσεως μόνος ὡς ὁ Ἀδὰμ, καὶ ὑμνεῖ τὸν κτίστην, καὶ δημιουργὸν τῆς κτίσεως ἐν γνώσει μετὰ τῶν Ἀγγέλων. καὶ ἐκ μὲν τῶν γινομένων βροντῶν καὶ ἀστραπῶν ἀναλογίζεται τὴν ἡμέραν τῆς κρίσεως· ἐκ δὲ τῶν φωνῶν τῶν ὀρνέων, ὡς αἰσθανόμενος τῆς τότε φωνῆς τῆς σάλπιγγος· καὶ ἐκ τῆς ἀνατολῆς τοῦ ἑωσφόρου, καὶ τῆς αὐγῆς κατανοεῖ τὴν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ ἐμφάνειαν· καὶ ἐκ τῆς ἐγέρσεως τῶν ἀνθρώπων ἐκ τοῦ ὕπνου, τεκμαίρεται τὴν ἀνάστασιν· καὶ ἐκ τοῦ ἡλίου, τὴν τοῦ Κυρίου ἔλευσιν. καὶ πῶς οἱ μὲν προαπαντῶσι διὰ τῆς ὑμνῳδίας, ὡς οἱ ἐν νεφέλαις ἅγιοι τότε, οἱ δὲ ἀμελοῦσι καὶ μένουσιν ὑπνοῦντες, ὡς οἱ τότε κριθῆναι μέλλοντες· καὶ οἱ μὲν, τῇ δοξολογίᾳ, θεωρίᾳ τε, καὶ εὐχῇ, καὶ ταῖς λοιπαῖς ἀρεταῖς δι' ὅλης τῆς ἡμέρας εὐφραινόμενοι, ἐν τῷ φωτὶ τῆς γνώσεως διάγουσιν, ὡς οἱ τότε δίκαιοι· οἱ δὲ, ἐν τοῖς πάθεσι καὶ σκότει τῆς ἀγνωσίας μένουσιν, ὡς οἱ τότε ἁμαρτωλοί· καὶ ἁπλῶς εἰπεῖν ὁ ἔχων γνῶσιν, πᾶν πρᾶγμα εὑρίσκει συνεργὸν αὐτῷ πρὸς σωτηρίαν ψυχῆς, καὶ δόξαν Θεοῦ, δι' ἣν καὶ ἐγένοντο παρὰ Κυρίου καὶ Θεοῦ τῶν γνώσεων, ὥς φησιν ἡ μήτηρ τοῦ προφήτου Σαμουήλ· διὰ τοῦτο μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ καὶ τὰ ἑξῆς· ἀλλ' ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος ἐν τῷ συνιεῖν, καὶ γινώσκειν τὸν Κύριον. δηλαδὴ ἐν τῷ γινώσκειν ἐν συνέσει πολλῇ τὸν Κύριον ἐκ τῶν κτισμάτων αὐτοῦ, καὶ μιμεῖσθαι αὐτὸν· κατὰ τὸ δυνατὸν· διὰ τῆς φυλακῆς τῶν θείων ἐντολῶν αὐτοῦ, δι' ὧν γινώσκει αὐτὸν, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς κατ' ἐκεῖνον δυνηθῇ. περὶ γὰρ τῆς σταυρώσεως, καὶ ἀναστάσεως τοῦ Κυρίου προφητεύουσα ταῦτα ἔλεγεν· καὶ ἵνα συμπάσχῃ ὁ τοιοῦτος διὰ τῆς κτήσεως τῶν ἀρετῶν, καὶ συνδοξασθῇ διὰ τῆς ἀπαθείας, καὶ τῆς γνώσεως, καὶ καύχημα ἔχῃ ἐν αὐτῷ, ὡς ἀξιωθεὶς δοῦλος τοιούτου δεσπό-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸ γενέσθαι, καὶ μιμητὴς τῆς ταπεινώσεως αὐτοῦ ἀνάξιος ὤν, καὶ τότε ὁ ἔπαινος γενήσεται παρὰ Κυρίου, κατὰ τὸν Ἀπόστολον τότε, πότε; ὅτε ἐρεῖ τοῖς ἐκ δεξιῶν. Δεῦτε οἱ εὐλογημένοι, κληρονομήσατε τὴν βασιλείαν. ἧς ἀξιωθείημεν, ἅπαντες, χάριτι αὐτοῦ καὶ φιλανθρωπίᾳ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Περὶ τῶν γραφῶν εἰκοστὸς τρίτος λόγος,
Ἵνα μηδαμῶς τινὰ διαφωνίαν,
Ἔχοντες οἱ θέλοντες ἐρευνᾷν ταῦτα,
Ἀλλ' ὡς δεῖ νοεῖν πάντα τὰ γεγραμμένα.

Νῦν δὲ τὴν ἀρχήν, εὐλόγησον ὦ Πάτερ.

## Λ Ο Γ Ο Σ ΚΓ'.

Ψάλλατε συνετῶς, φησὶν ὁ προφήτης, καὶ ἐρευνᾶτε τὰς γραφάς, φησὶν ὁ Κύριος. καὶ ὁ μὲν ἀκούων φωτίζεται. ὁ δὲ παρακούων σκοτίζεται. εἰ μὴ γάρ τις προσέχῃ τοῖς λεγομένοις, οὐ πόσου καρποῦται ἐν τῶν θείων γραφῶν, κἂν ἴσως ψάλλῃ καὶ ἀναγινώσκῃ πολλάκις· Σχολάσατε, καὶ γνῶτε· φησι, διότι ἡ σχολὴ μὲν συνάγει τὸν νοῦν, ἐὰν δὲ καὶ βουληθῇ τις μικρὸν προσέχειν, γινώσκει κατὰ τὸν Ἀπόστολον, ἐκ μέρους, καὶ μάλιστα ὁ ἔχων μετρικὴν ἠθικὴν πρᾶξιν. διότι αὕτη πολύπειρον κατασκευάζει τὸν νοῦν ἐκ τῆς τῶν παθῶν συμπλοκῆς. πλήν, οὐχ ὅσα μυστήρια ἔχει ἕκαστον ῥῆμα τῆς γραφῆς κεκρυμμένον παρὰ τῷ Θεῷ γινώσκει, ἀλλ' ὅσα δύναται ἡ καθαρότης τοῦ νοὸς λαμβάνειν ὑπὸ τῆς χάριτος. καὶ δῆλοι ἐκ τοῦ γινώσκειν ἡμᾶς πολλάκις ῥητόν τι γραφικὸν κατὰ θεωρίαν, καὶ ἐπιτυχεῖν ἐκ τῶν σκοπῶν δι' ὧν ἐγράφη, ἕνος ἢ δύω. καὶ μετὰ καιρόν τινα ὁ νοῦς ἴσως καθαρώτερος γίνεται, καὶ καταξιοῦται ἄλλης γνώσεως ὑψηλοτέρας τῆς πρώτης ἐκείνης· ὥστε ἐκ τῆς ἀπορίας, καὶ τοῦ θαυμάζειν τὴν χάριν τοῦ Θεοῦ, καὶ τὴν ἄφραστον σοφίαν αὐτοῦ, καταντᾷ εἰς τὸ φρίττειν, καὶ τρέμειν ἐναντίον τοῦ Θεοῦ τῆς γνώσεων, ὡς ἡ προφῆτις ἔφη Ἄννα, ὅτι Θεὸς γνώσεων Κύριος. οὐ λέγω δέ, ἄν τις ἀκούσῃ ἔκτινος γραφῆς, ἢ ἀνθρώπου. τοῦτο γὰρ οὐκ ἔστι καθαρότης νοὸς, οὐδὲ Ἀποκάλυψις, ἀλλ' ὅταν γινώσκῃ τις, καὶ ἀπιστῇ ἑαυτοῦ, μέχρις ἂν εὕρῃ τὴν θείαν γραφήν, ἤτινα τῶν ἁγίων συμμαρτυροῦντα τῇ αὐτομάτου γνώσει τοῦ ῥητοῦ τῆς γραφῆς, ἢ τοῦ αἰσθητοῦ, ἢ τοῦ νοητοῦ πράγματος· κἂν ἴσως ἀντὶ τοῦ ἑνὸς σκοποῦ πολλοὺς εὑρίσκῃ, ἢ ἀκούσῃ παρὰ τῆς θείας γραφῆς, ἢ τῶν Ἁγίων Πατέρων, μὴ ἀπιστήσῃ, καὶ διαφωνίαν εἶναι τοῦτο δοκήσῃ· διότι εἰσί τινες τοῦ ἑνὸς πράγματος σκοποὶ πολλοί, οἷον τῆς ἐσθῆτος. ἐὰν οὖν λέγῃ τις ὅτι θερμαίνει, καὶ ἄλλος ὅτι κοσμεῖ, καὶ ἕτερος πάλιν, ὅτι σκέπει, καὶ οἱ τρεῖς ἀληθεύουσιν, ὅτι χρήσιμός ἐστιν ἡ ἐσθὴς εἰς θέρμην, σκέπην τε, καὶ κοσμιότητα· καὶ οἱ τρεῖς τοῦ θείου σκοποῦ περὶ τῆς ἐσθῆτος ἐπέτυχον. καὶ μάρτυρα ἔχουσι τὴν θείαν γραφήν, καὶ τὴν φύσιν τῶν πραγμάτων. εἰ δέ τις ἅρπαξ, ἢ κλέπτης τυγχάνων ἐπὶ νοήμασιν εἴποι, ὅτι χρήσιμός ἐστιν ἡ ἐσθὴς πρὸς ἁρπαγήν, ἢ κλοπήν, πάντως ψεύδεται. οὔτε γὰρ ἡ γραφή, οὔτε ἡ φύσις τῶν πραγμάτων μαρτυρεῖ ὅτι διὰ τοῦτο



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐγένετο. ἐπεὶ καὶ οἱ νόμοι κολάζουσι τὰ τοιαῦτα. ὡσαύτως καὶ περὶ παντὸς πράγματος, αἰσθητοῦ καὶ νοητοῦ, ἢ λόγου τῆς Θείας γραφῆς γίνεται. διότι οἱ Ἅγιοι οὔτε πάντα σκοπὸν Θεοῦ, περὶ ἑκάστου πράγματος, ἢ γραφικοῦ λόγου γινώσκουσιν, οὔτε πάλιν ἐφάπαξ πάντα τὰ ὑπ᾽ αὐτῶν γινωσκόμενα γράφουσι. τὸ μὲν, διότι ὁ Θεὸς ἀκατάληπτός ἐστι, καὶ ἡ σοφία αὐτοῦ οὐκ ἔχει πλήρωμα, ὥστε Ἄγγελος, ἢ ἄνθρωπος χωρῆσαι πάντα ὥς φησιν ὁ Χρυσόστομος περί τινος θεωρίας. ὅτι καὶ ἡμεῖς μὲν εἴπομεν περὶ τούτου ὅσα δεῖ εἰπεῖν ἄρτι, ὁ δὲ Θεὸς σὺν τοῖς εἰρημένοις, καὶ ἄλλα ἀκατανόητα γινώσκει. τὸ δὲ πάλιν, ὅτι οὐ συμφέρει, ἵνα αὐτοὶ οἱ Ἅγιοι λέγωσιν ὅσα γινώσκουσι διὰ τὴν ἀσθένειαν τῶν ἀνθρώπων, καὶ ἵνα μὴ μηκύνηται ὁ λόγος, καὶ γένηται μισητὸς, ἢ ἀκατανόητος ἐκ τῆς συγχύσεως, ἀλλ᾽ ἵνα μεμετρημένα τὰ λεγόμενα γίνωνται κατὰ τὸν Θεολόγον· διὰ τοῦτο γὰρ καὶ σήμερον ὁ αὐτὸς περὶ τοῦ αὐτοῦ πράγματος ἄλλα λέγει, καὶ αὔριον ἄλλα· καὶ οὐκ ἔστι διαφωνία τοῦτο, ἐὰν ἔχῃ γνῶσιν ἢ πεῖραν ὁ ἀκροατὴς τῶν λεγομένων. καὶ πάλιν, ὁ μὲν, ταῦτα λέγει, ὁ δὲ, ἄλλα περὶ τοῦ αὐτοῦ λόγου τῆς Θείας γραφῆς, διότι πολλάκις καὶ ταῦτα, κἀκεῖνα ἡ χάρις ἡ Θεία ἐδωρήσατο κατὰ τοὺς ἀνθρώπους, καὶ τὸν καιρόν· τοῦτο μόνον ἐστὶ τὸ ζητούμενον, ἵνα κατὰ τὸν Θεῖον σκοπὸν γίνηται τὸ γινόμενον· ἢ λέγηται τὸ λεγόμενον, καὶ ὅπως μαρτυρίαν ἔχῃ ἐκ τῶν Θείων γραφῶν, ἵνα μὴ ἀκούσῃ παρὰ τοῦ Ἀποστόλου, ἀνάθεμα ἔστω, ἐὰν ἕτερον εὐαγγελίζηται, παρὰ τὸν Θεῖον σκοπὸν, κἂν Ἄγγελός ἐστιν, ἢ παρὰ τὴν φύσιν τῶν πραγμάτων. ὥς φασιν ὁ Μέγας Διονύσιος, Ἀντώνιος, καὶ Ὁμολογητὴς Μάξιμος. διὰ τοῦτο, φησὶν ὁ Χρυσόστομος· οὐχ Ἑλλήνων Παῖδες ἡμῖν παρέδωκαν ταῦτα, ἀλλ᾽ ἡ ἁγία γραφή. ἡ διαφωνία δὲ ἐστι τὸ εἰπεῖν τὴν γραφὴν περί τινος, ὅτι οὐκ εἶδε τὴν Βαβυλῶνα εἰς τὴν αἰχμαλωσίαν. καὶ πάλιν ἀλλαχόθι, ὅτι ἔλαβον εἰς τὴν Βαβυλῶνα σὺν τοῖς λοιποῖς. εὑρίσκει γὰρ, νουνεχῶς ἀναγινώσκων εἰς ἕτερον τόπον τῆς γραφῆς περὶ τοῦ αὐτοῦ, ὅτι ἐτύφλωσαν αὐτὸν, καὶ οὕτως ἔλαβον αἰχμάλωτον. καὶ λοιπὸν εἰσῆλθε μὲν εἰς τὴν Βαβυλῶνα, ὡς εἶπεν ὁ εἷς περὶ αὐτοῦ· καὶ οὐκ εἶδε ταύτην, ὡς εἶπεν ὁ ἄλλος. καὶ πάλιν τινὲς ἐξ ἀπειρίας λέγουσιν, ὅτι ἡ πρὸς Ἑβραίους ἐπιστολὴ οὐκ ἔστι Παύλου τοῦ Ἀποστόλου. οὐδὲ ὁ εἷς λόγος τοῦ Ἁγίου Διονυσίου ἐκ τῶν ἑτέρων αὐτοῦ λόγων. ἀλλ᾽ ἐάν τις προσέχῃ ἐν τοῖς αὐτοῖς λόγοις εὑρίσκει τὴν ἀλήθειαν. καὶ γὰρ οἱ Ἅγιοι εἰ μὲν φυσικόν ἐστι τὸ πρᾶγμα ἐκ τῆς διοράσεως, ἤγουν τῆς φυσικῆς γνώσεως, ἤτοι τῆς τῶν ὄντων θεωρίας, δηλονότι τῶν κτισμάτων τῆς ἐκ τῆς καθαρότητος τοῦ νοὸς γινομένης, καὶ μετ᾽ ἀκριβείας πάσης λέγουσι τὸν σκοπὸν τοῦ Θεοῦ, καὶ τὰς γραφὰς ἐρευνῶντες, ὥς φησιν ὁ Χρυσόστομος, περὶ τῶν θελόντων εὑρεῖν ἐκ τῶν μετάλλων τῆς γῆς τὸ χρυσίον, καὶ πῶς τὰ λεπτότατα τῶν φλεβῶν ἐξευρίσκουσιν, ἵνα μὴ ἰῶτα ἓν, ἢ μία κεραία πέσῃ ται, ὥς φησιν ὁ Κύριος. καὶ τὸ μὲν ἰῶτα τὸ δέκατόν ἐστι ψηφίον, ἡ δὲ κεραία ἐστὶν ἡ λεγομένη μακρὰ, ἧς χωρὶς οὐ δυνάμεθα γράφειν ὀρθῶς. καὶ ταῦτα μὲν περὶ τῶν κατὰ φύσιν πραγμάτων εἴρηται. ὅταν δὲ ὑπὲρ φύσιν πρᾶγμα αἰσθητὸν, ἢ νοητὸν γινόμενον, καὶ ῥῆμα γραφικὸν, διὰ τῆς προοράσεως, καὶ ἀποκαλύψεως γινώσκουσιν, ἐὰν δίδωται αὐτοῖς γνῶσις περὶ τούτου ὑπὸ τοῦ Ἁγίου Πνεύματος. εἰ δ᾽ ἴσως οὐ δίδοται, ἀλλὰ πρὸς τὸ συμφέρον ἀκατάληπτον μένει, οὐκ αἰσχύνονται λέγειν τὴν ἀλήθειαν, καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὁμολογεῖν τὴν ἀνθρωπίνην ἀσθένειαν. ἐν τῷ λέγειν, οὐκ οἶδα, ὁ Θεὸς οἶδε, κατὰ τὸν Ἀπόστολον. καὶ ὥς φησιν ὁ Σολομών, τρία ἀγνοῶ, καὶ τὸ τέταρτον οὐκ ἐπίσταμαι. καὶ ὁ Χρυσόστομος πάλιν, ἐγὼ οὐκ οἶδα, ἀλλὰ κἂν ἄπιστόν με καλέσωσιν οἱ αἱρετικοί, καλεσάτωσαν καὶ μωρόν. καὶ ἁπλῶς, ὅτι οἱ τὴν διπλῆν σοφίαν ἔχοντες, τὴν ἄνωθεν σοφίαν προετίμησαν. ἐχρήσαντο δὲ καὶ τῇ ἔξω παιδείᾳ σοφῶς ἐν μεμετρημένῳ σκοπῷ, τῷ Ἀποστολικῷ στοιχοῦντες κανόνι, ἵνα μὴ εἰς τὰ ἄμετρα καυχήσωνται, ὡς οἱ Αἰγύπτιοι ἐκεῖνοι οἱ χλευάζοντες τὸ πεζὸν τῆς λέξεως Βαρνάβα τοῦ Ἀποστόλου, ἀγνοοῦντες, ὅτι ῥήματα ζωῆς αἰωνίου εἶχε τὸ κήρυγμα αὐτοῦ, ὥς φασι τὰ Κλημέντια. καὶ γὰρ πάσχομεν πολλοὶ τοῦτο, ὅταν ἀκούσωμεν τινὸς λαλοῦντος ἑτέραν λέξιν, καὶ γελῶμεν. κἂν ἴσως σοφὸς τυγχάνῃ ἐκεῖνος εἰς τὴν ἰδίαν γλῶσσαν, καὶ περὶ μυστηρίων φρικτῶν λέγει. ἀλλὰ τοῦτο μὲν ἐξ ἀπειρίας γίνεται. οἱ δὲ Πατέρες καὶ ἑκόντες ἔγραψαν ἁπλᾶ κατὰ τὸν καιρόν, καὶ τοὺς ἀνθρώπους πρὸς οὓς ἔγραφον. ὥς φησιν ὁ Ἅγιος Γρηγόριος Νύσσης, ἐγκωμιάζων τὸν Ἅγιον Ἐφραίμ, ὅτι σοφὸς ὢν ἔγραψεν ἁπλᾶ. καὶ ὅτι πολύπειρος ὢν εἰς τὰ δόγματα θαυμάσας ἔφη, πῶς ἐκόλλησεν ἐπιστημόνως τὰ χαρτία τῶν κατηραμένων βιβλίων τοῦ νηπιόφρονος ἐκείνου αἱρετικοῦ, καὶ πῶς ἐξ ὑπερηφανίας ἐκεῖνος μὴ δυνάμενος φέρειν τὴν αἰσχύνην ἐξέψυξεν. ὑπὲρ φύσιν γάρ ἐστιν ἡ ἁγία ταπείνωσις, καὶ οὐ δύναται ταύτην ἔχειν ὁ ἄπιστος, ἀλλὰ παρὰ φύσιν ἡγεῖται, ὥς φησιν ὁ Μέγας Διονύσιος περὶ τῶν τοιούτων πρὸς τὸν Ἅγιον Τιμόθεον γράφων· ὅτι τοῖς παλαιοῖς παρὰ φύσιν φαίνεται ἡ τῶν νεκρῶν ἀνάστασις. ἐμοὶ δέ, καὶ σοί, καὶ τῇ ἀληθείᾳ, οὐ παρὰ φύσιν, ἀλλ' ὑπὲρ φύσιν ἐστί. καὶ τοῦτο ὅσον πρὸς ἡμᾶς, πρὸς δὲ τὸν Θεὸν οὐδὲ ὑπὲρ φύσιν, ἀλλὰ φυσικῶς. τὸ γὰρ πρόσταγμα τοῦ Θεοῦ, φύσις αὐτοῦ ἐστίν. οἱ δὲ Πατέρες τὴν ταπείνωσιν μᾶλλον ἔργῳ, καὶ λόγῳ φιλοῦσιν, ὡς ὁ γράψας τὸ Γεροντικόν, καίτοι γε Ἐπίσκοπος ὤν, καὶ διὰ Χριστὸν ἐξωρισμένος. φησὶ γὰρ περὶ ῥάκους τινὸς παρθένου, ὅτι καὶ ἔλαβον αὐτὸ ἐγώ, ἵνα εὐλογηθῶ. καὶ οἱ Ἅγιοι Πατέρες Δωρόθεος καὶ Κασσιανός, σοφοὶ ὄντες ἔγραψαν ἁπλᾶ. τοῦτο δὲ εἴρηται, ἵνα μή τις δοκῇ, ὅτι ἐξ ὑπερηφανίας ἔγραψάν τινες δεινά, ἢ πάλιν ἐξ ἀφελείας ἄλλοι ἁπλᾶ· ἀλλ' ὅτι ὁ μὲν νοῦς τῶν ἀμφοτέρων εἷς ἐστι. καὶ ἐξ ἑνὸς Ἁγίου Πνεύματος διδόμενος. ὁ δὲ σκοπὸς πρὸς ὠφέλειαν πάντων ἦν. διότι εἰ ἔγραψαν ἁπλᾶ πάντες, οὐδεὶς τῶν δεινῶν ὠφελήθη ποτέ· εἰς οὐδὲν γὰρ ἡγεῖτο ταῦτα, διὰ τὸ πεζὸν τῆς λέξεως. ἀλλ' οὐδὲ πάλιν τις τῶν ἁπλουστέρων ὠφελήθη, εἰ ἔγραψαν πάντες δεινά, ἐκ τοῦ μὴ νοεῖν τὴν δύναμιν τῶν λεγομένων. καὶ ὁ μὲν ἔχων πεῖραν τῆς θεωρίας τῶν γραφῶν, γινώσκει ὅτι ὁ νοῦς τοῦ ἁπλουστάτου ῥητοῦ τῆς γραφῆς, καὶ τοῦ καθ' ὑπερβολὴν σοφωτάτου, εἷς ἐστί, καὶ πρὸς τὸ σῶσαι τὸν ἄνθρωπον βλέπει. ὁ δὲ ταύτης ἄμοιρος ὤν, σκανδαλίζεται πολλάκις, ἀγνοῶν ὅτι μεγάλως συνεργεῖ ἡ κάτω παιδεία, ὅταν ὄχημα γένηται τῆς ἄνωθεν σοφίας τοῦ Πνεύματος. διότι ἡ μέν, νοήματα φωτεινά, ἡ δέ, δύναμιν λόγου δίδωσιν, ἐὰν ἔχῃ τὴν φρόνησιν σταθηράν, καὶ τὴν * σωφροσύνην σύνοικον, δι' ἧς καὶ φοβεῖται τὴν ἀφροσύνην, καὶ τὸ ὑπερφρονεῖν, καὶ φρονεῖ εἰς τὸ σωφρονεῖν, κατὰ τὸν Ἀπόστολον. ὥσπερ τρίτην τὸ ἀμήν, τὸ λεγόμενον εἰς τὸ κατὰ Λουκᾶν ἀληθῶς, σταθηρός ἐστιν ὁ λόγος, βεβαιῶν τὰ πρὸ αὐτοῦ λεγόμενα. οὕτω καὶ ἡ φρόνησις, σταθηρὰ νόησίς ἐστι, δυναμένη φυ-

* ἐν ἄλ. ταπεινοφροσύνην

λάττειν τὴν ἀλήθειαν. τὸ γὰρ ἀμὴν δηλοῖ τὸ μόνιμον τῆς νέας χάριτος, διὸ καὶ ἐν μὲν τῇ παλαιᾷ διαθήκῃ οὐδ᾽ ὅλως εὑρίσκεται, διότι τύπος ἦν, ἐν δὲ τῇ νέᾳ χάριτι πανταχοῦ λέγεται διὰ τὸ μένειν αὐτὴν εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

---

Ω' τὸ μέγα νῦν, καὶ εἰκοστὸς τέταρτος.
Λόγος ὁ παρὼν αἴσθησιν τῇ καρδίᾳ
Φέρει ἵνα τις γινώσκῃ τὸ συμφέρον.

Ναὶ δὲ τὴν ἀρχήν, εὐλόγησον ὦ Πάτερ.

## ΛΟ'ΓΟΣ ΚΔ'.

Ω' Πόσα δάκρυα ἤθελον ἔχειν, ὅταν ἐκ μέρους ἴδω ἐμαυτόν. ὅτι ἂν μὴ ἁμαρτήσω, διὰ ὑπονοίας ἐπαίρομαι, οὐδὲ ἁμαρτήσω, καὶ δυνηθῶ τοῦ ἰδεῖν, διὰ ὑπονοίας ἀθυμῶ, καὶ εἰς ἀπόγνωσιν ἔρχομαι. ἐὰν δὲ πρὸς τὴν ἐλπίδα καταφύγω, πάλιν ἡ ἄνοια ἔρχεται. ἐὰν δὲ κλαύσω, εἰς οἴησίν μοι γίνεται, καὶ ἐὰν μὴ κλαύσω, πάλιν τὰ πάθη ἔρχονται. ἡ ζωή μου, θάνατος. καὶ ὁ θάνατος, χείρων διὰ τὸν φόβον τῆς κολάσεως. ἡ προσευχή μου, πειρασμός μοι γίνεται, καὶ ἡ ἀπροσεξία, ἀπώλεια. ὁ τιθεὶς γνῶσιν, προστίθησιν ἄλγημα, φησὶν ὁ Σολομών, ἀπορῶ καὶ διΐσταμαι, καὶ ἀγνοῶ τί ποιῆσαι. οὐδὲ ἴσως γινώσκω, καὶ οὐ ποιῶ, πρὸς κατάκρισίν μοι ἡ γνῶσις, οἴμοι· τί αἱρήσομαι; πάντα μοι διὰ ἀγνωσίας ἐναντία φαίνονται, καὶ οὐ δύναμαι ἰσάζειν τί τῶν τοιούτων. οὐχ εὑρίσκω δὲ τὴν κεκρυμμένην ἀρετήν, καὶ τὴν σοφίαν ἐν τοῖς πειρασμοῖς, διότι οὐκ ἔχω ὑπομονήν. ἀλλὰ φεύγων ἐκ τῆς ἡσυχίας διὰ τοὺς λογισμούς, εὑρίσκω ἔξω τὰ πάθη ἐν τῷ πειρασμῷ διὰ τῶν αἰσθήσεων. ἀσιτίαν εἰ θελήσω ἔχειν καὶ ἀγρυπνίαν, εὑρίσκω τὴν οἴησιν καὶ τὴν ἀκηδίαν ἐμπόδιον. ἐσθίω, καὶ ὑπνώττω ἀφειδῶς, εἰς τὸ ἁμαρτάνειν ἔρχομαι ἀκων. ἐκ πάντων συστέλλομαι, καὶ φεύγω διὰ τὸν φόβον τῆς ἁμαρτίας, καὶ ἡ ἀκηδία πάλιν καταλύει με, καίτοιγε ὁρῶν πολλοὺς ἐκ τῶν τοιούτων πολέμων καὶ πειρασμῶν στεφάνους λαμβάνοντας, διότι ἔχουσι πίστιν βεβαίαν, δι᾽ ἧς τὸν θεῖον φόβον ἔλαβον, καὶ διὰ τοῦ φόβου τῶν λοιπῶν ἀρετῶν ἐπέτυχον τῆς ἐργασίας. εἰ γὰρ εἶχον κἀγὼ τὴν πίστιν ὡς ἐκεῖνοι, εὗρον ἂν τὸν φόβον, δι᾽ οὗ τὴν εὐσέβειαν, κατὰ τὸν Προφήτην, καὶ τὴν γνῶσιν ἔλαβον, διὰ ἧς ἡ ἰσχὺς καὶ βουλή, ἡ σύνεσις καὶ ἡ σοφία τοῦ Πνεύματος γίνονται τοῖς παραμένουσι τοῦ Θεοῦ ἐν ἀμεριμνίᾳ, καὶ χολῇ ἐν ταῖς θείαις γραφαῖς μεθ᾽ ὑπομονῆς, δι᾽ ἧς πάντα τότε ἄνω καὶ κάτω ἴσα γίνονται. ὅταν γὰρ ἓν πάθος εἰς ἀρετὴν μετασχηματίζηται, ὁ χρόνος καὶ ἡ πεῖρα κατάδηλον ποιεῖν πέφυκεν. ὅταν δὲ πάλιν ἡ ἀρετὴ πρὸς πάθος ἐκκλίνῃ, ὁ χρόνος καὶ ἡ πεῖρα χωρίζειν εἴωθεν διὰ τῆς ὑπομονῆς. εἰ μὴ γὰρ αὕτη ἐκ πίστεως γεννᾶται ἐν τῇ ψυχῇ, οὐδ᾽ ὅλως ἀρετὴν δύναται ἔχειν. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν, φησὶν ὁ Κύριος, ὁ κτίσας κατὰ μόνας τὰς καρδίας τῶν ἀνθρώπων, ὥς φησιν ὁ ψαλμῳδός. κἀκ τούτου δῆλον ὅτι κατὰ μόνας κτίζεται ἡ καρδία, ἤγουν ὁ νοῦς,

διὰ τῆς ὑπομονῆς τῶν ἐπερχομένων. ὁ γὰρ πιστεύων ὅτι ἔχει ἄλλον τινὰ ἀοράτως κυβερνῶντα αὐτοῦ τὴν ζωήν, πότε πείθεται τῷ ἰδίῳ λογισμῷ λέγοντι, τοῦτο θέλω, ἢ τοῦτο οὐ θέλω; τοῦτο καλόν, ἢ τοῦτο κακόν; εἰ μὲν ἔχει τινὰ κυβερνήτην αἰσθητόν, ὀφείλει ἐρωτᾷν εἰς πᾶν πρᾶγμα, καὶ διὰ τῶν ὤτων δέχεσθαι τὴν ἀπόκρισιν, καὶ ἔργῳ πληροῦν τὰ λεγόμενα. εἰ δὲ οὐκ ἔχει τινά, ἔχει κατὰ τὸν Εὐχαΐτην, τὸν Χριστόν. καὶ διὰ μὲν προσευχῆς ἀπὸ καρδίας, ἐρωτᾷν αὐτόν, ἐκ πίστεως δέ, ἐλπίζειν τὴν ἀπόκρισιν ἔργῳ, καὶ λόγῳ, ἵνα μὴ ὁ σατανᾶς, μὴ δυνάμενος ἔργῳ ποιεῖν, ὑποκρίνηται τῷ λόγῳ, σχηματίζων ἑαυτὸν κυβερνήτην εἶναι, καὶ πρὸς ἀπώλειαν τοὺς μὴ ὑπομονὴν ἔχοντας ἕλκῃ, σπουδάζουσι γὰρ διὰ ἀγνωσίας λαβεῖν ὅπερ οὐδέποτε δίδοται αὐτοῖς, ὅτι ἡμέρα μία ἐν ὀφθαλμοῖς Κυρίου, ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς ἡμέρα μία. ὁ δὲ ἔχων διὰ ὑπομονῆς πεῖραν τῶν τοῦ ἐχθροῦ μηχανημάτων, κατὰ τὸν Ἀπόστολον, ποιεῖ, πυκτεύει, καὶ τρέχει ἐν ὑπομονῇ, ἵνα καταλάβῃ, καὶ δυνηθῇ εἰπεῖν, οὐ γὰρ τὰ νοήματα αὐτοῦ ἀγνοοῦμεν, τοῦτ' ἔστι τὰ ἀφανῆ αὐτοῦ μηχανήματα, τὰ τοῖς πολλοῖς ἀγνοούμενα. καὶ γάρ φησι, σχηματίζεται εἰς Ἄγγελον φωτός, καὶ οὐ θαῦμα. ἐπεὶ καὶ οἱ φαινόμενοι διὰ αὐτοῦ ἐν τῇ καρδίᾳ λογισμοί, φαίνονται ὡς δικαιοσύνης λογισμοὶ τοῖς ἀπείροις. διὰ τοῦτο καλόν τι, οὐκ οἶδε. ἵνα μήτε τοῖς ὑπὸ τοῦ Ἀγγέλου λεγομένοις ἀπιστῇ, μήτε τοῖς ὑπὸ τοῦ ἐχθροῦ κατὰ πανουργίαν γινομένοις πιστεύῃ, ἀλλὰ φύγῃ διὰ τῆς ὑπομονῆς τοὺς ἀμφοτέρους κρημνούς, καὶ προσδοκήσῃ ἔργῳ γενέσθαι ἡ ἀπόκρισις διὰ πολλῶν ἐτῶν ἀκουσίως, αὐτοῦ μὴ εἰδότος, ὡς εἶπέ τις περὶ τῆς θεωρίας τῶν ὄντων, ἤγουν τῶν κτισμάτων τοῦ Θεοῦ, μέχρις ἂν φθάσῃ εἰς λιμένα τινά, ὅτι ἔμπρακτον γνῶσιν, καὶ ὅταν ἴδῃ αὐτὴν μείνασαν πολλὰ ἔτη, τότε μάθῃ, ὅτι ὄντως εἰσηκούσθη, καὶ ἀπόκρισιν ἔλαβεν ἀοράτως. οἷον εὔχεταί τις περὶ νίκης τῶν πολεμούντων αὐτὸν παθῶν, καὶ λόγον μὲν οὐκ ἀκούει, ἢ σχῆμα πλάνης οὐ βλέπει. ἀλλὰ κἂν ἴσως γένηται τοῦτο καθ' ὕπνους, ἢ αἰσθητῶς, οὐδ' ὅλως πιστεύει. μετὰ δὲ χρόνους τινὰς βλέπει τὸν πόλεμον ἐκεῖνον νικώμενον ὑπὸ τῆς χάριτος, καὶ νοήματά τινα ἕλκοντα τὸν νοῦν εἰς ταπείνωσιν, καὶ γνῶσιν τῆς ἰδίας ἀσθενείας, καὶ οὐδ' οὕτω πιστεύει, ἀλλ' ἀναμένων πολλὰ ἔτη, φοβούμενος μήπως καὶ τοῦτο κλοπῆς ἐστιν. ὥς φησιν ὁ Χρυσόστομος περὶ τῶν Ἀποστόλων. ὅτι διὰ τοῦτο εἶπεν ὁ Κύριος πρὸς αὐτοὺς τὰ θλιβερὰ ἐκεῖνα· καὶ ἐπήγαγεν ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. ἵνα μηδέποτε ἀμεριμνῶσιν, ἀλλ' ἀγωνίζωνται ἐκ τοῦ φόβου. καὶ γὰρ οὐκ ὠφελεῖταί τις ἐκ τῶν ἄλλων ἀρετῶν, κἂν εἰς τὸν οὐρανὸν πολιτεύηται, ἐὰν ἔχῃ τὴν ἀπόνοιαν, δι' ἧς ὁ διάβολος, καὶ ὁ Ἀδάμ, καὶ ἄλλοι πλεῖστοι πεπτώκασι. διὸ οὐδέποτε ὀφείλει τις ἀποβαλέσθαι τὸν φόβον, μέχρις ἂν εἰς τὸν λιμένα τῆς τελείας ἀγάπης φθάσῃ, καὶ γένηται ἔξω τοῦ Κόσμου καὶ τοῦ σώματος. ὁ γὰρ πιστὸς οὐκ ἀφίησι τὸν φόβον ἑκουσίως, ἀλλ' ἐκ τῆς μεγάλης πίστεως, τῆς ποιούσης τὸν νοῦν ἀφρόντιστον περὶ ζωῆς καὶ θανάτου τοῦ σώματος εἰς τὸν ἁγνὸν φόβον τῆς ἀγάπης ἔρχεται. περὶ οὗ φησιν ὁ Μέγας Ἀθανάσιος πρὸς τοὺς τελείους. ὅτι μὴ φοβοῦ τὸν Θεὸν ὡς τύραννον, ἀλλὰ φοβοῦ ἐκ τῆς ἀγάπης αὐτοῦ, ἵνα μὴ διὰ τὸ ἁμαρτάνειν μόνον * φοβεῖσθαι, ἀλλὰ καὶ διὰ τὸ ἀγαπᾶσθαι καὶ μὴ ἀγαπᾷν, καὶ εὐεργετεῖσθαι ἀναξίως. ὅπως διὰ τοῦ φόβου τῶν πιστῶν ἀγαθῶν ἕλκῃ τὴν ψυχὴν εἰς τὸ ἀγαπᾷν, καὶ γένηται ἄξιος τῶν γινομένων, καὶ γενησομένων εἰς αὐτὸν εὐεργεσιῶν, διὰ τῆς πρὸς τὸν εὐεργέτην εὐγνωμοσύ-

* ἴσ. φοβῆσαι

ης αὐτοῦ. κἀκ τοῦ ἁγίου φόβου τῆς ἀγάπης εἰς τὴν ὑπὲρ φύσιν ταπείνωσιν ἔρχεται. διότι ὅσον ἂν πάσχῃ καλὸν ὁ τοιοῦτος, καὶ ὅσα ὑπομένει δεινά, οὐδ' ὅλως δοκεῖ ὅτι ἐκ τῆς ἰδίας ἰσχύος, ἢ συνέσεως ἔχει τὸ ὑπομένειν, ἢ τὸ καλῶς ἔχειν ψυχικῶς, ἢ σωματικῶς, ἀλλ' ἐκ ταπεινοφροσύνης τὴν διάκρισιν ἔλαβε, δι' ἧς καὶ γινώσκει ὅτι κτίσμα Θεοῦ ἐστὶ καὶ ὅτι οὔτε ἀγαθὸν δύναται ποιεῖν ἀφ' ἑαυτοῦ, οὔτε φυλάττειν τοῦτο γινόμενον ὑπὸ τῆς χάριτος, καὶ οὔτε ἀναιρεῖν πειρασμόν, οὐθ' ὑπομένειν ἐκ τῆς ἰδίας ἀνδρείας, ἢ φρονήσεως· καὶ ἐκ τῆς διακρίσεως ἔρχεται εἰς μερικὴν γνῶσιν τῶν πραγμάτων, καὶ ἄρχεται βλέπειν κατὰ νοῦν πάντα τὰ ὄντα, καὶ τοὺς λόγους τούτων ἀγνοῶν, ποθεῖ τὸν διδάσκαλον, καὶ μὴ εὑρίσκων τοῦτον, διὰ τὸ εἶναι αὐτὸν ἀθεώρητον, μήτε πάλιν δεχόμενός τινα ἐν σχήματι, ὡς μαθὼν τοῦτο ἐκ τῆς διακρίσεως, ἢ κἂν ἀμάρτυρον νόημα, μένει ἀπορῶν, κἀκ τούτου πάντα τὰ γινόμενα ὑπ' αὐτοῦ καὶ διδασκόμενα εἰς οὐδὲν λογίζεται, θεωρῶν ἔμπροσθεν αὐτοῦ τοσοῦτον πλῆθος τῶν πεπτωκότων ἀνθρώπων, μετὰ πολλῶν ἱδρώτων καὶ γνώσεων, ἀπὸ τοῦ Ἀδὰμ καὶ τῶν καθεξῆς· καὶ πῶς ἀκούει καὶ οὐ συνίησί τι τῶν ἐν ταῖς θείαις γραφαῖς λεγομένων, ἄρχεται δακρύειν ἐκ τῆς γνώσεως ταύτης, ἤγουν τοῦ γινώσκειν, ὅτι ὄντως οὐ γινώσκει, ὡς δεῖ. καὶ θαῦμα ὄντως, πῶς ὁ δοκῶν εἰδέναι, οὐδέπω οὐδὲν οἶδεν. καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ, φησὶν ὁ Κύριος. διὰ τὸ δοκεῖν, καὶ μὴ ἔχειν δηλαδή, καὶ οὕτως ὁ δοκῶν ἄφρων εἶναι, καὶ ἀσύνετος, ἀσθενής τε, καὶ ἄγνωστος, καὶ διὰ τοῦτο θρηνεῖ καὶ ὀδύρεται ἐκ τοῦ δοκεῖν λαμβάνειν, καὶ ἅπερ οὐκ ἔχει διὰ τῆς ἀγνωμοσύνης. ἡ γὰρ ταπείνωσις γεννᾶται μὲν ἐκ πολλῶν ἀρετῶν, γεννᾷ δὲ αὐτὴ τὰ τελεώτερα. ὡσαύτως καὶ ἡ γνῶσις, καὶ ἡ εὐχαριστία, καὶ ἡ εὐχή, καὶ ἡ ἀγάπη, διότι ἀείποτε δέχονται αὔξησιν αἱ ἀρεταὶ αὗται. οἷον ταπεινοῦταί τις ὡς ἁμαρτωλός, καὶ θρηνεῖ, κἀκ τούτου ἐγκρατεύεται, καὶ ὑπομένει κατὰ ἑκουσίως, καὶ ἀκουσίως γινομένας θλίψεις, ἔκ τε τῶν δαιμόνων διὰ τῆς ἀσκήσεως, καὶ ἐκ τῶν ἀνθρώπων πρὸς δοκιμὴν τῆς πίστεως, ἵνα φανῇ κἂν εἰς τὸν Θεὸν ἔχῃ τὴν ἐλπίδα, κἂν εἰς ἄνθρωπον, ἢ εἰς τὴν ἰδίαν ἰσχύν, καὶ φρόνησιν, καὶ δόκιμος γενόμενος διὰ τῆς ὑπομονῆς, καὶ τοῦ καταλιπεῖν πάντα εἰς τὸν Θεόν, λαμβάνει τὴν μεγάλην πίστιν, ἥν φησιν ὁ Κύριος. ἐλθὼν ὁ υἱὸς τοῦ ἀνθρώπου, ἆρα εὑρήσει τὴν πίστιν; καὶ διὰ τῆς πίστεως ταύτης εὔχεται νίκης κατὰ τῶν πολεμίων. καὶ ταύτης τυχών, λαμβάνει γνῶσιν τῆς ἰδίας ἀσθενείας καὶ ἀγνωσίας ἐκ τῆς τοῦ Θεοῦ δυνάμεώς τε, καὶ σοφίας τῆς γενομένης εἰς αὐτόν. καὶ ἄρχεται ἐν ταπεινώσει ψυχῆς εὐχαριστεῖν, καὶ τρέμει φοβούμενος, μήπως πάλιν ὡς τὸ πρὶν εἰς παρακοὴν Θεοῦ πεσεῖται, κἀκ τοῦ ἁγίου φόβου τοῦ δίχα ἁμαρτίας γινομένου, καὶ τῆς εὐχαριστίας, ὑπομονῆς τε, καὶ ταπεινώσεως, ἧς ἠξιώθη ἐκ τῆς γνώσεως, ἄρχεται ἐλπίζειν κατὰ χάριν ἐλέους τεύξεσθαι. ἐκ δὲ τῆς πείρας τῶν γινομένων εἰς αὐτὸν εὐεργεσιῶν, προσδοκᾷ, καὶ φοβεῖται μήπως ἀνάξιος εὑρεθῇ τῶν τηλικούτων δωρεῶν τοῦ Θεοῦ. κἀντεῦθεν αὔξησιν λαμβάνει τῆς ταπεινώσεως, καὶ τῆς προσευχῆς ἀπὸ καρδίας· καὶ ὅσον αὔξονται αὗται σὺν τῇ εὐχαριστίᾳ, λαμβάνει γνῶσιν μείζονα. καὶ οὕτως ἐκ γνώσεως εἰς φόβον, καὶ ἐκ φόβου εἰς εὐχαριστίαν, καὶ εἰς γνῶσιν, τὴν ὑπὲρ τούτων ἔρχεται. κἀντεῦθεν ἀγαπᾷ τὸν εὐεργέτην φυσικῶς, καὶ μετὰ χαρᾶς ποθεῖ θεραπεῦσαι αὐτὸν ὡς χρεώστης ἐκ τῆς γνώσεως· καὶ εὐθὺς αὔξησιν λαμβά-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τει τῆς γνώσεως, καὶ θεωρεῖ μετὰ τῶν ἰδικῶν εὐεργεσιῶν, καὶ τὰς περιεκτικάς. περὶ ὧν εὐχαριστεῖν μὴ δυνάμενος, πενθεῖ, καὶ πάλιν θαυμάζων τὴν χάριν τοῦ Θεοῦ, παρακαλεῖται· καὶ ποτὲ μὲν ἔχει ἐπίπονα δάκρυα, ποτὲ δὲ πάλιν ἐκ τῆς ἀγάπης γλυκύτερα τοῦ μέλιτος ἐκχέει διὰ τῆς πνευματικῆς χαρᾶς, ἥτις ἐκ ἀφράστου ταπεινώσεως γίνεται. ὅταν ποθῇ ἐν ἀληθείᾳ πᾶν θέλημα Θεοῦ, καὶ μισῇ πᾶσαν τιμὴν καὶ ἀνάπαυσιν, καὶ ἔχει ἑαυτὸν ὑποκάτω πάντων, ὥστε οὐδ' ὅλως λογίζεται ὅτι ἐστί τις, καὶ χρεωστεῖ τῷ Θεῷ καὶ τοῖς ἀνθρώποις πᾶσιν ἴσον αὐτῷ, καὶ διὰ τοῦτο ἡγεῖται τοὺς πειρασμοὺς, καὶ τὰς θλίψεις, εὐεργεσίαν μεγάλην, καὶ τὴν χαρὰν καὶ ἀνάπαυσιν, ζημίαν πολλήν· κἀκεῖνα ποθεῖ ἐξ ὅλης ψυχῆς ὅθεν ἔρχονται, καὶ ταῦτα φοβεῖται, κἂν ἐκ Θεοῦ γίνωνται πρὸς δοκιμήν. καὶ οὕτως αὐτοῦ ἐν τοῖς δάκρυσι τούτοις, ἄρχεται ὁ νοῦς λαμβάνειν τὴν καθαρότητα, καὶ ἔρχεται εἰς τὴν ἀρχαίαν αὐτοῦ κατάστασιν, δηλαδὴ εἰς τὴν φυσικὴν γνῶσιν, ἣν ἀπώλεσεν ἐκ τῆς φιλίας τῶν παθῶν. αὕτη μὲν ὑπό τινων φρόνησις λέγεται, διὰ τὸ βλέπειν τὸν νοῦν τὰ πράγματα, ὡς ἔχουσι φύσεως. καὶ πάλιν ὑπό τινων λέγεται διόρασις, διὰ τὸ γινώσκειν τὸν ταύτης τυχόντα μέρος τι τῶν κεκρυμμένων μυστηρίων, ἤγουν σκοπὸν τοῦ Θεοῦ τὸν ἐν ταῖς θείαις γραφαῖς κείμενον καὶ εἰς ἕκαστον κτίσμα. γεννᾶται δὲ αὕτη ἐκ τῆς διακρίσεως, καὶ δύναται κατανοεῖν τοὺς λόγους τῶν αἰσθητῶν καὶ νοητῶν. καὶ τούτου χάριν λέγεται θεωρία τῶν ὄντων, ἤγουν τῶν κτισμάτων, ἀλλ' αὕτη μὲν φυσική ἐστι, καὶ ἐκ τῆς καθαρότητος τοῦ νοὸς γίνεται. εἰ δέ τις ἐλθεῖν εἰς πρόορασιν καταξιωθῇ πρὸς κοινὴν ὠφέλειαν, ὑπὲρ φύσιν ἐστὶ τοῦτο· διότι μόνος ὁ Θεὸς προγινώσκει τὰ πάντα ἐν πᾶσι, καὶ διατί ἐποίησεν ἕκαστον πρᾶγμα, ἢ λόγον τῆς θείας γραφῆς, καὶ κατὰ χάριν δίδωσι τοῖς ἀξίοις τὸ γινώσκειν, ὥστε ἡ μὲν θεωρία τῶν αὐτῶν αἰσθητῶν καὶ νοητῶν κτισμάτων, ἡ λεγομένη φρόνησις, διόρασίς ἐστι, καὶ φυσικὴ γνῶσις, ὅτι προϋπῆρχε μὲν ἐν τῇ φύσει, ἀλλὰ τὰ πάθη ἐσκότισαν τὸν νοῦν, καὶ εἰ μὴ διὰ τῆς πρακτικῆς ἀρετῆς ὁ Θεὸς αἴρῃ τὰ πάθη, οὐ δύναται βλέπειν. ἡ δὲ πρόορασις οὐχ οὕτως, ἀλλὰ χάρις ἐστί, καὶ ὑπὲρ φύσιν. πλὴν κἀκείνη ἐκτὸς τοῦ Θεοῦ οὐ γίνεται, κἂν φυσική ἐστιν. ἐπεὶ καὶ οἱ Ἕλληνες πολλὰ μὲν ἐπενόησαν, οὐχ εὗρον δὲ τὸν σκοπὸν τοῦ Θεοῦ ἐν τοῖς κτίσμασιν, ὥς φησιν ὁ Μέγας Βασίλειος, ἀλλ' οὐδὲ αὐτὸν τὸν Θεόν· διότι οὐκ εἶχον τὴν ταπείνωσιν, καὶ τὴν πίστιν τοῦ Ἀβραάμ. Τότε δὲ πιστὸς λέγεταί τις, ὅταν πιστεύῃ ἐκ τῶν ὁρωμένων τοῖς ἀοράτοις. ὁ δὲ πιστεύων τοῖς αὐτῷ φαινομένοις, οὐ πιστεύει τῷ διδάσκοντι αὐτόν, ἢ κηρύττοντι. διὰ τοῦτο πρὸς δοκιμὴν τῆς πίστεως οἱ πειρασμοὶ μὲν φανεροί, αἱ δὲ ἀντιλήψεις ἄδηλοι. ἵνα ὁ πιστὸς διὰ τῆς ὑπομονῆς εὑρίσκῃ μετὰ τὴν ἔκβασιν τοῦ πειρασμοῦ τὴν γνῶσιν, καὶ τότε γινώσκῃ, ὅτι ἠγνόει, καὶ ὅτι εὐεργετεῖται, καὶ καρποῦται τὴν ταπείνωσιν, καὶ τὴν ἀγάπην πρός τε τὸν Θεὸν ὡς εὐεργέτην, καὶ πρὸς τὸν πλησίον διὰ τὴν θεραπείαν τοῦ Θεοῦ, καὶ φυσικῶς λογίζεται τοῦτο, καὶ χρέος, δι' οὗ καὶ τὰς ἐντολὰς φυλάττειν ποθεῖ, καὶ τὰ μὲν πάθη μισεῖ ὡς ἐχθρά, τοῦ δὲ σώματος καταφρονεῖ, ὡς ἐμπόδιον ἡγούμενος τῆς ἀπαθείας καὶ τῆς γνώσεως τοῦ Θεοῦ, ἤγουν τῆς σοφίας τῆς κεκρυμμένης, καὶ εἰκότως κεκρυμμένη ἐστι. διότι τῆς μὲν τοῦ Κόσμου σοφίας ὁ νικῶν καὶ ζυφῶν, καὶ ἔχων τὴν ἀνάπαυ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σιν τοῦ Κόσμου τούτου, καὶ τὴν δόξαν, φαίνεται ταύτης φίλος. τῆς δὲ τοῦ Θεοῦ σοφίας, τὰ ἐναντία τούτων ἀγωνίζεται ὁ ταύτης φίλος· ἤγουν ὁ καταπονούμενος καὶ ἐγκρατευόμενος, καὶ ἔχων πᾶσαν θλίψιν καὶ ἀτιμίαν διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. διότι ὁ μὲν τοῖς φαινομένοις ἀγαθοῖς, καὶ τοῖς κάτω μαθήμασι, καὶ βασιλεῦσι προσεγγίσαι ποθεῖ, καὶ τούτου χάριν πάσχει πολλάκις, ὁ δὲ τοῖς Χριστοῦ παθήμασι συμπάσχει. ἵνα ὁ μὲν ἐνταῦθα ἔχῃ τὰς ἐλπίδας, εἰ ἄρα δυνηθῇ ἔχειν ταύτας, διότι πρόσκαιρά εἰσι καὶ δυσεπίτευκτα. ὁ δὲ ἐνταῦθα μὲν κρύπτεται ἐν ὀφθαλμοῖς ἀφρόνων, φησὶν ἡ θεία γραφὴ, φανεροῦται δὲ ἐν τῷ μέλλοντι, ὅταν φανερὰ τὰ κρυπτὰ γένωνται. οὐ μόνον δὲ ἀλλὰ καὶ πρὸς παράκλησιν τοῖς πενθοῦσιν ἐνταῦθα ἡ γνῶσις τῶν κρυπτῶν, κατὰ τὸν Χρυσόστομον, δίδοται, δηλαδὴ ἡ θεωρία τῶν θείων γραφῶν, καὶ τῶν κτισμάτων. ἐκ γὰρ τῆς πίστεως γεννᾶται ὁ φόβος, ἐξ οὗ τὸ πένθος, δι' οὗ ἡ ταπείνωσις, ἐξ ἧς ἡ διάκρισις, καὶ ἐκ ταύτης ἡ διόρασις, καὶ κατὰ χάριν ἡ πρόορασις. Ὁ δὲ γνωστικὸς οὐκ ὀφείλει ὅλως στῆσαι ἴδιον νόημα, ἀλλὰ βούλεται ἀεὶ ἔχειν μάρτυρα τὴν θείαν γραφὴν, ἢ τὴν φύσιν τοῦ πράγματος. εἰδὲ οὐκ ἔχει ταῦτα, οὐκ ἔστι γνῶσις ἀληθὴς, ἀλλὰ πονηρία, καὶ πλάνη, ὥς φησιν ὁ Μέγας Βασίλειος περὶ τῶν ἀστέρων. ὅτι ἡ μὲν θεία γραφὴ, ὀλίγα τινὰ ὀνομάζει, οἱ δὲ Ἕλληνες πλανώμενοι πολλὰ ὀνόματα λέγουσι. διότι ὁ μὲν σκοπὸς τῆς θείας γραφῆς τοῦτό ἐστι. τὰ δυνάμενα σῶσαι τὴν ψυχὴν, καὶ ἀποκαλύπτειν τισὶ τὰ μυστήρια τῶν θείων γραφῶν, καὶ τοὺς λόγους τῶν ὄντων, δηλαδὴ τὸν σκοπὸν, δι' ὃν ἐγένετο ἕκαστον πρᾶγμα, πρὸς τὸ φωτίζειν τὸν νοῦν εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ γινώσκειν τὴν μεγαλωσύνην αὐτοῦ, καὶ τὴν ἀνέκφραστον αὐτοῦ σοφίαν, καὶ πρόνοιαν ἐκ τῆς ἐπιμελείας αὐτοῦ περὶ τῶν κτισμάτων. ἵνα ἐκ τῆς γνώσεως ταύτης φοβῆται τὴν παράβασιν τῶν ἐντολῶν αὐτοῦ, καὶ τὴν ἰδίαν ἀσθένειαν καὶ ἀγνωσίαν καταγινώσκῃ, κἀντεῦθεν ταπεινοφρονῇ, καὶ ἀγαπᾷ τὸν Θεὸν, καὶ οὐ καταφρονεῖ τῶν ἐντολῶν αὐτοῦ, ὡς οἱ ἄμοιροι τῆς κατ' ἐνέργειαν γνώσεως αὐτοῦ. καὶ πάλιν κατέχει ἐξ αὐτοῦ τινὰ τῶν μυστηρίων, ἵνα ποθῇ, καὶ μὴ ἀψίκορος γένηται ὡς ὁ Ἀδάμ. καὶ ἔξωθεν ὁρῶν αὐτὸν ὁ ἐχθρὸς, ἕλκει αὐτὸν πρὸς τὴν ἑαυτοῦ μοχθηρίαν. καὶ οὕτω μὲν γίνεται πρὸς τὰς εὐεργέτας, τοὺς δὲ ἀγνώμονας διὰ μὲν τῶν πειρασμῶν ἐκφοβεῖ, πρὸς τὸ ἀπέχεσθαι τοῦ ἁμαρτάνειν, διὰ δὲ τῶν σωματικῶν εὐεργεσιῶν συγκροτεῖ, πρὸς τὸ μὴ ἀπογνώσκειν. καὶ ταῦτα μὲν διὰ τῆς ἀπείρου αὐτοῦ ἀγαθότητος ἀεὶ ποιεῖ ὁ Θεὸς ἵνα σώσῃ πάντας, καὶ ἐκ τῶν τοῦ διαβόλου παγίδων λυτρώσηται, εἴτε παρέχων, εἴτε κατέχων ἐξ ἡμῶν τὰς εὐεργεσίας, καὶ τὰς γνώσεις, καὶ πρὸς τὴν εὐγνωμοσύνην ἑκάστου δίδωσι τὰ χαρίσματα, καὶ τὰ νοήματα. ὡσαύτως καὶ τὴν θείαν γραφὴν ἐποίησε κρύπτεσθαι, καὶ γινώσκεσθαι τισὶ πρὸς ὠφέλειαν, κατὰ τὴν προαίρεσιν τοῦ ἀναγινώσκοντος. ὁ δὲ σκοπὸς τῶν ἔξω σοφιστῶν οὐκ ἦν οὕτως. ἀλλ' ἕκαστος εἶχε τὴν σπουδὴν πρὸς τὸ νικῆσαι τὸν ἕτερον καὶ φανῆναι σοφώτερος· καὶ διὰ τοῦτο οὐχ εὗρον τὸν Κύριον ἐκεῖνοι, ἀλλ' οὐδ' οἱ κατ' αὐτοὺς ποιοῦντες, κἂν ἴσως πολλὰ κοπιῶσιν. ὅτι οὐ κόποις· φησὶν ὁ τῆς Κλίμακος, ἀλλὰ ταπεινώσει καὶ ἁπλότητι Θεὸς ἐμφανίζεται διὰ τῆς πίστεως, τῆς θεωρίας δηλαδὴ τῶν γραφῶν, καὶ τῶν κτισμάτων. περὶ

ης φησὶν ὁ Κύριος, πῶς δύνασθε πιστεῦσαι, δόξαν παρ' ἀλλήλων ζητοῦντες, καὶ τὰ ἑξῆς, αὕτη δέ ἐστιν ἡ μεγάλη πίστις, ἡ πᾶσαν μέριμναν ἐν τῇ Θεοῦ τιθεῖσα δυνάμει, ἣν καλεῖ ὁ Ἀπόστολος θεμέλιον. ὁ δὲ τῆς Κλίμακος μητέρα τῆς ἡσυχίας. καὶ ὁ Ἅγιος Ἰσαὰκ, πίστιν τῆς θεωρίας, καὶ θύραν τῶν μυστηρίων. Ὁ γὰρ ταύτην ἔχων ἀμέριμνός ἐστιν ἐν πᾶσιν, ὡς οἱ Ἅγιοι πάντες, οἵτινες καὶ αὐτὰ τὰ ὀνόματα ἔχουσι κατάλληλα, ὡς οἱ πάλαι δίκαιοι. ὁ μὲν Πέτρος τῆς στερρότητος, ὁ δὲ Παῦλος τῆς ἀναπαύσεως. ὁ Ἰάκωβος πτερνιστὴς, ὡς πτερνίσας τὸν Βελίαρ. καὶ ὁ μὲν Στέφανος ἐπώνυμός ἐστι τοῦ ἀμαράντου στεφάνου. ὁ δὲ Ἀθανάσιος τῆς ἀθανασίας, καὶ ὁ Βασίλειος τῆς βασιλείας. καὶ ὁ μὲν Γρηγόριος τῆς ἐγρηγόρσεως τῆς σοφίας, ἤγουν τῆς Θεολογίας, ὁ δὲ Χρυσόστομος, τοῦ πολυτίμου χρήματος, καὶ τῆς πολυποθήτου χάριτος, καὶ ὁ Ἰσαὰκ, τῆς ἀφέσεως. Καὶ ἁπλῶς εἰπεῖν ὥσπερ ἐν τῇ παλαιᾷ, οὕτω καὶ ἐν τῇ νέᾳ κατάλληλα τὰ ὀνόματά εἰσι. Καὶ γὰρ ὁ Ἀδὰμ τῶν τεσσάρων περάτων ἐπώνυμός ἐστι. τὸ μὲν α, Ἀνατολή. τὸ δὲ δ, Δύσις. τὸ δὲ α, ἄρκτος. τὸ μ, μεσημβρία. καὶ πάλιν ἄνθρωπος κατὰ τὴν τότε λέξιν, ἤγουν Συριακὴν, πῦρ ὀνομάζεται, διὰ τὸ ὅμοιον τῆς φύσεως. ἐξ ἑνὸς γὰρ ἀνθρώπου ἅπας ὁ κόσμος ἐγένετο, ὡς καὶ ἐκ μιᾶς λαμπάδος, ὅσας βούλεταί τις ἄλλας ἅπτει, κἀκείνη ἡ πρώτη ἀνελλιπής ἐστι. μετὰ δὲ τὴν σύγχυσιν τῶν γλωσσῶν, ἡ μὲν ἐκ τῆς λήθης, ἣν ἔχει ὁ ἄνθρωπος, ἐτυμολογεῖ. ἡ δὲ ἐκ τῶν ἄλλων αὐτοῦ ἐπιτηδευμάτων. ἡ δὲ Ἑλλὰς πάλιν ἐκ τοῦ ἄνω ἀθρεῖν ἐτυμολογεῖ τὸν ἄνθρωπον. ἀλλὰ κυρίως αὐτοῦ φύσις, ὁ λόγος ἐστὶ, διὸ καὶ λογικὸς λέγεται, ὡς ἴδιον ἔχων τοῦτο μόνος. ἐν γὰρ τοῖς ἑτέροις αὐτοῦ ὀνόμασιν, ἔχει καὶ ἄλλα κτίσματα συνωνυμοῦντα αὐτῷ. διὰ τοῦτο ὀφείλομεν καταλιπεῖν πάντα, καὶ τὸν λόγον ὡς λογικοὶ προτιμῆσαι, καὶ λόγους λόγῳ προσφέρειν τῷ τοῦ Θεοῦ λόγῳ, ἵνα διὰ τῶν αὐτῷ λόγων, λόγους Πνεύματος Ἁγίου λαβεῖν καταξιωθῶμεν ἐν τῷ νῦν, κατὰ τὸ λεγόμενον. διδοὺς εὐχὴν τῷ εὐχομένῳ, ἤγουν τῷ εὐχομένῳ καλῶς σωματικὴν εὐχὴν, δίδωσιν ὁ Θεὸς τὴν κατὰ νοῦν προσευχήν. καὶ τῷ ταύτην ἐπιμελῶς ἔχοντι, τὴν ἀνείδεον, καὶ ἀσχημάτιστον ἐκ τοῦ ἁγνοῦ φόβου τοῦ Θεοῦ. καὶ πάλιν τῷ ταύτην καλῶς ποιοῦντι, τὴν θεωρίαν τῶν κτισμάτων. καὶ ἐκ ταύτης τὴν ἁρπαγὴν τοῦ νοὸς χαρίζεται πρὸς Θεολογίαν, καὶ εὐεργετεῖται τοῦ μέλλοντος τῷ ἐκ πάντων σχολάζοντι, καὶ ἐν αὐτῷ μελετῶντι ἔργῳ καὶ λόγῳ, καὶ μὴ ἀκοῇ μόνῃ.

Ἡ γνῶσις τοίνυν ἡ μετὰ ἀκριβείας καὶ πρὸς ταπείνωσιν ἄγει τὸν ἔχοντα ταύτην διὰ αἰσχύνης, καὶ ὅτιπερ ἔχει αὐτὴν παρ' ἀξίαν, καὶ ὡς βλάβην ἀποστρέφεται, κατὰ τὸν τῆς Κλίμακος λόγον, διὰ χειρὸς ταπεινώσεως, κἂν θεόσδοτος ἴσως ἐστὶν, ἐὰν ἔχῃ. οἶδε ὡς ὁ ποτὲ ὑπὸ τῶν αἰσθητῶν διὰ τελουμένων ἀπατηθεὶς, ἐκ τῆς συμφορᾶς, πῶς εἶχεν οὗτος ὄνομα μέγα, καὶ τοσοῦτον ἠγαπᾶτο ὑπὸ τῶν ἀνθρώπων, ὥστε πάντας θρηνῆσαι αὐτοῦ τὸν θάνατον, καὶ ὡς ζημίαν μεγάλην ἡγήσασθαι τὴν αὐτοῦ στέρησιν. ἀλλὰ διὰ τὴν ὑπερηφανίαν ἣν εἶχε κεκρυμμένην, ἔπεσεν ἀπὸ τοῦ ὕψους ὁ ταῦτα θεωρῶν, μὴ ἀναπαύσετε αὐτὸν, ὅτι οὐκ ἀνέπαυσέ με μίαν ὥραν. Βαβαὶ, ὁ ὀνομαζόμενος ὑπὸ πάντων Ἅγιος, καὶ ὅτι δι' εὐχῶν αὐτοῦ ἤλπιζον σωθῆναι πολλοὶ ἐκ παντοίων πειρασμῶν, οὕτως εἶχε τὸ τέλος διὰ τὴν ἔπαρσιν· καὶ ὅτι

μεν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μὲν διὰ ταύτην ἐστὶν ἡ αἰτία πᾶσι τοῦ δῆλον. εἰ γὰρ ἦν ἄλλη ἁμαρτία, οὐκ ἂν ἠδύνατο πάντας λαθεῖν, ἀλλ᾽ οὐδὲ πᾶσαν ὥραν ταύτην ποιεῖν. εἰδὲ αἵρεσις ἦν, καὶ πᾶσαν ὥραν μὲν ὁ αἱρετικὸς παροργίζει τὸν Θεὸν τῇ ἑαυτοῦ βλασφημίᾳ κατὰ γνώμην, πλὴν οὐδ᾽ αὕτη ἀφανὴς εἰς τὸ παντελὲς γίνεται. ἀλλὰ κατ᾽ οἰκονομίαν Θεοῦ φανεροῦται, πρὸς διόρθωσιν τοῦ ἔχοντος αὐτήν, ἐὰν βουληθῇ μεταστρέψαι. εἰδὲ μήγε, πρὸς ἄλλων ἀνθρώπων ἀσφάλειαν. διὰ τοῦτο αὕτη μόνη ἡ ὑψηλοφροσύνη τῇ αὐταρεσκείᾳ δύναται λαθεῖν πάντας, σχεδὸν καὶ αὐτὸν τὸν ἔχοντα ταύτην, κἂν οὐ παραχωρεῖται πεσεῖν εἰς πειρασμούς, ἐξ ὧν ἔρχεται ἡ ψυχὴ εἰς ἔλεγχον, καὶ γινώσκει τὴν ἰδίαν ἀσθένειαν, καὶ ἀγνωσίαν. διὰ τοῦτο γὰρ οὐδὲ καὶ μίαν ὥραν εἶχε τὸ Πνεῦμα τὸ Ἅγιον ἀνάπαυσιν ἐν τῇ ἀθλίᾳ ψυχῇ ἐκείνῃ, ὅτι ἀεὶ τὸν αὐτὸν λογισμὸν εἶχε, καὶ ἠγάλλετο ἐπ᾽ αὐτῷ, ὥς τινι κατορθώματι, διὸ καὶ ἐσκοτίσθη, ὡς οἱ δαίμονες. διὰ τὸ μὴ φαίνεσθαι ὅλως πταίων, ἴσως * ἔστρεφε τὸ ἓν πάθος ἀντὶ τῶν λοιπῶν, καὶ ἤρκει τοῦτο τοῖς δαίμοσιν, ὡς ἀναπληροῦν δυνάμενον τὸν τόπον τῶν ἄλλων κακῶν. ὥς φησιν ὁ τῆς Κλίμακος. οὐκ ἐγὼ δὲ ταύτην τὴν διάκρισιν, καὶ θεωρίαν εὗρον τῆς ὑποθέσεως ταύτης, ἀλλ᾽ ἐκ τοῦ Ἁγίου Γέροντος ἀκούσας ἔγραψα. ὡς ἔφη καὶ περὶ τοῦ Ἁγίου Παύλου τοῦ Ἁπλοῦ. ὅτι διὰ τοῦτο οὐκ ἤκουσεν ὁ δαίμων εὐθὺς τοῦ ἐξελθεῖν ἐκ τοῦ ἀνθρώπου, διὰ τὸ εἰπεῖν αὐτῷ ὁ Μέγας Ἀντώνιος, Ἀββᾶ Παῦλε, ἔκβαλλε τὸ δαιμόνιον τῆς κόρης ταύτης, καὶ οὐκ ἔβαλεν εὐθὺς μετάνοιαν ὑπακούσας, ἀλλὰ τρόπον τινὰ ἀντέλεγεν εἰπών, σὺ δὲ τί; καὶ μετὰ τὸ ἀκοῦσαι ὅτι ἐγὼ οὐκ ἀδειάζω, τότε ὑπήκουσε· καὶ τούτου χάριν ἔφη ὁ Μακάριος Γέρων, ὅτι οὐκ ἐξῆλθεν εὐθὺς ὁ δαίμων, ἀλλὰ μετὰ τὸ κοπιάσαι πολλά. καὶ εἰκότως. οὐ μόνον γὰρ ὡς θεοφορούμενος πιστεύεται ὁ Γέρων, ἀλλὰ ἡ τοῦ πράγματος μαρτυρεῖ, καὶ ἡ τοῦ Μωϋσέως ἀντιλογία, καὶ ἡ τοῦ Προφήτου τοῦ ζητοῦντος ποτὲ πληγῆναι ἀπό τινος. ἀλλ᾽ ἐπειδὴ ἔχει ἡ Ἱστορία αὕτη θεωρίαν, καὶ οὐκ ἐρρέθη, ῥηθήσεται ἐνταῦθα.

* ἴσ. ἔστρεφε

Βασιλεύς τις, ἀναφέρεται εἰς τὰ Παραλειπόμενα, τυραννικῶς διοικῆσαι τὴν Βασιλείαν, ὥστε ὁ φιλάνθρωπος Θεὸς μὴ φέρων τὴν τυραννίδα, ἐκέλευσε τὸν Προφήτην ἀπελθεῖν καὶ ἐλέγξαι τὸν Βασιλέα ἐκεῖνον. ὁ δὲ τὴν ἀπείθειαν αὐτοῦ γινώσκων, οὐκ ἤθελεν ἁπλῶς ἀπελθεῖν, μήπως θεασάμενος αὐτὸν μακρόθεν, καὶ γνούς, δι᾽ ἣν αἰτίαν παρεγένετο, ἀποδιώξῃ αὐτόν, καὶ οὐ μὴ δυνηθῇ ὁ Προφήτης ἐλέγξαι αὐτόν. ἢ πάλιν ἀρξάμενος τοῦ λέγειν, ἐκ τοῦ Θεοῦ μου ἀπεστάλην τῆς ἀπειθείας σου ἕνεκα, οὐ μὴ προσχῇ τοῖς λεγομένοις. ἀλλ᾽ ἐπραγματεύσατο τοῦτο, ἵνα ὑπό τινος πληγῇ, καὶ ᾑμαγμένος ἀπέλθῃ ὡς ἐγκαλῶν, ὅπως ἐκ τούτου πλανήσῃ τὸν Βασιλέα τεχνικῶς, καὶ ἀκοῦσαι τῶν λεγομένων ποιήσῃ. καὶ διοδεύσας εὗρέ τινα παρὰ τὴν ὁδὸν ἔχοντα ἀξίνην, εἰπὼν πρὸς αὐτόν. τάδε λέγει Κύριος ἆρόν σου τὴν ἀξίνην, καὶ πλῆξόν μου τὴν κάραν. ὁ δὲ θεοσεβὴς ὢν ἔφη, οὐδαμῶς Κύριέ μου, τοῦ Θεοῦ εἰμὶ ἐγώ, οὐ μὴ βάλλω τὴν χεῖρά μου ἐπὶ Χριστὸν Κυρίου. καὶ εἶπεν ὁ Προφήτης. τάδε λέγει Κύριος, ἀνθ᾽ ὧν οὐχ ὑπήκουσας τῆς φωνῆς Κυρίου, ἐλθέτω λέων ἐκ τῆς ἐρήμου, καὶ φαγέτω σε. τοῦτο τοίνυν οὐκ ἦν ὀργή, μὴ γένοιτο. ἀλλὰ πρὸς ὠφέλειαν πολλῶν ἐγένετο. καὶ ὅτι ἄξιος ἦν ὁ ἀγαθὸς ἄνθρωπος ἐκεῖνος, ἵνα μὴ ἀποθάνῃ ἁπλῶς, ὡς οἱ λοιποὶ τῶν ἀν-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θρώπων, ἀλλ' ἵνα κατὰ τὸν λόγον τοῦ Κυρίου βρωθῇ ὑπὸ τοῦ θηρίου, καὶ στέφανον διὰ τοῦ πικροῦ θανάτου ὑπολάβῃ. ὡς φησι τὸ Γεροντικὸν περὶ τῶν τεσσάρων Ἱερέων τῶν ποιησάντων τὴν συμφωνίαν, καὶ πῶς ηὔχοντο οἱ κοιμηθέντες ἐν Χριστῷ, ἵνα βρωθῇ ὁ διακονητὴς αὐτῶν ὑπὸ τοῦ λέοντος, διὰ τὴν πορνείαν, ἣν ἐποίησεν, καὶ οὐχ ὑπήκουσεν αὐτῶν ὁ Κύριος, ἀλλ' ἐκέλευσεν ἀκοῦσαι τοῦ ἡσυχαστοῦ δεομένου ὑπὲρ αὐτοῦ, ἵνα ἀποστῇ ἀπ' αὐτοῦ ὁ λέων. εἶτα ἰδὼν ὁ Προφήτης ἄλλον ὑπήκοον εἶπεν αὐτῷ. τάδε λέγει Κύριος, ἆρόν σου τὴν ἀξίνην, καὶ πλῆξόν μου τὴν κάραν. ὁ δὲ, τάδε λέγει Κύριος, ἀκούσας, ἀδιακρίτως ἔπληξε τὴν κάραν τοῦ Προφήτου τῇ ἑαυτοῦ ἀξίνῃ, καὶ ὁ Προφήτης, καθάπερ ὁ Μωϋσῆς ποτε, ἔφη πρὸς αὐτὸν, εὐλογία Κυρίου ἐπὶ σὲ, ὅτι ἤκουσας φωνῆς Κυρίου. ὥστε ὁ μὲν διὰ ἀγαθότητος πολλῆς, ᾐδέσθη τὸν Προφήτην, καὶ οὐχ ὑπήκουσεν, ὡς ὁ Πέτρος ἐν τῷ νιπτῆρι. ὁ δὲ ἀδιακρίτως ὑπακοὴν ἐτελείωσεν, ὡς ὁ λαὸς τοῦ Μωϋσέως ὑπακοὴν ἐτελείωσεν ἐν τῷ κατασφάξαι ἀλλήλους. καὶ ἐν μὲν τῷ φανερῷ ὁ ἀκούων τοῦ θείου βουλήματος κρεῖττον ποιεῖ· ἔχει γὰρ σοφώτερον καὶ δικαιότερον τῆς φυσικῆς γνώσεως τὸ ὑπὲρ φύσιν ἐπίταγμα τοῦ δεσπότου τῆς φύσεως. ὁ δὲ παρακούων ἔλαττον ποιεῖ, ὡς ἔχων τὰ αὐτοῦ φαινόμενα καλὰ, δικαιότερα τῶν τοῦ Θεοῦ. ἐν δὲ τῷ κρυπτῷ οὐχ οὕτως, ἀλλὰ πρὸς τὸν σκοπὸν τῆς ὑπακοῆς, ἢ τῆς παρακοῆς. ὅστις γὰρ ἔχει σκοπὸν ἀρέσαι Θεῷ, ἐκεῖνός ἐστιν ὁ κρεῖττον ποιῶν. καὶ εἰς μὲν τὸ φανερὸν φαίνεται ὁ Θεὸς ὀργιζόμενος τῷ παρακούσαντι, καὶ εὐλογῶν τὸν ἀκούσαντα. ἐν δὲ τῷ κρυπτῷ οὐχ οὕτως, ἀλλ' ὡς εἴρηται κατὰ

θεωρίαν φυσικὴν ἐπίσης ἦσαν ἀμφότεροι, καὶ ἀγαθοὶ ἐτύγχανον, διότι κατὰ Θεὸν ἦν ὁ σκοπὸς καὶ τῶν δύο· καὶ ταῦτα μὲν οὕτως. ὁ δὲ Προφήτης ἀπελθὼν εἰς τὸν βασιλέα, καὶ στὰς ἐνώπιον αὐτοῦ εἶπεν. ἐκδίκησόν με ὦ Βασιλεῦ. ἐρχομένῳ γάρ μοι ὑπήντησέ τις καθ' ὁδὸν, καὶ ἔπληξέ μου τὴν κεφαλήν· καὶ ὁ Βασιλεὺς ὁρῶν τὰ αἵματα, καὶ τὴν πληγὴν ἐθυμώθη κατὰ τὸ ἔθος αὐτοῦ, πλὴν οὐ κατὰ τοῦ ἐγκαλοῦντος, ἀλλὰ μᾶλλον νομίζων ὅτι ἄλλον τινὰ κρῖναι ἔχει, καὶ οὐχ ἑαυτὸν, ἀπεφήνατο κατὰ τοῦ ποιήσαντος τοῦτο βαρέως. ὁ δὲ Προφήτης τυχὼν ὅπερ ἤλπιζε λέγει. καλῶς εἶπας ὦ Βασιλεῦ, διὰ τοῦτο τάδε λέγει Κύριος, διαῤῥήσσων διαῤῥήξω τὴν Βασιλείαν ἐκ τῆς χειρός σου, καὶ ἐκ τοῦ σπέρματός σου, ὅτι σὺ εἶ ὁ ποιήσας ταῦτα. κἀκ τούτου πεπλήρωκεν ὁ Προφήτης τὸν χρησμὸν ὡς ἠβούλετο, καὶ ἐντέχνως ἐποίησε τὸν βασιλέα προσέχειν τοῖς λεγομένοις ὑπ' αὐτοῦ, καὶ ἀπῆλθε δοξάζων τὸν Θεόν. τοιαῦται οὖν ψυχαὶ ἦσαν αἱ τῶν προφητῶν φιλοῦσαι τὸν Θεὸν, καὶ ὑπὲρ τοῦ βουλήματος αὐτοῦ πάσχειν σπουδάζουσαι ἐκ τῆς θεογνωσίας· καὶ εἰκότως. ὁ γὰρ γινώσκων ἀκριβῶς ὁδόν τινα, ἢ ἐπιστήμην μετὰ προθυμίας ἁπάσης, καὶ εὐκολίας μετέρχεται ταύτην, καὶ ἄλλοις δεικνύσιν ἀσφαλῶς τὴν ὁδοιπορίαν, ἢ τὰ μυστήρια τῆς τέχνης, καὶ νοήματα· κἂν αὐτὸς ἴσως νέος τῇ ἡλικίᾳ, καὶ ἰδιώτης τυγχάνῃ πολλάκις, κἀκεῖνοι πολυχρόνιοί εἰσι, καὶ σοφοὶ εἰς ἄλλα μαθήματα. οἱ γὰρ Προφῆται, Ἀπόστολοι καὶ Μάρτυρες οὐκ ἔμαθον τὴν θεογνωσίαν καὶ τὴν σοφίαν διὰ ἀκοῆς ὡς ἡμεῖς, ἀλλ' αἵματα ἔδωκαν, καὶ ἔλαβον πνεῦμα· κατὰ τὸ λεγόμενον ὑπὸ τῶν Γερόντων.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δὸς αἷμα, καὶ λάβε πνεῦμα. διὰ τοῦτο καὶ οἱ Πατέρες ἀντὶ Μαρτυρίου αἰσθητοῦ, κατὰ συνείδησιν ἐμαρτύρησαν, ἔχοντες ἀντὶ θανάτου σωματικοῦ τὸν κατὰ προαίρεσιν, ἵνα νικήσῃ ὁ νοῦς τὰ σαρκικὰ θελήματα καὶ βασιλεύῃ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, καὶ τὸ κράτος, ἡ τιμὴ, καὶ ἡ προσκύνησις νῦν τε, καὶ ἀεὶ, Ἀμήν. εἰς τοὺς αἰῶνας.

Τέλος τῶν τοῦ Πέτρου τοῦ Δαμασκηνοῦ ποιημάτων.

Τῷ δὲ Θεῷ ἡ χάρις.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὁ Ἐν Ἁγίοις Πατὴρ ἡμῶν Μακάριος ὁ Αἰγύπτιος, ὁ τὴν τοῦ Μεγάλου ἔχων ἐπίκλησιν, ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ Μεγάλου, ἐν ἔτει τριακοσιοστῷ ἑβδομηκοστῷ ἀπὸ Χριστοῦ. ὃς ὑπερβολικοῖς πόνοις ἀσκήσεως, τοῦ μοναχικοῦ βίου τύπος καὶ παράδειγμα χρηματίσας, καὶ εἰς ἄκρον ἐκπαιδευθεὶς τὰς θείας γραφάς, λόγους πολυειδεῖς συνεγράψατο, ψυχικῆς ὠφελείας, καὶ θεοσοφίας πεπληρωμένους τοῦ Πνεύματος· πεντήκοντα δ' οὗτοι πάντες εἰσίν. οὓς Συμεὼν ὁ Μεταφραστής, ὁ ἐπὶ Βασιλείου τοῦ Μακεδόνος, κατὰ τὸ ὀκτακοσιοστὸν ἑξηκοστὸν ἔτος ἀκμάσας, τῆς ἐν αὐτοῖς κοινωφελοῦς διδασκαλίας, καὶ πνευματικῆς σοφίας ἀποθαυμάσας, μετέφρασεν, εἰς πεντήκοντα, καὶ ἑκατὸν κεφάλαια διελὼν διὰ τὸ εὐσύνοπτον· καὶ τῷ θελκτηρίῳ καὶ ἐπαγωγῷ τῆς καλῆς ἐκείνης γλώττης, καὶ τῇ εὐφραδείᾳ τῶν Ἀττικῶν χαρίτων καταγλαΐσας, γλυκυτέρους μέλιτος παρεσκεύασε ταῖς τῶν ἐντυγχανόντων ἀκοαῖς. ἵν' ὥσπερ τῷ ὕψει τῶν νοημάτων, καὶ τῷ ἠθικῷ τῆς διδασκαλίας, πολλῶν εἰσὶ διαφέροντες, οὕτω καὶ τῷ κάλλει τῆς φράσεως, καὶ τῇ τῶν σχημάτων γοργότητι, οὐδενὸς ἑτέρου καθυστερίζωσι. κἀκ τούτων ἄρα καὶ τὰς καρδίας τῶν ἐγκυπτόντων τῇ γλυκυτάτῃ τῆς συνθήκης ἠχολογίᾳ κατακηλοῦντες, μετ' εὐχαριστίας ἀπάσης ἀναγινώσκονται.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΠΑΡΑΦΡΑΣΙΣ
# ΣΥΜΕΩΝ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ
## ΕΙΣ ΡΝ. ΚΕΦΑΛΑΙΑ·
## ΕΙΣ ΤΟΥΣ ΠΕΝΤΗΚΟΝΤΑ ΛΟΓΟΥΣ
## ΤΟΥ ΑΓΙΟΥ
# ΜΑΚΑΡΙΟΥ
## ΤΟΥ ΑΙΓΥΠΤΙΟΥ.

### Περὶ τελειότητος ἐν πνεύματι.

### ΛΟΓΟΣ Α'.

α. Χάριτι μὲν, καὶ δωρεᾷ τοῦ Πνεύματος θείᾳ, ἕκαστος ἡμῶν τὴν σωτηρίαν πορίζεται· πίστει δὲ καὶ ἀγάπῃ, ἀγῶνί τε προαιρέσεως αὐτεξουσίου, τοῦ τελείου μέτρου τῆς ἀρετῆς ἐφικέσθαι δύναται. ἵν' ὥσπερ χάριτι, οὕτω καὶ δικαιοσύνῃ τῆς αἰωνίου κληρονομήσῃ ζωῆς. μήτε διὰ μόνης τῆς θείας δυνάμεώς τε καὶ χάριτος, μὴ καὶ τοὺς ἰδίους συνεισενεγκὼν ἱδρῶτας, τῆς τελείας προκοπῆς ἀξιούμενος· μήτε πάλιν ἐκ μόνης τῆς οἰκείας σπουδῆς καὶ δυνάμεως, μὴ καὶ θείας ἄνωθεν συνεφαπτομένης χειρὸς, τοῦ τελείου τῆς ἐλευθερίας μέτρου, καὶ τῆς καθαρότητος ἐφικνούμενος. ἐὰν γὰρ μὴ Κύριος οἰκοδομήσῃ οἶκον, φησὶν, καὶ φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων, ὁ κοπιῶν τε καὶ οἰκοδομῶν, εἰς μάτην ὁμοίως.

Ἐρώτησις. Τί τὸ θέλημα τοῦ Θεοῦ, β.
πρὸς ὃ δήπου προτρέπεται καὶ παρακαλεῖ ὁ Ἀπόστολος ἕκαστον ἡμῶν φθάσαι; Ἀπόκρισις. Ἡ τελεία τῆς ἁμαρτίας κάθαρσις, καὶ ἡ ἀπὸ τῆς ἀτιμίας παθῶν ἡ ἐλευθερία, καὶ ἡ τῆς ἄκρας ἀρετῆς ἀνάληψις. ὅπερ ἐστὶν, ὁ καθαρισμός τε, καὶ ἁγιασμὸς τῆς καρδίας, ὁ διὰ τῆς μετουσίας τοῦ τελείου καὶ θείου Πνεύματος ἐν πληροφορίᾳ γινόμενος. Μακάριοι γάρ· φησιν. οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται· καὶ, γίνεσθε καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑμεῖς τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι. καὶ γενηθήτω· φησὶν ὁ Δαβίδ. ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ. καὶ αὖθις· τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. καὶ πρὸς τὸν ἐρωτῶντα δὲ πάλιν, τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου; ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; ἀθῶος χερσὶν, ὑποκρίνεται, καὶ καθαρὸς τῇ καρδίᾳ. τῆς διὰ πράξεως καὶ διανοίας ἐπιτελουμένης ἁμαρτίας τὴν τελείαν ἐντεῦθεν δηλῶν ἀναίρεσιν.

γʹ. Τὰ ἀφανῆ πάθη· φησί· καὶ κρύφια τὸ Πνεῦμα τὸ Ἅγιον ἐπιστάμενον δυσαπάλλακτα ὄντα, καὶ οἱονεὶ τῇ ψυχῇ κατερριζωμένα, διὰ τοῦ Δαβὶδ δείκνυσι, πῶς ἄρα τούτων ποιητέον τὴν κάθαρσιν. ἐκ τῶν κρυφίων μου γὰρ καθάρισόν με· φησίν· ὡς διὰ πολλῆς τῆς δεήσεώς τε, καὶ πίστεως, καὶ τῆς πρὸς Θεὸν τελείας ῥοπῆς, τῇ συνεργίᾳ τοῦ Πνεύματος, κατεργασθῆναι δυναμένων ἡμῶν. πλὴν ἀλλὰ καὶ ἡμῶν πρὸς ταῦτα ἀντιτεινόντων, καὶ φυλακῇ πάσῃ τηρούντων τὴν ἑαυτῶν καρδίαν.

δʹ. Καὶ ὁ Μακάριός φησι· Μωϋσῆς διὰ τύπων ὑποδεικνὺς, τὸ μὴ δεῖν γνώμαις δυσὶν, κακοῦ τε, καὶ ἀγαθοῦ, τὴν ψυχὴν, ἀλλὰ τῷ ἀγαθῷ μόνῳ ἀκολουθεῖν, καὶ τὸ μὴ χρῆναι δύω καρποὺς γεωργεῖν, χρηστοῦ, καὶ χείρονος, ἀλλὰ χρηστὰ μόνα, οὕτω φησίν· οὐ ζεύξεις ἐν τῇ ἅλωνί σου ἀλλογενῆ ζῶα ἐπὶ τὸ αὐτὸ, οἱονεὶ βοῦν, καὶ ὄνον. ἀλλὰ τὰ ὁμογενῆ ζεύξας ἀλωνήσεις τὸν ἀμητόν σου. τουτέστιν· ἵνα μὴ ἐν τῇ ἅλῳ τῆς καρδίας ἡμῶν ἐπὶ τὸ αὐτὸ ἀρετὴ, καὶ κακία τὴν ἐργασίαν ἔχῃ, ἀλλ' ἡ ἀρετὴ μόνη. οὐ συνυφανεῖς ἐρέῳ ἱματίῳ λινοῦν. οὐδὲ πάλιν λινῷ ἔριον. οὐ γεωργήσεις ἐν τῇ χώρᾳ τῆς γῆς σου δύω καρποὺς ἐπὶ τὸ αὐτό. οὐκ ἐπιβαλεῖς ἑτερογενὲς ζῶον εἰς γονὴν ἑτέρῳ. ἀλλὰ τὰ ὁμογενῆ τοῖς ὁμογενέσι συζεύξεις. διὰ τούτων δὲ πάντων αἰνίττεται μυστικῶς, τὸ μὴ δεῖν κακίαν καὶ ἀρετὴν, ὥσπερ εἴρηται, ἐν ἡμῖν γεωργεῖσθαι. ἀλλὰ μονοτρόπως τὰς τῆς ἀρετῆς γονὰς ἀποτίκτεσθαι. καὶ τὸ μὴ δυσὶ πνεύμασι, τῷ πνεύματι τοῦ Θεοῦ, καὶ τῷ πνεύματι τοῦ Κόσμου τὴν ψυχὴν κοινωνεῖν. ἀλλὰ μόνῳ τῷ τοῦ Θεοῦ πνεύματι, καὶ τοὺς καρποὺς τοῦ πνεύματος μόνους καρπογονεῖν. διὰ τοῦτο γάρ· φησι πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.

εʹ. Οὐκ ἀπὸ τῶν φανερῶν ἁμαρτημάτων μόνον, οἷον πορνείας, φόνου, κλοπῆς, γαστριμαργίας, καταλαλιᾶς, ψεύδους, φιλαργυρίας τε, καὶ πλεονεξίας, καὶ τῶν τοιούτων, ἁγνεύειν δεῖ τὴν παρθένον ψυχὴν, καὶ τῷ Θεῷ συναφθῆναι προῃρημένην· ἀλλὰ καὶ πολλῷ πλέον ἀπὸ τῶν κρυφίων, ὡς προειρήκαμεν· τουτέστιν, ἐπιθυμίας, κενοδοξίας, ἀνθρωπαρεσκείας, ὑποκρίσεως, φιλαρχίας, δόλου, κακοηθείας, μίσους, ἀπιστίας, φθόνου, φιλαυτίας, τύφου, καὶ τῶν ἄλλων τῶν τοιούτων ὁμοίως. οἶδε γὰρ, φησὶν ἡ γραφὴ, τὰ κρύφια ταῦτα τῆς ψυχῆς ἁμαρτήματα ἐν ἴσῳ τοῖς ἐκτὸς τίθεσθαι. Κύριος γάρ φησι· διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων, καὶ ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος. τὸν δόλον ἐπ' ἴσης τῷ φόνῳ δεικνύων ὑπὸ Θεοῦ βδελυσσόμενον. καὶ τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, καὶ τὰ ἑξῆς. καὶ πάλιν. καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ· καὶ οὐαὶ ὑμῖν, ὅταν καλῶς εἴπωσιν ὑμᾶς οἱ ἄνθρωποι· τουτέστιν· ὁπόταν ὑμῖν ἐστὶ θέλησις, παρὰ ἀνθρώπων καλῶς ἀκούειν, καὶ τῆς δόξης, καὶ τῶν ἐπαίνων αὐτῶν ἐξήρτησθε· ἐπεὶ, πῶς δυνατὸν ἀγαθοεργοῦντας ἐσάπαν λαθεῖν; ἄλλως τε δὲ καὶ αὐτὸς ὁ Κύριος· Λαμψάτω, λέγει, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀνθρώπων πλέον, ἀλλ' εἰς δόξαν σπεύδετε τοῦ Θεοῦ, φησὶ, τὸ ἀγαθὸν πράττειν, καὶ μὴ διὰ δόξαν ἰδίαν, μηδ' ὡς τῶν ἀνθρωπίνων ἐπαίνων ἐρωτικῶς ἔχοντες, καὶ γὰρ καὶ ἀπίστους εἶναι τούτους ἀπέδειξεν εἰπών. πῶς δύνασθε πίστιν ἔχειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες; καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; ὅρα καὶ τὸν Ἀπόστολον, πῶς ἀπαιτεῖ τὴν ἀκρίβειαν καὶ αὐτοῦ μέχρι τοῦ φαγεῖν καὶ πιεῖν; πάντα εἰς δόξαν Θεοῦ ἐντέλλεται ποιεῖν. εἴτε γὰρ φησὶν· ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ἄλλο ποιεῖτε, εἰς δόξαν Θεοῦ ποιεῖτε. ὁ δέ γε θεῖος Ἰωάννης τὸ μῖσος τῷ φόνῳ συντάττων, ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, φησιν, ἀνθρωποκτόνος ἐστίν.

ς΄. Ἡ ἀγάπη πάντα στέγει, πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. τὸ οὐδέποτε ἐκπίπτει, τοῦτο δηλοῦντός ἐστιν· ὅτι περ οἱ τῶν εἰρημένων χαρισμάτων τοῦ πνεύματος ἐπιτυχόντες, μήπω δὲ διὰ τῆς πληρεστάτης καὶ ἐνεργοῦς ἀγάπης τοῦ Πνεύματος, τῆς ἄκρας τῶν παθῶν ἐλευθερίας ἀξιωθέντες, οὐδέπω τοῦ ἀσφαλοῦς ἥψαντο· ἀλλ' ἐν κινδύνῳ ἔτι, καὶ ἀγῶνι, καὶ φόβῳ τὰ καθ' ἑαυτοὺς ἕστηκε, διὰ τὰ πνευματικὰ δίκτυα τῆς πονηρίας. τοῦτο γὰρ τὸ μεῖζον, μηκέτι ὑπὸ πτῶσιν ὂν, μηδὲ πάθος, ὑπέδειξε τοῦτον ὑπάρχον, ὡς γλώσσας Ἀγγέλων, καὶ προφητείαν, πᾶσάν τε τὴν γνῶσιν, καὶ τὰ τῶν ἰαμάτων χαρίσματα μηδὲν εἶναι· πρὸς ἐκεῖνο παραβαλλόμενα.

ζ΄. Διὰ τοῦτο τῆς τελειότητος ὑπέφηνε τὸν σκοπόν· ἵν' ἕκαστος πτωχὸν ἑαυτὸν ὑπὸ τοῦ τηλικούτου πλούτου διαγινώσκων, θερμῷ τῷ πνεύματι, καὶ σπουδῇ, πρὸς τὸ ἔσχατον κατεπείγηται, καὶ τὸν πνευματικὸν οὕτω τρέχῃ δρόμον, ἄχρις ἂν καταλάβοι, καθὼς εἴρηται· οὕτω τρέχετε, ἵνα καταλάβητε.

η΄. Τὸ ἀπαρνήσασθαι ἑαυτὸν, τοῦτο νόμιζε εἶναι· τὸ ἔκδοτον εἰς ἅπαν τῇ ἀδελφότητι παρασχεῖν, καὶ θελήματι ἰδίῳ παντάπασι μὴ στοιχεῖν, μήτε τινὸς Κύριον εἶναι, ὅτι μὴ τοῦ ἐνδύματος μόνου. ἵνα παντόθεν ἄνετος ὤν, τῶν ἐπιταττομένων αὐτῷ μόνων μετὰ χαρᾶς ἔχηται. τοὺς ἀδελφοὺς ἅπαντας καὶ μάλιστα τοὺς ἐξηγουμένους, καὶ τὰ βάρη τῆς Μονῆς ἀναδεδεγμένους κυρίους, καὶ δεσπότας διὰ Χριστὸν ἡγούμενος, Χριστῷ πειθόμενος τῷ εἰπόντι· ὁ θέλων ἐν ὑμῖν πρῶτος εἶναι καὶ μέγας, ἔστω πάντων ἔσχατος, καὶ πάντων διάκονος, καὶ πάντων δοῦλος, μὴ δόξαν, μὴ τιμὴν, μὴ ἔπαινον τόγε ἐκείνου, ἐπὶ τῇ διακονίᾳ, ἢ πολιτείᾳ, παρὰ τῶν ἀδελφῶν ποριζόμενος. διακονοῦντες γάρ, φησὶ, μετὰ πάσης εὐνοίας, μὴ ἐν ὀφθαλμοδουλείᾳ ὡς ἀνθρωπάρεσκοι· ἀλλ' ὀφειλέτω ἑαυτὸν διὰ παντὸς ἡγούμενος τῆς ἐν ἀγάπῃ τε καὶ ἁπλότητι πρὸς τοὺς ἀδελφοὺς διακονίας.

Τοὺς ἐξηγουμένους τῆς ἀδελφότητος, ὡς θ΄.
μεγάλῳ ἔργῳ ἐπιβαλλομένους, πρὸς τὰς τῆς κακίας ἀντιτέχνους μεθοδείας διὰ ταπεινοφροσύνης ἀγωνίζεσθαι δεῖ, ἵνα μὴ πάθει ὑπερηφανίας ὡς τῶν ὑποτεταγμένων ἀδελφῶν κατεξουσιάζοντες, ἀντὶ μεγίστου κέρδους, ζημίαν ἑαυτοῖς προξενήσωσιν. ἀλλ' ὡς εὔσπλαγχνοι πατέρες, καὶ δουλεύειν μᾶλλον διὰ τὸν Θεὸν ἐκδόντες τῇ ἀδελφότητι ἑαυτοὺς, σωματικῶς τε καὶ πνευματικῶς, ὑπὲρ αὐτῶν φροντίζωσι, καὶ ὡς τέκνων Θεοῦ, διαπαντὸς ἐπιμέλωνται· πρὸς μὲν τὸ ἐμφανὲς τὴν τάξιν τοῦ προεστῶτος οὐκ ἀποβαλλόμενοι, οἷον τὸ ἐπιτάξαι, ἢ συμβουλεῦσαι τοῖς δοκιμωτέροις, ἢ ἐπιτιμῆσαι τινὶ, ἢ ἐλέγξαι ὅπου χρὴ, καὶ ἐν ᾧ δεῖ παρακαλέσαι. ἵνα μὴ προφάσει ταπεινώσεως ἢ πραότητος, ἐν συγχύσει τὰ μοναστήρια ᾖ, τὴν προσήκουσαν τάξιν τῶν τε προεστώτων καὶ ὑποβεβηκότων οὐκ ἀποσώζοντα. ἐν δέ γε τῷ ἀφανεῖ τῆς διανοίας, ὡς δούλους ἀναξίους



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πάντων τῶν ἀδελφῶν, ἑαυτοὺς ἡγούμενοι, καὶ ὡς παιδαγωγοὶ καλοὶ δεσποτικὰ τέκνα πεπιστευμένοι, μετὰ πάσης εὐνοίας, καὶ φόβου Θεοῦ, ἕκαστον τῶν ἀδελφῶν καταρτίζειν εἰς πᾶν ἔργον ἀγαθὸν σπουδάζοντες· μὴ ἀγνοοῦντες, ὅτι μέγας αὐτοῖς καὶ ἀναφαίρετος, ὁ ὑπὲρ τοῦ καμάτου τούτου μισθὸς παρὰ τῷ Θεῷ τεταμίευται.

ι'. Ὥσπερ οἱ παιδαγωγοὶ τοὺς νέους παραλαβόντες, ἔστιν ὅτε, καὶ δεσπότας ὄντας ἰδίους, ἀλλ' οὖν παιδείας χάριν ἢ εὐκοσμίας ἠθῶν, οὐκ ὀκνοῦσιν ὅμως καὶ πληγὰς αὐτοῖς ἐντείνειν κατὰ πολλὴν εὔνοιαν. οὕτω χρὴ καὶ τοὺς προεστῶτας, οὐ πάθει θυμοῦ, καὶ ὑψηλοφροσύνης· οὐδ' ὡς ἑαυτοὺς ἐκδικοῦντας ἀμύνεσθαι τοὺς παιδείας τινὸς τῶν ἀδελφῶν ἐπιδεομένους, ἀλλὰ πλάγχνοις χρηστοῖς, καὶ σκοπῷ πνευματικῆς ὠφελείας, τὴν ἐπιστροφὴν ἐκείνων ἐργάζεσθαι.

ια'. Ἕκαστος, φησὶν ὁ τοῖς τοιούτοις ἤθεσιν ἐντυπωθῆναι βουλόμενος, πρὸ παντός τε ἄλλου, καὶ πανταχοῦ, τὸν φόβον τοῦ Θεοῦ, καὶ τὴν ἱερὰν ἀγάπην, ἥτις πρώτη τε ἐστὶ καὶ μεγίστη τῶν ἐντολῶν, διωκέτω· καὶ ζητείτω ταύτην παρὰ Κυρίου διηνεκῶς τῇ ἑαυτοῦ καρδίᾳ ἐμπεποιῶσθαι, καὶ οὕτω τῇ συνεχεῖ καὶ ἀδιαλείπτῳ τοῦ Θεοῦ μνήμῃ καὶ προκοπὴν ὁσημέραι διὰ τῆς χάριτος ἐπαυξάνων αὐτὴν, προσκτάσθω. διὰ γὰρ πολλῆς σπουδῆς, καὶ πόνου, μερίμνης τε, καὶ ἀγῶνος τὴν πρὸς Θεὸν ἀγάπην δυνατοὶ γινόμεθα κτήσασθαι, χάριτι, καὶ δωρεᾷ Χριστοῦ ἐν ἡμῖν διαμορφουμένην. ἐκ δὲ ταύτης καὶ τὴν δευτέραν· φημὶ· ἐντολὴν, τὴν πρὸς τὸν πλησίον ἀγάπην, ῥᾳδίως κατορθῶσαι γίνεται. τὰ γὰρ πρῶτα καὶ προτακτέσθω τῶν ἄλλων, καὶ πλέον αὐτῶν σπουδαζέσθω. καὶ οὕτω τὰ δεύτερα τοῖς πρώτοις ἑπόμενα ἔσται. οὐδέτις τῆς μὲν πρώτης καὶ μεγάλης ταύτης ἐντολῆς, τῆς πρὸς Θεὸν ἀγάπης φημὶ, καταλιγωρήσας, ἥτις ἀπὸ τῆς ἔνδον ἡμῶν διαθέσεως, συνειδήσεώς τε ἀγαθῆς, καὶ ὑγειῶν τῶν πρὸς Θεὸν ἐννοιῶν, σύσσωμα καὶ βοηθείας θείας συνυφασμένης, συνίσταται. τῆς δὲ δευτέρας τὴν ἔξωθεν μόνον ἐπιμέλειαν τῆς διακονίας ἀφοσιοῦν βούλεται, ἀδύνατον αὐτῷ ταύτην ὑγιῶς τε, καὶ καθαρῶς μετελθεῖν. ἡ γὰρ τῆς κακίας μέθοδος, μνήμης ἔρημον καὶ ἀγάπης, καὶ Θεοῦ ζητήσεως, τὸν νοῦν εὑρίσκουσα, ἢ δυσχερῆ καὶ ἐπίπονα τὰ θεῖα ἐπιτάγματα φαίνεσθαι ποιεῖ· γογγυσμοὺς, καὶ λύπας, καὶ μέμψεις κατὰ τῆς εἰς τοὺς ἀδελφοὺς διακονίας τῇ ψυχῇ ἀναγκάζουσα, ἢ οἰήσει δικαιοσύνης ἐξαπατήσασα φυσιοῖ, καὶ ἑαυτὸν ἡγεῖσθαι τίμιόν τε καὶ μέγαν, καὶ ἄκρως κατορθοῦντα τὰς ἐντολὰς ἀναπείθει.

Ὁπόταν ἑαυτὸν οἰηθῇ ἄνθρωπος ἄ- ιβ'.
ριστον εἶναι τῶν ἐντολῶν ἐπιμελητὴν, δῆλός ἐστιν ἁμαρτάνων, καὶ τῆς ἐντολῆς σφαλλόμενος· ἅτε κρίνας ἑαυτὸν, καὶ μὴ τὸν ἀληθῶς κρίνοντα προσδεξάμενος. ὅταν γὰρ συμμαρτυρῇ τῷ πνεύματι ἡμῶν τὸ τοῦ Θεοῦ Πνεῦμα, καὶ τὸ λόγιον Παύλου, τότε φιλαλήθως Χριστοῦ ἄξιοι, καὶ τέκνα Θεοῦ τυγχάνομεν ὄντες, οὐχ ὅταν ἰδίᾳ οἰήσει ἑαυτοὺς δικαιώσωμεν. οὐ γὰρ ὁ ἑαυτὸν συνιστάνων, φησὶ, δόκιμος· ἀλλ' ὃν ὁ Κύριος συνίστησιν. ἐπείπερ ὅταν μνήμης καὶ φόβου Θεοῦ γυμνὸς ὢν εὑρίσκηται ὁ ἄνθρωπος, πολλὴ ἀνάγκη, καὶ δόξης ἐρᾷν καὶ θηρεύειν ἔπαινον παρὰ τῶν ὑπ' αὐτοῦ διακονουμένων. ὁ δέγε τοιοῦτος, ἄπιστος παρὰ τοῦ Κυρίου ἐλήλεγκται, καθάπερ ἤδη δεδήλωται. πῶς γάρ φησι· δύνασθε ὑμεῖς πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες.

Ἀγῶνι πολλῷ καὶ καμάτῳ τοῦ διὰ ιγ'.
σεμνῶν ἐννοιῶν καὶ τῆς συνεχοῦς πάντων τῶν καλῶν μερίμνης ἡ πρὸς Θεὸν ἀ-

γάπη, καθάπερ εἴρηται, κατορθοῦσθαι δύναται. ὅτε τοῦ ἐναντίου τοῦ ἡμετέρου τοῦ ἐμποδίζοντος, καὶ μὴ συγχωροῦντος αὐτοῦ, διὰ τῆς τῶν καλῶν μνήμης, τῷ θείῳ ἔρωτι προσανέχειν· ἀλλὰ ταῖς γηΐναις ἐπιθυμίαις τὴν αἴσθησιν περισαίνοντος. ἐν τούτῳ γὰρ ὁ τοῦ πονηροῦ θάνατος, καὶ οἷον εἰπεῖν, ἡ ἀγχόνη, ὅτε τῇ τοῦ Θεοῦ ἀγάπῃ καὶ μνήμῃ ἀπερισπάστως ἐνδιατρίβων ὁ νοῦς εὑρίσκεται. ἐντεῦθεν καὶ ἡ πρὸς τὸν ἀδελφὸν εἰλικρινὴς ἀγάπη συστῆναι δύναται, καὶ ἡ ἀληθὴς ἁπλότης, καὶ ἡ πραότης, ἡ ταπείνωσις, ἡ ἀκεραιότης, ἡ ἀγαθότης τέ φημι, καὶ εὐχή, καὶ πᾶς ὁ περικαλλὴς τῶν ἀρετῶν στέφανος, διὰ τῆς μιᾶς, καὶ μόνης, καὶ πρώτης ἐντολῆς, τῆς πρὸς Θεὸν ἀγάπης τὴν τελειότητα δέχεται. ἀγῶνος τούτων πολλοῦ, καὶ πόνου κρυπτοῦ, καὶ ἀδήλου χρεία, λογισμῶν ἐρεύνης τε, καὶ τῶν ἠθετηκότων τῆς ψυχῆς ἡμῶν αἰσθητηρίων γυμνασίας, πρὸς διάκρισιν καλοῦ τε, καὶ κακοῦ, καὶ τοῦ ῥωννύειν καὶ ἀναζωπυρεῖν, διὰ τῆς τοῦ νοῦ πρὸς Θεὸν ἐπιμελοῦς νεύσεως, τὰ πεποιηκότα τῆς ψυχῆς μέλη. ὁ γὰρ νοῦς ἡμῶν οὕτω διὰ παντὸς τῷ Θεῷ προσκολλώμενος, γενήσεται μετὰ τοῦ Κυρίου εἷς ἓν Πνεῦμα, κατὰ τὸ λόγιον Παύλου.

ιδʹ. Τούτων δέ· φησί· τὸν κρυπτὸν ἀγῶνα, καὶ τὸν πόνον, καὶ τὴν μελέτην, νύκτα καὶ μεθ' ἡμέραν ἀδιαλείπτως ἔχειν τοὺς φιλαρέτους χρή, πρὸς πᾶσαν ἐπιτήδευσιν ἐντολῆς, ἤτοι εὐχομένους, ἢ διακονοῦντας, ἐσθίοντας ἢ πίνοντας, ἢ πᾶν ὅ, τι οὖν ποιοῦντας. ἵν' ὅπερ ἂν γένηται ἀγαθόν, εἰς δόξαν Θεοῦ, καὶ μὴ εἰς ἡμετέραν γίνεται δόξαν. εὐπετῆ δὲ ἡμῖν καὶ ῥᾳδία πάντα τὰ τῶν ἐντολῶν ἔσται, τῆς τοῦ Θεοῦ ἀγάπης αὐτὰ διευμαριζούσης, καὶ τὸ ἐπίπονον αὐτῶν ἐκλυούσης ἅπαν. ὅλος γὰρ ὁ ἀγών, καὶ ἡ σπουδὴ τοῦ ἀντικειμένου τοῦτό ἐστιν, ὡς δεδήλωται, τὸ δυνηθῆναι τὸν νοῦν ἀπὸ τῆς πρὸς Θεὸν μνήμης, καὶ τοῦ φόβου, καὶ τῆς ἀγάπης περισπάσαι, γηΐναις αὐτὸν παραγωγαῖς, καὶ δελεάσμασιν ἀπὸ τοῦ ὄντως ἀγαθοῦ πρὸς τὰ δοκήσει καλὰ παρατρέποντι.

ιεʹ. Καὶ γὰρ Ἀβραάμ· φησίν· ὁ Πατριάρχης, τὸν Ἱερέα τοῦ Θεοῦ Μελχισεδὲκ δεξιούμενος, ἐκ τῶν ἀκροθινίων τὴν προσαγωγὴν ἐποιήσατο, καὶ οὕτω τῆς παρ' αὐτοῦ τετύχηκεν εὐλογίας, εἰς ὑψηλοτέραν τινὰ θεωρίαν διὰ τῶν τοιούτων τοῦ Πνεύματος ἡμᾶς ἀνάγοντος, ὥστε τὰ ἄκρα καὶ τὰ στέατα τὰ πρῶτα. ὅλου τοῦ ἡμετέρου συγκράματος, ὅπερ ἐστὶν αὐτὸς ὁ νοῦς, αὐτὴ ἡ συνείδησις, αὐτὴ ἡ τῆς ψυχῆς ἀγαπητικὴ δύναμις, τῷ Θεῷ πρότερον δεῖν, ὡς Ἱεράν τινα θυσίαν ὁλοκαυτοῦν. τὰ ἀκροθίνιά τε καὶ πρῶτα τῶν ὀρθῶν λογισμῶν τῇ αὐτοῦ μνήμῃ διδόναι. καὶ ἐν τῇ αὐτοῦ ἀγάπῃ, καὶ ἐν τῷ ἀπορρήτῳ καὶ ὑπερφυεῖ ἔρωτι ἀδιαλείπτως ἀπασχολεῖν. καὶ οὕτως δυνάμεθα ὁσημέραι τὴν αὔξησιν καὶ προκοπὴν λαμβάνειν, βοηθούμενοι ὑπὸ τῆς θείας χάριτος. καὶ τὸ φορτίον τῆς δικαιοσύνης τῶν ἐντολῶν, ἐλαφρὸν ἡμῖν καταφανήσεται, καθαρῶς καὶ ἀμώμως ταύτας ἐπιτελοῦντες, συνεργούμενοι ὑπ' αὐτοῦ τοῦ Κυρίου διὰ τῆς πρὸς αὐτὸν ἡμῶν πίστεως.

ιςʹ. Περὶ δὲ τῆς φαινομένης ἀσκήσεως, καὶ ποῖον ἀγαθὸν ἐπιτήδευμα μεῖζον, καὶ πρῶτον τυγχάνει; τοῦτο γινώσκετε, ἀγαπητοί, ὅτι ἀλλήλων αἱ ἀρεταὶ ἐκδέδενται, καὶ ἀλλήλων ἔχονται, καθάπερ ἱερά τις σειρά, μία τῆς μιᾶς ἠρτημένη. οἷον ἡ μὲν εὐχή, τῆς ἀγάπης. ἡ ἀγάπη δὲ τῆς χαρᾶς. ἡ χαρά, τῆς πραότητος. ἡ πραότης, τῆς ταπεινοφροσύνης. ἡ ταπεινοφροσύνη δέ, τῆς διακονίας. ἡ διακονία δέ, τῆς ἐλπίδος. ἡ δὲ ἐλπίς, τῆς πίστεως. καὶ ἡ μὲν πίστις, τῆς ὑπακοῆς. ἡ δὲ ὑπακοὴ τῆς ἁπλότητος, ὥσπερ τὸ ἀντίπαλον, ἓν ὑφ' ἑνὸς δέδεν-

ται.

ται. οἷον τοῦ μὲν θυμοῦ, τὸ μῖσος. ὁ δὲ, τῆς ὑπερηφανίας. τῆς κενοδοξίας, αὕτη. ἐκείνη, τῆς ἀπιστίας. ἡ δὲ, τῆς σκληροκαρδίας. καὶ αὕτη μὲν, ἐκ τῆς ἀμελείας. ἐκείνη δὲ, τῆς χαυνώσεως. ἐκ δὲ τῆς ὀλιγωρίας αὕτη. κἀκείνη μὲν ἐκ τῆς ἀκηδίας. ὥσπερ ἐκ τῆς ἀνυπομονησίας, αὕτη. τὸ δὲ, τῆς φιληδονίας. καὶ οὕτω τὰ λοιπὰ μέρη τῆς κακίας ἀλλήλων εἰσὶν ἐχόμενα.

ιζʹ. Πᾶν ὅπερ ἂν ποιῇ καλὸν ὁ ἄνθρωπος, σπιλεῖν αὐτὸ καὶ καταμιαίνειν ὁ πονηρὸς τῇ ἐπιμιξίᾳ τῶν ἑαυτοῦ σπερμάτων βούλεται. οἷον τῆς κενοδοξίας, ἢ τῆς οἰήσεως, εἴτε μὴν καὶ τοῦ γογγυσμοῦ, ἢ ἑτέρου τινὸς τῶν τοιούτων. ἵν᾽ ἢ μὴ διὰ Θεὸν μόνον, ἢ μὴ ἐκ προθυμίας τὸ γινόμενον ἀγαθὸν γίνηται. γέγραπται γὰρ, τὸν Ἄβελ προσενεγκεῖν θυσίαν τῷ Θεῷ ἀπὸ τῶν στεάτων, καὶ ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων. καὶ τὸν Κάϊν δὲ, ὁμοίως δῶρα προσενεγκεῖν ἀπὸ τῶν καρπῶν μὲν τῆς γῆς, ἀλλ᾽ οὐκ ἀπὸ τῶν πρώτων. καὶ διὰ τοῦτο ἐπὶ μὲν ταῖς θυσίαις τοῦ Ἄβελ ἐπιδεῖν τὸν Θεόν. ἐπὶ δὲ τοῖς δώροις τοῦ Κάϊν μὴ προσχεῖν. ἐκ τούτου μανθάνειν ἔχομεν· ὅτι ἔστι, τι καλὸν, μὴ ποιῆσαι καλῶς. οἷον ἀμελῶς, ἢ καταφρονητικῶς ἢ δι᾽ ἕτερόν τι, καὶ οὐ διὰ Θεόν. καὶ παρὰ τοῦτο συμβαίνει γίνεσθαι, μὴ εὐπρόσδεκτον τῷ Θεῷ.

### Τοῦ αὐτοῦ, περὶ προσευχῆς.

ιηʹ. Κεφάλαιον πάσης ἀγαθῆς σπουδῆς, καὶ κορυφὴ τῶν κατορθωμάτων, ἡ τῆς προσευχῆς ἐστὶ προσεδρεία, δι᾽ ἧς καὶ τῶν ἄλλων ἀρετῶν ἐν κτήσει γινόμεθα, τοῦ Θεοῦ καλουμένου, χεῖρα συνεργὸν ἐπορέγοντος. καὶ γὰρ κοινωνία τῆς μυστικῆς ἐνεργείας, καὶ συνάφεια διαθέσεως τῆς πρὸς Θεὸν ἁγιότητος, καὶ αὐτοῦ τοῦ νοῦ δι᾽ ἀγάπης ἀρρήτου πρὸς Κύριον, ἐν τῇ εὐχῇ τοῖς καταξιουμένοις γίνεται. ἔδωκας γὰρ, φησὶν, εὐφροσύνην εἰς τὴν καρδίαν μου. καὶ αὐτὸς δὲ ὁ Κύριος· ἡ Βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστί. τὸ δὲ ἐντὸς εἶναι τὴν Βασιλείαν, τί ἂν ἄλλο δηλοῦν εἴη; ἢ τὴν τοῦ Πνεύματος οὐράνιον εὐφροσύνην ταῖς ἀξίαις ψυχαῖς ἐναργῶς ἐνσημαίνεσθαι; τῆς ἀπολαύσεως γάρ τε, καὶ χαρᾶς, καὶ τῆς ἐν Πνεύματι εὐφροσύνης, ἧς ἐν φωτὶ αἰωνίῳ οἱ Ἅγιοι ἐν τῇ τοῦ Χριστοῦ μεθέξουσι Βασιλείᾳ, ταύτης τὸν ἀρραβῶνα, καὶ τὰ προοίμια ἐντεῦθεν ἤδη αἱ ἄξιαι, διὰ τῆς τοῦ Πνεύματος ἐνεργοῦς κοινωνίας, ψυχαὶ λαμβάνουσιν. ὅπερ δὴ καὶ τὸν Θεῖον Ἀπόστολον δηλοῦν ἔγνωμεν. ὁ γὰρ παρακαλῶν ἡμᾶς, φησὶ, ἐν τῇ θλίψει ἡμῶν· εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως ἧς παρακαλούμεθα καὶ αὐτοὶ ὑπὸ τοῦ Θεοῦ. ἀλλὰ καὶ τὸ, ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. καὶ τὸ, ὡς ἐκ στέατος, καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου. καὶ τὰ συνῳδὰ τούτοις, εἰς ταυτὸν φέρουσι, καὶ τὴν τοῦ Πνεύματος ἐνεργὸν εὐφροσύνην καὶ παράκλησιν ὑπαινίττονται.

ιθʹ. Ὥσπερ μεῖζον τῶν ἄλλων τὸ τῆς εὐχῆς ἔργον, οὕτω καὶ πόνου πλείονος δεῖ, καὶ μερίμνης τῷ πρὸς αὐτὴν ἐρωτικῶς ἔχοντι. μήπου κλοπήν τινα παρὰ τῆς κακίας ὑπομείνας λάθῃ. οὗ γὰρ μείζονος ἀγαθοῦ ἐπιμέλεια, μείζονι καὶ ὁ πονηρὸς τῇ πείρᾳ προσβάλλει· ὥστε πολλῆς αὐτῷ δεήσει τῆς νήψεως, ἵνα καὶ μᾶλλον καρποὶ ἀγάπης, καὶ ταπεινοφροσύνης, ἁπλότητός τε, καὶ ἀγαθότητος, καὶ πρὸς ἐπὶ τούτοις, διακρίσεως, ὁσημέραι τῷ παραμόνῳ τῆς εὐχῆς ἀναφύωνται, καὶ αὐτοῦ μὲν φανερὰν τὴν ἐπὶ τὰ θεῖα προκοπὴν καὶ ἐπίδοσιν καθιστῶσι, τοὺς ἄλλους δὲ πρὸς τὸν ἴσον ζῆλον παρακαλῶσιν.

Ἁγιορειτικὴ Βιβλιοθήκη

κʹ. Ἀδιαλείπτως προσεύχεσθαι, καὶ προσκαρτερεῖν τῇ εὐχῇ αὐτούς τε ὁ θεῖος Ἀπόστολος, καὶ τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον διδάσκει, πόσῳ μᾶλλον, εἰπόντος, ποιήσει ἐκδίκησιν ὁ Θεὸς τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας. καὶ τό· γρηγορεῖτε, καὶ προσεύχεσθε. δεῖ οὖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν. ὥσπερ δὲ κεφαλαιωδέστερον, ὁ τῇ εὐχῇ προσκαρτερῶν, εἵλετο ἔργον· οὕτως αὐτὸν ἀγῶνα πολύν, καὶ πόνον ἀνένδοτον ἀνελέσθαι χρή, διὰ τὸ πολλὰ τῇ προσεδρείᾳ τῆς εὐχῆς ὑπεῖναι τὰ τῆς κακίας ἐμπόδια. ὕπνον, ἀκηδίαν, βάρος σώματος, λογισμῶν ἐκτροπήν, νοὸς ἀκαταστασίαν, ἔκλυσιν, καὶ τὰ λοιπὰ τῆς κακίας ἐπιτηδεύματα. εἶτα θλίψεις, καὶ αὐτῶν τῶν πονηρῶν πνευμάτων ἐπαναστάσεις ἐκθύμως πολεμούντων ἡμῖν, καὶ ἀντικαθισταμένων, καὶ προσεγγίζειν τῷ Θεῷ διειργόντων τὴν κατὰ ἀλήθειαν τὸν Θεὸν ἀπαύστως ἐπιζητοῦσαν ψυχήν.

καʹ. Πάσῃ σπουδῇ, καὶ νήψει· ὑπομονῇ τε, καὶ ἀγῶνι ψυχῆς, καὶ πόνῳ σώματος, τὸν τῆς εὐχῆς ἐπιμελούμενον, ἀνδρίζεσθαι χρή, μὴ χαυνούμενον, καὶ συνεπιδιδόντα ταῖς τῶν λογισμῶν ἐκτροπαῖς, ἢ πολλῷ ὕπνῳ, ἢ ἀκηδίᾳ, ἐκλύσει τε, καὶ συγχύσει, καὶ ταραχώδεσι, καὶ ἀπρεπέσι φωναῖς χρώμενον, ἤ τισι τοιούτοις ἐπιτρέποντα τὴν διάνοιαν, μόνῃ μὲν ἐμπληροφορούμενον τῇ παραμόνῳ στάσει, κλίσει τε τῶν γονάτων. τὸν δὲ νοῦν μακρὰν αὐτοῦ τῶν γινομένων ἀποπλανώμενον ἔχοντα. οὐδὲν γὰρ τὸ κωλῦον, ἵνα μὴ ἀκριβῶς νήφειν παρασκευάζηται, ἐναντιούμενος μὲν τῇ ὕλῃ τῶν περιττῶν λογισμῶν, διαβασανίζων δὲ πάντας αὐτούς, καὶ φιλοκρινῶν, ἐπιποθῶν τε ἀεὶ τὸν Κύριον, ποικίλως ὑπὸ τῆς κακίας κατὰ τὸ ἀφανὲς δελεάζεσθαι· ἢ καὶ τῶν μήπω τῇ εὐχῇ δυναμένων προσκαρτερεῖν καταπαίζεσθαι, καὶ διὰ τῶν τοιούτων τῆς κακίας μηχανημάτων τὴν καλὴν διαφθείρειν ἐργασίαν, καὶ προπίνειν ταύτην τῷ πονηρῷ δαίμονι.

Εἰ μὴ ἡ ταπεινοφροσύνη καὶ ἡ ἀγάπη, ἡ ἁπλότης τε, καὶ ἀγαθότης κατακοσμοῦσιν ἡμῖν τὴν εὐχήν, ἡ εὐχὴ αὕτη, μᾶλλον δὲ τὸ πρόσχημα τῆς εὐχῆς, ἥκιστά γε ἡμᾶς ὠφελεῖν δύναται. καὶ οὐκ ἐπὶ τῆς εὐχῆς τοῦτο μόνης φαμέν· ἀλλὰ καὶ ἐπὶ παντὸς καμάτου, καὶ πόνου, παρθενίας, ἢ νηστείας, ἢ ἀγρυπνίας, ἢ ψαλμῳδίας, ἢ διακονίας, ἢ οἱασδήποτ' οὖν ἐργασίας, ἀρετῆς ἕνεκεν, ἐπιτελουμένης· εἰ μὴ τοὺς καρποὺς τῆς ἀγάπης, εἰρήνης τε, καὶ χαρᾶς, καὶ ἁπλότητος, ταπεινοφροσύνης τέ φημι, καὶ πρᾳότητος, καὶ ἀφελείας, καὶ πίστεως ὡς δέον. μακροθυμίας τε, καὶ φιλοφροσύνης, ἐν ἑαυτοῖς ὁρᾶν ἔχοιμεν, ἐπ' οὐδενὶ χρησίμῳ τὰ τῶν πόνων ὑπέστημεν. τοὺς γὰρ πόνους διὰ τὴν τῶν καρπῶν ὠφέλειαν ὑπομένειν καταδεχόμεθα. τῶν δὲ καρπῶν τῆς ἀγάπης ἐν ἡμῖν μὴ εὑρισκομένων, περιττὴ πάντως ἡ ἐργασία. ὥστε οὐδὲν οἱ τοιοῦτοι τῶν πέντε μωρῶν παρθένων διενηνόχασιν, αἵτινες διὰ τὸ μὴ ἐντεῦθεν ἔχειν ἐν ταῖς καρδίαις τὸ πνευματικὸν ἔλαιον, ὅπερ τῶν εἰρημένων ἐστὶν ἀρετῶν, ἡ διὰ τοῦ Πνεύματος ἐνέργεια, μωραί τε ὠνομάσθησαν, καὶ τοῦ Βασιλικοῦ νυμφῶνος ἐλεεινῶς ἀπεκλείσθησαν, μηδὲν τοῦ τῆς παρθενίας ὀνάμεναι καμάτου. ὥσπερ γὰρ ἐν τῇ τῆς ἀμπέλου γεωργίᾳ πᾶσα ἐπιμέλεια, καὶ πόνος διὰ τὴν τῶν καρπῶν ἐλπίδα προκαταβάλλεται. καρπῶν δὲ μὴ γεωργηθέντων, εἰκαία πάντως ἡ ἐργασία δείκνυται. οὕτως εἰ μὴ διὰ τῆς ἐνεργείας τοῦ Πνεύματος καρποὺς ἀγάπης, καὶ εἰρήνης, καὶ χαρᾶς, καὶ τῶν λοιπῶν, ὧν ὁ Ἀπόστολος ἀπηρίθμησεν, ἐν ἑαυτοῖς ἴδοιμεν, καὶ τοῦτο κατὰ πληροφορίαν πᾶσαν, καὶ πνευματικὴν αἴσθησιν διομολογεῖν ἔχοιμεν, περιττὸς ὁ τῆς παρθενίας, εὐχῆς τε, καὶ κβʹ.

ψαλμῳδίας, νηστείας, καὶ ἀγρυπνίας κάματος ὑποδείκνυται. οἱ μὲν γὰρ πόνοι οὗτοι, καὶ κάματοι τῆς ψυχῆς, καὶ τοῦ σώματος ἐπ' ἐλπίδι πνευματικῶν καρπῶν, ὥσπερ ἔφημεν, ἐπιτελεῖσθαι ὀφείλουσιν· ἡδ' ἐν ταῖς ἀρεταῖς καρποφορία, ἀπόλαυσίς ἐστι πνευματικὴ μεθ' ἡδονῆς ἀφθάρτου ἐν καρδίαις πισταῖς τε, καὶ ταπειναῖς ὑπὸ τοῦ Πνεύματος ἀπορρήτως ἐνεργουμένη. ὥστε οἱ πόνοι, καὶ οἱ κάματοι, καθὼς εἰσὶ πόνοι φημὶ καὶ κάματοι λογιζέσθωσαν, καὶ οἱ καρποί, καρποί. εἰ δέ τις διὰ γνώσεως ἔνδειαν, τὴν ἐργασίαν αὐτοῦ καὶ τὸν κάματον, καρποὺς τοῦ Πνεύματος εἶναι νομίσει, μὴ ἀγνοείτω ψυχαγωγῶν ἑαυτόν, καὶ παρακρούμενος, καὶ τῶν μεγάλων ὄντως καρπῶν τοῦ Πνεύματος, διὰ τὸ οὕτως ἔχειν, ἀποστερῶν.

κγʹ. Ὥσπερ ὁ τῇ ἁμαρτίᾳ ὅλον ἑαυτὸν ἔκδοτον, παρεχόμενος, τὰ παρὰ φύσιν πάθη τῆς ἀτιμίας, τουτέστιν ἀσέλγειαν, πορνείαν, πλεονεξίαν, μῖσος, καὶ δόλον, καὶ τὰ λοιπὰ τῆς κακίας ἐπιτηδεύματα ἐν ἀπολαύσει καὶ ἡδονῇ ὡς φυσικὰ καταπράττεται. οὕτως ὁ ἐν ἀληθείᾳ, καὶ τελειότητι Χριστιανὸς ὤν, τὰς ἀρετὰς πάσας καὶ τοὺς καρποὺς τοῦ Πνεύματος ἅπαντας τοὺς ὑπὲρ τὴν φύσιν, τὴν ἀγάπην δηλονότι, καὶ τὴν εἰρήνην, τὴν ὑπομονήν, τὴν πίστιν, καὶ τὴν ταπείνωσιν, καὶ πᾶν τὸ χρυσοῦν ὄντως γένος τῆς ἀρετῆς, ἐν ἀπολαύσει πολλῇ, καὶ ἡδονῇ πνευματικῇ ἀπονητὶ λοιπόν, καὶ ῥᾳδίως· ὡς φυσικὰ μέτεισιν. οὐκ ἔτι πρὸς τὰ πάθη τῆς κακίας διαμαχόμενος, ἅτε τελείως ὑπὸ Κυρίου λελυτρωμένος, καὶ ἀπὸ τοῦ ἀγαθοῦ Πνεύματος τὴν ἐντελῆ τοῦ Χριστοῦ εἰρήνην καὶ ἀγαλλίασιν ἐν τῇ καρδίᾳ δεξάμενος. οὗτός ἐστιν ὁ κολληθεὶς τῷ Κυρίῳ, καὶ γενόμενος εἰς ἓν πνεῦμα.

κδʹ. Τοὺς μήπω δυναμένους ἄκρως τῷ τῆς εὐχῆς ἔργῳ διὰ νηπιότητα ἑαυτῆς ἐπιβαίνειν· τούτους τὴν ὑπηρεσίαν τῶν ἀδελφῶν μετ' εὐλαβείας, καὶ πίστεως, φόβου τε θείου, καταδέξασθαι χρή, ὡς τοῦ Θεοῦ ἐντολῇ, καὶ ὡς πνευματικῷ πράγματι, διακονουμένους. ἀλλ' οὐχ ὡς παρ' ἀνθρώπων μισθόν, ἢ τιμήν, καὶ εὐχαριστίαν προσδοκωμένους· μὴ διδόντας χώραν ὅλως γογγυσμῷ, ἢ ὑψηλοφροσύνῃ, ἢ ἀμελείᾳ καὶ χαυνότητι· ὡς μὴ τὸ ἀγαθὸν τοῦτο ἔργον σπιλοῦσθαι, καὶ παραφθείρεσθαι, διὰ δὲ τῆς εὐλαβείας μᾶλλον, καὶ τοῦ φόβου, καὶ τῆς χαρᾶς εὐπρόσδεκτον τῷ Θεῷ γίνεσθαι.

κεʹ. Τοσαύτῃ φιλανθρωπίᾳ καὶ ἀγαθότητι· ὢ τῶν θείων σπλάγχνων περὶ ἡμᾶς. συγκατέβη τοῖς ἀνθρώποις ὁ Κύριος, τοῦτο πραγματευόμενος, τὸ μηδενὸς ἔργου ἀγαθοῦ, μισθὸν παριδεῖν. ἀλλ' ἀπὸ τῶν μικρῶν ἐπὶ τὰς μείζους τῶν ἀρετῶν, πάντας ἀναγαγεῖν· ὡς μηδὲ ποτηρίου ψυχροῦ ὕδατος ἀποστερεῖν τινα ἀντιδόσεως. εἴρηκε γάρ· ὃς ἂν ποτίσῃ ποτήριον ψυχροῦ μόνον, εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσει τὸν μισθὸν αὐτοῦ. καὶ αὖθις· ἐφ' ὅσον ἑνὶ τούτων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε. μόνον κατὰ Θεὸν τὸ γινόμενον, καὶ μὴ κατὰ δόξαν ἀνθρωπίνην γινέσθω· προσέθηκε γάρ, μόνον εἰς ὄνομα μαθητοῦ· τουτέστι φόβῳ, καὶ ἀγάπῃ Χριστοῦ. τοῖς γὰρ ἐπιδεικτικῶς τὸ ἀγαθὸν μετιοῦσι μεμφόμενος ὁ Κύριος, καὶ ἀποφάσει βεβαίᾳ τὸν λόγον ἀσφαλιζόμενος, ἐπάγει λέγων. ἀμὴν λέγω ὑμῖν· ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

κϛʹ. Ἡ ἁπλότης πρὸ τῶν ἄλλων, καὶ ἡ ἀφέλεια, καὶ ἡ πρὸς ἀλλήλους ἀγάπη, καὶ χαρά, καὶ ταπείνωσις, ἐκ παντὸς τρόπου, ὥσπερ τις θεμέλιος ὑποβεβλήσθωσαν ἐν τῇ ἀδελφότητι, ἵνα μὴ ἀλλήλων κατεπαιρόμενοι, ἢ καταγογγύζοντες, ἀνόνητον ἡμῶν τὸν κάματον ἀποδείξωμεν. καὶ μήτε ὁ ἀδιαλείπτως προσκαρτερῶν ταῖς εὐχαῖς, τοῦ μὴ οὕτω ποιεῖν δυναμένου κατεπαιρέσθω· μήτε ὁ τῇ διακονίᾳ ἑαυτὸν ἐκ

διδοὺς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

διδοὺς τοῦ τῇ προσευχῇ σχολάζοντος καταγογγυζέτω. ὡς εἴγε μετὰ τοιαύτης ἁπλότητός τε, καὶ διαθέσεως ἀλλήλοις προσφέροιντο, γίνεται τὸ περίττευμα τῶν ταῖς εὐχαῖς ἐμπαραμενόντων, ἐπὶ τὸ ὑστέρημα τῶν διακονούντων. κἀκείνων τὸ περίσσευμα ἐπὶ τὸ ὑστέρημα τῶν ταῖς εὐχαῖς σχολαζόντων. καὶ οὕτω μᾶλλον ἡ ἰσότης. κατὰ τὸ εἰρημένον, φαίνηται σωζομένη· ὃς τὸ πολὺ, οὐκ ἐπλεόνασε, καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησεν.

κζ′. Τότε γίνεται τὸ τοῦ Θεοῦ θέλημα ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, ὅταν μὴ, ὥσπερ εἴρηται, ἀλλήλων κατεπαιρώμεθα. ὅταν μὴ μόνον ζήλου χωρὶς, ἀλλὰ καὶ μετὰ ἁπλότητος, ἐν μετοχῇ καὶ ἀγάπης, εἰρήνης τε, καὶ χαρᾶς συνημμένοι ὦμεν ἀλλήλοις, τὴν τοῦ πλησίον προκοπὴν ἰδίαν ὡς δέον, καὶ τὴν ἐκείνου ὑστέρησιν ζημίαν ἑαυτῶν λογιζόμενοι.

κη′. Ὁ δὲ ἐν τῇ εὐχῇ ὀκνηρῶς, καὶ τῇ διακονίᾳ τῶν ἀδελφῶν, καὶ ἐν ἑτέρῳ δή τινι ἔργῳ τῷ κατὰ Θεὸν γινομένῳ χαύνως καὶ ἀμελῶς διακείμενος, οὗτος ὑπὸ τοῦ Ἀποστόλου ἀργὸς διαῤῥήδην καλούμενος, καὶ αὐτοῦ τοῦ ἄρτου ἀνάξιος εἶναι καταψηφίζεται, εἴρηκε γάρ, ὁ δὲ ἀργὸς μηδὲ ἐσθιέτω. καὶ ἀλλαχοῦ. τοὺς δὲ ἀργοὺς καὶ ὁ Θεὸς μισεῖ, καὶ ὁ ἀργὸς, οὐδὲ πιστὸς εἶναι δύναται. καὶ ἡ σοφία, πολλὴν κακίαν, ἔφη, ἐδίδαξεν ἡ ἀργία. προσήκει τοιγαροῦν ἕκαστον ὁποῖον δήποτε ἔργον κατὰ Θεὸν γινόμενον καρποφορεῖν, καὶ σπουδαίως κἂν ἐφ᾽ ἑνὶ τῶν ἀγαθῶν διατίθεσθαι, ἵνα μὴ τὸ παράπαν ἄκαρπος εὑρισκόμενος, ἀμέτοχος εἰς ἅπαν καὶ τῶν αἰωνίων ἀγαθῶν γένηται.

κθ′. Πρὸς τοὺς λέγοντας, φησὶν, ἀδύνατον εἶναι τῆς τελειότητος ἐφικέσθαι, καὶ τῆς εἰσάπαξ ἀπαλλαγῆς τῶν παθῶν, ἢ καὶ τῆς μετουσίας καὶ πληρώσεως τοῦ ἀγαθοῦ τυχεῖν πνεύματος· ἀναγκαῖον τὴν ἀπὸ τῶν θείων γραφῶν μαρτυρίαν ἐνεγκεῖν, καὶ δεῖξαι κακῶς εἰδότας αὐτοὺς, ψευδῶς τε ἅμα καὶ ἐπισφαλῶς λέγοντας. γίνεσθε, γάρ φησιν ὁ Κύριος, ὑμεῖς τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι. τὴν παντελῆ καθαρότητα διὰ τούτων σημαίνων. καὶ, θέλω, ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ οὗτοι ὦσι μετ᾽ ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν. ταῦτα τοῦ εἰρηκότος ἐκείνου εἰσὶν, ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου, οὐ μὴ παρέλθωσι. καὶ τὸ τοῦ Ἀποστόλου· ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ. καὶ τὸ μέχρι δὲ καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, εἰς ταὐτὸν φέρει. οὕτω δὲ πρὸς τὴν τελειότητα ἀφορῶντας συμβαίνει δύω τὰ κάλλιστα γίνεσθαι, σύντονόν τε καὶ ἀδιάπαυστον τὸν ἀγῶνα ἔχοντας, εἰς τὸ πέρας διώκειν διὰ τὴν ἐλπίδα τοῦ δὲ τοῦ μέτρου, φημὶ, καὶ τῆς ἀναβάσεως· τύφῳ τε μὴ ἁλίσκεσθαι, ἀλλὰ μετριοφρονεῖν, καὶ μικροὺς ἑαυτοὺς ἡγεῖσθαι διὰ τὴν μήπω τοῦ τελείου κατάληψιν.

λ′. Οἱ ταῦτα λέγοντες, φησὶν, ἐκ τριῶν τρόπων τὴν μεγίστην τῇ ψυχῇ περιάπτουσι βλάβην. πρῶτον μὲν, ὅτι ταῖς θεοπνεύστοις φαίνονται διαπιστοῦντες γραφαῖς, εἶθ᾽ ὅτι τὸν μείζονά τε καὶ τέλειον μὴ προστησάμενοι τοῦ χριστιανισμοῦ σκοπὸν, μηδὲ πρὸς ἐκεῖνον φθάσαι κατατεινόμενοι, πόνον, καὶ σπουδὴν, πεῖνάν τε καὶ δίψαν τῆς δικαιοσύνης ἔχειν οὐ δύνανται. ἀλλὰ τοῖς ἐξωτέροις σχήμασί τε, καὶ ἤθεσι, καὶ ὀλίγοις τισὶ κατορθώμασιν ἐμπληροφορούμενοι, τῆς μακαρίας ἐλπίδος, καὶ τελειότητος, καὶ τῆς παντελοῦς τῶν παθῶν καθάρσεως ἀπολείπονται. τὸ τρίτον, ὅτι οἰόμενοι τῆς ἀκρότητος ἐφικέσθαι τῇ κατορθώσει τῶν ὀλίγων, ὡς ἔφημεν, ἀρετῶν, καὶ μὴ πρὸς τὸ τέλειον ἐπειγόμενοι, οὐ μόνον ταπείνωσιν, καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πτωχείαν, καὶ συντετριμμένην καρδίας ἥκιστα ἔχειν δύνανται. ἀλλὰ δικαιοῦντες ἑαυτοὺς ὡς ἤδη κατειληφότας, οὐ προκοπὴν οὐκ ἐπίδοσιν ὁσημέραι δέχονται.

λα'. Τοὺς ἀδύνατον φησὶν ἡγουμένους τὴν κατόρθωσιν ταύτην τὴν διὰ τοῦ πνεύματος τοῖς ἀνθρώποις ἐγγινομένην, ἥτις ἡ καινὴ κτίσις ἐστὶ τῆς καθαρᾶς καρδίας, ὁ Ἀπόστολος διαρρήδην εἰκότως αὐτοὺς δείκνυσι διὰ τὴν ἀπιστίαν τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθεῖν μὴ ἠξιωμένους, καὶ διὰ τοῦτο πεπτωκότων αὐτοῖς τῶν κώλων ἐν τῇ ἐρήμῳ. ὃ γὰρ ἐκεῖ ἐπαγγελίας γῆ κατὰ τὸ φανερόν, τοῦτο ἐνταῦθα παθῶν ἀπολύτρωσις κατὰ τὸ κρυπτόν. ὅπερ δὴ καὶ ὁ Ἀπόστολος, τέλος πάσης ἐντολῆς εἶναι ἀπέδειξε. καὶ τοῦτό ἐστιν ἡ ἀληθινὴ τῷ ὄντι τῆς ἐπαγγελίας γῆ, καὶ δι' αὐτὴν πάντα ἐκεῖνα τυπικῶς παραδέδοται. παρὸ καὶ ὁ θεσπέσιος Παῦλος, δι' ἀσφαλείας τὰ τῶν μαθητῶν ποιούμενος, ὡς μή τινα συμβῆναι ἀπιστίας ἁλῶναι φρονήματι· βλέπετε ἀδελφοί μου φησί, μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος. τί δὲ ἀποστῆναι, οὐκ ἐπὶ τοῦ ἀρνήσασθαι, ἀλλ' ἐπὶ τοῦ ταῖς ἐπαγγελίαις αὐτοῦ ἀπιστῆσαι, τέθεικεν. ἀμέλει καὶ τὰ τυπικὰ τῶν Ἰουδαίων ἀλληγορῶν, καὶ παραβάλλων ταῦτα πρὸς τὴν ἀλήθειαν, ἐπιφέρει λέγων· τινὲς γὰρ παρακούσαντες παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως. τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ; τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; καὶ βλέπομεν, ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν· καὶ ἐπάγει. φοβηθῶμεν οὖν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι. καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι. ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκραμένους τῇ πίστει τοῖς ἀκούσασιν. εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες. καὶ μετ' ὀλίγα πάλιν ἐπιφέρει· σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι περιπέσῃ τῆς ἀπειθείας. τίς δὲ Χριστιανῶν ἀληθινὴ κατάπαυσις ἑτέρα, ἢ τῶν τῆς ἁμαρτίας παθῶν ἡ ἀπολύτρωσις, καὶ ἡ πληρεστάτη καὶ ἐνεργὴς τοῦ ἀγαθοῦ πνεύματος ἐν τῇ καθαρᾷ καρδίᾳ ἐνοίκησις; ταύτητοι καὶ ἐπάγων αὐτοὺς πάλιν πρὸς τὴν πίστιν φησί· προσερχώμεθα οὖν μετ' ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς. καὶ αὖθις· πόσῳ μᾶλλον τὸ Αἷμα τοῦ Ἰησοῦ καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ; προσήκει τοίνυν, διὰ τὴν τῶν ῥημάτων πίστιν ἐπηγγελμένην τοῦ Θεοῦ πρὸς ἀνθρώπους ἄμετρον ἀγαθότητα καθομολογοῦντας ἡμᾶς, οἷα δούλους εὐγνώμονας, καὶ ἀληθῆ καὶ βέβαια λογίζεσθαι τὰ ἐπηγγελμένα. ἵνα κἂν διὰ νωθείαν, ἢ ἀσθένειαν προαιρέσεως, μὴ καθάπαξ ἑαυτοὺς τῷ πεποιηκότι παρέχωμεν, μηδὲ τῶν μεγάλων καὶ τελείων τῆς ἀρετῆς ἀντεποιησάμεθα μέτρων, ἀλλ' οὖν γέ τινος ἐλέους διὰ τὸ ὀρθὸν καὶ ἀδιάστροφον τοῦ φρονήματος, καὶ τὴν ὑγιᾶ πίστιν ἐπιτεύξεσθαι δυνηθῶμεν.

λβ'. Τὸ τῆς ἀρχῆς καὶ τοῦ λόγου ἔργον ἁρμοζόντως ἐπιτελούμενοι, πάσης ἀρετῆς τε καὶ ἐντολῆς ὑπερκειμένῳ τελεῖ. καὶ τούτου μάρτυς αὐτὸς ὁ Κύριος. ἐπειδὴ γὰρ εἰς τὴν οἰκίαν Μάρθας τε φημὶ καὶ Μαρίας παρέβαλε, τῆς μὲν Μάρθας περὶ τὴν διακονίαν ἀσχολουμένης, Μαρίας δὲ παρὰ τοὺς αὐτοῦ πόδας καθεζομένης, καὶ τῇ ἀμβροσίᾳ τῆς θείας ἐκείνης γλώττης διαχυμένης, μεμφομένης αὐτὴν τῆς ἀδελφῆς, ὅτι

μὴ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μὴ συμπράττῃ ταύτῃ, καὶ διὰ τοῦτο τῷ Χριστῷ προσελθούσης, αὐτὸς πρὸς αὐτὴν τὸ κυριώτερον τοῦ δευτέρου προτιθεὶς, Μάρθα Μάρθα ἔφη, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλὰ, ἑνὸς δέ ἐστι χρεία. Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. τοῦτο δὲ εἴρηκεν, ὥσπερ ἔφημεν, οὐχ ὡς τὸ τῆς διακονίας ἔργον ἀποποιούμενος, ἀλλ' ὡς τὸ μεῖζον πάντως τοῦ ἐλάττονος προτιθείς. ἐπεὶ πῶς αὐτὸς ἠνείχετο τῆς διακονίας; πῶς δὲ καὶ αὐτουργὸς φαίνεται ταύτης γενόμενος, καὶ τοὺς πόδας νίψας τῶν μαθητῶν; τοσοῦτόν τε ἀποσχόμενος τοῦ κωλῦσαι, ὅτι καὶ τὸν ἴσον τρόπον πρὸς ἀλλήλους ποιεῖν τοῖς μαθηταῖς ἐγκελεύεται; οὐ μὴν ἀλλὰ καὶ αὐτοὺς εὑρήσεις τοὺς Ἀποστόλους, ἡνίκα πρότερον περὶ τὴν τῶν τραπεζῶν ἐποιοῦντο διακονίαν, τοῦ μείζονος ἔργου πρόκρισιν θεμένους, τῆς διδαχῆς, φημὶ, καὶ τοῦ λόγου. οὐ δίκαιον γάρ φησιν ἡμᾶς καταλιπόντας τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις, ἐκλεξάμενοι ἄνδρας πλήρεις Πνεύματος Ἁγίου καταστήσωμεν ἐπὶ τῆς διακονίας ταύτης. ἡμεῖς δὲ τῇ διακονίᾳ τοῦ λόγου, καὶ τῇ προσευχῇ προσκαρτερήσωμεν. ὁρᾷς, ὅπως τὰ πρῶτα τῶν δευτέρων προέκριναν, καίπερ ἀμφότερα μιᾶς ἀγαθῆς ῥίζης οὐκ ἀγνοοῦντες εἶναι βλαστήματα;

Τοῦ αὐτοῦ περὶ ὑπομονῆς, καὶ διακρίσεως.

λγ΄. Τοῖς πειθαρχεῖν τῷ λόγῳ τοῦ Θεοῦ βουλομένοις, καὶ ἀγαθὸν καρπὸν ἐργαζομένοις, σημεῖα παρακολουθεῖ ταῦτα. στεναγμὸς, κλαυθμὸς, κατήφεια, ἡσυχία, κεφαλῆς κίνησις, προσευχὴ, σιωπὴ, ἐπιμονὴ, δριμὺ πένθος, πόνος καρδίας ὑπὲρ εὐσεβείας γενόμενος. τὰ δὲ ἔργα. ἀγρυπνία, νηστεία, ἐγκράτεια, πραότης, μακροθυμία, ἀδιάλειπτος προσευχὴ, μελέτη τῶν θείων γραφῶν, πίστις, ταπείνωσις, φιλαδελφία, ὑποταγὴ, πόνος, κακοπάθεια, ἀγάπη, ἀγαθωσύνη, κοσμιότης, καὶ τὸ ὅλον, φῶς, ὅ ἐστιν ὁ Κύριος. τῶν δέ γε μὴ ποιούντων καρπὸν ζωῆς, σημεῖά ἐστι ταῦτα. ἀκηδία, μετεωρισμὸς, περίβλεψις, ἀπροσεξία, γογγυσμὸς, κέπφωσις. τὰ δὲ ἔργα. ἀδηφαγία, ὀργὴ, θυμὸς, καταλαλιὰ, φυσίωσις, ἀκαιρολογία, ἀπιστία, ἀκαταστασία, λήθη, ταραχὴ, αἰσχροκέρδεια, φιλαργυρία, ζῆλος, ἐρίθεια, ὑπεροψία, φλυαρία, ἄκαιρος γέλως, ἐθελοδοξία, καὶ τὸ πᾶν, σκότος, ὅπερ ἐστὶν ὁ σατανᾶς.

Κατ' οἰκονομίαν θειοτέραν φησὶν, οὐκ ἀθέως εἰς τὴν κληρωθεῖσαν αὐτῷ γέενναν ὁ πονηρὸς παρεπέμφθη· ἀλλὰ βασάνου καὶ δοκιμασίας χάριν, τοῦ τε ἀνθρώπου φημὶ, καὶ τοῦ αὐτεξουσίου παρείθη· ἵνα καὶ ἄκων δοκιμωτέρους καὶ δικαιοτέρους μὲν τοὺς Ἁγίους διὰ τῆς ὑπομονῆς ἀπεργάσηται, καὶ μείζονος αὐτοῖς δόξης αἴτιος καταστῇ. ἑαυτῷ δὲ πάλιν διὰ τῆς ἰδίας ἐθελοκακίας, καὶ τῶν κατὰ τῶν Ἁγίων ἐπινοιῶν, δικαιοτέραν κατασκευάσῃ τὴν κόλασιν. καὶ ἵνα, ὥς φησιν ὁ θεῖος Ἀπόστολος, καθ' ὑπερβολὴν γένηται ἁμαρτωλὸς ἡ ἁμαρτία. λδ΄.

Ἀπατήσας τὸν Ἀδὰμ ὁ ἐχθρὸς καὶ οὕτως αὐτοῦ κυριεύσας ἀφείλετο αὐτὸν τὴν ἐξουσίαν, καὶ ἄρχων ἐκεῖνος τοῦ αἰῶνος τοῦδε προσηγορεύθη. ἄρχων δὲ τοῦ αἰῶνος τούτου καὶ δεσπότης τῶν ὁρωμένων ὁ ἄνθρωπος ἦν ἐξ ἀρχῆς, ὑπὸ τοῦ Κυρίου κατασταθείς. οὔτε γὰρ πῦρ αὐτοῦ κατίσχυεν, οὐχ ὕδωρ ἐπόντιζεν, οὐ θηρίον ἔβλαπτεν, οὐκ ἰοβόλον ἐπ' αὐτῷ τὸ οἰκεῖον ἐνήργει. ἀφ' οὗ δὲ τῇ ἀπάτῃ εἶξε, προδέδωκε τῷ ἀπατήσαντι τὴν ἀρχήν. δι' ἣν αἰτίαν φαρμακοί τε, καὶ γόητες κατ' ἐναντίαν ἐνέργειαν, Θεοῦ τε συγχω- λε΄.

ρησιν,

ρησιν, παραδοξοποιοὶ δείκνυνται. εἰσβάλλοντες γὰρ κρημνῶν, καὶ πυρὸς, καὶ ὑδάτων κατατολμῶσιν, ὡς οἱ περὶ Γαννῆ φημί· καὶ Γαμβρῆ τῷ Μωϋσῇ ἀντικείμενοι, καὶ ὡς Σίμων τῷ Κορυφαίῳ Πέτρῳ ἀντιφερόμενος.

λϛʹ. Οἶμαι φησὶν, ὅτι καὶ τὴν πρότερον τοῦ Ἀδὰμ δόξαν ὁμοίως τῷ προσώπῳ Μωσέως ἐπιλάμπουσαν, τὸν ἐχθρὸν θεασάμενον ἱκανῶς πτοηθῆναι· τούτῳ καθαπερεὶ τεκμηράμενον τὴν τῆς ἑαυτοῦ βασιλείας καθαίρεσιν· οὐδὲν δὲ τὸ κωλῦον καὶ τὸ τοῦ Ἀποστόλου ῥητὸν πρὸς τοῦτο φέρεσθαι· τὸ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας. δοκῶ γάρ μοι, τὸ δεδοξασμένον πρόσωπον Μωσέως, τύπον καὶ ὑπόδειγμα σώζειν τοῦ πρώτου διὰ χειρῶν Θεοῦ δημιουργηθέντος ἀνθρώπου. ὅπερ ἰδόντα τὸν θάνατον, τουτέστι τὸν θανάτου αἴτιον διάβολον, ἐκεῖ μὴν ὑποπτεῦσαι τῆς βασιλείας διαπεσεῖν· ἐπὶ δὲ τοῦ Κυρίου, καὶ πρὸς ἀλήθειαν τοῦτο παθεῖν. ταύτην τοιγαροῦν τὴν δόξαν ἀπό γε τοῦ νῦν οἱ ἀληθῶς Χριστιανοὶ περιβάλλονται· καὶ ἐνδέδεται ὑπ' αὐτῆς ὁ θάνατος, εἴτ' οὖν τὰ τῆς ἀτιμίας καταργοῦνται πάθη, ἐνεργεῖν μὴ δυνάμενα. ἅτε δὴ τῆς τοῦ Πνεύματος δόξης ἐν αἰσθήσει, καὶ πληροφορίᾳ πάσῃ ταῖς ψυχαῖς αὐτῶν ἐλλαμπούσης. ἐν δέ γε τῇ ἀναστάσει, καταργηθήσεται τελείως ὁ θάνατος.

λζʹ. Διὰ τῆς γυναικός, ὡς δι' ὁμοίου τινὸς, τὸν Ἀδὰμ ὁ ἐχθρὸς ἀπατήσας, ἀφαιρεθῆναι τὴν περικειμένην αὐτῷ δόξαν πεποίηκε· καὶ οὕτω γυμνός τε εὑρέθη, καὶ τὴν ἀσχημοσύνην εἶδε τὴν ἑαυτοῦ, ἥνπερ δὴ πρότερον οὐχ' ἑώρα, ἅτε τοῦ φρονήματος αὐτοῦ τοῖς οὐρανίοις κάλλεσιν ἐντρυφῶντος. καὶ γὰρ μετὰ τὴν παράβασιν πρόσγεια γέγονεν αὐτῷ, καὶ χαμαιπετῆ τὰ νοήματα. καὶ τὸ ἁπλοῦν αὐτοῦ, καὶ ἀγαθὸν φρόνημα φρονήματι κακίας σαρκικῷ συνεπλάκη. τὸ δὲ κλεισθῆναι τὸν Παράδεισον καὶ τῇ φλογίνῃ ῥομφαίᾳ, καὶ τῷ Χερουβεὶμ ἐπιταχθῆναι διακωλύειν αὐτοῦ τὴν εἴσοδον, τοῦτο κατὰ μὲν τὸ ὁρατὸν καὶ πιστεύεται γεγενῆσθαι, ὡς εἴρηται. εὑρίσκεται δὲ καὶ παρ' ἑκάστῃ ψυχῇ κατὰ τὸ λανθάνον. κύκλῳ γὰρ τῆς καρδίας τὸ κάλυμμα τοῦ σκότους περιχωρεῖ, τὸ πῦρ φημὶ τοῦ κοσμικοῦ πνεύματος, ὅπερ οὔτε τὸν νοῦν ἐντυχεῖν τῷ Θεῷ, οὔτε τὴν ψυχὴν ἀφίησι κατὰ τὸ αὐτῆς θέλημα, ἢ εὔξασθαι, ἢ πιστεῦσαι, ἢ ἀγαπῆσαι τὸν Κύριον. τούτων δὲ πάντων ἡ πεῖρα διδάσκαλος τοῖς γνησίως ἑαυτοὺς τῷ Κυρίῳ πιστεύσασι, τῇ τε ἐπιμονῇ τῆς εὐχῆς, καὶ τῇ διώξει κατὰ τοῦ πολεμοῦντος ὁρμῇ.

Ῥάβδος ἐστὶ παιδείας καὶ λῶρος μαστίγων ὁ τοῦδε τοῦ αἰῶνος ἄρχων τοῖς κατὰ πνεῦμα νηπίοις. αὐτοῖς μὲν, ὥσπερ γοῦν καὶ πρότερον εἴρηται, μεγάλην δόξαν καὶ πλείονα τὴν τιμὴν διὰ τῶν θλίψεών τε, καὶ πειρασμῶν προξενῶν· ἐκ τούτων γὰρ καὶ τὸ τελείους αὐτοὺς γίνεσθαι περιγίνεται. ἑαυτῷ δὲ πλείονά τε, καὶ βαρυτέραν κατασκευάζων τὴν κόλασιν. ὅλως γὰρ μεγίστη τις δι' αὐτοῦ οἰκονομεῖται οἰκονομία· καθώς εἴρηταί που· συνεργεῖ τὸ πονηρὸν τῷ ἀγαθῷ προαιρέσει εἰ καλῇ. ταῖς γὰρ ἀγαθαῖς, καὶ καλὴν τὴν προαίρεσιν ἐχούσαις ψυχαῖς, καὶ τὰ δοκοῦντα λυπηρὰ εἰς ἀγαθὸν τελευτᾷ. καθάπερ καὶ τὸ τῷ Ἀποστόλῳ εἰρημένον ἐστὶν, ἤγουν τὸ, τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν. ληʹ.

Τούτου ἕνεκεν ἡ τῆς παιδείας αὕτη ῥάβδος ἀφείθη φησὶν, ἵνα δι' αὐτῆς ὡς ἐν καμίνῳ πυρὸς τὰ σκεύη πυρούμενα στερεώτερα εὑρεθῇ· τὰ δὲ ἀδόκιμα εὔθραυστα ὄντα ἐλεγχθῇ, τοῦ πυρὸς τὴν καῦσιν οὐχ ὑπομείναντα. δοῦλος δὲ ὢν οὗτος, καὶ κτίσμα Δεσποτικὸν, οὐχ ὅσον αὐτῷ δοκεῖ ἐκπειράζει, οὐδὲ καθόσον βούλεται τὰς λθʹ

θλίψεις

Athos Library
Αγιορειτική Βιβλιοθήκη

θλίψεις ἐπάγει· ἀλλ᾽ ὅσον δὴ τὸ δεσποτικὸν ἐπιβλέψει νεῦμα διὰ τῆς παραχωρήσεως. αὐτὸς γὰρ σὺν ἀκριβείᾳ τὰ πάντων εἰδὼς, ὁπόσον ἐστὶ δύναμις ἑκάστῳ, τοσοῦτον αὐτῷ καὶ τὸ δοκίμιον ὑποστῆναι παραχωρεῖ, καθὰ δὴ καὶ τῷ Ἀποστόλῳ δοκεῖ. πιστὸς γὰρ ὁ Θεός· φησιν. ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε. ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ὑπενεγκεῖν.

μʹ. Ὁ ζητῶν καὶ κρούων, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, καὶ μέχρι τέλους αἰτῶν, τυγχάνει τῶν αἰτημάτων· μόνον ἐχέτω παῤῥησίαν οὕτως, τῷ τε νῷ καὶ γλώττῃ ἀπαραλείπτως ἐπιζητεῖν, καὶ Θεῷ τῇ σωματικῇ λατρείᾳ ἀνενδότως προσκαρτερεῖν· μὴ τοῖς κοσμικοῖς πράγμασιν ἐμπλεκόμενος, μηδὲ τοῖς τῆς κακίας πάθεσι συνηδόμενος· ἀψευδὴς γὰρ ὁ εἰπών· ὅτι πᾶν ὃ ἐὰν αἰτήσητέ με ἐν προσευχῇ πιστεύοντες λήψεσθε. οἱ δὲ λέγοντες· ὅτι κἂν πάντα ποιήσειέ τις τὰ ἐπιτεταγμένα, παραμείνας δὲ μὴ τύχῃ τῆς χάριτος, κατὰ τὸν αἰῶνα τοῦτον, οὐδὲν ὤνησε. κακῶς οἴδασί τε καὶ λέγουσι, καὶ ταῖς θείαις ἀσυμφώνως γραφαῖς· οὐ γάρ ἐστιν ἀδικία παρὰ τῷ Θεῷ, ἵνα τῶν ἡμῖν καθηκόντων κατορθωθέντων, αὐτὸς τῶν παρ᾽ ἑαυτοῦ ἀμελήσειε. μόνον ἐπιμελὲς ἔστω σοι, εὑρεθῆναι τότε, ὅτε σου ἡ ψυχὴ τοῦ ἀθλίου τοῦδε λύεται σώματος, ἀγωνιζόμενον, σπεύδοντα, προσδεχόμενον τὴν ἐπαγγελίαν, προσκαρτεροῦντα, πιστεύοντα, ἐν διακρίσει ζητοῦντα. κἀγώ σοι λέγω, καὶ μὴ ἀπίστει, μετὰ χαρᾶς ἀπελεύσῃ, καὶ παῤῥησίαν ἕξεις, καὶ τῆς βασιλείας, ὀφθήσῃ ἄξιος. καὶ γὰρ ὁ τοιοῦτος, ἐν λεπτότητι διὰ τῆς πίστεώς φημι, καὶ τῆς προθυμίας, ἤδη κοινωνεῖ τῷ Θεῷ. ὡς γὰρ ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ταύτην ἐν τῇ καρδίᾳ μεμοίχευκε, καίτοιγε κατὰ σῶμα μὴ μιανθεὶς οὗτος, ὅμως ὡς μοιχεύσας ἤδη λελόγισται. οὕτως ὁ τῶν πονηρῶν μὲν ἐκ καρδίας ἀποστραφεὶς, τῷ δὲ Κυρίῳ κολλώμενος πόθῳ, καὶ ἐκζητήσει, προσεδρείᾳ τέ φημι καὶ θεοφιλεῖ διαθέσει, καθάπερ ἤδη κοινωνεῖ τῷ Θεῷ, καὶ μέγα δῶρον αὐτίκα παρὰ Θεοῦ ἔχει αὐτὸ τοῦτο, τὸ τῇ εὐχῇ προσεδρεύειν, τῇ ἀγαθῇ τε σπουδῇ, καὶ πολιτείᾳ τῇ φιλαρέτῳ. εἰ γὰρ καὶ ποτηρίου ψυχροῦ δόσις οὐκ ἄμισθος, πόσῳ μᾶλλον τοῖς αὐτῷ προσανέχουσιν ἡμέρας τε καὶ νυκτὸς, δεομένοις τὸ ἐπαγγελθὲν ὁ Θεὸς οὐ παρέξει.

μαʹ. Πρὸς τοὺς διαποροῦντάς φησι, τί ὅτι μοι γίνεταί τις ἡμέρα, ἐν ᾗ καὶ διὰ μίσους ἔχω τὸν ἀδελφὸν, ἢ καὶ ἄλλα τινὰ συνεπίσταμαι, ἃ καὶ ἄκοντα συμβαίνει μοι πάσχειν· ταῦτα λεκτέον. ὡς ὁ μὲν ἀγὼν ἅπας καὶ ἡ σπουδὴ τοῦ ἀνθρώπου, ὥστε τοῦ πονηροῦ, καὶ τοῖς πονηροῖς ἀντιτίθεσθαι λογισμοῖς διὰ παντὸς ἴσω. ἀμήχανον δὲ, ὅπου τὸ σκότος ἐστὶ τῶν παθῶν, καὶ ὁ θάνατος, τοῦ φρονήματός φημι τῆς σαρκὸς, μὴ ἐπιδείκνυσθαί τινα καὶ καρπὸν ἴδιον τὴν κακίαν, ἤτοι κεκρυμμένως, ἢ φανερῶς. ὥσπερ γάρ τι τραῦμα ἐν σώματι ὂν, ἀδύνατον ἕως οὔπω τέλεον ἰαθῇ, μὴ καὶ ὀλίγῳ τινὶ τῷ ἰχῶρι μυδᾶν, διύγρον εἶναι, καὶ σήπεσθαι, ἢ φυσᾶν, καὶ ὀγκοῦσθαι. καὶ ταῦτα θεραπευόμενόν τε, καὶ μηδενὸς τῶν εἰς ἐπιμελείας τέχνης λόγον ἡκόντων ἀπαξιούμενον. ἀμεληθὲν δὲ σῆψιν, ἔστι δ᾽ ὅτε, καὶ λύμην τῷ ὅλῳ ἐνεργάζεται σώματι. τὸν αὐτὸν οὖν μοι τρόπον καὶ τὰ τῆς ψυχῆς πάθη, καίτοι πολλῆς ἀπολαύοντα τῆς σπουδῆς, ὅμως ἔνδον σμύχοντα ἐπιμένειν. πλὴν ἀλλὰ τοῦ παραμόνου τῆς ἐπιμελείας διὰ τῆς τοῦ Χριστοῦ χάριτός τε καὶ συνεργείας ἐντελῆ λαμβάνει τὴν ἴασιν. ἔστι γάρ τις κρυπτὸς ῥύπος, καὶ περιττότης σκότους παθῶν, ὃ παρὰ τὴν καθαρὰν τοῦ ἀνθρώπου φύσιν, διὰ τῆς τοῦ Ἀδὰμ παραβάσεως, παρεισέδυ πάσῃ τῇ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀνθρωπότητι. καὶ τοῦτο θολοῖ, καὶ καταμιαίνει καὶ τὸ σῶμα δῆπου καὶ τὴν ψυχήν. ἀλλ' ὥσπερ σίδηρος πυρούμενός τε, καὶ τυπτόμενος ἐκκαθαίρεται· ὁ χρυσὸς χαλκῷ, ἢ καὶ σιδήρῳ συγκραθεὶς πυρὶ διαιρεῖται μόνῳ· οὕτω καὶ ἡ ψυχὴ διὰ τῆς ἀκρατείας τῶν σωματικῶν παθῶν, τῷ ἀγαθῷ Πνεύματι πυρουμένη, καὶ τυπτομένη, παντὸς πάθους καὶ πάσης ἐκκαθαίρεται ἁμαρτίας.

μβʹ. Ὥσπερ τινὲς λαμπάδες πολλαὶ ἐν ἐλαίῳ, καὶ ἐν ἀναφθεῖσαι πυρί, οὐκ ἴσον τῷ μεγέθει πολλάκις τὴν τοῦ πυρὸς αὐγὴν ἀφιᾶσιν· οὕτω καὶ τὰ χαρίσματα τὰ ἐκ διαφόρων κατορθωμάτων διάφορον ἔχει καὶ τὴν αὐγὴν τοῦ ἀγαθοῦ Πνεύματος. ἢ ὥσπερ ἐν πόλει πολλῶν ὄντων, καὶ τὴν αὐτὴν οἰκούντων, ἐν ἑνί τε ἄρτῳ, καὶ ἐν ἑνὶ χρωμένων ὕδατι, οἱ μὲν αὐτῶν ἄνδρες, οἱ δὲ νήπιοι, οἱ δὲ παῖδές εἰσιν, οἱ δὲ γέροντες, καὶ πολὺ τὸ παραλλάττον ἐν αὐτοῖς, καὶ διάφορον. ἢ ὥσπερ σῖτος ἐν μιᾷ καὶ τῇ αὐτῇ χώρᾳ κατεσπαρμένος, διαφόρους δῆπου καὶ τοὺς στάχυας ἀναδίδωσιν. ἐν μέντοι τῇ αὐτῇ ἅλῳ συνάγεται, καὶ τῇ αὐτῇ ἀποθήκῃ ἐναποτίθεται. οὕτως, οἶμαι, κἂν τῇ τῶν νεκρῶν ἀναστάσει, διαφορὰν δόξης τῶν ἀνισταμένων δοξάζεσθαι καὶ γνωρίζεσθαι κατὰ τὴν ἀξίαν τῶν κατορθωμάτων, κατὰ τὴν μετουσίαν τοῦ ἐντεῦθεν ἤδη ἐνῳκηκότος αὐτοῖς θείου Πνεύματος. καὶ τοῦτο εἶναι τό, ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ.

μγʹ. Εἰ καὶ σμικρότεροί τινες ἀστέρες ἀστέρων εἰσίν, ἀλλὰ τῷ ἐν πάντως φωτὶ διαλάμπουσιν. ἡ μὲν οὖν εἰκών, δήλη, τοῦτο δὲ μόνον κατὰ σπουδὴν ἔστω. ἵνα τις γεννηθεὶς τῷ Πνεύματι τῷ Ἁγίῳ, τὴν ἔνοικον ἀποτρίψηται ἁμαρτίαν. καὶ γὰρ ἔν τινι μέρει καὶ αὐτὴ ἐκείνη ἡ διὰ τοῦ Πνεύματος τοῦ Ἁγίου γέννησις εἰκόνα τελειότητος ἔχει, οὔτε τῇ μορφῇ καὶ τοῖς μέλεσιν· οὐ μέντοι δυνάμει, ἢ τῷ, ἢ ἀνδρείᾳ. ὁ γὰρ πρὸς ἄνδρα τέλειον, καὶ μείζονος ἀφικόμενος ἡλικίας, τὰ τοῦ νηπίου πέφυκε καταργεῖν. καὶ τοῦτό ἐστιν, ὅπερ ὁ Ἀπόστολος λέγει· εἴτε γλῶσσαι, καταργηθήσονται, εἴτε Προφητεῖαι. ὥσπερ γὰρ ὁ ἀνὴρ ἤδη γενόμενος, οὔτε τροφὰς οὔτε λόγους τοὺς παιδὶ προσήκοντας καταδέχεται, ἀλλ' ἀναξιοπαθεῖ πρὸς αὐτά, ὡς ἑτέρας ἤδη διαγωγῆς ἐπιβάς. οὕτως ὁ πρὸς τελείωσιν τῶν Εὐαγγελικῶν αὐξάνων κατορθωμάτων, τὴν νηπιότητα τὴν ἑαυτοῦ πρὸς τὴν τελειότητα καταπαύει. ὅτε γάρ, φησὶ πάλιν ὁ θεῖος Ἀπόστολος, γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου.

Τὸ μὲν κατὰ πνεῦμα γεννώμενον, μδʹ.
τρόπῳ τινί, καθὼς ἐδείκνυμεν, τέλειόν ἐστιν. ὥσπερ καὶ τοῦτο τὸ νήπιον τέλειον εἶναι λέγομεν, ὃ τὰ μέρη πάντα τῆς ὁλότητος ἀποσώζει. ἀλλ' ὁ μὲν Κύριος τὸ Πνεῦμα, καὶ χάριν δίδωσιν, ἵνα τις περιπέσῃ ταῖς ἁμαρτίαις· αὐτοὶ δὲ ἑαυτοῖς αἴτιοι τῶν κακῶν οἱ ἄνθρωποι, τῇ χάριτι μὴ στοιχοῦντες, καὶ διὰ τοῦτο τοῖς κακοῖς ἁλισκόμενοι. δύναται δὲ καὶ διὰ τῶν ἰδίων ὀλισθαίνειν, καὶ φυσικῶν ὁ ἄνθρωπος λογισμῶν, ἀμελῶν, ἢ καταφρονῶν, ἢ καὶ οἰήσει χρώμενος. ἄκουε γάρ τί φησιν ὁ Παῦλος· ἵνα δὲ μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν. ὁρᾷς; ὅτι καὶ οἱ τηλικοῦτοι ἁψάμενοι μέτρων, ἐπιδεεῖς εἰσὶν ἀσφαλείας; ἄλλως τε καὶ εἰ μὴ δῷ πρόφασιν τῷ σατανᾷ ὁ ἄνθρωπος, οὐ κυριεύσει αὐτοῦ βίᾳ. παρὰ τοῦτο, εἴτε τῷ μέρει τοῦ Χριστοῦ, εἴτε τοῦ ἀντικειμένου, τὸ πρᾶγμα λογίζεται. ἀλλὰ τῇ μὲν χάριτι τοῦ Πνεύματος προστεθεὶς εἰς τέλος, τῆς μερίδος γίνεται τοῦ Χριστοῦ. μὴ οὕτω δὲ ποιῶν, κἂν Πνεύματι γεννηθῇ, τὸ δὲ ἐστί, κἂν μέτοχος καὶ τοῦ Ἁγίου Πνεύματος γένηται, παρ' ἑαυτοῦ ἔχει, τὸ ὀπίσω τοῦ θε-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λήματος πορευθῆναι τῷ σατανᾷ. εἴτε γὰρ αὐτὸς ὁ Κύριος, εἴτε καὶ ὁ σατανᾶς πρὸς βίαν ἐλάμβανον, οὐκ ἦν ὁ ἄνθρωπος ἑαυτοῦ αἴτιος, οὔτε εἰς γέενναν ἐμπεσεῖν, οὔτε Βασιλείας ἐπιτυχεῖν.

με΄. Πολλῆς τῷ φιλαρέτῳ φροντιστέον τῆς διακρίσεως, ὥστε τῆς τοῦ καλοῦ τε, καὶ κακοῦ διαφορᾶς ἐπιγνώμονα εἶναι, καὶ τὰς ποικίλας τοῦ πονηροῦ τέχνας δι' ἀλόγων φαντασιῶν εἰωθότος τοὺς πολλοὺς παρακρούεσθαι, βασανίζειν καὶ συνιέναι, πλὴν τὸ ἀσφαλὲς, πρὸς πάντα λυσιτελές. ὡς γὰρ εἴ τις βουλόμενος διὰ πεῖραν εἰς σωφροσύνην τῆς ἑαυτοῦ λαβεῖν γυναικὸς, νυκτὸς πρὸς αὐτὴν ὡς ἀλλότριος παραγένοιτο, κἂν ἐκείνην ἀπωθουμένην αὐτὸν ἴδοι, χαίρει τῷ ἀπροσίτῳ μᾶλλον, καὶ ἀσπάζεται τὴν ἀσφάλειαν, οὕτω δὴ καὶ ἡμᾶς ἀσφαλῶς πρὸς τὰς τῶν νοερῶν ἔχειν ἐπιστασίας, κἂν γὰρ αὐτοὺς τοὺς οὐρανίους, διὰ τοὺς οὐκ οὐρανίους, ἀπώσῃ, ἡσθήσονται τούτῳ μᾶλλον, καὶ πλείονός σε παρασκευάσουσι τῆς χάριτος μετασχεῖν. τῆς ἀπολαύσεώς τε διάπλεω καταστήσουσι τῆς πνευματικῆς, τύπῳ τούτῳ τὴν πρὸς τὸν Κύριον ἀγάπην σου τεκμηράμενοι. μὴ τοίνυν ἐλαφρότητι διανοίας ταχὺ σεαυτὸν ἐμπάρεχε ταῖς τῶν νοερῶν ἐπιστασίαις εἰς ἀπάτην σου· κἂν αὐτοὶ οἱ οὐράνιοι Ἄγγελοι ὦσιν. ἀλλὰ μένε βαρὺς, βασάνῳ ταῦτα παραδιδοὺς ἐπιμελεστάτῃ. καὶ οὕτω τὸ μὲν καλὸν οἰκειούμενος, τὸ πονηρὸν δὲ ἀπωθούμενος. οὕτω γὰρ ἐπαυξήσεις ἐν σεαυτῷ τὰ τῆς χάριτος ἐνεργήματα, ἅπερ ἡ ἁμαρτία, κἂν τὸ τοῦ ἀγαθοῦ πρόσωπον ὑποκρίνεται, παρασχεῖν ὅλως οὐ δυνήσεται. οἶδε γὰρ ὁ σατανᾶς, κατὰ τὸν Ἀπόστολον, καὶ εἰς Ἄγγελον μετασχηματίζεσθαι φωτὸς τοῦ ἀπατῆσαι χάριν, πλὴν ἀλλὰ κἂν ὁράσεις λαμπρὰς περιβάλληται, ἀγαθὴν ἐνέργειαν, ἥπερ εἴρηται, παρασχεῖν οὐ δυνήσεται. δι' οὗ καὶ τὸ παράσημον ἀκριβὲς γίνεται. οὔτε γὰρ ἀγάπην τὴν εἰς τὸν Θεὸν, ἢ τὸν πλησίον· οὐ πραότητα, οὐ ταπείνωσιν, οὐ χαρὰν, οὐκ εἰρήνην, οὐ κατάστασιν λογισμῶν, οὐ τοῦ κόσμου μῖσος, οὐκ ἀνάπαυσιν πνευματικὴν, οὐκ ἐπιθυμίαν τῶν οὐρανίων ἐνεργῆσαι δύναται, οὐ πάθη, καὶ ἡδονὰς καταπαῦσαι, ἅπερ φανερῶς εἰσὶ τῆς χάριτος ἐνεργήματα, ὁ γὰρ καρπός φησι τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη καὶ τὰ ἑξῆς. τάχα δὲ καὶ τῦφον μᾶλλον ἐκεῖνος ἐμποιῆσαι, καὶ ὑψηλοφροσύνην ἐπιτηδειότατός τε, καὶ δυνατώτατος. ἐκ γοῦν τῆς ἐνεργείας εἴσῃ τὸ ἐλλαμφθὲν ἐν τῇ ψυχῇ σου νοερὸν φῶς, πότερον τοῦ Θεοῦ, ἢ τοῦ σατανᾶ πέφυκεν ὄν; πλὴν ἀλλὰ καὶ αὐτῇ δὲ τῇ ψυχῇ, εἴπερ ἔρρωται τὰ τῆς διακρίσεως, εὐθὺς ἀπὸ τῆς νοερᾶς αἰσθήσεως, δῆλα τὰ τῆς διαφορᾶς γίνεται. ὥσπερ γὰρ ὄξος καὶ οἶνος, κατὰ μὲν τὴν ὅρασιν ἕν. ἐκ δὲ τῆς κατὰ τὴν γεῦσιν αἰσθήσεως, ὁ λάρυγξ ἑκατέρου κρίνει τὸ ἴδιον. οὕτω δὴ καὶ ψυχὴ ἐξ αὐτῆς γε τῆς νοερᾶς αἰσθήσεως, καὶ τῆς ἐνεργείας δύναται κρίνειν τά τε τοῦ Πνεύματος χαρίσματα, καὶ τὰ τοῦ ἀλλοτρίου φαντάσματα.

Χρὴ σκοπεῖν καὶ προβλέπειν ἄριστα μϛ΄.
τὴν ψυχὴν τοῖς ἑαυτῆς ὀφθαλμοῖς μήποτε δὴ κἂν τῷ βραχυτάτῳ ὑπὸ τῆς τοῦ ἀντικειμένου ἁλῷ δυνάμεως. ὥσπερ γὰρ ἑνὸς μέρους ζώου παγίδι ληφθέντος, ὅλον ἀνάγκη τὸ ζῶον κάμπτεσθαι, καὶ ὑπὸ ταῖς τῶν θηρευόντων χερσὶ γίνεσθαι· οὕτω δὴ καὶ ψυχὴ τὰ ὅμοια συμβαίνειν παρὰ τῶν ἐχθρῶν εἴωθε. καὶ τοῦτο δῆλον καθίστησιν ὁ Προφήτης. παγίδα γάρ· φησιν· ἡτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν μου.

Δεῖ τὸν βουλόμενον διὰ τῆς στενῆς εἰς μζ΄.
τὴν οἰκίαν τοῦ ἰσχυροῦ εἰσελθεῖν, καὶ τὰ σκεύη τὰ αὐτοῦ διαρπάσαι, μὴ ἀδοκεῖν ἀπαθείᾳ, καὶ ὄγκῳ σώματος· ἀλλ' ἐν δυναμοῦσθαι τῷ ἀγαθῷ Πνεύματι, ἔχον-

τα διὰ μνήμης τοῖς εἰπόντα· ὅτι σὰρξ καὶ αἷμα Βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι. πῶς δὲ δεῖ ἐνδυναμωθῆναι Πνεύματι; τῷ Ἀποστόλῳ λέγοντι· τὴν σοφίαν τοῦ Θεοῦ μωρίαν τοῖς ἀνθρώποις λογίζεσθαι, προσεκτέον. καὶ ὁ Προφήτης δέ. εἴδομεν· φησι· τὸν υἱὸν τοῦ ἀνθρώπου, καὶ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. δεῖ τοιγαροῦν τὸν βουλόμενον υἱὸν Θεοῦ γενέσθαι κατὰ τὸ ὅμοιον πεπειρασθῆναι πρότερον, καὶ μωρὸν, καὶ ἄτιμον λογισθῆναι. μὴ ἀποστρέφοντα τὸ πρόσωπον ἀπὸ ἐμπτυσμάτων, μὴ δόξαν, μὴ κάλλος τοῦ αἰῶνος τούτου, μηδὲν τούτων μεταδιώκοντα, μὴ ἔχοντα ποῦ τὴν κεφαλὴν ἀνακλῖναι, ὀνειδιζόμενον, καὶ ἐξουθενούμενον, καὶ πάντων περίψημά τε, καὶ καταπάτημα λογιζόμενον, πολεμούμενον ἀφανῶς τε, καὶ φανερῶς, καὶ τῇ διανοίᾳ ἀντιμαχόμενον. καὶ τότε αὐτὸς ὁ τοῦ Θεοῦ υἱὸς, αὐτός γε ὁ εἰπών· ἐνοικήσω καὶ ἐμπεριπατήσω ἐν ὑμῖν, ἐμφανὴς ἔσται τῇ αὐτοῦ καρδίᾳ, καὶ λήψεται δύναμιν, καὶ ἰσχὺν, ὥστε δεσμῆσαι τὸν ἰσχυρὸν, καὶ τὰ σκεύη τὰ αὐτοῦ διαρπάσαι. ἐπὶ Ἀσπίδα τε, καὶ Βασιλίσκον, καὶ ἐπάνω Σκορπίων, καὶ Ὄφεων ἐπιβῆναι.

μη΄. Οὐ μικρὸς ἡμῖν ἀγὼν πρόκειται, διαρρῆξαι τὸν θάνατον· φησὶ γὰρ, ἡ Βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστίν. εὑρίσκεται δὲ τρόπον τινὰ καὶ αὐτὸς, ὢν ἐντὸς, ὁ πολεμῶν ἡμᾶς καὶ αἰχμαλωτίζων. μὴ δὴ ἐνδιδότω μηδαμῶς ἡ ψυχὴ, ἕως ἂν νεκρὸν θείη τὸν ταύτην αἰχμαλωτίζοντα· καὶ τότε διαφεύξεται ὀδύνη πᾶσα, καὶ λύπη, καὶ στεναγμὸς, διὰ τὸ ῥαγῆναι ὕδωρ ἐν γῇ διψώσῃ, καὶ γενέσθαι τὴν ἔρημον εἰς πλῆθος ὑδάτων. ἐπεὶ καὶ ἐπηγγείλατο τὴν ἔρημον καρδίαν, ὕδατος πληρῶσαι ζῶντος, πρῶτα μὲν διὰ τοῦ Προφήτου, ἐγώ· λέγοντος· δώσω ὕδωρ τοῖς ἐν δίψει, τοῖς πορευομένοις ἐν ἀνύδρῳ, ἔπειτα δὲ καὶ δι' ἑαυτοῦ. ὁ γὰρ πίνων· φησιν· ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα.

Ψυχὴ ἁλώσιμος ἀκηδίᾳ, δήλη ἐστὶ κατάσχετος οὖσα καὶ ἀπιστίᾳ. καὶ διὰ τοῦτο ἡμέραν ἐξ ἡμέρας ὑπερβιβάζει, τὸν λόγον οὐ δεχομένη. ἀναπτεροῖ δὲ ἑαυτὴν καὶ ὀνείροις πολλάκις, τὸν ἔνδον μὴ καταγνοῦσα πόλεμον, ἅτε οἰήσει κατειλημμένη. ἡ δὲ οἴησις πήρωσίς ἐστι τῆς ψυχῆς, οὐδαμοῦ ἀφιεῖσα τὴν ἑαυτῆς ἀσθένειαν ἐπιγνῶναι. μθ΄.

Ὥσπερ βρέφος νεογενὲς εἰκόνα τοῦ τελείου διασώζει ἀνδρὸς, οὕτω δὴ καὶ ψυχὴ εἰκών τίς ἐστι τοῦ πεποιηκότος αὐτὴν Θεοῦ. ὡς οὖν τὸ Παιδίον κατὰ μέρος μὲν αὐξόμενον, ἐκ μέρους ἐπιγινώσκει καὶ τὸν Πατέρα. ἐπειδὰν δὲ εἰς ἡλικίαν ἀφίκηται, τότε συνδιατίθεται, Υἱῷ τε Πατὴρ ἀκριβῶς, καὶ Υἱὸς Πατρὶ, ἀνακαλύπτεται δὲ αὐτῷ καὶ ὁ τοῦ Πατρὸς θησαυρός. οὕτω καὶ ἡ ψυχὴ πρὸ τῆς παρακοῆς προκόπτειν ἔμελλε, καὶ εἰς ἄνδρα τέλειον καταντᾶν. διὰ μέντοι τὴν παρακοὴν, εἰς πέλαγός τε λήθης, καὶ εἰς βυθὸν πλάνης κατεβιβάσθη, καὶ ἐν πύλαις ᾅδου κατῴκησεν. ἀπὸ γοῦν πολλοῦ καθαπερεὶ διαστήματος μακρυνθεῖσα τοῦ Θεοῦ ἡ ψυχὴ, ἀδυνάτως αὐτῷ προσελθεῖν εἶχε, καὶ ἐπιγνῶναι καλῶς τὸν πλάσαντα. ἀλλ' ὁ Θεὸς πρῶτα μὲν διὰ Προφητῶν ἐπέστρεφεν αὐτὴν, καὶ προσεκαλεῖτο, καὶ εἰς ἐπίγνωσιν εἷλκε τὴν ἑαυτοῦ. ἔσχατον δὲ καὶ αὐτὸς παρελθὼν ἐκεῖνος, ἀφείλετο μὲν τὴν λήθην, ἀφείλετο δὲ τὴν πλάνην· εἶτα καὶ τὰς τοῦ ᾅδου διαρρήξας πύλας, ἐπὶ τὴν πεπλανημένην εἰσῆλθε ψυχὴν, ἑαυτὸν ὑπόδειγμα ταύτῃ θέμενος· δι' οὗ δυνατὸν αὐτῇ ἔσται πρὸς μέτρον ἡλικίας, καὶ πρὸς τὴν τελειότητα τοῦ Πνεύματος καταντῆσαι. παραζεται τοιγαροῦν ὁ τοῦ Θεοῦ λόγος πρὸς ν΄.

τοῦ πονηροῦ κατ' οἰκονομίαν. ἔπειτα ὀνειδισμοὺς καὶ ἐξουδενώσεις, ὕβρεις τε καὶ ῥαπίσματα χειρῶν ἐκείνων τῶν τολμηρῶν, καὶ αὐτὸν ἔσχατον τὸν διὰ σταυροῦ θάνατον ὑπομένει, ὑποδεικνὺς, ὥσπερ ἔφημεν, τίνα τὴν διάθεσιν ἐπιδεικτέον πρός γε τοὺς ὀνειδίζοντας, ἐξουθενοῦντας, ἢ καὶ θάνατον ἡμῖν ἐπάγοντας· ἵνα καὶ αὐτὸς ὁ ἄνθρωπος δηλαδὴ τούτοις, ὡσεὶ κωφὸς καὶ ἄλαλος γένηται, μὴ ἀνοίγων τὸ στόμα, ἵνα τὴν ἐνέργειαν καὶ λεπτότητα διαβλέπων τῆς πονηρίας, καὶ ὡς ἐν σταυρῷ τοῖς ἥλοις ἐμπεπαρμένος, μετὰ κραυγῆς ἰσχυρᾶς βοήσειε πρὸς τὸν δυνάμενον αὐτὸν ῥύσασθαι τοῦ θανάτου, καὶ ἀπὸ τῶν κρυφίων μου φαίη καθάρισόν με. καὶ, ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι. τότε γοῦν ἄμωμος γεγονὼς, εὑρίσκει τὸν ὑποτάξαντα αὐτῷ τὰ πάντα, καὶ συμβασιλεύει, καὶ συναναπαύεται τῷ Χριστῷ. καὶ γὰρ διὰ τὴν παρακοὴν ὑπὸ ὑλικῶν τε, καὶ ῥυπαρῶν καταποθεῖσα λογισμῶν οἱονεὶ ἄλογος γέγονεν ἡ ψυχή. ὥστε οὐ μικροῦ πόνου τῆς τοιαύτης ἀνακύψαι ὕλης, καὶ τὴν λεπτότητα κατανοῆσαι τῆς πονηρίας, καὶ διελθεῖν, ἵνα καὶ τῷ ἀνάρχῳ νοΐ συγκραθῇ.

ια'. Εἰ βούλει ἐπανελθεῖν εἰς ἑαυτὸν ἄνθρωπε, καὶ ἣν πρώην εἶχες δόξαν ἀναλαβεῖν, ἥτις ἄρτι σοι καὶ ἐκ παρακοῆς παραπώλετο. ὥσπερ ἠμεληκὼς πρότερον τῶν τοῦ Θεοῦ ἐντολῶν, τοῖς τοῦ ἐχθροῦ διατάγμασι καὶ τῇ συμβουλῇ προσέχες, οὕτως νῦν ἀποστὰς οὗ ἐπήκουσας, ἐπιστράφηθι πρὸς τὸν Κύριον· πλὴν ἴσθι ὅτι ἐν πολλῷ κόπῳ καὶ ἱδρῶτί φησι· τοῦ προσώπου σου, ἀπολήψῃ τὸν πλοῦτόν σου. οὐ γάρ σοι λυσιτελὴς ἡ τοῦ ἀγαθοῦ ἀπόνος κτῆσις· ἐπείπερ ἀπονητὶ λαβὼν, καὶ ἱδρώτων ἐκτὸς, ἀπώλεσας ἅπερ εἰλήφας, καὶ τῷ ἐχθρῷ προὔδωκας τὴν κληρονομίαν σου. ἐπιγνῶμεν οὖν ἕκαστος τί ποτε δὴ ἀπωλέσαμεν, καὶ τὸν θρῆνον ἀναλάβωμεν τοῦ Προφήτου· νῦν ὄντι γὰρ ἡ κληρονομία ἡμῶν μετεστράφη ἀλλοτρίοις, καὶ ὁ οἶκος ἡμῶν ξένοις. τῇ παρακοῇ τῆς ἐντολῆς, καὶ τοῖς ἑαυτῶν θελήμασιν εἴκειν, καὶ τοῖς ῥυπαροῖς, καὶ γηΐνοις ἐνδέεσθαι λογισμοῖς· ὥστε καὶ πολλῷ διαστήματι τότε ἀπέχει ἡμῶν ἡ ψυχὴ ἀπὸ τοῦ Θεοῦ· καὶ ὡς ὀρφανοῖς ἐοίκαμεν μὴ ἔχουσι Πατέρα. ᾧτινι οὖν μέλει περὶ ψυχῆς, ἀγωνιστέον· ὅπόση δύναμις· καθαιρεῖν λογισμοὺς πονηροὺς, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. καὶ βιαζομένῳ τὸν ναὸν τοῦ Θεοῦ τηρεῖν ἄσπιλον, τότε ἔρχεται ὁ ἐπαγγειλάμενος ἐνοικῆσαι καὶ ἐμπεριπατῆσαι ἐν ἡμῖν· καὶ τότε ἀπολαμβάνει τὴν ἑαυτῆς κληρονομίαν ἡ ψυχὴ, καὶ ναὸς Θεοῦ γενέσθαι καταξιοῦται. αὐτὸς γὰρ οὕτως αὐτῷ στρατεύματι τὸν πονηρὸν ἐκδιώξας, τὸ λοιπὸν ἐν ἡμῖν βασιλεύσει.

ιβ'. Ὁ τοῦ Κάϊν ῥηθεὶς ὑπὸ τοῦ δημιουργοῦ κατὰ τὸ φανερὸν λόγος· στένων καὶ τρέμων καὶ παλλόμενος ἐπὶ τῆς γῆς ἔσῃ, τύπος τὶς, καὶ εἰκὼν πάντων ἁμαρτωλῶν, κατὰ τὸ ἀπόρρητον, ἦν. οὕτω γὰρ τὸ τοῦ Ἀδὰμ γένος τῆς ἐντολῆς ἐκπεσὸν, καὶ ἁμαρτίαις ἔνοχον γεγονὸς, σαλεύεται λογισμοῖς ἀστάτοις, φόβου τε, καὶ δειλίας, καὶ ταραχῆς πληρούμενον. αὐτοῦ τε τοῦ ἐχθροῦ ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις πᾶσαν ψυχὴν τὴν μὴ γεγεννημένην ἐκ τοῦ Θεοῦ, κλυδωνίζοντος, καὶ ὡς σῖτον τινὶ σινίῳ ἐνστρέφοντος. οὐ μὴν, ἀλλὰ καὶ αὐτὸς ὁ Κύριος τοὺς τοῖς θελήμασιν ἑπομένους τοῦ πονηροῦ· δεικνύων, ὅτι τὴν εἰκόνα τῆς τοῦ Κάϊν διασώζουσι πονηρίας, ἐλέγχων αὐτοὺς, ὑμεῖς, ἔλεγε, τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν τοῦ ἀνθρωποκτόνου. ἐκεῖνος γὰρ ἀνθρωποκτόνος ἐστὶν ἀπ' ἀρχῆς· καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν.

ιγ'. Κατανοεῖν προσήκει, φησὶ, πῶς ἡ τοῦ κατὰ γῆν βασιλέως θεία ἐπιπόθησις



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐστι, καὶ περισπούδαστος τοῖς ἀνθρώποις, καὶ πᾶς ὅστις εἰς τὴν πόλιν ἐπιδημῶν, ἐν ᾗ περ ὁ βασιλεύς, ἐπιθυμητὸν αὐτῷ καὶ μόνον τῆς περιβολῆς ἰδεῖν τὸ πολυτελές, καὶ φιλότιμον. ἐκτὸς εἰ μὴ ὑπὸ τῶν πνευματικῶν ἀμελεῖται ταῦτα, καὶ ἀτιμάζεται· τῷ ἑτέρῳ κάλλει τερπόμενοι, καὶ ἄλλης αὐτῆς δόξης ἐπιθυμοῦσιν. εἰ οὖν οὕτω τοῖς σαρκικοῖς ἡ τοῦ θνητοῦ βασιλέως ἐσπούδασται θέα· πῶς οὐχὶ μᾶλλον ἡ τοῦ ἀθανάτου πολυέραστος ἐκείνοις ἐστίν, οἷς ἐνέσταξέ τις ῥανὶς τοῦ ἀγαθοῦ πνεύματος, καὶ τὴν καρδίαν θείως ἔπληξεν ἔρως; διὰ τοῦτο καὶ πάσης τῆς τοῦ κόσμου φιλίας ἑαυτοὺς λύουσιν, ἵνα δυνηθῶσιν ἐκείνου τὸν πόθον ἔχειν ἐγκάρδιον διηνεκῶς, καὶ μηδὲν ἕτερον πρὸ ἐκείνου· ὀλίγοι δὲ κομιδῇ οὗτοι, οἵγε τῇ ἀγαθῇ ἀρχῇ καὶ πέρας ἴσον ἐπιτιθέντες, καὶ μέχρι τέλους ἀπρόσκοποι διαμένοντες. πολλοὶ μὲν γὰρ κατανύσσονται· καὶ πολλοὶ χάριτος οὐρανίου μέτοχοι γίνονται, καὶ ἔρωτι τιτρώσκονται θείῳ, ἀλλὰ τοὺς μεταξὺ πόνους, καὶ τὰς τοῦ πονηροῦ πείρας ποικίλῃ τέχνῃ, καὶ πολυτρόπως προσβάλλοντος οὐ διενεγκόντες, ὑπέμειναν τε τῷ κόσμῳ, καὶ ἐβυθίσθησαν ἐν τῷ ἐκείνου βυθῷ, διὰ γνώμης χαυνότητα, καὶ ἀσθένειαν, ἢ καὶ τὸ προσπαθείᾳ τινὶ τῶν γηΐνων ἁλῶναι. ὅσοι γὰρ πρὸς ἀσφάλειαν μέχρι τέλους διαδραμεῖν βούλονται, ἄλλον ἔρωτα, καὶ ἄλλην ἀγάπην τῇ ἐπουρανίῳ ἐκείνῃ συμπαραμίξαι οὐχ ὑπομένουσιν.

ιδ'. Ὥς περ μεγάλα δηλαδή, καὶ ἀνεκδιήγητα τὰ παρὰ Θεοῦ ἐπηγγελμένα πεφύκασιν ἀγαθά, οὕτω καὶ πολλῶν δεῖται πόνων τε, καὶ ἀγώνων τῶν μετ' ἐλπίδος, καὶ πίστεως. καὶ δῆλον ἐντεῦθεν. εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. καὶ πάλιν· ἐάν μή τις μισήσῃ πατέρα, καὶ μητέρα, καὶ ἀδελφούς, καὶ γυναῖκα, καὶ τέκνα, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής. οἱ πλεῖστοι δὲ τῶν ἀνθρώπων οὕτως ἔχουσιν ἀνοήτως, ὡς τῆς βασιλείας ἐπιτυχεῖν βούλεσθαι, καὶ τῆς αἰωνίου κληρονομῆσαι ζωῆς, καὶ Χριστῷ διὰ τέλους συμβασιλεῦσαι, τὸ μέγα τοῦτο καὶ ὑπὲρ ἔννοιαν· τοῖς ἰδίοις ζῶντες θελήμασι, καὶ τούτοις ἀκολουθοῦντες. μᾶλλον δὲ τῷ ἐνσπείροντι τὰ μάταια ταῦτα, καὶ φανερῶς βλαβερά.

Οὗτοί εἰσιν οἱ μέχρι τέλους ἄπτωτοι διερχόμενοι, οἱ τὰς τοῦ κόσμου πάσας ἐπιθυμίας, καὶ ἑαυτούς, μετεωρισμούς τε τούτου, καὶ ἡδονάς, καὶ τὰς πρὸς αὐτὸν ἀγελίας τὸ παράπαν μισήσαντες. τοῦτο γάρ ἐστι, τὸ ἀπαρνήσασθαι ἑαυτόν. ὥστε ἰδίῳ θελήματι ἕκαστος τῆς βασιλείας ἐκβάλλεται. τῷ μὴ διὰ ἀληθείας ἐλέσθαι τοὺς πόνους, καὶ ἑαυτὸν ἀπαρνήσασθαι· ἀλλὰ ἐθέλειν ἔτι πρὸς ἐκείνῳ τῷ θείῳ πόθῳ, καί τισι τοῦ αἰῶνος τούτου συνδεῖσθαι· καὶ μὴ τὴν ῥοπὴν ὅλην τοῦ ἰδίου θελήματος τῷ Θεῷ διδόναι. δι' ἑνὸς δὲ ὑποδείγματος γνώριμα ἔσται τὰ μετὰ χεῖρας· διακρίνων μὲν γὰρ διακρίνει ἕκαστος, καὶ οὐ λέληθεν ἑαυτόν, ὅτι ἄτοπόν ἐστι τόδε τυχόν, ὅπερ ὥρμηται ποιῆσαι. πρῶτον μὲν γὰρ εἴσω τὴν καρδίαν ἐπισημαίνεται ἡ ἀμφιβολία· ἡ σάθμη τε, καὶ ὁ ζυγὸς τῷ ἑκάστου συνειδότι, φανερὰν πρότερον τῆς τε τοῦ Θεοῦ, καὶ τῆς τοῦ κόσμου ἀγάπης τὴν ῥοπὴν ἔνδον ποιεῖ, καὶ τότε περὶ τὰ ἔξω πρόεισι. διακρίνων γὰρ ὡς εἴρηται, διακρίνει ἕκαστος· οἷον εἰ τύχοι τῷ ἀδελφῷ διαπληκτιζόμενος, στασιάζει πρὸς ἑαυτὸν πρῶτον, καὶ ἀντιτίθησιν. εἴπω; ἀλλὰ μὴ εἴπω; ἀντιφθέγξομαι πρὸς ταυτί μοι τὰ ἐνεχθέντα οἰείδη; ἀλλὰ σιωπήσωμαι μᾶλλον; ἐχόμενος μὲν καὶ τῶν τοῦ Θεοῦ ἐντολῶν· πλὴν ἀλλὰ καὶ τῆς ἰδίας δόξης οὐκ ἀπεχόμενος· οὐδὲ παντά- τέ.

πᾶσιν ἑαυτὸν ἐλεήμενος ἀπαρνήσασθαι. εἰ δὲ καὶ μικρὸν ἡ ῥοπὴ τῆς τοῦ κόσμου φιλίας τὸν ἐν τῇ καρδίᾳ ζυγὸν καθελκύσειεν, εὐθὺς ὁ πονηρὸς λόγος προάγων ἄχρι καὶ τῶν χειλέων. εἶθ᾽ οὕτως, ὥσπερεὶ τόξον ἐντειναμένος ὁ νοῦς ἔνδοθεν, βάλλει τὸν πλησίον διὰ τῆς γλώττης, καὶ μέχρι χειρῶν, ἔστι δ᾽ ὅτε καὶ τραυμάτων, ἀλλὰ καὶ αὐτοῦ φόνου, τὸ κακὸν πρόεισιν. ἔξεστι τοίνυν καὶ παραθεωρεῖν, ὅθεν ἀρξάμενον, οἷ προέβη δεινοῦ, τὸ βραχὺ τοῦτο κίνημα τῆς ψυχῆς. οὕτω νόμιζε καὶ εἰς ἓν ἕκαστον συμβαίνειν ἁμάρτημά τε, καὶ ἐπιτήδευμα, τῆς κακίας κολακευούσης τε, καὶ περισπώσης τὸ θέλημα τῆς ψυχῆς ἐπιθυμίαις κοσμικαῖς καὶ σαρκὸς ἡδοναῖς· οὕτως ἀπαρτίζεται μοιχεία, οὕτω κλοπή, οὕτω πλεονεξία, οὕτω καὶ κενοδοξία, οὕτω πᾶν ὁτιοῦν πονηρόν.

ιϛʹ. Καὶ αὐτὰ τὰ καλὰ πολλάκις ἐπιτηδεύματα διὰ κενὴν δόξαν ἐπιτελεῖται. ὅπερ ἴσον κλοπῆς τε, καὶ ἀδικίας, καὶ τῶν ἄλλων τῶν μεγάλων ἁμαρτημάτων τῷ Θεῷ κρίνεται. Θεὸς γάρ· φησι· διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων. ὥστε καὶ δι᾽ αὐτῶν τῶν καλῶν ὑπηρετεῖσθαι, καὶ θεραπεύεσθαι ὁ ἐχθρὸς βούλεται, ἀπατηλὸς ὢν ἐκεῖνος, καὶ ποικίλος, καὶ σκολιός τε, καὶ πολυμήχανος.

ιζʹ. Ὅπερ τις ἐφίλησε τοῦ παρόντος κόσμου, τοῦτο δὴ καὶ βαρύνει τὴν ἐκείνου διάνοιαν, καὶ οἱονεὶ κάτω καθέλκει, καὶ συνωθεῖ, καὶ ἀνακύψαι αὐτὴν οὐκ ἀνίησι. τῶν γὰρ πάντων τὸ στάθμιόν τε, καὶ ἡ ῥοπή, καὶ τὸ ζύγιον τοῦ θελήματος, τῆς καρδίας ὥσπερ, ἐξήρτηται, καὶ βάσανος ἔνθεν γίνεται παντὶ τῷ ἀνθρωπίνῳ γένει, καὶ δοκιμὴ ἤτοι τῶν ἐν πόλεσιν οἰκούντων Χριστιανῶν, ἢ τῶν ἐν ὄρεσι, τῶν ἐν μοναῖς, ἢ ἐν ἀγροῖς, ἢ ἐν ἐρημίαις, ὅτι ἑκών τις δελεαζόμενος ὑφ᾽ οὗπερ φιλεῖ, δῆλός ἐστιν οὔπω τὴν ἀγάπην αὐτοῦ ὅλην παραδοὺς τῷ Θεῷ. οἷον, ἠγάπησέ τις, εἰ τύχοι, κτήματα, χρυσίον ἄλλος, ἕτερος τῇ γαστρὶ δουλεύειν, ἢ ἐπιθυμίαις ταῖς τῆς σαρκὸς χαρίζεσθαι, ἄλλος σοφίαν λόγων διὰ δόξαν ἐπίκαιρον. ὁ μέν, ἀρχήν, ὁ δέ, τὰς ἐξ ἀνθρώπων τιμάς, ὀργὴν ἄλλος καὶ μῆνιν. τὸ γὰρ ἔκδοτον ἑαυτὸν παρασχεῖν τῷ πάθει, φιλῶν αὐτοῦ φαίνεται. ἕτερος ὁμιλίας εἰς οὐδὲν δέον. ἄλλος, ἁπλῶς τὸ μετεωρίζεσθαι, ἢ λόγοις προσέχειν ἀργοῖς, ἢ τὸ διδάσκαλος εἶναι, καὶ τοῦτο, διὰ δόξαν τὴν ἐξ ἀνθρώπων. καὶ ὁ μέν, χαυνώσει καὶ ἀμελείᾳ πρόσκειται. ὁ δέ, ἱματίων καλλωπισμοῖς ἥδεται. οὗτος, ὕπνῳ. ἐκεῖνος, εὐτραπελίᾳ. καὶ ἄλλος, μικρῷ τινι, ἢ μεγάλῳ τοῦ κόσμου δέδεται, καὶ κατέχεται, καὶ οὐκ ἀνίεται ἀνακύψαι. πρὸς ὃ γὰρ πάθος οὐ διαμάχεταί τις γενναίως, οὐδὲ ἀντικαθίσταται, ἐκείνῳ πάντως καὶ ἥδεται. κἀκεῖνο κατέχον αὐτὸν καὶ καθέλκον οἱονεὶ δεσμός τις, καὶ κύφων τῆς διανοίας αὐτοῦ γίνεται, τοῦ μὴ πρὸς Θεὸν ἀναφέρεσθαι, μὴ δ᾽ αὐτῷ μόνῳ λατρεύειν. ψυχὴ γὰρ ἡ ἀληθῶς πρὸς Κύριον τὴν ὁρμὴν ἀπευθύνασα πᾶσαν αὐτῷ τὴν ἔφεσιν ἐπιστρέπει, αὐτή τε ἑαυτῆς ἔξαρνος γίνεται, καὶ τοῦ ἰδίου νοὸς τοῖς θελήμασιν οὐκ ἀκολουθεῖ.

Διδακτέον ἐκ παραδείγματος, πῶς θελήματι ἰδίῳ παραπόλλυται ἄνθρωπος. διὰ γὰρ ἀγάπην τινὸς τῶν τοῦ κόσμου, ἔν τε πυρὶ βάλλεται, καὶ ἐν θαλάσσῃ βυθίζεται, καὶ αἰχμαλωσίᾳ ἑαυτὸν ἐμπαρέχει. ὑποκείσθω γὰρ οἶκόν τινος ἢ ἀγρόν, οὕτω συμβάν, καταπίμπρασθαι. ὁ τοίνυν ἑαυτὸν περισῶσαι βουλόμενος, ὡς τοῦ ἐμπρησμοῦ ᾔσθετο, γυμνὸς ἐκπέφευγε πάντων ἀμελήσας τῶν ἔνδον, καὶ τῆς ἑαυτοῦ μόνης ψυχῆς γενόμενος. ἕτερος δὲ εἰς τὸ αὐτὸ ἐπελθεῖν, καί τινα τῶν σκευῶν ἐξελεῖν, ὑπέμεινεν ἆραι. καὶ ὡς ἐν τῷ λαμβά- ιηʹ.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τειν αὐτὸς ἰών, κατακρατῆσαν ἤδη τῆς οἰκίας τὸ πῦρ, καὶ αὐτὸν συνέλαβε καὶ κατέκαυσεν. ὁρᾷς ὅπως ἰδίῳ θελήματι, φιλίᾳ τινὸς τῶν προσκαίρων, ὃ παρ᾽ ἑαυτὸν φαίνεται ἀγαπήσας, τῷ πυρὶ παραπώλετο; ἑτέρων πάλιν ναυαγίῳ περιπεσόντων, ὁ μὲν σώζειν ἑαυτὸν βουλόμενος, ἀποδύεται, καὶ γυμνὸς τοῖς ὕδασιν ἐπαφίεται· καὶ οὕτω δυνατὸν αὐτῷ γίνεται τὴν ἰδίαν περισῶσαι ψυχήν. ὁ δὲ καὶ τῶν ἐνδυμάτων συνδιασῶσαί τινα θελήσας, ὑπὸ τῶν ὑδάτων κατεβαπτίσθη, καὶ διὰ βραχύ τι κέρδος, ὢ τῆς συμφορᾶς· καὶ ἑαυτὸν συναπώλεσεν. καὶ πάλιν ὑποκείσθω καὶ ἐχθρῶν τινὰ ἔφοδον καταγγέλθαι, καὶ τὸν μὲν, ἅμα τε ἀκοῦσαι, καὶ εὐθύς, ὡς εἶχε ποδῶν, ἐκφυγεῖν, μὴ μελλήσαντα αὐτῷ τῶν ὄντων μηδενός. τὸν δὲ, διαπιστήσαντα, ἢ καὶ τῶν πραγμάτων τινὰ βουληθέντα συνεκκομίσαι, εἶτα ἐφυστερήσαντα, συλληφθῆναι καταλαβόντων τῶν πολεμίων. ὁρᾷς, ὅτι θελήματι τὶς ἰδίῳ δι᾽ ἀμέλειαν, καὶ τὸ προσηλῶσθαί τισι τῶν τοῦ κόσμου, τήν τε τοῦ σώματος, καὶ τὴν τῆς ψυχῆς ἀπώλειαν ὑπομένει;

νθʹ. Ὀλίγοι μὲν ἀτεχνῶς οἱ τελείαν τὴν πρὸς Θεὸν ἀγάπην κτησάμενοι, πάσας τε ἡδονὰς τοῦ κόσμου, καὶ τὰς ἐπιθυμίας τὸ μηδὲν λογιζόμενοι, καὶ τοὺς τοῦ πονηροῦ πειρασμοὺς φέροντες μακροθύμως. πλὴν οὐ παρὰ τοῦτο ἀπογνωστέον, οὐδὲ τῆς ἀγαθῆς ἐλπίδος ἀμελητέον· κἂν γὰρ πολλὰ τῶν πλοίων ὑπομένῃ ναυάγιον. ἀλλ᾽ εἰσὶ πάντως ἃ καὶ διαπερῶντα, τοῦ λιμένος ἐπιλαμβάνεται. διὰ τοῦτο πίστεως ἡμῖν πολλῆς, ὑπομονῆς τε, καὶ προσοχῆς, καὶ ἀγώνων χρεία. πρὸς δὲ, πείνης τε, καὶ δίψης τοῦ ἀγαθοῦ, καὶ πολλὴν συνέσιν, καὶ διάκρισιν. οὐ μὴν, ἀλλὰ καὶ ὀξύτητός τε καὶ αἰσθήσεως περὶ τὴν αἴτησιν. οἱ γὰρ πλείους τῶν ἀνθρώπων, ὥσπερ προέφημεν, καμάτων ἄνευ, καὶ ἱδρώτων τῆς βασιλείας ἐπιτυχεῖν βούλονται. καὶ τοὺς μὲν ἁγίους μακαρίζουσιν ἄνδρας, καὶ τῆς τιμῆς αὐτῶν καὶ τῶν χαρισμάτων ἐπιθυμοῦσι· τῶν ἴσων δὲ θλίψεων αὐτοῖς, τῶν πόνων τε, καὶ τῶν παθημάτων, οὐ βούλονται κοινωνεῖν. τούτου δὲ πάντες, καὶ πόρναι, καὶ τελῶναι, καὶ πᾶς τις ἀνθρώπων ἐπιθυμεῖ. ἀλλὰ διὰ τοῦτο πειρασμοὶ πρόκεινται, καὶ δοκιμασίαι· ἵνα δῆλοι γένωνται, τίνες οἱ πρὸς ἀλήθειαν τὸν ἑαυτῶν ἠγάπησαν δεσπότην. καὶ δικαίως οὗτοι τῆς τῶν οὐρανίων ἐπιτύχωσι βασιλείας.

Ταῖς θλίψεσι, καὶ τοῖς παθήμασι, τῇ ὑπομονῇ τε, καὶ πίστει ἐγκεκρύφθαι νόμιζε τὰς ἐπαγγελίας, αὐτήν τε τὴν δόξαν, καὶ τὴν τῶν οὐρανίων ἀγαθῶν ἀπόληψιν. ἐπεὶ καὶ τὸν ῥιπτόμενον τῇ γῇ σῖτον, ἢ καὶ τὸ δένδρον φημὶ τὸ ἐγκεντριζόμενον, ἀνάγκη, σῆψιν πρότερον, καὶ ἀτιμίαν δοκοῦσαν ὑποπεσεῖν, καὶ οὕτω τὴν εὐπρέπειαν τοῦ ἐνδύματος, καὶ τὸν πολλαπλάσιον καρπὸν ὑπολαβεῖν. εἰ μὴ γὰρ διὰ τῆς σήψεως ταύτης, κἀκείνων τῶν ὥσπερ ἀτίμων διελθεῖν αὐτοῖς γέγονεν, οὐκ ἂν τὴν ἐσχάτην εὐπρέπειαν, καὶ τὸ τῆς θέας κάλλος περιεβάλλοντο· τοῦτο δὲ καὶ τῷ Ἀποστόλῳ δοκεῖ. διὰ πολλῶν, γάρ, φησι, θλίψεων δεῖ ἡμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. καὶ ὁ Κύριος. ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν. καὶ πάλιν, ἐν τῷ κόσμῳ θλίψιν ἕξετε. ξʹ.

Ἕκαστος ἡμῶν, ὅσπερ ἂν καταξιωθείη τῇ τε πίστει, καὶ τῇ σπουδῇ μέτοχος Ἁγίου γενέσθαι Πνεύματος. τοσοῦτον ἐπ᾽ ἐκείνης τῆς ἡμέρας δοξασθήσεται αὐτοῦ καὶ τὸ σῶμα. ὃ γὰρ νῦν ἔνδον ἀπεθησαύρισε τῇ ψυχῇ, τότε καὶ ἐκτὸς ἐπὶ τοῦ σώματος ἀποκαλυφθήσεται. καὶ τὸ παράδειγμά φησιν, ἐκ τῶν δένδρων. χειμῶνος γὰρ παρελθόντος, καὶ ἡλίου φαιδρότερόν τε ξαʹ.

καὶ ἀκ.

καὶ ἀκμαιότεροι ἐπιλάμψαντες, ὡς δὲ, καὶ ἀνέμων ἐπιπνευσάντων, ἔσωθεν ἐκεῖνα ἐκφύει, καὶ ὡς ἔνδυμα τὰ φύλλα τε, καὶ τὰ ἄνθη, καὶ τοὺς καρποὺς περιβάλλεται. παραπλησίως δὲ καὶ τὸ τοῦ χόρτου ἄνθος κατ' ἐκεῖνο καιροῦ, τῶν κόλπων τῆς γῆς ἀναδίδοται, καὶ σκέπεται τούτοις ἡ γῆ. καὶ ὡς εὐπρεπὲς αὐτὰ περιβόλαιον ἀμφιέννυται· περὶ ὧν καὶ ὁ τοῦ Θεοῦ λόγος, οὐδὲ Σολομῶντα, ὡς ἓν τούτων περιβάλλεσθαι ἔφη, διὰ πάσης αὐτοῦ τῆς δόξης. ταῦτα γὰρ πάντα τύποι, καὶ ὑποδείγματα, καὶ εἰκόνες τῆς τῶν σωζομένων εἰσὶν ἐν τῇ ἀναστάσει δόσεως. ἐπεὶ καὶ πάσαις ταῖς φιλοθέοις ψυχαῖς, ταῖς ἀληθιναῖς δηλονότι Χριστιανοῖς, μὴν πρῶτος ξανθικός, ὥς ἐστιν ὁ ἀπρίλλιος, δι' οὗ καὶ ἡ τῆς ἀναστάσεως δύναμις δηλοῦται. φησὶ γὰρ ἡ θεία γραφή· οὗτος μὴν πρῶτος ἔσται ὑμῖν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ. οὗτος ἀμφιάσει τὰ γυμνὰ δένδρα διὰ τῆς δόξης, ἣν πρώην ἐγκεκρυμμένην εἶχον, ἔσω τοῦ σώματος. καὶ γὰρ ἐνδοξασθήσονται δι' αὐτοῦ, τοῦ ἀνόγε τοῦ νῦν ἐνυπάρχοντος αὐτοῖς ἀρρήτου φωτός, ὄντος τῆς τοῦ Πνεύματος δυνάμεως. ὅπερ καὶ ἔσται αὐτοῖς τότε ἔνδυμα, βρῶσις, πόσις, ἀγαλλίασις, χαρά, εἰρήνη, καὶ τὸ πᾶν, ζωὴ αἰώνιος.

## Τοῦ αὐτοῦ περὶ ὑψώσεως τοῦ νοός.

ξβ. Μωσῆς ὁ μακάριος ὑπέδειξε τύπον, διὰ τῆς τοῦ προσώπου αὐτοῦ ἐπιλαμπούσης τοῦ Πνεύματος δόξης, ἣν οὐδεὶς ἀνθρώπων ἀτενίσαι ἐδύνατο, πῶς ἐν τῇ τῶν δικαίων ἀναστάσει τὰ σώματα δοξασθήσεται τῶν ἁγίων· ἣν δόξαν ἀπὸ τοῦ νῦν ἐν τῷ ἔσω ἀνθρώπῳ αἱ πισταὶ τῶν ἁγίων ἔχειν καταξιοῦνται ψυχαί. ἡμεῖς γάρ, φησιν, ἀνακεκαλυμμένῳ προσώπῳ, τουτέστιν ἐν τῷ ἔσω ἀνθρώπῳ, τὴν δόξαν Κυρίου κατοπτριζόμεθα, τὴν αὐτὴν εἰκόνα μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν. περὶ τούτου γέγραπται πάλιν, τεσσαράκοντα ἡμέρας καὶ τὰς ἴσας νύκτας μὴ τροφῆς μεταλαβεῖν, μὴ πόσεως, ὅπερ οὐκ ἀνθρωπίνης φύσεως ἔργον, εἰ μή τινος ἄρα τροφῆς ἐκοινώνει πνευματικῆς· ἧσπερ δὴ καὶ αὐτῆς ἀπὸ τοῦ νῦν αἱ ἅγιαι ψυχαὶ μεταλαμβάνουσιν ἐκ τοῦ Πνεύματος.

Τὴν δόξαν ἣν ἐντεῦθεν αἱ τῶν ἁγίων· ὡς εἴρηται· πλουτοῦσι ψυχαί, ἐκείνη καλύψει καὶ ἀμφιάσει τὰ γυμνὰ σώματα ἐν τῇ ἀναστάσει, καὶ εἰς οὐρανοὺς ἀνάρπαστα ποιήσει· καὶ τότε λοιπὸν σώματι καὶ ψυχῇ ἐν τῇ βασιλείᾳ Θεοῦ ἅμα διηνεκῶς ἀναπαύσονται. τὸν γὰρ Ἀδὰμ κτίσας ὁ Θεός, πτέρυγας αὐτῷ σωματικάς, ὡς τοῖς πετεινοῖς, οὐκ ἐπέθηκεν· ἀλλὰ τὰς τοῦ Πνεύματος κατὰ τὴν ἀνάστασιν παρέξειν αὐτῷ μέλλων, ἵνα κουφίζηται δι' αὐτῶν καὶ ἁρπάζηται ὅπου πάντως τὸ Πνεῦμα βούληται. ταύτας δὲ τὰς νοητὰς πτέρυγας ταῖς τῶν ἁγίων ψυχαῖς ἀπὸ τοῦ νῦν δίδοται ἔχειν, αἳ πρὸς τὸ οὐράνιον αὐτὰς μετεωρίζουσι φρόνημα. Χριστιανῶν γὰρ κόσμος ἄλλος, καὶ ἄλλα ἐνδύματα, καὶ τράπεζα ἄλλη, καὶ ἄλλη ἀπόλαυσις. ἐπεὶ καὶ οὐρανόθεν ἐλεύσεσθαι τὸν Χριστὸν οἴδαμεν, ἀναστῆσαί τε τοὺς ἐκ τοῦ παντὸς αἰῶνος κεκοιμημένους, καθὼς αἱ θεῖαι γραφαὶ μαρτυροῦσι, καὶ ὡς δύο τούτους διελόντα μέρη, ἐφ' οἷς τὸ σημεῖον τὸ ἴδιον, ὅπερ ἐστὶν ἡ τοῦ Πνεύματος τοῦ θείου σφραγίς, τούτους καὶ ἰδίᾳ ἐν δεξιᾷ στῆσαί τε, προσφωνῆσαι, τὰ ἐμὰ γάρ, φησι, πρόβατα, τῆς ἐμῆς ἀκούουσι φωνῆς, καὶ γινώσκουσι. καὶ τότε δόξῃ θείᾳ τὰ σώματα τούτων περιβληθήσεται, τῇ τε τῶν ἀγαθῶν ἔργων, καὶ τῇ τοῦ Πνεύματος, ἣν ἐντεῦθεν αἱ τῶν ἁγίων ἔλαχον ἔχειν ψυχαί, καὶ οὕτω δοξασθέντες θείῳ φωτί, καὶ εἰς οὐρανοὺς ἁρπαγέντες, εἰς ἀπάντησιν τοῦ Κυρίου, κατὰ τὸ ξγ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γεγραμμένοι, σὺν τῷ Κυρίῳ διὰ παντὸς ἔσονται.

ξδʹ. Οἷς μέλει τὸν τοῦ Χριστιανισμοῦ βίον ὡς κάλλιστα κατορθοῦν, τούτοις καὶ προσήκει προηγουμένως τοῦ διανοητικοῦ τε, καὶ διακριτικοῦ, καὶ ἡγεμονικοῦ μέρους τῆς ψυχῆς διὰ πάσης ἐπιμεληθῆναι τῆς σπουδῆς· ἵνα τὴν τοῦ καλοῦ τε, καὶ κακοῦ διάκρισιν ἀκριβώσαντες, καὶ ἃ παρὰ φύσιν ἐπεισήχθη πάθη τῆς καθαρᾶς ἀνακρίναντες φύσεως, ἀπροσκόπως ζῆν ἔχοιεν, ὡς ὀφθαλμῷ, τῷ τῆς διακρίσεως μέλει, χρώμενοι· καὶ ἀσύνθετοι πρὸς τὰς τῆς κακίας ἀφορμὰς εἶναι δυνάμενοι. ἔστι γὰρ θέλημα τῇ ψυχῇ τὰ μέλη τοῦ σώματος τῆς τῶν αἰσθήσεων βλάβης ἄχραντα συντηρεῖν, ἀπεῖρξαί τε ἑαυτὴν τῶν τοῦ κόσμου πειρασμῶν, καὶ φυλάξαι τὴν καρδίαν τοῦ μὴ ἐξαπλοῦν ἐν τῷ κόσμῳ τὰ μέλη τῶν αὐτῆς λογισμῶν, ἀλλὰ περισφίγγειν αὐτὰ πάντοθεν καὶ συνέχειν χαμαιζήλου μερίμνης, καὶ ἡδονῆς. ἐπειδὰν οὖν ὁ Κύριος ἴδῃ τινὰ ταύτῃ διάγοντα, καὶ οὕτως ἑαυτὸν ἀκριβοῦντα καὶ συντηροῦντα, φόβῳ τε, καὶ τρόμῳ δουλεύειν αὐτῷ προθέμενον, ὀρέγει καὶ τὴν ἐκ τῆς αὐτοῦ χάριτος ἐπικουρίαν· ἐπεὶ, τί ποιήσειεν ὁ Θεὸς τῷ ἑκόντι τῷ κόσμῳ ἑαυτὸν ἐμπαρέχοντι, καὶ ὀπίσω τῶν ἡδονῶν αὐτοῦ πορευομένῳ;

ξεʹ. Αἱ νήψασαι πέντε παρθένοι ἐκεῖναι, καὶ τὸ ξένον τῆς ἑαυτῶν φύσεως ἔλαιον ἐν τοῖς ἀγγείοις παραλαβοῦσαι τῆς καρδίας, τοῦτο δέ ἐστιν ἡ χάρις τοῦ Πνεύματος, ἐδυνήθησαν εἰς τὸν νυμφῶνα συνεισελθεῖν τῷ νυμφίῳ. αἱ ἄλλαι δὲ αἱ μωραὶ, αἱ κακαὶ, αἱ τῇ ἰδίᾳ φύσει ἐναπομείνασαι, οὐκ ἐνήψαν, οὐδὲ μετὰ σπουδῆς ἔσχον τὸ τοιοῦτο τῆς ἀγαλλιάσεως ἔλαιον εἰς τὰς ἑαυτῶν καρδίας, ἔτι ἐν σαρκὶ οὖσαι, παραλαβεῖν· ἀλλ' οἱονεὶ ἀφύπνωσαν, δι' ἀμέλειάν τε, καὶ χαυνότητα, καὶ δικαιοσύνης οἴησιν· παρὸ καὶ ὁ νυμφὼν αὐταῖς ἀπεκλείσθη τῆς βασιλείας. δῆλον γὰρ ὅτι δεσμῷ τινι τοῦ κόσμου, καὶ φιλίᾳ γεγόνασι καθεκταὶ, καθότι τὴν ἀγάπην αὐτῶν ἐντελῆ καὶ τὸν ἔρωτα τῷ ἐπουρανίῳ μὴ παρέσχον νυμφίῳ. καὶ γὰρ αἱ τὸ ξένον τῆς φύσεως τὸν ἁγιασμὸν τοῦτον ζητοῦσαι ψυχαὶ τοῦ Πνεύματος, ὅλην τὴν ἀγάπην αὐτῶν ἐξάπτουσαι τῷ Χριστῷ, ἐκεῖ περιπατοῦσιν, ἐκεῖ εὔχονται, ἐκεῖ λογίζονται, ἐκεῖ μελετῶσι, πάντων ἀποστᾶσαι τῶν ἄλλων. αἱ γὰρ πέντε τῆς ψυχῆς αἰσθήσεις, σύνεσις, γνῶσις, διάκρισις, ὑπομονὴ, ἔλεος, ἂν τὴν ἄνωθεν χάριν, καὶ τὸν ἁγιασμὸν τοῦ Πνεύματος δέξωνται, καὶ φρόνιμοι τῇ ἀληθείᾳ παρθένοι ἔσονται. εἰ δὲ τῇ φύσει τῇ ἑαυτῶν ἐγκαταλειφθεῖεν, μωραὶ τῷ ὄντι εὑρίσκονται, καὶ τέκνα οὖσαι τοῦ κόσμου δείκνυνται, καὶ ὀργῆς.

ξϛʹ. Ὥσπερ ξένην τῆς φύσεως ἡμῶν τὴν κακίαν οὖσαν, διὰ δὲ τῆς παραβάσεως τοῦ πρώτου παρεισδῦσαν ἀνθρώπου καταδεξάμεθα, φύσιν ἡμῖν τῷ χρόνῳ, καθαπερεὶ γενομένην· οὕτω δὴ καὶ διὰ τοῦ ξένου τούτου τῆς ἡμετέρας φύσεως, τῆς ἐπουρανίου φημὶ τοῦ Πνεύματος δωρεᾶς, ἀποσκορακισθῆναι πάλιν αὐτὴν τῆς ἡμετέρας προσήκει φύσεως, καὶ εἰς τὴν ἀρχαίαν ἡμᾶς καθαρότητα καταστῆναι· ὡς εἰ μὴ τοῦτο τῇ πολλῇ δεήσει, καὶ πίστει, τῇ προσοχῇ τε, καὶ τῇ τῶν τοῦ κόσμου ἀποστροφῇ γένοιτο, καὶ ἡ μιανθεῖσα πρὸς τῆς κακίας φύσις ἡμῶν, ὑπὸ τῆς ἀγάπης ἐκείνης, ἥτις ἐστὶν ὁ Κύριος, ἁγιασθείη, καὶ μέχρι τέλους ἄπτωτοι διαμείνωμεν τῶν ἐντολῶν αὐτοῦ τῶν θείων μεταποιούμενοι, τῆς ἐπουρανίου βασιλείας ἐπιτυχεῖν οὐ δυνάμεθα.

ξζʹ. Λεπτόν τινα, καὶ βαθὺν λόγον κατὰ τὰ ἐμοὶ δυνατὰ, φησὶ, διελθεῖν βούλομαι· σωματοποιεῖ ἑαυτὸν ὁ ἄπειρος καὶ ἀσώματος Κύριος διὰ χρηστότητα ἄπειρον, καὶ σμικρύνει, ὡς αὖτις φαίη, ὁ μέγας καὶ

ὑπερά-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑπερβάσιος, τοῦ δυνηθῆναι τοῖς νοεροῖς αὐτοῦ κτίσμασι συγκραθῆναι· ψυχαῖς, ἁγίων φημί, καὶ Ἀγγέλων, ἵνα δυνατοὶ γένοιντο καὶ αὗται ζωῆς ἀθανάτου τῆς ἑαυτοῦ Θεότητος μεταχεῖν· ἐπεὶ καὶ ἕκαστον κατὰ τὴν ἰδίαν φύσιν, σῶμά ἐστιν, ὁ Ἄγγελος, ἡ ψυχή, ὁ δαίμων. κἂν γὰρ λεπτὰ ὦσιν, ἀλλ' ὅμως ἐν ὑποστάσει, χαρακτῆρί τε, καὶ εἰκόνι κατὰ τὴν λεπτότητα τῆς ἑαυτῶν φύσεως σῶμα τυγχάνει λεπτόν. ὥσπερ γὰρ ἐν ὑποστάσει τουτὶ τὸ σῶμα παχύ ἐστι, οὕτω καὶ ἡ ψυχὴ σῶμα οὖσα λεπτὸν περιέβαλε καὶ ἐνεδύσατο τὰ μέλη τοῦδε τοῦ σώματος. περιέβαλε γὰρ τὸν ὀφθαλμόν, δι' οὗπερ γοῦν καὶ ὁρᾷ. περιέβαλε τὸ οὖς, δι' οὗ καὶ ἀκούει. τὴν χεῖρα, τὴν ῥῖνα, καὶ ἁπαξαπλῶς ὅλον τὸ σῶμα, καὶ τὰ μέλη αὐτοῦ περιέβαλε καὶ συνεκράθη ὅλῳ αὐτῷ ἡ ψυχή, δι' οὗ καὶ πάντα ὅσα διὰ τοῦ βίου ἐνστρέφεται ἐπιτηδεύματα διανύει. τὸν αὐτὸν οὖν τρόπον καὶ ἡ ἀνεκλάλητός τε καὶ ἀκατανόητος τοῦ Χριστοῦ χρηστότης σμικρύνει, καὶ σωματοποιεῖ ἑαυτήν, καὶ συγκιρνᾶται, καὶ περιλαμβάνει τὰς πιστὰς καὶ φίλας αὐτῇ ψυχάς, καὶ εἰς ἓν αὐταῖς πνεῦμα γίνεται, κατὰ τὸ λόγιον Παύλου, ψυχή, εἰς ψυχήν, ὡς φάναι, καὶ ὑπόστασις γοῦν εἰς ὑπόστασιν, ὡς ἄν, τῇ τοιᾷδε ψυχῇ ἐν τῇ αὐτοῦ Θεότητι ζῆσαί τε ὑπάρξῃ, καὶ ἀθανάτου ζωῆς ἐφικέσθαι, καὶ ἡδονῆς ἀφθάρτου, καὶ ἀρρήτου δόξης κατατρυφῆσαι.

ξη΄. Τῇ τοιαύτῃ ψυχῇ, φησίν, ὁ Κύριος· ὅτε μὲν βούλεται πῦρ γίνεται, πᾶν φαῦλον αὐτῆς καὶ ἐπείσακτον διακαῖον. ὥσπερ καὶ ὁ Προφήτης φησίν, ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον· ὅτε δέ, ἀνάπαυσις ἄφραστός τε, καὶ ἄρρητος· ὅτε δέ, χαρὰ καὶ εἰρήνη, περιθάλπων καὶ περιβάλλων αὐτήν. μόνον, ἐν σπουδῇ θετέον φιλεῖν αὐτόν, καὶ χαρίζεσθαι τρόποις ἀγαθοῖς, καὶ αὐτῇ πείρᾳ, αὐτῇ αἰσθήσει ὄψεται ἀψάμενος ἀλαλήτων ἀγαθῶν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ὅσα τὸ Πνεῦμα Κυρίου γίνεται, τοῦτο μὲν εἰς ἀνάπαυσιν, τοῦτο δ' εἰς ἀγαλλίασίν τε, καὶ τρυφήν, καὶ ζωὴν τῆς ἀξίας ἐκείνου δεικνυμένης ψυχῆς. σωματοποιεῖ γὰρ ἑαυτόν, ὥσπερ εἰς βρῶσιν πνευματικήν, οὕτω καὶ εἰς ἐνδύματά τε, καὶ κάλλη ἀνεκδιήγητα, ἵν' εὐφροσύνης οὕτω πληρώσῃ πνευματικῆς. ἐγὼ γάρ εἰμι· φησίν· ὁ ἄρτος τῆς ζωῆς· καὶ ὁ πίνων ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον.

ξθ΄. Οὕτω φησί, καὶ ἑκάστῳ τῶν ἱερέων καὶ ἁγίων ὁ Θεὸς ὤφθη, ὡς αὐτῷ θέλημα ἦν, καὶ τῷ ὁρῶντι λυσιτελές· οἷον, ἄλλως τῷ Ἀβραάμ, καὶ ἄλλως τῷ Ἰσαάκ, τῷ Ἰακὼβ ἄλλως, τῷ Νῶε, τῷ Δανιήλ, τῷ Μωσεῖ, τῷ Δαβίδ, καὶ ἑκάστῳ τῶν Προφητῶν, σμικρύνων ἑαυτόν, καὶ σωματοποιῶν, ὥσπερ εἴρηται, μεταμορφούμενός τε, καὶ ὀπτανόμενος τούτοις τοῖς ἀγαπῶσιν αὐτόν, οὐ καθόσον αὐτός ἐστιν, ἀχώρητος γάρ, ἀλλὰ κατὰ τὴν ἐκείνων χωρησίν τε, καὶ δύναμιν, διὰ τὴν πολλήν, καὶ ἀπερινόητον, ἣν ἔχει πρὸς αὐτούς, ἀγάπην.

ο΄. Ψυχὴ καταξιωθεῖσα τὴν ἐξ ὕψους εἰσοικίσασθαι δύναμιν, καὶ τὸ πῦρ ἐκεῖνο τὸ θεῖον, καὶ τὴν ἐπουράνιον τοῦ ἀγαθοῦ Πνεύματος ἀγάπην συγκεκραμένην ἔχουσα τοῖς ἑαυτῆς μέλεσι, πάσης κοσμικῆς ἀγάπης ἀτεχνῶς λύεται. ὥσπερ γὰρ σίδηρος, ἢ μόλυβδος, χρυσός τε, καὶ ἄργυρος πυρὶ παραδοθεὶς λύεται, καὶ τῆς φύσεως αὐτοῦ τὸ ἀντιτυπὲς εἰς ἁπαλότητα μεταβάλλει, ἐν ὅσῳ τε τῷ πυρὶ ὁμιλεῖ, χαῦνός ἐστι, καὶ ἔκλυτος, καὶ τὴν φυσικὴν ἀποβεβληκὼς ἀντιτυπίαν διὰ τὴν τοῦ πυρὸς δύναμιν. οὕτω καὶ ψυχὴ τὸ ἐπουράνιον ἐκεῖνο δεξαμένη πῦρ τῆς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀγάπης τοῦ Πνεύματος, πάσης προσπαθείας τοῦ κοσμικοῦ Πνεύματος ἐκχωρεῖ, καὶ τῶν δεσμῶν ἀφίεται τῆς κακίας, ἐξ αὐτῆς τε τῆς φυσικῆς σκληρότητος μεταβάλλει τῆς ἁμαρτίας, σμικρὰ πάντα λογιζομένη, καὶ ἀτιμάζουσα. φημὶ δ' ὅτι κἂν τινες αὐτῇ ὦσιν ἀδελφοὶ κατ' ἄκραν φιλούμενοι, πρὸς δὲ ἐκείνην αὐτῇ παραποδίζοιεν τὴν ἀγάπην, καὶ αὐτοὺς ἂν ἀποστέρξοιεν ἡ τῷ πιστῷ ἔρωτι ἁλοῦσα ψυχή. εἰ γὰρ σαρκικῆς κοινωνίας ἀγάπη γάμου, παῖδές τε, καὶ μητρός, καὶ ἀδελφῶν διΐστησι, κἄν τις φιλῇ τινὰ πάντων, ἐξ ἐπιπολῆς φιλεῖ· τὴν δὲ διάθεσιν ὅλην, καὶ τὸν πόθον πρὸς τὴν συνῳκισμένην αὐτῷ τέτακεν, εἰ ἡ τῆς σαρκὸς φιλία οὕτω λύει πάσης ἄλλης τοῦ κόσμου φιλίας, χολῇ γ' ἄν, οἱ ἐκείνῳ τῷ ἀπαθεῖ πόθῳ ζωσθέντες, ἔρωτί τινι τῶν τοῦ κόσμου καθεκτοὶ γένοιντο.

οα. Χρηστὸς ὢν καὶ φιλάνθρωπος ὁ Θεός, μακροθύμως ἔχει, καὶ πολύς ἐστιν ἀναμένων τὴν ἑκάστου τῶν ἁμαρτανόντων μετάνοιαν. ἑορτήν τε οὐρανίαν τιθέμενος τὴν τοῦ μεταμελομένου ἐπιστροφήν. χαρὰ γάρ· φησὶν αὐτός, ἐν τῷ οὐρανῷ γίνεται ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. οὐδέ τις τὴν χρηστότητα ταύτην καὶ μακροθυμίαν ὁρῶν, καὶ ὅτι μὴ τοῖς κατὰ μέρος ἁμαρτήμασιν ἐπεξέρχεται, τὴν μετάνοιαν, ὥσπερ ἔφημεν, ἐκδεχόμενος, καταλιγωρήσει τῆς ἐντολῆς, καὶ τὴν χρηστότητα, φεῦ, ἀφορμὴν ποιῇ πρὸς καταφρόνησιν, ἁμάρτημα ἐπὶ ἁμαρτήματι προστιθείς, καὶ πρόσκομμα ἐποικοδομῶν, ῥαθυμίαν τε συνάπτων τῇ ῥαθυμίᾳ, πληροῖ τοὺς τῶν ἁμαρτιῶν ὅρους, καὶ τελευταίῳ λοιπὸν ἁλίσκεται παραπτώματι, ἐξ οὗ μηκέτι παρὸν αὐτῷ ἀνακτήσασθαι· ἀλλ' ἐσχάτην τὴν συντριβὴν ὑποστάς, καὶ τῷ πονηρῷ εἰς τέλος συγχωρηθείς, ἀπόλλυται. οὕτως ἐπὶ Σοδόμων γέγονεν. ὑποπλήσαντες γάρ, καὶ ὑπερβάντες τοὺς τῶν ἁμαρτιῶν ὅρους, ἐπεὶ μηδέν, ὡς εἰπεῖν, ζώπυρον μετανοίας αὐτοῖς ὑπελείφθη, ἀνάλωμα πυρὸς ὑπὸ τῆς θείας δίκης γεγόνασι. οὕτως ἐπὶ Νῶε. καὶ γὰρ ἀχαλίνοις χρώμενοι ταῖς ἐπὶ τὴν κακίαν ὁρμαῖς, καὶ μηδὲν εἶδος μετανοίας ἐπιδεικνύμενοι, τηλικοῦτον ἑαυτοῖς ἁμαρτιῶν ὄγκον ἐξεκορύφωσαν, ὡς ἅπασαν ὁμοῦ τὴν γῆν εἰσάπαξ διαφθαρῆναι. οὕτω τοῖς Αἰγυπτίοις πολλὰ πλημμελοῦσι καὶ εἰς τὸν τοῦ Θεοῦ λαὸν ἐξυβρίζουσι, χρηστὸς ἦν ἐκεῖνος, οὐ πανωλεθρίᾳ παραδιδούς, ἀλλὰ διὰ τῶν κατὰ μέρος μαστίγων εἰς μετάνοιαν ἐπαγόμενος· ἐπεὶ δὲ ἐπιστρέψαντες, ἀγαπητῶς πάλιν πρὸς τὴν κακίαν ἀνέστρεφον, καὶ τῆς προτέρας εἴχοντο ἀπιστίας, ἔσχατον δὲ καὶ τὸν λαὸν τοῦ Κυρίου τῆς Αἰγύπτου ἀναγόμενον κατεδίωκον, ἀνάλωσεν αὐτοὺς ἡ θεία δίκη τὸ σύνολον, καὶ ἀπώλεσεν. οὕτω τοῦ Ἰσραὴλ πολλὰ ἁμαρτάνοντος, καὶ τοὺς Προφήτας ἀποκτέννοντος τοῦ Θεοῦ, τῆς συνήθους οὗτος μακροθυμίας ἐγίνετο. ἐπεὶ δὲ εἰς τοῦτο κακίας προέκοψεν, ὡς μηδὲ τὸ δεσποτικὸν δυσωπηθῆναι ἀξίωμα· ἀλλὰ κἀκείνῳ μιαιφόνους χεῖρας ἐπιβαλεῖν· καὶ αὐτοὶ καθάπαξ ἀπεβλήθησαν τοῦ, καὶ κατεβλήθησαν· καὶ ἤρθη ἀπ' αὐτῶν ἥ τε προφητεία, καὶ ἡ ἱερατεία· καὶ ἡ λατρεία· καὶ ἐπιστεύθη ταῦτα τοῖς πιστεύσασιν ἔθνεσι.

οβ. Προσδράμωμεν τῷ καλοῦντι Χριστῷ προθύμως, ἐκχέοντες ἐπ' αὐτὸν τὰς καρδίας· καὶ μὴ τὴν ἑαυτῶν ἐθελοκακοῦντες ἀπογινώσκωμεν σωτηρίαν. καὶ τοῦτο γὰρ τοῦ πονηροῦ σόφισμα, ὑπομνήσει προτέρων ἁμαρτιῶν ὁδοποιεῖν εἰς ἀπόγνωσιν. ἀλλ' ἡμῖν κατανοητέον· ὅτιπερ εἰ Χριστὸς ἐλθὼν τυφλῶν τε, καὶ παραλύτων, καὶ κωφῶν ἰατρός, καὶ διορθωτὴς ἦν, νεκρούς τε ἤδη καταφθαρέντας ἀνίστη, πόσῳ μᾶλλον τυφλότητα διανοίας, καὶ ψυχῆς πάρεσιν, καὶ ἀμελοῦς καρδίας



Athos Library
Αγιορειτική Βιβλιοθήκη

οὐκ ἰάσεται κωφὸν· ἐπεὶ μηδὲ ἕτερος, ἀλλ᾿ αὐτὸς ὁ τὸ σῶμα κτίσας, αὐτός ἐστι ὁ καὶ τὴν ψυχήν. καὶ εἰ πρὸς τὰ λυόμενα, καὶ θνήσκοντα οὕτως εὐμενῶς, καὶ ἱλέως εἶχε, πόσῳ μᾶλλον τῇ ἀθανάτῳ ψυχῇ κακίας νόσῳ, καὶ ἀγνοίας ἀλύσει, ἔπειτα προσερχομένῃ τούτῳ, καὶ δεομένῃ, φιλανθρώπως καὶ θεραπευτικῶς χρήσεται; αὐτοῦ γὰρ φωνὴ τό. ὁ Πατήρ μου ὁ οὐράνιος, οὐ μὴ ποιήσει ἐκδίκησιν τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας; ναὶ λέγω ὑμῖν, ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει. καὶ τό. αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν, ζητεῖτε, καὶ εὑρήσεται, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. καὶ αὖθις. ὅτι κἂν διὰ τὸ φίλον εἶναι οὐ δώσει αὐτῷ, διά γε τὴν ἀναίδειαν αὐτοῦ, ἀναστὰς δώσει αὐτῷ ὅσων χρῄζει, ἀναιδῆ καὶ παράμονον τὴν αἴτησιν προτρεπόμενος γίνεσθαι. ἐπεί τοι καὶ διὰ τοὺς ἁμαρτωλοὺς ἦλθεν, ἵνα ἐπιστρέψῃ πρὸς ἑαυτόν. μόνον ἡμεῖς τῶν κακῶν προλήψεων· ὅση δύναμις· ἀποστάντες, κολλάτωμεν τῷ Κυρίῳ· καὶ αὐτὸς οὐχ ὑπερορᾷ, ἀλλ᾿ ἕτοιμος ἔσται, παρέχων τὴν παρ᾿ αὐτοῦ βοήθειαν.

ογ΄. Ὥσπερ ἐπὶ τῶν νόσῳ τινί, καὶ ἀσθενείᾳ κατειλημμένων, ἐπειδὰν μηκέτι τὸ σῶμα δυνατὸν ᾖ τροφῆς καὶ πόσεως μετασχεῖν, εἰς ἀπόγνωσιν τοῦτο συνωθεῖ, καὶ θανάτου τεκμήριον γίνεται, θρηνοῦντάς τε ἐπὶ τούτῳ καὶ φίλους ἔχει, καὶ τοὺς προσήκοντας· οὕτω δὴ καὶ Θεὸς καὶ Ἄγγελοι, ψυχὰς τὰς μὴ τροφῇ τῇ ἐπουρανίῳ χρήσασθαι δυναμένας, διὰ πολλῆς λύπης καὶ θρήνων ποιοῦνται. εἰ τοίνυν ἐγένου τοῦ Θεοῦ θρόνος, ἐκεῖνον ἔχων ἐπικαθήμενον. εἰ γέγονεν ἡ ψυχή σου ὅλη πνευματικὸς ὀφθαλμός, ὅλη φῶς. εἰ ἐτράφης τὴν τροφὴν ἐκείνην τοῦ Πνεύματος. εἰ ποτίζῃ τοῦ ζῶντος ὕδατος, καὶ τοῦ πνευματικοῦ οἴνου, τοῦ τὴν καρδίαν εὐφραίνοντος. εἰ ἐνδέδυσαι τῇ ψυχῇ τὰ τοῦ ἀρρήτου φωτὸς ἐνδύματα. εἰ πάντων τούτων ὁ ἔσω σου ἄνθρωπος εἰς πεῖραν ἀφίκετο, καὶ πληροφορίαν, ἰδοὺ ζῇς τὴν αἰώνιον ὄντως ζωήν, ἐκ τοῦ παρόντος ἤδη τῷ Χριστῷ συναναπαυόμενος. εἰ δ᾿ οὔπω εἴληφας ταῦτα, οὐδ᾿ εἰς κτῆσιν τούτων ἐλήλυθας, κλαῖε θερμῶς, καὶ ὀδυρμοῖς κέχρησο, μήπω τοῦ τοιούτου πλούτου τετυχηκέναι· καὶ φροντὶς ἔστω σοι, καὶ δέησις διηνεκὴς περὶ τῆς πτωχείας σου. ἀλλ᾿ εἴθε κἂν τῆς ἑαυτοῦ πενίας αἴσθησις εἴη σοι τῷ κεκτημένῳ. καὶ μὴ ὡς τοῦ θείου πλούτου κατακορὴς ὤν, ἄφροντις περιῆγεν. ὁ γὰρ ζητῶν, φησίν, εὑρήσει, καὶ τῷ κρούοντι ἀνοιγήσεται.

Εἰ τὸ αἰσθητὸν ἐκεῖνο ἔλαιον τοσαύ- οδ΄.
την εἶχε τὴν δύναμιν, ὡς τοὺς χρισαμένους αὐτῷ λοιπὸν βασιλικῆς ἐπιβαίνειν δόξης· πόσῳ γε μᾶλλον οἱ τὸν νοῦν, καὶ τὸν ἔσω ἄνθρωπον τῷ ἁγιαστικῷ τῆς ἀγαλλιάσεως ἐλαίῳ χριόμενοι, καὶ τὸν ἀρραβῶνα τοῦ ἀγαθοῦ λαμβάνοντες Πνεύματος, τῶν μέτρων τῆς τελειότητος ἐπιβήσονται, τῆς Χριστοῦ· φημί· βασιλείας, καὶ υἱοθεσίας αὐτῷ συμμύσται τῷ βασιλεῖ γινόμενοι, εἰσίασι, καὶ ἐξίασι πρὸς τὸν Πατέρα κατὰ τὸ δοκοῦν αὐτοῖς ἔχοντες. εἰ γὰρ καὶ μήπω τέλεον τὴν κληρονομίαν εἰλήφασι, τὸ βάρος ἔτι περικείμενοι τῆς σαρκός, ἀλλ᾿ οὖν διὰ τὸν ἀρραβῶνα τοῦ Πνεύματος, ἐν τῷ ἀσφαλεῖ αὐτοῖς κεῖται τὰ τῶν ἐλπίδων, καὶ ὅτι συμβασιλεύσουσι τῷ Χριστῷ, καὶ ἐν περιουσίᾳ, καὶ πλεονασμῷ Πνεύματος ἔσονται, οὐδὲν αὐτοῖς τὸ ἐνδοιαζόμενον· καθότι τῇ σαρκὶ περιόντες ἔτι, εἰς πεῖραν ἦλθον τῆς δυνάμεως, καὶ τῆς ἡδονῆς ἐκείνης. καὶ γὰρ τὸ ἐπιτεθὲν μετὰ τὴν παρακοὴν τοῖς ἀνθρώποις ὑπὸ τοῦ σατανᾶ κάλυμμα, ἡ χάρις ἐρχομένη διὰ καθάρσεως τοῦ ἔσω ἀνθρώπου, καὶ τοῦ νοός, περιαιρεῖ τέλεον, καὶ πᾶν μίασμα, καὶ λογισμὸν ἅπαντα ῥυπαρόν, τῆς ψυχῆς ἀποσκυβαλίζει, καθαρὰν αὐτὴν γε-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἱέσθαι βουλομένη, ϗ τὴν ἰδίαν ἀπολαβοῦσαν φύσιν, ζῶντες, καὶ ἀνεπικωλύτοις τοῖς ὀφθαλμοῖς τὴν δόξαν τοῦ ἀληθινοῦ φωτὸς κατοπτεύειν· οἱ τοιοῦτοι, αὐτόθεν ἤδη πρὸς ἐκεῖνον ἁρπάζονται τὸν αἰῶνα, ϗ τὰ ἐκεῖ κάλλη, ϗ θαύματα καθορῶσι. καθάπερ γὰρ ὁ σωματικὸς οὗτος ὀφθαλμὸς ἀπαθῶς τε, ϗ ὑγιῶς ἔχων ταῖς ἡλιακαῖς αὐγαῖς θαῤῥούντως ἐνατενίζει, οὕτω ϗ οὗτοι, φωτεινῷ χρώμενοι, ϗ διακεκαθαρμένῳ τῷ νῷ, τὰς ἀδύτους αὐγὰς Κυρίου διὰ παντὸς κατοπτεύουσιν.

οε΄. Τοῦτο τὸ μεῖζον· φησίν· οὐ ῥᾳδίως ἐφικτὸν τοῖς ἀνθρώποις· ἀλλὰ πόνων δεῖται συχνῶν, ἀγώνων τε, ϗ ἱδρώτων μυρίων. πολλοὶ γάρ εἰσιν, οἷς ϗ ἡ χάρις συνοῦσα ἐνεργοῦσα, ϗ ἡ κακία πάλιν ἐνδομυχοῦσα, ἀφέστηκεν οὐδαμῶς· ἀλλὰ τὰ δύο πνεύματα τό, τε τοῦ φωτὸς, καὶ τὸ τοῦ σκότους εἰς μίαν ϗ τὴν αὐτὴν ἐνεργεῖ καρδίαν. ἐρεῖς γοῦν μοι πάντως, τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; κἀγὼ δὲ αὐτό σοι ἀποκρίνομαι, τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ἢ πῶς τὸ θεῖον φῶς ἐπισκοτίζεται, ἢ θολοῦται, ἢ καταμιαίνεται, τὸ καθαρὸν ἀκριβῶς ϗ ἀμίαντον; τὸ φῶς γὰρ ἐν τῇ σκοτίᾳ φαίνει· φησὶ, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν, ὥστε οὐκ ἀναμέρος ἐκληπτέον, οὐδὲ μονοτρόπως τὰ πράγματα. καὶ γὰρ εἰς τοσοῦτόν τινες ἐναναπαύονται τῇ χάριτι τοῦ Θεοῦ, ἐς ὅσον ἑαυτῶν δύνανται κρατεῖν, ϗ μὴ ἡττᾶσθαι τῆς ἐγκατοικούσης αὐτοῖς ἁμαρτίας· καὶ συμβαίνει που ὀλίγην ἀπάρεδρον ἔχοντας ϗ ἀνάπαυσιν. ἔπειτα ὑπὸ ῥυπαρῶν λογισμῶν ἐνεργεῖσθαι, ϗ ὑπὸ τῆς ἁμαρτίας κλέπτεσθαι, συνούσης δηλαδὴ ϗ τῆς χάριτος. οἱ μὲν οὖν ἐλαφροί τε, καὶ οὔπω τῆς ἀκριβείας ἐπειλημμένοι ποσῶς αὐτοῖς τῆς θείας χάριτος ἐνεργούσης, ἔδοξαν εἰσάπαξ ἀπολελύσθαι τῆς ἁμαρτίας. οἱ δὲ διακριτικοί τε ϗ νοῦν ἔχοντες, οὐκ ἂν ἀρνηθεῖεν, ὅτι ϗ τῆς τοῦ Θεοῦ χάριτος ἐνοικούσης, οὐχὶ ϗ ὑπὸ αἰσχρῶν ϗ ἀτόπων διασείονται λογισμῶν.

Εἴδομέν τινας ἐν τοῖς ἀδελφοῖς πολλάκις οὕτω πλουσίας τῆς χάριτος ἀπολελαυκότας, ὡς πέντε χρόνων, ϗ ἕξ, ἀπομαρανθῆναι τέλεον αὐτοῖς, καὶ ἀποσβεσθῆναι τὰ τῆς ἐπιθυμίας. εἶτα ὡς ἔδοξαν ὅρμου ϗ γαλήνης ἐπιλαβέσθαι, τότε καθάπερ ἐξ ἐνέδρας ἐπιφανεῖσα τούτοις ἡ κακία, οὕτω δυσμενῶς ἐπέθετο, ϗ ἀγρίως· ὡς ἔκπληξιν αὐτοῖς ἐνθεῖναι, ϗ ἀπορίαν. τεθάῤῥηκα τοίνυν οὐδεὶς τῶν ὀξὺ διὰ σύνεσιν βλεπόντων εἰπεῖν· ὅτι τῆς χάριτός μοι συνούσης, ἀπήλλαγμαι λοιπὸν καὶ τῆς ἁμαρτίας. ἐνεργεῖ γὰρ, ὥσπερ εἴρηται, καὶ τὰ δύο ἐν τῷ ἑνὶ, καὶ τῷ αὐτῷ νῷ, κἂν οἱ ἀνόητοί τε, καὶ ἀμαθεῖς μικρόν τι, κίνημα πνευματικὸν ἐσχηκότες, νενικήκαμεν ἤδη λέγουσιν. ἐμοὶ δὲ δοκεῖ τὰ πράγματα οὕτως ἔχειν. ὥσπερ ὅταν ἡλίου καθαρῶς ἐπιλάμποντος, σκοτεινὸς ἀὴρ ἄφνω, ἢ ὁμίχλη ἐπιδραμοῦσα, ἐπεσκότισεν αὐτοῦ τῷ καλῷ φωτί. τούτῳ γὰρ παραπλησίως ἔχουσι τῷ λόγῳ οἱ τῆς μὲν τοῦ Θεοῦ χάριτος ἐπιτυχόντες, μήπω δὲ πρὸς ἀκρίβειαν διακαθαρθέντες, ἀλλ' ἐν τῷ βάθει ἔτι κατεχόμενοι ὄντες ὑπὸ τῆς ἁμαρτίας. ὥστε πολλῆς τινι τῆς διακρίσεως δεῖ πρὸς τὸ πεῖρᾳ ταύτῃ τῇ πλεονεξίᾳ παραλαβεῖν. ος΄.

Ὥσπερ ἀμήχανον ὀφθαλμῶν ἄνευ, ϗ γλώττης, ὤτων τε, ϗ ποδῶν· βλέπειν, ἢ λαλεῖν, ἢ ἀκούειν ὅλως, ἢ περιπατεῖν· οὕτως ἐπίσης ἀδύνατον, ἄνευ τοῦ Θεοῦ, ϗ τῆς ἐκεῖθεν διαδιδομένης ἐνεργείας, μυστηρίων κοινωνῆσαι θείων, ϗ εἰδέναι Θεοῦ σοφίαν, ἢ κατὰ Πνεῦμα πλουτεῖν. οἱ μὲν γὰρ σοφοὶ τῶν ἑλλήνων ἐν λόγοις ἀσκοῦνται, καὶ πρὸς λογομαχίας ἐκθύ- οζ΄.

μως

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μως ἠχόλευται· οἱ δὲ τοῦ Θεοῦ δοῦλοι, κἂν ἀνομίλητοι λόγῳ ὦσιν· ἀλλ' οὖν θείᾳ γνώσει, καὶ Θεοῦ χάριτι κατηρτίζονται διὰ παντός.

οη'. Πείθομαι λέγειν· φησὶν, ὅτι καὶ αὐτοῖς ἐκείνοις τοῖς Ἀποστόλοις τοῦ ἀγαθοῦ Παρακλήτου πεπληρωμένοις, οὐ μὲν οὖν καθαρῶς ὑπῆρχε φροντίδων ἀνεῖσθαι· ἀλλὰ πρὸς τῇ ἀγαλλιάσει καὶ ἀρρήτῳ χαρᾷ, καὶ φόβος τις ὕπεστιν ἐξ αὐτῆς δήπου τῆς χάριτος, οὐχὶ τοῦ τῆς κακίας μέρους ἔχων τὰς ἀφορμάς. αὐτὴ γὰρ ἡ χάρις, ἐν ἀσφαλεῖ τὰ ἐκείνων ἐτίθει, τοῦ μηδὲ πρὸς μικρὸν ἐκβῆναι τοῦ καλῶς ἔχοντος. καὶ ὥσπερ τι Παιδίον μικρᾷ ψηφίδι τεῖχος βεβληκὸς οὐδὲν ἤνυσεν. ἢ ὥς τι βέλος ἀσθενὲς θώρακα ἰσχυρὸν ἥκιστα ἂν βλάψειεν, οὕτω δὴ καὶ μέρος τι τῆς κακίας προσβάλλον αὐτοῖς, ἄπρακτόν τε, καὶ μάταιον ἀπηλέγχετο. ἅτε τῇ τοῦ Χριστοῦ δυνάμει καλῶς φραξαμένοις. πλὴν ἀλλὰ καὶ τελείοις αὐτοῖς οὖσιν ἡ τοῦ αὐτεξουσίου ἐλευθερία παρῆν, καὶ οὐχ ὥς τινες ἀνοήτως φασὶν, ὅτι μετὰ χάριν τὸ ἀπὸ τῶν φροντίδων λύσις καὶ ἄνεσις. ζητεῖ γὰρ ὁ Κύριος, κἂν τοῖς τελείοις τὸ θέλημα τῆς ψυχῆς εἰς διακονίαν τοῦ Πνεύματος, ὥστε συμβῆναι ταῦτα ἀλλήλοις. λέγει γὰρ ὁ Ἀπόστολος. τὸ Πνεῦμα μὴ σβέννυτε.

οθ'. Τὸ μὲν ἁπλῷ λόγῳ παραδιδόναι τὰ πράγματα, πρόχειρόν τι καὶ εὐπετές· ῥᾴδιον γὰρ τῷ παντὶ λέγειν, τὸν ἄρτον τοῦτον, ὑποδείγματος δὲ λόγῳ φαμὲν, ἀπὸ σίτου γεγενῆσθαι· τὴν μέντοι κατὰ μέρος αὐτοῦ κατασκευὴν ἐκθέσθαι, οὐ τοῦ παντὸς γνῶναι· ἀλλὰ μόνων ἐστὶ τῶν πεπειραμένων. οὕτω γοῦν καὶ τὸ μὲν ἁπλῶς περὶ ἀπαθείας λέγειν, καὶ τελειότητος εὔχερές· τὸ δὲ πείρᾳ, καὶ ἀληθείᾳ τὸ πρᾶγμα παραλαβεῖν, τοῦτό ἐστι τῷ ἔργῳ καὶ ἀληθείᾳ καταλαβεῖν τὴν κατασκευὴν τῆς τελειότητος.

π'. Ὅσοι λόγους πνευματικοὺς, γεύσεώς τε καὶ πείρας ἐκτὸς, φθέγγονται, τούτους ἐοικέναι· φημί· ἀνθρώπῳ θέρους ὥρᾳ, μεσημβρίας ἀκριβοῦς ἱσταμένης πεδίον ἐρημόν τι καὶ ἄνυδρον διϊόντι. εἶτα ὑπὸ πολλῆς καὶ φλογώδους τῆς δίψης, κατὰ νοῦν αὐτῷ ὑπογράφοντι πηγήν τινα ψυχρὰν ἐγγὺς οὖσαν, γλυκύ τε καὶ διειδὲς ὕδωρ ἔχουσαν, καὶ αὐτὸν οὐδενὸς εἴργοντος ἀπολαύοντα κατὰ κόρον. ἢ ἀνθρώπῳ μέλιτος μὲν, οὐδὲ βραχὺ γευσαμένῳ, ἑτέροις δὲ ὅπως ἔχει γλυκύτητος πειρωμένῳ διασαφεῖν. τοιοῦτοι γὰρ ἀληθῶς, ὅσοι μὴ ἔργῳ καὶ πληροφορίᾳ τῇ ἑαυτῶν, τὰ περὶ τελειότητός τε, καὶ ἁγιασμοῦ, καὶ ἀπαθείας παραλαβόντες ἑτέροις εἰσηγεῖσθαι βούλονται. καὶ γὰρ εἰ δώῃ Θεὸς μικράν τινα τῶν παρ' αὐτῶν λεγομένων λαβεῖν αἴσθησιν, εἴσονται πάντως, ὅτι μὴ κατὰ τὴν ἐκείνων εἰσήγησιν, ἀλλὰ πολλῷ τῷ διαφέροντι τὰ τῆς ἀληθείας ἔχει, καὶ τῶν πραγμάτων. κινδυνεύει γάρ πως ὁ Χριστιανισμὸς τοῦ εἰκότος κατὰ μικρὸν παρεκφέρεσθαι, καὶ ποιεῖν ἀθεΐαν. καὶ ἔοικεν ὁ Χριστιανισμὸς, οἱονεὶ βρῶσίς τις εἶναι, καὶ πόσις, καὶ ὅσῳ τις αὐτῷ κέχρηται, τοσούτῳ καὶ πρὸς πλείονα τὴν ἐπιθυμίαν ἀνάπτεται, καὶ γίνεται αὐτῷ ὁ νοῦς, ἀκόρεστός τε καὶ ἀνεπίσχετος, ὡς εἴ τις διψῶντι πόμα ἡδὺ παρασχὼν, παρασκευάσειε τοῦτον, οὐχ ὑπὸ τῆς δίψης μόνης, ἀλλὰ καὶ ὑπ' αὐτῆς ἔτι τῆς ἡδονῆς, λαβρότερόν πως προσκεῖσθαι τῷ πινομένῳ. ταῦτα δὲ ὥσπερ εἴρηται, οὐ λόγοις ψιλοῖς μόνοις νοοῦμεν, ἀλλ' ἐργασίᾳ Πνεύματος Ἁγίου ἐν μυστηρίῳ κατὰ νοῦν ἐπιτελούμενά ἐστι, καὶ λέγεται οὕτως.

πα'. Τὸ μὲν Εὐαγγέλιον, φησὶν, ἀποφαντικῶς διακελεύεται παντὶ ἀνθρώπῳ, τόδε μὴ ποιεῖν, ἢ ποιεῖν, ὥστε φίλον γενέσθαι τῷ φιλανθρώπῳ Βασιλεῖ. μὴ ὀργισθῇς γάρ· φησι. μὴ ἐπιθυμήσῃς. ἐὰν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. ὁ δὲ Ἀπόστολος κατὰ πόδας τῶν ἐπιτεταγμένων ἐλθὼν, καὶ ὅπως χρὴ κατὰ μικρὸν γενέσθαι τὸ τῆς καθάρσεως ἔργον, ὅτι μεθ' ὑπομονῆς, καὶ μακροθυμίας, ἐκπαιδεύει. πρῶτα μὲν γαλακτοτροφῶν ὡς νηπίους. εἶτα φέρων εἰς αὔξησιν, καὶ αὖθις εἰς τελειότητα. οἷον, ὡς ἐν παραδείγματι φάναι, τὸ μὲν Εὐαγγέλιον, τέλειος, ἐξ ἐρίου εἶπε· γινέσθω χιτών. ὁ δὲ Ἀπόστολος, καὶ πῶς δεῖ ξαίνεσθαι τοῦτο, ὑφαίνεσθαί τε, καὶ κατασκευάζεσθαι τὸν χιτῶνα καλῶς διεσάφησεν.

πβ΄. Εἰσί τινες πορνείας μὲν τῆς φαινομένης, καὶ κλοπῆς, καὶ πλεονεξίας, καὶ τῶν ὁμοίων ἀπεχόμενοι μοχθηρῶν. καὶ κατὰ τοῦτο, ἐγκαλοῦντες τοῖς Ἁγίοις· πολλοῦ δὲ δέουσι τῶν πραγμάτων, γίνεσθαι καὶ τῆς ἀληθείας. οἰκουρεῖ γὰρ ἐν τῷ τοιούτῳ τόπῳ ἡ κακία πολλάκις, ζῇ τε, καὶ ἕρπει, καὶ οὔπω ἀπολιποῦσα τούτους οἴχεται. Ἅγιος δὲ ἐστὶν, ὁ ἁγιασθεὶς, καὶ τὸν ἔσω τέλεον διακαθαρθεὶς ἄνθρωπον. καὶ γάρ τις τῶν ἀδελφῶν, ἀδελφοῖς τισι συνευχόμενος, πρὸς τῆς θείας διηχμαλωτίσθη δυνάμεως, καὶ ἁρπαγεὶς εἶδε τὴν ἄνω πόλιν Ἱερουσαλὴμ, καὶ τὰς ἐκεῖ φωτεινὰς οἰκίας, καὶ φῶς ἄπειρον, καὶ ἀπόρρητον. ἤκουσέ τε φωνῆς λεγούσης, τοῦτον εἶναι τὸν τόπον τῆς τῶν δικαίων ἀναπαύσεως· εἶτα φυσιωθεὶς καὶ μεγάλα περὶ ἑαυτοῦ οἰηθεὶς, βάθει κατέπεσεν ἁμαρτίας, καὶ πολλοῖς ὕστερον ἑάλω κακοῖς. εἰ οὖν οὗτος, οὕτως; πῶς γε τῷ τυχόντι δυνατὸν λέγειν. ὡς ἐπεὶ νηστεύω, καὶ ξενιτεύω, ψωμίζω τε τὰ ὑπάρχοντα, καὶ ἀπὸ τῶν εἰρημένων ἐφυλαξάμην κακῶν, καὶ οὐδέν ἐστι τὸ λειπόμενον, Ἅγιον κἀμὲ εἶναι. καὶ γὰρ οὐχ ἡ τῶν φαινομένων κακῶν ἀποχὴ, τελειωτής ἐστιν, ὥσπερ εἴρηται· ἀλλ' ἡ κατὰ διάνοιαν κάθαρσις, αὕτη τελεία.

πγ΄. Εἴσελθε· φησίν· ὁ ταῦτα ὑπολαμβάνων διὰ τῆς τῶν λογισμῶν σου ἐπιστασίας, καὶ πρὸς τὸν αἰχμάλωτον, καὶ δοῦλον τῆς ἁμαρτίας σου νοῦν διάκυψον, καὶ ἴδε, καὶ τὸν ἔτι τούτου κατώτερον καὶ βαθύτερόν σου τῶν λογισμῶν τὸν εἰς τὰ λεγόμενα τῆς ψυχῆς σου ταμεῖα ἐμφωλεύοντα ὄφιν, καὶ ἀνερεύνησε διὰ τῶν κρυφιωτάτων τῆς ψυχῆς σου μελῶν· ἄβυσσος γὰρ ἀκατάληπτος ἀληθῶς ἡ καρδία. εἰ οὖν τοῦτον ἀνεῖλες, εἰ τὴν ἀνομίαν τὴν ἐν σοὶ πᾶσαν ἐξεκάθηρας, καὶ τὴν ἁμαρτίαν ἐκβέβληκας, καύχησαι περὶ καθαρότητος ἐν Θεῷ. εἰ δ' οὖν ἀλλὰ ταπεινωθεὶς, ὡς ἐνδεής τε, καὶ ἁμαρτωλὸς ἔτι, πρόσελθε ὑπὲρ τῶν κρυφίων σου δεόμενος τοῦ Χριστοῦ. πᾶσα γὰρ παλαιὰ, καὶ νέα γραφὴ περὶ καθαρότητος φαίνεται διαλεγομένη, καὶ παντὶ ἀνθρώπῳ καὶ Ἰουδαίῳ, καὶ Ἕλληνι ὑπέρτατα τὰ τῆς καθαρότητος, κἂν μὴ πᾶσιν ἀνύσιμα. γενέσθαι δὲ τοῦτο τὴν τῆς καρδίας φημὶ καθαρότητα, οὐ δυνατὸν ἄλλως, ὅτι μὴ διὰ Ἰησοῦ μόνου. αὐτὸς γὰρ ἡ ἐνυπόστατός τε, καὶ ὄντως ἀλήθεια. καὶ δίχα ταύτης τῆς ἀληθείας, ἀμήχανον, ἢ ἀλήθειαν γνῶναι, ἢ σωτηρίας ἐπιτυχεῖν.

## Τοῦ αὐτοῦ περὶ ἀγάπης.

πδ΄. Ὥσπερ ἐν τοῖς φαινομένοις τούτοις τὸν ἐκτὸς ἀπετάξω ἄνθρωπον, ἐψώμισάς τε τὰ ὄντα, καὶ διεσκόρπισας, οὕτως ἀποτάξασθαί σε ταῖς τῶν ἠθῶν προλήψεσι χρή· καὶ εἰ σοφίαν ἔμαθες σαρκικὴν, ἢ γνῶσιν ἔχεις πραγμάτων, ἄρνησαι ταύτην. εἰ δικαιώμασι πέποιθας σαρκὸς, ἀπόστηθι τούτων, ταπεινῶν σεαυτὸν καὶ κατασμικρύνων. οὕτω γὰρ καὶ δυνήσῃ τῇ τοῦ κηρύγματος μωρίᾳ, μαθητευθῆναι. ἐν ταύτῃ δὲ τὴν ἀληθινὴν εὑρήσεις σοφίαν, οὐκ ἐν λόγοις κεκομψευμένοις, ἀλλ' ἐν τῇ τοῦ Σταυροῦ δυνάμει. τούτοις ἐνεργούμενος ἐν ὑποστάσει τοῖς καταξιωθεῖσι ταύτην κτήσασθαι.

σασθαι. ὁ γὰρ Σταυρὸς, φησὶν ὁ Παῦλος, τοῦ Χριστοῦ τοῖς μὲν Ἰουδαίοις, σκάνδαλον, Ἕλλησι δὲ, μωρία. ἡμῖν δὲ τοῖς σωζομένοις, Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία.

πε΄. Εἰ καὶ ἔλαβες· φησὶ· γεῦσιν ἐξ οὐρανοῦ, εἰ καὶ μετέχεις ἐκείνης τῆς σοφίας, καὶ ἀνάπαυσιν ἔχεις ἐν τῇ ψυχῇ σου, μηδ᾽ οὕτως ἐπαίρου, μηδὲ ὡς ἐφθακὼς ἤδη, καὶ πᾶσαν καταλαβὼν τὴν ἀλήθειαν τεθαῤῥηκὼς ἔσο· μὴ καὶ σὺ ἀκούσῃς. ἤδη κεκορεσμένοι ἐστὲ, ἤδη πεπλουτήκατε· χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν. ἀλλὰ καὶ γευσάμενος, ὡς μήπω τοῦ Χριστιανισμοῦ ἁψάμενος εἶναι νόμιζε· καὶ μὴ ἐξ ἐπιπολῆς ἔστω σοι τοῦτο, ἀλλ᾽ ὡς ἐμπεφυτευμένον διαπαντὸς ὂν καὶ κεκυρωμένον τῇ διανοίᾳ σου.

πς΄. Ὥσπερ τις φιλόπλουτος, κἂν μυρία συναγαγὼν χρήματα ᾖ, οὔπω διακορὴς γίνεται, ἀλλὰ τὸ καθ᾽ ἡμέραν προστιθέμενον, αὔξησιν ποιεῖται μᾶλλον τῆς ἐπιθυμίας τοῦ πλείονος. ἢ καθάπερ τις ποτιμὸς ἡδυπότης πρὸ τοῦ κόρου διασπασθεὶς, τὴν δίψαν μᾶλλον ἐξέκαυσεν. οὕτω δὴ καὶ ἡ τοῦ Θεοῦ γεῦσις παντὸς οὐκ οἶδε κόρον δηλονότι, ἢ τέλος. ἀλλὰ καὶ ὅσῳ πλουτεῖ τις τουτονὶ τὸν πλοῦτον, πένητα ἑαυτὸν εἶναι κατανοεῖ. οἱ δὲ Χριστιανοὶ, οὐκ ἔχουσι παρ᾽ ἑαυτοῖς τιμίαν τὴν ἰδίαν ψυχὴν, ἀλλ᾽ ὥς τινες τῶν ἀκριβῶς ἐξουδενωμένων μᾶλλον παρὰ Θεῷ διάκεινται, δούλους τε πάντων ἀνθρώπων ἑαυτοὺς εἶναι λογίζονται. ἐπὶ ταύτῃ πολλὰ χαίρει ὁ Θεὸς, καὶ ἐπαναπαύεται τῇ ψυχῇ, διὰ τὴν ἑαυτῆς ταπείνωσιν. εἰ δὲ καὶ ἔχει τί ἐστι ἢ καὶ πεπλούτηκε, μὴ παρὰ τοῦτο οἰηθῇ, εἶναί τι, ἢ ἔχειν τι. ἡ γὰρ οἴησις βδέλυγμα Κυρίῳ. καὶ αὕτη ἀπ᾽ ἀρχῆς ἐκβέβληκε τοῦ Παραδείσου τὸν ἄνθρωπον, ἀκούσαντα, ὅτι ὡς Θεοὶ ἔσεσθε, καὶ τῇ ἐλπίδι ταύτῃ τῇ ματαίᾳ ἐπιθαῤῥήσαντα. κατάμαθε πῶς ὁ Θεός σου, καὶ βασιλεὺς, ἀλλὰ καὶ Θεοῦ Υἱὸς, ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών; πῶς ἐπτώχευσε, πῶς τοῖς ἀτίμοις συνελογίσθη, πῶς πέπονθεν; εἰ δὲ καὶ ὁ Θεὸς οὕτως; ὁ αἵματι, καὶ σαρκὶ συνεστηκὼς ἄνθρωπος, ὁ γῆ, καὶ σποδὸς, οἴμοι, καὶ τὸ παράπαν ἀγαθοῦ μὴ μεταλαβὼν, ἀλλ᾽ ἀκαθαρσίᾳ ὢν, μέγα φρονεῖς καὶ ἀλαζονεύῃ; σὺ δὲ ἀλλ᾽ εἴπερ εἶ συνετὸς, καὶ ὑπὲρ αὐτοῦ τούτου μᾶλλον, ὅπερ εἴληφας ἐκ Θεοῦ, οὐκ ἐμὸν λέγε τὸ χρῆμα. παρ᾽ ἑτέρου τοῦτο ἔχω λαβών. καὶ δόξαν αὐτῷ, πάντως ἀφαιρεῖται τὸ δοθὲν ἀπ᾽ ἐμοῦ. οὕτω μὲν πᾶν ἀγαθὸν τῷ Κυρίῳ, τὸ δὲ κακὸν τῇ σεαυτοῦ ἐπίγραφε αὐθαιρεσίᾳ.

Ὅνπερ φησὶν ὁ Ἀπόστολος θησαυρὸν ἐν ὀστρακίνοις ἡμᾶς ἔχειν τοῖς σκεύεσι, τὴν ἁγιαστικὴν οἶμαι τοῦ Πνεύματος δύναμιν, ἣν ἔτι τῇ σαρκὶ περιὼν, ἄξιος κατέστη λαβεῖν. καὶ γάρ που πάλιν φησὶν ὁ αὐτός. ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις. ὁ γοῦν εὑρὼν καὶ παρ᾽ ἑαυτῷ ἔχων τὸν ἐπουράνιον τοῦτον τοῦ Πνεύματος θησαυρὸν, πᾶσαν δικαιοσύνην ἐντολῶν, πᾶσαν τὴν τῶν ἐντολῶν ἐργασίαν οὐ καθαρῶς μόνον καὶ ἀμωμήτως, ἀλλὰ καὶ πόνων ἐκτὸς, καὶ καμάτων ἀνύειν δύναται, ὅπερ οὐ ποιεῖν πρότερον, πολλοῦ γε καὶ ἔδει ποιεῖν. καὶ γὰρ οὐδὲ δύναταί τις, κἂν βούληται, τὸν καρπὸν τοῦ πνεύματος ἀληθῶς γεωργῆσαι, πρὸ τῆς τοῦ ἀγαθοῦ πνεύματος μεταλήψεως. πλὴν, ἀλλὰ καὶ βιαζέσθω πᾶς τις ἑαυτὸν ἑκάστοτε δι᾽ ὑπομονῆς εὐχῶν καὶ πίστεως, καὶ θερμῶς τοῦ Χριστοῦ δεέσθω, ὥστε τοῦ θησαυροῦ τούτου τοῦ ἐπουρανίου ἐπιτυχεῖν. καὶ τὴν πᾶσαν δικαιοσύνην, καθάπερ εἴρηται, ἐν αὐτῷ τε καὶ δι᾽ αὐτοῦ ποιεῖν δύναται καθαρῶς, καὶ τελείως, ἀμόχθως τέ φημι, καὶ ἀταλαιπώρως. πζ΄.

Οἱ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πη´. Οἱ τὸν θεῖον πλοῦτον τοῦ Πνεύματος ἐν ἑαυτοῖς ἔχοντες, ἐπειδάν τισι κοινωνῶσι λόγων πνευματικῶν, τοῦ ἰδίου ὥσπερ ἐκβάλλοντες θησαυροῦ τοῖς οἷς ὁμιλοῦσι μεταδιδόασιν. ὅσοι δὲ τοῦτον τὸν πλοῦτον ἐν μυχοῖς καρδίας οὐκ ἐθησαύρισαν, ἐξ οὗ θείων ἐνθυμημάτων καὶ μυστηρίων, λόγων τε ὑπερβαινόντων βρύει ἀγαθοσύνη, ἀλλ' ἀπανθισάμενοί τινα μόνον ἐξ ἑκατέρας γραφῆς, ἐπ' ἄκρας τῆς γλώσσης φέρουσιν, ἢ καὶ ἀνδρῶν πνευματικῶν ἀκουσταὶ γενόμενοι, τοῖς τούτων λόγοις ἐπικομπάζουσιν, ὡς ἴδια τὰ ἐκείνων προτείνοντες, καὶ πρὸς ἀλλοτρίους πόνους ὑποβαλλόμενοι, οὗτοι, τοῖς μὲν ἄλλοις, ἄπονον παρέχουσι τὴν εἰρημένων ἀπόλαυσιν. αὐτοὶ δὲ, μετὰ τὴν διάλεξιν, πτωχοῖς ὡμοιώθησαν ἐοικότες. ἅτε τῶν μὲν λόγων ἑκάστου, καθαπερεὶ πρὸς τὰ ἴδια, τὴν ἀφ' ὧν ἐλήφθη ἐπανελθόντος. ἐκείνων δὲ μὴ κεκτημένων ἴδιον θησαυρὸν, ἀφ' οὗ περ δυνατῶς εἶχον πρῶτον τε ἑαυτοὺς εὐφραίνειν, καὶ τοὺς ἄλλους τῇ μεταδόσει ὠφελεῖν. διὰ τοῦτο ζητητέον πρῶτον παρὰ Θεοῦ τὸν πλοῦτον τοῦτον τὸν ἀληθινὸν εἰσοικίσασθαι· καὶ τότε ῥᾴδιον ἡμῖν ἔσται, καὶ ἑτέρους δύνασθαι ὠφελεῖν, καὶ λόγων πνευματικῶν, καὶ μυστηρίων θείων αὐτοῖς μεταδιδόναι. οὕτω γὰρ ηὐδόκησεν ἡ τοῦ Θεοῦ ἀγαθότης παντὶ τῷ πιστεύοντι ἐγκατοικῆσαι· καὶ γὰρ, ὁ ἀγαπῶν με, φησὶν, ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου. καὶ ἐγὼ ἀγαπήσω αὐτὸν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. καὶ ἐν ἄλλοις· ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

πθ´. Οἱ τέκνα γενέσθαι Θεοῦ καταξιωθέντες, καὶ τὸν Χριστὸν ἐν ἑαυτοῖς ἐλλάμποντα ἔχοντες, ἐν ποικίλοις, καὶ διαφόροις τοῦ Πνεύματος διάγονται τρόποις, καὶ ἐν τῷ ἀφανεῖ τῆς καρδίας ὑπὸ τῆς χάριτος περιθάλπονται. ἤδη δὲ οἷον, καί τινας τῶν τοῦ κόσμου φαινομένων ἀπολαύσεων εἰς μέσον παραγαγεῖν πρὸς εἰκασίαν τῶν ἐν τῇ ψυχῇ θείων διαγωγῶν τῆς χάριτος. ἔστι γὰρ ὅτε γίνονται, καθάπερ ἔν τινι βασιλικῷ δείπνῳ εὐφραινόμενοι, καὶ ἀγαλλιῶντες, ἄφραστόν τινα, καὶ ἄφατον ἀγαλλίασιν. καὶ νῦν μὲν, ὡς νύμφη τῷ νυμφίῳ πνευματικῶς συνηδόμενοι. νῦν δὲ, ὡς ἀσώματοί τινες Ἄγγελοι ἐπὶ τοσαύτῃ τοῦ σώματος ἐλαφρίᾳ τε καὶ κουφότητί τε, ὡς μηδὲ νομίζειν σῶμα περιβεβλῆσθαι. καὶ ἄλλοτε μὲν, ὥσπερ τινὶ πότῳ εὐφραινόμενοι, καὶ μεθύοντες, μέθην ἄφραστον τὴν μυστηρίων τοῦ Πνεύματος. ἄλλοτε δὲ, κλαυθμὸς, καὶ ὀδυρμὸς αὐτοὺς ἔχει, τοὺς τῶν ἀνθρώπων ἕνεκα σωτηρίας ποτνιωμένους. ὑπὸ γὰρ τῆς θείας ἀγάπης τοῦ Πνεύματος, τῶν ἀνθρώπων πάντων περιπαιόμενοι, ὅλου τοῦ Ἀδὰμ τὸ πένθος ἀναλαμβάνουσι. καὶ ποτὲ μὲν, πρὸς τοσαύτην ἀγάπην μεθ' ἡδονῆς, οὐ λόγῳ ῥητῆς, ὑπὸ τοῦ Πνεύματος ἐξεκαύθησαν, ὡς, εἴγε δυνατὸν ὅλως ἦν, πάντα ἄνθρωπον τοῖς σπλάγχνοις ἐγκολπώσασθαι τοῖς ἰδίοις, κακοῦ διαφορὰν τὸ παράπαν ἀπὸ τοῦ ἀγαθοῦ, μὴ ποιούμενοι. ποτὲ δὲ τοσοῦτον ἑαυτοὺς ἐξευτέλισαν, ὡς μηδένα εἶναι τὸν μετ' αὐτοὺς οἴεσθαι· ἀλλὰ πάντων ἐσχάτους ἑαυτοὺς λογίζεσθαι. καὶ νῦν μὲν, ἀνεκλαλήτῳ τινὶ χαρᾷ τοῦ Πνεύματος κατεπόθησαν. νῦν δὲ καθάπερ τις τὴν ἰσχυρὰν βασιλικὴν λαβὼν πανοπλίαν, καὶ πρὸς πόλεμον κατελθὼν, τοὺς ἐναντίους κατετροπώσατο, τὸν ἴσον καὶ οὗτοι τρόπον, ὅπλοις φραξάμενοι τοῖς τοῦ Πνεύματος, πρὸς τοὺς ἀφανεῖς κατῆλθον ἐχθροὺς, καὶ τούτους, τοῖς ποσὶν ὑπέθεντο τοῖς ἰδίοις. ἄρτι μὲν, πολλή τις γαλήνη αὐτοὺς περιβάλλει, καὶ ἡσυχία, εἰρήνη τε περιθάλπει, καὶ ἡδονῇ κάτοχοι γίνονται θαυμασίᾳ. ἄρτι δὲ, συνέσει, καὶ σοφίᾳ θείᾳ, καὶ γνώσει Πνεύματος ἀνεξερευνήτῳ.

καὶ ἀ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ ἁπλῶς, τοιαῦτα πρὸς τῆς τοῦ Χριστοῦ σοφίζονται χάριτος, ἃ μηδὲ μιᾷ γλώσσῃ δύναμις ἐξειπεῖν. ἔστι δ᾽ ὅτε καὶ ὡς ἕνα τῶν πάντων αὐτοὺς ἀνθρώπων, ὄψει φαινομένους. οὕτως ἡ θεία χάρις πολυτρόπως ἑαυτὴν ἐν τούτοις ἐξαλλάττουσα καὶ ποικίλλουσα, παιδοτριβεῖν ὥσπερ, καὶ γυμνάζειν βούλεται τὴν ψυχήν, ἵνα τελείαν αὐτήν, καὶ ἄμωμον, καὶ καθαρωτάτην τῷ ἐπουρανίῳ παραστήσῃ Πατρί.

ϙ΄. Τὰ εἰρημένα ταυτὶ τοῦ πνεύματος ἐνεργήματα, μεγάλων μέτρων εἰσί, καὶ τῶν ἐγγυτάτω τῆς τελειότητος. αὗται γὰρ αἱ ποικίλαι τῆς χάριτος παρακλήσεις, διαφόρως μέν, ἀλλ᾽ οὖν γε ἀδιαλείπτως, ἐν αὐτοῖς ἀπὸ τοῦ πνεύματος ἐνεργοῦνται, ἐνεργείας ἐνέργειαν πνεύματος διαδεχομένης. ὁπότε γὰρ εἰς τὴν τελειότητά τις τοῦ πνεύματος καταντήσειε, πάντων ἀκριβῶς τῶν παθῶν ἀποκαθαρθείς, καὶ ὅλως τῷ Παρακλήτῳ Πνεύματι διὰ τῆς ἀῤῥήτου κοινωνίας ἑνωθείς, καὶ ἀνακραθείς, ἐπειδὰν καὶ αὐτή γε ἡ ψυχὴ καταξιωθείη πνεῦμα γενέσθαι, ὡς συγκραθεῖσα τῷ πνεύματι, τότε ὅλον φῶς, ὅλον πνεῦμα, ὅλον χαρά, ὅλον ἀνάπαυσις, ὅλον ἀγαλλίασις, ὅλον ἀγάπη, ὅλον σπλάγχνα, ὅλον ἀγαθότης, καὶ χρηστότης γίνεται. καὶ οἱονεὶ καταπέποται εἰς τὰς ἀρετὰς τῆς δυνάμεως τοῦ ἀγαθοῦ πνεύματος, ὡς ἐν ἀβύσσῳ θαλάσσης λίθος ὕδατι πανταχόθεν περιεχόμενος. ταύτῃ τοιγαροῦν οἱ τοιοίδε κατὰ πάντα τρόπον τῷ τοῦ Θεοῦ Πνεύματι συναφθέντες αὐτῷ τῷ Χριστῷ ἀφομοιοῦνται, τὰς ἀρετὰς τοῦ πνεύματος ἀτρέπτως παρ᾽ ἑαυτοῖς ἔχοντες, καὶ καρποὺς τοιούτους τοῖς πᾶσιν ἐπιδεικνύμενοι. ἐπεὶ γὰρ ἔνδον ἄμωμοί τε καὶ καθαροὶ τῇ καρδίᾳ διὰ τοῦ πνεύματος ἀπηρτίσθησαν, ἀμήχανοι ἔξω καρποὺς κακίας προσενεγκεῖν. ἀλλὰ πάντοτε διὰ πάντων οἱ καρποὶ τοῦ πνεύματος ἐν ἑαυτοῖς διαλάμπουσιν. αὕτη ἐστὶν ἡ προκοπὴ τῆς πνευματικῆς τελειότητος, τοῦ πληρώματος τοῦ Χριστοῦ, εἰς ἣν φθάσαι ἡμᾶς ὁ Ἀπόστολος παραινεῖ λέγων· ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Χριστοῦ. καὶ πάλιν· μέχρι καταντήσωμεν οἱ πάντες εἰς ἄνδρα τέλειον· εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

Ἔστιν ὅτε· φησίν· εἰσέρχεταί τις κλῖναι γόνυ, καὶ τούτῳ ἡ καρδία μεστὴ θείας ἐνεργείας γίνεται, καὶ ἡ ψυχή, συνευφραίνεται τῷ Κυρίῳ, καθάπερ ἤδη δεδήλωται, νύμφης τρόπον μετὰ τοῦ νυμφίου. ὁ μέγας τοῦτό φησιν Ἡσαΐας. ὃν γὰρ τρόπον εὐφραίνεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί. ἔστι δ᾽ ὅτε συνέβη μὲν ἀσχολεῖσθαι τὸν τοιοῦτον δι᾽ ὅλης ἡμέρας. κἂν δὲ μίαν ὥραν εἰς εὐχὴν ἑαυτὸν ἐπιτρέψαντα, ἁρπάζεται παρ᾽ αὐτῇ ὁ ἔσω ἄνθρωπος, καὶ κάτοχος ἀπείρῳ βάθει τοῦ αἰῶνος ἐκείνου γίνεται. ἔχει δὲ αὐτὸν ἀπόρρητός τις, καὶ ἄμετρος ἡδονή, ὡς ἐκπλήττεσθαι μὲν τὸν νοῦν μετέωρον ὅλον ὄντα, καὶ ἡρπαγμένον. λήθην δὲ ταῖς φρεσὶν ἐγγίνεσθαι κατ᾽ ἐκεῖνο καιροῦ παντὸς τοῦ ἐπιγείου τοῦδε φρονήματος. ἅτε μεστωθέντων αὐτῷ τῶν λογισμῶν, ὥσπερ εἴρηται, καὶ εἰς ἀπέραντά τε, καὶ ἀκατάληπτα πράγματα αἰχμαλώτων αὐτῷ ἀπαχθέντων, ὡς ἐν ἐκείνῃ τῇ ὥρᾳ διὰ τῆς εὐχῆς τῷ ἀνθρώπῳ γίνεσθαι συναπελθεῖν ἅμα τῇ εὐχῇ, καὶ τὴν ψυχήν. ϙα΄.

Πρὸς δέ γε τὸν ἐρωτῶντα· φησίν· εἰ πάντοτε δυνατὸν τῷ ἀνθρώπῳ τῇ τοιαύτῃ διαρκεῖν καταστάσει; ταῦτα λεκτέον. ὡς ἡ μὲν χάρις οὐκ ἔστιν ὅτε μὴ σύνεστι, καὶ ἐῤῥίζωται, καὶ ὡς φυσικόν τι πεπηγὸς ἐγγίνεται τῷ ἀνθρώπῳ, ᾧ σύνεστι. μία δὲ οὖσα αὕτη πολυτρόπως, ὡς θέλει, πρὸς τὸ τοῦ ἀνθρώπου συμφέρον, οἰκονομεῖ. ποτὲ μὲν γάρ, πλέον αὐτῷ τὸ πῦρ, ποτὲ δὲ ἀμβλύτερον ἀνακαίει. καὶ τὸ φῶς, ἔστι μὲν ὅτε, μᾶλλον ἐκ- ϙβ΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λάμπει· ἔστι δ' ὅτε, καὶ συστέλλεται, καὶ ἐπισυνάζει κατὰ θείαν πάντως οἰκονομίαν. καίτοιγε τῆς λαμπάδος ἄσβεστα καιομένης. ὅταν δὲ φαιδρυνθῇ πλέον, τότε καθάπερ ἐν μέθῃ πλείονι τῆς τοῦ Θεοῦ ἀγάπης, καὶ ὁ ἄνθρωπος ἐξετάζεται. ἔστι δ' ὅτε, καὶ αὐτὸ τὸ φῶς τὸ ἀδιαλείπτως φαῖνον ἐν τῇ καρδίᾳ, τῷ ἐνδοτέρῳ δήπου καὶ βαθυτέρῳ διανοίγει φωτί, ὥστε ὅλον τὸν ἄνθρωπον τῇ γλυκύτητι ἐκείνῃ, καὶ θεωρίᾳ καταποθέντα, μηκέτι ἐν ἑαυτοῦ εἶναι, ἀλλ' ὡς μωρόν τε, καὶ βάρβαρον ὑπεῖναι τοῦ κόσμου, διὰ τὴν ὑπερβάλλουσαν, καὶ ἣν πλουτεῖ ἐν τῇ ψυχῇ ἀγάπην, καὶ ἡδονήν, καὶ τὸ βάθος ὧν ἠξίωται κοινωνεῖν μυστηρίων. καὶ συμβαίνει πολλάκις, κατ' ἐκεῖνον μὲν τὸν καιρόν, τῶν τελείων αὐτὸν ἐπιβῆναι μείζων, καὶ εἶναι πάσης ἁμαρτίας ἐλεύθερόν τε, καὶ ἀνεπίληπτον. μετὰ δὲ ταῦτα συσταλῆναι τρόπον τινὰ τὴν χάριν, καὶ τὸ κάλυμμα τῆς ἐναντίας ἐπιστῆναι δυνάμεως.

ϟγ'. Οἴμοι· φησίν· οὕτως τὰ τῆς χάριτος ἔχει. ὑποκείσθω γάρ σοι πρὸς δωδέκατον βαθμὸν ἀνιέναι τὴν τελειότητα. εἶναι μὲν οὖν, ὅτε καὶ τὸ μεῖζον ἐφικτὸν γίνεται. πλήν, ἀλλ' ἐνδίδωσι πάλιν ἡ χάρις, καὶ ἕνα καταβᾶσα βαθμόν, εἰς τὸν ἑνδέκατον, ὡς εἰπεῖν, ἵσταται. ἐδείχθη ἐκεῖνα δὲ τὰ θαυμάσια, καὶ ὧν πεῖραν ὁ ἄνθρωπος ἔσχεν ἐκεῖνος· εἰ τὸν ἴσον αὐτοῦ τρόπον εἶχε ταῦτα διαπαντός, οὐκ ἂν οὐδὲ δυνατὸν αὐτοῦ ἦν, τὴν οἰκονομίαν, καὶ τὸ βάρος ὑπιέναι τοῦ λόγου. οὔτε μὴν ἀκούειν τι, ἢ λέγειν, ἢ καὶ περί του, κἂν τὸ βραχύτατον, μεριμνᾷν, ὅτι μὴ κεῖσθαι μόνον, μιᾶς γωνίας ἐπειλημμένον, μετέωρον, καὶ μεμεθυσμένον. ταύτητοι καὶ τὸ τέλειον αὐτοῦ μεῖζον οὐ παρεσχέθη· ἵνα καὶ τῇ τῶν ἀδελφῶν προνοίᾳ, καὶ τῇ τοῦ λόγου διακονίᾳ καιρὸν ἔχῃ σχολάζειν.

Ἀκούοντες· φησι· τοῦ λόγου τῆς βασιλείας, καὶ πρὸς δάκρυα καταγόμενοι, μὴ τοῖς ἡμετέροις τούτοις ἐναπομείνωμεν δάκρυσι, μηδὲ τῇ ἡμῶν ἀκοῇ ὡς καλῶς ἀκούσαντες, μηδὲ τοῖς ὀφθαλμοῖς ὡς καλῶς ἰδόντες, καὶ ἀρκούντως ἔχειν ἑαυτοῖς λογισώμεθα. καὶ γάρ εἰσιν ἕτερα ὦτα, καὶ ἕτεροι ὀφθαλμοί, καὶ κλαυθμοὶ ἕτεροι, ὡς δὲ καὶ διάνοια, καὶ ψυχὴ ἑτέρα· ὅπερ ἐστὶν αὐτὸ τὸ θεϊκὸν Πνεῦμα καὶ ἐπουράνιον, τὸ ἀκοῦόν τε, καὶ κλαῖον, δεχόμενόν τε, καὶ γινῶσκον, καὶ τὸ τοῦ Θεοῦ θέλημα ἐν ἀληθείᾳ ποιοῦν. ἐπεὶ καὶ τοῖς Ἀποστόλοις ὁ Κύριος τὴν μεγίστην ἐπαγγελλόμενος τοῦ Πνεύματος δωρεάν· ὑπάγω, ἔλεγεν, ὁ δὲ Παράκλητος τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα. καὶ πάλιν ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν· ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. ὅταν δὲ ἔλθῃ ἐκεῖνος τὸ Πνεῦμα τῆς ἀληθείας ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. ἐκεῖνος οὖν προσεύξεται, καὶ ἐκεῖνος κλαύσεται. τὸ γὰρ τί προσευξόμεθα, φησὶν ὁ θεῖος Ἀπόστολος, καθ' ὃ δεῖ, οὐκ οἴδαμεν. ἀλλ' αὐτὸ τὸ Πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις. αὐτῷ γὰρ τῷ Πνεύματι μόνῳ, τὸ τοῦ Θεοῦ θέλημα δῆλόν ἐστι. τὰ γὰρ τοῦ Θεοῦ, φησίν, οὐδεὶς οἶδεν, εἰμὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. ἐπεὶ καὶ κατὰ τὴν ἐπαγγελίαν ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς, τοῦ Παρακλήτου ἐπιφοιτήσαντος, καὶ τῆς δυνάμεως τοῦ ἀγαθοῦ Πνεύματος ταῖς ψυχαῖς τῶν Ἀποστόλων ἐνσκηνωσάσης, τὸ μὲν τῆς κακίας κάλυμμα εἰσάπαν αὐτῶν ἀφῃρέθη, τὰ πάθη δέ, κατηργήθη, καὶ τὰ τῆς καρδίας αὐτῶν ἀπεκαλύφθησαν ὄμματα. καὶ τότε λοιπόν, σοφίας πλησθέντες, καὶ τέλειοι καταστάντες ὑπὸ τοῦ Πνεύματος, δι' ἐκείνου μὲν καὶ τὸ τοῦ Θεοῦ θέλημα ποιεῖν ἔγνωσαν, δι' ἐκείνου δὲ καὶ πρὸς πᾶσαν ἀλήθειαν ϟδ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐχειραγωγήθησαν, ἡγεμονεύσαντός τε, καὶ βασιλεύσαντος αὐτοῖς τῶν ψυχῶν. ὅταν οὖν καὶ ἡμῖν ἐπακούσι τῷ λόγῳ τοῦ Θεοῦ, κλαίειν ἐπέρχηται, δεηθῶμεν Χριστοῦ, πίστει ἀνενδοιάστῳ ἐλεύσεσθαι πρὸς ἡμᾶς, ἐλπίσαντες, τὸ ἀληθῶς ἀκοῦον καὶ προσδεχόμενον Πνεῦμα κατὰ τὸ τοῦ Θεοῦ θέλημα καὶ τὴν βούλησιν.

ϟε. Τὸ πρᾶγμα οὕτως ἔχειν οἶμαι, φησίν, ἐπίκειταί τις οἷα γνοφώδης δύναμις ἐπικαλύπτουσα ἐλαφρῶς τὸν νοῦν, ὡς ἀήρ τις λεπτός. καίτοι δὲ τῆς λαμπάδος, ἀείποτε καιομένης, καὶ φαινούσης, καθάπερ εἴρηται. ἀλλὰ τῷ φωτὶ ἐκείνῳ ὡς κάλυμμά τι ἐπίκειται ταύτῃ, οὐδὲ ἔξαρνός ἐστιν ὁ πιστός, μὴ εἶναι τέλειος, μηδὲ τὸ ὅλον ἐλεύθερος ἐκ τῆς ἁμαρτίας· ἀλλ' οἷον εἰπεῖν, ἐλεύθερός τε, καὶ οὐκ ἐλεύθερος. τοῦτο δὲ οὐκ ἀθεεὶ πάντως. ἀλλὰ κατ' οἰκονομίαν γίνεται θείαν. καὶ ποτὲ μέν, διαλύεταί τε, καὶ θραύεται ἐκεῖνο τὸ μεσότοιχον τοῦ φραγμοῦ. ποτὲ δέ, τὸ σύμπαν οὐ διαλύεται· οὐδὲ διαπαντὸς ἐπίσης ἔχει τὰ τῆς εὐχῆς. ἀλλ' ἔστι μὲν ὅτε, πλέον ἡ χάρις ἀνάπτεται, καὶ παρακαλεῖ, καὶ διαναπαύει. ἔστι δ' ὅτε, στυγνοτέρα, καὶ ὑφειμένη γίνεται, καθὼς αὐτὴ ἡ χάρις πρὸς τὸ συμφέρον τῷ ἀνθρώπῳ οἰκονομεῖ, ὅμως εἰσῆλθον εἰς τὸ τέλειον μέτρον ἔν τισι καιροῖς, καὶ ἐγευσάμην, καὶ πεῖραν ἔχω ἐκείνου τοῦ αἰῶνος· οὔπω δὲ οὐδένα εἶδον Χριστιανὸν τέλειον, ἢ καθάπαξ ἐλεύθερον. ἀλλὰ καὶ διαναπαύεταί τις ἐν τῇ χάριτι, καὶ μυστηρίων, καὶ ἀποκαλύψεων ἀξιοῦται, καὶ κοινωνὸς γίνεται, καὶ εἰς ἡδύτητα πολλὴν τῆς χάριτος εἴσεισι· καὶ ἡ ἁμαρτία πάλιν ἔνδον αὐτῷ σύνεστιν. οἱ δὲ τοιοῦτοι, διὰ τὴν ὑπερβάλλουσαν χάριν, καὶ τὸ ἐλλάμπον αὐτοῖς φῶς, κατά γε ἀπειρίαν φημί, τέλειοί τε, καὶ ἐλεύθεροι ἔδοξαν εἶναι. ἐγὼ δέ, ὡς εἴρηται, οὔπω οὐδένα εἶδον ἀκριβῶς ἐλεύθερον. ἐπειδὴ κἀμοὶ μερικῶς ἐν καιροῖς τισιν ἐξεγίνετο εἰς ἐκεῖνο τὸ μέτρον, ὃ λέλεκται, εἰσελθεῖν, καὶ οἶδα καταμαθὼν ὁποῖός τις ὁ τέλειος ἄνθρωπός ἐστιν.

Ἐπειδὰν ἀκοῦσαί σοι γένοιτο περὶ κοινωνίας νυμφίου τε, καὶ νύμφης, καὶ χορῶν, καὶ ἤχων, καὶ ἑορτῶν, μηδὲν ὑλικόν, μηδὲ πρόσγειον ἐννοήσῃς. καὶ γὰρ εἰς ὑπόδειγμα μόνον συγκαταβατικῶς ταῦτα παραλαμβάνεται· ἐπεὶ ἐκεῖνα ἄρρητά τέ ἐστι, καὶ πνευματικά, καὶ ὀφθαλμοῖς τοῖς σαρκικοῖς ἄψαυστα. ψυχαῖς δὲ ἁγίαις, καὶ πισταῖς, πρὸς κατάληψιν ἔρχεται ταῦτα. αὕτη τε ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος, καὶ οἱ ἐπουράνιοι θησαυροί, οἱ χοροί τε, καὶ ἑορταὶ τῶν Ἁγίων Ἀγγέλων, τῷ πεῖραν λαβόντι μόνῳ, καταφανῆ γίνονται, ἀμυήτῳ δέ, οὐδὲ ἐννοῆσαι δυνατὸν τὸ παράπαν. εὐλαβῶς οὖν περὶ αὐτῶν ἄκουε, μέχρις ἂν καὶ σοὶ γένοιτο, πιστεύοντι, καταξιωθῆναι τῶν τοιούτων τυχεῖν· καὶ τότε εἴσῃ αὐτῇ πείρᾳ τῶν ὀφθαλμῶν τῆς ψυχῆς, οἵων ἀγαθῶν τε, καὶ μυστηρίων ψυχαὶ Χριστιανῶν κἀνταῦθα κοινωνεῖν δύνανται. ἐν γὰρ τῇ ἀναστάσει, καὶ αὐτὸ τὸ σῶμα τῶν αὐτῶν τυχεῖν ἀξιωθήσεται, βλέπον τε αὐτά, καὶ οἱονεὶ κρατοῦν, ὁπόταν καὶ αὐτὸ γένηται πνεῦμα. ϟς.

Τὰ ἴδια τῆς ψυχῆς ἡμῶν κάλλη, καὶ οἱ ἀγαθοὶ καρποί, ἤτοι εὐχή, ἀγάπη, πίστις τε, καὶ ἀγρυπνία, καὶ νηστεία, καὶ τἄλλα τῶν ἀρετῶν ἐπιτηδεύματα, ἐπειδὰν μιγοῖεν, καὶ κοινωνήσοι τῆς τοῦ Πνεύματος κοινωνίας, τότε καὶ αὐτὰ καθαπερεὶ θυμίαμά τι πυρὶ βληθέν, πλουσίαν ἀποδίδωσι τὴν εὐωδίαν. ἀλλὰ καὶ ἡμῖν γίνεται ῥᾴδιον ἀκολούθως τῷ θελήματι πολιτεύεσθαι τοῦ Θεοῦ. ὡς ἄνευ Πνεύματος τοῦ Ἁγίου, καθάπερ ἤδη καὶ πρότερον εἴρηται, μηδενὶ δυνατὸν ὄν, συνιέται τὸ τοῦ Θεοῦ θέλημα. ὥσπερ γὰρ αὐ- ϟζ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δεῖ πρὸς γάμον συνιοῦσα γυνή, πρότερον μέν, ἢ συναφθῆναι, γνώμῃ τῇ ἰδίᾳ στοιχεῖ, καὶ θελήμασι τοῖς ἑαυτῆς κέχρηται, ἐπειδὰν δὲ συνέλθῃ καθ' ἕν, ὑπ' ἐκείνῳ ἡγεμόνι τὸ σύνολον ζῇ, τοῦ πρὸς ἑαυτὴν ὁρᾶν, ἀφειμένη. τὸν αὐτὸν δὲ τρόπον καὶ ψυχή, ἔχει μὲν ἴδιόν τι θέλημα, καὶ ἰδίους νόμους, καὶ ἔργα ἴδια. ἐπειδὰν δὲ ἀξία γένηται τῷ ἐπουρανίῳ ἀνδρὶ Χριστῷ συνελθεῖν, ὑποτάσσεται τῷ νόμῳ τοῦ ἀνδρός, οὐκ ἔτι τῷ ταύτης θελήματι, ἀλλὰ τῷ τοῦ ταύτης νυμφίου ἑπομένη Χριστοῦ.

ϟή. Τὸ τοῦ γάμου ἔνδυμα, περὶ οὗ τὰ θεῖα Χριστοῦ διαλαμβάνει λόγια, τὴν τοῦ Ἁγίου Πνεύματος εἶναι χάριν ἡγοῦ. ἣν ὁ μὴ ἐνδύναι γεγονὼς ἄξιος, τοῦ ἐπουρανίου γάμου, καὶ τοῦ δείπνου ἐκείνου τοῦ πνευματικοῦ κοινωνὸς οὐκ ἔσται.

ϟθ'. Θῶμεν σπουδὴν τοῦ πνευματικοῦ καὶ θείου πιεῖν οἴνου, καὶ μεθυσθῆναι μέθην νηφάλιον. ἵν' ὥσπερ οἱ οἴνου διακορεῖς λαλίστεροι γίνονται, οὕτω καὶ ἡμεῖς τοῦ πνευματικοῦ τούτου διάπλεῳ γεγονότες οἴνου, μυστηρίων θείων λαλήσωμεν διηγήματα. καὶ τὸ ποτήριόν γάρ σου· φησὶν ὁ θεῖος Δαβίδ. μεθύσκοιμε, ὡσεὶ κράτιστον.

ρ'. Αὕτη ἐστὶν ἡ πτωχὴ τῷ πνεύματι ψυχή, ἥτις ἐπιγινώσκει μὲν τὰ ἑαυτῆς τραύματα, ἐπιγινώσκει δὲ τὸ περιέχον αὐτὴν τῶν παθῶν σκότος· καὶ τὴν ἀπὸ Κυρίου διαπαντὸς ἐπιζητεῖ λύτρωσιν. ἣ φέρει μὲν πόνους· ἐπ' οὐδενὶ δὲ τῶν ἐπὶ γῆς ἀγαθῶν χαίρει· ἀλλὰ τὸν καλὸν μόνον ἰατρὸν ἐκζητεῖ, καὶ τῇ αὐτοῦ πέποιθε θεραπείᾳ. πῶς οὖν ἡ τετραυματισμένη αὕτη ψυχή, καλὴ καὶ εὐπρόσωπος ἔσται; καὶ πρὸς συμβίωσιν ἁρμόζουσα τῷ Χριστῷ; πῶς ἄλλως, ἢ κατὰ τὴν ἀρχαίαν αὐτῆς κτίσιν, καὶ τὴν σαφῆ τῶν οἰκείων τραυμάτων, καὶ τῆς πτωχείας ἐπίγνωσιν. εἰ γὰρ οἷς ἔχει τραύμασί τε, καὶ μώλωψι τῶν παθῶν μὴ συνίδεται, μηδὲ συνηγορεῖ τοῖς σφάλμασιν, οὐ λογίζεται αὐτῇ τὴν ἀμορφίαν ὁ Κύριος, ἀλλ' ἐλθὼν ἰᾶται, καὶ θεραπεύει, καὶ ἀπαθῆ αὐτήν, καὶ ἀφθορόν τι κάλλος ἀποκαθίστησι· μόνον αὐτή, προαιρέσει, μὴ κοινωνείτω τοῖς πραττομένοις, καθάπερ εἴρηται, μηδὲ τοῖς ἐνεργουμένοις συνευδοκείτω πάθεσιν. ἀλλ' ὅλῃ δυνάμει πρὸς Κύριον ἐκβοάτω, ἵνα διὰ τοῦ ἀγαθοῦ Πνεύματος αὐτοῦ τῆς ἐλευθερίας πάντων ἀξιωθῇ τῶν παθῶν. αὕτη μὲν οὖν ἡ ψυχή, μακαρία, οὐαὶ δὲ τῇ μὴ συναίσθησιν δεχομένῃ τραυμάτων, μηδὲ ἔχειν τι κακίας, διὰ πολλὴν καὶ ἄμετρον οἰομένῃ κακίαν, καὶ πώρωσιν. ταύτην γὰρ οὐδὲ ὁ ἀγαθὸς ἐπισκέπτεται ἰατρός, οὐδὲ θεραπεύει, ὅτι μηδὲ ἐπιζητεῖ αὐτόν, μηδὲ μέλει αὐτῇ τῶν τραυμάτων, ὥστε καλῶς ἔχειν, καὶ ὑγιῶς ἡγουμένη. οὐ γὰρ χρείαν ἔχουσι, φησιν, οἱ ὑγιαίνοντες ἰατροῦ· ἀλλ' οἱ κακῶς ἔχοντες.

Μακάριοι τοίνυν, καὶ ζηλωτοὶ τοῦ βίου ρα'.
καὶ τῆς ὑπερφυοῦς ἀπολαύσεως, ὅσοι διὰ θερμῆς πίστεως, καὶ φιλαρέτου διαγωγῆς τῶν ἐπουρανίων τοῦ Πνεύματος μυστηρίων, πείρᾳ καὶ αἰσθήσει τὴν γνῶσιν εἰλήφασι, καὶ τὸ πολίτευμα ἐν οὐρανοῖς ἔχουσιν· οὗτοι καὶ συμπάντων κρείττους ἀνθρώπων εἰσί· καὶ φανερὰ ἡ ἀπόδειξις. τίνι γὰρ τῶν δυνατῶν, ἢ σοφῶν, ἢ φρονίμων ἀνελθεῖν εἰς τὸν οὐρανὸν ὑπῆρξεν, ἔτι στρεφομένῳ περὶ τὴν γῆν; ἐκεῖ τε ἐργάσασθαι ἔργα πνευματικά, καὶ τὰ κάλλη τοῦ Πνεύματος κατοπτεῦσαι; νυνὶ δὲ πένης τις τὸ φαινόμενον, πένης ἄκρως, καὶ ἐξουδενωμένος, καὶ οὐδὲ τοῖς ἐν γειτόνων μικρῷ γνώριμος, προσπίπτων ἐπὶ πρόσωπον αὐτοῦ τῷ Κυρίῳ, ἄνεισιν εἰς τὸν οὐρανὸν ὑπὸ Πνεύματος ὁδηγούμενος, καὶ ἐν πληροφορίᾳ τῆς ἑαυτοῦ ψυχῆς, τῷ ἑαυτοῦ λογισμῷ τῶν ἐκεῖ θαυμασίων κατατρυφᾷ, ἐκεῖ τε ἐργάζεται, ἐκεῖ διαιτᾶται, ἐκεῖ τὸ πολίτευμα ἔχει, καὶ τὸν θεῖον



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἀπόστολον. ἡμῶν γὰρ τὸ πολίτευμα, φησὶν, ἐν οὐρανοῖς ὑπάρχει. καὶ πάλιν· ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. εἶτα ἐπάγει. ἡμῖν δὲ ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ. οὗτοί εἰσιν οἱ ἐν ἀληθείᾳ σοφοὶ, οἱ δυνατοὶ, οὗτοι, καὶ εὐγενεῖς, καὶ φρόνιμοι.

ρβʹ. Καὶ χωρὶς φησὶ τῶν οὐρανίων ἐκείνων, ἀπὸ τῶν παρόντων κρείττων τοὺς ἁγίους, οὐκ ἐπιδιάσεως πάντων ὑψηλοτέρους εἰπεῖν. κείσθω δὲ οὕτως. Ναβουχοδονόσορ ὁ Βαβυλώνιος ἄρξας, ὁπότε τὰ ἔθνη αὐτοῦ πάντα εἰς προσκύνησιν, ἧς ἔτυχε κατασκευάσας εἰκόνος, ἤθροιζετο. τοῦ δὲ Θεοῦ τοῦτο πάντως πανσόφως οἰκονομοῦντος, ἵνα καὶ ἡ τῶν Παίδων ἀρετὴ πᾶσι γνώριμος καταστῇ, καὶ μάθωσι πάντες, ὅτι Θεὸς ἀληθὴς εἷς, ὃς τοὺς οὐρανοὺς κατοικεῖ· τρεῖς Παῖδες, καὶ αὐτοὶ αἰχμάλωτοι καὶ τὴν ἐλευθερίαν ἀφῃρημένοι ἐπαρρησιάσαντο πρὸς αὐτὸν, καὶ πάντων, τοσούτων ὄντων, προσκυνούντων, καὶ μηδὲν μηδόλως, ἐμὴ πείθεσθαι, πλημμελούντων, ἀλλὰ … ἀφώνων, ἴσα καὶ τοῖς κτήνεσιν, … ἀπὸ τῆς ῥινός, αὐτοὶ τοσοῦτον ἀπεῖχον τοῦ τὰ ὅμοια τοῖς ἄλλοις παθεῖν, ὡς μηδ' εὐσεβοῦντας ἀγνοεῖσθαι βούλεσθαι, μηδ' ὑπομένειν λαθεῖν, ἀλλ' εἰς ἀκοὴν πάντων λέγειν· τοῖς θεοῖς σου, Βασιλεῦ, οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. τούτους εἰς τιμωρίας λόγον καὶ ἡ φοβερὰ ἐκείνη παραλαβοῦσα κάμινος, οὐ κάμινος ἦν, οὐδὲ τὴν ἑαυτῆς ἐνέργειαν ἐπεδείξατο, ἀλλ' ὥσπερ γῆν καὶ αὐτὴ διαλαβοῦσα, τούτους, ἀπαθεῖς κακῶν διεφύλαξε, καὶ πάντες, καὶ Βασιλεὺς αὐτὸς τὸν ἀληθῆ δι' ἐκείνων Θεὸν ἐπέγνωσαν. ἐκείνους, οὐχ οἱ ἐν γῇ μόνον, ἀλλὰ καὶ οἱ ἐν οὐρανοῖς χοροὶ κατεπλάγησαν. καὶ γὰρ εἰς τοὺς τῶν Ἁγίων ἀνδραγαθίας, οὐδὲ τοὺς ἐν οὐρανοῖς ἀπεῖπαι, ἀλλὰ συμφοιτᾶν ἐκείνοις, ὁ θεῖος Ἀπόστολος ἀποφαίνει, θέατρον γὰρ φησὶν· ἐγενήθημεν καὶ Ἀγγέλοις καὶ ἀνθρώποις. ἔχεις τοιαῦτα καὶ ἐπὶ Ἠλίαν ὁρᾶν; ὃς εἷς ἄνθρωπος ὢν, πρὸς πλείστους ἴσχυσε διὰ τῆς τοῦ οὐρανίου πυρὸς καταγωγῆς. ἀλλὰ καὶ Μωϋσῆς ὅλης Αἰγύπτου καὶ Φαραὼ τοῦ τυράννου περιεγένετο. τοῦτο καὶ ἐπὶ Λώτ. τοῦτο καὶ ἐπὶ Νῶε. τοῦτο καὶ ἐπὶ πολλῶν ἴδοις ἑτέρων. οἵτινες τὴν φαινομένην πολλὴν εὐτέλειαν ὑπερχόμενοι, πολλῶν ἐκράτουν ἐπισήμων, καὶ δυνατῶν.

ργʹ. Ἑκάστῳ τῶν φαινομένων ἐὰν μὴ καὶ ἑτέρα τις ξένη φύσις πρὸς βοήθειαν ἐπιγένοιτο, τὸ ὅσον καθ' ἑαυτὸ ἀνέργαστόν ἐστι, καὶ ἀκόσμητον. καὶ γὰρ ἡ τοῦ Θεοῦ ἄφραστος σοφία, μυστήρια, καὶ τύπους διὰ τῶν ὁρωμένων δείκνυσιν, ὅτι περ ἡ ἀνθρωπίνη φύσις καθ' ἑαυτὴν οὖσα τὴν ἐντελῆ τῆς ἀρετῆς διακόσμησιν, καὶ τὴν πνευματικὴν εὐπρέπειαν τῆς ἁγιωσύνης, ἐκτὸς εἰμὴ καὶ τῆς θείας ἀπολαύσαι χειρὸς, ἀδύνατός ἐστιν ἐπιδέξασθαι. εἴ οὖν ἡ γῆ καθ' ἑαυτὴν μένουσα, εἰ μὴ μετάσχοι τῆς διὰ τῶν γηπόνων ἐπιμελείας. εἶτα καὶ τὴν ἐκ τῶν ὄμβρων καὶ τοῦ ἡλίου παραδέξεται συνεργίαν, ἀνεπιτήδειός ἐστι, καὶ ἥκιστα διαρκὴς πρὸς καρπογονίαν. καὶ οἶκος δὲ πᾶς, τοῦ ἡλιακοῦ τοῦδε δεῖται φωτὸς, ὅπερ οὐκ ἔστι τῆς αὐτῆς ἐκείνῳ φύσεως. ἐπεὶ σκότους ἂν εἴη πεπληρωμένος· καὶ ἕτερα δὲ τούτοις ὁμοίως ἔχοντα, ὄψει. τὸν αὐτὸν οὖν τρόπον καὶ ἡ ἀνθρωπίνη φύσις, ἀδυνάτως καθ' ἑαυτὴν ἔχουσα τοὺς καρποὺς τῆς ἀρετῆς, τελείους ἀποδιδόναι, δεῖται τοῦ πνευματικοῦ γηπόνου τῶν ἡμετέρων ψυχῶν, τουτέστι τοῦ Πνεύματος τοῦ Χριστοῦ. ὅπερ καὶ αὐτὸ ξένον ἐστὶ τῆς ἡμετέρας ἀτεχνῶς φύσεως. κτίσμα γὰρ ἡμεῖς· τὸ δὲ, ἄκτιστον. ἵνα καὶ τῇ ἰδίᾳ τέχνῃ γεωργήσαν τῶν πι-

στῶν·

Athos Library
Αγιορειτική Βιβλιοθήκη

στῶν· φημὶ· τὰς καρδίας, τὰς ὅλῳ θελήματι ἑαυτὰς τῷ πνευματικῷ γεωργῷ παραδούσας, τελείως τοὺς καρποὺς τοῦ Πνεύματος ἀποδοῦναι παρασκευάσῃ, λάμψητε τὸ ἑαυτοῦ φῶς ἐν τῇ ἐσκοτισμένῃ τοῖς πάθεσι τῆς ψυχῆς ἡμῶν οἰκίᾳ.

ρδ'. Διπλοῦς ἐστι τοῖς Χριστιανοῖς ὁ πόλεμος, καὶ διπλῆ ἡ πάλη· πρός τε τὰ ὁρώμενα τῷ ὀφθαλμῷ τούτῳ. ὑπερεθίζει γὰρ ταῦτα, καὶ διαγαργαλίζει, καὶ παρακαλεῖ τὴν ψυχὴν προσπάσχειν αὐτοῖς, καὶ συνήδεσθαι. εἶτα καὶ πρὸς τὰς τοῦ δεινοῦ κοσμοκράτορος ἀρχὰς, καὶ τὰς ἐξουσίας.

ρε'. Ἡ δόξα Μωσέως, ἣν ἐπὶ τοῦ προσώπου εἶχε, τύπος τῆς ἀληθοῦς δόξης τοῦ Παναγίου Πνεύματος ἦν. ὃν γὰρ τρόπον ἐκεῖ, πᾶς ὅστις ἀτενίσαι ἤθελεν ἀδυνάτως ἦν, οὕτω καὶ νῦν ταύτην τὴν δόξαν τὴν ψυχαῖς Χριστιανῶν ἐπιλάμπουσαν τὸ τῶν παθῶν σκότος οὐχ ὑπομένει. ἀλλ' ὑπὸ τῆς αὐγῆς ταύτης ἀποδιωκόμενον, φυγαδεύεται.

ρς'. Τῷ φιλαλήθει καὶ φιλοθέῳ Χριστιανῷ, καὶ τῆς τοῦ ἐπουρανίου γλυκύτητος γευσαμένῳ, ἔμφυτόν τε, καὶ κεκραμένην ἐν τῇ ψυχῇ κεκτημένῳ τὴν χάριν, καὶ ὅλως ἑαυτὸν τοῖς θελήμασι τῆς χάριτος ἐπιτρέψαντι, πάντα τὰ τοῦ αἰῶνος τούτου διὰ μίσους ἐστί. κρείττων γὰρ οὗτος τῶν τοῦ κόσμου καθέστηκε πάντων. κἂν χρυσὸν εἴπῃς, κἂν ἄργυρον, κἂν τιμὰς, καὶ δόξας, κἂν μακαρισμοὺς, καὶ ἐπαίνους· ὑπ' οὐδενὸς ἁλῶναι τῶν τοιούτων δύναται· καθότι πλούτου ἄλλου, καὶ τιμῆς ἄλλης, ἑτέρας τε δόξης εἰς πεῖραν ἀφῖκται, καὶ ἡδονῇ ἀφθάρτῳ τρέφεται τὴν ψυχὴν, καὶ αἴσθησιν ἔχει, καὶ πληροφορίαν πᾶσαν διὰ τῆς κοινωνίας τοῦ Πνεύματος.

ρζ'. Οὗτος, ὁπόση τῷ λογικῷ ποιμένι διαφορὰ πρὸς τὰ ἄλογα θρέμματα, τοσοῦτον ἐν συνέσει τε, καὶ γνώσει, καὶ διακρίσει, τῶν ἀνθρώπων διαφέρων ἐστί· καὶ γὰρ ἄλλου Πνεύματος, καὶ ἄλλου νοὸς, ἄλλης τε συνέσεως, καὶ σοφίας παρὰ τὴν τοῦ κόσμου τούτου μετέχει σοφίαν. σοφίαν γάρ· φησι· λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου· οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων. ἀλλὰ λαλοῦμεν σοφίαν Θεοῦ, ἐν μυστηρίῳ. διὰ ταῦτα καὶ πάντων τῶν ἀνθρώπων τὸ τοῦ κόσμου πνεῦμα ἐχόντων, καθάπερ εἴρηται, εἴτε φρονίμων, εἴτε σοφῶν, ὁ τοιοῦτος δὲ τοῖς ὅλοις διενήνοχε· καὶ πάντας μὲν ἀνθρώπους ἀνακρίνει κατὰ τὸ γεγραμμένον· ὁ τούτους γινώσκει τε ἕκαστον πόθεν τε λέγει, καὶ ποῦ ἕστηκε, καὶ ἐν ποίοις ἐστίν. αὐτὸν δὲ, οὐδενὶ τῶν ἐχόντων τὸ τοῦ κόσμου πνεῦμα διαγινώσκειν τε, καὶ ἀνακρίνειν δύναμις, ὅτι μὴ ἐκείνῳ, ᾧ τὸ ὅμοιόν ἐστι τῆς θεότητος Πνεῦμα. κατὰ τὸν θεῖον Ἀπόστολον. πνευματικοῖς πνευματικὰ συγκρίνοντες· ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστί. ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα· αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται.

Τοῦ Παναγίου δέ· φησι· τούτου Πνεύματος, ἀμήχανον ἄλλως τυχεῖν, εἰ μὴ πάν- ρη'.
των τις τῶν τοῦ αἰῶνος τούτου ξένος γενόμενος, πρὸς τὴν ζήτησιν τῆς τοῦ Χριστοῦ ἀγάπης ἑαυτὸν ἀποτάξειεν. ἵνα πασῶν τῶν κατὰ τὴν ὕλην μεριμνῶν ἀπαθὴς ὁ νοῦς, περὶ τὸν ἕνα τοῦτον σκοπὸν ἀπασχολῆται μόνον· καὶ οὕτω καταξιωθείη μετὰ Χριστοῦ εἰς ἓν Πνεῦμα γενέσθαι, ὥς φησιν ὁ Ἀπόστολος· ὁ κολλώμενος τῷ Κυρίῳ ἔσται εἰς ἓν Πνεῦμα. ψυχῇ δὲ τῇ ὅλως τινὶ τῶν τοῦ αἰῶνος τούτου συνδεδεμένῃ, καὶ πρὸς αὐτὸ ἐχούσῃ ἐπιρρεπῶς· οἷον πλούτῳ, ἢ δόξῃ, ἢ φιλίᾳ τῇ κατὰ κόσμον, οὐκ ἔσται δυνατὸν φυγεῖν, καὶ διαπεράσαι τὸ σκότος τῶν πονηρῶν δυνάμεων.

Αἱ φιλαλήθεις ψυχαὶ, καὶ φιλόθεοι, ρθ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

οὐ δὲ τὴν βραχεῖαν ὕφεσιν τοῦ πρὸς τὸν Κύριον ἔρωτος ὑπομένουσιν. ἀλλ' ὅλαι δι' ὅλου τῷ Σταυρῷ τούτῳ προσηλωμέναι, τὴν τῆς πνευματικῆς προκοπῆς αἴσθησιν ἐν ἑαυταῖς γινομένην ἐπιγινώσκουσι. τετρωμέναι γοῦν τούτῳ πόθῳ, καὶ ὡς εἰπεῖν, ἔκπεινοι οὖσαι περὶ τὴν δικαιοσύνην τῶν ἀρετῶν, καὶ τὴν τοῦ ἀγαθοῦ Πνεύματος ἔλλαμψιν, κἂν μυστηρίων ἄξιαι θείων, κἂν εὐφροσύνης ἐπουρανίου, καὶ χάριτος μέτοχοι γένωνται, οὐ πεποίθασι παρ' ἑαυταῖς, οὐ δὲ εἶναί τι οἴονται. ἀλλ' ὅσῳ χαρισμάτων ἀξιοῦνται πνευματικῶν, τοσούτῳ μᾶλλον ἀπλήστως ἔχουσαι τῶν οὐρανίων φιλοπονώτεραι ἐκζητοῦσι. καὶ ὅσῳ πνευματικῆς αἰσθάνονται προκοπῆς, τοσούτῳ δὴ καὶ λιχνότεραι πρὸς τὴν μετάληψιν τούτων γίνονται. καὶ πνευματικῶς πλουτοῦσαι, τόγε παρ' ἑαυταῖς πενομέναις ἐοίκασι, κατὰ τὴν θείαν γραφήν· οἱ τρώγοντές με, φησίν, ἔτι πεινάσουσι· καὶ οἱ πίνοντές με, ἔτι διψήσουσιν.

ρι. Αἱ τοιαῦται ψυχαὶ καὶ τῆς τῶν παθῶν ἐλευθερίας παντάπασιν ἀξιοῦνται, καὶ τὴν τοῦ θείου Πνεύματος ἔλλαμψίν τε, καὶ κοινωνίαν ἐν πληρώματι τῆς χάριτος τελείως κομίζονται. ὅσαι δὲ ὀκνηραί τε, καὶ ἀφερέπονοι, καὶ μὴ ζητοῦσαι τὸν τῆς καρδίας ἁγιασμόν, (ἐντεῦθεν, ὡς ἐν σαρκὶ ἔτι τυγχάνουσιν,) οὐκ ἐκ μέρους ἀλλ' ὁλοκλήρως δι' ὑπομονῆς δέξασθαι, καὶ μακροθυμίας. μηδὲ κοινωνῆσαι τῷ Παρακλήτῳ Πνεύματι κατὰ πᾶσαν αἴσθησιν καὶ πληροφορίαν ἠλπίκασι, καὶ δι' ἐκείνου τῶν παθῶν τῆς κακίας ἀπηλλάγησαν. αὗται, κἂν χάριτος θείας ἀξιωθῶσιν, ἀλλ' ὑπὸ τῆς κακίας κλεπτόμεναι, πάσης φροντίδος ἑαυτὰς ἀνῆκαν· ἅτε λαβοῦσαι τὴν χάριν, καὶ τῆς ἐξ αὐτῆς τυγχάνουσαι παρακλήσεως, καὶ πνευματικῆς γλυκύτητος ἀπολαύουσαι· ταύτῃ τοι καὶ ῥᾳδιαί εἰσιν οἰηθεῖσαι, μὴ συντριβόμεναι τὴν καρδίαν, μηδὲ τῷ φρονήματι ταπεινούμεναι, μηδὲ ἐκθλίψει οὖσαι, καὶ πρὸς τὸ τέλειον μέτρον τῆς ἀπαθείας κατεπειγόμεναι. ἐναπομένουσαι δὲ τῇ ὀλίγῃ ταύτῃ τῆς χάριτος παρακλήσει, καὶ εἰς ἔπαρσιν, οὐκ εἰς ταπείνωσιν προκόψασαι, μᾶλλον, καὶ ἅπερ ἠξιώθησαν χαρίσματος, ἔστιν ὅτε ἀπογυμνοῦνται. ψυχὴ γὰρ ἡ ἀληθῶς φιλόθεος, ὡς ὁ λόγος ἔφθη δηλώσας, κἂν μυρίας μετέλθῃ δικαιοσύνας, κἂν ἄκραις νηστείαις, καὶ ἀγρυπνίαις ἐκτρίψῃ τὸ σῶμα, κἂν χαρισμάτων τοῦ Πνεύματος διαφόρων, ἀποκαλύψεών τε, καὶ μυστηρίων ἀξιωθείη, οὕτως ἔχει μετρίως, ὡς μήπω τῆς κατὰ Θεὸν ἀγωγῆς ἠργμένη, μηδὲ κεκτημένη τί τῶν δεξιωτέρων, ἐρωτικῶς, καὶ ἀπλήστως πρὸς τὴν κατὰ Χριστὸν θείαν ἀγάπην διακειμένη.

Εἰς τὰ μέτρα δὲ ἐφικέσθαι ταῦτα, ρια.
οὔτε ἀθρόως, οὔτε ῥᾳδίως ἐφικτὸν οὐδενί. ἀλλὰ πολλῶν πόνων, καὶ ἀγώνων ἠγωνισμένων, χρόνων τε, καὶ σπουδῆς, μετὰ δοκιμασίας, καὶ πειρασμῶν ποικίλων, ἄχρι καὶ τοῦ τελείου· φημί· τῆς ἀπαθείας μέτρου. οὕτω γὰρ πρὸς πάντα πόνον, καὶ κόπον ἐξεταθεὶς, καὶ ὅλους τοὺς πειρασμοὺς τοὺς ὑπὸ τῆς κακίας ἐπαγομένους, εὐψύχως ὑπενεγκὼν, τότε καὶ τῶν μεγάλων τιμῶν, καὶ χαρισμάτων τοῦ Πνεύματος, καὶ τοῦ θείου πλούτου καταξιοῦται. εἶτα καὶ κληρονόμος τῆς οὐρανίου γίνεται Βασιλείας.

Ψυχὴ δὲ ἡ οὐκ ἔχουσα μὲν τὴν εἰρη- ριβ.
μένην τῆς πολιτείας ἀκρίβειαν· μήπω δὲ τοῦ ἁγιασμοῦ τοῦ ἐν καρδίᾳ τὴν αἴσθησιν δεξαμένη, πενθείτω, καὶ ζητείτω παρὰ Κυρίου θερμῶς, ἵνα τοῦ ἀγαθοῦ τούτου, καὶ τῆς ἐνεργείας τοῦ Πνεύματος, τῆς ἐν νῷ δι' ἀρρήτων θεωριῶν γινομένης ἐπιτύχῃ. ὥσπερ δὲ, κατὰ τὸν ἐκκλησιαστικὸν νόμον, οἱ σωματικοῖς ἁλόντες ἁμαρτήμασιν, ἀφορίζονται μὲν, παρὰ τοῦ Ἱερέως τὸ πρότερον. εἶτα τὴν κατὰ λό-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γον μετάνοιαν ἐπιδεδειγμένοι, καὶ τῆς κοινωνίας καταξιοῦνται. ὅσοι δὲ ἀπταίστως, καὶ καθαρῶς βεβιώκασι, προκόπτουσί τε πρὸς Ἱερωσύνην, καὶ ἀπὸ τοῦ ἐξωτέρου τόπου τὴν ἔσω τοῦ Θυσιαστηρίου μετάστασίν τε, καὶ τάξιν ἀπολαμβάνουσιν, ἵνα λειτουργοὶ, καὶ πάρεδροι τοῦ Κυρίου διατελῶσιν. οὕτω δὴ σκοπῶμεν καὶ περὶ τῆς μυστικῆς τοῦ Πνεύματος κοινωνίας, περὶ ἧς τῷ Ἀποστόλῳ εἴρηται. ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος. ὄψει σωζομένην ἀκολουθίαν. ἐνοικεῖ μὲν γὰρ ἡ θεία Τριὰς ἐν τῇ καθαρῶς ἐχούσῃ ψυχῇ, τῆς θείας χρηστότητος συνεφαπτομένης. ἐνοικεῖ δὲ οὐ καθ' ὅ ἐστιν· ἀχώρητος γὰρ, καὶ αὐτῇ πάσῃ τῇ κτίσει· ἀλλὰ καθ' ὅσον ἂν ἐπιτηδείως ἔχῃ, καὶ δεκτικῶς ὁ ἄνθρωπος. ἐπειδὰν δέ τι παρεξαπατηθῇ τῆς τοῦ Θεοῦ κατὰ γνώμην διαγωγῆς, καὶ τὸ θεῖον Πνεῦμα λυπήσειεν, ἐκβάλλεται, καὶ ἀφορίζεται τῆς πνευματικῆς εὐφροσύνης ὁ τοιοῦτος· τῆς μὲν θείας χάριτος, καὶ τῆς ἀγάπης, καὶ πάσης τῆς ἀγαθῆς τοῦ Πνεύματος ἐνεργείας συστελλομένης· ἐκείνου δὲ, θλίψεσί τε, καὶ πειρασμοῖς, καὶ πονηροῖς πνεύμασι παραδιδομένου· μέχρις ἂν πάλιν ὀρθοποδήσειεν ἡ ψυχὴ πρὸς τὴν τοῦ Πνεύματος εὐαρέστησιν. εἶτα διὰ πάσης ἐξομολογήσεώς τε, καὶ ταπεινώσεως τὴν μετάνοιαν ἐπιδειξαμένη, τότε καὶ αὖθις τῆς ἐπισκοπῆς ἀξιοῦται τῆς χάριτος, καὶ τὴν οὐράνιον εὐφροσύνην πλέον, ἢ κατὰ πρῶτον ἀπολαμβάνει. εἰ δὲ πρὸς μηδὲν τὸ Πνεῦμα λυπήσειεν, ἀλλ' ἦν ζῶσά τε εὐαρέστως, καὶ λογισμοῖς μὲν πᾶσι πονηροῖς ἀντιταττομένη, τῷ Κυρίῳ δὲ κολλωμένη διηνεκῶς, ἡ τοιαύτη δικαίως ἄρα, καὶ ἀκολούθως προκόπτει ψυχὴ, καὶ δωρεῶν ἀφάτων ἀξιοῦται, ἀπὸ δόξης τε εἰς δόξαν, καὶ ἀπὸ ἀναπαύσεως εἰς τελειοτέραν ἀνάπαυσιν μετατίθεται. εἶτα καὶ εἰς τὸ τέλειον τοῦ Χριστιανισμοῦ μέτρον ἀφικομένη, τοῖς τελείοις ἐργάταις, καὶ τοῖς ἀμώμοις τοῦ Χριστοῦ λειτουργοῖς κατὰ τὴν αἰώνιον αὐτοῦ συνταγήσεται βασιλείαν.

Τὰ φαινόμενα ταῦτα, τύπους οἶμαι, ριγ΄.
καὶ σκιὰς τῶν κρυφίων εἶναι. τὸν ναὸν τὸν ὁρώμενον, τοῦ τῆς καρδίας ναοῦ· τὸν Ἱερέα, τοῦ ἀληθινοῦ Ἱερέως τῆς τοῦ Χριστοῦ χάριτος· καὶ ἐφεξῆς οὕτως. ὥσπερ οὖν καὶ τήνδε τὴν ὁρατὴν ἐκκλησίαν, εἰ μὴ πρότερον αἱ ἀναγνώσεις, αἱ ψαλμῳδίαι τε, καὶ ὅση τίς ἐστιν ἀκολουθία τοῦ ἐκκλησιαστικοῦ θεσμοῦ, προχωρήσειεν, αὐτὸ τὸ θεῖον μυστήριον τοῦ σώματός τε, καὶ αἵματος τοῦ Χριστοῦ τὸν Ἱερέα ἐπιτελεῖν οὐκ ἀκόλουθον. εἶτα κἂν πᾶς μὲν ὁ ἐκκλησιαστικὸς κανὼν ἐπιτελεσθείη, ἡ μυστικὴ δὲ τῆς προσφορᾶς ὑπὸ τοῦ Ἱερέως εὐχαριστία, καὶ ἡ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ μὴ γένηται, οὔτε ὁ ἐκκλησιαστικὸς ἐπελειτουργήθη θεσμὸς, καὶ ἐλλιπής ἐστιν ἡ λατρεία τοῦ μυστηρίου. οὕτω μοι καὶ τὸν Χριστιανὸν νόει· ἂν γὰρ νηστείαν μὲν, καὶ ἀγρυπνίαν, καὶ ψαλμῳδίαν, ἄλλην τε ἄσκησιν, καὶ ἀρετὴν πᾶσαν κατορθωκὼς εἴη· ἡ μυστικὴ δὲ τοῦ Πνεύματος ἐνέργεια τοῦ θυσιαστηρίου τῆς αὐτοῦ καρδίας ὑπὸ τῆς χάριτος κατ' αἴσθησιν πᾶσαν, καὶ πνευματικὴν ἀνάπαυσιν μὴ ἐπιτελοῖτο, ἀτελὴς ἡ τοιάδε πᾶσα τῆς ἀσκήσεως ἀκολουθία, καὶ σχεδὸν ἀργὴ, οὐκ ἔχουσα τὴν τοῦ Πνεύματος ἀγαλλίασιν μυστικῶς ἐν τῇ καρδίᾳ ἐνεργουμένην.

Καλὸν ἡ νηστεία, καλὸν ἡ ἀγρυπνία, ριδ΄.
καλὸν ὁμοίως ἡ ἄσκησις, καὶ ἡ ἐπὶ ξένης διαγωγή· ἀλλὰ ταῦτα πάντως, ἀρχή τίς ἐστι, καὶ προοίμια πολιτείας θεοφιλοῦς. ὥστε ἀλόγιστον ἀτεχνῶς τὸ ἁπλῶς τοῖς τοιούτοις ἐπιθαρρεῖν. ἔστι γὰρ ὅτε, καὶ χάριτός τινος ἐν μετοχῇ καθιστάμεθα· καὶ ἡ κακία ἔνδον ὑποκαθημένη, καθάπερ ἐν τοῖς ἄνω λέλεκται, σοφίζεται, καὶ

ὑποχω-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑποχωρεῖ ἑκοῦσα, καὶ οὐ πράττει τὰ ἑαυτῆς. ἀλλὰ ποιεῖ νομίσαι τὸν ἄνθρωπον, ὅτι διακεκαθάρται τὸν νοῦν. καὶ τὸ λοιπὸν ἐξάγει πρὸς οἴησιν τελειότητος. εἶτα ληστρικῶς ἐπιτίθεται· καὶ ἄχρι τῶν κατωτάτων τῆς γῆς καταφέρει· εἰ γὰρ ἄνθρωποι πολλάκις εἴκοσιν ἔτη γενόμενοι λῃστεύοντες, ἢ στρατιῶται τὸ ἐπιτήδευμα, μηχανάς τε κατὰ τῶν πολεμίων ἐπίστανται, ὑποκάθηνταί τε, καὶ ἐνέδρας, ἐπινοοῦσι, καὶ τὰ τῶν ἐχθρῶν λαμβάνουσι τοῦτο, καὶ κτείνουσιν ἀνελπίστως περιβαλόντες· πόσῳγε μᾶλλον ἡ κακία τοσαύτας χιλιάδας ἐτῶν γεγενημένη, καὶ τοῦτο ἔργον ἑαυτῆς τιθεμένη τὸ πανδημότατον, τὸ ἀπολλύειν ψυχὰς, ἐνέδρας οἶδε τοιαύτας ἐν ἀποκρύφῳ τῆς καρδίας ἐπινοεῖν, καὶ κατὰ καιροὺς ἀτρεμεῖν ἐπίτηδες, καὶ μὴ ἐνεργεῖν· ὥστε τὴν ψυχὴν ἑλκύσαι πρὸς οἴησιν τελειότητος. ὁ μέντοι θεμέλιος τοῦ χριστιανισμοῦ, κἂν πάσας τις μετέλθῃ δικαιοσύνας, μὴ ἐπαναπαύεσθαι ταύταις, μηδὲ ἐπιθαρρεῖν, μηδὲ μέγα τι πεποιηκέναι λογίζεσθαι. κἂν μέτοχος χάριτος καταστῇ, μὴ νομίσαι κατειληφέναι τι, μηδὲ κατακόρως ἔχειν· ἀλλὰ πεινᾶν τότε, καὶ διψᾶν μᾶλλον, πενθοῦντα, καὶ κλαίειν, καὶ συντετριμμένην ὅλως τὴν καρδίαν ἔχειν.

ριέ. Νόμιμον τὴν πνευματικὴν κατάστασιν οὕτως ἔχειν. ὑπόθου τινὰ εἶναι βασιλικὸν οἶκον. τούτῳ δὲ, αὐλὰς ὑπεῖναι διαφόρους, καὶ πρόθυρά τινα, καὶ οἰκίας ἄλλας ἐξωτέρας· καὶ οὕτω πάλιν κατὰ τὸ ἀκόλουθον ἐνδοτέρας, ἐν αἷς τὴν πορφύραν, καὶ τοὺς θησαυροὺς εἰκὸς ἀποκεῖσθαι· εἶτα καὶ τὴν τούτων αὖθις ἐσωτέραν, ὅπου τὴν βασιλικὴν εἶναι διαγωγὴν ἐπιτήδειον. ὥσπερ οὖν εἴτις εἰς τὰς ἐξωτέρας αὐλάς τε καὶ μονὰς ἀπαντήσας, εἰδόξει τοὺς ἔνδον οἴκους κατειληφέναι, πεπλάνηται. οὕτω δὴ καὶ κατὰ τὸ πνευματικὸν ἀκολούθως, οἱ πρὸς νηστείαν, καὶ ὕπνον διαμαχόμενοι, ψαλμοῖς τε, καὶ εὐχαῖς διηνεκῶς προσκείμενοι, μὴ νομιζέτωσαν ἤδη τοῦ τέλους, καὶ τῆς καταπαύσεως ἐπιβεβηκέναι ποθεν. ἔτι γὰρ αὐτοῖς περὶ τὰ πρόθυρα καὶ τὰς αὐλὰς ἡ ἀναστροφή. οὐχ ὅπου δὲ ἡ πορφύρα καὶ οἱ θησαυροὶ ἀπόκεινται οἱ βασιλικοὶ, ὑπάρχει· κἂν χάριτός τινος πνευματικῆς ἠξιώθησαν. μηδὲ τοῦτο πάλιν αὐτοὺς ἀπατάτω, τοῦ τέλους ἐπιτυχεῖν. ἐρευνᾶν οὖν προσήκεν, εἰ εὗρεν ἐν τῷ ὀστρακίνῳ τούτῳ σκεύει τὸν θησαυρόν· εἰ ἐνεδύσατο τοῦ Πνεύματος τὴν πορφύραν· εἰ τὸν βασιλέα εἶδε, καὶ ἀνεπαύσατο. καὶ γὰρ οἶμαι πάλιν τὴν μὲν ψυχὴν βάθος τι ἔχειν, καὶ μέλη πολλά. τὴν δὲ ἁμαρτίαν ὑπεισελθοῦσαν τὰ μέλη πάντα, καὶ τὰ νοήματα τῆς καρδίας καταλαβεῖν· εἶτα ἐπιζητήσαντος τοῦ ἀνθρώπου τοῦ πνεύματος τὴν χάριν, ἐλθεῖν, καὶ δύω τυχὸν τῆς ψυχῆς μέρη περιλαβεῖν. τὸν οὖν ἀπείρως ἔχοντα, πρὸς τῆς χάριτος ταύτης παρακαλούμενον, δόκησις ἔχει, πάντα τὰ μέλη τῆς ψυχῆς κατειλῆφθαι, καὶ τὴν ἁμαρτίαν ὅλως ἐξερριζῶσθαι, μὴ εἰδότα, ὅτι τὸ πλεῖστον μέρος αὐτῆς ἔτι κατεχόμενον ὑπ᾽ ἐκείνης ἐστίν. ἔστιν γὰρ, ὡς πολλάκις δεδήλωται, καὶ τὴν χάριν ἀδιαλείπτως ἐνεργεῖν, ὃν τρόπον ὀφθαλμὸν ἐν τῷ σώματι, καὶ συνεῖναι τὴν κακίαν ὁμοίως ὑποκλέπτουσαν τὴν διάνοιαν. ὁ πείραν μὴ διακρίνειν εἰδὼς, ὡς μέγα τι κατειληφὼς ἤδη μέγα τι περὶ ἑαυτοῦ οἴεται, καὶ ὡς τὴν ἐσχάτην κάθαρσιν ἐσχηκὼς τετύφωται. ἔχειν δὲ καὶ τὴν ἀλήθειαν συνηγοροῦσαν αὐτῷ, πολλοῦγε καὶ δεῖ. ὡς γὰρ ὁ λόγος φθάσας ἐδήλωσε, ὅτι τέχνη τῷ κακίᾳ καὶ αὕτη. κατά τινας χρόνους ἑκόντα παραχωρεῖν, καὶ τὰ εἰωθότα μὴ ἐνεργεῖν, κατὰ σκοπὸν πάντως, τοῦ οἴησιν τῆς τελειότητος τοῖς ἀσκουμένοις ἐμβαλεῖν. ἀλλὰ μὴ ὁ φυτεύων ἀμπελῶνα παραυτόδας λαμβάνει καὶ τὸν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καρπόν; ἢ ὁ σπείρων τὰ σπέρματα ἐν τῇ γῇ, καὶ τὴν συγκομιδὴν εὐθὺς ἐποιήσατο; τί δέ; τὸ ἀρτιγενὲς παιδίον ἥψατο παραχρῆμα τῆς τελειότητος; ἀπόβλεψον εἰς τὸν Ἰησοῦν. ἐκ ποίας δόξης Υἱὸς Θεοῦ καὶ Θεὸς ὢν ὁ Χριστός, εἰς οἷα πάθη, καὶ ἀτιμίαν, καὶ σταυρὸν κατέβη, καὶ θάνατον. καὶ πάλιν ὅπως διὰ ταύτην αὐτοῦ τὴν ταπείνωσιν ὑπερήρθη, καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς ἐκάθισεν. ὁ δέ γε πονηρὸς ὄφις, ἐκ πρώτης τοῦ Ἀδὰμ ὑποσπείρας θεότητος ἐπιθυμίαν, εἰς οἵαν αὐτὸν κατήγαγεν ἀτιμίαν, διὰ ταύτης δὴ τῆς οἰήσεως. ταῦτα τοίνυν αὐτὸς ἐννοῶν ἀσφαλίζου σεαυτόν· ὅση δύναμις, καὶ σπούδαζε ταπεινὴν ἀεὶ τὴν καρδίαν, καὶ συντετριμμένην ἔχειν.

Τοῦ αὐτοῦ περὶ ἐλευθερίας νοός.

ρις. Ὅταν ἀκούσῃς, ὅτιπερ κατελθὼν ὁ Χριστὸς εἰς ᾅδου, τὰς κατόχους ἐκεῖ ψυχὰς ἀνερρύσατο, μὴ μακρὰν εἶναι ταῦτα καὶ τῶν νῦν τελουμένων νόμιζε. οἶμαι γὰρ μνημεῖον εἶναι τὴν καρδίαν, κἀκεῖ τοὺς λογισμοὺς καὶ τὸν νοῦν κατορύχθαι βαρεῖ σκότει κατειλημμένους. ἔρχεται τοιγαροῦν ὁ Κύριος εἰς τὰς ἐν ᾅδου ἐπιβοωμένας αὐτὸν ψυχάς, εἰς τὸ βάθος δηλαδὴ τῆς καρδίας, κἀκεῖ τῷ θανάτῳ ἐγκελευόμενος, ἀνάπεμπε, λέγει, τὰς ἐγκλεισμένας ψυχάς, τὰς ἐμὲ τὸν ῥύσασθαι δυνάμενον ἐκζητούσας. εἶτα τὸν βαρὺν λίθον διάρας, τὸν τῇ ψυχῇ ἐπικείμενον, τόν τε τάφον ἀνοίγει, καὶ τὸν ἐν ἀληθείᾳ νεκρὸν ἀνιστᾷ, καὶ τῆς ἀφεγγοῦς φυλακῆς τὴν ἐγκεκλεισμένην ψυχὴν ἀπαλλάττει.

ριζ. Συμβαίνει· φησί· πολλάκις διαλέγεσθαί σοι κατ' ἐπιβολὴν ἐν τῇ καρδίᾳ τὸν σατανᾶν, καὶ σιωπῆς ὅσα σοι εἴργασαι πονηρά, λέγοντα· ἀναπέπλησαί σοι ἀνομιῶν ἡ ψυχή, βεβάρησαι πολλαῖς, καὶ χαλεπωτάταις ἁμαρτίαις· μὴ λανθανέτω γοῦν σε τοῦτο ποιῶν, καὶ προσχήματι ταπεινώσεως εἰς ἀπόγνωσιν συνωθῶν. ἀφ' οὗ γὰρ διὰ τῆς παραβάσεως εἰσεφρήσεν ἡ κακία, πάροδον ἔχει διαλέγεσθαι καθεκάστην τρόπον τινὰ τῇ ψυχῇ ὡς ἄνθρωπος τις ἀνθρώπῳ, καὶ ὑποτίθεσθαι τὰ ἄτοπα. ἀπόκρισαι τοιγαροῦν αὐτῷ σύ· ἀλλ' ἔχω τὰς τοῦ Θεοῦ διαβεβαιώσεις ἐγγράφους. οὐ βούλομαι, λέγοντος, τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι διὰ μετανοίας, καὶ ζῆν αὐτόν. τί γὰρ καὶ ἐβούλετο αὐτῷ ἡ κάθοδος, εἴγε μὴ τοὺς ἁμαρτωλοὺς σώσει; καὶ τοὺς ἐν σκότει φωτίσει, καὶ ζωοποιήσει τοὺς τεθανατωμένους;

ριη. Ὥσπερ ἡ ἐναντία δύναμις, οὕτω δὴ καὶ ἡ θεία χάρις προτρεπτική, οὐκ ἀναγκαστικὴ δείκνυται οὖσα, ἵν' οὕτως ἡμῖν τὸ ἐλεύθερόν τε, καὶ αὐτεξούσιον περισώζοιτο. ταύτῃ τοι καὶ ἐφ' οἷς ὁ ἄνθρωπος ἐργάσηται κακοῖς πρὸς τοῦ σατανᾶ ὑπαγόμενος, οὐχ ὁ σατανᾶς μᾶλλον, ἀλλ' αὐτὸς ὁ ἄνθρωπος τὴν τιμωρίαν ἀποφέρεται, ὡς μὴ βίᾳ συνελαθεὶς, ἀλλ' ἰδίῳ θελήματι πεισθεὶς τῇ κακίᾳ. παραπλησίως δὲ κἂν τοῦ ἀγαθοῦ· οὐκ ἐπιγράφει τὸ γεγονὸς ἑαυτῇ, ἀλλὰ τοῦ ἀνθρώπου, ἡ χάρις, καὶ διὰ τοῦτο δόξαν αὐτῷ περιτίθησιν, ὅτι αὐτὸς ἑαυτῷ τοῦ ἀγαθοῦ γέγονεν αἴτιος. οὐδὲ γὰρ ἀναγκαστικῇ δυνάμει, ὡς εἴρηται, συνδεσμοῦσα αὐτοῦ τὸ θέλημα, ποιεῖ ἄτρεπτον ἡ χάρις. ἀλλὰ καίτοι συνοῦσα, τοῦ αὐτεξουσίου παραχωρεῖ, ἵνα δῆλον εἴη τὸ τοῦ ἀνθρώπου θέλημα, ὅπως ἔχοι πρὸς ἀρετὴν ἢ κακίαν. κεῖται γὰρ, οὐ τῇ φύσει νόμος, ἀλλὰ τοῦ αὐτεξουσίου τῆς προαιρέσεως, ξαπλῶσαι δυναμένου, πρὸς τὸ ἀγαθὸν καὶ κακόν.

ριθ. Φυλάττειν δεῖ τὴν ψυχήν, καὶ ἀνομίλητον συντηρεῖν βεβήλων καὶ πονηρῶν λογισμῶν. ὥσπερ γὰρ τὸ σῶμα σώματι συνελθὸν ἑτέρῳ, πρὸς ἀκαθαρσίαν μιαίνεται· οὕτω δὴ καὶ ψυχὴ φθείρεται



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πονηροῖς συνδιάζουσα καὶ μιαροῖς λογισμοῖς, συνάδουσά τε αὐτοῖς καὶ συντιθεμένη· οὐχὶ δὲ τοῖς τῆς πονηρίας, καὶ τῆς πορνείας μόνον· ἀλλὰ καὶ ἑκάστης κακίας. οἷον, ἀπιστίας, δόλου, κενοδοξίας, ὀργῆς, καὶ φθόνου, καὶ ἔριδος· καὶ τοῦτό ἐστι τὸ καθαίρειν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς, καὶ πνεύματος. εἶναι γὰρ οἶδε καὶ φθορὰν, καὶ πορνείαν ἐν τῷ ἀφανεῖ τῆς ψυχῆς, διὰ λογισμῶν ἀτόπων ἐνεργουμένην. καὶ ὥσπερ τὸν φθείροντα τὸν ναὸν τοῦ Θεοῦ, κατὰ τὸν μέγαν Ἀπόστολον, φθερεῖ τοῦτον ὁ Θεός, ὅπερ τὸ σῶμά ἐστιν· οὕτω δὴ καὶ ὁ φθείρων ψυχήν τε, καὶ νοῦν, τῷ συναινεῖν καὶ συντίθεσθαι τοῖς ἀτόποις, τιμωρίας ἐστὶν ὑπεύθυνος. φυλάττειν τοιγαροῦν προσήκει καθάπερ τὸ σῶμα τοῦ ὁρατοῦ ἁμαρτήματος, οὕτω καὶ τὴν ψυχὴν λογισμῶν ἀτόπων, ὅτι νύμφη Χριστοῦ ἐστίν· ἡρμοσάμην γὰρ ὑμᾶς, φησὶν, ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. καὶ πάσῃ φυλακῇ τήρει τὴν καρδίαν, τῆς γραφῆς ἄκουε λεγούσης· ἐκ γὰρ τούτων ἔξοδοι ζωῆς· καὶ σκολιοὺς δὲ λογισμοὺς χωρίζειν ἀπὸ Θεοῦ, τῆς θείας διδασκούσης γραφῆς, μάνθανε.

ρκ'. Λόγον ἀπαιτείτω τὴν ἑαυτοῦ ψυχὴν ἕκαστος ἀνακρίνων, καὶ βασανίζων, τίσι πρόσκειται; καὶ εἰ μὴ συμφωνοῦσαν συμβαίνει τοῖς τοῦ Θεοῦ νόμοις τὴν καρδίαν ὁρᾷν, πάσῃ δυνάμει, καθάπερ τὸ σῶμα, οὕτω δὴ καὶ τὸν νοῦν, διατηρεῖν ἄφθορον σπουδαζέτω, καὶ τοῖς πονηροῖς ἀσύνθετον λογισμοῖς, εἴγε δὴ βούλοιτο, κατὰ τὴν ὑπόσχεσιν, τὸν καθαρὸν εἰσοικίσασθαι· ἐνοικῆσαι, γὰρ καὶ ἐμπεριπατῆσαι ταῖς καθαραῖς πάντως καὶ φιλοκάλοις ψυχαῖς ἐπήγγελται.

ρκα'. Ὥσπερ ὁ τῆς ἰδίας γῆς ἐπιμελέστατος γεωργὸς, ἀνανεοῖ ταύτην πρότερον, καὶ τὰς ἀκάνθας περιαιρεῖ· εἶθ' οὕτω καταβάλλει τὰ σπέρματα. οὕτω καὶ τὸν παρὰ Θεοῦ προσδοκῶντα τὸν τῆς χάριτος σπόρον λαβεῖν, καθαίρειν πρότερον χρὴ τῆς ἑαυτοῦ καρδίας τὴν γῆν, ἵν' ὁ σπόρος πεσὼν τοῦ Πνεύματος, ἐντελεῖς καὶ πολλαπλασίους ἀποδῷ τοὺς καρπούς. ὡς εἰμὴ τοῦτο γένηται πρότερον, καὶ καθάρῃ τις ἑαυτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, σάρξ ἐστιν ἔτι, καὶ αἷμα, καὶ μακρὰν ἀφέστηκε τῆς ζωῆς.

Πανταχόθεν τὰς τοῦ ἐχθροῦ μαγγανείας, τοὺς δόλους τε, καὶ τὰς κακουργίας, ὀξύτατα περισκοπεῖν δεῖ. ρκβ'. καὶ γὰρ ὡς τὸ Πνεῦμα τὸ Ἅγιον διὰ Παύλου τοῖς πᾶσι τὰ πάντα γενέσθαι, φησὶν, ἵνα τοὺς πάντας κερδήσῃ. οὕτω δὴ καὶ τῇ κακίᾳ γίνεσθαι πάντα διὰ σπουδῆς, ὥστε τοὺς πάντας παραπέμψαι τῇ ἀπωλείᾳ· ἀμέλει τοῖς εὐχομένοις, ὡς συνευχόμενος ὑποκρίνεται, κατὰ σκοπὸν τῇ προφάσει εὐχῆς ἐμβαλόντα πρὸς οἴησιν ἀπατῆσαι. τοῖς νηστεύουσι συννηστεύει, τῇ τῆς νηστείας αὐτοὺς οἰήσει φενακίσαι βουλόμενος. τοῖς ἔχουσι γνῶσιν γραφῶν, ἐπιτηδεύει τὰ ὅμοια, προσχήματι γνώσεως ἐπιποθῶν αὐτοὺς παρακρούσασθαι. τοῖς ἀποκαλύψεως φωτὸς καταξιωθεῖσι, παραπλησίως ἔχειν δοκεῖ. μετασχηματίζεται γὰρ, φησιν, ὁ σατανᾶς εἰς ἄγγελον φωτός· ἵνα τῇ δοκήσει τοῦ καταλλήλου φωτὸς ἀπατήσας εἰς ἑαυτὸν ἐπαγάγηται. καὶ ἁπλῶς οὕτω πρὸς πάντα ποικίλλεται, καὶ τοῖς πᾶσιν εἰκάζεται, ἵνα τῷ ὁμοίῳ χειρούμενος, εὐλογοφανεῖ προφάσει προξενῇ τὴν ἀπώλειαν. λογισμοὺς, φησὶ, καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. ὁρᾷ μέχρι, καὶ τίνων ὁ ἀλαζὼν ἐκτείνει τὸ τόλμημα, τῷ βούλεσθαι καὶ τοὺς ἤδη τὸ θεῖον κατ' ἐπίγνωσιν ἀληθείας ἔχοντας κατενεγκεῖν. ὥστε πάσῃ φυλακῇ χρὴ τηρεῖν τὴν ἑαυτοῦ καρδίαν ἕκαστον, πολλήν τε παρὰ Θεοῦ τὴν σύνεσιν αἰτεῖν, ἵνα δῷ ἡμῖν τὰς τῆς κακίας τέχνας ἐφορᾷν, ἐργάζεσθαι δὲ, καὶ ἐκπονεῖν τὸν νοῦν ἐν συνέσει, καὶ τοὺς λογισμοὺς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

προσήκει διηνεκῶς, καὶ πρὸς τὸ τοῦ Θεοῦ θέλημα καταρτίζειν ἑαυτάς. οὐκ ἔστι γὰρ τούτου μεῖζον ἔργον, ἢ τιμιώτερον. ἐξομολόγησις γάρ, φησί, καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ.

ρκγ'. Ἔθος τῇ φιλοθέῳ ψυχῇ, κἂν πάντα τὰ τῆς ἀρετῆς ἀγαθὰ πράξωσιν, οὐδὲν ἑαυτῇ, ἀλλὰ τῷ Θεῷ ἕκαστα ἐπιγράφειν. ταύτῃ τοι καὶ ὁ Θεὸς πάλιν τῇ ὑγιεῖ ταύτῃ, καὶ ὀρθῇ συνέσει, καὶ γνώσει προσχών, τοὐναντίον ἐκείνῃ πάντα λογίζεται· καὶ ὡς αὐτῆς καμούσης καὶ παρ' ἑαυτῆς τὸ ὅλον ἐργασαμένης, τὰς ἀντιδόσεις ἐπιμετρεῖ. καί τοι, δόξειεν αὐτῷ πρὸς κρίσιν ἡμῖν ἐλθεῖν, οὐδὲν πρὸς ἀλήθειαν τῷ ἀνθρώπῳ δίκαιον εὑρεθήσεται· ἐπεὶ καὶ τὰ χρήματα, καὶ τὰ φυτὰ πάντα ταυτὶ ἀγαθά, δι' ὧν καὶ εὐποιεῖν ἕκαστος δύναται, ἐκείνου εἰσίν, ἡ γῆ καὶ πάντα τὰ ἐν αὐτῇ· αὐτὸ τὸ σῶμα, καὶ αὐτὴ ἡ ψυχή. οὐ μήν, ἀλλὰ καὶ αὐτὸ τὸ εἶναι ἄνθρωπος, κατὰ χάριν ἔχει. τί τοίνυν αὐτῷ λείπεται ἴδιον, ἐφ' ᾧ τὸ εἰκθῆναι, ἢ δικαιωθῆναι κατὰ λόγον ἕξει; πλήν, ἀλλὰ ταύτην ὁ Θεὸς μεγίστην ἐξ ἀνθρώπων δέχεται χάριν, καὶ τοῦτο τῶν προσφερομένων ἐκείνῳ τὸ χαριέστατον, τὸ τὴν ψυχὴν καλῶς ἐπιγνοῦσαν, ὅπως ἔχει τὰ ὄντα, πάντα ὅσαπερ ἂν ποιῇ ἀγαθά, καὶ ὅσα κάμνει διὰ Θεόν, ὅσα τε συνίησι, καὶ γινώσκει, αὐτῷ μόνῳ λογίζεσθαι, καὶ αὐτῷ τὸ σύμπαν ἀνατιθέναι.

ρκδ'. Ὥσπερ ὁπόταν ἀνδρὶ πρὸς συμβίωσίν τε καὶ κοινωνίαν συνέλθῃ γυνή, κοινὰ πάντα τὰ ἑκατέρου γίνεται. καὶ οἶκος εἷς, καὶ οὐσία μία καὶ ὕπαρξις, καὶ οὐ τῶν ὄντων αὐτῷ μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ σώματος, κυριεύειν ἡ γυνὴ δύναται. ὁ γὰρ ἀνήρ· φησὶν ὁ θεῖος Ἀπόστολος. τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή, οὕτω δὴ καὶ ἡ ἀληθὴς καὶ ἀπόρρητος κοινωνία τῆς ψυχῆς, πρὸς Χριστὸν ἔχει, καὶ εἰς ἓν αὐτῷ συνέρχεται πνεῦμα. ἕπεται οὖν ἀναγκαίως, καὶ τῶν ἀφράστων αὐτοῦ θησαυρῶν, ὡσπερεὶ δέσποιναν εἶναι, ἅτε δὴ νύμφην αὐτοῦ γεγενημένην. ἐπειδὰν γὰρ ὁ Θεὸς γένοιτο ταύτης, σαφές, ὅτι τὰ αὐτοῦ πάντα, ἐκείνης ἐστίν, εἴτε κόσμος, εἴτε ζωή, εἴτε θάνατος, εἴτε ἄγγελοι, εἴτε ἀρχαί, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα.

Ὥσπερ ὁ Ἰσραὴλ ἕως μὲν εὐαρέστως εἶχε πρὸς τὸν δεσπότην. καίτοιγε ρκε'.
οὐδέποτε μέν, ὡς ἐχρῆν, πλὴν ἀλλ' οὖν, ἕως ἐδόκει ὑγιῆ τινα πως πρὸς αὐτὸν ἔχειν τὴν πίστιν, στῦλος πυρός, καὶ νεφέλη αὐτοῦ προηγεῖτο, θάλασσά τε αὐτῷ ὑπεχώρει, καὶ μυρίων ἄλλων ἀπέλαυε θαυμασίων. ὁπότε δὲ τῆς πρὸς Θεὸν εὐνοίας ἀφίστατο, τότε καὶ τοῖς ἐχθροῖς παρεδίδοτο, καὶ δουλείαις πικραῖς κατειργάζετο. οὕτω μοι νόει καὶ ἐπὶ τῆς ψυχῆς· ἡ διὰ τῆς χάριτος τὸν Θεὸν ἐπέγνω, καὶ ἀπὸ ῥύπων μὲν ἐκαθάρθη πολλῶν τὸ πρότερον, εἶτα καὶ χαρίτων ἀξία γέγονε, τὴν προσήκουσαν δὲ οὐ φυλάξασα τῷ οὐρανίῳ ἀνδρὶ διὰ τέλους εὔνοιαν, ἐξέπεσε τῆς ζωῆς, ἧς μέτοχος ἐγεγόνει. δυνατὸν γὰρ τῶν ἀντικειμένων, καὶ τῶν εἰς τὰ τοιαῦτα φθασάντων κατεπαίρεσθαι μέτρα. ὥστε ἀγωνιστέον, ὁπόση δύναμις, καὶ μετὰ φόβου, καὶ τρόμου τῆς ἑαυτῶν ζωῆς ἐπιμελητέον, μάλιστα τοῖς, ὅσοι τοῦ πνεύματος τοῦ Χριστοῦ γεγόνασι μέτοχοι, τοῦτο μηδὲ μικρόν, ἢ μέγα δι' ὀλιγωρίαν ποιεῖν, καὶ δι' αὐτὸ τοῦτο, τὸ τοῦ Κυρίου πνεῦμα λυπεῖν. ὥσπερ γὰρ χαρὰ γίνεται ἐν τῷ οὐρανῷ, καθά φησιν ἡ ἀλήθεια, ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· οὕτω καὶ λύπη πάλιν ἐπὶ μιᾷ ψυχῇ τῆς αἰωνίου ζωῆς ἐκπιπτούσῃ.

Ὅταν ψυχὴ τῆς χάριτος καταξιω- ρκϛ'.
θῇ, τότε δὴ καὶ χρήσιμα ταύτῃ μάλιστα Θεὸς δίδωσι, γνῶσιν, σύνεσιν, καὶ διά-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κεισιν. ἅπερ γοῦν καὶ αὐτὰ Θεὸς δίδωσιν ἐκείνης αἰτούσης, ὥστε διαρκέστως αὐτὴν διακαινῆσαι τῷ πνεύματι, ὃ καὶ κατηξιώθη λαβεῖν, μὴ κλεπτομένην ὑπὸ κακίας, μὴ σφαλλομένην δι' ἀγνωσίαν, μὴ τῷ ἀμελεῖν καὶ ἀφόβως ζῆν παρασυρομένην, καὶ παρὰ τὸ δεσποτικόν τι διαπραττομένην θέλημα.

ρκζ'. Ὥσπερ ἡ ἐνέργεια τῶν παθῶν, ὅπερ ἐστὶ τὸ ἐγκόσμιον πνεῦμα τῆς πλάνης, τοῦ σκότους τῆς ἁμαρτίας ἀνθρώπῳ τοιούτῳ ἂν ἐνοικήσειεν, ὃς διάπλεώς ἐστι φρονήματος σαρκικοῦ· οὕτω πάλιν ἡ ἐνέργειά τε, καὶ δύναμις τοῦ φωτεινοῦ πνεύματος ἀνθρώπῳ τῷ ἁγιασθέντι ἐγκατοικεῖ, κατὰ τὸν εἰπόντα· εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. καὶ αὖθις· ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. καὶ, ὅσοι δὲ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. καὶ ὁ Κύριος· ἐλευσόμεθα ἐγώ τε, καὶ ὁ πατήρ μου, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. ταῦτα οὐκ ἀδήλως, οὐδ' ἀνεργήτως, ἀλλ' ἐν δυνάμει, καὶ ἀληθείᾳ τοῖς καταξιουμένοις ἐγγίνεται. ὁ μὲν γὰρ νόμος τὸ πρότερον λόγου ἀνυποστάτῳ ἐπέστρεφε τοὺς ἀνθρώπους, βαρὺν αὐτοῖς καὶ δυσφόρητον ἐπιτιθεὶς τὸν ζυγόν, καὶ μηδεμίαν ὅλως ὀρέγειν βοήθειαν, τοῦτο δὲ, παρὰ τὸ μὴ δυνατῶς ἔχειν τὴν τοῦ πνεύματος δύναμιν παρέχειν, τὸ γὰρ ἀδύνατον· φησι· τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός· καὶ τὰ ἑξῆς. ἀπὸ δὲ τῆς τοῦ Χριστοῦ παρουσίας ἡ θύρα τῆς χάριτος τοῖς ἐν ἀληθείᾳ πιστεύσασι διηνοίχθη, δύναμίς τε Θεοῦ, καὶ ἐνέργεια Πνεύματος Ἁγίου αὐτοῖς χορηγεῖται.

ρκη'. Χριστοῦ τῆς πρώτης, καὶ φυσικῆς ἀγαθότητος τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος τοῖς θείοις διαπέμψαντος μαθηταῖς, ἐκεῖθεν ἅπασι τοῖς πιστεύουσιν ἡ θεία δύναμις ἐκείνη ἐπισκιάζουσα, καὶ ταῖς ἐκείνων ἐγκατοικοῦσα ψυχαῖς, ἰᾶτο μὲν τῶν παθῶν τῆς ἁμαρτίας· τοῦ σκότους δὲ καὶ τῆς νεκρώσεως αὐτὰς ἀπήλλαττε· καὶ γὰρ μέχρι τότε τετραυμάτιστό τε, καὶ πεφυλάκιστο ἡ ψυχή, καὶ τῷ ζόφῳ τῆς ἁμαρτίας κάτοχος ἦν. ἀμέλει καὶ νῦν ψυχὴ μήπω σύνοικον ἔχειν ἀξιωθεῖσα τὸν Κύριον, μηδὲ τὴν τοῦ ἀγαθοῦ Πνεύματος δύναμιν ἐνεργητικῶς αὐτῇ, καὶ κατὰ πᾶσαν δύναμιν, καὶ πληροφορίαν ἐπισκιάσασαν, ἐν τῷ σκότει ἔτι ἐστίν. οἷς δὲ ἡ τοῦ θείου Πνεύματος ἐπεφοίτησε χάρις, καὶ τοῖς βαθυτάτοις τοῦ νοὸς αὐτῶν ἐγκατῴκησε, τούτοις δὴ καὶ ὁ Κύριος ὡς ψυχὴ γίνεται. ὁ γὰρ κολλώμενος τῷ Κυρίῳ, ὁ θεῖός φησιν Ἀπόστολος, εἷς ἓν Πνεῦμα ἔσται. καὶ αὐτὸς δὲ ὁ Κύριος, ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, ἵνα καὶ οὗτοι ἐν ἡμῖν ἓν ὦσιν. ὢ τῆς εὐδοκίας καὶ ἀγαθότητος ἧς ἔτυχεν ἡ οὕτω πρὸς τῆς κακίας ταπεινωθεῖσα τῶν ἀνθρώπων φύσις. πλὴν, ἀλλ' ἐπεὶ καὶ τῇ μοχθηρίᾳ τῶν παθῶν ἡ ψυχὴ συνοῦσα, ἓν ὥσπερ μετ' αὐτῆς ἦν, κἂν ἴδιον εἶχε θέλημα, ἀλλὰ τὸ δοκοῦν αὐτῇ ποιεῖν οὐκ ἠδύνατο· ὃ καὶ Παῦλός φησιν· οὐ γὰρ ὃ θέλω τοῦτο ποιῶ. πόσῳ γε μᾶλλον τῆς τοῦ Θεοῦ δυνάμεως τῇ ἁγιασθείσῃ καὶ ἀξίᾳ τούτου γεγενημένῃ ψυχῇ συνελθούσης, εἰς ἓν αὐτῷ ἔσται τὸ τούτου θέλημα. γίνεται γὰρ ἡ ψυχὴ τότε πρὸς ἀλήθειαν, ὡς ψυχὴ τοῦ Κυρίου. τῷ ἑκόντι καὶ κατὰ γνώμην ὑπὸ τῆς τοῦ ἀγαθοῦ Πνεύματος δυνάμεως βασιλεύεσθαι, καὶ θελήματι ἰδίῳ μηκέτι αὐτὴν πορεύεσθαι. τίς γάρ· φησιν· ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; τουτέστι τῆς ἑνωθείσης ψυχῆς τῷ Πνεύματι τῷ Ἁγίῳ;

ρκθ'. Τῷ βουλομένῳ μιμητῇ οὖν γενέσθαι Χριστοῦ, ἵνα καὶ αὐτῷ γένοιτο υἱῷ Θεοῦ προσαγορευθῆναι, γεννηθέντι ἐκ Πνεύματος, πρὸ τῶν ἄλλων προσήκει τὰς ἀπαντώσας θλίψεις, ἤτοι σωματικὰς νόσους, ἢ τὰς ἐξ ἀνθρώπων ὕβρεις, καὶ τὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

οἰκεῖα, πρὸς δὲ, καὶ τὰς ἐκ τῶν ἀοράτων ἐπιβουλὰς, εὐψύχως καὶ καρτερικῶς ὑποφέρειν. κατ᾽ οἰκονομίαν γὰρ Θεοῦ τὸ δοκίμιον ταῖς ψυχαῖς τῶν διαφόρων παραχωρεῖται θλίψεων, ἵνα φανεραὶ γένοιντο πάντως αἱ γνησίως ἀγαπῶσαι τὸν Κύριον. σημεῖον δὲ τοῖς ἐκ παντὸς αἰῶνος Πατριάρχαις τε, καὶ Προφήταις, καὶ Ἀποστόλοις, καὶ Μάρτυσιν, οὐκ ἄλλως, ἀλλ᾽ ἢ διὰ τῆς ὁδοῦ τῆς στενοπόρου τῶν πειρασμῶν, καὶ τῶν θλίψεων διελθεῖν ὑπῆρξε, καὶ οὕτως εὐαρεστῆσαι τῷ Θεῷ. τέκνον, γάρ φησιν ἡ γραφὴ, ἐὰν προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμὸν, εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον. καὶ ἀλλαχοῦ δέ· τὰ ἐπιφερόμενά σοι πάντα, ὡς ἀγαθὰ πρόσδεξαι· εἰδὼς, ὅτι ἄτερ Θεοῦ οὐδὲν γίνεται. τῆς ὑπομονῆς τοίνυν, καὶ τῆς ἐλπίδος πρὸ παντὸς ἄλλου ψυχῇ τῇ εὐαρεστῆσαι Θεῷ βουλομένῃ ἀντιληπτέον. μία γὰρ καὶ αὕτη τῆς κακίας τέχνη, ἀκηδίαν ἡμῖν ἐμβάλλειν ἐν καιρῷ θλίψεως, ἵνα τῆς πρὸς τὸν Κύριον ἀποστήσῃ ἐλπίδος· οὐδέποτε δὲ Θεὸς ἀφῆκε ψυχὴν τὴν ἐπ᾽ ἐκείνῳ ἐλπίζουσαν καταποθῆναι τοῖς πειρασμοῖς, ὥστε καὶ ἐξαπορηθῆναι· πιστὸς γὰρ, ὁ Ἀπόστολός φησιν, ὁ Θεὸς, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε· ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. καὶ ὁ πονηρὸς δὲ, οὐχ ὅσον ἐκείνῳ θέλησις λυπεῖ τὴν ψυχὴν, ἀλλ᾽ ὅσον αὐτῷ ἐφεῖται παρὰ τοῦ Θεοῦ. εἰ γὰρ ἀνθρώποις οὐκ ἄδηλον, πόσον ἂν ἡμιόνῳ βάρος, πόσον δὲ ὄνῳ, πόσον δὲ καμήλῳ, ἀγώγιμον εἴη· ἀλλὰ τὸν φορητὸν ἑκάστῳ φόρτον ἐπιτιθέασι. καὶ τῷ κεραμεῖ δὲ δῆλον, πόσον τῷ πυρὶ χρὴ τὰ σκεύη παραδοῦναι χρόνον, ἵνα μὴ τὸ πλέον ἐμμείναντα διαῤῥαγῇ· μήτε πάλιν πρὸ τῆς ἀρκούσης πυρώσεως ἐκβληθέντα ἄχρηστα ᾖ. εἰ τοσαύτη περὶ τὸν ἄνθρωπον σύνεσις, οὐχὶ πολλῷ πλέον, καὶ ἀπείρως πλέον, ἡ τοῦ Θεοῦ σύνεσις οἶδε, πόσον ἑκάστῃ ψυχῇ τὸν πειρασμὸν δέον ἐπενεχθῆναι; ἵνα δόκιμος γένοιτο, καὶ ἐπιτηδεία πρὸς τὴν τῶν οὐρανῶν Βασιλείαν.

Ὥσπερ τὸ τῆς κανναβέως χρῆμα, εἰ ρλ΄.
μὴ ἐπιπολὺ τυπτόμενον διαμείνῃ, οὐκ ἂν γένοιτο χρήσιμον εἰς λεπτοτάτων νημάτων ἐργασίαν, ἀλλ᾽ ὅσῳπερ ἂν τύπτοιτο, καὶ ὅσον ξαίνοιτο, τοσοῦτον καθαρώτερόν τε, καὶ εὐχρηστότερον γίνεται. καὶ ὃν τρόπον τὸ νεόπλαστον σκεῦος μὴ πυρὶ βληθὲν χρῆσθαι τοῖς ἀνθρώποις ἀνεπιτήδειον. καὶ ὡς τὸ νήπιον ἔτι πρὸς τὰ τοῦ κόσμου ἔργα ἀδόκιμον, οὔτε γὰρ οἰκοδομεῖν, οὔτε φυτεύειν, οὐ σπόρον κατατιθέναι δύναται, οὐχ ἕτερόν τι τῶν τοῦ κόσμου ἔργων ἀνύειν. οὕτω καὶ ψυχαὶ πολλάκις κἂν θείας μετέχουσι χάριτος, καὶ εἰσὶν ἐμπληροφορούμεναι τῇ γλυκύτητι καὶ τῇ τοῦ Πνεύματος ἀναπαύσει, διὰ τὴν αὐτῶν νηπιότητα τῇ τοῦ Κυρίου χρηστότητι, ἀλλ᾽ οὖν μήπω δοκιμασθῆναι, μηδ᾽ ὑπὸ τῶν πονηρῶν πνευμάτων διαφόροις ἐξετασθῆναι θλίψεσιν, ἔτι τῆς νηπιότητος ἔχονται, καὶ, ἵν᾽ οὕτως εἴπω, οὐδέπω πρὸς τὴν τῶν οὐρανῶν Βασιλείαν ἐπιτηδείως ἔχουσιν. εἰ γὰρ χωρίς ἐστε παιδείας, φησὶν ὁ θεῖος Ἀπόστολος, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί. ὥστε καὶ οἱ πειρασμοὶ, καὶ αἱ θλίψεις κατὰ τὸ λυσιτελὲς, ἐπάγονται τῷ ἀνθρώπῳ, δοκιμωτέραν οὕτω καὶ στερροτέραν ἐργαζόμεναι τὴν ψυχήν. καὶ εἴπερ εἰς τέλος ὑπομείνοιεν μετ᾽ ἐλπίδος τῆς πρὸς τὸν Κύριον, ἀμήχανον ἀποτυχεῖν αὐτὴν τῆς ἐπαγγελίας τοῦ Πνεύματος, καὶ τῆς ἀπολυτρώσεως τῶν τῆς κακίας παθῶν.

Ὥσπερ πολλαῖς βασάνοις ὡμιληκό- ρλα΄.
τες οἱ Μάρτυρες, καὶ θανάτου μέχρι τὰ τῆς καρτερίας ἐπιδειξάμενοι, στεφα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νων οὕτω, καὶ τῆς δόξης γεγόνασιν ἄξιοι. καὶ ὅσῳ πλείοσι καὶ χαλεπωτέροις τοῖς ἐπιπόνοις ἐχρήσαντο, πλείονα καὶ τὴν δόξαν, καὶ τὴν πρὸς Θεὸν ἐκτήσαντο παῤῥησίαν. τὸν αὐτὸν δὴ τρόπον καὶ ψυχαὶ διαφόροις παραδοθεῖσαι θλίψεσιν, ἢ τῶν φαινομένων, ταῖς ἐξ ἀνθρώπων ἐπερχομέναις, ἢ τῶν νοουμένων, λογισμοῖς ἀτόποις ἐγγινομέναις, ἢ νόσοις σωματικαῖς ἀποτικτομέναις, εἰ μέχρι τέλους τὴν ὑπομονὴν διενέγκωσι, τῶν αὐτῶν τοῖς Μάρτυσι στεφάνων, καὶ τῆς αὐτῆς ἐκείνοις ἐπιτεύξονται παῤῥησίας. ἐπεὶ καὶ τὸ Μαρτύριον τῶν θλίψεων, ὅπερ ἐκεῖνοι δι' ἀνθρώπων, οὗτοι διὰ τῶν τῆς πονηρίας πνευμάτων τῶν ἐκείνοις ἐνεργησάντων ὑπομεμενηκότες εἰσί· καὶ ὅσῳ πλείους καὶ οὗτοι τοῦ ἀντικειμένου θλίψεις ὑπήνεγκαν, τοσούτῳ καὶ πλείονα τὴν δόξαν οὐκ εἰς τὸ μέλλον μόνον ἐκ Θεοῦ κομιοῦνται· ἀλλὰ κἀνταῦθα τῆς τοῦ ἀγαθοῦ Πνεύματος ἀξιωθήσονται παρακλήσεως.

ρλβʹ. Ἐπεὶ τοιαύτη ὡμολόγηται ἡ πρὸς τὴν ἄνω ζωὴν φέρουσα τρίβος· στενή τε σφόδρα, καὶ τεθλιμμένη, καὶ διὰ τοῦτο, καὶ ὀλίγους ἔχει τοὺς ταύτην διερχομένους, πᾶσαν τοῦ πονηροῦ πεῖραν διὰ τὴν ἐν οὐρανοῖς ἀποκειμένην ἐλπίδα στεῤῥῶς ὑπομενετέον. ὅσας γὰρ ἂν καὶ ὑπενέγκωμεν θλίψεις, τί ἀντάξιον, ἢ πρὸς τὴν μέλλουσαν ἐπαγγελίαν, ἢ πρὸς τὴν ἐνταῦθα ἐγγινομένην ταῖς ψυχαῖς ὑπὸ τοῦ ἀγαθοῦ Πνεύματος παράκλησιν, ἢ πρὸς τὴν ἀπολύτρωσιν τοῦ σκότους τῶν παθῶν τῆς κακίας, ἢ πρὸς τὸ τῶν χρεῶν πλῆθος τῶν ἡμετέρων ἁμαρτιῶν, εἰσοίσομεν; οὐ γὰρ ἄξια· φησὶ· τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. πάντα τοίνυν, ὡς εἴρηται, καρτερητέον διὰ τὸν Κύριον δεῖ, οἷα γενναίους στρατιώτας, τοῦ Βασιλέως ἡμῶν ὑπεραποθνήσκοντας. διατί γὰρ ὅτε τῷ κόσμῳ καὶ τοῖς βιωτικοῖς προσείχομεν πράγμασιν, οὐ λυπηροῖς τοιούτοις περιεπίπτομεν· ἀλλὰ νῦν, ἐπεὶ προσήλθομεν δουλεῦσαι Θεῷ, τοὺς πολυτρόπους τούτους πειρασμοὺς ὑπομένομεν; ὁρᾷς ὅτι διὰ τὸν Χριστὸν αἱ θλίψεις, φθονοῦντος ἡμῖν τοῦ ἀντικειμένου τῆς τῶν ἐλπιζομένων ἀνταποδόσεως, χαύνωσίν τε καὶ ῥαθυμίαν ἐνθεῖναι ταῖς ἡμετέραις βουλομένου ψυχαῖς, ἵνα μὴ διαρέστως ζήσαντες τούτων ἀξιωθῶμεν; ὅσῳ τοίνυν ὁ πονηρὸς ὁπλίζεται καθ' ἡμῶν, ἂν ἡμεῖς εὐψύχως τὰς προσβολὰς ὑποφέρωμεν πᾶσαι αἱ καθ' ἡμῶν ἐκείνου μηχαναὶ λύονται, τῇ τοῦ Χριστοῦ συμμαχίᾳ. καὶ γὰρ ἔχομεν τὸν ὑπερασπιστὴν ἡμῶν, καὶ ὑπέρμαχον Ἰησοῦν· ἐνθυμηθῶμεν, ὅτι καὶ αὐτὸς τὸν αἰῶνα τοῦτον οὕτω διώδευσεν, ὀνειδιζόμενος, διωκόμενος, ἐμπαιζόμενος. τέλος· καὶ ἀτίμῳ θανάτῳ διὰ Σταυροῦ τελειούμενος.

Εἴπερ βουλοίμεθα θλίψιν ἅπασαν καὶ τοὺς πειρασμοὺς ὑπομένειν ῥᾳδίως, ὁ διὰ Χριστὸν θάνατος ἐπιθυμητὸς ἡμῖν ἔστω, ρλγʹ. καὶ πρὸ ὀμμάτων διαπαντός. τοιοῦτον γὰρ ἡμῖν καὶ ἐπίταγμα, τὸν Σταυρὸν αἴροντας αὐτῷ ἀκολουθεῖν· ὅπερ ἐστὶν, εὐτρεπεῖς εἶναι, καὶ ἑτοίμους πρὸς τὸ ἀποθανεῖν· ἂν οὕτω διακείμενοι ὦμεν, πᾶσαν, ὡς εἴρηται, θλίψιν ἀφανῆ τε, καὶ δήλην, κατὰ πολὺ τὸ ῥᾷον ὑπομενοῦμεν. ὁ γὰρ καὶ ἀποθανεῖν ὑπὲρ Χριστοῦ δι' ἐπιθυμίας ἔχων, χολῇ γ' ἂν πρὸς τὰ ἐπίπονα καὶ λυπηρὰ δυσχεράνοι; παρὰ τοῦτο γὰρ καὶ βαρείας εἶναι τὰς θλίψεις ἡγούμεθα, παρὰ τὸ μὴ τὸν ὑπὲρ Χριστοῦ θάνατον καταθύμιον ἔχειν, μηδὲ πάντοτε Χριστῷ τὴν διάνοιαν ἀναρτᾶν. ὁ δὲ ἐκεῖνον κληρονομῆσαι ἐπιθυμῶν, καὶ τὰ αὐτοῦ πάθη ζηλοῦν, ὁμοίως ἐπιθυμείτω. ὥστε οἱ τὸν Κύριον ἀγαπᾶν λέγοντες, ἐν τούτῳ φανεροὶ γίνονται, ἐν τῷ πᾶσαν θλίψιν ἐπερχομένην οὐ γενναίως



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μόνον, ἀλλὰ καὶ προθύμως διὰ τὴν εἰς αὐτὸν φέρειν ἐλπίδα.

ρλδʹ. Χρὴ πρότερον τὸν τῷ Χριστῷ προσεληλυθότα, καὶ πρὸς βίαν πρὸς τὸ ἀγαθὸν ἕλκειν ἑαυτὸν, καὶ οὐκ ἐθελούσης ἡμῶν τῆς καρδίας. βιαστὴ γάρ· φησιν ὁ ἀψευδὴς Κύριος· ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. καὶ ἀγωνίζεσθε· πάλιν ὁ αὐτὸς φησὶν· εἰσελθεῖν διὰ τῆς στενῆς θύρας. χρὴ τοίνυν, ὡς εἴρηται, καὶ κατὰ τὸ ἀβούλητον ἑαυτοὺς πρὸς τὴν ἀρετὴν συνωθεῖν, πρὸς ἀγάπην, μὴ ἔχοντας ἀγάπην, πρὸς πραότητα, ταύτης ὄντας ἐν ἀπορίᾳ, πρὸς τὸ συμπαθῆ, καὶ φιλάνθρωπον τὴν καρδίαν ἔχειν, πρὸς τὸ ἀνέχεσθαι ἀτιμίας, καὶ παροράσεως, καὶ τοῖς ἐξουθενημένοις ἐγκαρτερεῖν, οὔπω ταύτην ἐσχηκότας τὴν ἕξιν. πρὸς εὐχὴν, μήπω πνεύματος εὐχὴν κεκτημένους. οὕτω γὰρ ἀγωνιζομένους ὁ Θεὸς ἰδὼν, καὶ βιαίως ἑαυτοὺς, καίπερ ἀντιπραττούσης, ὥσπερ ἡμῶν τῆς καρδίας, πρὸς τὸ ἀγαθὸν ἕλκοντας, δίδωσιν εὐχὴν ἀληθινὴν, δίδωσι σπλάγχνα οἰκτιρμῶν, ὑπομονὴν, μακροθυμίαν, καὶ ἁπαξαπλῶς πληροῖ πάντων ἡμᾶς τῶν καρπῶν τοῦ Πνεύματος. εἰ δέ τις καὶ τῶν ἄλλων ἀρετῶν ἐπιδεὴς ὢν, πρὸς μὲν εὐχὴν μόνην, εἰ τύχοι, καὶ παραβιάζοιτο ἑαυτὸν, ὥστε χεῖν εὐχῆς χάρισμα, πρὸς δέ γε πραότητα, πρὸς ταπεινοφροσύνην τε, καὶ ἀγάπην, καὶ πᾶν τὸ εὐγενὲς φῦλον τῶν ἀρετῶν. ἔτι καὶ πρὸς τὸ βέβαιον εἶναι τὴν πίστιν καὶ τὴν πεποίθησιν εἰς τὸν Χριστὸν, καὶ μὴ ὀλιγώρως ἔχων καὶ ἀμερίμνως. τῷ τοιούτῳ ἐνίοτε μὲν εὐχὴ δίδοται χάριτος ἐκμέρους ἐν εὐφροσύνῃ καὶ ἀναπαύσει κατὰ τὴν ἐκείνου ζήτησιν παρὰ τοῦ ἀγαθοῦ πνεύματος· ἔρημος δὲ τῶν ἄλλων πάντων μένει καλῶν, τῷ μὴ καὶ πρὸς τὴν ἐκείνων κτῆσιν ὑποβιάσασθαι ἑαυτὸν, ὥσπερ εἴρηται, μηδὲ δεηθῆναι Χριστοῦ. χρὴ γὰρ μὴ πρὸς τὰ εἰρημένα μόνον ἑαυτὸν καὶ ἄκοντα συνωθεῖν, καὶ παρὰ Θεοῦ αἰτεῖν τοῦ λαβεῖν, ἀλλὰ καὶ πρὸς τὸ τὰ μὴ χρήσιμα τῶν ῥημάτων, καὶ ὅλως ἀργὰ, μηδὲ γλώττης ἄξια κρίνειν. διαμελετᾷν δὲ ἀεὶ καὶ στόματι καὶ καρδίᾳ τὰ τοῦ Θεοῦ λόγια· ἔτι πρὸς τὸ μὴ θυμοῦσθαι μηδὲ κραυγῇ χρῆσθαι. πᾶσα γάρ· φησι· πικρία, καὶ ὀργὴ, καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν· πρὸς τὸ μὴ καταλαλεῖν τινὸς, μὴ κρίνειν, μὴ φυσιοῦσθαι, ἵν' οὕτως ἰδὼν ὁ Κύριος ἑαυτὸν ὡς εἴρηται ἄγχοντα, καὶ πρὸς βίαν συνέλκοντα, παράσχῃ πάντως τὸ ἀπόνητι καὶ ῥᾳδίως ποιεῖν, ἃ πρότερον οὐδὲ μετὰ βίας, διὰ τὴν σύνοικον πονηρίαν, ἐνεργεῖν ἐδύνατο. καὶ τότε γίνεται αὐτῷ πάντα ταῦτα τὰ τῆς ἀρετῆς ἐπιτηδεύματα, ὥσπερ φύσις. ἐπεὶ καὶ τὸ λοιπὸν ὁ Κύριος κατὰ τὴν ἐπαγγελίαν ἐλθὼν καὶ γενόμενος ἐν αὐτῷ, καὶ αὐτὸς ὁμοίως ἐν τῷ Κυρίῳ, αὐτὸς ἐν ἐκείνῳ μετὰ πολλῆς εὐπετείας τὰς ἐντολὰς ἐκπληροῖ.

Ὁ εἰς εὐχὴν μόνην ὑποβιασάμενος ἑαυτὸν, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, ρλεʹ.
πρὸς ταῦτα δὲ, πρὸς ταπεινοφροσύνην, πρὸς ἀγάπην, πρὸς πραότητα καὶ τὸν τῶν ἄλλων ἀρετῶν ὁρμαθὸν μὴ ἐκπονῶν ἑαυτὸν, μηδὲ βιαζόμενος, τοιούτῳ πέρατι κατηντᾷ. ἐνίοτε γὰρ αὐτῷ δεομένῳ καὶ θεῖα χάρις ἐπιφοιτᾷ· ἐπεὶ καὶ ἀγαθὸς ὢν ὁ Θεὸς ὀρέγει τοῖς αἰτοῦσι φιλανθρωπότερον τὰ αἰτήματα. μὴ συνειθίσας δὲ ἑαυτὸν, μηδὲ ἐντριβῆ καὶ γεγυμνασμένον πρὸς τὰς ἀρετὰς, ἃς ἔφημεν, καταστήσας, ἢ ἐκπίπτει τῆς χάριτος ἧς ἔλαβε, καὶ ὑψηλοφρονήσας πίπτει, ἢ ἐν αὐτῇ ταύτῃ οὐκ ἐπιδίδωσιν, οὐδὲ αὔξει. ὡς γὰρ φάναι, τὸ κατοικητήριόν τε, καὶ ἡ ἀνάπαυσις τοῦ ἀγαθοῦ πνεύματος, ἡ ταπεινοφροσύνη ἐστὶν, ἡ ἀγάπη τε, καὶ ἡ πραότης, καὶ ἀκολούθως αἱ ἅγιαι τοῦ Χριστοῦ ἐντολαί. ὁ τοίνυν βουλόμενος διὰ πασῶν τούτων εἰς αὔξησιν, καὶ τελείωσιν

προελθεῖν, τὴν μὲν πρώτην βιαζέσθω ἑαυτὸν, καὶ βιαζέσθω φιλεῖν, ὥσπερ εἴρηται, καὶ φιλονεικήσασαν ἑαυτοῦ τὴν καρδίαν, καὶ ἀντερείσασαν ἐνδοτικὴν καὶ πειθήνιον τῷ Θεῷ ποιεῖν σπουδαζέτω. τῷ γὰρ οὕτω βιασαμένῳ πρότερον, καὶ τὸ ἀντιτεῖνον τῆς ψυχῆς ὅλον οἱονεὶ χειροήθες καταστήσαντι, ἔπειτα χρηστῷ κατήκοον ἐκείνῳ ποιησαμένῳ, καὶ μεθ' οὕτως ἐχούσης ψυχῆς αἰτοῦντι καὶ δεομένῳ, αὔξει, καὶ θάλλει ἐν αὐτῷ τὸ δοθὲν ὑπὸ τοῦ Πνεύματος τῆς εὐχῆς χάρισμα, τῷ μετρίῳ τοῦ φρονήματος ἐπαναπαυόμενον· ὃ πρὸς τῇ ἀγάπῃ, καὶ τῇ ἀγαπητικῇ πραότητι ἐπεζήτησε· καὶ τότε χαρίζεται αὐτῷ καὶ αὐτὸ τὸ πνεῦμα, καὶ διδάσκει ταπεινοφροσύνην τε ἀληθῆ, καὶ ἀγάπην ἀψευδῆ, καὶ πραότητα, ἃ καὶ προβιασάμενος ἐπεζήτησε. οὕτως οὖν αὐξήσας καὶ τελειωθεὶς κατὰ Κύριον, τῆς βασιλείας ἄξιος ἀποδείκνυται. ὁ γὰρ ταπεινὸς οὐδέποτε πίπτει· ποῦ γὰρ καὶ πεσεῖται, ὁ ὑποκάτω πάντων, πρός γε ἑαυτὸν, ὤν; ὥστε μεγάλη μὲν ὑψηλοφροσύνη ταπείνωσις, μεγάλη δὲ τοὐναντίον ὕψωσις καὶ ἀσφαλὲς ἀξίωμα ἡ ταπεινοφροσύνη.

ρλς΄. Οἱ πρὸς ἀλήθειαν τὸν Θεὸν ἀγαπήσαντες, οὔτε διὰ τὴν βασιλείαν αὐτῷ δουλεύειν προῄρηνται, καθάπερ ἐμπορίας χάριν καὶ κέρδους. οὔτε μὴν διὰ τὴν ἀποκειμένην τοῖς ἁμαρτωλοῖς κόλασιν. ἀλλ' ἅτε Θεὸν μόνον αὐτὸν, καὶ δημιουργὸν ἴδιον ἠγαπηκότες, καὶ ἀκολουθίᾳ τάξεως ἐπιγνόντες, ὅτι δεσπότῃ καὶ κτίστῃ δούλους εὐαρεστεῖν ὀφειλόμενοι. οἳ καὶ πολλῇ τῇ συνέσει πρὸς τὰ παραπίπτοντα χρῶνται· πολλὰ γὰρ τὰ ἐμπόδια τῆς πρὸς Θεὸν τυγχάνει εὐαρεστήσεως· ἐπεὶ μηδὲ πενία μόνον, καὶ ἀδοξία, ἀλλὰ καὶ πλοῦτος, καὶ τιμὴ ὁμοίως πειρασμοὶ καθίστανται τῇ ψυχῇ. ἐν μέρει δέ πως καὶ ἡ παράκλησις αὕτη, καὶ ἡ ἄνεσις ἐκείνη, ἡ ὑπὸ τῆς χάριτος καταλαμβάνουσα τὴν ψυχὴν, εἰ μὴ αἴσθηται ταύτης ἡ καταξιωθεῖσα, καὶ πολλῷ τῷ μετρίῳ καὶ συνετῷ χρήσηται, πολὺ τὸ εὔκολον ἔχει πρὸς τὸ πειρατήριον αὐτῇ μᾶλλον καὶ κώλυμα καταστῆναι· ἅτε τῆς κακίας προφάσει τῆς δὲ τῆς χάριτος ὑπολύειν αὐτῇ τὸν πόνον, χαυνωσίν τε, καὶ ὀλιγωρίαν ἐνιέναι μηχανωμένης. διὸ καὶ αὐτὴ ἡ χάρις, εὐλαβοῦς δεῖται πρὸς μετάληψιν, καὶ εὐσυνέτου ψυχῆς· ὥστε καὶ τιμῆσαι ταύτην, καὶ ἀξίους τοὺς καρποὺς ἐπιδείξασθαι. κινδυνεύει τοίνυν, οὐ τὰς θλίψεις μόνον, ἀλλὰ καὶ τὰς ἀνέσεις πειρατήρια γίνεσθαι τῇ ψυχῇ· ἐπεὶ καὶ δι' ἀμφοτέρων αἱ ψυχαὶ τῷ κτίσαντι δοκιμάζονται, ἵνα δῆλοι σαφῶς γένωνται, τίνες οἱ μὴ κέρδους αἰτίαν θέμενοι τὴν πρὸς ἐκεῖνον ἀγάπην· ἀλλ' αὐτὸν μόνον τὸν πολλῆς τῷ ὄντι καὶ φιλίας καὶ τιμῆς ἄξιον. ὥσπερ δὲ τῷ ἀμελεῖ, καὶ περὶ τὴν πίστιν ἐνδεεῖ, καὶ τῷ φρονήματι νηπιάζοντι, ἐμπόδιον πρὸς τὴν αἰωνίαν ζωὴν ταῦτα γίνεται· ἤτοι τὰ λυπηρὰ καὶ ἐπίπονα, νόσοι, πενίαι, καὶ ἀδοξίαι. ἢ τοὐναντίον, πλοῦτος, δόξα, καὶ οἱ τῶν ἀνθρώπων μακαρισμοί· πρὸς δὲ καὶ ὁ ἐν τῷ ἀφανεῖ πλήττων τοῦ πονηροῦ πόλεμος. οὕτω πάλιν ἀντιστρέφων εὑρήσεις, ὅτι τῷ πιστῷ, καὶ συνετῷ, καὶ γενναίῳ, συνεργὰ μᾶλλον πρὸς τὴν τοῦ Θεοῦ καθίσταται βασιλείαν. τοῖς γὰρ τὸν Θεὸν ἀγαπῶσι, κατὰ τὸν θεῖον Ἀπόστολον, πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν. δείκνυται οὖν ἐντεῦθεν, ὅτι τὰ ἐν τῷ κόσμῳ πάντα ἐμπόδιον εἶναι νομιζόμενα, διαρρήξας, καὶ νικήσας, καὶ ὑπερβὰς ὁ ἀληθῶς φιλόθεος, τῷ θείῳ μόνῳ περιέχεται φίλτρῳ. σχοινία γὰρ ἁμαρτωλῶν περιεπλάκησάν μοι, ὁ θεῖος φησὶ Προφήτης, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην.

Ὁ θεῖος Ἀπόστολος Παῦλος ἀκριβέστερόν τε καὶ τηλαυγέστερον τὸ ἐντελὲς ρλζ΄.

τοῦ Χριστιανισμοῦ μυστήριον ἑκάστῃ πιστευούσῃ ψυχῇ δεδήλωκε, δι' ἐνεργείας θείας εἰς πεῖραν ἰέναι· ὅπερ ἐστὶν, ἡ ἐπιφάνεια φωτὸς ἐν ἀποκαλύψει, καὶ δυνάμει τοῦ Πνεύματος ἔλλαμψις· ἵνα μή τις τὸν διὰ γνώσεως νοημάτων φωτισμὸν τοῦ Πνεύματος μόνον εἶναι νομίσας, κινδυνεύσῃ δι' ἀγνοίας τε καὶ ῥαθυμίαν τοῦ τελείου τῆς χάριτος ἀποτυχεῖν μυστηρίου· διὰ τοῦτο καὶ τὸ ὑπόδειγμα τῆς τοῦ προσώπου Μωσέως περικειμένης τοῦ Πνεύματος δόξης, εἰς παράστασιν ὡμολογημένην τῆς γνώσεως ἤνεγκεν. φησὶ γοῦν. εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ ἀτενίσαι εἰς πρόσωπον Μωσέως διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην· πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ Πνεύματος ἔσται ἐν δόξῃ; εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως δόξα· πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ· καὶ γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, εἵνεκεν τῆς ὑπερβαλλούσης δόξης. εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ· καταργούμενον εἴρηκε διὰ τὸ θνητῷ σώματι Μωϋσέως περικεῖσθαι τὴν τοῦ φωτὸς δόξαν. καὶ ἐπάγει. ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ παῤῥησίᾳ χρώμεθα. καὶ προβὰς μικρὸν, ἔδειξε τὴν ἀδιάῤῥευστον, καὶ ἀθάνατον ἐκείνην τοῦ Πνεύματος ἐν ἀποκαλύψει δόξαν, νῦν ἐν τῷ ἀθανάτῳ τοῦ ἔσω ἀνθρώπου τοῖς ἀξίοις ἀθανάτως τε, καὶ ἀκαταργήτως ἐλλάμπεσθαι. φησὶ γοῦν. ἡμεῖς δὲ πάντες, τουτέστιν, οἱ κατὰ τελείαν πίστιν ἐκ τοῦ Πνεύματος γεννηθέντες, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμεθα, τὴν αὐτὴν εἰκόνα μεταμορφούμενοι, ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος. ἀνακεκαλυμμένῳ προσώπῳ τῷ τῆς ψυχῆς δηλαδή. καὶ ἡνίκα δὲ ἐπιστρέψῃ τις πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα· ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστι. φανερῶς οὖν διὰ τούτων ἀπέδειξε, κάλυμμα σκότους ἐπιβεβλῆσθαι τῇ ψυχῇ. ὅπερ ἀπὸ τῆς τοῦ Ἀδὰμ παραβάσεως χώραν ἔχειν εἰς τὴν ἀνθρωπότητα παραδέδωκε· νυνὶ δὲ ἀπὸ τῆς τοῦ Πνεύματος ἐλλάμψεως περιαιρεῖσθαι τοῦτο πιστεύομεν ἐκ τῶν πιστῶν, καὶ ἀξίων τῷ ὄντι ψυχῶν· δι' ἣν αἰτίαν καὶ ἡ ἔλευσις ἡ τοῦ Χριστοῦ γεγένηται. καὶ εἰς τοιαῦτα μέτρα ἁγιότητος φθάσαι τοὺς ἐπ' ἀληθείας πιστεύοντας ηὐδόκησεν ὁ Θεός.

ρλη΄ Ἡ τοιαύτη· φησὶ· τοῦ Πνεύματος ἔλλαμψις, οὐχ οἷον νοημάτων μόνον ἀποκαλύψεις ἐστι, καὶ φωτισμὸς χάριτος, ὥσπερ εἴρηται, ἀλλ' ὑποστατικοῦ φωτὸς ἐν ταῖς ψυχαῖς βεβαία, καὶ διηνεκὴς ἔλλαμψις. ὁ γὰρ εἰπὼν ἐκ σκότους φῶς λάμψαι· ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Χριστοῦ. καὶ τὸ, φώτισον τοὺς ὀφθαλμούς μου μήποτε ὑπνώσω εἰς θάνατον. τουτέστιν· ἵνα μὴ λυομένης τῆς σαρκὸς ἡ ψυχὴ ἐπισκοτῆται τῷ τοῦ θανάτου τῆς κακίας καλύμματι. πρὸς δὲ, καὶ τὸ, ἀποκάλυψον τοὺς ὀφθαλμούς μου ἔτι καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου· καὶ τὸ, ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου· αὐτά με ὁδηγήσουσι, καὶ ἄξουσιν εἰς ὄρος ἅγιόν σου, καὶ εἰς τὰ σκηνώματά σου. ἀλλὰ μὴν καὶ τὸ, ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε, καὶ τὰ λοιπὰ, τὴν αὐτὴν ἀκολουθίαν τοῦ σκοποῦ παρίστησιν.

ρλθ΄ Καὶ τῷ Μακαρίῳ δέ· φησι· Παύλῳ τὸ ἐλλάμψαν ἐν τῇ ὁδῷ φῶς, δι' οὗ καὶ εἰς τρίτον οὐρανὸν ἥρπασται, καὶ μυστηρίων ἀλαλήτων ἀκουστὴς ἐγένετο, οὐ νοημάτων τις, καὶ γνώσεως φωτισμὸς ἦν, ἀλλὰ δυνάμεως τοῦ ἀγαθοῦ Πνεύματος καθ' ὑπόστασιν ἐν τῇ ψυχῇ ἔλλαμψις, οὗ τὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑπερβολὴν τῆς λαμπρότητος οἱ τῆς σαρκὸς ὀφθαλμοὶ μὴ διενεγκόντες ἀπετυφλώθησαν, διὸ πᾶσά τε γνῶσις ἀποκαλύπτεται, καὶ Θεὸς πρὸς ἀλήθειαν τῇ ἀξίᾳ, καὶ φιλουμένῃ ψυχῇ γνωρίζεται.

ρμ΄. Πᾶσα ψυχὴ διὰ τῆς οἰκείας σπουδῆς τε καὶ πίστεως, τέλειον ἐνδύσασθαι τὸν Χριστὸν ἐντεῦθεν καὶ δυνάμει τε, καὶ πληροφορίᾳ χάριτος καταξιωθεῖσα, καὶ τῷ ἐπουρανίῳ τῆς ἀφθάρτου εἰκόνος φωτὶ ἑνωθεῖσα, καὶ νῦν μὲν μυστηρίων οὐρανίων γνώσει ἐν ὑποστάσει μυεῖται πάντων· ἐνδέγε τῇ μεγάλῃ τῆς ἀναστάσεως ἡμέρᾳ, τῇ αὐτῇ ἐπουρανίῳ τῆς δόξης εἰκόνι, καὶ τὸ σῶμα ταύτης συνδοξασθὲν, καὶ ὑπὸ τοῦ Πνεύματος, κατὰ τὸ γεγραμμένον, εἰς οὐρανοὺς ἁρπαγὲν, καὶ σύμμορφον γενέσθαι τῷ σώματι τῆς δόξης αὐτοῦ καταξιωθὲν, καὶ τὴν βασιλείαν αἰώνιόν τε, καὶ ἀδιάδοχον, καὶ τῷ Χριστῷ σύγκληρον ἕξει.

ρμα΄. Ὁπόσον τις ἰδίᾳ σπουδῇ, καὶ πίστει Πνεύματος Ἁγίου δόξης κεκοινώνηκεν οὐρανίου, ἔργοις τε ἀγαθοῖς τὴν ψυχὴν διεκόσμησε, τοσοῦτον ἐκείνης τῆς ἡμέρας ἄξιον αὐτοῦ γενήσεται καὶ τὸ σῶμα συνδοξασθῆναι. ὃ γάρτις ἔνδον ἀπεθησαύρισε νῦν, τοῦτο πρόεισιν ἔξω τότε. καθάπερ ὁ εἴσω τῶν ξύλων ἐν χειμῶνι καρπὸς, ἔξω κατὰ τὸν ἔαρος καιρὸν γίνεται· ὥσπερ δὴ καὶ πρότερον ἐδηλώθη. τῶν μὲν οὖν Ἁγίων ἡ θεοειδὴς τοῦ Πνεύματος εἰκὼν ἀπὸ τοῦ νῦν ἔνδον ὥσπερ ἐντυπωθεῖσα, καὶ τὸ σῶμα θεοειδὲς ἔξω καὶ οὐράνιον ἀπεργάσεται. τῶν βεβήλων δὲ, καὶ ἁμαρτωλῶν· οἴμοι· τὸ τοῦ κοσμικοῦ πνεύματος ἀφεγγὲς κάλυμμα περιβαλὸν τὴν ψυχὴν, καὶ τῇ τῶν παθῶν εἰσαχθείσῃ σκοτεινὸν τὸν νοῦν, καὶ ἀσχήμονα καταστῆσαν, σκοτεινὸν ἅμα καὶ τὸ σῶμα, καὶ αἰσχύνης ἔμπλεων πάσης ἔξωθεν ἀποδείξεται.

Ὥσπερ μετὰ τὴν παράβασιν τοῦ Ἀδὰμ θάνατον αὐτοῦ καταψηφισαμένης τῆς ρμβ΄.
τοῦ Θεοῦ ἀγαθότητος, τοῦτο πρῶτον μὲν ὑπέστη κατὰ ψυχὴν, τῶν νοερῶν αὐτῆς καὶ ἀθανάτων αἰσθητηρίων, τῇ στερήσει τῆς ἐπουρανίου, καὶ πνευματικῆς ἀπολαύσεως ἀπεσβηκότων αὐτοῦ, καὶ νεκρῶν ὥσπερ γεγενημένων, ὕστερον δὲ καὶ ὁ τοῦ σώματος θάνατος μετάγε τριάκοντα ἔτη πρὸς τοῖς ἐννακοσίοις ἐπεγένετο. οὕτω καὶ νῦν διὰ Σταυροῦ, καὶ θανάτου τοῦ Σωτῆρος τῇ ἀνθρωπότητι καταλλαγεὶς ὁ Θεὸς, ἀποκαθίστησι τὴν πιστεύσασαν ἐν ἀληθείᾳ ψυχὴν ἔτι ἐν σαρκὶ οὖσαν εἰς τὴν τῶν οὐρανίων φώτων καὶ μυστηρίων ἀπόλαυσιν, καὶ τὰ νοερὰ αὐτῆς αἰσθητήρια τῷ θείῳ πάλιν φωτὶ τῆς χάριτος ὀμματοῖ. ὕστερον δὲ, καὶ αὐτὴν τῷ σώματι ἀθάνατόν τε, καὶ ἄφθαρτον περιβαλεῖ δόξαν.

Οἱ τοῦ κόσμου τοῦδε μακρὰν γενόμε- ρμγ΄.
νοι καὶ σεμνῶς μὲν καὶ φιλαρέτως πολιτευόμενοι, ἔτι δὲ καλύμματι τῶν παθῶν ὑποκείμενοι ᾧ διὰ τῆς τοῦ πρωτοπλάστου παρακοῆς ἔνοχοι κατέστημεν πάντες, τὸ σαρκικὸν φημὶ φρόνημα, ὃ καὶ τῷ Ἀποστόλῳ θάνατος οἰκείως ἐκλήθη, τὸ φρόνημα γὰρ φησι τῆς σαρκὸς, θάνατος. οὗτοι παραπλήσιοί εἰσιν ἀνθρώποις, νυκτὸς μὲν βαδίζουσι, ὑπὸ δὲ τῶν ἄστρων, ἅπερ εἰσὶν αἱ ἅγιαι τοῦ Θεοῦ ἐντολαὶ, καταυγαζομένοις. οὔπω γὰρ εἰς τέλος τοῦ σκότους ἀπαλλαγεῖσι, καλῶς ἅπαντα καθορᾶν αὐτοῖς ἀδύνατον. οἷς καὶ προσῆκόν ἐστι, πόνῳ, καὶ πίστει πολλῇ τῆς ἀρετῆς ἐπιμελομένοις, ἀξιωθῆναι Χριστὸν τὸν ἥλιον δικαιοσύνης ἐπιλάμψαι ταῖς καρδίαις αὐτῶν, ὥστε δυνηθῆναι πάντα πρὸς ἀκρίβειαν ἐπιδεῖν, τήν τε τῶν νοητῶν θηρίων καθ' ἡμῶν ἐπίθε-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σιν ποικίλην καὶ παντοδαπὴν οὖσαν, καὶ τὰ τοῦ ἀφθάρτου κόσμου ἄρρητα τὴν ὄψιν, καὶ τὴν ἡδονὴν ἀπόρρητα κάλλη, ὅν γε δὴ τρόπον καὶ τοῖς ἄκροις τὴν ἀρετὴν, καὶ ὧν ἐνεργῶς τὸ νοερὸν φῶς ἐν ταῖς καρδίαις ἔλαμψεν, ἐπίδηλα ταῦτα καὶ καταφανῆ γίνεται. τελείων γὰρ, ὡς ὁ μακάριός φησι Παῦλος, ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια ἐγγεγυμνασμένων πρὸς τὴν τοῦ καλοῦ τε, καὶ κακοῦ διάκρισιν. ἀλλὰ καὶ ὁ θεῖος Πέτρος φησίν· καὶ ὑμεῖς ἔχοντες τὸν Προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν· οἱ δὲ πολλοὶ, οὐδὲν ὅλως διενηνόχασιν ἐκείνων τῶν ἐν νυκτὶ φωτὸς παντάπασιν ἀπόρων περιπατούντων, καὶ μηδὲ βραχείας ἀπολαυόντων αὐγῆς, ὅπερ ἐστὶ θεῖος λόγος ταῖς ψυχαῖς αὐτῶν ἐπιλάμπειν δυνάμενος, ὡς σχεδὸν, μὴ ἀνομοίους εἶναι τυφλοῖς. οὗτοί εἰσιν οἱ ταῖς ὑλικαῖς πολλῶν περιπλοκαῖς καὶ τοῖς βιωτικοῖς ἅμμασι καταδεδεμένοι, καὶ μήτε θείῳ φόβῳ διακρατούμενοι, μήτε τινὰς τῶν ἀγαθοεργιῶν μετερχόμενοι. καὶ γὰρ ὅσοι τῶν βιωτικῶν ἀνδρῶν, ὥσπερ λέλεκται, ὑπὸ τῶν ἁγίων ἐντολῶν ὡς ὑπὸ ἄστρων τινῶν διαυγάζονται, πίστει, καὶ φόβῳ τῷ τοῦ Θεοῦ προσέχοντες. οὗτοι οὐχὶ καθάπαξ τῷ σκότει περιλαμβάνονται· παρ' ὃ καὶ ἐλπίδα σωτηρίας ἔχειν δύνανται.

ρμδ΄. Ὥσπερ ἐκ διαφόρων· φημί· ἀφορμῶν τε καὶ ἐπιτηδευμάτων ὁ ἐν τῷ κόσμῳ τοῖς ἀνθρώποις συλλέγεται πλοῦτος· ὁ μὲν, ἐξ ἀρχοντικῶν ἀξιωμάτων, ὁ δὲ, ἐξ ἐμπορίας. ὁ δὲ, ἐκ φιλοπονίας δήπου, καὶ γεωργίας, καὶ ἄλλος ἄλλως. τὴν αὐτὴν οἶμαι καὶ τοῖς πνευματικοῖς εἶναι διάταξιν. οἱ μὲν γὰρ ἐκ διαφόρων χαρισμάτων, ὡς τὸ τοῦ Ἀποστόλου δηλοῖ, ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσαν ὑμῖν διάφορα. οἱ δὲ, ἐκ διαφόρων ἀσκήσεων, διαφόρων τε δικαιωμάτων, καὶ ἀρετῶν, διὰ μόνον Θεὸν γινομένων, τὸν ἐπουράνιον ἀθροίζουσι πλοῦτον· ᾗ χάριτι ἀπείρηται τὸ τὸν πλησίον κρίνειν, ἢ ἐξουθενεῖν, ἢ ὑπὸ κατάγνωσιν ἄγειν· πλὴν ἀλλ' οὐκ ἄδηλοι καὶ οἱ τὸν χρυσὸν ἀνορύττοντες. οἱ διὰ μακροθυμίας καὶ ὑπομονῆς δηλαδὴ τρέχοντες, καὶ κατὰ μέρος πλουτοῦντες πρὸς τῆς ἀγαθῆς αὐτῆς ἐλπίδος ὑπερειδούσης. οὐκ ἄδηλοι δὲ, καὶ οἱ καθάπερεὶ μίσθιοι, βλάκες ὄντες καὶ νωχελεῖς. οἱ εὐθέως τὸ ἐμπίπτον ὥσπερ ἐσθίοντες, καὶ μὴ μεθ' ὑπομονῆς τὰ μετὰ χεῖρας ἀνύοντες, ἀεὶ γυμνοί τε καὶ πένητες καθορῶνται, καὶ περιέρχονται. καὶ γὰρ οὗτοι πρὸς μὲν τὸ λαβεῖν τὴν χάριν, ἑτοίμως ἄγαν, καὶ θερμῶς ἔχοντες, πρὸς δὲ τὸ ποιεῖν τε καὶ ἐπικτᾶσθαι, ῥάθυμοι ὄντες, καὶ ἀφερέπονοι, ἀμετάβλητοι καὶ ἅμα τῷ ἅψασθαι κορεννύμενοι, ἀψίκοροί τε καὶ ναρκώδεις περὶ τὸ ποιεῖν γνωριζόμενοι, καὶ ἧς ἔτυχον ἀξιωθέντες χάριτος ἀφαιροῦνται. ἀεί ποτε γὰρ ἡ νωθεία, καὶ ὀκνηρὰ, καὶ ἀμβλεῖα, καὶ ἠμελημένη προαίρεσις, ἀσύμφωνος μὲν τῇ χάριτι, ἔρημος δὲ ἀγαθῶν πράξεων, ἀδόκιμός τε παρὰ Θεῷ καὶ ἄδοξος, καὶ νῦν ἔγνωσται, καὶ ἐν ἐκείνῳ τῷ αἰῶνι στερηθήσεται.

Παραβάντι τῷ ἀνθρώπῳ τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ τῆς τοῦ Παραδείσου διαγωγῆς ἐκπεσόντι, δυσὶν ὥσπερ ἁλύσεσι δεδέσθαι συνεκολλήθη τε. μιᾷ μὲν τῶν βιωτικῶν πραγμάτων, καὶ σαρκικῶν ἡδονῶν, πλούτου, δόξης, φιλίας, γυναικὸς, τέκνων, συγγενείας, πατρίδος, κτημάτων, καὶ ἁπλῶς πάντων τῶν φαινομένων, ἀφ' ὧν ὁ τοῦ Θεοῦ λόγος κατ' οἰκείαν ρμε΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἡμᾶς προαίρεσιν ἀπολύεσθαι κελεύει. ἑτέρα δὲ ἀδήλῳ καὶ ἀφανεῖ. καὶ γὰρ δέδεταί τινι δεσμῷ σκότους ἡ ψυχὴ πρὸς αὐτῶν τῶν τῆς πονηρίας πνευμάτων, παρ᾽ ὃ μηδὲ δυνατὸν αὐτῇ μήτ᾽ ἀγαπῆσαι Θεὸν, μήτε πιστεῦσαι, μήτε προσευχῇ χρήσασθαι καθάπερ ἔχει θελήματος. πάντων γὰρ ἡ ἐναντιότης εἴτε τοῖς φανεροῖς, εἴτε τοῖς ἀδήλοις, ἀπὸ τῆς παραβάσεως τοῦ πρώτου ἀνθρώπου πάντας ἡμᾶς μέτεισιν. ἐπειδὰν οὖν τις ὑπήκοον οὖς τῷ λόγῳ τοῦ Θεοῦ παρασχόμενος, ἀποστῇ μὲν τῶν βιωτικῶν πραγμάτων, ἀποτάξεται δὲ πάσαις ταῖς σαρκικαῖς ἡδοναῖς· τότε δὴ τῷ Θεῷ προσεδρεύων, καὶ τῇ σχολῇ αὐτῷ συγγινόμενος, δύναμιν λαμβάνει πρὸς τὸ μαθεῖν· ὅτι κέκρυπταί τις ἐν ἀδύτοις καρδίας ἄλλη πάλη, καὶ ἄλλος λογισμῶν πόλεμος· καὶ οὕτω παραμένων καὶ τῶν τοῦ Χριστοῦ δεόμενος οἰκτιρμῶν, πίστεως αὐτῷ πολλῆς, μετά γε τῆς ὑπομονῆς συνεπομένης. οὐ μὴν, ἀλλὰ καὶ τῆς τοῦ Θεοῦ ῥοπῆς συνεφαπτομένης, δύναται τῶν ἔνδον ἀπαλλαγῆναι δεσμῶν τε, καὶ φραγμῶν ἐκείνων, καὶ τοῦ σκότους τῶν πνευμάτων τῆς πονηρίας, ἅπερ εἰσὶν, αἱ τῶν κεκρυμμένων παθῶν ἐνέργειαι. τοῦτον δὲ τὸν πόλεμον, διὰ μὲν χάριτος τοῦ Χριστοῦ καὶ δυνάμεως, δυνατοὶ γινόμεθα καταργεῖν. ἀσθενεῖ δὲ, καὶ δι᾽ ἑαυτοῦ ῥύσασθαί τινα ἑαυτὸν, μάχης τῆς, καὶ τῆς ἐκ τῶν λογισμῶν ἀπηλλάχθαι πάλης, ἀδύνατον παντελῶς. τὸ δὲ ἀντιλέγειν μόνον καὶ μὴ συνήδεσθαι, δυνατόν.

ρμϛʹ. Εἴ τις τοῖς πράγμασι τοῦ κόσμου τούτου, καὶ τοῖς ποικίλοις ἐνέχοιτο δεσμοῖς, τοῖς τῆς κακίας τε συναπάγοιτο πάθεσι, πολλοῦ γε καὶ δεῖ γινώσκειν, ὥσπερ καὶ φθάσαντες ἔφημεν, εἶναί τινα πάλην ἄλλην, καὶ πόλεμον ἐν τῷ ἀφανεῖ ἕτερον. ἀγαπητὸν γὰρ, ἵνα λύσας τις ἑαυτὸν πάντων τῶν φαινομένων, καὶ τῶν σαρκικῶν ἡδονῶν ἀποστήσας, τῷ Κυρίῳ τε προσεδρεύειν ἀρξάμενος, ἐπιγνῶναι δυνηθῇ τὴν ἔνδον οἰκοῦσαν τῶν παθῶν πάλην, καὶ τὸν ἐν ἡμῖν κρυπτὸν πόλεμον. εἰ μὴ γὰρ, ὡς ἔφημεν, ταῦτα γένηται, παρ᾽ ὅλης ἡμῶν τῆς ψυχῆς, καὶ ὅλος ἐξ ὅλου τις προσεδρεύειν τῷ Θεῷ στέρξειεν, οὐδ᾽ ἐπιγνώσεται τὰ ἀπόρρητα ταῦτα τῆς κακίας πάθη, καὶ τοὺς ἔσω δεσμούς· ἀλλὰ κινδυνεύει τραύματα ἔχων, καὶ ἀφανῆ πάθη περιθάλπων, ὑγιαίνειν οἴεσθαι, καὶ μὴ νοσεῖν. τῷ δέ γε ἐπιθυμίας καὶ δόξης ὑπεριδόντι, πρῶτα μὲν ἐπιγνῶναι ταῦτα δυνατὸν γίνεται, ἔπειτα δὲ, ἐνδυθέντι Χριστοῦ μετὰ πίστεως, καὶ ὅπλα λαβόντι ἐξ οὐρανοῦ τὰ τοῦ πνεύματος, τὸν θώρακα τῆς δικαιοσύνης, τὴν περικεφαλαίαν τοῦ σωτηρίου, τὸν θυρεὸν τῆς πίστεως, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ταῦτα καταπαλαῖσαι.

ρμζʹ. Μυρία μὲν τῷ ἀντικειμένῳ πεπραγμάτευται, τῆς ἐλπίδος ἡμᾶς ἀποσπᾶν, καὶ τῆς εἰς Χριστὸν ἀγάπης μηχανωμένῳ. ἢ γὰρ ἔνδον θλίψεις διὰ τῶν τῆς πονηρίας πνευμάτων τῇ ψυχῇ ἐπάγει, ἢ λογισμοὺς μιαρούς τε, καὶ ἀθεμίτους ταύτης κατασκευάζει τῶν προτέρων ἁμαρτημάτων τὴν μνήμην ἀνασκαλεύων, ἅτε χαυνῶσαι αὐτὴν ἐνθένδε βουλόμενος, καὶ λογισμοὺς ἀπογνώσεως αὐτῇ ἐμβαλεῖν, ὅτι τε οὐ δυνατὸν αὐτῇ σωτηρίας τυχεῖν· καὶ ὡς τοὺς λογισμοὺς τούτους παρ᾽ ἑαυτῆς ὅλως τῆς ψυχῆς γεννώσης, καὶ οὐχὶ πνεύματος ἀλλοτρίου κακῶς αὐτοὺς ὑποσπείροντος, καὶ βουλομένου λανθάνειν. ἢ τοίνυν ἐκεῖνα ποιεῖ, ἢ πόνους σωματικοὺς ἐπάγει, ἢ ὀνειδισμοὺς καὶ θλίψεις τὰς ἐξ ἀνθρώπων ἐπινοεῖ. ἀλλ᾽ ὅσον ὁ πονηρὸς τὰ πεπυρωμένα ταῦτα βέλη καθ᾽ ἡμῶν ἀφίησι, τοσοῦτον ἡμᾶς προσήκει τῆς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πρὸς Θεὸν ἐλπίδος μᾶλλον ἐξῆφθαι. εἰδέναι τε ἀκριβῶς· ὅτι τοῦτο αὐτῷ θέλημα· τὸ τοὺς ἐρωτικῶς ἐχόντας αὐτοῦ εἰς δοκίμιον εἶναι ψυχὰς, εἰ ἐξ ἀληθείας αὐτὸν ἠγαπήκασι.

ρμη΄. Χίλια ἔτη τοῦ αἰῶνος τούτου, τῷ ἀφθάρτῳ κόσμῳ καὶ αἰωνίῳ παραβαλλόμενα, τοσοῦτον ἰσχύουσιν, ὡς εἴτις ψάμμον μίαν τῆς ὅλης ψάμμου τῆς θαλάττης λάβοι. σκέψαι δέ μοι καὶ τὸν τρόπον τοῦτον. ἔστω γὰρ ἐξεῖναί σοι μόνῳ μὲν γενέσθαι βασιλεῖ πάσης τῆς γῆς· μόνῳ δὲ τῶν θησαυρῶν ἁπάντων δεσπόσαι τῆς οἰκουμένης· θῶμεν δὲ τὴν ἀρχὴν τῆς τῶν ἀνθρώπων εἰς τὸ εἶναι παραγωγῆς, ἀρχὴν καί σοι γενέσθαι τῆς βασιλείας· ὅρον δὲ ταύτης εἶναι τὴν τῶν φαινομένων τέλος, καὶ τοῦ κόσμου παντὸς ἀλλοίωσίν τε, καὶ μεταποίησιν. τί οὖν; αἱρέσεώς σοι δοθείσης, ἤμειψας ἂν αὐτὴν τῆς ἀληθινῆς καὶ βεβαίας, καὶ οὐδὲν οὐδόλως ἐχούσης παροδικὸν, καὶ λυόμενον; οὐκ ἂν ἔγωγε φαίην, εἴσοι τὸ κρῖνον ὑγιῶς ἔχει, καὶ καλῶς ἐσκέπται περὶ τῶν σῶν. τί γὰρ κέρδος· φησὶ τῷ ἀνθρώπῳ, εἰ τὸν κόσμον ὅλον κερδήσας, ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ, ἧς οὐδ᾽ εἶναί τι ἀντάλλαγμα μεμαθήκαμεν. ἐπεὶ καὶ παντὸς τοῦ κόσμου, καὶ τῆς κατ᾽ αὐτὸν βασιλείας, αὐτὴ μόνη καθ᾽ ἑαυτὴν ἡ ψυχὴ τιμιωτέρα πολλῷ, μήτοιγε ἡ τῶν οὐρανῶν βασιλεία. τιμιωτέραν δὲ καὶ τοῦτο τὴν ψυχὴν εἶναί φαμεν, καθ᾽ ὃ μὴ ἐπ᾽ οὐδενὶ ἄλλῳ τῶν ὄντων ηὐδόκησεν ὁ Θεὸς, τοῦ Πνεύματος τῆς ἰδίας φύσεως ἕνωσιν θέσθαι καὶ κοινωνίαν. οὐκ οὐρανῷ, οὐχ ἡλίῳ, οὐ σελήνῃ, οὐκ ἄστροις, οὐ θαλάττῃ, οὐ γῇ, οὐχ ἑτέρᾳ τινὶ κτίσει τῶν ὁρωμένων, ὅτι μὴ τῷ ἀνθρώπῳ μόνῳ· ὃ καὶ τῶν κτισμάτων αὐτὸς ἠγάπησε τῶν οἰκείων. εἰ οὖν τὰ μεγάλα ταυτὶ τοῦ κόσμου, πλοῦτον φημὶ· ποσόν δε, καὶ βασιλείαν τῆς γῆς ἁπάσης, οὐκ ἂν ὀρθῶς κρίναντες τῆς αἰωνίου ἠλλάξαμεν βασιλείας, τί παθόντες οἱ πλείους φαύλων αὐτὴν, καὶ τῶν τυχόντων τιμῶνται πραγμάτων; οἷον ἐπιθυμίας τινὸς, δόξης ὀλίγης, κέρδους μετρίου, καὶ τῶν τοιούτων; ὅπερ γάρ τις τοῦ αἰῶνος τούτου φιλεῖ, καὶ οὗ δέδεται, ἐκεῖνο πάντως καὶ τῆς τῶν οὐρανῶν ἀλλάττεται βασιλείας. καὶ τὸ χαλεπώτατον, ὅτι καὶ Θεὸν ἡγεῖται τοῦτο. καθώς που λέλεκται, ὅτι ᾧ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. χρὴ οὖν ὅλον δι᾽ ὅλου τῷ Θεῷ προσδραμεῖν, ἀναρτῆσαί τε ἑαυτὸν, καὶ σταυρῶσαι ψυχῇ καὶ σώματι διὰ πασῶν πορευόμενον τῶν ἐντολῶν αὐτοῦ τῶν ἁγίων.

ρμθ΄. Εἶτα· ἆρα δίκαιον καὶ δίκαιον εἶναι δοκεῖ, τὴν μὲν φθαρτὴν αὐτὴν δόξαν, καὶ τὴν ἐφήμερον βασιλείαν καὶ ἄλλα ὅσα τοιαῦτα τῶν ἐπικαίρων, μετὰ πόνων καὶ ἱδρώτων πολλῶν, τοῖς ὀρεγομένοις αὐτῶν περιγίνεσθαι; τὸ δὲ σὺν Χριστῷ ἀπέραντα βασιλεύειν, καὶ τὸ τῶν ἀνεκλαλήτων ἐκείνων ἐπιτυχεῖν ἀγαθῶν, τοῦτο δὲ ὅπως εὔωνόν τι καὶ ῥᾴδιον εἶναι, ὡς πόνων ἐκτὸς καὶ καμάτων κατορθοῦσθαι τῷ βουλομένῳ;

ρν΄. Τίς ἡ οἰκονομία τῆς τοῦ Χριστοῦ παρουσίας; ἡ τῆς ἡμῶν φύσεως πρὸς ἑαυτὴν ἐπάνοδος, καὶ ἀποκατάστασις· ἀπέδωκε γὰρ τῇ ἀνθρωπίνῃ φύσει τὸ τοῦ Πρωτοπλάστου Ἀδὰμ ἀξίωμα, πρὸς δὲ, καὶ κληρονομίαν αὐτῇ οὐρανίαν. ὢ θείας καὶ μεγάλης τῷ ὄντι χάριτος, τοῦ ἀγαθοῦ Πνεύματος ἐδωρήσατο· ἐξαγαγών τε αὐτὴν ἐκ τῆς φυλακῆς τοῦ σκότους, ὁδὸν ζωῆς, καὶ θύραν ἐπέδειξε, δι᾽ ἧς ἐλθόντι, καὶ ἐν ᾗ κρούσαντι, δυνατὸν ἐντὸς γενέσθαι τῆς βασιλείας. αἰτεῖτε γὰρ, φησι, καὶ δοθήσε-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ται ὑμῖν. κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. διὰ ταύτης τῆς θύρας οὐδενὶ τῶν βουλομένων, ἄπορον τὴν ἐλευθερίαν τῆς ἑαυτοῦ ψυχῆς ἐφευρεῖν ἐκείνην τε τοὺς ἰδίους ἀπολαβεῖν λογισμοὺς, καὶ πλουτῆσαι Χριστὸν σύνοικον, καὶ ὡς νυμφίῳ αὐτῷ κατὰ τὴν κοινωνίαν τοῦ ἀγαθοῦ Πνεύματος χρήσασθαι. Ἴδε ἀγάπην ἄρρητον δεσπότου πρὸς τὸν ὑπ' αὐτοῦ γενόμενον κατὰ τὴν εἰκόνα τὴν ἑαυτοῦ ἄνθρωπον.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη



Συμεὼν ὁ Ἁγιώτατος Πατὴρ ἡμῶν, ὁ διὰ τὴν θεόθεν αὐτῷ δωρηθεῖσαν τῆς Θεολογίας χάριν νέος ἐπικληθεὶς Θεολόγος. ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, περίπου τὸ χιλιοστὸν ἀπὸ Χριστοῦ ἔτος. μαθητὴς δὲ χρηματίσας Συμεὼν τοῦ ἐπικαλουμένου Εὐλαβοῦς, καὶ ὑπ' αὐτὸν τοῖς ἀσκητικοῖς ἀγῶσιν ἐγγυμνασάμενος, ἐπὶ τοσοῦτον ἀρετῆς, καὶ ἀπαθείας ὕψος ἀνήχθη, καὶ οὕτω πλουσίως τῆς θείας χάριτος ἠξιώθη, ὥστε τὰ κατ' αὐτὸν γραφῇ παραδοῦναι, μικροῦ δεῖν, τῶν ἀδυνάτων ἐστίν, ὡς ἡ κατ' αὐτὸν βιογραφία, πολύστιχος εἴπερ τις ἄλλη γε οὖσα, διεξοδικώτατα κατηγορεῖ. Ὅλην γάρ, ὡς εἰπεῖν, τὴν τοῦ Παρακλήτου δύναμιν ἐν ἑαυτῷ εἰσδεξάμενος, καὶ δοχεῖον τῆς αὐτοῦ ἐλλάμψεως χρηματίσας, Θεολογίας ἐδείχθη πηγή, θείου φωτισμοῦ καταγώγιον, μυστηρίων ἀλαλήτων τερπνότατον ἐνδιαίτημα, καὶ συνόλως εἰπεῖν, πνευματικῆς σοφίας, καὶ θείας γνώσεως οἰκητήριον· ἧτινι καὶ φωτιζόμενος παντοδαπῆς ἰδέας συγγράμματα στιχηρά τε, καὶ λογογραφικὰ συνηρμόσατο, μονονουχὶ ἀριθμὸν νικῶντα, καὶ πλείστης ὅσης ὠφελείας ἀνάπλεα. ὧν μόνα τὰ παρόντα, καὶ τὰ ἐν τῷ τέλει ἐπὶ τὸ ἁπλούστερον μεταπεφρασμένα διὰ τὴν τῶν πολλῶν ὠφέλειαν, ἀπολεξάμενοι, ἐν τῇδε τῇ βίβλῳ συνεταξάμεθα. πολλὴ γάρ τις, καὶ ἄφθονος ἡ ἐξ αὐτῶν ἀνασομοῦται τοῖς ἀναγινώσκουσιν ὄνησις.

# ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΥΜΕΩΝ

# ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ.

## Κεφάλαια πρακτικὰ, καὶ θεολογικά. ρμέ.

α'. Πίστις ἐστὶ, τὸ διὰ Χριστὸν ὑπὲρ τῆς αὐτοῦ ἐντολῆς ἀποθανεῖν· καὶ τὸν θάνατον τοῦτον, ζωῆς πρόξενον εἶναι πιστεύειν. τὴν πτωχείαν, ὡς πλοῦτον λογίζεσθαι· τὴν εὐτέλειαν καὶ ἐξουδένωσιν, ὡς δόξαν τῷ ὄντι καὶ περιφάνειαν· καὶ ἐν τῷ μηδὲν ἔχειν, τὰ πάντα κατέχειν πιστεύειν. μᾶλλον δὲ κεκτῆσθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τῆς ἐπιγνώσεως τοῦ Χριστοῦ, καὶ πηλὸν, ἢ καπνὸν ἅπαντα τὰ ὁρώμενα καθορᾷν.

β'. Ἡ εἰς Χριστὸν πίστις ἐστὶ, τὸ μὴ μόνον καταφρονῆσαι τῶν ἐν τῷ βίῳ τερπνῶν, ἀλλὰ καὶ τὸ καρτερῆσαι καὶ τὸ ὑπομεῖναι πάντα πειρασμὸν ἐπερχόμενον, ἐν λύπαις, καὶ θλίψεσι, καὶ συμφοραῖς, ἕως ἂν θελήσῃ, καὶ ἐπισκέψηται ἡμᾶς ὁ Θεός. ὑπομένων γάρ φησιν· ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι.

γ'. Οἱ τοὺς ἑαυτῶν γονεῖς ἔτι νῦν προτιμῶντες τῆς τοῦ Θεοῦ ἐντολῆς, πίστιν οὐ κέκτηνται πρὸς Χριστόν. πάντως γὰρ ὑπὸ τῆς ἰδίας κρίνονται συνειδήσεως· εἴγε καὶ συνείδησιν ζῶσαν ἔχουσι περὶ τῆς ἀπιστίας αὐτῶν. πιστῶν γὰρ τοῦτό ἐστι, τὸ ἐν μηδενὶ μηδαμῶς τοῦ μεγάλου Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παραβαίνειν τὴν ἐντολήν.

δ'. Πίστις ἡ εἰς Χριστὸν τὸν ἀληθινὸν Θεὸν, ἐπιθυμίαν καλῶν ἔτεκε, καὶ φόβον κολάσεων. ἡ δὲ τῶν κρειττόνων ἐπιθυμία, καὶ ὁ φόβος τῶν κολάσεων, τήρησιν ἀκριβῆ τῶν ἐντολῶν κατειργάσατο. ἡ δὲ ἀκριβὴς τῶν ἐντολῶν τήρησις, τὴν ἰδίαν τοὺς ἀνθρώπους ἐκδιδάσκει ἀσθένειαν. ἡ δὲ κατανόησις τῆς ἀληθοῦς ἀσθενείας ἡμῶν, θανάτου μνήμην ἐγέννησεν. ὁ δὲ σύνοικον ταύτην κτησάμενος, αὐτὸς μαθεῖν ἐμπόνως ζητήσει, ὁποία ἔσται αὐτῷ μετὰ τὴν ἔξοδον τοῦ βίου τούτου καὶ ἀναχώρησιν. ὁ δέγε περὶ τῶν μελλόντων γνῶναι σπουδάζων, πρῶτον πάντων ἑαυτὸν ἀποστερῆσαι τῶν παρόντων ὀφείλει. ὁ γὰρ ἐν τούτοις καὶ μέχρις εὐτελοῦς τινὸς ὑπὸ προσπαθείας κρατούμενος, ἐκείνων τὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γνῶσιν τελείαν οὐ δύναται κτήσασθαι. εἰ δὲ καὶ ταύτης γεύσεται κατ' οἰκονομίαν τὴν τοῦ Θεοῦ, εἰμὴ τάχιον ἐάσῃ τὰ ὑφ' ὧν, καὶ ἐν οἷς κρατεῖται κατὰ προσπάθειαν, καὶ ὅλως τῆς τοιαύτης γένηται γνώσεως, μηδὲν ταύτης ἕτερον ἔξωθεν ἐντεῦθεν ἑκουσίως καταδεχόμενος, καὶ αὐτὴν ἣν δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ' αὐτοῦ.

ε΄. Ἡ ἀποταγὴ τοῦ κόσμου, καὶ παντελὴς ἀναχώρησις, ξενιτείαν ἀναλαβομένη, πάντων τῶν ἐν βίῳ ὑλῶν, καὶ ἠθῶν, καὶ γνωμῶν καὶ προσώπων, καὶ ἄρνησιν σώματος καὶ θελήματος, μεγάλης ὠφελείας πρόξενος γίνεται, τῷ οὕτω θερμῶς ἀποταξαμένῳ ἐν βραχεῖ τῷ καιρῷ.

ϛ΄. Ὁ φεύγων τὸν κόσμον, ὅρα μὴ δῷς τὴν ψυχήν εἰς παράκλησιν κατ' ἀρχάς, ἐν αὐτῇ τῆς οἰκήσεως πειμένος· εἰ καὶ πάντες σε τοῦτο ποιεῖν συγγενεῖς καὶ φίλοι καταναγκάζουσι. τοῦτο γὰρ αὐτοῖς οἱ δαίμονες ὑποβάλλουσιν, ὅπως τὴν θέρμην ἀποσβέσωσι τῆς καρδίας σου. εἰ γὰρ καὶ μὴ τελείως ἐμποδίσωσι τὴν πρόθεσιν, ἀλλά γε χαυνοτέραν ταύτην πάντως καὶ ἄθερμον ἀπεργάζονται.

ζ΄. Ὅταν πρὸς πάντα τὰ τοῦ βίου ἡδέα εὑρεθῇς ἀνδρεῖος καὶ ἀπαράκλητος, τότε εἰς συμπάθειαν δῆθεν οἱ δαίμονες τοὺς συγγενεῖς μεταστρέψαντες, κλαίειν ποιοῦσι, καὶ θρηνεῖν πρὸ προσώπου σου διὰ σέ. καὶ τοῦτο ἀληθὲς εἶναι γνώσῃ, ὅτε σὺ μὲν ἄτρεπτος καὶ ἐν ταύτῃ ἐμμείνῃς τῇ προσβολῇ, κἀκείνους εἰς μανίαν τὴν κατὰ σοῦ, καὶ μῖσος ἄφνω ἐξαφθέντας ἴδῃς, καὶ ὡς ἐχθρὸν ἀποστρεφομένους σε, καὶ ὁρᾶν οὐκ ἐθέλοντας.

η΄. Τὴν παρὰ τῶν γονέων, καὶ ἀδελφῶν, καὶ φίλων σου θλίψιν ὁρῶν διὰ σὲ γινομένην, γέλα ἐπὶ τῷ ὑποβάλλοντι ταῦτα ποικίλως κατὰ σοῦ γίνεσθαι δαίμονι· καὶ μετὰ φόβου, καὶ σπουδῆς πολλῆς ὑποχώρησον. καὶ τὸν Θεὸν ἐκτενῶς δυσώπει, τοῦ τάχιον εἰς λιμένα καλοῦ πατρὸς καταντῆσαί σε· ἐν ᾧ τὴν ψυχήν σου κεκοπωμένην, καὶ πεφορτισμένην ὑπάρχουσαν, αὖθις ἀναπαύσεις. πολλὰ γὰρ ἔχει τὸ πέλαγος τοῦ βίου πρόξενα κινδύνων, καὶ ἀπωλείας ἐσχάτης.

Ὁ μισῆσαι θέλων τὸν κόσμον, ἀγάπην ἐκ βαθέων ψυχῆς ἔχειν ὀφείλει πρὸς τὸν Θεόν, καὶ μνήμην τούτου ἀένναον. οὐδὲν γὰρ ἕτερον ὡς ταῦτα, ἅπαντα μετὰ χαρᾶς καταλιμπάνειν ποιεῖ, καὶ σκυβάλων δίκην ἀποστρέφεσθαι. θ΄.

Μὴ θέλε δι' εὐλόγους αἰτίας, ἢ ἀλόγους τῷ κόσμῳ προσμεῖναι τὸ σύνολον· ἀλλ' ὅτε κληθεὶς συντόμως ὑπάκουσον. ἐν οὐδενὶ γὰρ ἑτέρῳ οὕτω Θεὸς, ὡς ἐν τῇ ταχυτῆτι ἡμῶν εὐφραίνεται. ἐπειδὴ καὶ κρείσσων ὑπακοὴ συντόμως μετὰ πενίας, ἢ βραδύτης μετὰ πλήθους χρημάτων. ι΄.

Εἰ ὁ κόσμος καὶ τὰ ἐν κόσμῳ παρέρχονται πάντα, ὁ δὲ Θεὸς ἄφθαρτος καὶ ἀθάνατος, χαίρετε ὅσοι δι' αὐτὸν τὰ φθαρτὰ κατελείψατε. φθαρτὰ δὲ εἰσὶν οὐ μόνον πλοῦτος καὶ χρήματα, ἀλλὰ καὶ πᾶσα ἡδονὴ καὶ ἀπόλαυσις ἁμαρτίας φθορά ἐστι. μόναι δὲ αἱ τοῦ Θεοῦ ἐντολαὶ φῶς εἰσὶ καὶ ζωή· καὶ τοῦτο παρὰ πάντων καλοῦνται. ια΄.

Εἰ φλόγα ἔλαβες ἀδελφέ, καὶ δραμὼν παρεγένου ἐν κοινοβίῳ ἢ πνευματικῷ πατρί, διὰ τοῦτο, εἰ προξενῇ παρ' αὐτοῦ, ἢ παρὰ τῶν συνασκουμένων σοι ἀδελφῶν, λουτροῖς, ἢ βρώμασιν, ἢ ἄλλαις θεραπείαις χρήσασθαι ἀναπαύσεως χάριν, τοῦτο μὴ καταδέξῃ· ἀλλ' ἀεὶ παρεσκευασμένος ἔσο πρὸς νηστείαν, πρὸς κακοπάθειαν, πρὸς ἐγκράτειαν ἀκροτάτην. ἵνα εἰ μὲν παρὰ τοῦ σοῦ ἐν Κυρίῳ πατρὸς, προξενηθῇς μετασχεῖν παρακλήσεως, εὑρεθῇς ἐκείνῳ μὲν ὑπήκοος, τὸ δὲ ἴδιόν σου θέλημα μηδὲ ἐν τούτῳ ποιῶν. εἰ δὲ μὴ μετὰ χαρᾶς ὑπομείνῃς ἅπερ ἑκουσίως ποιῆσαι ἠθέλησας, ψυχικῶς ὠφε- ιβ΄.

λούμε-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

λούμενος. τοῦτο γὰρ φυλάττων, ἔσῃ διαπαντὸς ἐπὶ πᾶσιν ὡς πιστεύων, καὶ ἐγκρατευόμενος. καὶ τῷ ἰδίῳ θελήματι κατὰ πάντα ἀποταξάμενος. οὐ μόνον δέ, ἀλλὰ καὶ τὴν οὖσαν ἐν τῇ καρδίᾳ σου φλόγα ἄσβεστον διατηρήσεις, τὴν πάντων καταφρονεῖν σε βιάζουσαν.

ιγ'. Ὅταν πάντα παρ' ἑαυτῶν οἱ δαίμονες πράξωσι, καὶ τὸν κατὰ Θεὸν ἡμῶν σκοπὸν καταστρέψαι οὐ δυνηθῶσιν, ἢ ἐμποδίσαι, τότε τοῖς τὴν εὐλάβειαν ὑποκρινομένοις ὑπεισέρχονται, καὶ δι' αὐτῶν τοὺς ἀγωνιζομένους ἐμποδίζειν πειρῶνται. καὶ πρῶτον μὲν ὡς ἐξ ἀγάπης δῆθεν καὶ συμπαθείας κινούμενοι, εἰς σωματικὰς ἀναπαύσεις χωρεῖν παραινοῦσιν αὐτούς· ἵνα μὴ καὶ τὸ σῶμα ἀδυνατήσῃ, φησί, καὶ εἰς ἀκηδίαν ἐμπεσεῖται. ἔπειτα καὶ εἰς συντυχίας ἀνωφελεῖς ἐκκαλούμενοι, τὰς ἡμέρας ἐν ταύταις προσαναλίσκειν αὐτοὺς ποιοῦσιν. εἰ μέν τις ὑπακούσας τῶν σπουδαίων ὁμοιωθῇ αὐτοῖς, στρέφονται καὶ ἐπιγελῶσι τὴν αὐτοῦ ἀπώλειαν. εἰ δὲ μὴ ὑπαχθῇ τοῖς αὐτῶν λόγοις, ἀλλὰ τηρῇ ἑαυτὸν ξένον ἐκ πάντων, καὶ σιωπῶν, καὶ ἀπαρρησίαστον, κινοῦνται εἰς φθόνον, καὶ πάντα ποιοῦσι καὶ πράττουσι, ἕως οὗ καὶ τῆς μονῆς αὐτὸν ἐκδιώξωσιν· οὐ φέρει γὰρ κενοδοξία ἄτιμος, ἐπαινουμένην ταπείνωσιν ὁρᾷν ἀπεναντίας αὐτῆς.

ιδ'. Ἄγχεται κενόδοξος ταπεινόφρονα ὁρῶν προχέοντα δάκρυα, καὶ δεόντως ὠφελούμενον. Θεὸν ἵλεων δι' αὐτῶν ἐργαζόμενον, καὶ ἀνθρώπους εἰς ἔπαινον ἐπισπώμενον ἀβούλητον.

ιε'. Ἀφ' οὗ σεαυτὸν ὅλον τῷ πνευματικῷ σου ἀναθήσεις πατρί, ἴσθι ὡς ξένος εἶ ἐπὶ πᾶσιν οἷς ἔξωθεν ἐπιφέρῃ· ἀνθρώποις λέγω, πράγμασί τε, καὶ χρήμασιν. οὗ χωρίς, μηδὲν ἐν αὐτοῖς πρᾶξαι ἢ ποιῆσαι θελήσῃς. ἀλλὰ μηδὲ μικρὸν ἢ μέγα πρᾶγμα αἰτήσῃ παρ' αὐτοῦ. εἰ μή τι αὐτὸς τῇ οἰκείᾳ γνώμῃ, ἢ προστάξει λαβεῖν σε, ἢ αὐτὸς ἐκεῖνος αὐτοχείρως παρέξει σοι.

ιϛ'. Μὴ δῷς αὐτὸς τῷ κατὰ Θεόν σου πατρὸς ἐλεημοσύνην, ἐξ ὧν χρημάτων προσήνεγκας· ἀλλὰ μὴ δὲ διὰ μεσίτου λαβεῖν τινὰ ἐξ αὐτῶν θελήσῃς παρ' ἐκείνου. κρεῖττον γὰρ πτωχόν, καὶ ξένον εἶναί τε, καὶ ἀκτήμονά σε, ἢ σκορπίζειν χρήματα καὶ διδόναι τοῖς πένησιν, εἰσαγωγικὸν ὄντα. πίστεως δὲ ἀκραιφνοῦς τὸ πάντα, ὡς ἐν χερσὶ Θεοῦ, τῇ τοῦ πνευματικοῦ πατρὸς ἀνατίθεσθαι βουλήσει.

ιζ'. Μηδὲ λαβεῖν ὕδατος ποτὸν αἰτήσῃ, εἰ καὶ συμβαίνει σε φλέγεσθαι, μέχρις ἂν οἴκοθεν κινηθεὶς ὁ πνευματικός σου πατὴρ προτρέψῃ σε. ἄγχε γὰρ σεαυτόν, καὶ βιάζου ἐν πᾶσι, πείθων καὶ λέγων τῷ λογισμῷ, εἰ θέλει ὁ Θεός, καὶ εἶ ἄξιος τοῦ πιεῖν, ἀποκαλύπτει πάντως τῷ πατρί σου καὶ λέγει σοι, πίε. καὶ τηνικαῦτα πίεσαι μετὰ καθαροῦ συνειδότος, εἰ καὶ παρὰ τὸν καιρὸν ἡ ὥρα ἐστίν.

ιη'. Ὁ πεῖραν ἱκανὴν πνευματικῆς ὠφελείας, καὶ ἀνόθευτον πίστιν κτησάμενος, μάρτυρα τῆς ἀληθείας τὸν Θεὸν προβαλλόμενος εἶπεν· ἐθέμην τοῦτον ἐν ἐμαυτῷ λογισμόν, ὡς μήτε φαγεῖν, μήτε πιεῖν αἰτήσασθαι ποτὲ τῷ πατρί μου, ἢ παρὲξ αὐτοῦ μεταλαβεῖν τινὸς τὸ καθόλου, ἕως ἂν ὁ Θεὸς πληροφορήσῃ αὐτὸν καὶ προστάξῃ μοι. καὶ οὕτως ἔχων, οὐδέποτε· φησί· τοῦ σκοποῦ μου ἀπέτυχον.

ιθ'. Ὁ πίστιν κτησάμενος ἐναργῆ πρὸς τὸν κατὰ Θεὸν πατέρα αὐτοῦ, βλέπων αὐτόν, βλέπειν αὐτὸν τὸν Χριστὸν λογίζεται. καὶ συνών, ἢ ἀκολουθῶν αὐτῷ, Χριστῷ συνεῖναι, καὶ ἀκολουθεῖν βεβαίως πιστεύει. ὁ τοιοῦτος οὐκ ἐπιθυμήσει ἑτέρῳ τινὶ ὁμιλῆσαί ποτε. οὐ προτιμήσει τί τῶν τοῦ κόσμου πραγμάτων, ὑπὲρ τὴν ἐκείνου μνήμην ὁμοῦ καὶ ἀγάπην. τί γὰρ μεῖζον, ἢ καὶ ὠφελιμώτερον ἐν τῇ παρούσῃ, καὶ ἐν τῇ μελλούσῃ ζωῇ, τοῦ συνεῖναι Χρι-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σῶ; τί δὲ ὡραιότερον, ἢ γλυκύτερον τῆς θείας αὐτοῦ; εἰ δὲ καὶ ὁμιλίας ἀξιοῦται τῆς παρ' αὐτοῦ, πάντως ζωὴν αἰώνιον ἐκ ταύτης ἀρύεται.

κ'. Ὁ ἐκ διαθέσεως τοὺς λοιδοροῦντας, ἢ ἀδικοῦντας, καὶ ἀποστεροῦντας αὐτὸν ἀγαπῶν, καὶ ὑπὲρ τούτων εὐχόμενος, εἰς προκοπὴν ἐν ὀλίγῳ μεγάλην ἀνέρχεται. ἐν αἰσθήσει γὰρ καρδίας τούτο γινόμενον, εἰς ἄβυσσον ταπεινώσεως, καὶ εἰς δακρύων πηγὰς τὸν λογιζόμενον καταφέρει· ἐν οἷς καταποντίζεται τὸ τριμερὲς τῆς ψυχῆς. ἀνάγει δὲ εἰς οὐρανὸν ἀπαθείας τὸν νοῦν, καὶ θεωρητικὸν ἀπεργάζεται· καὶ τῇ γεύσει τῆς ἐκεῖθεν χρηστότητος, πάντα σκύβαλα τὰ τοῦ παρόντος βίου ἡγεῖσθαι ποιεῖ· καὶ αὐτήν τε τὴν τροφὴν καὶ πόσιν, μὴ ἐνηδόνως, ἢ συχνοτέρως προσίεσθαι.

κα'. Οὐ πράξεων μόνον πονηρῶν ἀπέχεσθαι δεῖ, ἀλλὰ καὶ λογισμῶν, καὶ ἐννοιῶν ἐναντίων, σπουδάζειν χρὴ τὸν ἀσκητὴν ἐλεύθερον εἶναι. ἐνδιατρίβειν δὲ ἀεὶ ταῖς ψυχωφελέσι καὶ πνευματικαῖς ἐνθυμήσεσι. ἵνα οὕτως ἀμέριμνος ἀπὸ τῶν βιωτικῶν διαμείνῃ.

κβ'. Ὥσπερ ὁ ὅλον ἑαυτοῦ ἀπογυμνώσας τὸ σῶμα, ἐὰν καλύμματί τινι κεκαλυμμένους ἔχῃ τοὺς ὀφθαλμοὺς, καὶ οὐ θελήσῃ ἆραι καὶ ἀποσείσασθαι αὐτὸ, οὐ δύναται ἀπὸ μόνης τῆς γυμνότητος τοῦ λοιποῦ σώματος ἰδεῖν τὸ φῶς, οὕτω καὶ ὁ πάντων τῶν ἄλλων πραγμάτων ὁμοῦ καὶ χρημάτων καταφρονήσας καὶ ἀπαλλαγεὶς αὐτῶν τῶν παθῶν, εἰ μὴ καὶ τῶν βιωτικῶν ἐνθυμήσεων, καὶ τῶν πονηρῶν ἐννοιῶν ἐλευθερώσει τὸν τῆς ψυχῆς ὀφθαλμὸν, οὐκ ὄψεται ποτὲ τὸ νοητὸν φῶς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ Θεόν.

κγ'. Ὥσπερ κάλυμμα ἐν ὀφθαλμοῖς ἐπιτεθὲν, οὕτω λογισμοὶ κοσμικοὶ, καὶ βιωτικαὶ ἐνθυμήσεις ἐν διανοίᾳ, ἤγουν ἐν ὀφθαλμῷ ψυχῆς γίνονται. καθ' ὅσον οὖν ἐάσωσι χρόνον, οὐ βλέψομεν. ἐπὰν δὲ ἐξαρθῶσι τῇ τοῦ θανάτου μνήμῃ, τότε σαφῶς ἴδωμεν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον εἰς τὸν ἄνω κόσμον ἐρχόμενον.

Ὁ ἐκ γενετῆς ὢν τυφλὸς, οὐ γνώσεται οὐδὲ πιστεύει τῶν γραφομένων τὴν δύναμιν. ὁ δὲ καταξιωθεὶς ποτὲ βλέψαι, συμμαρτυρήσει εἶναι ἀληθῆ τὰ λεγόμενα. κδ'.

Ὁ βλέπων τοῖς αἰσθητοῖς ὀφθαλμοῖς, οἶδε πότε νὺξ, πότε ἡμέρα ἐστίν. ὁ δὲ τυφλὸς, τὰ ἀμφότερα ἀγνοεῖ. καὶ ὁ πνευματικῶς ἀναβλέψας, καὶ τοῖς νοεροῖς ὁρῶν ὀφθαλμοῖς, θεασάμενος τὸ ἀληθινὸν καὶ ἄδυτον φῶς, ὅταν ἐκ ῥαθυμίας εἰς τὴν προτέραν ἀποστραφῇ τύφλωσιν, καὶ τοῦ φωτὸς ἀποστερηθῇ, διαισθήτως ἐπαισθάνεται τῆς τοιαύτης στερήσεως· καὶ πόθεν αὕτη συνέβη γενέσθαι, οὐκ ἀγνοεῖ. ὁ δέγε μένων τυφλὸς ἐκ γενετῆς, οὐδὲν οὔτε τῇ πείρᾳ, οὔτε τῇ ἐνεργείᾳ τούτων ἐπίσταται. εἰ μή τι ἐξ ἀκοῆς ἀκούσῃ, καὶ μάθῃ, περὶ ὧν οὔποτε ἐθεάσατο, καὶ διηγήσηται ἄλλοις ἅπερ ἀκήκοεν. οὔτε καὶ τῶν ἀκουόντων, περὶ ποίων πραγμάτων ἀλλήλοις προσδιαλέγονται, μὴ εἰδότων. κε'.

Ἀδύνατον καὶ τὴν σάρκα τῷ κόρῳ τῶν βρωμάτων κατεμπιπλᾷν, καὶ πνευματικῶς τῆς ἱερᾶς καὶ θείας ἐναπολαύειν χρηστότητος. ὅσῳ γὰρ τὴν γαστέρα τὶς θεραπεύσει, κατὰ τοσοῦτον ἐκείνης ἑαυτὸν ἀποστερήσει. καθ' ὅσον δὲ τὸ σῶμα ὑπωπιάσει, ἀναλόγως καὶ τῆς πνευματικῆς τροφῆς τε καὶ παρακλήσεως ἐμπλησθήσεται. κϛ'.

Καταλείψωμεν πάντα τὰ ἐπὶ τῆς γῆς· μὴ πλοῦτον μόνον, καὶ χρυσὸν, καὶ τὰς ἄλλας ὕλας τοῦ βίου, ἀλλὰ καὶ τὴν ἐπιθυμίαν τὴν πρὸς αὐτὰ, τέλεον ἀπὸ τῶν ψυχῶν ἡμῶν ἀπελάσωμεν. μισήσωμεν μὴ μόνον τὰς ἡδονὰς τοῦ σώματος, ἀλλὰ καὶ τὰς ἀλόγους κινήσεις αὐτοῦ, καὶ κζ'.

νεκρῶ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

νεκρῶται τοῦτο διὰ πόνων σπουδάσωμεν· διὰ τούτου γὰρ ἐνεργοῦνται τὰ τῆς ἐπιθυμίας, καὶ εἰς ἔργον ἐξάγονται. καὶ ζῶντος αὐτοῦ, ἀνάγκη πᾶσα τὴν ψυχὴν ἡμῶν νεκρὰν εἶναι, καὶ δυσκίνητον πρὸς πᾶσαν θείαν ἐντολήν, ἢ καὶ παντελῶς ἀκίνητον.

κη'. Καθάπερ ἡ φλὸξ τοῦ πυρὸς εἰς ὕψος ἀεὶ αἴρεται, καὶ μᾶλλον ἐὰν στρέψῃς τὴν ὕλην ἀφ' ἧς ἀνάπτεται, οὕτω καὶ ἡ τοῦ κενοδόξου καρδία, ταπεινωθῆναι οὐ δύναται. ἀλλ' ὡς ἂν εἴπῃς αὐτῷ τὰ τῆς ὠφελείας αὐτοῦ, μᾶλλον καὶ μᾶλλον ἐπαίρεται. ἐλεγχόμενος γὰρ ἢ καὶ νουθετούμενος, ἀντιλέγει σφοδρῶς. ἐπαινούμενος δὲ ἢ καὶ παρακαλούμενος, ἀνυψοῦται κακῶς.

κθ'. Ἄνθρωπος μεμελετηκὼς ἀντιλέγειν, ἑαυτῷ δίστομος ἐστὶ μάχαιρα, ἀναιρῶν ἀγνώστως τὴν ἰδίαν ψυχήν, καὶ τῆς αἰωνίου ζωῆς ἀλλοτρίαν αὐτὴν ἐργαζόμενος.

λ'. Ὁ ἀντιλέγων, ὅμοιός ἐστι τῷ ἑκουσίως ἔκδοτον ἑαυτὸν ποιοῦντι τοῖς ὑπεναντίοις τοῦ βασιλέως ἐχθροῖς· ἡ γὰρ ἀντιλογία, ἁρπάγιόν ἐστι, δέλεαρ ἔχον τὴν δικαιολογίαν. δι' ἧς ἀπατώμενοι, τὸ ἄγκιστρον καταπίνομεν τῆς ἁμαρτίας· ὑφ' οὗ καὶ ἁρπάζεσθαι εἴωθεν ἡ ἀθλία ψυχή, ἀπὸ τῆς γλώττης καὶ τοῦ λαιμοῦ ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας. καὶ ποτὲ μὲν εἰς ὕψος ὑπερηφανίας ἀνάγεσθαι· ποτὲ δὲ εἰς χάος ἀβύσσου ἁμαρτίας καταβυθίζεσθαι, καὶ μετὰ τῶν ἐξ οὐρανοῦ ἐκπεπτωκότων καταδικάζεσθαι.

λα'. Ὁ ἀτιμαζόμενος ἢ ὑβριζόμενος, καὶ σφόδρα ἀλγῶν τὴν καρδίαν, γινωσκέτω ἐκ τούτου ὅτι τὸν παλαιὸν ὄφιν περιφέρει ἐγκόλπιον. εἰ μὲν οὖν μετὰ σιωπῆς ὑπομείνῃ, ἢ μετὰ πολλῆς ταπεινώσεως ἀποκριθήσεται, ἀσθενῆ τοῦτον καὶ ἐκλελυμένον ἐργάσεται. εἰ δὲ μετὰ πικρίας ἀντείπῃ, ἢ καὶ λαλήσει μετὰ θρασύτητος, δέδωκεν ἰσχὺν τῷ ὄφει, τὸν ἰὸν ἐκχέαι ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ ἀνημέρως κατεσθίειν τὰ ἐντὸς αὐτοῦ· ὡς ἐντεῦθεν καθ' ἑκάστην ἐνδυναμούμενον αὐτόν, κατάβρωμα ποιεῖσθαι τὴν ἐπ' ἀγαθοῖς διόρθωσιν, καὶ ἰσχὺν τῆς ἀθλίας αὐτοῦ ψυχῆς· καὶ ζῆν μὲν αὐτὸν ἔκποτε τῇ ἁμαρτίᾳ, νεκρὸν δὲ παντελῶς εἶναι τῇ δικαιοσύνῃ.

λβ'. Ἐὰν ἀποτάξασθαι βουληθῇς, καὶ τὴν Εὐαγγελικὴν πολιτείαν ἐκδιδαχθῆναι, μὴ ἀπείρῳ, μηδὲ ἐμπαθεῖ διδασκάλῳ ἑαυτὸν ἐκδῷς. ἵνα μὴ ἀντὶ Εὐαγγελικῆς, διαβολικὴν πολιτείαν ἐκδιδαχθῇς. ἐπειδὴ καλῶν διδασκάλων, καλὰ τὰ μαθήματα. κακῶν δέ, κακά. καὶ σπερμάτων πονηρῶν, πάντως πονηρὰ τὰ γεώργια.

λγ'. Εὐχαῖς καὶ δάκρυσι τὸν Θεὸν καθικέτευσον, πέμψαι σοι ὁδηγὸν ἀπαθῆ τε, καὶ ἅγιον. ἐρεύνα δὲ καὶ αὐτὸς τὰς θείας γραφάς, καὶ μάλιστα τὰς τῶν Ἁγίων Πατέρων πρακτικὰς συγγραφάς. ἵνα ταύταις ἀντιπαρατιθεὶς τὰ παρὰ τοῦ διδασκάλου καὶ προεστῶτός σοι διδασκόμενα, καὶ πραττόμενα, ὡς ἐν κατόπτρῳ δύνασαι βλέπειν ταῦτα, καὶ καταμανθάνειν. καὶ τὰ μὲν συνᾴδοντα ταῖς γραφαῖς, ἐγκολποῦσθαι καὶ κατέχειν τῇ διανοίᾳ. τὰ δὲ νόθα, καὶ ἀλλότρια, διακρίνειν καὶ ἀποπέμπεσθαι, ἵνα μὴ πλανηθῇς· πολλοὶ γάρ· ἴσθι· πλάνοι καὶ ψευδοδιδάσκαλοι ἐν ταῖς ἡμέραις ταύταις γεγόνασιν.

λδ'. Πᾶς ὁ μὴ βλέπων, ἄλλους δὲ ὁδηγεῖν ὑπισχνούμενος, πλάνος ἐστί. καὶ τοὺς ἑπομένους αὐτῷ, εἰς βυθὸν ἀπωλείας ἐντίθησι, κατὰ τὴν τοῦ Κυρίου φωνήν· τυφλὸς τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται.

λε'. Ὁ τυφλὸς πρὸς τὸ ἕν, τυφλὸς ὅλος πρὸς πάντα ἐστίν. ὁ δὲ βλέπων ἐν τῷ ἑνί, ἐν θεωρίᾳ τῶν πάντων ἐστί· τῆς θεωρίας τε τῶν πάντων ἀπέχεται, καὶ ἐν τῇ θεωρίᾳ τῶν πάντων γίνεται, καὶ τῶν θεωρουμένων ἔξω ἐστίν· ἐν τῷ ἑνὶ οὕτως ὤν, τὰ πάντα ὁρᾷ. καὶ ἐν πᾶσιν

ὤν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὢν, οὐδὲν τῶν πάντων ὁρᾷ. ὁ βλέπων ἐν τῷ ἑνί, ἀλλὰ τὸ ἑνὸς καὶ ἑαυτόν, καὶ ἅπαντα, καὶ πάντας καθορᾷ. καὶ κεκρυμμένος ὢν ἐν αὐτῷ, οὐδὲν τῶν ἁπάντων ὁρᾷ.

λϛʹ. Ὁ μὴ τὴν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐπουρανίου ἀνθρώπου τε καὶ Θεοῦ, ἐν τῷ λογικῷ καὶ νοερῷ ἀνθρώπῳ, αἰσθητῶς, καὶ γνωστῶς ἐνδυσάμενος, αἷμα μόνον ἐστὶ καὶ σάρξ, πνευματικῆς δόξης αἴσθησιν μὴ δυνάμενος διὰ τοῦ λόγου λαβεῖν. καθάπερ καὶ οἱ ἐκ γενετῆς τυφλοί, διὰ τοῦ λόγου μόνου, τὸ τοῦ ἡλίου φῶς γνῶναι οὐ δύνανται.

λζʹ. Ὁ ἀκούων οὕτως καὶ βλέπων καὶ αἰσθανόμενος, οἶδε τῶν λεγομένων τὴν δύναμιν. ὡς ἤδη τὴν εἰκόνα φορέσας τοῦ ἐπουρανίου, καὶ εἰς ἄνδρα τέλειον ἐλθὼν τοῦ πληρώματος τοῦ Χριστοῦ. καὶ οὕτως ἔχων, δύναται καὶ καλῶς ὁδηγεῖν ἐν τῇ ὁδῷ τῶν τοῦ Θεοῦ ἐντολῶν τὸ ποίμνιον τοῦ Θεοῦ. ὁ δὲ μὴ εἰδώς, καὶ ἄλλως ἔχων, πρόδηλός ἐστιν, ὅτι οὐδὲ τὰ αἰσθητήρια τῆς ψυχῆς πεπωρωμένα καὶ ὑγιῆ ἐπιφέρεται. ᾧ καὶ μᾶλλον καλῶς ἕξει, τὸ ἄγεσθαι, ἢ τὸ ἄγειν ἐπικινδύνως.

ληʹ. Ὁ τῷ διδασκάλῳ καὶ ὁδηγῷ αὐτοῦ, ὡς Θεῷ ἀτενίζων, ἀντιλέγειν οὐ δύναται. εἰ δὲ οἴεται καὶ λέγει ἀμφότερα ἔχειν, ἴστω, πεπλάνηται. ὁποίαν γὰρ οἱ τοῦ Θεοῦ πρὸς τὸν Θεὸν ἔχουσι τὴν * διάθεσιν ἀγνοεῖ.

* εὐλαβ. διάθεσιν

λθʹ. Ὁ πιστεύων ἐν τῇ χειρὶ τοῦ ποιμένος αὐτοῦ, τὴν ἑαυτοῦ ὑπάρχειν ζωὴν καὶ τὸν θάνατον, οὐκ ἀντείποι ποτέ. ἡ δὲ τούτων ἄγνοια, ἀντιλογίαν γεννᾷ, τὴν πρόξενον τοῦ νοητοῦ καὶ αἰωνίου θανάτου.

μʹ. Πρὸ τοῦ λαβεῖν τὴν ἀπόφασιν τὸν κατάδικον, τόπος δίδοται ἀπολογίας αὐτῷ, τῷ δικαστῇ λαλεῖν περὶ ὧν ἔπραξε. μετὰ δὲ τὴν τῶν πρακτέων φανέρωσιν, καὶ τὴν τοῦ δικαστοῦ ἀπόφασιν, οὐδὲν ἢ μικρόν, ἢ μέγα τοῖς βασανίζουσιν ἀντιλέγει.

Πρὸ τοῦ εἰσελθεῖν εἰς τοῦτο τὸ δικαστήριον τὸν Μοναχόν, καὶ φανερῶσαι αὐτοῦ τὰ ἐγκάρδια, ἴσως ἀντιλέγειν ἔξεστιν αὐτῷ· τὰ μὲν κατὰ ἄγνοιαν, τὰ δὲ καὶ ὡς οἰομένῳ κρύπτειν τὰ ἑαυτοῦ. μετὰ δὲ τὴν τῶν λογισμῶν ἀποκάλυψιν, καὶ εἰλικρινῆ ἐξαγόρευσιν, οὐκ ἔξεστιν ἀντιλέγειν τῷ μετὰ Θεὸν δικαστῇ, καὶ ἐξουσιαστῇ αὐτοῦ, μέχρι θανάτου ποτέ. ὁ γὰρ Μοναχὸς ἐν τούτῳ κατ᾽ ἀρχὰς εἰσελθὼν τῷ δικαστηρίῳ, καὶ ἀπογυμνώσας τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ, πέπεισται ἐκ προοιμίων, εἴγε καὶ ὁπωσοῦν γνῶσιν κέκτηται, ὅτι μυρίων ὑπάρχει θανάτων ἄξιος. καὶ διὰ τῆς ὑπακοῆς αὐτοῦ καὶ ταπεινώσεως, πάσης τιμωρίας καὶ κολάσεως λυτρωθῆναι πιστεύει. εἰ ὡς ἀληθῶς ἄρα τὸν τρόπον τοῦ μυστηρίου ἐπίσταται. μαʹ.

Ὁ ἀνεξάλειπτα ταῦτα φυλάττων ἐν τῇ ἑαυτοῦ διανοίᾳ, τὴν καρδίαν οὐδέποτε κινηθήσεται, παιδευόμενος, ἢ ἐπιτιμώμενος, ἢ ἐλεγχόμενος. ἐπειδὴ ὁ ἐμπίπτων τοῖς τοιούτοις κακοῖς, λέγω δὴ τῇ ἀντιλογίᾳ, καὶ ἀπιστίᾳ, τῇ πρὸς τὸν πνευματικὸν πατέρα αὐτοῦ καὶ διδάσκαλον, εἰς πέτευρον καὶ βυθὸν ᾅδου, ἔτι ζῶν ἐλεεινῶς καταφέρεται, καὶ οἶκος τοῦ σατανᾶ, καὶ πάσης αὐτοῦ τῆς ἀκαθάρτου δυνάμεως γίνεται, ὡς ἀπειθής, καὶ ἀπωλείας υἱός. μβʹ.

Παρακαλῶ σε τὸν τῆς ὑπακοῆς, ἵνα ταῦτα στρέφῃς συνεχῶς ἐν τῇ διανοίᾳ σου· καὶ πάσῃ σπουδῇ ἀγωνίσασθαι, τοῦ μὴ κατελθεῖν ἐν τοῖς εἰρημένοις τούτοις κακοῖς· ἀλλ᾽ οὕτω δέεσθαι θερμῶς τοῦ Θεοῦ καθ᾽ ἑκάστην, καὶ λέγειν. Θεὲ καὶ Κύριε τῶν ἁπάντων, ὁ πάσης πνοῆς καὶ ψυχῆς ἔχων τὴν ἐξουσίαν, ὁ μόνος ἰάσασθαί με δυνάμενος, ἐπάκουσόν μου τῆς δεήσεως τοῦ ταλαιπώρου, καὶ τὸν ἐν ἐμοὶ ἐμφωλεύοντα δράκοντα, τῇ τοῦ Παναγίου σου Πνεύματος ἐπιφοιτήσει θανατώσας ἀφά- μγʹ.

νισον·

Athos Library
Αγιορειτική Βιβλιοθήκη

νισον· καὶ μὲ πτωχὸν καὶ γυμνὸν πάσης ἀρετῆς ὑπάρχοντα, τοῖς τοῦ ἁγίου μου πατρὸς ποσί, μετὰ δακρύων προσπεσεῖν ἀξίωσον· καὶ τὴν ἁγίαν αὐτοῦ ψυχὴν εἰς συμπάθειαν τοῦ ἐλεῆσαί με ἕλκυσον· καὶ δὸς Κύριε ταπείνωσιν τῇ καρδίᾳ μου, καὶ λογισμοὺς πρέποντας ἁμαρτωλῷ συνθεμένῳ σοι μετανοεῖν· καὶ μὴ εἰς τέλος ἐγκαταλείψῃς ψυχὴν ἅπαξ συνταξαμένην, καὶ ὁμολογήσασαν, καὶ ἀντὶ παντὸς τοῦ κόσμου ἐκλεξαμένην καὶ προτιμησαμένην σε. οἶδας γὰρ Κύριε ὅτι θέλω σωθῆναι, εἰ καὶ ἡ πονηρά μου συνήθεια ἐμπόδιόν μου καθίσταται. ἀλλὰ δυνατά σοι, δέσποτα, πάντα ὅσα παρὰ ἀνθρώποις ἀδύνατα.

μδʹ. Οἱ καλὸν τὸν θεμέλιον τῆς πίστεως καὶ ἐλπίδος, ἐν τῇ αὐλῇ καταβαλόντες τῆς εὐσεβείας, μετὰ φόβου καὶ τρόμου, καὶ ἐπὶ τὴν πέτραν τῆς ὑπακοῆς τῶν πνευματικῶν πατέρων τοὺς πόδας ἀσαλεύτως ἐρείσαντες, καὶ ὡς ἐκ Θεοῦ στόματος τὰ παρ᾽ ἐκείνων ἐντελλόμενα ἀκούοντες, καὶ τῷ θεμελίῳ τούτῳ τῆς ὑπακοῆς ἀδιστάκτως ἐποικοδομοῦντες αὐτὰ ἐν ταπεινώσει ψυχῆς, εὐθὺς κατορθοῦσι· καὶ κατορθοῦται αὐτοῖς τὸ μέγα τοῦτο καὶ πρῶτον κατόρθωμα, τὸ ἑαυτοὺς ἀπαρνήσασθαι. τὸ γὰρ πληροῦν ἀλλότριον θέλημα καὶ μὴ τὸ ἑαυτοῦ, οὐ μόνον ἀπάρνησιν τῆς ἰδίας ψυχῆς, ἀλλὰ καὶ νέκρωσιν τὴν πρὸς τὸν κόσμον ἅπαντα ἐμποιεῖ.

μεʹ. Τῷ τῷ ἑαυτοῦ πατρὶ ἀντιλέγοντι, συγχαίρουσι δαίμονες. τὸν δὲ μέχρι θανάτου ταπεινούμενον, θαυμάζουσιν Ἄγγελοι. ἔργον γὰρ Θεοῦ ὁ τοιοῦτος ἐργάζεται, ἐξομοιούμενος τῷ Υἱῷ τοῦ Θεοῦ, τῷ τὴν ὑπακοὴν πεπληρωκότι τῷ ἰδίῳ πατρὶ μέχρι θανάτου, θανάτου δὲ Σταυροῦ.

μϛʹ. Ὁ πολὺς καὶ ἄκαιρος συντριμμὸς τῆς καρδίας, σκοτίζει καὶ θολοῖ τὴν διάνοιαν. καὶ τὴν μὲν καθαρὰν εὐχὴν καὶ κατάνυξιν, ἀπὸ τῆς ψυχῆς ἐξαφανίζει· πόνον δὲ καρδιακὸν ἐμποιεῖ. ἐντεῦθεν δὲ σκληρότητα καὶ πώρωσιν ἄπειρον. διὰ δὲ τούτων τοῖς πνευματικοῖς οἱ δαίμονες τὴν ἀπόγνωσιν πραγματεύονται.

Ὁπηνίκα σοι ταῦτα ὑπαντήσουσι Μοναχέ, εὕρῃς δὲ ζῆλον καὶ πόθον πλεονάζοντας ἐν τῇ ψυχῇ σου πολύν, ὡς ἐπιθυμῆσαι πᾶσαν μὲν ἐντολὴν πληρῶσαι Θεοῦ, καὶ μηδὲ μέχρις ἀργοῦ λόγου παραπίπτειν, καὶ ἁμαρτάνειν· μηδενὸς δὲ τῶν πάλαι ἀπολειφθῆναι ἁγίων κατὰ πρᾶξιν, καὶ γνῶσιν, καὶ θεωρίαν. ὁρᾷς δὲ κωλυόμενον σαυτὸν παρὰ τοῦ ὑποσπείροντος τὰ τῆς ἀθυμίας ζιζάνια, καὶ μὴ ἐῶντός σε εἰς τοσοῦτον ὕψος ἁγιωσύνης ἐλάσαι, ἐν τῷ ὑποβάλλειν αὐτὸν λογισμοὺς ἀθυμίας καὶ λέγειν· ἀδύνατόν σοι μέσον τοῦ κόσμου σωθῆναι, καὶ φυλάξαι πάσας τὰς ἐντολὰς ἀνελλιπῶς τοῦ Θεοῦ. τότε σὺ ἐν μιᾷ καθίσας καταμόνας γωνίᾳ, σύστειλον σεαυτόν, καὶ ἐπισυνάξον σου τὸν λογισμόν, καὶ δὸς ἀγαθὴν βουλὴν τῇ σῇ ψυχῇ, καὶ εἰπέ. ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου, οὐχὶ τὰ ἔργα μου, ἀλλ᾽ ὁ Θεός μου ἐστί. τίς γὰρ καὶ ἐξ ἔργων νόμου δικαιωθήσεται; οὐ δικαιωθήσεται γὰρ ἐνώπιόν σου πᾶς ζῶν. ἀλλ᾽ ἐκ πίστεως τῆς εἰς αὐτὸν τὸν Θεόν μου, ἐλπίζω, σωθῆναι διὰ τῆς ἀφάτου εὐσπλαγχνίας αὐτοῦ δωρεάν· ὕπαγε ὀπίσω μου σατανᾶ. Κυρίῳ τῷ Θεῷ μου προσκυνῶ, καὶ αὐτῷ ἐκ νεότητός μου λατρεύω, τῷ δυναμένῳ με σῶσαι ἐν μόνῳ τῷ ἐλέει αὐτοῦ. ἀπόστηθι οὖν ἀπ᾽ ἐμοῦ. ὁ Θεὸς ὁ ποιήσας με κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν αὐτοῦ καταργήσει σε. μζʹ.

Ὁ Θεὸς ἐξ ἡμῶν οὐδὲν ἕτερον ἐπιζητεῖ τῶν ἀνθρώπων, ἀλλ᾽ ἢ τὸ μὴ ἁμαρτάνειν καὶ μόνον. τοῦτο δὲ οὐκ ἔστιν ἔρ- μηʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γαν νόμου, ἀλλὰ φυλακὴ ἀπαράβατος τῆς εἰκόνος, καὶ τοῦ ἄνωθεν ἀξιώματος· ἐν οἷς κατὰ φύσιν ἑστῶτες, καὶ τὸν χιτῶνα φοροῦντες λελαμπρυσμένον τοῦ Πνεύματος, ἐν τῷ Θεῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν. θέσει Θεοὶ καὶ υἱοὶ Θεοῦ χρηματίζοντες, ἐν τῷ φωτὶ τῆς γνώσεως τοῦ Θεοῦ σημειούμενοι.

μθ΄. Ἀκηδία καὶ βάρος τοῦ σώματος, ἐξ ὀκνηρίας καὶ ἀμελείας προσγινόμενα τῇ ψυχῇ, τοὺς συνήθεις ἀφιστῶσι κανόνας, καὶ σκότωσιν τῇ διανοίᾳ προξενοῦσι καὶ ἀθυμίαν· ὡς ἐντεῦθεν δειλίας καὶ βλασφημίας λογισμοὺς ἐπιπολάζειν ἐν τῇ καρδίᾳ. καὶ μηδὲ ἐν τῷ συνήθει τόπῳ τῆς προσευχῆς εἰσελθεῖν, τὸν ὑπὸ τοῦ δαίμονος τῆς ἀκηδίας πειραζόμενον δύνασθαι, ἀλλὰ καὶ ὀκνεῖν αὐτόν· καὶ κατὰ τὴν ποιητὴν τῶν ἀπαύστων ἐνθυμεῖσθαι παράλογα. γνοὺς οὖν τὴν αἰτίαν, καὶ πόθεν σοι ταῦτα ἐπῆλθον, σπουδαίως εἴσελθε εἰς τὸν συνήθη τόπον τῆς προσευχῆς σου, καὶ τῷ φιλανθρώπῳ Θεῷ προσπεσὼν, δεήθητι μετὰ στεναγμῶν τῆς καρδίας, ἐν ὀδύνῃ καὶ δάκρυσι, τὴν ἀπαλλαγὴν τοῦ βάρους τῆς ἀκηδίας, καὶ τῶν πονηρῶν λογισμῶν ἐξαιτούμενος. καὶ δοθήσεταί σοι ἐμμόνως κρούοντι καὶ ἐπιμένοντι, ἡ τούτων ἐν τάχει ἐλευθερία.

ν΄. Ὁ καθαρὰν τὴν καρδίαν κτησάμενος, οὗτος δειλίαν ἐνίκησεν. ὁ δὲ ἀκμὴν καθαιρόμενος, ποτὲ μὲν βάλλει αὐτήν, ποτὲ δὲ βάλλεται ὑπ᾽ αὐτῆς. ὁ δὲ μηδόλως ἀγωνιζόμενος, ἢ παντελῶς ἀναισθητεῖ, καὶ ἐν τῷ φίλος εἶναι παθῶν καὶ δαιμόνων, ὃς πρὸς τῇ κενοδοξίᾳ, καὶ οἴησιν νοσεῖ, δοκῶν εἶναί τι μηδὲν ὤν, ἢ δειλίας δοῦλος ὑπάρχει καὶ ὑποχείριος, τρέμων ὡς τῷ φρονήματι νήπιος, καὶ φοβούμενος φόβον ἐκεῖ, ἔνθα οὐκ ἔστι φόβος, οὐδὲ δειλία τοῖς φοβουμένοις τὸν Κύριον.

να΄. Ὁ φοβούμενος τὸν Κύριον, δαιμόνων ὁρμὰς οὐ φοβεῖται, οὐδὲ τὰς ἀσθενεῖς ἐφόδους αὐτῶν· ἀλλ᾽ οὐδὲ ἀνθρώπων πονηρῶν ἀπειλάς. ὥσπερ δέ τις φλὸξ, ἢ φλέγων πῦρ, ὅλως ὢν, ἐν ἀδύτοις τόποις καὶ ἀφεγγέσι, νυκτὸς καὶ ἡμέρας περιϊὼν, φυγαδεύει τοὺς δαίμονας· φεύγοντας μᾶλλον αὐτὸν, ἤπερ αὐτὸς ἐκείνους, μὴ ἐμπρησθῶσιν ὑπὸ τῆς ἐκπεμπομένης ἐξ αὐτοῦ φλογοειδοῦς ἀκτῖνος τοῦ θείου πυρός.

νβ΄. Ὃς τῷ φόβῳ τοῦ Θεοῦ στοιχεῖ, οὗτος μέσον ἀνδρῶν ἀναστρεφόμενος πονηρῶν οὐ φοβεῖται· τὸν φόβον αὐτοῦ ἔνδον ἔχων, καὶ φέρων τὸ ἀκαταμάχητον ὅπλον τῆς πίστεως. μεθ᾽ οὗ ἰσχύει καὶ δύναται πάντα δρᾷν, καὶ αὐτὰ τὰ δοκοῦντα δυσχερῆ τοῖς πολλοῖς καὶ ἀδύνατα. ἀλλ᾽ ὥσπερ τίς γίγας ἐν μέσῳ πιθήκων, ἢ λέων βρυχώμενος, ἐν μέσῳ κυνῶν καὶ ἀλωπέκων διάγων, πεποιθώς ἐστιν ἐπὶ Κύριον. καὶ τῷ στερρῷ τοῦ φρονήματος καταπλήττει αὐτοὺς, καὶ ἐκδειματοῖ τὰς φρένας αὐτῶν. ὡς ῥάβδον σιδηρᾶν, τὸν ἐν σοφίᾳ λόγον ἐπιφερόμενος.

νγ΄. Οὐχ ὁ ἡσυχάζων μόνος, ἢ ὁ ὑποτασσόμενος, ἀλλὰ καὶ ὁ ἡγουμενεύων, καὶ ὁ πολλῶν προϊστάμενος, καὶ αὐτὸς ὁ διακονῶν, ἀμέριμνος ὀφείλει εἶναι· ἤγουν ἐλεύθερος ἀπὸ πάντων τῶν βιωτικῶν πραγμάτων ἀναμφιβόλως. εἰ γὰρ μεριμνῶμεν, παραβάται τῆς τοῦ Θεοῦ ἐντολῆς εὑρισκόμεθα, τῆς λεγούσης μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε, ἢ τί πίητε, ἢ τί ἐνδύσησθε· ταῦτα γὰρ πάντα τὰ ἔθνη ἐπιζητεῖ. καὶ πάλιν. βλέπετε μήποτε βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς.

νδ΄. Ὁ ἐν τοῖς βιωτικοῖς πράγμασι τὸν λογισμὸν ἔχων μεριμνῶντα, οὐκ ἔστιν ἐλεύθερος. ὑπὸ γὰρ τῆς τούτων μερίμνης, κατέχεται, καὶ δουλοῦται. καθ᾽ ὑ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

περ ἑαυτοῦ μεριμνᾷ ταῦτα, κἂν δι᾽ ἑτέρους. ὁ δὲ ὑπὸ τούτων ἐλεύθερος, οὔτε δι᾽ ἑαυτὸν, οὔτε δι᾽ ἑτέρους μεριμνήσει βιωτικῶς. κἂν Ἐπίσκοπος, κἂν Διάκονος, κἂν Ἡγούμενος εἶναι τύχῃ· ἀλλ᾽ οὐδὲ ἀργήσει ποτὲ, ἢ τινὸς καταφρονήσει τῶν ἀτελεστάτων καὶ μικροτάτων. θεαρέστως δὲ ἅπαντα ποιῶν καὶ πράττων, ἀμέμπτως ἐν πᾶσι διατελέσει, καὶ ἐν τῷ βίῳ παντί.

νε΄. Μὴ καταλύσῃς σου τὴν οἰκίαν, ἐν τῷ βούλεσθαί σε τὴν τοῦ πλησίον οἰκοδομῆσαι. ὅρα γὰρ ὡς χαλεπὸν τὸ ἔργον καὶ δύσκολον· μήποτε προαιρούμενος τοῦτο, καὶ τὴν σὴν καθαιρήσῃς, καὶ ἀνοικοδομῆσαι τὴν ἐκείνου ἰσχύσῃς οὐδόλως.

νϛ΄. Ἐὰν μὴ τελείαν ἀπροσπάθειαν τῶν πραγμάτων καὶ τῶν χρημάτων κτήσῃ τοῦ βίου, μὴ θελήσῃς οἰκονομίαν ἐγχειρισθῆναι πραγμάτων, ἵνα μὴ ἁλοὺς ἐν τούτοις, ἀντὶ τοῦ λήψασθαι μισθὸν διακονίας, κλέπτου καὶ ἱεροσύλου καταδίκην ὑφέξῃς. εἰ δὲ ὑπὸ τοῦ προεστῶτος πρὸς τοῦτο ἐκβιασθῇς, ὡς πῦρ μεταχειριζόμενος φλέγον διάκεισο· καὶ τὴν προσβολὴν τοῦ λογισμοῦ, δι᾽ ἐξαγορεύσεως καὶ μετανοίας ἀπείργων, ἀβλαβὴς τῇ τοῦ προεστῶτος εὐχῇ διατηρηθήσῃ.

νζ΄. Ὁ μὴ γεγονὼς ἀπαθὴς, οὐδὲ ὅτι ἔστιν ἀπάθεια οἶδεν. ἀλλ᾽ οὐ δὲ πιστεύει εἶναί τινα τοιοῦτον ἐπὶ τῆς γῆς. πῶς γὰρ ὁ μὴ ἑαυτὸν ἀρνησάμενος πρῶτον, καὶ τὸ αἷμα κενώσας προθύμως αὐτοῦ ὑπὲρ τῆς Μακαρίας ταύτης τῷ ὄντι ζωῆς, ἄλλον ὑπονοήσει ταῦτα πεποιηκέναι εἰς τὸ κτήσασθαι τὴν ἀπάθειαν; οὕτω δὲ καὶ ὁ δοκῶν Πνεῦμα ἔχειν Ἅγιον, μηδὲν ἔχων, οὐ πιστεύει πώποτε τὰς ἐνεργείας αὐτοῦ γινωσκομένας ἀκούων, ἐν τοῖς τὸ Πνεῦμα τὸ Ἅγιον ἔχουσι. καὶ ὅτι ἔστι τὶς κατὰ τὴν γενεὰν ταύτην ἐπίσης τοῖς Ἀποστόλοις Χριστοῦ, καὶ τοῖς ἀπ᾽ αἰῶνος Ἁγίοις, θείῳ ἐνεργούμενος, καὶ κινούμενος Πνεύματι. ἢ ἐν ὀπτασίᾳ τοῦτο γινώσκων καὶ ἐν αἰσθήσει γινόμενος. ἕκαστος γὰρ ἐκ τῆς οἰκείας καταστάσεως, καὶ τὰ τῶν πλησίον κρίνει, ὡς ἔχει, εἴτε ἀρετῆς εἰπεῖν, εἴτε κακίας.

νη΄. Ἄλλο ἀπάθεια ψυχῆς, καὶ ἄλλο ἀπάθεια σώματος. ἡ μὲν γὰρ καὶ τὸ σῶμα καθαγιάζει, τῇ οἰκείᾳ λαμπρότητι καὶ τῇ φωτοχυσίᾳ τοῦ Πνεύματος. ἡ δὲ αὐτὴ μόνη καθ᾽ ἑαυτὴν, εἰς οὐδὲν τὸν κτησάμενον ὠφελεῖν δύναται.

νθ΄. Καθάπερ ὁ ἀπὸ πτωχείας ἐσχάτης, ὑπὸ τοῦ Βασιλέως εἰς πλοῦτον ἀνενεχθεὶς, καὶ περιφανὲς ἀξίωμα, στολήν τε παρ᾽ αὐτοῦ λαμπρὰν ἐνδυθεὶς, καὶ πρὸ προσώπου αὐτοῦ ἵστασθαι κελευσθεὶς, αὐτόν τε τὸν Βασιλέα μετὰ πόθου ὁρᾷ, καὶ ὡς εὐεργέτην ὑπεραγαπᾷ, καὶ τὴν στολὴν ἣν ἐνεδύσατο σαφῶς κατανοεῖ, καὶ τὸ ἀξίωμα ἐπιγινώσκει, καὶ τὸν δοθέντα αὐτῷ πλοῦτον ἐπίσταται, οὕτω καὶ Μοναχὸς ὁ ἀληθῶς ἀπὸ τοῦ κόσμου, καὶ τῶν ἐν αὐτῷ πραγμάτων ἀναχωρήσας, καὶ προσελθὼν τῷ Χριστῷ, ἀνακληθείς τε εὐαισθήτως, καὶ πρὸς ὕψος πνευματικῆς θεωρίας, διὰ τῆς τῶν ἐντολῶν ἐργασίας ἀνενεχθεὶς, αὐτόν τε τὸν Θεὸν ἀπλανῶς ὁρᾷ· καὶ τὴν γινομένην εἰς αὐτὸν ἀλλοίωσιν τρανῶς κατανοεῖ· βλέπει γὰρ ἀεὶ τὴν χάριν τοῦ Πνεύματος τὴν περιλάμψασαν αὐτόν. ἥτις καὶ ἔνδυμα καλεῖται, καὶ βασίλειος ἁλουργίς· μᾶλλον δὲ, ὅπερ αὐτός ἐστι Χριστὸς ὁ Κύριος. εἴπερ αὐτὸν οἱ εἰς αὐτὸν πιστεύοντες ἐνδύονται.

ξ΄. Πολλοὶ μὲν ἀναγινώσκουσι τὰς θείας γραφάς. οἱ δὲ καὶ ἀναγινωσκομένας ἀκούουσιν. ὀλίγοι δὲ οἱ τῶν ἀναγινωσκομένων τὴν δύναμιν, καὶ τὴν ἔννοιαν ὀρθῶς εἰδέναι δυνάμενοι· οἱ, ποτὲ μὲν ἀδύνατα εἶναι τὰ ὑπὸ τῶν θείων γραφῶν ἀποφαίνονται· ποτὲ δὲ, καὶ ἄπιστα παντελῶς ἡγοῦνται· ἢ καὶ ἀλληγοροῦσι ταῦτα κακῶς. καὶ τὰ μὲν ἐπὶ τὸν ἐνεστῶτα χρόνον λε-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γόμενα, ὡς πρὸς μέλλοντα ἐκβιῶναι κρίνουσι. τὰ δὲ περὶ τῶν μελλόντων εἰρημένα, ὡς ἤδη γεγονότα, καὶ καθ᾽ ἑκάστην γινόμενα ἐκλαμβάνονται. καὶ οὕτως οὐκ ἔστι κρίσις ὀρθὴ ἐν αὐτοῖς, οὐδὲ διάγνωσις ἀληθὴς ἐν θείοις καὶ ἀνθρωπίνοις πράγμασιν.

ξα'. Πάντας τοὺς πιστούς, ὡς ἕνα βλέπειν ὀφείλομεν οἱ πιστοί. καὶ ἐπὶ ἑνὶ ἑκάστῳ αὐτῶν, εἶναι λογίζεσθαι τὸν Χριστόν. καὶ οὕτω τῇ πρὸς αὐτὸν ἀγάπῃ διακεῖσθαι, ὡς ἑτοίμους εἶναι ὑπὲρ αὐτοῦ τιθέναι τὰς ἰδίας ψυχάς· οὐδὲ γὰρ τὸ καθόλου λέγειν, ἢ νομίζειν ὀφείλομεν, τινὰ πονηρόν. ἀλλὰ πάντας ὡς ἀγαθοὺς ὁρᾷν, ὥσπερ εἴπομεν. κἂν γὰρ ὑπὸ παθῶν ὀχλούμενον ἴδῃς τινά, μὴ τὸν ἀδελφόν, ἀλλὰ τὰ πάθη μίσησον τὰ πολεμοῦντα αὐτόν. κἂν ὑπὸ ἐπιθυμιῶν καὶ προλήψεων τυραννούμενον, ἐπὶ πλεῖον σπλαγχνίσθητι· μήποτε καὶ αὐτὸς πειρασθῇς, ὡς ὑπὸ τροπὴν ὢν ὕλης ἀπερισάτου.

ξβ'. Εἴ τις κίβδηλος ἐξ ὑποκρίσεως, ἢ ἐξ ἔργων ἐπίμωμος, ἢ πρὸς βραχὺ τεθραυσμένος ἐξ ἑνὸς πάθους, ἢ μικρὸν ἐλλιπὴς ἐξ ἀμελείας ἐν μέρει τυγχάνει, οὐ συγκαταριθμεῖται τοῖς ὁλοκλήροις· ἀλλ᾽ ὡς ἄχρηστος καὶ ἀδόκιμος ἀποβάλλεται· ἵνα μὴ ἐν καιρῷ τάσεως, διαρραγῆναι ποιήσῃ τὸν σύνδεσμον τῆς ἁλύσεως· καὶ διάστασιν ἐν ἀδιαστάτοις, καὶ λύπας ἐν ἀμφοτέροις ἐργάσηται. τῶν μὲν ἔμπροσθεν, ὑπὲρ τῶν ὑστέρων. τῶν δέ, ὑπὲρ τοῦ χωρισμοῦ τῶν προαγόντων ἀλγεινομένων.

ξγ'. Ὃν τρόπον ἐν φλογὶ καιομένης καμίνου, χοῦν ἐπιβαλών τις ταύτην σβεννύει, τὸν αὐτὸν τρόπον καὶ αἱ βιωτικαὶ μέριμναι, καὶ πᾶς προσπαθείας τρόπος εὐτελοῦς καὶ σμικροτάτου πράγματος, τὴν ἀναφθεῖσαν ἐν ἀρχαῖς θέρμην τῆς καρδίας ἐξαφανίζει.

ξδ'. Πᾶσαν βρῶσιν, καὶ πόσιν, καὶ καλλωπισμὸν ἐνδυμάτων, ὁ τὸν φόβον ἐγκυμονῶν τοῦ θανάτου βδελύζεται. καὶ ἐνηδόνως οὐ φάγεται ἄρτον· ἢ πίεται ὕδωρ. παρέξει δὲ μόνον τὴν χρείαν τῷ σώματι, ὅσον μόνον αὔταρκες πρὸς τὸ ζῆν. πᾶν θέλημα ἑαυτοῦ ἀπαρνήσεται. καὶ δοῦλος πάντων ἐν διακρίσει τῶν ἐπιταττομένων γενήσεται.

ξε'. Ὁ δοῦλον ἑαυτὸν δοὺς τοῖς κατὰ Θεὸν πατράσιν αὐτοῦ, διὰ τὸν φόβον τῆς κολάσεως, οὐ τὰ κουφίζοντα τὸν τῆς καρδίας αὐτοῦ πόνον, ἐπιτασσόμενα ἕλοιτο. οὐ τὰ λύοντα τὸν τοῦ φόβου δεσμόν. οὐδὲ τοῖς ἐπὶ τὰ τοιαῦτα φιλικῶς, ἢ κολακευτικῶς, ἢ προστακτικῶς ἐπάγουσιν ὑπακούσεται. ἀλλὰ μᾶλλον τὰ αὔξοντα αὐτὸν προτιμήσει, καὶ τὰ τὸν δεσμὸν ἐπισφίγγοντα θελήσει, καὶ τὰ τὸν δήμιον ἐπισχύοντα ἀγαπήσει. καὶ ἐν τούτοις ἐμμενεῖ, ὡς μὴ προσδοκῶν ποτὲ ἐλευθερίαν λήψεσθαι ὅλως ἐξ αὐτῶν. ἡ γὰρ ἐλπὶς τῆς ἀπαλλαγῆς, κουφότερον τὸν πόνον ἐργάζεται. ὅπερ ἐστὶν ἀλυσιτελὲς τῷ μετανοοῦντι θερμῶς.

ξς'. Παντὶ τῷ κατὰ Θεὸν βίου ἀρχομένῳ, ἐπωφελὴς ὁ τῆς κολάσεως φόβος, καὶ ὁ πόνος ὁ τικτόμενος ἐξ αὐτοῦ. ὁ δὲ τοῦ τοιούτου πόνου, καὶ δεσμοῦ χωρίς, ἀρχὴν βαλεῖν φανταζόμενος, οὐκ ἐπὶ ψάμμου μόνον, τῶν ἑαυτοῦ πράξεων τὸν θεμέλιον καταβάλλεται, ἀλλὰ καὶ εἰς ἀέρα οἴεται δίχα θεμελίων συνιστᾶν οἰκίαν. ὅπερ πάντη ἀδύνατον. ὁ γὰρ πόνος οὗτος, ὅσον οὔπω πᾶσαν χαρὰν ἀποτίκτει. καὶ ὁ δεσμὸς οὗτος, πάντων ἁμαρτημάτων καὶ παθῶν τὰ δεσμὰ διαρρήσσει. καὶ ὁ δήμιος οὗτος, οὐχὶ θάνατον, ἀλλὰ ζωὴν αἰώνιον προξενεῖ.

ξζ'. Ὃς ἂν μὴ θελήσῃ ἀποσκιρτῆσαι καὶ ἐκφυγεῖν τὸν τικτόμενον πόνον, ἀπὸ τοῦ φόβου τῆς αἰωνίου κολάσεως, ἀλλὰ προθέσει καρδίας ἀκολουθήσῃ αὐτῷ, καὶ ἐπισφίγξῃ πλέον τὰ τούτου δεσμὰ ἑαυτῷ ἀ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἰσολόγως, συντιμοτέρως ὁδεύσει· καὶ πρὸ προσώπου τοῦ βασιλέως τῶν βασιλευόντων παραστήσει αὐτόν. τούτου δὲ γεγονότος, ἅμα τῷ θεάσασθαι αὐτὸν ἀμυδρῶς πρὸς τὴν δόξαν αὐτοῦ, εὐθέως λυθήσονται μὲν τὰ δεσμά. ὁ δὲ δήμιος φόβος, φεύξεται μακρὰν ἀπ' αὐτοῦ· καὶ ὁ ἐν τῇ καρδίᾳ αὐτοῦ πόνος, τραπήσεται εἰς χαράν. καὶ πηγὴ γενήσεται βρύουσα. αἰσθητῶς μὲν δάκρυα ποταμηδὸν ἀενάως. νοητῶς δὲ γαλήνην, πραότητα, καὶ ἄφραστον γλυκασμόν. ἔτι δὲ ἀνδρείαν, καὶ τὸ πρὸς πᾶσαν ὑπακοὴν, ἐλευθερίως, καὶ ἀνεμποδίστως τρέχειν τῶν ἐντολῶν τοῦ Θεοῦ· ὃ τέως τοῖς εἰσαγωγικοῖς ἀδύνατον. τῶν δὲ πρὸς τὸ μέσον τῆς προκοπῆς ἀνελθόντων, καὶ ἴδιον. τοῖς δέ γε τελειουμένοις, φῶς ἡ πηγὴ αὕτη, τῆς καρδίας αὐτῆς ἀλλοιουμένης καὶ μεταβαλλομένης γίνεται.

ξη'. Ὁ ἔνδον αὐτοῦ τὸ φῶς τοῦ Παναγίου Πνεύματος ἔχων, μὴ φέρων τοῦτο ὁρᾶν, εἰς γῆν πρηνὴς πίπτει. κράζει τε, καὶ βοᾷ ἐν ἐκπλήξει τε, καὶ φόβῳ πολλῷ· ὡς ὑπὲρ φύσιν, ὑπὲρ λόγον, ὑπὲρ ἔννοιαν πρᾶγμα ἰδὼν καὶ παθών. καὶ γίνεται ὅμοιος ἀνθρώπῳ ποθὲν ἀναφθέντι τὰ σπλάγχνα ὑπὸ πυρός· ὑφ' οὗ φλεγόμενος, καὶ τῆς φλογὸς τὸν ἐμπρησμὸν μὴ δυνάμενος φέρειν, ὑπάρχει ὥσπερ ἐξεστηκώς· καὶ μηδὲ ἑαυτοῦ γενέσθαι ὅλως ἰσχύων. τοῖς δάκρυσι δὲ καταντλούμενος ἀενάως, καὶ ὑπὸ τούτων καταψυχόμενος, τὸ πῦρ ἐξάπτει τοῦ πόθου σφοδρότερον. ἐντεῦθεν δὲ τὰ δάκρυα προχέει πλειόνως· καὶ τῇ τούτων ἐκχύσει πλυνόμενος, λαμπρότερον ἀπαστράπτει. ὅτε δὲ ὅλως ἐκπυρωθεὶς, ὡς φῶς γένηται, τότε πληροῦται τὸ φάσκον, Θεὸς Θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος. καὶ τοῦτο ἴσως, ὅσον ἤδη τοῖς συναφθεῖσιν ἑνώθη, καὶ τοῖς ἐγνωκόσιν ἀπεκαλύφθη.

ξθ'. Πρὸ τοῦ πένθους καὶ τῶν δακρύων, μηδεὶς ἡμᾶς κενοῖς ἀπατάτω λόγοις, μηδὲ πλανῶμεν ἑαυτούς. οὐκ ἔστιν ἐν ἡμῖν μετάνοια, οὐδὲ ἀληθὴς μεταμέλεια, οὐδὲ φόβος Θεοῦ ἐν ταῖς καρδίαις ἡμῶν, οὐδὲ κατέγνωμεν ἑαυτῶν, οὐδὲ ἐν αἰσθήσει τῆς μελλούσης κρίσεως καὶ τῶν αἰωνίων βασάνων ἐγένετο ἡ ψυχὴ ἡμῶν. εἰ γὰρ κατέγνωμεν ἑαυτῶν, καὶ ἐκτησάμεθα ταῦτα, καὶ ἐν τούτοις ἐγενόμεθα, εὐθὺς καὶ δάκρυα κατηγάγομεν ἄν. τούτων γὰρ χωρὶς, οὔτε ἡ σκληροκαρδία ἡμῶν ἀπαλυνθῆναι ποτὲ δύναται· οὔτε ἡ ψυχὴ ἡμῶν πνευματικὴν ταπείνωσιν κτήσεται· οὔτε ταπεινοὶ γενέσθαι ἰσχύσωμεν. ὁ δὲ μὴ οὕτω γενόμενος, ἑνωθῆναι τῷ Πνεύματι τῷ Ἁγίῳ οὐ δύναται. ὁ δὲ μὴ τούτῳ ἐκκαθάρσεως ἑνωθεὶς, οὔτε ἐν θεωρίᾳ καὶ γνώσει Θεοῦ γενέσθαι δύναται, οὔτε ἄξιός ἐστι τὰς τῆς ταπεινώσεως ἀρετὰς μυστικῶς ἐκδιδάσκεσθαι.

Τοὺς ὑποκρινομένους τὴν ἀρετὴν, καὶ τῷ μὲν κῳδίῳ τοῦ σχήματος, ἄλλο φαινομένους, ἄλλο δὲ ὄντας κατὰ τὸν ἔσω ἄνθρωπον· πάσης τάχα πεπληρωμένους ἀδικίας, μεστοὺς ζήλου, καὶ ἐριθείας, καὶ ἡδονῶν δυσωδίας, ὡς ἀπαθεῖς οἱ πλείους καὶ ὡς ἁγίους τιμῶσι. μὴ κεκαθαρμένον ἔχοντες τὸν τῆς ψυχῆς ὀφθαλμὸν, μηδὲ ἐπιγνῶναι αὐτοὺς δυνάμενοι ἐκ τῶν καρπῶν αὐτῶν. τοὺς δὲ ἐν εὐλαβείᾳ, καὶ ἀρετῇ, καὶ ἀφελότητι καρδίας διάγοντας, καὶ ἁγίους ὄντας τῷ ὄντι, ὡς τοὺς λοιποὺς τῶν ἀνθρώπων παραλογίζονται. καὶ καταφρονοῦντες αὐτῶν παρατρέχουσι, καὶ ὡς οὐδὲν λογίζονται. ο'.

Τὸν λάλον καὶ ἐπιδεικτικὸν, διδακτικὸν μᾶλλον, καὶ πνευματικὸν οἱ τοιοῦτοι εἶναι λογίζονται. τὸν δὲ σιωπηλὸν, καὶ περὶ ἀργολογίαν ἀκριβαζόμενον, ἀγροῖκον καὶ ἄφωνον ἀποφαίνονται. οα'.

Τὸν ἐν Πνεύματι Ἁγίῳ φθεγγόμενον, οἱ ὑψηλόφρονες, καὶ τὴν ὑπερηφανίαν νοσοῦντες τοῦ διαβόλου, ὡς ὑψηλόφρο- οβ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τα καὶ ὑπερήφανον ἀποστρέφονται, τοῖς λόγοις αὐτοῦ πληττόμενοι μᾶλλον ἢ κατανυσσόμενοι. τὸν δὲ ἀπὸ κοιλίας, ἢ μαθημάτων προλογοῦντα, καὶ τῆς αὐτοῦ σωτηρίας καταψευδόμενον, ὑπερεπαινοῦσι καὶ ἀποδέχονται. καὶ οὕτως οὐδεὶς ἐν τοῖς τοιούτοις ἐστὶν ὁ καλῶς καὶ ὡς ἔχει τὸ πρᾶγμα διακεῖται, καὶ ἰδεῖν δυνάμενος.

ογ'. Μακάριοι· φησὶν ὁ Θεός, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. καθαρὰν δὲ καρδίαν, οὐχὶ μία ἀρετή, οὐδὲ δύο, οὐδὲ δέκα πεφύκασιν ἐκτελεῖν. ἀλλὰ πᾶσαι ὁμοῦ ὡς εἰπεῖν, οἱονεὶ μία τις οὖσα, καὶ εἰς ἄκρον κατορθωθεῖσα· καὶ οὐδὲ οὕτω καθαρὰν τὴν καρδίαν μόναι ποιῆσαι δύνανται, δίχα τῆς ἐνεργείας, καὶ παρουσίας τοῦ Ἁγίου Πνεύματος. καθάπερ γὰρ ὁ χαλκεύς, τὴν μὲν τέχνην διὰ τῶν ἐργαλείων αὐτοῦ ἐπιδείκνυται. δίχα δὲ τῆς τοῦ πυρὸς ἐνεργείας, οὐδὲν ὅλως κατασκευάσαι εἰς ἔργον δύναται. οὕτω δὲ καὶ ὁ ἄνθρωπος, πάντα μὲν ποιεῖ, καὶ ὡς ἐργαλεῖα χρῆται ταῖς ἀρεταῖς, ἄνευ δὲ τῆς τοῦ πνευματικοῦ πυρὸς παρουσίας, ἀνενέργητα μένει καὶ ἀνωφελῆ. τὸν ῥύπον καὶ τὸν ἰχῶρα μὴ καθαίροντα τῆς ψυχῆς.

οδ'. Ἀπὸ μὲν τοῦ θείου Βαπτίσματος, τὴν τῶν ἡμαρτημένων λαμβάνομεν ἄφεσιν, καὶ τῆς πρὶν κατάρας ἐλευθερούμεθα, καὶ τῇ παρουσίᾳ τοῦ Ἁγίου Πνεύματος ἁγιαζόμεθα. τὴν δὲ τελείαν χάριν, κατὰ τό, ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, οὐ τότε. τοῦτο γὰρ τῶν βεβαιοπίστων, καὶ ἐκ τῶν ἔργων ταύτην ἐπιδεικνύντων ἐστί. μετὰ γὰρ τὸ βαπτισθῆναι ἡμᾶς, πρὸς πονηρὰς καὶ αἰσχρὰς πράξεις ἐκκλίνοντες, καὶ αὐτὸν τὸν ἁγιασμὸν εἰς ἅπαν ἀποβαλλόμεθα. μετανοίᾳ δέ, καὶ ἐξομολογήσει, καὶ δάκρυσι, κατὰ ἀναλογίαν τὴν ἄφεσιν πρότερον τῶν ἡμαρτημένων λαμβάνομεν. καὶ οὕτω τὸν ἁγιασμὸν μετὰ τῆς ἄνωθεν χάριτος.

οε'. Ἀπὸ μὲν τῆς μετανοίας, ἔκπλυσις τοῦ μολυσμοῦ τῶν αἰσχρῶν πράξεων γίνεται. μετὰ δὲ ταύτην, μετοχὴ Πνεύματος Ἁγίου· οὐχ ἁπλῶς δέ, ἀλλὰ κατὰ τὴν πίστιν, καὶ τὴν διάθεσιν, καὶ τὴν ταπείνωσιν τῆς ἐξ ὅλης μετανοούσης ψυχῆς. οὐ μόνον δέ, ἀλλὰ καὶ μετὰ τὸ τελείαν τὴν ἄφεσιν τῶν ἡμαρτημένων, παρὰ τοῦ πατρὸς καὶ ἀναδόχου λαβεῖν· διὰ τοῦτο καλὸν καθ' ἑκάστην μετανοεῖν, διὰ τὴν κελεύουσαν ἐντολήν. τὸ γὰρ μετανοεῖτε ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν, ἀόριστον ἡμῖν ὑπεμφαίνει τὴν ἐργασίαν.

ος'. Ἡ χάρις τοῦ Παναγίου Πνεύματος, ταῖς τῷ Χριστῷ νυμφευομέναις ψυχαῖς, ὡς ἀρραβὼν δίδοται· καὶ καθάπερ ἀρραβῶνος χωρίς, οὐκ ἔχει ἀσφάλειαν ἡ γυνὴ τὴν μετὰ τοῦ ἀνδρὸς συνάφειαν μέλλειν ποτὲ βεβαίως γενήσεσθαι, οὕτως οὐδὲ ψυχὴ βεβαίαν λαμβάνει πληροφορίαν ποτέ, τοῦ μετὰ τοῦ δεσπότου αὐτῆς καὶ Θεοῦ εἰς αἰῶνας συνέσεσθαι, ἢ μυστικῶς καὶ ἀνεκφράστως αὐτῷ συνάπτεσθαι, καὶ τοῦ ἀπροσίτου κάλλους ἐπαπολαύειν αὐτοῦ, εἰ μὴ τῆς χάριτος αὐτοῦ τὸν ἀρραβῶνα λάβοι, καὶ γνωστῶς αὐτὸν ἐν ἑαυτῇ κτήσηται.

οζ'. Ὃν τρόπον οἱ γραφόμενοι συμβολικοὶ χάρται, εἰ μὴ ὑπογραφὰς ἀξιοπίστων μαρτύρων δέξωνται, οὐκ ἔστι ὁ ἀρραβὼν βέβαιος, οὕτως οὐδὲ πρὸ τῆς ἐργασίας τῶν ἐντολῶν, καὶ τῆς τῶν ἀρετῶν κτήσεως, ἀσφαλὴς ἡ τῆς χάριτος ἔλλαμψις γίνεται. ὅπερ γὰρ ἐν τοῖς συμφώνοις οἱ μάρτυρες, τοῦτο ἐπὶ τοῦ πνευματικοῦ ἀρραβῶνος, ἡ τῶν ἐντολῶν ἐργασία, καὶ αἱ ἀρεταὶ καθεστήκασι. τελείαν γὰρ διὰ τούτων λαμβάνει τὴν τοῦ ἀρραβῶνος κατάσχεσιν, ἕκαστος τῶν μελλόντων σωθήσεσθαι.

οη'. Πρῶτον οἱονεὶ τὰ σύμφωνα γράφονται διὰ τῆς ἐργασίας τῶν ἐντολῶν, εἶτα ὑπὸ τῶν ἀρετῶν ἐπισφραγίζονται καὶ ὑπογρά-

φον-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

φονται. καὶ τηνικαῦτα ἐπιδίδωσι τὸν δακτύλιον ὁ νυμφίος Χριστὸς τῇ νύμφῃ ψυχῇ, ἤγουν τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος.

οθ'. Ὥσπερ ἡ νύμφη πρὸ τοῦ γάμου τὸν ἀῤῥαβῶνα μόνον παρὰ τοῦ νυμφίου λαμβάνει, τὴν δὲ συμφωνηθεῖσαν προῖκα, καὶ τὰς ἐν αὐτῇ ὑποσχεθείσας δωρεάς, μετὰ τὸν γάμον λαβεῖν ἀπεκδέχεται· οὕτω δὴ καὶ ἡ νύμφη τῶν πιστῶν Ἐκκλησία, καὶ ἡ ψυχὴ ἑνὸς ἑκάστου ἡμῶν. πρῶτον ὑπὸ τοῦ νυμφίου Χριστοῦ τὸν ἀῤῥαβῶνα μόνον λαμβάνει τοῦ Πνεύματος· τὰ δὲ αἰώνια ἀγαθά, καὶ τὴν οὐράνιον βασιλείαν, μετὰ τὴν ἐνθένδε ἀποδημίαν λαβεῖν ἀπεκδέχεται, πληροφορουμένη διὰ τοῦ ἀῤῥαβῶνος. ὑποδεικνύοντος, ὡς ἐν ἐσόπτρῳ, ταῦτα αὐτῇ, καὶ βεβαιοῦντος τὰ συμπεφωνημένα μετὰ τοῦ δεσπότου αὐτῆς καὶ Θεοῦ.

π'. Καθάπερ βραδύνοντος τοῦ νυμφίου ἐν ἀποδημίᾳ, ἢ ἀπασχολουμένου ἐν ἑτέραις τισὶν ὑποθέσεσι, καὶ τὸν γάμον τέως ὑπερτιθεμένου ποιῆσαι, ἐὰν ὀργισθεῖσα ἡ νύμφη, τῆς ἐκείνου ἀγάπης καταφρονήσῃ, καὶ τὸν ἀῤῥαβωνικὸν χάρτην, ἢ ἀπαλείψει, ἢ διαῤῥήξει, ἐκπίπτει τῶν πρὸς τὸν νυμφίον ἐλπίδων εὐθύς· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς πέφυκε γίνεσθαι. ἐπὰν γὰρ εἴπῃ τὶς τῶν ἀγωνιζομένων, ἕως πότε κακοπαθεῖν ὀφείλω; καὶ τῶν ἀσκητικῶν πόνων τε καὶ ἀγώνων κατολιγωρήσῃ, καὶ διὰ τῆς ἀμελείας τῶν ἐντολῶν, καὶ καταλείψεως τῆς διηνεκοῦς μετανοίας, οἱονεὶ ἀπαλείψῃ καὶ διαῤῥήξῃ τὰ σύμφωνα, εὐθὺς ἐκπίπτει καὶ τοῦ ἀῤῥαβῶνος, καὶ τῆς πρὸς Θεὸν ἐλπίδος τελείως.

πα'. Ὥσπερ ἡ νύμφη ἐὰν πρὸς ἕτερον τὴν ἀγάπην τοῦ ἁρμοσθέντος αὐτῇ νυμφίου μετάθηται καὶ συγκοινωνηθῇ αὐτῷ φανερῶς ἢ λαθραίως, οὐ μόνον οὐδὲν ἐκ τῶν ὑποσχεθέντων αὐτῇ παρὰ τοῦ νυμφίου λαμβάνει, ἀλλὰ καὶ τιμωρίας, καὶ μέμψιν τὴν ἐκ τοῦ νόμου προσδοκήσει ἀξίως· οὕτω δὴ καὶ ἐπὶ ἡμῶν γίνεσθαι πέφυκεν. ἐὰν γὰρ μετάθηταί τις τὴν ἀγάπην τοῦ νυμφίου Χριστοῦ, πρὸς ἄλλου τινὸς πράγματος ἐπιθυμίαν, φανερῶς ἢ λαθραίως, καὶ κρατηθῇ ἡ καρδία αὐτοῦ ἐν αὐτῷ, μισητὴ ἐστὶ τῷ νυμφίῳ, καὶ βδελυκτή, καὶ ἀναξία τῆς συναφείας αὐτοῦ. εἴρηκε γάρ, ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ.

πβ'. Δέον ἕκαστον ἐκ τῶν τοιούτων σημείων κατανοεῖν, εἰ τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος, ἐκ τοῦ νυμφίου καὶ δεσπότου Χριστοῦ, εἴληφεν. καὶ εἰμὲν ἔλαβε, σπουδαζέτω τοῦτον κατέχειν. εἰδὲ μήπω τοῦτον λαβεῖν ἠξιώθη, σπουδασάτω διὰ τῶν ἔργων τῶν ἀγαθῶν, καὶ πράξεων, καὶ θερμοτάτης μετανοίας αὖθις λαβεῖν, καὶ φυλάξαι αὐτὸν διὰ τῆς ἐργασίας τῶν ἐντολῶν, καὶ τῆς τῶν ἀρετῶν ἐπικτήσεως.

πγ'. Καθάπερ ἡ στέγη πάσης οἰκίας, διὰ τῶν θεμελίων καὶ τῆς λοιπῆς κτίσεως ἵσταται· ὡσαύτως δὲ καὶ τὰ θεμέλια, διὰ τὸ τὴν στέγην βαστάζειν καταβάλλονται, ὡς ἀναγκαῖα καὶ χρήσιμα. καὶ οὔτε στέγη δίχα θεμελίων συνίστασθαι πέφυκεν, οὔτε θεμέλιοι ἄνευ στέγης τῷ βίῳ χρειώδεις, ἢ ὅλως ὠφέλιμοί εἰσιν· οὕτω καὶ ἡ τοῦ Πνεύματος χάρις συντηρεῖται διὰ τῆς ἐργασίας τῶν ἐντολῶν. καὶ αἱ πράξεις τῶν ἐντολῶν, διὰ τὴν τοῦ Θεοῦ δωρεάν, ὡς θεμέλιοι καταβάλλονται. καὶ οὔτε ἡ χάρις τοῦ Πνεύματος παραμένειν ἡμῖν πέφυκεν, ἄνευ τῆς τῶν ἐντολῶν ἐργασίας. οὔτε ἡ τῶν ἐντολῶν ἐργασία, ἄνευ τῆς χάριτος τοῦ Θεοῦ, χρήσιμος καὶ ὠφέλιμός ἐστιν.

πδ'. Ὃν τρόπον ἡ ἄστεγος οἰκία, ἡ ἀπὸ ἀμελείας τοῦ κτίσαντος οὕτως ἐαθεῖσα, οὐ μόνον ἄχρηστός ἐστιν, ἀλλὰ καὶ καταγελᾶσθαι τῷ κτίσαντι προξενεῖ. οὕτω καὶ ὁ τοὺς θεμελίους τῆς ἐργασίας τῶν ἐντολῶν καταβαλλόμενος, καὶ τοίχους ὑψηλῶν ἀρετῶν ἀναστήσας, ἐὰν μὴ καὶ τὴν χάριν

τοῦ Ἁγίου Πνεύματος, ἐν θεωρίᾳ καὶ γνώσει ψυχῆς λήψεται, ἀτελής ἐστι, καὶ παρὰ τῶν τελείων καταλελειμμένος. ἐκ γὰρ τῶν δύο τούτων αἰτιῶν, ταύτης πάντως ἐστέρηται. ἢ γὰρ τῆς μετανοίας ἠμέλησεν· ἢ πρὸς τὴν τῶν ἀρετῶν συλλογήν, ὡς πρὸς ἄπειρον ὕλην ἀπειρικῶς ἐνέλειψέ τινα, τῶν δοκούντων μὲν ἡμῖν ἐλαχίστων, ἀναγκαίων δὲ ὄντων πρὸς τὸν ἀπαρτισμὸν τοῦ οἴκου τῶν ἀρετῶν, ὡς μὴ δύνασθαι ἄνευ ἐκείνων, διὰ τῆς τοῦ Πνεύματος χάριτος, στεγασθῆναι αὐτόν.

πέ. Εἰ διὰ τοῦτο ἐπὶ τῆς γῆς ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς κατῆλθεν, ἵνα δι᾽ ἑαυτοῦ καταλλάξῃ ἡμᾶς, ἐχθροὺς ὄντας τῷ ἰδίῳ Πατρί, καὶ συνάψῃ γνωστῶς ἡμᾶς ἑαυτῷ, διὰ τοῦ Ἁγίου καὶ ὁμοουσίου Πνεύματος αὐτοῦ, ὁ ταύτης ἐκπίπτων τῆς χάριτος, ἄλλης ποίας τεύξεται; πάντως οὐδὲ κατηλλάγη αὐτῷ, οὐδὲ τὴν μετ᾽ αὐτοῦ ἕνωσιν, διὰ τῆς μετουσίας τοῦ Πνεύματος ἔσχηκεν.

πϛ'. Τῶν μὲν ἐμπαθῶν ἐπιθυμιῶν καὶ ἡδονῶν, ὁ μετασχὼν τοῦ θείου Πνεύματος, ἀπαλλάττεται· τῶν δὲ τῆς φύσεως σωματικῶν ἀναγκῶν, οὐ χωρίζεται. καὶ ὡς μὲν ἐλευθερωθεὶς τῶν δεσμῶν τῆς ἐμπαθοῦς ὀρέξεως, καὶ συναφθεὶς τῇ ἀθανάτῳ δόξῃ τε καὶ γλυκύτητι, ἀδιαλείπτως ἄνω τε βιάζεται εἶναι, καὶ σὺν Θεῷ διάγειν. καὶ μηδὲ πρὸς βραχὺ τῆς ἐκείνου θεωρίας ἀφίστασθαι καὶ ἀκορέστου τρυφῆς· ὡς δὲ τῷ σώματι, καὶ τῇ φθορᾷ ἐμπεδέμενος, ὑπ᾽ αὐτοῦ κατασπᾶται καὶ σύρεται, καὶ πρὸς τὰ γήϊνα ἐπιστρέφεται· καὶ τοσαύτην τηνικαῦτα ὑπὲρ τούτου τὴν λύπην ἔχει, ὅσην· οἶμαι· ἁμαρτωλοῦ ψυχὴν χωριζομένην ἔχειν ἀπὸ τοῦ σώματος.

πζ'. Ὥσπερ τῷ φιλοσωμάτῳ, καὶ φιλοζώῳ, τῷ φιληδόνῳ, καὶ φιλοκόσμῳ, ὁ χωρισμὸς τῶν τοιούτων θάνατός ἐστιν, οὕτω τῷ φιλαγνῷ, καὶ φιλοθέῳ, τῷ φιλαύλῳ καὶ φιλαρέτῳ, θάνατος τῷ ὄντι ἐστὶν ἐκ τῶν τοιούτων ἡ μικρὰ τῆς διανοίας διάστασις. εἰ γὰρ ὁ τὸ φῶς ὁρῶν τὸ αἰσθητόν, ἐὰν μικρὸν μύσῃ τοὺς ὀφθαλμούς, ἢ κατακαλυφθῇ τούτους ὑφ᾽ ἑτέρου, ἄχθεται καὶ λυπεῖται, καὶ φέρειν ὅλως τοῦτο οὐ δύναται· καὶ μάλιστα ἐὰν ἀναγκαῖά τινα, καὶ παράδοξα ἦν ὁρῶν. πόσῳ μᾶλλον ὁ ἐν Ἁγίῳ φωτιζόμενος Πνεύματι, καὶ τὰ ἀγαθὰ ἐκεῖνα ὁρῶν ὕπαρ καὶ νοερῶς, ἐγρηγορῶν καὶ καθεύδων, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, εἰς ἃ παρακύψαι καὶ Ἄγγελοι ἐπιθυμοῦσιν. ἐὰν ἀποσπασθῇ ἐκ τῆς τῶν τοιούτων θεωρίας ὁπόσῳς, λυπηθήσεται καὶ θλιβήσεται. θάνατος γὰρ αὐτῷ δοκεῖ τοῦτο, καὶ ἀλλοτρίωσις εἰκότως τῆς αἰωνίου ζωῆς.

πη'. Πολλοὶ μὲν τὸν ἐρημικόν, ἄλλοι δὲ τὸν μιγάδα, ἤγουν τὸν κοινοβιακὸν ἐμακάρισαν βίον. ἕτεροι δὲ τὸ προΐστασθαι λαοῦ, νουθετεῖν τε, καὶ διδάσκειν, καὶ συνιστᾷν Ἐκκλησίας· ἐξ ὧν διάφοροι σωματικῶς τε καὶ ψυχικῶς πεφύκασι διατρέφεσθαι. ἐγὼ δέ, οὐδέτερον τούτων τοῦ ἑτέρου προκρίναιμι· οὐδέ, τὸν μὲν ἐπαίνου, τὸν δὲ ψόγου ἄξιον εἴποιμι ἄν. ἀλλ᾽ ἐν παντὶ καὶ ἐν πᾶσιν ἔργοις καὶ πράξεσιν, ὁ διὰ Θεόν, καὶ κατὰ Θεὸν βίος παμμακάριστος.

πθ'. Καθάπερ ἐκ διαφόρων τοῦ βίου ἐπιστημῶν καὶ τεχνῶν, ὁ τῶν ἀνθρώπων βίος συνίσταται. ἄλλου ἄλλην ἐργαζομένου δηλονότι καὶ συνεισφέροντος, καὶ ἀλλήλοις ἔπειτα μεταδιδόντες, καὶ ἐξ ἀλλήλων μεταλαμβάνοντες ζῶσιν οἱ ἄνθρωποι, τὰς σωματικὰς χρείας τῇ φύσει παρέχοντες· οὕτως ἐστὶν ἰδεῖν καὶ ἐπὶ τῶν πνευματικῶν. ἄλλου ἄλλην ἀρετὴν μετιόντος, καὶ ἑτέρου ἑτέραν, βίου ὁδὸν διανύοντες, εἰς ἕνα σκοπὸν ἐξ ἀμφοτέρων πάντων τούτων, οἱ πάντες συντρέχουσι.

ϟ'. Σκοπὸς πάντων τῶν κατὰ Θεὸν πολι-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τελουμένων ἐστίν, τὸ εὐαρεστῆσαι Χριστῷ τῷ Θεῷ ἡμῶν· καὶ τὴν καταλλαγὴν διὰ τῆς τοῦ Πνεύματος μετουσίας πρὸς τὸν Πατέρα λαβεῖν· καὶ τὴν ἑαυτῶν σωτηρίαν διὰ τούτου πορίσασθαι· τοῦτο γὰρ πάσης ψυχῆς σωτηρία ἐστίν. οὗ μὴ γινομένου, κενὸς ὁ κόπος, καὶ ματαία ἡ ἐργασία ἡμῶν· ἀνόνητός τε πᾶσα βίου ὁδὸς, ἡ μὴ πρὸς τοῦτον τὸν ἐν αὐτῇ τρέχοντα φέρουσα.

ϟα΄. Ἔοικεν ὁ τὸν κόσμον ἅπαντα καταλείψας, πρὸς τὸ ὄρος δὲ ὡς πρὸς ἡσυχίαν ἀναχωρήσας· κἀκεῖθεν ἐπιδεικτικῶς γράφων πρὸς τοὺς ἐν κόσμῳ, τοὺς μὲν μακαρίζων, τοὺς δὲ κολακεύων καὶ ἐπαινῶν, τῷ γυναικὸς πόρνης, δυσείμονός τε καὶ παγκάκου διαζευχθέντι, καὶ εἰς χώραν μακρὰν ἀποδημήσαντι, πρὸς τὸ ἀπαλλαγῆναι καὶ τῆς μνήμης αὐτῆς. εἶτα ἐπιλαθομένῳ τὸν σκοπὸν, δι' ὃν τὸ ὄρος κατείληφε, καὶ πρὸς τοὺς τῇ πόρνῃ ἐκείνῃ συναναστρεφομένους, ἵν' εἴπω, καὶ συμμιαινομένους γράφειν ὀρεγομένῳ, καὶ αὐτοὺς μακαρίζοντι. ὃς εἰ καὶ μὴ τῷ σώματι, ἀλλὰ τῇ καρδίᾳ πάντως καὶ τῷ νοῒ συμπάσχει, ἐκ προθέσεως τοὺς ταύτης ἀποδεχόμενος, οἱονεὶ τῆς μετ' ἐκείνης αὐτῶν συμπλοκῆς.

ϟβ΄. Ὅσῳ οἱ ἐν μέσῳ τοῦ κόσμου στρεφόμενοι, καὶ καθαρεύοντες τὰς αἰσθήσεις, καὶ τὰς καρδίας ἀπὸ πάσης πονηρᾶς ἐπιθυμίας, ἐπαινετοὶ καὶ μακάριοι, τοσούτῳ οἱ ἐν ὄρεσι καὶ σπηλαίοις ἐνδιαιτώμενοι, οἱ τῶν ἐπαίνων καὶ μακαρισμῶν ἐφιέμενοι τῶν ἀνθρώπων, ψεκτοὶ καὶ ἀπόβλητοι· ὡς γὰρ μοιχεύοντες παρὰ τῷ τὰς καρδίας ἡμῶν ἐρευνῶντι Θεῷ ἔσονται. ὁ γὰρ ἐπιθυμῶν ἀκουσθῆναι τὸν βίον αὐτοῦ, καὶ τὸ ὄνομα, καὶ τὴν πολιτείαν ἐν τῷ κόσμῳ, ἐκπορνεύει, κατὰ τὸν πάλαι τῶν Ἰουδαίων λαὸν ἀπὸ Θεοῦ, ὥς φησιν ὁ Δαβίδ.

ϟγ΄. Ὁ πίστει τῇ πρὸς τὸν Θεὸν ἀδιστάκτῳ, τῷ κόσμῳ καὶ τοῖς ἐν κόσμῳ ἀποταξάμενος, πιστεύει ὅτι ἐλεήμων ἐστὶ καὶ οἰκτίρμων ὁ Κύριος, καὶ προσδέχεται τοὺς ἐν μετανοίᾳ προσερχομένους αὐτῷ· εἰδὼς δι' ἀτιμίας τιμᾶν τοὺς δούλους αὐτοῦ· καὶ διὰ πτωχείας ἄκρας, πλουτίζειν αὐτούς· καὶ δι' ὕβρεων καὶ ἐξουδενώσεων δοξάζειν αὐτούς· καὶ διὰ θανάτου, τῆς αἰωνίου ζωῆς μετόχους αὐτοὺς καὶ κληρονόμους ἀποκαταστῆσαι, κατεπείγεται ὡς ἔλαφος διψῶσα ἐπὶ τὴν ἀθάνατον πηγὴν δι' αὐτῶν· καὶ πρὸς τὸ ἅπαντες ἐν αὐτοῖς ὡς ἐν κλίμακι βαίνειν. δι' ἧς Ἄγγελοι μὲν ἀναβαίνουσι καὶ κατέρχονται, πρὸς βοήθειαν τῶν ἀνερχομένων· Θεὸς δὲ ἄνωθεν, τὴν κατὰ δύναμιν ἡμῶν πρόθεσιν καὶ σπουδὴν ἀναμένων κάθηται. οὐχ ὅτι πονοῦντας ἡμᾶς τέρπεται ὁρᾶν, ἀλλ' ὡς ὄφλημα θέλων τοὺς μισθοὺς διδόναι ἡμῖν ὁ φιλάνθρωπος.

Τοὺς ἀδιστάκτως αὐτῷ προσερχομένους, οὐκ ἐᾷ ὅλως καταπεσεῖν ὁ Θεός· ἀλλὰ ἀδυνατοῦντας βλέπων αὐτοὺς, συνεργεῖ καὶ βοηθεῖ, ὀρέγων αὐτοῖς χεῖρα δυνάμεως ἄνωθεν, καὶ πρὸς ἑαυτὸν ἐπανάγει. συνεργεῖ τε φανερῶς ἅμα καὶ ἀφανῶς· ἀγνώστως καὶ γνωστῶς· μέχρις οὗ πᾶσαν ἀνελθόντες τὴν κλίμακα, αὐτῷ προσεγγίσωσι, καὶ ὅλοι ὅλῳ ἑνωθῶσι, καὶ ἁπάντων ἐπιλάθωνται τῶν ἐπιγείων· συνόντες αὐτῷ ἐκεῖσε, εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα. καὶ συμπολιτευόμενοι, καὶ τῶν ἀπορρήτων ἐπαπολαύοντες ἀγαθῶν. ϟδ΄.

Δίκαιοι ἐστὶ τῇ ζεύγλῃ πρῶτον τῶν ἐντολῶν ὑποτιθέναι τοῦ Χριστοῦ τοὺς αὐχένας ἡμῶν, καὶ μὴ παρεισρεῖν, μὴ δ' ὀπισθοποδεῖν· ἀλλ' ὀρθῶς καὶ προθύμως μέχρι θανάτου βαίνειν ἐν αὐταῖς, καὶ ἑαυτοὺς ἡμᾶς γεωργεῖν, τὸν νέον ὄντως Θεοῦ Παράδεισον. μέχρις οὗ μετὰ Πατρὸς ὁ Υἱὸς διὰ τοῦ Ἁγίου, εἰσέλθῃ καὶ κατοικήσῃ, Πνεύματος ἐν ἡμῖν. καὶ τηνικαῦτα ὅταν ὅλον αὐτὸν κτησώμεθα ἔνοικον καὶ διδάσκαλον, ᾧτινι ἂν ἐξ ἡμῶν προστά- ϟε΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ξῃ, καὶ οἵαν ἐμπιστεύσῃ διακονίαν, ταύτην ἐγχειρισθήσεται. καὶ κατὰ τὸ ἐκείνου δοκοῦν ποιήσει προθύμως. οὐκ ἔξεστι δὲ πρὸ καιροῦ ταύτην ἐπιζητεῖν. ἀλλ' οὐδὲ διδομένην παρὰ ἀνθρώπων λαβεῖν καταδέχεσθαι. ἀλλ' ἐμμένειν ταῖς ἐντολαῖς τοῦ δεσπότου ἡμῶν καὶ Θεοῦ· καὶ τὸ πρόσταγμα αὐτοῦ ἀπεκδέχεσθαι.

ϟϛʹ. Μετὰ τὸ ἐγχειρισθῆναι ἡμᾶς διακονίαν θείων πραγμάτων, καὶ ἐν αὐτῇ διαπρέψαι, εἰ ἐπιζητῶμεν ὑπὸ τοῦ πνεύματος, πρὸς ἑτέραν μεταβῆναι διακονίαν, ἢ ἐργασίαν ἢ πρᾶξιν, μὴ ἀντιτείνωμεν. ὁ γὰρ Θεὸς, οὔτε ἀργοὺς ἡμᾶς εἶναι, οὔτε ἐν μιᾷ καὶ τῇ αὐτῇ ἐργασίᾳ ἐν ᾗ ἠρξάμεθα, μέχρι τέλους ἐμμένειν βούλεται. ἀλλὰ προκόπτοντας καὶ ἀνιόντας εἶναι πρὸς τὴν τῶν κρειττόνων ἐπιτυχίαν. τῷ θείῳ δηλαδὴ, καὶ μὴ τῷ οἰκείῳ στοιχοῦντας θελήματι.

ϟζʹ. Ὁ τὸ ἴδιον θέλημα ἀπονεκρῶσαι σπουδάζων, τὸ τοῦ Θεοῦ ποιεῖν θέλημα ὀφείλει. καὶ ἀντὶ τοῦ οἰκείου θελήματος, τὸ τοῦ Θεοῦ ἀντεισάγειν ἐν ἑαυτῷ, καὶ ἐμφυτεύειν καὶ ἐγκεντρίζειν τοῦτο ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ πρὸς τούτοις σκοπεῖν ἀκριβῶς, εἰ τὰ φυτευόμενα καὶ ἐγκεντριζόμενα, τὰ μὲν εἰς βάθος τοῦ ῥιζωθέντα φύει. τὰ δὲ καὶ συμπλακέντα καὶ ἑνωθέντα, εἰς δένδρον ἐγένοντο ἕν. εἰ ηὐξήνθησαν, καὶ ἐξηνθήσαν, καὶ καρποὺς ὡραίους καὶ γλυκεῖς πεποιήκασιν. ὥστε ἁγιασθῆναι παρ' αὐτοῦ καὶ τὴν προϋποδεξαμένην τὸν ἄσπορον γῆν, καὶ τὴν ῥίζαν ἐφ' ἣν ἐνεγκεντρίσθη τὸ ἀκατανόητον, καὶ ἄφραστον ἐκεῖνο, καὶ ζωηφόρον φυτόν.

ϟηʹ. Ὁ ἐκκόπτων τὸ ἴδιον θέλημα διὰ τὸν τοῦ Θεοῦ φόβον, ἀγνώστως ὅπως, ὡς οὐκ οἶδεν, ὁ Θεὸς χαρίζεται αὐτῷ τὸ ἑαυτοῦ θέλημα· καὶ ἀνεξάλειπτον αὐτὸ διατηρεῖ ἐν τῇ καρδίᾳ αὐτοῦ· καὶ διανοίγει τοὺς ὀφθαλμοὺς τῆς διανοίας αὐτοῦ τοῦ ἐπιγινώσκειν αὐτό· καὶ ἰσχὺν δίδωσι τοῦ ἐκπληροῦν αὐτό. ταῦτα δὲ ἡ χάρις τοῦ Ἁγίου Πνεύματος ἐνεργεῖ· καὶ χωρὶς αὐτῆς γίνεται οὐδέν.

ϟθʹ. Εἰ πάντως σὺ τῶν ἁμαρτημάτων τὴν ἄφεσιν ἔλαβες, εἴτε δι' ἐξαγορεύσεως, εἴτε διὰ τῆς ἀμφιάσεως τοῦ Ἁγίου καὶ Ἀγγελικοῦ σχήματος, πόσης σοι τοῦτο ἔστω ἀγάπης, καὶ εὐχαριστίας, καὶ ταπεινώσεως αἴτιον; ὅτι μυρίων ὑπάρχων τιμωριῶν ἄξιος, οὐ μόνον τούτων ἀπηλλάγης, ἀλλὰ καὶ υἱοθεσίας, καὶ δόξης, καὶ οὐρανῶν ἠξίωσαι βασιλείας. ταῦτα στρέφων ἐν διανοίᾳ, καὶ διαπαντὸς ἐνθυμούμενος, ἕτοιμος ἔσο, καὶ προπαρασκεύαζε μὴ ἀτιμάσαι τὸν σὲ ποιήσαντα καὶ τιμήσαντα, καὶ τὰ μυρία συγχωρήσαντα πταίσματα. ἀλλὰ πᾶσί σου ἔργοις δοξάσαι καὶ τιμῆσαι αὐτόν· ἵνα καὶ αὐτός σε μειζόνως ἀντιδοξάσῃ· ὃν τετίμηκεν ὑπὲρ ἅπασαν τὴν ὁρωμένην κτίσιν, καὶ φίλον αὐτοῦ ὀνομάσειε γνήσιον.

ρʹ. Ὅσω ψυχὴ τιμιωτέρα τοῦ σώματος τυγχάνει, τοσοῦτο ὁ λογικὸς ἄνθρωπος κρείσσων τοῦ παντὸς κόσμου ἐστίν. μὴ γὰρ τὰ μεγέθη τῶν ἐν αὐτῷ κτισμάτων κατανοῶν, καὶ διὰ τοῦτο τιμιώτερά σοι ταῦτα εἶναι νόμιζε ἀνθρώπου. ἀλλὰ πρὸς τὴν δοθεῖσάν σοι χάριν ἀποβλέψας, καὶ τῆς νοερᾶς καὶ λογικῆς σου ψυχῆς τὴν ἀξίαν καταμαθὼν, ὕμνει τὸν ὑπὲρ τὰ ὁρώμενα ἅπαντα τιμήσαντά σε Θεόν.

ραʹ. Σκοπήσωμεν πῶς δοξάσωμεν τὸν Θεόν. δοξάζεται δὲ παρ' ἡμῶν οὐκ ἄλλως, ἢ ὡς παρὰ τοῦ Υἱοῦ ἐδοξάσθη· δι' ὧν γὰρ ἐκεῖνος τὸν ἑαυτοῦ Πατέρα ἐδόξασεν, ἐδοξάσθη καὶ ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς δι' αὐτῶν. κἄπειτα καὶ ἡμεῖς σπουδῇ πράξωμεν. ἵνα διὰ τούτων δοξάσωμεν τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς κληθῆναι καταδεξάμενον. καὶ δοξασθῶμεν παρ' αὐτοῦ τῇ δόξῃ τοῦ Υἱοῦ, ᾗ εἶχε πρὸ τοῦ τὸν κόσμον εἶναι παρ' αὐτῷ. τὰ δὲ εἰσὶν, ὁ σταυρός. ἤγουν ἡ νέκρωσις τοῦ

κόσμου

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κόσμου παντός· αἱ θλίψεις· οἱ πειρασμοί, καὶ εἴ τι ἕτερον τῶν παθημάτων Χριστοῦ. ἃ ὑποφέροντες ἐν ὑπομονῇ πολλῇ, μιμούμεθα τοῦ Χριστοῦ τὰ παθήματα. δοξάζομεν δὲ δι᾽ αὐτῶν τὸν Πατέρα ἡμῶν καὶ Θεόν, ὡς υἱοὶ αὐτοῦ χάριτι, καὶ συγκληρονόμοι Χριστοῦ.

ρβʹ. Ψυχὴ ἡ μὴ τελείως τῆς σχέσεως καὶ προσπαθείας τῶν ὁρωμένων εὐαισθήτως ἀπαλλαγεῖσα, τὰ ἐπισυμβαίνοντα αὐτῇ λυπηρά, καὶ τὰς ἐπερχομένας αὐτῇ ἐπηρείας παρὰ δαιμόνων καὶ ἀνθρώπων, ἀλύπως φέρειν οὐ δύναται. ἀλλ᾽ οἱονεὶ συνδέσμῳ δεδεμένη τῇ προσπαθείᾳ τῶν ἀνθρωπίνων πραγμάτων, ζημίαις δάκνεται χρημάτων, καὶ ἀποστερήσεσιν ἄχθεται πραγμάτων, καὶ πληγαῖς ἐπιφερομέναις αὐτῆς τῷ σώματι, σφοδρῶς ὀδυνᾶται.

ργʹ. Εἴ τις σχέσεως, καὶ ἐπιθυμίας τῶν αἰσθητῶν ἀπέῤῥηξε τὴν ψυχὴν αὐτοῦ, καὶ τῷ Θεῷ ταύτην συνέδησεν, οὐ μόνον τῶν περὶ αὐτὸν χρημάτων καὶ κτημάτων καταφρονήσει, καὶ ὡς ἐπὶ ἀλλοτρίοις καὶ ξένοις ὑστερημένος ἀλύπως διατεθῇ, ἀλλὰ καὶ τὰ ἐπιφερόμενα τῷ σώματι αὐτοῦ ἀνιαρά, μετὰ χαρᾶς καὶ τῆς προσηκούσης εὐχαριστίας ὑπομενεῖ. βλέπων ἀεί, κατὰ τὸν θεῖον Ἀπόστολον, τὸν μὲν ἔξω φθειρόμενον ἄνθρωπον· τὸν δὲ ἐντός, ἡμέρᾳ καὶ ἡμέρᾳ ἀνακαινούμενον. ἄλλως δὲ οὐκ ἔνι τὰς κατὰ Θεὸν θλίψεις ὑπενεγκεῖν μετὰ χαρᾶς. γνώσεως γὰρ τελείας ἐν τούτοις χρεία, καὶ σοφίας πνευματικῆς· ὁ δὲ τούτων ἐστερημένος, ἐν σκότει ἀνελπιστίας καὶ ἀγνωσίας ἀεὶ πορεύεται· μὴ δυνάμενος τὸ φῶς τῆς ὑπομονῆς, καὶ τῆς παρακλήσεως ὅλως θεάσασθαι.

ρδʹ. Πᾶς δοκήσει φρονῶν, ἐκ μαθηματικῆς ἂν ἐπιστήμης, εἰς μυστήρια Θεοῦ παρακύψαι καὶ ἰδεῖν οὐκ ἀξιωθήσεταί ποτε· ἕως ἂν ταπεινωθῆναι πρῶτον θελήσῃ, καὶ μωρὸς γένηται, σὺν τῇ οἰήσει, καὶ ἣν κέκτηται γνῶσιν ἀποβαλών. ὁ γὰρ τοῦτο ποιῶν, καὶ σοφοῖς τὰ θεῖα ἐν ἀδιστάκτῳ πίστει ἀκολουθῶν, καὶ ὑπὸ τούτων χειραγωγούμενος, συνεισέρχεται μετ᾽ αὐτῶν ἐν πόλει ζῶντος Θεοῦ. καὶ ὑπὸ τοῦ Θείου Πνεύματος ὁδηγούμενός τε, καὶ φωτιζόμενος, ὁρᾷ καὶ διδάσκεται, ἅπερ οὐδεὶς τῶν ἄλλων ἀνθρώπων, ἰδεῖν καὶ μαθεῖν ποτε δύναται. καὶ τηνικαῦτα γίνεται Θεοῦ διδακτός.

ρεʹ. Τοὺς διδακτοὺς Θεοῦ, οἱ μαθηταὶ τῶν σοφῶν τοῦ αἰῶνος τούτου ἀνθρώπων, ἡγοῦνται μωρούς. αὐτοὶ ὄντες ἐν ἀληθείᾳ μωροί, ἐκμεμωραμένης σοφίας στομωθέντες τῆς θύραθεν· ἣν ἐμώρανεν ὁ Θεός, κατὰ τὸν θεῖον Ἀπόστολον. καὶ ἣν ἡ θεολόγος φωνὴ ἐπίγειον οἶδε, ψυχικήν, δαιμονιώδη, μεστὴν ἐριθείας καὶ φθόνου. ἔξω γὰρ ὄντες οἱ τοιοῦτοι τοῦ θείου φωτός, τὰ ἐν αὐτῷ ἰδεῖν μὴ δυνάμενοι θαύματα, τοὺς αὐλιζομένους ἐν τῷ φωτί, καὶ τὰ ἐν αὐτῷ βλέποντας καὶ διδάσκοντας, ὡς πεπλανημένους λογίζονται· πεπλανημένοι ὄντες αὐτοί, καὶ ἄγευστοι τῶν ἀποῤῥήτων τοῦ Θεοῦ ἀγαθῶν.

ρςʹ. Ὅτι καὶ νῦν εἰσὶν ἀπαθεῖς, καὶ ἅγιοι, καὶ πεπληρωμένοι τοῦ θείου φωτός, ἀναστρεφόμενοι ἐν μέσῳ ἡμῶν, τοσοῦτον τὰ μέλη νεκρώσαντες ἑαυτῶν τὰ ἐπὶ τῆς γῆς, ἐκ πάσης ἀκαθαρσίας καὶ ἐμπαθεστάτης ἐπιθυμίας, ὡς μὴ μόνον ἀφ᾽ ἑαυτῶν ποτε λογίζεσθαι, ἢ ποιῆσαί τι τῶν κακῶν, ἀλλὰ μηδὲ ὑφ᾽ ἑτέρου πρὸς τοῦτο ἑλκομένους, ἀλλοίωσίν τινα τῆς προσούσης αὐτοῖς ἀπαθείας ὑφίστασθαι. εἴδησαν γὰρ ἂν τοῦτο ὥσπερ εἰδότες ἦσαν τὰ καθ᾽ ἑκάστην ἀναγινωσκόμενα θεῖα λόγια, καὶ ψαλλόμενα παρ᾽ αὐτῶν, οἱ τοῖς τοιούτοις τὴν διαφορὰν ἐπιφημίζοντες καὶ διαπιστοῦντες τοῖς περὶ θείων πραγμάτων, διδάσκουσιν ἐν σοφίᾳ τοῦ Πνεύματος. εἰ γὰρ ἐν γνώσει τελείᾳ ἐγένοντο τῆς θείας γραφῆς, ἐπίστευον ἂν τοῖς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑπὸ Θεοῦ λαληθεῖσι καὶ δωρηθεῖσιν ἡμῖν ἀγαθοῖς. ἐπεὶ δὲ ἀμέτοχοι τῶν τοιούτων, ἐξ οἰήσεως καὶ ἀμελείας εἰσὶ καλῶν, καὶ τοὺς μετεσχηκότας, καὶ περὶ τῶν τοιούτων διδάσκοντας, ἀπιστοῦντες διαβάλλουσιν.

ρζʹ. Διὰ τοῦτο μόνον παραβάλλειν καὶ βλέπειν τοὺς ἐν τῷ κόσμῳ θέλουσιν οἱ χάριτος πεπληρωμένοι Θεοῦ, καὶ τετελειωμένοι τῇ γνώσει καὶ σοφίᾳ τῇ ἄνωθεν· ἵνα μισθόν τινα προξενήσωσιν αὐτοῖς, διὰ ὑπομνήσεως τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ δι' ἀγαθοεργίας, εἰ ἄρα γε ἀκούσουσιν· εἰ ἄρα γε συνήσουσι καὶ πεισθήσονται· ἐπειδὴ οἱ μὴ τῷ τοῦ Θεοῦ ἀγόμενοι πνεύματι, ἐν τῇ σκοτίᾳ περιπατοῦσι. καὶ οὐκ οἴδασιν οὔτε ποῦ ὑπάγουσιν, οὔτε ἐν τίσι προκόπτουσιν ἐντολαῖς. τάχα γάρ ποτε ἀνανήψαντες, ἐκ τῆς περιεχούσης αὐτοὺς οἰήσεως, δέξονται τὴν τοῦ Ἁγίου Πνεύματος ἀληθῆ διδασκαλίαν· καὶ τὸ τοῦ Θεοῦ θέλημα αὐθεντῶς, καὶ ἀκαπηλεύτως ἀκούσαντες μετανοήσωσι· καὶ ποιήσαντες αὐτὸ μεταλάβωσι τοῦ χαρίσματος πνευματικοῦ. εἰ δὲ μὴ τοιαύτης ὠφελείας γενέσθαι δυνηθῶσιν αὐτοῖς πρόξενοι, θρηνήσαντες τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, ὑποστρέφουσιν εἰς τὰς κέλλας αὐτῶν, νυκτὸς καὶ ἡμέρας εὐχόμενοι ὑπὲρ τῆς σωτηρίας αὐτῶν. ὑπὲρ γὰρ ἄλλου τινὸς οὐδέποτε λυπηθήσονται οἱ τῷ Θεῷ ἀδιαλείπτως συνόντες καὶ ὑπερεμπιπλάμενοι παντὸς ἀγαθοῦ.

ρηʹ. Τίς ὁ σκοπὸς τῆς ἐνσάρκου οἰκονομίας τοῦ Θεοῦ Λόγου, ὁ ἐν πάσῃ τῇ θείᾳ γραφῇ ἀνακηρυττόμενος, καὶ παρ' ἡμῶν μὲν ἀναγινωσκόμενος, μὴ ἐπιγινωσκόμενος δέ; ἢ πάντως, ἵνα μετεσχηκὼς τῶν ἡμετέρων, κοινωνοὺς τῶν ἐκείνου ποιήσῃ ἡμᾶς. ὁ γὰρ Υἱὸς τοῦ Θεοῦ, διὰ τοῦτο υἱὸς τοῦ ἀνθρώπου ἐγένετο, ἵνα υἱοὺς Θεοῦ ποιήσῃ τοὺς ἀνθρώπους ἡμᾶς· ὅπερ ἐστὶ τῇ φύσει ἐκεῖνος, ἀνάγων κατὰ χάριν τὸ γένος ἡμῶν. γεννῶν ἡμᾶς ἄνωθεν ἐν Πνεύματι Ἁγίῳ. καὶ εὐθὺς εἰσάγων ἡμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. μᾶλλον δὲ ἡμῶν ἐντὸς τὴν τῶν οὐρανῶν βασιλείαν ἔχειν ἡμῖν χαριζόμενος. ὡς μὴ ἐν ἐλπίσιν εἶναι τοῦ εἰσελθεῖν ἡμᾶς ἐν αὐτῇ, ἀλλ' ἐν κατασχέσει ταύτης ὄντας βοᾶν. ἡμῶν δὲ ἡ ζωὴ κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ.

Τὸ αὐτεξούσιον καὶ αὐτοπροαίρετον ἡμῶν, οὐκ ἀφαιρεῖται τὸ Βάπτισμα· ἀλλὰ ἐλευθερίαν ἡμῖν χαρίζεται, τοῦ μηκέτι καὶ ἄκοντας ἡμᾶς τυραννεῖσθαι ὑπὸ τοῦ διαβόλου. ἐφ' ἡμῖν δέ ἐστι μετὰ τὸ Βάπτισμα, ἢ ταῖς ἐντολαῖς ἐμμένειν αὐτοθελῶς τοῦ, εἰς ὃν ἐβαπτίσθημεν, Χριστοῦ τοῦ δεσπότου Θεοῦ, καὶ τῇ ὁδῷ πορεύεσθαι τῶν προσταγμάτων αὐτοῦ, ἢ ἐκκλίνειν τῆς εὐθείας ὁδοῦ ταύτης, πρὸς τὸν ἀντίπαλον δὲ καὶ ἐχθρὸν ἡμῶν διάβολον, παλινδρομεῖν. ρθʹ.

Οἱ μετὰ τὸ Ἅγιον Βάπτισμα, τοῖς τοῦ πονηροῦ θελήμασιν εἴκοντες, καὶ τὰ ἐκείνῳ βεβουλευμένα διαπραττόμενοι, ἑαυτοὺς τῆς τοῦ Ἁγίου Βαπτίσματος ἁγίας μήτρας ἀπαλλοτριοῦσι, κατὰ τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον· οὐδὲ γὰρ ἀλλοιοῦται ἡμῶν ἕκαστος, ἢ τῆς καθ' ὃ ἔκτισται μεθίσταται φύσεως· ἀλλ' ἀγαθὸς κτισθεὶς ὑπὸ τοῦ Θεοῦ. (κακὸν γὰρ ὁ Θεὸς οὐκ ἐποίησεν) ἄτρεπτος τῇ φύσει, καθ' ὃ ἔκτισται, καὶ τῇ οὐσίᾳ ὤν, οἷα ἐξ ἑκουσίου γνώμης προαιρεῖται καὶ θέλει, ταῦτα καὶ πράττει, εἴτε ἀγαθά, εἴτε κακά. ὥσπερ γὰρ τὴν μάχαιραν, κἂν ἐπὶ κακῷ τις αὐτήν, κἂν ἐπὶ καλῷ χρήσηται, τῆς ἰδίας ἐκείνη οὐ μεθίσταται φύσεως, ἀλλὰ μένει σίδηρος ὤν, οὕτω καὶ ὁ ἄνθρωπος. ἐνεργεῖ μὲν καὶ πράττει, ὡς εἴρηται ἅπερ βούλεται, τῆς δὲ οἰκείας οὐκ ἐξίσταται φύσεως. ριʹ.

Οὐ τό, ἕνα ἐλεῆσαι σώζει, ἀλλὰ τό, ἑνὸς καταφρονῆσαι, τῷ πυρὶ παραπέμπει. τὸ γὰρ ἐπείνασα, καὶ ἐδίψησα, ριαʹ.

οὐ πρὸς ἅπαξ εἴρηται πάντως, οὐδὲ τὸ, ἐν μιᾷ ἡμέρᾳ· ἀλλὰ τὸ, διὰ βίου παντὸς δηλοῖ. οὐ τὸ θρέψαι Χριστὸν, ποτίσαι τε, καὶ ἐνδῦσαι, καὶ εἴ τι ἕτερον τούτοις συνέπεται, οὐ πρὸς ἅπαξ, ἀλλὰ διὰ παντὸς καὶ ἐν πᾶσιν, ὑπὸ τῶν αὐτοῦ δούλων ταῦτα δέχεσθαι ὁ Κύριος ἡμῶν καὶ Θεὸς ὡμολόγησεν.

ριβʹ. Ὁ τοῖς ἑκατὸν δοὺς ἐλεημοσύνην, δυνάμενος δὲ καὶ ἑτέροις δοῦναι, ποτίσαι τε, καὶ θρέψαι πολλοὺς, παρακαλοῦντας αὐτὸν καὶ βοῶντας, ἀποπεμψάμενος, ὡς μὴ θρέψας Χριστὸν κριθήσεται παρ᾽ αὐτοῦ. ἐπειδὴ καὶ ἐν ἐκείνοις πᾶσιν αὐτός ἐστιν, ὁ καὶ ἐφ᾽ ἑνὶ ἑκάστῳ τῶν ἐλαχίστων τρεφόμενος παρ᾽ ἡμῶν.

ριγʹ. Ὁ πᾶσι μὲν πάντα τὰ πρὸς χρείαν τοῦ σώματος παρασχὼν σήμερον· αὔριον δὲ δυνάμενος τοῦτο ποιῆσαι, ἀμελήσῃ τινῶν ἀδελφῶν, καὶ λιμῷ, καὶ δίψει, καὶ ψύχει ἐάσῃ διαφθαρῆναι, αὐτὸν ὑπερεῖδεν ἀποθανεῖν, καὶ αὐτοῦ κατεφρόνησε τοῦ εἰπόντος, ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.

ριδʹ. Ἐν τούτῳ, τὸ ἑκάστου πένητος πρόσωπον ἀναλαβεῖν κατεδέξατο. καὶ παντὶ πένητι ἑαυτὸν ἐξωμοίωσεν· ἵνα μηδεὶς τῶν εἰς αὐτὸν πιστευόντων τοῦ ἀδελφοῦ κατεπαίρηται· ἀλλ᾽ ἕκαστος βλέπων τὸν αὐτοῦ ἀδελφὸν καὶ τὸν πλησίον, ὡς τὸν Θεὸν αὐτοῦ· ἐλάχιστον ἑαυτὸν μᾶλλον τοῦ ἀδελφοῦ, ὡς τοῦ πεποιηκότος αὐτὸν λογίζοιτο, καὶ ὡς αὐτὸν ἀποδέχοιτο καὶ τιμᾷ, καὶ πάντα κενοῖ τὰ ὑπάρχοντα πρὸς θεραπείαν αὐτοῦ. ὡς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν ἐκένωσε τὸ ἴδιον αἷμα, διὰ τὴν ἡμῶν σωτηρίαν.

ριεʹ. Ὁ τὸν πλησίον ἔχειν ὡς ἑαυτὸν κελευσθεὶς, οὐ μίαν πάντως ἡμέραν, ἀλλὰ διὰ βίου παντὸς τοῦτον ἔχειν οὕτως ὀφείλει. καὶ ὁ παντὶ τῷ αἰτοῦντι διδόναι προσταττόμενος, τοῦτο ποιεῖν προστάττεται ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ. καὶ ὁ θέλων ἵνα ποιῶσιν εἰς αὐτὸν ἄλλοι, ἃ βούλεται ἀγαθὰ, ταῦτα καὶ αὐτὸς ποιεῖν ἄλλοις ἀπαιτηθήσεται.

Ὥσπερ οὖν ὁ ἔχων τὸν πλησίον ὡς ἑαυτὸν, οὐδὲν ἔχειν πλέον τοῦ πλησίον ἀνέχεται, ἐὰν δὲ ἔχῃ καὶ μὴ μεταδίδωσιν ἀφθόνως, ἕως ἂν καὶ αὐτὸς πτωχὸς γένηται, καὶ τοῖς πλησίον αὐτοῦ ἐξομοιωθῇ, τῆς ἐντολῆς τοῦ δεσπότου ἐκπληρωτὴς οὐχ εὑρίσκεται. οὐδὲ ὁ τοῖς αἰτοῦσι πᾶσι διδόναι θέλων, ἐὰν μέχρις ὀβολοῦ, ἢ κλάσματος ἄρτου κεκτημένος, ἀποστρέψῃ τινὰ τῶν αἰτούντων αὐτόν. οὐδὲ ὁ μὴ ποιῶν τὸν πλησίον, ὅσα θέλει, ἵνα ἕτερος ποιήσῃ πρὸς αὐτόν. οὕτω καὶ ὁ πάντα μὲν πένητα καὶ ἐλάχιστον θρέψας, ποτίσας, ἐνδύσας, καὶ τὰ ἄλλα πάντα εἰς αὐτὸν ἐργασάμενος, ἑνὸς δὲ μόνου καταφρονήσας, καὶ αὐτὸν παριδὼν, ὡς Χριστὸν τὸν Θεὸν παριδὼν πεινῶντα καὶ διψῶντα καὶ αὐτὸς λογισθήσεται. ριςʹ.

Φορτικὰ ταῦτα τοῖς πᾶσιν ἴσως φανήσεται· διὸ καὶ δόξουσιν εὐλόγως λέγειν ἐν ἑαυτοῖς. τίς ἄρα ταῦτα πάντα ποιῆσαι δύναται; ὥστε πάντας θεραπεῦσαι, καὶ θρέψαι, καὶ μηδόλως τούτων τινὰ παριδεῖν; ἀλλ᾽ ἀκουσάτωσαν Παύλου διαῤῥήδην βοῶντος. ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο· ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον. ριζʹ.

Καθάπερ αἱ περιεκτικαὶ ἐντολαὶ, συμπεριέχουσι πάσας ἐν ἑαυταῖς τὰς μερικὰς ἐντολὰς, οὕτω καὶ αἱ περιεκτικαὶ ἀρεταὶ, τὰς μερικὰς ἐν ἑαυταῖς συμπεριλαμβάνουσιν ἀρετάς. ὁ γὰρ πωλήσας τὰ ὑπάρχοντα αὐτοῦ, καὶ διασκορπίσας αὐτὰ τοῖς πτωχοῖς, καὶ πένης ἐφάπαξ γενόμενος, πάντα ὑφ᾽ ἓν τὰ τῶν μερικῶν ἐντολῶν ἐξεπλήρωσεν. οὐκ ἔτι γὰρ χρείαν ἔχει τῷ αἰτοῦντι διδόναι, ἢ μὴ ἀποστραφῆναι τὸν θέλοντα δανείσασθαι ἀπ᾽ αὐτοῦ. οὕτω καὶ ὁ ἀδιαλείπτως εὐχό- ριηʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μενος, ἐν τούτῳ πάντα συνέκλεισε. καὶ οὐκ ἔτι ἑπτάκις αἰνεῖν τῆς ἡμέρας τὸν Κύριον, ἢ ἑσπέρας, καὶ πρωῒ καὶ μεσημβρίας ὑπ' ἀνάγκην ἐστίν, ὡς ἤδη πάντα πεπληρωκώς, ὅσα ἂν κανονικῶς καὶ ἐν ἀφωρισμένοις καιροῖς, καὶ ὥραις εὐχόμεθά τε, καὶ ψάλλομεν. οὕτω καὶ ὁ τὸν διδόντα γνῶσιν ἀνθρώποις Θεὸν, ἐν ἑαυτῷ γνωστῶς κτησάμενος, πᾶσαν ἁγίαν διῆλθε γραφήν· καὶ πᾶσαν τὴν ἐκ τῆς ἀναγνώσεως ὠφέλειαν ἐκαρπώσατο· καὶ οὐκ ἔτι βιβλίων ἀναγνώσεως δεηθήσεται. πῶς γάρ; ὁ τὸν ἐμπνεύσαντα τοῖς τὰς θείας γραφὰς γεγραφόσι συνόμιλον κεκτημένος, καὶ παρ' ἐκείνου μυούμενος τὰ τῶν ἀποκεκρυμμένων μυστηρίων ἀπόρρητα; ἀλλὰ βίβλος οὗτος τοῖς ἄλλοις θεόπνευστος ἔσται, καινά τε καὶ παλαιὰ μυστήρια φέρουσα, γεγραμμένα δακτύλῳ Θεοῦ ἐν αὐτῷ· ὡς πάντα τελέσας καὶ καταπαύσας ἐν Θεῷ τῇ ἀρχικῇ τελειότητι ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ.

ριθʹ. Ἡ καθ' ὕπνους ῥεῦσις, ἐκ πολλῶν ὑποθέσεων εἴωθε γίνεσθαι. ἐκ γαστριμαργίας· ἐκ κενοδοξίας· καὶ ἐκ φθόνου τῶν δαιμόνων. γίνεται δὲ καὶ ἐκ πολλῆς ἀγρυπνίας, εἰς ὕπνον χαυνουμένου τοῦ σώματος· καὶ ἀπὸ δέους τοῦ μὴ τοῦτο παθεῖν· ἢ διὰ τὴν θείαν λειτουργίαν Ἱερέως τινὸς ὄντος, ἢ καὶ διὰ τὴν κοινωνίαν, καὶ τοῖς λογισμοῖς συνδυάζων τούτοις τῆς δειλίας ἐν τῇ κλίνῃ, τοῦ μήπως παθεῖν, κοιμηθεὶς τοῦτο πέπονθεν· ὃ καὶ αὐτὸ φθόνου δαιμόνων ὑπάρχει. καὶ ἄλλως δέ. ἑωρακώς τις εὔοπτον πρόσωπον ἐν τῇ ἡμέρᾳ, εἶτα ἀνιστορῶν τοῦτο κατὰ διάνοιαν, συμπίπτει τοῖς πορνικοῖς λογισμοῖς, διὰ χαυνότητα μὴ ἀπωσάμενος αὐτούς, πίπτει καθ' ὕπνους, ἴσως καὶ ἐγρηγορὼς κείμενος ἐν τῇ κοίτῃ. καὶ ἄλλως δέ. εἰσί τινες ῥάθυμοι κατ' ἐμὲ, καθεζόμενοι, καὶ περὶ ἐμπαθῶν ὁμιλοῦντες πραγμάτων, ἢ καὶ ἐμπαθῶς, ἢ καὶ οὔ. εἶτα ἐν τῇ κοίτῃ ἐρχόμενοι, καὶ ταῦτα κατὰ νοῦν ἀναστρέφοντες, καὶ τῇ τούτων συνδιάσει ἐναποκοιμώμενοι, καθ' ὕπνους ὑφίστανται. ἴσως δὲ καὶ κατ' αὐτὴν τὴν ὁμιλίαν, τοῦ θατέρου ἀνθρώπου θάτερος τὴν βλάβην ἐδέξατο. διὰ τοῦτο προσέχειν δεῖ ἑαυτοὺς πάντοτε, καὶ τὸ τοῦ Προφήτου μελετᾶν. προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ· καὶ τὰς ἀκοὰς ἀποφράττειν τοῖς τοιούτοις λόγοις. πολλάκις καὶ τῆς εὐχῆς τινὲς ἀπαχολήσαντες, εἰς κινήσεις σαρκικὰς συνωθήθησαν· καθὸ καὶ ἐν τῷ τῆς εὐχῆς κεφαλαίῳ ἐδηλώσαμεν.

Ἀδελφὲ, ἐν τῇ ἀρχῇ τῆς ἀποταγῆς, ρκʹ.
σπούδασον καλὰς ἀρετὰς ἐν σεαυτῷ φυτεῦσαι· ὅπως καὶ τῷ κοινῷ γένῃ χρήσιμος, καὶ σὲ μεγαλύνει ἐπ' ἐσχάτων ὁ Κύριος. μὴ κτήσῃ παρρησίαν μετὰ Ἡγουμένου ποτὲ, καθὰ καὶ ἄλλοτε εἴπομεν, μηδὲ ζήτει παρ' αὐτοῦ τιμήν. μὴ κτίσῃ φιλίαν μετὰ τῶν προεχόντων· μὴ δὲ τὰς αὐτῶν κέλλας κύκλευε· γινώσκων ὡς ἐν τούτῳ, οὐ μόνον τὸ τῆς κενοδοξίας πάθος ῥιζοῦν ἄρχεται ἐν σοὶ, ἀλλὰ καὶ μισητὸς παρὰ τοῦ προεστῶτος γενήσῃ. τὸ δὲ πῶς, ὁ νοῶν νοείτω. καθέζου δὲ ἐν τῷ κελλίῳ σου, οἷον δ' ἂν ἐστὶν, ἐν εἰρήνῃ· καὶ τῷ θέλοντί σοι συντυχεῖν μὴ ἀποστραφῇς, ἕνεκεν εὐλαβείας. ἀλλὰ γνώμῃ πατρικῇ τούτῳ συντυχών, οὐ βλαβήσῃ, εἰ καὶ ἐκ τῶν ἐναντίων ἐστίν. εἰ δὲ οὐχ ὁρᾷς συμφέρον τοῦτο, τῷ σκοπῷ τοῦ ὠφελημένου δεῖ ἐξακολουθεῖν.

Δεῖ δὲ διαπαντὸς τὸν τοῦ Θεοῦ φόβον ρκαʹ.
ἔχειν, καὶ καθ' ἑκάστην ἑαυτὸν ἀνακρίνειν, τί μὲν ἀγαθὸν, τί δὲ τῶν φαύλων πέπρακταί σοι. καὶ τῶν μὲν ἀγαθῶν λήθην ποιεῖσθαι, μήπως τῷ τῆς κενοδοξίας πάθει περιπέσῃς. ἐπὶ δὲ τοῖς ἐναντίοις, δάκρυσι κεχρῆσθαι μετ' ἐξομολογήσεως καὶ προσευχῆς συντόνου. ἔσω δὲ ἡ ἀνάκρισις



Athos Library
Αγιορειτική Βιβλιοθήκη

οὔπω. τελευτώσης τῆς ἡμέρας, καὶ τῆς ἑσπέρας καταλαβούσης, ἐν ἑαυτῷ διαλογίζεσθαι. ἄραγε πῶς, τῇ βοηθείᾳ τοῦ Θεοῦ, τὴν ἡμέραν παρῆλθον; μή τινα κατέκρινα, ἢ ἐλοιδόρησα, ἢ ἐσκανδάλισα, ἢ εἰς τινὸς ὄψιν ἐμπαθῶς προσέβλεψα, ἢ τοῦ ἐπιστατοῦντος ἐν τῇ διακονίᾳ παρήκουσα, καὶ αὐτῆς ἠμέλησα, ἢ ὠργίσθην τινί, ἢ ἐν τῇ συνάξει ἑστῶτός μου, τὸν νοῦν εἰς ἀνωφελῆ ἀπησχόλησα, ἢ ῥαθυμίᾳ βαρυνθείς, τῆς Ἐκκλησίας καὶ τοῦ κανόνος ἀπέστην; ὅταν δὲ ἐν τούτοις πᾶσι σεαυτὸν ἀνεύθυνον εὕρῃς, (ὅπερ ἀδύνατον) οὐδεὶς γὰρ καθαρὸς ἀπὸ ῥύπου οὐδ᾽ ἂν μία ἡμέρα τῆς ζωῆς αὐτοῦ· καὶ οὐδεὶς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν. τότε πρὸς τὸν Θεὸν μετὰ πολλῶν δακρύων βόησον. Κύριε συγχώρησόν μοι, ὅσα ἐν ἔργῳ τε, καὶ λόγῳ, καὶ γνώσει, καὶ ἀγνοίᾳ ἥμαρτον. πολλὰ γὰρ πταίομεν, καὶ οὐ γινώσκομεν.

ρκβʹ. Δεῖ δὲ καθ᾽ ἑκάστην ἐξαγορεύειν πάντα λογισμόν, πρὸς τὸν πνευματικὸν πατέρα· καὶ τὸ παρ᾽ αὐτοῦ σοι λεγόμενον, ὡς ἐκ θείου στόματος δέχεσθαι ἐν πάσῃ πληροφορίᾳ· καὶ μὴ πρὸς ἕτερόν τινα ταῦτα προφέρειν. ὡς ὅτι τό, καὶ τό, ἐρωτήσαντός μου τὸν πατέρα, τόδε μοι ἀπεφθέγξατο. καὶ εἰ ἄρα καλῶς ἀπεφήνατο ἢ οὔ. καὶ τί ἄρα ὀφείλω πρᾶξαι πρὸς θεραπείαν· ταῦτα γὰρ τὰ ῥήματα ἀπιστίας μεστὰ πρὸς τὸν πατέρα, καὶ ψυχοβλαβῆ. ὡς ἐπὶ τὸ πλεῖστον δὲ συμβαίνειν εἴωθε τοῖς ἀρχαρίοις.

ρκγʹ Δεῖ δὲ πάντας τοὺς ἐν κοινοβίῳ ὡς ἁγίους βλέπειν, καὶ μόνον ἑαυτὸν ἁμαρτωλὸν καὶ ἔσχατον ἐννοούμενον· ὅτι πάντων σωζομένων, αὐτὸς μόνος κολασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἐν τῇ συνάξει δὲ ἱστάμενος ταῦτα ἐννοῶν, μὴ παύσῃ ἐν κατανύξει κλαίειν θερμῶς· μὴ ποιούμενος λόγον τῶν εἰς τοῦτο σκανδαλιζομένων, ἢ καὶ σκωπτόντων. εἰ δὲ ὁρᾷς σεαυτὸν ἐκ τούτου, εἰς κενοδοξίαν ὀλισθαίνοντα, ἐξερχόμενος τῆς Ἐκκλησίας, ἐν κρυπτῷ τοῦτο ποίει, αὖθις ταχέως πρὸς τὸν ἴδιον τόπον ἐπικαθισάμενος· τοῦτο γὰρ πρὸς τοὺς ἀρχαρίους μάλα ἐστὶ καλόν· μᾶλλον ἐν τῷ ἐξαψάλμῳ, καὶ τῇ στιχολογίᾳ, καὶ τῇ ἀναγνώσει, καὶ τῇ θείᾳ λειτουργίᾳ. πρόσεχε δὲ τοῦ μὴ κατακρῖναί τινα· ἀλλὰ τοῦτο θὲς ἐν νῷ, ὅτι ὅσοι βλέπουσί με οὕτως ὀλοφυρόμενον, ἐννοοῦντες πολυαμάρτητον εἶναί με, ὑπερεύχονται τῆς ἐμῆς σωτηρίας· καὶ πάντως τοῦτο ἀεὶ ἐννοούμενος, καὶ ἀπαραλείπτως ἐκτελῶν, μεγάλως ὠφεληθήσῃ, καὶ τὴν τοῦ Θεοῦ χάριν ἐπισπάσῃ, καὶ τοῦ θείου μακαρισμοῦ μέτοχος γενήσῃ.

Μὴ παραβάλλῃς δὲ κελλίῳ τινός, ἐκτὸς τοῦ Ἡγουμένου, καὶ τούτου σπανίως. ἀλλ᾽ ρκδʹ.
εἰ καὶ περὶ λογισμοῦ τινος αὐτὸν ἐρωτῆσαι θέλεις, ἐν τῇ Ἐκκλησίᾳ τοῦτο ποίει. ἀπὸ δὲ τῆς συνάξεως, εὐθὺς ἐν τῷ κελλίῳ ὑποχώρει· εἶθ᾽ οὕτως ἐν τῇ διακονίᾳ. μετὰ δὲ τὰ ἀπόδειπνα, ἔξωθεν τοῦ Ἡγουμένου βαλὼν μετάνοιαν, καὶ αἰτήσας εὐχήν, πάλιν κεκυφὼς μετὰ σιωπῆς εἰς τὸ κελλίον ἀπότρεχε. κρεῖττον γὰρ ἓν τρισάγιον μετὰ προσοχῆς εἰς τὸ καθευδῆσαι, ἢ ἀγρυπνία τεσσάρων ὡρῶν ἐν ὁμιλίαις ἀνωφελέσιν· ὅμως ὅπου κατάνυξις καὶ πένθος πνευματικόν, ἐκεῖ καὶ ἔλλαμψις θεία. ταύτης δὲ τῇ ἐπιφοιτήσει, ἀπελήλαται ἀκηδία, καὶ τόσος.

Ἀγάπην δὲ ἰδικὴν μετὰ οἱουδήποτε ρκεʹ.
προσώπου μὴ κτήσῃ, μάλιστα μετὰ ἀρχαρίου· εἰ καὶ δόξῃ σοι βίον ἄριστον ἔχειν, μήτι γε ὕποπτον. καὶ γὰρ ἐκ πνευματικῆς μετεκκεντρίζεταί σε εἰς ἐμπαθῆ ὡς τὰ πολλά, καὶ ἐμπίπτεις εἰς θλίψεις ἀνωφελεῖς· τοῦτο γὰρ μάλιστα εἴωθε τοῖς ἀγωνιζομένοις συμβαίνειν· ὅμως ἡ ταπείνωσις, καὶ ἡ συνεχὴς εὐχὴ τοῦτο διδάξει. οὐ γὰρ ἄγει καιρὸς ἐν λεπτῷ περὶ τούτων λέγειν· ὁ δὲ νοῶν νοείτω.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρκϛʹ. Δεῖ δὲ ἔχειν σεαυτὸν ἀπὸ παντὸς ἀδελφοῦ τοῦ ἐν τῷ κοινοβίῳ ξένον· πλεῖον δὲ καὶ τῶν κατὰ κόσμον γνωστῶν· πάντας δὲ ἐξίσου ἀγαπᾷν· καὶ τοὺς εὐλαβεῖς καὶ ἀγωνιζομένους, ὡς ἁγίους ὁρᾷν. ὑπὲρ δὲ τῶν κατ' ἐμὲ ῥαθύμων ἐκτενῶς προσεύχεσθαι. ὅμως ὡς ἀνωτέρω δεδηλώκαμεν, πάντας ἁγίους ἐννοεῖν, ἐπειδὲ διὰ πένθους τῶν παθῶν καθαρθῆναι· ὅπως ἐλλαμφθεὶς ὑπὸ τῆς χάριτος, πάντας ἐξίσου κατανοεῖν, καὶ τοῦ μακαρισμοῦ τῶν καθαρῶν τῇ καρδίᾳ ἐπιτύχῃ.

ρκζʹ. Ταύτην δὲ ἐγὼ ἀδελφοὶ λέγεσθαι ἀναχώρησιν τελείαν κόσμου, τὴν παντελῆ τοῦ ἰδίου θελήματος ἀπονέκρωσιν· ἔπειτα τὴν τῶν γονέων, οἰκείων τε, καὶ φίλων ἀπροσπάθειαν, καὶ ἀπάρνησιν.

ρκηʹ. Εἶθ' οὕτως καὶ ἀπὸ τῶν προσόντων πάντων γυμνωθῆναι, διανείμαντα τοῖς πένησι· κατὰ τὸν εἰπόντα· πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς. λήθην τε ποιῆσαι πάντων τῶν σχετικῶς ἀγάπας προσώπων, εἴτε σωματικῶς, εἴτε πνευματικῶς.

ρκθʹ. Ἐξαγορεύειν τε τῶν τῆς καρδίας κρυπτῶν ἁπάντων τῶν ἀπὸ βρέφους καὶ μέχρις αὐτῆς τῆς ὥρας παρὰ σοῦ πραχθέντων, πρὸς τὸν πνευματικὸν πατέρα, ἢ πρὸς τὸν Ἡγούμενον, ὡς πρὸς αὐτὸν τὸν Θεὸν τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς· εἰδὼς ὡς Ἰωάννης ἐβάπτιζε βάπτισμα μετανοίας, καὶ πάντες ἤρχοντο πρὸς αὐτὸν ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. καὶ γὰρ ἐκ τούτου μεγάλη χαρὰ τῇ ψυχῇ, καὶ κουφισμὸς τῷ συνειδότι προσγίνεται· κατὰ τὸν Προφητικὸν λόγον. λέγε σὺ πρῶτον τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς.

ρλʹ. Θέσθαι δὲ τῷ λογισμῷ τοιαύτην πληροφορίαν, μετὰ τὴν εἰς τὸ κοινόβιον εἴσοδον, τεθνάναι πάντας γονεῖς τε, καὶ φίλους. καὶ μόνον ἡγεῖσθαι Πατέρα τε καὶ Μητέρα, τὸν Θεὸν καὶ τὸν προεστῶτα. καὶ μήποτε χάριν σωματικῆς χρείας παρ' αὐτῶν τι αἰτήσασθαι. εἰ δὲ καὶ ἐκ προνοίας παρ' αὐτῶν τί σοι ἀποσταλῇ, δέξαι, καὶ ὑπερδέξαι τῆς αὐτῶν κηδεμονίας. παρέχου δὲ τὸ σταλὲν εἰς τὸ ξενοδοχεῖον, ἢ εἰς τὸ νοσοκομεῖον· καὶ τοῦτο ποίησον ἐν ταπεινώσει. οὐ γὰρ τῶν τελείων ἐστὶ, ἀλλὰ τῶν ἐλαχίστων.

ρλαʹ. Ποιεῖν δὲ πᾶν πρᾶγμα, ὅπερ ἐστὶ καλὸν, μετὰ ταπεινώσεως, ἐννοούμενον τὸν εἰπόντα· ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοι ἐσμὲν, ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν.

ρλβʹ. Φυλάττειν δὲ καὶ τοῦ μήποτε κοινωνίαν δέξασθαι, ἔχοντός σου κατά τινος, μέχρι καὶ προσβολῆς λογισμοῦ· ἕως οὗ διὰ μετανοίας τὴν καταλλαγὴν ἐργάσῃ. πλὴν καὶ τοῦτο ἀπὸ τῆς ἀρχῆς μαθήσῃ.

ρλγʹ. Ἕτοιμον δὲ εἶναι καθ' ἑκάστην ἡμέραν πρὸς ὑποδοχὴν πάσης θλίψεως· ἐννοούμενον ἀπαλλαγὴν ταύτας τῶν πολλῶν ὀφλημάτων εἶναι, καὶ εὐχαριστεῖν τῷ Ἁγίῳ Θεῷ. ἐκ γὰρ τούτων κτᾶταί τις παρρησίαν ἀκαταίσχυντον, κατὰ τὸν μέγαν Ἀπόστολον. ἡ γὰρ θλῖψις, ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ, δοκιμήν· ἡ δὲ δοκιμὴ, ἐλπίδα· ἡ δὲ ἐλπὶς, οὐ καταισχύνει. καὶ γὰρ ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ταῦτα ἐστὶ κατὰ τὴν ἀψευδῆ ἐπαγγελίαν τοῖς διὰ θλίψεων τὴν ὑπομονὴν, συνεργούσης τῆς χάριτος, ἐπιδεικνυμένοις. ἄνευ γὰρ χάριτος, οὐ δύναταί τι κατορθωθῆναι.

ρλδʹ. Μὴ κεκτῆσθαι δὲ τί τῶν ὑλικῶν ἐν τῷ κελλίῳ, μέχρι καὶ ῥαφίδος· ἐκτὸς ψιάθου, κωδίου, καὶ παλίου, καὶ ὧν περιβέβλησαι· εἰ δυνατὸν μὴ δὲ ὑποπόδιον. ἔστι γὰρ καὶ περὶ τούτων τις λόγος. ὅμως ὁ νοῶν νοείτω.

ρλεʹ. Μὴ δ' αὖ πάλιν ἀπαιτεῖσαι τὸν Ἡγούμενόν τι τῶν χρειωδῶν, ἐκτὸς τῶν τετυ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ποιουμένων. καὶ ταῦτα ὅτε αὐτὸς καλέσας παρέξῃ· μηδὲ ὅλως τῷ ὑποβάλλοντι πειθόμενος λογισμῷ, ἀντικαταλλάξαι τί τῶν παρεχομένων. ἀλλ' οἷα δ' ἂν εἰσίν, ὡς ἐκ Θεοῦ μετ' εὐχαριστίας λαμβάνειν, καὶ μετ' αὐτῶν διοικεῖσθαι. μὴ ἐξεῖναι δὲ ἐξαγοράζειν ἕτερον. ῥυπωμένου δὲ τοῦ ἱματίου, δὶς τοῦ χρόνου δεῖ τοῦτο πλύνειν. αἰτεῖται χήματι πτωχοῦ καὶ ξένου μετὰ πάσης ταπεινώσεως, ἑτέρου ἀδελφοῦ περιβόλαιον, μέχρις ὅτου τὸ ἴδιον πλυθὲν ὑπὸ τοῦ ἡλίου ξηρανθῇ. εἶθ' οὕτως πάλιν μετ' εὐχαριστίας ἀποδιδόναι· ὡσαύτως καὶ πάλλιον, καὶ εἴτι ἕτερον.

ρλϛʹ. Κοπιᾷν δὲ κατὰ δύναμιν ἐν τῇ διακονίᾳ. ἐν δὲ τῷ κελλίῳ καρτερεῖν ἐν τῇ εὐχῇ, μετὰ κατανύξεως, καὶ προσοχῆς, καὶ συνεχῶν δακρύων. καὶ μὴ τιθέναι ἐν τῇ διανοίᾳ, ὅτι σήμερον ὑπερεκπερισσοῦ ἐκκεκοπιακώς, ὑφέλω τί τῆς εὐχῆς ἕνεκα τοῦ σωματικοῦ κόπου. λέγω σοι γάρ, ὅτι ὅσον ἐάν τις ἑαυτὸν βιάσηται ἐν τῇ διακονίᾳ, στερηθεὶς τῆς εὐχῆς, μέγα τί ἀπολελωκέναι οἰέσθω. καὶ γὰρ οὕτως ἔχει.

ρλζʹ. Πρὸ πάντων δέ, ἀπαντᾷν εἰς τὰς ἐκκλησιαστικὰς συνάξεις, καὶ ὕστατον ὑποχωρεῖν· ἐκτὸς ἀνάγκης μεγάλης. μᾶλλον δὲ ἐν τῷ ὄρθρῳ, καὶ τῇ λειτουργίᾳ.

ρληʹ. Ὑποταγὴν δὲ πᾶσαν κεκτῆσθαι εἰς τὸν κατὰ σὲ Ἡγούμενον, ὑφ' οὗ καὶ ἀπεκάρης. καὶ ἀδιακρίτως τὰ παρ' αὐτοῦ προστατόμενα ἐκπληροῦν μέχρι θανάτου, εἰ καὶ ἀδυνατά σοι δοκεῖ. ἐν τούτῳ γὰρ μιμῇ τὸν ὑπακούσαντα μέχρι θανάτου, θανάτου δὲ Σταυροῦ. οὐ μόνον δὲ τὸν Ἡγούμενον, ἀλλὰ καὶ πᾶσαν τὴν ἀδελφότητα, καὶ τὸν τῆς διακονίας ἐγκεχειρισμένον, οὐ χρὴ παρακοῦσαι ἔντιμε· ἀλλ' εἰ καὶ ὑπὲρ δύναμιν ᾖ τὸ ἐπιταττόμενον, βαλὼν μετάνοιαν, αἰτῆσαι συγχώρησιν. εἰδὲ πρὸς τοῦτο ἀνανεύει, τῶν βιαστῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτὴν λογιζόμενοι, ἑαυτὸν βιάζεσθαι.

ρλθʹ. Τὸ μετὰ συντετριμμένης καρδίας προσκυλινδεῖσθαι τοῖς ποσὶ πάσης τῆς ἀδελφότητος, ὡς ἀφανὴς καὶ ἄγνωστος, καὶ ὅλως μὴ ὤν. καὶ γὰρ οὕτως ἐν βίῳ ἀναστρεφόμενος, θαῤῥῶ εἰπεῖν διορατικὸς γενόμενος, πολλὰ προλέγει, τῆς χάριτος συνεργούσης. ὁ τοιοῦτος καὶ ὑπὲρ ἑτέρων ἐλαττωμάτων θρηνεῖ· ἀπερίσπαστος ἐξ ὑλικῶν προσπαθείας μένων· τοῦ πνευματικοῦ καὶ θείου ἔρωτος μὴ ἐῶντος αὐτὸν ἐν τούτοις ὀλισθῆσαι. οὐ θαυμαστὸν δὲ τὸ προλέγειν. πολλάκις δὲ συμβαίνει καὶ ἐκ δαιμόνων προσγίνεσθαι. ὅμως ὁ νοῶν νοήσει. πλὴν ἐὰν ἄρξηταί τις δέχεσθαι ἐξαγορεύσεις, ἴσως καὶ τούτων στερεῖται, ἀπασχολούμενος ἐν τῷ τοὺς ἑτέρων λογισμοὺς ἀνακρίνειν. ἐὰν δὲ πάλιν ἐκ πολλῆς ταπεινώσεως τούτων παύσηται, ἤγουν τοῦ λέγειν καὶ ἀκούειν, πάλιν ἀποκαθίσταται εἰς τὴν προτέραν ἀποκατάστασιν. τὴν δὲ τῶν τοιούτων εἴδησιν, μόνος ὁ Θεὸς ἐπίσταται. ἐγὼ γὰρ φόβῳ συνεχόμενος, περὶ τούτων οὐ τολμῶ φθέγξασθαι.

ρμʹ. Ἔχειν δὲ τὸν νοῦν πάντοτε πρὸς τὸν Θεόν, ἔν τε ὕπνῳ καὶ ἐγρηγόρσει, ἑστιάσει καὶ ὁμιλίᾳ, ἐργοχείρῳ τε καὶ πάσῃ ἄλλῃ πράξει· κατὰ τὸ προφητικὸν λόγιον. προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός. ἡγοῦ δὲ ἑαυτὸν ἁμαρτωλότερον παντὸς ἀνθρώπου. χρονιζούσης γὰρ ταύτης τῆς μνήμης, πέφυκεν ἐγγίνεσθαι τῇ διανοίᾳ ἔλλαμψις, δίκην ἀκτῖνος. καὶ ὅσον ταύτην ἐπιζητεῖς, πολλῇ προσοχῇ, καὶ ἀπερισπάστῳ διανοίᾳ, κόπῳ τε πολλῷ, καὶ δάκρυσι, τηλαυγέστερον φαίνεται· φαινομένη δέ, ἀγαπᾶται· ἀγαπωμένη δέ, καθαίρει· καθαίρουσα δέ, θεοειδῆ ἀπεργάζεται, φωτίζουσα καὶ διδάσκουσα διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πλὴν ἀδελφέ, πολλοῦ δεῖ κόπου, σὺν Θεῷ, τοῦ τελείως ταύτην εἰσοικισθῆναι τῇ σῇ ψυχῇ· καὶ ταύτῃ καταυγάσαι, ὥσπερ ἡ σελήνη τὸν τῆς νυκτὸς ζόφον. προσέχειν δὲ δεῖ καὶ τὰς προσβολὰς τῶν λογισμῶν, κενοδοξίας τε, καὶ οἰήσεως, καὶ τοῦ μὴ κατακρίνειν τινὰ ὁρῶντα ἀπρεπές τι πράττοντα. οἱ γὰρ δαίμονες βλέποντες τὴν ψυχὴν ἀπὸ τῶν παθῶν καὶ τῶν πειρασμῶν διὰ τῆς ἐνοικήσεως τῆς χάριτος, καὶ τῆς εἰρηνικῆς καταστάσεως ἐλευθερωθεῖσαν, προβάλλουσι ταῦτα. ὅμως ἡ βοήθεια ἐκ Θεοῦ. γενέσθω δέ σοι καὶ τὸ πένθος διηνεκές, καὶ κόρος τῶν δακρύων μὴ ᾖ. πρόσεχε δὲ μὴ ἐκπαθεῖν τι ἐκ πολλῆς χαρᾶς καὶ κατανύξεως. μὴ δὲ ἐξ ἰδίου κόπου καὶ οὐκ ἐκ τῆς τοῦ Θεοῦ χάριτος ταῦτα λογίσασθαι. καὶ ἀφαιρεθῶσιν ἐκ σοῦ, καὶ πολλὰ ζητήσεις ἐν τῇ ψυχῇ καὶ οὐχ εὑρήσεις· καὶ γνώσῃ οἷον δῶρον ἀπώλεσας· ἀλλὰ μηδέποτε Κύριε στερηθείημεν τῆς σῆς χάριτος. πλὴν· ἀδελφέ· ἐὰν καὶ συμβῇ τοῦτο, ἐπίρριψον ἐπὶ Θεὸν τὴν ἀσθένειάν σου, καὶ ἀναστὰς ἐκτείνας τὰς χεῖρας, εὖξαι λέγων οὕτω· Κύριε ἐλέησόν με τὸν ἁμαρτωλόν, καὶ ἀσθενῆ, καὶ ταλαίπωρον, καὶ κατάπεμψον ἐπ' ἐμὲ τὴν χάριν σου, μὴ ἐῶν πειρασθῆναί με ὑπὲρ ὃ δύναμαι. ἰδὲ Κύριε αἱ πολλαὶ ἁμαρτίαι μου εἰς οἵαν ἀθυμίαν, καὶ λογισμούς με ἤγαγον. ἐγὼ Κύριε, εἰ καὶ θελήσω, ἐκ δαιμόνων καὶ οἰήσεως τὴν στέρησιν τῆς σῆς παρακλήσεως λογίσασθαι, οὐ δύναμαι. οἶδα γὰρ πρὸς τούτους αὐτοὺς ἀντιπαρατάσσεσθαι, τοὺς τὸ σὸν θέλημα θερμῶς ἐκτελοῦντας. ἐγὼ δὲ τὸ αὐτῶν θέλημα καθ' ἑκάστην ἐκπληρῶν, πῶς ὑπ' αὐτῶν πειρασθήσομαι· πειράζομαι δὲ πάντως ὑπὸ τῶν ἰδίων ἁμαρτιῶν. καὶ νῦν Κύριέ μου Κύριε. εἰ θέλημα σὸν καὶ ἐμοὶ συμφέρον, εἰσελθέτω πάλιν ἡ χάρις σου εἰς τὸν δοῦλόν σου. ὅπως βλέπων ταύτην χαίρω ἐν κατανύξει καὶ κλαυθμῷ, φωτιζόμενος ἐκ τῆς ταύτης ἀστραπῆς ἐλλάμψεως· φυλαττόμενος ἀπὸ ῥυπαρῶν λογισμῶν, καὶ παντὸς πονηροῦ πράγματος. καὶ τῶν καθ' ἑκάστην σφαλλομένων μοι ἐν γνώσει καὶ ἀγνοίᾳ, ἔργῳ τε καὶ λόγῳ· λαμβάνων πληροφορίαν τῆς εἰς σὲ παρρησίας Κύριε, ἐκ τῶν καθ' ἡμέραν προσπιπτουσῶν θλίψεων τῷ δούλῳ σου, παρά τε δαιμόνων καὶ ἀνθρώπων, καὶ τῆς ἐκκοπῆς τοῦ ἰδίου θελήματος, ἐννοούμενος καὶ τὰ μέλλοντα ἀγαθὰ τοῖς ἀγαπῶσί σε Κύριε. σὺ γὰρ εἶπας Κύριε ὅτι ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. πρὸς δὲ τούτοις· ἀδελφέ· καὶ ὑπὲρ ὅσα ἐπιχορηγήσει ὁ Θεὸς ἐν τῇ σῇ διανοίᾳ, ἐπίμενον παρακαλῶν, μὴ χαυνούμενος ἐξ ἀκηδίας. καὶ ὁ ἀγαθὸς Θεός, οὐ μή σε ἐγκαταλείπει.

Κελλίον δὲ ὃ παρὰ τοῦ προεστῶτος κατ' ρμα΄.
ἀρχὰς εἴληφας, ἐγκαρτέρησον μέχρι τέλους. εἰ δὲ διὰ παλαιότητα, ἢ σύμπτωσιν αὐτοῦ ἀπὸ τοῦ λογισμοῦ ἐνοχλῇ, βαλὼν μετάνοιαν τῷ προεστῶτι, μετὰ ταπεινώσεως ὑπόμνησον. καὶ εἰ μὲν ἐπακούσει σου, χαῖρε. εἰ δ' οὖν, καὶ οὕτως εὐχαρίστησον, ὑπομνησθεὶς τοῦ σοῦ δεσπότου τοῦ μὴ ἔχοντος ποῦ τὴν κεφαλὴν κλῖναι. εἰ γὰρ δίς, καὶ τρίς, ἢ τετράκις ὑπὲρ τούτου παρενώχλησας, τίκτεται παρρησία, εἶθ' οὕτως ἀπιστία, καὶ τέλος καταφρόνησις. εἰ οὖν θέλεις ἤρεμον, καὶ ἡσύχιον βίον διάξαι, μὴ ἀπαίτει τὸ σύνολον σωματικὴν θεραπείαν παρὰ τοῦ Καθηγουμένου. καὶ γὰρ κατ' ἀρχὰς οὐ τοῦτο ὑπέσχου, ἀλλὰ καὶ ὑπὸ πάντων καταφρονεῖσθαι, καὶ ἐξουθενεῖσθαι κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, καὶ φέρειν γενναίως. εἰ οὖν θέλεις πίστιν καὶ ἀγάπην πρὸς αὐτὸν σώζειν, καὶ ὡς ἅγιον βλέπειν, τὰ τρία ταῦτα φύλαξον. μὴ ἀπαιτεῖν τὰ πρὸς θεραπείαν, καὶ μὴ παρρησιάζεσθαι,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ μὴ συχνάζειν πρὸς αὐτὸν οἷα τινὲς πάσχουσι, ὡς δῆθεν θεραπευόμενοι παρ' αὐτοῦ, οὐ μόνιμον δὲ τοῦτο, ἀλλ' ἀνθρώπινον. οὐ κατακριτέον δέ· καὶ τὸ μὴ κρύπτειν ἀπ' αὐτοῦ πάντα λογισμὸν ἐπεισερχόμενόν σοι. εἰ γὰρ ταῦτα φυλάξεις, ἀκυμάντως διέλθῃς τὴν τοῦ βίου θάλασσαν, καὶ τὸν πατέρα, οἷος κἂν ἐστίν, ἅγιον ἡγήσῃ. ἐὰν δὲ προσελθὼν ἐπερωτῆσαι ἐν τῇ Ἐκκλησίᾳ τὸν σὸν πατέρα χάριν λογισμοῦ, εὑρήσεις ἕτερον σὲ προλαβόντα, χάριν τῆς αὐτῆς ὑποθέσεως, ἢ καὶ ἑτέρας τινός, καὶ ἕνεκεν τούτου σὲ παρεωραμένον πρὸς μικρόν, μὴ δυσχεράνῃς, μήτε τι ἐναντίον λογίσῃ· ἀλλὰ ἰδίως ἵστασο τὰς χεῖρας ἔχων δεδεμένας, μέχρι τῆς αὐτοῦ συμπληρώσεως, καὶ τῆς σῆς προσκλήσεως. εἰώθει γὰρ τοῦτο παρὰ τῶν πατέρων ἴσως καὶ ἑκουσίως πρὸς δοκιμασίαν καὶ ἀπαλλαγὴν τῶν προημαρτημένων, ἡμῖν γίνεσθαι.

ρμβ'. Νηστεύειν δὲ τὰς τρεῖς τεσσαρακοστάς· τῇ μὲν μεγάλῃ διπλᾶς, ἅπερ μεγάλης ἑορτῆς· ἐκτὸς σαββάτου καὶ κυριακῆς· ταῖς δὲ δυσὶν ἑτέραις, παρὰ μίαν. τὰς δὲ ὑπολοίπους ἡμέρας τοῦ χρόνου, ἅπαξ τῆς ἡμέρας ἐσθίειν· ἐκτὸς σαββάτου, καὶ κυριακῆς, καὶ ἑορτῆς· ἀλλ' οὐκ εἰς κόρον.

ρμγ'. Σπούδασον δὲ τύπον ὠφελείας πάσῃ τῇ ἀδελφότητι γενέσθαι σε, πρὸς πᾶσαν ἀρετήν, ταπείνωσίν τε, καὶ πρᾳότητα, ἐλεημοσύνην τε, καὶ ὑπακοὴν μέχρι καὶ τῶν εὐτελεστάτων. ἀοργησίαν τε, καὶ ἀπροσπάθειαν· ἀκτημοσύνην τε, καὶ κατάνυξιν· ἀκακίαν τε, καὶ ἀπεριεργίαν· ἁπλότητα ἤθους, καὶ ξενιτείαν ἐκ παντὸς ἀνθρώπου, ἀσθενούντων ἐπίσκεψιν, θλιβομένων παραμυθίαν. τὸ μή τινα τῶν ὠφελείας τῆς παρὰ σοῦ δεομένων ἀποστραφῆναι, χάριν προσομιλίας Θεοῦ. κρεῖσσον γὰρ εὐχῆς, ἀγάπη. συμπαθῆ τε εἶναί σε πρὸς πάντας, ἀκενόδοξον, ἀπαρρησίαστον, μὴ ἐλεγκτικόν, μὴ ἀπαιτεῖν τι τὸν προεστῶτα, ἤ τινα τῶν συγκοινιτῶν. τιμὴν πρὸς τοὺς Ἱερεῖς πάντας τιμὴν διασώζοντα· προσοχὴν ἐν τῇ εὐχῇ, καὶ κατάστασιν ἀνεπιτήδευτον, καὶ ἀγάπην πρὸς πάντας ἐπιδείκνυσθαι. μὴ ἕνεκεν δόξης σπουδάζειν περιεργάζεσθαι, καὶ ἐρευνᾶν τὰς γραφάς. ἡ γὰρ εὐχὴ ἡ μετὰ δακρύων, καὶ ἡ ἐκ τῆς χάριτος ἔλλαμψις, ταῦτά σε διδάξει. ἐρωτώμενος τοίνυν περί τινος τῶν προσηκόντων, μετὰ πολλῆς ταπεινώσεως ἐκ τοῦ σοῦ βίου, ὡς ἐξ ἄλλου, τὰ τῶν ἐνθέων πράξεων, χορηγούσης τῆς χάριτος δίδασκε, ἀκενοδόξῳ λογισμῷ, ὅστις ἂν καὶ τύχῃ, ὠφελείας ὀρεγόμενος. καὶ περὶ λογισμοῦ τὸν ζητοῦντα ὠφεληθῆναι ἀπὸ σοῦ, μὴ ἀποστραφῇς· ἀλλ' ἀνάδεξαι τὰ αὐτοῦ σφάλματα οἷα καὶ ὦσιν, ὑπὲρ αὐτοῦ κλαίων, καὶ εὐχόμενος. τεκμήριον γὰρ ὑπάρχει καὶ ταῦτα ἀγάπης, καὶ τελείας συμπαθείας. καὶ μὴ χάριν τοῦ μὴ βλαβῆναι ὑπὸ τῆς ἀκροάσεως τῶν τοιούτων, ἀπώσῃ τὸν προσελθόντα, τῆς χάριτος γὰρ συνεργούσης, οὐδὲν βλαβήσῃ· πλὴν διὰ τὴν τῶν πολλῶν βλάβην, ἐν τόπῳ ἀποκρύφῳ τοῦτο δεῖ εἰπεῖν· κἂν τάχα καὶ προσβολὴν λογισμοῦ ὡς ἄνθρωπος ὑποστῇς. ἐὰν γὰρ κεχαριτωμένως ᾖς, οὐδὲ τοῦτο πείσῃ. καὶ γὰρ διδασκόμεθα μὴ τὸ ἑαυτῶν ζητεῖν, ἀλλὰ τὸ τῶν ἑτέρων, ἵνα σωθῶσι. καθὼς δὲ προείπομεν φυλάττειν σε δεῖ ἀπράγμονα βίον, καὶ ἀκτήμονα· καὶ ἑαυτὸν τότε λογίσῃ ἐνεργούμενον ὑπὸ τῆς χάριτος, ὅταν ἁμαρτωλότερον πάντων ἀνθρώπων ἐν ἀληθείᾳ ἔχῃς. τοῦτο δὲ ὅπως γίνεται οὐκ ἔχω λέγειν, ὁ Θεὸς οἶδεν.

Τὰς δὲ ὥρας τῆς ἀγρυπνίας, ὀφείλεις ἀναγινώσκειν μὲν ὥρας δύω, καὶ δύω εὔχεσθαι ἐν κατανύξει μετὰ δακρύων, καὶ κανόνα οἷον βούλει, καὶ ψαλμούς, εἰ βούλει, τοὺς δώδεκα, καὶ τὸν ἄμωμον, καὶ τὴν εὐχὴν τοῦ Ἁγίου Εὐστρατίου. ταῦτα ἐν ρμδ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ταῖς μεγάλαις τυξίν. ἐν δὲ ταῖς μικραῖς, συντομωτέραν τὴν ἀκολουθίαν, κατὰ τὴν παρεχομένην σοι παρὰ Θεοῦ δύναμιν· ἄνευ γὰρ αὐτῆς οὐδὲν τῶν ἀγαθῶν κατορθοῦται· καθώς φησιν ὁ Προφήτης· παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται. καὶ αὐτοῦ τοῦ σωτῆρος εἰπόντος· χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. ἄνευ δὲ δακρύων μηδέποτε κοινωνήσῃς.

ρμε'. Ἐσθίειν δὲ τὰ παρατιθέμενά σοι οἷα εἰσίν. ὁμοίως καὶ οἶνον μετὰ ἐγκρατείας ἀγογγύστως. εἰ δὲ καὶ κατὰ μόνας καθῇ διὰ ἀσθένειαν, ὠμὰ λάχανα μετὰ ἐλαίου. ἐὰν δέ τις τῶν ἀδελφῶν βρώσιμόν τι πέμψῃ σοι, δέξαι μετ' εὐχαριστίας καὶ ταπεινώσεως ὡς ξένος· καὶ ἐξ αὐτοῦ μετάλαβε, εἴτι δ' ἂν ἐστι· καὶ τὸ περιλειφθὲν, ἀπόστειλον ἑτέρῳ ἀδελφῷ, πτωχῷ καὶ εὐλαβεῖ. ἐὰν δέ τις καλέσῃ σε εἰς παράκλησιν, ἐκ πάντων τῶν παρατιθεμένων σοι μετάλαβε, πρὸς μικρὸν δέ· κατὰ τὴν ἐντολὴν τὴν ἐγκράτειαν φυλάττων. ἀναστάμενος δὲ βαλὼν μετάνοιαν ἐν ἤθει ξένου καὶ πτωχοῦ, τὴν εὐχαριστίαν αὐτῷ ἀπόνεμε λέγων· ὁ Θεὸς Πάτερ Ἅγιε τὸν μισθὸν δώῃ σοι. πρόσεχε δὲ μὴ λαλῆσαί τι, κἂν τάχα καὶ ὠφέλιμον εἴη.

ρμϛ'. Εἰ δὲ καί τις τῶν ἀδελφῶν θλιβεὶς, ἢ παρὰ τοῦ προεστῶτος, ἢ τοῦ οἰκονόμου, ἢ τινὸς ἑτέρου, ἔλθῃ πρὸς σὲ, παραμύθησαι αὐτὸν οὕτως· πίστευσον ἀδελφὲ, πρὸς δοκιμήν σοι τοῦτο γέγονε. κἀμοὶ γὰρ διαφόρως τοῦτο συνέβη, καὶ ἐκ μικροψυχίας ἐλυπούμην· ἐπεὶ δὲ ἐπληροφορήθην πρὸς δοκιμὴν ταῦτα εἶναι, φέρω εὐχαρίστως. καὶ σὺ τοίνυν οὕτως ποίει· καὶ μᾶλλον εὐφρανθήσῃ ἐπὶ ταῖς τοιαύταις θλίψεσι. εἰ δὲ καὶ πρὸς λοιδορίας ξανῇ, μηδ' οὕτως ἀποστραφῇς, ἀλλ' ὡς ἂν ἡ χάρις ἐπιχορηγήσῃ σοι, παραμύθησαι αὐτόν. πολλαὶ γάρ εἰσι διακρίσεις, καὶ ὡς νοεῖς τὴν τοῦ ἀδελφοῦ κατάστασιν, καὶ τοὺς αὐτοῦ λογισμοὺς, συνέρχου αὐτῷ, καὶ μὴ ἀφῇς ἀθεράπευτον αὐτὸν ἀπελθεῖν.

ρμζ'. Ἀσθενοῦντι δὲ ἀδελφῷ, εἰ συμβῇ σοι, μὴ ἐπισκέψασθαι μέχρι πολλοῦ, δεῖ σοι τί προαποστεῖλαι, δηλῶν καὶ τοῦτο· ὅτι πίστευσον Πάτερ Ἅγιε, σήμερον ἔμαθον περὶ τῆς νόσου, καὶ αἰτοῦμαι συγχώρησιν. εἶθ' οὕτως ἀπελθὼν μετάνοιάν τε βαλὼν, καὶ εὐχῆς γενομένης, οὕτως εἰπὲ αὐτῷ. πῶς ὁ Θεὸς ἐβοήθησέ σοι Πάτερ Ἅγιε, καὶ καθεσθεὶς δεδεμένας ταῖς χερσὶ, σιώπα. εἰ δὲ καὶ ἄλλοι εἰσὶ παραγενόμενοι, ἐπισκέψεως χάριν, πρόσεχε μὴ προσομιλῆσαί τι, ἢ γραφικὸν, ἢ φυσιολογικόν· μάλιστα μὴ ἐρωτώμενος· ἵνα μὴ ὕστερον θλιβῇς. τοῦτο γὰρ ἐπὶ τὸ πλεῖστον συμβαίνει τοῖς ἁπλουστέροις τῶν ἀδελφῶν.

ρμη'. Μετ' εὐλαβῶν ἀδελφῶν εἰ συμβῇ ἑστιαθῆναι, τῶν προκειμένων, ἀδιακρίτως χρῆσαι μεταλαμβάνειν, εἴτι δ' ἂν ὦσιν. ἐὰν δὲ ἐντολὴν τινὸς ἔχῃς, ἢ ἰχθύος ἢ ἑτέρου οἵου μὴ μεταλαβεῖν, εἰσὶ δὲ παρατιθέμενα, εἰ προχείρως ᾖ ὁ τὴν ἐντολὴν δοὺς, ἀπελθὼν πεῖσον αὐτὸν συγχωρῆσαί σοι τοῦ μεταλαβεῖν. εἰ δὲ οὐ πάρεστιν, ἢ καὶ γινώσκεις μὴ συγχωρεῖν σοι, καὶ πάλιν αὐτοὺς οὐ βούλει σκανδαλίσαι, μετὰ τὴν ἑστίασιν, ἀνάθου αὐτῷ τὰ τῆς πράξεως, αἰτῶν συγχώρησιν. εἰ δὲ ἐκ τούτων οὐδέτερον βούλει, κρεῖττόν σοι μὴ ἀπελθεῖν πρὸς αὐτούς· δύο γὰρ κερδαίνεις, καὶ τὸν τῆς κενοδοξίας δαίμονα ἐκφεύξῃ, καὶ αὐτοὺς σκανδάλου καὶ θλίψεως ἀπαλλάξεις. εἰ δὲ τῶν παχυτέρων εἰσὶ, φύλαξον τὸν κανόνα. κρεῖσσον δὲ καὶ ἐπὶ αὐτῶν ἐκ πάντων μικρὸν μεταλαβεῖν. ὁμοίως καὶ ἐπὶ παρακλήσεως τινὸς, κατὰ τὸν Ἀπόστολον νομοθετοῦντα πᾶν τὸ παρατιθέμενον ἐσθίειν, μηδὲν ἀνακρίνοντας διὰ τὴν συνείδησιν.

ρμθ'. Ἐὰν ποιοῦντός σου ἐν τῷ κελλίῳ σου τὴν εὐχὴν, κρούσῃ τις τὴν θύραν, ἄνοιξον



Athos Library
Αγιορειτική Βιβλιοθήκη

αὐτῷ. καὶ καθεσθεὶς ὁμίλησον μετὰ ταπεινώσεως, ἔτι δ᾽ ἂν προβάλλῃ τῶν συντεινόντων εἰς ὠφέλειαν. καὶ εἰ ὑπὸ θλίψεως ἐστὶ βεβαρημένος, σπούδασον ἢ ἐν λόγῳ, ἢ ἐν ἔργῳ θεραπεῦσαι αὐτόν. καὶ πάλιν αὐτοῦ ἀναχωροῦντος, κλείσας, ἐπαναλαβόμενος τὴν εὐχὴν ἐπιτέλει. καὶ γὰρ ὁμοίως τῆς καταλλαγῆς ὑπάρχει καὶ ἡ θεραπεία τῶν προσιόντων. οὐκ ἐπικοσμικῶν δὲ οὕτως δεῖ ποιεῖν· ἀλλὰ πληροῦντας τὴν εὐχὴν οὕτως αὐτοῖς ὁμιλεῖν.

ρι΄. Εὐχομένου δέ σου, εἰ δειλία τὶς ἢ κτύπος, ἢ ὡς φῶς ἐπιλάμψῃ, ἢ ἄλλο τί γένηται, σὺ μὴ θροηθῇς. ἀλλὰ μᾶλλον ἐκτενέστερον τῇ προσευχῇ καρτέρησον. ταραχὴ γὰρ γίνεται δαιμονική, καὶ φρίκη, καὶ ἔκστασις, ὅπως χαυνωθεὶς τὴν εὐχὴν ἐάσῃς. καὶ λοιπὸν ἐν ἕξει τούτου γενομένου, ὑποχείριόν σε λάβωσι. εἰ δὲ τὴν εὐχὴν ἐκτελοῦντος, ἕτερον φῶς ἐπιλάμψῃ σοι, ὅπερ ἀδύνατον φράσαι, χαρᾶς τε πλήρης ἡ ψυχὴ γένηται, ἐπιθυμία τε τῶν κρειττόνων, καὶ δακρύων ἐπίρροια μετὰ κατανύξεως, γίνωσκε θείαν ἐπισκοπὴν εἶναι καὶ ἀντίληψιν τοῦτο· καὶ εἰ ἐπιμένῃ μέχρι πολλοῦ, διὰ τὸ μή τι πλέον σοι γενέσθαι ἐκ τῆς τῶν δακρύων συνοχῆς, αἰχμαλώτισον τὸν νοῦν σου εἴς τι τῶν σωματικῶν, καὶ ἐν τούτῳ ταπεινωθήσῃ. τὴν δὲ εὐχὴν πρόσεχε μὴ ἐν τῇ τῶν ἐχθρῶν ἐκφοβήσει καταλεῖψαι. ἀλλ᾽ ὥσπερ παῖς ὑπό τινων μορμολυκίων δεδιττόμενος ὑπὸ τὰς ἀγκάλας τῆς μητρὸς ἢ τοῦ πατρὸς προσφεύγων, τὸν τούτων ἀπωθεῖται φόβον, οὕτω καὶ σὺ διὰ τῆς εὐχῆς, πρὸς τὸν Θεὸν ἀναδραμών, τὸν τούτων φόβον διαφεύξῃ.

ρια΄. Ἐὰν καθεζομένου σου ἐν τῷ κελλίῳ, ἀδελφός τις ἐλθὼν ἐρωτήσει σοι περὶ σαρκικοῦ πολέμου, μὴ διαστρέψῃς τὸν τοιοῦτον. ἀλλὰ μετὰ κατανύξεως, ἐξ ὧν ἡ τοῦ Θεοῦ χάρις ἐπιχορηγήσει σοι, καὶ ὃ ἐκ πράξεως κέκτησαι, ὠφέλησον αὐτόν, καὶ οὕτως ἀπόλυσον. ἐξερχομένου δὲ, βαλὼν μετάνοιαν πρὸς αὐτόν, εἰπέ· πίστευσον ἀδελφὲ, ἐλπίζω εἰς τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, ὅτι φεύξεται ἀπὸ σοῦ ὁ τοιοῦτος πόλεμος, μόνον μὴ ὑπενδώσῃς, ἢ χαυνωθῇς. ἐξελθόντος δὲ αὐτοῦ, ἀναστὰς καὶ ἀνατυπωσάμενος τὸν αὐτοῦ πόλεμον, ἐπάρας τὰς χεῖρας μετὰ δακρύων πρὸς τὸν Θεὸν ἐν στεναγμοῖς ὑπὲρ τοῦ ἀδελφοῦ δεήθητι λέγων· Κύριε ὁ Θεὸς ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς οἶδας, καὶ συμφέρει τῷ ἀδελφῷ τούτῳ, οἰκονόμησον. καὶ ὁ Θεὸς ὁ γινώσκων αὐτοῦ τὴν πρὸς σὲ πίστιν, τὴν δὲ σὴν ἐξ ἀγάπης συμπάθειαν καὶ εἰλικρινῆ ὑπὲρ αὐτοῦ εὐχὴν, κουφίζει τὸν τούτου πόλεμον.

ριβ΄. Ταῦτα δὲ πάντα, ἐπιτήδεια εἰσὶν ἀδελφὲ πρὸς κατάνυξιν. καὶ δεῖ μετὰ συντετριμμένης καρδίας, ὑπομονῆς τε, καὶ εὐχαριστίας ἐπιτελεῖν. δακρύων ὄντα αἴτια καὶ καθαιρετικὰ παθῶν, καὶ τῆς τῶν οὐρανῶν πρόξενα βασιλείας. βιαστῶν γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. καὶ γὰρ εἰ ταῦτα κατορθώσεις, τῶν παλαιῶν ἠθῶν τελείως ἐκστήσῃ· ἴσως καὶ αὐτῶν τῶν τοῦ λογισμοῦ προσβολῶν· πέφυκε γὰρ ὑποχωρεῖν τῷ φωτὶ τὸ σκότος, καὶ τῷ ἡλίῳ ἡ σκιά. καὶ γὰρ εἰ τούτων ἀμελήσει τὶς κατ᾽ ἀρχὰς, χαυνῶν τὸν λογισμὸν περίεργος γενόμενος, τῆς χάριτος στερεῖται. καὶ τότε εἰς πάθη κακῶν ἐμπεσὼν, γινώσκει τὴν ἰδίαν ἀσθένειαν, δειλίας πληρούμενος. οὐ δεῖ δὲ καὶ τὸν κατορθοῦντα, ἐξ ἰδίου κόπου τοῦτο λογίζεσθαι, ἀλλ᾽ ἐκ τῆς τοῦ Θεοῦ χάριτος. προκαθαίρειν δὲ δεῖ ἑαυτὸν κατὰ τὸν εἰπόντα· καθαρτέον πρῶτον, ἔπειτα τῷ καθαρῷ προσομιλητέον. ἐκ γὰρ πολλῶν δακρύων τοῦ νοῦ καθαρθέντος, καὶ ἔλλαμψιν τοῦ θείου φωτὸς ὑποδεχομένου· ὅπερ ὅλος ὁ κόσμος, εἰ

λάβῃ, οὐκ ἐλαττοῖ· ἱερῶς τοῖς μέλλουσιν ἐμφιλοχωρεῖν.

Ἠρωτήθη ποτὲ ὁ Ἅγιος καὶ μακάριος οὗτος Συμεών, ὁποῖος εἶναι ὀφείλει ὁ Ἱερεὺς, καὶ ἀπεκρίθη λέγων· ἐγὼ μὲν οὐκ εἰμὶ ἄξιος εἶναι Ἱερεύς, πλὴν ποταπὸς εἶναι ὀφείλει ὁ μέλλων ἱερουργεῖν τῷ Θεῷ, ἀσφαλῶς ἔγνωκα. ἐν πρώτοις μὲν, ἁγνὸς οὐ τῷ σώματι μόνον, ἀλλὰ καὶ τῇ ψυχῇ· καὶ πρὸς τούτοις ἀμέτοχος εἶναι πάσης ἁμαρτίας. δεύτερον δὲ ταπεινὸς καὶ τῷ ἔξω ἤθει, καὶ τῷ ἔνδοθεν τῆς ψυχῆς καταστήματι. εἶτα ὅτε παρίσταται τῇ ἱερᾷ καὶ ἁγίᾳ τραπέζῃ, νοερῶς μὲν τὴν Θεότητα, αἰσθητῶς δὲ τὰ προκείμενα ἅγια ὁρᾷν ὀφείλει ἀναμφιβόλως. οὐ μὴν δὲ, ἀλλὰ καὶ αὐτὸν τὸν ἐν δώροις ἀοράτως παρόντα, ἐνοικοῦντα κεκτῆσθαι χρεωστεῖ, ἐν τῇ ἑαυτοῦ καρδίᾳ γνωστῶς. ἵνα δύνηται οὕτω μετὰ παρρησίας τὰς ἱκετηρίας προσφέρειν· καὶ ὡς φίλος πρὸς φίλον διαλεγόμενος, οὕτω λέγειν. Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· δηλώσας τῆς εὐχῆς, ὡς τὸν φύσει ὄντα Υἱὸν τοῦ Θεοῦ, ἔχων οἰκοῦντα ἐν ἑαυτῷ, μετὰ τοῦ Πατρὸς, καὶ τοῦ Ἁγίου Πνεύματος. πόσους οἶδεν Πρεσβυτέρους, συγχωρήσατέ μοι πατέρες καὶ ἀδελφοί.

Ἔλεγε δὲ καὶ τοῦτο, ὡς περί τινος ἄλλου, ἑαυτὸν ὑποκρύπτων, καὶ τὴν τῶν ἀνθρώπων δόξαν ἐκφεύγων, ὑπὸ δὲ φιλανθρωπίας αὖθις ἑαυτὸν ἀναγκαζόμενος φανεροῦν. ἤκουσα· φησί· παρά τινος Μοναχοῦ Ἱερέως, θαῤῥήσαντός μοι ὡς προσφιλεῖ αὐτοῦ. ὅτι οὐδέποτε ἐλειτούργησα, μὴ ἰδὼν τὸ Πνεῦμα τὸ Ἅγιον, καθὼς αὐτὸ εἶδον ἐλθὸν ἐπ' ἐμοὶ, ὅτε με ἐχειροτόνουν, καὶ τὴν εὐχὴν τοῦ Ἱερέως ὁ Μητροπολίτης ἔλεγε, τοῦ Εὐχολογίου ἐπικειμένου τῇ ἀθλίᾳ μου κεφαλῇ. ἐρωτηθεὶς οὖν παρ' ἐμοῦ πῶς τοῦτο εἶδε τότε, καὶ ἐν ποίῳ εἴδους μορφῇ, εἶπεν. ἁπλοῦν μὲν καὶ ἀνείδεον, πλὴν ὡς φῶς. καὶ ὡς ἐθαύμαζον κατ' ἀρχὰς ἰδὼν, ὃ οὐδέποτε ἐθεασάμην· καὶ τί ἂν εἴη τοῦτο διαλογιζομένου μου, ἔλεγέ μοι μυστικῶς ἐκεῖνο, ὥσπερ ἐν γνώσει φωνῆς. ἐγὼ οὕτω πᾶσι Προφήταις, καὶ Ἀποστόλοις, καὶ τοῖς νῦν ἐκλεκτοῖς τοῦ Θεοῦ, καὶ ἁγίοις ἐπιφοιτῶ· τὸ γὰρ Ἅγιον Πνεῦμά εἰμι τοῦ Θεοῦ. αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν.

Νική-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Νικήτας ὁ Ὁσιώτατος Πρεσβύτερος τῆς Στουδίου Μονῆς, ὁ καὶ Στηθάτος ἐπικαλούμενος, ἦν ἐν ἔτει ἀπὸ Χριστοῦ χιλιοστῷ τριακοστῷ, μαθητὴς χρηματίσας Συμεὼν τοῦ νέου Θεολόγου ὁ γνησιώτατος· παρ' οὗ πολλὰ μὲν ἐμυήθη τῆς πνευματικῆς φιλοσοφίας μυστηριώδη μαθήματα, καὶ τοσοῦτον τὰς ἐκείνου ἀνεμάξατο ἀρετάς, ὡς ἄλλον ἀτεχνῶς δείκνυσθαι τοῦ διδασκάλου παρήλιον, ὅλας, ὡς εἰπεῖν, τὰς αὐγοειδεῖς ἀντανακλάσεις τῶν ἐκείνου χαρισμάτων, καὶ διδαγμάτων ἐν τῇ ψυχῇ αὐτοῦ διαλάμποντα. παρ' ἑαυτοῦ δὲ πόνοις ἀτρύτοις ταῖς θείαις ἐμφιλοσοφήσας γραφαῖς, πάμπολλα καὶ κάλλιστα νοήματα συλλεξάμενος. ἔστι δ' ἃ καὶ πείρᾳ, καὶ μακαρίῳ πάθει, μὴ μόνον μαθών, ἀλλὰ καὶ παθών, καὶ οἱονεὶ ἐγκύμονα θείων καὶ ὑπερφυῶν ἐννοιῶν τὴν ἑαυτοῦ διάνοιαν ἐκ τούτων ἁπάντων ἀπεργασάμενος· ὑψηλά, καὶ σοφώτατα νοήματα ἀπεκύησεν, ὡς ἔξεστι κρίνειν τοῖς βουλομένοις, ἐκ τῶν προκειμένων τριῶν ἑκατοντάδων αὐτοῦ. ἃς ἀκριβῆ κανόνα τῆς πρακτικῆς, καὶ γνώσεως ἀπλανοῦς ὁδηγίαν, καὶ βίου θεοειδεστάτου τελείωσιν, καὶ συνόλως εἰπεῖν, ταμεῖον πλουσιώτατον τῆς ἠθικῆς, καὶ ἀλληγορικῆς ἰδέας εἰπών τις, ἅπασαν ἐρεῖ τὴν ἀλήθειαν. ὡς μὲν γάρ εἰσιν ὑψηλαὶ τοῖς νοήμασιν. ὡς δὲ μεγαλήγοροι τῇ καλλιεπείᾳ τῆς φράσεως. ὥστε ἄπορον εἶναι, πότερον διὰ τὸν ἐν αὐταῖς ἐγκείμενον νοῦν, ἢ διὰ τὸ κομψὸν τῶν λέξεων, τοσαύτην χάριν ἐγχεῖσθαι ταῖς τῶν ἀναγινωσκόντων ψυχαῖς.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη



# ΝΙΚΗΤΑ

## ΜΟΝΑΧΟΥ, ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΥ ΤΗΣ ΕΥΑΓΕΣΤΑΤΗΣ ΜΟΝΗΣ ΤΩΝ ΣΤΟΥΔΙΩΝ ΤΟΥ ΣΤΗΘΑΤΟΥ, ΜΑΘΗΤΟΥ ΣΥΜΕΩΝ ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ·

## ΠΡΩΤΗ

Πρακτικῶν κεφαλαίων

## ΕΚΑΤΟΝΤΑΣ.

α. Τέσσαρας οἴομαι τὰς αἰτίας εἶναι ἐν τριάδι τελείᾳ τῶν ἀρετῶν, τὰς ἐπὶ τὸ γράφειν κινούσας τὰ λυσιτελῆ, τὸν ἄρτι τὸ μέσον τῆς ἀρχῆς ὑπερκύψαντα, καὶ πρὸς τὴν τριάδα τῆς μυστικῆς ἐφθακότα θεολογίας. καὶ πρώτην μὲν εἶναι τὴν ἐλευθερίαν, αὐτήν φημι τὴν ἀπάθειαν τῆς ψυχῆς, τὴν διὰ τῆς ἐπιπόνου πράξεως ἐπὶ τὴν φυσικὴν προκόψασαν θεωρίαν τῆς κτίσεως, καὶ εἰς τὸν γνόφον τῆς θεολογίας εἰσελθοῦσαν ἄνωθεν. δευτέραν δὲ, τὴν ἐκ δακρύων καὶ προσευχῆς τοῦ νοὸς καθαρότητα· παρ' ἧς ὁ λόγος γεννᾶται τῆς χάριτος, καὶ τὰ ῥεῖθρα πηγάζει τῶν νοημάτων. τρίτην, τὴν ἐν ἡμῖν τῆς Ἁγίας Τριάδος ἐνοίκησιν· ἐξ ἧς αἱ φωτοχυσίαι τοῦ Πνεύματος αἱ πρὸς τὸ συμφέρον ἐν ἑκάστῳ τῶν καθαιρομένων γινόμεναι, εἰς φανέρωσιν τῶν μυστηρίων τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ἀνακάλυψιν τῶν κεκρυμμένων ἐν τῇ ψυχῇ θησαυρῶν τοῦ Θεοῦ. τετάρτην, τὴν ἐπικειμένην ἀνάγκην, παντὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῷ τὸ τάλαντον λαβόντι τοῦ λόγου τῆς γνώσεως, τῆς ἀπειλῆς τοῦ Θεοῦ· δοῦλε πονηρὲ, λεγούσης, καὶ ὀκνηρὲ, ἔδει σε καταβαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, κἀγὼ ἐλθὼν, ἀνέπραξα ἂν τὸ ἐμὸν σὺν τόκῳ. δι' ὃ ἄρα καὶ Δαβὶδ μάλιστα δεδοικὼς ἔλεγεν. ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω, Κύριε σὺ ἔγνως. τὴν δικαιοσύνην σου, οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου, τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα. οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς.

β'. Ἀρχὴ τοῦ κατὰ Θεὸν βίου, ἡ καθόλου τοῦ κόσμου φυγή. αὕτη δ' ἐστὶν, ἡ τῶν θελημάτων ἄρνησις τῆς ψυχῆς, καὶ τοῦ χείρονος φρονήματος ἡ μετάθεσις· δι' ἧς ἐπὶ τὸ θεῖον ἀνατρέχοντες φρόνημα, πνευματικοὶ ἐκ σαρκικῶν γινόμεθα. νενεκρωμένοι μὲν τῇ σαρκὶ καὶ τῷ κόσμῳ, ζωοποιούμενοι δὲ τῇ ψυχῇ, ἐν Χριστῷ, καὶ τῷ πνεύματι.

γ'. Δόξα ψυχῆς περὶ Θεοῦ ἀψευδὴς, καὶ πίστις ἐνδιάθετος ἐν καταφρονήσει τῶν ὁρωμένων, καὶ πρᾶξις ἀρετῆς φιλαυτίας πάσης κεχωρισμένη, ἔντριτον, κατὰ τὸν Σολομῶντα, σπαρτίον. ὃ ταχέως οὐ ῥαγήσεται παρὰ τῶν πνευμάτων τῆς πονηρίας.

δ'. Πίστει τὰς ἀμοιβὰς ἐλπίζομεν τῶν καμάτων ἀπολαβεῖν, διὸ καὶ φέρομεν τοὺς πόνους ῥᾳδίως τῶν ἀρετῶν. ὑπὸ δὲ τοῦ θείου πληροφορούμενοι πνεύματος, τῇ ἀγάπῃ πτερούμεθα πρὸς Θεόν.

ε'. Οὐχ ὅταν ὑπὸ λογισμῶν ἐνοχλούμεθα ἀκαθάρτων, ἤδη καὶ τῆς τῶν ἐνεργούντων τὰ φαῦλα μερίδος γινόμεθα. ἀλλ' ὅταν τοῦ τόνου ἑαυτῆς ἐκχαλάσασα ἡ ψυχὴ, καὶ ὁ νοῦς τῆς ἠμελημένης, καὶ ἀκολάστου διαίτης, θολώδεις ἕξει καὶ σκιώδεις τὰς φαντασίας, καὶ οἱ πόνοι τῆς ἀρετῆς ἐν ῥαθυμίᾳ τῆς μελέτης καὶ προσοχῆς ἐπιλείψωσι. τηνικαῦτα καὶ μὴ ἐνεργοῦντες τὰ φαῦλα, ἐν τῇ χώρᾳ τῶν ἐν ταῖς ἡδοναῖς ἑκουσίως ἰλυσπωμένων τεττάμεθα.

ϛ'. Λυθέντων δὲ τῶν χαλινῶν τῶν ἡγεμονικωτέρων αἰσθήσεων, αὐτίκα καὶ παθῶν ἐπανάστασις γίνεται, καὶ ἡ τῶν ἀνδραποδωδεστέρων αἰσθήσεων κινεῖται ἐνέργεια. εἴωθε γάρ πως ἡ τούτων ἀλογία τῶν τῆς ἐγκρατείας λυθεῖσα δεσμῶν, ταῖς αἰτίαις ἐπισυμμῖξαι τῶν παθῶν, καὶ ὡς ἐν θανασίμοις αὐταῖς ἐπιβόσκεσθαι πόαις. καὶ τοσούτῳ μᾶλλον, ὅσον καὶ ἡ ἄνεσις χρονιώτερον ἐπιτείνεται. οὐ γὰρ ἀνέχεται, καθ' ὧν φυσικῶς ἔχει τὴν ὄρεξιν, λυθεῖσα τῶν χαλινῶν, τὴν μέθεξιν ἀποκρούσασθαι.

ζ'. Τῶν αἰσθήσεων, αἱ μὲν αὐτῶν, λογικαί τε εἰσὶν, ὅρασις, ἀκοὴ, καὶ τῶν ἄλλων ἐμφιλόσοφοί τε καὶ ἡγεμονικώτεραι. αἱ δὲ, ἄλογοι καὶ κτηνώδεις· γεῦσις, ὄσφρησις, ἀφὴ πρὸς ὑπηρεσίαν τῶν λογικῶν. ὁρῶμεν γὰρ πρῶτον καὶ ἀκούομεν, καὶ οὕτως ὑπὸ τοῦ λόγου κινούμενοι, ἁπτόμεθά τε τῶν προκειμένων, καὶ ὀσφραινόμενοι, τῇ γεύσει [illegible]. διὸ καὶ τῶν δύο, ζωωδέστεραί εἰσιν αἱ τρεῖς, καὶ ἀπεχθῶς, ἀνδραποδωδέστεραι· περὶ ἃς τῶν θρεμμάτων καὶ θηρίων τὰ γαστριμαργότερα καὶ συνουσιαστικώτερα κεκίνηται μάλιστα. δι' ὅλης γὰρ ἡμέρας καὶ νυκτὸς, ἢ τροφῶν ἀπλήστως ἐμφορεῖται, ἢ πρὸς τὰς ὀχείας ὁρμᾷ.

η'. Ὁ τὰς ἐνεργείας τῶν ἐκτὸς αἰσθήσεων πρὸς τὰς ἔνδον τρέψας αἰσθήσεις, καὶ τὴν μὲν ὅρασιν, πρὸς τὸν ὁρῶντα νοῦν τὸ φῶς τῆς ζωῆς, ἐκπετάσας. τὴν δὲ ἀκοὴν, πρὸς τὴν σύνεσιν τῆς ψυχῆς. τὴν δὲ γεῦσιν, πρὸς τὴν τοῦ λόγου διάκρισιν. τὴν δὲ ὄσφρησιν, πρὸς τὴν διάνοιαν τοῦ νοός. τὴν δὲ ἀφὴν, πρὸς τὸ τῆς καρδίας μετακινήτως ἐγρήγορον, ἀγγελικὴν ζωὴν ἐπὶ γῆς διανύει. ἄνθρωπος μὲν ἀνθρώποις καὶ ὢν, καὶ ὁρώμενος. ἄγγελος δὲ Ἀγγέλοις συνὼν, καὶ νοούμενος.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θʹ. Διὰ μὲν τοῦ ὁρῶντος νοός, τὸ φῶς τῆς ἐνθέου ζωῆς, τῶν κεκρυμμένων μυστηρίων Θεοῦ τὴν γνῶσιν λαμβάνομεν. διὰ δὲ τῆς συνέσεως τῆς ψυχῆς, τὰς ἀναβάσεις ἐν τῇ καρδίᾳ τῶν λογισμῶν διατιθέμεθα μετὰ γνώσεως, διακρίνοντες ἀπὸ τῶν κρειττόνων τὰς χείρονας. διὰ δὲ τῆς τοῦ λόγου διακρίσεως, τὰ εἴδη τῶν νοημάτων ἀπογραφόμεθα. καὶ τὰ μὲν ἐκ πικρᾶς φυόμενα ῥίζης, ἢ μετασκευάζομεν ἐπὶ τὴν γλυκεῖαν ἀνάδοσιν τῆς ψυχῆς, ἢ καθολικῶς ἀποβαλλόμεθα. τὰ δὲ ἐκ βοτάνης εὐθέτου καὶ χλοερᾶς, προσιέμεθα, πᾶν νόημα αἰχμαλωτίζοντες εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. διὰ δὲ τῆς τοῦ νοὸς διανοίας, τοῦ νοητοῦ μύρου τῆς τοῦ Πνεύματος χάριτος, ὀσφραινόμεθα, εὐφροσύνης καὶ ἀγαλλιάσεως τὴν καρδίαν πληρούμενοι. διὰ δὲ τῆς ἐγρηγόρου καρδίας, τοῦ δροσίζοντος ἄνωθεν Πνεύματος τὴν φλόγα τῆς ἐπιθυμίας ἡμῶν τῶν καλῶν, ἢ καὶ θερμαίνοντος τὰς καταψυχθείσας δυνάμεις ἡμῶν τῷ κρύει τῶν παθῶν, εὐσυνέτως ἐπαισθανόμεθα.

ιʹ. Καθάπερ τῷ σώματι ἡμῶν αἰσθήσεις πέντε εἰσίν, ὅρασις, ἀκοή, γεῦσις, ὄσφρησις, καὶ ἁφή. οὕτω καὶ τῇ ψυχῇ κατὰ τὸν αὐτὸν ἀριθμὸν πέντε αἰσθήσεις εἰσί· νοῦς, λόγος, αἴσθησις νοερά, γνῶσις, καὶ ἐπιστήμη. εἰς τρεῖς δὲ τῇ ψυχῇ ἐνεργείας ταῦτα συνάγεται· εἰς νοῦν, εἰς λόγον, εἰς αἴσθησιν. καὶ διὰ μὲν τοῦ νοός, τὰς διανοήσεις. διὰ δὲ τοῦ λόγου, τὰς ἑρμηνείας. διὰ τῆς αἰσθήσεως δέ, τὰς φαντασίας τῆς θείας ἐπιστήμης, καὶ γνώσεως λαμβάνομεν.

ιαʹ. Ὁ τὸν νοῦν ἔχων τὰς διανοήσεις τῶν λογισμῶν εὖ διακρίνοντα, καὶ τὰ θεῖα νοήματα καθαρῶς προσιέμενον· τὸν δὲ λόγον, ἑρμηνευτὴν τῶν φυσικῶν κινήσεων τῆς ὁρωμένης ἁπάσης κτίσεως, τοὺς λόγους δηλονότι τῶν ὄντων διεξάγοντα· τὴν δὲ νοερὰν αἴσθησιν, ὑποδεχομένην τῆς οὐρανίου σοφίας καὶ γνώσεως τὴν ἐπιστήμην, διὰ τῶν ἐλλάμψεων τοῦ ἡλίου τῆς δικαιοσύνης πᾶσαν περάσας τὴν αἴσθησιν, εἰς τὰ ὑπὲρ αἴσθησιν, γέγονε, καὶ τῶν ἀοράτων κατατρυφᾷ τῆς τερπνότητος.

Γενικαὶ δυνάμεις τοῦ νοός, εἰσὶ τέσσαρες. σύνεσις, ἀγχίνοια, κατάληψις, καὶ εὐτρέχεια. ὁ τοίνυν ταύτας ἐπισυνάψας τὰς γενικὰς τῆς ψυχῆς ἀρετάς, καὶ τῇ μὲν συνέσει τοῦ νοός, τὴν τῆς ψυχῆς σωφροσύνην συζεύξας· τῇ δὲ ἀγχινοίᾳ, τὴν φρόνησιν· τῇ δὲ καταλήψει, τὴν δικαιοσύνην· τῇ δὲ εὐτρεχείᾳ, τὴν ἀνδρείαν ἑνώσας, ἅρμα φλογερὸν καὶ οὐρανοδρόμον ἑαυτῷ δεξιῶς συνηρμόσατο, κατὰ τῶν τριῶν γενικωτάτων ἀρχῶν, καὶ δυνάμεων τῆς παρατάξεως τῶν παθῶν, φιλαργυρίας, φιληδονίας, καὶ φιλοδοξίας. ιβʹ.

Ὁ τὴν φιλαργυρίαν διὰ τῆς καταλήψεως τῆς ἐννόμου δικαιοσύνης, ἥτις ἐστὶν ἡ πρὸς τὸ ὁμογενὲς ἐλεήμων συμπάθεια, κατατροπωσάμενος. τῆς δὲ φιληδονίας, διὰ τῆς εὐσυνέτου σωφροσύνης, ἥτις ἐστὶν ἡ περιεκτικὴ ἐγκράτεια, κατακρατήσας. τὴν δὲ φιλοδοξίαν, διὰ τῆς ἀγχινοίας καὶ φρονήσεως, ἥτις ἐστὶν ἡ εὐδιάκριτος διάκρισις τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων, ὡς ἀσθενεστέραν καταδραμών, καὶ τοῖς ὡραίοις ποσὶν ὡς γεώδη ταύτην καὶ μηδενὸς ἀξίαν καταπατήσας, τὸ χοϊκὸν φρόνημα κατηγωνίσατο τῆς σαρκός. καὶ τοσοῦτον, ὡς εἰς νόμον τοῦ πνεύματος τῆς ζωῆς μεταβαλεῖν αὐτό, καὶ τοῦ νόμου τῆς τυραννούσης σαρκός, ἐλεύθερον ἀπεργάσασθαι, καὶ εἰπεῖν· εὐχαριστῶ τῷ Θεῷ, ὅτι ὁ νόμος τοῦ πνεύματος τῆς ζωῆς, ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου, καὶ τῆς δουλείας τοῦ θανάτου. ιγʹ.

Ὁ τῆς δόξης τῶν ἀνθρώπων ὡς οὔσης, τῆς μηδαμῶς οὔσης ἀντιποιούμενος, ιδʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ τὴν φιληδονίαν διὰ ψυχῆς ἀπληστίαν κατασπαζόμενος, καὶ τῆς φιλαργυρίας διὰ πλεονεξίας ἀντεχόμενος, ἢ δαιμονιώδης διὰ τῆς οἰήσεως καὶ ὑπερηφανίας κατασκευάζεται, ἢ κτηνώδης διὰ τῶν ἡδονῶν τῆς γαστρὸς καὶ τῶν ὑπογαστρίων ἀποτελεῖται, ἢ θηριώδης γίνεται τοῖς πλησίον διὰ τῆς πλεονεκτικῆς καὶ ἀπανθρώπου φιλαργυρίας. ἐκπίπτων μὲν τῆς πρὸς Θεὸν πίστεως, διὰ τὸ λαμβάνειν δόξαν παρὰ ἀνθρώπων κατὰ τὸ λόγιον, ἐκτρεπόμενος δὲ τῆς σωφροσύνης καὶ καθαρότητος, διὰ τὸ ἐκκαίειν τῇ ἀπληστίᾳ τὰ ὑπογάστρια, καὶ ταῖς ἀτάκτοις ὑπείκειν ὁρμαῖς. ἐξοστρακιζόμενος δὲ τῆς ἀγάπης, διὰ τὸ μόνῳ ἑαυτῷ περιέπειν καὶ μὴ διδόναι τὰ χρήματα χρῄζουσι τοῖς πλησίον· καὶ οὕτω πολύμορφόν τι θηρίον ἐκ πολλῶν συντεθειμένων τῶν ἑαυτοῖς ἐναντίων, ὁ τοιοῦτος ὁρᾶται Θεῷ καὶ ἀνθρώποις καὶ κτήνεσιν ἄσπονδος.

ιε΄. Θυμὸς καὶ ἐπιθυμία καὶ τὸ λογιστικὸν τοῦ νοός, εἰ μὲν κατὰ φύσιν ἐφ' ἑαυτῶν ἑστήκασι καὶ κινοῦνται, ὅλον θεῖόν τινα καὶ θεοειδῆ τὸν ἄνθρωπον ἀπεργάζονται, ὑγιῶς δηλονότι κινούμενοι, καὶ μηδ' ὁπωσοῦν τῆς φυσικῆς βάσεως ἐκτρεπόμενοι. εἰ δὲ παρὰ φύσιν τοῦ εἰκότος παρατραπεῖεν, καὶ τῆς ἰδίας ἀποκινηθεῖεν φύσεως, πολύμορφόν τινα τοῦτον, ὥσπερ εἴρηται, καὶ ἐκ πολλῶν τῶν ἐν αὐτοῖς ἐναντιουμένων συντεθειμένον ἀποδεικνύουσιν.

ιϛ΄. Ὁ θυμός, μεθόριόν ἐστιν ἐπιθυμίας, καὶ τοῦ λογιστικοῦ τῆς ψυχῆς. ὅπλον οἷον ἑκάστῳ ὢν ἐν τῇ παρὰ φύσιν, ἢ καὶ κατὰ φύσιν κινήσει αὐτοῦ. κινουμένης γὰρ τῆς ἐπιθυμίας καὶ τοῦ λογιστικοῦ κατὰ φύσιν ἐπὶ τὰ θεῖα, ὅπλον ἐστὶν ὁ θυμὸς ἑκάστῳ δικαιοσύνης κατὰ μόνου τοῦ συρίζοντος καὶ ἐπιτιθεμένου αὐτοῖς ὄφεως τὴν μετάληψιν τῶν τῆς σαρκὸς ἡδονῶν, καὶ τὴν τῆς δόξης τῶν ἀνθρώπων ἀπόλαυσιν. παρατρεπομένων δὲ τῆς κατὰ φύσιν κινήσεως, καὶ μεταβαλλομένων εἰς τὸ παρὰ φύσιν τὴν δύναμιν, καὶ ἀπὸ τῆς χολῆς τῶν θείων πραγμάτων ἐπὶ τὰ ἀνθρώπινα μεταφερομένων, ὅπλον ἐστὶν ἀδικίας εἰς ἁμαρτίαν, δι' αὐτοῦ μαχομένων καὶ ἐπιτιθεμένων τοῖς ἀναχαιτίζουσι τὰς ὁρμὰς καὶ τὰς ὀρέξεις αὐτῶν. ὡς ἐντεῦθεν ἢ πρακτικὸν καὶ θεωρητικὸν καὶ θεολογικώτατον μέσον, δειχθῆναι τὸν ἄνθρωπον, τῆς τῶν πιστῶν Ἐκκλησίας, κατὰ φύσιν κινούμενον, ἢ κτηνώδη καὶ θηριώδη καὶ δαιμονιώδη, εἰς τὸ παρὰ φύσιν παρατρεπόμενον.

Εἰ μή τις πρῶτον τὰς δυνάμεις τῆς ψυχῆς ἑαυτοῦ δι' ἐπιπόνου μετανοίας καὶ συντόνου ἀσκήσεως τοιαύτας μεταστρέψας ἀποτελέσει, οἵας ἡμῖν ἐξ ἀρχῆς δέδωκεν ὁ Θεὸς τὸν Ἀδὰμ πλαστουργήσας, καὶ πνοὴν ζωῆς ἐμφυσήσας αὐτῷ, οὐδὲ ἑαυτὸν γνῶναι ἰσχύσει ἐπώποτε· οὐδὲ τὸν αὐτοκράτορα λογισμὸν τῶν παθῶν ἄτυφον, ἀπερίεργον, ἀπόνηρον, ἁπλοῦν, ταπεινόφρονα, φθόνου καὶ βασκανίας ἐκτός, κτήσασθαι· πᾶν νόημα αἰχμαλωτίζοντα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. ἀλλ' οὐδὲ τὴν ἑαυτοῦ ψυχὴν ἐκκαιομένην καὶ πυρπολουμένην εὑρήσει εἰς τὴν ἀγάπην τοῦ Θεοῦ· μήτε τοὺς ὅρους τῆς ἐγκρατείας ὑπερβαίνουσαν, καὶ ἀρκουμένην τοῖς προκειμένοις, καὶ τῶν ἁγίων ἐφιεμένην τῆς καταπαύσεως. εἰ δὲ μὴ οὕτω κτήσεται ταῦτα, οὐδὲ τὴν ἑαυτοῦ καρδίαν πραεῖαν, εἰρηνικήν, ἀόργητον, χρηστήν, ἄμαχον, μεστὴν ἐλέους καὶ ἱλαρότητος, κτήσασθαι ποτὲ δυνηθείη· οὕτω στασιαζούσης καθ' ἑαυτῆς τῆς ψυχῆς, καὶ διὰ ταραχὴν τῶν δυνάμεων, ἀχωρήτου μενούσης τῶν ἀκτίνων τοῦ Πνεύματος. ιζ΄.

Ὁ μὴ οὕτω τῆς παλαιᾶς εὐγενείας ἀπολαμβάνων ἐν ἑαυτῷ τὴν εὐπρέπειαν, καὶ τοὺς χαρακτῆρας ἀναμορφούμενος ἀεὶ τῆς εἰκόνος τοῦ ἄνωθεν αὐτὸν καθ' ὁμοιό- ιη΄.

πετα ἑαυτοῦ πλαστουργήσαντος, πῶς δυνατόν ποτε ἑνωθῆναι, οὐ διέστησεν ἑαυτὸν τῇ τῶν χαρακτήρων ἀνομοιότητι; καὶ ὢν φῶς ὄντι ἀποσβεσθεὶς τοῦ φωτὸς, τὸ ἐναντίον εἰς ἑαυτὸν ἐπεσπάσατο. μὴ ἑνωθεὶς δὲ ἐξ οὗ τὴν ἀρχὴν ἔχει τῆς ὑποστάσεως, καὶ παρ' οὗ ἐξ οὐκ ὄντων ὑπέστη, καὶ τῶν ὄντων ἐκράτησεν, ἆρα οὐ τμηθεὶς ὡς ἀνόμοιος τῷ πεποιηκότι ῥιφήσεται; δῆλον τοῖς ὁρῶσι, κἂν ἐγὼ σιωπήσωμαι.

ιθ'. Ἕως μὲν τὰς ὕλας ἐν ἑαυτοῖς ἔχομεν τῶν παθῶν, καὶ τὰς τούτων αἰτίας αὐτοθελῶς περιέπομεν, ἀποσείσασθαι ταύτας μὴ προαιρούμενοι, ἰσχύει αὐτῶν καθ' ἡμῶν καὶ ἡ δύναμις, τὸ ἰσχύειν λαμβάνουσα δηλαδὴ ἐξ ἡμῶν. ἐπὰν δὲ ταύτας ἐξ ἑαυτῶν ἀποῤῥίψωμεν, καὶ τὴν καρδίαν τοῖς τῆς μετανοίας δάκρυσι καθαρθῶμεν, μισήσαντες καὶ τὴν τῶν ὁρωμένων ἀπάτην, τηνικαῦτα τῆς τοῦ Παρακλήτου παρουσίας ἐν μεθέξει γινόμεθα· Θεὸν ὁρῶντες ἐν φωτὶ ἀϊδίῳ καὶ ὁρώμενοι ὑπ' αὐτοῦ.

κ'. Οἱ τῆς παγκοσμίου αἰσθήσεως ῥήξαντες τὰ δεσμὰ, ἐν ἐλευθερίᾳ πάσης δουλείας διάγουσι τῶν αἰσθήσεων. μόνῳ τῷ πνεύματι ζῶντες, καὶ αὐτῷ προσομιλοῦντες, ὡς ὑπ' ἐκείνου κινούμενοι, δι' οὗ καὶ τοῖς ὁμοουσίοις Πατρὶ, καὶ Λόγῳ συνάπτεσθαί πως εἰώθασι, καὶ ἓν πνεῦμα, κατὰ τὸν Παῦλον ἀποτελεῖσθαι. οἳ καὶ οὐ μόνον ἀχείρωτοί εἰσι δαίμοσιν, ἀλλὰ καὶ φοβεροὶ, ὡς μεταλαβόντες τοῦ θείου πυρὸς, καὶ πῦρ αὐτόχρημα χρηματίσαντες.

κα'. Ἡ ἀφὴ, οὐ μερική τις ἐστὶν ἐν τῷ σώματι ἐν ἑνὶ μέρει τὴν ἑαυτῆς ἐνέργειαν ὥσπερ αἱ λοιπαὶ τῶν αἰσθήσεων φέρουσα, ἀλλ' ὁλική τις, καὶ καθόλου τοῦ σώματος. ὅταν οὖν μὴ χρειωδῶς προσψαύσῃ ἑτέρου τινὸς, ἔτι προσπάσχουσα ταῖς λειότησι, σαλεύεσθαι τὸν νοῦν ὑπὸ λογισμῶν ἐμπαθῶν ἀπεργάζεται. ὅταν δὲ κατὰ χρείαν τὴν ἀναγκαίαν τῇ φύσει ταῖς ἁπαλότησιν ἀποταξαμένη, καὶ τὴν αἴσθησιν ὑπερκύψασα, οὐκ εἴωθεν ὑποσαίνειν τὰ τῆς ψυχῆς αἰσθητήρια.

Τοῦ νοὸς ἐν τοῖς ὑπὲρ φύσιν χωρήσαντος, αἱ αἰσθήσεις κατὰ φύσιν ἑστῶσαι, ἀπαθῶς ταῖς αἰτίαις προσομιλοῦσι· τοὺς λόγους μόνους καὶ τὰς φύσεις αὐτῶν ἐρευνῶσαι, καὶ ἀψευδῶς διακρίνουσαι τὰς τούτων ἐνεργείας ὁμοῦ, καὶ ποιότητας. μὴ προσπάσχουσαι, ἢ σχετικῶς παρὰ φύσιν κινούμεναι πρὸς αὐτάς. κβ'.

Ἀγῶνες καὶ πόνοι πνευματικοὶ, γεννῶσι τῇ ψυχῇ εὐφροσύνην· εἰρήνης δηλονότι προηγησαμένης παθῶν. ὅπερ οὖν τοῖς ὑπὸ τὴν αἴσθησιν δυσχερὲς, τοῦτο ψυχῇ πονούσῃ καὶ πόθον τῶν ἱερῶν ἱδρώτων ἐπὶ Θεὸν κτησαμένῃ, καὶ βεβλημένῃ θείας γνώσεως ἔρωτι, ῥᾷον καὶ μᾶλλον ἡδύτατον. ἐκείνοις μὲν γὰρ οἱ πόνοι καὶ οἱ ἀγῶνες τῆς ἀρετῆς, ἅτε δὴ ἀνέσεσι σώματος καὶ ἡδονῶν ἀπολαύσεσι προσκειμένοις, δυσχερεῖς εἰσὶ, καὶ λίαν δοκοῦσι τραχεῖς, μὴ προμελετήσασι τὸ ἁλμυρὸν τῶν ἡδονῶν, ἀποκλύσασθαι τοῖς νάμασι τῶν δακρύων. ταύτῃ δὲ ποθούμενοί τε καὶ ἀσπαζόμενοι, βδελυξαμένῃ τὰς προξένους ἡδονὰς τῆς ὀδύνης, καὶ τὴν ἀπάθειαν ἀποσεισαμένῃ, μετὰ τῆς φιλαυτίας τοῦ σώματος. ἓν οὖν αὐτῇ λυπηρὸν, ἡ ἄνεσις τῶν πόνων, καὶ ἡ τῶν ἀγώνων ἀργία. ὃ τοίνυν πρόξενον ἐκείνοις ἐστὶν εἰς εὐφροσύνην σωματικὴν, τοῦτο ψυχῇ μεταθεμένῃ τὰς ἐφέσεις ἐπὶ τὰ θεῖα, λύπης αἴτιον. καὶ ὃ ταύτης αἴτιον εὐφροσύνης πνευματικῆς, ἐκείνοις στεναγμῶν καὶ ὀδύνης παραίτιον. κγ'.

Οἱ πόνοι, δοκοῦσι μὲν ἐκ προοιμίων, ὀδύνης εἶναι ποιητικοὶ πᾶσι τοῖς εἰσαγομένοις εἰς ἱδρῶτας καὶ ἀγῶνας πνευματικούς. γυμναζομένοις δὲ πρὸς ἐπίδοσιν ἀρετῆς, καὶ πρὸς τὸ μέσον ἐπεκτεινομένοις κδ'.

αὐτοῖς,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

αὐτῆς, ἡδονῆς τινὸς καὶ παραδόξου ἀνέσεως φαίνονται. ὅταν δὲ τὸ θνητὸν τοῦτο καταποθῇ φρόνημα τῆς σαρκὸς, ὑπὸ τῆς ἀθανάτου ζωῆς τῆς ἐπιγινομένης ἐξ ἐπιδημίας τοῦ πνεύματος, ἐν τοῖς ἀληθῶς ἐπεκτεινομένοις πρὸς τὰ τέλη τῶν ἀρετῶν διὰ πόνων, χαρᾶς ἀῤῥήτου καὶ εὐφροσύνης πληροῦται, ἀναστομωθείσης αὐτῆς δηλαδὴ πηγῆς καθαρᾶς τῶν δακρύων καὶ γλυκεροῦ νάματος ἄνωθεν ἐπομβρυθέντος τῆς κατανύξεως.

κε'. Εἰ θέλεις τῶν ὅρων ἐπιβῆναι τῆς ἀρετῆς, καὶ τὴν πρὸς Θεὸν φέρουσαν εὑρεῖν ἀπλανῶς, μὴ δῷς ὕπνον τοῖς ὀφθαλμοῖς σου· μὴ δὲ νυσταγμὸν τοῖς βλεφάροις σου· ἢ ἀνάπαυσιν τοῖς κροτάφοις σου, ἕως οὗ διὰ πόνων πολλῶν καὶ δακρύων, τόπον ἀπαθείας εὕρῃς τῇ πετρυχωμένῃ ψυχῇ σου· καὶ εἰσέλθῃς εἰς τὸ ἁγιαστήριον τῆς γνώσεως τοῦ Θεοῦ. καὶ διὰ τῆς ἐνυποστάτου σοφίας αὐτοῦ, εἰς τὰ ἔσχατα τέλη τῶν ἀνθρωπίνων πραγμάτων μετὰ συνέσεως ἴδῃς, καὶ τῶν κάτω καταφρονήσας, ἐπὶ τὰ ὑψηλὰ ὄρη τῆς θεωρίας, κατὰ τὰς ἐλάφους, καὶ αὐτὸς διψητικώτατα ἀναδράμῃς.

κϛ'. Ὁδὸς ταχεῖα πρὸς ἀνάληψιν ἀρετῆς, ἡ σιωπή ἐστι τοῖς εἰσαγωγικοῖς τῶν χειλέων, καὶ ἡ μύσις τῶν ὀφθαλμῶν, καὶ τῶν ὤτων ἡ κώφωσις. λαβὼν γὰρ ἐντεῦθεν ὁ νοῦς τὴν τούτων ἀργίαν, τὰς ἐκτὸς καθ' ἑαυτὸν ἐναποκλείσας εἰσόδους, κατανοεῖν ἑαυτὸν ἄρχεται, καὶ τὰς ἰδίας κινήσεις. καὶ τίνα μέν εἰσιν εὐθὺς ἐρευνᾷ τὰ περὶ τὴν νεκτὴν θάλασσαν τῶν λογισμῶν ἠχόμενα ἐνθυμήματα. τίνα δὲ τὰ περὶ τὴν χώραν τῆς διανοίας αὐτοῦ εἰσβαλλόμενα νοήματα. πότερον, καθαρά τε καὶ ἀμιγῆ σπερμάτων πικρῶν, καὶ παρ' Ἀγγέλου φωτὸς, ἢ ζιζάνια ἐπιμιγῆ τε καὶ ἀχυρώδη καὶ παρὰ τῶν τοῦ φωτὸς ἐναντίων. καὶ οὕτως ὥς περ τὶς ἡγεμὼν αὐτοκράτωρ μέσον ἱστάμενος ἐννοιῶν, κρίνων καὶ διαιρῶν τὰς κρείττους τῶν λογισμῶν ἀπὸ τῶν χειρόνων. τὰ μὲν, τῶν εἰσβαλλομένων δεχόμενος τῇ παρ' ἑαυτοῦ τριβῇ καὶ κινήσει, εἰς ἱερὰς ἀνατίθησιν ἀποθήκας, τῷ πυρὶ ἐξοπτηθεῖσι τοῦ πνεύματος, καὶ ὕδατος θείου πεπληρωμένας. ἀφ' ὧν καὶ τρεφόμενος, ἐνδυναμοῦται καὶ πληροῦται φωτός· τὰ δὲ, ἀποπέμπεται τοῖς τῆς λήθης βυθοῖς, τὴν τούτων πικρίαν ἀποσειόμενος. τοῦτο δὲ μόνου ἔργον ἐστὶν ἐκείνου ἱερῶς, τοῦ ἀψαμένου τῆς φρονήσεως πρὸς οὐρανοὺς, καὶ Θεὸν ἀπλανῶς· καὶ τὸν πενθήρη χιτῶνα τῶν σκοτεινῶν ἀποδυσαμένου παθῶν.

Ψυχὴ ἡ ἅπαξ ἀποσκυβαλισαμένη τὴν πονηρίαν, καὶ τὸ περίεργον φρόνημα τῆς φαυλοτάτης ἀλαζονείας, ἁπλῆν δὲ καὶ ἄκακον τὴν καρδίαν ἐξ ἐπιδημίας τοῦ παρακλήτου καταπλουτίσασα, εὐθὺς Θεῷ τε καὶ ἑαυτῇ γίνεται. καὶ ἃ ὁρᾷ καὶ ἀκούει, πιστὰ καὶ ἀληθῆ νομίζει ἀνενδοιάστως, ὡς ὑπερβᾶσα τὰ χαλεπὰ τῆς ἀπιστίας βάραθρα, καὶ ὑπὲρ τὸν ᾅδην φερομένη τοῦ φθόνου. κζ'.

Πασῶν τῶν ἀρετῶν προηγεῖται ἡ ἐνδιάθετος πίστις. ὅταν μὴ ἀμφίβολον τὴν γνώμην ἐπιφέρηται ἡ ψυχὴ, ἀλλ' εἰς τὸ παντελὲς ἀποβάλληται τὴν φιλαυτίαν. οὐδὲν γὰρ οὕτως ἕτερον οἶδε, τὸν ἄρτι πρὸς ἀγῶνας ἀποδυσάμενον, κωλύειν τῆς ἐργασίας τῶν ἐντολῶν, ὡς ἡ παγκάκιστος φιλαυτία. αὕτη ἐστὶ τὸ ἐμπόδιον τῆς προκοπῆς τῶν σπουδαίων, αὕτη νόσους αὐτοῖς ὑποτίθεται, καὶ δυσθεράπευτα πάθη σώματος. δι' ὧν τὴν θέρμην τῆς ψυχῆς, ψυχρὰν ἀπεργάζεται· καὶ τὸ κακοπαθεῖν ὑπὲρ ἀρετῆς, πείθει παραιτεῖσθαι, ὡς ἐπίβουλον τῆς ἀπαθοῦς ζωῆς. φιλαυτία δέ ἐστιν, ἡ ἄλογος φιλία τοῦ σώματος· ἥτις φίλαυτόν τε ἀποτελοῦσα τὸν Μοναχὸν, ἤτοι φιλόψυχον, καὶ φιλοσώματον, μακρὰν ποιεῖ αὐτὸν τοῦ Θεοῦ καὶ τῆς βασιλείας αὐτοῦ κατὰ τὸ ὅσιον λόγιον· τό, ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν. κη'.

Ὁ ἐμ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κθʹ. Ὁ ἐμπόνως ἀρξάμενος τῆς ἐργασίας τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ θερμῷ τῷ ἔρωτι τὸν ἐλαφρὸν ζυγὸν τῆς ἀσκήσεως ἐπαυχένιον ἄρας, οὐ φείδεται ὑγείας σώματος, οὐ πρὸς τὴν τραχύτητα τῶν ἔργων τῆς ἀρετῆς ἰλιγγιᾷ, οὐ πρὸς τοὺς πόνους ἀποκναίει, οὐχ ὁρᾷ πρὸς ἕτερόν τινα ῥαθύμως περὶ τοὺς ἀγῶνας καὶ ἀμελῶς διακείμενον. ἀλλὰ ζέοντι πόθῳ τὴν αὔλακα τέμνει τῶν ἀρετῶν ἐν πάσῃ κακοπαθείᾳ· πρὸς ἑαυτὸν μόνον ὁρῶν, καὶ πρὸς τὰς τοῦ Θεοῦ ἐντολάς· καὶ καθ' ἑκάστην ἐν δάκρυσι τὰ σπέρματα αὐτοῦ καταβάλλεται ἐν τῇ χώρᾳ τῶν ζώντων, ἕως οὗ φυῇ αὐτῷ ἡ χλόη τῆς ἀπαθείας, καὶ εἰς καλάμην αὐξήσῃ γνώσεως θείας, καὶ στάχυν φέρῃ τὸν κόκκον τοῦ λόγου ἐπιφερόμενον, καὶ ἔλθῃ φέρων τὰ γεννήματα τῆς δικαιοσύνης αὐτοῦ.

λʹ. Οὐδαμόθεν οὕτως οἴομαι τὴν προκοπὴν γίνεσθαι τῆς ψυχῆς ταχεῖαν καὶ σύντομον, ὡς ἐκ μόνης τῆς πίστεως. πίστεως δέ, οὐ τῆς εἰς Θεὸν μόνον, καὶ τῆς πρὸς τὸν μονογενῆ τούτου Υἱόν, ἀλλὰ καὶ τῆς ἐνδιαθέτου. μεθ' ἧς πιστεύομεν ἀληθεῖς εἶναι τὰς ἐπαγγελίας Χριστοῦ, ἃς ἐπηγγείλατο καὶ ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν, καὶ τὰς ἀπειλὰς καὶ κολάσεις τοῦ ᾅδου, τὰς ἡτοιμασμένας τῷ διαβόλῳ καὶ τοῖς ἐργάταις αὐτοῦ. αὕτη ἡ πίστις, πληροφορεῖ τὴν ψυχὴν ἐλπίζειν ἐναγώνιον οὖσαν, ἐπιτυχεῖν τῆς καταστάσεως τῶν ἁγίων, τῆς μακαρίας αὐτῶν ἀπαθείας, καὶ ἀναδραμεῖν πρὸς τὸ ὕψος τῆς ἁγιωσύνης αὐτῶν, καὶ συγκληρονόμον τούτοις γενέσθαι τῆς τοῦ Θεοῦ βασιλείας. οὕτω δὲ πληροφορουμένη, σπουδαίως πρὸς τὴν ἐργασίαν τῶν ἐντολῶν ἐπεκτείνεται, μὴ ἐνδοιάζουσα καθ' ἑαυτήν, ἀλλὰ μιμουμένη τοὺς πόνους ἐκείνων, καὶ διὰ τῶν ὁμοίων ἀγώνων διώκουσα καταλαβεῖν τὴν αὐτῶν τελειότητα.

λαʹ. Συναλλοιοῦσθαι πέφυκεν ἡ ἔξωθεν τοῦ προσώπου κατάστασις, τῇ ἐντὸς τῆς ψυχῆς καταστάσει. οἵαν γὰρ ἡ ἱερὰ κίνησις αὐτῆς τὴν ἐργασίαν ἔχει, τοιαύτην καὶ ἡ ὄψις τοῦ προσώπου τοῖς ὁρῶσιν ἐμφαίνει τὴν ἰδίαν διάθεσιν. τοῖς γὰρ ἐνεργοῦσι τὸν λογισμὸν συνδιατιθεμένη καὶ συναλλοιουμένη, ποτὲ μὲν ὁρᾶται φαιδρά, τῆς καρδίας εὐφραινομένης ἐπὶ ἀναβάσεσιν ἀγαθαῖς ἐνθυμήσεων, καὶ μελέτῃ Θεοῦ. ποτὲ δὲ κατηφὴς καὶ ζοφώδης, ἐπὶ λογισμοῖς ἀτοπίας πικραινομένης· ἐν οἷς λαθεῖν οὐκ ἔστι τὸν ἐνεργούμενον τοὺς τὰ αἰσθητήρια τῆς ψυχῆς ἐπιφερομένους γεγυμνασμένα. ὅτε γὰρ ἀλλοίωσίς ἐστι τῆς δεξιᾶς τοῦ ὑψίστου, φανερά ἐστιν αὐτοῖς ὡς γνωρίμη καὶ φίλη, δι' ἣν ἀναγεννηθέντες ὑπὸ τοῦ πνεύματος ἄνωθεν, φῶς καὶ ἅλας ἐχρημάτισαν τοῖς πλησίον, ὅτε τῆς στάσεώς ἐστι τῶν δυνάμεων, καὶ τῆς τῶν λογισμῶν ταραχῆς, δήλη τίς ἐστι τούτοις ξένως, ὡς ἀποβαλλομένοις αὐτήν, καὶ τὸν χαρακτῆρα τῆς εἰκόνος τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐπιφερομένοις λαμπρότατον ἐν τοῖς θείοις χαρίσμασι.

λβʹ. Ἡ ἐντὸς ἐργασία, ἢ στεφάνων πρόξενος γίνεται τῇ ψυχῇ, ἢ πόνων καὶ κολάσεων. εἰ μὲν γὰρ περὶ τὰ θεῖα πράγματα καταγίνεται, καὶ ταπεινοφροσύνης φιλοκαλεῖ τὰ χωρία, ἔχει τὴν ἀρδείαν ἄνωθεν τῶν δακρύων, καὶ γεωργεῖ τὴν πρὸς Θεὸν ἀγάπην καὶ πίστιν, καὶ τὴν εἰς τὸν πλησίον συμπάθειαν. δι' ὧν ἀναμορφουμένη τὸ κάλλος ἡ ψυχὴ τῆς εἰκόνος Χριστοῦ, φῶς γίνεται τοῖς ἀνθρώποις, καὶ ταῖς ἀκτῖσι τῶν ἀρετῶν ἐφέλκεται πρὸς ἑαυτὴν τὰς ὁράσεις αὐτῶν, καὶ κινεῖ πάντας πρὸς δοξολογίαν Θεοῦ. εἰ δὲ περὶ τὰ κάτω καὶ τὰ ἀνθρώπινα καὶ τοὺς ὑπονόμους τόπους ἐκπαρχάσει καὶ ἐνσαλεύει τῆς ἁμαρτίας, κάτωθεν ἔχουσα τὸ δυσῶδες καὶ ζοφερόν, γεωργεῖ τὸ μῖσος καὶ τὴν ἀποστροφὴν τοῦ καλοῦ. δι' ἧς τὴν χροϊκὴν ἀναμορφουμένη καὶ ἀμορ-

φον εἰκόνα τοῦ παλαιοῦ, σκότος αὐτόχρημα τοῖς πλησιάζουσι γίνεται. καὶ τῇ τῶν φαύλων ἐργασίᾳ καὶ ὁμιλίᾳ, ἐμφθείρει ψυχὰς ἀπλάστους καὶ ἀστηρίκτους, καὶ κινεῖ κατὰ τοῦ Θεοῦ βλασφημίαν· καὶ οὕτως ἐν οἷς ἂν ὑπὸ τοῦ θανάτου καταληφθῇ ἡ ψυχή, καὶ τὰς ἀμοιβὰς ἀναλόγως εὑρίσκει.

λγ'. Ὁ τῶν φαύλων ἐννοιῶν γεωργός, ζοφώδης αὐτοῦ ποιεῖται καὶ στυγνὰς τὰς ἐκτὸς ὄψεις. ἄναυδόν τε τὴν γλῶτταν ἔχει τῶν θείων ὕμνων, καὶ δυσαπάντητός ἐστι πᾶσιν εἰς ἐντυχίαν. ὁ δὲ τῶν ἀγαθῶν καὶ ἀθανάτων φυτῶν γεωργὸς τῆς καρδίας, χαροπὸν καὶ γεγανωμένον ἔχει τὸ πρόσωπον· μελῳδεῖ τε εἰς δεήσεις τὴν γλῶτταν αὐτοῦ, καὶ ὅλον ἑαυτὸν εἰς ὁμιλίαν ἐκδίδωσιν. ὡς φανερὸν εἶναι καὶ γίνεσθαι τοῖς ὁρῶσιν ἐντεῦθεν καλῶς, αὐτόν τε τὸν ὑπὸ δουλείαν ἔτι τῶν ἀκαθάρτων ὄντα παθῶν, καὶ ὑπ' ἀνάγκην τοῦ νόμου τελοῦντα τοῦ γεώδους φρονήματος. καὶ τὸν ἐλευθερωθέντα τῆς τοιαύτης δουλείας, ὑπὸ τοῦ νόμου τοῦ πνεύματος, κατὰ τὸν σοφὸν Σολομῶντα. καρδίας εὐφραινομένης, θάλλει πρόσωπον· ἐν δὲ λύπαις οὔσης, στυγνάζει.

λδ'. Τὰ ἐμπράκτως τελούμενα πάθη, ἐμπράκτως καὶ θεραπεύονται. ὥσπερ γὰρ ἀκρασία ἡδονὴ καὶ ἀδδηφαγία, καὶ βίος ἀμελὴς καὶ διακεχυμένος, τὴν ἐμπαθεστάτην ἕξιν ἀποτελοῦσιν ἐν τῇ ψυχῇ, καὶ εἰς πράξεις ἀτόπους αὐτὴν ἄγουσιν, οὕτω στένωσις καὶ ἐγκράτεια, πόνοι καὶ ἀγῶνες πνευματικοί, τὴν ἀπάθειαν περιποιοῦνται αὐτῇ· καὶ ἐκ τῆς ἐμπαθείας, εἰς ἀπάθειαν αὐτὴν μεταφέρουσιν.

λε'. Ὅταν ἐξ ἐπιπόνου τις καὶ σιωπηλῆς ἀσκήσεως, δωρεῶν μεγάλων παρὰ Θεοῦ διὰ ταπεινοφροσύνης ἀξιωθῇ, εἶτα ὑποσυρεὶς ἐκεῖθεν, πάθεσιν ἔκδοτος γένηται καὶ δαίμοσι παιδευταῖς, ἴσω ἑαυτὸν ὑψωθέντα, καὶ μεγάλα περὶ ἑαυτοῦ οἰηθέντα, καὶ τῶν ἄλλων κατεπαρθέντα· οὐδαμόθεν ἢ ἄλλοθεν ὁ τοιοῦτος εὑρήσει τὴν θεραπείαν καὶ ἀπαλλαγὴν τῶν συνεχόντων αὐτοῦ τὴν ζάλην παθῶν καὶ δαιμόνων, ἀλλ' ἢ ἀπὸ τοῦ ἀναδραμεῖν αὐτὸν διὰ μετανοίας εἰς τὴν πρώτην κατάστασιν, καὶ χρήσασθαι μεσίτῃ καλῷ, τῇ ταπεινώσει, καὶ τῇ ἐπιγνώσει τῶν οἰκείων μέτρων. δεῖ ὡς πᾶς ὁ ἱστάμενος καλῶς ἐν τῷ θεμελίῳ τῶν ἀρετῶν, ὑποκάτω ἑαυτὸν ἔχειν πάσης κτίσεως.

Ἴσον κακόν ἐστι παρὰ Θεῷ καὶ ἀνθρώποις, ζῶσι κατὰ Χριστόν, τό τε ἐμπαθῆ τινὰ εἶναι ταῖς πράξεσι γνώμης ἀκολασίᾳ, καὶ πεφυσιωμένον ἐν ταῖς ἀρεταῖς τῷ τῆς οἰήσεως πνεύματι. ὃν τρόπον γὰρ τὰ πρῶτα τὰ ἐμπράκτως καὶ κρυφῆ γινόμενα αἰσχρόν ἐστι καὶ λέγειν, οὕτω καὶ τὰ δεύτερα τὰ ὑψώματα τῆς καρδίας, βδελύγματά εἰσιν ἐνώπιον τοῦ Θεοῦ. καὶ ὥσπερ ἐκεῖνος ἀπόβλητος τοῦ Θεοῦ εἰς ἀνάπαυσιν, διὰ τὸ εἶναι αὐτὸν σάρκα κατὰ τὸ λόγιον, οὕτω καὶ οὗτος παρὰ Κυρίῳ ἀκάθαρτος, διὰ τὸ εἶναι αὐτὸν ὑπερήφανον. λϛ'.

Οὐ γάρ ἐστι πάθος, τοῦτο καὶ ἔμπρακτος ἁμαρτία· ἀλλ' ἕτερον τοῦτο, καὶ ἄλλο ἐκεῖνο. πάθος μέν ἐστι, τὸ ἐπὶ ψυχὴν κινούμενον. πρᾶξις δὲ ἐφάμαρτος, ἡ ἐπὶ τὸ σῶμα θεωρουμένη· οἷον, φιληδονία, φιλαργυρία, καὶ φιλοδοξία, πάθη χαλεπά ἐστι τῆς ψυχῆς. πορνεία δέ, καὶ πλεονεξία, καὶ ἀδικία, πράξεις ἐφάμαρτοι τῆς σαρκός. ἐπιθυμία, θυμός, καὶ ὑπερηφανία, πάθη ψυχῆς, παρὰ φύσιν τῶν δυνάμεων κινουμένων αὐτῆς. μοιχεία δέ, καὶ φόνος, κλοπή, καὶ μέθη, καὶ εἴ τι ἄλλο διὰ τοῦ σώματος πράττεται, πράξεις ἐφάμαρτοι, καὶ χαλεπαὶ τῆς σαρκός. λζ'.

Τρεῖς εἰσὶν οἱ γενικώτατοι πάντων τῶν παθῶν ἔξαρχοι· καὶ τρεῖς αἱ κατ' αὐτῶν παρατάξεις, καὶ τρεῖς οἱ τούτων καταγωνιζόμενοί τε καὶ καταβάλλοντες· ὁ λη'.

εἰσαγω-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἰσαγωγικός, ὁ μέσος, καὶ ὁ τέλειος. τὸν τῆς φιληδονίας, τὸν τῆς φιλαργυρίας, καὶ τὸν τῆς φιλοδοξίας τρικέφαλον δράκοντα.

λθ'. Οὐχ ὡς καὶ ὁ αὐτὸς ἀγὼν τοῖς τρισὶ κατὰ τῶν τριῶν ἀρχῶν καὶ δυνάμεων τοῦ ἐξουσιάζοντος πνεύματος, ἀλλ' ἄλλος, καὶ ἄλλος. ἄλλως γὰρ στρατευομένης τῆς μιᾶς καὶ μιᾶς τούτων ἀρχῆς ὑφ' ἑκάστου τοῦ πρὸς τὴν μάχην αὐτῆς ἱσταμένου καὶ καθοπλιζομένου φυσικῶς τῷ δικαίῳ θυμῷ.

μ'. Ὁ ἄρτι πρὸς τοὺς ἀγῶνας τῆς εὐσεβείας ἀποδυσάμενος, καὶ εἰσαγωγικὸς ὢν πρὸς παράταξιν τῶν παθῶν, κατὰ τοῦ πνεύματος τῆς φιληδονίας πᾶσαν αἴρει τὴν μάχην αὐτοῦ, καὶ δυνατῶς διὰ πάσης κακοπαθείας κατ' αὐτοῦ ἐκστρατεύει. σάρκας μὲν ταῖς ἀσιτίαις ἐκτήκων, ταῖς χαμευνίαις, ταῖς ἀγρυπνίαις, καὶ ταῖς παννύχοις δεήσεσι. ψυχὴν δὲ συντρίβων τῇ μνήμῃ τῶν τοῦ ᾅδου ποινῶν, καὶ τῇ τοῦ θανάτου μελέτῃ. καὶ τὴν καρδίαν ἀποσμήχων τοῦ ῥύπου τῶν συνδυασμῶν καὶ συγκαταθέσεων διὰ δακρύων τῆς μετανοίας.

μα'. Ὁ πρὸς τὸ μέσον τῆς ἀρχῆς μεταθέμενος τὴν ἐπίβασιν, καὶ τοὺς ἱδρῶτας τοὺς ἀπὸ τοῦ φιληδόνου πνεύματος διὰ τοῦ σπόγγου τῆς πρώτης ἀπαθείας ἀπομαξάμενος, ἄρτι δὲ τοὺς ὀφθαλμοὺς ἀποκαλυφθείς, καὶ τὰς φύσεις ὁρᾷν τῶν ὄντων ἀρξάμενος, κατὰ τοῦ πνεύματος τῆς ἀπίστου φιλαργυρίας αἴρει τὰ ὅπλα τῆς πίστεως. τὸν νοῦν μὲν ἀνυψῶν ἑαυτοῦ τῇ μελέτῃ τῶν θείων πραγμάτων, τὸν δὲ λόγον παραθήγων τοῖς λόγοις τῆς κτίσεως, καὶ εἰς τὸ τὰς φύσεις αὐτῶν ἐκδιηγεῖσθαι διεξάγων· τὴν δὲ ψυχὴν ἀνάγων τῇ πίστει ἀπὸ τῶν ὁρωμένων, ἐπὶ τὰ ὕψη τῶν ἀοράτων, καὶ πείθων αὐτὴν εἶναι προνοητὴν, τὸν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγόντα Θεὸν, τῶν οἰκείων ἔργων, καὶ ὅλην τὴν ἐλπίδα ποιῶν τῆς ἐν Θεῷ ζωῆς.

μβ'. Ὁ τὸ μέσον διὰ θεωρίας καὶ ἀπαθείας περάσας, καὶ τὸ ἁπαπλοῦν ὑπερκύψας τῆς παγκοσμίου αἰσθήσεως, ἄρτι δὲ μετὰ τοῦ λόγου τῆς γνώσεως καὶ τῆς ἐνυποστάτου Θεοῦ σοφίας, τῷ γνόφῳ τῆς θεολογίας εἰσδύς, κατὰ τοῦ πνεύματος τῆς φιλοδοξίας, αἴρει, δυνάμει τῆς ταπεινοφροσύνης, τὰ ὅπλα. ψυχὴν μὲν ἐν ταῖς ἱεραῖς ἀποκαλύψεσι κατανύσσων, καὶ δάκρυα προχέειν ἀνωδύνως ποιῶν. τὸ δὲ γε φρόνημα αὐτῆς τῇ μνήμῃ καταβάλλων τῆς ἀνθρωπίνης ἀσθενείας, καὶ ἀνυψῶν αὐτὸ τῆς θείας γνώσεως τοῖς νοήμασι.

μγ'. Νηστείαις μὲν γὰρ, καὶ ἀγρυπνίαις, καὶ προσευχαῖς, χαμευνίαις τε, καὶ κόποις σώματος, καὶ τῇ ἐκκοπῇ τῶν θελημάτων ἐν ταπεινώσει ψυχῆς, ἄπρακτον ἱστῶμεν τὸ τῆς φιληδονίας πνεῦμα. χειρόμεθα δὲ αὐτὸ, τοῖς τῆς μετανοίας δάκρυσι, καὶ πρὸς τὸ δεσμωτήριον ἄγοντες τῆς ἐγκρατείας, ἀκίνητον τοῦτο καὶ ἀνενέργητον ἀποτελοῦμεν· ἐν τῇ τῶν σπουδαίων δηλονότι καὶ ἀγωνιζομένων ἱσταμένοι παρατάξει.

μδ'. Πίστεως ὅπλοις, καὶ μαχαίρᾳ τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, τὸ τῆς φιλαργυρίας πνεῦμα καταξοπωσάμενοι, ἀποσφάττομεν. ἄρτι πρὸς τὴν θεωρίαν τῶν ὄντων μετὰ λόγου σοφίας ἀναδραμόντες, καὶ ὑπεράνω τῆς ταπεινώσεως γεγονότες τῶν ὁρωμένων, διὰ τοῦ λόγου τῆς γνώσεως, καὶ πρὸς τὰ βασίλεια τῆς ἀγάπης μετὰ τῶν πολυόλβων θησαυρῶν τῆς πρὸς Θεὸν ἐλπίδος ἐγκαταπαύσαντες.

με'. Πτεροῖς ἀπαθείας καὶ ταπεινοφροσύνης, ἐν τῷ ἀέρι τῆς μυστικῆς θεολογίας πτηχόμενοι, καὶ εἰς τὸν ἄνω βυθὸν τῆς γνώσεως τῶν μυστηρίων Θεοῦ μετὰ θείου πνεύματος εἰσερχόμενοι ταῖς ἀστραπαῖς τῶν ἐνθέων δογμάτων καὶ νοημάτων, τὸ τῆς φιλοδοξίας καταφλέγομεν πνεῦμα. ὄμβροις δὲ δακρύων καὶ ποταμοῖς κατανύξεως εἰς τὰ τέλη τῶν ἀνθρωπίνων πραγμά-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

των ὁρῶντες, τοὺς τελεστὰς αὐτοῦ καταποντίζομεν δαίμονας· οἴησιν τε, καὶ κενοδοξίαν, καὶ ὑπερηφανίαν, καθ᾽ ἡμῶν ἐκστρατεύσαντας.

μϛ'. Ὁ τὴν ἐπιθυμίαν τῆς σαρκὸς, καὶ τὴν ἐπιθυμίαν τῶν ὀφθαλμῶν, καὶ τὴν ἀλαζονείαν τοῦ βίου, τὸν κόσμον ταῦτα τῆς ἀδικίας, δι᾽ ὧν τῆς φιλίας, ἐχθροὶ γινόμεθα τοῦ Θεοῦ, ἐκθύμως μισήσας, καὶ ταύταις ἀποταξάμενος, ἑαυτῷ τὸν κόσμον ἐσταύρωσε, καὶ αὐτὸς ἐσταυρώθη αὐτῷ. λύσας τὴν ἀναμεταξὺ Θεοῦ καὶ ψυχῆς ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, καὶ ποιήσας ἐν ἀμφοτέροις εἰρήνην. ὁ γὰρ τούτοις ἐν τῇ ἀπεκδύσει τοῦ σαρκικοῦ φρονήματος νεκρωθεὶς, κατήλλαξεν ἑαυτὸν τῷ Θεῷ, ἀποκτείνας τὴν ἔχθραν τοῦ κόσμου ἐν τῇ νεκρώσει τῶν ἡδέων, διὰ τῆς ἐσταυρωμένης τῷ κόσμῳ ζωῆς, καὶ τὴν μετὰ Ἰησοῦ φιλίαν ἠσπάσατο. τοίνυν οὐκ ἔτι ὁ τοιοῦτος ἐχθρὸς ὡς φίλος τοῦ κόσμου, ἀλλὰ φίλος τοῦ Θεοῦ καθίσταται, ὡς ἐσταυρωμένος τῷ κόσμῳ, καὶ δυνάμενος λέγειν. ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.

μζ'. Πᾶσα τοῖς ἀγωνιζομένοις ἐγκατάλειψις, διὰ ταῦτα γίνεσθαι πέφυκε. διὰ κενοδοξίαν, διὰ τὴν εἰς τὸν πλησίον κατάκρισιν, καὶ διὰ τὴν ἐπ᾽ ἀρεταῖς ἔπαρσιν. εἴ τι οὖν τούτων ἐν ταῖς ψυχαῖς τῶν ἀγωνιζομένων προσεμπελάσαν ἡγήσεται, τὴν ἀπὸ Θεοῦ τούτοις ἐγκατάλειψιν προξενεῖ. καὶ οὐκ ἂν ταύτης τὴν ἐπὶ πτώμασι δικαίαν ἐκφύγωσι κρίσιν, μέχρις οὗ τὴν προηγησαμένην αἰτίαν τῆς ἐγκαταλείψεως ἀποσεισάμενοι, εἰς τὸ ὕψος τῆς ταπεινοφροσύνης προσφύγωσιν.

μη'. Οὐ γὰρ τὸ μὴ καθαρεύειν ἐμπαθῶν νοημάτων, τοῦτό ἐστι μόνον καρδίας ἀκαθαρσία, καὶ σπίλος ψυχῆς, ἀλλὰ καὶ τὸ ἐν πλήθει κατορθωμάτων ἐπαίρεσθαι, καὶ τὸ ἐπ᾽ ἀρεταῖς φυσιοῦσθαι, καὶ τὸ μεγάλα οἴεσθαι ἐπὶ σοφίᾳ καὶ γνώσει Θεοῦ, καὶ τὸ μέμφεσθαι τῶν ἀδελφῶν τῆς ῥᾳθυμίας, καὶ ἀμελείας· καὶ τοῦτο δῆλον, ἐκ τῆς τοῦ Φαρισαίου καὶ τοῦ Τελώνου παραβολῆς.

Μὴ οἴου τῶν παθῶν ἀνεθῆναι, καὶ τῶν γεννωμένων ἐκεῖθεν ἐμπαθῶν νοημάτων τὸν μολυσμὸν ἐκφυγεῖν, ἀγέρωχον ἔτι φέρων τὸ φρόνημα καὶ ἐξωγκωμένον ἐπ᾽ ἀρεταῖς. οὐ γὰρ μὴ ἴδῃς εἰρήνης αὐλὴν, ἐν ἀγαθωσύνῃ τῶν λογισμῶν, οὐδὲ εἰς ναὸν ἀγάπης εἰσέλθῃς μετὰ χαρᾶς, ἐν πάσῃ χρηστότητι καὶ γαλήνῃ καρδίας, ἕως οὗ ἐν σεαυτῷ πεποιθὼς εἶ, καὶ τοῖς ἔργοις σου. μθ'.

Ἐὰν εἰς συγχροίας σωμάτων προσαράσσῃ ἡ ψυχὴ κατ᾽ ἐμπάθειαν, καὶ ὑπὸ τῶν ἐκεῖθεν ἔνδοθεν τικτομένων ἐμπαθῶν λογισμῶν τυραννῆται, μὴ ὑπολάμβανε ταύτας εἶναι αἰτίας τῆς ἐν σοὶ ταραχῆς, καὶ ἐμπαθεστάτης κινήσεως· ἀλλὰ κεκρυμμένην ἴσθι ἐντὸς εἶναι τὴν αἰτίαν τῆς σῆς ψυχῆς, ὡς λίθον μαγνῆτιν τινα, ἕλκουσαν πρὸς ἑαυτὴν δυνάμει ἕξεως ἐμπαθοῦς, καὶ πικρᾶς συνηθείας τὴν ἀπὸ τῶν προσώπων λύμην, ὡς σίδηρον. ἐπεὶ καὶ κτίσματα Θεοῦ πάντα· καὶ λίαν τῷ ἰδίῳ λόγῳ καλὰ, μηδένα λόγον κατήγορον ἔχοντα τῆς πλάσεως τοῦ Θεοῦ. ν'.

Ὥσπερ οἱ θάλασσαν περαιούμενοι καὶ ναυτιῶντες, οὐ παρὰ τὴν τῆς θαλάσσης φύσιν πάσχουσι τοῦτο, ἀλλὰ παρὰ τὴν τῆς ἔνδοθεν προαποκειμένης αἰτίας τοῦ σεσηπότος χυμοῦ. οὕτω καὶ ἡ ψυχὴ, οὐ παρὰ τὴν τῶν προσώπων αἰτίαν, ἀλλὰ παρὰ τὴν τῆς ἔτι ἐναποκειμένης τοῦ κακοῦ ἕξεως, ἐν αὐτῇ τὸν ἐμπαθέστατον ὑφίσταται κλόνον, καὶ τάραχον. να'.

Κατὰ τὴν ἔνδοθεν διάθεσιν τῆς ψυχῆς, συναλλοιοῦσθαι πέφυκε καὶ ἡ φύσις αὐτὴ τῶν πραγμάτων. ὅταν οὖν κατὰ φύσιν ἵσταται αὐτῇ τὰ ἱερὰ αἰσθητήρια, νβ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ ὁ νοῦς περὶ τοὺς λόγους τῶν γεγονότων ἀπλανῶς ὁδεύει, τὸν λόγον ἔχων διαβαίνοντα τὰς φύσεις καὶ τὰς κινήσεις αὐτῶν, κατὰ φύσιν ὁρᾶται αὐτῷ καὶ τὰ πράγματα, καὶ τὰ πρόσωπα, καὶ πᾶσα φύσις ἐνύλων σωμάτων, μὴ ἔχοντά τινα λύμης ἢ βλάβης ἐγκεκρυμμένην αἰτίαν. ὅταν δὲ παρὰ φύσιν αὐτῆς αἱ δυνάμεις κινῶνται, πρὸς ἑαυτὰς στασιάζουσαι, παρὰ φύσιν αὐτῷ καὶ ταῦτα ὁρᾶται· μὴ διὰ τῆς φυσικῆς αὐτῶν καλλονῆς πρὸς κατανόησιν τοῦ γενεσιουργοῦ ταύτην ἀνάγοντα· ἀλλὰ διὰ τῆς ἐμπαθεστάτης ἕξεως αὐτῆς εἰς βυθὸν ἀπωλείας κατάγοντα.

ξγ'. Εἰ πέπτωκας ἐγκαταλειφθεὶς πτώματι σαρκὸς, ἢ γλώττης, ἢ λογισμοῦ, ἐπίπονον ἕλκων καὶ τραχύτατον βίον, μὴ ξένον τοῦτο καὶ παράδοξόν σοι καταφανῇ. σὸν γάρ ἐστι τὸ πτῶμα, καὶ ἀπὸ τῆς σῆς αἰτίας. εἰ μὴ γὰρ αὐτὸς ἢ κενότητι πρῶτον, καὶ ὄγκου μεστόν· ὡς οὐκ ὤφελον· ᾠήθης περὶ σαυτοῦ, ἢ κατεπήρθης ἑτέρου ἀλαζονικῷ τῷ φρονήματι, ἢ ἔκρινας ἐν ἀσθενείᾳ φύσεως ἀνθρωπίνης τινὰ, οὐκ ἂν ἐγκαταλειφθεὶς κρίσει δικαίᾳ Θεοῦ, τὴν ἑαυτοῦ ἐπέγνως ἀσθένειαν. ἔγνως δὲ, ἵν' ἐντεῦθεν μάθῃς μὴ κρίνειν· μὴ φρονεῖν παρ' ὃ δεῖ φρονεῖν· μὴ τινὸς κατεπαίρεσθαι.

ξδ'. Πεπτωκὼς εἰς βάθη κακῶν; μηδαμῶς τὴν ἀνάκλησιν ἀπελπίσῃς, εἰ καὶ εἰς τέταρτον κατηνέχθης ἔσχατον ᾅδου κακίας. εἰ γὰρ ταῖς ἐμπράκτοις ἀρεταῖς προκαταβληθέντα θερμῶς τὸν θεμέλιον ἔχεις παρὰ σοὶ τῆς εὐσεβείας, εἰ καὶ πτῶσιν ὑπέστη κατασεισθὲν τὸ οἰκοδομηθὲν ταύτης οἴκημα παρὰ σοῦ, ἐκ διαφόρων λίθων τῆς ἀρετῆς, ἕως ἐδάφους τῆς ἐμπαθεστάτης γῆς τῶν κακῶν, ἀλλ' οὐκ ἐπιλησθήσεταί σου τῶν παλαιῶν πόνων καὶ ἱδρώτων ὁ Θεός· εἴγε συντετριμμένην ἐπὶ τοῖς πτώμασί σου τὴν καρδίαν φέροις. μεμνημένην τε ἡμερῶν ἀρχαίων, καὶ τὴν ἑαυτῆς ἀνακλωμένην πτῶσιν ἐν στεναγμοῖς, αὐτοῦ κατ' ἐνώπιον. ἐπιβλέπων γὰρ ἐπιβλέψεται τάχιον ἐπὶ σὲ τρέμοντα τοὺς λόγους αὐτοῦ, καὶ ἅψεταί σου τῶν ὀφθαλμῶν ἀοράτως τῆς κατωδύνου καρδίας, καὶ τῷ προκαταβληθέντι παρὰ σοῦ θεμελίῳ τῆς ἀρετῆς μετὰ πόνων, ἐπισκέψει, καὶ δώσει σοι τῆς προτέρας ἰσχύος κρείττονά τε καὶ τελειοτέραν ἰσχὺν, ἐν θέρμῃ ζέοντος πνεύματος· εἰς τὸ πάλιν ἀνακτίσασθαι τὰ καταβληθέντα, βασκανίᾳ τοῦ πονηροῦ, μεθ' ὑπομονῆς ἔργα τῆς ἀρετῆς· καὶ ἀνεγεῖραι, ἐν πνεύματι ταπεινώσεως, τὸν οἶκον αὐτῆς τοῦ προτέρου λαμπρότερον· εἰς ἀνάπαυσιν, κατὰ τὸ γεγραμμένον, αἰωνίαν αὐτοῦ.

ξε'. Πάντα τὰ πρὸς ἀτιμίαν ἡμῖν συμβαίνοντα, εἴτε ἐξ ἀνθρώπων, εἴτε ἐκ δαιμόνων, κρίσει δικαίᾳ Θεοῦ, κατ' οἰκονομίαν ἐπισυμβαίνουσι πρὸς ταπείνωσιν τοῦ ματαίου φυσήματος τῶν ψυχῶν ἡμῶν. σκοπὸς γὰρ τῷ κυβερνήτῃ Θεῷ τῆς ἡμετέρας ζωῆς, τὸ ἀεὶ ταπεινοὺς ἡμᾶς εἶναι, καὶ μὴ φρονεῖν παρ' ὃ δεῖ φρονεῖν· ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν· μὴ δὲ οἴεσθαι μεγάλα περὶ ἑαυτῶν· ἀλλὰ πρὸς αὐτὸν ἀφορᾷν, καὶ μιμεῖσθαι αὐτοῦ, κατὰ τὸ ἐφικτὸν, τὴν μακαρίαν ταπείνωσιν. ἐπειδὴ πρᾶος ἦν καὶ ταπεινὸς τὴν καρδίαν· καὶ τοιούτους ἡμᾶς γενέσθαι ἐπιποθεῖ ὁ ὑπομεμενηκὼς ὑπὲρ ἡμῶν θάνατον ἄδικόν τε, καὶ ἄτιμον. οὐδὲν γὰρ οὕτως ἕτερον φίλον αὐτῷ, καὶ οἰκειούμενον ἐν πάσῃ ἀληθῶς ἀρετῇ, καὶ δυνάμενον ἀπὸ κοπρίας παθῶν ἀνυψοῦν, ὡς πραότης, καὶ ταπείνωσις, καὶ ἀγάπη πρὸς τὸν πλησίον. τούτων δὲ μὴ συνόντων ἡμῖν ἐργαζομένοις τὰς ἀρετὰς, πᾶσα μάταιος ἡ ἐργασία· καὶ ἅπας κόπος ἀσκήσεως, ἀνωφελὴς καὶ ἀπρόσδεκτος.

ξς'. Τοῖς μὲν εἰσαγωγικοῖς εἰς τὸν κατ' ἀρετὴν βίον, φόβος τῶν κολάσεων συ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

-εργεῖ εἰς ἐργασίαν τῶν ἐντολῶν, καὶ ἀποφυγὴν τῶν κακῶν. τοῖς δὲ κατ᾽ ἀρετὴν ἐπὶ θεωρίαν προκόψασι τῆς τοῦ Θεοῦ δόξης, ἄλλος ἀναλόγως παρέπεται φόβος, λίαν ὢν αὐτοῖς φοβερὸς διὰ τῆς ἀγάπης, ὁ ἁγνός· ὃς καὶ συνεργεῖ τούτοις εἰς τὴν παραμονὴν ἀκλονήτως ἵστασθαι τῆς ἀγάπης τοῦ Θεοῦ, φοβουμένοις τὸν ἐκ ταύτης φοβερὸν ὄλισθον. ἐκείνοις μὲν γὰρ πεσοῦσι τοῦ κατὰ χεῖρα σκοποῦ, μεταμελομένοις, καὶ αὖθις ἀνισταμένοις, ὁ πρῶτος φόβος παρέπεται μετ᾽ ἐλπίδων χρηστῶν. τούτοις δὲ τοῦ ὕψους φθόνῳ τοῦ ἀντιπάλου διαμαρτήσασι διὰ πτώσεως τῆς θεωρίας Θεοῦ, οὐκ εὐθὺς ὁ δεύτερος ἕπεται. ἀχλὺς δέ τις καὶ σκότος ψηλαφητὸν αὐτοὺς διαδέχεται, πλῆρες ἀθυμίας, καὶ ὀδυνῶν, καὶ πικρίας μετὰ τοῦ πρώτου τῶν κολάσεων φόβου. καὶ εἰ μὴ Κύριος Σαβαὼθ τὰς ἡμέρας ἐκείνας ἐκολόβωσε τῆς ἀφορήτου ταύτης ὀδύνης, οὐκ ἂν ἐσώθη πᾶς ὁ ἐκεῖθεν ἐκπίπτων.

ιζʹ. Ὁπόταν τῆς ἐπιμόνου τῶν ἐμπαθῶν λογισμῶν ὀχλήσεως ἡ ψυχὴ ἀνεθῇ, καὶ ἡ φλὸξ ἡ τύραννος ἀπομαρανθῇ τῆς σαρκός, ἔσο τηνικαῦτα εἰδὼς τὴν ἐπέλευσιν γίνεσθαι τοῦ Ἁγίου Πνεύματος, ἐν ἡμῖν. μηνύουσαν τὴν ἄφεσιν τῶν προημαρτημένων, καὶ χαριζομένην ἡμῖν τὴν ἀπάθειαν. ἕως δὲ τῆς ὀσμῆς αὐτῶν διὰ τῆς συνεχοῦς ὀχλήσεως ἐμπαθαίνηται, καὶ τὰ ὑπογάστρια φλέγηται τῆς σαρκός, μακρὰν ἴσθι ταύτης εἶναι τὴν εὐωδίαν τοῦ Πνεύματος· καὶ ὅλην ὑπὸ τὰ δεσμὰ κρατεῖσθαι τὰ ἄλυτα τῶν παθῶν τε, καὶ τῶν αἰσθήσεων.

ιηʹ. Εἶδον ὑπὸ τὸν ἥλιον· φησὶν ὁ σοφός· ἄνθρωπον παρ᾽ ἑαυτῷ δόξαντα φρόνιμον εἶναι. ὃν εἶδον ὑπὸ τὴν ζωὴν κἀγὼ τῶν βροτῶν, πεποιθότα ἐπὶ τοῖς ἔργοις αὐτοῦ, καὶ μεγάλα φρονοῦντα ἐπὶ τῇ ἀνθρωπίνῃ σοφίᾳ, καὶ τῇ γεώδει καὶ ψυχικῇ. καὶ οὐ μόνον διὰ ταύτην τῶν ἀπλάστων κατεπαιρόμενον, ἀλλὰ καὶ τῶν ἐν θείᾳ τῇ λέξει διδασκάλων Χριστοῦ κατειρωνευόμενόν τε ὁμοῦ, καὶ καταμωκώμενον, διὰ τὸ τῆς λέξεως αὐτῶν ἰδιόξενον· καὶ ὅτι μὴ ἕπεσθαι εἵλοντο ταῖς ἐκλογαῖς τῶν τετριμμένων λέξεων τῆς θύραθεν γνώσεως· μηδὲ τὸ τῆς θέσεως αὐτῶν εὔρυθμον ἐπιτηδεῦσαι ἐν ταῖς ἐγγράφοις διδασκαλίαις αὐτῶν, ᾧτινι, ὡς ἠγνοηκότι, ὅτι παρὰ τῷ Θεῷ, οὐ πρόσεστι τῶν λέξεων, οὐδὲ τὸ εὔηχον τῶν φωνῶν· ἀλλὰ τὸ εὔσημον, προτιμότερον καὶ φίλον, τῶν νοημάτων, ταύτην παρῳδήσω τὴν παροιμίαν. ὁ κύων ὁ ζῶν, οὗτος ἀγαθὸς ὑπὲρ τὸν λέοντα τὸν νεκρόν. καὶ ἀγαθὸς παῖς πένης καὶ σοφός, ὑπὲρ βασιλέα πρεσβύτην, καὶ ἄφρονα, ὃς οὐκ ἔγνω τοῦ προσέχειν ἔτι.

ιθʹ. Δεινὸν καὶ δυσκαταγώνιστον τὸ πάθος τῆς βλασφημίας· ἔχει δὲ τὰς ἀφορμὰς ἐκ τῆς ὑπερηφάνου διανοίας τοῦ Σατανᾶ· ὃ καὶ πάντας μὲν τοὺς κατὰ Θεὸν ὀχλεῖ βιοῦντας κατ᾽ ἀρετήν· πλέον δὲ τοὺς προκόπτοντας εἰς γνῶσιν, καὶ εἰς θεωρίαν τῶν θείων πραγμάτων. οὗ ἕνεκεν χρὴ πάσῃ φυλακῇ τὰς αἰσθήσεις τηρεῖν, καὶ εὐλαβεῖσθαι ἀπὸ πάντων τῶν φρικτῶν μυστηρίων τοῦ Θεοῦ, καὶ τῶν ἱερῶν τύπων καὶ λόγων, καὶ προσέχειν τῇ ἐφόδῳ τοῦ πνεύματος τούτου· ἐφεδρεύει γὰρ εὐχομένοις καὶ ψάλλουσιν ἡμῖν, καὶ ἐρεύγεται ἔσθ᾽ ὅτε, διὰ τῶν χειλέων ἡμῶν, μὴ προσέχουσιν, ἀρὰς καθ᾽ ἡμῶν καὶ βλασφημίας ἀλλοκότους τῷ Θεῷ τοῦ ὑψίστου· τοῖς στίχοις τῶν ψαλμῶν, καὶ τοῖς ῥήμασι τῆς εὐχῆς παρεισάγων αὐτάς. ἀλλὰ ῥητέον κατ᾽ αὐτοῦ τὸν λόγον Χριστοῦ, ὁπηνίκα τοιοῦτόν τι φέρει ἐν τοῖς χείλεσι, ἢ ὑποσπείρει ἐν ταῖς διανοίαις ἡμῶν. καὶ ὕπαγε Σατανᾶ ὀπίσω μου εἴπωμεν πρὸς αὐτόν, πάσης δυσωδίας ἀνάμεστε, καὶ ὑπόδικε πυρὸς αἰωνίου· κατὰ τῆς κεφαλῆς σου ἡ βλασφημία σου· καὶ αὐτίκα πρὸς

ἄλλο τι

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἄλλό τι τὸν νοῦν πρᾶγμα θεῖον, ἢ ἀνθρώπινον· τό γε νῦν ἔχον· δι' αἰχμαλωσίας ἀπασχολήσωμεν, ἢ καὶ μετὰ δακρύων πρὸς οὐρανοὺς αὐτὸν, καὶ Θεὸν ἀνυψώσωμεν. καὶ οὕτως· Θεοῦ συναιρομένου ἡμῖν, ἀπαλλαγησόμεθα τοῦ βάρους τῆς βλασφημίας.

ξ'. Φθοροποιὸν πάθος ἡ λύπη εἰς ψυχὴν καὶ σῶμα, καὶ αὐτῶν ἁπτομένη τῶν μυελῶν. ἀλλ' ἡ τοῦ κόσμου, ἡ διὰ τὰ πρόσκαιρα τοῖς ἀνθρώποις ἐφισταμένη· ἣ καὶ πολλάκις αὐτοῖς θανάτου παραίτιος γίνεται. ἡ δὲ κατὰ Θεὸν λύπη, ὅμως τε σωτήριος, καὶ λίαν ἐπωφελὴς οὖσα, ὑπομονὴν ἐν τοῖς πόνοις καὶ τοῖς πειρασμοῖς κατεργάζεται· τὴν πηγὴν τῆς κατανύξεως ἀναστομοῦσα τῷ ἀγωνιζομένῳ, καὶ διψῶντι τὴν δικαιοσύνην τοῦ Θεοῦ, καὶ ψωμίζουσα διὰ δακρύων τὴν καρδίαν αὐτοῦ, ὡς πληροῦσθαι τὸ δαβιτικὸν ἐπ' ἐκείνῳ λόγιον. ψωμιεῖς ἡμᾶς· φησὶν· ἄρτον δακρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ τὸν οἶνον τῆς κατανύξεως.

ξα'. Τὰ συμπεπτωκότα μέρη τῆς ψυχῆς ἀπὸ τῆς τῶν κακῶν ἐργασίας, λίαν ἡ κατὰ Θεὸν λύπη ἀνακτᾶται καὶ εἰς τὸ κατὰ φύσιν ἀνακαλεῖται. τοσοῦτον γὰρ τὸν χειμῶνα τῶν παθῶν, καὶ τὰ νέφη τῆς ἁμαρτίας ἐκλεπτύνει διὰ δακρύων, καὶ τοῦ νοητοῦ τῆς ψυχῆς ἀπελαύνει ἀέρος, ὡς αἰθρίαν ἐν τοῖς λογισμοῖς αὐτίκα τοῦ νοὸς ἡμῶν γίνεσθαι· καὶ γαλήνην ἐν τῇ θαλάσσῃ τῆς διανοίας, καὶ εὐφροσύνην ἐν ταῖς καρδίαις ἡμῶν, καὶ ἀλλοίωσιν ἐν τῇ ἐπιφανείᾳ τοῦ προσώπου ἡμῶν. ἐφ' ἣν οἱ καλῶς ὁρῶντες ὥσπερ τὰς ὄψεις, καὶ τὰς διαθέσεις αὐτῶν προσαναπαύοντες, οὕτω κατὰ τὸν Δαβὶδ ἀνακράζουσιν· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου.

ξβ'. Μὴ παραδέχου τοὺς ἐξ ὑπονοιῶν ὑποσπειρομένους σοι λογισμοὺς κατὰ τοῦ πλησίον. εἰσὶ γὰρ ψευδεῖς καὶ ὀλέθριοι, καὶ πάντῃ ἀπατῶντες· ἴσθι οὖν ὅτι διὰ τούτου τοῦ σκοποῦ πειρῶνται οἱ δαίμονες εἰς βόθρον ἀπωλείας ὠθῆσαι τὰς ψυχὰς τῶν ἤδη προκοπὰς ποιούντων ἐν ταῖς ἀρεταῖς. ἄλλως γὰρ εἰς βυθὸν κατακρίσεως, καὶ ἁμαρτίας ἐμπράκτου τῶν ἀγωνιζομένων τινὰ παραπέμψαι οὐ δύνανται, εἰμὴ λαβῶν αὐτὸν ὑπονοίας πείσουσι πονηρὰς, ἐκ τῶν ἔξωθεν ἠθῶν τε καὶ διαθέσεων τοῦ πλησίον. οὕτω γὰρ ὑπὸ κρίσιν καὶ πτῶσιν ἁμαρτίας τοῦτον ποιήσαντες, συγκατακριθῆναι τῷ κόσμῳ ἐργάζονται· κατὰ τὸ ὅσιον λόγιον. εἰ γὰρ ἑαυτούς· φησιν· ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. κρινόμενοι δὲ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

Ὅταν ἐκ ῥᾳθυμίας χώραν δῶμεν τοῖς δαίμοσι λαλεῖν εἰς τὰ ὦτα ἡμῶν τὰς ξγ'.
κατὰ τῶν ἀδελφῶν ὑπονοίας, ἀφυλάκτως δηλονότι ἔχοντες περὶ τὰς κινήσεις τῶν ὀφθαλμῶν, τότε εἰς τὸ κατακρίνειν ἀγόμεθα ὑπ' αὐτῶν, ἔσθ' ὅτε καὶ τοὺς τελείους εἰς ἀρετήν. εἰ γὰρ ὁ χαροπὸν ὁρῶν ὑπομειδιῶντι προσώπῳ· καὶ ὁ εὐπρόσιτος πᾶσιν εἰς ὁμιλίαν συγκαταθετικός σοι πρὸς ἡδονὰς καὶ πάθη δοκεῖ, ἔστω σοι καὶ πᾶς κατηφὴς ὁρῶν καὶ στυγνὸν, θυμοῦ πνέων, καὶ ὑπερηφανίας μεστός. ἀλλ' οὐ χρὴ τοῖς ἀνθρωπίνοις προσέχειν ἰδιώμασι· σφαλερὰ γάρ ἐστι τοῖς πᾶσιν ἡ περὶ τὰ τοιαῦτα κρίσις. εἰσὶ γὰρ ἀνθρώποις πολλαὶ τῷ ὄντι διαφοραὶ φύσεων, καὶ ἕξεων, καὶ σωματικῶν θέσεων. αἳ μόνοις ἐκείνοις εἰκότως εἰσὶν ὑπὸ θεωρίαν καὶ κρίσιν ἀληθινὴν, τοῖς καθαρὸν κτησαμένοις τὸ νοερὸν ὄμμα τῆς ψυχῆς διὰ πολλῆς κατανύξεως, καὶ ἔνοικον ἔχουσι τὸ ἄπειρον φῶς τῆς ἐνθέου ζωῆς. οἷς καὶ τὸ εἰδέναι ἐδόθη τὰ μυστήρια τῆς τοῦ Θεοῦ βασιλείας.

Αὐτουργοὶ τῶν φαύλων ἔργων γινόμε- ξδ'.
νοι τῆς σαρκὸς, τῇ παρὰ φύσιν ἐπιθυ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μίᾳ καὶ τῷ θυμῷ τῆς ψυχῆς λειτουργοῦμεν. σάρκα μὲν μιαίνοντες ταῖς φαύλαις ῥοαῖς τῆς ἁμαρτίας, ψυχὴν δὲ τῇ τοῦ θυμοῦ πικρίᾳ σκοτίζοντες, καὶ ἀπαλλοτριούμενοι τοῦ Υἱοῦ τοῦ Θεοῦ. δεῖ οὖν τὸν μὲν μολυσμὸν τῆς ἀπὸ τοῦ σώματος οὐσιώδους ῥοῆς, διʼ ἐπιρροῆς οὐσιωδῶν δακρύων, ἀποκαθαίρειν. ἵνα ὅπερ ἡ ἡδονὴ διὰ ῥοῆς φυσικῆς κατεμόλυνε σῶμα, τοῦτο ἡ ὀδύνη τῆς λύπης διὰ ῥοῆς αὖθις τῶν δακρύων φυσικῆς ἀποκαθαίρει. τὸν δὲ ζόφον τῆς ψυχῆς τὸν ἀπὸ τῆς τοῦ θυμοῦ πικρίας, διὰ φωτὸς κατανύξεως καὶ γλυκύτητος τῆς κατὰ Θεὸν ἀγάπης, ἀπελάσωμεν, καὶ ἑνωθῶμεν αὖθις, οὗ πρώην διʼ ἐκείνων ἀπηλλοτριώθημεν.

ξέ. Ὥσπερ ὁ ἀπὸ τῆς ἡδονῆς μολυσμὸς τὸν σατανικὸν ἔρωτα προηγούμενον ἔχει εἰς ἀποπλήρωσιν τῆς φαυλότητος, οὕτως ἡ ἀπὸ τῆς ἐπωδύνου λύπης κάθαρσις, τὴν θέρμην ἔχει τῆς καρδίας εἰς ἀποπλήρωσιν τοῦ πένθους καὶ τῶν δακρύων. καὶ τοῦτο οἰκονομία τῆς πρὸς ἡμᾶς τοῦ Θεοῦ ἀγαθότητος, ἵνα κόποις ὀδύνης κόπον ἡδονῆς, καὶ ῥοαῖς δακρύων ῥοὴν αἰσχίστην σαρκὸς ἀποκρουόμενοί τε, καὶ ἐκκαθαίροντες, τοὺς τύπους τῶν φαύλων ἀπὸ τοῦ νοός, καὶ τὰς ἀμόρφους εἰκόνας ἀπὸ τῆς ψυχῆς ἐξαφανίσωμεν, καὶ λαμπροτέραν ταύτην τῷ κάλλει τῷ φυσικῷ ἀποδείξωμεν.

ξς'. Ὃν τρόπον τῷ πονηρῷ πνεύματι ἐνεργούμενος ὁ πορνεύων, μισθὸν καρποῦται τὴν ἡδονὴν τῆς σαρκός, καὶ πέρας αὐτοῦ τῶν φαύλων, ὁ μολυσμός, οὕτως ὁ τῷ Πνεύματι ἄνωθεν ἐνεργούμενος τῷ Ἁγίῳ, μισθὸν καρποῦται τὴν χαρὰν τῆς ψυχῆς, καὶ πέρας αὐτοῦ τῶν καλῶν, ἡ ἐκ τῶν δακρύων κάθαρσις, καὶ ἀναγέννησις, καὶ ἡ πρὸς τὸν Θεὸν ἕνωσις, καὶ συνάφεια.

ξζ'. Δύο οὐσῶν ἐν ἡμῖν τῶν ἐκ τῆς αὐτῆς οὐσίας φυσικῶν ῥεύσεων· γονῆς, καὶ δακρύων, ὑφʼ ἧς τὸν χιτῶνα τῆς ψυχῆς μολυνόμεθα, καὶ διʼ ὧν πάλιν αὐτὸν καθαιρόμεθα· ἀνάγκη τὸν ἐκ τῆς οὐσίας ἡμῶν μολυσμόν, ἀπονίψασθαι διὰ τῶν ἐκ τῆς αὐτῆς οὐσίας κινουμένων δακρύων. ἄλλως γὰρ τὸν ἐκ τῆς φύσεως ῥύπον καθᾶραι ἀδύνατον.

Πᾶσα ψυχῆς πλημμελοῦς διάθεσις, τῷ φαύλῳ κινουμένη τρόπῳ, εἰς ἡδονὴν βραχεῖαν καταλύει τὸν κάματον. πᾶσα δὲ καθαιρομένη ψυχὴ τῆς φαύλης συνηθείας καὶ διαθέσεως, εἰς μακρὰν ἡδονὴν εὐφροσύνης ἐπεκτείνει τοὺς πόνους. καὶ θαῦμα πῶς ἡδονὴν ἡδονὴ καταστέλλουσα, τὴν ἐκ τῆς ἡδονῆς τικτομένην καταγλυκαίνει ὀδύνην. ξή.

Ποτὲ μὲν πικρία καὶ πόνος ἐπιγίνεται τῇ νοερᾷ τῆς καρδίας αἰσθήσει, ἀπὸ τῆς ῥεύσεως τῶν δακρύων· ποτὲ δὲ εὐφροσύνη καὶ ἀγαλλίασις. ὅταν μὲν καθαιρώμεθα, διὰ τῆς μετανοίας, τοῦ ἰοῦ καὶ τοῦ ῥύπου τῆς ἁμαρτίας, θερμότητι πυρός, εἰκότως ἔχοντες τὰ ἐκ ταύτης δάκρυα, ὑπὸ τοῦ θείου πυρὸς ἐκπυρούμενα, καὶ σφύραις βαρείαις ὡσανεὶ τὸν λογισμὸν πληττόμενοι, τοῖς ἐκ βάθους ἀναπεμπομένοις στεναγμοῖς τῆς καρδίας, πικρίας καὶ πόνους νοερῶς τε καὶ αἰσθητῶς αἰσθανόμεθα. ἐπὰν δὲ διὰ τῶν τοιούτων ἱκανῶς καθαρθέντες, δακρύων, ἐπὶ τὴν ἐλευθερίαν ἐλάσωμεν τῶν παθῶν, τηνικαῦτα ὑπὸ τοῦ θείου παρακαλούμενοι πνεύματος, ὡς γαληνὴν καὶ καθαρὰν τὴν καρδίαν κεκτημένοι, ἡδονῆς καὶ γλυκύτητος ἀφάτου πληρούμεθα ὑπὸ τῶν χαροποιῶν δακρύων τῆς κατανύξεως. ξθ'.

Ἄλλα τὰ ἐκ τῆς μετανοίας δάκρυα, καὶ ἕτερα τὰ ἐκ θείας προχεόμενα κατανύξεως. τὰ μὲν γάρ, ὡς ποταμὸς ἐπικλύζων, καὶ κατασύρων πάντα τῆς ἁμαρτίας τὰ ὀχυρώματα. τὰ δέ, ὡς ὄμβρος ἐπʼ ἄγρωστιν γίνεται τῇ ψυχῇ, καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον, τὸν τῆς γνώσεως ό.

στάχυν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

στάχυν ἐκφέροντα, καὶ πολύχουν τοῦτον καὶ καρποφόρον ἀποτελοῦντα.

οα'. Οὐ γὰρ ἔστι δάκρυον, τοῦτο καὶ κατάνυξις· ἀλλὰ πολὺ τὸ μέσον δακρύων, καὶ κατανύξεως. τὰ μὲν γὰρ ἐκ μεταμελείας τῶν τρόπων, καὶ μνήμης τῶν παλαιῶν τῆς ψυχῆς συμπτωμάτων ἐπέρχεται· ὡς ἀπὸ πυρός, καὶ ζέοντος ὕδατος εἰς κάθαρσιν τῆς καρδίας. ἡ δέ, ἐκ θείας δρόσου ἄνωθεν τοῦ πνεύματος, εἰς παράκλησιν καὶ ἀναψυχὴν κάτεισι τῆς ψυχῆς, ἄρτι πρὸς βυθὸν ταπεινοφροσύνης θερμῶς εἰσελθούσης, καὶ ἀπολαβούσης τῆς τοῦ ἀπροσίτου φωτὸς θεωρίας· καὶ πρὸς Θεὸν οὕτω βοώσης δαβιτικῶς ἐν χαρᾷ· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

οβ'. Ἀκήκοα λεγόντων μὴ δύνασθαι τινὰ εἰς ἕξιν ἐλθεῖν ἀρετῆς, ἄνευ ἀναχωρήσεως μακρᾶς καὶ τῆς εἰς ἐρημίαν φυγῆς· καὶ τεθαύμακα· πῶς τὸ ἀπερίγραπτον ἔδοξεν αὐτοῖς ἐν τόπῳ περιορίζεσθαι. εἰ γὰρ ἡ ἕξις τῆς ἀρετῆς, ἡ ἀποκατάστασίς ἐστι τῶν δυνάμεων τῆς ψυχῆς εἰς τὴν παλαιὰν εὐγένειαν, καὶ ἡ ἐπὶ τὸ αὐτὸ σύνοδος τῶν γενικῶν ἀρετῶν, εἰς τὴν κατὰ φύσιν ἐνέργειαν. ταῦτα δὲ οὐκ ἔξωθεν, ὡς ἐπείσακτα, ἡμῖν ἐπιγίνονται, ἀλλὰ συμπεφύκασιν ἡμῖν ἐκ δημιουργίας, κατὰ θείαν καὶ νοερὰν αἴσθησιν, δι' ὧν καὶ μεθ' ὧν κατὰ φύσιν κινούμενοι, εἰσαγόμεθα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἡ δὲ ἐντὸς ἡμῶν ἐστί· κατὰ τὴν τοῦ Κυρίου φωνήν. ἄρα περιττὸν ἡ ἐρημία, εἰσερχομένων ἡμῶν εἰς αὐτήν, καὶ ταύτης χωρίς, διὰ μετανοίας καὶ πάσης φυλακῆς τῶν τοῦ Θεοῦ ἐντολῶν, ἥτις καὶ ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, κατὰ τὸν θεῖον Δαβίδ, δύναται γίνεσθαι. εὐλόγει γάρ· φησίν· ἡ ψυχή μου τὸν Κύριον, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

ογ'. Ὁ μέσον βασιλικῆς παρατάξεως ὑπὸ στρατηγοῖς καὶ λοχαγοῖς συνασπιζόμενός τε, καὶ συγκροτούμενος, μὴ δυνηθεὶς ἐν τῇ μάχῃ τῶν πολεμίων, νεανικόν τι καὶ γενναῖον κατὰ τῶν ἀντιπάλων ἐνδείξασθαι, ἢ κἂν ἕνα τούτων τροπώσασθαι, πῶς μονομαχήσει καὶ ἐν μέσῳ πολλῶν μυριάδων ἐχθρῶν, καὶ στρατηγικόν τι ἔργον ἐνδείξεται, ἄπειρος ὢν τοῦ πολέμου; εἰ δὲ τοῦτο ἐπὶ τῶν ἀνθρωπίνων ἀδύνατον, πολλῷ μᾶλλον ἐπὶ τῶν θείων. τίς γὰρ πρὸς ἐρημίαν φυγών, τὰς τῶν δαιμόνων ἐπιδρομάς, καὶ τῶν παθῶν τὰς ἐφόδους τὰς ἀφανεῖς, καὶ προδήλους γνώσεται; ἢ καταδρομὴν ποιήσεται κατ' αὐτῶν, μὴ πρότερον καλῶς ἐγγυμνασθεὶς τὴν ἐκκοπὴν τοῦ θελήματος, μέσον ἐπὶ συναγωγῆς ἀδελφῶν, ὑπὸ ἐμπείρῳ ἀρχηγῷ τοῦ τοιούτου πολέμου, ἀοράτου ὄντος καὶ νοητοῦ; εἰ δὲ τοῦτο ἀδύνατον, ἄρα πάντη ἀμήχανον, ὅπως ἄλλων ὁ τοιοῦτος ὑπερμαχήσῃ, καὶ ἄλλους διδάξῃ τὰ κατὰ τῶν ἀοράτων ἐχθρῶν τρόπαια.

οδ'. Περίελε ἀπὸ σοῦ ὄνειδος ἀμελείας, καὶ ἐνδείκνωσιν καταφρονήσεως τῶν ἐντολῶν τοῦ Θεοῦ. ἀπόβαλε τὴν φιλαυτίαν, καὶ κατὰ τῆς σαρκὸς ἀφειδῶς ὅρμησον· ζήτησον τὰ δικαιώματα Κυρίου καὶ τὰ μαρτύρια αὐτοῦ· καταφρόνησον δόξης καὶ ἀτιμίας· μίσησον τὰς ἐνδότους ὀρέξεις τοῦ σώματος· φύγε τὸν κόρον, δι' οὗ τὰ ὑπογάστρια ἐκπυροῦνται· ἄσπασαι τὴν πενίαν, τὴν κακοπάθειαν· στῆθι κατὰ παθῶν· στρέψον σου τὰς αἰσθήσεις πρὸς τὰ ἐντὸς τῆς ψυχῆς· νεῦσον ἔνδον πρὸς τὴν τοῦ κρείττονος ἐργασίαν· κούφισον ἀπὸ τῶν ἀνθρωπίνων πραγμάτων· κένωσον πᾶσάν σου τὴν ἰσχὺν εἰς τὴν τῶν ἐντολῶν ἐργασίαν· θρήνησον, χαμεύνησον, νήστευσον, κακοπάθησον, ἡσύχασον, γνῶθι τὸ τελευταῖον, μὴ τὰ περὶ σέ, σαυτὸν δέ· ὑπεράνω τῆς τῶν ὁρωμένων γενοῦ ταπεινώσεως· πέτασόν σου τὸ νοερὸν ὄμμα πρὸς θεωρίαν Θεοῦ, καὶ ἴδε τὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τερπνότητα Κυρίου ἐκ τῆς καλλονῆς τῶν κτισμάτων. κἀκεῖθεν καταβάς, διήγησαι τοῖς ἀδελφοῖς σου τὰ τῆς αἰωνίου ζωῆς, καὶ τὰ μυστήρια τῆς τοῦ Θεοῦ βασιλείας. καὶ τοῦτό ἐστι τὸ ἔργον τῆς ἐξ ἀνθρώπων φυγῆς, δι' ἄκρας ἀσκήσεως, καὶ τὸ πέρας τῆς εἰς ἐρημίαν διατριβῆς.

οε'. Εἰ θέλεις ἰδεῖν τὰ ἀγαθά, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν, ἐν τῇ ἐρημίᾳ γενοῦ τῆς ἀρνήσεως τοῦ ἰδίου θελήματος, καὶ φύγε τὸν κόσμον· ποῖον δὴ τοῦτον; τὴν ἐπιθυμίαν τῶν ὀφθαλμῶν τῆς σαρκός· τὴν ἀλαζονείαν τῶν λογισμῶν· καὶ τὴν ἀπάτην τῶν ὁρωμένων. οὕτω γὰρ ἐὰν φύγῃς τὸν κόσμον, πρώϊμον ἐπανατελεῖ σοι τὸ φῶς, ὄψει τῆς ἐνθέου ζωῆς, καὶ τὰ ἰάματα τῆς ψυχῆς σου· φημὶ δὴ τὰ δάκρυα, ταχὺ ἀνατελεῖ· καὶ τὴν ἀλλοίωσιν ἀλλοιωθήσῃ τῆς δεξιᾶς τοῦ ὑψίστου· καὶ μάστιξ ἔκτοτε παθῶν οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου. καὶ οὕτω μέσον κόσμου καὶ λαοῦ διατρίβων, ἔσῃ ὡς ἐν ἐρημίᾳ διάγων καὶ ἄνθρωπον μὴ ὁρῶν. εἰ δὲ μὴ τοῦτον οὕτω φύγῃς τὸν κόσμον, οὐδέν σοι ἀπὸ τῆς φυγῆς μόνης τοῦ ὁρωμένου κόσμου, πρὸς τελείωσιν τῶν ἀρετῶν, καὶ συνάφειαν Θεοῦ προσγενήσεται.

ος'. Τὸ γενέσθαι Μοναχόν, οὐ τὸ ἔξω τῶν ἀνθρώπων καὶ τοῦ κόσμου γενέσθαι ἐστίν, ἀλλὰ τὸ καταλιπεῖν ἑαυτὸν ἔξω τῶν τῆς σαρκὸς θελημάτων γενέσθαι, καὶ ἐπελθεῖν εἰς ἐρημίαν παθῶν. εἰ γὰρ καὶ πρὸς τὸν μέγαν ἐκεῖνον ἐρρέθη φεῦγε τοὺς ἀνθρώπους καὶ σώζῃ, ἀλλὰ τούτῳ τῷ τρόπῳ ἐρρέθη· ἐπεὶ καὶ μετὰ τὴν φυγὴν ἐκείνου, μέσον ἀνθρώπων ηὐλίζετο, καὶ ἐν οἰκουμέναις ἐνδημῶν ἦν, καὶ μαθηταῖς συνέζη· ἀλλὰ τὴν νοητὴν φυγὴν ἐν τῇ αἰσθητῇ ἀνδρείως φυγών, οὐδὲν παρὰ τῆς τῶν ἀνθρώπων συνουσίας ἐβλάπτετο. τοῦτο δὲ καὶ ἄλλος τῶν μεγάλων ἐβόα, τῆς συνάξεως ἐξερχομένους· φεύγετε ἀδελφοί. ἀλλὰ τὸ σῶμα ἐδείκνυεν, ἐπερωτώμενος τὴν αἰτίαν.

οζ'. Ἡ ἐπὶ τὸ αὐτὸ ἐν συνοδίαις κατοίκησις, τῆς μονώσεως ἀσφαλεστέρα. περὶ μὲν γὰρ τοῦ ἀναγκαίου τῆς ἐπὶ τὸ αὐτὸ κατοικίας, μάρτυς ὁ ἱερὸς λόγος τοῦ Ἰησοῦ, καὶ Θεοῦ. οὗ γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι· φησίν· ἐν τῷ ἐμῷ ὀνόματι, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. περὶ δὲ τοῦ ἐπισφαλοῦς τῆς μονώσεως, ὁ Σολομών. οὐαὶ τῷ ἑνί· φησίν· ὅτι ὅταν πέσῃ, οὐκ ἔστιν ὁ ἐγείρων αὐτόν. καὶ γὰρ τοὺς ἐν ἀγάπῃ καὶ ὁμονοίᾳ τὸν Θεὸν ὑμνοῦντας, καὶ ὁ Δαβὶδ μακαρίζει. μακάριος βοῶν· ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν. καὶ τὴν ἐπὶ τὸ αὐτὸ κατοικίαν ἐπαινεῖ λέγων. ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἅμα. καὶ ἐπὶ τῶν μαθητῶν τοῦ Κυρίου, μία ἦν ἐν αὐτοῖς ἡ ψυχή, καὶ ἡ καρδία. ἀλλὰ καὶ ἡ πρὸς ἡμᾶς τοῦ Θεοῦ κάθοδος, οὐκ ἐν ἐρημίᾳ γέγονεν, ἀλλ' ἐν οἰκουμέναις, καὶ ἐν μέσῳ ἀνθρώπων ἁμαρτωλῶν. ἀναγκαῖον οὖν ἡ ὁμόνοια τῆς ἐπὶ τὸ αὐτὸ ζωῆς. σφαλερὰ δὲ ἡ μόνωσις, καὶ ἐπικίνδυνος.

οη'. Ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα, φησὶν ὁ Κύριος, ἀλλ' οὐαὶ δι' οὗ τὸ σκάνδαλον γίνεται. ὁ γοῦν τὴν εὐλάβειαν ἀπολωλεκώς, καὶ ἐν καταφρονήσει καὶ ἀσεβείᾳ Θεοῦ, μέσον ὁμηγύρεως ἀδελφῶν, ἀναστρεφόμενος, πολλοῖς τῶν ἁπλουστέρων δίδωσι σκάνδαλα. τοῦτο μέν, δι' ἔργων, καὶ σχημάτων, καὶ φαυλοτάτων ἠθῶν. τοῦτο δέ, διὰ λόγων, καὶ ὁμιλίας διεφθαρμένης, καὶ διαφθείρει ψυχάς, ἤθη τε ἀγαθά, καὶ χρηστά.

οθ'. Ὁ τηρῶν τὰς ἐντολὰς τοῦ Θεοῦ, οὐ πέτρα σκανδάλου γίνεται τοῖς ἀνθρώποις, ἐπειδὴ οὐδὲ σκάνδαλόν ἐστιν ἐν αὐτῷ· εἰρήνη γὰρ πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον· ἀλλὰ φῶς, καὶ ἅλας, καὶ ζωή· κατὰ τὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦ Κυρίου φωνήν· ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου, καὶ τὸ ἅλας τῆς γῆς· φῶς μέν, ὡς τὸν βίον ἐνάρετος, καὶ λαμπρὸς τὸν λόγον, καὶ σοφὸς τὴν διάνοιαν. ἅλας δέ, ὡς τὴν γνῶσιν τῶν θείων πολύς, καὶ δυνατὸς τὴν σοφίαν Θεοῦ. ζωὴ δέ, ὡς τοῖς ῥήμασι τῆς ὁμιλίας αὐτοῦ, ζωογονῶν νενεκρωμένους τοῖς πάθεσι, καὶ τοὺς ἐξ ᾅδου ἀνιστῶν ἀπογνώσεως. καὶ τῷ μὲν φωτὶ τῶν ἔργων αὐτοῦ τῆς δικαιοσύνης, λάμπων ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ καταφωτίζων αὐτούς· τῷ δὲ ἁλὶ καὶ στύφοντι τῶν λόγων, συσφίγγων αὐτοὺς ἀπὸ τῆς χαυνότητος, καὶ ἀπαλλάττων τῆς σήψεως τῶν παθῶν· τῇ δὲ ζωῇ τῶν ῥημάτων αὐτοῦ, ζωὴν διδοὺς ταῖς νενεκρωμέναις ὑπὸ τῆς ἁμαρτίας ψυχαῖς.

π΄. Τὸ τῆς κενοδοξίας πάθος, τρίβολόν ἐστι, διὰ κενοδοξίας καὶ οἰήσεως καὶ ὑπερηφανίας, ὑπὸ τῶν δαιμόνων πυρούμενόν τε καὶ χαλκευόμενον· ἀλλ' ἐν τοῖς αὐλιζομένοις ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ, ἀφώρατον γίνεται, καὶ τὰ κέντρα τούτου συνθλῶνται ὑπεστρωμένοις δηλονότι τούτων διὰ ταπεινοφροσύνης καὶ εἰς τὸ φυτὸν τῆς ζωῆς ἐγκαταπαύουσιν.

πα΄. Ὁπόταν ὁ ἀκάθαρτος οὗτος καὶ πολυμήχανος δαίμων προσβάλλῃ σοι προκοπὰς ποιουμένῳ κατ' ἀρετήν, καὶ μαντεύηταί σοι θρόνων ὕψος, ταῖς ἐπινοίαις, ὑπὸ τὸ μνημονευτικὸν ἀνάγων καὶ ἐπαίρων σου τὴν ἐργασίαν, ὡς ὑπερκειμένην τῶν λοιπῶν. ἀλλὰ καὶ ψυχὰς ἄγειν ἱκανόν σε ὑποτίθεται εἶναι· κατέχων αὐτὸν νοερῶς, μὴ ἀφῇς ἀποδρᾶσαι, εἴ γε δύναμιν ἔλαβες ἐξ ὕψους, οὕτω ποιεῖν· καὶ λαβών, ἄπελθε τῇ διανοίᾳ ἐν τῷ δοκεῖν, πρός τι ποτὲ πεπραγμένον σοι φαῦλον· καὶ τοῦτο κατ' ἐνώπιον ἀπογυμνώσας αὐτοῦ, εἰπὲ πρὸς αὐτόν· εἰ οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοί εἰσιν εἰς τοῦτον ἀνελθεῖν προεδρίας ὕψος, καὶ ἱκανοί σοι δοκοῦσιν ἄγειν ψυχάς, καὶ προσάγειν σεσωσμένας Χριστῷ; σὺ ἂν εἴποις, ἐγὼ γὰρ σιωπῶ. μὴ ἔχων οὖν ἐκεῖνος ἀποκριθῆναί σοι τι, ὡς καπνὸς ὑπὸ αἰσχύνης οἰχήσεται· καὶ οὐκ ἔτι μετὰ δυνάμεως ὀχλήσει σοι. εἰ δέ τι πεπραγμένον, ἢ λελεγμένον τῶν φαύλων οὐκ ἔστι σοι, τῆς ὑπερκοσμίου ζωῆς σου, κἂν ταῖς ἐντολαῖς ἑαυτόν, καὶ τοῖς πάθεσιν ἀντιπαράθες τοῦ Κυρίου. καὶ πολλῷ ἑαυτὸν εὑρήσεις τοῦ τελείου ἀπολειπόμενον, ὅσῳ κολυμβάθραν ὑδάτων ἀπολειπομένην θαλάσσης. ἡ γὰρ δικαιοσύνη τῶν ἀνθρώπων τοσούτῳ τῆς δικαιοσύνης ἀπολείπεται τοῦ Θεοῦ, ὅσον εἰς μέγεθος ἡ γῆ τοῦ οὐρανοῦ, καὶ ὁ κώνωψ τοῦ λέοντος.

πβ΄. Ὁ εἰς βάθος τρωθεὶς ὑπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, ἀπολειπομένην ἔχει τῆς προθέσεως τὴν τοῦ σώματος δύναμιν. οὐ γάρ ἐστι κόρος τῇ τούτου προθέσει ἐν πόνοις καὶ ἱδρῶσιν ἀσκήσεως· κατὰ γὰρ τοὺς λίαν διψῶντας διακείμενος, τὸ διακαὲς αὐτῆς, οὐκ ἔστι τὸ θεραπεῦον εἰς κόρον. ἀλλὰ διὰ πάσης ἡμέρας τε, καὶ νυκτὸς διψᾷ τὸ ποιεῖν, καὶ τῇ δυνάμει τοῦ σώματος ἡττᾶται. οἶμαι δὲ ὅτι τῷ ὑπερφυεῖ τούτῳ πάθει καὶ οἱ τοῦ Χριστοῦ Μάρτυρες κρατηθέντες, τῶν βασάνων οὐκ ἐπησθάνοντο· καὶ κόρον οὐκ εἶχον ταύταις προσομιλοῦντες· ἀλλ' ἐνίκων αὐτοὶ ἑαυτοὺς τῷ διακαεῖ πρὸς Θεὸν ἔρωτι, καὶ ἀεὶ ἀπολειπομένους ἑώρων τῆς πρὸς τὸ παθεῖν ἐμπύρου προθέσεως

πγ΄. Ὁ ἑαυτόν, καθ' οἱονδήτινα τρόπον, τινὶ παραμετρῶν τῶν συνασκουμένων, ἢ συνόντων αὐτῷ ἀδελφῶν, λέληθε φρεναπατῶν ἑαυτόν, καὶ ξένην Θεοῦ βαδίζων ὁδόν. ἢ γὰρ ἑαυτὸν ὁ τοιοῦτος οὐκ ἔγνω, ἢ τῆς φερούσης παρατρέχει πρὸς οὐρανούς, ἣν οἱ σπουδαῖοι καταβεβλημένῳ φρονήματι τρέχουσι, καὶ διὰ τῶν παγίδων ὑπερπτάμενοι τοῦ ἐχθροῦ, εἰς τὸν ἀέρα πτέρυξιν ἀπαθείας χωροῦσι, καὶ σὺν

φωτεινοῖς ἐναυλίζουσι τόποις μετεωροφροσύνης κεκοσμημένοι.

πδ'. Ὁ πεφυσιωμένος καὶ οἰήσει τὰς φρένας ἐξαπατώμενος, οὔποτε ταπεινώσεως ἐν φωτὶ κατανύξεως ἐπιτεύξεται χάριτος. δι᾽ ἧς ἐπιβραβεύεται φῶς σοφίας Θεοῦ, τοῖς τὴν καρδίαν συντετριμμένοις, κατὰ τὸ γεγραμμένον, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς, ἀλλὰ νὺξ αὐτὸν καλύψει παθῶν, ἐν ᾗ πάντα τὰ θηρία τοῦ δρυμοῦ τῆς ἀνθρωπίνης φύσεως διέρχονται· καὶ οἱ σκύμνοι τῆς οἰήσεως, ὁ τῆς κενοδοξίας λέγω, καὶ τῆς πορνείας δαίμων, ὠρυόμενοι ζητοῦσι τίνα καταπίωσι· καὶ εἰς γαστέρας ἀπογνώσεως παραπέμψωσι.

πε'. Τῷ ζῶντι κατὰ ἀνθρώπους, καὶ κινουμένῳ τῷ τῆς οἰήσεως πνεύματι, θάλασσα κακῶν ὁ βίος καὶ ἡ παροῦσα ζωὴ γίνεται· καταντλοῦσα τὸ νοερὸν αὐτοῦ τῆς ψυχῆς τῇ ἅλμῃ τῶν ἡδονῶν· καὶ τοῖς ἀγρίοις κύμασι τῶν παθῶν, τὸ ἐμμερὲς αὐτοῦ καταποντίσασα ὑπὸ τῶν πνευμάτων δηλονότι τῆς πονηρίας ἐκμαινομένη· ᾧ δὴ ἀπορία μεγίστης ἀθυμίας ἐπανατείνεται· ἡνίκα τὸ σκάφος αὐτοῦ καὶ τὸ πηδάλιον τῆς ψυχῆς ὑπὸ τῶν ἡδονῶν συντρίβεται τῆς σαρκός. καὶ ὁ κυβερνήτης τοῖς ὑπὸ τὸν βυθὸν τῆς ἁμαρτίας, καὶ τὸν κοινὸν θανάτου γίνεται· ἕως ἡ μὲν θάλασσα τῶν κακῶν, εἰς ἄβυσσον ταπεινώσεως καὶ γαλήνην αὐτοῦ καταστορέσῃ τὰ κύματα. ἡ δὲ ἅλμη τῶν ἡδονῶν, εἰς ὄμβρους δακρύων τὰ ῥεύματα μεταστρέψῃ, καὶ εἰς ἡδονὴν μεταβάλῃ φωτοειδοῦς κατανύξεως.

πϛ'. Ὁ εἰς κόρον ταῖς τοῦ σώματος ἡδοναῖς, καὶ ταῖς πράξεσιν αὐτοῦ ἐνδιαλύσας, εἰς κόρον χρήσαιτο καὶ τοῖς τῆς ἀσκήσεως πόνοις, ἐν ἱδρῶσι κακοπαθείας· ἵνα κόρος κόρῳ, καὶ ἡδονὴ ὀδύνῃ, καὶ ἄνεσις κόποις σώματος ἐκκρουσθῶσι, καὶ κόρον εὐφροσύνης καὶ ἀγαλλιάσεως εἰς ἀνάπαυσιν εὕρῃ. οὕτω γὰρ καὶ ἁγνείας κατατρυφήσει τῆς εὐωδίας καὶ καθαρότητος· καὶ ἡδονῆς ἀπολαύσει ἀρρήτου, τῶν ἀθανάτων καρπῶν τῶν τοῦ πνεύματος. ἐπειδὴ καὶ τὰ σμήχοντα φάρμακα κατὰ ἀναλογίαν εἰώθαμεν τῷ ῥύπῳ τῶν ἐνδυμάτων, εἰς κάθαρσιν αὐτῶν ἐπιβάλλειν, ἡνίκα τῷ ῥύπῳ εἰς βάθος ἀχρειωθῶσιν.

πζ'. Ἐπωφελῆ τὰ νοσήματα τοῖς ἔτι περὶ τὸν κατ᾽ ἀρετὴν βίον εἰσαγωγικοῖς, συνεργοῦντα τούτοις εἰς τὴν τῆξιν καὶ τὴν ταπείνωσιν τῆς ζεούσης σαρκός. ταῦτα γὰρ τὴν μὲν δύναμιν τῆς σαρκὸς ἀσθενεστάτην ἐργάζονται. τὸ δὲ χοϊκὸν φρόνημα τῆς ψυχῆς, ἐκλεπτύνουσιν· αὐτὸν δὲ τὸν τόνον αὐτῆς, εὐτονώτερόν τε καὶ δυνατώτερον, κατὰ τὸν θεῖον ἀποτελοῦσιν Ἀπόστολον. ὅταν γάρ φησιν ἀσθενῶ, τότε δυνατός εἰμι, ἀλλ᾽ ὅσῳ ταῦτα τούτοις ἐπωφελῆ, τοσοῦτον ἐπιβλαβῆ τοῖς προβεβηκόσιν ἐν πόνοις τῶν ἀρετῶν, καὶ ἄρτι τὴν αἴσθησιν ὑπερκύψασιν, καὶ εἰς οὐρανίας θεωρίας κεχωρηκόσιν. ἀπείργουσι γὰρ αὐτοὺς τῆς ἐπὶ τὰ θεῖα σχολῆς, καὶ ναχιῶσι ταῖς ὀδύναις καὶ περιστάσεσι τὸ τῆς ψυχῆς αὐτῶν λογιζόμενον· τῷ νέφει τε τῆς ἀθυμίας ἐπιθολοῦσιν αὐτό, καὶ τὴν κατάνυξιν τῷ αὐχμῷ τῶν πόνων ἀποξηραίνουσιν. ὃ καὶ Παῦλος εἰδώς, ἐπιμελούμενος καλῶς ἑαυτοῦ τῷ τῆς διακρίσεως νόμῳ, ἔλεγεν. ὑπωπιάζω μου τὸ σῶμα ταῖς γυμνασίαις τῶν πόνων, καὶ δουλαγωγῶ ταῖς θεραπείαις, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

πη'. Ἐκ τῆς ἀνωμάλου καὶ μὴ τὸ ἴσον ἐχούσης διαίτης, πολλάκις τίκτονται τοῖς πολλοῖς τὰ νοσήματα. ἢ πρὸς ἄκραν ἀσιτίαν τοῦ σπουδαίου, καὶ εἰς πόνους ἀρετῶν ἀμέτρως καὶ ἀδιακρίτως ἐκταθέντος. ἢ πρὸς ἀδηφαγίαν, καὶ κόρον ἐκκλίναντος, τὸν τῇ φύσει πολέμιον. ἀναγκαῖον οὖν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῖς τε πρὸς ἀρετὴν εἰσαγωγικοῖς ἡ ἐγκράτεια. καὶ τοῖς ὑπὲρ τὸ μέσον τοὺς ἀγῶνας μεταθεμένοις εἰς τὴν ἀκροτάτην τῆς θεωρίας ἐπίβασιν. μήτηρ γὰρ ὑγείας αὕτη. φίλη τῆς ἁγνείας, καὶ ταπεινοφροσύνης ἀγαθὴ σύνοικος.

πθ'. Διττὴν εἶναι τὴν ἀπάθειαν οἶδα, καὶ διττῶς ἐν τοῖς σπουδαίοις μάλιστα γίνεσθαι. καὶ πρῶτον μέν, ἀπὸ τοῦ τέλους τῆς ἐμπράκτου φιλοσοφίας, ἡ πρώτη γίνεται τοῖς σπουδαίοις ἀπάθεια, ἥτις ἐκ νομίμου ἀθλήσεως τοῖς πόνοις πολυτρόπως προκόψασα, νεκροῦν μὲν οἶδεν αὐτίκα τὰ πάθη, καὶ τὰς ὁρμὰς τῆς σαρκὸς ἀπράκτους ἱστᾷν. κινεῖσθαι δὲ πρὸς τὸ κατὰ φύσιν τὰς τῆς ψυχῆς δυνάμεις ποιεῖ· καὶ τὸν νοῦν ἐν μελέτῃ τῶν θείων μετὰ συνέσεως ἀποκαθιστᾷ. ἔπειτα ἀπὸ τῆς ἀρχῆς τῆς φυσικῆς θεωρίας, ἡ δευτέρα καὶ πλειοτέρα σοφῶς αὐτοῖς ἐπιγίνεται· ἥτις ἐκ τελείας ἡσυχίας τῶν λογισμῶν, εἰς εἰρηνικὴν τοῦ νοὸς ἀνυψωθεῖσα κατάστασιν, διορατικώτατόν τε καὶ προορατικώτατον οἶδε τὸν νοῦν ἀπεργάζεσθαι. διορατικώτατον μέν, ἐν πράγμασι θείοις, ἔν τε ὀπτασίαις τοῦ κρείττονος, ἔν τε ἀποκαλύψεσι μυστηρίων Θεοῦ. προορατικώτατον δέ, ἐν πράγμασιν ἀνθρωπίνοις, μακρόθεν ἐρχομένοις καὶ μέλλουσι γίνεσθαι. ἐν αἷς ἓν καὶ τὸ αὐτὸ πνεῦμα τὸ ἐνεργοῦν ἐστι, τὸ κρατοῦν μὲν καὶ συνέχον κατὰ τὴν πρώτην ἀπάθειαν, ἀπολῦον δέ, κατὰ τὴν δευτέραν, καὶ ἐλευθερίαν αἰωνίου ζωῆς, ὡς ὁ Παῦλός φησι.

ϟ'. Ὁ τῆς ἀπαθείας πλησιάσας τοῖς ὅροις, ὀρθὰς μὲν περὶ Θεὸν καὶ τὰς φύσεις τῶν ὄντων, ποιούμενος τὰς ὁράσεις, ἐκ τῆς καλλονῆς τῶν κτισμάτων ἀναλόγως τῆς αὐτοῦ καθαρότητος πρὸς τὸν ποιητὴν ἀνατρέχων, δέχεται τὰς φωτοχυσίας τοῦ πνεύματος. ἀγαθὰς δὲ τὰς ὑπολήψεις ἔχων πρὸς πάντας, ἀεὶ λογίζεται περὶ πάντων καλά· ἁγίους τε πάντας ὁρᾷ καὶ ἁγνούς, καὶ περὶ θείων καὶ ἀνθρωπίνων πραγμάτων τὴν κρίσιν ὀρθὴν ἐπιφέρεται. καὶ ἐρᾷ μὲν οὐδενὸς τῶν περὶ τὴν ὕλην τοῦ κόσμου, καὶ τοῖς ἀνθρώποις σπουδαζομένων. ἐκδὺς δὲ τὸν νοῦν τῆς παγκοσμίου αἰσθήσεως, πρὸς οὐρανούς, καὶ Θεὸν ἀνατρέχει καθαρὸς πάσης ἰλύος, καὶ πάσης δουλείας ἐλεύθερος, καὶ ὅλος γίνεται τῶν κοινῶν τοῦ Θεοῦ ἀγαθῶν ἐν μόνῳ τῷ πνεύματι, καὶ τὸ θεῖον κάλλος ὁρᾷ, καὶ θεοπρεπῶς ἐμφιλοχωρεῖ τοῖς θείοις τόποις, τῆς μακαρίας Θεοῦ δόξης, ἐν ἀρρήτῳ σιγῇ καὶ χαρᾷ, καὶ τὰς αἰσθήσεις πάσας ἀλλοιωθείς, ὡς ἄγγελος ἐν ὑλικῷ σώματι, ἄυλος τοῖς ἀνθρώποις συναναστρέφεται.

ϟα'. Αἰσθήσεις οἶδεν ὁ λόγος πέντε καὶ τῆς ἀσκήσεως. ἀγρυπνίαν· μελέτην· εὐχήν· ἐγκράτειαν· καὶ ἡσυχίαν· ταύταις ὁ τὰς ἑαυτοῦ αἰσθήσεις ἐπισυνάψας. καὶ τὴν μὲν ὅρασιν τῇ ἀγρυπνίᾳ, τὴν ἀκοὴν δὲ τῇ μελέτῃ, τὴν ὄσφρησιν τῇ εὐχῇ, τὴν γεῦσιν τῇ ἐγκρατείᾳ, καὶ τὴν ἁφὴν συζεύξας τῇ ἡσυχίᾳ, ταχέως καθαίρει τὸν νοῦν τῆς ἰδίας ψυχῆς, καὶ λεπτύνας διὰ τούτων αὐτόν, ἀπαθῆ καὶ διορατικὸν αὐτὸν ἀπεργάζεται.

ϟβ'. Νοῦς ἀπαθής ἐστιν, ὁ τῶν ἑαυτοῦ κρατήσας παθῶν, καὶ ὑπεράνω λύπης καὶ χαρᾶς γεγονώς. ὃς οὔτε ταῖς ἐξ ἐπιφορῶν λύπαις ἐπιστυγνάζει, οὔτε τῇ ἐξ εὐθυμίας διαχεῖται χαρᾷ. ἀλλ' ἐν μὲν ταῖς θλίψεσι, χαιρομένην ἐπιφερόμενος τὴν ψυχήν· ἐν δὲ ταῖς εὐθυμίαις, ἐγκρατευομένην, καὶ μὴ τοῦ μέτρου φερομένην ἐκτός.

ϟγ'. Πολλὰς κατὰ τῶν εἰς θεωρίαν προκοπὰς ποιουμένων ἡ τῶν δαιμόνων μανία. ἐφεδρεύουσι γὰρ κατ' αὐτῶν νύκτα καὶ μεθ' ἡμέραν. καὶ διὰ μὲν τῶν συνόντων, πειρασμοὺς χαλεποὺς ἑαυτοῖς ἐπεγείρουσι. δι' ἑαυτῶν δέ, κτύπους ποιοῦσιν εἰς φόβον. καὶ ὑπνοῦσιν ἐπιτίθενται αὐτοῖς, τῇ ἀνέσει



Athos Library
Αγιορειτική Βιβλιοθήκη

φθονοῦντες αὐτῶν, καὶ ποικίλως λυποῦσιν αὐτάς· οὐ καὶ μὴ δύνανται ἀδικῆσαι τὰς ἀνακειμένας Θεῷ. Καὶ εἰ μὴ Ἄγγελος Κυρίου παντοκράτορος ὁ φυλάσσων αὐτὰς ἦν, οὐκ ἂν τῆς αὐτῶν ἐπιβουλῆς καὶ τοῦ θανάτου τὰς βρόχους ἐξέφυγον.

ϟδʹ. Ἐναγωνίως ἔχων περὶ τὴν ἔμπρακτον φιλοσοφίαν τῆς ἀρετῆς, πρόσεχε ἀκριβῶς ταῖς τῶν ὀλεθρίων δαιμόνων ἐπιβουλαῖς. Ὅσῳ γὰρ ἀναβάσεις προκοπῶν εἰς ὑψηλὰς ἀρετὰς διατίθεσαι, καὶ τὸ φῶς αὐξάνεταί σοι τὸ θεῖον ἐν προσευχαῖς, καὶ πρὸς ἀποκαλύψεις ἔρχῃ καὶ ὀπτασίας ἀρρήτους διὰ τοῦ Πνεύματος, τοσοῦτον ἐκεῖνοι ἀνερχόμενόν σε ὁρῶντες πρὸς οὐρανόν, τρίζουσι τοὺς ὀδόντας, καὶ τὰ τῆς κακίας αὐτῶν πολύπλοκα δίκτυα, ἐπὶ τὸν κενὸν ἀέρα σπουδαίως ἐκτείνουσιν. Οὐ μόνον γὰρ οἱ τῆς ἐπιθυμίας καὶ τοῦ θυμοῦ φιλόσαρκοί τε, καὶ θηλυώδεις κατὰ σοῦ πνεύσουσι δαίμονες, ἀλλὰ καὶ οἱ τῆς βλασφημίας φθόνῳ πικρῷ σοι ἐπαναστήσονται. Καὶ πρὸς τούτοις, φανερῶς τε καὶ ἀφανῶς οἱ περὶ τὸν ἀέρα, καὶ τὰς ἀρχάς, καὶ τὰς ἐξουσίας ἱπτάμενοι, κατὰ φαντασίαν γυμνὴν ἐν ἰδέαις ξέναις καὶ φρικταῖς μεμορφωμένοι, εἰς κάκωσίν σου ὅσον τὸ ἐπ' αὐτοῖς ἐγερθήσονται. Ἀλλὰ τῇ νοερᾷ ἐργασίᾳ τῆς προσευχῆς ὄμματι νοὸς ἐγρηγόρῳ ἐνασχολούμενος, καὶ ταῖς ἐννοίαις τῆς φυσικῆς θεωρίας ἐν τοῖς ποιήμασιν ἐμμελετῶν τοῦ Θεοῦ, οὐ φοβηθήσῃ ἀπὸ τοῦ βέλους αὐτῶν τοῦ πετομένου ἡμέρας· οὐδὲ γὰρ τῷ σκηνώματί σου πλησιάσαι ἰσχύσουσιν, ὑπὸ τοῦ ἐν σοὶ φωτὸς οἷα σκότος ἐκδιωκόμενοι, καὶ ὑπὸ τοῦ θείου πυρὸς ἐμπιπράμενοι.

ϟεʹ. Τὴν τοῦ θείου Πνεύματος χάριν δεδίττονται σφόδρα τῆς πονηρίας τὰ πνεύματα· καὶ μᾶλλον ὅταν πλουσίως ἐπιφοιτήσασα, ᾖ καθαιρομένοις ἡμῖν ἐκ μελέτης καὶ καθαρᾶς προσευχῆς. Μὴ τολμῶντα γὰρ πλησιάσαι τῷ σκηνώματι τῆς καταλαμπομένου ἐκεῖθεν, μόναις ταῖς φαντασίαις καὶ τοῖς φοβεροῖς κτύποις, καὶ ταῖς ἀσήμοις φωναῖς ἐκφοβεῖν καὶ ταράσσειν ἐπιχειροῦσι, καὶ τοῦ ἔργου ἀπάγειν τῆς ἀγρυπνίας καὶ προσευχῆς· ἀλλὰ καὶ κατεψευσμένον τι ὑπνώττον αὐτῆς ἐπὶ γῆς, οὐ φείδονται. Φθονοῦντες δὲ τῇ βραχυτάτῃ τῶν πόνων αὐτῆς ἀναπαύσει, ἐφεδρεύουσι, καὶ σπασμοῖς τισιν αἴρουσι τὸν ὕπνον ἀπὸ τῶν βλεφάρων αὐτῶν, ἐπιπονωτέραν τούτων τὴν ζωὴν καὶ ὀδύνης μεστὴν ποιεῖν διὰ τῶν τοιούτων ἐπειγόμενοι.

Ἐνσωματοῦσθαι δοκοῦσι λεπτότητος τὰ ϟϛʹ.
τοῦ σκότους πνεύματα, ὡς ὁ λόγος ἐκ πείρας ὑπονοεῖν δίδωσιν· εἴτε τοῦτο φαντάζονται, τῆς αἰσθήσεως ὑποκλεπτομένης, εἴτε καὶ εἰς τοῦτο κατακριθέντα ἀπὸ τῆς πάλαι ἐκπτώσεως. Πλὴν ὅμως συμπλέκεσθαι τῇ ἐναγωνίῳ ἐφορμῶσι ψυχῇ, ξενουμένης αὐτῆς πρὸς ὕπνον τοῦ δούλου σώματος· ὃ καὶ δοκιμή τις εἶναί μοι δοκεῖ ψυχῆς, ἄρτι γινομένης ὑπεράνω τῆς τοῦ σώματος ταπεινώσεως. Ὡς οὖν τὸ θυμοειδὲς αὐτῆς καὶ ἀνδρεῖον, ὅπως ἔχοι κατὰ τῶν τοιούτων ἀποδειχθῇ, ἀπειλούντων αὐτῇ τὰ φρικτά, ἐνθύμῳ καὶ μανίᾳ πολλῇ· οἷς ἡ ἔρωτι πεπυρωμένη Θεοῦ, καὶ ταῖς γενικαῖς ἀρεταῖς πεπυκνωμένη ψυχή, οὐ μόνον τῷ δικαίῳ θυμῷ ἀντιτάσσεται, ἀλλὰ καὶ τύπτει τούτους, ἥτις αὐτοῖς αἴσθησις ἐν τῷ δοκεῖν ἀψευδῶς ἀπογεννηθεῖσι τῇ ἐκπτώσει τοῦ πρώτου καὶ θείου φωτός.

Πρὸ τῆς συμπλοκῆς καὶ τῆς ἥττης, ϟζʹ.
πολλάκις οἱ δαίμονες τὴν αἴσθησιν τῆς ψυχῆς ἐκταράττουσι, καὶ τὸν ὕπνον ἀπὸ τῶν βλεφάρων ἁρπάζουσιν. Ἀλλὰ θάρσους καὶ ἀνδρείας ἡ ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου πεπληρωμένη ψυχή, ἀλογεῖ μὲν τῆς τούτων ἐφόδου καὶ πικρᾶς μανίας, ἐν δὲ τῷ ζωοποιῷ μόνῳ τύπῳ, καὶ τῇ ἐπικλήσει τοῦ Υἱοῦ καὶ Θεοῦ, τάς τε φαν-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τασίας αὐτῶν διαλύει, καὶ πάντας ἅμα φυγάδας ἀποτελεῖ.

ϟη'. Εἰ τὰ σκῦλα προνομεῦσαι τῶν πολεμίων πνευμάτων, ἐκ πρακτικῆς ἦλθες φιλοσοφίας, ὅρα καὶ πρόσεχε τοῖς ὅπλοις ἑαυτὸν πάντοθεν τοῦ πνεύματος καθοπλίσας. οἶδας γὰρ τίνων τὰ σκεύη ἁρπάσαι προεθυμήθης; πολεμίων μὲν, ἀλλὰ νοητῶν καὶ ἀσάρκων, ὁ μετὰ σώματος ἔτι τῷ βασιλεῖ τῶν πνευμάτων καὶ Θεῷ στρατευόμενος. ἴσθι γὰρ ὡς πικρότερον ἢ πρότερον ἐκστρατεύσουσι κατὰ σοῦ, καὶ πολλοὶ ταῖς κατὰ σοῦ γενήσονται μηχαναῖς· ἕως ἂν λαθόντες ἐν τῷ τὰ σκῦλα προσαπολύειν, μετὰ τούτων σε δορυάλωτον ἀφαρπάσωσι, καὶ πολλῆς πικρίας τὴν ψυχήν σου πληρώσωσιν, ἢ κακοῖς σε καὶ ὀδυνηροῖς καθυποβάλλωσι πειρασμοῖς, εἰς σκόλοπα τῆς σαρκός σου, καὶ κάκωσιν.

ϟθ'. Οὐ δύναται πηγὴ ἀγαθὴ νάματα θολερὰ καὶ ὀζώδη πηγάζειν, ὕλης κοσμικῆς ἀποπνέοντα. οὐδὲ καρδία ἐκτὸς τῆς βασιλείας οὖσα τῶν οὐρανῶν, ῥεῖθρα ζωῆς ποτὲ θείας ἐκβλύζειν, εὐωδίαν μύρου νοητοῦ ἀναπέμποντα. μήτι γάρ φησιν ἡ πηγὴ, ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν; μὴ δύναται βάτος ἐλαίας ποιῆσαι, ἢ βαλανὸς ἐλαία; οὕτως οὐδὲ πηγὴ μία καρδίας, πονηρὸν καὶ ἀγαθὸν ἐπὶ τὸ αὐτὸ τεκεῖν τόκμα. ἀλλ᾽ ὁ μὲν ἀγαθὸς ἄνθρωπος, ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ, ἐκφέρει τὰ ἀγαθά· ὁ δὲ πονηρὸς, ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ, ἐκφέρει τὰ πονηρὰ κατὰ τὴν τοῦ Κυρίου φωνήν.

Ὥσπερ ἀδύνατον ἐλαίου καὶ πυρὸς ἄνευ λύχνον καίεσθαι, καὶ φαίνειν τοῖς ἐν τῇ οἰκίᾳ, οὕτω καὶ ψυχήν, ἀμήχανον ἄνευ θείου πνεύματος καὶ πυρὸς, τὰ θεῖα τρανότερον φθέγγεσθαι, καὶ φωτίζειν ἀνθρώπους. πᾶν γὰρ δώρημα τέλειον, ἄνωθέν ἐστιν ἐκ τοῦ τῶν φώτων πατρὸς, ἐπιβραβευόμενον πάσῃ φιλοθέῳ ψυχῇ. παρ᾽ ᾧ οὐκ ἔνι κατὰ τὸ λόγιον παραλλαγὴ, καὶ τροπῆς ἀποσκίασμα. ρ'.

# ΤΟΥ ΑΥΤΟΥ

## ΔΕΥΤΕΡΑ

## Φυσικῶν κεφαλαίων

# ΕΚΑΤΟΝΤΑΣ,

## Περὶ τῆς τοῦ νοὸς καθάρσεως.

α'. Ἀρχὴ μὲν ἀγάπης Θεοῦ, τῶν ὁρωμένων καὶ ἀνθρωπίνων πραγμάτων ἡ καταφρόνησις. μεσότης δὲ, καρδίας καὶ νοὸς κάθαρσις· ἐξ ἧς ἡ νοερὰ τῶν νοητῶν ὀφθαλμῶν ἀποκάλυψις, καὶ ἡ ἐπίγνωσις τῆς κεκρυμμένης ἐν ἡμῖν τῶν οὐρανῶν βασιλείας· τέλος δὲ, ἀκατάσχετος ἔρως τῶν ὑπὲρ φύσιν τοῦ Θεοῦ δωρεῶν, καὶ φυσικὴ ἐπιθυμία τῆς μετὰ Θεοῦ συναφείας αὐτῆς τῆς ἐν αὐτῷ καταπαύσεως.

Ὅπου ἔρως Θεοῦ, καὶ τῶν νοητῶν πραγμάτων ἡ ἐργασία, καὶ ἡ μετουσία τοῦ ἀπροσίτου φωτὸς, ἐκεῖ τῶν δυνάμεων τῆς ψυχῆς εἰρήνη, καὶ νοὸς κάθαρσις, καὶ ἡ ἐνοίκησις τῆς Ἁγίας Τριάδος. ὁ γὰρ ἀγαπῶν με, φησὶ, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς β'.

αὐτὸν

αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν.

γʹ. Τρεῖς οἶδεν ὁ λόγος καταστάσεις τοῦ βίου· σαρκικήν, ψυχικήν, καὶ πνευματικήν. Τούτων ἑκάστη τὴν οἰκείαν ἔχει διάθεσιν τῆς ζωῆς διακεκριμένην πρὸς ἑαυτήν, καὶ τῶν ἄλλων ἀνόμοιον.

δʹ. Ἡ σαρκικὴ τοῦ βίου κατάστασις, ὅλη καθόλου πρὸς ἡδονὰς καὶ ἀπολαύσεις τῆς παρούσης ζωῆς καταγίνεται· μηδὲν οὐκ ἀπὸ τῆς ψυχικῆς καταστάσεως, ἢ ἀπὸ τῆς πνευματικῆς πρὸς ἑαυτὴν ἔχουσα, ἢ καὶ ὅλως βουλομένη προσκτήσασθαι. Ἡ δὲ ψυχική, μεθόριός τις οὖσα κακίας καὶ ἀρετῆς, πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν καὶ ῥῶσιν ὁρᾷ, καὶ πρὸς τὸν ἔπαινον τῶν ἀνθρώπων· ἐπίσης τούς τε πόνους ἀποσειομένη τῆς ἀρετῆς, καὶ τὰς πράξεις φεύγουσα τῆς σαρκός· μὴ προσκειμένη κακίᾳ, ἢ ἀρετῇ διὰ τὰς ἐν αὐταῖς ἀντιθέτους αἰτίας. Ἀρετῇ μέν, διὰ τὸ τραχὺ ταύτης ὁμοῦ, καὶ ἐπίπονον· κακίᾳ δέ, διὰ τὸ μὴ προσαπολέσαι τοὺς τῶν ἀνθρώπων ἐπαίνους. Ἡ δὲ πνευματικὴ τοῦ βίου κατάστασις, τούτων μὲν οὐδὲν οὔτε ἔχειν αἱρεῖται, οὔτε πρὸς οὐδὲν κακὸν καταγίνεσθαι τὰ ἀμφότερα· ἀλλ᾽ ὅλη δι᾽ ὅλου ἐλευθερώσασα ταύτης, κἀκείνης, πτέρυξι περιηργυρωμένη ἀγάπης καὶ ἀπαθείας, ὑπεριπταμένη τῶν ἀμφοτέρων, μήτε πράττουσά τι τῶν ἀπηγορευμένων, καὶ τὴν ἀργίαν ἀποφεύγουσα τῶν κακῶν.

εʹ. Οἱ σαρκικῶς ζῶντες, καὶ πολὺ τὸ τῆς σαρκὸς φρόνημα ἐπικείμενον ἐν ἑαυτοῖς ἔχοντες, σάρκες αὐτόχρημα ὄντες, οὐ δύνανται ἀρέσαι Θεῷ. Σκοτεινοὶ γάρ εἰσι τοῖς φρονήμασι, καὶ τῶν ἀκτίνων τοῦ θείου φωτὸς πάντων ἀμέτοχοι. Τὰ γὰρ ἐπιπροσθοῦντα νέφη τῶν παθῶν, ὥσπερ ὑψηλὰ τείχη ἀποτειχίζοντα ἔχοντες τὰς λαμπηδόνας τοῦ Πνεύματος, ἀφώτιστοι διαμένουσι. Πηροὶ δὲ τὰς αἰσθήσεις ὄντες τῶν ἰδίων ψυχῶν, οὐ δύνανται πρὸς τὰ κάλλη τοῦ Θεοῦ ἀνανεῦσαι, καὶ τὸ φῶς ἰδεῖν τῆς ἀληθινῆς τῷ ὄντι ζωῆς, καὶ ὑπεράνω γενέσθαι τῶν ὁρωμένων τῆς ταπεινώσεως. Ἀλλ᾽ οἷον ἀποκτηνωθέντες καὶ αἴσθησις γεγονότες τοῦ κόσμου, τοῖς αἰσθητοῖς καὶ ἀνθρωπίνοις πράγμασι, τὸ τοῦ λόγου δεσμοῦσιν ἀξίωμα. Καὶ τὸν ἀγῶνα πάντα πρὸς τὰ ὁρώμενα καὶ φθειρόμενα ἔχουσιν, ἀλλήλοις διὰ ταῦτα μαχόμενοι, καὶ ὑπὲρ τῶν τοιούτων ἔσθ᾽ ὅτε καὶ τὰς ἰδίας ψυχὰς τιθέντες, ἀντεχόμενοι χρημάτων, δόξης, καὶ ἡδονῶν τῆς σαρκός, καὶ ζημίαν μεγάλην τὴν τῶν τοιούτων ἀποτυχίαν ἡγούμενοι. Πρὸς οὓς εἰκότως ὡς ἐκ προσώπου τοῦ Θεοῦ τὸ προφητικὸν ἐκεῖνο λόγιον λέγεται· οὐ μὴ μείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας.

ϛʹ. Οἱ ψυχικῶς ζῶντες, καὶ διὰ τοῦτο καλούμενοι ψυχικοί, ἡμίμωροί τινες, καὶ ὡς πηρωμένοι τὰ μέλη τυγχάνουσι, μήτε πονέσαι ποτὲ ὑπὲρ ἀρετῆς, καὶ ἐντολῆς Θεοῦ προθυμούμενοι, καὶ τὰς ἐπιψόγους πράξεις διὰ τὴν τῶν ἀνθρώπων δόξαν ἐκφεύγοντες· φιλαυτίᾳ δὲ τῇ τροφῷ τῶν ὀλεθρίων παθῶν κατακρατούμενοι, πάσης θεραπείας, διὰ τὴν ὑγείαν καὶ ἀπόλαυσιν τῆς σαρκός, ἀντιποιοῦνται· καὶ πᾶσαν θλῖψιν, καὶ πάντα πόνον, καὶ πᾶσαν κακοπάθειαν ὑπὲρ ἀρετῆς, ἀποσείονται, τὸ πολέμιον πέρα τοῦ δέοντος ἐκθάλποντες σῶμα. Οὕτω δὲ βίου καὶ ἀγωγῆς ἔχοντες, ἀπογυιοῦνται τὸν νοῦν, τοῖς πάθεσι παχυνθέντα, καὶ ἀπαράδεκτοί εἰσι τῶν κρυπτῶν, καὶ θείων πραγμάτων, ὑφ᾽ ὧν ἡ ψυχὴ τῆς ὕλης ἁρπάζεται, καὶ ὅλη πρὸς καινοὺς ἐμπεριπολεῖ οὐρανούς. Τοῦτο δὲ πάσχουσιν, ὑπὸ τοῦ ὑλικοῦ ἔτι κατεχόμενοι πνεύματος, ὡς τὰς ἰδίας φιλοῦντες ψυχάς, καὶ ποιεῖν τὰ θελήματα αὐτῶν προαιρούμενοι· κενοὶ γὰρ ὄντες Πνεύματος Ἁγίου, ἀμοιροί εἰσι καὶ τῶν χαρισμάτων αὐτοῦ. Ὅθεν οὐδὲ καρ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πὸν ἐστὶ θεῖον ἰδεῖν ἐν αὐτοῖς, ἀγάπην εἰς Θεόν, καὶ τὸν πλησίον· ἢ χαρὰν ἐν πτωχείᾳ καὶ θλίψεσιν, ἢ ψυχῆς εἰρήνην, ἢ ἐνδιάθετον πίστιν, ἢ περιεκτικὴν ἐγκράτειαν· ἀλλ' οὐδὲ κατάνυξιν, ἢ δάκρυον, ἢ ταπείνωσιν, καὶ συμπάθειαν. πάντα δὲ ὄγκου, καὶ ὑπερηφανίας μεστά· ἐντεῦθεν καὶ ἐμβαθύνειν εἰς τὰ βάθη τοῦ πνεύματος οἴκοθεν δυνάμεως ἀποροῦσιν. οὐδὲν γάρ ἐστιν ἐν αὐτοῖς τὸ ὁδηγοῦν φῶς, καὶ διανοῖγον τὸν νοῦν εἰς τὸ συνιέναι τὰς γραφάς. ἀλλὰ γὰρ οὐδὲ ἄλλων διηγουμένων ἀκοῦσαι ταῦτα ἀνέχονται. εἰκότως οὖν καὶ περὶ τῶν τοιούτων ὁ Ἀπόστολος ἀπεφήνατο· ψυχικὸς ἄνθρωπος, οὐ δέχεται τὰ τοῦ πνεύματος, μωρία γὰρ αὐτῷ ἐστὶ, καὶ οὐκ οἶδεν, ὅτι ὁ νόμος πνευματικός ἐστι καὶ πνευματικῶς ἀνακρίνεται.

ζ'. Οἱ πνεύματι στοιχοῦντες, καὶ τὴν πνευματικὴν ἐπανῃρημένοι δι' ὅλου ζωήν, εὐάρεστοί εἰσι τῷ Θεῷ, αὐτῷ ὡς ναζιραῖοι προσανακείμενοι. ἀεὶ γὰρ πόνοις ἑαυτῶν καθαίρουσι τὰς ψυχάς, καὶ τὰς ἐντολὰς τοῦ Κυρίου τηροῦσι· κενοῦντες ἑαυτῶν τὰ αἵματα ὑπὲρ τῆς ἀγάπης αὐτοῦ· καθαίρουσι τὴν σάρκα νηστείαις καὶ ἀγρυπνίαις· δάκρυσι τὸ πάχος λεπτύνουσι τῆς καρδίας· κακοπαθείαις νεκροῦσι τὰ μέλη· προσευχῇ καὶ μελέτῃ τὸν νοῦν πληροῦσι φωτός, καὶ λαμπρὸν αὐτὸν ἀπεργάζονται. τῇ ἀπαρνήσει τῶν θελημάτων, χωρίζουσι τὰς ἰδίας ψυχὰς ἀπὸ τῆς τοῦ σώματος προσπαθείας· καὶ ὅλοι μόνου τοῦ πνεύματος γίνονται· διὸ καὶ πνευματικοὶ οὐ μόνον γνωρίζονται, ἀλλὰ καὶ καλοῦνται παρὰ πάντων εἰκότως. οὗτοι πρὸς ἀπάθειαν καὶ ἀγάπην ἐρχόμενοι, πρὸς θεωρίαν πτεροῦνται τῆς κτίσεως. καὶ τὴν γνῶσιν ἐκεῖθεν τῶν ὄντων διὰ σοφίας λαμβάνουσι τῆς ἀποκεκρυμμένης Θεοῦ, καὶ μόνοις διδομένης τοῖς ὑπεράνω γινομένοις τῆς τοῦ σώματος ταπεινώσεως. τοίνυν καὶ πᾶσαν τὴν αἴσθησιν τοῦ κόσμου διαπεράσαντες, καὶ διανοίᾳ πεφωτισμένῃ εἰς τὰ ὑπὲρ αἴσθησιν γεγονότες, ζωοῦνται τὸν λόγον. καὶ ἐν μέσῳ Ἐκκλησίας Θεοῦ καὶ συναγωγῆς πολλῆς τῶν πιστῶν, λόγους ἀγαθοὺς ἐκ καθαρᾶς καρδίας ἐρεύγονται· καὶ γίνονται τοῖς ἀνθρώποις ἅλας καὶ φῶς· καθὰ καὶ ὁ Κύριος πρὸς αὐτοὺς ἀποφθέγγεται. ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου καὶ τὸ ἅλας τῆς γῆς.

η'. Σχολάσατε, καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός· τοῦ θείου λόγου τοῦτο φωνή, καὶ πρακτικῶς τοῖς βουλομένοις ἐπιγινώσκεται. συμφέρον οὖν ἐστὶ τῷ ἅπαξ ἀποταξαμένῳ τῇ πολυταράχῳ τοῦ βίου καὶ δεινῇ ματαιότητι, διὰ προσοχῆς πολλῆς ἑαυτὸν καὶ ἡσυχίας, τῶν ἔσω πραγμάτων, ἐπιμελῶς ἐπισκέπτεσθαι, καὶ τὸν Θεὸν ἐν ἑαυτῷ ζητεῖν ἐπιγνῶναι· ἐντὸς ἡμῶν οὔσης τῆς βασιλείας αὐτοῦ. μόλις γὰρ ἂν οὕτω ποιῶν τις, διὰ πολλῶν περιόδων τοῦ χρόνου, τοὺς τύπους τῆς κακίας ἀποξέσαι τῆς ψυχῆς δυνηθείη, καὶ τὸ ἀρχαῖον κάλλος τῷ δόντι καθαρῶς ἀνασώσασθαι.

θ'. Ὁ προαποτεθεὶς ἰὸς ἐν ἡμῖν τῆς κακίας, πολὺς ὤν, πολὺ καὶ τὸ πῦρ ἄρα τὸ καθαρτικὸν διὰ δακρύων χρῄζει τῆς μετανοίας, καὶ τῶν ἑκουσίων τῆς ἀσκήσεως πόνων. ἐπειδὴ ἢ δι' ἑκουσίων πόνων καθαιρόμεθα τῶν μολυσμῶν τῆς ἁμαρτίας, ἢ δι' ἀκουσίων ἐπιφορῶν· τῶν γὰρ ἑκουσίων προηγουμένων, οὐχ ὑπαντᾷ τὰ ἀκούσια. ἐκείνων δὲ μὴ ἐνεργούντων τὴν κάθαρσιν τοῦ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ταῦτα σφοδρότερον ἐνεργεῖ τὴν ἡμετέραν πρὸς τὸ ἀρχαῖον ἀποκατάστασιν· οὕτω τοῦ τεχνίτου οἰκονομήσαντος.

ι'. Παίζουσι τὴν εὐσέβειαν, καὶ παίζονται ὑπὸ τῶν πραγμάτων, οἱ μὴ κατὰ λόγον τὴν ἑαυτῶν πεποιηκότες ἀποταγήν, μηδὲ διδασκάλῳ χρήσασθαι καὶ ὁδηγῷ βουληθέντες ἐκ προοιμίων. ἀλλὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῇ ἰδίᾳ συνέσει ἀκολουθήσαντες, καὶ φανέντες ἐνώπιον αὐτῶν ἐπιστήμονες.

ια'. Οὔτε τῶν σωματικῶν παθῶν τὰς νοσοποιοὺς αἰτίας δυνατόν τις ἀκριβῶς εἰδέναι, καὶ τὰς θεραπείας αὐτῶν, ἄνευ πείρας πολλῆς τῆς ἰατρικῆς ἐπιστήμης, οὔτε τῶν ψυχικῶν, ἄνευ τῆς πολλῆς περὶ ταῦτα ἀσκήσεως. ἐπειδὴ ὥσπερ σφαλερὰ δοκεῖ, καὶ ὀλίγοις κομιδῇ εὔγνωστος ἡ τῶν σωματικῶν νοσημάτων διάγνωσις, περὶ ἣν ἡ τῶν ἰατρῶν καταγίνεται ἐπιστήμη, οὕτω σφαλερωτέρα καὶ πολλῷ μᾶλλον, ἢ ἐκείνη, ἡ τῶν ψυχικῶν. ὅσῳ γὰρ ψυχὴ σώματος κρείττων, τοσοῦτον μείζω τὰ ἐκείνης καὶ δυσκατανόητα πάθη, ἢ τὰ φαινόμενα πᾶσιν αἰσθητῶς τὰ τοῦ σώματος.

ιβ'. Φύσει τοῖς ἀνθρώποις αἱ γενικαὶ καὶ ἄρχουσαι τῶν λοιπῶν ἀρεταὶ συνεκτίσθησαν. ἀφ' ὧν ὡς ἐκ τεσσάρων ἀρχῶν οἱ ποταμοὶ τῶν ἄλλων ἁπασῶν ἀρετῶν πληροῦνται ὑδάτων, καὶ ποτίζουσι τὴν πόλιν τοῦ Θεοῦ· ἥτις ἐστὶν ἡ καθαιρομένη καρδία, καὶ παρακαλουμένη διὰ δακρύων. ταύτας ὁ τηρήσας ἀκατασείστους ἀπὸ τῶν πνευμάτων τῆς πονηρίας, ἢ ὁ συμπτωθείσας διὰ πόνων πολλῶν τῆς μετανοίας ἀνεγείρας, οἶκον ἑαυτῷ βασιλικὸν καὶ παλάτιον ἤγειρεν. ἐν ᾧ μονὴν ποιεῖται ὁ Βασιλεὺς τοῦ παντός. καὶ τὰς ὑψηλὰς δωρεὰς αὐτοῦ τοῖς οὕτως ἑαυτοὺς εὐτρεπίσασιν, ἀφθόνως διανέμει καὶ δίδωσι.

ιγ'. Βραχὺς ὁ βίος, μακρὸς ὁ μέλλων αἰών, καὶ ὀλίγον τὸ διάστημα τῆς παρούσης ζωῆς. ἄνθρωπος δὲ τὸ μέγα καὶ βραχὺ τοῦτο ζῶον, οὗ στενὸς ὁ παρὼν ἐδόθη καιρὸς, ἀσθενές. καὶ ὁ μὲν, στενὸς, ὁ δὲ, ἀσθενής. τὸ δὲ προκείμενον ἆθλον, εἰς ἐπάθλων ἀντιμισθίαν, μέγα. μυρίους ἔχων τοὺς σκόλοπας, καὶ εἰς βραχυτάτην κινδυνεῦον ζωήν.

ιδ'. Οὐ βούλεται τῶν σπουδαίων τὴν ἐργασίαν, ὁ Θεός, ἀβασάνιστον εἶναι, ἀλλὰ καὶ λίαν δεδοκιμασμένην. διὰ τοῦτο ἐν τὸ πῦρ ἐπαφίησι τῶν πειρασμῶν, καὶ τὴν χάριν συστέλλει πρὸς ὀλίγον τὴν διδομένην αὐτοῖς ἄνωθεν, καὶ τῶν λογισμῶν τὴν γαλήνην, ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας κυμαίνεσθαι κατὰ καιρὸν συγχωρεῖ· ἵν' ἴδῃ τὴν ῥοπὴν τῆς ψυχῆς, τίνι τὸ πλεῖστον χαρίζεται· πότερον αὐτῷ τῷ ποιητῇ, καὶ εὐεργέτῃ αὐτῆς, ἢ τῇ αἰσθήσει τοῦ κόσμου, καὶ τῷ λείῳ τῆς ἡδονῆς; καὶ οὕτως, ἢ τὴν χάριν διπλασιάζει αὐτοῖς, προκόπτουσιν εἰς τὴν ἀγάπην αὐτοῦ, ἢ μαστίζει πάλιν τοῖς πειρασμοῖς καὶ ταῖς θλίψεσι, προσκειμένους τοῖς πράγμασιν· ἕως οὗ μῖσος λάβωσι τῶν ὁρωμένων τῆς ἀστάτου περιφορᾶς, καὶ τὴν πικρίαν τῶν ἐκεῖθεν ἡδονῶν δάκρυσιν ἀποκλύσονται.

Τῆς εἰρήνης τῶν λογισμῶν ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας ἐκταραχθείσης, αὐτίκα καὶ τὰ πεπυρωμένα βέλη τῆς ἐπιθυμίας, κατὰ τοῦ ὀξέως τρέχοντος πρὸς τὰ ὕψη νοὸς, παρὰ τῶν θηρευτῶν καὶ φιλοσάρκων δαιμόνων, πέμπονται συνεχῶς. ὁ δέ γε νοῦς τῆς ἐπὶ τὰ ἄνω κινήσεως περικοπεὶς, εἰς ἀπρεπεῖς κινήσεις, καὶ πεφυρμένας ἐμπίπτει, καὶ οὕτως ἀπόνως ἡ σὰρξ ἐπανίστασθαι κατὰ τοῦ πνεύματος ἄρχεται, γαργαλισμοῖς τὸν νοῦν καὶ πυρώσεσι καταπονοῦσα, καὶ πρὸς βόθρον ἡδονῆς καταχῶσαι τοῦτον ἐπιθυμοῦσα. καὶ εἰ μὴ Κύριος Σαβαὼθ ἐκολόβωσε τὰς ἡμέρας ἐκείνας, καὶ δύναμιν ὑπομονῆς τοῖς ἑαυτοῦ ἐπεβράβευσε δούλοις, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ. ιε'.

Ὁ τῆς πονηρίας πολύπειρος καὶ πολυμέθοδος δαίμων, τοῖς μὲν, πτῶσις καὶ λάκκος βορβόρου γίνεται· τοῖς δὲ, μάστιξ καὶ ῥάβδος δικαία· τοῖς δὲ, πεῖρα καὶ ψυχῆς βάσανος. τούτων τὸ μὲν, περὶ τοὺς εἰσαγωγικοὺς ἔτι τὸν ζυγὸν ἕλκοντας τῆς ἀσκήσεως, χαύνως, καὶ ἀμελῶς θεωρεῖ- ιϛ'.

ται.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ται. τὸ δὲ, περὶ τοὺς μέσον ἔχοντας προκοπῆς εἰς τὴν ἀρετὴν, καὶ χολαιότερον πρὸς αὐτὴν ἐπεκτεινομένους. τὸ δὲ, περὶ τοὺς ἤδη πρὸς θεωρίαν τὸ πτερὸν πετάσαντας τοῦ νοὸς, καὶ ἄρτι καλῶς ἐλάσαντας πρὸς τὴν τελεωτέραν ἀπάθειαν. ἑκάστου πρὸς τὸ συμφέρον δηλονότι οἰκονομουμένου ἄνωθεν.

ιζ΄. Πτῶσις καὶ λάκκος βορβόρου τοῖς ἐν ἀδιαφορίᾳ πάσῃ τὸν μονήρη διανύουσι βίον, ὁ τῆς πορνείας γίνεται δαίμων. τὰ μέλη τούτων, τῆς πορνείας τῇ φλογὶ καὶ τῇ ἐπιθυμίᾳ, κατεμπιπρῶν, καὶ μεθόδους παρέχων αὐτοῖς εἰς τὸ ποιεῖν τὸ τῆς σαρκὸς θέλημα, καὶ αὐτὰ ὁμιλίας ἑτέρας σαρκός. περὶ ὧν αἰσχρόν ἐστι καὶ λέγειν, καὶ ἐννοεῖν. οὗτοι σάρκα τε, καὶ τὸν εἰρηκότα, μιαίνουσι· καὶ τοὺς καρποὺς ἐσθίουσι τῆς ἁλμυρᾶς ἡδονῆς, καὶ ζόφου τὰς ὄψεις πληροῦνται, καὶ τῶν κρειττόνων ἐνδίκως διαμαρτάνουσιν. οἷς ἴαμα βουλομένοις ἐστὶ, τῆς μετανοίας ἡ θέρμη, καὶ ἡ ἐκ ταύτης τῶν δακρύων κατάνυξις· ἥτις καὶ τὴν ἀποφυγὴν τοῦ κακοῦ ποιεῖται, καὶ τὴν ψυχὴν καθαίρει τῶν μολυσμῶν, καὶ κληρονόμον αὐτὴν τοῦ ἐλέους Θεοῦ ἀπεργάζεται· ἣν εἰκότως καὶ ὁ σοφὸς αἰνιττόμενος Σολομὼν, ἴαμα· ἔφη· καταπαύει ἁμαρτίας μεγάλας.

ιη΄. Μάστιξ καὶ ῥάβδος γίνεται δικαίως τοῦτο τὸ πνεῦμα, τοῖς περὶ τὴν πρώτην ἀπάθειαν τελουμένοις διὰ τῆς ἐμπράκτου φιλοσοφίας, καὶ προκοπὰς ἄρτι ποιουμένοις ἐπὶ τὰ πρόσω, καὶ τελεώτερα. ὁπηνίκα γὰρ τὸν πόνον τῆς ἐχομένης ἀσκήσεως διὰ ῥαθυμίας ἐνδώσουσι, καὶ πρὸς ἀφύλακτον θεωρίαν τῆς τοῦ κόσμου αἰσθήσεως μικρὸν ὑπεκλίνωσι, καὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐν ἐπιθυμίᾳ γένωνται, τηνικαῦτα καὶ ὁ μαστίζων οὗτος κατ' αὐτῶν ἐπαφίεται, διὰ ἄκρας τῆς τοῦ Θεοῦ πρὸς αὐτοὺς ἀγαθότητος, καὶ τύπτειν τὸν λογιζόμενον τοῦτον ἄρχεται, λογισμοῖς ἐπιθυμίας σαρκός· ὡς ἂν μὴ φέροντες, ἐπὶ τὸ οἰκεῖον φρούριον αὖθις ἐπαναδράμωσι σπουδαίως, τῆς ἐντὸς ἐργασίας καὶ προσοχῆς· καὶ προθυμότερον τῶν σωζόντων αὐτοὺς ἔργων, δι' ἐπιπονωτέρας ἀγωγῆς δράξωνται. οὐ βούλεται γὰρ ὁ Θεὸς φιλάγαθος ὢν, τὴν εἰς τοῦτο φθάσασαν ψυχὴν ὅλως πρὸς τὴν τοῦ κόσμου αἴσθησιν ἐπιστρέφεσθαι, ἀλλὰ βαίνειν ἐπὶ τὰ πρόσω ἀεὶ, καὶ τῶν τελειοτέρων ἔργων σπουδαίως ἐφάπτεσθαι· ἵνα μὴ μάστιξ κακίας τοῦ ταύτης ἐγγίσῃ σκηνώματι.

ιθ΄. Πεῖρα, καὶ σκόλοψ, καὶ βάσανος κατ' οἰκονομίαν ἐκείνοις, τοῦτο τὸ πνεῦμα γίνεται, ὅσοις ἡ πρώτη πρὸς δευτέραν ἀπάθειαν ἤλασεν· ὡς ἂν ὑπὸ ταύτης ὀχλούμενοι, τῆς φυσικῆς μεμνῆσθαι ἀσθενείας· καὶ μὴ τῇ ὑπερβολῇ τῶν ἐκ τῆς θεωρίας ἀποκαλύψεων, κατὰ τὸ λόγιον, ὑπεραίρωνται. ἀλλὰ τὸν ἀντιστρατευόμενον τῷ νόμῳ βλέποντες τοῦ νοὸς αὐτῶν, καὶ τὴν ψιλὴν ἀποσείσονται μνήμην τῆς ἁμαρτίας· φόβῳ τοῦ μὴ λαβεῖν αἴσθησιν τῆς ἐντικτομένης λύμης ἀπὸ τῆς μνήμης αὐτῆς· καὶ τοῦ ὕψους τῆς θεωρίας μὴ χαλάσωσι τὸ ὀπτικὸν τοῦ νοὸς αὐτῶν.

κ΄. Μόνοι καὶ τῆς ψιλῆς μνήμης τῆς ἁμαρτίας τὸν ἑαυτῶν νοῦν ἀνενόχλητον διατηρῆσαι ἴσχυσαν, ὅσοι τὴν ζωοποιὸν τοῦ Κυρίου νέκρωσιν ἐν τοῖς ἑαυτῶν μέλεσι, καὶ νοήμασιν ἄνωθεν λαβεῖν διὰ τοῦ πνεύματος ἠξιώθησαν. καὶ τὴν μὲν σάρκα, νεκρὰν τῇ ἁμαρτίᾳ περιφέρουσι· τὸ δὲ πνεῦμα, ζωὴν διὰ δικαιοσύνην τὴν ἐν Χριστῷ Ἰησοῦ κατεπλούτησαν. καὶ ὅσοις ὁ νοῦς ἐδόθη Χριστοῦ ἐν λόγῳ σοφίας, τούτοις καὶ ἡ ἀνενόχλητος ζωοποιὸς νέκρωσις, ἐν γνώσει εὑρέθη Θεοῦ.

κα΄. Ταῖς καθαιρομέναις ἄρτι ψυχαῖς, ἠπιθέτως τὸ τῆς ἐπιθυμίας, καὶ τοῦ θυμοῦ ἐπεμβαίνειν πνεῦμα. τίνα τρόπον; ἵνα τοὺς

καρποὺς κατασείσῃ τοῦ πνεύματος τοῦ Ἁγίου, ἐπιβρύθοντας εἰς ἑαυτάς. ἐπειδὴ δὲ καὶ ἡ χαρὰ τῆς ἐλευθερίας, διάχυσίν τινα ἐργάζεται εἰς τὰς τοιαύτας ψυχάς, ἡ πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦσα σοφία, πρὸς ἑαυτὴν ἀεὶ βουλομένη διὰ τῶν αὐτῆς χαρισμάτων ἕλκειν αὐτῶν τὴν διάνοιαν, καὶ μένειν αὐτὰς ἐν ταπεινοφροσύνῃ ἀσείστους, ἵνα μὴ τῇ πολλῇ ἐλευθερίᾳ καὶ τῷ πλούτῳ τῶν χαρισμάτων τῶν ἄλλων κατεπαρθῶσιν, ἢ καὶ οἰηθῶσιν, ἐξ ἰδίας δυνάμεως καὶ συνέσεως, τὸ μέγα κτήσασθαι τοῦτο παλάτιον τῆς εἰρήνης, δίδωσι τούτοις χώραν τοῖς πνεύμασιν ἐπιπηδᾷν αὐταῖς, ἐν συστολῇ αὐτῆς· ὡς ἂν φόβῳ βαλλόμεναι πτώσεως, ἐπὶ τὴν ἰδίαν ἵστανται φυλακὴν τῆς μακαρίας ταπεινοφροσύνης· καὶ ἵνα μαθοῦσαι ὅτι σαρκὶ καὶ αἵματι δέδενται, ἐπιζητῶσι φυσικῶς τὸ οἰκεῖον φρούριον, ἐν ᾧ ἀβλαβεῖς δύνανται διαφυλαχθῆναι, τῇ δυνάμει τοῦ πνεύματος.

κβʹ. Κατὰ τὴν ἐπικρατοῦσαν τῶν παθῶν ἀῤῥωστίαν, καὶ τὴν ἐγκειμένην ἐν ἡμῖν σῆψιν τῆς ἁμαρτίας, τῶν πειρασμῶν ἡ ἐπιφορὰ γίνεται· καὶ τὸ ποτήριον τῆς ἀψίνθου τῶν κριμάτων Θεοῦ, ἢ δριμύτερον κιρνᾶται ἡμῖν, ἢ συμπαθέστερον. εἰ μὲν γὰρ ἰάσιμός τις εἴη καὶ εὐθεράπευτος ἡ ἐγκειμένη ἐν ἡμῖν ὕλη τῆς ἁμαρτίας, ἀπὸ λογισμῶν δηλαδὴ φιληδόνων ἢ φιλοζώων, κεκραμμένον συμπαθείᾳ τὸ ποτήριον τῶν πειρασμῶν παρὰ τοῦ ἰατροῦ τῶν ψυχῶν ἡμῶν δίδοται, ὡς ἐν ἀνθρωπίνοις ἐξεταζομένοις * νοήμασι, καὶ ἔτι τὰ ἀνθρώπινα πάσχουσιν. εἰ δὲ δυσίατός τις εἴη καὶ ἐγκειμένη εἰς βάθος, καὶ τὴν πρὸς θάνατον κατεργάζεται σῆψιν, ἀπὸ λογισμῶν ἀλαζονείας καὶ ὑπερηφανίας ἐσχάτης, ἄκρατον ἐν δριμύτητι θυμοῦ δίδοται· ὡς ἂν τῷ πυρὶ τῶν ἀλλεπαλλήλων ὁμοῦ πειρασμῶν ἐκτακεῖσα

* ἐν ἄλ. νοσήμασι

καὶ λεπτυνθεῖσα ἡ νόσος διὰ ταπεινώσεως, ἀπογένηται ἀπὸ τῶν ψυχῶν ἡμῶν. καὶ τὰς ἁλμυρὰς τῶν λογισμῶν διὰ δακρύων * ἀποκλυσώμεθα, καὶ καθαροὶ ἐποφθῶμεν ἐν φωτὶ ταπεινώσεως, τῷ ἰατρῷ τῶν ψυχῶν ἡμῶν.

* ἐν ἄλ. ἀποκλαυσώμεθα

Οὐκ ἔστιν ἄλλως τοὺς ἀγωνιζομένους φυγεῖν τὸ ἀλλεπάλληλον τῶν πειρασμῶν, κγʹ.
εἰ μὴ τὴν ἑαυτῶν ἀσθένειαν ἐπιγνῶσι, καὶ ξένους πάσης δικαιοσύνης ἑαυτοὺς ἡγήσονται, πάσης τε παρακλήσεως ἀναξίους, πάσης τιμῆς, πάσης ἀναπαύσεως. σκοπὸς γὰρ Θεῷ τῷ ἰατρῷ τῶν ψυχῶν ἡμῶν ἀεὶ ταπεινοὺς ἡμᾶς εἶναι καὶ κατηφεῖς, ξένους ἀπὸ παντὸς ἀνθρώπου, καὶ μιμητὰς τῶν αὐτοῦ παθημάτων. πρᾶος γὰρ ἦν, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ ἐν πραότητι, καὶ ταπεινώσει καρδίας βούλεται ἡμᾶς τρέχειν τὸν δρόμον τῶν αὐτοῦ ἐντολῶν.

Ἡ ταπείνωσις, οὐκ ἐκ θλίψεως αὐχέ- κδʹ.
νος, ἢ αὐχμηρᾶς κόμης, ἢ χιτῶνος ἠμελημένου καὶ τραχυτάτου καὶ πιναροῦ κατορθοῦται. ἐν οἷς οἱ πολλοὶ τὸ πᾶν τῆς ἀρετῆς ἐπιγράφουσιν. ἀλλ' ἐν συντετριμμένης καρδίας, καὶ πνεύματι ταπεινώσεως, κατὰ τὸν εἰπόντα Δαβίδ· πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἄλλο ταπεινολογία, καὶ ἄλλο ταπεί- κεʹ.
νωσις, καὶ ἄλλο ταπεινοφροσύνη. ἡ μὲν γὰρ ταπεινολογία καὶ ἡ ταπείνωσις, διὰ πάσης κακοπαθείας καὶ τῶν ἔξωθεν πόνων τῆς ἀρετῆς, κατορθοῦνται τοῖς ἀγωνιζομένοις· περὶ μόνην τὴν σωματικὴν ἐργασίαν, καὶ γυμνασίαν τὸ συναγόμενον ἔχουσαι. διὸ καὶ μὴ οὔσης τῆς ψυχῆς πολλάκις ἐν καταστάσει, πειρασμοῦ ὑπαντήσαντος, ἐκταράσσεται. ἡ δὲ ταπεινοφροσύνη θεῖόν τι πρᾶγμα οὖσα καὶ ὑψηλόν, ἐν μόνοις ἐπιγίνεται τοῖς τὸ μέσον ὑπερπηδήσασι διὰ τῆς τοῦ Παρακλήτου ἐπιδημίας· προβαδίσασι δηλονότι διὰ τα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πεινώσεως πάσης, τὴν ὁδὸν τὴν τραχυτάτην τῆς ἀρετῆς.

κϛʹ. Ἡ ταπεινοφροσύνη εἰς βάθη ψυχῆς εἰσδῦσα, καὶ ὡσεὶ λίθος βαρὺς ἐπιπεσοῦσα αὐτῇ, τοσούτῳ ταύτην ἐκθλίβει καὶ ἐκπιέζει δυνάμει, ὡς κενωθῆναι πᾶσαν αὐτῆς τὴν ἰχὼ ἐν τῇ ἀκατασχέτῳ φορᾷ τῶν δακρύων· καὶ κηλῖδος πάσης τῶν λογισμῶν καθαρθῆναι τὸν νοῦν. καὶ ἐν ὀπτασίᾳ γενέσθαι κατὰ τὸν Ἡσαΐαν Θεοῦ, καὶ οὕτως εἰπεῖν ἐνεργούμενον καὶ αὐτόν. Ὢ τάλας ἐγώ, ὅτι κατανένυγμαι. ὅτι ἄνθρωπος ὤν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος, ἐγὼ οἰκῶ, καὶ τὸν βασιλέα Κύριον Σαβαώθ, εἶδον τοῖς ὀφθαλμοῖς μου.

κζʹ. Ὅταν εἰς βάθος τὸ ταπεινολογεῖν σοι προσγένηται, τότε τὸ ὑψηγορεῖν * ἀποσκηθήσεταί σοι. ὅταν δὲ εἰς βάθος ἡ ταπείνωσις ἐρριζωθήσεται τῆς καρδίας σου, τότε καὶ τὸ ἐπιπολέως, ἢ κατὰ βάθος ταπεινολογεῖν, ἀποβληθήσεταί σοι. ὁπηνίκα δὲ ἄνωθεν τὴν ταπεινοφροσύνην καταπλουτήσῃς, τηνικαῦτα, αὐτή τε ἡ ἔξωθεν ταπείνωσις, καὶ ἡ τῆς γλώττης ταπεινολογία, τέλεόν σοι καταργηθήσεται, κατὰ τὸν οὕτω λέγοντα Παῦλον. ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τὸ ἐκ μέρους καταργηθήσεται.

* ἴσ. ἀπεκδυθήσεται

κηʹ. Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, κατὰ τοσοῦτον ἀπέχει ἡ ἀληθὴς ταπεινολογία, τῆς ἀληθινῆς ταπεινώσεως· καθόσον δὲ μείζων γῆς οὐρανός, καὶ ψυχὴ σώματος, κατὰ τοσοῦτον ἡ διὰ Πνεύματος Ἁγίου διδομένη τοῖς τελείοις ταπεινοφροσύνη, καὶ τελειοτέρα, καὶ μείζων τῆς ἀληθινῆς ταπεινώσεως.

κθʹ. Μήτε τὸν ταπεινὰ φθεγγόμενον ἐν σχήματι, καὶ καταστολῇ ταπεινώσεως, ταπεινὸν εἶναι τὴν καρδίαν ὑπολάβῃς εὐκόλως. μήτε τὸν ὑψηλὰ καὶ μετέωρα, ἀλαζονείας καὶ τύφου μεστόν, ἐκτὸς τῆς ἐπὶ τούτοις βασάνου. ἐκ δὲ τῶν καρπῶν αὐτῶν ἐπιγνώσῃ αὐτούς.

λʹ. Ὁ καρπὸς τοῦ Πνεύματος τοῦ Ἁγίου, ἐστὶν ἀγάπη, χαρά, εἰρήνη, ἀγαθωσύνη, μακροθυμία, χρηστότης, πίστις, πραότης, ἐγκράτεια. ὁ δὲ τοῦ ἐναντίου πνεύματος καρπός ἐστι, μῖσος, ἀθυμία κοσμική, ἀκαταστασία ψυχῆς, ταραχὴ καρδίας, πονηρία, περίεργον φρόνημα, ὀλιγωρία, ὀργή, ἀπιστία, φθόνος, ἀδηφαγία, μέθη, λοιδορία, κατάκρισις, ἐπιθυμία τῶν ὀφθαλμῶν, τῦφος καὶ ἀλαζονεία ψυχῆς. ἐκ γοῦν τῶν τοιούτων καρπῶν, τὸ δένδρον ἔστω σοι γνώριμον. καὶ οὕτω πάντως εἰδὼς ἔσῃ ποίου πνεύματος ὑπάρχει ὁ ἐντυγχάνων σοι. ἔχεις γὰρ τὰ σημεῖα τούτων καὶ ἀπὸ τῆς τοῦ Κυρίου φωνῆς ἐκδηλότερον. ὁ ἀγαθός, φησιν, ἄνθρωπος, ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ ἐκβάλλει τὰ ἀγαθά· ὁ δὲ πονηρός, ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ ἐκβάλλει τὰ πονηρά. ἐπειδὴ κατὰ τὸ δένδρον, καὶ ὁ καρπὸς αὐτοῦ.

λαʹ. Ἐν οἷς οὖν εἰσι, καὶ ἀναθεωροῦνται τὰ τοῦ Ἁγίου Πνεύματος, ἐν αὐτοῖς ἐστὶ καὶ ἡ κατοίκησις τοῦ Θεοῦ. ἐκ τούτων καὶ ἡ ἀθόλωτος πηγὴ τοῦ λόγου μετὰ σοφίας καὶ γνώσεως. κἄντε ταπεινολογοῦντες ὁρῶνται, κἄντε ὑψηλὰ λέγοντες. ἐν οἷς δὲ οὐκ ἀναθεωροῦνται οἱ καρποὶ καὶ τὰ χαρίσματα ταῦτα, ἀλλὰ τοῦ ἐναντίου πνεύματος, ἐν αὐτοῖς σκότος ἐστὶν ἀγνωσίας Θεοῦ. ἑσμός τε παθῶν, καὶ κατοίκησις πολεμίων πνευμάτων. εἴτε ταπεινὰ φθεγγόμενοι καὶ φοροῦντες ὁρῶνται, εἴτε ὑψηλὰ μετὰ στολῆς ἐξάλλου, καὶ τῆς φαινομένης σεμνότητος.

λβʹ. Οὐ προσώποις, ἢ σχήμασιν, ἢ λόγοις χαρακτηρίζεται ἡ ἀλήθεια. οὐδὲ ἐν τούτοις Θεὸς ἀναπαύεται. ἀλλ' ἐν καρδίαις συντετριμμέναις, καὶ πνεύμασι ταπεινώσεως, καὶ ψυχαῖς πεφωτισμέναις ὑπὸ τῆς γνώσεως τοῦ Θεοῦ. ἔστι γὰρ ὅτε ὑπο-



Athos Library Αγιορειτική Βιβλιοθήκη

πίπτοντά τινα λόγοις ὁρῶμεν ἐκτὸς, καὶ ταπεινοῖς πρὸς πάντα χρώμενον ῥήμασι, τὸν ἔπαινον θηρώμενον τῶν ἀνθρώπων. ἐντὸς δὲ οἰήσεως γέμοντα, δόλου, καὶ βασκανίας, καὶ πρὸς τὸν πλησίον μνησικακίας. καὶ ἔστιν ὅτε διὰ δικαιοσύνην μαχόμενόν τινα λόγοις ὑψηλοῖς σοφίας ὁρῶμεν ἐκτὸς, καὶ κατὰ τοῦ ψεύδους, ἢ τῆς παραβάσεως τῶν θείων νόμων ἱστάμενον. καὶ πρὸς μόνην ὁρῶντα δηλαδὴ τὴν ἀλήθειαν, καὶ ἐντὸς πάσης ὄντα μετριοφροσύνης, ταπεινώσεως, καὶ ἀγάπης πρὸς τὸν πλησίον· ἔσθ' ὅτε καὶ καυχώμενον ἐν Κυρίῳ· κατὰ τὸν οὕτω λέγοντα Παῦλον, καὶ καυχώμενον ἐν Κυρίῳ· καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου.

λγ'. Οὐ τῶν παρ' ἡμῶν λεγομένων, ἢ πραττομένων τὴν ἐπιφάνειαν ὁρᾷ ὁ Θεός. ἀλλὰ τὰς διαθέσεις τῶν ψυχῶν, καὶ τὸν σκοπὸν δι' ὃν ἢ πράττομέν τι τῶν ὁρωμένων, ἢ λέγομέν τι τῶν νοουμένων. ὥσπερ δὴ καὶ τὰς δυνάμεις τῶν λόγων, καὶ τὰ τέλη τῶν ἔργων, οἱ συνέσει τῶν λοιπῶν διαφέροντες, ὁρῶσι μᾶλλον, καὶ τὰς κρίσεις τούτων ποιοῦσιν ἀνεπισφαλεῖς. καθὰ καὶ ἄνθρωπος μὲν, εἰς πρόσωπον, ὁ δὲ Θεὸς, εἰς καρδίαν ὁρᾷ.

λδ'. Οὐ δεῖν ἐπείγει Θεῷ μὴ κατὰ γενεὰς καὶ γενεὰς, Προφήτας αὐτοῦ καὶ φίλους κατασκευάζεσθαι διὰ Πνεύματος, εἰς καταρτισμὸν τῆς Ἐκκλησίας αὐτοῦ. εἰ γὰρ ὁ παλαιὸς δράκων οὐχ ὑφῆκεν ἐμεῖν τὸν ἰὸν τῆς ἁμαρτίας ἐν ταῖς ἀκοαῖς τῶν ἀνθρώπων, δι' οὗ πάλιν ὁ τῆς ψυχῆς ἐπιγίνεται ὄλεθρος, πῶς ὁ πλάσας κατὰ μόνας τὰς καρδίας ἡμῶν, ὁ πέμπων ἀπὸ γῆς ταπεινώσεως ἀνάστασιν· καὶ ἀπὸ κοπρίας παθῶν ἐγείρει πτωχὸν, τὴν τοῦ Πνεύματος ἐπιφερόμενος μάχαιραν, ὅ ἐστι ῥῆμα Θεοῦ, εἰς βοήθειαν τῆς κληρονομίας αὐτοῦ. εἰκότως οὖν ἐκ ταπεινώσεως ἀρχόμενοι οἱ ἑαυτοὺς ἀπαρνούμενοι, πρὸς ὕψος ἀναβαίνουσι γνώσεως· καὶ δίδοται αὐτοῖς ἄνωθεν ῥῆμα σοφίας, δυνάμει Θεοῦ, ὡς εὐαγγελιζομένοις σωτηρίαν τῇ Ἐκκλησίᾳ αὐτοῦ.

λε'. Γνῶθι σαυτόν· καὶ τοῦτό ἐστιν ἡ ἀληθινὴ τῷ ὄντι ταπείνωσις, ἡ ταπεινοφρονεῖν ἐκδιδάσκουσα, ἡ συντρίβουσα τὴν καρδίαν· καὶ αὐτὸ τοῦτο ἐργάζεσθαι καὶ φυλάσσειν. εἰ δὲ μήπω ἔγνως σαυτὸν, οὔτε τί ἐστι ταπείνωσις οἶδας, οὔτε ἥψω τῆς ἀληθοῦς ἐργασίας, καὶ φυλακῆς. τὸ γὰρ ἑαυτὸν ἐπιγνῶναι, τέλος τῆς τῶν ἀρετῶν ἐργασίας.

λϛ'. Ὁ ἐκ καθαρότητος εἰς γνῶσιν τῶν ὄντων ἐλάσας, ἔγνω ἑαυτὸν, κατὰ τὸ εἰρημένον, γνῶθι σαυτόν. ὁ δὲ μήπω εἰς γνῶσιν πεφθακὼς, αὐτῶν τε τῶν λόγων τῆς κτίσεως, καὶ τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων, ἔγνω μὲν τὰ περὶ αὐτὸν καὶ τὰ ἐκτὸς αὐτοῦ, ἑαυτὸν δὲ οὐδαμῶς.

λζ'. Οὐκ ἔστι ἐγὼ, τοῦτο πάντως καὶ τὰ κατ' ἐμέ. οὐδὲ ἔστι τὰ κατ' ἐμὲ, τοῦτο καὶ τὰ περὶ ἐμέ· οὐδὲ ἔστι τὰ περὶ ἐμὲ, τοῦτο καὶ τὰ ἐκτὸς ἐμοῦ. ἀλλ' ἄλλο ταῦτα, καὶ ἄλλο ἐκεῖνα, καὶ ἄλλο τὰ ἄλλα. ἐγὼ μὲν γὰρ εἰκών εἰμι Θεοῦ, ἐν ψυχῇ νοερᾷ τε, καὶ ἀθανάτῳ, καὶ λογικῇ θεωρούμενος. ὡς νοῦν ἔχων τοῦ λόγου πατέρα, καὶ τῆς ψυχῆς ἀδιαίρετόν τε, καὶ ὁμοούσιον. τὰ δέ γε κατ' ἐμὲ, τὸ βασιλικόν ἐστι, τὸ ἀρχικὸν, τὸ λογικόν τε, καὶ αὐτεξούσιον. τὰ δὲ περὶ ἐμὲ, ὅσα ἐκ προαιρέσεως αἱρετέα. τὸ γεωργὸν εἶναι, ἢ ἔμπορον, ἢ μαθηματικὸν, ἢ φιλόσοφον. τὰ δὲ ἐκτὸς ἐμοῦ, ὅσα τε περὶ τὸ φιλότιμον τοῦ βίου καὶ τὴν κάτω εὐγένειαν, πλοῦτος, δόξα, τιμὴ, δυναστεία καὶ ὕψος ἀξιωμάτων, ἢ τὸ ἀνάπαλιν· πενία, ἀδοξία, ἀτιμία, καὶ δυστυχία.

λη'. Πᾶς ὁ ἑαυτὸν ἐπιγνοὺς, κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ τῶν κατὰ Θεὸν, καὶ εἰσῆλθεν εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, τὴν νοερὰν τοῦ Πνεύματος λειτουρ-

γίαν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

γίαν, καὶ εἰς λιμένα θεῖον τῆς ἀπαθείας, καὶ ταπεινώσεως. ὁ δὲ μήπω ἑαυτὸν διὰ ταπεινοφροσύνης καὶ γνώσεως ἐπιγνούς, ἐν μόχθῳ ἔτι καὶ ἱδρῶτι τὸν βίον πορεύεται. τοῦτο γὰρ καὶ Δαβὶδ αἰνιττόμενος ἔλεγε· τοῦτο κόπος ἐστὶν ἐνώπιόν μου, ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ.

λθʹ. Ὁπόταν ἐπιγνῷ τις ἑαυτόν· τοῦτο δὲ πολλῆς δεῖται τῆς ἔξωθεν φυλακῆς, καὶ τῆς ἀπὸ τῶν κοσμικῶν πραγμάτων σχολῆς, καὶ αὐτῆς τῆς τοῦ συνειδότος ἐρεύνης. αὐτίκα καὶ θεία τις αἰφνίδιον τῇ ψυχῇ ταπείνωσις ὑπὲρ λόγον ἐπιδημεῖ, συντετριμμένην φέρουσα τῇ καρδίᾳ καὶ δάκρυα θερμῆς κατανύξεως. ὡς τηνικαῦτα λογίζεσθαι τὸν ὑπ᾽ αὐτῆς ἐνεργούμενον, γῆν ἑαυτόν, καὶ σποδόν, καὶ σκώληκα, καὶ οὐκ ἄνθρωπον, καὶ προσέτι μηδὲ τῆς κτηνώδους ταύτης ζωῆς ἄξιον· διὰ τὸ ὑπερβάλλον τῆς δωρεᾶς ταύτης τοῦ Θεοῦ. ἐν ᾗ ὁ χρονίσαι ἀξιωθείς, μέθης ἄλλης ἀρρήτου πληροῦται, τῆς κατανύξεως, καὶ εἰς τὸν βυθὸν τῆς ταπεινοφροσύνης εἰσέρχεται. καὶ ἐκστὰς ἑαυτοῦ, πάντων ἀλογεῖ τῶν ἐκτὸς βρωμάτων, πόσεως, καὶ σκεπασμάτων τοῦ σώματος· μὴ ὑπερβαίνων τὴν χρείαν, ὡς ἀλλοιωθεὶς τὴν καλὴν ἀλλοίωσιν τῆς δεξιᾶς τοῦ ὑψίστου.

μʹ. Χρῆμα μέγιστον ἐν ἀρεταῖς ἡ ταπείνωσις. αὕτη γὰρ ἐν οἷς ἂν ἐμφυτευθείη διὰ μετανοίας εἰλικρινοῦς καὶ τὴν ἀρχὴν συνέμπορον μετὰ ἐγκρατείας προσλάβηται, παθῶν μὲν αὐτίκα δουλείας ἐλευθέρους τούτους ἀπεργάζεται, εἰρήνην δὲ ταῖς δυνάμεσιν αὐτῶν ἐμπαρέχει· καὶ τὴν καρδίαν καθαίρει διὰ δακρύων, καὶ πληροῖ γαλήνης αὐτὴν ἐν τῇ ἐπιδημίᾳ τοῦ πνεύματος. οὕτω δὲ τούτων διατεθέντων, διανοίγεται ὁ λόγος ἐντεῦθεν αὐτοῖς τῆς γνώσεως τοῦ Θεοῦ, καὶ ἐν θεωρίᾳ, ἔρχονται τῶν μυστηρίων τῆς βασιλείας τῶν οὐρανῶν, καὶ αὐτῶν τῶν λόγων τῆς κτίσεως. καθόσον δὲ εἰς τὰ βάθη τοῦ πνεύματος ἐμβαθύνουσι, κατὰ τοσοῦτον καὶ εἰς ταπεινοφροσύνης βυθὸν καταδύονται. ἐκ δὲ τούτου, αὐξάνεται αὐτοῖς ἡ ἐπίγνωσις τῶν οἰκείων μέτρων. γνωρίζεται ἡ ἀσθένεια τῆς ἀνθρωπίνης φύσεως. καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ τῶν πλησίον πληθύνεται. ὡς ἁγιασμὸν ἡγεῖσθαι αὐτοὺς ἀπαρρύεσθαι ἐκ μόνου τοῦ ἀσπασμοῦ, καὶ τῆς τῶν συναναστρεφομένων ἐγγύτητος.

μαʹ. Οὐδὲν οὕτως ἕτερον πρὸς ἔρωτα Θεοῦ, καὶ ἀγάπην ἀνθρώπων πτεροῖ τὴν ψυχήν, ὡς ταπεινοφροσύνη, κατάνυξις, καὶ εὐχὴ καθαρά. ἡ μὲν γὰρ συντρίβει τὸ πνεῦμα, δακρύων τε πηγάζει λιβάδας, καὶ τὴν ἀνθρωπίνην ἐπ᾽ ὄψει βραχύτητα φέρουσα τῶν οἰκείων μέτρων εἰδέναι τὴν ἀσθένειαν ἐκδιδάσκει. ἡ δὲ καθαίρει τῆς ὕλης τὸν νοῦν, καὶ φωτίζει τῆς καρδίας τὸ ὄμμα, καὶ ὁλολαμπῆ τὴν ψυχὴν ἀπεργάζεται. ἡ δὲ συνάπτει τὸν ἄνθρωπον ὅλον τῷ Θεῷ, καὶ τοῦτον Ἀγγέλοις ποιεῖ ὁμοδίαιτον, καὶ γλυκύτητος τῶν αἰωνίων τοῦ Θεοῦ ἀγαθῶν ἀπογεύει, καὶ θησαυροὺς αὐτῷ δίδωσι μυστηρίων μεγάλων. καὶ πυρπολοῦσα τῇ ἀγάπῃ, τολμᾶν τιθέναι αὐτὸν πείθει τὴν ἰδίαν ψυχὴν ὑπὲρ τῶν φίλων αὐτοῦ, ὡς ὑπεράνω γεγονότα τῶν ὅρων τῆς τοῦ σώματος ταπεινώσεως.

μβʹ. Φύλασσέ μοι τὴν καλὴν παρακαταθήκην τῆς πλουτοποιοῦ ταπεινώσεως· ἐν ᾗ τῆς ἀγάπης οἱ ἀπόκρυφοι θησαυροὶ ἐναπόκεινται. ἐν ᾗ τῆς κατανύξεως οἱ μαργαρῖται φυλάττονται. καὶ ὁ βασιλεὺς Χριστὸς ὁ Θεὸς ὡς εἰς θρόνον ἐπαναπαύεται χρυσοκόλλητον, τὰς δωρεὰς διανέμων τοῦ Ἁγίου αὐτοῦ Πνεύματος, τοῖς τροφίμοις αὐτῆς. καὶ τὰ μεγάλα τούτοις αὐτοῦ δωρούμενος ἀξιώματα, τὸν τῆς γνώσεως αὐτοῦ λόγον, τὴν σοφίαν αὐτοῦ τὴν ἀπόρρητον, τὴν τῶν θείων πραγμάτων διόρασιν, τὴν

τῶν

τῶν ἀνθρωπίνων πραγμάτων πρόορασιν, τὴν διὰ τῆς ἀπαθείας ζωοποιὸν νέκρωσιν, καὶ τὴν μετ᾽ αὐτοῦ συνάφειαν, εἰς τὸ συμβασιλεύειν αὐτῷ ἐν τῇ τοῦ Πατρὸς καὶ Θεοῦ βασιλείᾳ· καθὼς αὐτὸς πρὸς αὐτὸν τὴν παράκλησιν ποιεῖται λέγων ὑπὲρ ἡμῶν. Πάτερ οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ αὐτοὶ ὦσιν.

μγʹ. Οὕτω πρακτικῶς κοπιῶν τὶς περὶ τὴν ἐργασίαν τῶν ἐντολῶν, ἄφνω ἐν ἀνεκλαλήτῳ καὶ ἀρρήτῳ χαρᾷ γένηται, ὡς ἀλλοιωθῆναι αὐτὸν ξένην καὶ ὑπὲρ λόγον ἀλλοίωσιν, καὶ τὸ μὲν βάρος ἀποθέσθαι τοῦ σώματος, ἐπιλαθέσθαι δὲ βρώσεως, ὕπνου, καὶ τῶν ἄλλων τῆς φύσεως ἀναγκῶν, γινωσκέτω ταύτην εἶναι Θεοῦ ἐπιδημίαν πρὸς αὐτόν, τὴν ποιοῦσαν ἐν τοῖς ἀγωνιζομένοις τὴν ζωοποιὸν νέκρωσιν, καὶ δωρουμένην αὐτοῖς ἐντεῦθεν ἤδη, τὴν τῶν ἀσωμάτων κατάστασιν. ταύτης τῆς μακαρίας ζωῆς, πρόξενος ἡ ταπείνωσις· τροφὸς δὲ καὶ μήτηρ, ἡ ἁγία κατάνυξις· φίλη δὲ καὶ ἀδελφή, ἡ τοῦ θείου φωτὸς θεωρία· θρόνος ἡ ἀπάθεια· καὶ τέλος ἡ Ἁγία Τριὰς ὁ Θεός.

μδʹ. Ὁ ταύτην καταλαβὼν τὴν ἀκρόπολιν, οὐ δύναται ὑπὸ τὰ δεσμὰ κρατεῖσθαι τῆς τῶν ὅλων αἰσθήσεως· οὐχ ὁρᾷ τὶ τῶν τοῦ βίου τερπνῶν· οὐ διακρίνει τὸ ἀνόσιον τοῦ ὁσίου. ἀλλ᾽ ὥσπερ ὁ Θεὸς ἐπίσης βρέχει καὶ ἀνατέλλει τὸν ἥλιον ἐπὶ δικαίους καὶ ἀδίκους, πονηρούς τε καὶ ἀγαθούς, οὕτως ἐπίσης καὶ αὐτὸς τὰς τῆς ἀγάπης ἀνατέλλει καὶ ἁπλοῖ πρὸς πάντας ἀκτῖνας, καὶ οὐ στενοχωρεῖται τὰ σπλάγχνα, πάντων ἐγκυμονῶν τὴν ἀγάπην. καὶ στενοχωρεῖται καὶ βιάζεται, μὴ εὐεργετῶν ὅσον βούλεται. ἐκ ταύτης πηγῆς, ὡς ἐξ Ἐδέμ, ἄλλη ἐκπορεύεται κατανύξεως, εἰς τέσσαρας διῃρημένη ἀρχάς· εἰς ταπεινοφροσύνην, εἰς ἁγνείαν, εἰς ἀπάθειαν, καὶ εἰς ὕψος ἀπειροπαθοῦς ψυχῆς· καὶ ποτίζει τὸ πρόσωπον πάσης τῆς νοητῆς κτίσεως τοῦ Θεοῦ.

Οἱ μὴ τῆς γλυκύτητος τῶν τῆς κατανύξεως δακρύων γευσάμενοι, μηδὲ εἰδότες τίς ἡ χάρις αὐτῆς καὶ τίς ἡ ἐνέργεια, οὐδὲν τῶν εἰς τεθνεῶτας χεομένων δακρύων, ταῦτα διαφέρειν οἴονται· προσαναπλάττοντες ἑαυτοῖς, ἀλλ᾽ ἄττα ἤδη κενῶν προφάσεων πολλά, καὶ ἀπορίας συλλογισμούς. τὰ δὲ φυσικῶς ἡμῖν ἐμπεφύκασιν, καὶ ἡνίκα τὸ ἀγέρωχον ἄρτι τοῦ νοὸς πρὸς ταπείνωσιν κλίνῃ. μύσῃ δὲ καὶ ἡ ψυχὴ τὰς ὁράσεις αὐτῆς ἀπὸ τῆς ἀπάτης τῶν ὁρωμένων, καὶ ταύτας πρὸς μόνην τὴν θεωρίαν τοῦ ἀΰλου καὶ πρώτου φωτὸς ἐκπετάσῃ, πᾶσαν ἀποσεισαμένη τοῦ κόσμου τὴν αἴσθησιν, καὶ τύχῃ τῆς ἄνωθεν τοῦ πνεύματος παρακλήσεως. αὐτίκα τὰ δάκρυα ὡς ὕδατα πηγῆς ἐκβλύζουσιν ἐξ αὐτῆς, καὶ τὰ αἰσθητήρια ταύτης καταγλυκαίνουσι, πάσης εὐφροσύνης ἐμπιπλῶντα αὐτῆς τὴν διάνοιαν, καὶ θείου φωτός. οὐ μὴν, ἀλλὰ γὰρ καὶ συντρίβουσι τὴν καρδίαν, καὶ τοὺς τῶν ταπεινόφρονας ἐν ὀπτασίᾳ τοῦ κρείττονος ἀπεργάζονται. ἃ γενέσθαι ἀδύνατον ἐν τοῖς ἄλλως θρηνοῦσι καὶ κοπτομένοις. με.

μςʹ. Ἀδύνατον ἄλλως τὴν πηγὴν τῶν δακρύων ἀναστομῶσαί τινα, ἀλλὰ βαθυτάτης ταπεινοφροσύνης· οὔτε πάλιν ταπεινόφρονα εἶναι, ἀλλὰ τῆς ἐγγινομένης ἀπὸ τῆς ἐπιδημίας τοῦ πνεύματος κατανύξεως. τὴν γὰρ κατάνυξιν ἡ ταπεινοφροσύνη. καὶ τὴν ταπεινοφροσύνην ἡ κατάνυξις, διὰ τοῦ Ἁγίου ἀπογεννᾷ Πνεύματος. ὡς εἴτις γὰρ σειρὰ ἀλλήλων αὗται ἐχόμεναι, καὶ ἐν μιᾷ χάριτι συνδεόμεναι, ἄρρηκτον τὸν σύνδεσμον τοῦ πνεύματος ἔχουσι.

Τὸ ὑπὸ τοῦ θείου πνεύματος ἐγγινόμενον φῶς τῇ ψυχῇ, ὑπαναχωρεῖν εἴωθεν ἐκ ῥαθυμίας, καὶ ἀμελείας, καὶ ἐξ ἀδιαφορίας, τῆς ἐν λόγοις καὶ βρώμασιν. ἥτε γὰρ τῶν βρωμάτων ἀδιαφορία, καὶ μζʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸ ὑγρὸν τῆς διαίτης, αὐτό τε τὸ ἀκρατὲς τῆς γλώττης, καὶ τῶν ὀφθαλμῶν τὸ ἀφύλακτον, διώκειν τοῦτο πέφυκεν ἐξ αὐτῆς, καὶ σκοτεινοὺς ἡμᾶς ἀπεργάζεσθαι. σκότους δὲ πληρωθέντων ἡμῶν, τὰ θηρία πάντα τοῦ ἀγροῦ τῆς καρδίας ἡμῶν, καὶ οἱ σκύμνοι λογισμοὶ τῶν παθῶν αὐτίκα διέρχονται ὠρυόμενοι ἐν αὐτῇ, ζητοῦντες βρῶσιν ἐμπαθείας, καὶ τοῦ ἁρπάσαι τὸν ἀποτεθέντα ἐν ἡμῖν παρὰ τοῦ πνεύματος θησαυρόν· ἀλλ᾿ ἡ φίλη τῷ ὄντι ἐγκράτεια, καὶ ἡ ἀγγελοποιὸς προσευχή, οὐ μόνον οὐδὲν τῶν τοιούτων συγχωρεῖ περὶ τὴν ψυχὴν διελθεῖν, ἀλλὰ καὶ τὸ φέγγος ἄσβεστον τοῦ πνεύματος περὶ τὸν νοῦν διατηρεῖ· καὶ τὴν καρδίαν ἤρεμον ἀποτελεῖ, καὶ ἁγνὴν πηγάζει τὴν θείαν κατάνυξιν, καὶ τὴν ψυχὴν εἰς ἀγάπην πλατύνει Θεοῦ, καὶ αὐτὴν ὅλην ὅλῳ δι᾿ εὐφροσύνης καὶ παρθενίας συνάπτει Χριστῷ.

μη. Οὐδὲν οὕτως ἕτερον οἰκεῖον τῷ Λόγῳ, ὡς ἁγνεία καὶ σωφροσύνη ψυχῆς. τούτων δὲ μήτηρ, ἡ περιεκτικὴ καὶ φίλη ἐγκράτεια. τῆς δὲ Πατήρ, ὁ φόβος. οὗτος δὲ εἰς πόθον τραπεὶς καὶ τῇ ἐφέσει τῶν θείων συναφθεὶς πραγμάτων, ἄφοβον ἀπεργάζεται τὴν ψυχὴν καὶ πλήρη ἀγάπης Θεοῦ, καὶ τοῦ θείου λόγου γεννήτειραν.

μθ΄. Φόβος μὲν πρότερον συναφθεὶς τῇ ψυχῇ, ἐγκύμονα τοῦ λόγου τῆς κρίσεως αὐτὴν διὰ μετανοίας ποιεῖ· ἣν ὠδῖνες ᾅδου τῶν κολάσεων περικυκλοῦσιν αὐτίκα, στεναγμοί τε καὶ πόνοι ἐν συνοχῇ καταξύχουσι τῆς καρδίας, ἀναλογιζομένην τὴν μέλλουσαν ἐπὶ κακοῖς ἀνταπόδοσιν. εἶτα διὰ πολλῶν δακρύων καὶ πόνων αὕτη ἐν γαστρὶ διανοίας τὸ συλληφθὲν ἀπαρτίσασα, πνεῦμα σωτηρίας, ἐπὶ τὴν γῆν γεννᾷ τῆς καρδίας αὐτῆς· καὶ τῶν ὠδίνων ἐλευθερωθεῖσα τοῦ ᾅδου, καὶ τῶν στεναγμῶν ἀπαλλαγεῖσα τῆς κρίσεως, πόθος καὶ χαρὰ τῶν μελλόντων ἀγαθῶν αὐτὴν διαδέχεται, καὶ προσυπαντᾷ αὐτὴν ἡ φίλη μετὰ σωφροσύνης ἁγνεία, καὶ τῷ ἔρωτι αὐτὴν ἐπισυνάπτει Θεοῦ. τούτῳ δὲ ἡ ψυχὴ συναφθεῖσα, ἀρρήτου ἡδονῆς ἐπαισθάνεται· ὡς ἐντεῦθεν τὰ τῆς κατανύξεως προχέειν μεθ᾿ ἡδονῆς καὶ γλυκύτητος δάκρυα· ἔξω τε γίνεσθαι αὐτὴν τῆς παγκοσμίου αἰσθήσεως, καὶ ὡς ἐξεστηκυῖαν ὄπισθεν τοῦ νυμφίου διώκειν· καὶ οὕτω κράζειν φωναῖς ἀλαλήτοις· ὀπίσω σου δραμοῦμαι εἰς ὀσμὴν μύρου σου, ἀπάγγειλόν μοι, ὃν ἠγάπησεν ἡ διάθεσίς μου, ποῦ ποιμαίνεις; ποῦ κοιτάζεις; ἐν μεσημβρίᾳ καθαρᾶς θεωρίας; μήποτε γένωμαι ὥσπερ ἡ βαλλομένη ἐπ᾿ ἀγέλαις δικαίων· ἐλλάμψεις παρὰ σοὶ μυστηρίων μεγάλων. ἣν εἰσενεγκὼν ὁ νυμφίος εἰς τὸ ταμιεῖον τῶν κεκρυμμένων αὐτοῦ μυστηρίων, θεωρητικὴν αὐτὴν τῶν λόγων τῆς κτίσεως μετὰ σοφίας ἀποτελεῖ.

ν΄. Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τῆς παρθενίας τὴν ἁγνείαν ἀδύνατόν μοι τοῦ λοιποῦ ἐπικτήσασθαι, φθορᾷ καὶ μανίᾳ τοῦ σώματος ποικίλως ὑποπεσόντι· ἔνθα γὰρ πόνοι μετανοίας ἐν κακοπαθείᾳ καὶ θέρμη καταβληθῶσι ψυχῆς, καὶ δακρύων ἐκ κατανύξεως ποταμοὶ ῥεύσουσιν, ἐκεῖθεν πάντα τὰ ὀχυρώματα κατασύρεται, καὶ πυρκαϊὰ πᾶσα παθῶν κατασβέννυται, καὶ τελεῖται ἡ ἄνωθεν ἀναγέννησις δι᾿ ἐπιδημίας τοῦ Παρακλήτου· καὶ πάλιν ἁγνείας καὶ παρθενίας παλάτιον ἡ ψυχὴ γίνεται. ἐν ᾗ ὁ ὑπὲρ φύσιν Θεὸς καταβὰς διὰ φωτὸς καὶ χαρᾶς ἀρρήτου, καὶ ὡς ἐπὶ θρόνου δόξης ἐφ᾿ ὑψηλοῦ κεκαθικὼς τοῦ νοὸς αὐτῆς, δίδωσι τὴν εἰρήνην ταῖς περὶ αὐτὴν δυνάμεσιν, οὕτω λέγων· εἰρήνη ὑμῖν ἀπὸ τῶν πολεμίων παθῶν. εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν εἰς τὸ κατὰ φύσιν κινεῖσθαι. εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν εἰς τὸ ὑπὲρ φύσιν τελειωθῆναι. τῷ τριττῷ οὖν τῆς εἰρηνικῆς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δωρεᾶς, τὸ τριμερὲς θεραπεύσας αὐτῆς, καὶ εἰς τὴν τετραδικὴν τελείωσιν ἀναγαγών, καὶ σώσας αὐτὴν ἑαυτῷ, ὅλην παρθένον ἤδη, καὶ καλήν, καὶ ὡραίαν ἐν εὐωδίᾳ τῶν μύρων τῆς ἁγνείας ἀναχωννύουσαν ἀποτελεῖ· καὶ φησὶ πρὸς αὐτήν· ἀνάστα ἐλθὲ ἡ πλησίον μου· καλή μου περιστερά· δι' ἐμπράκτου φιλοσοφίας. ὅτι ἰδοὺ ὁ χειμὼν τῶν παθῶν παρῆλθεν· ὁ ὑετὸς τῶν φιληδόνων λογισμῶν, ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ. τὰ ἄνθη τῶν ἀρετῶν, ὤφθη μετ' εὐωδίας τῶν νοημάτων ἐν τῇ γῇ τῆς καρδίας σου. ἀνάστα ἐλθὲ ἡ πλησίον μου ἐν γνώσει φυσικῆς θεωρίας, καὶ ἐλθὲ σὺ περιστερά μου δι' ἑαυτῆς ἐν σκέπῃ καὶ γνόφῳ μυστικῆς θεολογίας, καὶ πίστεως τῆς στερρᾶς ἐν ἐμοὶ τῷ Θεῷ πέτρας.

ρά. Μακάριος, ἐμοί, τῆς καλλῆς ἀλλοιώσεώς τε καὶ ἀναβάσεως, ὁ διὰ τῆς ἐμπράκτου φιλοσοφίας, τὸ τεῖχος τῆς ἐμπαθεστάτης ἕξεως ὑπερβάς, κἀκεῖθεν πτέρυξιν ἀπαθείας περιηργυρωμέναις τῇ γνώσει, εἰς τὸν νοητὸν ἀέρα τῆς θεωρίας τῶν ὄντων ὑπεραρθείς, καὶ αὐτόθεν εἰς γνόφον θεολογίας εἰσδύς, καὶ καταπαύσας ἀπὸ πάντων τούτων τῶν ἔργων αὐτοῦ, ἐν Θεῷ, τῇ μακαρίᾳ ζωῇ· ὅτι Ἄγγελος ἐπίγειος καὶ οὐράνιος ἄνθρωπος ἀποτελεσθείς, ἐδόξασε τὸν Θεὸν ἐν ἑαυτῷ, καὶ ὁ Θεὸς δοξάσει αὐτόν.

ρβ'. Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον τοῦ Θεοῦ, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. ἐπειδὴ οὐχ ὅσα μὲν ἀρέσκει τοῖς ἀνθρώποις, ταῦτα καὶ Θεῷ. ἀλλ' ὅσα δοκεῖ μὲν οὐ καλά, εἰσὶ δὲ καὶ λίαν τῇ φύσει καλὰ τῷ εἰδότι τοὺς λόγους τῶν ὄντων καὶ γεγονότων.

ργ'. Καλὸν τὸ θανεῖν τῷ κόσμῳ, ζῆσαι δὲ τῷ Χριστῷ· ἄλλως γὰρ οὐ δύναταί τις ἄνωθεν γεννηθῆναι, κατὰ τὴν τοῦ Κυρίου φωνήν. ἐὰν δὲ μὴ ἄνωθεν γεννηθῇ, οὐδὲ εἰς τὴν βασιλείαν δύναται τῶν οὐρανῶν εἰσελθεῖν· αὕτη δὲ ἡ γέννησις, δι' ὑποταγῆς πατέρων πνευματικῶν γίνεσθαι πέφυκεν. εἰ μὴ γὰρ πρότερον τὸν τοῦ λόγου σπόρον διὰ τῆς διδασκαλίας τῶν πατέρων ἐγκυμονήσωμεν καὶ υἱοποιηθῶμεν τῷ Θεῷ δι' αὐτῶν, οὐ δυνάμεθα ἄνωθεν γεννηθῆναι. οὕτω γὰρ οἱ μὲν δώδεκα, δι' ἑνὸς τοῦ Χριστοῦ. οἱ δὲ ἑβδομήκοντα, ἐκ τῶν δώδεκα ἐγεννήθησαν, καὶ υἱοποιήθησαν τῷ Θεῷ καὶ Πατρὶ κατὰ τὸ εἰρημένον ὑπὸ Κυρίου· ὑμεῖς ἐστὲ Υἱοὶ τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ὅθεν καὶ πρὸς ἡμᾶς ὁ Παῦλος φησίν· εἰ γὰρ καὶ μυρίους παιδαγωγοὺς ἔχετε, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐγὼ ὑμᾶς ἐγέννησα· μιμηταί μου γίνεσθε.

Τὸ μὴ ὑποταγῆναι Πατρὶ Πνευματικῷ κατὰ μίμησιν τοῦ μέχρι θανάτου, καὶ ρδ'.
σταυροῦ ὑποταγέντος Υἱοῦ τῷ Πατρί, τὸ μὴ γεννηθῆναι ἄνωθεν ἐστίν. ὁ δὲ μὴ γεγονὼς Υἱὸς ἀγαπητὸς Πατρὸς ἀγαθοῦ, πῶς Πατὴρ ἄρα, μὴ λόγῳ καὶ πνεύματι γεννηθεὶς ἄνωθεν, υἱῶν ἀγαθῶν καὶ αὐτὸς γένηται ἀγαθὸς Πατήρ· καὶ ἀγαθὰ τέξεται τέκνα, τῆς ἀγαθότητος τοῦ πατρὸς αὐτῶν σύμμορφα; εἰδὲ μὴ οὕτως, κατὰ τὸ δένδρον πάντως, καὶ ὁ καρπὸς αὐτοῦ.

Κακὸν ἡ ἀπιστία, τῆς πονηρᾶς φιλαρ- ρέ.
γυρίας, καὶ τοῦ φθόνου τὸ πονηρότατον κύημα. εἰ δὲ αὕτη κακόν, πόσῳ μᾶλλον ἡ τίκτουσα. ὅσον ὅτι τὴν τοῦ χρυσοῦ φιλίαν τῆς Χριστοῦ φιλίας προτιμοτέραν ἐν τοῖς υἱοῖς τῶν ἀνθρώπων ἐργάζεται. καὶ τὸν δημιουργὸν τῆς ὕλης, ἑαυτῆς ἐλάττονα τίθεται. καὶ αὐτῇ λατρεύειν μᾶλλον, ἢ τῷ Θεῷ πείθει, τοὺς τῇ κτίσει παρὰ τὸν κτίσαντα τὴν λατρείαν προσνέμοντας. καὶ τὴν τοῦ Θεοῦ ἀλήθειαν μεταλλάσσοντας ἐν τῷ ψεύδει. εἰ δὲ τοσοῦτον ἡ νόσος κακόν, ὡς καὶ δευτέρας αὐτὴν εἰδωλολατρείας κληρώσασθαι ὄνομα, ποίας οὐχ ὑπερβαίνει κακίας ὑπερβο-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λιῳ, ἡ τοσαῦτα ταύτῃ ἐθελουσίως ψυχή;

ιϛ'. Εἰ μὲν τοῦ Χριστοῦ φίλος εἶναι φιλεῖς, μισήσεις ἄρα χρυσὸν, καὶ τὴν τούτου λίχνον φιλίαν, ὡς τὴν διάνοιαν στρέφουσαν πρὸς ἑαυτὴν τοῦ φιλοῦντος, καὶ ἀποσπῶσαν αὐτὴν ἀπὸ τῆς γλυκυτάτης ἀγάπης τοῦ Ἰησοῦ· ἥτις οὐκ ἐν εἴδει λόγου φαίνεσθαί μοι δοκεῖ, ἀλλ' ἐν εἴδει πράξεως τῶν αὐτοῦ ἐντολῶν. εἰ δὲ τοῦ χρυσοῦ ἐπιθυμεῖς, φεῦ, κερδήσεις μὲν κατορύττων αὐτὸν τό γε νῦν ἔχον, εἴγε κέρδος καὶ οὐ ζημίαν ἐσχάτην ἔχεις αὐτοῦ τὴν φιλίαν, προτιμῶν αὐτὴν τοῦ Χριστοῦ. ἐκεῖνον δὲ ἴσθι ζημιωθήσῃ, καὶ προσαπολέσῃς τῇ ζημίᾳ, καὶ ὃν ἔχεις, τὸ κεφάλαιον, τὸν Θεόν. οὗ χωρὶς, οὐκ ἔστιν ἀνθρώποις σωτηρίας ζωή.

ιζ'. Εἰ φιλεῖς χρυσὸν, Χριστὸν οὐ φιλεῖς. εἰ δὲ Χριστὸν οὐ φιλεῖς, φιλεῖς δὲ χρυσὸν, ὅρα τίνι σε ὁ τύραννος ἐξομοιοῦσθαι παρασκευάζει. ἐκείνῳ τῷ μαθητῇ μὲν, ἀλλ' ἀπίστῳ. φίλῳ δὲ, ἀλλ' ἐπιβούλῳ φανέντι, καὶ κακῶς εἰς τὸν κοινὸν δεσπότην ἐμπαροινήσαντι, καὶ ἀθλίως ἐκπεσόντι πίστεως ἅμα, καὶ τῆς πρὸς ἐκεῖνον ἀγάπης, καὶ εἰς βυθὸν ἐγκυβιστήσαντι ἀπογνώσεως. οὗ σὺ δεδιὼς τὸ ὑπόδειγμα, φεῦγε χρυσὸν, ἐμοὶ πειθόμενος, καὶ τὴν τούτου φιλίαν· ἵνα δυνηθῇς κερδῆσαι Χριστὸν, ἐν τῷ φιλεῖν σεαυτόν. εἰδ' οὖν, ἀλλ' οἶδας τὸν τρόπον τοῦ ἐκπεπτωκότος τὸν ἴδιον.

ιη'. Μὴ διὰ χρυσοῦ, ἢ συνδρομῆς ἀνθρώπων καὶ ἐξαιτήσεως ἐπιτυχεῖν προεδρίας σπεύσεις ποτὲ, εἰ καὶ συνορᾷς ἑαυτὸν ἰσχύοντα ὠφελῆσαι ψυχὰς, ἀλλὰ τῆς ἄνωθεν κλήσεως. ἐπεὶ, τρία ταῦτά σοι προσυπαντήσει, καὶ τὸ ἓν ἀποβήσεται. ἢ γὰρ ἀγανάκτησις ἀπὸ Θεοῦ σοι ἐπέλθῃ, καὶ ὀργὴ διὰ ποικίλων ἐπιφορῶν καὶ περιστάσεων, ἐκπολεμωθήσονταί σοι γὰρ οὐκ ἄνθρωποι μόνον, ἀλλὰ καὶ ἡ κτίσις σχεδὸν ἅπασα, καὶ γενήσεταί σοι πολυστένακτος ἡ ζωή· ἢ μετὰ πολλῆς ἀτιμίας ἐκεῖθεν καθαιρεθήσῃ, τῶν καὶ σοῦ ὑπερισχυσάντων· ἢ ἀποθάνῃς ἐν οὐ καιρῷ σου ἀποτμηθεὶς τῆς παρούσης ζωῆς.

ιθ'. Οὐκ ἔστι καταφρονῆσαι δόξης καὶ ἀτιμίας, καὶ ὑπεράνω γενέσθαι ὀδύνης καὶ ἡδονῆς, εἰ μή τις πρὸς τὰ τέλη τῶν πραγμάτων βλέπειν ἀξιωθήσεται. ὁπηνίκα γὰρ πάσης δόξης, καὶ ἡδονῆς, τρυφῆς, καὶ πλούτου, καὶ εὐημερίας τὰ τέλη εἰς οὐδὲν ἴδῃ καταγινόμενα, τοῦ θανάτου ταῦτα διαδεχομένου, καὶ διαφθείροντος, τηνικαῦτα πάντων καταγνοὺς τῶν ἀνθρωπίνων πραγμάτων σαφῆ ματαιότητα, στρέψει τὰς αἰσθήσεις αὐτοῦ πρὸς τὰ τέλη τῶν θείων πραγμάτων. καὶ τῶν μὲν ὄντων καὶ μηδαμῶς διαφθαρῆναι δυναμένων, ἀντέχεται. τούτων δὲ ἀντιποιούμενος, ὀδύνης καὶ ἡδονῆς ὑπεράνω γίνεται. ὀδύνης μὲν, ὡς τὸ φιλήδονον καὶ φιλόδοξον καὶ φιλοχρήματον καταγωνισάμενος τῆς ψυχῆς. ἡδονῆς δὲ, ὡς τὴν τοῦ κόσμου ἀποσεισάμενος αἴσθησιν. διὸ καὶ τιμώμενος καὶ ἀτιμαζόμενος, ὁ αὐτός ἐστιν. ὀδύναις τε καὶ ἀνέσεσι βαλλόμενος σώματος, ἐν πᾶσιν εὐχαριστεῖ τῷ Θεῷ, καὶ οὐ καταπατᾶται τὸν λογισμόν.

κ'. Ἔστι καὶ ἀπὸ τῶν ἐνυπνίων τὰς τῆς ψυχῆς κινήσεις καὶ διαθέσεις καταστοχάζεσθαι τὸν σπουδαῖον, καὶ τῆς καταστάσεως ἐπιμελεῖσθαι αὐτοῦ. κατὰ γὰρ τὴν διάθεσιν τοῦ ἐντὸς ἀνθρώπου, καὶ τῶν φροντίδων αὐτοῦ, εἰσὶ καὶ τοῦ σώματος αἱ κινήσεις, καὶ τοῦ νοὸς αἱ φαντασίαι. εἰ μὲν τις οὖν φιλόϋλον καὶ φιλήδονον τὴν ψυχὴν ἔχει, κτήσεις πραγμάτων, καὶ χρημάτων εὐπορίαν φαντάζεται, μορφάς τε γυναικῶν καὶ συμπλοκὰς ἐμπαθεῖς, ἐξ ὧν ὁ ἐσπιλωμένος αὐτῷ χιτὼν, καὶ ὁ μιασμὸς τῆς σαρκὸς ἐπιγίνεται. εἰ δὲ πλεονεκτικὴν καὶ φιλάργυρον, χρυσὸν ὁρᾷ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κατὰ πάντα καὶ τῶν εἰσπράττει, καὶ πλεονάζει τοῖς τόκοις, καὶ εἰς θησαυροὺς ἀποτίθεται, καὶ ὡς ἀσυμπαθὴς κατακρίνεται. εἰ δὲ θυμώδη καὶ βάσκανον, θηρίοις καὶ ἰοβόλοις διώκεται ἑρπετοῖς, καὶ φόβοις, καὶ δειλίᾳ καθυποβάλλεται· εἰ δὲ περιουσιωμένην τῇ κενῇ δόξῃ, εὐφημίας, καὶ προσυπαντήσεις λαοῦ· θρόνους ἀρχῆς καὶ ἡγεμονίας φαντάζεται. καὶ περὶ τὰ μήπω ὄντα αὐτῷ, ὡς ὄντα, ἢ πάντως ἐσόμενα, καὶ ἐγρηγορὼς διατίθεται. εἰ δὲ ὑπερήφανον καὶ ἀλαζονείας μεστὴν, ἐπὶ ὀχημάτων φέρεσθαι λαμπροτάτων ὁρᾷ ἑαυτόν· καὶ πτεροῖς ἔσθ' ὅτε εἰς ἀέρα πετόμενον, καὶ πάντας τὴν ὑπεροχὴν τρέμοντας τῆς ἐξουσίας αὐτοῦ. οὕτω δὴ καὶ φιλόθεος ἄνθρωπος σπουδαῖος ὢν εἰς ἐργασίαν τῆς ἀρετῆς, καὶ δίκαιος εἰς εὐσεβείας ἀγῶνας, καὶ καθαρὰν τῆς ὕλης ἐπιφερόμενος τὴν ψυχὴν, μελλόντων πραγμάτων ἐκβάσεις καθ' ὕπνους ὁρᾷ, καὶ φρικτῶν θεαμάτων ἀποκαλύψεις. ἀεί τε εὐχόμενον ἑαυτὸν ἐν κατανύξει καὶ εἰρηνικῇ καταστάσει, ψυχῆς τε καὶ σώματος ἀφυπνιζόμενος καταλαμβάνει, ὡς εἶναι μὲν ἐπὶ τῶν παρειῶν αὐτοῦ τὰ δάκρυα, ἐπὶ δὲ τῶν χειλέων τὴν πρὸς Θεὸν ὁμιλίαν.

ξα'. Τῶν καθ' ὕπνους φανταζομένων, τὰ μὲν αὐτῶν ἐστιν, ἐνύπνια, τὰ δὲ ὁράσεις, τὰ δὲ ἀποκαλύψεις. καὶ τὰ μὲν ἐνύπνιά εἰσιν, ὅσα μὴ μένει περὶ τὸ φανταστικὸν τοῦ νοὸς ἀναλλοίωτα, ἀλλὰ συγκεχυμένην καὶ ἀλλεπάλληλον, καὶ πυκνῶς ἀλλοιουμένην ἀπ' ἄλλου εἰς ἄλλο φέρει τὴν φαντασίαν. ἐξ ὧν οὐδεμία τῶν φανταζομένων ἐπιγίνεται ὠφέλεια, καὶ αὐτὴ ἡ φαντασία μετὰ τὴν ἀφύπνισιν διαλύεται. ἧς καὶ καταφρονεῖν οἱ σπουδαῖοι ὀφείλουσιν. αἱ δὲ ὁράσεις εἰσὶν, ὅσαι ἀναλλοίωτοί εἰσι· καὶ οὐκ ἐκ τούτου εἰς ἕτερον μετασχηματίζονται, ἀλλὰ μένουσιν ἐντετυπωμέναι τῷ νοῒ ἐπὶ πολλὰς περιόδους ἐτῶν, καὶ ἀλάθητοι· καὶ ὅσοι μελλόντων πραγμάτων ἐκβάσεις δεικνύουσι, καὶ ψυχῆς ὠφέλειαν ἐκ κατανύξεως προξενοῦσι, καὶ φοβερῶν θεαμάτων· τρέμοντα καὶ σύντρομον τὸν ὁρῶντα ἐκ τῆς τῶν ὁρωμένων ἀναλλοιώτου φρικτῆς θεωρίας ἀποτελοῦσιν. ὧν καὶ περὶ πολλοῦ τίθεσθαι χρεὼν τοὺς σπουδαίους τὰς ὀπτασίας. αἱ δὲ ἀποκαλύψεις εἰσὶν, αἱ παρὰ πᾶσαν τὴν αἴσθησιν γινόμεναι θεωρίαι τῆς καθαρωτάτης καὶ πεφωτισμένης ψυχῆς. αἵτινες ξένων τινῶν θείων πραγμάτων καὶ νοημάτων φέρουσι δύναμιν, κεκρυμμένων τε μυστηρίων Θεοῦ μυσταγωγίαν καὶ ἐκβάσεις μεγίστων εἰς ἡμᾶς ὑποθέσεων, καὶ κοινὴν ἐναλλαγὴν ἐπὶ τῶν κοσμικῶν καὶ ἀνθρωπίνων πραγμάτων.

Τῶν εἰρημένων, τὰ μὲν εἰσὶν ὑλικῶν καὶ φιλοσάρκων ἀνδρῶν. ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ ὕβρις τοῦ κόρου· ὧν τὸ ζοφερὸν τοῦ νοὸς, ἐκ βίου ἠμελημένου καὶ πεφυρμένου τοῖς πάθεσι, καὶ οὓς φαντάζουσί τε καὶ παίζουσι δαίμονες. τὰ δὲ, σπουδαίων καὶ καθαιρομένων τὰ τῆς ψυχῆς αἰσθητήρια, καὶ διὰ τῶν ὁρωμένων ἐνεργουμένων εἰς θείων πραγμάτων κατάληψιν, καὶ εἰς ἐπίδοσιν ἀναβάσεως. αἱ δὲ, τελείων, καὶ ὑπὸ Θείου ἐνεργουμένων πνεύματος· καὶ ἑνωμένων Θεῷ ἐκ θεολόγου ψυχῆς. ξβ'.

Οὐ πάντων αἱ καθ' ὕπνους ὄψεις εἰσὶν ἀληθεῖς, οὐ δὲ πάντων τῷ ἡγεμονικῷ τοῦ νοὸς ἐντυποῦνται· ἀλλὰ μόνων ἐκείνων τῶν κεκαθαρμένων τὸν νοῦν, καὶ τετρανωμένων τὰ αἰσθητήρια τῆς ψυχῆς, καὶ πρὸς φυσικὴν ἀναδραμόντων θεωρίαν. ὧν οὐδεμία φροντὶς πραγμάτων βιωτικῶν, οὐδέ τις μέριμνα τῆς παρούσης ζωῆς· ὧν αἱ μακραὶ ἀσιτίαι, εἰς περιεκτικὴν ἐγκράτειαν ἔστησαν· καὶ οἱ κατὰ Θεὸν ἱδρῶτες καὶ πόνοι, εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ τὴν γνῶσιν τῶν ὄντων τὸ κατάλυμα ἔσω μετὰ σοφίας τῆς κρείτ- ξγ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τονος. ὧν ὁ βίος Ἀγγελικὸς, καὶ ἡ ζωὴ αὐτῶν παρὰ Θεῷ κέκρυπται, καὶ ἡ προκοπὴ ἐξ ἱερᾶς ἡσυχίας εἰς βάσιν Προφητῶν τῆς τοῦ Θεοῦ Ἐκκλησίας, ἀνέβη· περὶ ὧν καὶ ἐν Μωϋσῇ λελάληκεν ὁ Θεός. „ἐὰν γένηται Προφήτης ἐν ὑ-
„μῖν, ἐν ὕπνῳ ὀφθήσομαι αὐτῷ, καὶ
„ἐν ὁράματι λαλήσω πρὸς αὐτόν. καὶ
„ἐν Ἰωήλ· καὶ ἔσται μετὰ ταῦτα, ἐκ-
„χεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶ-
„σαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ
„ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ
„Πρεσβύτεροι ὑμῶν ἐνυπνιασθήσονται,
„καὶ οἱ νεανίσκοι ὑμῶν, ὁράσεις ὄψον-
„ται.

ξδʹ. Ἡσυχία ἐστὶ, νοὸς κατάστασις ἀνενόχλητος, γαλήνη ἐλευθερίας καὶ ἀγαλλιωμένης ψυχῆς, καρδίας, ἐν Θεῷ, βάσις ἀτάραχος καὶ ἀκύμαντος, θεωρία φωτὸς, γνῶσις Θεοῦ μυστηρίων, λόγος σοφίας ἐκ καθαρᾶς διανοίας, ἄβυσσος νοημάτων Θεοῦ, ἁρπαγὴ νοὸς, ὁμιλία Θεοῦ, ἀκοίμητος ὀφθαλμὸς, προσευχὴ νοερὰ, ἄπονος ἐν πόνοις μεγάλοις ἀνάπαυσις· καὶ τέλος, ἕνωσις μετὰ Θεοῦ καὶ συνάφεια.

ξεʹ. Μέχρις ἡ ψυχὴ στασιάζῃ καθ' ἑαυτὴν, ἀτάκτως κινουμένων αὐτῆς τῶν δυνάμεων, καὶ οὔπω χωρητικὴ γέγονε τῶν Θείων ἀκτίνων, οὐδὲ ἐλευθερίας ἠξιώθη τῆς δουλείας τοῦ φρονήματος τῆς σαρκὸς, οὐδὲ εἰρήνης ἀπήλαυσεν, ἄρτι λήξαντος αὐτῇ τοῦ πολέμου τῶν ἀκαθέκτων παθῶν, πολλῆς δεῖται σιωπῆς τῶν χειλέων. ὡς λέγειν καὶ αὐτὴν μετὰ τοῦ Δαβίδ· ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. χρὴ δὲ σκυθρωπὴν εἶναι δὴ, καὶ στυγνὴν πορεύεσθαι τὴν ὁδὸν τῶν ἐντολῶν τοῦ Χριστοῦ, ἐν τῷ θλίβεσθαι ὑπὸ τοῦ ἐχθροῦ, καὶ ἀναμένειν τὴν ἐπιδημίαν τοῦ Παρακλήτου· δι' οὗ ταύτῃ κατανυσσομένῃ, καὶ πλυνομένῃ τοῖς δάκρυσιν, ἡ ὄντως ἐλευθερία ἐπιβραβεύεται.

ξϛʹ. Ὁπηνίκα ὁ ἐν ἡσυχίᾳ τὸ μέλι τῶν ἀρετῶν ἐργαζόμενος, ὑπεράνω τῆς ταπεινώσεως γένηται τῆς σαρκὸς ἐξ ἀγώνων φιλοσοφίας, καὶ εἰς τὸ κατὰ φύσιν ἔλθῃ τὰ τῶν δυνάμεων αὐτοῦ τῆς ψυχῆς ἐκ καταβεβλημένου φρονήματος, χωρήσῃ τε τὰς ἀκτῖνας τοῦ πνεύματος, δάκρυσι καθαρθεὶς τὴν καρδίαν, καὶ τῆς ζωοποιοῦ νεκρώσεως τοῦ Χριστοῦ τὴν ἀφθαρσίαν ἐνδύσηται, καὶ τὸν Παράκλητον ἐν τῷ ὑπερῴῳ τῆς ἡσυχίας καθεζόμενος μετὰ πυρίνης γλώττης, καὶ αὐτὸς ὑποδέξηται, τηνικαῦτα λαλεῖν ἐν παρρησίᾳ τὰ μεγαλεῖα τοῦ Θεοῦ χρεωστεῖ· καὶ ἐν Ἐκκλησίᾳ μεγάλῃ τὴν δικαιοσύνην αὐτοῦ εὐαγγελίζεσθαι, ὡς ἐν μέσῳ τῆς κοιλίας δεξάμενος τὸν νόμον τοῦ Πνεύματος· ἵνα μὴ ὡς ὁ πονηρὸς δοῦλος ἐκεῖνος, ὁ τὸ τάλαντον τοῦ οἰκείου κατακρύψας δεσπότου, εἰς πῦρ βληθήσεται τὸ αἰώνιον. οὕτω γὰρ καὶ Δαβὶδ τὴν ἁμαρτίαν ἀπονιψάμενος διὰ μετανοίας, καὶ τὸ Προφητικὸν πάλιν ἀπολαβὼν χάρισμα, ὥσπερ μὴ δυνάμενος τὴν εὐεργεσίαν κρύπτειν, ἔλεγε πρὸς Θεόν. ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω· Κύριε σὺ ἔγνως. τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου· τὴν ἀλήθειάν σου, καὶ τὸ σωτήριόν σου εἶπα· οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς.

ξζʹ. Νοῦς ἰλύος πάσης ἐκκαθαρθεὶς, οὐρανὸς κατάστερος ἐν λαμπροῖς καὶ φωτεινοτάτοις νοήμασι γίνεται τῇ ψυχῇ, τὸν ἥλιον τῆς δικαιοσύνης ἔχων λάμποντα ἐν ἑαυτῷ, καὶ φαιδρὰς τὰς ἀκτῖνας τῆς θεολογίας εἰς τὸν κόσμον ἐκπέμποντα· ὁ λόγος δὲ τούτῳ καθαρὸς γενόμενος ἐξ ἀβύσσου σοφίας, ἁπλᾶς καὶ ἀμιγεῖς ἐκεῖθεν ἀνάγει πρὸς αὐτὸν τὰς τῶν πραγμάτων ἰδέας, καὶ τὰς ἀποκαλύψεις τῶν κεκρυμμένων πεφανερωμένας, εἰς τὸ εἰδέναι τί τὸ βάθος, καὶ ὕψος, καὶ πλάτος τῆς γνώσεως τοῦ Θεοῦ. ταύτης δὲ φυσικῶς ἐκεῖ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νως ἐγκολπωσάμενος, διαξαίνει τὰ βάθη τοῦ Πνεύματος διὰ τοῦ λόγου, πᾶσι τοῖς ἔχουσι πνεῦμα Θεῖον ἐν τοῖς ἐγκάτοις, καὶ δημοσιεύει τῶν δαιμόνων τοὺς δόλους, καὶ τὰ μυστήρια διηγεῖται τῆς βασιλείας τῶν οὐρανῶν.

ξη΄. Τὰς μὲν σωματικὰς ὀρέξεις, καὶ τὰ σκιρτήματα τῆς σαρκὸς, ἴστησιν ἐγκράτεια, καὶ νηστεία, καὶ ἀγῶνες πνευματικοί. τὰς δὲ φλεγμονὰς τῆς ψυχῆς, καὶ τὰ οἰδήματα τῆς καρδίας, καταψύχει τῶν θείων γραφῶν ἡ ἀνάγνωσις, καὶ ταπεινοῖ ἡ ἀέναος προσευχὴ, καὶ ὥσπερ ἔλαιον καθιλαρύνει αὐτὰς ἡ κατάνυξις.

ξθ΄. Οὐδὲν οὕτως ἕτερον, ὡς εὐχὴ καθαρά τε καὶ ἄϋλος, συνόμιλον τῷ Θεῷ, τὸν ἄνθρωπον ἀπεργάζεται, καὶ ἑνοῖ οἰκείως αὐτὸν τῷ Λόγῳ ἀπερισπάστως μετὰ πνεύματος προσευχόμενον· ἡνίκα καὶ τοῖς δάκρυσιν ἀποσμηχομένην ἔχει τὴν ἰδίαν ψυχὴν, τῷ ἡδεῖ τε καταγλυκαινομένην τῆς κατανύξεως, καὶ τῷ φωτὶ καταφωτιζομένην τοῦ Πνεύματος.

ο΄. Καὶ ἡ ποσότης ἐν ταῖς τῶν εὐχῶν ψαλμῳδίαις ἀρίστη, ἡνίκα ταύτης καρτερία προηγεῖται, καὶ προσοχή. ἀλλ' ἡ ποιότης ἐστὶ τὸ ζωογονοῦν τὴν ψυχὴν, ἣ καὶ πρόξενος τοῦ καρποῦ. ποιότης δὲ ψαλμῳδίας καὶ προσευχῆς, τὸ μετὰ τοῦ πνεύματος εὔχεσθαι, καὶ τῷ νοΐ. εὔχεται δέ τις τῷ νοΐ, ὅταν εὐχόμενος καὶ ψάλλων, ἀναθεωρεῖ τὸν νοῦν τὸν ἐγκείμενον ἐν τῇ θείᾳ γραφῇ· καὶ δέχεται ἀναβάσεις ἐκεῖθεν νοημάτων ἐν τῇ καρδίᾳ αὐτοῦ ἐκ θεοπρεπῶν ἐννοιῶν. ὑφ' ὧν ἁρπαζομένη νοερῶς ἡ ψυχὴ εἰς ἀέρα φωτὸς, ἐλλάμπεται τρανῶς, καὶ καθαίρεται πλέον, καὶ πρὸς οὐρανοὺς ὅλη μετάρσιος γίνεται· καὶ τῶν ἀποκειμένων τοῖς ἁγίοις ἀγαθῶν κατοπτεύει τὰ κάλλη, ὧν τῇ ἐπιθυμίᾳ ἐκκαιομένη, τὸν καρπὸν εὐθὺς τῆς εὐχῆς ἐκπέμπει ἀπὸ τῶν ὀφθαλμῶν, καὶ τὸ νᾶμα τῶν δακρύων πηγάζει, ἐκ τῆς φωτοποιοῦ ἐνεργείας τοῦ Πνεύματος. ὧν ἡ γεῦσις τοσοῦτον ἡδεῖα, ὡς καὶ σωματικῆς τροφῆς ἔσθ' ὅτε, τοὺς ἐν μεθέξει τούτων γενομένους, ἐπιλανθάνεσθαι. καὶ τοῦτό ἐστιν ὁ καρπὸς τῆς εὐχῆς, ὁ ἐκ τῆς ποιότητος τῆς ψαλμῳδίας ἐγγινόμενος ταῖς τῶν εὐχομένων ψυχαῖς.

οα΄. Οὗ ὁ καρπὸς ἀναθεωρεῖται τοῦ Πνεύματος, ἐκεῖ καὶ ἡ ποιότης τῆς προσευχῆς. καὶ οὗ ἡ ποιότης, ἐκεῖ ἀρίστη καὶ ἡ ποσότης τῆς ψαλμῳδίας. καρποῦ δὲ μὴ φαινομένου, ἄτιμος καὶ ἡ ποιότης. εἰ δὲ αὕτη ξηρὰ, περιττὴ ἡ ποσότης· ἥτις, εἰ καὶ σώματος γυμνασίαν φέρει, ἀλλὰ πάντως γε τοῖς πολλοῖς ἀκερδής ἐστι.

οβ΄. Βλέπε τὸν δόλον εὐχόμενος καὶ ᾄδων τοὺς ψαλμοὺς τοῦ Κυρίου. ἢ γὰρ ἄλλα ἀντ' ἄλλων οἱ δαίμονες τὴν αἴσθησιν τῆς ψυχῆς ὑποκλέπτοντες, λέγειν ἡμᾶς ἀπατῶσι, τοὺς στίχους εἰς βλασφημίαν τρέποντες τῶν ψαλμῶν, ὡς εἰπεῖν ἡμᾶς διὰ στόματος ἃ μὴ θέμις. ἢ τὴν ἀρχὴν τῶν ψαλμῶν ἀρξαμένους, ἐπὶ τὸ τέλος ποιοῦσιν ἡμῶν τὸν λόγον, τὰ ἐν μέσῳ διασκεδάζοντες ἀπὸ τοῦ νοός· ἢ ἐπὶ τὸ αὐτὸ τὸν ἕνα στίχον ἀεὶ ἐπανακυκλοῦσι, μὴ συγχωροῦντες διὰ τῆς λήθης τὸ ἐχόμενον εὑρεῖν τοῦ ψαλμοῦ. ἢ ἐν μέσῳ γινομένων ἡμῶν τοῦ ψαλμοῦ, αἴφνης αἴρουσι τοῦ νοὸς τὴν μνήμην ἅπασαν τῶν ἐπισυναχθέντων στίχων· ὡς μηδὲ μνημονεύειν ἡμᾶς τίνα ἐπὶ στόματος εἴχομεν τῆς ψαλμῳδίας, μηδὲ δυναμένους εὑρεῖν ταῦτα καὶ ἐπαναλαβεῖν ἐπὶ γλώσσης. τοῦτο δὲ ποιοῦσιν, ὥστε βαλεῖν ἡμᾶς εἰς ὀλιγωρίαν καὶ ἀκηδίαν· καὶ ἵνα καταργήσωσιν ἡμῶν τοὺς καρποὺς τῆς προσευχῆς, τὴν τῆς ὥρας βραδύτητα ὑποτιθέμενοι. ἀλλ' ἔστηθι σὺ δυνατῶς, καὶ τὸν ψαλμὸν χολαιότερον ἔχε· ὡς ἂν τὴν τῆς εὐχῆς ἀπὸ τῶν στίχων διὰ θεωρίας τρυγήσῃς ὠφέλειαν, καὶ τὸν φωτισμὸν τοῦ Ἁγίου Πνεύματος καταπλουτήσῃς τὸν ἐγ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γινόμενον ἐν ταῖς τῶν εὐχομένων ψυχαῖς.

ογ'. Ὅταν τι τοιοῦτον ἐπισυμβῇ σοι ψάλλοντι συνεχῶς, μὴ ὀλιγωρήσας ἀκηδιάσῃς· μηδὲ τὴν τοῦ σώματος ἀνάπαυσιν τῆς ψυχικῆς ὠφελείας σου προτιμήσῃς, τὴν βραδύτητα τῆς ὥρας κατανοῶν. ἀλλ' ἔνθα σε ἡ αἰχμαλωσία τοῦ νοὸς καταλήψεται, στῆθι. καὶ εἰ πρὸς τὸ τέλος γένηται τοῦ ψαλμοῦ, σὺ πρὸς τὴν ἀρχὴν ἐκθύμως ἀνάδραμε· καὶ δραξάμενος αὐτῆς, αὖθις ἔχου τοῦ ψαλμοῦ καθ' ὁδόν, κἂν πολλάκις ἐν μιᾷ ὥρᾳ ἡ αἰχμαλωσία προσυπαντήσῃ. τοῦτο γὰρ ποιοῦντός σου, μὴ φέροντες τὴν ὑπομονὴν τῆς σῆς καρτερίας οἱ δαίμονες, καὶ τὸν τόνον τῆς προθυμίας σου, αἰσχύνης πληρωθέντες, οἰχήσονται ἀπὸ σοῦ.

οδ'. Ἀέναον προσευχὴν ἐκείνην εἶναι γίνωσκε ἀσφαλῶς, τὴν μὴ λήγουσαν ἀπὸ τῆς ψυχῆς διὰ πάσης ἡμέρας τε καὶ νυκτός. ἥτις οὐκ ἐν ἐκτάσει χειρῶν, ἢ παραστάσει σώματος, καὶ γλώττης ἤχῳ, τοῖς ὁρῶσιν ὁρᾶται· ἀλλ' ἐν νοερᾷ μελέτῃ τῆς τοῦ νοὸς ἐργασίας, καὶ τῆς τοῦ Θεοῦ μνήμης δι' ἐπιμόνου κατανύξεως τοῖς νοεῖν εἰδόσι νοεῖται.

οε'. Δύναταί τις ἀεὶ προσανέχειν εὐχῇ, ὁπόταν τοὺς ἑαυτοῦ λογισμοὺς ἐπισυνηγμένους ἔχῃ περὶ τὴν ἡγεμονίαν τοῦ νοός, ἐν εἰρήνῃ καὶ εὐλαβείᾳ πολλῇ, τὰ βάθη τοῦ Θεοῦ ἀνορύττοντας, καὶ ζητοῦντας ἐκεῖθεν γεύσασθαι τὸ γλυκύτατον νᾶμα τῆς θεωρίας. εἰρήνης δὲ τοιαύτης ἀπούσης, οὐ δύναται. εἴτινι γὰρ αἱ ψυχικαὶ δυνάμεις διὰ γνώσεως συνεύδονται, τούτῳ καὶ ἡ διηνεκὴς προσευχὴ κατωρθώθη.

ος'. Ἐὰν ᾄδῃς ᾆσμα εὐχῆς τῷ Θεῷ, καὶ ἀδελφὸς παραστῇ τῇ θύρᾳ κρούων τῆς κέλλης σου, μὴ προτιμήσῃς τὸ ἔργον τῆς εὐχῆς τοῦ ἔργου τῆς ἀγάπης, καὶ παρίδῃς κρούοντα τὸν σὸν ἀδελφόν. τοῦτο γὰρ οὐκ ἔστι φίλον Θεῷ. ἔλαιον γὰρ ἀγάπης θέλει, καὶ οὐ θυσίαν προσευχῆς· ἀλλὰ τὸ δῶρον ἀφεὶς τῆς προσευχῆς, διὰ ὁμιλίαν ἀγάπης τῷ ἀδελφῷ, θεραπεύσας αὐτόν. καὶ τότε στραφείς, πρόσφερέ σου τὸ δῶρον τῷ πατρὶ τῶν πνευμάτων μετὰ δακρύων, καὶ συντετριμμένης καρδίας, καὶ πνεῦμα εὐθὲς ἐγκαινισθήσεται τοῖς ἐγκάτοις σου.

οζ'. Οὐκ ἐν ὡρισμένῳ καιρῷ καὶ τόπῳ, τὸ τῆς εὐχῆς τελεῖται μυστήριον. εἰ γὰρ ὁρίζεις τὰ τῆς εὐχῆς ἐν ὥραις, καὶ καιροῖς, καὶ τόποις, ὁ τούτων ἐκτὸς ἄρα χρόνος, σχολὴν ἐν ἄλλοις ἄγει πράγμασι ματαιότητος. ὅρος γὰρ εὐχῆς τοῦτό ἐστι, τὸ περὶ Θεὸν ἀκίνητον τοῦ νοός. ἔργον δέ, τὸ περὶ θεῖα πράγματα στρέφεσθαι τὴν ψυχήν. τέλος δέ, τὸ κολληθῆναι Θεῷ τὴν διάνοιαν, καὶ ἓν πνεῦμα μετ' αὐτοῦ χρηματίσαι, κατὰ τὸν ὅρον καὶ λόγον τοῦ Ἀποστόλου.

οη'. Εἰ καὶ τοῖς μέλεσι τῆς σαρκὸς ἐνεκρώθης, καὶ τὴν ψυχὴν ἐζωοποιήθης διὰ τοῦ πνεύματος, καὶ ὑπερφυῶν χαρισμάτων ἠξιώθης ἀπὸ Θεοῦ, ἀλλὰ σύγε μὴ ἄνετον ἐάσῃς τὸ λογιζόμενον τῆς ψυχῆς σου. στρέφεσθαι δὲ ἀεὶ τοῦτο ἔθιζε περὶ τὴν μνήμην τῶν ποτέ σοι ἡμαρτημένων, καὶ τῶν ἐν τῷ ἅδῃ ποινῶν, καὶ ὡς κατάδικον νεκρῶς ἑαυτὸν κατανόει. οὕτω δὲ στρέφων ἐν τούτοις τὸν νοῦν, καὶ οὕτω κατανοῶν ἑαυτόν, συντετριμμένον φυλάξεις τὸ πνεῦμα, καὶ τὴν πηγὴν βλύζουσαν ἕξεις τῆς κατανύξεως, τὰ τῆς θείας χάριτος ῥεῖθρα. Θεόν τε βλέποντα εἰς σέ, καὶ διδόντα σοι πνεῦμα εἰς ἐπιστηριγμὸν τῆς καρδίας σου.

οθ'. Νηστεία λελογισμένη, ἀγρυπνίαν μετὰ μελέτης καὶ προσευχῆς λαβοῦσα συνέμπορον, ταχέως τοῖς τῆς ἀπαθείας ὅροις ἐπιβῆναι ποιεῖ τὸν ἐργάτην αὐτῆς. ἡνίκα τοῦτον, καὶ τὴν ψυχὴν δι' ὑπερβολὴν ταπεινώσεως, κατανενυγμένην ἔχοντα τοῖς δάκρυσιν ἕξει, καὶ ὑπὸ τῆς ἀγάπης τοῦ Θεοῦ πυρπολούμενον. εἰς τοῦτο δὲ ἐλθόν-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πε, πρὸς τὴν εἰρήνην αὐτὸν τοῦ πνεύματος ἄγει τὴν πάντα νοῦν ἐλεύθερον ὑπερέχουσαν, καὶ διὰ τῆς ἀγάπης ἑνοῖ τῷ Θεῷ.

π΄. Οὐχ οὕτω βασιλεὺς ἐπὶ δόξῃ καὶ βασιλείᾳ μέγα φρονεῖ, καὶ εἰς κράτος ἐναβρυνόμενος χαίρει, ὡς Μοναχὸς ἐπὶ ψυχῆς ἀπαθείᾳ, καὶ δάκρυσι κατανύξεως. ὁ μὲν γὰρ συμμαραινόμενον ἔχει τῇ βασιλείᾳ τὸ φρόνημα· ὁ δέ, συναπερχομένην ἐκεῖθεν καὶ μένουσαν μετ᾽ εὐφροσύνης τὴν μακαρίαν ἀπάθειαν εἰς ἀπεράντους αἰῶνας. οἷα γὰρ τροχὸς μέσον ἀνθρώπων κυλίεται καὶ τὴν κρατοῦσαν, ὁ τοιοῦτος, ζωήν. μικρὰ μὲν τῇ γῇ καὶ τοῖς ἐν αὐτῇ προσεγγίζων διὰ τὴν ἀνάγκην τῆς φύσεως, ὅλος δὲ σφαιροειδῶς πρὸς ἀέρα φερόμενος νοητόν, ἀνακυκλουμένην ἐν ἑαυτῷ φέρει τὴν ἀρχὴν πρὸς τὸ τέλος. καὶ τὰ εἴδη τῶν χαρισμάτων ἐγκεκολαμμένα τῷ στεφάνῳ τῆς ταπεινώσεως. ᾧ καὶ πλήθουσά ἐστι τράπεζα, ἡ θεωρία τῶν ὄντων, πόμα δέ, ὁ κρατὴρ τῆς σοφίας· καὶ ἀνάπαυσις, ὁ Θεός.

πα΄. Ὁ πόνοις ἀρετῶν ἑαυτὸν ἑκουσίως ἐκδοὺς, καὶ τὸν τῆς ἀσκήσεως δρόμον θερμότερον διανύων, μεγάλων ἀξιοῦται ἀπὸ Θεοῦ δωρεῶν, εὐθέως τοι καὶ πρὸς τὸ μέσον προκόπτων, εἰς θείας ἀποκαλύψεις καὶ ὀπτασίας ἔρχεται. καὶ τοσοῦτον ὅλος φωτοειδὴς καὶ σοφὸς γίνεται, ὅσῳ καὶ τῶν ἀγώνων αὐτῷ ὁ κάματος ἐπιτείνεται. ὅσον δὲ πρὸς ὕψος ἀνέρχεται θεωρίας, τοσοῦτον καὶ τὸν φθόνον πολὺν τῶν ὀλεθρίων δαιμόνων ἐγείρει κατ᾽ αὐτοῦ. οὐδὲ γὰρ φέρουσιν ὁρᾷν ἄνθρωπον εἰς Ἀγγέλου φύσιν μεταβαλλόμενον. οὗ χάριν καὶ λεληθότως τὸ ὀξὺ τῆς οἰήσεως βέλος, θήγουσι κατ᾽ αὐτοῦ. καὶ εἰ μὲν τὸν δόλον συνεὶς τῷ ὀχυρώματι προσφύγῃ τῆς ταπεινώσεως, καταγνοὺς ἑαυτοῦ, ἐκφεύγει τὸν τῆς ὑπερηφανίας ὄλεθρον, καὶ εἰς λιμένας εἰσάγεται σωτηρίας. εἰ δ᾽ οὔ, ἀλλ᾽ ἐγκαταληφθεὶς ἄνωθεν, πνεύμασιν ἐξαπατῶσιν ἐκδίδοται, εἰς ἀκούσιον παίδευσιν. ἐπεὶ μὴ τῷ ἑκουσίῳ ἑαυτὸν ἐδοκίμασε. τὰ δέ εἰσι, φιλήδονα καὶ φιλόσαρκα, πονηρὰ καὶ θυμώδη· ἃ καὶ ταπεινοῦσιν αὐτὸν ταῖς ἐπιφοραῖς δριμέως, ἕως οὗ ἐπιγνῷ τὴν οἰκείαν ἀσθένειαν, καὶ θρηνήσας, ἀποθήσῃ τὴν βάσανον· καὶ εἴπῃ μετὰ τοῦ Δαβὶδ καὶ αὐτός. ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.

πβ΄. Ὁ Θεὸς οὐ βούλεται ἡμᾶς εἶναι τοῖς πάθεσιν ἀεὶ ταπεινούς, καὶ ὑπ᾽ αὐτῶν διωκομένους ὡς λαγωοὺς γενέσθαι καὶ τιθέναι πέτραν καταφυγὴν, μόνον αὐτόν. ἐπεὶ οὐκ ἂν εἶπεν, ἐγὼ εἶπα Θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. ἀλλὰ καὶ ὡς ἐλάφους ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τῶν αὐτοῦ ἐντολῶν ἀνατρέχειν, καὶ διψητικωτάτους γίνεσθαι τῶν ζωοποιῶν ναμάτων τοῦ πνεύματος. ἵνα καθάπερ ἐκεῖναι φύσει τοὺς ὄφεις ἐσθίουσαι τῇ ἐκ τοῦ πολλοῦ δρόμου θερμότητι τὴν ἰοβόλον φύσιν τῶν ὄφεων εἰς μόσχον παραδόξως, ὥς φασι, μεταποιοῦσι, μηδὲν ἐκεῖθεν βλαπτόμεναι. οὕτω καὶ ἡμεῖς πάντα λογισμὸν ἐμπαθείας ἐν γαστρὶ διανοίας δεχόμενοι, τῷ ἐμπύρῳ δρόμῳ τῶν τοῦ Θεοῦ ἐντολῶν, καὶ τῇ δυνάμει τοῦ πνεύματος μεταποιοῦμεν δι᾽ αἰχμαλωσίας εἰς ὠδῖνα καὶ σωτηριώδη πρᾶξιν τῆς ἀρετῆς. ὡς ἂν πᾶν νόημα αἰχμαλωτίζειν φαινοίμεθα, διὰ πράξεως, εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. ὁ γὰρ ἄνω κόσμος, οὐ διὰ χοϊκῶν καὶ ἀτελῶν ἀνδρῶν, ἀλλὰ διὰ πνευματικῶν καὶ τελείων, καὶ εἰς ἄνδρα τέλειον ἀναδεδραμηκότων τοῦ πληρώματος τοῦ Χριστοῦ, πληρωθῆναι δεῖται.

πγ΄. Ὁ ἀεὶ περὶ τὸ αὐτὸ στρεφόμενος, καὶ μὴ πορρωτέρω κινηθῆναι βουλόμενος, ἡμιόνῳ τῷ περὶ τὴν μηχανὴν ἐπὶ τὸ αὐτὸ κινουμένῳ ἔοικεν. ὁ γὰρ ἀεὶ μαχόμενος τῇ σαρκί, καὶ περὶ τὴν γυμνα-

σίαν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σίαν τοῦ σώματος ἐνασχολούμενος μόνην, ἀλλὰ πάσης κακοπαθείας, ἔλαθεν ἑαυτὸν τὰ μέγιστα ζημιούμενος, ὡς μὴ καταλαβὼν τοῦ θείου βουλήματος τὸν σκοπόν. ἡ γὰρ σωματικὴ γυμνασία κατὰ τὸν Παῦλον, πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἕως οὗ τὸ χοϊκὸν φρόνημα καταποθῇ τῆς σαρκὸς τοῖς τῆς μετανοίας ῥεύμασι, καὶ ἡ ζωοποιὸς τοῦ πνεύματος νέκρωσις, τῷ σώματι ἐπιγένηται, καὶ ὁ νόμος τοῦ πνεύματος βασιλεύσῃ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. ἡ δὲ εὐσέβεια τῆς ψυχῆς, ἡ διὰ τῆς τῶν ὄντων γνώσεως καὶ τῶν ἀθανάτων φυτῶν, τῶν θείων ἐννοιῶν λέγω, θεωρουμένη ὡς ξύλον ζωῆς, ἐν τῇ νοερᾷ τοῦ νοὸς ἐργασίᾳ, πανταχοῦ, καὶ ἐν πᾶσιν ὠφέλιμός ἐστιν, ὡς καθαρότητα καρδίας ἐργαζομένη· ὡς εἰρηνοποιοῦσα ἐν ταῖς δυνάμεσιν αὐτῆς, νοὸς φωτισμόν, ἁγνείαν σώματος, σωφροσύνην, περιεκτικὴν ἐγκράτειαν, ταπεινοφροσύνην, κατάνυξιν, ἀγάπην, ἁγιασμόν, γνῶσιν οὐράνιον, σοφίαν λόγου, καὶ θεωρίαν Θεοῦ. ὃς τοίνυν ἐκ πολλῆς γυμνασίας ἀνέδραμεν εἰς τὴν τοιαύτην τελειότητα τῆς εὐσεβείας, τὴν ἐρυθρὰν τῶν παθῶν διαπεράσας θάλασσαν· εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσῆλθε. δι᾽ ἧς ῥέει τὸ γάλα καὶ τὸ μέλι τῆς τοῦ Θεοῦ γνώσεως, ἡ ἀδαπάνητος τῶν ἁγίων τρυφή.

πδʹ. Ὁ μὲν μὴ προαιρούμενος ἀπὸ τῶν μερικῶν, καὶ πρὸς ὀλίγον τὸ ὠφέλιμον ἐχόντων ἀναστῆναι, καὶ ἐπὶ τὰ καθόλου ἐπ᾽ ὠφελῆ ἀνελθεῖν, ἔτι τὸν πιτυρίαν ἄρτον ἐσθίει, ἐν ἱδρῶτι τοῦ προσώπου αὐτοῦ, κατὰ τὴν ἄνωθεν ἀπόφασιν τοῦ Θεοῦ· διὸ καὶ ἀνέρεικτον ἐπιφέρεται τὴν ψυχὴν τοῦ νοητοῦ μάννα, καὶ αὐτοῦ τοῦ ἐκβλύσαντος μέλιτος ἀπὸ τῆς ῥαγείσης πέτρας τῷ Ἰσραήλ. ὁ δὲ ἐπήκοος· ἐγείρεσθε· ἄγωμεν ἐντεῦθεν, καὶ ἀπὸ τῆς τοῦ διδασκάλου φωνῆς ἐγερθεὶς τῆς ἐπιπόνου ἐργασίας· καὶ ἐσθίειν τὸν ἄρτον τῆς ὀδύνης ἀφείς, τὴν αἴσθησιν ἀπεσείσατο, καὶ τῆς τοῦ Θεοῦ σοφίας τοῦ κρατῆρος ἐγεύσατο. οὗτος ἔγνω, ὅτι Χριστὸς ὁ Κύριος, ὡς πεπληρωκὼς μὲν τὸν νόμον τῶν ἐντολῶν ἐν τῇ διακονίᾳ τοῦ λόγου, ἀνελθὼν δὲ εἰς τὸ ὑπερῷον καὶ τὴν ἐπιδημίαν περιμένων τοῦ Παρακλήτου.

Κατὰ τὰς τάξεις καὶ τοὺς βαθμοὺς τῆς ἐμφιλοσόφου ζωῆς, δεῖ πάντως ἡμᾶς ὁδεύειν ἐπὶ τὰ πρόσω, καὶ πρὸς τὸ ὑπερκείμενον, σπουδαίως ἀνέρχεσθαι, ὡς ἀεικινήτους ὄντας περὶ Θεόν, καὶ στάσιν μὴ εἰδότας ποτὲ τοῦ καλοῦ. ἐντεῦθέν τοι καὶ ἀπὸ μὲν τῆς ἐμπράκτου ἀσκήσεως, ἐπὶ τὴν φυσικὴν θεωρίαν τῆς κτίσεως. ἀπὸ δὲ ταύτης, ἐπὶ τὴν μυστικὴν τοῦ λόγου θεολογίαν ἀνέρχεσθαι χρή, καὶ καταπαύειν ἐν αὐτῇ ἀπὸ πάντων τῶν ἔργων τῆς σωματικῆς γυμνασίας, ὡς ὑπεράνω γεγονότας τῆς τοῦ σώματος ταπεινώσεως, καὶ τῆς ἀληθινῆς διακρίσεως τὴν γνῶσιν εἰληφότας τὴν ἀδιάκριτον. εἰ δὲ οὔπω ταύτης τῆς διακρίσεως ἐλάβομεν τὴν γνῶσιν, οὐδὲ οὕτως ὁδεύειν ἐπὶ τὰ πρόσω, καὶ πρὸς τὸ τελειότερον οἴδαμεν ἐπιτείνεσθαι, χείρους ἔτι τῶν κατὰ κόσμον ἐσμέν, οἳ ὅρον οὐκ οἴδασι προκοπῆς τῆς ἐχούσης ἀξίας. οὐδὲ στάσιν τῆς ἀναβάσεως, ἕως πρὸς τὸ ὑπερκείμενον τῶν ἄλλων ἀξιωμάτων ἀνέλθωσι, καὶ τὴν περὶ τούτου ἔφεσιν ἐν αὐτῷ καταπαύσωσιν. πεʹ.

Ἡ εὐπόνως ἐν θερμότητι καθαιρομένη ψυχὴ διὰ πόνων ἀσκήσεως, αὐγάζεται ὑπὸ τοῦ θείου φωτός, καὶ ὁρᾷν κατὰ μικρὸν ἄρχεται φυσικῶς τὸ δοθὲν αὐτῇ κάλλος ἀρχῆθεν ἀπὸ Θεοῦ· καὶ πλατύνεσθαι εἰς τὴν ἀγάπην τοῦ πεποιηκότος αὐτήν. καθόσον δὲ ξανοῦνται αὐτῇ ἐκ καθάρσεως αἱ ἀκτῖνες τοῦ ἡλίου τῆς δικαιοσύνης, καὶ τὸ φυσικὸν κάλλος ἀπογυμνοῦται αὐτῇ, καὶ γνωρίζεται, πςʹ.

κατὰ ποσότητα τοὺς πόνους τῆς γυμνασίας καὶ αὐτὴ πληθύνει, εἰς πλείονα κάθαρσιν ἑαυτῆς· ἵνα καθαρῶς, ἧς ἠξιώθη δωρεᾶς, καταμάθῃ τὴν δόξαν, καὶ τὴν παλαιὰν εὐγένειαν ἀναλάβηται· καὶ τὴν εἰκόνα καθαρὰν καὶ ἀμιγῆ τῆς ὕλης ἀνασώσῃ τῷ πλάσαντι· καὶ οὐδαμῶς τῆς προσθήκης τῶν πόνων ἐνδίδωσιν, ἕως οὗ ῥύπου παντὸς καὶ μολυσμοῦ ἑαυτὴν ἐκκαθάρῃ, καὶ ἀξίαν εἰς θεωρίαν καὶ ὁμιλίαν Θεοῦ ἀπεργάσηται.

πζʹ. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου, ὁ ὑπὸ τῆς ἀχλύος ἔτι τοῦ γεώδους φρονήματος καλυπτόμενος, βοᾷ πρὸς Θεόν. ἡ γὰρ τοῦ χοϊκοῦ νοὸς ἄγνοια, ἀχλὺς οὖσα, καὶ ζόφος βαθύς, τὰς ὁράσεις τῆς ψυχῆς ἐπικαλύπτουσα, σκοτεινὴν αὐτὴν καὶ ζοφώδη περὶ τὸ νοεῖν τὰ θεῖά τε καὶ ἀνθρώπινα, ἀπεργάζεται, μὴ δυναμένην πρὸς τὰς αὐγὰς τοῦ θείου φωτὸς ἀτενίζειν. οὗ ἐν ἀπολαύσει γίνεσθαι τῶν ἀγαθῶν ἐκείνων, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. ταύτης δὲ ἀποκαλυπτομένης διὰ μετανοίας τοὺς ὀφθαλμούς, ὁρᾷ καθαρῶς, ἀκούει ἐν γνώσει, καὶ νοεῖ συνετῶς. οὐ μὴν ἀλλὰ καὶ ἀναβάσεις περὶ αὐτῶν διατίθεται νοημάτων ἐν τῇ καρδίᾳ αὐτῆς. ἐνθένδε καὶ ἀπογευσαμένη τοῦ ἡδέος αὐτῶν, ξαίνεται τὴν γνῶσιν. καὶ διὰ λόγου σοφίας Θεοῦ διηγεῖται πᾶσι τὰ θαυμάσια τοῦ Θεοῦ ἀγαθά, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν, καὶ πάντας εἰς τὴν μετουσίαν τῶν τοιούτων προξενεῖται, διὰ πολλῶν ἀγώνων, καὶ δακρύων ἐλθεῖν.

πηʹ. Ἑπτὰ τῶν χαρισμάτων ὄντων τοῦ πνεύματος, ἄνωθεν ὁ λόγος ἀρχόμενος, ἀπὸ τῆς σοφίας ἀπαριθμεῖται αὐτά, καὶ καταβιβάζει τὸ τέλος, εἰς τὸν θεῖον φόβον τοῦ πνεύματος. πνεῦμα λέγων σοφίας, πνεῦμα συνέσεως, πνεῦμα βουλῆς, πνεῦμα ἰσχύος, πνεῦμα γνώσεως, πνεῦμα εὐσεβείας, πνεῦμα φόβου Θεοῦ. ἡμᾶς δὲ δεῖ ἀπὸ τοῦ φόβου τοῦ καθαίροντος ἄρχεσθαι, ὅς ἐστι τῶν κολάσεων. ἵνα διὰ τούτου καλῶς πρότερον τὴν ἀποχὴν τοῦ κακοῦ ποιήσαντες, καὶ διὰ μετανοίας προκαθαρθέντες τῶν σπίλων τῆς ἁμαρτίας, ἐπὶ τὸν φόβον τοῦ πνεύματος τὸν ἁγνὸν καταντήσωμεν τοῦτον, καθ' ὁδὸν ἐρχόμενοι πρὸς αὐτόν, καὶ καταπαύοντες ἐν αὐτῷ πᾶσαν ἐργασίαν τῆς ἀρετῆς.

Ὁ ἀπὸ τοῦ φόβου τῆς κρίσεως ἐναρξάμενος, καὶ εἰς καθαρότητα καρδίας διὰ δακρύων προκόπτων τῆς μετανοίας, πληροῦται πρῶτον σοφίας, ἐπειδὴ καὶ ἀρχὴ ταύτης ὁ φόβος· κατὰ τὸ εἰρημένον· ἔστιν. εἶτα συνέσεως, καὶ μεθ' ἅμα βουλῆς, δι' ἧς ἑαυτῷ τὰ λυσιτελῆ βουλεύεσθαι κατασπάζεται. εἰς τοῦτο δὲ προκόψας διὰ τῆς ἐργασίας τῶν ἐντολῶν, εἰς γνῶσιν τῶν ὄντων ἀνέρχεται, καὶ λαμβάνει θείων καὶ ἀνθρωπίνων πραγμάτων ἀκριβεστάτην τὴν εἴδησιν. ἐντεῦθεν δὲ ὅλος εὐσεβείας γενόμενος ἐνδιαίτημα, εἰς τὴν τῆς ἀγάπης ἀκρόπολιν ἀνελθὼν τελειοῦται· καὶ εὐθὺς ὁ ἁγνὸς τοῦ πνεύματος φόβος λαμβάνει αὐτὸν εἰς τὸ φυλάττειν τὸν ἐναποτιθέντα θησαυρὸν ἐν αὐτῷ τῆς βασιλείας τῶν οὐρανῶν. οὗτος ὁ φόβος λίαν σωτήριος ὤν, τὸν εἰς τὴν περιωπὴν τῆς ἀγάπης ἀνυψωθέντα, σώφρονα ποιεῖ καὶ ἐναγώνιον. φόβῳ τοῦ μὴ ἐκπεσεῖν τοῦ τοιούτου ὕψους τῆς ἀγάπης Θεοῦ, καὶ πάλιν εἰς τὸν φόβον ἀπορριφῆναι τὸν φρικτὸν τῆς κολάσεως. πθʹ.

Ἄλλως τοῖς εἰσαγωγικοῖς εἰς τὸν τῆς εὐσεβείας βίον τῶν γραφῶν ἡ ἀνάγνωσις γίνεται, καὶ ἄλλως τοῖς ἐπὶ τὸ μέσον προκόψασι, καὶ ἑτέρως τοῖς ἐπὶ τὸ τέλειον ἀνατρέχουσι· τοῖς μὲν γάρ, ἄρτος γίνεται ζωῆς Θεοῦ, στηρίζων τὰς καρδίας αὐτῶν εἰς τοὺς ἱεροὺς ἀγῶνας τῆς ἀρετῆς· ὃς καὶ δύναμιν ἰσχύος παρέχει ϙʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

αὐτοῖς εἰς τὴν συμπλοκὴν τῶν ἐνεργούντων τὰ πάθη πνευμάτων, καὶ μαχητὰς ἀνδρείους κατὰ τῶν δαιμόνων τούτους ἀποτελεῖ, ὡς λέγειν αὐτούς· ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με· τοῖς δὲ, οἶνος ποτηρίου θείου, εὐφραίνων τὰς καρδίας αὐτῶν, καὶ ἐξιστῶν αὐτοὺς τῇ δυνάμει τῶν ἐννοιῶν, καὶ τὸν νοῦν ἐπαίρων αὐτῶν ἀπὸ τοῦ ἀποκτινοῦντος γράμματος, καὶ πρὸς τὰ βάθη τοῦ πνεύματος ἐρευνητικῶς ἐμβιβάζων, καὶ ὅλον γεννητικόν τε, καὶ ἐφευρετικὸν νοημάτων ἀπεργαζόμενος, ὡς καὶ αὐτοὺς οἰκείως λέγειν· καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον. τοῖς δὲ, ἔλαιον θείου πνεύματος, λιπαῖνον αὐτῶν τὴν ψυχὴν, καὶ καταπραΰνον, καὶ ταπεινοῦν αὐτὴν τῇ ὑπερβολῇ τῶν θείων ἐλλάμψεων, καὶ ὅλην ὑπεράνω ποιοῦν τῆς τοῦ σώματος ταπεινώσεως· ὡς καὶ αὐτὴν καυχωμένην βοᾷν· ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ἔλεός σου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου καταδιώξει με.

ϟα΄. Ἕως μὲν ἐμπόνως διὰ τῆς ἐμπράκτου φιλοσοφίας ἐν ἱδρῶτι τοῦ προσώπου κατευθυνόμεθα πρὸς Θεὸν, τὰ πάθη τῆς σαρκὸς ἐκμειοῦντες, τὸν ἐπιούσιον ἄρτον τὸν ἀπὸ τῆς γεωργίας τῶν ἀρετῶν γεωργούμενον, καὶ τὰς καρδίας τῶν ἀνθρώπων στηρίζοντα, τρέφεται ὁ Κύριος μεθ' ἡμῶν, ἐν τῇ τραπέζῃ τῶν χαρισμάτων αὐτοῦ. ὅταν δὲ διὰ τῆς ἀπαθείας ἁγιασθῇ παρ' ἡμῖν τὸ ὄνομα αὐτοῦ, καὶ αὐτὸς βασιλεύσῃ, ἐν πάσαις ἡμῶν ταῖς δυνάμεσι τῆς ψυχῆς, καθυποτάξας καὶ εἰρηνεύσας τὰ διεστῶτα· φημὶ δὴ τὸ χεῖρον τῷ κρείττονι λογισμῷ· καὶ τὸ θέλημα αὐτοῦ γένηται ὡς ἐν οὐρανῷ καὶ ἐπὶ ἡμῶν, τότε πόμα καινὸν ὑπὲρ λόγον τῆς σοφίας τοῦ λόγου, κιρνώμενον ἐν κατανύξει, καὶ γνώσει μυστηρίων μεγάλων, πίνει μεθ' ἡμῶν ἐν τῇ αὐτοῦ βασιλείᾳ, τῇ εἰς ἡμᾶς γινομένῃ. ἐν μετουσίᾳ δὲ τοῦ Πνεύματος γινομένοις ἡμῖν τοῦ Ἁγίου, καὶ τὴν καλὴν ἀλλοιουμένοις ἡμῖν ἀλλοίωσιν, ἐν τῇ ἀνακαινίσει τοῦ νοὸς ἡμῶν, τότε Θεὸς ὢν, θεοῖς συνέσεται ἡμῖν, ὡς ἀπαθανατίζων τὸ πρόσλημμα.

ϟβ΄. Ὅταν τὸ ἄχετον ὕδωρ τῶν ἐμπαθῶν τοῦ νοὸς λογισμῶν, διὰ τῆς ἐπιδημίας κατασχεθῇ τοῦ Ἁγίου Πνεύματος, καὶ ἡ ἁλμυρὰ τῶν ἀπρεπῶν ἐννοιῶν τε καὶ ἐνθυμήσεων ἄβυσσος, δι' ἐγκρατείας καὶ μελέτης θανάτου χαλινωθῇ, τότε φυσᾷ τὸ θεῖον πνεῦμα τῆς μετανοίας, καὶ κατέρχονται τὰ τῆς κατανύξεως ὕδατα. ἅτινα ὁ Θεὸς καὶ δεσπότης ἐν τῷ τῆς μετανοίας βάλλων νιπτῆρι, τοὺς νοητοὺς ἡμῶν ὑποκαθαίρει πόδας, καὶ πατεῖν ἀξίους αὐτοὺς ποιεῖ τὴν αὐλὴν τῆς βασιλείας αὐτοῦ.

ϟγ΄. Ὁ τοῦ Θεοῦ λόγος γεγονὼς σὰρξ, καὶ τὴν ἡμετέραν φύσιν ἐν ἑαυτῷ ὑποστήσας, καὶ ἄνθρωπος τέλειος χρηματίσας, χωρὶς ἁμαρτίας, ὡς Θεὸς τέλειος ταύτην ἀναπλάσας, ἐθέωσε. λόγος δὲ ὢν τοῦ πρώτου νοὸς καὶ Θεοῦ, τῷ ταύτης ἡνώθη λογιστικῷ· καὶ τοῦτο τὰ θεῖα φρονεῖν καὶ λογίζεσθαι, εἰς ὕψος ἐπτέρωσεν. ἀλλὰ καὶ πῦρ ὑπάρχων, πυρὶ τῷ οὐσιώδει καὶ θείῳ, τὸ ταύτης θυμικὸν κατὰ τῶν ἀντιπάλων παθῶν καὶ δαιμόνων ὀξέως ἐστόμωσεν. ἔφεσις δὲ ὢν πάσης λογικῆς φύσεως, καὶ κατάπαυσις ἐπιθυμίας, τὸ ἐπιθυμητικὸν αὐτῆς, εἰς τὴν μετουσίαν τῶν ἀγαθῶν ἐκείνων τῆς αἰωνίου ζωῆς μετὰ ἐνδιαθέτου ἀγάπης ἐπλάτυνε· καὶ οὕτως ὅλον τὸν ἄνθρωπον ἐν ἑαυτῷ ἀνακαινίσας, νέον ἐκ παλαιοῦ ἀπειργάσατο. μηδένα κατηγορίας λόγον κατὰ τοῦ δημιουργοῦ λόγου ἐν τῇ ἀναπλάσει ἐπιφερόμενον.

ϟδ΄. Γεωργήσας ὁ λόγος ἐν ἑαυτῷ τὴν ἡμετέραν ἀνάπλασιν, αὐτὸς ὑπὲρ ἡμῶν ἑαυτὸν, διὰ σταυροῦ καὶ θανάτου, ἔθυσε, καὶ θύεσθαι ἀεὶ δίδωσι τὸ ἄχραντον αὐτοῦ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σῶμα, καὶ εἰς ψυχοτρόφον πανδαισίαν τίθησιν αὐτὸ καθ' ἑκάστην ἡμῖν. ὡς οὖν τοῦτο τρώγοντες, καὶ πίνοντες αὐτοῦ τὸ τίμιον αἷμα, ἐν αἰσθήσει ψυχῆς γενόμεθα τῇ μεθέξει κρείττονες, ἢ ὅπερ ἐσμέν. ἀνακιρνώμενοι τούτοις, καὶ μεταποιούμενοι ἐπὶ τὸ μᾶλλον ἀπὸ τοῦ ἥττονος, καὶ ἑνοποιούμενοι τῷ διττῷ λόγῳ διττῶς· σώματι, καὶ ψυχῇ λογικῇ, ὡς σεσωματωμένῳ Θεῷ καὶ ἡμῖν κατὰ τὴν σάρκα ὁμοουσίῳ. ὥστε μὴ ἑαυτῶν εἶναι, ἀλλὰ τοῦ ἑνοποιήσαντος ἡμᾶς ἑαυτῷ διὰ τῆς ἀθανάτου τραπέζης. καὶ τοῦτο ποιήσαντος εἶναι θέσει, ὅπερ αὐτὸς κατὰ φύσιν ἐστίν.

ϟε΄. Εἰ μὲν οὖν δεδοκιμασμένοι ἐν τοῖς πόνοις τῶν ἀρετῶν, καὶ προκεκαθαρμένοι τοῖς δάκρυσι, προσερχόμενοι τρώγομεν ἐκ τοῦ ἄρτου τούτου, καὶ ἐκ τούτου τοῦ ποτηρίου πίνομεν, ταῖς δυσὶ φυσικαῖς δυνάμεσιν, ὁ διττὸς λόγος ἐν πραότητι ἡμῶν ἀνακιρνᾶται, ὅλος μεταποιῶν ἡμᾶς αὐτοὺς ἑαυτῷ, ὡς σεσαρκωμένος, καὶ ἡμῖν, κατὰ τὸ ἀνθρώπινον, ὁμοούσιος. καὶ ὅλους θεοποιῶν τῷ λόγῳ τῆς γνώσεως, καὶ ἑαυτῷ ἡμᾶς, οἷα δὴ συμμόρφους, καὶ ἀδελφοὺς οἰκειούμενος ὡς Θεός, καὶ τῷ Πατρὶ ὁμοούσιος. εἰ δὲ πεφυρμένοι τῇ ὕλῃ τῶν παθῶν, καὶ ἐσπιλωμένοι τῷ ῥύπῳ τῆς ἁμαρτίας, τῷ φυσικῷ πυρὶ τῷ ἀναλωτικῷ τῆς κακίας προσπελάζων ἡμῖν, ἐμπιπρᾷ καὶ καταφλέγει ὅλους ἡμᾶς, καὶ τὰ τῆς ζωῆς ἀποτέμνει ἡμῶν. οὐ θελήματι τῆς αὐτοῦ ἀγαθότητος, ἀλλὰ τῇ καταφρονήσει τῆς ἀναισθησίας ἡμῶν βιαζόμενος.

ϟϛ΄. Πᾶσι τοῖς κατὰ τὴν πρακτικὴν φιλοσοφίαν τὴν ὁδὸν ἀρξαμένοις ὁδεύειν τῶν ἐντολῶν τοῦ Χριστοῦ, ὁ Κύριος ἀοράτως ἐγγίζων, ἀτελὲς ἔχουσιν ἔτι τὸ φρόνημα, καὶ διστάζουσαν τὴν ψυχὴν περὶ τοῦ λόγου τῆς ἀρετῆς, συμπορεύεται. ὧν ἄρα δικαίως καὶ οἱ ὀφθαλμοὶ τῆς ψυχῆς κρατοῦνται, τοῦγε νῦν ἔχον, τοῦ μὴ ἐπιγνῶναι τὴν ἰδίαν προκοπὴν ἐν τῷ συμπορεύεσθαι αὐτοῖς τὸν Κύριον, καὶ συνεργεῖν μὲν εἰς ἀπαλλαγὴν τῶν παθῶν, ὀρέγειν δὲ χεῖρα βοηθείας, εἰς κατόρθωσιν πάσης ἀρετῆς. ποιουμένων δὲ προκοπὴν εἰς τοὺς ἀγῶνας τῆς εὐσεβείας, καὶ πρὸς τὴν ἀπάθειαν διὰ ταπεινώσεως ἐρχομένων αὐτῶν, οὐ βούλεται ὁ λόγος μέχρι τούτου στῆναι αὐτοὺς κεκμηκότας τοῖς πόνοις τῶν ἀρετῶν. ἀλλὰ πορρωτέρω πορεύεσθαι καὶ πρὸς θεωρίαν ἀνάγεσθαι. ὅθεν καὶ ψωμίσας αὐτοὺς ἐν μέτρῳ, τὸν ἄρτον ἐφ' ἱκανὸν τῶν δακρύων, διὰ φωτὸς κατανύξεως ἐπευλογεῖ, καὶ τὸν νοῦν αὐτῶν διανοίγει εἰς τὸ συνιέναι τὸ βάθος τῶν θείων γραφῶν, κἀκεῖθεν τὰς φύσεις καὶ τοὺς λόγους κατοπτεῦσαι τῶν ὄντων. καὶ συστέλλει εὐθὺς ἀπ' αὐτῶν ἑαυτόν, εἰς τὸ διαναστῆναι αὐτοὺς καὶ σπουδαιότερον ζητῆσαι μαθεῖν, τίς ἡ τῶν ὄντων γνῶσις, καὶ τίς ἡ ἐκ ταύτης ἀνύψωσις. οἱ καὶ σπουδαίως ζητήσαντες, ἐπὶ τὴν ὑψηλοτέραν ἀνέρχονται τοῦ λόγου διακονίαν, καὶ κηρύσσουσι πᾶσι τὴν ἐκ πράξεως καὶ θεωρίας τοῦ λόγου ἀνάστασιν.

ϟζ΄. Εἰκότως ὁ λόγος τὴν βραδυτῆτα προσονειδίζει τοῖς ἐγχρονίζουσιν εἰς τοὺς πόνους τῆς πρακτικῆς γυμνασίας, καὶ μὴ βουλομένοις μεταπεσεῖν ἐκεῖθεν, καὶ πρὸς τὴν ὑψηλοτέραν ἀνελθεῖν τῆς θεωρίας ἐπίβασιν, λέγων αὐτοῖς. ὦ ἀνόητοι, καὶ βραδεῖς τῇ καρδίᾳ, τοῦ πιστεύειν ἐπὶ τὸν δυνάμενον ἀποκαλύψαι λόγον τῆς φυσικῆς θεωρίας τοῖς κατὰ πνεῦμα περιπατοῦσι τὰ βάθη τοῦ πνεύματος. τὸ γὰρ μὴ βούλεσθαι ἀπὸ τῶν εἰσαγωγικωτέρων ἀγώνων ἐπὶ τοὺς τελεωτέρους μεταβαίνειν, καὶ ἀπὸ τοῦ ῥητοῦ σώματος τῆς θείας γραφῆς, ἐπὶ τὸν νοῦν καὶ τὴν διάνοιαν τοῦ λόγου χωρεῖν, δεῖγμα ψυχῆς ῥαθύμου, καὶ ἀγεύστου τῆς πνευματικῆς ὠφελείας, καὶ φθονούσης δεινῶς τῇ ἑαυτῆς προκοπῇ. ἥτις οὐ μόνον ῥηθήσεται, ὡς ἐσβεσμένην

τὴν

τὴν ἰδίαν φερούσῃ λαμπάδα, ὕπαγε ἀγόρασον ἔλαιον ἀπὸ τῶν πωλούντων, ἀλλὰ πρὸς τὸ κλεισθῆναι αὐτῇ τὸν νυμφῶνα, καί, ὕπαγε· οὐκ οἶδά σε πόθεν εἶ.

ϙη'. Ὅταν ὁ τοῦ Θεοῦ λόγος ἐν τῇ καταπεσούσῃ ψυχῇ, ὡς ἐν πόλει παραγένηται Βηθανίᾳ, τὸν ὑπὸ τῆς ἁμαρτίας τεθνεῶτα νοῦν αὐτῆς, καὶ τεθαμμένον ὑπὸ τὴν φθορὰν τῶν παθῶν ἐξαναστήσων, τότε ἡ φρόνησις, καὶ ἡ δικαιοσύνη τῇ λύπῃ βεβαπτισμέναι τῆς νεκρώσεως τοῦ νοός, οἷα δὴ θρηνοῦσαι, προσυπαντῶσιν αὐτῷ· καὶ φασίν. εἰ ἦς ὧδε παρ' ἡμῖν τηρούμενός τε, καὶ φυλαττόμενος, οὐκ ἂν ὁ ἀδελφὸς ἡμῶν νοῦς ἐτεθνήκει ὑπὸ τῆς ἁμαρτίας. ἐνθένδε τοι ἡ μὲν δικαιοσύνη θρέψαι τὸν λόγον διὰ πολλῆς μερίμνης καὶ ἐργασίας σπεύδει τῶν ἀρετῶν, καὶ τράπεζαν αὐτῷ ποικίλην, καὶ πολυειδῆ κακοπαθείας τιθέναι φιλοτιμεῖται. ἡ φρόνησις δὲ τῶν ἄλλων πασῶν ἀλογήσασα φροντίδων, καὶ τῆς ἐπιπόνου κακοπαθείας, ἐπὶ τὴν νοερὰν ἐργασίαν, καὶ τὰς νοερὰς κινήσεις τοῦ λόγου, καὶ τὴν τῶν νοημάτων τῆς αὐτοῦ θεωρίας ἀκρόασιν παρακαθέζεσθε κέκρικε. διὸ καὶ τὴν μέν, ὑποδέχεται καλῶς ἀγωνιζομένην ὁ λόγος, θρέψαι αὐτὸν τῇ τραπέζῃ φιλοτίμως τῆς πολυειδοῦς καὶ ἐμπράκτου φιλοσοφίας. ἀλλὰ περὶ πολλὰ μεριμνῶσαν εἴδη κακοπαθείας, καὶ πρὸς τὸ ἐν ὀλίγοις ὠφέλιμον ἀπασχολουμένην ἀεὶ ἐπιμέμφεται· ἑνὸς ὄντος τοῦ ζητουμένου εἰς χρείαν καὶ θεραπείαν τοῦ λόγου, τοῦ τῷ κρείττονι λογισμῷ καθυποτάξαι τὸ χεῖρον· καὶ τὸ χοϊκὸν φρόνημα τῆς ψυχῆς μεταβαλεῖν εἰς πνευματικόν, τοῖς ἱδρῶσι τῆς ἀρετῆς· τὴν δέ, καὶ προσεπαινεῖ, καὶ φυσικῶς οἰκειοῦται, ὡς ἐκλεξαμένην τὴν ἀγαθὴν μερίδα τῆς τοῦ πνεύματος γνώσεως· δι' ἧς τῶν ἀνθρωπίνων ὑπεριπταμένη πραγμάτων, ἐπὶ τὰ θεῖα βάθη χωρεῖ τοῦ Θεοῦ. καὶ τὸν μαργαρίτην ἐκεῖθεν τοῦ λόγου καλῶς ἐμπορεύεται, καὶ τοὺς ἀποκρύφους θησαυροὺς κατοπτεύει τοῦ πνεύματος, καὶ ἡ ἄφραστος αὐτῇ χαρὰ ἐπιγίνεται, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς.

Ὁ νοῦς ὁ νεκρωθεὶς ὑπὸ τῶν παθῶν, καὶ τῇ ἐπιδημίᾳ ζωοποιηθεὶς τοῦ λόγου τοῦ Θεοῦ, τὸν τῆς πωρώσεως λίθον ἀποσεισάμενος, λύεται τῶν σειρῶν τῆς ἁμαρτίας, καὶ τῶν φθοροποιῶν λογισμῶν, παρὰ τῶν ὑπηρετῶν τοῦ λόγου· τοῦ φόβου φημὶ τῆς κολάσεως, καὶ τῶν πόνων τῆς ἀρετῆς, καὶ τοῦ φωτὸς τῆς μελλούσης ἀπολαύσας ζωῆς, ἀπολύεται εἰς ἀπάθειαν. κἀκεῖθεν ἐπὶ τὸν θρόνον κεκαθηκὼς τῶν αἰσθήσεων, καὶ ἱερουργήσας καθαρῶς τὸ τῆς ἐποπτείας μυστήριον, συνδιαιτᾶται τῷ λόγῳ. καὶ συναπελθὼν αὐτῷ εἰς οὐρανοὺς ἀπὸ γῆς, συμβασιλεύει Χριστῷ ἐν τῇ τοῦ Πατρὸς καὶ Θεοῦ βασιλείᾳ, καταπαύσας τὰς ἐφέσεις πάσας αὐτοῦ. ϙθ'.

Ἡ μετὰ τὴν λύσιν τοῦ σώματος ἐκεῖθεν ἀποκατάστασις, ἑκάστῳ τῶν σπουδαίων νομίμως ἀθλοῦντι, καὶ πρὸς τὸ μέσον προκόπτοντι, καὶ τελειουμένῳ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, δήλη καὶ φανερὰ γίνεται ἐκ πληροφορίας καὶ ἐνεργείας τοῦ πνεύματος. ἡ δὲ χαρά, αἰώνιος ἐστὶν ἐν φωτὶ ἀϊδίῳ, ἡ μακαριότης ἐκείνης τῆς λήξεως. χαρὰ δὲ ἄληκτος περιλαμβάνει τὰς καρδίας τῶν ἀγωνιζομένων νομίμως ἐνταῦθα, καὶ καταφιλεῖ αὐτοὺς ἡ εὐφροσύνη τοῦ Ἁγίου Πνεύματος. ἥτις κατὰ τὸν λόγον τοῦ Κυρίου, οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῶν. ὅρα ὁ τῆς ἐπιδημίας τοῦ Παρακλήτου ἐντεῦθεν ἀξιωθείς, καὶ τῶν καρπῶν κατατρυφήσας αὐτοῦ τῇ γεωργίᾳ τῶν ἀρετῶν, καὶ καταπλουτήσας αὐτοῦ τὰ θεῖα χαρίσματα, χαρᾶς ἔμπλεως ὤν, καὶ πάσης ἀγάπης· φόβου δηλονότι παντὸς δραπετεύσαντος, ἐν χαρᾷ τῶν δεσμῶν τοῦ σώματος λύεται, καὶ μετὰ χαρᾶς ἀπαίρει τῶν ὁρωμένων, ὧν καὶ πέραν τῆς αἰσθή- ρ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σεως προελύθη· καὶ εἰς χαρὰν ἀνεκλάλητον καταπαύει φωτός, ἔνθα πάντων εὐφραινομένων ἡ κατοικία· εἰ καὶ τὸ σῶμα πολλάκις ὠδίνει ἐν τῇ λύσει καὶ τῇ τομῇ τῆς ἑνώσεως, ἔντισι πάχει, κατὰ τὰς δυσόκνης τῶν γυναικῶν.

# ΤΟΥ ΑΥΤΟΥ

## ΤΡΙΤΗ

### Γνωστικῶν κεφαλαίων

# ΕΚΑΤΟΝΤΑΣ,

### Περὶ ἀγάπης καὶ τελειώσεως βίου.

α'. Νοῦς ἀπαθής ἐστιν ὁ Θεός, ὑπὲρ πάντα νοῦν καὶ πᾶσαν ἀπάθειαν. φῶς, καὶ πηγὴ φωτὸς ἀγαθοῦ· σοφία· λόγος, καὶ γνῶσις. καὶ σοφίας, λόγου, καὶ γνώσεως χορηγός. οἷς οὖν ἐδόθη ταῦτα ἐκ καθαρότητος, καὶ ἐν οἷς ἐπιθεωρεῖται πλουσίως, τούτοις ἀνασωθὲν καὶ τὸ κατ' εἰκόνα, τετήρηται. ὡς εἶναι αὐτοὺς ἐντεῦθεν υἱοὺς Θεοῦ, ἀγομένους· κατὰ τὸ εἰρημένον· ὑπὸ τοῦ Πνεύματος· ὅσοι Πνεύματι Θεοῦ ἄγονται, οὗτοι εἰσὶν Υἱοὶ Θεοῦ.

β'. Ὅσοι, πόνοις ἀσκήσεως, καθαροὺς ἑαυτοὺς ἀπειργάσαντο ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, δοχεῖα τῆς ἀθανάτου γεγόνασι φύσεως διὰ τῶν χαρισμάτων τοῦ πνεύματος. οἱ δέγε πεφθακότες εἰς τοῦτο, φωτὸς εἰσὶν ἀγαθοῦ ἔμπλεοι. καὶ ὑπὸ γαλήνης ἐν εἰρήνῃ τὴν καρδίαν πληρούμενοι, ἐρεύγονται λόγους ἀγαθούς, καὶ ἡ σοφία Θεοῦ πηγάζει ἀπὸ τῶν χειλέων αὐτῶν, ἐν γνώσει θείων καὶ ἀνθρωπίνων πραγμάτων· καὶ ὁ λόγος αὐτῶν ἀθόλωτος, τὰ βάθη τοῦ πνεύματος ἐξηγούμενος. κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος, ἅπαξ ἑνωθέντων τῷ Θεῷ, καὶ τὴν καλὴν ἀλλοιωθέντων ἀλλοίωσιν.

γ'. Ὁ τῇ ἐκθύμῳ σπουδῇ πρὸς τὸ θεῖον ἀποθαυόμενος ἐμπόνως, ἀπόμοργμα τῆς εἰκόνος ἐκείνου, ταῖς ἀρεταῖς, τῆς ψυχῆς καὶ τοῦ σώματος γίνεται. αὐτὸς μὲν ἐν τῷ Θεῷ, ὁ δὲ Θεὸς ἐν αὐτῷ ἀναπαυόμενος κατὰ ἀνάκρασιν. ὡς εἶναι καὶ φαίνεσθαι αὐτὸν μὲν ἐντεῦθεν, εἰκόνα τῆς θείας μακαριότητος, ἐν τῷ πλούτῳ τῶν χαρισμάτων τοῦ πνεύματος, καὶ θέσει Θεόν. Θεὸν δὲ τελετάρχην τῆς αὐτοῦ τελειότητος.

δ'. Οὐκ ἐκ τῆς ὀργανικῆς τοῦ σώματος θέσεως, ἀγνοίᾳ φερόμενος εἴποι τίς, κατ' εἰκόνα Θεοῦ τὸν ἄνθρωπον, ἀλλ' ἐκ τῆς νοερᾶς φύσεως τοῦ νοὸς τῆς μὴ περιγραφομένης ὑπὸ τοῦ βρίθοντος κάτω σώματος. ὥσπερ γὰρ ἡ θεία φύσις ἔξω πάσης κτίσεως καὶ παχύτητος οὖσα οὐ περιγράφεται, ἀόρατος καὶ ἀσώματος οὖσα, καὶ ὑπὲρ οὐσίαν, καὶ λόγον ἅπαντα, ἄποιος, ἀναφής, ἄποσος, ἀόρατος, ἀθάνατος, ἀκατάληπτος, μὴ καταλαμβανόμενος τὸ σύνολον παρ' ἡμῶν, οὕτω καὶ ἡ δοθεῖσα παρ' αὐτοῦ ἡμῖν νοερὰ φύσις ἀπερίγραπτος οὖσα, καὶ ἐκτὸς τῆς τούτου παχύτητος, ἀσώματός ἐστιν, ἀόρατος, ἀναφής, ἀκατάληπτος, καὶ εἰκὼν τῆς ἀθανάτου, καὶ ἀϊδίου δόξης αὐτοῦ.

ε'. Νοῦς πρῶτος ὢν ὁ Θεός, ὡς βασιλεὺς τοῦ παντός, ὁμοούσιον ἐν ἑαυτῷ ἔχει

τὸν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸν λόγον, καὶ μετὰ τοῦ πνεύματος συναΐδιον. μήτε τοῦ λόγου καὶ τοῦ πνεύματος ἐκτὸς γινόμενος πώποτε, διὰ τὸ τῆς φύσεως ἀδιαίρετον, μήτε συγχεόμενος τούτοις, διὰ τὸ ἀσύγχυτον τῆς διαφορᾶς τῶν ἐν αὐτῷ ὑποστάσεων. ἐντεῦθεν καὶ τὸν ἐκ τῆς οὐσίας αὐτοῦ λόγον φυσικῶς γεννῶν αὐτὸς αὐτοῦ οὐ χωρίζεται, ἄτμητος ὢν ἑαυτοῦ. ἔχει δὲ τὸ συμφυὲς συνυπάρχον αὐτοῦ Πνεῦμα, ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον προαιωνίως ὁ συναΐδιος λόγος καὶ τοῦ γεγεννηκότος οὐκ ἀποτέμνεται. μία γὰρ τοῖς ἀμφοτέροις ἡ φύσις, καὶ ἄτμητος. εἰ καὶ τῇ διαφορᾷ τῶν ὑποστάσεων, διαιρεῖται εἰς πρόσωπα, καὶ Τριαδικῶς ἀριθμεῖται· Πατήρ· Υἱός· καὶ Ἅγιον Πνεῦμα. καὶ οὐδέποτε ταῦτα ὡς μία φύσις, καὶ Θεὸς εἷς, τῆς συναϊδίου χωρίζονται οὐσίας, καὶ φύσεως. ταύτης οὖν τῆς τρισυποστάτου καὶ ἑνιαίας φύσεως εἰκόνα μοι βλέπε· κατὰ τὸ νοούμενον· τὸν πλασθέντα ὑπ᾽ αὐτῆς ἄνθρωπον, ἀλλὰ μὴ κατὰ τὸ ὁρώμενον. κατὰ τὸ ἀθάνατον, καὶ ἀεὶ ὡσαύτως ὄν, ἀλλὰ μὴ κατὰ τὸ θνητόν, καὶ λυόμενον.

ς´. Καθάπερ νοῦς ὤν, καὶ ὑπερεπέκεινα τῶν ἐν σοφίᾳ ὑπ᾽ αὐτοῦ δημιουργηθέντων κτισμάτων ὁ Θεός, γεννῶν ὀρθῶς τὸν λόγον εἰς τὴν τούτων διαμονήν, καὶ εἰς δύναμιν αὐτῶν ἐκπέμπων. ὡς γέγραπται· τὸ Πανάγιον Πνεῦμα, ἐκτός ἐστι καὶ ἐντὸς τοῦ παντός, οὕτω καὶ ὁ τῆς αὐτοῦ θείας φύσεως μέτοχος ἄνθρωπος, εἰκὼν ὑπάρχων αὐτοῦ, κατὰ τὸ νοούμενον· τῆς νοερᾶς καὶ ἀσωμάτου καὶ ἀθανάτου ψυχῆς, καὶ νοῦν ἔχων φυσικῶς τὸν λόγον γεννῶντα ἐκ τῆς οὐσίας αὐτοῦ, ὑφ᾽ ὧν πᾶσα ἡ δύναμις συντηρεῖται τοῦ σώματος, ἐκτός ἐστι καὶ ἐντὸς τῆς ὕλης, καὶ τῶν ὁρωμένων αὐτῶν. καὶ ὥσπερ ὁ πλάσας αὐτὸν ἀχώριστός ἐστι τῶν αὐτοῦ ὑποστάσεων, λόγου λέγω καὶ πνεύματος, οὕτω καὶ αὐτὸς κατάγε τὴν ψυχὴν ἄτμητος ἐστὶ τοῦ νοὸς καὶ τοῦ λόγου, τῆς μιᾶς φύσεως καὶ οὐσίας τῆς ἐπεζευγμένης τῷ σώματι.

ζ´. Τρισυπόστατον τὸ θεῖον ἐν Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι προσκυνούμενον, τρισὶν ἐπιθεωρεῖται μερισμοῖς καὶ ἡ παρ᾽ αὐτοῦ πλασθεῖσα εἰκὼν ὁ ἄνθρωπος, ψυχῇ, νοΐ, καὶ λόγῳ προσκυνῶν αὐτὸν τὸν ἐξ οὐκ ὄντων τὰ πάντα πεποιηκότα Θεόν. ἃ οὖν Θεῷ κατὰ φύσιν συναΐδιά τε, καὶ ὁμοούσια, ταῦτα καὶ τῇ εἰκόνι αὐτοῦ κατὰ φύσιν συμφυῆ τε, καὶ ὁμοούσια. ἐξ ὧν τὸ κατ᾽ εἰκόνα ἐν ἡμῖν ὁρᾶται, καὶ δι᾽ ὧν εἰκὼν εἰμὶ Θεοῦ, εἰ καὶ τῷ πηλῷ καὶ τῇ εἰκόνι συμφύρομαι.

η´. Ἄλλο εἰκὼν Θεοῦ, καὶ ἕτερον τὰ ἐπιθεωρούμενα τῇ εἰκόνι. εἰκὼν γὰρ Θεοῦ, ψυχὴ νοερά, νοῦς, καὶ λόγος· ἡ μία καὶ ἀδιαίρετος φύσις. τὰ ἐπιθεωρούμενα δὲ τῇ εἰκόνι, τὸ ἀρχικόν ἐστι, καὶ βασιλικόν, καὶ αὐτεξούσιον. οὕτω καὶ δόξα ἄλλο νοός, ἄλλο δὲ ἀξία, καὶ ἕτερον τὸ κατ᾽ εἰκόνα Θεοῦ, καὶ ἄλλο τὸ καθ᾽ ὁμοίωσιν. καὶ δόξα μὲν νοός, τὸ ἀνωφερές, τὸ ἀκλόνητον πρὸς τὰ ἄνω, τὸ ὀξύ, τὸ καθαρόν, τὸ συνετόν, τὸ σοφόν, τὸ ἀθάνατον. ἀξία δέ, τὸ λογικόν, τὸ βασιλικόν, τὸ ἀρχικόν τε, καὶ αὐτεξούσιον. τὸ δὲ κατ᾽ εἰκόνα Θεοῦ, τὸ περὶ τὴν ψυχήν, καὶ τὸν νοῦν, καὶ τὸν λόγον, αὐθυπόστατόν τε καὶ ὁμοούσιον, ἀδιαίρετόν τε καὶ ἀχώριστον. τῆς γὰρ ψυχῆς ἐστιν ὁ νοῦς, καὶ ὁ λόγος τῆς ἀσωμάτου, καὶ ἀθανάτου, καὶ θείας, καὶ νοερᾶς, ἅτινα καὶ ὁμοούσιά εἰσι, καὶ συναΐδια μὴ τεμνόμενά ποτε ἑαυτῶν ἢ χωρισθῆναι δυνάμενα. τὸ δὲ καθ᾽ ὁμοίωσίν ἐστι, τὸ δίκαιον, τὸ ἀληθές, τὸ εὔσπλαγχνον, τὸ συμπαθὲς καὶ φιλάνθρωπον· ἐν οἷς οὖν ταῦτα ἐνεργεῖται καὶ φυλάττεται, ἐν ἐκείνοις ὁρᾶται σαφῶς καὶ τὸ κατ᾽ εἰκόνα καὶ

καθ᾽

καθ' ὁμοίωσιν· κατὰ φύσιν μὲν δηλαδὴ κινουμένοις, κατὰ δὲ ἀξίαν τῶν ἄλλων ὑπερκειμένοις.

θ'. Τῆς λογικῆς ψυχῆς εἰς τρία μεριζομένης, καὶ ὡς δύο θεωρουμένης, τὸ μὲν γὰρ αὐτῆς, λογικόν ἐστι, τὸ δὲ παθητικόν. καὶ τὸ μὲν λογικὸν αὐτῆς κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὴν ὄν, ἄσχετόν ἐστι καὶ ἀόρατον, καὶ ἄληπτον ταῖς αἰσθήσεσιν, ὡς ἐντὸς καὶ ἐκτὸς ὑπάρχον αὐτῶν. τούτῳ συγκοινωνοῦσα ταῖς νοεραῖς καὶ θείαις δυνάμεσι, κατὰ φύσιν εἰς Θεὸν ὡς εἰς πρωτότυπον διὰ τῆς ἱερᾶς γνώσεως τῶν ὄντων ἀνατρέχει, καὶ τῆς θείας αὐτοῦ ἐναπολαύσει γίνεται φύσεως. τὸ δὲ παθητικὸν αὐτῆς κατακερματίζεται ταῖς αἰσθήσεσι· πάθεσι καὶ ἀνέσεσιν ὑποκείμενον. τούτῳ τῇ αἰσθητικῇ, θρεπτικῇ τε, καὶ αὐξητικῇ συγκοινωνοῦσα φύσει, ἀέρος ἀντιλαμβάνεται, ψυχρότητός τε καὶ θάλψεως, καὶ τροφῶν εἰς διαμονήν, εἰς ζωήν, αὔξησιν, καὶ ὑγείαν. διὸ καὶ τούτοις συναλλοιούμενον, ποτὲ μὲν ἐπιθυμεῖ ἀλόγους ἐπιθυμίας τῆς παρὰ φύσιν κινήσεως παρακινηθέν· ποτὲ δὲ παροξύνεται, καὶ ἀλόγῳ θυμῷ φέρεται, πεινᾷ τε ποιεῖ, καὶ διψᾷ, λυπεῖσθαι, πονεῖν, καὶ πάλιν διαχέεσθαι· ὡς ταῖς ἀνέσεσι μὲν ἐκτεινόμενον, ταῖς δὲ θλίψεσι συστελλόμενον· ὃ καὶ παθητικὸν μέρος αὐτῆς εἰκότως καλεῖται, ὡς ἐξεταζόμενον ἐν τοῖς πάθεσιν. ὅταν δὲ τὸ θνητὸν τοῦτο καταποθῇ ὑπὸ τῆς τοῦ λόγου ζωῆς, τοῦ κρείττονος ἐκνικήσαντος, τότε καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῇ θνητῇ φανεροῦται σαρκὶ ἡμῶν, τὴν ζωοποιὸν νέκρωσιν ἐν ἡμῖν ἐμποιοῦσα τῆς ἀπαθείας· καὶ τὴν ἀφθαρσίαν τῆς ἀθανασίας παρέχουσα, ἐν τῇ ἐπιδημίᾳ τοῦ Πνεύματος.

ι'. Ὥσπερ ὁ δημιουργὸς τοῦ παντὸς καὶ πρὸ τοῦ, τὰ πάντα ἐξ οὐκ ὄντων ποιῆσαι, τὴν γνῶσιν, τὰς φύσεις, καὶ τοὺς λόγους πάντων τῶν ὄντων εἶχεν, ὡς βασιλεὺς τῶν αἰώνων, καὶ προγνώστης ἐν ἑαυτῷ, οὕτω καὶ τὸν κατ' εἰκόνα αὐτοῦ πλασθέντα εἰς βασιλέα τῆς κτίσεως ἄνθρωπον, πάντων ἔχειν ἐποίησε τῶν ὄντων, τοὺς λόγους, τὰς φύσεις, καὶ τὴν γνῶσιν ἐν ἑαυτῷ. τούτου καὶ τὸ μὲν ξηρὸν καὶ ψυχρὸν τοῦ χυμοῦ, ἐκ γῆς ἔχει κατὰ τὴν πλάσιν αὐτοῦ. τὸ δὲ θερμὸν τοῦ αἵματος καὶ ὑγρὸν ἐξ ἀέρος, καὶ ἐκ πυρός. τὸ δὲ ὑγρὸν τοῦ φλέγματος καὶ ψυχρὸν ἐξ ὕδατος. καὶ ἐκ μὲν τῶν φυτῶν, τὸ αὐξητικόν, ἐκ δὲ τῶν ζωοφύτων, τὸ θρεπτικόν. ἐκ δὲ τῶν ἀλόγων ζώων τὸ παθητικόν. ἐκ τῶν Ἀγγέλων τὸ νοερόν τε καὶ λογικόν. παρὰ δὲ Θεοῦ τὴν πνοὴν αὐτὴν τὴν ἄϋλον, τὴν ἀσώματον, καὶ ἀθάνατον ψυχήν, τὴν ἐν νῷ καὶ λόγῳ θεωρουμένην, καὶ ἐν δυνάμει Πνεύματος Ἁγίου· εἰς τὸ εἶναι, καὶ ζῆν.

ια'. Καθ' ὁμοίωσιν ἐσμὲν Θεοῦ τοῦ ἡμᾶς κατ' εἰκόνα ἑαυτοῦ καὶ καθ' ὁμοίωσιν πλαστουργήσαντος, ἀπὸ τῆς ἀρετῆς καὶ συνέσεως. ἐκάλυψε γὰρ οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ πλήρης ἡ γῆ. ἀρετὴ δὲ Θεοῦ, ἡ δικαιοσύνη, καὶ ὁσιότης, καὶ ἡ ἀλήθεια, καθά φησιν ὁ Δαβίδ· δίκαιος εἶ Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου. καὶ πάλιν· δίκαιος καὶ ὅσιος ὁ Κύριος. ἀπὸ τῆς εὐθύτητος καὶ χρηστότητος. χρηστὸς γὰρ καὶ εὐθὺς ὁ Κύριος. ἀπὸ τοῦ λόγου τῆς σοφίας, καὶ τοῦ λόγου τῆς γνώσεως· ἐν αὐτῷ γάρ εἰσι ταῦτα, καὶ σοφία καὶ λόγος καλεῖται. ἀπὸ τῆς ἁγιωσύνης, καὶ τελειότητος ὡς αὐτός φησι· γίνεσθε τέλειοι, ὅτι ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι. γίνεσθε Ἅγιοι, ὅτι ἐγὼ Ἅγιός εἰμι. ἀπὸ τῆς ταπεινώσεως, καὶ πραότητος· μάθετε ἀπ' ἐμοῦ φησίν, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν.

ιβ'. Εἰκὼν Θεοῦ ὢν ὁ ἡμέτερος νοῦς, τὸ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

οἰκεῖον ἐν ἑαυτῷ ἔχει, ὅταν ἐν τοῖς ἰδίοις μένῃ καὶ μὴ πόῤῥω τῆς ἑαυτοῦ ἀξίας κινῆται καὶ φύσεως. διὸ φιλεῖ πως ἐν τοῖς περὶ Θεοῦ ἐμφιλοχωρεῖν, καὶ αὐτῷ ἑνῶσθαι ζητεῖ ἐξ οὗ τὴν ἀρχὴν ἔχει, καὶ δι' οὗ κινεῖται, καὶ πρὸς ὃν ἀναβλέπει ταῖς φυσικαῖς ἰδιότησι, καὶ αὐτὸν μιμεῖσθαι ποθεῖ τῷ φιλανθρώπῳ καὶ τῇ ἁπλότητι. ἐντεῦθεν καὶ αὐτὸς τὸν λόγον γεννῶν, ὡς ἄλλος οὐρανὸς τὰς ψυχὰς ἀναπλάττει τῶν ὁμοφύλων ἀνθρώπων, καὶ στεῤῥὰς αὐτὰς δι' ὑπομονῆς τῶν ἐμπράκτων ἀποτελεῖ ἀρετῶν· καὶ ζωογονεῖ ταύτας τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, δύναμιν κατὰ τῶν ὀλεθρίων παθῶν ἐμπαρέχων αὐταῖς· καὶ οὕτως ὁρᾶται δημιουργὸς καὶ αὐτὸς τῆς νοητῆς κτίσεως, καὶ τοῦ μεγάλου κόσμου τὸν αὐτοῦ μιμούμενος εἰκότως Θεόν· καὶ ἀκούει τρανῶς ἄνωθεν· ὁ ἐξάγων ἄξιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται.

ιγʹ. Ὁ ταῖς κατὰ φύσιν κινήσεσι τοῦ νοός, καὶ τῇ ἀξίᾳ ἐπιμένων τοῦ λόγου, καθαρὸς ἀπὸ τῆς ὕλης διατηρεῖται, καὶ κατακοσμεῖται πραότητι, ταπεινοφροσύνῃ, ἀγάπῃ καὶ συμπαθείᾳ, καὶ ὑπὸ τῶν ἐλλάμψεων τοῦ Ἁγίου καταφαιδρύνεται Πνεύματος. ταῖς ὑψηλαῖς δὲ θεωρίαις ἐνατενίζων, ἐν γνώσει γίνεται τῶν κεκρυμμένων τοῦ Θεοῦ μυστηρίων, καὶ διὰ λόγου σοφίας τοῖς ἀκούειν δυναμένοις ταῦτα φιλαγάθως διακονεῖ. οὐχ ἑαυτῷ μόνον πολυπλασιάζων τὸ τάλαντον, ἀλλὰ καὶ τοῖς πλησίον τῆς τούτου μεταδιδοὺς ἀπολαύσεως.

ιδʹ. Ὁ τὸ ἓν τῆς δυάδος ὑπερκυφίσας, καὶ ταύτης ἐλευθέραν ἐργασάμενος τὴν τῆς συγγένειαν, ἄϋλον εὗρεν ἐν ἀΰλοις πνεύμασι τὸ πολίτευμα, πνεῦμα καὶ αὐτὸς νοερὸν γεγονώς· εἰ καὶ μέσον ὁρᾶται τῶν ἄλλων ἀνθρώπων ἀναστρεφόμενος σώματι.

ιεʹ. Ὁ τῇ τοῦ ἑνὸς ἀξίᾳ, καὶ φύσει τὴν τῆς δυάδος καθυποτάξας δουλείαν, τὴν ἅπασαν κτίσιν τῷ Θεῷ καθυπέταξεν εἰς ἓν τὰ διεστῶτα συνάψας καὶ εἰρηνοποιήσας τὰ σύμπαντα.

Μέχρις οὗ πρὸς ἑαυτὴν ἡ φύσις τῶν ἐν ἡμῖν δυνάμεων ἀτάκτως ἔχῃ, καὶ εἰς πολλὰς ἑτερότητας διασκίδναται, ἀμέθεκτοί ἐσμεν καὶ τῶν ὑπερφυῶν δωρεῶν τοῦ Θεοῦ· τούτων δὲ ὄντες ἀμέθεκτοι, πόῤῥω που καὶ τῆς μυστικῆς ἱερουργίας τοῦ ἐπουρανίου θυσιαστηρίου τῆς κατὰ τὴν νοερὰν τελουμένης τοῦ νοὸς ἐργασίαν ἱστάμεθα. ἐπεὶ δὲ διὰ πολλῆς σπουδῆς τῶν ἱερῶν ἀγώνων τῆς προσύλου κακίας ἐκκαθαρθῶμεν, καὶ εἰς ἓν τὰς ἑτερότητας ἡμῶν διὰ τῆς τοῦ πνεύματος δυνάμεως ἐπισυνάξωμεν, τηνικαῦτα καὶ τῶν ἀποῤῥήτων ἀγαθῶν τοῦ Θεοῦ ἐν μεθέξει γινόμεθα, καὶ τὰ θεῖα μυστήρια τῆς μυστικῆς τοῦ νοὸς ἱερουργίας εἰς τὸ ὑπερουράνιον, καὶ νοερὸν τοῦ Θεοῦ θυσιαστήριον, ἀξίως τῷ λόγῳ καὶ Θεῷ ἀναφέρομεν· ὡς ἐπόπται καὶ ἱερεῖς τῶν ἀθανάτων μυστηρίων αὐτοῦ. ιϛʹ.

Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, καὶ τὸ πνεῦμα κατὰ τῆς σαρκός. καὶ μάχη τίς ἐστιν ἐν ἀμφοτέροις ἀκήρυκτος, ὅπως θάτερον κατὰ τοῦ θατέρου τὰ νικητήρια ἔξῃ, καὶ ὑφ' ἑαυτὸ τὸ κράτος ἀγάγηται· αὕτη ἑτερότης ἐν ἡμῖν λέγεται, καὶ στάσις, καὶ ῥοπή, καὶ ζυγός, καὶ ἀμφιγυῆς πάλη· δι' ἧς ἡ ψυχὴ μερίζεται ἔνθα ἂν τὴν ῥοπὴν ὁ νοῦς δῷ, εἰς πρᾶγμά τι κατὰ πάθος ἀνθρώπινον. ιζʹ.

Ἕως τοῖς ἀστάτοις τῶν λογισμῶν μεριζόμεθα, καὶ ὁ νόμος τῆς σαρκὸς ἐν ἡμῖν κρατεῖται, καὶ τηρεῖται, εἰς πολλά τε μέρη διασκεδαννύμεθα, καὶ τῆς θείας ἑνάδος ἀποδιοπομπούμεθα, ὡς μὴ πεπλουτηκότες τὴν ταύτης ἑνότητα. ἐπεὶ δὲ τὸ θνητὸν τοῦτο καταποθῇ ὑπὸ τῆς ἑνοποιοῦ δυνάμεως, καὶ ὑπερφυοῦς ἀμεριμνίας, καὶ ὁ νοῦς ἑαυτοῦ γένηται, ὑπὸ τῶν σοφοποιῶν ἐλλάμψεων καὶ νοημάτων καταυγασθείς, * συμπτυσσομένη εἰς ιηʹ.

*ἐν ἄλ. συμπτυσσομένη

ἑνάδα

ἑνάδα θεοειδῶς ἡ ψυχή, ἓν ἀντὶ πολλῶν ἑτεροτήτων γίνεται. καὶ τῇ θείᾳ ἐπισυναχθεῖσα μονάδι, ἐν ἁπλότητι θεομιμήτως ἑνοῦται, καὶ τοῦτ' ἔστιν ἡ εἰς τὸ ἀρχαῖον τῆς ψυχῆς ἀποκατάστασις, καὶ ἡ πρὸς τὸ κρεῖττον ἡμῶν ἀνακαίνισις.

ιθ΄. Δεινὸν ἡ ἄγνοια καὶ πέρα δεινῶν, αὐτόχρημα σκότος οὖσα ψηλαφητόν· καὶ τὰς ψυχάς, ἐν αἷς ἂν ἐγγένηται, ζοφερὰς ἀποτελοῦσα, εἰς πολλά τε τὸ λογιζόμενον διαιροῦσα, καὶ ἀπὸ τῆς πρὸς Θεὸν ἑνώσεως τὴν ψυχὴν ἀποτέμνουσα· ταύτης τὸ συναγόμενον ἅπαν, ἀλογία ἐστίν. ἄλογον γὰρ καὶ ἀναίσθητον τὸ ὅλον ἀπεργάζεται τὸν ἄνθρωπον. ὃν δὲ τρόπον ἡ ἄγνοια εἰς πάχος ἐκχυθεῖσα πολὺς βυθὸς ᾅδου γίνεται τῇ ὑπὸ ταύτης καμπτομένῃ ψυχῇ, ἐν ᾧ πᾶσα τιμωρία καὶ ὀδύνη λύπη· καὶ στεναγμὸς ὑπάρχει, οὕτω καὶ ἡ θεία γνῶσις φαιδρῶς καὶ ἄπειρος εἰς φωτοχυσίαν ὑπάρχουσα, φωτοειδεῖς τὰς ψυχάς, ἐν αἷς ἂν διὰ καθαρότητος γένηται, θεοπρεπῶς ἀπεργάζεται, καὶ πληροῖ ταύτας, εἰρήνης, γαλήνης, χαρᾶς, σοφίας ἀρρήτου, καὶ τελείας ἀγάπης.

κ΄. Ἡ τοῦ θείου φωτὸς παρουσία ἁπλῆ καὶ ἑνιαία οὖσα, πρὸς ἑαυτὴν συνάγει τὰς μετόχους αὐτῆς ψυχάς, καὶ ἐφ' ἑαυτὴν ἐπιστρέφει, ἑνοῖ τε αὐτὰς τῇ ἑαυτῆς ἑνότητι, καὶ τελειοῖ τῇ ἑαυτῆς τελειότητι, καὶ πρὸς βάθη Θεοῦ ἀνάγει τὸ τῆς διανοίας αὐτῶν ὀπτικόν, καὶ μυστηρίων μεγάλων θεωροὺς καὶ μύστιδας καὶ μυσταγωγοὺς αὐτὰς ἀπεργάζεται. καθαρθῆναι οὖν βουλήθητι διὰ πόνων εἰς ἄκρον, καὶ ὄψει τῶν λεγομένων ἐν σοὶ ἐναργῶς, τὴν Θεοῦ φίλην ἐνέργειαν.

κα΄. Αἱ γινόμεναι διὰ γνώσεως πρὸς τὰς κεκαθαρμένας ψυχὰς ἐλλάμψεις τοῦ πρώτου φωτός, οὐ μόνον αὐτὰς ἀγαθύνουσι καὶ φωτοειδεῖς ἀπεργάζονται, ἀλλὰ καὶ ἀνάγουσι διὰ φυσικῆς θεωρίας εἰς νοητοὺς οὐρανούς· καὶ οὐδὲ οὕτω ταύταις τὰ τῆς θείας ἵστανται ἐνεργείας, ἀλλ' ἕως ἐκεῖ πελάζουσι, μέχρις ἂν τῷ ἑνὶ διὰ σοφίας ἑνωθῶσι, καὶ γνώσεως τῶν ἀρρήτων, καὶ ἓν ἀντὶ πολλῶν ἐν αὐτῷ γένωνται.

κβ΄. Πρῶτα μέν, ἀμιγεῖς καὶ ἀθολώτους ἡμᾶς χρὴ γενέσθαι, διὰ καθαρτικῆς τάξεως, ἀπὸ τῆς προσύλου κακίας τῶν τοιούτων, εἶτα πεφωτισμένους καὶ ἀπολαμπεῖς, δι' ἑτέρας τάξεως τῆς φωτιστικῆς, τοὺς νοεροὺς ὀφθαλμούς, ἥτις διὰ τῆς μυστικῆς τελεῖται, καὶ ἐν Θεῷ κεκρυμμένης σοφίας. καὶ οὕτως ἀναδραμεῖν εἰς τὴν τῶν ἱερῶν γνώσεως ἐπιστήμην τὴν τὰ νέα, καὶ τὰ παλαιὰ διὰ τοῦ λόγου τοῖς ἔχουσιν ὦτα διακονοῦσαν, καὶ μεταδοτικοὺς γενέσθαι τῶν κεκρυμμένων αὐτῆς μυστικῶν νοημάτων, εἰς ἀβεβήλους αὐτὰ δηλονότι μεταχετεύοντας ἀκοάς, καὶ ἀπὸ τῶν ἀτελεστέρων διαστέλλοντας, ἵνα μὴ τὰ ἅγια δίδωται τοῖς κυσί, μὴ δὲ ὁ μαργαρίτης τοῦ λόγου βάλληται εἰς χοιρώδεις ψυχὰς τὰς ἀχρειώσας αὐτόν.

κγ΄. Ὅταν τις τὸ διάπυρον αὐτοῦ τῆς ψυχῆς περὶ τὴν ἐνδιάθετον πίστιν ὁρᾷ πλατυνόμενον, καὶ τὴν τοῦ Θεοῦ ἀγάπην, τότε Χριστὸν ἐπιφέρεσθαι γινωσκέτω ἐν ἑαυτῷ, τὴν ἀπὸ γῆς καὶ τῶν ὁρωμένων ἐνεργοῦντα ἀνύψωσιν τῆς αὐτοῦ ψυχῆς, καὶ εἰς οὐρανοὺς τὴν αὐτῆς ἑτοιμάζοντα κατοικίαν. ὅταν δὲ χαρᾶς πληροῦσθαι τὴν αὐτοῦ καρδίαν κατανοῇ, καὶ ἐν ἐπιθυμίᾳ γίνεσθαι τῶν ἀπορρήτων ἐν κατανύξει τοῦ Θεοῦ ἀγαθῶν, τότε εἰδὼς ἔστω ὑπὸ θείου ἐνεργούμενον ἑαυτὸν πνεύματος. ὅταν δὲ φωτὸς ἀρρήτου πληρούμενον αἴσθηται τὸν ἑαυτοῦ νοῦν, καὶ νοημάτων σοφίας τῆς κρείττονος, τότε ἴστω τὴν ἐπιδημίαν εἶναι καὶ γίνεσθαι τοῦ Παρακλήτου ἐν τῇ ψυχῇ αὐτοῦ, εἰς φανέρωσιν τῶν κεκρυμμένων ἐν αὐτῷ θησαυρῶν τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὡς παλάτιον Θεοῦ καὶ κατοικητήριον Πνεύματος, ἀκριβῶς ἑαυτὸν φυλαττέτω.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κδʹ. Ἡ φυλακὴ τῶν ἀποκρύφων τοῦ πνεύματος θησαυρῶν, ἡ σχολὴ τῶν ἀνθρωπίνων πραγμάτων ἐστίν, ἣν κυρίως καὶ ἡσυχίαν ὁ λόγος καλεῖ. αὕτη δὲ τὸν ἔρωτα τῆς τοῦ Θεοῦ ἀγάπης, ἐκ καθαρότητος καρδίας καὶ ἡδονῆς κατανύξεως, σφοδρότερον ἐπανάπτουσα, λύει τὴν ψυχὴν τῶν δεσμῶν τῶν αἰσθήσεων, καὶ τὴν ἐλευθερίαν πείθει τῶν ξένων ἀπάξεσθαι. τὰς δὲ δυνάμεις αὐτῆς μεταστρέψασα, πρὸς τὸ κατὰ φύσιν ἀνακαλεῖται, καὶ τὴν ἀρχαίαν αὐταῖς ἀποκατάστασιν δίδωσιν εἰς τὸ μὴ κακίας εἶναί τι κατήγορον τοῦ δημιουργοῦ τῶν καλῶν ἐκ τῆς ἐπὶ τὸ χεῖρον τῆς εἰκόνος παρατροπῆς καὶ κινήσεως.

κεʹ. Εἰς τὴν ἱερὰν ταύτην, καὶ θείαν τελείωσιν, ἡ εὔλογος ἀνάγει καὶ ἐπιστήμων φαιδρῶς ἡσυχία, ἐξησκημένη δηλαδή, καὶ μετερχομένη νομίμως. εἰ δ᾽ οὐκ εἰς τοσοῦτον τὴν ἀνύψωσιν ἔχει, καὶ τὴν τελείωσιν ὁ δοκῶν ἡσυχάζειν, ἄρα τὴν νοητὴν οὐκ ἔτι καὶ τελείαν ἡσύχασεν ἡσυχίαν· ἀλλ᾽ οὐδὲ ἡσυχάσει ἀπὸ τῆς ἔνδον ζάλης τῶν ἀκαθέκτων παθῶν, ἕως ἂν εἰς τοῦτο ἀναδράμῃ τὸ ὕψος. μόνον δὲ τὸ σῶμα τοίχοις περιωρισμένον, ἢ ὀπαῖς, καὶ σπηλαίοις ἕξει, ὑπὸ τοῦ ἀτάκτω καὶ πλανωμένῳ κατατριβόμενον.

κϛʹ. Ψυχαὶ αἱ εἰς ἄκρον ἐλάσασαι καθαρότητος, καὶ εἰς ὕψος ἀναδραμοῦσαι μέγα σοφίας, καὶ γνώσεως, τοῖς Χερουβὶμ ἐοίκασιν ἀμέσως πως, διὰ τῆς αὐτῶν ἐπιστήμης τῇ πηγῇ πλησιάζουσαι τῶν καλῶν. κἀκεῖθεν τὴν τῆς ἀληθείας ἐποπτείας ἐκφαντορίαν καθαρῶς εἰσδεχόμεναι, ἧς καὶ μόναι τῶν Χερουβὶμ αἱ δυνάμεις ἀμέσως πρὸς τῆς θεαρχίας αὐτῆς καταλάμπονται τὰ πολλά· ὥς ἔφη τις τῶν θείων θεωρῶν, καθ᾽ ὑπερτάτην ἀνάτασιν.

κζʹ. Καθάπερ αἱ πρῶται τῶν ἄνω δυνάμεις, αἱ μὲν αὐτῶν θερμόταταί εἰσι, καὶ ὀξύταται περὶ τὰ θεῖα, καὶ ἀκατάληκτον περὶ ταῦτα τὸ ἀεικίνητον ἔχουσιν. αἱ δέ, θεοπτικώταται, γνωστικαί, καὶ σοφώταται. καὶ τοῦτο ἡ θεία ἕξις, τὸ αὐτὰς περὶ ταῦτα κεῖσθαι ἀεί. οὕτω καὶ αἱ τοιαῦται ψυχαί, θερμόταταί εἰσι περὶ τὰ θεῖα, καὶ λίαν ὀξύταται, σοφαί τε, καὶ γνωστικαί, καὶ ταῖς μυστικαῖς θεωρίαις ἀνατατικώταται. αἷς ἴδιον κατὰ δύναμιν καὶ θείαν ἕξιν, ἡ περὶ τὸ θεῖον ἀεικινησία καὶ ἀκλινὴς ἵδρυσις καὶ μονή. καὶ πρὸς τούτοις, ἡ δεκτικὴ τῶν ἐλλάμψεων ἕξις. μεθ᾽ ἧς τοῦ ὄντος μετέχουσι, καὶ μεταπέμπουσιν εἰς ἑτέρους ἀφθόνως, διὰ τοῦ λόγου τὰς τούτου φωτοχυσίας, καὶ χάριτας.

Νοῦς ἐστὶν ὁ Θεός, καὶ αἰτία τῆς τοῦ παντὸς ἀεικινησίας, καὶ πάντες οἱ νόες ἐν αὐτῷ τῷ πρώτῳ νοΐ, τήν τε στάσιν ἔχουσι μόνιμον, καὶ τὴν κίνησιν ἀκατάληκτον. τοῦτο δὲ πάσχουσιν, ὅσοι οὐ πρόσυλόν τινα τὴν κίνησιν καὶ ἐπιμιγῆ, ἀλλὰ ἀμιγῆ καὶ ἄθολωτον δι᾽ ἱερῶν ἐσχήκασιν ἱδρώτων. πάσχουσι δὲ τοῦτο, κατ᾽ ἔρωτα θεῖον, κοινωνοῦντες ἀλλήλοις καὶ ἑαυτοῖς, τὰς ἐκ τῆς θεαρχίας ἐκπεμπομένας ἀγαθοδότως ἐλλάμψεις, καὶ τὴν ἐν τούτοις κεκρυμμένην σοφίαν τῶν μυστηρίων Θεοῦ· καὶ ἑτέροις φιλαγάθως μεταδιδόντες, ὡς ὕμνον ἀκατάπαυστον τῆς ἀγάπης Θεοῦ. κηʹ.

Ἵστανται, καὶ κινοῦνται κύκλῳ περὶ Θεὸν αἱ ψυχαί, ὅσαι τὸ λογιζόμενον κοῦφον τῆς ὕλης εἰργάσαντο. καὶ τὴν μαχομένην πρὸς ἑαυτὴν κατὰ πάντα δυάδα, ἅρμα τοῦτο δίζυγον ξέχον εἰς οὐρανοὺς συνηρμόσαντο. καὶ κύκλῳ μὲν ἀλήκτως κινοῦνται περὶ Θεόν, ὡς πρὸς κέντρον, καὶ τῆς τοῦ κύκλου κινήσεως αἴτιον. ἵστανται δὲ μονίμως, καὶ ἀρρεπῶς, ὡς πρὸς κύκλον, μὴ διασκεδασθῆναι δυνάμεναι ἐκ τῆς ἰδίας ἐπὶ τὸ αὐτὸ συνοχῆς, πρὸς τὴν αἴσθησιν, καὶ τὴν κάτω πλάνην τῶν ἀνθρωπίνων πραγμάτων. τοῦτο οὖν ἐστὶ τὸ τετελεσμένον τέλος τῆς ἡσυχίας, εἰς κθʹ.

τοῦτο ἄγον τοὺς ἀληθῶς ἡσυχάζοντας. ὥστε κινουμένους ἵστασθαι, καὶ μονίμως ἱσταμένους κινεῖσθαι περὶ τὰ θεῖα. ἕως δ᾽ ἂν μὴ τοῦτο γένηται, τῷ δοκεῖν ἡμῖν ἡσυχάζουσιν, ἀμήχανον τῆς ὕλης ἐκτὸς καὶ τῆς ἄλης γενέσθαι τὸν ἡμέτερον νοῦν.

λ΄. Ὁπηνίκα πρὸς τὸ ἀρχαῖον κάλλος τοῦ λόγου, διὰ πάσης ἐπιμελείας τε καὶ σπουδῆς γενώμεθα, καὶ τῆς ἄνωθεν διδομένης ἡμῖν σοφίας καὶ γνώσεως, διὰ τῆς ἐπιδημίας τοῦ πνεύματος ἀμοιρήσωμεν, τηνικαῦτα ἡ πρώτη πηγὴ, καὶ αἰτία τῆς τῶν πάντων παραγωγῆς, σοφὴ καὶ καλὴ πρὸς ἡμῶν τῶν ὁρᾶν φυσικῶς δυναμένων γνωρίζεται. μηδὲν κατήγορον ἑαυτῆς ἐν ἡμῖν φέρουσα ἐκ τῆς ἐπιτριβείσης κακίας τῷ πλάσματι, ἀπὸ τῆς ἐπὶ τὸ χεῖρον παρατροπῆς. ἡνίκα τὸ μὲν ἀποσπασθὲν, ὑπερρύη, καὶ τοῦ ἀρχαίου κάλλους ἐκρεῦσαν, ἐξέπεσε τῆς θεώσεως. ἡ δὲ τούτῳ ἐπισπουδάσασα, τὴν ἄλογον αὐτῆς μορφὴν ἐνεποίησε.

λα΄. Μία καὶ πρώτη βάσις τῶν ἐπεκτεινομένων εἰς προκοπὰς, ἡ γνῶσις τῶν ὄντων ἐκ τῆς ἐμπράκτου ἐπιγινομένη φιλοσοφίας αὐτοῖς. δευτέρα, ἡ τῶν κεκρυμμένων μυστηρίων τοῦ Θεοῦ ἐπίγνωσις ἀπὸ τῆς φυσικῆς θεωρίας μυσταγωγουμένη αὐτοῖς. καὶ τρίτη, ἡ μετὰ τοῦ πρώτου φωτὸς συνάφεια καὶ ἀνάκρασις, ἐν ᾗ πάσης προκοπῆς ἐμφιλοσόφου καὶ θεωρίας ἀνάπαυσις.

λβ΄. Πάντες οἱ νόες, αὐτοί τε καθ᾽ ἑαυτοὺς, καὶ πρὸς ἑαυτοὺς καὶ πρὸς τὸ ὄντως ὂν διὰ τῶν τριῶν ἑνοειδῶς φερόμενοι, συνελίσσονται. καὶ τοὺς πλησίον φωτίζοντες, μυσταγωγοῦσι τὰ θεῖα καὶ τελειοῦσιν ὡς καθαιρόμενα πνεύματα διὰ τῆς οὐρανίου σοφίας, αὐτοὺς ἑαυτοῖς, καὶ τῇ ἑνάδι ἑνοποιοῦντες.

λγ΄. Θέωσίς ἐστιν ἐν τῷ βίῳ, ἡ νοερὰ καὶ θεία τῷ ὄντι ἱερουργία. καθ᾽ ἣν ἱερουργεῖται ὁ λόγος τῆς ἀπορρήτου σοφίας, καὶ τοῖς ἑτοιμάσασιν ἑαυτοὺς, ὡς ἐνὸν, μεταδίδοται. ταύτην ἀγαθοπρεπῶς, ὁ Θεὸς τῇ λογικῇ φύσει ἄνωθεν ἐδωρήσατο εἰς ἑνότητα πίστεως. ἵνα οἱ μὲν ὅσοι ἐκ καθαρότητος τῆς ἀξίας αὐτῆς διὰ γνώσεως τῶν θείων ἐν μεθέξει γεγόνασιν, ἀφομοιῶνται Θεῷ· σύμμορφοι τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ γενόμενοι, ταῖς ὑψηλαῖς καὶ νοεραῖς αὐτῶν περὶ τὰ θεῖα κινήσεσι. καὶ οὕτως θέσει θεοὶ ἔσονται τοῖς ἄλλοις ἀνθρώποις ἐπὶ τῆς γῆς. οἱ δὲ τῇ καθάρσει διὰ τοῦ θείου αὐτῶν λόγου καὶ τῆς ἱερᾶς συνουσίας τελειοῦνται πρὸς ἀρετὴν, καὶ ἀναλόγως τῆς ἰδίας προκοπῆς καὶ καθάρσεως, ἐν μεθέξει τῆς τούτων θεώσεως γίνονται, καὶ κοινωνοῦσιν αὐτοῖς ἐν Θεῷ τῆς ἑνώσεως· ὡς ἂν οἱ πάντες εἰς ἓν ἑνούμενοί τε, καὶ συμπτυσσόμενοι τῇ ἑνότητι τῆς ἀγάπης, τῷ ἑνὶ Θεῷ ἑνωθῶσιν ἀπαύστως. καὶ ἔσται Θεὸς ἐν μέσῳ θεῶν, ἀγαθῶν ἔργων αἴτιος, ὁ φύσει τῶν θέσει μηδὲν κατήγορον ἑαυτοῦ φέρων ἀπὸ τῆς κτίσεως.

λδ΄. Τῆς πρὸς Θεὸν ἀφομοιώσεως, ὡς ἡμῖν ἐφικτὸν, ἀμήχανον τεύξασθαι τὸν σπουδαῖον, εἰ μὴ πρότερον τῆς ἐπιπροσθήσεως τῶν κακῶν ἰλύος διὰ δακρύων θερμῶν τὴν ἀμορφίαν ἀποσκεδάσεται, καὶ τῆς ἱερουργίας ἅψεται τῶν ἱερῶν τοῦ Χριστοῦ ἐντολῶν. ἄλλως γὰρ ἐν μετουσίᾳ τῶν ἀπορρήτων τοῦ Θεοῦ ἀγαθῶν γενέσθαι τοῦτον, ἀδύνατον. ὁ γὰρ ἐπιθυμῶν γεύσασθαι τῆς θείας νοερῶς τῶν νοερῶν γλυκύτητός τε, καὶ ἡδονῆς, πάσης ἀποδημεῖ τῆς τοῦ κόσμου καθόλου αἰσθήσεως, καὶ τῇ ἐφέσει τῶν ἀποκειμένων τοῖς ἁγίοις ἀγαθῶν, ἐν τῇ θεωρίᾳ τῶν ὄντων ἀδολεσχοῦσαν ἔχει τὴν ἰδίαν ψυχήν.

λε΄. Τὸ τὴν θεοειδῆ ἀφομοίωσιν ἀναλλοίωτον ἑαυτοῖς διατηρῆσαι, τὴν ἐξ ἀκροτάτης ἐπιγινομένην καθάρσεως, καὶ ἀγάπης πολλῆς τοῦ Θεοῦ, μόνης ἐστὶ τῆς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πρὸς τὸν Θεὸν διηνεκοῦς ἀνανεύσεως, καὶ τῆς τοῦ θεωρητικωτάτου νοὸς ἀναπαύσεως. ἥτις ἐπιγίνεσθαι πέφυκε τῇ ψυχῇ, ἀπὸ τῆς ἐπιμόνου τῶν ἀρετῶν ἡσυχίας, ἀπὸ τῆς ἀΰλου καὶ ἀρεμβάστου καὶ διηνεκοῦς προσευχῆς, ἀπὸ τῆς καθόλου ἐγκρατείας, καὶ τῆς συντόνου τῶν γραφῶν ἀναγνώσεως

λς′. Οὐ τὸ εἰς εἰρήνην μόνον ἐλθεῖν τῶν ἐν ἡμῖν δυνάμεων, σπεύδειν χρή· ἀλλὰ καὶ τὸ εἰς πόθον φθάσαι τῆς νοερᾶς ἀναπαύσεως· ἥτις πᾶσαν οἶδεν ἐπ' ἀγαθοῖς ἔφεσιν διὰ γαλήνης ἐπαναπαύειν τῶν λογισμῶν, καὶ διὰ τῆς οὐρανόθεν κατερχομένης θείας δρόσου, τὴν πεφωσμένην ἰᾶσθαι καὶ ἀναψύχειν καρδίαν, ἀπὸ τοῦ πυρὸς τοῦ ἄνωθεν βαλλομένου, καὶ ἀναπτομένου ὑπὸ τοῦ πνεύματος.

λζ′. Οὐ δύναται εἰς βάθος ζωθεῖσα ψυχὴ τῷ ἔρωτι τοῦ Θεοῦ, μετὰ τὴν γεῦσιν τῶν νοητῶν τῆς γλυκύτητος αὐτοῦ δωρεῶν, ὅλως ἐφ' ἑαυτὴν ἵστασθαι, ἢ μένειν ἐπὶ τὸ αὐτὸ καὶ μὴ πρὸς τὰ πρόσω τῶν εἰς οὐρανοὺς ἀναβάσεων ἀνατείνεσθαι. ὅσῳ γὰρ τὰς ἑαυτῆς ἀναβάσεις ἀμείβει διὰ τοῦ πνεύματος, καὶ ἐπὶ τὰ βάθη χωρεῖ τοῦ Θεοῦ, τοσούτῳ πυρπολεῖται τῷ πυρὶ τῆς ἐφέσεως, καὶ τῶν ἔτι βαθυτέρων αὐτοῦ μυστηρίων τὸ μέγεθος ἐρευνᾷ, καὶ πλησιάσαι τῷ μακαρίῳ φωτὶ κατεπείγεται, ἔνθα πᾶσα νοὸς ἔκτασις ἵσταται. ἵνα τὴν τῶν ἰδίων δρόμων κατάπαυσιν ἐν εὐφροσύνῃ καταπαύσῃ καρδίας.

λη′. Ὁπηνίκα γένηταί τις ἐν μετουσίᾳ τοῦ Ἁγίου Πνεύματος, καὶ τὴν ἐπιφάνησιν τούτου διά τινος ἀρρήτου ἐν ἑαυτῷ γνῷ ἐνεργείας, καὶ εὐωδίας ὡς διαβρέχειν τὴν εὐωδίαν αὐτοῦ καὶ κατὰ τὴν τοῦ σώματος ἐπιφάνειαν, τηνικαῦτα μένειν ὁ τοιοῦτος ἐν ὅροις φύσεως τοῦ λοιποῦ οὐκ ἀνέχεται, ἀλλὰ τὴν καλὴν ἀλλοίωσιν τῆς δεξιᾶς τοῦ ὑψίστου ἀλλοιωθείς, ἐπιλανθάνεται τροφῆς, ὕπνου, κατὰ μέγεθος σωματικῶν, σωματικῆς ἀλογεῖ ἀναπαύσεως. καὶ ὅλην τὴν ἡμέραν ἐν κόποις ὢν, καὶ ἱδρῶσιν ἀσκητικοῖς, κόπου τινὸς, ἢ φυσικῆς ἀνάγκης οὐκ ἐπαισθάνεται. πείνης ἢ δίψης, ὕπνου, καὶ τῶν ἄλλων τῆς φύσεως ἀναγκῶν. ἐκκέχυται γὰρ χορηγὸς ἡ ἀγάπη τοῦ Θεοῦ μετὰ χαρᾶς ἀρρήτου ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρὸς διακαρτερῶν, τὴν νοερὰν ἐν σωματικῇ γυμνασίᾳ ἐργασίαν ἐργάζεται· καὶ τῆς ἀθανάτου κατατρυφᾷ πανδαισίας, τῶν ἀθανάτων τοῦ νοητοῦ Παραδείσου φυτῶν. εἰς ὃν καὶ Παῦλος ἀρθεὶς, ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ ἀκοῦσαι, τῇ αἰσθήσει τῶν ὁρωμένων προσπάσχοντι.

λθ′. Ἅπαξ τὸ σῶμα πυρωθὲν τῷ πυρὶ τῆς ἀσκήσεως, καὶ τῷ ὕδατι βαφὲν τῶν δακρύων, οὐκ ἔτι τοῖς πόνοις ἀμβλύτερον γίνεται, τῶν πολλῶν καταπαῦσαν ἱδρώτων, ὡς ὑπὲρ τὴν ἔμπρακτον γενόμενον δηλονότι σπουδήν· ἀλλὰ γαλήνην καὶ σιωπὴν εἰρήνης δεξάμενον ἔνδοθεν, πλῆρες μᾶλλον ἄλλης δυνάμεως γίνεται, ἄλλης εὐτονίας, ἄλλης ἰσχύος τοῦ πνεύματος. τοιοῦτον δὲ τὸ συνεργὸν ἡ ψυχὴ καταπλουτήσασα σῶμα, καὶ ὑπὲρ τὴν σωματικὴν γυμνασίαν εὑραμένη τὴν τούτου κατάστασιν, εἰς νοητοὺς ἀγῶνας τὰς φυσικὰς μεταλλάττει κινήσεις, καὶ τὴν νοερὰν ἐργασίαν ὀξέως ἐργαζομένη, φυλάσσει τῶν ἀθανάτων φυτῶν ἑαυτῇ τοὺς καρποὺς, ἐν τῷ νοητῷ Παραδείσῳ. ὅθεν ἡ πηγὴ τῶν θεοπρεπῶν νοημάτων κατὰ ποταμοὺς ἀναβλύζει, καὶ ἐν ᾧ τὸ φυτὸν τῆς τοῦ Θεοῦ γνώσεως ἵσταται, φέρον σοφίας καρποὺς, χαρᾶς, εἰρήνης, χρηστότητος, ἀγαθωσύνης, μακροθυμίας, καὶ ἀγάπης ἀρρήτου. οὕτω δὲ σπουδαίως ἐργαζομένη, καὶ οὕτω φυλάττουσα, ἐκδημεῖ τοῦ σώματος, καὶ εἰς γνόφον εἰσδύει θεολογίας. ἐξίσταται τοῦ παντὸς, ὡς ὑπ' οὐδενὸς κρατουμένη τῶν ὁρωμένων, καὶ Θεῷ συναφθεῖ-

* εὐ ἄλ. τοῦ πένθους

σα, τῶν ἱδρώτων παύεται καὶ * τοῦ πόθου.

μ΄. Τί τῶν ἐν ἡμῖν ὑψηλότερον, ὁ λόγος φησίν, ἡμῖν τοῖς σπουδαίοις, τὸ ὁρώμενον ἢ τὸ νοούμενον; εἰ μὲν τὸ ὁρώμενον, οὐδὲν ἄρα τῶν φθειρομένων ἔσται ἡμῖν, ἢ προτιμητέον καὶ στεργόμενον, οὐδὲ κρεῖττον τοῦ σώματος ἡ ψυχή. εἰ δὲ τὸ νοούμενον, πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. καὶ οὕτω, περιττὸν ἡ σωματικὴ γυμνασία, ὁπόταν ἔρρωται ἡ νοερὰ τῆς ψυχῆς ἐργασία· τὸ βρῖθον κάτω κουφίζουσα καὶ τὸ ὅλον αὐτοῦ ἐργαζομένη πνευματικόν, ἐν ἑνώσει τοῦ κρείττονος.

μα΄. Τρεῖς εἰσὶ τάξεις ἐν τοῖς ποιουμένοις τὰς προκοπὰς τῶν τελειοποιῶν ἀναβάσεων, καθαρτική, φωτιστική, μυστική, ἤτοι καὶ τελειοποιός. καὶ ἡ μέν ἐστι τῶν εἰσαγωγικῶν, ἡ δὲ τῶν μέσων, ἡ δὲ τῶν τελείων. διὰ γὰρ τῶν τριῶν τούτων κατὰ τάξιν ἀνερχόμενος ὁ σπουδαῖος, αὐξάνεται τὴν κατὰ Χριστὸν ἡλικίαν. καὶ γίνεται εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

μβ΄. Ἡ καθαρτική, τῶν ἤδη πρὸς ἀγῶνας ἱεροὺς εἰσαγομένων ἐστί. καὶ ἴδιον μὲν αὐτῆς, ἡ ἀπόθεσις τῆς μορφῆς τοῦ χοϊκοῦ ἀνθρώπου. ἡ ἀπολύτρωσις πάσης προσύλου κακίας· καὶ ἡ ἀμφίασις τοῦ καινοῦ ἀνθρώπου τοῦ διὰ πνεύματος ἀνακαινιζομένου Ἁγίου. ἔργον δέ, τὸ μῖσος τῆς ὕλης· ἡ τῆξις τῆς σαρκός· ἡ φυγὴ πάσης αἰτίας ἐρεθιζούσης πρὸς πάθος τὸ λογιζόμενον· ἡ ἐπὶ τοῖς πεπραγμένοις μεταμέλεια. πρὸς δὲ τὸ τοῖς δάκρυσιν ἀποκλύσασθαι τὴν ἅλμην τῆς ἁμαρτίας· τὰ καὶ ἤθη τῇ χρηστότητι ῥυθμίσαι τοῦ πνεύματος, καὶ τὸ ἐντὸς τοῦ πονηροῦ, ἤγουν τὸν νοῦν, διὰ κατανύξεως ἐκκαθᾶραι παντὸς μολυσμοῦ σαρκός τε καὶ πνεύματος. καὶ οὕτω τὸν οἶνον τοῦ λόγου βαλεῖν ἐν αὐτῷ· τοῦ εὐφραίνοντος καρδίαν ἀνθρώπου καθαιρομένου, καὶ προσαγαγεῖν τῷ βασιλεῖ τῶν πνευμάτων εἰς γεῦσιν. τέλος δέ, τὸ πυρωθῆναι ἐμπράκτως τῷ πυρὶ τῆς ἀσκήσεως, καὶ τοῖς πόνοις τῶν ἀγώνων, πάντα ἰὸν ἀποσείσασθαι ἁμαρτίας, στομωθῆναί τε καλῶς, καὶ βαφῆναι τῷ τῆς κατανύξεως ὕδατι· καὶ ξίφος ἀποτελεσθῆναι τομόν, κατὰ παθῶν καὶ δαιμόνων, εἰς δύναμιν. ὁ εἰς τοῦτο φθάσας διὰ πολλῶν ἀγώνων ἀσκήσεως, ἔσβεσε δύναμιν ἐμφύτου πυρός· ἔφραξε στόματα λεόντων, ἀγρίων παθῶν· ἐνεδυναμώθη τῷ πνεύματι ἀπὸ ἀσθενείας· ἐγένετο ἰσχυρός. καὶ ὡς ἄλλος τις αὐσίτης τρόπαιον ὑπομονῆς ἔστησε νικήσας τὸν πειράζοντα.

μγ΄. Ἡ φωτιστική, τῶν ἐκ τῶν ἱερῶν ἀγώνων προκοψάντων ἐστὶν εἰς πρώτην ἀπάθειαν. καὶ ἴδιον μὲν αὐτῆς, ἡ γνῶσις τῶν ὄντων, ἡ θεωρία τῶν λόγων τῆς κτίσεως· καὶ ἡ μετουσία τοῦ Ἁγίου Πνεύματος. ἔργον δέ, ἡ κάθαρσις τοῦ νοός, ἡ διὰ τοῦ πυρὸς γινομένη τοῦ θείου. ἡ τῶν ὀφθαλμῶν τῆς καρδίας νοερὰ ἀποκάλυψις. καὶ ἡ τοῦ λόγου γέννησις μεθ' ὑψηλῶν τῶν νοημάτων τῆς γνώσεως. τέλος δέ, ὁ διατρανῶν λόγος τῆς σοφίας τὰς φύσεις τῶν ὄντων. ἡ ἐπίγνωσις τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων· καὶ ἡ ἀποκάλυψις τῶν μυστηρίων τῆς βασιλείας τῶν οὐρανῶν. ὁ εἰς τοῦτο φθάσας διὰ νοερᾶς τοῦ νοὸς ἐργασίας, ἅρμα πυρὸς ἐποχεῖται τῇ τετρακτύϊ τῶν ἀρετῶν, ὡς εἴ τις ἄλλος Θεσβίτης. καὶ ἔτι ζῶν εἰς ἀέρα τὸν νοητὸν αἴρεται, καὶ περιπολεῖ τὰ οὐράνια, ὑπεράνω τῆς τοῦ σώματος γεγονὼς ταπεινώσεως.

μδ΄. Ἡ μυστικὴ καὶ τελειοποιὸς τάξις, τῶν ἤδη πάντα διαδραμόντων ἐστὶ καὶ εἰς μέτρον ἡλικίας ἐλθόντων τοῦ Χριστοῦ. καὶ ἴδιον μὲν αὐτῆς τὸ διατεμεῖν τὸν ἀέρα, καὶ τοῦ παντὸς ὑπερκύψαι, τὸ περὶ τὰς ἄνω τάξεις γενέσθαι τῶν οὐρανῶν.

καὶ τῷ πρώτῳ φωτὶ πλησιάσαι· καὶ τὰ βάθη τοῦ Θεοῦ ἐρευνῆσαι διὰ τοῦ πνεύματος. ἔργον δέ, τὸ πληρῶσαι τὴν θεατὴν τῶν τοιούτων νοῦν, τῶν περὶ προνοίας λόγων, τῶν περὶ δικαιοσύνης καὶ ἀληθείας, τῶν περὶ λύσεως αἰνιγμάτων, καὶ παραβολῶν, καὶ σκοτεινῶν λόγων τῆς θείας γραφῆς. τέλος δέ, τὸ μυσταγωγῆσαι τὸν οὕτω τετελεσμένον τὰ ἀπόκρυφα μυστήρια τοῦ Θεοῦ. τό, σοφίας ἑαυτὸν ἀρρήτου πληρῶσαι διὰ συνουσίας τοῦ πνεύματος· καὶ σοφὸν θεολόγον μέσον Ἐκκλησίας μεγάλης ὑποδεῖξαι Θεοῦ, τῷ λόγῳ τῆς θεολογίας τοὺς ἀνθρώπους φωτίζοντα. ὁ εἰς τοῦτο φθάσας διὰ βαθυτάτης ταπεινοφροσύνης καὶ κατανύξεως, εἰς τρίτον οὐρανὸν ἤρθη θεολογίας, ὡς εἴτις ἕτερος Παῦλος, καὶ ῥήματα ἤκουσεν ἄρρητα. ἃ οὐκ ἐξόν, ἀνθρώπῳ ὑπὸ τὴν αἴσθησιν ὄντι, ἀκοῦσαι. καὶ τῶν ἀπορρήτων ἀγαθῶν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν, ἀπεγεύσατο. καὶ διάκονος γέγονε τῶν μυστηρίων Θεοῦ, στόμα γεγονὼς αὐτοῦ· διακονῶν ταῦτα τοῖς ἀνθρώποις διὰ τοῦ λόγου, καὶ καταπαύων τὴν μακαρίαν ἐν τούτῳ κατάπαυσιν, τέλειος ἐν τελείῳ Θεῷ. συναφθεὶς μετὰ τῶν θεολόγων ταῖς ὑπερτάταις δυνάμεσι τῶν Χερουβίμ τε καὶ Σεραφίμ, ὧν καὶ ὁ λόγος τῆς σοφίας ὁμοῦ καὶ τῆς γνώσεως.

με´. Εἰς δύο διαιρούμενος τῶν ἀνθρώπων ὁ βίος, εἰς τρεῖς τάξεις ἔχει τὰ τέλη συναγόμενα τούτου. καὶ τὸ μὲν αὐτοῦ, κοινωνικόν ἐστι, καὶ ἐγκόσμιον· τὸ δέ, ἀκοινώνητον, καὶ ὑπερκόσμιον. καὶ τὸ μὲν κοινωνικόν, εἰς σωφροσύνην διαιρεῖται καὶ ἀπληστίαν. τὸ δὲ ἀκοινώνητον, εἰς φιλοσοφίαν, εἰς φυσικὴν ἐπιστήμην, καὶ εἰς ὑπὲρ φύσιν ἐνέργειαν. τούτων τὸ μέν, ἢ τῷ δικαίῳ συνάπτεται κατὰ φύσιν ἐρχόμενον, ἢ τῇ ἀδικίᾳ καὶ εἰς ἀδικίαν χωρεῖ· ἀποπλανηθὲν τῆς κατὰ φύσιν κινήσεως. τὸ δέ, εἰ μὲν κατὰ σκοπὸν διώξῃ τῷ κανόνι ἀπευθυνόμενον, εἰς ἄπειρον τελευτᾷ φύσιν, ὑπὲρ τὴν φύσιν τελειωθέν. εἰ δὲ κατὰ φιλοτιμίαν ἐγγυμναζόμενον τοῦ σκοποῦ ψεύσηται, εἰς ἀδόκιμον τελευτᾷ νοῦν, καὶ ὡς ἀτελὲς εἰκότως ἀποδοκιμάζεται τοῦ τελείου.

Φῶς, καὶ ζωή, καὶ εἰρήνη τὸ πνεῦμα. μϛ´.
ὁ οὖν ὑπὸ τοῦ θείου φωτιζόμενος πνεύματος, γαληναίαν εἰρήνην διανύει ζωήν. ἐντεῦθεν δὲ ἡ γνῶσις αὐτῷ τῶν ὄντων, καὶ ἡ σοφία τοῦ λόγου πηγάζει, καὶ ὁ νοῦς τοῦ Χριστοῦ ἐπιγίνεται· οὗτος οἶδε τὰ τῆς βασιλείας μυστήρια, εἰς τὰ βάθη χωρεῖ τοῦ Θεοῦ, καὶ ἡμέρᾳ τῇ ἡμέρᾳ ἐρεύγεται λόγους ζωῆς, ἐξ ἀκυμάντου καὶ πεφωτισμένης καρδίας, ἀγαθοὺς τοῖς ἀνθρώποις· ἐπειδὴ ἀγαθός ἐστι, τὸν ἀγαθὸν ἔχων λαλοῦντα ἐν ἑαυτῷ καινά τε, καὶ παλαιά.

Σοφία ὁ Θεός, καὶ τοὺς ἐν λόγῳ καὶ μζ´.
σοφίᾳ περιπατοῦντας, τῇ γνώσει τῶν ὄντων * θεοποιῶν, ἑνοῖ διὰ φωτὸς αὐτοὺς ἑαυτῷ, καὶ θέσει θεοὺς ἀπεργάζεται. ὥσπερ δὲ αὐτὸς ἐκ τοῦ μὴ ὄντος σοφίᾳ τὰ πάντα κατασκευάσας, διὰ σοφίας τὰ ἐγκόσμια διεξάγει καὶ διοικεῖ, καὶ τὴν σωτηρίαν πάντων τῶν ἐγγιζόντων αὐτῷ δι' ἐπιστροφῆς ὡσαύτως ἀεὶ ἐν σοφίᾳ ἐργάζεται, οὕτω καὶ ὁ ἀξιωθεὶς τῆς αἰωνίου γενέσθαι σοφίας, ἐκ καθαρότητος, μέτοχος, ὡς εἰκὼν Θεοῦ καὶ αὐτὸς ἐν σοφίᾳ ποιεῖ καὶ ἐργάζεται τὰ τοῦ θείου θελήματος. συνάγων μὲν ἀπὸ τῶν ἔξω καὶ μεριζομένων εἰς πολλά, ἑαυτόν, ἀνάγων δὲ ὁσημέραι καὶ ἀνατείνων τὸ λογιζόμενον αὐτοῦ διὰ γνώσεως τῶν ἀπορρήτων, πρὸς ἀγγελικὰς τῷ ὄντι ζωάς· καὶ ἑνοειδῆ, κατὰ τὸ ἐφικτόν, τὴν αὐτοῦ ζωὴν ἐργαζόμενος, ἑνοῖ ταῖς ἄνω δυνάμεσιν ἑαυτόν, ταῖς ἑνιαίως περὶ Θεὸν κινουμέναις· καὶ δι' αὐτῶν πρὸς τὴν πρώτην ἀρχὴν καὶ αἰτίαν ὡς δι' ἀγαθῶν ἡγεμόνων ἀνάγεται.

* ἴσ. ἑαυτῶν

Ο διὰ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μη΄. Ὁ διὰ σοφίας τῆς κρείττονος ἑαυτὸν ἑνώσας ταῖς ἄνω δυνάμεσι, καὶ διὰ τούτων Θεῷ ἑνωθεὶς, ὡς καθ᾽ ὁμοίωσιν ὢν τοῦ Θεοῦ· πᾶσι διὰ λόγου καὶ συνουσίας ἐμφιλοσόφως συγγινόμενος, ἀποτέμνει τῶν βουλομένων θείᾳ δυνάμει τὰς ἕξεις ἀπὸ τῶν ἔξω καὶ μεριστῶν, καὶ πρὸς ἑνοειδῆ ζωὴν, ὥσπερ ἑαυτὸν, οἷα δὴ Θεοῦ μιμητὴς καὶ αὐτοὺς συνελίσσων ἐν πνεύματι, ἀνάγει διὰ σοφίας καὶ γνώσεως, καὶ τῆς τῶν ἀποκρύφων ἐλλάμψεως, πρὸς θεωρίαν τῆς δόξης τοῦ ἑνὸς καὶ πρώτου φωτός. καὶ ἑνώσας αὐτοὺς ταῖς περὶ Θεὸν οὐσίαις καὶ τάξεσιν, εἰς τὴν ἑνότητα ἄγει Θεοῦ, ὁλολαμπεῖς γεγονότας ἐκ τῆς τοῦ πνεύματος ἐπιλάμψεως.

μθ΄. Τῇ τετρακτύϊ τῶν ἀρετῶν, ὀγδοὰς συνομαρτεῖ φυσικῶν τε καὶ γενικῶν ἀρετῶν, μιᾶς τούτων ἑκάστῃ ἐξ ἑκατέρου μέρους δύο ἐπανατελουσῶν, ὡς καὶ αὐτὴν ἑκάστην γίνεσθαι εἰς τριάδα. τῇ μὲν φρονήσει, γνῶσις ἐπανατέλλει, καὶ σοφὴ θεωρία. τῇ δικαιοσύνῃ, διάκρισις, καὶ ἀσυμπάθητος γνώμη. τῇ ἀνδρείᾳ, ὑπομονὴ, καὶ ἔνστασις σταθηρά. τῇ σωφροσύνῃ, ἁγνεία, καὶ παρθενία. ταύτης τῆς τριαδικῆς δωδεκάδος, ὥσπερ τις κτίστης καὶ μυσταγωγὸς ὁ Θεὸς ἐν σοφίᾳ ὑπερκαθέζεται ἐν τῷ τοῦ νοὸς θρόνῳ, τὸν λόγον ἐξαποστέλλων εἰς δημιουργίαν τῶν ἀρετῶν. ὃς καὶ λαμβάνων ἐκ τῶν ὑποκειμένων ἀρχῶν τὴν ἐξ ἑκατέρας ὕλην τῶν εἰρημένων, τὸν νοητὸν τῆς εὐσεβείας κόσμον δημιουργεῖ τῇ ψυχῇ. καὶ ὡς μὲν οὐρανὸν ἐκτείνει αὐτῇ τὴν φρόνησιν, ὅλην κατάστερον εἰς ὁλολαμπῆ ζωὴν, ἐν ᾗ ὡς δύο μεγάλους φωστῆρας τὴν θείαν γνῶσιν, καὶ τὴν φυσικὴν θεωρίαν, λάμπειν καὶ καταφωτίζειν ταύτην ποιεῖ. Ὡς δὲ γῆν θεμελιοῖ τὴν δικαιοσύνην αὐτῇ, εἰς παράδεισον ἀδάπανον. ὡς δὲ ἀέρα ἐφαπλοῖ τὴν σωφροσύνην, εἰς ἀνάψυξιν καὶ δρόσον ἀκραιφνεστάτης ζωῆς. ὡς δὲ θάλασσαν τὴν ἀνδρείαν ὁρίζει ἐν τῇ ἀσθενείᾳ τῆς φύσεως, εἰς καθαίρεσιν ὀχυρωμάτων, καὶ ὑψωμάτων τοῦ ἐναντίου. τοῦτον οὖν οὕτω τὸν κόσμον ὁ Λόγος οἰκοδομῶν, δύναμιν ἐντίθησιν αὐτῷ τὸ πνεῦμα εἰς κίνησιν μὲν νοητὴν, καὶ ἀκίνητον, εἰς συνοχὴν δὲ ἀδιασκέδαστόν τε, καὶ διαρκῆ. κατὰ τὸ εἰρημένον ὑπὸ Δαβίδ. τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν.

Ταῖς πνευματικαῖς μεθηλικιώσεσι τῶν σπουδαίων, συναυξάνεσθαι πέφυκε, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. καὶ ὅτε μὲν νήπιοί εἰσι δεόμενοι γάλακτος, θηλάζειν λέγεται τὸ γάλα τῶν εἰσαγωγικῶν ἀρετῶν τῆς γυμνασίας τοῦ σώματος. ὃ τὸ ὠφέλιμον, πρὸς ὀλίγον ἐστὶ τοῖς αὐξάνουσι κατ᾽ ἀρετὴν καὶ κατὰ μικρὸν ἀποβαλλομένοις τὴν νηπιότητα. ὅτε δὲ πρὸς νεανίσκους ἀνέλθωσι, καὶ τὴν στερρεὰν τροφὴν τρέφωνται τῆς θεωρίας τῶν ὄντων, ὡς γεγυμνασμένοι τὰ τῆς ψυχῆς αἰσθητήρια, προκόπτειν λέγεται ἡλικίᾳ καὶ χάριτι. καὶ μέσον Πρεσβυτέρων καθέζεσθαι· καὶ ἀνακαλύπτειν αὐτοῖς τὰ βαθέα ἐκ σκότους. ὅτε δὲ πρὸς ἄνδρα τέλειον, πρὸς μέτρον ἡλικίας τελειωθῶσι τοῦ πληρώματος τοῦ Χριστοῦ, κηρύσσειν λέγεται τὸν λόγον, πᾶσι, τῆς μετανοίας, καὶ διδάσκειν τοὺς λαοὺς τὰ περὶ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ πρὸς τὸ παθεῖν κατεπείγεσθαι. τοῦτο γάρ ἐστι τὸ τέλος παντὸς τοῦ τελειωθέντος ἐν ἀρεταῖς, ἵνα μετὰ τὸ πάσας διελθεῖν τὰς ἡλικίας Χριστοῦ, εἰς τὸ πάθος καταντήσῃ τῶν πειρασμῶν, κατὰ τὸν ἐκείνου σταυρόν. ν΄.

Ἕως ὑπὸ τὰ στοιχεῖα τῆς γυμνασίας ἐσμὲν, παρατηρούμενοι ἅπτεσθαι βρωμάτων, ἢ θιγεῖν ἀφῆς, ἢ ἐνατενίζειν ὡραιότησιν, ἢ μελῶν ἀκροᾶσθαι, ἢ μύρων ὀσφραίνεσθαι, ὑπὸ ἐπιτρόπους ἐσ- να΄.

μεν

μὲν καὶ οἰκονόμους, ὡς ἔτι νήπιοι, εἰ καὶ κληρονόμοι τυγχάνομεν, καὶ κύριοι πάντων τῶν τοῦ πατρός. ὅτε δὲ ἔλθῃ τὸ πλήρωμα τοῦ χρόνου αὐτῆς, καὶ διὰ τῆς ἀπαθείας πληρωθῇ, τότε γεννᾶται ὁ λόγος ἐν ἡμῖν ἐκ καθαρᾶς διανοίας, καὶ γίνεται ὑπὸ τὸν νόμον τοῦ πνεύματος, ἵνα τοὺς ὑπὸ νόμον ἡμᾶς τοῦ σαρκικοῦ φρονήματος ὄντας ἐξαγοράσῃ, καὶ τὴν υἱοθεσίαν ἡμῖν ἀποδώῃ. τούτου δὲ γεγονότος, τότε κράζει τὸ πνεῦμα εἰς τὰς καρδίας ἡμῶν, Ἀββᾶ ὁ πατήρ· δεικνύον καὶ γνωρίζον ἡμῖν τὴν υἱότητα, καὶ τὴν πρὸς τὸν Πατέρα καὶ Θεὸν παρρησίαν. καὶ ὡς υἱοῖς καὶ κληρονόμοις Θεοῦ διὰ Χριστοῦ, ἡμῖν συμπαραμένει καὶ διαλέγεται, μὴ τῇ δουλείᾳ τῶν αἰσθήσεων κρατουμένοις.

νβʹ. Τοῖς κατὰ Πέτρον εἰς πίστιν προκόψασι, καὶ κατὰ Ἰάκωβον εἰς ἐλπίδα ἐπανελθοῦσι, καὶ κατὰ Ἰωάννην εἰς ἀγάπην τελειωθεῖσι, μεταμορφοῦται εἰς ὄρος ὑψηλὸν ἀνελθὼν, θεολογίας, ὁ Κύριος. καὶ λάμπει μὲν αὐτοῖς τῇ ἐπιφανείᾳ καὶ τῷ χαρακτῆρι τοῦ καθαροῦ λόγου, ὡς ὁ ἥλιος. τοῖς δὲ νοήμασι τῆς ἀπορρήτου σοφίας, γίνεται λαμπρὸς ὡς τὸ φῶς. καὶ ὁρᾶται ὁ λόγος ἐν τούτοις, μέσον ἑστὼς νόμου καὶ προφητείας. τὰ μὲν, νομοθετῶν καὶ διδάσκων, τὰ δὲ, καὶ ἀνακαλύπτων ἐκ βαθέων καὶ κεκρυμμένων θησαυρῶν τῆς σοφίας· ἔσθ᾽ ὅτε καὶ προορῶν, καὶ προλέγων. οὓς καὶ ὡς νεφέλη φωτεινὴ ἐπισκιάζει τὸ πνεῦμα, καὶ φωνὴ μυστικῆς θεολοφίας ἐκεῖθεν πρὸς αὐτοὺς ἔρχεται, μυοῦσα τὸ μυστήριον αὐτοὺς τῆς Τρισυποστάτου Θεότητος, καὶ οὕτω λέγουσα. οὗτός ἐστιν ὁ ἀγαπητός μου ὄρος τοῦ λόγου τῆς τελειώσεως ἐν ᾧ ηὐδόκησα, γίνεσθαί μοι τελείους υἱοὺς, ἐν τελείῳ πνεύματι.

νγʹ. Ψυχὴ τῶν χαμαιζήλων πάντων καταφρονήσασα, καὶ ὁλικῶς τῷ ἔρωτι ζωθεῖσα Θεοῦ, ἔκστασίν τινα ξένην καὶ θείαν ὑφίσταται. μετὰ γὰρ τὸ κατιδεῖν ζωνῶς τὰς φύσεις τῶν ὄντων καὶ τοὺς λόγους αὐτῶν καὶ τὰ τέλη τῶν ἀνθρωπίνων καταλαβέσθαι πραγμάτων, οὗτος οὐκ ἀνέχεται τοῦ παντὸς ἐκτὸς εἶναι, καὶ τῷ περιέχοντι περιγράφεσθαι· ἀλλὰ τῶν ἑαυτῆς ὅρων ἐκστᾶσα, καὶ τὰ δεσμὰ τυραννήσασα τῆς αἰσθήσεως, τὰς φύσεις πάντων περάσασα, εἰς γνόφον θεολογίας ἐν ἀρρήτῳ σιγῇ εἰσέρχεται, καὶ τὸ κάλλος κατανοεῖ τοῦ ὄντος, ἐν φωτὶ νοημάτων ἀφράστου σοφίας, ὅσον ἂν αὐτῇ καὶ χωρεῖν ἐκεῖθεν δοθῇ. θεοπρεπῶς δὲ τοῖς νοήμασιν εἰς τὴν θεωρίαν αὐτοῦ ἐμβαθύνουσα, ἐντρυφᾷ τῶν ἀθανάτων φυτῶν τοῖς καρποῖς, ἀγάπης φόβῳ, τῶν θείων ἐννοιῶν λέγω τοῖς νοήμασιν. ὧν οὐδέποτε συστελλομένη πρὸς ἑαυτὴν, δύναται τελείως ἐκφράσαι τὸ μεγαλοπρεπές τε καὶ ἔνδοξον· ἀλλ᾽ οἷον ἐνεργουμένη ξένως ὑπὸ τοῦ πνεύματος. τὸ μὲν ἐπαινετὸν πάθος, ἐν ἀρρήτῳ οἶδε χαρᾷ καὶ σιγῇ. τὸ δὲ πῶς ἐνεργεῖται; ἢ τί ἐστι τὸ κινοῦν καὶ ὁρώμενον; καὶ λέγον αὐτῇ μυστικῶς τὰ ἀπόρρητα; ἀμηχανεῖ διηγήσασθαι.

Ὁ σπείρων ἑαυτῷ εἰς δικαιοσύνην δάκρυα κατανύξεως, τρυγᾷ εἰς καρπὸν ζωῆς, χαρὰν ἀνεκλάλητον. ὁ δὲ ἐκζητῶν καὶ ἐλπιζομένων τὸν Κύριον ἕως τοῦ ἐλθεῖν τὰ γεννήματα τῆς δικαιοσύνης αὐτοῦ, οὗτος θερίσει πολύχουν τὸν στάχυν τῆς γνώσεως τοῦ Θεοῦ· καὶ φῶς ἑαυτὸν φωτίσει σοφίας, καὶ λυχνία φωτὸς ἀϊδίου γενήσεται, εἰς τὸ φωτίζειν πάντας ἀνθρώπους· καὶ οὐ φθονήσει ἑαυτῷ καὶ τοῖς πλησίον ὑπὸ τὸ μόδιον τοῦ φθόνου καλύπτων τὸ δοθὲν αὐτῷ φῶς τῆς σοφίας. ἀλλ᾽ ἐπὶ τῆς Ἐκκλησίας τῶν πιστῶν ἐρεύξεται λόγους ἀγαθοὺς, εἰς ὠφέλειαν πολλῶν, καὶ φθέγξεται προβλήματα ἀπ᾽ ἀρχῆς, ὅσα τε ἤκουσεν ἄνωθεν, θείῳ ὑπηχούμενος πνεύματι, καὶ ὅσα ἔγνω τῇ θεωρίᾳ τῶν ὄντων σχολάζων, καὶ οἱ πατέρες αὐτοῦ διηγήσαντο αὐτῷ. νδʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ιε'. Ἔσται παντὶ σπουδαίῳ ἐν τῇ ἡμέρᾳ τῆς αὐτοῦ κατ' ἀρετὴν τελειώσεως, καὶ ἀποσταλάξει αὐτῷ τὰ ὄρη τῆς ἐργασίας τῶν τοῦ Θεοῦ ἐντολῶν γλυκασμὸν εὐφροσύνης, βασιλεύοντι ἐν Σιὼν τῇ καθαρᾷ διανοίᾳ· καὶ οἱ βουνοί, οἱ λόγοι τῆς ἀρετῆς, ῥυήσονται γάλα· τὴν σοφίαν αὐτῷ ἀναπαυομένῳ ἐπὶ κλίνης ἀπαθείας, προσφέροντες. καὶ πᾶσαι αἱ ἀφέσεις Ἰούδα, τῆς αὐτοῦ φημὶ πίστεώς τε καὶ γνώσεως, ῥυήσονται ὕδατα, δόγματα δηλαδή, καὶ παραβολάς, καὶ αἰνίγματα θείων πραγμάτων. καὶ πηγὴ σοφίας ἀπορρήτου ἐκ τῆς καρδίας αὐτοῦ ὡς ἐξ οἴκου Κυρίου ἐξελεύσεται, καὶ ποτιεῖ τὸν χειμάρρουν τῶν σχοίνων. αὐτοὺς δηλονότι τοὺς τῷ αὐχμῷ καὶ τῷ καύσωνι τῶν παθῶν ἀποξηρανθέντας ἀνθρώπους. καὶ τότε γνώσεται τὴν ἀληθινὴν ἔκβασιν ἐν ἑαυτῷ τῶν λόγων Κυρίου. φησὶ γάρ· ὁ πιστεύων εἰς ἐμέ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.

ιϛ'. Ἀνατελεῖ ἐν τοῖς φοβουμένοις με, φησὶν ὁ Θεός, ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πράξεσιν αὐτῶν. καὶ ἐκ φυλακῆς παθῶν ἐξελεύσονται, καὶ σκιρτήσουσιν ὡς μοσχάρια ἐκ δεσμῶν ἁμαρτίας ἀνειμένα· καὶ καταπατήσουσιν ἀνόμους ἄνδρας καὶ δαίμονας ὑποκάτω τῶν ποδῶν αὐτῶν, ὡς σποδόν, ἐν τῇ ἡμέρᾳ τῆς ἀποκαταστάσεως αὐτῶν, ᾗ ἐγὼ ποιῶ λέγει Κύριος παντοκράτωρ. ἡνίκα διὰ πασῶν ἀνυψωθῶσι τῶν ἀρετῶν δηλονότι, καὶ τελειωθῶσι διὰ σοφίας καὶ γνώσεως ἐν τῇ μετουσίᾳ τοῦ πνεύματος.

ιζ'. Ἐπ' ὄρους πεδινοῦ τοῦ κόσμου τούτου, καὶ τῆς Ἐκκλησίας Χριστοῦ, γνώσεως καινῆς ἄνωθεν ἆρον σημεῖον, καὶ ὕψωσον τὴν φωνήν σου, καὶ τὸν εἰρηκότα, τῆς δοθείσης σοι σοφίας ἀπὸ Θεοῦ. παρακαλῶν τῷ λόγῳ καὶ διδάσκων τοὺς σοὺς ἀδελφοὺς διανοίγων τὸν νοῦν αὐτοῖς τῆς θείας γραφῆς, εἰς κατανόησιν τῶν θαυμασίων δωρεῶν τοῦ Θεοῦ, καὶ προβιβάζων αὐτοὺς εἰς τὴν ἐργασίαν τῶν αὐτοῦ ἐντολῶν, μὴ φοβηθῇς ἀπὸ τῶν φθονούντων τῇ δυνάμει τῶν λόγων σου, καὶ διαστρεβλούντων πᾶσαν θείαν γραφήν, κενῶν ὄντων καὶ σεσαρωμένων, καὶ ἑτοίμων εἰς κατοικίαν τοῦ διαβόλου. σωπάσει γὰρ τὰ τῶν χειλέων σου ὁ Θεὸς ἐν τῇ βίβλῳ τῶν ζώντων, καὶ οὐκ ἔσται σοι βλάβη ἐκ τῶν τοιούτων, ὡς οὐδὲ Πέτρῳ ἐκ Σίμωνος. ἐρεῖς δὲ μᾶλλον καὶ αὐτὸς μετὰ τοῦ Προφήτου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν ᾗ κατασκευάζοντάς ὁρᾷς κατὰ σοῦ τοὺς τοιούτους σκάνδαλα τρίβου, ἰδοὺ ὁ Θεός μου σωτήρ μου Κύριος, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, καὶ σωθήσομαι ὑπ' αὐτοῦ, καὶ οὐ φοβηθήσομαι. διότι ἡ δόξα μου καὶ ἡ αἴνεσίς μου Κύριος, καὶ ἐγένετό μοι σωτήρ· καὶ οὐ παύσομαι ἀναγγέλλων τὰ ἔνδοξα αὐτοῦ ἐν πάσῃ τῇ γῇ.

Εἰ ἔγνως, ὅτι ἡ φορὰ τῆς τῶν παθῶν ἐνεργείας ἐστὶν ἐν σοὶ ἄπρακτος, καὶ ἡ κατάνυξις ἐκ πενθοφροσύνης πηγάζει ἀπὸ τῶν ὀφθαλμῶν σου, γνῶθι, ὅτι ἦλθεν ἡ βασιλεία τοῦ Θεοῦ, ἐπὶ σέ, καὶ ἐγγύς εἰμι ἐγὼ τοῦ Ἁγίου Πνεύματος. εἰ δὲ καὶ ἐνεργεῖν, κινούμενόν τε, καὶ λαλεῖ τὸ πνεῦμα ποιῆς ἐν τοῖς ἐγκάτοις σου, καὶ διεγεῖρόν σε τοῦ λέγειν ἐν Ἐκκλησίᾳ μεγάλῃ τὸ σωτήριον, καὶ τὴν ἀλήθειαν τοῦ Θεοῦ, μηδὲ κωλύσῃς τὰ χείλη σου διὰ τὸν φθόνον τῶν ἰουδαιοφρόνων ἀνδρῶν, ἀλλὰ καθίσας, γράψον ἐπὶ πυξίου, καθὼς φησὶν Ἡσαΐας, ἃ τὸ πνεῦμά σοι λέγει. ὅτι ἔσται εἰς ἡμέρας καιρῶν ταῦτα, καὶ ἕως εἰς τὸν αἰῶνα· κατὰ τὸν οὕτω εἰπόντα. οἱ γὰρ τὸν φθόνον ὠδίνοντες, λαὸς ἀπειθής εἰσιν, υἱοὶ ψευδεῖς, οἷς οὐκ ἔστι πίστις. οἳ οὐ βούλονται ἀκούειν, ὅτι ἔτι τὸ Εὐαγγέλιον ἐνεργεῖ, καὶ φίλους Θεοῦ, καὶ Προφήτας κατασκευάζει· ἀλλὰ λέγουσι τοῖς Προφήταις καὶ διδασκάλοις τῆς Ἐκκλησίας, μὴ ἀναγγέλλετε ιη'.

ἡμῖν τὴν σοφίαν τοῦ Θεοῦ. τοῖς τὰ ὁράματα τῆς φυσικῆς θεωρίας ὁρῶσι μὴ λαλεῖτε ἡμῖν, ἀλλὰ λαλεῖτε, καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν, ἣν ὁ κόσμος φιλεῖ, καὶ ἀφέλετε ἀφ' ἡμῶν τὸ λόγιον τοῦ Ἰσραήλ. μηδὲ προσέξῃς τῇ Βασκανίᾳ, καὶ τοῖς λόγοις αὐτῶν· ἀκούσονται γὰρ τὰ ὑπηχημένα σοι πρὸς ὠφέλειαν πολλῶν ἄνωθεν, κωφοὶ ἔσχατον, καὶ οἱ ἐν τῷ σκότει τοῦ βίου, καὶ οἱ ἐν τῇ ὁμίχλῃ τῆς ἁμαρτίας ὀφθαλμοὶ τυφλῶν, ὄψονταί σου τῶν λόγων τὸ φῶς. καὶ ἀγαλλιάσονται ἐν αὐτοῖς οἱ πτωχοὶ τῷ Πνεύματι. καὶ οἱ ἀπηλπισμένοι τῶν ἀνθρώπων, ἐμπλησθήσονται εὐφροσύνης. καὶ γνώσονται οἱ τῷ πνεύματι πλανώμενοι, σύνεσιν ἐν τοῖς λόγοις σου· οἱ δὲ γογγύζοντες κατὰ σοῦ, μαθήσονται ὑπακούειν τῶν λόγων τοῦ πνεύματος. καὶ γλῶσσαι αἱ ψελλίζουσαι, λαλεῖν εἰρήνην μαθήσονται.

νθ'. Μακάριος ὃς ἔχει ἐν Σιὼν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, σπέρμα διδασκαλίας τῶν λόγων αὐτοῦ· φησὶν Ἡσαΐας· καὶ υἱοὺς οἰκείους ἑαυτῷ, καὶ τῷ πνεύματι, ἐν τῇ ἄνω τῶν πρωτοτόκων Ἱερουσαλήμ. ἔσται γὰρ ὁ ἄνθρωπος ἐκεῖνος, κρύπτων εἰς καιρὸν· φησι· τοὺς λόγους αὐτοῦ, καὶ κρυβήσεται ὡς ἀφ' ὕδατος φερομένου· καὶ ἔσχατον, φανήσεται ἐν Σιὼν τῇ τῶν πιστῶν Ἐκκλησίᾳ, ὡς ποταμὸς φερόμενος ἔνδοξος, γῇ διψώσῃ τοῖς ῥεέθροις τῆς σοφίας αὐτοῦ. καὶ οὐκ ἔτι ἔσονται οἱ ὑπὸ τῶν φθονούντων ἀναξεπόμενοι πεποιθότες ἐπ' αὐτοῖς· ἀλλὰ τὰ ὦτα αὐτῶν δώσουσιν ἀκούειν τῶν λόγων τοῦ ἀνθρώπου ἐκείνου, καὶ ἡ καρδία τῶν τῆς ψυχῆς ἀσθενούντων, προσέξει τοῦ ἀκούειν. καὶ οὐκ ἔτι οὐ μὴ εἴπωσιν οἱ ὑπηρέται τοῦ φθόνου· σίγα, ἐπειδὴ ἀσεβὴς ὢν συνετὰ ἐβουλεύσατο, καὶ οὐχ ὥσπερ οἱ μωροὶ τοῦ κόσμου σοφοὶ μωρὰ, ἐλάλησεν· οὐδὲ ἡ καρδία αὐτοῦ νενόηκε μάταια τοῦ συντελεῖν ἄνομα, καὶ λαλεῖν πρὸς τὸν Θεὸν πλάνησιν ὡς ἂν διασπείρῃ ψυχὰς πεινώσας, καὶ ψυχὰς τὰς διψώσας, κενὰς ποιήσῃ. διὰ τοῦτο οἱ λόγοι αὐτοῦ μενοῦσιν εἰς ὠφέλειαν πολλῶν, κἂν μὴ δοκῇ τοῖς βασκαίνουσι.

ξ'. Τῷ ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς οἰκοῦντι, ἄρτος εἰς κόρον δοθήσεται γνώσεως, καὶ ὁ κρατὴρ τῆς σοφίας, εἰς μέθην. καὶ οὕτως ἔσται πιστὸν τὸ ὕδωρ αὐτοῦ. βασιλέα μετὰ δόξης ὄψεται, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ, γῆν πόρρωθεν ὄψονται. ἡ ψυχὴ αὐτοῦ μελετήσει σοφίαν, καὶ ἀναγγελεῖ πᾶσι τὸν τόπον τὸν αἰώνιον. οὗ τῶν ὅρων ἐκτὸς οὐδείς.

ξα'. Εἰ οὖν ἡ παιδεία Κυρίου ἀνοίγει τὰ ὦτα παντὸς τοῦ φοβουμένου αὐτὸν, καὶ προστίθησιν ὠτίον αὐτῷ τοῦ ἀκούειν· καὶ γλῶσσαν δίδωσι παιδείας τοῦ γνῶναι, ἡνίκα δεῖ εἰπεῖν λόγον, τίς ἕτερος ὁ ἀποστρέφων φρονίμους καὶ σοφοὺς τοῦ κόσμου εἰς τὰ ὀπίσω, καὶ τὴν σοφίαν μωραίνων αὐτῶν; μόνος δὲ ἱστῶν τὰ ῥήματα τῶν δούλων αὐτοῦ; ἀλλ' ἢ αὐτὸς ὁ ποιῶν καινὰ καὶ παράδοξα εἰς δόξαν αὐτοῦ. ὁ ποιῶν ἐν τῇ ἐρήμῳ καὶ ξηρᾷ καρδίᾳ, ὁδὸν ταπεινώσεως καὶ πραότητος· ἐν δὲ τῇ ἀνίκμῳ, καὶ ἀνύδρῳ διανοίᾳ, ποταμοὺς σοφίας ἀῤῥήτου. εἰς τὸ ποτίσαι τὸ γένος αὐτοῦ τὸ ἐκλεκτὸν, λαὸν ὃν περιεποιήσατο, τὰς ἀρετὰς αὐτοῦ διηγεῖσθαι. ἔμπροσθεν γὰρ τῶν ἀγαπώντων καὶ φοβουμένων αὐτὸν πορεύεται, καὶ ὄρη παθῶν ὁμαλίζει, καὶ θύρας χαλκᾶς ἀγνωσίας συντρίβει, καὶ ἀνοίγει τῆς αὐτοῦ γνώσεως τὰς θύρας, καὶ ἀνακαλύπτει αὐτοῖς θησαυροὺς αὐτῆς σκοτεινοὺς, ἀποκρύφους τε καὶ ἀοράτους· ἵνα γνῶσιν, ὅτι αὐτός ἐστι Κύριος ὁ Θεὸς, ὁ καλῶν τὸ ὄνομα αὐτῶν Ἰσραήλ.

ξβ'. Τίς ὁ ταράσσων τὴν θάλασσαν τῶν παθῶν, καὶ ἱστῶν τὰ κύματα αὐτῆς; ὁ ῥυόμενος, τοὺς ἀγαπῶντας αὐτὸν, τοῦ κινδύνου τῆς ἁμαρτίας, καὶ τὴν ζάλην



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῶν λογισμῶν εἰς γαλήνην ποιῶν Κύριος Σαβαώθ· ὁ τοὺς λόγους αὐτοῦ τιθεὶς εἰς τὸ στόμα αὐτῶν, καὶ σκέπων αὐτοὺς ὑπὸ τὴν σκιὰν τῶν χειρῶν αὐτοῦ, ἐν ᾗ ἔστησε τὸν οὐρανόν, καὶ τὴν γῆν ἐθεμελίωσεν. αὐτὸς τοῖς φοβουμένοις αὐτόν, δίδωσι γλῶσσαν παιδείας, καὶ οὖς συνέσεως εἰς τὸ ἀκούειν ἄνωθεν τῆς φωνῆς αὐτοῦ, καὶ ἀπαγγέλειν εἰς τὸν οἶκον Ἰακώβ, τὴν τῶν πιστῶν Ἐκκλησίαν, τὰ προστάγματα αὐτοῦ· οἷς δὲ μὴ ὑπάρχει ὀφθαλμὸς εἰς τὸ ὁρᾷν τὰς ἀκτῖνας τοῦ ἡλίου τῆς δικαιοσύνης, καὶ οὖς εἰς τὸ ἀκούειν τὰ ἔνδοξα τοῦ Θεοῦ, σκότος ἐστὶν ἡ * ἀποκλήρωσις τῆς ἀγνωσίας, καὶ ἡ ἐλπὶς μετὰ τῶν λόγων, ματαία. τούτων οὐδεὶς λαλεῖ δίκαια, οὐδὲ ἔστι κρίσις ἐν αὐτοῖς ἀληθείας· πεποίθασι γὰρ ἐπὶ ματαίοις καὶ λαλοῦσι κενά· κύουσι φθόνον, καὶ τίκτουσι βασκανίαν· ὅτι ἀπερίτμητα εἰσὶ τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται ἀκούειν· καὶ διὰ τοῦτο ἐγενήθη αὐτοῖς, τῆς γνώσεως τοῦ Θεοῦ ὁ λόγος, εἰς ὀνειδισμόν, καὶ οὐ μὴ βουληθῶσιν αὐτοῦ ἀκοῦσαι.

* ἐν ἄλ. ἀποπλήρωσις

ξγ΄. Σοφία τίς ἐστιν ἐν τοῖς τὸν φθόνον ὠδίνουσι κατὰ τοῦ πλησίον. πῶς γὰρ ἐροῦσιν οἱ βάσκανοι· φησὶν Ἱερεμίας, ὅτι σοφοὶ ἐσμὲν ἡμεῖς; καὶ νόμος Κυρίου μεθ' ἡμῶν ἐστίν; ὅταν ἐκτήκονται τῷ ζήλῳ κατὰ τῶν λαβόντων τὴν χάριν τοῦ πνεύματος διὰ σοφίας καὶ γνώσεως τοῦ Θεοῦ; ἀλλ' εἰς μάτην ἐγενήθη γνῶσις ψευδὴς γραμματεῦσι καὶ σοφοῖς τοῦ κόσμου, τῆς ἀληθινῆς ἐξαμαρτήσασι γνώσεως. διὰ τοῦτο ᾐσχύνθησαν σοφοὶ ἐκπεπτωκότες τῆς τοῦ Παρακλήτου σοφίας, ταύτην ἐν υἱοῖς ἁλιέων πληθυνομένην ὁρῶντες, καὶ ἐπτοήθησαν τὴν δύναμιν τῶν λόγων αὐτῶν, καὶ ἑάλωσαν ἐν τοῖς δικτύοις τῶν νοημάτων αὐτῶν, ἐπειδὴ τὴν ὄντως σοφίαν καὶ τὴν γνῶσιν Κυρίου ἀπεδοκίμασαν.

ξδ΄. Τί τῷ ζήλῳ ἐκτετήκασι βάσκανοι, κατὰ τῶν πεπλουτηκότων τὴν χάριν τοῦ πνεύματος; κατὰ τῶν λαβόντων γλῶσσαν πυρὸς ὡσεὶ κάλαμον γραμματέως ὀξυγράφου, τὴν πηγὴν ἐγκαταλιπόντες τῆς τοῦ Θεοῦ σοφίας; εἰ γὰρ τῇ ὁδῷ τοῦ Θεοῦ ἐπορεύθησαν, κατῴκησαν ἂν ἐν εἰρήνῃ ἀπαθείας εἰς τὸν αἰῶνα χρόνον. ἔμαθον ποῦ ἐστι φρόνησις, ποῦ ἐστιν ἰσχύς, ποῦ ἐστι σύνεσις, καὶ γνῶσις τῶν ὄντων, ποῦ ἐστι μακροβίωσις καὶ ζωή, ποῦ ἐστι φῶς ὀφθαλμῶν, καὶ σοφία μετὰ εἰρήνης. ἔμαθον τίς εὑρίσκει τὸν τόπον αὐτῆς, καὶ τίς εἰς τοὺς θησαυροὺς αὐτῆς εἰσέρχεται· καὶ ὅπως ἐντέλλεται ὁ Θεὸς διὰ τοῦ Προφήτου τοῖς τοῦ λόγου μύσταις λέγων. ὁ Προφήτης, ἐν ᾧ τὸ ἐνύπνιόν ἐστι τῆς ἀποκαλύψεως, διηγησάσθω τὸ ἐνύπνιον τῆς ὀπτασίας αὐτοῦ, καὶ ἐν ᾧ ὁ λόγος μου πρὸς αὐτόν, διηγησάσθω τὸν λόγον μου ἐπ' ἀληθείας. καὶ αὖθις· γράψον σεαυτῷ πάντας τοὺς λόγους οὓς ἐχρημάτισα πρὸς σὲ ἐπὶ βιβλίου· καὶ οὐδέποτε ἂν τῷ φθόνῳ κατὰ τῶν τοιούτων ἐτήκοντο.

Εἰ ἀλλάξεται αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, ξε΄.
καὶ οἱ βάσκανοι δυνήσονται εὖ εἰπεῖν καὶ βουλεύσασθαι, μεμελετηκότες κακά. πτέρνῃ γὰρ πτερνιοῦσι τοὺς πλησίον αὐτῶν, ἐπειδὴ δολίως πορεύονται, καὶ καταπαίζουσι τοὺς φίλους αὐτῶν. ἀλήθειαν μὴ λαλοῦντες, διότι μεμαθήκει ἡ γλῶσσα αὐτῶν λαλεῖν μάταια καὶ ψευδῆ. σὺ δ' οὖν ὁ διὰ τὴν τοῦ Θεοῦ γνῶσιν καὶ τὸν λόγον, ὑπ' αὐτῶν φθονούμενός τε καὶ ἐμπαιζόμενος· καὶ ἐκτενῶς δεήθητι, κατὰ τὸν Ἱερεμίαν, καὶ εἰπέ. Κύριε μνήσθητί μου, καὶ ἐπίσκεψαί με, καὶ ἀθώωσόν με ἀπὸ τῶν καταδιωκόντων με βασκάνων ἀνδρῶν· μὴ εἰς μακροθυμίαν σου βάλῃς με, δοκίμασαί με θέλων ἐπὶ πολύ· γνῶθι ὡς ἔλαβον ἐμπαιγμὸν ὑπὸ τῶν ἀθετούντων τὴν γνῶσίν σου, συντέλεσον αὐτοὺς ἐν τῷ ζήλῳ αὐτῶν· καὶ ἔσται ὁ λόγος ἐμοὶ τῆς

γνώ-

γνῶσίς σου εἰς εὐφροσύνην, καὶ εἰς χαρὰν καρδίας μου. οὐδὲ γὰρ ἐκάθισα ἐν συνεδρίῳ μετὰ τῶν παιζόντων τὴν γνῶσίν σου· ἀλλ' εὐλαβούμην ἀπὸ προσώπου χειρός σου, καὶ ἐκαθήμην κατὰ μόνας· ὅτι πικρίας ἀπὸ τοῦ φθόνου αὐτῶν ἐνεπλήσθην. καὶ ἀκούσεις· σὺ οἶδα· ἐὰν ἐπιστρέψῃς πεπλανημένον ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, ἀποκαταστήσωσε ἐν τοῖς φίλοις μου· πρὸ προσώπου μου στήσῃ. καὶ ἐὰν ἐξαγάγῃς τίμιον ἀπὸ ἀναξίου, ὡς στόμα μου ἔσῃ. λυτρώσομαί σε ἐκ χειρὸς βασκάνων λοιμῶν, λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ.

ξς'. Τέλος λόγου τὸ πᾶν, οἱ βάσκανοι σοφοὶ ἀκουέτωσαν. ἐκαθαρίσθησαν Ναζιραῖοι Θεοῦ τοῖς πόνοις ὑπὲρ χιόνα. ἔλαμψαν τῷ βίῳ ὑπὲρ γάλα. ὑπὲρ λίθον σάπφειρον τὸ εἶδος τῆς σοφίας αὐτῶν, καὶ ὑπὲρ μάργαρον καθαρὸν ὁ χαρακτὴρ τῶν λόγων αὐτῶν. οἱ δέγε ἐσθίοντες τρυφὰς τῆς κοσμικῆς γνώσεως, ἠφανίσθησαν ἐν ταῖς ἐξόδοις τοῦ πνεύματος. οἱ τιθηνούμενοι ἐπὶ κοκκίνῳ σοφίας Ἑλλήνων, κοπρίαν ἀγνωσίας περιβάλλονται. καὶ ἐδέθησαν ἐπ' αὐτοῖς δεσμοί, καὶ ἐδέθησαν ἐν αὐτοῖς. συνεδέθη γὰρ ἡ γλῶσσα αὐτῶν πρὸς τὸν λάρυγγα αὐτῶν, καὶ ἀπεκωφώθησαν, ἐπεὶ τὴν ὄντως σοφίαν, καὶ γνῶσιν τοῦ Θείου ἀπεδοκίμασαν πνεύματος. μὴ διὰ πόνων ταύτην λαβεῖν ἐθελήσαντες.

ξζ'. Ὁ Θεὸς ὁ ταπεινῶν ξύλον ὑψηλόν, καὶ ὑψῶν ξύλον ταπεινόν, ὁ ξηραίνων ξύλον χλωρόν, καὶ ἀναθάλλων ξύλον ξηρόν, αὐτός ἐστιν ὁ διδοὺς στόμα ἀνεῳγμένον, ἐν μέσῳ συναγωγῆς πολλῆς, τοῖς δούλοις αὐτοῦ, καὶ ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. ὅτι ἡ σοφία καὶ ἡ σύνεσις καὶ ἡ ἰσχὺς αὐτοῦ ἐστι, καὶ αὐτὸς ἀλλοιοῖ ὥσπερ καιροὺς καὶ χρόνους. οὕτω καὶ ψυχὰς ζητούσας καὶ ποθούσας αὐτὸν καθιστᾷ κατὰ παθῶν βασιλεῖς, καὶ μεθιστᾷ ἀπὸ ζωῆς εἰς ζωήν, διδοὺς σοφίαν τοῖς σοφοῖς τῷ πνεύματι, καὶ φρόνησιν τοῖς εἰδόσι σύνεσιν. αὐτὸς ἀποκαλύπτει βαθέα καὶ ἀπόκρυφα τοῖς ἐρευνῶσι τὰ βάθη τοῦ Θεοῦ, καὶ γινώσκειν δίδωσιν αὐτοῖς τὰ ἐν τῷ σκότει τῶν αἰνιγμάτων. ὅτι τὸ φῶς τῆς σοφίας καὶ γνώσεως μετ' αὐτοῦ ἐστί, καὶ ᾧ βούλεται δίδωσιν αὐτό.

Παντὶ τῷ καθ' ὑπομονὴν ἐργαζομένῳ τὰς ἐντολὰς κατὰ τὸν ἐκτὸς καὶ ἐντὸς ἄνθρωπον. καὶ πρὸς μόνην ἀφορῶντι τὴν δόξαν τοῦ Θεοῦ, τιμὴ δίδοται γνώσεως οὐρανίου, εἰρήνη ψυχῆς καὶ ἀφθαρσία. ὡς οὐκ ἀκροατῇ, ἀλλὰ ποιητῇ τοῦ νόμου τῆς χάριτος. οὗ καὶ τὴν γνῶσιν ἐμμάρτυρον οὖσαν ἐξ ἔργων, οὐκ ἀτιμάζει Θεός. ἀλλὰ συνδοξάζει τοῖς λόγοις τῆς γνώσεως τῶν διὰ σοφίας αὐτοῦ λαμψάντων ἐν τῇ τῶν πιστῶν Ἐκκλησίᾳ. ἐπειδὴ προσωποληψία οὐκ ἔστι παρ' αὐτῷ. τῷ δὲ ἐξ ἐριθείας ἀγωνιζομένῳ, καὶ ἀπειθοῦντι μὲν τοῖς λόγοις τῶν ἀγομένων ὑπὸ τοῦ πνεύματος, πειθομένῳ δὲ τῇ ἑαυτοῦ συνέσει, καὶ τοῖς ἀπατηλοῖς λόγοις τῶν τὴν μόρφωσιν περικειμένων μόνην τῆς εὐσεβείας, καὶ ἀγομένων ὑπὸ φιλοδόξου, καὶ φιληδόνου πνεύματος, θλίψις καὶ στενοχωρία δίδοται· φθόνος, καὶ θυμός, καὶ ὀργή, νῦν μὲν εἰς ἐπιτιμίαν τῆς πλάνης αὐτοῦ. ἔσχατον δέ, εἰς κατηγορίαν τῶν μεταξὺ ἀλλήλων κατηγορούντων, ἢ καὶ ἀπολογουμένων αὐτοῦ λογισμῶν· ἐν ἡμέρᾳ, ᾗ κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ. ξη'.

Ὥσπερ οὐκ ἔστιν Ἰουδαῖος ὁ ἐν τῷ φανερῷ κατὰ τὸν εἰπόντα. οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή. ἀλλ' ὁ ἐν κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐκ ἐν γράμματι, οὕτως οὐδὲ τέλειος ἀνὴρ ἐν γνώσει καὶ σοφίᾳ, ὁ ἐν τῷ φανερῷ μόνῳ καὶ κατεγλωττισμένῳ λόγῳ πολύς. οὐδὲ σπουδαῖος ἄκρως, ὁ ἐν τῇ σωματικῇ καὶ φανερᾷ γυμνασίᾳ ξθ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῶν πόνων, ἀλλ' ὁ ἐν τῇ κρυπτῇ καὶ νοερᾷ ἐργασίᾳ σπουδαῖος. καὶ ὁ ἐκ καθαρᾶς καὶ ἀγαθῆς καρδίας διὰ πνεύματος Θεοῦ λέγων, καὶ οὐ διὰ γραμμάτων, σοφὸς ἐν γνώσει καὶ τέλειος. οὗ καὶ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ. ὡς ἀγνοουμένου μὲν, ἢ φθονουμένου τοῖς ἀνθρώποις. μόνῳ δὲ Θεῷ, καὶ τοῖς τῷ αὐτοῦ πνεύματι κινουμένοις, φιλουμένου τε καὶ γινωσκομένου.

ο'. Εἰ ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ· κατὰ τὸν εἰπόντα, τίς ἐξ ἀγώνων καὶ πόνων ἀσκήσεως μόνων τελειωθήσεται ἐνώπιον τοῦ Θεοῦ; διὰ γὰρ πράξεως, εἰς ἕξιν ἀρετῆς στοιχειούμεθα, καὶ ἱστῶμεν τὴν ἐνέργειαν τῶν παθῶν. οὐ μέντοι δὲ τελειούμεθα διὰ μόνης αὐτῆς ἐν τῷ πληρώματι τοῦ Χριστοῦ. τί οὖν ἐστὶ τὸ ἀνάγον ἡμᾶς εἰς τελειότητα, ἡ ἀμετάθετος εἰς Θεὸν πίστις, ἥτις ἐστὶν ἐλπιζομένων ὑπόστασις. δι' ἧς Ἄβελ πλείονα θυσίαν παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ, καὶ ἐμαρτυρήθη εἶναι δίκαιος. καὶ Ἀβραὰμ καλούμενος ὑπήκουσεν ἐξελθεῖν, καὶ παροικῆσαι εἰς τὴν γῆν τῆς ἐπαγγελίας. αὕτη ἀνάγει τοὺς ἐν ἀληθείᾳ σπουδάζοντας, εἰς ἐλπίδας μεγάλας τῶν ὑψηλῶν τοῦ Θεοῦ δωρεῶν. κἀκεῖθεν εἰς τὴν γνῶσιν τῶν ὄντων· καὶ δίδωσιν αὐτοῖς θησαυροὺς ἀκενώτους ἐν καρδίᾳ τοῦ πνεύματος, εἰς τὸ ἐκβάλλειν ἐκεῖθεν καινὰ καὶ παλαιὰ μυστήρια τοῦ Θεοῦ, καὶ διδόναι τοῖς χρήζουσιν. ὁ οὖν ταύτης εὐμοιρήσας, ἀνῆλθε, καὶ ἐτελειώθη δι' ἀγάπης εἰς γνῶσιν Θεοῦ, καὶ εἰσῆλθεν εἰς τὴν κατάπαυσιν αὐτοῦ· καταπαύσας καὶ αὐτὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

οα'. Εἰ τοὺς ἀπειθήσαντας ὤμοσεν ὁ Θεὸς πάλαι μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ. ὅθεν οὐδὲ ἠδυνήθησαν δι' ἀπιστίαν εἰσελθεῖν, πῶς ἂν τινὲς διὰ μόνης γυμνασίας σωματικῆς, ἄνευ πίστεως, δυνηθῶσιν εἰσελθεῖν εἰς τὴν τῆς ἀπαθείας κατάπαυσιν, καὶ τὴν τῆς γνώσεως τελειότητα; ὁπότε πολλοὺς ὁρῶμεν μὴ δυνηθέντας οὕτως εἰσελθεῖν, καὶ ἐγκαταπαῦσαι ἀπὸ πάντων τῶν πόνων αὐτῶν; σκοπεῖν οὖν ἕκαστον χρὴ, μήποτε ἐστὶν ἐν αὐτῷ καρδία πονηρὰ ἀπιστίας, καὶ διὰ τοῦτο ὑστερεῖται, ἐν πόνοις πολλοῖς ὢν, τῆς καταπαύσεως καὶ τελειώσεως αὐτοῦ. οὗ εἵνεκεν, καὶ ἐπὶ τοῖς ἔργοις διαπονεῖται τῆς πρακτικῆς, καὶ τὸν ἄρτον τῆς ὀδύνης ἐσθίει. καὶ εἰ ἀπολείπεται σαββατισμὸς αὐτῷ, σπουδάσαι εἰσελθεῖν διὰ πίστεως εἰς τὴν τῆς ἀπαθείας κατάπαυσιν, καὶ εἰς τὴν τῆς γνώσεως τελειότητα· ἵνα μὴ ἐν τῷ παλαιῷ ὑποδείγματι πέσῃ τῆς ἀπειθείας, καὶ τὰ αὐτὰ τοῖς πάλαι ἀπειθήσασι πείσεται.

οβ'. Αἰσθητοὶ ὄντες, λογικοί τε, καὶ νοητοὶ, δεκάτην τινὰ καὶ ἡμεῖς ἐξ ἑαυτῶν ὀφείλομεν προσφέρειν Θεῷ. καὶ ὡς μὲν αἰσθητοὶ, καλῶς αἰσθάνεσθαι τῶν αἰσθητῶν πραγμάτων. καὶ διὰ τῆς καλλονῆς τῶν ποιημάτων, ἀνατρέχειν καὶ ἀνάγειν τὴν ἄπταιστον γνῶσιν πρὸς τὸν δημιουργόν. ὡς δὲ λογικοὶ, τὸ εὖ λέγειν περὶ θείων καὶ ἀνθρωπίνων πραγμάτων. ὡς δὲ νοητοὶ, τὸ ἀπταίστως νοεῖν περὶ Θεοῦ, περὶ ζωῆς αἰωνίου, περὶ οὐρανῶν βασιλείας, καὶ περὶ τῶν ἐν αὐτῇ κεκρυμμένων μυστηρίων τοῦ πνεύματος. ἵνα καὶ τὸ αἰσθάνεσθαι, καὶ τὸ λέγειν, καὶ τὸ νοεῖν ὑγιῶς καὶ ἀνυπαιτίως κατὰ Θεὸν ἐξετάζηται. ὅπερ ἐστὶν ἀληθινὸν τῷ ὄντι, καὶ θεῖον μέτρον, καὶ ἱερὰ τῷ Θεῷ προσφορά.

ογ'. Δεκάτη κυρίως ἐστὶ πρὸς Θεὸν, τὸ ψυχικὸν πάσχα. ἤγουν ἡ διάβασις πάσης ἐμπαθοῦς ἕξεως, καὶ πάσης ἀλόγου αἰσθήσεως. ἐν ᾧ θύεται μὲν ὁ λόγος, τῇ θεωρίᾳ τῶν ὄντων. βιβρώσκεται δὲ ὁ αὐτὸς ἐν τῷ ἄρτῳ τῆς γνώσεως, καὶ πί-

νεται τὸ τίμιον αὐτοῦ αἷμα ἐν τῷ κρατῆρι τῆς ἀπορρήτου σοφίας. τοῦτο γοῦν ὁ φαγὼν καὶ πασχάσας τὸ πάσχα, ἔθυσεν ἑαυτῷ τὸν ἀμνὸν τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ οὐκ ἔτι οὐ μὴ ἀποθάνῃ, ἀλλὰ κατὰ τὴν τοῦ Κυρίου φωνήν, ζήσεται εἰς τὸν αἰῶνα.

οδʹ. Ὁ ἐκ νεκρῶν ἔργων ἐγερθείς, Χριστῷ συνανέστη. εἰ δὲ Χριστῷ συνανέστη διὰ τῆς γνώσεως, Χριστὸς δὲ οὐκ ἔτι ἀποθνήσκει, οὐδὲ αὐτοῦ θάνατος ἀγνωσίας κυριεύσει. ὃ γὰρ ἀπέθανε πάλαι τῇ ἁμαρτίᾳ, παρακινηθεὶς τῆς κατὰ φύσιν κινήσεως, ἀπέθανεν ἐφάπαξ. ὃ δὲ νῦν ζῇ, ζῇ τῷ Θεῷ διὰ τῆς ἐλευθερίας τοῦ Ἁγίου Πνεύματος, τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν ἔργων τῆς ἁμαρτίας. ὥστε οὐκ ἔτι ζῇ αὐτὸς τῇ σαρκὶ καὶ τῷ κόσμῳ, νεκρωθεὶς τοῖς μέλεσι τοῦ σώματος αὐτοῦ, καὶ τοῖς πράγμασι τοῦ βίου· ἀλλὰ ζῇ ἐν αὐτῷ ὁ Χριστός, ὡς ὑπὸ χάριν γεγονότι Πνεύματος Ἁγίου, καὶ οὐκ ὄντι ὑπὸ νόμον σαρκός. ὅπλα δικαιοσύνης τὰ μέλη αὐτοῦ δηλονότι προσαγαγόντι τῷ Θεῷ καὶ Πατρί.

οεʹ. Ὁ τῆς δουλείας τῶν παθῶν ἐλευθερώσας τὰ μέλη αὐτοῦ, καὶ τῇ δουλείᾳ τῆς δικαιοσύνης παραστήσας αὐτά, εἰς ἁγιασμὸν Πνεύματος Ἁγίου προσήγγισεν, ὑπὲρ τὸν νόμον τῆς σαρκὸς γεγονώς. καὶ οὐκ ἔτι ἁμαρτία κυριεύσει αὐτοῦ, τῇ ἐλευθερίᾳ καὶ τῷ νόμῳ σχολάζοντος τοῦ πνεύματος. οὐ γὰρ ὥσπερ τὰ τέλη τῆς δουλείας τῶν παθῶν, οὕτω καὶ τὰ τέλη τῆς δουλείας τῆς δικαιοσύνης. ἐκεῖνα μὲν γάρ, εἰς νοητὸν ὄλεθρον πέφυκε λήγειν ψυχῆς· ταῦτα δέ, εἰς ζωὴν αἰώνιον τελευτᾷ τὴν κεκρυμμένην ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

οϛʹ. Ὁ νόμος τῆς σαρκὸς ἐφ᾿ ὅσον χρόνον ζῇ ὁ ἄνθρωπος σαρκικῶς, κυριεύει αὐτοῦ· ἐὰν δὲ ἀποθάνῃ καὶ νεκρωθῇ τῷ κόσμῳ, καταργεῖται ἀπὸ τοῦ νόμου αὐτῆς. ἄλλως δὲ νεκρωθῆναι τῷ κόσμῳ οὐκ ἔστιν, εἰ μὴ τοῖς μέλεσι νεκρωθῶμεν τοῦ σώματος. νεκρούμεθα δὲ τούτοις, ὅταν μέτοχοι τοῦ Ἁγίου Πνεύματος χρηματίσωμεν· Πνεύματος δὲ Ἁγίου τότε εἶναι γνωριζόμεθα μέτοχοι, ὅταν καρποὺς ἀξίους τοῦ Πνεύματος προσφέρωμεν τῷ Θεῷ, ἀγάπην εἰς Θεὸν ἐξ ὅλης ψυχῆς καὶ εἰς τὸν πλησίον ἐκ διαθέσεως, χαρὰν καρδίας ἐκ καθαρᾶς συνειδήσεως, εἰρήνην ψυχῆς ἐξ ἀπαθείας, καὶ ταπεινώσεως, ἀγαθωσύνην τῶν τοῦ νοὸς λογισμῶν, μακροθυμίαν ἐν ταῖς θλίψεσι καὶ τοῖς πειρασμοῖς, χρηστότητα ἐν τῇ καταστολῇ τῶν ἠθῶν, πίστιν ἐνδιάθετον εἰς Θεὸν καὶ μὴ διστάζουσαν ἔντινι, πραότητα ἐκ ταπεινοφροσύνης καὶ κατανύξεως, καὶ περιεκτικὴν ἐγκράτειαν τῶν αἰσθήσεων. ὅταν οὕτω καρποφορήσωμεν τῷ Θεῷ, ἔξω νόμου τελοῦμεν σαρκός. καὶ οὐκ ἔστι καθ᾿ ἡμῶν νόμος κολάζων ἡμᾶς διὰ τοὺς καρπούς, οὓς ἔτι ζῶντες τῇ σαρκί, ἐκαρποφορήσαμεν τῷ θανάτῳ. κατηργήθημεν γὰρ ἀπὸ τοῦ νόμου αὐτῆς ὡς ἐκ νεκρῶν ἔργων συναναστάντες Χριστῷ, διὰ τῆς ἐλευθερίας τοῦ πνεύματος.

οζʹ. Οἱ τὴν ἀπαρχὴν τοῦ πνεύματος διὰ τῆς παλιγγενεσίας τοῦ λουτροῦ ἐσχηκότες, καὶ τετηρηκότες αὐτὴν ἄσβεστον, αὐτοὶ τῷ βάρει τῆς σαρκὸς πιεζόμενοι, ἐν ἑαυτοῖς στενάζουσι, τὴν υἱοθεσίαν διὰ τῆς πληρώσεως τοῦ Παρακλήτου ἀπεκδεχόμενοι, ἵνα τὴν ἀπολύτρωσιν τοῦ ἰδίου αὐτῶν σώματος ἀπὸ τῆς δουλείας τῆς φθορᾶς ἴδωσι· συναντιλαμβάνεται γὰρ ταῖς φυσικαῖς αὐτῶν ἀσθενείαις τὸ πνεῦμα, καὶ ἐντυγχάνει ὑπὲρ αὐτῶν στεναγμοῖς ἀλαλήτοις. ὅτι κατὰ Θεόν ἐστι τὸ φρόνημα αὐτῶν, καὶ ἡ τούτων ἐλπίς, τὴν ἀποκάλυψιν ἐκδέχεται ἰδεῖν ἐν τῇ θνητῇ ἑαυτῶν σαρκὶ τῶν Υἱῶν τοῦ Θεοῦ. ἥτις ἐστὶν ἡ ζωοποιὸς τοῦ Ἰησοῦ νέκρωσις. ἵνα υἱοὶ Θεοῦ ὡς ὑπὸ Πνεύματος Ἁγίου ἀγό-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μενοι, χρηματίσωσι καὶ αὐτοί, καὶ ἐλευθερωθῶσιν ἀπὸ τῆς δουλείας τῆς σαρκὸς καὶ καταντήσωσιν εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. οἷς ὡς ἀγαπῶσι τὸν Θεόν, πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν.

οη'. Πνευματικῶς συγκεκρυμμένης τῆς θείας γραφῆς, καὶ πνευματικοῖς ἀνακαλυπτομένων τῶν ἐν αὐτῇ θησαυρῶν διὰ τοῦ Πνεύματος τοῦ Ἁγίου, οὐ δύναται ψυχικὸς ἄνθρωπος τὴν τούτων ἀνακάλυψιν δέξασθαι. πλέον τῆς ἀκολουθίας τῶν αὐτοῦ λογισμῶν, μὴ καταδεχόμενος ἕτερόν τι νοῆσαι ἢ ἀκοῦσαι παρ' ἑτέρου λεγόμενον. οὐδὲ γὰρ ἔχει τὸ πνεῦμα τοῦ Θεοῦ ἐν αὐτῷ, τὸ ἐρευνῶν τὰ βάθη τοῦ Θεοῦ, καὶ γνῶσκον τὰ τοῦ Θεοῦ. ἀλλὰ τὸ πνεῦμα τοῦ κόσμου τὸ ὑλικόν, τὸ ζήλου καὶ φθόνου μεστόν, ἔριδός τε καὶ διχοστασίας ἀνάπλεων· οὗ χάριν καὶ μωρία αὐτῷ ἐστι, τὸ τὴν διάνοιαν ἐρευνᾶν, καὶ τὸν νοῦν ἀντιχειρίζειν τοῦ γράμματος. γνῶναι γὰρ μὴ δυνάμενος ὅτι πνευματικῶς ἀνακρίνεται πάντα τὰ τῆς θείας γραφῆς, κατὰ τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων, καταμωκᾶται τῶν συγκρινόντων ταῦτα πνευματικῶς. καὶ οὐ πνευματικούς, οὐδὲ ὑπὸ θείου πνεύματος ἀγομένους, ἀλλ' ἀναγωγικοὺς τοὺς τοιούτους καλῶν. ὅθεν τὸ κατ' αὐτὸν διαστρέφει, καὶ ἀνατρέπει ὡς ὁ Δημᾶς ἐκεῖνος· τοὺς λόγους αὐτῶν, καὶ τὰ θεῖα νοήματα. οὐχ οὕτως δὲ ὁ πνευματικός, ἀλλὰ ἀνακρίνει μὲν πάντα, θείῳ ἐνεργούμενος πνεύματι, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακριθῆναι δύναται, ἐπειδὴ νοῦς ἐστιν αὐτῷ τοῦ Χριστοῦ. ὃν οὐδεὶς συμβιβάσαι ἰσχύσει.

οθ'. Ἐν πυρὶ ἀποκαλυπτομένης τῆς ἐσχάτης ἡμέρας, καὶ ὑπὸ πυρὸς τηνικαῦτα δοκιμαζομένης ἑκάστου τῆς πράξεως· φησὶ Παῦλος δηλονότι, οὗτινος τὸ ἔργον, τῆς ἀφθάρτου οὐσίας ἐστίν, ὃ ἑαυτῷ εἰς οἰκοδομὴν ἐναπέθετο, μενεῖ μέσον τοῦ πυρὸς ἄφθαρτον. καὶ οὐ μόνον οὐ κατακαήσεται, ἀλλὰ καὶ λαμπρυνθήσεται τῆς μικρᾶς ἴσως καθαιρόμενον εἰς τὸ παντελὲς ἰλύος. οὗτινος δὲ τὸ ἔργον, τῆς φθειρομένης ὕλης ἐστί, ὃ ἑαυτῷ εἰς φόρτον ἐδέσμευσεν, ἐμπρησθὲν κατακαήσεται, καὶ κενὸν αὐτὸν μέσον τοῦ πυρὸς καταλείψει. ἔργον δὲ ἄφθαρτον καὶ διαμένον ἐστί, δάκρυα μετανοίας, ἐλεημοσύνη, συμπάθεια, προσευχή, ταπείνωσις, πίστις, ἐλπίς, ἀγάπη, καὶ εἴ τι ἕτερον ἐν σκοπῷ εὐσεβείας πράττεται· ἃ καὶ ζῶντι τῷ ἀνθρώπῳ συνοικοδομεῖται εἰς Ναὸν Ἅγιον τοῦ Θεοῦ, καὶ ἐκλείποντι συναπέρχεται, καὶ συμμένει ἄφθαρτα εἰς αἰῶνας. τὸ δὲ ὑπὸ τοῦ πυρὸς ἐκείνου φθειρόμενον ἔργον, δῆλον τοῖς πᾶσιν ἐστί, φιληδονία, φιλοδοξία, φιλαργυρία, μῖσος, φθόνος, κλοπή, μέθη, λοιδορία, κατάκρισις, καὶ εἴ τι φαῦλον διὰ σώματος κατ' ἐπιθυμίαν, ἢ θυμὸν ἐνεργεῖται· ταῦτα καὶ περιόντι τῷ ἀνθρώπῳ συμφθείρεται, ἐκκαιομένῳ ὑπὸ τοῦ πυρὸς τῆς ἐπιθυμίας, καὶ διαρρηγνυμένῳ τοῦ σώματος, συναπέρχεται, οὐ συμμένει δέ. ἀλλὰ καταφθαρέντα, τὸν ἐργάτην αὐτῶν μέσον τοῦ πυρὸς ἐναφιᾶσιν εἰς αἰῶνας αἰώνων ἀθανάτως κολαζόμενον.

Ἡ γνῶσις ἡ τοῦ Θεοῦ, τὸ ἐγνῶσθαι ὑπὸ Θεοῦ σημαίνει τὸν εἰς ταύτην διὰ ταπεινοφροσύνης καὶ προσευχῆς οἰκοδομηθέντα, καὶ τὸ γνῶσιν ἀψευδῆ πλουτῆσαι παρὰ Θεοῦ τῶν ὑπερφυῶν αὐτοῦ μυστηρίων. εἰ δὲ φυσίωσις ὁρᾶται περὶ αὐτόν, οὐκ ᾠκοδομήθη διὰ τούτων ἐν αὐτῷ, ἀλλ' ὑπὸ τοῦ πνεύματος τοῦ κόσμου τούτου τοῦ ὑλικοῦ ἄγεται. διὰ τοῦτο καὶ εἰδέναι τί δοκεῖ ὁ τοιοῦτος, μηδὲν ἐγνωκὼς τῶν θείων πραγμάτων καθὼς γνῶναι δεῖ. ὁ δέ γε τὸν Θεὸν ἀγαπῶν, καὶ μηδὲν ἡγούμενος προτιμότερον τῆς ἀγάπης αὐτοῦ, καὶ τὸν πλησίον, ἐκεῖνος ἔγνω καὶ τὰ βάθη τοῦ Θεοῦ, καὶ τὰ μυστήρια τῆς αὐτοῦ βα- π'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σιλείας, καθὼς χρὴ γνῶναι, τὸν ὑπὸ θείου κινούμενον πνεύματος. καὶ ἔγνωσται ὑπὸ τοῦ Θεοῦ, ἐργάτης ἀληθὴς τοῦ Παραδείσου τῆς Ἐκκλησίας αὐτοῦ. ὃς ἐργάσεται δι' ἀγάπης τὸ θέλημα τοῦ Θεοῦ· ἐπιστρέφων δηλονότι ψυχὰς καὶ ἀξίους ἐξάγων ἐξ ἀναξίων, τῷ λόγῳ τῷ δοθέντι αὐτῷ διὰ Πνεύματος Ἁγίου, καὶ φυλάσσει τὸ ἔργον αὐτοῦ διὰ ταπεινοφροσύνης καὶ κατανύξεως ἄσυλον.

πα′. Πάντες εἰς Χριστὸν ἐβαπτίσθημεν ἐν ὕδατι καὶ Πνεύματι Ἁγίῳ, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν τρώγομεν, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν πίνομεν, ταῦτα δὲ εἰσὶν ὁ Χριστός, ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν ἡμῶν εὐδοκεῖ ὁ Θεός. πολλοὶ γὰρ τῶν πιστῶν καὶ σπουδαίων ἐν πολλοῖς πόνοις ἀσκήσεως, καὶ γυμνασίας σωματικῆς τὰ ἑαυτῶν ὑπωπίασαν καὶ κατίσχνωσαν σώματα, διὰ δὲ τὸ μὴ ἔχειν αὐτοὺς κατάνυξιν ἐκ συντετριμμένης καὶ φιλαγάθου γνώμης καὶ συμπάθειαν ἐξ ἀγάπης πρὸς τοὺς πλησίον, καὶ ἑαυτούς, κενοὶ τοῦ πληρώματος τοῦ Ἁγίου Πνεύματος κατελείφθησαν, καὶ μακρὰν τῆς τοῦ Θεοῦ ἐγένοντο γνώσεως· μήτραν διανοίας ἄκαρπον ἐσχηκότες, καὶ λόγον ἄναλον, καὶ ἀφώτιστον.

πβ′. Οὐ τὸ ἀνελθεῖν ἐν τῷ Σιναίῳ ἐστί, διὰ πράξεως, ὄρει τὸ ζητούμενον τοῖς Ναζιραίοις παρὰ τοῦ λόγου, οὐδὲ τὸ καθαγνισθῆναι πρὸ τοῦ ἀνελθεῖν, καὶ τὰ ἱμάτια πλῦναι, καὶ μὴ συνελθεῖν γυναικί. ἀλλὰ καὶ τὸ ἰδεῖν, οὐ τὰ ὀπίσθια τοῦ Θεοῦ, ἀλλ' αὐτὸν τὸν Θεὸν ἐν τῇ δόξῃ αὐτοῦ, εὐδοκοῦντα ἐν αὐτοῖς καὶ τὰς πλάκας τούτοις διδοῦντα τῆς γνώσεως, καὶ ἀποστέλλοντα αὐτοὺς εἰς οἰκοδομὴν τοῦ λαοῦ αὐτοῦ.

πγ′. Οὐ πάντας τοὺς ὑπηρέτας αὐτοῦ καὶ μαθητὰς ὁ Λόγος εἰς τὴν τῶν κεκρυμμένων καὶ μειζόνων μυστηρίων αὐτοῦ ἀνακάλυψιν, μεθ' ἑαυτοῦ ἐπιφέρεται. ἀλλά τινας, οἷς προσετέθη οὖς, καὶ ἀνεῴχθη ὀφθαλμὸς ὀπτασίας, καὶ γλῶσσα καινὴ ἐξανώθη. τούτους ἔτι παραλαμβάνων, καὶ ἀποχωρίζων ἀπὸ τῶν ἄλλων· καὶ αὐτῶν ὡσαύτως μαθητῶν ὄντων, ἐπὶ τὸ Θαβώριον τῆς θεωρίας ἀνέρχεται ὄρος, καὶ μεταμορφοῦται ἔμπροσθεν αὐτῶν. οὐκ ἔτι μυσταγωγῶν αὐτοὺς τὰ τῆς βασιλείας τῶν οὐρανῶν, ἀλλὰ δεικνύων αὐτοῖς τὴν τῆς θεότητος δόξαν τε καὶ λαμπρότητα. καὶ τὸν μὲν χαρακτῆρα τοῦ βίου καὶ λόγου αὐτῶν, λάμπειν ἐξ αὐτοῦ δίδωσιν, ὡς τὸν ἥλιον, μέσον τῆς τῶν πιστῶν Ἐκκλησίας. τὰ δὲ νοήματα αὐτῶν μεταποιεῖ εἰς λευκότητα, καὶ καθαρότητα φωτὸς ὑπερλάμπρου. καὶ τὸν τοῦ ἑαυτοῦ αὐτοῖς ἐντίθησιν, καὶ ἐκφέρειν ἀπολύει διὰ στόματος καινά τε καὶ παλαιά, εἰς οἰκοδομὴν τῆς αὐτοῦ Ἐκκλησίας.

πδ′. Πολλοὶ τὰς ἑαυτῶν χώρας ἐν ἐπιμελείᾳ πολλῇ ἐγεώργησαν, καὶ σπέρμα καθαρὸν ἐν αὐταῖς κατεβάλλοντο τὰς ἀκάνθας προαποτεμόντες, καὶ τοὺς τριβόλους τῷ πυρὶ τῆς μετανοίας ἐμπρήσαντες, ἀλλὰ διὰ τὸ μὴ βρέξαι ἐν αὐταῖς τὸν Θεὸν ὑετὸν Πνεύματος Ἁγίου ἐκ κατανύξεως, οὐδὲν ἐκεῖθεν ἠμήσαντο. τῷ αὐχμῷ γὰρ ἐξηράνθησαν, καὶ τὸν στάχυν τὸν πολύχουν οὐκ ἐκαρποφόρησαν ἑαυτοῖς, τῆς τοῦ Θεοῦ γνώσεως. διὸ εἰ καὶ μὴ λιμῷ λόγου Θεοῦ, ἀλλὰ πένητες γνώσεως Θεοῦ, καὶ κενοὶ ταῖς χερσὶν διαπέφυξαν, ὀλίγοις τισὶν εἰς διαφθορὰν ἐξ ἐραύνου ἐφοδιάσαντες ἑαυτούς.

πε′. Πᾶς ὁ ἐκφέρων λόγους ὠφελείας ἀπὸ τοῦ στόματος, εἰς οἰκοδομὴν τοῦ πλησίον, ἐκ θησαυρῶν καρδίας ἀγαθῶν ἐκφέρει αὐτούς, ἀγαθὸς ὤν· κατὰ τὴν τοῦ Κυρίου φωνήν. οὐδεὶς δὲ δύναται εἰς θεολογίαν κινηθῆναι, καὶ εἰπεῖν τὰ περὶ Θεοῦ, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ· καὶ οὐδεὶς ἐν Πνεύματι Θεοῦ λαλῶν, λέγει τὰ ἐναν-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τία τῆς εἰς Χριστὸν πίστεως· ἀλλ᾽ ὅσα οἰκοδομεῖ· ὅσα πρὸς Θεὸν ἀνάγει, καὶ τὴν βασιλείαν αὐτοῦ, καὶ τὴν παλαιὰν εὐγένειαν ἀποκαθιστᾷ, καὶ συνάπτει Θεῷ τῶν σωζομένων τινάς. εἰ δὲ καὶ ἡ φανέρωσις τοῦ πνεύματος ἑκάστῳ δίδοται πρὸς τὸ συμφέρον, ἄρα ὁ τὸν λόγον περιληπτικῶς τῆς σοφίας Θεοῦ, καὶ τοῦ λόγου τῆς γνώσεως ἀμοιρήσας, ὑπὸ τοῦ θείου πνεύματος ἐνεργεῖται, καὶ οἶκός ἐστι τῶν ἀκενώτων θησαυρῶν τοῦ Θεοῦ.

πϛʹ. Ἄμοιρος οὐ καταλιμπάνεται τῆς τοῦ πνεύματος χάριτος, πᾶς ὁ εἰς Χριστὸν βαπτισθεὶς καὶ πιστεύσας, εἰ μήπου ἔκδοτον ἑαυτὸν εἰς πᾶσαν ἐνέργειαν τοῦ ἐναντίου δέδωκε πνεύματος, καὶ τὴν πίστιν τοῖς ἔργοις ἐμόλυνεν· ἢ ῥαθυμίᾳ καὶ ἀμελείᾳ συνέζη. ἐπεὶ τὸν τὴν ἀπαρχὴν τοῦ Ἁγίου Πνεύματος τετηρηκότα ἄσβεστον, ἣν ἐκ τοῦ ἁγίου Βαπτίσματος ἔλαβεν, ἢ σβεσθεῖσαν ἀνάψαντα διὰ ἔργων δικαιοσύνης, οὐκ ἔστι μὴ οὐχὶ καὶ τὸ πλήρωμα αὐτῆς τοῦτον ἄνωθεν δέξασθαι. ἢ γὰρ καλῶς ἀγωνισάμενος τοῦ λόγου τῆς σοφίας Θεοῦ, διὰ τοῦ πληρώματος ἀξιοῦται τοῦ πνεύματος εἰς διδασκαλίαν τῆς Ἐκκλησίας. ἢ τοῦ λόγου τῆς γνώσεως τῶν μυστηρίων Θεοῦ, κατὰ τὸ αὐτὸ πνεῦμα εἰς τὸ εἰδέναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν. ἢ τῆς ἐνδοξασθείσης πίστεως ἐν τῷ αὐτῷ πνεύματι, εἰς τὸ πιστεύειν τὰς ἐπαγγελίας Θεοῦ κατὰ τὸν Ἀβραάμ. ἢ τοῦ χαρίσματος τῶν ἰαμάτων ἐν τῷ αὐτῷ πνεύματι, εἰς τὸ ἰᾶσθαι τὰς νόσους. ἢ τῆς ἐνεργείας τῶν δυνάμεων, εἰς τὸ δαίμονας ἀπελαύνειν καὶ σημεῖα ποιεῖν. ἢ τῆς προφητείας, εἰς τὸ προορᾷν καὶ προλέγειν τὰ μέλλοντα. ἢ τῆς διακρίσεως τῶν πνευμάτων, εἰς τὸ διακρίνειν τίς ἐν πνεύματι Θεοῦ λέγει, καὶ τίς οὔ. ἢ τῆς ἑρμηνείας διαφόρων γλωσσῶν. ἢ τῆς ἀντιλήψεως τῶν καταπονουμένων. ἢ τῆς κυβερνήσεως ποιμνίου Θεοῦ, καὶ λαοῦ. ἢ τῆς πρὸς πάντας ἀγάπης, καὶ τῶν χαρισμάτων αὐτῆς, τῆς μακροθυμίας, τῆς χρηστότητος, καὶ τῶν ἄλλων ὁμοῦ. εἰ δὲ ἐκ πάντων τούτων ἄμοιρος εὑρεθῇ τις, οὐκ ἔχω, πῶς εἴπω τὸν τοιοῦτον πιστόν, ἢ τοῦ καταλόγου τῶν ἐνδεδυμένων Χριστὸν ἀπὸ τοῦ θείου Βαπτίσματος.

πζʹ. Ὁ τὴν ἀγάπην ἔχων, οὐκ οἶδε διὰ ζῆλον φθονεῖν. οὐ περπερεύεται ὡς ἐπηρμένος καὶ προπετής. οὐ φυσιοῦται κατά τινος. οὐκ ἀσχημονεῖ τὰ ἀπρεπῆ πρὸς τὸν πλησίον ποιῶν. οὐ ζητεῖ τὰ ἑαυτοῦ συμφέροντα μόνα, ἀλλὰ καὶ τὰ τοῦ πλησίον. οὐ παροξύνεται κατὰ τῶν λυπούντων ταχέως. οὐ λογίζεται, εἰ πάθη ποτέ τι κακόν. οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ τῶν φίλων. συγχαίρει δὲ τῇ ἀληθείᾳ τῆς δικαιοσύνης αὐτῶν· πάντα στέγει τὰ ἐπερχόμενα αὐτῷ λυπηρά· πάντα ἐξ ἁπλότητος καὶ ἀκακίας πιστεύει· πάντα τὰ ἐπηγγελμένα ἡμῖν ἀπὸ Θεοῦ ἐλπίζει ἀπολαβεῖν· πάντα ὑπομένει τὰ τῶν πειρασμῶν, μὴ ἀποδιδοὺς κακὸν ἀντὶ κακοῦ· καὶ οὐδέποτε τῆς τοῦ πλησίον ἀγάπης ἐκπίπτει ὁ τῆς ἀγάπης ἐργάτης.

πηʹ. Τῶν ἠξιωμένων τῆς ἄνωθεν χάριτος τοῦ Ἁγίου Πνεύματος ἐν διαφόροις χαρίσμασιν, οἱ μὲν εἰσὶν ἔτι νήπιοι καὶ ἀτελεῖς εἰς τὰ θεῖα χαρίσματα, οἱ δὲ ἄνδρες καὶ τέλειοι ἐν τῷ τούτων πληρώματι. καὶ οἱ μὲν πρὸς ἐργασίαν τῶν θείων ἐπεκτεινόμενοι ἐντολῶν, αὐξάνουσί τε ἐν τούτοις καὶ πληρούμενοι τῶν μειζόνων τοῦ πνεύματος δωρεῶν, καταργοῦσι τὰ ὄπισθεν τῆς νηπιότητος χαρίσματα. οἱ δὲ εἰς τὸ ἄκρον ἐλάσαντες τῆς τοῦ Θεοῦ ἀγάπης καὶ γνώσεως, παύονται λοιπὸν τῶν ἐκ μέρους χαρισμάτων· εἴτε Προφητεῖαι εἰσίν, ὡς τὸ λόγιον. εἴτε διακρίσεις πνευμάτων, εἴτε ἀντιλήψεις, εἴτε κυβερνήσεις, καὶ τὰ ἑξῆς. ὁ γὰρ εἰς τὰ ἀνώτερα τῆς ἀγάπης εἰσελθών, οὐκ ἔτι ἐκ μέρους γινώσκει Θεὸν τὴν ἀγά-

πην,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πον, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον ὁμιλῶν αὐτῷ, ἐπιγινώσκει αὐτόν, καθὼς καὶ αὐτὸς ὑπ' αὐτοῦ ἐπεγνώσθη.

πθ'. Ὁ ἐκ ζήλου τῶν πνευματικῶν χαρισμάτων τὴν ἀγάπην διώξας, καὶ καταλαβών, οὐκ ἀνέχεται μόνῳ ἑαυτῷ λαλεῖν διὰ προσευχῆς καὶ ἀναγνώσεως εἰς οἰκοδομήν· ὁ γὰρ λαλῶν γλώσσῃ μόνῃ Θεῷ διὰ προσευχῆς καὶ ψαλμῳδίας, ἑαυτὸν οἰκοδομεῖ ὥς φησι Παῦλος. ἀλλὰ καὶ προφητεύειν, κατ' αὐτὸν ἐπάγεται, εἰς οἰκοδομὴν τῆς τοῦ Θεοῦ Ἐκκλησίας. ἤγουν διδάσκειν τοὺς πλησίον τὴν ἐργασίαν τῶν τοῦ Θεοῦ ἐντολῶν, καὶ ὅπως χρὴ σπεύδειν εἰς τὸ εὐαρεστῆσαι Θεῷ. τί γὰρ καὶ ὠφελῆσαι τινὰς δυνηθείη ἄν, ὁ ἑαυτῷ, καὶ Θεῷ μόνῳ λαλῶν προσεχῶς, διὰ προσευχῆς καὶ ψαλμῳδίας ἀεί; ἐὰν μὴ λαλήσῃ καὶ τοῖς ὑπ' αὐτόν, ἢ ἐν ἀποκαλύψει Πνεύματος Ἁγίου, ἢ ἐν γνώσει τῶν μυστηρίων Θεοῦ, ἢ ἐν προορατικῷ χαρίσματι προφητείας, ἢ ἐν διδαχῇ λόγου σοφίας Θεοῦ; τίς. γὰρ τῶν ὑπηκόων παρασκευάσεται εἰς πόλεμον παθῶν, καὶ δαιμόνων, ἐὰν μὴ εὔσημον διδασκαλίας λόγον δῷ ἐγγράφως, ἢ καὶ διὰ ζώσης φωνῆς; ὄντως ἐὰν μὴ πρὸς τὴν οἰκοδομὴν τοῦ ποιμνίου αὐτοῦ ζητῇ ὁ ποιμήν, ἵνα περισσεύῃ τῷ λόγῳ τῆς διδασκαλίας καὶ τῇ γνώσει τοῦ πνεύματος, οὐκ ἔστι ζηλωτὴς τῶν τοῦ Θεοῦ χαρισμάτων. ἐκ γὰρ τοῦ μόνον προσεύχεσθαι καὶ ψάλλειν τῇ γλώσσῃ πολλὰ τῷ πνεύματι, ἤγουν τῇ ψυχῇ προσευχόμενος, ἑαυτὸν οἰκοδομεῖ, ὁ δὲ νοῦς αὐτοῦ ἄκαρπός ἐστι, μὴ προφητεύων τῆς διδασκαλίας τῷ λόγῳ, καὶ οἰκοδομῶν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. εἰ δὲ Παῦλος ὁ πάντων ἀνθρώπων μᾶλλον, διὰ προσευχῆς, συναπτόμενος τῷ Θεῷ πέντε λόγους διὰ τοῦ ἐγκάρπου νοὸς αὐτοῦ μᾶλλον ἠθέλησεν εἰπεῖν ἐν Ἐκκλησίᾳ, ἵνα καὶ ἄλλους κατηχήσῃ, ἢ μυρίους λόγους ψαλμῳδίας ἐν γλώσσῃ. ἄρα τῆς ἀγάπης ἀπεπλανήθησαν οἱ ἄλλων ἐξάρχοντες, καὶ τῇ ψαλμῳδίᾳ μόνῃ μετὰ τῆς ἀναγνώσεως ἐκδεδωκότες τὸ τοῦ ποιμένος ἀξίωμα.

Ὁ τὸ εἶναι δοὺς ἡμῖν ἐξ ὑποκειμένης ὕλης καὶ νοερᾶς οὐσίας, καὶ εἰς ἓν τὰ ἐναντία τῆς φύσεως καθ' ἑαυτὰ παραδόξως συνουσιώσας καὶ ὑποστήσας, καὶ τὸ εὖ εἶναι δέδωκε διὰ τοῦ λόγου τῆς σοφίας αὐτοῦ, καὶ τοῦ λόγου τῆς γνώσεως. ὡς ἂν τοῦτο μέν, ἴδωμεν διὰ τῆς τοῦ πνεύματος γνώσεως, τοὺς κεχαρισμένους ἡμῖν ἀποκρύφους παρ' αὐτοῦ θησαυροὺς τῆς βασιλείας τῶν οὐρανῶν. τοῦτο δέ, καὶ γνωρίσωμεν τοῖς πλησίον διὰ τῆς τοῦ λόγου σοφίας τῆς χρηστότητος αὐτοῦ τὸν πλοῦτον, καὶ τὰ ἀγαθὰ τῆς αἰωνίου ζωῆς, ἃ ἡτοίμασεν εἰς τρυφὴν τοῖς ἀγαπῶσιν αὐτόν. ϟ'.

Ὁ ὑπὲρ τὰς ἀπειλὰς καὶ τὰς ἐπαγγελίας τῶν ξιῶν γενόμενος νόμων, εἰς τὴν μὴ ὑποκειμένην νόμῳ ζωὴν εἰσῆλθεν. νόμος γεγονὼς Ἐκκλησίας, καὶ μὴ ἀρχόμενος ὑπὸ νόμου. ἡ δὲ ἐλευθέρα ἐστίν, ἡ μὴ ὑποκειμένη νόμῳ ζωή, ἄρα πάσης φυσικῆς ἀνάγκης καὶ παρατροπῆς ὑπεράνω ἐστί. καὶ ὁ εἰσελθὼν εἰς αὐτὴν ἐλευθερωθεὶς ὡς ἔξω σαρκός, καὶ πῦρ χρηματίσας ἐν μετουσίᾳ τοῦ πνεύματος, ὅλως καὶ αὐτὸς τῷ ὑπεράνω πάσης φύσεως ἡνώθη Χριστῷ, καταργηθέντος ἐν αὐτῷ τοῦ ἐκ μέρους. ϟα'.

Ὁ τοῦ πρώτου νοὸς τὴν γνῶσιν χωρήσας, ὅς ἐστι τῶν ὅλων ἀρχὴ καὶ τέλος, καὶ ἀόριστος καθ' ἑαυτόν, καὶ τῶν ἄλλων ἁπάντων ὑπάρχει ἐντὸς καὶ ἐκτός, οἶδε καὶ μόνος μονάζειν, καὶ μέσον μόνων μονάζειν. ὡς μήτε τῷ μόνος εἶναι, τοῦ τελείου ζημίαν ὑφίστασθαι, μήτε τῷ μετὰ πολλῶν, τῆς μονώσεως. ἀλλ' εἶναι τὸν αὐτὸν πανταχοῦ καὶ ἐν πᾶσι μόνον. ὡς ἀρχὴν μὲν πρὸς τὸ μονάζειν τοῖς ἄλλοις ὄντα κινήσεως, τέλος δὲ προκείμενον τῆς ἀρετῆς τελειότατον. ϟβ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ϟγ'. Ἡ ἀσύγχυτος ἕνωσις, καὶ συνάφεια τῆς ψυχῆς, καὶ τοῦ σώματος, συμφωνοῦσα καθ' ἑαυτήν, ἓν ἔργον ἀποτελεῖ, εἴτε τῆς ὕλης εἴτε τῆς φύσεως. μὴ συμφωνοῦσα δὲ, τὴν ἐπιθυμίαν τῆς νίκης ἐγείρει ἐμφύλιον, ἀλλ' ὁ λόγος ἐλθὼν καὶ τὸ κῦρος λαβὼν, λύει μὲν αὐτίκα τὸν ζῆλον, πρεσβεύσας δὲ τὴν ὁμόνοιαν, τὸ πᾶν τῶν ἔργων τῇ φύσει καὶ τῷ πνεύματι δίδωσιν.

ϟδ'. Τῶν ἐν ἡμῖν τριῶν οὕτω κυκλωτικῶν, τὸ μὲν αὐτῶν ἄρχει, οὐκ ἄρχεται δέ, τὸ δὲ, καὶ ἄρχει καὶ ἄρχεται. τὸ δὲ οὐκ ἄρχει, ἄρχεται δέ. ὅταν οὖν τὸ ἄρχον ὑπὸ τὴν ἑτέραν γένηται τῶν ἀρχομένων ἀρχήν, δῆλον τὸ φύσει ἐλεύθερον τοῖς φύσει δούλοις ὁρᾶται· καὶ τῆς ἰδίας ἐξίσταται ἀρχῆς τε, καὶ φύσεως, καὶ στάσις ἐν τούτοις μεγάλη ἐστί. στάσεως δὲ τοιαύτης ἐν τούτοις οὔσης, οὔπω τὰ πάντα ὑποτεταγμένα ὁρῶμεν τῷ λόγῳ. ὁπηνίκα δὲ τὸ ἄρχον τῶν ἄλλων κρατήσειε, καὶ ὑπὸ τὴν οἰκείαν ἀρχὴν καὶ δεσποτείαν ἄξει αὐτά, τηνικαῦτα εἰς ἓν συνδραμόντα τὰ διεστῶτα, καὶ ὁμοφωνήσαντα, εἰρήνην ἄγει τὰ πρὸς τὸν Θεόν· καὶ πάντων ὑποταγέντων τῷ λόγῳ, παραδίδοται ἡ βασιλεία παρ' αὐτοῦ τῷ Θεῷ καὶ Πατρί.

ϟε'. Ταῖς τέτρασιν ἀρχαῖς τῶν γενικῶν ἀρετῶν, ἡ πεντὰς τῶν αἰσθήσεων καθυποταγεῖσα, καὶ αὐτὴ φυλάξασα τὴν εὐπείθειαν, τὴν ἐκ τεσσάρων στοιχείων πλασθεῖσαν φύσιν τοῦ σώματος, ἀπράγμως κινεῖσθαι περὶ τὸν τροχὸν τοῦ βίου παρασκευάζει. οὕτω δὲ κινουμένης αὐτῆς, αἱ δυνάμεις πρὸς ἑαυτὰς οὐ στασιάζουσιν. ἀλλὰ τοῦ παθητικοῦ μέρους τῆς ἐπιθυμίας καὶ τοῦ θυμοῦ, τῷ λογιστικῷ συναφθέντος, ἀναλαβὼν τὸ φυσικὸν κράτος ὁ νοῦς, ἅρμα μὲν ἑαυτοῦ τὰς τέσσαρας ποιεῖται ἀρχάς. θρόνον δὲ τὴν δούλην πεντάδα, καὶ τῆς τυραννούσης καταστρατεύσας σαρκός, τέθριππος εἰς οὐρανοὺς ἁρπαζόμενος αἴρεται, καὶ τῷ βασιλεῖ παραστὰς τῶν αἰώνων, στέφεται τῆς νίκης τὸ στέφος· καὶ ἐν αὐτῷ καταπαύει πάντα τὸν δρόμον αὐτοῦ.

Τοῖς ἐν τῷ χρόνῳ τελειουμένοις τῆς θεωρίας, καὶ εἰς τοὺς στύλους ἐπερειδομένοις τοῦ πνεύματος, κρατὴρ κιρνᾶται, καὶ ἄρτος ἐκ βασιλικῆς προτίθεται πανδαισίας. θρόνος εἰς ἀνάπαυσιν, καὶ εἰς πλοῦτον ἀργύριον, καὶ θησαυρὸς μαργάρων, καὶ λίθων τιμίων ἐπὶ θύραις εὑρίσκεται, καὶ πλοῦτος αὐτοῖς ἀναρίθμητος ἐν χερσὶ δίδοται. τούτους διορατικοὺς ἄνδρας ἡ πρᾶξις ἀποτελέσασα, ἐκ παχυτέρων εἰς ἔργα, βασιλεῖ, καὶ οὐκ ἀνδράσι νωθροῖς παρεστάναι παρασκευάζει. ϟϛ'.

Πότερον ἡ βασιλεία τῶν οὐρανῶν ἐντεῦθεν ἤδη πᾶσι δίδοται τοῖς σπουδαίοις, ἢ μετὰ τὴν λύσιν τοῦ σώματος; εἰ μὲν οὖν ἐντεῦθεν, τὸ νῖκος ἀκαταμάχητον, ἡ χαρὰ ἀνεκλάλητος, καὶ ἡ πρὸς τὸν Παράδεισον ἡμῶν εἴσοδος ἐλευθέρα. ἵσταται γὰρ οὗτος τῆς θείας ἀμέσως ἀνατολῆς. εἰ δὲ μετὰ πότμον καὶ λύσιν, ζητητέον, εἰ φόβου χωρὶς ἡ ἔξοδος γίνεται. καὶ τί ποτέ ἐστι βασιλεία οὐρανῶν, καὶ βασιλεία Θεοῦ, καὶ Παράδεισος μάθωμεν. καὶ τί τοῦ ἑτέρου διαφέρει τὸ ἕτερον, καὶ τίς ὁ χρόνος τούτων ἑκάστου. καὶ εἰ ἐν τοῖς ἀμφοτέροις γινόμεθα, καὶ πῶς, καὶ πότε, καὶ μετὰ πόσον χρόνον. ὁ γὰρ εἴσω τῆς πρώτης γεγονὼς, ἔτι περιὼν καὶ τὴν σάρκα φορῶν, τῶν ἑτέρων οὐ διήμαρτεν. ϟζ'.

Ὁ ἄνω κόσμος ἀτελὴς ἔτι ὢν, μένει τὴν πλήρωσιν, εἰς τὸ λαβεῖν τὴν ἰδίαν ἀποκατάστασιν ἀπὸ τῶν πρωτοτόκων τοῦ Ἰσραὴλ τῶν ὁρώντων Θεόν. ἀπὸ γὰρ τῶν εἰς γνῶσιν ἀναβεχόντων Θεοῦ ἀναπληρούμενος τελειοῦται. καὶ τελειωθεὶς τὸν κάτω κόσμον τῶν πιστῶν καὶ ἀπίστων ὁρίζων τὰ τέλη, μίαν ἑαυτῷ ποιεῖται τὴν σύνοδον, ἀπονέμων τὸν ἴδιον ἑκάστῳ βαθμὸν, καὶ διαιρῶν ἀπ' ἀλλήλων τὰ μὴ ϟη'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καθ' ἑαυτὰ συναγόμενα. καὶ τὰς μὲν παρ' αὐτοῦ τῶν ἄλλων ἀρχὰς καὶ τὰ τέλη, ἄγει πρὸς ἑαυτὸν, καὶ ὡς ὅρος ὁρίζει ταύτας ἀόριστος. αὐτὸς δὲ ὑπ' ἄλλης ἀρχῆς, οὔτε ἄγεται, οὔτε μὴν ὁρίζεται ὡς φερόμενος. ἴδιον γὰρ τὸ ἀκίνητον ἔχει, ὡς μήτε συστέλλεσθαι τούτου καθ' ἑαυτὸν, μήτε τῶν οἰκείων ὅρων ὑπερεκτείνεσθαι, ἀλλ' εἶναι τῶν ἄλλων σαββατισμὸν καὶ κατάπαυσιν πάσης ἀρχῆς καὶ κινήσεως.

ϟθʹ. Ἡ ἐνὰς τῶν ἄνω δυνάμεων, ὡς ὑμνῳδὸς καὶ τῶν ὕμνων ἐξάρχουσα, τριαδικὴν ποιεῖται χοροστατοῦσα τὴν σύνταξιν. καὶ τριαδικῶς τῇ Τριάδι παρισταμένη, ἐν φόβῳ λειτουργοῦσα, προσαναφέρει τὸν ὕμνον. τούτων· αἱ μὲν, τῇ ἀρχῇ καὶ πάντων αἰτίᾳ καθυφαπλοῦται, ἀφ' ἧς ἄρχονται, ὅσαι προσεχεῖς καὶ τῶν ὕμνων ἐξάρχουσαι, Θρόνοι, Χερουβίμ, Σεραφίμ, αὗται ὄνομα. αἷς ἴδιον ἡ ἐμπύριος σοφία, καὶ ἡ γνῶσις τῶν οὐρανίων, καὶ τέλος, ὁ θεοπρεπὴς ὕμνος τοῦ Γέλ, κατὰ τὴν Ἑβραΐδα φωνήν· αἱ δὲ μέσον τούτων καὶ τῶν ἐφεπομένων τῆς τάξεως, περὶ Θεὸν ἵστανται, Ἐξουσίαι, Κυριότητες, καὶ Δυνάμεις· αἷς ἴδιον τῶν μεγάλων πραγμάτων αἱ διευθετήσεις, αἱ τῶν θαυμάτων ἐνέργειαι, καὶ τῶν σημείων αἱ τερατουργίαι. καὶ τέλος, ὁ Τρισάγιος ὕμνος, τὸ, Ἅγιος, Ἅγιος, Ἅγιος. αἱ δὲ πρὸς ἡμᾶς τελευτῶσαι, ὑπεράνω μὲν ἡμῶν, ὑποβεβηκυῖαι δὲ τὸν ἄνω περὶ Θεὸν ἵστανται. Ἀρχαὶ, Ἀρχάγγελοι, Ἄγγελοι. αἷς ἴδιον τὸ λειτουργικὸν ἐν διακονίαις, καὶ τέλος ὁ ἱερὸς ὕμνος τοῦ Ἀλληλούϊα. ταύταις ἡ λογικὴ τῶν ἀνθρώπων φύσις διὰ πάσης ἀρετῆς τελειουμένη, καὶ διὰ πάσης γνώσεως, καὶ σοφίας ἀνυψουμένη, τοῦ πνεύματος, καὶ τοῦ θείου πυρὸς, οἰκειοῦται τοῖς θείοις χαρίσμασιν, ὡς τὸ ἴδιον διὰ καθαρότητος ἐπισπωμένη πασῶν. ταῖς μὲν γὰρ, τῇ διακονίᾳ, καὶ λειτουργίᾳ τῶν ἐντολῶν τοῦ Θεοῦ. ταῖς δὲ, τῇ συμπαθείᾳ, καὶ τῇ προστασίᾳ τῶν ὁμοφύλων. ἔτι δὲ τῇ τῶν μεγάλων καὶ θείων πραγμάτων οἰκονομίᾳ, καὶ ταῖς ἐνεργείαις τοῦ πνεύματος. ταῖς δὲ, τῇ ἐμπύρῳ σοφίᾳ τοῦ λόγου, καὶ τῇ γνώσει τῶν θείων, καὶ ἀνθρωπίνων πραγμάτων, συγκοινωνεῖ. οὕτω τελειουμένη, καὶ τὰς δωρεὰς ἀμείβουσα τὰς τῆς φύσεως, τῇ δεκάδι Θεῷ διὰ τούτων συνάπτεται, ὡς ἀπαρχὴν δεκάτης αὐτῷ προσενεγκοῦσα ἐξ ἑαυτῆς.

ρʹ. Θεὸς ἡ Μονὰς καὶ Τριὰς, ἀπὸ μονάδος ἀρχόμενος, εἰς ἑαυτὸν οἷα δὴ δεκὰς, κυκλικῶς τελευτᾶται. οὕτως τὰς πάντων ἀρχὰς καὶ τὰ τέλη ἐντὸς ἔχει. ἔστι δὲ πάντων ἐκτὸς, ὡς ὑπερκείμενος τῶν ὅλων. τούτου ὁ ἐντὸς γεγονὼς, ἐντὸς τοὺς λόγους καὶ τὴν γνῶσιν τῶν ὄντων ἐχώρησεν. ἔξω δὲ πάντων ἑστὼς, ἐντὸς πάντων αὐλίζεται. τὰς ἀρχὰς εἰδὼς καὶ τὰ τέλη τούτων, ὡς μετὰ πατρὸς διὰ τοῦ λόγου συνάφειαν νοερὰν ἐσχηκὼς, καὶ τελειωθεὶς ἐν τῷ πνεύματι. αὐτῇ τῇ παντελείῳ, καὶ ἀδιαιρέτῳ Τριάδι καὶ ὁμοουσίῳ, τῇ ἐν Πατρὶ, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι προσκυνουμένῃ, καὶ ἐν μιᾷ δοξαζομένῃ φύσει καὶ βασιλείᾳ καὶ δυνάμει θεότητος· ἧ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΘΕόληπτος ὁ Μέγας ὄντως τῆς Φιλαδελφείας φωστὴρ, ἤκμασε μὲν ἐπὶ Ἀνδρονίκου τοῦ δευτέρου τῶν Παλαιολόγων, περί που τὸ χιλιοστὸν τριακοσιοστὸν εἰκοστὸν πέμπτον ἔτος. ἐν δὲ τῷ τῆς Ἁγιότητος Ὄρει τὸν ἀναχωρητικὸν πρῶτον ἀσκήσας βίον, κἀκεῖθεν ἔπειτα τὴν τῆς Φιλαδελφείας προεδρίαν ἀναδεξάμενος, καθηγεμὼν, καὶ μυσταγωγὸς τῶν καλλίστων μαθημάτων τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεσσαλονίκης καθίσταται. τήν τε γὰρ ἱερὰν νῆψιν, καὶ τὴν νοερὰν ἐκεῖνον ἐμυσταγώγησε προσευχὴν, ἔτι ἐν τοῖς κοσμικοῖς τεταγμένον, ὡς ἐν τῷ βίῳ τοῦ αὐτοῦ Γρηγορίου τῷ ὑπὸ Φιλοθέου Πατριάρχου συγγραφέντι ἐμφέρεται.

Ὁ δὲ παρὼν φιλοπονηθεὶς αὐτῷ λόγος, ὑποτύπωσις ὢν ἀρίστη, καὶ κανὼν ἀκριβὴς τῆς ἐν Χριστῷ κεκρυμμένης μελέτης, μετὰ τῶν συνεπομένων αὐτῷ κεφαλαίων, νοήμασι θείοις, καὶ καθαρότητι φράσεως εἰς τὸ ἄριστον συντεθειμένων, ὧδε μετὰ τῶν λοιπῶν συνηρμόσθησαν. χρήσιμα γὰρ εἴπερ τι ἄλλο, καὶ ἀξιόλογα τοῖς ἐν βραχεῖ συλλέξαι ἐσπουδακόσι τῆς πνευματικῆς φιλοσοφίας τὸ θεόσοφον μάθημα.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΘΕΟΛΗΠΤΟΥ

## ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΦΙΛΑΔΕΛΦΕΙΑΣ

## ΛΟΓΟΣ,

### Τὴν ἐν Χριστῷ κρυπτὴν ἐργασίαν διασαφῶν, καὶ δεικνύων ἐν βραχεῖ τοῦ μοναδικοῦ ἐπαγγέλματος τὸν κόπον.

Τὸ μοναδικὸν ἐπάγγελμα, δένδρον ἐστὶν ὑψίκομόν τε, καὶ γονιμώτατον. οὗ ῥίζα μέν, ἡ τῶν σωματικῶν πάντων ἀλλοτρίωσις. κλάδοι δέ, ἡ ἀπροσπάθεια τῆς ψυχῆς, καὶ τὸ μηδεμίαν σχέσιν πρὸς τὰ πράγματα, ὧν τὴν φυγὴν ἐποιήσατο, ἔχειν. καρπὸς δέ, τῶν ἀρετῶν ἡ κτῆσις, καὶ ἡ θεοποιὸς ἀγάπη, καὶ ἡ ἐκ τούτων μὴ διακοπτομένη εὐφροσύνη. ὁ καρπὸς γάρ· φησι· τοῦ πνεύματός ἐστιν, ἀγάπη· χαρά· εἰρήνη, καὶ τὰ ἑξῆς. ἡ τοῦ κόσμου φυγή, τὴν πρὸς Χριστὸν καταφυγὴν χαρίζεται. κόσμον δὲ λέγω, τὴν φιλίαν τῶν αἰσθητῶν πραγμάτων, καὶ τῆς σαρκός. ὁ ἐκ τούτων ἀλλοτριούμενος ἐν ἐπιγνώσει τῆς ἀληθείας, οἰκειοῦται τῷ Χριστῷ, κτώμενος τὴν ἀγάπην αὐτοῦ, δι' ἣν ἅπαντα τὰ τοῦ κόσμου ἀποποιησάμενος, τὸν πολύτιμον μαργαρίτην· Χριστόν· ἐξωνήσατο. Χριστὸν ἐνδέδυσαι διὰ τοῦ σωτηρίου Βαπτίσματος, ἀπέβαλες τὸν ῥύπον διὰ τοῦ θείου λουτροῦ· τῆς πνευματικῆς χάριτος τὴν λαμπρότητα ἐκομίσω, καὶ τὴν εὐγένειαν τῆς πλάσεως. ἀλλὰ τί γέγονε; μᾶλλον δέ, τί πέπονθεν ὁ ἄνθρωπος ἐξ ἀβουλίας; διὰ τῆς πρὸς τὸν κόσμον φιλίας ἠλλοίωσε τοὺς θείους χαρακτῆρας, διὰ τῆς πρὸς τὴν σάρκα συμπαθείας, ἠχρείωσε τὴν εἰκόνα· ἡ ἀχλὺς τῶν ἐμπαθῶν λογισμῶν, ἠμαύρωσε τὸ τῆς ψυχῆς ἔσοπτρον, δι' οὗ Χριστὸς ὁ νοητὸς ἥλιος ἐμφανίζεται. σὺ τῷ τοῦ Θεοῦ φόβῳ τὴν ψυχὴν καθήλωσας. ἐπέγνως τὸν σκοτασμὸν τῆς κοσμικῆς ἀνωμαλίας. συνῆκας τὸν ἐκ τῶν θορύβων συναγόμενον τῇ διανοίᾳ σκορπισμόν. ἑώρακας τὸν ἐκ τοῦ πολυταράχου βίου συναντῶντα τοῖς ἀνθρώποις μάταιον περισπασμόν. ἐτρώθης τῷ βέλει τοῦ κατὰ τὴν ἡσυχίαν ἔρωτος. ἐζήτησας τὴν εἰρήνην



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῶν λογισμῶν. ἔμαθες γάρ, ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν, ἐπόθησας τὴν ἐκεῖθεν ἀνάπαυσιν. ἐπειδὴ ἤκουσας, ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου. διὰ γοῦν ταῦτα, καὶ διενοήσω τὴν δευτέραν, ἣν ἀπέλαβες ἐν τῷ Βαπτίσματι κατὰ χάριν, ἀπέβαλον δὲ κατὰ γνώμην διὰ τῶν παθῶν ἐν τῷ κόσμῳ, ἀνακαλέσασθαι ἀμέλει διὰ τὴν ἀγαθὴν γνώμην. εἰς ἔργον ἐξέβαλες τῷ ἱερῷ φροντιστηρίῳ παραβαλών, καὶ τὰ τίμια τῆς μετανοίας ἄμφια περιβαλλόμενος, καὶ τὴν μέχρι θανάτου καταμονὴν ἐν τῷ μοναστηρίῳ * ἐμψύχως ἐπαγγειλάμενος. δευτέραν ἤδη συνθήκην πρὸς Θεὸν ἐποιήσω. τὴν πρώτην, εἰς τὸν παρόντα βίον εἰσερχόμενος, τὴν δευτέραν, πρὸς τὸ τέλος τοῦ παρόντος βίου ἐπειγόμενος. τότε διὰ τῆς εὐσεβείας τῷ Χριστῷ προσελήφθης, νῦν, διὰ τῆς μετανοίας τῷ Χριστῷ προσηρμόσθης. ἐκεῖ, χάριν εὗρες, ὧδε, χρέως συνέθου. τότε νηπιάζων, τοῦ δοθέντος σοι ἀξιώματος οὐκ ᾐσθάνου, εἰ καὶ ὕστερον αὐξηθεὶς τὸ μέγεθος ἔγνως τῆς δωρεᾶς, καὶ χαλινὸν ἐπὶ στόματος φέρεις. νῦν, ἐν τελείῳ φρονήματι διατελῶν, τὴν δύναμιν τῆς συνταγῆς ἐπιγινώσκεις. ὅρα μὴ καὶ ταύτην ἀθετήσας τὴν ὑπόσχεσιν, καθάπερ τὶ σκεῦος συντριβὲν ὁλοκλήρως, ἀπορριφῇς εἰς τὸ σκότος τὸ ἐξώτερον ἔνθα ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· δίχα γὰρ τῆς κατὰ τὴν μετάνοιαν ὁδοῦ, ἄλλη τρίβος ἐπανάγουσα πρὸς σωτηρίαν οὐ πέφυκεν. ἄκουσον τίσι Δαβὶδ ἐπαγγέλλεται· τὸν ὕψιστον ἔθου καταφυγήν σου. καὶ εἰ τὴν κατὰ Χριστὸν προείλου τεθλιμμένην ζωήν, οὐ προσελεύσεται πρὸς σὲ κακὰ τὰ ἐκ τῆς κοσμικῆς ἀναστροφῆς προσδοθέντα σοι. οὐχ ἅψεταί σοι μετανοεῖν αἱρουμένῳ, ἔρως χρημάτων, τρυφή, τιμή, καλλωπισμός, ἀκρασία αἰσθήσεων. οὐ διαμενοῦσι παράνομοι κατεναντίον σου, μετεωρισμοὶ διανοίας, αἰχμαλωσία νοός, χαύνωσις ἀλλεπαλλήλων λογισμῶν, καὶ ἄλλη πᾶσα ἑκούσιος παρατροπή, καὶ σύγχυσις. οὐδὲ φιλία γεννητόρων, ἀδελφῶν, συγγενῶν, φίλων, καὶ συνήθων συνεμπίπτει σοι. οὐδὲ ἡ πρὸς τούτους ἄκαιρος καὶ ἀσυντελὴς συντυχία, καὶ ὁμιλία παροικήσει ἐν σοί. εἰ τούτων τὴν ὑποταγὴν ἀγαπήσεις σώματι, καὶ ψυχῇ, μάστιξ ὀδύνης οὐκ ἐγγιεῖ ἐν τῇ ψυχῇ σου, καὶ λύπης βέλος οὐ τρώσει τὴν σὴν καρδίαν, οὐ δὲ τὸ σὸν σκυθρωπάσει πρόσωπον. οἱ γὰρ ἐνδόσιν συνηθείας ὑποδιϊστάμενοι, καὶ τὴν πρὸς τὰ εἰρημένα πάντα προσπάθειαν ἀπωσάμενοι, τὰς ἀκίδας τῆς λύπης ἀμβλύνουσιν. ὁ Χριστὸς γὰρ τῇ ἀγωνιζομένῃ ψυχῇ ἐμφανίζεται, καὶ χαρὰν ἀνεκλάλητον παρέχει τῇ καρδίᾳ, καὶ τὴν πνευματικὴν χαρὰν, οὐδὲν τῶν ἐκ τοῦ κόσμου τερπνῶν, ἡδέων αἴρειν ποτὲ δύναται. μελέται γὰρ ἀγαθαὶ, καὶ σωτηριώδεις μνῆμαι, καὶ θεῖα διανοήματα, καὶ λόγοι σοφίας διακονοῦντες τῷ ἀγωνιστῇ, διαφυλάττουσιν αὐτὸν ἐν πάσαις ταῖς ὁδοῖς τῶν κατὰ Θεὸν ἔργων αὐτοῦ, ὅθεν καὶ ἐπιβαίνει ἐπὶ πᾶσαν ἄλογον ἐπιθυμίαν, καὶ θυμὸν προπετῆ, καθάπερ ἐπὶ ἀσπίδα καὶ βασιλίσκον, καὶ καταπατεῖ ὡς λέοντα τὴν ὀργὴν, καὶ τὴν ἡδονὴν ὡς δράκοντα. ἡ δὲ αἰτία, ὅτι πᾶσαν τὴν ἐλπίδα αὐτοῦ, ἀπὸ τῶν ἀνθρώπων, καὶ τῶν εἰρημένων πραγμάτων ἀποστήσας, τῷ Θεῷ προσέδησε, καὶ γνῶσιν Θεοῦ πλουτεῖ, καὶ Θεὸν ἀεὶ νοερῶς πρὸς τὴν ἑαυτοῦ βοήθειαν ἐκκαλεῖται. ὅτι ἐπ' ἐμέ φησιν ἤλπισεν, καὶ ῥύσομαι αὐτόν. σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου. κεκράξεται πρός με, καὶ ἐπακούσομαι, καὶ οὐ μόνον τῶν θλιβόντων ἀπαλλάξω, ἀλλὰ καὶ δοξάσω αὐτόν. ὁρᾷς τῶν κατὰ Θεὸν ἀσκουμένων τοὺς ἀγῶνας, καὶ τὰ ἐντεῦθεν βραβεῖα; σπούδασον λοιπὸν τὴν κλῆσιν, πρᾶξιν ποιήσασθαι. καὶ

* ἴσ. ἀψύχως

ὡς

ὡς ἐυπώθης τῷ σώματι, ἀποβαλλόμενος καὶ τὰ νοήματα τῶν πραγμάτων, μετημφιάσω τὸ σχῆμα, ποίησον καὶ ξένον, ἀπόθου καὶ τοὺς λόγους, καὶ τοὺς προσήκοντας κατὰ γένος. εἰ μὴ γὰρ καταπαύσῃς ἀπὸ τῆς τῶν ἔξω περιπλανήσεως, οὐ διαταστήσῃ πρὸς τοὺς ἔσωθεν ἐνεδρεύοντας. εἰ μὴ νικήσῃς τοὺς διὰ τῶν φανερῶν πολεμοῦντας, οὐ τροπῶσαι τοὺς ἀφανεῖς ἐπιβάλλους. ὅταν δὲ τοὺς ἔξω πειρασμοὺς καταργήσῃς, καὶ τοὺς ἔσω λογισμοὺς καταλείψῃς, ἐγείρεται τότε ὁ νοῦς ἐν τοῖς ἔργοις, καὶ τοῖς λόγοις τοῦ πνεύματος. καὶ ἀντὶ τῆς συνηθείας τῶν συγγενῶν, καὶ συνήθων, τοὺς τρόπους τῶν ἀρετῶν ἐκτελεῖς· καὶ ἀντὶ τῶν ματαίων λόγων τῶν ἐκ τῆς κοσμικῆς ὁμιλίας τικτομένων, ἡ μελέτη, καὶ ἡ δήλωσις τῶν θείων λόγων τῶν κατὰ τὴν διάνοιαν κινουμένων, φωτίζει καὶ συνετίζει τὴν ψυχήν. ἡ λύσις τῶν αἰσθήσεων, δεσμὸς γίνεται τῆς ψυχῆς. καὶ ὁ δεσμὸς τῶν αἰσθήσεων, ἐλευθερίαν βραβεύει τῇ ψυχῇ. ἡ ἡλίου δύσις, νύκτα ποιεῖ· καὶ ὁ Χριστὸς ἀποχωρεῖ ἐκ τῆς ψυχῆς, καὶ τῶν παθῶν ὁ σκοτασμὸς αὐτὴν καταλαμβάνει, καὶ οἱ νοητοὶ θῆρες αὐτὴν διασπαράττουσι. ἀνέτειλεν ὁ αἰσθητὸς ἥλιος, καὶ θῆρες μὲν συνάγονται εἰς τὰς καταδύσεις αὐτῶν. ἀνατέλλει καὶ ὁ Χριστὸς ἐν τῷ στερεώματι τῆς εὐχομένης διανοίας, καὶ πᾶσα ἡ τοῦ κόσμου συνήθεια οἴχεται, καὶ ἡ φιλία τῆς σαρκὸς παρέρχεται, καὶ ὁ νοῦς διαπορεύεται ἐπὶ τὸ ἔργον αὐτοῦ, ἤτοι τῶν θείων τὴν μελέτην, ἕως ἑσπέρας. οὐ καιρικῷ διαστήματι περιορίζων τοῦ πνευματικοῦ νόμου τὴν ἐργασίαν, καὶ ἐν μέτρῳ ταύτην ποιούμενος, ἀλλὰ καὶ μέχρις ἂν τὸ πέρας τὴν παροῦσαν ζωὴν καταλαβὸν τὴν ἐκ τοῦ σώματος ἔξοδον τῆς ψυχῆς ἀπεργάσεται. ὃ δὴ καὶ δηλῶν ὁ Προφήτης λέγει. ὡς ἠγάπησα τὸν νόμον σου Κύριε, ὅλην τὴν ἡμέραν μελέτη μου ἐστίν. ἡμέραν καλῶν, ὅλον τὸν δίαυλον τῆς παρούσης ζωῆς ἑκάστου. στῆσον τοιγαροῦν τὰς ὁμιλίας τῶν ἔξω, καὶ πύκτευσον πρὸς τοὺς ἔσω λογισμούς, μέχρις ἂν εὕρῃς τὸν τόπον τῆς καθαρᾶς προσευχῆς, καὶ τὸν οἶκον, ἐν ᾧ Χριστὸς κατοικεῖ· φωτίζων καὶ γλυκαίνων σε τῇ ἐπιγνώσει, καὶ τῇ ἐπισκέψει αὐτοῦ. καὶ παρασκευάζων, τὰς μὲν ὑπὲρ αὐτοῦ θλίψεις, ἡγεῖσθαι χαράν. τὰς δὲ κοσμικὰς ἡδονάς, καθάπερ τι ἀψίνθιον μὴ προσίεσθαι. τὰ πνεύματα, τῆς θαλάσσης ἐγείρει τὰ κύματα, καὶ εἰμὴ παύσονται οἱ ἄνεμοι, οὐ κοπάζει τὰ κύματα, καὶ οὐχ ἡμεροῦται ἡ θάλασσα· καὶ τὰ πνεύματα τῆς πονηρίας ἀνακινοῦσιν ἐν τῇ ψυχῇ τοῦ ἀμελοῦς, μνήμην γονέων, ἀδελφῶν, συγγενῶν, συνήθων, συμποσίων, πανηγύρεων, θεάτρων, καὶ τῶν ἄλλων πάντων τῆς ἡδονῆς φαντασμάτων. καὶ ὑπαγορεύουσιν ὄψει, καὶ γλώττῃ, καὶ σώματι τὴν ἐντυχίαν ποιεῖσθαι. ἵνα καὶ ἡ ἐνεστῶσα ὥρα ἀναλίσκεται ματαίως, καὶ ἡ ἐπιοῦσα, ἡνίκα μόνος μένῃς ἔνδον τοῦ κελλίου, δαπανᾶται ἐν ταῖς μνήμαις τῶν θεαθέντων καὶ λαληθέντων· καὶ οὕτως ἀσυντελὴς ἡ ζωὴ τοῦ Μοναχοῦ διανύεται, εἰς κοσμικὰς ἐργασίας τὰς ἑαυτῶν μνήμας γλύφουσιν ἐν τῇ διανοίᾳ, καθάπερ πόδες ἀνθρώπου τὰ ἴδια ἴχνη ἐν χιόνι βαδίζοντες. εἰ βρῶμα τοῖς θηρίοις παρέχομεν, πότε θανατώσομεν αὐτά; καὶ εἰ ἐν ἔργοις, καὶ λογισμοῖς τῆς ἀλόγου φιλίας, καὶ συνηθείας ἀδολεσχοῦμεν, πότε τῆς σαρκὸς νεκρώσομεν τὸ φρόνημα; πότε ἣν ἐπηγγειλάμεθα τῷ Χριστῷ ζωὴν ζήσομεν; ὁ ἐν χιόνι τύπος τῶν ποδῶν, ἢ λάμψαντος ἡλίου λύεται, ἢ καταρραγέντος ὕδατος οἴχεται. καὶ αἱ κοιλανθεῖσαι μνῆμαι ἐν τῇ διανοίᾳ ἐκ φιληδόνου διαθέσεως καὶ τῶν πράξεων, ὑπὸ Χριστοῦ τοῦ ἀνατέλλοντος ἐν τῇ καρδίᾳ διὰ προσευχῆς, καὶ τῆς εὐκατανύκτου



Athos Library
Αγιορειτική Βιβλιοθήκη

βροχῆς τῶν δακρύων ἐξαφανίζονται. ὁ γοῦν μὴ κατὰ λόγον πράττων Μοναχός, πότε τὰς ἐν τῇ διανοίᾳ προλήψεις ἀπαλείψει; τελεῖται πρᾶξις ἀρετῶν ἐν τῷ σώματι, ἐὰν καταλείψῃς τὴν τοῦ κόσμου συνήθειαν. τυποῦνται μνῆμαι ἀγαθαί, καὶ θεῖοι λόγοι φιλοχωροῦσιν ἐν τῇ ψυχῇ, ἐὰν συνεχέσιν εὐχαῖς μετὰ θερμῆς κατανύξεως ἀνυομέναις ἐν τῇ διανοίᾳ, τὰς μνήμας τῶν προτέρων πράξεων ἐξαλείψῃς. ὁ φωτισμὸς γὰρ τῆς τῆς πίστεως τοῦ Θεοῦ μνήμης, καὶ ἡ συντριβὴ τῆς καρδίας, δίκην ξυρίου τὰς πονηρὰς ἀποξέουσι μνήμας. μιμήθητι τῶν μελισσῶν τὴν σοφίαν· ἐκεῖναι γὰρ εἰδυῖαι τὸ σμῆνος τῶν σφηκῶν περὶ αὐτὰς τὴν πτῆσιν ποιουμένων, ἔνδον τοῦ σίμβλου παραμένουσι, καὶ τὴν ἐκ τῶν ἐπιβούλων βλάβην διαδιδράσκουσι. σφηκίας νόει, τὰς κοσμικὰς συντυχίας. ταύτας σπουδῇ πολλῇ φεύγων, παράμενε ἐν τῷ ταμείῳ τοῦ σεμνείου. κἀντεῦθεν πειρῶ πάλιν εἰσέρχεσθαι ἐν τῷ ἐνδοτέρῳ τῆς ψυχῆς φρουρίῳ, ὅπερ οἶκος Χριστοῦ ἐστίν, ἐν ᾧ εἰρήνη, καὶ χαρά, καὶ γαλήνη βεβαίως ὁρᾶται. τοῦ νοητοῦ ἡλίου Χριστοῦ τὰ δῶρα ταῦτα, καθάπερ τινὰς ἀκτῖνας παρ' ἑαυτοῦ ἐκπέμποντος, καὶ ὥσπερ τινὰ μισθὸν παρεχομένου τῇ ὑποδεχομένῃ αὐτὸν ψυχῇ μετὰ πίστεως, καὶ φιλοκαλίας. καθήμενος γοῦν ἐν τῷ οἴκῳ, μνημόνευε Θεοῦ, ἐπαίρων τὸν νοῦν ἀπὸ πάντων, καὶ πρὸς τὸν Θεὸν ἀφθόγγως ἐπιρρίπτων, καὶ πᾶσαν τῆς καρδίας διάθεσιν ἐκχέων ἐνώπιον αὐτοῦ, καὶ διὰ τῆς ἀγάπης αὐτῷ προσκολλώμενος. μνήμη γὰρ Θεοῦ, θεωρία Θεοῦ ἐστιν, ἕλκοντος τὴν ὅρασιν, καὶ τὴν ἔφεσιν τοῦ νοῦ πρὸς ἑαυτόν, καὶ τῷ παρ' ἑαυτοῦ φωτὶ περιαυγάζοντος αὐτόν. ἐπιστρέφων γὰρ ὁ νοῦς πρὸς τὸν Θεόν, ἐν τῷ καταπαύειν πάσας τὰς εἰδοποιοὺς τῶν ὄντων ἐννοίας, ἀνειδέως ὁρᾷ· καὶ τῇ καθ' ὑπεροχὴν ἀγνωσίᾳ διὰ τὸ τῆς δόξης ἀπρόσιτον, τὴν ἑαυτοῦ βλέψιν λαμπρύνει. καὶ μὴ γινώσκων διὰ τὴν ἀκαταληψίαν τοῦ ὁρωμένου, γινώσκει διὰ τὴν ἀλήθειαν τοῦ Κυρίως ὄντος, καὶ μόνου τὸ ὑπερεῖναι ἔχοντος· καὶ διὰ τὸ πλούσιον τῆς ἐκεῖθεν ἐκβλυζούσης ἀγαθότητος τρέφων τὸν ἑαυτοῦ ἔρωτα καὶ τὴν ἰδίαν ἐντρέχειαν πληροφορῶν, ἀναπαύσεως ἀλήκτου, καὶ μακαρίας καταξιοῦται. ταῦτα μὲν τὰ τῆς ἀκριβοῦς μνήμης γνωρίσματα. προσευχὴ δέ ἐστι, διαλογὴ διανοίας πρὸς Κύριον, ῥήματα δεήσεως διανύουσα μετὰ τῆς τοῦ νοῦ πρὸς Θεὸν ὁλικῆς ἀτενίσεως. τῆς διανοίας γὰρ συνεχῶς ὑπαγορευούσης τὸ τοῦ Κυρίου ὄνομα, καὶ τοῦ νοῦ ἐναργῶς τῇ ἐπικλήσει τοῦ θείου ὀνόματος προσέχοντος, τῆς τοῦ Θεοῦ γνώσεως τὸ φῶς καθάπερ φωτεινὴ νεφέλη πᾶσαν ἐπισκιάζει τὴν ψυχήν. ἕπεται δὲ τῇ μὲν ἀκριβεῖ μνήμῃ τοῦ Θεοῦ, ἀγάπη, καὶ χαρά. ἐμνήσθην γάρ· φησί· τοῦ Θεοῦ, καὶ ηὐφράνθην. τῇ δὲ καθαρᾷ προσευχῇ, γνῶσις καὶ κατάνυξις. ἐν ᾗ ἂν ἡμέρᾳ γάρ· φησίν· ἐπικαλέσομαί σε, ἰδοὺ ἔγνων, ὅτι Θεός μου εἶ σύ· καὶ πάλιν· θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον. νοὸς γὰρ καὶ διανοίας παρισταμένων τῷ Θεῷ δι' ἐνεργοῦς ἀτενίσεως, καὶ θερμῆς δεήσεως, καὶ τῆς ψυχῆς ἡ κατάνυξις ἀκολουθεῖ. νοῦ δέ, καὶ λόγου, καὶ πνεύματος προσπιπτόντων τῷ Θεῷ, τοῦ μέν, διὰ προσοχῆς, τοῦ δέ, δι' ἐπικλήσεως, τοῦ δέ, διὰ κατανύξεως καὶ ἀγάπης, ὅλος ὁ ἔνδον ἄνθρωπος λειτουργεῖ τῷ Κυρίῳ. ἀγαπήσεις γάρ· φησί· Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς * καρδίας σου. πλὴν εἰδέναι σε καὶ τοῦτο βούλομαι· μήπως προσεύχεσθαι λογιζόμενος; μακρὰν τῆς προσευχῆς βαδίζῃς καὶ ἀκερδῶς κάμνῃς, καὶ διακενῆς τρέχῃς. ὅπερ ἐν τῇ τοῦ στόματος ψαλμῳδίᾳ τελεῖται, ὁ δὲ νοῦς ἀλλαχοῦ φέρεται, εἰς πάθη καὶ πράγματα μεριζόμενος, ὡς ἐντεῦθεν καὶ τὴν σύνεσιν τῆς

* ἐν ἄλ. διανοίας σου



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ψαλμῳδίας λυμαίνεσθαι· τοῦτο γίνεται καὶ ἐν τῇ διανοίᾳ. πολλάκις γὰρ αὐτῆς διερχομένης τὰ ῥήματα τῆς εὐχῆς, ὁ νοῦς οὐ συνοδεύει, οὐκ ἐνατενίζει τῷ Θεῷ, πρὸς ὃν καὶ ἡ κατὰ τὴν προσευχὴν διαλογὴ γίνεται· ἐκτρέπεται δὲ ὑπό τινων ἐννοιῶν λεληθότως. καὶ ἡ μὲν διάνοια, λέγει συνήθως τὰ ῥήματα· ὁ δὲ νοῦς, τῆς τοῦ Θεοῦ γνώσεως ἀπολισθαίνει. ὅθεν καὶ τότε ἡ ψυχὴ ἀκατανύκτος καὶ ἀδιάθετος φαίνεται, ὡς τοῦ νοῦ σκορπιζομένου εἰς τινὰς φαντασίας, καὶ μετεωριζομένου, ἢ πρὸς ἃ κλέπτεται, ἢ βούλεται. εὐκτικῆς γὰρ γνώσεως μὴ παρούσης μὴ δὲ τοῦ δεομένου παρισταμένου τῷ δεομένῳ παρακαλεῖν, πῶς γλυκανθήσεται ἡ ψυχή; πῶς εὐφρανθήσεται καρδία προσποιουμένη εὔχεσθαι, ἀλλ' οὐκ ἀληθινὴν προσευχὴν πεποιημένη; εὐφρανθήσεται καρδία ζητούντων τὸν Κύριον. ζητεῖ δὲ τὸν Κύριον, ὁ διανοίᾳ ὅλῃ, καὶ διαθέσει θερμῇ προσπίπτων τῷ Θεῷ, καὶ πᾶν νόημα τοῦ κόσμου ἀποκρουόμενος, διὰ τὴν τοῦ Θεοῦ γνῶσιν, καὶ ἀγάπην, τὰς ἀναδιδομένας ἐκ τῆς συνεχοῦς, καὶ καθαρᾶς προσευχῆς. ἐγὼ δὲ σαφηνείας ἕνεκα τοῦ κατὰ τὴν θείαν μνήμην ἐν τῷ νῷ θεωρήματος, καὶ τοῦ κατὰ τὴν καθαρὰν προσευχὴν ἀξιώματος ἐν τῇ διανοίᾳ, τὸν σωματικὸν ὀφθαλμὸν καὶ τὴν γλῶσσαν, εἰς εἰκόνας προτίθημι. ὃ γάρ ἐστι, κόρη τῷ ὀφθαλμῷ, καὶ προφορὰ λόγου γλώσσῃ, τοῦτο μνήμη τῷ νῷ, καὶ προσευχὴ τῇ διανοίᾳ. ὡς γὰρ ὀφθαλμὸς τῇ βλεπτικῇ αἰσθήσει τοῦ προκειμένου ὁρατοῦ ὑπολαβών, οὐδεμίαν φωνὴν ποιεῖται, τῇ πείρᾳ δὲ τῆς ὁράσεως, τὴν γνῶσιν τοῦ ὁρωμένου δέχεται. οὕτω καὶ ὁ νοῦς διὰ τῆς μνήμης ἐρωτικῶς τῷ Θεῷ προσχωρῶν τῇ προσκολλήσει τῆς διαπύρου διαθέσεως καὶ τῇ σιγῇ τῆς ἁπλουστάτης νοήσεως, ὑπὸ τῆς θείας ἐλλάμψεως καταυγάζεται· ἀρραβῶνα τῆς μελλούσης λαμπρότητος κομιζόμενος. καὶ ὥσπερ πάλιν ἡ γλῶσσα ῥήματα λόγου προφέρουσα, τὴν ἄδηλον θέλησιν τοῦ νοῦ ἐμφανίζει τῷ ἀκούοντι· οὕτω καὶ διάνοια τὰ βραχυσύλλαβα ῥήματα τῆς προσευχῆς πυκνῶς πυκνῶς, καὶ θερμῶς ἀπαγγέλλουσα, τὴν τῆς ψυχῆς αἴτησιν ἀνακαλύπτει τῷ πάντα εἰδότι Θεῷ. καὶ τῇ εὐκτικῇ προσεδρείᾳ καὶ ἐπιμόνῳ συντριβῇ καρδίας, καὶ ἡ συντριβὴ ἀνοίγει τὰ φιλάνθρωπα σπλάγχνα τοῦ συμπαθοῦς, καὶ πλουσίαν τὴν σωτηρίαν εἰσδέχεται. καρδίαν γάρ, φησί, συντετριμμένην καὶ τεταπεινωμένην, ὁ Θεὸς οὐκ ἐξουδενώσει. χειραγωγήσει σε εἰς καθαρὰν προσευχήν, καὶ τὸ τελούμενον εἰς τὸν ἐπὶ γῆς βασιλέα. ὅταν γὰρ προσέλθῃς βασιλεῖ, καὶ σώματι παρίστασαι, καὶ γλώσσῃ καθικετεύεις, καὶ ὀφθαλμῷ πρὸς αὐτὸν ἐνατενίζεις, καὶ οὕτω τὴν βασιλικὴν εὐμένειαν πρὸς ἑαυτὸν ἕλκεις. τοῦτο καὶ σὺ ἐκτέλει. κἂν τῇ συνάξει τῆς Ἐκκλησίας, κἂν τῇ μονώσει τῆς οἰκίας. συναγόμενος γὰρ ἐν Κυρίῳ μετὰ τῶν ἀδελφῶν, ὥσπερ τὴν διὰ σώματος παράστασιν ποιεῖς, καὶ τὴν διὰ γλώττης ψαλμῳδίαν προσφέρεις αὐτῷ, οὕτως ἔχε καὶ τὸν νοῦν προσέχοντα τοῖς λόγοις, καὶ τῷ Θεῷ, καὶ εἰδότα τίνι διαλέγεται καὶ ἐντυγχάνει. εὐτόνως γὰρ καὶ καθαρῶς τῆς διανοίας τῇ προσευχῇ σχολαζούσης, χαρᾶς ἀναφαιρέτου, καὶ εἰρήνης ἀνεκλαλήτου καταξιοῦται ἡ καρδία. κατὰ μόνας δὲ αὖθις ἐν τῷ οἴκῳ προσεδρεύων, τῆς κατὰ διάνοιαν προσευχῆς ἀντέχου. νήφοντι τῷ νῷ καὶ συντετριμμένῳ πνεύματι, καὶ θεωρία ἐπισκιάσει σοι διὰ τῆς νήψεως, καὶ γνῶσις κατασκηνώσει ἐν σοὶ διὰ τῆς προσευχῆς. καὶ σοφία ἀνακλιθήσεται ἐν σοὶ διὰ τῆς κατανύξεως, τὴν ἄλογον ἡδονὴν ἐξορίζουσα, καὶ τὴν θείαν ἀγάπην εἰσοικίζουσα. πίστευσόν μοι τὴν ἀλήθειαν λέγοντι, εἰ ἐν πάσῃ σου τῇ ἐργασίᾳ ἀχώριστον ἕξεις τὴν μητέρα τῶν καλῶν, τὴν προσευχήν, οὐ νυστάξει, ἕως ἀποδείξῃ σοι τὸν νυμφῶνα, καὶ ἔνδον



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀγάγησε, καὶ δόξης ἀρρήτου, καὶ εὐφροσύνης πληρώσησε. ἐπειδὴ πάντα τὰ κωλύματα περιαιροῦσα, τὴν τρίβον τῆς ἀρετῆς ὁμαλίζει, καὶ εὐχερῆ τῷ ζητοῦντι καθίστησι. καὶ ὅρα τὸν τρόπον τῆς κατὰ διάνοιαν προσευχῆς. ἡ διαλογή, ἀναιρεῖ τοὺς ἐμπαθεῖς λογισμούς. ἡ τοῦ νοῦ πρὸς τὸν Θεὸν ἀποσκοπή, φυγαδεύει τὰς ἐννοίας τοῦ κόσμου. ἡ κατάνυξις τῆς ψυχῆς, τὴν φιλίαν τῆς σαρκὸς ἀποσοβεῖ. καὶ ὁρᾶται ἡ προσευχὴ ἐκ τοῦ ὑπαγορεύειν ἀσιγήτως τὸ θεῖον ὄνομα, συμφωνία, καὶ ἕνωσις νοῦ, καὶ λόγου, καὶ ψυχῆς. ὅπου γάρ, φησιν, εἰσὶ δύω ἢ τρεῖς ἐν τῷ ὀνόματί μου, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. οὕτως οὖν ἡ προσευχὴ τὰς τῆς ψυχῆς δυνάμεις ἀπὸ τοῦ διαμερισμοῦ τῶν παθῶν ἀνακαλουμένη, καὶ πρὸς ἀλλήλας, καὶ πρὸς αὐτὴν συνδέουσα τὴν τριμερῆ ψυχήν, τῷ ἐν τρισὶν ὑποστάσεσιν ἑνὶ Θεῷ οἰκειοῖ. πρῶτον γὰρ διὰ τῶν τῆς ἀρετῆς τρόπων, τὸ τῆς ἁμαρτίας αἶσχος ἐκ τῆς ψυχῆς ἀποξέσασα. εἶτα τὸ κάλλος τῶν θείων χαρακτήρων διὰ τῆς καθ' ἑαυτὴν ἁγίας γνώσεως ἀναζωγραφήσασα, παρίστησι τὴν ψυχὴν τῷ Θεῷ. ἡ δὲ αὐτίκα, γινώσκει τὸν ἑαυτῆς ποιητήν. ἐν ᾗ γάρ, φησιν, ἡμέρᾳ ἐπικαλέσομαί σε, ἰδοὺ ἔγνων ὅτι Θεός μου εἶ σύ. καὶ γινώσκεται ὑπ' αὐτοῦ. ἔγνω γάρ, φησιν, ὁ Κύριος τοὺς ὄντας αὐτοῦ. γινώσκει διὰ τὸ καθαρὸν τῆς εἰκόνος. πᾶσα γὰρ εἰκών, ἐπὶ τὸ πρωτότυπον ἔχει τὴν ἀναφοράν. γινώσκεται, διὰ τὴν πρὸς τὰς ἀρετὰς ὁμοίωσιν. δι' ὧν καὶ γνῶσιν ἔχει Θεοῦ, καὶ ὑπὸ Θεοῦ γινώσκεται. ὁ δεόμενος τυχεῖν βασιλικῆς εὐμενείας, τριπλοῦν μεταχειρίζεται τρόπον. ἢ φωναῖς ἱκετεύων, ἢ σιγῶν παρίσταται, ἢ πρὸ ποδῶν τοῦ δυναμένου βοηθεῖν ἑαυτὸν ἐπιρρίπτει. καὶ ἡ καθαρὰ προσευχή, νοῦν, καὶ λόγον, καὶ πνεῦμα πρὸς ἑαυτὴν συνάπτουσα, διὰ μὲν τοῦ λόγου, τὸ ὄνομα. διὰ δὲ τοῦ νοῦ, τῷ παρακαλουμένῳ Θεῷ ἀτενίζει ἀρεμβάστως, διὰ δὲ τοῦ πνεύματος τὴν κατάνυξιν, τὴν ταπείνωσιν, καὶ τὴν ἀγάπην ἐμφανίζει, καὶ οὕτω δυσωπεῖ τὴν ἄναρχον Τριάδα, τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ Ἅγιον Πνεῦμα τὸν ἕνα Θεόν. ὥσπερ ἡ ποικιλία τῶν ἐδεσμάτων διεγείρει τὴν ὄρεξιν εἰς μετάληψιν αὐτῶν, οὕτως αἱ διάφοροι τῶν ἀρετῶν ἰδέαι, τὴν ἐνέργειαν τοῦ νοῦ ἐξυπνίζουσι. διὰ τοῦτο τὴν ὁδὸν τῆς διανοίας ὁδεύων, τὰ ῥήματα τῆς εὐχῆς ἀναλέγου. καὶ διαλέγου τῷ Κυρίῳ ἀεὶ βοῶν, καὶ μὴ ἐκκακῶν· πυκνὰ δεόμενος, καὶ τὴν ἀναίδειαν μιμούμενος τῆς τὸν ἀμείλικτον κριτὴν δυσωπησάσης χήρας. τότε πνεύματι περιπατεῖς, καὶ σαρκικαῖς ἐπιθυμίαις οὐ προσέχεις, καὶ λογισμοῖς κοσμικοῖς οὐ διατέμνεις τῆς εὐχῆς τὴν συνέχειαν. Ναὸς δὲ Θεοῦ χρηματίζεις, ἀπερισπάστως τὸν Θεὸν ὑμνῶν. οὕτω καὶ τὴν διάνοιαν εὐχόμενος, ἀξιοῦσαι καὶ εἰς μνήμην Θεοῦ διαβαίνειν, καὶ ἐν τοῖς ἀδύτοις τοῦ νοῦ εἰσιέναι, καὶ μυστικαῖς θεωρίαις τὸν ἀόρατον κατοπτεύειν, καὶ γνωστικαῖς ἐναίως, καὶ ἀγαπητικαῖς ἐκχύσεσι, μόνος τῷ Θεῷ μόνῳ καταμόνας λειτουργῶν. ὅταν οὖν ἴδῃς σεαυτὸν χαυνούμενον ἐν τῇ εὐχῇ, βιβλίον μεταχειρίζου. καὶ τῇ ἀναγνώσει προσέχων, τὴν γνῶσιν εἰσδέχου. μὴ παροδευτικῶς τοὺς λόγους διερχόμενος, διανοητικῶς δὲ τούτους διασκοπούμενος καὶ τὸν νοῦν θησαυρίζων. εἶτα μελέτην ποιοῦ τῶν ἀναγνωσθέντων, ἵνα γλυκαίνηταί σου ἡ διάνοια ἐκ τῆς κατανοήσεως, καὶ ἀνεπίληστα διαμένῃ τὰ ἀναγνώσματα. κἀντεῦθεν προσανάπτεταί σου ἡ θέρμη ἐν τοῖς θείοις διανοήμασι. ἐν τῇ μελέτῃ μου γάρ, φησιν, ἐκκαυθήσεται πῦρ. ὡς γὰρ τὸ βρῶμα ἡδύνει τὴν γεῦσιν ὑπὸ τῶν ὀδόντων λεπτυνόμενον, οὕτω τὰ θεῖα λόγια στρεφόμενα ἐν τῇ ψυχῇ, πιαίνει τὴν διάνοιαν, καὶ κατευφραίνει.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὡς γλυκέα γάρ, φησι, τῷ λάρυγγί μου τὰ λόγιά σου. ὑποστήθιζε καὶ λόγους εὐαγγελικούς, καὶ τῶν μακαρίων πατέρων ἀποφθέγματα, καὶ τοὺς βίους αὐτῶν ἀνίχνευε, ἵνα ἔχῃς ταῦτα μελέτημα ἐν ταῖς νυξίν. ὅπως τὴν διάνοιαν ἐκ τῆς εὐχῆς ἀκηδιάσασαν, τῇ ἀναγνώσει, καὶ τῇ μελέτῃ τῶν θείων λόγων ἀνακαινίζῃς, καὶ εὐτρεχεστέραν παρασκευάζῃς εἰς προσευχήν. τὴν διὰ στόματος ψαλμῳδίαν ἐκτέλει. πλὴν ἡσύχῳ πάνυ φωνῇ, καὶ μετὰ ἐπιστασίας τοῦ νοῦ, μὴ ἀνεχόμενος ἀδιανόητόν τι τῶν λεγομένων καταλιπεῖν. ἀλλ' εἴποτέ τι διαδράσει τὸν νοῦν, ἐπανάλαβε τὸν στίχον· ὁσάκις καὶ γίνεται, μέχρις ἂν τὸν νοῦν ἐπακολουθοῦντα ἕξῃς τοῖς λεγομένοις. ἰσχύει γὰρ ὁ νοῦς καὶ ψάλλειν τῷ στόματι, καὶ Θεοῦ μνημονεύειν. καὶ τοῦτο καταμάνθανε ἐκ τῆς φυσικῆς πείρας. ὡς γὰρ ὁ συντυγχάνων τινὶ, καὶ διαλεγόμενος, τούτῳ καὶ προσέχει τοῖς ὀφθαλμοῖς, οὕτω καὶ ὁ ψάλλων χείλεσι, καὶ Θεῷ ἐνατενίζειν διὰ τῆς μνήμης δύναται. κλίσεις γονάτων μὴ παραιτοῦ. ἐκ μὲν γὰρ τοῦ γόνυ κλίνειν, ἡ πτῶσις τῆς ἁμαρτίας εἰκονίζεται, ἔμφασιν ἐξαγορεύσεως παρεχομένη. ἐκ δὲ τοῦ ἀνίστασθαι, ἡ μετάνοια ὑποσημαίνεται, ἐπαγγελίαν βίου τοῦ κατ' ἀρετὴν αἰνιττομένη. ἑκάστη δὲ γονυκλισία τελείσθω μετὰ τῆς νοερᾶς τοῦ Χριστοῦ ἐπικλήσεως. ἵνα ψυχῇ, καὶ σώματι προσπίπτων τῷ Κυρίῳ, τὸν τῶν ψυχῶν, καὶ σωμάτων Θεὸν εὐδιάλλακτον ἀπεργάσῃ. εἰ δὲ καὶ ἔργον ἀθόρυβον ταῖς χερσὶ παρέξεις μετὰ τῆς κατὰ διάνοιαν προσευχῆς, εἰς τὸ ἀποκρούεσθαι ὕπνον καὶ ῥαθυμίαν, καὶ τοῦτο τὸν ἀσκητικὸν ἀγῶνα συγκροτεῖ. πᾶσαι γὰρ αἱ δηλωθεῖσαι ἐργασίαι μετ' εὐχῆς ἀνυόμεναι, ἀκονῶσι τὸν νοῦν, ἀκηδίαν ἐξορίζουσιν, νεαρωτέραν τὴν ψυχὴν παρασκευάζουσι, καὶ ὀξύτερον, καὶ θερμότερον τὸν νοῦν εἰς τὴν κατὰ διάνοιαν ἐργασίαν ἀπασχολεῖσθαι ποιοῦσι.

κρούσαντος τοῦ ξύλου, προέρχου τῆς κέλλης. τοῖς μὲν ὀφθαλμοῖς τοῦ σώματος τῇ γῇ προσέχων. τὴν δὲ διάνοιαν τῇ τοῦ Θεοῦ μνήμῃ προσερείδων. εἰσελθὼν ἐν τῷ ναῷ, καὶ τὸν χορὸν συμπληρῶν, μήτε τῇ γλώσσῃ ἀργολόγει μετὰ τοῦ πλησιάζοντος Μοναχοῦ, μήτε τῷ νῷ μετεωρίζου εἰς ματαιότητας, ἀλλὰ τῇ μὲν γλώσσῃ τῇ ψαλμῳδίᾳ μόνῃ. τὴν δὲ διάνοιαν ἀσφαλίζου τῇ προσευχῇ. ἀπολύσεως γενομένης, ἀπέρχου πρὸς τὸν σὸν οἶκον, καὶ τοὺς τυπωθέντας σοι κανόνας ἐξάρχου. εἰς τὴν τράπεζαν ἀπιὼν, μὴ περισκόπει τὰς μερίδας τῶν ἀδελφῶν, μηδὲ μέριζε τὴν ψυχήν σου ὑπονοίαις οὐ καλαῖς. τὰ παρακείμενα δὲ ἐνώπιόν σου βλέπων καὶ ἁπτόμενος, τῷ μὲν στόματι τὴν τροφὴν, τῇ ἀκοῇ δὲ τὴν ἀκρόασιν τῶν ἀναγινωσκομένων, τῇ δὲ ψυχῇ τὴν προσευχὴν δίδου. ἵνα σώματι καὶ πνεύματι τρεφόμενος, ὁλοκλήρως ἐξυμνῇς τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου. ἐκεῖθεν ἀναστὰς, μετὰ σεμνότητος, καὶ σιγῆς εἰσέρχου εἰς τὸ κελλίον σου, καὶ ὡς φιλεργὸς μέλισσα φιλοπόνει τὰς ἀρετάς. ὅταν ἀνύῃς διακονίαν μετὰ τῶν ἀδελφῶν, αἱ χεῖρες ἐργαζέσθωσαν, σιωπάτω τὰ χείλη, καὶ ὁ νοῦς μνημονευέτω Θεοῦ· καὶ εἴποτέ τις κινηθείη ἀργολογεῖν, εἰς διακοπὴν τῆς ἀταξίας, ἐγειρόμενος ποίει μετάνοιαν. λογισμοὺς ἀπότρεπε, καὶ μὴ παραχώρει τούτους διατρέχειν τὴν καρδίαν, καὶ ἐγχρονίζειν. ὁ χρονισμὸς γὰρ τῶν ἐμπαθῶν λογισμῶν, τὰ μὲν πάθη ζωογονεῖ, τὸν δὲ νοῦν θανατοῖ· ἀλλὰ προσβάλλοντας αὐτοὺς αὐτίκα ἐκ πρωτονοίας ἔπειγε τῷ βέλει τῆς προσευχῆς ἀναιρεῖν. εἰ δὲ ἐπιμένοιεν κρούοντες, καὶ συγχέοντες τὴν διάνοιαν, καὶ ποτὲ μὲν ὑποχωροῦντες, ποτὲ δὲ ἐπερχόμενοι, ἴσθι ὅτι ἐκ προλαβόντος θελήματός εἰσιν ὠχυρωμένοι. διὰ τοῦτο δίκαια ἔχοντες εἰς τὴν ψυχὴν διὰ τὴν ἧτταν

τῆς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῆς προαιρέσεως, ταράττουσι καὶ ἐνοχλοῦσι. δεῖ οὖν αὐτοὺς στηλιτεύειν διὰ τῆς ἐξαγορεύσεως. θριαμβευόμενοι γὰρ οἱ πονηροὶ λογισμοί, φυγαδεύονται. ὡς γὰρ φωτὸς φανέντος τὸ σκότος ὑποχωρεῖ, οὕτω καὶ τὸ φῶς τῆς ἐξαγορείας ἀφανίζει τοὺς λογισμοὺς τῶν παθῶν, σκότος καὶ αὐτοὺς χρηματίζοντας. ἐπειδὴ ἡ κενοδοξία, καὶ ἡ ἄνεσις, ἃς εἶχον τόπον οἱ λογισμοί, κατεστράφησαν διὰ τῆς κατὰ τὴν ἐξαγόρευσιν αἰσχύνης, καὶ τῆς κατὰ τὸν κανόνα κακοπαθείας. ὅθεν καὶ τὴν διάνοιαν εὑρίσκοντες ἐλευθέραν ἤδη τῶν παθῶν γεγενημένην τῇ συνεχεῖ καὶ ἀκαταπαύστῳ προσευχῇ, μετ᾽ αἰσχύνης δραπετεύουσιν. ὅτε γὰρ πειρᾶται ὁ ἀγωνιστὴς τέμνειν τῇ προσευχῇ τοὺς ταράττοντας αὐτὸν λογισμούς, τέμνει μὲν πρὸς βραχύ, καὶ εἴργει τὴν πολύνοιαν αὐτῶν, ὡς παλαίων καὶ ἁμιλλώμενος, οὐ λυτροῦται δὲ εἰς ἅπαν· ἐπειδὴ τὰς αἰτίας τῶν ἐνοχλούντων λογισμῶν στέργει· τὴν ἀνάπαυσιν τῆς σαρκός, καὶ τὴν κοσμικὴν φιλοτιμίαν, δι᾽ ἃς καὶ πρὸς ἐξαγόρευσιν, ὀργὴν ποιεῖται. ὅθεν καὶ εἰρήνην οὐκ ἄγει, διότι τὰ τῶν πολεμίων κατέχει δίκαια. τίς δὲ κατέχων ἀλλότρια σκεύη, οὐκ ἀπαιτεῖται ταῦτα παρὰ τῶν ἐχόντων; τίς δὲ ἀπαιτούμενος, καὶ μὴ ἀποδιδοὺς ἃ κατέχει κακῶς, λυτροῦται ἀπὸ τῶν ἀντιδίκων αὐτοῦ; ὅτε δὲ ὁ ἀγωνιζόμενος τῇ τοῦ Θεοῦ μνήμῃ δυναμωθεὶς τὴν ἐξουδένωσιν ἀγαπήσει καὶ τὴν κάκωσιν τῆς σαρκός, καὶ τὴν ἐξαγόρευσιν τῶν λογισμῶν ἀνεπαισχύντως ποιήσει, αὐτίκα οἱ μὲν πολέμιοι ἀναχωροῦσιν, ἡ δὲ διάνοια ἐλευθέρα τυγχάνουσα, τὴν συνέχειαν τῆς προσευχῆς, καὶ τὴν τῶν θείων μελέτην ἀδιάκοπον ἔχει. πᾶσαν ὑπόνοιαν κινουμένην ἐν τῇ καρδίᾳ κατά τινος, παραιτεῖ παντελῶς, ὡς καταλύουσαν ἀγάπην καὶ εἰρήνην. πᾶσαν δὲ συμφορὰν ἔξωθεν ἐπερχομένην, γενναίως καταδέχεται, ὡς τὴν σωτήριον ὑπομονὴν προξενοῦσαν. ὑπομονήν, τὴν μονὴν καὶ ἀνάπαυσιν χαριζομένην ἐν τοῖς οὐρανοῖς. οὕτω τὰς ἡμέρας σου, ἐν μὲν τῇ παρούσῃ ζωῇ μετ᾽ εὐθυμίας βιώσεις, ταῖς μακαρίαις ἐλπίσιν εὐφραινόμενος· ἐν δὲ τῇ ἐξόδῳ μετὰ παρρησίας μεταστήσῃ τῶν ὧδε, καὶ εἰς τοὺς τόπους τῆς ἀναπαύσεως, οὓς ἡτοιμάσατό σοι Κύριος ἀπελεύσῃ, μισθοὺς τῶν ἐνταῦθα πόνων ἀντιδιδούς σοι, συμβασιλεύειν αὐτῷ. ᾧ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, ἅμα τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι· νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ ΘΕΟΛΗΠΤΟΥ ΦΙΛΑΔΕΛΦΕΙΑΣ.

α'. Ὁ Νοῦς φεύγων τὰ ἔξω, καὶ συναγόμενος ἐπὶ τὰ ἔνδον, πρὸς ἑαυτὸν ἐπανάγεται. οὕτως τῷ φυσικῶς κατὰ διάνοιαν ἑαυτοῦ λόγῳ συγγίνεται· καὶ διὰ τοῦ ἐνόντος αὐτῷ οὐσιωδῶς λόγου, συνάπτεται τῇ εὐχῇ· καὶ διὰ τῆς εὐχῆς, εἰς γνῶσιν τοῦ Θεοῦ ἀναβαίνει μεθ' ὅλης τῆς ἀγαπητικῆς δυνάμεώς τε, καὶ διαθέσεως. τότε σαρκὸς μὲν ἐπιθυμία οἴχεται. πᾶσα δὲ ἡ καθήδονος ἀργεῖ αἴσθησις, καὶ τὰ ὡραῖα τῆς γῆς, ἀηδῆ καταφαίνεται. ὀπίσω γὰρ ἑαυτῆς ἡ ψυχὴ πάντα τὰ τοῦ σώματος, καὶ τὰ περὶ τὸ σῶμα θεμένη, ὀπίσω τῆς ὡραιότητος τοῦ Χριστοῦ γίνεται. αὐτῷ κατακολουθοῦσα μετὰ τῶν ἔργων τῆς σεμνότητος, καὶ τῆς κατὰ διάνοιαν ἁγνείας, καὶ ψάλλουσα. ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτοῦ. Χριστὸν φανταζομένη, καὶ προορῶσα, καὶ λέγουσα. προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν. Χριστῷ προσκολλωμένη διὰ τῆς ἀγάπης, καὶ κράζουσα. Κύριε ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου. Χριστῷ διὰ παντὸς ἐνατενίζουσα, καὶ βοῶσα. οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν Κύριον. Χριστῷ διαλεγομένη διὰ τῆς καθαρᾶς προσευχῆς, καὶ ἡδύνουσα εὐφραινομένη. ἡδυνθείη αὐτῷ ἡ διαλογή μου. ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. ἀποδεχόμενος γὰρ ὁ Θεὸς τὴν ἐκ τῆς εὐχῆς διαλογήν· καὶ ὡς ἀγαπώμενος, καὶ ὡς ὀνομαζόμενος, καὶ ὡς ἐπιζητούμενος εἰς βοήθειαν, τὴν ἄρρητον τῇ δεομένῃ ψυχῇ χαρὰν χαρίζεται. μνημονεύουσα γὰρ Θεοῦ διὰ τῆς κατὰ τὴν προσευχὴν διαλογῆς, κατευφραίνεται ὑπὸ Κυρίου. ἐμνήσθην γάρ· φησι· τοῦ Θεοῦ, καὶ εὐφράνθην.

Φεῦγε τὰς αἰσθήσεις, καὶ ἤργησας τὴν β'.
τῶν αἰσθητῶν ἡδονήν. φεῦγε καὶ τὰς κατὰ διάνοιαν φαντασίας τῶν ἡδέων, καὶ ἤργησας τὴν ἡδυπάθειαν τῶν λογισμῶν. ἀφάνταστος δὲ μένων ὁ νοῦς. ὡς μὴ καταδεχόμενος, μήτε ὑπὸ τῶν καθ' ἡδονὴν ζόφων. μήτε ὑπὸ τῶν κατ' ἐπιθυμίαν λογισμῶν τυποῦσθαί τε, καὶ σφραγίζεσθαι, ἐν ἁπλότητι εὑρίσκεται. καὶ ὑπεράνω πάντων τῶν αἰσθητῶν, καὶ τῶν νοητῶν γενόμενος, εἰς Θεὸν τὴν ἔννοιαν ἀναβιβάζει. μηδὲν ἕτερον, ὅτι μὴ τὸ ὄνομα Κυρίου διὰ τῆς συνεχοῦς μνήμης βαθέως ὑποφωνῶν, ὡς βρέφος τὸν πατέρα αὐτοῦ. καλέσω γάρ· φησι· τῷ ὀνόματί μου, Κύριον ἐναντίον σου. καὶ ὥσπερ ὁ Ἀδὰμ χειρὶ Θεοῦ πλασθεὶς ἀπὸ χοὸς γέγονεν εἰς ψυχὴν ζῶσαν ἐν φυσήματι θείῳ. οὕτω καὶ ὁ νοῦς ταῖς ἀρεταῖς διαπλασθεὶς, πυκνῇ ἐπικλήσει Κύριον ἐκκαθαρᾶς διανοίας, καὶ θερμῆς διαθέσεως ὑπαδομένη, τὴν θείαν ἀλλοίωσιν ἀλλοιοῦται ζωογονούμενος, καὶ θεοποιούμενος ἐκ τοῦ γινώσκειν, καὶ ἀγαπᾶν τὸν Θεόν.

Ἐὰν ἐκστῇς τῆς τῶν γηΐνων ἐπιθυ- γ'.
μίας τῇ συνεχεῖ καὶ εἰλικρινεῖ προσευχῇ. καὶ αὐτὴ ὕπνου καταπαύσῃς ἀπὸ πάσης ἐννοίας τῆς μετὰ Θεόν. καὶ στειχθῇς ὁλικῶς εἰς μόνην τὴν τοῦ Θεοῦ μνήμην, ἀνοικοδομηθήσεται ἐν σοὶ καθάπερ ἄλλη βοηθὸς ἡ τοῦ Θεοῦ ἀγάπη. ἡ γὰρ ἐκ

προσευ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

προσευχῆς καὶ διαθέσει βοή, τὴν θείαν ἀγάπην ἀναδίδωσι. καὶ ἡ θεία ἀγάπη διϋπνίζει τὸν νοῦν, πρὸς φανέρωσιν τῶν ἀποκρύφων. τότε ὁ νοῦς τῇ ἀγάπῃ συναρμοσθείς, τὴν σοφίαν κηρύττει. καὶ διὰ τῆς σοφίας τὰ ἀπόρρητα καταγγέλλει. ὁ γὰρ Θεὸς λόγος διὰ τῆς κατὰ τὴν προσευχὴν βοῆς καὶ διάθεσιν, ὀνομαζόμενος, λαμβάνει τὴν τοῦ νοῦ νόησιν, καθάπερ πληρωτὴν τὴν γνῶσιν χαρίζεται. καὶ ἀντ' αὐτῆς ἀναπληροῖ τὴν ἀγαθὴν διάθεσιν, δωρεῖται τὴν ἀρετήν. οἰκοδομεῖ τὴν φωτοποιὸν ἀγάπην. καὶ ἄγει παρὰ τὸν ἐξεστηκότα νοῦν, καὶ ὑπνοῦντα, καὶ ἀναπαυόμενον ἀπὸ πάσης γηΐνης ἐπιθυμίας. ἡ δὲ ἀγάπη, ἄλλη βοηθὸς εὑρίσκεται τοῦ καταπαύσαντος νοῦ, ἀπὸ τῆς ἀλόγου τῶν αἰσθητῶν προσπαθείας. ὅθεν καὶ διϋπνίζει τὸν νοῦν ὡς καθαρὸν εἰς τὰ τῆς σοφίας ῥήματα. τότε πρὸς αὐτὴν ὁρῶν ὁ νοῦς, καὶ καθηδυνόμενος, τὰς κρυπτὰς τῶν ἀρετῶν διαθέσεις, καὶ τὰς ἀθεάτους ἐνεργείας τῆς γνώσεως, τοῖς ἄλλοις δημοσιεύει, διὰ τῆς τῶν λόγων ἐκτάσεως.

δ'. Ἔκστηθι πάντων τῶν κατ' αἴσθησιν. καὶ κατάλιπε τὸν τῆς σαρκὸς νόμον. καὶ ὁ πνευματικὸς νόμος γραφήσεται τῇ σῇ διανοίᾳ. ὡς γὰρ ὁ πνεύματι περιπατῶν, ἐπιθυμίαν σαρκὸς οὐ τελεῖ κατὰ τὸν Ἀπόστολον. οὕτω καὶ ὁ ἐξιστάμενος αἰσθήσεων, καὶ αἰσθητῶν, σαρκὸς δηλαδὴ καὶ κόσμου, εἰς τὸ πνεῦμα περιπατεῖν, καὶ τὸ τοῦ πνεύματος φρονεῖν ἔρχεται. καὶ τοῦτο διδάχθητι, ἐξ ὧν ὁ Θεὸς εἰς τὸν Ἀδὰμ πρὸ τῆς παρακοῆς κατηργάσατο.

ε'. Τὸν περὶ τὴν φυλακὴν τῶν ἐντολῶν διαγωνιζόμενον, καὶ ἐν τῷ Παραδείσῳ τῆς προσευχῆς διακαρτεροῦντα, καὶ τῷ Θεῷ προσεδρεύοντα διὰ τῆς συνεχοῦς μνήμης, ὁ Θεὸς ἐξιστᾷ ἀπὸ τῶν τῆς σαρκὸς φιληδόνων ἐνεργημάτων, καὶ ἀπὸ πάντων τῶν κατ' αἴσθησιν κινημάτων. καὶ ἀπὸ πάντων τῶν κατὰ διάνοιαν σχημάτων, καὶ νεκρὸν τοῖς πάθεσι καὶ τῇ ἁμαρτίᾳ παρασκευάζων, τῆς θείας ζωῆς μέτοχον καθίστησιν. ὡς γὰρ ὁ ὑπνώττων, καὶ νεκρὸς παρεικάζεται, καὶ ζῶν ὑπάρχει· τὸ μέν, τῇ ἐνεργείᾳ τοῦ σώματος. τὸ δέ, τῇ συνεργείᾳ τῆς ψυχῆς. οὕτω καὶ ὁ πνεύματι παραμένων. σαρκὶ μὲν καὶ κόσμῳ νεκροῦται. ζῇ δὲ τῷ τοῦ πνεύματος φρονήματι.

Εἰ γνώσκεις ἃ ψάλλεις, λαμβάνεις ἐπίγνωσιν. ἐκ τῆς ἐπιγνώσεως, κτᾶσαι σύνεσιν. ἐκ τῆς συνέσεως ἡ πρᾶξις τῶν ἐγνωσμένων βλαστάνει. ἐκ τῆς πράξεως, τὴν καθ' ἕξιν γνῶσιν καρποῦσαι. ἡ δὲ ἐν πείρᾳ γνῶσις, τὴν ἀληθῆ θεωρίαν ἀναδίδωσιν. ἐκ ταύτης ἡ σοφία ἀνατέλλει διὰ τῶν φωτοβόλων λόγων τῆς χάριτος. τὸν ἀέρα τῆς διανοίας πληροῦσα, καὶ τοῖς ἔξω διασαφοῦσα τὰ κεκρυμμένα. ϛ'.

Πρῶτον ὁ νοῦς ζητεῖ καὶ εὑρίσκει. εἶτα ἑνοῦται τῷ εὑρεθέντι. καὶ τὴν μὲν ζήτησιν, ποιεῖται διὰ τοῦ λόγου. τὴν δὲ ἕνωσιν, διὰ τῆς ἀγάπης. καὶ ἡ μὲν διὰ τοῦ λόγου ζήτησις, γίνεται διὰ τὴν ἀλήθειαν. ἡ δὲ τῆς ἀγάπης ἕνωσις, διὰ τὸ ἀγαθόν. ζ'.

Ὁ τὴν ῥοώδη τῶν παρόντων φύσιν ὑπερβαίνων, καὶ τὴν ἐπιθυμίαν τῶν παρερχομένων παρατρέχων, οὐ βλέπει ἐπὶ τὰ κάτω. οὐκ ἐπιποθεῖ τὰ ὡραῖα τῆς γῆς. ἀλλὰ τὰς ἄνω ὁράσεις ἀνοιγομένας ἔχει, καὶ τὰ ἐν οὐρανοῖς κατοπτεύει κάλλη, καὶ τὴν * τῶν ἀκηράτων κατασκοπεύει μακαριότητα. ὡς γὰρ τοῖς ἐπικεχηνόσι ταῖς ὕλαις τῆς γῆς. καὶ πρὸς τὰς ἡδονὰς τῆς σαρκὸς ἐγκύπτουσι, κεκλεισμένοι εἰσὶν οἱ οὐρανοί· ὡς τοὺς νοεροὺς ὀφθαλμοὺς ἐσκοτισμένους ἔχουσιν. οὕτως ὁ περιφρονῶν τὰ κάτω, καὶ ἀποστρεφόμενος, μετάρσιον ἔχει τὸν νοῦν, καὶ τὴν τῶν ἀϊδίων ὁρᾷ δόξαν. καὶ τὴν ἀποκειμένην τοῖς ἁγίοις κατοπτεύει λαμπρότητα. η'.

οὕτως

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὅπως καὶ τὴν τοῦ Θεοῦ ἀγάπην ἄνωθεν κατιοῦσαν, ἐπ' αὐτὴν δέχεται. καὶ ναὸς τοῦ Ἁγίου Πνεύματος γίνεται. καὶ τὰ θεῖα θελήματα ἐπιποθεῖ. καὶ πνεύματι Θεοῦ ἄγεται. καὶ υἱοθεσίας καταξιοῦται, καὶ τὸν Θεὸν ἔχει εὐδοκοῦντα καὶ ἀρεσκόμενον αὐτῇ. ὅσοι γὰρ Θεοῦ πνεύματι ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ.

Χάριν ἀσθενείας μὴ ἐάσῃς τὴν εὐχὴν μίαν καὶ μόνην ἡμέραν ἕως ἐμπτύῃς, ἀκούων τοῦ λέγοντος· ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι. τοῦτο γὰρ ποιῶν, μειζόνως ὠφεληθήσῃ, καὶ αὕτη σε συντόμως ἀναστήσει, συνεργούσης τῆς χάριτος. ὅπου γὰρ παράκλησις πνεύματος, ἀσθένεια, ἢ ἀκηδία οὐκ ἐπιμένει. θ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη



Νικηφόρος ὁ Ὁσιώτατος Πατὴρ ἡμῶν, ὁ ἐν μὲν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθω τὸν τῶν ἀσκητικῶν ἀγώνων ἀνύσας δίαυλον, μικρῷ δὲ πρὸ τοῦ τεσσαρακοστοῦ τριακοσιοστοῦ, καὶ χιλιοστοῦ ἔτους ἀκμάσας, καθηγητὴς καὶ μυσταγωγὸς τῶν ὑψηλῶν τῆς ἀσκητικῆς φιλοσοφίας μαθημάτων ἐγένετο Γρηγορίου τοῦ Θεσσαλονίκης, καθάπερ αὐτός που περὶ αὐτοῦ μαρτυρεῖ. διὰ τῆς ἀπεριμερίμνου δὲ ἡσυχίας ἑαυτῷ μόνῳ σχολάζων, καὶ δι' ἑαυτοῦ ἤδη ἑνούμενος, τῷ ὑπερκοσμίῳ, καὶ ἀκροτάτῳ τῶν ἐφετῶν ἑνωθεὶς ἀπορρήτως, μακαρίως ἐντεῦθεν τὸν ἐνυπόστατον ἐν καρδίᾳ τῆς χάριτος ἔπαθε φωτισμόν. Τοῦ τοίνυν τῆς θεώσεως ἀμιμήτου μιμήματος, καὶ θεοποιοῦ δώρου αὐτός τε πρῶτον ἐκεῖθεν πλουσίως ἀναπλησθείς, τοῦτο καὶ ἡμῖν ὁ Μακάριος, διὰ τοῦ παρόντος αὐτοῦ Πονηματίου, εἴγε βουλοίμεθα τῶν ἴσων ἐκείνῳ ἀξιωθῆναι γερῶν, πατρικῶς καὶ ἀφθόνως μετέδωκεν. ἐν ᾧ τὰς ἐν ταῖς τῶν Ἁγίων Πατέρων βιογραφίαις περὶ νήψεως, προσοχῆς τε, καὶ προσευχῆς ὁπηδήποτε διαγορευούσας χρήσεις συνερανισάμενος, προσθεὶς δ' οἴκοθεν, καὶ τήν, ὡς οὐκ ἄν τις φαίη καλλίω, φυσικήν, καὶ ἐπιστημονικὴν ἀληθῶς μέθοδον τῆς δι' εἰσπνοῆς ῥινὸς ἔνδον καρδίας ἐπισυναγωγῆς τοῦ νοός, καὶ τῆς κατ' αὐτὴν τοῦ Κυρίου Ἰησοῦ ἐπικλήσεως, στάθμην οἷον ἀκριβεστάτην ἱερᾶς νήψεως, καὶ κλίμακα καθαρᾶς, καὶ ἀρεμβάστου προσευχῆς, καὶ τῶν ἐξ αὐτῆς πηγαζομένων ἀγαθῶν, τοῖς σωθῆναι ἐθέλουσιν ὑπεστήριξε. πρῶτος αὐτός, οἷά τις νέος Βεσελεήλ, κατασκευάσας τῇ ἀρχιτεκτονίᾳ τοῦ πνεύματος.

Ἀναβαίνετε λοιπόν, ἀναβαίνετε, ὅσοι ἐν ὑμῖν αὐτοῖς κατοικῆσαι τὸν Χριστὸν δι' ἐφέσεως ἔχετε, καὶ εἰς τὴν τοῦ Ἁγίου Πνεύματος εἰκόνα μεταμορφωθῆναι ἀπὸ δόξης εἰς δόξαν ἐθέλετε, καὶ ἑπομένως θεουργηθῆναι, καὶ τῆς σωζομένων φαεινῆς κληρουχίας ἀξιωθῆναι.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΝΙΚΗΦΟΡΟΥ

## ΜΟΝΑΖΟΝΤΟΣ

## ΛΟΓΟΣ

### Περὶ νήψεως, καὶ φυλακῆς καρδίας· μεστὸς οὐ τῆς τυχούσης ὠφελείας.

Ὅσοι τῆς μεγαλοπρεποῦς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, θεϊκῆς φωτοφανείας τυχεῖν ἐρωτικῶς ἔχετε. ὅσοι τὸ ὑπερουράνιον πῦρ καρδιακῶς ἐν αἰσθήσει ὑποδέξασθαι βούλεσθε· ὅσοι τῆς πρὸς Θεὸν καταλλαγῆς, πείρᾳ καὶ αἰσθήσει τυχεῖν σπεύδετε· ὅσοι τὸν θησαυρὸν τὸν ἐν τῷ ἀγρῷ τῶν καρδιῶν ὑμῶν κεκρυμμένον, πρὸς τὸ εὑρεῖν καὶ κτήσασθαι, τὰ τοῦ κόσμου ἅπαντα ἀπεκτήσασθε· ὅσοι ταῖς λαμπάσι ταῖς ψυχικαῖς φαιδρῶς ἀναφθῆναι ἀπὸ τοῦ παρόντος βούλεσθε, καὶ τὰ παρόντα ἅπαντα ἀπετάξασθε· Ὅσοι ἐν γνώσει, καὶ πείρᾳ τὴν τῶν οὐρανῶν βασιλείαν ἔνδοθεν ὑμῶν οὖσαν γνῶναι, καὶ λαβεῖν θέλετε, δεῦτε καὶ διηγήσωμαι ὑμῖν αἰωνίου, μᾶλλον δὲ οὐρανίου βιωτῆς ἐπιστήμην, ἢ μᾶλλον μέθοδον, ἀκόπως εἰς τὸν τῆς ἀπαθείας λιμένα καὶ ἀνιδρωτὶ τὸν ταύτης ἐργάτην εἰσάγουσαν μηδεμίαν πλάνην, ἢ πτόησιν ἐκ δαιμόνων δειματισμένην· μόνον δὲ τότε πτοουμένην, ὅτε ἔξωθεν τῆς ζωῆς, ἣν ὑμῖν ὑφηγοῦμαι, πόρρω που ἐκ παρακοῆς διατρίβομεν· καθάπερ πάλαι καὶ ὁ Ἀδὰμ τῆς ἐντολῆς τοῦ Θεοῦ καταλιγωρήσας, τῷ ὄφει δὲ φιλιάσας, καὶ πιστὸν ἡγησάμενος, καὶ τοῦ καρποῦ τῆς ἀπάτης ὑπ' αὐτοῦ κατακόρως πλησθεὶς, εἰς πυθμένα θανάτου, σκότους τε ἅμα καὶ διαφθορᾶς ἐλεεινῶς ἑαυτὸν, καὶ τοὺς μετ' αὐτὸν πάντας κατέβαλεν. οὐκοῦν ἐπανάγεσθε· μᾶλλον δὲ ἀληθέστερον εἰπεῖν, ἐπανέλθωμεν πρὸς ἑαυτούς· ἀδελφοί· τὴν τοῦ ὄφεως συμβουλὴν, καὶ τὴν πρὸς τὰ χαμαὶ συρόμενα περιφορὰν εἰσάπαν ἀποστυγούμενοι. οὐ γάρ ἐστι τὴν πρὸς Θεὸν καταλλαγὴν, καὶ οἰκείωσιν ἄλλως ἡμᾶς ἐντυχεῖν, εἰ μὴ πρότερον πρὸς ἑαυτοὺς, ὅσον τὸ ἐφ' ἡμῖν, ἐπανέλθωμεν, ἢ μᾶλλον εἰσέλθωμεν. τὸ γὰρ παρά-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δοξον, ἀπὸ τῆς τοῦ κόσμου περιφορᾶς, καὶ τῆς ματαίας μερίμνης ἑαυτοὺς ἀποσχίζοντες, πρὸς δὲ τὴν ἐντὸς ἡμῶν οὖσαν βασιλείαν τῶν Οὐρανῶν, ἀσυγχωρήτως κατέχοντες. διὰ τοῦτο γὰρ τέχνη τεχνῶν, καὶ ἐπιστήμη ἐπιστημῶν ἡ μοναδικὴ πολιτεία ὠνόμασται, ἐπειδὴ οὐχ ὁμοίως τῶν φθειρομένων τούτων πραγμάτων, ἐστὶν ἡμῖν πρόξενος ἡ Ὁσία αὕτη, ἵνα καὶ πρὸς αὐτὰ τὸν νοῦν ἡμῶν ἀπὸ τῶν κρειττόνων μετοχετεύσαντες, καταχωννύωμεν· ἀλλὰ ξένα τινὰ, καὶ ἀπόρρητα ἀγαθὰ ἡμῖν ἐπαγγέλλεται· ἃ ὀφθαλμὸς οὐκ εἶδε· καὶ οὖς οὐκ ἤκουσε· καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. κἀντεῦθεν, οὐδὲ ἡ πάλη ἡμῖν ἐστι πρὸς αἷμα καὶ σάρκα· ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. εἰ οὖν σκότος ὁ παρὼν αἰὼν, φευξώμεθα ἀπ' αὐτοῦ· φευξώμεθα δὲ τῷ νοήματι, μηδὲν κοινὸν ἡμῖν, καὶ τῷ ἐχθρῷ τοῦ Θεοῦ. ὁ γὰρ βουληθεὶς φιλιάσαι αὐτῷ, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται, τῷ δὲ ἐχθρῷ γεγονότι Θεοῦ, τίς βοηθῆσαι δύναται; διὰ τοῦτο μιμησώμεθα τοὺς πατέρας ἡμῶν· καὶ τὸν ἐντὸς τῶν καρδιῶν ἡμῶν θησαυρὸν, ὡς κἀκεῖνοι, ζητήσωμεν· καὶ τοῦτον εὑρόντες, κρατῶμεν κραταιῶς ἄγαν, ἐργαζόμενοι ὁμοῦ καὶ φυλάσσοντες. εἰς τοῦτο γὰρ ἐξ ἀρχῆς ἐτάχθημεν. εἰ δέ τις Νικόδημος ἄλλος ὀφθείη φιλονεικῶν ἐν τούτοις, καὶ λέγων· πῶς δύναταί τις, ἐν τῇ καρδίᾳ εἰσελθόμενος, ἐκεῖ ἐργάζεσθαι, ἢ διατρίβειν; ὥσπερ ἐκεῖνος τῷ Σωτῆρι ἀντέφησε, πῶς δύναταί τις εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν, καὶ γεννηθῆναι γέρων ὤν; ἀκούσεται καὶ αὐτός· ὅτι τὸ πνεῦμα, ὅπου θέλει πνεῖ. καὶ εἰ εἰς τὰ τῆς πρακτικῆς ἔργα, οὕτως ἀμφιβάλλομεν ἀπιστοῦντες, πῶς τὰ τῆς θεωρίας ἡμῖν ἐπελεύσεται; θεωρίας γὰρ ἐπίβασις πρακτική, ἐπεὶ δὲ γραφικῶν ἀποδείξεων ἄνευ, πληροφορηθῆναι τῷ οὕτως διαπιστοῦντι ἀδύνατον, φέρε τοὺς τῶν Ἁγίων βίους καὶ τὰ ἐγγράφως ὑπ' αὐτῶν ἐκτεθέντα, εἰς πολλῶν ὠφέλειαν ἐν τούτῳ τῷ λόγῳ ἐντάξωμεν· ἵνα ἐκ τούτων πληροφορούμενος πᾶσαν ἀμφιβολίαν ἀπώσηται. ἄνωθεν δὲ ἐξ αὐτοῦ τοῦ Πατρὸς ἡμῶν τοῦ Μεγάλου τὸν λόγον ἀρξάμενοι, ἐπὶ τοὺς καθεξῆς, ὅσον ἐστὶν ἐμοὶ δυνατὸν, τοὺς λόγους, καὶ τὰς πράξεις τούτων μερικῶς συλλέξαντες, πρὸς πίστωσιν παραθώμεθα.

## Ἐκ τοῦ βίου τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀντωνίου.

Εἰσήρχοντό ποτε πρὸς τὸν Ἀββᾶν Ἀντώνιον δύο ἀδελφοί· καὶ λείψαντος αὐτοῖς ἐν τῇ ὁδῷ τοῦ ὕδατος, ὁ μὲν εἷς ἀπέθανε, ὁ δὲ ἕτερος ἔμελλε· μηκέτι γοῦν ἰσχύων ὁδεύειν, ἔκειτο καὶ αὐτὸς ἐπὶ τῆς γῆς τεθνήξεσθαι προσδοκῶν. ὁ δὲ Ἀντώνιος καθήμενος ἐν τῷ ὄρει, φωνήσας δύο Μοναχοὺς, συνέβη γὰρ ἐκεῖ τούτους εἶναι, ἤπειγε λέγων· λάβετε κεράμιον ὕδατος, καὶ δράμετε τὴν ἐπ' Αἴγυπτον ὁδόν· δύο γὰρ ἐρχομένων, ὁ μὲν εἷς ἄρτι τετελεύτηκεν· ὁ δὲ ἕτερος μέλλει, ἐὰν μὴ σπεύσητε. τοῦτο γὰρ εὐχομένῳ μοι πεφανέρωται. Ἐλθόντες τοίνυν οἱ Μοναχοὶ, εὗρον τὸν μὲν, κείμενον νεκρὸν, καὶ ἔθαψαν· τὸν δὲ ἕτερον, ἀνεκτήσαντο τῷ ὕδατι, καὶ ἀπήγαγον πρὸς τὸν Γέροντα, ἦν γὰρ τὸ διάστημα ἡμέρας ὁδός. Ἐὰν δὲ ζητήσῃ τις, διατί μὴ πρὸ τοῦ τελευτῆσαι τὸν ἄλλον οὐκ εἴρηκεν; οὐκ ὀρθῶς τοῦτο ζητεῖ λέγων· οὐ γὰρ ἦν Ἀντωνίου τὸ τοῦ θανάτου κρίμα, ἀλλὰ τοῦ Θεοῦ, τοῦ καὶ περὶ ἐκείνου κρίναντος, καὶ περὶ τούτου ἀποκαλύψαντος· μόνου δὲ Ἀντωνίου τοῦτο θαῦμα ἦν, ὅτι ἐν τῷ ὄρει καθήμενος, εἶχε τὴν καρδίαν νήφουσαν, τὸν δὲ Κύ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ειον δεικνύοντα αὐτὸν τὰ μακράν. Ὁρᾷς ὅτι διὰ τὸ νήφειν τῇ καρδίᾳ, ὁ Ἀντώνιος θεόπτης, καὶ προβλέπων ἐγένετο; καὶ γὰρ ἐν τῇ καρδίᾳ ἐμφανίζεται ὁ Θεὸς τῷ νοΐ. κατ᾽ ἀρχὰς μὲν ὥς φησιν Ἰωάννης ὁ τῆς Κλίμακος, ὡς πῦρ καθαίρων τὸν ἐραστήν· ἔπειτα δὲ καὶ ὡς φῶς λαμπρύνων τὸν νοῦν καὶ θεοειδῆ ἐργαζόμενος· ἐπὶ δὲ τῆς καθεξῆς ὁ λόγος χωρείτω.

## Ἀπὸ τοῦ βίου τοῦ Ἁγίου Θεοδοσίου τοῦ Κοινοβιάρχου.

Οὕτω γὰρ ὁ θεῖος Θεοδόσιος, τῷ γλυκεῖ τῆς ἀγάπης βέλει ἐβέβλητο, καὶ οὕτως αὐτοῖς τοῖς δεσμοῖς συνείχετο, ὥστε τὸ ὑψηλὸν τοῦτο καὶ θεῖον παράγγελμα τὸ, ἀγαπήσεις Κύριον τὸν Θεόν σου, ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, ἔργοις ὑπ᾽ αὐτοῦ πληροῦσθαι. ὅπερ οὐκ ἂν ἄλλως γένοιτο, ἢ τῶν φυσικῶν τῆς ψυχῆς δυνάμεων, πρὸς οὐδὲν ἄλλο τῶν παρόντων, ὅτι μὴ πρὸς μόνον τὸν δημιουργοῦ πόθον, συντεινομένων· ταύτας οὖν, τὰς νοερὰς, φημὶ, τῆς ψυχῆς ἐνεργείας. ταύτῃ τοι καὶ παρακαλῶν, πολλοῖς φοβερὸς ἦν, καὶ ἐπιτιμῶν, ποθεινὸς, καὶ ἡδὺς ἐν ἅπασι. τίς οὕτω καὶ τοῖς πολλοῖς ὁμιλῶν ὠφελιμώτατος; καὶ τὰς αἰσθήσεις συνάγειν, καὶ εἴσω παρασκευάζειν ᾔδειν ἱκανώτατος; ὡς ἐν πλείονι γαλήνῃ τὰς τῶν ἐν μέσῳ θορύβων, ἢ τὰς ἐν ἐρήμῳ διατελεῖν· καὶ ἅμα τὸν αὐτὸν μετὰ πλήθους τε εἶναι, καὶ ἰδιάζειν; ἰδοὺ καὶ ὁ Μέγας οὗτος Θεοδόσιος διὰ τὸ τὰς αἰσθήσεις συνάγειν καὶ εἴσω εἰσάγειν, γέγονε τῆς τοῦ κτίστου τετρωμένος ἀγάπης.

## Ἀπὸ τοῦ βίου τοῦ Ἁγίου Ἀρσενίου.

Καὶ τοῦτο δὲ, τῷ θαυμαστῷ πεφύλακτο Ἀρσενίῳ, τὸ, μήτε ζητήματα γραφικὰ προτείνειν, μήτε μὴν ἐπιστέλλειν· οὐχ ὡς ἀδυνάτως ἔχοντι, πῶς γάρ; ᾧ τινι τὸ εὖ λέγειν οὕτω ῥάδιον, ὡς τὸ ἁπλῶς λέγειν ἑτέροις; ἀλλ᾽ ὁ πρὸς τὸ σιωπᾶν ἐθισμὸς, καὶ τὸ πρὸς ἐπίδειξιν ἐπαχθὲς, ταῦτα τῶν εἰρημένων αἴτια. διὰ τοῦτο γοῦν κἀν ταῖς Ἐκκλησίαις, κἀν ταῖς συνάξεσι, λίαν ἐσπουδασμένον ἦν αὐτῷ, τὸ, μήτε τινὰς ὁρᾶν, μηθ᾽ ὑφ᾽ ἑτέρων αὐτὸν βλέπεσθαι· ἀλλ᾽ ὀπίσω κίονος ἢ ἑτέρου προβλήματος ἵστασθαι, καὶ περικρύβειν ἑαυτόν· καὶ τῆς τῶν ἄλλων ἐπιμιξίας κρύβειν ἀθέατον· ἅτε δὴ προσέχειν ἑαυτῷ βουλόμενον καὶ εἴσω τὸν νοῦν ἀθροίζειν, καὶ οὕτω ῥαδίως πρὸς Θεὸν αἴρεσθαι. πάλιν καὶ ὁ θεῖος οὗτος ἀνὴρ, ὁ ἐπίγειος Ἄγγελος, εἴσω ἀθροίζει τὸν νοῦν, ἵνα ἐντεῦθεν εὐκόλως πρὸς Θεὸν αἴρηται.

## Ἀπὸ τοῦ βίου τοῦ Ἁγίου Παύλου τοῦ ἐν τῷ Λάτρῳ.

Ὁ μέντοι θεῖος Παῦλος ὄρεσι, καὶ ἐρημίαις διαπαντὸς διητᾶτο· θηρσὶ δὲ ἀγρίοις, οἷα γείτοσι καὶ ὁμοσίτοις, χρώμενος, ἔστι δ᾽ ὅτε καὶ πρὸς τὴν Λαύραν κατιὼν, ἐπισκοπῶν ἠξίου τοὺς ἀδελφούς· παρῄνει τε καὶ ἐδίδασκε μὴ μικροψυχεῖν· μηδὲ τῶν ἐπιπόνων τῆς ἀρετῆς καταραθυμεῖν ἔργων· ἀλλ᾽ ἐν προσοχῇ πάσῃ καὶ διακρίσει, τῆς κατὰ τὸ Εὐαγγέλιον ἔχεσθαι πολιτείας· καὶ πρὸς τὰ πνεύματα τῆς πονηρίας εὐψύχως ἀνταγωνίζεσθαι. πρὸς δὲ, καὶ μέθοδον αὐτοῖς εἰσηγήσατο· δι᾽ ἧς δυνατοὶ ἔσονται τάς τε προλήψεις ὑπομανθάνειν τὰς ἐμπαθεῖς, καὶ τὰς ἐπισπορὰς τῶν παθῶν ἀποξέ-

πεσθαι.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πεσθαι. βαβαί, πῶς ὁ θεῖος οὗτος Πατὴρ μέθοδον τοῖς φοιτηταῖς, ἀγνοοῦσι διδάσκει, ἵνα διὰ ταύτης ἀποκρούειν δύνωνται τὰς προσβολὰς τῶν παθῶν, οὐκ ἄλλη δέ ἐστιν αὕτη, ἢ ἡ τοῦ νοὸς τήρησις· ταύτης γάρ ἐστι τουτὶ τὸ κατόρθωμα, καὶ οὐκ ἄλλης, περαιτέρω δὲ ὁ λόγος χωρείτω.

### Ἀπὸ τοῦ βίου τοῦ Ἁγίου Σάββα.

Ἡνίκα μέντοι τὸν ἀποταξάμενον ὁ θεῖος Σάββας· τόν τε κανόνα ἴδοι τῆς κατὰ Μοναχοὺς ἀγωγῆς ἀκριβῶς ἐκμαθόντα καὶ τὸν νοῦν ἤδη τὸν ἑαυτοῦ τηρεῖν δυνάμενον, καὶ πρὸς τοὺς ἐναντίους τῶν λογισμῶν ἀπομάχεσθαι. πρὸς δέ, καὶ τὴν τῶν κοσμικῶν ὅλως μνήμην τῆς διανοίας ἐξοικισάμενον, τότε δὴ κἂν τῇ Λαύρᾳ παρεῖχε κελλίον, εἰ ἀσθενές ἔχοι τὸ σῶμα καὶ ἄρρωστον. εἰ μέντοι τῶν ἐρρωμένων εἴη καὶ εὐσθενῶν, καὶ κελλίου οἰκοδομὴν ἐπέτρεπεν, ὁρᾷς πῶς καὶ ὁ θεσπέσιος Σάββας τὴν τοῦ νοὸς φυλακὴν ἀπαιτεῖ τοὺς μαθητάς, καὶ οὕτως αὐτοῖς παρέχων* κελλίοις συνεχώρει καθῆσθαι; τί πράξομεν ἡμεῖς οἱ ἀργῶς ἐν κελλίοις καθήμενοι, καὶ οὐδέ, εἰ ἔστι νοὸς τήρησις ἐπιστάμενοι;

* ἴσ. κελλίον

### Ἀπὸ τοῦ βίου τοῦ Ἀββᾶ Ἀγάθωνος.

Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ἀγάθωνα, λέγων· εἰπέ μοι Ἀββᾶ τί μεῖζον, ὁ σωματικὸς κόπος, ἢ ἡ τῶν ἔνδον φυλακή; καὶ εἶπεν. ἔοικεν ὁ ἄνθρωπος δένδρῳ· ὁ τοίνυν σωματικὸς κόπος, φύλλα ἐστί· ἡ δὲ τῶν ἔνδον φυλακή, ὁ καρπός ἐστιν· ἐπεὶ οὖν κατὰ τὸ γεγραμμένον· πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτεται, καὶ εἰς τὸ πῦρ βάλλεται, φανερὸν ὅτι διὰ τὸν καρπὸν πᾶσα ἡμῶν ἐστὶν ἡ σπουδή, τουτέστιν ἡ τοῦ νοὸς φυλακή· χρεία δέ ἐστι καὶ τῆς τῶν φύλλων σκέπης καὶ εὐκοσμίας· ἅτινά ἐστιν ὁ σωματικὸς κόπος. θαῦμα· πῶς ὁ ἅγιος οὗτος κατὰ πάντων τῶν μὴ ἐχόντων νοὸς τήρησιν ἀπεφήνατο· εἰς μόνην δὲ αὐχοῦντας τὴν πρακτικὴν εἰπών, πᾶν δένδρον μὴ ποιοῦν καρπόν, νοὸς τήρησιν δηλαδή· φύλλα δὲ μόνον* ἔχοντα ἤγουν τὴν πρᾶξιν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται· φρικτή σου Πάτερ ἡ ἀπόφασις.

* ἴσ. ἔχον

### Τοῦ Ἀββᾶ Μάρκου, πρὸς Νικόλαον.

Εἰ οὖν βούλει τέκνον, οἰκεῖον λύχνον φωτὸς νοητοῦ γνώσεως πνευματικῆς ἔνδοθεν κτήσασθαι· ἵνα ἀπροσκόπως* σὺν τῇ βαθυτάτῃ νυκτὶ τοῦ αἰῶνος τούτου περιπατεῖν δυνήσῃ, καὶ ὑπὸ τοῦ Κυρίου τὰ διαβήματά σου κατευθυνθῇ, ὅπως τὴν ὁδὸν τοῦ Εὐαγγελίου θελήσῃς σφόδρα, κατὰ τὸ προφητικὸν λόγιον, τουτέστι πίστει διαπύρῳ τῶν τελείων Εὐαγγελικῶν προσταγμάτων τοῦ Κυρίου δι' ἐπιθυμίας καὶ εὐχῆς κοινωνὸς γενέσθαι, ὑποδείκνυμί σοι μέθοδον θαυμαστήν, καὶ ἐπίνοιαν τρόπου πνευματικοῦ· οὐ σωματικοῦ κόπου ἢ ἀγῶνος δεομένην, ἀλλὰ πνευματικοῦ πόνου, καὶ νοός, καὶ προσεχοῦς διανοίας χρῄζουσαν, καὶ φόβῳ καὶ ἀγάπῃ Θεοῦ συνεργουμένην. δι' ἧς ἐπινοίας τὴν φάλαγγα τῶν ἐχθρῶν εὐχερῶς τροπώσασθαι δυνήσῃ. εἰ οὖν βούλει κατὰ τῶν παθῶν τὸ νῖκος ἄρασθαι, δι' εὐχῆς, καὶ συνεργείας Θεοῦ ἐν ἑαυτῷ γενόμενος καὶ εἰς τὰ τῆς καρδίας βάθη δυνῶν, ἐξιχνίασον τοὺς δυνατοὺς τούτους τρεῖς γίγαντας, λήθην, λέγω, καὶ ῥᾳθυμίαν καὶ ἄγνοιαν, τὸ ὑποστήριγμα τῶν νοητῶν ἀλλοφύλων, δι' ὧν τὰ λοιπὰ τῆς κακίας πάθη ὑποστηριζόμενα, ἐνεργεῖ, καὶ ζῇ, καὶ ἰσχύει ἐν ταῖς τῶν φιληδόνων ψυχαῖς· καὶ διὰ πολλῆς προσεχείας, καὶ νοὸς ἐπιστασίας, μετὰ τῆς ἄνωθεν ῥο-

* ἴσ. ἐν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῆς, ὁρῶν τὰ τοῖς πολλοῖς ἀγνοούμενα, οὕτω δυνήσῃ ἐν πολλῇ προσεχίᾳ καὶ εὐχῇ ῥυσθῆναι τῶν πονηρῶν γιγάντων. γνώσεως γὰρ ἀληθοῦς· καὶ μνήμης λόγου Θεοῦ· καὶ ἀγαθῆς συμφωνίας προθυμία, διὰ χάριτος ἐνεργοῦς ἐν καρδίᾳ εἶναι συνδαζομένη, καὶ ἐπιμελῶς φυλαττομένη. λήθης καὶ ἀγνοίας καὶ ῥαθυμίας ἴχνος ἐν αὐτῇ ἀφανίζεται. ὁρᾷς συμφωνίαν τῶν πνευματικῶν ῥημάτων; ὁρᾷς πῶς σαφῆ ἐκφαίνουσι τὴν τῆς προσοχῆς εἴδησιν; ὅρα λοιπὸν καὶ τὰ ἔμπροσθεν, οἷα πάλιν ἡμῖν διαλέγονται.

### Τοῦ Ἁγίου Ἰωάννου τοῦ τῆς Κλίμακος.

Ἡσυχαστής ἐστιν, ὁ τὸ ἀσώματον ἐν σωματικῷ οἴκῳ περιορίζειν φιλονεικῶν, τὸ παράδοξον. ἡσυχαστής ἐστιν ἐκεῖνος ὁ εἰπών· ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ. κλεῖε μὲν θύραν κέλλης σώματι· καὶ θύραν γλώττης, φθέγματι· καὶ ἔνδον πύλην πνεύμασι. καθεζόμενος ἐφ᾽ ὕψους τήρει, εἰ ἄρα καὶ ἐπίστασαι, καὶ τότε ὅρα πῶς καὶ πότε, καὶ πόθεν, καὶ πόσοι, καὶ ποῖοι κλέπται εἰσελθεῖν καὶ κλέψαι τοὺς βότρυας ἔρχονται. ἀποκαμὼν ὁ σκοπὸς, ἀναστὰς, προσεύξεται, καὶ πάλιν καθεσθεὶς, τῆς αὐτῆς ἐργασίας ἀνδρείως ἕξεται. ἄλλο φυλακὴ λογισμῶν· καὶ ἕτερον νοὸς τήρησις. καὶ καθ᾽ ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, κατὰ τοσοῦτον ἡ δευτέρα τῆς πρώτης ἐστὶ, καὶ μοχθηροτέρα καθέστηκεν. ὥσπερ ὅπλα βασιλικὰ ἐν τόπῳ τινὶ κείμενα ὁρῶντες κλέπται οὐχ ὡς ἔτυχεν ἐπιβαίνουσιν, οὕτω καὶ ὁ τῇ καρδίᾳ προσευχὴν συνάψας, οὐχ ὡς ἔτυχεν ὑπὸ τῶν νοερῶν λῃστῶν κλέπτεται. οἶδας* φανεροποιὰ τῆς θαυμαστῆς ἐργασίας τοῦ μεγάλου τούτου Πατρὸς; ἀλλ᾽ ἡμεῖς γε ὡς ἐν σκότει διαπορευόμενοι καὶ ἐπάνω τῶν ψυχωφελῶν τοῦ πνεύματος λογίων ὡς ἐν

* αὐτ᾽ τὰ φανεροποιὰ· ἢ ῥήματα φανεροποιά

νυκτομαχίᾳ περιπατοῦντες, καὶ ἐθελοκωφοῦντες, ταῦτα παρερχόμεθα. ἀλλ᾽ ὅρα λοιπὸν καὶ τοῖς ἔμπροσθεν ὅσα τὰ πρὸς τὴν νῆψιν ὁδηγοῦντα οἱ πατέρες ἡμῖν ὑπογράφουσιν.

### Τοῦ Ἀββᾶ Ἡσαΐα.

Ὅταν τίς χωρίσῃ ἑαυτὸν ἀπὸ τοῦ ἀριστεροῦ, καὶ γνῷ ἀκριβῶς πάντα τὰ ἁμαρτήματα ἃ ἐποίησεν εἰς Θεὸν, (ἐπειδὴ οὐ βλέπει τὰς ἁμαρτίας, ἐὰν μὴ χωρισθῇ ἀπ᾽ αὐτῶν χωρισμῷ πικρίας·) οἱ φθάσαντες τοῦτο τὸ μέτρον, αὐτοὶ εὗρον τὸν κλαυθμὸν καὶ τὴν δέησιν, καὶ τὸ αἰσχύνεσθαι ἐνώπιον τοῦ Θεοῦ μνημονεύοντες τῆς πονηρᾶς φιλίας τῶν παθῶν. ἀγωνισώμεθα οὖν ἀδελφοὶ κατὰ τὴν δύναμιν ἡμῶν, καὶ συνεργεῖ ὁ Θεὸς κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ. καὶ εἰ οὐκ ἐφυλάξαμεν τὴν καρδίαν ἡμῶν ὡς οἱ πατέρες ἡμῶν, κἂν σπουδάσωμεν ποιῆσαι τὴν δύναμιν ἡμῶν, φυλάξαι τὰ σώματα ἡμῶν, ὡς ζητεῖ ὁ Θεὸς, ἀναμάρτητα, καὶ πιστεύομεν, ὅτι κατὰ τὸν καιρὸν τοῦ λιμοῦ τὸν καταλαβόντα ἡμᾶς, ποιεῖ μεθ᾽ ἡμῶν ἔλεος, ὡς καὶ μετὰ τῶν ἁγίων αὐτοῦ. παραμυθεῖται ἐνταῦθα ὁ μέγας οὗτος, τοῖς λίαν ἀσθενέσι, λέγων· καὶ εἰ οὐκ ἐφυλάξαμεν τὴν καρδίαν ἡμῶν ὡς οἱ πατέρες ἡμῶν, κἂν τὰ σώματα ἡμῶν τηρήσωμεν ἀναμάρτητα, ὡς ζητεῖ ὁ Θεὸς, καὶ ποιεῖ καὶ μεθ᾽ ἡμῶν ἔλεος. πολλὴ ἡ εὐσπλαγχνία τοῦ τιμίου Πατρὸς, καὶ συγκατάβασις.

### Μακαρίου τοῦ Μεγάλου.

Τὸ κυριώτατον τοῦ ἀθλητοῦ, τοῦτό ἐστιν, ἵνα εἰσελθὼν εἰς τὴν ἑαυτοῦ καρδίαν, ποιήσῃ πόλεμον πρὸς τὸν σατανᾶν καὶ μισήσῃ αὐτὸν· καὶ ἀντιπαλαίσας τοῖς διαλογισμοῖς αὐτοῦ, μαχέσηται αὐτῷ. εἰ δὲ εἰς τὸ φαινόμενον φυλάσσει τίς τὸ σῶμα



Athos Library
Αγιορειτική Βιβλιοθήκη

αὐτοῦ ἀπὸ φθορᾶς καὶ πορνείας, ἔσωθεν δὲ μοιχεύει παρὰ τῷ Θεῷ, καὶ πορνεύει τοῖς λογισμοῖς, οὐδὲν ὠφελήθη ἔχων τὸ σῶμα παρθένον. γέγραπται γάρ· πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ. ἔστι γὰρ πορνεία διὰ σώματος ἐπιτελουμένη· καὶ ἔστι πορνεία ψυχῆς κοινωνούσης τῷ σατανᾷ. δοκεῖ μὲν ὁ μέγας οὗτος Πατὴρ, ἀντιφέρεσθαι τοῖς λόγοις τοῦ προλεχθέντος πατρὸς Ἀββᾶ Ἠσαΐου· οὐκ ἔστι δέ. κἀκεῖνος γὰρ ὡς ζητεῖ ὁ Θεὸς παρεγγυᾶται ἡμῖν φυλάξαι τὰ σώματα ἡμῶν· ζητεῖ δὲ οὐ τῶν σωμάτων μόνον τὴν καθαρότητα, ἀλλὰ καὶ τῶν πνευμάτων· καὶ οὗτος ἀπὸ τῶν Εὐαγγελικῶν προσταγμάτων, τὰ αὐτὰ ἡμῖν ὑποτίθεται.

## Διαδόχου.

Ὁ ἐνδημῶν ἀεὶ τῇ ἑαυτοῦ καρδίᾳ, ἐκδημεῖ πάντως τῶν ὡραίων τοῦ βίου. πνεύματι γὰρ περιπατῶν, τὰς τῆς σαρκὸς ἐπιθυμίας εἰδέναι οὐ δύναται. ἐπειδὴ λοιπὸν ἐν τῷ φρουρίῳ τῶν ἀρετῶν τὰς περιπάτους ὁ τοιοῦτος ποιεῖται, αὐτὰς ὥσπερ τὰς ἀρετὰς πυλωροὺς ἔχων· διὸ δὴ καὶ ἄπρακτοι λοιπὸν αἱ τῶν δαιμόνων τότε ἐπ' αὐτῷ γίνονται μηχαναί. καλῶς εἶπεν ὁ ἅγιος ὅτι ἄπρακτοι μένουσιν αἱ τῶν ἐχθρῶν μηχαναί· ὅτε δηλονότι ἐν τῷ βάθει που τῆς καρδίας ἡμῶν διατρίβομεν καὶ τοσοῦτον πλέον, ὅσον ἐκεῖ ἐγχρονίζομεν. ἀλλ' οἶδα ὅτι ἐπιλείψει με ὁ χρόνος, βουλόμενον τῷ παρόντι διηγήματι τῶν πατέρων πάντων καταπάττειν τοὺς λόγους. διὸ ἑνὸς ἢ καὶ δύο μνησθεὶς, πρὸς τὸ τέλος τὸν λόγον στρέψομαι.

## Ἰσαὰκ τοῦ Σύρου.

Σπούδασον, εἰσελθεῖν εἰς τὸ ταμιεῖον τὸ ἔνδοθέν σου, καὶ ὄψει τὸ ταμεῖον τὸ οὐράνιον. ἓν γάρ ἐστι τοῦτο κἀκεῖνο· καὶ ἐν μιᾷ εἰσόδῳ θεωρεῖς ἀμφότερα. ἡ κλίμαξ τῆς βασιλείας ἐκείνης, ἔνδοθέν σου ἐστὶ κεκρυμμένη, ἤγουν ἐν τῇ ψυχῇ σου. βάπτισον οὖν σεαυτὸν ἐκ τῆς ἁμαρτίας, καὶ εὑρίσκεις ἐκεῖ ἀναβάσεις ἐν αἷς ἀναβαίνειν δυνήσῃ.

## Καρπαθίου.

Πολλοῦ ἀγῶνος, καὶ πόνου χρεία ἐν ταῖς προσευχαῖς· ὅπως εὕρωμεν τὴν ἀπαρενόχλητον τῆς διανοίας κατάστασιν, ἕτερόν τινα ἐγκάρδιον οὐρανὸν, ἔνθα οἰκεῖ ὁ Χριστός; ὥς φησιν ὁ Ἀπόστολος· ἢ οὐκ ἐπιγινώσκετε, ὅτι Χριστὸς οἰκεῖ ἐν ἡμῖν; εἰ μήτι ἄρα ἀδόκιμοί ἐστε.

## Συμεὼν τοῦ Θεολόγου.

Ἄδειαν εὗρεν ὁ διάβολος μετὰ τῶν δαιμόνων, ἀφ' οὗ τοῦ Παραδείσου καὶ τοῦ Θεοῦ ἐξόριστον διὰ τῆς παρακοῆς εἰργάσατο τὸν ἄνθρωπον, τὸ λογιστικὸν παντὸς ἀνθρώπου σαλεύειν, καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ νοητῶς· τὸν μὲν, ἐπὶ πολὺ, τὸν δὲ, ἐπ' ὀλίγον, καὶ ἄλλου, ἐπὶ πλέον. καὶ οὐκ ἄλλως δυνατὸν ὀχυρωθῆναι τοῦτο, ἢ μνήμῃ Θεοῦ διηνεκεῖ. * ὡς ἐὰν τῇ δυνάμει τοῦ σταυροῦ τυπωθεῖσα τῇ καρδίᾳ ἡ θεία μνήμη, πρὸς τὸ ἄσειστον στερεώσῃ τοῦτο. εἰς τοῦτο γὰρ φέρει τὰ τοῦ νοητοῦ ἀγῶνος· ὃν ἕκαστος χριστιανῶν ἀγωνίσασθαι, πρὸς τὸ στάδιον τῆς Χριστοῦ πίστεως ἀπεδύσατο· εἰ δὲ μὴ, μάτην ἀγωνιεῖται. τοῦ τοιούτου ἀγῶνος ἕνεκεν, ἡ πᾶσα καὶ ποικίλη παντὸς κακοπαθοῦντος διὰ τὸν Θεὸν ἄσκησις· ἵνα τις κάμψῃ τὰ σπλάγχνα τοῦ ἀγαθοῦ, καὶ δώσῃ πάλιν τὸ πρῶτον ἀξίωμα τοῦτο, καὶ σφραγισθῇ τῷ λογιστικῷ Χριστός. καθὼς λέγει ὁ Ἀπόστολος· τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑ-

* ἴσ. οὗ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μῖν. κατεμάθετε ἀδελφοί, ὡς ἔστι τέχνη πνευματική, ἤγουν μέθοδος, ταχέως τὸν ταύτης ἐργάτην εἰς ἀπάθειαν καὶ θεοπτίαν ἀνάγουσα; πεπληροφόρησθε, πῶς πᾶσα πρακτική, ὡς φύλλα ἐν δένδρῳ, χωρὶς καρποῦ λελόγισται τῷ Θεῷ; καὶ ὅτι πᾶσα ψυχὴ μὴ ἔχουσα νοῦ τήρησιν, εἰς κενὸν ταῦτα αὐτῇ ὑποβήσεται; οὐκοῦν σπεύσωμεν ἵνα μὴ ἄκαρποι τελευτήσαντες, μεταμεληθῶμεν ἀνόνητα.

Ἐρώτ. Ὅτι μὲν ἀπὸ τοῦ νῦν συγγράμματος γινώσκομεν, τίς τε ἦν ἡ πρᾶξις τῶν εὐαρεστησάντων τῷ Κυρίῳ, καὶ ὅτι ἔστι τις ἐργασία ἡ τῶν παθῶν τὴν ψυχὴν ταχέως ἐλευθεροῦσα, καὶ τῇ τοῦ Θεοῦ ἀγάπῃ συνδέουσα, ἣν χρεὼν παντὶ τῷ τῷ Χριστῷ στρατευθέντι, οὐδ᾽ ἡμεῖς ἀμφιβάλλομεν, ἀλλὰ καὶ λίαν πεπείσμεθα. τί δὲ ἔστι προσοχή, καὶ πῶς ἀξιοῦταί τις ταύτην εὑρεῖν, δυσωποῦμεν μαθεῖν. εἰσάπαν γὰρ τοῦ τοιούτου πράγματος ἐσμὲν ἀμύητοι.

Ἀπόκρ. Ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ εἰπόντος, χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν, τοῦτον βοηθὸν καὶ συνεργὸν ἐπικαλεσάμενοι, τὸ κατὰ δύναμιν ὑποδεῖξαι πειράσομαι, τί ἔστι προσοχή, καὶ πῶς αὕτη Θεοῦ θέλοντος κατορθωθείη.

## Τοῦ αὐτοῦ Νικηφόρου.

Τὴν μὲν προσοχὴν τινὲς τῶν ἁγίων, νοὸς τήρησιν ἔφησαν, ἄλλοι δέ, καρδιακὴν φυλακήν· ἕτεροι δέ, νῆψιν· καὶ ἄλλοι, νοερὰν ἡσυχίαν· καὶ ἄλλοι ἄλλως. τὰ δὲ πάντα, ἓν καὶ τὸ αὐτὸ δηλοῦσιν· ὡς αὐτὸς εἴποι ἄρτον· καὶ εἴποι καὶ τεμμάχιον· καὶ εἴποι καὶ βουκίον, οὕτω καὶ περὶ τούτων νόει. τί δὲ ἔστι προσοχή, καὶ τίνα τὰ ταύτης ἰδιώματα, ἀκριβῶς μάνθανε· προσοχή ἐστι, μετανοίας ἀκραιφνοῦς γνώρισμα. προσοχή ἐστι, ψυχῆς ἀνάκλησις· κόσμου μῖσος· καὶ πρὸς Θεὸν ἐπάνοδος. προσοχή ἐστιν, ἀθέτησις ἁμαρτίας, καὶ ἀρετῆς ἐπανάληψις. προσοχή ἐστι συγχωρήσεως ἁμαρτιῶν ἀνενδοίαστος πληροφορία. προσοχή ἐστιν, ἀρχὴ θεωρίας· μᾶλλον δέ, ὑπόθεσις θεωρίας. διὰ ταύτης γὰρ ὁ Θεὸς παρακύψας, ἐμφανίζεται τῷ νοΐ. προσοχή ἐστιν, ἀταραξία νοός· ἢ μᾶλλον, στάσις αὐτῆς, δι᾽ ἐλέους Θεοῦ, τῇ ψυχῇ βραβευθεῖσα. προσοχή ἐστι, καθαίρεσις μὲν λογισμῶν· Θεοῦ δὲ μνήμης ἀνάκτορον· καὶ τῆς τῶν ἐπερχομένων ὑπομονῆς ταμειοῦχος. προσοχή ἐστι, πίστεως, ἐλπίδος, καὶ ἀγάπης παραίτιος. εἰ μὴ γάρ τις πιστεύσειεν, οὐκ ἂν τὰ ἔξωθεν ἐπερχόμενα λυπηρὰ ὑποδέξηται. καὶ εἰ μὴ ἀσπασίως τὰ λυπηρὰ ὑποδέξηται, οὐκ ἂν ἐρεῖ τῷ Κυρίῳ, ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου. καὶ εἰ μὴ τὸν ὕψιστον θήσει καταφυγήν, οὐκ ἂν τῆς ἀγάπης αὐτοῦ ἐνέστερνος γένηται. * τοῦτο τοίνυν τοῦ μεγίστου τῶν μεγίστων κατορθώματος ἐκ διδαχῆς μάλιστα τοῖς πολλοῖς, ἢ τοῖς πᾶσι, προσγίνεται. σπάνιοι γὰρ οἱ ταύτην ἀδιδάκτως τῇ βίᾳ τῆς ἐργασίας, καὶ τῇ θέρμῃ τῆς πίστεως, ἐκ Θεοῦ κομισάμενοι· καὶ οὐ νόμος τὸ σπάνιον. διά τοι τοῦτο, χρὴ ζητεῖν, ὁδηγὸν ἀπλανῆ· ἵνα διὰ τῆς ἐκείνου διατυπώσεως, τὰς ἐκ τῆς προσοχῆς παραπιπτούσας ἡμῖν δεξιὰς καὶ ἀριστεράς, ἐλλείψεις, λέγω δή, καὶ ὑπερβολάς, τὰς ἐκ τοῦ πονηροῦ εἰσαγομένας, ὑπ᾽ αὐτοῦ διδασκώμεθα καὶ τυπούμεθα, ἐξ ὧν ἔπαθεν αὐτὸς πειρασθείς, δῆλα ἡμῖν ποιῶν, καὶ ἐκτὸς ἀμφιβολίας τὴν νοητὴν ταύτην ὁδὸν ὑποδεικνύει, καὶ οὕτως εὐκόλως ἡμεῖς διανύομεν. Εἰ δὲ ὁδηγὸς οὐκ ἔστι, χρὴ ζητεῖν ἐμπόνως. εἰ δ᾽ οὐχ εὑρίσκεται, τὸν Θεὸν ἐπικαλεσάμενος ἐν συντριβῇ πνεύματος καὶ δάκρυσι, καὶ σὺν ἀκτησίᾳ τοῦτον καθικετεύσας, ποίησον ὃ λέγω σοι. οἶδας ὅτι ἣν πνοὴν ἀναπνέομεν, ὁ ἀὴρ

* ἴσ. τοῦτο τὸ μέγιστον κατόρθωμα

ὗτός ἐστιν, ἐκπνέομεν δὲ αὐτόν, οὐ δι' ἑτέρου τινὸς, ἀλλ' ἢ διὰ τὴν καρδίαν. αὕτη γάρ ἐστιν ἡ τῆς ζωῆς παραίτιος, καὶ τῆς θέρμης τῷ σώματι. ἐπισπᾶται τοίνυν ἡ καρδία τὸ πνεῦμα· ἵνα τὸ μὲν ἑαυτῆς θερμὸν, ἔξωθεν διὰ τῆς ἐκπνοῆς διωθήσῃ· ἑαυτῇ δὲ εὐκρασίαν παρέξῃ. παραίτιος δὲ τῆς τοιαύτης οἰκονομίας, ἢ μᾶλλον ὑπουργὸς, ὁ πνεύμων ἐστίν· ὃς ἀραιὸς ὑπὸ τοῦ δημιουργοῦ κτισθεὶς, οἷά τις φυσητὴρ, ἀλύπως εἰσάγει, καὶ ἐξάγει τὸ περιέχον. οὕτως ἡ καρδία· τὸ μὲν ψυχρὸν ἕλκουσα διὰ τοῦ πνεύματος, τὸ θερμὸν δὲ διωθοῦσα, τὴν τάξιν δηλονότι δι' ἣν ᾠκονομήθη πρὸς τὴν τοῦ ζώου σύστασιν, ἀπαραβάτως διατηρεῖ. σὺ οὖν καθίσας καὶ συναγαγών σου τὸν νοῦν, εἰσάγαγε αὐτὸν, τὸν νοῦν δηλαδὴ, εἰς τὴν ῥινὸς τὴν ὁδὸν ἔνθα τὸ πνεῦμα εἰς τὴν καρδίαν εἰσέρχεται· καὶ ὤθισαι αὐτὸν καὶ παραβίασαι συγκατελθεῖν μετὰ τοῦ εἰσπνεομένου πνεύματος εἰς τὴν καρδίαν. εἰσελθόντος δὲ ἐκεῖσε οὐκέτι ἀνεύφραντα, οὐδὲ ἄχαρι γενήσεται τὰ μετὰ ταῦτα· ἀλλ' ὥσπερ ἀνήρ τις τοῦ ἑαυτοῦ οἴκου ἀπόδημος, ἐπὰν ἐπιστρέψῃ οὐκ ἔχει ὅ,τι καὶ γένηται ἀπὸ τῆς χαρᾶς, ὅτι κατηξιώθη τοῖς τέκνοις, καὶ τῇ γυναικὶ ἐντυχεῖν· οὕτω καὶ ὁ νοῦς, ἐπὰν μετὰ τῆς ψυχῆς ἑνωθῇ, ἀρρήτου ἡδονῆς, καὶ εὐφροσύνης ἐμπίπλαται. τοίνυν ἀδελφὲ· συνέθισον τὸν νοῦν, τοῦ μὴ ταχέως ἐκεῖθεν ἐξέρχεσθαι. πάνυ γὰρ ἐν ταῖς ἀρχαῖς καταρραθυμεῖ ἐκ τῆς τῶν ἔνδον συγκλείσεως, καὶ στενώσεως. ἐπὰν δὲ συνήθης γένηται, οὐκέτι στέργει ταῖς ἔξω περιφοραῖς. ἡ γὰρ βασιλεία τῶν οὐρανῶν, ἐντὸς ἡμῶν ἐστίν· ἣν ἐκεῖσε περισκοπῶν, καὶ διὰ καθαρᾶς προσευχῆς ταύτην ἐπιζητῶν, τὰ ἔξω πάντα στυγνὰ ἡγεῖται καὶ μισητά. Εἰ μὲν οὖν ἐκ πρώτης ὡς εἴρηται, διὰ νοὸς εἰσέλθῃς εἰς τὸν καρδιακὸν τόπον, ὃν σοι ὑπέδειξα, χάριν τῷ Θεῷ· καὶ δόξασον, καὶ σκίρτησον, καὶ ἔχου ταύτης τῆς ἐργασίας διαπαντός· καὶ αὕτη μέλλει διδάξαι σε, ἃ οὐκ ἐπίστασαι. χρὴ δέ σε, καὶ τοῦτο μαθεῖν, ὡς ἐκεῖσε τοῦ νοός σου τυγχάνοντος, οὐ σιωπᾶν καὶ ἀργὸς ἔκποτε ἵστασθαι· ἀλλὰ τὸ, Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με, ἔχειν ἔργον, καὶ μελέτην ἄπαυστον· καὶ οὐδέποτε ἐκ τούτου ποτὲ παύσεται. τοῦτο γὰρ ἀμετεώριστον συνέχον τὸν νοῦν, ἀχείρωτον δεικνύει αὐτὸν καὶ ἄψαυστον ταῖς προσβολαῖς τοῦ ἐχθροῦ· καὶ εἰς ἀγάπην, καὶ πόθον θεῖον τὸ καθ' ἡμέραν ἀνάγει. Εἰ δὲ πολλὰ καμὼν· ὦ ἀδελφὲ· οὐ δύνασαι εἰσελθεῖν εἰς τὰ μέρη τῆς καρδίας, καθώς σοι διεταξάμεθα, ποίησον ὃ λέγω σοι· καὶ μέλλεις, Θεοῦ συνεργοῦντός σοι, εὑρεῖν τὸ ζητούμενον. οἶδας, ὅτι τὸ λογιστικὸν παντὸς ἀνθρώπου ἐν τῷ στήθει ἐστίν. ἐντὸς γὰρ τοῦ στήθους, σιωπώντων ἡμῶν τῶν χειλέων, ἐκεῖσε λαλοῦμεν, καὶ βουλευόμεθα, καὶ εὐχὰς κατατάττομεν, καὶ ψαλμοὺς, καὶ ἄλλα τινά. τούτῳ οὖν τῷ λογιστικῷ, πάντα λογισμὸν ἐξ αὐτοῦ περιάρας. δύνασαι γὰρ ἐὰν θέλῃς. δὸς αὐτῷ τὸ, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με· καὶ βίασαι τοῦτο ἀντ' ἄλλης ἐννοίας πάντοτε ἔνδον βοᾶν. τοῦτο δὲ ἐπὶ καιρὸν κρατήσας, ἀνοιχθήσεταί σοι διὰ τούτου, καὶ ἡ καρδιακὴ εἴσοδος, καθώς σοι γεγράφαμεν, ἐκτὸς πάσης ἀμφιβολίας· καθὼς καὶ ἡμεῖς πείρᾳ ἐγνώκαμεν. ἐλεύσεται δέ σοι, σὺν τῇ πολυποθήτῳ καὶ τερπνῇ προσοχῇ, καὶ πᾶς ὁ τῶν ἀρετῶν χορὸς, ἀγάπη, χαρὰ, εἰρήνη, καὶ τὰ ἑξῆς· δι' ὧν πάντα σου τὰ αἰτήματα κομιεῖ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ Ἁγίῳ Πνεύματι· δόξα, κράτος, τιμὴ, καὶ προσκύνησις· νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Γρηγόριος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν, ὁ κατὰ τὸ Σίναιον ὄρος Μοναχὸς ἀποκαρεὶς, καὶ διὰ τοῦτο ἐπικληθεὶς Σιναΐτης· ἤκμασε μὲν ἐπὶ τῆς βασιλείας Ἀνδρονίκου τοῦ Παλαιολόγου, περί που τὸ χιλιοστὸν τριακοσιοστὸν τριακοστὸν ἔτος, εἰς δὲ τὸ τοῦ Ἄθω ὄρος ἐλθὼν, καὶ τὰ ἐκεῖσε περινοστήσας Μοναστήρια, καὶ ἡσυχαστήρια πολλοὺς μὲν εὗρε συνέσει, καὶ τῇ κατὰ τὸ ἦθος σεμνότητι κεκοσμημένους, καὶ περὶ τὸ πρακτικὸν μόνον ἐσπουδακότας, περὶ δὲ τήρησιν νοὸς, καὶ ἡσυχίας ἀκρίβειαν, καὶ θεωρίαν ἐπὶ τοσοῦτον ἀμυήτους, ὥστε οὐδὲ ἐξ ὀνόματος τὰ τοιαῦτα οἵους ὄντας διαγινώσκειν· μόνοις δὲ τρισὶν ἐντυγχάνει κατὰ τὴν ἀντικρὺ Φιλοθέου κειμένην τοῦ Μαγουλᾶ σκήτην (Ἡσαΐας· Κορνήλιος· καὶ Μακάριος αὐτοῖς τὰ ὀνόματα) μικρὸν καὶ περὶ τὸ θεωρητικὸν ἐνασχολουμένοις. ζήλῳ θείῳ τοίνυν πυρούμενος, οὐ μόνον τοὺς κατ' ἰδίαν ἡσυχάζοντας, ἀλλὰ δὴ καὶ τοὺς ἐν Κοινοβίοις ἅπαντας, περὶ νήψεως, καὶ φυλακῆς νοὸς καὶ νοερᾶς προσευχῆς ἐδίδασκεν. οὐ μὴν ἀλλὰ καὶ κατὰ τὰ Παρόρια τῆς Μακεδονίας τρεῖς Λαύρας μεγίστας οἰκοδομήσας, καὶ τόπους παμπόλλους, καὶ ἐπαρχίας περιελθὼν, ἅπαντας κοινῶς ἐπὶ τὴν τῆς νοερᾶς καὶ ἀδιαλείπτου προσευχῆς ἐργασίαν, ταῖς θείαις αὐτοῦ διδασκαλίαις, προὔτρεπετο· καὶ πολλοὺς δι' αὐτῆς ἁμαρτωλοὺς ἐπιστρέψας, καὶ ἀξίους ἐξ ἀναξίων ἀποδείξας, τῆς σωζομένων μερίδος ἀξιωθῆναι παραίτιος γέγονεν. οὗ καὶ τὸν βίον, Κάλλιστος ὁ Ἁγιώτατος Πατριάρχης, ὁ καὶ μαθητὴς αὐτοῦ χρηματίσας, κατὰ πλάτος συνέγραψεν. Ἀλλὰ γὰρ, ὥσπερ ἐν τῇ ζωῇ αὐτοῦ ὁ ἀοίδιμος, κοινὸς διδάσκαλος τῆς ἱερᾶς νήψεως ἐγνωρίζετο, οὕτως οὖν μετὰ θάνατον, ἐπ' αὐτὴν ταύτην διὰ τῶν παρόντων αὐτοῦ συγγραμμάτων χειραγωγεῖ. τόν τε γὰρ τῆς νοερᾶς, καὶ καρδιακῆς προσευχῆς πρακτικὸν τρόπον κάλλιστα, καὶ τελεώτατα μυσταγωγεῖ, καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

περὶ ἠθικῶν ἀρετῶν, καὶ παθῶν ἐκδιδάσκει, καὶ τίνα μὲν τὰ σημεῖα τῆς πλάνης, τίνα δὲ τῆς χάριτος ἐν τούτοις διασαφεῖ. καὶ ὅλως χρησιμώτατόν ἐστιν, εἴπερ τι ἄλλο, τουτὶ τὸ πόνημα, ἐπίσης ἀρχαρίοις, μέσοις τε, καὶ τελείοις. Τὸν δὲ ἐν αὐτοῖς κεκρυμμένον πραγματικὸν πλοῦτον, ἡλίκος, καὶ ὅσος τίς ἐστιν, ὁ μὴ παρέργως ἀναγνοὺς εὑρήσει· καὶ χαρᾷ ὄντως ἀνεκλαλήτῳ χαρήσεται ἐπὶ τῇ εὑρέσει αὐτοῦ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ἘΝ ἉΓΙΟΙΣ ΠΑΤΡῸΣ ἩΜΩΝ

# ΓΡΗΓΟΡΙΟΥ

## ΤΟΥ ΣΙΝΑΪΤΟΥ

### ΚΕΦΑΛΑΙΑ ΔΙ' ἈΚΡΟΣΤΙΧΙΔΟΣ ΠΑΝΤ' ὨΦΕΛΙΜΑ.

Λόγοι διάφοροι περὶ ἐντολῶν, δογμάτων, ἀπειλῶν, καὶ ἐπαγγελιῶν.
ἔτι δὲ καὶ περὶ λογισμῶν, καὶ παθῶν, καὶ ἀρετῶν.
ἔτι δὲ καὶ περὶ ἡσυχίας, καὶ προσευχῆς.

*Ὧν ἡ ἀκροστιχὶς ἥδε.*

α'. Λογικὸν μὲν εἶναί τινα, ἢ γενέσθαι κατὰ φύσιν ὡς ἦν, πρὸ καθαρότητος, καὶ ἀφθαρσίας, ἀδύνατον. τὴν μὲν γάρ, αἰσθητικὴ ἀλογίας ἕξις, τὴν δέ, φθορᾶς σαρκὸς κατάστασις ἐκυρίευσεν.

β'. Οἱ κατὰ φύσιν λογικοί, μόνοι οἱ διὰ καθαρότητος ὤφθησαν ἅγιοι. λόγον γὰρ καθαρόν, οὐδεὶς τῶν ἐν λόγῳ σοφῶν ἔσχηκε, τὸ λογικὸν ἄνωθεν διὰ τῶν λογισμῶν διαφθειράντων. τὸ γὰρ ὑλικὸν καὶ πολύρρημον τῆς σοφίας τοῦ κόσμου τοῦτο πνεῦμα, τοὺς λόγους μέν, ἐπὶ τῶν γνωστικωτέρων, τοὺς λογισμοὺς δὲ ἐπὶ τῶν ἀγροικοτέρων ἐπάγον, ποιεῖ τὴν συνοίκησιν, τῆς ἐνυποστάτου σοφίας, καὶ θεωρίας, καὶ ἀμερίστου, καὶ ἑνιαίας γνώσεως ὑστερῆσαι.

γ'. Γνῶσιν ἀληθείας, τὴν τῆς χάριτος αἴσθησιν εἶναι κυρίως νόμισον. τὰς δὲ λοιπάς, νοήσεων ἐμφάσεις, καὶ πραγμάτων ἀποδείξεις ἀποκαλεῖν δεῖ.

δ'. Ὅσοι τῆς χάριτος ἀποτυγχάνουσι, δι' ἀπιστίαν καὶ ἀμέλειαν τοῦτο πάσχουσι. καὶ ὅσοι πάλιν εὑρίσκουσι, διὰ πίστεως καὶ σπουδῆς. ἀεὶ γάρ, * ταῦτα μέν, εἰς τὰ ἔμπροσθεν προΐασι. διὰ τὰ ἐναντία δέ, εἰς τοὐπίσω τελείως στρέφονται. (* ἴσ. διὰ)

ε'. Ἴσον ἐστὶ καὶ νεκρὸν καὶ ἀναίσθητον εἶναι, καὶ τυφλὸν τῷ νοΐ, καὶ σωματικῶς μὴ ὁρᾶν. ὁ μὲν γάρ, ἐστερήθη τῆς ζώσης



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ ἐνεργούσης δυνάμεως. ὁ δὲ μὴ βλέπων, τοῦ ποιοῦντος ὁρᾷν, καὶ ὁρᾶσθαι, θείου φωτός.

ς'. Δύναμιν καὶ σοφίαν, ὀλίγοι ἀμφότερα ἐκ Θεοῦ λαμβάνουσιν. ἡ μὲν γάρ ἐστι, τῶν θείων μεθεκτικὴ ἀγαθῶν, ἡ δὲ, ἐκφαντική. μεταλαμβάνειν δὲ καὶ μεταδιδόναι, θεῖον ὡς ἀληθῶς χρῆμα καὶ ὑπὲρ ἄνθρωπον.

ζ'. Ἱερατεῖον ἀληθινὸν καὶ πρὸ τῆς μελλούσης βιώσεως, ἡ χωρὶς λογισμῶν καρδία ἐνεργουμένη τῷ Πνεύματι. πάντα γὰρ ἐκεῖ τελεῖται, καὶ λέγεται πνευματικῶς. καὶ ὁ μὴ κτησάμενος τοῦτο ἀπ' ἐντεῦθεν, λίθος ἐστὶ διὰ ἄλλας ἀρετὰς, εἰς οἰκοδομὴν ἐπιτήδειος τοῦ θείου ναοῦ, καὶ οὐ ναὸς, καὶ ἱερουργὸς τοῦ Πνεύματος.

η'. Ἄφθαρτος ὁ ἄνθρωπος ἐπλάσθη χωρὶς χυμοῦ, οἷος καὶ ἀναστήσεται. οὐκ ἄτρεπτος δὲ, οὐδὲ πάλιν τρεπτός. δύναμιν ἔχων θελητικῆς ἕξεως τρέπεσθαι, ἢ οὔ. ἀτρεψίαν γὰρ παντελῆ οὐ ποιεῖ πρὸς τὴν φύσιν ἡ θέλησις· αὕτη γὰρ βραβεῖόν ἐστι τῆς μελλούσης ἀτρέπτου θεώσεως.

θ'. Φθορὰ γὰρ, σαρκὸς γέννησις. ἐσθίειν δὲ, καὶ περιττωματεῖν, καὶ γαυριᾶν, καὶ κοιμᾶσθαι, θηρίων καὶ κτηνῶν φυσικαὶ ἰδιότητες· ἀφ' ὧν διὰ τὴν παρακοὴν τοῖς κτήνεσιν ὁμοιωθέντες, τῶν οἰκείων καὶ θεοδότων ἀγαθῶν ἐκπεπτώκαμεν. κτηνώδεις ἐκ λογικῶν, καὶ θηριώδεις γεγονότες ἐκ θείων.

ι'. Ὁ παράδεισος διττός ἐστιν, αἰσθητὸς καὶ νοητός. ἤγουν ὁ ἐν Ἐδὲμ, καὶ ὁ τῆς χάριτος. ἔστι δὲ ὁ τῆς Ἐδὲμ τόπος ὑψηλὸς λίαν, ὡς εἶναι τρίτον ἕως οὐρανοῦ, καθὼς οἱ ἱστορήσαντες φάσκουσι, παντοίοις φυτοῖς εὐωδεστάτοις πεφυτευμένος ὑπὸ Θεοῦ. οὔτε οὖν τελείως ἐστὶν ἄφθαρτος, οὔτε πάντη φθαρτός. μέσον φθορᾶς καὶ ἀφθαρσίας πεποιημένος. ὡς εἶναι ἀεὶ, καὶ κατάκομος τοῖς καρποῖς, καὶ ἀνθοῦντα ἄνθη, καὶ ὄμφακα, καὶ ὥριμα ἔχων διηνεκῶς. σηπόμενα γὰρ τὰ δένδρα καὶ οἱ τέλειοι καρποὶ, καὶ εἰς γῆν ῥιπτόμενοι, γῆς εὐώδης γίνονται, καὶ οὐ φθορᾶς ὄζουσιν ὡς τὰ τοῦ κόσμου φυτά. τοῦτο δὲ γίνεται ἐκ πολλῆς περιουσίας, καὶ ἁγιασμοῦ τῆς ἀεὶ περιπολαζούσης ἐκεῖσε χάριτος. ὅθεν διερχόμενος μέσον ὁ τοῦτον προσταχθεὶς ἀρδεύειν διηνεκῶς ὠκεανὸς ποταμὸς, ὁ ἐκπορευόμενος ἐξ αὐτοῦ, καὶ εἰς τέσσαρας ἀρχὰς μεριζόμενος, τόν τε χοῦν τε, καὶ τὰ φύλλα τὰ πεπτωκότα, τοῖς Ἰνδικοῖς καὶ Αἰθίοψι καταῤῥέων, ἐπιφέρει καὶ δίδωσι, καὶ * φερόμενος ὢν, ἀεὶ περὶ τὰς ἀρχὰς αὐτῶν πλημμυρεῖ ὁ Φισὼν ὁμοῦ, καὶ ὁ Γεὼν, ἕως ἂν πάλιν ἐπιμερισθῶσιν, ὁ μὲν τὴν Λυβικὴν, ὁ δὲ τὴν Αἰγυπτιακὴν χώραν ἐπάρδοντες. * ἴσ. ἡνωμένος

ια'. Ῥευστὴ, εἴτουν φθαρτὴ ἡ κτίσις, φασὶν, οὐ κατεσκευάσθη πρότερον· ὕστερον δὲ διαφθαρεῖσα, καὶ ὑποταγεῖσα τῇ ματαιότητι, κατὰ τὴν γραφήν· ἤγουν τῷ ἀνθρώπῳ. οὐχ ἑκοῦσα δὲ, ἀλλὰ μὴ βουλομένη, διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι τῆς ἀνακαινίσεως τοῦ φθαρέντος Ἀδάμ. ἀνακαινίσας δὲ τοῦτον, καὶ ἁγιάσας, κἂν φθαρτὸν φέρῃ σῶμα διὰ τὴν πρόσκαιρον ζωὴν, καὶ αὐτὴν ἀνεκαίνισε, μήπω φθορᾶς ἀπαλλάξας. φθορᾶς δὲ ἀπαλλαγὴν τῆς κτίσεως, οἱ μὲν, τὴν ἐπὶ τὸ κρεῖττον ἀλλοίωσιν· οἱ δὲ, τὴν παντελῆ μετάθεσιν τῶν αἰσθητῶν λέγουσιν εἶναι. ἔθος γὰρ τῇ γραφῇ ἁπλῶς περὶ τῶν τέως ἀπόρων ποιεῖν τὴν κατάφασιν, καὶ ἀπεριέργως.

ιβ'. Οἱ τὴν χάριν δεχόμενοι ὡς οἱ περὶ τὴν σύλληψιν, καὶ ἐγκυμονοῦντες τῷ Πνεύματι, ἢ διὰ πτωμάτων τὸ θεῖον ἀποβάλλουσι σπέρμα, ἢ χωρίζοντες ἐκ Θεοῦ τῇ τοῦ ἐχθροῦ κοινωνίᾳ, ἐνδομυχοῦντος αὐτοῖς. καὶ ἡ μὲν ἀποβολὴ τῆς χάριτος,

δι᾽ ἐνεργείας παθῶν. ἡ δὲ παντελὴς στέρησις, διὰ τὴν τῶν ἁμαρτημάτων γίνεται πρᾶξιν. ψυχὴ γὰρ φιλοπαθής, καὶ φιλαμαρτής, οὐ στερημένη, καὶ ἀποβαλλομένη τὴν χάριν καὶ χηρεύουσα, παθῶν, ἵνα μὴ εἴπω, δαιμόνων κατοικητήριον ἔσται, νῦν, καὶ ἐν τῷ μέλλοντι.

ιγ. Ἱλαρὸν καὶ ἥμερον οὐ ποιεῖ τὸν θυμόν, ὡς ἡ ἀνδρεία, καὶ τὸ ἔλεος. ἡ μὲν τοὺς ἔξω, ἡ δὲ τοὺς ἔσω καθάπερ ἑλεπόλεις συντρίβουσα.

ιδ. Πολλοὶ τὰς ἐντολὰς ἐργαζόμενοι, δοκοῦσιν ὁδεύειν οἱ καὶ μήπω τὴν πόλιν φθάσαντες, ἔξωθεν μένουσι. τὰς γὰρ διεξόδους τῶν βασιλικῶν εὐθειῶν, τουτέστι τὰς ἀγχιθύρους τῆς ἀρετῆς κακίας λεληθότως ἄραντες, ἀνοήτως πορεύονται. οὔτε γὰρ ἔλλειψιν, οὔτε ὑπερβολήν, ἀλλὰ καὶ σκοπὸν θεάρεστον, καὶ τὸ θεῖον μόνον ζητοῦσαι αἱ ἐντολαὶ δέονται θέλημα. εἰ δὲ μή, μάτην ὁ * σκοπός, εὐθείας κατὰ τὴν γραφὴν μὴ ποιεῖν τὰς τρίβους τοῦ Θεοῦ. παντὶ γὰρ ἔργῳ, ὁ σκοπὸς ζητεῖται τοῦ πράγματος.

* ἐν ἄλλ. ὁ κόπος

ιε. Ἐν ὁδῷ, τουτέστι δι᾽ ἐντολῶν ἐν καρδίᾳ ζήτει τὸν Κύριον. ὅταν γὰρ ἀκούσῃς τὸν Ἰωάννην βοῶντα, καὶ προστάσσοντα πᾶσι τὰς ὁδοὺς ἑτοιμάσαι, καὶ τὰς τρίβους εὐθείας ποιεῖν κελεύοντα, τὰς ἐντολάς, καὶ τὰς καρδίας, καὶ τὰς πράξεις εἶναι νόμισον· ἀδύνατον γὰρ ὁδὸν εὐθεῖαν τῶν ἐντολῶν ποιῆσαι, καὶ πρᾶξιν ἀνεύθυνον, εἰ μὴ καρδιακὴν * εὐθύτητα.

* ἐν ἄλλ. καρδιακῇ εὐθύτητι

ις'. Ῥάβδον καὶ βακτηρίαν, ὅταν ἀκούσῃς τῆς γραφῆς λεγούσης, κατὰ μὲν τὸν Προφητικὸν λόγον, τὴν κρίσιν, καὶ τὴν πρόνοιαν εἶναι νόμισον. κατὰ δὲ τὸν ἠθικὸν λόγον, τὴν ψαλμῳδίαν, καὶ προσευχήν· κρινόμενοι γὰρ ὑπὸ Κυρίου τῇ ῥάβδῳ τῆς παιδείας, πρὸς ἐπιστροφὴν παιδευόμεθα. παιδεύοντες δὲ τοὺς ἐπανισταμένους ἡμῖν τῇ ῥάβδῳ τῆς ἀνδρικῆς ψαλμῳδίας, τῇ προσευχῇ στηριζόμεθα. ἔχοντες οὖν τὴν ῥάβδον καὶ τὴν βακτηρίαν ἐν χειρὶ πράξεως νοός, μὴ παυσώμεθα παιδεύοντες καὶ παιδευόμενοι, ἄχρις ἂν ὑπὸ τὴν πρόνοιαν ὁλικῶς γενώμεθα, τὴν κρίσιν ἐκφυγόντες, τὴν νῦν, καὶ τὴν μέλλουσαν.

ιζ. Ἴδιον τῶν ἐντολῶν, τὸ προτιμᾶν ἀεὶ τὴν περιεκτικὴν ἐντολήν, τὴν τοῦ Θεοῦ μνήμην, τὴν λέγουσαν, μνήσθητι Κυρίου τοῦ Θεοῦ σου διαπαντός. δι᾽ ἧς γὰρ ἀπώλοντο, διὰ ταύτης καὶ φυλαχθῆναι δύνανται. λήθη γὰρ τὴν θείαν ἐξ ἀρχῆς μνήμην ἀπώλεσε, τὰς ἐντολὰς ἀμαυρώσασα· καὶ οὕτω γυμνὸν ἐκ παντὸς ἀγαθοῦ τὸν ἄνθρωπον ἔδειξεν.

ιη. Ἐν δυσὶν ἐντολαῖς οἱ ἀγωνισταὶ πάλιν πρὸς τὸ ἀρχαῖον ἀξίωμα ἔρχονται, δι᾽ ὑπακοῆς, καὶ νηστείας. ἐκ γὰρ τῶν ἐναντίων τούτων ἡ κακία πᾶσα τῷ γένει τῶν βροτῶν ἐπεισῆλθε. καὶ οἱ μὲν δι᾽ ὑπακοῆς τὰς ἐντολὰς φυλάττοντες, πρὸς τὸν Θεὸν ἐπανέρχονται συντομώτερον· οἱ δὲ διὰ νηστείας, καὶ προσευχῆς, βραδύτερον. καὶ ἡ μὲν ὑπακοή, τοῖς ἀρχομένοις ἁρμόδιος· ἡ δὲ νηστεία, τοῖς μέσοις, καὶ γνωστικοῖς, καὶ ἀνδρείοις. τὸ γὰρ τηρῆσαι τὴν διὰ τῶν ἐντολῶν ὑπακοὴν τῷ Θεῷ ἀνόθευτον, λίαν ἐστὶν ὀλίγοις, καὶ αὐτοῖς τοῖς ἀνδρείοις ἐπίμοχθον.

ιθ. Νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἐστὶ κατὰ τὸν Ἀπόστολον, ὁ ἐν καρδίᾳ ἐνεργῶν καὶ λαλῶν· ὥσπερ καὶ τοῦ γράμματος, ὁ ἐν σαρκὶ ἐνεργούμενος. ἐκεῖνος μὲν γὰρ ἐλευθεροῖ τὸν νοῦν ἐκ τοῦ νόμου τῆς ἁμαρτίας, καὶ τοῦ θανάτου· οὗτος δὲ λεληθότως φαρισαῖον ἐργάζεται· σωματικῶς τὸν νόμον ποιῶν καὶ νοῶν, καὶ πρὸς τὸ θεαθῆναι, τὰς ἐντολὰς ἐργαζόμενος.

κ. Τὴν πασῶν τῶν ἐντολῶν σύνθεσιν συναρμολογουμένην, καὶ συμβιβαζομένην ἐν πνεύματι, ἄνθρωπον εἶναι λέγουσι τέλειον, ἢ ἀτελῆ κατὰ τὴν προκοπὴν γι-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νόμενον· καὶ τὰς ἐντολάς, ὡς σῶμα· τὰς δ' ἀρετάς, ὡς ποιοτήτων ἕξεις, ὀστᾶ· τὴν δὲ χάριν, ὡς ψυχὴν ζῶσαν, καὶ κινουμένην, καὶ ἐνεργοῦσαν ὡς σῶμα τὰς τῶν ἐντολῶν ἐνεργείας. ἀμέλεια γὰρ καὶ σπουδὴ πρὸς τὰς μεθηλικιώσεις Χριστοῦ, νήπιον, ἢ τέλειον δείκνυσι, νῦν τε καὶ ἐν τῷ μέλλοντι.

κα'. Ὁ τὸ σῶμα τῶν ἐντολῶν αὐξάνειν θέλων, τὸ λογικὸν καὶ ἄδολον γάλα τῆς μητρικῆς χάριτος ἐπιποθεῖν σπουδαζέτω. ἐκεῖθεν γὰρ γαλουχοτροφεῖται πᾶς ὁ τὴν ἐν Χριστῷ ζωὴν, καὶ θέλων αὔξησιν αὐξηθῆναι. γάλα μὲν πρὸς αὔξησιν, ἡ σοφία ἐκ τῶν αὐτῆς μαστῶν τὴν θέρμην δίδωσι· μέλι δὲ τροφῆς τοῖς τελείοις, τὴν ἑαυτῆς εὐφροσύνην πρὸς κάθαρσιν. μέλι· φησί· καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου, γάλα μὲν τὴν θρεπτικὴν καὶ αὐξητικήν, μέλι δὲ τὴν καθαρτικὴν τοῦ πνεύματος δύναμιν ὁ Σολομῶν ἔφησεν. ὁ δὲ μέγας Ἀπόστολος τὴν διαφορὰν τῶν ἐνεργειῶν αἰνιττόμενος, ἔλεγεν· ὡς νηπίοις γάλα ὑμᾶς ἐπότισα καὶ οὐ βρῶμα.

κβ'. Λόγους ἐντολῶν, ὁ χωρὶς ἐντολῶν ἐπιζητῶν, καὶ διὰ μαθήσεως, ἢ ἀναγνώσεως ἐπιποθῶν εὑρεῖν, ὅμοιός ἐστι τῷ σκιὰν ἀντὶ ἀληθείας φανταζομένῳ. οἱ λόγοι γὰρ τῆς ἀληθείας, ἐν τοῖς τῆς ἀληθείας μετόχοις μετέχονται. οἱ δὲ τῆς ἀληθείας ἀμέτοχοι καὶ ἀμύητοι, λόγους ἐπιζητοῦντες, τοὺς ἐκ τῆς μωρανθείσης σοφίας εὑρίσκουσι· οὓς καὶ ψυχικοὺς ἐκάλεσεν ὁ Ἀπόστολος, πνεῦμα μὴ ἔχοντας· κἂν τῇ ἀληθείᾳ σεμνύνωνται.

κγ'. Ὥσπερ ὁ αἰσθητὸς ὀφθαλμὸς εἰς τὸ γράμμα ἀφορᾷ, καὶ ἐκ τοῦ γράμματος λαμβάνει τὰ αἰσθητὰ νοήματα. οὕτως ὁ νοῦς, ὅταν καθαρθῇ, καὶ εἰς τὸ ἀρχαῖον ἐπανέλθῃ ἀξίωμα, εἰς Θεὸν ὁρᾷ, καὶ ἐξ αὐτοῦ λαμβάνει τὰ θεῖα νοήματα. καὶ ἀντὶ μὲν βίβλου, ἔχει τὸ πνεῦμα· ἀντὶ δὲ καλάμου, τὴν διάνοιαν, καὶ τὴν γλῶσσαν. ἡ γλῶσσά μου· φησί· κάλαμος. τὸ φῶς δέ, ἀντὶ μέλανος. ἐμβάπτων οὖν τὴν διάνοιαν ἐν τῷ φωτί, καὶ φῶς ἀποτελῶν, διαγράφει τοὺς λόγους ἐν πνεύματι ἐν ταῖς τῶν ἀκουόντων καθαραῖς καρδίαις. τότε γινώσκει τὸ εἰρημένον, πῶς ἔσονται οἱ πιστοὶ διδακτοὶ Θεοῦ, καὶ πῶς διδάσκει Θεὸς ἄνθρωπον γνῶσιν, κατὰ τὴν προφητείαν, ἐν πνεύματι.

κδ'. Νόμον ἐντολῶν, τὴν καρδιακῶς ἐνεργουμένην πίστιν ἄμεσον, εἶναι νόμισον. δι' αὐτῆς γὰρ πᾶσα ἐντολὴ πηγάζει, καὶ ἐνεργεῖ τὸν τῶν ψυχῶν φωτισμόν· ὧν οἱ καρποὶ τῆς ἀληθοῦς, καὶ ἐνεργουμένης πίστεώς εἰσιν, ἡ ἐγκράτεια, καὶ ἡ ἀγάπη· καὶ τέλος, ἡ θεοδώρητος πεποίθησις, ἡ τῆς ἀγάπης ἀρχή, καὶ κραταίωμα.

κε'. Δόξα τῶν ὄντων ἀψευδής, ἡ ὁρατῶν, καὶ ἀοράτων ἐστὶ γνῶσις ἀληθής. ὁρατῶν μέν, τῶν αἰσθητῶν· ἀοράτων δέ, τῶν νοητῶν, καὶ λογικῶν, καὶ νοερῶν, καὶ θείων.

κϛ'. Ὅρος ὀρθοδοξίας ἐστί, τὰ δύο τῆς πίστεως δόγματα ἐκ καθαρότητος ἰδεῖν, καὶ γνῶναι ἐξ αὐτοῦ, τὴν τριάδα· λέγω· καὶ δυάδα. τὴν μὲν τριάδα, ἐν μονάδι ἀσυγχύτως καὶ ἀτμήτως θεωρεῖν, καὶ γινώσκειν· τὴν δὲ δυάδα τῶν Χριστοῦ φύσεων, ἐν μιᾷ ὑποστάσει· τουτέστιν ἕνα υἱὸν καὶ πρὸ σαρκώσεως, καὶ μετὰ τὴν σάρκωσιν ἐν δύο φύσεσιν ὁμολογεῖν, καὶ εἰδέναι, ἐν δύο θελήσεσι θεϊκῆς τε καὶ ἀνθρωπίνης ἀσυγχύτως δοξαζόμενον.

κζ'. Γέννησιν, καὶ ἀγεννησίαν, καὶ ἐκπόρευσιν, τὰς τρεῖς ἀκινήτους καὶ ἀμεταβλήτους ἰδιότητας τῆς Παναγίας τριάδος δεῖ ὁμολογεῖν εὐσεβῶς· Πατρὸς μὲν ἀγεννήτου καὶ ἀνάρχου. Υἱοῦ δὲ γεννητοῦ καὶ συνανάρχου. Πνεύματος δὲ Ἁγίου ἐκπορευτοῦ ἐκ τοῦ Πατρός, διὰ τοῦ Υἱοῦ (καθὼς φη-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σὶν ὁ Δαμασκηνός ) καὶ συναΐδιῳ διδόμενοι.

κη'. Μόνη ἡ ἐν χάριτι πίστις ἤρκει πρὸς σωτηρίαν, διὰ τῶν ἐντολῶν ἐνεργουμένη τῷ πνεύματι, εἰ ἐφυλάξαμεν, καὶ μὴ τὴν νεκράν, καὶ ἀνενέργητον τῆς ζώσης καὶ ἐνεργουμένης ἐν Χριστῷ προτιμήσαντες. ἀρκεῖ γὰρ τῷ πιστῷ ἡ μόρφωσις, καὶ ζωὴ τῆς ἐν Χριστῷ ἐνεργουμένης πίστεως. πίστιν γὰρ ἐν λόγῳ τὴν νεκρὰν καὶ ἀναίσθητον, ἡ ἄγνοια, καὶ οὐ τὴν ἐν χάριτι πίστιν, τοῖς ἀσεβέσι νῦν ἐδίδαξεν.

κθ'. Ἁπλῆ μονὰς ἡ τριάς, ἐπειδὴ ἄποιος καὶ ἀσύνθετος. τριάς, ἐν μονάδι. τρισυπόστατος γὰρ ὁ Θεός, ἀσύγχυτον ἔχων τὴν εἰς ἄλληλα περιχώρησιν ὁλικῶς.

λ'. Τριαδικῶς ἐν παντὶ ὁ Θεὸς γινώσκεταί τε καὶ λέγεται. ἀπερίγραπτος γάρ· πάντων γάρ ἐστι συνοχεύς, καὶ προνοητής, διὰ τοῦ Υἱοῦ, ἐν Ἁγίῳ Πνεύματι· καὶ οὐκ ἔστιν οὐδείς, ἐκτός, ἢ χωρὶς τῶν ἄλλων, λεγόμενος, καὶ νοούμενος ὅτε τοῦ δ' αὖ ὀνομάζηται.

λα'. Ὥσπερ ἐν ἀνθρώπῳ νοῦς, καὶ λόγος, καὶ πνεῦμα· καὶ οὔτε νοῦς χωρὶς λόγου, οὔτε λόγος, ἄνευ πνεύματος, καὶ ἐν ἀλλήλοις ὄντα, καὶ καθ' ἑαυτά. νοῦς γὰρ διὰ τοῦ λόγου λαλεῖ, καὶ λόγος διὰ τοῦ πνεύματος φανεροῦται. κατὰ τὸ ὑπόδειγμα τοῦτο, ἀμυδρὰν εἰκόνα φέρει τῆς ἀνωνύμου καὶ ἀρχετύπου τριάδος ὁ ἄνθρωπος. τὸ κατ' εἰκόνα τέως καὶ περὶ τοῦτο δηλῶν.

λβ'. Νοῦς μὲν γάρ, ὁ Πατήρ· λόγος δέ, ὁ Υἱός· Πνεῦμα δὲ Ἅγιον, ἀληθῶς τὸ πνεῦμα οἱ θεοφόροι Πατέρες παραδειγματικῶς διδάσκουσι, τὴν ὑπερούσιον ἁγίαν, καὶ ὑπερφυῆ δογματίζοντες Τριάδα, τὸν ἕνα Θεὸν ἐν τρισὶν ὑποστάσεσιν· ἡμῖν πίστιν ἀληθινήν, καὶ ἄγκυραν ἐλπίδος καταλιπόντες. τὸ γὰρ γινώσκειν ἕνα Θεόν, κατὰ τὴν γραφήν, ῥίζα ἀθανασίας. καὶ εἰδέναι τὸ κράτος τῆς τρισυποστάτου μονάδος, ὁλόκληρος δικαιοσύνη. ἢ πάλιν. δέον τὸ εὐαγγελικῶς εἰρημένον οὕτω νοεῖν. αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν ἐν τρισὶν ὑποστάσεσι, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν ἐν δυσὶ φύσεσι, καὶ θελήσεσιν.

Αἱ κολάσεις διάφοροί εἰσιν, ὥσπερ καὶ λγ'.
αἱ τῶν ἀγαθῶν ἀμοιβαί. ὑπὸ τὸν ᾅδην δέ εἰσι, κατὰ τὴν γραφὴν τὴν φάσκουσαν· εἰς γῆν σκοτεινὴν καὶ ζοφεράν, εἰς γῆν σκότους αἰωνίου, ἔνθα ἁμαρτωλοὶ καὶ κατοικοῦσι πρὸ τῆς κρίσεως, καὶ διὰ τῆς ἀποφάσεως εἰς αὐτὴν ἀποστρέφονται. τὸ γὰρ ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην· καί, θάνατος ποιμανεῖ αὐτούς, τί ἄλλο ἐστίν; εἰ μὴ ἡ τελευταία ἀπόφασις, καὶ καταδίκη αἰώνιος.

Πῦρ, καὶ σκότος, καὶ σκώληξ, καὶ τάρ- λδ'.
ταρος ἐστίν, ἡ γενικὴ ἡδυπάθεια, καὶ ἡ καθολικὴ τοῦ σκότους ἄγνοια, καὶ ὁ ἐν πᾶσι γαργαλισμὸς τοῦ στρήνους, καὶ ὁ τρόμος, καὶ ὁ βρῶμος ὁ δυσώδης τῆς ἁμαρτίας. οἵπερ ὡς ἀρραβῶνες καὶ ἀπαρχαὶ τῶν κολάσεων, ἤδη ἀπ' ἐντεῦθεν ἐν ταῖς ψυχαῖς τῶν ἁμαρτωλῶν ἐνεργούμεναι, διὰ τῆς ἕξεως φαίνονται.

Ἕξεις αἱ τῶν παθῶν, ἀρραβῶνες λε'.
εἰσὶ τῶν κολάσεων. ὥσπερ καὶ τῆς βασιλείας, τῶν ἀρετῶν αἱ ἐνέργειαι. δεῖ δὲ νοεῖν καὶ ἀποκαλεῖν τὰς μὲν ἐντολάς, ἐνεργείας· τὰς δὲ ἀρετάς, ἕξεις. ὥσπερ καὶ τὰς κακίας κατὰ συνήθειαν ἕξεις λέγουσιν.

Ἴσαι τῶν ἀμοιβῶν αἱ ἀντιδόσεις, κἂν λϛ'.
παρὰ πολλοῖς ἄνισοι φαίνονται. τοῖς μὲν γάρ, τὴν αἰώνιον ζωήν. τοῖς δέ, τὴν αἰώνιον κόλασιν, ἡ θεία δικαιοσύνη χαρίζεται. ἀμφότεροι δὲ τὸν νῦν αἰῶνα καλῶς ἢ κακῶς διαπεράσαντες, κατὰ τὰ ἔργα τὰς ἀμοιβὰς ἕξουσι. τὸ δὲ ποσόν,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἢ ποιὸν τῆς μετοχῆς, κατὰ τὴν τῶν παθῶν, ἢ ἀρετῶν ἕξιν καὶ ἐνέργειαν, ὑπολαμβάνουσι.

λζ΄. Λίμναι πυρός εἰσιν, αἱ ἡδυπαθοῦσαι ψυχαί. ἐν αἷς καθάπερ βόρβορος ὄζων ἡ ὀσμὴ τῶν παθῶν, σκώληκα τρέφει ἀκολασίας ἀκοίμητον, τὴν ὀρεκτικὴν τῆς σαρκὸς ἀκρασίαν, καὶ ὄφεις, καὶ βατράχους, καὶ βδέλλας ἐπιθυμιῶν πονηρῶν, τοὺς ἐναγεῖς καὶ ἰοβόλους λογισμούς τε, καὶ δαίμονας. ἡ τοιαύτη κατάστασις, ἀπ' ἐντεῦθεν εἴληφε τὸν ἀρραβῶνα τῆς ἐκεῖσε κολάσεως.

λη΄. Ὥσπερ τῶν κολάσεων αἱ ἀπαρχαὶ ἐν ταῖς ψυχαῖς τῶν ἁμαρτωλῶν ἐγκεκρυμμέναι εἰσίν, οὕτω καὶ τῶν ἀγαθῶν οἱ ἀρραβῶνες εἰς τὰς καρδίας τῶν δικαίων καὶ ἐνεργοῦσι διὰ τοῦ πνεύματος, καὶ μετέχονται. βασιλεία γὰρ οὐρανῶν ἐστίν, ἡ ἐνάρετος ἀναστροφή· ὥσπερ ἡ κόλασις, ἡ τῶν παθῶν ἕξις.

λθ΄. Νὺξ ἐρχομένη ἐστί, κατὰ τὸν λόγον τοῦ Κυρίου, ἡ παντελὴς ἀνενεργησία τοῦ μέλλοντος σκότους· ἢ καθ' ἕτερον τρόπον, ὁ ἀντίχριστος νύξ, καὶ σκότος, καὶ ὢν καὶ καλούμενος. ἢ πάλιν κατὰ τὸν ἠθικὸν λόγον, ἡ καθ' ἑκάστην ἀμέλεια, ἡ καθάπερ σκοτισμένην τὴν ψυχὴν ὑπονεκροῖ ἐν τῷ τῆς ἀναισθησίας ὕπνῳ. ὥσπερ γὰρ ἡ νὺξ ὑπνῶσαι πάντας ποιεῖ, καὶ εἰκών ἐστι θανάτου κατὰ τὴν νέκρωσιν, οὕτως ἡ νὺξ τοῦ μέλλοντος σκότους νεκροὺς καὶ ἀναισθήτους, τῇ μέθῃ τῶν πόνων, τοὺς ἁμαρτωλοὺς ἀπεργάζεται.

μ΄. Κρίσις ἐστὶ τοῦ κόσμου τούτου, κατὰ τὸν εὐαγγελικὸν λόγον, ἡ ἀπιστία τῶν ἀσεβῶν· κατὰ τό, ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται. καὶ αἱ κριτικαὶ τῆς προνοίας πρὸς συστολήν, ἢ ἐπιστροφὴν ἐπιφοραί. καὶ αἱ τῶν προθέσεων ἐν ἀγαθοῖς, ἢ κακοῖς ῥοπαί, κατὰ τὴν ἐνέργειαν. κατὰ τό, ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, πρὸς γὰρ ἀπιστίαν, καὶ παιδείαν, καὶ πρᾶξιν, ἡ δικαία τοῦ Θεοῦ τότε κρίσις ἐμφαίνεται· τοὺς μὲν τιμωροῦσα, τοὺς δὲ ἐλεοῦσα, τοῖς δὲ στεφάνους, ἢ κόλασιν διδοῦσα. οἱ μὲν γὰρ πρῶτοι, εἰσὶν ἀσεβεῖς δοῦλοι. οἱ δὲ δεύτεροι, πιστοὶ μέν, ἀμελεῖς δέ· διὰ τοῦτο καὶ φιλανθρώπως παιδεύονται. οἱ δὲ τέλειοι ἢ ἐν ἀρεταῖς, ἢ ἐν κακίαις πτωμάτων γενόμενοι, τὰς ἀμοιβὰς ἕξουσιν.

Ἄχραντος εἰ μὴ φυλαχθῇ, ἢ κα- μα΄.
θαρθῇ, ὡς πέφυκεν, ἡ φύσις διὰ τοῦ πνεύματος, εἰς ἓν σῶμα καὶ πνεῦμα ἐν Χριστῷ πώποτε καὶ εἰς τὴν ἁρμονίαν τὴν μέλλουσαν, ἀδύνατον γενέσθαι. ῥάκος γὰρ παλαιότητος παθῶν, εἰς καινὸν χιτῶνα τῆς χάριτος πρὸς συμπλήρωσιν, ἡ περιεκτική, καὶ ἑνωτικὴ τοῦ πνεύματος δύναμις συρράπτειν οὐ πέφυκεν.

Ἰσοτιμίαν πρὸς τὴν ἐν Χριστῷ μόρ- μβ΄.
φωσιν ἔχει, ὁ τὴν καινότητα τοῦ πνεύματος λαβὼν δωρεάν, καὶ φυλάξας. τὴν ὑπερφυᾶ θέωσιν τότε πάσχων ἀρρήτως· ὡς γὰρ ἐν Χριστῷ, ἢ Χριστοῦ μέλος οὐκ ἔσται, μὴ τῆς χάριτος μέτοχος ἀπ' ἐντεῦθεν γενόμενος. τὴν μόρφωσιν τῆς ἀληθείας καὶ τῆς γνώσεως, κατὰ τὸν Ἀπόστολον, ἔχων ἐν ἑαυτῷ.

Ἔοικεν ἡ βασιλεία τῶν οὐρανῶν σκη- μγ΄.
νῇ θεοτεύκτῳ, κατὰ τὴν Μωσαϊκήν, ἐν δυσὶ καταπετάσμασι τοῦ μέλλοντος αἰῶνος ἔχουσα. καὶ εἰς μὲν τὴν πρώτην σκηνήν, πάντες, ὅσοι ἱερεῖς χάριτος εἰσελεύσονται. εἰς δὲ τὴν δευτέραν, ὡς νοητήν, μόνοι ὅσοι ἀπ' ἐντεῦθεν ἐν τῷ τῆς θεολογίας γνόφῳ ἱεραρχικῶς ἐν τελειότητι τριαδικῶς λειτουργήσαντες, τὸν Ἰησοῦν τελετάρχην, καὶ Ἱεράρχην πρῶτον πρὸς τὴν Τριάδα ἔχοντες, ἐν τῇ σκηνῇ, ἣ ἔπηξατο· εἰσερχόμενοι, καὶ ἐμφανέστερον τὰς αὐτοῦ μαρμαρυγὰς ἐλλαμπόμενοι.

Πολλὰς μονὰς ὁ σωτὴρ ἔφησε, τὰς μδ΄.
διαφόρους ἀναβάσεις, καὶ προκοπὰς τῆς ἐκεῖσε καταστάσεως. μιᾶς μὲν οὔσης τῆς

βασι-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

βασιλείας, πολλὰς δὲ ἔνδον διαφορὰς ἐχούσης· ὡς εἶναι οὐρανίους τε, καὶ γηΐνους, κατά τε τὴν ἀρετὴν, καὶ τὴν γνῶσιν, κατά τε τὸ ποσὸν τῆς θεώσεως ἔχοντας. ἄλλη γὰρ δόξα ἡλίου, καὶ ἄλλη σελήνης, καὶ ἄλλη ἀστέρων, καὶ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ· καθώς φησιν ὁ Ἀπόστολος. εἰ καὶ πάντες ἐν ἑνὶ θείῳ στερεώματι λάμπουσιν.

μέ. Ἀγγέλοις ὁμοδίαιτος γίνεται βραχύ τι, καὶ ἀσώματος, ὡς ἄφθαρτος, ὁ τὸν μὲν νοῦν, διὰ δακρύων καθάρας, τὴν δὲ ψυχὴν, ἀναστήσας ἐντεῦθεν τῷ πνεύματι. τὴν δὲ σάρκα, τῷ λόγῳ φωτοειδές τε καὶ πύρινον ἄγαλμα θείας ὡραιότητος ποιησάμενος, τὸν φύσει πήλινον ἀνδριάντα ἑαυτοῦ. εἴπερ ἀφθαρσία ἐστὶ σωμάτων, χυμῶν ἔκλειψις, καὶ παχυτήτων.

μς'. Γήϊνον ἔσται τὸ σῶμα τῆς ἀφθαρσίας, χωρὶς χυμῶν καὶ παχύτητος, μεταποιούμενον ἀρρήτως ἀπὸ τοῦ ψυχικοῦ, εἰς σῶμα πνευματικὸν, ὡς εἶναι καὶ χοϊκὸν, καὶ οὐράνιον τῇ τῆς θεοειδίας λεπτότητι. οἷον γὰρ ἐπλάσθη ἐξ ἀρχῆς, τοιοῦτον καὶ ἀναστήσεται· ἵνα ᾖ σύμμορφον τῆς εἰκόνος τοῦ υἱοῦ τοῦ ἀνθρώπου, κατὰ τὴν ὁλόκληρον τῆς θεώσεως μέθεξιν.

μζ'. Γῆ πραέων ἐστὶν, ἡ βασιλεία τῶν οὐρανῶν, ἢ ἡ θεανδρικὴ τοῦ υἱοῦ ἕξις· εἰς ἣν βεβήκαμεν, ἢ ἐπιβαίνομεν. τὴν ἐν χάριτι γέννησιν τῆς υἱοθεσίας, καὶ τὴν διὰ τῆς ἀναστάσεως καινότητα εἰληφότες· ἢ πάλιν· γῆ ἁγία ἐστὶν, ἡ θεωθεῖσα φύσις, ἢ τυχὸν, καὶ καθαρθεῖσα γῆ αὕτη, πρὸς γεωργοὺς κατ᾽ ἀξίαν τοιούτους· ἢ κατ᾽ ἄλλην ἐπίνοιαν. γῆ κατακληρονομουμένη ἐστὶ τοῖς ὄντως ἁγίοις, ἡ ἀκύμαντος τῆς ὑπὲρ νοῦν εἰρήνης θεία γαλήνη, εἰς ἣν ἡ γενεὰ τῶν εὐθέων κατοικισθήσεται, μηδενὸς τῶν ἐν τοῖς οὖσι περιβομβοῦντος, ἢ σαίνοντος, αὐτῆς.

μη'. Ἐπαγγελίας γῆ ἐστὶν, ἡ ἀπάθεια. καθ᾽ ἣν ἀναβλύζει μέλι, καὶ γάλα, ἡ εὐφροσύνη τοῦ πνεύματος.

μθ'. Λόγον οἱ ἅγιοι ἐν ἀλλήλοις ἐν τῷ μέλλοντι φθέγγονται μυστικῶς τὸν ἐνδιάθετον, ἐν Ἁγίῳ Πνεύματι ἐκφωνούμενον.

ν'. Ἐὰν μὴ γνῶμεν οἵους ἡμᾶς ἐποίησεν ὁ Θεὸς, οὐκ ἐπιγνωσόμεθα οἵους ἐποίησεν ἡ ἁμαρτία.

να'. Ἴσοι κατὰ τὴν ἡλικίαν εἰσὶν ἐν πνεύματι, ὅσοι τὸ πλήρωμα τῆς τοῦ Χριστοῦ τελειότητος ἀπ᾽ ἐντεῦθεν εἰλήφασιν.

νβ'. Ὧν οἱ πόνοι, τούτων αἱ ἀμοιβαί. τὸ ποσὸν δὲ, ἢ τὸ ποιὸν, τουτέστι τὸ μέτρον ὁποῖόν ἐστιν, ἡ τάξις, καὶ ἡ κατάστασις ἐκεῖσε διὰ τῆς μετοχῆς δείκνυσι.

νγ'. Νόες, τουτέστιν ἰσάγγελοι, φησὶν, ἔσονται οἱ υἱοὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, τῇ ἀφθαρσίᾳ καὶ θεώσει οἱ ἅγιοι.

νδ'. Ἐν τῷ μέλλοντι οἱ Ἄγγελοι καὶ οἱ ἅγιοι, φασὶ, προκόπτοντες ἐν τῇ τῶν χαρισμάτων προσθήκῃ οὐδέποτε λήξουσιν, ἢ ἐνδώσουσι, τῶν ἀγαθῶν ἐφετῶς ἔχοντες. ὕφεσιν γὰρ, ἢ μείωσιν ἀπὸ τῆς ἀρετῆς ἐπὶ κακίαν ἐκεῖνος οὐκ ἔχει ὁ αἰών.

νέ. Τέλειον ἄνδρα νόμισον εἶναι νῦν, τὸν τὴν ὁμοίωσιν τῶν τοῦ Χριστοῦ μεθηλικιώσεων εἰληφότα, ὡς ἐν ἀρραβῶνι. τὸν δὲ ἐν τῷ μέλλοντι τέλειον, δείκνυσιν ἡ τῆς θεώσεως δύναμις.

νς'. Ἴσην ἔχει πρὸς τοὺς ὁμοειδεῖς καὶ τὴν ἀξίαν καὶ τὴν θέωσιν ἐν τῷ μέλλοντι, ὁ τὴν ἀρετὴν ἐντεῦθεν πρὸς τὰς μεθηλικιώσεις τοῦ πνεύματος τέλειος.

νζ'. Δόξαν ἀληθῆ, τὴν γνῶσιν, ἢ τὴν θεωρίαν τοῦ πνεύματος λέγουσιν εἶναι. ἢ καὶ τὴν τῶν δογμάτων ἀκριβῆ διάγνωσιν, πίστεως ἀληθινῆς ἐπίγνωσιν.

νη'. Ἔκπληξίς ἐστιν, πρὸς τὰ ἐπεγνωσμένα τε, καὶ νοούμενα τῆς μεγαλοπρεποῦς δόξης τῶν τῆς ψυχῆς δυνάμεων ὁλικὴ ἔναρσις. ἢ πάλιν. ἔκπληξίς ἐστιν, ἡ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καθαρὰ καὶ ὁλόκληρος πρὸς τὴν ἐν φωτὶ ἄπειρον δύναμιν ἀνάτασις. Ἔκστασις δὲ οὐ μόνον τῶν τῆς ψυχῆς δυνάμεων πρὸς οὐρανὸν ἁρπαγή, ἀλλὰ καὶ αὐτῆς τῆς αἰσθήσεως ὁλικῶς ἔκστασις· ἔρως δὲ ὁ θεῖος, ἡ τῆς ἐφέσεως κινητικὴ μέθη τοῦ πνεύματος.

νθ'. Κυρίως δύο εἰσὶν ἐν πνεύματι ἐκστατικοὶ ἔρωτες. ὁ ἐγκάρδιος, καὶ ὁ ἐκστατικός. ὁ μὲν γάρ, τῶν ἔτι φωτιζομένων ἐστίν. ὁ δέ, τῶν ἐν τῇ ἀγάπῃ τελειωθέντων. ἀμφότεροι δὲ τὸν ἐνεργούμενον νοῦν, τῆς αἰσθήσεως ἐκβάλλουσιν· εἴπερ ἔρως θεῖος ἐστί, μέθη πρὸς τὸ κρεῖττον τῶν κατὰ φύσιν φρενῶν, τοῦ πνεύματος· δι' ἧς καὶ ἡ αἴσθησις ἀφαιρεῖται τῶν σχέσεων.

ξ'. Ἀρχὴ τῶν λογισμῶν, καὶ αἰτία, ἡ διαιρεθεῖσα συνεχὴς διὰ τῆς παραβάσεως τοῦ ἀνθρώπου ἁπλῆ μνήμη. δι' ἧς καὶ τὴν θείαν ἀπώλεσε, σύνθετος ἐξ ἁπλοῦ καὶ ποικίλη ἐκ μονοειδοῦς, ταῖς οἰκείαις δυνάμεσι γεγονυῖα ὤλετο.

ξα'. Ἴασις ἐστὶ τῆς ἀρχεγόνου μνήμης, ἀπὸ τῆς πονηρᾶς τῶν λογισμῶν ὀλεθροτόκου μνήμης, ἡ πρὸς τὸ ἀρχαῖον ἁπλοῦν αὐτῆς ἐπάνοδος· ὄργανον γὰρ κακίας, ἡ παρακοή, οὐ μόνον τὴν τῆς ψυχῆς πρὸς τὸ ἀγαθὸν ἁπλῆν μνήμην ἐδημιούργησεν, ἀλλὰ καὶ πάσας τὰς ἑαυτῆς δυνάμεις διέφθειρε, τὰς κατὰ φύσιν ὀρέξεις πρὸς ἀρετὴν ἀμαυρώσας. ἰᾶται δὲ τὴν μνήμην κυρίως, ἡ θεία παγιωθεῖσα ἔμμονος διὰ προσευχῆς μνήμη, ἀπὸ τοῦ κατὰ φύσιν, εἰς τὸ ὑπὲρ φύσιν ἀνακραθεῖσα τῷ πνεύματι.

ξβ'. Παθῶν μὲν αἰτίαι, αἱ καθ' ἁμαρτίαν πράξεις. λογισμῶν δέ, τὰ πάθη. φαντασιῶν δέ, λογισμοί. ἐννοιῶν δέ, μνήμη. μνήμης δέ, λήθη. λήθης δέ, ἄγνοια γεννήτειρα. ἀγνοίας δέ, ῥαθυμία. ῥαθυμίαν δὲ τίκτει, ἐπιθυμίας ὄρεξις. ὀρέξεων δὲ μήτηρ, ζοπῆς κίνησις. κινήσεως δέ, ἐνέργεια πράξεως. πρᾶξις δὲ ἐστί, κακοῦ ἀλόγιστος ἔφεσις, καὶ διάθεσις αἰσθητῶν, καὶ αἰσθήσεων.

ξγ'. Ἐν μὲν τῷ λογικῷ, οἱ λογισμοί. ἐν δὲ τῷ θυμικῷ, τὰ θηριώδη πάθη. ἐν δὲ τῷ ἐπιθυμητικῷ, ἡ μνήμη τῆς κτηνώδους ὀρέξεως. ἐν δὲ τῷ νοερῷ, αἱ φανταστικαὶ μορφώσεις. ἐν δὲ τῷ διανοητικῷ, αἱ ἔννοιαι ἐνεργοῦσι, καὶ ἀνατέλλουσι.

ξδ'. Ῥεῦμα ποτάμιόν ἐστιν, ἡ ἔφοδος τῶν πονηρῶν λογισμῶν. ἐν οἷς ἡ προσβολή, καὶ μεθ' ἧς ἡ συγκατάθεσις τῆς ἁμαρτίας ὡς πλημμύρα κυματουμένη γίνεται, τὴν καρδίαν καλύπτουσα.

ξε'. Ἰλυὰ βυθοῦ νόει τὴν κάθυγρον ἡδονήν, ἢ τῆς πορνείας τὸν βόρβορον, ἢ καὶ τῶν ὑλικῶν πραγμάτων τὴν ἀχθηδόνα. ὑπὸ ὧν βαρούμενος ὁ ἐμπαθὴς νοῦς, εἰς βυθὸν ἀπογνώσεως ἑαυτὸν καταβαπτίζει τοῖς λογισμοῖς.

ξϛ'. Λογισμοὺς πολλάκις καὶ τοὺς λόγους τῶν πραγμάτων ἡ γραφὴ εἴρηκεν, ὥσπερ καὶ νοήματα τοὺς λόγους, καὶ τοὺς λόγους ἀντιστρόφως νοήματα. τοῦτο δὲ γίνεται ἐπειδὴ ἡ κίνησις τῶν τοιούτων καθ' ἑαυτὴν μὲν ἄϋλος ἐστί, μορφοῦται δὲ διὰ τῶν πραγμάτων εἰς εἶδος, καὶ μεταπλάττεται· καὶ οὕτω τὸ προσβαλὸν διὰ τῆς ἐπιφανείας, γνωρίζεταί τε καὶ λέγεται.

ξζ'. Οἱ λογισμοί, λόγοι τῶν δαιμόνων εἰσί, καὶ τῶν παθῶν πρόδρομοι. ὥσπερ καὶ τῶν πραγμάτων, οἱ λόγοι, καὶ τὰ νοήματα. ἀδύνατον γὰρ ἀγαθόν, ἢ κακὸν ἐνεργῆσαι, μὴ προσβαλὸν πρότερον τὸν ἑαυτοῦ λογισμόν, ὅπερ λογισμός ἐστι, προσβολῆς ἀνείδεος κίνησις πραγμάτων ὁποιωνοῦν.

ξη'. Γεννᾷ ἡ μὲν ὕλη τῶν πραγμάτων, ψιλοὺς λογισμούς. ἡ δὲ προσβολὴ ἡ δαιμονιώδης, τοὺς πονηροὺς τεκταίνει. διαφορὰν οὖν ἔχουσιν οἱ φυσικοὶ ἐκ τῶν παρὰ φύσιν, καὶ ὑπὲρ φύσιν λόγων, καὶ λογισμῶν, κατὰ σύγκρισιν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ξθʹ. Συνεργοῦσι πρὸς τὴν ἐν ἡμῖν ἀλλοίωσιν, οἱ μὲν φυσικοί, πρὸς τοὺς παρὰ φύσιν, οἱ δὲ κατὰ φύσιν, πρὸς τοὺς ὑπὲρ φύσιν εὐθὺς ζητούμενοι. αἴτιοι δὲ εἰσὶ πρὸς τὴν ἐν ἀλλήλοις ζωτικὴν, καὶ γέννησιν, τῶν μὲν δαιμονικῶν, οἱ ἐκ τῆς ὕλης. τῶν δὲ ὑλικῶν, ἐκ τῆς προσβολῆς. ὁμοίως καὶ τῶν θείων, οἱ φυσικοί· καὶ οἱ φυσικοί, τῶν ὑπὲρ φύσιν γεννήτορες. ἕκαστον γὰρ πρὸς τὸ συγγενὲς τὴν ἑαυτοῦ ἀλλοίωσιν ἔχει κινητικὴν, τετραχῶς διῃρημένην, αἰτίαν καὶ γέννησιν.

οʹ. Σημείωσαι ὅτι προβέβληνται τῶν μὲν λογισμῶν, αἱ αἰτίαι. τῶν δὲ φαντασιῶν, οἱ λογισμοί. τῶν δὲ παθῶν, αἱ φαντασίαι. τῶν δὲ δαιμόνων τὰ πάθη. ὡς στρατὶς, καὶ τάξις ἐν ἀτάκτοις πνεύμασι, δολίως. ἐν τῷ ἑνὸς ἐχόμενον ἤρτηνται. πλὴν οὐδὲν ἐνεργεῖ καθ' αὐτὸ, ἀλλ' ὑπὸ δαιμόνων ἐνεργεῖται. οὔτε φαντασία εἰδωλοποιεῖται, οὔτε πάθος ἐνεργεῖ, χωρὶς τῆς λεληθότως κρυφίας δαιμονικῆς δυνάμεως. εἰ γὰρ καὶ πέπτωκεν ὁ σατὰν συντριβεὶς, ἀλλὰ πλέον ἰσχύει τῇ καθ' ἡμῶν ῥαθυμίᾳ γαυρούμενος ὑπὲρ ἡμῶν.

οαʹ. Μορφοῦσι τὸν νοῦν ἡμῶν, μᾶλλον δὲ μορφοῦνται καθ' αὐτοὺς ἡμᾶς, καὶ προσβάλλουσι, κατὰ τὴν ἕξιν τοῦ ἐπικρατοῦντος, καὶ ἐνεργοῦντος πάθους ἐν τῇ ψυχῇ. αἰτίαν γὰρ πρὸς εἰδωλοποίησιν, τὴν ἕξιν τοῦ πάθους οἱ δαίμονες κέκτηνται. ποικίλην οὖν καὶ πολύμορφον τὴν φαντασίαν ἐγρηγορότως καὶ καθ' ὕπνους ἡμῖν δεικνύουσι. μεταμορφοῦνται γὰρ, οἱ μὲν τῆς ἐπιθυμίας δαίμονες, ποτὲ μὲν, εἰς χοίρους. ποτὲ δὲ εἰς, ὄνους· ποτὲ δὲ, εἰς ἵππους θηλυμανεῖς, καὶ πυροειδεῖς· ποτὲ δὲ εἰς Ἑβραίους, τῆς ἀκολασίας μάλιστα. τῆς δὲ ὀργῆς, ποτὲ μὲν, εἰς ἐθνικοὺς, ποτὲ δὲ εἰς λέοντας. καὶ τῆς μὲν δειλίας, εἰς τοὺς Ἰσμαηλίτας· τῆς δὲ ἀκολασίας, εἰς τοὺς Ἰδουμαίους. τῆς δὲ πολυποσίας, καὶ ἀκρασίας, εἰς τοὺς Ἀγαρηνούς. τῆς δὲ πλεονεξίας, ποτὲ μὲν, εἰς τοὺς λύκους, ποτὲ δὲ εἰς τοὺς παρδάλεις. τῆς δὲ πονηρίας, ποτὲ μὲν, εἰς τοὺς ὄφεις, ποτὲ δὲ εἰς ἔχεις μεταμορφοῦνται. ποτὲ δὲ καὶ εἰς ἀλώπεκας. τῆς δὲ ἀναιδείας, εἰς τοὺς κύνας. τῆς δὲ ἀκηδίας, εἰς τοὺς κάττους. ἔστι δ' ὅτε καὶ τῆς πορνείας, ποτὲ μὲν, εἰς ὄφεις, ποτὲ δὲ καὶ εἰς κόρακας, καὶ κολοιούς. ὡς πετεινὰ δὲ οἱ ψυχικοί, μάλιστα δὲ ἐναέριοι δαίμονες μεταβάλλονται. ἔχει δὲ τὴν αἰτίαν ἡ φαντασία τριχῶς, ἀλλοιοῦσα τὰς μορφὰς τῶν πνευμάτων, κατὰ τὸ τριμερὲς τῆς ψυχῆς. ὥστε καὶ τὴν φαντασίαν τριπλῆν εἶναι, ἐν πετεινοῖς, ἐν θηρίοις, ἐν κτήνεσι. πρὸς τὸ ἐπιθυμητικὸν, θυμικὸν, καὶ λογιστικὸν τὰς τῆς ψυχῆς δυνάμεις· οἱ τρεῖς γὰρ ἄρχοντες τῶν παθῶν, κατὰ τῶν τριῶν ἀεὶ ὁπλίζονται, καὶ πρὸς ὃ πεποίωται ἡ ψυχὴ πάθος, πρὸς αὐτὸ κατὰ τὸ συγγενὲς μορφάζονται ἡμῖν, καὶ προσέρχονται.

Ὡς πῦρ μὲν πολλάκις καὶ ὡς ἄνθρακες, οἱ τῆς ἡδονῆς προσέρχονται δαίμονες. τὰ φιλήδονα γὰρ πνεύματα, τὸ μὲν ἐπιθυμητικὸν, ἐκκαίουσι. τὸ δὲ διανοητικὸν συγχέοντες, σκοτίζουσι τῆς ψυχῆς. καύσεως γὰρ, ταραχῆς, καὶ σκότους αἰτία, ἡ κυρίως τῶν παθῶν ἡδονή. οβʹ.

Νὺξ τῶν παθῶν, τῆς ἀγνοίας τὸ σκότος ἐστίν. ἢ πάλιν, νὺξ ἐστὶν, ἡ γεννητικὴ τῶν παθῶν ἐπικράτεια. ἐν ᾗ βασιλεύει ὁ τοῦ σκότους ἔξαρχος. καὶ ἐν ᾧ τὰ θηρία τοῦ ἀγροῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὰ ἑρπετὰ τῆς γῆς τροπικῶς λεγόμενα πνεύματα ὠρυόμενα ζητοῦντα ἁρπάσαι ἡμᾶς εἰς βρῶσιν αὐτῶν. ογʹ.

Κατὰ καιρὸν τῆς τῶν παθῶν ἐνεργείας οἱ λογισμοί, οἱ μὲν προηγοῦνται, οἱ δὲ ἕπονται. καὶ προηγοῦνται μὲν οἱ λογισμοὶ τῶν φαντασιῶν, ἕπονται δὲ οδʹ.

τῶν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῶν* φαντασιῶν τὰ πάθη. καὶ τῶν μὲν δαιμόνων προηγοῦνται τὰ πάθη, ἕπονται δὲ τοῖς πάθεσιν οἱ δαίμονες.

* ἤτ. ταῖς φαντασίαις

οε'. Ἀρχὴ τῶν παθῶν καὶ αἰτία, ἐστὶν ἡ παράχρησις. παραχρήσεως δέ, ἡ τροπή. τροπῆς δέ, ἡ ῥοπὴ τῆς θελητικῆς ἕξεως. θελήσεως δὲ δοκίμιον, ἡ προσβολή. προσβολῆς δέ, οἱ δαίμονες, διὰ τῆς προνοίας παραχωρούμενοι δοκιμάζειν τὸ ἡμῶν αὐτεξούσιον ὁποῖόν ἐστιν.

ος'. Ἰὸς τοῦ κέντρου τῆς ἁμαρτίας πρὸς θάνατον, ἡ ἐμπαθὴς ἕξις τῆς ψυχῆς. ἀκίνητον γὰρ ἔχει καὶ ἀμετάβλητον τὸν τρόπον, ὁ τοῖς πάθεσι πεισθεὶς ἑκουσίως.

οζ'. Πάθη λέγονται πολυτρόπως. διαιροῦνται δὲ εἰς σωματικά, καὶ ψυχικά. τὰ σωματικὰ ὑποδιαιροῦνται εἰς ἀλγεινά, καὶ ἁμαρτητικά. τὰ ἀλγεινὰ ὑποδιαιροῦνται εἰς νοσερά, καὶ παιδευτικά. τὰ ψυχικὰ πάλιν διαιροῦνται εἰς θυμικά, ἐπιθυμητικά, καὶ λογιστικά. τὰ λογιστικὰ ὑποδιαιροῦνται, εἰς φανταστικά, καὶ διανοητικά. τούτων τὰ μὲν εἰσί, κατὰ παράχρησιν θελητικά. τὰ δέ, κατ' ἀνάγκην ἀκούσια, ὡς ἀδιάβλητα πάθη λεγόμενα. ἃ καὶ παρακολουθήματα, καὶ φυσικὰ ἰδιώματα οἱ πατέρες ἐκάλεσαν.

οη'. Ἄλλα τὰ σωματικὰ πάθη, καὶ ἄλλα τὰ ψυχικά. τὰ τῆς ἐπιθυμίας ἕτερα, καὶ ἄλλα τοῦ θυμοῦ. ἕτερα τὰ τοῦ λογιστικοῦ, καὶ ἄλλα τὰ τοῦ νοὸς καὶ τῆς διανοίας. κοινωνοῦσι δὲ ἀλλήλοις, καὶ συνεργοῦσι θάτερα τοῖς ἑτέροις· τὰ μὲν σωματικά, πρὸς τὰ τῆς ἐπιθυμίας. τὰ δὲ ψυχικά, πρὸς τὰ τοῦ θυμικοῦ. καὶ πάλιν τὰ λογιστικά, πρὸς τὰ νοερά· καὶ τὰ νοερά, πρὸς τὰ τῆς διανοίας καὶ τῆς μνήμης παθήματα.

οθ'. Θυμοῦ μὲν εἰσὶ πάθη, ὀργή, πικρία, κραυγή, ὀξυχολία, θράσος, τῦφος, ἀλαζονεία, καὶ ἔτι ἕτερα. ἐπιθυμίας δέ, πλεονεξία, ἀκολασία, ἀκρασία, ἀπληστία, φιληδονία, φιλαργυρία, φιλαυτία ἡ πάντων χαλεπωτέρα. τὰ δὲ τῆς σαρκός, πορνεία, μοιχεία, ἀκαθαρσία, ἀσωτία, ἀδικία, γαστριμαργία, ἀκηδία, περπερότης, φιλοκοσμία, φιλοζωΐα, καὶ ἔτι ἕτερα. τὰ δὲ τοῦ λογιστικοῦ μέρους εἰσίν, ἀπιστία, βλασφημία, πονηρία, πανουργία, περιέργεια, διψυχία, λοιδορία, καταλαλιά, κατάκρισις, ἐξουδένωσις, ἐξαπελία, ὑπόκρισις, ψεῦδος, αἰσχρολογία, μωρολογία, ὑπουλότης, εἰρωνεία, φαντία, ἀνθρωπαρέσκεια, μετεωρισμός, ἐπιορκίαι, ἀργολογίαι, καὶ τὰ λοιπά. τὰ δὲ τοῦ νοός, οἴησις, ἔπαρσις, μεγαλαυχία, ἔρις, ζῆλος, αὐταρέσκεια, ἀντιλογία, ἀνηκοΐα, φαντασία, ἀναπλασμοί, φιλενδειξίαι, φιλοδοξία, ὑπερηφανία τὸ πρῶτον, καὶ ἔσχατον πάντων τῶν κακῶν. τὰ δὲ τῆς διανοίας εἰσὶ ταῦτα. ῥεμβασμοί, μετεωρισμοί, αἰχμαλωσίαι, σκότωσις, τύφλωσις, ἀπαγωγαί, προσβολαί, συγκαταθέσεις, ῥοπαί, τροπαί, παραῤῥισμοί, καὶ τὰ ὅμοια τούτων. ὡς ἐν ὅρῳ δὲ φάναι, πάντα τὰ παρὰ φύσιν κακὰ ταῖς τρισὶ δυνάμεσι τῆς ψυχῆς συνεμίγησαν. ὥσπερ καὶ τὰ ἀγαθὰ ἐν αὐταῖς πάντα συνυπάρχουσι κατὰ φύσιν.

Ὢ πῶς ὁ Δαβὶδ πρὸς τὸν Θεὸν μετ' ἐκπλήξεως μεγαληγορίας, ἐθαυμαστώθη, λέγοντος, ἡ γνῶσίς σου ἐξ ἐμοῦ, οὐ γὰρ δύναμαι πρὸς αὐτήν, ἰσχυροτέραν οὖσαν καὶ ἀνέφικτον ὑπὲρ τὴν ἐμὴν ἀσθενῆ γνῶσιν καὶ δύναμιν τὴν ἐπ' ἐμοί. πῶς καὶ ἡ σάρξ ἀκατάληπτος αὕτη κατὰ τὴν σύνθεσιν τῆς διαπλάσεως οὖσα, τετραδικὴν ἐν ἑκάστῳ εἴδει, καὶ μίαν ἔχουσα τὴν ἁρμονίαν τῶν ἰδίων μελῶν καὶ μερῶν, καὶ ἀριθμῷ ἑβδοματικῷ δευτέρῳ τιμωμένην, ὅπερ χρόνον καὶ φύσιν τὴν τῆς ἀριθμητικῆς ἐμφαίνει, ὡς εἶναι καὶ αὐτὸ εἰς δόξαν Θεοῦ ὄργανον ἐκφαντορικὸν τετραδι- π'.

τῆς μεγαλοπρεπείας φυσιολογούμενον, κατὰ τοὺς ἐνεργεῖς νόμους τῆς φύσεως.

πα'. Νόμοι φύσεώς εἰσιν αἱ ποιαὶ τῶν ἐνεργουμένων μελῶν συνθέσεις, ἃς καὶ ἑτερότητας ὁ λόγος ἐκάλεσεν, ὡς πολυμερείας τῶν ἰδίων ἰδιοτήτων. ἢ πάλιν· νόμος φυσικός ἐστιν, ἡ ἑκάστου εἴδους, καὶ μέλους ἐνέργεια ἐν δυνάμει. ὥσπερ γὰρ ὁ Θεὸς τὴν ἅπασαν κτίσιν, οὕτως ἡ ψυχὴ τὰ τοῦ σώματος μέλη καὶ ἐνεργεῖ, καὶ κινεῖ ἕκαστον πρὸς τὴν ἰδίαν ἐνέργειαν. ζητητέον δὲ τίνι λόγῳ τὸν θυμὸν, καὶ τὴν ἐπιθυμίαν, ποτὲ μὲν οἱ θεοφόροι ἄνδρες, τῆς σαρκὸς εἶναι φάσκουσι, ποτὲ δὲ, ὅτι τῆς ψυχῆς εἰσι δυνάμεις; καὶ φαμέν. ὅτι οὐδεμίαν ἀσυμφωνίαν ἔχουσιν οἱ λόγοι τῶν ἁγίων παρὰ τοῖς ἀκριβῶς εἰδόσιν αὐτοὺς, ἀλλ᾽ ἀμφότεροι ἀληθεύουσι, καὶ κατὰ τὸ προσῆκον τὰς προσηγορίας ἐναλλάσσουσι πάνυ σοφῶς, διὰ τὴν ἀρρήτως ἄμφω γένεσιν εἰς τὸ εἶναι κατὰ τὸν τῆς συνυπάρξεως τρόπον. ὡς εἶναι μὲν τελεία ἡ ψυχὴ ἀπ᾽ ἐντεῦθεν, ἀτελὲς δὲ τὸ σῶμα, διὰ τὴν θρεπτικὴν αὔξησιν. ἡ ψυχὴ γὰρ καθ᾽ αὐτὴν ἔχει καὶ δύναμιν ὀρεκτικῆς ἐπιθυμίας, καὶ θυμικὴν πρὸς ἀνδρείαν ἔρωτος κινητικὴν, ἀπὸ τῆς διαπλάσεως αὐτῆς, λογικῆς κτισθείσης, καὶ νοερᾶς. οὐ γὰρ συνεκτίσθη αὐτῇ θυμὸς ἄλογος, καὶ ἄνους ἐπιθυμία. ὥσπερ οὐδὲ ἐν τῇ σαρκὶ πρότερον. ἀλλὰ πλασθὲν, ἄφθαρτον ἦν χωρὶς χυμῶν, ἐξ ὧν ἡ ἐπιθυμία, καὶ ὁ θυμὸς ὁ θηριώδης ἐπηκολούθησε. μετὰ γὰρ τὴν παρακοὴν ὑποπεσόντι τῇ φθορᾷ, καὶ τῇ παχύτητι τῶν ἀλόγων, ἐξ ἀνάγκης καὶ ὁ θυμὸς καὶ ἡ ἐπιθυμία ἐν αὐτῷ ἐνέκυψε. διὰ τοῦτο γὰρ καὶ ἐναντιοῦται τῷ βουλήματι τῆς ψυχῆς κατά τε τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν, ὅτε κυριεύει. ἐπὰν δὲ ὑποταγῇ τὸ θνητὸν τῷ λογικῷ, ἕπεται πρὸς τὴν τῶν ἀγαθῶν ἐνέργειαν τῇ ψυχῇ. ὅτε γὰρ συνεφύρησαν καὶ ἀναμὶξ ἐγένοντο τὰ τῆς σαρκὸς ἐπείσακτα μετὰ τῆς ψυχῆς ἰδιώματα, τότε ὡμοιώθη τοῖς κτήνεσιν ὑποκύψας τῷ νόμῳ τῆς ἁμαρτίας διὰ τὴν ἀνάγκην τῆς φύσεως, κτηνώδης ἐκ λογικοῦ, καὶ θηρίον ἐξ ἀνθρώπου γενόμενος.

πβ'. Καθάπερ τῇ ψυχῇ διὰ τοῦ ἐμφυσήματος δημιουργηθείσῃ λογικῇ, καὶ νοερᾷ διὰ τῆς ζωτικῆς ἐμπνεύσεως, θυμὸν καὶ ἐπιθυμίαν κτηνώδη οὐ συνέκτισεν αὐτῇ ὁ Θεὸς, ἀλλ᾽ ἐφέσεως δύναμιν ὀρεκτικὴν, καὶ πρὸς αὐτῇ θέλξεως ἀνδρείαν ἐρωτικήν· οὕτως οὐδὲ τῷ σώματι, πλαστουργήσας, θυμὸν καὶ ἐπιθυμίαν ἄλογον παρὰ τὰς ἀρχὰς ἐνέθηκεν. ὕστερον γὰρ ταῦτα διὰ τῆς παρακοῆς προσέλαβε τὸ θνητὸν, καὶ φθαρτὸν, καὶ κτηνῶδες, ἐν οἷς καὶ ὡμοιώθη γενόμενοι. τὸ γὰρ σῶμα, φασὶν οἱ θεολόγοι, ἄφθαρτον ἐκτίσθη, οἷον καὶ ἀναστήσεται, κἂν δεκτικὸν * ὥσπερ καὶ ἡ ψυχὴ ἀπαθής. ἐφθάρησαν δ᾽ ἀμφότερα, καὶ συνεκράθησαν διὰ τὸν φυσικώτατον θεσμὸν τῆς εἰς ἄλληλα περιχωρήσεώς τε καὶ μεταδόσεως, ἥτε ψυχὴ καὶ τὸ σῶμα. ἡ μὲν, τοῖς πάθεσι, μᾶλλον δὲ δαίμοσι ποιωθεῖσα. τὸ δὲ τοῖς ἀλόγοις κτήνεσιν ἐξομοιούμενον, τῇ τῆς καταστάσεως ἐνεργείᾳ, καὶ τῇ ἐπικρατείᾳ τῆς φθορᾶς. καὶ εἰς ἓν τῶν ἀμφοτέρων αἱ δυνάμεις γενόμεναι, ἓν κτῆνος ἄλογον καὶ ἄνει τῷ θυμῷ καὶ τῇ ἐπιθυμίᾳ γενόμενον, ἀπετέλεσαν. καὶ οὕτω παρασυνεβλήθη τοῖς κτήνεσι κατὰ τὴν γραφὴν, καὶ ὡμοιώθη αὐτοῖς κατὰ πάντα τρόπον.

* ἰσ. τῆς φθορᾶς

πγ'. Ἀρχὴ τῶν ἀρετῶν, καὶ γένεσις, ἡ ἀγαθὴ πρόθεσις· εἴτ᾽ οὖν ἡ ἔφεσις τοῦ καλοῦ. ὥσπερ ὁ Θεὸς αἰτία, καὶ πηγὴ, παντὸς ἀγαθοῦ· καλοῦ δὲ ἀρχὴ ἡ πίστις, μᾶλλον δὲ ὁ Χριστὸς, ἡ πέτρα τῆς πίστεως. ὃν ὡς ἀρχὴν καὶ θεμέλιον ἔχομεν πάντων τῶν ἀρετῶν, ἐν ᾧ βεβήκαμεν, καὶ ἐν ᾧ οἰκοδομοῦμεν πᾶν ἀγα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θόν. οὗτος ὁ λίθος ὁ ἀκρογωνιαῖος, ὁ συνδέων ἡμᾶς ἑαυτῷ, καὶ ὁ πολύτιμος μαργαρίτης. ὃν ζητῶν ὁ εἰς τὸν βυθὸν τῆς ἡσυχίας εἰσδύνων Μοναχὸς, πάντα τὰ ὑπάρχοντα αὐτῷ θελήματα, πιπράσκει διὰ τῆς ὑπακοῆς τῶν ἐντολῶν, ἵνα ἀπ' ἐντεῦθεν αὐτὸν κτήσηται.

πδ'. Ἰσότητα πρὸς ἀλλήλας αἱ ἀρεταὶ κέκτηνται, καὶ πᾶσαι εἰς ἓν συνάγονται, καὶ ἕνα ὅρον, καὶ εἶδος ἀρετῆς συμπληροῦσιν. εἰσὶ γὰρ ἀρεταὶ, καὶ εἰσὶν ἀρετῶν ἀρεταὶ μείζους, ὡς περιεκτικαὶ, καὶ συνεκτικαὶ τῶν πλειόνων, ἢ καὶ πάντων, ὡς ἡ θεία ἀγάπη, καὶ ἡ ταπείνωσις, καὶ ἡ θεία ὑπομονή. φησὶ γὰρ ὁ Κύριος περὶ αὐτῆς· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν· καὶ οὐκ εἶπεν ἐν τῇ νηστείᾳ ὑμῶν, ἢ τῇ ἀγρυπνίᾳ ὑμῶν. ὑπομονῆς δὲ λέγω, τῆς κατὰ Θεὸν γινομένης· τῆς βασιλίδος τῶν ἀρετῶν, τοῦ θεμελίου τῶν ἀνδραγαθημάτων. αὕτη γάρ ἐστιν αὕτη, ἡ ἐν πολέμοις εἰρήνη, ἡ ἐν ζάλῃ γαλήνη, ἡ ἐν τοῖς κατορθωκόσιν αὐτὴν, ἀπερίτρεπτος ἵδρυσις· ἣν οὐχ ὅπλα καὶ δόρατα, οὐ στρατόπεδα ἀφιέμενα, οὐχ αὕτη ἡ τῶν δαιμόνων παράταξις, οὐχ ἡ ζοφερὰ τῶν ἐναντίων φάλαγξ βλάψαι δυνήσονται τὸν ταύτην κτησάμενον ἐν Χριστῷ Ἰησοῦ.

πε'. Αἱ ἀρεταὶ, κἂν ἀλλήλων εἰσὶ γεννητικαὶ, ἀλλ' ἐκ τῶν τριῶν δυνάμεων τῆς ψυχῆς τὴν γένεσιν ἔχουσιν, αὗται τῶν θείων. αἰτία γὰρ καὶ ἀρχὴ τῶν τεσσάρων γενικῶν ἐν τοῖς φυσικοῖς, καὶ θείων ἀρετῶν, ἐξ ὧν, καὶ ἐν αἷς αἱ λοιπαὶ συνίστανται, τῆς τε φρονήσεως, καὶ ἀνδρείας, σωφροσύνης τε, καὶ δικαιοσύνης ἐστὶν, ἡ θεία τῶν θεολόγων πνευματοκίνητος σοφία, κατὰ νοῦν τετραχῶς κινουμένη. οὐχ ἅμα δὲ πάσας ἐνεργεῖ, ἀλλ' ἰδίᾳ ἑκάστην ἐν καιρῷ αὐτῆς καθὼς βούλεται. καὶ τὴν μὲν, ὡς φῶς· τὴν δὲ, ὡς δύναμιν ὀξεῖαν καὶ ἀνίκητον ἐμπνέουσιν. τὴν δὲ, ὡς ἁγιαστικὴν δύναμιν, καὶ καθαρτικήν. τὴν δὲ, ὡς δρόσον ἁγνείας εὐφραντικὴν, καὶ τοῦ καύσωνος τῶν παθῶν ἀναψυχαγωγικήν. ἑκάστην ἑκάστῳ ὡς προείρηται τελείῳ τελείαν καὶ τὴν ἐνέργειαν καὶ τὴν ζωτικὴν δίδωσι.

πϛ'. Ῥῶσιν τελείαν ψυχῆς οὐ χαρίζεται τῆς ἀρετῆς ἐξ ἰδίας σπουδῆς τὰ ἐπιτηδεύματα, εἰ μὴ αὗται οὐσιωδῶς ἐν τῇ ἕξει διὰ τῆς χάριτος παραγένωνται. ἑκάστη γὰρ ἔχει χάρισμα ἴδιον, ἐνέργειαν καθ' αὐτὴν, ὥστε δύνασθαι καὶ μὴ βουλομένους ἕλκειν τοὺς μετόχους αὐτῆς, πρὸς ἑαυτὴν τῇ ἕξει καὶ φύσει τοῦ ἀγαθοῦ. καὶ ὅτε ἡμῖν δοθῇ, ἀναλλοίωτον καὶ ἄτρεπτον ἔκτοτε συντηρεῖται. ζῶσαι γὰρ ὥσπερ ψυχὴν, ἐν ἰδίοις μέλεσιν ἔχουσι τὸ ἐνεργεῖν αὐτὰς, τὴν χάριν τοῦ πνεύματος. διὸ καὶ νεκρὸς ἅπας ὁ τῆς ἀρετῆς ὅμιλος, χωρὶς αὐτῆς πέφυκε. καὶ τοῖς δοκοῦσι τελείως ἔχειν ἢ κατορθοῦσιν αὐτὰς, καὶ αὗται ἑαυτῶν μόναι, σκιαὶ καὶ τύποι τοῦ καλοῦ, καὶ οὐκ ἀληθείας ἰνδάλματα.

πζ'. Εἰσὶν οὖν τέσσαρες μὲν αἱ καθολικαὶ ἀρεταὶ, ἀνδρεία, φρόνησις, σωφροσύνη, καὶ δικαιοσύνη. ὀκτὼ δὲ, αἱ καθ' ὑπερβολὴν καὶ ἔλλειψιν αὐτῶν ἐγγὺς παρεπόμεναι· κακίαι μὲν παρ' ἡμῖν· ἀρεταὶ δὲ παρὰ τοῖς ἐν κόσμῳ καὶ λεγόμεναι, καὶ νοούμεναι. καὶ τῆς μὲν ἀνδρείας, θρασύτης, καὶ δειλία· τῆς φρονήσεως δὲ, πονηρία, καὶ ἄγνοια. τῆς σωφροσύνης δὲ, ἀκολασία, καὶ ἠλιθιότης. τῆς δὲ δικαιοσύνης, πλεονεξία, καὶ ἀδικία, εἴτ' οὖν μειονεξία. μέσαι γάρ εἰσιν ἀρεταὶ, οὐ μόνον αἱ καθολικαὶ, καὶ φυσικαὶ, καὶ πάσης ἐλλείψεως καὶ ὑπερβολῆς ἀνώτεραι, ἀλλὰ καὶ αἱ πρακτικαί. καὶ αἱ μὲν τὴν προαίρεσιν, τῇ τῆς γνώμης εὐθύτητι· αἱ δὲ, τὴν ζωτικὴν καὶ τὴν οἴκησιν συνεργὸν κέκτηνται. περὶ γὰρ αὐτῶν ὅτι μέσαι εἰσὶν ἀρεταὶ τῆς εὐθύτητος, μάρτυς ἡ πα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ροιμία εἴπουσι φάσκουσα· καὶ κατορθώσεις πάντας ἄξονας ἀγαθούς. πᾶσαι οὖν ἐν ταῖς τρισὶ δυνάμεσι τῆς ψυχῆς συνιστάμεναι, ἐν αἷς τίκτονται καὶ οἰκοδομοῦνται, ὡς θεμέλιον τὰς τέσσαρας γενικὰς ἔχουσι· μᾶλλον δὲ Χριστὸν τῆς ἑαυτῶν οἰκοδομῆς. ἵνα αἱ μὲν φυσικαί, διὰ τῶν πρακτικῶν καθαίρωνται· αἱ δὲ θεῖαι, καὶ ὑπὲρ φύσιν, δίδωνται ἐν τῇ χρηστότητι τοῦ πνεύματος.

πη′. Τῶν ἀρετῶν, αἱ μὲν εἰσὶ πρακτικαί, αἱ δὲ φυσικαί, αἱ δὲ θεῖαι, καὶ τοῦ πνεύματος. καὶ αἱ μὲν πρακτικαί, τῆς προαιρέσεως· αἱ δὲ φυσικαί, τῆς διαπλάσεως. αἱ δὲ θεῖαι, τῆς χάριτος.

πθ′. Ὥσπερ τὴν τῶν ἀρετῶν γένεσιν ἡ ψυχὴ ἡμῶν ἔχει, οὕτω καὶ τὴν τῶν παθῶν. ἀλλὰ τὰς μέν, κατὰ φύσιν· τὰ δέ, παρὰ φύσιν τίκτειν εἴωθεν. αἰτίαν γὰρ πρὸς τὴν τοῦ καλοῦ ἢ κακοῦ γένεσιν ἡ ψυχή, τὴν ῥοπὴν τῆς θελήσεως κέκτηται· ὥσπερ τι κέντρον πρὸς γραμμάς, ἢ ζυγοῦ τὸ αὐθέμιον· ὅποι δ' ἂν τρέψῃ, τοῦτο συνεργὸν λαμβάνει, καὶ ἐνεργεῖ. ὑποκείμενον γάρ ἐστιν ἀμφοῖν πρὸς ταῖς δυσὶν ἐνεργείαις ἡ πρόθεσις. ἐπειδὴ καὶ ταύτας, κἀκείνας ἐν ἑαυτῇ περιφέρει. τὴν μέν, τῇ γενέσει· τὴν δέ, τῇ αὐθαιρέτῳ ῥοπῇ τοῦ θελήματος.

ϟ′. Νεάνιδας, ἡ γραφὴ καλεῖ, τὰς ἀρετάς, διὰ τὴν συγκρατικὴν αὐτῶν πρὸς τὴν ψυχὴν συνάφειαν γινομένην, καὶ εἰς ἓν πνεῦμα καὶ σῶμα μετ' αὐτῆς θεωρουμένων. ἀγάπης γὰρ σύμβολον τὸ τῆς νεάνιδος εἶδος, καὶ ἁγνείας, καὶ ἁγνισμοῦ τεκμήριον, τὸ σχῆμα τῶν ἱερῶν τούτων παρθένων. ἔθος γὰρ τὰ θεῖα μετασχηματίζειν ἡ χάρις πρὸς ὃ πεποίωνται, καὶ πρὸς τὸ συγγενὲς ἀπλανῶς ἐν τοῖς δυναμένοις εἰδοποιεῖν πέφυκεν.

ϟα′. Εἰσὶν οὖν ὥσπερ ὀκτὼ οἱ προστάται τῶν παθῶν, τρεῖς μὲν οἱ μεγάλοι. ὁ τῆς γαστριμαργίας, ὁ τῆς φιλαργυρίας, καὶ κενοδοξίας. πέντε δὲ οἱ τούτοις ἀκόλουθοι. ὁ τῆς πορνείας, καὶ ὀργῆς, καὶ λύπης, καὶ ἀκηδίας, καὶ ὑπερηφανίας. οὕτως εἰσὶ καὶ αἱ ἀντικείμεναι τούτων περιεκτικαὶ τρεῖς ἀρεταί· ἀκτημοσύνη, ἐγκράτεια, καὶ ταπείνωσις· μεθ' ὧν καὶ αἱ τούτοις ἑπόμεναι. ἁγνεία, καὶ πρᾳότης, χαρά, καὶ ἀνδρεία, καὶ ἐξουδένωσις· καὶ ἅπας ὁ τῶν ἀρετῶν * ὀπαδός. δυνάμεως δὲ καὶ ἐνεργείας, καὶ ὀσμῆς ἰδίας ἑκάστης ἀρετῆς, ἢ κακίας μαθεῖν καὶ γνῶναι, οὐ τοῦ βουλομένου παντός ἐστιν, ἀλλὰ τοῦ ποιοῦντος καὶ πάσχοντος ἔργῳ καὶ λόγῳ, καὶ ἐκ τοῦ πνεύματος τὰ χαρίσματα τῆς ἐπιστήμης λαβόντος καὶ τῆς διακρίσεως. * ἴσ. ὁρμαθός

ϟβ′. Τῶν ἀρετῶν, αἱ μὲν ἐνεργοῦσιν, αἱ δὲ ἐνεργοῦνται. καὶ ἐνεργοῦσι μὲν αὗται ἐν ἡμῖν, ἐπιδημοῦσαι ὅτε δεῖ, καὶ ἡνίκα, καὶ ὅσον βούλονται, καὶ καθώς. ἐνεργοῦμεν δὲ ταύτας ἡμεῖς, κατὰ τὴν προαίρεσιν, καὶ τὴν ἠθικὴν ἕξιν τῆς ἡμῶν ἐπιτηδειότητος. ἀλλ' ἐκεῖναι μέν, οὐσιωδῶς· ἡμεῖς δέ, τυπικῶς πρὸς ἦθος τυπούμενοι· εἴπερ τύπος ἐστίν, ὁ πασῶν τῶν ἡμετέρων ἐργασιῶν τρόπος, πρὸς τὰ ἐκεῖθεν ἀρχέτυπα. ἐπειδὴ ὀλίγοις λίαν οὐσιωδῶς τὰ νοητὰ μετέχονται, πρὸ τῆς μελλούσης ἀφθάρτου ἀπολαύσεως· τοὺς κόπους γὰρ ἐντεῦθεν καὶ τοὺς τύπους, οὐ τὰς ἀρετὰς κυρίως ἐνεργοῦμεν, καὶ ἀπολαμβάνομεν.

ϟγ′. Γεωργεῖ τὸ Εὐαγγέλιον κατὰ Παῦλον, ὁ μεταλαμβάνων καὶ μεταδιδόναι δυνάμενος ἐνεργείᾳ καὶ ἑτέροις τὸν φωτισμὸν τοῦ Χριστοῦ. ὥσπερ τινὰ σπόρον θεῖον τὸν λόγον, ἐν ταῖς ψυχικαῖς τῶν ἀκουόντων ἀρούραις αὐτὸν ἐντίθησιν. ὁ λόγος ὑμῶν· φησίν· ἔστω ἐν χάριτι ἠρτυμένος θείας χρηστότητος, ἵνα δῷ χάριν τοῖς ἐν πίστει ἀκούουσι. γεωργοὺς δὲ πάλιν, καὶ γεώργιον, τοὺς διδασκάλους, καὶ διδασκομένους εἰπών, ἐμφαίνει μάλα σοφῶς. τοὺς μέν, ὡς ἀροτῆρας καὶ σπορεῖς τοῦ θείου λόγου.

τας δὲ, ὡς τῶν ἀρετῶν γῆν πίαν· καρποφόρον καὶ εὔσταχυν. ἱερουργία γὰρ κυρίως ἀληθινή, οὐ μόνον ἡ τῶν θείων ἐνέργεια, ἀλλὰ καὶ ἡ μετουσία τῶν ἀγαθῶν καὶ μετάδοσις.

ϟδʹ. Διάφορός ἐστιν ὁ διὰ προφορᾶς πρὸς διδαχὴν προερχόμενος λόγος, καὶ διαφόρως ἐκ πολλῶν τρόπων συνάγεται ἐκ τεσσάρων εἰδῶν· ὁ μὲν, ἐκ μαθήσεως· ὁ δὲ, ἐκ τῆς ἀναγνώσεως· ἄλλος ἐκ πράξεως, καὶ ἕτερος ἐκ τῆς χάριτος. ὥσπερ δὲ τὸ ὕδωρ ἕν ἐστι τῇ φύσει, μεταποιεῖται δὲ, καὶ μεταβάλλεται κατὰ τὴν ὑποκειμένην διάφορον τοῦ χοὸς ὕλην, εἰς οἰκείαν ποιότητα, ὡς τῇ γεύσει νοούμενον εἶναι, τὸ μὲν, πικρόν· τὸ δὲ, γλυκύ· καὶ ἄλλο ἁλμυρὸν καὶ * ὀζῶδες. οὕτω κατὰ τὴν ἠθικὴν ἕξιν ἑκάστου προερχόμενος ὁ λόγος καὶ ἀλλοιούμενος, ἐνεργείᾳ γινώσκεται καὶ τὴν ὠφέλειαν δίδωσιν.

* ἴσ. ὀξῶδες

ϟεʹ. Ἐπειδὴ δὲ ὁ λόγος εἰς ἀπόλαυσιν δέδοται πάσης λογικῆς φύσεως, ὥσπερ ἐδέσματά τινα πολλὰ διάφορα, τὴν ἡδονὴν αὐτῶν διαφόρως ἡ ψυχὴ ὑπολαμβάνουσα αἰσθάνεται. ἔχει γὰρ τὸν ἐπιστημονικὸν λόγον, ὡς παιδαγωγὸν πρὸς ἦθος τυποῦντα αὐτήν. τὸν δὲ τῆς ἀναγνώσεως, ὡς ὕδωρ ἀναπαύσεως ἐκτρέφοντα. τὸν δὲ τῆς πράξεως, ὡς τόπον χλόης πιαίνοντα. τὸν δὲ τῆς χάριτος, ὡς ποτήριον μεθύσκοντα αὐτήν, καὶ εὐφραίνοντα. τὴν δὲ ἄρρητον αὐτῆς ἀγαλλίασιν, ὡς ἔλαιον πρόσωπον ἱλαρύνουσαν, καὶ φαιδρὰν ἐργαζομένην.

ϟϛʹ. Κυρίως οὐ μόνον ἐν αὐτῇ ὡς ζωὴν ἡ ψυχὴ ταῦτα κέκτηται, ἀλλ᾿ ὅτε καὶ παρ᾿ ἄλλοις ἀκούει ταῦτα πρὸς διδαχὴν αἰσθάνεται, ὁπηνίκα προηγεῖται ἀμφοτέρων ἀγάπη καὶ πίστις. καὶ ὁ μὲν, πιστεύει ἀκούων· ὁ δὲ, ἀγάπῃ παιδεύων, ἄνευ τύφου, καὶ δόξης τοὺς λόγους τῆς ἀρετῆς ποιούμενος. τὸν μὲν γὰρ ἐκ μαθήσεως λόγον, ὡς παιδαγωγὸν δέχεται. τὸν δὲ τῆς ἀναγνώσεως, ὡς τροφόν. τὸν δὲ τῆς πράξεως, ὡς ἐνδιάθετον, ὡς νυμφοστόλον ἡδύτατον. τὸν δὲ τοῦ πνεύματος φωτιστικόν, ὡς νυμφίον λόγον σωστικὸν αὐτῆς, τὸν εὐφραίνοντα. πᾶν γὰρ ῥῆμα ἐκπορευόμενον διὰ στόματος Θεοῦ ἐστιν, οἱ διὰ τοῦ πνεύματος ἐκ στόματος τῶν ἁγίων προελθόντες λόγοι, ἡ δι᾿ ἐνέργειαν γλυκυτάτη τοῦ πνεύματος ἐπίπνοια, ἣν τρυφῶσιν οὐ πάντες, ἀλλὰ μόνοι οἱ ἄξιοι. ἐπειδὴ δὲ καὶ τρυφὴν ἔχουσι τὸν λόγον οἱ λογικοί· ἐνταῦθα μὲν οἱ τῶν τοῦ πνεύματος ἐναργῶς εὐφραινόμενοι, ὀλίγοι λίαν εἰσίν. τοὺς τύπους δὲ μόνον οἱ πολλοὶ τῶν πνευματικῶν λόγων διὰ τῆς μνήμης καὶ γινώσκουσι καὶ μετέχουσι, τὸν ἄρτον οὔπω τὸν ἀληθινὸν τοῦ μέλλοντος ἐν αἰσθήσει Θεοῦ λόγον μετέχοντες. μόνος γὰρ αὐτὸς ἐκεῖσε πρόκειται εἰς πᾶσαν τοῖς ἀξίοις ἱκανῶς ἡδονήν· μήτε ἐσθιόμενος, μήτε δαπανώμενος, ἢ θυόμενος πώποτε.

Ἄνευ αἰσθήσεως νοερᾶς, τῶν θείων ἐν αἰσθήσει τὴν ἡδονὴν ἀδύνατον γεύσασθαι. ὥσπερ γὰρ ὁ τὰς αἰσθήσεις ἀμβλυώσας, ἀνενεργήτους αὐτὰς ἐποίησε πρὸς τὰ αἰσθητά, καὶ οὔτε ὁρᾷ, οὔτε ἀκούει, οὔτε ὀσφραίνεται, πάρετος ὤν, μᾶλλον δὲ ἡμιθανής. οὕτω καὶ ὁ τὰς ψυχικὰς κατὰ φύσιν δυνάμεις νεκρώσας διὰ τῶν παθῶν, ἀναισθήτους πρὸς ἐνέργειαν καὶ μετοχὴν τῶν μυστηρίων τοῦ πνεύματος ἐποίησεν. ὁ γὰρ μὴ ὁρῶν, καὶ ἀκούων, καὶ αἰσθανόμενος πνευματικῶς, νεκρός ἐστι· μὴ ζῶν γὰρ ἐστὶν ἐν αὐτῷ ὁ Χριστός, μήτε αὐτὸς ἐν αὐτῷ κινούμενός τε καὶ ἐνεργούμενος. ϟζʹ.

Ἴσην καὶ τὴν αὐτήν, ἵνα μὴ λέγω, καὶ μίαν, ἔχουσι τὴν ἐνέργειαν αἱ αἰσθήσεις πρὸς τὰς ψυχικὰς δυνάμεις, καὶ μάλιστα ὅτε ὑγιῶς ἔχουσι. δι᾿ ἐκείνων γὰρ αὗται καὶ ζῶσι, καὶ ἐνεργοῦσι, καὶ ἀμφοτέροις τὸ ζωτικὸν συγκέκραται πνεῦμα. ἀρρωστεῖ γὰρ κυρίως ὁ ἄνθρωπος, ϟηʹ.

ὅτε τὴν γενικὴν τῶν παθῶν ἀσθένειαν ἐπιφέρει, ἐν τῷ νοσοκομείῳ τῆς ῥαθυμίας ἀεὶ κατακείμενος. αἱ μὲν γὰρ αἰσθήσεις, τὰ αἰσθητά, αἱ δέ, τὰ νοητὰ τρανῶς ἐποπτεύουσιν. ὅτε μάλιστα οὐκ ἔστι μάχη τις σατανικὴ ἐν αὐταῖς, τῷ νόμῳ τοῦ νοὸς καὶ τοῦ πνεύματος ἀντιτασσομένη. ἡνίκα δὲ εἰς ἓν συναφθῶσι διὰ τοῦ πνεύματος ἑνοειδῶς γενόμεναι, τηνικαῦτα τὰ θεῖα καὶ τὰ ἀνθρώπινα ἀμέσως καὶ οὐσιωδῶς, ὡς ἔχουσι φύσεως γινώσκουσι. καὶ τοὺς λόγους αὐτῶν σαφῶς θεωροῦσι, καὶ τὴν μίαν αἰτίαν τῶν ὅλων Τριάδα, ὡς δυνατόν, καθαρῶς ἐποπτεύουσι.

ϞΘʹ. Πρῶτον μὲν ὀφείλει ὁ ἡσυχάζων, ὡς θεμέλιον ἔχειν τὰς πέντε ἀρετὰς ταύτας, ἐν ᾧ καὶ ἐργασίας οἰκοδομήν. ἤγουν σιωπήν, ἐγκράτειαν, ἀγρυπνίαν, ταπείνωσιν, καὶ ὑπομονήν. ἐργασίας δὲ θεαρέστους τρεῖς. ψαλμῳδίαν, προσευχήν, καὶ ἀνάγνωσιν. καὶ ἐργόχειρον, ἐὰν ἐστὶν ἀσθενής. αἱ γὰρ προειρημέναι ἀρεταὶ οὐ μόνον εἰσὶ πασῶν περιεκτικαί, ἀλλὰ καὶ συστατικαὶ ἀλλήλων. καὶ ἀπὸ πρωΐας σχολάζειν ἐπὶ τῇ μνήμῃ τοῦ Θεοῦ διὰ προσευχῆς, καὶ καρδιακῆς ἡσυχίας, ἐπιμόνως εὔχεσθαι, ὥραν πρώτην, εἶτα δευτέραν, ἀναγινώσκειν. τρίτην, ψάλλειν. τετάρτην, εὔχεσθαι. πέμπτην, ἀναγινώσκειν. ἕκτην, ψάλλειν. ἑβδόμην, εὔχεσθαι. ὀγδόην, ἀναγινώσκειν. ἐννάτην, ψάλλειν. δεκάτην, ἐσθίειν. ἑνδεκάτην, κοιμᾶσθαι, εἰ χρείαν ἔχει. δωδεκάτην, ψάλλειν τὰ ἑσπερινά. καὶ οὕτω καλῶς τὸ στάδιον τῆς ἡμέρας διερχόμενος, ἀρέσκει Θεῷ.

ρʹ. Ἐκ πάντων χρὴ ὡς μέλισσαν τῶν ἀρετῶν συλλέγειν τὰ χρησιμώτατα, καὶ οὕτω μεταλαμβάνοντα ἐκ πάντων μικρόν, ποιεῖν μεγάλην τῆς ἐργασίας τῶν ἀρετῶν σύνθεσιν· ἐξ ὧν τὸ μέλι τῆς σοφίας πορίζεται πρὸς εὐφροσύνην ψυχῶν.

ραʹ. Ῥᾷον δέ, εἰ βούλει, καὶ τὸ τῆς νυκτὸς διάστημα διελθεῖν, ἄκουσον. τρεῖς πολιτείας ἔχει ἡ ἀγρυπνία τῆς νυκτός. ἀρχαρίων, μέσων, καὶ τελείων. καὶ ἡ μὲν πρώτη πολιτεία ἐστὶν αὕτη, τὸ ἥμισυ τῆς νυκτὸς κοιμᾶσθαι, καὶ τὸ ἥμισυ ἀγρυπνεῖν. καὶ ἢ ἀφ' ἑσπέρας ἕως μέσης νυκτός, ἢ ἀπὸ μέσης νυκτὸς ἕως πρωΐ. ἡ δὲ δευτέρα πολιτεία ἐστὶν αὕτη. ἀγρυπνεῖν ἀφ' ἑσπέρας ὥραν μίαν, ἢ δύο. εἶτα κοιμᾶσθαι ὥρας τέσσαρας. ἐγείρεσθαι δὲ εἰς τὸν ὄρθρον, ψάλλοντα καὶ προσευχόμενον ὥρας ἓξ ἕως πρωΐ. εἶτα ψάλλειν τὴν πρώτην ὥραν, καὶ καθέζεσθαι ἡσυχάζοντα, ὡς προείρηται. καὶ ἢ τοὺς ὅρους τῶν ἐργασιῶν φυλάττειν διὰ τῶν ὡρῶν, ἢ τὴν συνέχειαν δηλαδὴ τῆς προσευχῆς ἀδιάστατον τηρεῖν, δι' ἧς ἡ ἕξις τὸν πολιτευόμενον. ἡ δὲ τρίτη πολιτεία, παννύχιον ἔχει τὴν στάσιν, καὶ τὴν ἐγρήγορσιν.

ρβʹ. Ἴδε γὰρ καὶ περὶ βρώσεως φαμέν, ὅτι λίτρα ἄρτου ἀρκεῖ παντὶ τῷ ἀγωνιζομένῳ πρὸς ἡσυχίαν, καὶ οἴνου μέν, δύο βαυκάλια ἀκράτου πίνειν. ὕδατος δέ, τρία. καὶ ἀπὸ τῶν εὑρισκομένων σιτίων τρέφεσθαι, οὐχ ὅσα ζητεῖ ἡ φύσις ἐπιθυμητικῶς, ἀλλ' ὅσα ἡ πρόνοια οἰκονομεῖ, χρᾶσθαι ἐγκρατῶς· * ἄριστος οὖν καὶ σύντομος εἴδησις περὶ τῶν ἀκριβῶς πολιτεύεσθαι βουλομένων, τὰς τρεῖς τῶν ἀρετῶν περιεκτικὰς ἐργασίας τηρεῖν, νηστείαν φημί, ἀγρυπνίαν, καὶ προσευχήν, τὸ ἔρεισμα πάντων, βεβαιώσας κραταιότατα. * ἴσ. ἀρίστη

ργʹ. Ἡ ἡσυχία πρὸ πάντων πίστεως δεῖται καὶ ὑπομονῆς, καὶ τῆς ἐξ ὅλης καρδίας καὶ ἰσχύος καὶ δυνάμεως, ἀγάπης, καὶ ἐλπίδος. ὁ μὲν γὰρ πιστεύων, κἂν ἐνταῦθα τοῦ ζητουμένου ἀποτύχῃ δι' ἀμέλειαν τυχόν, ἢ ἄλλην αἰτίαν, ἀλλ' ἐν τῇ ἐξόδῳ πάντως ἀδύνατον μὴ πληροφορηθῆναι τὸν καρπὸν τῆς πίστεως καὶ τοῦ ἀ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γνῶτος, καὶ ἰδεῖν τὴν ἀλήθειαν. ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός, ἡ τῶν ψυχῶν ἀπολύτρωσις καὶ σωτηρία, ὁ θεάνθρωπος λόγος. ὁ δὲ ἀπιστῶν, κατακριθήσεται πάντως ἐν ἐξόδῳ· ἀλλὰ καὶ ἤδη κέκριται· φησὶν ὁ Κύριος. ὁ γὰρ ταῖς ἡδοναῖς δουλεύων, καὶ δόξαν τὴν παρὰ ἀνθρώπων ζητῶν, καὶ οὐ τὴν ἐκ Θεοῦ, ἄπιστός ἐστι, φησί, κἂν ἐν λόγῳ πιστὸς εἶναι δοκῇ, ὁ τοιοῦτος ἠπάτησεν ἑαυτὸν λεληθότως. ἀκούσεται γάρ, ὅτι ἀνθ' ὧν οὐκ ἔλαβές με ἐν τῇ καρδίᾳ σου, ἀλλ' ἀπέῤῥιψάς με ὀπίσω τοῦ νώτου σου, κἀγὼ ἀπώσομαί σε. δεῖ γὰρ τὸν πιστόν, εὔελπιν εἶναι. καὶ πιστεύειν μὲν τὴν τοῦ Θεοῦ ἀλήθειαν, μαρτυρουμένην ἐν πάσαις ταῖς γραφαῖς. ὁμολογεῖν δὲ τὴν ἑαυτοῦ ἀσθένειαν, ἵνα μὴ διπλοῦν ἔχῃ τὸ κρίμα καὶ ἀπαραίτητον.

ρδ'. Συντετριμμένην καρδίαν, καὶ ψυχὴν τεταπεινωμένην οὐδὲν οὕτως ἐμποιεῖ, ὡς τὸ ἡσυχάζειν ἐν γνώσει, καὶ ἡ ἐκ πάντων σιωπή. κυρίως οὐκ ἄλλο τί ἐστι τὸ λυμαῖνον τὴν κατάστασιν τῆς ἡσυχίας, καὶ τὴν θείαν ἐξ αὐτῆς περιαιροῦν δύναμιν, ὡς τὰ περιεκτικὰ ἓξ πάθη ταῦτα. παῤῥησία, γαστριμαργία, πολυλογία τε, καὶ περισπασμός· φυσίωσις, καὶ ἡ κυρία τῶν παθῶν οἴησις. εἰς ἅπερ ὁ μετὰ προθυμίας ἐθίσας, τελείως, καὶ μετὰ τὴν προκοπὴν ἐπὶ πλεῖον σκοτιζόμενος, ἀναίσθητος γίνεται. καὶ εἰ μὲν ἀνανεύσει πάλιν, μετὰ πίστεως καὶ προθυμίας βαλὼν ἀρχήν, τοῦ ζητουμένου τεύξεται πάλιν· καὶ μάλιστα ταπεινούμενος καὶ ζητῶν. εἰ δὲ ἓν τῶν προειρημένων διὰ τῆς ἀμελείας βασιλεύσει ἐν αὐτῷ, τότε ἅπας ὁ τῶν κακῶν κατάλογος σὺν τῇ ὀλέθρῳ ἀπιστίᾳ ἐγκρατεύσας, ἔρημον τὴν ψυχὴν ἀπεργάζεται· οἷόν τινα Βαβυλωνίαν πόλιν ἄλλην, ταῖς τῶν δαιμόνων γινομένην ταραχαῖς καὶ θορύβοις· ὡς εἶναι τὰ ἔσχατα χείρονα τῶν πρώτων. καὶ ἐχθρὸν θυμοειδῆ, καὶ κατήγορον κατὰ τῶν ἡσυχαζόντων γινόμενον, καὶ τὴν γλῶσσαν ὡς ὀξεῖαν καὶ ὡς δίστομον ἀεὶ κατ' αὐτῶν μάχαιραν θήγοντα.

Ὕδατα παθῶν, ἐξ ὧν ἡ θολερὰ καὶ σύμμικτος τῆς ἡσυχίας πλημμυροῖ τὴν ψυχὴν θάλασσα, οὐκ ἔστιν ἄλλως περάσαι, εἰ μὴ ἐν τῷ πλοίῳ τῷ κούφῳ καὶ ἐλαφρῷ τῆς περιεκτικῆς ἀκτησίας, καὶ ἐγκρατείας. ἐκ γὰρ τῆς ἀκρασίας, καὶ φιλοϋλίας οἱ τῶν παθῶν χείμαῤῥοι τὴν γῆν τῆς καρδίας περικλύσαντες, καὶ πᾶσαν σαπρείαν, καὶ ὕλην λογισμῶν ἐν αὐτῇ καταγαγόντες, τότε σύγχυσιν μέν, τῷ νοΐ, θόλωσιν δέ, τῇ διανοίᾳ, βάρος δέ, τῷ σώματι ἐμποιοῦσι. καὶ ὀλίγωρον, καὶ σκοτεινήν, καὶ ναρκῶσαν τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπεργάζονται, καὶ τῆς οἰκείας κατὰ φύσιν ἕξεως, καὶ αἰσθήσεως ἐκβάλλουσιν. ρε'.

Χαύνην, καὶ ὀλίγωρον, καὶ ἄθυμον οὐχ οὕτως, ὡς ἡ φιλαυτία κυρίως ἡ τῶν παθῶν τροφὸς τὴν ψυχὴν τῶν σπουδαίων ἐμποιεῖ. ἡνίκα γὰρ τὰς τοῦ σώματος ἀναπαύσεις τῶν ὑπὲρ ἀρετῆς πόνων προτιμᾷ, καὶ περιποιητικὴν ἡγεῖται γνῶσιν, τὸ μὴ ποιεῖν ἐν τοῖς ἔργοις ἑκουσίως, μάλιστα ἐν ἐγχειρήσει τῶν ἐντολῶν μικροῖς ἱδρῶσι, τότε ἀτονίαν τῇ ψυχῇ πρὸς τὸ τῆς ἡσυχίας στάδιον ποιεῖν πέφυκε, καὶ τὴν ἔκλυσιν ἐν τοῖς ἔργοις κραταιὰν καὶ ἀκαταμάχητον ἀπεργάζεται. ρϛ'.

Ταχὺς ἄριστος καὶ πρῶτος τοῖς πρὸς τὰς ἐντολὰς ἀσθενοῦσι, καὶ τὴν θολώδη σκότωσιν ἐλομένοις ἐμεῖν δυσχερῶς, οὐκ ἔστιν, ὡς ἡ ἀδιάκριτος, καὶ μετὰ πίστεως ἐν πᾶσιν ὑπακοή. φάρμακον γάρ ἐστι ζωτικὸν πολυσύνθετον ἀρετῶν τοῖς πίνουσι, καὶ μάχαιρα τὰς ὅλας τῶν τραυμάτων ἀφ' ἑνὸς ἐκκαθαίρουσα· ἣν ὁ ἐν πίστει, καὶ ἁπλότητι προκρίνας πασῶν ἐνεργεῖν, πάντα τὰ πάθη ὑφ' ἓν περιέκοψε· καὶ ἡσυχίαν οὐ φθάσας μόνον, ἀλλ' ἤδη καὶ ρζ'.

διὰ τῆς ὑπακοῆς κατόρθωσεν αὐτὴν Χριστὸν φορῶν, καὶ μιμητὴς αὐτοῦ, καὶ δοῦλος, καὶ γενόμενος, καὶ λεγόμενος.

ρη'. Ἄνευ πενθικῆς ἐργασίας, καὶ πολιτείας, ἀδύνατον τὸν τῆς ἡσυχίας καύσωνα ὑπομεῖναι. ὁ μὲν γὰρ πενθῶν, καὶ τὰ πρὸ τοῦ θανάτου, καὶ μετὰ θάνατον δεινὰ μελετῶν, πρὶν ἢ ἀφ᾽ ἑαυτῶν ἥξωσι, καὶ ὑπομονὴν ἕξει, καὶ ταπείνωσιν τὰ δύο τῆς ἡσυχίας θεμέλια. ὁ δὲ χωρὶς τῶν προειρημένων ἡσυχίαν ἄγων, σύντροφον ἔχει ἀεὶ τῆς ὀλιγωρίας τὴν οἴησιν. ἐξ ὧν αἰχμαλωσίαι, καὶ ῥεμβασμοὶ πληθύνονται, καὶ πρὸς τὴν χαύνωσιν συνωθοῦσιν ἡμᾶς. ἐντεῦθεν ἡ τῆς ῥαθυμίας θυγάτηρ ἀκρασία, χαῦνον μὲν καὶ ἄπονον τὸ σῶμα ἐμποιεῖ, τὸν νοῦν δὲ ἐσκοτισμένον καὶ πεπωρωμένον ἐργάζεται. τότε δὲ καὶ Ἰησοῦς ἐκρύβη, ὄχλου ὄντος νοημάτων, καὶ λογισμῶν ἐν τῷ κατὰ διάνοιαν τόπῳ.

ρθ'. Συνειδήσεως βάσανον τῆς νῦν, ἢ τῆς μελλούσης ἐν αἰσθήσει γεύσασθαι, τοῖς πᾶσιν ἀδύνατον. μόνοις γὰρ ἐκείνοις ἰδικῶς προσγίνεται, οἷς ἡ δόξα καὶ ἡ ἀγάπη ἢ ἐντεῦθεν, ἢ ἐκεῖθεν ὑστερεῖται. ὡς γὰρ δήμιός τις ἐστὶ φοβερὸς τοὺς ὑπευθύνους πολυτρόπως κολάζων, καὶ τὸν ζῆλον ἢ ἔλεγχον, ὡς ῥομφαίαν ἄτομον τυραννικῶς ἀπογυμνῶν ἀεὶ φαίνεται. τειχῶς ἂν κινεῖσθαι πρός τε τὰς ἐναντίας, καὶ τὴν φύσιν, καὶ τὴν ψυχήν, δοθείσης τῆς συνειδήσεως, ὁ καλούμενος ζῆλος, καὶ παρ᾽ ἑτέροις φυσικὸς θυμός· ὃν ὡς ῥομφαίαν ἀπότομον πρὸς τοὺς ἐχθροὺς ὀξύνειν ἡμᾶς προστάσσουσι. καὶ εἰ μὲν νικήσας, ὑποτάξοι τὰ δύο τῷ ἑνί, ὅρος ἀνδρείας τότε μεταποιούμενος, πρὸς Θεὸν γίνεται. εἰ δὲ ὑποταγῇ ταῖς δυσὶν ἡ ψυχή, ἁμαρτίᾳ φημί, καὶ σαρκί, τέλος ἐκεῖθεν βάσανος αὐτῇ ἀνίλεως καθίσταται, ὡς δουλωθείσῃ αὐθαιρέτῳ γνώμῃ τοῖς ἐναντίοις. ἐντεῦθεν πράττουσα τὰ αἴσχιστα, καὶ ὡς τὴν τῶν ἀρετῶν κατάστασιν ἀπολέσασα, ἐκπέπτωκε, τοῦ Θεοῦ χωρισθεῖσα.

ρι'. Κυρίως πάντων τῶν παθῶν, δύο εἰσὶ σκληρὰ καὶ βαρύτατα πάθη· πορνεία, καὶ ἀκηδία, τὰ συνέχοντα, καὶ ἐκλύοντα τὴν ταλαίπωρον ψυχήν. κοινὴν ἀλληλουχίαν ἔχοντα, καὶ συζυγίαν ἀλλήλοις· δυσκαταμάχητα ὄντα καὶ ἀήττητα, καὶ τελείως ὑφ᾽ ἡμῶν ἀνίκητα. καὶ τὸ μέν, πλεονάζει ἐν τῷ ἐπιθυμητικῷ, περιέχει δὲ τὴν ὅλην φύσιν ἀλλοεἰςως ἀμφοτέρων, λέγω ψυχῆς καὶ σώματος, συγκεκραμμένην ἔχον ὅλην ἐν ὅλοις μέλεσι τὴν ἡδονὴν αὐτῆς. ἡ δέ, ἄνωθεν τὸ ἡγεμονικὸν κρατοῦσα, ὅλην ψυχὴν καὶ τὴν σάρκα καθάπερ σμίλαξ ὕλη περιλαμβάνουσα, νωθρὰν, καὶ ἐκλελυμένην, καὶ πάρετον τὴν φύσιν ποιεῖ. ἐκβέβληνται δὲ καὶ οὐ τελείως ἡττῶνται πρὸ τῆς μακαρίας ἀπαθείας, ὁπόταν ἡ ψυχὴ Πνεύματος Ἁγίου εἰληφυῖα δύναμιν ἐν προσευχῇ, τὴν ποιοῦσαν ἄνεσιν αὐτῇ καὶ ἰσχὺν καὶ βαθεῖαν εἰρήνην ἐν καρδίᾳ διὰ τῆς ἡσυχίας ὑφαίνεται. αὕτη ἐστὶν ἡ ἀρχή, καὶ βασιλίς, καὶ κυρία, καὶ ἡ περιεκτικὴ τῶν ἡδονῶν ἡδονή, καὶ ἡ σύντροφος αὐτῆς ῥαθυμία ἡ τοὺς τριστάτας τοῦ Φαραὼ ἐπιφέρουσα τὸ ἀκαταμάχητον ἅρμα· δι᾽ ὧν αἱ ἀφορμαὶ τῶν παθῶν τῷ βίῳ τοῖς ἀθλίοις ἡμῖν ἐπεισῆλθον.

ρια'. Ἀρχὴ τῆς νοερᾶς προσευχῆς, ἡ ἐνέργεια, εἴτ᾽ οὖν ἡ καθαρτικὴ τοῦ πνεύματος δύναμις, καὶ ἡ μυστικὴ τοῦ νοὸς ἱερουργία. ὥσπερ ἀρχὴ τῆς ἡσυχίας, ἡ σχολή. μεσότης δέ, ἡ φωτιστικὴ δύναμις, καὶ θεωρία. καὶ τέλος, ἡ ἔκστασις καὶ ἡ ἁρπαγὴ τοῦ νοὸς πρὸς Θεόν.

ριβ'. Ἱερατεῖον πνευματικόν ἐστι πρὸ τῆς μελλούσης ὑπὲρ νοῦν ἀπολαύσεως, ἡ νοερὰ τοῦ νοὸς ἐνέργεια, τὸν ἀμνὸν μυστικῶς ἐν ἀρραβῶνι τοῦ Θεοῦ ἐν τῷ τῆς ψυχῆς θυσιαστηρίῳ καὶ ἱερουργοῦντος καὶ μετέχον-

τος.

Athos Library Αγιορειτική Βιβλιοθήκη

τος. ἐσθίειν δὲ ἐστὶ τὸν ἀμνὸν τοῦ Θεοῦ ἐν τῷ νοερῷ θυσιαστηρίῳ τῆς ψυχῆς, οὐ τὸ νοῆσαι, ἢ μεταχεῖν μόνον, ἀλλὰ καὶ τὸ γενέσθαι ὡς τὸν ἀμνὸν κατὰ τὴν μόρφωσιν ἐν τῷ μέλλοντι. τοὺς μὲν γὰρ λόγους, ἐνταῦθα. τὰ δὲ πράγματα τῶν μυστηρίων, ἐκεῖσε ὑπολαβεῖν ἐλπίζομεν.

ριγ'. Προσευχή ἐστι, παρὰ μὲν τοῖς ἀρχαρίοις, ὡς πῦρ εὐφροσύνης ἀπὸ καρδίας ἀναδιδόμενον. παρὰ δὲ τοῖς τελείοις, ὡς φῶς εὐωδιάζον ἐνεργούμενον. ἢ πάλιν· προσευχή ἐστιν, Ἀποστόλων κήρυγμα. πίστεως ἐνέργεια. μᾶλλον δὲ, πίστις ἄμεσος. ἐλπιζομένων ὑπόστασις. ἐνεργουμένη ἀγάπη. ἀγγελικὴ κίνησις. δύναμις ἀσωμάτων. ἔργον καὶ εὐφροσύνη αὐτῶν. Εὐαγγέλιον Θεοῦ. πληροφορία καρδίας. σωτηρίας ἐλπίς. ἁγιασμοῦ σημεῖον. ἁγιότητος σύμβολον. Θεοῦ ἐπίγνωσις. βαπτίσματος φανέρωσις. λουτροῦ κάθαρσις. Πνεύματος Ἁγίου ἀρραβών. τὸ τοῦ Ἰησοῦ ἀγαλλίαμα. εὐφροσύνη ψυχῆς. ἔλεος Θεοῦ. καταλλαγῆς σημεῖον. Χριστοῦ σφραγίς. ἀκτὶς νοητοῦ ἡλίου. ἑωσφόρος καρδιῶν. χριστιανισμοῦ βεβαίωσις. καταλλαγῆς Θεοῦ δήλωσις. χάρις Θεοῦ. σοφία Θεοῦ, μᾶλλον δὲ αὐτοσοφίας ἀρχή. Θεοῦ φανέρωσις. μοναχῶν ἔργον. ἡσυχαζόντων πολίτευμα. ἡσυχίας ἀφορμή. ἀγγελικῆς πολιτείας τεκμήριον. καὶ τί δεῖ πλεῖστα λέγειν; προσευχή ἐστιν ὁ Θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι, διὰ τὸ μίαν εἶναι Πατρός, καὶ Υἱοῦ, καὶ Ἁγίου Πνεύματος τὴν ἐνέργειαν, τοῦ ἐνεργοῦντος τὰ πάντα ἐν Χριστῷ Ἰησοῦ.

ριδ'. Ῥάβδον δυνάμεως, εἰ μὴ Μωϋσῆς παρὰ Θεοῦ εἰλήφει, οὐκ ἂν Θεὸς Φαραὼ γενόμενος, αὐτόν τε μαστίζῃ, καὶ τὴν Αἴγυπτον. καὶ νοῦς, εἰ μὴ δύναμιν προσευχῆς ἐν χειρὶ μετάσχοι, τὴν ἁμαρτίαν καὶ τὰς ἐναντίας δυνάμεις συντρίψαι ἀδύνατον.

Οἱ λέγοντες, ἢ πράττοντές τι χωρὶς ταπεινώσεως, ἐοίκασιν ἐν χειμῶνι, ἢ ἄνευ πηλοῦ οἰκοδομεῖν. πεῖρα δὲ, καὶ γνώσει ταύτην εὑρεῖν, καὶ γνῶναι, ὀλίγων λίαν ἐστίν. οἱ γὰρ ἐν λόγῳ περὶ ταύτης διεξιόντες, ὅμοιοί εἰσιν οἱ μετροῦντες τὴν ἄβυσσον. ἡμεῖς δὲ οἱ τυφλοὶ νεανικῶς περὶ τοῦ μεγάλου φωτὸς τούτου μικρὸν φανταζόμενοι, λέγομεν. ἡ ταπείνωσις κυρίως οὔτε ταπεινολογίαν ἔχει, οὔτε ταπεινοσχημεῖ, οὐδὲ φρονεῖν ταπεινὰ βιάζεται, οὐδὲ ἑαυτὸν μέμφεται ταπεινούμενος. κἂν ταῦτα ἀφορμαὶ καὶ σχήματα ταπεινώσεώς εἰσιν, ὡς τρόποι διάφοροι, ἀλλὰ χάρις ἐστὶν αὕτη, καὶ δωρεὰ ἄνωθεν. δύο δὲ εἰσίν, ὥς φασιν οἱ πατέρες ταπεινώσεις. τὸ ἔχειν ἑαυτὸν ὑποκάτω πάντων, καὶ τὸ ἐπιγράφειν Θεῷ τὰ κατορθώματα. καὶ τὸ μὲν πρῶτον, ἀρχή. τὸ δὲ δεύτερον, τέλος. ἐπιγίνεται δὲ τοῖς ζητοῦσιν αὐτήν, τὸ μετὰ γνώσεως ἔχειν, καὶ λογίζεσθαι τὰ τρία ταῦτα ἐν ἑαυτῷ. τὸ ὑπὲρ πάντας ἁμαρτωλοὺς εἶναι, καὶ τὸ ὑπὲρ πάντα τὰ κτίσματα αἰσχρὸς, ὡς εἰς τὸ παρὰ φύσιν ὄντας. καὶ τὸ ὑπὲρ τοὺς δαίμονας ἐλεεινοτέρους, ὡς τὸ εἶναι δούλους τοῖς δαίμοσιν. λέγειν δὲ οὕτως ὀφείλει. τοῦ γὰρ οἶδα ἐγὼ ἀκριβῶς τὰς τῶν ἀνθρώπων ἁμαρτίας ὁποῖαι ἢ ὅσαι εἰσίν; ὅτι ὑπερβαίνουσιν, ἢ ἐξισοῦνται ταῖς ἐμαῖς ἁμαρτίαις; καὶ διὰ τὴν ἄγνοιαν, ὦ ψυχή, ὑποκάτω πάντων ἀνθρώπων ἐσμέν, ὡς γῆ καὶ σποδὸς, καὶ ὑπὸ κάτω τῶν ποδῶν αὐτῶν. πῶς δὲ καὶ μὴ ἔχῃ ἑαυτὸν αἰσχρότερον, πάντων τῶν κτισμάτων εἰς τὸ κατὰ φύσιν ὄντων, ὥσπερ γεγόνασιν, ἐμοῦ δὲ διὰ τὰς ἀμετρήτους ἀνομίας εἰς τὸ παρὰ φύσιν; ἀληθῶς γὰρ καὶ τὰ θηρία καὶ τὰ κτήνη καθαρώτερα ἐμοῦ τοῦ ἁμαρτωλοῦ τυγχάνουσι. καὶ διὰ τοῦτο εἰμὶ ὑποκάτω πάντων, ὡς εἰς τὸν ᾅδην καὶ πρὸ θανάτου κατενεχθεὶς, καὶ κατάκειμαι. τίς δὲ οὐκ οἶδεν ἐν ριε'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

αἰσθήσει, ὅτι καὶ τῶν δαιμόνων ἐστὶ χείρων ὁ ἁμαρτωλός, ὡς δοῦλος αὐτῶν, καὶ ὑπήκοος, καὶ ἀπ' ἐντεῦθεν σὺν αὐτοῖς τῷ σκότει συγκαθειργμένος; ὄντως καὶ χείρων τῶν δαιμόνων, ὁ ὑπ' αὐτῶν κυριευόμενος. καὶ διὰ τοῦτο σὺν αὐτοῖς τὴν ἄβυσσον ἐκληρώσω ταλαίπωρε. γῆν δέ, καὶ ᾅδην, καὶ ἄβυσσον ὃ καὶ πρὸ θανάτου κατοικῶν, πῶς ἑαυτόν, δίκαιον ὀνομάζων φρεναπατᾷς, ἁμαρτωλόν, καὶ βέβηλον, καὶ δαίμονα τοῖς κακοῖς ἔργοις ποιήσας; φεῦ τῆς σῆς ἀπάτης καὶ πλάνης δυσδαίμων, κύων ἀκάθαρτε, τῷ πυρὶ καὶ τῷ σκότει διὰ ταῦτα παραπεμπόμενος.

ρις΄. Σοφία πνευματική ἐστι, κατὰ τοὺς θεολόγους, ἡ δύναμις τῆς νοερᾶς, καὶ καθαρᾶς, καὶ ἀγγελικῆς προσευχῆς. ἧς τὸ σημεῖον, ἐν τῷ εὔχεσθαι ὁ νοῦς ἀνείδεως πάντη ὁρᾶσθαι. καὶ μήτε ἑαυτόν, μήτε τί ἄλλο ἐν παχύτητι βλέπων. ἀλλὰ καὶ τῶν αἰσθήσεων πολλάκις ὑπὸ τοῦ φωτὸς ἐκείνου συστελλομένων. ὁ γὰρ νοῦς ἄϋλος, καὶ φωτοειδὴς τότε γίνεται, Θεῷ ἀρρήτως εἰς ἓν πνεῦμα κολλώμενος.

ριζ΄. Εἰσὶν οὖν οἱ ἐνάγοντες, καὶ ὁδηγοῦντες εἰς αὐτὴν τὴν θεόσδοτον ταπείνωσιν, τρόποι διάφοροι ἑπτά. συστατικοὶ ἀλλήλων καὶ γεννητικοί. σιωπή, ταπεινοφροσύνη, ταπεινολογία, ταπεινοφορία, αὐτομεμψία, συντριβή, ἐσχατιά. καὶ ἡ μὲν σιωπὴ ἐν γνώσει, τίκτει τὴν ταπεινοφροσύνην. ἐκ δὲ τῆς ταπεινοφροσύνης, τίκτονται οἱ τρεῖς τρόποι τῆς ταπεινώσεως. τὸ ταπεινὰ φθέγγεσθαι, τὸ ταπεινά, καὶ εὐτελῆ φορεῖν, καὶ τὸ ἑαυτὸν διαπαντὸς μέμφεσθαι. οἱ τρεῖς δὲ τρόποι οὗτοι, τίκτουσι τὴν συντριβὴν τὴν ἐκ τῆς παραχωρήσεως τῶν πειρασμῶν γινομένην, ἣν καὶ οἰκονομικὴν παιδείαν φάσκουσι, καὶ ἐκ δαιμόνων ταπείνωσιν. ἡ δὲ συντριβὴ ἀληθῶς ἔργῳ ποιεῖ τὴν ψυχὴν ὑποκάτω πάντων εἶναι, καὶ ἔσχατον πάντων, ὡς ὑπὸ πάντων κυριευομένην. οἱ δύο δὲ οὗτοι τρόποι τὴν τελείαν καὶ θεοδώρητον φέρουσι ταπείνωσιν. ἥντινα δύναμιν, τελειότητα πασῶν τῶν ἀρετῶν καλοῦσι· καὶ αὕτη ἐπιγράφει Θεῷ τὰ κατορθώματα. πρώτη οὖν πάντων ἐστὶν ἡ σιωπή, ἐξ ἧς τίκτεται ἡ ταπεινοφροσύνη, αὕτη δὲ τίκτει τοὺς τρεῖς τρόπους τῆς ταπεινώσεως. οἱ τρεῖς δὲ τίκτουσι τὸν ἕνα τῆς συντριβῆς, ὁ δὲ τῆς συντριβῆς τίκτει τὸν ἕβδομον τὸν ὑποκάτω πάντων τῆς πρώτης ταπεινώσεως τρόπον, ὅντινα καὶ οἰκονομικὴν ταπείνωσιν λέγουσιν. ἡ δὲ οἰκονομικὴ φέρει τὴν θεοδώρητον, καὶ τελείαν, καὶ ἀσχημάτιστον καὶ ἀληθινὴν ταπείνωσιν. καὶ ἡ μὲν πρώτη, ἐπιγίνεται οὕτως· ἐὰν μὴ ἐγκαταλειφθῇ ὁ ἄνθρωπος καὶ νικηθῇ, καταδουλωθείς, καὶ κυριευθῇ παντὶ πάθει καὶ λογισμῷ, καὶ πνεύματι νικώμενος, καὶ μήτε βοήθειαν εὑρίσκων ἐξ ἔργων, ἢ ἐκ Θεοῦ, ἢ ἔκ τινος τὸ σύνολον, ὥστε μικροῦ δεῖν, καὶ εἰς ἀπελπισμὸν ἔλθῃ, καὶ ταπεινούμενος εἰς πάντα, οὐ δύναται συντριβῆναι καὶ ἔχειν ἑαυτὸν ὑποκάτω πάντων, καὶ ἔσχατον, καὶ δοῦλον πάντων, καὶ αὐτῶν δὴ χείρονα τῶν δαιμόνων, ὡς ὑπ' αὐτῶν τυραννούμενον, καὶ νικώμενον. καὶ αὕτη ἐστὶν ἡ οἰκονομικὴ τῆς προνοίας ταπείνωσις, δι' ἧς ἡ δευτέρα, καὶ ὑψηλὴ θεόθεν δίδοται. ἥτις ἐστὶ θεία δύναμις, ἡ ἐνεργοῦσα καὶ ποιοῦσα τὰ πάντα. δι' αὐτῆς ὄργανον αὐτὸν ἑαυτῷ βλέπων διαπαντός, καὶ δι' αὐτῆς τὰ θαυμάσια τοῦ Θεοῦ ἐργαζόμενον.

Ὑποστατικὴν τοῦ φωτὸς θεωρίαν πνευματικήν, τὴν ἀφάνταστον, καὶ ἀμετεώριστον, ἐνέργειαν προσευχῆς ἀληθινήν, ριη΄.
καὶ ἐκ μέσης καρδίας ἀείρρυτον, ψυχῆς ἀνάστασιν καὶ ἀνάπαυσιν, ἔκπληξιν θείαν καὶ μακροπορείαν τοῦδε τοῦ παντός, ἔκστασιν διανοίας ἐν πνεύματι ὁλικὴν τῶν αἰσθήσεων, ἁρπαγὴν νοὸς τῶν οἰκείων δυνάμεων, ψυχῆς κίνησιν Ἀγγελικὴν θεο-

κίνητον πρός τε τὸ ἄπειρον καὶ τὸ ἀνάντες κινουμένην, ἐν τῇ καθ' ἡμᾶς γενεᾷ εὑρεῖν ἀμήχανον· τῆς τῶν παθῶν τυραννίδος ἐν ἡμῖν βασιλευούσης νῦν, διὰ τὸ πλῆθος τῶν πειρασμῶν. πέφυκε γὰρ ὁ νοῦς ἐν τοῖς κουφοτέροις μάλιστα, ταῦτα καὶ πρὸ καιροῦ φαντάζεσθαι. ἵνα καὶ τὴν δοθεῖσαν αὐτῷ θεόθεν μικρὰν κατάστασιν ἀπολέσας νεκρὸς ἐκ παντὸς γένηται. διὸ χρὴ μετὰ πολλῆς διακρίσεως μήτε τὰ τοῦ καιροῦ ζητεῖν πρὸ καιροῦ, μήτε τὰ ἐν χερσὶν ἀποβάλλειν καὶ ἄλλα φαντάζεσθαι. φύσει γὰρ ὁ νοῦς πρὸς τὰ προειρημένα εὐχερῶς ἔχει τὸ φαντασιοποιεῖν, καὶ ἀναπλάττειν καὶ εἰς ἃ οὐκ ἔφθασε. διὰ τοῦτο φόβος οὐ μικρός, ἵνα μὴ καὶ τῶν δοθέντων ὁ τοιοῦτος ὑστερηθῇ, καὶ τὰς φρένας πολλάκις ἀπολέσῃ ἀπατηθείς, φανταστής, καὶ οὐχ ἡσυχαστὴς γενόμενος...

ριθʹ. Χάρις, οὐ μόνον ἡ πίστις ἐστίν, ἀλλὰ καὶ ἡ ἐνεργουμένη προσευχή. πίστιν γὰρ ἀληθινὴν τὴν ἔχουσαν τὴν ζωὴν τοῦ Ἰησοῦ φανερουμένην δείκνυσιν, ἡ δι' ἀγάπης ἐνεργουμένη τῷ πνεύματι. οὐκοῦν τὴν ἐναντίαν, καὶ νεκράν, καὶ ἄζωον κέκτηται πίστιν, ὁ μὴ ἐνεργουμένην εἰδὼς αὐτὴν ἑαυτῷ. ἀλλ' οὐδὲ πιστὸς λέγοιτ' ἂν κυρίως εἶναι, ὁ λόγῳ μόνῳ ψιλῷ πιστεύων, καὶ μὴ ἐνεργουμένην αὐτὴν ταῖς ἐντολαῖς, ἢ τῷ πνεύματι. χρὴ τοιγαροῦν φανερουμένην αὐτὴν δεικνύειν ταῖς προκοπαῖς διὰ τῶν ἔργων, ἢ τοῖς ἔργοις ἐνεργουμένην ἐν φωτὶ καὶ λάμπουσαν ἔχειν. καθώς φησιν ὁ θεῖος Ἀπόστολος. δεῖξόν μοι σὺ τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγώ σοι δείξω τὰ ἔργα μου ἐκ τῆς πίστεώς μου. δεικνύων ἐντεῦθεν, ὅτι ἐκ τῶν ἔργων τῶν ἐντολῶν, φανεροῦται ἡ τῆς χάριτος πίστις, καθὼς ἐνεργοῦνται αἱ ἐντολαὶ διὰ τῆς ἐν χάριτι πίστεως καὶ λάμπουσι. ῥίζα γὰρ τῶν ἐντολῶν, ἐστὶν ἡ πίστις· μᾶλλον δὲ πηγὴ πρὸς αὔξησιν ταύτας ἀρδεύουσα. εἰς δύο διῃρημένη, ὁμολογίαν, καὶ χάριν, κἂν ἀδιαίρετος φύσει πέφυκεν.

Ἡ μικρὰ καὶ μεγάλη καὶ σύντομος τῶν ρκʹ.
ὑποτασσομένων κλῖμαξ, πέντε βαθμίδας τὰς πρὸς τελειότητα φερούσας κέκτηται. πρώτη ἡ ἀποταγή, δευτέρα ἡ ὑποταγή, τρίτη ἡ ὑπακοή, τετάρτη ἡ ταπείνωσις, πέμπτη ἡ ἀγάπη, ἥ ἐστιν ὁ Θεός. καὶ ἡ μὲν ἀποταγή, ἐκ τοῦ ᾅδου ἀνάγει τὸν κείμενον, καὶ τὸν δεδουλωμένον, τῆς ὕλης ἐκλυτροῖ. ἡ δὲ ὑποταγή, Χριστὸν εὗρε, καὶ οὕτω διακονεῖ, ὡς αὐτός φησιν· ὁ ἐμοὶ διακονῶν, ἐμοὶ ἀκολουθείτω· καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται. ποῦ δὲ ἐστὶν ὁ Χριστός; ἐν δεξιᾷ τοῦ Πατρὸς ἐφεζόμενος. οὐκοῦν ἐκεῖ δεῖ εἶναι καὶ τὸν διάκονον, ὅπου καὶ ὁ διακονούμενος. ἐπιβιβάζων τὸν πόδα πρὸς τὴν ἀνάβασιν· ἢ πρὸ τοῦ ἀνελθεῖν τοῖς θρόνοις, Χριστῷ συγκαταβὰς καὶ συνανερχόμενος. ἡ δὲ ὑπακοὴ ἐνεργουμένη ταῖς ἐντολαῖς ὅλως, τεκταίνει τὴν κλίμακα ἐκ διαφόρων ἀρετῶν, καὶ ταύτας ὡς ἀναβάσεις ἐν τῇ ψυχῇ διατίθεται· ἐξ ἧς ἡ ὑψοποιὸς ταπείνωσις τοῦτον ἀναλαβοῦσα, καὶ ἄνωθεν φέρουσα πρὸς οὐρανόν, τῇ βασιλίδι τῶν ἀρετῶν ἀγάπῃ δίδωσι· καὶ Χριστῷ προσαγαγοῦσα, παρίστησι. καὶ οὕτω διὰ τῆς συντόμου Κλίμακος, ἀκόπως πρὸς οὐρανὸν ἀνέρχεται, ὁ ἐν ἀληθείᾳ ὑποτασσόμενος.

Συντομωτέρα ὁδὸς πρὸς τὴν ἄνω βασι- ρκαʹ.
λείαν, διὰ τῆς μικρᾶς κλίμακος τῶν ἀρετῶν οὐκ ἔστιν ἄλλη, ὡς ἡ τῶν πέντε τῆς ὑπακοῆς ἀντικειμένων παθῶν ἀναίρεσις· παρακοῆς φημί, καὶ ἀντιλογίας, αὐταρεσκείας τε, καὶ δικαιώματος, καὶ τῆς ὀλεθρίου οἰήσεως. αὗται γάρ εἰσι μέλη καὶ μέρη τοῦ ἀφηνιαστοῦ δαίμονος, τοῦ καταπίνοντος ὡς νόθους τῶν ὑπηκόων, καὶ παραπέμποντος τῇ ἀβύσσῳ τῷ δράκοντι. καὶ ἡ μὲν παρακοή ἐστι, τὸ τοῦ ᾅδου στόμα. ἡ δὲ ἀντιλογία, ἡ γλῶσσα αὐτοῦ

ὡς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὡς ὀξεῖα μάχαιρα· ἡ δὲ αὐταρέσκεια, ὀδόντες αὐτοῦ ἠκονημένοι· τὸ δὲ δικαίωμα, ὁ θώραξ αὐτοῦ. ἡ δὲ διάπνευσις τῆς παμφάγου γαστρὸς αὐτοῦ, ἡ πρὸς τὸν ᾅδην προπέμπουσα οἴησις. ὅστις δὲ τὸ πρῶτον διὰ τῆς ὑπακοῆς νικᾷ, τὰ λοιπὰ ὑφ' ἓν περιέκοψε, καὶ εἰς οὐρανοὺς διὰ τῆς μιᾶς βαθμίδος, ὀξέως ἀνέρχεται. Θαῦμα δὲ ὄντως, καὶ τῶν ἀρρήτων ὄν, καὶ ἀνέφικτον, καὶ τοῦτο ὁ φιλάνθρωπος ἡμῶν πεποίηκε Κύριος, τό, διὰ μιᾶς ἀρετῆς, ἢ μᾶλλον ἐπιταγῆς, ἀχρόνως εἰς οὐρανοὺς ἀνέρχεσθαι, ὥσπερ καὶ διὰ μιᾶς παρακοῆς εἰς τὸν ᾅδην κατήλθομεν καὶ κατερχόμεθα.

ρκβʹ. Ὥσπερ ἄλλος κόσμος διττὸς ὁ ἄνθρωπος, καὶ καινὸς ὀνομάζεται, κατὰ τὸν θεῖον Ἀπόστολον τὸν εἰπόντα· εἴτις ἐν Χριστῷ καινὴ κτίσις. καὶ γὰρ καὶ οὐρανός, καὶ γῆ, καὶ πάντα ὅσα ὁ κόσμος, ὁ ἄνθρωπος γίνεταί τε κατ' ἀρετὴν καὶ ὀνομάζεται· ὑπὲρ οὗ ἅπας λόγος καὶ ἅπαν μυστήριον, ὥς φησιν ὁ Θεολόγος. ἐπειδὴ γὰρ τὴν πάλην ἡμῶν εἶναι οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις τοῦ ἄρχοντος τοῦ ἀέρος, τοῦ Ἀποστόλου φήσαντος, ἁρμόδιον εἶναι ὡς εἰς κόσμον ἄλλον μέγαν τῆς φύσεως τῶν ψυχικῶν ἡμῶν δυνάμεων εἶναι τοὺς ἀντιπαλαίοντας ἡμῖν κρυπτῶς, κατὰ τῶν τριῶν γὰρ οἱ τρεῖς ἄρχοντες τοῖς ἀγωνισταῖς ἀντικαθιστάμενοι, ἐκστρατεύουσι, καὶ καθ' ὃ αὖ προέκοψέ τις, καὶ εἰς ὅπερ ἐργάζεται, ὑπ' αὐτῶν πολεμεῖται. καὶ ὁ μὲν δράκων ὁ ἄρχων τῆς ἀβύσσου, πρὸς τοὺς καρδιακῶς προσέχοντας ἐκστρατεύων ἐνίσταται, ὡς πρὸς τὴν ὀσφὺν τῆς ἐπιθυμίας καὶ τοῦ ὀμφαλοῦ τὴν ἰσχὺν ἔχων, καὶ διὰ τοῦ τῆς λήθης ἐνδύων γίγαντος, τὰς καυστικὰς τῶν πεπυρωμένων βελῶν δυνάμεις ἀκοντίζων αὐτοῖς, ὥσπερ θάλασσαν ἄλλην, καὶ ἄβυσσον τὴν ἐπιθυμίαν ἔχων, δινῶν, καὶ ἕρπων, καὶ ἐκταράττων αὐτὴν καὶ ἀφρίζων, ἀνάζει αὐτήν· καὶ πρὸς συνουσιασμοὺς ἐκκαίει, καὶ τοῖς τῶν ἡδονῶν χειμάρροις ἐπικλύζει αὐτήν, καὶ ὡς ἄπληστον οὐκ ἐμπιπλᾷ. ὁ δὲ ἄρχων τοῦ κόσμου τούτου, πρὸς τοὺς τὴν πρακτικὴν ἀρετὴν μετερχομένους ἀνθίσταται, ὡς πρὸς τὸ θυμικὸν τὴν πάλην ἔχων, καὶ διὰ τοῦ τῆς ῥαθυμίας γίγαντος, τὰς παντοδαπὰς τῶν παθῶν μαγγανείας ὡς εἰς κόσμον ἄλλον, ἢ θέατρόν τε, καὶ στάδιον τὴν πάλην νεκρῶς ποιῶν, νικῶν, ἢ ἡττώμενος τοὺς ἀεὶ αὐτῷ ἀνδρικῶς προσπαλαίοντας, καὶ στεφανοῦς, ἢ αἰσχύνην ἐνώπιον Ἀγγέλων αὐτοῖς προξενῶν, τὰς παρατάξεις αὐτοῦ καθ' ἡμῶν διηνεκῶς καθοπλίζει, ἡμῖν μαχόμενος. ὁ δὲ ἄρχων τοῦ ἀέρος, τοὺς τῇ διανοίᾳ πρὸς θεωρίαν σχολάζοντας ἐπέρχεται, φαντασιοσκοπῶν, ὡς πρὸς τὸ λογικόν τε καὶ νοερὸν ἐγγίζων, μετὰ τῶν τῆς πονηρίας τοῦ ἀέρος πνευμάτων. καὶ διὰ τοῦ τῆς ἀγνοίας γίγαντος τὴν ἀπατητικὴν διάνοιαν καθάπερ ἄλλον λογικὸν οὐρανὸν ἐκταράττων θολοῖ, τὰς φανταστικὰς καὶ ὁμιχλώδεις τῶν πνευμάτων μορφώσεις, καὶ τοὺς μετασχηματισμοὺς ἀπατηλῶς καθάπερ ἀστραπάς, καὶ βροντάς, καταιγίδας τε, καὶ ψόφους φέρων, δειλίαν ἐπάγει. ἕκαστος ἑκάστῳ δηλονότι διὰ τῶν τριῶν πρὸς τὸ τριμερὲς τῆς ψυχῆς προσπαλαίων, ἀνθίσταται. καὶ πρὸς ὃ τὸν πόλεμον ἔχει, πρὸς αὐτὸ καὶ τὸν ἀγῶνα κέκτηται.

ρκγʹ. Νόες γὰρ ὄντες ποτὲ καὶ αὐτοί, καὶ τῆς ἀϋλίας ἐκείνης καὶ λεπτότητος ἐκπεσόντες, ὑλικήν τινα παχύτητα ἕκαστος κέκτηται· κατὰ τὴν τάξιν, ἣ ἐνέργειαν σωματούμενος, ἣν ἐνεργῶν πεποίωται. ἐπειδὴ γὰρ καὶ αὐτοί, κατ' ἄνθρωποι, τὴν Ἀγγελικὴν ἡδονὴν ἀπολέσαντες, τρυφῆς θείας ὑστερηθέντες, χοῦν, καθάπερ καὶ ἡμεῖς, καὶ αὐτοὶ τρυφᾶν πάχυ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σιν, ὑλώδεις πως καὶ αὐτοὶ γεγονότες ταῖς τῶν ὑλικῶν παθῶν ἕξεσι. καὶ οὐδὲν θαυμάζειν, ὅπουγε καὶ ἡ κατ' εἰκόνα Θεοῦ λογική, καὶ νοερὰ κτισθεῖσα ψυχὴ ἡμῶν κτηνώδης καὶ ἀναίσθητος, καὶ σχεδὸν ἄλογος ταῖς τῶν ὑλικῶν πραγμάτων ἀπολαύσεσι γέγονε, Θεὸν ἀγνοήσασα. πέφυκε γὰρ ἡ ἕξις μεταποιεῖν τὴν φύσιν, καὶ ἀλλοιοῦν τὴν ἐνέργειαν πρὸς τὴν προαίρεσιν. καὶ * τὰ μὲν, εἰσὶν ὑλώδη, καὶ βαρέα τινὰ καὶ δυσκάθεκτα, θυμοειδῆ καὶ ἀμυντικά, καὶ ὡς θηρία τινὰ σαρκοφάγα πρὸς τὴν ὑλικὴν ἡδονὴν, καὶ τρυφὴν κεχηνότα, δίκην κυνῶν αἱμοβόρων, τὴν σαρκίαν μετὰ τῶν πνευματιώντων ἐσθίοντα· τὴν φίλην αὐτῶν φαντάζουσι, τὰς παχείας καὶ ὑλώδεις σάρκας, καὶ τρυφὴν καὶ οἰκίαν ἔχοντα. τὰ δὲ ἀκόλαστά τινα καὶ ὑγρώδη, ὡς εἰς λίμνην βδέλλαι τινὲς τὴν ἐπιθυμίαν, καὶ βάτραχοι, καὶ ὄφεις, ἔστι δ' ὅτε καὶ εἰς ἰχθύας ἀλλοιούμενα, ἕρποντα τὴν ἁλμυρὰν τῆς ἀκολασίας ἡδονὴν, ὡς ἀπόλαυσιν κεκτημένα. νηχόμενα τῷ πελάγει τῆς πολυποσίας, λεῖά τινα ὄντα, καὶ ἀπαλάπως τὴν φύσιν, τῇ ὑγρότητι τῶν ἀλόγων ἡδονῶν χαίροντα, κύματα λογισμῶν, καὶ μολυσμῶν, καὶ τρικυμίας, καὶ ζάλας ἀεὶ τῇ ψυχῇ διεγείρουσι. τὰ δὲ κοῦφά τινα καὶ λεπτὰ, ὡς ἐναέρια πνεύματα ὄντα, τὸ θεωρητικὸν τῆς ψυχῆς ῥιπίζουσιν, ἀνέμους τινὰς βιαίους καὶ φαντασίας προτείνοντα, ὡς πετεινά· ἔστι δ' ὅτε, καὶ εἰς Ἀγγέλους μεταμορφούμενα τὴν ψυχὴν ἀπατῶσι· μιμήματα εἴδη παρέχοντα γνωστῶν τινῶν, μετασχηματιζόμενά τε καὶ μετατρέποντα πᾶσαν θεωρίαν πνευματικὴν ἐν τοῖς ἔτι μάλιστα ἀγωνιζομένοις πρὸ τῆς καθαρότητος καὶ τῆς πνευματικῆς διακρίσεως· οὐδὲν γάρ ἐστι πνευματικὸν, ὃ μὴ ὡς αὐτὸ κατὰ φαντασίαν λεληθότως μετασχηματίζονται. πρὸς γὰρ τὴν κατάστασιν, καὶ τὸ μέτρον τῆς προκοπῆς, καὶ αὐτοὶ καθοπλίζονται, πλάνην ἀντὶ ἀληθείας, καὶ φαντασίαν ἀντὶ θεωρίας ἐπιφέροντες, εἰσοικίζονται. περὶ γὰρ τούτων ἡ γραφὴ μαρτυρεῖ λέγουσα, τὰ θηρία τοῦ ἀγροῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὰ ἑρπετὰ τῆς γῆς, τὰ πνεύματα τῆς πονηρίας ἐπισημαίνουσα ἐδήλωσεν.

* ἄλλ. πνεύματα

Ἡ ἐπανάστασις τῶν παθῶν, καὶ ὁ ρκδʹ.
ἐπεγειρόμενος τῆς σαρκὸς πόλεμος κατὰ τῆς ψυχῆς, κατὰ πέντε τρόπους προσγίνεται ἐν ἡμῖν. ποτὲ μὲν ἡ σὰρξ παραχρωμένη τῇ ἕξει, ποτὲ δὲ τῷ παρὰ φύσιν, ὡς κατὰ φύσιν ἐπιζητοῦσα ἐνεργεῖν· ποτὲ δὲ καὶ ὑπὸ τῶν δαιμόνων ὁπλιζομένη κατὰ τῆς ψυχῆς, ὡς ἡδέως συμφιλιάζουσα τούτοις. ἔστι δ' ὅτε καὶ αὐτὴ καθ' ἑαυτὴν ἀτακτεῖ, ὡς πεπωρωμένη τοῖς πάθεσι. γίνεται δὲ καὶ πόλεμος ἐν ἐσχάτων πάντων, ἐκ φθόνου δαιμόνων κατὰ παραχώρησιν ἀνθισταμένων ἡμῖν διὰ ταπείνωσιν, ὁπόταν ἐκ πάντων τῶν προειρημένων ἀστοχήσωσιν.

Αἰτίαι δὲ κυρίως τοῦ πολέμου τρεῖς ρκεʹ.
εἰσιν, ἐκ πάντων καὶ διὰ πάντων ἡμῖν προσγινόμεναι. ἡ ἕξις, ἡ παράχρησις τῶν ὄντων, καὶ ὁ κατὰ παραχώρησιν τῶν δαιμόνων φθόνος, καὶ πόλεμος. τὸ δὲ ἐπανίστασθαι, ἢ ἐπιθυμεῖν τὴν σάρκα κατὰ τῆς ψυχῆς, καὶ τὴν ψυχὴν κατὰ τῆς σαρκός, τὸν αὐτὸν τρόπον κατὰ τὴν ἕξιν καὶ τὴν ἐνέργειαν ἔχουσι. τὰ τῆς σαρκὸς κατὰ τῆς ψυχῆς πάθη, καὶ τὰ τῆς ψυχῆς κατὰ τῆς σαρκὸς ἀνθιστάμενα. καὶ αὐτὸς δὲ ὁ πολέμιος ἔστι δ' ὅτε ἀπερισκέπτως καὶ ἀναιτίως, ὡς ἀναιδὴς, καθ' ἡμῶν θρασυνόμενος μάχεται. μὴ δὸς οὖν ὦ φίλος τῇ βδέλλῃ ὡς αἱμοχαρεῖ, ἐκμάττειν τὰς ἀρτηρίας, καὶ οὐδ' ἐμοῦ αἷμα διψηθείη ποτέ. μήτε χοῦν εἰς κόρον τῷ ὄφει, καὶ δράκοντι παραχώρει, καὶ καταπατήσεις εὐχερῶς λέοντος καὶ δράκοντος φρύαγμα. στέναξον ἄχρις οὗ ἐκδυθεὶς, ἐπενδύσῃ τὸ ἄνωθεν οἰκητήριον, καὶ τὴν

μόρφω-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μόρφωσιν τοῦ κατ' εἰκόνα σε πλάσαντος Ἰησοῦ Χριστοῦ.

ρκϛʹ. Κυρίως οἱ αὐτόχρημα σάρκες ὄντες, καὶ τὴν φιλαυτίαν ἀσπαζόμενοι, ἤδη καὶ κενοδοξίᾳ ἀεὶ δουλεύουσιν. οἷς ὁ φθόνος ἐρρίζωται. τῇ βασκανίᾳ γὰρ τηκόμενοι, καὶ τὴν τοῦ πλησίον εὐπραγίαν πικρίαν ἡγούμενοι, διαβάλλουσι τὰ καλὰ ὡς κακά, καὶ τῆς πλάνης ὄντα γεννήματα, καὶ οὐδὲ τὰ τοῦ πνεύματος δέχονται, ἢ πιστεύουσι, μήτε Θεὸν ἰδεῖν, ἢ ἐπιγνῶναι τῇ ὀλιγοπιστίᾳ δύνανται. οἱ τοιοῦτοι κατὰ τὴν τύφλωσιν αὐτῶν, καὶ ὀλιγοπιστίαν, εἰκότως ἐκεῖθεν ἀκούσουσι τό, οὐκ οἶδα ὑμᾶς. χρὴ γὰρ τὸν ἐρωτῶντα πιστόν, ἢ πιστεύειν ἃ οὐκ οἶδεν ἀκούων, ἢ μανθάνειν ἃ πιστεύει, ἢ διδάσκειν ἅπερ ἔγνω, καὶ πολυπλασιάζειν ἀφθόνως ἐν τοῖς δεχομένοις πιστῶς τὸ τάλαντον. εἰ δ' ἀπιστεῖ ἃ οὐκ οἶδε, καὶ ἐξουθενεῖ ἃ οὐκ ἔγνω, καὶ διδάσκει ἃ οὐκ ἔμαθε, βασκαίνων τοῖς διδάσκουσι πρακτικῶς ταῦτα, ἔσται ἡ μερὶς αὐτοῦ πάντως, μετὰ τῶν ἐχόντων χολὴν πικρίας ἐπιτιμώμενος.

ρκζʹ. Ῥήτωρ ἐστί, κατὰ τοὺς ὄντως ἐν λόγῳ σοφούς, ὁ ἐν συντομίᾳ διὰ τῆς γενικῆς ἐπιστήμης τὰ ὄντα περιλαμβάνων, καὶ ὡς ἓν σῶμα καὶ διαιρῶν καὶ συνάπτων αὐτά, δεικνύων ταῦτα ὡς ὁμοδύναμα κατά τε τὴν ἑτερότητα, καὶ ταυτότητα. ἢ καὶ ὁ κατ' ἀλήθειαν ἀποδεικτικὸς λεγόμενος. ἢ πάλιν ῥήτωρ ἐστὶ κυρίως πνευματικός, ὁ τὰς διῃρημένας καθολικὰς τῶν ὄντων πέντε γενικὰς ἰδιότητας, ἃς ὁ ἐνανθρωπήσας λόγος συνῆψε, διαιρῶν καὶ συνάπτων περιληπτικῷ λόγῳ φωνῆς ποιᾶς, ὡς ῥήτωρ περιλαμβάνων τὰ πάντα, οὐ λόγῳ ψιλῷ μόνον ἀποδεικτικῷ κατὰ τοὺς ἔξω δεικνύων ἄλλοις αὐτά, ἀλλ' ἐκ τῶν ἐμφαινομένων αὐτῷ ἐν πνεύματι τοῖς οὖσι θεωρημάτων, καὶ ἑτέρους φωτίζειν δυνάμενος. φιλόσοφος δέ ἐστιν ἀληθινός, ὁ ἐκ τῶν ὄντων τὴν αἰτίαν τῶν ὄντων εἰδώς, ἢ ἐκ τῆς αἰτίας τὰ ὄντα γινώσκων κατὰ τὴν ὑπὲρ νοῦν ἕνωσιν, καὶ τὴν ἄμεσον πίστιν γενόμενος. οὐ μόνον μαθών, ἀλλὰ καὶ παθὼν τὰ θεῖα. ἢ πάλιν φιλόσοφός ἐστι κυρίως, ὁ πρακτικός τε καὶ θεωρητικὸς γενόμενος, καὶ πολιτευόμενος νοῦς. τέλειος δέ ἐστι νοῦς φιλόσοφος, ὁ τὴν ἠθικήν, καὶ φυσικήν, καὶ θεολογικὴν κατορθώσας φιλοσοφίαν. μᾶλλον δὲ φιλοθεΐαν. καὶ τῆς μὲν ἠθικῆς, τὰς πράξεις· τῆς δὲ φυσικῆς, τοὺς λόγους· τῆς δὲ θεολογικῆς, τὴν θεωρίαν, καὶ τὴν τῶν δογμάτων ἀκρίβειαν ἐκ Θεοῦ διδαχθείς. ἢ πάλιν ῥήτωρ θεῖος ἐν θείοις ἐστίν, ὁ τὰ κυρίως ὄντα ἐκ τῶν ὄντων, ἢ μὴ ὄντων διαιρῶν. καὶ τοὺς μὲν λόγους ἐκείνων, ἐκ τούτων δεικνύων, καὶ ἐκ τούτων, ἐκείνων τοὺς λόγους ὁρῶν ἐνθεαστικώτατα. καὶ τὸν μὲν νοητὸν καὶ ἀόρατον, ἐκ τοῦ αἰσθητοῦ καὶ ὁρωμένου. τὸν δὲ αἰσθητὸν καὶ ὁρώμενον κόσμον, ἐκ τοῦ ἀοράτου καὶ ἀναισθήτου συγκείμενον. ὡς τὸν μὲν ὁρατόν, εἰκόνα τοῦ ἀοράτου. τὸν δὲ ἀόρατον τοῦ ὁρωμένου ἀρχέτυπον. προβέβληνται, φησί, τῶν ἀτυπώτων οἱ τύποι, καὶ τὰ σχήματα, τῶν ἀσχηματίστων· ὡς δι' ἐκείνου, τοῦτον. καὶ διὰ τούτου ἐκεῖνον ἐμφαίνεσθαι πνευματικῶς, καὶ ξένως ἐν ἀλλήλοις θάτερον ἐν θατέρῳ ὁρᾶν, καὶ ἐμφανῆ ποιεῖν τῷ τῆς ἀληθείας λόγῳ. οὐκ ἀναγωγικοῖς, ἢ ἀλληγορικοῖς λόγοις πλάττειν τὴν δίκην ἡλίου τῆς ἀληθείας ἐλλάμπουσαν γνῶσιν, ἀλλ' ἐπιστήμῃ καὶ δυνάμει πνευματικῇ τοὺς τῆς ἀληθείας ἀμφοτέρων λόγους, διαξαίνοντα καὶ ἀποδεικνύοντα τούτους ἐμφαντικώτατα. ὡς τὸν μέν, παιδαγωγὸν ἡμῶν εἶναι. τὸν δέ, οἶκον αἰώνιον θεῖον, δι' ἡμᾶς γενόμενον ἀριδήλως. φιλόσοφος δέ ἐστι θεῖος, ὁ διὰ πράξεως καὶ θεωρίας ἀμέσως ἑνωθεὶς τῷ Θεῷ, καὶ φίλος αὐτοῦ γενόμενος, καὶ λεγόμενος, ὡς τὴν πρώτην, καὶ ποιητικήν, καὶ ἀληθινὴν σοφίαν καὶ φιλήσας, καὶ ἀγαπή-

σας

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σας ὑπὲρ πᾶσαν ἄλλην φιλίαν, καὶ σοφίαν, καὶ γνῶσιν. φιλολόγος δέ ἐστι, καὶ ὁ κυρίως φιλόσοφος, (κἂν ἡ δόξα τὸ τῆς φιλοσοφίας ὄνομα σφετερισαμένη, ὥς φησιν ὁ μέγας Γρηγόριος, λέληθεν) ὁ τὴν σοφίαν τὴν δὲ τῆς δημιουργίας, φιλῶν καὶ ἐρευνῶν, τοῦ Θεοῦ, καὶ τὸ ἔσχατον ἀπήχημα· ἀλλὰ μὴ δι᾽ ἔπαινον καὶ δόξαν ἀνθρωπίνην τὴν φιλοσοφίαν ταύτην ἀσκῶν ἐπιδεικτικῶς, ἵνα μὴ φιλόϋλος εἴη, καὶ οὐ φιλόσοφος τῆς φυσιολογικῆς τοῦ Θεοῦ σοφίας. γραμματεὺς δὲ ἐστίν, ὁ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ μαθητευθείς, πᾶς ὁ διὰ πράξεως εἰς τὴν περὶ Θεοῦ θεωρίαν σχολάζων καὶ τῇ ἡσυχίᾳ προσκαρτερῶν. ὃς ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ τῆς καρδίας, καινὰ καὶ παλαιά· τουτέστιν εὐαγγελικά, καὶ προφητικά· ἢ ἐκ τῆς νέας, καὶ παλαιᾶς διαθήκης· ἢ διδασκαλικά, καὶ πρακτικά· ἢ νομικά, καὶ ἀποστολικά. ταῦτα γὰρ τὰ καινά, καὶ παλαιὰ μυστήρια, ἅπερ ὁ πρακτικὸς γραμματεὺς ἐκβάλλει, μαθητευθεὶς εἰς τὴν θεάρεστον πολιτείαν. γραμματεὺς δέ ἐστι, πᾶς πρακτικός, ὁ σωματικῶς ἔτι πρὸς τὰς πράξεις ἐνασχολούμενος. ῥήτωρ δὲ θεῖος, ὁ φυσικῶς, ὁ πρὸς τὰς γνώσεις καὶ τοὺς λόγους τῶν ὄντων μέσος ἑστώς, καὶ ἀποδεικτικὸς τῶν ὅλων ἐν πνεύματι τῇ διαιρετικῇ τοῦ λόγου δυνάμει. φιλόσοφος δὲ ἀληθής, ὁ τὴν ὑπερφυᾶ τοῦ Θεοῦ ἕνωσιν γνωστῶς καὶ ἀμέσως ἔχων ἐν ἑαυτῷ.

ρκη΄. Οἱ χωρὶς πνεύματος γράφοντές τε, καὶ λέγοντες, καὶ τὴν Ἐκκλησίαν οἰκοδομεῖν βουλόμενοι, ψυχικοί εἰσιν, ὥς που φησὶν ὁ θεῖος Ἀπόστολος, πνεῦμα μὴ ἔχοντες. οἱ γὰρ τοιοῦτοι ὑπόδικοί εἰσι τῇ ἀρᾷ τῇ λεγούσῃ· οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες· ἀφ᾽ ἑαυτῶν γὰρ λαλοῦσι, καὶ οὐ τὸ πνεῦμα τοῦ Θεοῦ ἐστι τὸ λαλοῦν ἐν αὐτοῖς· κατὰ τὸν τοῦ Κυρίου λόγον. ἐκ γὰρ τῶν οἰκείων λογισμῶν πρὸ καθαρότητος οἱ λέγοντες, πνεύματι οἰήσεως ἐπλανήθησαν. περὶ τούτων γάρ· φησίν· ἡ παροιμία· εἶδον ἄνδρα δόξαντα παρ᾽ ἑαυτῷ σοφὸν εἶναι. ἐλπίδα μᾶλλον ἔχει ὁ ἄφρων αὐτοῦ, καὶ τό, μὴ γίνεσθε φρόνιμοι παρ᾽ ἑαυτοῖς, ἡ σοφία παραγγέλλει ἡμῖν. ἀλλὰ καὶ αὐτὸς ὁ πλήρης πνεύματος θεῖος Ἀπόστολος, διομολογεῖ λέγων. οὐ γὰρ ἱκανοί ἐσμεν παρ᾽ ἑαυτῶν, ἀλλ᾽ ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ. καὶ τό, ἀλλ᾽ ὡς ἐκ Θεοῦ κατενώπιον τοῦ Θεοῦ λαλοῦμεν ἐν Χριστῷ. τῶν γὰρ τοιούτων οἱ λόγοι ἀηδεῖς καὶ ἀφώτιστοι. οὐκ ἐκ τῆς ζώσης γὰρ πηγῆς τοῦ πνεύματος μεταλαμβάνοντες λέγουσιν, ἀλλ᾽ ἐκ λίμνης οἷά τινος βορβορώδους καρδίας, βδέλλας, καὶ ὄφεις καὶ βατράχους ἐπιθυμιῶν καὶ τύφου, καὶ ἀκρασίας ἐχούσης, τρέφονται, καὶ τὸ ὕδωρ τῆς γνώσεως αὐτῶν ὄζον θολερόν τε καὶ χλιαρόν· οὗ οἱ πίνοντες, εἰς καχεξίαν καὶ ἀηδίαν καὶ ἔμετον ἀλλοιούμενοι, μετατρέπονται.

ρκθ΄. Σῶμα Χριστοῦ, ἡμεῖς ἐσμέν, φησὶν ὁ θεῖος Ἀπόστολος, καὶ μέλη ἐκ μέρους. καὶ πάλιν ἓν σῶμα, καὶ ἓν πνεῦμα ἐστέ, καθὼς καὶ ἐκλήθητε. ὥσπερ γὰρ τὸ σῶμα νεκρὸν καὶ ἀναίσθητόν ἐστι χωρὶς πνεύματος, οὕτως ὁ νεκρωθεὶς τοῖς πάθεσι διὰ τῆς τῶν ἐντολῶν ἀμελείας μετὰ τὸ βάπτισμα, ἀνενέργητος γίνεται, καὶ ἀφώτιστος τῷ Ἁγίῳ Πνεύματι καὶ τῇ τοῦ Χριστοῦ χάριτι. ἔχων μὲν τὸ πνεῦμα διὰ τῆς πίστεως καὶ τῆς ἀναγεννήσεως, ἀνενέργητον δὲ καὶ ἀκίνητον διὰ τὴν ψυχικὴν νεκρότητα. καὶ γὰρ ἡ ψυχὴ μία μὲν οὖσα, τὰ δὲ μέλη τοῦ σώματος πολλά, πάντα αὐτὴ κρατεῖ, καὶ ζωοποιεῖ, καὶ κινεῖ τὰ ζωῆς δεκτικά, τὰ δὲ κατά τινα συμβατικὴν ἀσθένειαν καταψυγέντα μέλη, ὡς νεκρὰ καὶ ἀκίνητα, φέρει μὲν ἐν ἑαυτῇ, πλὴν ἄζωα, καὶ ἀναίσθητα· οὕτως ὅλον ἐν ὅλοις ἀμι-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γῶς τοῖς Χριστοῦ μέλεσιν ἐστὶ τὸ Χριστοῦ πνεῦμα ἐνεργοῦν, καὶ ζωοποιοῦν, τὰ μετέχειν ζωῆς δυνάμενα, ἀλλὰ καὶ τὰ μὴ μετέχειν αὐτοῦ φιλανθρώπως ὡς οἰκεῖα περικρατεῖ. διὸ καὶ πᾶς πιστὸς μετέχει μὲν διὰ τῆς πίστεως τῆς υἱοθεσίας τοῦ πνεύματος, ἀνενέργητος δὲ γίνεται, καὶ ἀφώτιστος διὰ τῆς ἀμελείας καὶ ἀπιστίας, τοῦ φωτός, καὶ τῆς ζωῆς τοῦ Ἰησοῦ ὑστερούμενος. ὡς ἔστι μὲν πιστὸς ἅπας, μέλος Χριστοῦ, καὶ πνεῦμα Χριστοῦ ἔχων. ἀνενέργητος δὲ καὶ ἀκίνητος καὶ πρὸς μετουσίαν τῆς χάριτος ἀνεπίδεκτος.

ρλʹ. Τὰς ὀκτὼ γενικὰς θεωρίας φαμὲν εἶναι, πρώτην, τὴν περὶ Θεοῦ τοῦ ἀνειδέου, καὶ ἀνάρχου, καὶ ἀκτίστου, καὶ τῶν ὅλων αἰτίου, τῆς τριαδικῆς μιᾶς, καὶ ὑπερουσίου Θεότητος. δευτέραν, τῆς τῶν νοερῶν δυνάμεων τάξεώς τε καὶ στάσεως. τρίτην, τῆς τῶν ὄντων συστάσεως. τετάρτην, τῆς οἰκονομικῆς τοῦ Λόγου συγκαταβάσεως. πέμπτην, τῆς καθολικῆς ἀναστάσεως. ἕκτην, τῆς φοβερᾶς καὶ δευτέρας τοῦ Χριστοῦ ἐλεύσεως. ἑβδόμην, τῆς αἰωνίου κολάσεως. ὀγδόην, τῆς βασιλείας τῶν οὐρανῶν. καὶ αἱ μὲν τέσσαρες, τῶν παρῳχηκότων καὶ γεγενημένων εἰσίν. αἱ δὲ τέσσαρες, τῶν μελλόντων καὶ οὔπω φανερουμένων. θεωροῦνται αὗται τηλαυγῶς, καὶ εὑρίσκονται παρὰ τῶν κτησαμένων διὰ τῆς χάριτος πολλὴν νοὸς καθαρότητα, ὁ δὲ χωρὶς φωτὸς προσβάλλων αὐταῖς, ἴστω φαντασίας ἀνατυπῶν, καὶ οὐ θεωρίας, διὰ τοῦ φανταστικοῦ πνεύματος φανταζόμενος, καὶ φαντάζων.

ρλαʹ. Ἰδοὺ καὶ περὶ πλάνης ἀναγκαῖον κατὰ δύναμιν εἰπεῖν, ὡς οὖσαν τοῖς πολλοῖς, κατὰ τὴν πολυμήχανον καὶ πολύτροπον αὐτῆς ἐνέδραν, δυσδιάγνωστον, καὶ σχεδὸν ἀκατάληπτον. ἡ πλάνη φησίν, ἐν δυσὶ τρόποις ἐμφαίνεται, ἢ μᾶλλον ἐπέρχεται καὶ προσγίνεται, κατὰ φαντασίαν, καὶ ἐνέργειαν, κἂν ἐκ μιᾶς τῆς ὑπερηφανίας τὴν ἀρχὴν ἔχει καὶ τὴν αἰτίαν. καὶ ἡ μὲν πρώτη, ἀρχὴ τῆς δευτέρας. ἡ δὲ δευτέρα, ἀρχὴ τῆς κατ' ἔκστασιν τρίτης πέφυκεν. ἀρχὴ γὰρ τῆς κατὰ φαντασίαν θεωρίας, ἡ οἴησις· ἣ τὸ Θεῖον ὡς σχήματί ποιοῦ φαντάζεσθαι, ἐξ ἧς ἕπεται ἡ κατὰ φαντασίαν πρὸς ἀπάτην πλάνη, δι' ἧς ἡ βλασφημία γεννᾶται, καὶ μεθ' ὧν ἡ κατὰ φαντασίαν πλάνη, τίκτει τὴν τῶν ἀλλοκότων φασμάτων δειλίαν, ἐγρηγορότως, καὶ κατὰ τοὺς ὕπνους· ὅν τινα, τρόμον καὶ κλόνον ψυχῆς ὀνομαζόμενον φάσκουσι. τῇ μὲν γὰρ ὑπερηφανίᾳ, ἕπεται ἡ πλάνη. τῇ πλάνῃ, ἡ βλασφημία. τῇ βλασφημίᾳ, ἡ δειλία. τῇ δειλίᾳ, ὁ τρόμος. ὁ * δὲ τρόμος, τῇ ἐκστάσει τῶν κατὰ φύσιν φρενῶν, οὗτος ὁ τῆς κατὰ φαντασίαν πλάνης, τρόπος πρῶτος. ὁ δὲ κατ' ἐνέργειαν δεύτερος τρόπος, ἐστὶν οὗτος· τὴν γὰρ ἀρχὴν διὰ τῆς ἡδυπαθείας τῆς ἀπὸ τῆς φυσικῆς δῆθεν ἐπιθυμίας τικτομένης ἔχει. ἐκ μὲν γὰρ τῆς ἡδονῆς, τίκτεται ἡ ἀκολασία τῶν ἀρρήτων ἀκαθαρσιῶν. διαθερμαίνουσα δὲ αὕτη τὴν ὅλην φύσιν, καὶ τὸ ἡγεμονικὸν θολώσασα τῷ τῶν ἰνδαλμάτων συνουσιασμῷ, εἰς ἔκστασιν ἄγει τὸν νοῦν, τῇ μέθῃ τῆς καυστικῆς ἐνεργείας, φρενήρη αὐτὸν ἀπεργαζομένη, καὶ προλέγειν ποιεῖ ψευδοπροφητείας, μαντευόμενον ἁγίων τινῶν δῆθεν ὁράσεις, καὶ λόγους ἐκείνων, ὡς δι' αὐτοῦ ὑποκαλυπτομένων μεμεθυσμένον τῷ κάρῳ τοῦ πάθους, καὶ τὸ ἦθος ἐνηλλαγμένον, καὶ δαιμονιώδη· οὓς τοιούτους οἱ κατὰ κόσμον τῇ ἀπάτῃ τῆς πλάνης ἀγόμενοι, ψυχάρια ὀνομάζουσι. παρακαθεζόμενα καὶ παραμένοντα τεμένεσιν ἁγίων τινῶν. καὶ ὡς δῆθεν πνευματιῶντας, καὶ ὑπ' αὐτῶν ἐκείνων δῆθεν ἐνεργουμένους, καὶ βασανιζομένους, καὶ τὰ δι' αὐτῶν τοῖς ἀνθρώποις ἀναγγέλλοντας, οὓς δαιμονιζομένους κυρίως, καὶ ἠπατημένους, καὶ τῇ πλάνῃ δεδουλωμένους, δέον ὑποκα-

* ἴσ. τῇ δὲ τρόμῳ ἡ ἔκστασις



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λεῖν, καὶ ὡς Προφήτας, καὶ προλέγοντας τὰ ἐνεστῶτα καὶ τὰ μέλλοντα. αὐτοὺς γὰρ ὁ τῆς ἀκολασίας δαίμων σκοτώσας διὰ τῆς ἐνδόσεως πυρᾶς τὸν νοῦν αὐτῶν, εἰς ἔκστασιν ἄγει φρενῶν, φαντάζων ἁγίους τινὰς αὐτοῖς, καὶ ὁμιλίας, καὶ θέας δεικνύων. ἔστι δ' ὅτε καὶ αὐτοὶ ἐκεῖνοι οἱ δαίμονες παραφαίνονται, πρὸς δειλίαν ταράξαι τούτους. τῷ γὰρ ζυγῷ τοῦ βελίαρ συνδήσας αὐτούς, πρὸς τὴν κατ' ἐνέργειαν κατεπείγων αὐτοὺς ὠθεῖ· ἵνα ἐκδότους ἔχῃ καὶ δούλους μέχρι θανάτου, τῇ κολάσει παραπεμψόμενος.

ρλβ'. Χρὴ εἰδέναι, ὅτι τρεῖς καθολικὰς ἡ πλάνη αἰτίας ἔχει δι' ὧν ἐπέρχεται τοῖς ἀνθρώποις. ἐξ ὑπερηφανίας, ἐκ φθόνου δαιμόνων, καὶ ἐκ παιδευτικῆς παραχωρήσεως. αἰτίαι δὲ τούτων, τῆς μὲν ὑπερηφανίας, ἡ κουφότης. τῆς δὲ προκοπῆς, ὁ φθόνος. τῆς δὲ παιδευτικῆς παραχωρήσεως, ἡ ἐφάμαρτος βιωτή. καὶ ἡ μὲν ἐκ φθόνου, καὶ οἰήσεως μόνης, ταχεῖαν ἔχει τὴν ἴασιν, ὅταν μάλιστα καὶ ταπεινωθῇ. ἡ δὲ ἐκ παιδείας δι' ἁμαρτίαν τῷ σατανᾷ ἔκδοσις, πολλάκις μέχρι θανάτου πρὸς ἄφεσιν ὁ Θεὸς παραχωρεῖ ταύτην. ἔστι δ' ὅτε καὶ ἀνευθύνους κολάζεσθαι, πρὸς σωτηρίαν ἐκδίδωσι. χρὴ δὲ εἰδέναι, ὅτι καὶ αὐτὸς ὁ τῆς οἰήσεως δαίμων προλέγει ἐν τοῖς μὴ ἀκριβῶς τῇ καρδίᾳ προσέχουσιν.

ρλγ'. Ἱερεῖς καὶ βασιλεῖς τῇ ἀληθείᾳ χρίονται ἐν τῇ ἀνακαινίσει πάντες οἱ εὐσεβεῖς, ὥσπερ κατὰ τὸν τύπον τότε καὶ οἱ παλαιοί. τύποι γὰρ ἦσαν ἐκεῖνοι τῆς ἡμετέρας ἀληθείας. οὐκ ἐκ μέρους, ἀλλ' ὅλοι ὅλους ἡμᾶς ἐτεκμαίροντο. οὔτε γὰρ κατ' ἐκείνους ὁμοιότροπος καὶ ὁμοειδὴς ἡ ἡμετέρα βασιλεία, καὶ ἱερατεία, κἂν σύμβολα τὰ αὐτά. οὔτε καθ' ἡμᾶς διορισμὸν ἔχει ἡ φύσις, ἢ ἡ χάρις, καὶ ἡ κλῆσις πρὸς τὴν χρῖσιν, τοῦ εἶναι τὰ χρισθέντα διάφορα. ἀλλὰ μίαν καὶ τὴν αὐτὴν κλῆσιν, καὶ πίστιν, καὶ μόρφωσιν ἔχομεν. δηλοῖ δὲ καὶ ἐμφαίνει, κατὰ τὸν τῆς ἀληθείας λόγον, τὸ καθαρὸν καὶ ἀπαθές, καὶ ὅλον ἀφιερωμένον, Θεῷ γενέσθαι νῦν τε, καὶ ἐν τῷ μέλλοντι.

Σοφίαν τὴν τοιαύτην ἐκεῖνος τῷ στόματι ρλδ'.
λαλεῖ, καὶ τῇ τῆς καρδίας μελέτῃ σύνεσιν, ὁ Θεὸν Λόγον, τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἐνυπόστατον σοφίαν, τρανῶς ἐκ τῶν ὄντων ἐμφαίνων, ὡς τοὺς λόγους τῶν ἀρχετύπων ἐν τοῖς οὖσιν ἔχων χαρακτηρίζοντας, καὶ διὰ τοῦ κατ' ἐνέργειαν ζῶντος λόγου, τῷ στόματι λαλεῖ σοφίαν ἐκ σοφίας· τῇ δὲ καρδίᾳ ἐλλαμπόμενος τῇ δυνάμει τῆς μεταποιητικῆς συνέσεως μελετωμένης τῷ πνεύματι, ποιεῖν καὶ φωτίζειν δύναται διὰ τῆς συνέσεως, τοὺς πιστῶς ἀκούοντας.

Ἡ μεγάλη τῆς ἀληθείας ἀντίπαλος, ρλε'.
καὶ πρὸς ἀπώλειαν τοὺς ἀνθρώπους ἕλκουσα πλάνη σήμερον, (δι' ἧς ἡ ἄγνοια τοῦ σκότους ἐν ταῖς ψυχαῖς τῶν ῥαθύμων ἐβασίλευσεν, ἐκ Θεοῦ ἀλλοτριώσασα αὐτούς. οἱ καὶ ὡς μὴ εἶναι Θεὸν γινώσκοντες, τὸν ἡμᾶς ἀναγεννήσαντα καὶ φωτίσαντα, ἢ λόγῳ μόνῳ ψιλῷ πιστευόμενον καὶ γινωσκόμενον, καὶ οὐκ ἔργῳ. ἢ τοῖς ἀρχαίοις μόνοις ἐπιφαινόμενον, καὶ οὐχὶ καὶ ἡμῖν. τὰς γραφικὰς περὶ Θεοῦ μαρτυρίας ἄλλοις, ἢ καὶ τοῖς εἰρηκόσι προσάπτουσι. καὶ δόξαν, ὥς φησι περὶ Θεοῦ, βλασφημοῦσι, τὴν δὲ ἐπιγνώσεως ὄντως εὐσέβειαν ἀπαρνούμενοι. καὶ σωματικῶς μόνον, ἵνα μὴ εἴπω Ἰουδαϊκῶς, τὰς γραφὰς ἀναγινώσκουσι, τὴν διὰ τῆς ἀναστάσεως τῆς ψυχῆς ἐντεῦθεν ἔγερσιν ἀπαρνούμενοι, καὶ καινὴν ἐν τάφοις ἀγνώστως ἐπιποθοῦσι,) τὰ τρία ταῦτα πάθη ὑπάρχουσιν. ἀπιστία, πονηρία, καὶ ῥαθυμία. ἀλλήλων δὲ εἰσὶ γεννητικὰ καὶ συνεκτικά. ἀπιστία γὰρ, πονηρίας διδάσκαλος. πονηρία δὲ ὁ σύντροφος ῥαθυμίας, ἧς ἡ ὀκνηρία σύμβολον· ἢ τὸ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀνάπαλιν. ῥαθυμία, πονηρίας γεννήτειρα, ὡς ὁ Κύριος ἔφησεν· πονηρὲ δοῦλε, καὶ ὀκνηρέ. πονηρία δὲ, μήτηρ ἀπιστίας. πᾶς γὰρ πονηρὸς, ἄπιστος. ὁ δὲ μὴ πιστεύων, καὶ ἄφοβος Θεοῦ. ἐξ ἧς ἡ ῥαθυμία γεννᾶται, ἡ μήτηρ τῆς καταφρονήσεως. δι᾽ ἧς πᾶν ἀγαθὸν ἀμελεῖται, καὶ πᾶν κακὸν διαπράττεται.

ρλϛ΄. Δόξα περὶ Θεοῦ ἀληθὴς, καὶ γνῶσις τῶν ὄντων ἀψευδὴς, τὴν τελείαν τῶν δογμάτων ὀρθοδοξίαν συνίστησι. διὸ καὶ δοξολογεῖν οὕτως ὁ τοιοῦτος ὀφείλει. δόξα σοι Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι. ὅτι δι᾽ ἡμᾶς ἐνανθρωπήσας ὁ Θεὸς λόγος ὁ ὑπερούσιος. διὰ τοῦτο μέγα τὸ μυστήριον τῆς οἰκονομίας σου Σωτὴρ ἡμῶν, δόξα σοι.

Εἰσὶν οὖν τῶν συγγραφομένων λόγων, κατὰ τὸν μέγαν Μάξιμον, τρόποι διάφοροι τρεῖς, ἀκατάγνωστοί τε, καὶ ἀκατάκριτοι. πρῶτος, ὁ δι᾽ ὑπόμνησιν ἑαυτοῦ. δεύτερος, ὡς πρὸς ὠφέλειαν ἄλλων. τρίτος, ὁ δι᾽ ὑπακοὴν συγγραφόμενος. ἐν ᾧ καὶ τὰ πλεῖστα τῶν γραφῶν συνετέθησαν τοῖς ταπεινῶς ἐκζητήσασι τὸν λόγον. ὁ δὲ πρὸς ἀρέσκειαν καὶ δόξαν, καὶ πρὸς τὸ θεαθῆναι, τὰς ἀρετὰς λογογραφῶν, ἀπέχει, φησὶ, τὸν μισθὸν αὐτοῦ. μηδεμίαν ὠφέλειαν ἔχων ἐνταῦθα, ἢ μισθὸν ἐν τῷ μέλλοντι. ἀλλὰ καὶ ὡς ἀνθρωπάρεσκος, καὶ δόλιος καπηλεύων τὸν λόγον τοῦ Θεοῦ, κατακριθήσεται. ρλζ΄.

## ΕΤΕΡΑ ΚΕΦΑΛΑΙΑ

## ΤΟΥ ΑΥΤΟΥ.

α΄. ΤΑ'ς μεθηλικιώσεις πάσας τὰς ἐν Χριστῷ, φθάσαι πᾶς τις ὀφείλει ὁ βαπτισθεὶς ἐν Χριστῷ· προείληφε γὰρ τὴν τούτων δύναμιν, καὶ διὰ τῶν ἐντολῶν ταύτας εὑρεῖν, καὶ μαθεῖν δύναται. καὶ ἡ μὲν σύλληψις ἐστὶν, ὁ ἀρραβὼν τοῦ πνεύματος. ἡ δὲ γέννησις, ἡ ἐνέργεια τῆς ἀγαλλιάσεως. ἡ δὲ βάπτισις, ἡ καθαρτικὴ τοῦ πυρὸς τοῦ πνεύματος δύναμις. ἡ δὲ μεταμόρφωσις, ἡ τοῦ θείου φωτὸς θεωρία. ἡ δὲ σταύρωσις, ἡ ἐκ πάντων νέκρωσις. ἡ δὲ ταφὴ, ἡ τοῦ θείου ἔρωτος ἐν καρδίᾳ κατοχή. ἡ δὲ ἀνάστασις, ἡ τῆς ψυχῆς ζωοποιὸς ἔγερσις. ἡ δὲ ἀνάληψις, ἡ πρὸς Θεὸν ἔκστασις, καὶ ἡ ἁρπαγὴ τοῦ νοός. ὁ δὲ ταύτας μὴ εὑρὼν, μηδὲ αἰσθανόμενος, νήπιός ἐστιν ἔτι, καὶ τῷ σώματι, καὶ τῷ πνεύματι, κἂν πολιὸς, καὶ πρακτικὸς παρὰ πάντων λογίζηται.

β΄. Τὰ πάθη τοῦ Χριστοῦ ζωοποιὸν ἔχουσι νέκρωσιν, τοῖς διὰ πάντων πεποιθόσιν· εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν. τὰ δὲ πάθη τῶν ἡδονῶν, νέκρωσιν θανατοποιὸν κέκτηνται τοῖς ἐνεργοῦσιν αὐτά. ἔστι γὰρ σταυρώσεως σταύρωσις, καὶ νεκρώσεως νέκρωσις, ἡ τῶν παθημάτων τοῦ Χριστοῦ ἑκούσιος πάθησις.

Τὸ πάσχειν ὑπὲρ Χριστοῦ ἐστὶ, τὸ ὑπομένειν τὰ συμβησόμενα. φθόνος γὰρ γ΄.
τοῖς εὐθύμοις πρὸς ὄφελος· ἔλεγχος δὲ πρὸς ἐπιστροφὴν, ἡ παιδεία Κυρίου ἡμῖν γίνεται, ἀνοίγουσα ἡμῖν τὰ ὦτα τοῖς ὑπευθύμοις· διὸ καὶ στέφανον τοῖς ὑπομένουσιν ὁ Κύριος ἐπηγγείλατο, εἰς εἰς αἰῶνα αἰῶνος. δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι, Τριὰς Ἁγία, ἕνεκα πάντων, δόξα σοι.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Περὶ τῆς ἐμπαθοῦς ἀλλοιώσεως.

δʹ. Ἡ ἀκηδία δυσκαταγώνιστον οὖσα πάθος, χαυνοῖ τὸ σῶμα. χαυνωμένου δὲ τοῦ σώματος, συγχαυνοῦται καὶ ἡ ψυχή. ἀμφοτέρων δὲ ἐκλυθέντων, ἀλλοιοῦσι τὴν κρᾶσιν τοῦ σώματος διὰ τῆς ἡδυπαθείας. ἡ δὲ ἡδυπάθεια, κινεῖ τὴν ὄρεξιν· ἡ ὄρεξις, τὴν πύρωσιν· ἡ πύρωσις, τὴν ἐπανάστασιν· ἡ ἐπανάστασις, κινεῖ τὴν μνήμην. ἡ μνήμη, τὴν φαντασίαν· ἡ φαντασία, τὴν προσβολήν· ἡ προσβολή, τὸν συνδυασμόν· ὁ συνδυασμός, τὴν συγκατάθεσιν· ἡ συγκατάθεσις, ποιεῖ τὴν πρᾶξιν. εἴτε τὴν διὰ σώματος, εἴτε τὴν διὰ πολυτρόπων παρατριβῶν. καὶ οὕτως ὁ ἄνθρωπος ἡττηθεὶς πτωματίζεται.

### Περὶ τῆς ἀγαθῆς ἀλλοιώσεως.

εʹ. Ἡ ὑπομονὴ ἐν παντὶ ἔργῳ, τίκτει τὴν ἀνδρείαν· ἡ ἀνδρεία, τὴν προθυμίαν. ἡ προθυμία, τὴν καρτερίαν· ἡ καρτερία, τὴν ἐπίτασιν. ἡ τοῦ ἔργου ἐπίτασις, ἤγουν προσθήκη, καταδαμάζει τὴν ἀκρασίαν τοῦ σώματος, καὶ τὴν ἡδυπάθειαν ἡμεροῖ τῆς ἐπιθυμίας. ἡ ἐπιθυμία δὲ, κινεῖ τὸν πόθον. ὁ πόθος, τὴν ἀγάπην. ἡ ἀγάπη, τὸν ζῆλον· ὁ ζῆλος, τὴν θέρμην. ἡ θέρμη, τὴν διέγερσιν. ἡ διέγερσις, τὴν σπουδήν. ἡ σπουδή, τὴν προσευχήν. ἡ προσευχή, τὴν ἡσυχίαν. ἡ ἡσυχία, τίκτει τὴν θεωρίαν. ἡ θεωρία, τὴν γνῶσιν. ἡ γνῶσις, τὴν τῶν μυστηρίων κατάληψιν. τέλος δὲ τῶν μυστηρίων, ἡ θεολογία. καρπὸς δὲ τῆς θεολογίας, ἡ τελεία ἀγάπη. τῆς ἀγάπης, ἡ ταπείνωσις. τῆς ταπεινώσεως, ἡ ἀπάθεια. τῆς ἀπαθείας, ἡ προόρασις, καὶ προφητεία, καὶ πρόγνωσις. οὐ γὰρ τελείας τις ἀπ' ἐντεῦθεν ἔχει τὰς ἀρετάς, οὐδὲ ἐκ μιᾶς ἀπονεκροῖ τὰς κακίας· ἀλλὰ μικρὸν αὐξανομένης τῆς ἀρετῆς, κατ' ὀλίγον ἡ κακία εἰς τὸ μὴ ὂν γίνεται.

### Περὶ τῶν καθ' ὕπνους πειρασμῶν.

Ποσαχῶς ἡ ῥευστικὴ ἁμαρτία γίνεται; Ἐρώτ.
ἡ ἐφάμαρτος καὶ ἡ ἀναμάρτητος;

Ἀπόκρ. ϛʹ. Τριχῶς μὲν, ἡ ἁμαρτητική, ἐν πορνείᾳ, καὶ μαλακίᾳ, καὶ συγκαταθέσει λογισμῶν. ἑπταχῶς δὲ ἡ ἀναμάρτητος. διὰ τῶν οὔρων, ἐν ὑλικοῖς βρώμασιν, ἐν κινητικοῖς, διὰ ψυχροποσίας, διὰ χαυνότητος σώματος, ἐν κόπῳ ἀμέτρῳ, καὶ διὰ δαιμονιώδεις πολυτρόπως φαντασίας. καὶ τῶν μὲν γεγηρακότων πρακτικῶν, διὰ τῶν προειρημένων πέντε συμβαίνει πολλάκις τρόπων. τῶν δὲ ἀπαθῶν, διὰ τῶν οὔρων καὶ μόνων προχωρεῖ ἀναμὶξ ἡ τοῦ φλέγματος ὕλη· ὡς οἷα οἱ ἄδηλοι πόροι ἀραιοὶ γεγονότες, ἐκ πολλῶν πόνων καὶ θειοτέρας ἐνεργείας καθαρτικῆς τε καὶ ἁγιαστικῆς, τὸ τῆς σωφροσύνης προστεθὲν αὐτοῖς χάρισμα. ὁ δὲ ἔσχατος τῆς φανταστικῆς ῥεύσεως τρόπος ἐν ὕπνῳ, τῶν ἐμπαθῶν ἐστὶ καὶ τῶν ἀσθενῶν. ὅμως καὶ αὐτὸ ὡς ἀκούσιον, ἀναμάρτητον, ὥς φασιν οἱ πατέρες.

Τοῦ μὲν ἀπαθοῦς ἴδιον, ἡ ἐκ διαλειμμάτων κατὰ πρόνοιαν ἀναμάρτητος κίνησις, ὡς ἡ λοιπὴ ὕλη ἀναλίσκεται θείῳ πυρί. τοῦ δὲ πρακτικοῦ, πολύτροπος ἀνάγκη, καὶ ἄμεμπτος κένωσις. τοῦ δὲ ἐμπαθοῦς, ἡ διττὴ ἀπόρροιά τε καὶ δύσροια· ἡ καθ' ὕπνους φανταστική, καὶ ἐγρηγορότως συγκατάθεσις· ὧν ἡ μὲν μία, ἄμεμπτος· ἡ δὲ ἄλλη, ἐφάμαρτος, καὶ ἐν ἐπιτιμίοις δέχεται.

Τῶν μὲν ἀπαθῶν, μία ἐστὶν ἡ κίνησίς τε, καὶ κένωσις τοῦ σώματος, κατὰ πρόνοιαν διὰ τῶν οὔρων τὴν ὕλην, τὴν μὲν, προχέεσθαι ὡς περίττωμα, τὴν δὲ

ἀναλί-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀναλίσκεσθαι, πυρὶ θείῳ δαπανωμένην, κατὰ τὸν φάσκοντα. Τῶν δὲ πρακτικῶν καὶ μέσων, ἓξ εἶναι φασὶ τοὺς καθολικοὺς τρόπους τῆς ῥευστικῆς κινήσεως ἀνεγκλήτους, δι' ὧν τὸ σῶμα τῆς φθοροποιοῦ ὕλης, καὶ τῶν φυσικῶν, καὶ ἀναγκαίων καθαίρεται καὶ ἐλευθεροῦται. ἐν ὑλικοῖς βρώμασι, καὶ κινητικοῖς, διὰ ψυχροποσίας, καὶ χαυνότητος φύσεως, καὶ παρέσεως κόπων, καὶ τέλος, ἐν φθόνῳ δαιμόνων ἡ φύσις πάσχει δι' ἑαυτῆς. τῶν δὲ ἀσθενῶν καὶ εἰσαγωγικῶν, ὁμοίως καὶ αὐτοὺς ἓξ εἶναι τοὺς ἐμπαθεῖς τρόπους. διὰ γαστριμαργίας, καὶ καπηλιᾶς, καὶ κατακρίσεως, καὶ κενοδοξίας, καὶ τῆς ἁπλῆς ἐν φαντασίᾳ συγκαταθέσεως, καὶ τέλος, ὁ κατ' ἐπίθεσιν τῶν δαιμόνων φθόνος. ὅμως καὶ ταῦτα προνοίας ἐστὶ σκοπὸς, καθαρίζειν τὴν φύσιν ἐκ τῆς φθορᾶς καὶ τῶν παρεισάκτων εἰς αὐτὴν ξένων περιττωμάτων καὶ ἀλόγων ὀρέξεων. παιδεύειν δὲ τὸν ἀγωνιστὴν πεποιθέναι τῇ προσοχῇ, καὶ πάντα ἐγκαρτερεῖσθαι καὶ ἐκ πάντων.

ζ'. Ὁ κατὰ μόνας καθήμενος, καὶ ἐσθίων ἀγάπην, ὀφείλει κατὰ τρόπους ἑπτὰ τὴν ἐλεημοσύνην δέχεσθαι. πρῶτον, χρεωδῶς αἰτεῖν. δεύτερον, χρεωδῶς λαμβάνειν. τρίτον, τὸ, ὡς ἐκ Θεοῦ τὰ ἐπερχόμενα δέχεσθαι. τέταρτον, τὸ, εἰς Θεὸν θαρρεῖν, καὶ αὐτὸν εἶναι μισθαποδότην. πέμπτον, τὸ, ἐργάτην εἶναι τῶν ἐντολῶν. ἕκτον, τὸ, μὴ ποιεῖν ἐκ τούτων παράχρησιν. ἕβδομον, τὸ μὴ εἶναι φειδωλὸν, ἀλλὰ μεταδοτικὸν καὶ οἰκτίρμονα. ὁ γὰρ ἐν τούτοις οὕτως, χαίρει ὡς παρὰ Θεοῦ, καὶ μὴ παρὰ ἀνθρώπων οἰκονομούμενος.

# ΤΟΥ ΑΥΤΟΥ

## ΕἼΔΗΣΙΣ ἈΚΡΙΒΉΣ

### Περὶ ἡσυχίας καὶ προσευχῆς, ἔτι δὲ καὶ περὶ τῶν τεκμηρίων τῆς χάριτος καὶ τῆς πλάνης· καὶ τίς ἡ διαφορὰ τῆς θέρμης καὶ τῆς ἐνεργείας, καὶ ὅτι χωρὶς ὁδηγοῦ, δυσχερῶς συνεισέρχεται ἡ πλάνη. Κεφάλαια ι'.

α'. Ἔδει μὲν ἡμᾶς εἰπεῖν κατὰ τὸν μέγαν διδάσκαλον, μηδὲ δεῖσθαι τῆς ἀπὸ τῶν γραφῶν βοηθείας, ἢ τῆς ὑφ' ἑτέρων πατέρων, ὦ σημειοφόρε Λογγῖνε, ἀλλ' οὕτως εἶναι θεοδιδάκτους· Ἔσονται γάρ, φησι, πάντες διδακτοὶ Θεοῦ, ὡς ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ γινώσκειν τε καὶ μανθάνειν τὰ συμφέροντα. οὐ μόνον ἡμᾶς, ἀλλὰ καὶ ἅπαντα τὸν τῶν πιστῶν ἕκαστον, ὡς τὸν νόμον τοῦ πνεύματος ἐν ταῖς πλαξὶ τῶν καρδιῶν ἡμῶν φέρειν ἐγγεγραμμένον, καὶ ἀμέσως, καὶ χερουβικῶς, τὸ ἐξαίσιον, τῷ Ἰησοῦ διὰ καθαρᾶς προσευχῆς προσομιλεῖν ἠξιωμένους. ἐπειδὴ δὲ νήπιοι κατὰ τὸν καιρὸν τῆς ἀναπλάσεως ἐσμὲν, μήτε τὴν χάριν νοοῦντες, μήτε τὴν καινότητα συνορῶντες, ἀγνοοῦντες δὲ μᾶλλον τὸ ὑπερβάλλον μέγεθος τῆς τιμῆς τε, καὶ δόξης ἧς μετελάβομεν· καὶ ὅτι ὀφείλομεν διὰ τῶν ἐντολῶν ψυχικῶς, καὶ πνευματικῶς αὐξηνθῆναι, καὶ ἰδεῖν νοερῶς, ὅπερ ἐλάβομεν, πίπτομεν διὰ τῆς ἀμελείας, καὶ ἐμπαθεστάτης ἕξεως εἰς ἀναισθησίαν καὶ σκότωσιν οἱ πολλοί· καὶ οὐδὲ εἰ ἔστι Θεὸς γινώσκομεν, οὐδὲ τίνες ἐσμὲν, ἢ ποῖοι γεγόναμεν, υἱοὶ Θεοῦ, καὶ φωτὸς, καὶ τέκνα καὶ μέλη Χριστοῦ γεγονότες. εἰ δὲ καὶ ἄνδρες βαπτιζόμεθα,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πλὴν ἀλλ' ἐν ὕδατι μόνον, καὶ οὐ Πνεύματι αἰσθανόμεθα, εἰ δὲ καὶ ἐν Πνεύματι καινουργούμεθα, πιστεύομεν διὰ ψιλῆς πίστεως τῆς νεκρᾶς καὶ οὐκ ἐνεργουμένης, καὶ ἐν ἀψυχίᾳ γίνεσθαι λέγομεν· καὶ οὕτως αὐτόχρημα σάρκες ὄντες, σαρκικῶς ζῶμεν, καὶ πορευόμεθα. εἰ δὲ καὶ μετανοήσομεν, σωματικῶς μόνον, καὶ οὐ πνευματικῶς τὰς ἐντολὰς ποιοῦμεν καὶ γνώσκομεν. εἰ δὲ καὶ διὰ πολλῶν κόπων ἡ χάρις φιλανθρώπως ἐνίοις ἐμφανείας ἀξιώσει, ὡς ἀπάτην αὐτὴν δεχόμεθα. εἰ δὲ καὶ παρ' ἑτέρων ταύτην ἐνεργοῦσαν ἀκούσωμεν, ὡς πλάνην αὐτὴν διὰ φθόνον λογιζόμεθα. καὶ οὕτω μένομεν νεκροὶ μέχρι θανάτου, μὴ ἐν Χριστῷ ζῶντες καὶ ἐνεργούμενοι· καὶ ὃ ἔχομεν, κατὰ τὴν γραφὴν, ἐν τῷ καιρῷ τῆς ἐξόδου, ἢ κρίσεως, δι' ἀπιστίας, ἢ ἀπογνώσεως ἀρθήσεται ἀφ' ἡμῶν· μὴ νοοῦντες ὅτι κατὰ τὸν πατέρα, χρὴ εἶναι καὶ τὰ τέκνα. Θεοὺς ἐκ Θεοῦ, καὶ πνευματικοὺς ἐκ Πνεύματος. τὸ γεγεννημένον φησὶ, ἐκ τοῦ Πνεύματος, πνεῦμά ἐστιν· ἡμεῖς δὲ σάρκες ἐσμὲν, εἰ καὶ πιστοὶ, καὶ ἐπουράνιοι γεγόναμεν, καὶ τὸ πνεῦμα διὰ τοῦτο τοῦ Θεοῦ οὐκ ἐμμένει ἐν ἡμῖν. καὶ τούτου ἕνεκα παρέδωκε Κύριος τὰς ἐπαγωγὰς καὶ τὰς αἰχμαλωσίας, καὶ σφαγὰς ἐπλήθυνεν, ἴσως διορθῶσαι, ἢ ἐκκόψαι, ἢ σῶσαι διὰ φαρμάκων ἰσχυροτέρων βουλόμενος τὴν κακίαν.

β'. Καὶ πρῶτον μὲν εἰπεῖν, Θεοῦ διδόντος ῥῆμα τοῖς εὐαγγελιζομένοις ἀγαθὰ τοιαῦτα, πῶς εὕροι τις, μᾶλλον δὲ εὕρηται ὅνπερ ἔχει, ὃ εἴληφε Χριστὸν διὰ τοῦ βαπτίσματος ἐν Πνεύματι; κατὰ τὸν Ἀπόστολον Παῦλον. ὅτι οὐκ οἴδατε ὅτι Χριστὸς Ἰησοῦς οἰκεῖ ἐν ταῖς καρδίαις ὑμῶν, φησίν. ἔπειτα δὲ, καὶ τὸ πῶς προκόψει, εἶθ' οὕτως καὶ πῶς φυλάξει τὸ εὑρεθέν. ἄριστος γὰρ καὶ σύντομος τρόπος, τὰ ἄκρα μετὰ τοῦ μέσου συντόμως εἰπεῖν, πολλὴν ἔχοντα πλάτος. διότι πολλοὶ μὲν τὸν ἀγῶνα μέχρι τοῦ εὑρεῖν τὸ ζητούμενον ἠγωνίσαντο, καὶ ἔστησαν τὴν ἔφεσιν ἕως τούτου· περαιτέρω δὲ οὐ προβαίνουσιν, οὐδὲ μέλει τούτοις, ἀρκούμενοι μόνον εἰς τὴν ἀρχὴν, ἣν εὗρον. ἐμποδισθέντες δὲ καὶ λεληθότως δίοδον ἄραντες, οἴονται καλῶς ὁδεύειν, καὶ ἀκερδῶς φέρονται ἔξωθεν ταύτης. ἄλλοι δὲ τὴν μεσότητα φθάσαντες τοῦ φωτισμοῦ, πρὸς τὸ τέλος ὤκλασαν, ῥαθυμήσαντες, ἢ εἰς τὰ ὀπίσω διὰ τῆς ἀδιαφόρου πολιτείας στραφέντες, καὶ ἀρχάριοι γεγονότες. οἱ δὲ πρὸς τὴν τελειότητα φθάσαντες, δι' ἀπροσεξίας πίπτουσιν ἐξ οἰήσεως, καὶ εἰς τὰ ὀπίσω στρέφονται, καὶ τῶν μέσων, καὶ ἀρχαρίων ἴσοι πρὸς τὸ ἔργον καθίστανται. ἀρχαρίων δὲ, καὶ μέσων, καὶ τελείων ἐστὶ, τῶν μὲν, ἡ ἐνέργεια. τῶν δὲ, ὁ φωτισμός. τῶν δὲ, ἡ τῆς ψυχῆς κάθαρσις, ἢ ἀνάστασις.

## Περὶ τοῦ πῶς εὑρεῖν τὴν ἐνέργειαν.

γ'. Κατὰ δύο τρόπους εὑρίσκεται ἡ ἐνέργεια τοῦ Πνεύματος, ἣν ἐν τῷ Βαπτίσματι μυστικῶς προειλήφαμεν. καὶ πρῶτον μὲν καθολικῶς εἰπεῖν, διὰ τῆς τῶν ἐντολῶν ἐργασίας, διὰ πολλοῦ κόπου, καὶ χρόνου ἡ δωρεὰ ἀποκαλύπτεται, καθά φησιν ὁ Ἅγιος Μάρκος. καὶ καθόσον τὰς ἐντολὰς ἐνεργοῦμεν, κατὰ τοσοῦτον ἐμφανέστερον ἐκλάμπει ἡμῖν τὰς οἰκείας μαρμαρυγάς. δεύτερον δὲ, διὰ τῆς ἐπιστημονικῆς καὶ ἐπικλήσεως συνεχοῦς τοῦ Κυρίου Ἰησοῦ, τουτέστι τῆς τοῦ Θεοῦ μνήμης, φανεροῦται ἐν ὑποταγῇ. καὶ ἐκ μὲν τῆς πρώτης πολιτείας, βραδύτερον· ἐκ δὲ τῆς δευτέρας, συντομώτερον. ἐὰν καὶ μαθεῖν εὕρῃ ἐμπόνως καὶ καρτερικῶς ὀρύσσειν τὴν γῆν, καὶ τὸν χρυσὸν ἐκζητεῖν. εἰ οὖν βουλόμεθα ἀπλανῶς τὴν ἀλήθειαν εὑρεῖν, καὶ γνῶναι, τὴν καρδιακὴν ζητήσωμεν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μόνον ἐνέργειαν ἔχειν, ἀνείδεον πάντη καὶ ἀσχημάτιστον. καὶ μήτε μορφὴν, ἢ τύπον δῆθεν ἁγίων φανταστικῶς ἐνοπτρίζεσθαι, μήτε φῶτα θεωρεῖν· (πέφυκε γὰρ ἡ πλάνη παρὰ τὰς ἀρχὰς μάλιστα τοῖς τοιούτοις φαντάσμασι ψευδέσι τὸν νοῦν ἀπατᾶν τῶν ἀπείρων.) ἀλλὰ μόνον τὴν ἐνέργειαν τῆς προσευχῆς ἐν τῇ καρδίᾳ ἐνεργοῦσαν ἔχειν σπουδάσωμεν, θερμαίνουσαν τὸν νοῦν καὶ εὐφραίνουσαν, καὶ πρὸς ἀγάπην Θεοῦ καὶ ἀνθρώπων ἄρρητον, τὴν ψυχὴν ἐκκαίουσαν. διὸ καὶ ταπείνωσιν καὶ συντριβὴν οὐκ ὀλίγην, ἐστὶν ἰδεῖν γινομένην ἀπὸ τῆς προσευχῆς, εἴπερ προσευχή ἐστι, παρὰ μὲν τοῖς ἀρχαρίοις, ἀεικίνητος ἐνέργεια νοερὰ τοῦ Ἁγίου Πνεύματος. ἐν μὲν τῇ ἀρχῇ ὡς πῦρ εὐφροσύνης ἀπὸ καρδίας ἀναδιδόμενον· ἐν δὲ τῷ τέλει, ὡς φῶς εὐωδιάζον ἐνεργούμενον.

δ'. Εἰσὶ δὲ τεκμήρια τῆς ἀρχῆς τοιαῦτα, τῶν ἐκζητούντων αὐτὴν ἀληθῶς, καὶ * οὐχ ὡς οἱ πειράζοντες ὄντων. κατὰ τὴν αὐτὴν σοφίαν τὴν λέγουσαν. ὅτι εὑρίσκεται, τοῖς μὴ πειράζουσιν αὐτήν. ἐμφανίζεται δὲ, τοῖς μὴ ἀπιστοῦσιν αὐτῇ. ἐν τισὶ μὲν ὁρᾶται, ὡς φῶς ἀνατέλλον. ἐν ἄλλοις δὲ, ἀγαλλίασις ἔντρομος. ἐν ἑτέροις δὲ, χαρά. ἐν ἄλλοις δὲ, σύμμικτος χαρὰ καὶ φόβος. ἐν τισὶ δὲ, τρόμος καὶ χαρά. ἔστι δ' ὅτε καὶ εἴς τινας, δάκρυα καὶ φόβος. χαίρει μὲν ἡ ψυχὴ τὴν ἐπισκοπὴν καὶ τὸ ἔλεος τοῦ Θεοῦ, φοβεῖται δὲ καὶ τρέμει τὴν παρουσίαν αὐτοῦ, ὡς ὑπεύθυνος ἐν ἁμαρτίαις πολλαῖς. ἑτέροις δὲ πάλιν γίνεται παρὰ τὰς ἀρχὰς, ἄρρητος συντριβὴ καὶ πόνος ἄφατος ψυχῆς. ὀδυνωμένη καθάπερ ἡ τίκτουσα καὶ ὠδίνουσα κατὰ τὴν γραφήν· διικνούμενος γὰρ ὁ ζῶν καὶ ἐνεργὴς λόγος, τουτέστιν ὁ Ἰησοῦς, ὥς φησιν ὁ Ἀπόστολος, μέχρι μερισμοῦ ψυχῆς καὶ σώματος, ἁρμῶν τε καὶ μυελῶν, ἵνα τὸ ἐμπαθὲς ἐξ ὅλων τῶν τῆς ψυχῆς μερῶν, καὶ τοῦ σώματος βιαίως ἐκτρίψῃ. ἐν ἄλλοις δὲ, ἀγάπη καὶ εἰρήνη ἄμαχος πρὸς πάντας ὁρᾶται. ἐν ἑτέροις δὲ, ἀγαλλίαμα, ὅπερ σκίρτημα πολλαχῶς οἱ Πατέρες εἰρήκασι, πνεύματος οὖσα δύναμις καὶ καρδίας ζώσης κίνημα. τοῦτο καὶ παλμὸς λέγεται, καὶ στεναγμὸς, τοῦ πνεύματος ἀλαλήτως ὑπὲρ ἡμῶν πρὸς τὸν Θεὸν ἐντυγχάνοντος· * κῦμα δὲ τοῦτο τῆς τοῦ Θεοῦ δικαιοσύνης καὶ ὁ Ἠσαΐας ὠνόμασε. καὶ ἐυγμὸν ὁ μέγας Ἐφραίμ. ὁ δὲ Κύριος, πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. (ὕδωρ δὲ, τὸ πνεῦμα ὠνόμασε), πηδῶντος ἐν καρδίᾳ, καὶ ὑπερζέον, τῷ σφοδρῷ τῆς δυνάμεως.

* ἐν ἄλλ. ἴσως μὴ ὡς πειράζοντες

* ἐν ἄλλ. κύημα

ε'. Δεῖ γινώσκειν, ὅτι δύο διαφορὰς ἔχει τὸ σκίρτημα, ἤτοι τὸ ἀγαλλίαμα. τὸ γαληνόμορφον, (ὅπερ παλμὸς καὶ στεναγμὸς, καὶ ἐντυχία τοῦ πνεύματος λέγεται.) καὶ τὸ μέγα τῆς καρδίας. (ὅπερ καὶ σκίρτημα, καὶ ἅλμα· ἤτοι πήδημα λέγεται, καρδίας ζώσης πρὸς τὸν θεϊκὸν ἀέρα ἀνατατικὴ πτῆσις.) ὑπὸ γὰρ τοῦ θείου πνεύματος ἀναπτερωμένη τῷ ἔρωτι, καὶ τῶν δεσμῶν τῶν παθῶν ἡ ψυχὴ ἐλευθερωμένη, πρὸς τὰ ἄνω καὶ πρὸ τῆς ἐξόδου ἀνίπτασθαι δοκιμάζει. ἐφιεμένη τὴν τοῦ βάρους διάζευξιν. (τοῦτο καὶ ταραγμὸς τοῦ πνεύματος, εἴτ' οὖν ἐκβρασμὸς, καὶ κίνησις λέγεται. κατὰ τὸ, ὁ δὲ Ἰησοῦς ἐτάραξεν ἑαυτὸν τῷ πνεύματι, κινηθεὶς ἐν δυνάμει, καὶ εἰπών, ποῦ τεθείκατε αὐτόν.) δηλοῖ δὲ τὴν διαφορὰν τοῦ μεγάλου καὶ τοῦ μικροῦ σκιρτήματος ὁ θεῖος Δαβὶδ, εἰρηκώς. τὰ ὄρη ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία σκιρτῶντες. περὶ τελείων, καὶ ἀρχαρίων εἰπών. περὶ γὰρ αἰσθητῶν ὀρέων καὶ βουνῶν ὅτι σκιρτῶσιν, ἄζωα ὄντα οὐκ ἐμνημόνευσε, περιττὸν ἦν αὐτῷ.

ϛ'. Δεῖ δὲ γινώσκειν, ὅτι ὁ θεῖος φόβος τρόμον οὐκ ἔχει. (τρόμον δὲ λέγω,

οὐ τὸν ἀπὸ τῆς χαρᾶς, ἀλλὰ τὸν ἀπὸ τῆς ὀργῆς, εἴτ᾽ οὖν παιδείας καὶ ἐγκαταλήψεως.) ἀλλ᾽ ἀγαλλίασιν ἔντρομον τὴν ἀπὸ τῆς εὐχῆς ἐν τῷ πυρὶ τοῦ θείου φόβου προσγινομένην. φόβον δὲ, οὐ τὸν ἔντρομον τὸν ἐκ τῆς ὀργῆς, εἴτ᾽ οὖν κολάσεως, ἀλλὰ τὸν τῆς σοφίας. ὃς, καὶ σοφίας ἀρχὴ λέγεται, διαιρεῖται δὲ ὁ φόβος εἰς τρία, (κἂν εἰς δύο οἱ Πατέρες εἰρήκασι.) τὸν εἰσαγωγικὸν, καὶ τὸν τέλειον. εἶτα καὶ τὸν τῆς ὀργῆς φόβον. ὅνπερ καὶ τρόμον δεῖ κυρίως καλεῖν, εἴτ᾽ οὖν κλόνον, καὶ συντριμμόν.

ζ. Ὁ δὲ τρόμος, διαφορὰς ἔχει πολυτρόπους, ἄλλος ὁ τῆς ὀργῆς, καὶ ἄλλος ὁ τῆς χαρᾶς, καὶ ἕτερος ὁ τοῦ θυμικοῦ, (ὅταν καθ᾽ ὑπερβολὴν γένηται ζέσις, ὥς φασι, τοῦ περὶ καρδίαν αἵματος.) καὶ ἄλλος ὁ ἐκ τοῦ γήρως, καὶ ἕτερος ὁ τῆς ἁμαρτίας, εἴτ᾽ οὖν πλάνης, καὶ ἄλλος ὁ τῆς κατάρας, διὰ τοῦ Κάϊν δοθεὶς τῷ τῶν ἀνθρώπων γένει. πλὴν τῷ ἀγωνιστῇ παρὰ τὰς ἀρχὰς, ὁ ἐκ τῆς χαρᾶς, καὶ ὁ ἐκ τῆς ἁμαρτίας πολεμεῖ τρόμος· πᾶσι δὲ, οὐχ οὕτω συμβαίνει. σημεῖα δὲ ἀμφοτέρων· τοῦ μὲν, ἡ ἔντρομος ἀγαλλίασις ἐν εὐφροσύνῃ πολλῇ καὶ δάκρυσιν ἡ χάρις τὴν ψυχὴν παρακαλεῖ, τοῦ δὲ, ἀνώμαλος θέρμη, καὶ τῦφος, καὶ σκληροκαρδία τὴν ψυχὴν ἐκκαίουσα, καὶ ἐκπυροῦσα τὰ συνουσιαστικὰ μέλη, καὶ πρὸς συμπλοκὴν σώματος καὶ ἔρωτι διὰ τῆς φαντασίας ἔνδον ἐν συγκαταθέσει τὴν αἰσχρουργίαν ποιοῦσα.

η. Διττὴν εἶναι τὴν ἐνέργειαν τῷ ἀρχαρίῳ παντὶ, καὶ διττῶς ἐν καρδίᾳ ἐνεργουμένην καὶ ἀμιγῶς. τὴν μὲν, ἐκ τῆς χάριτος, τὴν δὲ, ἐκ τῆς πλάνης· μαρτυρεῖ ὁ Μέγας Μάρκος ὁ ἀσκητὴς, οὑτωσί φάσκων· ἔστιν ἐνέργεια πνευματική, καὶ ἔστιν ἐνέργεια σατανική, τῷ νηπίῳ ἀγνοουμένη. καὶ πάλιν. τριττὴν εἶναι τὴν θέρμην τῆς ἐνεργείας ἐν ἀνθρώποις ἀναπτομένην· τὴν ἐκ τῆς χάριτος, τὴν ἐκ τῆς πλάνης, εἴτ᾽ οὖν ἁμαρτίας, καὶ τὴν ἐκ τῆς πλησμονῆς αἵματος. ὅπερ καὶ κρᾶσιν ὁ Ἀφρικανὸς ἔφησε Θαλάσσιος, καὶ δι᾽ ἐγκρατείας ἐμμέτρου ὁμαλίζειν ταύτην, καὶ εἰρηνεύειν.

θ. Ἐνέργεια τῆς χάριτός ἐστι, δύναμις τοῦ πυρὸς τοῦ πνεύματος ἐν χαρᾷ καὶ εὐφροσύνῃ καρδιακῶς κινουμένη, στηρίζουσα, καὶ θερμαίνουσα τὴν ψυχὴν, καὶ καθαίρουσα. καὶ τοὺς μὲν λογισμοὺς παύουσα ὡς πρὸς ὥραν, τὴν δὲ τοῦ σώματος κίνησιν νεκροῦσα πρὸς καιρόν. καὶ ταῦτα τὰ σημεῖα αὐτῆς, καὶ ὁ καρποὶ οἱ ἐμφαίνοντες τὴν ἀλήθειαν. τὰ δάκρυα, ὁ συντριμμὸς, ἡ ταπείνωσις, ἡ ἐγκράτεια, ἡ σιωπὴ, ἡ ὑπομονὴ, τὸ κρύπτεσθαι, καὶ ὅσα τοιαῦτα. δι᾽ ὧν ἀδιστάκτως πληροφορούμεθα.

ι. Ἐνέργεια πλάνης ἐστὶν, ἡ τῆς ἁμαρτίας ἔκκαυσις, ἐν ἡδονῇ θερμαίνουσα τὴν ψυχὴν, καὶ πρὸς συνουσιασμὸν ἐμμανῶς σωμάτων τὴν ἐπιθυμίαν ἐν τῇ τοῦ σώματος κινήσει διεγείρουσα. ἄποιος δὲ ἐστὶν ὅλη καὶ ἀδιάθετος, κατὰ τὸν Ἅγιον Διάδοχον. χαρὰν ἄλογον, καὶ οἴησιν, καὶ ταραχὴν, καὶ εὐφροσύνην ἄποιον, καὶ ὡς εἰκὸς εἰπεῖν, ἄζοφον ἔχουσα, ἐν ἡδονῇ χλιαρότητος πρὸς τὸ ἐπιθυμητικὸν μάλιστα ἐνεργοῦσα. ποριζομένη ὕλην ἐκκαύσεως τὰς ἡδονὰς, καὶ τὴν ἀκόρεστον γαστέρα ἔχουσα συνεργόν. ἐκεῖθεν γὰρ καινοῦται καὶ ἀνάπτεται τὴν σύγκρασιν τῆς σαρκὸς, αἰτίαν λαμβάνουσα πρὸς τὸ ἐνεργεῖν καὶ καίειν τὴν ψυχὴν καὶ πρὸς ἑαυτὴν ἕλκειν ἵνα τῇ ἕξει ἡδυπαθῶν ὁ ἄνθρωπος, τὴν χάριν κατὰ μικρὸν ἐκδιώξῃ ἐξ ἑαυτοῦ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ

## Περὶ ἡσυχίας, καὶ περὶ τῶν δύω τρόπων τῆς προσευχῆς. Ἐν Κεφαλαίοις, ιέ.

α. Δύω τρόποι εἰσὶν ἑνώσεως, μᾶλλον δὲ εἴσοδοι ἑκατέρωθεν τῆς νοερᾶς προσευχῆς, τῆς διὰ τοῦ πνεύματος ἐν καρδίᾳ ἐνεργουμένης. δι' ὧν ὁ νοῦς ἢ προλαμβάνει αὐτὴν ἐκεῖσε τῷ Κυρίῳ κολλώμενος κατὰ τὴν γραφὴν, ἢ κινουμένης τῆς ἐνεργείας κατὰ πρόοδον ἐν πυρὶ εὐφροσύνης ἕλκει τὸν νοῦν, ἢ συνδεσμεῖ αὐτὸν πρὸς τὴν τοῦ Κυρίου Ἰησοῦ ἐπίκλησίν τε καὶ ἕνωσιν. εἰ γὰρ καὶ τὸ πνεῦμα ἰδίᾳ ἑκάστῳ ἐνεργεῖ ὡς βούλεται, καθὼς φησὶν ὁ Ἀπόστολος, ἀλλ' ἔστιν ὅτε μία τῆς μιᾶς προηγεῖται ἐν τισὶν, κατὰ τοὺς τρόπους οὓς προειρήκαμεν. καὶ ποτὲ μὲν ἡ ἐνέργεια γίνεται ἐν καρδίᾳ, τῶν παθῶν δηλονότι μεμειωμένων, διὰ συνεχοῦς ἐπικλήσεως Ἰησοῦ Χριστοῦ, τῆς θείας θέρμης ἀναφανείσης. ὁ γὰρ Θεὸς ἡμῶν πῦρ καταναλίσκον τὰ πάθη· φησὶν ἡ γραφή. ποτὲ δὲ τὸ πνεῦμα ἕλκει τὸν νοῦν πρὸς ἑαυτὸ, εἰς τὸ βάθος τῆς καρδίας ἄγχον αὐτὸν, καὶ τῆς συνήθους περιφορᾶς ἀπεῖργον. καὶ τότε οὐκ ἔτι αἰχμάλωτος εἰς Ἀσσυρίους ἄγεται ἐξ Ἱερουσαλὴμ, ἀλλ' ἐκ Βαβυλῶνος εἰς Σιὼν μετοικεσίαν ποιεῖται τὴν κρείττονα. ὥστε λέγειν καὶ αὐτὸν μετὰ τοῦ Προφήτου· σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ. καὶ πάλιν. ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιών. καὶ τὸ ἀγαλλιάσεται Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραήλ. ὁ πρακτικὸς καὶ θεωρητικὸς νοῦς δηλονότι. ὁ διὰ πρακτικῆς τὰ πάθη μετὰ Θεοῦ νικῶν, καὶ αὐτὸν διὰ θεωρίαν ὁρῶν, καθ' ὅσον αὐτῷ ἐφικτόν. τότε γὰρ ὁ νοῦς ὡς εἰς τράπεζαν δαψιλεστάτην κληθεὶς, ἐν τρυφῇ θείᾳ εὐφραινόμενος ψάλλει. ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξεναντίας τῶν θλιβόντων με δαιμόνων τε, καὶ παθῶν.

### Περὶ τοῦ πῶς δεῖ ἐνεργεῖν τὴν προσευχήν.

β. Ἐν πρωῒα σπεῖρον· φησὶν ὁ Σολομών· τὸ σπέρμα σου, τὸ τῆς εὐχῆς δηλονότι, καὶ ἐν ἑσπέρᾳ μὴ ἀφιέτω ἡ χείρ σου. ἵνα μὴ διαστάσιν καιροῦ τὸ τῆς εὐχῆς διηνεκῶς ἔχον, τὴν τῆς εἰσακούσεως ὥραν λαχὸν ἀστοχήσῃ. ὅτι οὐ γινώσκεις φησί· ποῖον στοιχήσει, τοῦτο, ἢ ἐκεῖνο. καὶ ἀπὸ μὲν πρωῒας καθεζόμενος ἐν σπιθαμιαίᾳ καθέδρᾳ, ἄγξον τὸν νοῦν ἐκ τοῦ ἡγεμονικοῦ ἐν καρδίᾳ, καὶ κράτει αὐτὸν ἐν αὐτῇ. κύπτων δὲ ἐμπόνως, καὶ τὰ στέρνα, ὤμους τε καὶ τὸν τράχηλον σφοδρῶς περιαλγῶν, ἐπιμόνως κρᾶζε νοερῶς, ἢ ψυχικῶς τὸ, Κύριε Ἰησοῦ Χριστὲ ἐλέησόν με. εἶτα διὰ τὸ στενὸν καὶ ἐπίπονον, ἴσως, καὶ ἀηδῶς, διὰ τὸ συνεχὲς ἔχων. (ὅπερ οὐκ ἔστι διὰ τὸ ἓν βρῶμα τοῦ τριωνύμου συνεχῶς ἐσθιόμενον, οἱ γὰρ ἐσθίοντές με φησὶν ἔτι πεινάσουσι.) μεταλλάττων τὸν νοῦν εἰς τὸ ἕτερον ἥμισυ, λέγε. Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με. καὶ πολλάκις λέγων τὸ ἥμισυ, συνεχῶς οὐκ ὀφείλεις ἐκ ῥαθυμίας μεταλλάττειν αὐτά. οὐ ῥιζοῦνται γὰρ τὰ φυτὰ συνεχῶς μεταφυτευόμενα. κράτει δὲ καὶ τὸν ἀνασασμὸν τοῦ πνεύμονος, ἵνα μὴ ἀδεῶς πνῇς. ἡ γὰρ αὔρα τῶν πνευμάτων ἀπὸ

καρ-

Athos Library Αγιορειτική Βιβλιοθήκη

καρδίας ἀναδιδομένη, σκοτίζει τὸν νοῦν καὶ ῥιπίζει τὴν διάνοιαν ἐκεῖθεν αὐτὸν ἀπείργων. καὶ ἢ αἰχμάλωτον τῇ λήθῃ παραδίδωσιν, ἢ ἄλλα ἀντ' ἄλλων μελετᾷν αὐτὸν παρασκευάζει, ἀναισθήτως εἰς ἃ μὴ δεῖ διελκόμενον. ἐὰν δὲ ἴδῃς τὰς ἀκαθαρσίας τῶν πονηρῶν πνευμάτων, ἤτοι λογισμῶν ἀναδιδομένας, ἢ μεταμορφουμένας ἐν τῷ νοΐ σου, μὴ θαμβηθῇς. κἂν ἀγαθὰ νοήματα πραγμάτων ἀναφαίνωνταί σοι, μὴ προσχῇς αὐτοῖς, ἀλλὰ κρατῶν τὴν ἐκπνοήν, ὡς δυνατόν, καὶ τὸν νοῦν ἐν καρδίᾳ συγκλείων, καὶ τὴν ἐπίκλησιν τοῦ Κυρίου Ἰησοῦ συνεχῶς καὶ ἐπιμόνως ἐνεργῶν, ταχέως κατακαίεις καὶ συστέλλεις αὐτά, μαστίζων αὐτοὺς ἀοράτως διὰ τοῦ θείου ὀνόματος. φησὶ γὰρ ὁ τῆς Κλίμακος, Ἰησοῦ ὀνόματι, μάστιζε πολεμίους. οὐδὲν γὰρ ἰσχυρότερον ὅπλον ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς.

## Περὶ τῆς ἀναπνοῆς.

γʹ. Ὅτι δὲ ὀφείλεις κρατεῖν τὴν ἐκπνοήν, μάρτυς Ἡσαΐας ὁ ἀναχωρητὴς περὶ τούτου λέγων, καὶ ἄλλοι πολλοί. ὁ μέν, κράτει τὸν ἀκράτητον· ὠθούμενον δηλονότι, καὶ διασκεδαζόμενον ὑπὸ τῆς ἐναντίας δυνάμεως, τῆς δι' ἀμέλειαν πάλιν μετὰ τὸ Βάπτισμα ἐπαναστραφείσης, μετὰ καὶ ἄλλων πονηροτέρων πνευμάτων ἐν τῇ ῥαθύμῳ ψυχῇ, ὥς φησιν ὁ Κύριος, καὶ τὰ ἔσχατα ποιησάσης τῶν προτέρων χείρονα. ὁ δέ, ὅτι ὀφείλει ὁ Μοναχὸς ἔχειν τὴν τοῦ Θεοῦ μνήμην, ἀντὶ ἀναπνοῆς. ἄλλος δέ, τὴν τοῦ Θεοῦ ἀγάπην, προλαμβάνουσαν αὐτοῦ τὴν ἐκπνοήν. καὶ ὁ Νέος Θεολόγος, ἄγχον καὶ τὴν τῆς ῥινὸς ὁλκήν, ἵνα μὴ ἀδεῶς πνέῃς. καὶ ὁ τῆς Κλίμακος. Ἰησοῦ μνήμη ἑνωθήτω τῇ πνοῇ σου, καὶ τότε γνώσῃ ἡσυχίας ὠφέλειαν. καὶ ὁ Ἀπόστολος· οὐκ αὐτός, ἀλλ' ὁ Χριστὸς ἐν αὐτῷ ἔζη, ἐνεργῶν καὶ τὴν θείαν ζωὴν ἐμπνεόμενος. καὶ ὁ Κύριος, τὸ πνεῦμα ὅπου θέλει πνεῖ· φησί, τὸ παράδειγμα λαβὼν ἐκ τῆς πνεύσεως τοῦ αἰσθητοῦ ἀνέμου. ἐπειδὴ καθαροὶ γεγονότες τὸν ἀρραβῶνα τοῦ πνεύματος, καὶ τὸν ἔμφυτον λόγον ὡς σπόρον, κατὰ τὸν Ἀδελφόθεον Ἰάκωβον ἐδεξάμεθα, φυτευθέντα, καὶ οἱονεὶ συμπαγέντα ἐν μετοχῇ ἀμεθέκτῳ, καὶ ἀμιγῶς θεουργοῦντα ἡμᾶς ἀμειώτως τὸν ὑπερπλήρη δι' ἀγαθότητα, τῶν ἐντολῶν δὲ ὡς φυλακτικῶν τῆς χάριτος, ἀμελήσαντες, πεπτώκαμεν πάλιν εἰς τὰ πάθη δι' ἀμέλειαν. καὶ ἀντὶ ἀναπνοῆς Πνεύματος Ἁγίου, πνευμάτων πονηρῶν πνεύσεως ἐπληρώθημεν. καὶ δῆλον ἡ χάσμη καὶ ὁ τανυσμὸς ἐκ τούτων γίνεται, ὡς λέγουσιν οἱ πατέρες. ὁ γὰρ κτησάμενος τὸ πνεῦμα, καὶ ὑπ' αὐτοῦ καθαρθείς, ἐξ αὐτοῦ θερμαίνεται καὶ ἐμπνεῖται τὴν θείαν ζωήν, καὶ λαλεῖ, καὶ νοεῖ, καὶ κινεῖται, κατὰ τὴν τοῦ Κυρίου φωνήν· ὅτι οὐχ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ Πατρός μου τὸ λαλοῦν, φησίν, ἐν ὑμῖν. ὁμοίως πάλιν ὁ τὸ ἐναντίον ἔχων, καὶ ὑπ' αὐτοῦ κυριευθείς, τἀναντία πράττει καὶ λέγει.

## Περὶ τοῦ πῶς δεῖ ψάλλειν.

δʹ. Ἀποκαμών· φησὶν ὁ τῆς Κλίμακος, ἀναστὰς προσεύξεται. καὶ πάλιν καθεσθεὶς, τῆς προτέρας ἐργασίας ἀνδρείως ἕξεται. εἰ γὰρ καὶ περὶ τοῦ νοὸς εἴρηκεν, ὅτε φθάσει τὴν τῆς καρδίας τήρησιν, τί δὲ ὀφείλει ποιεῖν, ἀλλ' οὖν οὐκ ἀπεικὸς καὶ περὶ τῆς ψαλμῳδίας εἰπεῖν αὐτό. λέγεται γὰρ ὅτι ἠρωτήθη περὶ τῆς ψαλμῳδίας ὁ Μέγας Βαρσανούφιος, τὸ πῶς δεῖ ψάλλειν, καὶ ἀπεκρίθη ὁ γέρων· αἱ ὧραι, καὶ αἱ ᾠδαί, Ἐκκλησιαστικαί εἰσι παραδόσεις, καὶ καλῶς διὰ τὴν συμφωνίαν ἐδόθησαν. οἱ δὲ σκητιῶται οὔτε



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὥρας ψάλλουσιν, οὔτε ᾠδὰς ἔχουσιν· ἀλλ' ἐργόχειρον, καὶ κατὰ μόνας μελέτην, καὶ κατ' ὀλίγον εὐχήν. στήκων δὲ εἰς εὐχήν, ὀφείλεις λέγειν τὸ Τρισάγιον, καὶ τὸ Πάτερ ἡμῶν. παρακαλεῖν δὲ καὶ τὸν Θεὸν, τοῦ παλαιοῦ ἀνθρώπου ῥυσθῆναι, καὶ μὴ βραδύνειν εἰς αὐτήν, ὅλην γὰρ τὴν ἡμέραν ὁ νοῦς σου εἰς τὴν εὐχήν ἐστιν. καὶ τοῦτο ἐδήλωσεν ὁ γέρων, ὅτι ἡ κατὰ μόνας μελέτη, αὕτη ἐστὶν ἡ καρδιακὴ εὐχή. ἡ δὲ κατ' ὀλίγον εὐχὴ, ἡ στάσις τῆς ψαλμῳδίας. λέγει δὲ σαφῶς καὶ ὁ μέγας Ἰωάννης ὁ τῆς Κλίμακος. ἔργον ἡσυχίας, ἀμεριμνία ἐν πᾶσι· προσευχὴ ἄοκνος. αὕτη ἐστὶν ἡ στάσις, καὶ τρίτον ἐργασία καρδίας ἄσυλος. αὕτη ἐστὶν ἡ καθέδρα τῆς προσευχῆς, εἴτ' οὖν ἡσυχίας.

### Περὶ διαφορᾶς τῶν ψαλλόντων.

ε'. Τῆς ἡ διαφορά, ὅτι οἱ μὲν πολλὰ ψάλλειν διδάσκουσιν, οἱ δὲ ὀλίγον, ἕτεροι δὲ οὐδ' ὅλως, ἀλλὰ μόνην τὴν εὐχὴν, καὶ κόπον, ἐργόχειρον τυχὸν, ἢ μετανοίας, ἢ ἄλλην τινὰ ἐργασίαν ἐπίπονον; ἔστι δὲ ἡ λύσις τῶν τοιούτων αὕτη. ὅσοι ἀπὸ πρακτικῆς διὰ πολλῶν κόπων, καὶ χρόνων εὗρον τὴν χάριν, τοῦτο ὡς μαθόντες, οὕτως ἑτέροις διδάσκουσιν. ἀπειθοῦσι δὲ μὴ παραδεχόμενοι τοὺς ἐπιστημονικῶς· ἐλέει Θεοῦ· ἐν συντόμῳ διὰ θερμῆς πίστεως, ὥς φησιν ὁ Ἅγιος Ἰσαὰκ εἰς αὐτὸ φθάσασι. διὸ καὶ μέμφονται τοὺς τοιούτους ὑπὸ ἀγνωσίας καὶ οἰήσεως κλεπτόμενοι. καὶ ἑτέροις διαβεβαιοῦνται, ὅτι οὐκ ἔστιν ἄλλως πλάνη ἐστὶ, καὶ οὐ χάριτος ἐνέργεια. καὶ οὐκ οἴδασιν, ὅτι κοῦφον ἐν ὀφθαλμοῖς Κυρίου, κατὰ τὴν γραφὴν, ἐξάπινα πλουτίσαι πένητα. καὶ τὸ, ἀρχὴ σοφίας, κτῆσαι σοφίαν, τὴν χάριν φησὶν ἡ παροιμία. ἐπισκώπτει δὲ καὶ ὁ Ἀπόστολος τοὺς τότε μαθητὰς ἀγνοοῦντας τὴν χάριν, λέγων. οὐκ οἴδατε ὅτι Ἰησοῦς Χριστὸς οἰκεῖ ἐν ἡμῖν; εἰ μήτι ἄρα ἀδόκιμοί ἐστε. τουτέστι διὰ τὴν ἀμέλειαν ὑμῶν ἀπρόκοποι. ὅθεν καὶ τὰ ἐξαίσια ἔν τισι τῆς προσευχῆς ἰδιώματα ὑπὸ τοῦ πνεύματος ἐνεργούμενα ἰδιοτρόπως, ἐξ ἀπιστίας καὶ ὑψηλοφροσύνης οὐ παραδέχονται.

### Ἀντίῤῥησις αὐτοῦ.

Εἰπέ μοι· ὦ οὗτος· ἐὰν νηστεύῃ τίς, ϛ'.
ἐγκρατεύηται, ἀγρυπνῇ, ἵσταται, μετανοίας ποιῇ, πενθῇ, ἀκτημονῇ, οὐκ ἔστιν αὕτη πρᾶξις; πῶς οὖν λέγεις χωρὶς πρακτικῆς, τὴν ψαλμῳδίαν προβαλλόμενος μόνον, προσευχὴν κρατῆσαι ἀδύνατον; οὐχὶ ταῦτα πράξεις εἰσίν; Λύσις. Ἐάν τις τῷ σώματι προσεύχηται, καὶ ὁ νοῦς ῥέμβεται τί ὠφέλησεν; εἷς οἰκοδομῶν, καὶ εἷς καταλύων, οὐδὲν, ἀλλ' ἢ κόπους. ἀλλ' ὥσπερ τῷ σώματι ἐργάζεται, οὕτως ὀφείλει καὶ τῷ νοΐ. ἵνα μὴ εὑρεθῇ τῷ μὲν σώματι δίκαιος, τῇ δὲ καρδίᾳ πάσης ἀκηδίας, καὶ ἀκαθαρσίας πεπληρωμένος. τοῦτο γὰρ καὶ ὁ Ἀπόστολος διαβεβαιοῖ, λέγων. ἐὰν προσεύχωμαι γλώσσῃ, τουτέστι σώματι, τὸ πνεῦμά μου προσεύχεται, ἤτοι ἡ φωνή μου· ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι. προσεύχομαι τῷ σώματι, προσεύξομαι καὶ τῷ νοΐ. καὶ, θέλω εἰπεῖν πέντε λόγους, καὶ τὰ ἑξῆς. μάρτυς δὲ, ὅτι περὶ τούτου λέγει, ὁ τῆς Κλίμακος· φησὶν ἐν τῷ περὶ προσευχῆς λόγῳ. ὁ μὲν μέγας τῆς μεγάλης καὶ τελείας προσευχῆς ἐργάτης ταῦτά φησι· θέλω εἰπεῖν πέντε λόγους διὰ τοῦ νοός μου, καὶ τὰ ἑξῆς. εἰσὶ δὲ ἐργασίαι πολλαὶ, ἀλλὰ μερικαί εἰσι. μεγάλη δὲ καὶ περιεκτικὴ, ὡς ἀρετῶν πηγὴ, κατὰ τὸν τῆς Κλίμακος, ἡ καρδιακὴ προσευχή ἐστι. δι' ἧς πᾶν ἀγαθὸν εὑρίσκεται. οὐκ ἔστι· φησὶν ὁ Ἅγιος



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Μάξιμος· ἐννοίας θανάτου φοβερώτερον· οὐδὲ μνήμης Θεοῦ μεγαλοπρεπέστερον· τὸ ὑπερέχον τοῦ ἔργου παραδηλῶν. τινὲς δὲ οὐδὲ εἰ ἔστι χάρις ἐν τῷ νῦν καιρῷ θέλουσιν ἀκοῦσαι, ἐκ πολλῆς ἀναισθησίας καὶ ἀγνωσίας ἐσκοτισμένοι ὄντες, καὶ ὀλιγόπιστοι.

ζ. Οἱ δὲ ὀλίγον ψάλλοντες, καλῶς οἶμαι ποιοῦσι. τὴν συμμετρίαν τετιμηκότες. πᾶν γὰρ μέτρον ἄριστον κατὰ τοὺς σοφούς. ἵνα μὴ τὴν δύναμιν τῆς ψυχῆς ὅλην ἐν τῷ πρακτικῷ κενοῦντες, ὁ νοῦς ὀλίγωρος ἐν τῇ προσευχῇ εὑρισκόμενος, ἀτονῇ πρὸς αὐτήν. ἀλλὰ μερικῶς ψάλλοντες, τὸ πλεῖστον ἐν τῇ προσευχῇ ἐκτείνονται. ἴσως δὲ ἔστιν ὅτε τῇ νοερᾷ καὶ συνεχεῖ βοῇ καὶ τῇ ἐμμόνῳ πήξει ὁ νοῦς ἀθυμῶν, μικρᾶς ἀναπαύσεως μεταλαμβάνει ἐν τῷ ἀπολῦσαι αὐτὸν εἰς τὸ πλάτος τῆς ψαλμῳδίας, ἀπὸ τοῦ ἀπεστενωμένου τῆς ἡσυχίας. αὕτη ἡ τάξις ἀρίστη, καὶ διδαχὴ σοφωτάτων ἀνδρῶν.

η. Οἱ δὲ μηδόλως ψάλλοντες, καλῶς ποιοῦσιν, ἐὰν εἰσὶν ἐν προκοπῇ. οὗτοι γὰρ οὐ χρήζουσι λέγειν ψαλμούς, ἀλλὰ σιωπήν, καὶ ἀδιάλειπτον προσευχήν, καὶ θεωρίαν ἐὰν ἔφθασαν εἰς φωτισμόν. μετὰ τοῦ Θεοῦ γὰρ ἡνωμένοι εἰσί, καὶ οὐ χρείαν ἔχουσιν ἀποσπάσαι τὸν νοῦν αὐτῶν ἀπ' αὐτοῦ, καὶ βαλεῖν αὐτὸν εἰς σύγχυσιν. πτῶμα μέν, φησὶν ὁ τῆς Κλίμακος, ὑπηκόῳ, τὸ οἰκεῖον θέλημα. ἡσυχίᾳ δὲ προσευχῆς διάστασις. μοιχεύει γὰρ κατὰ τοιοῦτον ὁ νοῦς ὅταν ἀποστῇ τῆς τοῦ Θεοῦ μνήμης, ὡς ἀπὸ νυμφίου. καὶ ἐν ἐλαχίστοις πράγμασιν ἐρωτικῶς ἔχεται. τὸ διδάξαι δὲ καὶ ἑτέροις τὴν αὐτὴν τάξιν, οὐκ ἐν πᾶσιν ἐνδέχεται. τοῖς μὲν ἰδιώταις ὑπηκόοις οὖσι καὶ ἀγραμμάτοις, ναί· διότι ἡ ὑπακοὴ ἐκ πάσης ἀρετῆς μετέχει, διὰ τῆς ταπεινώσεως. ἀνυποτάκτοις δὲ οὐ δίδοται, ἵνα μὴ πλανηθῶσιν ἀλόγως, κἂν ἰδιῶται, κἂν γνωστικοὶ ὦσι, διότι ὁ αὐτόστοιχος οὐ δύναται ἐκφυγεῖν τὴν οἴησιν. δι' ἧς ἡ πλάνη ἐπακολουθεῖν πέφυκεν. ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ. τινὲς δὲ μὴ εἰδότες τὴν μέλλουσαν βλάβην, πρὸς τὸ συνηθίσαι φασὶ καὶ ἀγαπῆσαι τὸν νοῦν τὴν τοῦ Θεοῦ μνήμην, τοῖς τυχοῦσι ταύτην μόνην ἐνεργεῖν διδάσκουσιν. ὅπερ οὐκ ἐνδέχεται, καὶ μάλιστα ἰδιορρύθμοις οὖσι. ἔτι γὰρ τοῦ νοὸς αὐτῶν ἀκαθάρτου ὄντος δι' ἀμέλειαν, καὶ ὑψηλοφροσύνην, διὰ δακρύων μὴ προκαθαρθέντος, εἴδωλα μᾶλλον αἰσχρὰ λογισμῶν, καὶ οὐ προσευχὴν ἐνοπτρίζονται, τῶν ἐν τῇ καρδίᾳ πνευμάτων ἀκαθάρτων, ὑπὸ τοῦ φοβεροῦ ὀνόματος ταραχθέντων, καὶ ὡς λέων βρυχόντων τὸν μαστίζοντα. ἐὰν γὰρ ἀκούσῃ, ἢ διδαχθῇ ὁ ἰδιόρρυθμος περὶ τῆς ἐργασίας ταύτης, καὶ βούλεται κρατῆσαι αὐτήν, ἓν ἐκ τῶν δύω μέλλει παθεῖν. εἰ μὲν βιάζεται, πλανᾶται, καὶ ἀνίατος μένει. εἰ δ' ἀμελεῖ, ἀπρόκοπος ἐν ὅλῃ τῇ ζωῇ αὐτοῦ καθίσταται.

θ. Ἐρῶ δὲ κἀγώ, ὡς ἀπὸ πείρας μικρὸν ἐγνωκώς. ὅτε καθίσῃς ἐν ἡμέρᾳ, ἢ ἐν νυκτὶ ἡσυχάζων, συχνῶς δεόμενος τοῦ Θεοῦ, χωρὶς λογισμῶν ἐν ταπεινώσει, καὶ ἀτονήσει μὲν ὁ νοῦς κράζων, ἀλγήσει δὲ τὸ σῶμα, καὶ ἡ καρδία τῇ σφοδρᾷ πήξει τῆς συχνῆς ἐπικλήσεως τοῦ Ἰησοῦ, μηκέτι θερμαινόμενος, ἢ εὐφραινόμενος, ἐξ ὧν ἡ προθυμία, καὶ ἡ ὑπομονὴ τῷ ἀγωνιστῇ γεννᾶται, τότε ἐγερθεὶς στῆθι, καὶ ψάλλε κατὰ μόνας, ἢ μετὰ τοῦ συνόντος σοι μαθητοῦ, ἢ μελέτῃ τινὸς ῥητοῦ, ἢ μνήμῃ θανάτου, ἢ ἐνεργείᾳ χειρῶν, καὶ τῶν λοιπῶν ἀσχολούμενος, ἢ τῇ ἀναγνώσει προσέχων ἱστάμενος μᾶλλον, ἵνα κόπον ἐμποιῇς τῷ σώματι. καὶ ὅταν μὲν ἵστασαι κατὰ μόνας ψάλλων, λέγε τὸ Τρισάγιον, καὶ εἶθ' οὕτω τὴν προσευχὴν ψυχικῶς, ἢ νοερῶς, προσέχοντος τοῦ νοῦ τῇ καρδίᾳ. ἐὰν δὲ ἐπίκειται ἀκηδία, λέγε καὶ ψαλμοὺς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δύω, ἢ τρεῖς, καὶ ξοπάρια κατανυκτικὰ διὰ μέλους. ὅτι οὐ μελῳδήσουσιν οἱ πιστοί, φησὶν ὁ τῆς Κλίμακος. ἀρκεῖ γὰρ αὐτοῖς εἰς εὐφροσύνην, ὁ τῆς καρδίας πόνος ὑπὲρ εὐσεβείας γινόμενος, καθὼς φησὶν ὁ Ἅγιος Μάρκος, καὶ ἡ θέρμη τοῦ πνεύματος πρὸς χαρὰν καὶ ἀγαλλίασιν αὐτοῖς διδομένη. λέγε δὲ καὶ ψαλμόν, καὶ τὴν προσευχὴν νοερῶς, ἢ ψυχικῶς, ἀρεμβάστως, καὶ τό, Ἀλληλούια. αὕτη γὰρ ἡ τάξις τῶν Ἁγίων Πατέρων, Βαρσανουφίου, καὶ Διαδόχου, καὶ τῶν λοιπῶν. καὶ καθὼς φησὶν ὁ θεῖος Βασίλειος, δεῖ τοὺς ψαλμοὺς καθ' ἡμέραν ἐναλλάττειν, διὰ τὸ ἐρεθίζειν εἰς προθυμίαν, καὶ ἵνα μή, φησίν, ἀηδῶς ὁ νοῦς ἔχῃ πάντοτε τὰ αὐτὰ ψάλλων, ἀλλὰ τὴν ἐλευθερίαν αὐτοῦ χρὴ παραχωρεῖν, καὶ ἔτι μᾶλλον εἰς προθυμίαν ἔρρωται, ἐὰν δὲ μετὰ μαθητοῦ πιστοῦ ἵστασαι ψάλλων, ἐκεῖνος μέν, τοὺς ψαλμοὺς λεγέτω. σὺ δὲ τῇ καρδίᾳ κρυπτῶς προσέχων καὶ προσευχόμενος, τήρει σαυτόν. πάντα δὲ τὰ νοήματα εἴτε αἰσθητά, εἴτε νοητά, τὰ ἀπὸ καρδίας ἀναδιδόμενα καταφρόνει, τῆς προσευχῆς συνεργούσης. ἡσυχία γάρ ἐστιν, ἀπόθεσις νοημάτων τῶν οὐκ ἐκ τοῦ πνεύματος θειοτέρων, ἕως καιροῦ, ἵνα μὴ προσέχων τούτοις ὡς καλοῖς, τὸ μεῖζον ἀπολέσῃς.

## Περὶ πλάνης.

ι. Πρόσεχε οὖν ἀκριβῶς· Θεοῦ ἐραστά· ἐν γνώσει. ἐπὰν ἐργαζόμενος τὸ ἔργον, ἴδῃς φῶς, ἢ πῦρ ἔξωθεν ἢ ἔσωθεν, ἢ σχῆμα δῆθεν Χριστοῦ, ἢ Ἀγγέλου, ἢ ἑτέρου τινός, μὴ παραδέξῃ αὐτό, ἵνα μὴ βλάβην ὑποστῇς. μηδὲ σὺ ἀφ' ἑαυτοῦ εἰκονικῶς προσέχων, ἐάσῃς τὸν νοῦν ἐκτυποῦν τοιαῦτα. πάντα γὰρ ταῦτα ἔξωθεν ἀκαίρως μετασχηματιζόμενα, πρὸς τὸ πλανῆσαι τὴν ψυχὴν γίνονται. ἡ γὰρ ἀρχὴ τῆς προσευχῆς ἡ ἀληθινή, ἡ καρδιακὴ θέρμη ἐστίν, ἡ φλογίζουσα τὰ πάθη, καὶ ἱλαρότητα, ἢ χαρὰν τῇ ψυχῇ ἐμποιοῦσα ἀδιστάκτῳ πόθῳ, καὶ ἀνενδοιάστῳ πληροφορίᾳ τὴν καρδίαν βεβαιοῦσα. πᾶν γὰρ τὸ ἐρχόμενον εἰς τὴν ψυχήν, φασὶν οἱ πατέρες, κἂν αἰσθητόν, κἂν νοερόν, καὶ διστάζει ἐν τούτῳ ἡ καρδία, μὴ παραδεχομένη αὐτό, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ἀλλ' ἐκ τοῦ ἐναντίου ἐπέμφθη. κἂν ἴδῃς τὸν νοῦν ἔξωθεν ἢ ἄνωθεν ἑλκόμενον ὑπό τινος ἀοράτου δυνάμεως, μὴ πιστεύσῃς αὐτῷ μηδὲ ἀφῇς αὐτὸν ἕλκεσθαι, ἀλλ' ἄγχον εὐθὺς αὐτὸν εἰς τὸ ἔργον αὐτοῦ. τὰ τοῦ Θεοῦ, φησὶν ὁ Ἅγιος Ἰσαάκ, ἀφ' ἑαυτῶν ἔρχονται, σοῦ τὸν καιρὸν μὴ εἰδότος. εἰ γὰρ καὶ ὁ ἐχθρὸς ἔνδον ὁ φυσικὸς τῆς ὀσφύος μετασχηματίζει τὰ πνευματικά, ὡς βούλεται, φανταστικῶς ἄλλα ἀντ' ἄλλων, καὶ ἀντὶ μὲν θέρμης, τὴν αὐτοῦ ἀνώμαλον καῦσιν ἐπάγων, ὡς βαρεῖσθαι τότε τὴν ψυχὴν ἐν τοιαύτῃ ἀπάτῃ. ἀντὶ δὲ εὐφροσύνης χαρὰν ἄλογον καὶ ἡδύτητα κάθυγρον προσάγων, οἴησιν ἐκ τούτων, καὶ τῦφον ὁρᾶσθαι τικτόμενον, λανθάνειν ἑαυτὸν τοῖς ἀπείροις, καὶ ὡς χάριν ἐνεργοῦσαν τὴν αὐτοῦ πλάνην ἡγεῖσθαι βιάζοιτο. ἀλλ' οὖν ὁ χρόνος, καὶ ἡ πεῖρα, καὶ ἡ αἴσθησις φανερὸν ποιεῖν αὐτὸν πέφυκε, τοῖς μὴ σφόδρα ἀγνοοῦσι τὴν αὐτοῦ πανουργίαν. φάρυγξ γάρ, φησὶν ἡ γραφή, βρώματα διακρίνει. οὕτως ἡ γεῦσις * πνευματικῶς, δῆλα πάντα ὁποῖά εἰσι, δείκνυσιν ἀπλανῶς. * ἤ. πνευματική

## Περὶ ἀναγνώσεως.

Ἔστω σοι ἐργάτῃ ὄντι, φησὶν ὁ τῆς Κλίμακος, τὰ ἀναγινωσκόμενα πρακτικά. τούτων γὰρ ἡ ἐργασία, περιττὴν ποιεῖται τὴν τῶν λοιπῶν ἀνάγνωσιν. ἀνάγνωθι δὲ ἀεὶ τὰ περὶ ἡσυχίας καὶ προσευχῆς· οἷον εἰς τὴν Κλίμακα, εἰς ια.

τὸν Ἅγιον Ἰσαάκ, τὰ τοῦ Ἁγίου Μαξίμου, τὰ τοῦ Νέου Θεολόγου, τὰ τοῦ μαθητοῦ αὐτοῦ Στηθάτου, τὰ τοῦ Ἡσυχίου, τὰ τοῦ Φιλοθέου τοῦ Σιναΐτου, καὶ τῶν τοιούτων, ὅσα τοιαῦτα. τὰ δὲ λοιπὰ ἄφες ἕως καιροῦ, οὐχ ὡς ἀπόβλητα, ἀλλ᾽ ὡς μὴ συμβάλλοντά σοι τῷ σκοπῷ, τὸν νοῦν εἰς ἱστορίαν αὐτῶν μετακινοῦντα ἀπὸ τῆς προσευχῆς. ἔστω δὲ ἡ ἀνάγνωσις κατὰ μόνας, μὴ ἐν φωνῇ κόμπου μεγαλαύχου, μὴ ἐν σπουδῇ εὐγλωττίας τορευτῶς, ἢ καλλιεπείᾳ λόγου, ἢ ἐμμελοῦς ἡδονῆς, ἢ ἀπὼν ὡς παρὼν ἐμπαθῶς συλλεγομένης ἀναισθήτως πρὸς τινῶν ἀρέσκειαν, μηδὲ πάλιν ἀπλήστως. ὅτι πᾶν μέτρον ἄριστον, μηδὲ ταχέως, μὴ δὲ νωθρῶς καὶ ἠμελημένως, ἀλλὰ σεμνῶς, ἐπιεικῶς, εὐσταθῶς, συνετῶς, εὐρύθμως, νοερῶς τε, καὶ ψυχικῶς, ἢ καὶ λογικῶς. ἐν τούτοις γὰρ ἐνδυναμούμενος ὁ νοῦς, ἰσχὺν ἐν ἕξει λαμβάνει, εἰς τὸ προσεύχεσθαι κραταιῶς. ἐν δὲ τοῖς προειρημένοις ἐναντίοις τούτων, σκότωσίν τε, καὶ χαύνωσιν, καὶ ἔκστασιν κτᾶται. ὥστε ἀλγεῖν καὶ τὸ ἡγεμονικὸν ἐν τῷ ἐγκεφάλῳ, καὶ εἰς τὴν προσευχὴν ἀτονεῖν.

ιβʹ. Πρόσεχε δὲ καὶ τῇ προθέσει καθ᾽ ὥραν, ἐν ἀκριβεῖ ἐρεύνῃ, ποῦ ῥέπει, εἰ κατὰ Θεὸν δι᾽ αὐτὸ τὸ καλόν, ἕνεκα ψυχικῆς ὠφελείας κάθηται ἡσυχάζων, ἢ ψάλλων, ἢ ἀναγινώσκων, ἢ προσευχόμενος, ἢ τὴν οἱανοῦν ἀρετὴν ἐργαζόμενος, ἵνα μὴ συλᾶσαι ἀγνώστως· μήπως εὑρεθῇς τῷ μὲν σχήματι ἐργάτης, τῷ δὲ τρόπῳ καὶ τῇ διανοίᾳ ἀνθρώποις, καὶ οὐ Θεῷ ἀρέσκειν βουλόμενος. πολλὰ γὰρ τὰ ἔνεδρα τοῦ δολίου, καὶ σφόδρα κρυφίως βλέπει τὴν ῥοπὴν τῆς προθέσεως ὡς ἀγνοούμενος τοῖς πολλοῖς. καὶ ἀεὶ βούλεται συλᾶν τὸ ἔργον ἀγνώστως, ἵνα μὴ κατὰ Θεὸν γένηται τὸ γινόμενον. εἰ γὰρ καὶ ἀνενδότως πολεμεῖ, καὶ ἀναιδῶς προσέρχεται, ἀλλὰ σὺ βεβαίαν τὴν πρόθεσιν εἰς Θεὸν ἔχων, οὐ συλᾶσαι συχνῶς, κἂν ἀκουσίως ῥέμβεσθαι ὑπ᾽ ἐκείνου βιάζηται ἡ ῥοπὴ τοῦ θελήματος. καὶ ἴσως ἢ καὶ ἐξ ἀσθενείας ἡττᾶταί τις ἀκουσίως, ἀλλ᾽ ἑτοίμως συγχωρεῖται καὶ ἐπαινεῖται παρὰ τοῦ τὰς προθέσεις, καὶ τὰς καρδίας γινώσκοντος. τοῦτο τὸ πάθος τῆς κενοδοξίας λέγω, οὐκ ἐᾷ τὸν Μοναχὸν προκόψαι εἰς ἀρετήν· ἀλλὰ τοὺς κόπους ὑπομένει, καὶ ἐν γήρᾳ εὑρίσκεται ἄκαρπος. καὶ γὰρ καὶ τοῖς τρισὶν ἐπεμβαίνει ἀεὶ καὶ γυμνοῖ αὐτοὺς τῆς ἐργασίας τῶν ἀρετῶν. ἀρχαρίῳ λέγω, καὶ μέσῳ, καὶ τελείῳ.

ιγʹ. Τοῦτο δὲ μαθὼν λέγω, ὅτι χωρὶς τῶν ἀρετῶν τούτων, Μοναχὸς οὐ προκόπτει ποτέ. νηστείας, ἐγκρατείας, ἀγρυπνίας, ὑπομονῆς, ἀνδρείας, ἡσυχίας, προσευχῆς, σιωπῆς, πένθους, ταπεινώσεως. εἰσὶ γὰρ γεννητικαὶ ἀλλήλων, καὶ φυλακτικαί. ἀπὸ γὰρ νηστείας συνεχοῦς μαραινομένη ἡ ἐπιθυμία, τίκτει τὴν ἐγκράτειαν. ἡ ἐγκράτεια, τὴν ἀγρυπνίαν. ἡ ἀγρυπνία, τὴν ὑπομονήν. ἡ ὑπομονή, τὴν ἀνδρείαν. ἡ ἀνδρεία, τὴν ἡσυχίαν. ἡ ἡσυχία, τὴν προσευχήν. ἡ προσευχή, τὴν σιωπήν. ἡ σιωπή, τὸ πένθος. τὸ πένθος, τὴν ταπείνωσιν. ἡ ταπείνωσις, ἀντιστρόφως τὸ πένθος. καὶ καθεξῆς ἀνάπαλιν αἱ θυγατέρες τὰς μητέρας πως γεννῶσιν, ἀναλυτικῶς εὑρίσκεις. ταύτης οὖν τῆς ἀλληλογενεσιαργίας, μείζων ἐν ἀρεταῖς οὐκ ἔστι. τὰ γὰρ ἐναντία τούτων, πᾶσι πρόδηλα.

ιδʹ. Δεῖ δὲ καὶ τοὺς κόπους καὶ τοὺς πόνους τῆς ἐργασίας ἐνταῦθα τάξαι, καὶ πῶς δεῖ μετελθεῖν ἑκάστην ἐργασίαν, σαφῶς ἐκθέσθαι. ἵνα μὴ ἀπόνως τὶς ἐξ ἀκοῆς ὁδεύων, τοῦ καρποῦ ἀποτυχών, ἡμᾶς, ἢ τινὰς αἰτιάσηται, ὡς οὐκ ἔστι καθὼς εἰρήκαμεν. ὁ γὰρ πόνος τῆς καρδίας, καὶ ὁ τοῦ σώματος κόπος, οἶδεν ἔργον ἀληθείας ποιεῖν. ἐξ ὧν ἡ ἐνέρ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γεια τοῦ Ἁγίου Πνεύματος φανεροῦται, ἡ διὰ τοῦ βαπτίσματος διδομένη σοὶ, καὶ παντὶ πιστῷ. ἡ διὰ τῆς τῶν ἐντολῶν ἀμελείας τοῖς πάθεσι συγχωσθεῖσα, καὶ τὴν μετάνοιαν ἡμῶν ἀναμένουσα δι' ἄφατον ἔλεος. ἵνα μὴ εἰς τέλος διὰ τὴν ἀκαρπίαν ἡμῶν ἀκούσωμεν, ἄρατε τὸ τάλαντον ἀπ' αὐτοῦ. καὶ τὸ, ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ. καὶ εἰς κόλασιν ἀποπέμψῃ ἡμᾶς, αἰωνίως ἐν γεέννῃ ὀδυνωμένους. πᾶσα γὰρ ἐργασία σωματική τε καὶ πνευματικὴ μὴ ἔχουσα πόνον, ἢ κόπον, οὐδέποτε καρποφορεῖ τοῖς ταύτην μετερχομένοις. ὅτι βιάζεται ἡ βασιλεία τῶν οὐρανῶν, φησὶν ὁ Κύριος, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. βίαν εἰπὼν, τὴν τοῦ σώματος ἐν πᾶσιν ἐπίπονον αἴσθησιν. ἐπεὶ οἱ πολλοὶ μὲν ἴσως πολλοὺς ἐνιαυτοὺς ἀπόνως εἰργάσαντο, ἢ ἐργάζονται, καὶ διὰ τὸ μὴ ἐμπόνως ἐν ζεούσῃ προθυμίᾳ καρδίας τοὺς πόνους ποιεῖν, κενοὶ καθαρότητος, καὶ ἀμέτοχοι Πνεύματος Ἁγίου γεγόνασι, τὸ δριμὺ τῶν πόνων ἀπαναινάμενοι. οἱ γὰρ ἐν ἀμελείᾳ καὶ χαυνώσει ἐργαζόμενοι, κοπιῶσι μὲν ἴσως, ὡς δοκοῦσι, πολλά· οὐδέποτε δὲ καρπὸν τρυγῶσι διὰ τὸ ἄπονον, εἰς βάθος ἀνάλγητοι ὄντες. καὶ μάρτυς ὁ λέγων· κἂν πάσας τὰς πολιτείας ἡμῶν μεγάλας ἔχωμεν, τὴν δὲ καρδίαν ἐνώδυνον οὐ κεκτήμεθα, νόθοι αὗται, καὶ ἕωλοι καθεστήκασιν. ἴσως δ' ὅτε καὶ ἀπόνως ὁδεύοντες, ὑπὸ ἀκηδίας εἰς πειρασμοὺς συνωθούμενοι τοὺς ἀνωφελεῖς, σκοτιζόμεθα. δοκοῦντες ἐν τούτοις αὔξησιν δρᾶν, ὅπερ οὐκ ἔστιν. ἀλλὰ καιρίαις ἀλύτοις ἀοράτως δεσμούμενοι, ἀκίνητοι, καὶ ἀνενέργητοι ἐν παντὶ ἔργῳ γινόμεθα, τῆς χαυνότητος ἐν ἡμῖν πληθυνθείσης, καὶ μάλιστα ἀρχαρίοις οὖσι. τοῖς γὰρ τελείοις, τὰ πάντα ἐν μέτρῳ ὠφέλιμα. τοῦτο μαρτυρεῖ καὶ ὁ Μέγας Ἐφραὶμ λέγων. πόνον πόνει ἐμπόνως, ἵνα διαδράσῃς τῶν ματαίων πόνων τοὺς πόνους. ἐὰν μὴ, κατὰ τὸν Προφήτην, ἡ ὀσφὺς ἡμῶν ἐκλείπῃ ἀπὸ ἐκλύσεως τοῦ τῆς νηστείας κόπου, καὶ ὠδῖνας συλληφθῶμεν ὡς τικτούσης ἔμβρυον τῇ ἀλγεινῇ τῆς καρδίας πήξει, οὐ μὴ κυήσωμεν πνεῦμα σωτηρίας ἐπὶ γῆς τῆς καρδίας, ὥσπερ ἤκουσας. ἀλλ' ἐν τοῖς χρόνοις μόνον, καὶ τῇ ἀνονήτῳ ἐρήμῳ, καὶ τῇ χαυνώσει, καὶ ἡσυχίᾳ οἰόμενοι εἶναί τινες, καυχώμεθα. ἐν δὲ τῷ καιρῷ τῆς ἐξόδου, ἀναμφιβόλως ταύτης καρπὸν πάντες ἐπιγνωσόμεθα.

Οὐκ ἔστι δὲ δι' ἑαυτοῦ τίς τὴν τῶν ιε'.
ἀρετῶν ἐπιστήμην μαθεῖν, εἰ καί τινες ὡς διδασκάλῳ τῇ πείρᾳ ἐχρήσαντο. τὸ γὰρ ἀφ' ἑαυτοῦ, καὶ μὴ τῇ συμβουλῇ τῶν προωδευκότων ποιεῖν, οἴησιν ἔχει. μᾶλλον δὲ τίκτειν πέφυκεν. εἰ γὰρ ὁ Υἱὸς ἀφ' ἑαυτοῦ ποιεῖ οὐδὲν, ἀλλὰ καθὼς ἐδίδαξεν αὐτὸν ὁ Πατὴρ, οὕτω ποιεῖ. καὶ τὸ Πνεῦμα. οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ. τίς ἐστιν οὗτος ὁ εἰς τοσοῦτον ἀρετῆς ὕψος ἐληλακὼς, ὡς μὴ δεόμενος ἑτέρου τινὸς τοῦ μυσταγωγοῦντος αὐτόν; ἀπόνοιαν μᾶλλον, ἢ ἀρετὴν δοκῶν ἔχειν ἠπάτηται; διὸ πείθεσθαι δεῖ τοῖς εἰδόσι τοὺς πόνους τῆς πρακτικῆς ἀρετῆς, καὶ οὕτω μετέρχεσθαι. οἷον νηστείαν ἔκπονον, ἐγκράτειαν ἀνήδονον, ἀγρυπνίαν ἐπίμονον, γονυκλισίαν ἐπίμοχθον, στάσιν ἐπίπονον ἀκινήτως, προσευχὴν ἔμμονον, ταπείνωσιν ἀνόθευτον, συντριμμὸν, καὶ στεναγμὸν ἄπαυστον, σιωπὴν εὔλογον, καὶ ὡς ἐν ἅλατι ἠρτυμένην, καὶ ἐν πᾶσιν ὑπομονήν. οὐ γὰρ χρὴ πάντοτε ἐν ἀναπαύσει διάγειν, οὐδὲ ἐν μόνῳ τῷ καθίσματι πάντοτε πρὸ καιροῦ, ἢ γήρως, ἢ ἀσθενείας ἐγκαρτερεῖν. διότι τοὺς πόνους· φησὶν ἡ γραφὴ, τῶν ἀρετῶν σου φάγεσαι. καὶ βιαστῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. τὰς οὖν προειρημένας ἐργασίας ὁ καθ' ἡμέραν ἀνύων ἐμπόνως ἐπιτελεῖ, καὶ τὸν καρπὸν· σὺν Θεῷ· ἐν καιρῷ, τούτων δρέψεται.

ΤΟΥ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ

## Περὶ τοῦ πῶς δεῖ καθέζεσθαι τὸν ἡσυχάζοντα εἰς τὴν εὐχὴν, καὶ μὴ ταχέως ἀνίστασθαι.

ΠΟτὲ μὲν ἐπὶ σκάμνου, τὸ πλεῖστον διὰ τὸ ἐπίπονον. ποτὲ δὲ, καὶ ἐπὶ στρωμνῆς ὀλιγάκις, ἕως καιροῦ, διὰ τὴν ἄνεσιν. ἐν ὑπομονῇ δὲ ὀφείλει εἶναι τὸ κάθισμά σου, διὰ τὸν εἰπόντα, τῇ προσευχῇ προσκαρτεροῦντες. καὶ μὴ ταχέως ἀνίστασθαι ὀλιγωροῦντα διὰ τὸ ἐπίπονον ἄλγος, καὶ τὴν τοῦ νοὸς νοερὰν βοὴν, καὶ συνεχῆ πῆξιν· ἰδοὺ γὰρ, φησὶν ὁ Προφήτης, ὠδῖνες συνέλαβόν με, ὥσπερ τίκτουσαν. ἀλλὰ κύπτων κάτωθεν, καὶ τὸν νοῦν ἐν τῇ καρδίᾳ συνάγων, εἴπερ ἤνοικται, ἐπικαλοῦ τὸν Κύριον Ἰησοῦν εἰς βοήθειαν. πονῶν δὲ τοὺς ὤμους, καὶ τὴν κεφαλὴν πολλάκις ἀλγῶν, καρτέρει ἐπιπόνως, καὶ ἐρωτικῶς ἐν αὐτοῖς. ζητῶν ἐν καρδίᾳ τὸν Κύριον. βιαστῶν γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. τὴν σπουδὴν ἐν τούτοις καὶ τῶν τοιούτων πόνων ὁ Κύριος ὑπέδειξεν ἀληθῶς. ὑπομονὴ γὰρ καὶ καρτερία ἐν πᾶσι, γεννήτρια πόνων, καὶ σώματος, καὶ ψυχῆς.

### Περὶ τοῦ πῶς δεῖ λέγειν τὴν εὐχήν.

Οὕτως εἶπον οἱ πατέρες· ὁ μὲν, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με, τὸ ὅλον. ὁ δὲ, τὸ ἥμισυ. Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με. ὅπερ εὐκολώτερόν ἐστι διὰ τὴν τοῦ νοῦ ἀδυναμίαν. οὐδὲ γὰρ δύναται ἀφ᾽ ἑαυτοῦ μυστικῶς χωρὶς Πνεύματος, μόνος εἰπεῖν, Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ καθαρῶς, καὶ τελείως. ἀλλ᾽ ὡς παιδίον ψελλίζον ἔτι, πληρῶσαι ταύτην μετὰ ἄρθρων μὴ δυνάμενος. οὐκ ὀφείλει δὲ συχνῶς μεταλλάσσειν τὰς ἐπικλήσεις τῶν ὀνομάτων διὰ ῥαθυμίαν, ἀλλὰ βραδέως διὰ τὴν συνέχειαν. πάλιν. οἱ μὲν, διὰ στόματος· οἱ δὲ, διὰ τοῦ διδάσκουσι λέγειν αὐτήν. ἐγὼ δὲ, ἀμφότερα τίθημι. καὶ γὰρ ποτὲ μὲν ὁ νοῦς ἀδυνατεῖ λέγειν ἀκηδιῶν, ποτὲ δὲ τὸ στόμα. διὰ τοῦτο ἐν ἀμφοτέροις δεῖ προσεύχεσθαι, καὶ στόματι, καὶ νοΐ. πλὴν ἡσύχως, καὶ ἀταράχως δεῖ κράζειν, ἵνα μὴ τὴν αἴσθησιν, καὶ τὴν προσοχὴν τοῦ νοῦ ἡ φωνὴ συγχέουσα, ἐμποδίζοιτο· μέχρις ἂν ὁ νοῦς ἐθίσας ἐν τῷ ἔργῳ, προκόψοι. καὶ δύναμιν λάβοι παρὰ τοῦ Πνεύματος, εἰς τὸ ὁλικῶς, καὶ κραταιῶς εὔχεσθαι. τότε γὰρ οὐ χρήζει λαλεῖν διὰ στόματος, οὐδὲ γὰρ δύναται, ἀρκούμενος μόνον τῷ νοῒ ὁλόκληρον ποιεῖσθαι τὴν ἐργασίαν.

### Περὶ τοῦ πῶς δεῖ κρατεῖν τὸν νοῦν.

Σύνες, ὅτι οὐδεὶς δύναται ἀφ᾽ ἑαυτοῦ κρατῆσαι τὸν νοῦν, εἰμὴ κρατηθῇ παρὰ τοῦ Πνεύματος. ἀκράτητος γάρ ἐστιν, οὐ κατὰ φύσιν ὡς ἀεικίνητος, ἀλλ᾽ ἀπὸ τῆς ἀμελείας τὴν περιφορὰν οἰκειωσάμενος, ἀρχῆθεν εἰς τοῦτο ἐθίσας. διὰ γὰρ τῆς τῶν ἐντολῶν τοῦ ἀναγεννήσαντος ἡμᾶς παραβάσεως, ἐκ Θεοῦ ἐχωρίσθημεν, τὴν ἐν αἰσθήσει νοερὰν αὐτοῦ αἴσθησίν τε, καὶ ἕνωσιν ἀπολέσαντες. ἐκεῖθεν γὰρ ἐξολισθήσας ὁ νοῦς, καὶ τοῦ Θεοῦ χωρισθεὶς, πανταχοῦ ἄγεται ὡς αἰχμάλωτος. καὶ οὐ δυνατὸν ἄλλως στῆναι, εἰ μὴ Θεῷ ὑποταγῇ, καὶ στῇ παρ᾽ αὐτῷ, καὶ αὐτῷ ἑνω-

θῇ

θῇ μετ᾽ εὐφροσύνης, καὶ δέηται αὐτοῦ συνεχῶς καὶ ἐπιμόνως, καὶ τούτῳ ἐξομολογῆται καθ᾽ ἑκάστην νοερῶς ὅσα πταίομεν, ὃς καὶ συγχωρεῖ πάντα εὐθέως, τοῖς ἐν ταπεινώσει καὶ ἐν συντριβῇ αἰτοῦσι, καὶ ἀεὶ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ ἐπικαλουμένοις. ἐξομολογεῖσθε γάρ φησι τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. καὶ ἡ ἀναπνοὴ δὲ τοῦ ἀνασασμοῦ ἐν τῷ συσφίγγειν τὸ στόμα κρατεῖ τὸν νοῦν, ἀλλὰ μερικῶς, καὶ πάλιν διασκεδάζεται. ὅτε οὖν ἔλθῃ ἡ ἐνέργεια τῆς προσευχῆς, τότε κυρίως αὐτὴ κρατεῖ αὐτὸν παρ᾽ ἑαυτῇ, καὶ εὐφραίνει, καὶ τῆς αἰχμαλωσίας ἀπείργει. πλὴν ἔστιν ὅτε τοῦ νοὸς προσευχομένου, καὶ ἐν καρδίᾳ ἱσταμένου, καὶ ἡ διάνοια ῥέμβεται, ἄλλα μελετῶσα. αὕτη δὲ οὐδενὶ ὑποτάσσεται, εἰ μὴ τοῖς τελείοις ἐν Πνεύματι Ἁγίῳ, τοῖς τὸ ἀρέμβαστον φθάσασιν ἐν Χριστῷ Ἰησοῦ.

## Περὶ τοῦ πῶς δεῖ διώκειν τοὺς λογισμούς.

Οὐ διώκει τίς ποτε ἀρχάριος λογισμὸν, εἰ μὴ ὁ Θεὸς διώξῃ αὐτόν. τῶν δυνατῶν γάρ ἐστι, πολεμῆσαι καὶ διῶξαι αὐτούς. ἀλλὰ καὶ οὗτοι οὐκ ἀφ᾽ ἑαυτῶν διώκουσιν αὐτοὺς, ἀλλὰ μετὰ Θεοῦ κινοῦνται εἰς πόλεμον πρὸς αὐτοὺς, ὡς ἐνδεδυμένοι τὴν πανοπλίαν αὐτοῦ. σὺ δὲ ἐρχομένων τῶν λογισμῶν, ἐπικαλοῦ τὸν Κύριον Ἰησοῦν συχνῶς, καὶ ἐπιμόνως, καὶ φεύξονται. μὴ φέροντες γὰρ τὴν ἐκ τῆς προσευχῆς ἀναδιδομένην καρδιακὴν θέρμην, ὡς ἀπὸ πυρὸς καιόμενοι φεύγουσιν. Ἰησοῦ, φησὶν ὁ τῆς Κλίμακος, ὀνόματι, μάστιζε πολεμίους. διότι ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστὶ τὴν μοχθηρίαν. ὁ ταχὺς εἰς βοήθειαν Κύριος, ποιήσει τὴν ἐκδίκησιν εὐθέως τῶν ὁλοψύχως βοώντων πρὸς αὐτὸν, ἡμέρας, καὶ νυκτός. ὁ δὲ μὴ ἔχων ἐνέργειαν προσευχῆς, ἀλλοτρόπως τροποῦται αὐτοὺς, τὸν Μωσέα μιμούμενος. διεγερθέντος γὰρ, καὶ εἰς οὐρανὸν ἐκτείναντος τὰς χεῖρας, καὶ τὸ ὄμμα, φυγαδεύει αὐτοὺς ὁ Θεός. εἶτα πάλιν καθεσθεὶς, ἄρχεται τῆς προσευχῆς ἐπιμόνως. καὶ τούτῳ τῷ τρόπῳ χρᾶται, ὁ μήπω κεκτημένος δύναμιν προσευχῆς. ἀλλὰ καὶ ὁ ἔχων τὴν τῆς προσευχῆς ἐνέργειαν, ἐπὶ τῶν σωματικῶν παθῶν, ἀκηδίας φημὶ, καὶ πορνείας, τῶν σκληρῶν καὶ βαρυτέρων παθῶν, πολλάκις ἐγειρόμενος, ἐκτείνει τὰς χεῖρας εἰς βοήθειαν κατ᾽ αὐτῶν· πλὴν ὀλιγάκις, διὰ τὴν πλάνην τοῦτο ποιεῖ, καὶ πάλιν καθέζεται. μήπως φαντάσῃ τὸν νοῦν αὐτοῦ ὁ ἐχθρὸς ἄνωθεν, μόρφωσιν ἀληθείας δῆθεν δεικνύς. τὸ γὰρ ἔχειν τὸν νοῦν ἄνω, καὶ κάτω, καὶ ἐν καρδίᾳ, καὶ πανταχοῦ ἄπταιστον, μόνων ἴδιον ἐστὶ τῶν καθαρῶν, καὶ τελείων· ἀβλαβῆ διατηρῆσαι.

## Περὶ τοῦ πῶς δεῖ ψάλλειν.

Οἱ μὲν, ὀλιγάκις λέγουσιν, οἱ δὲ, πολλάκις, ἕτεροι δὲ οὐδ᾽ ὅλως. σὺ δὲ μήτε πολλάκις ψάλλε, σύγχυσις γάρ. μήτε οὐδ᾽ ὅλως, διὰ τὴν ἐπακολουθοῦσαν χαύνωσιν, καὶ ἀμέλειαν. ἀλλὰ τοὺς ὀλιγάκις ψάλλοντας μίμησαι. πᾶν γὰρ μέτρον, ἄριστον, κατὰ τοὺς ἀσόφους σοφούς. τὸ γὰρ πολλὰ ψάλλειν, τῶν πρακτικῶν ἐστι, διὰ τὴν ἀγνωσίαν καὶ τὸν κόπον. οὐ τῶν ἡσυχαστῶν, ἀρκουμένων ἐν Θεῷ μόνῳ προσεύχεσθαι ἐν καρδίᾳ, καὶ ἀπέχεσθαι νοημάτων. ἡσυχία γάρ ἐστιν, ἀπόθεσις νοημάτων αἰσθητῶν τε καὶ νοητῶν, κατὰ τὸν τῆς Κλίμακος. τὴν γὰρ δύναμιν αὐτοῦ πᾶσαν κενώσαντος ἐν τῇ πολλῇ ψαλμῳδίᾳ, ἀτονήσει ὁ νοῦς εἰς τὸ μὴ κραταιῶς, καὶ ἐπιμόνως προσεύχεσθαι. νύκτωρ μὲν, φησὶν, ὁ τῆς Κλίμακος, τὰ πολλὰ τῇ προσευχῇ δίδου,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὰ δὲ βραχέα, τῇ ψαλμῳδίᾳ· οὕτω καὶ σὺ ὀφείλεις ποιεῖν. ὅτε ἴδῃς ἐν τῷ καθίσματί σου ἐνεργοῦσαν τὴν προσευχὴν καὶ μὴ παυομένην κινεῖσθαι ἐν τῇ καρδίᾳ, μήποτε ἐφήσῃς αὐτὴν, καὶ ἀνίστασθαι ψάλλειν ἕως καιροῦ, ἐὰν μὴ οἰκονομικῶς καταλείψῃ σε. τὸν γὰρ Θεὸν καταλιπὼν ἔσωθεν, ἔξωθεν ἵστασαι προσλαλῶν, ἐκ τῶν ὑψηλῶν εἰς τὰ χαμαιπετῆ παρεκκλίνων. ἀλλὰ καὶ σύγχυσιν ποιεῖς, καὶ τὸν νοῦν ἐκταράττεις ἀπὸ τῆς γαλήνης αὐτοῦ. ἡσυχία γὰρ κατὰ τὸ ὄνομα αὐτῆς, καὶ τὴν πρᾶξιν κέκτηται, διὰ τὸ ἐν εἰρήνῃ καὶ γαλήνῃ ἔχειν αὐτήν. ὁ Θεὸς γὰρ εἰρήνη ἐστὶ, συγχύσεως καὶ κραυγῆς ἐπέκεινα. δεῖ γὰρ Ἀγγελικὸν εἶναι καὶ τὸν ὕμνον ἡμῶν κατὰ τὸ πολίτευμα, καὶ οὐ σαρκικόν. τὸ γὰρ μετὰ φωνῆς ἐν κραυγῇ ψάλλειν, συμβολικόν ἐστι νοερᾶς κραυγῆς, καὶ διὰ τὴν ῥαθυμίαν, καὶ ἀγροικίαν ἡμῶν δέδοται, διὰ τὸ ἐπανάγεσθαι πρὸς τ' ἀληθῆ. τοῖς γὰρ μὴ εἰδόσι προσευχὴν, ὅπερ ἐστὶν ἀρετῶν πηγὴ, κατὰ τὸν τῆς Κλίμακος Ἰωάννην, ἀρδεύουσα φυτὰ τὰς τῆς ψυχῆς δυνάμεις, πρέπει τὸ πολλὰ ψάλλειν, καὶ ἀμέτρως, καὶ ἀεὶ ἐν ποικιλίᾳ πολλῶν εἶναι, καὶ μηδέποτε παύεσθαι. ἕως ἂν ἀπὸ πολλῆς ἐπιπόνου πράξεως εἰς θεωρίαν προκόψωσι, προσευχὴν νοερὰν εὑρηκότες, ἐνεργοῦσαν ἐντὸς αὐτῶν. ἄλλη γάρ ἐστι τῆς ἡσυχίας ἡ πρᾶξις, καὶ ἑτέρα τοῦ κοινοβίου. ἕκαστος δὲ ἐν ᾧ ἐκλήθη προσμένων, σωθήσεται. διὸ δέδοικα γράφειν διὰ τοὺς ἀσθενεῖς, ὁρῶν σε μέσον τούτων ἀναστρεφόμενον. πᾶς γὰρ ὁ ἐξ ἀκοῆς, ἢ μαθήσεως ἐν προσευχῇ πάσχων, ἀπόλλυται, ὡς τὸν ὁδηγοῦντα μὴ κεκτημένος. ὁ δὲ γευσάμενος τῆς χάριτος, ὀφείλει συμμέτρως ψάλλειν κατὰ τοὺς Πατέρας, τὸ πλεῖστον ἀσχολούμενος εἰς τὴν προσευχήν. ῥαθυμῶν δὲ, ψάλλειν, ἢ ἀναγινώσκειν τὰ πρακτικὰ τῶν Πατέρων· οὐ γὰρ χρήζει ἡ ναῦς κώπας, τοῦ ἀνέμου τὸν φώσωνα ὑπεκτείναντος, ἄσιον αὐτῇ αὔραν τοῦ πνεύματος χορηγοῦντος, πρὸς νῆξιν ἐπιπολαίως τῆς ἁλμυρᾶς θαλάσσης τῶν παθῶν, ἀλλ' ἱσταμένη, ταῖς κώπαις, ἢ τῷ πλοιαρίῳ παρέλκεται. εἰ δέ τινες προβάλλονται τοὺς Ἁγίους Πατέρας φιλονείκως, ἢ ἐνταῦθά τινας, ὡς ὅτι παννύχιον ἐποιοῦντο στάσιν, καὶ ἀδιάλειπτον ψαλμῳδίαν. ὑποκρινόμεθα τούτοις ἐκ τῶν γραφῶν, ὅτι οὐ πάντων πάντα τέλεια δι' ἔνδειαν σπουδῆς, καὶ δυνάμεως. ἀλλὰ τὰ μὲν μικρὰ, τοῖς μεγάλοις οὐ πάντως μικρά. τὰ δὲ μεγάλα παρὰ τοῖς μικροῖς, οὐ πάντως τέλεια. τοῖς γὰρ τελείοις, πάντα εὐχερῆ ἐνεργούμενα. διότι οὐ πάντες εἰσὶ ἀεὶ, νῦν, ἢ πάλαι, πρακτικοί. οὐδὲ πάντες τὴν αὐτὴν ὁδὸν ὥδευσαν, ἢ ἕως τέλους ἐκράτησαν. πολλοὶ γὰρ ἀπὸ πρακτικῆς, ἦλθον εἰς θεωρίαν, καὶ κατέπαυσαν ἐκ πάντων, σαββατίσαντες κατὰ τὸν πνευματικὸν νόμον. καὶ ἐν τῷ Θεῷ μόνῳ εὐφραίνοντο, κεκορεσμένοι τῆς θείας τρυφῆς, καὶ μὴ συγχωρούμενοι ψάλλειν, ἢ ἄλλο τι μελετᾶν παρὰ τῆς χάριτος· εἰς ἔκπληξιν ὄντες ἕως καιροῦ, φθάσαντες τῶν ὀρεκτῶν τὸ ἔσχατον μερικῶς, ὡς ἐν ἀρραβῶνι. ἄλλοι δὲ ἕως τέλους ἐν τῷ πρακτικῷ ἐσώθησαν κοιμηθέντες, τὴν ἀνταπόδοσιν ἐν τῷ μέλλοντι ἐκδεχόμενοι. τινὲς δὲ ἐν τῷ θανάτῳ πληροφορηθέντες, ὡς μετὰ θάνατον μυρίσαντες εἰς ἔνδειξιν τῆς ἑαυτῶν σωτηρίας, τὴν χάριν τοῦ Βαπτίσματος ἔχοντες, ὡς πάντες, καὶ διὰ τὴν αἰχμαλωσίαν, καὶ τὴν ἀγνωσίαν τοῦ νοὸς αὐτῶν μὴ κοινωνήσαντες μυστικῶς μετ' αὐτῆς ἔτι ζῶντες. ἕτεροι δὲ, ἐν ἀμφοτέροις εὐδοκιμοῦσι, τῇ ψαλμῳδίᾳ, καὶ τῇ προσευχῇ, καὶ οὕτω διάγουσι, πλουσίαν ἔχοντες τὴν χάριν ὡς ἀεικίνητον, καὶ μηδέποτε ἔκ τινος ἐμποδιζόμενοι. ἄλλοι δὲ ἕως τέλους μά-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λιστα τὴν ἡσυχίαν ἐκράτησαν ἰδιῶται ὄντες, ἀρκούμενοι ἐν τῇ προσευχῇ μόνον πάνυ καλῶς, ὡς μόνοι πρὸς μόνον Θεὸν ἑνωθέντες. οἱ γὰρ τέλειοι, ὡς εἴπομεν, πάντα ἰσχύουσιν, ἐν τῷ ἐνδυναμοῦντι αὐτοὺς Χριστῷ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Περὶ τῆς γαστρὸς τί εἴπω, τῆς βασιλίσσης τῶν παθῶν; ἐὰν δυνηθῇς νεκρῶσαι αὐτήν, ἢ ἡμιθανῆ ἀπεργάσασθαι μὴ ἐνδώσῃς. κατεκυρίευσέ μου, ἀγαπητέ, καὶ λατρεύω ταύτῃ ὡς δοῦλος αὐτῆς, καὶ ὑπόσπονδος. ἡ συνεργὸς τῶν δαιμόνων, καὶ τὸ τῶν παθῶν κατοικητήριον. δι᾽ αὐτῆς γὰρ γίνεται ἡ πτῶσις ἡμῶν, καὶ δι᾽ αὐτῆς ἡ ἀνάστασις, ὅταν ἐγκρατῇ. καὶ δι᾽ αὐτῆς ἐκπεπτώκαμεν τοῦ πρώτου, καὶ δευτέρου ἀξιώματος τοῦ θείου. διότι διαφθαρέντες τοῦ ἀρχῆθεν, πάλιν ἀνεκαινίσθημεν ἐν Χριστῷ. καὶ ἰδοὺ ἐκπεπτωκότες ἐσμὲν ἄρτι ἐκ τοῦ Θεοῦ, διὰ τῆς τῶν ἐντολῶν ἀμελείας, τῶν φυλαττόντων καὶ αὐξανόντων τὴν χάριν ἐν προκοπῇ, κἂν ἀγνοοῦντες ἐπαιρώμεθα, δοκοῦντες μετὰ Θεοῦ εἶναι. πολλὰς δὲ διαφορὰς ἐν τῇ τροφῇ ἔχουσι τὰ σώματα, ὡς οἱ Πατέρες εἰρήκασι, καὶ ὁ μέν, ὀλίγου, ὁ δὲ πολλοῦ δέεται πρὸς σύστασιν τῆς φυσικῆς αὐτοῦ δυνάμεως. ἕκαστος κατὰ τὴν δύναμιν, καὶ τὴν ἕξιν ἐπαρκούμενος. ὅμως ὁ ἡσυχάζων, πάντοτε ἐνδεὴς ὀφείλει εἶναι, μὴ κορεννύμενος. βαρυνομένου γὰρ τοῦ στομάχου, καὶ τοῦ νοὸς θολωθέντος διὰ τοῦτο, οὐδὲ προσευχὴν δύναται λέγειν κραταιῶς, ἢ καθαρῶς. ἀλλ᾽ ἐκ τῆς ἀναθυμιάσεως τῶν πολλῶν βρωμάτων τῷ ὕπνῳ καταφερόμενος, κοιμηθῆναι ταχέως ἐπιποθεῖ, ἐξ οὗ φαντασίαι ἀναρίθμητοι ἐν τῷ ὕπνῳ ἐπιπίπτουσι τῷ νοΐ. τοιγαροῦν τῷ βουλομένῳ σωτηρίας τυχεῖν, καὶ βιαζομένῳ διὰ τὸν Κύριον ἡσύχως βιῶναι. ἄρτου, ὡς οἶμαι, λίτρα ἱκανοῦ αὐτῷ, καὶ ὕδατος, καὶ οἴνου, κατὰ τὴν ἡμέραν, τρία, ἢ τέσσαρα ποτήρια. καὶ ἀπὸ τῶν παρατυχόντων βρωμάτων ὀλίγον ἐκ πάντων κατὰ καιρὸν μεταλαμβάνειν, ἀπωθούμενον τὴν πλησμονήν. ἵνα κἂν τούτῳ σοφῶς χρησάμενος, τὸν τῦφον διὰ τῆς ἐκ πάντων μεταλήψεως ἐκφυγεῖν δυνήσηται. καὶ τὰ τοῦ Θεοῦ λίαν καλὰ ποιήματα μὴ βδελύξοιτο, εὐχαριστῶν αὐτῷ ὑπὲρ πάντων· καὶ αὕτη τῶν φρονίμων ἡ διάκρισις. τοῖς δὲ ἀσθενοῦσι τὴν πίστιν, καὶ κατὰ ψυχήν, ἡ ἀποχὴ πλέον συμφέρει τῶν ἐδωδίμων, οἷς λάχανα ἐσθίειν, ἐκέλευσεν ὁ Ἀπόστολος, διὰ τὸ μὴ πιστεύειν αὐτοὺς ἐκ Θεοῦ φυλαχθῆναι. τί δέ σοι εἴπω, ὅτι κανόνα ἐζήτησας, καὶ βάρος πολύ, γέρων ὤν; νεώτεροι οὐ δύνανται ἐν σταθμῷ καὶ μέτρῳ, καὶ πῶς σὺ κρατήσεις αὐτό; τὴν ἐλευθερίαν γὰρ πρέπουσι κρατεῖν ἐν παντί, ἐσθίοντι. εἰ δὲ ἡττᾶσαι, μεταμελοῦ, καὶ πάλιν ἐπιχείρησον, καὶ μὴ παύσῃ οὕτω ποιῶν πάντοτε, πίπτων, καὶ ἐγειρόμενος, καὶ μεμφόμενος ἀεὶ σεαυτόν, καὶ μὴ ἄλλον, καὶ ἕξεις ἀνάπαυσιν. σοφῶς διὰ πτωμάτων τὴν νίκην ποιούμενος, κατὰ τὴν γραφήν. πλὴν μὴ παραβαίνῃς τὸν ὅρον ὃν προεθέμεθα, καὶ ἀρκέσοι. οὐδὲ γὰρ ῥωννύουσι τὸ σῶμα αἱ λοιπαὶ βρώσεις τοσοῦτον, ὅσον ἡ τοῦ ἄρτου, καὶ ὕδατος μετάληψις. διὰ τοῦτο ἔλεγεν ὁ Προφήτης, τὰ ἄλλα εἰς οὐδὲν θέμενος, υἱὲ ἀνθρώπου, σταθμῷ τὸν ἄρτον σου φάγεσαι καὶ μέτρῳ τὸ ὕδωρ σου πίεσαι. τρεῖς γὰρ ὅρους ἔχει ἡ βρῶσις. ἐγκράτειαν, αὐτάρκειαν, καὶ κόρον. ἐγκράτειά ἐστι, τὸ πεινᾶν ἐστιαθέντα. αὐτάρκεια δέ, τὸ μήτε πεινᾶν, μήτε βαρεῖσθαι. κόρος δέ, τὸ βαρεῖσθαι μικρόν. τὸ δὲ μετὰ τὸ κορεσθῆναι, πάλιν ἐσθίειν, θύρα ἐστὶ γαστριμαργίας, δι᾽ ἧς ἡ πορνεία εἰσέρχεται. σὺ δὲ ταῦτα ἀκριβῶς ἐπιστάμενος, κατὰ τὴν σὴν δύναμιν τὸ κρεῖττον ἐπίλεξαι, μὴ ὑπερβαίνων τοὺς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὅρους. τῶν γὰρ τελείων ἐστὶ καὶ τοῦτο, κατὰ τὸν Ἀπόστολον, τὸ πεινᾷν, καὶ χορτάζεσθαι, καὶ ἐν πᾶσι δυνατὸς εἶναι.

### Περὶ πλάνης, ἐν ᾧ καὶ περὶ πολλῶν ὑποθέσεων.

Ὅρα δὲ ὅτι βούλομαί σε ἀκριβῶς εἰδέναι περὶ τῆς πλάνης, τοῦ φυλάττεσθαι ἐξ αὐτῆς, μήπως ἐξ ἀγνοίας φερόμενος, βλαβῇς τὰ μέγιστα, καὶ τὴν ψυχὴν ἀπολέσῃς. διότι εὐκόλως κλίνει τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου πρὸς κοινωνίαν τῶν ἐναντίων, καὶ μάλιστα τῶν ἀπείρων, τῶν μετερχομένων ὡς ὑπ' αὐτῶν, ἐγγὺς γὰρ αὐτῶν, καὶ κύκλῳ οἱ δαίμονες τῶν ἀρχαρίων καὶ ἰδιορρύθμων πεφύκασι. διατείνοντες παγίδας λογισμῶν, καὶ λάκκους πτωμάτων, καὶ φαντασμάτων ὄλεθρον. ἡ πόλις γὰρ αὐτῶν, ὑπ' ἐξουσίαν τῶν βαρβάρων ἐστί. καὶ οὐδὲν θαυμάζειν εἰ ἐπλανήθη τις, ἢ ἐξέστη, ἢ πλάνην ἐδέξατο, ἢ δέχεται, ἢ ἀλλότρια τῆς ἀληθείας ὁρᾷ, ἢ λέγει ἐξ ἀπειρίας, καὶ ἀγνωσίας τὰ οὐκ ἀνήκοντα. πολλάκις γὰρ ἀπὸ ἰδιωτείας τις περὶ τῆς ἀληθείας φθεγγόμενος, ἄλλα ἀντ' ἄλλων λεληθότως λαλῶν, οὐκ οἶδεν εἰπεῖν ὀρθῶς, ὡς ἔχει, καὶ πολλοὺς ἐθορύβησε, καὶ ὄνειδος, καὶ γέλωτα ἀνοήτως φερόμενος, τοῖς ἡσυχάζουσι προεξένησεν· οὐκ ἔστι γὰρ θαυμαστὸν, πλανηθῆναί τινα ἀρχάριον καὶ μετὰ πολλοὺς κόπους. διότι γέγονε πολλοῖς, καὶ τοῖς νῦν, καὶ τοῖς πάλαι τὸν Θεὸν ἐκζητοῦσιν. ἡ γὰρ τοῦ Θεοῦ μνήμη, εἴτ' οὖν ἡ νοερὰ προσευχὴ, ὑψηλοτέρα πασῶν τῶν ἐργασιῶν ἐστιν. αὕτη καὶ κεφαλὴ ἀρετῶν, ὡς ἀγάπη Θεοῦ. καὶ ὁ ἀναιδῶς καὶ θρασέως βουλόμενος πρὸς τὸν Θεὸν εἰσελθεῖν καὶ ὁμολογεῖν αὐτὸν καθαρῶς, καὶ κτήσασθαι αὐτὸν ἐν ἑαυτῷ βιαζόμενος, εὐκόλως θανατοῦται ὁ τοιοῦτος, ὑπ' αὐτῶν τῶν δαιμόνων λέγω, ἂν παραχωρηθήσεται. τολμηρῶς γὰρ, καὶ αὐθαδῶς τὰ παρὰ τὴν ἰδίαν κατάστασιν ἐκζητήσας, μετὰ ἀλαζονείας ἐκθυμεῖν πρὸ καιροῦ φθάσαι. πολλάκις δὲ σπλαγχνιζόμενος ὁ Κύριος ἡμᾶς βλέπων ἐν τοῖς ὑψηλοῖς τολμηρούς, οὐ παραχωρεῖ πειρασθῆναι, ἵνα τὴν ἑαυτοῦ ἕκαστος ἐπιγνοὺς οἴησιν, ἀφ' ἑαυτοῦ ἐπιστραφῇ, πρὸ τοῦ γενέσθαι ὄνειδος δαιμόνων, καὶ γέλως, ἢ κλαυθμὸς ἐν ἀνθρώποις, καὶ μάλιστα τῷ μετὰ μακροθυμίας ἐκζητοῦντι, καὶ ταπεινώσεως, καὶ τὸ μεῖζον μεθ' ὑποταγῆς, καὶ ἐρωτήσεως τῶν ἐμπείρων τοῦτο τὸ θαυμαστὸν ἔργον, μήπως ἀντὶ σίτου, ἀκάνθας λεληθότως θερίσῃ, καὶ πικρίαν, ἀντὶ γλυκύτητος, καὶ ἀντὶ σωτηρίας, εὕρῃ ἀπώλειαν. τῶν γὰρ δυνατῶν καὶ τελείων ἐστὶ μονομαχεῖν ἀεὶ μετὰ τῶν δαιμόνων· καὶ τὴν μάχαιραν τοῦ Πνεύματος ὅ ἐστι ῥῆμα Θεοῦ πρὸς αὐτοὺς διηνεκῶς ἀνατείνειν. οἱ δὲ ἀσθενεῖς, καὶ ἀρχάριοι τῇ φυγῇ μετ' εὐλαβείας, καὶ φόβου, ὡς ὀχυρώματι χρώμενοι, καὶ τὸν πόλεμον παραιτούμενοι, μὴ πρὸ καιροῦ τολμῶντες, τὸν θάνατον διαφεύγουσι· σὺ δὲ ἐὰν ἡσυχάζῃς καλῶς, προσδοκῶν μετὰ τοῦ Θεοῦ εἶναι, μηδέποτε παραδέξῃ εἴτι ἂν ἴδῃς αἰσθητὸν, ἢ νοερὸν, ἢ ἔξωθεν, ἢ ἔσωθεν, ἢ κἂν εἶδος Χριστοῦ, ἢ δῆθεν Ἀγγέλου, ἢ Ἁγίου μορφὴν, ἢ φῶς φαντάζεσθαι τῷ νοΐ, ἢ ἐκτυποῦν. ὅτι καὶ αὐτὸς ὁ νοῦς ἀφ' ἑαυτοῦ φύσει ἔχει τὸ φανταστικὸν, καὶ ῥᾳδίως μορφάζειν δύναται, εἰς ἃ ἐφίεται τοῖς μὴ τοῦτο ἀκριβῶς τούτῳ προσέχουσιν· ὃς καὶ εἰς ἑαυτὸν ἐπιφέρει τὴν βλάβην. καὶ αὐτὴ δὲ ἡ μνήμη τῶν ἀγαθῶν, ἢ κακῶν, τυποῦν ἀθρόως τοῦ νοῦ τὴν αἴσθησιν, καὶ πρὸς φαντασίαν ἀνάγειν εἴωθεν· ὅπου καὶ γίνεται φανταστὴς ὁ τοιοῦτος ἀφ' ἑαυτοῦ, καὶ οὐχ ἡσυχαστής. διὰ τοῦτο πρόσεχε μὴ πι-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

στῇς τι, συγκαταθέμενος ταχέως, κἂν ἀγαθὸν ἐστι, πρὸ ἐρωτήσεως ἐμπείρων, καὶ διεξετάσεως πολλῆς, ἵνα μὴ βλαβῇς· ἀλλὰ μένε βαρυνόμενος πρὸς αὐτὰ, ἀεὶ τηρῶν τὸν νοῦν ἄχροον, ἀνείδεον, ἀσχημάτιστον. πολλάκις γὰρ καὶ πρὸς δοκιμὴν ἐκ Θεοῦ πεμφθὲν διὰ στέφανον, πολλοὺς ἔβλαψε. βούλεται γὰρ ὁ Κύριος ἡμῶν τὸ ἡμέτερον αὐτεξούσιον δοκιμάζειν ποῦ ῥέπει. ὁ θεασάμενός τι κατὰ διάνοιαν, ἢ κατὰ αἴσθησιν, κἂν θεόθεν εἴη, καὶ χωρὶς τῶν ἐμπείρων δέξηται, εὐχερῶς πλανᾶται, ἢ μέλλει πλανᾶσθαι, ὡς εὐπαράδεκτος. δεῖ δὲ τὸν ἀρχάριον τῇ καρδιακῇ ἐνεργείᾳ προσέχειν, ὡς ἀπλανεῖ, τὰ δ᾽ ἄλλα πάντα μὴ παραδέχεσθαι, ἕως καιροῦ εἰρήνης παθῶν. ὁ γὰρ Θεὸς οὐκ ἀγανακτεῖ πρὸς τὸν ἑαυτῷ ἀκριβῶς προσέχοντα διὰ τὴν πλάνην, κἂν ὅπως μὴ προσδέξηται τὸ παρ᾽ αὐτοῦ, δίχα ἐρωτήσεως, καὶ πολλῆς ἐρεύνης, ἀλλὰ μᾶλλον ἐπαινεῖ ὡς σοφὸν, κἂν ἐπί τινας ἠγανάκτησεν. οὐ πάντας δὲ ὀφείλει ἐρωτᾷν, ἀλλ᾽ ἕνα τὸν ἐμπιστευθέντα καὶ ἑτέρων κυβέρνησιν, καὶ βίῳ ἀστράπτοντα. πτωχὸν μὲν ὄντα, πολλοὺς δὲ πλουτίζοντα, κατὰ τὴν γραφήν. πολλοὶ γὰρ ἄπειροι, πολλοὺς ἀνοήτους ἔβλαψαν, ὧν τὸ κρίμα ἕξουσι μετὰ θάνατον. οὐ πάντων γὰρ ἐστὶν ὁδηγῆσαι καὶ ἄλλους, ἀλλ᾽ οἷς ἐδόθη ἡ θεία διάκρισις, κατὰ τὸν Ἀπόστολον. διάκρισις πνευμάτων, ἡ διαιροῦσα τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος, τῇ μαχαίρᾳ τοῦ λόγου. ἕκαστος γὰρ ἰδίαν γνῶσιν, καὶ διάκρισιν φυσικὴν, ἢ πρακτικὴν, ἢ μαθηματικὴν κέκτηται, καὶ οὐ τὴν τοῦ πνεύματος ἅπαντες. διὰ τοῦτο ἔλεγεν ὁ σοφὸς Σειρὰχ, οἱ εἰρηνεύοντές σοι, ἔστωσαν πολλοὶ, οἱ δὲ σύμβουλοί σου, εἷς ἀπὸ χιλίων. οὐ μικρὸς δὲ ἀγών ἐστιν, εὑρεῖν ὁδηγὸν ἀπλανῆ, καὶ τοῖς ἔργοις, καὶ τοῖς λόγοις, καὶ τοῖς νοήμασιν. ἐν τίσιν ὁρᾶταί τις ἀπλανὴς ὢν, ὅταν ἐμμάρτυρον ἀπὸ τῶν θείων γραφῶν ἔχῃ καὶ τὴν πρᾶξιν, καὶ τὴν φρόνησιν, μετριοφρονῶν ἐν οἷς δεῖ φρονεῖν. βία γὰρ οὐκ ὀλίγη, φθάσαι τὴν ἀλήθειαν φανερῶς, καὶ καθαρεῦσαι ἀπὸ τῶν ἐναντίων τῆς χάριτος. ὅτι ἐν σχήματι ἀληθείας εἴωθεν (ἐν τοῖς ἀρχαρίοις μάλιστα) ὁ διάβολος δεικνύειν τὴν πλάνην αὐτοῦ, μετασχηματίζων τὰ πονηρὰ αὐτοῦ ὡς πνευματικά. διὰ τοῦτο ὁ πρὸς τὴν καθαρὰν προσευχὴν φθάσαι σπουδάζων, ἐν ἡσυχίᾳ ἐν τρόμῳ πολλῷ καὶ πένθει, καὶ τῇ δι᾽ ἐρωτήσεως ἐμπείρων ὁδηγήσει, ὀφείλει ὁδεύειν. καὶ κλαίειν πάντοτε ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν, λυπούμενος καὶ φοβούμενος μήπως κολασθῇ, ἢ τοῦ Θεοῦ ἐκπέσῃ χωρισθεὶς νῦν, ἢ ἐν τῷ μέλλοντι. ὅταν γὰρ ἴδῃ ὁ διάβολος τινὰ πενθικῶς διάγοντα, οὐ προσμένει ἐκεῖ, τὴν ἐκ τοῦ πένθους προσγινομένην ταπείνωσιν δειλιῶν. εἰ δὲ φαντάζεται τὰ ὑψηλὰ μετὰ οἰήσεως φθάσαι, πόθον σατανικὸν καὶ οὐκ ἀληθῆ κεκτημένος, τοῖς ἑαυτοῦ δικτύοις δεσμεύει αὐτὸν εὐκόλως ὡς αὐτοῦ ὑπηρέτην. διὰ τοῦτο μέγιστον ὅπλον κρατεῖν ἐν προσευχῇ, καὶ τὸ πένθος, ἵνα μὴ εἰς οἴησιν ἀπὸ τῆς χαρᾶς τῆς προσευχῆς περιπίπτῃ, ἀλλὰ τὴν χαρμολύπην ἑαυτῷ ἐκλεγόμενος, τηρήσῃ ἀβλαβῆ· ἡ γὰρ ἀπλανὴς προσευχὴ, ἡ θέρμη μετὰ τῆς προσευχῆς τοῦ Ἰησοῦ, τοῦ βαλόντος πῦρ εἰς τὴν γῆν τῆς καρδίας ἡμῶν ἐστὶν, ἡ φλογίζουσα τὰ πάθη ὡς ἀκάνθας, καὶ εὐφροσύνην, καὶ ἱλαρότητα ἐμποιοῦσα τῇ ψυχῇ. καὶ μήτε δεξιὰ, ἢ ἀριστερὰ, ἢ ἄνωθεν ἐρχομένη, ἀλλ᾽ ἐν καρδίᾳ βλυστάνουσα δίκην πηγῆς ὕδατος ἐκ τοῦ ζωοποιοῦ πνεύματος· καὶ ταύτην μόνην ἐν καρδίᾳ σου πόθησον εὑρεῖν, καὶ κτήσασθαι, τηρῶν σου τὸν νοῦν ἀεὶ ἀφάνταστον, καὶ γυμνὸν νοημάτων, καὶ λογισμῶν, καὶ μὴ φοβοῦ. ὁ γὰρ εἰπὼν θαρσεῖτε ἐγώ εἰμι, μὴ φοβεῖσθε, αὐτός



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐστι μεθ' ἡμῶν. (ὃν ζητοῦμεν, ὑπερασπίζων ἡμῶν πάντοτε. καὶ οὐκ ὀφείλομεν δειλιᾶν, ἢ στενάζειν τὸν Θεὸν ἐπικαλούμενοι. εἰ δὲ καί τινες ἐξετράπησαν, βλαβέντες τὴν φρένα, ὅρα ὅτι ἀπὸ ἰδιορρυθμίας καὶ ὑψηλοφροσύνης τοῦτο πεπόνθασιν. ὁ γὰρ καθ' ὑποταγὴν μετὰ ἐρωτήσεως καὶ ταπεινοφροσύνης ζητῶν τὸν Θεόν, οὐδέποτε βλαβήσεται, χάριτι Χριστοῦ, τοῦ πάντας ἀνθρώπους θέλοντος σωθῆναι. εἰ δὲ καὶ συμβῇ πειρασμός, πρὸς δοκιμὴν καὶ στέφανον γίνεται, ταχέως ἔχων τὴν τοῦ παραχωροῦντος Θεοῦ βοήθειαν, δι' οὓς οἶδε τρόπους. τὸν γὰρ ὀρθῶς βιοῦντα, ἀμέμπτως τε ἀναστρεφόμενον, καὶ ἀπεχόμενον ἀνθρωπαρεσκείας καὶ ὑψηλοφροσύνης, κἂν μυρίους κινήσει κατ' αὐτοῦ πειρασμοὺς πᾶσα τῶν δαιμόνων ἡ φάλαγξ, οὐ βλάψει, ὥς φασιν οἱ Πατέρες. οἱ δὲ αὐθαδῶς, καὶ ἰδιοβούλως πορευόμενοι, οὗτοι καὶ βλάβην εὐχερῶς ὑφίστανται. διὰ τοῦτο βασιλικὴν ὁδὸν ὀφείλει ὁ ἡσυχάζων ἀεὶ κρατεῖν. τῇ γὰρ ὑπερβολῇ ἐν πᾶσι, ῥᾳδίως ἡ οἴησις ἐπακολουθεῖν πέφυκε, τὴν πλάνην διαδέχεται. κράτει τὸν ἀνασπασμὸν τοῦ νοῦ, ὀλίγον σφίγγων ἐν προσευχῇ τὸ στόμα, καὶ οὐ τὸν τῆς ῥινός, ὡς οἱ ἀμαθεῖς, ἵνα μὴ βλαβῇς διογκούμενος. τρεῖς δὲ ἀρεταί εἰσι τῆς ἡσυχίας, ἃς δεῖ φυλάττειν ἀκριβῶς, καὶ καθ' ὥραν ἐρευνᾶν, εἰ ἐν αὐταῖς ἀεὶ διατρίβομεν, μήπως ὑπὸ λήθης κλεπτόμενοι, ἔξωθεν αὐτῶν πορευώμεθα. αἱ δὲ εἰσὶν αὗται. ἡ ἐγκράτεια, ἡ σιωπή, καὶ ἡ αὐτομεμψία, τουτέστιν ἡ ταπείνωσις. περιεκτικαὶ γάρ εἰσι, καὶ ἀλλήλων φυλακτικαί, ἐξ ὧν ἡ προσευχὴ τίκτεται, καὶ αὔξει διαπαντός. διαφόρως δὲ ἡ ἀρχὴ τῆς χάριτος ἐν προσευχῇ ἀναφαίνεται εἴς τινας, καὶ πολυτρόπως ὁ μερισμὸς τοῦ πνεύματος, φησὶν ὁ Ἀπόστολος, κατὰ τὴν αὐτοῦ θέλησιν καθορᾶται καὶ γινώσκεται, ὥστε κατὰ τὸν τύπον Ἡλιοῦ τοῦ Θεσβίτου, καὶ ἐν ἡμῖν φαίνεται. ἐν τισὶ μέν, πνεῦμα φόβου: διαλῦον ὄρη παθῶν, καὶ συντρῖβον πέτρας, τὰς σκληρὰς καρδίας, ἔρχεται· ὥστε ἀπὸ τοῦ φόβου καθηλοῦσθαι, καὶ τὴν σάρκα νεκρὰν γίνεσθαι. ἐν ἑτέροις δέ, συσσεισμός, εἴτ' οὖν ἀγαλλίαμα, (ὃ καὶ σκίρτημα τρανώτερον οἱ Πατέρες εἰρήκασι), ἐν πρώτοις ἄϋλον, καὶ οὐσιῶδες ἐν σπλάγχνοις δείκνυται. τὸ γὰρ ἀναίτιον καὶ ἀνυπόστατον, καὶ μὴ ὂν ἐστίν. ἐν ἑτέροις δέ γε τελευταῖον αὔραν λεπτὴν φωτὸς εἰρηναίαν, ἐν τοῖς προκόψασι μάλιστα ἐν προσευχῇ, ἐνεργεῖ ὁ Θεός· τοῦ Χριστοῦ ἐν καρδίᾳ οἰκήσαντος κατὰ τὸν Ἀπόστολον, καὶ μυστικῶς ἀναφαινομένου ἐν πνεύματι. διὰ τοῦτο ἔλεγεν ὁ Θεὸς πρὸς τὸν Ἡλίαν ἐν ὄρει Χωρήβ, ὅτι οὐκ ἐν τῷδε, ἢ τῷδε Κύριος, τῶν ἀρχαρίων μερικαῖς ἐνεργείαις, ἀλλ' ἐν αὔρᾳ λεπτῇ φωτός, κἀκεῖ Κύριος, τὸ τέλειον ὑποδείξας τῆς προσευχῆς.

Τί ποιήσει τις, ὅτε μετασχηματίζεται ὁ δαίμων εἰς Ἄγγελον φωτός, καὶ ὑποπλανᾷ τὸν ἄνθρωπον; Ἐρώτ.

Διὰ τοῦτο χρείαν ἔχει ὁ ἄνθρωπος πολλῆς διακρίσεως, ἵνα τὴν διαφορὰν τοῦ καλοῦ καὶ τοῦ κακοῦ ἐπιγινώσκῃ. μὴ οὖν σεαυτὸν ταχὺ ἐπιδίδου τοῖς φαινομένοις διὰ κουφότητα, ἀλλὰ μένε βαρύς, καὶ μετὰ δοκιμασίας πολλῆς κάτεχε τὸ καλόν. τὸ δὲ πονηρὸν ἀπόρριπτε. ὀφείλεις δὲ δοκιμάζειν, καὶ διακρίνειν, καὶ τότε πιστεύειν. γίνωσκε τοίνυν ὅτι φανερά εἰσι τὰ ἐνεργήματα τῆς χάριτος, ἅπερ ὁ δαίμων κἂν μετασχηματίζηται, παρασχεῖν οὐ δύναται. Ἀπόκρ.

οὐ πρᾳό-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

οὐ πραότητα, οὐκ ἐπιείκειαν, οὐ ταπείνωσιν, οὐ μῖσος τοῦ κόσμου, οὐχ ἡδονὰς καὶ πάθη παύει, ἅπερ εἰσὶ τῆς χάριτος ἐνεργήματα. τῦφος δέ ἐστιν ἡ ἐκείνου ἐνέργεια, καὶ ὑψηλοφροσύνη, καὶ δειλία, καὶ πᾶσα κακία. ἐκ τῆς ἐνεργείας τοιγαροῦν δύνασαι γνῶναι τὸ ἐλλαμφθὲν φῶς ἐν τῇ ψυχῇ σου, τοῦ Θεοῦ ἐστιν, ἢ τοῦ σατανᾶ. ἡ θρίδαξ ὁμοία ἐστὶ κατὰ τὴν ὅρασιν, τῇ πικρίδι. καὶ τὸ ὄξος, ὅμοιον τῷ οἴνῳ κατὰ τὴν ἰδέαν, ἀλλ' ἐκ τῆς γεύσεως ὁ λάρυγξ γινώσκει, καὶ διακρίνει τὴν ἑκάστου διαφοράν. οὕτω καὶ ἡ ψυχὴ ἐὰν ἔχῃ διάκρισιν, ἐκ τῆς νοερᾶς αἰσθήσεως γινώσκει τὰ τοῦ Ἁγίου Πνεύματος χαρίσματα, καὶ τὰ τοῦ σατανᾶ φαντάσματα.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Γρηγόριος ὁ Θεσσαλονίκης, ἦν ἐπὶ τῆς βασιλείας Ἀνδρονίκου τοῦ δευτέρου τῶν Παλαιολόγων, περὶ τὸ χιλιοστὸν τριακοσιοστὸν τεσσαρακοστὸν ἔτος τῆς σωτηρίας. πάντα δὲ τὸν κόσμον, καὶ τὰ ἐν κόσμῳ καταλιπὼν, καὶ ἀπὸ τῆς πατρίδος αὐτοῦ, τῆς Κωνσταντινουπόλεως, ἐπὶ τὸν Ἁγιώνυμον Ἄθω μεταναστεύσας, τὸν μοναστικὸν ὑπέρχεται βίον· ἐν ᾧ καὶ πόνοις ἀσκητικωτάτοις χρησάμενος, καὶ μόνος μόνῳ τῷ Θεῷ προσανέχων, δι᾿ ἄκρας ἡσυχίας, θεοειδέστατον ἔσοπτρον τοῦ Ἁγίου Πνεύματος ἐχρημάτισε, πράξεως καὶ θεωρίας εἴπερ τις ἄλλος· εἰς τὸ ἀκρότατον ἀνελθών. οὗ καὶ ταῖς θεοπτικαῖς ἐλλάμψεσι καταυγαζόμενος τὴν διάνοιαν, σοφώτατα, καὶ θεολογικώτατα συγγράμματα, οἷόν τινα στήλην ὀρθοδοξίας τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ καταλείπει. τούτων δ᾿ ἀποσπάσματα τυγχάνει καὶ τὰ τῇ παρούσῃ ἐμφερόμενα βίβλῳ, θησαυροὺς τῷ ὄντι θείας γνώσεως, καὶ πνευματικῆς σοφίας, καὶ τελειότητος τοῖς ἀναγινώσκουσι προμνηστεύοντα. οὐ μόνον γὰρ τὰ παρὰ τῶν παλαιοτέρων Ἁγίων εἰρημένα ὁ θεοπτικὸς ἐκεῖνος, καὶ οὐράνιος συνελέξατο νοῦς, ἀλλ᾿ ὅσα καὶ παρ᾿ ἑαυτοῦ διὰ μακρᾶς πείρας, καὶ μακαρίου πάθους ὑπερφυῶς διεγνώσθη προσθεὶς, καλλιστεῖον ἄντικρυς τῶν νηπτικῶν αὐτὰ ἀπειργάσατο, ὡς μηδένα τῶν πάντων νομίζειν ἀνθρωπίνης ποτὲ διανοίας εἶναι ταῦτα γεννήματα. πολλοῦ γε καὶ δεῖ. τῇ δ᾿ ἀληθείᾳ, νοῦν Χριστοῦ, καὶ Θεοῦ φωνὰς πᾶσαν ἐξιστώσας καὶ ἀκοὴν καὶ διάνοιαν. δι᾿ ὧν τῶν μὲν ἱερῶς ἡσυχαζόντων, καὶ τῇ νοερᾷ νήψει, καὶ προσευχῇ σχολαζόντων γενναίως ὑπερμαχεῖ, τὰς δ᾿ ἀντιθέτους τῶν ἐναντίων κενοφωνίας ταῖς γραφικαῖς ἀποδείξεσι ὡς τῆς ἀληθείας ἀναιρετικὰς ἐπιστημονικώτατα διελέγχει.



Athos Library
Αγιορειτική Βιβλιοθήκη



# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΓΡΗΓΟΡΙΟΥ

## ΤΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

## ΜΗΤΡΟΠΟΛΙΤΟΥ,

### ΠΡΟΣ ΤΗΝ ΣΕΜΝΟΤΑΤΗΝ ΕΝ ΜΟΝΑΖΟΥΣΑΙΣ ΞΕΝΗΝ,

### Περὶ παθῶν καὶ ἀρετῶν, καὶ περὶ τῶν τικτομένων ἐκ τῆς κατὰ νοῦν σχολῆς.

Τοῖς μοναδικῶς ζῆν προθυμουμένοις ἀληθῶς, ἀηδής ἐστιν οὐ μόνον ἡ πρὸς τοὺς πολλούς, ἀλλὰ καὶ ἡ πρὸς αὐτοὺς τοὺς ὁμοτρόπους ὁμιλία. Τὸ γὰρ συνεχὲς διακόπτει τῆς πρὸς τὸν Θεὸν θυμηρεστάτης ὁμιλίας. καὶ τὸ μοναδικὸν τοῦ νοῦ, καθ' ὃ συνίσταται ὁ ὄντως καὶ ὄντως Μοναχός, δυαδικόν, ἔστι δ' ὅτε καὶ πολυσχιδὲς ποιεῖται· διὸ καί τις τῶν Πατέρων ἐρωτώμενος, τίνος ἕνεκα φεύγει τοὺς ἀνθρώπους; ὅτι μὴ δύναμαι μετὰ Θεοῦ εἶναι, τοῖς ἀνθρώποις συντυγχάνων, ἀπεκρίνατο. ἄλλος δέ τις, ἐκ τῆς πείρας τὰ τοιαῦτα ἐξηγούμενος, οὐ τὴν ὁμιλίαν μόνον, ἀλλὰ καὶ αὐτὴν τὴν θέαν τῶν ἀνθρώπων αἰτιᾶται, ὡς δυναμένην λυμαίνεσθαι τὸ ἀδιασταθὲς τῆς κατὰ διάνοιαν τῶν ἡσυχαζόντων ἠρεμίας. Εἰ δέ τις ἐπ' ἀκριβείας ἐξετάζοι, καὶ ἡ μνήμη τοῦ πλησιασμοῦ, καὶ ἡ προσδοκία τῆς ἐπιδημίας, καὶ τῆς κατ' αὐτὴν συντυχίας, ἀτρεμεῖν τελέως οὐκ ἀφίησι τὸ τῆς ψυχῆς διανοούμενον· ὁ δὲ καὶ γραφῇ τοὺς λόγους διδούς, ἐπιστρεφεστέρᾳ μερίμνῃ περιβάλλει τὸν οἰκεῖον νοῦν· καὶ μὲν ἡ τῶν προκοψάντων καὶ ἐπειλημμένων, δι' εὐρωστίαν ψυχῆς, τῆς ἀγάπης τοῦ Θεοῦ, ἔχει μὲν ταύτην· καὶ γράφων ἐνεργόν, ἀλλ' οὐκ ἀμέσως καὶ εἰλικρινῶς. αἱ δὲ τῶν ἔτι πολλοῖς νοσήμασι περιπιπτόντων, καὶ παθήμασι ψυχῆς, οἷος ἀληθῶς ἐγώ, καὶ δεομένων συνεχῶς βοᾶν πρὸς τὸν Θεόν, ἴασαί με, ὅτι ἥμαρτόν σοι, τοῦτον οὐκ εὔλογον, πρὸ τῆς ἰάσεως, ἀφεῖσθαι τῆς δεήσεως, καὶ πρὸς ἄλλο τι τῶν ἁπάντων ἑκουσίως ἀσχολεῖσθαι· πρὸς δὲ τούτοις, καὶ τοῖς μὴ παροῦ-

σι τῶν ἀνθρώπων διὰ τῶν γραμμάτων ὁμιλεῖ· καὶ πλείοσι καιροῖς καὶ ἀνθρώποις, ἐνίοτε καὶ οἷς οὐ βούλεται, μεταδίδωσι τῆς ὁμιλίας· τῶν γραμμάτων πεφυκότων παραμένειν, μετὰ τὴν ἀποβίωσιν τοῦ γράψαντος. διὰ τοῦτο πολλοὶ τῶν καθ' ἡσυχίαν ἄκρων Πατέρων, γράψαι τι ὅλως οὐκ ἠνέσχοντο· καίτοι μεγάλα καὶ πολυωφελῆ δυνάμενοι ἐκθέσθαι. καὶ πάντα δὲ τῆς ἐκείνων ἀκριβείας ἀπολειπόμενος ἐγώ, καὶ γράφειν ἔθος οὐκ ἔχων, ἀλλ' ἀναγκαίας ἐπειγούσης χρείας. νῦν δέ με καὶ πρὸς τοῦτο ὀκνηρότερον ἐποίησαν, οἱ βασκάνοις ὀφθαλμοῖς, ἔνια τῶν ἐμῶν γραμμάτων κατιδόντες, καὶ κακουργίας ἐκ τούτων ζητοῦντες ἀφορμάς· οἵ, κατὰ τὸν Μέγαν Διονύσιον, προσέχουσι στοιχείοις καὶ γραμμαῖς ἀσήμοις, καὶ συλλαβαῖς, καὶ λέξεσιν ἀγνώστοις, μὴ διαβαινούσαις εἰς τὸ τῆς ψυχῆς αὐτῶν νοερόν· καὶ ἔστιν ὡς ἀληθῶς ἄλογον καὶ σκαιόν, καὶ τῶν τὰ θεῖα νοεῖν ἐθελόντων οὐδαμῶς ἴδιον· μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσιν· οἶδα δὲ ἐγὼ δικαίως ὑπ' ἐκείνων τὰς μέμψεις ὑποστάς· οὐχ ὅτι μὴ συμφώνως τοῖς Πατράσιν ἔγραφον· τοῦτο γάρ, χάριτι Χριστοῦ, συνετηρήθη μοι τοῖς γράμμασιν· ἀλλ' ὅτι συνεγραψάμην, περὶ ὧν ἄξιος οὐκ ἦν· ἄλλος τις ὁ Ζαῦ ἴσως, τὸ τῆς ἀληθείας ἀχήματι λόγῳ, περιξενομένῳ βοηθεῖν ἐπιχειρήσας· πλὴν ὅσον, ὅτι οὐκ ὀργῆς· ἀλλὰ συμμέτρου παιδείας ἡμῖν ἦν ἐπιφορά· διὸ οὐδὲ ἰσχύσαι καθ' ἡμῶν διεγένετο τοῖς ἐπιτεθειμένοις. τάχα δὲ καὶ τοῦτο τῆς ἐμῆς ἦν ἀναξιότητος. οὐ γὰρ ἦν ἐγὼ ἄξιος, οὐδὲ ἱκανὸς ὡς ἔοικε παθεῖν τι ὑπὲρ ἀληθείας, καὶ οὕτω κοινωνῆσαι τοῖς τῶν ἁγίων παθήμασι μετὰ χαρᾶς. τί γάρ, οὐχὶ καὶ ὁ Χρυσόστομος Πατήρ, ὁ καὶ σῶμα περικείμενος ἔτι τῇ Ἐκκλησίᾳ τῶν πρωτοτόκων ἐν οὐρανοῖς συνημμένος, ὅσπερ τις ἀσφαλῶς ἄμα, καὶ σαφῶς, καὶ μελιχρῶς, λογογραφῶν τὴν εὐσέβειαν, οὐχ οὕτως τίνων ὁ τηλικοῦτος, ὡς τὰ Ὠριγένους γράφων καὶ φρονῶν, διεκόπη τῆς Ἐκκλησίας, καὶ ὑπερορίαν κατεδικάσθη; φησὶ δὲ καὶ Πέτρος ὁ Κορυφαῖος τοῦ κορυφαίου χοροῦ τῶν τοῦ Κυρίου μαθητῶν, ὅτι καὶ τὰ ἐν ἐπιστολαῖς τοῦ μεγάλου Παύλου δυσνόητα, οἱ τότε ἀμαθεῖς ἐστρέβλουν, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν. Ἐγὼ δὲ διὰ τὴν μικρὰν ἐπήρειαν τῶν ἐπιχειρησάντων, καίτοι συνοδικῶς καταβληθέντων, ὅμως τοῦ γράφειν διενοούμην ἀποσχέσθαι τελέως. Εἰ μὴ σὺ νῦν, ὦ Ἱερὰ Πρεσβῦτις, οὐκ ἀνῆκας δεομένη, καὶ παρακλητικοῖς γράμμασι χρωμένη, καὶ μηνύμασιν ἕως ἔπεισας παραινετικοῖς λόγοις αὖθις ἐγχειρῆσαι. Καίτοι σοὶ τῶν παραινέσεων οὐ πάνυ χρεία. κέκτησαι γάρ, χάριτι Χριστοῦ, μετὰ τοῦ καθ' ἡλικίαν γήρως, καὶ τὸ ἐν συνέσει γεραρόν, καὶ τὸν νόμον τῶν Ἱερῶν παραγγελμάτων, διὰ πολυετοῦς ἀνέγνως πράξεως· ὑπακοῇ καὶ ἡσυχίᾳ κατὰ καιρὸν μερισαμένη σου τὸν βίον· δι' ὧν καταλεάνασα τὸ τῆς ψυχῆς πυξίον, ἐπιτήδειον πεποίηκας, πρὸ τοῦ δέξασθαι, καὶ συντηρῆσαι τοὺς θείους χαρακτῆρας. ἀλλὰ γὰρ τοιοῦτόν ἐστι ψυχὴ κατάπειρος ἀληθοῦς πνευματικῆς διδασκαλίας πόθῳ. κόρον αὐτῆς οὐδέποτε λαμβάνει. διὸ καὶ ἡ σοφία περὶ ἑαυτῆς, φησίν, οἱ τρώγοντές με ἔτι πεινάσουσι. καὶ ὁ ἐνιεὶς τῇ ψυχῇ τὸν θεῖον πόθον τοῦτον Κύριος, περὶ Μαρίας φησί, τῆς τὴν ἀγαθὴν μερίδα ταύτην ἐπιλεξαμένης, ὅτι οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. σοὶ δ' ἴσως τῶν τοιούτων λόγων δεῖ, καὶ διὰ τὰς ὑπὸ σοὶ παιδαγωγουμένας ζώσας θυγατέρας τοῦ Μεγάλου Βασιλέως. καὶ μάλιστα τὴν σύνεσιν, ἣν ἐκ τοῦ σοῦ γένους τῷ χορηγῷ τῆς ἀφθαρσίας νυμφεύσασθαι ποθεῖς· ἣν δὴ καὶ μιμουμένη, καθάπερ ἐκείνας τὴν ἡμετέραν μορφὴν ὑπὲρ ἡμῶν ὡς ἀληθῶς

ἀνελά-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀνέλαβεν, οὕτω καὶ αὐτὴ τὸ πρόσωπον ὑπέδυς νῦν τῶν εἰσαγομένων, καὶ διδασκαλίας δεομένων. διὸ κἀγώ, εἰ καὶ μὴ περὶ λόγους, καὶ τοιούτους λόγους εὔπορος, ἀλλὰ διὰ τὴν ὑπακοήν, καὶ τὴν ἐντολὴν τοῦ διδόναι τῷ αἰτοῦντι, ἐξ ὧν ἔχω νῦν, ἐνδεικνύμενος τὴν πρόθεσιν, τὸ χρέος ἀποτίσω τῆς κατὰ Χριστὸν ἀγάπης. ἴσθι τοίνυν, Γερὰ Πρεσβῦτις, μᾶλλον δὲ διὰ σοῦ μανθανέτωσαν, αἱ κατὰ Θεὸν προῃρημέναι ζῆν νεάνιδες, ὅτι καὶ ψυχῆς ἐστι θάνατος τῆς ἀθανάτου φύσει. οὕτω γὰρ καὶ ὁ ἠγαπημένος Θεολόγος λέγει· ἔστιν ἁμαρτία πρὸς θάνατον· καὶ ἔστιν ἁμαρτία μὴ πρὸς θάνατον. θάνατον ἐνταῦθα, τὸν τῆς ψυχῆς πάντως λέγων. καὶ ὁ Μέγας Παῦλος, ἡ λύπη, φησίν, ἡ κατὰ κόσμον, θάνατον κατεργάζεται· θάνατον πάντως τῆς ψυχῆς. καὶ πάλιν. ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. ἐκ ποίων νεκρῶν ἐγερθῆναι ἐγκελεύεται; πάντως ἐκ τῶν τεθανατωμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις· αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς. διὸ καὶ ὁ Κύριος νεκροὺς εἶπε, τοὺς ἐν τῷ ματαίῳ τούτῳ κόσμῳ ζῶντας. τῷ γὰρ αἰτήσαντι τῶν μαθητῶν, ἀπελθεῖν ἐπὶ τὸ θάψαι τὸν ἴδιον Πατέρα, οὐκ ἐνέδωκεν· ἀλλ' ἐπέταξεν ἀκολουθεῖν, ἀφέντα τοὺς νεκρούς, θάπτειν τοὺς ἑαυτῶν νεκρούς. νεκροὺς ἐνταῦθα καὶ τοὺς ζῶντας ἐκείνους ὠνόμασεν ὁ Κύριος· πάντως ὡς κατὰ ψυχὴν νενεκρωμένους. καθάπερ γὰρ ὁ χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, θάνατός ἐστι τοῦ σώματος, οὕτως ὁ χωρισμὸς τοῦ Θεοῦ ἀπὸ τῆς ψυχῆς, θάνατός ἐστι τῆς ψυχῆς. καὶ οὗτός ἐστι κυρίως θάνατος, ὁ τῆς ψυχῆς. τοῦτον γὰρ ἐδήλου καὶ διὰ τῆς ἐν τῷ Παραδείσῳ ἐντολῆς, ὅτε ἔλεγεν ὁ Θεὸς πρὸς τὸν Ἀδάμ· ᾗ δ' ἂν ἡμέρᾳ φάγῃς ἀπὸ τοῦ ἀπηγορευμένου ξύλου, θανάτῳ ἀποθανῇ. τότε γὰρ ἐθανατώθη ἡ ψυχὴ αὐτοῦ διὰ τῆς παραβάσεως, χωρισθεῖσα τοῦ Θεοῦ. κατὰ σῶμα γὰρ ζῶν διετέλεσεν ἀπὸ τότε καὶ εἰς τὸ ἑξῆς, μέχρι τριάκοντα καὶ ἐννακοσίων ἐνιαυτῶν. ἀλλ' ὁ διὰ τὴν παράβασιν τῇ ψυχῇ προσγενόμενος θάνατος, οὐ τὴν ψυχὴν ἀχρειοῖ μόνον, καὶ ἐπικατάρατον ποιεῖ τὸν ἄνθρωπον. ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα πολύμοχθον, καὶ πολυπαθές, καὶ φθαρτὸν ἀπεργασάμενος, τέλος τῷ θανάτῳ παραδίδωσι· τότε γὰρ μετὰ τὴν ἐκ παραβάσεως τοῦ ἐντὸς ἀνθρώπου νέκρωσιν, ἤκουσεν ὁ χοϊκὸς Ἀδάμ, ὅτι ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου. ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι· καί, ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἐπιστρέψαι σε εἰς γῆν, ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. εἰ δὲ καὶ κατὰ τὴν μέλλουσαν ἐκείνην παλιγγενεσίαν, ἐν τῇ ἀναστάσει τῶν δικαίων, καὶ τὰ τῶν ἀνόμων καὶ ἁμαρτωλῶν ἀνίσταται σώματα, ἀλλ' εἰς τὸ παραδοθῆναι τῷ δευτέρῳ θανάτῳ, τῇ κολάσει ἐκείνῃ τῇ αἰωνίῳ, τῷ ἀκοιμήτῳ σκώληκι, τῷ τῶν ὀδόντων βρυγμῷ, τῷ ἐξωτέρῳ καὶ ψηλαφητῷ σκότει, τῇ σκοτεινῇ καὶ ἀσβέστῳ τοῦ πυρὸς γεέννῃ· κατὰ τὸν λέγοντα Προφήτην, ὅτι ἐκκαυθήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων. τοῦτο γάρ ἐστιν ὁ δεύτερος θάνατος. καθάπερ Ἰωάννης διὰ τῆς ἀποκαλύψεως ἐδίδαξεν ἡμᾶς. ἄκουε δὴ καὶ τοῦ Μεγάλου Παύλου λέγοντος· εἰ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν· εἰ δὲ πνεύματι, τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε. ζωὴν γὰρ ἐνταῦθα καὶ θάνατον, τὸν ἐπὶ τοῦ μέλλοντος αἰῶνος λέγει· ζωὴν μὲν τὴν ἀπόλαυσιν τῆς ἀϊδίου βασιλείας· θάνατον δέ, τὴν διαιωνίζουσαν ἐκείνην κόλασιν. ἡ τῆς ἐντολῆς τοῦ Θεοῦ τοιγαροῦν παράβασις, πρόξενος γίνεται παντὸς θανάτου καὶ ψυχῇ καὶ σώματι· καὶ

τοῦ καὶ τὸν νῦν αἰῶνα, καὶ τοῦ κατὰ τὴν ἀτελεύτητον ἐκείνην κόλασιν. καὶ οὗτός ἐστιν ὁ κυρίως θάνατος, τὸ διαζευχθῆναι τὴν ψυχὴν τῆς θείας χάριτος, καὶ τῇ ἁμαρτίᾳ συζυγῆναι· οὗτος τοῖς νοῦν ἔχουσι, φρικτὸς ὄντως, καὶ φρικτὸς ὁ θάνατος· οὗτος τοῖς εὖ φρονοῦσι, καὶ τῆς ἐν γεέννῃ κολάσεως φρικωδέστερος. τοῦτον καὶ ἡμεῖς φύγωμεν πάσῃ δυνάμει· πάντα ῥίψωμεν· πάντα προώμεθα· πᾶσιν ἀποταξώμεθα, καὶ σχέσεσι, καὶ πράξεσι, καὶ βουλήμασιν· ὅσα κατασύρει καὶ διΐστησι Θεοῦ, καὶ τὸν τοιοῦτον συνίστησι θάνατον. ὁ γὰρ τοῦτον φοβηθείς τε, καὶ φυλαξάμενος, σαρκὸς οὐ δείσει προσερχόμενον θάνατον, ἔνοικον ἔχων τὴν ὄντως ζωήν· ἥτις τῷ θανάτῳ μᾶλλον προσκτᾶται τὸ ἀναφαίρετον. ὡς γὰρ ὁ τῆς ψυχῆς θάνατος, ὁ κυρίως θάνατός ἐστιν, οὕτω καὶ ἡ ζωὴ τῆς ψυχῆς, κυρίως ὑπάρχει ζωή· ζωὴ δέ ἐστι τῆς ψυχῆς, ἡ πρὸς Θεὸν ἕνωσις. ὥσπερ καὶ τοῦ σώματος ἡ πρὸς ψυχὴν ἕνωσις. ὡς γὰρ διὰ τῆς παραβάσεως τῆς ἐντολῆς, τοῦ Θεοῦ διαιρεθεῖσα ἡ ψυχὴ τεθανάτωται, οὕτω δι' ὑπακοῆς τῆς ἐντολῆς, τῷ Θεῷ αὖθις ἑνωθεῖσα, ζωοποιεῖται. διὰ τοῦτό φησιν ἐν Εὐαγγελίοις ὁ Κύριος· ὅτι τὰ ῥήματα ἃ ἐγὼ λαλῶ, πνεῦμα ἐστί, καὶ ζωή ἐστι. τοῦτο δὲ καὶ ὁ πείρᾳ μαθὼν Πέτρος, πρὸς αὐτὸν ἔλεγεν· ὅτι ῥήματα ζωῆς αἰωνίου ἔχεις. ἀλλὰ ῥήματα ζωῆς αἰωνίου, τοῖς ὑπακούουσι· τοῖς δὲ παρακούουσιν, ἡ ἐντολὴ τῆς ζωῆς αὕτη, γίνεται εἰς θάνατον. οὕτω γὰρ καὶ οἱ Ἀπόστολοι, Χριστοῦ εὐωδία ὄντες, τοῖς μὲν, ἦσαν ὀσμὴ θανάτου εἰς θάνατον· τοῖς δὲ, ζωῆς ὀσμὴ εἰς ζωήν. ἡ δὲ ζωὴ πάλιν αὕτη, οὐ τῆς ψυχῆς ἐστι μόνον, ἀλλὰ καὶ τοῦ σώματος. ἀπαθανατίζει γὰρ καὶ τοῦτο διὰ τῆς ἀναστάσεως. οὐ τῆς θνητότητος μόνον ἀπολυόμενον· πρὸς δὲ ταύτῃ, καὶ τοῦ μηδέποτε λήγοντος θανάτου, τῆς μελλούσης κολάσεως ἐκείνης. χωρίζεται γὰρ καὶ αὐτῷ τὴν ἐν Χριστῷ ἀΐδιον ζωήν· τὴν ἄπονον· τὴν ἄνοσον· τὴν ἄλυπον· τὴν ὄντως ἀθάνατον. ὡς γὰρ τῷ τῆς ψυχῆς θανάτῳ, τουτέστι τῇ παραβάσει, καὶ τῇ ἁμαρτίᾳ, ὁ θάνατος τοῦ σώματος ὕστερον ἐπηκολούθησε, καὶ τὸ εἰς γῆν ἀναλυθῆναι, καὶ γενέσθαι χοῦν, καὶ σωματικῷ θανάτῳ πάλιν, ἡ ἐν τῷ ᾅδῃ καταδίκη τῆς ψυχῆς, οὕτω καὶ τῇ ἀναστάσει τῆς ψυχῆς, ὅ ἐστιν ἡ δι' ὑπακοῆς τῶν θείων ἐντολῶν πρὸς αὐτὸν ἐπιστροφή, ἡ τοῦ σώματος ὕστερον ἕψεται ἀνάστασις, ἑνωθέντος αὖθις τῇ ψυχῇ. καὶ τῇ ἀναστάσει ταύτῃ, ἕψεται ἡ ὄντως ἀφθαρσία, καὶ τὸ συνδιαιωνίζειν τοὺς ἠξιωμένους τῷ Θεῷ· πνευματικοὺς γενομένους ἀντὶ σαρκικῶν· καὶ ὡς Ἀγγέλους Θεοῦ διαιτωμένους, ἐν τῷ οὐρανῷ. ἁρπαγησόμεθα γάρ, φησιν, ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. καθάπερ γὰρ ὁ τοῦ Θεοῦ Υἱός, ἄνθρωπος γενόμενος διὰ φιλανθρωπίαν, ἀπέθανε σαρκί· χωρισθείσης μὲν αὐτοῦ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, μὴ χωρισθείσης δὲ τῆς θεότητος. διὸ καὶ τὸ σῶμα ἀναστήσας ἑαυτοῦ, ἀνέλαβεν εἰς οὐρανὸν ἐν δόξῃ, οὕτω καὶ οἱ κατὰ Θεὸν ἐνταῦθα ζήσαντες. ἐν γὰρ τῷ χωρίζεσθαι τοῦ σώματος, τοῦ Θεοῦ μὴ χωριζόμενοι, ἐν τῇ ἀναστάσει, καὶ τὸ σῶμα ἀναλήψονται πρὸς τὸν Θεόν, συνεισιόντες ἐν χαρᾷ ἀνεκλαλήτῳ, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς· καὶ τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης, ἐν Χριστῷ συναπολαύοντες. οὐ γὰρ δὴ τῆς ἀναστάσεως μόνης, ἀλλὰ καὶ τῆς τοῦ Κυρίου ἀναλήψεως κοινωνοὶ γενήσονται, καὶ πάσης τῆς θεοειδοῦς ζωῆς. ἀλλ' οὐχὶ καὶ οἱ κατὰ σάρκα ζήσαντες ἐνταῦθα, καὶ μηδεμίαν εὑρεθέντες κοινωνίαν ἔχοντες πρὸς τὸν Θεόν, ἐν τῇ ὥρᾳ τῆς ἐξόδου. εἰ γὰρ καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πάντες ἀναστήσονται, ἀλλ' ἕκαστος φησὶν ἐν τῷ ἰδίῳ τάγματι. ὁ μὲν πνεύματι τὰς πράξεις τοῦ σώματος ἐνταῦθα θανατώσας, ἐκεῖ ζήσεται τὴν μετὰ Χριστοῦ θείαν καὶ ὄντως ἀΐδιον ζωήν. ὁ δὲ σαρκὸς ἐπιθυμίαις καὶ παθήμασι, τὸ πνεῦμα ἐνταῦθα θανατώσας, μέλλει, φεῦ, τῷ δημιουργῷ καὶ προξένῳ τῆς κακίας ἐκεῖ συγκαταδικάζεσθαι, καὶ τῇ ἀνυποίστῳ καὶ ἀκαταλήκτῳ κολάσει παραδίδοσθαι. ὅ ἐστιν ὁ δεύτερος θάνατος, καὶ ἀδιάδοχος. πόθεν γὰρ ἔσχε τὴν ἀρχὴν ὁ ὄντως θάνατος; ὁ ποιητικὸς καὶ πρόξενος καὶ ψυχῇ καὶ σώματι, τοῦ τε προσκαίρου θανάτου καὶ τοῦ αἰωνίου; οὐκ ἐν τῇ χώρᾳ τῆς ζωῆς; διὰ τοῦτο καὶ παραυτά, φεῦ, ὁ ἄνθρωπος, τὴν ἐκ τοῦ Παραδείσου τοῦ Θεοῦ καταδεδίκασται ὑπερορίαν· ὡς θανατηφόρον καὶ ἀκατάλληλον τῷ θείῳ Παραδείσῳ κτησάμενος ζωήν. ὥστε καὶ ἡ ὄντως ζωή, ἡ καὶ ψυχῇ καὶ σώματι πρόξενος τῆς ἀθανάτου καὶ ὄντως ζωῆς, ἐν τῷ τόπῳ τούτῳ τοῦ θανάτου ἔσχε τὴν ἀρχήν· καὶ ὁ μὴ σπεύδων κτήσασθαι αὐτὴν κατὰ ψυχὴν ἐνταῦθα, μὴ κεναῖς ἐλπίσιν ἀπατάτω ἑαυτόν, ὡς λήψεται αὐτὴν ἐκεῖ· μηδὲ ἐλπιζέτω λήψεσθαι τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ἐν ἐκείνῳ τῷ καιρῷ. τότε γὰρ καιρὸς ἀνταποδόσεως καὶ ἐκδικήσεως, ἀλλ' οὐ συμπαθείας καὶ φιλανθρωπίας. καιρὸς ἀποκαλύψεως θυμοῦ καὶ ὀργῆς καὶ δικαιοκρισίας Θεοῦ· καιρὸς ἐπιδείξεως τῆς κραταιᾶς καὶ ὑψηλῆς χειρός, κινουμένης εἰς κόλασιν τῶν ἀπειθῶν. οὐαὶ τῷ ἐμπεσόντι εἰς χεῖρας Θεοῦ ζῶντος. οὐαὶ τῷ ἐκεῖ πειρωμένῳ τοῦ θυμοῦ Κυρίου, καὶ μὴ ἐντεῦθεν ἐκ τοῦ φόβου τοῦ πρὸς τὸν Θεὸν γνωρίσαντι τὸ κράτος τῆς ὀργῆς αὐτοῦ, καὶ δι' ἔργων προμνηστευσαμένῳ τὸ φιλάνθρωπον αὐτοῦ. οὗτος γὰρ ὁ παρὼν καιρός· δι' αὐτὸ μέντοι, καὶ τὴν ζωὴν ταύτην ὁ Θεὸς συνεχώρησεν ἡμῖν, τόπον μετανοίας παρεχόμενος. εἰ γὰρ μὴ τοῦτο ἦν, εὐθὺς ἁμαρτήσας ὁ ἄνθρωπος, καὶ τῆς ζωῆς ταύτης ἐστέρητο ἄν. τί γὰρ ἦν ὄφελος αὐτῆς; διὸ οὐδὲ ἡ ἀπόγνωσις ὅλως ἔχει χώραν ἐν ἀνθρώποις· εἰ καὶ ὁ πονηρὸς ποικίλως ὑποβάλλει ταύτην· οὐ τοῖς ἀδιαφόρως ζῶσι μόνον, ἀλλ' ἔστιν ὅτε καὶ τοῖς ἀγωνιζομένοις. ἐπειδὴ γὰρ καιρὸς μετανοίας ὁ τῆς ζωῆς ἐστι καιρός, αὐτὸ τοῦτο τὸ ζῆν ἔτι τὸν ἡμαρτηκότα, τῷ βουλομένῳ ἐπιστρέφειν πρὸς Θεόν, ἐγγυᾶται τὴν παρ' αὐτοῦ ὑποδοχήν. τῇ γὰρ ἐνταῦθα ζωῇ, τὸ αὐτεξούσιον σύνεστιν ἀεί. τῷ δὲ αὐτεξουσίῳ ὑπόκειται ὡς ὕλη, ἡ ὁδὸς τῆς ἀνωτέρω δεδειγμένης ζωῆς καὶ τοῦ θανάτου, ἑλέσθαι ἢ φυγεῖν. ὡς δυνατὸν ὂν κτήσασθαι ὁπότερον θέλει. πῶς οὖν ἕξει χώραν ἡ ἀπόγνωσις; πάντοτε καὶ πάντων δυναμένων, ὁπηνίκα βούλοιντο, τὴν αἰώνιον κτήσασθαι ζωήν; ἀλλ' ὁρᾷς τὸ μέγεθος τῆς φιλανθρωπίας τοῦ Θεοῦ; τὴν ἀρχὴν οὐ δίκῃ δικαίᾳ χρῆται καθ' ἡμῶν ἀπειθησάντων· ἀλλὰ μακροθυμῶν, παρέχει τὸν τῆς ἐπιστροφῆς καιρόν. ἐν τῷ καιρῷ τούτῳ τῆς μακροθυμίας, ἐξουσίαν δίδωσιν ἡμῖν, ἐὰν θελήσωμεν, υἱοποιηθῆναι τούτῳ. τί λέγω υἱοποιηθῆναι; ἑνωθῆναι τούτῳ, καὶ ἓν πνεῦμα γενέσθαι μετ' αὐτοῦ. ἀλλὰ καὶ ἐν τῷ καιρῷ τούτῳ τῆς μακροθυμίας, ἐὰν τὴν ἐναντίαν ἡμεῖς βαδίσωμεν, καὶ ἀγαπήσωμεν τὸν θάνατον μᾶλλον τῆς ἀληθινῆς ζωῆς, αὐτὸς τὴν δεδομένην ἐξουσίαν οὐκ ἀφαιρεῖται· καὶ οὐ μόνον οὐκ ἀφαιρεῖται, ἀλλὰ καὶ ἀνακαλεῖται. καὶ περιέρχεται ζητῶν, καὶ ἐπιστρέφων πρὸς τὰ ἔργα τῆς ζωῆς· κατὰ τὴν παραβολὴν τοῦ ἀμπελῶνος, ἀπὸ πρωΐας μέχρι καὶ αὐτῆς τοῦ βίου τῆς ἑσπέρας. ἀλλὰ τίς ὁ καλῶν τε καὶ μισθούμενος; ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ Θεὸς πάσης Παρακλήσεως. τίς, εἰς ἣν καλεῖ πρὸς ἐργασίαν ἄμπελον; ὁ τοῦ Θεοῦ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Υἱός· ὁ εἰπών, ἐγώ εἰμι ἡ ἄμπελος, καὶ γὰρ οὐδεὶς δύναται πρὸς τὸν Χριστὸν ἐλθεῖν, ὡς αὐτὸς εἶπεν ἐν Εὐαγγελίοις, εἰ μὴ ὁ Πατὴρ ἑλκύσει αὐτόν. τίνες δὴ τὰ κλήματα; ἡμεῖς. αὐτοῦ γὰρ αὖθις ἄκουσον λέγοντος· ὑμεῖς ἐστὲ τὰ κλήματα, ὁ Πατήρ μου ὁ γεωργός ἐστιν. ὁ γοῦν Πατὴρ διὰ τοῦ Υἱοῦ, καταλλάσσων ἑαυτῷ ἡμᾶς, μὴ λογιζόμενος τὰ παραπτώματα ἡμῶν, οὐχ ὡς προσκειμένους τοῖς ἔργοις τοῖς ἀτόποις, ἀλλ' ὡς ἀργοὺς καλεῖ· καίτοι ἡ ἀργία ἁμαρτία ἐστί. καὶ ὑπὲρ ἀργοῦ γὰρ λόγου λόγον δώσομεν. ἀλλ' ὅπερ ἔφην, τὰς προϋπηργμένας ἑκάστῳ ἁμαρτίας ὁ Θεὸς ὑπερορῶν, πάλιν, καὶ πάλιν ἐκκαλεῖται. καλεῖ δέ, τί ποιήσοντας; ἐργασομένους εἰς τὸν ἀμπελῶνα. τοῦτο δέ ἐστι, ποιεῖν ὑπὲρ τῶν κλημάτων· δηλονότι ὑπὲρ ἑαυτῶν. εἶτα, βαβαὶ τοῦ ἀνεικάστου μεγέθους τῆς φιλανθρωπίας. καὶ μισθὸν ἡμῖν ἐπαγγέλλεται καὶ δίδωσιν, ὑπὲρ ἑαυτῶν πονοῦσιν. ἔλθετε· φησί· λάβετε ζωὴν αἰώνιον, ὑπ' ἐμοῦ δαψιλῶς χορηγημένην· καὶ τοῦ καμάτου τῆς ὁδοιπορίας, καὶ αὐτοῦ τοῦ θελῆσαι ταύτην παρ' ἐμοῦ λαβεῖν, ὡς αὐτοῖς ὀφείλων ἐκτίσω τὸν μισθόν. τίς οὐκ ὀφείλει λύτρα τῷ τοῦ θανάτου λυτρωτῇ; τίς οὐχ ὁμολογεῖ χάριτας τῷ δοτῆρι τῆς ζωῆς; ὁ δέ, καὶ προσκαταβαλεῖν ἐπαγγέλλεται μισθόν· καὶ μισθὸν ἀπόρρητον. ἐγὼ γὰρ ἦλθον, φησίν, ἵνα ζωὴν ἔχωσι. καὶ περισσὸν ἔχωσι; τί τὸ περισσόν; τὸ μὴ συνεῖναι μόνον καὶ συζῆν, ἀλλὰ καὶ εἰς ἀδελφοὺς αὐτῷ τελέσαι, καὶ συγκληρονόμους. τοῦτο δὴ τὸ περισσόν, ὡς ἔοικεν, ὁ διδόμενός ἐστι μισθός, τοῖς προσδραμοῦσι τῇ ζωοποιῷ ἀμπέλῳ, καὶ κλῆμα χρηματίσασιν αὐτῆς, καὶ ὑπὲρ ἑαυτῶν καμοῦσι, καὶ εἰς ἑαυτοὺς καλλιεργήσασι. τί πράξασι; πρῶτον μὲν περιτεμοῦσι, πᾶν ὅ,τι περιττόν, καὶ μὴ συντελές ἐστιν, ἀλλὰ καὶ προσιστάμενον, εἰς τὸ ἐνεγκεῖν καρποὺς ἀξίους τῆς θείας ἀποθήκης. τίνα ταῦτα; πλοῦτον, τρυφήν, δόξαν τὴν ματαίαν, πάντα τὰ ῥέοντα καὶ παριόντα, πᾶν πάθος ψυχῆς τε καὶ σώματος βδελυκτὸν καὶ πονηρόν. πάντα τὸν ἐν μετεωρισμῷ τῆς διανοίας συρφετόν. πᾶν ἄκουσμα, καὶ θέαμα, καὶ πάντα λόγον, βλάβην παραπέμψαι δυνάμενον εἰς τὴν ψυχήν. ἐὰν γὰρ μὴ ταῦτα τις ἐκκόπτειν καὶ περικαθαίρειν τὴν βλάστην τῆς καρδίας διὰ μεγίστης ποιῆται τῆς σπουδῆς, καρπὸν εἰς ζωὴν αἰώνιον, οὐ μήποτε ἐνέγκῃ. δυνατὸν μὲν οὖν, καὶ τοῖς ἐν συζυγίᾳ ζῶσι, τῆς καθαρότητος ἀντιποιεῖσθαι ταύτης, ἀλλὰ μετὰ πλείστης ὅσης δυσκολίας. διὰ τοῦτο πάντες ὅσοι ἐκ νεότητος ἐλέους Θεοῦ τυχόντες, ὀξυτέρῳ διανοίας ὄμματι πρὸς ἐκείνην εἶδον τὴν ζωήν, καὶ τῶν κατ' ἐκείνην ἀγαθῶν ἐρασταὶ γεγόνασι, καὶ τὸν γάμον προσηκόντως φεύγουσιν, ἐπεὶ καὶ ἐν τῇ ἀναστάσει, καθάπερ ὁ Κύριος εἶπεν, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς Ἄγγελοι τοῦ Θεοῦ εἰσίν. ὅς τις οὖν ὡς Ἄγγελος εἶναι βούλεται Θεοῦ, κἀνταῦθα κατὰ τὸ ὕψος τῆς ἀναστάσεως ἐκείνης, ἐπιμιξίας σωμάτων ἀνώτερον ἑαυτὸν δικαίως καθίστησι. ἄλλως τε καὶ ἡ πρόφασις τῆς ἁμαρτίας, ἐκ τῆς συζύγου τὴν λαβὴν ἔσχε τὴν ἀρχήν. παραιτητέον οὖν τὴν συζυγίαν, τοῖς βουλομένοις, μηδεμίαν μηδέποτε τῷ ἀντικειμένῳ παρασχεῖν αὖθις λαβήν. εἰ δὲ καὶ τὸ σῶμα τοῦτο δυσήνιον καὶ δυσανάκλητον πρὸς ἀρετήν, μᾶλλον δὲ καὶ ὡς ἔμφυτον ἀντίθετον περιφέρομεν αὐτό, τί ποτ' ἄρα πεισόμεθα, καὶ ἐφ' ὅσον τὴν πρὸς ἀρετὴν δυσχέρειαν αὐξήσομεν, πολλοῖς καὶ διαφόροις συνδεθέντες σώμασι; πῶς δ' ἕξει τὴν ἐλευθερίαν, πρὸς ἣν σπεύδειν ἐπαγγέλλεται, ὁ φύσεως δεσμοῖς πρὸς ἄνδρα, καὶ παῖδας, καὶ τοὺς καθ' αἷμα συνδεδεμένος πάντας; πῶς δὲ ἀμερίμνως προσεδρεύσει τῷ Κυρίῳ, τοὺς ὑπὲρ

τοσούτων φροντίδας ἀναδεξαμένη; πῶς δ' ἕξει τὸ ἀθόρυβον, πλήθεσιν ἐνεχομένη; διὰ τοῦτο ἡ ὄντως παρθένος, καὶ ἀφωμοιωμένη τῷ παρθένῳ καὶ ἐκ παρθένου, καὶ τῶν ἐν παρθενίᾳ δεόντως ζησάντων ψυχῶν νυμφίῳ, οὐ τὴν κατὰ σάρκα συζυγίαν μόνον, ἀλλὰ καὶ τὴν κατὰ κόσμον συνοδίαν φεύγει, συγγενέσι πᾶσιν ἀποταξαμένη. ὡς ἂν ἔχῃ πεπαρρησιασμένως λέγειν μετὰ Πέτρου πρὸς Χριστόν· ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι. τί δ' ἄρα καὶ καινοπρεπὲς ποιήσειεν, εἰ τῆς ἐπιγείου νύμφης πατέρα καὶ μητέρα ἀφιείσης, ἕνεκα φθαρτοῦ νυμφίου, καὶ προσκολλωμένης ἐκείνῳ, κατὰ τὴν γραφήν, αὐτὴ τοῦτο δράσειεν, ὑπερκοσμίου νυμφῶνος καὶ νυμφίου ἕνεκα, τούτους καταλείψασα; πῶς δὲ καὶ συγγένειαν ἔξον ἔχειν ἐπὶ γῆς, *οἷς τὸ πολίτευμα ἐν οὐρανοῖς; πῶς δ' ἡ μὴ σαρκὸς οὖσα τέκνον, ἀλλὰ πνεύματος, σαρκικὸν ἕξει πατέρα, ἢ μητέρα, ἢ τοὺς καθ' αἷμα προσήκοντας; πῶς δ' ἡ καὶ τὸ οἰκεῖον σῶμα φυγοῦσα, καὶ ἀεὶ φεύγουσα κατὰ τὸ δυνατόν, ὡς τὸν κατὰ σάρκα βίον ἀποτιθεμένη, σχέσιν ὅλως ἕξει πρὸς τὰ μὴ οἰκεῖα σώματα; εἰ δὲ καὶ ἡ ὁμοιότης, ὥς φασι, φιλότης, καὶ τὸ ὅμοιον ἀσπάζεται πᾶν, ἐξομοιωθήσεται τοῖς φιλουμένοις ἡ παρθένος καὶ περιπεσεῖται τῇ νόσῳ τῆς φιλοκοσμίας αὖθις; ἡ δὲ φιλία τοῦ κόσμου, ἔχθρα εἰς Θεόν, φησὶ Παῦλος, ὁ νυμφοστόλος τοῦ πνευματικοῦ νυμφῶνος. οὐκοῦν οὐ διαζυγῆναι κινδυνεύσει μόνον, ἀλλὰ καὶ εἰς ἔχθραν τοῦ ὑπερκοσμίου νυμφίου καταστῆναι. καὶ μὴ θαυμάσῃς, μηδ' ἀνιαθῇς, εἰ ταῖς μὲν ἐν συζυγίᾳ παρὰ τῆς γραφῆς μέμψις οὐ προσγίνεται μεριμνώσαις τὰ τοῦ κόσμου, ἀλλ' οὐ τὰ τοῦ Κυρίου. ταῖς δὲ τὴν παρθενίαν ἐπαγγειλαμέναις τῷ Θεῷ, καὶ ψαύειν ὅλως τῶν ἐν κόσμῳ ἀπηγόρευται, καὶ ζῆν ὅλως ἐν ἀνέσει οὐκ ἔφειται. καίτοι καὶ τοῖς

*ἐν ἄλλ. ὧν

ἐν συζυγίᾳ προσφωνεῖ Παῦλος· ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι, καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι. ὃ τοῦ κατὰ τὴν παρθενίαν ἀγῶνος δυσανυστότερον ἐγὼ νομίζω. καὶ τὴν νηστείαν γάρ, τῆς περὶ τροφὴν καὶ πόσιν ἐγκρατείας, δυσχερεστέραν δείκνυσιν ἡ πεῖρα. καὶ φαίη ἄν τις δίκαια, καὶ ἀληθῆ· ὡς εἰ μὲν μὴ ἔλοιτό τις σώζεσθαι, λόγος πρὸς αὐτὸν ἡμῖν οὐδείς. εἰ δέ τινι μέλει τῆς οἰκείας σωτηρίας, οὗτος ἴστω τὸν ἐν παρθενίᾳ βίον, πολλῷ τοῦ μεγέθους ἀνυσιμώτερον ὄντα, καὶ ἀποιώτερον. ἀλλὰ ταῦτα μὲν ἀφῶμεν, ἐκεῖνο δὲ ἐπὶ νοῦν λάβε μοι παρθένε, νύμφη Χριστοῦ, κλῆμα τῆς ἀμπέλου τῆς ζωῆς, ὅπερ ἀνωτέρω εἴρηται. φησὶ γὰρ ὁ Κύριος· ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα, ὁ Πατήρ μου ὁ γεωργός ἐστι. πᾶν κλῆμα ἐν ἐμοὶ καρπὸν φέρον, καθαίρει αὐτό, ἵνα πλείονα καρπὸν φέρῃ. δεῖγμα τοίνυν ποιοῦ τὴν περὶ σὲ ταύτην ἐπιμέλειαν, τοῦ τῆς παρθενίας σου καρποῦ, καὶ τοῦ πρὸς σὲ φίλτρου τοῦ νυμφίου. καὶ χαῖρε μᾶλλον, καὶ ἀντιφιλοτιμοῦ τὴν πρὸς αὐτὸν εὐπείθειαν. ἄλλως τε· καὶ χρυσὸς μὲν χαλκοῦ τι συμμιγὲς δεξάμενος, κίβδηλος καλεῖται· χαλκὸς δὲ περιττὸν ψῆγμα δεξάμενος χρυσοῦ, λαμπρότερος ἑαυτοῦ φανεῖται καὶ στιλπνότερος. οὕτω σὲ μὲν καὶ τὰ σὰ ποθεῖν ἐκείναις, ὦ παρθένε, ταῖς μὴ παρθένοις, δόξα. σοὶ δὲ ἀτιμίαν φέρει ποθεῖν ἐκείνας. ἐπιστρέφει γάρ σε πάλιν ὁ πόθος εἰς τὸν κόσμον. τοῦτο μέν, ὡς πρὸς τοὺς ἐν κόσμῳ ζῶντας σχέσιν ἔχουσαν, καὶ συζῶσαν ἐκείνοις τὴν τῷ κόσμῳ θανοῦσαν. τοῦτο δέ, ὡς προσεῖναι τούτοις, βουλομένην, ἃ καὶ αὐτοὶ βούλοιντ' ἄν, ἑαυτοῖς, καὶ τοῖς συγγενέσιν ἑαυτῶν· εὐθηνίαν παντοίων τῶν κατὰ τὸν βίον, πλοῦτον, περιφάνειαν, δόξαν, καὶ τὴν ἐπὶ τούτοις εὐθυ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μίαν. καὶ οὕτω συμβήσεταί σοι, τοῦ βουλήματος τοῦ σοῦ νυμφίου ἐκπεσεῖν. ταῦτα γὰρ πάντα, σαφῶς ἐκεῖνος ἐν Εὐαγγελίοις ταλανίζει, λέγων· οὐαὶ οἱ πλουτοῦντες, οὐαὶ οἱ γελῶντες, οὐαὶ οἱ ἐμπεπλησμένοι, οὐαὶ ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι. πῶς οὖν ταλανίζει τούτους; οὐχ ὡς τὴν ψυχὴν νενεκρωμένους; τίς οὖν τῇ νύμφῃ τῆς ζωῆς συγγένεια πρὸς τοὺς νεκρούς; τίς συνάφεια, τοῖς τὰς ἐναντίας βαδίζουσιν ὁδούς; πλατεῖα γὰρ καὶ εὐρύχωρος, δι' ἧς ἐκεῖνοι φέρονται. κἂν μὴ παρακατάσχωσιν ἑαυτούς, τῷ σῶντι μίξαντες, ἐκπεσοῦνται τελέως εἰς ἀπώλειαν. σὺ δὲ διὰ τῆς στενῆς καὶ τεθλιμμένης πύλης, καὶ ὁδοῦ, πρὸς τὴν ζωὴν εἰσέρχῃ. διὰ στενῆς δὲ πύλης, καὶ ὁδοῦ, οὐκ ὄγκον δόξης, οὐχ ἡδονῆς διέρχοιντ', οὐ φόρτον χρημάτων καὶ κτημάτων ἀναθέμενός τις, διϊέναι δύναιτ' ἄν· ἀλλὰ μὴ πλατεῖαν ἀκούσασα, ἐκείνην τὴν ὁδὸν τοῦ βίου, ἄλυπον ἡγοῦ· πολυσυμφορωτάτη γάρ ἐστι, καὶ βαρυσυμφορωτάτη. Πλατεῖαν δέ φησι καὶ εὐρύχωρον αὐτήν, ὅτι πολλοί εἰσιν οἱ διερχόμενοι δι' αὐτῆς· καὶ τούτων ἕκαστος, πολὺν συρφετὸν τῆς ῥεούσης περικείμενος ὕλης. ἡ σὴ δὲ μάλιστα στενή, παρθένε, σύνδυο γὰρ ἐρχομένους οὐ χωρεῖ. ταῦτ' ἄρα καὶ πολλαὶ τῶν ὑπὸ τοῦ κόσμου προκατειλημμένων, μετὰ τὸ μονωθῆναι τῶν συζύγων, κατὰ ζῆλον τῆς σῆς ὑπερκοσμίου πολιτείας, ἀρνησάμεναι τὸν κόσμον, τὴν στενὴν εἵλοντο βαδίζειν, ὡς καὶ τῶν στεφάνων κοινωνήσαιεν· ἃς καὶ τιμᾶσθαι παραγγέλλει ὁ Παῦλος, ὡς προσκαρτερούσας ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς, μετὰ τῆς εἰς Θεὸν ἐλπίδος. εἰ γάρ τι καὶ τῇ τοιαύτῃ πολιτείᾳ πρόσεστιν ἀνιαρόν, ἀλλὰ καὶ τοῦτο παρακλήσεως ποιητικόν, καὶ βασιλείας οὐρανῶν παρεκτικόν, καὶ σωτηρίας πρόξενον, ἐκείνης δὲ καὶ τὸ τερπνὸν καὶ τὸ ἀνιαρόν, θανατηφόρον. ἡ γὰρ λύπη, φησίν, ἡ κατὰ κόσμον, θάνατον κατεργάζεται. ἡ δὲ λύπη ἡ κατὰ Θεόν, μετάνοιαν ἀμεταμέλητον εἰς σωτηρίαν. διὰ τοῦτο καὶ τὰ ἐναντία τῶν ἐν τῷ κόσμῳ καλῶν, μακαρίζει ὁ Κύριος λέγων· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. διατί δὲ εἰπὼν μακάριοι οἱ πτωχοί, προσέθηκε τῷ πνεύματι; ἵνα δείξῃ τὴν μετριότητα τῆς ψυχῆς, μακαρίζων καὶ ἀποδεχόμενος. διατί δὲ οὐκ εἶπε μακάριοι οἱ πτωχοὶ τὸ πνεῦμα, καὶ οὕτω γὰρ ἄν, ἐδήλου τὸ τοῦ φρονήματος μέτριον· ἀλλὰ μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι; ὡς ἂν ἡμᾶς διδάξῃ, μακαριστὴν εἶναι καὶ τὴν ἐν σώματι πτωχείαν, καὶ παρεκτικὴν τῆς οὐρανίου βασιλείας, ἀλλ' ὅταν διὰ τὴν τῆς ψυχῆς ταπείνωσιν τελῆται, καὶ ταύτῃ συνημμένη ᾖ, καὶ ἀπὸ ταύτης ἔχῃ τὴν ἀρχήν. μακαρίσας γὰρ τοὺς πτωχοὺς τῷ πνεύματι, θαυμασίως ὑπέδειξε, ποῖον ἐστὶν ὡσανεὶ ῥίζα καὶ πρόξενον τῆς ἐπιφαινομένης πτωχείας τοῖς ἁγίοις, δηλονότι τὸ ἐκείνων πνεῦμα. τοῦτο γὰρ τὴν τοῦ Εὐαγγελικοῦ κηρύγματος ἐγκολπωσάμενον χάριν, πηγὴν πτωχείας ἀναδίδωσιν ἀφ' ἑαυτοῦ, ποτίζουσαν πᾶν τὸ πρόσωπον τῆς γῆς, ἡμῶν, τὸν ἔξω δηλονότι ἄνθρωπον, καὶ παράδεισον αὐτὸν ἀρετῶν ἀποτελοῦσαν. ἡ τοιαύτη γὰρ πτωχεία, παρὰ Θεοῦ μακαριστή. λόγον δὲ συντετμημένον, κατὰ τὸν Προφήτην, διδοὺς ὁ Κύριος ἐπὶ τῆς γῆς, τὸ αἴτιον τῆς ἐθελουσίου καὶ πολυειδοῦς πτωχείας, καὶ ὅ,τι ταύτης αἴτιον δείξας τε καὶ μακαρίσας, πολλὰ ὄντα τὰ αἰτιατά, συμπεριείληφεν, ἐν βραχεῖ διδάξας περὶ πάντων. δύναται γάρ τις ἀκτήμων εἶναι, ἀλλὰ καὶ ἐντελὴς ἐγκρατής, καὶ ταῦτα ἑκουσίως, ἀλλὰ διὰ τὴν δόξαν τῶν ἀνθρώπων. ὁ τοιοῦτος τοίνυν, οὐκ ἔστι τῷ πνεύματι πτωχός. ἡ γὰρ ὑπόκρισις,

ἐξ οἰήσεως γεννᾶται· αὕτη δὲ τῆς ἐν πνεύματι πτωχείας ἐναντία. τὸ δὲ συντετριμμένον ἔχοντι, καὶ μέτριον, καὶ ταπεινὸν, τὸ πνεῦμα, τῶν ἀδυνάτων, μὴ καὶ τῇ φαινομένῃ χαίρειν εὐτελείᾳ τε, καὶ ταπεινώσει. δόξης γὰρ, καὶ εὐπαθείας, εὐπορίας τε, καὶ πάντων τῶν τοιούτων, ἀνάξιον οὗτος ἡγεῖται ἑαυτόν. καὶ οὗτος ὁ Θεῷ μακαριστὸς πτωχὸς, ὁ ἀνάξιον πάντων ἑαυτὸν ἡγούμενος. καὶ οὗτος ὁ κατ' ἀλήθειαν πτωχὸς, μὴ ἐξ ἡμισείας τοῦ ὀνόματος ἀντιποιούμενος. διὸ καὶ Λουκᾶς ὁ θεῖος, μακάριοι εἶπεν· οἱ πτωχοὶ, μὴ προσθεὶς τῷ πνεύματι. καὶ οὗτοι εἰσὶν οἱ ἀκούοντες, καὶ ἀκολουθήσαντες, καὶ ἀφωμοιωμένοι τῷ τοῦ Θεοῦ Υἱῷ, λέγοντι, μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· διὸ καὶ αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· συγκληρονόμοι γάρ εἰσι Χριστοῦ. τριμεροῦς δὲ οὔσης τῆς ψυχῆς, καὶ ἐν τρισὶ δυνάμεσι θεωρουμένης, λογιστικῷ, θυμικῷ τε, καὶ ἐπιθυμητικῷ, καὶ νοσούσης κατὰ ταῦτα πάντα, εἰκότως ὁ ταύτην ἰώμενος Χριστὸς, ἀπὸ τοῦ ἐσχάτου τῆς ἐπιθυμίας, ἤρξατο τῆς θεραπείας. ὕλη μὲν γὰρ θυμοῦ, ἐπιθυμία ἀποτυγχάνουσα· τὴν δὲ μετεωρισμοῦ τῆς διανοίας, ἄμφω ταῦτα διακείμενα κακῶς· καὶ οὐκ ἂν ποθ' ὑγιὲς ὀφθείη, οὔτε τὸ τῆς ψυχῆς θυμούμενον, μὴ τῆς ἐπιθυμίας προτέρας ἰαθείσης· οὔτε τὸ λογιζόμενον, μὴ ἄμφω τούτων προτεθεραπευμένων. τοῦ δὲ ἐπιθυμητικοῦ, πρῶτον πονηρὸν γέννημα, τὴν φιλοκτημοσύνην ἐξετάσας εὕροις ἄν. αἱ γὰρ πρὸς τὸ ζῆν συντελοῦσαι τοῖς ἀνθρώποις ἐπιθυμίαι, οὐχ ὑπαίτιοι. διὸ καὶ ἐξ ἁπαλῶν ὀνύχων συμπεφύκασιν ἡμῖν. ἡ δὲ φιλαργυρία, μικρὸν ὕστερον προσφύεται παισὶν ἔτι οὖσιν. ὅθεν φαίνεται, ὡς οὐκ ἐκ φύσεως, ἀλλ' ἐκ προαιρέσεως ἔχει τὴν ἀρχήν. ῥίζαν δὲ αὐτὴν πάντων τῶν κακῶν, δικαίως ὠνόμασεν ὁ θεσπέσιος Παῦλος. τὰ μὲν γὰρ τῶν κακῶν, αὕτη πέφυκε γεννᾶν· φειδωλίας, καπηλείας, ἁρπαγὰς, κλοπὰς, καὶ ἁπλῶς πᾶν εἶδος πλεονεξίας· ἣν δευτέραν εἰδωλολατρείαν ὁ αὐτὸς προσηγόρευσε. τοῖς δὲ μὴ φυομένοις ἐξ αὐτῆς, σχεδὸν πᾶσι χορηγεῖ τὴν ὕλην τῆς συστάσεως. ταῦτα δὲ πάντα, ὅσα ἐκ φιλοϋλίας τίκτεται, ψυχῆς εἰσι πάθη, ζέσιν οὐκ ἐχούσης πρὸς ἀγαθοεργίαν. τῶν γὰρ ἀπὸ φύσεως ἐχόντων τὴν ἀρχὴν παθῶν, τὰ ἐκ προαιρέσεως, δυσαπαλλακτότερά εἰσι· δυσαπόβλητα δὲ, τὰ ἐκ φιλαργυρίας πάθη κατεργάζεται, ἡ ἀπιστία τῆς τοῦ Θεοῦ προνοίας. ταύτῃ γὰρ ὁ μὴ πιστεύων, ἐπὶ χρήμασι πέποιθε. καὶ τοῦ Κυρίου λέγοντος ἀκούων, ὡς εὐκοπώτερόν ἐστι, κάμηλον διὰ τρυπήματος ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, αὐτὸς παρ' οὐδὲν θέμενος βασιλείαν, καὶ βασιλείαν οὐράνιον, καὶ ἀΐδιον, ποθεῖ πλοῦτον, γήϊνόν τε καὶ διαρρέοντα· πλοῦτον, ὃς κἂν μὴ παρῇ τοῖς ποθοῦσιν, αὐτῷ τῷ ποθεῖσθαι ζημιοῖ τὰ μέγιστα. ἐμπίπτουσι γὰρ εἰς πειρασμοὺς καὶ παγίδας τοῦ διαβόλου, καθά φησι Παῦλος, οἱ ἐπιθυμοῦντες πλουτεῖν. ἀλλὰ καὶ παραγενόμενος οἴκοθεν, ἔδειξε μηδὲν ὤν. * εἴθ' ὡς μὴ παρὼν διψώμενος, ὑπὸ τῶν μηδὲ τῇ πείρᾳ τούτου εἰληφότων. οὐ γὰρ ἐξ ἐνδείας ὁ δύσερως οὗτος ἔρως. αὕτη δὲ ἐξ αὐτοῦ μᾶλλον· ἐξ ἀφροσύνης δ' αὐτός· ἀφ' ἧς καὶ ὁ καθαιρῶν τὰς ἀποθήκας ἐκείνας, καὶ μείζονας οἰκοδομῶν, παρὰ τοῦ κοινοῦ δεσπότου Χριστοῦ δικαιότατα καλεῖται. Πῶς γὰρ οὐκ ἄφρων, ὃς τῶν μηδὲν ὀνῆσαι δυναμένων ἕνεκα, (οὐδενὶ γὰρ ἐκ τοῦ περισσοῦ ἐστιν ἡ ζωὴ αὐτοῦ ἐκ τῶν ὑπαρχόντων αὐτῷ) τούτων οὗ χάριν, τὰ λυσιτελέστατα προΐεται, καὶ οὐ σοφὸς γίνεται πραγματευτὴς, καὶ τῶν

* ἴσ. ἀλλ. εἶθ' ὤν

ἀναγκαίων αὐτῶν, κατὰ τὸ δυνατὸν ὑφαιρῶν, καὶ προστιθεὶς τῷ κεφαλαίῳ τῆς ὄντως πολυφόρου καὶ πολυκερδοῦς ἐμπορείας, ἢ γεωργίας; γεωργίας, ἢ γῆ. καὶ πρὶν ἐφεστάναι τὸν τοῦ ἀμητοῦ καιρόν, εἰς ἑκατὸν πολυπλασιάζει τὸ καταβληθέν· οἷον προδεικνῦσα τὸ μέλλον κέρδος, καὶ τὴν ἐπὶ τοῦ καιροῦ φοράν, ὡς ἀνεκλάλητόν τε καὶ ἀνεννόητον. καὶ τὸ παραδοξότατον, ὅσον ἂν ἀπὸ στενωτέρων ἢ ταμείων τὰ σπέρματα· οὕτως οὐδὲ ἐπ᾽ ἀγαθῷ τοῖς ἀνθρώποις πρόφασις ἐφέσεως τοῦ πλούτου ὑπολέλειπται· ἀλλὰ τὴν ἔνδειαν ὑφορῶνται, τῷ προσθήσειν ὑπεσχημένῳ τὰ τῇδε πάντα, τοῖς ζητοῦσι τὴν τοῦ Θεοῦ βασιλείαν, μὴ πάντως πιστεύοντες, καὶ ταύτην μόνην ἔχοντες ἀφορμήν, κἂν πάντα περιβάλλωνται, τῆς νοσερᾶς καὶ ἀπολυμένης ἐπιθυμίας οὐδέποτε ἀναφέρουσιν· ἀλλ᾽ ἀεὶ συλλέγοντες, ἑαυτοῖς ἀνατιθέασι φόρτον ἀνόνητον, μᾶλλον δὲ καινότατον ἔτι ζῶσι τάφον περιτιθέασι. τῇ μὲν γὰρ ἁπλῶς γῇ, τῶν ἀνθρώπων οἱ νεκροὶ κατορύττονται. τῷ δὲ τοῦ χρυσοῦ χοΐ, ὁ τοῦ ζῶντος φιλαργύρου νοῦς. καὶ δυσωδέστερος οὗτος ὁ τάφος ἐκείνου, τοῖς ὑγιῶς ἔχουσι τῶν αἰσθήσεων· καὶ τοσοῦτον μᾶλλον, ὅσον πλέον ἐπιθήσει τὸν χοῦν. νικᾷ γὰρ τὸ τῶν κατακεχωσμένων ἐκείνων ἀθλίων ἕλκος· καὶ μέχρις οὐρανοῦ τὰ τῆς ὀσμῆς φέρεται, καὶ τῶν Ἀγγέλων Θεοῦ, καὶ Θεοῦ. καὶ βδελυκτοὶ ταύτῃ γίνονται, καὶ τῆς ἀποστροφῆς ὄντως ἄνθρωποι, δαυϊτικῶς εἰπεῖν, ἀπὸ προσώπου τῆς ἀφροσύνης αὐτῶν προσοζέσαντες. ἀπαλλάττει δὲ τοὺς ἀνθρώπους, τοῦ δυσώδους καὶ νεκροποιοῦ τούτου πάθους, ἡ μὴ πρὸς ἀνθρωπαρέσκειαν ἐθελούσιος ἀκτημοσύνη. ταυτὸν δ᾽ εἰπεῖν ἡ ἐν πνεύματι πτωχεία, ἣν ὁ Κύριος ἐμακάρισε. Μοναχὸν τὸ πάθος τοῦτ᾽ ἔχοντα, ὑποταγῆναι ἀδύνατον. ἂν δὲ παραμείνῃ περιέπων ὅτι μάλιστα, πολὺ τὸ δέος, μὴ καὶ ἀνηκέστοις τὸ σῶμα περιπέσῃ κακοῖς. Γιεζῆ, καὶ Ἰούδας ἐκ παλαιᾶς καὶ νέας διαθήκης, ἱκανὰ ὑποδείγματα. τῷ μὲν γὰρ λέπρα ἐπελύθησε, δεῖγμα τῆς ἀθεραπεύτου ψυχῆς. ὁ δὲ ἐν τῷ χωρίῳ τοῦ αἵματος, ἐκ τῆς ἀγχόνης * χωρισθείς, πρηνὴς ἐλάκησε μέσος, καὶ ἐξεχύθη τὰ σπλάγχνα αὐτοῦ. εἰ δὲ ἡ ἀποταγὴ προηγεῖται τῆς ὑποταγῆς, πῶς ἔσται πρὸ τοῦ ἡγουμένου τὸ ἑπόμενον; εἰ δὲ καὶ τῆς κατὰ Μοναχοὺς πολιτείας, οἱονεί τις στοιχειώδης ἀρχὴ καθέστηκεν αὕτη, πῶς ἂν ἕτερόν τινα διενέγκῃ καλῶς τῶν κατ᾽ αὐτὴν ἀγώνων, ὁ μὴ χρήμασιν ἀποταξάμενος πρότερον; τί γάρ, εἰ καὶ πρὸς ὑποταγὴν ὁ τοιοῦτος ἀδόκιμος; ἀλλ᾽ ἡσυχάσει καθ᾽ ἑαυτὸν τῷ κελλίῳ, κατὰ μόνας σχολάζων, καὶ προσευχῇ προσανέχων; ἀλλ᾽ ὅπου ὁ θησαυρός σου, φησὶν ὁ Κύριος, ἐκεῖ καὶ ὁ νοῦς σου. Πῶς οὖν νοερῶς ἀτενίσει πρὸς τὸν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς καθήμενον, ἐπὶ γῆς θησαυρίζων; πῶς δὲ κληρονομήσει τὴν βασιλείαν, ἣν οὐδ᾽ ἐπὶ τοῦ λαβεῖν, ὑπὸ τοῦ πάθους καθαρῶς συγχωρεῖται; διὰ τοῦτο μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. ὁρᾷς ὅσα δι᾽ ἑνὸς μακαρισμοῦ περιέκοψεν ὁ Κύριος πάθη. ἀλλὰ γάρ, οὐ ταῦτα μόνον, ἐπεὶ καὶ πρῶτον γέννημα τῆς πονηρᾶς ἐπιθυμίας τὴν φιλοϋλίαν εἰρήκαμεν. ἔστι γὰρ αὐτῇ καὶ δεύτερον φθινώτερον, καὶ τρίτον, τῇ κακίᾳ οὐχ ἧττον. ποῖον δὴ τὸ δεύτερον; ἡ φιλοδοξία. Προϊούσης γὰρ τῆς ἡλικίας, πρότερον τῆς φιλοσαρκίας ὑπαντᾷ τισὶ τὸ πάθος, ἔτι νέοις οὖσι, καθάπερ προοίμιον κακὸν ἐκείνης. φιλοδοξίας δὲ εἶδος, ἐκεῖνο λέγω νῦν, ὃ πρὸς καλλωπισμοὺς βλέπει σωμάτων, καὶ πολυτελείας ἐνδυμάτων· ἣν καὶ κοσμικὴν κενοδοξίαν οἱ Πατέρες λέγουσι. τὸ γὰρ ἕτερον εἶδος

* ἐν ἄλ. χυσῆσα



Athos Library
Αγιορειτική Βιβλιοθήκη

* ἐν ἄλλ. ἀρετὴν

τῆς κενοδοξίας, τοῖς * ἀρετῇ διενεγκοῦσιν ἐπιτίθεται. συνεπαγόμενον οἴησίν τε, καὶ ὑπόκρισιν· δι' ὧν συλῆσαι καὶ διασκεδάσαι τὸν πνευματικὸν πλοῦτον ὁ ἐχθρὸς μηχανᾶται. ταῦτα δὲ πάντα, τελείας τεύξεται τῆς θεραπείας αἰδέσει τε καὶ πόθῳ τῆς ἄνωθεν τιμῆς, μετὰ τοῦ ἀνάξιον ἐκείνης ἑαυτὴν ἡγεῖσθαι τὴν ποθοῦσαν· καὶ τῆς ἐπ' ἀνθρώπων ἀτελείας καρτερίᾳ, μετὰ τοῦ ἄξιον αὐτῆς ἡγεῖσθαι. πρὸς δὲ, καὶ τῆς τῆς οἰκείας δόξης, προτιμοτέραν ἡγεῖσθαι τὴν δόξαν τοῦ Θεοῦ, κατὰ τὸν λέγοντα, μὴ ἡμῖν Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν. κἄν τι τῶν ἐπαινετῶν ἐξειργασμένον οἶδεν ἑαυτὸν, τῷ Θεῷ λογίζεσθαι τὴν αἰτίαν τοῦ κατορθώματος· καὶ τούτῳ χρεωστεῖν καὶ ὑπὲρ ταύτης δόξαν εὐγνωμόνως ἀναπέμπειν, ἀλλ' οὐχ ἑαυτῷ. οὕτω γὰρ χαρίσεται μὲν ὡς δῶρον λαβὼν τὴν ἀρετήν· οὐκ ἐπαρθήσεται δὲ, ὡς οἴκοθεν μηδὲν ἔχων· ἀλλὰ καὶ ταπεινωθήσεται, τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἔχων ἐπὶ τὸν Θεὸν ἡμέρας καὶ νυκτὸς, ὡς τοὺς ὀφθαλμοὺς παιδίσκη, ψαλμικῶς εἰπεῖν, ἐπὶ τὰς χεῖρας τῆς κυρίας αὐτῆς· δεδιὼς μὴ τοῦ μόνου καὶ δυνατοῦ καὶ συνέχοντος ἐν τῷ καλῷ διαζευχθεὶς, εἰς τὸ τῆς κακίας βάραθρον κατενεχθῇ. τοῦτο γὰρ πάσχει, ὁ οἰήσει δουλεύων καὶ κενοδοξίᾳ. συνεργεῖ δὲ πρὸς τὴν τούτων ἴασιν διαφερόντως καὶ ἡ ἀναχώρησις· καὶ τὸ καταμόνας πολιτεύεσθαι, καὶ τῇ κέλλῃ παραμένειν. ἐπιδημοῦσα μέντοι τῆς προαιρέσεως τὴν οἰκείαν ἀσθένειαν· καὶ οὐχ ἱκανὸν λογιζόμενον ἑαυτὸν συναναμίγνυσθαι ἀνθρώποις. ταῦτα δὲ τί ἄλλο ἐστὶν, ἢ ἡ ἐν πνεύματι πτωχεία, ἣν ὁ Κύριος ἐμακάρισεν; ἂν δέ τις ἐπὶ νοῦν λάβῃ καὶ τὰ πεφυκότα προσγίνεσθαι παρ' αὐτοῦ τοῦ πάθους αἴσχη, φεύξεται τὴν κενοδοξίαν ᾗ δυνάμεως ἔχει. Ποθῶν γὰρ τὴν παρ' ἀνθρώπων δόξαν, ἐξ αὐτῆς τῆς ὑπὲρ αὐτῆς ἔργων, ἀδοξίᾳ περιτυγχάνει. ὥρας γὰρ ἐπιμελούμενος, καὶ μέγα φρονῶν ἐπὶ προγόνων εὐκλείᾳ, καὶ ἐπ' εὐχροίᾳ περιβολαίων, καὶ τοιούτοις ἄλλοις σεμνυνόμενος, δῆλον ἑαυτὸν ποιεῖ, νηπιώδους ἔτι φρονήματος ἐπειλημμένον. καὶ γὰρ ταῦθ' ὁμοῦ πάντα, χοῦς· τί δὲ χοὸς ἀτιμότερον; ἡ δὲ μὴ πρὸς σκέπην, ἢ θάλψιν χρωμένη τῇ περιβολῇ τοῦ σώματος, ἀλλ' ἐπιτηδευμένη πρὸς μαλακότητάς τε καὶ στιλπνότητας, οὐ μόνον τὴν ἀκαρπίαν τῆς οἰκείας ψυχῆς, τοῖς ὁρῶσι καταγγέλλει, πρὸς δὲ τούτῳ, καὶ τὴν τῶν ἐναβρυνομένων ἀσχημοσύνην ἐπιτίθεται. παντὸς δὲ μᾶλλον ἀκουέτω τοῦ λέγοντος, ὅτι οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλείων εἰσίν. ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς εἶναί φησιν ὁ θεσπέσιος Παῦλος. μὴ οὖν διὰ τὴν ἐν ἐνδύμασι βλακείαν, εἰς τὰς σκηνὰς ἀπ' οὐρανοῦ ῥιφῶμεν, τοῦ κοσμοκράτορος τοῦ σκότους τοῦ αἰῶνος τούτου. τοῦτ' αὐτὸ πάσχουσι, καὶ οἱ πρὸς τὴν τῶν ἀνθρώπων δόξαν τὴν ἀρετὴν μετιόντες. οἱ γὰρ λαχόντες τὸ πολίτευμα ἔχειν ἐν οὐρανοῖς, κατασκηνοῦσι· φεῦ· εἰς χοῦν τὴν ἑαυτῶν δόξαν, τὴν Δαβιτικὴν ἀρὰν, ἐφ' ἑαυτοὺς ἕλκοντες. οὔτε γὰρ ἡ προσευχὴ αὐτῶν ἄνεισι πρὸς οὐρανὸν, καὶ πᾶν σπούδασμα κάτω πίπτει, τὰ πτερὰ τῆς μεταρσίου τὰς ἐπὶ γῆς πράξεις ἡμῶν ποιούσης θείας ἀγάπης οὐ περικείμενον. ὥστε καὶ πόνους ὑφίστανται, καὶ τοὺς μισθοὺς οὐ καρποῦνται. καὶ τί λέγω τὴν τῶν μισθῶν ἀκαρπίαν; καρποφοροῦσι μὲν οὖν, ἀλλ' αἰσχύνην, καὶ λογισμῶν ἀστασίαν, καὶ διανοίας αἰχμαλωσίαν, καὶ ταραχήν. Κύριος γάρ φησι· διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων. κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς. τοῦτο τὸ πάθος λεπτότατόν ἐστι, παθῶν ἁπάντων. διὸ δεῖ τὸν προσπαλαίοντα, μὴ τὸν συνδυασμὸν ἐπάξειν, ἢ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὴν συγκατάθεσιν φεύγειν, ἀλλ' αὐτὴν τὴν προσβολήν, ὡς συγκατάθεσιν λογίζεσθαί τε, καὶ φυλάττεσθαι. μόλις γὰρ αὖ οὕτω τὸ τάχος τῆς ἥττης παραδράμῃ· κἂν μὲν οὕτω πράττῃ νήφων, ἡ προσβολὴ γίνεται καταπύξεως πρόξενος· εἰ δὲ μή, τῇ ὑπερηφανίᾳ τόπος ἑτοιμάζεται. ταύτην δὲ ὁ προσλαβόμενος, δυσανακλήτως, μᾶλλον δὲ καὶ ἀνιάτως, ἔχει. διαβολικὸν γάρ ἐστι τὸ πτῶμα. ἀλλὰ καὶ πρὸ τούτου, τὸ τῆς ἀνθρωπαρεσκείας πάθος, τοσαύτην ἐπαντλεῖ τοῖς κεκτημένοις βλάβην, ὡς καὶ περὶ αὐτὴν τὴν πίστιν ναυαγεῖν· κατὰ τὸν εἰπόντα, πῶς δύνασθε πιστεύειν εἰς ἐμέ, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες; καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; τί δή σοι καὶ τῇ τῶν ἀνθρώπων δόξῃ ὦ ἄνθρωπε; μᾶλλον δὲ τῷ κενῷ τῆς δόξης ὀνόματι; καὶ οὐκ ἐστερημένῳ μόνον, ἀλλὰ καὶ στερητικῷ τοῦ πράγματος; καὶ οὐ τοῦτο μόνον, ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ γεννητικῷ τοῦ φθόνου; φθόνου, τοῦ δυνάμει φόνου, καὶ προξένου τῆς πρώτης μιαιφονίας, καὶ τῆς ὕστερον θεοκτονίας. ἆρα τί συντελεῖ τῇ φύσει; συνέχον, ἢ φυλάττον, ἢ σφαλεῖσαν ἀναλαμβάνον ὁπωσοῦν αὐτὴν καὶ ἰώμενον; πάντως οὐκ ἂν ἔχοι τὶς εἰπεῖν ὅτι. ἀλλ' οἶμαι καὶ τοῦτ' εἶναι καὶ τῶν ἐν προφάσει παραχρήσεων ἔλεγχον. εἰ δέ τις ἀκριβῶς ἐξετάσαι θελήσει, τὴν αὐτὴν δολερῶς εὑρήσει καὶ προξενοῦσαν τῶν αἰσχίστων τὰ πλεῖστα, καὶ ἀπελέγχουσαν· καὶ τὸ προσωπεῖον ἀναιδῶς ἀποτιθεμένην ἐσθ' ὅτε κἀνταῦθα, καὶ τοὺς ἐραστὰς καταισχύνουσαν· κἂν οἱ τῶν ἑλληνικῶν δογμάτων καθηγεμόνες, οὐδὲν αὐτῆς ἀντὶ τῶν ἐν τῷ βίῳ κατορθωμάτων οἴονται. φεῦ τῆς πλάνης, ὅτι μηδ' αἰσχύνονται λέγοντες. ἀλλ' ἡμεῖς οὐχ οὕτως ἐδιδάχθημεν, οἱ φερωνύμως ἐπώνυμοι, τοῦ δι' ἑαυτοῦ φιλανθρώπως τὸ ἡμέτερον χρίσαντος. ἀλλ' αὐτὸν ἔχομεν τῶν πραττομένων ἐπόπτην· πρὸς ὃν οἱ βλέποντες, δι' αὐτοῦ τε καὶ δι' αὐτὸν πᾶν ὅ,τι κάλλιστον κατορθοῦσι. πάντα εἰς δόξαν Θεοῦ ποιοῦντες, καὶ ἀνθρώποις ὅλως ἀρέσκειν οὐκ ἐφιέμενοι· μᾶλλον δὲ οὐδ' ἀρέσκοντες, κατὰ Παῦλον τὸν ἄκρον μύστην τοῦ νομοθέτου, καὶ νομοδότην ἡμῶν. εἰ γὰρ ἔτι φησὶν ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. ἀλλὰ γὰρ ἴδωμεν, εἰ καὶ τὸ τρίτον ἔκγονον, τῆς κακῶς ἐχούσης ἐπιθυμίας, διὰ τῆς μακαριζομένης ἀναιρεῖται πτωχείας. τρίτος τοίνυν τόκος, κατ' ἐπιθυμίαν νοσούσης τῆς ψυχῆς, γαστριμαργία· παρ' ἧς ἀκαθαρσία πᾶσα σαρκική. πῶς δὲ αὐτὴν τρίτην καὶ ὑστέραν λέγομεν; καίτοι ἔμφυτον ἡμῖν οὖσαν ἐξ αὐτῆς γενέσεως; οὐ γὰρ μόνον αὕτη, ἀλλὰ καὶ αἱ πρὸς τεκνογονίαν φυσικαὶ κινήσεις ἐπισημαίνουσιν ὑπομαζίοις ἔτ' οὖσι τοῖς παισί. πῶς οὖν ἡμεῖς ὑστέραν τίθεμεν, τὴν τῆς σαρκικῆς ἐπιθυμίας νόσον; ἐπειδήπερ ἐκεῖνα φύσει πρόσεστιν ἡμῖν· ἀνέγκλητα δὲ τὰ φυσικά, παρὰ τοῦ ἀγαθοῦ Θεοῦ πεποιημένα· ἵνα δι' αὐτῶν ἐν ἔργοις ἀγαθοῖς περιπατήσωμεν. τοιγαροῦν, οὐκ ἔστι δείγματα ψυχῆς νοσούσης. τοῖς δὲ παραχρωμένοις, τοιαῦτα ταῦτα γίνεται. καὶ τοίνυν ὁπηνίκα τῆς σαρκὸς πρόνοιαν ποιούμεθα πρὸς τὰς ἐπιθυμίας, τότε δὴ κακὸν τὸ πάθος, καὶ σαρκικῶν παθῶν ἀρχή, καὶ ψυχῆς νόσος ἡ φιληδονία. ὥστε ἐπὶ τῶν τοιούτων, πρωτοπαθής ἐστιν ὁ νοῦς. διὸ καὶ ἀπὸ τῆς διανοίας πρώτης ὁρμωμένων τῶν πονηρῶν παθῶν, φησὶν ὁ Κύριος, ὅτι ἐκ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί, κἀκεῖνοί εἰσιν οἱ κοινοῦντες τὸν ἄνθρωπον. καὶ ὁ πρὸ τοῦ Εὐαγγελίου νόμος φησί, πρόσεχε σεαυτῷ, μήποτε γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα. εἰ γὰρ καὶ πρῶτος ὁ νοῦς ἐστιν ὁ διατεθεὶς κακῶς, ἀλλὰ κάτωθεν διὰ τῶν αἰσθή-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σεων, ἀναμαξάμενος τὴν φαντασίαν τῶν αἰσθητῶν σωμάτων, εἶτα πρὸς ἐκεῖνα διετέθη. καὶ μάλιστα διὰ τῶν ὀφθαλμῶν πρώτων· δυναμένων καὶ πόῤῥωθεν τὸ μῦσος ἐπισπάσασθαι, πρὸς τὴν παράχρησιν ἐπαίρεται· καὶ τούτου σαφὲς μαρτύριον, ἡ προμήτωρ καθέστηκεν Εὔα. πρῶτον γὰρ εἶδεν ὅτι καλὸν εἰς ὅρασιν, καὶ ὡραῖον τοῦ κατανοῆσαι, καὶ τότε συγκαταπεσοῦσα τῇ καρδίᾳ, ἥψατο καὶ ἐγεύσατο τοῦ ἀπηγορευμένου ξύλου. καλῶς ἄρ' ἐλέγομεν, ὅτι πρωτεύει, καὶ προοίμιόν ἐστιν ἡ πρὸς τὰ κάλλη τῶν σωμάτων ἧττα, τῶν αἰσχρῶν παθῶν. διὸ καὶ πατερικόν ἐστι παράγγελμα, κάλλος ἀλλοτρίων σωμάτων μὴ καταμανθάνειν, καὶ ἐπὶ ἰδίῳ μὴ τέρπεσθαι. πρὸ μέντοι τῆς ἐμπαθοῦς διανοίας, εἰ καὶ φυσικῶς ἐνθεωροῦνται τοῖς πᾶσι τὰ πάθη, ἀλλ' οὐ συνεργεῖ πρὸς ἁμαρτίαν, ἀλλὰ πρὸς τὴν τῆς φύσεως σύστασιν· διόπερ, οὐδὲ πονηρὰ τηνικαῦτα ταῦτ' ἐστίν. ἀλλ' ἐπειδὴ καὶ τὰ σαρκικὰ πάθη, παρὰ τοῦ ἐμπαθοῦς νοῦ λαμβάνει τὴν ἀρχήν, ἐξ αὐτοῦ δέον καὶ τῆς θεραπείας ἄρχεσθαι. ὡς γὰρ ἐπὶ πυρκαϊᾶς, ὁ σβέσαι ταύτην προθυμούμενος, εἰ τὴν φλόγα διατέμνει ἄνωθεν, ὤνησεν οὐδέν· εἰ δὲ τὴν ὕλην * ἀποσπάσειεν, εὐθὺς ἡ πυρκαϊὰ κατεμαράνθη. οὕτω καὶ ἐπὶ τῶν πορνικῶν παθῶν· εἰ μὴ τὴν πηγὴν τῶν λογισμῶν ἔνδον ξηράνεις διὰ εὐχῆς καὶ ταπεινώσεως, μόνῃ δὲ νηστείᾳ, καὶ κακοπαθείᾳ σώματος ὁπλίζῃ κατ' αὐτῶν, ἀνήνυτα πονεῖς· εἰ δὲ τὴν ῥίζαν ἁγιάσεις, διὰ ταπεινώσεως καὶ προσευχῆς, ὡς ἔφημεν, ἕξεις καὶ τοῖς ἔξω τὸν ἁγιασμόν. καὶ τοῦτό μοι δοκεῖ καὶ τὸ Ἀποστολικὸν ἐκεῖνο ὑφηγεῖσθαι λόγιον, τὸ λέγον, περιζώννυσθαι τὴν ὀσφὺν ἡμῶν ἐν ἀληθείᾳ· καθὰ καί τινι τῶν πατέρων κάλλιστα πεφιλοσόφηται· ὡς τοῦ θεωρητικοῦ, τὸ ἐπιθυμητικὸν περισφίγγοντος, καὶ συστέλλοντος τὰ ὑπ' ὀσφύν τε καὶ γαστέρα πάθη. δεῖ μέντοι καὶ τῷ σώματι κακοπαθείας, καὶ τῆς συμμέτρου τῶν βρωμάτων ἐγκρατείας, ἵνα μὴ δυσήνιον ᾖ, καὶ τοῦ λογισμοῦ βιαιότερον. τοιγαροῦν καὶ τὰ τῆς σαρκὸς πάντα πάθη, οὐδὲν ἕτερον ἰᾶται, ἢ κακοπάθεια σώματος, καὶ προσευχὴ ἐκ τεταπεινωμένης καρδίας ἐνεργουμένη· ὅ ἐστιν ἡ ἐν πνεύματι πτωχεία, ἣν ἐμακάρισεν ὁ Κύριος. εἰ γοῦν ἐπιθυμεῖ τις τὸν ἁγιασμὸν πλουτῆσαι, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον, παραμενέτω τῇ ἰδίᾳ κέλλῃ, κακοπαθῶν καὶ προσευχόμενος ἐν ταπεινώσει. τὸ γὰρ τοῦ καλῶς μονάζοντος κελλίον, λιμήν ἐστι σωφροσύνης· τὰ δ' ἔξω πάντα, καὶ μάλιστα τὰ κατ' ἀγορὰς καὶ πανηγύρεις, κυκεῶνος πορνικοῦ πεπλήρωται· ἐξ ἀκόσμων ἀκουσμάτων τε καὶ θεαμάτων ἐπεγειρομένου, καὶ τὴν ἀθλίαν τοῦ παραβαλόντος Μοναχοῦ ψυχὴν καταβαπτίζοντος. ἀλλὰ καὶ πῦρ ἂν εἴποις καιόμενον, τὸν κόσμον τῆς κακίας, ὕλην ποιούμενον τοὺς ὁμιλοῦντας, καὶ πᾶν εἶδος τῆς αὐτῶν ἀρετῆς ἀποτεφροῦν. τὸ δὲ μὴ καῖον πῦρ, ἐν ἐρήμῳ εὑρέθη. σὺ δ' ἀντὶ τῆς ἐρήμου, παράμενε τῇ κέλλῃ, καὶ ἐπικρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἄν σοι παρέλθοι ὁ χειμὼν τῆς ἐμπαθείας. αὐτοῦ γὰρ παραῤῥυέντος, ἡ ὕπαιθρος οὐ λυμαίνεται δίαιτα. τότε γὰρ καὶ πτωχὴ ὡς ἀληθῶς ἔσῃ τῷ πνεύματι, καὶ τὴν τῶν παθῶν κτήσῃ βασιλείαν, καὶ μακαρισθήσῃ λαμπρῶς ὑπὸ τοῦ λέγοντος, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. πῶς δ' οὐ μακαρίζοιντο δικαίως αὖ, οἱ μὴ πεποιθότες ὅλως ἐπὶ χρήμασιν, ἀλλ' ἐπ' αὐτῷ; οἱ μὴ ποθοῦντες ἀρέσκειν ἄλλῳ, πλὴν αὐτοῦ; οἱ ἐν ταπεινώσει μετὰ πάντων ζῶντες ἐνώπιον αὐτοῦ; πτωχεύσωμεν οὖν καὶ ἡμεῖς τὸ πνεῦμα ταπεινωθέντες, καὶ τὴν σάρκα κακοπαθήσαντες, καὶ τὸν βίον ἀκτημονήσαντες, ἵν' ἡμῶν γένηται ἡ τοῦ

* ἴσ. ὑποστάσειεν

Θεοῦ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Θεοῦ βασιλεία, καὶ τῶν μακαρίων ἐπιτύχωμεν ἐλπίδων, τὴν τῶν οὐρανῶν βασιλείαν κληρονομήσαντες. διὰ δέ τινας λόγους περιεκτικούς τε καὶ κεφαλαιώδεις, τοῦ τῆς σωτηρίας ἡμῶν Εὐαγγελίου προθεὶς ὁ Κύριος, οὐ ταύτας μόνον ἀρετὰς ἐν λόγῳ περιέλαβε, καὶ ταύτης κακίας τοῦ οἰκείου ἐξέβαλε μακαρισμοῦ· καὶ τὰς διὰ μετανοίας κατ᾽ αὐτῆς καλῶς περιτεμόντας, τὸ τῆς οἰκείας ψυχῆς παθητικὸν, εὐλόγησεν· ἀλλὰ καὶ ἕτερ᾽ ἄττα πλεῖστα τὴν ἀναλογίαν ἔχοντα περιτομῆς, ἀλλὰ τῆς ἐκ κρυμοῦ καὶ παγετοῦ, χιόνος τε καὶ πάχνης, καὶ τῆς ἐξ ἀνέμων βίας. καὶ ἁπλῶς, τοῦ χειμῶνός τε καὶ θέρους, ὑφίστανται τὰ φυτὰ ταλαιπωρίας, ἐκκείμενα τῷ ψύχει καὶ τῷ καύσωνι· ὧν χωρὶς, οὐδὲν οὐδαμῶς τῶν ἐπὶ γῆς φυομένων τελεσφορῆσαι ποτὲ δυνήσεται. τίνα δὲ ταῦτα ἐστίν; αἱ ποικίλαι τῶν πειρασμῶν ἐπιφοραὶ, ἃς φέρειν εὐχαρίστως ἀνάγκη, τὸν μέλλοντα καρπὸν οἴσειν τῷ τῶν πνευμάτων γεωργῷ. καθάπερ γὰρ εἴ τις ἐλεήσας, ταλαιπωρούμενα τὰ γῆθεν φυόμενα, περιτείχισμα περιθήσει, καὶ ὑπὸ στέγην ποιήσεται, καὶ μὴ πρὸς ἐκεῖνα διακαρτερεῖν ἐάσει τὰ δεινὰ, κἂν περιτέμνῃ, κἂν περικαθαίρῃ, πάντα πράττων ἐμμελῶς, καρπώσεται παρὰ τούτων οὐδέν· ἀλλὰ δεῖ ταῦθ᾽ ὑπενεγκεῖν ἀφεῖναι. καὶ γὰρ οὕτω, μετὰ τὴν τοῦ χειμῶνος δυσκολίαν, ἦρος ὥρᾳ θάλλει καὶ ἀνθεῖ καὶ κομᾷ φύλλοις, καὶ προβάλλεται μετὰ τῶν καλῶν ἐκείνων τεθηλότων βλαστῶν, καὶ τὰς ὄμφακας· οἳ ἐπὶ μικρὸν ὁμιλοῦντες ταῖς ἡλίου σφοδροτέραις βολαῖς, ἀκμάζουσι καὶ πεπαίνονται, καὶ πρὸς τροφὴν εὐπρεπεῖς ἀποκαθίστανται, καὶ συγκομιδήν. οὕτως ὁ μὴ τὸ δύσοιστον τῶν πειρασμῶν ἄχθος γενναίως ὑποφέρων, κἂν τῶν ἄλλων ἁπασῶν ἀρετῶν, μηδεμιᾶς λειφθῇ, καρπὸν θείων ληνῶν, καὶ ἀποθήκης αἰωνίας ἄξιον, οὐ μήποτε ἐνέγκῃ. δι᾽ ὑπομονῆς γὰρ, ἑκουσίων τε καὶ ἀκουσίων πόνων, πᾶς σπουδαῖος τελειοῦται· τῶν μὲν ἐπιτιθεμένων ἔξωθεν, τῶν δὲ ἐπιφερομένων οἴκοθεν. ἃ γὰρ τοῖς τῆς γῆς φυτοῖς ἐκ φύσεως προσγίνεται, γεωργικαῖς τε ἐπινοίαις, καὶ ταῖς τῶν ὡρῶν περιτροπαῖς, ταῦθ᾽ ἡμῖν τοῖς λογικοῖς κλήμασι Χριστοῦ, πειθομένοις τῷ τῶν ψυχῶν τούτῳ γεωργῷ, πρόσεστιν ἐκ προαιρέσεως αὐτεξουσίως ζῶσι· χωρὶς δὲ τῆς ὑπομονῆς, τῶν ἀκουσίως ἡμῖν ἐπερχομένων, οὐδὲ τὰ ἑκουσίως πεπραγμένα, τεύξεται τῆς θείας εὐλογίας. ἡ γὰρ πρὸς Θεὸν ἀγάπη, διὰ τῆς τῶν πειρασμῶν θλίψεως, μάλιστα κομίζεται τὸ δοκίμιον. δεῖ μέντοι προκατορθωθῆναι τῇ ψυχῇ τὰ ἑκούσια, καὶ δι᾽ αὐτῶν, ἡδονῆς καὶ δόξης ἐθισθέντες καταφρονεῖν, ῥᾳδίως καὶ τὰς ἀκουσίους οἴσομεν ἐπιφοράς. ὁ δὲ διὰ τὴν ἐν πνεύματι πτωχείαν ἐκείνων τε καταφρονῶν, καὶ ὑπεύθυνον τοῖς δραστικωτέροις φαρμάκοις τῆς μετανοίας ἑαυτὸν ἡγούμενος, προσδόκιμον ἔχει διηνεκῶς θλῖψιν ἅπασαν· καὶ καταδέχεται πάντα πειρασμὸν, ὡς οἰκεῖον ἑαυτῷ προσήκοντα· καὶ χαίρει περιπεσὼν, ὡς περιτυχὼν τοῦ τῆς ψυχῆς καθαρσίου· καὶ ὕλην τοῦτο ποιεῖται τῆς πρὸς Θεὸν πεποιθήσεώς τε καὶ ἀνυσιμωτάτης δεήσεως· καὶ παρεκτικὸν ἅμα καὶ φυλακτικὸν ἡγεῖται τῆς κατὰ ψυχὴν εὐεξίας· καὶ οὐκ ἀφίησι μόνον ἀμνησικάκως ἔχων, ἀλλὰ καὶ χάριτας ὁμολογεῖ τοῖς πειράζουσι, καὶ ὡς εὐεργετησάντων ὑπερεύχεται· διὸ καὶ αὐτὸς, οὐ τὴν τῶν ἡμαρτημένων μόνον, συγχώρησιν λαμβάνει κατὰ τὴν ἐπαγγελίαν, ἀλλὰ καὶ τῆς τῶν οὐρανῶν βασιλείας, καὶ τῆς θείας εὐλογίας ἐπιτυγχάνει· μακαρισθεὶς ὑπὸ τοῦ Κυρίου, διὰ τὴν ἐν πνεύματι ταπεινώσεως εἰς τέλος μακροθυμίαν. ἡμεῖς δὲ δι᾽ ὀλίγων ὀλίγα τῆς πνευματικῆς ὑποδείξαντες περιτομῆς, καί τινα προθῶμεν ἤδη τῆς διὰ ταύτης εὐφορίας. ἐφεξῆς τοίνυν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῖς διὰ τὴν ἐν πνεύματι πτωχείαν, τὸν ἀναφαίρετον πλοῦτον κτησαμένοις, ὁ μόνος μακάριος, τοὺς πενθοῦντας κοινωνοὺς ποιεῖται τῆς οἰκείας μακαριότητος· μακάριοι λέγων οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. διατί δὲ συνῆψεν ὁ Χριστὸς τὸ πένθος τῇ πτωχείᾳ; ἐπειδὴ καὶ ταύτῃ σύνεστιν ἀεί. ἀλλ' ἡ μὲν ἐπὶ τῇ κατὰ κόσμον πτωχείᾳ λύπη, θάνατον ψυχῆς κατεργάζεται· φησὶν ὁ Ἀπόστολος. ἡ δὲ ἐπὶ τῇ κατὰ Θεὸν πτωχείᾳ λύπη, μετάνοιαν ἀμεταμέλητον εἰς ψυχῆς σωτηρίαν. καὶ τῇ μὲν ἀκουσίῳ οὔσῃ, τὸ ἀκούσιον· τῇ δὲ ἑκουσίῳ, τὸ ἑκούσιον ἐξ ἀνάγκης ἕπεται πένθος. ἐπεὶ δὲ τὸ μακαριζόμενον πένθος ἐνταῦθοῖ, τῇ κατὰ Θεὸν συνῆπται πτωχείᾳ, καὶ δι' ἐκείνην ἐξ ἀνάγκης τε γίνεται, κἀκείνης ὡς αἰτίας ἄλον ἐξῆπται, καὶ ἀπὸ ταύτης ἔχει συνυπακουόμενον τὸ πνευματικὸν καὶ ἑκούσιον. ἀλλὰ γὰρ ἴδωμεν, πῶς ἡ μακαριστὴ πτωχεία, τὸ μακάριον ἀπογεννᾷ πένθος. τεττάρων οὖν εἰδῶν τῆς πνευματικῆς πτωχείας ὑπὸ τοῦ λόγου μικρὸν ἀνωτέρω πεφηνότων, τῆς ἐν τῷ φρονήματι, τῆς ἐν τῷ σώματι, τῆς ἐν τῇ κατὰ τὸν βίον περιουσίᾳ, καὶ τῆς ἐν τοῖς ἔξωθεν ἐπερχομένοις πειρασμοῖς. μηδεὶς δὲ ὑμῶν ἀκούων μεμερισμένως ταῦτα προτιθέντων, καὶ τὴν κατὰ ταῦτα πρᾶξιν μεμερισμένην ὑπολάβῃ. σὺν ἀλλήλοις γὰρ πεφύκασι τελεῖσθαι· διὸ καὶ μακαρισμῷ περιεκλείσθησαν ἑνί. ἅμα θαυμασίως ὑποδείξαντι, καὶ ποῖόν ἐστιν ὥσπερ ῥίζα καὶ πρόξενον τῶν ἄλλων, δηλαδὴ τὸ πνεῦμα τὸ ἡμέτερον. τοῦτο γὰρ τὴν τοῦ Εὐαγγελικοῦ κηρύγματος ἐγκολπωσάμενον ὡς εἴρηται χάριν, πηγὴν πτωχείας ἀναδίδωσιν ἀφ' ἑαυτοῦ, ποτίζουσαν πᾶν τὸ πρόσωπον τῆς γῆς ἡμῶν· τὸν ἔξω δηλονότι ἄνθρωπον· καὶ παράδεισον ἀρετῶν ἀποτελοῦν αὐτόν. τεττάρων οὖν εἰδῶν τῆς πνευματικῆς πτωχείας ὑπαρχόντων, ἀφ' ἑκάστου τούτων, τὸ κατάλληλον γεννᾶται πένθος, μετὰ τῆς προσηκούσης παρακλήσεως, αὐτίκα. διὰ μὲν τῆς ἑκουσίου σωματικῆς πτωχείας καὶ ταπεινώσεως, ἥτις ἐστὶ πεῖνα, καὶ δίψα, καὶ ἀγρυπνία, καὶ ἁπλῶς κακουχία, καὶ κακοπάθεια σώματος· καὶ πρὸς τούτοις ἡ σὺν λόγῳ συστολὴ τῶν αἰσθήσεων· ἐκ τούτων τοίνυν, οὐ πένθος ἁπλῶς μόνον, ἀλλὰ καὶ δάκρυα τίκτονται. καθάπερ γὰρ ἀναλγησία, καὶ πώρωσις, καὶ σκληρότης καρδίας, ἐξ ἀνέσεως, καὶ τρυφῆς, καὶ εὐπαθείας τίκτεσθαι πεφύκασιν, οὕτως ἐξ ἐγκρατοῦς καὶ συνεσταλμένης διαίτης, συντριβὴ καρδίας καὶ κατάνυξις, πικρίας πάσης ἀποξεστική, καὶ γλυκείας ἱλαρότητος παρεκτική. καὶ γὰρ ἄνευ συντριμμοῦ καρδίας, ἀδύνατον, φησίν, ἀπαλλαγῆναι κακίας· συντρίβει δὲ καρδίαν, ἡ τριμερὴς ἐγκράτεια· ὕπνου, καὶ τροφῆς, καὶ σωματικῆς ἀνέσεως. ἀπαλλαγεῖσα δὲ ψυχή, διὰ τῆς συντριβῆς ταύτης κακίας καὶ πικρίας, ἀντιλαμβάνεται πάντως τῆς πνευματικῆς θυμηδίας· καὶ τοῦτ' ἔστιν ἡ παράκλησις, δι' ἣν τοὺς πενθοῦντας μακαρίζει ὁ Κύριος. φησὶ δὲ καὶ Ἰωάννης ὁ τὴν διὰ λόγων πνευματικὴν ἡμῖν δειμάμενος Κλίμακα· δίψα, καὶ ἀγρυπνία, ἐξέθλιψαν καρδίαν· καρδίας δὲ θλιβείσης, ἐξεπήδησαν δάκρυα· ὁ δὲ δοκιμάσας, φησί, γελάσει ἐν τούτοις· τὸν μακάριον δηλονότι γέλωτα, παρακληθείς, ὡς ὁ Κύριος ἐπηγγείλατο. καὶ ἀπὸ μὲν τῆς ἐν σώματι θεοφιλοῦς πτωχείας, τὸ μακαριστῶς παρακαλοῦν τοὺς κεκτημένους πένθος, οὕτως ἔχει τὴν γένεσιν. ἀπὸ δὲ τοῦ κατεπτωχότος φρονήματος, καὶ τῆς κατὰ ψυχὴν ἐνθέου ταπεινώσεως, πῶς; ἡ αὐτομεμψία, σύνεστιν ἀεὶ τῇ ταπεινώσει τῆς ψυχῆς· αὕτη δὲ τὸν τῆς κολάσεως φόβον τὴν ἀρχὴν ἐπανατείνεται σφοδρῶς· πρὸ ὀφθαλμῶν ποιοῦσα, τὴν ἐξ ἐναντίων ἐκείνων, εἰς

ἑτός

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐπὸς κολαστηρίου φρικωδεστάτην συνδρομήν· καὶ ἔτι προσθήκην τοῦ δέους ἐμποιοῦσα, ἐκ τοῦ μανθάνειν ἄρρητον ἐκείνην οὖσαν, ὡς καὶ τῶν εἰρημένων δεινοτέραν· τὸ δὲ ἀτελεύτητον ἐκείνης αὖθις, ὅση προσθήκη τοῖς δεινοῖς. καύσων γάρ, καὶ ψῦχος, καὶ σκότος, καὶ πῦρ, καὶ φορά, καὶ στάσις, δεσμοί τε, καὶ δήματα, καὶ θηρίων ἀειζώων δήγματα, κατ' ἐκείνην εἰς ἓν συνάγεται τὴν καταδίκην. καὶ οὐδ' ὅπως οἷον ἐκεῖνο τὸ δεινὸν παρίσταται· καὶ τὸ γεγραμμένον, ἐπὶ νοῦν οὐκ ἀναβεβηκὸς ἀνθρώπου. τί δαὶ τὸ ἀνόνητον καὶ ἀπαράκλητον καὶ ἄληκτον ἐκεῖνο πένθος. τοῖς γὰρ εἰς Θεὸν ἁμαρτοῦσιν, ἐκ τῆς τῶν ἐπταισμένων ἐπιγνώσεως κινεῖται πένθος. ἐκεῖ τοίνυν ἐληλεγμένοις, καὶ τῆς χρηστοτέρας ἐλπίδος ἀφῃρημένοις, καὶ τῆς σωτηρίας ἀπεγνωσμένοις, ὁ τοῦ συνειδότος τότ' ἀνένδοτος ἔλεγχος, ἑκάστῳ πολυπλασιάζει τῷ πένθει, τὴν ἐπικειμένην ὀδύνην· καὶ τοῦτ' αὖθις καὶ ἀεὶ τὸ πένθος, ὡς μηκέτι παυσόμενον, ἑτέρου πένθους ἀφορμὴ γίνεται· καὶ σκότος ἄλλο δεινόν, καὶ καύσων ἀψυχαγώγητος, καὶ βυθὸς ἀθυμίας ἀμήχανος. ἐνταῦθα δὴ τὸ πένθος τοῦτο λυσιτελέστατον. ἵλεως γὰρ ἐπακούει Θεός· ὡς καὶ μέχρις ἡμῶν κατῆλθεν ἐπισκεψόμενος, καὶ τοῖς οὕτω πενθοῦσιν ἐπηγγείλατο τὴν παράκλησιν· ὑπέρεστιν αὐτός, Παράκλητός τε, ὢν καὶ καλούμενος. εἶδες καὶ τὸ παρὰ πεπτωκυίας ψυχῆς πένθος, καὶ τὴν ἐπιγινομένην παράκλησιν; ἀλλὰ γὰρ καὶ ἡ αὐτομεμψία μόνη καθ' αὑτήν, ὥσπερ τι βάρος νοητὸν τῷ λογιζομένῳ τῆς ψυχῆς ἐπιτεθεῖσα καὶ χρονίσασα, συντρίβει καὶ πιέζει, καὶ τὸν οἷον ἐκθλίβει τὸν σωτήριον, τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου· τουτέστι τὸν ἐντὸς ἡμῶν ἄνθρωπον. οἶνος δὲ τοιοῦτός ἐστιν ἡ κατάνυξις· συνεκθλίβει γὰρ τῷ πένθει καὶ τὰ πάθη· καὶ χαρᾶς τὴν ψυχὴν πληροῖ μακαριστῆς, τοῦ κατὰ ταῦτα δεινοῦ βάρους ἀπαλλάξασα. διὰ τοῦτο μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. παρὰ δὲ τῆς ἀκτημοσύνης, ταυτὸν δ' εἰπεῖν τῆς κατὰ τὴν περιουσίαν, καὶ τὰ περὶ ἡμᾶς ὑπάρχοντα πτωχείας, συνημμένης μέν τοι τῇ πτωχείᾳ τοῦ πνεύματος, ὡς ἀνωτέρω ἔφημεν. συναλλήλοις γὰρ ταῦθ' ἅπαντα τελούμενα τέλειά τε καὶ εὐάρεστα Θεῷ. παρὰ τοιαύτης τοιγαροῦν πτωχείας, ὅπως ἡμῖν ἐγγίνεται τὸ πένθος, καὶ ἡ ἐν αὐτῷ παράκλησις, συνετῶς ἀκούων εἴσῃ· καὶ γὰρ ἐπειδὰν ὁ ἄνθρωπος πᾶσι χαίρειν εἰπών, τοῖς τε χρήμασι, καὶ τοῖς κτήμασιν ἀποτάξηται, ταῦτα ῥίψας ἢ σκορπίσας, κατὰ τὴν ἐντολήν· τῆς περὶ αὐτὰ μερίμνης τὴν ψυχὴν ἀπαναστήσας, ἐπεστράφθαι πρὸς τὴν ἑαυτοῦ ἐπισκοπὴν ἐφίησιν, ἐλευθέραν τῶν πραγματικῶν περισπασμῶν ἔξωθεν αὐτήν. ὁπηνίκα δ' αὖ ὁ νοῦς, αἰσθητοῦ παντὸς ἀπαναστῇ, καὶ τοῦ κατακλυσμοῦ τῆς περὶ ταῦτα τύρβης ἀνακύψῃ, καὶ κατοπτεύσῃ τὸν ἐντὸς ἄνθρωπον, πρῶτον μὲν ἐνιδὼν τὸ προσγεγενημένον εἰδεχθὲς προσωπεῖον ἐκ τῆς κάτω περιπλανήσεως, τοῦτο διὰ πένθους ἀποψήσασθαι σπεύδει· ἔπειτ' ἐπειδὰν τὸ δυσειδὲς τοῦτο περιέλῃ κάλυμμα, τότε μὴ ποικίλαις σχέσεσι τῆς ψυχῆς ἀγεννῶς διασπωμένης, εἴσω τῶν ὄντως ταμείων ἀπράγμως χωρεῖ, καὶ τῷ ἐν κρυπτῷ Πατρὶ προσεύχεται· ὃς αὐτῷ καὶ τὸ χωρητικὸν τῶν χαρισμάτων δῶρον, τὴν τῶν λογισμῶν εἰρήνην τὰ πρῶτα χορηγεῖ· μεθ' ἧς τὴν γεννητικήν τε, καὶ συνεκτικὴν ἁπάσης ἀρετῆς τελείαν ταπείνωσιν· οὐ τοῖς ἀνυσίμοις εὐχερῶς τῶν βουλομένων, ῥήμασί τε καὶ σχήμασι συνισταμένην· ἀλλὰ τὴν ὑπὸ τοῦ ἀγαθοῦ, καὶ θείου Πνεύματος μαρτυρουμένην· ἣν αὐτὸ κτίζει τὸ Πνεῦμα τοῖς ἐγκάτοις ἐγκαινιζόμενον. ἐν δὴ ταύταις, ὥσπερ ἐν ἀσφαλεῖ περιτειχίσματι, τὸ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ νῦν παραδείσου, τὰ τῆς ἀληθοῦς ἀρετῆς παντοδαπά, δένδρα φύεται· μεσαιτάτω δ' ἀνεγείρεται τὰ τῆς ἀγάπης ἱερὰ βασίλεια· τούτων δ' ἐν προθύροις, τὸ προοίμιον τοῦ μέλλοντος αἰῶνος, ἡ ἀνεκλάλητός τε, καὶ ἀναφαίρετος ἀνθεῖ χαρά. μήτηρ γὰρ ἀκτημοσύνη μέν, ἀμεριμνίας· ἀμεριμνία δέ, προσοχῆς καὶ προσευχῆς· αἱ δέ, πένθους καὶ δακρύων· ταῦτα δέ, τὰς προλήψεις ἀπαλείφει· τούτων δὲ ἀποβεβλημένων, ῥᾴων ἡ κατ' ἀρετὴν ὁδὸς τελεῖται, τῶν προσισταμένων ἐκ μέσου γεγονότων· καὶ συνειδὸς ἀκατάγνωστον προσγίνεται. ταῦτα δὲ πηγάζει τὴν χαράν, καὶ τὸν τῆς ψυχῆς μακάριον γέλωτα. τότε δὴ καὶ τὸ κατώδυνον δάκρυον, εἰς ἡδὺ μεταποιεῖται· καὶ τὰ λόγια τοῦ Θεοῦ ὡς γλυκέα τῷ λάρυγγι, καὶ ὑπὲρ μέλι τῷ στόματι γίνεται· καὶ ἡ ἐν προσευχῇ δέησις, εἰς εὐχαριστίαν μετασκευάζεται· καὶ ἡ μελέτη τῶν θείων μαρτυρίων, ἀγαλλίαμα τῆς καρδίας ἐστί, μετ' ἐλπίδος ἀκαταισχύντου, καὶ οἷον ὑφεστώσης ἐν προοιμίου μοίρᾳ· τῇ τοῦ γεύματος ταύτῃ πείρᾳ προσομιλούσης αὐτῆς, καὶ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος μανθανούσης ἐκ μέρους, κατὰ τὸν λέγοντα, γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος· τὸ ἀγαλλίαμα τῶν δικαίων· ἡ χαρὰ τῶν εὐθέων· ἡ θυμηδία τῶν τεταπεινωμένων· ἡ τῶν δι' αὐτὸν πενθούντων παράκλησις. τί οὖν, μέχρι τούτου τὰ τῆς παρακλήσεως; καὶ ταῦτα μόνα τὰ τῆς ἱερᾶς μνηστείας δῶρα; καὶ καθαρώτερον τούτων οὐδαμῶς ἐμφανίζει ἑαυτόν, τοῖς διὰ τοῦ μακαρίου πένθους τελουμένοις, καθαιρομένοις, καὶ διὰ τῶν ἀρετῶν ἐσταλμένοις νυμφικῶς, ὁ τῶν πιστῶν ψυχῶν νυμφίος; οὐ μὲν οὖν. καὶ νῦν γὰρ ἡμᾶς τῶν ἑτοίμων εἰς κατηγορίαν ὑπὸ βασκανίας καὶ οἱονεὶ λεγόντων πρὸς ἡμᾶς, οὐ μὴ λαλήσῃς ἐπὶ τῷ ὀνόματι Κυρίου· εἰ δὲ μή, ἐκβαλοῦμέν σου τὸ ὄνομα ὡς πονηρόν, συκοφαντίας καὶ ψευδηγορίας κατὰ σοῦ συντιθέντες καὶ φημίζοντες. τούτων τοίνυν, καὶ τὸ νῦν ἔχον, ἀλογήσαντες ἡμεῖς, περαιτέρω προάγωμεν τὸν λόγον· τὰ τῶν Ἁγίων ἡμῶν Πατέρων καὶ πιστεύοντες, καὶ λέγοντες, καὶ πρὸς ἐκεῖνα βλέποντες, καὶ τοὺς ἄλλους πείθοντες. ἐπίστευσα γάρ φησι, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. ὅταν γὰρ ἅπαν αἰσχρὸν πάθος ἔνοικον ἀπελαθῇ, καὶ ὁ νοῦς, ὡς ἤδη φθάσας ἐδήλωσεν ὁ λόγος, αὐτός τε πρὸς ἑαυτόν· καὶ τὰς ἄλλας τῆς ψυχῆς δυνάμεις ἐπιστρέψας ὁλοκλήρως, τῇ γεωργίᾳ τῶν ἀρετῶν φιλοκαλήσῃ τὴν ψυχὴν προϊὼν ἐπὶ τὸ τελεώτερον· καὶ πρακτικὰς ἔτ' ἀναβάσεις διατιθέμενος, καὶ ἐπὶ πλέον, Θεοῦ συναιρομένου, πλύνων ἑαυτόν· οὐ τὰ τοῦ πονηροῦ μόνον ἀποσμήχει κόμματος, ἀλλὰ πᾶν ἐπίκτητον ἐκ μέσου ποιεῖται, κἂν τῆς χρηστοτέρας ᾖ μοίρας, καὶ διανοίας· ἡνίκα δὴ νοητῶν, καὶ τῶν οὐκ ἀφανταστῶν περὶ ταῦτα νοημάτων ὑπεραναβάς, καὶ πάντα θεοφιλῶς ὁμοῦ, καὶ φιλοθέως ἀποθέμενος, κωφός τε, καὶ ἄλαλος, κατὰ τὸ γεγραμμένον, παραστῇ Θεῷ· τηνικαῦτα λόγον ὕλης ἴσχει, καὶ πλάττεται τὴν ἀνωτάτω πλάσιν ἐπὶ πάσης ἀδείας· ἅτε μηδενὸς τῶν θύραθεν θυροκοποῦντος· τῆς ἐντὸς χάριτος ἐπὶ τὸ κρεῖττον μεταρρυθμιζούσης, καὶ ἀπορρήτως, τὸ παραδοξότατον, φωτὶ καταλαμπούσης τὰ ἔνδον, καὶ τελειούσης τὸν ἐντὸς ἄνθρωπον· ἡμέρας δὲ διαυγασάσης, καὶ φωσφόρου ἀνατείλαντος ἐν ταῖς καρδίαις ἡμῶν· κατὰ τὸν ἐν Ἀποστόλοις Κορυφαῖον, ἔξεισι κατὰ τὸ προφητικὸν ἐκεῖνο λόγιον, ὁ ὄντως ἄνθρωπος, ἐπὶ τὴν ὄντως ἐργασίαν αὐτοῦ· καὶ τῷ φωτὶ χρώμενος ὁδῷ ἄνεισιν, ἢ ἀνάγεται ἐπ' ὄρη αἰώνια· καὶ τῶν ὑπερκοσμίων ἐν τούτῳ τῷ φωτὶ πραγμάτων, ὢ τοῦ θαύματος, ἐπόπτης καθίσταται· μὴ διαζευγνύμενος, ἢ δια-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

διαζευγνύμενος τῆς τὴν ἀρχὴν συμπροηγμένης ὕλης, ὡς οἶδεν ἡ ὁδός· οὐ γὰρ διανοίας φανταστικοῖς ἄνεισι πτεροῖς· ἢ πάντα καθάπερ τυφλὴ περιπολεῖ, μήτ' ἐπὶ τῶν ἀπόντων αἰσθητῶν, μήτ' ἐπὶ τῶν ὑπερκαταβεβηκότων νοητῶν τῆς ἀκριβοῦς, καὶ ἀνενδοιάστου καταλήψεως ἀντιλαμβανομένη· ἀλλ' ἐπ' ἀληθείας ἄνεισιν, ἀρρήτῳ πνεύματος δυνάμει, καὶ πνευματικῇ, καὶ ἀρρήτῳ ἀντιλήψει, τῶν ἀρρήτων ῥημάτων διακούει, καὶ ὁρᾷ τὰ ἀθέατα· καὶ τοῦ θαύματος ὅλος ἐντεῦθεν ἐστί τε καὶ γίνεται, κἂν ἐκεῖθεν ἀπῇ· καὶ ταῖς ἀκαμάτοις ὑμνῳδίαις ἁμιλλᾶται· Ἄγγελος ὡς ἀληθῶς ἄλλος ἐπὶ γῆς Θεοῦ γεγονώς· καὶ δι' ἑαυτοῦ πᾶν εἶδος κτίσεως αὐτῷ προσαγαγών. ἐπεὶ καὶ αὐτὸς ἐν μετοχῇ τῶν πάντων, καὶ τοῦ ὑπὲρ τὰ πάντα δὲ μεταλαγχάνει νῦν· ἵνα καὶ τὸ τῆς εἰκόνος ἀπηκριβωμένον ᾖ. διό φησιν ὁ θεῖος Νεῖλος· ὅτι νοῦ κατάστασίς ἐστιν, ὕψος νοητόν, οὐρανίῳ χρώματι παρεμφερές· ᾧ καὶ τὸ τῆς Ἁγίας Τριάδος, κατὰ τὸν καιρὸν τῆς προσευχῆς ἐπιγίνεται φῶς. καὶ πάλιν, εἴ τις βούλοιτο ἰδεῖν τὴν τοῦ νοῦ κατάστασιν, στερησάτω ἑαυτὸν πάντων τῶν νοημάτων, καὶ τότε ὄψεται αὐτὸν σαπφείρῳ, ἢ οὐρανίῳ χρώματι παρεμφερῆ. τοῦτο δὲ ποιῆσαι ἄνευ ἀπαθείας, τῶν ἀδυνάτων ἐστί. Θεοῦ γὰρ χρεία συνεργοῦντος, καὶ ἐμπνέοντος αὐτῷ τὸ συγγενὲς φῶς. καὶ ὁ Ἅγιος Διάδοχος, δύο φησὶν ἡμῖν ἡ χάρις ἡ ἁγία διὰ τοῦ Βαπτίσματος περιποιεῖται· ὧν τὸ ἓν ἀπείρως τοῦ ἑνὸς ὑπερβάλλει. ἀνακαινίζει γὰρ ἡμᾶς ἐν τῷ ὕδατι, καὶ τὸ κατ' εἰκόνα λαμπρύνει, πᾶσαν τὴν ῥυτίδα τῆς ἁμαρτίας ἡμῶν ἀποῤῥύπτουσα· τὸ δὲ ἕτερον ἐκδέχεται ἵνα σὺν ἡμῖν ἐργάσηται. ὅτε οὖν ἄρξηται ὁ νοῦς ἐν πολλῇ αἰσθήσει, γεύεσθαι τῆς χρηστότητος τοῦ Παναγίου Πνεύματος, τότε ὀφείλομεν εἰδέναι, ὅτι ἄρχεται ἡ χάρις, ὥσπερ ἐπιζωγραφεῖν εἰς τὸ κατ' εἰκόνα, τὸ καθ' ὁμοίωσιν. ὥστε ἡ μὲν αἴσθησις αὕτη, δηλοῖ ἡμᾶς μορφοῦσθαι τὸ καθ' ὁμοίωσιν· τὸ δὲ τέλειον τῆς ὁμοιώσεως, ἐκ τοῦ φωτισμοῦ γνωσόμεθα. καὶ πάλιν, τὴν πνευματικὴν οὐ δύναταί τις ἀγάπην κτήσασθαι, εἰ μὴ ἐν πάσῃ πληροφορίᾳ φωτισθείη παρὰ τοῦ Ἁγίου Πνεύματος. ἐὰν γὰρ μὴ τελείως τὸ καθ' ὁμοίωσιν, διὰ τοῦ θείου φωτὸς ἀπολάβῃ ὁ νοῦς, πάσας μὲν τὰς ἄλλας ἀρετὰς ἔχειν δύναται· τῆς δὲ τελείας ἀγάπης ἔτι ἄμοιρος μένει. ὡσαύτως δὲ καὶ τοῦ Ἁγίου Ἰσαὰκ ἀκούομεν λέγοντος· κατὰ τὸν καιρὸν τῆς προσευχῆς, ὁρᾶν τὴν ἑαυτοῦ καθαρότητα τὸν κεχαριτωμένον νοῦν, ὁμοίαν τῇ οὐρανίῳ χροιᾷ. ἥτις, Θεοῦ, ὑπὸ τῆς Γερουσίας τοῦ Ἰσραὴλ ὠνόμασται, τόπος, ἡνίκα ὤφθη αὐτοῖς ἐν τῷ ὄρει. καὶ πάλιν, καθαρότης ἐστὶ νοός, ἐφ' ᾗ διαυγάζει ἐν τῷ καιρῷ τῆς προσευχῆς, τὸ φῶς τῆς Ἁγίας Τριάδος. ἀλλ' ὁ κατηξιωμένος τοῦ φωτὸς ἐκείνου νοῦς, καὶ πρὸς τὸ συνημμένον σῶμα πολλὰ διαπορθμεύει τοῦ θείου κάλλους τεκμήρια, χάριτί τε θείᾳ, καὶ σαρκὸς παχύτητι μεσιτεύων, καὶ δύναμιν τῶν ἀδυνάτων ἐντιθείς. ἐντεῦθεν ἡ κατ' ἀρετὴν θεοειδὴς καὶ ἀπαράμιλλος ἕξις, καὶ τὸ πρὸς κακίαν ὅλως ἀκίνητον, ἢ δυσκίνητον. ἐντεῦθεν ὁ διασαφῶν τοὺς τῶν ὄντων λόγους λόγος, καὶ ἀνακαλύπτων οἴκοθεν ἐκ καθαρότητος, τὰ τῆς φύσεως μυστήρια· δι' ὧν ἀναλογίας λόγοις, πρὸς κατάληψιν τῶν ὑπὲρ φύσιν, τὸ διανοούμενον ἀνιμᾶται τῶν πιστῶς ἀκροωμένων· οὗ αὐτὸς ὁ τοῦ λόγου Πατήρ, αὔλοις ἐπαφαῖς κατείληφεν. ἐντεῦθεν αἵ τ' ἄλλαι ποικίλαι θαυματοποιΐαι, καὶ τὸ διορᾶν τε, καὶ προορᾶν, καὶ περὶ τῶν πόῤῥω που συμβαινόντων, ὡς ὑπ' ὀφθαλμοὺς διαλέγεσθαι· καὶ τὸ δὴ μέγιστον, ὡς οὐ περὶ ταῦθ' ὁ σκοπὸς τείνει τῶν μακαριωτάτων ἐκείνων· ἀλλ' ὥσπερ εἴ τις ὁρῶν πρὸς ἡλιακὴν ἀκτῖνα,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ τῶν ἀϊδίων ἀγαθῶν αἰσθάνεται, κἂν μὴ τοῦτ' αὐτῷ τυγχάνῃ σκοπὸς, οὕτως ἐκείνοις ταῖς θείαις ἀκτῖσι καθαρῶς ὁμιλοῦσιν, αἷς φύσει πρόσεστιν ἡ πάντων ἀποκάλυψις· οὐχὶ τῶν ὄντων μόνον, ἢ καὶ γεγενημένων, ἀλλὰ καὶ τῶν ἔπειτ' ἐσομένων, οὐδὲ πάρεργον, ὡς ἀληθῶς ἡ τούτων προσγίνεται γνῶσις, κατὰ ἀναλογίαν τῆς καθαρότητος· προὔργου δὲ αὐτοῖς, ἡ τοῦ νοῦ πρὸς ἑαυτὸν ἐπιστροφὴ καὶ σύννευσις· μᾶλλον δὲ πασῶν τῶν τῆς ψυχῆς δυνάμεων, εἰ καὶ θαυμαστὸν εἰπεῖν, πρὸς τὸν νοῦν ἐπιστροφὴ, καὶ ἡ κατ' αὐτόν τε, καὶ Θεὸν ἐνέργεια· δι' ἧς ἐπεσκιασμένοι, πρὸς τὸ πρωτότυπον εὖ διατίθενται· τὸ ἀρχαῖον ἐκεῖνο, καὶ ἀμήχανον κάλλος ἐπαναγούσης τῆς χάριτος, ἐπὶ τοσοῦτον ὕψος ἀναφέρει τὸ μακάριον πένθος τοὺς ταπεινοὺς τῇ καρδίᾳ, καὶ πτωχοὺς τῷ πνεύματι. Ἐπεὶ δὲ ταῦτα διὰ τὴν ἔνοικον ἡμῖν ῥαθυμίαν ὑπὲρ ἡμᾶς, φέρε πρὸς τὴν κρηπῖδα τούτων αὖθις ἐπανελθόντες, ἔτι περὶ πένθους ὀλίγα τινὰ διαλάβωμεν. Ἕπεται δὲ τοῦτο καὶ πᾶσι τοῖς εἴδεσι τῆς ἀκουσίου, καὶ κατὰ κόσμον πτωχείας. Πῶς γὰρ οὐκ ἂν λυποῖτο, καὶ ὁ χρημάτων ἐνδεὴς, καὶ ὁ λιμώττων ἀκουσίως, καὶ ὁ καταπονούμενός τε, καὶ ἀτιμαζόμενος; ἀλλὰ τοῦτ' ἀπαράκλητόν ἐστι τὸ πένθος. καὶ μάλιστ' ἐφ' ὅσον ἐπιτείνεται τὰ τῆς πτωχείας· μᾶλλον δὲ ἐφ' ὅσον ἀπέχει τῆς ἀληθινῆς γνώσεως ὁ πάσχων. οὗτος γὰρ, μὴ τῷ λόγῳ τὰς ἐκ τῆς αἰσθήσεως ἡδονάς τε, καὶ ὀδύνας ὑποτάττων, ἀλλὰ μᾶλλον αὐταῖς ἐκεῖνος τῇ τοῦ λόγου παραχρώμενος δεινότητι, καὶ αὐτὰς ἐπ' οὐδενὶ κέρδει αὔξει, ὡς μὴ ὤφελε· μᾶλλον δὲ καὶ ἐπὶ ζημίᾳ τῇ μεγίστῃ. σημεῖον γὰρ καὶ ἔλεγχον καθ' ἑαυτοῦ προβάλλεται σαφῆ, τοῦ μὴ βεβαίως τῷ τοῦ Θεοῦ Εὐαγγελίῳ, καὶ τοῖς πρὸ αὐτοῦ Προφήταις, καὶ τοῖς μετ' αὐτὸν δι' αὐτοῦ μαθητευθεῖσι, καὶ ἀποσταλεῖσιν εὐαγγελίσασθαι διὰ πτωχείας, τὸν ἀδαπάνητον πλοῦτον· δι' εὐτελείας, τὴν ἀπόρρητον δόξαν· δι' ἐγκρατείας, τὴν ἀνώδυνον τρυφήν· διὰ καρτερίας τῶν ἐπερχομένων πειρασμῶν, τὴν ἀπαλλαγὴν τῆς ἀποκειμένης αἰωνίου στενοχωρίας τε, καὶ θλίψεως, τοῖς τὸν ἀνειμένον ἠγαπηκόσιν ἐνταῦθα βίον, καὶ μὴ διὰ τῆς στενῆς καὶ τεθλιμμένης πύλης καὶ ὁδοῦ προελθεῖν εἰς ζωὴν προῃρημένοις. καλῶς ἄρ' εἶπεν ὁ Ἀπόστολος Παῦλος· ὅτι ἡ λύπη ἡ κατὰ κόσμον, θάνατον ἀπεργάζεται. καὶ διὰ τοῦ λόγου γὰρ ἐφάνη, ἁμαρτία οὖσα πρὸς θάνατον. εἰ δὲ ἡ ὄντως ζωὴ, τῆς ψυχῆς φῶς ἐστι θεῖον, ἀπὸ τοῦ κατὰ Θεὸν πένθους προσγινόμενον, ὡς ἀνωτέρω ὑπὸ τῶν Πατέρων εἴρηται, καὶ ὁ τῆς ψυχῆς θάνατος, σκότος ἔσται πονηρὸν, ὑπὸ τῆς κατὰ κόσμον λύπης τῇ ψυχῇ προσγινόμενον. σκότος ἐκεῖνο, περὶ οὗ φησιν ὁ Μέγας Βασίλειος· ὅτι ἡ ἁμαρτία, ἐν τῇ ἀπολείψει τοῦ καλοῦ τὴν ὕπαρξιν ἔχουσα, σκότος τυποῦται τοῖς ἀδικήμασι νοερόν. ἀλλὰ καὶ Μάρκος ὁ θεῖος, ὁ τοῖς πονηροῖς λογισμοῖς· φησί· περιεχόμενος, πῶς ἴδῃ τὴν ὑπὸ τούτων καλυπτομένην ἁμαρτίαν ἐνυπόστατον; ἥτις ἐστὶ σκότος, καὶ ὁμίχλη ψυχῆς, ἐκ τῶν ἐννοιῶν πονηρῶν, καὶ λόγων, καὶ πράξεων ἐμπεσοῦσα; ὁ δὲ ταύτην μὴ θεασάμενος τὴν περιεκτικὴν ἁμαρτίαν, πότε δεηθεὶς περὶ αὐτῆς καθαρισθήσεται; ὁ δὲ μὴ καθαρισθεὶς, πῶς εὕρῃ τὸν τόπον τῆς καθαρᾶς φύσεως; ὁ δὲ τοῦτον μὴ εὑρὼν, πῶς ἴδῃ τὸν ἐνδότερον οἶκον τοῦ Χριστοῦ; χρὴ τοίνυν κροῦσαι διὰ προσευχῆς παραμένοντας, καὶ ζητῆσαι τὸν οἶκον τοῦτον· οὐ μόνον κτήσασθαι, ἀλλὰ καὶ φυλάξαι. εἰσὶ γὰρ οἱ καὶ μετὰ τὸ λαβεῖν ἀπολέσαντες. ψιλὴν γὰρ αὐτῆς γνῶσιν, ἢ συμβατικὴν πεῖραν, ἴσως καὶ ὀψιμαθεῖς καὶ νέοι κατέχουσι· τὴν δὲ μεθ' ὑπομονῆς παραμο-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ον ἐργασίαν, μόλις τῶν γερόντων οἱ εὐλαβεῖς, καὶ πολύπειροι· τούτοις ὁμόλογος καὶ Μακάριος, ὁ τὴν γνῶσιν οὐράνιος· καὶ πᾶς ὁ τῶν ὁσίων χορός. ἀλλ' ὥσπερ τὸ σκότος τοῦτο, ἐκ τῶν παραπτωμάτων πάντων λαμβάνει τὴν ὕπαρξιν, οὕτω τὴν κατὰ κόσμον λύπην ἐξετάσας, εὑρήσεις ἐκ τῶν παθῶν πάντων, καὶ γεννωμένην, καὶ κρατυνομένην. οὐκοῦν εἰκότα φέρει, καὶ οἷον ἀπαρχὴ, καὶ προοίμιον, καὶ ἀρραβὼν ἐστὶ τοῦ προσγενήσεσθαι μέλλοντος ἀλήκτου πένθους, τοῖς τὸ μακαρισθὲν ὑπὸ τοῦ Κυρίου πένθος μὴ προελομένοις· ὃ μὴ μόνον φέρει κέρδος τὴν παράκλησιν, καρποφοροῦν τὸν ἀρραβῶνα τῆς αἰωνίου εὐφροσύνης, ἀλλὰ καὶ ἀσφαλίζεται τὴν ἀρετὴν, ἄτρεπτον ἐπὶ τὰ χείρω τὴν ψυχὴν ἀπεργαζόμενον. πτωχεύσας γάρ τις, καὶ ταπεινωθεὶς, καὶ τῆς κατὰ Θεὸν εὐτελείας ἀντιποιούμενος, ἂν μὴ προκόψας ἐπὶ τὸ βέλτιον προσκτήσηται τὸ πένθος, εὐεπίστρεπτός ἐστι, καὶ εὐχερὴς, πρὸς ἃ καταλέλοιπεν ἐπανελθεῖν τῇ γνώμῃ· ποθῶν αὖθις ἃ παρῆκε τὴν ἀρχὴν, καὶ συνιστὰς παραβάτην ἑαυτόν· ἂν δὲ παραμένων καὶ προσέχων τῇ πρὸς τὴν μακαριστὴν πτωχείαν διαθέσει, τὸ πένθος ἐμποιήσῃ ἑαυτῷ, ἀκλινὴς πρὸς τὰ ὀπίσω γίνεται· μὴ παλινδρομῶν κακῶς, ὅθεν ἔφυγε, καλῶς ποιῶν. ἡ γὰρ κατὰ Θεὸν λύπη, καθά φησιν ὁ Ἀπόστολος, μετάνοιαν ἀμεταμέλητον ἀπεργάζεται τῇ ψυχῇ πρὸς σωτηρίαν. Διὸ καί τις τῶν Πατέρων ἔλεγεν, ὅτι τὸ πένθος ἐργάζεται, καὶ φυλάσσει. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ ἀπὸ τοῦ πένθους κέρδος, ὅτι σχεδὸν ὁ ἄνθρωπος ἀκίνητος γίνεται πρὸς τὸ κακὸν, καὶ πρὸς τὰ προημαρτημένα ἀνεπίστρεπτος, ἀλλὰ καὶ ἐκεῖνα, ὡς μὴ γεγονότα διατίθησιν. ἐπεὶ γὰρ δι' ἐκεῖνα τὴν ἀρχὴν πενθεῖ ὁ ἄνθρωπος, ὡς ἀκούσια τούτῳ ταῦτα λογίζεται παρὰ τοῦ Θεοῦ· τὰ δὲ ἀκούσια οὐχ ὑπεύθυνα. καθάπερ γὰρ ὁ ἐπὶ πενίᾳ πενθῶν, οὐχ ἑκούσιον ταύτην ἑαυτοῦ προσμαρτυρεῖ, διὸ καὶ μετὰ τῶν πλουτεῖν ποθούντων ἢ πλουτούντων, ταῖς τοῦ διαβόλου παγίσιν ἐμπεσεῖται, κἂν μὴ μεταβαλὼν διαδρᾶναι σπεύσῃ τὰς παγίδας ταύτας, τῇ αἰωνίῳ κολάσει τούτῳ συμπαραπεμφθήσεται, οὕτως ὁ ἁμαρτὼν εἰς τὸν Θεὸν, ἂν ἐπὶ τοῖς ἁμαρτήμασι διατελῇ πενθῶν, ὡς οὐχ ἑκούσια δικαίως αὐτοῦ λογισθήσεται τὰ ἁμαρτήματα· καὶ μετὰ τῶν μὴ ὡσαύτως ἁμαρτόντων ἀπροσκόπως βαδιεῖται, τὴν πρὸς ζωὴν φέρουσαν αἰώνιον. τῆς μὲν οὖν ἀρχῆς τοῦ πένθους, ἥτις κατώδυνός ἐστιν, ὡς καὶ τὸν τοῦ Θεοῦ φόβον συνημμένον κεκτημένη, τοῦτό ἐστι τὸ κέρδος. Προϊὸν δὲ, τῇ τοῦ Θεοῦ ἀγάπῃ θαυμαστῶς συνάπτεται· καὶ τὴν γλυκερὰν, καὶ ἱερὰν παράκλησιν καρποῦται τῆς τοῦ Παρακλήτου χρηστότητος, γευομένου τοῦ τῷ πένθει πονηθέντος· ἣ τοῖς μὴ πειραμένοις σχεδὸν ἀνήκουστός ἐστιν, ὡς ἄρρητος. εἰ γὰρ γλυκύτητα μέλιτος, οὐδεὶς ἀπαγγελεῖ τοῖς μὴ γευσαμένοις, πῶς ἄρα τῆς ἱερᾶς ἐκ Θεοῦ χαρᾶς, καὶ χάριτος τὴν ἡδονὴν, τοῖς μὴ πεπειραμένοις διηγήσεταί τις; οὐ μὴν, ἀλλ' ἔοικεν ἡ μὲν ἀρχὴ τοῦ πένθους, οἷόν τις εἶναι Θεοῦ μνηστείας ζήτησις· σχεδὸν δοκούσης ἀνεφίκτου. διὸ καί τινες, οἷον προμνηστικοὶ κινοῦνται λόγοι, παρὰ τῶν διὰ τὴν ἐπιπόθησιν πενθούντων, πρὸς τὸν ἀσυνδύαστον νυμφίον· κοπτόντων ἑαυτοὺς, καὶ σὺν ὀλολυγῇ καλούντων, ὡς οὐ παρόντα, μηδὲ παρεσόμενον ἴσως. τὸ δὲ τοῦ πένθους τέλος, νυμφικὴ ἐν ἁγνείᾳ συνάφεια τελεία. διόπερ ὁ Παῦλος, μέγα μυστήριον ἀποκαλέσας, τὴν πρὸς μίαν σάρκα τῶν ὁμοζύγων συνδρομήν· ἐγὼ δὲ τοῦτο λέγω, φησὶν, εἰς Χριστὸν, καὶ εἰς τὴν Ἐκκλησίαν. ὡς γὰρ ἐκεῖνοι μία σὰρξ, οὕτω πνεῦμα ἓν μετὰ τοῦ Θεοῦ, οἱ τοῦ Θεοῦ εἰσιν. ὡς ἀλλαχοῦ σαφῶς πα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λιν εἶπεν ὁ αὐτὸς, ὅτι ὁ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι. Πῶς εἰσιν οἱ λέγοντες κτιστὴν χάριν τὴν ἐνοικοῦσαν τοῖς Ἁγίοις τοῦ Θεοῦ; γινώσκωσαν εἰς αὐτὸ τὸ πνεῦμα βλασφημοῦντες, τὸ μετὰ τῶν ἁγίων ἐν τῇ μεταδόσει γεγονός. ἡμεῖς δὲ τοῦ προκειμένου, καὶ ἕτερον ἐμφαντικώτερον παράδειγμα προθῶμεν. ἡ μὲν γὰρ ἀρχὴ τοῦ πένθους, τῇ ἐπιστροφῇ τοῦ ἀσώτου ἔοικε· διὸ καὶ κατηφείας ἐμπιπλᾷ τὸν ἐργάτην ἑαυτῆς· καὶ τοὺς λόγους ἐκείνους ἀναπείθει λέγειν· Πάτερ ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. τὸ δὲ τέλος αὖθις ἔοικε, τῇ τοῦ ἀσώτου Πατρὸς προϋπαντήσει τε, καὶ συμπλοκῇ· ἐν ᾗ τῷ πλούτῳ τῆς ἀνεικάστου εὐσπλαγχνίας ἐντυχών, καὶ πολλῆς χαρᾶς, καὶ παρρησίας δι' αὐτὴν ὁ υἱὸς ἐπιτυχών, ἐφιλεῖτό τε, καὶ ἀντεφίλει· καὶ συνεισελθών, συνειστιᾶτο τῷ Πατρί, τῆς οὐρανίου συναπολαύων εὐφροσύνης. Ἀλλὰ δεῦτε καὶ ἡμεῖς ἐν μακαριστῇ πτωχείᾳ, προσπέσωμεν, καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ Θεοῦ ἡμῶν· ἵνα καὶ τὰ προημαρτημένα ἀπαλείψωμεν, καὶ πρὸς τὴν κακίαν ἀκινήτους ἑαυτοὺς ποιήσωμεν, καὶ τοῦ Παρακλήτου ἐπιτύχωμεν, ἐν αὐτῷ παρακαλούμενοι, καὶ αὐτῷ τὴν δόξαν ἀναπέμποντες, σὺν τῷ ἀνάρχῳ Πατρί, καὶ τῷ μονογενεῖ Υἱῷ, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ,

### Δεκάλογος τῆς κατὰ Χριστὸν νομοθεσίας ἤτοι τῆς νέας διαθήκης. Λόγος, ξβ'.

ΚΥριος ὁ Θεός σου Κύριος εἷς ἐστιν, ὁ ἐν Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι γνωριζόμενος· Πατρὶ ἀγεννήτῳ· Υἱῷ γεννητῷ, ἀνάρχως, καὶ ἀχρόνως, καὶ ἀπαθῶς, ὡς Λόγῳ· ὃς δι' ἑαυτοῦ τὸ ἐξ ἡμῶν χρίσας πρόσλημμα, κέκληται Χριστός. καὶ Πνεύματι Ἁγίῳ· καὶ αὐτῷ ἐκ τοῦ Πατρός, οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς προερχομένῳ. οὗτος μόνος Θεός· καὶ οὗτος Θεὸς ἀληθινός, ὁ ἐν Τριάδι ὑποστάσεων Κύριος εἷς· φύσει, καὶ βουλῇ, καὶ δόξῃ, δυνάμει τε, καὶ ἐνεργείᾳ, καὶ πᾶσι τοῖς τῆς θεότητος γνωρίσμασι μὴ διαιρούμενος. αὐτὸν μόνον ἀγαπήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις, ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου· καὶ ἔσται τὰ ῥήματα αὐτοῦ, καὶ τὰ προστάγματα αὐτοῦ ἐν τῇ καρδίᾳ σου, εἰς τὸ πράττειν αὐτά, καὶ μελετᾷν, καὶ λαλεῖν ἐν αὐτοῖς, καθήμενός τε, καὶ πορευόμενος· κοιταζόμενος, καὶ ἀνιστάμενος. καὶ μνησθήσῃ διαπαντὸς Κυρίου τοῦ Θεοῦ σου· καὶ φοβηθήσῃ αὐτὸν μόνον· καὶ οὐκ ἐπιλήσῃ αὐτοῦ, οὐδὲ τῶν ἐντολῶν αὐτοῦ. οὕτω γὰρ δώσει σοι αὐτὸς ἰσχύν, τοῦ ποιεῖν τὸ θέλημα αὐτοῦ. οὐδὲν γὰρ ἕτερον ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ φοβεῖσθαι καὶ ἀγαπᾷν αὐτόν, καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. οὗτος καύχημά σου, καὶ οὗτος Θεός σου. μὴ ἀκούσῃς τῶν ὑπερκοσμίων Ἀγγέλων τὸ ἀπαθὲς καὶ ἀόρατον, καὶ τοῦ ἐκπεσόντος ἐκεῖθεν τὸ λίαν πονηρόν, καὶ πρὸς τὴν πλάνην σοφόν, καὶ ὀξύ, καὶ παμμήχανον, καὶ ὁμότιμόν τι τούτων τῷ Θεῷ δοξάσῃς· μὴ ἴδῃς τοῦ οὐρανοῦ τὸ μέγεθος, καὶ τὸ πολυειδὲς τῆς τούτου κινήσεως· τὸ πε-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐκλαμπὲς τοῦ ἡλίου, τὴν τῆς σελήνης φανότητα, τῶν ἄλλων ἀστέρων τὸ διαυγές· τὸ εἰς ἀναπνοὰς τοῦ ἀέρος εὔχρηστον· τῆς θαλάσσης, καὶ τῆς γῆς τὸ πάμφορον, καὶ θεοποιήσῃς τι τῶν τοιούτων. Πάντα γὰρ τοῦ μόνου Θεοῦ, εἰσὶ δοῦλα καὶ κτίσματα, τῷ λόγῳ αὐτοῦ ἐκ μὴ ὄντων γενόμενα. αὐτὸς γὰρ εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Τοῦτον οὖν μόνον τὸν δεσπότην καὶ δημιουργὸν τοῦ παντὸς ὡς Θεὸν δοξάσεις, καὶ πρὸς αὐτὸν δι' ἀγάπης κολληθήσῃ καὶ αὐτῷ μετανοήσεις ἡμέρας καὶ νυκτός, ἐπὶ τοῖς ἑκουσίοις, καὶ ἀκουσίοις παραπτώμασιν. αὐτὸς γάρ ἐστιν οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος, καὶ ἀγαθοποιὸς αἰώνιος· ὑπεσχημένος καὶ διδοὺς οὐράνιον βασιλείαν, καὶ ἀδιάδοχον, καὶ βίον ἀνώλεθρον, καὶ ζωὴν ἀθάνατον, καὶ φῶς εἰς ἀπόλαυσιν ἀνέσπερον, τοῖς σεβομένοις καὶ προσκυνοῦσιν αὐτόν· καὶ ἀγαπῶσι, καὶ φυλάσσουσι τὰ προστάγματα αὐτοῦ. ἀλλὰ καὶ Θεὸς ζηλωτής, καὶ δίκαιος κριτής, καὶ φρικτὸς ἐκδικητὴς αὐτός ἐστιν· ἐπάγων τοῖς ἀσεβοῦσιν εἰς αὐτόν, καὶ ἀπειθοῦσιν αὐτῷ, καὶ ἀθετοῦσι τὰ προστάγματα αὐτοῦ, κόλασιν αἰώνιον· πῦρ ἄσβεστον· ὀδύνην ἄπαυστον· θλῖψιν ἀπαραμύθητον· ἔνδυμα ζόφου ἀφεγγοῦς· χώραν σκοτεινήν, καὶ τεθλιμμένην· βρυγμὸν ἐλεεινὸν ὀδόντων· ἰοβόλους ἀκοιμήτους σκώληκας· ἃ ἡτοίμασε τῷ πρώτῳ ἀποστάτῃ πονηρῷ, καὶ σὺν αὐτῷ, πᾶσι τοῖς πεπλανημένοις ὑπ' αὐτοῦ, καὶ ἀκολουθήσασιν αὐτῷ, καὶ ἀθετήσασι τὸν ποιητὴν αὐτῶν, ἐν ἔργοις, καὶ λόγοις, καὶ διανοήμασιν.

Οὐ ποιήσεις πᾶν ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐπὶ τῆς γῆς κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν, εἰς τὸ λατρεύειν αὐτοῖς, ἢ δοξάζειν ὡς Θεούς. πάντα γάρ εἰσι κτίσματα τοῦ μόνου Θεοῦ. ὃς ἐπ' ἐσχάτων τῶν αἰώνων, ἐκ παρθενικῆς νηδύος σάρκα λαβών, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. καὶ ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας παθών, καὶ θανών, καὶ ἀναστάς, εἰς οὐρανοὺς μετὰ σώματος ἀνῆλθε, καὶ ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς· μεθ' οὗ σώματος πάλιν ἐλεύσεται ἐν δόξῃ, κρῖναι ζῶντας καὶ νεκρούς. τούτου τοίνυν τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος, ποιήσεις τὴν εἰκόνα, διὰ τὴν εἰς αὐτὸν ἀγάπην, καὶ μνησθήσῃ δι' αὐτῆς ἐκείνου· καὶ προσκυνήσεις δι' αὐτῆς ἐκεῖνον· ἀνάγων τὸν νοῦν σου δι' αὐτῆς, ἐπὶ τὸ προσκυνητὸν ἐκεῖνο σῶμα τοῦ σωτῆρος, τὸ καθήμενον ἐν δεξιᾷ τοῦ Πατρὸς ἐν οὐρανῷ. ὡσαύτως καὶ τῶν Ἁγίων τοὺς τύπους καὶ ποιήσεις καὶ προσκυνήσεις· οὐχ ὡς Θεούς· τοῦτο γὰρ ἀπηγόρευται· ἀλλὰ διὰ τὴν εἰς ἐκείνους σχέσιν καὶ διάθεσιν, καὶ τὴν ὑπερβάλλουσαν τιμήν, ἀναφερομένην διὰ τῶν εἰκόνων ἐπ' αὐτοὺς τοῦ υἱοῦ· καθάπερ καὶ ὁ Μωϋσῆς ἐποίησε τὰς τῶν Χερουβὶμ εἰκόνας ἔνδον τῶν ἁγίων· καὶ αὐτὰ δὲ τὰ τῶν ἁγίων ἅγια, τῶν ὑπερουρανίων τύπος ἦν· καὶ τὸ ἅγιον κοσμικόν, εἰκόνα ἔφερε παντὸς τοῦ κόσμου. καὶ ἅγια αὐτὰ ἐκάλεσεν ὁ Μωϋσῆς· οὐ τὰ κτίσματα δοξάζων, ἀλλὰ δι' αὐτῶν τὸν κοσμοποιὸν Θεόν. καὶ σὺ τοίνυν οὐ θεοποιήσεις τὰς εἰκόνας τοῦ δεσπότου Χριστοῦ, καὶ τῶν Ἁγίων· ἀλλὰ δι' αὐτῶν προσκυνήσεις τὸν κατ' εἰκόνα οἰκείαν πρότερον ποιήσαντα ἡμᾶς· καὶ ὕστερον τὴν καθ' ἡμᾶς αὐτοῦ εἰκόνα, διὰ φιλανθρωπίαν ἄφατον ἀνειληφέναι εὐδοκήσαντα, καὶ κατ' αὐτὴν περιγραπτὸν γενόμενον. οὐ μόνον δὲ τὴν θείαν εἰκόνα προσκυνήσεις, ἀλλὰ καὶ τοῦ σταυροῦ αὐτοῦ τὸν τύπον. σημεῖον γάρ ἐστι μέγιστον, καὶ τρόπαιον Χριστοῦ, κατὰ τοῦ διαβόλου, καὶ πάσης τῆς ἀντικειμένης φάλαγγος· διὸ καὶ φρίττουσι, καὶ φυγαδεύονται τοῦτον τυπούμενον ὁρῶντες· οὗτος ὁ τύπος καὶ πρὸ τοῦ γενέσθαι τὸ πρωτότυπον, μεγάλως ἐν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῖς Προφήταις ἐδοξάσθη, καὶ τὰ μέγιστα ἐτερατούργησεν. ἀλλὰ καὶ ἐπὶ τῆς δευτέρας παρουσίας τοῦ κρεμασθέντος ἐν αὐτῷ Κυρίου Ἰησοῦ Χριστοῦ, μέλλοντος ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς, ἐλεύσεται ἔμπροσθεν τοῦτο τὸ μέγα καὶ φρικτὸν αὐτοῦ σημεῖον, μετὰ δυνάμεως, καὶ δόξης πολλῆς. δόξασον οὖν αὐτὸ νῦν, ἵνα μετὰ παρρησίας προσβλέψῃς τότε, καὶ συνδοξασθῇς αὐτῷ. καὶ τὰς τῶν ἁγίων δὲ εἰκόνας, ὡς συσταυρωθέντων τῷ Κυρίῳ, προσκυνήσεις, τὸν σταυρὸν προτυπῶν σου τῷ προσώπῳ, καὶ εἰς μνήμην ἐρχόμενος τῆς ἐνεργασμένης ἐκείνοις κοινωνίας τῶν παθημάτων τοῦ Χριστοῦ. ὡσαύτως καὶ τὰς σοροὺς τίμα τὰς ἁγίας, καὶ εἴ τι τῶν ὀστέων λείψανον. οὐ γὰρ διέστη τούτων ἡ χάρις τοῦ Θεοῦ. ὥσπερ οὐδὲ τοῦ προσκυνητοῦ σώματος Χριστοῦ διέστη ἡ θεότης, ἐπὶ τοῦ ζωοποιοῦ θανάτου. τοῦτο δὲ ποιῶν, καὶ δοξάζων τοὺς τὸν Θεὸν δοξάσαντας, ὡς τελείους δι' ἔργων φανέντας ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ, καὶ συνδοξασθήσῃ ὑπὸ τοῦ Θεοῦ· καὶ μετὰ τοῦ Δαβὶδ ψαλεῖς, ἐμοὶ λέγων, λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ Θεός.

Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ διά τι τῶν γηΐνων, ἢ διὰ φόβον ἀνθρώπινον, ἢ αἰσχύνην, ἢ κέρδος οἰκεῖον, ἐπὶ ψεύδει ὀμνύων. ἐπιορκία γὰρ ἄρνησίς ἐστι Θεοῦ. διὰ τοῦτο οὐδὲ ὀμόσῃς ὅλως· ἀλλὰ φεύξῃ τὸν ὅρκον τελείως, ὡς διὰ τοῦ ὅρκου, τῆς ἐπιορκίας ἐρχομένης, καὶ ἀπαλλοτριούσης τοῦ Θεοῦ, καὶ τοῖς ἀνόμοις συγκαταριθμούσης, τὸν τῇ ἐπιορκίᾳ χρώμενον· ἀληθεύων δὲ ἐν πᾶσι τοῖς σοῖς λόγοις, ὅρκου βεβαιότητα παρέξεις. εἰ δέ ποτε συμβαίη ὅρκῳ σεαυτὸν ὑποβαλεῖν, ὃ τῶν ἀπευκταίων, εἰ μὲν ἐπί τινι τῶν κατὰ νόμον θεῖον, πράξεις μὲν ὡς νόμιμον ἐκεῖνο· σεαυτὸν δὲ ἀπαιτήσεις τὰς εὐθύνας, ὅτι ὅλως ὤμοσας· ἐλεημοσύνῃ, καὶ ἱκεσίᾳ, καὶ πένθει, καὶ κακώσει σώματος ἐξιλεούμενος Χριστόν, τὸν εἰπόντα μὴ ὀμόσῃς. εἰ δὲ ἐπί τινι τῶν παρανόμων, ὅρα μὴ διὰ τὸν ὅρκον πληρώσῃς τὸ παράνομον· ἵνα μὴ τῷ προφητοκτόνῳ Ἡρώδῃ συναριθμηθῇς· ἀθετήσας δὲ τὸν παράνομον ἐκεῖνον ὅρκον, ὅρον θὲς σεαυτῷ τοῦ μηκέτι ποτὲ ὀμόσαι, καὶ ἐξιλέου σεαυτῷ τὸν Θεόν, χρώμενος ἐπιπονώτερον σὺν δάκρυσι τοῖς προειρημένοις φαρμάκοις.

Ἡμέραν μίαν τῆς ἑβδομάδος, ἥτις καὶ Κυριακὴ καλεῖται, διὰ τὸ ἀνατεθειμένην εἶναι τῷ Κυρίῳ, κατ' αὐτὴν ἀναστάντι ἐκ νεκρῶν· καὶ προϋποδείξαντι καὶ προπιστωσαμένῳ τὴν κοινὴν ἀνάστασιν, ἐν ᾗ πᾶν γήϊνον ἀργήσει ἔργον· ταύτην τοίνυν τὴν ἡμέραν ἁγιάσεις, καὶ βιωτικὸν πᾶν ἔργον οὐ ποιήσεις, χωρὶς τῶν ἀναγκαίων· καὶ τοῖς ὑπὸ σὲ καὶ μετὰ σοῦ πᾶσιν, ἄνεσιν παρέξεις· ἵν' ὁμοῦ δοξάσητε τὸν τῷ οἰκείῳ θανάτῳ κτησάμενον ἡμᾶς, καὶ ἀναστάντα καὶ συναναστήσαντα τὴν ἡμετέραν φύσιν. καὶ μνησθήσῃ τοῦ μέλλοντος αἰῶνος, καὶ μελετήσεις ἐν πάσαις ταῖς ἐντολαῖς, καὶ δικαιώμασι Κυρίου· καὶ ἐξετάσεις σεαυτόν, μή τι παρέβης, ἢ παρέλειψας, καὶ διορθώσεις σεαυτὸν ἐν πᾶσι· καὶ προσκαρτερήσεις ἐν αὐτῇ τῷ τοῦ Θεοῦ ναῷ, καὶ ταῖς ἐν αὐτῷ συνάξεσι παραμενεῖς· καὶ μεταλήψῃ ἐν εἰλικρινεῖ πίστει, καὶ ἀκατακρίτῳ συνειδότι τοῦ ἁγίου σώματος, καὶ αἵματος Χριστοῦ· καὶ ἀρχὴν ἀκριβεστέρου βίου ἄρξῃ· καὶ ἀνακαινίσεις σεαυτόν, καὶ ἑτοιμάσεις πρὸς ὑποδοχὴν τῶν μελλόντων αἰωνίων ἀγαθῶν· δι' ἃ τοῖς γηΐνοις, οὐδὲ ταῖς ἄλλαις ἡμέραις καταχρήσῃ· ἐν δὲ τῇ Κυριακῇ, πάντων, διὰ τὸ προσεδρεύειν τῷ Θεῷ, ἀφέξῃ, πλὴν τῶν ἀναγκαιοτάτων, καὶ ὧν ἄνευ, ζῆν ἀδύνατον. οὕτω γὰρ τὸν Θεὸν ἔχων τόπον καταφυγῆς, οὐ μεταβήσῃ· τό, τε πῦρ τῶν παθῶν, οὐκ ἐκκαύσεις, καὶ τὸ βάσαγμα τῆς ἁμαρτίας οὐκ ἀρεῖς· καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

οὕτω τὴν ἡμέραν τῶν σαββάτων ἁγιάσεις, σαββατίζων τὴν τῶν κακῶν ἀπραξίαν. τῇ Κυριακῇ δὲ, τὰς νενομισμένας μεγάλας ἑορτὰς συνάψεις, τὰ αὐτὰ πράττων, καὶ ἀπὸ τῶν αὐτῶν ἀπεχόμενος.

Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου. δι' αὐτῶν γάρ σε προήγαγεν εἰς τὸν βίον ὁ Θεός, καὶ αὐτοί σοι μετὰ Θεὸν αἴτιοι τοῦ εἶναι. οὐκοῦν καὶ σὺ μετὰ Θεὸν, αὐτοὺς καὶ τιμήσεις, καὶ ἀγαπήσεις· εἰ καὶ πρὸς τὴν τοῦ Θεοῦ ἀγάπην, ἢ πρὸς ἐκείνους συνεργεῖ· εἰ δὲ μὴ συνεργεῖ, φεύξῃ ἀπ' αὐτῶν ἀμίσως· ἂν δέ σοι καὶ ἐμπόδιον ὦσι, καὶ μάλιστα πρὸς τὴν ἀληθῆ, καὶ σωτήριον πίστιν, ἑτερόδοξοί τινες ὄντες, οὐ μόνον φεύξῃ, ἀλλὰ καὶ μισήσεις· οὐκ ἐκείνους μόνους, ἀλλὰ καὶ πάντας τοὺς πρὸς γονέας, καὶ τοὺς κατὰ πᾶσαν ἄλλην φιλίαν καὶ συνάφειαν· καὶ αὐτά σου τὰ μέλη, καὶ τὰς τούτων ὀρέξεις, καὶ αὐτό σου πᾶν τὸ σῶμα· καὶ τὴν ἐκ τούτου πρὸς τὰ πάθη σχέσιν. εἴ τις γὰρ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς, προσέτι καὶ τὴν ἑαυτοῦ ψυχὴν, καὶ αἴρει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος, εἶπεν ὁ Χριστός. καὶ πρὸς μὲν τοὺς κατὰ σάρκα πατέρας, καὶ φίλους, καὶ ἀδελφοὺς, οὕτω· τοὺς δὲ οἰκείους τῆς πίστεως, καὶ μὴ ἐμποδίζοντας πρὸς σωτηρίαν, καὶ τιμήσεις, καὶ ἀγαπήσεις. εἰ δὲ τοὺς κατὰ σάρκα πατέρας οὕτω, πόσῳ πλέον τιμήσεις, καὶ ἀγαπήσεις τοὺς κατὰ πνεῦμά σοι γεγονότας πατέρας; οἵ σε ἀπὸ τοῦ εἶναι, εἰς τὸ εὖ εἶναι μετεποίησαν, καὶ μετέδωκάν σοι τοῦ φωτισμοῦ τῆς γνώσεως, καὶ ἐδίδαξαν τὴν φανέρωσιν τῆς ἀληθείας· καὶ ἀνεγέννησάν σε διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, καὶ ἐτέθηκάν σοι τὴν ἐλπίδα τῆς ἀναστάσεως, καὶ τῆς ἀθανασίας, καὶ τῆς ἀδιαδόχου βασιλείας καὶ κληρονομίας· καὶ ἐποίησάν σε τὸν ἀνάξιον ἄξιον τῶν αἰωνίων ἀγαθῶν; καὶ οὐράνιον ἀντ' ἐπιγείου, καὶ αἰώνιον ἀντὶ προσκαίρου· καὶ υἱὸν καὶ διδακτὸν, οὐκέτι ἀνθρώπου, ἀλλὰ τοῦ Θεανθρώπου Υἱοῦ Χριστοῦ, τοῦ χαρισαμένου σοι τὸ πνεῦμα τῆς υἱοθεσίας· ὃς εἶπε, μὴ καλέσητε πατέρα ἐπὶ τῆς γῆς, μηδὲ καθηγητήν· εἷς γὰρ ὑμῶν ἐστὶ Πατήρ, καὶ καθηγητὴς ὁ Χριστός. πᾶσαν οὖν τιμὴν, καὶ ἀγάπην ὀφείλεις τοῖς πνευματικοῖς πατράσιν, ὡς τῆς εἰς αὐτοὺς τιμῆς, ἀναφερομένης ἐπὶ τὸν Χριστὸν, καὶ τὸ Παναγιον Πνεῦμα, ἐν ᾧ τὴν υἱοθεσίαν ἔλαβες, καὶ τὸν ἐπουράνιον Πατέρα, παρ' οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς ὀνομάζεται. σπουδάσεις δὲ διὰ παντὸς τοῦ βίου πνευματικὸν πατέρα ἔχειν, καὶ ἐξαγγέλλειν αὐτῷ πᾶν ἁμάρτημα, καὶ πάντα λογισμὸν, καὶ λαμβάνειν παρ' αὐτοῦ τὴν ἰατρείαν, καὶ τὴν ἄφεσιν. αὐτοῖς γὰρ ἐδόθη λύειν καὶ δεσμεῖν ψυχάς· καὶ πάντα ὅσα ἂν δήσωσιν ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ πάντα ὅσα ἂν λύσωσιν ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. ταύτην γὰρ τὴν χάριν καὶ τὴν δύναμιν ἔλαβον παρὰ Χριστοῦ· διὸ καὶ ὑπακούσεις αὐτοῖς, καὶ οὐκ ἀντιλέξεις αὐτοῖς, ἵνα μὴ προξενήσῃς ἀπώλειαν τῇ σεαυτοῦ ψυχῇ. εἰ γὰρ ὁ ἀντιλέγων τοῖς κατὰ σάρκα γονεῦσιν, εἰς ἃ μὴ ἀπηγόρευται τῷ θείῳ νόμῳ, θανατοῦται, κατὰ τὸν νόμον, πῶς ὁ ἀντιλέγων τοῖς κατὰ πνεῦμα πατράσιν, οὐ τὸ πνεῦμα τοῦ Θεοῦ διώκει ἀπ' αὐτοῦ, καὶ τὴν οἰκείαν ἀπόλλυσι ψυχήν; διὰ τοῦτο καὶ συμβούλευσαι καὶ ἐπάκουσον διὰ τέλους τοῖς σοῖς ἐν πνεύματι πατράσιν, ἵνα σωθῇ σου ἡ ψυχὴ, καὶ κληρονόμος γένῃ τῶν αἰωνίων, καὶ ἀκηράτων ἀγαθῶν.

Οὐ πορνεύσεις· ἵνα μὴ ἀντὶ τοῦ εἶναι μέλος τοῦ Χριστοῦ, ὑπάρξῃ πόρνης μέλος, καὶ ἐκκοπῇς τοῦ θείου σώματος, καὶ ἐκπέσῃς τῆς θείας κληρονομίας, καὶ ῥιφῇς εἰς γέενναν. εἰ γὰρ θυγάτηρ ἱερέως, ἂν

ἀλλ'

Athos library
Αγιορειτική Βιβλιοθήκη

ἁλοῦσα πορνεύουσα, ἐννόμως κατακαίεται, ὡς τὸν πατέρα καταισχύνασα, πόσῳ μᾶλλον ὁ τῷ Χριστοῦ σώματι, τοιοῦτον μίασμα προστρίψας, ὑπόδικος ἔσται κολάσεως αἰωνιζούσης; ἀλλ᾽ εἰ μὲν χωρεῖς, καὶ παρθενίαν ἄσκησον, ἵνα δυνηθῇς ὅλος γενέσθαι τοῦ Θεοῦ, καὶ δι᾽ ἀγάπης τελείας αὐτῷ προσκολληθῆναι· αὐτῷ προσεδρεύων διὰ βίου, καὶ μεριμνῶν ἀπερισπάστως ἀεὶ τὰ τοῦ Κυρίου, καὶ προκαταλαμβάνων τὴν μέλλουσαν ζωήν, καὶ ὡς Ἄγγελος Θεοῦ ἐπὶ τῆς γῆς πολιτευόμενος. αὐτῶν γάρ ἐστιν ἡ παρθενία, καὶ αὐτοῖς ὁμοιοῦται μετὰ σώματος, κατὰ τὸ ἐγχωροῦν, ὁ κολλώμενος τῇ παρθενίᾳ· μᾶλλον δὲ πρὸ τούτων, τῷ πρὸ πάντων τῶν αἰώνων ἐν παρθενίᾳ γεννήσαντι Πατρί, καὶ τῷ παρθένῳ καὶ ἐκ παρθένου Πατρὸς ἐν ἀρχῇ προελθόντι γεννητῶς, καὶ ἐπ᾽ ἐσχάτων τῶν αἰώνων ἐκ Παρθένου Μητρὸς σαρκὶ γεγεννημένῳ, καὶ τῷ ἐκ μόνου Πατρὸς, οὐ γεννητῶς, ἀλλ᾽ ἐκπορευτῶς προϊόντι ἀπορρήτως Πνεύματι. ᾧ Θεῷ ἐξομοιοῦται, καὶ ἐν ἀφθάρτῳ γάμῳ συναρμόζεται, ὁ ἀληθῆ παρθενίαν ἐπανῃρημένος, καὶ ψυχὴν καὶ σῶμα παρθενεύων· αἴσθησίν τε πᾶσαν, καὶ λόγον, καὶ διάνοιαν, τοῖς τῆς παρθενίας κάλλεσιν ὡραϊζόμενος· εἰ δὲ μὴ παρθενεύειν προαιρῇ, μηδὲ καθωμολόγησας τοῦτο τῷ Θεῷ, ἔξεστί σοι μίαν γυναῖκα κατὰ νόμους ἐν Κυρίῳ ἀγαγέσθαι, καὶ ταύτῃ μόνῃ συνοικεῖν, καὶ ὡς ἴδιόν σοι σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ, τῶν ἀλλοτρίων πάσῃ δυνάμει ἀπεχόμενος. δυνήσῃ δὲ τούτων τελέως ἀπέχεσθαι, ἐὰν φυλάξῃ τὰς πρὸς αὐτὰς ἀκαίρους συντυχίας, καὶ τοῖς πορνικοῖς λόγοις, καὶ ἀκούσμασι μὴ ἐπιτέρπῃ· καὶ αὐτὴν τὴν σὴν ὄψιν τοῦ τε σώματος καὶ τῆς ψυχῆς ἀποστρέψῃς ἀπ᾽ αὐτῶν, ἐφ᾽ ὅσον δυνατόν· καὶ συνεθίσῃς μὴ περιέργως τῷ κάλλει τῶν προσώπων ἐνορᾷν. ὁ γὰρ ἐμβλέψας γυναικὶ, πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· καὶ κατὰ τοῦτο μὲν, ἀκάθαρτός ἐστι τῷ εἰς καρδίαν βλέποντι Χριστῷ· ἀπὸ τούτου δὲ, καὶ ἐπὶ τὴν διὰ σώματος αἰσχρουργίαν καταντᾷ ὁ δείλαιος· καὶ τί λέγω πορνείας καὶ μοιχείας, καὶ πάντα τὰ ἐν αὐτῇ τῇ φύσει μύση; καὶ γὰρ καὶ εἰς τὰς παρὰ πᾶσαν φύσιν ἀσελγείας, ἀπὸ τοῦ περιέργως ἐνορᾷν τοῖς τῶν σωμάτων κάλλεσιν, ἀκολάστως κατασύρεται ὁ ἄνθρωπος. σὺ τοίνυν τὰς πικρὰς ἐκκόπτων ῥίζας ἀπὸ σεαυτοῦ, θανατηφόρους οὐκ οἴσεις καρπούς· ἀλλὰ καρπώσῃ τὴν ἁγνείαν, καὶ τὸν ἐν αὐτῇ ἁγιασμόν· οὗ χωρὶς, οὐδεὶς ὄψεται τὸν Κύριον.

Οὐ φονεύσεις· ἵνα μὴ τῆς υἱοθεσίας ἐκπέσῃς, τοῦ καὶ τοὺς νεκροὺς ζωοποιοῦντος, καὶ υἱοποιηθῇς δι᾽ ἔργων, τῷ ἐξ ἀρχῆς ἀνθρωποκτόνῳ. Ἐπεὶ δὲ ὁ φόνος ἐκ πληγῆς προβαίνει, ἡ δὲ, ἐξ ὕβρεως, αὕτη δὲ ἐξ ὀργῆς· ἡ δὲ ὀργὴ ἡμῖν προσγίνεται ἐκ τῆς παρ᾽ ἑτέρων ἐπιφερομένης ἡμῖν ζημίας, ἢ πληγῆς, ἢ ὕβρεως, διὰ τοῦτο, ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα μὴ κωλύσῃς, εἶπεν ὁ Χριστός. καὶ τὸν πλήττοντα, μὴ ἀντιπλήξῃς· καὶ μὴ ἀνθυβρίσῃς τὸν ὑβρίζοντα. οὕτω γὰρ καὶ σαυτὸν καὶ τὸν κακοῦντά σε τοῦ φονικοῦ πτώματος ἐλευθερώσεις. σὺ μέντοι καὶ τῶν πρὸς Θεὸν ἡμαρτημένων ἕξεις συγχώρησιν. ἄφετε γάρ, φησι, καὶ ἀφεθήσεται ὑμῖν. ὁ δὲ κακολογῶν, καὶ κακοποιῶν ἐκεῖνος, δίκην τίσει, κόλασιν αἰώνιον. ὁ γὰρ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ μωρὲ, ἔνοχός ἐστιν εἰς τὴν γέενναν τοῦ πυρὸς, εἶπεν ὁ Χριστός. εἰ μὲν οὖν δυνηθῇς πρόρριζον ἀνασπάσαι τὸ κακὸν, τὴν τῆς πραότητος μακαριότητα περιποιήσας τῇ ψυχῇ, δόξασον Χριστὸν, τὸν διδάσκαλον καὶ συνεργὸν τῶν ἀρετῶν· οὗ χωρὶς καθάπερ ἐδιδάχθης, οὐ δυνάμεθα ποιεῖν τῶν ἀγαθῶν οὐδέν· εἰ δὲ μὴ



Athos Library Αγιορειτική Βιβλιοθήκη

ἀμνηθῆς ἀόργητος διαμείναι, μέμφου σεαυτὸν ὀργιζόμενον, καὶ μετανόει τῷ Θεῷ, καὶ τῷ ὑπὸ σοῦ κακῶς ἀκούσαντι, ἢ παθόντι παρὰ σοῦ. ὁ γὰρ ἐπὶ ταῖς ἀρχαῖς τῆς ἁμαρτίας μεταμελόμενος, εἰς τέλος αὐτῆς οὐκ ἔρχεται. ὁ δὲ ἀναλγήτως ἐν τοῖς μικροῖς διακείμενος, δι᾽ αὐτῶν καὶ τοῖς μεγάλοις περιπεσεῖται.

Οὐ κλέψεις· ἵνα μὴ ὁ τῶν κρυφίων γνώστης, ὡς καταφρονήσαντι αὐτοῦ, ἀποδῷ σοι πολυπλασίονα τὴν τιμωρίαν. μᾶλλον μὲν οὖν καὶ ἀπὸ τῶν προσόντων σοι, κρυφίως παρέξεις τοῖς δεομένοις· ἵνα ἀπολάβῃς, παρὰ τοῦ ἐν κρυπτῷ βλέποντος Θεοῦ, ἑκατονταπλασίονα, καὶ ζωὴν αἰώνιον ἐν τῷ μέλλοντι αἰῶνι.

Οὐ συκοφαντήσεις· ἵνα μὴ ἐξομοιωθῇς τῷ τὴν ἀρχὴν πρὸς τὴν Εὔαν τὸν Θεὸν συκοφαντήσαντι, καὶ ἐπικατάρατος κατ᾽ ἐκεῖνον γένῃ. μᾶλλον μὲν οὖν, εἰ μὴ τῶν πολλῶν εἴη τις βλάβη, καὶ σκεπάσεις τὸ τοῦ πέλας πτῶμα, ἵνα μὴ τῷ Χὰμ ὁμοιωθῇς, ἀλλὰ τῷ Σήμ, καὶ τῷ Ἰάφεθ, καὶ τῆς εὐλογίας ἐπιτύχῃς.

Οὐκ ἐπιθυμήσεις τι τῶν πλησίον σου· οὐ κτῆμα, οὐ χρῆμα, οὐ δόξαν, οὐδὲν ὅσα τοῦ πλησίον σου ἐστίν. ἡ γὰρ ἐπιθυμία ἐν τῇ ψυχῇ συλληφθεῖσα, τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα, ἀποκύει θάνατον. σὺ δὲ τῶν ἀλλοτρίων οὐκ ἐπιθυμῶν, καὶ τῆς ἐν πλεονεξίᾳ ἁρπαγῆς, εὖ οἶδ᾽ ὅτι ἀφέξῃ. μᾶλλον μὲν οὖν καὶ ἀπὸ τῶν σῶν παρέξεις τῷ αἰτοῦντι, καὶ ἐλεήσεις καθ᾽ ὅσον ἐφικτὸν τὸν χρῄζοντα ἐλέους· καὶ οὐκ ἀποστραφήσῃ τὸν θέλοντα δανείσασθαι· κἄν τι τῶν ἀπολλυμένων εὕρῃς, ἀνασώσεις τῷ δεσπότῃ, κἂν τῶν ἐχθρωδῶς πρός σε διακειμένων οὗτος ᾖ. οὕτω γὰρ κἀκεῖνον καταλλάξεις, καὶ νικήσεις ἐν τῷ ἀγαθῷ τὸ κακόν, καθάπερ ὁ Χριστὸς διακελεύεταί σοι. Ταῦτα πάσῃ δυνάμει φυλάττων, καὶ ἐν τούτοις ζῶν, ἐναποθήσεις σου τῇ ψυχῇ τὸν τῆς εὐσεβείας θησαυρόν, καὶ εὐαρεστήσεις τῷ Θεῷ, καὶ ἀγαθοποιηθήσῃ ὑπὸ τοῦ Θεοῦ, καὶ τῶν κατὰ Θεόν· καὶ κληρονόμος γενήσῃ τῶν αἰωνίων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΕΚ ΤΩΝ
# ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ
# ΛΟΓΩΝ

## Ὑπὲρ τῶν ἱερῶς ἡσυχαζόντων.

*Ἐρώτησις πρὸς αὐτόν.*

Καλῶς ἐποίησας, Πάτερ, καὶ τοὺς τῶν ἁγίων περὶ τοῦ ζητήματός μοι λόγους προθέμενος. σοῦ γὰρ ἀκούων λύοντός μοι τὰ διηπορημένα, ἐθαύμαζον μὲν τῆς ἀληθείας τὸ ἐμφανές· ἐκεῖνο δέ μου ὑπεισήει τῇ διανοίᾳ, ὡς ἐπείπερ λόγῳ παλαίει πᾶς λόγος, ὡς καὶ αὐτὸς εἴρηκας, μὴ καὶ τοῖς ὑπὸ σοῦ λεγομένοις, αὖθις ἐστί τις ἀντιλογία. ἐπεὶ δὲ τὴν διὰ τῶν ἔργων μαρτυρίαν μόνην ἔγνων οὖσαν ἀναμφίλεκτον, καὶ τοὺς ἁγίους τὰ αὐτά σοι λέγοντας ἀκήκοα, οὐδὲν τοιοῦτον ἔτι δέδοικα· ὁ γὰρ τούτοις μὴ πειθόμενος, πῶς ἂν αὐτὸς ἀξιόπιστος εἴη; πῶς δ' οὐκ ἂν ἀθετοίη τὸν τῶν ἁγίων Θεόν; αὐτοῦ γάρ ἐστι λόγος πρὸς τοὺς Ἀποστόλους, καὶ δι' αὐτῶν πρὸς τοὺς μετ' αὐτοὺς ἁγίους εἰρημένος. ὅτι ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ταὐτὸν δ' εἰπεῖν· αὐτὴν τὴν ἀλήθειαν. πῶς δ' ἂν ἀποδεχθείη παρὰ τῶν ζητούντων τὴν ἀλήθειαν, ὁ ἀντικείμενος τῇ ἀληθείᾳ; διὸ παρακαλῶ σε, Πάτερ, ἀκοῦσαί μου καὶ τῶν ἄλλων ἕκαστον διεξιόντος, ὧν παρὰ τῶν διὰ βίου τὴν Ἑλληνικὴν παιδείαν μετιόντων ἀνδρῶν, ἀκήκοα ἐκείνων· καὶ εἰπεῖν μέν μοι καί τι τῶν δοκούντων παρὰ σεαυτοῦ πρὸς ταῦτα· προσθεῖναι δὲ καὶ τὰς τῶν ἁγίων περὶ τούτων δόξας. λέγουσι γὰρ ἡμᾶς κακῶς ποιεῖν, ἔνδον τοῦ σώματος πειρῶντας, τὸν ἡμέτερον ἐμπερικλείειν νοῦν· ἔξω γὰρ τοῦ σώματός φασι μᾶλλον χρῆναι, παντὶ τρόπῳ τοῦτον ἐξωθεῖν. διὸ καὶ διασύρουσι σφόδρα τινὰς τῶν ἡμετέρων, κατ' αὐτῶν γράφοντες, ὡς τοῖς ἀρχαρίοις παραινοῦντας ἐφ' ἑαυτοὺς βλέπειν, καὶ διὰ τῆς ἀναπνοῆς εἴσω πέμπειν τὸν οἰκεῖον νοῦν. φάσκοντες μὴ κεχωρισμένον εἶναι τῆς ψυχῆς τὸν νοῦν. τὸν οὖν μὴ κεχωρισμένον, ἀλλ' ἐνόντα, πῶς ἂν αὖθις εἴσω πέμποι τις; φασὶ δὲ, καὶ τὴν θείαν χάριν διὰ τῶν μυκτήρων εἰσοικίζειν λέγειν. ἀλλ' εἰδὼς ἐγὼ συκοφαντικῶς τοῦτο λέγοντας αὐτούς· παρ' οὐδενὸς γὰρ τοῦτ' ἤκουσα τῶν ἡμετέρων, ἐκ τούτου καὶ τοῖς ἄλλοις ὑπενόησα κακούργως ἐπιτίθεσθαι. τῶν γὰρ αὐτῶν ἐστὶ, τά τε μὴ ὄντα κατ' ἀνθρώπων πλάττειν, καὶ τὰ ὄντα κακουργεῖν. σὺ δὲ δίδαξόν με, Πάτερ, πῶς εἴσω πέμπειν σπουδῇ πάσῃ προαιρούμεθα, καὶ μὴ κακὸν οἰόμεθα, τῷ σώματι τὸν νοῦν ἐμπερικλείειν;

Ἀπόκρισις, ὅτι τοῖς προῃρημένοις ἐν ἡσυχίᾳ προσέχειν ἑαυτοῖς, οὐκ ἀσυντελὲς ἔνδον τοῦ σώματος πειρᾶσθαι κατέχειν τὸν οἰκεῖον νοῦν.

Ἀδελφὲ, οὐκ ἀκούεις τοῦ Ἀποστόλου λέγοντος, ὅτι τὰ σώματα ἡμῶν, ναὸς τοῦ ἐν ἡμῖν Ἁγίου Πνεύματός ἐστι. καὶ πάλιν· ὅτι οἶκος τοῦ Θεοῦ ἡμεῖς ἐσμέν. ὡς καὶ ὁ Θεὸς λέγει, ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸν Θεός; ὃ τοίνυν οἰκητήριον πέφυκε γίνεσθαι Θεοῦ, πῶς ἂν ἀναξιοπαθήσαι τις νοῦν ἔχων, ἐνοικίσαι τὸν οἰκεῖον νοῦν αὐτῷ; πῶς δὲ καὶ ὁ Θεὸς τὴν ἀρχὴν ἐνῴκισε τῷ σώματι τὸν νοῦν, ἆρα καὶ αὐτὸς κακῶς ἐποίησε; τοὺς τοιούτους λόγους, ἀδελφέ, τοῖς αἱρετικοῖς ἁρμόσει λέγειν. οἳ πονηρόν, καὶ τοῦ πονηροῦ πλάσμα τὸ σῶμα λέγουσιν. ἡμεῖς δὲ ἐν τοῖς σωματικοῖς φρονήμασιν εἶναι τὸν νοῦν, οἰόμεθα κακόν· ἐν τῷ σώματι δέ, οὐχὶ κακόν, ἐπεὶ μηδὲ τὸ σῶμα πονηρόν. διὸ μετὰ τοῦ Δαβίδ, τῶν διὰ βίου τῷ Θεῷ προσανεχόντων ἕκαστος βοᾷ πρὸς τὸν Θεόν· ἐδίψησέ σε ἡ ψυχή μου. ποσαπλῶς σοι ἡ σάρξ μου. καί, ἡ καρδία μου, καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. καὶ μετὰ τοῦ Ἡσαΐου, ἡ κοιλία μου ἠχήσει ὡς κιθάρα, καὶ τὰ ἐντός μου ὡσεὶ τεῖχος χαλκοῦν, ὃ ἐνεκαίνισας. καί, διὰ τὸν φόβον σου Κύριε, ἐν γαστρὶ ἐλάβομεν πνεῦμα σωτηρίας σου· ᾧ θαρροῦντες οὐ πεσούμεθα ἀλλὰ πεσοῦνται οἱ ἀπὸ τῆς γῆς φωνοῦντες καὶ ὡς γηΐνων τῶν ἐπουρανίων ῥημάτων, καὶ πολιτειῶν καταψευδόμενοι. εἰ γὰρ καὶ ὁ Ἀπόστολος θάνατον τὸ σῶμα λέγει. τίς γάρ με φησι· ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου, ἀλλ' ὡς τοῦ προσύλου καὶ σωματικοῦ φρονήματος, σωματοειδοῦς ὄντος ἀτεχνῶς. διὸ πρὸς τὸ πνευματικὸν καὶ θεῖον παραβάλλων τοῦτο, σῶμα δικαίως ἐκάλεσε· καὶ οὐχ ἁπλῶς σῶμα, ἀλλὰ θανάτου σώματος. καὶ τοῦτο μικρὸν ἀνωτέρω σαφέστερον δηλῶν, ὡς οὐχὶ τὴν σάρκα αἰτιᾶται, ἀλλὰ τὴν ἐπεισελθοῦσαν ἁμαρτητικὴν ὁρμὴν ἐκ παραβάσεως, πεπραμένος· φησίν· εἰμὶ ὑπὸ τὴν ἁμαρτίαν. ὁ πεπραμένος δέ, οὐ φύσει δοῦλος. καὶ πάλιν· οἶδα ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν ἐν τῇ σαρκί μου, ἀγαθόν. ὁρᾷς ὅτι οὐ τὴν σάρκα, ἀλλὰ τὸ ἐνοικοῦν αὐτῇ φησὶ· κακόν. τοῦτον τοίνυν τὸν ὄντα ἐν τοῖς μέλεσιν ἡμῶν, καὶ τῷ νόμῳ τοῦ νοὸς ἀντιστρατευόμενον νόμον, ἐνοικεῖν τῷ σώματι κακόν, ἀλλ' οὐχὶ τὸν νοῦν. διὰ τοῦτο ἡμεῖς ἀντιπαραταττόμενοι τούτῳ τῷ νόμῳ τῆς ἁμαρτίας, ἐξοικίζομεν αὐτὸν τοῦ σώματος, καὶ ἐνοικίζομεν τὴν ἐπισκοπὴν τοῦ νοῦ· καὶ νομοθετοῦμεν δι' αὐτῆς, ἑκάστῃ τε δυνάμει τῆς ψυχῆς, καὶ τοῖς τοῦ σώματος μέλεσιν, ἑκάστῳ τὸ προσῆκον. ταῖς μὲν αἰσθήσεσιν, ὧν τε, καὶ ἐφ' ὅσον ἐστὶν ἀντιληπτέον· τὸ ἔργον δὲ τοῦ νόμου τοῦτο, προσαγορεύεται ἐγκράτεια· τῷ δὲ παθητικῷ μέρει τῆς ψυχῆς, τὴν ἀρίστην ἐμποιοῦμεν ἕξιν. ἀγάπη δ' ἔχει αὕτη τὴν ἐπωνυμίαν. ἀλλὰ καὶ τὸ λογιστικόν, διὰ τοῦ βελτιοῦμεν, ἀποπεμπόμενοι πᾶν ὅ,τι προσίσταται τῇ διανοίᾳ, πρὸς τὴν εἰς Θεὸν ἀνάβασιν, καλοῦμεν δὲ τοῦτο τὸ μέρος τοῦ νόμου τούτου, νῆψιν. ἐγκρατείᾳ δ' ὅστις τὸ σῶμα καθάρας ἑαυτοῦ, θυμόν τε καὶ ἐπιθυμίαν ἀφορμὴν ἀρετῶν δι' ἀγάπης θείας ποιησάμενος, καὶ τὸν ἀπειλικρινημένον δι' εὐχῆς παραστήσας τῷ Θεῷ, κτᾶται καὶ ὁρᾷ ἐν ἑαυτῷ τὴν ἐπηγγελμένην χάριν τοῖς κεκαθαρμένοις τὴν καρδίαν· καὶ τότ' ἂν δυνηθείη μετὰ Παύλου λέγειν, ὅτι ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ, ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ. ἔχομεν δέ φησι τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι, τοῖς σώμασιν, εἰ τὸν νοῦν ἡμῶν αὐτῶν ἔνδον τοῦ σώματος καθείρξομεν, ἀναξίως τῆς μεγαλοφυΐας πράξομεν τοῦ νοῦ; καὶ τίς ἂν τοῦτ' εἴποι, μὴ ὅτι πνευματικός, ἀλλὰ καὶ νοῦν γεγυμνωμένον θείας χάριτος, ἀνθρώπου δ' ὅμως ἔχων; ἐπεὶ δέ, καὶ ἔνεστι πολυδύναμον πρᾶγμα ἡ καθ' ἡμᾶς ψυχή, χρῆται δ' ὡς ὀργάνῳ, τῷ ζῆν κατ' αὐτὴν πεφυκότι σώματι, τίσιν ὡς ὀργάνοις χρωμένη ἐνεργεῖ ἡ δύναμις αὐτῆς· αὕτη, ἣν καλοῦμεν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νοοῦ· ἀλλὰ γὰρ οὐδείς, ποθ' ὑπενόησεν, οὔτ' ἐπὶ τοῖς ὄνυξιν, οὔτ' ἐν τοῖς βλεφάροις, οὐδὲ μὲν οὖν ἐν τοῖς μυκτῆρσιν, ἢ τοῖς χείλεσιν, ἐνῳκισμένην εἶναι τὴν διάνοιαν. ἐντὸς δ' ἡμῖν ἐνεῖναι, πᾶσιν αὕτη συνδοκεῖ. διηνέχθησαν δέ τινες, τίνι πρώτῳ ὡς ὀργάνῳ χρῆται τῶν ἐντός. οἱ μὲν γάρ, ὡς ἐπ' ἀκροπόλει τινί, τῷ ἐγκεφάλῳ ταύτην ἐνιδρύουσιν· οἱ δέ, τῆς καρδίας τὸ μεσαίτατον, καὶ τὸ κατ' αὐτὸ τοῦ ψυχικοῦ πνεύματος ἀπειλικρινημένον, ὄχημα διδόασιν αὐτῇ. ἡμεῖς δὲ καὶ αὐτοί, εἰ καὶ μήτε εἴσω ὡς ἐν ἀγγείῳ, καὶ γὰρ ἀσώματον, μήτ' ἔξω, καὶ γὰρ συνημμένον· ἀλλ' ἐν τῇ καρδίᾳ ὡς ἐν ὀργάνῳ, τὸ λογιστικὸν ἡμῶν εἶναι ἐπιστάμεθ' ἀκριβῶς· οὐ παρ' ἀνθρώπου τοῦτο διδαχθέντες, ἀλλὰ παρ' αὐτοῦ τοῦ πλάσαντος τὸν ἄνθρωπον. ὅς φησιν ἐν Εὐαγγελίοις, ὅπως οὐ τὰ εἰσερχόμενα, ἀλλὰ τὰ ἐξερχόμενα διὰ τοῦ στόματος κοινοῖ τὸν ἄνθρωπον, ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται· φησίν· οἱ λογισμοί. ταὐτ' ἄρα καὶ ὁ μέγας Μακάριος, ἡ καρδία· φησίν· ἡγεμονεύει ὅλου τοῦ ὀργάνου· καὶ ἐπὰν κατάσχῃ τὰς νομὰς τῆς καρδίας ἡ χάρις, βασιλεύει ὅλων τῶν λογισμῶν, καὶ τῶν μελῶν· ἐκεῖ γάρ ἐστιν ὁ νοῦς, καὶ πάντες οἱ λογισμοὶ τῆς ψυχῆς. οὐκοῦν ἡ καρδία ἡμῶν ἐστὶ τὸ τοῦ λογισμοῦ ταμεῖον. καὶ πρῶτον σαρκικὸν ὄργανον λογιστικόν. τὸ τοίνυν λογιστικὸν ἡμῶν ἐν ἀκριβεῖ νήψει σπεύδοντες ἐπισκέπτεσθαι καὶ διορθοῦν, τίνι ἄλλῳ ἐπισκεψαίμεθα, εἰ μὴ τὸν ἐκκεχυμένον διὰ τῶν αἰσθήσεων νοῦν ἡμῶν ἔξωθεν συναγαγόντες, πρὸς τὰ ἐντὸς ἐπαναγάγοιμεν, καὶ πρὸ αὐτὴν ταύτην τὴν καρδίαν, τὸ τῶν λογισμῶν ταμεῖον. διὰ τοῦτο καὶ ὁ φερωνύμως Μακάριος ἐφεξῆς τοῖς ἀνωτέρω μικρὸν εἰρημένοις παρ' αὐτοῦ φησίν. ἐκεῖ τοίνυν δεῖ σκοπεῖν, εἰ ἐνέγραψεν ἡ χάρις τοὺς τοῦ πνεύματος νόμους. ἐκεῖ, ποῦ; ἐν τῷ ἡγεμονικῷ ὀργάνῳ· ἐν τῷ τῆς χάριτος θρόνῳ· ὅπου ὁ νοῦς καὶ οἱ λογισμοὶ πάντες τῆς ψυχῆς· ἐν τῇ καρδίᾳ δηλαδή. ὁρᾷς πῶς ἀναγκαιότατον τοῖς προῃρημένοις ἐν ἡσυχίᾳ προσέχειν ἑαυτοῖς, ἐπανάγειν καὶ ἐμπερικλείειν τῷ σώματι τὸν νοῦν, καὶ μάλιστα τῷ ἐν τῷ σώματι ἐνδοτάτῳ σώματι, ὃ καρδίαν ὀνομάζομεν. εἰ δὲ καὶ κατὰ τὸν ψαλμῳδόν, πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, πῶς ἡμεῖς αὐτὴν ἔξω που ζητήσωμεν; εἰ καὶ κατὰ τὸν Ἀπόστολον, ὁ Θεὸς ἔδωκεν αὐτοῦ τὸ πνεῦμα κρᾶζον ἐν ταῖς καρδίαις ἡμῶν Ἀββᾶ ὁ Πατήρ, πῶς ἡμεῖς οὐκ ἐν αὐταῖς συνευξόμεθα τῷ πνεύματι; εἰ δὲ κατὰ τὸν Προφητῶν, καὶ Ἀποστόλων Κύριον, ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν ἐστί, πῶς οὐκ ἔξω καὶ τῆς τῶν οὐρανῶν βασιλείας γένοιτ' ἄν, ὁ τὸν ἐντὸς ἑαυτοῦ τὸν νοῦν ἐξάγειν διὰ σπουδῆς ποιούμενος. καρδία ὀρθή· φησιν ὁ Σολομών· ζητεῖ αἴσθησιν· ἣν ὁ αὐτὸς νοερὰν καὶ θείαν ἀλλαχοῦ προσείρηκε. πρὸς ἣν οἱ Πατέρες πάντας προτρεπόμενοι, νοῦς· φασί· νοερός, πάντως καὶ νοερὰν αἴσθησιν περιβέβληται. ἣν ἐν ἡμῖν, καὶ οὐκ ἐν ἡμῖν οὖσαν ἐκζητοῦντες μὴ παυσώμεθα· ὁρᾷς ὅτι κἂν πρὸς τὴν ἁμαρτίαν ἀντικαταστῆναί τις προθυμηθῇ, κἂν τὴν ἀρετὴν προσκτήσασθαι, κἂν τὸ κατ' ἀρετὴν ἆθλον ἢ βραβεῖον· μᾶλλον δὲ τὸν ἀρραβῶνα τοῦ κατ' ἀρετὴν βραβείου τὴν αἴσθησιν τὴν νοεράν, εὑρεῖν ἐντὸς τοῦ, τε σώματος, καὶ ἑαυτοῦ τὸν νοῦν ἐπαναγαγεῖν ἀνάγκη; τὸ δ' ἔξω τὸν νοῦν οὐ τοῦ σωματικοῦ φρονήματος, ἀλλ' αὐτοῦ τοῦ σώματος ποιεῖν, ὡς ἐκεῖ νοεροῖς θεάμασιν ἐντύχοι, τῆς ἑλληνικῆς ἐστὶ πλάνης αὐτὸ τὸ κράτιστον, καὶ πάσης κακοδοξίας ῥίζα καὶ πηγή· δαιμόνων εὕρημα καὶ παίδευμα, γεννητικὸν ἀνοίας, καὶ γέννημα τῆς ἀπονοίας. διὸ καὶ οἱ λαλοῦντες ἐκ τῆς τῶν δαιμόνων ἐπιπνοίας,

ἐξεστηκότες ἑαυτῶν εἰσί. μηδ' αὐτὸ τοῦτο συνιέντες ὅ,τι λέγουσιν. ἡμεῖς δέ, μὴ μόνον εἴσω τοῦ σώματος καὶ τῆς καρδίας, ἀλλὰ καὶ τὸν αὐτόν, αὐτοῦ πάλιν πέμπομεν τὸν νοῦν. κατηγορείτωσαν οὖν οἱ λέγοντες μὴ κεχωρισμένον, ἀλλ' ἡνωμένα τῇ ψυχῇ, πῶς ἂν αὖθις εἴσω πέμποι τις τὸν νοῦν. ἀγνοοῦσι γὰρ ὡς ἔοικεν, ὅτι ἄλλο μὲν οὐσία νοός, ἄλλο δὲ ἐνέργεια. μᾶλλον δὲ εἰδότες, τοῖς ἀπατεῶσιν ἑαυτοὺς συνέταξαν ἑκόντες, διὰ τῆς ὁμωνυμίας σοφιζόμενοι· μὴ καταδεχόμενοι γὰρ τὸ τῆς πνευματικῆς διδασκαλίας ἁπλοῦν, οἱ ἐκ τῆς διαλεκτικῆς πρὸς τὰς ἀντιλογίας ἠκονημένοι, κατὰ τὸν Μέγαν Βασίλειον, περιτρέπουσι τὴν ἰσχὺν τῆς ἀληθείας ἐκ τῶν ἀντιθέσεων τῆς ψευδωνύμου γνώσεως, τῇ πιθανολογίᾳ τῶν σοφισμάτων· τοιούτους γὰρ δεῖ εἶναι τοὺς μὴ πνευματικούς· καὶ τὰ πνευματικὰ κρίνειν καὶ διδάσκειν ἀξιοῦντας ἑαυτούς. οὐ γὰρ δὴ τοῦτο λέληθεν αὐτούς, ὅτι οὐχ ὡς ἡ ὄψις τἆλλα μὲν ὁρᾷ τῶν ὁρατῶν, ἑαυτὴν δὲ οὐχ ὁρᾷ· οὕτω καὶ ὁ νοῦς. ἀλλ' ἐνεργεῖ μὲν καὶ τἆλλα ὧν ἂν δέοιτο περισκοπῶν· ὃ φησι κατ' εὐθεῖαν κίνησιν τοῦ νοῦ Διονύσιος ὁ Μέγας. εἰς ἑαυτὸν δ' ἐπάνεισι, καὶ ἐνεργεῖ καθ' ἑαυτόν, ὅταν ἑαυτὸν ὁ νοῦς ὁρᾷ. τοῦτο δ' αὖθις κυκλικὴν εἶναι κίνησιν ὁ αὐτὸς αὐτοῦ φησιν. αὕτη δ' ἡ τοῦ νοῦ ἐστὶν ἐνέργεια, κρείττων καὶ ἰδιαιτάτη· δι' ἧς καὶ ὑπὲρ ἑαυτὸν γινόμενος ἔσθ' ὅτε, τῷ Θεῷ συγγίνεται. νοῦς γάρ· φησὶν ὁ Μέγας Βασίλειος μὴ σκεδαννύμενος ἐπὶ τὰ ἔξω, ὁρᾷς ὅτι ἔξεισι; ἐξιὼν οὖν, ἐπανόδου δεῖται. διό φησιν, ἐπάνεισι πρὸς ἑαυτόν· δι' ἑαυτοῦ δὲ πρὸς τὸν Θεόν, ὡς δι' ἀπλανοῦς ἀναβαίνει τῆς ὁδοῦ. τὴν τοιαύτην γὰρ κίνησιν τοῦ νοῦ, καὶ ὁ τῶν νοερῶν ἀπλανὴς ἐπόπτης ἐκεῖνος Διονύσιος, ἀδύνατον εἶναί φησι πλάνῃ τινὶ περιπεσεῖν. ταύτης οὖν ἀπάγειν ὁ τῆς πλάνης πατὴρ ἐπιθυμῶν ἀεὶ τὸν ἄνθρωπον, καὶ πρὸς τὴν χωροῦσαν αὐτῷ τὰς πλάνας ἄγειν, οὐδέπω καὶ τήμερον, ὅσαγε ἡμεῖς ἴσμεν, εὗρε συνεργὸν διὰ χρηστολογίας ἀγωνιζόμενον ἐφελκύσασθαι πρὸς ταύτην. νῦν δ' ὡς ἔοικεν εὗρε τοὺς συλλαμβανομένους, εἴπερ, ὡς αὐτὸς εἶπας, εἰσίν· οἳ καὶ λόγους συντιθέασιν ἐνάγοντας πρὸς ταῦτα· καὶ τοὺς πολλοὺς πείθειν ἐγχειροῦσιν, ὡς κάλλιον ἔξω κατέχειν τοῦ σώματος προσευχόμενον τὸν νοῦν, καὶ αὐτοὺς τοὺς τὸν ὑπεραναβεβηκότα, καὶ ἡσύχιον ἀσπαζομένους βίον· μηδ' ἐκεῖνο αἰδεσθέντες, ὅπερ Ἰωάννης ὁ τὴν πρὸς οὐρανὸν φέρουσαν Κλίμακα διὰ λόγων τεκτηνάμενος ἡμῖν, ὁριστικῶς, καὶ ἀποφαντικῶς ἐξεῖπεν· ὡς ἡσυχαστής ἐστιν, ὁ τὸ ἀσώματον ἐν σώματος περιορίζειν σπεύδων. ᾧ συνῳδὰ καὶ οἱ πνευματικοὶ Πατέρες ἡμῶν ἐδίδαξαν ἡμᾶς εἰκότως. εἰ γὰρ μὴ ἔνδον τοῦ σώματος περιορίσειε, πῶς ἂν ἐν ἑαυτῷ τὸν τὸ σῶμα ἐνημμένον, καὶ ὡς εἶδος φυσικὸν διὰ πάσης χωροῦντα τῆς μεμορφωμένης ὕλης· ἧς τὸ ἔξω καὶ διωρισμένον οὐκ ἂν ἐπιδέξαιτο οὐσίαν νοῦ, μέχρις ἂν ἐκείνη ζώη, ζωῆς εἶδος κατάλληλον τῇ συναφείᾳ οὖσα. βλέπεις· ἀδελφέ· πῶς οὐ πνευματικῶς μόνον, ἀλλὰ καὶ ἀνθρωπίνως ἐξετάζουσιν, εἴσω τοῦ σώματος πέμπειν, ἢ κατέχειν τὸν νοῦν ἀναπέφηνεν ἀναγκαιότατον τοῖς προῃρημένοις ἑαυτῶν ὡς ἀληθῶς γενέσθαι, καὶ κατὰ τὸν ἔσω ἄνθρωπον φερωνύμως Μοναχοῖς; τὸ δ' εἰς ἑαυτοὺς μάλιστα τοὺς εἰσαγομένους βλέπειν εἰσηγεῖσθαι, καὶ διὰ τῆς ἀναπνοῆς εἴσω πέμπειν τὸν οἰκεῖον νοῦν, οὐκ ἄπο ῥοπῆς. τὸν γὰρ μήπω θεωρητικὸν ἑαυτοῦ, μηχαναῖς τισὶ πρὸς ἑαυτὸν ἐπισυνάγειν τὸν νοῦν, οὐκ ἀποτρέψειέ τις εὖ φρονῶν. ἐπεὶ οὖν τοῖς ἄρτι πρὸς τὸν ἀγῶνα τοῦτον ἀποδυσαμένοις, καὶ συναγόμενος συνεχῶς ἀποπηδᾷ· δεῖ δὲ καὶ συνεχῶς αὐτοὺς αὖθις τοῦτον ἐπανάγειν· λανθάνει δ' ἀγυμνάστους ὄντας δυσθεωρητότατος, καὶ εὐκινη-

τότατος

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πάντως ἀπαίτιον ὤν. διὰ τοῦτο τῇ πυκνὰ διαχεομένῃ, καὶ ἐπαναγομένῃ εἰσπνοῇ, προσέχειν εἰσὶν οἳ, παραινοῦσι, καὶ ἐπέχειν τί μικρὸν, ὡς κἀκεῖνον συνεπίσχοιεν τηροῦντες ἐν αὐτῇ· μέχρις ἂν σὺν Θεῷ· ἐπὶ τὸ κρεῖττον προϊόντες, ἀπρόϊτον πρὸς τὰ περὶ αὐτὸν, καὶ ἀμιγῆ τὸν οἰκεῖον νοῦν ποιήσαντες, δυνηθῶσιν ἀκριβῶς εἰς ἑνοειδῆ συνέλιξιν συναγαγεῖν. τοῦτο δ' ἴδοι τις ἂν καὶ αὐτομάτως ἑπόμενον τῇ προσοχῇ τοῦ νοῦ. ἠρέμα γὰρ εἴσεισί τε, καὶ ἔξεισι τοῦτο τὸ πνεῦμα, κἀπὶ πάσης ἐναγωνίου σκέψεως· μάλιστα δὲ ἐπὶ τῶν ἡσυχαζόντων σώματι, καὶ διανοίᾳ. οὗτοι γὰρ πνευματικῶς σαββατίζοντες, καὶ ἀπὸ πάντων τῶν οἰκείων ἔργων καταπαύοντες, ὡς ἐφικτὸν, πᾶν μὲν τὸ μεταβατικὸν, καὶ διεξοδικὸν, καὶ πεποικιλμένον περὶ τὰς γνώσεις τῶν ψυχικῶν δυνάμεων, περιαιροῦσιν ἔργον· καὶ τὰς αἰσθητικὰς πάσας ἀντιλήψεις, καὶ πᾶσαν ἁπλῶς σώματος ἐνέργειαν, ἥτις ἐφ' ἡμῖν. ἣν δ' οὐκ ἐφ' ἡμῖν τελέως, ὥσπερ καὶ τὸ ἀναπνεῖν, ἐφ' ὅσον ἐφ' ἡμῖν. ταῦτα δὲ πάντα τοῖς προκόψασι καθ' ἡσυχίαν ἀπόνως, καὶ ἀπεριμερίμνως ἕπεται· τῇ γὰρ τελείᾳ πρὸς ἑαυτὴν εἰσόδῳ τῆς ψυχῆς, αὐτόματα ταυτὶ πάντα ἐπιγίνεσθαι ἀνάγκη. τοῖς δ' ἀρχομένοις, ἐν οὐδενὶ τῶν εἰρημένων ἴδοις ἂν ἀμογητὶ περιγινόμενον· ὡς οὖν τῇ ἀγάπῃ ἕπεται τὸ ὑπομένειν· ἡ γὰρ ἀγάπη πάντα στέγει. ἡμεῖς δὲ διδασκόμεθα κατορθοῦν βίᾳ τὴν ὑπομονὴν, ὡς δι' αὐτῆς πρὸς τὴν ἀγάπην φθάσωμεν. οὕτω κἀπὶ τούτων ἔχει· καὶ τί δεῖ πλείω περὶ τούτων λέγειν; πάντες γὰρ οἱ πεπειραμένοι γελῶσι τοὺς ἐξ ἀπειρίας ἀντινομοθετοῦντας· τῶν γὰρ τοιούτων, οὐ λόγος· ἀλλὰ πόνος, καὶ ἡ διὰ πόνων πεῖρα διδάσκαλος· αὐτή τε καρπουμένη τὸ συμφέρον, καὶ τῶν φιλονείκων τε, καὶ φιλενδείκτων τοὺς ἀκάρπους ἀποστρεφομένη λόγους. ἐπεὶ δὲ καὶ καθάπερ τις τῶν μεγάλων περὶ ταῦτα λέγει, τοῖς ἔξω σχήμασι πέφυκεν ὁ ἔσω ἄνθρωπος συνεξομοιοῦσθαι μετὰ τὴν παράβασιν, πῶς οὐκ ἂν συντελέσειέ τι μέγα τῷ σπεύδοντι συστρέφειν τὸν νοῦν εἰς ἑαυτὸν, ὡς μὴ τὴν κατ' εὐθεῖαν, ἀλλὰ τὴν κυκλικὴν καὶ ἀπλανῆ κινεῖσθαι κίνησιν, τῷ μὴ τὸν ὀφθαλμὸν ὧδε κἀκεῖσε περιάγειν, ἀλλ' οἷον ἐρείσματί τινι τοῦτον προσερείδειν, τῷ οἰκείῳ στήθει, ἢ τῷ ὀμφαλῷ. πρὸς γὰρ τῷ εἰς κύκλον ὥσπερ ἔξωθεν ἐφ' ὅσον ἐφικτὸν συνελίττειν ἑαυτὸν, παραπλησίως τῇ σπουδαζομένῃ ἐν αὐτῷ τοῦ νοῦ κινήσει, καὶ τὴν διὰ ὄψεως ἔξω χεομένην δύναμιν τοῦ νοῦ, τῆς καρδίας εἴσω πέμψει διὰ τοῦ τοιούτου σχήματος τοῦ σώματος. εἰ δὲ καὶ ἡ τοῦ νοητοῦ θηρὸς δύναμις ἐπ' ὀμφαλοῦ γαστρὸς, ὡς τοῦ νόμου τῆς ἁμαρτίας ἐκεῖ τὸ κράτος ἔχοντος, καὶ νομὴν αὐτῷ διδόντος, διατὶ μὴ τὸν ἀντιστρατευόμενον ἐκείνῳ τοῦ νόμου νόμον, αὐτοῦ δι' εὐχῆς ὡπλισμένον ἐπιστήσωμεν; ὡς ἂν μὴ τὸ διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας πνεῦμα πονηρὸν ἀπελαθὲν, μεθ' ἑτέρων ἑπτὰ πονηροτέρων πνευμάτων ἐπιστρέψαν, αὖθις ἐγκατοικισθῇ, καὶ γένηται τὰ ἔσχατα χείρονα τῶν πρώτων. πρόσεχε σεαυτῷ· φησὶν ὁ Μωϋσῆς· παντὶ δηλαδή· οὐ τινὶ μὲν τῶν σῶν, τινὶ δ' οὔ. διὰ τίνος; τοῦ νοῦ πάντως. οὐδενὶ γὰρ ἄλλῳ δυνατὸν προσέχειν ἑαυτῷ παντί. ταύτην οὖν ἐπίστησον καὶ ψυχῇ καὶ σώματι τὴν φυλακὴν, δι' αὐτῆς γὰρ καὶ σωματικῶν, καὶ ψυχικῶν πονηρῶν παθημάτων ἀπαλλαγήσῃ ῥᾳδίως. σεαυτοῦ τοίνυν πρόστηθι· σεαυτῷ ἐπίστηθι· σεαυτὸν ἐπίσκεψαι· μᾶλλον δὲ προΐστασο, καὶ ἐπισκέπτου, καὶ ἔταζε. καὶ γὰρ οὕτω τὴν σάρκα ἀφηνιάζουσαν ὑποτάξεις τῷ πνεύματι, καὶ ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου οὐ μήποτε γένηται. ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος, τῶν πονηρῶν δηλαδὴ καὶ πνευμάτων, καὶ παθημάτων, ἀναβῇ ἐπὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σε· φησὶν ὁ Ἐκκλησιαστής· τόπον σου μὴ ἀφῇς· τουτέστι μὴ ψυχῆς μέρος, μὴ μέλος σώματος ἀνεπίσκοπον ἐάσῃς. οὕτω γὰρ καὶ τῶν κάτωθεν ἐπηρεαζόντων πνευμάτων ἀνώτερος διαγενήσῃ, καὶ τῷ ἐτάζοντι καρδίας καὶ νεφροὺς, ὡς αὐτοὺς ταῦτα προετάσας, ἀνεξετάστως παραστήσῃ μετὰ παῤῥησίας. εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα, Παῦλός ἐστιν ὁ λέγων. καὶ τὸ τοῦ Δαβὶδ παθὼν μακάριον ἐκεῖνο πάθος, καὶ αὐτὸς πρὸς τὸν Θεὸν ἐρεῖς, ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεταί μοι, ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου. οὐ τὸ τῆς ἐμῆς φησι ψυχῆς μόνον ἐπιθυμητικὸν ὅλον σὸν εἰργάσω, ἀλλὰ καὶ εἴτι ἐν τῷ σώματι ταύτης τῆς ἐπιθυμίας ζώπυρον, πρὸς τὴν ἐμποιήσασαν ἐπιστρέψαν, δι' αὐτῆς πρὸς σὲ ἀνέπτη, καὶ σοῦ ἐξήρτηται, καὶ σοὶ κολλᾶται. ὡς γὰρ τοῖς τῶν αἰσθητῶν, καὶ φθαρτῶν ἡδονῶν ἀντεχομένοις, τὸ τῆς ψυχῆς ἐπιθυμοῦν ὅλον κενοῦται πρὸς τὴν σάρκα, καὶ διὰ τοῦτο ὅλοι σάρκες γίνονται, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οὐκ ἔνι καταμένειν ἐν αὐτοῖς. οὕτω τοῖς ἀνυψώσασι τὸν νοῦν πρὸς τὸν Θεὸν, καὶ τῷ θείῳ πόθῳ τὴν ψυχὴν ἐξηρτημένοις, καὶ ἡ σὰρξ μετασκευαζομένη συνανυψοῦταί τε, καὶ συναπολαύει τῆς θείας κοινωνίας· καὶ κτῆμα καὶ αὐτὴ γίνεται, καὶ οἴκημα Θεοῦ, μηκέτ' ἐνοικουροῦσαν ἔχουσα τὴν πρὸς Θεὸν ἔχθραν, μηδὲ κατὰ τοῦ πνεύματος ἐπιθυμοῦσα. τίς δὲ καὶ ὁ μᾶλλον ἐπιτήδειος τόπος τῷ κάτωθεν ἐφ' ἡμᾶς ἀνιόντι πνεύματι σαρκὸς, καὶ πῶς οὐχ ἡ σὰρξ, ἐν ᾗ καὶ ὁ Ἀπόστολός φησι, μηδὲν ἀγαθὸν, πρὸ τοῦ ἐγκατοικισθῆναι τὸν νόμον τῆς ζωῆς, οἰκεῖν; ταύτην οὖν καὶ μᾶλλον δεῖ μηδέποτ' ἀφεῖσθαι προσοχῆς. πῶς γὰρ ἡμῶν εἴη; πῶς δ' ἂν ἀφῶμεν ταύτην; πῶς δ' ἂν ἀποκρουσαίμεθα τὴν πρὸς αὐτὴν ἄνοδον τοῦ πονηροῦ; καὶ μάλιστα οἱ μήπω πνευματικῶς εἰδότες ἀντεπιέναι τοῖς πνευματικοῖς τῆς πονηρίας, εἰ μὴ καὶ διὰ τοῦ ἔξω σχήματος ἡμᾶς αὐτοὺς παιδεύσομεν προσέχειν ἑαυτοῖς; καὶ τί λέγω τοὺς ἄρτι ἐπιβαλλομένους, ὅτε καὶ τῶν τελεωτέρων εἰσὶν οἳ, τούτῳ χρησάμενοι τῷ σχήματι κατὰ τὴν προσευχὴν, ἐπήκοον τὸ θεῖον ἔχον· οὐ μόνον τῶν μετὰ Χριστὸν, ἀλλὰ καὶ τῶν πρὸ τῆς αὐτοῦ πρὸς ἡμᾶς ἐπιδημίας. καὶ αὐτὸς γὰρ ὁ τὴν θεοπτίαν τελεώτατος Ἠλίας τὴν κεφαλὴν τοῖς γόνασιν ἐρείσας, καὶ οὕτω τὸν νοῦν εἰς ἑαυτὸν, καὶ τὸν Θεὸν φιλοπονώτερον συναγαγὼν, τὸν πολυετῆ ἐκεῖνον ἔλυσεν αὐχμόν. οὗτοι δέ μοι δοκοῦσιν, ἀδελφὲ, παρ' ὧν ἀκηκοέναι ταῦτα λέγεις, νοσεῖν τὴν τῶν Φαρισαίων νόσον· διὸ καὶ τὸ ἔσωθεν τοῦ ποτηρίου, δηλαδὴ τὴν ἑαυτῶν καρδίαν ἐπισκέπτεσθαι, καὶ καθαίρειν οὐκ ἐθέλουσι. καὶ ταῖς πατρικαῖς μὴ στοιχοῦντες παραδόσεσι, σπεύδουσιν αὐτοὶ προκαθῆσθαι πάντων, ὡς καινοὶ νομοδιδάσκαλοι· τό, τε σχῆμα τῆς δεδικαιωμένης τελωνικῆς εὐχῆς ἐκείνης, αὐτοί τε ἀπαξιοῦσι, καὶ τοὺς ἄλλους τῶν εὐχομένων παραινοῦσι μὴ προσίεσθαι. καθάπερ γὰρ ἐν Εὐαγγελίοις φησὶν ὁ Κύριος. ἐκεῖνος οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἆραι. τοῦτον δὲ ζηλοῦσιν, οἱ ἑαυτοῖς ἐν τῷ εὔχεσθαι προσέχοντες τὴν ὄψιν· οἱ δ' ὀμφαλοψύχους τούτους ὀνομάζοντες, πρὸς τῷ συκοφαντεῖν σαφῶς ὧν κατηγοροῦσι· τίς γάρ ποτε τούτων ἐπ' ὀμφαλοῦ λέγει τὴν ψυχήν; πρὸς γοῦν τῷ γενέσθαι δήλους συκοφαντικῶς ἐπιθεμένους, καὶ ὑβριστὰς, τῶν ἐπαινουμένων σφᾶς αὐτοὺς ἔδειξαν ὄντας, ἀλλ' οὐ διορθωτὰς τῶν σφαλλομένων. οὐδ' ἡσυχίας ἕνεκεν, καὶ ἀληθείας· ἀλλὰ κενοδοξίας χάριν γράφοντας. οὐδ' ἵνα πρὸς νῆψιν ἐπαγάγωσιν, ἀλλ' ἵνα τῆς νήψεως ἀπαγάγωσιν. αὐτὸ γὰρ τὸ ἔργον, καὶ τοὺς ἐμμελῶς ἐπειλημμένους τούτου, παντὶ τρόπῳ σπεύ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δουσιν ἐξ αὐτῆς τῆς καπηλικῆς πράξεως ἐξουθενεῖν· οἱ τοιοῦτοι δὲ ῥᾳδίως καὶ τὸν εἰπόντα, ὡς ὁ νόμος τοῦ Θεοῦ ἐν μέσῳ τῆς κοιλίας μου. καὶ τὸν εἰρηκότα πρὸς Θεόν, ὅτι ἡ κοιλία μου ἠχήσει ὡς κιθάρα, καὶ τὰ ἐντός μου ὡσεὶ τεῖχος χαλκοῦν ὃ ἐνεκαίνισας, κοιλιοψύχους ἂν προσαγορεύσειαν. καὶ κοινῇ πάντας διαβάλλοιεν, τοὺς διὰ σωματικῶν συμβόλων, τὰ νοερά, καὶ θεῖα, καὶ πνευματικὰ τυποῦντας, καὶ καλοῦντας, καὶ αἰνίττοντας. ἀλλ' ἐκείνοις μέν, παρὰ τοῦτο βλάβος ἐποίησουσιν οὐδέν· μᾶλλον μὲν οὖν καὶ μακαρισμῶν πρόξενοι γενήσονται, καὶ μείζονος προσθήκης τῶν ἐν οὐρανοῖς στεφάνων. αὐτοὶ δὲ καὶ τῶν ἱερῶν παραπετασμάτων ἔξω μενοῦσι, καὶ οὐδὲ πρὸς τὰς σκιὰς ἕξουσιν ἀτενίζειν τῆς ἀληθείας. πολὺ δὲ τὸ δέος, μὴ καὶ δίκην τίσουσιν αἰώνιον, οὐκ ἀποδιαστείλαντες μόνον ἑαυτοὺς τῶν ἁγίων, ἀλλὰ καὶ κατ' αὐτῶν τῷ λόγῳ χωρήσαντες. Συμεῶνος γὰρ τοῦ νέου Θεολόγου τὸν βίον οἶσθα· θαύματά τε ὄντα πάντα σχεδόν, καὶ δι' ὑπερφυῶν θαυμάτων ὑπὸ Θεοῦ δεδοξασμένον. τά, τε συγγράμματα αὐτοῦ, συγγράμματα ζωῆς εἰπών τις, οὐκ ἂν ἁμάρτοι τοῦ προσήκοντος. καὶ Νικηφόρον δὲ τὸν ὅσιον ἐκεῖνον, ὃς πολυετῆ χρόνον ἐν ἐρημίᾳ, καὶ ἡσυχίᾳ διενεγκών, ἔπειτα τοῖς ἐρημικωτέροις μέρεσι τοῦ Ἁγίου Ὄρους ἐμφιλοχωρήσας, καὶ ἀπασχολήσας ἑαυτόν, ἐκ πασῶν τῶν Πατρικῶν φωνῶν συνειλοχώς, τὴν νηπτικὴν ἡμῖν αὐτῶν παρέδωκε πρᾶξιν. οὗτοι τοίνυν, τοῦθ' ὅπερ ἀνατρέπειν φῄς τινας, σαφῶς τοῖς προῃρημένοις εἰσηγοῦνται. καὶ τί λέγω τοὺς παλαιοὺς τῶν ἁγίων; ἄνδρες γὰρ μικρῷ πρὸ ἡμῶν, μεμαρτυρημένοι, καὶ ἀποδεδειγμένοι ἐν δυνάμει Πνεύματος Ἁγίου, ταῦθ' ἡμῖν διὰ στόματος οἰκείου παρέδωκαν. τόν τε Θεολόγον τοῦτον ὡς ἀληθῶς Θεολόγον, καὶ τῆς ἀληθείας τῶν Θεοῦ μυστηρίων ἐπόπτην ἀσφαλέστατον, ἐφ' ἡμῶν ἀνεκήρυττον. τὸν φερωνύμως Θεόληπτον ἐκεῖνον ἀκούεις τὸν Φιλαδελφείας Πρόεδρον· μᾶλλον δ' ἀπὸ ταύτης, ὡς ἀπὸ λυχνίας τὸν κόσμον φωτίσαντα. τὸν Ἀθανάσιον ἐκεῖνον, ὃς ἐπ' ἐνιαυτοὺς οὐκ ὀλίγους τὸν Πατριαρχικὸν ἐκόσμησε θρόνον· οὗ καὶ τὴν σορὸν ὁ Θεὸς ἐτίμησε. Νεῖλον ἐκεῖνον τὸν ἐξ Ἰταλῶν, τὸν τοῦ Μεγάλου ζηλωτὴν Νείλου. τὸν Σελιώτην, καὶ τὸν Ἠλίαν τοὺς μηδὲν ἀποδέοντας ἐκείνου· Γαβριήλ, καὶ Ἀθανάσιον, τοὺς καὶ προφητικοῦ χαρίσματος ἠξιωμένους. τούτους πάντως ἀκούεις, καὶ πολλοὺς ἄλλους πρὸ αὐτῶν τε, καὶ σὺν αὐτοῖς, καὶ μετ' αὐτοὺς γεγονότας, ἐπαινοῦντας, καὶ παραινοῦντας κατέχειν τοὺς βουλομένους τὴν παράδοσιν ταύτην· ἣν οἱ νέοι διδάσκαλοι τῆς ἡσυχίας, οἱ μηδ' ἴχνος ἡσυχίας εἰδότες, μηδ' ἀπὸ πείρας, ἀλλ' ἀπὸ λογολεσχίας πεισθέντες, ἀθετεῖν, καὶ μεταδιδάσκειν, καὶ ἐξουθενεῖν πειρῶνται, πρὸς οὐδὲν χρήσιμον τῶν ἀκουόντων. ἡμεῖς δὲ καὶ τῶν ἁγίων ἐκείνων ἔστιν οἷς, αὐτοπροσώπως ὡμιλήσαμεν, καὶ διδασκάλοις ἐχρησάμεθα. πῶς οὖν τούτους παρ' οὐδὲν θέμενοι, τοὺς καὶ πείρᾳ, καὶ χάριτι δεδιδαγμένους, τοῖς ἀπὸ τύφου καὶ λογομαχίας ἐπὶ τὸ διδάσκειν χωρήσασιν εἴξωμεν; οὐκ ἔσται τοῦτο, οὐκ ἔσται. καὶ σὺ τοίνυν τοὺς τοιούτους ἀποτρέπου. μετὰ τοῦ Δαβὶδ συνετῶς σεαυτῷ προσλαλῶν· εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. σαυτόν τε πειθήνιον παρέχων τοῖς πατράσιν, ἄκουε, πῶς εἴσω πέμπειν ἀεὶ τὸν νοῦν προτρέπονται.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ ΓΡΗΓΟΡΙΟΥ

## ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ ΚΑΙ ΚΑΘΑΡΟΤΗΤΟΣ ΚΑΡΔΙΑΣ·

Κεφάλαια, Γ'.

α'. Ἐπειδὴ τὸ Θεῖον αὐταγαθότης ἐστὶ, καὶ ἔλεος αὐτόχρημα, καὶ ἄβυσσος χρηστότητος, μᾶλλον δὲ καὶ τῆς ἀβύσσου ταύτης περιληπτικὸν, ὡς ὑπερέχον παντός τε ὀνόματος ὀνομαζομένου, καὶ νοουμένου πράγματος· τῇ πρὸς αὐτὸ ἑνώσει μόνῃ, τύχοι ἄν τις τοῦ ἐλέους. ἑνοῦται δέ τις τούτῳ, τῇ κοινωνίᾳ, κατὰ τὸ ἐγχωροῦν, τῶν ὁμοίων ἀρετῶν, καὶ τῇ κοινωνίᾳ τῆς κατὰ τὴν εὐχὴν πρὸς τὸν Θεὸν ἐντεύξεώς τε, καὶ ἑνώσεως. ἀλλ' ἡ μὲν δι' ἀρετῶν κοινωνία, δι' ὁμοιότητα, πρὸς ὑποδοχὴν τοῦ Θείου ἐπιτήδειον τὸν σπουδαῖον πέφυκε κατασκευάζειν, οὐ μέντοι καὶ ἑνοῦν. ἡ δὲ τῆς εὐχῆς δύναμις, αὐτὴν ἱερουργεῖ, καὶ τελεσιουργεῖ τὴν τοῦ ἀνθρώπου πρὸς τὸ Θεῖον ἀνάτασίν τε, καὶ ἕνωσιν, σύνδεσμος οὖσα τῶν λογικῶν πρὸς τὸν κτίσαντα κτισμάτων· ὅταν μέντοι τῶν παθῶν, καὶ λογισμῶν δι' ἐμπύρου κατανύξεως ὑπεραναβῇ τὰ τῆς εὐχῆς. τῷ γὰρ ἐμπαθεῖ νῷ ἑνωθῆναι τὸν Θεὸν, ἀδύνατον. Ὥσθ' ὁ νοῦς μέχρις ἂν τοιοῦτος ᾖ εὐχόμενος, οὐδὲ τοῦ ἐλέους ἔτυχε· καθόσον δὲ τῶν λογισμῶν ἀποσοβεῖν δύναται, κατὰ τοσοῦτον καὶ τοῦ πένθους γίνεται. ἀναλόγως δὲ τῷ πένθει, καὶ τοῦ ἐλέους τῆς παρακλήσεως μεταλαγχάνει. Κἂν τούτοις ἐγχρονίσας μετὰ ταπεινώσεως, καὶ τὸ παθητικὸν ἅπαν μετασκευάζει τῆς ψυχῆς.

β'. Ὅταν τὸ ἑνιαῖον τοῦ νοῦ γένηται τριττὸν, μένον ἑνιαῖον, τότε συνάπτεται τῇ Θεαρχικῇ Τριαδικῇ Μονάδι, πᾶσαν ἀποκλεῖσαν πλάνης εἴσοδον, καὶ ὑπεράνω καθεστὼς σαρκὸς, καὶ κόσμου, καὶ κοσμοκράτορος. Καὶ οὕτω τὰς ἐξ αὐτῶν λαβὰς διαφυγὸν παντάπασιν, ἐν ἑαυτῷ ἐστι, καὶ τῷ Θεῷ, τῆς πηγαζούσης ἔνδοθεν πνευματικῆς ἀγαλλιάσεως καταπολαῦον, μέχρις ἂν τοιοῦτον ᾖ. Γίνεται δὲ τὸ ἑνιαῖον τοῦ νοῦ τριαδικὸν μένον ἑνιαῖον ἐν τῇ πρὸς ἑαυτὸν στροφῇ, καὶ τῇ δι' ἑαυτοῦ πρὸς Θεὸν ἀνόδῳ. Ἡ δὲ πρὸς ἑαυτὸν στροφὴ τοῦ νοῦ, ἑαυτοῦ τήρησίς ἐστιν. ἡ δὲ πρὸς τὸν Θεὸν ἄνοδος αὐτοῦ, δι' εὐχῆς μὲν ἐνεργεῖται τὴν ἀρχὴν, εὐχῆς δὲ συνεπτυγμένης, ἔστι δ' ὅτε καὶ διεξοδικωτέρας, ὃ καὶ ἐργωδέστερον. ἂν δὲ διακαρτερῇ τις ἐν τῇ τοῦ νοῦ ταύτῃ συνελίξει, καὶ τῇ πρὸς τὸ Θεῖον ἀνατάσει, βίᾳ ἐγκρατεῖ τὸ πολυπόρευτον τῆς διανοίας, ἄγχει τῆς οἰκείας, νοερῶς πλησιάζει τῷ Θεῷ, καὶ τυγχάνει τῶν ἀρρήτων, καὶ γεύεται τοῦ μέλλοντος αἰῶνος, καὶ αἰσθήσει νοερᾷ γινώσκει, ὅτι χρηστὸς ὁ Κύριος, καθάπερ καὶ ὁ ψαλμῳδός φησι, Γεύσασθε, καὶ ἴδετε ὅτι Χρηστὸς ὁ Κύριος. Τὸ μὲν ἐντεταμένον εὐχῇ τὸν νοῦν, τὸν αὐτὸν ὄντα μόνον τηρεῖσθαι καὶ τηρούμενον, καὶ εὐχόμενον ἐν τῇ τηρήσει, οὐ λίαν ἴσως δυσχερές. τὸ δὲ μακρὸν χρόνον ἐν ταύτῃ τῇ καταστάσει καρτερῆσαι τῇ γεννητικῇ τῶν ἀπορρήτων, δυσχερέστατον ὡς μάλιστα. Πᾶς γὰρ πόνος ἄλλης ἀρετῆς, μικρὸς,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ φορτικωτάταις συγκεχυμένοις πρὸς τοῦτον. Διὸ καὶ πολλοὶ πρὸς τὸ τῆς πρακτικῆς ἀρετῆς ἐστενωμένον ἀπειπόντες, τῶν πλάτυς τῶν χαρισμάτων οὐκ ἐπιτυγχάνουσιν. ἀλλὰ τοὺς ὑπομένοντας, μείζους ἀντιλήψεις θεῖαι ὑποδέχονται, καὶ διαβαστάζουσαι καὶ ὑπανέχουσαι, μεθ' ἡδονῆς ἐπὶ τὰ πρόσω προβιβάζουσιν, ἀνυσιμωτέραν τὴν δυσάνυστον ποιοῦσαι, καὶ ἀγγελικήν, ὡς εἰπεῖν, ἐντιθεῖσαι ἐπιτηδειότητα, τὴν ἡμῶν φύσιν τῆς ὑπὲρ φύσιν ὁμιλεῖν ἐνδυναμοῦσι, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Προφήτου· ὅτι, οἱ ὑπομένοντες πτεροφυήσουσιν, ἀλλάξουσιν ἰσχύν.

γʹ. Νοῦς λέγεται καὶ ἡ τοῦ νοῦ ἐνέργεια ἐν λογισμοῖς συνισταμένη, καὶ νοήμασι. νοῦς ἐστι καὶ ἡ ἐνεργοῦσα ταῦτα δύναμις, ἥτις καὶ καρδία καλεῖται παρὰ τῆς γραφῆς. Καθ' ἣν κυριωτάτην οὖσαν τῶν ἐν ἡμῖν δυνάμεων, λογική ἐστιν ἡ ἐν ἡμῖν ψυχή. ἡγοῦν ἐν λογισμοῖς ἐνέργεια τοῦ νοῦ, τοῖς χολάσασιν ἐν προσευχῇ, καὶ μάλιστα μονολογίστῳ, καθίσταται, καὶ καθαίρεται ῥᾳδίως. ἡ δὲ γεννῶσα ταύτην δύναμις, οὐκ ἂν καθαρθείη, εἰ μὴ καὶ αἱ ἄλλαι τῆς ψυχῆς δυνάμεις πᾶσαι. καὶ γὰρ ἔνεστι πολυδύναμον πρᾶγμα ἡ ψυχή. μολύνεται τοίνυν ὅλη, κακίας ἐγγεγεννημένης ἀφ' ἡστινοσοῦν τῶν ἐν αὐτῇ δυνάμεων, καὶ κοινωνοῦσι πᾶσαι τῆς μιᾶς τῷ ἑνιαίῳ τῆς ψυχῆς. Ἐπεὶ δὲ ἑκάστη τῶν δυνάμεων διάφορον παρέχει τὴν ἐνέργειαν, ἔνι δι' ἐπιμελείας μίαν δύναμιν καθαρθῆναι πρὸς καιρὸν ἐνέργειαν· ἀλλ' οὐχὶ διὰ τοῦτο καὶ ἡ δύναμις ἔσται καθαρά. κοινωνοῦσα γὰρ ταῖς ἄλλαις, μᾶλλον ἂν εἴη ἀκάθαρτος, ἢ καθαρά. διό, ὁ διὰ τῆς κατὰ τὴν προσευχὴν ἐπιμελείας καθάρας τὴν ἐνέργειαν τοῦ νοῦ, καὶ φωτισθεὶς μετρίως, ἢ φωτὶ γνώσεως, ἢ καὶ νοερᾷ ἐλλάμψει· ἐὰν μὲν διὰ τοῦτο κεκαθαρμένον ἑαυτὸν λογίσηται, πλανᾶται ἑαυτοῦ καταψευδόμενος, καὶ διὰ τῆς οἰήσεως, τῷ πλανᾶν ἀεὶ ἐπιχειροῦντι θύραν ἀνοίγνυσι καθ' ἑαυτοῦ μεγάλην. ἂν δὲ εἰδὼς τὴν οἰκείαν καρδιακὴν ἀκαθαρσίαν, μὴ ἐπαρθείη τῇ μετρίᾳ ἐκείνῃ καθαρότητι, βοηθῷ χρώμενος αὐτῇ, καὶ τῶν ἄλλων τῆς ψυχῆς δυνάμεων τὴν ἀκαθαρσίαν καθαρώτερον ὁρᾷ, καὶ προκόπτει εἰς ταπείνωσιν, καὶ προστίθησι τῷ πένθει, καὶ καταλλήλους ἐφευρίσκει θεραπείας ἑκάστῃ δυνάμει τῆς ψυχῆς· πράξει μὲν τὸ πρακτικόν. γνώσει δὲ τὸ γνωστικόν· προσευχῇ δὲ τὸ θεωρητικὸν καθαίρων ἑαυτοῦ. καὶ διὰ τούτων, εἰς τὴν τῆς καρδίας, καὶ τοῦ νοῦ τελείαν, καὶ ἀληθῆ, καὶ μονιμωτάτην φθάνει καθαρότητα. ἥτις οὐκ ἂν γένοιτό ποτέ τινι, εἰ μὴ διὰ τῆς ἐν πράξει τελειότητος, καὶ τῆς ἐπιμόνου τριβῆς, θεωρίας τε, καὶ τῆς ἐν θεωρίᾳ προσευχῆς.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΚΕΦΑΛΑΙΑ

## ΦΥΣΙΚΑ, ΘΕΟΛΟΓΙΚΑ, ΗΘΙΚΑ ΤΕ ΚΑΙ ΠΡΑΚΤΙΚΑ, ΡΝ.

## ΤΟΥ ΑΥΤΟΥ

# ΓΡΗΓΟΡΙΟΥ

## ΤΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ.

α. Ἦρχθαι τὸν κόσμον, καὶ ἡ φύσις διδάσκει, καὶ ἡ ἱστορία πιστοῦται· καὶ τῶν τεχνῶν αἱ εὑρέσεις, καὶ τῶν νόμων αἱ θέσεις, καὶ τῶν πολιτειῶν αἱ χρήσεις ἐναργῶς παριστᾶσι. σχεδὸν γὰρ τεχνῶν ἁπασῶν ἴσμεν τοὺς εὑρετὰς, καὶ τοὺς νομοθέτας τῶν νόμων, καὶ τοὺς τὴν ἀρχὴν κεχρημένους ταῖς πολιτείαις, ἔτι γε μὴν καὶ τῶν συγγραψαμένων περὶ ὁτουδήποτε τὴν ἀρχὴν ἁπάντων, καὶ οὐδένα τούτων ὁρῶμεν ὑπερβαίνοντα τὴν τοῦ κόσμου καὶ τοῦ χρόνου γένεσιν, ἣν ἱστόρησεν ὁ Μωϋσῆς. καὶ αὐτὸς δὲ Μωϋσῆς, ὁ τὴν ἀρχὴν τῆς τοῦ κόσμου γενέσεως συγγραψάμενος, διὰ τοσούτων ἔργων καὶ λόγων ἐξαισίων ἀναντιρρήτους παρέσχετο πίστεις τῆς καθ' ἑαυτὸν ἀληθείας. ὡς σχεδὸν ἅπαν γένος ἀνθρώπων καταπειθὲς ἐξειργάσθαι, καὶ καταγελᾶν ἀναπεῖσαι τῶν τἀναντία σοφισαμένων. ἐπεὶ καὶ ἡ τοῦ κόσμου τούτου φύσις, ἀεὶ προσφάτου τῆς καθ' ἕκαστον ἀρχῆς δεομένη, καὶ χωρὶς αὐτῆς μηδαμοῦ συνίστασθαι δυναμένη, τὴν πρώτην ἑαυτῆς, ἥτις οὐκ ἐξ ἄλλης ἦν ἀρχὴν, δι' αὐτῶν παρίστησι τῶν πραγμάτων.

β. Οὐκ ἦρχθαι μόνον, ἀλλὰ καὶ τέλος ἕξειν τὸν κόσμον, ἡ μὲν φύσις αὐτοῦ τῶν ἐνδεχομένων οὖσα παρίστησιν· οἷον εἰ κατὰ μέρη διηνεκῶς τελευτῶσα. βεβαίαν δὲ καὶ ἀναντίρρητον παρέχει τὴν πίστιν ἡ προφητεία τῶν τε ἄλλων ἐνθέων, καὶ Χριστοῦ τοῦ ἐπὶ πάντων Θεοῦ. οἷς πιστεύειν ὡς ἀληθέσιν, οὐ τοῖς εὐσεβέσι μόνον, ἀλλὰ καὶ τοῖς ἀσεβέσιν ἀνάγκη. κἀπὶ τῶν ἄλλων ὧν οὗτοι προεῖπον ἁπάντων ἀληθεύοντας αὐτοὺς ὁρῶσιν. ἔστι δὲ μαθεῖν παρ' αὐτῶν, ὡς οὐχὶ πρὸς τὸ μὴ ὂν ὁ κόσμος οὗτος ἅπας χωρήσει παντάπασιν, ἀλλ' ὡς καὶ τὰ ἡμέτερα σώματα μετασκευασθήσεται, πρὸς τὸ θειότερον λυθείς τε καὶ μεταστοιχειωθεὶς, ὡς ἀνάλογος ἡμῖν ὢν, τῇ δυνάμει τοῦ Θείου Πνεύματος.

γ. Τὸν οὐρανόν φασιν οἱ τῶν Ἑλλήνων σοφοὶ, στρέφεσθαι τῇ φύσει τῆς κοσμικῆς ψυχῆς. καὶ τὸ δίκαιον καὶ τὸν λόγον διδάσκειν. ποῖον δίκαιον; τίνα λόγον; εἰ γὰρ μὴ τῇ ἑαυτοῦ φύσει, ἀλλὰ τῇ φύσει τῆς κοσμικῆς, ἥν φασι ψυχὴν, ὁ οὐρανὸς στρέφεται, τοῦ κόσμου δὲ παντός ἐστιν ἡ κοσμικὴ ψυχὴ, πῶς οὐχὶ στρέφεται καὶ ἡ γῆ, καὶ τὸ ὕδωρ, καὶ ὁ ἀήρ; καίτοι κατ' αὐτοὺς ἀκινήτου τῆς ψυχῆς οὔσης, ἀλλὰ τῇ οἰκείᾳ φύσει ἡ γῆ τε ἵσταται καὶ τὸ ὕδωρ, τὴν κάτω χώραν λαβόν; οὕτω καὶ ὁ οὐρανὸς, τῇ ἑαυτοῦ φύσει ἀεὶ κινεῖται, καὶ κύκλῳ κινεῖται, τὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἄνω κατέχων χώραν. ποία δέ τις ἐστὶ καὶ ἡ κοσμικὴ ψυχή, ἧς τῇ φύσει ὁ οὐρανὸς κινεῖται; ἆρα λογική; οὐκοῦν αὐθαίρετος ἂν εἴη, καὶ οὐκ ἂν τὰς αὐτὰς ἀεὶ κινήσεις ἐκίνει τὸ οὐράνιον σῶμα, τὰ γὰρ αὐθαίρετα ἄλλοτε ἄλλως κινεῖται. τί δὲ καὶ ἴχνος λογικῆς ψυχῆς ὁρῶμεν ἐπὶ τῆς κατωτάτω ταύτης σφαίρας, τῆς γῆς πάλιν λέγω, ἢ τῶν ἐγγυτάτω περὶ αὐτὴν, ὕδατός τε καὶ ἀέρος, ἢ καὶ τοῦ πυρὸς αὐτοῦ; καὶ τούτων γάρ ἐστιν ἡ κοσμικὴ ψυχή. πῶς δὲ αὖθις καὶ τὰ μὲν ἔμψυχα, τὰ δὲ ἄψυχα; καὶ τοῦτο κατ' αὐτούς· καὶ ταῦτα οὐ τὰ τυχόντα. ἀλλὰ λίθος ἅπας, μέταλλον ἅπαν, χοῦς ἅπας· ὕδωρ, ἀήρ, πῦρ· καὶ τὸ πῦρ γὰρ οἱ αὐτοὶ, τῇ ἑαυτοῦ φύσει φασὶ κινεῖσθαι, ἀλλ' οὐ τῇ ψυχῇ· κοινῆς ἂν οὔσης τῆς ψυχῆς, πῶς ὁ οὐρανὸς μόνος τῇ φύσει ταύτης, ἀλλ' οὐχὶ τῇ ἑαυτοῦ κινεῖται; ἀλλ' οὐκ ἔστι λογικὴ ἡ κατ' αὐτοὺς κινοῦσα τὸ οὐράνιον σῶμα ψυχή, καὶ πῶς; εἴπερ πηγή ἐστιν αὕτη κατ' αὐτοὺς τῶν ἡμετέρων ψυχῶν; ὅμως εἰ μὴ λογική, αἰσθητικὴ, ἢ φυσικὴ ἂν εἴη. ἀλλ' οὐδὲ μίαν τούτων ὁρῶμεν σῶμα κινοῦσαν χωρὶς ὀργάνων· ὀργανικὸν δὲ μέλος οὐδὲν ὁρῶμεν, οὔτε γῆς, οὔτε οὐρανοῦ, οὔτε τινὸς ἄλλου τῶν ἐν αὐτοῖς στοιχείων· ἐπεὶ καὶ πᾶν ὄργανον, ἐκ διαφόρων ἐστὶ συντεθειμένον φύσεων. τῶν δὲ στοιχείων ἕκαστον, φύσεως ἁπλῆς ἐστι, καὶ μάλιστα ὁ οὐρανός. ἡ γοῦν ψυχή, ἐντελέχεια σώματός ἐστιν ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος· ὁ δὲ οὐρανὸς, μηδὲν ὀργανικὸν μέλος ἢ μέρος ἔχων, οὐδὲ δύναται ζῆν· πῶς οὖν ἂν ὅλως ἔχοι ψυχήν, ὃ ζῆν ἀδυνάτως ἔχει; ἀλλ' οἱ ματαιωθέντες ἐν τοῖς διαλογισμοῖς αὐτῶν, διὰ ἀσυνέτου καρδίας ψυχὴν ἀνέπλασαν, τὴν μήτε οὖσαν, μήθ' ὑπάρξασαν, μήτε ἐσομένην. καὶ ταύτην τοῦ μὲν αἰσθητοῦ παντὸς κόσμου δημιουργὸν, καὶ κυβερνήτην, καὶ προνοητήν. τῶν δὲ ἡμετέρων ψυχῶν, μᾶλλον δὲ πασῶν, οἱονεί τινα ῥίζαν, καὶ πηγὴν ἀένναον, αὐτὴν ἔχουσαν τὴν γένεσιν ἐκ νοῦ· ὃν δήποτε ἐκεῖνον νοῦν, ἄλλον τὴν οὐσίαν εἶναι λέγουσι, παρὰ τὸν ἄκρον ὅν φασιν αὐτοὶ Θεόν· καὶ ταῦτα τοιαῦτα ὄντα δογματίζουσιν, οἱ τὴν σοφίαν, καὶ τὴν θεολογίαν ἄκροι κατ' αὐτούς· τῶν κνώδαλα, καὶ λίθους θεοποιούντων οὐδὲν ἄμεινον, μᾶλλον δὲ καὶ πολλῷ χεῖρον περὶ τὸ σέβας διακείμενοι. κνώδαλα γὰρ, καὶ χρυσὸς, καὶ λίθος, καὶ χαλκὸς ἐστί τι, κἂν τῶν ἐν τοῖς κτιστοῖς ἐσχάτων· κοσμικὴ δὲ ψυχή, καὶ ἀστροφόρος, οὔτε ἔστιν, οὔτε τί ἐστι μηδαμῇ οὖσα μηδαμῶς, ὅτι μὴ ἀνάπλασμα διανοίας κακοδαίμονος.

Ἐπειδή φασιν ἀνάγκη κινεῖσθαι τὸ οὐράνιον σῶμα, περαιτέρω δὲ τόπος οὐδεὶς, εἰς ὃν ἂν προΐοι, ἐπαναστρέφει πρὸς ἑαυτὸ, καὶ τὸ προϊέναι τούτῳ στρέφεσθαι ἐστίν. εὖγε. εἰ γοῦν εἶχε τόπον, ἄνω ἂν ἐφέρετο, καθάπερ καὶ τὸ πῦρ, καὶ αὐτοῦ δὲ μᾶλλον τοῦ πυρὸς, ἐπεὶ καὶ κοῦφον τὴν φύσιν τοῦ πυρὸς μᾶλλον. αὕτη δὲ οὐ φύσεως ψυχῆς ἡ κίνησις, ἀλλὰ φύσεως κουφότητος· εἰ οὖν τῷ προϊέναι τοῦ οὐρανοῦ στρέφεσθαι ἐστὶ, τὸ δὲ τῇ ἑαυτοῦ φύσει ἔχει, ἀλλ' οὐ τῇ τῆς ψυχῆς, στρέφεται ἄρα τὸ οὐράνιον σῶμα, οὐ τῇ φύσει τῆς ψυχῆς, ἀλλὰ τῇ ἑαυτοῦ, οὐκοῦν οὐδὲ ψυχὴν ἔχει. οὐδ' ἔστι τις οὐράνιος, ἢ παγκόσμιος ψυχή. ἀλλὰ μόνη λογικὴ ψυχή ἐστιν ἡ ἀνθρωπίνη. οὐκ οὐράνιος, ἀλλ' ὑπερουράνιος οὐ τόπῳ, ἀλλὰ τῇ ἑαυτῆς φύσει, ἅτε νοερὰ ὑπάρχουσα οὐσία. δ'.

Καὶ τὸ προϊέναι δὲ, καὶ πρὸς τὸ ἄνω ἐπεκτείνεσθαι τὸ οὐράνιον οὐκ ἔχει σῶμα. οὐχ ὅτι περαιτέρω τόπος οὐκ ἔστι. καὶ ἡ μετὰ τοῦτο γὰρ σφαῖρα τοῦ αἰθέρος ἐμπεριειλημμένη. τούτῳ, οὐ προΐσιν ἐπὶ τὸ ἄνω. οὐχ ὅτι τόπος οὐδεὶς εἰς ὃν ἂν προΐοι. περικέχυται γὰρ ταύτῃ τὸ οὐρά- ε.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γιον πλάτος, οὐκ ἐπεκτείνεται δὲ ἀνωτέρω, ἐπεὶ τὸ ἀνωτέρω ταύτης τούτο, λεπτότερον αὐτῆς ἐστί. Διὸ καὶ ἀνωτέρω ταύτης ἐστὶ τῇ φύσει ἑαυτοῦ. Οὐκ ἄρα ὅτι μὴ ἔχει τόπον ἀνωτέρω ἑαυτοῦ πρὸς τὰ ἄνω οὐ προέρχεται ὁ οὐρανός, ἀλλ' ὅτι μηδὲν αὐτοῦ σῶμα λεπτότερόν τε, καὶ κουφότερον ἐστίν.

ϛʹ. Οὐδὲν σῶμα τοῦ οὐρανίου σώματος ὑψηλότερόν ἐστιν. Ἀλλ' οὐ παρὰ τοῦτο δεκτικὸν οὐκ ἔστι σώματος τὸ ἀνωτέρω· ἀλλ' ὅτι πᾶν σῶμα συμπεριείληφεν ὁ οὐρανός· καὶ μηδὲν ἕτερόν ἐστιν ἐπέκεινα σῶμα. Εἰ δ' ἦν θελητόν, ὥσπερ ἡμῖν τοῖς εὐσεβέσι καὶ πιστεύεται, οὐ κἂν ἦν ἀπαράδεκτον τὸ ὑπὲρ τὸν οὐρανὸν ἐκεῖνο. Ὁ γὰρ τὰ πάντα πληρῶν Θεός, καὶ πρὸς τὰ ἐπέκεινα τοῦ οὐρανοῦ ἐπεκτεινόμενος ἐπ' ἄπειρον, ἦν καὶ πρὸ τοῦ κόσμου πληρῶν, ὡς καὶ νῦν πληροῖ τὸν ἐν τῷ κόσμῳ τόπον ἅπαντα. Καὶ οὐδὲν προσέστη τούτῳ, ὥστε σῶμα ἐν αὐτῷ γενέσθαι. Οὐκοῦν οὐδὲ ἐκτὸς τοῦ οὐρανοῦ ἐμπόδιον ἔσται τι, μὴ εἶναι τόπον, [illegible] ἄλλος ὁ περικόσμιος, ἢ ὁ γεγονὼς ἐντὸς τοῦ κόσμου, πρὸς τὸ εἶναι σῶμα ἐν αὐτῷ.

ζʹ. Πῶς οὖν, ἐπεὶ μηδὲν ἐμπόδιον ἐστίν, οὐ πρὸς τὸ ἄνω φέρεται ἡ κίνησις τοῦ οὐρανίου σώματος, ἀλλ' ἐπαναστρέφον εἰς ἑαυτὸ κινεῖται κύκλῳ; Διότιπερ ἐπιπολάζον ὡς λεπτότατον ἁπάντων, πάντως σωμάτων ἀνώτατόν ἐστιν, ἀλλὰ καὶ κινητικώτατον. Ὡς γὰρ τὸ συμπεπιλημμένον ἄκρως, καὶ βαρύτατον· κατώτατόν τε, καὶ κουφότατον, ἀνώτατόν τε ἅμα, καὶ κινητικώτατον. Ἐπεὶ οὖν κινεῖσθαι πέφυκεν ἐπιπολάζον ἄνω φύσει· τὸ δὲ οὕτως ἐπιπολάζον, χωρισθῆναι τῇ ἑαυτοῦ φύσει ὧν ἐπιπολάζει ἀδυνάτως ἔχει· σφαιρικὰ δέ ἐστιν, οἷς τὸ οὐράνιον ἐπιπολάζει σῶμα, κατ' ἀνάγκην θεῖ περὶ αὐτὰ ἀπαύστως· οὐ φύσει ψυχικῇ, ἀλλὰ σωματοειδεῖ τε, καὶ οἰκείᾳ. Ἐπεὶ καὶ τόπον ἐκ τόπου ἀμείβει καὶ μέρη· ἡ κίνησις ἰδιαιτάτη ἐστὶ σωμάτων, ὥσπερ καὶ ἡ ἀντικειμένη στάσις, τῶν ἐχόντων σωμάτων ἀντιθέτως.

Ἴδοι τις ἂν κἀν τοῖς ἐγγὺς περὶ ἡμᾶς τοὺς ἀνέμους, οἳ πεφύκασιν ἐπιπολάζειν, μὴ χωριζομένους περὶ ταῦτα κινουμένους, ἀνωτέρω δὲ μηδαμῶς προερχομένους· οὐ τῷ μὴ εἶναι τόπον, ἀλλὰ τῷ κοῦφα μᾶλλον αὐτῶν εἶναι τὰ ὑπὲρ αὐτούς. Μένουσι δὲ ἐφ' ὧν ἐπιπολάζουσιν, ἅτε κουφότεροι τούτων τὴν φύσιν ὄντες. Κινοῦνται δὲ καὶ οὕτω περὶ ταῦτα, οὐ φύσει ψυχικῇ, ἀλλὰ τῇ φύσει ἑαυτῶν. Καὶ ταύτην οἶμαι τὴν μεγίστην ἐμφέρειαν, καὶ ὁ τὰ πάντα σοφὸς Σολομὼν ἐνδείξασθαι βουλόμενος, τοῖς ἀνέμοις ὁμωνύμως ἐκάλεσε τὸ οὐράνιον σῶμα, περὶ τούτου γράφων· κυκλοῖ κυκλῶν πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα. Ἀπέχει δὲ τῶν ἀνωτάτω ἡ τῶν περὶ ἡμᾶς ἀνέμων φύσις, καὶ τῆς ταχυτάτης κινήσεως ἐκείνων, καθόσον δηλαδὴ καὶ τῆς κουφότητος αὐτῶν. ηʹ.

Δύο ζῶναι τῆς γῆς εἰσιν εὔκρατοι καὶ οἰκήσιμοι, κατὰ τοὺς τῶν Ἑλλήνων σοφούς· ὧν ἑκατέρα εἰς δύο οἰκουμένας μεριζομένη, τέσσαρας εἶναι ταύτας παρασκευάζουσι. Διὸ καὶ τέσσαρα γένη τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς εἶναι διισχυρίζονται, πρὸς ἄλληλα διαβαίνειν ἀδυνάτως ἔχοντα· εἰσὶ γὰρ κατ' αὐτούς, οἱ τὴν ἐκ πλαγίου οἰκοῦντες ἡμῖν εὔκρατον, οὓς ἡμῶν τῇ διακεκαυμένῃ ζώνῃ τῆς γῆς διορίζονται. Τούτοις δὲ εἰσὶν ἀντικειμένοις οἰκοῦντες, οἱ τὸ πρὸς αὐτοὺς δοκοῦν, ὑποκάτω τῆς ζώνης ταύτης οἰκοῦντες· ὥσπερ καὶ ἡμεῖς οἱ τὸν αὐτὸν τρόπον πρὸς ἡμᾶς ἔχοντες· ὧν τοὺς μὲν ἀντικειμένους, τοὺς δὲ ἀντίποδας, καὶ ἀντεστραμμένους πρὸς ἡμᾶς φασιν. Ἠγνόησαν γάρ, ὅτι πλὴν τοῦ δεκάτου μέρους τῆς κατὰ τὴν γῆν σφαίρας, τὸ ἄλλο θʹ.

σχεδὸν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

χεδὸν ἅπαν τῇ ἀβύσσῳ περικλύζεται τῶν ὑδάτων.

ι΄. Γνοίη τις ἂν, πλὴν τῆς καθ' ἡμᾶς οἰκουμένης, μηδὲν ἕτερον τῆς γῆς μέρος οἰκήσιμον εἶναι, ὡς τῇ ἀβύσσῳ περικλυζόμενον. ἐπὶ νοῦν λαβὼν, ὡς ἰσομοιρίαν μὲν ἔχει τὰ τέσσαρα στοιχεῖα, ἐξ ὧν ὁ κόσμος· κατὰ λόγον δὲ τῆς οἰκείας ἀραιότητος, τούτων ἕκαστον ἑτέρου πολυπλάσιον ἔχει τὸ τῆς σφαίρας οἰκεῖον μέγεθος, ὡς καὶ τῷ Ἀριστοτέλει συνδοκεῖ. πέντε γάρ εἰσι φησὶ στοιχεῖα, ἐν πέντε χώραις σφαιρικῶς ἐγκείμενα, περιεχομένης ἀεὶ τῆς ἐλάττονος τῇ μείζονι. γῆς μὲν ὕδατι· ὕδατος δὲ ἀέρι· ἀέρος δὲ πυρί· πυρὸς δὲ αἰθέρι· καὶ οὕτως ἐστὶν ὁ κόσμος.

ια΄. Αἰθὴρ μὲν οὖν περιφανέστατα τοῦ πυρὸς, ὃ καὶ ὑπέκκαυμα καλεῖται, καὶ τῆς ἀερώδους σφαίρας τὸ πῦρ πολλαπλάσιον ἔχει τὸν ὄγκον· καὶ ἀὴρ πάλιν ὕδατος· καὶ τὸ ὕδωρ τῆς γῆς· ἥτις ἄκρως συμπεπιλημένη, ἐλαχίστη τὸν ὄγκον ἐν τοῖς ὑπ' οὐρανὸν τέτρασιν ἐστί· πολλαπλασίως οὖν τῆς γῆς ἔχουσα τὸ μέγεθος ἡ τοῦ ὕδατος σφαῖρα, εἰ περιεκέχυτο τὴν περιφέρειαν τῆς γῆς πᾶσαν, ὡς περὶ ἓν κέντρον τὰς ἀμφοτέρας περιάγεσθαι σφαίρας, τῆς γῆς λέγω, καὶ τοῦ ὕδατος, οὐδενὶ ταύτης ἂν μέρει, χερσαίοις ζώοις τὸ ὕδωρ ἠφίει χρῆσθαι, κατακαλύπτον ἅπαν ἔδαφος αὐτῆς. καὶ πάσης τῆς κατ' αὐτὴν ἐπιφανείας ὑπερεκτεινόμενον πολλῷ τῷ μέζῳ. ἐπεὶ δὲ μὴ πᾶσαν τὴν τῆς γῆς ἐπιφάνειαν περιλαμβάνει. ἔστι γὰρ ἡ τῆς καθ' ἡμᾶς οἰκουμένης χέρσος ἀκατακάλυπτος· ἔκκεντρος οὐκοῦν ἐστὶ κατὰ πᾶσαν ἀνάγκην ἡ τοῦ ὕδατος σφαῖρα. δεῖ οὖν ζητεῖν πόσον ἂν ἔκκεντρος εἴη· καὶ ποῦ τὸ κέντρον. ἆρ' ὡς πρὸς ἡμᾶς κατωτέρω, ἢ ἀνωτέρω; ἀλλ' ἀνωτέρω μὲν εἶναι, τῶν ἀδυνάτων. ὑφ' ἡμᾶς γὰρ ὁρῶμεν οὖσαν ἐκ μέρους τὴν τοῦ ὕδατος ἐπιφάνειαν. κατωτέρω ἄρα ὡς πρὸς ἡμᾶς ἐστὶ καὶ αὐτοῦ τοῦ τῆς γῆς κέντρου, τὸ κέντρον τῆς τοῦ ὕδατος σφαίρας. λείπεται δὲ ζητεῖν, πόσον ἀπέχει τοῦ τῆς γῆς κέντρου τὸ κέντρον τοῦτο.

ιβ΄. Γνοίη τις ἂν πόσον ἐπὶ τὸ δοκοῦν πρὸς ἡμᾶς κάτω, τοῦ κέντρου τῆς γῆς ἀπέχει τὸ τῆς σφαίρας τοῦ ὕδατος κέντρον, λαβὼν ἐπὶ νοῦν, ὡς τῇ ἐπιφανείᾳ τῆς γηΐνης σφαίρας, ἥτις ἐστὶν ἡ καθ' ἡμᾶς οἰκουμένη, ἐφαρμόζεται σχεδὸν ἡ παρ' ἡμῶν ὁρωμένη, καὶ ὑφ' ἡμᾶς, καθάπερ τὸ πατούμενον ὑφ' ἡμῶν τῆς γῆς ἔδαφος, οὖσα τοῦ ὕδατος ἐπιφάνεια. ἔστι δὲ τὸ καθ' ἡμᾶς τῆς γῆς οἰκήσιμον, ὡσεὶ δέκατον τοῦ ὅλου κατ' αὐτὴν περιμέτρου. πέντε γὰρ ἡ γῆ ζώνας ἔχει. μιᾶς δὲ τῶν πέντε τούτων, τὸ ἥμισυ παρ' ἡμῶν κατοικεῖται. εἴ τις οὖν τῷ δεκάτῳ τούτῳ τῆς ἐπιφανείας μέρει ἐφαρμόσαι θελήσει σφαῖραν περὶ τὴν γῆν, τὴν ἐναρμοζομένην εὑρήσει σφαῖραν, διπλασίως μὲν σχεδὸν ἔχουσαν τὴν διάμετρον τῆς ἔξωθεν ἐφαρμοζομένης, καὶ ταύτην περιεχούσης σφαίρας. ὀκταπλασίως δὲ τὸ μέγεθος οὖσαν, καὶ τὸ κέντρον ἔχουσαν ἐπὶ τοῦ κατωτάτου δηλονότι [illegible] πέρατος τῆς γῆς· καὶ τοῦτο δῆλον ἐκ τοῦ διαγράμματος.

ιγ΄. Ἔστω σφαῖρα τῆς γῆς κύκλος ὁ ἔνδον ὑπογέγραπται, α. β. γ. δ. καὶ περὶ αὐτὸν ἔξω περιηγμένος, ὡς ἐπὶ τῆς σφαίρας τοῦ ὕδατος, ἕτερος κύκλος, συναρμοζόμενος κατὰ τὴν ἐπιφάνειαν, τῷ ἄνω δεκάτῳ τοῦ ἐν αὐτῷ κύκλου, ᾧ ἐπιγέγραπται, ε. ζ. η. θ. εὑρεθήσεται γὰρ τὸ μὲν ὡς πρὸς ἡμᾶς κάτω πέρας τοῦ ἐν αὐτῷ κύκλου, κέντρον τοῦ ἔξωθεν περιηγμένου. διπλασίως δὲ ὑπάρχων οὗτος τὴν διάμετρον, ἀναφαίνεται γεωμετρικαῖς ἀποδείξεσιν, ὀκταπλασίαν εἶναι τὴν σφαῖραν, ἧς ἡ διάμετρος διπλασία τῆς ἐχούσης τὴν ἡμίσειαν διάμε-

τρον

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρον σφαίρας· συμβαίνει γέμειν τὸ ὄγδοον τῆς ὑγρᾶς ταύτης σφαίρας, ἀνάμιξ ἐμπεριειλῆφθαι τῇ γῇ.




δι' ὃ καὶ πηγαὶ παρ' αὐτῆς ἀναρρήγνυνται πλεῖσται. καὶ ποταμῶν ἀναδίδονται δαψιλέστατα καὶ ἀέναα ῥεύματα. καὶ θαλασσῶν οὐκ ὀλίγων ἐγχέονται ταύτῃ κόλποι. καὶ λιμναίων ὑδάτων ἀναχέονται πλήθη. καὶ οὐκ ἔστι σχεδὸν ὅ τι τῆς γῆς ὀρύξας τις, οὐχ' ἀπορρέον ὕδωρ εὑρήσει.

ιδ'. Πλὴν τῆς καθ' ἡμᾶς οἰκουμένης μηδεμίαν ἑτέραν εἶναι, καὶ τὸ διάγραμμα καὶ ὁ λόγος διδάσκει. καθάπερ γὰρ εἰ τὸ αὐτὸ κέντρον γῆς τε καὶ ὕδατος ὑπῆρχεν, ἂν αὕτη ἡ γῆ πᾶσι παντάπασιν ἀοίκητος. οὕτω καὶ πολλῷ μᾶλλον, εἰ κέντρον ἔχει τὸ ὕδωρ τὸ τῆς γῆς ὡς πρὸς ἡμᾶς κατώτατον πέρας, πλὴν τῆς καθ' ἡμᾶς οἰκουμένης, ἣ τοῦ ἄνω τῆς ἐκείνου σφαίρας ἐναρμόζεται· τ' ἄλλα πάντα πολλῷ τῷ ὕδατι περικλυζόμενα, κατοικεῖσθαι ἀδυνάτως ἔχει. Ἐπεὶ μόνης δὲ τῆς ἐπὶ τὴν γῆν οἰκουμένης, λογικὴν ψυχὴν ἐνσώματον εἶναι προσαναπέφηνεν. ἥτις μία οὖσα, καὶ ἡ καθ' ἡμᾶς αὕτη μόνη προσαναπέφηνεν. ἀκόλουθον οὖν ἐν ταύτῃ μόνῃ, καὶ τῶν ἀλόγων ζώων κατοικεῖν τὰ χερσαῖα.

ιε'. Ἐκ τῶν χρωμάτων, καὶ τῶν σχημάτων πολυειδῶς διακεκριμένων, μορφοῦται ἡ ὄψις. ἡ δὲ ὄσφρησις ἐκ τῶν ἀτμῶν· γεῦσις δὲ ἐκ τῶν χυμῶν. ἐκ δὲ τῶν ψόφων ἡ ἀκοή. ἡ δὲ ἁφὴ ἐκ τῶν τραχέων, ἢ λείων κατὰ τὴν θέσιν. αἱ δὲ κατὰ τὰς αἰσθήσεις ἐγγινόμεναι μορφώσεις, ἐκ σωμάτων μέν εἰσιν, ἀλλ' οὐ σώματά εἰσιν, εἰ καὶ σωματικαί. οὐ γὰρ ἁπλῶς ἐκ σωμάτων εἰσίν, ἀλλ' ἐκ τῶν περὶ τὰ σώματα εἰδῶν. ἀλλ' οὐδ' αὐτά εἰσι τὰ τῶν σωμάτων εἴδη, ἀλλὰ τὰ ἐκτυπώματα αὐτῶν, καὶ οἷον τινὲς εἰκόνες ἀχωρίστως χωριζόμεναι τῶν περὶ τὰ σώματα εἰδῶν. καὶ τοῦτο δῆλον μᾶλλον ἐκ τῆς ὄψεως, καὶ μάλιστα ἐπὶ τῶν δι' ἐσόπτρων ὁρωμένων.

Τὰ γοῦν κατὰ τὰς αἰσθήσεις ἐκμαγεῖα ταῦτα, τὸ τῆς ψυχῆς φανταστικὸν ἐκ τῶν αἰσθήσεων αὖ προσοικειούμενον, οὐκ αὐτὰς τὰς αἰσθήσεις, ἀλλὰ τὰς ἐν αὐτῇ,* ὡς ἔφημεν, εἰκόνας, τελείως χωρίζει τῶν σωμάτων ἤδη καὶ τῶν κατ' αὐτὰ εἰδῶν· καὶ ἐναποκειμένας ἔχει καθάπερ θησαυρούς, ἄλλο τε ἄλλου καὶ μὴ παρόντος σώματος, πρὸς χρῆσιν οἰκείαν ἔνδοθεν καταλλήλως προβαλλόμενον· ὁρατά τε καθιστῶν ἑαυτῇ* ἅπαντα, καὶ τὰ ἀκουστά, καὶ τὰ γευστά, καὶ τὰ ὀσφραντά, καὶ τὰ ἁπτά. ιϛ'.

* ἴσ. αὐταῖς

* ἴσ. ἑαυτῷ

Τοῦτο δὴ τὸ τῆς ψυχῆς φανταστικόν, ἐν τῷ λογικῷ ζώῳ, νοῦ καὶ αἰσθήσεως μεθόριον γίνεται. τὰς γοῦν ἐν αὐτῷ παρὰ τῶν αἰσθήσεων προειλημμένας εἰκόνας, ὡς κεχωρισμένας σωμάτων, καὶ ἀσωμάτους εἴδη γεγενημένας καθορῶν, καὶ περιστρέφων ὁ νοῦς, ποικίλους καὶ τοὺς λογισμοὺς ἀπεργάζεται, διαλογιζόμενός τε, καὶ ἀναλογιζόμενος, καὶ συλλογιζόμενος πολυειδῶς, ἐμπαθῶς, ἀπαθῶς, μέσως, πεπλανημένως τε, καὶ ἀπλανῶς. ἀφ' ὧν αἱ πλεῖσται ἀρεταὶ καὶ κακίαι, δόξαι τε καὶ κακοδοξίαι τίκτονται. Ἐπεὶ γὰρ οὐ πᾶς τις ὁ λογισμὸς ἐκ τούτων καὶ περὶ τούτων, ἀλλ' ἔστιν ὅτις ιζ'.

ἂν εὕροι καὶ τῇ αἰσθήσει μὴ δυναμένων ὑποπίπτειν, ὑπὸ τοῦ νοῦ τοῦ λογισμοῦ διδόμενα, διὰ τοῦτ᾽ ἔφην μὴ πᾶσαν ἀλήθειαν ἢ πλάνην, καὶ ἀρετὴν ἢ κακίαν ἐν τοῖς λογισμοῖς ἀπὸ φαντασίας ἔχειν τὴν ἀρχήν.

ιη'. Σφόδρα θαυμάζειν ἄξιον, καὶ κατασκοπεῖν, πῶς ἀπὸ τῆς προσκαίρου καὶ αἰσθητῆς μόνιμον ἐγγίνεται τῇ ψυχῇ κάλλος ἢ αἶσχος, πλοῦτος ἢ πενία, δόξα ἢ ἀδοξία. καὶ ἁπλῶς ἢ νοητὸν φῶς, ζωῆς αἰωνίου παρεκτικὸν, ἢ νοητὸν καὶ κολαστήριον σκότος.

ιθ'. Τῷ φανταστικῷ τῆς ψυχῆς ἐποχούμενος ὁ νοῦς, καὶ ταῖς αἰσθήσεσι διὰ τούτου συγγινόμενος, σύμμικτον ἀπογεννᾷ τὴν γνῶσιν. εἰ γάρ τις αἰσθητῶς προσίδοι δυομένου τοῦ ἡλίου, τηνικαῦτα δὲ καὶ τὴν σελήνην παρεπομένην μέρει τοῦ τετραμμένου πρὸς τὸν ἥλιον. εἶτα κατὰ μικρόν τε ἀφισταμένην ἐν ταῖς ἐφεξῆς ἡμέραις, καὶ φωτιζομένην μᾶλλον, μέχρις ἂν γένοιτο καταντικρύ. Πάλιν δὲ κατὰ μικρὸν ἐγγίζουσαν θατέρῳ μέρει, καὶ τὸ φῶς μᾶλλον καὶ μᾶλλον μειουμένην, καὶ ἀποτιθεμένην, ὅθεν τὴν ἀρχὴν ἔλαβε τοῦ φωτισμοῦ. ταύτας διὰ τοῦ νοῦ σημειωσάμενος τὰς θέας, ὡς τὰς μὲν προλαβούσας ἐν τῇ φαντασίᾳ ἔχων, τὴν δ᾽ ἀεὶ παροῦσαν ἐπὶ τῆς αἰσθήσεως, συνῆκεν ἐκ τῆς αἰσθήσεως καὶ φαντασίας καὶ νοήσεως· ἐκ τοῦ ἡλίου μὲν τὸ φῶς ἔχειν τὴν σελήνην. προσγειότερον δὲ τὸν ταύτης εἶναι πόλον, καὶ πολλῷ τοῦ ἡλιακοῦ κατώτερον.

κ'. Οὐ τὰ κατὰ τὴν σελήνην μόνον, ἀλλὰ καὶ τὰ κατὰ τὸν ἥλιον. τάς τε κατ᾽ αὐτὸν ἐκλείψεις, καὶ τοὺς κατ᾽ αὐτὰς συνδέσμους. τῶν τε ἄλλων κατ᾽ οὐρανὸν πλανήτων τὰς παραλλάξεις τε καὶ διαστάσεις, καὶ τοὺς κατ᾽ αὐτὰς πολυειδεῖς σχηματισμούς. καὶ ἁπλῶς ὅσα τῶν κατ᾽ οὐρανὸν ἴσμεν. πρὸς δὲ, καὶ φύσεως λόγους, μεθόδους τε, καὶ τέχνας πάσας. καὶ ἁπλῶς, πᾶσαν γνῶσιν τὴν ἐκ μερικῶν συνηγμένην καταλήψεων, ἐξ αἰσθήσεως καὶ φαντασίας συνειλόχαμεν διὰ τοῦ νοῦ. καὶ οὐδεμία ποτ᾽ ἂν κληθείη πνευματική· φυσικὴ δὲ μᾶλλον, ἣ μηδὲ χωρεῖ τὰ τοῦ πνεύματος.

κα'. Πόθεν ἐμάθομεν περὶ Θεοῦ; πόθεν περὶ τοῦ κόσμου παντός; πόθεν περὶ ἡμῶν αὐτῶν βέβαιόν τι καὶ ἀψευδές; οὐκ ἐκ τῆς τοῦ πνεύματος διδασκαλίας; αὕτη γὰρ ἡμᾶς ἐδίδαξε Θεὸν εἶναι μόνον τὸν ὄντως Ὄντα, καὶ ἀεὶ Ὄντα, καὶ ἀμετάβλητον ὄντα, μήτε ἐκ μὴ ὄντων τὸ εἶναι λαβόντα, μήτε πρὸς τὸ μὴ ὂν ἀπιόντα. καὶ τοῦτον τρισυπόστατον εἶναι καὶ παντοδύναμον. ὃς ἐν ἓξ ἡμέραις, λόγῳ ἐκ μὴ ὄντων τὰ ὄντα παρήγαγεν· ἀθρόον δὲ μᾶλλον, ὡς ὁ Μωϋσῆς φησιν, ὑπεστήσατο. ἐν ἀρχῇ γὰρ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, τοῦτο λέγοντος ἀκηκόαμεν. οὐ διάκενον πάντως, οὐδ᾽ ἄμοιρον πάντη τῶν μεταξὺ πάντων. ὕδατι μὲν γὰρ ἀναμὶξ ἦν ἡ γῆ. κυοφόρον δ᾽ ἑκάτερον, ἀέρος τε καὶ τῶν κατ᾽ εἶδος ζώων τε καὶ φυτῶν. ὁ δὲ οὐρανὸς τῶν διαφόρων φώτων τε καὶ * πυρῶν, ἐν οἷς καὶ τὸ σύμπαν ὑφέστηκεν. οὕτως οὖν ὁ Θεὸς ἐποίησεν ἐν ἀρχῇ τὸν οὐρανὸν καὶ τὴν γῆν, οἱόν τινα ὕλην πανδεχῆ, καὶ δυνάμει τὰ πάντα φέρουσαν, καλῶς πόρρωθεν ἀπορραπίζων τοὺς καθ᾽ ἑαυτὴν προϋφεστηκέναι τὴν ὕλην κακῶς νομίζοντας.

* ἴσ. πυρσῶν

κβ'. Μετὰ τοῦτο καλλιεργῶν ὥσπερ, καὶ τὸν κόσμον ἐπικοσμῶν, ὁ τὰ πάντα ἐκ μὴ ὄντων παραγαγὼν, τὴν οἰκείαν ἑκάστῳ καὶ κατάλληλον τάξιν τῶν προσόντων αὐτοῦ, καὶ συμπληρούντων τὸν αὐτοῦ κόσμον, ἐν ἓξ ἡμέραις διένειμε. διακρίνων ἕκαστον προστάγματι μόνῳ· καὶ καθάπερ ἐκ θησαυρῶν ἀποθέτων ἐξάγων εἰς εἶδος τὰ ἐντεθέντα, διατιθείς τε καὶ συντιθεὶς ἐναρμονίως, ἄκρως, καὶ προσφυῶς, ἄλλο πρὸς ἄλλο τούτων, ἕκαστόν τε πρὸς πάν-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τα, καὶ πρὸς ἕκαστον ἅπαντα. καὶ τῇ μὲν ἀκινήτῳ γῇ καθάπερ τινὶ κέντρῳ, περιτιθεὶς ἀνωτάτω κύκλῳ, καὶ συνδῶν πανσόφως διὰ τῶν μέσων τὸν ἀεικίνητον οὐρανόν. ἵν᾽ ὁ αὐτὸς διαμείνῃ κόσμος ἑστὼς ὁμοῦ καὶ κινούμενος. πάντῃ γὰρ κύκλῳ τῶν ἀεικινήτων καὶ ταχυκινήτων ἄγαν σωμάτων περιτεθέντων, τὸ ἀκίνητον ἐξ ἀνάγκης τὴν μέσην ἔλαχε χώραν, ἀντίῤῥοπον τῇ κινήσει τὴν στάσιν ἔχον, ὡς μὴ μεταχωρεῖν κυλίνδρου δίκην τὴν παγκόσμιον σφαῖραν.

κγ'. Τοιαύτην τοίνυν ὁ ἀριστοτέχνης, τῶν τοῦ παντὸς περάτων ἑκατέρῳ νείμας τὴν θέσιν, τὸν σύμπαντα τοῦτον ἐγκόσμως, ὡς εἰπεῖν, κόσμον, καὶ ἔπηξε καὶ ἐκίνησε. τῶν δὲ μεταξὺ τῶν περάτων τούτων, διανέμει πάλιν τὸ προσῆκον ἑκάστῳ. καὶ τὰ μὲν, ἄνω τάττει, καὶ μετεωροπολεῖν ἐπιτάττει, καὶ συμπεριπολεῖν τῷ ἀνωτάτω τοῦ παντὸς ὅρῳ, συντόνως καὶ κοσμίως εὖ μάλα τὸν αἰεὶ χρόνον· ὅσα κοῦφα καὶ δραστικὰ, καὶ μετασκευαστικὰ πρὸς τὸ χρήσιμον τῶν ὑποκειμένων ἐστί. τούτων ὑπερανεστηκότα τοῦ μέσου συντόνως ἄγαν, ὡς καὶ τὴν ἐν τούτῳ τοῦ ψύχους ἀμετρίαν ἀποχρώντως θραύειν ἔχειν περικείμενα, καὶ τὴν οἰκείαν τῆς θερμότητος ἀμετρίαν ἐπὶ χώρας κατέχειν. ἐπέχειν δέ πως καὶ τὴν ἀμετρίαν τῆς φορᾶς τῶν ἀνωτάτω περάτων, ἀντιστρόφως ἰδίως αὐτὰ κινούμενα, καὶ κατέχειν ἐπὶ χώρας κἀκεῖνα διὰ τῆς ἀντιστρόφου περιστροφῆς, ἡμῖν τε παρέχειν ἐνιαυσιαίων πολυωφελεῖς διαφορὰς ὡρῶν, χρονικῶν τε διαστημάτων μέτρα, καὶ τοῦ κτίσαντος καὶ τάξαντος καὶ κοσμήσαντος Θεοῦ τοῖς συνιεῖσι γνῶσιν. τὰ μὲν οὖν ἐν μετεώρῳ καὶ ἀνωτέρω πολυστρόφως οὕτω περιχορεύειν δεόντως ἀφῆκε, κάλλους τε παγκοσμίου χάριν, καὶ ὠφελείας πολυειδοῦς. τὰ δ᾽ ἄλλα κάτω καὶ περὶ τὸ μέσον ἔθηκεν, ὅσα βάρος ἔχει καὶ παθητὰ τὴν φύσιν ἐστὶ, γίνεσθαί τε καὶ μεταγίνεσθαι πέφυκε, διακρινόμενά τε καὶ συγκρινόμενα, καὶ πάσχοντα μᾶλλον μεταβάλλειν πρὸς εὐχρηστίαν, καὶ κόσμον ἐντιθεὶς καὶ ταῦτα καὶ τὸν πρὸς ἄλληλα λόγον, ἵν᾽ ἐτύμως ἔχῃ καλεῖσθαι κόσμος τὸ πᾶν.

Οὕτω δὴ πρῶτόν τι τῶν ὄντων ἐν τῇ κτίσει παρήχθη, καὶ μετὰ τὸ πρῶτον ἕτερον· καὶ μετ᾽ αὐτὸ πάλιν ἄλλο, καὶ ἐφεξῆς, καὶ μετὰ πάντα ὁ ἄνθρωπος. κδ'.
ὃς τιμῆς τῆς παρὰ τοῦ Θεοῦ καὶ προμηθείας τοσαύτης ἠξίωται, ὡς καὶ τὸν αἰσθητὸν τοῦτον ἅπαντα κόσμον πρὸ αὐτοῦ γενέσθαι δι᾽ αὐτόν. καὶ τὴν τῶν οὐρανῶν βασιλείαν, εὐθὺς ἀπὸ καταβολῆς κόσμου δι᾽ αὐτὸν ἑτοιμασθῆναι, πρὸ αὐτοῦ. καὶ βουλὴν περὶ αὐτοῦ προηγήσασθαι· καὶ χειρὶ Θεοῦ. καὶ κατ᾽ εἰκόνα πλασθῆναι Θεοῦ. καὶ μὴ τὸ πᾶν χοῦν ἐκ τῆς ὕλης ταύτης, καὶ τοῦ κατ᾽ αἴσθησιν κόσμου, καθάπερ τ᾽ ἄλλα τῶν ζώων· ἀλλὰ τὸ σῶμα μόνον· τὴν δὲ ψυχὴν ἐξ τῶν ὑπερκοσμίων, μᾶλλον δὲ παρ᾽ αὐτοῦ τοῦ Θεοῦ διὰ τοῦ ἐμφυσήματος ἀποῤῥήτως, ὡς μέγα τι καὶ θαυμαστὸν, καὶ τοῦ παντὸς ὑπερέχον, καὶ τὸ πᾶν ἐποπτεῦον, καὶ τοῖς πᾶσιν ἐπιστατεῖν, καὶ Θεοῦ γνωστικὸν ἅμα καὶ δεκτικόν. καὶ δεικτικὸν παντὸς μᾶλλον τῆς ὑπερῳκισμένης τοῦ τεχνίτου μεγαλειότητος ἀποτέλεσμα. καὶ μὴ ὅτι Θεοῦ δεκτικὸν δι᾽ ἀγῶνος καὶ χάριτος, ἀλλὰ καὶ δυνατὸν ἑνωθῆναι τούτῳ κατὰ μίαν ὑπόστασιν.

Ταῦτα καὶ τὰ τοιαῦτα, ἐν οἷς ἐστιν ἡ ἀληθὴς σοφία καὶ ἡ τῆς σωτηρίας γνῶσις, ἡ τῆς ἄνω μακαριότητος πρόξενος, τίς ὁ Εὐκλείδης; τίς Μαρῖνος; τίς Πτολεμαῖος συνιδεῖν ἠδυνήθη; τίνες Ἐμπεδοκλεῖς, καὶ Σωκράται, καὶ Ἀριστοτέλεις, καὶ Πλάτωνες, οἱ λογικαῖς μεθόδοις, καὶ μαθηματικαῖς ἀποδείξεσι σεμνυνόμενοι; ποία αἴσθησις ἀντελάβετο τῶν τοιούτων; ποῖος ἐπέβαλε νοῦς; εἰ δὲ ἐκείνοις τοῦ κε'.

φύσει

Athos Library
Αγιορειτική Βιβλιοθήκη

φύσει φιλοσοφοῦσι, καὶ τοῖς κατ' ἐκείνους, χαμαίζηλος ἔδοξεν ἡ κατὰ πνεῦμα σοφία, κἀντεῦθεν τὸ καθ' ὑπερβολὴν ὑπερέχον αὐτῆς παρέσταται. σχεδὸν γάρ, ὡς τὰ ἄλογα τῶν ζώων, πρὸς τὴν ἐκείνων σοφίαν ἔχουσιν· (εἰ δὲ βούλει, καθάπερ τὰ παιδάρια, οἷς κρείττους δόξαιεν ἂν οἱ μετὰ χεῖρας πλακοῦντες τοῦ βασιλικοῦ διαδήματος).
* ἴσ. σῶν ἢ καὶ * τοῖς ἐκείνοις ἐγνωσμένων ἁπάντων· οὕτως ἔχουσιν οὗτοι πρὸς τὴν ἀληθῆ, καὶ ὑπερανῳκισμένην σοφίαν καὶ διδασκαλίαν τοῦ πνεύματος.

κς΄. Οὐ μόνον δὲ τὸ γινώσκειν κατὰ τὸ ἐγχωροῦν ἐν ἀληθείᾳ Θεόν, ἀσυγκρίτως κρεῖττον τῆς καθ' Ἕλληνας φιλοσοφίας ἐστίν, ἀλλὰ καὶ μόνον τὸ εἰδέναι τίνα τόπον ἔχει ὁ ἄνθρωπος παρὰ τῷ Θεῷ, πᾶσαν ὑπερβαίνει τὴν κατ' ἐκείνους σοφίαν· μόνος γὰρ ἁπάντων ἐπιγείων τε καὶ οὐρανίων ἐκτίσθη κατ' εἰκόνα τοῦ πλάσαντος, ὡς πρὸς ἐκεῖνον ὁρῶν, καὶ αὐτὸν ἀγαπῶν, κἀκείνου μόνου μύστης καὶ προσκυνητὴς εἴη. καὶ τῇ πρὸς αὐτὸν πίστει καὶ νεύσει καὶ διαθέσει, τὴν οἰκείαν καλλονὴν συντηροίη. πάντα δὲ τ' ἄλλα ὅσα γῆ καὶ οὐρανὸς ὅδε φέρει, κατώτερα ἑαυτοῦ εἶδεν, καὶ τοῦ παντάπασιν ἄμοιρα. ὅπερ οἱ καθ' Ἕλληνας σοφοὶ μηδοπωσοῦν συνιδεῖν δυνηθέντες, ἠτίμωσαν τὴν καθ' ἡμᾶς φύσιν· ἠσέβησαν εἰς Θεόν. ἐσεβάσθησαν, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, τοῖς αἰσθητοῖς καὶ ἀναισθήτοις ἄστρασι νοῦν περιθέντες, καὶ τούτων ἑκάστῳ τοῦ κατὰ σῶμα μεγέθους ἀνάλογον ἐν δυνάμει καὶ ἀξιώματι. καὶ ταῦτα ἀθλίως σεβόμενοι, καὶ Θεοὺς μείζους τε καὶ ἐλάττους προσαγορεύσαντες, τὴν κυριότητα τοῦ παντὸς ἐπέτρεψαν. ἆρ' οὐκ ἐκ τῶν αἰσθητῶν οὗτοι, καὶ τῆς κατὰ ταῦτα φιλοσοφίας, αἶσχος καὶ ἀδοξίαν, καὶ πενίαν ἐσχάτην ταῖς οἰκείαις ψυχαῖς προσετρίψαντο; καὶ νοητὸν ὄντως καὶ κολαστήριον σκότος;

κζ΄. Τὸ κατ' εἰκόνα γεγονότας ἡμᾶς αὐτοὺς εἰδέναι τοῦ κτίσαντος, οὐ δὲ τὸν νοητὸν κόσμον θεοποιεῖν συγχωρεῖ. τὸ γὰρ κατ' εἰκόνα τοῦτο, οὐχ ἡ τοῦ σώματος ἔχει θέσις, ἀλλ' ἡ τοῦ νοῦ πάντως φύσις, οὗ μηδὲν κατὰ φύσιν κρεῖττον. εἰ γὰρ ἦν τι κρεῖττον, ἐν ἐκείνῳ ἂν ὑπῆρχε τὸ κατ' εἰκόνα. ἐπεὶ δὲ τὸ ἐν ἡμῖν κρεῖττον ὁ νοῦς, τοῦτο δὲ εἰ καὶ κατ' εἰκόνα Θείαν, ἐκτίσθη δ' οὖν ὅμως ὑπὸ Θεοῦ· τί ποτ' ἄρα δυσχερὲς συνιδεῖν, μᾶλλον δέ, πῶς οὐκ αὐτόθεν κατάδηλον, ὡς ὁ ποιητὴς τοῦ καθ' ἡμᾶς νοεροῦ, ἐκεῖνος καὶ παντὸς νοεροῦ ποιητής ἐστι; σύνδουλος οὖν ἡμῖν πᾶσα νοερὰ φύσις, καὶ κατ' εἰκόνα τοῦ κτίσαντος· εἰ καὶ ἡμῶν τιμιώτεροι, ὡς σωμάτων ὄντες ἐκτός, καὶ τῇ ἀσωμάτῳ παντάπασι καὶ ἀκτίστῳ φύσει μᾶλλον ἐγγίζοντες. μᾶλλον δέ, οἱ μὲν φυλάξαντες τούτων τὴν ἑαυτῶν τάξιν, καὶ τὸ πρὸς ὃ γεγόνασι στέργοντες, εἰ καὶ ὁμόδουλοι, ἀλλ' ἡμῖν τίμιοι, καὶ ἡμῶν τῇ τάξει πολλῷ τιμιώτεροι. οἱ δὲ μὴ φυλάξαντες τὴν ἑαυτῶν τάξιν, ἀλλ' ἀποστατήσαντες, καὶ τό, πρὸς ὃ γεγόνασιν, ἀθετήσαντες, τοῦ ἐγγίζοντος Θεῷ γεγονότες ὡς πορρωτάτω, καὶ τῆς τιμῆς ἐκπεπτώκασιν. εἰ δὲ καὶ ἡμᾶς συναπῶσαι ἐπιχειροῦσι πρὸς ἔκπτωσιν, οὐκ ἀχρεῖοι καὶ ἄτιμοι μόνον, ἀλλὰ καὶ ἀντίθεοι, καὶ ἡμῶν τῷ γένει λυμαντικοὶ καὶ πολεμιώτατοι.

Ἀλλ' οἱ φυσιολόγοι τε καὶ ἀστροθεάμονες, κη΄.
καὶ τὰ πάντα εἰδέναι καυχώμενοι, μηδὲν τῶν προειρημένων ἐκ τῆς φιλοσοφίας συνιδεῖν δυνηθέντες, καὶ τὸν ἄρχοντα τοῦ νοητοῦ σκότους, καὶ τὰς ὑπ' αὐτὸν ἀποστατικὰς δυνάμεις πάσας, οὐχ ὑπὲρ ἑαυτοὺς μόνον, ἀλλὰ καὶ Θεοὺς ὠνόμασαν, καὶ ναοῖς ἐτίμησαν, καὶ θυσίας αὐτοῖς προσήνεγκαν, καὶ ἑαυτοὺς ὑπέταξαν τοῖς πανωλέθροις ἐκείνων θεσπίσμασιν, ὑφ' ὧν ἐνεπαίχθησαν εἰκότως ἐπὶ πολύ, δι' ἱερῶν ἀνιέρων, καὶ καθαρμῶν μολυνόντων, καὶ προστιθέντων τὴν ἐξάγιστον οἴησιν,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ προφητῶν καὶ προφητίδων, τῆς ὄντως ἀληθείας ἀποβουκολοῦντων ὡς πορρωτάτω.

κθ'. Οὐ τὸ εἰδέναι μόνον Θεόν, οὐδὲ τὸ γινώσκειν τὸν ἄνθρωπον ἑαυτόν, καὶ τὴν ἑαυτοῦ τάξιν, (ἃ καὶ τοῖς νομιζομένοις ἰδιώταις, Χριστιανοῖς οὖσι πρόσεστι νῦν) ὑψηλοτέρα γνῶσίς ἐστι φυσιολογίας καὶ ἀστρολογίας, καὶ πάσης τῆς περὶ αὐτὰς φιλοσοφίας, ἀλλὰ καὶ τὸ εἰδέναι τὸν καθ' ἡμᾶς νοῦν τὴν ἑαυτοῦ ἀσθένειαν, καὶ ταύτην ἰάσασθαι ζητεῖν, πολλῷ κρεῖττον ἀσυγκρίτως ἂν εἴη τοῦ εἰδέναι καὶ διερευνᾶν ἄστρων μεγέθη, καὶ φύσεων λόγους, γενέσεις τε τῶν κάτω, καὶ περιόδους τῶν ἄνω, τροπάς τε καὶ ἐπιτολάς, στηριγμοὺς καὶ ἀναποδισμούς, ἀποστάσεις τε καὶ συνελεύσεις, καὶ πᾶσαν ἁπλῶς τὴν ἐκ πολυκινησίας ἐκεῖ πολυειδεστάτην σχέσιν. ὁ γὰρ γνοὺς τὴν ἑαυτοῦ ἀσθένειαν νοῦς, εὗρεν ὅθεν ἂν εἰσέλθῃ πρὸς σωτηρίαν, καὶ ἐγγίσοι τῷ φωτὶ τῆς γνώσεως, καὶ λάβῃ σοφίαν ἀληθῆ, καὶ τῷ αἰῶνι τούτῳ μὴ συγκαταλυομένην.

λ'. Πᾶσα λογικὴ καὶ νοερὰ φύσις, εἴτ' Ἀγγελικὴν εἴποι τις, εἴτ' ἀνθρωπίνην, οὐσίαν ἔχει ζωήν, δι' ἣν καὶ διαμένει ἐπίσης καθ' ὕπαρξιν ἀθάνατος, διαφθορὰν οὐκ ἐπιδεχομένη. ἀλλ' ἡ μὲν ἐν ἡμῖν νοερὰ καὶ λογικὴ φύσις, οὐ μόνον οὐσίαν ἔχει τὴν ζωήν, ἀλλὰ καὶ τὴν ἐνέργειαν. ζωοποιεῖ γὰρ τὸ συνημμένον σῶμα· διὸ καὶ τούτου λέγεται ζωή. πρὸς ἕτερον ἡ ζωὴ λέγεται, καὶ ἐνέργειά ἐστιν αὐτῆς. πρὸς γὰρ ἕτερον, οὐδέποτ' ἂν λέγοιτο οὐσία καθ' αὐτήν. ἡ δὲ τῶν Ἀγγέλων νοερὰ φύσις, οὐχὶ καὶ ἐνέργειαν ταυτην ἔχει τὴν ζωήν. οὐ γὰρ συνημμένον ἔλαβεν ἐκ γῆς παρὰ Θεοῦ σῶμα, ἵνα καὶ ζωοποιὸν λάβῃ πρὸς τοῦτο δύναμιν. δεκτικὴ μέντοι καὶ αὕτη τῶν ἐναντίων ἐστί, κακίας δηλονότι καὶ ἀγαθότητος. καὶ τοῦτο παριστᾶσιν οἱ πονηροὶ τῶν Ἀγγέλων, ἔκπτωσιν ὑποστάντες διὰ τὴν ἔπαρσιν. συνθετοί πως τοιγαροῦν εἰσι καὶ οἱ Ἄγγελοι, ἔκ τε τῆς καθ' ἑαυτοὺς οὐσίας, καὶ μιᾶς τῶν ἐναντίων ποιοτήτων, ἀρετῆς, φημί, καὶ πονηρίας. ὅθεν * δείκνυται, μὴ δ' οὗτοι οὐσίαν ἔχοντες τὴν ἀγαθότητα. [* ἴσ. δείκνυνται]

λα'. Ἡ τῶν ἀλόγων ζώων ἑκάστου ψυχή, ζωή ἐστι τοῦ κατ' αὐτὴν ἐμψύχου σώματος. καὶ οὐκ οὐσίαν, ἀλλ' ἐνέργειαν ἔχει ταύτην τὴν ζωήν, ὡς πρὸς ἕτερον οὖσαν, ἀλλ' οὐ καθ' αὐτήν. αὕτη γὰρ οὐδὲν ἕτερον ἔχουσα ὁρᾶται, ὅτι μὴ τὰ ἐνεργούμενα διὰ τοῦ σώματος. δι' ὃ καὶ λυομένου τούτου, συνδιαλύεσθαι ἀνάγκη. θνητὴ γάρ ἐστι τοῦ σώματος οὐχ ἧττον. ἐπεὶ πᾶν ὅπερ ἐστι, πρὸς τὸ θνητὸν ἐστί τε καὶ λέγεται. δι' ὃ καὶ θανόντι συναποθνήσκει.

λβ'. Ἡ τῶν ἀνθρώπων ἑκάστου ψυχή, ἔστι μὲν καὶ τοῦ κατ' αὐτὴν ἐμψύχου σώματος ζωή, καὶ ζωοποιὸν ἔχει τὴν ἐνέργειαν πρὸς ἕτερον, ὁρωμένην πρὸς αὐτὸ δηλαδὴ τὸ παρ' αὐτῆς ζωοποιούμενον. ἀλλ' οὐ μόνον ἐνέργειαν, ἀλλὰ καὶ οὐσίαν ἔχει τὴν ζωήν, ὡς ζῶσα καθ' αὐτήν. ἔχουσα γὰρ ὁρᾶται τὴν λογικὴν καὶ νοερὰν ζωήν, φανερῶς ἑτέραν οὖσαν παρὰ τὴν τοῦ σώματος, καὶ τῶν, ὅσα διὰ τοῦ σώματος. δι' ὃ καὶ λυομένου τοῦ σώματος, αὕτη οὐ συνδιαλύεται. πρὸ δὲ τοῦ * μὴ συνδιαλύεσθαι, καὶ ἀθάνατος διαμένει, ὡς μὴ πρὸς ἕτερον ὁρωμένην, ἀλλ' οὐσίαν ἔχουσα τὴν καθ' αὐτὴν ζωήν. [* ἴσ. τῷ]

λγ'. Ἡ λογικὴ καὶ νοερὰ ψυχή, οὐσίαν μὲν ἔχει τὴν ζωήν, ἀλλὰ δεκτικὴν τῶν ἐναντίων, κακίας δηλονότι καὶ ἀγαθότητος. Ὅθεν δείκνυται μὴ οὐσίαν ἔχουσα τὴν ἀγαθότητα, ὥσπερ οὐδὲ τὴν κακίαν, ἀλλ' οἷόν τινα ποιότητα, καθ' ἑκατέραν, ὁπότε * παρείη, διατιθεμένη. πάρεστι δὲ οὐ τοπικῶς. ἀλλ' ἡνίκ' ἂν ἡ νοερὰ ψυχή, τὸ αὐτεξούσιον λαβοῦσα παρὰ τοῦ κτίσαντος, νεύσῃ πρὸς αὐτήν, καὶ ζῆν ἐθελήσῃ κατ' αὐτήν. δι' ὃ καὶ συνθετός ἐστί πως ἡ λο- [* ἴσ. παρῇ]



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γικὴ καὶ ἱερὰ ψυχὴ, οὐκ ἐκ τῆς ἀνωτέρω εἰρημένης ἐνεργείας. αὕτη γὰρ πρὸς ἕτερον οὖσα, σύνθεσιν ἐμποιεῖν οὐ πέφυκεν. ἀλλ᾽ ἐκ τῆς κατ᾽ αὐτὴν οὐσίας, καὶ μιᾶς ἡστινοσοῦν τῶν εἰρημένων ἐναντίων ποιοτήτων, ἀρετῆς τε φημὶ καὶ πονηρίας.

Ἕως ὧδε εἰσὶ τὰ φυσικά. ἀπ᾽ ἐντεῦθεν δὲ τὰ θεολογικὰ κεφάλαια.

λδ´. Ὁ ἀνωτάτω νοῦς. τὸ ἄκρον ἀγαθόν. ἡ ὑπέρζωος καὶ ὑπέρθεος φύσις, πάντῃ τε καὶ πάντως ἀνεπίδεκτος οὖσα τῶν ἐναντίων, φανερῶς οὐ ποιότητα, ἀλλ᾽ οὐσίαν ἔχει τὴν ἀγαθότητα. διὸ καὶ πᾶν ὅπερ ἂν ἐννοήσῃ τις ἀγαθὸν, ἐν ἐκείνῳ ἐστί. μᾶλλον δὲ ἐκεῖνός ἐστι, καὶ ὑπὲρ ἐκεῖνό ἐστι. Καὶ πᾶν ὅπερ ἐν ἐκείνῳ τις ἐννοήσειεν. ἀγαθόν ἐστι, μᾶλλον δὲ ἀγαθότης, καὶ ὑπεράγαθος ἀγαθότης ἐστί. Καὶ ἡ ζωὴ ἐν αὐτῷ ἐστι, μᾶλλον δὲ αὐτός ἐστιν ἡ ζωή· ἀγαθὸν γὰρ ἡ ζωὴ, καὶ ἀγαθότης ἐν αὐτῷ ἡ ζωή. Καὶ ἡ σοφία ἐν αὐτῷ ἐστι, μᾶλλον δὲ αὐτός ἐστιν. ἀγαθὸν γὰρ ἡ σοφία, καὶ ἀγαθότης ἐν αὐτῷ* ἡ σοφία. καὶ ἡ ἀϊδιότης, καὶ ἡ μακαριότης, καὶ ἁπλῶς ἅπαν ὅ, τις ἂν ἐννοήσειεν ἀγαθόν. Καὶ οὐκ ἔστιν ἐκεῖ διαφορὰ ζωῆς, καὶ σοφίας, καὶ ἀγαθότητος, καὶ τῶν τοιούτων. Πάντα γὰρ ἡ ἀγαθότης ἐκείνη συνειλημμένως, καὶ ἑνιαίως, καὶ ἁπλουστάτως συμπεριβάλλει· καὶ ἐκ πάντων νοεῖται καὶ καλεῖται τῶν ἀγαθῶν. Καὶ ἓν καὶ ἀληθές ἐστιν, ὅπερ ἄν τις ἐννοήσειε καὶ εἴπῃ περὶ αὐτῆς ἀγαθόν. Ἐκείνη δὲ οὐ τοῦτό ἐστι μόνον, ὅπερ ἀληθῶς νοεῖται, καὶ παρ᾽ αὐτῶν τῶν θεοσόφων νοούντων, καὶ πνευματοκινήτῳ γλώσσῃ θεολογούντων. ἀλλ᾽ ὡς ἄρρητός τε καὶ ἀπερινόητος, καὶ ὑπὲρ ταῦτά ἐστι, καὶ τῆς ἑνιαίας καὶ τῆς ὑπερφυοῦς ἁπλότητος οὐκ ἀπολείπεται· μία οὖσα Πανάγαθος καὶ ὑπεράγαθος ἀγαθότης. κατὰ τοῦτο γὰρ μόνον καὶ νοεῖται καὶ καλεῖται. καὶ κατὰ τοῦτο παρὰ μόνων τῶν πρὸς τὴν κτίσιν οἰκείων ἐνεργειῶν ὁ ποιητὴς καὶ δεσπότης τῆς κτίσεως * ὅτι ἐστὶ πανάγαθος, καὶ ὑπεράγαθος ἀγαθότης, οὐσίαν ἔχων τὴν ἀγαθότητα. δι᾽ ὃ καὶ τῆς πρὸς αὐτὴν ἐναντιότητος, πάντῃ τε καὶ πάντως ἐστὶν ἀνεπίδεκτος. οὐδὲ γὰρ οὐδεμία ἐναντίον οὐσίᾳ ἐστίν.

* ἐν ἀλλ. οὐσία

* ἴσ. λείπει γνωρίζεται, ἢ φαίνεται ἤτοι [illegible]

λε´. Ἡ πανάγαθος αὕτη καὶ ὑπεράγαθος ἀγαθότης, καὶ πηγή ἐστιν ἀγαθότητος. καὶ τοῦτο γὰρ ἀγαθὸν, καὶ ἀγαθῶν τὸ ἀκρότατον· καὶ οὐκ ἂν ἀπείη τῆς παντελοῦς ἀγαθότητος. Ἐπεὶ δὲ νοῦς ἐστιν ἡ ὑπερτελὴς καὶ παντελὴς ἀγαθότης, τί ποτ᾽ ἂν ἕτερον εἴη τὸ παρ᾽ αὐτῆς ὡς ἐκ πηγῆς προϊὸν, ἢ λόγος; καὶ λόγος, οὐ κατὰ τὸν ἡμέτερον προφορικὸν λόγον. οὐ νοὸς γὰρ οὗτος, ἀλλὰ σώματος τοῦ κινουμένου. οὐ κατὰ τὸν ἡμέτερον ἐνδιάθετον λόγον. φθόγγον γὰρ οἱονεὶ τύποις κἀκεῖνος ἐν ἡμῖν διατιθέμενος γίνεται. ἀλλ᾽ οὐδὲ κατὰ τὸν ἡμέτερον ἐν διανοίᾳ λόγον, κἂν χωρὶς φθόγγων ᾖ, ἐπιβολαῖς ἀσωμάτοις πάντῃ συμπαραινόμενος. κἀκεῖνος γὰρ μεθ᾽ ἡμᾶς ἐστι, καὶ διαλειμμάτων δεῖται, καὶ χρονικῶν οὐκ ὀλίγων διαστημάτων, διεξοδικῶς προϊὼν, καὶ ἐξ ἀρχῆς ἀτελοῦς, πρὸς τὸ ἐντελὲς συμπέρασμα προαγόμενος· ἀλλὰ κατὰ τὸν ἐμφύτως ἡμῖν, ἐξ οὗ γεγόναμεν παρὰ τοῦ κτίσαντος ἡμᾶς κατ᾽ εἰκόνα οἰκείαν, ἐναποκείμενον τῷ νῷ λόγον, τὴν ἀεὶ συνυπάρχουσαν αὐτῷ γνῶσιν. ἥτις καὶ μάλιστα ἐκεῖ ἐπὶ τοῦ ἀνωτάτω νοῦ τῆς παντελοῦς καὶ ὑπερτελοῦς ἀγαθότητος, παρ᾽ ᾗ μηδὲν ἀτελὲς, πλὴν τοῦ ἐξ αὐτῆς εἶναι, πάντα ἐστὶν ἀπαραλλάκτως ὅσα ἐκείνη. Δι᾽ ὃ καὶ Υἱὸς ὁ ἀνωτάτω λόγος ἐστί τε καὶ παρ᾽ ἡμῶν καλεῖται· ἵν᾽ ἐπιγνῶμεν αὐτὸν ὄντα τέλειον, ἐν ὑποστάσει τελείᾳ τε καὶ ἰδίᾳ, ὡς ἐκ τοῦ Πατρὸς ὄντα, καὶ κατὰ μηδὲν λειπόμενον τῆς πατρικῆς οὐσίας· ἀλλ᾽ ἀπαραλλάκτως τὸν αὐτὸν ἐκείνῳ ὄντα, εἰ καὶ μὴ καθ᾽ ὑπόστασιν. ἣ τὸ ἐξ ἐκείνου γεννητῶς θεοπρεπῶς εἶναι παρίστησι τὸν λόγον.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λϛʹ. Ἡ ἀγαθότης, ἡ ὡς πηγῆς τῆς νοερᾶς ἀγαθότητος προϊοῦσα γεννητῶς, ἐπεὶ λόγος ἐστί· λόγον δὲ πνεύματος χωρίς, οὐδ' αὖτις οὐδεὶς ἔχων ἐννοήσειεν· διὰ τοῦτο καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ὁ ἐκ Θεοῦ Θεὸς Λόγος, συμπροϊὸν ἐκ τοῦ Πατρὸς ἔχει. Πνεῦμα δέ, οὐ κατὰ τὸ συνὸν τῷ ἡμετέρῳ διὰ τῶν χειλέων λόγῳ. ἀλλ' οὐδὲ κατὰ τὸ συνόν, εἰ καὶ ἀσωμάτως, τῷ καθ' ἡμᾶς ἐνδιαθέτῳ, καὶ κατὰ διάνοιαν λόγῳ. κἀκεῖνο γὰρ ὁρμή τίς ἐστι τοῦ νοῦ, τῷ ἡμετέρῳ λόγῳ συνδιατεινομένη χρονικῶς, καὶ διαστημάτων δεομένη τῶν αὐτῶν, καὶ ἐξ ἀτελοῦς προϊοῦσα εἰς τελείωσιν. ἐκεῖνο δὲ τὸ Πνεῦμα τοῦ ἀνωτάτω Λόγου, οἷόν τις ἔρως ἐστὶν ἀπόρρητος τοῦ Γεννήτορος πρὸς αὐτὸν τὸν ἀπορρήτως γεννηθέντα Λόγον. ᾧ καὶ αὐτὸς ὁ τοῦ Πατρὸς ὑπέραστος Λόγος καὶ Υἱὸς χρῆται πρὸς τὸν Γεννήτορα· ἀλλ' ὡς ἐκ τοῦ Πατρὸς ἔχων αὐτὸν συμπροελθόντα, καὶ συμφυῶς ἐν αὐτῷ ἀναπαυόμενον. Παρ' οὗ Λόγου διὰ σαρκὸς ὁμιλήσαντος ἡμῖν, καὶ τὸ ὄνομα τῆς διαφόρου παρὰ τοῦ Πατρὸς ὑπάρξεως ἐδιδάχθημεν τοῦ Πνεύματος. καὶ μὴ τοῦ Πατρὸς εἶναι τοῦτο μόνον, ἀλλὰ καὶ αὐτοῦ. τὸ Πνεῦμα γάρ, φησί, τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. ἵν' ἡμεῖς ἐπιγνῶμεν οὐ Λόγον μόνον, ἀλλὰ καὶ Πνεῦμα ἐκ τοῦ Πατρός, οὐ γεννώμενον, ἀλλ' ἐκπορευόμενον· ὂν δὲ τοῦ Υἱοῦ, παρὰ τοῦ Πατρὸς αὐτὸ ἔχοντος, ὡς ἀληθείας, καὶ σοφίας, καὶ λόγου Πνεῦμα. λόγος γὰρ ἡ ἀλήθεια καὶ ἡ σοφία τῷ Γεννήτορι κατάλληλος. ὡς τῷ Πατρὶ ἐπ' αὐτῷ χαίροντι, συγχαίρει. κατὰ τὸ παρ' αὐτοῦ διὰ τοῦ Σολομῶντος εἰρημένον. ἐγὼ ἤμην, ἡ συνέχαιρον αὐτῷ. οὐκ ἔχαιρον εἶπεν, ἀλλὰ συνέχαιρον. αὕτη γὰρ ἡ Πατρός τε καὶ Υἱοῦ προαιώνιος χαρά, τὸ Πνεῦμα τὸ Ἅγιόν ἐστιν, ὡς κοινὸν μὲν αὐτοῖς κατὰ τὴν χρῆσιν· (διὸ καὶ παρ' ἀμφοτέρων καὶ πρὸς τοὺς ἀξίους πέμπεται)· μόνου δὲ τοῦ Πατρὸς καθ' ὕπαρξιν ὑπάρχον. διὸ καὶ παρ' αὐτοῦ μόνου ἐκπορεύεται καθ' ὕπαρξιν.

Τούτου τοῦ ἀνωτάτω ἔρωτος τὴν εἰκόνα, καὶ ὁ κατ' εἰκόνα τοῦ Θεοῦ κτισθεὶς ἡμῶν ἔχει νοῦς, πρὸς τὴν παρ' αὐτοῦ καὶ ἐν αὐτῷ διηνεκῶς ὑπάρχουσαν γνῶσιν. παρ' αὐτοῦ καὶ ἐν αὐτῷ καὶ τοῦτον ὄντα, καὶ συμπροϊόντα παρ' αὐτοῦ τῷ ἐνδοτάτῳ λόγῳ. Καὶ τούτου δεῖγμα ἐναργέστατον, καὶ τοῖς μὴ τὰ ἐνδοτάτω ἑαυτῶν δυναμένοις καθορᾷν, ἡ πρὸς τὸ εἰδέναι τῶν ἀνθρώπων ἀκόρεστος ἔφεσις. ἀλλ' ἐν ἐκείνῳ τῷ ἀρχετύπῳ· ἐν ἐκείνῃ τῇ παντελείῳ καὶ ὑπερτελεῖ ἀγαθότητι, παρ' ᾗ μηδὲν ἀτελὲς· πλὴν τοῦ ἐξ αὐτῆς εἶναι, πάντα ἐστὶν ἀπαραλλάκτως ὁ θεῖος ἔρως ὅσα ἐκείνη. διὸ καὶ Πνεῦμα Ἅγιον. καὶ Παράκλητος ἄλλος, οὗτος ἐστί τε καὶ παρ' ἡμῶν καλεῖται, ὡς τῷ Λόγῳ συμπαρομαρτοῦν· ἵν' ἡμεῖς ἐπιγνῶμεν ὄντα τέλειον, ἐν ὑποστάσει τελείᾳ τε καὶ ἰδίᾳ, κατὰ μηδὲν καὶ αὐτὸν λειπόμενον τῆς τοῦ Πατρὸς οὐσίας· ἀλλ' ἀπαραλλάκτως ὄντα τὸν αὐτὸν τῷ τε Υἱῷ καὶ τῷ Πατρί, εἰ καὶ μὴ καθ' ὑπόστασιν. ἥτις ἐκ τοῦ Θεοῦ θεοπρεπῶς ἐκπορευτῶς εἶναι τοῦτον παρίστησιν ἡμῖν. καὶ σεφθῶμεν ἕνα Θεὸν ἀληθῆ τε καὶ τέλειον, ἐν τρισὶν ὑποστάσεσιν ἀληθιναῖς καὶ τελείαις. οὐ τριπλοῦν· ἄπαγε. ἀλλ' ἁπλοῦν. οὐ γὰρ τριπλῆ τίς ἐστιν ἡ ἀγαθότης, οὐδὲ Τριὰς ἀγαθοτήτων· ἀλλὰ Τριὰς ἁγία καὶ σεβασμία καὶ προσκυνητή, ἡ ἀνωτάτω ἀγαθότης ἐστίν, ἐξ ἑαυτῆς εἰς ἑαυτὴν χεομένη ἀρρεύστως, καὶ ἐφ' ἑαυτῆς ἑστῶσα πρὸ αἰώνων θεοπρεπῶς. ἀόριστός τε οὖσα καὶ παρὰ μόνης ἑαυτῆς ὁριζομένη, καὶ τὰ πάντα ὁρίζουσα, καὶ πάντων ὑπερεκτεινομένη, καὶ μηδὲν τῶν ὄντων ἐκτὸς ἑαυτῆς ἐῶσα. λζʹ.

Ἔχει μὲν οὖν καὶ ἡ τῶν Ἀγγέλων νοερὰ καὶ λογικὴ φύσις νοῦν τε, καὶ λόγον ἐκ τοῦ νοῦ, καὶ πρὸς τὸν λόγον ἔρωτα τοῦ λη′.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νοῦ. ὃς καὶ αὐτός ἐστιν ἐκ τοῦ νοῦ, καὶ συνέστιν ἀεὶ τῷ τε λόγῳ καὶ τῷ νῷ. καὶ πνεῦμα ἂν καλοῖτο, ὡς τῷ λόγῳ φύσει συμπαρομαρτοῦν. ἀλλ' οὐκ ἔχει καὶ ζωοποιὸν τὸ πνεῦμα τοῦτο. οὐδὲ γὰρ τὸ συνημμένον εἴληφεν ἐκ γῆς παρὰ Θεοῦ σῶμα, ἵνα καὶ ζωοποιόν τε καὶ συνεκτικὸν λάβῃ πρὸς τοῦτο δύναμιν. Ἡ δὲ νοερὰ καὶ λογικὴ φύσις τῆς ψυχῆς, ἐπεὶ γηΐνῳ συνεκτίσθη σώματι, καὶ ζωοποιὸν ἔλαβε τὸ πνεῦμα παρὰ τοῦ Θεοῦ. δι' οὗ συνέχει καὶ ζωοποιεῖ τὸ συνημμένον σῶμα· παρ' οὗ καὶ δείκνυται τοῖς συνιοῦσιν, ὅτι νοερός ἐστιν ἔρως τὸ τοῦ ἀνθρώπου πνεῦμα, τὸ τοῦ σώματος ζωοποιόν. ὅπερ ἐκ τοῦ νοῦ ἐστι καὶ τοῦ λόγου ἐστί. καὶ ἐν τῷ λόγῳ καὶ τῷ νῷ ἐστι. καὶ ἐν αὑτῷ ἔχει τόν τε λόγον καὶ τὸν νοῦν. τοσοῦτον γὰρ ἐρασμίαν ἔχει δι' αὐτοῦ φυσικῶς τὴν πρὸς τὸ οἰκεῖον σῶμα ἡ ψυχὴ συνάφειαν, ὡς μηδέποτ' ἀπολιπεῖν τοῦτο ἐθέλειν, μηδ' ἀπολείπειν ὅλως, μὴ βίας ἐπενεχθείσης ἐκ νόσου δή τινος μεγίστης, ἢ πληγῆς ἔξωθεν.

λθ'. Ἡ νοερὰ καὶ λογικὴ φύσις τῆς ψυχῆς, μόνη νοῦν ἔχουσα καὶ λόγον, καὶ πνεῦμα ζωοποιόν· μόνη καὶ τῶν ἀσωμάτων Ἀγγέλων μᾶλλον, κατ' εἰκόνα τοῦ Θεοῦ παρ' αὐτοῦ δεδημιούργηται. καὶ τοῦτ' ἔχει ἀμετάπτωτον, κἂν μὴ ἐπιγνῷ τὴν ἑαυτῆς ἀξίαν, καὶ τοῦ κτίσαντος κατ' εἰκόνα οἰκείαν, ἀξίως φρονῇ τε καὶ πολιτεύηται. Ταῦτ' ἄρα καὶ μετὰ τὴν προγονικὴν ἐκείνην ἐν τῷ Παραδείσῳ διὰ τοῦ ξύλου παράβασιν, καὶ πρὸ τοῦ σωματικοῦ τὸν τῆς ψυχῆς ἡμεῖς ὑποστάντες θάνατον, ὅς ἐστιν ὁ ἀπὸ τοῦ Θεοῦ ταύτης χωρισμός, τὸ καθ' ὁμοίωσιν εἶναι θεῖον ἀποβαλόντες, τὸ κατ' εἰκόνα οὐκ ἀπωλέσαμεν. ἀποστέργουσα μὲν οὖν ἡ ψυχὴ τὴν πρὸς τὰ χείρω σχέσιν, καὶ προσκολλωμένη δι' ἀγάπης τῷ κρείττονι, καὶ ὑποταττομένη τούτῳ διὰ τῶν ἔργων καὶ τῶν τρόπων τῆς ἀρετῆς, φωτίζεται παρ' αὐτοῦ καὶ καλλωπίζεται βελτιουμένη, καὶ πειθομένη ταῖς ἐκείνου βουλαῖς καὶ παραινέσεσι, παρ' ὧν καὶ τὴν ὄντως ζωὴν τὴν αἰώνιον ὑπολαμβάνει. δι' αὐτῆς καὶ τὸ συνημμένον ἀπαθανατίζει σῶμα τῆς ἐπηγγελμένης ἀναστάσεως κατὰ καιρὸν τυχόν, καὶ δόξης ἀϊδίου μεταχεῖν. μὴ ὑποποιουμένη δὲ τὴν πρὸς τὰ χείρω σχέσιν καὶ ὑπόπτωσιν, παρ' ἧς αἶσχος ἀτιμοποιὸν ἐμποιεῖ τῇ τοῦ Θεοῦ εἰκόνι, ἀλλοτριοῦται καὶ ἀποικίζεται Θεοῦ τῆς ὄντως μακαρίας καὶ ἀληθινῆς ζωῆς, ὡς ἐγκαταλιποῦσα τοῦτον αὐτὴ πρότερον, ἐγκαταλιμπανομένη δικαίως παρὰ τοῦ κρείττονος.

μ'. Ἡ μετὰ τὴν ἀνωτάτω Τριάδα τριαδικὴ φύσις, ὡς παρ' ἐκείνης εἰκόνα ἐκείνης πεποιημένη μᾶλλον τῶν ἄλλων, νοερά τε καὶ λογική τε καὶ πνευματική. (τοιαύτη δ' ἐστὶν ἡ ἀνθρωπίνη ψυχή) φυλάττειν ὀφείλει τὴν ἑαυτῆς τάξιν, καὶ μετὰ Θεὸν εἶναι μόνον, καὶ τούτῳ ὑπεζεῦχθαι μόνῳ, καὶ ὑπείκειν καὶ πείθεσθαι, καὶ πρὸς αὐτὸν ὁρᾶν μόνον, καὶ κοσμεῖν ἑαυτὴν τῇ διηνεκεῖ τούτου μνήμῃ καὶ θεωρίᾳ, καὶ τῇ θερμοτάτῃ πρὸς αὐτὸν καὶ διαπύρῳ ἀγάπῃ· δι' ὧν θαυμαστῶς πρὸς ἑαυτὴν ἐπισπᾶται, μᾶλλον δὲ, ἐπεφάνη ὅτε, τὴν τῆς φύσεως ἐκείνης μυστικὴν καὶ ἀπόρρητον αἴγλην, καὶ τηνικαῦτα τὸ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν ἔχει ὡς ἀληθῶς. ἐπίχαρις, καὶ σοφή, καὶ θεία διὰ ταύτης ἐκτελουμένη. διδάσκεται γὰρ δι' αὐτῆς ἡ παρούσης ἐμφανοῦς, ἢ ἐγγιζούσης ἀφανῶς, ὡς ἔτι μᾶλλον νῦν, τὸν μὲν Θεὸν, ὑπὲρ ἑαυτὴν, τὸν δὲ πλησίον, ὡς ἑαυτὴν ἀγαπᾶν. κἀντεῦθεν καὶ τὴν ἑαυτῆς ἀξίαν τε καὶ τάξιν εἰδέναι καὶ συντηρεῖν, καὶ ἑαυτὴν ὡς ἀληθῶς ἀγαπᾶν. ὁ γὰρ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν, καὶ τὸ κατ' εἰκόνα εἶναι τοῦ Θεοῦ διασπῶν τε καὶ ἀχρειῶν παραπλήσια ὑφίσταται πάθη, τοῖς ὑπὸ μανίας ἐν

τε πα-

ἀνεπαισθήτως τὰς ἑαυτῶν ἐλεεινῶς διασπαράττουσι σάρκας. ἀνεπαισθήτως γὰρ καὶ αὐτὸς λυμαίνεται καὶ ἀθλιώτατα διασπαράττει τὴν ἔμφυτον ἑαυτοῦ καλλονήν. διαρρήσσων ἀφρόνως τὸν ὑπὸ τῆς ἀγάπης ἔνδον συμπληρούμενον τελεσιουργὸν καὶ ὑπερκόσμιον κόσμον τῆς ἰδίας ψυχῆς. τί γὰρ ἀδικώτερον; τί δὲ ὀλεθριώτερον, τὸ τὸν κτίσαντα καὶ κοσμήσαντα κατ' εἰκόνα οἰκείαν, καὶ διὰ τοῦτο παρασχόντα τῆς γνώσεως καὶ τῆς ἀγάπης τὴν δύναμιν, καὶ τοῖς ταύτῃ καλῶς χρωμένοις προσεπιδαψιλευόμενον τὰς ἀπορρήτους δωρεάς, καὶ ζωὴν τὴν αἰώνιον, μὴ μεμνῆσθαι, καὶ καθορᾶν διηνεκῶς ἐθέλειν, καὶ ἀγαπᾶν;

μα΄. Εἰ τῶν τῆς ψυχῆς τῆς καθ' ἡμᾶς χειρόνων, καὶ μᾶλλον, καὶ πάνυ μᾶλλον τῶν ἄλλων χεῖρον, ὁ νοητὸς καὶ ἀρχέκακός ἐστιν ὄφις. ἄγγελος γὰρ ὢν τῆς καθ' ἑαυτὸν πονηρίας, ἐκ τῆς πρὸς ἀνθρώπους πονηρᾶς ὑποθήκης γενόμενος, τοσούτῳ κατώτερός τε καὶ χείρων ἁπάντων, ὅσον ἐπεθύμησεν ὑπερηφάνως ἐξομοιωθῆναι κατ' ἐξουσίαν τῷ κτίσαντι. παρ' οὗ τοσοῦτον ἐγκατελείφθη δικαίως, ὁπόσον αὐτὸς φθάσας αὐτὸν ἐγκατέλιπε. τοσοῦτον δὲ ἐγκατέλιπεν, ὡς ἀντίθετος ἐκείνῳ καὶ ἀντικείμενος, καὶ φανερῶς ὑπεναντίος τελέσαι. Εἰ οὖν ἐκεῖνος ἀγαθότης ζῶσα, καὶ τῶν ζώντων ζωοποιός· αὐτόχρημα κακία οὗτός ἐστι νεκρὰ καὶ νεκροποιός. ἐκεῖνος μὲν γὰρ οὐσίαν ἔχων τὴν ἀγαθότητα, καὶ τοῦ ἐναντίου, δηλαδὴ τῆς κακίας, φύσις ἀνεπίδεκτος ὤν, ἅτε μηδ' ἐγγίζειν δέον αὐτῷ τοὺς κακίας μετόχους ἡστινοσοῦν· πόσῳ μᾶλλον τὸν δημιουργὸν καὶ ἀρχηγὸν τῆς κακίας καὶ τοῖς ἄλλοις αἴτιον, τοῦτον ὡς πορρωτάτω ἑαυτοῦ ἀπωθεῖται. Ὁ δὲ πονηρός, οὐ πονηρίαν, ἀλλὰ ζωὴν ἔχων τὴν οὐσίαν, διὸ καὶ ἀθάνατος διαμένει κατ' αὐτήν· δεκτικὴν μέντοι ταύτην καὶ κακίαν ἔχων, καὶ αὐτεξουσιότητι τετιμημένος· οὐκ οἴκοθεν ὑποκτώμενος καὶ κολλώμενος τῇ ἀενάῳ τῆς ἀγαθότητος πηγῇ, μέτοχος ἦν τῆς ὄντως ζωῆς. Ἐπεὶ δὲ πρὸς τὴν κακίαν ἑκὼν οὗτος ἀπηυτομόλησε, στερεῖται τῆς ὄντως ζωῆς, ἀπωσθεὶς ταύτης δικαίως, ἧς ἀπέδρα φθάσας αὐτός· καὶ νεκρὸν γίνεται πνεῦμα, οὐ κατ' οὐσίαν. (οὐ γάρ ἐστιν οὐσία νεκρότητος). ἀλλὰ κατὰ ἀποβολὴν τῆς ὄντως ζωῆς. Ὁ δὲ κόρον μὴ λαμβάνων τῆς πρὸς κακίαν ὁρμῆς, καὶ προστιθεὶς ἀθλιώτατα, νεκροποιὸν ἑαυτὸν ποιεῖ πνεῦμα, σπεῦδον ἐπισπᾶν καὶ τὸν ἄνθρωπον πρὸς κοινωνίαν τῆς οἰκείας νεκρώσεως.

μβ΄. Ὡς σκολιὸς τοὺς τρόπους, καὶ πολὺς ἐν δόλοις, ὁ τῆς νεκρώσεως μεσίτης καὶ πρόξενος, τὸν σκολιὸν ὑποδύεται ὄφιν ἐν τῷ τοῦ Θεοῦ Παραδείσῳ ποτέ· οὐκ ὄφις αὐτὸς γεγονώς· (οὐδὲ γὰρ δύναται, ὅτι μὴ κατὰ φαντασίαν, ἢ, διὸ οὐκ ἔγνω τηνικαῦτα χρήσασθαι, μὴ φωραθείη δεδιώς.) ἀλλὰ μὴ θαρρῶν τὴν φανερὰν ὁμιλίαν, προκρίνει τὴν δολερὰν· καὶ ταύτην, καθ' ἣν μᾶλλον ἐθάρρει λαθεῖν. ἵν' ὡς φίλος ὁρώμενος, τὰ τῶν ἐχθίστων ἀφανῶς εἰσηγήσηται, καὶ τῷ ἐξαισίῳ τῆς προσλαλιᾶς (οὐδὲ γὰρ ἦν λογικὸς ὁ αἰσθητὸς ὄφις. οὐδ' ἐφαίνετο δύνασθαι φωνὴν ἀφιέναι πρότερον) ἐκστήσῃ, καὶ πρὸς ἑαυτὸν ὅλην ἐπισπάσηται, καὶ ταῖς μηχαναῖς διαχείρωτον ποιήσηται τὴν ἀκούσασαν. ἵνα γυμνάσῃ ταύτην εὐθύς, ἐντεῦθεν τοῖς χείροσιν ὑποτάσσεσθαι, καὶ δουλεύειν ἐκείνοις, ὧν βασιλεύειν ἀξίως ἔλαχεν, ὡς μόνη τῶν κατ' αἴσθησιν ζώντων, χειρὶ Θεοῦ καὶ λόγῳ τετιμημένη, καὶ κατ' εἰκόνα γενομένη τοῦ κτίσαντος. ἐνδίδωσι δὲ ὁ Θεός, ἵν' ἴδῃ ὁ ἄνθρωπος προσαγομένην τὴν συμβουλὴν ἐκ τοῦ χείρονος (πόσον γὰρ χείρων ὁ ὄφις ἀνθρώπου;) καὶ πόσῳ σαφῶς σιωπῇ μηδαμῶς οὖσαν λυσιτελῆ, καὶ ἀνα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ξιοπαθήσῃ τὴν πρὸς τὸ φανερῶς χεῖρον ὑποταγὴν, καὶ φυλάξῃ πρὸς τὸν κτίσαντα πίστιν, τὴν ἐκείνου τηρῶν ἐντολήν. καὶ νικητὴς ῥαδίως τελέσῃ τοῦ ἐκπεσόντος τῆς ὄντως ζωῆς, καὶ λάβῃ δικαίως τὴν μακαρίαν ἀθανασίαν, καὶ διαμένῃ ζῶν ἔνθεος εἰς τοὺς αἰῶνας.

μγ΄. Οὐδὲν ἀνθρώπου κρεῖττον, ὥστε βουλεύσασθαι καὶ γνώμην εἰσενεγκεῖν, καὶ δι' αὐτῆς γνῶναι καὶ ποιήσασθαι τὸ συνοῖσον· μόνον εἰ φυλάττει τὴν ἑαυτοῦ τάξιν, καὶ γινώσκει ἑαυτὸν, καὶ τὸν μόνον ἑαυτοῦ κρείττω. καὶ ποιοίη μὲν, ἃ παρ' ἐκείνου μάθοι τοῦ κρείττονος, εἰς ἃ δὲ μὴ παρ' ἐκείνου μάθοι, σύμβουλον ἐκεῖνον μόνον συμπαραλαμβάνοι βουλεύων. καὶ οἱ Ἄγγελοι γὰρ, εἰ καὶ ὑπὲρ ἡμᾶς εἰσι τὴν ἀξίαν, ἀλλ' ὑπηρετοῦνται καὶ ἔτι τοῖς ὑπὲρ ἡμῶν ἐκείνου βουλεύμασιν, ἀποστελλόμενοι διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. μᾶλλον δὲ οὐ πάντες, ἀλλὰ κἀκεῖνοι οἱ ἀγαθοὶ καὶ φυλάξαντες τὴν ἑαυτῶν τάξιν. ἔχουσι γὰρ κἀκεῖνοι παρὰ Θεοῦ νοῦν, λόγον, καὶ πνεῦμα, συμφυῆ τὰ τρία ταῦτα. καὶ τῷ δημιουργῷ Νῷ, καὶ Λόγῳ, καὶ Πνεύματι, καθ' ἡμᾶς ὀφείλουσι πείθεσθαι. καὶ πλεονεκτοῦσι μὲν ἡμῶν ἐν πολλοῖς, ἔστι δὲ, ἐφ' ὧν ἡμῶν ὑποδέουσιν, ὡς ἔφημέν γε καὶ λέξομεν, πρὸς τὸ πλεῖν κατ' εἰκόνα τοῦ κτίσαντος· δι' ἃ καὶ μᾶλλον ἐκείνων ἡμεῖς κατ' εἰκόνα Θεοῦ γεγόναμεν.

μδ΄. Ὑπηρετεῖν ᾑρετισμένων δουλικῶς τῶν Ἀγγέλων τῷ Κτίσαντι, καὶ μόνον ἄρχεσθαι κληρωσαμένων. ἄρχειν δὲ τῶν μετ' αὐτοὺς ἐπιταχθέντων, εἰ μὴ ἄρα πεμφθεῖεν εἰς τοῦτο παρὰ τοῦ κρατοῦντος τῶν ὅλων· ὁ σατᾶν ἄρχειν ἐπεθύμησεν ὑπερηφάνως παρὰ γνώμην τοῦ κτίσαντος· καὶ τὴν ἑαυτοῦ τάξιν μετὰ τῶν συναποστατῶν Ἀγγέλων ἀπολιπὼν, ἐγκαταλιμπάνεται δικαίως παρὰ τῆς ὄντως ζωτικῆς καὶ φωτιστικῆς πηγῆς. καὶ θάνατον ἐνδύεται, καὶ ζόφον αἰώνιον. Ἐπεὶ δὲ ὁ ἄνθρωπος, οὐκ ἄρχεσθαι μόνον, ἀλλὰ καὶ ἄρχειν τέτακται τῶν ἐπὶ γῆς ἁπάντων· βασκάνοις ὄμμασι τοῦτον προσιδὼν ὁ ἀρχέκακος, πάσῃ μηχανῇ χρῆται, τοῦτον τῆς ἀρχῆς καθελεῖν. βίᾳ δὲ οὐκ ἔχων, ἅτε κωλυόμενος παρὰ τοῦ πάντων Κρατοῦντος, ὃς τὴν λογικὴν φύσιν ἐδημιούργησεν ἐλευθέραν τε καὶ αὐτεξούσιον· σὺν δόλῳ προσάγει τὴν καθαιρήσουσαν τῆς ἀρχῆς συμβουλήν. καὶ κλέπτει, μᾶλλον δὲ πείθει τοὺς ἀνθρώπους περιιδεῖν μὲν καὶ παρ' οὐδὲν θέσθαι καὶ ἀθετῆσαι, μᾶλλον δὲ καὶ ἀντιτάξασθαι, καὶ τἀναντία πρᾶξαι τῆς παρὰ τοῦ κρείττονος δεδομένης ἐντολῆς τε καὶ συμβουλῆς, καὶ ὡς κοινωνήσαντας τῆς ἀποστασίας, κοινωνῆσαι καὶ τοῦ καθ' ἑαυτὸν αἰωνίου ζόφου, καὶ τῆς νεκρώσεως.

Ὅτι δὲ καὶ ἡ λογικὴ ψυχὴ ἔστιν ὡς νεκροῦται, καίτοι ζωὴν ἔχουσα τὸ εἶναι, Παῦλος ὁ μέγας ἡμᾶς ἐδίδαξε γράφων. ἡ σπαταλῶσα χήρα ζῶσα τέθνηκεν. εἰρῆσθαι μὲν οὖν ἐκείνῳ τοῦτο καὶ περὶ τοῦ προκειμένου νῦν τῆς λογικῆς δηλονότι ψυχῆς, οὐ χεῖρον ἂν εἰπεῖν εἴη. ἡ γὰρ ἐστερημένη τοῦ πνευματικοῦ νυμφίου ψυχὴ, εἰ μὴ συνεσταλμένη καὶ πενθοῦσα εἴη, καὶ τὸν στενὸν καὶ τεθλιμμένον βίον τῆς μετανοίας ἀνύουσα, ἀλλὰ διαχεομένη, καὶ ταῖς ἡδοναῖς ἑαυτὴν ἐφιεῖσα καὶ σπαταλῶσα· ζῶσα (καὶ γὰρ κατ' οὐσίαν ἐστὶν ἀθάνατος) τέθνηκε· καὶ γὰρ ἐστι δεκτικὴ θανάτου τοῦ χείρονος, ὥσπερ καὶ ζωῆς τῆς ἀμείνονος. Εἰ δὲ καὶ χήραν λέγοι τὴν ἐστερημένην τοῦ σωματικοῦ νυμφίου, σπαταλῶσα καὶ ζῶσα κατὰ σῶμα, πάντως τέθνηκε, φησὶ, κατὰ ψυχήν. Ἐπεὶ καὶ ἀλλαχοῦ φησὶν ὁ αὐτός· ὅτι νεκροὺς ἡμᾶς ὄντας τοῖς παραπτώμασι, συνεζωοποίησε τῷ Χριστῷ. Τί δὲ ὁ εἰπὼν, ἔστιν ἁμαρτία πρὸς θάνατον; ἀλλὰ καὶ ὁ Κύριος, ἀφεῖναί τινι προστάξας τοὺς νεκροὺς θάπτειν τοὺς νε- με΄.



Athos Library Αγιορειτική Βιβλιοθήκη

κρούς, τοὺς ἐνταφιαστὰς ἐκείνους καὶ σῶμα ζῶντας, νεκροὺς πάντως καὶ ψυχὴν ἀποφῆναι,

μϛ'. Ἐκστήσαντες ἑκόντες ἑαυτοὺς οἱ τοῦ γένους προπάτορες τῆς τοῦ Θεοῦ μνήμης καὶ θεωρίας, καὶ τῆς ἐκεῖθεν ἐντολῆς ἀλογήσαντες, καὶ τῷ νεκρῷ τοῦ σατὰν ὁμογνωμονήσαντες πνεύματι, καὶ τοῦ ἀπηγορευμένου ξύλου φαγόντες παρὰ γνώμην τοῦ κτίσαντος, γυμνωθέντες τῶν ἐκ τῆς ἄνωθεν αἴγλης φωτεινῶν καὶ ζωτικῶν ἐνδυμάτων, νεκροί, φεῦ, ὡς ὁ σατάν, καὶ αὐτοὶ κατὰ πνεῦμα γεγόνασιν. Ἐπεὶ δὲ ὁ Σατάν, οὐ νεκρόν ἐστι πνεῦμα μόνον, ἀλλὰ καὶ νεκροῖ τοὺς ἐγγίζοντας, τοῖς δὲ μετασχοῦσι τῆς ἐκείνου νεκρώσεως καὶ σῶμα παρῆν, δι' οὗ καὶ συνεπεράνθη πρὸς ἔργον ἐλθοῦσα ἡ νεκροποιὸς συμβουλή, μεταδεδώκασι, φεῦ, καὶ τοῖς οἰκείοις σώμασι, τὰ νεκρὰ καὶ νεκροποιὰ ἐκεῖνα πνεύματα τῆς νεκρώσεως. κἂν διελύθη παραυτίκα πρὸς γῆν ἐπιστρέψαν ὅθεν ἐλήφθη τὸ ἀνθρώπινον σῶμα· εἰ μὴ προμηθείᾳ, καὶ δυνάμει συνεχόμενον κρείττονι, τὴν ἀπόφασιν ἐκαρτέρει τοῦ ῥήματι μόνῳ τὰ πάντα φέροντος· ἧς χωρὶς οὐδὲν ἐκτελεῖται τῶν τελουμένων. ἐκφέρεται δ' ἐκείνη σὺν δίκῃ πάντοτε. δίκαιος γὰρ ὁ Κύριος, κατὰ τὸν θεῖον ψαλμῳδὸν εἰπεῖν, καὶ δικαιοσύνας ἠγάπησεν.

μζ'. Ὁ Θεὸς θάνατον οὐκ ἐποίησε, κατὰ τὸ γεγραμμένον· ἀλλὰ καὶ γενέσθαι τοῦτον ἐκώλυσεν, ἐφ' ὅσον ἐχρῆν, καὶ μετὰ δικαιοσύνης ἐξῆν κωλύειν τοὺς αὐτεξουσίους παρ' αὐτοῦ γεγονότας. προενήνεγκε γὰρ βουλὴν ἀπαθανατίζουσαν, καὶ προασφαλιζόμενος ἄγαν, τὴν ζωοποιὸν συμβουλήν, οἰκείαν ἐποίησεν ἐντολήν. καὶ προηγόρευσε φανερῶς καὶ ἠπείλησε, θάνατον εἶναι διατεινάμενος τῆς ζωούσης ἐντολῆς τὴν ἀθέτησιν· ὡς ἄν, ἢ πόθῳ, ἢ γνώσει, ἢ φόβῳ τὴν τοῦ θανάτου πεῖραν φυλάξωνται. τὸ γὰρ ἑκάστου τῶν κτισμάτων συμφέρον ὁ Θεὸς φιλεῖ, καὶ γινώσκει, καὶ δύναται. εἰ μὲν οὖν ἐγίνωσκε μόνον, οὐκ ἐφίλει δέ, τάχ' ἂν αὐτοῦ ἔργων ἀτέλεστον ἔμεινε τὸ καλῶς γνωσκόμενον. οὐδ' ἀγαπῶν οὐκ ἐγίνωσκεν, ἢ οὐκ ἐδύνατο, τάχ' ἂν καὶ μὴ τοῦτο ἑκόντος ἀφανὲς τὸ παρ' αὐτοῦ ποθούμενόν τε καὶ γινωσκόμενον, ἀτέλεστον διετέλεσεν. ἐπεὶ δὲ τὸ συμφέρον ἡμῖν μάλιστα καὶ φιλεῖ, καὶ γινώσκει, καὶ δύναται, ὅ,τι ποτ' αὖ μὲν ἡμῖν κἂν ἀκουσίως ἐπέρχηται παρ' ἐκείνου, καὶ συμφερόντως πάντως ἡμῖν ἐπέρχεται. πρὸς ὃ δ' αὖ ἡμεῖς ἑκουσίως αὐτομολήσωμεν, ὡς αὐτεξουσίου τυχόντες φύσεως, πολὺ τὸ δέος, μὴ ἀσύμφορον εἴη. ὅταν δὲ καὶ τοῦ Θεοῦ προμηθουμένου, φανερῶς τι τῶν ἁπάντων ἀπαγορευθείη, ὡς ἐν Παραδείσῳ. κἂν τῷ Εὐαγγελίῳ τοῦ Κυρίου δι' ἑαυτοῦ. ὡς ἐν τοῖς τοῦ Ἰσραὴλ ἐκγόνοις διὰ τῶν προφητῶν. ὡς τοῖς τῆς χάριτος υἱοῖς διὰ τῶν Ἀποστόλων αὐτοῦ, καὶ τῶν αὐτῶν διαδόχων· φανερῶς ἀλυσιτελέστατόν ἐστι καὶ ὀλεθριώτατον, οἴκοθεν ἐκεῖνο ποθεῖν, καὶ πρὸς ἐκεῖνο σπεύδειν, κἄν τις τοῦθ' ἡμῖν προτείνῃ, καὶ πρὸς τοῦτο σπεύδειν ἐνάγῃ, λόγοις πείθων, ἢ προσφιλεῖ θέλγων σχήματι, φανερῶς οὗτος ὑπεναντίος ἡμῶν ἐστι τῇ ζωῇ καὶ πολέμιος.

Ἔδει τοίνυν, ἢ πόθῳ, τοῦ ζῆν ποθοῦντας ἡμᾶς. (τί γὰρ καὶ ζῶντας ἔκτισεν, εἰ μὴ τοῦτ' ἐφίλει διαφερόντως;) ἢ τῷ γινώσκειν μᾶλλον ἡμῶν εἰδέναι τὸ μη'.
συμφέρον ἡμῶν ἐκεῖνον. (πῶς γὰρ οὐκ ἀσυγκρίτως μᾶλλον ὁ παρασχὼν ἡμῖν τὴν γνῶσιν καὶ τῶν γνώσεων Κύριος;) ἢ φοβηθέντας αὐτοῦ τὸ παντοδύναμον κράτος, μὴ κλαπῆναι· μὴ θελχθῆναι· μὴ πεισθῆναι τηνικαῦτα, τὴν ἐντολὴν ἐκείνου καὶ συμβουλὴν ἀθετῆσαι. καθάπερ οὐδὲ νῦν, τὰς μετ' ἐκείνην ἡμῖν δεδομένας σωτηρίους ἐντολάς τε, καὶ συμβουλάς. ἐπεὶ δ' ὥσπερ νῦν, οἱ μὴ πρὸς τὴν ἁμαρ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τίαν ἀντικαθίστασθαι γενναίως αἱρούμενοι, παρ' οὐδὲν τὰς θείας ἐντολὰς τιθέμενοι, τὴν ἐναντίαν χωροῦσι· ταυτὸν δ' εἰπεῖν, τὴν πρὸς τὸν ἔνδον καὶ αἰώνιον θάνατον, ἂν μὴ μετανοίᾳ τὴν ἑαυτῶν ψυχὴν ἀνακτήσωνται. τὸν αὐτὸν τρόπον καὶ ἡ ξυνωρὶς ἐκείνη τῶν προπατόρων, οὐκ ἀντιστάντες τοῖς ἀπειθῆσαι πείθουσι, τὴν ἐντολὴν παρεῖδον, εἰς ἔργον εὐθὺς ἐξέβη τοῦ σὺν δίκῃ κρίνοντος ἡ προκαταπεφωνημένη πρὸς αὐτοὺς ἀπόφασις, καὶ κατ' ἐκείνην εὐθὺς ἀπὸ τοῦ ξύλου φαγόντες ἔθανον· καὶ συνῆκαν ἔργῳ, τίς, ἧς ἐπελάθοντο, πρὸς αὐτοὺς ἐντολὴ τῆς ἀληθείας, καὶ τῆς ἀγάπης, καὶ τῆς σοφίας, καὶ τῆς δυνάμεως· καὶ ὑπ' αἰσχύνης ἔκρυπτον ἑαυτοὺς γυμνωθέντες τῆς δόξης, ἣ ζωοποιεῖ κρειττόνως καὶ τὰ ἀθάνατα πνεύματα. ἧς χωρὶς, ἡ τῶν πνευμάτων ζωὴ, μακρῷ πολλῶν θανάτων χείρων ἐστὶ καὶ πιστεύεται.

μθ'. Ὅτι μήπω λυσιτελὲς ἦν ἀπ' ἐκείνου τοῦ ξύλου φαγεῖν τοὺς προπάτορας, δεικνῦσιν ὁ λέγων. „Θεωρία γὰρ ἦν τὸ „φυτὸν, ὡς ἡ ἐμὴ θεωρία· ἧς μόνοις „ἐπιβαίνειν ἀσφαλὲς τοῖς τὴν ἕξιν „τελεωτέροις· οὐ καλὸν δὲ τοῖς ἁπλου„στέροις ἔτι, καὶ τὴν ἔφεσιν λιχνοτέροις· „ὥσπερ οὐδὲ τροφὴ τελεία λυσιτελὴς τοῖς „ἁπαλοῖς ἔτι καὶ δεομένοις γάλακτος. ἀλλ' εἰ καὶ μὴ πρὸς θεωρίαν ἀναγωγικῶς τις ἐθέλει μεταφέρειν ἐκεῖνο τὸ ξύλον, καὶ τὴν ἀπ' ἐκείνου τροφὴν, οὐ λίαν δυσχερὲς, ὡς ἐγᾦμαι, συνιδεῖν, ὡς μήπω λυσιτελὴς ὑπῆρχεν ἔτ' οὖσιν ἀτελέσιν ἐκείνοις αὕτη· δοκεῖ γάρ μοι κατ' αἴσθησιν προσιδεῖν τε, καὶ φαγεῖν ἐκεῖθεν, τῶν ἐν τῷ Παραδείσῳ δένδρων * τελεῖν ἐκεῖνο τὸ ἥδιστον. ἡ δὲ κατ' αἴσθησιν ἡδίστη τροφὴ, οὐ τῶν ὄντως ἐστὶ καὶ πάντη καλῶν, οὐδὲ τῶν ἀεὶ καλῶν. οὐδὲ τῶν πρὸς πάντας καλῶν· ἀλλὰ τοῖς μὲν οὕτω χρῆσθαι ταύτῃ δυναμένοις ὡς μὴ ἡττᾶσθαι· καὶ ὁπηνίκα δεῖ· καὶ ἐφ' ὅσον δεῖ· καὶ πρὸς τὴν δόξαν τοῦ πεποιηκότος, καλόν. τοῖς δὲ μὴ οὕτω χρῆσθαι ταύτῃ δυναμένοις, οὐκ ἀγαθόν. διὰ τοῦτ' οἶμαι καὶ γνωστὸν ἐκλήθη καλοῦ τε καὶ πονηροῦ τὸ δένδρον ἐκεῖνο, τελείων γάρ ἐστι κατ' ἕξιν θείας θεωρίας καὶ ἀρετῆς, προσομιλεῖν τοῖς ἡδίστοις κατ' αἴσθησιν, καὶ τὸν νοῦν μὴ ἀπάγειν τῆς πρὸς Θεὸν θεωρίας, καὶ τῶν πρὸς ἐκεῖνον ὕμνων καὶ προσευχῶν· ἀλλὰ ταῦθ' ὕλην ποιεῖσθαι καὶ ἀφορμὴν τῆς πρὸς Θεὸν ἀνατάσεως, καὶ τῆς κατ' αἴσθησιν ἡδονῆς εἰς τέλος κρατεῖν διὰ τῆς νοερᾶς ἐπὶ τὰ κρείττω κινήσεως· κἂν ἀήθης ᾖ καὶ μεγάλη, καὶ σφοδροτάτη μᾶλλον ἔτι διὰ τὸ ἄηθες, μὴ κενοῦν τὸ τῆς ψυχῆς λογιζόμενον πρὸς τὸ κακὸν ὃν ἐκεῖνο τηνικαῦτα, καὶ ἀγαθὸν νομιζόμενον τῷ κατάκραν ἁλόντι τέως καὶ ἡττηθέντι.

Συνετέλει τοιγαροῦν τοῖς προπάτορσιν, οἷς ἔδει κατὰ τὸ ἱερὸν ἐκεῖνο χωρίον διαιτωμένοις, μηδαμῶς ἐπιλελῆσθαι Θεοῦ· ἐγγυμνασθῆναι μᾶλλον ἔτι, καὶ οἷον ἐμπαιδοτριβηθῆναι τοῖς ἁπλῶς καὶ ὄντως καλοῖς, καὶ τὴν θεωρητικὴν ἕξιν ἐκτελεσθῆναι· ἀλλὰ μὴ ἀτελέσιν ἔτ' οὖσι, * τοῖς μέσως ἔχουσι καὶ πρὸς τὴν τῶν χρωμένων ἰσχὺν πρός γε τὸ καλὸν, ἢ τοὐναντίον ῥαδίως μεταγομένοις, εἰς πεῖραν ἰέναι· καὶ ταῦτα τοῖς λίαν κατασπᾶν πεφυκόσι, καὶ ταῖς αἰσθήσεσι συνεπικρατοῦσι, καὶ κατασπῶσι τὸν νοῦν ὅλον, καὶ χώραν διδοῦσι ταῖς πονηραῖς πράξεσι, καὶ πιθανὸν δεικνῦσι τὸν ἀρχηγὸν καὶ δημιουργὸν τῶν τοιούτων παθῶν. ὧν ἀρχὴ μετ' ἐκεῖνον ἡ ἐμπαθὴς τῶν ἡδίστων ἐδωδίμων τροφή. εἰ γὰρ ἡ θέα μόνον τοῦ ξύλου ἐκείνου κατὰ τὴν ἱστορίαν, εὐπαράδεκτον τὸν ὄφιν εἰργάσατο, καὶ ἀξιόπιστον σύμβουλον, πόσῳ μᾶλλον ἡ γεῦσις κἂν τοῖς ἑξῆς; εἰ δ' ἡ γεῦσις, πόσῳ μᾶλλον ἡ μετὰ πλησμονῆς ἐδωδή; ἆρ' οὖν σαφὲς ὡς μήπω λυσιτελὲς ἦν, καὶ κατ' αἴσθησιν ἀπ' ἐκεί- ν'.

* δηλ. ἕνεκα τοῦ εἶναι

* ἡ δοτικὴ ἀντὶ γενικῆς εἴληπται ἀντιπτωτικῶς

τὸ φαγεῖν τοὺς προπάτορας; οὐκ ἄξιον μὴ κατὰ καιρὸν φαγόντας ἐκεῖθεν, ἐκβεβλῆσθαι τοῦ τοῦ Θεοῦ Παραδείσου· ἵνα μὴ βουλευτήριον τῆς κακίας καὶ ἐργαστήριον τὸν θεῖον ἐκεῖνον χῶρον ποιήσωνται; ἆρ᾽ οὐχὶ καὶ τοῦ σώματος ἔδει τὸν θάνατον ὑποστῆναι παραυτὰ τηνικαῦτα τοὺς παραβάντας; ἀλλ᾽ ἐμακροθύμησεν ὁ δεσπότης.

ια΄. Ἡ μὲν τοῦ κατὰ ψυχὴν θανάτου ἀπόφασις, ἣν εἰς ἔργον ἤγαγεν ἡμῖν ἡ παράβασις κατὰ δικαιοσύνην τοῦ κτίσαντος. ἐγκαταλιπόντας γὰρ κατέλιπεν, ὡς αὐτοβούλους γεγονότας μὴ βιασάμενος. ἡ μὲν οὖν ἀπόφασις ἐκείνη προκαταπέφανται παρὰ τοῦ Θεοῦ φιλανθρώπως, καθ᾽ ἃς αἰτίας εἰρήκαμεν. ἀνέσχε δὲ καὶ ὑπερέθετο τὴν ἀπόφασιν τοῦ κατὰ σῶμα θανάτου πρότερον. καὶ ἡνίκα ταύτην ἐξήνεγκε βάθει σοφίας καὶ φιλανθρωπίας ὑπερβολῇ, πρὸς τὸ μέλλον τὴν εἰς ἔργον ἔκβασιν ταύτης ἐταμιεύσατο, μὴ πρὸς τὸν Ἀδὰμ εἰπών· ἐπιστράφηθι ὅθεν ἐλήφθης· ἀλλὰ γῆ εἶ, καὶ εἰς γῆν ἀποστρέψεις. ἔνι δὲ τοῖς συνετῶς ἀκούουσι κἀκ τῶν τοιούτων λόγων ἰδεῖν, ὡς ὁ Θεός, οὐ ψυχῆς, οὐ σώματος ἐποίησε θάνατον. οὔτε γὰρ πρότερον εἶπε προστάττων, θάνετε, ᾗ ἂν ἡμέρᾳ φάγητε. ἀλλ᾽ ἀποθανεῖσθε ᾗ ἂν ἡμέρᾳ φάγητε, οὔτε νῦν, εἰς γῆν ἐπίστρεψον εἶπε, ἀλλ᾽ ἀποστρέψεις. προαγγέλλων καὶ ἐφιείς, καὶ μὴ κωλύων σὺν δίκῃ τὸ ἐκβησόμενον.

ιβ΄. Ἔμελλε μὲν οὖν τοῖς προπάτορσιν ἐκείνοις ὁ θάνατος ἕψεσθαι, ὡς καὶ ἡμῖν τοῖς ἔτι περιοῦσιν ἀπόκειται· καὶ θνητὸν ἡμῖν ἀποτελέσθη τὸ σῶμα. ἔστι δὲ ὁ καὶ τοῦτο μακρός τις ὡς εἰπεῖν θάνατος, μᾶλλον δὲ μυρίοι, κατὰ διαδοχὴν ἕτερος τὸν ἄλλον ὑποδεχόμενος· ἕως ἂν εἰς τὸν ἕνα καὶ τελευταῖον καὶ μακραίωνα καταντήσωμεν. ἐν γὰρ τῷ φθείρεσθαι γινόμεθα· καὶ γινόμενοι παραρρέομεν μέχρις ἂν τοῦ καὶ παραρρεῖν· καὶ γίνεσθαι παύσωμεν· καὶ ἐσμὲν ὄντως οὐδέποτε οἱ αὐτοί, κἂν δοκῶμεν εἶναι τοῖς μὴ προσέχουσιν. ὥσπερ πῦρ καλάμης λεπτῆς ἀπ᾽ ἄκρου δραξάμενον· κἀκεῖνο γὰρ ἄλλοτε ἄλλο ὄν, μέχρι ὑπάρξεως ἔχει τῆς καλάμης τὸ μῆκος· καὶ ἡμῖν ὁμοίως ἀλλοιουμένοις, μέχρι ἐστὶ τὸ πρόσω ἑκάστῳ τοῦ βίου διάστημα.

Ἵνα δὲ καὶ τὴν τῆς φιλανθρωπίας ὑπερβολήν, καὶ τὸ τῆς σοφίας βάθος μὴ παντάπασιν ἀγνοῶμεν· τίνος ἕνεκεν ὑπερθέμενος ὁ Θεὸς τοῦ θανάτου τὸ τέλος, οὐκ ἐπ᾽ ὀλίγον ἔτι παρέσχε τῷ ἀνθρώπῳ ζῆν. πρῶτον μὲν ἔδειξε μετ᾽ ἐλέους παιδεύων, μᾶλλον δὲ ἐφιεὶς τὴν σὺν δίκῃ παιδείαν, ἵνα μὴ ἀπογνῶμεν τελέως. ἔδωκε δὲ καὶ καιρὸν μετανοίας, καὶ τῆς πρὸς αὐτὸν εὐαρεστήσεως ἐξ ὑπαρχῆς πολιτείας. παρεμυθήσατο τῇ ἐπαλλήλῳ γενέσει τοῦ θανάτου τὴν λύπην. ηὔξησε τοῖς διαδόχοις τὸ γένος, ὡς καὶ περιεῖναι πολλῷ τῷ μέτρῳ τὴν ἀρχὴν τῶν γεννωμένων τὸ πλῆθος, τοῦ ἀριθμοῦ τῶν θνησκόντων. ἀνθ᾽ ἑνὸς τοῦ δι᾽ αἰσθητοῦ φυτοῦ κάλλους, ἐλεεινοῦ τε καὶ πενιχροῦ γεγονότος Ἀδάμ, πολλοὺς ἐκ τῶν αὐτοῦ ἔδειξε μακαρίως πεπλουτηκότας θεογνωσίαν καὶ ἀρετήν, καὶ γνῶσιν, καὶ εὐμένειαν θείαν. μάρτυς Σήθ, Ἐνώς, Ἐνώχ, Νῶε, Μελχισεδέκ, Ἀβραάμ· καὶ ὅσοι μεταξὺ τούτων, πρὸ αὐτῶν τε καὶ μετ᾽ αὐτούς, κἀκείνοις ἢ ἐγγὺς ἐκείνων ἀναπεφήνασιν. ἐπεὶ δ᾽ ἐν τούτοις τοῖς τοσούτοις καὶ τηλικούτοις οὐδεὶς τελέως ἀναμαρτήτως ἐβίω, ὡς καὶ ἀναπαλαίσασθαι ἀνορθῶσαι τὴν τῶν προπατόρων ἐκείνων ἧτταν, καὶ τῆς τοῦ γένους ῥίζης θεραπεῦσαι τὸ τραῦμα, καὶ τοῖς ἑξῆς ἀρκέσαι πρὸς ἁγιασμὸν καὶ εὐλογίαν, καὶ ζωῆς ἐπάνοδον ἅπασι. καὶ τοῦτ᾽ ἐκεῖνος προϊδών, καὶ τῶν γενεῶν κατὰ καιρὸν ἐκλογὴν ἐποιεῖτο καὶ τῶν φυλῶν, ὅθεν ἂν ἡ πολυύμνητος ἀναβῇ ῥάβδος, ἐξ ἧς τὸ ἄν- ιγ΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θος, διὸ, τὴν παντὸς τοῦ γένους σωστικὴν οἰκονομίαν ἐκτελέσειν ἔμελλεν.

νδʹ. Ὢ βάθος πλούτου, σοφίας, καὶ φιλανθρωπίας θείας. εἰ μὴ γὰρ ὁ θάνατος ἦν, καὶ πρὸ τοῦ θανάτου θνητὸν ὡς ἐκ ῥίζης τοιαύτης τὸ ἡμέτερον γένος, οὐκ ἂν ἔργῳ τὴν ἀπαρχὴν τῆς ἀθανασίας ἡμεῖς ἐπλουτήσαμεν. οὐκ ἂν εἰς οὐρανοὺς ἀνεκλήθημεν, οὐκ ἂν ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας, ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν οὐρανοῖς ἡ ἡμῶν ἐνεθρονίσθη φύσις, οὕτως οἶδε Θεὸς, τὰ ἐξ αὐτεξουσίου παρατροπῆς ἡμῶν ὀλισθήματα, τῇ παρ' ἑαυτοῦ σοφίᾳ τε, καὶ δυνάμει μετασκευάζειν φιλανθρώπως ἐπὶ τὸ κρεῖττον.

νεʹ. Τάχα πολλοὶ τὸν Ἀδὰμ αἰτιῶνται, πῶς εὐκόλως, τῷ πονηρῷ συμβούλῳ πεισθεὶς, τὴν θείαν ἠθέτησεν ἐντολήν· καὶ διὰ τῆς τοιαύτης ἀθετήσεως ἡμῖν τὸν θάνατον προεξένησεν. ἀλλ' οὐκ ἔστιν ἴσον, πρὸ τῆς πείρας ἐθελῆσαι γεύσασθαι θανασίμου τινὸς βοτάνης, καὶ μετὰ τὸ μαθεῖν διὰ πείρας θανάσιμον οὖσαν, ἀπὸ ταύτης ποθεῖν ἐσθίειν. μεμπταῖος γὰρ μᾶλλον ὁ μετὰ τὴν πεῖραν σπῶν τοῦ δηλητηρίου, καὶ τὸν θάνατον ἀθλίως πρὸς ἑαυτὸν ἐφελκόμενος, τοῦ πρὸ τῆς πείρας τοῦτο πράττοντός τε καὶ πάσχοντος. διὸ καὶ περισσότερον ἡμῶν ἕκαστος ἢ ὁ Ἀδὰμ ἐκεῖνος μεμπταῖός ἐστι καὶ κατάκριτος. ἀλλ' οὐκ ἔστιν ἐν ἡμῖν ἐκεῖνο τὸ ξύλον; οὐδὲ τοῦ Θεοῦ νῦν ἐστι πρὸς ἡμᾶς ἐντολὴ, τὴν ἐκείνου γεῦσιν ἀπαγορεύουσα; Τοῦτ' αὐτὸ μὲν ἐκεῖνο τὸ ξύλον, οὐκ ἔστιν ἐν ἡμῖν ἴσως. ἡ δὲ τοῦ Θεοῦ ἐντολὴ, καὶ νῦν ἡμῖν πάρεστι. τοὺς μὲν αὐτῇ πειθομένους, καὶ κατ' αὐτὴν ζῆν ἐθέλοντας, τῆς τε τῶν οἰκείων ἁπάντων ἁμαρτημάτων ἀθώους, καὶ τῆς προγονικῆς ἀρᾶς καὶ καταδίκης ἐλευθεροῦσα, τοὺς δὲ καὶ νῦν αὐτὴν ἀθετοῦντας, καὶ προτιμῶντας αὐτῆς τὴν τοῦ πονηροῦ προσβολήν τε καὶ συμβουλὴν, τῆς ζωῆς ἐκείνης, καὶ τῆς ἐν τῷ Παραδείσῳ διαγωγῆς οὐκ ἔστι μὴ ἐκπεσεῖν, καὶ καὶ πρὸς τὴν ἐπειλημμένην τοῦ αἰωνίου πυρὸς γέενναν ἐμπεσεῖν.

νϛʹ. Τίς οὖν ἐστιν, ἡ νῦν ἡμῖν αὕτη προκειμένη τοῦ Θεοῦ ἐντολή; ἡ μετάνοια· ἧς τὸ κεφάλαιον, τῶν ἀπηγορευμένων μηκέτι ψαύειν. Ἐπεὶ γὰρ ἀπερρίφημεν τοῦ χωρίου τῆς ἐνθέου τρυφῆς, καὶ ἀπεκλείσθημεν τοῦ Παραδείσου τοῦ Θεοῦ δικαίως, καὶ εἰς τὸ βάραθρον τοῦτο καταπεπτώκαμεν, συνοικεῖν τε, καὶ συνδιαιτᾶσθαι τοῖς ἀλόγοις ζώοις κατεδικάσθημεν, καὶ ἀνέλπιδες κατέστημεν, τὸ εἰς ἡμᾶς ἧκον, τῆς πρὸς τὸν Παράδεισον ἀνακλήσεως, αὐτὸς ὁ δικαιοσύνῃ τότε δίκην ἐπενεγκὼν, μᾶλλον δὲ δικαίως ταύτην ἐπελθεῖν ἡμῖν συγχωρήσας, ὑπερβολῇ νῦν φιλανθρωπίας καὶ ἀγαθότητος, διὰ σπλάγχνα ἐλέους αὐτοῦ, μέχρις ἡμῶν ὑπὲρ ἡμῶν κατῆλθε. καὶ καθ' ἡμᾶς γενόμενος ἀναμαρτήτως ὡς ηὐδόκησεν ἄνθρωπος, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον ἀναδιδάξῃ καὶ ἀνασώσηται, τὴν σωτήριον τῆς μετανοίας ἡμῖν εἰσήνεγκε συμβουλήν τε καὶ ἐντολήν· πρὸς ἡμᾶς εἰπών· μετανοεῖτε, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. πρὸ μὲν γὰρ τῆς ἐνανθρωπήσεως τοῦ λόγου τοῦ Θεοῦ, ὅσον ὁ οὐρανὸς ἀπὸ τῆς γῆς ἀπέχει, τοσοῦτον μακρὰν ἡμῶν ἦν ἡ βασιλεία τῶν οὐρανῶν. τοῦ δὲ βασιλέως τῶν οὐρανῶν ἡμῖν ἐνδημήσαντος, καὶ τὴν μεθ' ἡμῶν ἕνωσιν εὐδοκήσαντος, ἤγγικεν ἡμῖν πᾶσιν ἡ τῶν οὐρανῶν βασιλεία.

νζʹ. Ἐγγισάσης ἡμῖν τῆς τῶν οὐρανῶν βασιλείας, διὰ τῆς πρὸς ἡμᾶς τοῦ Θεοῦ λόγου συγκαταβάσεως, μὴ μακρὰν ἡμᾶς αὐτοὺς ἀπὸ ταύτης ποιήσωμεν, ἀμετανοήτως πολιτευόμενοι. φύγωμεν δὲ μᾶλλον τῶν ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένων τὴν ἀθλιότητα. κτησώμεθα τὰ ἔργα τῆς μετανοίας· φρόνημα ταπεινόν· κατάνυξιν, καὶ πένθος πνευματικόν· καρδίαν πρᾳεῖαν, ἐλέους γέμουσαν· δικαιο-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σύνης ἐρῶσαν· καθαρότητος αὐτὴ ποιουμένην· εἰρηνικὴν, εἰρηνοποιόν· φερέπονον, τοῖς ὑπὲρ ἀληθείας καὶ δικαιοσύνης ἐναγωνιζομένοις, διωγμοῖς καὶ ζημίαις καὶ ὕβρεσι, καὶ συκοφαντίαις καὶ πάθεσιν. ἡ γὰρ τῶν οὐρανῶν βασιλεία, μᾶλλον δὲ ὁ τῶν οὐρανῶν βασιλεὺς, ὢ τῆς ἀφάτου μεγαλοδωρεᾶς, ἐντὸς ἡμῶν ἐστίν. ᾧ καὶ διὰ τῶν τῆς μετανοίας ἔργων κολλᾶσθαι, ἀεὶ ὀφείλομεν· ἀγαπῶντες ὡς δυνατὸν τὸν τοσοῦτον ἡμᾶς ἀγαπήσαντα.

νη. Τὴν πρὸς τὸν Θεὸν ἀγάπην, ἀπουσία παθῶν, καὶ περιουσία συνίστησι τῶν ἀρετῶν, τὸ γὰρ πρὸς τὰ πονηρὰ μῖσος, ἀφ' οὗπερ ἡ τῶν παθῶν ἀπουσία, τὸν πόθον, καὶ τὴν κτῆσιν ἀντεισάγει τῶν ἀγαθῶν. ὁ δὲ τῶν ἀγαθῶν ἐραστής τε καὶ κτήτωρ, πῶς οὐκ ἀδιαφερόντως φιλοίη τὸν αὐτάγαθον δεσπότην; τὸν μόνον ἀγαθοῦ παντὸς χορηγὸν καὶ φύλακα, ἐν ᾧ αὐτὸς ἐστὶ κατ' ἐξαίρετον τρόπον, καὶ ὃν διὰ τῆς ἀγάπης ἐν ἑαυτῷ φέρει· κατὰ τὸν εἰπόντα· Ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. ἴδοι δ' ἄν τις μὴ μόνον ἐκ τῶν ἀρετῶν τὴν πρὸς Θεὸν ἀγάπην, ἀλλὰ καὶ ἐκ τῆς ἀγάπης τὰς ἀρετὰς τικτομένας. διὸ καὶ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ, ποτὲ μὲν φησὶν, ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με. ἄλλοτε δὲ, ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει. ἀλλ' οὔτε τὰ ἔργα τῶν ἀρετῶν, ἐπαινετά εἰσι καὶ λυσιτελῆ τοῖς πράττουσι χωρὶς ἀγάπης, οὔτε μὴν ἡ ἀγάπη χωρὶς τῶν ἔργων. ὧν τὸ μὲν διὰ πολλῶν ὁ Παῦλος δείκνυσι πρὸς Κορινθίους γράφων· Ἐὰν ποιήσω τὰ, καὶ τὰ, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Τὸ δὲ πάλιν ὁ τοῦ Χριστοῦ ἐξόχως ἠγαπημένος μαθητὴς, λέγων· μὴ ἀγαπῶμεν λόγῳ, μηδὲ τῇ γλώσσῃ, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ.

νθ. Ὁ ἀνωτάτω καὶ προσκυνητὸς Πατὴρ, Πατὴρ αὐταληθείας ἐστί· δηλονότι τοῦ μονογενοῦς Υἱοῦ. καὶ Πνεῦμα ἀληθείας ἔχει τὸ Πνεῦμα τὸ Ἅγιον· καθὰ καὶ προϋπέδειξεν ὁ τῆς ἀληθείας λόγος. οἱ οὖν ἐν αὐτοῖς τοῦτον προσκυνοῦντες, καὶ οὕτω πιστεύοντες, καὶ ὡς διὰ τούτων ἐνεργούμενοι, τὸ πνεῦμα γάρ ἐστι φησὶν ὁ Ἀπόστολος δι' οὗ προσκυνοῦμεν, καὶ δι' οὗ προσευχόμεθα. Καὶ οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰμὴ δι' ἐμοῦ, ὁ τοῦ Θεοῦ μονογενὴς φησίν. οἱ οὖν οὕτως ἐν Πνεύματι καὶ ἀληθείᾳ τὸν ἀνωτάτω Πατέρα προσκυνοῦντες, οὗτοί εἰσιν οἱ ἀληθινοὶ προσκυνηταί.

Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· τουτέστιν ἀσωμάτως τὸν ἀσώματον ἐννοοῦντας. οὕτω γὰρ καὶ ἀληθῶς ὄψονται τοῦτον πανταχοῦ, ἐν τῷ Πνεύματι καὶ τῇ ἀληθείᾳ αὐτοῦ. ὡς μὲν γὰρ Πνεῦμα ὑπάρχων ὁ Θεὸς, ἀσώματός ἐστι· τὸ δὲ ἀσώματον οὐκ ἐν τόπῳ ἐστὶν, οὐδὲ τοπικοῖς ὅροις περιγράφεται. οὐκοῦν ὁ λέγων ἐν ὡρισμένῳ τινὶ τῶν ἁπανταχοῦ γῆς καὶ οὐρανοῦ τόπων δεῖν προσκυνεῖσθαι τὸν Θεὸν, οὐκ ἀληθῶς φησὶν, οὐδ' ἀληθῶς προσκυνεῖ. ὡς μὲν γὰρ ἀσώματος ὁ Θεὸς, οὐδαμοῦ· ὡς δὲ Θεὸς, πανταχοῦ. εἰ γάρ ἐστιν ὅρος ἢ τόπος ἢ κτίσις, οὗ μὴ ἔστιν ὁ Θεὸς, εὑρεθήσεται περιγραφόμενος ἔν τινι. πανταχοῦ οὖν ἀόριστος γάρ. πῶς οὖν πανταχοῦ, ὡς ἐχ ὑπὸ μέρους, ἀλλ' ὑπὸ τοῦ παντὸς περιεχόμενος; οὐμενοῦν. σῶμα γὰρ ἔσται πάλιν. οὐκοῦν ὡς τὸ πᾶν συνέχων καὶ περιέχων, αὐτός ἐστιν ἐν ἑαυτῷ, πανταχοῦ τε καὶ ὑπὲρ τὸ πᾶν· προσκυνούμενος παρὰ τῶν ἀληθινῶν προσκυνητῶν, ἐν τῷ Πνεύματι καὶ τῇ ἀληθείᾳ αὐτοῦ. ξ.

Ὁ Ἄγγελος καὶ ἡ ψυχὴ ἀσώματα ὄντα, οὐκ ἐν τόπῳ ἐστὶν, ἀλλ' οὐχὶ καὶ πανταχοῦ ἐστίν. οὐ γὰρ συνέχουσι τὸ πᾶν· ἀλλὰ καὶ αὐτὰ δέονται τοῦ συνέχοντος. ἐν ξα.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κοινῇ καὶ αὐτὰ ἐν τῷ συνέχοντι καὶ περιέχοντι τὸ πᾶν· ὑπ' αὐτοῦ καταλλήλως ὁριζόμενα. ἡ μέντοι ψυχὴ συνέχουσα τὸ σῶμα ᾧ καὶ ἐκτίσθη, πανταχοῦ τοῦ σώματός ἐστιν, οὐχ ὡς ἐν τόπῳ, οὐδ' ὡς περιεχομένη, ἀλλ' ὡς συνέχουσά τε καὶ περιέχουσα, καὶ ζωοποιοῦσα τοῦτο κατ' εἰκόνα καὶ τοῦτ' ἔχουσα Θεοῦ.

ξβ. Οὐ κατὰ τοῦτο μόνον μᾶλλον τῶν Ἀγγέλων ὁ ἄνθρωπος κατ' εἰκόνα πεποίηται Θεοῦ, ὅτι συνεκτικήν τε καὶ ζωοποιὸν ἔχει δύναμιν ἐν ἑαυτῷ, ἀλλὰ καὶ κατὰ τὸ ἄρχειν. ἔστι γὰρ ἐν τῇ τῆς καθ' ἡμᾶς ψυχῆς φύσει, τὸ μὲν ἡγεμονικόν τε καὶ ἀρχικόν· τὸ δὲ φύσει δουλεῦόν τε καὶ ὑπήκοον· θέλησις· ὄρεξις· αἴσθησις· καὶ ἁπλῶς ὅσα μετὰ τὸν νοῦν, τῷ νῷ συνεκτίσθη παρὰ Θεοῦ. κἂν ἡμεῖς ἔστιν ἐφ' ὧν φιλαμαρτήμονι γνώμῃ, μὴ τοῦ Θεοῦ καὶ Παντοκράτορος μόνον, ἀλλὰ καὶ τοῦ προσόντος ἡμῖν ἐμφύτως αὐτοκράτορος ἀφηνιάζομεν. Ὁ μέντοι Θεὸς διὰ τὸ ἐν ἡμῖν ἀρχικὸν, καὶ τῆς γῆς ἁπάσης παρέσχε τὴν κυριότητα. Ἄγγελοι δὲ συνεζευγμένον σῶμα οὐκ ἔχουσιν, ὡς καὶ ὑπεζευγμένον ἔχειν τῷ νῷ. Τὴν δὲ νοερὰν θέλησιν, οἱ μὲν ἐκπεσόντες διηνεκῶς κέκτηνται πονηράν, οἱ δὲ ἀγαθοὶ, διηνεκῶς ἀγαθὴν, καὶ ἡνιόχου μηδαμῶς δεομένην. τὸ δ' ἐπίγειον κράτος, ὁ μὲν πονηρὸς οὐκ εἶχεν, ἀλλ' ἥρπασεν. ὅθεν δῆλον ὡς οὐκ ἄρχων ἐκτίσθη τῆς γῆς. οἱ δὲ ἀγαθοὶ τῶν Ἀγγέλων, ἐπισκοπεῖν τὰ κατ' αὐτὴν ὑπὸ τοῦ Παντοκράτορος προσετάχθησαν, μετὰ τὴν ἡμῶν ἔκπτωσιν. καὶ διὰ ταύτην, τῆς ἀξίας, εἰ καὶ μὴ παντελῆ διὰ φιλανθρωπίαν καθαίρεσιν. τὰ γὰρ ὅρια τῶν Ἀγγέλων, ὡς ὁ Μωϋσῆς ἐν τῇ ᾠδῇ φησίν· ἔστησεν ὁ Θεὸς, ὅτε διεμέριζεν ἔθνη. ὁ δὲ διαμερισμὸς οὗτος, μετὰ τὸν Καΐν καὶ τὸν Σὴθ ἐγεγόνει, τῶν μὲν ἐκ τοῦ Καΐν καλουμένων ἀνθρώπων· τῶν δὲ ἐκ τοῦ Σὴθ καταγομένων, υἱῶν Θεοῦ κεκλημένων. διαμερίζοντος ἐμοὶ δοκεῖν ἔκτοτε τοῦ ὀνόματος, καὶ προκαταγγέλλοντος τὸ γένος, ἐξ οὗ σάρκα λήψεσθαι ἔμελλεν ὁ τοῦ Θεοῦ μονογενὴς Υἱός.

Εἴποι δ' αὖτις σὺν πολλοῖς ἑτέροις, ξγ.
καὶ τὸ τριαδικὸν τῆς ἡμετέρας γνώσεως, μᾶλλον ἡμᾶς τῶν Ἀγγέλων δεικνύειν κατ' εἰκόνα τοῦ Θεοῦ. οὐ μόνον ὅτι τριαδικὸν, ἀλλ' ὅτι καὶ συμπεριβάλλει γνώσεως ἅπαν εἶδος. μόνοι γὰρ ἡμεῖς τῶν κτισμάτων ἁπάντων, πρὸς τῷ νοερῷ τε καὶ λογικῷ, καὶ τὸ αἰσθητικὸν ἔχομεν. ὃ τῷ λογικῷ συνημμένον εἶναι πεφυκὸς, τεχνῶν τε καὶ ἐπιστημῶν, καὶ γνώσεων ἐξεῦρε πολυειδεστάτην πληθύν· γεωργεῖν τε καὶ οἰκοδομεῖν, καὶ προάγειν ἐκ μὴ ὄντων. εἰ καὶ μὴ ἐκ μηδαμῶς ὄντων, τοῦτο γὰρ Θεοῦ, μόνῳ παρέσχε τῶν ἀνθρώπων. γίνεται γὰρ σχεδὸν οὐδὲν οὐδὲ φθείρεται τῶν παρὰ Θεοῦ τελουμένων· κιρνώμενον δ' ἄλλο πρὸς ἄλλο τῶν παρ' ἡμῖν, μορφὴν ἑτέραν παρίστησιν. ἔτι τε μὴν, καὶ τὸ τὸν ἀόρατον τοῦ νοῦ λόγον, οὐ μόνον ὑπ' ἀκοῆς αἴσθησιν γίνεσθαι ἀέρα ἐνημμένον, ἀλλὰ καὶ καταγράφεσθαι, καὶ μετὰ σώματος καὶ διὰ σώματος ὁρᾶσθαι, παρέσχε τοῖς ἀνθρώποις μόνοις ὁ Θεός· πρὸς πίστιν ἐνάγων διαρκῆ, τῆς τοῦ ἀνωτάτω Λόγου διὰ σαρκὸς ἐπιδημίας τε καὶ ἐμφανείας· ὧν οὐδὲν οὐδαμῶς μέτεστιν Ἀγγέλοις.

Ἀλλ' εἰ καὶ τὸ κατ' εἰκόνα μᾶλλον ἡμεῖς ξδ.
τῶν Ἀγγέλων ἔχομεν καὶ μέχρι νῦν, πρὸς τὸ καθ' ὁμοίωσιν εἶναι τοῦ Θεοῦ, πολλῷ ἐλαττούμεθα καὶ μάλιστα νῦν, τῶν ἀγαθῶν Ἀγγέλων. ἵνα γὰρ τὰ ἄλλα νῦν ἀφῶ, ἡ τελείωσις τοῦ καθ' ὁμοίωσιν εἶναι τοῦ Θεοῦ, διὰ τῆς ἐκ Θεοῦ θείας ἐλλάμψεως τελεῖται. ἧς ἐστερῆσθαι μὲν τοὺς πονηροὺς ἀγγέλους, διὸ καὶ ὑπὸ ζόφον γεγενῆσθαι· ἐμφορεῖσθαι δὲ τοὺς θείους νόας. διὸ καὶ δεύτερον καλεῖσθαι φῶς, καὶ τοῦ πρώτου φωτὸς ἀπορροὴν, οὐδένα αὖ οἷ-

μαι ἀγνοεῖν, τῶν ἐπιμελῶς καὶ μετὰ συνέσεως ἐντυγχανόντων τοῖς θεοπνεύστοις λογίοις. ἔχουσι δὲ ἐντεῦθεν οἱ ἀγαθοὶ τῶν Ἀγγέλων, καὶ τὴν τῶν αἰσθητῶν γνῶσιν, οὐ γὰρ αἰσθητικῇ καὶ φυσικῇ δυνάμει τούτων ἀντιλαμβάνονται, ἀλλὰ θεοειδεῖ δυνάμει γινώσκουσιν αὐτά. ἐξ ἧς μηδὲν τῶν ὁπωσδήποτε παρόντων ἢ παρῳχηκότων, ἢ μελλόντων ἀποκρύπτεσθαι δύναται.

ξέ. Ταύτης, τῆς ἐλλάμψεως οἱ μετέχοντες, μέτρον ταύτην ἔχοντες, ἀναλόγως τῷ μέτρῳ, καὶ τὴν γνῶσιν ἔχουσι τῶν ὄντων. ὅτι δὲ καὶ οἱ Ἄγγελοι μετέχουσιν αὐτῆς, καὶ ὅτι ἀκτιστός ἐστι, καὶ ὡς ἡ θεία οὐσία, οὐκ ἔστι, πάντες μὲν ἴσασιν οἱ τοῖς θεοσόφοις Ἀποστόλοις καὶ Θεολόγοις ἐμμελῶς ἐντυγχάνοντες. ἐπεὶ δὲ οἱ τὰ ἐναντία φρονοῦντες, βλασφημοῦσιν εἰς τὴν θείαν ταύτην ἔλλαμψιν, ἢ κτίσμα ταύτην, ἢ οὐσίαν εἶναι τοῦ Θεοῦ διατεινόμενοι. καὶ ἡνίκα αὖ κτίσμα λέγουσιν αὐτήν, οὐ συγχωροῦσιν εἶναι τῶν Ἀγγέλων ταύτην φῶς. παρέστω νῦν ὁ ἐξ Ἀρείου πάγου Θεοφάντωρ, ὡς ἐν βραχεῖ καὶ τὰ τοιαῦτα ταυτὶ διασαφῶν. κυκλικῶς γάρ φησιν οἱ θεῖοι κινούμενοι νόες, ἑνοῦνται ταῖς ἀνάρχοις καὶ ἀτελευτήτοις ἐλλάμψεσι τοῦ καλοῦ καὶ ἀγαθοῦ. Ὅτι μὲν οὖν θείους νόας τοὺς ἀγαθοὺς Ἀγγέλους φησί, τοῖς πᾶσι δῆλον. πληθυντικῶς δὲ ταύτας τὰς ἐλλάμψεις προσειπών, τῆς τοῦ Θεοῦ διέστειλεν οὐσίας. μία γὰρ ἐκείνη καὶ παντάπασιν ἀδιαίρετος. ἀνάρχους δὲ καὶ ἀτελευτήτους προσειπών, τί ἄλλο ἢ ἀκτίστους εἶναι παρέστησεν ἡμῖν;

ξϛ'. Ταύτης τῆς θείας ἐλλάμψεώς τε καὶ λαμπρότητος, γεγυμνωμένην τὴν ἡμῶν φύσιν ἐκ παραβάσεως, τῆς ἀσχημοσύνης ἐλεήσας ὁ τοῦ Θεοῦ Λόγος, καὶ διὰ σπλάγχνα ἐλέους ἀναλαβόμενος, ἐνδεδυμένην ἐπιφανέστερον ἐπὶ τοῦ Θαβωρίου, τῶν μαθητῶν τοῖς ἐγκρίτοις πάλιν ὑπέδειξε· τί ποτε ἦμεν ἡμεῖς ὅτε· καὶ τίνες ἐπὶ τοῦ μέλλοντος αἰῶνος ἐσόμεθα δι' αὐτοῦ, οἱ κατ' αὐτὸν ὡς δυνατὸν ἐνταῦθα ζῆσαι προελοίμεθα παριστάς· ὡς καὶ ὁ χρυσοῦς τὴν γλῶτταν Ἰωάννης φησίν.

ξζ'. Ταύτης τῆς θείας ἐλλάμψεώς τε καὶ λαμπρότητος, καὶ ὁ Ἀδὰμ μέτοχος ὑπάρχων πρὸ τῆς παραβάσεως, ὡς ὄντως στολὴν ἠμφιεσμένος δόξης, οὐχ ὑπῆρχε γυμνός· ἀλλὰ πολλῷ κοσμιώτερος οὐδ' ὅσον εἰπεῖν, τῶν τὴν περικειμένων τὰ χρυσῷ πολλῷ, καὶ διαυγέσι λίθοις κεκοσμημένα διαδήματα. Ταύτην τὴν θείαν ἔλλαμψιν καὶ χάριν, καὶ ὁ Μέγας Παῦλος οὐράνιον οἰκητήριον ἡμῶν καλεῖ λέγων, ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐνδύσασθαι ἐπιποθοῦντες· εἴγε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. ταύτης τῆς θείας ἐλλάμψεως καὶ τοῦ κατ' αὐτὴν ἐνδύματος τὸν ἀρραβῶνα, καὶ αὐτὸς ὁ Παῦλος ἔλαβε παρὰ Θεοῦ, ἐξ Ἱερουσαλὴμ πρὸς Δαμασκὸν ἀπιών· ἵν' εἴπω κατὰ τὸν Θεολογίας φερωνύμως ἐπώνυμον Γρηγόριον, πρὶν καθαρθῆναι τὸν διωγμόν, τῷ διωκομένῳ προσομιλήσας. μᾶλλον δὲ βραχεῖα τοῦ μεγάλου φωτὸς λαμπηδόνι.

ξη'. Ἡ μὲν θεία ὑπερουσιότης οὐδέποτε πληθυντικῶς καλεῖται. ἡ δὲ τοῦ Θεοῦ θεία καὶ ἄκτιστος χάρις καὶ ἐνέργεια, μεριζομένη ἀμερίστως, κατ' εἰκόνα τῆς ἡλιακῆς ἀκτῖνος, ἣ καὶ θερμαίνει, καὶ φωτίζει, καὶ ζωοποιεῖ, καὶ αὔξει, τοῖς τε λαμπομένοις τὴν οἰκείαν ἐνίησι λαμπρότητα, καὶ τοῖς ὀφθαλμοῖς τῶν ὁρώντων ἐπιφαίνεται. κατὰ ταύτην γοῦν ὡς κατ' ἀμυδρὰν εἰκόνα, καὶ ἡ θεία τοῦ Θεοῦ ἐνέργεια, οὐ μία μόνον, ἀλλὰ καὶ πολλαὶ καλοῦνται παρὰ τῶν Θεολόγων, ὡς καὶ Βασίλειος ὁ Μέγας. αἱ δὲ ἐνέργειαι φησὶ τοῦ πνεύματος τίνες; ἄρρητοι μὲν διὰ τὸ μέγεθος, ἀνεξαρίθμητοι δὲ διὰ τὸ πλῆ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θος. Πῶς γὰρ νοήσωμεν τὰ τῶν αἰώνων ἐπέκεινα; τίνες ἦσαν αὐτοῦ πρὸ τῆς ταύτης κτίσεως αἱ ἐνέργειαι; πρὸ γοῦν τῆς νοητῆς κτίσεως καὶ τῶν αἰώνων ἐπέκεινα, (καὶ γὰρ καὶ οἱ αἰῶνες νοητὰ κτίσματα εἰσὶ) κτιστὸν οὐδείς ποτ' εἶπεν, οὐδὲ ἐνενόησεν. Ἄκτιστοι τοιγαροῦν αἱ τοῦ Θείου πνεύματος δυνάμεις τε καὶ ἐνέργειαι· τῷ καὶ πολλαὶ θεολογεῖσθαι, ἀμερίστως τῆς μιᾶς καὶ παντάπασιν ἀμερίστου τοῦ πνεύματος οὐσίας διαστελλόμεναι.

ξθ'. Ἡ τοῦ Θεοῦ ἄκτιστος ἐνέργεια, μεριζομένη ἀμερίστως, καὶ πληθυντικῶς προάγεται παρὰ τῶν Θεολόγων, ὡς ἀνωτέρω καὶ Βασιλείῳ τῷ μεγάλῳ διατετράνωται. ἐπεὶ τοίνυν καὶ ἡ Θεία καὶ θεοποιὸς ἔλλαμψις καὶ χάρις, οὐκ οὐσία ἀλλ' ἐνέργειά ἐστι Θεοῦ, διὰ τοῦτο καὶ αὕτη οὐ χρονικῶς μόνον, ἀλλὰ καὶ πληθυντικῶς προάγεται, ἀναλόγως τοῖς μετέχουσι χορηγουμένη· καὶ κατὰ τὴν ἐπιτηδειότητα τῶν ὑποδεχομένων, ἐπὶ μᾶλλον καὶ ἧττον ἐνιεῖσα τὴν θεοποιὸν λαμπρότητα·

ο'. Ταύτας τὰς ἐνεργείας, ἑπτὰ ὁ Ἡσαΐας εἶπε. πολλὰ δὲ παρ' Ἑβραίοις σημαίνει τὸ ἑπτά. Ἀναβήσεται γάρ φησι ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται. καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν ἑπτὰ πνεύματα· πνεῦμα σοφίας, συνέσεως, γνώσεως, εὐσεβείας, βουλῆς, ἰσχύος, φόβου. ταῦτα τὰ ἑπτὰ πνεύματα, κτιστὰ φρενοβλαβῶς, οἱ τὰ τῶν αἱρετικῶν φρονοῦντες, εἶναι διατείνονται. οὓς κἂν τοῖς διὰ πλάτους πρὸς αὐτοὺς ἀντιρρητικοῖς προθέντες, διαρκῶς ἀπηλέγξαμεν. Ἀλλὰ καὶ Γρηγόριος ὁ Θεολόγος, τῶν Θείων τύπων τοῦ πνεύματος ἐνεργειῶν μνησθείς, τὰς ἐνεργείας φησὶ τοῦ πνεύματος, πνεύματα φίλον τῷ Ἡσαΐᾳ καλεῖν. καὶ αὐτὸς δὲ ὁ τῶν Προφητῶν μεγαλοφωνότατος, οὐ τὴν πρὸς τὴν θείαν μόνον οὐσίαν διαφορὰν ἐναργῶς ἔδειξε διὰ τοῦ ἀριθμοῦ, ἀλλὰ καὶ τὸ ἄκτιστον τῶν θείων τύπων παρέστησεν ἐνεργειῶν, διὰ τῆς τοῦ ἐπαναπαύεσθαι φωνῆς. Τὸ γὰρ ἐπαναπαύεσθαι, ὑπεροχικοῦ ἀξιώματός ἐστι. τὰ οὖν ἐπαναπαυόμενα ἐπὶ τὸ παρ' ἡμῶν δεσποτικὸν ἐκεῖνο πρόσλημμα, πῶς ἂν εἶεν κτίσματα;

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, κατὰ οα'.
μὲν τὸν Λουκᾶν, ἐν δακτύλῳ φησὶ Θεοῦ ἐκβάλλειν τὰ δαιμόνια. κατὰ δὲ τὸν Ματθαῖον, ἐν πνεύματι Θεοῦ. δάκτυλον δέ φησι Θεοῦ ὁ Μέγας Βασίλειος, μίαν τῶν τοῦ πνεύματος ἐνεργειῶν. εἰ οὖν ἡ μία τούτων τὸ Πνεῦμα τὸ Ἅγιόν ἐστι, καὶ αἱ ἄλλαι πάντως. ὡς ὁ αὐτὸς καὶ τοῦτ' ἐδίδαξεν ἡμᾶς· ἀλλ' οὐ διὰ τοῦτο πολλοὶ Θεοί, ἢ πολλὰ πνεύματά ἐστι. πρόοδοι γὰρ τὰ τοιαῦτα, καὶ ἐκφάνσεις, καὶ ἐνέργειαι φυσικαὶ τοῦ ἑνὸς πνεύματος εἰσί· καὶ δι' ἑκάστης ἓν ἐστι τὸ ἐνεργοῦν. οἱ δὲ κακόδοξοι, κτίσματα ταῦτα λέγοντες, ἑπταπλασίως εἰς κτίσμα τὸ πνεῦμα κατασπῶσι τοῦ Θεοῦ. ἀλλ' αἰσχυνέσθωσαν ἑπταπλασίως. ὁ γὰρ εἰπὼν αὖθις Προφήτης περὶ αὐτῶν, ὡς ἑπτὰ οὗτοι ὀφθαλμοὶ Κυρίου εἰσίν, οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν. Καὶ ὁ ἐν τῇ Ἀποκαλύψει γράφων· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ, καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων, ἃ ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ εἰσί, καὶ ἀπὸ τοῦ Χριστοῦ. τὸ Πνεῦμα τὸ Ἅγιον εἶναι ταῦτα, τοῖς πιστοῖς ἐμφανῶς παρίστησιν.

Ὁ Θεὸς καὶ Πατήρ, διὰ Μιχαίου τοῦ οβ'.
Προφήτου προκαταγγέλων τὴν τοῦ Μονογενοῦς κατὰ σάρκα γέννησιν, βουλόμενος ἐπιδεῖξαι καὶ τῆς θεότητος αὐτοῦ τὸ ἄναρχον, καὶ αἱ ἔξοδοι αὐτοῦ φησὶν ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. τὰς δὲ ἐξόδους ταύτας, τὰς ἐνεργείας εἶναι τῆς θεότητος, οἱ θεῖοι Πατέρες ἐξηγήσαντο. αὗται γάρ εἰσι τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος δυνάμεις τε καὶ ἐνέργειαι· ἃς κτιστὰς εἶναι περιαγγέλλουσιν,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

οἱ τὰ τῶν κακοδόξων φρονοῦντες καὶ ἐπεκδικεῖν σπουδάζοντες. ἀλλ' ὀψέποτε λαβόντες νοῦν σκοπείτωσαν, τίς ὁ ἀπ' ἀρχῆς ὤν; τίς πρὸς ὃν φησιν ὁ Δαβίδ, ὅτι ἀπὸ τοῦ αἰῶνος; τ' αὐτὸ δ' εἰπεῖν ἐξ ἡμερῶν αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ, καὶ συνετῶς σκοπείτωσαν, εἰ βούλονται, ὡς ὁ Θεὸς διὰ τοῦ Προφήτου ἀπ' ἀρχῆς εἰπὼν τὰς ἐξόδους ταύτας εἶναι, ἐγένοντο ἢ ἐποιήθησαν, ἢ ἐκτίσθησαν εἴποιμεν, οὐδαμῶς. καὶ ὁ ἐν πνεύματι Θεοῦ θεολογῶν Βασίλειος, οὐκ ἐγένοντο, ἀλλ' ἦσαν εἶπεν αἱ τοῦ πνεύματος ἐνέργειαι πρὸ τῆς νοητῆς κτίσεως, καὶ τῶν αἰώνων ἐπέκεινα. μόνος οὖν ὁ Θεὸς ἐξ αἰῶνος ἐνεργής τε, καὶ παντοδύναμος· ὡς καὶ προαιωνίους ἔχων δυνάμεις τε, καὶ ἐνεργείας.

ογ'. Φασὶ δὲ, τοῖς ἁγίοις ἀντικείμενοι προδήλως, οἱ τῆς ἐναντίας δόξης προϊστάμενοι· ἓν ἐστὶ τὸ ἄκτιστον, ἡ θεία φύσις· πᾶν δὲ τὸ διαφέρον ταύτης ὁπωσοῦν, κτιστόν ἐστι· κτίσμα ποιοῦντες ἐντεῦθεν καὶ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. μία γὰρ καὶ ἡ αὐτὴ τῶν τριῶν ἡ ἐνέργεια. εἰ δὲ ἡ ἐνέργεια κτιστὴ, ἄκτιστος αὐτὸς οὐκ ἔστι. διὰ τοῦτο οὐχ ἡ τοῦ Θεοῦ ἐνέργεια, ἅπαγε· ἀλλὰ τὸ ἐνεργηθὲν, καὶ ἀποτελεσθὲν ἐστὶ τὸ κτίσμα. Διὸ καὶ οὐσιώδη, τουτέστι φυσικὴν εἶναι κίνησιν, τὴν διαφέρουσαν τῆς θείας φύσεως ἐνέργειαν, ὁ θεσπέσιος ἐδίδαξε Δαμασκηνός. Ἐπεὶ δὲ καὶ τῆς θείας ἐνεργείας εἶναι τὸ ποιεῖν ὁ θεῖος Κύριλλος ἔφη, πῶς αὐτὴ ποίημα; εἰ μὴ δι' ἑτέρας ἐνεργείας ἐνεργηθήσεται· κἀκείνη πάλιν δι' ἑτέρας· καὶ οὕτω πρὸς τὸ ἐπάπειρον ἰέναι, καὶ τὸ τῆς ἐνεργείας ἄκτιστον ἀεὶ ζητεῖται καὶ κηρύττεται.

οδ'. Πανταχοῦ παρούσης ἀχωρίστως τῆς τε θείας οὐσίας, καὶ τῆς θείας ἐνεργείας, χωρητή ἐστιν ἡ τοῦ Θεοῦ ἐνέργεια καὶ τοῖς κτιστοῖς ἡμῖν· ἐπεὶ καὶ μερίζεται ἀμερίστως κατὰ τοὺς Θεολόγους· τῆς θείας φύσεως ἀμερίστου παντάπασι μενούσης κατ' αὐτούς. Διὸ καὶ ὁ Χρυσόστομος Πατὴρ, εἰπὼν ὅτι ἡ ῥανὶς τῆς χάριτος τὰ πάντα ἐπλήρωσε τῆς γνώσεως· δι' αὐτῆς τὰ θαύματα ἐγίνετο, τὰ ἁμαρτήματα ἐλύετο· καὶ δείξας ἄκτιστον οὖσαν τὴν τῆς χάριτος ῥανίδα· εἶτα σπεύδων ἐπιδεῖξαι καὶ ἐνέργειαν, ἀλλ' οὐκ οὐσίαν οὖσαν. ἔτι δὲ καὶ τὴν τῆς θείας ἐνεργείας διαφορὰν, πρός τε τὴν θείαν οὐσίαν, καὶ τὴν τοῦ πνεύματος ὑπόστασιν, ἐπάγει γράφων· Τὸ μέρος λέγω τῆς ἐνεργείας. οὐ γὰρ δὴ ὁ Παράκλητος μερίζεται. χωρητὴ γοῦν ἐστὶν ἡμῶν ἑκάστῳ ἡ θεία χάρις, καὶ ἡ ἐνέργεια· ἐπεὶ καὶ ἀμερίστως αὕτη μερίζεται. ἡ δὲ τοῦ Θεοῦ οὐσία, παντάπασιν ἀμέριστος οὖσα καθ' αὑτὴν, πῶς ἄν τινι χωρηθείη τῶν κτιστῶν;

οε'. Τριῶν ὄντων τοῦ Θεοῦ, οὐσίας ἐνεργείας, Τριάδος ὑποστάσεων θείων· οἱ κατηξιωμένοι τῷ Θεῷ ἑνοῦσθαι, ὡς ἓν εἶναι πνεῦμα μετ' αὐτοῦ· καθὰ καὶ Παῦλος ὁ Μέγας εἴρηκεν· ὁ κολλώμενος τῷ Κυρίῳ ἓν Πνεῦμά ἐστιν· ἐπεὶ κατ' οὐσίαν οὐχ ἑνοῦσθαι τοὺς ἀξίους ἀνωτέρω δέδεικται, καὶ πάντες οἱ Θεολόγοι μαρτυροῦσι, κατ' οὐσίαν εἶναι τὸν Θεὸν ἀμέθεκτον. ἡ δὲ καθ' ὑπόστασιν ἕνωσις, μόνῳ διατελεῖ τυγχάνουσα τῷ θεανθρώπῳ λόγῳ· λείπεται κατ' ἐνέργειαν ἑνοῦσθαι τοὺς κατηξιωμένους ἑνοῦσθαι Θεῷ· καὶ πνεῦμα καθ' ὃ ἐστιν ἓν μετὰ Θεοῦ ὁ κολλώμενος Θεῷ, τὴν ἄκτιστον τοῦ πνεύματος ἐνέργειαν εἶναι καὶ καλεῖσθαι, ἀλλ' οὐ τὴν οὐσίαν τοῦ Θεοῦ· κἂν οἱ ἀντικείμενοι ἀπαρέσκωνται. ἐπεὶ καὶ διὰ τοῦ Προφήτου, οὐ τὸ πνεῦμά μου, ἀλλ' ἀπὸ τοῦ πνεύματός μου ἐκχεῶ ἐπὶ τοὺς πιστεύοντας προέφη ὁ Θεός.

ος'. Νοήματι Θεοῦ φησὶν ἐκινοῦντο καὶ Μωϋσῆς καὶ Δαβίδ· καὶ ὅσοι τῆς θείας ἐνεργείας χωρητικοὶ, τῇ ἀποθέσει τῶν σαρ-

κικῶν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

κικῶν ἰδιωμάτων γεγόνασι, καὶ ζῶσαι τινὲς εἰκόνες Χριστοῦ· καὶ ταὐτὸ μᾶλλον αὐτῷ κατὰ τὴν χάριν, ἢ ἀφομοίωμα· καὶ μία ἡ καθαρότης ἡ ἐν τῷ Χριστῷ καὶ τοῖς ἁγίοις ἐστί· καὶ ἡ λαμπρότης τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς ὁ ἐνθεώτατος ᾄδει μελῳδῶν. αἱ γὰρ πνευματοφόροι ψυχαὶ, κατὰ τὸν Μέγαν Βασίλειον, ἐλλαμφθεῖσαι παρὰ τοῦ πνεύματος, αὐταί τε ἀποτελοῦνται πνευματικαὶ, καὶ εἰς ἑτέρους τὴν χάριν ἐξαποστέλλουσιν. ἐντεῦθεν μελλόντων πρόγνωσις· μυστηρίων σύνεσις. κεκρυμμένων κατάληψις· χαρισμάτων διανομαί· τὸ οὐράνιον πολίτευμα· ἡ μετ' Ἀγγέλων χορεία· ἡ ἀτελεύτητος εὐφροσύνη· ἡ ἔνθεος διανομή· ἡ πρὸς Θεὸν ὁμοίωσις· τὸ ἀκρότατον τῶν ὀρεκτῶν Θεὸν γενέσθαι.

οζʹ. Κατὰ τὴν χάριν ταύτην καὶ λαμπρότητα, καὶ πρὸς τὸν Θεὸν ἕνωσιν, πλεονεκτοῦσι τῶν ἀνθρώπων οἱ Ἄγγελοι. διὸ καὶ λαμπρότητές εἰσι δεύτεραι, λειτουργοὶ τῆς ἄνω λαμπρότητος, καὶ φῶτα δεύτερα τοῦ πρώτου φωτὸς ἀπαυγάσματα αἱ νοεραὶ δυνάμεις καὶ τὰ λειτουργικὰ πνεύματα· καὶ πρώτη φωτεινὴ φύσις, μετὰ τὴν πρώτην, τῷ ἐκεῖθεν αὐγάζεσθαι· καὶ δεύτερον φῶς Ἄγγελος, τοῦ πρώτου φωτὸς ἀπορροή τις, ἢ μετουσία. καὶ κυκλικῶς οἱ θεῖοι κινούμενοι Νόες, ἑνοῦνται ταῖς ἀνάρχοις καὶ ἀτελευτήτοις ἐλλάμψεσι τοῦ καλοῦ καὶ ἀγαθοῦ. Τοῖς γὰρ ἀϊδίοις αὐτὸς ὁ Θεός ἐστι φῶς, καὶ οὐκ ἄλλο. καὶ ὃ τοῖς αἰσθητοῖς ἥλιος, τοῦτο τοῖς νοητοῖς Θεός· καὶ αὐτός ἐστι τὸ πάσης τῆς λογικῆς φύσεως φωτιστικὸν πρῶτον καὶ ἀκρότατον φῶς· κἂν τοῦ Προφήτου λέγοντος ἀκούσῃς, ὁ Χρυσόστομος φησὶ Πατὴρ· εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου· μὴ τοῦτο ὑποπτεύσῃς ὅτι τὴν οὐσίαν εἶδεν ἐκείνην, ἀλλὰ τὴν συγκατάβασιν· καὶ ταύτην δὲ, ἀμυδρότερον ἤπερ αἱ ἄνω δυνάμεις.

Πᾶσα φύσις, ὡς πορρωτάτω ἐστὶ, καὶ παντάπασι ξένη τῆς θείας φύσεως. εἰ γὰρ ὁ Θεὸς φύσις, τἄλλα οὐκ ἔστι φύσις· εἰ δὲ τῶν ἄλλων ἕκαστον φύσις, ἐκεῖνος οὐκ ἔστι φύσις. ὡς οὐδὲ ὄν ἐστιν, εἰ τἄλλα ὄντα ἐστίν· εἰ δ' ἔστιν ἐκεῖνος ὤν, τἄλλα οὐκ ἔστιν ὄντα. τοῦτο κἀπὶ τῆς σοφίας καὶ τῆς ἀγαθότητος, καὶ ἁπλῶς ἐπὶ πάντων τῶν περὶ Θεὸν, ἢ περὶ Θεοῦ λεγομένων λαμβάνων, καλῶς καὶ τοῖς ἁγίοις ἀκολούθως θεολογήσεις. ἔστι δὲ καὶ λέγεται φύσις τῶν ὄντων πάντων ὁ Θεὸς, ὡς αὐτοῦ πάντων μετεχόντων, καὶ τῇ μεθέξει ταύτῃ συνεστώτων· οὐ τῇ μεθέξει τῆς αὐτοῦ φύσεως, ἄπαγε· ἀλλὰ τῇ μεθέξει τῆς αὐτοῦ ἐνεργείας. οὕτω γὰρ καὶ ὀντότης ἐστὶ τῶν ὄντων· καὶ εἶδος ἐν τοῖς εἴδεσιν ὡς εἰδάρχης· καὶ σοφία τῶν σοφιζομένων. καὶ ἁπλῶς τὰ πάντα πάντων· καὶ οὐκ ὢν φύσις, ὡς ὑπὲρ πᾶσαν φύσιν· καὶ οὐκ ὢν ὤν, ὡς ὑπὲρ πάντα τὰ ὄντα· καὶ οὐκ ὢν οὐδ' ἔχων εἶδος, ὡς ὑπὲρ εἶδος ὤν. πῶς οὖν ἡμεῖς πλησίον τοῦ Θεοῦ γενώμεθα; ἆρα τῇ φύσει πλησιάζοντες αὐτοῦ; ἀλλ' οὐδεμίαν ἔχει ἢ ἕξει κοινωνίαν ἢ ἐγγύτητα πρὸς τὴν ἀνωτάτω φύσιν, τῶν κτιστῶν ἁπάντων οὐδὲ ἕν. εἴπερ οὖν τις γέγονε πλησίον τοῦ Θεοῦ, τῇ ἐνεργείᾳ πάντως ἐπλησίασεν αὐτοῦ· πῶς οὖν; ὡς μετέχων ἐκείνης φυσικῶς; ἀλλὰ τοῦτο κοινόν ἐστι πάντων τῶν κτισμάτων. οὐκοῦν οὐ τοῖς ἐκ φύσεως προσοῦσιν, ἀλλὰ τοῖς ἐκ προαιρέσεως προσγινομένοις, πλησίον τις, ἢ μακρὰν γίνεται Θεοῦ. προαίρεσις δὲ μόνον τῶν λογικῶν ἐστί. ταῦτα οὖν μόνα τῶν ἄλλων ἁπάντων, ἢ μακρὰν ἢ ἐγγὺς γίνεται Θεοῦ· δι' ἀρετῆς ἢ κακίας ἢ ἐγγίζοντα ἢ μακρυνόμενα. ταῦτα τοιγαροῦν μόνα, καὶ δεκτικά ἐστιν ἀθλιότητος ἢ μακαριότητος. ἀλλ' ἡμεῖς σπεύσωμεν τῆς μακαριότητος ἐπιλαβέσθαι. οη.



Athos Library Αγιορειτική Βιβλιοθήκη

οθʹ. Ἄλλο μὲν πρὸς ἄλλο τῶν κτισμάτων συγκρινόμενον, οἰκεῖον Θεοῦ κατὰ φύσιν, ἢ ξένον λέγεται. οἰκεῖον μὲν γάρ φησι Θεότητος αἱ νοεραὶ φύσεις, καὶ νῷ μόνῳ ληπταί· ξένον δὲ παντάπασιν, ὅσαι ὑπὸ τὴν αἴσθησιν· καὶ τούτων αὐτῶν ἔτι πορρωτέρω, ὅσαι παντελῶς ἄψυχοι καὶ ἀκίνητοι. πρὸς ἄλληλα τοίνυν τὰ κτίσματα συγκρινόμενα, οἰκεῖα Θεῷ κατὰ φύσιν, ἢ ξένα λέγεται. αὐτὰ δὲ καθ' αὑτὰ κατὰ φύσιν ἅπαντα, ξένα ἐστὶ Θεοῦ. πλέον γὰρ οὐδ' ὅσον εἰπεῖν ἡ νοερὰ φύσις πόρρω ἐστὶ Θεοῦ, ἢ ὅσον αἰσθητικαί τε καὶ τὰ ὑπ' αἴσθησιν τῶν νοερῶν ἀπέχει. τοσοῦτον οὖν ἀπέχοντες τῇ καθ' ἡμᾶς φύσει τοῦ Θεοῦ, ὅμως, οὐαὶ ἡμῖν, εἰ μὴ γοῦν ἐκ προαιρέσεως χρηστῆς, δι' ἔργων καὶ τρόπων ἀγαθῶν, ἐγγὺς αὐτοῦ γενοίμεθα.

πʹ. Ἡ τῶν θείων θεηγόρων ἔνθεος καὶ κοινὴ γλῶσσα, Δαμασκηνὸς ὁ θεοφόρος φησὶν, ἐν δευτέρῳ τῶν θεολογικῶν αὐτοῦ κεφαλαίων· χρὴ τὸν περὶ Θεοῦ τι λέγειν ἢ ἀκούειν βουλόμενον, σαφῶς εἰδέναι, ὡς οὐδὲ πάντα ἄρρητα, οὐδὲ πάντα ῥητὰ, τά τε τῆς θεολογίας, τά τε τῆς οἰκονομίας· οὔτε μὴν πάντα γνωστὰ, οὐδὲ πάντα ἄγνωστα. ὑπὲρ λόγον δ' ἴσμεν καὶ ὅσα λέγειν ἐφεῖται τῶν θείων, ὡς καὶ ταῦτα καθ' ὑπερέχοντα λόγον. οὐ γὰρ ἔξω λόγου κατ' ἔλλειψιν, ἀλλ' ἐκτὸς λόγου τοῦ καθ' ἡμᾶς· ὃν ἐν ἡμῖν αὐτοῖς ἐνδιαιτώμενον ἔχομεν, καὶ ὃν παρ' ἡμῶν αὐτῶν εἰς ἀκοὴν ἑτέρων προάγομεν. οὔτε γὰρ οὗτος ἑρμηνεύων παραστῆσαι δύναιτ' ἂν, οὔτ' ἐκεῖνος πολυπραγμονῶν, οἴκοθεν ἐφίκοιτ' ἄν. οὐκ ἄρ' ἡμῖν αὐτοῖς ἐπιτρεπτέον περὶ Θεοῦ τι λέγειν· ἀλλ' ἡμᾶς αὐτοὺς ἐπιτρεπτέον πρὸς τοὺς ἐν πνεύματι τὰ τοῦ πνεύματος λαλοῦντας, καὶ ὅταν ἀπαντῶσι λόγοι οἱ ἀντικείμενοι.

παʹ. Φασὶν ἐπιγεγράφθαι τῶν προθύρων τῆς σχολῆς τοῦ Πλάτωνος, μηδεὶς εἰσίτω ἀγεωμέτρητος. ταύτῃ δὲ ἐστὶν ἀγεωμέτρητος, ὁ μὴ δυνάμενος περὶ τῶν ἀχωρίστων ὡς κεχωρισμένων διανοεῖσθαί τε καὶ διαλέγεσθαι. εἶναι γὰρ πέρας χωρὶς τοῦ πεπερασμένου, τῶν ἀδυνάτων. Γεωμετρία δὲ, περὶ τῶν περάτων σχεδὸν ἅπας ὁ λόγος· ἃ καὶ χωρὶς τῶν πεπερασμένων, ἔσθ' ὅτε καθ' ἑαυτὰ καὶ ὁρίζεται καὶ προβάλλεται, τοῦ τῇ χωρίζοντος τὰ ἀχώριστα. ὁ δὲ τὸ σῶμα τῶν περὶ αὐτὸ χωρίζειν τῷ νῷ μηδέπω μαθὼν, πῶς ἀκούσει περὶ φύσεως καθ' ἑαυτήν; ἥτις οὐ μόνον ἀχώριστός ἐστι τῶν φυσικῶν ἐνυπάρχουσα τούτοις· ἀλλ' οὐδ' εἶναί ποτε δύναται χωρὶς αὐτῶν. πῶς ἀκούσει περὶ τῶν καθ' ὅλου ὡς καθ' ὅλου, ἅπερ ἐν τοῖς μερικοῖς εἰσί; τῷ καὶ λόγῳ μόνῳ τούτων διαιρούμενα, καὶ πρὸ τῶν πολλῶν νοούμενα, τὰ τῶν πολλῶν αὐτὰ μηδαμῶς ὄντα τῷ γε ἀληθεῖ λόγῳ; πῶς ἀκούσει περὶ νοητῶν καὶ νοερῶν; πῶς ἀκούσει καὶ νοῦν ἕκαστον ἡμῶν ἔχειν λεγόντων, καὶ διανόημα, καὶ τῶν διανοημάτων ἕκαστον ἡμῶν ὑπάρχειν νοῦν; καὶ οὐ καταγελάσει καὶ ἀνακράξεται, κατηγορῶν ἡμῶν, ὡς δύο καὶ πολλοὺς ἔχειν νοῦς λεγόντων ἕκαστον ἀνθρώπων; ὁ δ' ἐπὶ τῶν τοιούτων μὴ δυνάμενος ἀκούειν ἢ λέγειν, περὶ τῶν ἀδιαιρέτων ὡς διῃρημένων, πῶς ἐπὶ τοῦ Θεοῦ δυνήσεταί τι τοιοῦτον ἢ λέγειν ἢ διδάσκεσθαι; ἐφ' οὗ πολλαὶ μέν εἰσι καὶ λέγονται ἑνώσεις τε καὶ διακρίσεις, κατὰ τοὺς θεολόγους· ἀλλ' αἱ ἑνώσεις τῶν διακρίσεων ἐπικρατοῦσι, καὶ προκατάρχουσι· μήτ' ἀναιροῦσαι ταύτας, μήτ' ἐμποδιζόμεναι παρὰ τούτων αὐταὶ μηδέν. οἱ γοῦν ἐναντίοι μὴ δεχόμενοι, μηδὲ δυνάμενοι γνῶναι, τὴν ἐπὶ τοῦ Θεοῦ ἀδιαίρετον διαίρεσιν, καὶ διῃρημένην ἕνωσιν ἀκούοντες ἡμῶν λεγόντων συμφώνως τοῖς ἁγίοις, ὅτι τοῦ Θεοῦ τὸ μὲν ἐστὶν ἀκατάληπτον, τὸ δὲ καταληπτὸν, εἷς δ' ἐστὶ Θεὸς, ὁ αὐτὸς ἀκατάληπτος τῇ οὐσίᾳ

ὤν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὤν, καταληπτὸς δὲ ἀπὸ τῶν ποιημάτων, κατὰ τὰς αὐτοῦ θείας ἐνεργείας· τὴν προαιώνιον αὐτοῦ δηλαδὴ περὶ ἡμᾶς θέλησιν, τὴν προαιώνιον περὶ ἡμᾶς αὐτοῦ πρόνοιαν· τὴν προαιώνιον αὐτοῦ περὶ ἡμᾶς σοφίαν· καὶ ἵνα κατὰ τὸν θεῖον Μάξιμον εἴπω, τὴν ἄπειρον αὐτοῦ δύναμιν· καὶ σοφίαν, καὶ ἀγαθότητα. ταῦτα δὲ ἦσαν ἀναγκαίως ἡμῶν εἰπόντων, ἀκούσαντες οἱ ἀντικείμενοι, καὶ οἱ μετ' ἐκείνους κατ' ἐκείνους, κατηγοροῦσιν, ὡς πολλοὺς θεοὺς, καὶ πολλὰ λεγόντων ἄκτιστα, καὶ σύνθετον ποιούντων τὸν Θεόν. ἀγνοοῦσι γὰρ, ὡς ὁ Θεὸς ἀδιαιρέτως διαιρεῖται, καὶ συνάπτεται διῃρημένως· καὶ οὔτε πολυπλασιασμὸν παρὰ τοῦτο πάσχει, οὔτε σύνθεσιν.

πβ'. Παῦλος ὁ Μέγας, τὸ τοῦ Χριστοῦ στόμα· τὸ σκεῦος τῆς ἐκλογῆς· τὸ τοῦ θείου ὀνόματος περιφανέστατον ὄχημα, τὰ ἀόρατά φησι τοῦ Θεοῦ, ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται· ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. ἆρ' οὖν ἡ οὐσία τοῦ Θεοῦ τοῖς ποιήμασι νοουμένη καθορᾶται; οὐμενοῦν. τὸ γὰρ τῆς τῶν κακοδόξων παραφροσύνης, καὶ πρὸ τούτων τῆς Εὐνομίου παραφορᾶς. καὶ οὗτος γὰρ πρὸ τούτων ἐξ αὐτοῦ, ἐκ τῶν ποιημάτων οὐδὲν ἕτερον, ἀλλ' αὐτὴν λογογραφεῖ νοεῖσθαι τὴν οὐσίαν τοῦ Θεοῦ. ὁ δὲ θεῖος Ἀπόστολος, πολλοῦ δεῖ τὰ τοιαῦτα ὑφηγεῖσθαι. προδιδάξας γὰρ, ὅτι τὸ τοῦ Θεοῦ γνωστὸν φανερόν ἐστι, καὶ δείξας ὡς ἐστι καὶ ἄλλο τι ὑπὲρ τὸ γνωστὸν τοῦτο τοῦ Θεοῦ, ὅπερ ἐφανέρωσε πᾶσι τοῖς νοῦν ἔχουσιν αὐτὸς· εἶτ' ἐπήνεγκε, τὰ γὰρ ἀόρατα αὐτοῦ, ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. τὸ δὲ γνωστὸν τοῦ Θεοῦ τί ἐστιν, οὕτως ἂν μάθοις. οἱ Θεοφόροι Πατέρες ἐξηγούμενοι φασί· τοῦ Θεοῦ τὸ μέν ἐστιν ἄγνωστον, ἤγουν ἡ οὐσία αὐτοῦ· τὸ δὲ γνωστόν· ἤγουν πάντα τὰ περὶ τὴν οὐσίαν. τουτέστιν ἡ ἀγαθότης, ἡ σοφία, ἡ δύναμις, ἡ θειότης, ἤτοι μεγαλειότης· ἃ καὶ ἀόρατα ὁ Παῦλος λέγει· νοούμενα μέντοι τοῖς ποιήμασι. τὰ δὲ ἀπὸ τῶν κτισμάτων περὶ τὴν οὐσίαν τοῦ Θεοῦ νοούμενα ταυτὶ, πῶς ἂν εἴη πάλιν κτίσματα; τοιγαροῦν καὶ ἄκτιστός ἐστιν ἡ ἐκ τῶν κτισμάτων νοουμένη τοῦ Θεοῦ ἐνέργεια, καὶ οὐσία οὐκ ἔστιν· ἐπεὶ καὶ μὴ ἑνικῶς αὕτη μόνον, ἀλλὰ καὶ πληθυντικῶς προάγεται.

πγ'. Σοφίας καὶ τέχνης, καὶ δυνάμεως, ἀλλ' οὐχὶ τῆς οὐσίας ἐνδεικτικά ἐστι τὰ ποιήματα, φησὶν ὁ Μέγας Βασίλειος, τῷ Εὐνομίῳ ἀντιφθεγγόμενος, ἐκ τῶν κτισμάτων λέγοντι δείκνυσθαι τὴν οὐσίαν τοῦ Θεοῦ. τοιγαροῦν καὶ ἄκτιστός ἐστιν ἡ ἀπὸ τῶν ποιημάτων δεικνυμένη τοῦ Θεοῦ ἐνέργεια, καὶ οὐσία οὐκ ἔστι· καὶ οἱ μηδὲν διαφέρειν λέγοντες τῆς θείας οὐσίας τὴν θείαν ἐνέργειαν, Εὐνομιανοί εἰσι σαφῶς.

πδ'. Καλῶς ἄρα φησὶν ἐν τοῖς ἀντιρρητικοῖς, ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἀδελφὰ φρονῶν, ὅτι τὸ κάλλος καὶ μέγεθος τῶν ἐν τῇ κτίσει θαυμάτων κατανοήσαντες, ἐκ τούτων καὶ τῶν τοιούτων, ἄλλα νοήματα περὶ τὸ θεῖον λαμβάνοντες, ἰδίοις ὀνόμασιν ἕκαστον τῶν ἐγγινομένων ἡμῖν νοημάτων διερμηνεύομεν. ἐκ γὰρ μεγέθους καὶ καλλονῆς τῶν κτισμάτων, ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται. καὶ δημιουργὸν μὲν τὸν ποιητὴν προσαγορεύομεν· δυνατὸν δὲ, ᾧ ἐξήρκεσεν ἡ δύναμις, οὐσίαν ποιῆσαι τὴν βούλησιν. καὶ δίκαιον, ὡς ἀδέκαστον κριτήν. ἀλλὰ καὶ τὴν Θεὸς φωνὴν, ἐκ τῆς ἐποπτικῆς ἐνεργείας κεκρατηκέναι κατελαβόμεθα. ὥστε καὶ διὰ τούτου μερικήν τινα τῆς θείας φύσεως ἐνέργειαν διδαχθέντες, τῆς οὐσίας αὐτῆς ἐν περινοίᾳ διὰ τῆς φωνῆς ταύτης οὐκ ἐγενόμεθα.

πε'. Διονύσιος ὁ Ἀρεοπαγίτης· ὁ μετὰ τοὺς θεσπεσίους Ἀποστόλους ἐξοχώτατος ἐν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θεολόγοις· μετὰ τὸ διευκρινῆσαι τὴν κατὰ τὰς ὑποστάσεις τοῦ Θεοῦ διάκρισιν φησίν· εἰ δὲ καὶ θεία διάκρισίς ἐστιν ἡ ἀγαθοπρεπὴς πρόοδος, τῆς ἑνώσεως τῆς θείας ὑπερηνωμένως ἑαυτὴν ἀγαθότητι πληθυνούσης τε, καὶ πολυπλασιαζούσης. καὶ μετά τινα· διάκρισιν δὲ θείαν εἶναί φαμεν, τὰς ἀγαθοπρεπεῖς τῆς θεαρχίας προόδους. δωρουμένη γὰρ πᾶσι τοῖς οὖσι καὶ ὑπερχέουσα τὰς τῶν ὅλων ἀγαθῶν μετουσίας, ἡνωμένως μὲν διακρίνεται, πληθύνεται δὲ ἑνικῶς· καὶ πολυπλασιάζεται τοῦ ἑνὸς ἀνεκφοιτήτως. καὶ μετά τινα· ταύτας ἡμεῖς τὰς κοινὰς καὶ ἡνωμένας τῆς ὅλης θεότητος διακρίσεις, ἢ τὰς ἀγαθοπρεπεῖς προόδους, ὑμνῆσαι κατὰ τὸ δυνατὸν πειρασόμεθα. δεικνὺς σαφῶς εἶναι καὶ ἑτέραν διάκρισιν ἐπὶ τοῦ Θεοῦ, ἀλλ' οὐ τὴν ὑποστατικὴν μόνην· ἰδοὺ τὴν ἑτέραν παρὰ τὴν ὑποστατικὴν διάκρισιν, καὶ θεότητος διάκρισιν καλεῖ. ἡ γὰρ κατὰ τὰς ὑποστάσεις διάκρισις, οὐ θεότητός ἐστι διάκρισις. καὶ κατὰ μὲν τὰς θείας προόδους καὶ ἐνεργείας, πληθύνεσθαι καὶ πολυπλασιάζεσθαι λέγει τὸν Θεόν· καὶ τὴν αὐτὴν ἐνταῦθα πρόοδον, καὶ προόδους εἶναι λέγων· ἐκεῖ δέ, οὐ πολυπλασιάζεται τὸ θεῖον, ἄπαγε· οὐδὲ καθὰ Θεὸς διακρίνεται. Τέλειος γὰρ ἡμῖν ὑπάρχει ὁ Θεός, ἀλλ' οὐχὶ τριπλοῦς. καὶ δείκνυσι δὲ καὶ τὸ ἄκτιστον τῶν προόδων καὶ ἐνεργειῶν· θείας τε γὰρ αὐτὰς καλεῖ, καὶ τῆς ὅλης φησὶ θεότητος εἶναι διακρίσεις· καὶ αὐτὴν ἑαυτὴν τὴν θεαρχίαν, κατὰ τὰς θείας προόδους καὶ ἐνεργείας ταύτας πληθύνειν λέγει καὶ πολυπλασιάζειν· οὐκ ἔξωθεν τινὰς προσλαμβάνουσαν, ἄπαγε· ἀλλὰ καὶ ὑμνῆσαι τὰς προόδους ταύτας ἐπαγγέλλεται. καὶ προστίθησι κατὰ τὸ δυνατόν· δεικνὺς καὶ ὑπερυμνήτους ταύτας οὔσας, ὁ τῶν θείων ὑμνῳδῶν ἐξοχώτατος οὗτος.

πς'. Ὁ αὐτὸς θεοφάντωρ, εἰπὼν ἀνωτέρω θείαν διάκρισιν εἶναι τὴν ἀγαθοπρεπῆ πρόοδον, ἐπάγει· ἡνωμέναι μένουσι κατὰ τὴν θείαν διάκρισιν αἱ ἄσχετοι μεταδόσεις. μεταδόσεις μὲν οὖν ἐνταῦθα συλλαβὼν πάσας τὰς προόδους καὶ ἐνεργείας τοῦ Θεοῦ ἐκάλεσε. προσέθηκε δὲ τὸ ἀσχέτους εἶναι ταύτας, ἵνα μή τις νομίσῃ ταύτας εἶναι τὰ ἀποτελέσματα· οἷον τὴν ἑκάστου τῶν ὄντων οὐσίαν, ἢ τὴν ἐν τοῖς ζώοις αἰσθητικὴν ζωήν, ἢ τὸν ἐν τοῖς λογικοῖς καὶ νοεροῖς ἐνόντα λόγον τε καὶ νοῦν. πῶς γὰρ ἂν οὐκ ταῦτ' ἐν τῷ Θεῷ ἄσχετα, κτιστά γε ὄντα; πῶς δὲ αἱ τοῦ Θεοῦ ἄσχετοι πρόοδοι καὶ μεταδόσεις κτίσματα; τῆς ἀσχέτου μεταδόσεως φυσικῶς ἐνούσης τῷ μεταδιδόντι, καθάπερ ἐπὶ τοῦ φωτὸς ὁρῶμεν;

Προϊὼν ὁ Μέγας οὗτος, τὰς τοιαύτας πζ'.
προόδους καὶ ἐνεργείας τοῦ Θεοῦ, ἑτέροις τε ὀνόμασι θεοπρεπέσιν ἀνυμνεῖ· καὶ μετοχὰς καὶ αὐτομετοχὰς καλεῖ· καὶ ὑπὲρ τὰ ὄντα εἶναι πολλαχοῦ τῶν λόγων δείκνυσι· καὶ παραδείγματα τῶν ὄντων εἶναι ταύτας προϋφεστηκυίας ἐν Θεῷ καθυπερούσιον ἕνωσιν. πῶς ἂν οὖν εἶεν αὗται κτίσματα; ἐφεξῆς δὲ καὶ τί ταῦτα τὰ παραδείγματα διδάσκων ἐπιφέρει· παραδείγματα δέ φαμεν εἶναι, τοὺς ἐν Θεῷ τῶν ὄντων οὐσιοποιούς, καὶ ἑνιαίως προϋφεστῶτας λόγους· οὓς ἡ θεολογία προορισμοὺς καλεῖ, καὶ θεῖα καὶ ἀγαθὰ θελήματα, τῶν ὄντων ἀφοριστικὰ καὶ ποιητικά· καθ' οὓς ὁ ὑπερούσιος τὰ ὄντα πάντα καὶ προώρισε, καὶ παρήγαγε. πῶς οὖν οἱ προορισμοὶ καὶ τὰ ποιητικὰ τῶν ὄντων θεῖα θελήματα κτιστά; πῶς δ' οὐ φανεροὶ τυγχάνουσιν ὄντες τὴν τοῦ Θεοῦ πρόνοιαν εἰς κτίσμα κατασπῶντες οἱ τὰς προόδους ταύτας καὶ ἐνεργείας τιθέμενοι κτιστάς; ἡ γὰρ οὐσιοποιός, καὶ ζωοποιός, καὶ σοφοποιός, καὶ ἁπλῶς ἡ ποιητική, καὶ συνεκτικὴ τῶν κτιστῶς ὄντων ἐνέργειά ἐστι τὰ θεῖα θελήματα, καὶ αἱ θεῖαι αὗται



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μετοχαὶ καὶ δωρεαὶ τῆς πάντων αἰτίας ἀγαθότητος.

πη'. Ἡ μὲν οὖν τοῦ αὐτοεῖναι μετοχή, κατ' οὐδένα τρόπον οὐδενὸς μετέχει· ὡς καὶ ὁ Μέγας Διονύσιός φησιν· αἱ δ' ἄλλαι μετοχαί, ἢ μέτεισι μετοχαί τε καὶ ἀρχαὶ τῶν ὄντων, μετέχουσι τὸ παράπαν οὐδενός. οὐδὲ γὰρ ἡ πρόνοια προνοίας, οὐδ' ἡ ζωὴ ζωῆς μετείληχεν. ἢ δ' ἔχουσι τὸ εἶναι, μετέχειν λέγονται τοῦ αὐτοεῖναι· ὡς χωρὶς αὐτοῦ μὴ οὖσαι μηδὲ μετεχόμεναι· καθάπερ οὐδ' ἡ πρόγνωσις χωρὶς τῆς γνώσεως. διὸ ὡς αὐτομετοχαί, οὐδαμῶς εἰσι κτισταί. ταῦτ' ἄρα καὶ κατὰ τὸν Θεῖον Μάξιμον, οὐδέποτε τοῦ εἶναι ἤρξαντο. καὶ περὶ τὸν Θεὸν οὐσιωδῶς θεωροῦνται. καὶ οὐκ ἦν ὅτε οὐκ ἦσαν. οἱ δὲ ἐναντίοι, τὴν αὐτοζωήν, καὶ αὐτοαγαθότητα, καὶ τὰ τοιαῦτα δυσσεβῶς νομίζοντες κτιστά, ὅτι μετέχει τῆς τῶν ὄντων κοινῆς ἐπωνυμίας. οὐ συνορῶσιν, ὡς εἰ καὶ ὄντα λέγεται, ἀλλὰ καὶ ὑπὲρ τὰ ὄντα ἐστί. καθάπερ αὐτός φησιν ὁ Μέγας Διονύσιος· ῥαδίως δ' αὖ οἱ διὰ τοῦτο τὰς αὐτομετοχὰς τοῖς κτίσμασι συντάττοντες, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἡγήσαντο κτιστόν· τοῦ Μεγάλου Βασιλείου λέγοντος, μετέχειν αὐτὸ τῶν θεοπρεπῶν ὀνομάτων.

πθ'. Εἰ δέ τις φαίη μόνην τὴν αὐτοΰπαρξιν εἶναι μετοχήν, ὡς μόνην μὴ μετέχουσαν, ἀλλὰ μετεχομένην μόνον· αἱ γὰρ ἄλλαι μετέχουσιν αὐτῆς· γνώτω μὴ συνετῶς διανοούμενος περὶ τῶν ἄλλων μετοχῶν, τὰ γὰρ ζῶντα, ἢ τὰ ἅγια, ἢ τὰ ἀγαθά, οὐ διὰ τὸ ἁπλῶς εἶναι, καὶ τῆς αὐτοϋπάρξεως μετέχειν, ζῆν λέγεται μεθέξει, καὶ ἁγιάζεσθαι καὶ ἀγαθύνεσθαι· ἀλλὰ τῷ τῆς αὐτοζωῆς μετέχειν, καὶ αὐτοαγιότητος, καὶ αὐτοαγαθότητος, ἡ δὲ αὐτοαγαθότης ἢ καὶ τἄλλα τὰ τοιαῦτα, οὐκ ἄλλης αὐτοζωῆς μεθέξει γίνεται αὐτοζωή. διὸ καὶ καθὸ αὐτοζωή, τῶν μετεχομένων, ἀλλ' οὐ τῶν μετεχόντων ἐστί. τὸ δὲ μὴ μετέχον ζωῆς, ἀλλ' αὐτὸ μετεχόμενον καὶ ζωοποιοῦν τὰ ζῶντα, πῶς ἂν εἴη κτίσμα; κἀπὶ τῶν ἄλλων μετοχῶν ὁμοίως.

ϟ'. Συμφθεγγέσθω καὶ ἡμῖν καὶ Μάξιμος ὁ Θεῖος, τὴν ποιητικὴν τῶν ὄντων πρόνοιαν τὰς προόδους εἶναι ταύτας τοῦ Θεοῦ, γράφων ἐν σχολίοις· κοιναὶ δέ εἰσι τῆς Τρισυποστάτου διακεκριμένης ἑνάδος, αἱ δημιουργικαὶ πρόνοιαί τε καὶ ἀγαθότητες· τουτέστιν αἱ οὐσιώσεις, αἱ ζωώσεις, αἱ σοφοποιήσεις. τῷ μὲν οὖν πολλὰς φάναι ταύτας καὶ διακεκριμένας, ἔδειξε μὴ τὴν οὐσίαν οὔσας ταύτας τοῦ Θεοῦ. μία γὰρ αὕτη καὶ παντάπασιν ἀδιαίρετος. ἐπεὶ δὲ κοινὰς ἔφη τῆς Τρισυποστάτου διακεκριμένης ἑνάδος, οὐδὲ τὸν Υἱὸν εἶναι, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον παρέστησεν ἡμῖν. τούτων γὰρ οὐδὲν τῶν τριῶν ἐνέργεια κοινή. τῷ δὲ μὴ μόνον προνοίας ταύτας φάναι καὶ ἀγαθότητας, ἀλλὰ καὶ δημιουργικάς, ἀκτίστους ὑπαρχούσας ἔδειξεν. εἰ γὰρ μή, δεδημιουργημένον ἔσται τὸ δημιουργικόν. οὐκοῦν ἑτέρῳ δεδημιουργηκῷ· κἀκεῖνο πάλιν ἑτέρῳ δεδημιουργημένον ἔσται. καὶ πρὸς τὸ εἰς ἔσχατον τοῦτ' ἐλαύνειν ἀτοπίας, οὐδ' ἐπ' ἄπειρον στήσεται βαδίζον. αἱ τοῦ Θεοῦ ἄρα πρόοδοι καὶ ἐνέργειαι ἄκτιστοί τε εἰσι, καὶ οὐσία τίς τούτων οὐκ ἔστιν, ἀλλ' οὐδὲ ὑπόστασις.

ϟα'. Ἐπεὶ δὲ καὶ πολυειδὲς ὑπέστησε τὸ πᾶν ὁ προαγωγεὺς καὶ κοσμήτωρ τοῦ παντός, ἀνεικάστῳ ἀγαθότητος ὑπερβολῇ, τὰ μὲν εἶναι μόνον ἐθελήσας, τὰ δὲ πρὸς τὸ εἶναι κεκτῆσθαι καὶ ζωήν. καὶ τὰ μὲν νοερᾶς ταύτης ἀμοιρεῖν· τὰ δὲ μόνης ἀπολαύειν τῆς κατ' ἀμφοτέρων. ἔστι δ' ἃ καὶ μικτὴν ταύτην ἐξ ἀμφοτέρων ἐσχηκέναι· καὶ τῶν λογικὴν καὶ νοερὰν παρ' αὐτοῦ λαβόντων τὴν ζωήν, τῇ πρὸς αὐτὸν ἐθελουσίῳ νεύσει τῆς αὐτοῦ ἑνώσεως ἐπιτυγχάνειν, καὶ ζῆν οὕτω θείως καὶ ὑπερφυῶς, τῆς αὐτοῦ κατηξιωμένα θεωρ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γοῦ χάριτος καὶ ἐνεργείας. ἡ γὰρ αὐτοῦ θέλησις, γένεσίς ἐστι τοῖς οὖσιν, ἢ προαγομένοις ἐκ μὴ ὄντων, ἢ βελτιουμένοις. καὶ τοῦτο διαφόρως. διὰ ταύτην τὴν ἐπὶ τὰ ὄντα τοῦ θείου θελήματος διαφορὰν ἡ μία ἐκείνη πρόνοια καὶ ἀγαθότης ταὐτὸ δ' εἰπεῖν, ἡ δι' ἀγαθότητα πρὸς τὰ καταδεέστερα τοῦ Θεοῦ ἐπιστροφή· πολλαὶ πρόνοιαί τε καὶ ἀγαθότητες, καί εἰσι καὶ λέγονται παρὰ τῶν θεοσόφων θεολόγων, ἀμερίστως ἐν τοῖς μεριστοῖς μεριζόμεναι καὶ ποικιλλόμεναι. ὡς τὴν μὲν προγνωστικὴν τοῦ Θεοῦ δύναμιν καλεῖσθαι· τὴν δὲ δημιουργικήν τε καὶ συνεκτικήν. τούτων δ' αὖ κατὰ τὸν Μέγαν Διονύσιον, τὰς μὲν οὐσιώσεις, τὰς δὲ ζωώσεις, τὰς δὲ σοφοποιήσεις. ἑκάστη δὲ τούτων, κοινή ἐστι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. καὶ κατ' αὐτὴν ἑκάστην τῶν περὶ ἡμᾶς ἀγαθῶν καὶ θείων θελήσεων, ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐστίν, ἡ οὐσιοποιὸς καὶ ζωοποιὸς καὶ σοφοποιὸς ἐνέργειά τε καὶ δύναμις· ἃς καὶ ἀχρόνως μεταδόσεις, καὶ ἀμειώτως προσείρηκε· τῶν κτιστῶν ὁμοῦ τε πάντων ἐξαίρων, καὶ φυσικῶς ἑνοῦσαι δεικνὺς τῷ μεταδιδόντι.

ϟβʹ. Ὥσπερ ὁ ἥλιος, ἀμειώτως τοῖς μετέχουσι μεταδιδοὺς θέρμης καὶ φωτός, ἐμφύτους ταῦτ' ἔχει καὶ οὐσιώδεις ἐνεργείας, οὕτω καὶ αἱ θεῖαι μεταδόσεις, ἀμειώτως ἑνοῦσαι τῷ μεταδιδόντι, φυσικαὶ καὶ οὐσιώδεις ἐνέργειαί εἰσιν αὐτοῦ. πιγχροῦν καὶ ἄκτιστοι. καθάπερ δὲ τοῦ μὲν ἡλιακοῦ φωτός, οὐδ' ἴχνος ὑπολείπεται τοῦ ἡλίου ὄντος ὑπὸ γῆν, καὶ τοὺς ὑπὲρ γῆν ἐπιλιπόντος, οὐδ' ἔτι τὸ τῆς αὐγῆς ταύτης ἀπολαῦον ὄμμα μὴ ἀνακεκρᾶσθαι πρὸς αὐτήν, καὶ δι' αὐτῆς ἑνοῦσθαι τῷ βλύζοντι τὸ φῶς· ἡ δ' ἐκεῖθεν θέρμη καὶ ὅσα ἐξ αὐτῆς τελεῖται συμβαλλομένης πρὸς γένεσίν τε καὶ αὔξησιν τοῖς αἰσθητοῖς· καὶ τὴν τῶν χυμῶν καὶ ποιοτήτων πολυειδῆ διαφοράν, οὐκ ἐπιλείπει ταῦτα, κἂν μὴ τὸ συναφὲς ἔχῃ διὰ τῆς ἀκτῖνος πρὸς τὸν ἥλιον· τὸν αὐτὸν τρόπον ὡς κατ' ἀμυδρὰν ἐν αἰσθητοῖς εἰκόνα, τῶν ἐπιβαλλόντων μόνων τῷ ὑπερφυεῖ καὶ θειοτάτῳ φωτί, τῆς θεοποιοῦ χάριτος εἰλικρινῶς μετέχειν, καὶ δι' αὐτῆς ἑνοῦσθαι τῷ Θεῷ. τὰ δ' ἄλλα πάντα, τῆς δημιουργικῆς ἐνεργείας εἰσὶν ἀποτελέσματα· χάριτι μὲν ἐκ μὴ ὄντων προηγμένα, δηλονότι δωρεάν· οὐ κατηγλαϊσμένα δὲ τῇ χάριτι· ἥτις τῆς τοῦ Θεοῦ λαμπρότητος ἐπώνυμόν ἐστιν.

Ἡ τοῦ Θεοῦ λαμπρότης αὕτη καὶ θεοποιὸς ἐνέργεια· ἧς τὰ μετέχοντα θεοῦται, ϟγʹ.
θεία τίς ἐστι χάρις, ἀλλ' οὐχ ἡ φύσις τοῦ Θεοῦ· οὐχ ὡς ἀποῦσα τῶν κεχαριτωμένων, κατὰ τὴν τῶν ἐναντίων ληρώδη συκοφαντίαν· πανταχοῦ γὰρ ἡ φύσις τοῦ Θεοῦ· ἀλλ' ὡς οὐκ οὖσα μεθεκτή· μηδενὸς ὄντος κτιστοῦ, καθὰ προϋποδέδεικται, τοῦ δυνηθέντος αὖ μεταλαχεῖν αὐτῆς. καὶ ἡ θεία ἐνέργεια καὶ χάρις τοῦ πνεύματος, πανταχοῦ παροῦσα, καὶ ἀχώριστος αὐτοῦ διατελοῦσα, τοῖς δι' ἀκαθαρσίαν ἀνεπιτηδείοις πρὸς μετάληψιν, ἀμέθεκτός ἐστιν ὥσπερ ἀποῦσα. ὥσπερ γάρ φησιν αἱ τῶν προσώπων ἐμφάσεις, οὐκ ἐν πάσαις ταῖς ὕλαις γίνονται, ἀλλ' ἐν ταῖς λειότητά τινα καὶ διαφάνειαν κεκτημέναις· οὕτως οὐκ ἐν πάσαις ταῖς ψυχαῖς ἡ τοῦ πνεύματος ἐνέργεια, ἀλλ' ἐν ταῖς μηδὲν σκολιὸν ἐχούσαις, μηδὲ στραγγαλιῶδες. καὶ πάλιν· πᾶσι μὲν πάρεστι τὸ Πνεῦμα τὸ Ἅγιον· ἀλλὰ τοῖς μὲν καθαρεύουσι τῶν παθῶν, τὴν ἰδίαν ἐμφαίνει δύναμιν· τοῖς δὲ τὸ ἡγεμονικὸν συγκεχυμένον ἔχουσιν ἀπὸ τῶν τῆς ἁμαρτίας σπίλων, οὐκ ἔτι.

Καθάπερ τὸ τοῦ ἡλίου φῶς, τῆς ἀκ- ϟδʹ.
τῖνος, καὶ τῆς δι' αὐτῆς χορηγουμένης θέρμης ἀχώριστόν ἐστιν· ἀλλὰ τῶν ὑπολαβόντων τοὺς ὀφθαλμοὺς μὴ κεκτημένοις,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀμέθεκτόν ἐστι τὸ φῶς· τῆς παρὰ τῆς ἀκτῖνος μόνης ἀντιλαμβανομένης θέρμης· οὐ γάρ ἐστιν ὅλως ἀντίληψιν φωτὸς γενέσθαι τοῖς τῶν ὀμμάτων ἀμοιροῦσιν· οὕτω καὶ πολλῷ μᾶλλον, οὐδενὶ τῶν τῆς θείας αἴγλης ἀπολαυόντων ἔσται μέθεξις τῆς οὐσίας τοῦ κτίσαντος. οὐ γάρ ἐστιν οὐκ ἔστι τῶν κτισμάτων οὐδέν, ὃ δύναμιν ἴσχει δεκτικὴν τῆς τοῦ κτίσαντος φύσεως.

ϙε΄. Συμμαρτυρείτω δὲ κἀνταῦθα ἡμῖν τὸ μήτε κτιστήν, μήτ' οὐσίαν εἶναι τοῦ Θεοῦ τὴν μετεχομένην θείαν ἐνέργειαν, καὶ ὁ τοῦ Χριστοῦ Βαπτιστὴς Ἰωάννης, σὺν Ἰωάννῃ τῷ μᾶλλον τῶν ἄλλων πεφιλημένῳ τῷ Χριστῷ μαθητῶν, καὶ τῷ χρυσῷ τὴν γλῶτταν Ἰωάννῃ· ὁ μὲν ἱστορῶν τε καὶ συγγραφόμενος· ὁ δὲ τοῦ Χριστοῦ Πρόδρομος καὶ Βαπτιστὴς λέγων, οὐκ ἐκ μέτρου δίδοσθαι παρὰ Θεοῦ Πατρὸς τὸ πνεῦμα τῷ Χριστῷ· ὁ δὲ χρυσορρήμων, ἐξηγούμενος καὶ γράφων, ὅτι τὸ πνεῦμα ἐνταῦθα τὴν ἐνέργειαν λέγει. πάντες γὰρ ἡμεῖς, μέτρῳ τὴν τοῦ πνεύματος ἐνέργειαν λαμβάνομεν. ἐκεῖνος δὲ ἀμέτρητον καὶ ὁλόκληρον ἔχει πᾶσαν τὴν ἐνέργειαν. εἰ δὲ ἡ ἐνέργεια αὐτοῦ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία. Τὸ μὲν γὰρ εἰπεῖν πνεῦμα τὴν ἐνέργειαν, μᾶλλον δὲ αὐτὸ τὸ πνεῦμα τοῦ Θεοῦ ὡς ὁ Βαπτιστὴς εἶπε, καὶ τῷ ἀμέτρητον εἶναι ταύτην, τὸ ἄκτιστον αὐτῆς παρέστησεν· τῷ δὲ μέτρῳ ταύτην ἡμᾶς λαμβάνειν, τὴν πρὸς τὴν ἄκτιστον οὐσίαν τῆς ἀκτίστου ἐνεργείας διαφοράν. οὐδεὶς γὰρ οὐδέποτε τὴν οὐσίαν τοῦ Θεοῦ λαμβάνει. ἀλλ' οὐδὲ εἰ πάντας ὁμοῦ συλλαβὼν εἴποις, καὶ ταῦτα μεριστῶς κατὰ λόγον τῆς ἑαυτοῦ καθάρσεως ἕκαστος. προϊὼν δὲ ὁ Χρυσόστομος Πατήρ, καὶ ἑτέραν διαφορὰν δείκνυσι τῆς ἀκτίστου οὐσίας πρὸς τὴν ἄκτιστον ἐνέργειαν· Εἰ δὲ ἡ ἐνέργεια λέγων τοῦ πνεύματος ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία. ...

ϙϛ΄. Εἰ κατὰ τοὺς τῶν ἐναντίων λήρους, καὶ τοὺς κατ' αὐτοὺς φρονοῦντας, μηδὲν διαφέρει τῆς θείας οὐσίας ἡ θεία ἐνέργεια, καὶ τὸ ποιεῖν, ὃ τῆς ἐνεργείας ἐστί, κατ' οὐδὲν διοίσει τοῦ γεννᾶν καὶ ἐκπορεύειν, ἃ τῆς οὐσίας ἐστίν. εἰ δὲ τὸ ποιεῖν τοῦ γεννᾶν καὶ ἐκπορεύειν οὐ διενήνοχε, καὶ τὰ ποιήματα κατ' οὐδὲν διοίσει τοῦ γεννήματος καὶ τοῦ προβλήματος. εἰ δὲ τοῦθ' οὕτως ἔχει κατ' αὐτούς, ὅτε τοῦ Θεοῦ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, κατ' οὐδὲν διοίσει τῶν κτισμάτων. καὶ τὰ κτίσματα πάντα ἔσται τοῦ Θεοῦ, καὶ Πατρὸς γεννήματά τε καὶ προβλήματα, καὶ θεοποιηθήσεται ἡ κτίσις. καὶ ὁ Θεὸς συντάξεται τοῖς κτίσμασι. Διὰ τοῦτο ὁ θεῖος Κύριλλος τὴν διαφορὰν ἐπιδεικνὺς τῆς τοῦ Θεοῦ οὐσίας τε καὶ ἐνεργείας, τῆς μὲν θείας φύσεως εἶναί φησι τὸ γεννᾶν, τὸ δὲ ποιεῖν τῆς αὐτοῦ θείας ἐνεργείας. καὶ προσαποφαίνεται σαφῶς λέγων· φύσις δὲ καὶ ἐνέργεια οὐ ταυτόν.

ϙζ΄. Εἰ μηδὲν διαφέρει τῆς θείας ἐνεργείας ἡ θεία οὐσία, καὶ τὸ γεννᾶν καὶ ἐκπορεύειν, οὐδὲν διοίσει τοῦ ποιεῖν. ποιεῖ δὲ ὁ Θεὸς καὶ Πατὴρ δι' Υἱοῦ ἐν Ἁγίῳ Πνεύματι. ὥστε καὶ γεννᾷ καὶ ἐκπορεύει, κατὰ τὴν τῶν ἐναντίων δόξαν καὶ τῶν κατ' αὐτούς, δι' Υἱοῦ ἐν Ἁγίῳ Πνεύματι.

ϙη΄. Εἰ μηδὲν διαφέρει, ἡ θεία οὐσία τῆς θείας ἐνεργείας, οὐδὲ τῆς θελήσεως διενήνοχε, καὶ ἔσται ὁ μόνος ἐκ τῆς οὐσίας τοῦ Πατρὸς γεγεννημένος, καὶ ἐκ τῆς θελήσεως κατ' αὐτούς, ὡς ἔοικε, πεποιημένος.

ϙθ΄. Εἰ μηδὲν διαφέρει τῆς θείας ἐνεργείας ἡ τοῦ Θεοῦ οὐσία, μαρτυρεῖται δὲ παρὰ τῶν θεοφόρων ὅτι καὶ ἐνεργείας πολλὰς ἔχει ὁ Θεός, ὡς καὶ δημιουργικὰς προνοίας εἶναι τούτου καὶ ἀγαθότητας, καθάπερ ἀνωτέρω δέδεικται, καὶ πολλὰς λοιπὸν οὐσίας ἔχει ὁ Θεός· ὃ μηδεὶς πώποτ' εἶπεν, ἢ ἐφρόνησε τοῦ χριστωνύμου γένους.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ρ΄. Εἰ μηδὲν διαφέρουσι τῆς θείας οὐσίας αἱ τοῦ Θεοῦ ἐνέργειαι, οὐδὲ πρὸς ἀλλήλας ἕξουσι διαφοράν. οὐκοῦν τῆς τοῦ Θεοῦ προγνώσεως οὐδὲν διενήνοχεν ἡ θέλησις· ὥστ᾿ ἢ μὴ πάντα προγινώσκειν τὸν Θεόν, οὐδὲ γὰρ πάντα θέλει τὰ γινόμενα, ἢ θελητὴν εἶναι καὶ τῶν πονηρῶν, ἐπειδὴ πάντα προγινώσκει. καὶ ἢ μὴ εἶναι πάντα προειδότα, ταυτὸν δ᾿ εἰπεῖν, οὐδὲ Θεόν. ἢ μὴ εἶναι ἀγαθόν, ταυτὸν δ᾿ εἰπεῖν οὐδὲ Θεόν. διαφέρει τοιγαροῦν τῆς θείας θελήσεως ἡ πρόγνωσις, οὐκοῦν καὶ τῆς θείας οὐσίας ἑκατέρα τούτων.

ρα΄. Εἰ μὴ πρὸς ἀλλήλας ἔχουσι διαφορὰν αἱ θεῖαι ἐνέργειαι, καὶ τὸ δημιουργεῖν λοιπὸν τοῦ προγινώσκειν οὐ διενήνοχεν. ἐπεὶ οὖν ἤρξατό ποτε ὁ Θεὸς δημιουργεῖν καὶ προγινώσκειν, ἤρξατο λοιπόν. καὶ πῶς Θεός, ὁ μὴ πρὸ αἰώνων τὰ πάντα προειδώς;

ρβ΄. Εἰ μηδὲν διαφέρει τῆς θείας προγνώσεως ἡ τοῦ Θεοῦ δημιουργικὴ ἐνέργεια, τῇ προγνώσει τοῦ Θεοῦ σύνδρομα ἔσται τὰ δημιουργήματα· δημιουργούμενα ἀνάρχως, ὡς ἀνάρχως αὐτοῦ δημιουργοῦντος· ἐπεὶ καὶ ἀνάρχως αὐτός τε προγινώσκει, καὶ τὰ προγινωσκόμενα ἀνάρχως προγινώσκεται. καὶ πῶς Θεός; τῶν ποιημάτων αὐτοῦ μηδαμῶς ὑστέρων ὄντων;

ργ΄. Εἰ μηδὲν διαφέρει τῆς τοῦ Θεοῦ προγνώσεως ἡ δημιουργικὴ ἐνέργεια, οὐδὲ τὸ δημιουργεῖν ὑπόκειται θελήσει, ἐπεὶ δὲ ἡ πρόγνωσις· οὐδὲ τῷ θέλειν δημιουργεῖ Θεός, ἀλλὰ τῷ πεφυκέναι μόνον. καὶ πῶς Θεός, ὁ θελήσεως δημιουργῶν χωρίς;

ρδ΄. Ὁ Θεός, αὐτὸς μέν ἐστιν ἐν ἑαυτῷ. ὡς τῶν τριῶν θείων ὑποστάσεων, συμφυῶς καὶ ἀϊδίως ἐχομένων ἀλλήλων, καὶ ἀφύρτως περιχωρουσῶν εἰς ἀλλήλας· ἐν τῷ παντὶ δέ ἐστιν ὁ Θεός· καὶ τὸ πᾶν ἐν τῷ Θεῷ. ὁ μὲν ὡς συνέχων· τὸ δὲ ὡς ὑπ᾿ αὐτοῦ συνεχόμενον. οὐκοῦν καὶ τῆς συνεκτικῆς ἐνεργείας, ἀλλ᾿ οὐχὶ τῆς οὐσίας τὰ πάντα μετέχει τοῦ Θεοῦ. Ταῦτ᾿ ἄρα καὶ οἱ Θεολόγοι, ἐνέργειάν φασι Θεοῦ εἶναι, τὸ εἶναι τοῦτον πανταχοῦ.

Καὶ οἱ τῷ Θεῷ εὐαρεστήσαντες, καὶ τοῦ δι᾿ ὃ γεγόνασιν ἐπιτυχόντες, τουτέστι τῆς θεώσεως. Εἰς τοῦτο γάρ φασι πεποίηκεν ἡμᾶς ὁ Θεός, ἵνα κοινωνοὺς ποιήσῃ τῆς οἰκείας θεότητος. καὶ οἱ τοιοῦτοι τοίνυν ἐν τῷ Θεῷ εἰσὶν ὡς ὑπ᾿ αὐτοῦ θεοποιούμενοι, καὶ ὁ Θεὸς ἐν αὐτοῖς, ὡς θεοποιῶν αὐτούς ἐστιν. οὐκοῦν καὶ αὐτοὶ τῆς θείας ἐνεργείας, εἰ καὶ τρόπον ἕτερον, ἀλλ᾿ οὐχὶ τῆς οὐσίας τοῦ Θεοῦ μετέχουσι. Διὸ καὶ οἱ Θεολόγοι, τῆς θείας ἐνεργείας εἶναι ὄνομα τὴν θεότητα φασίν. ρε΄.

Ἡ ὑπερούσιος, καὶ ὑπέρζωος, καὶ ὑπέρθεος, καὶ ὑπεράγαθος φύσις, ἡ ὑπεράγαθός ἐστι καὶ ὑπέρθεος καὶ τὰ τοιαῦτα, οὔτε λέγεται, οὔτε νοεῖται, οὔτε ὅλως πως θεωρεῖται, ἀλλὰ τὸ πάντων ἐξῃρημένη, καὶ ὑπεράγνωστος εἶναι, καὶ τῶν ὑπερουρανίων νόων ὑπεριδρυμένη ἀπεριλήπτῳ δυνάμει, καὶ πᾶσι πάντῃ ἄληπτός τε καὶ ἄρρητος ἀεί. οὐδὲ γὰρ ὄνομά ἐστιν αὐτῆς κατὰ τὸν νῦν αἰῶνα, ἢ κατὰ τὸν μέλλοντα ὀνομαζόμενον· οὐ λόγος ἐν ψυχῇ συνιστάμενος, ἢ διὰ γλώττης προφερόμενος· οὐκ ἐπαφή τις, καὶ μέθεξις αἰσθητή, ἢ νοερά· ἀλλ᾿ οὐδὲ φαντασία ὅλως. Διὸ οἱ Θεολόγοι πλησιεστέραν αὐτῇ μᾶλλον τίθενται, τὴν διὰ ἀποφάσεων τελεωτάτην ἀκαταληψίαν· ὡς πάντα ὅσα ἐστίν, ἢ ὅλως λέγεται, ὑπεροχικῶς ἀφῃρημένην. καὶ τοίνυν, οὐδὲ οὐσίαν αὐτήν, ἢ φύσιν, ὀνομάσαι θεμιτόν, ὀνομάζοντα κυρίως, ὅστις ὑπὲρ πᾶσαν ἀλήθειαν ἀληθείας ἐπιγνώμων. ἐπεὶ δὲ αὖθις πάντων ἐστὶν αἰτία, καὶ περὶ αὐτὴν πάντα, καὶ αὐτῆς ἕνεκα, καὶ αὐτή ἐστι πρὸ πάντων, καὶ ἁπλῶς καὶ ἀπεριορίστως ἐν ἑαυτῇ ἅπαντα προείληφεν, ἐκ πάντων αὐτὴν ὀνομαστέον, κα- ρς΄.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καταχρηστικῶς, ἀλλ' οὐ κυρίως. οὐκοῦν καὶ οὐσίαν αὐτὴν καὶ φύσιν προσρητέον. κυρίως δὲ τὴν οὐσιοποιὸν τοῦ Θεοῦ πρόοδόν τε καὶ ἐνέργειαν. ταύτην γὰρ τὴν ὄντως οὖσαν τοῦ ὄντως ὄντος θεολογικὴν οὐσιωνυμίαν, καὶ ὁ Μέγας Διονύσιος φησίν.

ρζ΄. Εὕροι τις αὖ τὴν τῆς φύσεως προσηγορίαν, κἀπὶ τῶν φυσικῶς προσόντων τιθεμένην· ἐπί τε τῶν κτιστῶν ὄντων, καὶ ἐπὶ τοῦ Θεοῦ. ὡς καὶ ὁ τῶν Γρηγορίων θεολογικώτατος φησί που τῶν ἐπῶν· ἧδε γὰρ ἄνακτος ἐμοῦ φύσις ὄλβον ὀπάζειν. οὐδὲ γὰρ τὸ διδόναι φύσις ὁπωσοῦν· ἀλλὰ φυσικῶς πρόσεστι τῷ εὐεργετικῷ. κἀπὶ τοῦ πυρὸς δὲ φαίη τις ἄν, φύσιν ἔχειν ἀνωφερὲς εἶναι, καὶ φῶς ἐνιέναι τοῖς ὁρῶσιν. ἀλλ' οὐχ ἡ κίνησις αὐτοῦ φύσις, οὐδὲ τὸ ἐμποιεῖν ἁπλῶς, ἀλλ' ἡ τῆς κινήσεως ἀρχή. λέγεται τοιγαροῦν καὶ τὰ φυσικὰ φύσις· ὡς καὶ αὐτὸς ὁ Μέγας Διονύσιος ἀλλαχοῦ φησί, φύσις γράφων τοῦ ἀγαθοῦ τὸ παράγειν καὶ σώζειν. δηλονότι φυσικῶς τοῦτο πρόσεστιν αὐτῷ. καὶ τοίνυν ὅταν ἀκούσῃς τῶν Πατέρων ἀμέθεκτον λεγόντων τὴν οὐσίαν τοῦ Θεοῦ, ἐκείνην μοι νόει τὴν ἀνεκφοίτητόν τε καὶ ἀνέκφαντον. ὅταν δ' αὖθις μεθεκτήν, νόει μοι τὴν φυσικῶς προσοῦσαν τῷ Θεῷ πρόοδον, καὶ τὴν ἔκφανσιν, καὶ τὴν ἐνέργειαν. καὶ οὕτως φέρων ἀμφότερα, ὁμόλογος ἔσῃ τοῖς πατράσι.

ρη΄. Τὸ μέρος τῆς οὐσίας καὶ τὸ βραχύτατον, πάσας ἔχει τὰς αὐτῆς δυνάμεις. ὡς καὶ ὁ σπινθὴρ λαμπρόν τε καὶ φωτιστικόν ἐστι, διακριτικόν τε καὶ καυστικὸν τῶν ἐγγιζόντων· αὐτοκίνητόν τε φύσει καὶ ἀνωφερές. καὶ ἁπλῶς ὅσα καὶ τὸ πῦρ, οὗ μόριόν ἐστι. καὶ ἡ σταγὼν τὰ πάντ' ἔχει ὅσα καὶ τὸ ὕδωρ οὗ ἐστι σταγών. καὶ ἡ βῶλος, ὅσα καὶ τὸ μέταλλον κέκτηται, οὗπερ ἀπόρρωξ τυγχάνει. τοιγαροῦν εἴπερ τῆς ἀνεκφάντου ἐκείνης οὐσίας τοῦ Θεοῦ μετέχομεν, κἂν εἰ πάσης, κἂν εἰ μορίου μετέχῃ τις αὐτῆς, παντοδύναμος ἔσται. καὶ ἕκαστος τῶν ὄντων ἕκαστος ἔσται παντοδύναμος· ὃ μηδὲ πάντες ἔχομεν ὁμοῦ, κἂν πᾶσαν τὴν κτίσιν συμπεριλαβὼν εἴπῃς. τοῦτο δεικνὺς ὁ Παῦλος ἐκ περιουσίας, καὶ αὐτοῖς τοῖς εὐμοιρηκόσι τῶν θεοποιῶν χαρισμάτων τοῦ Πνεύματος, οὐ πάνθ' ἑκάστῳ προσεῖναι μαρτυρεῖ τὰ χαρίσματα τοῦ Πνεύματος· ἀλλὰ τῷ μὲν φησὶ δίδοται λόγος σοφίας, τῷ δὲ λόγος γνώσεως· ἄλλῳ δὲ ἄλλο τι κατὰ τὸ αὐτὸ πνεῦμα. ὁ δὲ Χρυσόστομος Πατήρ, φανερῶς προαναστέλλων τὴν τῶν ἐναντίων πλάνην· οὐ πάντα τις ἔχει φησίν, ἵνα μὴ φύσιν εἶναι τὴν χάριν νομίσῃς. ἀλλ' οὐδὲ κτίσιν ἡγήσαιτό τις νοῦν ἔχων, τὴν ἀντιδιεσταλμένην ὧδε χάριν τῆς θείας φύσεως· ὅτι τε Θεοῦ φύσιν οὐκ ἄν ποτέ τις δείσειε μή τις τὸ κτίσμα νομίσῃ. καὶ ὅτι εἰ καὶ διεστήκει τῆς θείας φύσεως, οὐδ' ἀποσπᾶται ταύτης ἡ τοῦ Πνεύματος χάρις· ἐπισπᾶται δὲ μᾶλλον τοὺς ἠξιωμένους πρὸς τὴν συνάφειαν τοῦ θείου Πνεύματος.

Ἡ οὐσία παρ' ὅσων ἐστὶ μετεχομένη, ρθ΄.
τοσαύτας καὶ τὰς ὑποστάσεις ἔχει. καὶ γὰρ ὁπόσας ἂν λαμπάδας ἀνάψοι τις ἀπὸ τῆς μιᾶς, τοσαύτας καὶ τὰς ὑποστάσεις τοῦ πυρὸς ἐποίησεν. συμβαίνει τοίνυν, εἴπερ κατὰ τοὺς ἡμῖν ἀντικειμένους ἡ οὐσία τοῦ Θεοῦ μετέχεται, καὶ ταύτῃ παρὰ πάντων, μηκέτι τρισυπόστατον εἶναι ταύτην, ἀλλὰ μυριοϋπόστατον. τίς δὲ καὶ τῶν τοῖς θείοις δόγμασιν ἐντεθραμμένων οὐκ ἐπίσταται Μασσαλιανῶν εἶναι τοῦτο τὸ παράληρμα· τῆς οὐσίας τοῦ Θεοῦ μετεσχηκέναι τοὺς εἰς ἄκρον τῆς κατ' αὐτοὺς ἀρετῆς ἐληλακότας· ὧν τὴν βλασφημίαν οἱ ἀντικείμενοι, καὶ ὑπερβαλέσθαι φιλοτιμούμενοι, οὐ τοὺς κατ' ἀρετὴν μόνον διενεγκόντας τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἁπλῶς ξύμπαντας τῆς θείας οὐσίας φασὶ μετέχειν,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀνυπάρκτῳ προφάσει, τὸ παρεῖναι ταύτην πανταχοῦ. ὁ δὲ πολὺς ἐν Θεολογίᾳ Γρηγόριος, τὰς φρενοβλαβεῖς τούτων τε κἀκείνων δόξας πόρρωθεν ἀνασκευάζων, Χριστός φησι διὰ τὴν θεότητα. χρίσις γὰρ αὕτη τῆς ἀνθρωπότητος· οὐκ ἐνεργείᾳ κατὰ τοὺς ἄλλους Χριστοὺς ἁγιάζουσα, παρουσίᾳ δὲ ὅλου τοῦ χρίοντος. καὶ οἱ θεόσοφοι δὲ Πατέρες, κοινῇ συνεληλυθότες ἀπεφήναντο γ᾽ ἐνοικεῖν μὲν τὴν θεότητα τοῖς ὡς χρεὼν κεκαθαρμένοις, ἀλλ' οὐχ ὡς ἔχει φύσεως· οὔτε τοίνυν κατὰ τὴν οὐσίαν, οὔτε καθ' ὑπόστασιν τινὰ μέτοχός τις γίνεται Θεοῦ. μερίζεται γὰρ τούτων ἑκάτερον οὐδ' ὁπωσοῦν, οὐδὲ μεταδίδοται τοπαράπαν οὐδενί. Διὸ καὶ πᾶσι παντάπασιν ἀχώρητος, κατὰ ταῦτα ὁ Θεός· ὃ καὶ πανταχοῦ κατὰ ταῦτα πάρεστιν. ἡ δὲ κοινὴ τῆς τρισυποστάτου φύσεως ἐνέργειά τε καὶ δύναμις, διαφόρως μεριζομένη, καὶ καταλλήλως τοῖς μετέχουσι, διὰ τοῦτο καὶ χωρητὴ γίνεται τοῖς κεκαθαρμένοις· τὸ γὰρ Πνεῦμα τὸ Ἅγιον, κατὰ τὸν Μέγαν φάναι Βασίλειον, οὐχ ἑνὶ μέτρῳ τοῖς ἀξίοις μετεχόμενον ἐστίν, ἀλλὰ κατὰ ἀναλογίαν τῆς πίστεως διαιρεῖ τὴν ἐνέργειαν· ἁπλοῦν μὲν ὂν τῇ οὐσίᾳ, ποικίλον δὲ ταῖς δυνάμεσι.

ρι΄. Τὸ μετέχειν τινὸς λεγόμενον, μέρος ἔχει τοῦ μετεχομένου. κἂν γὰρ εἰ μὴ μέρους, ἀλλὰ τοῦ παντὸς μετέχει, ἔχειν ἂν κυρίως λέγοιτ' ἄν, ἀλλ' οὐχὶ μετέχειν τούτου. μεριστὸν ἄρα τὸ μετεχόμενον ἐστίν, εἴπερ μέρους μετέχειν ἀνάγκη τὸ μετέχον. ἡ δὲ οὐσία τοῦ Θεοῦ παντάπασιν ἐστὶν ἀμέριστος· οὐκοῦν καὶ παντάπασιν ἐστὶν ἀμέθεκτος. τὸ δὲ μερίζεσθαι τῆς θείας ἐνεργείας εἶναι, πολλαχοῦ τῶν λόγων ὁ Χρυσόστομος ἀποφαίνεται Πατήρ. αὕτη τοιγαροῦν ἐστὶν ἡ καὶ παρὰ τῶν ἠξιωμένων τῆς θεουργοῦ χάριτος μετεχομένη. ἄκουσον δὲ αὐτοῦ πάλιν τοῦ τὴν γλῶτταν χρυσοῦ, προδηλότατα διδάσκοντος ἀμφότερα· τό, τε τὴν ἐνέργειαν ἀλλ' οὐ τὴν οὐσίαν εἶναι τὴν μεριζομένην ἀμερίστως, καὶ μετεχομένην· ἀλλ' οὐχὶ τὴν ἀμέθεκτον οὐσίαν, ἐξ ἧς ἡ θεία πρόεισιν ἐνέργεια. προθεὶς γὰρ τὸ Εὐαγγελικὸν ἐκεῖνο, ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. εἰ γὰρ ἐπὶ τοῦ πυρός φησιν, ἔνθα οὐσία τὸ μεριζόμενον καὶ σῶμα, καὶ μερίζομεν, καὶ οὐ μερίζομεν αὐτό, πόσῳ μᾶλλον ἐπὶ τῆς ἐνεργείας, καὶ ἐνεργείας τῆς ἐξ ἀσωμάτου οὐσίας;

Ἔτι τὸ τινὸς μετέχειν κατ' οὐσίαν, ρια΄.
κοινὴν ἀνάγκη μετὰ τοῦ μετεχομένου τὴν οὐσίαν ἔχειν, καὶ κατά τι τὴν αὐτήν. τίς οὖν ποτ' ἤκουσε μίαν εἶναι τοῦ Θεοῦ, καὶ ἡμῶν κατά τι τὴν οὐσίαν; καὶ ταῦτα τοῦ Μεγάλου Βασιλείου λέγοντος· αἱ μὲν ἐνέργειαι τοῦ Θεοῦ πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δὲ οὐσία αὐτοῦ μένει ἀπρόσιτος. καὶ τοῦ θείου Μαξίμου φάσκοντος· πάντα ὅσα ὁ Θεός, καὶ ὁ διὰ τῆς χάριτος τεθεωμένος ἔσται, χωρὶς τῆς κατ' οὐσίαν ταυτότητος. οὐκ ἄρα τῆς θείας οὐσίας ἔνεστι μετέχειν, οὐδ' αὐτοὺς τοὺς διὰ τῆς θείας χάριτος τεθεωμένους· τῆς δὲ θείας ἐνεργείας ἔνεστι μετέχειν. εἰς τοῦτο γάρ με φέρει τὸ μετεωρισθὲν ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ ἰδεῖν καὶ παθεῖν φησὶν ὁ Θεολόγος Γρηγόριος, καὶ ἡ λαμπρότης τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς κατὰ τὸν Ψαλμῳδὸν Προφήτην. καὶ μίαν εἶναι τοῦ Θεοῦ καὶ τῶν Ἁγίων τὴν ἐνέργειαν, ὁ τούτοις ἐνάριθμος Μάξιμος γράφει διαῤῥήδην· καὶ ζώσας εἰκόνας εἶναι τούτους Χριστοῦ, καὶ ταυτὸ μᾶλλον αὐτῷ κατὰ τὴν χάριν, ἢ ἀφομοίωμα.

Ὁ Θεὸς αὐτός ἐστιν ἐν ἑαυτῷ, τῶν ριβ΄.
τριῶν θείων ὑποστάσεων φυσικῶς, ὁλικῶς, ἀϊδίως, καὶ ἀνεκφοιτήτως, ἅμα δὲ καὶ ἀφύρτως, καὶ ἀσυγχύτως ἐχομένων ἀλλήλων, καὶ περιχωρουσῶν εἰς ἀλλήλας, ὡς μίαν εἶναι τούτων καὶ τὴν ἐνέργειαν. ὅπερ ἐπ' οὐδενὸς ἄν τις εὕροι τῶν κτισμάτων.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

(ὁμοία μὲν γὰρ ἐν τοῖς ὁμογενέσιν, ἀλλ᾽ ἑκάστης ὑποστάσεως καθ᾽ ἑαυτὴν ἐνεργούσης, ἰδία καὶ ἡ ἐνέργεια.) οὐκ ἔχει δὲ οὕτως ἐπὶ τῶν τριῶν ἐκείνων θείων, καὶ προσκυνητῶν ὑποστάσεων. ὡς ἀληθῶς γὰρ μία ἐκεῖ καὶ ἡ αὐτή ἐστι. μία γὰρ ἡ τοῦ θείου βουλήματος κίνησις, ἐκ προκαταρκτικοῦ αἰτίου τοῦ Πατρὸς ὁρμωμένη, καὶ διὰ τοῦ Υἱοῦ προϊοῦσα, καὶ ἐν τῷ Ἁγίῳ Πνεύματι προφαινομένη. καὶ τοῦτο δῆλον ἐκ τῶν ἀποτελεσμάτων. ἐντεῦθεν γὰρ πᾶσα φυσικὴ ἐνέργεια καθίσταται γνώριμος. καὶ τοίνυν οὐχ ὥσπερ ὁμοία μὲν, ἄλλη δὲ παρ᾽ ἄλλης χελιδόνος ἐκτελεῖται καλιά· καὶ ἄλλη παρ᾽ ἄλλου γραφέως καταγράφεται σελὶς, κἂν ἐκ τῶν αὐτῶν στοιχείων ᾖ, οὕτω καὶ ἐπὶ Πατρὸς, καὶ Υἱοῦ, καὶ Ἁγίου Πνεύματος, ἴδιον ἀποτέλεσμα παρ᾽ ἑκάστης ὁρᾶται τῶν ὑποστάσεων· ἀλλὰ πᾶσα ἡ κτίσις, τῶν τριῶν ἐστὶν ἔργον ἕν. καὶ ἀπὸ ταύτης μίαν καὶ αὐτὴν τῶν τριῶν προσκυνητῶν προσώπων, ἀλλ᾽ οὐκ ἀποτεταγμένην ἑκάστῳ καὶ ὁμοίαν τοίνυν ὑπὸ τῶν Πατέρων μεμυήμεθα τὴν θείαν ἐνέργειαν.

ριγ΄. Ἐπεὶ ἐν ἀλλήλοις ἀσυγχύτως τε καὶ ἀφύρτως ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον εἰσὶν, ὅθεν ἴσμεν μίαν εἶναι τούτων ἀκριβῶς τὴν κίνησιν καὶ τὴν ἐνέργειαν, ἣν ἔχει ὁ Πατὴρ ἐν ἑαυτῷ ζωὴν ἢ δύναμιν, οὐχ ἕτερον ἐστὶ παρὰ τὸν Υἱόν· ὡς τὴν αὐτὴν ἐκείνῳ καὶ ζωὴν καὶ δύναμιν ἔχοντα· οὕτω δὴ καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. οἱ δὲ νομίζοντες μηδὲν διαφέρειν τῆς θείας οὐσίας τὴν θείαν ἐνέργειαν, ἐπειδήπερ οὐκ ἄλλος, ἀλλ᾽ αὐτός ἐστιν ὁ Θεὸς ἡ ζωὴ ἡμῶν. καὶ αὐτός ἐστιν ὁ μὴ πρὸς ἕτερον, ἀλλὰ καθ᾽ ἑαυτὸν προαιώνιος ζωὴ ὑπάρχων, δυσσεβεῖς τε εἰσὶ καὶ ἀμαθεῖς· ἀμαθεῖς μὲν, ἐπεὶ μήπω ἐδιδάχθησαν, ὅτι καὶ ἡ ἀνωτάτω Τριὰς οὐχ ἕτερος, ἀλλ᾽ αὐτός ἐστιν ὁ Θεός· καὶ οὐδὲν ἐμποδίζει πρὸς τοῦτο, πρὸς τὸ διαφέρειν τῆς Τριάδος τὴν Μονάδα· δυσσεβεῖς δὲ, ὅτι δι᾽ ἀλλήλων ἀναιροῦσι καὶ τὴν οὐσίαν καὶ τὴν ἐνέργειαν. τὸ γὰρ πρὸς ἕτερον, οὐκ ἔστιν οὐσία· καὶ τὸ καθ᾽ ἑαυτὸ, πρὸς ἕτερον οὐκ ἔστιν. εἰ γοῦν ταῦτα μηδὲν διαφέρουσιν ἀλλήλων, δι᾽ ἀλλήλων ἀναιροῦνται. μᾶλλον δὲ τοὺς μηδὲν διαφέρειν ταῦτα λέγοντας, τοῦ καταλόγου τῶν θεοσεβῶν ἐξαίρουσιν.

ριδ΄. Ἀλλ᾽ ἡμεῖς καὶ ζωὴν ἡμῶν κατ᾽ αἰτίαν τε καὶ ἐνέργειαν, ὁμολογοῦμεν εἶναι τὸν τοῦ Θεοῦ Υἱόν· καὶ ζωὴν εἶναι τοῦτον αὐτὸν καθ᾽ ἑαυτὸν, ἀσχέτως τε καὶ ἀπολελυμένως πάντη, καὶ ἀκτίστως ἔχειν τοῦτον ἀμφότερα φαμέν· ὡσαύτως καὶ τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. οὐκοῦν καὶ ἡ ζωὴ ἡμῶν αὕτη, παρ᾽ ἧς ὡς αἰτίας τῶν ζώντων ζωοποιούμεθα, οὐδὲν ἄλλο παρὰ τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐστί. κατ᾽ αἰτίαν γὰρ ὁ Τρισυπόστατος ἡμῶν Θεὸς, ἡμῶν λέγεται ζωή. καὶ εἰ μὴ κατ᾽ αἰτίαν, μηδὲ πρὸς ἕτερον, ἀλλ᾽ ἀσχέτως καὶ καθ᾽ ἑαυτὴν θεολογουμένη ἡ θεία ζωὴ, οὐδὲν ἕτερον παρὰ τὸν Πατέρα, ἀλλὰ δὴ καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐστίν. οὐδαμῶς δὲ τὰ τοιαῦτα προσίσταται, τοῖς ἄκτιστον εἶναι τὸν Θεὸν δοξάζουσι, μὴ κατὰ τὴν οὐσίαν μόνον καὶ τὰς ὑποστάσεις, ἀλλὰ καὶ κατὰ τὴν κοινὴν τῶν Τριῶν θείαν ἐνέργειαν. ἕνα γὰρ Θεὸν ἐν τρισὶν ὑποστάσεσι θεολογοῦμεν· μίαν ἔχοντα τὴν οὐσίαν, καὶ τὴν δύναμιν, καὶ τὴν ἐνέργειαν, καὶ ὅσα ἄλλα περὶ τὴν οὐσίαν θεωρεῖται· ἃ καὶ ἄθροισμα καὶ πλήρωμα λέγεται θεότητος κατὰ τὴν γραφὴν, καθ᾽ ἑκάστην τῶν ἁγίων τριῶν ὑποστάσεων ἐπίσης θεωρούμενα, καὶ θεολογούμενα.

ριε΄. Οἱ τὴν θείαν ταύτην ἀθετοῦντες ἐνέργειαν· καὶ νῦν μὲν κτιστὴν εἶναι λέγοντες, νῦν δὲ τῆς θείας οὐσίας μηδαμῶς

διαφέ-

διαφέρουσαν; ἄλλοτ' αὖθις ἑτέραν καινοτομοῦντες δυσσέβειαν, μόνην ἄκτιστον ἐνέργειαν, τὸν τοῦ Πατρὸς Μονογενῆ δογματίζουσι· καὶ ταύτην δὴ βουλόμενοι τὴν δόξαν συνιστᾶν, κἀκεῖνα τοῦ σεπτοῦ Κυρίλλου προβάλλονται. ζωὴ ἣν ὁ Πατὴρ ἔχει ἐν ἑαυτῷ, οὐχ ἑτέρα τίς ἐστι παρὰ τὸν Υἱόν. καὶ ὅτι ἡ ἐν Υἱῷ ζωή, οὐχ ἑτέρα τίς ἐστι παρὰ τὸν Πατέρα. καὶ ἀληθεύει ὁ λέγων, ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί. ἡμεῖς δ' ὡς ἐν ἐπιτόμῳ, κατὰ τὸ ἐγχωροῦν, ὑποδείξομεν τὴν ἐν τοῖς ῥητοῖς τούτοις τοῦ Ἁγίου διάνοιαν. καὶ τὸ δυσσεβὲς τῶν ἐξ [illegible] ζόφου πρὸς ἡμᾶς ἀντιλεγόντων ἀπελέγξομεν. τὶς γὰρ τὸν Υἱὸν οὐκ ἀνόμοιον μόνον τῷ Πατρί, ἀλλὰ καὶ μετὰ τὸν Πατέρα λέγουσι κακῶς, ὡς οὐ κατὰ φύσιν, ἀλλ' ἐπείσακτον καὶ κατὰ μετοχὴν καὶ προσθήκην ἔχοντα τὸ ζῆν καὶ τὴν ζωήν, καὶ ὡς λαμβάνοντα δεχόμενον ταύτην παρὰ τοῦ Πατρός, κατὰ τὸ γεγραμμένον, ὥσπερ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. τοῖς οὖν τὸ Εὐαγγελικὸν τοῦτο νοοῦσιν οὕτω δυσσεβῶς, ἀντιλέγων ὁ Θεῖος Κύριλλος. ἐπεὶ ζωὴ μὲν ὁ Θεὸς καὶ κατὰ τὴν ἐνέργειαν λέγεται, ὡς ζωοποιῶν τὰ ζῶντα. αὐτὸς γάρ ἐστιν ἡ ζωὴ τῶν κατὰ φύσιν ζώντων, ὡς τῆς φύσεως κτίστης, ἀλλὰ καὶ τῶν θείως ζώντων, ὡς χορηγὸς τῆς χάριτος. λέγεται δὲ καὶ ζωὴ αὐτὸς καθ' ἑαυτόν, οὐ πρὸς ἕτερον, ἀλλ' ἀφέτως τε καὶ ἀπολελυμένως οὕτω. θέλων ὁ θεῖος Κύριλλος δεῖξαι, ὅτι καθ' ἑκάτερον τούτων οὐδὲν ὁ Υἱὸς διαφέρει τοῦ Πατρός, καὶ ὅτι παρὰ τοῦ Πατρὸς δέχεσθαί τι τὸν Υἱόν, οὐ μετὰ τὸν Πατέρα δείκνυσιν, οὐδὲ χρόνῳ δευτερεύοντα κατ' οὐσίαν τὸν Υἱόν, πρὸς πολλοῖς ἑτέροις καὶ τοῦτό φησιν· οὐκ ἐν τῷ δέχεσθαί τι τὸ εἶναι ἔχει, ἀλλ' ὢν δέχεταί τι. καὶ συμπεραίνων ἐπάγει. εἰ τοίνυν οὐ τὸ λαβεῖν τι παρὰ τοῦ Πατρός, ἀναγκάσει δεύτερον εἶναι τῷ χρόνῳ κατ' οὐσίαν τὸν Υἱόν. τὴν ζωὴν ἐνταῦθα ἣν ἔχει ὁ Πατήρ, καὶ ἣν ὁ Υἱὸς παρὰ Πατρὸς λαμβάνει, μὴ εἶναι τὴν οὐσίαν ἐκδεχόμενος.

Ἔτι δεικνὺς ὁ θεῖος Κύριλλος, ὡς ρις΄.
εἰ καὶ πρὸς τὰ ζῶντα λέγεται ζωὴ κατ' ἐνέργειαν ὁ τοῦ Θεοῦ Υἱός, ὡς ζωοποιῶν αὐτά, καὶ ζωὴ καλούμενος αὐτῶν, οὐδὲ κατὰ τοῦτό ἐστιν ἀνόμοιος τῷ Πατρί· ἀλλὰ κατὰ φύσιν ἔχει τὸ ζωὴ τούτων εἶναι, καὶ ζωοποιεῖν αὐτὰ καθὰ καὶ ὁ Πατήρ· γράφει προϊών· εἰ μὴ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Υἱός, πῶς ἐπαληθεύσει λέγων· ὁ πιστεύων εἰς ἐμέ, ἔχει ζωὴν αἰώνιον. καὶ πάλιν· τὰ πρόβατα τὰ ἐμά, τῆς ἐμῆς ἀκούει φωνῆς, κἀγὼ δίδωμι αὐτοῖς ζωὴν αἰώνιον. καὶ μετά τινα· ὡς φύσει προσοῦσαν αὐτῷ τὴν ζωήν, καὶ οὐσιωδῶς συνυπάρχουσαν, δώσειν τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐπαγγέλλεται. πῶς οὖν ἐνδέχεται νοεῖν, οὐκ ἔχοντα τὸν Υἱὸν εἰληφέναι ταύτην παρὰ τοῦ Πατρός. ἐντρεπέσθωσαν τοίνυν, οἱ φρενοβλαβῶς γ' ἡνίκα ἂν ἀκούσωσι φυσικῶς προσεῖναι τῷ Θεῷ ζωήν, τὴν αὐτοῦ ταύτην εἶναι λέγοντες οὐσίαν. οὐ γὰρ τὴν αὐτοῦ οὐσίαν τοῖς πιστοῖς ἡμῖν παρέχει ὁ Πατήρ, ἢ ὁ Υἱὸς ἢ τὸ Πνεῦμα τὸ Ἅγιον· ἄπαγε τῆς ἀσεβείας.

Καὶ διὰ τῶν ἑξῆς δ' οὐχ ἧττον τοῖς ριζ΄.
τὰ τοῦ ἐναντίου φρονοῦσιν, ἀντιλέγων ὁ Μέγας Κύριλλος· προελθών φησιν ὁ Υἱὸς ἐκ τοῦ Πατρός, πάντα τὰ αὐτοῦ κατὰ φύσιν ἐπάγεται· ἓν δὲ τῶν προσόντων τῷ Πατρὶ καὶ ἡ ζωή. τὸ γοῦν εἰπεῖν ἓν τῶν προσόντων τῷ Πατρί, πολλὰ εἶναι τὰ προσόντα τούτῳ φανερῶς ἀπέδειξεν· εἰ γοῦν ἡ ζωὴ αὕτη ἡ οὐσία τοῦ Θεοῦ ἐστί, πολλὰς κατὰ τοὺς οὕτω φρενο[illegible] οὐσίας ἔχει ὁ Θεός, πρός γε μὴν τῇ δυσσεβείᾳ, καὶ ἀμαθείας ὑπερβολὴν οὐκ ἐλλείπει, τὸ λέγειν τὸ ὂν καὶ τὸ προσὸν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ταὐτὸν, εἰ μὴ ἄρα κατά τι. πολλῷ δ' ἔτι μᾶλλον ἀνοητότερον, καὶ μηδὲν διαφέρειν λέγειν τὸ ὂν καὶ τὰ προσόντα, ταὐτὸ δ' εἰπεῖν τὸ ἓν καὶ τὰ πλείω τοῦ ἑνός. ἀδιανόητον γὰρ πάντῃ τε καὶ πάντως καὶ ἀλόγιστον, ἓν εἶναί τι καὶ πλείω κατὰ τὸ αὐτό.

ριη. Ὁ μὲν οὖν θεῖος Κύριλλος, καὶ ἀπὸ τοῦ εἰπεῖν ἓν τῶν προσόντων τῷ Πατρὶ καὶ ἡ ζωή, παρέστησεν ὅτι ζωὴν ἐνταῦθα, οὐ τὴν οὐσίαν ὀνομάζει τοῦ Θεοῦ. φέρε δ' ὅμως καὶ ἐπὶ λέξεως αὐτὸν προενέγκωμεν, πολλὰ τοιαῦτα λέγοντα τὰ τῷ Θεῷ προσόντα. προϊὼν τοίνυν ἐπὶ τῆς αὐτῆς ὑποθέσεως, πολλά φησι προσεῖναι λέγεται τῷ Πατρὶ πλεονεκτήματα· ἀλλ' ἢ τούτων ἔσται γυμνὸς ὁ Υἱός. πῶς ἂν εἴη τὰ πολλὰ ταῦτα καὶ τῷ Θεῷ προσόντα, θεία οὐσία; θέλων δὲ δεῖξαι καί τινα τῶν προσόντων τούτων πλεονεκτημάτων τῷ Πατρί, προήγαγε τὸν Παῦλον λέγοντα, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ. ὅθεν ἔτι δείκνυται μᾶλλον, ὡς οὐδὲν τῶν προσόντων τῷ Θεῷ οὐσία ἐστί. πῶς γὰρ ἂν εἴη τὸ ἄφθαρτον, καὶ τὸ ἀόρατον, καὶ ἁπλῶς πάντα τὰ ἀφαιρεματικά, ἢ καὶ τὰ ἀποφατικά, ὁμοῦ τε, ἢ χωρὶς ἕκαστον, οὐσία; οὐδὲ μία γὰρ οὐσία, ὅτι μὴ τόδε ἢ τόδε ἐστί. τούτοις δὲ καὶ τὰ προσόντα τῷ Θεῷ, καταφατικῶς συντασσόμενα παρὰ τῶν Θεολόγων, δείκνυται μηδὲν αὐτῶν δηλοῦν τὴν οὐσίαν τοῦ Θεοῦ· εἰ καὶ πᾶσι τοῖς τούτων ὀνόμασιν, ὡς παντάπασιν ἀνωνύμου τῆς ὑπερουσιότητος ἐκείνης οὔσης· ἐπ' αὐτῆς ἡνίκ' ἂν δέῃ χρώμεθα.

ριθ'. Τὰ προσόντα, ἐξ ἀνάγκης ζητεῖται τίνι πρόσεστι· καὶ εἰ μηδενί, οὐδὲ προσόντα ἐστίν· εἰ δ' ἔν τινι πρόσεστι τὰ προσόντα, τοῦτο δ' ἔστιν ἡ οὐσία, μηδὲν δ' αὕτη πάντη κατ' αὐτὰς διαφέρει, ἑκάστου τε καὶ ὁμοῦ πάντων τῶν προσόντων. τὰ δὲ προσόντα πολλά, ἡ μία ἐκείνη πολλαὶ ἔσονται οὐσίαι· καὶ τὸ ἓν ἐκεῖνο κατ' οὐσίαν πολλὰ ἔσται καὶ τὴν οὐσίαν. καὶ πολλὰς οὐκοῦν οὐσίας ἔχει. εἰ δὲ καὶ ἔνεστι καὶ πολλὰς οὐσίας ἔχει, σύνθετόν ἐστι κατὰ πᾶσαν ἀνάγκην. τούτων οὖν τῶν ἐπὶ τοσοῦτον δυσσεβῶν ἀγνοημάτων, ὁ θεῖος Κύριλλος ἐξαιρούμενος τοὺς πειθομένους, ἐν αὐτοῖς τοῖς Θησαυροῖς φησίν· εἰ ὅπερ ἂν ὑπάρχῃ μόνῳ τῷ Θεῷ, τοῦτο πάντως αὐτοῦ ἔσται καὶ οὐσία, ἐκ πολλῶν ἡμῖν οὐσιῶν συγκείσεται. πολλὰ γάρ ἐστιν ἃ μόνῳ μὲν αὐτῷ κατὰ φύσιν ὑπάρχει, ἑτέρῳ δὲ τῶν ὄντων οὐδενί. καὶ γὰρ Βασιλεὺς καὶ Κύριος καὶ ἄφθαρτος καὶ ἀόρατος, καὶ πρὸς τούτοις ἕτερα μυρία περὶ αὐτοῦ λέγουσιν αἱ θεῖαι γραφαί. εἰ τοίνυν ἕκαστον τῶν αὐτῷ προσόντων ἐν οὐσίας τάξει κείσεται, πῶς οὐκ ἔσται σύνθετος ὁ ἁπλοῦς; ὅπερ ἐστὶν ἐννοεῖν ἀτοπώτατον.

Παραστήσας διὰ πολλῶν ὁ σοφὸς τὰ θεῖα Κύριλλος, ὡς εἰ καὶ ζωή ἐστι, καὶ ζωὴν ἔχειν λέγεται κατ' ἐνέργειαν ὁ Υἱός, ὡς ζωοποιῶν ἡμᾶς, καὶ ζωὴ τῶν ζώντων ὤν, οὐκ ἔστιν ἀνόμοιος καὶ κατὰ τοῦτο τῷ Πατρί. καὶ οὗτος γὰρ ζωοποιεῖ. θέλων προσαποδεῖξαι, ὡς εἰ καὶ μὴ πρός ἕτερόν τι, ἀλλ' ἀφέτως πάντῃ καὶ ἀπολύτως ζωὴ καὶ ζωὴν ἔχειν λέγεται ὁ Υἱός· ἀλλ' οὐδ' οὕτως ἀνόμοιός ἐστι τῷ Πατρὶ κατὰ τὴν ζωήν. ἐπειδή περ ἡνίκα μὴ ζωὴν ἡμῶν ὡς ἡμᾶς ζωοποιοῦντα τὸν Θεὸν λέγομεν, ἀλλ' ἀφέτως πάντη καὶ ἀπολελυμένως, τηνικαῦτα τὴν οὐσίαν αὐτοῦ καλοῦμεν ἀπὸ τῆς κατὰ φύσιν αὐτῷ προσούσης ἐνεργείας· ὥσπερ καὶ σοφίαν καὶ ἀγαθότητα καὶ τἄλλα πάντα. τοῦτο τοίνυν θέλων ὑποδεῖξαι φησιν· ὡς ὅταν οὕτως λέγωμεν, ζωὴν ἔχειν ἐν ἑαυτῷ τὸν Πατέρα, ζωὴν τότε καλοῦμεν τὸν Υἱόν· ἕτερον τοῦ Πατρὸς ὄντα κατὰ μόνην τὴν ὑπόστασιν, ἀλλὰ οὐχὶ κατὰ τὴν ζωήν. διὸ οὐδὲ σύνθεσίς τις καὶ διπλόη περὶ αὐτὸν νοεῖται. ρκ'.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ται. καὶ ὅτε πάλιν ζωὴν ἐν ἑαυτῷ φαμὲν ἔχειν τὸν Υἱὸν, τὴν ὑπολελυμένως νοουμένην ἐκείνην, ζωὴν καλοῦμεν τὸν Πατέρα. ζωὴ γὰρ ὢν οὐ πρὸς ἕτερον, ἀλλ᾽ ἀφέτως αὐτὸς καθ᾽ ἑαυτὸν ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐν ἀλλήλοις εἰσίν. αὐτὸς γὰρ εἴρηκεν, ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. τὰ τοιαῦτα τοίνυν ὁ θεῖος Κύριλλος, ἕτερόν πως καὶ οὐχ ἕτερον δεικνὺς παρὰ τὸν Πατέρα τὴν ἐν αὐτῷ ζωὴν, ἤγουν τὸν Υἱόν. οἱ δ᾽ ὡς μηδαμῶς ἕτερον ὄντα παρ᾽ αὐτὸν, καὶ τὴν αὐτοῦ κατὰ πάντα τῷ Πατρὶ λέγοντες τὴν ἐν αὐτῷ ζωὴν, ὡς μηδὲν διαφέρουσαν· τὰ τοιαῦτα προβαλλόμενοι, καὶ ταύτην εἶναι διαβεβαιούμενοι τὸν τοῦ Πατρὸς μονογενῆ, οὐ τοῖς τοῦ σεπτοῦ Κυρίλλου, ἀλλὰ τοῖς τοῦ Σαβελλίου κατὰ πᾶσαν ἀνάγκην συνίστανται δόγμασιν.

ρκα΄ Ἀλλὰ καὶ τὸν θεῖον Κύριλλον καθ᾽ ἑαυτοῦ προάγουσι τῆς κατὰ τῶν ἐναντίων, πῶς οὐ τῆς μεγίστης καταδίκης αὐτοῖς πρόξενον. τὸ γὰρ νῦν μὲν τοῦτο, νῦν δ᾽ ἐκεῖνο λέγειν, ἀμφοτέρων ὄντων ἀληθῶν, παντός ἐστι θεολογοῦντος εὐσεβῶς· τὸ δὲ τἀναντία λέγειν ἑαυτῷ, οὐδενὸς τῶν νοῦν ἐχόντων. πῶς οὖν ὁ καλῶς εἰπὼν τὴν ζωὴν ἔχειν κατὰ φύσιν τὸν Υἱὸν ἣν δίδωσι τοῖς εἰς αὐτὸν πιστεύουσι. κἀντεῦθεν δείξας ὅτι μὴ μόνον ἡ οὐσία τοῦ Θεοῦ, ἣν οὐδεὶς λαμβάνει· ἀλλὰ καὶ ἡ κατὰ φύσιν ἐνέργεια τούτου λέγεται ζωή· ἣν κατὰ χάριν ἔλαβον οἱ οὕτω παρ᾽ αὐτοῦ ζωοποιηθέντες, ὡς καὶ σώζειν δι᾽ ἑαυτῶν. ταυτὸ δὲ εἰπεῖν καὶ ἀπαθανατίζειν κατὰ πνεῦμα, τοὺς μὴ κατὰ πνεῦμα ζῶντας πρότερον. ἔστι δ᾽ οὓς καὶ τῶν κατά τι μέλος, ἢ καὶ κατὰ πᾶν σῶμα νεκρῶν γεγονότων ἀνιστᾶν. πῶς οὖν ὁ καλῶς ταῦτα καὶ σαφῶς δείξας, πρὸς ἀναίρεσιν ἔπειτα τῆς θείας ταύτης ἐνεργείας, τὸ ζωὴν καλεῖσθαι τὴν οὐσίαν τοῦ Θεοῦ προηνέγκε; καθάπερ οἱ νῦν τὰ τούτου βιαζόμενοι, μᾶλλον δὲ συκοφαντοῦντες ἀνοήτως ἰσχυρίζονται.

Οὐχ ὁ τοῦ Θεοῦ Μονογενὴς μόνον, ἀλλὰ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, καλεῖται παρὰ τῶν ἁγίων ἐνέργειά τε καὶ δύναμις· ἀλλ᾽ ὡς τὰς αὐτὰς ἀπαραλλάκτως τῷ Πατρὶ δυνάμεις ἔχοντα καὶ ἐνεργείας. ἐπεὶ καὶ δύναμις ὁ Θεὸς λέγεται κατὰ τὸν μέγαν Διονύσιον· ὡς πᾶσαν δύναμιν ἐν ἑαυτῷ προέχων καὶ ὑπερέχων. διὸ καὶ συνυπακουόμενον, ἢ καὶ συνεκφωνούμενον ἔχει τούτων ἑκάτερον, ὅταν δύναμις ἢ ἐνέργεια καλεῖται τὸ ἐνυπόστατον. καθάπερ καὶ ὁ τὰ πάντα Μέγας Βασίλειος· δύναμις φησὶν ἁγιαστικὴ τὸ Πνεῦμα τὸ Ἅγιον, ἐνούσιος, ἐνύπαρκτος, ἐνυπόστατος· τὰς δ᾽ ἐκ τοῦ πάσας ἐνεργείας οὐκ ἐνυποστάτους ὑπάρχειν κἂν τοῖς περὶ τοῦ Πνεύματος ἀπεφήνατο. διὸ καὶ τῶν κτισμάτων αὖθις δῆλός ἐστι ταύτας διαστέλλων. ἐνυπόστατα γὰρ τὰ ἐκ τοῦ Πνεύματος ὡς κτίσματα. πεποιωμένας γὰρ οὐσίας ὁ Θεὸς ἐδημιούργησεν. ρκβ΄

Ἡ ἀποφατικὴ θεολογία, οὐκ ἐναντιοῦται, οὐδὲ ἀναιρεῖ τὴν καταφατικὴν ἀλλὰ δείκνυσι τὰ καταφατικῶς ἐπὶ Θεοῦ λεγόμενα, ἀληθῆ μὲν εἶναι καὶ εὐσεβῶς ἐπὶ Θεοῦ· οὐ καθ᾽ ἡμᾶς δὲ ταῦτ᾽ ἔχειν τὸν Θεόν· οἷον ἔχει ὁ Θεὸς τὴν γνῶσιν τῶν ὄντων· ἔχομεν καὶ ἡμεῖς ἐστὶν ὧν· ἀλλ᾽ ἡμεῖς μὲν ὡς ὄντων τε, καὶ γενομένων· ὁ δὲ Θεὸς, οὐχ ὡς ὄντων ἢ γενομένων. ἐγίνωσκε γὰρ ταῦτ᾽ οὐδὲν ἧττον καὶ πρὸ γενέσεως αὐτῶν. ὁ γοῦν εἰπὼν περὶ Θεοῦ ὅτι οὐ γινώσκει τὰ ὄντα ἢ ὄντα, οὐκ ἐναντιοῦται τῷ λέγοντι ὅτι γινώσκει ὁ Θεὸς τὰ ὄντα, καὶ ὄντα γινώσκει αὐτά. ἔστι δὲ καὶ καταφατικὴ θεολογία, δύναμιν ἀποφατικῆς θεολογίας ἔχουσα· ὡς ὅταν εἴπη τις, πᾶσα γνῶσις κατά τινος ὑποκειμένου λέγεται, δηλονότι τοῦ γινωσκομένου. ἡ δὲ τοῦ Θεοῦ γνῶσις κατ᾽ οὐδενὸς ὑποκειμένου ρκγ΄

λέγεται. αὐτὸ γὰρ ἐκεῖνό φησιν, ὡς ὁ Θεὸς οὐ γινώσκει τὰ ὄντα ᾗ ὄντα· καὶ τὴν τῶν ὄντων γνῶσιν οὐκ ἔχει, ὡς ἡμεῖς δηλονότι. τοῦτον γὰρ τὸν τρόπον, καὶ τὸ μὴ εἶναι τὸν Θεὸν καθ' ὑπεροχὴν λέγεται. ὁ δὲ τοῦτο λέγων, εἰς τὸ δεῖξαι μὴ καλῶς λέγειν τοὺς λέγοντας εἶναι τὸν Θεόν, φανερός ἐστι μὴ καθ' ὑπεροχὴν χρώμενος τῇ ἀποφατικῇ Θεολογίᾳ, ἀλλὰ κατ' ἔλλειψιν· ὡς μηδαμῇ μηδαμῶς ὄντος τοῦ Θεοῦ. τοῦτο δὲ ἀσεβείας ἐστὶν ὑπερβολή. ὃ φεῦ πάσχουσιν, οἱ διὰ τῆς ἀποφατικῆς Θεολογίας ἐπιχειροῦντες ἀναιρεῖν, ὡς ἔχει ὁ Θεὸς καὶ οὐσίαν καὶ ἐνέργειαν ἄκτιστον. ἡμεῖς δ' ὡς μὴ ὑπ' ἀλλήλων ἀναιρουμένας, ἀμφοτέρας στέργομεν· βεβαιούμενοι μᾶλλον ὑφ' ἑκατέρας εἰς τὴν εὐσεβῆ διάνοιαν.

ρκδʹ. Τὰς τῶν ἐναντίων ἐρεσχελίας πάσας, τελέως καθελεῖν, καὶ πλατὺν λῆρον ἀποδεῖξαι, ἀποχρῶν εἶναι νομίζω, καὶ βραχὺ ῥῆμα πατρικόν. ἄναρχον γάρ φησι, καὶ ἀρχὴ, καὶ τὸ μετὰ τῆς ἀρχῆς. εἷς Θεός· ἀλλ' οὐχ ἡ ἀρχὴ, τῷ ἀρχὴ εἶναι τοῦ ἀνάρχου διείργεται. οὐ γὰρ φύσις αὐτῷ ἡ ἀρχή· ὥσπερ οὐδ' ἐκείνῳ τὸ ἄναρχον. περὶ γὰρ τὴν φύσιν, οὐ ταῦτα φύσις. τί οὖν; ὅτι μὴ φύσις ἀλλὰ περὶ τὴν φύσιν ἡ ἀρχὴ, καὶ τὸ ἄναρχον, κτιστὰ ταῦτ' ἐρεῖ τις, εἰ μὴ μαίνοιτο; τούτων δὲ ἀκτίστων ὄντων, καὶ τῇ φύσει τοῦ Θεοῦ προσόντων, σύνθετος παρὰ τοῦτο ὁ Θεός; οὐδαμῶς. οὐ γὰρ διενήνοχε τῆς θείας φύσεως· ἀλλ' εἰ φύσις μᾶλλον εἴη τὰ φυσικῶς προσόντα τῷ Θεῷ, σύνθετον εἶναι τὸ θεῖον πρὸς τοῖς ἄλλοις παράσχοι, καὶ ὁ Μέγας διὰ πολλῶν διδάσκει Κύριλλος. σὺ δέ μοι δίελθε τὰ τοῦ Μεγάλου Βασιλείου, καὶ τὰ τοῦ ἀδελφοῦ καὶ ἀδελφὰ φρονοῦντος τούτῳ πρὸς Εὐνόμιον. ἐκεῖ γὰρ εὑρήσεις ἐναργῶς Εὐνομίῳ συνᾴδοντας, τοὺς κατὰ τῶν ἐναντίων· καὶ τῶν πρὸς αὐτοὺς ἀντιρρήσεων ἕξεις διαρκῶς.

ρκεʹ. Διὰ τοὺς Εὐνομιανοὺς, δοκοῦντας μὴ τὴν αὐτὴν Πατρὸς εἶναι καὶ Υἱοῦ οὐσίαν· ἐπειδὴ πᾶν τὸ περὶ Θεοῦ λεγόμενον, κατ' οὐσίαν λέγεσθαι οἴονται, καὶ φιλονεικοῦσιν, ὡς ἐπεὶ τὸ γεννᾶν καὶ γεννᾶσθαι διάφορά ἐστι, διὰ τοῦτο καὶ οὐσίας διαφόρους εἶναι· καὶ διὰ τοὺς ἀντιλέγοντας μὴ τὸν αὐτὸν Θεὸν εἶναι, τὸν ἔχοντα καὶ τὴν θείαν οὐσίαν καὶ τὴν θείαν ἐνέργειαν· ἐπειδὴ πᾶν τὸ περὶ Θεοῦ λεγόμενον, οὐσίαν εἶναι οἴονται· καὶ φιλονεικοῦσιν ὡς διαφορά τις ἐστὶν οὐσίας καὶ ἐνεργείας θείας, πολλοὺς καὶ διαφόρους εἶναι θεούς· δείκνυται μὴ πᾶν τὸ περὶ Θεοῦ λεγόμενον κατ' οὐσίαν λέγεσθαι· ἀλλὰ λέγεσθαι καὶ ἀναφορικῶς· τουτέστι πρός τι. ὅπερ αὐτὸς οὐκ ἔστιν· ὥσπερ ὁ Πατὴρ λέγεται πρὸς τὸν Υἱόν. οὐ γάρ ἐστι Πατὴρ ὁ Υἱός· καὶ Κύριος πρὸς τὴν δουλεύουσαν κτίσιν. κυριεύει γὰρ ὁ Θεὸς τῶν ἐν χρόνῳ καὶ ἐν αἰῶνι, καὶ αὐτῶν τῶν αἰώνων. τὸ δὲ κυριεύειν, ἄκτιστός ἐστιν ἐνέργεια Θεοῦ διαφέρουσα τῆς οὐσίας, ὡς πρὸς ἕτερόν τι λεγομένη, ὅπερ αὐτὸς οὐκ ἔστιν.

ρκϛʹ. Οἱ Εὐνομιανοὶ, πᾶν ὅπερ ἐπὶ Θεοῦ λέγεται, οὐσίαν εἶναι λέγουσιν, ἵνα τὴν ἀγεννησίαν οὐσίαν εἶναι δογματίσωσι· καὶ τὸν Υἱὸν ἐντεῦθεν ὡς τοῦ Πατρὸς διαφέροντα, εἰς κτίσμα τό γε εἰς αὐτοὺς ἧκον κατασπάσωσι. καὶ ἡ πρόφασις αὐτοῖς, ἵνα φασὶ μὴ δύο γένοιντο Θεοί. ὅτε πρῶτος ὁ ἀγέννητος, καὶ ὁ δευτερεύων τούτῳ ὡς γεννητὸς ὑπάρχων. κατὰ μίμησιν τούτων καὶ οἱ ἐναντίοι, πᾶν ὅπερ ἐπὶ Θεοῦ λέγεται, οὐσίαν εἶναι λέγουσιν· ἵνα τὴν μὴ χωριζομένην, διαφέρουσαν δὲ τῆς οὐσίας τοῦ Θεοῦ ἐνέργειαν, ὡς ἐξ ἐκείνης οὖσαν, μετεχομένην μέντοι παρὰ τῶν ποιημάτων· πάντα γάρ φησι μετέχει προνοίας ἐκ τῆς παναιτίου θεότητος ἐκβλυζομένης, δυσσεβῶς εἰς κτίσμα κατασπάσωσι. καὶ ἡ πρόφασις αὐτοῖς, ἵνα φασὶ μὴ δύο γένοιντο θεότητες. οὔτε ὑπὲρ ἐπωνυμίαν,



Athos Library Αγιορειτική Βιβλιοθήκη

καὶ αἰτίαν, καὶ μέθεξιν τρισυπόστατος οὐσία, καὶ ἡ ἐξ αὐτῆς προερχομένη, μετεχομένη δὲ καὶ ὀνομαζομένη τοῦ Θεοῦ ἐνέργεια. καὶ γὰρ οὐ συνορῶσιν, ὅτι καθάπερ ὁ Θεὸς καὶ Πατὴρ, Πατὴρ λέγεται πρὸς τὸν ἴδιον Υἱὸν, καὶ ἀκτίστως ἔχει τὸ Πατὴρ εἶναι· εἰ καὶ μὴ οὐσίαν σημαίνει τὸ Πατήρ· οὕτω καὶ τὴν ἐνέργειαν ἀκτίστως ἔχει ὁ Θεὸς, εἰ καὶ διαφέρει τῆς οὐσίας ἡ ἐνέργεια. καὶ ὅτε μίαν θεότητα φαμὲν, πάντα ὅσα ἐστὶν ὁ Θεὸς φαμὲν, καὶ τὴν οὐσίαν καὶ τὴν ἐνέργειαν. ἐκεῖνοι τοιγαροῦν εἰσιν οἱ διχοτομοῦντες δυσσεβῶς τὴν μίαν τοῦ Θεοῦ θεότητα εἰς κτιστὰ καὶ ἄκτιστα.

ρκζ'. Συμβεβηκός ἐστι τὸ γινόμενον καὶ ἀπογινόμενον· ἀφ' οὗ καὶ τὰ ἀχώριστα συμβεβηκότα συνορῶμεν. ἔστι δέ πως συμβεβηκὸς, καὶ τὸ φυσικῶς προσὸν, ὡς αὐξόμενόν τε καὶ μειούμενον· καθάπερ ἐν τῇ λογικῇ ψυχῇ ἡ γνῶσις. ἀλλ' οὐδὲν τοιοῦτον ἐν τῷ Θεῷ, ὅτι δὴ παντάπασιν ἀμετάβλητος μένει· δι' ἣν αἰτίαν, οὐδὲν αὐτοῦ κατὰ συμβεβηκὸς λέγοιτ' ἄν. οὐ μὴν πᾶν ὅπερ ἐπὶ Θεοῦ λέγεται, οὐσίαν σημαίνει. λέγεται γὰρ καὶ τὸ πρός τι. ὅπερ ἀναφορικόν ἐστι, καὶ ἀναφορᾶς πρὸς ἕτερον, ἀλλ' οὐκ οὐσίας δηλωτικόν. τοιοῦτον ἐστι καὶ ἡ θεία ἐνέργεια ἐπὶ Θεοῦ. οὔτε γὰρ οὐσία ἐστὶν, οὔτε συμβεβηκός· εἰ καὶ συμβεβηκός πως ἐστι παρ' ὧν καλεῖται Θεολόγων δεικνύντων τοῦτο μόνον, ὅτι ἔστιν ἐν τῷ Θεῷ καὶ οὐσία οὐκ ἔστι.

ρκη'. Ἔτι ἡ θεία ἐνέργεια, εἰ καὶ συμβεβηκός ἐστιν ὅπως λέγεται, ἀλλ' ἐνθεωρεῖται τῷ Θεῷ, καὶ σύνθεσιν οὐκ ἐμποιεῖ. καὶ Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος, γράφων περὶ τοῦ Ἁγίου Πνεύματος ἡμᾶς διδάσκει· τὸ Πνεῦμα γάρ φησι τὸ Ἅγιον, ἢ τῶν καθ' ἑαυτὸ ὑφεστηκότων ἐστὶν, ἢ τῶν ἐν ἑτέρῳ θεωρουμένων. ὧν τὸ μὲν οὐσίαν καλοῦσιν οἱ περὶ ταῦτα δεινοὶ, τὸ δὲ συμβεβηκός. εἰ γοῦν συμβέβηκεν, ἐνέργεια τοῦτ' ἂν εἴη τοῦ Θεοῦ. τί γὰρ ἕτερον, ἢ τίνος; τοῦτο γάρ πως καὶ φεύγει σύνθεσιν. τοῦτο λέγων φανερῶς, ὡς εἰ τῶν ἐν τῷ Θεῷ θεωρουμένων ἐστὶ, διὸ καὶ οὐκ οὐσία, ἀλλὰ συμβεβηκός ἐστι, καὶ πνεῦμα ὀνομάζεται, οὐδὲν ἕτερον εἶναι δυνατὸν εἰ μὴ ἐνέργειαν Θεοῦ. τοῦτο γὰρ ἐδήλωσεν εἰπών· τί γὰρ ἕτερον; ἢ τίνος; προκατασκευάζων δὲ, πῶς οὐδὲν ἕτερον, οὐ ποιότητα, ἢ ποσότητα, ἢ τί τῶν τοιούτων ἐνθεωρεῖσθαι τῷ Θεῷ δυνατὸν, ἀλλ' ἐνέργειαν μόνην, ἐπιφέρει, τοῦτο γάρ πως καὶ φεύγει σύνθεσιν· πῶς δὲ ἡ ἐνέργεια ἐνθεωρουμένη τῷ Θεῷ φεύγει τὴν σύνθεσιν; Ἐπειδὴ μόνος ἀπαθεστάτην ἔχει τὴν ἐνέργειαν, ἐνεργῶν μόνον, ἀλλ' οὐχὶ καὶ πάσχων κατ' αὐτὴν, οὐδὲ γινόμενος, οὐδὲ ἀλλοιούμενος.

Ὅτι δὲ καὶ ἄκτιστον οἶδε ταύ- ρκθ'.
την τὴν ἐνέργειαν ὁ Θεολόγος, ἀνωτέρω μικρὸν αὐτὸς ἔδειξε, πρὸς τὸ κτίσμα ταύτην ἀντιδιαστείλας. τῶν καθ' ἡμᾶς γάρ φησι σοφῶν, οἱ μὲν ἐνέργειαν τὸ πνεῦμα ὑπέλαβον, οἱ δὲ κτίσμα, οἱ δὲ Θεόν. Θεὸν μὲν οὖν ἐνταῦθα, τὴν ὑπόστασιν αὐτὴν λέγει. πρὸς δὲ τὸ κτίσμα ἀντιδιῃρημένην δείξας τὴν ἐνέργειαν, μὴ εἶναι κτίσμα σαφῶς ὑπέδειξεν. ἀλλὰ καὶ μικρὸν προϊὼν, κίνησιν Θεοῦ ταύτην εἶπε τὴν ἐνέργειαν. πῶς οὖν οὐκ ἄκτιστος ἡ τοῦ Θεοῦ κίνησις; περὶ ἧς καὶ Δαμασκηνὸς ὁ θεοφόρος ἐν νθ'. κεφαλαίῳ γράφων· Ἐνέργεια μέν ἐστι φησὶν, ἡ δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησις· ἐνεργητικὸν δὲ ἡ φύσις, ἐξ ἧς ἡ ἐνέργεια πρόεισιν· ἐνέργημα δὲ τὸ τῆς ἐνεργείας ἀποτέλεσμα. ἐνεργῶν δὲ, ὁ κεχρημένος τῇ ἐνεργείᾳ, ἤτοι ἡ ὑπόστασις.

Οἱ ἐναντίοι ἐκ τοῦ τὸν Θεολόγον ἐν- ρλ'.
ταῦθα φάναι, εἰ δὲ ἐνέργεια ἐνεργηθήσεται καὶ οὐκ ἐνεργήσει, καὶ ἅμα τὸ ἐνεργηθῆναι παύσεται, κτιστὴν ἐντεῦθεν

ὑπε-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑπενόησαν καὶ ἀπεφήναντο τὴν θείαν ταύτην ἐνέργειαν. ἠγνόησαν γάρ, ὅτι τὸ ἐνεργεῖσθαι καὶ ἐπὶ τῶν ἀκτίστων λέγεται. ὡς καὶ ὁ Θεολόγος οὕτως δείκνυσιν ἀλλαχοῦ γράφων· Εἰ δὲ ἐνεργείας ὄνομα ὁ Πατήρ, τοῦτο ἐνηργηκὼς ἂν εἴη τὸ ὁμοούσιον. φησὶ δὲ καὶ ὁ Δαμασκηνὸς ὁ θεοφόρος, ἐν δεξιᾷ τοῦ Πατρὸς ὁ Χριστὸς ἐκάθισε, θεϊκῶς ἐνεργῶν τὴν τῶν ὅλων πρόνοιαν. ἀλλ' οὐδὲ τὸ κατέπαυσε, τῷ ἀκτίστῳ τῆς ἐνεργείας προσίσταται. κατὰ γὰρ τὸ δημιουργεῖν ἄρχεται ὁ Θεὸς καὶ παύεται, ὡς καὶ ὁ Μωϋσῆς φησίν· ὅτι κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων ὧν ἤρξατο ποιῆσαι, τὸ μέντοι δημιουργεῖν τοῦτο καθ' ὃ ἄρχεται ὁ Θεὸς καὶ παύεται, φυσικὴ καὶ ἄκτιστός ἐστιν ἐνέργεια Θεοῦ.

ρλα΄. Ὁ θεῖος αὖθις Δαμασκηνός, μετὰ τὸ εἰπεῖν, ὅτι ἐνέργεια ἐστὶν ἡ δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησις, θέλων δεῖξαι, ὡς τὴν τοιαύτην ἐνέργειαν ὁ Θεολόγος εἶπεν ἐνεργεῖσθαί τε καὶ παύεσθαι προσεπήνεγκεν· ἰστέον, ὡς ἡ ἐνέργεια κίνησίς ἐστι, καὶ ἐνεργεῖται μᾶλλον ἢ ἐνεργεῖ. καθὼς φησὶν ὁ Θεολόγος Γρηγόριος ἐν τῷ περὶ τοῦ Ἁγίου Πνεύματος Λόγῳ. Εἰ δὲ ἐνέργεια ἐστίν, ἐνεργηθήσεται δηλονότι καὶ οὐκ ἐνεργήσει, καὶ ὁμοῦ τὸ ἐνεργηθῆναι παύσεται. φανερὸν οὖν ὡς οἱ τὰ τῶν ἐναντίων φρονοῦντες, κτιστὴν εἶναι δογματίζοντες, ἣν ἐνταῦθα Γρηγόριος ὁ Θεολόγος εἴρηκεν ἐνέργειαν, αὐτὴν τὴν φυσικὴν καὶ οὐσιώδη τοῦ Θεοῦ ἐνέργειαν, φρενοβλαβῶς εἰς κτίσμα κατασπῶσιν. ἣν ὁ Ἱερὸς Δαμασκηνός, μὴ ἐνεργουμένην μόνον, ἀλλὰ καὶ ἐνεργοῦσαν ἀποφήνας, ἄκτιστον ὑπάρχουσαν παρέστησεν· ὅπως γε μὴν οὐ διαφωνεῖ κατὰ τοῦτο πρὸς τὸν τῆς Θεολογίας ἐπώνυμον, ἐν τοῖς διὰ πλάτους μοι λόγοις ἀποδέδεικται.

ρλβ΄. Τὰ ὑποστατικὰ ἰδιώματα, ἀναφορικῶς καὶ ἐν τῷ Θεῷ προσάλληλα λέγεται. καὶ διαφέρουσιν ἀλλήλων αἱ ὑποστάσεις, ἀλλ' οὐ κατ' οὐσίαν. ἔστι δ' ὡς καὶ πρὸς τὴν κτίσιν ἀναφορικῶς ὁ Θεὸς λέγεται. οὐ γὰρ ὥσπερ λέγεται προαιώνιος, προάναρχος, μέγας, ἀγαθός, Θεὸς ἡ Παναγία Τριάς, οὕτω δύναται λέγεσθαι, καὶ Πατήρ. οὐ γὰρ ἑκάστη τῶν ὑποστάσεων, ἀλλὰ μία τῶν τριῶν ὑπάρχει ὁ Πατήρ· ἐξ οὗ καὶ εἰς ὃν ἀνάγεται τὰ ἑξῆς. πρὸς μέντοι τὴν κτίσιν, διὰ τὸ ἓν ἔργον εἶναι τῶν τριῶν, ἐκ μηδαμῇ μηδαμῶς ὄντος προαχθέν. καὶ διὰ τὴν τῶν υἱῶν ὑπὸ τῆς χορηγουμένης κοινῆς τῶν τριῶν χάριτος εἰς ποίησιν, Πατὴρ λέγοιτ' ἂν καὶ ἡ Τριάς· τό, Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι. καὶ τό, Πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἕνα Κύριον καὶ Θεὸν ἡμῶν τὴν Ἁγίαν Τριάδα φησί, καὶ δὴ καὶ Πατέρα ἡμῶν, διὰ τῆς αὐτοῦ χάριτος ἡμᾶς ἀναγεννῶντα, λέγεται ἀναφορικῶς καθάπερ ἔφημεν. καὶ ὁ Πατὴρ μόνος, πρὸς τὸν ὁμοούσιον Υἱὸν Πατήρ. ὁ αὐτὸς δὲ λέγεται καὶ ἀρχὴ πρὸς τὸν Υἱόν τε καὶ τὸ Πνεῦμα. λέγεται δὲ καὶ πρὸς τὴν κτίσιν ὁ Πατὴρ ἀρχή, ἀλλ' ὡς κτίστης καὶ δεσπότης πάντων τῶν κτισμάτων. ὅταν οὖν ταῦτα πρὸς τὴν κτίσιν ὁ Πατὴρ λέγηται, ἀρχή ἐστι καὶ ὁ Υἱός, καὶ οὐκ εἰσὶ δύο ἀρχαί, ἀλλὰ μία. καὶ γὰρ ἀναφορικῶς λέγεται καὶ ὁ Υἱὸς ἀρχή, ὡς πρὸς τὴν κτίσιν, ὥσπερ καὶ δεσπότης πρὸς τὰ δοῦλα. οὐκοῦν ὁ Πατὴρ καὶ ὁ Υἱὸς μετὰ τοῦ Πνεύματος, ὡς πρὸς τὴν κτίσιν μία ἀρχή ἐστι καὶ εἷς δεσπότης, καὶ εἷς κτίστης, καὶ εἷς Θεός τε, καὶ Πατήρ, καὶ προμηθεύς, καὶ ἔφορος, καὶ τἆλλα πάντα· καὶ τῶν τοιούτων ἕκαστον οὐκ ἔστιν οὐσία. οὐ γὰρ ἂν πρὸς ἕτερον ἀναφορικῶς ἐλέγετο, εἴπερ ἦν αὐτοῦ οὐσία.

Θέσεις· καὶ ἕξεις· καὶ τόποι· καὶ χρό- ρλγ΄.
νοι· καὶ εἴτι τοιοῦτον, οὐ κυρίως ἐπὶ Θεοῦ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λέγονται, ἀλλὰ μεταφορικῶς. τὸ δὲ ποιεῖν καὶ ἐνεργεῖν, ἐπὶ μόνου τοῦ Θεοῦ ἀληθέστατα ἂν λέγοιτο. μόνος γὰρ ὁ Θεὸς ποιεῖ· αὐτὸς δὲ οὐ γίνεται οὐδὲ πάσχει, ὅσον εἰς τὴν αὐτοῦ οὐσίαν ἀνήκει· καὶ μόνος διὰ πάντων ἕκαστον ποιεῖ· καὶ μόνος ἐκ μηδαμῇ μηδαμῶς ὄντων ποιεῖ· παντοδύναμον ἔχων τὴν ἐνέργειαν· καθ' ἣν καὶ πρὸς τὴν κτίσιν ἀναφορικῶς λέγεται, καὶ τὸ δύνασθαι ἔχει. δύναται γὰρ αὐτὸς εἰς τὴν ἑαυτοῦ φύσιν τι παθεῖν οὐδὲν οὐδαμῇ. δύναται δὲ προσθεῖναι τοῖς ποιήμασιν εἰ βούλοιτο, τὸ μὲν γὰρ δυνάμει παθεῖν ἔχειν, καὶ προσλαβεῖν τι κατ' οὐσίαν, ἀσθενείας ἐστί. τὸ δὲ δυνάμει ποιεῖν ἔχειν, καὶ προστιθέναι τοῖς ποιήμασιν ὁπότε βούλοιτο, θεοπρεποῦς τε καὶ παντοκρατορικῆς ἰσχύος.

ρλδʹ. Πάντων τῶν ὄντων εἰς δέκα συγκεφαλαιουμένων· οὐσίαν λέγω, ποσόν, ποιόν, πρός τι, ποῦ, ποτέ, ποιεῖν, πάσχειν, ἔχειν, κεῖσθαι· καὶ τῶν ἐφεξῆς τῇ οὐσίᾳ ἐνθεωρουμένων. ὁ Θεὸς οὐσία ὑπερούσιος ἐστίν· ᾗ ἐνθεωρεῖται μόνα, τὸ πρός τι τε καὶ τὸ ποιεῖν, οὐδεμίαν ἐμποιοῦντα ταύτῃ σύνθεσιν ἢ ἀλλοίωσιν. ποιεῖ γὰρ τὰ πάντα ὁ Θεός, μηδὲν αὐτὸς πάσχων κατ' οὐσίαν. ἔστι δὲ καὶ κτίστης πρὸς τὴν κτίσιν, καὶ ἀρχὴ καὶ δεσπότης αὐτῆς ἠργμένης, καὶ αὐτῆς δουλευούσης. ἀλλὰ καὶ Πατὴρ ἡμῶν ἐστίν, ἀναγεννῶν ἡμᾶς τῇ χάριτι. ἔστι δὲ καὶ Πατὴρ πρὸς τὸν μηδαμῶς ἠργμένον χρονικῶς Υἱόν. καὶ Υἱὸς πρὸς τὸν Πατέρα· καὶ πρόβλημα Πατρὸς τὸ Πνεῦμα· συναΐδιον Πατρί τε καὶ Υἱῷ, μιᾶς ὄντα καὶ τῆς αὐτῆς οὐσίας. οἱ δὲ λέγοντες οὐσίαν εἶναι μόνον τὸν Θεόν, μηδὲν ἔχουσαν ἐνθεωρούμενον, οὐδὲ τὸ ποιεῖν καὶ ἐνεργεῖν, οὐδὲ τὸ πρός τι ἔχειν τὸν Θεὸν κατασκευάζουσιν. εἰ δὲ μὴ ταῦτα ἔχει ὃν αὐτοὶ νομίζουσι Θεόν, οὐδὲ ἐνέργεια ἐστίν, οὐδὲ δημιουργός, οὐδὲ ἐνέργειαν ἔχει· ἀλλ' οὐδὲ ἀρχὴ καὶ κτίστης καὶ δε-σπότης· οὐδὲ Πατὴρ ἡμῶν ἐστι κατὰ χάριν. πῶς γὰρ ἂν εἴη ταῦτα, μὴ ἐνθεωρούμενα τῇ καθ' ἑαυτὸν οὐσίᾳ ἔχων τὸ πρός τι τε καὶ ποιεῖν; συναναιρεῖται δὲ καὶ τὸ τρισυπόστατον τῆς θεότητος, εἰ μὴ τῇ τοῦ Θεοῦ οὐσίᾳ ἐνθεωρούμενον ἐστὶ τὸ πρός τι. ὁ δὲ μὴ τρισυπόστατος, οὐδὲ τοῦ παντὸς δεσπότης, οὐδὲ Θεός. Ἄθεοι τοιγαροῦν εἰσιν, οἱ οὕτω κατὰ τοὺς ἐναντίους φρονοῦντες.

Ἔχει ὁ Θεός, καὶ ὃ μή ἐστιν οὐσία. οὐ ρλεʹ
μὴν ὅτι τοῦτο οὐκ ἔστιν οὐσία, συμβεβηκός ἐστι. τὸ γὰρ μὴ μόνον οὐκ ἀπογινόμενον, ἀλλ' οὐδ' αὔξησιν ἢ μείωσιν ἐντεῦθεν ἐπιδεχόμενον, ἢ ἐμποιοῦν, οὐκ ἔσθ' ὅπως ἂν συναριθμοῖτο τοῖς συμβεβηκόσιν. ἀλλ' οὐχ ὅτι μήτε συμβεβηκός ἐστι τοῦτο, μήτε οὐσία, τῶν μηδαμῇ μηδαμῶς ὄντων ἐστίν. ἀλλ' ἔστι καὶ ὡς ἀληθῶς ἐστίν. οὐ συμβεβηκὸς δέ ἐστιν, ἐπειδὴ παντάπασιν ἀμετάβλητον ἐστίν. ἀλλ' οὐδὲ οὐσία. καὶ γὰρ οὐ τῶν καθ' ἑαυτὸ ὑφεστηκότων ἐστί. διὸ καὶ συμβεβηκός πως ἔστι παρ' ὧν Θεολόγων τοῦτο λέγεται· τοῦτο δεικνύντων μόνον, ὅτι οὐκ ἔστιν οὐσία. τί γάρ, ἐπεὶ καὶ τῶν ὑποστατικῶν ἕκαστον, καὶ τῶν ὑποστάσεων ἑκάστη, ὅτι μήτε οὐσία ἐστί, μήτε συμβεβηκὸς ἐπὶ Θεοῦ, διὰ τοῦτο τῶν μηδαμῶς ὄντων ἐστίν; ἄπαγε. τὸν αὐτὸν οὖν τρόπον καὶ ἡ θεία τοῦ Θεοῦ ἐνέργεια, οὔτε οὐσία, οὔτε συμβεβηκός ἐστι· καὶ τῶν μηδαμῶς ὄντων οὐκ ἔστι. καὶ ἵν' εἴπω τὸ πᾶσι τοῖς θεολόγοις συνδοκοῦν· εἰ τὸ βούλεσθαι ποιεῖ ὁ Θεός, ἀλλ' οὐχ ἁπλῶς τῷ πεφυκέναι, ἄλλο ἄρα τὸ βούλεσθαι, καὶ ἕτερον τὸ πεφυκέναι. εἰ δὲ τοῦτο καὶ ἡ θεία βουλὴ τῆς θείας φύσεως ἕτερον. τί οὖν, ὅτι ἡ βουλὴ τῆς φύσεως ἕτερον ἐστὶν ἐπὶ Θεοῦ, καὶ οὐκ ἔστιν οὐσία, διὰ τοῦτο οὐδαμῶς ἐστίν; οὐμενοῦν· ἀλλ' ἔστι, καὶ τοῦ Θεοῦ ἐστί, τοῦ μὴ οὐσίαν μόνον, ἀλλὰ καὶ βουλὴν ἔχοντος καθ' ἣν ποιεῖ. κἂν συμβεβηκός πως ταύ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὴν τις ἐθέλῃ καλεῖν ὡς μὴ οὐσίαν οὖσαν, κἂν μηδὲ συμβεβηκός, ὡς μηδεμίαν ἐμποιοῦσαν σύνθεσιν, ἢ ἀλλοίωσιν. ἔχει ἄρα ὁ Θεὸς καὶ ὃ οὐσία, καὶ ὃ μὴ οὐσία, κἂν εἰ μὴ συμβεβηκὸς καλοῖτο· τὴν θείαν δηλονότι βουλήν, καὶ ἐνέργειαν.

ρλϛʹ. Ἡ οὐσία εἰ μὴ ἐνέργειαν ἔχει διαφέρουσαν ἑαυτῆς, ἀνυπόστατος ἔσται τελέως, καὶ διανοίας μόνης θεώρημα. ὁ γὰρ καθόλου λεγόμενος ἄνθρωπος, οὐ διανοεῖται, οὐ δοξάζει, οὐχ ὁρᾷ, οὐκ ὀσφραίνεται, οὐ λαλεῖ, οὐκ ἀκούει, οὐ περιπατεῖ, οὐκ ἀναπνεῖ, οὐκ ἐσθίει, καὶ ἁπλῶς εἰπεῖν, οὐκ ἔχει ἐνέργειαν διαφέρουσαν τῆς οὐσίας, καὶ δεικνῦσαν ὅτι ἐν ὑποστάσει ἐστί· διὸ καὶ τελέως ἀνυπόστατός ἐστιν ὁ καθόλου ἄνθρωπος. ὁ δὲ ἐνέργειαν ἔμφυτον ἔχων διαφέρουσαν τῆς οὐσίας ἄνθρωπος, μίαν, ἢ πλείους, ἢ πάσας οἵας περ ἔφημεν, ἐξ αὐτῶν γνωρίζεται ὅτι ἐν ὑποστάσει ἐστί, καὶ οὐκ ἀνυπόστατός ἐστιν ὁ ἄνθρωπος. ἐπεὶ δὲ αἱ τοιαῦται ἐνέργειαι, οὐκ ἐφ' ἑνός, οὐ δύο, ἢ τριῶν, ἀλλ' ἐπὶ πλειόνων τὸν ἀριθμὸν θεωροῦνται, δείκνυται εἶναι τὸν ἄνθρωπον ἐν ὑποστάσεσι μυρίαις.

ρλζʹ. Ὁ Θεὸς κατὰ τὴν διὰ τῆς αὐτοῦ χάριτος ἡμετέραν, τῆς αὐτοῦ λέγω Ἐκκλησίας εὐσεβείας, ἐνέργειαν ἔμφυτον ἔχων δεικτικὴν ἑαυτοῦ, καὶ κατὰ τοῦτο διαφέρουσαν τῆς οὐσίας αὐτοῦ. καὶ γὰρ προγινώσκει τε, καὶ προνοεῖται τῶν ὑποδεεστέρων, καὶ δημιουργεῖ ταῦτα, καὶ συντηρεῖ, καὶ δεσπόζει, καὶ μετασκευάζει κατ' οἰκείαν βούλησιν ὡς οἶδεν αὐτός, ἐν ὑποστάσει δείκνυται ὤν, ἀλλ' οὐκ οὐσία μόνον ἀνυπόστατος. ἐπεὶ δὲ αἱ τοιαῦται πᾶσαι ἐνέργειαι, οὐκ ἐφ' ἑνός, ἀλλ' ἐν τρισὶν ὑποστάσεσιν ὑπάρχων ὁ Θεὸς ἡμῖν γνωρίζεται. οἱ δὲ ἀντικείμενοι, λέγοντες μὴ ἔχειν τὸν Θεὸν ἐνέργειαν ἔμφυτον δεικτικὴν ἑαυτοῦ, καὶ κατὰ τοῦτο διαφέρουσαν τῆς οὐσίας αὐτοῦ, οὐκ ἐν ὑποστάσει λέγουσιν εἶναι τὸν Θεόν, καὶ ἀνυπόστατον τελέως ποιοῦσι τὸν τρισυπόστατον Κύριον. πόσον ὑπερβάλλοντες κακοδοξίᾳ τὸν Λίβυν Σαβέλλιον, ὅσον πλέον εἰς κακίαν ἔχει τῆς δυσσεβείας ἡ ἀσέβεια.

ρληʹ. Τῶν τριῶν θείων ὑποστάσεων, οὐ μία ὡς ὁμοία ἡ ἐνέργεια, καθάπερ ἐφ' ἡμῶν, ἀλλὰ μία ὄντως καὶ τῷ ἀριθμῷ. ὅπερ οἱ τὰ τῶν ἐναντίων φρονοῦντες λέγειν οὐ δύνανται· ἐπεὶ μὴ κοινὴν εἶναι τῶν τριῶν ἄκτιστον ἐνέργειαν φασίν, ἀλλὰ καὶ ἀλλήλων τὰς ὑποστάσεις ἐνεργείας εἶναι λέγουσιν, ὡς μὴ κοινῆς οὔσης κατ' αὐτὰς θείας ἐνεργείας· ὥστε οὐδ' οὕτως ἔχουσι λέγειν μίαν τῶν τριῶν ἐνέργειαν. ἀλλὰ καὶ ἄλλοτε ἄλλην οὕτως ἀναιροῦντες, ἀνυπόστατον κἀντεῦθεν ποιοῦσι τὸν τρισυπόστατον Θεόν.

ρλθʹ. Οἱ τὴν κακόδοξον πλάνην κατὰ ψυχὴν νενοσηκότες, κτιστὴν λέγοντες τὴν διαφέρουσαν τῆς τοῦ Θεοῦ οὐσίας ἐνέργειαν, κτιστῶς ἔχειν καὶ τὸ δημιουργεῖν τὸν Θεὸν δοξάζουσι. ταὐτὸ δ' εἰπεῖν τὴν δημιουργικὴν δύναμιν αὐτοῦ. οὐ γάρ ἐστιν ἐνεργεῖν καὶ δημιουργεῖν χωρὶς ἐνεργείας· ὥσπερ οὐδὲ ὑπάρχειν χωρὶς ὑπάρξεως· ὡς οὖν οὐκ ἔνι τὸν λέγοντα τὴν τοῦ Θεοῦ ὕπαρξιν κτιστήν, ἀκτίστως ἔχειν αὐτὸν τὸ εἶναι οἴεσθαι, οὕτως οὐκ ἔστι τὸν λέγοντα τὴν τοῦ Θεοῦ ἐνέργειαν κτιστήν, τὸ ἐνεργεῖν τε καὶ δημιουργεῖν αὐτὸν ἀκτίστως ἔχειν οἴεσθαι.

ρμʹ. Κτίσματα τοῦ Θεοῦ καὶ εἰσὶ καὶ λέγονται παρὰ τῶν εὐσεβῶς φρονούντων οὐχ ἡ τοῦ Θεοῦ ἐνέργεια κατὰ τοὺς τῶν ἐναντίων λήρους, ἄπαγε τῆς ἀσεβείας, ἀλλὰ τὰ τῆς θείας ἐνεργείας ἀποτελέσματα ἐστὶ τὰ κτίσματα. εἰ γὰρ τὰ κτίσματα ἡ ἐνέργεια, ἢ ἄκτιστα ταῦτα ἐστὶν (ὢ τῆς παρανοίας) ὡς καὶ πρὶν κτισθῆναι ὄντα, ἢ πρὸ τῶν κτισμάτων (ὢ τῆς δυσσεβείας) οὐκ εἶχεν ὁ Θεὸς ἐνέργειαν. ἀλλὰ μὴν ἐξ ἀϊδίου ἐνεργής ἐστι καὶ παν-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀνώνυμος, οὐκ ἡ τοῦ Θεοῦ ἐνέργεια, ἀλλὰ τὰ ἐνεργηθέντα, καὶ ἀποτελεσθέντα, ὅπως ἂν καὶ ὀνομάζοιντο, ἐστὶ τὰ κτίσματα. ἡ δὲ τοῦ Θεοῦ ἐνέργεια, ἄκτιστός ἐστι καὶ συναΐδιος Θεῷ κατὰ τοὺς Θεολόγους.

ρμα΄. Οὐκ ἐκ τῆς οὐσίας ἡ ἐνέργεια, ἀλλ' ἐκ τῆς ἐνεργείας ἡ οὐσία γνωρίζεται ὅτι ἐστί, ἀλλ' οὐ τί ἐστί. διὸ καὶ ὁ Θεός, οὐκ ἐκ τῆς οὐσίας, ἀλλ' ἐκ τῆς προνοίας αὐτοῦ γινώσκεται, κατὰ τοὺς Θεολόγους, ὅτι ἐστί· διαφέρει δὲ καὶ κατὰ τοῦτο τῆς οὐσίας ἡ ἐνέργεια. ὅτι τὸ μὲν γνωρίζον ἐστὶν ἡ ἐνέργεια· τὸ δὲ δι' αὐτῆς γνωριζόμενον ὅτι ἐστίν, ἡ οὐσία ἐστίν· οἱ δὲ τῆς κακοδόξου δυσσεβείας συνήγοροι σπεύδοντες πείθειν μηδὲν διαφέρειν τῆς Θείας οὐσίας τὴν Θείαν ἐνέργειαν, τοῦτο σπεύδουσιν ἡμᾶς καταπεῖσαι τὸ γνωριστικὸν ἀναιροῦντες, μὴ γινώσκειν ὅτι ἐστὶν ὁ Θεός· ὡς μηδὲ ἐκεῖνοι πάντως γινώσκοντες. ὁ δὲ μὴ τοῦτο γινώσκων, ἀθεώτατός τε καὶ ἀφρονέστατος πάντων ἂν εἴη.

ρμβ΄. Ὅταν δὲ λέγωσιν οὗτοι ὡς ἔχει μὲν ὁ Θεὸς ἐνέργειαν, ἀλλὰ τῆς οὐσίας μηδαμῶς κατὰ μηδὲν διαφέρουσαν, συσκιάζειν πειρῶνται καὶ οὕτω τὴν οἰκείαν δυσσέβειαν. καὶ σοφιστικῶς τοὺς ἀκεραίους παρακρούεσθαι καὶ ἀπατᾶν. οὕτω γὰρ καὶ ὁ Λίβυς ἐκεῖνος Σαβέλλιος, ἔλεγε καὶ Υἱὸν ἔχειν τὸν Πατέρα καὶ Θεόν, μηδὲν αὐτοῦ διαφέροντα. ὡς οὖν ἐκεῖνος ἠλέγχετο Πατέρα λέγων Υἱοῦ χωρίς, τὴν καθ' ὑπόστασιν αὐτῶν διαφορὰν ἀρνούμενος, οὕτως οὗτοι νῦν, κατ' οὐδὲν διαφέρειν λέγοντες τῆς Θείας οὐσίας τὴν Θείαν ἐνέργειαν, οὐκ ἔχειν ὅλως τὸν Θεὸν ἐνέργειαν ἀπελέγχονται φρονοῦντες. εἰ γὰρ μηδὲν ταῦτα διενήνοχεν, οὐδὲ τὸ ποιεῖν καὶ ἐνεργεῖν ἔχει ὁ Θεός. οὐ γάρ ἐστιν ἐνεργεῖν χωρὶς ἐνεργείας κατὰ τοὺς Θεολόγους. ὥσπερ κατ' αὐτοὺς αὖθις οὐδὲ ὑπάρχειν χωρὶς ὑπάρξεως. ὅτι δὲ ἡ Θεία ἐνέργεια τῆς Θείας οὐσίας διαφέρει, δῆλον ἂν εἴη κἀντεῦθεν τοῖς εὖ φρονοῦσιν· ἡ δὲ ἐνέργεια ἕτερον ἐνεργεῖ, ὅπερ ὁ ἐνεργῶν οὐκ ἔστιν. ἐνεργεῖ γὰρ καὶ ποιεῖ ὁ Θεὸς τὰ κτίσματα, αὐτὸς δὲ ἄκτιστός ἐστι. καὶ τὸ πρός τι δέ, πρὸς ἕτερον ἀεὶ λέγεται. Υἱὸς γὰρ λέγεται πρὸς τὸν Πατέρα. Πατὴρ δὲ τοῦ Πατρός ἐστιν Υἱὸς οὐδέποτε. ὡς οὖν τὸ πρός τι τῶν ἀδυνάτων μηδὲν διαφέρειν τῆς οὐσίας, μηδὲ ἐνθεωρεῖσθαι τῇ οὐσίᾳ, ἀλλ' οὐσίαν εἶναι, οὕτως οὐδὲ τὴν ἐνέργειαν ὅλως ἐστὶ δυνατὸν μὴ διαφέρειν τῆς οὐσίας, ἀλλ' οὐσίαν εἶναι, κἂν οἱ ἐναντίοι ἀπαρέσκωνται.

ρμγ΄. Ὁ Μέγας Βασίλειος ἐν τοῖς συλλογιστικοῖς αὐτοῦ κεφαλαίοις περὶ Θεοῦ τὸν λόγον ποιούμενος φησίν· εἰ ἡ ἐνέργεια οὔτε ὁ ἐνεργῶν ἐστὶν οὔτε τὸ ἐνεργηθέν· οὐκ ἄρα τῆς οὐσίας ἀδιάφορός ἐστιν ἡ ἐνέργεια. ὁ δὲ Θεῖος Κύριλλος, περὶ Θεοῦ καὶ αὐτὸς τὸν λόγον ποιούμενος, τὸ μὲν ποιεῖν ἐνεργείας ἐστί, Θεολογεῖ· φύσεως δὲ τὸ γεννᾶν· φύσις δὲ καὶ ἐνέργεια οὐ ταυτόν. Δαμασκηνὸς ὁ Θεοφόρος, ἔργον μὲν Θείας φύσεως ἡ γέννησις. ἔργον δὲ Θείας θελήσεως, ἡ κτίσις. καὶ ἀλλαχοῦ δὲ σαφῶς πάλιν ὁ αὐτός, ἄλλο φησίν ἐστιν ἐνέργεια, καὶ ἄλλο ἐνεργητικόν. ἐνέργεια μὲν γάρ ἐστιν ἡ οὐσιώδης τῆς φύσεως κίνησις, ἐνεργητικὸν δὲ ἡ φύσις, ἐξ ἧς ἡ ἐνέργεια πρόεισι. πολλαχῶς ἄρα τῆς Θείας οὐσίας, ἡ ἐνέργεια διαφέρει, κατὰ τοὺς Θεοειδῆς Πατέρας.

ρμδ΄. Ἡ οὐσία τοῦ Θεοῦ παντάπασιν ἐστὶν ἀνώνυμος· ἐπεὶ καὶ πάντῃ ἐστὶν ἀπερινόητος, ὀνομάζεται δ' ἐκ πασῶν τῶν οἰκείων ἐνεργειῶν, μηδενὸς ἐκεῖ τῶν ὀνομάτων πρὸς ἕτερον κατὰ τὴν σημασίαν διαφέροντος. ἐπὶ ἑκάστου γὰρ καὶ πάντων οὐδὲν ἕτερον, ἢ τὸ κρύφιον ἐκεῖνο μηδαμῶς γινωσκόμενον ὅτι ποτέ ἐστι καλεῖται·



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐπὶ δὲ τῶν ἐνεργειῶν, ἕκαστον τῶν ὀνομάτων διάφορον ἔχει σημασίαν. τίς γὰρ οὐκ οἶδεν ὅτι διενηνόχασιν ἀλλήλων, τὸ κτίζειν, τὸ δεσπόζειν, τὸ κρίνειν, τὸ προνοεῖσθαι, τὸ διὰ τῆς οἰκείας χάριτος τὸν Θεὸν ἡμᾶς υἱοθετεῖν. οἱ οὖν τὰς φυσικὰς θείας ταύτας ἐνεργείας, ὡς ἀλλήλων τε, καὶ τῆς θείας φύσεως διαφερούσας λέγοντες κτιστάς, τί ἄλλο ἢ τὸν Θεὸν εἰς κτίσμα κατασπῶσι; τὰ γὰρ κτιζόμενα, τὰ δεσποζόμενα, τὰ κρινόμενα καὶ ἁπλῶς πάντα τὰ τοιαῦτα ἐστὶ τὰ κτίσματα, ἀλλ᾽ οὐχ ὁ κτίστης, καὶ ὁ δεσπότης, καὶ ὁ κριτής. οὐδ᾽ αὐτὸ τὸ κρίνειν, καὶ δεσπόζειν, καὶ δημιουργεῖν, ἅπερ φυσικῶς ἐνθεωρεῖται τούτῳ.

ρμε'. Ἡ οὐσία τοῦ Θεοῦ καθάπερ ἀνώνυμός ἐστι παντάπασιν ὡς ὑπερώνυμος κατὰ τοὺς θεολόγους· οὕτως καὶ ἀμέθεκτος ὡς ὑπὲρ μέθεξιν ὑπάρχει κατ᾽ αὐτούς· οἱ οὖν ἀπειθοῦντες οὗτοι νῦν, τῇ διὰ τῶν ἁγίων ἡμῶν πατέρων τοῦ πνεύματος διδασκαλίᾳ, καὶ λοιδοροῦντες ἡμᾶς τοὺς αὐτοῖς ὁμολογοῦντας, πολλούς γίνεσθαι φασὶ Θεούς, ἢ σύνθετον τὸν ἕνα, εἴπερ ἡ θεία ἐνέργεια τῆς θείας οὐσίας διαφέρει. καὶ εἰ ὅλως ἐνθεωρεῖταί τι τῇ τοῦ Θεοῦ οὐσίᾳ. ἀγνοοῦσι γάρ, ὡς οὐχὶ τὸ ἐνεργεῖν καὶ ἡ ἐνέργεια, ἀλλὰ τὸ πάσχειν καὶ πάθος ποιεῖ τὴν σύνθεσιν. ὁ δὲ Θεὸς ἐνεργεῖ, μηδὲν αὐτὸς πάσχων, μηδὲ ἀλλοιούμενος. οὐκ ἄρα σύνθετος ἔσται διὰ τὴν ἐνέργειαν. καὶ τὸ πρός τι δὲ ὁ Θεὸς καὶ πρὸς τὴν κτίσιν ἔχει· ὡς ἀρχὴ καὶ δεσπότης ὢν αὐτῆς· ἀλλ᾽ οὐ συμπεριλαμβάνεται τοῖς γεγονόσι παρὰ τούτου. πολλοὶ δὲ πάλιν πῶς ἔσονται Θεοὶ διὰ τὸ ἔχειν τὸν Θεὸν ἐνέργειαν, εἴπερ ἑνός ἐστι Θεοῦ, μᾶλλον δὲ ὁ αὐτὸς ἐστὶ Θεός, ἡ θεία οὐσία, καὶ ἡ θεία ἐνέργεια. σαφὴς οὖν ὄντως οὗτος λῆρος τῆς αὐτῶν φρενοβλαβείας.

ρμϛ'. Εἰπὼν ὁ Κύριος πρὸς τοὺς οἰκείους μαθητάς, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἳ οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει. μεθ᾽ ἡμέρας ἕξ, παραλαβὼν τὸν Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην καὶ εἰς τὸ Θαβώριον ὄρος ἀνελθὼν ἔλαμψεν ὡς ὁ ἥλιος· καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς· οὐ γὰρ ἠδύναντο ἐκεῖνοι βλέπειν πλέον. μᾶλλον δὲ καὶ πρὸς τὴν λάμψιν ταύτην οὐκ ἰσχύοντες ἀτενίζειν, πρηνεῖς εἰς γῆν κατέπεσον. ὅμως εἶδον κατὰ τὴν ἐπαγγελίαν τοῦ σωτῆρος, τὴν βασιλείαν τοῦ Θεοῦ· τὸ θεϊκὸν ἐκεῖνο καὶ ἀπόρρητον φῶς· ὃ Γρηγόριος μὲν καὶ Βασίλειος οἱ Μεγάλοι, θεότητα προσαγορεύουσι. φῶς λέγοντες ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς, καὶ κάλλος τοῦ ὄντως δυνατοῦ, ἡ νοητὴ αὐτοῦ καὶ θεωρητὴ θεότης. ὁ γὰρ Μέγας Βασίλειος, καὶ κάλλος εἶναι τοῦ Θεοῦ φησὶ τὸ φῶς ἐκεῖνο, μόνοις τοῖς ἁγίοις θεωρητὸν ἐν τῇ δυνάμει τοῦ θείου πνεύματος. διὸ καί φησι πάλιν. εἶδον δὲ αὐτοῦ τὸ κάλλος Πέτρος καὶ οἱ υἱοὶ τῆς βροντῆς ἐν τῷ ὄρει, ὑπερλάμπον τὴν τοῦ ἡλίου λαμπρότητα· καὶ τὰ προοίμια τῆς αὐτοῦ παρουσίας ὀφθαλμοῖς λαβεῖν κατηξιώθησαν. ὁ δὲ Δαμασκηνὸς Θεολόγος, μετὰ τοῦ χρυσοῦ τὴν γλῶτταν Ἰωάννου, φυσικὴν ἀκτῖνα τῆς θεότητος τὸ φῶς ἐκεῖνο προσηγόρευσαν· ὁ μὲν γράφων· ἀνάρχως ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς γεννηθείς, τὴν φυσικὴν ἀκτῖνα ἄναρχον κέκτηται τῆς θεότητος· καὶ ἡ τῆς θεότητος δόξα, δόξα τοῦ σώματος γίνεται. ὁ δὲ χρυσορρήμων, λαμπρότερος φησὶν ἑαυτοῦ ἐφαίνετο ὁ Κύριος ἐπὶ τοῦ ὄρους, τῆς θεότητος παραδειξάσης τὰς ἀκτῖνας αὐτῆς.

Τοῦτο τὸ θεϊκὸν καὶ ἀπόρρητον φῶς, τὴν τοῦ Θεοῦ θεότητα καὶ βασιλείαν, τὸ κάλλος καὶ τὴν λαμπρότητα τῆς θείας φύσεως, τὴν ἐν τῷ ἀκαταλήπτῳ αἰῶνι ρμζ'.

τῶν ἁγίων ὅρασιν καὶ ἀπόλαυσιν, τὴν φυσικὴν ἀκτῖνα καὶ δόξαν τῆς θεότητος, φάσμα καὶ κτίσμα οἱ γλωσσαλγοῦντες αἱρετικοὶ λέγουσι· καὶ τοὺς μὴ ἀνεχομένους κατ' αὐτοὺς εἰς τὸ θεῖον φῶς τοῦτο βλασφημεῖν, ἀλλ' ἄκτιστον εἶναι φρονοῦντας τὸν Θεὸν κατ' οὐσίαν, καὶ κατ' ἐνέργειαν, ὅτι θεΐτας εἶναι συκοφαντοῦντες περιαγγέλλουσιν· ἀλλ' αἰσχυνέσθωσαν, ἀκτίστου γὰρ καὶ τοῦ θείου φωτὸς ὄντος, εἷς ἡμῖν Θεός ἐστιν ἐν μιᾷ θεότητι· ὡς ἑνὸς Θεοῦ καθάπερ ἀνωτέρω πολλαχῶς δέδεικται, καὶ τῆς ἀκτίστου οὐσίας οὔσης, καὶ τῆς ἀκτίστου ἐνεργείας· δηλαδὴ τῆς θείας χάριτος καὶ ἐλλάμψεως ταύτης.

ρμη'. Φάσμα τοιγαροῦν καὶ κτίσμα φρονεῖν ἐνὶ τῆς συνόδου τολμηρῶς εἰπόντες, καὶ κατασκευάζειν πειραθέντες οἱ κακόφρονες αἱρετικοί, τὸ λάμψαν ἀπὸ τοῦ Σωτῆρος ἐν Θαβὼρ θεϊκὸν ἐκεῖνο φῶς, καὶ διὰ πολλῶν ἐξελεγχθέντες, καὶ μὴ μεταπεισθέντες, ἀφορισμῷ ἐγγράφῳ καὶ ἀναθέματι καθυπεβλήθησαν, ὥστε γὰρ τὴν διὰ σαρκὸς οἰκονομίαν βλασφημοῦσι τοῦ Θεοῦ, καὶ κτιστὴν εἶναι φρενοβλαβῶς λέγουσι τὴν τοῦ Θεοῦ θεότητα, καὶ εἰς κτίσμα, τό γε εἰς αὐτοὺς ἧκον, κατασπῶσιν αὐτὸν τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. μία γὰρ καὶ ἡ αὐτή ἐστιν ἡ θεότης τῶν τριῶν. εἰ δὲ καὶ ἄκτιστον εἶναι σέβειν λέγουσι θεότητα, δύο φανερῶς λοιπὸν ἔτι λέγουσιν εἶναι τοῦ Θεοῦ θεότητας, μίαν κτιστήν, καὶ ἄλλην ἄκτιστον. οὕτω φιλονεικοῦσι πάντας τοὺς ἐκ παλαιοῦ κακοδόξους ὑπερβῆναι τῇ δυσσεβείᾳ.

ρμθ'. Ἄλλοτε δὲ τὴν οἰκείαν κακοδοξίαν συσκιάζειν μηχανώμενοι, καὶ ἄκτιστον λέγουσι τὸ ἐν Θαβωρίῳ λάμψαν φῶς, καὶ οὐσίαν εἶναι τοῦ Θεοῦ, πολλαπλῶς κἀν τούτῳ βλασφημοῦντες. ἐπεὶ γὰρ ὑπὸ τῶν Ἀποστόλων ἑώραται τὸ φῶς ἐκεῖνο, ὁρατὴν λοιπὸν εἶναι κακῶς φρονοῦσι τὴν οὐσίαν τοῦ Θεοῦ· ἀλλ' ἀκουέτωσαν τοῦ λέγοντος, οὐδεὶς ἔστη ἐν ὑποστήματι, καὶ οὐσίᾳ Θεοῦ, καὶ Θεοῦ φύσιν ἢ εἶδεν, ἢ ἐξηγήσατο. καὶ μὴ μόνον οὐδεὶς ἀνθρώπων, ἀλλ' οὐδὲ τῶν Ἀγγέλων· καὶ αὐτὰ γὰρ τὰ ἑξαπτέρυγα Σεραφίμ, καὶ πρὸς αὐτὴν τὴν ὑπερβολὴν τῆς ἐκεῖθεν ἐκπεμπομένης ἐλλάμψεως, ταῖς πτέρυξι περικαλύπτει τὰς ὄψεις. ἐπεὶ γοῦν οὐδέσιν οὐδέποτε ἡ ὑπερουσιότης ὤφθη τοῦ Θεοῦ, ὅταν ταύτην εἶναι οἱ αἱρετικοὶ λέγωσι τὸ φῶς ἐκεῖνο, ἀθέατον εἶναι παντάπασι τὸ φῶς τοῦτο μαρτυροῦσι. καὶ μηδὲ τοὺς τῶν Ἀποστόλων ἐγκρίτους τυχεῖν ἐπ' ὄρους τῆς τούτου θέας. μηδὲ τὸν Κύριον ἀληθῶς ταύτην ἐπαγγείλασθαι τούτοις· μηδ' ἀληθῶς λέγειν τὸν λέγοντα, εἴδομεν τὴν δόξαν αὐτοῦ, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ. καὶ διαγρηγορήσαντες Πέτρος καὶ οἱ σὺν αὐτῷ, εἶδον τὴν δόξαν αὐτοῦ. ἕτερος δὲ τὸν διαφερόντως ἠγαπημένον τῷ Χριστῷ Ἰωάννην φησίν, αὐτὴν τὴν τοῦ λόγου θεότητα παραγυμνωθεῖσαν ἐπ' ὄρους ἰδεῖν. εἶδον οὖν καὶ ἀληθῶς εἶδον τὴν ἄκτιστον καὶ θείαν ἔλλαμψιν ἐκείνην, ἀοράτου τοῦ Θεοῦ διαμένοντος καθ' ὑπερούσιον κρυφιότητα, κἂν οἱ τῆς αἱρέσεως ἀρχηγοί, καὶ οἱ τούτοις ὁμόφρονες διαρραγῶσιν.

ρν'. Ἡνίκα δέ τις ἔρηται τοὺς αἱρετικοὺς τούσδε, οὐσίαν εἶναι τὸ φῶς ἐκεῖνο τῆς θεότητος εἰπόντας, καὶ ὁρᾶται λοιπὸν ἡ οὐσία τοῦ Θεοῦ; ἀναγκαζόμενοι τὸν δόλον ἐκκαλύπτουσιν, οὐσίαν λέγοντες εἶναι τοῦτο φάναι, ἐπεὶ δι' αὐτοῦ ἡ οὐσία τοῦ Θεοῦ ἑώραται. διὰ γὰρ τῶν κτισμάτων ἡ οὐσία τοῦ Θεοῦ ὁρᾶται. πάλιν κτίσμα κατασκευάζοντες οἱ τάλανες εἶναι τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως. καθορᾶται δὲ διὰ τῶν κτισμάτων, οὐχ ἡ οὐσία, ἀλλ' ἡ δημιουργικὴ τοῦ Θεοῦ ἐνέργεια. ὥστε δυσσεβῶς καὶ τοῦτο, καὶ τῷ Εὐνομίῳ συμφωνοῦντες λέγουσιν, ὅτι διὰ τῶν κτισμά-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

των ἡ οὐσία τοῦ Θεοῦ ὁρᾶται. οὕτω πολύχουν αὐτοῖς ἐστὶ τὸ τῆς δυσσεβείας λήιον. φευκτέον οὖν αὐτούς, καὶ τὴν αὐτῶν κοινωνίαν, ὡς ψυχοφθόρον, καὶ πολυκέφαλον ὕδραν, ὡς πολυειδῆ τῆς ἀσεβείας λήμην.

# ΑΓΙΟΡΕΙΤΙΚΟΣ ΤΟΜΟΣ,

## ΥΠΕΡ ΤΩΝ

# ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ.

Διὰ τοὺς ἐξ ἰδίας ἀπειρίας, καὶ τῆς πρὸς τοὺς ἁγίους ἀπειθείας, ἀθετοῦντας τὰς τοῦ πνεύματος μυστικὰς ἐνεργείας. κρεῖττον, ἢ λόγος ἐν τοῖς κατὰ πνεῦμα ζῶσιν ἐνεργουμένας. καὶ δι' ἔργων φανερουμένας, ἀλλ' οὐ διὰ λόγων ἀποδεικνυμένας.

Τὰ μὲν ἀρτίως καθωμιλημένα, καὶ κοινῇ πᾶσιν ἐγνωσμένα, καὶ παῤῥησίᾳ κηρυττόμενα δόγματα, τοῖς διὰ Μωσέως ὑπῆρχε νόμου μυστήρια, τοῖς Προφήταις μόνοις ἐν πνεύματι προορώμενα. τὰ δ' ἐπηγγελμένα τοῖς ἁγίοις ἀγαθὰ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα, τῆς κατὰ τὸ Εὐαγγέλιον πολιτείας ἐστὶ μυστήρια, τοῖς διὰ τοῦ πνεύματος ὁρᾷν ἠξιωμένοις, καὶ τούτοις μετρίως, ὡς ἐν ἀῤῥαβῶνος μέρει, διδόμενά τε, καὶ προορώμενα. ἀλλ' ὥσπερ ἐκεῖνος τότε τῶν Ἰουδαίων, μὴ μετ' εὐχαριστίας ἀκούων τῶν προφητῶν λεγόντων Λόγον, καὶ Πνεῦμα Θεοῦ, συναΐδιά τε, καὶ προαιώνια, συνεῖχεν ἂν τὰ ὦτα, δοκῶν ἀπηγορευμένων ἀκούειν τῇ εὐσεβείᾳ φωνῶν, καὶ τῆς ἀνωμολογημένης τοῖς εὐσεβέσι φωνῆς ἐναντίων· δηλονότι τῆς λεγούσης. Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν. οὕτω καὶ νῦν τάχα ἂν πάθοι τις, μὴ μετ' εὐλαβείας ἀκούων, τῶν μόνοις ἐγνωσμένων τοῖς δι' ἀρετὴν κεκαθαρμένοις μυστηρίων τοῦ πνεύματος. ἀλλ' ὥσπερ αὖθις ἡ τῶν προῤῥήσεων ἐκείνων ἔκβασις, σύμφωνα τοῖς φανεροῖς ἀνέδειξε τὰ τότε μυστήρια. καὶ πιστεύομεν νῦν εἰς Πατέρα, καὶ Υἱόν, καὶ Ἅγιον Πνεῦμα. Θεότητα τρισυπόστατον, μίαν φύσιν ἁπλῆν, ἀσύνθετον, ἄκτιστον, ἀόρατον, ἀπερινόητον. οὕτω καὶ τοῦ μέλλοντος αἰῶνος, ἐν καιροῖς ἰδίοις ἀποκαλυφθέντος, κατὰ τὴν ἄφραστον ἔκφανσιν τῆς ἐν τρισὶ τελείαις ὑποστάσεσιν ἑνὸς Θεοῦ, σύμφωνα τοῖς πᾶσιν ἐκφανήσεται τοῖς φανεροῖς τὰ μυστήρια. δεῖ μέντοι κἀκεῖνο σκοπεῖν. ὡς εἰ καὶ τοῖς πέρασι τῆς γῆς ὕστερον ἐξεφάνη τὸ τρισυπόστατον τῆς Θεότητος, τῷ λόγῳ τῆς μοναρχίας, μηδαμῶς λυμαινόμενον, ἀλλὰ τοῖς Προφήταις ἐκείνοις, καὶ πρὸ τῆς ἐκβάσεως τῶν πραγμάτων, ἀκριβῶς ἐγινώσκετο. καὶ τοῖς αὐτοῖς τηνικαῦτα πειθομένοις, εὐπαράδεκτον ἦν. τὸν ἴσον ἄρα τρόπον, οὐδὲ νῦν τοὺς λόγους τῆς ὁμολογίας ἀγνοοῦμεν, τῶν τε παῤῥησίᾳ κηρυττομένων, καὶ τῶν μυστικῶς ἐν πνεύματι τοῖς ἀξίοις προφαινομένων. οἱ μὲν αὐτῇ τῇ πείρᾳ μεμυημένοι, ὅσοι τῇ τε τῶν χρημάτων κτήσει, καὶ τῇ τῶν ἀνθρώπων δόξῃ, καὶ ταῖς σωμάτων οὐ καλαῖς ἡδοναῖς, διὰ τὴν Εὐαγγελικὴν ἀπετάξαντο ζωήν, οὐ μόνον δέ, ἀλλὰ καὶ τὴν ὑποταγὴν ταύτην, διὰ τῆς πρὸς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὰς ἐν τῇ κατὰ Χριστὸν ἡλικίᾳ προσήκοντας ἐβεβαίωσαν ὑποταγῆς. ἑαυτοὺς γὰρ, καὶ τῷ Θεῷ δι' ἡσυχίας ἀπεριμερίμνως σχολάσαντες, καὶ διὰ προσευχῆς εἰλικρινοῦς, ὑπὲρ ἑαυτοὺς γενόμενοι, καὶ γεγονότες ἐν Θεῷ, διὰ τῆς πρὸς αὐτὸν μυστικῆς ὑπὲρ νοῦν ἑνώσεως, τὰ ὑπὲρ νοῦν ἐμυήθησαν. οἱ δὲ, τῇ πρὸς τοὺς τοιούτους αἰδοῖ, καὶ πίστει, καὶ στοργῇ. οὕτω τοίνυν καὶ ἡμεῖς, τοῦ μεγάλου Διονυσίου λέγοντος, ἀκούοντες, ἐν τῇ δευτέρᾳ πρὸς Γάϊον ἐπιστολῇ. τὸ τοῦ Θεοῦ θεοποιὸν δῶρον, θεότητα, καὶ θεαρχίαν, καὶ ἀγαθαρχίαν, καὶ τὸν τὴν χάριν ταύτην τοῖς ἀξίοις παρέχοντα Θεὸν, ὑπὲρ ταύτην τὴν θεότητα εἶναι πειθόμεθα. πολυπλασιασμὸν γὰρ ὁ Θεὸς οὐ πάσχει, οὐδὲ δύο λέγει τις οὕτω θεότητας. ἀλλὰ τὴν θεοποιὸν ταύτην χάριν τοῦ Θεοῦ, ὁ θεῖος Μάξιμος περὶ τοῦ Μελχισεδὲκ γράφων, ἄκτιστον εἶναι ἀποφαίνεται, καὶ ἀεὶ οὖσαν ἐκ τοῦ ἀεὶ ὄντος Θεοῦ. ἀλλαχοῦ δὲ πολλαχοῦ, ἀγέννητόν τε καὶ ἐνυπόστατον φῶς τοῖς ἀξίοις ἡνίκ' ἂν γένοιντο ἄξιοι φανερούμενον, ἀλλ' οὐ τότε γινόμενον. τοῦτο τὸ φῶς οὗτος, καὶ φῶς ὑπεραρρήτου δόξης, καὶ Ἀγγέλων καθαρότητα ὀνομάζει. ὁ δὲ Μέγας Μακάριος, καὶ τῶν ἀσωμάτων τροφὴν, καὶ τῆς θείας φύσεως δόξαν, καὶ τοῦ μέλλοντος αἰῶνος καλλονὴν, πῦρ θεῖον καὶ ἐπουράνιον. φῶς ἄρρητον, καὶ νοερὸν, ἀρραβῶνα Πνεύματος Ἁγίου, ἁγιαστικὸν ἀγαλλιάσεως ἔλαιον.

Ὅστις οὖν, τοὺς τὴν θεοποιὸν ταύτην χάριν τοῦ Θεοῦ, ἄκτιστον, καὶ ἀγέννητον, καὶ ἐνυπόστατον λέγοντας, τοῖς Μασσαλιανοῖς συντάττει καὶ διθεΐτας καλεῖ, εἴπερ ἄρα τίς ἐστιν, οὗτος ἴστω τοῖς τοῦ Θεοῦ ἁγίοις ἀντικείμενος, καὶ τοῦ κλήρου τῶν σωζομένων, εἰ μὴ μεταμεληθείη, ἑαυτὸν ἐκβάλλων. καὶ αὐτὸς ἐκπίπτων τοῦ ἑνὸς καὶ μόνου τῶν ἁγίων φύσει Θεοῦ. ὅστις δὲ πιστεύων, καὶ πειθόμενος, καὶ συμφθεγγόμενος τοῖς ἁγίοις, καὶ μὴ προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, τὸ μὲν φανερῶς λεγόμενον οὐκ ἀποσείεται, ὡς ἀγνοῶν, ἀγνοεῖ δὲ τὸν τρόπον τοῦ μυστηρίου, μὴ ἀπαξιούτω ζητεῖν, καὶ μανθάνειν παρὰ τῶν εἰδότων. εἴσεται γὰρ, ὡς οὐδὲν ἀνακόλουθον τοῖς θείοις λόγοις καὶ πράγμασι, καὶ ταῦτ' ἐπὶ τῶν ἀναγκαιοτάτων, καὶ ὧν ἄνευ οὐδὲν οὐδαμῶς ἂν συσταίη, οὔτε μυστήριον ὅλως θεοπρεπές.

Ὅστις μόνῃ τῇ μιμήσει τε, καὶ σχέσει, χωρὶς τῆς θεοποιοῦ χάριτος τοῦ Πνεύματος, τὴν πρὸς τὸν Θεὸν τελείαν ἕνωσιν ἀποφαίνεται τελεῖσθαι, κατὰ τοὺς ὁμοηθεῖς καὶ ἀγαπωμένους ὑπ' ἀλλήλων, καὶ τὴν θεοποιὸν χάριν τοῦ Θεοῦ, ἕξιν τῆς λογικῆς φύσεως, διὰ μόνης μιμήσεως προσγινομένην, ἀλλ' οὐκ ἔλλαμψιν ὑπερφυᾶ καὶ ἀπόρρητον, καὶ θείαν ἐνέργειαν, ὁρωμένην, ἀοράτως τοῖς ἠξιωμένοις. καὶ νοουμένην ἀπερινοήτως, οὗτος ἴστω, τῇ τῶν Μασσαλιανῶν, ὡς οὐκ οἶδεν' ἀπάτῃ περιπεσών. φύσει γὰρ ἔσται κατὰ πᾶσαν ἀνάγκην Θεὸς ὁ θεούμενος, εἰ κατὰ φυσικὴν δύναμιν ἡ θέωσις ἔσται, καὶ τοῖς ὅροις τῆς φύσεως ἐμπεριλαμβάνεσθαι πέφυκε. μὴ τοίνυν οὗτος τὴν οἰκείαν περιτροπὴν, τοῖς ἀσφαλῶς ἑστῶσιν ἐπιχειρείτω προστρίψασθαι, καὶ μῶμον τοῖς ἀμωμήτοις τὴν πίστιν ἐπενεγκεῖν. ἀλλὰ τὸ φρόνημα καταθέμενος, μανθανέτω παρὰ τῶν πεπειραμένων, ἢ τῶν ἀπ' ἐκείνων δεδιδαγμένων, ὡς ἄκτιστός ἐστι παντάπασιν ἡ τῆς θεότητος χάρις, οὐκ ἔχουσα τὴν οἱανοῦν δεκτικὴν ἑαυτῆς ἐν τῇ φύσει δύναμιν. ἐπεὶ οὐκ ἔτι χάρις ἐστίν. ἀλλὰ τῆς κατὰ τὴν φυσικὴν δύναμιν ἐνεργείας φανέρωσις. καὶ οὐδὲ παράδοξον ἔσται τὸ γενόμενον, εἰ κατὰ δεκτικὴν δύναμιν θεώσεως ἡ θέωσις εἴη. φύσεως γὰρ ἂν εἰκότως ἔργον, ἀλλ'



Athos Library
Αγιορειτική Βιβλιοθήκη

οὐ Θεοῦ δῶρον ἡ θέωσις εἴη. καὶ δυνήσεται καὶ φύσει Θεὸς ὁ τοιοῦτος εἶναι, καὶ κυρίως προσαγορεύεσθαι. οὐδὲ γὰρ ἄλλο τί καθέστηκεν ἡ κατὰ φύσιν τῶν ὄντων ἑκάστου δύναμις, ἢ φύσεως πρὸς ἐνέργειαν ἀπαράβατος κίνησις. πῶς δὲ καὶ ἐξίστησιν ἑαυτοῦ τὸν θεούμενον, ἡ θέωσις; εἰ ἔτι τοῖς ὅροις τῆς φύσεως αὐτὴ περιείληπται, συνιδεῖν οὐκ ἔχω. ὑπὲρ φύσιν τοίνυν, καὶ ἀρετὴν, καὶ γνῶσιν, ἡ τῆς θεώσεως χάρις, καὶ ἀπείρως τὰ τοιαῦτα ἅπαντα κατὰ τὸν ἅγιον Μάξιμον ταύτης ἀποδεῖ. ἀρετὴ μὲν γὰρ πᾶσα, καὶ ἡ ἐφ' ἡμῖν τοῦ Θεοῦ μίμησις πρὸς τὴν θείαν ἕνωσιν ἐπιτήδειον ποιεῖται τὸν κεκτημένον. ἡ δὲ χάρις, αὐτὴν τελεσιουργεῖ τὴν ἀπόρρητον ἕνωσιν. δι' αὐτῆς γὰρ ὅλος μὲν ὅλοις τοῖς ἀξίοις ὁ Θεὸς περιχωρεῖ. ὅλῳ δὲ ὅλοι περιχωροῦσιν ὁλικῶς οἱ ἅγιοι τοῦ Θεοῦ. ὅλον ἀντιλαμβανόντες ἑαυτῶν τὸν Θεόν, καὶ τῆς πρὸς αὐτὸν ἀναβάσεως, οἷον ἔπαθλον αὐτὸν μόνον κτησάμενοι τὸν Θεόν. ψυχῆς πρὸς σῶμα περιχωρήσαντα τρόπον, ὡς οἰκείοις μέλεσι, καὶ ἐν αὐτοῖς εἶναι καταξιώσαντα.

Ὅστις τοὺς ἐν τῇ καρδίᾳ, ἢ τῷ ἐγκεφάλῳ λέγοντας τὸν νοῦν ἐνιδρῦσθαι, Μασσαλιανοὺς εἶναι διϊσχυρίζεται. οὗτος ἴστω, κακῶς τοῖς ἁγίοις ἐπιτιθέμενος. ὁ μὲν γὰρ Μέγας Ἀθανάσιος, τῷ ἐγκεφάλῳ τὸ λογικὸν ἐνεῖναι τῆς ψυχῆς φησί. Μακάριος δὲ ὁ τῇ μεγαλειότητι μηδὲν ἐλλείπων, ἐν τῇ καρδίᾳ τὴν τοῦ νοῦ ἐνέργειαν. συνῳδὰ δὲ τούτοις οἱ ἅγιοι σχεδὸν ἅπαντες. ὃ γὰρ φησὶν ὁ Νύσσης θεῖος Γρηγόριος. ὅτι ὁ νοῦς, οὔτε ἐντὸς οὔτε ἐκτὸς τοῦ σώματός ἐστιν, ὡς ἀσώματος, οὐκ ἐναντιοῦται τοῖς ἁγίοις ἐκείνοις. ἐντὸς γὰρ τοῦ σώματος ἐκεῖνοι λέγουσι τὸν νοῦν, ὡς συνημμένον τούτῳ. κατ' ἄλλον τοίνυν τρόπον τοῦτο λέγοντες, ἥκιστα πρὸς ἐκεῖνον διαφέρονται. καὶ γὰρ οὐδὲ τῷ λέγοντι μὴ ἐν τόπῳ τὸ θεῖον εἶναι, ἢ ἀσώματον, ἀντίκειται. ὁ ἔνδον γενέσθαι ποτὲ τὸν τοῦ Θεοῦ λόγον λέγων παρθενικῆς καὶ παναμώμου μήτρας, ὡς ἐκεῖ συνημμένον ὑπὲρ λόγον τῷ καθ' ἡμᾶς φυράματι, διὰ φιλανθρωπίαν ἄφατον.

Ὅστις τὸ ἐν Θαβωρίῳ τοὺς Μαθητὰς περιαστράψαν φῶς, φάσμα λέγει, καὶ σύμβολον κτιστὸν, οἷον γίνεσθαι καὶ ἀπογίνεσθαι, ἀλλ' οὐ κυρίως εἶναι, καὶ οὐχ ὑπὲρ πᾶσαν νόησιν, ἀλλὰ χεῖρω νοήσεως ἐνέργειαν, σαφῶς ἀντιφθέγγεται ταῖς τῶν ἁγίων δόξαις. οὗτοι γὰρ, κἂν τοῖς ᾄσμασι, κἂν τοῖς συγγράμμασιν, ἀπόρρητον, ἄκτιστον, ἀΐδιον, ἄχρονον, ἀπρόσιτον, ἄπλετον, ἄπειρον, ἀπεριόριστον, Ἀγγέλοις καὶ ἀνθρώποις ἀθέατον, ἀρχέτυπον κάλλος, καὶ ἀναλλοίωτον. δόξαν Θεοῦ, δόξαν Χριστοῦ, δόξαν Πνεύματος, ἀκτῖνα θεότητος, καὶ τὰ τοιαῦτα προσαγορεύουσι. δοξάζεται μὲν γὰρ φησὶν ἡ σὰρξ ἅμα τῇ προσλήψει, καὶ δόξα τοῦ σώματος ἡ δόξα τῆς θεότητος γίνεται. ἀλλ' ἀφανὴς ἦν ἡ δόξα ἐν τῷ φαινομένῳ σώματι, τοῖς μὴ χωροῦσι τὰ καὶ Ἀγγέλοις ἀθέατα. μεταμορφοῦται τοίνυν, οὐχ ὃ οὐκ ἦν προσλαβόμενος, οὐδὲ εἰς ὅπερ οὐκ ἦν μεταβαλλόμενος. ἀλλ' ὅπερ ἦν τοῖς οἰκείοις μαθηταῖς ἐκφαινόμενος, διανοίγων τούτων τὰ ὄμματα, καὶ ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας. μένων γὰρ αὐτὸς ἐν ταυτότητι, παρ' ὃ τὸ πρὶν ἐφαίνετο, νῦν τοῖς μαθηταῖς ἑωρᾶτο φαινόμενος. αὐτὸς γάρ ἐστι τὸ φῶς τὸ ἀληθινὸν, τὸ τῆς δόξης ὡράϊσμα. καὶ ὡς ὁ ἥλιος ἔλαμψεν. ἀμυδρὰ ἡ εἰκὼν, ἀλλ' ἀμήχανον ἀπαραλείπτως ἐν τῇ κτίσει, τὸ ἄκτιστον εἰκονίζεσθαι.

Ὅστις ἄκτιστον τὴν οὐσίαν μόνην εἶναι λέγει τοῦ Θεοῦ, ἀλλὰ μὴ καὶ τὰς ἀϊδίους ἐνεργείας αὐτοῦ, ὧν καὶ ὑπερέχει πασῶν ὡς τῶν ἐνεργουμένων ἁπάντων τὸ ἐνεργοῦν, τοῦ Ἁγίου ἀκουσάτω Μαξίμου



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λέγοντος, τὰ ἀθάνατα πάντα, καὶ αὐτὴ ἡ ἀθανασία. καὶ τὰ ζῶντα πάντα, καὶ αὐτὴ ἡ ζωή. καὶ τὰ ἅγια πάντα, καὶ αὐτὴ ἡ ἁγιότης. καὶ τὰ ἐνάρετα πάντα, καὶ αὐτὴ ἡ ἀρετή. καὶ τὰ ἀγαθὰ πάντα, καὶ αὐτὴ ἡ ἀγαθότης. καὶ τὰ ὄντα πάντα, καὶ αὐτὴ ἡ ὀντότης, Θεοῦ προδήλως ἔργα τυγχάνουσιν. ἀλλὰ τὰ μὲν τοῦ εἶναι χρονικῶς ἠργμένα, (ἦν γάρ ποτε ὅτε οὐκ ἦν.) τὰ δὲ τοῦ εἶναι χρονικῶς οὐκ ἠργμένα. οὐκ ἦν γάρ ποτε ὅτε οὐκ ἦν ἀρετὴ, καὶ ἀγαθότης, καὶ ἁγιότης, καὶ ἀθανασία· καὶ πάλιν. ἡ ἀγαθότης, καὶ πᾶν εἴ τι ἀγαθότητος ἐμπεριέχεται λόγῳ. καὶ ἁπλῶς πᾶσα ζωὴ, καὶ ἀθανασία, καὶ ἁπλότης, καὶ ἀτρεψία, καὶ ἀπειρία, καὶ ὅσα περὶ τὸν Θεὸν οὐσιωδῶς θεωρεῖται, ἔργα Θεοῦ εἰσι, καὶ οὐκ ἠργμένα χρονικῶς. οὐ γάρ ποτε πρεσβύτερον ἀρετῆς τὸ οὐκ ἦν. οὐδέ τινος ἄλλου τῶν εἰρημένων, κἂν τὰ μετέχοντα αὐτῶν κατ᾽ αὐτὰ, ἦρκται τοῦ εἶναι χρονικῶς. ἄναρχος γὰρ πᾶσα ἀρετὴ, μὴ ἔχουσα τὸν χρόνον ἑαυτῆς πρεσβύτερον. ὡς τὸν Θεὸν ἔχουσα τοῦ εἶναι μονώτατον ἀϊδίως γεννήτορα. πάντων δὲ τῶν ὄντων καὶ μετεχόντων καὶ μεθεκτῶν, ἀπειράκις ἀπείρως ὁ Θεὸς ὑπερεξῄρηται. μανθανέτω τοίνυν ἐκ τούτων, ὡς οὐ πάντα τὰ ὑφεστηκότα ἐκ Θεοῦ, καὶ ὑπὸ χρόνον εἰσί. καὶ γὰρ ἔστιν ἃ τέκοι, ἄναρχά ἐστι, καὶ τῷ λόγῳ τῆς μόνης ἀνάρχου φύσει, καὶ Τριαδικῆς Μονάδος, καὶ τῆς κατ᾽ αὐτὴν ὑπερφυοῦς ἁπλότητος. ἥκιστα λυμαίνεται. τὸν αὐτὸν γὰρ τρόπον καὶ ὁ νοῦς κατ᾽ ἀμυδρὰν εἰκόνα τῆς ὑπερβαλλούσης ἐκείνης ἀμερείας, οὐδαμῶς διὰ τὰς ἐμφύτους ἑαυτοῦ νοήσεις, σύνθετός ἐστιν.

Ὅστις τὰς ἐνσημαινομένας τῷ σώματι πνευματικὰς διαθέσεις, ἀπὸ τῶν ἐν τῇ ψυχῇ τῶν κατὰ Θεὸν προκοπτόντων χαρισμάτων τοῦ Πνεύματος, οὐ παραδέχεται, καὶ τὴν τοῦ παθητικοῦ καθ᾽ ἕξιν νέκρωσιν ἀπάθειαν φησὶν, ἀλλὰ μὴ τὴν ἐπὶ τὰ κρείττω καθ᾽ ἕξιν ἐνέργειαν, ὁλικῶς ἀπεστραμμένου τὰ πονηρὰ, καὶ ἐπεστραμμένου πρὸς τὰ καλὰ, ὡς τὰς πονηρὰς ἕξεις ἀποκτισαμένου, καὶ ταῖς ἀγαθαῖς πλουτήσαντος, οὗτος ἀκολούθως τῇ τοιαύτῃ δόξῃ, καὶ τὴν ἐν τῷ ἀφθάρτῳ τῶν ὄντων αἰῶνι μετὰ σώματος ἀπαναίνεται διαγωγήν· εἰ γὰρ συμμεθέξει τότε τῇ ψυχῇ τὸ σῶμα τῶν ἀπορρήτων ἀγαθῶν, καὶ νῦν δήπου συμμεθέξει, κατὰ τὸ ἐγχωροῦν, τῆς χορηγουμένης μυστικῶς καὶ ἀπορρήτως ὑπὸ τοῦ Θεοῦ χάριτος τῷ κεκαθαρμένῳ νῷ, καὶ αὐτὸ τὰ θεῖα πείσεται, καταλλήλως ἑαυτῷ, μετασκευασθέντος, καὶ ἁγιασθέντος, ἀλλ᾽ οὐ καθ᾽ ἕξιν νεκρωθέντος τοῦ τῆς ψυχῆς παθητικοῦ. καὶ δι᾽ ἑαυτοῦ, κοινοῦ σώματός τε, καὶ ψυχῆς ὑπάρχοντος, τὰς τοῦ σώματος ἁγιάζοντος διαθέσεις τε, καὶ ἐνεργείας. ἐπεὶ γὰρ τῶν ἀπηλλαγμένων τῶν τοῦ βίου καλῶν διὰ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν, κατὰ τὸν Ἅγιον Διάδοχον, ὁ νοῦς εὐρώστως διὰ τὴν ἀμεριμνίαν κινούμενος, τῆς θείας * ἀρρήτω χρηστότητος αὐτὸς ἐπαισθάνεται. καὶ τῷ σώματι κατὰ τὸ μέτρον τῆς ἑαυτοῦ προκοπῆς τῆς οἰκείας χρηστότητος μεταδίδωσιν. ἡ δὲ τοιαύτη ἐγγινομένη χαρὰ τότε τῇ ψυχῇ καὶ τῷ σώματι, ὑπόμνησίς ἐστιν ἀπλανὴς τῆς ἀφθάρτου βιότητος.

* ἴσ. ἀρρήτου

Ἄλλου μὲν φωτὸς ὁ νοῦς, ἑτέρου δὲ ἡ αἴσθησις ἀντιλαμβάνεσθαι πέφυκεν. ἡ μὲν γὰρ αἰσθητοῦ, καὶ τὰ αἰσθητὰ ἢ αἰσθητὰ δεικνύντος. τοῦ δὲ τοῦ φῶς ἐστιν, ἡ ἐν νοήμασι κειμένη γνῶσις. οὐ τοῦ αὐτοῦ τοίνυν φωτὸς, ὄψις τε καὶ νοῦς ἀντιλαμβάνεσθαι πεφύκασιν. ἀλλὰ μέχρις ἂν κατ᾽ οἰκείαν φύσιν, καὶ ἐν τῇ κατὰ φύσιν ἐνεργῇ ἑκάτερον αὐτῶν, ὅταν δὲ πνευματικῆς καὶ ὑπερφυοῦς ἐμμοιρήσωσι χάριτός τε καὶ δυνάμεως, αἰσθήσει τε καὶ νῷ, τὰ ὑπὲρ πᾶσαν αἴσθησιν καὶ πάντα νοῦν οἱ κατηξιωμένοι βλέπουσιν. ἵνα κατὰ τὸν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Θεολόγον εἴπωμεν μέγαν Γρηγόριον, ὡς οἶδε μόνος ὁ Θεός, καὶ οἱ τὰ τοιαῦτα ἐνεργούμενοι. Ταῦτα ὑπὸ τῶν γραφῶν ἐδιδάχθημεν. ταῦτα παρὰ τῶν ἡμετέρων Πατέρων παρελάβομεν. ταῦτα διὰ τῆς μικρᾶς ἔγνωμεν πείρας. ταῦτα καὶ τὸν ἐν Ἱερομονάχοις τιμιώτατον, καὶ ἀδελφὸν ἡμέτερον Κὺρ Γρηγόριον, ὑπὲρ τῶν ἱερῶς ἡσυχαζόντων συγγραψάμενον, ὡς ταῖς τῶν Ἁγίων ἀκριβῶς ἑπόμενα παραδόσεσι, πρὸς πληροφορίαν τῶν ἐντυγχανόντων ὑπεγράψαμεν.

Ὁ πρῶτος τῶν ἐν τῷ Ἁγίῳ Ὄρει σεβασμίων Μονῶν, Ἱερομόναχος Ἰσαάκ.

Ὁ καθηγούμενος τῆς σεβασμίας βασιλικῆς καὶ ἱερᾶς Λαύρας, Θεοδόσιος Ἱερομόναχος.

Εἶχε δὲ καὶ τὴν ὑπογραφὴν τοῦ τῆς Μονῆς τῶν Ἰβήρων Ἡγουμένου τῇ ἰδίᾳ διαλέκτῳ.

Ὁ Καθηγούμενος τῆς τοῦ Βατοπεδίου σεβασμίας καὶ βασιλικῆς Μονῆς, Ἱερομόναχος Ἰωαννίκιος.

Εἶχε δὲ καὶ τὴν ὑπογραφὴν τοῦ τῆς Μονῆς τῶν Σέρβων Ἡγουμένου τῇ ἰδίᾳ διαλέκτῳ.

Ὁ ἐλάχιστος Ἱερομόναχος Φιλόθεος τὰ αὐτὰ φρονῶν ὑπέγραψα.

Ὁ ἐν Ἱερομονάχοις ἐλάχιστος, καὶ Πνευματικὸς τῆς σεβασμίας Μονῆς τοῦ Ἐσφιγμένου, Ἀμφιλόχιος.

Ὁ ἐν Ἱερομονάχοις ἐλάχιστος, καὶ Πνευματικὸς τοῦ Βατοπεδίου Θεοδόσιος.

Ὁ Καθηγούμενος τῆς τοῦ Κουτλουμούση ἱερᾶς Μονῆς, Θεοστήρικτος Ἱερομόναχος.

Γερόντιος ἁμαρτωλὸς ὁ Μαρούλης, ἐν τοῖς γέρουσι τελῶν τῆς σεβασμίας Λαύρας, τ' αὐτὰ φρονῶν ὑπέγραψα.

Ὁ ἐν Μοναχοῖς ἐλάχιστος Κάλλιστος ὁ Μουζάλων.

Ὁ ἐν Ἱερομονάχοις εὐτελὴς Γεράσιμος ἰδὼν καὶ ἀναγνοὺς τὰ φιλαλήθως γραφέντα, καὶ ἀποδεξάμενος ὑπέγραψα.

Ὁ εὐτελὴς Γέρων, καὶ ἐν Μοναχοῖς ἐλάχιστος Μωϋσῆς, τὰ αὐτὰ φρονῶν ὑπέγραψα.

Ὁ ἐλάχιστος καὶ εὐτελὴς ἐν Μοναχοῖς Γρηγόριος ὁ Σταβολαγκαδίτης, τάχα καὶ ἡσυχαστής, ἰδὼν καὶ φρονῶν ταῦτα ὑπέγραψα.

Ὁ ἀπὸ τῆς σκήτεως τοῦ Μαγουλᾶ Γέρων καὶ ἐν Ἱερομονάχοις ἐλάχιστος Ἡσαΐας, ταὐτὰ φρονῶν ὑπέγραψα.

Ὁ ἐν Μοναχοῖς ἐλάχιστος Μάρκος ὁ τοῦ Σιναΐτου.

Ὁ ἐν τῇ τοῦ Μαγουλᾶ σκήτει, καὶ ἐν Ἱερομονάχοις ἐλάχιστος Κάλλιστος.

Εἶχε καὶ τὴν ὑπογραφὴν τοῦ ἀπὸ Σύρων Γέροντος ἡσυχαστοῦ τῇ ἰδίᾳ διαλέκτῳ.

Ὁ ἐν Μοναχοῖς ἐλάχιστος Σωφρόνιος.

Ὁ ἐν Μοναχοῖς ἐλάχιστος Ἰωάσαφ.

Ὁ ταπεινὸς Ἐπίσκοπος Ἱερισσοῦ, καὶ Ἁγίου Ὄρους Ἰάκωβος, ταῖς ἁγιορειτικαῖς, καὶ πατρικαῖς ἐντεθραμμένος παραδόσεσι, καὶ μαρτυρῶν, ὅτι διὰ τῶν ἐνταῦθα ὑπογραψάντων λογάδων, ἅπαν τὸ Ἅγιον Ὄρος συμφωνοῦντες ὑπέγραψαν, καὶ αὐτὸς συμφωνῶν, καὶ ἐπισφραγίζων, ὑπέγραψα. Καὶ τοῦτο μετὰ πάντων προσγράφων. ὅτι τὸν μὴ συμφωνοῦντα τοῖς ἁγίοις καθὼς καὶ ἡμεῖς, καὶ οἱ μικρῷ πρὸ ἡμῶν Πατέρες ἡμῶν, ἡμεῖς τὴν αὐτοῦ κοινωνίαν οὐ παραδεξόμεθα.

Κάλ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη



Κάλλιστος ὁ Ἁγιώτατος Πατριάρχης Κωνσταντινουπόλεως, ὁ ἐπίκλησιν φέρων τοῦ Ξανθοπούλου, ἤκμασε μὲν ἐπὶ Ἀνδρονίκου τοῦ δευτέρου τῶν Παλαιολόγων, κατὰ τὸ χιλιοστὸν τριακοσιοστὸν ἑξηκοστὸν ἔτος· μαθητεύσας δὲ τῷ Ἁγίῳ Γρηγορίῳ τῷ Σιναΐτῃ (οὗ καὶ τὸν βίον ὕστερον εἰς πλάτος συνέγραψεν) ἤσκησεν ἐν τῷ ἁγιωνύμῳ Ὄρει τοῦ Ἄθω, κατὰ τὴν Σκήτην τοῦ Μαγουλᾶ, τὴν ἀντικρὺ τῆς τοῦ Φιλοθέου κειμένην Μονῆς. συνέζησε δὲ τῷ συμμύστῃ αὐτοῦ Μάρκῳ ἐν ὅλοις ἔτεσιν εἰκοσιοκτώ. ἀλλὰ καὶ Ἰγνατίῳ τῷ καὶ αὐτῷ Ξανθοπούλῳ ἐπιτοσοῦτον ἐγένετο φίλτατος, ὡς μίαν ψυχὴν δοκεῖν εἶναι τοὺς ἀμφοτέρους ἐν δυσὶ σώμασι. Πατριαρχεύσας δὲ ὕστερον, καὶ ἐπὶ τὴν Σερβίαν ἐξορμήσας μετὰ τοῦ κλήρου, διὰ τὴν τῆς ἐκεῖσε Ἐκκλησίας εἰρηναίαν ἕνωσιν· διὰ τοῦ τῆς ἁγιότητος Ὄρους διῆλθε. κἀκεῖθεν μετὰ τῆς τοῦ Μαξίμου τοῦ ἐπικαλουμένου Καυσοκαλυβίτου ἀγείας προῤῥήσεως, τῆς λεγούσης· οὗτος ὁ Γέρων τὴν γραῖαν του ἔχασε, προπεμφθείς, ψαλλόντων ὄπισθεν καὶ τὸ ἐπιτάφιον· Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ. Κἀν τῇ Σερβίᾳ γενόμενος, ἐκεῖσε τοῦ φθαρτοῦ βίου τὴν ἄφθαρτον ἀντηλλάξατο.

Φησὶ δέ που περὶ τούτων τῶν δύο, καὶ Συμεὼν ὁ Θεσσαλονίκης, ἐν οἷς περὶ τῆς τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ Υἱοῦ τοῦ Θεοῦ, θεοποιοῦ προσευχῆς αὐτῷ γίνεται λόγος, ἐπὶ λέξεως τάδε·

Κεφ. σϞέ. σελ. 210. σειρ. 5.

Ἐξαιρέτως δὲ ἐν ταῖς ἡμέραις ἡμῶν ταύταις, περὶ αὐτῆς (δηλ. τῆς προσευχῆς) συνεγράψαντο Πνεύματι, ὡς καὶ αὐτοὶ ὄντες ἐκ Θεοῦ, οἱ θεηγόροι, καὶ θεοφόροι, καὶ Χριστοφόροι, καὶ ἔνθεοι ὄντες ἀληθῶς· ὅ, τε ἐν Ἁγίοις Πατὴρ ἡμῶν Κάλλιστος ὁ τῆς Βασιλευούσης γεγονὼς Νέας Ῥώμης ἐκ Θεοῦ Πατριάρχης, καὶ ὁ σύμπνους αὐτῷ, καὶ συνασκητὴς Ὅσιος Ἰγνάτιος. καὶ βίβλῳ οἰκείᾳ συντεθείσῃ παρ' αὐτῶν, πνευματικῶς τε, καὶ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θεοφρόνως, καὶ λίαν ὑψηλῶς ἐφιλοσόφησαν, ἐν ἑκατὸν Κεφαλαίοις, τῷ ἐντελεῖ ἀριθμῷ τελείαν τὴν περὶ ταύτης γνῶσιν ἐκθέμενοι. οἳ καὶ τῆς βασιλίδος ταύτης Πόλεως τελοῦντες βλαστοί, πάντα ὁμοῦ καταλιπόντες, καὶ παρθενικῶς, καὶ μοναχικῶς ἐν ὑποταγῇ πρὶν πολιτευσάμενοι, καὶ ἀσκητικῶς ὁμοῦ, καὶ οὐρανίως ὕστερον, καὶ ἀδιαιρέτως ζήσαντες, καὶ τὸ ἓν ἐν Χριστῷ, (ὅπερ αὐτὸς Χριστὸς πρὸς τὸν Πατέρα περὶ ἡμῶν πάντων ηὔξατο), ἐν ἑαυτοῖς ἐξαιρέτως διαφυλάξαντες, ὡς φωστῆρες, κατὰ Παῦλον, ἐν κόσμῳ ζωῆς ἐπέχοντες λόγον, ὤφθησαν. σχεδὸν γὰρ ὑπὲρ πολλοὺς τῶν ἡγιασμένων τὸ τῆς ἑνώσεως, ἐν Χριστῷ, καὶ ἀγάπης κατώρθωσαν, ὡς μηδὲ ὑπομνησθῆναί ποτε διαφοράν τινα, ἄχρι καὶ ῥήματος, καὶ ἤθους, ἐν τούτοις, ἢ πρὸς στιγμὴν τινα λύπην. ὅπερ ἐν ἀνθρώποις, σχεδὸν ἀμήχανον.

Καὶ διὰ τοῦτο Ἀγγελικοὶ γεγονότες, καὶ τὴν τοῦ Θεοῦ εἰρήνην, ὡς ηὔξατο, συντηρήσαντες καὶ κτησάμενοι ἐν ἑαυτοῖς, ἥτις ἐστὶν Ἰησοῦς Χριστὸς ἡ εἰρήνη ἡμῶν (Παῦλος ἔφη) ὁ ποιήσας τὰ ἀμφότερα ἕν, ἣ καὶ ἡ εἰρήνη πάντα νοῦν ὑπερέχει· μεταστάντες εἰρηνικῶς, μιᾷ τῆς ἀνωτάτω κατατρυφῶσι γαλήνης, καὶ καθαρώτερον ἄρτι τὸν Ἰησοῦν βλέπουσιν, ὅνπερ ἐκ ψυχῆς ἠγάπησαν, καὶ ὃν ἀληθῶς ἐζήτησαν. καὶ ἔνεισι μετ' αὐτοῦ, καὶ τοῦ φωτὸς αὐτοῦ τοῦ γλυκυτάτου, καὶ θείου ἀκορέστως μετέχουσιν. οὗ καὶ τοὺς ἀῤῥαβῶνας ἔλαβον ἀπὸ τῶν ἐντεῦθεν, κεκαθαρμένοι γεγονότες θεωρίᾳ, καὶ πράξεσι. καὶ τῆς θείας ἐλλάμψεως τῆς ἐν τῷ Ὄρει, ὡς καὶ οἱ Ἀπόστολοι, τετυχήκασι. καὶ δέδεικται τοῦτο πολλοῖς ἐναργῶς εἰς μαρτύριον, τὴν ὄψιν ἀστράπτοντες κατὰ τὸν Στέφανον ὁραθέντες, ὡς οὐ τῇ καρδίᾳ μόνον, ἀλλὰ καὶ τῇ ὄψει τούτων ἐγχυθείσης τῆς χάριτος. διὸ καὶ κατὰ τὸν Μέγαν ἐκεῖνον Μωϋσῆν ὤφθησαν (ὡς μεμαρτυρήκασιν οἱ ἰδόντες) ἀστράψαντες ἡλιοειδῶς τῇ μορφῇ· οἳ καὶ ὡς τὸ μακάριον τοῦτο καλῶς πεπονθότες πάθος καὶ πεῖραν γινώσκοντες, τρανῶς δηλοῦσι καὶ περὶ τοῦ θείου φωτὸς, τῆς φυσικῆς τοῦ Θεοῦ ἐνεργείας καὶ χάριτος, καὶ μάρτυρας παράγουσι τοὺς ἁγίους· ὡς καὶ περὶ τῆς ἱερᾶς προσευχῆς.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΩ͂Ν ἘΝ ΜΟΝΑΧΟΙ͂Σ
# ΚΑΛΛΙΣΤΟΥ
# ΚΑΙ
# ἸΓΝΑΤΙΟΥ
# ΤΩ͂Ν ΞΑΝΘΟΠΟΥΛΩΝ·
## ΜΕΘΟΔΟΣ ΚΑΙ ΚΑΝΩΝ, ΣΥΝ ΘΕΩ͂, ἈΚΡΙΒΗΣ·

### Καὶ παρὰ τῶν Ἁγίων ἔχων τὰς μαρτυρίας, περὶ τῶν αἱρουμένων ἡσύχως βιῶναι, καὶ Μοναστικῶς·

*Περί τε ἀγωγῆς, καὶ πολιτείας, καὶ διαίτης αὐτῶν· καὶ περὶ τοῦ, ὅσων καὶ ἡλίκων ἀγαθῶν πρόξενος ἡ ἡσυχία καθίσταται, τοῖς λόγῳ μετιοῦσιν αὐτήν. Διακέκριται δὲ ἡ παροῦσα τοῦ λόγου πραγματεία, ἐν κεφαλαίοις ἑκατόν· τὸ δὲ τοῦ λόγου Προοίμιον· ὅπερ καὶ πρώτου κεφαλαίου ἀριθμὸν κέκτηται· ἐστί, περὶ τῆς διὰ Ἁγίου Πνεύματος τοῖς πιστοῖς ἐνυπαρχούσης θείας, καὶ ὑπερφυοῦς δωρεᾶς τε, καὶ χάριτος.*

α. Ἔδει μὲν ἡμᾶς, κατὰ τοὺς θείους φάναι χρησμούς, θεοδιδάκτους τυγχάνοντας, ὡς τὸν καινὸν νόμον ἀῤῥήτως ἐν καρδίᾳ ἐγγεγραμμένον, πυρσοῦ τηλαυγέστερον, περιφέροντας· καὶ ἀγαθῷ, καὶ εὐθυτάτῳ πηδαλιουχουμένους Πνεύματι, οἷα τέκνα, καὶ κληρονόμους μὲν Θεοῦ, συγκληρονόμους δὲ Χριστοῦ, ἀγγελομιμήτως πως πολιτεύεσθαι· * μηδόλως δεῖσθαι τοῦ διδάξοντος, * γνῶθι τὸν Κύριον. νῦν δὲ ἡ ἐκ πρώτης ἡμῶν τεῖχος περί γε τὸ κρεῖττον ὑποβουκόλησις, καὶ ἡ εἰς τὸ χεῖρον παρατροπή· πρὸς δέ, καὶ ὁ τοῦ δεινοῦ Βελίαρ φενακισμός, καὶ ἡ καθ' ἡμῶν τυραννὶς ἄσπονδος, πόῤῥω θέειν τῆς σωτηρίας, καὶ θεουργῶν ἐντολῶν ἡμᾶς κακίστως διέθετο· κατά τε κρημνῶν ψυχολέθρων φέρεσθαι· καὶ τὸ οἰκειότατον· καθ' ἑαυτῶν καὶ φρονεῖν, καὶ πράττειν ἠρέθισεν. ὅθεν καὶ κατὰ τὸ θεῖον λόγιον· οὐκ ἔστιν ὁ συνιῶν· οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν

* ἴσ. καὶ

* ἴσ. γνῶναι



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Θεόν. ἅμα γὰρ πάντες ἐξ ἁπαλοῦ τῆς εὐθείας ἐκκλίναντες, ἠχρειώθημεν· καὶ διὰ τοῦτο σάρκες μόνον χρηματίζοντες; καὶ τῆς σελασφόρου καὶ θείας χάριτος ὑστερούμενοι, τῆς παρ' ἀλλήλων πρὸς τὰ καλὰ ῥοπῆς τε, καὶ βοηθείας ἐπιδεόμεθα.

Ὅτι χάριν ἐπερωτήσεως τινὸς ἀδελφοῦ· καὶ κατὰ τὸν ἐκείνου σκοπόν· καὶ μὴν, καὶ τηρήσεως ἐντολῆς Πατρικῆς, οὕτως ἡ παροῦσα ἐξηπλώθη τοῦ λόγου ὑπόθεσις.

β'. Ἐπεὶ δὲ σὺ, πόθῳ κατὰ τὸ κυριακὸν λόγιον τοῦ ἐρευνᾷν τὰς θείας, καὶ ζωοπαρόχους γραφὰς, καὶ μυεῖσθαι ἀνεπισφαλῶς, καὶ παρ' ἡμῶν τῶν ἀχρείων πολλάκις ἀπῄτησας λόγον· καὶ κανόνα ἔγγραφον· ὠφελείας χάριν τῆς σῆς· ἴσως δὲ καὶ ἑτέρων· ὡς αὐτὸς φῄς· κἂν μὴ πρότερον γοῦν, ἀλλά γε νῦν· Θεοῦ συνάρσει δεῖν κεκρίκαμεν ἀποπερᾶναι τὸ σὸν ἐπαινετὸν καταθύμιον, τῆς μὲν συντρόφου ἡμῖν ῥαθυμίας, ἕνεκα τῆς ἀγάπης, καὶ τῆς σῆς λυσιτελείας, ἀμνημονήσαντες· σὲ δ' ἀγάμενοι τὰ μάλιστα τῆς περὶ τὰ καλὰ σπουδῆς, καὶ τῆς ἐμμόνου φιλοπονίας· Πνευματικὸν τέκνον, καὶ λίαν φίλτατον. καὶ πρό γε τούτων, τὸ ἀπὸ τοῦ Θεοῦ δεδοικότες πρόκριμα· ὅπερ κατὰ τοῦ τὸ τάλαντον ἀποκρύπτοντος, ἠπείληται φοβερῶς. πρὸς δὲ τοῖς εἰρημένοις, καὶ πατρικὸν ἐκπληροῦντες παράγγελμα· ὃ πρὸς ἡμᾶς ἐνετείλαντο οἱ ἡμῶν Πατέρες, καὶ πνευματικοὶ διδάσκαλοι, ὡς αὖ καὶ Θεοφιλέσιν ἄλλοις, τὰ παρ' ἐκείνων δεδιδαγμένα πιστεύσωμεν. Θεὸς δ' ἄρα ὁ τῆς ἀγάπης Πατὴρ, καὶ πάντων χρηστῶν ἁπαξαπλῶς
* ἴσ. μὲν ἀφθονοπάροχος πρύτανις, δοίη * ἡμῖν τοῖς βραδέσι καὶ ἰσχνοφώνοις, λόγον καίριον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν· ὁ καὶ πολλάκις ζώοις ἀλόγοις λόγον ἐμπνεύσας, εἰς τὴν τῶν ἀκουόντων ὠφέλειαν. σοὶ δὲ, καὶ πᾶσι τοῖς ἐντυγχάνουσι τοῖς διὰ τὸν σὸν λόγον· προσθείη αἴτιον τοῦ σοφῶς τε, καὶ ἐπιστημόνως τούτων ἀκροᾶσθαι· καὶ, ὡς φίλον αὐτῷ, ἀκλινῶς πολιτεύεσθαι. ὅτι χωρὶς αὐτοῦ, ὡς γέγραπται, οὐ δυνάμεθα ποιεῖν οὐδὲν, τῶν χρησίμων καὶ σωτηρίων· καὶ ὅτι, ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες· καὶ ταύτῃ μὲν οὕτως.

Ὅτι παντὸς πράγματος ὁ σκοπὸς προηγεῖται· καὶ ὁ σκοπὸς τοίνυν τῆς παρούσης πραγματείας, τὸ μαθεῖν τίς ὁ θεμέλιος.

γ'. Ἐπεὶ δὲ παντὸς πράγματος ὁ σκοπὸς προηγεῖται· σκοπὸς δ' ἀμφοτέρων· ἡμῶν μὲν, τοῦ πρὸς δύναμιν τὰ πρὸς τὴν σὴν ἐξενεγκεῖν πνευματικὴν αὔξησιν συντείνοντα. σοῦ δὲ, τοῦ κατὰ τὰ εἰρημένα γνησίως βιῶναι· δέον πρὸ παντὸς ἑτέρου διεξετάσαι, πρὸς οἷον ἄρα τὸ πλήρωμα τῆς κατὰ Χριστὸν οἰκοδομίας ἐνοπτριζόμενοι, καὶ ἀρχὴν βάθρου χρήσιμον καταβάλλοντες, ἐφεξῆς, καιροῦ καλοῦντος, μᾶλλον δὲ τῆς ἄνωθεν ἀρρωγῆς πλουσίως εὐμοιρηκότες, καὶ ὄροφον ἐπάξιον, τῇ ἀρχιτεκτονίᾳ τοῦ πνεύματος ἐπιθήσομεν·

Ὅτι πάσης κατὰ Θεὸν πραγματείας ἀρχὴ, τὸ κατὰ τὰς ἐντολὰς τοῦ σωτῆρος πολιτεύεσθαι. τέλος δὲ τὸ ἐπανελθεῖν πρὸς τὴν ἀρχῆθεν δωρηθεῖσαν ἡμῖν διὰ τοῦ θείου Βαπτίσματος τελείαν χάριν τοῦ παναγίου καὶ ζωαρχικοῦ Πνεύματος.

δ'. Ἀρχὴ τοίνυν πάσης τῆς κατὰ Θεὸν πραγματείας· ὡς ἐν συντόμῳ διαλαβεῖν· τὸ σπεύδειν ἡμᾶς παντὶ τρόπῳ, καὶ πάσῃ δυνάμει, πολιτεύεσθαι κατὰ τὴν θεσ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μοθεσίαν, πασῶν τῶν θεοποιῶν ἐντολῶν τοῦ σωτῆρος. τέλος δέ, τὸ ἐπανελθεῖν διὰ τῆς τούτων τηρήσεως, πρὸς τὴν ἄνωθεν καὶ ἐξ αὐτῆς ἀρχῆς προῖκα δοθεῖσαν ἡμῖν, ἐκ τῆς ἱερᾶς κολυμβήθρας, τελείαν πνευματικὴν τῆς χάριτος ἀναμόρφωσιν, καὶ ἀνάπλασιν· ἤ, εἴ τι σοι φίλον τὸ τοιοῦτον δῶρον ἀποκαλεῖν· καὶ τὸν παλαιὸν Ἀδὰμ σὺν ταῖς πράξεσι καὶ ταῖς ἐπιθυμίαις ἀποθεμένους, τὸν νέον, καὶ πνευματικὸν ἐνδύσασθαι, ὅς ἐστιν ὁ Κύριος Ἰησοῦς Χριστός· ὥς φησιν ὁ θειότατος Παῦλος· τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. καί· ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.

Περὶ τοῦ τίς ἡ χάρις· καὶ πῶς ἂν γένοιτο ἡμῖν ταύτης ἐπιτυχεῖν. Καὶ τίνα τὰ ταύτην θολοῦντα, καὶ τίνα αὖθις τὰ αὐτὴν ἀνακαθαίροντα.

ε. Ἀλλὰ τίς ἡ χάρις, καὶ πῶς ἂν γένοιτο ἡμῖν ταύτης ἐπιτυχεῖν· καὶ τίνα μὲν τὰ ταύτην θολοῦντα, τίνα δ' αὖ τὰ ἀνακαθαίροντα, ὁ τὴν ψυχὴν καὶ τὴν γλῶτταν παντὸς χρυσίου λαμπρότερος, δηλώσει σοι οὕτω λέγων· τί δέ ἐστι τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα; „σαφέστερον μὲν τοῦτο ἐδείκνυτο, ἡνίκα τῶν σημείων τὰ χαρίσματα ἐνήργει· πλὴν οὐδὲ νῦν δύσκολον αὐτὸ κατιδεῖν τῷ πιστοὺς ὀφθαλμοὺς ἔχοντι. ὁμοῦ τε γὰρ βαπτιζόμεθα, καὶ ὑπὲρ τὸν ἥλιον ἡ ψυχὴ λάμπει, τῷ πνεύματι καθαιρομένη. καὶ οὐ μόνον ὁρῶμεν εἰς τὴν δόξαν τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐκεῖθεν δεχόμεθά τινα αἴγλην. ὥσπερ γὰρ εἰ ἄργυρος καθαρὸς πρὸς τὰς ἀκτῖνας κείμενος, καὶ αὐτὸς ἀκτῖνας ἐκπέμψειεν, οὐκ ἀπὸ τῆς οἰκείας φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς λαμπηδόνος τῆς ἡλιακῆς· οὕτω καὶ ἡ ψυχὴ καθαιρομένη, καὶ ἀργύρου παντὸς λαμπροτέρα γενομένη, δέχεται ἀκτῖνα ἀπὸ τῆς δόξης τοῦ Πνεύματος, εἰς δόξαν τὴν ἐγγινομένην. καὶ τοιαύτην, οἵαν εἰκὸς ὑπὸ Κυρίου Πνεύματος· Καὶ μετ' ὀλίγα. βούλει σοι δείξω τοῦτο καὶ ἀπὸ τῶν Ἀποστόλων αἰσθητικώτερον; ἐννόησον Παῦλον, οὗ τὰ ἱμάτια ἐνήργει· Πέτρον, οὗ αἱ σκιαὶ ἴσχυον. οὐ γὰρ ἄν, εἰ μὴ βασιλέως ἔφερον εἰκόνα, καὶ ἀπρόσιτοι ἦσαν αὐτῶν αἱ μαρμαρυγαί· τοσοῦτον τὰ ἱμάτια αὐτῶν καὶ αἱ σκιαὶ ἐνήργουν. βασιλέως γὰρ ἱμάτια καὶ τοῖς λῃσταῖς φοβερά. θέλεις ἰδεῖν καὶ διὰ τοῦ σώματος λάμπουσαν ταύτην; ἀτενίσαντες, φησιν, εἰς τὸ πρόσωπον Στεφάνου, εἶδον ὡς πρόσωπον Ἀγγέλου.“ ἀλλ' οὐδὲν τοῦτο πρὸς τὴν ἔνδοθεν ἀπαστράπτουσαν δόξαν. ὅπερ γὰρ Μωϋσῆς ἐπὶ τοῦ προσώπου τότε εἶχε, τοῦτο οὗτοι ἐπὶ τῆς ψυχῆς περιέφερον· μᾶλλον δὲ καὶ πολλῷ πλέον, τὸ μὲν γὰρ Μωϋσέως, αἰσθητικώτερον ἦν· τοῦτο δὲ ἀσώματον. Καὶ καθάπερ πυραυγῆ * σώματα ἀπὸ τῶν λαμπρῶν σωμάτων ἐπὶ τὰ πλησίον ἀπορρέοντα, καὶ ἐκείνοις μεταδίδωσι τῆς οἰκείας αὐγῆς· οὕτω δὴ καὶ ἐπὶ τῶν πιστῶν συμβαίνει· διὰ δὴ τοῦτο τῆς γῆς ἀπαλλάττονται οἱ τοῦτο πάσχοντες, καὶ τὰ ἐν τοῖς οὐρανοῖς ὀνειροπολοῦσιν * οἴμοι· καλὸν γὰρ ἐνταῦθα καὶ στενάξαι πικρόν· ὅτι τοσαύτης ἀπολαύοντες εὐγενείας, οὐδὲ τὰ λεγόμενα ἴσμεν, διὰ τὸ ταχέως ἀπολλύναι τὰ πράγματα, καὶ πρὸς τὰ αἰσθητὰ ἐπτοῆσθαι. „αὕτη γὰρ ἡ δόξα ἡ ἀπόρρητος, καὶ φρικώδης· μέχρι μὲν μιᾶς καὶ δευτέρας ἡμέρας ἐν ἡμῖν μένει· λοιπὸν δὲ αὐτὴν κατασβέννυμεν, τὸν χειμῶνα ἐπάγοντες τῶν βιωτικῶν πραγμάτων· καὶ τῇ πυκνότητι τῶν νεφῶν, ἀποκρουόμενοι τὰς ἀκτῖνας, καὶ αὖθις ἀλλαχοῦ· τὰ σώ-

* ἴσ. χρώματα

* ἴσ. ἀλλ' οἴμοι



Athos Library
Αγιορειτική Βιβλιοθήκη

„ματα τῶν εὐηρεστηκότων Θεῷ, τοσαύτην ἐνδύσεται δόξαν, ὅσην οὐδὲ ἰδεῖν ἐν τούτοις τοῖς ὀφθαλμοῖς· καὶ τούτων ἡμῖν σημεῖά τινα, καὶ ἴχνη ἀμυδρά, καὶ ἐν τῇ παλαιᾷ, καὶ ἐν τῇ καινῇ, δοθῆναι παρεσκεύασεν ὁ Θεός. ἐκεῖ μὲν γὰρ τὸ πρόσωπον τοῦ Μωϋσέως, τοσαύτῃ κατελάμπετο τότε δόξῃ, ὡς ἀπρόσιτον εἶναι τοῖς τῶν Ἰσραηλιτῶν ὀφθαλμοῖς.„ ἐν δὲ τῇ καινῇ, πόσῳ πολλῷ πλέον ἐξέλαμψε τὸ τοῦ Χριστοῦ. ἀκήκοας τῶν ῥημάτων τοῦ Πνεύματος; σεσιώπηκας τοῦ μυστηρίου τὴν δύναμιν; ἐπέγνως ὁποῖαι μὲν αἱ ὠδῖνες τῆς τελείας ἐν ἡμῖν ἐκ τῆς ἱερᾶς κολυμβήθρας πνευματικῆς ἀναπλάσεως; ἡλίκαι δὲ αἱ ἐπικαρπίαι, καὶ τὸ πλήρωμα, καὶ τὰ ἔπαθλα; καὶ ὅπως τῶν ἐφ' ἡμῖν ἐστι, τὸ ταύτην τὴν ὑπερφυᾶ χάριν, καὶ αὐξάνειν, καὶ ἐλαττοῦν; ἤγουν φανεροῦν, καὶ ἀμαυροῦν; ὅσον τὸ καθ' ἡμᾶς; τί δέ ἐστιν, ἡ τῶν βιωτικῶν πραγμάτων θύελλα, καὶ ἡ ἐξ αὐτῶν ἀποτικτομένη τῶν παθῶν σκοτομήνη· ἃ δίκην χειμῶνος, ἢ ἀγρίου χειμάρρου ἡμῖν ἐπιρρυέντα, καὶ τὴν ψυχὴν κατακλύζοντα, οὐδὲ ἀναπνεῦσαι, ἢ ἐνατενίσαι ταύτην ἐῶσι πρὸς τὸ ὄντως ὂν καλόν, καὶ μακάριον, δι' ὃ καὶ γεγένηται· ἀλλ' ὅλως ὅλην, τῷ σάλῳ καὶ τῷ καπνῷ τῶν ἡδονῶν δονηθεῖσαν καὶ δειμυθεῖσαν, σκοτίζουσι, καὶ ὑποβρύχιον ἀπεργάζονται. ὥσπερ γοῦν τὰ τούτων αὖθις ἐναντία, ἤτοι τὰ διὰ τῶν θεοποιῶν ἐντολῶν ὑπογενώμενα, τοῖς μὴ κατὰ σάρκα, ἀλλὰ κατὰ πνεῦμα περιπατοῦσι. πνεύματι γάρ· φησι· περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. ὀνήσιμα πέφυκε, καὶ σωτήρια: καὶ πρὸς αὐτόν, δίκην κλίμακος, φέροντα τὸν κολοφῶνα, καὶ τὸ ἀκρότατον τῶν ἀναβαθμῶν, τὴν ἀγάπην, ἥτις ἐστὶν ὁ Θεός.

**Ὅτι ἐν μὲν τῷ Ἁγίῳ Βαπτίσματι, δωρεὰν τὴν θείαν χάριν δι' αὐτῆς δεχόμεθα, ταύτην δὲ τοῖς πάθεσι συγκαλύψαντες αὖθις τῇ τῶν ἐντολῶν ἐκπληρώσει, ταύτην ἀνακαθαίρομεν.**

Ἀλλὰ τότε μὲν ἐν τῇ θείᾳ μήτρᾳ, ϛʹ.
δηλονότι τῇ ἱερᾷ κολυμβήθρᾳ, δωρεὰν τέλος τελείαν, τὴν θείαν χάριν δεχόμεθα. εἰ δέ πως ἐσύστερον, τῇ τῶν προσκαίρων παραχρήσει, καὶ τῇ τῶν βιωτικῶν πραγμάτων φροντίδι, καὶ τῇ τῶν παθῶν ἀχλύϊ, ταύτην· ὡς μὴ ὤφελε· * συγκαλύψομεν, ἔξεστιν ἡμῖν, καὶ οὕτω διὰ μετανοίας, καὶ τῆς τῶν θεουργῶν ἐντολῶν ἐκπληρώσεως, αὖθις ἐπαναλαβεῖν τὴν τοιαύτην ὑπερφυᾶ φαιδρότητα, καὶ ἀνακτήσασθαι, καὶ τὴν ταύτης φανέρωσιν κατιδεῖν τηλαυγέστατα, τῆς ἑκάστου κατὰ τὸ μέτρον μέντοι ἐν πίστει ἐπιμελείας, καὶ ἡ ταύτης ἐμφάνεια ἀποκαλύπτεται· καὶ πρό γε τούτων, τῇ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἀντιλήψει, καὶ εὐδοκίᾳ: ὡς λέγει ὁ Ἅγιος Μάρκος· „ὁ Χριστὸς τέλειος Θεὸς ὤν, τελείαν τοῖς βαπτισθεῖσι τὴν χάριν τοῦ Ἁγίου Πνεύματος ἐδωρήσατο· προσθήκην μὲν παρ' ἡμῶν οὐ λαμβάνουσαν· ἀποκαλυπτομένην δὲ ἡμῖν καὶ ἐμφανιζομένην, κατὰ ἀναλογίαν τῆς τῶν ἐντολῶν ἐργασίας· καὶ προσθήκην ἡμῖν τῆς πίστεως παρέχουσαν· ἕως ἂν καταντήσωμεν πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως· εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.„ εἴτι οὖν προσφέρομεν ἐν αὐτῷ ἀναγεννηθέντες, καὶ τοῦτο ἤδη παρ' αὐτοῦ, καὶ ἐξ αὐτοῦ ἐστιν ἐν ἡμῖν κεκρυμμένον.

* ἴσ. συγκαλύψαιμεν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὅτι δεῖ τὸν κατὰ Θεὸν πολιτευόμενον, πάσας τὰς ἐντολὰς μετιέναι· τὸ δὲ πλεῖστον μέρος τῆς ἐργασίας, ἀπονέμειν πως, ταῖς τῶν ἄλλων πρώταις, καὶ οἷον γενικωτέραις.

ζ'. Ἐπεὶ οὖν, ἡ μὲν ἀρχὴ καὶ ἡ ῥίζα πάσης· ὡς ἔφημεν· τῆς δὲ τῆς πραγματείας, τὸ κατὰ τὰς σωτηρίους ἐντολὰς πολιτεύεσθαι. τὸ δὲ τέρμα, καὶ ὁ καρπὸς, τὸ ἐπαναδραμεῖν πρὸς τὴν διὰ τοῦ βαπτίσματος τοπρῶτον δωρηθεῖσαν ἡμῖν τελείαν χάριν τοῦ πνεύματος, ἐν ἡμῖν μὲν οὖσαν. ἀμεταμέλητα γὰρ τοῦ Θεοῦ· φησὶ· τὰ χαρίσματα· ἀλλὰ συγκεχωσμένην τοῖς πάθεσιν, ἀποκαλυπτομένην δὲ τῇ τῶν θεουργῶν ἐντολῶν ἐργασίᾳ. προσῆκον, διά γε τῆς κατὰ τὸ δυνατὸν ἐκπληρώσεως πασῶν τῶν τοιούτων ἐντολῶν, τὴν ἐν ἡμῖν φανέρωσιν τοῦ πνεύματος, παντὶ τρόπῳ σπεύδειν ἀνακαθᾶραι, καὶ ἐμφανέστατα ἐποπτεῦσαι. „λύχνος γὰρ, φησὶ πρὸς τὸν Θεὸν ὁ „μακάριος Δαβὶδ, τοῖς ποσί μου ὁ „νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. „καὶ, ἡ ἐντολὴ Κυρίου τηλαυγὴς φω„τίζουσα ὀφθαλμούς. Καὶ, πρὸς πά„σας τὰς ἐντολάς σου κατωρθούμην. καὶ „ὁ Ἐπιστήθιος· ὁ τηρῶν τὰς ἐντολὰς „αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν „αὐτῷ. Καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι „οὐκ εἰσί. καὶ ὁ σωτὴρ δὲ, ὁ ἔχων τὰς „ἐντολάς μου καὶ τηρῶν αὐτὰς ἐκεῖνός ἐστιν „ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με ἀγα„πηθήσεται ὑπὸ τοῦ Πατρός μου· καὶ „ἐγὼ ἀγαπήσω αὐτὸν, καὶ ἐμφανίσω „αὐτῷ ἐμαυτόν. καὶ ἐάν τις ἀγαπᾷ με, „τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου „ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευ„σόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιή„σομεν. καὶ, ὁ μὴ ἀγαπῶν με, τοὺς „λόγους μου οὐ τηρεῖ.„ μάλιστα δὲ τούτων, τὰς πρώτας, καὶ γενικωτέρας, καὶ οἱονεὶ μητέρας τῶν λοιπῶν, τὴν πλείστην μοῖραν τῆς ἐργασίας ἀποδιδόναι πως. οὕτω γὰρ· σὺν Θεῷ· ἀπταίστως καὶ τοῦ προκειμένου σκοποῦ, αὐτῆς δηλαδὴ τῆς καλῆς ἐνάρξεως, καὶ τοῦ τέλους τῆς ἐφέσεως ἐπιτύχοιμεν ἄν· ἤτοι τῆς τοῦ πνεύματος φανερώσεως.

Ὅτι ἀρχὴ πάσης θεοφιλοῦς ἐργασίας ἡ μετὰ πίστεως ἐπίκλησις τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ μετ' αὐτῆς, ἡ ἐξ αὐτῆς ἀνατέλλουσα εἰρήνη, καὶ ἀγάπη.

η'. Ἀρχὴ μέντοι πάσης θεοφιλοῦς ἐργασίας, ἡ μετὰ πίστεως ἐπίκλησις τοῦ σωτηρίου ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὅτι αὐτὸς ἀπεφήνατο· χωρὶς ἐμοῦ, οὐ δύνασθε ποιεῖν οὐδέν. καὶ μετὰ ταύτης, ἡ εἰρήνη. δεῖ γὰρ, φησι, προσεύχεσθαι, χωρὶς ὀργῆς, καὶ διαλογισμῶν. καὶ ἡ ἀγάπη· ὅτι ὁ Θεὸς ἀγάπη ἐστὶ, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. αὕτη δὲ ἡ εἰρήνη καὶ ἡ ἀγάπη, οὐ μόνον εὐπρόσδεκτον ποιοῦσι τὴν εὐχὴν, ἀλλὰ καὶ ἐξ αὐτῆς πάλιν τῆς εὐχῆς, γεννῶνται, καὶ ἀνατέλλουσι, δίκην διδύμων ἐνθέων ἀκτίνων· καὶ αὔξονται, καὶ τελειοῦνται.

Ὅτι δι' ἑκάστου τούτων, καὶ ὁμοῦ τῶν τριῶν, ἡ πάντων τῶν ἀγαθῶν σωρεία ἐπιδαψιλεύεται ἡμῖν.

θ'. Ἀπὸ δὴ τούτων· μᾶλλον δὲ δι' ἑκάστου τούτων, καὶ ὁμοῦ τῶν τριῶν, ἡ τῶν ἀγαθῶν ἡμῖν πάντων σωρεία ἐπιδαψιλεύεται, καὶ πλημμυρεῖ. διὰ μὲν γὰρ τῆς ἐν πίστει ἐπικλήσεως τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ ἔλεος, καὶ τὴν τῷ ὄντι ζωὴν, ἐν αὐτῷ κεκρυμμένην οὖσαν, βεβαίως ἐλπίζομεν λήψε-

θαι·

Athos Library
Αγιορειτική Βιβλιοθήκη

θαι ὡς ἄλλης θείας πηγῆς ἀενάου, ὑπερβλύζοντος αὐτά, τοῦ ἔνδον καρδίας καθαρῶς ἐπιβοωμένου ὀνόματος τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· διὰ δὲ τῆς πάντῃ ἴσου ὑπερεκχύσης, καὶ ὅριον οὐδὲν ἐχούσης, εἰρήνης, τῆς πρὸς Θεόν, καὶ ἀλλήλους καταλλαγῆς ἀξιούμεθα· διὰ δὲ τῆς ἀγάπης, ἧς τὸ κλέος ἀσύγκριτον, ὡς οὔσης τέλος καὶ κεφάλαιον τοῦ τε νόμου, καὶ τῶν Προφητῶν· καὶ δὴ καὶ τὸν Θεὸν ἀγάπην ὀνομάζεσθαι· ὁλικῶς τῷ Θεῷ συναπτόμεθα, καταργουμένης τῆς ἁμαρτίας ἡμῶν τῇ τοῦ Θεοῦ δικαιοσύνῃ, καὶ τῇ δι' ἀγάπης ἐν ἡμῖν παραδόξως ἐνεργουμένῃ υἱοθεσίᾳ τῆς χάριτος. ἡ γὰρ ἀγάπη· φησί· καλύψει πλῆθος ἁμαρτιῶν· καὶ ἡ ἀγάπη πάντα στέγει· πάντα πιστεύει· πάντα ἐλπίζει· πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.

Ὅτι καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῷ καιρῷ τοῦ Σωτηρίου πάθους, ταύτας τοῖς μαθηταῖς οἱονεί τινας ἐξιτηρίους ἐντολάς, καὶ κλῆρον ἔνθεον κατέλιπε τοῖς ἰδίοις· ὡσαύτως καὶ μετὰ τὴν ἀνάστασιν.

ί. Ὅθεν καὶ αὐτὸς ὁ πανάγαθος, καὶ γλυκύτατος Κύριος ἡμῶν Ἰησοῦς Χριστός, καὶ ὅτε πρὸς τὸ ὑπὲρ ἡμῶν ἑκούσιον αὐτοῦ πάθος ἀφίκετο· καὶ ὅτε μετὰ τὴν ἀνάστασιν τοῖς Ἀποστόλοις ὤφθη· τὴν μὲν καὶ ἡνίκα πρὸς τὸν ἑαυτοῦ φύσει, καὶ ἡμῶν χάριτι Πατέρα ἔμελλεν ἐπανέρχεσθαι, ἅτε Πατὴρ γνήσιος καὶ φιλόστοργος, οἱονεί τινας ἐξιτηρίους ἐντολάς, καὶ παραμυθίας, προσηνεῖς, καὶ γλυκυτάτας, καὶ βέβαια, ὡς εἰπεῖν, ὅμηρα· μᾶλλον δὲ κληρονομίαν θεοπάροχον ἀναφαίρετον· ταύτας πᾶσι τοῖς ἰδίοις κατέλιπε· καὶ τοῦτο μέν, οἷς φησι πρὸς τοὺς μαθητάς, τοῦ σωτηρίου πάθους ἐπιστάντος, οὕτως· „Ὅ,τι ἂν αἰτήσητε ἐν τῷ

„ ὀνόματί μου, ἐγὼ ποιήσω· καί, ἀμήν,
„ ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἂν αἰτή-
„ σητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου,
„ δώσει ὑμῖν· ἕως ἄρτι οὐδὲν ᾐτήσατε
„ ἐν τῷ ὀνόματί μου. αἰτεῖτε καὶ λήψε-
„ σθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρω-
„ μένη· καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ
„ ὀνόματί μου αἰτήσεσθε. καὶ αὖθις με-
„ τὰ τὴν ἀνάστασιν· σημεῖα δὲ τοῖς πι-
„ στεύσασι ταῦτα παρακολουθήσει· ἐν τῷ
„ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσ-
„ σαις λαλήσουσι καιναῖς, καὶ τὰ ἑξῆς.
„ τούτοις ἀκόλουθα διαγορεύει καὶ ὁ ἐπι-
„ στήθιος· πολλὰ μὲν οὖν, καὶ ἄλλα ση-
„ μεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν
„ μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμ-
„ μένα ἐν τῷ βιβλίῳ τούτῳ· ταῦτα δὲ
„ γέγραπται, ἵνα πιστεύσητε, ὅτι Ἰη-
„ σοῦς ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ·
„ καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ
„ ὀνόματι αὐτοῦ. καὶ ὁ θεσπέσιος Παῦ-
„ λος· ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ
„ κάμψει, καὶ τὰ ἑξῆς· καὶ γοῦν καὶ ἐν
„ ταῖς τῶν Ἀποστόλων οὕτως ἀναγέγρα-
„ πται πράξεσι· τότε Πέτρος πλησθεὶς
„ Πνεύματος Ἁγίου εἶπε· γνωστὸν ἔστω
„ πᾶσιν ὑμῖν, καὶ παντὶ τῷ Ἰσραήλ,
„ ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ τοῦ Ναζω-
„ ραίου, ὃν ὑμεῖς ἐσταυρώσατε· ὃν ὁ Θεὸς
„ ἤγειρεν ἐκ νεκρῶν· ἐν τούτῳ οὗτος πα-
„ ρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. καὶ μετ'
„ ὀλίγα· καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ
„ ἡ σωτηρία· οὐδὲ γὰρ ὄνομά ἐστιν ἕτε-
„ ρον τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν
„ ᾧ δεῖ σωθῆναι ἡμᾶς. καὶ αὖθις ὁ
„ σωτήρ· ἐδόθη πᾶσα ἐξουσία ἐν οὐρα-
„ νῷ καὶ ἐπὶ γῆς· τοῦτο δὲ πάλιν, δι'
„ ὧν ὁ θεάνθρωπος Κύριος εἴρηκε πρὸς
„ τοὺς Ἀποστόλους πρὸ τοῦ σταυροῦ· εἰρή-
„ νην ἀφίημι ὑμῖν· εἰρήνην τὴν ἐμὴν
„ δίδωμι ὑμῖν. καὶ ταῦτα λαλῶ, ἵνα
„ ἐν ἐμοὶ εἰρήνην ἔχητε· καὶ αὕτη ἐστὶν
„ ἡ ἐμὴ ἐντολή, ἵνα ἀγαπᾶτε ἀλλή-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

„ λους· καὶ, ἐν τούτῳ γνώσονται πάν-
„ τες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀ-
„ γάπην ἔχητε ἐν ἀλλήλοις· καθὼς
„ ἠγάπησέ με ὁ Πατὴρ, κἀγὼ ἠγάπη-
„ σα ὑμᾶς. μείνατε ἐν τῇ ἀγάπῃ τῇ
„ ἐμῇ· ἐὰν τὰς ἐντολάς μου τηρήσητε,
„ μενεῖτε ἐν τῇ ἀγάπῃ μου· καθὼς
„ ἐγὼ τὰς ἐντολὰς τοῦ Πατρός μου τετή-
„ ρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ.

Καὶ αὖθις μετὰ τὴν ἔγερσιν, κατὰ διαφόρους ὥρας πολλάκις, δεδωκὼς φαίνεται τὴν εἰρήνην, ἐμφανιζόμενος τοῖς ἰδίοις καὶ λέγων, εἰρήνη ὑμῖν. καὶ πρὸς τὸν Πέτρον δὲ, ᾧ καὶ τὴν ἡγεμονίαν τῶν μαθητῶν ἐνεπιστεύσατο, ἀντέκτισίν τινα τῆς πρὸς αὐτὸν τὸν Κύριον Ἰησοῦν Χριστὸν διαπύρου ἀγάπης, τὴν τοῦ ποιμνίου φροντίδα ἐπιδεικνύμενος εἶναι· οὕτω τὸ τρίτον φησίν· εἰ με φιλεῖς Πέτρε πλέον τῶν ἄλλων, ποίμαινε τὰ πρόβατά μου. εἴποι δ᾽ αὖτις ἴσως οὐκ ἀπὸ σκοποῦ καὶ τοῦτο· ὅτι διά γε τῶν δηλωθέντων διαιρεσίων τούτων τριῶν, ἀποτίκτεται ἡμῖν ἕτερά τινα τρία διαίρετα· τὰ δέ ἐστιν. ἡ τῆς ψυχῆς κάθαρσις· ὁ φωτισμός· καὶ ἡ τελείωσις.

## Ὅτι ἐν τούτοις τοῖς τρισὶ συνεξύφανται πᾶσαι αἱ ἀρεταί.

ιά. Εἰ δέ τις ἀκριβῶς ἐθελήσειεν ἐξετάσαι ἐναργῶς, ἐν τούτῳ τῷ τριπλόκῳ, καὶ οἷον ἀρρήκτῳ σπαρτίῳ, εὑρήσει αἰωρημένην, καὶ συνεξυφασμένην πᾶσαν τὴν τῶν ἀρετῶν * ἄφθονον καὶ θεότευκτον ἁλουργίδα. καὶ γὰρ οἷά τις τιμία ἅλυσις, καὶ σειρὰ ποικιλόχρυσος, πέφυκεν ἡ κατὰ Θεὸν πολιτεία, μίαν τῆς μιᾶς ἐξηρτημένην ἀρετὴν ἀγαθῶς ἔχουσα, καὶ εἰς τὸ εὖ συνηρμοσμένας ἁπάσας. καὶ γοῦν καὶ ἓν ἔργον αἱ πολλαὶ καταρτίζουσιν, ὅπερ ἐστὶ τὸ θεωθῆναι τὸν οἰκείως αὐταῖς συζῶντα ἄνθρωπον· σπουδάσμους οἷον δή τινας καὶ κρίκους, πλουτοῦσαί πως, αὐτήν τε τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ * φίλτατον τοῦ ὀνόματος ἐν πίστει, εὐβουλίᾳ δὲ, καὶ ἐλπίδι, καὶ ταπεινώσει, σωτήριον ἐπίκλησιν, καὶ τὴν εἰρήνην ἅμα καὶ τὴν ἀγάπην, τὸ θεοφύτευτον ὄντως καὶ τριστέλεχον δένδρον, καὶ ζωοπάροχον· οὗ ὁ κατὰ καιρὸν ἀπτόμενος, καὶ ὡς εἰκὸς μεταλαμβάνων, οὐ θάνατον, ὡς πρωτόπλαστος, ἀλλὰ ζωὴν τρυγᾷ ἀνώλεθρον, καὶ αἰώνιον.

* ἴσ. ἄφθαρτον

* ἴσ. φίλτατον

## Ὅτι καὶ ἡ διὰ Θεοῦ Πατρὸς πρὸς πιστοὺς τοῦ Ἁγίου Πνεύματος δωρεὰ, καὶ ἐπέλευσις, ἐν Χριστῷ Ἰησοῦ, καὶ ἐν τῷ ἁγίῳ αὐτοῦ ὀνόματι ἐπιβραβεύεται.

ιβ´. Ναὶ μὴν, καὶ ἡ διὰ Θεοῦ Πατρὸς πρὸς πιστοὺς τοῦ Ἁγίου Πνεύματος δωρεὰ, καὶ ἐπέλευσις, ἐν Χριστῷ Ἰησοῦ, καὶ ἐν τῷ ἁγίῳ αὐτοῦ ὀνόματι ἐπιβραβεύεται· ὥς φησιν αὐτὸς ὁ ὑπέρθεος, καὶ φιλόψυχος Κύριος Ἰησοῦς Χριστὸς πρὸς τοὺς Ἀποστόλους·
„ ὅτι συμφέρει ἡμῖν, ἵνα ἐγὼ
„ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλ-
„ θω, ὁ Παράκλητος οὐκ ἐλεύσεται
„ πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω
„ αὐτὸν πρὸς ὑμᾶς· καὶ ὅταν δὲ ἔλθῃ ὁ
„ Παράκλητος, ὃν ἐγὼ πέμψω παρὰ τοῦ
„ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ
„ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. καὶ αὖ-
„ θις· ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα
„ τὸ Ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ
„ ὀνόματί μου.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ὅτι εἰκότως τοῖς ἁγίοις ἡμῶν διώρισται πατράσι, καὶ μετὰ τοῦ ἐνοικοῦντος αὐτοῖς Ἁγίου Πνεύματος προσεύχεσθαι ἡμᾶς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ παρ' αὐτοῦ ζητεῖν τὸ ἔλεος.

ιγʹ. Διὰ ταῦτα γοῦν καὶ οἱ κλεινοὶ καθηγεμόνες ἡμῶν, καὶ διδάσκαλοι πάνυ σοφῶς, καὶ μετὰ τοῦ ἐνοικοῦντος αὐτοῖς Παναγίου Πνεύματος, ἐκδιδάσκουσι πρὸ πάσης καλῆς ἄλλης ἐργασίας, καὶ μελέτης· καὶ πάντας μέν, μάλιστα δὲ τοὺς εἰς τὸ στάδιον τῆς θεοποιοῦ ἡσυχίας ἑαυτοὺς ἐμβαλεῖν ἐθέλοντας, καὶ ἀφιερωθῆναι Θεῷ, καὶ ῥαγῆναι τοῦ κόσμου, καὶ κατὰ λόγον ἡσυχάζειν, ἐν Κυρίῳ προσεύχεσθαι, καὶ παρ' αὐτοῦ τὸ ἔλεος ἐκζητεῖν ἀδιαστάκτως· καὶ τὸ τούτου πανάγιον, καὶ γλυκύτατον ὄνομα, ἀδιάλειπτον ἔργον, καὶ μελέτημα ἔχειν· καὶ τοῦτο ἐν καρδίᾳ, καὶ ἐν νοΐ, καὶ ἐν χείλεσι διηνεκῶς περιφέρειν· καὶ ἐν αὐτῷ, καὶ μετ' αὐτοῦ, καὶ ἀναπνεῖν, καὶ ζῆν, καὶ καθεύδειν, καὶ ἐγρηγορέναι, καὶ κινεῖσθαι, καὶ ἐσθίειν, καὶ πίνειν· καὶ ὡς ἔπος εἰπεῖν, πάντα κατὰ τὸν ὅμοιον τρόπον πράττειν ἐπείγεσθαι. ὥσπερ γὰρ τούτου ἀπόντος, ἅπαν συῤῥεῖ δεινόν· μᾶλλον δὲ οὐδὲν πάρεστιν ἡμῖν τῶν χρησίμων· οὕτω δὴ τούτου ἐν ἡμῖν παρόντος, πᾶν ἐναντίον ἀπελήλαται· μάλιστα δὲ οὐδέν ἐστιν ἡμῖν ἐλλεῖπον τῶν ἀγαθῶν, καὶ νῦν, καὶ πρὸς κατόρθωσιν * ἀδύνατον· καθάπερ καὶ αὐτὸς ὁ Κύριος ἡμῶν διαγορεύει· ὅτι ὁ μένων ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. τοῦτο τοιγαροῦν τὸ πάσῃ κτίσει φοβερόν, καὶ σεβάσμιον καὶ πρᾶγμα, καὶ ὄνομα, τὸ ὑπὲρ πᾶν πρᾶγμα, καὶ ὄνομα, καὶ ἡμεῖς οἱ ἀνάξιοι ἐν πίστει ἐπικαλεσάμενοι, καὶ ἐπ' αὐτῷ τὰ τοῦ παρόντος λόγου ἱστία ὁλοτρόπως ἀναπετάσαντες, οὕτω τοῦ λέγειν καὶ τοῖς πρόσω χωρεῖν ἀρχόμεθα.

* ἴσ. λείπει τό, ἀρετῆς

Ὅτι δεῖ τὸν ἀπταίστως βαδίζειν ἐθέλοντα, τὸν κατὰ Κύριον δρόμον τῆς ἡσυχίας, πρὸ πάντων ἐκλέξασθαι μετὰ τῆς καθόλου ὑποταγῆς, καὶ ὑποταγὴν τελείαν.

Ἐν τῷ ὀνόματι τοῦ Μεγάλου Θεοῦ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ εἰπόντος· „ἐγώ εἰμι τὸ φῶς· ἡ ζωή· καὶ ἡ „ἀλήθεια· ἡ ὁδός, καὶ ἡ πρὸς τὸν Πα„τέρα Θεὸν θύρα· καὶ δι' ἐμοῦ ἐάν τις „εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσε„ται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρή„σει, δηλονότι σωτήριον. “ πρόσχες οἷς λέγομεν· καὶ γνησίως σοι συμβουλευόμεθα. πρὸ πάντων, ἔκλεξαι σεαυτόν, μετὰ τῆς καθόλου· καὶ τὴν ἱερὰν ἐκφαντορίαν· ὑποταγῆς, καὶ ὑποταγὴν ἀνόθευτον, καὶ τελείαν· ἤγουν σπουδάσας ζήτησον εὑρεῖν ὁδηγόν, καὶ διδάσκαλον ἀπλανῆ· εἴη δ' ἂν τὸ ἀπλανές, ἐν τῷ μαρτυρεῖν ἐφ' οἷς λέγει, παρὰ τῶν ἱερῶν παριστᾶν γραφῶν, καὶ πνευματοφόρον· τοῖς λόγοις ἔχοντα τὴν πολιτείαν συνᾴδουσαν· ὑψηλὸν μὲν τὴν διάνοιαν, ταπεινὸν δὲ τῷ φρονήματι· καὶ τοῖς ἄλλοις τρόποις χρηστόν· καὶ ὅλον τὸν κατὰ Χριστὸν διδάσκαλον, τὰ θεοπαράδοτά φησι λόγια. καὶ δὴ εὑρηκώς, κἀκείνῳ ὡς Πατρὶ γνησίῳ Υἱὸς φιλόστοργος προσκολληθεὶς σώματί τε, καὶ πνεύματι· ὅλος μένε τοὐπέκεινα στοιχῶν τοῖς ἐκείνου ἐπιτάγμασιν, ὡς εἰς αὐτὸν τὸν Χριστόν, εἰς ἐκεῖνον ἀφορῶν, καὶ οὐκ ἄνθρωπον· πᾶσαν τε ἀπὸ σοῦ πόῤῥω βαλὼν ἀπιστίαν, καὶ δισταγμόν· τὴν μίαν, καὶ φρόνημα, καὶ μετὰ θελήσεως θέλημα, οὕτως ἁπλῶς, καὶ ἀπεριέργως ἔσο κατ' ἴχνος ἑπόμενος τῷ διδασκάλῳ, οἷά τι κάτοπτρον κεκτημένος, εἰς πληροφορίαν ἐναργῆ τὴν πρὸς ιδʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸν μυσταγωγὸν ἀδιάκριτον, καὶ ἄκραν ὑπακοὴν, τὴν οἰκείαν συνείδησιν. εἰ δέ ποτε καί τι τῶν ἐναντίων ὑποσπείρῃ τῇ σῇ διανοίᾳ ὁ τοῖς καλοῖς ἐχθραίνων διάβολος, ὡς ἀπὸ πορνείας, καὶ πυρὸς ἀποπήδησον πρὸς ἑαυτὸν, καὶ τὸν ὑποβάλλοντα ἀπατεῶνα σοφῶς ἀντιφθεγγόμενος· ὡς οὐχ ὁ ὁδηγούμενος τὸν ὁδηγοῦντα, ἀλλ' ὁ ὁδηγῶν τὸν ὁδηγούμενον ὁδηγεῖ· καὶ οὐκ ἐγὼ τοῦ ἄρχοντος· ἀλλ' αὐτὸς τὸ ἐμὸν κρίμα ἀνεδέξατο· καὶ οὐκ ἐγὼ, ἐκείνου· ἀλλ' αὐτὸς κριτὴς, ἐμοῦ καθέστηκε· κατὰ τὸν τῆς Κλίμακος, καὶ τὰ τούτοις παρόμοια. οὐδὲν γὰρ τῆς τοιαύτης ἀγωγῆς, δηλαδὴ τῆς ὑποταγῆς, γνησιέστερον τοῖς ἑλομένοις αὐτὴν ἀναντιρρήτως, διαῤῥῆξαι μὲν τὰ χειρόγραφα τῶν οἰκείων ἀμπλακημάτων, ἐγγραφῆναι δὲ τῇ θείᾳ δέλτῳ τῶν σωζομένων. εἰ γὰρ, κατὰ τὸν μακάριον Παῦλον, ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ Θεὸς ἡμῶν Κύριος Ἰησοῦς, καθ' ἡμᾶς δι' ἡμᾶς χρηματίσας, καὶ τὴν πατρικὴν εὐδοκίαν, μάλα σοφῶς οἰκονομῶν, τὴν τοιαύτην ὦπται τεμῶν ὁδὸν, δι' ἧς καὶ ὑπὲρ τῆς κατ' ἄνθρωπον εὐαρεστήσεως, τῆς πατρῴας ἠξίωται ἀναῤῥήσεως. „ἐταπείνωσε „γὰρ, φησὶν, ἑαυτὸν, γενόμενος ὑπή„κοος μέχρι θανάτου, θανάτου δὲ σταυ„ροῦ. διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψω„σε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα καὶ τὰ „ἑξῆς“. τίς ἄρα λοιπὸν ὁ αὐθαδῶς προσδοκήσας· ἵνα μὴ λέγωμεν ἀμαθῶς, ὡς ἐπιτυχὴς ἔσται τῆς τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ δόξης, καὶ τῶν πατρικῶν ἐπάθλων, μὴ τὴν αὐτὴν τρίβον βαδίζειν ᾑρημένος, τῷ καθηγητῇ καὶ διδασκάλῳ ἡμῶν Ἰησοῦ Χριστῷ; δεῖ γὰρ καὶ τὸν μαθητὴν, εἴπερ μέλλει τοιοῦτος γενέσθαι, ὡς τὸν διδάσκαλον, * ὥσπερ ἐκμαγεῖον, καὶ ἀρχέτυπον κάλλιστον, οὕτως ὅλῳ μένει ψυχῆς, ἀφορᾷν ἀκλινῶς, πρὸς τὸν τοῦ παιδοτρίβου βίον, καὶ τὰ ἐπιτηδεύματα· καὶ τούτοις ὁσημέραι ζηλοῦν ἐπείγεσθαι. εἶτα, περὶ μὲν αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ γέγραπται τὸ, καὶ ἦν ὑποτασσόμενος τῷ Πατρὶ, καὶ τῇ μητρὶ αὐτοῦ. καὶ αὐτὸς δέ φησιν ὁ σωτήρ· οὐκ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι. καὶ ἔστιν οὗτος, ὁ ἑτέρως βιοῦν ἐθέλων, ἤτοι αὐταρέσκως, καὶ αὐτεξουσίως, καὶ αὐτὸς ὁδηγοῦ, καὶ ὁ τοιοῦτος οἴεται, ὡς οὐ κατὰ λόγον τὴν ἔνθεον βιοτὴν πορευόμενος; οὐμενοῦν· οὐδαμῶς, ὡς ὑπὲρ τὰ ἐσκαμμένα πηδῶν. καὶ λέγει ὁ τῆς Κλίμακος· ὥσπερ ὁ μὴ ἔχων ὁδηγὸν εὐχερῶς ἐν τῇ ὁδῷ πλανᾶται· οὕτω καὶ ὁ αὐτεξουσίως τὴν μοναδικὴν ὁδὸν πορευόμενος, εὐχερῶς ἀπόλλυται, κἂν πᾶσαν τὴν τοῦ κόσμου σοφίαν ἐπίσταται· διά τοι τοῦτο καὶ οἱ πολλοὶ, ἵνα μὴ εἴπωμεν πάντες, οἱ μὴ ὑποτασσόμενοι, καὶ μὴ μετὰ βουλῆς βαδίζοντες, σὺν πόνῳ μὲν, καὶ ἱδρῶτι τὰ πλεῖστα ὀνειροπολοῦντες, σπείρουσι· τῇ δὲ ἀληθείᾳ, ἀμῶσι τὰ λίαν ἐλάχιστα. τινὲς δὲ καὶ ἀντὶ σίτου, συλλέγουσι, φεῦ, ζιζάνια, ὡς στοιχοῦντες, καθὰ λέλεκται, τῇ ἰδιοῤῥυθμίᾳ καὶ τῷ αὐταρέσκῳ φρονήματι, οὗ οὐδὲν χεῖρον· καὶ τούτου μάρτυς ὁ τῆς Κλίμακος, οὕτω γράφων· „Ὅσοι „πρὸς τὸ στάδιον τῆς ἱερᾶς ὁμολογίας „ἐπεχειρήσατε ἀποδύσασθαι· ὅσοι τὸν „τοῦ Χριστοῦ ζυγὸν ἐπὶ τὸν οἰκεῖον αὐ„χένα ἄραι βούλεσθε· ὅσοι τὸ ἑαυτῶν „φορτίον, ἐπὶ τὸν τοῦ ἑτέρου τράχηλον „ἐπιθεῖναι σπουδάζετε· ὅσοι τὰς ἑαυ„τῶν ὠνὰς γράψαι ἑκουσίως σπεύδετε, „καὶ ἀντ' ἐκείνων ἐλευθερίαν γραφῆναι „ὑμῖν βούλεσθε· ὅσοι χερσὶν ἑτέρων „ἀνυψούμενοι, καὶ νηχόμενοι, τὸ μέγα „τοῦτο περαιοῦσθε πέλαγος· γνῶτε, ὡς „σύντομόν τινα, καὶ τραχεῖαν ὁδὸν βαδί„ζειν ἐπεχειρήσατε, μίαν καὶ μόνην „πλάνην ἐν ἑαυτῇ κεκτημένην· αὕτη „δὲ καλεῖται ἰδιοῤῥυθμία· ὁ γὰρ ταύ„την εἰσάπαν ἀπαρνησάμενος, ἐν οἷς

* ἴσ. ὡς εἰς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

„ ἂν δοκῇ καλοῖς, καὶ πνευματικοῖς, καὶ „ θεαρέστοις, πρὸ τοῦ βαδίσαι, ἔφθα- „ σεν. “ ὑπακοὴ γάρ ἐστιν, ἀπιστεῖν ἑαυτῷ ἐν τοῖς καλοῖς ἅπασι, μέχρι τέλους ζωῆς. ὅθεν καὶ αὐτὸς ταῦτα μετὰ συνέσεως καταμαθὼν, καὶ τὴν ἀγαθὴν μερίδα, καὶ ἀναφαίρετον τῆς αἰθεροδρόμου ἡσυχίας διασκεῖν γλιχόμενος, ἕπου τοῖς καλῶς τεθεσπισμένοις· ὥς σοι δεδήλωται· νόμοις· καὶ πρῶτον ἀσπασίως ἄσπασαι τὴν ὑπακοήν· εἶθ᾽ οὕτω τὴν ἡσυχίαν. ὥσπερ γὰρ ἡ πρᾶξις τῆς θεωρίας ἐπίβασις, οὕτω καὶ ἡ ὑπακοὴ τῆς ἡσυχίας· καὶ μὴ θέλε μεταίρειν ὅρια· καθὼς γέγραπται· ἃ ἔθεντο οἱ πατέρες· καὶ ἔσαι δὲ τῷ μόνῳ. τούτῳ γὰρ τῷ τρόπῳ, καλὴν ἀρχὴν θεμέθλου καταβαλὼν, καιροῦ προϊόντος, καὶ διαλεέστατον ὄροφον ἐπιθήσεις, τῇ ἀρχιτεκτονίᾳ τοῦ πνεύματος. ὡς γὰρ οὗ ἡ ἀρχὴ· κατὰ τὸ εἰπόντα· ἀδόκιμος, καὶ τὸ πᾶν ἀπόβλητον· οὕτως αὖ· οὗ ἡ ἀρχὴ δόκιμος, καὶ τὸ ὅλον διαπρεπὲς, ναὶ μὴν, καὶ εὐπαγὲς, εἰ καὶ τοὐναντίον ἔσθ᾽ ὅτε συμβαίνει· καὶ τοῦτο μέντοι παρὰ τῇ ἡμετέρᾳ προθέσει καὶ προαιρέσει ἐπιγίνεσθαι πέφυκε.

Τίνα τὰ τῆς ἀληθοῦς ὑποταγῆς σημεῖα, ἃ κατέχων ὁ τῷ ὄντι ὑπήκοος, οὐκ ἂν ἀπταίστως ὑποτασσόμενος.

ιέ. Ἀλλ᾽ ἐπειδήπερ πολὺς ὁ περὶ τῆς τοιαύτης ἀγωγῆς λόγος, καὶ δυσδιεξίτητος, ὅθεν καὶ οἱ ταύτην μετερχόμενοι, διαφόρως μετέρχονται, δέον καὶ περὶ αὐτῆς μικρὰ ἄττα, οἱονεὶ σήμαντρα ἐπισημειώσασθαί σοι· ἃ καὶ κατέχων ὡς κανόνα καὶ στάθμην ἄπταιστον, διαγῶς ἔσῃ πολιτευόμενος· καὶ δὴ λέγομεν τάδε· χρὴ τὸν ἀληθῶς ὑπήκοον, ὡς ἡμῖν δοκεῖ, φυλάττειν τὰς πέντε ταύτας ἀρετὰς κατὰ πᾶσαν ἀνάγκην· καὶ πρώτην τὴν πίστιν· ἤγουν ἔχειν αὐτὸν καθαρὰν, καὶ ἀδόλον πίστιν, πρὸς τὸν ἑαυτοῦ ἐπιστάτην· ἐπὶ πᾶσιν· ὡς δοκεῖν * αὐτὸν τὸν Χριστὸν βλέπειν, καὶ ὑποτάσσεσθαι· „ ὥς φησιν ὁ Κύριος Ἰησοῦς· ὁ ἀκούων ὑμῶν, „ ἐμοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ „ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ „ τὸν ἀποστείλαντά με. “ καὶ πᾶν, ὃ τοῦ τῆς Κλίμακος οὐκ ἐκ πίστεως ἁμαρτία ἐστί. δευτέραν τὴν ἀλήθειαν· ἤτοι ἀληθεύειν αὐτὸν ἐν ἔργῳ, καὶ λόγῳ, καὶ τῇ τῶν λογισμῶν ἀκριβεῖ ἐξομολογήσει. ἀρχὴ γάρ· γέγραπται· τῶν λόγων σου, ἀλήθεια· καί, ἀληθείας ἐκζητεῖ Κύριος. καὶ ὁ Χριστὸς δέ φησιν· ἐγώ εἰμι ἡ ἀλήθεια· καὶ δὴ καὶ αὐταλήθεια κέκληται. τρίτην τὸ μὴ ποιεῖν τὸ οἰκεῖον θέλημα, ζημία γάρ φησιν ὑπηκόῳ, τὸ ποιεῖν τὸ ἴδιον θέλημα· ἀλλ᾽ ἀεὶ κόπτειν αὐτὸ ἐθελοντί· δηλονότι μὴ ἀναγκαζόμενον ὑπὸ τοῦ ἰδίου Πατρός. τετάρτην τὸ μὴ ἀντιλέγειν, καὶ φιλονεικεῖν τοῖς πᾶσι θέλε· ἐπεὶ ἡ ἀντιλογία καὶ ἡ φιλονεικία, οὐκ ἔστι τῶν εὐσεβῶν. καὶ γράφει ὁ ἱερώτατος Παῦλος· εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὔτε αἱ Ἐκκλησίαι τοῦ Θεοῦ. εἰ δ᾽ οὕτως ἁπλῶς, καὶ κοινῇ πᾶσι χριστιανοῖς ἀπείργεται τὰ τοιαῦτα, πολλῷ μᾶλλον Μοναστοῖς· καὶ ταῦτα κατὰ τὸν Κύριον ἐπαγγελλομένοις ὑποτάσσεσθαι ἀκριβῶς. τὸ μέντοι ἀντιλέγειν, καὶ φιλονεικεῖν, ἔχει τὴν ὕπαρξιν ἐκ γνώμης, ἀπιστίᾳ καὶ ὑψηλοφροσύνῃ συζώσης· ὡς εἴρηται· ὑψηλόφρων Μοναχὸς ἀντιλέγει σφοδρῶς· ὥσπερ καὶ τοὐναντίον· ἤγουν τὸ μὴ ἀντιλέγειν, καὶ μὴ φιλονεικεῖν, προέρχεται ἐκ πίστεως καὶ ταπεινόφρονος διαθέσεως. καὶ πέμπτην δὲ χρὴ φυλάττειν τοῦτον ἀρετὴν, τὸ ἔχειν ἀκριβῆ καὶ εἰλικρινῆ ἐξομολόγησιν πρὸς τὸν προεστῶτα, καθὼς καὶ ἐν τῇ ἀποκάρσει, ὡς ἐπὶ τοῦ φοβεροῦ παρεστῶτες βήματος τοῦ Χριστοῦ, ἐνώπιον Θεοῦ καὶ ἁγίων Ἀγγέλων δεδώκαμεν ὑπόσχεσιν,

* ἴσ. εἰς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸ ἔχειν ἡμᾶς ἀρχὴν, καὶ τέλος μετὰ τῶν ἄλλων ἐπαγγελιῶν καὶ συνθηκῶν ἡμῶν τῶν πρὸς Κύριον, καὶ ἐξαγγελίαν τῶν τῆς καρδίας κρυπτῶν. εἴρηται καὶ τῷ θείῳ Δαβίδ· εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ· καὶ σὺ ἀφῆκας κτ. καὶ τῷ τῆς Κλίμακος· μώλωπες θριαμβευόμενοι, οὐ προκόψουσιν ἐπὶ τὸ χεῖρον, ἀλλ' ἰαθήσονται. Ταύτην τὴν πενταδικὴν τῶν δηλωθεισῶν ἀρετῶν ἀπαρίθμησιν, ὁ σοφῶς καὶ ἐπιστημόνως τηρῶν, ἀναμφιβόλως γινωσκέτω, ὡς ἀπεντεῦθεν ἐπιτυχὴς ἔσται τῆς τῶν δικαίων ὡς ἐν ἀρραβῶνι μακαριότητος. Καὶ ταῦτα μὲν, τὰ τῆς ἀξιομνημονεύτου ὑπακοῆς ἴδια, καὶ οἷον ἡ ῥίζα, καὶ ὁ θεμέλιος· ἄκουσον δὲ καὶ οἷοι οἱ κλάδοι, καὶ ὁ καρπὸς, καὶ ὁ ὄροφος. Ἐξ ὑπακοῆς, φησὶν αὖθις ὁ τῆς Κλίμακος, ταπείνωσις· ἐκ ταπεινώσεως, διάκρισις· ἐκ διακρίσεως, διόρασις· ἐκ δὲ ταύτης, προόρασις· ὃ μόνου Θεοῦ ἔργον· καὶ τοῖς μακαρίως θεουργουμένοις, δῶρον δωρούμενον παρ' αὐτοῦ, ἐξαίρετον, καὶ ὑπερφυέστατον. πρὸς δὴ τοῖς εἰρημένοις, ἔστω σοὶ καὶ τοῦτο δῆλον· ὅτι γε κατὰ τὴν σὴν ἠκριβωμένην ὑποταγὴν, βλυστάνει καὶ ἐν σοὶ ἡ ταπείνωσις· καὶ αὖθις μετὰ τὴν ταπείνωσιν ἡ διάκρισις· ὡσαύτως καὶ καθεξῆς αἱ λοιπαί, καὶ ἀγωνίζου· ὅση σοι δύναμις, ἀπταίστως τὴν τῆς ὑπακοῆς θείαν πορείαν. οὕτω γὰρ καὶ τῶν πρόσω ἀνεπισφαλῶς ἐπιβήσῃ· εἰδέπως ἐν τῇ τῆς ὑποταγῆς ὑποσκάζεις νύσσῃ, ἴσθι ὡς οὐκ ἂν καλῶς περανεῖς τὸν ἐπίλοιπον δίαυλον τῆς προκειμένης βαλβῖδος· τὴν κατὰ Χριστὸν φαμὲν πολιτείαν· οὔτε μὴν στεφανωθήσῃ τῇ τοῖς νικηταῖς δωρουμένῃ ταινίᾳ· μένοιγε, καὶ οἷά τις ὁδηγὸς ἡ ὑπακοὴ, καὶ ἃ ταύτης πρόσθεν ἑπόμενα ἴδια, ἔστω σοι, καθάπερ τὸ παρὰ τοῖς ναυτικοῖς, διοπτευόμενον, πρὸς τὴν τοῦ ἀπλανοῦς τήρησιν· ἵν' ἀκλινῶς πρὸς αὐτὴν ἀφορῶν, ὑπερπλεῦσαι δυνηθῇς τὸ τῶν ἀρετῶν μέγα πέλαγος· καὶ οὕτω πρὸς ὅρμον * ὁρμήσῃς τὸν ἀκύμαντον τῆς ἀπαθείας· ἂν δὲ καὶ ζάλη τις, καὶ σάλος ἐπέλθῃ σοι, καὶ τοῦτο ἔσται παρὰ τῇ σῇ * ὑποταγῇ. τὸν γὰρ ἀληθῆ ὑπήκοον οὐδὲ αὐτὸς ὁ διάβολος· κατὰ τοὺς Πατέρας· ἀντιβλέψαι δεδύνηται· ἵνα δέ σοι καὶ τὸ τῆς παναγάστου ὑπακοῆς τίμιον ὕψος, ἡλίκον ἐστὶ, δι' ὀλίγου ἐπιδείξωμεν, μιᾶς ἔτι χρήσεως Ἁγίου Πατρὸς διαμνημονεύσωμεν. λέγει τοιγαροῦν αὖθις ὁ φαεινότατος λαμπτὴρ τῆς κατὰ Χριστὸν πολιτείας, καὶ νέος Βεσελεὴλ τῆς οὐρανίου Κλίμακος· ὅπλον μὲν οἱ Πατέρες, τὴν ψαλμῳδίαν· τὴν δὲ προσευχὴν, τεῖχος· λουτῆρα δὲ, τὸ ἄμωμον δάκρυον εἶναι ὁρίζονται· τὴν δὲ μακαρίαν ὑπακοὴν, ὁμολογίαν ἐκείνην· ἧς χωρὶς, οὐδεὶς τῶν ἐμπαθῶν, ὄψεται τὸν Κύριον. Ἱκανὰ μὲν οὖν καὶ ταῦτα· ὡς ἡμῖν δοκεῖ· πρὸς ἐναργεστάτην δήλωσίν τε καὶ ἔπαινον τοῦ ἀμιμήτου μιμήματος τῆς τρισολβίου ὑπακοῆς. ἔχομεν δ' ἔτι πεῖρα ταῦτα καταμαθεῖν τε, καὶ διαγνῶναι, εἴ γ' ἐπὶ τὸ ἅπαντες ἀναδύσωμεν, καὶ συνδιασκεψώμεθα, τί μὲν τὸ τῆς συντριβῆς καὶ θνητότητος ἡμῖν παραίτιον, μὴ τοιούτοις τὸ καταρχὰς δεδημιουργημένοις; τί δ' αὖθις τὸ τῆς ἀνακαινίσεως καὶ τῆς ἀθανασίας; εὑρίσκομεν τοίνυν, τοῦ μὲν προτέρου πρόξενον οὖσαν, ἤγουν τῆς φθορᾶς, τὴν τοῦ πρώτου Ἀδὰμ ἰδιοπιστίαν τε, καὶ ἰδιορρυθμίαν, καὶ τὸ ἀνυπότακτον· ἐξ ὧν ἡ τῆς ἐντολῆς τῆς θείας ἀθέτησις καὶ παράβασις. τοῦ δὲ δευτέρου, ἤτοι τῆς ἀφθαρσίας πρύτανιν, τὴν τοῦ δευτέρου Ἀδὰμ, καὶ Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πρὸς τὸν Πατέρα, ὁμοβουλίαν τε, καὶ ὑποταγὴν, ἀφ' ὧν ἡ τῆς ἐντολῆς αὐτοῦ τήρησις. ἐγὼ γὰρ, φησὶν ὁ σωτὴρ, ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα· ἀλλ' ὁ πέμψας

* ἴσ. ὁρμίσῃς

* ἴσ. παρακοῇ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Πατὴρ, αὐτός μοι ἐντολὴν ἔδωκε, τί εἴπω, καὶ τί λαλήσω· καὶ οἶδα, ὅτι ἡ ἐντολὴ αὐτοῦ, ζωὴ αἰώνιός ἐστιν· ἃ οὖν λαλῶ ἐγὼ, καθὼς εἴρηκέ μοι ὁ Πατὴρ, οὕτω λαλῶ. ὡς οὖν ἐν τῷ προπάτορι καὶ τοῖς κατ' αὐτὸν, ῥίζα πάντων ἀνιαρῶν, καὶ μήτηρ, ἡ οἴησις· οὕτως ἐν τῷ καινῷ θεανθρώπῳ Ἰησοῦ Χριστῷ, καὶ τοῖς κατ' αὐτὸν ζῆν ἐφιεμένοις, ἀρχὴ, καὶ πηγὴ, καὶ θεμέλιος πάντων ἀγαθῶν, ἡ ταπείνωσις. τὴν τοιαύτην στάσιν, καὶ τάξιν ὁρῶμεν, καὶ τὸν ἀνωτάτω, καὶ ὑπὲρ ἡμᾶς διάκοσμον ἱερὸν πάντων τῶν θεοειδῶν Ἀγγέλων διατηροῦντα· καὶ δὴ καὶ τὴν ἐπίγειον, καὶ καθ' ἡμᾶς Ἐκκλησίαν· καὶ τοὺς ἄλλως τῆς τοιαύτης θεσμοθεσίας ἐκκλίνοντας, καὶ σκολιῶς· ἵνα μὴ αὐθαδῶς λέγωμεν, ἐθέλοντας πολιτεύεσθαι, ἀπόγε Θεοῦ, καὶ τῆς φαεινῆς κληρουχίας τῆς οὐρανίου, καὶ τῆς καθολικῆς Ἐκκλησίας, διαρρήγνυσθαι, καὶ διοστρακίζεσθαι, καὶ εἰς τὸ σκότος, καὶ τὸ πῦρ ἀποπέμπεσθαι τῆς γεέννης, μεμυήμεθά τε, καὶ πιστεύομεν· ὃ δὴ τοὺς περὶ τὸν ἑωσφόρον πονηροὺς κακεργάτας, καὶ τοὺς κατὰ καιροὺς τῶν κακοδόξων αἱρετικῶν λογολέσχας πεπονθέναι φαμέν· ὡς τὰ θεόγραφα παρίστησι λόγια· οἵτινες διὰ τὸ αὐτάρεσκον, καὶ τὴν ὑπερηφανίαν, τῆς τε θείας, ὡς εἴρηται, δόξης, καὶ τρυφῆς, καὶ τοῦ ἱεροῦ συλλόγου, ἐλεεινῶς ἀπερρίφθησαν. εἴρηται δὲ καί τινι τῶν σοφῶν, ὅτι τὰ ἐναντία τῶν ἐναντίων ἰάματα. Ἐπεὶ οὖν, τῶν μὲν σκυθρωπῶν πάντων αἴτιον, τὸ ἀνυπότακτον, καὶ ἡ ἀλαζονεία· τῶν δὲ φαιδρωπῶν, τὸ ὑποτεταγμένον, καὶ συντετριμμένον. δεῖ δὴ τὸν ἀπταίστως βιοῦν ἱμειρόμενον, ἐν ὑποταγῇ Πατρὸς δοκίμου καὶ ἀπλανοῦς διαζῆν, χρόνου τριβῇ, καὶ ἐπιστήμῃ θείων, τὸ κράτος φέροντος, καὶ τὸν βίον ἐγκεκοσμημένου, τῷ κύκλῳ τῶν ἀρετῶν· καὶ τὴν τε ἐπιταγὴν, καὶ συμβουλὴν, ὡς Θεοῦ φωνὰς, καὶ βουλὴν οἴεσθαι. σωτηρία γάρ φησιν ἐν πολλῇ βουλῇ. καὶ, ἀνὴρ ἀσύμβουλος, καθ' ἑαυτοῦ πολέμιος. οὐδὲ καί τισι τῶν κλεινῶν Πατέρων διεγένετο, καὶ χωρὶς τῆς τοιαύτης ἀσκήσεως τῆς καθ' ὑποταγὴν· ἐπιτυχεῖν τῆς θεοποιοῦ ἡσυχίας, καὶ τῆς κατὰ Θεὸν τελειότητος, ἀλλὰ κατὰ ἀποκάλυψιν θείαν· καὶ σπανίως. γέγραπται δὲ, ὡς οὐ νόμος Ἐκκλησίας, τὸ σπάνιον· ὥσπερ οὐδὲ μία χελιδὼν, ἔαρ ποιεῖ· ἀλλ' αὐτὸς οἱονεί τινα προεισαγωγικὴν ἐπιστήμην τῆς παγκάλου ἡσυχίας, τὴν ἀληθῆ ὑποταγὴν πιστεύων, ἄφες τὰ ἅπαξ οἰκονομικῶς γεγενημένα· καὶ ἔσο στοιχῶν, * τὰ κοινῇ ψηφισθέντα τοῖς σεβασμίοις πατράσιν. οὕτω γὰρ καὶ τῶν βραβείων τῶν νομίμως βιούντων, ἀξιωθήσῃ. τί δέ; ὁδοῦ μὲν τῆς τυχούσης, οὐκ ἄν τις ἕλοιτο, μήπω ταύτης ἐν πείρᾳ γενόμενος, ἅψασθαι, ἄνευ ἀπλανοῦς ὁδηγοῦ· τοῦ μὴν καὶ θαλαττίου πελάγους, ἄνευ ἐπιστήμονος κυβερνήτου· ὁμοίως δὲ, καὶ τῆς οἱασοῦν τέχνης, καὶ ἐπιστήμης, χωρὶς ἀπταίστου διδασκάλου· τῆς δὲ τῶν τεχνῶν τέχνης, καὶ τῶν ἐπιστημῶν ἐπιστήμης, καὶ τῆς πρὸς Θεὸν φερούσης τρίβου, καὶ τοῦ νοητοῦ ἀπείρου πελάγους, ἤτοι τῆς μοναδικῆς πολιτείας, ἥτις ἀφωμοίωται τῇ τῶν Ἀγγέλων βιοτῇ, τολμᾷ τις ἀπάρχεσθαι τῆς ἀσκήσεως, καὶ ἑαυτῷ πιστεύει, τοῦ τέλους ταύτης τυχεῖν· πλὴν ὁδηγοῦ, καὶ κυβερνήτου, καὶ διδασκάλου δοκίμου καὶ ἀληθοῦς; ὄντως ὁ τοιοῦτος κἂν ὁποῖος εἴη τυχὸν, φρεναπατᾷ ἑαυτὸν, καὶ πρό γε τοῦ ἀρχὴν βαλεῖν, πεπλάνηται· εἰ καὶ μὴ κατὰ νόμον ἀσκούμενος· ὥσπερ τοὐναντίον, πρὶν τοῦ βαδίσαι, τὸ τέλος πέφθακεν, ὁ τοῖς Πατρικοῖς πειθόμενος θεσμοῖς. πόθεν γὰρ ἄλλοθεν εἰδέναι ἔχομεν, ἢ κατὰ τῆς σαρκὸς ὡς εἰκὸς στρατεύεσθαι, ἢ κατὰ παθῶν καὶ δαιμόνων ὁπλίζεσθαι; ταῖς γὰρ ἀρεταῖς, ὡς γέγραπται, αἱ κακίαι παρα-

* τὸ σ. λείπει [illegible]

πεπήγασι, καὶ εἰσί πως ἀγχίθυροι. πόθεν δὲ τὰς τοῦ σώματος αἰσθήσεις παιδεύειν, καὶ τῆς ψυχῆς τὰς δυνάμεις ὡς ἐν κινύρᾳ ῥυθμίζειν; μᾶλλον δὲ, πῶς δέξασθαι ἡμῖν διακρίναι ὀμφὰς, καὶ ἀποκαλύψεις, καὶ παρακλήσεις, καὶ θεωρίας θείας; ναὶ μὴν καὶ δόλους, καὶ πλάνας, καὶ φάσματα δαιμονιώδη; καὶ ἵνα συντόμως εἴπωμεν, πῶς εἰς ἑνώσεις Θεοῦ, καὶ θεουργικὰς τελετὰς, καὶ μυστήρια, προφθάσαι ἀξιωθησόμεθα, ἄνευ μυήσεως μυσταγωγοῦ ἀληθοῦς, καὶ πεφωτισμένου; οὐκ ἔστιν ὄντως, οὐκ ἔστιν. ὁπηνίκα δὲ καὶ τὸ τῆς ἐκλογῆς σκεῦος, τὸν μακαριώτατον κατίδωμεν Παῦλον, τὸν τῶν ἀρρήτων μύστην· τὸ τοῦ Χριστοῦ στόμα· τὸ φῶς τοῦ κόσμου· τὸν κοινὸν ἥλιον· τὸν τῆς οἰκουμένης συμπάσης διδάσκαλον, τοῖς συναποστόλοις κοινούμενον καὶ συνδιασκεπτόμενον τὸ Εὐαγγέλιον· καὶ ἡ αἰτία, μήπως, φησὶν, εἰς κενὸν τρέχω, ἢ ἔδραμον. ναὶ μὴν, καὶ αὐτὴν τὴν αὐτοσοφίαν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, περὶ μὲν ἑαυτοῦ φθεγγόμενον, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν· ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. περὶ δὲ τοῦ Παναγίου, καὶ ζωοποιοῦ Πνεύματος, ὅτι οὐκ ἀφ' ἑαυτοῦ λαλήσει, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει. διά γε τὸ τῆς πράξεως χρήσιμον, ἥτις συνέχει καὶ τὰ οὐράνια, καὶ τὰ ἐπίγεια· φρίκῃ, καὶ θάμβει, καὶ ἀγωνίᾳ συνεχόμεθα, περί τε τῆς ἡμετέρας οὐθενείας, καὶ ῥαθυμίας, καὶ τῶν ἐκ παραφροσύνης καὶ οἰήσεως αἱρουμένων σκαιῶς, καὶ ἐπικινδύνως, ἰδιορρύθμως καὶ ἀνυποτάκτως πολιτεύεσθαι. τῷ ὄντι γὰρ φοβερὸς ὁ τοιοῦτος ἀγὼν, καὶ μυρίοι οἱ λωποδύται, καὶ τὰ τῶν πειρατῶν ἐνέδρα ἀναρίθμητα· πρὸς δὲ, καὶ τὰ ναυάγια μεῖζον οὐκ ἐπιδέχονται· ὅθεν καὶ ἐκ τῶν πολλῶν, πάνυ ὀλίγοι εἰσὶν οἱ σωζόμενοι· ἀλλ' ἤτοι μὲν ὡς βούλονται, διαλέτωσαν. ἑκάστου γὰρ, ὡς γέγραπται, τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει· καὶ ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· μάλιστα δὲ, μὴ οὕτως ἁπλῶς, ἧπερ βούλονται· ἀλλ' ὡς δεῖ καὶ βούλεσθαι καὶ βιῶναι· δοίη πᾶσιν ὁ Κύριος σύνεσιν. σὺ δὲ καὶ πᾶς ὁ βουλόμενος κατὰ Θεὸν ζῆσαι, ὥσπερ ἀπό τινος κρασπέδου τῶν τοιούτων ῥημάτων, τὸ ὅλον χρύσεον, καὶ πνευματικὸν ὕφασμα τῆς μακαρίας ὑπακοῆς μαθὼν, ἐπείχθητι, ὡς προδεδήλωται, εὑρεῖν διδάσκαλον ἀπλανῆ καὶ τέλειον· τελείων δέ ἐστι, κατὰ τὸν Χριστοφόρον Παῦλον, ἡ στερεὰ τροφή· τῶν διὰ τὴν ἕξιν ἐχόντων τὰ αἰσθητήρια γεγυμνασμένα πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ. καὶ τούτῳ τῷ τρόπῳ, ἤγουν ἐμπόνως, καὶ μετὰ πίστεως ζητῶν, οὐ μὴ ἁμάρτῃς τοῦ προκειμένου σκοποῦ. πᾶς γὰρ φησιν ἡ θεία γραφή· ὁ αἰτῶν, λαμβάνει· καὶ ὁ ζητῶν, εὑρίσκει· καὶ τῷ κρούοντι ἀνοιγήσεται. κἀκεῖνός σοι πάντα καθ' εἱρμὸν καὶ τάξιν μυσταγωγήσει τὰ δέοντα καὶ θεοφιλῆ. καὶ ἔτι δὲ μᾶλλον χειραγωγήσει, πρός γε τὰ θεάρεστα, καὶ πνευματικώτερα, καὶ τοῖς πολλοῖς ἀνέκφορα· ὁρῶν σε ἐκ ψυχῆς ἐπιχαίροντα τῇ μετριότητι, καὶ λιτότητι, καὶ εὐτελείᾳ· ἔν τε βρώμασι, καὶ πόμασι, καὶ σκεπάσμασι, καὶ περιβολαίοις· καὶ ἀρκούμενον τοῖς τῷ καιρῷ χρησίμοις, καὶ προσφόροις, καὶ ἀναγκαίοις· καὶ μὴ τοῖς περιττοῖς, καὶ βλακώδεσι, καὶ οἷς οἱ περπερότητι, καὶ * στιλβότητι ἀφρόνως συζῶντες ἀποστεμμαίνονται, καὶ καθ' ἑαυτῶν, καὶ τῆς σφῶν σωτηρίας, τὸ ξίφος ὠθοῦσι. καὶ λέγει ὁ Μέγας Ἀπόστολος· ἔχοντες διατροφὰς, καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. Ἀλλ' αὐτὸς ζητεῖς καὶ μαθητιᾷς, καὶ παρ' ἡμῶν ἐγγράφως ἀκηκοέναι τὰ πρόσφορα τῇ τε ἀρχῇ, καὶ τῇ μεσότητι, καὶ τῷ τέλει τῆς κατὰ Χριστὸν πολιτείας; Ἀλλὰ καὶ ἐπαινετὸν τὸ ἐρώτημα, ἀλλ' ἐργῶδες

* ἴσ. στιλπνότητι



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐκ τοῦ προχείρου ἡ ἀπόκλεισις· ὅμως, Χριστοῦ δεξιὰν ὀρέγοντος, πρὸς τὴν σὴν ζήτησιν, καὶ τοῦτο ποιῆσαι σπουδάσομεν· ὡς ἐν βάθρῳ βεβηκότι καὶ ἀσαλεύτῳ, τῇ παγγεράστῳ τελείᾳ ὑπακοῇ ἐποικοδομοῦντες τὸν πολυθρύλλητον οἶκον, πάσης τῆς πνευματικῆς οἰκοδομίας τὴν θεοποιὸν φαμὲν ἡσυχίαν. καὶ δὴ λέγομεν οὕτω, πατρικαῖς, καὶ πνευματοφθόγγοις χρήσεσιν, ὡς ἀκραδάντοις στύλοις ἐπερειδόμενοι.

Ὅτι σὺν τῇ ὀρθοδόξῳ πίστει δεῖ ἐπιμελεῖσθαι πλήρη εἶναι καὶ τῶν καλῶν ἔργων, τὸν γνησίως ἐθέλοντα ἡσυχάσαι καὶ κατὰ Θεόν· καὶ ὅτι ἡ πίστις διπλῆ· καὶ ὅτι μετὰ ταύτης χρὴ εἶναι τὸν ἡσυχάζοντα εἰρηνικόν· ἀπερίσπαστον· ἀμέριμνον, ἤτοι ἀφρόντιστον· σιωπηλόν· ἥσυχον· εὐχάριστον ἐν παντί· ἐπιγνώμονά τε τῆς ἰδίας ἀσθενείας· καὶ γενναίως φέρειν τοὺς πειρασμούς· καὶ πρὸς Θεὸν ἐλπίζειν· καὶ παρ' αὐτοῦ τὸ συμφέρον ἐκδέχεσθαι.

ιϛʹ. Αʹ. Φησὶν ὁ Σωτήρ· οὐ πᾶς ὁ λέγων μοι, Κύριε Κύριε· εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. καὶ σὺ τοίνυν ἀγαπητέ, εἴπερ οὐ λόγοις ψιλοῖς ἐρᾷς τῆς θεοποιοῦ ἡσυχίας, ἥτις ἀπάρτι τοὺς ἐμφάσεις εἰσδέχεσθαι τηλαυγῶς προξενεῖ τῆς οὐρανοῦ Βασιλείας, καὶ τοῦ Θεοῦ, τοὺς ταύτην γνησίως μετιοῦσιν· ἐν δὲ τῷ μέλλοντι, ὁλικώτερον καὶ τελειότερον· ἀλλ' ἀληθείᾳ ἐρᾷς καὶ πράγματι, ἐπιμελοῦ, πρὸς τῇ ὀρθοδόξῳ πίστει, πλήρης εἶναι καὶ τῶν καλῶν ἔργων. εἶθ' οὕτως, ἔσο εἰρηνικὸς μετὰ πάντων, τό γε σὸν μέρος· ἀπερίσπαστος· ἀμέριμνος, ἤτοι ἀφρόντιστος καθόλου· σιωπηλός· ἥσυχος· εὐχάριστος ἐν παντί· ἐπιγνώμων τε τῆς οἰκείας ἀσθενείας· καὶ τὸ ὅλον, ἄγρυπνον ὄμμα καὶ νηφάλιον, πρὸς τοὺς καθ' ἑκάστην διαφόρους καὶ πολυειδεῖς ἐπισυμβαίνοντάς σοι πειρασμούς, τήρει· ὑπομονῇ τε καὶ μακροθυμίᾳ, πρὸς πᾶσαν τρικυμίαν, καὶ θλίψιν προσπαλαίων, ἐπερχομένην σοι ὁπωσδήποτε. περὶ μὲν γὰρ τοῦ πρώτου, καὶ τοῦ δευτέρου ἤγουν τοῦ, πρὸς τῇ ὀρθοδόξῳ πίστει, καὶ καλοῖς ἔργοις κατακοσμεῖσθαι, σαφής σοι διδάσκαλος, ὁ κλεινὸς ἀδελφόθεος, οὕτω φάσκων· ἡ πίστις χωρὶς τῶν ἔργων, νεκρά ἐστιν· ὥσπερ καὶ τὰ ἔργα, χωρὶς πίστεως. καὶ, δεῖξόν μοι ἐκ τῶν ἔργων σου τὴν πίστιν σου· καὶ πρό γε τούτου, ὁ πάντων καθηγητής, καὶ διδάσκαλος, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, λέγων πρὸς τοὺς μαθητάς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. καὶ ὁ Θεολόγος δέ φησιν, ὅτι τρία ταῦτα ζητεῖ ὁ Θεὸς ἀπὸ παντὸς ἀνθρώπου, τοῦ ἔχοντος τὸ Βάπτισμα· πίστιν ὀρθὴν ἀπὸ ψυχῆς· σωφροσύνην ἀπὸ τοῦ σώματος· καὶ ἀλήθειαν ἀπὸ τῆς γλώττης.

Ὅτι ἡ πίστις διπλῆ.

Βʹ. Σημείωσαι δέ, ὅτι ἡ πίστις κατὰ τὰ θεοπαράδοτα λόγια διπλοῦ ἐστιν, ἡ μέν, καθόλου πάντων τῶν ὀρθοδόξων Χριστιανῶν, εἰς ἣν ἀρχῆθεν τε βεβαπτίσμεθα· καὶ ἐπὶ τελευταῖον συναπελθοῦμεν. ἡ δέ, σπανίων· καὶ ἐκείνων, τῶν διὰ τῆς τῶν θεοπαιδῶν πασῶν ἐντολῶν ἐκπληρώσεως, εἰς τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἐπαναδεδραμηκότων, καὶ οὕτω πεπλουτηκότων τῷ τῆς χάριτος θείῳ φωτί, ἅπασαν τὴν ἑαυτῶν ἐλπίδα ἐπιστηρίξαι πρὸς Κύριον· καὶ τοσοῦτον, ὦ τῆς ἀξίας, ὡς μηδαμῶς κατά γε τὸ κυριακὸν λόγιον, διακρίνεσθαι τούτους ἐν καιρῷ προσευχῆς, εἰς τὰ πρὸς Θεὸν αἰτήματα·



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀλλὰ μετὰ πίστεως ζητεῖν, καὶ οὕτω λαμβάνειν ἐκ τοῦ προχείρου τὰ συμφέροντα· καθὸ καὶ τὸ ἐξ ἔργων εἰλικρινῶν βεβαιόπιστον, οἱ μακάριοι προσεκτήσαντο, ὡς πᾶσαν γνῶσιν, καὶ διάκρισιν, καὶ δισταγμὸν, καὶ φροντίδα, ἀφ' ἑαυτῶν ῥίψαντες, καὶ ὅλοι ὅλως τῇ θείᾳ μέθῃ τῆς πρὸς Θεὸν πίστεως, καὶ ἐλπίδος, καὶ ἀγάπης, καταβαπτισθέντες, καὶ γοῦν ἀλλοιωθέντες, τὴν κρείττω, καὶ μακαρίαν τῆς δεξιᾶς τοῦ ὑψίστου, κατὰ τὸν θεῖον Δαβὶδ, ἀλλοίωσιν. ἀλλὰ τὸ μὲν εἰς πλάτος περὶ τῆς πρώτης πίστεως λέγειν, οὐ τοῦ παρόντος καιροῦ. τὸ δὲ περὶ τῆς δευτέρας, ἥτις ὥσπερ τις καρπὸς ἐνθέως ἐκ τῆς πρώτης ἀνθεῖ, καὶ ἀποτίκτεται, ὡς λίαν εὔκαιρον. ἡ γὰρ πίστις, οἱονεί τις ῥίζα καὶ κεφάλαιον πέφυκε, τῆς φερωνύμου θεοποιοῦ ἡσυχίας. ἐὰν γὰρ μὴ πιστεύσῃς, φησὶν ὁ τῆς Κλίμακος· πῶς ἡσυχάσεις; λέγει πάλιν ὁ θεῖος Δαβίδ· ἐπίστευσα, διὸ ἐλάλησα. καὶ ὁ Μέγας Ἀπόστολος Παῦλος, ἔστι πίστις, ἐλπιζομένων ὑπόστασις· πραγμάτων ἔλεγχος οὐ βλεπομένων. καὶ ὁ δίκαιος ἐκ πίστεως ζήσεται κτ. καὶ ὁ Σωτὴρ δὲ πρὸς τοὺς αἰτήσαντας αὐτὸν μαθητὰς προσθεῖναι αὐτοῖς πίστιν, οὕτω φησίν· εἰ ἔχετε πίστιν ὡσεὶ κόκκον σινάπεως, ἐλέγετε ἂν, τῇ συκαμίνῳ ταύτῃ, ἐκριζώθητι, καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ· καὶ ὑπήκουσεν ἂν ὑμῖν. καὶ, ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται. καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ πιστεύοντες, λήψεσθε. καὶ, ἡ πίστις σου σέσωκέ σε. γράφει δὲ καὶ ὁ ὅσιος Ἰσαάκ· ἡ πίστις λεπτοτέρα τῆς γνώσεως, καθὼς ἡ γνῶσις, τῶν πραγμάτων τῶν αἰσθητῶν. πάντες γὰρ οἱ ἅγιοι, τὴν πολιτείαν ταύτην καταξιωθέντες εὑρεῖν, ὅπερ ἐστὶν ἔκπληξις εἰς Θεὸν, ἐν τῇ δυνάμει τῆς πίστεως διάγουσιν, ἐν τῇ τρυφῇ τῆς πολιτείας ἐκείνης, τῆς ὑπὲρ φύσιν. πίστιν δὲ λέγομεν, οὐκ ἐν ᾗ πιστεύει τις, ἐν τῇ διαφορᾷ τῶν προσκυνητῶν ὑποστάσεών τε, καὶ θείων, καὶ ἐν τῇ ἐξαιρέτῳ καὶ ἰδίᾳ φύσει αὐτῆς τῆς θεότητος, καὶ ἐν τῇ οἰκονομίᾳ τῇ θαυμαστῇ τῇ ἐν τῇ ἀνθρωπότητι, ἐν τῇ προσλήψει τῆς φύσεως ἡμῶν, εἰ καὶ αὐτὴ ὑψηλή ἐστι λίαν· ἀλλὰ τὴν πίστιν τὴν ἐκ τοῦ φωτὸς τῆς χάριτος ἀνατέλλουσαν ἐν τῇ ψυχῇ ἐν τῇ μαρτυρίᾳ τῆς διανοίας, στηρίζουσαν τὴν καρδίαν ἀδίστακτον εἶναι, ἐν τῇ πληροφορίᾳ τῆς ἐλπίδος, τῇ ἀπεχούσῃ ἀπὸ πάσης οἰήσεως· καὶ οὐκ ἐν τῇ ἐπιδόσει τῆς ἀκοῆς τῶν ὤτων ἑαυτὴν δεικνύει, ἀλλ' ἐν τοῖς πνευματικοῖς ὀφθαλμοῖς, τὰ μυστήρια τὰ κεκρυμμένα ἐν τῇ ψυχῇ· καὶ τὸν κρυπτὸν καὶ θεῖον πλοῦτον, τὸν κεκρυμμένον ἐκ τῶν ὀφθαλμῶν τῶν υἱῶν τῆς σαρκὸς, καὶ ἀποκαλυπτόμενον ἐν τῷ πνεύματι, τοῖς ἐν τῇ τραπέζῃ τοῦ Χριστοῦ διαιτωμένοις, ἐν τῇ ἀδολεσχίᾳ τῶν νόμων αὐτοῦ, καθὼς εἶπεν· ἐὰν τηρήσητε τὰς ἐντολάς μου, ἀποστελῶ ὑμῖν τὸν Παράκλητον· τὸ Πνεῦμα τῆς ἀληθείας, ὅπερ ὁ κόσμος οὐ δύναται δέξασθαι· κἀκεῖνος διδάξει ὑμᾶς πᾶσαν τὴν ἀλήθειαν καὶ τὰ ἑξῆς. καὶ αὖθις· ἕως ἂν ἔλθῃ ἐκεῖνο, ὅπερ ἐστὶν ἡ τελείωσις τῶν μυστηρίων, καὶ ἀξιωθῶμεν φανερῶς τῆς Ἀποκαλύψεως αὐτῶν, ἡ πίστις λειτουργεῖ μεταξὺ τοῦ Θεοῦ, καὶ τῶν ἁγίων, μυστήρια ἄρρητα, ὧν ἀξιωθείημεν διὰ τῆς χάριτος αὐτοῦ τοῦ Χριστοῦ, ἐνταῦθα μὲν, ὡς ἐν ἀρραβῶνι· ἐκεῖ δὲ ἐν ὑποστάσει τῆς ἀληθείας, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μετὰ τῶν ἀγαπώντων αὐτόν.

Γ΄. Ὅτι δεῖ εἰρηνικὸν ὑπάρχειν σε.

Περὶ δέ γε τοῦ τρίτου, δηλαδὴ τοῦ εἰρηνικὸν εἶναί σε μετὰ πάντων, ἐναργής σοι παραίνεσις, ἡ τοῦ μακαρίου Δαβὶδ χρῆ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

στις· καὶ μὴν καὶ ἡ τοῦ Χριστοφόρου Παύλου γεγωνότερον σάλπιγγος βοῶσα, ἡ μὲν, εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου· καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. καὶ μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός. καὶ, ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. ἡ δὲ, εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν· οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. καὶ, εἰ δυνατὸν τὸ ἐξ ὑμῶν, μετὰ πάντων εἰρηνεύοντες.

Ὅτι δεῖ ἀπείραστον εἶναί σε.

Δ΄. Τοῦ δέ γε τετάρτου, δηλαδὴ τοῦ ἀπείραστον τυγχάνειν σε, ὁ ὅσιος Ἰσαὰκ δηλώσει σοι λέγων, ὅτι ἐπεὶ ἡ ἐπιθυμία φησὶ, γέννημα τῶν αἰσθήσεων ὑπάρχει, σιωπησάτωσαν λοιπὸν, οἱ μετὰ πειρασμοῦ τὴν εἰρήνην τῆς διανοίας φυλάττειν ὁμολογοῦντες· καὶ μετὰ πεπλατυσμένων μὴ συναναστραφῇς.

Ὅτι δεῖ ἀμέριμνον, καὶ ἀφρόντιστον ὑπάρχειν σε

Ε΄. Τοῦ δὲ δὴ πέμπτου, δηλονότι τοῦ ἀμέριμνον, καὶ ἀφρόντιστον τῶν εὐλόγων, καὶ ἀλόγων πραγμάτων ὑπάρχειν σε, διδασκαλεῖόν σοι, ὅπερ ἐν Εὐαγγελίοις φησὶν ὁ Κύριος· διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε· μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε· οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα, τοῦ ἐνδύματος; ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας· καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; καὶ μετ᾽ ὀλίγα· μὴ οὖν μεριμνήσητε λέγοντες, τί φάγωμεν, ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα. ταῦτα γὰρ πάντα τὰ ἔθνη ἐπιζητεῖ. οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων· ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν· μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον· ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς· ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς. λέγει δὲ καὶ ὁ Ἅγιος Ἰσαάκ· χωρὶς ἀμεριμνίας φῶς ἐν τῇ ψυχῇ σου μὴ ζητήσῃς· μήτε γαλήνην καὶ ἡσυχίαν, ἐν τῷ χειμάζοντι τῶν αἰσθήσεών σου. καὶ ὁ τῆς Κλίμακος· μία θριξ ταράττει ὀφθαλμόν· καὶ μικρὰ φροντὶς ἀφανίζει ἡσυχίαν. ἡσυχία γάρ ἐστιν, ἀπόθεσις νοημάτων, καὶ ἄρνησις εὐλόγων φροντίδων. ὁ ὄντως ἡσυχίαν καταλαβὼν, οὐδὲ τῆς ἑαυτοῦ σαρκὸς φροντίσει. ἀψευδὴς γάρ ἐστιν ὁ ἐπαγγειλάμενος.

Ὅτι δεῖ σιωπηλὸν εἶναί σε.

ς΄. Ἔτι περὶ τοῦ ἕκτου, δηλαδὴ τοῦ σιωπᾷν· ὁ ἔρως εἰπεῖν ἡμᾶς ἐκβιάζει τοῦ λόγου. λέγει οὖν καὶ περὶ τούτου ὁ ὅσιος Ἰσαάκ· ὁ κωλύων τὸ στόμα αὐτοῦ ἐκ τῆς καταλαλιᾶς, φυλάττει τὴν καρδίαν αὐτοῦ ἐκ τῶν παθῶν· καὶ ὁ καθαίρων τὴν καρδίαν αὐτοῦ ἐκ τῶν παθῶν, ἐν πάσῃ ὥρᾳ θεωρεῖ τὸν Κύριον. καὶ, ἐὰν πάντα τὰ ἔργα τῆς πολιτείας εἰς ἓν μέρος θήσεις, καὶ τὴν σιωπὴν ἐν ἄλλῳ, εὑρήσεις αὐτὴν ὑπερβάλλουσαν ἐν σταθμῷ· καί, ὑπὲρ πάντα τὴν σιωπὴν ἀγάπησον, ὅτι προσεγγίζει σε * πρὸς καρπόν. ἡ γλῶσσα γὰρ ἀσθενεῖ πρὸς τὴν ἐξήγησιν αὐτοῦ. πρῶτον μὲν βιασώμεθα ἑαυτοὺς σιωπᾷν. καὶ τότε ἐκ τῆς σιωπῆς, γεννᾶταί ἡμῖν τι, ὁδηγοῦν ἡμᾶς εἰς αὐτὴν τὴν σιωπήν. δώῃ σοι ὁ Θεὸς αἰσθηθῆναι τινος γεννωμένου ἐκ τῆς σιωπῆς. ἐὰν δὲ ἐν ταύτῃ τῇ πολιτείᾳ ἄρξῃ, οὐκ ἐπίσταμαι ἐγὼ πόσον φῶς ἀνατελεῖ σοι ἐντεῦθεν. καὶ αὖθις· ἡ σιωπὴ μυστήριόν ἐστι τοῦ μέλλοντος αἰῶνος· οἱ δὲ λόγοι ὄργανόν εἰσι τοῦ κόσμου τούτου. καὶ τῷ ἁγίῳ δὲ Ἀρσενίῳ, ὅπως ἡ θεία φωνὴ τὸ δεύτερον ἐθέσπισεν· Ἀρσένιε, * ὡς σε

φεῦγε·

φεῦγε· σιώπα· ἡσύχαζε, καὶ σωθήσῃ.

### Ὅτι δεῖ ἥσυχον εἶναί σε.

Ζ. Ὡσαύτως δὲ καὶ περὶ τοῦ ἑβδόμου, ἤγουν τοῦ ἡσύχως βιοῦν σε, ἀξιόπιστοι πρὸς παράστασιν, ὅ,τε Μέγας Βασίλειος· καὶ ὁ Ἅγιος πάλιν Ἰσαάκ· ὁ μὲν εἰρηκώς· ἡ ἡσυχία, ἀρχὴ καθάρσεως τῇ ψυχῇ· ὁ δέ, ὅρος ἡσυχίας, σιωπὴ ἀπὸ πάντων. ὁ μέν, τὴν ταύτης ἀρχήν· ὁ δέ, τὸ τέλος διὰ τῶνδε τῶν φωνῶν ὡς ἐν συντόμῳ ἐπισημάναντες. καὶ ἐν τῇ παλαιᾷ δὲ γραφῇ οὕτως εἴρηται· ἥμαρτες; ἡσύχασον. καί, σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός. λέγει δὲ καὶ ὁ τῆς Κλίμακος· ἔργον ἡσυχίας προηγούμενον, ἀμεριμνία πάντων πραγμάτων εὐλόγων, ἢ ἀλόγων. ὁ γὰρ τοῖς προτέροις ἀνοίγων, τοῖς δευτέροις πάντως περιπεσεῖται. προσευχὴ ἄοκνος· καὶ τρίτον, ἐργασία καρδίας ἄσυλος. ἀδύνατον, τὸν μὴ γράμματα μεμαθηκότα, φυσικῶς ἐν δέλτοις μελετᾶν· ἀδυνατώτερον δέ, τοὺς μὴ τὸ πρότερον κτησαμένους, τὰ δύο λόγῳ μετελθεῖν. καὶ αὖθις ὁ Ἅγιος Ἰσαάκ· πόθος ἡσυχίας ἐστί, προσδοκία τοῦ θανάτου διηνεκής· ὁ ἐκτὸς ταύτης τῆς μελέτης εἰσερχόμενος ἐν τῇ ἡσυχίᾳ, οὐ δύναται βαστάσαι, ἅπερ ὀφείλομεν καρτερεῖν καὶ βαστάζειν ἐκ παντὸς τρόπου.

### Ὅτι δεῖ ἐν παντὶ εὐχαριστεῖν.

Η. Ὁμοίως καὶ περὶ τοῦ ὀγδόου, ἤτοι τοῦ ἐν παντὶ εὐχαριστεῖν σε, ἔστω ἱκανὸς ὑφηγητής, ὁ θεῖος Ἀπόστολος Παῦλος προστάσσων, ἐν παντὶ εὐχαριστεῖτε. καὶ ὁ ὅσιος Ἰσαάκ, ἡ εὐχαριστία τοῦ λαμβάνοντος, ἐρεθίζει τὸν διδόντα, τοῦ δοῦναι δωρήματα μείζονα τῶν προτέρων. ὁ μὴ εὐχαριστῶν ἐπὶ τοῖς μικροτέροις, καὶ ἐπὶ τοῖς μείζοσι, ψεύστης ἐστὶ καὶ ἄδικος· καὶ ὁ ὁδηγῶν τὰ χαρίσματα τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον, καρδία ἐστὶ κινουμένη, πρὸς εὐχαριστίαν ἀδιάλειπτον. ὁ ὁδηγῶν τὸν πειρασμὸν πρὸς τὴν ψυχήν, ἡ ἔννοιά ἐστι τοῦ γογγυσμοῦ, ἡ κινουμένη ἀεὶ ἐν τῇ καρδίᾳ· καὶ στόμα διαπαντὸς εὐχαριστοῦν, εὐλογίαν δέχεται παρὰ τοῦ Θεοῦ. καὶ καρδία διαμένουσα ἐν εὐχαριστίᾳ, ἐμπίπτει ἐν αὐτῇ ἡ χάρις.

### Ὅτι δεῖ γινώσκειν τὴν ἰδίαν ἀσθένειαν.

Θ. Ἡλίκον μέντοι τὸ κέρδος συλλέγεται τῷ πεφθακότι γνῶναι τὴν ἑαυτοῦ ἀσθένειαν· ὃ καὶ ἔνατον τῷ ἀριθμῷ πέφυκε. προσχὼν τῷ ἕκτῳ ψαλμῷ τοῦ θείου Δαβὶδ μαθήσῃ· ἐν οἷς φησίν· ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι· καὶ ἀλλαχοῦ, ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος· ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα λαοῦ. καὶ ὁ Ἅγιος Ἰσαάκ· μακάριος ἄνθρωπος, ὁ γινώσκων τὴν ἑαυτοῦ ἀσθένειαν· διότι αὕτη ἡ γνῶσις, γίνεται αὐτῷ θεμέλιος, καὶ ῥίζα, καὶ ἀρχὴ πάσης ἀγαθωσύνης. ὅταν γὰρ μάθῃ τις, καὶ ἐν ἀληθείᾳ αἰσθηθῇ τῆς ἑαυτοῦ ἀσθενείας, τηνικαῦτα περισφίγγει τὴν ἑαυτοῦ ψυχὴν ἀπὸ τῆς χαυνότητος τῆς ἀμαυρούσης τὴν γνῶσιν· καὶ θησαυρίζει ἑαυτῷ, παραφυλακήν. καί, ὁ ἄνθρωπος ὁ φθάσας γνῶναι τὸ μέτρον τῆς ἀσθενείας αὐτοῦ, οὗτος ἔφθασε τὸ τέλειον τῆς ταπεινώσεως.

### Ὅτι δεῖ γενναίως φέρειν τοὺς πειρασμούς.

Ι. Τὸ ὑπόλοιπον δὲ τοῦ λόγου κεφάλαιον, ὃ καὶ τὸν ἐκτεθέντα ἡμῖν εἰς δέκατον ἀριθμὸν συμπληροῖ, καθέστηκε, τὸ γενναίως φέρειν καὶ ἀνθίστασθαι μετὰ ὑπομονῆς καὶ μακροθυμίας, πρὸς τοὺς μέλλοντας ἐπισυμβαίνειν σοι διαφόρους, καὶ πολυειδεῖς πειρασμούς. ἄκουσον τοίνυν οἷα καὶ περὶ τούτου, τῇ ἱερᾷ γραφῇ ἀναγράπτα πολλά· καὶ γοῦν λέγει ὁ χριστοφόρος Παῦλος· ἀδελφοί, οὐκ ἔστιν ἡμῖν ἡ πάλη, πρὸς αἷμα, καὶ σάρκα· ἀλλὰ πρὸς τὰς ἀρχάς· πρὸς τὰς ἐξουσίας· πρὸς τοὺς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου· πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. καὶ, εἰ ἐκτός ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες· ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί. καὶ, ὃν ἀγαπᾷ Κύριος παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. καὶ ὁ Ἀδελφόθεος· ἀνὴρ ἀπείραστος ἀδόκιμος. καὶ ὁ Ἅγιος Ἠλίας ὁ ἔκδικος· ἔξεστι παντὶ Χριστιανῷ, τῷ ὀρθῶς πιστεύοντι εἰς Θεὸν, μὴ ἀμεριμνεῖν, ἀλλὰ πάντοτε προσδοκᾷν καὶ ἐκδέχεσθαι πειρασμόν· ἵνα ὅταν ἔλθῃ, μὴ ξενίζηται, μηδὲ ταράττηται· ἀλλ' εὐχαρίστως ὑπομένειν τὸν κόπον τῆς θλίψεως, καὶ ἐννοεῖν, τί ψάλλων σὺν τῷ Προφήτῃ λέγει· δοκίμασόν με Κύριε, καὶ πείρασόν με· καὶ οὐκ εἶπεν· ὅτι ἡ παιδεία σου κατέστρεψέ με, ἀλλ' ἀνώρθωσέ με εἰς τέλος. μήτε μὴν ζήτει τὰς τῶν πειρασμῶν αἰτίας, ὅθεν ἐπέρχονται, ἀλλὰ μόνον εὔχου τῷ Θεῷ, εὐχαρίστως φέρειν αὐτούς. ὡς λέγει ὁ Ἅγιος Μάρκος· „ὅτι πειρασμοῦ ἐπελθόντος, μὴ ζήτει διὰ τί, ἢ διὰ τίνος ἐλήλυθεν; ἀλλ' ὅπως αὐτὸν εὐχαρίστως, καὶ ἀμνησικάκως ὑπομείνῃς. καὶ πάλιν· εἰ οὐκ ἔστι ῥαδίως εὑρεῖν, τὸν ἐκτὸς πειρασμῶν εὐαρεστήσαντα, εὐχαριστεῖν δεῖ τῷ Θεῷ ἐπὶ πάσῃ συμβάσει. καὶ πᾶσα θλίψις ἐλέγχει τὴν ῥοπὴν τοῦ θελήματος, εἴτε εἰς δεξιὰ ῥέπει, εἴτε εἰς ἀριστερά. διὰ τοῦτο ἡ συμβᾶσα θλίψις, πειρασμὸς ὀνομάζεται, τῷ μετόχῳ πεῖραν τῶν κεκρυμμένων θελημάτων παρέχουσα. καὶ ὁ Ἅγιος Ἰσαὰκ δὲ, σὺν πολλοῖς ἄλλοις καὶ ταῦτά φησι· πάντα ἄνθρωπον ὠφελεῖ ὁ πειρασμός. ἐὰν γὰρ τὸν Παῦλον ὠφελῇ, πᾶν στόμα φραγήσεται. καὶ ὑπόδικος γενέσθω πᾶς ὁ κόσμος τῷ Θεῷ. οἱ ἀγωνισταὶ πειράζονται, ἵνα προσθήσωσι τῷ πλούτῳ αὐτῶν. οἱ χαῦνοι, ἵνα ἐκ τῶν βλαπτόντων φυλάξωνται ἑαυτούς. καὶ οἱ ὑπνώττοντες, ἵνα εἰς ἐξυπνισμὸν διεγερθῶσι. καὶ οἱ μακρὰν ὄντες, ἵνα προσεγγίσωσι τῷ Θεῷ. οἱ δὲ οἰκεῖοι, ἵνα ἐν παρρησίᾳ εἰσοικισθῶσι. πᾶς υἱὸς ἀγύμναστος, οὐ δέχεται τὸν πλοῦτον τοῦ οἴκου τοῦ Πατρὸς αὐτοῦ, εἰς τὸ βοηθεῖσθαι ὑπ' αὐτοῦ. καὶ διὰ τοῦτο λοιπὸν, πρῶτον πειράζει ὁ Θεὸς, καὶ βασανίζει, εἶτα δεικνύει τὸ χάρισμα. δόξα τῷ δεσπότῃ τῷ ἐν φαρμάκοις στρυφνοῖς, τὴν τρυφὴν τῆς ὑγιείας ἡμῖν προσάγοντι. οὐκ ἔστιν ὅς τις ἐν τῷ καιρῷ τῆς γυμνασίας μὴ ἄχθεται. καὶ οὐκ ἔστι τίς, ᾧ οὐ πικρὸς ὁ καιρὸς, ἐν ᾧ τὸν ἰὸν ποτίζεται τῶν πειρασμῶν, καταφαίνεται. „χωρὶς γὰρ τούτων, οὐ δυνατὸν κρᾶσιν προσκτήσασθαι ἰσχυράν· καὶ, τὸ ὑπομεῖναι δὲ, οὐχ ἡμῶν ἐστί. πόθεν γὰρ ἔχει τὸ κεράμιον τὸ ἀπὸ πηλοῦ, ὑπομεῖναι τὴν ῥύσιν τοῦ ὕδατος, εἰ μὴ τὸ πῦρ τὸ θεϊκὸν, αὐτὸ στερεώσειεν; ἐὰν ὑποταγῶμεν αἰτούμενοι ἐν ταπεινώσει μετ' ἐφέσεως ἀδιαλείπτως, καὶ ἡμεῖς ἐν καρτερίᾳ πάντα λαμβάνομεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. εἴρηται δὲ καὶ ἐν τῇ σοφίᾳ τοῦ Σειράχ· τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ τῷ Θεῷ σου, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· καὶ εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον·“ καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς.

## Ὅτι δεῖ πρὸς Θεὸν ἐλπίζειν, καὶ παρ' αὐτοῦ τὸ συμφέρον ἐκδέχεσθαι.

„Τὴν τῆς ἐλπίδος ἄγκυραν, πρὸς τὸν σώζειν δυνάμενον Θεὸν, ἀναρτῶν, καὶ παρ' αὐτοῦ τὴν τῶν πειρασμῶν ἔκβασιν συμφερόντως ἀπεκδεχόμενος. πιστὸς γάρ φησιν, ὁ Θεὸς, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι, ὑπὲρ ὃ δυνάμεθα· ἀλλὰ σὺν τῷ πειρασμῷ ποιήσει καὶ τὴν ἔκβασιν. καὶ, ὅτι ἡ θλί-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

,, ψις, ὑπομονὴν κατεργάζεται· ἡ δὲ
,, ὑπομονὴ, δοκιμήν· ἡ δὲ δοκιμὴ, ἐλ-
,, πίδα· ἡ δὲ ἐλπὶς, οὐ καταισχύνει.
,, καὶ, ὁ ὑπομείνας εἰς τέλος, οὗτος σω-
,, θήσεται. καὶ, ἐν τῇ ὑπομονῇ ὑμῶν
,, κτήσασθε τὰς ψυχὰς ὑμῶν. καὶ ὁ Ἀδελ-
,, φόθεος δὲ, οὕτω φησί· πᾶσαν χαρὰν
,, ἡγήσασθε ἀδελφοί μου, ὅταν πειρασ-
,, μοῖς περιπέσητε ποικίλοις· γινώσκον-
,, τες, ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πί-
,, στεως, κατεργάζεται ὑπομονήν· ἡ δὲ
,, ὑπομονὴ, ἔργον τέλειον ἐχέτω· ἵνα
,, ἦτε τέλειοι, καὶ ὁλόκληροι, ἐν μηδενὶ
,, λειπόμενοι. καὶ, μακάριος ἄνθρωπος,
,, ὃς ὑπομένει πειρασμόν· ὅτι δόκιμος
,, γενόμενος, λήψεται τὸν στέφανον τῆς
,, ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος
,, τοῖς ἀγαπῶσιν αὐτόν. καὶ, οὐκ ἄξια
,, τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς
,, τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι
,, εἰς ἡμᾶς. καὶ, ὑπομένων ὑπέμεινα
,, τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰ-
,, σήκουσε τῆς δεήσεώς μου· καὶ ἀνήγαγέ με
,, ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πη-
,, λοῦ ἰλύος· καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς
,, πόδας μου, καὶ κατεύθυνε τὰ διαβή-
,, ματά μου· καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου
,, ᾆσμα καινὸν, ὕμνον τῷ Θεῷ ἡμῶν.
,, γράφει δὲ καὶ ὁ Μακάριος Συμεὼν ὁ
,, μεταφραστής· ψυχὴ δεσμοῖς ἁλοῦσα
,, τοῦ πρὸς Θεὸν ἔρωτος, οὐδὲν ἡγεῖται
,, τὸ πάσχειν, ἀλλὰ τοῖς ἀλγεινοῖς ἐν-
,, τρυφᾷ, καὶ θάλλει κακοπαθείᾳ· καὶ
,, ὅταν οὐδὲν ὑπὲρ τοῦ ἐρωμένου πάσχει
,, τῶν λυπηρῶν, τότε πάσχειν ἡγεῖται
,, μᾶλλον· καὶ ὡς κόλασιν τὴν ἄνεσιν
,, διαφεύγει.

### Περὶ φόβου Θεοῦ, ὅτι διπλοῦς· ὁ μὲν τῶν ἀρχαρίων· ὁ δὲ τῶν τελείων.

ιζ'. Οὐκ ὀκνητέον δὲ πάλιν διαμνημονεῦσαι, καὶ περὶ τοῦ κατὰ Θεὸν διπλοῦ φόβου, εἰ καί πως διέλαθε τὸ δόξαν ἡμῖν, μετὰ τὸ τέλος τῆς σημειωθείσης ἡμῖν δεκάδος τῶν εἰρημένων κεφαλαίων, μνησθῆναι περὶ τοῦ τελείου φόβου, τὴν τάξιν τοῦ πρώτου φόβου παρεσαλεύσαμεν. μετὰ τὴν πίστιν, ὁ φόβος τοῖς θείοις πατράσι τέτακται.

### Περὶ τοῦ πρώτου φόβου· * ἤτοι τῶν ἀρχαρίων.

* ἴσ. οἷον

Ἴσθι τοίνυν φίλτατε, ὅτι ὁ φόβος ὁ κατὰ Θεὸν, διπλοῦς ἐστιν, ὁ μὲν, τῶν ἀρχαρίων· ὁ δὲ, τῶν τελείων. καὶ περὶ μὲν τοῦ πρώτου οὕτω γέγραπται· ἀρχὴ σοφίας, φόβος Κυρίου. ,, καὶ, δεῦτε
,, τέκνα ἀκούσατέ μου, φόβον Κυρίου δι-
,, δάξω ὑμᾶς· καὶ, ὅτι τῷ φόβῳ Κυ-
,, ρίου, ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. καὶ,
,, ὁ φόβος, ἐντολῶν τήρησις. λέγει δὲ
,, καὶ ὁ ὅσιος Ἰσαάκ· ὁ φόβος τοῦ Θεοῦ,
,, ἀρχή ἐστι τῆς ἀρετῆς. λέγεται δὲ εἶναι
,, γέννημα τῆς πίστεως· καὶ σπείρεται ἐν
,, καρδίᾳ, ὅταν ἀποχωρισθῇ ἡ διά-
,, νοια, ἐκ τοῦ περισπασμοῦ τοῦ κόσμου,
,, τοῦ συνάξαι τὰς κινήσεις αὐτῆς τὰς ῥεμ-
,, βομένας ἐκ τοῦ μετεωρισμοῦ, ἐν τῇ
,, ἀδολεσχίᾳ τῆς μελλούσης ἀποκαταστά-
,, σεως. καὶ, ἀρχὴ τῆς ἀληθινῆς ζωῆς
,, τοῦ ἀνθρώπου, ὁ φόβος τοῦ Θεοῦ· καὶ
,, οὗτος σὺν μετεωρισμῷ τινῶν ἐν τῇ
,, ψυχῇ διαμένειν οὐ πείθεται. καὶ,
,, σοφίσθητι τοῦ θεῖναι θεμέλιον ἐν τῇ
,, ὁδοιπορίᾳ σου τὸν φόβον τοῦ Θεοῦ· καὶ
,, ἐν ὀλίγαις ἡμέραις ἀποκαθίστασαι ἐν
,, τῇ πύλῃ τῆς βασιλείας, χωρὶς κυ-
,, κλώσεως ὁδοῦ.

### Περὶ τοῦ β'. καὶ τελείου θείου φόβου.

Περὶ δὲ τοῦ δευτέρου, ἤτοι τοῦ τελείου θείου φόβου, οὕτως εἴρηται· ,, Μακάριος
,, ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς
,, ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. καὶ,
,, μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύ-
,, ριον· οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐ-
,, τοῦ. καὶ, φοβήθητε τὸν Κύριον, πάν-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

„τες οἱ Ἅγιοι αὐτοῦ· ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. καί, ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος, ὁ φοβούμενος τὸν Κύριον. καί, ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος. γράφει δὲ καὶ ὁ Ἅγιος Πέτρος ὁ Δαμασκηνός· σημεῖον τοῦ πρώτου φόβου, τὸ μισεῖν, καὶ ὀργίζεσθαι τὴν ἁμαρτίαν, ὡς ὁ πληγεὶς ὑπὸ θηρός· τοῦ δὲ τελείου, τὸ ἀγαπᾷν τὴν ἀρετήν, καὶ φοβεῖσθαι τὴν τροπήν. καὶ ὅτι οὐδεὶς ἀναλλοίωτος· καὶ ἐπὶ παντὸς πράγματος ἐν τῷ βίῳ τούτῳ, ὀφείλομεν ἀεὶ τὴν πτῶσιν φοβεῖσθαι. ὅθεν, καὶ αὐτὸς ταῦτα συνετῶς ἀκροώμενος, σπούδασον μετὰ τῶν προειρημένων πάντων, καὶ τὸν πρῶτον ἀρτίως φόβον, παρὰ σεαυτῷ κατέχειν ἀδιαλείπτως. οὗτος γὰρ θησαυροφυλάκιον πέφυκεν ἀσφαλέστατον πάσης ἀγαθῆς πράξεως. οὕτω γὰρ ἔχων, κατευθυνόμενα ἕξεις τὰ διαβήματά σου, πρὸς τὴν ἐργασίαν πασῶν τῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐντολῶν· ὁδῷ δὲ προβαίνων, προσκτήσῃ καὶ τὸν τέλειον, καὶ ἁγνὸν φόβον, τῷ πόθῳ τῶν ἀρετῶν, καὶ τῷ ἐλέει τοῦ ἀγαθοῦ Θεοῦ ἡμῶν.

### Ὅτι χάριν τῶν ἐντολῶν, καὶ τῆς κατ᾽ αὐτὰς πίστεως τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· καιροῦ καλοῦντος· ὀφείλομεν μηδ᾽ αὐτῆς τῆς ζωῆς ἡμῶν φείσασθαι.

ιθ. Πρὸς δὲ τοῖς εἰρημένοις, δέοι καὶ τοῦτο εἰδέναι σε. ὅτι περ, χάριν τῶν ζωοπαρόχων ἐντολῶν, καὶ τῆς κατ᾽ αὐτὰς πίστεως τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, ὀφείλομεν· καιροῦ καλοῦντος· καὶ αὐτὴν τὴν ψυχὴν ἀπολέσαι ἀσμένως· ἤτοι μηδ᾽ αὐτῆς φείσασθαι τῆς ζωῆς ἡμῶν. ὡς περ „εἰ τοῦτο αὐτὸς ὁ Κύριος Ἰησοῦς Χριστὸς φησίν, ὅτι ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, καὶ τοῦ Εὐαγγελίου, οὗτος σώσει αὐτήν. ἀναμφιβόλως πιστεύων, καὶ μὴ διακρινόμενος, ὅτι καὶ ἀνάστασις, καὶ ζωή, καὶ πᾶν ὅ,τι σωτήριον, αὐτός ἐστιν ὁ Θεάνθρωπος Ἰησοῦς ὁ Σωτήρ, ὡς αὐτὸς εἴρηκεν, ὅτι „ἐγώ εἰμι ἡ ἀνάστασις, καὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται· καί, πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. καί, οὕτως, ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτόν, μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. καί, ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. οὕτως οὖν ἔχων, ἀεί τε τῶν ὄπισθεν ἐπιλανθανόμενος, καὶ τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος, ὡς εἴρηται, τρέχε, σὺν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν ἀμεταστρεπτὶ τὸν σὸν δρόμον, ἐπωσί. καλὸν δέ, ὡς ἡμῖν δοκεῖ, καὶ μάλα πρόσφορον, πρότερον ἐκθέσθαι τοῦ μακαριωτάτου Νικηφόρου τοῦ πάνυ, περὶ τῆς ἔνδον καρδίας δι᾽ εἰσπνοῆς ῥινὸς εἰσόδου φυσικήν τινα μέθοδον, συντείνουσάν πως καὶ πρὸς τὴν τῆς διανοίας ἐπισυναγωγήν· ἵν᾽ οὕτως καθ᾽ εἱρμόν, σὺν Θεῷ, ἡ παροῦσα πραγματεία προβῇ εὐθετῶς· λέγει τοίνυν ὁ θεῖος ἐκεῖνος ἀνήρ, σὺν πολλοῖς ἄλλοις, τὸ κῦρος παρ᾽ ἀναγράπτων μαρτυριῶν τῶν Ἁγίων, ἔχουσι, καὶ τάδε.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Μέθοδος φυσικὴ περὶ τῆς ἔνδον καρδίας δι' εἰσπνοῆς ῥινὸς εἰσοδεύσεως, καὶ τῆς μετ' αὐτῆς ἐνεργουμένης παρ' ἡμῶν προσευχῆς· ἥτις ἐστὶ, τὸ, Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με. συντείνει δέ πως ἡ τοιαύτη μέθοδος, καὶ πρὸς τὴν τῆς διανοίας ἐπισυναγωγήν.

ιθ'. „ Οἶδας ἀδελφὲ, ὅτι ἡ πνοὴ, ἣν ἀναπνέομεν, ὁ ἀὴρ οὗτός ἐστιν· ἐμπνέομεν δὲ αὐτὸν, οὐ δι' ἕτερόν τι, ἀλλ' ἢ διὰ τὴν καρδίαν. αὕτη γάρ ἐστιν ἡ τῆς ζωῆς παραίτιος, καὶ τῆς θέρμης τῷ σώματι. ἐπισπᾶται τοίνυν ἡ καρδία τὸ πνεῦμα· ἵνα τὸ μὲν ἑαυτῆς θερμὸν, ἔξωθεν διὰ τῆς ἐκπνοῆς διωθήσῃ, ἑαυτῇ δὲ εὐκρασίαν παρέξῃ· παραίτιος δὲ τῆς τοιαύτης οἰκονομίας, ἢ μᾶλλον ὑπουργὸς, ὁ πνεύμων ἐστίν· ὃς ἀραιὸς ὑπὸ τοῦ δημιουργοῦ κτισθεὶς, οἷά τις φυσητὴρ, ἀλύπως εἰσάγει, καὶ ἐξάγει τὸ περιέχον. οὕτως οὖν ἡ καρδία, τὸ μὲν ψυχρὸν ἕλκουσα τοῦ πνεύματος· τὸ δὲ θερμὸν διωθοῦσα, τὴν τάξιν δηλονότι δι' ἣν ᾠκονομήθη πρὸς τὴν τοῦ ζώου σύστασιν, ἀπαραβάτως διατηρεῖ. σὺ οὖν καθίσας ἐν κελλίῳ ἡσύχῳ, καὶ συναγαγών σου τὸν νοῦν, εἰσάγαγε αὐτὸν, τὸν νοῦν δηλαδὴ, εἰς τὴν τῆς ῥινὸς ὁδὸν, ἔνθα τὸ πνεῦμα εἰς τὴν καρδίαν εἰσέρχεται· καὶ ὤθησαι αὐτὸν, καὶ παραβίασαι συγκατελθεῖν μετὰ τοῦ εἰσπνεομένου Πνεύματος εἰς τὴν καρδίαν. εἰσελθόντος δὲ αὐτοῦ ἐκεῖσε, οὐκ ἔτι ἀνεύφραντα, οὐδὲ ἄχαρι, γενήσεταί σοι τὰ μετὰ ταῦτα· ἀλλ' ὥσπερ ἀνήρ τις τοῦ ἑαυτοῦ οἴκου ἀπόδημος, ἐπὰν ἐπιστρέψῃ, οὐκ ἔχει ὅ, τι καὶ γένηται ἀπὸ τῆς χαρᾶς, ὅτι κατηξιώθη τοῖς τέκνοις, καὶ τῇ γυναικὶ ἐντυχεῖν· οὕτω καὶ ὁ νοῦς, ἐπὰν μετὰ τῆς ψυχῆς ἑνωθῇ, ἀρρήτου ἡδονῆς καὶ εὐφροσύνης ἐμπίπλαται. τοίνυν ἀδελφὲ, συνείθισον τὸν νοῦν, τοῦ μὴ ταχέως ἐκεῖθεν ἐξέρχεσθαι. πάνυ γὰρ ἐν ταῖς ἀρχαῖς καταῤῥᾳθυμεῖ, ἐκ τῆς ἄγαν ἔνδον συγκλείσεως, καὶ στενώσεως· ἐπὰν δὲ συνήθης γένηται, οὐκ ἔτι στέργει ταῖς ἔξωθεν περιφοραῖς. ἡ γὰρ βασιλεία τῶν οὐρανῶν, ἐντὸς ἡμῶν ἐστιν· ἣν τῷ ἐκεῖσε περισκοποῦντι, καὶ διὰ καθαρᾶς προσευχῆς ταύτην ἐπιζητοῦντι, τὰ ἔξω πάντα, στυγητὰ δοκοῦσι, καὶ μισητὰ· καὶ μετὰ βραχέα. χρὴ δέ σε καὶ τοῦτο μαθεῖν, ὡς ἐκεῖσε τοῦ νοός σου τυγχάνοντος, οὐ σιωπᾷν, καὶ ἀργὸν ἵστασθαι ἔκποτε ὀφείλεις ἐᾶν αὐτόν· ἀλλὰ δός αὐτῷ, τὸ, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με, ἔργον ἔχειν, καὶ μελέτην ἄπαυστον· καὶ μηδέποτε ἐκ τούτου παυέσθω. τοῦτο γὰρ ἀμετεώριστον συνέχον τὸν νοῦν, ἀχείρωτον δεικνύει αὐτὸν καὶ ἄψαυστον, ταῖς προσβολαῖς τοῦ ἐχθροῦ, καὶ εἰς ἀγάπην καὶ πόθον θεῖον, τὸ καθημέραν ἀνάγει. καὶ ταῦτα μὲν ὁ μακαρίτης οὗτος Πατὴρ, σκοπὸν ἔχων προηγούμενον, ἵνα πως ἐνεργουμένης τῆς φυσικῆς ταυτησὶ μεθόδου, ἐπανέλθῃ ὁ νοῦς ἐκ τῆς συνήθους περιφορᾶς, καὶ αἰχμαλωσίας, καὶ τοῦ ῥεμβασμοῦ, πρὸς προσοχὴν· καὶ διὰ τῆς προσοχῆς, ἐπανασυστρέψῃ πρὸς ἑαυτὸν, καὶ οὕτω τῇ προσευχῇ ἑνωθῇ. καὶ ἵνα ἔκποτε κατέρχηται εἰς τὴν καρδίαν, μετ' αὐτῆς δηλονότι τῆς προσευχῆς, καὶ παραμένῃ ἀεὶ ἐν αὐτῇ, καθά καί τις ἕτερος τῶν Θεοσόφων ὡσανεὶ ἐπεξηγούμενος τὴν προεκτεθεῖσαν χρῆσιν, ὡς ἐν πείρᾳ τῆς τοιαύτης ἱερᾶς ἐργασίας πεφυκὼς τάδε διαγορεύει.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Περὶ τῆς δι' εἰσπνοῆς ῥινὸς φυσικῆς μεθόδου, καὶ τῆς σὺν αὐτῇ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἐπικλήσεως.

κ'. Δέον καὶ τοῦτο τῷ φιλομαθεῖ κατάδηλον ποιῆσαι· ὅτι, ἐάνπερ τὸν νοῦν ἡμῶν ἐν τῇ εἰσόδῳ τοῦ πνεύματος συγκατέρχεσθαι αὐτῷ ἐκπαιδεύσωμεν, τηνικαῦτα μάθοιμεν ἂν ἀκριβῶς, ὅτι κατερχόμενος ὁ νοῦς, οὐ πρότερον τούτου * ἀπέρχεται, πρὶν ἄν, πάντα λογισμὸν παραιτήσηται, καὶ ἑνιαῖος, καὶ γυμνὸς γένηται· οὐδεμιᾶς ἑτέρας μνήμης περιδεδραγμένος, ἢ τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπικλήσεως. πάλιν δὲ ἐκεῖθεν ἀναχωρῶν, καὶ εἰς τὰ ἔξω ἐρχόμενος, ἐπὶ τὴν πολύχουν μνήμην, καὶ ἄκων μερίζεται.

* ἴσ. ἀπάρχεται

Ὅτι καὶ ὁ θεῖος Χρυσόστομος, ὡς καὶ ἕτεροι τῶν πάλαι ἁγίων πατέρων, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν προσεύχεσθαι διορίζεται· καὶ ἔνδον καρδίας· καὶ ταύτην φησὶ προσευχήν, τό, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με.

κα'. „ Λέγει δὲ καὶ ὁ Μέγας Χρυσόστομος· παρακαλῶ ὑμᾶς ἀδελφοί, τὸν κανόνα τῆς προσευχῆς μηδέποτε καταπατήσητε, ἢ καταφρονήσητε. καὶ μετὰ μικρόν· ὀφείλει ὁ μονάζων, εἴτε ἐσθίει, εἴτε πίνει, εἴτε καθέζεται, εἴτε διακονεῖ, εἴτε ὁδεύει, εἴτε τι ἕτερον ποιεῖ, ἀδιαλείπτως κράζειν τό, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με· καὶ μετ' ὀλίγον· ἵνα τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ κατερχόμενον εἰς τὸ βάθος τῆς καρδίας, τὸν μὲν δράκοντα τὸν κρατοῦντα τὰς νομάς, ταπεινώσῃ· τὴν δὲ ψυχὴν σώσῃ καὶ ζωοποιήσῃ. ἀδιαλείπτως τοίνυν παράμενον τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, ἵνα καταπίῃ ἡ καρδίαν τὸν Κύριον, καὶ ὁ Κύριος τὴν καρδίαν, καὶ γένωνται τὰ δύο εἰς ἕν. καὶ αὖθις· μὴ χωρίζετε τὴν καρδίαν ὑμῶν ἀπὸ τοῦ Θεοῦ, ἀλλὰ προσμένετε, καὶ φυλάσσετε αὐτήν, μετὰ τῆς μνήμης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε· ἕως οὗ ἐμφυτευθῇ τὸ ὄνομα τοῦ Κυρίου ἔσω ἐν τῇ καρδίᾳ, καὶ μηδὲν ἕτερον ἐννοῇ, ἵνα μεγαλυνθῇ Χριστὸς ἐν ὑμῖν.

Ἔτι περὶ τῆς δι' εἰσπνοῆς ῥινὸς μετὰ προσοχῆς ἔνδον καρδίας μνήμης τοῦ Ἰησοῦ.

κβ'. „ Γράφει δὲ καὶ ὁ τῆς Κλίμακος· Ἰησοῦ μνήμη κολληθήτω τῇ πνοῇ σου, καὶ τότε γνώσῃ ἡσυχίας ὠφέλειαν. καὶ ὁ ἅγιος Ἡσύχιος· εἰ ἀληθῶς ἄρα περιβαλεῖν αἰσχύνῃ τοῖς λογισμοῖς θέλεις, καὶ ἡσυχάζειν ἀμεριμνῶς, καὶ νήφειν τῇ καρδίᾳ μετὰ εὐκολίας, Ἰησοῦ εὐχή, κολληθήτω τῇ σῇ πνοῇ· καὶ ἐν ὀλίγαις ἡμέραις, γινόμενον ὄψει τοῦτο.

Ὅτι δεῖ τὸν νοερῶς νήφειν ἐθέλοντα, καὶ μᾶλλον τὸν ἀρχάριον, καθῆσθαι κατά γε τὸν καιρὸν τῆς προσευχῆς, ἐν ἡσύχῳ, καὶ ἀφεγγεῖ οἰκίσκῳ, διὰ τό, οὕτως τόν τε νοῦν, καὶ τὴν διάνοιάν πως ἀπὸ μέρους συνάγεσθαι φυσικῶς.

κγ'. Ὅθεν σὺν τοῖς δηλωθεῖσιν, ὡς ἄνωθεν οὖσι, καὶ ἐκ πατέρων ἁγίων μεγάλων προτεθεσπισμένοις, κατὰ τὰς ἐξαπλωθείσας ἡμῖν μαρτυρίας, περὶ τοῦ, δι' εἰσπνοῆς ῥινός, καὶ ἔνδον καρδίας, ἔν τε τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ τῷ Υἱῷ τοῦ Θεοῦ, καὶ ἐν τῷ αὐτοῦ ἁγίῳ, καὶ σωτηρίῳ ὀνόματι προσεύχεσθαι, καὶ μελετᾶν, καὶ νήφειν, καὶ παρ' αὐτοῦ ἐκζητεῖν ἡμᾶς τὸ ἔλεος. πρόσεστι δὲ καὶ τοῦτο, τό,

ἐν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐν ἡσύχῳ, καὶ ἀεὶ μέν, μάλιστα δὲ κατὰ τὸν ἀποτεταγμένον καιρὸν τῆς προσευχῆς, καὶ μόνῳ καὶ ἐν ἀφεγγεῖ γωνίᾳ, καθῆσθαι τὸν νοερῶς ἐν καρδίᾳ εὔχεσθαι ἐπιμελούμενον. καὶ μᾶλλον τὸν ἀρχάριον, ὡς οἱ ἐν πείρᾳ ὄντες τῆς τοιαύτης παμμακαρίστου ἐργασίας, θεῖοι πατέρες καὶ διδάσκαλοι, μυσταγωγοῦσί τε καὶ διακελεύονται. ἐπείπερ ἡ τῶν ὀφθαλμῶν βλέψις, καὶ ὅρασις, πρὸς τὰ ὁρώμενα, καὶ βλεπόμενα, σκεδάννυσθαι φυσικῶς καὶ διαμερίζεσθαι, τὴν διάνοιαν, πεφύκασι πρόξενοι. καὶ μέντοι τοῦ σκύλλεσθαι, καὶ ποικίλλεσθαι· ταύτης δὲ συγκλεισθείσης, ὡς λέλεκται, ἐν ἡσύχῳ, καὶ σκοτεινῷ δωματίῳ, αὐτή τε τοῦ μερισμοῦ, καὶ τοῦ, ὅσον ἐκ τῆς ὁράσεως καὶ βλέψεως ποικίλλεσθαι, παύεται· καὶ οὕτω γοῦν καὶ ὁ νοῦς ἑκὼν ἄκων ἀπὸ μέρους γαληνιάζει, καὶ πρὸς ἑαυτὸν εἴωθε συνάγεσθαι, ὥς φησιν ὁ Μέγας Βασίλειος· νοῦς μὴ σκεδαννύμενος ἐπὶ τὰ ἔξω, μηδὲ ὑπὸ τῶν αἰσθητηρίων ἐπὶ τὸν κόσμον διαχεόμενος, ἐπάνεισι πρὸς ἑαυτόν.

Ὅτι πρό γε πάντων διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς τοῦ Ἁγίου αὐτοῦ ὀνόματος μετὰ πίστεως ἐν καρδίᾳ ἐπικλήσεως τὸ ἀρρέμβαστον τῷ νοῒ ἐπιχορηγεῖται· συνεργεῖ δέ πως καὶ ἡ ἐν καρδίᾳ διὰ εἰσπνοῆς ῥινὸς φυσικὴ μέθοδος, καὶ ἡ ἐν ἡσύχῳ, καὶ ἀφεγγεῖ χώρῳ καθέδρα, καὶ τὰ παρόμοια.

κδ. Καὶ πρό γε τούτων· μᾶλλον δὲ πρὸ πάντων, τὸ τοιοῦτον τῷ νῷ κατορθοῦται ἀγώνισμα, τῇ συνάρσει τῆς θείας χάριτος, τῇ ἐκ τῆς μονολογίστου καρδιακῆς καθαρᾶς καὶ ἀρρεμβάστου ἐπικλήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν πίστει ἐπιγινομένῃ, ἀλλ' οὐ ψιλῇ μόνῃ τῇ προεκτεθείσῃ φυσικῇ μεθόδῳ, τῇ διὰ εἰσπνοῆς ῥινός, ἢ τῆς ἐν ἡσύχῳ, καὶ σκοτεινῷ χώρῳ καθέδρας· ἄπαγε· τὰ τοιαῦτα γάρ, οὐ δι' ἕτερόν τι τοῖς θείοις πατράσιν ἐπινενόηται, ἀλλ' ἤ, ὡς συνεργά πως ὄντα, πρὸς τὴν τῆς διανοίας ἐπισυναγωγήν, καὶ πρὸς ἑαυτὴν ἐκ τοῦ συνήθους ῥεμβασμοῦ ἐπανόδου τε, καὶ προσοχήν, ὡς προείπομεν· δι' ὧν καὶ τῷ νοῒ τὸ διηνεκῶς, καὶ καθαρῶς, καὶ ἀρρεμβάστως προσεύχεσθαι ἀντιτίκτεται· ὥς φησιν ὁ Ἅγιος Νεῖλος· ὅτι προσοχή, προσευχὴν ζητοῦσα, προσευχὴν εὑρήσει. Προσευχὴ γὰρ τῇ προσοχῇ, εἴ καί τι ἄλλο ἕπεται· ἐφ' ἣν σπουδαστέον. καὶ ταῦτα μὲν ἐς τοσοῦτον· σὺ δὲ τέκνον θέλων ζωήν, καὶ ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς, καὶ ἐν σώματι ὡς ἀσώματος ζῆν, ὑπὸ κανόνα, καὶ στάθμην ζῆθι τοιαύτην.

Ὅπως δεῖ διέρχεσθαι τὸ ἀπὸ τῆς ἑσπέρας ἕως τοῦ ὄρθρου διάστημα τὸν ἡσυχάζοντα· καὶ ἀρχὴ τῆς κατὰ πλάτος διδασκαλίας.

Δύνοντος τοῦ ἡλίου, τὸν ὑπεράγαθον, καὶ παντοδύναμον Κύριον Ἰησοῦν Χριστὸν ἐπικαλεσάμενος εἰς ἐπικουρίαν, κάθισον ἐπὶ σκίμποδος, ἐν κελλίῳ ἡσύχῳ, καὶ ἀφεγγεῖ· καὶ συναγαγὼν τὸν νοῦν ἐκ τῆς ἔξωθεν συνήθους περιφορᾶς, καὶ περιπλανήσεως, καὶ ἔνδον καρδίας ὠθήσας ἠρέμα, διὰ εἰσπνοῆς ῥινός, κράτησον τὴν εὐχήν· ἤγουν, τό, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με· ἅμα δηλονότι τῇ πνοῇ συνεισάγων ἡνωμένως πως καὶ τὰ τῆς προσευχῆς ῥήματα, καθώς φησιν ὁ Ἅγιος Ἡσύχιος· εἰσπνοῇ „σῆς ῥινός, τὴν ψυχὴν ἕνωσον, καὶ Ἰησοῦ „ὄνομα· καὶ μελέτην θανάτου ἀλάθη„τον, καὶ ταπείνωσιν.“ ὠφελεῖν γὰρ οἴδασι τὰ ἀμφότερα· ἔχων μετά γε τῆς εὐχῆς, καὶ τῶν ἄλλων τῶν εἰρημένων σοι, καὶ μνήμην κρίσεώς τε, καὶ ἀνταποδόσεως κε.

ἀγα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀγαθῶν, καὶ φαύλων πράξεων. καὶ ὁλικῶς ἐκ ψυχῆς ἡγούμενος σαυτὸν, ἁπάντων ἀνθρώπων ἁμαρτωλότερον· καὶ δαιμόνων αὐτῶν ἐναγέστερον· κἀντεῦθεν, ὅπως μέλλεις αἰωνίως κολάζεσθαι. ἐν οἷς δ᾽ αὖ λογισμῷ τῶν δηλωθέντων γένηταί σοι κατάνυξις, καὶ πένθος, καὶ δάκρυα, ἐν ἐκείνῳ δῆτα καὶ πρόσμενε, ἕως ἂν μόνα ταῦτα παρέλθωσιν· εἰ δ᾽ ἔτι οὐ κατηξίωσαι τῆς τῶν δακρύων δωρεᾶς, ἀγώνισαι, καὶ εὖξαι ταπεινῷ φρονήματι, ἵνα κτήσῃ ταῦτα· διὰ γὰρ τούτων, τῶν μὲν παθῶν, καὶ μολυσμῶν, καθαιρόμεθα. τῶν δὲ χρηστῶν καὶ σωτηρίων, ἐν μεθέξει γινόμεθα, ὥς φησιν ὁ τῆς Κλίμακος. „ὅτι ὥσπερ τὸ πῦρ ἀναιρετικὸν „καλάμης, οὕτω τὸ δάκρυον τὸ ἁγνὸν, „παντὸς ῥύπου φαινομένου, καὶ νοουμένου. „καὶ ἕτερος Πατήρ· ὁ βουλόμενος ἀποκτήσασθαι κακίας, κλαυθμῷ ἀποκτᾶται αὐτάς· καὶ ὁ βουλόμενος κτήσασθαι „ἀρετὰς, κλαυθμῷ κτᾶται αὐτάς. „καὶ, ἐὰν μὴ ἔχῃς κατάνυξιν, γίνωσκε, „ὅτι κενοδοξίαν ἔχεις.“ αὕτη γὰρ οὐκ ἀφίησι τὴν ψυχὴν κατανυγῆναι. εἰ δὲ οὐκ ἐπέλθοι δάκρυα, κάθισον προσέχων ἐν τούτοις τοῖς λογισμοῖς μετά γε καὶ τῆς εὐχῆς, ὥραν μίαν· εἶθ᾽ οὕτως ἀναστὰς, ψάλλε σὺν προσοχῇ τὸ μικρὸν ἀπόδειπνον· καὶ πάλιν καθίσας, κράτησον τὴν εὐχὴν, ὅση σοι δύναμις, καθαρῶς καὶ ἀρρεμβάστως· δηλαδὴ ἐκτὸς μερίμνης, καὶ λογισμοῦ οἵου δήτινος, καὶ τῆς ὁποιασοῦν φαντασίας, σὺν πολλῇ νηφαλιότητι, ὥρας τὸ ἥμισυ, κατὰ τὸν λέγοντα· χωρὶς πνοῆς, καὶ ζοφῆς, ἔξω τῶν ἄλλων γενοῦ ἐν εὐχῇ, εἰ θέλεις μετὰ μόνου γενέσθαι τοῦ νοῦ. εἶτα σφραγίσας σεαυτὸν τῷ τύπῳ τοῦ τιμίου, καὶ ζωοποιοῦ σταυροῦ· ὁμοίως καὶ τὴν σὴν κλίνην, καὶ ἐπ᾽ αὐτὴν καθίσας, καὶ περὶ τῶν μελλόντων, ἀπολαύσεων, φημὶ, καὶ κολάσεων, εἰς ἔννοιαν ἐλθών· τοῦ τε ῥευστοῦ, καὶ ἀπατηλοῦ τῶν προσκαίρων· ναὶ δὴ καὶ τοῦ αἰφνιδίου καὶ κοινοῦ χρέους, ἤτοι τοῦ θανάτου· καὶ τοῦ μετὰ τὸ τέλος, καὶ πρὸ τοῦ τέλους φρικτοῦ λογοθεσίου· τῶν τε ἐπταισμένων σοι τὸ καθόλου ὡς ἐν συντόμῳ διαμνημονεύσας, καὶ περὶ τούτων τὴν ἄφεσιν θερμῶς αἰτησάμενος, λογοπραγήσας τε σαυτὸν ἠκριβωμένως· ὅπως τὴν παρελθοῦσαν ἡμέραν διῆλθες, ἀναπεσὼν κρατῶν καὶ τὴν εὐχὴν, κατὰ τὸν λέγοντα, Ἰησοῦ μνήμη συγκοιμηθήτω σοι, ὕπνωσον ὥρας πέντε, ἢ ἕξ· μᾶλλον δὲ, κατὰ τὸ τῆς νυκτὸς διάστημα, κοιμήθητι καὶ αὐτὸς τὸ ἀνάλογον.

Ὅπως δεῖ τὸν κατὰ τὸν ὄρθρον διέρχεσθαι καιρὸν, ἄχρι καὶ τῆς πρωΐας.

Ἔξυπνος δὲ γενόμενος, καὶ τὸν Θεὸν κς΄.
δοξολογήσας, καὶ αὖθις εἰς τὴν σὴν ἀντίληψιν τοῦτον ἐπικαλεσάμενος, ἄρξαι τὸ πρῶτον τοῦ πρωϊνοῦ ἔργου· ἤγουν τοῦ εὔχεσθαι ἐν καρδίᾳ ἀρρεμβάστως, καὶ καθαρῶς, ἕως ὥρας μιᾶς· τηνικαῦτα καὶ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον πέφυκέ πως ὁ νοῦς γαλήνιος, καὶ ἀθόρυβος. μέντοι γε καὶ ἐντετάλμεθα, τὰ πρῶτα, καὶ ἐξαίρετα θύειν τῷ Θεῷ· ἤτοι τὴν πρωτόνοιαν ὡς οἷόν τε ἀνατείνειν ἀκλινῶς, διὰ καρδιακῆς καθαρᾶς προσευχῆς, πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. καὶ λέγει ὁ Ἅγιος Νεῖλος· οὗτος προσευχὴν ἐπιτελεῖ, ὁ ἀεὶ τὴν πρωτόνοιαν ἑαυτοῦ πᾶσαν καρποφορῶν τῷ Θεῷ. μετὰ δὴ ταῦτα, ψάλλε τὸ μεσονυκτικόν· εἰ δ᾽ ἀκμὴν ἀπαγὴς ὢν πρὸς τελειοτέραν ἡσυχίαν, διὰ τοῦτο οὐ δύνασαι, ὡς εἴπομεν, ἀπάρξασθαι, ἢ καὶ δι᾽ ἑτέραν ἴσως αἰτίαν, ὡς πολλάκις εἴωθε προσγίνεσθαι, τοῖς ἔτι πρὸς τὴν τοιαύτην ἐργασίαν, ἀρχομένοις, ναὶ μὴν, καί που σπανίως καὶ τοῖς προκόπτουσι, καὶ μήπω πεφθακόσι τὸ τέλειον. οἱ γὰρ τέλειοι πάντα ἰσχύου-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σιν ἐν τῷ ἐνδυναμοῦντι αὐτοὺς Χριστῷ. σὺ δ' οὖν ἀναστὰς ἐκ τοῦ ὕπνου, καὶ ὡς ἔχεις δυνάμεως ἀναλήψας ψάλλε πρῶτον τὸ μεσονυκτικὸν, μετὰ πάσης προσοχῆς, καὶ συνέσεως. εἶθ' οὕτω καθίσας, εὖξαι καθαρῶς καὶ ἀρρεμβάστως ἐν καρδίᾳ, ὡς δεδήλωται, ὥραν μίαν· μᾶλλον δὲ, ὡς ὁ δοτὴρ τῶν ἀγαθῶν παρέξει σοι. φησὶ γὰρ ὁ τῆς Κλίμακος· „ νύκτωρ „ μὲν, τὰ πολλὰ τῇ προσευχῇ δίδου· „ τὰ δὲ βραχέα τῇ ψαλμῳδίᾳ· ἡμέ„ ρας δὲ πάλιν, πρὸς τὴν σὴν παρα„ σκεύαζε δύναμιν. εἰ δὲ καὶ οὕτως ἀ„ γωνισάμενος, ἔτι ὀλιγωρεῖς, καὶ ἀκηδιᾷς, καὶ τὸν νοῦν θολούμενον κέκτησαι ὑπό τινος συμβεβηκότος, ἀναστὰς, διεγέρθητι, ὡς οἶδας, ἐχόμενος τῆς εὐχῆς. εἶτα καθίσας, σπούδασον εὔξασθαι, ὡς προγέγραπται, ἐπιμελούμενος ἀεὶ, ἵνα διὰ προσευχῆς καθαρᾶς, τῷ καθαρῷ ὁμιλῇς Θεῷ. εἶτα διαναστὰς, ψάλλε συνετῶς τὸν ἑξάψαλμον. τὸν ν΄. καὶ κανόνα οἷον βούλει. εἶθ' οὕτω καθίσας, καὶ διαγρηγορῶν, εὖξαι εἰλικρινῶς ὥρας τὸ ἥμισυ. καὶ αὖθις ἀναστὰς ψάλλε τοὺς αἴνους· τὴν συνήθη δοξολογίαν· τὴν πρώτην ὥραν. καὶ μετὰ ταῦτα, ἀπόλυσον. εἰς τοσοῦτον δὲ ὕψος φερέσθω τὰ διὰ τῶν σῶν χειλέων λεγόμενα, ὡς μόνον ὑπάρχειν ἀκουστὰ τοῖς σοῖς ὠσίν· ἐπεὶ, καὶ καρποὺς χειλέων προσφέρειν τῷ Θεῷ ἐντετάλμεθα· ἐξ ὅλης ψυχῆς, καὶ διανοίας εὐχαριστῶν τῷ φιλανθρώπῳ, καὶ κηδεμόνι πανσόφῳ Θεῷ ἡμῶν, τῷ κατὰ τὸ αὐτοῦ ἄπειρον ἔλεος, ἀξιώσαντι ἡμᾶς διελθεῖν ἀσινῶς τὸ τῆς παρελθούσης νυκτὸς πέλαγος, καὶ τὸ τῆς ἐνεστώσης ἡμέρας κατιδεῖν φαιδρὸν στάδιον· καὶ θερμῶς ἀπαύστως ἐκλιπαρῶν, ἵνα περ βραβεύσῃ ἡμῖν διαδραμεῖν ἀκυμάντως, καὶ τὸν τῶν δαιμόνων καὶ παθῶν, ἀσάλευτον καὶ ἄγειον λαίλαπα, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὅπως δεῖ πολιτεύεσθαι ἀπὸ τῆς πρωΐας ἕως τοῦ ἀρίστου.

Αὖθις δὲ ἀπὸ τῆς πρωΐας ἕως τοῦ ἀρίστου, κατὰ τὸ δυνατόν σοι, ὅλος ὅλον ὅλῳ Θεῷ ἀναθεὶς, καὶ τούτῳ ἐν συντετριμμένῃ καρδίᾳ δεξάμενος, συνάπτεσθαί σοι, ἀσθενεῖ, καὶ ῥαθύμῳ, καὶ ἀπροαιρέτῳ τυγχάνοντι, δίελθε ἐν προσευχῇ καθαρᾷ καρδιακῇ, καὶ ἀρρεμβάστῳ· ἐν ἀναγνώσει, ὄρθιος μὲν ἀναγινώσκων τὸ τετυπωμένον σοι ἐκ τοῦ ψαλτηρίου· τοῦ Ἀποστόλου· καὶ τοῦ Ἁγίου Εὐαγγελίου· ὁμοίως ποιῶν καὶ τὰς εὐχὰς, τὰς πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τὰς εἰς τὴν ὑπεράγνον Θεοτόκον· καθήμενος δὲ ἐν ταῖς λοιπαῖς ἀναγνώσεσι τῶν Ἁγίων γραφῶν. μετὰ δὴ ταῦτα, ψάλλε συνεχῶς τὰς συνήθεις ὥρας, αἳ ὑπὸ τῶν τῆς Ἐκκλησίας ἐξοχίμων πάνυ σοφῶς διετυπώθησαν, ὅλῳ μένει ψυχῆς ἀπωθούμενος τὴν ἀργίαν, ὡς πάσης κακίας διδάσκαλον· καὶ μετὰ τῶν παθῶν, καὶ τὰς ἀφορμὰς αὐτῶν, κἂν μικραί τινες εἶναι δοκῶσι, καὶ ἀβλαβεῖς φαίνωνται. κζ΄.

Περὶ παραφυλακῆς ἀπὸ τῆς ἀργίας· καὶ ὅτι ἀναγκαῖον τηρεῖν τὴν Ἐκκλησιαστικὴν παράδοσιν καὶ τὸν ἡσυχάζοντα.

„ Καθὼς λέγει ὁ Ἅγιος Ἰσαάκ· κη΄.
„ παραφυλάττεσθε· ὦ ἀγαπητοί· ἀπὸ
„ τῆς ἀργίας· διότι ἐγκέκρυπται ἐν
„ αὐτῇ, ἐγνωσμένος θάνατος· καθότι
„ χωρὶς αὐτῆς, ταῖς χερσὶ τῶν αἰχ-
„ μαλωτισταὶ τὸν Μοναχὸν παραδόντων,
„ ἐμπίπτειν οὐκ ἔστι. οὐ περὶ ψαλμῶν
„ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κατακρινεῖ ἡμᾶς ὁ
„ Θεὸς, οὐδὲ περὶ τῆς τῆς προσευχῆς
„ ἀργίας· ἀλλ' ὅτι τῇ καταλείψει τούτων,
„ εἴσοδος γίνεται τοῖς δαίμοσιν. ἐκεῖνα
„ δ' ἂν εὕρωσι χώραν, καὶ εἰσέλθωσι, καὶ

„συγκλείσωσι τὰς θύρας τῶν ὀφθαλμῶν ἡμῶν, τότε πληρώσουσιν ἡμᾶς τυραννικῶς καὶ ἀκαθάρτως, ἅτινα ὑπὸ τὴν θείαν ἀπόφασιν συνέχουσι τοὺς ἐργάτας αὐτῶν, μετὰ ἐκδικήσεως σφοδροτάτης. καὶ γινόμεθα ὑποχείριοι, χάριν τῆς ἐγκαταλείψεως τῶν μικρῶν, ἅτινα διὰ τὸν Χριστὸν φροντίδος ἀξιοῦνται, ὡς γέγραπται παρὰ τῶν σοφωτάτων· ὁ μὴ ὑποτάσσων τῷ Θεῷ τὸ ἑαυτοῦ θέλημα, ὑποταγήσεται τῷ ἀντιδίκῳ αὐτοῦ. ὥστε ταῦτα τὰ μικρά σοι φαινόμενα, ὡς τείχη σοι λογισθήσονται κατέναντι τῶν αἰχμαλωτιζόντων ἡμᾶς. ὧντινων ἡ τελείωσις ἔνδοθεν τοῦ κελλίου ὑπὸ τῶν κρατούντων τὴν τάξιν τῆς Ἐκκλησίας σοφῶς τέθειται, πρὸς φυλακὴν τῆς ἡμετέρας ζωῆς, ἐν νοήματι ἀποκαλύψεως, ὧν ἡ κατάλειψις ὑπὸ τῶν ἀσόφων μικρὰ λογίζεται, τὴν δὲ ὑπ' αὐτῶν ζημίαν μὴ λογιζομένων. τούτων, ἥ, τε ἀρχὴ τῆς ὁδοῦ, καὶ ἡ μεσότης, ἐλευθερία ἀπαίδευτος· ἥτις ἐστὶ μήτηρ τῶν παθῶν. κρεῖσσον γὰρ ἀγωνίσασθαι μὴ ἐγκαταλεῖψαι τὰ μικρά, ἢ τόπον δοῦναι τῇ ἁμαρτίᾳ, ἐν τῷ πλατυσμῷ αὐτῶν. ταύτης γὰρ τῆς ἀκαίρου ἐλευθερίας, δουλεία τὸ τέλος ἀπότομος. καὶ αὖθις· ὢ τί γλυκεῖαι εἰσὶν αἱ ἀφορμαὶ τῶν παθῶν. τὰ μὲν γὰρ πάθη, ἐνίοτε δύναταί τις κόψαι, καὶ τῷ μακρυσμῷ αὐτῶν γαληνιᾷ· καὶ εὐφραίνεται ἐν τῷ παύεσθαι αὐτά. τὰς μέντοι αἰτίας, λιπεῖν οὐ δύναται· διὰ τοῦτο μὴ θέλοντες πειραζόμεθα. καὶ ἐν μὲν τοῖς πάθεσι, λυπούμεθα· τὰς δὲ ἀφορμάς, ἐμμένειν ἐν ἡμῖν ἀγαπῶμεν. τὰς ἁμαρτίας οὐκ ἐφιέμεθα· τὰς δὲ ἐπιφερούσας ἡμῖν αὐτὰς αἰτίας, μεθ' ἡδονῆς δεχόμεθα. τούτου ἕνεκεν παραίτιοι γίνονται τῇ ἐνεργείᾳ, αἱ δεύτεραι τῶν πρώτων. ὁ τὰς ἀφορμὰς τῶν παθῶν ἀγαπῶν, ὑποχείριός ἐστιν ἄκων καὶ μὴ βουλόμενος· καὶ δεδούλωται τοῖς πάθεσιν. ὁ μισῶν τὰς ἰδίας ἁμαρτίας, παύσεται ἀπ' αὐτῶν. καὶ ὁ ὁμολογῶν αὐτάς, τεύξεται ἀφέσεως. ἀδύνατον δέ τινι τὴν ἕξιν τῆς ἁμαρτίας καταλιπεῖν, πρὶν ἔχθραν κτήσηται μετ' αὐτῆς. καὶ ἀφέσεως τυχεῖν, πρὸ τῆς τῶν πλημμελημάτων ὁμολογήσεως· ἡ μὲν γάρ, ταπεινώσεώς ἐστιν ἀληθοῦς αἰτία· ἡ δέ, κατανύξεως, ἀπὸ αἰσχύνης, ἀκολουθούσης τῇ καρδίᾳ. καὶ πάλιν· οὐκ ἔστιν ἁμαρτία ἀσυγχώρητος, εἰ μὴ ἡ ἀμετανόητος". Ἀλλὰ περὶ μὲν τούτων, ἅλις· σὺ δὲ μετὰ τὴν τῶν εἰρημένων ὡρῶν ψαλμῳδίαν, φάγε· κρατῶν καὶ τὴν εὐχὴν ἐν τῇ τροφῇ, ἵν' οὕτω ποιῶν ἔλθῃς εἰς ἕξιν, ἕνεκεν τῆς χάριτος, τοῦ προσεύχεσθαι ἀδιαλείπτως, κατὰ τὴν ἐντολήν. ἀλλ' ὁ μὲν περὶ τῆς τὸ σῶμα διακρατούσης τροφῆς, ἀρρήτῳ σοφίᾳ τοῦ κτίσαντος, λόγος, μικρὸν ἀναμενέτω· ὁ δὲ περὶ τῆς τὴν ψυχὴν συνιστώσης, καὶ ζωούσης λόγος, προτασσέσθω· ἥτις ἐστὶ κατὰ τοὺς Ἁγίους, ἡ ἱερὰ καὶ θεοποιὸς προσευχή. καὶ μάλα εἰκότως· ἐπεὶ καὶ ἡ ψυχὴ προτιμοτέρα τοῦ σώματος.

## Ἔτι περὶ προσευχῆς· καὶ ὅτι δεῖ προσεύχεσθαι ἀεί.

„Ὥσπερ τοῦτο τὸ σῶμα τὸ ἡμέτερον, ψυχῆς μὴ παρούσης, νεκρόν ἐστι καὶ δυσῶδες· οὕτω καὶ ψυχὴ μὴ κινοῦσα ἑαυτὴν εἰς προσευχήν, νεκρά ἐστι, καὶ ἀθλία, καὶ δυσώδης. καὶ ὅτι γε παντὸς θανάτου ἡγεῖσθαι πικρότερον προσήκει, τὸ στερηθῆναι προσευχῆς, διδάσκει καλῶς ἡμᾶς, ὁ Μέγας Δανιὴλ ὁ Προφήτης. μᾶλλον ἑλόμενος ἀποθανεῖν, ἢ στιγμὴν ὥρας στερηθῆναι κθʹ.

„προ-

προσευχῆς. ἔτι διδάσκει ἡμᾶς καλῶς ὁ θεῖος Χρυσόστομος· πᾶς προσευχόμενος, τῷ Θεῷ διαλέγεται. ὅσον δέ ἐστιν, ἄνθρωπον ὄντα τῷ Θεῷ ὁμιλεῖν, ἀγνοεῖ τῶν ἁπάντων μηδείς· παραστῆσαι δὲ λόγῳ τὴν τιμὴν, οὐκ ἄν τις δυνηθείη. αὕτη γὰρ ἡ τιμὴ, ϗ τὴν τῶν Ἀγγέλων ὑπεραίρει μεγαλοπρέπειαν. ἔτι, προσευχὴ, κοινὸν ἔργον Ἀγγέλων ὁμοῦ, ϗ ἀνθρώπων. ϗ οὐκ ἔτι μέσον οὐδὲν ἑκατέρας φύσεως, τό γε εἰς προσευχήν. αὕτη σε χωρίζει τῶν ἀλόγων. αὕτη σε συνάπτει τοῖς Ἀγγέλοις. ταχέως δέ τις εἰς τὴν ἐκείνων μεταστήσεται πολιτείαν, ϗ βίον, ϗ δίαιταν, ϗ τιμὴν, ϗ εὐγένειαν, ϗ σοφίαν, ϗ σύνεσιν· πάντα τὸν βίον ἐν προσευχαῖς, ϗ τῇ τοῦ Θεοῦ λατρείᾳ σπουδάζων ἐσχολακέναι. ἔτι, ὅταν ἴδῃ ψυχὴν ὁ διάβολος περιπεφραγμένην ἀρεταῖς, οὐ τολμᾷ γενέσθαι πλησίον αὐτῆς, δεδοικὼς τὴν ἰσχὺν ϗ τὴν δύναμιν, ἣν αἱ προσευχαὶ παρέχουσι, μᾶλλον θρέψασαι τὴν ψυχὴν, ἢ τὸ σῶμα τὰ σιτία. ἔτι, νεῦρα τῆς ψυχῆς εἰσὶν, αἱ προσευχαί. ὥσπερ γὰρ τὸ σῶμα διὰ τῶν νεύρων συνέχεται, καὶ συντρέχει, ϗ ἵσταται, ϗ ζῇ, ϗ πέπηγεν· ἂν δὲ ταῦτά τις ἐκτέμῃ, πᾶσαν ἁρμονίαν διαλύει τοῦ σώματος· οὕτως αἱ ψυχαὶ διὰ τῶν ἁγίων προσευχῶν ἁρμόζονται, καὶ συνεστήκασι, καὶ τὸν δρόμον τῆς εὐσεβείας τρέχουσιν εὐχερῶς. ἂν δὲ τῆς προσευχῆς στερήσῃς σαυτὸν, ταυτὸν ποιεῖς, ὥσπερ ἂν, εἰ τὸν ἰχθὺν ἐκ τοῦ ὕδατος ἐξήγαγες. ὥσπερ γὰρ ἐκείνῳ, ζωὴ τὸ ὕδωρ, οὕτω σοὶ, προσευχή· διὰ ταύτης ἔστι τὸν ἀέρα, ὥσπερ δι᾽ ὕδατος ἀναπτῆναι, ϗ εἰς τοὺς οὐρανοὺς ἀναβῆναι, ϗ Θεοῦ γενέσθαι πλησίον. ἔτι, προσευχὴ, ϗ δέησις ναοὺς Θεοῦ τοὺς ἀνθρώπους ἐργάζεται. καὶ ὥσπερ χρυσὸς, ϗ λίθοι πολύτιμοι, ϗ μάρμαρα ποιοῦσι τοὺς οἴκους τῶν βασιλέων, οὕτω ϗ προσευχὴ τοὺς ἀνθρώπους, ναοὺς τοῦ Χριστοῦ. τί οὖν ἂν γένοιτο μεῖζον προσευχῆς ἐγκώμιον, ἢ ὅτι ναοὺς ἀπεργάζεται Θεοῦ; ϗ ὃν οὐ χωροῦσιν οὐρανοὶ, οὗτος εἰς ψυχὴν εἰσέρχεται, ζῶσαν ἐν προσευχαῖς. Ἔτι κἀκεῖθεν ἴδοι τις ἂν, τὴν δύναμιν τῶν ἁγίων εὐχῶν, ὅτι Παῦλος ὁ διὰ πάσης τῆς οἰκουμένης, ὥσπερ ὑπόπτερος τρέχων, καὶ δεσμωτήριον οἰκῶν, ϗ μάστιγας ὑπομένων, ϗ φορῶν ἅλυσιν, ϗ ζῶν ἐν αἵματι, καὶ κινδύνοις, καὶ δαίμονας ἐλαύνων, καὶ νεκροὺς ἐγείρων, ϗ παύων ἀρρωστήματα, οὐχ ἑνὶ τούτων ἐθάρρησεν εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν· ἀλλὰ ταῖς προσευχαῖς ἐτείχιζε τὴν ψυχήν· ϗ μετὰ τὰ σημεῖα, ϗ τὴν τῶν νεκρῶν ἀνάστασιν, ἐπὶ τὰς προσευχὰς ἔτρεχεν, ὥσπερ τις ἀθλητὴς ἐπὶ παλαίστραν στεφάνου. καὶ γὰρ ϗ τῆς ἀναστάσεως τῶν νεκρῶν, καὶ τῶν ἄλλων ἁπάντων ἡ προσευχὴ χορηγός. ἣν γὰρ ἐπὶ δένδρων ἰσχὺν ἔχει τὰ ὕδατα, ταύτην ἐπὶ τοῦ βίου τῶν ἁγίων, αἱ προσευχαί. Ἔτι, προσευχὴ, σωτηρίας ἀφορμή· ἀθανασίας πρόξενος· τῆς Ἐκκλησίας τεῖχος ἀρραγές· φυλακτήριον ἄσυλον, φοβερὸν μὲν τοῖς δαίμοσι, σωτήριον δὲ τοῖς εὐσεβέσιν ἡμῖν. ἔτι, ὥσπερ τινος βασιλίδος εἰσιούσης εἴς τινα πόλιν, πάντα τὸν πλοῦτον συνακολουθεῖν ἀνάγκη, οὕτω δὴ καὶ προσευχῆς εἰσιούσης εἰς ψυχὴν, πᾶσα ἀρετὴ συνεισέρχεται. ἔτι, ὅπερ ἐστὶ θεμέλιος οἴκῳ, τοῦτο ἐν ψυχῇ προσευχή· καὶ δεῖ ταύτην πρώτην ὥσπερ κρηπῖδα ϗ ῥίζαν ἐν τῇ ψυχῇ πήξαντας ἐποικοδομεῖν σπουδαίως, καὶ σωφροσύνην, καὶ πρόνοιαν πτωχῶν, ϗ πάντας τοὺς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

,, νόμους τοῦ Χριστοῦ. ἔτι· φῶς ἐστὶ δια-
,, νοίας καὶ ψυχῆς, ἡ μετὰ σπουδῆς εὐ-
,, χή· φῶς ἄσβεστον καὶ διηνεκές. διὰ
,, τοῦτο μυρίους συρφετοὺς λογισμῶν ἐμβάλ-
,, λει ταῖς ἡμετέραις διανοίαις ὁ πονηρός·
,, ϗ ἅπερ οὐδέ ποτε ἐλογισάμεθα, ταῦ-
,, τα συνάγων ἐν τῷ καιρῷ τῆς εὐχῆς,
,, καταχεῖ τῆς ἡμετέρας ψυχῆς. ἔτι,
,, μέγα ὅπλον εὐχή· μεγάλη ἀσφάλεια.
,, καὶ ὁ Θεολόγος, μνημονευτέον Θεοῦ,
,, ἢ ἀναπνευστέον, ϗ αὖθις, συνεχέστε-
,, ρον νοεῖν τὸν Θεὸν, ἢ ἀναπνεῖν. καὶ
,, ὁ Ἅγιος Ἰσαὰκ, ἄνευ ἀδιαλείπτου
,, προσευχῆς, προσεγγίσαι τῷ Θεῷ οὐ
,, δύνασαι· ϗ, μετὰ τὸν κόπον τῆς προ-
,, σευχῆς, ποιῆσαι τῷ νοῒ μέσμιτιν ἑ-
,, τέραν, σκορπισμὸν τῆς διανοίας ἀπερ-
,, γάζεται· ϗ, πᾶσα προσευχὴ, ἐν ᾗ
,, μὴ μοχθήσῃ τὸ σῶμα, καὶ θλιβῇ
,, ἐν αὐτῇ ἡ καρδία, ἔκτρωμα λογί-
,, ζεται. χωρὶς γὰρ ψυχῆς ἐστὶν ἐκείνη
,, ἡ προσευχή. ϗ ὁ τῆς Κλίμακος· προ-
,, σευχή ἐστι, κατὰ μὲν τὴν αὐτῆς
,, ποιότητα, συνουσία, καὶ ἕνωσις ἀν-
,, θρώπου ϗ Θεοῦ· κατὰ δὲ ἐνέργειαν,
,, κόσμου σύστασις· Θεοῦ καταλλαγή·
,, δακρύων μήτηρ, ϗ πάλιν θυγάτηρ·
,, ἁμαρτημάτων ἱλασμός· πειρασμῶν γέ-
,, φυρα· θλίψεως μεσότοιχον· πολέμων
,, θραῦσις· Ἀγγέλων ἔργον· ἀσωμάτων
,, πάντων τροφή· ἡ μέλλουσα εὐφροσύ-
,, νη· ἀπέραντος ἐργασία· ἀρετῶν πηγή·
,, χαρισμάτων πρόξενος· προκοπὴ ἀο-
,, ράτος· τροφὴ ψυχῆς· νοῦ φωτισμός·
,, ἀπογνώσεως πέλυξ· ἐλπίδος ἀπό-
,, δειξις· λύπης λύτρωσις· πλοῦτος Μο-
,, ναχῶν· ἡσυχαστῶν θησαυρός· θυμοῦ
,, μείωσις· ἔσοπτρον προκοπῆς· μέτρων
,, ἐμφάνεια· καταστάσεως δήλωσις· τῶν
,, μελλόντων ἀποκάλυψις· κλέους σημα-
,, σία. προσευχή ἐστι τῷ ὄντως εὐχομέ-
,, νῳ, δικαστήριον, ϗ κριτήριον, ϗ βῆ-
,, μα Κυρίου, πρὸ τοῦ μέλλοντος βήμα-
,, τος. ϗ πάλιν, οὐδὲν ἕτερόν ἐστι προ-
,, σευχὴ, εἰ μὴ κόσμου ὁρατοῦ, ϗ ἀο-
,, ράτου ἀλλοτρίωσις. ϗ ὁ Ἅγιος Νεῖ-
,, λος, εἰ προσεύξασθαι ποθεῖς, ἀπό-
,, ταξαι τοῖς πᾶσιν, ἵνα τὸ πᾶν κληρο-
,, νομήσῃς. ἔτι, προσευχή ἐστιν, ἀνάβα-
,, σις νοῦ πρὸς Θεόν. ἔτι, προσευχὴ
,, ἐστὶν, ὁμιλία νοῦ πρὸς Θεόν. ἔτι,
,, ὥσπερ ὁ ἄρτος, τροφή ἐστι τῷ σώματι,
,, ϗ ἡ ἀρετὴ τῇ ψυχῇ, οὕτω ϗ τοῦ νοῦ
,, ἡ πνευματικὴ προσευχὴ, τροφὴ ὑπάρ-
χει. ϗ ταῦτα μὲν οὕτως, εὔκαιρον δὲ
νῦν καὶ περὶ τῆς σωματικῆς διαίτης,
κατά γε σταθμὸν, ποσότητά τε, ϗ ποιό-
τητα ταύτης, ἐκθέσθαι ὡς ἐν βραχεῖ
πειραθῶμεν.

## Περὶ τῆς σωματικῆς διαίτης· * ἤως πῶς δεῖ τρέφεσθαι τὸν ἡσυχάζοντα. * ἴσ. οἴως

,, Γέγραπται, υἱὲ ἀνθρώπου, σταθ- λ'.
,, μῷ τὸν ἄρτον σου φάγεσαι· καὶ μέτρῳ
,, τὸ ὕδωρ σου πίεσαι· ὡς διὰ τούτων,
,, ἱκανῶς ἔχοντος τοῦ κατὰ Θεὸν ἀγωνιζο-
,, μένου, διαζῆν. ἂν γὰρ μὴ δῷς, κατὰ
,, τὸν λέγοντα, αἷμα, οὐκ ἂν λάβοις
,, πνεῦμα. λέγει δὲ ϗ ὁ Μέγας Παῦ-
,, λος, ὑπωπιάζω μου τὸ σῶμα, ϗ δου-
,, λαγωγῶ, μήπως ἄλλοις κηρύξας,
,, αὐτὸς ἀδόκιμος γένωμαι. καὶ ὁ θεῖος
,, Δαβίδ· τὰ γόνατά μου ἠσθένησαν ἀ-
,, πὸ νηστείας, ϗ ἡ σάρξ μου ἠλλοιώθη
,, δι' ἔλαιον. ϗ ὁ Θεολόγος· οὐδενὶ οὕτω
,, τῶν πάντων, ὡς κακοπαθείᾳ, Θεὸς
,, θεραπεύεται, ϗ δάκρυσι· τὸ φιλάν-
,, θρωπον ἀντιδίδοται. ϗ ὁ Ἅγιος Ἰ-
,, σαὰκ, ὥσπερ μήτηρ κήδεται τέκνου,
,, οὕτω Χριστὸς κήδεται σώματος, κακο-
,, παθοῦντος, καὶ πλησίον ἐστὶ τοῦ σώ-
,, ματος αὐτοῦ διαπαντός. ϗ αὖθις, ἐν
,, γαστρὶ πεπληρωμένῃ, γνῶσις Θεοῦ
,, μυστηρίων οὐκ ἔστι. ϗ, ὥσπερ ἕπεται
,, τοῖς δάκρυσι σπείρουσι, τὰ δράγματα

,, τῆς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

,, τῆς ἀγαλλιάσεως, ὅπως ἀκολουθῇ ἡ
,, χαρὰ, τῇ διὰ Θεὸν κακοπαθείᾳ. καὶ
,, Μακάριος, ὁ ἀποστομίσας ἑαυτὸν ἀπὸ
,, πάσης ἡδυπαθείας, τῆς χωριζούσης
,, αὐτὸν, ἀπὸ τοῦ κτίσαντος αὐτόν. καὶ
,, πάλιν, ἐν πολλῷ καιρῷ πειραζόμε-
,, νος ἐν τοῖς δεξιοῖς, καὶ ἀριστεροῖς, καὶ
,, ἐμαυτὸν δοκιμάσας ἐν τοῖς δυσὶ τρό-
,, ποις τούτοις πολλάκις, καὶ δεξάμενος
,, ἐκ τοῦ ἐναντίου πληγὰς ἀναριθμήτους
,, καὶ ἀξιωθεὶς μεγάλων ἀντιλήψεων κρυ-
,, πτῶς, ἐκομισάμην ἐμαυτῷ πεῖραν ἐκ
,, τῶν μακρῶν χρόνων τῶν ἐτῶν, καὶ ἐν
,, δοκιμασίᾳ, καὶ Θεοῦ χάριτι, ταύτῃ
,, ἔμαθον· ὅτι ὁ θεμέλιος πάντων τῶν
,, ἀγαθῶν, καὶ ἡ ἀνάκλησις τῆς ψυχῆς
,, ἐκ τῆς αἰχμαλωσίας τοῦ ἐχθροῦ, καὶ
,, ἡ ὁδὸς ἡ πρὸς τὸ φῶς, καὶ τὴν ζωὴν
,, φέρουσα, οὗτοι οἱ δύο τρόποι εἰσί· τὸ
,, συνάξαι ἑαυτὸν εἰς ἕνα τόπον· καὶ τὸ
,, ἀεὶ νηστεῦσαι· τουτέστι τὸ, κανονίσαι
,, ἑαυτὸν ἐν ἐγκρατείᾳ γαστρὸς, σοφῶς
,, καὶ φρονίμως, ἐν ἀκινήτῳ καθέδρᾳ,
,, καὶ ἀδιαλείπτῳ σχολῇ, καὶ μελέτῃ
,, Θεοῦ. ἐντεῦθεν γὰρ ἡ τῶν αἰσθή-
,, σεων ὑποταγή. ἐντεῦθεν ἡ τοῦ νοῦ
,, νῆψις. ἐντεῦθεν τὰ ἄγρια πάθη ἡ-
,, μεροῦνται, τὰ ἐν τῷ σώματι κινούμενα.
,, ἐντεῦθεν ἡ πραότης τῶν λογισμῶν.
,, ἐντεῦθεν αἱ τῆς διανοίας φωτειναὶ κι-
,, νήσεις. ἐντεῦθεν ἡ πρὸς τὰ θεῖα ἔργα
,, τῆς ἀρετῆς σπουδή. ἐντεῦθεν τὰ ὑψη-
,, λὰ νοήματα, καὶ λεπτά. ἐντεῦθεν τὰ
,, ἄμετρα δάκρυα, τὰ ἐν παντὶ καιρῷ
,, γινόμενα, καὶ τοῦ θανάτου ἡ μνήμη.
,, ἐντεῦθεν ἡ σωφροσύνη ἡ καθαρὰ,
,, ἡ τελείως ἀπέχουσα ἐκ πάσης φαν-
,, τασίας, τῆς τὴν διάνοιαν πειραζούσης.
,, ἐντεῦθεν ἡ ὀξυδερκία, καὶ ἡ ὀξύτης
,, τῆς γνώσεως τῶν μακρὰν ὄντων. ἐν-
,, τεῦθεν τὰ βαθύτερα τῶν μυστικῶν
,, νοημάτων, ἅπερ ἡ διάνοια καταλαμβά-
,, νει, ἐν τῇ δυνάμει τῶν θείων λο-
,, γίων· καὶ αἱ ἐσώτεραι κινήσεις αἱ ἐν
,, τῇ ψυχῇ γινόμεναι· καὶ ἡ διαφορὰ καὶ
,, ἡ διάκρισις τῶν πνευμάτων ἐκ τῶν
,, Ἁγίων δυνάμεων· καὶ τῶν ἀληθι-
,, νῶν ὁράσεων, ἐκ τῶν ματαίων φαντα-
,, σιῶν. ἐντεῦθεν ὁ φόβος τῶν ὁδῶν
,, καὶ τῶν τρίβων, τῶν ἐν τῷ πελάγει
,, τῆς διανοίας, ὁ κόπτων τὴν ῥαθυμίαν
,, καὶ τὴν ἀμέλειαν. καὶ ἡ φλὸξ τοῦ ζή-
,, λου, ἡ καταπατοῦσα πάντα κίνδυνον, καὶ
,, διαβαίνουσα πάντα φόβον· καὶ ἡ θέρ-
,, μη, ἡ καταφρονοῦσα πάσης ἐπιθυμίας,
,, καὶ ἐκ τῆς διανοίας ἐξαλείφουσα ταύ-
,, την· καὶ λήθην ἐμποιοῦσα πάσης μνή-
,, μης τῶν παρερχομένων μετὰ τῶν
,, ἄλλων. καὶ ἵνα συντόμως εἴπω, ἡ
,, ἐλευθερία τοῦ ἀνθρώπου τοῦ ἀληθινοῦ,
,, καὶ ἡ χαρὰ τῆς ψυχῆς, καὶ ἡ ἀνάστα-
,, σις· καὶ ἡ μετὰ τοῦ Χριστοῦ ἐν τῇ βα-
,, σιλείᾳ τῶν οὐρανῶν ἀνάπαυσις ἐντεῦ-
,, θεν. εἴτις δὲ ἀμελήσει ἐν τοῖς δυ-
,, σὶ τούτοις, γνώτω, ὅτι οὐ μόνον ἐκ
,, πάντων τῶν προειρημένων τούτων ζη-
,, μιοῖ ἑαυτὸν, ἀλλὰ καὶ τὸν θεμέλιον
,, πασῶν τῶν ἀρετῶν διασείει, ἐν τῇ
,, καταφρονήσει τῶν δύο τούτων ἀρετῶν.
,, καὶ ὥσπερ εἰσὶν αὗται ἐν τῇ ψυχῇ,
,, ἀρχὴ, καὶ κεφαλὴ τῆς θείας ἐργασίας,
,, καὶ θύρα, καὶ ὁδὸς ἡ πρὸς τὸν Χρι-
,, στὸν, ἐάν τις κρατήσῃ αὐτὰς, καὶ ἐν
,, αὐταῖς ὑπομείνῃ, οὕτω καὶ ἐάν τις ἀνα-
,, χωρίσῃ ἐξ αὐτῶν, καὶ ἀποπηδήσῃ ἀπ'
,, αὐτῶν, πρὸς ταῦτα τὰ δύο τὰ ἐναν-
,, τία τούτων καταντᾷ· λέγω δὴ, τὸ
,, μετεωρισθῆναι τῷ σώματι, καὶ γα-
,, στριμαργεῖν ἀθέσμως, καὶ τὰ ἑξῆς.
,, καὶ ἐν ἄλλοις· καὶ οἱ μὲν ἐν ταῖς ἀρ-
,, χαῖς αὐτῶν ῥάθυμοι καὶ χαῦνοι ὑ-
,, πάρχοντες, οὐ μόνον ἐκ τῶν ἀγώνων
,, τούτων καὶ τῶν τοιούτων, ἀλλὰ καὶ ἀπὸ
,, ἤχου φύλλων δένδρου δειλιῶσι καὶ τα-
,, ράττονται. καὶ ἀπὸ μικρᾶς ἀνάγκης,
,, τῆς ἀπὸ τῆς χρείας τοῦ λιμοῦ· καὶ

,, ἀπὸ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

„ἀπὸ μικρᾶς ἀσθενείας, νικῶνται, καὶ ἀναιροῦνται, καὶ εἰς τὰ ὀπίσω στρέφονται. οἱ δὲ ἀληθινοὶ καὶ δόκιμοι, οὐδὲ ἐκ τοῦ χόρτου τῶν λαχάνων χορτάζονται· οὐδὲ διατρώγοντες ῥίζας βοτανῶν ξηρῶν, πρὸ τῆς νενομισμένης ὥρας τῆς τροφῆς, καταδέχονταί τινος γεύσασθαι· ἀλλὰ καὶ χαμευνοῦσιν, ἐν ἀτονίᾳ ὄντες, καὶ ἀγωνίᾳ τοῦ σώματος· καὶ ἀμβλυωποῦσιν οἱ ὀφθαλμοὶ αὐτῶν, ἐκ τῆς ἄγαν κενώσεως τοῦ σώματος. κἂν δὲ ἐκ τῆς ἀνάγκης ἐγγίσωσιν ἐξελθεῖν ἐκ τοῦ σώματος, οὐδὲ οὕτω χεῖρα διδοῦσιν ἡττηθῆναι καὶ πεσεῖν, ἐκ τῆς ἐρρωμένης αὐτῶν προαιρέσεως. ποθοῦσι γὰρ καὶ ἐφίενται, τοῦ βιάσασθαι ἑαυτοὺς διὰ τὴν ἀγάπην τοῦ Θεοῦ· καὶ κοπιᾷν ὑπὲρ τῆς ἀρετῆς αἱροῦνται, ἢ τὴν πρόσκαιρον ζωὴν ἔχειν, καὶ πᾶσαν ἀνάπαυσιν τὴν ἐν αὐτῇ. καὶ ὅταν ἐπέλθωσιν αὐτοῖς οἱ πειρασμοί, μᾶλλον εὐφραίνονται ὅτι ἐν αὐτοῖς τελειοῦνται, ἤτοι τέλειοι γίνονται. ἀλλ' οὐδὲ ἐκ τῶν μοχθηρῶν κόπων τῶν γινομένων ἐν αὐτοῖς διστάζουσιν ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ· ἀλλ' ἕως ἂν ἐκλείψωσιν ἐκ τῆς ζωῆς, προθυμοῦνται δέξασθαι γενναίως τὰς ἐπηρείας, καὶ οὐκ ἀναχωροῦσιν, ὅτι ἐν αὐτοῖς τέλειοι γίνονται". τούτοις, καὶ τοῖς τοιούτοις τοιγαροῦν καὶ ἡμεῖς στοιχοῦντες, ταὶ μίαν καὶ τῷ κελεύοντι· ὁδῷ βασιλικῇ πορεύου, μὴ ἐκκλίνῃς δεξιά, ἢ ἀριστερά, πειθαρχοῦντες, καὶ τύπον ἐκτιθέμεθά σοι, καὶ κανόνα μεσότητος· ὅς τις δὴ καὶ τοῦτον ἔχει τὸν ὅρον.

## Ὅπως δεῖ τὴν δευτέραν, καὶ τετάρτην, καὶ ἕκτην, τρέφεσθαι τὸν ἀγωνιζόμενον.

λα'. Κατά γε τὰς τρεῖς ἡμέρας τῆς ἑβδομάδος, ἤγουν, δευτέραν, τετάρτην, καὶ ἕκτην ποίει διηνεκῶς ἐννάτας, ἤτοι ἔσθιε ἅπαξ τῆς ἡμέρας, μεταλαμβάνων ἄρτου, οὐγγιῶν ἕξ· ἀπὸ τῶν ξηροτρόφων ἐγκρατῶς τοῦ ἀρκοῦντος· καὶ ὕδατος, ἕως δύο ἢ τεσσάρων ποτηρίων, εἰ βούλει. ἑπόμενος τῷ ξθ'. κανόνι τῶν Ἁγίων Ἀποστόλων, θεσπίζοντι· „εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, τὴν ἁγίαν Τεσσαρακοστὴν τοῦ πάσχα οὐ νηστεύει, ἢ τετράδα, ἢ παρασκευήν, καθαιρείσθω. ἐκτὸς εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο. εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω. ἡ δέ γε δευτέρα ἐς ὕστερον τοῖς θείοις πατράσι κεκανόνισται."

## Ὅπως δεῖ τρέφεσθαι κατὰ τρίτην, καὶ πέμπτην.

λβ'. Ἐν δὲ ταῖς δυσὶ πάλιν ἡμέραις δηλαδὴ τῇ τρίτῃ, καὶ τῇ πέμπτῃ, δὶς ἔσθιε τῆς ἡμέρας. κατὰ μὲν τὸ γεῦμα τρεφόμενος ἄρτου οὐγγίαις ἕξ, ἀπὸ ἑψητοῦ ἐγκρατῶς· καί τινος τῶν ξηροτρόφων· μετέχων καὶ οἴνου μεμιγμένου σὺν ὕδατι, ἕως, εἰ χρήζεις, ποτηρίων τριῶν, ἢ τεσσάρων. κατὰ δὲ τὴν ἑσπέραν, ἀπογευόμενος ἄρτου οὐγγίας τρεῖς, καί τινος τῶν ξηροφάγων, ἢ ὀπωρῶν τινῶν· οἴνου τε σὺν ὕδατι, ποτηρίου ἑνός, ἢ τὸ πολὺ δύο, δίψης πολλῆς ἐπικρατούσης σε. σφόδρα γὰρ συνεργεῖ ἡ δίψα καὶ ἐν τοῖς δάκρυσι, σύνοικον ἔχουσα καὶ τὴν ἀγρυπνίαν, ὥς φησιν ὁ τῆς Κλίμακος· „δίψα καὶ ἀγρυπνία, ἐξέθλιψαν καρδίαν· καρδίας δὲ θλιβείσης, ἐξεπήδησαν ὕδατα. καὶ ὁ Ἅγιος Ἰσαάκ, διὰ Θεὸν δίψησον, ἵνα σε ἐμπλήσῃ τῆς ἀγάπης αὐτοῦ." εἰ δέ γε καὶ ἐν ταῖς δυσὶ ταύταις ἡμέραις προκρίνεις τὸ μονοφαγεῖν, ἄριστα διαπράξεις. Ἐπεὶ καὶ πρώτη, καὶ μήτηρ, καὶ ῥίζα, καὶ πηγή, καὶ θεμέλιος πάντων τῶν καλῶν ἡ νηστεία, καὶ ἡ ἐγκράτεια



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πέφυκε. λέγει δὲ καί τις τῶν θύραθεν, ἑλοῦ βίον ἄριστον, ἡδὺν δὲ αὐτὸν ἡ συνήθεια ποιήσει. καὶ ὁ Μέγας Βασίλειος, ὅπου προαίρεσις, τὸ κωλῦον οὐδέν, καὶ ἕτερος τῶν Θεοφόρων· ἀρχὴ καρποφορίας, ἄνθος· καὶ ἀρχὴ πρακτικῆς, ἐγκράτεια· ἀλλὰ ταῦτα μὲν ἴσως, καὶ τὰ τούτοις ἑπόμενα, δόξει τισὶ δυσχερῆ· ναὶ μὴν πάγχα καὶ ἀδύνατα· ὁ δὲ τὴν ἐκ τούτων ἐπανθοῦσαν ἐπικαρπίαν ἀναλογιζόμενος, καὶ οἷον ἡλίκον κλέος ἀπογεννᾶν εἰώθασιν ἐνοπτριζόμενος, εὐχερῆ ταῦτα κρινεῖ, καὶ τῇ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ βοηθείᾳ, καὶ τῇ οἰκείᾳ κατὰ δύναμιν σπουδῇ, ῥᾷστα καὶ λόγοις καὶ ἔργοις κηρύξει, καὶ τὸ κῦρος τούτοις ἐπισφραγίσει. καὶ λέγει ὁ Ἅγιος Ἰσαάκ· ,, ἄρτος εὐτελὴς ἀπὸ τραπέζης ἁγνοῦ, ἁγνίζει τὴν ψυχὴν τοῦ ἐσθίοντος, ἀπὸ παντὸς πάθους. καί, ἀπὸ τραπέζης νηστευόντων, καὶ ἀγρυπνούντων, καὶ κοπιώντων ἐν Κυρίῳ, λάβε σεαυτῷ φάρμακον ζωῆς· καὶ διέγειρον τῆς ψυχῆς σου τὴν θνῆξιν· ὅτι ὁ ἠγαπημένος ἀνακέκλιται ἐν μέσῳ αὐτῶν, ἁγιάζων τὰ βρώματα, καὶ τὸ πικρὸν τῆς κακουχίας αὐτῶν, μεταβάλλει εἰς τὴν γλυκύτητα αὐτοῦ τὴν ἀνεκδιήγητον. οἱ δὲ πνευματικοὶ καὶ ἐπουράνιοι λειτουργοὶ αὐτοῦ, ἐπισκιάζουσιν αὐτούς· καὶ τὰ ἅγια αὐτῶν βρώματα. καί, ὀσμὴ νηστευτοῦ ἡδυντάτη· καὶ ἡ ἀπάντησις αὐτοῦ εὐφραίνει καρδίας διακριτικῶν. καί, προσφιλὴς τῷ Θεῷ ἡ διαγωγὴ τοῦ ἐγκρατοῦς.

### Ὅπως δεῖ τρέφεσθαι κατὰ σάββατον· καὶ περὶ ἀγρυπνιῶν· καὶ ὅπως δεῖ ἐσθίειν κατὰ τὸν καιρὸν αὐτῶν.

λγ'. Ἐν δέ γε παντὶ σαββάτῳ, πλὴν τοῦ μεγάλου, δεῖ σε διφαγεῖν, ὡς προτετύπωται ἐν τῇ τρίτῃ καὶ τῇ πέμπτῃ, διά τε τὸν ὅρον τῶν Ἱερῶν κανόνων, καὶ διὰ τό, δεῖν ἔχειν σε ἐν πάσαις ταῖς τοῦ ὅλου ἐνιαυτοῦ κυριακαῖς, πλὴν τῆς κατὰ τὴν τυροφάγον, ἀγρυπνίας· εἰ μή που πρόσεστί τις ἀγρυπνία τῶν δεσποτικῶν μεγάλων ἑορτῶν, ἤτοι τῶν μεγίστων Ἁγίων· ἵνα ποιήσας ἐκείνην, ἐάσῃς τὴν τῆς κυριακῆς· ὅμως κἂν οὕτως, ἢ οὕτως, δὶς ἔσθιε καὶ τὰ σάββατα. χρήσιμον δέ, ἀεὶ ἐκβιάζεσθαί σε εἰς τὴν τῆς νυκτερινῆς ἀγρυπνίας ἐργασίαν· ὅθεν καὶ μετὰ τῆς κατὰ συγκυρίαν ἐπελθούσης μέσον τῆς ἑβδομάδος ἀγρυπνίας, λυσιτελέστατόν σοι ποιεῖν καὶ τὴν τῆς κυριακῆς, καὶ μέγα σοι τὸ κέρδος ἕψεται τάχιστα· μᾶλλον δέ, τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὸ εἰρημένον, καὶ τὰ * ἱμάτιά σου ταχὺ ἀνατελεῖ. φησὶ δὲ (* ἐν ἄλλ. ἰάματά σου) καὶ ὁ Ἅγιος Ἰσαάκ· ,, ἑκάστῳ ἀγῶνι τῆς ἁμαρτίας καὶ τῆς ἐπιθυμίας, ὁ κόπος τῆς ἀγρυπνίας καὶ τῆς νηστείας ἐστὶν ἡ ἀρχή· καὶ μάλιστα τοῦ ἀνταγωνιζομένου, πρὸς τὴν ἐν ἡμῖν ἔνδον ἁμαρτίαν· καὶ τὸ σημεῖον τοῦ μίσους τῆς ἁμαρτίας, καὶ τῆς ἐπιθυμίας αὐτῆς, ἐκ τούτου ὁρᾶται τοῖς ἀνταγωνιζομένοις πρὸς τὸν ἀόρατον πόλεμον τοῦτον. καὶ πᾶσαι σχεδὸν αἱ τῶν παθῶν προσβολαὶ ὑπομειοῦσθαι, ἐν τῇ νηστείᾳ ἄρχονται. καὶ μετὰ ταύτην, ἡ ἀγρυπνία τῆς νυκτός, συνεργεῖ πρὸς τὴν ἄσκησιν. ὁ ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ, τὴν ὁμιλίαν τῆς συζυγίας ταύτης ἀγαπῶν, οὗτος φίλος τῆς σωφροσύνης γίνεται. καθὼς ἡ ἀνάπαυσις τῆς γαστρός, ἀρχὴ πάντων τῶν κακῶν, καὶ ἡ χαυνότης τοῦ ὕπνου, ἡ ἐξάπτουσα τὴν ἐπιθυμίαν τῆς πορνείας· οὕτως ἡ ὁδὸς τοῦ Θεοῦ ἡ Ἁγία, καὶ πάσης ἀρετῆς ὁ θεμέλιος, ἡ νηστεία ὑπάρχει, καὶ ἡ ἀγρυπνία, καὶ ἡ ἐγρήγορσις ἐν τῇ λειτουργίᾳ τοῦ Θεοῦ. καὶ αὖθις, ψυχὴ ἡ στιλβωθεῖσα τῇ τοῦ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

„ Θεοῦ μνήμῃ, καὶ τῇ ἀκοιμήτῳ ἀγρυπνίᾳ, νυκτὸς καὶ ἡμέρας, ἐκεῖ οἰκοδομεῖ ὁ Κύριος ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, νεφέλην σκεπάζουσαν αὐτὴν ἐν ἡμέρᾳ, καὶ * φωτὶ πυρὸς διαυγάσαι τὴν νύκτα· καὶ ἔσωθεν τοῦ γνόφου αὐτῆς, φῶς λάμψει. Ἔτι, ἔκλεξαι σεαυτοῦ ἐργασίαν ζωῆς, ἀγρυπνίαν διηνεκῆ τὴν ἐν νυξίν· ἐν ᾗ ἀπεδύσαντο οἱ Πατέρες πάντες τὸν παλαιὸν ἄνθρωπον, καὶ ἠξιώθησαν τοῦ ἀνακαινισμοῦ τοῦ νοός. ἐν ταῖς ὥραις ταύταις, αἰσθάνεται ἡ ψυχὴ τῆς ζωῆς ἐκείνης τῆς ἀθανάτου· καὶ ἐν τῇ αἰσθήσει αὐτῆς, ἀποδύεται τὸ σκότος τῶν παθῶν, καὶ ὑποδέχεται τὸ Πνεῦμα τὸ Ἅγιον. καὶ πάλιν, τίμησον τὴν ἐργασίαν τῆς ἀγρυπνίας, ἵνα εὕρῃς παράκλησιν ἐν τῇ ψυχῇ σου. Ἔτι, μὴ νομίσῃς ὦ ἄνθρωπε, ὅτι ἐν πάσῃ τῇ ἐργασίᾳ τῶν Μοναχῶν, ἐστί τις διαγωγή, μείζων τῆς ἀγρυπνίας τῆς νυκτερινῆς. καί, Μοναχὸν διαμένοντα ἐν τῇ ἀγρυπνίᾳ, μετὰ διακρίσεως τοῦ νοός, τοῦτον μὴ ἴδῃς ὡς σαρκοφόρον. τάξεως γὰρ Ἀγγελικῆς ὡς ἀληθῶς τοῦτο τὸ ἔργον. ἔτι, ψυχὴ ἐν τῇ διαγωγῇ ταύτῃ τῇ Ἀγγελικῇ τῆς ἀγρυπνίας κοπιῶσα, ὀφθαλμοὺς χερουβικοὺς ἕξει, τοῦ διαπαντὸς ἀτενίζειν, καὶ κατοπτεύειν τὴν ἐπουράνιον θεωρίαν." Ταύτας δέ, ἤτοι τὰς ἀγρυπνίας, διανύεις, ἐν προσευχῇ· ψαλμῳδίᾳ· καὶ ἀναγνώσει, καθαρῶς καὶ ἀρρεμβάστως, καὶ μετὰ κατανύξεως· μόνος, ἢ μετὰ φίλης καὶ ὁμοτρόπου συνοδίας. ποίει δὲ καὶ μετὰ πᾶσαν σου ἀγρυπνίαν, μικρὰν παράκλησιν, διὰ τὸν ἐκ τῆς ἀγρυπνίας γεγενημένον κόπον, ἔν τε βρώμασι, καὶ πόμασι, κἂν τὸ δεῖπνον· ἤγουν, φάγε ἄρτου οὐγγίας τρεῖς· παράθεμά τι ξηρότροφον, τὸ ἱκανόν σοι· πίε καὶ οἶνον σὺν ὕδατι, ποτήρια τρία. ὅρα δὲ μήπως εἰς ἡμέραν ἐνάτης, ἔχων ἀγρυπνίαν, ἀλλὰ τὴν ἀγρυπνίαν ἴσως, καταλύσῃς τὴν ἐνάτην. τοῦτο καὶ γὰρ δεῖ ποιῆσαι, κἀκεῖνο μὴ ἀφιέναι. τὴν γὰρ παράκλησιν, τελεσθείσης τῆς ἀγρυπνίας, διωρίσατο ὁ λόγος ποιεῖν σε.

*Ἰσ. ἢ φωτισμὸν πυρὸς διαυγάζοντα ἢ, διαυγάσαι

## Ὅπως χρὴ ἐσθίειν κατὰ τὰς Κυριακάς· καὶ περὶ ἑτέρων τινῶν· πρὸς δέ, καὶ κόπου, καὶ ταπεινώσεως.

Ὁμοίως δὲ κατὰ τὰς Κυριακὰς ἁπάσας, δὶς ἔσθιε τῆς ἡμέρας, ὥσπερ δὴ καὶ ἐν τοῖς σάββασιν· αὕτη δὲ ἡ διατύπωσις, ὅπου σοὶ παρεῖσθω, χωρὶς ἀσθενείας· τοὶ μὴν καὶ τῶν τοῖς θείοις πάθεσιν ἐκκεχωρημένων, καὶ ἀπολελυμένων ἑορτασίμων ἡμερῶν, ἐκ μακρᾶς συνηθείας, καὶ αἰτιῶν τινῶν καιριωτέρων, ἐνθέων φαμέν, ἢ καὶ ἐναντίων. ἐκ μὲν γὰρ ταύταις, οὔτε μονοφαγοῦμεν, οὔτε ξηροτροφοῦμεν· ἀλλὰ παντοίων τῶν χρησίμων καὶ ἀνεπιλήπτων, καὶ λαχάνων μετέχομεν· ἐγκρατῶς μέντοι, καὶ μετὰ τῆς διορισθείσης ποσότητος. ἀεὶ γὰρ ἄριστον, τὸ ἐν πᾶσιν ἐγκρατεύεσθαι. ἐν δέ γε ταῖς σωματικαῖς ἀσθενείαις, ὡς ἔφημεν, ἀνερυθριάστως μεταληπτέον ἁπάντων τῶν χρησίμων, καὶ συνιστώντων τὸ σῶμα νομίμων. παθοκτόνους γάρ, οὐ σωματοκτόνους ἡμᾶς ὑπάρχειν, οἱ θεῖοι πατέρες ἐδίδαξαν. ὡσαύτως εἰκός σε, καὶ ἐκ πάντων τῶν εἰρημένων, ἤτοι ὅσα ἔφθασται τῷ ἐπαγγέλματι, μικρὸν ἀπογεύεσθαι, εἰς δόξαν καὶ εὐχαριστίαν Θεοῦ, καὶ διὰ τὸ ἄτυφον· ἀποστρέφου δὲ καὶ τὰ περισσά. „ ἡ γὰρ ἀπουσία τῶν πραγμάτων, ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ, διδάσκει τὸν ἄνθρωπον ἄκοντα, καὶ μὴ βουλόμενον, τὴν ἐγκράτειαν· ἐπεί, ὅταν εὐθηνίαν καὶ ἄδειαν λάβωμεν τούτων, οὐ δυνάμεθα ἑαυτοὺς κατέχειν. σωματικὴν ἀνάπαυσιν μὴ ἀγαπήσῃς. λδ'.

„ ψυχὴ

„ψυχὴ γὰρ ἡ τὸν Θεὸν ἀγαπῶσα, κατὰ τὸν ὅσιον πάλιν Ἰσαάκ, ἐν τῷ Θεῷ καὶ μόνῳ τὴν ἀνάπαυσιν κέκτηται. μᾶλλον δὲ σὺν κόπῳ καὶ κακουχίᾳ, καὶ τὸ ταπεινὸν ἐκλέγου. ὁ γὰρ κόπος, καὶ ἡ ταπείνωσις, γράφει τὶς τῶν ἁγίων, κτῶνται τὸν Ἰησοῦν.

Ὅπως δεῖ διαιτᾶσθαι καὶ πολιτεύεσθαι κατὰ τὰς ἁγίας τεσσαρακοστάς, καὶ μᾶλλον κατὰ τὴν μεγάλην.

λέ. Περὶ δέ γε διαίτης ἴσως καὶ πολιτείας τῆς ἐν ταῖς ἁγίαις τεσσαρακοσταῖς, περιττὸν ἡγούμεθα λεπτομερῶς καὶ ἰδίως διερμηνεύειν. ὡς γὰρ προδιώρισται πλεῖστε, ἐν αἷς ἡμέραις ποιεῖς ἐννάτας, οὕτω θέμις καὶ ἐν ταῖς ἁγίαις τεσσαρακοσταῖς ἐργάζεσθαι, πλὴν τῶν σαββάτων, καὶ τῶν Κυριακῶν. μᾶλλον, εἰ δυνατόν, καὶ ἀκριβέστερον, καὶ νηφαλιώτερον, καὶ μάλιστα κατὰ τὴν ἁγίαν καὶ μεγάλην Τεσσαρακοστήν, ὡς ἀποδεκάτωσιν οὖσαν τοῦ ὅλου ἐνιαυτοῦ, καὶ τὰ βραβεῖα τῶν ἀγώνων, διὰ τῆς δεσποτικῆς καὶ θείας ἀναστασίμου, καὶ λαμπροφόρου ἡμέρας, τοῖς κατὰ Χριστὸν Ἰησοῦν νικηταῖς παρέχουσαν.

Περὶ διακρίσεως, ὡς ἐν μέρει, καὶ ὅτι τῇ ἐμμέτρῳ ἐργασίᾳ, τιμὴ οὐκ ἔστι· καὶ περὶ ὑποταγῆς.

λϛʹ. Πλὴν καὶ ταῦτα, καὶ τὰ τούτοις παραπλήσια, χρὴ μετιέναι σε μετὰ ἀκριβοῦς διακρίσεως, πρὸς τὴν τοῦ διπλοῦ ζώου συμφωνίαν, καὶ εἰρηναίαν κατάστασιν. „μετὰ γὰρ σοφίας φησὶν οἰκοδομεῖται οἶκος· καὶ μετὰ συνέσεως ἀνορθοῦται· καὶ αἰσθήσεως ἐμπίπλαται τὰ ταμεῖα, παντὸς πλούτου τιμίου, καὶ καλοῦ. γράφει δὲ καὶ ὁ θεῖος Θαλάσσιος· ἡ μετὰ λόγου διακρίτου ἔνδεια καὶ στενότης, βασιλική ἐστιν ὁδός. ὥστε ὁ ἀδιάκριτος ὑπωπιασμός, ἢ ἡ ἄλογος συγκατάβασις, ἀσύμφορά εἰσιν, ὡς ἑκατέρωθεν παρὰ λόγον γινόμενα. καὶ ὁ ὅσιος Ἰσαάκ, ἕπεται τῇ ἀνέσει τῶν μελῶν, ἡ τῶν λογισμῶν ἔκστασις καὶ φύρσις. καὶ τῇ ἀμέτρῳ ἐργασίᾳ, ἀκηδία· καὶ τῇ ἀκηδίᾳ ἔκστασις· διαφέρει δὲ ἔκστασις ἐκστάσεως· τῇ μὲν γὰρ πρώτῃ ἐκστάσει, ἕπεται ὁ πόλεμος τῆς πορνείας· τῇ δὲ δευτέρᾳ ἡ τοῦ ἰδίου ἡσυχαστηρίου κατάλειψις, καὶ ἀπὸ τόπου εἰς τόπον μετακίνησις. τῇ δὲ ἐμμέτρῳ, καὶ ἐπιπόνως διαμενούσῃ ἐργασίᾳ, τιμὴ οὐκ ἔστι· τούτων δὲ ἡ μείωσις μέν, πληθύνει τὴν ἡδονήν· ἡ δὲ ἀμετρία, τὴν ἔκστασιν. καὶ ὁ Μέγας Μάξιμος· μὴ ὅλην τὴν σχολὴν περὶ τὴν σάρκα ἔχε· ἀλλ' ὅρισον αὐτῇ τὴν κατὰ δύναμιν ἄσκησιν· καὶ ὅλον τὸν νοῦν, περὶ τὰ ἔνδον στρέψον. ἡ γὰρ σωματικὴ γυμνασία, πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα, καὶ τὰ ἑξῆς· οὐδέπως ἡ τῆς σαρκὸς πλάστιγξ ἀνθέλκει, καὶ τυραννεῖ, καὶ βαρύνει τὴν τῆς ψυχῆς πλάστιγγα, πρὸς ῥοπὰς καὶ κινήσεις ἀτάκτους, καὶ ψυχοφθόρους καθέλκουσα, καθὸ γέγραπται, ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, καὶ τὸ πνεῦμα κατὰ τῆς σαρκός," ἀλλ' αὐτὸς ταύτην κημῷ ἐγκρατείας χαλινώσας, νέκρωσον, ἕως ἂν καὶ ἄκουσα, εὐήνιος γένηται· καὶ ὑποταγῇ τῷ κρείττονι, μεμνημένος τοῦ Μεγάλου φάσκοντος Παύλου· „ὅσον ὁ ἔξω ἡμῶν ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ τῇ ἡμέρᾳ· καὶ τοῦ Ἁγίου Ἰσαάκ, δίδου σεαυτὸν ἀποθανεῖν ἐν τοῖς ἀγωνίσμασι, καὶ μὴ ζῆν ἐν ἀμελείᾳ. οὐ μόνον γὰρ οἱ διὰ τὴν εἰς Χριστὸν πίστιν δεξάμενοι τὸν θάνατον, μάρτυρές εἰσιν, ἀλλὰ καὶ οἱ διὰ τὴν τῶν ἐντολῶν αὐτοῦ τήρησιν, ἀποθνήσκοντες. καὶ κρεῖσ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

„σον ἡμῖν θάνατος ἐν τῷ ἀγῶνι, ἢ ζῆσαι ἐν παραπτώματι“. καὶ πρό γε πάντων, μετὰ βουλῆς, καὶ ἐρωτήσεως ἔσο πάντα ποιῶν τοῦ σοῦ κατὰ Κύριον πνευματικοῦ Πατρός. οὕτω γάρ, Χριστοῦ χάριτι, καὶ τὰ ἐπαχθῆ καὶ ἀνάντη, κοῦφα, καὶ ὡς κατὰ πρανοῦς πεδίου δόξει σοι φέρεσθαι. ἀλλ' ἐπανιτέον ὅθεν ἐξήλθομεν.

Ὅπως δεῖ τὸν ἀγωνιζόμενον διέρχεσθαι τὸ μετὰ τὸ γεῦμα ἄχρι δύσεως ἡλίου διάστημα· καὶ ὅτι δεῖ πιστεύειν, κατὰ τὸν κόπον, καὶ τὸ μέτρον τῆς ἐργασίας ἡμῶν, τὴν τῶν θείων χαρισμάτων διανομὴν ἐπιδίδοσθαι ἡμῖν.

λζ΄. Μετὰ δέ γε τὸ ἀριστῆσαι ὡς δεῖ τὸν ἀγωνιζόμενον, κατὰ τὸν θεσπέσιον Παῦλον, κελεύοντα· ὅτι ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται, ἀνάγνωθι καθήμενος, ἐν τοῖς νηπτικοῖς τοπλέον συγγράμμασι τῶν πατέρων, ἱκανῶς. καὶ ἔκποτε κοιμήθητι ὥραν μίαν, εἴπερ εἰσὶν αἱ ἡμέραι μεγάλαι. εἶθ' οὕτως ἀναστάς, μικρὸν ἐργοχείρησον, κρατῶν καὶ τὴν ἡσυχίαν. μετὰ δὴ ταῦτα πρόσευξαι, ὡς προδεδήλωται· ἀνάγνωθι· μελέτησον· καὶ σπούδασον ἵνα ταπεινωθῇς, καὶ ἔχῃς σεαυτὸν ὑποκάτω πάντων ἀνθρώπων. „ὁ γὰρ ὑψῶν, φησίν, ἑαυτόν, ταπεινωθήσεται. ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. καὶ ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. καὶ ὅτι, Κύριος ὑπερηφάνοις ἀντιτάσσεται· ταπεινοῖς δὲ δίδωσι χάριν. καί, ἀρχὴ ὑπερηφανείας, τὸ μὴ εἰδέναι τὸν Κύριον. καί, ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα. καί, μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι. λέγει δὲ καὶ ὁ θεῖος Χρυσόστομος. οὗτος μάλιστά ἐστιν ὁ ἑαυτὸν εἰδώς, ὁ μηδὲν ἑαυτὸν εἶναι νομίζων. οὐδὲν γὰρ οὕτω τῷ Θεῷ φίλον, ὡς τό, μετὰ τῶν ἐσχάτων ἑαυτὸν ἀριθμεῖν. καὶ ὁ Ἅγιος Ἰσαάκ, τοῖς ταπεινόφροσιν ἀποκαλύπτονται τὰ μυστήρια. καί, ὅπου βλαστάνει ἡ ταπείνωσις, ἐκεῖ ἡ τοῦ Θεοῦ δόξα βρύει. καὶ ὅτι, πρὸ τῆς χάριτος, τρέχει ἡ ταπείνωσις. καὶ πρὸ τῆς παιδείας, τρέχει ἡ οἴησις. καὶ ὁ Ἅγιος Βαρσανούφιος· εἰ ἀληθῶς σωθῆναι θέλεις, ἄκουσον ἔργῳ· ἆρον τοὺς πόδας σου ἀπὸ τῆς γῆς, καὶ ἀνάγαγε εἰς τὸν οὐρανὸν τὸν νοῦν σου· καὶ ἐκεῖ γενηθήτω σου ἡ μελέτη νύκτα, καὶ ἡμέραν· καὶ ὅσην ἔχεις δύναμιν καταφρονήθητι· πυκτεύων ἰδεῖν σεαυτόν, ὑποκάτω παντὸς ἀνθρώπου· αὕτη ἐστὶν ἡ ἀληθινὴ ὁδός· ἐκτὸς αὐτῆς, ἄλλη οὐκ ἔστι, τῷ σωθῆναι θέλοντι ἐν τῷ ἐνδυναμοῦντι αὐτὸν Χριστῷ. τρεχέτω ὁ θέλων· τρεχέτω ὁ θέλων· τρεχέτω ὁ θέλων, ἵνα καταλάβῃ· μαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ θέλοντος ζωὴν αἰώνιον χαρίσασθαι παντὶ τῷ θέλοντι. καὶ ὁ τῆς Κλίμακος· οὐ νενήστευκα· οὐκ ἠγρύπνηκα· οὐκ ἐχαμεύνηκα, ἀλλ' ἐταπεινώθην, καὶ ἔσωσέ με συντόμως, διώκων πρὸ παντὸς ἑτέρου καὶ τὸ ἀψήφιστον, ὥς φησιν ὁ Ἅγιος Βαρσανούφιος· ὅτι τὸ ἀμεριμνῆσαι ἀπὸ παντὸς πράγματος, ποιεῖ σε προσεγγίσαι τῇ πόλει· καὶ τὸ μὴ ψηφισθῆναι ἐν ἀνθρώποις, ποιεῖ σε οἰκῆσαι τὴν πόλιν· καὶ τὸ ἀποθανεῖν ἀπὸ παντὸς ἀνθρώπου, ποιεῖ σε κληρονομῆσαι τὴν πόλιν, καὶ τοὺς θησαυρούς. καὶ εἰ σωθῆναι θέλεις, τὸ ἀψήφιστον κράτει, καὶ τρέχε πρὸς τὸ προκείμενον. ἔστι δ' αὖ κατὰ τὸν τούτου τοῦ Ἁγίου Μαθητὴν Ὅσιον Ἰωάννην, τὸ ἀψήφιστον, τὸ μὴ ἰσῶσαι ἑαυτόν τινι· καὶ τὸ μὴ εἰπεῖν περὶ καλοῦ ἔργου, ὅτι κἀγὼ τοῦτο ἐποίησα. εἶτ' αὖθις καθίσας πρόσευξαι καθαρῶς, καὶ ἀρρεμβάστως, ἕως ἂν κατα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λάβῃ τὸ ἐσωτέρας· καὶ οὕτω ψάλλε τὸ συνήθη ἑσπερινόν, καὶ ἀπόλυσον· ἐξ εἰλικρινοῦς καρδίας πιστεύων κατὰ τὸν κόπον, καὶ τὴν δι' ἀρετὴν ὀδύνην, καὶ τὸ μέτρον τῆς ἐργασίας ἡμῶν, καὶ τὴν τῶν δωρεῶν καὶ ἐπάθλων διανομὴν καὶ ἀνάρρησιν, παρὰ τοῦ Θεοῦ ἐπιβραβεύεσθαι ἡμῖν, καὶ παράκλησιν· ὥς φησιν ὁ θεῖος ψαλμῳδός· „κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου. καὶ ὁ Σωτήρ, δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. καὶ ὁ Μέγας Παῦλος· εἴπερ Χριστῷ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν. λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. λέγει δὲ καὶ ὁ τὰ θεῖα σοφὸς Μάξιμος· αἴτιον εἶναι λέγεται τῆς τῶν θείων διανομῆς ἀγαθῶν, τὸ μέτρον τῆς ἑκάστου πίστεως. καθὼς γὰρ πιστεύομεν, καὶ τὴν ἐπὶ τὸ πράττειν τῆς προθυμίας ἐπίδοσιν ἔχομεν. ὁ οὖν πράττων, κατὰ τὴν ἀναλογίαν τῆς πράξεως, ἐπιδείκνυται τὸ μέτρον τῆς πίστεως, δεχόμενος ὡς ἐπίστευσε, τὸ μέτρον τῆς χάριτος. ὁ δὲ μὴ πράττων, κατὰ τὴν ἀναλογίαν τῆς ἀπραξίας, ἐπιδείκνυται τὸ μέτρον τῆς ἀπιστίας· δεχόμενος ὡς ἠπίστησε, τὴν τῆς χάριτος στέρησιν. οὐκοῦν κακῶς ποιεῖ βασκαίνων τοῖς κατορθοῦσιν ὁ φθονερός, ἐπ' αὐτῷ σαφῶς, ἀλλ' οὐκ ἐπ' ἄλλῳ κειμένης, τῆς τοῦ πιστεύειν καὶ πράττειν. καὶ πρὸς τὸ μέτρον τῆς πίστεως ἐρχομένην εἰσδέξασθαι τὴν χάριν, ἐπιλογῆς. καὶ ἐκ ψυχῆς αἰτούμενοι, διαμεῖναι τὸν ὑπόλοιπον χρόνον ἡμῶν". καὶ αὐτὰ δὴ τὰ τέλη τῆς ζωῆς, χριστιανά· ἀνώδυνα· ἀνεπαίσχυντα· εἰρηνικά. καὶ πρὸς τούτοις ἐπιδεῖξαι ἡμᾶς καλὴν τὴν ἀπολογίαν, ἐπὶ τοῦ φοβεροῦ ἐξώτατος βήματος τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

## Ὅτι μείζων πάσης ἐργασίας, ἡ καθαρὰ προσευχή ἐστιν.

Πρὸς δὲ τοῖς δηλωθεῖσι, καὶ τοῦτο ἴσθι, ἀδελφέ, ὅτι πᾶσα μέθοδος, καὶ πᾶς κανών, εἰ βούλει δέ, καὶ πρᾶξις διάφορος, διὰ τὸ μὴ δύνασθαι ἡμᾶς ἔτι ἐν καρδίᾳ καθαρῶς καὶ ἀρρεμβάστως προσεύχεσθαι, τετύπωται οὕτω, καὶ κεκανόνισται. ἐπεί, τοῦτο, εὐδοκίᾳ καὶ χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀπαρτισθέντος, τὰ πολλά, καὶ ποικίλα, καὶ διαιρετὰ μεθέντες, τῷ ἑνί, καὶ ἑνιαίῳ, καὶ ἑνωτικῷ ἀμέσως ὑπὲρ λόγον ἑνούμεθα, ὡς εἴρηται τῷ κλεινῷ Θεολόγῳ· Θεὸς θεοῖς ἑνούμενός τε, καὶ γνωριζόμενος· ὅπερ ἐστίν, ἡ διὰ τοῦ Ἁγίου Πνεύματος ἐν καρδίᾳ· ἐνυπόστατος ἔλλαμψις· ἥτις τίκτεται, ὡς εἴρηται, ἐκ τῆς μνημονευθείσης καθαρᾶς, καὶ ἀρρεμβάστου καρδιακῆς προσευχῆς. σπάνιον δὲ τοῦτο, καὶ μόλις εἷς ἐκ χιλίων ὁ καταξιωθείς, Χριστοῦ χάριτι, προκόψαι εἰς τὴν δὴ τὴν κατάστασιν. τὸ δὲ καὶ ταύτην ὑπερπλεῦσαι, καὶ τῆς πνευματικῆς ἀξιωθῆναι προσευχῆς, καὶ τυχεῖν τῆς ἀποκαλύψεως τῶν μυστηρίων τοῦ μέλλοντος αἰῶνος, πάνυ ὀλίγων, καὶ κατὰ γενεάς, καὶ γενεὰς εὑρισκομένων, εὐδοκίᾳ τῆς χάριτος. καθάπερ γράφει καὶ ὁ Ἅγιος Ἰσαάκ· „ὥσπερ μόλις ἐκ μυριάδων ἀνθρώπων, εἷς εὑρίσκεται πληρώσας τὰς ἐντολάς, καὶ τὰ νόμιμα μικρὸν ἐνδεῶς, καὶ φθάσας εἰς τὴν τῆς ψυχῆς καθαρότητα; οὕτως εἷς ἐκ χιλίων εὑρίσκεται, καταξιωθεὶς φθάσαι μετὰ πολλῆς παραφυλακῆς, εἰς τὴν καθαρὰν προσευχήν, καὶ διαρρῆξαι τοῦτον τὸν ὅρον, καὶ τυχεῖν ἐκείνου τοῦ μυστηρίου. διότι πολλοὶ τῆς καθαρᾶς προ- λε΄.

σευχῆς οὐδαμῶς ἠξιώθησαν, ἀλλ' ὀλίγοι. πρὸς δὲ τὸ μυστήριον ἐκεῖνο τὸ μετ' ἐκείνην, καὶ πέραν, ὁ φθάσας, μόλις εὑρίσκεται γενεᾷ, καὶ γενεᾷ τῇ χάριτι τοῦ Χριστοῦ. καὶ μετ' ὀλίγα. καὶ εἰ μετὰ καθαρότητος μόλις τὶς προσεύχεται, τί εἴπωμεν περὶ τῆς πνευματικῆς; πᾶσα δὲ πνευματικὴ κατ' αὐτὴν αὖθις, κινήσεως ἠλευθέρωται· καὶ ἡ κλίνουσα κάτωθεν ἐστι τῆς πνευματικῆς“. διόπερ καὶ αὐτὸς εἰ βούλει τῶν τοιούτων καινῶν μυστηρίων, ἔργῳ, καὶ πράγματι, ἤτοι αὐτῇ τῇ πείρᾳ, ἐν Χριστῷ Ἰησοῦ καταξιωθῆναι, ἐν παντὶ καιρῷ, καὶ πάσῃ ὥρᾳ, καὶ ἐργασίᾳ σου, ἐπείγου προφθάσαι, εἰς τὸ προσεύχεσθαι ἐν καρδίᾳ, καθαρῶς καὶ ἀρρεμβάστως· ἵν' οὕτως ὡς ἐκ νηπίου θηλάζοντος, προκόψῃς εἰς ἄνδρα τέλειον· εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, καὶ μετὰ τοῦ πιστοῦ οἰκονόμου, καὶ φρονίμου, τοῦ μακαρισμοῦ, καὶ τῆς ἀναρρήσεως ἐπιτύχῃς, ὡς οἰκονομῶν ἐν κρίσει τοὺς σοὺς λόγους· ἤγουν τὸν λόγον πολιτευόμενος, ὅθεν καὶ οὐ σαλευθήσῃ εἰς τὸν αἰῶνα· καθὼς περὶ τούτου γράφει ὁ Ἅγιος Φιλήμων, οὕτως· „ἀδελφέ· εἴτε ἐν νυκτί, εἴτε ἐν ἡμέρᾳ ἀξιώσειέ σε ὁ Θεὸς καθαρῶς τοῦ προσεύξασθαι ἀπερισπάστως, μὴ προσέχῃς τῷ ἰδίῳ κανόνι· ἀλλ' ὅσησοι δύναμις ἐπεκτείνου τῷ Θεῷ κολλώμενος. καὶ αὐτὸς φωτίζει τὴν καρδίαν σου, περὶ ἐργασίας πνευματικῆς. καί τις τῶν Θεοσόφων· „εἰ θέλεις ἐν σώματι ὡς ἀσώματος Θεῷ λειτουργεῖν, εὐχὴν ἀδιάλειπτον κτῆσαι κρυπτῶς ἐν τῇ καρδίᾳ σου, καὶ γίνεται πρὸ θανάτου ἡ ψυχή σου, ὡς Ἄγγελος“. τούτοις συνᾴδοντα γράφει καὶ ὁ Ἅγιος Ἰσαάκ. ἐρωτηθεὶς γὰρ παρά τινος, τί ἐστι τὸ περιεκτικὸν τῶν κόπων ὅλων τοῦ ἔργου τούτου, δηλαδὴ τῆς ἡσυχίας, ἵνα τις καταντήσας εἰς αὐτό, μάθῃ ὅτι τὴν τελειότητα τῆς πολιτείας ἔφθασεν, ἀπεκρίθη οὕτως. „ὅταν ἀξιωθῇ τις, τῆς διαμονῆς τῆς προσευχῆς· ὅταν γὰρ φθάσῃ ταύτην, πρὸς τὴν ἄκραν πασῶν τῶν ἀρετῶν ἔφθασε. καὶ λοιπόν, κατοικητήριον τοῦ Ἁγίου Πνεύματος ἐγένετο. ἐὰν γάρ τις τὴν χάριν τοῦ Παρακλήτου ἀκριβῶς οὐκ ἐδέξατο, τὴν διαμονὴν ταύτης τῆς προσευχῆς, τελειῶσαι ἐν ἀνέσει οὐ δύναται. τὸ γὰρ πνεῦμα, φησίν, ὅταν κατοικήσῃ ἐν τινι τῶν ἀνθρώπων, οὐ παύεται ἐκ τῆς προσευχῆς. αὐτὸ γὰρ τὸ πνεῦμα, ἀεὶ προσεύχεται. τότε, οὔτε ἐν τῷ καθεύδειν αὐτόν, οὔτε ἐν ἐγρηγορότι, ἡ προσευχὴ ἐκ τῆς ψυχῆς αὐτοῦ κόπτεται· ἀλλ' ἐὰν ἐσθίῃ, καὶ ἐὰν πίνῃ, καὶ ἐὰν κοιμᾶται, καὶ ἐάν τι πράττῃ· καὶ ἕως ἐν βαθεῖ ὕπνῳ, αἱ εὐωδίαι, καὶ οἱ ἀτμοὶ τῆς προσευχῆς, ἐν τῇ καρδίᾳ αὐτοῦ ἀναδίδονται, ἀδιακόπως· καὶ χωρισμὸν τότε ἡ προσευχὴ οὐκ ἔχει· ἀλλὰ πάσας τὰς ὥρας αὐτοῦ, κἂν ἡσυχάσῃ ἔξωθεν αὐτοῦ ἡ τοιαύτη, ἀλλ' οὖν πάλιν ἡ αὐτὴ λειτουργεῖ ἐν αὐτῷ κρυπτῶς. τὴν σιωπὴν γὰρ τῶν καθαρῶν, προσευχὴν λέγει τις τῶν χριστοφόρων· ἐπειδὴ οἱ λογισμοὶ αὐτῶν, θεῖαι κινήσεις εἰσίν· αἱ κινήσεις δὲ τῆς καθαρᾶς καρδίας, καὶ διανοίας, φωναὶ πραεῖαί εἰσιν, ἐν αἷς κρυπτῶς τῷ κρυπτῷ ψάλλουσι“. Καὶ ἄλλοι δὲ πολλοὶ τῶν Θεοφόρων, ἐκ τῆς χάριτος αὐτῆς πείρᾳ μεμυσταγωγημένοι, τοιαῦτα πλεῖστα θαύματος ἄξια διέθεντο. ἅπερ καὶ διὰ τὸ τοῦ λόγου μῆκος εἰάσαμεν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Περὶ τῆς κατὰ τὸ νυχθήμερον ποσότητος τῶν γονυκλισιῶν.

λθʹ. Περὶ δέ γε ποσότητος γονυκλισιῶν, τριακοσίας ἴσμεν τὸν ἀριθμὸν, τὰς τοῖς θείοις ἡμῶν Πατράσι διωρισμένας, ἃς καὶ ὀφείλομεν ποιεῖν καθ᾽ ἕκαστον νυχθήμερον τῶν τῆς ἑβδομάδος πέντε ἡμερῶν. καὶ γὰρ ἐν παντὶ σαββάτῳ, καὶ πάσῃ Κυριακῇ· ναὶ μὴν καὶ ἐν ἄλλαις ἐξ ἔθους σεσημειωμέναις ἡμέραις, καὶ δὴ καὶ ἑβδομάσι, κατά τινας μυστικοὺς, καὶ ἀπορρήτους λόγους, χαλᾷν τοῦτον ἄγειν ἐντετάλμεθα. εἰσὶ μέντοι τινὲς ὑπερβαίνοντες τοῦτον τὸν ἀριθμόν. ἔνιοι δὲ καὶ ὑστερίζοντες, ἕκαστος καθὼς ἔχει ἰσχύος, ἢ προαιρέσεως. καὶ σὺ τοίνυν ποίει τὸ κατὰ δύναμιν· μᾶλλον γε μακάριος τυγχάνει, καὶ τοῦτο πολλάκις, ὁ ἐν πᾶσι τοῖς κατὰ Θεὸν, πάντοτε ἐκβιάζων ἑαυτόν. βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.

Ὅτι οὐ μόνον ὡς προείρηται, κατὰ τὸν ἀγῶνα, καὶ τὸ μέτρον τῆς ἡμῶν ἐργασίας, ἡ τῶν θείων διανομὴ ἐπιχορηγεῖται, ἀλλὰ καὶ κατὰ τὴν ἕξιν, καὶ ἐπιτηδειότητα, καὶ τὴν πίστιν, καὶ τὴν προσοῦσαν ἡμῖν διάθεσιν φυσικήν.

μʹ. Καὶ τοῦτο τοίνυν ἰστέον, ὡς οὐ μόνον, καθάπερ προειρήκαμεν, κατὰ τὸν ἀγῶνα καὶ τὸ μέτρον τῆς ἐργασίας ἡμῶν, ἡ τῶν θείων δωρεῶν διανομὴ ἐπιχορηγεῖται ἡμῖν, ἀλλὰ καὶ κατὰ τὴν τῆς πολιτείας ἕξιν, καὶ ἐπιτηδειότητα· ναὶ μὴν, καὶ κατὰ τὴν πίστιν ἡμῶν πρὸς τὰ προκείμενα· καὶ τὴν προσφυῶς προσοῦσαν ἡμῖν διάθεσιν φυσικήν. καὶ λέγει ὁ Ἅγιος Μάξιμος· „ὁ νοῦς, σοφίας ὄργανον· ὁ λόγος, γνώσεως· ἡ κατ᾽ ἄμφω φυσικὴ πληροφορία, τῆς κατ᾽ ἄμφω συνισταμένης πίστεως. τοῦ δὲ τῶν ἰαμάτων χαρίσματος, ἡ φυσικὴ φιλανθρωπία. πᾶν γὰρ χάρισμα θεῖον, ἐπιτήδειον ἐν ἡμῖν ἔχει καὶ προσφυὲς, ὥσπερ δύναμιν, ἢ ἕξιν, ἢ διάθεσιν, ὄργανον δεκτικόν· οἷον, ὁ τὸν νοῦν πασῶν αἰσθητῶν φαντασιῶν ποιήσας καθαρὸν, δέχεται σοφίαν· ὁ δὲ τὸν λόγον, τῶν ἐμφύτων παθῶν, θυμοῦ λέγω, καὶ ἐπιθυμίας καταστήσας δεσπότην, δέχεται γνῶσιν· ὁ δὲ τὴν κατὰ νοῦν καὶ λόγον περὶ τὸ θεῖον ἀσάλευτον πληροφορίαν ἔχων, τὴν πάντα δυναμένην δέχεται πίστιν· ὁ δὲ τὴν φυσικὴν κατορθώσας φιλανθρωπίαν, μετὰ τὴν τελείαν τῆς φιλαυτίας ἀναίρεσιν, ἰαμάτων δέχεται χαρίσματα." καὶ ταῦτα μὲν οὕτως· ὅρα δὲ, ἵνα μηδεὶς γινώσκῃ τὸ ἔργον σου, ἐκτὸς τοῦ ἐπιστατοῦντος, καὶ ὁδηγοῦντός σε· ὑπερεύχόμενος καὶ ἡμῶν τῶν ἀναξίων, τῶν λεγόντων μὲν, μὴ ποιούντων δὲ τὸ ἀγαθὸν, ἵνα καταξιωθῶμεν τοῦ ποιεῖν πρῶτον τὰ Θεῷ ἀρέσκοντα· εἶτα καὶ τοῖς ἄλλοις λέγειν, καὶ παραινεῖν. ὁ γὰρ ποιήσας καὶ διδάξας, κατὰ τὸ θεῖον λόγιον, οὗτος μέγας κληθήσεται. σὲ δ᾽ αὖθις ὁ παντοκράτωρ καὶ πανοικτίρμων Κύριος ἐνισχῦσαι, καὶ ἐνδυνάσαι, τούτων ἀκροᾶσθαι συνετῶς, καὶ ποιεῖν αὐτὰ, μετὰ πάσης ἐφέσεως. οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου, δίκαιοι παρὰ τῷ Θεῷ, κατὰ τὸν θεῖον Παῦλον, ἀλλ᾽ οἱ ποιηταί. καὶ ὁδηγῆσαι εἰς πᾶν ἔργον ἀγαθὸν, καὶ σωτήριον· καὶ πρὸς τὴν προκειμένην νοερὰν, καὶ ἱερὰν ἐργασίαν χειραγωγῆσαι ἐν πνεύματι, εὐχαῖς ἁγίων, Ἀμήν. Ἀλλ᾽ ἐπειδήπερ προλέλεκται ἡμῖν περὶ διακρίσεως μικρόν τι πρακτικῆς, εὔκαιρον ἀρτίως καὶ περὶ τῆς καθόλου, καὶ τελειοτάτης διακρίσεως, κατὰ τὸ ἐγχωροῦν, ὡς ἐν συντόμῳ διαλαβεῖν· Ἐπεὶ καὶ μείζων αὕτη πασῶν τῶν ἀρετῶν, κατὰ τοὺς κλεινοὺς ἡμῶν Πατέρας πέφυκε.

Περὶ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Περὶ τῆς καθόλου, καὶ τελειοτάτης διακρίσεως· καὶ τίς ὁ παρὰ φύσιν, καὶ σαρκικῶς ζῶν· καὶ τίς ὁ κατὰ φύσιν, καὶ ψυχικῶς· καὶ τίς ὁ ὑπὲρ φύσιν, καὶ πνευματικῶς πολιτευόμενος.

μα΄. Ὁ σαρκικῶς, καὶ παρὰ φύσιν ζῶν καὶ πολιτευόμενος, οὗτος τὸ οἰκεῖον διακριτικὸν παντελῶς ἀπώλεσεν· ὁ δὲ τῶν κακῶν ἀποχὴν μὲν ποιησάμενος, ἀρχὴν δὲ βαλὼν τοῦ ποιεῖν τὸ ἀγαθόν, ὡς γέγραπται, ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· οὗτος ὡς εἰσαγωγικός, καὶ ἔτι ὑπέχων πρὸς διδασκαλίαν, παρακύπτει μικρόν πως, πρὸς αἴσθησίν τινα διακρίσεως, καὶ ἀρχαϊκὴν πρέπουσαν. ὁ δὲ κατὰ φύσιν, καὶ ψυχικῶς, ἅτε διενεργῶν ἐν διανοίᾳ, καὶ κατὰ λόγον βιοὺς, ὃς καὶ μέσος καλεῖται, οὗτος πρὸς τὸ ἴδιον μέτρον, ὁρᾷ τε καὶ διακρίνει τά τε καθ' ἑαυτόν, καὶ τὰ τῶν ὁμοίων αὐτοῦ. ὁ δὲ ὑπὲρ φύσιν, καὶ πνευματικῶς πολιτευόμενος, οὗτος, ὡς τὸν ἐμπαθῆ, καὶ τὸν εἰσαγωγικόν, καὶ τὸν τῆς μεσότητος ὅρον ὑπερβάς, καὶ Χριστοῦ χάριτι προκόψας εἰς τὸν τέλειον, ἤγουν τὸν ἐνυπόστατον φωτισμόν, καὶ τὴν τελειοτάτην διάκρισιν, ὁρᾷ τε ἑαυτόν, καὶ διακρίνει τηλαυγέστατα· καὶ δή, καὶ πάντας ὁρᾷ, καὶ διακρίνει ἀκραιφνῶς· αὐτὸς ὑπ' οὐδενός, εἰ καὶ ὁρᾶται, ὁρώμενος, καὶ διακρινόμενος· ναὶ μὴν καὶ ἀνακρινόμενος, ὡς πνευματικός, ἀληθῶς ὢν καὶ καλούμενος, οὐ χάρτῃ, καὶ μέλανι· ἀλλὰ πράξει, καὶ χάριτι, ὡς φησιν ὁ θεῖος Ἀπόστολος· „ὅτι ὁ μὲν πνευματικός, πάντας ἀνακρίνει· αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται.

Ἔτι περὶ διακρίσεως, ὡς ἐν παραδείγματι.

Τέως, ὁ μέν, ἔοικε τῷ ὡς ἐν νυκτὶ μβ΄.
βαθείᾳ, καὶ στυγνῇ σκοτομήνῃ πορευομένῳ· ὅθεν καὶ τῷ ψηλαφητῷ σκότει περικυκλούμενος, καὶ σκοτούμενος, οὐ μόνον ἑαυτὸν οὐχ ὁρᾷ, καὶ διακρίνει, ἀλλ' οὐδὲ ποῦ ὑπάγει καὶ περιπατεῖ· „ὡς φησιν ὁ Σωτήρ· ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ, οὐκ οἶδε ποῦ ὑπάγει". ὁ δέ, νυκτὶ αἰθρίᾳ, ἄστρασιν αὐγαζομένῃ. ὅθεν καὶ ταῖς τῶν ἀστέρων μαρμαρυγαῖς μικρόν πως αὐγαζόμενος, κατ' ὀλίγον βαδίζει, προσκόπτων τοὺς πόδας πολλάκις ἐν λίθοις ἀδιακρισίας, καὶ πάσχων συμπτώματα· ἕως τούτου βραχύ τι καὶ ἑαυτὸν ὁρᾷ, καὶ διακρίνει, καὶ ὡς ἐν σκιᾷ, καθὰ γέγραπται· „ἔγειρε ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. ὁ δέ, νυκτὶ πανσελήνῳ, καὶ γαληνῇ· ὅθεν καὶ ταῖς σεληνιακαῖς βολαῖς εὐθυνόμενος, ἀπλανέστερόν τε ὁδεύει, καὶ εἰς τὸ ἔμπροσθεν ἔρχεται· ὁρᾷ τε αὐτόν, ὡς ἐν ἐσόπτρῳ, καὶ διακρίνει, καὶ τοὺς ὁμοίως συνοδεύοντας αὐτῷ, ὡς εἴρηται· καλῶς ποιεῖτε, τῷ λόγῳ δηλαδὴ προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ἡμῶν". ὁ δέ, μεσημβρίᾳ σταθερᾷ καὶ καθαρωτάτῃ, ἡλιακαῖς ἀκτῖσιν ἀκράτως φαιδρυνομένῃ· διόπερ ὁ τοιοῦτος, καὶ ἑαυτὸν εἰλικρινῶς καθορᾷ, τῷ ἡλιακῷ φωτί, καὶ διακρίνει· καὶ τοὺς πολλοὺς ἀνακρίνει· μᾶλλον δὲ καὶ τοὺς πάντας, κατὰ τὸν θεῖον Ἀπόστολον· ναὶ μήν, καὶ πάντα τὰ παρεμπίπτοντα αὐτῷ χρειῶν ὁποιαδήτινα ὁπωσδήποτε, ἀπλανῶς αὐτός τε πορευόμενος, καὶ τοὺς ἑπομένους αὐτῷ, ἀπταίστως ὁδηγῶν, πρὸς τὸ ὄντως φῶς, καὶ τὴν

ζωήν,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ζωὴν, καὶ τὴν ἀλήθειαν· περὶ ὧν καὶ
γέγραπται· ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.
„ λέγει δὲ καὶ ὁ θειότατος Παῦλος·
„ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμ-
„ ψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις
„ ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως
„ τῆς δόξης τοῦ Θεοῦ, ἐν προσώπῳ Ἰη-
„ σοῦ Χριστοῦ. καὶ ὁ Μακάριος Δαβίδ·
„ ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προ-
„ σώπου σου Κύριε. καὶ, ἐν τῷ φωτί σου
„ ὀψόμεθα φῶς. καὶ ὁ Κύριος, ἐγώ
„ εἰμι τὸ φῶς τοῦ κόσμου, ὁ ἀκολουθῶν
„ ἐμοί, οὐ μὴ περιπατήσει ἐν τῇ σκο-
„ τίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς.

Περὶ τροπῆς, καὶ ἀλλοιώσεως τῆς πρὸς
ἕκαστον, καὶ τοῦ ὑπερέχοντος κλέους τῆς
ταπεινώσεως.

μ. γ'. Εἰδέναι δέ σε καὶ τοῦτο βουλόμεθα, ὡς
καὶ οἱ εἰς τὸ τέλειον διὰ καθάρσεως, καὶ
φωτισμοῦ, καθὼς ἔχει δυνάμεως, πεφθα-
κότες, οὐ γάρ ἐστι τελεία τελείωσις ἐν
τῷ ἀτελεῖ αἰῶνι, ἀλλὰ μᾶλλον ἀτέλε-
στος τελειότης. καὶ οἱ τοιοῦτοι τοίνυν, οὐ
πάντοτε μεθ' ἑαυτῶν τὸ ἀναλλοίωτον ἔχου-
σι, διά τε τὴν φυσικὴν ἀσθένειαν, καὶ
τὴν * ἐφέρπουσαν ἐνίοτε αἴνησιν. ἀλλὰ
γὰρ καὶ ἀλλοιώσεις, καὶ κλοπὰς, πρὸς
δοκιμασίαν ἔσθ' ὅτε πάσχουσι. καὶ αὖθις
δὲ ἀντιλήψεις εἰσδέχονται μείζονας· καὶ
ὃ δὲ τούτοις ἐναντίον, μέρος τῶν λύκων
οἱ πατέρες εἶναι ὁρίζονται. ἡ γὰρ ἀτρε-
ψία, καὶ τὸ ἀναλλοίωτον ἐν αἰῶνι τῷ μέλ-
λοντι συντετήρηται. ἐν δέ γε τῷ παρόν-
τι, ὁτὲ μὲν, καθαρότητος, εἰρήνης τε,
καὶ παρακλήσεως θείας καιρός· ὁτὲ δὲ
φύρσεως, καὶ ζάλης, καὶ κατηφείας. καὶ
τοῦτο δὲ πρὸς τὸ μέτρον τῆς ἑκάστου πολι-
τείας, καὶ προκοπῆς, καὶ οἷς οἶδεν ὁ Κύ-
ριος κρίμασι· ναὶ μὴν, καὶ, ἵνα διὰ τού-
των τὸ ἀσθενὲς ἡμῶν τεκμαιρόμενοι·
„ Μακάριος γάρ, φησιν, ὁ γινώσκων τὴν

* ἴσ. ὑφέρπουσαν

„ ἑαυτοῦ ἀσθένειαν, μὴ πεποιθότες ὦμεν
„ ἐφ' ἑαυτοῖς, κατὰ Παῦλον· ἀλλ' ἐπὶ τῷ
„ ἐγείροντι τοὺς νεκρούς". καὶ οὕτω διηνε-
κῶς, ἐν ταπεινώσει καὶ μετανοίᾳ, καὶ ἐξο-
μολογήσει, πρὸς Θεὸν ἀνατρέχωμεν. „ καὶ
„ λέγει ὁ Ἅγιος Ἰσαὰκ, κατὰ μίαν καὶ
„ μίαν, ποσάκις παραβαίνουσί τινες, καὶ
„ ἐν τῇ μετανοίᾳ, ἰατρεύουσι τὰς ψυ-
„ χὰς αὐτῶν· καὶ ἡ χάρις ὑποδέχεται
„ αὐτούς. ἐν πάσῃ γὰρ τῇ φύσει τῇ
„ λογικῇ, ἡ τροπὴ ἀδιακρίτως διέρχε-
„ ται. καὶ ἀλλοιώσεις διέρχονται κατὰ παν-
„ τὸς ἀνθρώπου, ἐν πάσαις ταῖς ὥραις
„ αὐτοῦ· ἐξ ὧν πολλῶν διέρχεται ὁ δια-
„ κριτικὸς συνιέναι τοῦτο· ἀλλ' αἱ δοκι-
„ μασίαι αἱ μετ' αὐτοῦ καθ' ἑκάστην ἡ-
„ μέραν, μάλιστα δύνανται σοφίσαι αὐ-
„ τὸν ταῦτα, ἐὰν νήφῃ· ἵνα καὶ παρατη-
„ ρήσηται ἑαυτὸν ἐν τῷ νῷ, καὶ μάθῃ
„ πόσην ἀλλοίωσιν πρᾳότητος καὶ ἐπιει-
„ κείας ὑποδέχεται ἡ διάνοια καθ' ἑκά-
„ στην ἡμέραν· καὶ πῶς ἐκ τῆς εἰρήνης
„ αὐτῆς, ἐξαίφνης εἰς θόλωσιν στρέφε-
„ ται, ὅταν αἰτία τις ἐκ τόπου μὴ ἔστιν
„ αὐτῷ· καὶ πῶς ἐν κινδύνῳ μεγάλῳ καὶ
„ ἀρρήτῳ γίνεται. καὶ τοῦτό ἐστιν, ὅπερ ὁ
„ μακάριος Μακάριος ἔγραψε φανερῶς
„ ἐν πολλῇ προνοίᾳ, καὶ σπουδῇ, εἰς
„ μνήμην τῶν ἀδελφῶν καὶ διδασκαλίαν,
„ τοῦ μὴ ἐκκλῖναι, ἐν τῷ καιρῷ τῆς
„ ἀλλοιώσεως τῶν ἐναντιώσεων, εἰς τὴν
„ ἀπόγνωσιν, ὅτι τοῖς ἐν τῇ τάξει τῆς
„ καθαρότητος ἱσταμένοις, ἀεὶ συμβαίνει
„ αὐτοῖς πτώματα, καθὼς συμβαίνει τῷ
„ ἀέρι, ψύξις· καὶ χωρὶς τοῦ εἶναι αὐ-
„ τοὺς ἐν ἀμελείᾳ, ἢ ἐν λύσει· οὐ μὴν
„ δὲ, ἀλλὰ καὶ ἡνίκα κατὰ τάξιν αὐτῶν
„ πορεύονται, συμβαίνει αὐτοῖς πτώμα-
„ τα, ἐναντιούμενα τῷ σκοπῷ τοῦ ἑαυ-
„ τῶν θελήματος. καὶ παρακατιών· τί
„ οὖν ἐστιν ἄρτι; ἀλλοιώσεις, φησί, γί-
„ νονται εἰς ἕκαστον κατὰ τὸν ἀέρα. σύνες
„ ἐκεῖνο τὸ, εἰς ἕκαστον· ὅτι καὶ ἡ φύ-

„ σις,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

„σις, μία ἐστίν. ἵνα γὰρ μὴ νομίσῃς, ὅτι περὶ τῶν ὑποδεεστέρων καὶ ἐλαχίστων μόνων εἶπε, καὶ οἱ τέλειοι ἐλεύθεροι τῆς ἀλλοιώσεως, καὶ ἐν μιᾷ τάξει ἀκλινῶς ἵστανται ὄντες, χωρὶς ἐμπαθῶν λογισμῶν, καθὼς καὶ οἱ εὐχῖται λέγουσι, διὰ τοῦτο ἔθηκε τό, εἰς ἕκαστον. πῶς οὖν τοῦτο ὦ μακάριε; ὅμως σὺ λέγεις, τὸ ψῦχος, καὶ μετὰ μικρόν, καύσων· καὶ ἴσως χάλαζα· καὶ μετ' ὀλίγον, εὐδία. καὶ ἐν τῇ γυμνασίᾳ ἡμῶν, οὕτω γίνεται· πόλεμος, καὶ ἀντίληψις τῆς χάριτος· καὶ ἐν καιρῷ, γίνεται ἡ ψυχὴ ἐν χειμῶνι· καὶ ἐπανίστανται ἐπ' αὐτήν, κύματα σκληρά. καὶ πάλιν ἀλλοίωσις, ἐπισκεπτομένης τῆς χάριτος, καὶ πληρούσης τὴν καρδίαν αὐτοῦ, χαρᾶς τε, καὶ εἰρήνης τῆς ἀπὸ τοῦ Θεοῦ· καὶ λογισμῶν σωφρόνων καὶ εἰρηνικῶν· τούτους τοὺς λογισμοὺς τῆς σωφροσύνης ἐμφαίνει ὧδε, αἰνιττόμενος τοὺς πρὸ τούτου, κυνώδεις ὄντας, καὶ ἀκαθάρτους. καὶ παραινεῖ λέγων· ἐὰν οὖν μετὰ τούτους τοὺς λογισμοὺς τοὺς σώφρονας, καὶ ἐπιεικεῖς, ἀκολουθῇ ἐπιφορά, μὴ λυπηθῶμεν καὶ ἀπογνῶμεν“. καὶ ἐν τῇ ὥρᾳ τῆς ἀναπαύσεως τῆς χάριτος, μὴ καυχησώμεθα πάλιν. ἀλλ' ἐν τῷ καιρῷ τῆς χαρᾶς, ἐκδεξώμεθα τὴν θλίψιν. καὶ προϊών· γνῶθι ὅτι πάντες οἱ Ἅγιοι, ἐν τούτῳ τῷ ἔργῳ ἐγένοντο. ὅσον ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ, καὶ ἡ παράκλησις ἡ περιοστή, μετὰ τούτων γίνεται ἡμῖν ἐν τῷ κρυπτῷ. διότι ἐν πάσῃ ἡμέρᾳ, καὶ ἐν πάσῃ ὥρᾳ, ἐκζητεῖται παρ' ἡμῶν, ἡ δοκιμὴ τῆς πρὸς Θεὸν ἀγάπης ἡμῶν, ἐν πάλῃ καὶ ἀγῶνι, πρὸς τοὺς πειρασμούς. καὶ τοῦτό ἐστι τὸ μὴ λυπεῖσθαι ἡμᾶς, τὸ μὴ ἀκηδιᾶν τῷ ἀγῶνι. καὶ οὕτω κατευθύνεται ἡ ὁδὸς ἡμῶν. ὁ δὲ θέλων ἐκ τούτων ξαπλῶσαι, ἢ κλῖναι, οὗτος τῶν λύκων μέρος ἐστίν. ὢ θαῦμα ἐκ τούτου τοῦ Ἁγίου· „πῶς ἐν λόγῳ μικρῷ, ἐβεβαίωσε τὴν χρῆσιν ταύτην, καὶ ἀπέδειξεν αὐτὴν πεπληρωμένην συνέσεως, καὶ ἐξέβαλε τὸν δισταγμὸν τελείως, ἐκ τῆς διανοίας τοῦ ἀναγινώσκοντος. ἐκεῖνος δέ, φησίν, ὁ ἐκκλίνων ἐκ τούτου, καὶ μέρος τῶν λύκων ὤν, ἐν οὐχ ὁδῷ θέλει πορεύεσθαι. καὶ τοῦτο ἔθηκεν ἐν τῇ διανοίᾳ αὐτοῦ κτήσασθαι, καὶ ἐν τρίβῳ ἰδικῇ, τῇ μὴ πατηθείσῃ ὑπὸ τῶν Πατέρων, πορεύεσθαι βούλεται. καὶ μετὰ μικρόν· ἡ ταπείνωσις, καὶ χωρὶς ἔργων, πολλὰ συγχωρεῖ πλημμελήματα· ταῦτα δέ, χωρὶς αὐτῆς, διὰ τῆς ἐναντίας ἀνωφελῆ εἰσί. καὶ μετὰ βραχύ· καθάπερ ἅλας τῇ τροφῇ, οὕτως ἡ ταπείνωσις πάσῃ ἀρετῇ· καὶ ἰσχὺν πολλῶν ἁμαρτημάτων αὕτη δύναται συντρῖψαι· ὑπὲρ ταύτης λοιπὸν χρεία τοῦ λυπεῖσθαι ἀδιαλείπτως κατὰ διάνοιαν, ἐν ταπεινότητι· καὶ ἐν τῇ λύπῃ τῆς διακρίσεως· καὶ ταύτην ἐὰν κτησώμεθα, Υἱοὺς ἡμᾶς ποιεῖ τοῦ Θεοῦ· καὶ χωρὶς ἔργων ἀγαθῶν παρίστᾳ ἡμᾶς τῷ Θεῷ· διότι χωρὶς ταύτης, πάντα τὰ ἔργα ἡμῶν, μάταιά εἰσι· καὶ πᾶσαι αἱ ἀρεταί· καὶ πᾶσαι αἱ ἐργασίαι. λοιπὸν τὴν ἀλλοίωσιν τῆς διανοίας θέλει ὁ Θεός· καὶ ἐν διανοίᾳ βελτιούμεθα· αὐταρκεῖ αὕτη μόνη ἀβοηθήτως ἵστασθαι ἐνώπιον τοῦ Θεοῦ· καὶ λαλεῖν ὑπὲρ ἡμῶν. ἔτι φησίν, εἶπέ τις τῶν Ἁγίων· ὅταν ἔλθῃ σοι ὁ λογισμὸς τῆς ὑπερηφανίας, λέγων σοι, μνημόνευσον τῶν ἀρετῶν σου, εἰπέ, γέρον, βλέπε τὴν πορνείαν σου.

Περὶ μετανοίας· καθαρότητος· καὶ τελειότητος.

„Τελειότης παντὸς δρόμου, ἐν τοῖς τρισὶ τούτοις ἐστίν. ἐν τῇ μετανοίᾳ, μδ'.

„καὶ τῇ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

„καὶ τῇ καθαρότητι, καὶ τῇ τελειότητι. τί δ' ἐστιν ἡ μετάνοια; καταλεῖψαι τὰ πρότερα, καὶ λυπεῖσθαι ὑπὲρ αὐτῶν. καὶ τί ἐστιν ἡ καθαρότης συντόμως; καρδία ἐλεήμων ὑπὲρ πάσης κτιστῆς φύσεως. καὶ τί ἐστιν ἡ τελειότης; βάθος ταπεινώσεως· ὅπερ ἐστί, κατάλειψις πάντων ὁρατῶν τε καὶ ἀοράτων. ὁρατῶν μέν, πάντων τῶν αἰσθητῶν· ἀοράτων δέ, τῶν νοητῶν· καὶ ἐκτὸς μερίμνης τῆς ὑπὲρ αὐτῶν. ἔτι, μετάνοιά ἐστι, διπλῆ νέκρωσις ἑκουσίως ἐκ πάντων. καρδία ἐλεήμων ἐστί, καῦσις καρδίας ὑπὲρ πάσης τῆς κτίσεως· ὑπὲρ τῶν ἀνθρώπων· καὶ τῶν ὀρνέων· καὶ τῶν ζώων· καὶ τῶν δαιμόνων, καὶ ὑπὲρ παντὸς κτίσματος. καὶ πάλιν· ὅσον ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ καὶ ἐν τῇ σαρκὶ καταλελειμμένοι, ἐὰν ἕως τῆς ἀψίδος τῶν οὐρανῶν ὑψωθῶμεν, χωρὶς ἔργων, καὶ μόχθου γενέσθαι ἡμᾶς, ἐν ἀμεριμνίᾳ τε εἶναι, οὐ δυνάμεθα. τοῦτό ἐστι τὸ τελείωμα, συγχώρησόν μοι· τὸ πλέον δὲ τούτου, μελέτη ἐστί· τουτέστι χωρὶς διανοίας. καὶ ὁ Ἅγιος Μάξιμος· ἡ κατ' ἀρετὴν φιλοσοφία, γνώμης ἀπάθειαν, ἀλλ' οὐ φύσεως ἐργάζεσθαι πέφυκε· καθ' ἣν δηλαδὴ τὴν γνωμικὴν ἀπάθειαν, ἡ κατὰ νοῦν τῆς θείας ἡδονῆς ἐπιγίνεται χάρις. καὶ αὖθις· ὁ λύπης, καὶ ἡδονῆς σαρκὸς πεῖραν λαβών, λέγοιτ' ἂν δόκιμος, ὡς εὐχερείας, καὶ δυσχερείας τῶν περὶ σάρκα πραγμάτων πεπειραμένος. τέλειος δέ, ὁ τὴν ἡδονὴν τῆς σαρκός, καὶ τὴν ὀδύνην, τῇ τοῦ λόγου δυνάμει καταπαλαίσας. ὁλόκληρος δέ, ὁ τὰς κατὰ τὴν πρᾶξιν καὶ τὴν θεωρίαν ἕξεις, ἀτρέπτως τῇ περὶ τὸ θεῖον συντονίᾳ διατηρήσας". διὰ δὴ ταῦτα, καὶ μείζων πασῶν τῶν ἀρετῶν ἡ διάκρισις εἶναι διώρισται, ὡς, ἐν οἷς ἂν ἐγγένηται, διδασκαλίᾳ Θεοῦ, ἐξὸν τῷ θείῳ φωτὶ αὐγαζομένοις, καὶ θεῖα, καὶ ἀνθρώπινα διακρίνειν ἠκριβωμένως πράγματα, καὶ μυστικά, καὶ ἀπόκρυφα θεάματα. εἶεν· ἄρα δὲ καθεξῆς μικρόν πως ὡς ἐφικτὸν διαμεθοδεῦσαί σοι, καὶ τὴν τῆς προεπηγγελμένης ἱερᾶς, καὶ θεοποιοῦ ἡσυχίας ἀρχήν, οἱονεὶ ἐκδηλότερον. ὁ δὲ Θεὸς ἡγείσθω καὶ τῶν ἤδη ῥηθησομένων.

### Περὶ τῶν πέντε ἐργασιῶν τῆς πρώτης καὶ οἷον εἰσαγωγικῆς ἡσυχίας τῶν ἀρχαρίων· ἤγουν προσευχῆς· ψαλμῳδίας· ἀναγνώσεως· μελέτης, καὶ ἐργοχείρου.

με΄. Διὰ πέντε ἐργασιῶν, δι' ὧν ὁ Θεὸς θεραπεύεται, ὀφείλει ὁ ἐν ἡσυχίᾳ ἀρχάριος διέρχεσθαι τὸ νυχθήμερον, δηλαδὴ ἐν προσευχῇ, ἤτοι μνήμῃ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ διηνεκῶς * εἰσαγομένῃ [* ἐν ἄλλ. προσαγομένῃ], ὡς προείρηται διὰ πνοῆς ῥινὸς ἐν τῇ καρδίᾳ ἠρέμα, καὶ αὖθις οὕτως ἐξαγομένῃ· μεμυκότων χειλέων, δίχα τῆς οἱασοῦν ἄλλης ἐννοίας, καὶ φαντασίας, ἥτις διὰ ἐγκρατείας περιεκτικῆς γαστρὸς φαμέν, ὕπνου τε, καὶ τῶν ἄλλων αἰσθήσεων, ἔνδον τοῦ κελλίου, σὺν ταπεινώσει εἰλικρινεῖ κατορθοῦται. ἐν ψαλμῳδίᾳ· ἐν ἀναγνώσει ἔκ τε τοῦ ἱεροῦ ψαλτηρίου, ἀποστόλου, καὶ τῶν ἁγίων Εὐαγγελίων· τῶν τε συγγραμμάτων τῶν θεοφόρων, καὶ Ἁγίων Πατέρων· καὶ μάλιστα τῶν περὶ προσευχῆς, καὶ νήψεως κεφαλαίων· πρὸς δέ, καὶ τῶν λοιπῶν ἐνθέων λογίων τοῦ πνεύματος, ἐν ἐμπόνῳ καρδίας μνήμῃ τῶν ἁμαρτημάτων, καὶ ἐν μελέτῃ κρίσεως Θεοῦ, ἢ θανάτου, ἢ κολάσεως, ἢ ἀπολαύσεως, καὶ τῶν ὁμοίων. καὶ ἐν ἐργοχείρῳ μικρῷ ὡς ἀκηδίας φιμώτρῳ, καὶ πάλιν ἐπανακάμπτειν εἰς προσευχήν, κἂν βίαν ἔχῃ τὸ πρᾶγμα· ἕως οὗ ἐθίσῃ ὁ νοῦς, τὸν ἴδιον ῥεμβασμὸν ἀποτίθεσθαι



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ῥᾳδίως τῇ πρὸς τὸν Κύριον Ἰησοῦν Χριστὸν ἀδολεσχίᾳ ὁλικῇ, καὶ μνήμῃ διηνεκεῖ, καὶ τῇ πρὸς τὸ ἔνδον ταμεῖον, ἤγουν τὸν περὶ τῆς καρδίας ἀπόκρυφον χῶρον, συνεχεῖ ἐπιδόσει, καὶ ἐρριζωμένῃ πεπηγυίᾳ. ,, γράφει καὶ γὰρ ὁ Ἅγιος Ἰσαάκ· ,, σπούδασον εἰσελθεῖν εἰς τὸ ταμεῖον τὸ ,, ἔνδοθέν σου, καὶ ὄψει τὸ ταμεῖον τὸ οὐ- ,, ράνιον. ἓν γάρ ἐστι τοῦτο κἀκεῖνο· καὶ ,, ἐν μιᾷ εἰσόδῳ θεωρεῖς τὰ ἀμφότερα. ,, καὶ ὁ Ἅγιος Μάξιμος, ἡ καρδία ἡγε- ,, μονεύει ὅλου τοῦ ὀργάνου, καὶ ἐπὰν κα- ,, τάσχῃ τὰς νομὰς τῆς καρδίας ἡ χάρις, ,, βασιλεύει ὅλων τῶν λογισμῶν, καὶ ,, τῶν μελῶν. ἐκεῖ γάρ ἐστιν ὁ νοῦς, καὶ ,, πάντες οἱ λογισμοὶ τῆς ψυχῆς. ἐκεῖ ,, τοίνυν δεῖ σκοπεῖν· εἰ ἐνέγραψεν ἡ ,, χάρις τοῦ Παναγίου Πνεύματος τοὺς ,, νόμους. ,, ἐκεῖ· ποῦ; ἐν τῷ ἡγεμονικῷ ὀργάνῳ· ἐν τῷ τῆς χάριτος θρόνῳ, ὅπου ὁ νοῦς, καὶ τῆς ψυχῆς πάντες οἱ λογισμοί· ἐν τῇ καρδίᾳ δηλαδή.

Ὅθεν ἄρχεσθαι δεῖ τοὺς ἐθέλοντας κατὰ λόγον ἡσυχάσαι· καὶ τίς ἡ ἀρχή, καὶ ἡ αὔξησις, καὶ ἡ προκοπή, καὶ ἡ τελείωσις.

μϛʹ. Αὕτη ἡ ἐργασία τῶν ἀρχαίων Μοναχῶν, ἡ πρώτη, καὶ οἷον εἰσαγωγικὴ τῶν ᾑρημένων κατὰ λόγον ἡσυχάσαι. ἀρχομένων μὲν ἀπὸ φόβου Θεοῦ, καὶ ἐκπληρώσεως τῆς κατὰ δύναμιν πασῶν τῶν θεοποιῶν ἐντολῶν· ἀμεριμνίας δὲ εὐλόγων, καὶ ἀλόγων πραγμάτων. καὶ πρό γε, πίστεως καὶ ὑποφυγῆς τῶν ἐναντίων παντελοῦς, καὶ πρὸς τὸ ὄντως ὂν ἀκραιφνοῦς διαθέσεως· ὡς προείρηται. αὐξανομένων δὲ ἐλπίδι ἀκαταισχύντῳ, καὶ εἰς μέτρον ἡλικίας προβαινόντων τοῦ πληρώματος τοῦ Χριστοῦ, τῷ διὰ προσευχῆς καρδιακῆς καθαρᾶς, καὶ ἀρρεμβάστου ἐγγινομένῳ, ὁλικῷ ἐνθέῳ, καὶ διαφόρῳ ἔρωτι, καὶ ὑπὸ τελειουμένων, τῇ ἀκινήτῳ καὶ ἀκλινεῖ πνευματικῇ προσευχῇ, καὶ τῇ ἐκ τῆς τελείας ἀγάπης πηγαζομένῃ πρὸς μόνον μόνη ἀμέσῳ ἐκστάσει, ἁρπαγῇ τε, καὶ ἐνώσει τοῦ ἄκρου ἐφετοῦ· ὅπερ ἐστὶν ἡ διὰ πράξεως πρὸς θεωρίαν ἀπλανὴς προκοπὴ καὶ * ἀνάστασις· ἥνπερ παθὼν καὶ ὁ Θεοπάτωρ Δαβίδ, καὶ ἀλλοιωθεὶς τὴν μακαρίαν ἐκείνην ἀλλοίωσιν μέγα ἀνεβόησεν. ,, Ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου ,, πᾶς ἄνθρωπος ψεύστης. καὶ ἕτερος τῶν ,, ἐν τῇ παλαιᾷ διαπρεψάντων· ὀφ- ,, θαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, ,, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ,, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν ,, αὐτόν. καὶ τοῦτο συμπεραίνων ὁ Μέγας ,, Παῦλος ἐπάγει, τό, ἡμῖν δὲ ἀπε- ,, κάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ. τὸ ,, γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ ,, βάθη τοῦ Θεοῦ.

* ἤ, αἴσθησις

Περὶ τάξεως ἡσυχίας ἀρχαρίων.

μζʹ. Ὁ τοίνυν ὡς προείπομεν ἀρχάριος ὀφείλει μὴ συνεχῶς ἐξέρχεσθαι τῆς αὐτοῦ κέλλης. ὁμιλίας τε, καὶ θεωρίας ἀπέχεσθαι πάντων, ἢ μὴ διὰ πολλὴν ἀνάγκην, καὶ τότε μετὰ προσοχῆς καὶ ἀσφαλείας, καὶ σπανίως. ,, ὥς φησιν ὁ θεῖος ,, Ἰσαάκ· περὶ παντὸς πράγματος αὕτη ,, ἡ μνήμη ἐμμενέτω ἐν σοί, ὅτι κρείτ- ,, των ἐστὶν ἡ βοήθεια ἡ ἐκ τῆς παρα- ,, φυλακῆς, ὑπὲρ τὴν βοήθειαν τὴν ἐξ ,, ἔργων. ,, καὶ ὅτι γε, μὴ μόνον ἀρχαρίοις, ἀλλὰ καὶ αὐτοῖς τοῖς προκόπτουσιν ἤδη σκορπισμόν, καὶ διάχυσιν τὰ τοιαῦτα προξενεῖ, ὡς ὁ αὐτὸς αὖθις Ἅγιος Ἰσαὰκ φησίν· ,, ὅτι ἡ ἀνάπαυσις τοὺς νέους ,, βλάπτει μόνον· ἡ δὲ λύσις καὶ τοὺς ,, νέους, καὶ τοὺς γέροντας. καὶ ἡ ἡσυχία τὰς ,, ἔξω αἰσθήσεις νεκροῖ· καὶ τὰς ἔσω κι- ,, νήσεις ἐγείρει. ἡ δὲ ἔξω ἀναστροφὴ τὰ ,, ἐναντία τούτων πράττει· ἤγουν τὰς ἔξω

,, αἰσθή-

„ αἰσθήσεις ἐγείρει, καὶ τὰς ἔσω κινήσεις „ νεκροῖ. „ Καὶ ὁ μὲν τὴν πρᾶξιν ταύτην καὶ τὴν κατὰ τὸ εὖ πράττειν ὁδὸν τῆς ἡσυχίας οὕτως εἰπὼν ὑπεμφαίνει· ὁ δὲ τῆς Κλίμακος, τὸν κατὰ τὴν τρίβον καλῶς πράττοντα, καὶ βαδίζοντα διὰ τῶν ἑξῆς ἐπισημαίνει γράφων· „ ἡσυχαστής „ ἐστιν ὁ τὸ ἀσώματον ἐν σωματικῷ οἴ- „ κῳ περιορίζειν φιλονεικῶν, τὸ παρα- „ δοξότατον. Καὶ ἡσυχαστής ἐστιν ἐκεῖνος ὁ „ εἰπών· ἐγὼ καθεύδω καὶ ἡ καρδία μου „ ἀγρυπνεῖ. Καὶ κλεῖε μὲν θύραν κέλλης σώματι, καὶ θύραν γλώττης φθέγματι, καὶ ἔνδον πύλην πνεύμασιν.

Περὶ τῆς διὰ προσοχῆς, καὶ νήψεως προσευχῆς καρδιακῆς, καὶ τῆς ἐργασίας αὐτῆς.

μη'. Ἡ σὺν προσοχῇ, καὶ νήψει γινομένη ἔνδον καρδίας, ὡς εἴρηται προσευχή, χωρὶς ἄλλης ἐννοίας, δηλονότι, καὶ φαντασίας τῆς οἱασοῦν. διὰ μὲν τοῦ Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ, πρὸς αὐτὸν τὸν μνημονευόμενον Κύριον Ἰησοῦν Χριστὸν ἀΰλως, καὶ ἀλαλήτως παντάπασιν ὁ νοῦς ἀνατείνεται. διὰ δὲ τοῦ ἐλέησόν με παλινδρομεῖ, καὶ κινεῖται πρὸς ἑαυτὸν ὡς οὐκ ἀνεχόμενος ἑαυτοῦ μὴ ὑπερεύχεσθαι. πρὸς ἀγάπην δὲ προκόψας διὰ πείρας ἑνικῶς, τὸ καθόλου πρὸς αὐτὸν τὸν Κύριον Ἰησοῦν Χριστὸν ἀνατείνεται· τοῦ δευτέρου πληροφορίαν ἐναργῆ λαβών.

Ὅπως τὴν προσευχὴν οἱ θεῖοι Πατέρες παρέδωσαν λέγειν ἡμᾶς· καὶ ὅτι διαφόρως, καὶ τίς ἡ προσευχή.

μθ'. Διόπερ οὐκ ἀεὶ τὴν προσευχὴν ὁλόκληρον οἱ θεῖοι Πατέρες πάντες παραδιδόντες φαίνονται· ἀλλ' ὁ μέν, ὁλόκληρον, ὁ δέ, τὸ ἥμισυ· ὁ δέ, ἀπὸ μέρους· καὶ ἕτερος, ἑτέρως, πρὸς τὴν τοῦ προσευχομένου ἴσως δύναμιν καὶ κατάστασιν. καὶ ὁ μὲν θεῖος Χρυσόστομος ὁλόκληρον αὐτὴν παραδίδωσιν οὕτω λέγων· „ Παρα- „ καλῶ ὑμᾶς ἀδελφοὶ τὸν κανόνα τῆς „ προσευχῆς μηδέποτε καταπατήσητε· „ ἢ καταφρονήσητε". ἤκουσα γάρ ποτε τῶν Πατέρων λεγόντων· ὅτι ποῖος ἐκεῖνος ὁ μονάζων, ἐὰν τὸν κανόνα καταφρονήσῃ, ἢ καταπατήσῃ. ἀλλὰ ὀφείλει εἴτε ἐσθίει, εἴτε πίνει, εἴτε καθέζεται, εἴτε διακονεῖ, εἴτε ὁδεύει, εἴτε τι ἕτερον ποιῇ ἀδιαλείπτως κράζειν, τό· Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με, ἵνα αὕτη ἡ μνήμη τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐρεθίσῃ πρὸς πόλεμον τὸν ἐχθρόν. πάντα γὰρ διὰ τῆς μνήμης ἔχει εὑρεῖν ἡ βιαζομένη ψυχή, εἴτε πονηρά, εἴτε ἀγαθά. Πρῶτον δὲ τὸ κακὸν ἔχει ἰδεῖν ἔσωθεν ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ τότε τὰ καλά. ἡ γὰρ μνήμη ἔχει κινῆσαι τὸν δράκοντα, καὶ ἡ μνήμη ἔχει αὐτὸν ταπεινῶσαι. ἡ μνήμη ἐλέγξαι τὴν ἐν ἡμῖν οἰκοῦσαν ἁμαρτίαν· καὶ ἡ μνήμη ἔχει αὐτὴν δαπανῆσαι καὶ κινῆσαι πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ ἐν τῇ καρδίᾳ· καὶ ἡ μνήμη ἔχει αὐτὴν νικῆσαι καὶ ἐκριζῶσαι κατὰ μέρος. ἵνα τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ κατερχόμενον εἰς τὸ βάθος τῆς καρδίας, τὸν μὲν δράκοντα τὸν κρατοῦντα τὰς νομὰς ταπεινώσῃ· τὴν δὲ ψυχὴν σώσῃ καὶ ζωοποιήσῃ. ἀδιαλείπτως τοίνυν παράμενε τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ· ἵνα καταπίῃ ἡ καρδία τὸν Κύριον, καὶ ὁ Κύριος τὴν καρδίαν, καὶ γένωνται τὰ δύο εἰς ἕν. ἀλλὰ τὸ ἔργον τοῦτο οὐκ ἔστι μιᾶς ἡμέρας, ἢ δύο, ἀλλὰ χρόνου πολλοῦ, καὶ καιροῦ. πολλοῦ γὰρ ἀγῶνος, καὶ χρόνου χρεία, ὅπως ἐκβληθῇ ὁ ἐχθρός, καὶ ἐνοικήσῃ ὁ Χριστός. καὶ αὖθις· „ χρὴ ἀσφαλίζεσθαι, καὶ ἡνιο- „ χεῖν τὸν νοῦν, καὶ χαλιναγωγεῖν αὐτόν, „ καὶ πάντα λογισμόν, καὶ πᾶσαν τοῦ πο- „ νηροῦ ἐνέργειαν κολάζειν διὰ τῆς ἐπι-

„ κλήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι„ στοῦ ". καὶ ὅπου τὸ σῶμα ἵσταται, ἐκεῖ ἔσω καὶ ὁ νοῦς· ἵνα μέσον τοῦ Θεοῦ, καὶ τῆς καρδίας μηδὲν ἕτερον εὑρίσκηται ὡς μεσότειχον, ἢ φραγμὸς ἐπισκοτῶν τὴν καρδίαν, καὶ χωρίζον τὸν νοῦν ἀπὸ τοῦ Θεοῦ. ἐὰν δὲ καί ποτε ἁρπάξῃ τὸν νοῦν, οὐ χρὴ τοῖς λογισμοῖς ἐγχρονίζειν, ἵνα μὴ ἡ συγκατάθεσις τῶν λογισμῶν εἰς πρᾶξιν αὐτοῦ λογισθῇ ἐν ἡμέρᾳ κρίσεως ἐνώπιον τοῦ Κυρίου, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων. σχολάσατε τοίνυν διαπαντός, καὶ παραμείνατε Κυρίῳ τῷ Θεῷ ἡμῶν, ἕως οὗ οἰκτειρήσῃ ἡμᾶς. καὶ μηδὲν ἕτερον ζητεῖτε, ἢ μόνον ἔλεος παρὰ τοῦ Κυρίου τῆς δόξης. ζητοῦντες δὲ ἔλεος ἐν ταπεινῇ, καὶ ἐλεεινῇ καρδίᾳ ζητεῖτε. καὶ βοᾶτε ἀπὸ πρωῒ ἕως ἑσπέρας, εἰ δυνατὸν καὶ ὅλην τὴν νύκτα, τό, Κύριε Ἰησοῦ Χριστὲ ἐλέησόν με. καὶ βιάσασθε τὸν νοῦν ὑμῶν εἰς τοῦτο τὸ ἔργον ἕως θανάτου. πολλῆς γὰρ βίας χρείαν ἔχει τὸ ἔργον τοῦτο, ὅτι στενή ἐστιν ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ οἱ βιαζόμενοι εἰσέρχονται ἐν αὐτῇ. βιαστῶν γάρ ἐστιν ἡ βασιλεία τῶν Οὐρανῶν. παρακαλῶ οὖν ὑμᾶς μὴ χωρίζετε τὰς καρδίας ὑμῶν ἀπὸ Θεοῦ· ἀλλὰ προσμένετε, καὶ φυλάσσετε αὐτὰς μετὰ τῆς μνήμης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε· ἕως οὗ ἐμφυτευθῇ τὸ ὄνομα τοῦ Κυρίου ἔσω ἐν τῇ καρδίᾳ, καὶ μηδὲν ἕτερον ἐννοῇ, ἵνα μεγαλυνθῇ ὁ Χριστὸς ἐν ὑμῖν. πρὸ δέ γε τούτου ὁ Μέγας Παῦλος τὸν Κύριον Ἰησοῦν γράφων φησίν· ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, σωθήσῃ. καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην· στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. καὶ αὖθις· οὐδεὶς λέγει Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ. προστίθησι δὲ τὸ ἐν Πνεύματι Ἁγίῳ· τουτέστιν, ὅταν ἐνέργειαν Πνεύματος Ἁγίου δέξηται ἡ καρδία, δι' ἧς καὶ προσεύχεται· ὅπερ ἐστὶ τῶν προκοψάντων, καὶ ἐν αὐτοῖς ἐναργῶς ἐνοικοῦντα τὸν Χριστὸν πεπλουτηκότων. ἀκόλουθα τούτῳ φάσκει καὶ ὁ Ἅγιος Διάδοχος· ἀπαιτεῖ ἡμᾶς πάντως ὁ νοῦς, ὅταν αὐτοῦ πάσας τὰς διεξόδους τῇ μνήμῃ διαφράξωμεν τοῦ Θεοῦ, ἔργον ὀφεῖλον πληροφορεῖν αὐτοῦ τὴν ἐντρέχειαν. δεῖ οὖν αὐτῷ διδόναι τό, Κύριε Ἰησοῦ μόνον εἰς ὁλόκληρον πραγματείαν τοῦ σκοποῦ. οὐδεὶς γάρ φησι λέγει Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ. Ἀλλ' αὐτὸ στενῶς τὸ ῥῆμα διαπαντὸς ἐν τοῖς ταμείοις αὐτοῦ θεωρείτω, ἵνα μὴ εἰς φαντασίας ἐκτρέποιτό τινας. ὅσοι γὰρ τοῦτο τὸ ἔνδοξον, καὶ πολυπόθητον ὄνομα ἐν τῷ βάθει τῆς καρδίας μελετῶσιν ἀπαύστως, οὗτοι δύνανται καὶ τὸ φῶς τοῦ νοῦ ὁρᾷν ποτε. στενῇ γὰρ μερίμνῃ ὑπὸ τῆς διανοίας κρατούμενον, πάντα τὸν ἐπιπολάζοντα ῥύπον τῇ ψυχῇ ἐν αἰσθήσει ἱκανῇ καταφλέγει. καὶ γὰρ ὁ Θεὸς ἡμῶν, φησί, πῦρ καταναλίσκον, ὅθεν καὶ εἰς ἀγάπην λοιπὸν πολλὴν τὴν ψυχὴν τῆς αὐτοῦ δόξης προσκαλεῖται ὁ Κύριος. ἐγχρονίζον γὰρ ἐκεῖνο τὸ ἔνδοξον καὶ πολυπόθητον ὄνομα, διὰ τῆς μνήμης τοῦ νοῦ, τῇ θέρμῃ τῆς καρδίας, ἕξιν ἡμῖν ἐμποιεῖ πάντως τοῦ ἀγαπᾷν τὴν ἀγαθότητα αὐτοῦ μηδενὸς ὄντος λοιπὸν τοῦ ἐμποδίζοντος. οὗτος γάρ ἐστιν ὁ μαργαρίτης ὁ πολύτιμος, ὅν τινα πωλήσας πᾶσαν αὐτὶς τὴν περιουσίαν αὐτοῦ κτήσασθαι δύναται· καὶ ἔχειν ἀνεκλάλητον ἐπὶ τῇ αὐτοῦ εὑρέσει χαράν. ὁ δὲ Ἅγιος Ἡσύχιος τὸν Χριστὸν Ἰησοῦν οὕτω γράφων ἐπιτίθησιν· ἡ ἅπασα ψυχὴ διὰ θανάτου ἐν ἀέρι ἐν πύλαις οὐρανίαις μεθ' ἑαυτῆς ὑπὲρ αὐτῆς Ἰησοῦν ἔχουσα· οὔτε ἐκεῖ τοὺς ἐχθροὺς αὐτῆς αἰσχυνθήσεται· ἀλλὰ παρρησίᾳ ὡς νῦν, καὶ τότε

λαλή-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

λαλήσει ἐν πύλαις πρὸς αὐτούς, μόνον ἕως ἐξόδου αὐτῆς μὴ ἐκκακίσῃ βοᾶν πρὸς Χριστὸν Ἰησοῦν ἡμέρας τε, καὶ νυκτός· καὶ αὐτὸς ποιῶν ποιήσῃ τὴν ἐκδίκησιν αὐτῆς ἐν τάχει, κατὰ τὴν ἀψευδῆ αὐτοῦ, καὶ θείαν ὑπόσχεσιν, ἣν ἔφη περὶ τοῦ κριτοῦ τῆς ἀδικίας, καὶ ναὶ λέγω ὑμῖν ποιήσει καὶ ἐν τῇ ζωῇ τῇ παρούσῃ, καὶ μετὰ τὴν τοῦ σώματος αὐτῆς ἔξοδον. Ὁ δέ γε τῆς Κλίμακος, ὃν Ἰησοῦν μόνον φάσκων· Ἰησοῦ ὀνόματι μάστιζε πολεμίους, οὐ γάρ ἐστιν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ ἰσχυρότερον ὅπλον, καὶ οὐδὲν ἄλλο προστίθησι. καὶ αὖθις δέ φησιν· Ἰησοῦ μνήμη κολληθήτω ἡ πνοή σου· καὶ τότε γνώσῃ ἡσυχίας ὠφέλειαν.

Ἔτι, ὅτι οὐ μόνον παρὰ τῶν εἰρημένων Ἁγίων Πατέρων· ἀλλὰ καὶ ἀπὸ αὐτῶν τῶν κορυφαίων Ἀποστόλων, Πέτρου, καὶ Παύλου, καὶ Ἰωάννου εὕρηται μεμυσταγωγημένα πως ἐν πνεύματι τὰ τῆς ἱερᾶς, καὶ θεοποιοῦ προσευχῆς ῥήματα.

γ'. Οὐ μόνον δὲ πρὸς τουτοὶ τῶν εἰρημένων Θεοφόρων Πατέρων, καὶ τῶν κατ' αὐτούς, εὑρήσει τις τὰ τῆς ἱερᾶς προσευχῆς τοιαῦτα ῥήματά πως μεμυσταγωγημένα· ἀλλ' ἔτι πρό γε τούτων, καὶ ἀπ' αὐτῶν τῶν πρώτων, καὶ κορυφαίων Ἀποστόλων, τοὺς περὶ Πέτρον φαμέν, καὶ Παῦλον, καὶ Ἰωάννην. ὁ μὲν γάρ φησιν, ὡς προέφημεν, οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι Ἁγίῳ. ὁ δέ, ἡ χάρις, καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο· καί, πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστίν. ὁ δέ γε πρόκριτος τῶν τοῦ Χριστοῦ μαθητῶν πρὸς τὴν πρὸς αὐτοὺς τοὺς Ἀποστόλους τοῦ Σωτῆρος, καὶ διδασκάλου ἐπερώτησιν, τήν, τίνα με λέγουσιν εἶναι οἱ ἄνθρωποι, τὴν μακαριωτάτην αὐτεπάγγελτον ὁμολογίαν, ἀπεκρίνατο· σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. διά τοι τοῦτο καὶ οἱ μετ' αὐτούς, ἡμῶν δὲ κλεινοὶ παιδοτρίβαι· καὶ μᾶλλον οἱ τὸν ἄζυγον, καὶ ἐρημικόν, καὶ ἥσυχον βίον ὁδεύσαντες, τὰς τοιαύτας χρήσεις ὡς σποράδην, καὶ ἀναμέρος τοῖς τρισὶ τούτοις στύλοις τῆς Ἁγίας Ἐκκλησίας προδιαγγελθείσας, ὡς θείας φωνὰς κατὰ ἀποκάλυψιν ἐν Ἁγίῳ Πνεύματι προτεθεσπισμένας· καὶ μὴν καὶ διά γε τριῶν ἀξιοπίστων, τὰ πολλὰ μεμαρτυρημένας· διὰ δὲ τριῶν φησὶ μαρτύρων σταθήσεται πᾶν ῥῆμα· οὗτοι οἱ ὁμόφρονες, ὡς τὸ ἓν συνάψαντες ἄριστά τε, καὶ μετὰ τοῦ ἐνοικοῦντος αὐτοῖς Ἁγίου Πνεύματος συναρμόσαντες, στήλην προσευχῆς προσηγορεύκασι, καὶ τοῖς μετὰ ταῦτα παρέδωκαν, κατὰ τὸν ὅμοιον τρόπον κρατεῖν τε, καὶ φυλάττειν αὐτήν. Ὅρα μέντοι καὶ τάξιν, καὶ ἀκολουθίαν σφόδρα τὸ ἐξαίσιον μετὰ τῆς ἄνωθεν σοφίας ἔχουσαν. ὁ μὲν γάρ φησι Κύριον Ἰησοῦν, ὁ δέ, Ἰησοῦν Χριστόν· ὁ δὲ Χριστὸν Υἱὸν τοῦ Θεοῦ. ὡσαύτως ὁ εἷς τῷ ἑτέρῳ ἑπόμενος, καὶ προσεχῶς ἀλλήλων ἐχόμενοι, τῇ τε συμφωνίᾳ, καὶ τῷ συνδέσμῳ τῶν τοιῶνδε θεουργῶν ῥημάτων. ἴδοις γὰρ ἂν τούτων ἕκαστον τὸ ἐπὶ τέλος ὂν θατέρῳ, ὡς ἀρχὴν * θατέρου τοῦτο λαμβάνοντα· καὶ οὕτω προβαῖνον ἄχρι τῶν τριῶν. τὸ δ' αὐτὸ κἂν τῇ προσθήκῃ τῆς τοῦ πνεύματος σημασίας ἐπόψει. εἰρηκότος γὰρ τοῦ Μακαρίου Παύλου, τό, οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι Ἁγίῳ· τούτῳ δὴ τῷ ἐπὶ τέλους κειμένῳ. τὸ Πνεῦμα τὸ Ἅγιον λέγομεν, ἀρχῇ κέχρηται ὁ Βροντόφωνος Ἰωάννης εἰπών, πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐληλυθότα ἐν σαρκί, ἐκ τοῦ Θεοῦ ἐστι. ταῦτα δὲ προὔθηκαν ἅπασιν, οὐκ οἴκοθεν καὶ παρ' ἑαυτῶν, ἀλλὰ τῇ τοῦ Παναγίου παλά-

* τοῦ θατέρου



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μενοι κινούμενοι Πνεύματος. καὶ γὰρ ἡ τοῦ Θεοπτικοῦ Πέτρου δι' ἀποκαλύψεως ὁμολογία ἐν Πνεύματι Ἁγίῳ ἐστὶν ἐνεργουμένη. πάντα γάρ φησιν ἐνεργεῖ τὸ ἕν, καὶ τὸ αὐτὸ Πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. καὶ οὕτω γοῦν τὸ οἱονεὶ ἔνθεον, καὶ ἄρρητον σπαρτίον τῆς Θεοποιοῦ προσευχῆς μάλα σοφῶς, καὶ ἐπιστημονικῶς ἐξυφανθέν τε, καὶ συρραφέν, καὶ συναρμολογηθέν, καὶ εἰς τοὺς καθ' ἡμᾶς διαβαίνει τὸν ἴσον τρόπον τηρούμενον. τῆς μέντοι ἐλέγχου μὲ λέξεως τὴν προσθήκην οἱ καθεξῆς Θεῖοι Πατέρες τοῖς δὲ τοῖς τῆς προσευχῆς σωτηρίοις ῥήμασιν, ἤγουν τοῦ, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ, συνήρμοσαν, καὶ ἐπέταξαν, καὶ μᾶλλον διὰ τοὺς κατ' ἀρετὴν νηπιωδεστέρους, ἤγουν τοὺς Ἀρχαρίους, καὶ ἀτελεῖς. οἱ γὰρ προβεβηκότες, καὶ τέλειοι κατὰ Χριστόν, δι' οὐδὸς ἑκάστου τῶν τοιούτων χρησμῶν· ἤγουν τοῦ, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ. καὶ μὴν ἔσθ' ὅτε, καὶ ἐκ μόνης τῆς Ἰησοῦ προσηγορίας ἱκανοῦνται, καὶ ὡς ὁλόκληρον ἐργασίαν τοῦτο προσευχῆς ἐνστερνίζονται, καὶ ἀσπάζονται. οἷα δὴ διὰ τοῦτο, ἀρρήτου, καὶ πάντα νοῦν καὶ πᾶσαν ὄψιν, καὶ ἀκοὴν ὑπερνικώσης ἡδύτητος, καὶ θυμηδίας πληρούμενοι. καὶ ὅτε πάλιν ἔξω σαρκὸς καὶ κόσμου γινόμενοι οἱ τρισόλβιοι, μύοντες τὰς αἰσθήσεις τῇ ἐνοικήσει αὐτῆς θείᾳ δωρεᾷ τε, καὶ χάριτι βακχικῶς τε, καὶ μακαρίως, ἐρωτοληπτούμενοι καθαίρονται, καὶ φωτίζονται, καὶ τελειοῦνται· ὥστε τὴν τῆς ὑπερουσίου Θεότητος ὑπερφυᾶ, καὶ ἄναρχον, καὶ ἄκτιστον χάριν ἀπαρτίως ἐν ἀρραβῶνος μέρει κατοπτριζόμενοι ἀδήλως· τῇ μνήμῃ καὶ μόνῃ, καὶ δὴ καὶ μελέτῃ ὡς εἴρηται τῆς μιᾶς ἑκάστης τῶν δηλωθεισῶν προσηγοριῶν τοῦ Θεανθρώπου Λόγου ἱκανούμενοι, καὶ διὰ ταύτης εἰς ἁρπαγάς, καὶ γνώσεις, καὶ Ἀποκαλύψεις ὑπεραιρόμενοι, καὶ καταξιούμενοι ἀλαλήτως ἐν πνεύματι. τούτων εἰς ἐναργῆ πληροφορίαν, καὶ πίστωσιν σαφεστάτην, ὁ γλυκύτατος, καὶ φιλόψυχος Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, οὗ οἱ λόγοι ἔργα, καὶ τὰ ῥήματα κατ' αὐτόν, πνεῦμά εἰσι· καὶ ζωή εἰσιν· ἀπεφήνατο μάλα διαπρυσίως, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. καί, ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω. καὶ αὖθις· ὅ,τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω· καὶ τὰ ἑξῆς κατὰ τὰ προαποδοθέντα ἡμῖν.

Ὅτι ἔξεστι καὶ τοῖς Ἀρχαρίοις ποτὲ μὲν ὅλοις τῆς προσευχῆς ῥήμασι, ποτὲ δὲ ἐν μέρει ταύτης προσεύχεσθαι, ἔνδον μέντοι τῆς καρδίας καὶ ἀεί, καὶ περὶ τοῦ μὴ * μεταπιάσειν συνεχῶς τὰ ῥήματα.

* ἴσ. μεταλλάσσειν

Ἔξεστι δὲ καὶ τοῖς Ἀρχαρίοις ποτὲ να'.
μὲν ὅλοις τοῖς τῆς προσευχῆς ῥήμασι, ποτὲ δὲ ἐν μέρει ταύτης προσεύχεσθαι. ἔνδον μέντοι καρδίας, καὶ διηνεκῶς. κατὰ γὰρ τὸν Ἅγιον Διάδοχον, ὁ ἐνδημῶν ἀεὶ τῇ ἑαυτοῦ καρδίᾳ, ἐκδημεῖ, πάντως τῶν ὡραίων τοῦ βίου. Πνεύματι γὰρ περιπατῶν, τὰς τῆς σαρκὸς ἐπιθυμίας εἰδέναι οὐ δύναται. ἐπειδὴ λοιπὸν ἐν τῷ φρουρίῳ τῶν ἀρετῶν τὰς περιπάτους ὁ τοιοῦτος ποιεῖται, αὐτὰς ὥσπερ τὰς ἀρετὰς πυλωροὺς ἔχων τοῦ τῆς ἁγνείας πολίσματος. διὸ δὴ καὶ ἄπρακτοι λοιπὸν αἱ τῶν δαιμόνων γίνονται μηχαναὶ ἐπ' αὐτόν. γράφει δὲ καὶ ὁ Ἅγιος Ἰσαάκ· τοῦ ἐπισκεπτομένου τὴν ψυχὴν αὐτοῦ ἐν πάσῃ ὥρᾳ, εὐφραίνεται ἡ καρδία ἐν ταῖς ἀποκαλύψεσι. καὶ ὁ συνάγων τὴν θεωρίαν αὐτοῦ ἔσωθεν ἐν ἑαυτῷ θεωρεῖ τὴν αὐγὴν τοῦ πνεύματος. ὅστις ἐβδελύξατο πάντα μετεωρισμόν, θεωρεῖ τὸν δεσπότην αὐτοῦ ἔσωθεν τῆς καρδίας αὐτοῦ. μηδέ γε συνεχῶς ἐναλλάσσειν τὰς ῥήσεις τῆς προ-

σευχῆς,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

σευχῆς, ἵνα μὴ τῇ συνεχεῖ ἐναλλαγῇ, καὶ μεταφορᾷ, ἀστασίαν ὥσπερ εἴ τινα, καὶ ἐκκλινισμὸν ἐθίσας ὁ νοῦς, ἀπαγὴς καὶ ἄκαρπος διαμείνῃ, ὡς τὰ συνεχῶς μετοικιζόμενα, καὶ μεταφυτευόμενα δένδρα.

Ὅτι ὁ καρπὸς ἔνδον καρδίας προσεύχεσθαι· καὶ χρόνου μακροῦ δεῖται, καὶ ἀγῶνος, καὶ βίας· καὶ ἁπλῶς πᾶν ἀγαθὸν διὰ πολλοῦ μόχθου, καὶ καιροῦ κατορθοῦται.

νβ΄. Καὶ τοῦτο δὲ τὸ ἀεὶ ἔνδον καρδίας προσεύχεσθαι, ὁμοίως δὲ καὶ τὰ τούτου ἐπέκεινα, οὐχ ἁπλῶς, καὶ ὡς ἔτυχε, καὶ διὰ βραχέος πόνου, καὶ μικροῦ κατορθοῦται. Εἴπερ ἄρα καὶ τοῦτο σπανίως ἔντισι κατὰ ἀπόῤῥητον οἰκονομίαν εὕρηται, ἀλλὰ καὶ χρόνου μακροῦ, καὶ καμάτου, καὶ ἀγῶνος σωματικοῦ τε, καὶ ψυχικοῦ, καὶ βίας πολλῆς, καὶ ἐπιτεταμένης πρὸς κατόρθωσιν δεῖται. Κατὰ γὰρ τὸ ἐπιβάλλον μέρος τῆς ἐλπιζομένης ἐν μεθέξει γενέσθαι * ἡμᾶς δωρεᾶς τε καὶ χάριτος, ἀναλόγως τὸ κατὰ δύναμιν χρὴ, καὶ τοὺς ὑπὲρ αὐτῆς ἀγῶνας καταβαλέσθαι, καὶ τὰς ὥρας ἐπιμετρεῖν, ἡ δέ ἐστι κατὰ τοὺς ἱεροδιδασκάλους, τὸ ἐκβληθῆναι ἐκ τῶν τῆς καρδίας νομῶν τὸν ἐχθρὸν, καὶ κατοικῆσαι ἐναργῶς ἐν αὐτῇ τὸν Χριστόν. Λέγει καὶ γὰρ ὁ Ἅγιος Ἰσαάκ· ὁ θέλων ἰδεῖν τὸν Κύριον, μηχανᾶται καθαρίσαι αὐτοῦ τὴν καρδίαν ἐν ἀδιαλείπτῳ μνήμῃ τοῦ Θεοῦ, καὶ οὕτως ἐν τῇ λαμπρότητι τῆς διανοίας αὐτοῦ ἐν πάσῃ ὥρᾳ ὄψεται τὸν Κύριον. Καὶ ὁ Ἅγιος Βαρσανούφιος· ἐὰν μὴ ἡ ἔσωθεν ἐργασία μετά γε Θεοῦ βοηθήσῃ τῷ ἀνθρώπῳ, ἐπὶ ματαίῳ πρὸς τὴν ἔξωθεν κοπιᾷ. Ἡ γὰρ ἐσωτέρα ἐργασία σὺν πόνῳ καρδίας φέρει τὴν καθαρότητα· ἡ δὲ καθαρότης τὴν ἀληθινὴν τῆς καρδίας ἡσυχίαν, ἡ δὲ ἡσυχία αὕτη τὴν ταπείνωσιν· ἡ δὲ ταπείνωσις κατοικητήριον Θεοῦ κατασκευάζει τὸν ἄνθρωπον. Ἀπὸ δὲ τῆς κατοικήσεως ταύτης, σὺν τοῖς πάθεσιν οἱ δαίμονες ἐξορίζονται. Καὶ γίνεται ὁ ἄνθρωπος οὕτω ναὸς τοῦ Θεοῦ πλήρης ἁγιάσματος, πλήρης φωτισμοῦ, καθαρότητός τε, καὶ χάριτος. Μακάριος οὖν ἐκεῖνος, ὁ τὸν ἑαυτοῦ Κύριον ἐν ἀδύτοις καρδίας ἐνοπτριζόμενος, ἐκχέων τὴν ἑαυτοῦ δέησιν μετὰ κλαυθμοῦ ἐνώπιον τῆς αὐτοῦ ἀγαθότητος. Καὶ ὁ ὅσιος Ἰωάννης ὁ Καρπάθιος· πολλοῦ ἀγῶνος, καὶ χρόνου χρεία ἐν ταῖς προσευχαῖς, ὅπως εὕρωμεν ἐν τῇ ἀπαρενοχλήτῳ τῆς διανοίας καταστάσει ἕτερόν τινα ἐγκάρδιον οὐρανὸν, ἔνθα οἰκεῖ ὁ Χριστὸς, ὥς φησιν ὁ Ἀπόστολος· ἢ, οὐκ ἐπιγινώσκετε, ὅτι Ἰησοῦς Χριστὸς οἰκεῖ ἐν ὑμῖν; εἰ μήτι ἄρα ἀδόκιμοί ἐστε. Καὶ ὁ Μέγας Χρυσόστομος· ἀδιαλείπτως παραμένων τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, ἵνα καταπίῃ ἡ καρδία τὸν Κύριον, καὶ ὁ Κύριος τὴν καρδίαν, καὶ γένηται τὰ δύο ἕν. Ἀλλὰ τὸ ἔργον τοῦτο οὐκ ἔστι μιᾶς ἡμέρας, ἢ δύο, ἀλλὰ χρόνου πολλοῦ, καὶ καιροῦ. Πολλοῦ γὰρ ἀγῶνος, καὶ χρόνου χρεία ὅπως ἐκβληθῇ ὁ ἐχθρὸς, καὶ ἐνοικήσῃ ὁ Χριστός. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Ὁ δὲ λόγος ἐπανερχέσθω, πρός γε τὰ καθ' εἱρμὸν προκείμενα.

* ἴσ. ἡμῖν

Περὶ προσευχῆς καρδιακῆς μὴ καθαρᾶς, καὶ ὅπως ἔρχεταί τις εἰς τὴν καθαρὰν, καὶ ἀῤῥέμβαστον προσευχήν.

νγ΄. Ἐκ τοῦ προσμένειν τῇ εἰρημένῃ μεθόδῳ τῆς καρδιακῆς καθαρᾶς, καὶ ἀῤῥεμβάστου, εἰ καὶ μὴ καθαρᾶς ἴσως ἄλλως, καὶ ἀῤῥεμβάστου προσευχῆς, δῆλον ὅτι διὰ τὰς ἐμποδὼν ταύτῃ γενομένας προλήψεις, καὶ τοὺς λογισμοὺς, ἔρχεται ὁ ἀγωνιζόμενος ἐν ἕξει τοῦ ἀβιάστως, καὶ ἀῤῥεμβάστως, καὶ καθαρῶς, καὶ ἀληθῶς προ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σεύχεσθαι· δηλαδὴ τὸ προσμένειν ἐν τῇ καρδίᾳ τὸν νοῦν, καὶ μὴ μετὰ βίας, καὶ ὀλιγώρως διὰ τῆς εἰσπνοῆς εἰσάγεσθαι, καὶ αὖθις ὑποπηδᾶν· ἀλλὰ αὐτὸν ἀεὶ προσμένειν ταύτῃ καὶ ἀενάως οὕτω προσεύχεσθαι. λέγει καὶ γὰρ ὁ Ἅγιος Ἡσύχιος· ὁ * μὲν ἔχων εὐχὴν καθαρὰν λογισμῶν, ὅπλον οὐκ ἔχει εἰς πόλεμον, εὐχὴν δὲ λέγω τὴν ἀενάως ἐνεργουμένην ἐν ἀδύτοις καρδίας, ἵνα τῇ τοῦ Ἰησοῦ Χριστοῦ ἐπικλήσει ὁ κρυφίως πολεμῶν μαστίζηται, καὶ φλέγηται πολέμιος. καὶ αὖθις· μακάριος οὗτος, ὃς οὕτω κεκόλληται Ἰησοῦ εὐχῇ, ἐν διανοίᾳ, καὶ φωνεῖ αὐτὸν ἀδιαλείπτως ἐν καρδίᾳ, ὥσπερ ἥνωται ὁ ἀὴρ τοῖς ἡμῶν σώμασιν· ἢ ὡς φλὸξ κηρῷ. καὶ πάλιν· καὶ διερχόμενος μὲν ἥλιος ὑπὲρ γῆν, ποιεῖ ἡμέραν. τὸ δὲ τοῦ Κυρίου Ἰησοῦ ἅγιον ὄνομα, καὶ σεβάσμιον ἐν τῇ διανοίᾳ λάμπον τῇ συνεχείᾳ, γεννήσει ἀναριθμήτους ἡλιοφεγγοειδεῖς ἐννοίας.

* ἴσ. μὴ

Περὶ τῆς ἀρρεμβάστου καὶ καθαρᾶς καρδιακῆς προσευχῆς, καὶ τῆς ἐξ αὐτῆς τικτομένης θέρμης.

κδʹ. Καὶ τοῦτο ἐστί τε, καὶ ὀνομάζεται προσευχὴ καρδιακή, καθαρά, καὶ ἀρρέμβαστος, ὡς εἴρηται, ἐξ ἧς γεννᾶταί τις θέρμη ἐν τῇ καρδίᾳ· κατὰ τό, ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. πῦρ, ὅπερ ὁ Κύριος Ἰησοῦς Χριστὸς ἦλθε βαλεῖν εἰς τὰς γαίας τῶν καρδιῶν ἡμῶν, τὰς πρὶν μὲν ἀκανθοφόρους τοῖς πάθεσι, νῦν δὲ πνευματοφόρους τῇ χάριτι, ὥς φησιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί ἤθελον εἰ ἤδη ἀνήφθη. ὃ δὴ καὶ τοὺς περὶ τὸν Κλεώπαν ποτέ, * ἀναθερμάνασα, καὶ ἐκκαύσασα ἐκστατικῶς πρὸς ἀλλήλους βοᾶν ἐποίησε· τό, οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν ἐν τῇ ὁδῷ; λέγει δὲ καὶ ὁ ἐκ Δαμασκοῦ Ἰωάννης ὁ πάνυ, ἔν τινι τροπαρίῳ τῶν πρὸς τὴν ὑπεράγιον Θεοτόκον αὐτοῦ μελισμάτων, Ἕλκει με πρὸς ὑμνῳδίαν πόθου τοῦ παρθενικοῦ, τὸ πῦρ τὸ ἐγκάρδιον. γράφει δὲ καὶ ὁ Ἅγιος Ἰσαάκ· ἐκ τῆς ἐργασίας τῆς βιαίας, τίκτεται ἡ θέρμη ἡ ἄμετρος, ἡ πυρπολουμένη ἐν τῇ καρδίᾳ ἐκ τῶν θερμῶν ἐνθυμήσεων τῶν καινῶς ἐπιπολαζόντων τῇ διανοίᾳ. αὕτη δὲ ἡ ἐργασία, καὶ ἡ φυλακὴ λεπτύνουσι τὸν νοῦν ἐν τῇ θέρμῃ αὐτῶν· καὶ παρέχουσιν αὐτῷ ὅρασιν. καὶ προϊών, καὶ ἐκ τῆς θέρμης ταύτης τῆς ἐκ τῆς χάριτος τῆς θεωρίας ἐπιγινομένης, γεννᾶται ἡ ἐπιρροὴ τῶν δακρύων. καὶ μετὰ μικρόν· καὶ ἐκ τῶν ἀπαύστων δακρύων δέχεται ἡ ψυχὴ τὴν εἰρήνην τῶν λογισμῶν. ἐκ δὲ τῆς εἰρήνης τῶν λογισμῶν, ὑψοῦται εἰς τὴν καθαρότητα τοῦ νοός. διὰ δὲ τῆς τοῦ νοῦ καθαρότητος ἔρχεται ὁ ἄνθρωπος εἰς τὸ βλέπειν τὰ μυστήρια τοῦ Θεοῦ. καὶ μετὰ βραχέα· μετὰ δὲ ταῦτα φθάνει ὁ νοῦς ἰδεῖν Ἀποκαλύψεις, καὶ σημεῖα, ὡς εἶδεν Ἰεζεκιὴλ ὁ Προφήτης. ἔτι, τὰ δάκρυα καὶ ὁ ῥαπισμὸς τῆς κεφαλῆς ἐν τῇ προσευχῇ, καὶ τὸ κυλινδεῖσθαι μετὰ θερμότητος, διυπνίζουσι τὴν θέρμην τῆς γλυκύτητος αὐτῶν ἔνδοθεν τῆς καρδίας· καὶ μετὰ ἐπαινουμένης ἐκστάσεως πέτεται ἡ καρδία πρὸς τὸν Θεόν, καὶ βοᾷ, ἐδίψησεν ἡ ψυχή μου πρὸς σὲ τὸν Θεόν, τὸν ἰσχυρόν, τὸν ζῶντα. πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ σου Κύριε; καὶ τὰ ἑξῆς. καὶ ὁ τῆς Κλίμακος· πῦρ μὲν ἐπιδημῆσαν ἐν καρδίᾳ, προσευχὴν ἀνέστησεν· ταύτης δὲ ἐγερθείσης καὶ εἰς οὐρανοὺς ἀναληφθείσης, καὶ πυρὸς ἐν ἀνωγαίῳ ψυχῆς κατάβασις γέγονεν. ἔτι, τίς ἄρα ἐστὶν ὁ πιστὸς καὶ φρόνιμος Μοναχός, ὃς τὴν θέρμην τὴν ἑαυτοῦ ἐφύλαξεν ἄσβεστον; καὶ μέχρι τῆς ἑαυτοῦ

* ἴσ. ἀναθερμάναν καὶ ἐκκαῦσαν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

αὔξουσα καθ' ἡμέραν προστιθεὶς πῦρ πυρί, καὶ θέρμην θέρμῃ, καὶ πόθον πόθῳ, καὶ σπουδὴν σπουδῇ, οὐκ ἐπαύσατο; καὶ ὁ Ἅγιος Ἠλίας ὁ Ἔκδικος· ὁπόταν ἀπὸ τῶν ἔξωθεν σχολάσασα ἡ ψυχὴ συναφθῇ τῇ ψυχῇ, τότε οἷά τις φλὸξ περικυκλώσασα ταύτην ἐκείνη, σίδηρον καθάπερ τὸ πῦρ, πεπυρακτωμένην ὅλην καθίστησιν. καὶ ἔστι μὲν ψυχὴ ἡ αὐτή· οὐκ ἔτι δὲ καὶ ἁπτή. οὐδὲ γὰρ ὁ πυρακτωθεὶς σίδηρος, ταῖς ἔξωθεν ἐπαφαῖς. ἔτι, μακάριος ὁ ἐν τῷ βίῳ τούτῳ ὑποσὶ θεωρηθῆναι ἀξιωθείς· καὶ τὸν ἑαυτοῦ φύσει πήλινον ἀνδριάντα, χάριτι, πύρινον κατιδών.

Ὅτι καὶ ἡ θέρμη, διαφόρως ἔχει τὴν γένεσιν· * καὶ κυριωτέρα δὲ ἡ ἐκ τῆς καθαρᾶς καρδιακῆς προσευχῆς.

* ἴσ. τὸ καὶ περιττόν

ιε΄. Γίνωσκε δέ, ὅτι καὶ ἡ τοιαύτη θέρμη διαφόρως καὶ πολυτρόπως ἔχει τὴν ἐν ἡμῖν αὐτῆς γένεσίν τε, καὶ ὕπαρξιν. καὶ τοῦτο δῆλον παρὰ τῶν ἐκτεθέντων χρησμῶν τῶν Ἁγίων, ὀκνοῦμεν δὲ εἰπεῖν καὶ ἀπ' αὐτῆς τῆς πράξεως· ἔστι δὲ τούτων κυριωτέρα πως, ἡ ἐκ τῆς καρδιακῆς καθαρᾶς προσγινομένη προσευχῆς θέρμη· καὶ μετ' αὐτῆς διηνεκῶς προϊοῦσα, καὶ αὐξανομένη, καὶ εἰς φωτισμὸν τὸν ἐνυπόστατον σαββατίζουσα, ἤγουν ἐνυποστάτως πεφωτισμένον ἐργαζομένη κατὰ τοὺς Πατέρας τὸν οὕτως ἔχοντα ἄνθρωπον.

Τί τὸ προσεχὲς ἔργον τῆς καρδιακῆς θέρμης.

ιϛ΄. Ἥτις δὴ θέρμη, προσεχῶς ἀποσοβεῖ τὰ ἐμποδίζοντα τὴν προτέραν καθαρὰν τελείως ἐκτελεῖσθαι προσευχήν. πῦρ γὰρ ὁ Θεὸς ἡμῶν, καὶ πῦρ καταναλίσκον τὴν μοχθηρίαν τῶν δαιμόνων, καὶ τῶν παθῶν ἡμῶν. λέγει καὶ γὰρ ὁ Ἅγιος Διάδοχος· ὅτε μετὰ ζέσεώς τινος ἀλγηδόνος ἡ καρδία εἰσδέχεται τὰ πυρὰ τῶν δαιμόνων, ὡς αὐτὰ οἴεσθαι φέρειν τὰ βέλη τὸν πολεμούμενον, μισεῖ μετὰ πόνου ἡ ψυχὴ τὰ πάθη· ὡς ἐν ἀρχῇ οὖσα τοῦ καθαίρεσθαι. ἐὰν γοῦν μὴ ἀλγήσῃ μεγάλως ἐπὶ τῇ ἀναιδείᾳ τῆς ἁμαρτίας, οὐκ ἂν δυνηθῇ πλουσίως χαρῆναι ἐπὶ τῇ τῆς δικαιοσύνης χρηστότητι. ὁ τοίνυν θέλων καθαρίσαι τὴν ἑαυτοῦ καρδίαν, τῇ μνήμῃ τοῦ Ἰησοῦ Χριστοῦ διαπαντὸς ἐκπυρούτω αὐτήν. τοῦτο μόνον μελέτην καὶ ἔργον ἄπαυστον ἔχων. οὐ γὰρ ποτὲ μὲν εὔχεσθαι δεῖ, ποτὲ δὲ μή, τοὺς τὴν ἑαυτῶν σαπρίαν ἀποβαλεῖν θέλοντας· ἀλλ' ἀεὶ τῇ προσευχῇ σχολάζειν ἐν τῇ τηρήσει τοῦ νοῦ, κἂν ἔξω που αὐλίζοιντο τῶν εὐκτηρίων δόμων. ὃν γὰρ τρόπον ὁ θέλων καθαρίσαι χρυσίον, ἐὰν καὶ πρὸς βραχὺ τὸ πῦρ ἐάσῃ σχολάσαι τοῦ χωνευτηρίου, σκληρίαν πάλιν τῇ καθαιρομένῃ ὕλῃ ἐμποιεῖ· οὕτω καὶ ὁ ποτὲ μὲν μεμνημένος τοῦ Θεοῦ, ποτὲ δὲ μή. ὅπερ δοκεῖ κτᾶσθαι διὰ τῆς προσευχῆς, τοῦτο ἀπόλλυσι διὰ τῆς σχολῆς. ἀνδρὸς δέ ἐστι φιλαρέτου ἴδιον, τὸ ἀεὶ τῇ μνήμῃ τοῦ Θεοῦ τὸ τῆς καρδίας καταναλίσκειν γεῶδες. ἵνα οὕτω τοῦ κακοῦ κατ' ὀλίγον ὑπὸ τοῦ πυρὸς τῆς τοῦ ἀγαθοῦ μνήμης δαπανωμένου, τελείως εἰς τὴν φυσικὴν αὐτῆς ἡ ψυχὴ μετὰ πλείονος δόξης ἐπανέλθῃ λαμπρότητα. καὶ γοῦν οὕτως ὁ νοῦς προσμένων ἀκωλύτως ἐν καρδίᾳ, καθαρῶς, καὶ ἀπλανῶς εὔχεται. κατὰ τὸν λέγοντα ἅγιον· τότε ἐστὶν ἀληθής, καὶ ἀπλανὴς προσευχή, ὅτε τὴν καρδίαν ὁ νοῦς τηρεῖ ἐν τῷ προσεύχεσθαι. γράφει δὲ καὶ ὁ Ἅγιος Ἡσύχιος· οὗτος ἀληθινὸς τῷ ὄντι Μοναχός, ὁ νῆψιν κατορθῶν, καὶ οὗτος ἀληθινὸς νηφάλιος, ὁ ἐν καρδίᾳ ὢν Μοναχός.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Περὶ τοῦ ἐκ τῆς θέρμης προσοχῆς τε, καὶ προσευχῆς τικτομένου πόθου, καὶ ἔρωτος.

νζ'. Ἐν δὲ τῇ τοιαύτῃ θέρμῃ, καὶ σὺν προσοχῇ προσευχῇ ἤγουν καθαρᾷ προσευχῇ, ὁ πρὸς τὸν μνημονευόμενον ἀεὶ Κύριον Ἰησοῦν Χριστὸν πόθος, καὶ θεῖος ἔρως, καὶ ἡ ἀγάπη ἐν καρδίᾳ τίκτεται ὡς γέγραπται· νεανίδες ἠγάπησάν με εἵλκυσάν με, καὶ ὅτι, τετρωμένη ἀγάπης εἰμὶ ἐγώ.
Ἆσ. ς'. Λέγει δὲ καὶ ὁ Ἅγιος Μάξιμος· πᾶσαι μὲν αἱ ἀρεταὶ συνεργοῦσι τῷ νῷ πρὸς τὸν θεῖον ἔρωτα, πλέον δὲ πάντων ἡ καθαρὰ προσευχή, διὰ ταύτης γὰρ πρὸς τὸν Θεὸν πτερούμενος, ἔξω γίνεται πάντων.

Περὶ δακρύων καρδιακῶν· καὶ ἔτι περὶ θείου πόθου, καὶ ἔρωτος.

νη'. Ἐξ ἧς καρδίας, καὶ δάκρυον ὅτι πλεῖστον ἀπορρεῖ καθαῖρον, καὶ πιαῖνον τὸν διὰ ἀγάπης ταῦτα πεπλουτηκότα, ἀλλ' οὐ τήκον, καὶ ξηραῖνον. Τοῦτο καὶ γάρ, τὸ ἐκ τοῦ θείου φόβου, κἀκεῖνο, τὸ ἐκ τοῦ θεϊκοῦ ἔρωτος. Τῷ σφοδρῷ καὶ ἀσχέτῳ πόθῳ, καὶ ἔρωτι τοῦ μνημονευομένου Κυρίου Ἰησοῦ Χριστοῦ. Καίγε ἐνθουσιῶσα βοᾷ· ἔθελξας πόθῳ με Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι. καί. ὅλος εἶ σῶτερ γλυκασμός. ὅλος εἶ ἐπιθυμία, καὶ ἔφεσις. ὅλος ἀκόρεστος. ὅλος ὑπάρχεις κάλλος ἀμήχανον. καὶ μετὰ Παύλου κραυγάζει τοῦ χριστοκήρυκος, ἡ ἀγάπη τοῦ Θεοῦ συνέχει ἡμᾶς. καί, τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; καὶ αὖθις· πέπεισμαι, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε Ἄγγελοι, οὔτε ἀρχαί, οὔτε ἐξουσίαι, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τίς κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Παραίνεσις περὶ τοῦ μὴ ζητεῖν τὰ ὑπὲρ τὸ μέτρον· καὶ ἔτι περὶ τῆς ἐν καρδίᾳ διηνεκοῦς μνήμης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προτροπή.

Ἵν', οὖν τις ἀξιωθείη τούτων δή, καὶ τῶν μετὰ ταῦτα πάντων. νθ'.
ὅπερ νυνὶ λέγειν οὐκ εὔκαιρον. μὴ ζήτει γάρ, φησί, πρὸ καιροῦ τὰ τοῦ καιροῦ. καὶ τὸ καλὸν οὐκ ἔστι καλόν, ὅταν οὐ καλῶς γένηται. καὶ κατὰ τὸν Ἅγιον Μάρκον, οὐ συμφέρει πρὸ τῆς ἐργασίας τῶν προτέρων, εἰδέναι τὰ δεύτερα. ἡ γὰρ γνῶσις φυσιοῖ διὰ τὴν ἀργίαν. ἡ δὲ ἀγάπη οἰκοδομεῖ διὰ τὸ τὰ πάντα ὑπομένειν. χρὴ σπεύδειν καὶ ἀεὶ ἀγωνίζεσθαι, καθάπερ εἴρηται, τὴν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μνήμην ἔνδον βάθους καρδίας διηνεκῶς περιφέρειν, καὶ οὐκ ἐκτός, καὶ ἐπιπολαίως. ὡς λέγει καὶ περὶ τούτου ὁ αὐτὸς Μακάριος Μάρκος· ὅτι, ἐὰν μὴ διὰ καθολικῆς, καὶ ἱερᾶς ἐλπίδος ἀνοίγῃ τὸ ἐνδότατον, καὶ ἀπόκρυφον, καὶ εἰλικρινὲς τῆς καρδίας ἡμῶν χώρημα, οὐκ ἔστι βεβαίως ἐπιγνῶναι τὸν ἐνοικοῦντα, οὔτε εἰδέναι εἰ προσεδέχθησαν αἱ λογικαὶ ἡμῶν θυσίαι, ἢ οὔ.

Περὶ θερμοῦ ζήλου, καὶ τῆς ἐν ἡμῖν ἐμφανείας θείας, καὶ τοῦ τῆς χάριτος ἐνυποστάτου φωτισμοῦ.

Οὕτω γὰρ ἐκκλινεῖ ῥᾳδίως, οὐ τῶν ξ'.
ἔργων τῶν πονηρῶν μόνον, ἀλλὰ καὶ τῶν ἐμπαθῶν λογισμῶν, καὶ τῶν ἀπρεπῶν φαντασιῶν. καθὰ γέγραπται· πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. μᾶλλον δὲ παντὸς λογισμοῦ, καὶ πάσης φαντασίας ἐκστήσεται ὡς

τῶν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τοῦ ὑπὲρ ἀρετῆς αὐτοῦ θερμῷ ζήλῳ καταφλέγων, καὶ ἀφανίζων πᾶσαν πονηροπραξίαν αἰσθητῶς, καὶ νοητῶς, τὸ πρὶν ἐνεργοῦσαν ἐν ἑαυτῷ, σὺν τοῖς ἀρχηγοῖς αὐτῶν κακοχάρτοις δαίμοσι. ὥς φησιν ὁ Ἅγιος Ἰσαάκ· φοβερός ἐστι τοῖς δαίμοσι καὶ ποθεινὸς τῷ Θεῷ, καὶ τοῖς Ἀγγέλοις αὐτοῦ, ὁ μετὰ θερμοῦ ζήλου ἐκριζῶν τὰς ἐκ τοῦ ἐχθροῦ φυομένας ἐν αὐτῷ ἀκάνθας. καὶ εἰς προκοπὴν ἥξει τοῦ πληροφορίαν ἐντεῦθεν σχεῖν τῆς πρὸς αὐτὸν ἀγάπης, καὶ ἐναργοῦς ἐμφανείας, καὶ ἐνοικήσεως τοῦ ἐνυποστάτου, καὶ θειοτάτου φωτισμοῦ τοῦ τῆς χάριτος. Εἰ βούλοιο δὲ εἰπεῖν, μάλα φαιδρῶς ἐπαναδραμεῖται πρὸς τὴν ἄνωθεν, καὶ διὰ τῆς τοῦ Βαπτίσματος χάριτος τελεσιουργηθεῖσαν ἡμῖν ἀναγέννησιν, καὶ υἱοθεσίαν πνευματικήν. καὶ λέγει αὖθις ὁ Ἅγιος Ἰσαάκ· αὕτη ἐστὶν ἡ Ἱερουσαλήμ, καὶ ἡ τοῦ Θεοῦ βασιλεία, ἡ ἐντὸς ἡμῶν κεκρυμμένη κατὰ τὸν τοῦ Κυρίου λόγον. αὕτη ἡ χώρα νεφέλη ἐστὶ τῆς δόξης τοῦ Θεοῦ, εἰς ἣν μόνοι οἱ καθαροὶ τῇ καρδίᾳ εἰσελεύσονται τοῦ θεάσασθαι τὸ πρόσωπον τοῦ ἰδίου δεσπότου. μόνον αὐτὸς μὴ ζητείτω τὴν τοῦ Θεοῦ ἐμφάνειαν, ἵνα μὴ δέξηται τὸν ὡς ἀληθῶς σκότος ὄντα, καὶ φῶς εἶναι ὑποκρινόμενον.

Περὶ ἐνεργείας θείας, καὶ ἐναντίας.

ξα'. Ὅταν δὲ ὁ νοῦς αὐτοῦ μὴ ζητοῦντος, φῶς ὁρᾷ, μὴ παραδεχέσθω τοῦτο, μήτε μὴν καταργείτω, ὥς φησιν ὁ Ἅγιος Μάρκος· ὅτι, ἔστιν ἐνέργεια χάριτος τῷ νηπίῳ ἀγνοουμένη. καὶ ἔστι τῆς κακίας ἑτέρα τῇ ἀληθείᾳ ἐξομοιουμένη. καλὸν δὲ τὰ τοιαῦτα μὴ ἐναπερείδεσθαι διὰ τὴν πλάνην, μήτε ἀναθεματίζειν διὰ τὴν ἀλήθειαν· ἀλλὰ πάντα δι' ἐλπίδος προσφεύγειν τῷ Θεῷ. αὐτὸς γὰρ οἶδε τῶν ἀμφοτέρων τὸ χρήσιμον. ἀλλ' ἐρωτάτω τὸν ἔχοντα χάριν καὶ δύναμιν πρὸς Θεὸν διδάξαι, καὶ διακρῖναι.

Περὶ διδασκάλου πεφωτισμένου καὶ ἀπλανοῦς.

Καὶ εἰ μὲν εὕροι τὸν διδάξαντα, οὐ καθὼς μόνον ἔγνω ἀπὸ τῆς θείας γραφῆς, ἀλλὰ καθάπερ καὶ ἐκεῖνος μακαρίως ἔπαθε τὸν θεῖον φωτισμόν, τῷ Θεῷ χάρις. εἰ δ' οὖν, κρεῖττον τὸ μὴ παραδέξασθαι, ἀλλ' ἐν ταπεινώσει πρὸς τὸν Θεὸν καταφυγεῖν. ἀνάξιον ἑαυτὸν ἐξ εἰλικρινοῦς καρδίας λογιζόμενος, καὶ ἀποκαλῶν τῆς τοιαύτης ἀξίας καὶ θεωρίας. ὥσπερ ἄρα ταῦτά τε, καὶ ὅσα προείρηται, καὶ δὴ ῥηθήσεται, καὶ ὅσα μεμυήμεθα, Χριστοῦ χάριτι, παρά τε γλωσσῶν ἀψευδῶν, Πνεύματι Ἁγίῳ κινουμένων τε καὶ φθεγγομένων· τῶν τε θεοπνεύστων γραφῶν, καὶ μερικῆς πείρας. ξβ'.

Περὶ φωτισμοῦ ἀληθινοῦ, καὶ ψευδοῦς· ἤγουν φωτὸς θείου, καὶ πονηροῦ.

Εἰ γάρ, καὶ ἐν ἐνίοις αὐτῶν οἱ κλεινοὶ Πατέρες ἡμῶν συγγράμμασι, τὰ σημεῖα τοῦ ἀπλανοῦς, καὶ τοῦ τῆς πλάνης ὑπεμφαίνουσί πως φωτισμοῦ, καθὰ δῆτα, καὶ ὁ τοῦ Λάτρου τρισόλβιος Παῦλος πεποίηκεν εἰρηκὼς πρὸς τὸν περὶ τούτου ἐπερωτήσαντα αὐτὸν μαθητὴν αὐτοῦ· ὅτι τὸ μὲν τῆς ἀντικειμένης δυνάμεως φῶς, πυροειδές ἐστι, καὶ καπνῶδες, καὶ τοῦ αἰσθητοῦ πυρὸς ὅμοιον· καὶ ἐπειδὰν αὐτὸ μετριοπαθὲς, καὶ κεκαθαρμένη ψυχὴ θεάσηται, ἀηδῶς ἔχει πρὸς αὐτό, καὶ βδελύττεται. τὸ δὲ τοῦ ἀγαθοῦ ἀγαθόν, χαριέστατόν τε ἐστι, καὶ ἀκραιφνές, καὶ προσβαλὸν ἁγιάζει, φωτός τε, καὶ χαρᾶς, καὶ ἱλαρότητος πληροῖ τὴν ψυχήν, καὶ ἠπίαν αὐτὴν καὶ φιλάνθρωπον ἀπεργάζεται. καὶ ἕτεροι δὲ ὡσαύτως. ἀλλ' ὅμως ξγ'.

ἅτε τὰ προειρημένα διὰ ζώσης ἤκουσα φωνῆς, οὕτω δή, καὶ περὶ τούτου κατὰ καιρὸν ἀκούσεις. νῦν γὰρ οὐ καιρός.

### Περὶ φαντασίας ἀπρεποῦς τε, καὶ εὐπρεποῦς, καὶ ὅπως χρὴ μετιέναι αὐτάς.

ξδ΄. Ἐπεὶ δὲ μικρῷ πρόσθεν περὶ φαντασίας ἐμνήσθημεν, καὶ φαντασίας ἀπρεποῦς, ὀνησιμώτατον, ὥς γε ἡμῖν δοκεῖ, ἐν βραχεῖ καὶ περὶ αὐτῆς, μᾶλλον δὲ περὶ πάσης φαντασίας ὡς δυνατὸν διαλαβεῖν. λίαν γὰρ ἀνθίσταται ἡ ἐπάρατος τῇ καθαρᾷ, καὶ καρδιακῇ προσευχῇ, καὶ τῇ ἑνιαίᾳ, καὶ ἀπλανεῖ τοῦ νοῦ ἐργασίᾳ. ὅθεν καὶ οἱ θεῖοι Πατέρες πολλαχῶς περὶ αὐτῆς, καὶ κατ' αὐτῆς ἀποφθέγγονται. αὕτη τοίνυν, ἡ ποικιλόμορφος, ὡς ὁ μυθευόμενος Δαίδαλος, καὶ πολυκέφαλος κατὰ τὴν ὕδραν φαντασία, οἱονεί τις γέφυρα τῶν δαιμόνων, τοῖς Ἁγίοις προείρηται· δι' αὐτῆς γὰρ διερχόμενοι, καὶ διαπερῶντες οἱ φόνιοι ἀλάστορες, κοινωνοῦσί πως καὶ συμμίγνυνται τῇ ψυχῇ. σίμβλον κηφήνων ταύτην ἀπεργαζόμενοι, καὶ ἐννοιῶν ἀκάρπων, καὶ ἐμπαθῶν οἰκητήριον. ταύτην δὴ φαντασίαν ἀποβλητέον ποικίλον. εἰ μή που βούλει, ἕνεκα μετανοίας, καὶ συντριβῆς, πένθους τε, καὶ ταπεινοφροσύνης· πρὸ δὲ καὶ τῆς τῶν ὄντων μελέτης, καὶ θεωρίας, τὴν μὲν καὶ χάριν ἀπρεποῦς φαντασίας, εὐπρεπῆ φαντασίαν παραβαλεῖν, καὶ ἀντισηκῶσαι· κἀκείνην ταύτῃ συμμίξας, καὶ ἀντιστρατευσάμενος, καὶ ὡς ῥίψασπιν τὴν ἄσεμνον, καὶ ἴταμον κατὰ κράτος βαλών, οὕτω κατ' αὐτῆς ἆραι τὰ νικητήρια. καὶ γοῦν οὕτω ποιῶν οὐ μόνον ζημίας, ἀλλὰ καὶ κέρδους σαυτῷ αἴτιος εἴης· ὡς ἐν ἀπταίστῳ κρίσει τὰ κατ' αὐτὸν διευθύνων. ἅτε φαντασίαν ἀπρεπῆ φαντασίᾳ εὐπρεπεῖ καταργῶν. καὶ τοῖς τῶν ἐναντίων ὅπλοις τούτους δὴ τοὺς ὑπεναντίους καιρίως πλήττων, ἢ ἀποκτείνων, ὡς πάλαι τὸν Γολιὰθ ὁ θεῖος Δαβίδ.

### Ὅτι οὐ μόνον ἡ ἀπρεπὴς φαντασία, ἀλλὰ καὶ ἡ εὐπρεπὴς ἀπόβλητος τοῖς Ἁγίοις εἰς τὴν καθαρὰν προσευχήν· καὶ εἰς τὴν ἁπλῆν, καὶ ἑνιαίαν ἐργασίαν τοῦ νοός.

ξε΄. Τοῦτο δέ, τῶν ἔτι νηπίων, ἤτοι τῶν ἀρχαρίων ἆθλόν ἐστιν. οἱ γὰρ τῷ χρόνῳ προβεβηκότες, ὁλικῶς τὴν ἀπρεπῆ φαντασίαν σὺν τῇ εὐπρεπεῖ ἀποβάλλονται, καὶ φρούδην ἐργάζονται. ὡς κηρὸν τηκόμενον ἀπὸ προσώπου πυρός, ἀποτεφροῦντες, καὶ διαλύοντες, διὰ τὴν καθαρὰν προσευχήν, καὶ τὴν ἐκ πάντων τοῦ νοὸς ἀτύπωτον ἀπόθεσίν τε, καὶ γύμνωσιν, ἕνεκα τῆς πρὸς Θεὸν ἁπλῆς ἐπιβολῆς, εἰ βούλει δέ, καὶ παραδοχῆς, καὶ ἀσχηματίστου, καὶ ἑνικῆς ἑνώσεως. λέγει καὶ γὰρ ὁ Ἅγιος Ἡσύχιος· πᾶς λογισμός, φαντασία ἐστὶν ἐν τῷ νῷ αἰσθητοῦ τινος πράγματος. τοὺς γὰρ ὢν ὁ Ἀσσύριος οὐκ ἄλλως ἀπατᾶν ἐξισχύει, εἰ μὴ χρήσηται τοῖς παρ' ἡμῶν αἰσθητοῖς, καὶ συνήθεσι. καὶ ὁ Ἅγιος Διάδοχος· Ἐπειδὴ πᾶς λογισμὸς διὰ φαντασίας αἰσθητῶν τινων εἰσέρχεται ἐν τῇ καρδίᾳ, τότε αὐγάζει αὐτῇ τὸ μακάριον φῶς τῆς θεότητος, ὅταν πάντη εὐκαιρήσῃ ἀπὸ πάντων, καὶ ἀσχημάτιστος ἐκ τύπων γένηται. ὅπερ ἡ λαμπρότης ἐκείνης, κατὰ στέρησιν τῶν πάντων νοημάτων παραφαίνεται τῷ καθαρῷ νοΐ. καὶ ὁ Μέγας Βασίλειος· ὥσπερ οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ Κύριος, οὕτως οὐδὲ ἐν διατυπώσεσι τισὶ καὶ πλάσμασι νοητοῖς. Προβέβληνται γὰρ ταῦτα ἀποτειχίζοντα τὴν κεκιβδηλευμένην ψυχὴν τὴν μὴ δυναμένην καθαρῶς ἐνατενίζειν πρὸς τὴν ἀλήθειαν, ἀλλ' ἔτι τοῦ ἐσόπτρου ἐχομένην, καὶ τοῦ αἰνίγματος. καὶ ὁ θεῖος Εὐάγριος·



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐκεῖ λέγεται καθέζεσθαι τὸν Θεόν, ἔνθα γινώσκεται· διὸ καὶ θρόνος λέγεται τοῦ Θεοῦ, νοῦς καθαρός. Τὸ τοίνυν νόημα τοῦ Θεοῦ, οὐκ ἐν τοῖς νοήμασιν εὑρεθήσεται τοῖς τυποῦσι τὸν νοῦν, ἀλλ᾽ ἐν νοήμασι τοῖς μὴ τυποῦσι. διόπερ τὸν προσευχόμενον δεῖ παντάπασι χωρίζεσθαι τῶν νοημάτων τῶν τυπούντων τὸν νοῦν· καὶ ἄλλως μὲν τυπωθήσεται ὁ νοῦς ὁρῶν νοῦν· καὶ ἄλλως δὲ διατεθήσεται ὁρῶν τὸν λόγον αὐτοῦ. ἐντεῦθεν μανθάνομεν πῶς ἡ γνῶσις ἡ πνευματικὴ ἀφιστᾶσι τὸν νοῦν τῶν νοημάτων τῶν τυπούντων αὐτόν. ἀτύπωτον δὲ ἀσκοῦσα, παρίστησι τῷ Θεῷ. καὶ ὁ Ἅγιος Μάξιμος ἐν τοῖς σχολίοις τοῦ Μεγάλου Διονυσίου· Ἕτερόν ἐστι φαντασία, καὶ ἕτερόν ἐστι νόησις, ἤτοι νόημα. ἀπό τε γὰρ διαφόρων δυνάμεων γίνονται, καὶ ἰδιότητι κινήσεως * ἡ μὲν γὰρ νόησις, ἐνέργειά ἐστι καὶ ποίησις. ἡ δὲ φαντασία πάθος, καὶ τύπωσις ἀπαγγελτικὴ αἰσθητοῦ τινος, ἢ ὡς αἰσθητοῦ τινος. καὶ ἡ μὲν αἴσθησις ἀντιλαμβάνεται τῶν ὄντων καὶ ἀθρόαν μόρφωσιν. ὁ δὲ νοῦς ἐφάπτεται· τουτέστιν ἀντιλαμβάνεται τῶν ὄντων ἑτέρῳ τρόπῳ, καὶ οὐχ ὡς ἡ αἴσθησις. Περὶ μὲν οὖν τὸ σωματικόν, ἢ τὸ πνευματικόν, ἐν ᾧ καὶ τὰς αἰσθήσεις εἶναι πρώην ἔφαμεν, τὸ παθητικόν, καὶ μορφωτικόν ἐστι κίνημα. τὸ δὲ κριτικόν, καὶ ἀντιληπτικόν, τῇ ψυχῇ, καὶ τῷ νῷ δοτέον. τούτῳ οὖν τῷ τῆς ψυχῆς ἀντιληπτικῷ καὶ τὸ φανταστικὸν * ὑποστεῖλαι δεῖ. διαιρεῖται δὲ ἡ φανταστικὴ εἰς τρεῖς μοίρας· πρώτην μὲν εἰς τὴν τῶν ἀντιλήψεων εἰκονιστικὴν πρὸς τὰ ποιοῦντα αἰσθητὴν τὴν ἀντίληψιν. δευτέραν δέ, τὴν ἐκ τῶν μενόντων ἐγκαταλειμμάτων ἀπὸ τούτων ἀνατυπωτικήν, τὴν μὴ ἔχουσαν ἐρηρεισμένας ἐπί τι τὰς εἰκόνας, ἣν καὶ ἰδίως φανταστικὴν καλοῦσι. τρίτην, ἐν ᾗ πᾶσα ἡδονή, καὶ φαντασία δοκοῦντος ἀγαθοῦ, ἢ κακοῦ κατὰ λύπην συνίσταται. οὐδὲ μία

* ἴσ. λείπει διαφέρουσι

* ἴσ. ἀποδιαστεῖλαι ἢ ὑποστεῖλαι

τούτων, καθὰ εἴρηται, φαντασία χώραν ἔχει ἐπὶ Θεοῦ. πάντων γὰρ ἅπαξ ἁπλῶς ὑπὲρ ἔννοιάν ἐστι, καὶ ὑπέρκειται. καὶ αὖθις ὁ Μέγας Βασίλειος· νοῦς μὴ σκεδαννύμενος ἐπὶ τὰ ἔξω, μηδὲ ὑπὸ τῶν αἰσθητηρίων ἐπὶ τὸν κόσμον διαχεόμενος, ἐπάνεισι μὲν πρὸς ἑαυτόν· δι᾽ ἑαυτοῦ δέ, εἰς τὴν περὶ Θεοῦ ἔννοιαν ἀναβαίνει· κἀκείνῳ τῷ κάλλει περιλαμπόμενος, καὶ αὐτῆς τῆς φύσεως λήθην λαμβάνει. ταῦτα τοιγαροῦν, καὶ αὐτὸς εἰδώς, ἐπάγου ὅσαι ὧραι, σὺν Θεῷ, ἀφαντάστως, ἀσχηματίστως, ἀδιατυπώτως, ὅλως ὅλῳ νοῒ καθαρῷ, καὶ ψυχῇ καθαρᾷ εὔχεσθαι ὁλοτρόπως. λέγει καὶ γὰρ ὁ Ἅγιος Μάξιμος.

## Περὶ νοὸς ψυχῆς, καὶ καρδίας καθαρῶν καὶ τελείων.

### Περὶ νοὸς καθαροῦ.

Νοῦς καθαρός ἐστιν, ὁ ἀγνοίας χωρι- ξϛʹ.
σθείς, καὶ ὑπὸ τοῦ θείου φωτὸς καταλαμπόμενος.

### Περὶ ψυχῆς καθαρᾶς.

Ψυχὴ καθαρά ἐστιν, ἡ παθῶν ἐλευθερωθεῖσα, καὶ ὑπὸ τῆς θείας ἀγάπης ἀδιαλείπτως εὐφραινομένη.

### Περὶ καρδίας καθαρᾶς.

Καρδία καθαρά ἐστιν, ἡ παντάπασιν ἀνείδεον τῷ Θεῷ, καὶ ἀδιαμόρφωτον παραστήσασα τὴν μνήμην· καὶ μόνοις τοῖς αὐτοῦ ἑτοίμην ἐνσημανθῆναι τύποις, δι᾽ ὧν ἐμφανὴς γίνεσθαι πέφυκε. τούτοις ἑπομένως, καὶ τάδε προσκείσθω.

### Περὶ τελείου νοός.

Νοῦς ἐστι τέλειος, ὁ διὰ πίστεως ἀληθοῦς τὸν ὑπεράγνωστον ἐγνωκώς, καὶ τῶν αὐτοῦ δημιουργημάτων * τὰ καθόλου θεασάμενος· καὶ τῆς ἐν αὐτοῖς προνοίας καὶ κρίσεως τὴν περιληπτικὴν γνῶσιν παρὰ Θεοῦ εἰληφώς, ὡς ἄνθρωπος δέ φημι.

* ἴσ. τὰ καθόλου



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Περὶ ψυχῆς τελείας.

Ψυχή ἐστι τελεία, ἧς ἡ παθητικὴ δύναμις νένευκεν ὁλοτελῶς πρὸς Θεόν.

Περὶ καρδίας τελείας.

Καρδία τελεία πάχα ἐκείνη λέγεται, ἡ μηδεμίαν ἔχουσα φυσικὴν καθ᾽ οἱονδήποτε τρόπον πρὸς ὁ,τιοῦν κίνησιν. ἐν ᾗ καθάπερ πτυχίῳ λεανθέντι καλῶς διὰ τὴν ἄκραν ἁπλότητα, παραγενόμενος ὁ Θεὸς τοὺς ἰδίους νόμους ἐγγράφει.

Περὶ νοῦ καθαροῦ.

Ἔτι νοῦν καθαρεῦσαι κατὰ τὸν Ἅγιον Διάδοχον μόνου τοῦ Ἁγίου Πνεύματος ἐστί. ἔτι νοῦν στῆναι κατὰ τὸν τῆς Κλίμακος μόνου τοῦ Ἁγίου Πνεύματος ἐστίν. ἔτι φησὶν ὁ Ἅγιος Νεῖλος· εἴτις βούλοιτο ἰδεῖν τὴν τοῦ νοῦ κατάστασιν, στερησάτω ἑαυτὸν πάντων τῶν νοημάτων, καὶ τότε ὄψεται αὐτὸν σαπφείρῳ, ἢ οὐρανίῳ χρώματι παρεμφερῆ. καὶ αὖθις· νοῦ κατάστασίς ἐστιν, ὕψος νοητὸν οὐρανίῳ χρώματι παρεμφερές· ᾧ καὶ τὸ τῆς Ἁγίας Τριάδος κατὰ τὸν καιρὸν τῆς προσευχῆς ἐπιγίνεται φῶς. καὶ ὁ Ἅγιος Ἰσαάκ· ὅταν ὁ νοῦς ἀποδύηται τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδύηται τὸν καινὸν τῆς χάριτος, τότε τὴν ἑαυτοῦ καθαρότητα ὄψεται ὁμοίαν τῇ ἐπουρανίῳ χροιᾷ· ἥτις Θεοῦ τόπος ὑπὸ τῆς γερουσίας τῶν υἱῶν Ἰσραὴλ ὠνόμασται, ἡνίκα ὤφθη αὐτοῖς ἐν τῷ ὄρει. οὕτω καὶ σὺ ποιῶν ὡς προείρηται, ἤτοι καθαρῶς, καὶ ἀφαντάστως, καὶ ἀδιατυπώτως προσευχόμενος, κατ᾽ ἴχνος ἔσῃ ἑπόμενος τοῖς Ἁγίοις. εἰδὲ μή γε, φαντασιαστὴς γενήσῃ ἀντὶ ἡσυχαστοῦ· καὶ ἀντὶ σταφυλῆς ζιζανίων ἀκάνθας· ὃ μή σοι γένοιτο.

Ὅπως οἱ Προφῆται ἐφαντάζοντο.

ξζʹ. Εἰ δέ τινες τὰς τῶν προφητῶν ὁράσεις, σχηματισμούς τε, καὶ ἀποκαλύψεις, διὰ φαντασίας, καὶ ἀκολουθίας φυσικῆς γεγενῆσθαι ὑπολαμβάνουσιν· ἔστω πόρρω τοῦ ὀρθοῦ σκοποῦ, καὶ τῆς ἀληθείας ἴστωσαν φερεσθαι. οἱ γὰρ Προφῆται, καὶ νῦν οἱ καθ᾽ ἡμᾶς ἱερομύσται, οὐ κατὰ φυσικὴν ἀκολουθίαν τινά, καὶ τάξιν, ταῖ μὴν καὶ φαντασίαν ἑώρων, καὶ ἐφαντάζοντο, ἅπερ ἑώρων, καὶ ἐφαντάζοντο, ἀλλὰ θείως, καὶ ὑπὲρ φύσιν τὸν νοῦν τῇ ἀρρήτῳ δυνάμει, καὶ χάριτι τοῦ Ἁγίου Πνεύματος τυπούμενοι, καὶ φανταζόμενοι. ὥς φησιν ὁ Μέγας Βασίλειος· ὅτι ἀφάτῳ τινὶ δυνάμει φανταζόμενοι τὸν νοῦν οἱ ἀπερίσπαστον αὐτόν, καὶ καθαρὸν ἔχοντες· οἱονεὶ ἐνηχοῦντα αὐτοῖς ἔχουσι τὸν λόγον τοῦ Θεοῦ. καὶ αὖθις· ἑώρων οἱ Προφῆται τυπούμενοι τῷ πνεύματι τὸ ἡγεμονικόν. καὶ ὁ Θεολόγος Γρηγόριος· τοῦτο, ἤγουν τὸ Πνεῦμα τὸ Ἅγιον, ἐνήργει πρότερον ἐν ταῖς Ἀγγελικαῖς καὶ οὐρανίαις δυνάμεσι. καὶ μετὰ μικρόν· ἔπειτα ἐν τοῖς Πατράσι, καὶ ἐν τοῖς Προφήταις. ὧν οἱ μὲν ἐφαντάσθησαν Θεόν, ἢ ἔγνωσαν. οἱ δὲ τὸ μέλλον προέγνωσαν· τυπούμενοι τῷ πνεύματι τὸ ἡγεμονικόν, καὶ ὡς παροῦσι συνόντες τοῖς ἐσομένοις.

Ἔτι περὶ φαντασιῶν, καὶ πολλῶν, καὶ ποικίλων θεωριῶν.

Εἰ δέ τινες ἀμφιβάλλουσιν ἔτι ὡς τὰς ξηʹ.
φαντασίας ἀποδεχόμενοι, καὶ τὰς πολλὰς καὶ ποικίλας θεωρίας, καὶ ἐναντιοῦνται ἡμῖν, ὡσανεί πως τοῖς Ἁγίοις οὐ γὰρ μένοι ἕπεσθαι, τῷ λέγειν, τὸν μὲν Θεολόγον τῷ μόνῳ τὸν Θεὸν σκιαγραφεῖσθαι, οὐκ ἐκ τῶν κατ᾽ αὐτόν, ἀλλ᾽ ἐκ τῶν περὶ αὐτόν. ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης, εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα, καὶ τὰ ἑξῆς. τὸν δὲ θεῖον Μάξιμον, μὴ δύνασθαι τὸν νοῦν ἀπαθῆ γενέσθαι ἐκ μόνης τῆς πράξεως, ἐὰν μὴ διαδέχωνται αὐτὸν πολλαί, καὶ ποικίλαι θεωρίαι. ὁμοίως καὶ ἑτέρους Ἁγίους τὰ ἴσα τούτοις διαγορεύοντας· οἱ τοιοῦτοι γινωσκέτωσαν, ὡς ἐκείνοις τοῖς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μακαρίοις οὐ περὶ τῆς κατὰ παράδοξον ἐργασίας οὔσης, καὶ χάριτος, τῆς γνωστικῆς φαμέν, καὶ ἐποπτικῆς, καὶ αὐτῇ πείρᾳ συναπτούσης Θεῷ τὸν ἄνθρωπον, οἱ λόγοι οὗτοι πεφήνασιν· ἀλλὰ περὶ τῆς κατ᾽ ἐπιβολήν, δηλαδή, τῆς ἐκ τῆς σοφίας, καὶ τῆς τῶν ὄντων ἀναλογίας, καὶ ἁρμονίας συλλεγομένης θεωρίας, καὶ εἰς τὴν περὶ Θεοῦ ἔννοιαν παρακυπτούσης ἀμυδρῶς πως, ἥν τινα καὶ τοῖς πολλοῖς, μᾶλλον δὲ πᾶσιν ἅπαξ ἁπλῶς ἔξεστι μετέρχεσθαι, καὶ διανοεῖσθαι, ὡς ἐπιστημονικῶς * τὰς τοιαύτας τῶν ἁγίων χρήσεις ἐξηγητικῶς, ἐναργῶς εἴσεται, ὡς γέγραπται· ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς καταλαμβάνεται· οὐ μόνον ἐκ τῆς τοῦ κόσμου καὶ θύραθεν πολυλέσχου, καὶ ματαίας τεχνικῆς μαθήσεως· αὕτη γὰρ ὡς λάξις ἄσεμνος, καὶ ἐπιστημονικῇ, καὶ σοφιστικῇ, καὶ ἀποδεικτικῇ οἰήσει γαυρουμένη· οὐκ εὐαγγελικῇ πίστει, καὶ ταπεινώσει, καὶ ἀληθεῖ συγκαταθέσει στοιχειουμένη, πόρρω τῶν ἱερῶν προθύρων ἐξωστράκισται. ἡμῖν δὲ νῦν ὁ λόγος περὶ τῆς τελείας, καὶ ἐνυποστάτου ἐλλάμψεως, καθ᾽ ἣν καὶ οἱ τῶν Ἀποστόλων πρόκριτοι οἱ ἐπ᾽ ὄρους Θαβὼρ τῷ Ἰησοῦ συναναβάντες ἀῤῥήτως τὴν καλήν, καὶ τῷ ὄντι μακαρίαν ἀλλοιωθέντες ἀλλοίωσιν ἔπαθον, καὶ τὴν ἀθέατον βασιλείαν, καὶ θεότητα, καὶ αἰσθητοῖς ὀφθαλμοῖς μετασκευασθεῖσι πρὸς τὸ θειότερον, ἤγουν πνευματικοῖς γεγονόσι τῇ δεξιᾷ τοῦ Παναγίου Πνεύματος, κατιδεῖν ἠξιώθησαν. καθ᾽ ὅσον δὲ ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, καὶ ὁ οὐρανὸς τῆς γῆς· καὶ ἡ ψυχὴ ὑπερφέρει τοῦ σώματος, κατὰ τοσοῦτον, καὶ ἡ κατὰ παράδοξον ἐργασία, καὶ χάρις, τῆς κατ᾽ ἐπιβολήν· ἡ μὲν γάρ, ἤτοι ἡ κατ᾽ ἐπιβολήν, ὡς ἔφημεν, ἔξωθεν· καὶ διὰ τῆς τῶν ὄντων εὐτάκτου φορᾶς, τάξεώς τε, καὶ συλλογῆς, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα τὸ προκόπτειν ἔχει, καὶ πρὸς Θεὸν ἐν πίστει ἀνατείνεσθαι. ἡ δέ, ἤγουν ἡ κατὰ παράδοξον, ἀμέσως παρ᾽ αὐτοῦ τοῦ Θεοῦ ὑποστατικῶς ἔνδον καρδίας πέφυκε γίνεσθαι, ἔσθ᾽ ὅτε καὶ ἔξωθεν, καὶ τῷ σώματι μεταδιδοῦσα ἐμφανῶς ὑπὲρ ἔννοιαν τῆς οἰκείας ἐλλάμψεως καὶ τοῦ θειοτάτου φωτισμοῦ, ὑπερφυῶς παχούσης τῆς καρδίας, κατὰ τὸν σοφώτατον Μάξιμον, οὐ ποιούσης τὴν ἀγέννητον θέωσιν· φησὶ γὰρ οὕτως ὁ Ἅγιος· ἀγέννητον λέγω θέωσιν τὴν κατ᾽ εἶδος ἐνυπόστατον τῆς θεότητος ἔλλαμψιν· ἥτις οὐκ ἔχει γένεσιν, ἀλλ᾽ ἀνεπινόητον ἐν τοῖς ἀξίοις φανέρωσιν. συνᾴδοντα τοῖς ῥηθεῖσι λέγει καὶ ὁ Μέγας Διονύσιος· „ δεῖν εἰδέναι
„ τὸν καθ᾽ ἡμᾶς νοῦν, τὴν μὲν ἔχειν
„ δύναμιν εἰς τὸ νοεῖν, δι᾽ ἧς τὰ νοητὰ
„ βλέπει· τὴν δὲ ἕνωσιν ὑπεραίρουσαν
„ τὴν τοῦ νοῦ φύσιν, δι᾽ ἧς συνάπτεται
„ πρὸς τὰ ἐπέκεινα ἑαυτοῦ. καὶ ὁ Ὅσιος
„ Ἰσαάκ· δύο ὀφθαλμοὺς κεκτήμεθα
„ ψυχικούς, καθὼς λέγουσιν οἱ Πατέ-
„ ρες. καὶ οὐχ ἡ αὐτὴ χρεία, τῆς δι᾽ ἑ-
„ κατέρου θεωρίας. ἐν ἑνὶ μὲν γὰρ ὀφ-
„ θαλμῷ, τὰ κεκρυμμένα ἐν ταῖς φύ-
„ σεσιν ὁρῶμεν· ἤγουν τὴν δύναμιν τοῦ
„ Θεοῦ, καὶ τὴν σοφίαν αὐτοῦ, καὶ τὴν
„ περὶ ἡμᾶς πρόνοιαν αὐτοῦ, τὴν κα-
„ ταλαμβανομένην ἐκ τῆς ἁγιότητος τῆς
„ κυβερνήσεως αὐτοῦ εἰς ἡμᾶς. καὶ ἐν
„ τῷ ἑτέρῳ ὀφθαλμῷ, θεωροῦμεν τὴν
„ δόξαν τῆς φύσεως αὐτοῦ τῆς ἁγίας,
„ ὅτε εἰς τὰ μυστήρια τὰ πνευματικὰ
„ εὐδοκήσει ὁ Θεὸς εἰσάξαι ἡμᾶς. καὶ
„ ὁ θεῖος Διάδοχος· τοῦ μὲν ἑνὸς Ἁ-
„ γίου Πνεύματός εἰσι χαρίσματα, ἥ τε
„ σοφία, καὶ ἡ γνῶσις, ὡς καὶ πάντα τὰ
„ θεῖα χαρίσματα· ἰδίαν δὲ ὥσπερ ἕ-
„ καστον τὴν ἐνέργειαν ἔχει. διόπερ ἄλ-
„ λῳ μὲν δίδοται σοφίαν, ἄλλῳ δὲ
„ γνῶσιν κατὰ τὸ αὐτὸ Πνεῦμα, ὁ Ἀ-

* ἴσ. λείπει τὸ τίς

„ πό-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

„πόστολος μαρτυρεῖ· ἡ μὲν γὰρ γνῶσις, αὐτῇ πείρᾳ συνάπτει τὸν ἄνθρωπον τῷ Θεῷ, εἰς λόγους τῶν πραγμάτων τὴν ψυχὴν μὴ κινοῦσα. διὸ καί τινες τῶν τὸν μονήρη βίον φιλοσοφούντων, φωτίζονται μὲν ὑπ᾽ αὐτῆς ἐν αἰσθήσει· εἰς δὲ λόγους θείους οὐκ ἔρχονται. ἡ δὲ σοφία, εἴπερ μετὰ ταύτης ἐν φόβῳ δοθῇ τινί· σπάνιον δὲ τοῦτο· αὐτὰς τὰς ἐνεργείας φανεροῖ τῆς γνώσεως. ἐπειδὴ ἡ μὲν, τῇ ἐνεργείᾳ, ἡ δὲ, τῷ λόγῳ φωτίζειν εἴωθεν. ἀλλὰ τὴν μὲν γνῶσιν, εὐχὴ φέρει, καὶ πολλὴ ἡσυχία ἐν ἀμεριμνίᾳ παντελεῖ. τὴν δὲ σοφίαν, ἀκενόδοξος μελέτη τῶν λογίων τοῦ Θεοῦ. καὶ πρῶτον ἡ χάρις τοῦ διδόντος Θεοῦ". Πρὸς δὲ, καὶ ὁ Ἅγιος φησὶ Μάξιμος ἐν τοῖς Σχολίοις· „τὸ φρέαρ τοῦ Ἰακὼβ ἐστὶν ἡ γραφή· τὸ δὲ ὕδωρ ἐστὶν, ἡ ἐν τῇ γραφῇ γνῶσις· τὸ δὲ βάθος, ἡ τῶν γραφικῶν αἰνιγμάτων δυσδιεξίτητος θεωρία· τὸ δὲ ἄντλημά ἐστιν ἡ διὰ τῶν γραμμάτων τοῦ θείου λόγου μάθησις, ἣν οὐκ εἶχεν ὁ Κύριος, αὐτολόγος ὑπάρχων, καὶ οὐ τὴν ἐκ μαθήσεως, καὶ μελέτης γνῶσιν διδοὺς τοῖς πιστεύουσιν, ἀλλὰ τὴν ἐκ χάριτος ἀενάου πνευματικῆς ἀέναον σοφίαν, καὶ μηδέποτε λήγουσαν, τοῖς ἀξίοις δωρούμενος. τὸ γὰρ ἄντλημα, τουτέστιν ἡ μάθησις, μέρος ἐλάχιστον λαμβάνουσα γνώσεως, τὸ πᾶν ἐᾷ, μηδενὶ λόγῳ κρατούμενον. ἡ δὲ κατὰ χάριν γνῶσις, ὅλην ἔχει, καὶ δίχα μελέτης, τὴν ἐφικτὴν ἀνθρώποις σοφίαν, πρὸς τὰς χρείας ποικίλως βλυστάνουσα". καὶ αὖθις ὁ Ἅγιος Διάδοχος· „ὁ νοῦς ἡμῶν, τὰ πολλὰ περὶ μὲν τὴν προσευχὴν, δυσπαχέτως ἔχει, διὰ τὸ στενὸν ἄγαν, καὶ περιεσταλμένον τῆς εὐκτικῆς ἀρετῆς· εἰς δὲ τὴν θεολογίαν, χαίρων ἑαυτὸν ἐπιδίδωσιν, διὰ τὸ πλατὺ, καὶ ἀπολελυμένον τῶν θείων θεωρημάτων. ἵνα οὖν μηδὲ αὐτῷ δῶμεν τὰ πολλὰ θέλειν λέγειν· καὶ ὑπὲρ τὸ μέτρον αὐτὸν πτεροῦσθαι παραχωρῶμεν τῇ χαρᾷ, τῇ προσευχῇ τὰ πλεῖστα καὶ τῇ ψαλμῳδίᾳ, καὶ τῇ τῶν ἁγίων γραφῶν ἀναγνώσει σχολάζωμεν. μήτε τῶν φιλολόγων ἀνδρῶν παρορῶντες τὰ θεωρήματα· ὧν ἡ πίστις διὰ τῶν λόγων γνωρίζεται. οὔτε γὰρ ἴδια αὐτὸν, τοῦτο ποιοῦντες, παρασκευάσωμεν ῥήματα ἐπιμιγνύειν τοῖς λόγοις τῆς χάριτος· οὔτε μὴν ὑπὸ τῆς κενοδοξίας ὑποσύρεσθαι, διαφορηθέντα διὰ τῆς πολλῆς χαρᾶς, καὶ τῆς πολυλογίας, παραχωρήσωμεν· ἀλλὰ καὶ πάσης φαντασίας ἐκτὸς αὐτὸν ἐν τῷ καιρῷ τῆς θεωρίας φυλάξωμεν, καὶ δακρυώδεις αὐτοῦ σχεδὸν τὰς πάσας ἐκ τούτου ἐννοίας περιποιησώμεθα. ἀναπαυόμενος γὰρ ἐν τοῖς καιροῖς τῆς ἡσυχίας, καὶ καθηδυνόμενος ὑπὸ τοῦ τῆς εὐχῆς μάλιστα γλυκασμοῦ, οὐ μόνον τῶν προειρημένων αἰτιῶν ἐκτὸς γίνεται, ἀλλὰ πλέον καὶ πλέον ἀνανεοῦται εἰς τὸ, ὀξέως, καὶ δίχα πόνου τοῖς θείοις ἐπιβάλλειν θεωρήμασι, μετὰ τοῦ καὶ, εἰς τὴν γνῶσιν αὐτὸν τῆς διακρίσεως ἐν πολλῇ προκόπτειν ταπεινώσει. πλὴν δεῖ εἰδέναι, ὅτι ἐστὶν εὐχὴ, παντὸς πλάτους ἐπάνω· αὕτη δὲ ἐκείνων μόνων ὑπάρχει, τῶν ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ ἐμπεπλησμένων τῆς ἁγίας χάριτος". ἀκήκοας; ἔστιν εὐχὴ, φησὶν, ἐπάνω παντὸς πλάτους, ἥτις ἐκείνων μόνων ὑπάρχει, τῶν ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ, δηλονότι ἔνδον καρδίας ἐνυποστάτως ὑπερφυῶς ἐμπεπλησμένων τοῦ θειοτάτου φωτισμοῦ τῆς χάριτος· ταύτην, καὶ ὁ Ἅγιος Ἰσαὰκ, [illegible] ἀσφράγιστον ἀποκαλεῖ, ἤτοι ἀσχημάτιστον, ἀνείδεον, καὶ

ἁπλῆν· καὶ ἄλλοι ἄλλως τῶν Ἁγίων Πατέρων.

**Περὶ τῶν τῆς ψυχῆς πέντε δυνάμεων· ὁμοίως δὲ καὶ περὶ φαντασιῶν οἰκείων τῆς ψυχῆς, καὶ τοῦ νοῦ. καὶ ὅτι δεῖ ὁλικῶς φεύγειν τὴν φαντασίαν, καὶ τοὺς σχηματισμοὺς, καὶ τὰς ἐκτυπώσεις, καὶ τὰς μορφώσεις ἐν τῇ καθαρᾷ προσευχῇ, καὶ τῇ ἁπλῇ καὶ ἑνιαίᾳ τοῦ νοῦ ἐργασίᾳ.**

ξθ'. Ἀλλ' ἐπειδήπερ, ὡς δεδήλωται, οὐ μόνον παρὰ δαιμόνων, ἀλλὰ καὶ αὐτὴ ἡ ψυχὴ ἀφ' ἑαυτῆς φυσικῶς ἔχει τὸ φαντάζεσθαι, διὰ τὸ πέντε δυνάμεις κεκτῆσθαι· ἤτοι νοῦν· διάνοιαν· δόξαν· φαντασίαν· καὶ αἴσθησιν. ὥσπερ ἄρα καὶ τὸ σῶμα τὰς πέντε αἰσθήσεις· ὅρασιν· ὄσφρησιν· ἀκοὴν· γεῦσιν· καὶ ἁφήν. μία δὲ ἐστὶν ὡς ἔφημεν τῶν τῆς ψυχῆς δυνάμεων καὶ ἡ φαντασία, δι' ἧς ἡ ψυχὴ καὶ φαντάζεται, χρὴ ταύτην καλῶς τὰ καθ' ἑαυτὴν * ἐθέλουσαν οἰκονομεῖν καὶ διέπειν, τὰς μάλιστα συναπτούσας αὐτὴν τῷ Θεῷ δυνάμεις αὐτῆς, ἔντε τῷ παρόντι αἰῶνι, ἔντε τῷ μέλλοντι, ἀναπτεροῦν, καὶ πρὸς Θεὸν ἀνάγειν ὁλικῶς ἐπείγεσθαι. περὶ δέ γε τῶν λοιπῶν καὶ τὸ προσῆκον φροντίζειν, καὶ κεχρῆσθαι, καὶ ποιεῖν. ζητητέον τοίνυν, οἷα περὶ τούτων οἱ Πατέρες φασὶ, καὶ τὸ εἰκὸς ὑποτάξει. καὶ λέγει ὁ Ἅγιος Μάξιμος· ,, ἐπειδὴ ἡ ψυχὴ δι' ἑαυτὴν, ἤτοι τὴν αὐτῆς οὐσίαν, ἐστὶ λογική τε καὶ νοερὰ, καὶ αὐθυπόστατος πάντως ἐστίν. εἰ δὲ αὐθυπόστατος, δι' ἑαυτὴν φύσει, καὶ καθ' ἑαυτὴν, καὶ μετὰ σώματος ἐνεργήσει, νοοῦσα κατὰ φύσιν καὶ λογιζομένη, καὶ οὐδέποτε παυομένη τῶν φυσικῶς αὐτῇ προσόντων νοερῶν δυνάμεων. τὰ γὰρ φύσει τῷ ὁπωσοῦν ὄντι προσόντα, ἕως ἐστὶ καὶ ὑφέστηκεν, ἀναφαίρετα τυγχάνει. ἡ ψυχὴ οὖν, ἀεί τε οὖσα ἀφ' οὗ γέγονε, καὶ ὑφισταμένη, διὰ τὸν οὕτως αὐτὴν δημιουργήσαντα Θεὸν, ἀεὶ νοεῖ, καὶ λογίζεται, καὶ γινώσκει· καὶ καθ' ἑαυτὴν, καὶ μετὰ σώματος, δι' ἑαυτὴν, καὶ τὴν ἑαυτῆς φύσιν. οὐδεὶς οὖν ἀφεθήσεται λόγος· ὁ τὴν ψυχὴν τῶν προσόντων αὐτῇ φυσικῶς, καὶ οὐ διὰ τὸ σῶμα, μετὰ τὴν τούτου λύσιν, ἀλλοτριῶσαι δυνάμενος". ἐπεὶ οὖν τὸν νοῦν καὶ τὴν διάνοιαν ἐπιγινώσκομέν τε, καὶ παρὰ τῶν Ἁγίων μυσταγωγούμεθα, καὶ κατὰ τὸν νῦν αἰῶνα, καὶ κατὰ τὸν μέλλοντα, περὶ Θεὸν κινεῖσθαι καὶ * συνεργεῖν· τὰς δ' ἄλλας δυνάμεις κατὰ τὸν παρόντα καὶ μόνον αἰῶνα, ὡς ἰδίας αὐτοῦ· δέον καὶ τὴν ψυχὴν, οἷα ἔντεχνον κυβερνήτην, καὶ τὸ κῦρος τούτων φυσικῶς ἔχουσαν, καὶ μὴ κατὰ τὸ παρὸν * εἰρημένην μόνον διενεργεῖν, ἀλλὰ κατὰ τὸ μέλλον μάλιστα, τὸν νοῦν, καὶ τὴν διάνοιαν ὁλοτρόπως σπεύδειν ἀνατείνειν πρὸς τὸν Θεόν· καὶ κινεῖν, καὶ συνάπτειν, ἐν τῷ τῆς καθαρᾶς προσευχῆς, καὶ τῆς νοερᾶς, καὶ ἑνιαίας, καὶ ἁπλῆς ἐργασίας καιρῷ. τῆς δὲ φαντασίας τοκαθόλου τοῦτον χωρίζειν, καὶ τῶν ἄλλων δυνάμεων. κατὰ γὰρ τὸν Ἅγιον Νεῖλον, ,, κατάστασίς ἐστι προσευχῆς, ἕξις ἀπαθής· ἔρωτι ἀκροτάτῳ, εἰς ὕψος νοητὸν ἁρπάζουσα τὸν φιλόσοφον, καὶ πνευματικὸν νοῦν". οὕτω καὶ γὰρ πράττουσα ἡ ψυχὴ, τὸ εἰκὸς αὐτῇ, καὶ τίμιον ἀξίωμα, ἔσεται διαφυλάττουσα.

* ἴσ. ἐθέλουσιν
* ἴσ. ἐνεργεῖν
* ἴσ. εἰρημένην

**Ἔτι περὶ νοός·**

ο. Ὡσαύτως δὲ δεῖ καὶ αὐτὸν τὸν νοῦν, ὡς ἀμερῆ, καὶ ἁπλοῦν, καὶ αὐτοτελῆ ὄντα οὐσίαν, καθαρὸν, καὶ φωτοειδῆ, ἑαυτὸν τηρεῖν καὶ φυλάσσειν ἀμέτοχον, καὶ μεμερισμένον ταύτης, ἤγουν τῆς φαντα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σίας· ὡς καὶ αὐτὸν ἀφ᾽ ἑαυτοῦ δύναμιν φυσικὴν κεκτημένον εἰς τοῦτο, καὶ εἰς τό, ἀσχέτως, πρὸς ἑαυτὸν ἀναπολεῖν, καὶ συστρέφεσθαι, καὶ κινεῖσθαι. τοῦτο γάρ ἐστιν ἡ στάσις τοῦ νοῦ· ὃ παρὰ τῆς θείας αὐτῷ ἐγγίνεται χάριτος, κατὰ τὸν τῆς Κλίμακος λέγοντα· „τὸ στῆσαι τὸν νοῦν, „μόνου τοῦ Ἁγίου Πνεύματός ἐστι". κἂν γὰρ καὶ καθὸ δύναμις ὢν ὁ νοῦς τῆς ψυχῆς, καὶ ὑπ᾽ αὐτῆς κινῆται καὶ ἄρχηταί πως, ἀλλ᾽ οὖν γε καὶ ὀφθαλμὸς αὐτῆς ἐστί τε καὶ ὀνομάζεται· καί γε ἰδίαν τινὰ δύναμιν φυσικὴν ἁπλῆν, καὶ αὐτοτελῆ, ὡς εἴπομεν, πλουτεῖ. διά τοι τοῦτο, καὶ ὁπηνίκα κατὰ φύσιν σχετικῶς πρός τε τὴν ψυχήν, καὶ τὰς αὐτῆς δυνάμεις διατελεῖ διακείμενος, τότε δὴ καὶ δυνάμει νοῦς ἐστίν· ὅπερ καὶ ψυχικὸς ἄνθρωπος κέκληται. ὁπόταν δὲ τὴν ἰδίαν φυσικήν, καὶ ἁπλῆν οὐσιώδη ἀναλάβῃ ἀξίαν, καὶ φαιδρότητα, τὴν ἀμερῆ, καὶ αὐτοτελῆ, καὶ αὐτεξούσιον· ἤγουν ἀπαλλαγῇ τῶν τε σωματικῶν, καὶ ψυχικῶν φυσικῶν σχέσεων, καὶ κινήσεων, καὶ ἀπὸ τοῦ δυνάμει νοῦς εἶναι, εἰς τὸ ἐνεργείᾳ νοῦς γενέσθαι ἀξιωθῇ, ἤτοι εἰς τὸν ὑπὲρ φύσιν, καὶ πνευματικὸν προκόψῃ ἄνθρωπον, τότε δὴ ἀεὶ πρὸς ἑαυτὸν ἀκλινῶς ἐπανέρχεται, καὶ δι᾽ ἑαυτοῦ, πρὸς τὴν τοῦ Θεοῦ ἔννοιαν ἀσχέτως ἀναβαίνει πάντη, καὶ ἀπολύτως, τὴν ἀδιαμόρφωτον, καὶ ἀνείδεον, καὶ ἁπλῆν, ὥς φησιν ὁ Μέγας Βασίλειος· „νοῦς μὴ „σκεδαννύμενος ἐπὶ τὰ ἔξω, μηδὲ ὑπὸ „τῶν αἰσθητηρίων ἐπὶ τὸν κόσμον δια„χεόμενος, ἐπάνεισι μὲν πρὸς ἑαυτόν· „δι᾽ ἑαυτοῦ δὲ πρὸς τὴν τοῦ Θεοῦ ἔν„νοιαν ἀναβαίνει· κἀκείνῳ τῷ κάλλει πε„ριλαμπόμενός τε, καὶ ἐλλαμπόμενος, „καὶ αὐτῆς τῆς φύσεως λήθην λαμ„βάνει". καὶ οὕτω γοῦν καὶ τὸ κατ᾽ εἰκόνα, καὶ καθ᾽ ὁμοίωσιν αὐτοῦ ὁ νοῦς ἀναλαμβάνει, καὶ διασώζει, νοῦς ὤν· καὶ δι᾽ ἑαυτοῦ ἀμέσως νοερῶς, τῷ θείῳ νῷ, δηλαδὴ τῷ Θεῷ, ἑνούμενός τε, καὶ συγγινόμενος. αὕτη δέ ἐστιν ἡ ἐργασία, ἡ κατὰ κύκλον κίνησις· δηλονότι, ἡ πρὸς αὐτὸν τὸν νοῦν ἑαυτοῦ ἐπάνοδος, καὶ στροφή, καὶ ἕνωσις· καὶ ἡ δι᾽ ἑαυτοῦ, πρὸς τὸν Θεόν, ἥτις καὶ μόνη τῷ ὄντι πέφυκεν ἀπλανής, καὶ ἄπταιστος, ὡς ἄσχετος οὖσα, καὶ ἄμεσος, καὶ ὑπὲρ νόησιν ἕνωσις, καὶ ὑπὲρ ὅρασιν ὅρασις. καὶ λέγει ὁ Μέγας Διονύσιος· „ψυχῆς κίνησίς ἐστι, κυκλικὴ „μέν, ἡ εἰς ἑαυτὴν εἴσοδος ἀπὸ τῶν „ἔξω· καὶ τῶν νοερῶν αὐτῆς δυνάμεων „ἡ ἑνοειδὴς συνέλιξις, ὥσπερ ἔν τινι κύ„κλῳ, τὸ ἀπλανὲς αὐτῇ δωρουμένη, καὶ „ἀπὸ τῶν πολλῶν τῶν ἔξωθεν αὐτὴν „ἐπιστρέφουσα, καὶ συνάγουσα πρῶτον εἰς „ἑαυτήν· εἶτα ὡς ἑνοειδῆ γενομένην, „ἑνοῦσα ταῖς ἑνιαίως ἡνωμέναις δυνά„μεσι· καὶ οὕτως ἐπὶ τὸ καλόν, καὶ ἀ„γαθὸν χειραγωγοῦσα, τὸ ὑπὲρ πάντα „τὰ ὄντα, καὶ ἓν καὶ ταὐτόν, καὶ ἄναρ„χον, καὶ ἀτελεύτητον. ἑλικοειδῶς δὲ „ψυχὴ κινεῖται, καθ᾽ ὅσον οἰκείως ἑαυ„τῇ τὰς θείας ἐλλάμπεται γνώσεις· „οὐ νοερῶς, καὶ ἑνιαίως, ἀλλὰ λογικῶς, „καὶ διεξοδικῶς· καὶ οἷον συμμικτοῖς, καὶ „μεταβατικαῖς ἐνεργείαις. τὴν κατ᾽ εὐ„θεῖαν δέ, ὅταν οὐκ εἰς ἑαυτὴν εἰσιοῦ„σα, καὶ ἑνικῇ νοερότητι κινουμένη· τοῦτο „γάρ, ὡς ἔφην, ἐστὶ τὸ κατὰ κύκλον. ἀλ„λὰ πρὸς τὰ περὶ αὐτὴν προϊοῦσα· „καὶ ἀπὸ τῶν ἔξωθεν, ὥσπερ ἀπό τι„νων συμβόλων πεποικιλμένων καὶ πε„πληθυσμένων ἐπὶ τὰς ἁπλᾶς, καὶ „ἡνωμένας ἀνάγηται θεωρίας. καὶ ὁ „Ἅγιος Μάξιμος· τὴν ἄμεσον λαβὼν „ἕνωσιν πρὸς τὸν Θεὸν ὁ νοῦς, τὴν τοῦ „νοεῖν, καὶ νοεῖσθαι κατὰ φύσιν παντελῶς „δύναμιν ἔχει σχολάζουσαν· ὁπηνίκα „γοῦν ταύτην λύσῃ, νοήσας τι τῶν „μετὰ Θεόν, διῃρέθη, τεμὼν τὴν ὑ„πὲρ νόησιν ἕνωσιν· καθ᾽ ἣν ἕως ἐστὶ

„τῷ

Athos Library
Αγιορειτική Βιβλιοθήκη

„τῷ Θεῷ συνημμένος, ὡς ὑπὲρ φύσιν, καὶ τῇ μεθέξει Θεὸς γεγενημένος, καθάπερ ὅρος ἀκίνητον, ἑαυτῷ τὸν τῆς φύσεως μετατίθησι νόμον. καὶ αὖθις, νοῦς καθαρὸς, τῇ περὶ τὴν αἰτίαν ἑνώσει σχέσιν ἔλαβεν ὑπὲρ νόησιν, καθ' ἣν ἀποπαύσας τὴν πολυποίκιλον πρὸς τὰ μετὰ τὴν αἰτίαν αὐτοῦ φυσικὴν κίνησίν τε, καὶ σχέσιν, μόνης ἀγνώστως ἀντέχεται κατὰ τὴν ἄφθεγκτον λῆξιν γεγενημένος, τῆς ὑπὲρ νόησιν παμμακαρίστου σιγῆς, ἣν δηλῶσαι παντελῶς οὐ δύναται λόγος, ἢ νόησις· ἀλλὰ μόνη κατὰ μέθεξιν ἡ πεῖρα, τῶν ἀξιωθέντων τῆς ὑπὲρ νόησιν ἀπολαύσεως· ἧς σημεῖόν ἐστιν εὔγνωστόν τε, καὶ πᾶσι κατάδηλον, ἡ κατὰ διάθεσιν πρὸς τὸν αἰῶνα τοῦτον παντελὴς ἀναισθησία τῆς ψυχῆς, καὶ διάστασις“. Πρὸς τοῦτο τοίνυν μὴ συνεργούμενος ὁ νοῦς παρὰ τῆς ψυχῆς, ἤτοι τὸ πρὸς Θεὸν ἀεὶ κινεῖσθαι, μήτε ἀφ' ἑαυτοῦ κατορθῶν, καὶ διενεργῶν τὸ οἰκεῖον, ἤγουν, τὸ πρὸς ἑαυτὸν ἐπανέρχεσθαι, καὶ οὕτως ἀσχέτως εἰς τὴν περὶ Θεοῦ ἔννοιαν, ἀναβαίνειν· μᾶλλον δὲ μὴ παρ' ἑκατέρων τοῦτο καρπούμενος· ἀλλὰ τῇ φαντασίᾳ ἑπόμενος, ἤδη λοιπὸν καὶ ποικίλλεται, καὶ μακρὰν ἀπέχει τοῦ Θεοῦ.

## Ἔτι περὶ καθαρᾶς προσευχῆς.

οα΄. Καὶ λέγει ὁ Ἅγιος Νεῖλος· „Ἀγωνίζου στῆσαι τὸν νοῦν σου κατὰ τὸν καιρὸν τῆς προσευχῆς, κωφὸν καὶ ἄλαλον, καὶ οὕτω δυνήσῃ προσεύξασθαι. ἔτι· ἐγὼ τὸ ἐμὸν λέξω· ὃ καὶ νεωτέροις εἴρηκα. μακάριός ἐστιν ὁ νοῦς, ὃς κατὰ τὸν καιρὸν τῆς προσευχῆς τελείαν ἀμορφίαν ἐκτήσατο. Καὶ ὁ Ἅγιος Φιλόθεος· σπανιώτατον εὑρεῖν, τοὺς τῷ λογικῷ ἡσυχάζοντας· κἀκείνων μόνων ἐστὶν, οἵτινες τὴν θείαν χαρὰν καὶ παράκλησιν, διὰ τοῦδε τοῦ πράγματος ἐν ἑαυτοῖς ἔχειν διαπαντὸς μηχανῶνται. καὶ ὁ Μέγας δὲ Βασίλειος· Εὐχὴ καλὴ, ἡ ἐναργῆ ἐμποιοῦσα τοῦ Θεοῦ ἔννοιαν τῇ ψυχῇ· καὶ τοῦτό ἐστι τοῦ Θεοῦ ἐνοίκησις, τὸ, διὰ τῆς μνήμης ἐνιδρυμένον ἔχειν ἐν ἑαυτῷ τὸν Θεὸν, ὅταν μὴ φροντίσι γηΐναις τὸ συνεχὲς τῆς μνήμης διακόπτηται, μηδὲ τοῖς ἀπροσδοκήτοις πάθεσιν ὁ νοῦς ἐκταράσσηται, ἀλλὰ πάντα ὑποφεύγων ὁ φιλόθεος ἐπὶ Θεὸν ἀναχωρῇ.

## Ὅτι ἄλλο ἀπάθεια νοὸς, καὶ ἕτερον προσευχὴ ἀληθὴς, ὃ καὶ μεῖζον.

Ἰστέον τοίνυν καὶ τοῦτο, ὡς εἴπερ καὶ
κατὰ τὸν Ἅγιον Μάξιμον· „οὐ δύναται ὁ οβ΄.
νοῦς ἐκ μόνης τῆς πράξεως ἀπαθὴς γενέσθαι, ἐὰν μὴ διαδέχωνται αὐτὸν πολλαὶ, καὶ ποικίλαι θεωρίαι, ἀλλ' οὖν πάλιν κατά γε τὸν θειότατον Νεῖλον, ἔνεστι καὶ ἀπαθῆ γεγενημένον, καὶ μὴ προσεύχεσθαι ἀληθῶς, ἀλλὰ ποικίλλεσθαι, καὶ μακρὰν ἀπέχειν ἀπὸ Θεοῦ.“ φησὶ γὰρ οὗτος ὁ Πατὴρ περὶ τοῦ τοιούτου, οὕτω· „κἂν ὑπὲρ τὴν σωματικὴν θεωρίαν ὁ νοῦς γένηται, οὔπω τέλειον τὸν τοῦ Θεοῦ τόπον ἐθεάσατο. δύναται γὰρ ἐν τῇ τῶν νοημάτων εἶναι γνώσει, καὶ ποικίλλεσθαι πρὸς αὐτήν. Ἔτι, οὐχ ὁ ἀπαθείας τετυχηκὼς, ἤδη καὶ προσεύχεται ἀληθῶς. δύναται γὰρ ἐν τοῖς ψιλοῖς νοήμασιν εἶναι, καὶ ἐν ταῖς ἱστορίαις αὐτῶν περισπᾶσθαι, καὶ μακρὰν ἀπέχειν ἀπὸ Θεοῦ. Ἔτι· οὐκ αὖ ὅτι μὴ ἐγχρονίζῃ ὁ νοῦς ἐν τοῖς ψιλοῖς νοήμασι τῶν πραγμάτων, ἤδη καὶ προσευχῆς κατείληφε τόπον. δύναται γὰρ ἐν τῇ θεωρίᾳ εἶναι τῶν πραγμάτων, καὶ ἐν τοῖς λόγοις αὐτῶν ἀδολεσχεῖν· ἅπερ εἰ καὶ ψιλὰ ῥήματά εἰσιν, ἀλλ' ὡς πραγ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

„μάτων ὄντα θεωρήματα, ἐκτυποῖ τὸν „νοῦν, καὶ μακρὰν ἀπάγουσιν ἀπὸ Θεοῦ. „Λέγει δὲ καὶ ὁ τῆς Κλίμακος· „Οἱ ὄντως „μεμαθηκότες ἀληθῶς εὔχεσθαι, „ὅτι Κυρίῳ κυρίως ἐνώπιοι ἐνωπίῳ „λαλοῦσιν, ὡς οἱ πρὸς τὸ οὖς τοῦ Βα„σιλέως· ἐκ δὲ τούτων καὶ τῶν τοιούτων, „δύνασαι ἀκριβῶς συνιδεῖν, τὴν τῶν „ἑκατέρων πολιτειῶν διαφορὰν, καὶ ἀ„σύγκριτον σύγκρισιν, τῆς τε παρα„δόχου φημὶ, καὶ τῆς κατ' ἐπιβολήν. „Τῆς μὲν γὰρ ἔργον, μελέται· καὶ „πολλαὶ, καὶ ποικίλαι θεωρίαι. Τῆς δὲ „ἐργασία, ἡ ἀληθὴς προσευχή. Πρὸς „δὲ, καὶ ὅτι ἄλλο νοὸς ἀπάθεια, καὶ „ἕτερον προσευχὴ ἀληθής“. Ἔτι τε ὡς ὁ ἔχων τὴν ἀληθῆ προσευχὴν κατὰ τοὺς Ἁγίους, κατὰ πᾶσαν ἀνάγκην καὶ τὸν νοῦν ἀπαθῆ κεκτῆσθαι πέφυκεν. Οὐ μὴν δὲ, καὶ ὁ ἔχων μόνον τὸν νοῦν ἀπαθῆ, δεδύνηται κεκτῆσθαι καὶ τὴν ἀληθῆ προσευχήν. Καὶ ταῦτα μὲν οὕτως· ὁ δὲ λόγος ἐπανερχέσθω πρὸς τὰ προκείμενα. Ἐπεὶ οὖν οὐ μόνον παρὰ τὰ προειρημένα, ἀλλὰ καὶ αὐτὴ ἡ μνήμη τῶν ἀγαθῶν τε, καὶ ἐναντίων, ἐκτυποῖ ἀθρόως τὸν νοῦν καὶ πρὸς φαντασίαν ἄγειν εἴωθέ πως, δεῖ καὶ περὶ τούτου ὀλίγον διασημᾶναι.

### Ἔτι περὶ φαντασιῶν, καὶ ἐκτυπωμάτων τοῦ νοῦ καὶ τῶν τῆς πλάνης, καὶ τῆς ἀληθείας σημείων· τίνα τὰ τῆς πλάνης σημεῖα.

οϒʹ. Ἡσυχάζων, καὶ μόνος βουλόμενος εἶναι μετὰ μόνου τοῦ Θεοῦ, μηδέποτε παραδέξῃ εἴτι δ' ἂν ἴδῃς αἰσθητὸν, ἢ νοερὸν, ἔσωθεν ὂν, ἢ ἔξωθεν, κἂν εἶδος δῆθεν Χριστοῦ, ἢ Ἀγγέλου, ἢ Ἁγίου μορφὴν, ἢ φωτὸς ἐκτύπωμα, φανταζόμενον τῷ νοΐ· ἀλλὰ μένε ἀπιστῶν, καὶ βαρυνόμενος εἰς τοῦτο, κἂν ἀγαθὸν ᾖ, πρὸ ἐρωτήσεως ὡς εἴπομεν τῶν ἐμπείρων. Τοῦτο γὰρ ὠφελιμώτατον, καὶ Θεῷ προσφιλέστατόν τε, καὶ εὐαπόδεκτον. Ἔσο δὲ ἀεὶ τηρῶν σου τὸν νοῦν, ἄχροον· ἀμόρφωτον· ἀνείδεον· ἀσχημάτιστον· ἄποιον· ἄποσον· καὶ μόνα τῆς προσευχῆς ῥήματα προσέχων, καὶ μελετῶν, καὶ διανοούμενος, ἔνδον τῆς καρδιακῆς κινήσεως, κατὰ τὸν τῆς Κλίμακος φάσκοντα· „Ἀρχὴ μὲν προ„σευχῆς, προσβολαὶ μονολογίστως διω„κόμεναι ἐκ προοιμίων αὐτῶν· μεσό„της δὲ, τὸ ἐν τοῖς λεγομένοις καὶ μό„νοις εἶναι τὴν διάνοιαν· τέλος δὲ ταύ„της, ἁρπαγὴ πρὸς Κύριον. Καὶ ὁ Ἅγιος „δὲ Νεῖλος οὕτω φησίν· ἔστι μὲν προη„γουμένη τῶν τελείων προσευχὴ, ἁρπα„γή τις τοῦ νοῦ· καὶ τῶν κατ' αἴσθησιν „ἔκστασις ὁλοσχερὴς, στεναγμοῖς ἀλα„λήτοις τοῦ Πνεύματος ἐντυγχάνοντος τῷ „Θεῷ, τῷ βλέποντι τὴν τῆς καρδίας „διάθεσιν, ἀναπτυσσομένην ὥσπερ ἐγ„γράμματον βιβλίον, καὶ τύποις ἀ„φθόγγοις τὸ ἑαυτῆς ἐμφανίζουσαν βού„λημα. Οὕτως ἕως τρίτου ἡρπάγη ὁ „Παῦλος οὐρανοῦ, εἴτε ἐν σώματι ἦν, „εἴτε ἐκτὸς τοῦ σώματος ἀγνοῶν. Οὕτως „ὁ Πέτρος ἀνελθὼν ἐπὶ τὸ δῶμα τοῦ „προσεύξασθαι, τὴν ὀπτασίαν τῆς ὀ„θόνης εἶδεν. Ἡ δευτέρα δὲ μετὰ τὴν „πρώτην ἐστὶ προσευχὴ, τὸ λέγειν τὰ „ῥήματα, παρακολουθοῦντος τοῦ νοῦ μετὰ „κατανύξεως· καὶ εἰδότος ᾧ προσάγει τὴν „δέησιν. Μεσολαβουμένη δὲ προσευχὴ, „καὶ πεφυρμένη φροντίσι σωματικαῖς, „τῆς τοῦ προσευχομένου ἀφεστηκυίας κατα„στάσεως“. Μένων τοίνυν ἐν τούτοις, τἆλλα μὴ παραδέχου, ἕως καιροῦ εἰρήνης παθῶν, καὶ ἐρωτήσεως, ὡς προλέλεκται, τῶν ἐμπείρων. Καὶ ταῦτα μὲν ἅπερ προείπομεν, καὶ τὰ τούτοις παρόμοια, τὰ τῆς πλάνης διὰ βραχέος σημαίνουσι. Ὅρα δὲ καὶ τίνα τὰ τῆς ἀληθείας σημεῖα. Τὰ δέ γε τῆς ἀληθείας, καὶ τοῦ ἀγαθοῦ, καὶ ζωοποιοῦ Πνεύματος, σημεῖα· ἀγάπη·



Athos Library
Αγιορειτική Βιβλιοθήκη

χαρά· εἰρήνη· μακροθυμία· χρηστότης· ἀγαθωσύνη· πίστις· πραότης· ἐγκράτεια, καὶ τὰ ἑξῆς· ὥς φησιν ὁ θεῖος Ἀπόστολος· καρποὺς ἀποκαλῶν αὐτὰ, τοῦ θείου Πνεύματος. λέγει δὲ καὶ αὖθις· ὡς τέκνα φωτὸς περιπατεῖτε. ὁ γὰρ καρπὸς τοῦ Πνεύματος, ἐν πάσῃ ἀγαθωσύνῃ, καὶ δικαιοσύνῃ, καὶ ἀληθείᾳ· ὧν ἁπάντων τὸ ἐναντίον ἡ πλάνη κέκτηται. „ λέγει δὲ καί τις τῶν θεοσόφων ἐρωτηθεὶς παρά τινος, οὕτω· περὶ σωτηρίας ἁπλοῦν τρίβον ὡς εἴρηκας ἀγαπητὲ, πολλαί εἰσιν ὁδοὶ αἱ ἀπάγουσαι εἰς τὴν ζωὴν, καὶ πολλαὶ αἱ πρὸς θάνατον· καὶ προϊὼν, ἔχεις μίαν ὁδὸν ἀπάγουσαν πρὸς ζωὴν, τὴν τῶν ἐντολῶν Χριστοῦ τήρησιν· ἐπὶ ταύταις ταῖς ἐντολαῖς, εὑρήσεις πᾶσαν ἀρετῆς ἰδέαν· ἐξαιρέτως δὲ, τὰ τρία ταῦτα· ταπείνωσιν· ἀγάπην· καὶ ἔλεος· τούτων χωρὶς, οὐδεὶς ὄψεται τὸν Κύριον. καὶ μετὰ βραχέα· ταῦτα τὰ τρία, ἀκαταμάχητα ὅπλα τοῦ διαβόλου· ἅπερ ἡ Ἁγία Τριὰς ἡμῖν ἐδωρήσατο· ταπείνωσιν λέγω, ἀγάπην, καὶ ἔλεος· εἰς ἅπερ οὐδὲ ἀντιβλέψαι δύναται πᾶς ὁ τῶν δαιμόνων ἑσμός. οὐκ ἔστι γὰρ παρὰ τούτοις ταπεινώσεως ἴχνος, οἵγε διὰ τὴν ἔπαρσιν ἐζοφώθησαν· καὶ πῦρ αὐτοῖς ἡτοιμάσθη αἰώνιον. ποῦ παρὰ τούτοις ἀγάπης, ἢ ἐλέους σκιὰ, οἱ πρὸς τὸ γένος τῶν ἀνθρώπων, ἄσπονδον τὴν ἔχθραν ἐκτήσαντο, καὶ διηνεκῶς πολεμεῖν οὐ παύονται; τούτοις λοιπὸν τοῖς ὅπλοις θωρακισθῶμεν· ἅπερ ὁ περιφέρων, ἀνάλωτος τοῖς πολεμίοις καθέστηκε. καὶ μετ᾿ ὀλίγα· ταύτην τὴν τρίπλοκον σειρὰν, ἣν ἡ Ἁγία Τριὰς διεξύφανε, καὶ συνέπλεξεν, ὁρῶμεν καὶ τρία οὖσαν, καὶ ἕν. τρία μὲν τοῖς ὀνόμασιν. ἓν δὲ βουλῇ, καὶ ταῖς ὑποστάσεσιν· ἓν δὲ, τῇ δυνάμει καὶ ἐνεργείᾳ· καὶ τῇ πρὸς Θεὸν ἐγγύτητι, καὶ νεύσει, καὶ οἰκειότητι. περὶ τούτων εἴρηκεν ὁ Δεσπότης, ὅτι ὁ ζυγός μου χρηστός ἐστι, καὶ τὸ φορτίον μου ἐλαφρόν. καὶ ὁ ἠγαπημένος· καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσί. καὶ μετά τινα· τούτου ἕνεκα ψυχὴ ἡ ἀνακραθεῖσα Θεῷ διὰ βίου καθαρότητα, καὶ τῆς τῶν ἐντολῶν φυλακῆς, καὶ τῶν τριῶν τούτων ὅπλων, ἅπερ εἰσὶν αὐτὸς ὁ Θεὸς, τὸν Θεὸν αὐτὸν ἐνεδύσατο· καὶ γέγονε θέσει Θεός· διὰ ταπεινώσεως, ἐλέους τε, καὶ ἀγάπης, καὶ τὴν ὑλικὴν δυάδα περάσας, καὶ ὑπεραναβὰς τὸ τοῦ νόμου κεφάλαιον, τὴν ἀγάπην λέγω, τῇ ὑπερουσίῳ καὶ ζωαρχικῇ Τριάδι συνήφθη, ἐντυγχάνων ἀμέσως· φωτὶ φῶς προσλαμβάνων· καὶ εὐφραινόμενος χαρὰν ἀδιάδοχον, καὶ αἰώνιον. ἀλλ᾿ ἀπόχρη καὶ περὶ τούτων ". εἰκὸς δὲ ὥσπερ ἄρα περὶ τῶν τῆς πλάνης, καὶ τῆς ἀληθείας διεμνημονεύσαμεν ὡς ἀπὸ μέρους γνωρισμάτων, καὶ καρπῶν, ὅθεν καὶ ἐξ αὐτῶν, ἤτοι τῶν καρπῶν· κατὰ τὸν θεῖον Παῦλον ἐπιγνωσόμεθα πῶς τὰς ἐνεργουμένας, οἵου πνεύματός εἰσιν· οὕτω καὶ περὶ τῆς ἐξ ἑκατέρων παρακλήσεως, τῆς θείας φαμὲν, καὶ ἀληθοῦς χάριτος, καὶ τῆς ἐπιπλάστου, καὶ ἐναντίας, χρήσεσι πατρικαῖς δέον μικρόν τι διασημᾶναι. λέγει τοίνυν περὶ ταύτης οὕτως ὁ θεῖος Διάδοχος.

Περὶ παρακλήσεως θείας, καὶ ἐπιπλάστου.

„ Ὅταν ὁ νοῦς ἡμῶν ἄρξηται τῆς τοῦ οδ'.
Ἁγίου Πνεύματος αἰσθάνεσθαι παρακλήσεως, τότε καὶ ὁ σατανᾶς ἐν ἡδυφανεῖ τινι αἰσθήσει, ἐν ταῖς νυκτεριναῖς ἡσυχίαις, ὅτε τις ὥσπερ εἰς ὕπνον τινὸς λεπτοτάτου ἔρχεται ῥοπὴν, τὴν ψυχὴν παρακαλεῖ. ἐὰν οὖν ἐν θερμῇ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

„λίαν μνήμῃ εὑρεθῇ κρατῶν ὁ νοῦς τὸ ὄνομα τὸ Ἅγιον τοῦ Κυρίου Ἰησοῦ, καὶ ὥσπερ ὅπλῳ κέχρηται κατὰ τῆς ἀπάτης, τῷ ἁγίῳ καὶ ἐνδόξῳ ἐκείνῳ ὀνόματι, ἀναχωρεῖ μὲν ὁ πλάνος τοῦ δόλου. εἰς πόλεμον δὲ λοιπὸν ἐνυπόστατον ἐξάπτεσθαι τῆς ψυχῆς· ὅθεν ἐπιγινώσκων ὁ νοῦς τὴν ἀπάτην ἀκριβῶς τοῦ πονηροῦ, πλέον εἰς τὴν πεῖραν προκόπτει τῆς διακρίσεως. καὶ αὖθις· ἡ ἀγαθὴ παράκλησις, ἐγρηγορότος τοῦ σώματος γίνεται· ἢ καὶ εἰς ὕπνου τινὸς μέλλοντος ἔρχεσθαι ἔμφασιν, ὅτε τις ἐν θερμῇ μνήμῃ τοῦ Θεοῦ, τῇ αὐτοῦ ὥσπερ κεκόλληται ἀγάπῃ. ἡ δὲ τῆς πλάνης εἰς λεπτόν τινα ἀεὶ, ὡς εἶπον, ὕπνον ἐλθόντος τοῦ ἀγωνιστοῦ, μετὰ μέσης μνήμης τοῦ Θεοῦ. ἡ μὲν γὰρ ὡς ἐκ Θεοῦ οὖσα, φανερῶς τὰς ψυχὰς τῶν τῆς εὐσεβείας ἀγωνιστῶν, ἐν ἐκχύσει πολλῇ τῆς ψυχῆς, παρακαλεῖν πρὸς τὴν ἀγάπην θέλει αὐτοῦ. ἡ δὲ, ἐπειδὴ ἐν ἀνέμῳ τινὶ πλάνης ῥιπίζειν τὴν ψυχὴν εἴωθε, κλέπτειν διὰ τοῦ ὕπνου τοῦ σώματος τὴν πεῖραν τῆς αἰσθήσεως τοῦ ὑγιαίνοντος νοῦ ἐπιχειρεῖ, ὅτε μάλιστα περὶ τὴν μνήμην τοῦ Θεοῦ χλιαρῶς ἔχει. ἐὰν οὖν εὑρεθῇ ὁ νοῦς, ὡς εἶπον, μεμνημένος προσεχῶς τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, σκορπίζει μὲν τὴν αὔραν ἐκείνην τὴν ἡδυφανῆ τοῦ ἐχθροῦ, χαίρων δὲ, εἰς τὸν κατ᾽ αὐτοῦ κινεῖται πόλεμον, ὡς ὅπλον ἔχων δεύτερον λοιπὸν δεξιὸν μετὰ τὴν χάριν, τὸ ἐκ τῆς πείρας καύχημα. καὶ πάλιν· ἐὰν ἀναμφιβόλῳ καὶ ἀφαντάστῳ κινήσει ἡ ψυχὴ πρὸς τὴν ἀγάπην ἐξάπτηται τοῦ Θεοῦ, ἕλκουσα ὥσπερ καὶ τὸ σῶμα εἰς τὸ βάθος τῆς ἀγάπης ἐκείνης τῆς ἀρρήτου, ἐγρηγορότος, ἢ, ᾧ εἴρηκα τρόπῳ, εἰς ὕπνον ἐρχομένου τοῦ ὑπὸ τῆς ἁγίας χάριτος ἐνεργουμένου, μηδὲν ἄλλο τότε ὅλως ἐννοοῦσα, ἢ τοῦτο μόνον εἰς ὅπερ κινεῖται, εἰδέναι δεῖ τοῦ Ἁγίου Πνεύματος εἶναι τὴν ἐνέργειαν. ἡδυνομένη γὰρ ὅλη ὑπ᾽ ἐκείνης τῆς ἀφράστου γλυκύτητος, οὐδὲν ἕτερον δύναται τότε ἐννοεῖν· ἐπειδὴ, ἀνενδότῳ τότε εὐφραίνεται χαρᾷ. ἐὰν δὲ ἀμφιβολίαν ὅλως, ἢ ῥυπαρόν τινα ἔννοιαν ὁ νοῦς ἐν τῷ ἐνεργεῖσθαι συλλάβῃ, εἰ καὶ τῷ ἁγίῳ κέχρηται ὀνόματι· πρὸς ἄμυναν τοῦ κακοῦ, καὶ οὐχὶ μᾶλλον πρὸς ἀγάπην μόνον τοῦ Θεοῦ, δεῖ νοεῖν, ὅτι ἐκ τοῦ ἀπατεῶνος ἐστὶν ἐκείνη ἡ παράκλησις, χαρᾶς ἐμφάσει. ἡ δὲ χαρὰ ἐκείνη, ἄποιός ἐστι, καὶ ἀδιάθετος ὅλη· θέλοντος μοιχεύεσθαι τοῦ ἐχθροῦ τὴν ψυχήν. ὅταν γὰρ ἴδῃ τὸν νοῦν τῇ πείρᾳ τῆς αὐτοῦ αἰσθήσεως ἀκριβῶς καυχώμενον, τότε παρακλήσεσί τισιν, ὡς ἔφην, χρυσοφανέσι προσκαλεῖται τὴν ψυχήν· ἵνα διαφορουμένης αὐτῆς ὑπὸ τῆς χαύνης ἐκείνης καὶ καθύγρου ἡδύτητος, ἀγνώριστος αὐτῇ γένηται ἡ μίξις τοῦ δολίου. ἐκ τούτου οὖν γνωσόμεθα τὸ πνεῦμα τῆς ἀληθείας, καὶ τὸ πνεῦμα τῆς πλάνης. ἀδύνατον μέντοι, ἢ τῆς θείας χρηστότητος ἐν αἰσθήσει γεύσασθαί τινα, ἢ τῆς τῶν δαιμόνων πικρίας αἰσθητῶς πειρασθῆναι, εἰ μή τις ἑαυτὸν πληροφορήσει, τὴν μὲν χάριν, εἰς τὸ βάθος τοῦ νοῦ κατεσκηνωσκέναι, τὰ δὲ πονηρὰ πνεύματα, περὶ τὰ μέλη τῆς καρδίας ἐνδιατρίβειν· ὅπερ οὐδέποτε θέλουσι παρὰ ἀνθρώποις πιστευθῆναι οἱ δαίμονες· ἵνα μὴ ὁ νοῦς τοῦτο εἰδὼς, ἀκριβῶς, τὴν μνήμην τοῦ Θεοῦ κατ᾽ αὐτῶν ὁπλίζηται. ἔχεις ἤδη καὶ περὶ τούτου τὸ ἱκανὸν, καὶ ἀρκέσθητι. τὸ γὰρ πέρα Γαδείρων, οὐ περατόν. καὶ, μέλι εὑρὼν, ὀλίγον φάγε· ἵνα μὴ ἐμπλησθεὶς, ἐμέσῃς αὐτό.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Περὶ ἡδονῆς θείας, τῆς ἐκ τῆς καρδίας πηγαζομένης.

οέ. Μᾶλλον δὲ εὔκαιρον οἰκειοτέρως εἰπεῖν. τίς ἀναγγελεῖ γλυκύτητα μέλιτος, τοῖς μήπω γευσαμένοις; καὶ πολλῷ πλέον ἀσυγκρίτως, ἡδονὴν θείαν καὶ εὐφροσύνην ὑπερφυᾶ καὶ ζωόρρυτον, τὴν ἐκ τῆς καρδιακῆς καθαρᾶς, καὶ ἀληθοῦς προσευχῆς πηγαζομένην, καὶ ἀλλομένην ἀείβλυτα; ὥς φησιν ὁ Θεάνθρωπος Ἰησοῦς· ,, ὃς ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα· ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον. καὶ αὖθις· ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. ὁ πιστεύων εἰς ἐμὲ καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν, ὕδατος ζῶντος. τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος· λέγει ὁ Ἐπιστήθιος, ὃ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. καὶ ὁ Μέγας Παῦλος· ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὰς καρδίας ἡμῶν, κρᾶζον Ἀββᾶ ὁ Πατήρ.

### Ὅτι ἡ πνευματικὴ αὕτη ἡδονή, καὶ πολύσημός ἐστι, καὶ ἀνώνυμος.

ος'. Ἥτις ἡδονὴ πνευματικὴ ὑπερφυὴς καὶ ζωόρρυτος, καὶ ἐνυπόστατος ἔλλαμψις· ὑπέρφωτός τε γνόφος, καὶ κάλλος ἀμήχανον, καὶ ὀρεκτῶν τὸ ἀκρότατον· ἐποψία τε, καὶ θεοπτία, καὶ θέωσις προσείρηται μυστικῶς, ἀνέκφραστος μένουσα καὶ μετὰ τὸ φρασθῆναι ὁπωσδήποτε, καὶ ἄγνωστος μετὰ τὸ γνωσθῆναι, καὶ μετὰ τὸ διανοηθῆναι ἀνεπινόητος. καὶ λέγει ὁ Μέγας Διονύσιος· ,, κατὰ τοῦτον ἡμεῖς γενέσθαι τὸν ὑπέρφωτον εὐχόμεθα γνόφον, καὶ δι' ἀβλεψίας, καὶ ἀγνωσίας, ἰδεῖν καὶ γνῶναι, τὸν ὑπὲρ θέαν καὶ γνῶσιν, αὐτὸ τὸ μὴ ἰδεῖν, μηδὲ γνῶναι. τοῦτο γάρ ἐστι τὸ ὄντως ἰδεῖν, καὶ γνῶναι· καὶ τὸν ὑπερούσιον ὑπερουσίως ὑμνῆσαι, διὰ τῆς πάντων τῶν ὄντων ἀφαιρέσεως. Ἔτι, ὁ θεῖος γνόφος ἐστί, τὸ ἀπρόσιτον φῶς· ἐν ᾧ κατοικεῖν ὁ Θεὸς λέγεται· καὶ ἀοράτῳ γε ὄντι, διὰ τὴν ὑπερέχουσαν φανότητα, καὶ ἀπροσίτῳ τῷ αὐτῷ, δι' ὑπερβολὴν ὑπερουσίου φωτοχυσίας. ἐν τούτῳ γίνεται πᾶς, ὁ Θεὸν γνῶναι, καὶ ἰδεῖν ἀξιούμενος· αὐτῷ τῷ μὴ ὁρᾶν μηδὲ γινώσκειν, ἀληθῶς ἐν τῷ ὑπὲρ ὅρασιν, καὶ γνῶσιν γιγνόμενος· τοῦτο αὐτὸ γινώσκων, ὅτι μετὰ πάντα ἐστὶ τὰ αἰσθητὰ καὶ τὰ νοητά. καὶ ὁ Μέγας Βασίλειος· ἄρρητοι παντελῶς, καὶ ἀνεκδιήγητοι τοῦ θείου κάλλους αἱ ἀστραπαί. οὐ παρίστησι λόγος· οὐ δέχεται ἀκοή· κἂν ἑωσφόρου αὐγὰς εἴπῃς, κἂν σελήνης φαιδρότητα· κἂν ἡλίου φῶς, πάντα ἄτιμα πρὸς εἰκασίαν τῆς δόξης, καὶ πλέον ἀπολειπόμενα πρὸς τὴν τοῦ ἀληθινοῦ φωτὸς σύγκρισιν, ἢ ὅσον βαθεῖα νύξ, καὶ στυγνὴ σκοτομήνη, μεσημβρίας καθαρωτάτης. τοῦτο τὸ κάλλος, σαρκίνοις μὲν ὀφθαλμοῖς, ἀθεώρητον· ψυχῇ δὲ μόνῃ, καὶ διανοίᾳ καταληπτόν. καὶ εἴπου τινὰς περιέλαμψε τῶν Ἁγίων, ἀφόρητον τοῦ πόθου τὸ κέντρον αὐτοῖς ἐγκατέλιπεν. οἳ ἀλγοῦντες πρὸς τὴν ἐνταῦθα ζωήν, ἔλεγον, οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη, καὶ ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα· πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ μου; καὶ τό, ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον. καὶ, νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὡς δεσμωτήριον τὴν ἐνταῦθα ἡγούμενοι ζωήν·

,, οἵ γε

Athos Library
Αγιορειτική Βιβλιοθήκη

„οἵ γε διὰ τὸ ἀκορέστως ἔχειν τῆς θεωρίας τοῦ θείου κάλλους, ἀξίαν ἐποιοῦντο, πάσῃ τῇ αἰωνίῳ ζωῇ, συμπαρεκτείνεσθαι τὴν θεωρίαν τῆς λαμπρότητος τοῦ Κυρίου. καὶ ὁ Θεολόγος· ἐν ὁ φόβος, ἐντολῶν τήρησις· οὗ δὲ ἐντολῶν τήρησις, σαρκὸς κάθαρσις, τοῦ ἐπιπροσθοῦντος τῇ ψυχῇ νέφους, καὶ οὐκ ἐῶντος καθαρῶς ἰδεῖν τὴν θείαν ἀκτῖνα· οὗ δὲ κάθαρσις, ἔλλαμψις· ἔλλαμψις δὲ, πόθου πλήρωσις, τοῖς τῶν μεγίστων, ἢ τοῦ μεγίστου, ἢ ὑπὲρ τὸ μέγα ἐφιεμένοις. καὶ ὁ Νύσσης θεῖος Γρηγόριος· εἰ ἀποκλύσειας δι᾽ ἐπιμελείας βίου, τὸν ἐπιπλασθέντα τῇ καρδίᾳ σου ῥύπον, ἀναλάμψει σοι τὸ θεοειδὲς κάλλος, ὥσπερ ἐπὶ τοῦ σιδήρου γίνεσθαι πέφυκεν. ὅταν γὰρ δι᾽ ἀκόνης τοῦ ἰοῦ γυμνωθείη, ὁ πρὸ ὀλίγου μέλας, αὐγάς τινας ἀφ᾽ ἑαυτοῦ πρὸς τὸν ἥλιον στίλβων καὶ λαμπηδόνας ἐκδίδωσιν· οὕτω καὶ ὁ ἔνδον ἄνθρωπος, ὃν καρδίαν ὀνομάζει ὁ Κύριος. ἐπειδὰν ἀποξύσηται τὸν ἰώδη ῥύπον, τὸν διὰ τοῦ πονηροῦ εὐρῶτος ἐπανθήσαντα τῇ μορφῇ, πάλιν ἀναλήψεται τὴν πρὸς τὸ ἀρχέτυπον ὁμοιότητα· καὶ ἀγαθὸς ἔσται. τῷ γὰρ ἀγαθῷ, ὅμοιον ἀγαθὸν πάντως ἐπακολουθεῖ. καὶ ὁ Ἅγιος Νεῖλος· μακάριος ὁ καταλαβὼν τὴν ἄγνοιαν, τὴν τῆς προσευχῆς ἀχώριστον. καὶ ὁ τῆς Κλίμακος· Ἄβυσσος μὲν πένθους, παράκλησιν ἐθεάσατο. καθαρότης δὲ καρδίας, ἐδέξατο ἔλλαμψιν· ἔλλαμψίς ἐστιν ἄρρητος ἐνέργεια, ὁρωμένη ἀοράτως, καὶ νοουμένη ἀγνώστως. διά τοι τοῦτο καὶ τρισόλβιοι, οἱ κατὰ τὴν πάλαι Μαρίαν, τὴν ἀγαθὴν ταύτην μερίδα καὶ πολιτείαν ἐκλεξάμενοι, τὴν πνευματικὴν, καὶ ἀναφαίρετον, καὶ τοιαύτης ἀγλαΐας θεοειδοῦς ἠξιωμένοι, ὥστε μετὰ πολλοῦ, καὶ ἐκστατικοῦ τοῦ γαύρους, σὺν τῷ θείῳ Παύλῳ δύνασθαι αὐτοῖς ἀναφανδὸν ἐνθουσιᾶν ἅμα, καὶ βοᾶν, τὸ, ὅτε ἡ χρηστότης, καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον, ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως Πνεύματος Ἁγίου· οὗ ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα κατ᾽ ἐλπίδα ζωῆς αἰωνίου. καὶ πάλιν· χρίσας ἡμᾶς καὶ σφραγισάμενος, καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ Πνεύματος, εἰς τὰς καρδίας ἡμῶν. καὶ, ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον, ἐν ὀστρακίνοις σκεύεσιν· ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ· καὶ μὴ ἐξ ἡμῶν". κἀκεῖνοι μὲν, οὕτω· γένοιτο δὲ καὶ ἡμῖν, ταῖς ἐκείνων πρὸς Κύριον θεοπειθέσι λιταῖς, ἀπὸ μέρους κατ᾽ ἐκείνους χρηματίσαι ἐλέει, καὶ χάριτι.

ι

Ἔτι δεῖ καὶ πάσῃ ἀνάγκῃ, πρᾶον εἶναι τὴν καρδίαν, τὸν βουλόμενον ἠκριβωμένως ἡσυχάσαι.

Σὺ δὲ, ὦ τέκνον, τοῦτο νῦν κατὰ καιρὸν πρὸ τῶν ἄλλων, καὶ μετὰ τῶν ἄλλων δεῖ μαθεῖν, ὅτι ὥσπερ ὁ τοξεύειν μαθεῖν καλῶς ἐθέλων, οὐκ ἄνευ σημείου τὸ τόξον τείνει· οὕτω καὶ ὁ ἡσυχάσαι βουλόμενος μαθεῖν, τὸ ἀεὶ πρᾴως εἶναι τὴν καρδίαν, ὡς σημεῖον ἐχέτω. „καὶ λέγει ὁ Ἅγιος Ἰσίδωρος· οὐκ ἀρκεῖ πρὸς ἀρετὴν, τὸ ἀσκεῖν· ἀλλὰ χρὴ καὶ μετριάζειν πρὸς τὸ ἀσκεῖν. εἰ γὰρ ἀγῶνα πρᾳότητος μετερχόμενοι, γνώμῃ τινὶ παραχώδει ἐγκόπτομεν, οὐδὲν ἕτερόν ἐστιν, ἢ θέλειν μὲν σωτηρίας τυχεῖν· μὴ θέλειν δὲ ποιεῖν τὰ πρὸς αὐτὴν συμβαλλόμενα, καὶ πρό γε τούτων,

ὁ θεό-

» ὁ Θεόπτης Δαβίδ· ὁδηγήσει πραεῖς ἐν κρίσει· διδάξει πραεῖς ὁδοὺς αὐτοῦ. καὶ ὁ Σειράχ· τοῖς πραέσιν ἀποκαλύπτεται τὰ μυστήρια. καὶ ὁ γλυκύτατος δὲ Ἰησοῦς· μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. καὶ, ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους; καὶ, μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν· ἤτοι τὴν καρδίαν· καρποφοροῦσαν τῇ χάριτι, ἐν τριάκοντα, καὶ ἑξήκοντα, καὶ ἑκατόν“. κατὰ τὴν τάξιν· ἀρχαρίων, μέσων, καὶ τελείων· μηδέποτε ἐν μηδενὶ ταράττων, ἢ ταραττόμενος, εἰ μήπω περὶ εὐσεβείας ὁ λόγος.

Ὅπως ἂν κατορθωθείη ἡμῖν ἡ πραότης, καὶ περὶ τοῦ τῆς ψυχῆς τριμεροῦς θυμικοῦ, ἐπιθυμητικοῦ, καὶ λογιστικοῦ.

οη'. Τοῦτο δὲ εὐκόλως ἂν κατορθώσαις, πάντα ἐκκλίνων ἅμα, καὶ πρὸς ἀγάπην τὴν ψυχὴν κινῶν· τὰ πλεῖστά τε σιωπῶν· ἐμμέτρως τε σιτούμενος, καὶ ἀεὶ προσευχόμενος, ὡς εἴρηται τοῖς Πατράσιν· » ὅτι τὸ θυμικὸν τῆς ψυχῆς, ἀγάπῃ χαλίνωσον· καὶ τὸ ἐπιθυμητικὸν αὐτῆς, ἐγκρατείᾳ μάρανον· καὶ τὸ λογιστικὸν αὐτῆς, τῇ προσευχῇ πτέρωσον· καὶ τὸ φῶς τοῦ νοῦ σου οὐκ ἀμαυροῦται ποτέ. καὶ, θυμοῦ μὲν χαλινὸς, ἡ εὔκαιρος σιωπή· ἀλόγου δὲ ἐπιθυμίας, ἡ ἔμμετρος ἐδωδή. δυσκαθέκτου δὲ λογισμοῦ, ἡ μονολόγιστος προσευχή. καὶ αὖθις· τρεῖς εἰσὶν ἀρεταί· αἵτινες χορηγοῦσι φῶς τῷ νοῒ διαπαντός· τὸ μὴ εἰδέναι πονηρίαν ἀνθρώπου τινός· τὸ ὑποφέρειν τὰ ἐπερχόμενα ἀταράχως· καὶ τὸ ἀγαθοποιῆσαι τοὺς κακοποιοῦντας. αἱ τρεῖς αὗται ἀρεταὶ, γεννῶσιν ἄλλας τρεῖς ἀρετὰς μείζονας αὐτῶν· τὸ μὴ εἰδέναι πονηρίαν ἀνθρώπου, γεννᾷ τὴν ἀγάπην· καὶ τὸ ἐνεγκεῖν τὰ ἐπερχόμενα ἀταράχως, γεννᾷ τὴν πραότητα· καὶ τὸ ἀγαθοποιῆσαι τοὺς κακοποιοῦντας, κτᾶται τὴν εἰρήνην. καὶ πάλιν· τρεῖς εἰσὶν ἠθικαὶ καταστάσεις, γενικώτεραι ἐν τοῖς Μοναχοῖς. καὶ πρώτη μέν ἐστι· τὸ μηδὲν ἁμαρτάνειν κατ' ἐνέργειαν. δευτέρα δὲ, τὸ μὴ ἐγχρονίζειν ἐν τῇ ψυχῇ τοὺς ἐμπαθεῖς λογισμούς. καὶ τρίτη· τὸ τὰς μορφὰς τῶν γυναικῶν, καὶ τῶν λυπησάντων, ἀπαθῶς θεωρεῖν κατὰ διάνοιαν“.

Ὅτι ταχέως δεῖ μετανοεῖν ἐν ταῖς καὶ συμβάσιν ἐκτροπαῖς, καὶ ὅπως εἰς τὸ ἑξῆς σοφῶς ἀσφαλίζεσθαι.

οθ'. Εἰ δέ τι συμβαίη ποτὲ διαταραχθῆναί σε, ἢ ἔν τινι ὀλισθῆσαι συμπτώματι, καὶ τοῦ προσήκοντος διαμαρτεῖν, εὐθέως δεῖ διαλλάττεσθαι πρὸς τὸν λελυπηκότα, ἢ καὶ λυπηθέντα· καὶ μετανοεῖν ἐκ ψυχῆς· πενθεῖν τε, καὶ δακρύειν, καὶ ἑαυτὸν καταμέμφεσθαι. καὶ ὅπως εἰς τὸ ἑξῆς προσέχειν, καὶ ἀσφαλίζεσθαι πάνυ σοφῶς. ὡς διδάσκει ὁ Κύριος Ἰησοῦς· » ὅτι ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου· καὶ τότε ἐλθὼν, πρόσφερε τὸ δῶρόν σου. καὶ ὁ Ἀπόστολος Παῦλος· πᾶσα πικρία, καὶ θυμὸς, καὶ ὀργὴ, καὶ κραυγὴ, καὶ βλασφημία, ἀρθήτω ἀφ' ὑμῶν, σὺν πάσῃ κακίᾳ. Γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοὶ· εὔσπλαγχνοι· χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χρι-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

„σοῦ ἐχαρίσατο ἡμῖν. Καί, ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. καί, ὁ Ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. καί, μὴ ἐκδικοῦντες ἑαυτοὺς ἀγαπητοί· ἀλλὰ διδόντες τόπον τῇ ὀργῇ. καί, μὴ νικῶ ὑπὸ τοῦ κακοῦ· ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. καὶ τοῦτο μὲν εἴρηται περὶ τῆς πρὸς ἀλλήλους διαλλαγῆς.

## Περὶ ὀλίσθου, καὶ μετανοίας.

π΄. Περὶ δέ γε ὀλίσθου, φησὶν ὁ Ἅγιος Ἰσαάκ· „οὐχ ὅταν ὀλισθήσωμεν ἔν τινι, τότε λυπηθῶμεν· ἀλλ' ὅταν ἐμμείνωμεν ἐν αὐτῷ. τὸ γὰρ ὀλίσθημα, συμβαίνει πολλάκις καὶ τοῖς τελείοις· τὸ δὲ ἐμμεῖναι ἐν αὐτῷ, νέκρωσίς ἐστι τελεία. ἡ λύπη δέ, ἣν λυπούμεθα ὑπὲρ τῶν ἰδίων ὀλισθημάτων, εἰς τόπον ἐργασίας καθαρᾶς λογίζεται ἡμῖν, ἐκ τῆς χάριτος. ὁ ἐν ἐλπίδι μετανοίας ὀλισθαίνων ἐκ δευτέρου, οὗτος μετὰ πανουργίας πορεύεται μετὰ τοῦ Θεοῦ· τούτῳ ἀγνώστως ἐπιπίπτει ὁ θάνατος· καὶ οὐ φθάνει τὸν καιρὸν τῆς ἐλπίδος αὐτοῦ, τὰ ἔργα τῆς ἀρετῆς πληρῶσαι. ἔτι, δεῖ φησὶ γινώσκειν ἡμᾶς ἐν πάσῃ ὥρᾳ, ὅτι ἐν ταύταις ταῖς εἰκοσιτέσσαρσιν ὥραις τῆς νυκτὸς καὶ τῆς ἡμέρας, τῆς μετανοίας χρῄζομεν. νόησις δὲ τοῦ ὀνόματος τῆς μετανοίας καθὼς ἐκ τοῦ ἀληθινοῦ τρόπου τῶν πραγμάτων ἐγνώκαμεν, τοῦτό ἐστι· δέησις ἐκτενὴς ἐν πάσῃ ὥρᾳ, ἐν δὲ χρῇ πεπληρωμένῃ κατανύξεως, προσεγγίζουσα τῷ Θεῷ, ὑπὲρ ἀφέσεως τῶν παρελθόντων· καὶ λύπη, ὑπὲρ τῆς τῶν μελλόντων φυλακῆς. καὶ αὖθις· χάρις μετὰ χάριν, ἡ μετάνοια ἐδόθη τοῖς ἀνθρώποις. μετάνοια γάρ ἐστιν, ἀναγέννησις δευτέρα ἐκ Θεοῦ, καὶ ὅνπερ ἐκ τῆς πίστεως ἀῤῥαβῶνα ἐδεξάμεθα, διὰ τῆς μετανοίας τὸ χάρισμα αὐτοῦ ἐκδεχόμεθα. μετάνοιά ἐστιν, ἡ θύρα τοῦ ἐλέους, ἡ ἀνεῳγμένη τοῖς διώκουσιν αὐτήν. διὰ τῆς θύρας ταύτης, εἰσερχόμεθα πρὸς τὸ θεῖον ἔλεος, καὶ ἐκτὸς ταύτης τῆς εἰσόδου, οὐχ εὑρήσομεν ἔλεος. διότι πάντες ἥμαρτον, κατὰ τὴν θείαν γραφήν, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι. ἡ μετάνοιά ἐστιν, ἡ χάρις ἡ δευτέρα, καὶ τίκτεται ἐν τῇ καρδίᾳ, ἐκ τῆς πίστεως, καὶ τοῦ φόβου. ὁ φόβος δέ ἐστι, ῥάβδος πατρική, ἡ κυβερνῶσα ἡμᾶς, ἕως ἂν, φθάσωμεν εἰς τὸν Παράδεισον τὸν Πνευματικόν· καὶ ὅταν φθάσωμεν ἐκεῖσε, ἀφίησιν ἡμᾶς, καὶ στρέφεται. Παράδεισός ἐστιν, ἡ ἀγάπη τοῦ Θεοῦ, ἐν ᾗ ἡ τρυφὴ πάντων τῶν μακαρισμῶν. καὶ αὖθις· ὥσπερ οὐ δυνατόν ἐστι περάσαι τὴν θάλασσαν τὴν μεγάλην, χωρὶς πλοίου, καὶ καράβου, οὕτως οὐ δύναταί τις χωρὶς φόβου περάσαι πρὸς τὴν ἀγάπην. τὴν θάλασσαν τὴν ὀζομένην, τὴν τεθεῖσαν μεταξὺ ἡμῶν, καὶ τοῦ νοητοῦ Παραδείσου, διὰ καράβου τῆς μετανοίας παρελθεῖν δυνάμεθα· τῆς ἐχούσης τοὺς κωπηλάτας τοῦ φόβου. ἐὰν δὲ οἱ κωπηλάται οὗτοι τοῦ φόβου, οὐ κυβερνῶσι τὸ πλοῖον τοῦτο τῆς μετανοίας, δι' ἧς διερχόμεθα τὴν θάλασσαν τοῦ κόσμου τούτου πρὸς τὸν Θεόν, καταποντιζόμεθα ἐν τῇ ὀζομένῃ θαλάσσῃ.

## Ἔτι περὶ μετανοίας, φόβου, ἀγάπης, πένθους, δακρύων, καὶ αὐτομεμψίας.

„Μετάνοιά ἐστι, τὸ πλοῖον· ὁ φόβος, πα΄.
ὁ κυβερνήτης αὐτοῦ· ἡ ἀγάπη, ὁ λιμὴν ὁ θεῖος. καθίζει οὖν ἡμᾶς ὁ φόβος ἐν τῷ πλοίῳ τῆς μετανοίας, καὶ διαβιβάζει ἡμᾶς, τὴν θάλασσαν τοῦ βίου, τὴν ὀζομένην· καὶ πρὸς τὸν λι-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μένα τὸν Θεὸν, ὅς ἐστιν ἡ ἀγάπη, ὁδηγεῖ ἡμᾶς, εἰς ὃν περῶσι πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι ἐν τῇ μετανοίᾳ· καὶ ὅτε φθάσομεν τὴν ἀγάπην, ἐφθάσαμεν εἰς τὸν Θεόν· καὶ ἡ ὁδὸς ἡμῶν, ἐτελειώθη, καὶ διέβημεν πρὸς τὴν νῆσον τὴν ἐκεῖθεν τοῦ κόσμου οὖσαν, ὅπου ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. Περὶ δὲ πένθους τοῦ κατὰ Θεὸν, οὕτω φησὶν ὁ Σωτήρ· μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. ἔτι περὶ δακρύων, ὁ αὐτὸς γράφει ὅσιος Ἰσαάκ. τὰ δάκρυα τὰ ἐν τῇ εὐχῇ, σημεῖόν ἐστι τοῦ ἐλέους τοῦ Θεοῦ, οὗπερ ἠξιώθη ἡ ψυχὴ, ἐν τῇ ἑαυτῆς μετανοίᾳ· καὶ ὅτι προσεδέχθη, καὶ ἤρξατο εἰσέρχεσθαι εἰς τὴν πεδιάδα τῆς καθαρότητος ἐν τοῖς δάκρυσιν. ἐὰν γὰρ μὴ ἀρθῶσιν οἱ λογισμοὶ τῶν παρερχομένων, καὶ ῥίψωσιν ἐξ ἑαυτῶν τὴν ἐλπίδα τοῦ κόσμου, καὶ κινηθῇ ἐξ αὐτῶν ἡ καταφρόνησις αὐτοῦ· καὶ ἄρξωνται ἀγαθὰ ἐφόδια τῆς ἐξόδου αὐτῶν παρασκευάζειν, καὶ ἄρξωνται ἐν τῇ ψυχῇ λογισμοὶ κινεῖσθαι τινῶν ὄντων ἐκεῖσε, οὐ δύνανται οἱ ὀφθαλμοὶ δακρύειν. Τὰ δάκρυα γὰρ, ἐκ τῆς ἀκραιφνοῦς ἀδολεσχίας, καὶ ἀμετεωρίστου, τῶν λογισμῶν τε τῶν πολλῶν, καὶ συνεχῶν, καὶ ἀκλινῶς γινομένων, καὶ ἐκ μνήμης τινὸς λεπτοῦ γινομένης ἐν τῇ διανοίᾳ, καὶ λυπούσης τὴν καρδίαν ἐκ τῆς μνήμης αὐτοῦ, καὶ ἐκ τούτου τὰ δάκρυα πληθύνονται, καὶ ἐπιπλέον αὐξάνονται. καὶ ὁ τῆς Κλίμακος· ὥσπερ τὸ πῦρ ἀναιρετικὸν καλάμης, οὕτω τὸ δάκρυον τὸ ἁγνὸν, παντὸς ῥύπου φαινομένου, καὶ νοουμένου. ἔτι· τὰ τῆς ἡμετέρας ἀναλύσεως καθαρὰ, καὶ ἄδολα, ἑαυτοῖς περιποιησώμεθα δάκρυα. οὐ γάρ ἐστιν ἐν αὐτοῖς κλοπὴ, ἢ οἴησις· κάθαρσις δὲ μᾶλλον, καὶ ἀγάπης τῆς εἰς Θεὸν προκοπὴ, καὶ ἁμαρτίας ἔκπλυσις, καὶ ἀπάθεια· ἔτι· μὴ πίστευε ταῖς πηγαῖς, πρὸ τελείας καθάρσεως. οὐ γὰρ ἔχει πίστιν οἶνος εὐθέως ἐκ τῶν ληνῶν ἐγκλειόμενος. ἔτι· τὰ μὲν ἐκ φόβου δάκρυα, αὐτὰ ἐν ἑαυτοῖς τὴν φυλακὴν κέκτηνται. τὰ δὲ τῆς ἀγάπης, πρὸ τῆς τελείας ἀγάπης, ἴσως εὐσύλητα ἔντισι καθεστήκασιν, εἰ μήπουγε τὸ ἀείμνηστον πῦρ ἐν τῷ καιρῷ τῆς ἐνεργείας, πάνυ τὴν καρδίαν ἐξάψειε. καὶ θαυμαστὸν, πῶς τὸ ταπεινότερον, ἀσφαλέστερόν ἐστιν ἐν καιρῷ αὐτοῦ. ἔτι· δάκρυον ἐξόδου, ἀπέτεκε φόβον· φόβου δὲ τεκόντος ἀφοβίαν, ἐπεφάνη χαρά· χαρᾶς δὲ ἀκαταλήκτου λήξασης, τῆς ὁσίας ἀγάπης τὸ ἄνθος ἀνέτειλε. Περὶ μέντοι αὐτομεμψίας, φησὶν ὁ Μέγας Ἀντώνιος· αὕτη ἐστὶν ἡ μεγάλη ἐργασία τοῦ ἀνθρώπου, ἵνα τὸ σφάλμα αὐτοῦ, ἐπάνω ἑαυτοῦ βάλλῃ ἐνώπιον τοῦ Θεοῦ, καὶ προσδοκήσῃ πειρασμὸν, ἕως ἐσχάτης ἀναπνοῆς. Καὶ ἕτερος Πατὴρ Ἅγιος ἐρωτηθεὶς, τί πλέον εὗρες Πάτερ ἐν τῇ ὁδῷ ταύτῃ; διακριθεὶς εἶπεν, τὸ, ἐν παντὶ ἑαυτὸν μέμφεσθαι· ὅπερ καὶ ὁ ἐρωτήσας ἐπῄνεσε· καὶ λέγει αὐτῷ, ἄλλη ὁδὸς οὐκ ἔστι πλὴν ταύτης. καὶ ὁ ἀββᾶς Ποιμὴν μετὰ στεναγμοῦ· πᾶσαι αἱ ἀρεταὶ, εἰς τὸν κόσμον τοῦτον εἰσῆλθον. ἔπαρον μίαν ἀρετὴν, καὶ ἐκτὸς αὐτῆς, κόπῳ ἵσταται ὁ ἄνθρωπος. καὶ ἠρώτησαν αὐτὸν, ποία ἐστὶν αὕτη; καὶ λέγει, ἵνα ὁ ἄνθρωπος διαπαντὸς μέμφηται ἑαυτόν. Εἶπε πάλιν· ὁ ἑαυτὸν μεμφόμενος, εἴτι δ' ἂν συμβῇ αὐτῷ, εἴτε ζημία, εἴτε ἀτιμία, εἴτε οἱαδήποτε θλίψις, προλαβὼν ἔχει ἑαυτὸν ἄξιον, καὶ οὐδέποτε ταράσσεται.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Περὶ προσοχῆς, καὶ τοῦ σοφῶς ἀσφαλίζεσθαι.

πβʹ. Ὁμοίως δὲ περὶ προσοχῆς καὶ ἀσφαλείας, γράφει ὁ θεσπέσιος Παῦλος· „βλέπετε πῶς ἀκριβῶς περιπατεῖτε· μὴ ὡς ἄσοφοι· ἀλλ' ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. καὶ ὁ Ἅγιος Ἰσαάκ· ὦ σοφία, πόσον θαυμαστὴ ὑπάρχεις, καὶ πῶς προβλέπεις τὰ πάντα πόρρωθεν, μακάριος ὁ εὑρών σε. ἐκ γὰρ τῆς ῥαθυμίας τῆς νεότητος ἠλευθέρωται. ὅστις ἐμπορεύεται διὰ μικρᾶς ἐμπορεύσεως, ἤτοι περιποιήσεως, τὴν ἰατρείαν τῶν μεγάλων παθῶν, καλῶς ποιεῖ. τοῦτο γάρ ἐστι φιλοσοφία, ἵνα τὶς καὶ ἐν τοῖς ἐλαχίστοις, καὶ μικροῖς τοῖς γινομένοις παρ' αὐτοῦ, ἀεὶ νήφῃ. ἀναπαύσεις γὰρ μεγάλας θησαυρίζει ἑαυτῷ, καὶ οὐχ ὑπνοῖ· ἵνα μὴ συμβῇ αὐτῷ τί ἐναντίον, ἀλλὰ τὰς αἰτίας κόπτει πρὸ καιροῦ· καὶ διὰ τῶν ἐλαχίστων πραγμάτων ὑποφέρει τὴν μικρὰν λύπην, ἐξαφανίζων δι' αὐτῆς, τὴν μεγάλην καὶ προϊών. διὸ καὶ λέγει ὁ σοφός, γενοῦ ἐγρήγορος καὶ νηφάλιος ὑπὲρ τῆς ζωῆς σου. συγγενὴς γάρ ἐστιν ὁ ὕπνος τῆς διανοίας, καὶ εἰκών, τοῦ ἀληθινοῦ θανάτου. λέγει δὲ καὶ ὁ Ἱεροφάντης Βασίλειος· ὅστις εἰς τὰ μικρὰ ἑαυτοῦ ὑπηρός ἐστι, μὴ πιστεύσῃς αὐτῷ εἰς τὰ μεγάλα διαπρέψαι.

### Ὅτι εἰς πάντα δεῖ σπουδάζειν τὰ εἰρημένα· πρὸ δὲ πάντων, ὥστε εἶναι ἡσυχάζοντα, καὶ πρᾶον, καὶ καθαρῶς ἐνδόθεν ἐπικαλεῖσθαι τὸν Κύριον Ἰησοῦν Χριστόν, ἔνδον καρδίας τὸν ἡσυχάζοντα.

πγʹ. Διὰ δὴ ταῦτα, περὶ πάντα μὲν σπούδαζε τὰ εἰρημένα· πρὸ δὲ πάντων, ἵνα ἡσύχως, καὶ πράως, καὶ μετὰ καθαροῦ τοῦ συνειδότος, τὸν Κύριον Ἰησοῦν Χριστὸν ἔνδον βάθους καρδίας ἐπικαλῇ, καθάπερ ἔφημεν. οὕτω γὰρ τὴν αὐτοῦ θείαν χάριν ὁδῷ προβαίνων, ἀναπαυομένην ἔχεις * τὴν ψυχήν. λέγει καὶ γὰρ ὁ τῆς Κλίμακος· „μηδεὶς ὑπὸ θυμοῦ, καὶ οἰήσεως, ὑποκρίσεώς τε, καὶ μνησικακίας ὀχλούμενος, ἴχνος ἡσυχίας ἰδεῖν πλ... μίσει ποτέ, μήπως ἔκστασιν ἐντεῦθεν κερδήσῃ· εἰ δέ τις τούτων καθαρός, αὐτὸς λοιπὸν γνώσεται τὸ συμφέρον· οἶμαι δέ, οὐδὲ αὐτός". Καὶ γοῦν οὐ μόνον ἀναπαυομένην ἕξεις τὴν χάριν τῇ σῇ ψυχῇ, ἀλλὰ καὶ ἀναπαῦσαι τὴν ψυχὴν τελείως ἐκ τῶν πρώην ὀχλούντων αὐτῇ, δαιμόνων τε καὶ παθῶν. εἰ γὰρ καὶ ἐνοχλοῦσιν αὖθις, ἀλλ' οὐκ ἐνεργοῦσιν, ὅτι μὴ πρόσκειται αὐτοῖς, μηδὲ ποθεῖ τὴν ἐκ τούτων ἡδονήν.

* ἴσ. λείπει εἰς τὴν

### Περὶ καλοῦ, καὶ ἐκστατικοῦ ἔρωτος, καὶ θείου κάλλους.

πδʹ. Ὅλος γὰρ ὁ πόθος τοῦ πιστοῦ, καὶ ὁ ἐγκάρδιος καὶ ἐκστατικὸς ἔρως, καὶ ἡ ὁλικὴ αὐτοῦ διάθεσις, πρὸς τὸ ὑπέρκαλον κάλλος ὁρᾷ, καὶ μακαριώτατον, ὃ καὶ ἐφετῶν τοῖς πατράσιν εἴρηται τὸ ἀκρότατον. „καί φησιν ὁ Μέγας Βασίλειος· ὅταν ὁ τῆς εὐσεβείας ἔρως τὴν ψυχὴν κατάσχῃ, ἅπαν αὐτῇ πολέμων καταγέλαστον εἶδος, καὶ πάντες αὐτὴν ὑπὲρ τοῦ ποθουμένου καταξαίνοντες, τέρπουσι μᾶλλον, ἢ πλήττουσι. καὶ αὖθις· τί τοῦ θείου κάλλους θαυμασιώτερον; τίς ἔννοια τῆς τοῦ Θεοῦ μεγαλοπρεπείας, χαριεστέρα; ποῖος πόθος ψυχῆς, οὕτω δριμύς, καὶ ἀφόρητος, ὡς ὁ ἀπὸ Θεοῦ ἐγγινόμενος τῇ ἀπὸ πάσης κακίας κεκαθαρμένῃ ψυχῇ, καὶ ἀπὸ ἀληθινῆς διαθέσεως λεγούσῃ, τετρωμένη ἀγάπης ἐγώ εἰμι;

Περὶ

Περὶ πολέμου, καὶ παιδευτικῆς παραχωρήσεως, καὶ τῆς κατὰ ἀποστροφὴν ἐγκαταλείψεως.

πε'. Πολεμεῖται δὲ λοιπὸν, κατὰ παραχώρησιν παιδευτικὴν, οὐ κατὰ ἀποστροφὴν ἐγκαταλείψεως, διὰ τί; ἵνα μὴ ὑψωθῇ ὁ νοῦς αὐτοῦ, δι' ὅπερ εὗρεν ἀγαθόν· ἀλλὰ πολεμούμενός τε, καὶ παιδευόμενος, προσλαμβάνει ταπείνωσιν ἀεὶ, δι' ἧς μόνης, οὐ μόνον νικᾷ τοὺς ὑπερηφάνως πολεμοῦντας αὐτόν· ἀλλὰ καὶ δωρεῶν μειζόνων διηνεκῶς ἀξιοῦται, προκόπτων ὅσον ἐφικτὸν ἀνθρωπίνῃ φύσει, σειραῖς ἀφύκτοις καὶ βάρει σαρκὸς πεπεδημένος τε καὶ πιεζόμενος, καὶ χωρῶν πρὸς τὴν κατὰ Χριστὸν τελειότητα, καὶ ἀπάθειαν. Καὶ λέγει ὁ Ἅγιος Διάδοχος· «Ὁ Κύριος αὐτὸς λέγει, τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τῶν οὐρανῶν πεπτωκέναι, ἵνα μὴ ἀφορᾷ εἰς τὰ τῶν Ἁγίων Ἀγγέλων ὁ δυσειδὴς ἐνδιαιτήματα. Πῶς οὖν ὁ τῆς τῶν καλῶν δούλων κοινωνίας μὴ καταξιούμενος, κοινὸν δύναται ἔχειν οἰκητήριον μετὰ τοῦ Θεοῦ, τὸν ἀνθρώπινον νοῦν; ἀλλ' ἐροῦσιν, ὅτι κατὰ παραχώρησιν τοῦτο γίνεται, καὶ πλέον οὐδὲν λέξουσιν. Ἡ μὲν γὰρ παιδευτικὴ παραχώρησις, οὐδαμῶς τὴν ψυχὴν τοῦ θείου φωτὸς ἀποστερεῖ. Κρύπτει δὲ μόνον ὡς καὶ ἤδη εἶπον τὰ πολλὰ τὸν νοῦν τὴν ἑαυτῆς παρουσίαν ἡ χάρις, ἵνα προωθοίη, ὥσπερ τὴν ψυχὴν τῇ πικρίᾳ τῶν δαιμόνων, διὰ τὸ μετὰ παντὸς φόβου, καὶ πολλῆς ταπεινώσεως ἐκζητεῖν αὐτὴν, τὴν ἐκ Θεοῦ βοήθειαν, τὴν τοῦ ἐχθροῦ αὐτῆς ἐπιγινώσκουσαν κατ' ὀλίγον κακίαν. Ὃν τρόπον ἐὰν μήτηρ ἀτακτοῦν τὸ οἰκεῖον περὶ τοὺς θεσμοὺς τῆς γαλουχίας βρέφος, βραχὺ τῶν ἑαυτῆς ἐξωθεῖν ἀγκαλῶν, ἵνα καταπληττόμενον ὑπό τινων περιεστώτων αὐτῷ σκαπροειδῶν ἀνθρώπων, ἢ θηρίων οἱωνδήποτε, μετὰ φόβου πολλοῦ, καὶ δακρύων, εἰς τοὺς μητρῴους αὖθις ὑποστρέφῃ κόλπους. Ἡ δὲ κατὰ ἀποστροφὴν γινομένη παραχώρησις, ὥσπερ δέσμιον παραδίδωσι τὴν μὴ θελήσασαν ψυχὴν ἔχειν τὸν Θεὸν, τοῖς δαίμοσιν. Ἡμεῖς δὲ, οὐκ ἐσμὲν ἀποστροφῆς τέκνα, μὴ γένοιτο· ἀλλὰ βρέφη γνήσια τῆς τοῦ Θεοῦ εἶναι χάριτος πιστεύομεν· μικραῖς παραχωρήσεσι, καὶ πυκναῖς παρακλήσεσι παρ' αὐτῆς γαλουχούμενα· ἵνα διὰ τῆς χρηστότητος τοῦ Θεοῦ, φθάσωμεν ἐλθεῖν, εἰς ἄνδρα τέλειον· εἰς μέτρον ἡλικίας. Καὶ αὖθις· Ἡ παιδευτικὴ παραχώρησις, φέρει μὲν λύπην πολλὴν, καὶ ταπείνωσιν· καὶ ἀπελπισμὸν σύμμετρον τῇ ψυχῇ, ἵνα τὸ φιλόδοξον αὐτῆς καὶ ἀπτόητον μέρος, πρεπόντως εἰς ταπείνωσιν ἔρχηται· εὐθέως δὲ φόβον Θεοῦ, καὶ δάκρυον ἐξομολογήσεως ἐπάγει τῇ καρδίᾳ· καὶ τῆς καλλίστης σιωπῆς, πολλὴν ἐπιθυμίαν. Ἡ δὲ κατὰ ἀποστροφὴν τοῦ Θεοῦ γινομένη, ἀπελπισμοῦ ὁμοῦ, καὶ ἀπιστίας, καὶ ὀργῆς, καὶ τύφου, τὴν ψυχὴν πληρωθῆναι παραχωρεῖ. Δεῖ οὖν ἡμᾶς εἰδέναι τὴν πεῖραν τῶν ἀμφοτέρων παραχωρήσεων· καὶ κατὰ τὸν ἑκάστης τρόπον, προσιέναι τῷ Θεῷ. Ἐκεῖ μὲν γὰρ, εὐχαριστίαν μετὰ τῆς ἀπολογίας προσαγαγεῖν αὐτῷ ὀφείλομεν, ὡς τὸ τῆς * γνώμης ἡμῶν ἀκόλαστον, τῇ χολῇ τῆς παρακλήσεως * κολάζοντι· ἵνα ἀρετῆς ἡμᾶς καὶ κακίας ὡς Πατὴρ ἀγαθὸς, διδάσκῃ τὴν διαφοράν. Ἐνταῦθα δὲ, ἐξαγόρευσιν τῶν ἁμαρτημάτων ἄπαυστον, καὶ δάκρυον ἀνελλιπὲς, καὶ ἀναχώρησιν πλείονα· ὅπως ἂν οὕτω δυνηθῶμεν τῇ προσθήκῃ τῶν πόνων, δυσωπῆσαι ποτὲ τὸν Θεὸν, ἐπιβλέψαι ὡς τὸ πρὶν εἰς τὰς καρδίας ἡμῶν.

* ἴσ. τῆς γνώσεως

* ἴσ. χολάζοντι

πλὴν

πλὴν δεῖ εἰδέναι· ὅτι ὅταν καὶ ἀσώματος συμβολὴ τῇ ψυχῇ καὶ τῷ σατανᾷ ἡ μάχη γίνεται, ἐπὶ τῆς παιδευτικῆς λέγω παραχωρήσεως, ὑποστέλλεται μὲν ὡς καὶ ἤδη ὅπου ἑαυτὴν ἡ χάρις· ἀγνώστως δὲ συνεργεῖ τῇ ψυχῇ βοηθείᾳ, ἵνα τὴν νίκην, τῆς ψυχῆς εἶναι μόνον ἐπιδείξῃ τοῖς ἐχθροῖς αὐτῆς. καὶ ὁ Ἅγιος Ἰσαάκ· οὐ δυνατὸν ἐκτὸς τῆς παραχωρήσεως πειρασμῶν, σοφισθῆναι τὸν ἄνθρωπον ἐν τοῖς πολέμοις τοῖς πνευματικοῖς, καὶ γνῶναι τὴν ἑαυτοῦ προνοητὴν, καὶ αἰσθηθῆναι τοῦ Θεοῦ αὐτοῦ, καὶ στερεωθῆναι ἐν τῇ πίστει αὐτοῦ κρυπτῶς, εἰ μὴ ἐν τῇ δυνάμει τῆς πείρας αὐτοῦ ἧς ἐδέξατο· καὶ ἡνίκα ἴδῃ ἡ χάρις, ὅτι ἤρξατο ἐν τῷ λογισμῷ αὐτοῦ ἡ οἴησις μικρὸν, καὶ ἤρξατο λογίζεσθαι μέγα περὶ ἑαυτοῦ, εὐθέως παραχωρεῖ τοὺς πειρασμοὺς κατ' αὐτοῦ ἰσχυροποιηθῆναι, καὶ κραταιωθῆναι, ἕως ἂν μάθῃ τὴν ἑαυτοῦ ἀσθένειαν, καὶ φύγῃ, καὶ κατάσχῃ τὸν Θεὸν ἐν ταπεινώσει. καὶ ἐν τούτοις ἔρχεται ὁ ἄνθρωπος, εἰς τὰ μέτρα τοῦ τελείου ἀνδρὸς, ἐν τῇ πίστει, καὶ τῇ ἐλπίδι τοῦ Υἱοῦ τοῦ Θεοῦ· καὶ ὑψοῦται πρὸς τὴν ἀγάπην. θαυμαστὴ γὰρ γνωρίζεται ἡ ἀγάπη τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον, ὅταν ποτὲ ἐν μέσῳ γένηται πραγμάτων, τῶν διακοπτόντων τὴν ἐλπίδα αὐτοῦ· καὶ ἐκεῖσε δεικνύει ὁ Θεὸς τὴν δύναμιν ἑαυτοῦ, ἐν τῇ σωτηρίᾳ τῇ ἐπ' αὐτόν. οὐδέποτε γὰρ μανθάνει ὁ ἄνθρωπος τὴν δύναμιν τὴν θεϊκὴν, ἐν ἀναπαύσει καὶ πλατυσμῷ. καὶ οὐδέποτε ἔδειξεν ὁ Θεὸς τὴν ἑαυτοῦ ἐνέργειαν αἰσθητικῶς, εἰ μὴ ἐν χώρᾳ ἡσυχίας, καὶ ἐν ἐρήμῳ, καὶ ἐν τόποις ἐστερημένοις τῶν συντυχιῶν· καὶ τῆς ταραχῆς τῆς κατασκηνώσεως τῆς μετὰ τῶν ἀνθρώπων.

## Περὶ ἀπαθείας, καὶ τοῦ, τί ἐστιν ἡ ἀνθρωπίνη ἀπάθεια.

Πρὸς δὲ τούτοις, δέον ἐκ μέρους καὶ τὸν πς'
τῆς ἀπαθείας λόγον ἐνταῦθα προσθῆναι, καὶ τελειώσαντες, καὶ μετὰ μικρὸν ὥσπερ πέρας δοῦναι τῇ παρούσῃ πραγματείᾳ. ἔνθεν καὶ λέγει ὁ Μέγας Βασίλειος· Ὁ τοῦ Θεοῦ κατ' ἄκρας ἐραστὴς, καὶ τῆς ἐκείνου ἀπαθείας καὶ τὸ σμικρότατον καταχεῖν ἐφιέμενος, καὶ τῆς πνευματικῆς ἁγιότητος, γαλήνης τε, καὶ ἀταραξίας, καὶ ἡμερότητος, καὶ τῆς ἐκ τούτων τικτομένης εὐφροσύνης τε, καὶ χαρᾶς ἐπιθυμῶν ἀπογεύσασθαι, παντὸς μὲν ὑλικοῦ πάθους τοῦ τὴν ψυχὴν ἐπιθολοῦντος, πόρρω τοὺς λογισμοὺς ἀπάγειν ἐσπούδακε. καθαρῷ δὲ, καὶ ἀνεπισκιάστῳ ὄμματι, τὰ θεῖα περιαθρεῖ· ἀπλήστως τοῦ ἐκεῖθεν φωτὸς ἐμφορούμενος. εἰς τοιαύτην τε ἕξιν, καὶ κατάστασιν τὴν ψυχὴν ἐξασκήσας, οἰκειοῦται καὶ τὴν ἐγχωροῦσαν ὁμοίωσιν, τῷ Θεῷ, ἐπέραστός τε καὶ ποθεινότατος αὐτοῦ γίνεται, οἷα δὴ μέγα τε ἆθλον, καὶ δυσήνυτον ἀνατλὰς, καὶ ἐκ τῆς κατὰ τὴν ὕλην συγκράσεως δυνηθεὶς, ἀκραιφνεῖ καὶ κεχωρισμένῃ τῇ διανοίᾳ τῆς τῶν σωματικῶν ἐπιμιξίας παθῶν πως, ὁμιλῆσαι Θεῷ. καὶ τοῦτο μέν ἐστι περὶ ἀπαθείας. Περὶ δὲ τοῦ, τί ἐστιν ἡ ἀνθρωπίνη ἀπάθεια, γράφει οὕτως ὁ Ἅγιος Ἰσαάκ· ἡ ἀπάθεια, οὐχὶ τὸ μὴ αἰσθηθῆναι τῶν παθῶν ἐστιν· ἀλλὰ τὸ μὴ δέξασθαι αὐτά. ἐκ τῶν πολλῶν γὰρ καὶ ποικίλων ἀρετῶν, ὧν ἐκτήσατο τῶν φανερῶν καὶ κρυπτῶν, ἠσθένησαν ἐν αὐτοῖς τὰ πάθη, καὶ οὐ δύνανται εὐχερῶς ἐπαναστῆναι κατὰ τῆς ψυχῆς. καὶ ἡ διάνοια οὐ χρῄζει πάντοτε προσέχειν αὐτοῖς. διότι ἐν παν-

τί και-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

» τὶ καιρῷ, πεπληρωμένη ἐστὶν ἐν τοῖς
» νοήμασιν αὐτῆς, ἐκ τῆς μελέτης, καὶ
» τῆς ὁμιλίας τῶν ἀρίστων τρόπων, τῶν
» ἐν τῇ συνέσει κινουμένων ἐν τῷ νοΐ.
» καὶ ὅταν ἄρξωνται τὰ πάθη κινεῖσθαι
» καὶ ταράσσεσθαι, ἐξαίφνης ἁρπάζεται
» ἡ διάνοια ἐκ τῆς ἐγγύτητος αὐτῶν,
» ἐν συνέσει τινὶ, παρακύψασα ἐν τῷ
» νοΐ· καὶ ἀπολιμπάνονται αὐτῷ τὰ πά-
» θη ἀργὰ, καθάπερ εἶπεν ὁ Μακά-
» ριος Μάρκος· νοῦς ὑπὸ τῆς χάριτος
» τοῦ Θεοῦ τὰς πράξεις τῶν ἀρετῶν πλη-
» ρῶν, καὶ τῇ γνώσει πλησιάσας, ὀλίγον
» αἰσθάνεται ἐκ τοῦ μέρους τοῦ κακοῦ καὶ ἀνοή-
» του τῆς ψυχῆς. ἡ γνῶσις γὰρ αὐτοῦ ἁρ-
» πάζει αὐτὸν εἰς τὸ ὕψος· καὶ ἀπαλλοτριοῖ
» αὐτὸν ἀπὸ πάντων τῶν ἐν τῷ κόσμῳ.
» καὶ διὰ τὴν ἐν αὐτοῖς ἁγνείαν, καὶ
» τὴν λεπτότητα, καὶ ἐλαφρότητα, καὶ
» ὀξύτητα τοῦ νοὸς αὐτῶν, καὶ διὰ τὴν
» ἄσκησιν πάλιν αὐτῶν, καθαρίζεται
» αὐτῶν ὁ νοῦς, καὶ διαυγὴς ἀποδείκνυ-
» ται· διὰ τὸ τὴν σάρκα αὐτῶν ξηραν-
» θῆναι ἐκ τῆς σχολῆς τῆς ἡσυχίας,
» καὶ τῆς πολλῆς διαμονῆς τῆς ἐν αὐτῇ.
» τούτου χάριν εὐκόλως καὶ ταχέως ἐπιτί-
» θεται ἑκάστῳ, καὶ ὁδηγεῖ αὐτοὺς ἡ θεω-
» ρία ἡ ἐν αὐτοῖς, πρὸς ἔκπληξιν τὴν
» παρ' αὐτῇ· καὶ ἐν τούτῳ πολλοστὸν πλη-
» θύνονται ταῖς θεωρίαις· καὶ οὐδέποτε
» ὑστερεῖται ὕλης συνέσεως ἡ διάνοια αὐ-
» τῶν· καὶ οὐδὲ ἐκτὸς ἐκείνων ποτὲ, ὧν
» τοῦ πνεύματος ὁ καρπὸς ἐμποιεῖ αὐ-
» τοῖς, διαγίνονται. καὶ ἐν τῇ συνη-
» θείᾳ τῇ πολυχρονίῳ, ἐξαλείφονται
» αἱ μνῆμαι ἐκ τῆς καρδίας αὐτῶν, αἵ-
» τινες κινοῦσι τὰ πάθη ἐν τῇ ψυχῇ,
» καὶ ἡ ἰσχὺς τῆς ἐξουσίας τοῦ διαβόλου.
» ὅταν γὰρ ἡ ψυχὴ μὴ μετ[illegible]άσῃ με-
» τὰ τῶν παθῶν, ἢ ἑταιρειάσῃ ἐν τῇ
» μελέτῃ τῇ ἐν αὐτοῖς, διὰ τὸ εἶναι
» αὐτὴν ἐξ ἄλλης φροντίδος κεκρατη-
» μένην ἀδιαλείπτως, οὐ δύναται ἡ
» ἰσχὺς τῶν ὀνύχων τῶν παθῶν, κα-
» τακρατῆσαι τῶν αἰσθήσεων αὐτῆς τῶν
» πραγματικῶν. καὶ ὁ θεῖος Διάδοχος·
» ἀπάθειά ἐστιν, οὐ τὸ μὴ πολεμεῖσθαι
» ὑπὸ τῶν δαιμόνων· ἐπεὶ ἄρα ὀφείλο-
» μεν, κατὰ τὸν Ἀπόστολον, ἐξεληλυ-
» θέναι ἐκ τοῦ κόσμου· ἀλλὰ τὸ πολε-
» μουμένους ὑπ' αὐτῶν, ἀπολεμήτους μέ-
» νειν. καὶ γὰρ οἱ σιδηροφόροι πολεμι-
» σταὶ, τοξεύονται μὲν ὑπὸ τῶν ἀντι-
» πάλων, καὶ τοῦ ἤχου τῆς τοξείας ἀκού-
» σιν, ἀλλὰ καὶ αὐτὰ βλέπουσι τὰ πεμ-
» πόμενα κατ' αὐτῶν σχεδὸν ἅπαντα
» βέλη, οὐ πλήττονται δὲ διὰ τὴν στερ-
» ρότητα τῶν πολεμικῶν ἐνδυμάτων.
» ἀλλ' ἐκεῖνοι μὲν σιδήρῳ φραττόμενοι,
» ἐν τῷ πολεμεῖσθαι, τὸ ἀπολέμητον
» ἔχουσιν· ἡμεῖς δὲ τῇ τοῦ φωτὸς τοῦ
» Ἁγίου πανοπλίᾳ, καὶ τῇ τοῦ Σωτη-
» ρίου περικεφαλαίᾳ, διὰ πάντων τῶν
» καλῶν καθοπλισάμενοι, τὰς σκοτει-
» νὰς τῶν δαιμόνων διακόψωμεν φά-
» λαγγας. οὐ γὰρ τὸ μηκέτι πρᾶξαι τὰ
» κακὰ μόνον καθαρότητα φέρει, ἀλλὰ
» καὶ τὸ ἐπιμελείᾳ τῶν καλῶν, κατα-
» κράτος ἀθετῆσαι τὰ κακά. καὶ ὁ Ἅ-
» γιος Μάξιμος δὲ τετραχῶς ταύτην
» διαιρεῖ, οὕτω φάσκων· πρώτην ἀπά-
» θειαν λέγω, τὴν πρὸς ἁμαρτίαν τοῦ
» σώματος κατ' ἐνέργειαν ἀνέπαφον κί-
» νησιν. δευτέραν ἀπάθειαν λέγω, τὴν
» κατὰ ψυχὴν τῶν ἐμπαθῶν λογισμῶν
» τελείαν ἀποβολὴν, δι' ἧς ἡ τῶν πα-
» θῶν ἀπομαραίνεται κατὰ τὴν πρώτην
» ἀπάθειαν κίνησις, ἐξάπτοντας αὐτὴν
» πρὸς ἐνέργειαν οὐκ ἔχουσα τοὺς ἐμπα-
» θεῖς λογισμούς. τρίτην ἀπάθειαν λέ-
» γω, τὴν περὶ τὰ πάθη τελείαν τῆς
» ἐπιθυμίας ἀκινησίαν, δι' ἣν καὶ ἡ
» δευτέρα γίνεσθαι πέφυκε, τῇ τῶν λο-
» γισμῶν καθαρότητι συνισταμένη. τε-
» τάρτην ἀπάθειαν λέγω, τὴν κατὰ διά-
» νοιαν πασῶν τῶν αἰσθητῶν φαντασιῶν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

„ τελείαν ἀπόθεσιν, καθ᾽ ἣν ἡ ψυχὴ
„ τὴν γένεσιν εἴληφεν· οὐκ ἔχουσα τὰς
„ φαντασίας τῶν αἰσθητῶν, εἰδοποιούσας
„ αὐτῇ τῶν παθῶν τὰς εἰκόνας. ἔτι,
„ ἀπάθειά ἐστιν, εἰρηνικὴ κατάστασις ψυ-
„ χῆς, καθ᾽ ἣν δυσκίνητος γίνεται πρὸς
„ κακίαν.

Ἔτι περὶ ἀπαθείας, καὶ τελειότητος.

πζʹ. Καὶ γοῦν καὶ ὁ Ἅγιος Ἐφραίμ, περί τε ἀπαθείας, καὶ τελειότητος, οὕτω διαγορεύει· „ οἱ ἀπαθεῖς πρὸς τὸ ἄκρον ἐφε-„ τὸν ἀορίστως ὑπερεκτεινόμενοι, ἀτέ-„ λεστον ποιοῦσι τὴν τελειότητα· διότι „ τῶν αἰωνίων ἀγαθῶν τέλος οὐκ ἔστιν. „ ἔτι, τελεία μέν, ὅσον πρὸς τὸ μέτρον „ τῆς ἀνθρωπίνης δυνάμεως. ἀτέλεστος „ δέ, ὡς ἀεὶ ὑπερβαίνουσα ἑαυτὴν ταῖς „ καθ᾽ ἡμέραν προσθήκαις, καὶ ὑψουμένη „ διηνεκῶς ταῖς πρὸς Θεὸν ἀναβάσεσιν“. ὁμοίως δὲ καὶ ὁ Ἅγιος Νεῖλος οὕτω περὶ τελειότητός φησι· „ Δύω τελειότητας τυγ-„ χάνουσι· μίαν μὲν πρόσκαιρον, μίαν δὲ „ αἰώνιον· περὶ ἧς γράφει ὁ Ἀπόστο-„ λος, ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε „ τὸ ἐκ μέρους καταργηθήσεται. τὸ γάρ, „ ὅταν ἔλθῃ τὸ τέλειον, σημαίνει, ὅτι „ ἐνταῦθα οὐ δυνάμεθα χωρῆσαι τὴν „ θείαν τελειότητα. ἔτι, δύω τελειό-„ τητας Παῦλος ὁ θεσπέσιος ἐπίσταται· „ καὶ οἶδε τὸν αὐτὸν τέλειον, καὶ οὐ τέλειον „ ἄνθρωπον. ὡς μὲν πρὸς τὸν παρόν-„ τα βίον, τέλειον λεγόμενον ἄνθρω-„ πον. ὡς δὲ πρὸς τὸν ἀληθῶς τέ-„ λειον, οὐ τέλειον. διό φησιν, οὐχ ὅτι „ ἔλαβον ἤδη τετελείωμαι. καὶ μετ᾽ ὀλί-„ γα λέγει, ὅσοι οὖν τέλειοι, τοῦτο φρο-„ νῶμεν.

Περὶ ἐμπαθείας, ἡδυπαθείας, προσπαθείας, καὶ ἀπαθείας.

Λέγει δὲ καὶ ὁ Ἅγιος Ἠλίας ὁ Ἔκδικος· „ ὕλη πονηρά, σώματος μέν, ἐμ-„ πάθεια· ψυχῆς δέ, ἡδυπάθεια. προσ-„ πάθεια δέ, τοῦ νοός. κατηγοροῦνται „ δέ, τῆς μέν, ἁφή. τῆς δέ, αἱ λοιπαὶ „ αἰσθήσεις. τῆς δὲ τελευταίας, ἐναν-„ τία διάθεσις. ἔτι, ὁ μὲν ἡδυπα-„ θής, πλησίον ἐστὶ τοῦ ἐμπαθοῦς. ὁ δὲ „ προσπαθής, τοῦ ἡδυπαθοῦς. μακρὰν „ δὲ ἀμφοτέρων, ὁ ἀπαθής. πηʹ.

Τίς ἐστιν ἐμπαθής, ἡδυπαθής, προσπαθής, καὶ ἀπαθής· καὶ περὶ θεραπείας ἀμφοτέρων.

πθʹ. „ Ἐμπαθής ἐστιν, ὁ τὸ ἁμαρτητικὸν „ ἔχων τοῦ λογισμοῦ βιαιότερον, κἂν πέως „ μὴ ἁμαρτάνῃ ἐκτός. ἡδυπαθὴς δέ, ὁ „ τὴν ἐνέργειαν τῆς ἁμαρτίας ἔχων ἀ-„ σθενεστέραν τοῦ λογισμοῦ, κἂν πάχρι „ οὐ ἐκτός. προσπαθὴς δέ, ὁ τῇ ἐλευθε-„ ρίᾳ μᾶλλον, ἢ τῇ δουλείᾳ τῶν μέσων „ προσκείμενος. ἀπαθὴς δ᾽ αὖ εἴη, ὁ „ τούτων πάντων τὴν ἀποφορὰν ἀγνοῶν. „ ὡσαύτως μέντοι καὶ περὶ τῆς ἀμφοτέ-„ ρων θεραπείας, τάδε διεξέρχεται· ἀπόλ-„ λυται ἐκ ψυχῆς, ἐμπάθεια μέν, διὰ „ νηστείας, καὶ προσευχῆς· ἡδυπάθεια δέ, „ δι᾽ ἀγρυπνίας, καὶ σιωπῆς· ἡ δὲ προσ-„ πάθεια, διὰ ἡσυχίας, καὶ προσο-„ χῆς. ἀπάθεια δὲ σωίζεται, ἐκ μνή-„ μης Θεοῦ“.

Περὶ πίστεως, ἐλπίδος, καὶ ἀγάπης.

Ἀλλ᾽ ἐπεὶ πάντων ἀγαθῶν ἀρχή, καὶ μεσότης, καὶ τέλος, εἰ βούλοιο δὲ εἰπεῖν· καὶ χορηγός, καὶ πρύτανις, πίστις, ἐλπίς, ἀγάπη· τὸ τρίπλοκον σπαρτίον, καὶ θεοῦ-

φανῆ,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

φαντον, καὶ μᾶλλον πάντων ἡ ἀγάπη, ὅτι
ὁ Θεὸς ἀγάπη ἐστί τε, καὶ λέγεται, οὐ
δίκαιον, μὴ καὶ διὰ τούτου τὸ τοῦ παρόν-
τος συγγράμματος ἐλλεῖπον ἀναπληρῶ-
σαι. ,, μᾶλλον δὲ, ἐπειδήπερ καὶ κατὰ
,, τὸν Ἅγιον Ἰσαὰκ τὴν τελειότητα τῶν
,, πολλῶν καρπῶν τοῦ πνεύματος, τότε
,, τὶς δέχεται, ὅταν ἀξιωθῇ τῆς τε-
,, λείας ἀγάπης". φέρε καὶ περὶ αὐτῆς
μικρὸν διαμνημονεύσωμεν. καὶ γοῦν γράφει
ὁ τῆς Κλίμακος, ,, νυνὶ δὲ λοιπὸν
,, μετὰ πάντα τὰ προειρημένα, μένει
,, τὰ τρία ταῦτα τὸν σύνδεσμον πάντων
,, ἐπισφίγγοντα, καὶ κρατοῦντα· πίστις,
,, ἐλπὶς, ἀγάπη· μείζων δὲ τούτων, ἡ
,, ἀγάπη. ὁ Θεὸς γὰρ ὀνομάζεται. πλὴν
,, ἔγωγε, τὴν μὲν, ἀκτῖνα ὁρῶ· τὴν
,, δὲ, φῶς· τὴν δὲ, κύκλον. πάντα δὲ
,, ἓν ἀπαύγασμα· καὶ μίαν λαμπρότη-
,, τα. ἡ μὲν γὰρ, πάντα δύναται
,, ποιεῖν, καὶ δημιουργεῖν. τὴν δὲ, ἔλεος
,, Θεοῦ περικυκλοῖ, καὶ ἀκαταίσχυντον
,, ποιεῖ. ἡ δὲ, οὐ πίπτει· οὐδὲ στήκει τοῦ
,, θέειν· οὐδὲ τὸν τρωθέντα λοιπὸν ἠρε-
,, μεῖν τῆς μακαρίας μανίας ἐᾷ. ἔτι·
,, ὁ περὶ ἀγάπης λόγος, Ἀγγέλοις
,, γνώριμος· κἀκείνοις, κατὰ τὴν ἐνέρ-
,, γειαν τῆς ἐλλάμψεως. ἀγάπη ὁ Θεός
,, ἐστιν. ὁ ὅρον δὲ τούτου λέγειν βουλόμε-
,, νος, ἐν ἀβύσσῳ τυφλώττων τὴν ψάμ-
,, μον μετρεῖ. ἀγάπη, κατὰ μὲν τὴν
,, ποιότητα, ὁμοίωσις Θεοῦ, καθόσον ἐ-
,, φικτὸν βροτοῖς· κατὰ δὲ ἐνέργειαν, μέ-
,, θη ψυχῆς· κατὰ δὲ τὴν ἰδιότητα,
,, πηγὴ πίστεως· ἄβυσσος μακροθυμίας·
,, θάλασσα ταπεινώσεως. ἀγάπη ἐστὶ
,, κυρίως, ἀπόθεσις παντοίας ἐναντίας
,, ἐννοίας, εἴπερ ἡ ἀγάπη, οὐ λογίζε-
,, ται τὸ κακόν. ἀγάπη, καὶ ἀπάθεια,
,, καὶ υἱοθεσία, τοῖς ὀνόμασι διακέκριται
,, μόνοις. ὡς φῶς, καὶ πῦρ, καὶ φλὸξ,
,, εἰς μίαν συντρέχουσιν ἐνέργειαν, οὕτω
,, καὶ περὶ τούτων μοι νόει. καὶ ὁ Ἅγιος
,, Διάδοχος· πάσης πνευματικῆς· ἀδελ-
,, φοί· ἡγείσθω θεωρίας, πίστις· ἐλπίς·
,, ἀγάπη· πλέον δὲ ἡ ἀγάπη. αἱ μὲν
,, γὰρ, καταφρονεῖν τῶν ὁρωμένων ἐκδι-
,, δάσκουσι καλῶν. ἡ δὲ ἀγάπη, αὐτὴν
,, συνάπτει τὴν ψυχὴν ταῖς ἀρεταῖς
,, τοῦ Θεοῦ, αἰσθήσει νοερᾷ, τὸν ἀόρατον
,, Θεὸν διιχνεύουσα. ἔτι, ἄλλη ἐστὶν ἡ
,, ἀγάπη τῆς ψυχῆς ἡ φυσική· καὶ ἄλ-
,, λη, ἡ ἐκ τοῦ Ἁγίου Πνεύματος αὐτῇ
,, προσγινομένη. ἡ μὲν γὰρ, ἐκ τῆς
,, ἡμετέρας, ὅτε θέλομεν, συμμέτρως
,, κινεῖται θελήσεως. διόπερ καὶ εὐχερῶς
,, ὑπὸ τῶν πονηρῶν πνευμάτων ἡνίκα μὴ
,, βίᾳ κρατοῦμεν τῆς ἑαυτῶν προαιρέ-
,, σεως, διαρπάζεται. ἡ δὲ, τοσοῦτον ἐκ-
,, καίει τὴν ψυχὴν πρὸς τὴν ἀγάπην
,, τοῦ Θεοῦ, ὥστε πάντα τὰ τῆς ψυχῆς
,, τότε μέρη, τῇ τοῦ θείου πόθου ἀλα-
,, λήτῳ ἐγκολλᾶσθαι χρηστότητι, ἐν ἀπεί-
,, ρῳ τινὶ ἁπλότητι διαθέσεως. ἐγκύ-
,, μων γὰρ ὥσπερ ὁ νοῦς τότε ὑπὸ τῆς
,, πνευματικῆς ἐνεργείας γινόμενος, πη-
,, γὴν τινα ἀγάπης ἀναβλύζει, καὶ χα-
,, ρᾶς. καὶ ὁ Ἅγιος Ἰσαάκ· ἡ ἀγάπη,
,, ἡ ἔκ τινων γινομένη πραγμάτων, ὡς
,, λαμπάς ἐστι μικρὰ, ἐκ τοῦ ἐλαίου τρε-
,, φομένη, καὶ ὅπου σταματᾷ τὸ φῶς αὐ-
,, τῆς. ἢ καὶ ὡς χείμαρρος ῥέων ἐκ τοῦ
,, ὑετοῦ, οὗπερ ἡ ῥεῦσις καταπαύεται,
,, τῆς συνιστώσης αὐτὸν ὕλης, λεῖψιν
,, παθούσης. ἡ ἀγάπη δὲ, ἡ τὸν Θεὸν
,, αἴτιον ἔχουσα, ὡς πηγή ἐστι βρύουσα,
,, καὶ οὐδέποτε τὰ ῥεύματα αὐτῆς ἀνακό-
,, πτεται, αὐτὸς γὰρ μόνος ἐστὶ τῆς ἀ-
,, γάπης πηγὴ, καὶ ἀνελλιπὴς ἡ ὕλη
,, αὐτῆς. καὶ αὖθις ἐρωτηθεὶς, ποία
,, ἐστὶν ἡ τελειότης τῶν πολλῶν καρπῶν
,, τοῦ πνεύματος; ἀπεκρίθη· ὅταν τὶς
,, ἀξιωθῇ τῆς τελείας ἀγάπης τοῦ Θεοῦ.
,, καὶ αὖθις ἐρωτηθείς· καὶ πόθεν γινώ-
,, σκει τὶς, ὅτι ἔφθασεν εἰς ταύτην;
,, ἔφη· ὅταν κινηθῇ ἡ μνήμη τοῦ Θεοῦ ἐν



Athos Library Αγιορειτική Βιβλιοθήκη

„τῇ διανοίᾳ αὐτοῦ, εὐθέως ἡ καρδία αὐτοῦ, κινεῖται ἐν τῇ ἀγάπῃ αὐτοῦ· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ καταφέρουσι δάκρυα δαψιλῶς. ἔθος γὰρ ἔχει ἡ ἀγάπη, ἐκ τῆς μνήμης τῶν ἀγαπητῶν, ἐξάπτειν δάκρυα. καὶ πιστὸς ὤν, οὐδέποτε ὑστερεῖται ἐκ τῶν δακρύων. διότι οὐ λείπει αὐτῷ ἀεὶ ὕλη φέρουσα αὐτὸν εἰς μνήμην τοῦ Θεοῦ· ὥστε καὶ ἐν τῷ ὕπνῳ αὐτοῦ, συνομιλεῖ τῷ Θεῷ. ἔθος γὰρ τῇ ἀγάπῃ, πρᾶξαι τὰ τοιαῦτα. καὶ αὕτη ἐστὶν ἡ τελειότης τῶν ἀνθρώπων ἐν τῇ ζωῇ αὐτῶν ταύτῃ. ἔτι, ἡ ἀγάπη τοῦ Θεοῦ, θερμή ἐστι τῇ φύσει· καὶ ὅταν ἀμέτρως ἐπιπέσῃ τινί, ποιεῖ ἐκείνην τὴν ψυχήν, ἐκστατικήν. διὰ τοῦτο οὐ δύναται ἡ καρδία τοῦ αἰσθηθέντος αὐτῆς, χωρῆσαι αὐτήν, καὶ καρτερῆσαι· ἀλλὰ κατὰ τὸ μέτρον τῆς ποιότητος καὶ τῆς ἐπελθούσης αὐτῷ ἀγάπης, ὁρᾶται ἐν αὐτῷ ἀλλοίωσις ἀσυνήθης. καὶ ταῦτα τὰ σημεῖα αὐτῆς τὰ αἰσθητά· γίνεται τὸ πρόσωπον τοῦ ἀνθρώπου, πυρρόν, περιχαρές· καὶ τὸ σῶμα αὐτοῦ θερμαίνεται· ἀφίσταται ἀπ' αὐτοῦ ὁ φόβος, καὶ ἡ αἰδώς· καὶ γίνεται ὡς ἐκστατικός. καὶ ἡ δύναμις ἡ συνάγουσα τὸν νοῦν φεύγει ἐξ αὐτοῦ. καὶ ὡς ἔκφρων γίνεται. τὸν φοβερὸν θάνατον ἡγεῖται χαράν. καὶ οὐδέποτε ἡ θεωρία τοῦ νοὸς αὐτοῦ, διακοπήν τινα πάσχει, ἐκ τῆς τῶν οὐρανίων διανοήσεως. καὶ ἀπών, ὡς παρὼν ὁμιλεῖ, μὴ ὁρώμενος ὑπό τινος. ἡ γνῶσις, καὶ ἡ ὅρασις αὐτοῦ παρέρχεται, ἡ φυσική, καὶ οὐκ αἰσθάνεται αἰσθητῶς τῆς κινήσεως αὐτοῦ, ἧς ἐν τοῖς πράγμασι κινεῖται. κἂν γὰρ πράττῃ τί, οὐ τελείως αὐτοῦ αἰσθάνεται· ὡς τὸν νοῦν ἔχων ἐν τῇ θεωρίᾳ μετέωρον. καὶ ἡ διάνοια αὐτοῦ, ἀεὶ ὡς μετὰ ἄλλου ἀδολεσχεῖ. ταύτην τὴν πνευματικὴν μέθην, ἐμεθύσθησάν ποτε οἱ Ἀπόστολοι, καὶ οἱ Μάρτυρες. καὶ οἱ μέν, ὅλον τὸν κόσμον διελθόντες, κοπιῶντες, καὶ ὀνειδιζόμενοι. οἱ δέ, τὰ μέλη κατακοπτόμενοι, ἐξέχεον τὰ αἵματα αὐτῶν, ὡσεὶ ὕδωρ· καὶ τὰ δεινότατα πάσχοντες, οὐκ ὠλιγώρησαν· ἀλλὰ γενναίως ὑπήνεγκαν. καὶ ὄντες σοφοί, ὡς ἄφρονες ἐνομίσθησαν. καὶ ἄλλοι ἐν ἐρημίαις ἐπλανήθησαν, καὶ ὄρεσι, καὶ ἐν σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς· ἐν ἀταξίαις, εὔτακτοι ὄντες. ταύτην τὴν ἄνοιαν, ἀξιώσαι ἡμᾶς ὁ Θεὸς φθάσαι.

## Περὶ τῆς ἁγίας κοινωνίας, καὶ τοῦ, ὅσων ἀγαθῶν ἡμῖν πρόξενος, ἡ συνεχῶς μετὰ καθαροῦ τοῦ συνειδότος ταύτης μετάληψις, καὶ κοινωνία.

Οὐδὲν δὲ οὕτω πρός τε ψυχῆς κάθαρσιν, καὶ φωτισμὸν νοός, καὶ σώματος ἁγιασμόν, καὶ ἀμφοτέρων πρὸς τὸ θειότερον μεταστοιχείωσιν καὶ ἀθανασίαν· ναὶ μήν, καὶ πρὸς ἀποτροπὴν παθῶν καὶ δαιμόνων, ἢ μᾶλλον οἰκειοτέρως εἰπεῖν, πρὸς ἕνωσιν, καὶ Θεοῦ θείαν ὑπερφυᾶ τε συνάφειαν καὶ ἀνάκρασιν, συνεργεῖ καὶ συμβάλλεται ἡμῖν, ὡς ἡ ἐξ εἰλικρινοῦς καρδίας τε, καὶ διαθέσεως, κατ' ἐφικτὸν ἀνθρώπῳ, συνεχὴς μετάληψις καὶ κοινωνία, τῶν ἁγίων, ἀχράντων, καὶ ἀθανάτων, καὶ ζωοποιῶν μυστηρίων· αὐτοῦ φαμεν τοῦ τιμίου Σώματος, καὶ Αἵματος τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. διά τοι τοῦτο ἀναγκαῖον ὡς μάλιστα καὶ περὶ τούτου ἀπὸ μέρους διαλαβεῖν, καὶ τῷ τοιῷδε συντάξαι ποιήματι· καὶ οὕτω πέρας δοῦναι τῷ λόγῳ. καὶ τοῦτο γοῦν δῆλον, οὐ μόνον ἐξ ὧν φθέγγονται οἱ Ἅγιοι, ἀλλά γε πολλῷ πλέον, ἐξ αὐτῶν τῶν τῆς αὐτοζωῆς, καὶ αὐτοαληθείας ῥημάτων, ἐκδηλότερον. λέγει καὶ γάρ· ἐγὼ „εἰμι ὁ ἄρτος τῆς ζωῆς.„ καὶ οὗτός ϟα΄.

,, ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τὶς ἐξ αὐτοῦ φάγῃ, καὶ μὴ ἀποθάνῃ. ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. καὶ, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον. Ἔτι, ἡ γὰρ σάρξ μου, ἀληθής ἐστι βρῶσις· καὶ τὸ αἷμά μου, ἀληθής ἐστι πόσις. ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα· καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ. οὗτός ἐστιν ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· καὶ ὁ τρώγων μου τοῦτον τὸν ἄρτον, ζήσεται εἰς τὸν αἰῶνα. καὶ ὁ Χριστοφόρος δὲ Παῦλος, τάδε φησίν· Ἀδελφοί, ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε, καὶ εἶπε, λάβετε φάγετε, τοῦτό μου ἐστὶ τὸ Σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων, τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐστὶν, ἐν τῷ ἐμῷ Αἵματι· τοῦτο ποιεῖτε ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. ὥστε, ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ Σώματος, καὶ τοῦ Αἵματος τοῦ Κυρίου. δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω. ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ Σῶμα τοῦ Κυρίου. Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί. εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ τοῦ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

### Ὅτι ἀναγκαῖον μαθεῖν τὸ θαῦμα τῶν Ἁγίων Μυστηρίων· καὶ τί ποτέ ἐστι· καὶ διὰ τί ἐδόθη, καὶ τίς ἡ ὠφέλεια.

Γράφει δὲ καὶ ὁ Χρυσορρήμων ,, ἀναγκαῖον μαθεῖν τὸ θαῦμα τῶν μυστηρίων τί ποτέ ἐστι· καὶ διὰ τί ἐδόθη, ϙβʹ.
καὶ τίς ἡ ὠφέλεια τοῦ πράγματος. ἓν σῶμά ἐσμεν, καὶ μέλη, ἐκ τῆς σαρκὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. οἱ δὲ μεμυημένοι, παρακολουθείτωσαν τοῖς λεγομένοις· ἵνα οὖν μὴ μόνον κατὰ τὴν ἀγάπην τοῦτο γενώμεθα, ἀλλὰ καὶ κατ' αὐτὸ τὸ πρᾶγμα εἰς ἐκείνην ἀνακερασθῶμεν τὴν σάρκα, διὰ τροφῆς τοῦτο γίνεται, ἣν ἐχαρίσατο, βουλόμενος ἡμῖν δεῖξαι τὸν πόθον, ὃν ἔχει πρὸς ἡμᾶς. διὰ τοῦτο ἀνέμιξεν ἡμῖν ἑαυτὸν, καὶ ἀνέφυρε τὸ σῶμα αὐτοῦ εἰς ἡμᾶς, ἵνα ἕν γενώμεθα καθάπερ σῶμα κεφαλῇ συνημμένον. τῶν γὰρ σφόδρα ποθούντων ἐστὶ τοῦτο. τοῦτο γοῦν ὁ Ἰὼβ αἰνιττόμενος, ἔλεγε περὶ τῶν οἰκετῶν, οἷς ἦν μεθ' ὑπερβολῆς ποθεινὸς, ὅτι δὴ τὸν πόθον ἐνδεικνύμενοι, ἔλεγον, τίς ἂν δῴη ἡμῖν ἐκ τῶν σαρκῶν αὐτοῦ ἐμπλησθῆναι; διὸ δὴ καὶ ὁ Χριστὸς αὐτὸ πεποίηκεν, εἰς φιλίαν ἡμᾶς ἄγων μείζονα· καὶ τὸν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

„ αὐτοῦ πόθον ἐνδεικνύμενος περὶ ἡμᾶς· οὐκ ἰδεῖν μόνον ἑαυτὸν παρέχων τοῖς ἐπιθυμοῦσιν, ἀλλὰ καὶ ἅψασθαι, καὶ φαγεῖν· καὶ ἐμπῆξαι τῇ σαρκί· καὶ συμπλακῆναι· καὶ τὸν πόθον ἐμπλῆσαι πάντα. Ἔτι, οἱ μετέχοντες τοῦ παναγίου Σώματος, καὶ τοῦ τιμίου Αἵματος, μετὰ Ἀγγέλων καὶ Ἀρχαγγέλων, καὶ τῶν ἄνω δυνάμεων ἑστήκασιν, αὐτὴν περικείμενοι τοῦ Χριστοῦ τὴν βασιλικὴν στολήν· τὰ ὅπλα ἔχοντες τὰ πνευματικά. ἀλλ' οὐδὲν εἶπον οὐδέπω· αὐτὸν γὰρ εἰσιν ἐνδεδυμένοι τὸν βασιλέα. ἀλλ' ὥσπερ ἐστὶ μέγα, καὶ φρικτὸν, καὶ θαυμαστὸν, οὕτως ἂν μετὰ καθαρότητος προσέλθῃς, εἰς σωτηρίαν προσῆλθες, ἂν δὲ μετὰ πονηροῦ συνειδότος, εἰς κόλασιν, καὶ τιμωρίαν. ὁ γὰρ ἐσθίων, καὶ πίνων ἀναξίως τὸ Σῶμα καὶ Αἷμα τοῦ Κυρίου, κρίμα ἑαυτῷ ἐσθίει, καὶ πίνει. Εἰ γὰρ οἱ ῥυποῦντες τὴν πορφύραν τὴν βασιλικὴν, κολάζονται ὁμοίως, ὥσπερ οἱ διαῤῥηγνῦντες, οὐδὲν ἀπεικὸς, καὶ τοὺς ἀκαθάρτῳ διανοίᾳ δεχομένους τὸ Σῶμα, τὴν αὐτὴν ὑπομένειν τιμωρίαν, τοῖς αὐτὸ διαῤῥήξασι διὰ τῶν ἥλων. ὅρα γοῦν, πῶς φοβερὰν ἔδειξεν ὁ Παῦλος τὴν κόλασιν· εἰπὼν, ἀθετήσας τις νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν, ἐπὶ δυσὶν, ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσετε τιμωρίας, ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ Αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη; Ὅσοι τοίνυν μετέχομεν τούτου τοῦ Σώματος, ὅσοι τοῦ Αἵματος ἀπογευόμεθα, ἐννοεῖτε ὅτι ἐκείνου τοῦ ἄνω καθημένου, τοῦ προσκυνουμένου παρὰ Ἀγγέλων, τοῦ τῆς ἀκηράτου δυνάμεως ἐγγὺς, τούτου ἀπογευόμεθα. οἴμοι, πόσαι πρὸς σωτηρίαν ἡμῖν ὁδοί; σῶμα ἡμᾶς ἑαυτοῦ ἐποίησε· σώματος ἡμῖν τοῦ ἑαυτοῦ μετέδωκε. καὶ οὐδὲν τούτων ἡμᾶς ἀποτρέπει τῶν κακῶν. ὢ τῆς ἀναλγησίας· ὢ τῆς ἀναισθησίας. καὶ αὖθις· πρεσβύτης τις θαυμαστὸς, ἐμοὶ διηγήσατο, τοιοῦτόν τι ἀξιωθεὶς ἰδεῖν, καὶ ἀκοῦσαι· ὅτι τοὺς μέλλοντας ἐντεῦθεν ἀπαίρειν, ἂν τύχωσι τῶν μυστηρίων μετασχόντες, ἐν συνειδήσει καθαρᾷ, ὅταν ἀποθανεῖν μέλλωσι, δορυφοροῦντες οἱ Ἄγγελοι διὰ ἐκεῖνο τὸ μεταληφθὲν, ἐντεῦθεν ἀπάγουσι. καὶ ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνός· ἐπειδὴ διπλοῖ τινες ἐσμὲν, καὶ σύνθετοι, δεῖ καὶ τὴν γέννησιν διπλῆν εἶναι. ὁμοίως καὶ τὴν βρῶσιν, σύνθετον. ἡ μὲν οὖν γέννησις, δι' ὕδατος ἡμῖν, καὶ πνεύματος δίδοται. ἡ δὲ βρῶσις αὐτός ἐστιν ὁ ἄρτος τῆς ζωῆς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ ἐξ οὐρανοῦ καταβάς, καὶ ὥσπερ ἐπὶ τοῦ Βαπτίσματος, ἐπειδὴ ἔθος τοῖς ἀνθρώποις ὕδατι λούεσθαι, καὶ ἐλαίῳ χρίεσθαι, συνέζευξε τῷ ἐλαίῳ καὶ τῷ ὕδατι, τὴν χάριν τοῦ Πνεύματος, καὶ ἐποίησεν αὐτὸ λουτρὸν ἀναγεννήσεως, οὕτως ἐπειδὴ ἔθος ἡμῖν ἄρτον ἐσθίειν, ὕδωρ δὲ, καὶ οἶνον πίνειν, συνέζευξεν αὐτοῖς τὴν ἑαυτοῦ θεότητα· καὶ πεποίηκεν αὐτὰ, Σῶμα καὶ Αἷμα αὐτοῦ· ἵνα διὰ τῶν συνήθων, καὶ κατὰ φύσιν, ἐν τοῖς ὑπὲρ φύσιν γενώμεθα· σῶμά ἐστιν ἀληθῶς ἡνωμένον θεότητι, τὸ ἐκ τῆς Ἁγίας Παρθένου σῶμα· οὐχ ὅτι αὐτὸ τὸ σῶμα τὸ ἀναληφθὲν, ἐξ οὐρανῶν κατέρχεται, ἀλλ' ὅτι αὐτὸς ὁ ἄρτος, καὶ ὁ οἶνος, μεταποιεῖται εἰς Σῶμα, καὶ Αἷμα Θεοῦ. εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς πῶς γίνεται; ἀρκεῖ σοι ἀκοῦσαι, ὅτι διὰ Πνεύματος Ἁγίου· ὥσπερ ἐκ τῆς Ἁγίας Θεοτόκου διὰ Πνεύματος Ἁγίου, ἑαυτῷ, καὶ ἐν αὐτῷ ὁ Κύριος σάρκα ὑπεστήσα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

„ το, καὶ πλέον οὐδὲν γινώσκομεν. ἀλλ'
„ ὅτι ὁ λόγος τοῦ Θεοῦ, ἀληθὴς, καὶ
„ ἐνεργής ἐστι, καὶ παντοδύναμος· ὁ δὲ
„ τρόπος, ἀνεξερεύνητος. γίνεται τοίνυν
„ τοῖς πίστει ἀξίως μεταλαμβάνουσιν,
„ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν
„ αἰώνιον, καὶ εἰς φυλακτήριον ψυχῆς τε,
„ καὶ σώματος. τοῖς δὲ ἐν ἀπιστίᾳ ἀνα-
„ ξίως μετέχουσιν, εἰς κόλασιν, καὶ τι-
„ μωρίαν. καθάπερ καὶ ὁ τοῦ Κυρίου
„ θάνατος. καὶ οὐκ ἔστι τύπος ὁ ἄρτος,
„ καὶ ὁ οἶνος τοῦ Σώματος, καὶ Αἵματος
„ τοῦ Χριστοῦ· μὴ γένοιτο· ἀλλ' αὐτὸ τὸ
„ Σῶμα τοῦ Χριστοῦ, τεθεωμένον· καὶ
„ αὐτὸ τὸ Αἷμα. ἡ γὰρ σάρξ μου, φη-
„ σὶν, ἀληθής ἐστι βρῶσις. καὶ τὸ Αἷ-
„ μά μου, ἀληθής ἐστι πόσις. Σῶμά ἐστι
„ καὶ Αἷμα Χριστοῦ, εἰς σύστασιν τῆς ἡ-
„ μετέρας ψυχῆς, καὶ τοῦ σώματος χω-
„ ροῦν. οὐ δαπανώμενον, οὐ φθειρόμενον
„ οὐκ εἰς ἀφεδρῶνα χωροῦν· ἀλλ' εἰς τὴν
„ ἡμῶν οὐσίαν τε, καὶ συντήρησιν· ῥύπου
„ παντὸς καθαρτήριον. κἂν χρυσὸν λά-
„ βῃ κίβδηλον, διὰ τῆς κριτικῆς πυ-
„ ρώσεως καθαίρει, ἵνα μὴ ἐν τῷ μέλ-
„ λοντι, σὺν τῷ κόσμῳ κατακριθῶ-
„ μεν. δι' αὐτοῦ καθαιρόμενοι, ἑνούμεθα
„ τῷ Σώματι Χριστοῦ, καὶ τῷ Πνεύμα-
„ τι αὐτοῦ, καὶ γινόμεθα Σῶμα Χριστοῦ.
„ οὗτος ὁ ἄρτος ἐστὶν, ἡ ἀπαρχὴ τοῦ μέλ-
„ λοντος ἄρτου, ὅς ἐστιν ὁ ἐπιούσιος. τὸ
„ γὰρ ἐπιούσιον δηλοῖ, ἢ τὸν μέλλοντα,
„ τουτέστι τὸν τοῦ μέλλοντος αἰῶνος, ἢ
„ τὸν πρὸς συντήρησιν τῆς οὐσίας ἡμῶν
„ λαμβανόμενον. Πνεῦμα ζωοποιόν ἐστιν,
„ ἡ σάρξ τοῦ Κυρίου· διότι ἐκ τοῦ ζωο-
„ ποιοῦ Πνεύματος συνελήφθη. τὸ γὰρ
„ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦ-
„ μά ἐστι. Τοῦτο δὲ λέγω, οὐκ ἀναι-
„ ρῶν τὴν τοῦ σώματος φύσιν· ἀλλὰ τὸ
„ ζωοποιὸν καὶ θεῖον τούτου δηλῶσαι βου-
„ λόμενος. ταῦτα μέντοι ἀντίτυπα
„ τῶν μελλόντων λέγονται, οὐχ ὡς μὴ
„ ὄντα ἀληθῶς Σῶμα, καὶ Αἷμα Χρι-
„ στοῦ· ἀλλ' ὅτι νῦν μὲν, δι' αὐτῶν με-
„ τέχομεν τῆς Χριστοῦ Θεότητος, τότε
„ δὲ, νοητῶς διὰ μόνης τῆς θέας. καὶ ὁ
„ θειότατος Μακάριος· ὥσπερ ὁ οἶνος,
„ εἰς πάντα τὰ μέλη τοῦ πίνοντος κιρ-
„ νᾶται, καὶ γίνεται ὁ οἶνος ἐν αὐτῷ,
„ καὶ αὐτὸς ἐν τῷ οἴνῳ, οὕτως ὁ πίνων
„ τὸ Αἷμα τοῦ Χριστοῦ, τὸ Πνεῦμα τῆς
„ Θεότητος ποτίζεται, καὶ κιρνᾶται ἐν
„ τῇ τελείᾳ ψυχῇ, καὶ ἡ ψυχὴ ἐν αὐ-
„ τῷ· καὶ οὕτως ἁγιασθεῖσα, ἀξία τοῦ
„ Κυρίου καθίσταται. πάντες γὰρ, φη-
„ σι, τὸ αὐτὸ Πνεῦμα ἐποτίσθημεν, καὶ
„ διὰ τῆς εὐχαριστίας τοῦ ἄρτου, Πνεύ-
„ ματος Ἁγίου οἱ κατὰ ἀλήθειαν μετα-
„ λαμβάνοντες καταξιοῦνται μέτοχοι γε-
„ νέσθαι, καὶ οὕτω δύνανται εἰς αἰῶνας
„ αἱ ἄξιαι ψυχαὶ ζῆσαι. καὶ ὥσπερ τῷ
„ σώματι ἡ ζωὴ οὐκ ἐξ ἑαυτοῦ ἐστιν·
„ ἀλλ' ἔξωθεν αὐτοῦ, τουτέστιν ἀπὸ τῆς
„ γῆς, οὕτω καὶ τὴν ψυχὴν εὐδόκησεν
„ ὁ Θεὸς, οὐκ ἐκ τῆς ἰδίας φύσεως,
„ ἀλλ' ἐκ τῆς αὐτοῦ Θεότητος, ἐκ τοῦ
„ ἰδίου Πνεύματος, καὶ φωτὸς, ἔχειν
„ βρῶσιν· πόσιν· ἔνδυμα· ἅ ἐστιν ἡ ὄν-
„ τως ζωὴ τῆς ψυχῆς. ἔχει γὰρ ἡ
„ θεία φύσις, καὶ ἄρτον ζωῆς, τὸν εἰ-
„ πόντα, ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς·
„ καὶ ὕδωρ ζῶν· καὶ οἶνον εὐφραίνοντα, καὶ
„ ἔλαιον ἀγαλλιάσεως. καὶ ὁ Ἅγιος Ἰ-
„ σίδωρος κοινωνία κέκληται ἡ τῶν θείων
„ Μυστηρίων μετάληψις, διὰ τὸ, τὴν
„ πρὸς Χριστὸν ἡμῖν χαρίζεσθαι ἕνω-
„ σιν, καὶ κοινωνοὺς ἡμᾶς ποιεῖν τῆς
„ αὐτοῦ βασιλείας. καὶ ὁ Ὅσιος Νεῖ-
„ λος· ἀδύνατον ἄλλως σωθῆναι τὸν
„ πιστὸν, καὶ ἄφεσιν τῶν πλημμελημά-
„ των λαβεῖν, καὶ βασιλείας Οὐρανῶν
„ ἐπιτυχεῖν, εἰ μὴ μεταλαμβάνει μετὰ
„ φόβου καὶ πίστεως καὶ πόθου τῶν μυστι-
„ κῶν, καὶ ἀχράντων, Σώματος καὶ Αἵ-
„ ματος τοῦ Χριστοῦ. ὁμοίως γράφει καὶ

„ ὁ Μέ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

,, ὁ Μέγας Βασίλειος, ἐν τῇ πρὸς
,, Καισαρείαν Πατρικίαν ἐπιστολῇ, καὶ
,, τὸ κοινωνεῖν δὲ καθ' ἑκάστην ἡμέραν, καὶ
,, μεταλαμβάνειν τοῦ Ἁγίου Σώματος, καὶ
,, Αἵματος τοῦ Χριστοῦ, καλὸν καὶ ἐπω-
,, φελές· αὐτοῦ σαφῶς λέγοντος· ὁ τρώ-
,, γων μου τὴν Σάρκα, καὶ πίνων μου τὸ
,, Αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐ-
,, τῷ, καὶ ἔχει ζωὴν αἰώνιον. τίς γὰρ
,, ἀμφιβάλλει ὅτι τὸ μετέχειν συνεχῶς
,, τῆς ζωῆς, οὐδὲν ἄλλό ἐστιν, ἢ ζῆν
,, πολλαχῶς; ἡμεῖς μέντοιγε, τέταρτον
,, καθ' ἑκάστην ἑβδομάδα κοινωνοῦμεν,
,, ἐν τῇ Κυριακῇ, ἐν τῇ τετράδι, ἐν
,, τῇ παρασκευῇ, καὶ τῷ σαββάτῳ, καὶ
,, ἐν ταῖς ἄλλαις ἡμέραις, ἐὰν ᾖ μνή-
,, μη Ἁγίου τινός· ἐν αἷς οἶμαι, καὶ
,, ἐλειτούργει ὁ Ἅγιος. οὐ γὰρ καθ' ἑ-
,, κάστην ἠδύνατο, ὑπὸ τοσούτων φρον-
,, τίδων ὀχλούμενος. Εἶπε δὲ καὶ ὁ Ἅ-
,, γιος Ἀπολλώ, ὅτι δεῖ τὸν Μοναχὸν,
,, εἰ δυνατὸν, καθ' ἑκάστην ἡμέραν τῶν
,, μυστηρίων τοῦ Χριστοῦ κοινωνεῖν. ὁ γὰρ
,, μακρύνων ἑαυτὸν ἀπὸ τούτων, μακρύ-
,, νεται ἀπὸ Θεοῦ. ὁ δὲ συνεχῶς τοῦτο
,, ποιῶν, τὴν σάρκα συνεχῶς ὑποδέ-
,, χεται. ἡ γὰρ σωτήριος φωνὴ φησιν,
,, ὁ ἐσθίων μου τὴν Σάρκα, καὶ πίνων μου
,, τὸ Αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν
,, αὐτῷ. τοῦτο οὖν συμφέρει τοῖς Μο-
,, ναχοῖς, ὑπόμνησιν τοῦ Σωτηρίου πά-
,, θους συνεχῶς ποιουμένοις· καθ' ἡμέ-
,, ραν οὖν ἕτοιμον εἶναι δεῖ· καὶ παρα-
,, σκευάζειν ἑαυτὸν τοιοῦτον, ὥστε ἄξιον
,, εἶναι πάντοτε, περὶ τὴν τῶν Ἁγίων
,, Μυστηρίων ὑποδοχήν· ἐπεὶ καὶ ἀφέσεως
,, ἁμαρτιῶν, ὑπο καταξιούμεθα. λέγει
,, δὲ καὶ ὁ τῆς Κλίμακος· εἰ σῶμα
,, σώματι προσψαῦον, ἀλλοιοῦται τῇ ἐ-
,, νεργείᾳ, πῶς οὐκ ἀλλοιωθήσεται, ὁ
,, Θεοῦ σώματι προσψαύων ἀθώοις χερ-
,, σί; γέγραπται δὲ καὶ ἐν τῷ γεροντι-
,, κῷ. Ἰωάννης ὁ Βοστρινὸς, ἀνὴρ Ἅ-
,, γιος, καὶ ἐξουσίαν ἔχων τῶν πνευμά-
,, των ἀκαθάρτων, ἠρώτησε δαίμονας,
,, οἳ ἦσαν κατοικοῦντες εἰς κόρας τινὰς
,, μαινομένας καὶ ἐνεργουμένας ὑπ' αὐτῶν
,, πονηρῶς, εἰπών· ποῖα πράγματα φο-
,, βεῖσθε ἀπὸ τῶν Χριστιανῶν; οἱ λέ-
,, γουσιν· ἔχετε ὄντως τρία πράγματα
,, μεγάλα· ἓν μὲν, ὅπερ φορεῖτε, εἰς
,, τὸν τράχηλον ὑμῶν· καὶ ἓν, ὅπερ λού-
,, εσθε εἰς τὴν Ἐκκλησίαν· καὶ ἓν, ὅπερ
,, τρώγετε εἰς τὴν σύναξιν. ἐρομένου δὲ
,, πάλιν, ἐκ τούτων τῶν τριῶν, ποῖον
,, φοβεῖσθε πλέον; ἀπεκρίθησαν, εἰ ἐ-
,, φυλάσσετε καλῶς ὅπερ μεταλαμβά-
,, νετε, οὐκ ἴσχυσεν οὐδεὶς ἐξ ἡμῶν ἀ-
,, δικῆσαι Χριστιανόν· εἰσὶ δὲ ἃ δυσμε-
,, νεῖς φοβοῦνται τῶν ἄλλων πλέον, ὁ
,, σταυρὸς, ἡ βάπτισις, καὶ ἡ κοινω-
,, νία.

Τέλος τῶν κατὰ πλάτος πασῶν ὑποθέ-
σεων· καὶ μερικὴ παραίνεσις πρὸς τὸν
ἐπερωτήσαντα.

Ἰδοὺ δὴ τέκνον φίλτατον, τετέλεσταί σου ϥγ'
ἡ αἴτησις· σὺν Θεῷ· εἰ μὲν κατὰ γνώμην
τὴν σὴν καὶ τὴν πρόθεσιν, ἀκριβῶς οὐκ
οἴδαμεν· μέντοιγε κατὰ τὴν ἡμετέραν δύ-
ναμιν· καὶ Θεῷ δὲ φίλον, τὸ κατὰ δύνα-
μιν. ὅρα τοίνυν, ἵνα μὴ μέχρι λόγου στῇ
τὸ σὸν φιλομαθὲς, καὶ ἐπίπονον· ἀλλ'
ἵνα καὶ ἔργοις ὀφθῇς φιλομαθὴς, καὶ σπου-
δαῖος. φησὶ καὶ γὰρ ὁ κλεινὸς Ἀδελφό-
θεος· ,, ἀδελφοί μου ἀγαπητοὶ, γίνεσθε
,, ποιηταὶ λόγου, καὶ μὴ μόνον ἀκροαταὶ,
,, παραλογιζόμενοι ἑαυτούς· ὅτι, εἴτις
,, ἀκροατὴς νόμου ἐστὶ, καὶ οὐ ποιητὴς,
,, οὗτος ἔοικεν ἀνδρὶ, κατανοοῦντι τὸ πρό-
,, σωπον τῆς γενέσεως αὐτοῦ, ἐν ἐσόπ-
,, τρῳ. κατενόησε γὰρ ἑαυτὸν, καὶ ἀ-
,, πελήλυθεν, καὶ ἐπελάθετο ὁποῖος
,, ἦν, ὁ δὲ παρακύψας εἰς νόμον τέ-
,, λειον τῆς ἐλευθερίας, καὶ παραμείνας,

,, οὗτος

Athos Library
Αγιορειτική Βιβλιοθήκη

„ οὕτως οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται“.

## Ὅπως δεῖ ἀκούειν καὶ ἐκλαμβάνειν τὰ τῶν Πατέρων πνευματικὰ ῥήματα.

ϟδ'. Καὶ πρό γε τούτων, ἵνα πιστῶς, καὶ μετὰ τῆς προσηκούσης εὐλαβείας, ἐκλαμβάνῃς καὶ διακούῃς, τὰ τῶν Πατέρων θεῖα, καὶ πνευματικὰ θεσπίσματα. φησὶ γὰρ ὁ Ἅγιος Μακάριος· „ ἄψαυστά ἐστι τοῖς ἀπείροις, τὰ πνευματικά· ψυχῇ δὲ ἁγίᾳ, καὶ πιστῇ, πρὸς κατάληψιν ἔρχεται ἡ τοῦ Ἁγίου Πνεύματος κοινωνία· καὶ οἱ ἐπουράνιοι τοῦ Πνεύματος θησαυροί, τῷ πείρᾳ λαβόντι μόνῳ γίνονται καταφανεῖς· ἀμυήτῳ δέ, οὐδὲ ἐννοῆσαι δυνατὸν τοπαράπαν. εὐλαβῶς τοίνυν περὶ αὐτῶν ἄκουε, μέχρις ἄν, καὶ σοὶ γένοιτο πιστεύοντι, καταξιωθῆναι τούτων τυχεῖν. τότε γὰρ εἴσῃ αὐτῇ πείρᾳ τῶν τῆς ψυχῆς ὀφθαλμῶν, οἵων ἀγαθῶν, καὶ μυστηρίων, ψυχαὶ Χριστιανῶν κἀνταῦθα κοινωνεῖν δύνανται“. οὕτω γὰρ ἔχων, τάχιστα καὶ τὴν τῶν γεγραμμένων καὶ ἀκουτισθέντων ἐπισυλλέξεις ἐπικαρπίαν τε, καὶ ὠφέλειαν, καὶ ἀπὸ τοῦ μανθάνειν, καὶ πράττειν, προκόψεις, εἰς τὸ καὶ ἄλλους παραινεῖν, καὶ ὁδηγεῖν αὐτῇ πείρᾳ, πρὸς τὰ θειότερα, καὶ τοῖς πολλοῖς ἀμύητα· ὃ καὶ γένοιτό σοι, τῇ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ παγαλκεστάτῃ παλάμῃ ἐπερειδομένῳ, καὶ κατευθυνομένῳ· ἀμήν. ἐπεὶ δὲ κόρος λόγου, πολέμιος ἀκοαῖς, ὡς ὑπερβάλλουσα τροφὴ σώματι. καί, πᾶν μέτρον ἄριστον, δέον καὶ ἡμᾶς τὸν κόρον φεύγοντας, καὶ τὸ ἔμμετρον ἀσπαζομένους ὡς ἄριστον, μικρὸν ἔτι τῷ λόγῳ προσδιατρίψαντας· καὶ οἱονεί τινα σύντομον ἀνακεφαλαίωσιν τῆς παρούσης πραγματείας διαγράψαντας, οὕτως ἐκεῖσε τὴν τοῦ λόγου ἐρεῖσαι ἄγκυραν.

## Ἀνακεφαλαίωσις· καὶ ὅπως δεῖ προσεύχεσθαι· καὶ περὶ φωτισμοῦ ἀληθοῦς, καὶ θείας δυνάμεως.

Φασὶν οἱ Πατέρες, ὁ ἐν λόγῳ νήφειν ἐθέλων, ἀεὶ δι' εἰσπνοῆς ῥινὸς ἔνδον καρδίας ἐπειγέσθω προσεύχεσθαι καθαρῶς, ϟε'.
καὶ ἀρρεμβάστως, μόνα τὰ τῆς εὐχῆς προσέχων, καὶ μελετῶν, καὶ διανοούμενος ῥήματα, ἤγουν τό, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με· ἄχρι καιροῦ φωτισμοῦ νοὸς ἐν καρδίᾳ, ὥς φησιν ὁ Ἅγιος Διάδοχος, „ ὅτι, ὅσοι τὸ τοῦ Κυρίου Ἰησοῦ ἔνδοξον, καὶ πολυπόθητον ὄνομα ἐν τῷ βάθει τῆς καρδίας μελετῶσιν ἀπαύστως, οὗτοι δύνανται καὶ τὸ φῶς τοῦ νοῦ ὁρᾷν ποτέ“. οὗ γενομένου, Θεοῦ ῥοπῇ, ἔκτοτε τὸν ὑπόλοιπον δρόμον τῆς κατὰ Θεὸν πολιτείας ἡμῶν, ὡς ἐν φωτὶ περιπατοῦντες, μᾶλλον δὲ φωτὸς υἱοὶ ὄντες, ἀπλανῶς, καὶ ἀπροσκόπως ὁδεύσομεν, ὥς φησιν ὁ φωτοπάροχος Ἰησοῦς, „ ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. καὶ ὅτι, ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ὁ ἀκολουθῶν ἐμοί, οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. καὶ ὁ Δαβὶδ δέ, τοιάδε, πρὸς Κύριον βοᾷ· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. καὶ ὁ θειότατος Παῦλος, Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν“. δι' αὐτοῦ καὶ γάρ, ὡς διὰ λύχνου ἀσβέστου, καὶ παμφαοῦς, ὁδηγοῦνται, καὶ ἐνατενίζουσιν οἱ τῷ ὄντι πιστοί, εἰς τὰ ἐπέκεινα τῶν αἰσθήσεων, καὶ ἀνοίγεται αὐτοῖς, ὡς καθαροῖς τὴν καρδίαν, ἡ οὐράνιος πύλη, πάσης τῆς ἰσαγγέλου, καὶ ὑψηλῆς πολιτείας, καὶ καταστάσεως. καὶ αὖθις οὗτος ὡς ἐξ ἡλιακοῦ δίσκου, ἀνατέλλει τούτοις, τὸ ἀνακρίνειν, τὸ διακρίνειν, τὸ διορᾷν, τὸ προορᾷν, καὶ τὰ παραπλήσια. καὶ ἀπα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ξαπλῶς δι' αὐτῆς ἀπαυγάζει τισὶν, ἡ τῶν ἀδήλων μυστηρίων, πᾶσα δήλωσίς τε καὶ Ἀποκάλυψις· δυνάμεώς τε ὑπερφυοῦς, καὶ θείας, ἐν πνεύματι ἐμπίπλανται· καὶ διὰ τῆς τοιᾶσδε ὑπερφυοῦς δυνάμεως, καὶ ὁ χοῦς αὐτῶν κουφιζόμενος, ἢ μᾶλλον τὸ βρῖθος τῆς σαρκὸς διαλεπτυνόμενον καὶ μετεωριζόμενον, ὑπερίπταται. διὰ ταύτης τῆς ἐν Ἁγίῳ Πνεύματι φωτιστικῆς δυνάμεως, ἔτι μετὰ σαρκὸς ὄντες· καί τινες τῶν Ἁγίων Πατέρων, ὡς ἄϋλοι καὶ ἀσώματοι, ποταμοὺς ἀβάτους, καὶ θαλάττας ταυσιπόρους, ποσὶν ἀβρόχως διῆλθον· δρόμους τε μακροὺς, καὶ πολυημέρους, ἀκαριαίως διώδευσαν· καὶ ἕτερα ἐξαίσια, ἐν οὐρανῷ· ἐν γῇ· ἐν ἡλίῳ· ἐν θαλάσσῃ· ἐν ἐρημίαις· ἐν πόλεσιν, ἐν παντὶ τόπῳ, καὶ χώρᾳ· ἐν θηρίοις, καὶ ἑρπετοῖς, καὶ ἁπλῶς ἐν πάσῃ τῇ κτίσει, καὶ πᾶσι τοῖς στοιχείοις, ἐξειργάσαντο· καὶ διὰ πάντων ἐδοξάσθησαν· καὶ ἐν προσευχαῖς δὲ πάντων ἱσταμένων, καὶ τὰ αὐτῶν εὐαγῆ, καὶ τίμια σώματα, γῆθεν ὡς ὑπόπτερα ὑπερήροντο· τῷ ἀναλωτικῷ, καὶ ἐνθέῳ, καὶ ἀΰλῳ πυρὶ τῷ τῆς χάριτος, τὸ σωματικὸν πάχος, τὴν μὲν καὶ τὸ βάρος, ἀποτεφρούμενοι· κούφως τε αἴρεσθαι ἐνεργούμενοι, ὢ τοῦ θαύματος, μεταστοιχειούμενοι, καὶ μεταχαλκευόμενοι πρὸς τὸ θειότερον, τῇ θεουργῷ παλάμῃ τῆς ἐνσκηνωσάσης αὐτοῖς ἰσχύος, καὶ χάριτος. καὶ μετὰ τέλος δὲ, ἐνίων καὶ τὰ σεβάσμια σώματα, τὸ ἀδιάλυτον φέρουσι· προδήλως τὴν ἐνοικοῦσαν αὐτοῖς, καὶ πᾶσι τοῖς βεβαιοπίστοις ὑπὲρ φύσιν χάριν καὶ δύναμιν πιστούμενα. καὶ μετὰ τὴν κοινὴν μέντοι γε, καὶ παγκόσμιον ἐξανάστασιν, δι' αὐτῆς τῆς ἐν πνεύματι φωτιστικῆς δυνάμεως, οἷόν πως πτεροφυήσαντες, ἁρπαγήσονται ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου, εἰς ἀέρα, ὥς φησιν ὁ τῶν ἀῤῥήτων μύστης θειότατος Παῦλος, καὶ οὕτω πάντοτε σὺν τῷ Κυρίῳ ἔσονται. πρὸς δὲ ταῦτα, καὶ ὁ πνευματοφθόγγος ψάλλει Δαβὶδ, Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν, δηλαδὴ τὴν αἰώνιον, καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται, ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν, σὺ εἶ. καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν. καὶ αὖθις, οἱ τοῦ Θεοῦ κραταιοὶ, τῆς γῆς σφόδρα ἐπήρθησαν. καὶ ὁ μεγαλοφωνότατος δὲ Ἡσαΐας οὕτω διαγορεύει· οἱ ὑπομένοντες τὸν Κύριον, πτεροφυήσουσιν· ἀλλάξουσιν ἰσχὺν αὐτῶν. Καὶ ὁ Ἅγιος Μακάριος, πᾶσα ψυχὴ ἡ διὰ πίστεως, καὶ πασῶν τῶν ἀρετῶν σπουδῆς, τελείως τὸν Χριστὸν ἐνδύσασθαι ἐντεῦθεν ἐν δυνάμει, καὶ πληροφορίᾳ καταξιωθεῖσα, καὶ τῷ ἐπουρανίῳ τῆς ἀφθάρτου εἰκόνος φωτὶ ἑνωθεῖσα, μυστηρίων οὐρανίων γνῶσιν ἐν ὑποστάσει λαμβάνειν πάντοτε καταξιοῦται. ἐν δὲ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως, τῇ αὐτῇ ἐπουρανίῳ τῆς δόξης εἰκόνι, τὸ σῶμα τῇ ψυχῇ συνδοξασθὲν, καὶ εἰς οὐρανοὺς ὑπὸ τοῦ πνεύματος, κατὰ τὸ γεγραμμένον, ἁρπαγὲν εἰς ἀπάντησιν τοῦ Κυρίου, εἰς ἀέρα· καὶ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ γενέσθαι καταξιωθὲν, εἰς αἰῶνας ἅμα ψυχῇ καὶ σώματι συμβασιλεύσουσιν.

### Ἑτέρα ἀνακεφαλαίωσις.

Τούτων τῶν καινῶν, καὶ ὑπὲρ λόγον ϟϛʹ.
λόγων, ἀρχὴ, καὶ γενέθλια, ἡ προμνημονευθεῖσα ἐν ἀμεριμνίᾳ ὁλικῇ, ἡσυχία, προσοχή τε, καὶ προσευχή· βάθρον εἰσίν πως βεβηκὸς, καὶ ἔπαλξιν ἀπόρθητον πλουτοῦσαι· τὴν γὰρ δύναμιν πασῶν τῶν θεοποιῶν ἐντολῶν ἐκπληροῦσιν. ἐκ δὲ τῆς ἀμεριμνίας φαμὲν, ἡσυ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

χίας, προσευχῆς τε, καὶ προσοχῆς, ἡ ἐν καρδίᾳ κίνησις καὶ θέρμη, ἡ τὰ πάθη, καὶ τοὺς δαίμονας φλέγουσα, καὶ τὴν καρδίαν ὡς ἐν χωνείᾳ καθαίρουσα· καὶ ἐκ ταύτης, ὁ πρὸς τὸν Κύριον Ἰησοῦν Χριστὸν πόθος, καὶ ἄληκτος ἔρως. ἐκ δὴ τούτου, ἡ γλυκερὰ τῶν καρδιακῶν δακρύων ἐπιρρεῖ κρουνηδὸν, δι' ὧν ἡ ψυχὴ, καὶ τὸ σῶμα, ὡς ὑσσώπῳ, τῇ μετανοίᾳ, τῇ ἀγάπῃ τε, καὶ εὐχαριστίᾳ, καὶ ἐξομολογήσει, καθαίρεται, καὶ πιαίνεται. ἐκ δὲ τούτων, ἡ γαλήνη· ἥ, τε εἰρήνη τῶν λογισμῶν, ἧς οὐδὲν ὅρον, ὡς πάντα νοῦν ὑπερέχουσα. ἐκ δὲ τούτων, ἡ χιονοφεγγόφωτος ἔλλαμψις· καὶ τέλος, ἡ κατ' ἄνθρωπον ἀπάθεια· ἥ, τε τῆς ψυχῆς πρὸ τοῦ σώματος ἐξανάστασις, καὶ ἡ πρὸς τὸ κατ' εἰκόνα, καὶ καθ' ὁμοίωσιν· διά πράξεώς τε, καὶ θεωρίας, πίστεώς τε, καὶ ἐλπίδος, καὶ ἀγάπης, ἀναμόρφωσις καὶ ἐπάνοδος. ἥ, τε πρὸς Θεὸν ὁλικὴ ἀνάτασις, καὶ ἄμεσος ἕνωσις· ἔκστασίς τε, καὶ παῦλα, καὶ στάσις, κατὰ μὲν τὸ παρὸν, ὡς ἡ ἐν ἐσόπτρῳ, καὶ ἐν αἰνίγματι, καὶ ἀρραβῶνι. κατὰ δὲ τὸ μέλλον, ἡ πρὸς πρόσωπον πρόσωπον, καὶ τελεία τελείως τοῦ Θεοῦ μέθεξις, καὶ ἀϊδίας ἀπόλαυσις.

Ὅτι αὕτη ὄντως ἐστὶν ἡ ἀπλανὴς, καὶ ἀληθὴς, καὶ πατροπαράδοτος, καὶ κατὰ Θεὸν πολιτεία, δηλονότι ἡ ἐξ ὑπακοῆς ἡσυχία· ἥτις καὶ ἐν Χριστῷ κεκρυμμένη ζωὴ, εἰκότως τοῖς Ἁγίοις προσείρηται.

ϟζʹ. Αὕτη ἡ ὁδὸς, καὶ κατὰ Θεὸν ἱερὰ πολιτεία, καὶ ἱερὰ ἐργασία, τῶν τῷόντι χριστιανῶν· ἡ ἀληθὴς, καὶ ἀπλανὴς, καὶ ἀκίβδηλος, καί γε ἀριδήλως, ἡ ἐν Χριστῷ κεκρυμμένη ζωή. ταύτην ἔτεμε μὲν καὶ ἐμυσταγώγησεν ὁ θεάνθρωπος, καὶ γλυκύτατος Ἰησοῦς· διώδευσαν δὲ οἱ θεῖοι Ἀπόστολοι· ἐπηκολούθησαν δὲ, οἱ μετ' αὐτοὺς, αὐτοῖς ὡς δεῖ ἑπόμενοι, οἱ κλεινοὶ καθηγεμόνες ἡμῶν, καὶ διδάσκαλοι· οἱ ἀπ' ἀρχῆς, αὐτῆς δὴ τῆς ἐπὶ γῆς πρώτης Χριστοῦ παρουσίας, καὶ μέχρι τήμερον ὡς φωστῆρες ἐν κόσμῳ λάμποντες, ταῖς τῶν ζωηρῶν λόγων μαρμαρυγαῖς, καὶ ταῖς τῶν ἔργων παραδοξοποιΐαις· οἳ καὶ εἰς τοὺς καθ' ἡμᾶς, τὸ πάντων καλὸν σπέρμα, τὴν ἱερὰν ζύμην, τὴν ἀπαρχὴν τὴν ἁγίαν, τὴν ἄσυλον παρακαταθήκην, τὴν χάριν, τὴν ἐξ ὕψους δύναμιν, τὸν πολύτιμον μαργαρίτην, τὸν ἔνθεον Πατρικὸν κλῆρον, τὸν ἐν τῷ ἀγρῷ κεκρυμμένον θησαυρὸν, τὸν ἀρραβῶνα τοῦ πνεύματος, τὸ βασιλικὸν σημεῖον, τὸ ζῶν καὶ ἁλλόμενον ὕδωρ, τὸ θεῖον πῦρ, τὸ σεβάσμιον ἅλας, τὸ χάρισμα, τὸ σφράγισμα, τὸ φῶς, καὶ τὰ ὅμοια τούτοις, πρὸς ἀλλήλους διέδωκαν. ὃ καὶ ἔσται κληροδοτούμενον· καὶ κατὰ γενεὰς γενεῶν μυστικῶς διαπορθμευόμενον, ἄχρι καὶ αὐτῆς τῆς δευτέρας αὖθις ἐπὶ γῆς Χριστοῦ παρουσίας. ἀψευδὴς γὰρ ὁ ἐπαγγειλάμενος, τὸ, καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος· ἀμήν.

Ὅτι κἂν καὶ ἄλλαι ὦσιν ὁδοὶ σωτήριοι, ἀλλ' αὕτη ἡ πρόκριτος, καὶ βασιλὶς, καὶ εἰς υἱοθεσίαν φέρουσα.

Εἰ δὲ καὶ ἄλλαι ὁδοὶ, καὶ πολιτεῖαι, εἰ βούλει δὲ καὶ ἐργασίαι χρησταὶ πεφύκασι, πρὸς σωτηρίαν ὁδηγοῦσαι, καὶ καταπιώσαι τὸν ταύτης μετιόντα, ὥσπερ ἄρα καὶ εἰσὶ, καὶ πρὸς δουλείαν, ἢ μισθαρνίαν, χειραγωγοῦσαι, καὶ καταλήγουσαι, καθὰ καὶ πολλαὶ μοναὶ τῷ σωτῆρι παρὰ τῷ Πατρὶ αὐτοῦ ὑπάρχειν εἴρηνται· ἀλλ' ἓν αὕτη πέφυκεν ἡ βασιλὶς, καὶ πρόκριτος, καὶ πασῶν ἐργασιῶν, ὡς ψυχὴ σώματος, ὑπερκειμένη, καὶ ὑπερ- ϟηʹ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

φέρουσα, ἅτε εἰς υἱοθεσίαν Θεοῦ κατεργοῦσα ἐκ γῆς καὶ σποδοῦ, καὶ Θεὸν ἐργαζομένη παραδόξως ἐν πνεύματι, τὸν μετερχόμενον αὐτήν· ὡς εἰκός· ἄνθρωπον ὥς φησιν ὁ Μέγας Βασίλειος· Πνεῦμα
„ Ἅγιον ἐπελθὸν εἰς ψυχὴν ἀνθρώπου,
„ ἔδωκε μὲν ζωήν· ἔδωκε δὲ ἀθανα-
„ σίαν· ἤγειρε κείμενον. τὸ δὲ κινηθὲν
„ κίνησιν ἀΐδιον ὑπὸ Πνεύματος Ἁγίου,
„ ζῶον ἅγιον ἐγένετο, ἔχει δὲ ἄνθρω-
„ πος ἀξίαν, πνεύματος ἐνοικισθέντος
„ ἐν αὐτῷ, Προφήτου, Ἀποστόλου, Ἀγ-
„ γέλου, Θεοῦ. ὢν πρὸ τοῦ, γῆ, καὶ
σποδός.

Ὅτι διὰ τὸ ὑψηλὸν τῆς ἐργασίας, καὶ πολυώνυμός ἐστιν αὕτη ἡ πολιτεία.

ϟθ'. Διά τοι τοῦτο, καὶ πολλαῖς, καὶ ποικίλαις αὐτήν, καὶ ἐνδόξοις κλήσεσιν, οἱ θεῖοι Πατέρες ἀποσεμνύνουσιν. οἱ δὲ γὰρ γνωστικὴν προσηγορεύκασι· πρᾶξιν ἐπαινουμένην, καὶ θεωρίαν εὔστοχον· προσευχὴν ἐπάνω παντὸς πλάτους· ὕψιν νοός· νοερὰν ἐργασίαν, ἔργον τοῦ μέλλοντος αἰῶνος· Ἀγγελικὴν πολιτείαν· οὐράνιον βιοτήν· ἔνθεον διαγωγήν· χώραν ζώντων· μυστικὴν ἐποψίαν· πνευματικὴν παιδευσίαν· Παράδεισον θεουργόν· οὐρανόν· οὐράνιον βασίλειον· Θεοῦ βασιλείαν· γνόφον ὑπέρφωτον· ἐν Χριστῷ κεκρυμμένην ζωήν· θεοπτίαν· καὶ θέωσιν τὸ ὑπερφυέστατον, καὶ τὰ τούτοις παραπλήσια· οἷσπερ θείοις Πατράσι, καὶ ἡμεῖς οἱ τοῦ πηλοῦ, καὶ τῇ πλινθείᾳ, τοῖς πονηροῖς, καὶ ἀκαθάρτοις λογισμοῖς, καὶ λόγοις, καὶ ἔργοις, συζῶντες, ἑπόμενοι, τὴν σὴν αἴτησιν, ἀγαπητέ, ἐκπληρῶσαι διὰ σπουδῆς ἐθέμεθα· ναὶ μὴν καὶ καθὼς ᾔτησας, καὶ ὑπὲρ τὸ μέτρον ἡμῶν εἰπεῖν οὐκ ὠκνήσαμεν, χάριν, ὡς καὶ ἐν προοιμίοις τοῦ λόγου εἴπομεν, τῆς σῆς ἀγάπης, καὶ τῆς Πατρικῆς ἐντολῆς· ταύτης δὲ * καὶ τῆς Εὐαγγελικῆς βιωτῆς πρύτανις, ἡ τοῦ λόγου καὶ Υἱοῦ τοῦ Θεοῦ, καινή, καὶ ἀπόρρητος οἰκονομία, καὶ ἐνανθρώπησις, εὐδοκίᾳ τοῦ ἀνάρχου Πατρός, καὶ συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος! * σ. [illegible]

## ἨΘΙΚΌΝ.

Ὅτι μετὰ τῆς τοῦ Θεοῦ βοηθείας, καὶ χάριτος, χρὴ καὶ ἡμᾶς ὡς δυνατὸν σπουδάζειν, καὶ ἀγωνίζεσθαι, ἵνα καταξιωθῶμεν ἀπὸ τοῦ νῦν, ὡς ἐν ἀρραβῶνος μέρει, τῶν τοιούτων ὑπερφυῶν, καὶ μεγίστων δωρεῶν· καὶ ἵνα μὴ διὰ μικρὰν ῥαθυμίαν, τούτων, φεῦ, ἀποτύχωμεν, ὃ μὴ γένοιτο.

Τοιούτων τοίνυν, καὶ ἡλικούτων ἀγαθῶν ἡμῖν προκειμένων, ἀγαπητοί, οὐ μόνον ἐν ἐλπίσι, καὶ ταῖς εἰς τὸ μέλλον ἐπαγγελίαις, ἀλλ' ἀληθείᾳ ἀπάρτι καὶ πράγματι, σπεύσωμεν, ἀντιβολοῦμεν, ἕως καιρὸν ἔχωμεν. δράμωμεν, ἀγωνισώμεθα, ἵνα τούτων καὶ ἡμεῖς, διὰ μικρᾶς, καὶ προσκαίρου σπουδῆς, καὶ πάνυ βραχέος· τὸ δὲ πλεῖστον, Θεοῦ δωρεᾷ καὶ χάριτι, καταξιωθῶμεν. οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς, Παύλου τοῦ θείου κήρυκος λέγοντος, ἀκουσώμεθα· μᾶλλον δὲ καὶ ἀπὸ τοῦ νῦν σπουδάζοντες εὑρήσομεν κατ' αὐτόν, ὡς ἐν ἀπαρχῆς καὶ ἀρραβῶνος μέρει. εἰ γὰρ οἱ εἰς βασιλικὰς συγγενείας, καὶ κοινωνίας ἐκ τῆς κάτω τύχης μετακαλούμενοι, πάντα πράττουσι, καὶ ἔργοις, καὶ λόγοις, καὶ ἐπινοίαις, καὶ αὐτῶν δὴ τῶν ἀνεφίκτων ἁπτόμενοι, μέχρι γε καὶ αὐτῆς τῆς ζωῆς πολλάκις καταφρονοῦντες, ὑπὲρ τῆς τοιαύτης δόξης τε, καὶ τιμῆς, τῆς ῥευστῆς, καὶ προσκαίρου, τῆς ἐνίοτε καὶ εἰς ὄλεθρον παντελῆ, οὐκ εἰς τὸ χρήσιμον καταντώσης, πόσον ἄρα ἡμᾶς, εἰκός,

ρ'.

διαπράξασθαι, καὶ σπουδάσαι εἰς κοινωνίαν, καὶ γάμους, καὶ συνάφειαν, προσκαλουμένους Θεοῦ, τοῦ πάντων βασιλέων βασιλέως, καὶ δημιουργοῦ, καὶ μόνου ἀφθάρτου καὶ εἰσαεὶ διαμένοντος, καὶ δόξαν καὶ τιμὴν παρέχοντος τοῖς οἰκείοις, ἀκλεῆ καὶ μόνιμον· καὶ οὐ μόνον τοῦτο δὲ, ἀλλά γε καὶ ἐξουσίαν εἰληφότας, τέκνα Θεοῦ γενέσθαι. „ὅσοι γὰρ, φησὶν, ἔλαβον αὐ„τὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν, τέκνα „Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς „τὸ ὄνομα αὐτοῦ· δίδωσιν ἐξουσίαν. οὐ τυραννικῶς ἕλκει, καὶ παρὰ πρόθεσιν ἡμετέραν βιάζεται· αἰεὶ γὰρ ἡ τυραννὶς, κατὰ τοῦ τυραννοῦντος τὸν τυραννούμενον ὁπλίζει, ἵνα κακῷ τὸ κακὸν ἐξιάσηται· κἀν τούτῳ τιμῶν ἡμῶν τὸ ἀρχαῖον τοῦ αὐτεξουσίου ἀξίωμα· καὶ ἵνα ὅπως εἴη τὸ ἀγαθὸν, τῇ αὐτοῦ μὲν ἐξειργασμένον καθόλου εὐδοκίᾳ καὶ χάριτι· τῆς δὲ ἡμετέρας σπουδῆς καὶ ἐπιμελείας λογίζοιτο τὸ κατόρθωμα· κἀκεῖνος μὲν, εἰ καὶ Θεός ἐστι καὶ δεσπότης, ἀλλ' οὖν ἅπαν τὸ ἑαυτοῦ πεποίηκε· πάντας γάρ· καὶ ὁμοίως ἔπλασε, καὶ ὡσαύτως ὑπὲρ πάντων ἀπέθανε, ἵνα ἐπίσης σώσῃ τοὺς ἅπαντας. ἐν ἡμῖν δὲ ἀπελείφθη, τὸ προσελθεῖν· τὸ πιστεῦσαι· τὸ οἰκειωθῆναι· τὸ μετὰ φόβου, καὶ σπουδῆς, καὶ ἀγάπης λαβέσθαι τῷ ὄντως ἀγαπήσαντι ἡμᾶς φιλανθρώπῳ δεσπότῃ, καὶ κηδεμόνι, ὥστε καὶ θάνατον ἐθελῆσαι ὑπενεγκεῖν ἑκουσίως ὑπὲρ ἡμῶν, καὶ θάνατον ἐπονείδιστον, ἵνα ἡμᾶς τῆς τοῦ διαβόλου καὶ ἀρχεκάκου ἐχθροῦ ἀπαλλάξῃ τυραννίδος, καὶ τῷ Πατρὶ καὶ Θεῷ καταλλάξῃ· καὶ κληρονόμους μὲν Θεοῦ, συγκληρονόμους δὲ αὐτοῦ ἀπεργάσηται, τὸ παραδοξότατον, καὶ μακαριώτατον. μὴ δὴ διὰ μικρᾶς, καὶ βραχείας ῥᾳθυμίας, καὶ ἀμελείας, καὶ ἐπιπλάστου ἡδονῆς οἱασοῦν, τῶν τοσούτων οἵων ἡλίκων ἀποξενώσωμεν ἑαυτοὺς ἀγαθῶν, καὶ γερῶν, καὶ ἀπολαύσεων· ἀλλὰ πάντα πράξωμεν, καὶ πραγματευσώμεθα· καὶ αὐτῆς, εἰ δέοι, τῆς ζωῆς, ὑπὲρ αὐτοῦ μὴ φεισώμεθα, ὡς κἀκεῖνος δι' ἡμᾶς, καίτοι Θεὸς ὢν ὑπὲρ ἡμῶν πεποίηκεν, ἵν' οὕτως καὶ τῶν ἀπάρτι, καὶ τῶν ἀπαύστων δωρεῶν καὶ στεφάνων καταξιωθῶμεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν· εὐδοκίᾳ, καὶ χάριτι αὐτοῦ τοῦ ὑπεραγάθου, καὶ ἐλεήμονος, τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ταπεινώσαντος ἑαυτὸν τοσοῦτον ὑπὲρ ἡμῶν, καὶ τοῖς τοιούτοις ταπεινοῖς, τὴν ὑπερφυᾶ καὶ θεοποιὸν αὐτοῦ χάριν ἀποτινοῦ εὐεργῶς πλουσίως ἐπιβραβεύοντος· ὅτι αὐτῷ πρέπει πᾶσα ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ προσκύνησις, ἅμα τῷ ἀνάρχῳ, καὶ ἀχράντῳ αὐτοῦ Πατρί· καὶ τῷ συναϊδίῳ, καὶ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι· νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΜΑΚΑΡΙΟΥ
# ΚΑΛΛΙΣΤΟΥ
# ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ
## ΚΕΦΑΛΑΙΑ

### Περὶ προσευχῆς.

α. Εἰ βούλει μαθεῖν τὴν ἀλήθειαν, μίμησαι ὡς ἐκ παραδείγματος τὸν κιθαρῳδόν. κάτωθεν μὲν γὰρ ἐκεῖνος ὑποκλίνει τὴν κεφαλήν, καὶ τὴν ἀκοὴν προσερείδων τῷ ᾄσματι, ὑποσείει τὸ πλῆκτρον διὰ τῆς χειρός. καὶ ἅμα τῶν χορδῶν τεχνικῶς συγκρουομένων ἀλλήλοις, ἡ κιθάρα τὸ μέλος ἐκπέμπει. καὶ ὁ κιθαρῳδὸς ἅλλεται τῇ τοῦ μέλιτος γλυκύτητι.

β. Ἔστω σοι, ὦ φιλοπονώτατε τοῦ ἀμπελῶνος ἐργάτα, σαφὲς τὸ παράδειγμα, καὶ μὴ ἀπίστει· τήρων γὰρ ἐκεῖθεν ὡς ὁ κιθαρῳδὸς, πρὸς τὸ βάθος δηλονότι τῆς καρδίας, ῥᾳδίως ἕξεις τὸ ζητούμενον. ψυχὴ γὰρ ἔρωτι θείῳ ἁλοῦσα κατάκρας, στραφῆναι εἰς τὰ ὀπίσω οὐ δύναται. ἐκολλήθη γάρ φησιν ὁ θεῖος Δαβίδ· ἡ ψυχή μου ὀπίσω σου.

γ. Κιθάραν νόει μοι τὴν καρδίαν, ἀγαπητέ. χορδὰς δὲ τὰς αἰσθήσεις. πλῆκτρον δὲ τὴν διάνοιαν. ἥτις διὰ τοῦ λογικοῦ, κινεῖ τὸ πλῆκτρον ἐνδελεχῶς· ὅπερ ἐστὶν ἡ τοῦ Θεοῦ μνήμη· ἐξ ἧς ἡδονή τις ἄρρητος τῇ ψυχῇ ἐπιγίνεται. καὶ τῷ καθαρῷ νοῒ τὰς θείας αὐγὰς ἐνοπτρίζεται.

δ. Ἐὰν μὴ τὰς αἰσθήσεις τοῦ σώματος μύσωμεν, οὐκ ἂν τὸ ἁλλόμενον ὕδωρ ἐν ἡμῖν ἀναβλύσοι, ὃ ὁ Κύριος τῇ Σαμαρείτιδι ἐκείνῃ ἐχαρίσατο. ζητοῦσα γὰρ τὸ αἰσθητὸν τοῦτο ὕδωρ, τὸ τῆς ζωῆς εὗρεν εἰς ἑαυτὴν ἔνδον ἁλλόμενον. ὡς γὰρ ἡ γῆ κατὰ φύσιν ἔχει τὸ ὕδωρ, καὶ ἅμα προχέει. οὕτω καὶ ἡ γῆ τῆς καρδίας κατὰ φύσιν ἔχει τοῦτο ἁλλόμενον καὶ πηγάζον. οἱονεὶ τὸ πατρικὸν φῶς, ὅπερ ὁ Ἀδὰμ ἐκεῖνος διὰ τῆς παρακοῆς προσαπώλεσε.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ε'. Καθάπερ ἐκ πηγῆς ἀενάου, τὸ ὕδωρ, οὕτω καὶ τὸ ζῶν καὶ ἁλλόμενον ὕδωρ, ἀπὸ τῆς ψυχῆς ἀναβλύζει. ὅπερ δὴ καὶ ἐν τῇ τοῦ θεοφόρου ἀνδρὸς Ἰγνατίου ψυχῇ ἐνοικῆσαν, παρεσκεύαζε λέγειν αὐτόν· οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλόϋλον· ἀλλ' ὕδωρ ἐστὶν ἐνεργοῦν, καὶ λαλοῦν.

ς'. Ἔοικεν αὕτη ἡ μακαρία καὶ τρισολβία δὲ μᾶλλον, ἡ νοερὰ φημὶ νῆψις τῆς ψυχῆς, ὕδατι ἁλλομένῳ, καὶ πηγάζοντι ἐκ τοῦ βυθοῦ τῆς καρδίας, καὶ τὸ μὲν ἐκ τῆς πηγῆς ὕδωρ ἀναδιδόμενον, τὴν πηγὴν πλήρη ποιεῖ. τὸ δὲ ἁλλόμενον ἐκεῖθεν ἐκ τῆς καρδίας, καὶ ὡς εἰπεῖν ἀενάως κινούμενον διὰ τοῦ Πνεύματος, ὅλον τὸν ἔσω ἄνθρωπον πλήρη ποιεῖ δρόσου θείας, καὶ πνεύματος· τὸν δὲ ἔξω ἐμπύριον ἀπεργάζεται.

ζ'. Νοῦς καθαρθεὶς ἐκ τῶν ἔξωθεν, καὶ τὰς αἰσθήσεις ὁλικῶς ὑποτάξας διὰ τῆς πρακτικῆς ἀρετῆς, ἀκίνητος μένει. καθάπερ ὁ οὐρανὸς ἄνωθεν ὡς πρὸς κέντρον ἀφορῶν τὸ τῆς καρδίας βάθος. καὶ ἡγεμονεύων τῆς κεφαλῆς, ἀναβλέπει ἐκεῖσε, βολίδας ἔχων οἱονεὶ τὰς τῆς διανοίας αὐγάς, ἀρυομένας ἐκεῖθεν τὰ θεῖα νοήματα, καὶ ὑποτάσσων τὰς αἰσθήσεις ἁπάσας τοῦ σώματος.

η'. Μηδεὶς ἀκούων, τῶν ἀμυήτων, ἢ δεομένων γάλακτος, ἅψηται τῶν τοιούτων ἀπηγορευμένων, ἐν οὐ καιρῷ. τοὺς γὰρ τοιούτους οἱ θεῖοι Πατέρες πρὸ τοῦ καιροῦ τὰ τοῦ καιροῦ ζητήσαντας, καὶ οἱονεὶ πρὸς τὸν τῆς ἀπαθείας λιμένα σπουδάζοντας εἰσελθεῖν, οὐ μετὰ τοῦ προσήκοντος, ἔκστασιν φρενῶν ἐνόμισαν τὸ τοιοῦτον· καὶ πλέον οὐδέν. ἀδύνατον γὰρ τὸν μὴ εἰδότα γράμματα ἐν δέλτῳ μελετᾶν.

θ'. Τὸ κινηθὲν ἐξ ἀγῶνος ἐν τῇ ψυχῇ ὑπὸ τοῦ θείου πνεύματος, γαληνὴν ἐκτελεῖ τὴν καρδίαν. κρᾶζον, Ἀββᾶ ὁ Πατήρ· ἀλλ' ἐκεῖνο μὲν ἀσχημάτιστόν ἐστι καὶ ἄμορφον· ἡμᾶς δὲ μετασχηματίζει τῇ αἴγλῃ τοῦ θείου φωτός, καὶ μορφοποιεῖ ὡς εἰκός, ἅμα τῇ πυρώσει τοῦ θείου πνεύματος. ἀλλὰ καὶ ἀλλοιοῖ, καὶ μεταμείβει ὡς μόνος οἶδεν αὐτός, τῇ θεϊκῇ ἐξουσίᾳ.

ι'. Νοῦς καθαρθεὶς διὰ τῆς νήψεως, ῥᾳδίως σκοτίζεται, εἰ μὴ τῇ συνεχεῖ μνήμῃ τοῦ Ἰησοῦ, ἀπασχολεῖται πάντη τῶν ἔξωθεν. ὁ δὲ τὴν πρακτικὴν συναρμόσας τῇ θεωρίᾳ, οἱονεὶ τῇ τοῦ νοὸς τηρήσει, ψόφους οὐκ ἀπαναίνεται. κτύπους ἀνάρθρους, ἢ καὶ ἐνάρθρους οὐχ ὑποστέλλεται. ζωωθεῖσα γὰρ ἡ ψυχὴ τῷ θείῳ ἔρωτι τοῦ Χριστοῦ, ὡς ἀδελφιδῷ τούτῳ γε κατακολουθεῖ.

ια'. Στῆσαι μὲν τὰ τῆς σαρκὸς πάθη, καὶ τὰ σκιρτήματα τοὺς ἐν κόσμῳ διατρίβοντας. ἢ καὶ σὺν λόγῳ σχολάζειν, κατὰ τό, σχολάσατε, καὶ γνῶτε, εἰκὸς εἶναι γενέσθαι. ἐξαλεῖψαι δέ, ἢ ἀφανίσαι ἀδύνατον. ὁ δὲ ἐρημικὸς βίος, σαφῶς ἐκκόπτειν οἶδεν αὐτά.

ιβ'. Ἐπὶ τοῦ ἁλλομένου ὕδατος, τὸ μέν, ὀξυτέραν ἔχει τὴν κίνησιν. τὸ δέ, γαληνήν, καὶ βραδυτέραν. τὸ μὲν οὖν πρότερον, οὐδὲ θολωθῆναι ῥᾳδίως δύναται, διὰ τὸ τῆς κινήσεως τάχος. οὐδὲ καὶ πρὸς μικρὸν θολωθείη, ῥᾷον αὖθις καθαίρεται. ἅτε δὴ τοιαύτην ἔχον τὴν κίνησιν. ἐπειδὰν δὲ τὸ ῥεῦμα τοῦ ὕδατος ἐλαττωθέν, σμικρότατον γένηται· οὐ μόνον θολοῦται, ἀλλὰ σχεδὸν καὶ ἀκίνητον μένει. δεῖται γάρ τινος ἀνακαθάρσεως ὡς εἰπεῖν καὶ κινήσεως.

ιγ'. Τοῖς μὲν εἰσαγωγικοῖς, καὶ ἠθικοῖς, καὶ πρακτικοῖς ὁ δαίμων διὰ ψόφων ἀνάρθρων, ἢ καὶ ἐνάρθρων ἐπεισέρχεται. τοῖς δὲ περὶ τὴν θεωρίαν, φαντασίας τινὰς εἰδωλοποιεῖ· ὡς δοκεῖν χρωματίζειν τὸν ἀέρα, δίκην φωτός. ποτὲ δὲ καὶ ὡς πῦρ ταύτας προφέρει. ἵνα διὰ τῆς ἐναντίας



Athos library
Αγιορειτική Βιβλιοθήκη

μοίρας ἀποπλανήσῃ τὸν τοῦ Χριστοῦ ἀθλητήν.

ιδʹ. Εἰ βούλει μαθεῖν πῶς δεῖ προσεύχεσθαι, σκόπει τὸ τέλος τῆς προσευχῆς, ἢ καὶ τῆς προσευχῆς, καὶ μὴ ἀπατῶ. ταύτης γὰρ τὸ τέλος· ἀγαπητέ, κατάνυξίς ἐστι διηνεκής. συντριβὴ καρδίας. ἀγάπη πρὸς τὸν πλησίον. τὸ δὲ ἐναντίον, πρόδηλον. ἐπιθυμίας λογισμός. καταλαλιᾶς ψιθυρισμός. μῖσος πρὸς τὸν πλησίον, καὶ ὅσα τούτοις παρόμοια.

# ΤΟΥ ΚΥΡΙΟΥ
# ΚΑΛΛΙΣΤΟΥ
# ΤΟΥ ΤΗΛΙΚΟΥΔΗ

## Περὶ ἡσυχαστικῆς τριβῆς.

Οὐκ ἔστι μετανοῆσαι, χωρὶς ἡσυχίας· οὐδὲ ἔστι καὶ ὁπωσοῦν καθαρότητος ἅψασθαι, ἀναχωρήσεως ἄνευ. οὐδὲ μετὰ τῆς ὁμιλίας, καὶ ὁράσεως τῶν ἀνθρώπων, δυνατὸν τῆς ὁμιλίας, καὶ θεωρίας ἀξιωθῆναι τοῦ Θεοῦ. διὰ τοῦτο οἷς ἐγένετο διὰ φροντίδος, μεταγνῶναι ἕνεκα τῶν ἑαυτῶν ἐσφαλμένων, καὶ τῶν παθῶν καθαρθῆναι, καὶ τυχεῖν, καὶ ἀπολαῦσαι ὁμιλίας, καὶ θεωρίας Θεοῦ. ὃ πέρας, καὶ σκοπὸς τῶν κατὰ Θεὸν πολιτευομένων, καὶ ἀρραβὼν, ἵν' εἴπω, τῆς αἰωνίου κληρονομίας καὶ τοῦ Θεοῦ, ὅσῃ μηχανῇ ἡσυχίαν μεταδιώκουσι. καὶ ἀναχωρεῖν καὶ φεύγειν τοὺς ἀνθρώπους πρὸ ἔργου ποιοῦνται. μετὰ καθήκοντος τοῦ τῆς ψυχῆς διακειμένου παντός, ἐντεῦθεν δὴ τὰ τούτοις ἀρχή, ἐν ἡσυχίᾳ τὸ πένθος· ἡ αὐτομεμψία. ἡ ἑαυτῶν κατάγνωσις. δι' ἃ ἵνα καθαρώτερον γένηται· ἀγρυπνίαι· καὶ στάσεις· καὶ ἐγκράτεια· καὶ κόπος σωματικός· ὧν τὸ πέρας συλλήβδην, ἡ τῶν δακρύων ῥοή, προϊοῦσα ἐξ ὀφθαλμῶν φρονούντων ταπεινά, ἐν κατανύξει δήπου καρδίας. καὶ πρὸς κάθαρσιν οὕτω προσέχουσιν, οὕτω ταύτης ἐπιτυγχάνουσι διὰ πράξεως. ἐν τούτοις αὖθις πέρας ἡ εἰρήνη τῶν λογισμῶν, ὥσπερ ἐν ἐκείνοις ἡ τῶν δακρύων· ὡς ἔφημεν· ἐπιρροή. κἀντεῦθεν ἄρχεται ὁ νοῦς, πεφυκότα τρόπον, τὰς φύσεις τῶν ὄντων ἀνασκοπεῖν, καὶ τὴν τέχνην καταστοχάζεσθαι τοῦ Θεοῦ, καὶ θείαν ἔννοιαν συλλαμβάνειν, καὶ τῆς δυνάμεως, καὶ σοφίας, καὶ δόξης, καὶ ἀγαθότητος, καὶ τῶν ἄλλων ὅσα περὶ Θεὸν θεωρεῖσθαι, ἔργον γίνεται, καὶ εἰς τὰ μυστικὰ χωρεῖ τῆς γραφῆς· καὶ τῶν ὑπερφυῶν γεύεται ἀγαθῶν, καὶ ὑπερκοσμίων ἀπολαύει καλῶν, καὶ τῆς τοῦ Θεοῦ ἀγάπης, καθίσταται χώρημα. καὶ οὕτως ἐρωτοληπτεῖται, καὶ χαίρει, καὶ ἐνθυμεῖ εἰς τὸ πέρας ἀναδεδραμηκὼς τῶν ἀρετῶν· τὴν ἀγάπην τοῦ τῶν ὅλων δημιουργοῦ. μηδεμίαν πλάνησιν ἐν τούτοις ἢ πάσχων, ἢ ὑφορώμενος. μόνης ὀλίσθης καὶ ἁμαρτητικὰς ὁρμὰς, καὶ ἀπρεπεῖς κινήσεις ἐκ πολλῶν αἰτίων, ὡς ξένως, ἐσομένων. ἐν οἷς ἐπανακτᾶσθαι

χρὴ ἑαυτὸν, πόῤῥω ἱστάμενον ἀπογνώσεως. καὶ τὰ θεῖα τῆς φιλανθρωπίας ἐλπίδι πτερούμενον. δάκρυσί τε, καὶ προσευχῇ, καὶ τοῖς ἄλλοις εἰρημένοις ἀγαθοῖς ἀσχολούμενον, καὶ εἰς τὸν θεῖον τῆς ἀγάπης ἢ ἔξεστιν ἐντρυφῶντα Παράδεισον. μηδὲν πλέον ὁρῶντα· μὴ εἶδος· μὴ πάχος· μὴ σχῆμα. μηδέ τι ὡς ἐν συντόμῳ εἰπεῖν, πλὴν δακρύων, καὶ εἰρηνικῶν λογισμῶν, καὶ ἀγάπης Θεοῦ, ἐν τούτοις γὰρ ὁ νοῦς ἀπλανὴς τηρεῖται, καὶ ἡ τῆς ψυχῆς σωτηρία ἐπιβραβεύεται. μετεωρίσεις, καὶ τυφώσεις, καὶ προσευχομένοις ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. καθεζόμενος ἐν τῷ κελλίῳ σου, παῤῥησίαν πρὸς τὸν Θεὸν ἐχέτωσαν ἐν ταπεινώσει ὁ νοῦς. τὴν μὲν ταπείνωσιν, διὰ τελείας τῆς ἑαυτοῦ καὶ ἐξουθενώσεως. τὴν δὲ παῤῥησίαν, διὰ τὴν ἀνυπέρβλητον τοῦ Θεοῦ ἀγάπην, καὶ ἀνεξικακίαν, ἣν ἔχει περὶ τὸν ἄνθρωπον. ὅτε γὰρ ἡ ψυχὴ εἰς τιμὴν ἄγεται τοῦ Θεοῦ, ὁπηνίκα, καίτοιγε ἁμαρτωλὸν συνεγνωκυῖα ἑαυτὴν, ὅμως μέντοι γε τῇ φιλανθρωπίᾳ τοῦ Θεοῦ θαῤῥεῖ, καὶ ἐξαρτᾷ ἑαυτήν. διὰ τοῦτο ὁ ἱερὸς Παῦλος ἐπιτάττει λέγων. προσερχώμεθα μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, καὶ γὰρ ἀληθῶς ὀφθαλμός τις ἐστὶ τῆς προσευχῆς, ἢ πτερὸν, ἢ χάσις τις ξυνεζευγμένος, ἡ πρὸς Θεὸν παῤῥησία. οὐχ ὅταν τις παῤῥησιάζηται, ὥστε ἀγαθὸς, ἄπαγε, καὶ τῆς διαθέσεως ταύτης πόῤῥω γενοῦ. ἀλλ' ὅταν τῷ λογισμῷ τῆς ἀφάτου φιλανθρωπίας, καὶ ἀγάπης, καὶ ἀνεξικακίας τοῦ Θεοῦ, εἰς τὰς θείας ἐλπίδας πτερωθῇ. προσεύχου τοίνυν μετὰ πεπαῤῥησιασμένου τοῦ ἤθους ἐν ταπεινῷ τῷ φρονήματι, ἐλπίσι τρεφόμενος χρησταῖς, ἐν τῷ Θεῷ κατὰ τὰ προειρημένα, ὥσπερ εἴρηται. ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Δεῖ σε ἀεὶ ἐπιμελῶς μετιέναι, τά τε σῶμα κατευνάζοντα, καὶ τὸν νοῦν λυτρούμενα τῆς ὀχλήσεως. τὰ δὲ ἐστι, σύμμετρος ἐδωδὴ, πόσις ἐλαφρὰ, ὕπνος βραχὺς, στάσις κατὰ δύναμιν, κλίσις γονάτων κατ' ἐφικτὸν, ἐν σχήματι ταπεινῷ. ἔνδυμα εὐτελὲς, λόγος ὀλιγοστὸς, ἀναγκαῖος, χαμευνία. καὶ τἄλλα ὅσα γε σῶμα δαμάζει μετρίως. μετὰ δὲ τούτων μετιέναι χρὴ, ὅσα εὐτονίζει τὸν νοῦν, καὶ πρὸς Θεοῦ προσκολλήσει συνεργεῖ. τὰ δὲ ἐστιν ἀνάγνωσις τῶν ἱερῶν γραφῶν, καὶ τῶν εἰς αὐτὰς Ἁγίων ἐξηγητῶν. καὶ αὕτη δὲ σύμμετρος. ψαλμῳδία δισυνέτης, μελέτη τῶν ἐν ταῖς γραφαῖς λεγομένων, καὶ τῶν ἐν τῇ κτίσει θεωρουμένων θαυμάτων, καὶ προσευχὴ διὰ στόματος, ἕως ἂν ταύτην ἀπὸ καρδίας ἡ ἁγία χάρις κινήσῃ τοῦ πνεύματος ἐναργῶς. τότε γὰρ ἑτέρα ἑορτὴ, καὶ ἄλλης καινῆς πανηγύρεως. οὐκ ἀπὸ στόματος λαλουμένης, ἀλλ' ἀπὸ καρδίας ἐνεργουμένης ἐν πνεύματι. τὰ τοιαῦτα δὲ νῦν οὕτω μετέρχου. κλῖνον τὸ γόνυ, ὁσάκις ἂν δύνῃς, καὶ οὕτω καθεσθεὶς προσεύχου. ἀκηδιάσας ἀπὸ τοῦ προσεύχεσθαι, ἐλθὲ εἰς ἀνάγνωσιν· καθὼς εἴρηται· καὶ πάλιν ἐπανήκης εἰς τὸ προσεύχεσθαι, καὶ αὖθις ἀκηδιάσας ἀπὸ τοῦ προσεύχεσθαι, πρὸς ψαλμῳδίαν διεγέρθητι μετρικὴν, καὶ οὕτως ἐσαῦθις ἐπανέλθε εἰς τὸ προσεύχεσθαι. καὶ ἔτι ἀκηδιάσας, ἐν τῇ προειρημένῃ μελέτῃ τὸν νοῦν συμμέτρως, καὶ οὕτω πάλιν ἔχου τῆς προσευχῆς. καὶ ἐργοχείρῳ δὲ βραχεῖ χρῶ, τῆς ἀκηδίας ἐμποδίῳ, ὡς παρὰ τῶν Πατέρων ἀκήκοας ἅγιε. ἐν πάσῃ σου δὲ τῇ κατὰ Θεὸν ἐργασίᾳ, ἀπὸ πρωῒ ἕως πρωΐ· προηγείσθω τὸ προσεύχεσθαι. διὰ γὰρ τὴν πρὸς προσευχὴν ἀκηδίαν, τὰ ἕτερα ἄλλα, ἃ εἴρηται, μετερχόμεθα. ἐπειδὴ ὁπηνίκα τὸ ἔλεος τῇ ψυχῇ παραγένηται, καὶ βλύσει ἀπὸ καρδίας ὥσπερ ἀπὸ πηγῆς τινος τὴν προσευχὴν ἡ χάρις τοῦ πνεύματος, τὸ τηνικάδε μόνῃ τῇ προσευχῇ, καὶ τῇ θεωρίᾳ προσασχολεῖται ὁ νοῦς, ἀπάντων

ἀφιστὰς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀφιστὰς ἑαυτὸν, καὶ μόνῃ τῇ προσευχῇ καὶ τῇ θεωρίᾳ τρυφᾷ, εἰς τὸν τῆς θείας ἀγάπης Παράδεισον.

Πάντων τῶν ἀγαθῶν ἔργων ἔχει τὸ κράτος ἡ προσευχή. τῆς μετανοίας τὸ δάκρυον αὕτη γεννᾷ. εἰς τὴν εἰρήνην τῶν λογισμῶν ἄκρως συμβάλλεται, μόνον Θεὸν τὴν ἄκραν εἰρήνην ἐπειγομένη λογίζεσθαι. τῆς τοῦ Θεοῦ ἀγάπης αὕτη γεννήτειρα. τὸ λογιστικὸν τῆς ψυχῆς αὕτη μόνη καθαίρει, Θεὸν φανταζομένη τὸν γεννήτορα τῆς καὶ τῶν Ἀγγέλων καθάρσεως. τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς πρὸς Θεὸν καθαρὸν διασώζει. προσκειμένη γὰρ καὶ διαλεγομένη Θεῷ, τῷ ἀπείρως καὶ ὑπερφυῶς ἀγαθῷ καὶ καλῷ πεφυκότως τὴν ἐπιθυμίαν πᾶσαν προσκολλᾷ τῷ Θεῷ. θυμὸν δὲ τοσοῦτον πραΰνει, ὅσον ὑποπίπτει, καὶ δεῖται, καὶ παρακαλεῖ τὸν Θεόν. καὶ ταπεινοῖ τὴν ψυχὴν διὰ τῆς πρὸς Θεὸν προσπτώσεως. οὐδεὶς γὰρ δεόμενος, καὶ παρακαλῶν ἀπαραίτητον, ἢ θυμῶδες φέρει τὸ φρόνημα. διὰ τοῦτο συνελόντα εἰπεῖν πάσας δυνάμεις ψυχῆς, καὶ πάσας ἐνεργείας, πρακτικάς τε καὶ νοερὰς ἡ ὁσία προσευχὴ καθαίρει καὶ ἀνορθοῖ· καὶ μάλιστα προσλαβομένη μεθ᾽ ἑαυτῆς καὶ θεωρίαν Θεοῦ, καὶ τὸν ἑπόμενον θεῖον ἔρωτα ἐν ἡσύχῳ διαίτῃ, καὶ ἀγωγῇ κατὰ τὰ πρὶν εἰρημένα. Ἐξ οὗ δὲ τόπου τῆς καρδίας ἐκρεῖ τὸ δάκρυον, ἐκεῖ νοείτω καὶ ὁράτω ὁ λογισμός σου νεύων ἐντός σου, ἀοχλήτως δι᾽ εἰσπνοῆς ῥινὸς ἐν τῷ προσεύχεσθαι· καὶ παραμενέτω, ὅσον δυνατὸν, ἐκεῖ. λίαν γὰρ ὠφέλιμον, καὶ τῶν συνεχῶν καὶ πολλῶν δακρύων ἐπαγωγὸν, καὶ αἰχμαλωσίας νοὸς ἀναιρετικὸν, καὶ εἰρήνης περιποιητικὸν νοερᾶς, καὶ προσευχῆς ἀφορμὴ, καὶ εἰς εὕρεσιν προσευχῆς καρδιακῆς, σὺν Θεῷ, συνεργόν. χάριτι τοῦ ζωοποιοῦ Πνεύματος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Δεῖ σε εἰδέναι· ὁ θεωρὸς, καὶ τῶν μυστικῶν ἐπόπτης καὶ ὑφηγητὴς, ὅτι ὥσπερ δύο, Θεὸς καὶ ἄνθρωπος, οὕτως ἐξ ἑπομένου καὶ δύο, τὸ, εἴτε γένει θέλεις εἰπεῖν, εἴτ᾽ οὖν εἴδει, τό τε πένθη, καὶ ἀκολούθως τὰ δάκρυα. διενηνόχασι δὲ ἑκάτερον τοῦ ἑκατέρου πολλῷ τῷ μεταξὺ, εἰ καὶ ἀμφότερα καλὰ, καὶ θεόσδοτα, καὶ τῆς θείας εὐμενείας, καὶ τῆς κατ᾽ αὐτὴν κληρονομίας πρόξενα. τὸ μὲν γὰρ ἔχει θεῖον φόβον τὴν ἀρχὴν, καὶ τὸ πένθιμον. τὸ δὲ θείαν ἀγάπην, καὶ τὸν Θεόν. καὶ τὸ μὲν οὐ τοσοῦτον εὐφραίνει, τὸ δὲ, καὶ εὐφραίνει πολλὰ, καὶ ἐξιστᾷ ἐξαίσια. τὰ πρῶτα μὲν, ἀρχαρίων, τὰ δὲ, ἀφικνουμένων εἰς τελειότητα διὰ τῆς χάριτος.

Πέντε ἐργασίαι ἡσυχίας εἰσί. προσευχὴ, ἤτοι μνήμη τοῦ Ἰησοῦ διηνεκὴς εἰσαγομένη διὰ πνοῆς ἐν τῇ καρδίᾳ δίχα τῆς οἱασοῦν ἐννοίας, ἥτις δι᾽ ἐγκρατείας περιεκτικῆς γαστρὸς λέγω, καὶ ὕπνου, καὶ τῶν ἄλλων αἰσθήσεων ἔνδον τοῦ κελλίου σὺν ταπεινώσει κατορθοῦται. ψαλμῳδία μερική. ἀνάγνωσις ὁμοίως ἐκ τῶν θείων Εὐαγγελίων καὶ τῶν θείων Πατέρων, καὶ τῶν περὶ προσευχῆς κεφαλαίων, μάλιστα τοῦ Νέου Θεολόγου, καὶ Ἡσυχίου, καὶ Νικηφόρου. μελέτη κρίσεως Θεοῦ, ἢ μνήμης θανάτου, καὶ τῶν ὁμοίων, καὶ μικρὸν ἐργόχειρον. καὶ πάλιν ἐπανακάμπτειν εἰς προσευχὴν, κἂν βίαν ἔχῃ τὸ πρᾶγμα, ἕως οὗ ἐθίσῃ ὁ νοῦς, τὸν ῥεμβασμὸν ἀποτίθεσθαι ἑαυτοῦ τῇ πρὸς Κύριον μνήμῃ, καὶ τῇ εἰς τὸν τῆς καρδίας τόπον συνεχεῖ ἐπιδόσει. αὕτη ἡ ἐργασία τῶν ἀρχαρίων Μοναχῶν τῶν θελόντων ἡσυχάσαι. Ὁ τοιοῦτος, ὀφείλει μὴ συνεχῶς ἐξέρχεσθαι τῆς κέλλης· ὁμιλίας τε, καὶ θεωρίας ἀπέχεσθαι πάντων, εἰμὴ διὰ πολλὴν ἀνάγκην. καὶ τότε μετὰ προσοχῆς, καὶ ἀσφαλείας, καὶ σπανίως. ὅτι μὴ μόνον ἀρχαρίοις, ἀλλὰ καὶ αὐτοῖς τοῖς προκόπτουσιν ἤδη, σκορπισμὸν τὰ τοιαῦτα προξενεῖ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

Ἡ οὖν προσοχὴ γινομένη αὕτη προσευχὴ χωρὶς ἐννοίας δηλονότι γίνεται. διὰ μὲν τοῦ, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ, πρὸς αὐτὸν αὔλως καὶ ἀλλοιώτως παντάπασι μνημονευόμενον Κύριον ὁ νοῦς ἀνατείνεται. διὰ δὲ τοῦ, ἐλέησόν με, πρὸς ἑαυτόν. μὴ ἀνεχόμενος ἑαυτοῦ μὴ ὑπερεύχεσθαι. πρὸς ἀγάπην δὲ προκόψας διὰ πείρας ἑνικῶς· πρὸς αὐτὸν τὸν Κύριον ἀνατείνεται· τοῦ δευτέρου πληροφορίαν λαβών. διὸ οὐκ ἀεὶ τὴν εὐχὴν ὁλόκληρον οἱ Πατέρες παραδιδόντες φαίνονται. ἀλλ' ὁ μέν, ὁλόκληρον, ὡς ὁ Χρυσόστομος. ὁ δέ, τὸ Κύριε Ἰησοῦ, ὡς ὁ Παῦλος. προστιθεὶς ἐν Πνεύματι Ἁγίῳ. τουτέστιν, ὅτι ἐνέργειαν Πνεύματος Ἁγίου ἡ καρδία δέξηται, δι' ἧς καὶ προσεύχεται. ὅπερ ἐστὶ τῶν προκοψάντων. εἰ καὶ μὴ τελείως ἀκμήν· ὅπερ ἐστὶν ὁ φωτισμός. ὁ δὲ τῆς Κλίμακός φησιν· Ἰησοῦ ὀνόματι μάστιζε πολεμίους. καὶ Ἰησοῦ μνήμη, κολληθείτω τῇ πνοῇ σου· καὶ οὐδὲν ἕτερον προστίθησιν. ἔξεστι δὲ καὶ τοῖς ἀρχαρίοις, ποτὲ μέν, ὅλοις τοῖς τῆς προσευχῆς ῥήμασι, ποτὲ δὲ ἐν μέρει ταύτης προσεύχεσθαι καθ' ἕν, ὡς εἴρηται. μὴ μέντοι συνεχῶς ἐναλλάττειν, ἵνα μὴ ἐκ τούτου μερισμὸν πάθῃ· ἐκ τοῦ προσμένειν τῇ εἰρημένῃ μεθόδῳ τῆς καθαρᾶς προσευχῆς. εἰ καὶ μὴ καθαρῶς ἄλλως, δηλονότι διὰ τὰς ἐμποδὼν ταύτῃ γινομένας προσλήψεις, καὶ τοὺς λογισμούς. ἔρχεται ὁ ἀγωνιζόμενος ἐν ἕξει τοῦ ἀβιάστως προσεύχεσθαι, τῷ προσμένειν ἐν τῇ καρδίᾳ τὸν νοῦν, καὶ μὴ βιαίως διὰ τῆς εἰσπνοῆς εἰσάγεσθαι, καὶ αὖθις εὐθὺς ἀποπηδᾶν. ἀλλ' αὐτὸν παρ' ἑαυτοῦ προσμένειν ταύτῃ, καὶ προσεύχεσθαι. καὶ τοῦτό ἐστι, καὶ ὀνομάζεται, προσευχὴ καρδιακή. Προηγεῖται δὲ ταύτης θερμότης ἐν τῇ καρδίᾳ, ἥτις ἀποσοβεῖ τὰ ἐμποδίζοντα τὴν προτέραν καθαρὰν τελείως ἐκτελεῖσθαι προσευχήν. καὶ οὕτως ὁ νοῦς προσμένων, ἀκωλύτως ἐν καρδίᾳ εὔχεται. ἐν δὲ τῇ τοιαύτῃ θέρμῃ τε, καὶ προσευχῇ, ἡ πρὸς τὸν μνημονευόμενον Κύριον Ἰησοῦν ἀγάπη, ἐν καρδίᾳ τίκτεται. ἐξ ἧς καὶ δάκρυον γλυκερόν, ὅτι πλεῖστον ἀπορρεῖ, πόθου τοῦ μνημονευομένου Ἰησοῦ.

Ἵν' οὖν τις ἀξιωθείη τούτων, καὶ τῶν μετὰ ταῦτα πάντων· ἃ νῦν λέγειν οὐ καιρός· σπεύδειν χρή, καθάπερ εἴρηται. τὸν Θεοῦ φόβον ἔχειν πρὸ ὀφθαλμῶν, μετὰ τῆς μνήμης τοῦ Ἰησοῦ, ἔνδον ἐν καρδίᾳ, καὶ οὐχ ἁπλῶς ἐκτός, ἵν' οὕτως ἐκκλίνῃ ῥᾳδίως οὐ τῶν ἔργων τῶν πονηρῶν μόνον, ἀλλὰ καὶ τῶν ἐμπαθῶν λογισμῶν. καὶ εἰς προκοπὴν ἔλθῃ, τὴν πληροφορίαν ἐντεῦθεν σχεῖν, τῆς πρὸς αὐτὸν ἀγάπης τοῦ Θεοῦ· μόνον αὐτὸς μὴ ζητείτω τὴν ἐμφάνειαν αὐτοῦ. ἵνα μὴ δέξηται τὸ σκότος ὄντα, καὶ φῶς εἶναι ὑποκρινόμενον. ὅταν γὰρ ὁ τοῖς αὐτοῦ μὴ ζητητής, φῶς ὁρᾷ, μὴ παραδεχέσθω, μήτε μὴν καταργείτω τοῦτο. ἀλλ' ἐρωτάτω τὸν ἔχοντα δύναμιν διδάξαι, καὶ τὸ ἀληθὲς μανθανέτω, καὶ εἰ μὲν εὕρῃ τὸν διδάξοντα οὐ καθὼς μόνον ἀπὸ τῆς θείας γραφῆς ἔγνω· ἀλλὰ καὶ αὐτὸς ἐκείνως μακαρίως ἔπαθε τὸν φωτισμόν, τῇ Θεοῦ χάριτι. εἰ δ' οὖν κρεῖσσον τὸ μὴ παραδέξασθαι. ἀλλ' ἐν ταπεινώσει πρὸς τὸν Θεὸν καταφυγεῖν. ἀνάξιον ἑαυτὸν ἀποκαλῶν τῆς τοιαύτης θεωρίας, καθὼς καὶ τοῦτο παρὰ τῶν Πατέρων ἐδιδάχθημεν ἔργῳ, οἱ γὰρ καὶ ἐν ἄλλοις αὐτῶν συγγράμμασι τὰ σημεῖα τοῦ ἀπλανοῦς, καὶ τοῦ τῆς πλάνης φωτισμοῦ φασίν, ἀλλ' ὥσπερ τὰ προειρημένα πάντα διὰ ζώσης φωνῆς ἤκουσας, οὕτω δὴ καὶ περὶ τούτου κατὰ καιρὸν ἀκοῦσαι. νῦν γὰρ οὐ καιρός. τοῦτο δὲ νῦν μᾶλλον μετὰ τῶν ἄλλων, καὶ πρὸ τῶν ἄλλων δεῖ μαθεῖν. ὅτι ὥσπερ ὁ τοξεύειν μαθεῖν θέλων, οὐκ ἄνευ σημείου τὸ τόξον τείνει, οὕτως ὁ ἡσυχάσαι

μαθεῖν ἐθέλων, τὸ ἀεὶ πρᾶον εἶναι τὴν καρδίαν, ὡς σημεῖον ἐχέτω. μηδέποτε ἐν μηδενὶ ταράττων, ἢ ταραττόμενος· οὗ μόνου περὶ εὐσεβείας ὁ λόγος. τοῦτο δὲ εὐκόλως ἂν κατορθωθείη, πάντοτε ἐκκλίνων ἅμα, καὶ τὰ πλεῖστα σιωπῶν. εἰ δέ τι καὶ συμβαίη ποτὲ, μετανοεῖν εὐθὺς, καὶ ἑαυτῷ καταμέμφεσθαι, καὶ εἰς τὸ ἑξῆς προσέχειν, ἵν᾽ ἡσύχως τε καὶ μετὰ καθαροῦ συνειδότος τὸν Ἰησοῦν ἀρχὴν βαλὼν ἐπικαλεῖσθαι, ὡς ἔφημεν, τὴν αὐτοῦ θείαν χάριν, ὁδῷ προβαίνων ἀναπαυομένην ἔχῃ τῇ ψυχῇ. καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἀναπαύουσαν τὴν ψυχὴν τελέως ἐκ τῶν πρώην ὀχλούντων αὐτῇ δαιμόνων καὶ παθῶν, καὶ ἀρρήτῳ εὐφροσύνῃ εὐφραίνουσαν αὐτήν. εἰ γὰρ καὶ ἐνοχλοῦσιν αὖθις, ἀλλ᾽ οὐκ ἐνεργοῦσιν, ὅτι μὴ πρόσκειται αὐτοῖς, μηδὲ ποθεῖ τὴν ἐν τούτοις ἡδονήν. ὅλος γὰρ ὁ πόθος τοῦ τοιούτου πρὸς τὸν Κύριον τὸν δόντα αὐτῷ τὴν χάριν, ἀνατέταται. πολεμεῖται δὲ λοιπὸν παραχωρήσει, ἀλλ᾽ οὐκ ἐγκαταλείψει. διατί; ἵνα μὴ ὑψωθῇ ὁ νοῦς αὐτοῦ, δι᾽ ὅπερ εὗρεν ἀγαθόν· ἀλλὰ πολεμούμενος, προσλαμβάνει ταπείνωσιν ἀεί. δι᾽ ἧς μόνης οὐ μόνον νικᾷ τοὺς ὑπερηφανοὺς πολεμοῦντας, ἀλλὰ καὶ δωρεῶν ἀεὶ μειζόνων ἀξιοῦται. ὧν ἀξιωθείημεν καὶ ἡμεῖς οὕτω παρὰ Χριστοῦ, τοῦ ταπεινώσαντος ἑαυτὸν ὑπὲρ ἡμῶν, καὶ τοῖς τούτοις ταπεινοῖς τὴν χάριν αὐτοῦ παρέχοντος πλουσίως. νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

# ἘΚΛΟΓῊ
## ἈΠῸ ΤΩ͂Ν
# ἉΓΊΩΝ ΠΑΤΈΡΩΝ
## Περὶ προσευχῆς, καὶ προσοχῆς.

ΠΑ͂σα ἡ σπουδὴ τοῦ ἀσκητοῦ ἔστω, ὅπως μὴ τὸ ὑψηλὸν τῆς ψυχῆς διὰ τῆς ἐπαναστάσεως τῶν ἡδονῶν ταπεινωθῇ. πῶς γὰρ ἂν ἔτι δύναιτο πρὸς τὸ συγγενὲς νοητὸν φῶς, ἐλευθέρῳ ἀναβλέψαι τῷ ὄμματι, ἡ προσηλωθεῖσα κάτω ψυχὴ τῇ ἡδονῇ τῆς σαρκός; διὸ χρὴ πρό γε πάντων, τὴν ἐγκράτειαν ἀσκεῖν, ἀσφαλῆ φρουρὸν τῆς σωφροσύνης τυγχάνουσαν, καὶ τὸν ἡγεμόνα νοῦν μὴ συγχωρεῖν μελετᾷν ἐν λογισμοῖς ἀκαθάρτοις. ἀναγκαία οὖν ἡ ἐπιμέλεια τοῦ ἔσω ἀνθρώπου, ὡς ἀμετεώριστον εἶναι τὸν νοῦν, καὶ ὥσπερ προσηλοῦσθαι τῷ σκοπῷ τῆς τοῦ Θεοῦ δόξης, ἵνα φύγωμεν τὸ κρίμα τοῦ Κυρίου εἰπόντος· οὐαὶ ὑμῖν, ὅτι ὅμοιοί ἐστε τάφοις κεκονιαμένοις. οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν, καὶ πάσης ἀκαθαρσίας. οὕτω καὶ ὑμεῖς, ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι. ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας. διὰ τοῦτο ἀγῶνος χρεία μεγάλου, καὶ τοῦ νομίμου, κατά τε καρδίαν, καὶ λόγον, καὶ πρᾶξιν, ἵνα μὴ εἰς κενὸν δεξώμεθα τὴν χάριν τοῦ Θεοῦ. ἀλλ᾽ ὥσπερ ὁ κηρὸς τῇ γλυφῇ μορφωθεὶς, οὕτω καὶ ἡμεῖς τῇ διδασκαλίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μορφωθῶμεν τὸν ἔσω ἄνθρωπον, πληροῦντες τὸ ὑπὸ Παύλου εἰρημένον πρακτικῶς. φησὶ γὰρ, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον, σὺν ταῖς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν· παλαιὸν δὲ ἄνθρωπον ὀνομάζει, πάντα ἡμῶν τὰ κατὰ μέρος ἁμαρτήματα, καὶ μολύσματα· συμμορφούμενοι τὸν ἔσω ἄνθρωπον, φησὶν, ἐν καινότητι ζωῆς μέχρι θανάτου, ἵνα ἄξιοι γενώμεθα μετὰ ἀληθείας εἰπεῖν. ζῶ δὲ ἐγὼ οὐκ ἔτι, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. πολλῆς οὖν ἐπιμελείας καὶ φροντίδος ἐπαγρύπνου χρεία; μήπως παρά τι τῶν εἰρημένων τὴν ἐντολὴν ἐργασάμενοι, μὴ μόνον τοῦ πιστοῦ, καὶ πολλοῦ μισθοῦ ἐκπέσωμεν, ἀλλὰ καὶ ταῖς αὐτοῦ φοβεραῖς ἀπειλαῖς ὑποπέσωμεν. ὅταν δὲ ὁ διάβολος ἐπιβουλεύειν ἐπιχειρῇ, καὶ μετὰ πολλῆς τῆς σφοδρότητος, ὥσπερ τινὰ βέλη πεπυρωμένα, τοὺς παρ' ἑαυτοῦ λογισμοὺς ἐνίησιν ἡσυχαζούσῃ καὶ ἠρεμούσῃ τῇ ψυχῇ, καὶ ταύτην αἰφνιδίως ἐμπιπρᾷ, καὶ χρονίας καὶ δυσεκλύτους τὰς μνήμας τῶν ἅπαξ ἐμβληθέντων ἐργάζηται, τηνικαῦτα νήψει, καὶ προσεχείᾳ συντονωτέρᾳ τὰς τοιαύτας ἐπιβουλὰς ὑπεξίστασθαι δεῖ. καθάπερ ἀθλητοῦ τινος ἀκριβεστάτῃ φυλακῇ, καὶ τάχει σώματος, τὰς βολὰς τῶν ἀντιπάλων ἐκτρεπομένη. καὶ τὸ πᾶν τῇ προσευχῇ, καὶ ἐπικλήσει τῆς ἄνωθεν συμμαχίας διδόναι, τὴν τοῦ πολέμου καθαίρεσιν, καὶ τὴν τῶν τραυμάτων ἀποκοπήν. τοῦτο γὰρ ἡμᾶς ὁ Παῦλος ἐδίδαξε λέγων. ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως καὶ τὰ ἑξῆς. ὅταν οὖν ἡ ψυχὴ τὸ πυκνὸν, καὶ σύντονον τῆς διανοίας ὑποχαλάσασα, μνήμας τὰς παρατυχούσας, καὶ τῶν τυχόντων ἀναφέρῃ πραγμάτων, τηνικαῦτα ὁ λογισμὸς ἀπαιδεύτως, καὶ ἀνεπιστημόνως πρὸς τὰ μνημονευθέντα τῶν πραγμάτων φερόμενος, τούτοις ἐπιπλέον ἐνασχολούμενος, πλάνας ἐκ πλανῶν μεταμείβει μακράς, καὶ εἰς αἰσχρότητας πολλάκις, καὶ ἀτοπίας ἐνίοτε καταστρέφει τὸ τελευταῖον. ἀλλὰ τὴν μὲν τοιαύτην ὀλιγωρίαν τῆς ψυχῆς, καὶ διάστασιν, πυκνοτέρᾳ, καὶ ἐπιστρεφεστέρᾳ τῇ τῆς διανοίας ἐπιτάσει διορθοῦσθαι δεῖ καὶ ἐπανάγειν, καὶ τῇ πρὸς τὸ παρὸν ἀεὶ περὶ τὰ καλὰ διασκέψει προσασχολεῖν. ὁ γὰρ ἀκριβὴς Φιλόσοφος φροντιστήριον ἔχων τὸ σῶμα, καὶ καταγώγιον τῆς ψυχῆς ἀσφαλὲς, κἂν ἐπ' ἀγορᾶς τύχῃ, κἂν ἐν πανηγύρει, κἂν ἐν ὄρει, κἂν ἐν ἀγρῷ, κἂν μεταξὺ πλήθους πολλοῦ, ἐν τῷ φυσικῷ Μοναστηρίῳ καθίδρυται, ἔνδον συνάγων τὸν νοῦν, καὶ φιλοσοφῶν τὰ αὐτῷ πρέποντα. δυνατὸν γὰρ καὶ οἴκοι καθήμενον τὸν ῥάθυμον, ἔξω περιπλανᾶσθαι τοῖς λογισμοῖς, καὶ τὸν ἐπὶ τῆς ἀγορᾶς ὄντα, νήφοντα δὲ, ὡς ἐπ' ἐρημίας εἶναι, πρὸς ἑαυτόν τε, καὶ πρὸς τὸν Θεὸν μόνον ἐπιστρεφόμενον, καὶ οὐ δεχόμενον ταῖς αἰσθήσεσι τοὺς ἐκ τῶν αἰσθητῶν τῇ ψυχῇ θορύβους προσπίπτοντας. δεῖ οὖν τὸν προσιόντα τῷ Σώματι καὶ τῷ Αἵματι τοῦ Χριστοῦ εἰς ἀνάμνησιν αὐτοῦ τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος, καὶ ἐγερθέντος, μὴ μόνον καθαρεύειν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἵνα μὴ εἰς κρίμα φάγῃ καὶ πίῃ. ἀλλὰ καὶ ἐναργῶς δεικνύειν τὴν γνώμην τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος, τῷ μὴ μόνον καθαρεύειν ἀπὸ πάσης ἁμαρτίας, ἀλλὰ νεκροῦσθαι μὲν τῇ ἁμαρτίᾳ, καὶ τῷ κόσμῳ, καὶ ἑαυτῷ, ζῆν δὲ τῷ Θεῷ. Τῶν πονηρῶν λογισμῶν· οἱ μὲν, οὐδόλως ἡμῶν ἐπιβαίνουσι τῆς ψυχῆς, ἂν πολλῇ περιφράξωμεν ἑαυτοὺς ἀσφαλείᾳ. οἱ δὲ, τίκτονται μὲν ἔνδον ῥαθυμησάντων ἡμῶν καὶ βλαστάνουσιν. ἀλλ' εἰ προληφθῶσιν ἀποπνίγονται ταχέως καὶ καταχώννυνται. ἄλλοι, καὶ τίκτονται καὶ αὐξάνονται καὶ πρὸς τὰς πονηρὰς ἐμβαίνουσι πράξεις, καὶ πᾶσαν ἡμῶν ὑγείαν τῆς ψυχῆς διαφθείρουσιν, ὅταν ἐν πολλῇ γενώμεθα ῥαθυμίᾳ. Τὸ μὲν οὖν μακάριον, τὸ μηδόλως

δέξα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

δέξασθαι πονηρὸν λογισμὸν ἐστί. τὸ δὲ μετ᾽ ἐκεῖνο, ἐπεισελθόντας τοὺς λογισμοὺς, ταχέως ἀπώσασθαι, καὶ μὴ συγχωρῆσαι ἐνδιατρῖψαι πλέον, ὥστε μὴ πονηρὰν ἡμῖν ἐργάσασθαι τὴν νομήν. εἰδὲ καὶ μέχρι τούτου ῥαθυμήσωμεν, ἔστι, διὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, καὶ τῆς ῥαθυμίας ταύτης παραμυθία, καὶ πολλὰ παρὰ τῆς ἀγαθότητος ἐκείνης τῆς ἀφάτου τοῖς τοιούτοις τραύμασι κατεσκευάσθη τὰ φάρμακα. παρακαλῶ σε οὖν, ἐν ὅσῳ εἶ ἐν τῷ σώματι, μὴ ἀπολύσῃς σου τὴν καρδίαν. ὥσπερ γὰρ ὁ γεωργὸς οὐ δύναται πεποιθέναι ἐπί τινι αὐτοῦ καρπῷ, ἀνερχομένῳ ἐν τῷ ἀγρῷ αὐτοῦ. οὐ γὰρ οἶδε τί αὐτῷ ἀποβαίνει, πρὶν ἐγκλεισθῆναι ἐν τοῖς θησαυροῖς αὐτοῦ. οὕτως ἄνθρωπος οὐ δύναται ἀπολῦσαι αὐτοῦ τὴν καρδίαν, ἐφόσον ἔχει πνοὴν ἐν τῇ ῥινὶ αὐτοῦ. καὶ ὥσπερ ἄνθρωπος οὐκ οἶδε ποῖον πάθος ἀπαντήσει αὐτῷ, ἕως ἐσχάτης αὐτοῦ ἀναπνοῆς. οὕτως οὐ δυνατὸν τῷ Μοναχῷ ἀπολῦσαι αὐτοῦ τὴν καρδίαν, ἐν ὅσῳ ἔχει ἀναπνοήν. ἀλλὰ χρὴ αὐτὸν ἀναβοᾷν πάντοτε πρὸς τὸν Θεὸν, διὰ τὴν βασιλείαν αὐτοῦ, καὶ τὸ ἔλεος. εἰδὼς οὖν ἀκριβῶς ὁ πονηρὸς, ὅτι μέγιστα δυνήσεται λῦσαι ὁ ἀπερισπάστῳ τῷ Θεῷ προσευχόμενος, σπουδάζει τινὶ τρόπῳ εὐλόγῳ, ἢ ἀλόγῳ ῥέμβειν τὸν νοῦν. ἀλλ᾽ ἡμεῖς τοῦτο ἐπιστάμενοι, ἀντιστρατευσώμεθα τῷ ἡμετέρῳ ἐχθρῷ. καὶ ὅταν στῶμεν εἰς εὐχὴν, καὶ γόνατα κλίνωμεν, μηδένα παντάπασι λογισμὸν εἰς τὴν καρδίαν συγχωρήσωμεν εἰσελθεῖν. μὴ λευκόν· μὴ μέλανα· μὴ δεξιόν· μὴ ἀριστερόν· μὴ γραφικόν· ἢ ἄγραφον. πλὴν τῆς πρὸς Θεὸν ἱκεσίας, καὶ τῆς ἐκ τοῦ οὐρανοῦ ἐγγινομένης τῷ ἡγεμονικῷ ἐλλάμψεως, καὶ ἡλιοβολίας. Πολλοῦ ἀγῶνος, καὶ χρόνου χρεία ἐν ταῖς προσευχαῖς, ὅπως εὕρωμεν τὴν ἀπαρενόχλητον τῆς διανοίας κατάστασιν. ἕτερόν τινα ἐγκάρδιον οὐρανὸν, ἔνθα οἰκεῖ ὁ Χριστός· ὥς φησιν ὁ Ἀπόστολος. ἢ οὐκ ἐπιγινώσκετε ὅτι Χριστὸς οἰκεῖ ἐν ἡμῖν; εἴ τις βούλοιτο ἰδεῖν τὴν τοῦ νοῦ κατάστασιν, τηρησάτω ἑαυτὸν ἐκ πάντων τῶν νοημάτων, καὶ τότε ὄψεται ἑαυτὸν ὁ νοῦς σαπφείρῳ οὐρανίῳ χρώματι παρεμφερῆ. οὐκ ἂν ἴδοι ὁ νοῦς τὸν τοῦ Θεοῦ τόπον ἐν ἑαυτῷ, μὴ πάντων τῶν ἐν τοῖς πράγμασι νοημάτων ὑψηλότερος γεγονώς. οὐ γενήσεται δὲ ὑψηλότερος, μὴ τὰ πάθη ἀπεκδυσάμενος, τὰ συνδεσμοῦντα αὐτὸν διὰ τῶν νοημάτων τοῖς πράγμασι τοῖς αἰσθητοῖς. καὶ τὰ μὲν πάθη ἀποθήσεται διὰ τῶν ἀρετῶν. τοὺς δὲ ψιλοὺς λογισμοὺς διὰ τῆς πνευματικῆς θεωρίας. καὶ ταύτην πάλιν, ἐπιφανέντος αὐτῷ τοῦ φωτός.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ΚΑ'λλιςος ὁ Ὁσιώτατος Πατὴρ ἡμῶν ὁ καὶ Καταφυγιώτης ἐπικαλούμενος (ἴσως τῆς ἐπικλήσεως ταύτης ἔτυχεν ἀπὸ Ἐκκλησίας τινὸς τῆς Θεοτόκου, Καταφυγῆς οὕτωσὶ ἐπικεκλημένης) τίς τε ἦν καὶ τίνα εἶχε πατρίδα, καὶ πῶς τὸν ἀναχωρητικὸν διήνυσε βίον, οὐδὲν τούτων παρὰ τῶν ἱστοριῶν μεμαθήκαμεν. ὅσον δὲ ἀπὸ τῶν παρόντων αὐτοῦ κεφαλαίων τεκμηριώσασθαι, ἀνὴρ ἦν τῷ ὄντι περί τε τὴν ἔξω καὶ τὴν ἔσω παιδείαν φιλοσοφώτατος, καὶ μάλιςα πρὸς θεωριῶν ὕψος, καὶ βάθος, μῆκός τε καὶ πλάτος νοητὸν, εἴπερ τις ἄλλος, διαβατικώτατος. ἐπὶ τοσοῦτον γὰρ ὁ μακάριος πρὸς τὸ ὑπερκόσμιον τῆς Τριαδικῆς ὑπερουσιότητος ἀπόκρυφον Ἓν ἀνετείνετο συνεργίᾳ τῆς χάριτος, καὶ οὕτως ἐπὶ τὴν τοῦ Θεοῦ ἐποψίαν, καὶ ἄμεσον ἕνωσιν, καὶ νοερὰν σιγὴν, καὶ ὑπεράγνωστον ἀγνωσίαν πάντων ἁπαξαπλῶς ἀπολελυμένος ἀνηνέχθη δι᾽ ὑπερβολὴν καθαρότητος, ὡς Ἄγγελον ἄλλον ἀληθῶς, καὶ Θεὸν κατὰ χάριν ἐπὶ γῆς φαίνεσθαι. τινὲς μὲν οὖν αὐτὸν ἔφησαν Κάλλιςον εἶναι τὸν Ξανθόπουλον τὸν τῆς Κωνςαντίνου Πατριαρχεύσαντα, τὸν τὰ ἑκατὸν, φημὶ, ἕτερα κεφάλαια συγγραψάμενον, δυσὶ τεκμηρίοις χρώμενοι. ἐκεῖνα μὲν γὰρ, φασι, τὰ πολλὰ περὶ πρακτικῆς διειλήφασι, ταῦτα δὲ περὶ θεωρίας μόνης καὶ βίου θεωρητικοῦ. πράξεως δὲ καὶ θεωρίας συνημμένων ἀλλήλαις οὐσῶν, ἔδει κατὰ τὸ εἰκὸς ἕνα γε εἶναι καὶ τὸν περὶ τούτων διερμηνεύοντα. πρὸς δὲ, ὅτι καὶ πολλὰ τῶν ἐκείνοις, ταῦτα καὶ τοῖς παροῦσιν ἐμφέρεται, ὅσα γε εἰς ἐπιβολὴν νοὸς, καὶ παραδοχὴν ἥκει, καὶ θείαν ἕνωσιν, καὶ καρδιακὴν ἐνέργειαν καὶ φωτισμόν. οἱ δὲ, ἕτερον ἐκείνου τοῦτόν φασι διὰ τὸ παρηλλαγμένον ὕφος τῆς ἑκατέρων φράσεως. ἡμεῖς δὲ μᾶλλον τοῖς προτέροις συναινέσαι δεῖν ἔγνωμεν· μηδὲν τὴν τοῦ ὕφους δεδοικότες ἐναλλαγήν. δυνατὸν γάρ ἐςι καὶ μάλ᾽ εὔπορον τοῖς σοφοῖς καταλλήλως ταῖς ὑποθέσεσιν ἁρμόζειν καὶ τὰ τῆς φράσεως, καὶ πεπεισμένως



Arhas library Αγιορειτική Βιβλιοθήκη

μὲν τὰ ταπεινά, ὑψηλῶς δὲ καὶ μεγαληγόρως ἐκφράζειν τὰ ὑψηλά. Τοῦτο δὲ ἀληθῶς ἀμιαρὸν, ὅτι εἰς ἑκατοντάδα που, ὡς ἐξ εἰκασμοῦ, τῶν κεφαλαίων πληθυνομένων, καὶ τῶν ὅσα δὴ πώποτε περὶ θεωρητικοῦ διειλήφασι βίου, ὑψηλοτάτων γε ὄντων, ὡς ἐμὲ εἰδέναι, καὶ τελεωτάτων τοῖς τε νοήμασι, καὶ τῷ μεγαληγόρῳ τῆς φράσεως, καὶ τῇ ἄλλῃ καλλιεπίᾳ, ναὶ μὴν καὶ ταῖς τῶν συλλογισμῶν ἀνάγκαις, μόνα τὰ παρόντα κατὰ τὸ εἰς ἡμετέρας χεῖρας ἐλθὸν πρωτότυπον διεσώζοντο.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἘΚ ΤΩ͂Ν ΤΟΥ͂

# ΚΑΛΛΊΣΤΟΥ

## ΚΑΤΑΦΥΓΙΩ͂ΤΟΥ

## ΣΥΛΛΟΓΙΣΤΙΚΩ͂Ν, ΚΑῚ ὙΨΗΛΟΤΆΤΩΝ ΚΕΦΑΛΑΊΩΝ ΤᾺ ΣΩΖΌΜΕΝΑ,

### Περὶ θείας ἑνώσεως, καὶ βίου θεωρητικοῦ.

α. Ἐκ τοῦ πεφυκότος πᾶν ζῶον τῇ κρείττονι πεφυκυίᾳ αὐτοῦ ἐνεργείᾳ, καὶ ἀναπαύσεως μεταλαγχάνει καὶ ἡδονῆς ἐφαμίλλου· καὶ ταύτῃ καὶ χαίρει, καὶ προσπαθεῖ διὰ ταῦτα. οὐκοῦν καὶ ὁ ἄνθρωπος ἅτε νοῦν ἔχων, καὶ τὸ νοεῖν πεφυκότως ζωὴν μάλιστα ἥδεται, καὶ ἀναπαύσεως ἐν μετοχῇ γίγνεται γιγνομένῃ, ὁπηνίκα τὰ κρείττω νοῇ, καὶ τὰ, εἴτε ἀγαθά τις θέλει λέγειν, εἴτε καλὰ, περὶ ἑαυτοῦ. ὃ γίγνεται ἀληθῶς, τὸν Θεὸν ἔχων εἰς νοῦν, καὶ τὰς ἀρετὰς αὐτοῦ λογιζόμενος, ἄκρου γε ὄντος καὶ ὑπὲρ νοῦν καλοῦ, καὶ ἄκρως ἀγαπῶντος, καὶ ὑπὲρ τὸν ἄνθρωπον, καὶ ἄκρα γέρα, καὶ ὑπὲρ νοῦν ἀγαθὰ καὶ καλὰ τοῖς ἑαυτοῦ ἐπιμαζόντος. καὶ ταῦτ' αἰωνίως τὰ μάλιστα.

β. Εἰ πᾶσα γέννησις προσεοικέναι ποιεῖ τῷ γεννῶντι τὸ γεννηθὲν, ὡς ἔφη ὁ Κύριος, ὅτι τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος, Πνεῦμα. ὁ τοίνυν Πνεῦμα ὁ ἐκ τοῦ Πνεύματος γεγεννημένος, δῆλον ὅτι καὶ Θεὸς ἔσται, καθὸ τὸ γεννῆσαν Πνεῦμα, ἐπεὶ καὶ Θεὸς ἀληθινὸς τὸ Πνεῦμα, ὑφ' οὗ κατὰ χάριν γεγέννηται ὁ τοῦ Πνεύματος μέτοχος. εἰ δὲ Θεὸς ὁ τοιοῦτος, καὶ θεωρητικὸς περιφανῶς εἴη γ' ἂν κατὰ τὸ εἰκός. ἐκ τοῦ θεωρεῖν καὶ γὰρ εἴρηται Θεὸς ὁ Θεός. ὥστ' ἄρα ὁ μὴ θεωρῶν, ἢ τῆς πνευματικῆς γεννήσεως καὶ μετοχῆς οὐκ ἐπέτυχεν ἔπω, ἢ ἐπιτυχὴς αὐτῆς γεγονὼς, μύει διὰ ἀμαθείας τὴν ὀπτικὴν αὐτοῦ δύναμιν, καὶ τὰς ἰούσας περὶ τὸν νοητὸν τῆς δικαιοσύνης ἥλιον θείας ἀκτῖνας ἀποστρέφεται ἀπαιδεύτως. καὶ θεωτικῆς δυνάμεως μέτοχος γεγονὼς, τὴν

ἐνέργειαν ταύτης στέρεται δυστυχῶς, καὶ πρὸς ἁγιωσύνην καίτοι γε ἀνατεινόμενος.

γʹ. Πάντα τὰ ὄντα ἐκ τοῦ πεποιηκότος αὐτὰ κατὰ λόγον τὴν σφῶν αὐτῶν εἴληφε κίνησιν, καὶ τὸ φυσικὸν ἴδιον. ὅθεν ἀκολούθως καὶ ὁ νοῦς. ἀλλ' ἥ γε τοῦ νοῦ κίνησις ἔχει τὸ ἀεί· τὸ δ' ἀεὶ ἄπειρον, καὶ ἀόριστον. παρὰ τὴν ἰδίαν ἄρα ἀξίαν καὶ τὸ πεφυκὸς κυρίως αὐτῷ, ἔσται κινούμενος πεπερασμένως, ἢ ὡρισμένως. τοῦτο δὲ πείσεται, εἴπερ ἐν πεπερασμένοις κινοῖτο, καὶ ὡρισμένοις· οὐ γάρ ἐστιν, εἶναι μὲν τὸ πρᾶγμα πεπερασμένον καὶ ὡρισμένον, * ἡ δ' ἐπ' αὐτὸ, ἢ περὶ αὐτὸ κίνησις τοῦ νοῦ προϊέναι ἐπ' ἄπειρον. δεῖται δὴ ἄρα τὸ τοῦ νοὸς ἀεικίνητον γιγνομένως ἀπείρου καὶ ἀορίστου τινὸς, πρὸς ὃ κατὰ λόγον καὶ τὸ σφέτερον πεφυκὸς, εἴη γ' ἂν κινούμενον. ἀλλὰ μὴν ἄπειρον, καὶ τῷ ὄντι ἀόριστον ἐστὶν οὐδὲν, πλὴν τοῦ Θεοῦ, φύσει καὶ κυρίως ὄντος ἑνός· πρὸς ἄρα τὸ κυρίως ἄπειρον ἓν, τὸν Θεὸν, ἀνατετάσθαι, καὶ ἀφορᾷν, καὶ κινεῖσθαι τὸν νοῦν χρή. τοῦτο γὰρ κυρίως πέφυκεν αὐτῷ.

* ἴσ. τὴν δ' ἐπ' (ὀρθότερον)

δʹ. Ἄπειρά ἐστι, καὶ ἀόριστα τὰ περὶ Θεὸν θεωρούμενα. ἀλλ' ὅμως οὐδ' ἐν τούτοις τέλεον χαίρειν ἔχει ὁ νοῦς ζητῶν τὸ ἐξ οὗ. ἐπεὶ καὶ γὰρ τῷ ὁμοίῳ ἑαυτοῦ ἕκαστον πεφυκότως χαίρει· εἷς ὢν ὁ νοῦς τὴν φύσιν, εἰ καὶ πολλὰ ταῖς νοήσεσιν, ἀνατεινόμενος, καὶ οἷον κινούμενος πρὸς Θεὸν, τὸν ἕνα τὴν φύσιν, καὶ πολλὰ τὴν ἐνέργειαν, ἀνένδεκτον χαίρειν ὁλοσχερῶς, πρὶν ἂν ἐν τῷ πεφυκότως ἀορίστῳ ἑνὶ διὰ πνεύματος γένοιτο, ἀπὸ τῶν πολλῶν ὥσπερ διαβάς. ἐν μόνῳ ἄρα ὁ νοῦς τῷ Θεῷ πεφυκότως χαίρειν ἔχει ὁλοσχερῶς. ἀλλὰ μὴν τῶν ὄντων, ἕκαστον μάλιστα τῷ ἰδίῳ χαίρει φυσικῷ· φυσικὸν ἐστιν ἴδιον ἄρα τῷ νῷ καὶ μάλιστά γε, τὸ ἐν τῷ Θεῷ μόνῳ τῷ ἁπλῶς, καὶ ἀορίστως ἑνὶ, καὶ κινεῖσθαι, καὶ ἀνατείνεσθαι, καὶ γίνεσθαι, καὶ χαίρειν ὁλοσχερῶς.

εʹ. Πᾶσα οὐδήτινος κτιστοῦ κίνησις καὶ δὴ καὶ αὐτοῦ νοῦ, πρὸς στάσιν καὶ ἠρεμίαν γιγνομένως ἐνδίδει, καὶ ἀφορᾷ· καὶ τὸ στῆναι γενέσθαι, καὶ ἠρεμῆσαι κατ' αὐτὴν, καὶ τέλος, καὶ ἐξ ἐφαμίλλου ἀνάπαυσις τῷ κτιστῷ. ἀλλὰ μὴν ὅ γε νοῦς εἷς ὢν τῶν κτιστῶν, ἐν κτιστοῖς στάσεως, καὶ ἠρεμίας μετειληχέναι κινούμενος οὐ δεδύνηται. τὰ γάρ τοι κτιστοῦ κατάλληλα δεδεγμένα τὸ πεπεράνθαι, ἅτε ἠργμένα, τὸ τοῦ νοὸς αὐτοδίκη ἀεικίνητον ἀπολειφθείη γ' ἂν, καὶ ἐξακολουθοῦν ζητήσῃ, οὐ κινηθήσεται. καὶ ἥκιστα τοπαράπαν ἕξει τὸ ἠρεμεῖν, ἢ τοῦ ἰδίου τέλους ἐπιτυχεῖν. ἢ τὸ ἀεικίνητον οὐχ ἕξει μεθ' ἑαυτοῦ κατὰ τὰ προκείμενα, τοῖς ὡρισμένοις καὶ πεπερασμένοις συμπεριληφθείς. ὅπερ πόρρω τοῦ κατὰ τὸν φυσικοῦ, περιφανῶς ἀεικινήτου τυγχάνοντος. οὐκ ἄρα ἐστὶν εἰκὸς εὑρηκέναι τὸ ἠρεμον, ἢ στῆναι τὸν νοῦν ἐν δήπου κτιστοῖς γινόμενον. ποῦ τοίνυν χρήσαιτ' ἂν ὁ νοῦς τῷ ἑαυτοῦ ἰδικῷ, τῷ διὰ κινήσεως ἵστασθαι δηλαδὴ, καὶ ὅπως ἠρεμεῖν καὶ εἰρήνην ἄγειν, καὶ ἀναπαύλης δεδέχθαι αἴσθησιν ἀσφαλῶς, εἰ μὴ ἔν γε ἀκτίστῳ, καὶ ἀπεριγράφῳ γένοιτο; τοῦτο δέ ἐστιν ὁ Θεὸς κυρίως, καὶ ὑπερκοσμίως ἓν ὤν. ἐν ἄρα τούτῳ τῷ ἑνὶ, καὶ ἀπεριγράπτῳ γίνεσθαι διὰ κινήσεως τὸν νοῦν δεῖ, ὡς ἂν τὴν σφετέραν φυσικὴν ἠρεμίαν ἐξευρηκότα, ἐν ἀναπαύσει στῇ νοερᾷ κατὰ τὸ εἰκός. στάσις γὰρ διὰ πνεύματος ἐκεῖ, καὶ ζωογόνος ἀνάπαυσις, καὶ πάντων πέρας τὸ ἄπειρον. καὶ κίνησις ἐν τῷ ἑνὶ γινομένῳ ἐκείνῳ οὐκ ἀπολείπεται οὐδαμῶς παντὶ τῷ, τὸ ἀόριστον καὶ ἀπέραντον πεφθακότι, τῷ, τε ἀπερίγραπτον, ἀνείδεον, καὶ ἀσχημάτιστον, καὶ ἀπολύτως ἁπλοῦν· τοιοῦτο γὰρ τὸ εἰρημένον ἓν, τουτέστιν ὁ Θεός.

ςʹ. Εἰ ποιεῖ, κατὰ τὸν Δαβὶδ, τοὺς Ἀγγέλους αὐτοῦ ὁ Θεὸς πνεύματα· καὶ οὓς δὲ τῶν ἀνθρώπων γεννᾷ τὸ Πνεῦμα, πνεῦμα αὐτοὺς ποιεῖ, ὡς ὁ Κύριος εἴρηκεν. Ἄγγελος ἄρα ἄλλος χρηματίζει ὁ γεγεν-

νημένος

Athos Library
Αγιορειτική Βιβλιοθήκη

νημένος ἄνθρωπος ἐκ τῆς ἐναργοῦς πνεύματος μετοχῆς αὐτοῦ. ἀλλὰ μὴν Ἀγγέλων ἔργον τὸ διὰ παντὸς θεωρεῖν τὸ πρόσωπον τοῦ Πατρὸς ἡμῶν τοῦ ἐν οὐρανοῖς, ὡς καὶ τοῦτο εἶπεν ὁ Κύριος. οὐκοῦν καὶ * ὁ Πνεύματος Ἁγίου περιφανὴς μέτοχος, χρὴ θεωρεῖν ἀνατεινόμενος, ὡς εἰκός, τὸ πρόσωπον τοῦ Θεοῦ. διὸ διδάσκει διέπνευσεν καὶ ὁ Δαβίδ, ζητήσατε τὸν Κύριον, λέγων, καὶ κραταιώθητε. ζητήσατε τὸ πρόσωπον αὐτοῦ διὰ παντός. οὐκ ἄρα τηρεῖ τὸ εἰκὸς καὶ γιγνόμενον, ὁ μέτοχος γεγονὼς τοῦ Ἁγίου, καὶ ζωοποιοῦ, καὶ φωτιστικοῦ, καὶ ἐρωτεργοῦ Πνεύματος, καὶ εἰς πεῖραν τῆς ἀρρήτου ἥκων γεννήσεως τῆς ἐκ τοῦ Πνεύματος, καὶ εἰς ἀξίαν Ἀγγέλου ἀναδεδραμηκώς, ἐπειδὴ οὕτω διὰ περιττὴν εὐλάβειαν μύειν ποιῶν τὴν πρὸς Θεὸν νοερὰν αἴσθησιν αὐτοῦ, καὶ μὴ ἐθέλειν πρὸς Θεὸν ἀνατείνεσθαι, καὶ τὰ θεῖα καὶ ταῦτα τοῦ Σωτῆρος ἐπιτάττοντος μένειν ἐν αὐτῷ, ἐπεὶ καὶ αὐτὸς μένει ἐν ἡμῖν. καὶ τοῦ Δαβὶδ φάσκοντος· προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε. καὶ ἀληθῶς εἴγε μέλλοιμεν ποιεῖν τὰ δέοντα καὶ ἑπόμενα, ἐν τῷ τοῦ Θεοῦ Πατρὸς φωτί, λέγω δὲ τὸ Πνεῦμα τὸ Ἅγιον. ὀψόμεθα φῶς τὸ περὶ τὸν Θεόν, τουτέστι τὴν θείαν ἀλήθειαν. εἰ μήπως ἀτενιστικωτέρως πρὸς τὰς θείας ἀκτῖνας μὴ ἐπιστρέφειν αἱρούμεθα.

ζʹ. Τρισὶ τρόποις ἐπιβαίνει ὁ νοῦς τῇ τοῦ Θεοῦ θεωρίᾳ. αὐτοκινήτως. ἑτεροκινήτως. καὶ μεταξὺ τούτων. καὶ ὁ μὲν αὐτοκίνητος τρόπος ὑπὸ τῆς φύσεως τοῦ νοῦ μόνον τελεῖται, θελήσει τῇ ἑαυτοῦ διὰ φαντασίας χρώμενος. οὐ πέρας ἡ τῶν περὶ Θεὸν θεωρία. ἃ καὶ Ἑλλήνων ἀμηγέπη ἐφαντάσθησαν παῖδες. ὁ δ' ἑτερός ἐστιν ὑπερφυὴς θελήσει, καὶ φωτισμῷ μόνου Θεοῦ γιγνόμενος· ὅθεν καὶ ὑπὸ τὴν θείαν κατοχὴν τότε ὅλως εὑρίσκεται, καὶ εἰς θείας ἀποκαλύψεις ἁρπάζεται, καὶ ἀπορρήτων γίνεται τοῦ Θεοῦ μυστηρίων, καὶ μελλόντων ἐκβάσεις ὁρᾷ. ὁ δὲ μεταξὺ τουτωνὶ τρόπος, τοῖς δυσὶν ἐν μέρει συνάπτεται· ἡ μὲν γὰρ θελήσει καὶ φαντασίᾳ ἰδίᾳ ἐργάζεται τῷ αὐτοκινήτῳ σύμφωνος δείκνυται· τῷ ἑτεροκινήτῳ δὲ κοινωνεῖ, ἐφ' ὅσον ὑπὸ τῆς θείας ἑνοῦται πρὸς ἑαυτὸν ἐλλάμψεως, καὶ ἀρρήτως ὁρᾷ τὸν Θεὸν ἐπέκεινα τῆς ἑαυτοῦ νοερᾶς ἑνώσεως. πάντων γὰρ τῶν περὶ Θεὸν ὁρωμένων, καὶ λεγομένων ἔξω γίνεται τηνικάδε, οὔτε ἀγαθαρχίαν, ἢ θέωσιν, οὔτε σοφίαν, ἢ δυναμοποιὸν κράτος, ἢ πρόνοιαν, ἢ ἄλλο τι τῶν θείων ὁρῶν· ἔμπλεως καθιστάμενος ἐς τὰ μάλιστα νοεροῦ φωτός, καὶ μέν γε χαρᾶς ἐνεργουμένης ὑπὸ θείου πυρὸς ἀγάπης συγκιρναμένης.

ηʹ. Νοῦς τῇ ἰδίᾳ φαντασίᾳ πρὸς τὸ θεωρεῖν τὰ ἀόρατα χρώμενος, πίστει ὁδηγεῖται. ἐλλαμπόμενος δ' ὑπὸ τῆς χάριτος, τῇ ἐλπίδι βεβαιοῦται. ὑπὸ δὲ τοῦ θείου φωτὸς ἁρπαζόμενος, ταμιεῖον ἀγάπης γίνεται ἀνθρώπων, καὶ πολλῷ γε μᾶλλον τοῦ Θεοῦ. οὕτως ἡ τελεστικὴ τοῦ νοῦ πρᾶξις καὶ κίνησις, ἐν πίστει, καὶ ἐλπίδι, καὶ ἀγάπῃ, τελεία καὶ θεοποιός, βέβαιός τε καὶ ἀκλινὴς γίνεται. καὶ ταύτην προφθάνων τὴν ὀχυρωτάτην τῆς ἀκροπόλεως, ὡς ἄν τις εἴποι· εἰς τὸ τῆς ἀγάπης φρούριον ἑαυτὸν ἠσφαλίσατο. ὅθεν ἐστίν, ὃ λέγεται παρὰ τοῦ Παύλου· ἡ ἀγάπη πάντα στέγει, πάντα ὑπομένει, διὰ τὸ τῆς πίστεως καὶ ἐλπίδος ἀγαθόν. ἡ ἀγάπη, φησίν, οὐδέποτε ἐκπίπτει, διὰ τὴν πρὸς Θεὸν αὐτῆς ἔμπυρον ἕνωσιν, καὶ συνάφειαν ἄρρητον.

θʹ. Ἐν οὐδενὶ κτιστῷ ἐξαίρετόν ἐστι τὸ ἕν. διενηνοχέναι μὲν γὰρ ἕκαστον ἑκάστου κατά τινα τρόπον ἰδιότητος, οὐκ ἄπεστιν εἰδέναι· τὰ δὲ κτιστά, ἕκαστον ἑκάστῳ ἡ διενήνοχεν ἠργμένον τε, καὶ πεπερασμένον, καὶ ὑπὸ φύσιν τελοῦν, καὶ οὐκ ὂν κυρίως ἁπλοῦν ἕν. μόνον γὰρ ἓν τωόντι, ἐστὶ τὸ ἄκτιστον, ὡς

* ἴσ. τὸν Πνεύματος Ἁγίου περιφανῆ μέτοχον

ἁπλοῦν, ὡς ἄναρχον, ὡς ἀτελεύτητον, καὶ ἀόριστον, καὶ διὰ τοῦτο ἄπειρον, ὅπερ ἐστὶν ὁ Θεός. πρὸς δ', εἴγε ὁ νοῦς ὁρῶν μετὰ μετοχῆς τοῦ πνεύματος, καὶ ῥοπῆς τοῦ ζωοποιοῦ, ὅσαι ἡμέραι τὴν αὐτοῦ προσκύνησιν αὔξην δέχεται, ἡνωμένος, καὶ ἡπλωμένος, καὶ θεουργικῆς ἐχόμενος καταστάσεως. καί γε σφόδρα συνῆκε σαφῶς, ὅτι τοῦ ἑνὸς πλὴν, καὶ τῆς πρὸς αὐτὸ ἐν πνεύματι ἀποβλέψεως, τὸν βέλτιον ἕξειν ἀμήχανον· τοῦτο μὲν, ὅτι ὁ νοῦς ἐσκέδασται, τοῦ πολυειδοῦς κόσμου, καὶ τοῖς πάθεσιν ὑπενδοὺς, καὶ δεῖται ἀκολούθως ὑπερκοσμίου δυνάμεως, καὶ ἑπομένως ὑπερφυοῦς ἑνὸς εἰς ἀπόβλεψιν, ἵν' οὕτω τῶν μεριστῶν ἀρπαγεὶς, ἔξω γένηται τῶν παθῶν, καὶ τῆς διαιρέσεως, καὶ οὕτω τύχοι ἂν τοῦ θεοειδοῦς. διά τοι τοῦτο καὶ ὁ Κύριος παράκλησιν ποιεῖται πρὸς τὸν Πατέρα, ἵν' ὦμεν ἓν οἱ πιστοὶ ἐν τῷ Πατρὶ, καὶ αὐτῷ Υἱῷ, διὰ Πνεύματος. καὶ οὕτως ἓν, ὡς αὐτοί εἰσιν ἕν. (μὴ κακοδόξως δηλονότι ὡς Σαβέλλιος εἶπε τὸ ἕν.) ὡς ἂν ὦμεν, οὗ χρὴ, τετελειωμένοι, καὶ χάριτι ἑνίζοντος Πνεύματος, καὶ θεωρίᾳ ἑνοειδοῦς. ἓν ἐπὶ τοῦ Θεοῦ. τοῦτο ἡμῖν ἐκφανῶς ἡ ὄντως βελτίωσις· καὶ τοῦτο τέλος, καὶ ἀληθὲς, καὶ μόνη ἀνάπαυσις. διὰ τοῦτο καὶ ἡ φθονερὰ, καὶ μισάνθρωπος δαιμονικὴ συμμορία, εἰς πολλῶν Θεῶν, ὡς οὐκ ὄφελε, σέβας διασκορπίσασα, ἐν πλάτη ὑπέστειρε τὸ τοῦ νοὸς ἑνιαῖον, καὶ οὐκ ἀφῆκε τοῦτ' ἔχειν τὴν τοῦ ὑπερκοσμίου φαντασίαν ἑνός. ὅπως αὐτῇ ἐν πολλοῖς λατρείᾳ, ἀποβλέψειε, καὶ διαιρέσει, παρὰ τὴν ἑαυτοῦ φύσιν ἀναπείσασα κινεῖσθαι τὸν νοῦν, παντοίων παθῶν ἐπιθυμητὴν ἀναδείξῃ καὶ ψεύδους, ἀντὶ τῆς ἀληθείας, καὶ τῆς ἀρετῆς. ἐντεῦθεν τὸ Πνεῦμα παραινεῖ διὰ τοῦ Προφήτου τὸ Ἅγιον· προσέλθετε πρὸς αὐτὸν, λέγον, τὸν ἕνα δηλαδὴ, καὶ φωτίσθητε. καὶ ἔτι ἀλλαχοῦ. ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ, οὐκ ἔστιν ἄλλος Θεός. καὶ πάλιν. ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστίν. οὐ γάρ τοι τὸ τρισυπόστατον τῆς μιᾶς Θεότητος τὴν μίαν διαιρεῖ κυριότητα, ἀλλὰ καὶ τρία ἐστὶν ἀκριβῶς τὰ πρόσωπα, καὶ αὖθις οὐδὲν ἧττον ἕν· τῇ γε οὐσίᾳ, καὶ δυνάμει, θελήσει τε, καὶ ἐνεργείᾳ, καὶ τοῖς ἄλλοις οὐσιώδεσιν ἀγαθοῖς. τὸ ἄρα λαβεῖν τοῦ τοῦ Θεοῦ ἑνιαίῳ, καὶ ἀποσκοπεῖν, καὶ συνάγεσθαι, ὅση δύναμις, πρὸς αὐτὸ ἀπὸ τῶν πολλῶν, θέλημα Θεοῦ, καὶ νοὸς βελτίωσις, ὡς ἀληθείας εὕρημα, καὶ θείου ἔρωτος, καὶ ἑπομένως θεώσεως γέννημα.

ι. Εἰ τὸ μὲν ψεῦδός ἐστι πολυειδὲς, ἓν δὲ ἡ ἀλήθεια, ἄρ' ὁ ἐν Πνεύματι πρὸς τὸ ἓν ἀνατεινόμενος· νοῦς, τὸ ὑπερκόσμιον· τὸ ἔξοχον τῶν πάντων. τὸ, δὲ οὐ τὰ πολλὰ, πρὸς αὐτὴν τὴν ἀλήθειαν ἀνατείνεται. Ἀλλὰ μὴν οὐ δύναται γενέσθαι ὁ νοῦς ἐλεύθερος ἀπὸ τῶν παθῶν, εἰ μήτι ἡ ἀλήθεια ἐλευθερώσῃ αὐτόν· ἄρα ὁ νοῦς παθῶν ἐλεύθερος ἀποκαθίσταται, νενευκὼς, καὶ ἀνατεινόμενος ἐπὶ τῷ τρόπῳ πρὸς τὸ ὑπερκόσμιον ἕν. Πρόσεστι δὲ ἡ ἐλευθερία τῷ τῶν πρὸς ἀπάθειαν, καὶ θεοειδῆ κατάστασιν, καὶ υἱοθεσίαν πνευματικὴν μάλιστα, οὐδαμῶς ἡ δουλεία, διὸ ὅ, τι ὁ δοῦλός, φησιν, οὐκ οἶδε τί ποιεῖ ὁ κύριος αὐτοῦ. εἰ δ' ἡ ἄγνοια τοῦ δούλου ἐστὶ, φανερὸν ὅτι ὁ ἐλευθερίας μετειληχὼς, οἶδε τὰ τοῦ Πατρὸς μυστήρια. καὶ ἀναβεβηκέναι δὲ ἐφαμίλλου γέγονεν αὐτῷ ἐπὶ τὸ τῆς υἱοθεσίας εὖ καὶ καλῶς ἀξίωμα. ὡς γὰρ τὸ μὴ εἰδέναι τοῦ εἰδέναι ἐναντίον περιφανῶς· οὕτω δήπουθεν καὶ ἡ δούλου τάξις, ἐναντίως ἔχει πρὸς τὴν υἱικὴν ἐκφανῶς. καὶ εἰ ὁ μὴ εἰδὼς, δοῦλος, ὁ εἰδὼς, οὐ μένει δοῦλος, ἀλλ' ἐλεύθερος, ἢ ἵν' εἴπω, Υἱός. τὸ Πνεῦμα καὶ γὰρ τῆς

ἀλη-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀληθείας, ἐλευθεροῦν γιγνομένως, τοῦτ' αὐτὸ υἱοθετεῖ τῷ Θεῷ, τοὺς, ἐν οἷς ἂν γένοιτο. Ὅσοι γάρ, φησι, Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν Υἱοὶ Θεοῦ. εἰ τοίνυν τὸ πρὸς τὸ ὑπερούσιον ἓν ἀφορᾶν, τῆς ἀληθείας εἶναί ἐστιν, ἡ δὲ ἀλήθεια τὴν ἐλευθερίαν τῷ νῷ χορηγεῖ, ἡ δ' ἐλευθερία, υἱοθεσίας θείας σημεῖον ἐναργές, τοῦδε δὲ τοῦ δώρου τῆς υἱοθεσίας, οὔτε μεῖζον οὐδέν, οὔτε μὴν φύσει λογικῇ μᾶλλον προσῆκον ἕτερον· λίαν λελογισμένον, καὶ σφόδρα τῶν ἀναγκαίων ἂν εἴη ἄρα, τὸ ἀνατετάσθαι, καὶ ἀφορᾶν, καὶ συνάγεσθαι πνευματοφορήτως τὸν νοῦν, ὅσηγε δύναμις, πρὸς τὸ ὑπερκόσμιον ἕν, τουτέστι τὸν Θεόν.

ια΄. Κύριος, φησι τὸ Πνεῦμα τὸ Ἅγιον, ὁ Θεός σου, Κύριος εἷς ἐστίν. οὕτω τοι φροντὶς τῇ Θειότητι τοῦ Πνεύματος ἀνάγειν τὸν νοῦν πρὸς τὸ ὑπερκόσμιον ἕν. καὶ μὲν δή, οὐχὶ τὸ ἓν κηρύττειν, τὴν δὲ τοῦ νοὸς ἐπιστροφήν, καὶ ἀπόβλεψιν ἀποστέργειν θεμιτόν ἐστι λέγειν· ὃ γὰρ τὸ Ἅγιον λέγει Πνεῦμα, τοῦτο καὶ νοεῖσθαι βούλεται. ὃ δὲ νοεῖται, πρὸς τοῦτο καὶ τὸν νοῦν ἐπιστρέφεσθαι. ἀπούσης γὰρ τῆς τοῦ νοῦ στροφῆς πρὸς τὸ νοητόν, καὶ ὃ νοήσειεν ἂν ὁ νοῦς, ἄπεστι. καὶ ἔσται ἐξ ἀνάγκης τηνάλλως εἰρημένον τὸ τοῦ ἑνιαίου κήρυγμα, καὶ δι' αὐτὸ καὶ ἡ πίστις. εἰ δὲ τοῦτο ἄτοπον· τὸ μὴ διανοεῖσθαι ἄρα τὸ ἓν ἐπιστρεφόμενον τὸν νοῦν πρὸς αὐτό, καὶ ἀνατεινόμενον, ἄτοπον.

ιβ΄. Εἰ φύσις τοῖς αἰτιατοῖς καὶ μάλιστα λογικοῖς πρὸς τὸ αἴτιον ἀνατετᾶσθαι, καὶ ἀφορᾶν ἐπιστρεπτικῶς. ἐξ αἰτίας δὲ πάντα παρῆκται τοῦ Θεοῦ, ἐξ οὗ καὶ ὁ νοῦς. ὁ δὲ Θεός ἐστι τὸ κορυφαῖον, καὶ ἁπλῶς ἕν. φύσις ἄρα τῷ νῷ πρὸς τὸ κορυφαῖον καὶ ἁπλῶς ἕν, ὡς πρὸς αἴτιον ἐπιστρεφομένῳ, ἀνατετᾶσθαι, καὶ ἀφορᾶν.

ιγ΄. Εἰ ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα, ἔστι δὲ καὶ ὁ νοῦς τῶν ἁπάντων ἕν, ἄρα ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ καὶ οὗτος, καὶ μάλιστα προσεχέστερόν γε ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ αὐτὸς διὰ τὸ θεοείκελον. οὐκοῦν καὶ μᾶλλον οὗτος ἀφορᾶν ὀφείλει γ' εἰς αὐτόν. τὸ δὲ εἰς αὐτὸν λεγόμενον, εἰς τὴν τοῦ ὑπερκοσμίου ἑνὸς χρῆται ἔμφασιν ἐπιστρεπτικῶς ἀφορᾶν δηλοῖ. εἰς τὸ ἓν ἄρα ὁ νοῦς ὀφείλει ἀφορᾶν.

ιδ΄. Ἐξ ἑνὸς προΐασι τὰ πολλά, οὐκ ἔτι δέ, ἐκ τῶν πολλῶν τὸ ἕν. Ἀλλὰ μὴν ἡ κτίσις ἐστὶ τὰ πολλά, οὐκοῦν ἐξ ἑνὸς ἡ κτίσις ἐναργῶς. ἔστι δὲ καὶ ὑπὲρ τὴν κτίσιν, ὡς κτίστης καὶ δημιουργὸς ἐκεῖνο τὸ ἕν. ὁ ἄρα τὴν κτίσιν ὡς δεῖ θεωρῶν, ἐξ ἀνάγκης πρὸς τὸ ὑπερκόσμιον ἓν ἕξει τὸ ἑαυτοῦ τῆς θεωρίας συμπέρασμα. ἐπείπερ καὶ ἔνεστι τοῖς αἰτιατοῖς πάμπολλα τοῦ αἰτίου ὡσανεὶ ἀπηχήματα, δι' ὧν γνωρίζεται ὁ τέχνῃ, καὶ σοφίᾳ, δυνάμει τε, καὶ ἀγαθότητι προνοητικῶς τὰ πάντα παραγαγὼν ὡς ἠθέλησε. διὰ τοῦτο καὶ Ἡσαΐας, ἐν τῷ Πνεύματι, ἐπάρατε, φησί, τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε τίς κατέδειξε ταῦτα πάντα. τὰ μὲν ταῦτα πάντα διὰ τὰ πολλὰ εἰρηκὼς αἰτιατά, τὸ δὲ τίς, πρὸς τὸν ἐξ οὗ ταῦτα. (ὅπερ ἐστὶν ἁπλῶς κατὰ φύσιν ἕν) ἀνάγων τὸν νοῦν.

ιε΄. Συνάγεται καὶ ἡ κτίσις εἰς ἕν, ἀλλὰ σύνθετον καὶ πολυμερές, καὶ οὐκ ἄναρχον, ἅτε κτιστόν. τὸ δὲ κτίζον ἕν, οὐ μόνον ἓν ὡς πολλῶν καὶ διαφόρων συμφωνίας εἰς μίαν σύμπνοιαν τοῦ παντός, καὶ σκοπὸν ποιητικόν· ἀλλ' ἤδη καὶ ἄκτιστον ὡς προκαταρκτικὸν αἴτιον, ἀνιὼν ἐπὶ τὸ κατόπιν ὁ νοῦς, ἀνάγκη καταντῆσαι ἐπί τι ἓν ἀρκτικόν τε, καὶ πακτικὸν τῆσδε τῆς φαινομένης τῶν ὄντων τάξεως, καὶ γενέσεως, ἁρμονίας τε, καὶ συμπνοίας τῆς εἰς τὸ ἕν. ἤ, εἰ μὴ τοῦτο, ἐπ' ἄπειρον προΐῃ ἄν, ὅπερ ἄτοπον. πᾶν γὰρ τὸ κινούμενον, καὶ γιγνόμενον, ἔστιν

ὅτ'

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὅτ' οὐκ ἦν· καὶ μὴ ὄν, ἤρξατο. εἰ δ' ἤρξατο, καὶ κεκίνηται. τὶ τὸ κινῆσαν ζητεῖν δεῖ καὶ εἰς γένεσιν ἀγαγόν. ὅπερ ἔσται αὖ καὶ ἀκίνητον, ἐφ' ὅσον ἐστὶ κινοῦν. εἰ γὰρ οὔ, τί τὸ κινοῦν τὸ μὴ ὑπὸ ἑτέραν ἀρχὴν τελοῦν, ἐπείπερ γε ἄναρχον; εἰ δ' ἀκίνητον, ἄτρεπτον. εἰ δ' ἄρα τοῦτο, πάντως καὶ ἁπλοῦν· ἵνα μὴ σύνθετον ὂν τραπείη, ὅγε ἄτρεπτον ἡμῖν ἀναπέφανται. σύνθεσις γάρ, ἀρχὴ στάσεως· ἡ δέ, λύσεως, τὸ τῆς κινήσεως ἔσχατον. οὐκοῦν τοίνυν ἐκεῖ σύνθεσις, ἵνα μὴ καὶ στάσις. οὐδὲ στάσις, ἵνα μὴ καὶ λύσις. οὐδέ γε λύσις, ἵνα μὴ καὶ τροπή, καὶ κίνησις περὶ * τὴν ἄτρεπτον ὑποφανθείη καὶ ἀκίνητον, ὡς κινοῦν, οὐ κινούμενον, καὶ εἰς γένεσιν ἄγον, οὐχὶ γενόμενον, ἢ γινόμενον. εἰ δ' ἄρα ἄτρεπτον καὶ ἀκίνητον, ἐξ ἀνάγκης ἀσύνθετον, καὶ διὰ τοῦτο ἁπλοῦν, καὶ ἀπολύτως ἓν ὑπερκόσμιον. πρὸς ὅπερ ὁ ἀνατεινόμενος νοῦς, τῶν πάντων πάντη τρόπων ἔξω καθίσταται, διὰ τὴν πρὸς τὸ ὑπέρκαλον ἣν ἔχει ἀπόβλεψιν καὶ τὴν ἔφεσιν περὶ τὸ ὑπὲρ πᾶν. μᾶλλον δὲ περὶ τὸ ἐξ οὗ τὸ πᾶν, καὶ εἰς ὃ τὰ πάντα φυσικῶς ἀνατείνεται. τούτου δὲ γινομένου τῷ λόγῳ προσήκοντι, καὶ παθῶν ἔξω γίνεται. ὁ γὰρ ὑπεράνω καὶ τῶν ὑπερκάλων ὑπερεκτεινόμενος καὶ γιγνόμενος, σχολῇ γ' ἂν γένοιτο ἐναπομεῖναι τοῖς αἰσχροῖς τῶν παθῶν. Διὰ τοῦτο αὐτοῦ μόνου λαβόντες, τοῦ ἑνὸς δηλονότι, ὁ Ἱερὸς φησὶ Νόμος. πρὸς ἄρα τὸ κορυφαῖον ἓν ἀνατετάσθαι δεῖ, εἰ μέλλομεν καὶ τὸν τοῦ Θεοῦ Νόμον πληροῦν, καὶ ὑπεράνω παθῶν διαγίνεσθαι.

ιε'. Κύριος, φησί, μόνος ἦγεν αὐτούς, καὶ οὐκ ἦν μετ' αὐτῶν Θεὸς ἀλλότριος. ὁρᾷς τοῦ ἑνὸς καὶ μόνου τὴν δύναμιν; πῶς οὐκ ἦν μετ' αὐτῶν Θεὸς ἀλλότριος, ἐφ' ὅσον μόνος αὐτοὺς ἦγεν ὁ Κύριος; ἀλλὰ μὴν ὁ Κύριος ἑπομένους, οὐκ ἀποστρεφομένους ἄγει· ᾧ δέ τις ἕπεται, πρὸς αὐτὸ καὶ ἐπέστραπται· οὐκοῦν εἰ μέλλομεν Θεὸν ἕτερον, ἢ δαίμονα, ἢ πάθος μεθ' ἡμῶν μὴ ἔχειν, ἑψόμεθα τῷ μόνῳ καὶ ἑνὶ διὰ ἐπιστροφῆς νοερᾶς, ὅπως αὖ καὶ περὶ ἡμῶν οὐκ ἀπεικότως λελέχθαι δόξειε γ' ἄν· ὅτι Κύριος μόνος ἄγει αὐτούς. ὅθεν καὶ Θεὸς ἀλλότριος οὐκ ἔστι μετ' αὐτῶν.

Εἰ καὶ ἐξ ἑνός, ἀλλὰ διαφόρως εἰσὶν ἐξ ἑνὸς τὰ πολλά· ὅτι δήπου καὶ τῶν ὄντων ὁ τρόπος, καθ' ὃν ταῦτα ἐκ τῆς πρώτης ἑνάδος προΐει, διάφορος. τὰ μὲν γὰρ τούτων ἠργμένα τέ ἐστι, καὶ κτιστά. τὰ δ' ἄκτιστα, καὶ τὸν τῆς χρονικῆς ἀρχῆς λόγον ἐκπεφευγότα· καὶ πᾶσι μὲν κατὰ πάντα τρόπον αἴτιον τὸ ὑπερούσιον ἕν. ἀλλὰ τοῖς μέν, δημιουργικῶς· τοῖς δὲ φυσικῶς. καὶ οὐ πᾶσι καθάπαξ διὰ τοῦτο τούτοις ἐπίσης προσιέσθαι, καὶ τούτων ἀντέχεσθαι χρεών· ἀλλὰ τοῖς μὲν ὑπὸ ἀρχὴν καὶ κτίσιν τελοῦσι, προσιτέον ἐστὶ δι' ἄλλο, καὶ οὐ καθ' αὑτό, ὡς τοῦ ἐσόπτρου διὰ τὸ ἐν αὐτῷ μορφαζόμενον, ἢ παραδεικνύμενον. ἀλλοίωσις γὰρ ἡ κτίσις πρὸς βελτίωσιν οὐ προσιτέα ἐστίν, ὅτι μὴ διὰ τὸ ἐν αὐτῇ τοῦ ἄκρου ἑνὸς προφαινόμενον. τοῖς δ' ἀνάρχοις πρόσιμεν, καὶ φυσικοῖς, οὐ δι' ἄλλο, ἀλλὰ δι' αὐτά, καὶ τὸ ἐξ οὗ. ἐκεῖνα γάρ ἐστι τὰ τῷ ὄντι προσιτὰ καθ' αὑτά, καὶ κοινωνίαν ἐστὶ προσεχῶς τε, καὶ φυσικῶς τῷ Κορυφαίῳ ἑνί. μᾶλλον μὲν οὖν τοῦ ἄκρου, καὶ κορυφαίου ταῦτ' εἰσὶν ἑνός. προσεχῶς, καί, ὡς λέλεκται, φυσικῶς. δεῖ δή, οὐ μόνον τούτοις προσιέσθαι, ἀλλὰ καὶ προσφύεσθαι, καὶ πρὸς τὴν ἐκμίμησιν τοῦ πρώτου καὶ ἑνὸς καλοῦ διὰ τούτων ἐνθέων ἀποτυποῦσθαι. ἵνα περ τῇ συνεργίᾳ, καὶ ἐπαρωγῇ τῆς χάριτος, τῆς κατ' εἰκόνα καὶ ὁμοίωσιν δόξης τοῦ Θεοῦ σχοίημεν τὸ ἀξίωμα. ἐντεῦθεν σκοπουμένοις ὀρθῶς, τοῖς μὲν δημιουργικῶς αἰτιατοῖς, συμβαίνει θεωρητικῶς ἀνάγειν τὸν νοῦν πρὸς τὸ ἐν-

πτεια-

πτερισμὸν τοῦ ἑνός, καὶ ἑνῶν αὐτὸν εἰς τὴν τοῦ ὑπερκοσμίου ἑνὸς ἑνιαίαν ἕνωσιν ἀπολύτως καὶ ἁπλῶς, ἄγει τέως ὁ νοῦς ἐνορᾷ κατὰ τὸ εἰκός. οἷς δὲ φύσει τὸ αἴτιον, καὶ πρακτικευόμενον τὸν τῶν διαπάντων, ἢ κατ' αὐτὰ μορφαζόμενον, τέτως ἕνεσιν ἑνῶν πρὸς τὸ κυρίως ἐκεῖνο ἓν ἑαυτόν. ὅθεν δὴ ἐκ τῶν ὁποιωνοῦν ἁπάντων, εἴτε φυσικῶν, εἴτε δημιουργικῶν ὄντων αἰτιατῶν, πρὸς τὸ διαφόρως ἓν αἴτιον, ὁ τοὺς συνάγεσθαι εἴωθε φυσικῶς, εἴτε πρακτικῶς· ἢ δὴ θεωρητικῶς. καὶ ὅπερ ὁ τοῖς εἴθ' ἑνί, εἴτε πλείοσι δημιουργικοῖς, ἢ φυσικοῖς χρώμενος, οὐ διὰ τὸ ἓν χρῆται, οὐδ' ἵνα πρὸς τὸ πρῶτον ἓν συναγκοχῶς ἑαυτὸν φέρῃ, καὶ ὅλως πρὸς ἐκεῖνο ἀπίδῃ ἐν Ἁγίᾳ μετοχῇ, καὶ ῥοπῇ τοῦ φωτίζοντος Πνεύματος, ἁπλῶς, ἑνοειδῶς τε καὶ μονοειδῶς, εἰς ἁμαρτίαν αὐτῷ τοῦτο λογίζεται, κἂν φαντασίαν ἔχῃ καλοῦ ἥδε ἡ χρῆσις αὐτοῦ. τὰ γάρ τοι ἐκ τοῦ ἑνός, εἰς τὸ ἓν ἄγειν πέφυκε χρωμένους τούτοις ὡς χρή. πᾶσα γάρ, φησὶν ὁ Μέγας Διονύσιος, Πατροκινήτου φωτοφανείας πρόοδος εἰς ἡμᾶς ἀγαθοδότως φοιτῶσα, πάλιν ὡς ἑνοποιὸς δύναμις ἀνατατικῶς ἡμᾶς ἀναπληροῖ, καὶ ἐπιστρέφει πρὸς τὴν τοῦ συναγωγοῦ Πατρὸς ἑνότητα, καὶ θεοποιὸν ἁπλότητα, ἐξ αὐτοῦ γὰρ καὶ εἰς αὐτὸν τὰ πάντα. εἰδ' οὐκ ἀνάγει πρὸς τοῦτο, παραπέφυκε, καὶ τοῦ εἰκότος ἡ χρῆσις ἔξω γεγένηται μὴ οὕτω δὴ γιγνομένη.

ιη'. Ἔστι πρᾶξις προηγουμένη τῆς θεωρίας, καὶ ἔστι πρᾶξις ἑπομένη τῷ θεωρητικῷ. καὶ ἡ μὲν τελεῖται σωματικῶς, ὅπως τὰς ὁρμὰς τοῦ σώματος χαλιναγωγήσαντι, καὶ ἀτάκτως φέρεσθαι κατ' ὀλίγον παρασκευάσαντι, δύναιτ' ἂν οὕτω τῷ τοῦ ἐλευθέρου ποδὶ διαβιβάσαι ἐν τοῖς ἰδίοις, ἅ ἐστι τὰ νοητά, κἀκεῖ τὸ σφέτερον διαφέρον καλῶς ἐργάζοιτο. ἡ δὲ δευτέρα ἀπὸ τοῦ νοὸς ἀρχομένη, καὶ τοῦ νοῦν ἐν Πνεύματι, συνάγεται πρὸς τὸ ὑπὲρ νοῦν, ὅ ἐστιν ὁ Θεός· ᾧ προσεγγίσας ὁ νοῦς ἐπὶ τὸ ἓν γίνεται. ἓν γὰρ ὁ Θεός. καὶ δὴ καὶ αὐτὸς ἑνοῦται πρὸς ἑαυτὸν εἰς ἕν, καὶ ἀδιαίρετος ἀποκαθίσταται. ἑνάδος γὰρ πρόξενον τὸ ἕν, καὶ ἁπλότητος θεοειδοῦς θεωρούμενον. ἀσύμβατον γάρ τι, ἓν θεωροῦντα τὸν νοῦν, μὴ καὶ αὐτὸν εἶναι ἓν ἁπλοῦν. διῃρημένα δ' ὁρῶντα, καὶ σύνθετα, ἀνάγκη διαιρεῖσθαί τε, καὶ ποικίλλεσθαι· εἴρηται δέ μοι ἓν ἁπλῶς, τὸ καθ' αὐτὸ ὑφεστὼς ἁπλοῦν. ἐπειδὴ γὰρ ὅ, τίπερ ἐστὶν ὁ νοῦς τὰς ἀλλοιώσεις πάσχει κατ' ἐνέργειαν, αὐτὸς δὲ ἐστὶν ἁπλοῦς, ἀνάγκη ἓν εἶναι καὶ κατ' ἐνέργειαν, τὸ ἓν ὁρῶν. εἰ δὲ τὸ ἓν μὲν ὁρῴη, αὐτὸς δὲ διῄρηται εἰς δυάδα τὸ ἐλάχιστον, τί ποτ' ἂν εἴη ἐνεργοῦν τὸ σκέλος αὐτοῦ, διῃρημένον ἀπὸ τοῦ ὁρῶντος τὸ ἕν; ἢ γὰρ ὁρᾷ ἕτερόν τι, ἢ οὐχ ὁρᾷ. καὶ τοῦτο διττῶς, ἢ μὴ βουλόμενον, ἢ ἀμβλυωττόμενον, ἢ τάχα πρὸς ἄλλο τι δράσεως πεφυκός, οὐχὶ δὲ πρὸς τὸ ὁρᾶν. ἀλλ' εἰ μὲν ἕτερόν τι ὑπόθοιτό τις ὁρᾶν, ἴδε ὅτι ὁ νοῦς οὐχ ὁρᾷ τὸ ἓν ἁπλῶς, ἀλλὰ δύο παρὰ τὸν λόγον. καὶ δύο ὁρῶν, ἓν εἶναι οὐ δύναται. τέμνεται γάρ, ὡς δέδεικται, εἰς ἃ θεωρεῖ. εἰ δὲ οὐχ ὁρᾷ, εἰ μὲν μὴ βούλοιτο, τοῦτο ἀδύνατον· οὐκ ἔστι γὰρ ἀργίαν, καὶ τὸ ἀκαριαῖον αὐτὸ τὸ βραχύτατον, νοῦν λογικὸν παθεῖν. ἀλλ' οὐδ' ἀμβλυώττεται τοῦτο τοῦ νοός, τοῦτο δ' ὀξὺ κέκτηται. ἢ οὔπω· σύνθετος ἂν εἴη καὶ οὐχ ἁπλοῦς ἐξ ἀνομοιομερῶν τινων συνιστάμενος, ὅπερ συμβήσεται, καὶ εἰ τὸ μὲν τοῦ σκέλους ὁρᾷ, τὸ δὲ πρὸς ἄλλο τι ἐνεργείας εἶδος τέτακται· συνθέσεως γὰρ καὶ τοῦτο κατηγόρημα. ὃ περὶ τὸ τοῦ νοὸς ἁπλοῦν εἰπεῖν, πάνυ ἀνένδεκτον. δεῖ ἄρα ταύτῃ τὸ ἑνιαῖον, καὶ ἁπλοῦν τοῦ νοός, εἰ τὸ ἁπλῶς ἓν κατασκέψοιτο, ἓν καὶ αὐτὸ ἐνεργείᾳ ἐστί· καὶ εἰ ἓν εἴη ἁπλῶς, τὸ ἁπλοῦν ἓν ὁρᾷ. πρᾶξις τοι-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γαροῦν ὁποιαστισοῦν, ἡ θεωρία, ἐξ ἀνάγκης φέρεσθαι ὀφείλει πρὸς τὸ ὑπὲρ νοῦν ἕν. εἰδ' οὖν, οὐκ ἀνύσει οὐδέν, ἀλλὰ μάτην ὀφθήσεται πράττων, ἢ θεωρῶν ὁ νοῦς. ἔσται γὰρ παθῶν ἐνεργὸς ὑπὸ διαίρεσιν κείμενος, μὴ φερόμενος αἰσθήσει ψυχῆς εἰς τὴν τοῦ ὑπὲρ νοῦν ἑνὸς ἑνοειδῶς ἕνωσιν· ἥτις δὴ ἕνωσις συλλέγειν οἶδε, καὶ καθαίρειν τὸ θεωροῦν τοῦ νοός, πρὸς ἐκεῖνο τὸ ἓν μετεωριζόμενον καὶ ἀφορῶν, κἀκείνῳ προσανέχον τὸ ἀφ' οὗ τὰ πάντα, καὶ δι' οὗ, καὶ ἐν ᾧ τὰ πάντα. καὶ εἰς ὃ καὶ γίγνεται, καὶ ἔστι, καὶ ὑφέστηκεν.

ιθʹ. Τῶν πάντων ἐφετῶν ἄκρον, ἡ μετὰ τῆς ψυχῆς θεία, καὶ ὑπὲρ νοῦν ἕνωσις. διὰ τὴν θείαν ἕνωσιν, ἀναγκαία ἡ θεία ὁμοίωσις. διὰ τὴν θείαν ὁμοίωσιν, ἀναγκαῖον τὸ κατὰ νοῦν ἐνεργεῖν, ἤτοι θεωρεῖν. τοῦτο γάρ τοι καὶ τὸ θεῖόν ἐστιν, ἐξ οὗ καὶ τό, Θεός, ὄνομα τούτῳ ὑποτεθέμηνται. ἀλλὰ μὴν τὸ θεωρεῖν, εὐθὺς εἰς τὴν τοῦ Θεοῦ ἔννοιαν ἄγει· πανταχοῦ γὰρ καὶ ἐν πᾶσιν, ἀκτῖνας ὥσπερ τινὰς ἐνίησιν ὁ Θεὸς τοῦ θεωρητικοῦ νοῦ. καὶ νοῦς θεωρὸς ἀντικείμενον ἔχει τὸν Θεόν. Θεὸς δὲ ἐστιν ἓν ὑπερκόσμιον. ἔστι δὲ φύσις τοῦ νοὸς γίνεσθαι τοιαύτης ἐνεργείας, οἷα ὁρᾷ. ὡς καὶ ἡ θεολόγος τοῦ θειοτάτου Γρηγορίου φωνὴ δηλοῖ, λαμπρότητα Θεοῦ, λέγουσα, καὶ ἰδεῖν καὶ παθεῖν. ὃ γὰρ νοῦς ἑώρακε, τοῦτο καὶ πέπονθεν, ἢ δὴ τοιοῦτος καὶ γέγονε. βάπτεται γὰρ ὁ νοῦς, φησὶν ὁ ἀπὸ Δαμασκοῦ Πέτρος κατὰ τὰ αὐτῷ θεωρούμενα· καὶ ὡς ἐν διῃρημέναις ὁρῶν, καὶ ποικίλαις, ποικίλλεται, καὶ διαιρεῖται, οὔπω τοι πρὸς τὴν ἀπόβλεψιν τοῦ ὑπερκοσμίου καὶ ἁπλῶς ἑνὸς ἀναβεβηκώς, ἀκολούθως ἓν γίνεται, ὥς μοι λέλεκται πρόσθεν. ἐπεὶ δὲ ἐν τῷ ἑνὶ γένοιτο, τὸ ἄναρχον, καὶ ἄπειρον ὁρᾷ, καὶ ἀσχημάτιστον, καὶ ἁπλοῦν. τοιοῦτο γὰρ τὸ ἕν. ὅθεν δὴ τότε καὶ αὐτὸς ἄναρχος, ἄπειρος, καὶ ἀσχημάτιστος, καὶ ἁπλοῦς κατ' ἐνέργειαν ἀποκαθίσταται. τοῦτο δὲ πεπονθώς, καὶ οὕτως ἀλλοιωθείς, εἰς τὴν ἐξομοίωσιν τοῦ θείου κατὰ τὸ ἐνὸν ἀφικνεῖται. κἀντεῦθεν ἀνατρέχει πρὸς τὸ πάντων ἐφετῶν ἄκρον, τὴν θείαν, καὶ ὑπὲρ νοῦν, καὶ ἄρρητον ἕνωσιν. ὅπερ ἐστὶν ὁ ἄκρος κατὰ Θεὸν σκοπός. δεῖ δὴ διὰ ταῦτ' ἄρα τὸν νοῦν ἀναπετάσθαι, μηχανῇ πάσῃ ἐπείγεσθαι, καὶ ἀφορᾶν Πνεύματι πρὸς τὴν τοῦ ὑπερκοσμίου ἑνὸς θεωρίαν καὶ ἀπόβλεψιν.

Ὅταν ὁ νοῦς ἐν πολλοῖς, ἢ ἐλάχιστον ἢ κἂν ἐν δυσί, δῆλον ὅτι οὐχὶ τὸ ἁπλῶς ἓν ὁρᾷ. διὰ τοῦτο ὡρισμένος τε ἐστί, καὶ πεπερασμένος, καὶ ἀμυδρός. τὰ γὰρ μὴ ἀπολύτως ἁπλᾶ, τοιαῦτά εἰσιν. Ἡνίκα δὲ τῷ ὄντι ἑνὸς ἐν ἐπαφῇ γένηται ἀνεπάφως, κατὰ νοερὰν πως ἐν Πνεύματι ἀπόβλεψιν ἀναμμάτως ἐπιβαλών, ἄναρχος, ἄπειρος, ἀόριστος, ἀσχημάτιστός τε, καὶ ἀνείδεος γίνεται, καὶ τὴν ἀφασίαν ἐνδύεται. καὶ τὸ σιωπᾶν ἀσκεῖ μετ' ἐκπλήξεως. καὶ ἐμπίπλαται τερπωλῆς, καὶ πάσχει τὰ ἀνεκλάλητα. ἄναρχον, καὶ ἄπειρον δέ, καὶ ἀόριστον, μὴ κατ' οὐσίαν με οἰηθῇς λέγοντα γίγνεσθαι, ἀλλὰ κατ' ἐνέργειαν. ἐπείτοιγε καὶ ὃ μεταβάλλει νοῦς, οὐχ ἡ οὐσία ἐστὶν αὐτοῦ, ἀλλ' ἡ ἐνέργεια. εἰ γάρ τοι κατ' οὐσίαν ἠλλοίωτο, ἰδὼν καὶ παθὼν τὴν θέωσιν, ἤτοι θεωθείς, ἐκ τοῦ τὸν Θεὸν θεωρεῖν, ἦν ἂν κατ' οὐσίαν Θεός. ἀλλὰ μὴν οὐκ ἔστι τοῦτο, οὐδ' ἂν τῶν Ἀγγέλων οὐδείς, πλὴν τοῦ μόνου, καὶ ἄκρου, καὶ ἑνὸς Θεοῦ, τὸ κατ' οὐσίαν εἶναι Θεός. εἰ τοίνυν κατ' οὐσίαν θεοῦσθαι τὸν νοῦν εἰπεῖν ἄτοπον, λείπεται λέγειν τοῦτο πάσχειν αὐτόν, ἀνὰ τὸ ὁρᾶν. οὐκ ἄρα φύσιν ἔχει ἀλλοιοῦσθαι τὴν οὐσίαν αὐτοῦ, ἀλλὰ τὴν ἐνέργειαν. ἄλλως τε. εἰ μεταβάλλεται πεφυκότως ὁ νοῦς, ἧπερ εἴρηται, κατὰ τὰ αὐτῷ θεωρούμενα, θεωρεῖ δὲ ἥκιστα πάν- κʹ.

των τὴν θείαν οὐσίαν, ἀλλὰ τὴν ἐνέργειαν, οὐδ᾽ αὐτὸς ἄρα κατ᾽ οὐσίαν ἀλλοιωθήσεται, ἀλλὰ κατ᾽ ἐνέργειαν.

κα΄. Τὰ πάντα ἐκ τοῦ ὑπερκοσμίου ἑνὸς ὥσπερ ἐκλάμψαντα, οὐκ ἀπέστησαν, ὅθεν ἔσχον τὴν γένεσιν τρόπῳ παντί, ἀλλ᾽ ἐν ἐκείνῳ ὥσπερ ἐγένοντο, οὕτω καὶ συνέχονται, καὶ τελειοῦνται. καὶ οὐδέν ἐστιν ἐν οὐδενὶ τῶν ἁπάντων, ἐν ᾧ οὐκ ἔστιν ἀπόρροια, καὶ ὡσανεί τις ὀσμὴ ἐκείνου τοῦ ποιητικοῦ, καὶ ὄντος ἑνός· καὶ πάντα τὰ ὄντος μετέχοντα μονονουχὶ φωνὴν ἀφιᾶσι, παραδεικνῦντα οὐχὶ τὸ ὑπερκόσμιον ἕν. (τοῦτο γὰρ ὑπερίδρυται πάσης τῆς ὁποιασοῦν εἴτε θεωρίας, εἴτε νοήσεως), ἀλλά τινα ἀκτῖνα τοῦ ὑπερκοσμίου ἑνός. ὅθεν ἐπεὶ διὰ πάντων ἐπιβοᾶται τὸ ἕν, καὶ πάντα νεύει πρὸς ἕν, καὶ αὐτὸ τὸ ὑπερκόσμιον ἓν διὰ πάντων τῶν ὄντων προφαίνει ἑαυτὸ τῷ νοΐ· ἀνάγκη χειραγωγεῖσθαι, καὶ ποδηγεῖσθαι, καὶ ἄγεσθαι πρὸς τὸ ὑπερκόσμιον ἓν τὸν νοῦν. τοῦτο μέν, τῇ τῶν πολλῶν ὄντων πειθοῖ βιαζόμενον, τοῦτο δέ, καὶ ὅτι τὸ κτίζον ἕν, περὶ οὗγε ἡμῖν ἤδη ὁ λόγος ἐστί, βούλεται ὁρᾶσθαι ὑπὸ τοῦ νοὸς περιουσίᾳ χρηστότητος, ἵν᾽ ὁ νοῦς ἐν τούτῳ πάσχῃ τὸ ζῆν, ὥς αὐτό φησι τὸ ἄρρητον ἕν. ἐγώ εἰμι ἡ ζωή· καί, αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν. καὶ ἀλλαχοῦ. ἐκζητήσατε τὸν Κύριον, καὶ ζήσεται ἡ ψυχὴ ἡμῶν· ἐκ γὰρ ζητήσεως, ἡ ὅρασις. ἐκ ταύτης δέ, ἡ ζωή. καί, ὅπως γάνυιτο, καὶ φωτίζοιτο, καὶ εὐφραίνοιτο ὡς ὁ Δαβὶδ φησίν, ὅτι τῶν εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί. καί, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. ἤ, πῶς τὸν μὲν νοῦν ἔκτισε θεωρόν, τὰ ἑαυτοῦ δὲ ἐν ἅπασι τοῖς οὖσι διέσπειρε, δι᾽ ὧν, ὥσπερ διὰ τινων θυρίδων ἐν διαυγασμῷ νοερῷ τῷ νοΐ παραδεικνύμενον θέλγει κἀκεῖνον τοῦτον πρὸς ἑαυτὸ ἐλλαμπόμενον;

κβ΄. Ὁ Θεός, ὅπερ ἐστὶ τὸ Τριαδικὸν ἀγαθὸν ἕν, ὃ πεποίηκε, θέλων πεποίηκεν. ἀλλὰ μὴν ὃ ὁ Θεὸς θέλει, ἄκρον ἐστὶν ἀγαθόν. φύσις γάρ ἐστιν ἡ ἀγαθότης αὐτῷ. πεποίηκε τοιγάρτοι τὸν νοῦν, ἑαυτοῦ, ἢ τῶν ἑαυτοῦ θεωρόν. ὃ συνάγων οἶδε τὸν θεωροῦντα πρὸς ἕν. θελητὸν ἐστὶν ἄρα τῷ Θεῷ, τὸ θεωρὸν εἶναι τὸν νοῦν ἑαυτοῦ. καὶ τοῦτο δι᾽ αὐτὸ ἄκρως ἀγαθόν. Ὁ Θεὸς δὲ ἐστὶ τὸ Κυρίως καὶ ἁπλῶς ἕν. πρὸς ὃ ἀφορᾶν καὶ συνάγεσθαι ἑνοειδῶς, ἄκρως ἀγαθόν, ὡς δέδεικται.

κγ΄. Εἰ εἷς ἐστι, καὶ συνεπτυγμένος ὁ καθόλου ἔρως, κατὰ τὴν τῶν θεοσόφων ὑφήγησιν, ἕν ἐστι δηλονότι, καὶ τὸ ἐραστόν. εἰ γὰρ ἦσαν δύω πλάχιστοι καὶ ἐραστά, ἢ δύω ὑπῆρχον ἂν ἔρωτες, ἢ διχῆ διαμεμέριστο ὅγε εἷς ἔρως, καὶ ἥκιστα ὠνόμαστο εἷς, καὶ συνεπτυγμένος. Νυνὶ δὲ εἷς εἶναι λεγόμενος, καὶ συνεπτυγμένος ὁ καθόλου ἔρως, σαφῶς νοητέον ἂν εἴη, ἓν εἶναι καὶ τὸ ἐραστόν. ἀλλὰ μὴν πρόεστι τὸ ἐραστὸν τοῦ περὶ αὐτὸ ἔρωτος, καὶ οὐκ ἔστιν ὅπως, πρὶν αὐτὶς λάβοιτο τοῦ ἐραστοῦ ὁπηδήποτε, τὸν ἐρῶντα * χοίη αὐτοῦ. ἔστι δ᾽ ὁ ἔρως ἐπιτεταμένη ἀγάπη, ἣν πρὸς Θεὸν ἔχειν ἡμᾶς, ὅ, τε φυσικός, καὶ ὁ γραπτὸς Νόμος τοῦ Θεοῦ ἀπαιτεῖ. ὁ μὲν ἄκρως τὸν νοῦν φιλόκαλον ὄντα πόθῳ ἀντιλελῆφθαι τοῦ Κρείττονος, ὅ ἐστιν ὁ Θεός. ὁ δέ, ἀγαπήσεις, λέγων, Κύριον τὸν Θεόν σου, ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου. Κύριος δή τοι ὁ Θεός σου, Κύριος, εἷς ἐστί. ἓν ἄρα ἐστὶ τὸ ἐραστόν, ὅπερ ἐστὶν ἡ Τριαδικὴ ἑνάς. ἥτις δὴ καὶ προεῖναι ὀφείλει τῷ νῷ τοῦ περὶ αὐτὴν ἔρωτος. πρὸς τὸ ὑπερκόσμιον ἄρα ἓν ἀναπεπτᾶσθαι τὸν νοῦν ἐφίεσθαι δεῖ. ὡς ἂν τῇ εὑρέσει, καὶ θεωρίᾳ τούτου, καὶ ὁ περὶ αὐτὸ ἀναλάμψῃ ἔρως, καὶ πληρωτὴς ὁ ἄνθρωπος γενέσθαι δυνηθείη τοῦ τε νόμου καὶ τῆς

* ἴσ. χῶν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐντολῆς, ἀγαπήσας κατὰ τὰ εἰρημένα Κύριον τὸν Θεὸν αὐτοῦ.

κδʹ. Ἀμήχανον, ἀναβεβηκότα τὸν νοῦν πρὸς τὸ ὑπὲρ διάνοιαν ἕν, ἀνέραστόν πως γεγονέναι αὐτοῦ. Κάλλος γὰρ ἄρρητον, καὶ ἀνεπινόητον προκύπτον ἐξ αὐτοῦ, ὡς ἀπὸ παντοκρατορικῆς ῥίζης ἅπαντα. ὅτε καὶ ὡσπερεὶ δίκτυον διαρραγῆναι κινδυνεῦον τῇ τῶν πολλῶν ἰχθύων εὑρέσει καὶ ὁλκῇ, ὑπὸ τῶν θείων ἐλλάμψεων ὁ νοῦς εὑρίσκεται, καὶ τὸ ὑπὲρ νοῦν κάλλος ἐκπλήττεται θεωρῶν· καὶ ὡς ἀπὸ οἴνου μεθύσκεται· καὶ ὡς ὁ ἄφρων ἐξίσταται, καὶ τὸν ὑπὲρ ἔννοιαν πάσχει θαυμασμόν, τοῦ ἐξαισίου κάλλους τὸ ὑπέρκαλον θέαμα μὴ χωρῶν καθορᾶν. ὅθεν δήποτε καὶ δεσμοῖς ἀγάπης συνέχεται, καὶ ὡς ὑπὸ δίψης διάκειται καταφλεγόμενος. ἓν γάρ ἐστι τὸ ὑπὲρ διάνοιαν ἕν· ἀλλ' ὑπὸ πάντων κηρύσσεται, ὡς πάντων προκαταρκτικὸν αἴτιον· ὡς ἀρχή. ὡς τέλος. ὡς συνοχὴ τοῦ παντός. ἀλλὰ τῶν καλῶν καὶ ἀγαθῶν ἁπάντων τὰς καλλονάς, καὶ ἀγαθότητας ὑπερβλύσει καλλοποιοῦ, καὶ ἀγαθοποιοῦ δυνάμεως αὐτὸ παρήγαγεν, ὑπὲρ καλλονὴν πᾶσαν, καὶ ἀγαθότητα πᾶσαν ἀπειράκις ἀπείρως ἐνιδρυμένον, καὶ ἀσυγκρίτως ἓν ὂν ὑπερκόσμιον· μόνον φύσει ἐραστὸν ὑπὲρ πᾶν ἐραστόν, ὡς μόνον κυρίως καλὸν καὶ ἀγαθὸν ὑπερκείμενον παντὸς καλοῦ καὶ ἀγαθοῦ. καὶ μόνον νόμῳ φύσεώς τε, καὶ τάξεως τῷ ὄντι ἀγαπητόν, ὡς πάντων αἴτιον. καὶ ὡς τοσοῦτον, ὅσον τὰ ἀγαπητὰ πάντα, καὶ ἐραστὰ ὑπερβολῇ καλλονῆς καὶ ἀγαθότητος ὑπεραναβεβηκός. καὶ ἓν ὑπερκόσμιον ἀληθῶς, ὡς μόνον ὄντως ὄν, καὶ πάντων τῶν ὄντων παρεκτικόν. ἐπιστρεπτέον οὖν, ἀγαθῇ τύχῃ, ὃ δὴ λέγεται, ἐν Πνεύματι πρὸς τὴν τοῦ μόνου ἑνὸς εὕρεσιν, καὶ γνῶσιν, ὅθεν πάντων αἱ ἀρχαί, καὶ ὅπου πάντων τὰ πέρατα· καὶ πάντως αὐτομάτη ἡ τῆς θείας ἀγάπης πύλη ἡμῖν· χάριτι τοῦ Χριστοῦ ἀνοιγήσεται, καὶ εἰσελευσόμεθα εἰς τὴν κατάπαυσιν τοῦ Κυρίου ἡμῶν ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει πολλῇ, καὶ τὴν τοῦ ἑνὸς ἀπόλαυσιν ἐπιγνωσόμεθα, καὶ θείας τρυφῆς ἐν γεύσει ἐσόμεθα, ἓν καὶ αὐτοὶ γεγονότες καὶ οὐκ εἰς πολλὰ σχιζόμενοι, ἢ διῃρημένοι, κατὰ τὴν τοῦ Σωτῆρος πρὸς τὸν Πατέρα παράκλησιν, ἵνα ὦσι, φάσκοντος, ἕν, καθὼς ἡμεῖς ἕν ἐσμεν. τότε τοίνυν καὶ τῆς ἐντολῆς ἀκριβεῖς ἐσόμεθα φύλακες, ἀγαπήσεις, λεγούσης, Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν. καὶ τῆς κατὰ ἄνθρωπον τελειότητος ἐπιλαβόμεθα, ὅσον ἐφικτόν. τέλος γὰρ νόμου ἡ ἀγάπη ἐστίν. ἐν ᾗ οὐ μόνον ὅλος ὁ νόμος καὶ οἱ Προφῆται, ἀλλὰ καὶ πάντες κρέμανται οἱ τελειωθέντες κατὰ Θεὸν ἐν Χριστῷ.

κεʹ. Παντὸς ἐνίζεσθαι πεφυκότος τῷ Πνεύματι, ὕφεσίς ἐστιν ἡ διαίρεσις· ἔνθεν τοι καὶ ὁ νοῦς ἐνεργείᾳ ἔτι καὶ διαιροῖτο; ἔξω τοῦ κατὰ χάριν ἑπομένου αὐτῷ ἐστι. τοῦτο δὲ πάσχει διάφορ' ἄττα ὁρῶν, οὐκ ἔνεστι γὰρ ἐν διαφόροις ἀποβλέψεσιν ἔχειν τὸ ἀδιαίρετον. εἰ γάρ τοι τοῦτό τις ὑπόθοιτο, οὐχ εὑρήσει ἐκ τοῦ ῥᾷστου ἀποδιδόναι λόγον, τοῦ χάριν ὁ τῆς ἡσυχίας νοῦς, παρὰ τὸν τῆς συγχύσεως ἕτερος. καὶ τὸν τῶν θεοφορουμένων νοῦν, τῷ ὑπὸ τῆς τῶν παθῶν ἀνωμαλίας ἐνοχλουμένῳ ὅμοιον ἀποφανεῖται. ὅπερ ἄτοπον. ποικίλος γὰρ γινόμενος ὁ νοῦς ἐνεργείᾳ ὁποῖα ὁρᾷ, ἐξ ἀνάγκης ὁρῶν σύνθετα, καὶ αὐτὸς ποικίλλεται· καὶ τῆς ἁπλότητος διαπίπτων οὐκ ἔστιν ὅπως ἂν σχοίη ἐν τούτῳ τὸ ἀδιαίρετον. ὁ δὲ ὑπὸ διαίρεσιν κείμενος, πάντων ἐστὶν ἥκιστα ἀπὸ ἁμαρτίας καθαρός· ὁπότε καὶ αὐτὸ τὸ διαιρεῖσθαι καθ' αὐτό, τοῖς γε συνορᾶν εἰς τὰ τοιαῦτα δεδυνημένοις, ἁμαρτία κέκριται· εἰ δὴ τὸ νοερὸν τοῦ νοὸς χρῆμα διὰ τῆς πρὸς τὸ ἀνωτάτω καὶ ὑπερκόσμιον ἓν ἀναβλέψεως



Athos Library
Αγιορειτική Βιβλιοθήκη

* ἡ παρὰ αὐτοῦ ὡς διὰ μεταληπτῶς
* ἵσταται

τοῦ ὑπὲρ φύσιν γεγεῦσθαι ἱερᾷ αἰσθήσει καλοῦ ἑνοειδῶς χρεών, εἰς τὸ * παρὰ τὴν χάριν ἐξεστηκὸς * εἶναι τῆς διαιρέσεως· δεῖ δὴ ἄρα τοῦ ὑπερκοσμίου ἑνὸς ἔχεσθαι, καὶ ἀφορᾷν εἰς αὐτό, καὶ μόνον, καὶ μοναχῶς ὅλῃ ψυχῇ, εἰ διαφυγεῖν μέλλοιμεν τὴν διαίρεσιν, καὶ ἑτερότητα. οὐ μήν, ἀλλ' οὐδὲ εἰ πρὸς ἓν μὲν ἀπίδοι, κτιστὸν δέ, ἀδιαίρετος ἴσχει γενέσθαι ὁ νοῦς. τὸ γὰρ ἓν κτιστόν, οὐκ ἔστι λέγεσθαι κυρίως ἁπλοῦν, ὡρισμένον τε ἐστί, καὶ σύνθετον, καὶ περιγραπτόν, καὶ διὰ τοῦτο οὐδὲ τὸ ἁπλῶς ἓν ἔχει δίκαιον ὀνομάζεσθαι, οὐδὲ ἁπλῆν ἕξει, καὶ μονοειδῆ ὁ νοῦς τὴν σφετέραν ἐνέργειαν πρὸς τοῦτο ἀτενῶς ἀπιδών. ἔσται γὰρ ὡρισμένη καὶ περιγεγραμμένη ἡ τούτου ἀπόβλεψις μετὰ συνθέσεως, οἷόν ἐστι καὶ τὸ ὑπ' αὐτοῦ θεωρούμενον, καὶ τῆς θεοειδοῦς χάριτος τοῦ ἁπλοῦ, καὶ ἀνάρχου, ἀορίστου τε, καὶ ἀπεριγράπτου διατιθεμένης αὐτόν, ἐκπεσεῖται. καὶ τοῦ κρυφίου, καὶ ὑπὲρ διάνοιαν ἑνὸς ἔσται ἐκτός. καὶ τῆς σφετέρας δόξης, ἥτις ἐστὶν ἀπόλαυσις ἐναρχικῆς ἰδιότητος, καὶ ἀναρχότητος, ἀοριστία, καὶ ἁπλότης, καὶ τὸ ἀειδὲς ἑνοειδῶς γιγνομένη, ἐστέρηται. καὶ τοῦ ὑπερφυοῦς καὶ ἀρρητοτάτου κάλλους οὐκ ἐφίεται τὴν φαντασίαν παθεῖν. δεῖ δὴ ἄρα τὸν νοῦν πρὸς τὸ ἄναρχον, ἁπλοῦν, καὶ ἀόριστον, καὶ τῷ ὄντι ἓν ἀφορᾷν, καὶ ἀνατείνεσθαι· κἀκεῖθεν ἐπείγεσθαι καταλάμπεσθαι, καὶ τῇ ἀρχισυναγώγῳ ἑνάδι ἑνοῦσθαι, καὶ διὰ τοῦτο ἑαυτῷ. ἵν' οὐ μόνον ἀγαπηθείη παρὰ τοῦ κρείττονος, ὡς ὁμοιωθείς, ἣ ἕνεστιν αὐτῷ, τῇ τε ἀοριστίᾳ, καὶ ἁπλότητι, τῷ ἀνειδέῳ τε, καὶ ἀσχηματίστῳ. ἀλλὰ καὶ αὐτῆς τὸ θεῖον, καὶ ὑπέρκαλον κάλλος, καὶ ὑπερφυὲς ἀγαπῆσαι δυνηθείη, ὡς ἀναδεδραμηκὼς κατὰ τὰ εἰρημένα πρὸς τὴν ὁμοίωσιν. ἐπεὶ γὰρ τοῖς ὁμοίοις γίγνεσθαι φυσικῶς εἴωθεν ἀγαπητικὴ διάθεσις πρὸς τὰ ὅμοια, φανερὸν δήπουθεν ὡς ἀγαπηθήσεται, καὶ ἀνταγαπήσει ὁ νοῦς τὸν Θεόν. τὸ γάρτοι ὅμοιον, ὁμοίῳ ἐστὶν ὅμοιον. καὶ ὡς ἡ ὁμοιότης ἔχει τὸ ἀντιστρέφειν, ἕξει πάντως οὕτω καὶ πρὸς τῷ ἀγαπᾷν τὸ ἀνταγαπᾶσθαι· οὗ μεῖζον πάθημα μεταξὺ Θεοῦ καὶ ψυχῆς, ἐστὶν οὐδέν.

Ὑπὲρ τὴν ἑαυτοῦ φύσιν τότε ὁ νοῦς κς′.
γίνεται, ὅταν εἰς τὸ ὑπὲρ νοῦν γένηται παντελῶς, ἀνείδεός τε, καὶ ἀσχημάτιστος, καὶ τὸ ὅλον εὐθέως ἀμόρφωτος καταστάς, ἄναρχός τε καὶ ἄπειρος, καὶ ὡς ἔπος εἰπεῖν, ὑπὲρ τὴν ἰδίαν νόησιν. ὅταν δὲ τὸ σφέτερον διατηρούμενον ἔχῃ μεθ' ἑαυτοῦ, κἂν τοῖς θείοις εἴη καὶ νοητοῖς ἀσχολούμενος, τότε φυσικῶς λέγεται κινεῖσθαι, καὶ ἐνεργεῖν, καὶ εἰς τὴν ἑαυτοῦ φύσιν ἵστασθαι· κατὰ πολὺ δὲ ὑπέρκειται τὸ ὑπὲρ φύσιν τοῦ κατὰ φύσιν, καὶ ἔστι πάνυ ἀνώτερον. δεῖ δὴ φιλεῖν τοῦ ὑπὲρ φύσιν γενέσθαι ἐπείγεσθαι, ὡς μᾶλλόν γε κρείττονος κατὰ τὴν φάσκουσαν ἐντολήν, ζηλοῦτε τὰ κρείττονα τῶν χαρισμάτων· ἀλλὰ μὴν δηλονότι ὁ νοῦς εἰς τὸ ὑπὲρ φύσιν ὤν, ἔστιν ἐν τῷ Θεῷ. ἐξώτερος γάρτοι γιγνομένως φύσεως ὁ Θεὸς ἁπάσης, ὃς δήπου ἐστὶ τὸ ἀρχαιότατον, καὶ ἁπλῶς ἕν. δεῖ ἄρα πρὸς τὸ ἀρχαιότατον, καὶ ἁπλῶς ἓν τὸν νοῦν ἀνατείνεσθαι, καὶ ἐπείγεσθαι ἀφορᾷν, καὶ ἀνάγεσθαι, ὡς ἂν εἰς τὸ ὑπερφυὲς ἕν, ὑπὲρ τὴν σφετέραν φυσικὴν ἐνέργειαν ἀναβεβηκώς, βέλτιον ἕξῃ, ἤπερ εἰς τὸ ἑαυτοῦ κατὰ φύσιν ἱστάμενος.

Ἕκαστον τῶν ὄντων τοῖς ἑαυτοῦ ἰδίοις κζ′.
γάνυταί τε, καὶ ἀναπέπαυται φυσικῶς. ἃ πάντα ἐν τῷ ἀρχαιοτάτῳ αἰτίῳ προϋφέστηκε κατ' αἰτίαν ἑνοειδῆ. τότε τοίνυν εἰς ἀληθινὰς εὐφροσύνας ὁ νοῦς ἐλεύσεται φυσικῶς, καὶ γάνος ἕξει οὔτοι βραχύ, καὶ ἀναπαύσεται κατὰ κράτος, ὅταν πάντα διαβὰς καὶ καταλιπών, εἰς τὴν ἐναρχικὴν ἐκείνην καὶ πρωτίστην αἰτίαν ἀναπαυθείη, κἀκεῖ γένοιτο δι' ἐπιστροφῆς ἱερᾶς, τήν, ἐξ ἧς πάντα τε, καὶ τὰ πάντων γεγόνασιν, ἀρχαί τε, καὶ μέσα,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ τὰ τέλη. καὶ ἐν ᾗ πάντα ὑφέστηκε, καὶ διακρατεῖται, καὶ δι᾽ ἧς πρὸς τέλος ἴδιον ἄγεται τὰ τελειούμενα. καὶ δι᾽ ἣν ἀπαθεῖ τὰ εὖ πάσχοντα. ὑφ᾽ ἧς καὶ αὐτὸς ἤδη ὁ νοῦς, οἷός ἐστιν, ἔκτισται. τρόπον γάρ τινα πρὸς ἑαυτὸν ἐστὶ τὸν νοῦν ἐπιστρέφειν, πρὸς ἐκείνην τὴν κυρίαν καὶ πάντων αἰτίαν ἐπιστρεφόμενον, οὖσαν αὐτοῦ ἀληθὲς πρωτότυπον. ἐπειδὴ δὲ ἕκαστον ἑαυτὸ φιλεῖ φυσικῶς, καὶ μάλιστά γε τοῦτο πάσχει ὁ νοῦς, οἷα τοῦ ἀμηχάνου κάλλους τοῦ ὑπὲρ διάνοιαν ἑνὸς εἰκὼν ὑπέρκαλος, λίαν ἀγαπᾷ δι᾽ ἐπιστροφῆς ἀπιδὼν πρὸς τὸ ἑαυτοῦ αἴτιον, ὅτιπερ, καθὰ εἴρηται, ἑαυτὸν ὁρᾷ ἐκεῖσε ὁρῶν, καὶ ὑπεραγαπᾷ· καὶ ἄλλως δὲ, καὶ τοῦτο στοργή τις πέφυκε τοῖς ἐξ οὗ πρὸς τὸ ἀφ᾽ οὗ φυσικῶς ἀγαπητικὴ, ὥσπερ δὴ καὶ ἀνάπαλιν, ἔρως κατέχει τοῖς γεννήτορσι πρὸς τὰ γεννητά. διὰ τοῦτο πολλάκις ἀνακύπτει ἄρρητος ἡδονὴ πρὸς τὸ πάντων αἴτιον ἐπιστρέφοντι ἔν. πρὸς γάρ τοι τὸ ἐξ οὗ ἐπιστρέφει, καὶ πρὸς ἑαυτὸν, ὡς εἴρηται. ἐκεῖ γὰρ προϋφεστῶτα λόγῳ αἰτίας τὰ πάντα, καὶ δὴ καὶ ὁ νοῦς ὡς τῶν ἁπάντων ἓν, ἐνυπάρχει τῷ ὑπὲρ διάνοιαν ἑνὶ ὡς ἐν αἰτίῳ τῷ πρωτοτύπῳ.

κη΄. Ὥσπερ ἐκ τοῦ ὑπὲρ οὐσίαν ὄντος πᾶσα οὐσία, καὶ φύσις πᾶσα ἐκ τοῦ ὑπὲρ φύσιν, ἐκ τοῦ ἀχρόνου τε καὶ ἀσυνθέτου τὰ ἔγχρονά τε καὶ σύνθετα, ἔτι γε μὴν ἐκ τοῦ ἀκτίστου τὰ κτιστὰ εἶναι πεφύκασιν· οὕτω καὶ πᾶν εἶδος ἐκ τοῦ ἀνειδέου γεγένηται, καὶ ἐκ τοῦ ὑπερκοσμίου ἑνὸς τὰ πολλὰ φαινόμενα. Ὁ τοίνυν μὴ πρὸς τὸ ἀνείδεον ἓν ἀσχολούμενος, καὶ ἀφορῶν, καὶ ὥσπερ ἐκείνου ἐκκρεμαννύμενος, ἀλλὰ πρὸς ἄλλο τι τῶν ἐν εἴδει, καὶ κτίσει θεωρουμένων, οὗτος τὸ κατὰ ἀσύγκριτον λόγον ὑφειμένον, τοῦ ὑπερκειμένου πρότερον τέθεικε, καὶ τῶν εἰδωλολατρῶν τάχα ἐγγὺς ἕστηκεν. εἰς ὃ γὰρ ἠσχόληταί τις, καὶ πρὸς ὃ ἀφορᾷ, τούτου καὶ ἐφίεται. οὗ δὲ ἐφίεται, τούτῳ, καὶ ἥττηται. ᾧ δὲ ἥττηται, τούτῳ καὶ δεδούλωται. καὶ ὄντως λατρεύει γε οὗτος τῇ κτίσει παρὰ τὸν κτίσαντα. τούτῳ γὰρ ὁ ἑκάστου νοῦς καὶ δεδούλωται, καὶ λατρεύει καὶ ἀγαπᾷ, ὃ ἀφορᾷ, καὶ περὶ ὃ ἠσχόληται. εἰ δ᾽ ἡ παρὰ τὸ ἁπλοῦν ἓν καὶ ἀνείδεον ἀσχολία, καὶ ἀπόβλεψις τοσοῦτον ἀπολισθαίνειν ποιεῖ· πρὸς τὸ ἀνείδεον ἓν ἁπλοῦν ἡμῶν ἡ σπουδὴ, καὶ ἡ ἐπίγνωσις δι᾽ ἐπιστροφῆς καὶ ἀνατάσεως νοερᾶς. ἵναπερ οἱ θησαυροὶ πάσης εἰσὶ γνώσεως, καὶ οὗ γενομένοις, πάσης θεωρίας ἀνάπαυσις, ἢ ἀπόπαυσις, καὶ ἡ τοῦ νοεῖν στάσις, καὶ ὑπὲρ νοῦν σιγὴ, καὶ ἀνεκδιήγητον ἀγαλλίαμα ἐν πολλῷ θαυμασμῷ.

κθ΄. Εἰ πάντα τοῦ εἶναι τὰ ὄντα ἐφίεται. ἔστι δὲ πάντων τὸ εἶναι κατ᾽ αἰτίαν ἐν τῷ ὑπὲρ τὸ εἶναι ἑνί· πάντα ἄρα καὶ μᾶλλον τὰ λογικὰ τῶν ὄντων, ὀρθῶς καὶ ὡς χρὴ κινούμενα, τοῦ ὑπὲρ τὸ εἶναι ἑνὸς ἐφίεται τοῦ εἶναι ἐφιέμενα. ὁ ἄρα μὴ πρὸς τὸ ὑπὲρ τὸ εἶναι ἓν ἀνατεινόμενος νοῦς, μηδὲ τούτου ἐφιέμενος, διαστροφῇ, καὶ ἡμαρτημένῃ κέχρηται τῇ κινήσει, καὶ τοῦ οἰκείου διαπίπτει ἀξιώματος, ὅπερ ἐστὶ τοῦ ὑπὲρ τὸ εἶναι ἑνὸς ἡ ἐπίγνωσις, καὶ ἡ κατ᾽ αὐτὸ θειοτάτη ὑπὲρ νοῦν ἑνοειδὴς ἕνωσις, καὶ ἀγάπησις.

λ΄. Τὰ αἴτια περιττῶς ἔχουσι τὰς τῶν αἰτιατῶν καλλονάς. αἴτιον δὲ τῶν πάντων κοινῶς τὸ ὑπερούσιον ἕν, εἰ τοίνυν ὁ νοῦς προσέχοιτό τινι τῶν μετὰ τὸ ὑπερούσιον ἓν, ὡς καλῷ, ἢ ὡς ὅτι δήποτε νοερᾶς ἄξιον ἕλξεως, ἐναργῶς ἡμάρτηται ὁ σκοπὸς αὐτοῦ, φιλόκαλος μὲν ὤν, οὐχὶ δὲ πρὸς τὸ πρῶτον, καὶ Κύριον, καὶ ἐξ οὗπερ πάντα τὰ καλὰ, μετοχῇ γε εἰσὶ καλὰ, ὑπερούσιον ἕν, ἀλλὰ πρὸς τὰ ἐξ ἐκείνου μετέχοντα τῆς καλλονῆς, ῥαθυμίᾳ, ἢ ἀνεπιστημοσύνῃ κινούμενος. ὁ δὲ ἐπιτετηδευμένως διασκοπούμενος νοῦς, πρὸς τὸ ὑπερούσιον ἓν τὴν σφετέραν

ὑπο-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἀποτείνει τῆς διανοίας ἀνάβλεψιν, διαγινώσκων σαφῶς, ὅτι περατῶς τάξεται, οὗ ποθεῖ, ὡς ἐν αἰτίῳ, ἐν ἐκείνῃ τῇ νοερᾷ ἀποβλέψει γενόμενος, καὶ ὅτι οὐδέν ἐστι τῶν οἰκείων, ἢ ὁπωσοῦν καλῶν μεταδοτικόν, εἰμὴ τὸ ὑπερούσιον ἕν. Εἰ γάρ τοι καὶ δοκοίη ἄττα τινὰ δυνάμεως ὄντα μεταδοτικῆς τῶν ἰδίων, ἀλλ' οὐκ ἐς ἀεὶ παραμένειν πέφυκε ταῦτα τῷ ἐραστῇ νῷ. μόνῳ γὰρ τοῦτο τῷ Ἁγίῳ Πνεύματι ποιεῖν πεπίστευται, καὶ ὡς ἂν θέλῃ ἐνεργεῖν, καὶ ὁπουδήποτε, ὡς Κύριον, καὶ φύσεως ὂν δεσποτικῆς, καὶ τῆς Τρισυποστάτου ἑνάδος πρόσωπον. πρὸς ἄρα τὸ ὑπερούσιον ἓν ἐπιστρεπτέον ἐστὶ τὸν νοῦν. ὅπου γε οὐ μόνον ἡ τῶν ὁπωσοῦν πηγὴ ἀγαθῶν, ἀλλὰ καὶ τῶν χαρισμάτων ἡ ἀναφαίρετος διανομή.

λα΄. Πάντα τὰ ὄντα ἐφίεται φυσικῶς τοῦ ἀγαθοῦ. ἓν δὲ τὸ τῷ ὄντι ἀγαθόν, καίτοι πολλῶν λεγομένων ἀγαθῶν. ἁπλῶς γὰρ ἀγαθὸν καὶ οἱονεὶ παντέλειον ἐν ταῖς πολλαῖς διαιρέσεις οὐδέν, ἀλλὰ κατά τινα μετοχὴν ἀγαθοῦ λεγόμενον ἀγαθόν πη, ἐκ τοῦ ὑπερουσίου ἑνὸς τοῦ ἀγαθοῦ μετέχον, οὐκοῦν τοῦτ' ἔχον ἐξ ἑαυτοῦ. ἐκεῖνο γὰρ μόνον τὸ ὑπερούσιον ἕν, ἀγαθὸν ἁπλῶς, καὶ ὑπεράγαθον, καὶ πηγὴ πάσης ἀγαθότητος, καὶ τῶν ἑαυτοῦ μεταδοτικόν, καὶ πρὸς ἑαυτὸ φυσικῶς ἐπιστρεπτικόν, οὐσίας πάσης, ὑπάρξεως, ἕξεως, δυνάμεως, κινήσεως, ἐνεργείας, ἰδιότητος, καὶ ὁποιασοῦν καλλονῆς, καὶ ἀγαθότητος. καὶ ἁπλῶς τὰ ὄντα πάντα, καὶ τὰ περὶ τὰ ὄντα πάντα θεωρούμενα, ἐκεῖθεν ἐκ τοῦ ὑπερουσίου ἑνὸς ἔχον τὴν ἔκφανσιν ποιητικῶς. διά τοι τοῦτο νοῦς πρὸς ἄλλο τι καὶ μὴ πρὸς τὸ ὑπερούσιον ἁπλοῦν ἓν φερόμενος, ἡμαρτημένην ἔχει τὴν κίνησιν· κινούμενος μὲν ἴσως πρὸς ἀγαθόν, οὐ πρὸς τὸ κυρίως δέ, καὶ ἁπλῶς ἀγαθόν, οὐδὲ πρὸς τὸ καὶ τὰ ἄλλα ὑπερβολῇ ἀγαθοποιοῦ ὑπερχύσεως ἀγαθῦνον, καὶ βελτιοῦν τὰ ἀγαθυνώσεως, ἢ βελτιώσεως δεόμενα.

λβ΄. Ὁ μὲν τῶν πολλῶν νοῦς ὑπὸ τὴν διαίρεσιν τῆς ἀνοίας κείμενος καὶ διασπώμενος ὥσπερ ὑπὸ πολλῶν, οὐκ οἶδε τὸ ἀγαθὸν τὸ ἁπλῶς ἕν, οὔτε μὴν ζητεῖ, οὔτε ἠσχόληται περὶ αὐτό. περὶ ὧν φησι τὸ ἐν Δαβὶδ Πνεῦμα· „πολλοὶ λέγουσι τίς δείξει ἡμῖν τὰ ἀγαθά; οὐχὶ δὲ τὸ ἀγαθόν· καὶ εἰκότως· περὶ πολλὰ μεριμνῶντες καὶ τυρβάζοντες, ὅτι ἑνός ἐστι χρεία. οὐ τὴν μερίδα, ἥτις τῷ ἁγίῳ τοῦ Θεοῦ λόγῳ ἀγαθὴ ἀπεφάνθη, ἢ ἀγνοήσαντες παρέδραμον, ἢ ἀμελήσαντες ἐζημιώθησαν, μηδὲ εἰς νοῦν γοῦν βαλλόμενοι ζητῆσαι τὸ ὑπὲρ πάντα ζητεῖσθαι ἀξιώτερον. οἱ δ' ὑπὸ Δαβὶδ ἀχθέντες παιδαγωγῷ, καὶ τοῖς ἐκείνου ἴχνεσιν ἐξακολουθεῖν δεῖν κεκρικότες, ἐσημειώθη ἐφ' ἡμᾶς, φασί, τὸ φῶς τοῦ προσώπου σου Κύριε. ἤτοι ἡ γνῶσις τῆς ἑνιαίας δόξης σου ἐνεσημάνθη ὡς ἐν ἐσόπτρῳ ἡμῖν. οὕτως ἐν τοῖς πολλοῖς χαίρει ὁ χυδαῖος καὶ πολὺς λαὸς ἀγαθοῖς. οὕτως ἐναυγάζονται οἱ ζῶντες πνευματικῶς τοῦ ἑνιαίου, καὶ ἁπλῶς ἀγαθοῦ τὴν εἴδησιν ὑπερκοσμίως φωτιζόμενοι.

λγ΄. Ὥσπερ ὁ τοῦ ὑδατώδους ῥεύματος ὁλκός, μείζων ἂν εἴη ἑνοειδῶς προχεόμενος, ἤπερ διῃρημένος, καὶ ἀποσχιζόμενος εἰς πολλά· οὕτως ἡ τοῦ νοὸς ἀπόβλεψις, καὶ ἡ κατ' αὐτὸν κίνησίς τε, καὶ ἔφεσις, σφοδροτέρα ἔσται ἂν ἐπιβάλλουσα οὐ πολυσχιδῶς, οὐδὲ πολυτρόπως, ἀλλ' ἑνοειδῶς, καὶ δίχα διαιρέσεως. ὃ γίνεσθαι πέφυκε τῇ πρὸς τὸ ὑπερκόσμιον, καὶ ἁπλῶς ἓν ἀνατάσει, καὶ ἀποβλέψει, καὶ θεωρίᾳ. συναγωγὸν γάρ ἐστιν ἀληθῶς τὸ ὑπερκόσμιον, καὶ ἁπλούστατον ἕν· καὶ τοῦτο καθορᾶν ὁ νοῦς καταξιωθείς, οὐ δυνατὸν μή, ὡς εἰκός, κατ' αὐτὸ μορφωθῆναι, δίκην εἰκόνος, καὶ γενέσθαι μονοειδὴς ἐν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τάξει ἑνοειδῆ, ἁπλοῦς, ἄχροος, ἀνείδεος, ἄποιος, ἀναφὴς, ἀόριστος, ἄπειρος, ἀσχημάτιστος, καὶ μέν γε ἁπλῶς ἓν ὑπερκόσμιον, ἀκτῖσι θείαις, καὶ ὑπερκοσμίου ἔρωτος καταγλαϊσμένος, ἐν ἀποκαλύψει γνώσεως μυστικῆς, ἀφασίᾳ καὶ ἀνοησίᾳ ὑπὲρ λόγον, καὶ νόησιν κατεστεμμένος, ξυφῶν πνευματικὸν ἀγαλλίαμα, καὶ εὐφροσύνην οὐράνιον. κἄν γε ἠλλοίωται πρὸς τὸ θειότερον καὶ θείαν μορφὴν ἐνδέδεται, τὴν ἁπλῆν, καὶ ἀσχημάτιστον, καὶ ἀνείδεον, καὶ ἕν, καὶ τοῖς προειρημένοις ἑτέροις πνευματικῶς μορφαζόμενος. καὶ γοῦν εἰ μὴ τοῦτο αὐτὸ γένοιτο, καὶ πάθοι τὴν τοιαύτην θείαν ἀλλοίωσιν, ἐν ἑναφῇ, καὶ φαντασίᾳ τοῦ ὑπερκοσμίου ἑνὸς οὐκ ἂν ἐγένετο. ἑνὰς γάρ ἐστιν ἑνοποιὸς ὁ Θεός, καὶ νοῦς ὑπὲρ νόησιν. καὶ τότε καθόσον νοῦς ὑπερκοσμίως τοῦτο φαντάζεται, ὅταν σὺν τοῖς λελεγμένοις καὶ ἓν ὑπὲρ νόησιν γένηται τῇ θείᾳ φωτιστίᾳ τοῦτο παθών.

λδ΄. Τὸ τῆς ὑπερουσίου θεότητος τριαδικὸν, εἰς μοναδικὸν συνῆπται ὑπερφυῶς. μονὰς γὰρ τρισυπόστατός ἐστιν ὁ Θεός. οὐκ ἔστι τοίνυν εἰς ὁμοίωμα ἐμφερὲς τοῦ Θεοῦ γενέσθαι ψυχὴν εἰκονικῶς, μὴ καὶ αὐτὴν οὖσαν τριμερῆ, πρὸς ἑαυτὴν γεγονυῖαν ὑπερφυῶς ἕν. λέγω δὲ τριμερῆ τὴν ψυχὴν οὐ κατὰ τὸ λογιστικὸν καὶ θυμικὸν καὶ ἐπιθυμητικόν. κυρίως γὰρ οὐκ ἔστιν ἐν τούτῳ τριμερὴς ἡ ψυχή. οὐ γὰρ πάνυ τοι οἰκείως ἔχει λογικὴ ψυχὴ πρὸς ἐπιθυμίαν, καὶ θυμόν. ἔστι γὰρ ταῦτα τοῦ ἀλόγου μέρους παρειλημμένα, διὰ τὴν παροῦσαν ζωώδη βιοτὴν παρυφιστάμενα, ἄλογα, καὶ σκοτεινὰ καθ᾽ αὑτά. ἡ δὲ ψυχὴ λογική τε ἐστὶ, καὶ ἡ φύσις αὐτῆς ἔμπλεως φωτὸς νοεροῦ. καὶ δεῖ κυρίως ἐκεῖνα φάναι εἶναι αὐτῆς, ὧν χωρὶς, ἐνεργῆσαι τὴν ἑαυτῆς οὐ δεδύνηται ἐνέργειαν. ἀλλὰ μὴν θυμοῦ δίχα, καὶ ἐπιθυμίας ἐνεργεῖ, καὶ μάλιστα τότε ἀληθῶς ἐνεργεῖ, ὅταν τούτων ἐνεργῇ χωρίς· οὐκ ἄρα τῷ ὄντι μέρη ταῦτα αὐτῆς εἰσὶν, ἀλλ᾽, ὡς εἰρήκειν τῆς ζωώδους, καὶ κάτω τύχης δυνάμεις αὐτῇ παρυφεστήκασι. ψυχὴ γὰρ λογικὴ νοερῶς τὰ ἄνω περιαθροῦσα, καὶ φανταζομένη τὰ νοητὰ, καὶ ὑπὲρ ἑαυτὴν ἀνατεινομένη, καὶ οἷον εἰπεῖν, ἀναθρώσκουσα, πόρρω που ῥιπτεῖ ὡς φλυαρίαν εἰκαίαν, ἐπιθυμίαν, καὶ θυμὸν, μὴ ἔχουσα ἐν οἷς τούτοις χρήσαιτο, ὅπου ἁπλότης, καὶ τὸ ἀνείδεον, καὶ ἀσχημάτιστον, ἄχροόν τε, καὶ ἀμόρφωτον. καὶ τἄλλα ὅσα νῦν ἄφετον, καὶ ὅλως ἁπλοῦν ἀπαιτεῖ. ἔστι δὲ τριμερὴς οἰκείως τῇ ἑαυτῆς ἁπλότητι ἡ ψυχὴ, νοῦς οὖσα, χρωμένη λόγῳ, καὶ πνεύματι, τὰ ἑαυτῆς ἰδιαίτατα, καὶ τὴν ἑαυτῆς ἁπλότητα ἥκιστα πάντων λυμαινόμενα. ὅτι περ, οὐδὲ τὸ τριαδικὸν τῆς ἐναρχικῆς Θεότητος, ἧς εἰκὼν ἡ ψυχὴ ἐμφερὴς, τοῦ σφετέρου ἑνιαίου, καὶ ἁπλοῦ ἐμποδὼν ἵσταται· ἀλλ᾽ ἔστι καὶ ἁπλοῦν ἓν ἀκριβῶς ἡ Θεότης ὑπερούσιον, καὶ αὖθις οὐδὲν ἧττον καὶ οὕτως ἀρρήτως Τριάς. ταῦτα τοιγαροῦν ἡ ψυχὴ, ἤτοι ὁ νοῦς, (νοῦς γάρ ἐστι, καὶ τὸ ὅλον ὡς ἡ ψυχὴ) ὁ λόγος, καὶ τὸ πνεῦμα ὑπερφυῶς γεγονότα ἓν, τὴν κυρίαν ὁμοίωσιν παρέχεται ἡμῖν τῆς τρισυποστάτου μιᾶς Θεότητος. τὸ δὲ, οὐκ ἄλλοθεν ἔστι γενέσθαι, ὅτι μὴ ἐκ τῆς ἀναβλέψεως, καὶ θεωρίας τῆς ὑπερφυοῦς Τριαδικῆς Ἑνάδος. αὕτη γάρ ἐστιν ἡ καὶ τὴν ψυχὴν τοιαύτην πεποιηκυῖα, καὶ ἐπανάγουσα ταύτην εἰς τοῦτο, ἐκπεπτωκυῖαν. καὶ χωρὶς τῆς πρὸς αὐτὴν ἐνατενίσεως καὶ θεωρίας, τοῦτο γενέσθαι ἀμήχανον τῇ ψυχῇ. οὗ μὴ γεγονότος, μηδ᾽ ἐπανελθούσης τῆς ὁμοιώσεως, καὶ τοῦτον τὸν τρόπον ἐλλιπεῖς φανούμεθα· καὶ ταῦτα περὶ τὸ θεωρητικὸν μέρος, καὶ τὴν ἀλήθειαν, ἃ μάλιστα σπουδῆς ἀξιώτερα. καὶ ὧν χωρὶς, εἰς ἀπαθῆ κατάστασιν ἐλάσαι ἡμᾶς οὐκ ἐνδέχεται. ὥσπερ γὰρ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἰς τὸ ἀγαθόν, πρακτικῶς ἡμᾶς εἶναι δεῖ, ἵν' ὦμεν τῶν ἀπαθῶν· οὕτω καὶ πρὸς τὴν ἀλήθειαν θεωρητικῶς, ἵν' ὦμεν θεοειδεῖς, Θεοῦ τοῦ ἑνὶ πάντων λαβόντες, καὶ θεοὶ θέσει γενέσθαι καὶ εἶναι κατὰ τὴν θεμιτὴν ἐμφέρειαν τῆς ἀρχετυπίας ἐφιέμενοι. Εἰ δὴ ἓν γενέσθαι ἀναγκαῖον ἡμᾶς διὰ τὴν τοῦ πρωτοτύπου ὑπερκοσμίου ἑνὸς ὁμοίωσιν· τοῦτο δὲ ἡ πρὸς αὐτὸ τὸ ὑπερκόσμιον ἓν ἀνάβλεψις, καὶ θεωρία, καὶ ἀνάτασις, καὶ νοερὰ ἐπιστροφή, πέφυκε ποιεῖν ἡμῖν, καὶ τὸ πρὸς αὐτὸ τὸ ἓν ἀδιαστρόφως ἀποσκοπεῖν, ἄρα τρόπῳ παντὶ χρὴ πειρᾶσθαι ἀφορᾶν πρὸς τὸ ὑπὲρ διάνοιαν ἓν ὑπερκόσμιον. καὶ ἐκεῖσε ἐκκρεμαννύειν ὅλους ἑαυτοὺς ἀνενδότως πάσῃ, καὶ καρδίᾳ ὅλῃ, καὶ ψυχῇ. καὶ τρέφειν ἐν ἑαυτοῖς τὸν τοῦ ὑπερκοσμίου ὑπερηπλωμένου ἑνὸς ἔρωτα, καὶ μόνου· ὡς ἂν ὁ ἔρως αὐτὸς αὐτοῦ, ἀντὶ πτερύγων ἁγίων γένοιτο τῇ πρὸς αὐτὸ νοερᾷ ἀναφορᾷ ἡμῶν. καὶ οὕτω πάντοτε ὡς εἰς ἀέρα, ἐν αἰθερίῳ καταστάσει ἑνοειδεῖ σὺν Κυρίῳ ἐσόμεθα, τῷ τῷ ὄντι ἑνί, τριαδικῶς τὴν Τριάδα νοερῶς, λογικῶς τε, καὶ πνευματικῶς ὑμνοῦντες, καὶ εἰς αὐτήν, ὡς εἰκός, ἐκκεχηνότες, καὶ ἐκπληττόμενοι, καὶ τῇ καθ' αὐτῆς ἑνώσει τῷ ἑνὶ ἑνούμενοι ἑνοειδῶς ὑπὲρ ἕνωσιν.

λθ'. Μονὰς αἰσθητὴ παντὸς ἀριθμητοῦ πλήθους ἀρχή· καὶ μονὰς ὑπερκόσμιος, παντὸς φαινομένου τε, καὶ νοουμένου πλήθους, καὶ παντὸς ὄντος ἀρχή. ὥσπερ οὖν πᾶς ἀριθμός, ἀπὸ μονάδος ἔχει τὴν ἀρχήν, οὕτω πᾶν ὂν ὁπηδήποτε ἀπὸ τοῦ ὑπερκοσμίου προῆκται ἑνός, κατ' αἰτίαν, εἴτε φυσικήν, ἢ ποιητικήν. ἀλλὰ τῆς μὲν ἀριθμητικῆς μονάδος ἡ θέσις, ἐφ' ὅσον αἰσθητή ἐστι, τῇ ἑαυτῆς φύσει ἀκολούθως ἕπεται. * ἀρχὴ γὰρ οὖσα πάντων τῶν ὑπ' ἀριθμόν, καὶ ἡ αἴσθησις πρῶτα τίθησιν αὐτὴν ἀριθμοῦσα. ἐπὶ δὲ τοῦ ὑπερκοσμίου ἑνός, ὅτι ἐστὶν ὑπὲρ νοῦν, τὸ ἀνάπαλιν κατορθοῦται· φύσει γὰρ * οὖσα μονὰς τῶν πάντων προτέρα, ὁ νοῦς ταύτην μετὰ πάντα τίθησιν. οὐδεὶς γὰρ δεδύνηται νοῦς τὸ ὑπερκόσμιον ἓν ποιήσασθαι ἀρχήν, καὶ ἀπὸ τοῦδε προϊέναι ἐπὶ τὰ πολλά. ἀλλὰ τοὐναντίον, ἀπὸ τῶν πολλῶν εἰς ἐκεῖνο ἄνεισι, καὶ συνάγεται. κἀκεῖ μὲν ἀναγκαῖον τῇ αἰσθήσει τὸ ἀριθμητὸν ἕν, διὰ τὴν εἰς τὰ πολλὰ πρόοδον, ἄλλως μὴ ὂν δυνατὸν ἀριθμεῖν, ἢ προβαίνειν ᾗ βούλεται· ὧδε δὲ ἀναγκαῖα τῷ νῷ τὰ πολλά, διὰ τὴν εἰς τὸ ὑπερκόσμιον ἓν διὰ τούτων ἀναγωγήν, καὶ σύμπτυξιν οἷον ἑαυτοῦ, ἑτέρωθεν ἀνελθεῖν, ᾗ βεβούληται, ἐπὶ τὴν τοῦ ὑπερκοσμίου φαντασίαν ἑνὸς οὐδαμόθεν * δυνάμενος. οὕτω τοιγαροῦν ὁ νοῦς τάξει, καὶ ὁδῷ ἑαυτοῦ οἰκείᾳ χρώμενος, ἄρχεται μὲν ἀπὸ τῶν πολλῶν, τέλος δὲ ποιεῖται τὸ ὑπερκόσμιον, καὶ κορυφαιότατον ἕν· ἐπεὶ γὰρ εὔληπτόν ἐστι καὶ διάδηλον τὸ κατ' αἴσθησιν ἀριθμητὸν ἕν, φυσικῶς ἡ αἴσθησις τοῦτο τίθησιν, ὡς ἂν ἡ φύσις αὐτοῦ ἀπαιτῇ, καὶ τῇ θέσει πρότερον. ἡ δὲ κατὰ νοῦν ζητουμένη μονὰς ὑπερκόσμιος, ὑπερφυής τε οὖσα, καὶ τὸ νοεῖσθαι ἐκφεύγουσα, πόρρωθεν ἐστὶ καὶ τῆς κατὰ φύσιν ἑαυτῆς θέσεως, ὥστε ἀπ' ἐκείνης τὸν νοῦν ἄρχεσθαι, ἀλλὰ μᾶλλον οἷα ὑπερφυῆ, ὑπερφυῶς οὐκ ἀρχήν, ἀλλὰ τέλος αὐτὴν εὑρίσκει ὁ νοῦς μετὰ τὴν διάβασιν, καὶ ἵν' οὕτως εἴπω, ἐξαρίθμησιν τῶν πολλῶν. ἐπεὶ γὰρ ὁ νοῦς φύσιν τὸ νοεῖν ἔχει, τὸ δὲ ὑπερκόσμιον ἓν ἐστι καθ' αὐτὸ ἄληπτον καὶ ἀπρόσιτον, πρὸς τὰ πολλὰ καὶ ἄκουσα ἡ τριβὴ κλίνει τοῦ νοός. μήτε ἀργὸς εἶναι ἀπὸ τοῦ νοεῖν δυνάμενος ὁ νοῦς, μήτε τὸ κορυφαῖον, καὶ ὑπερκόσμιον ἓν ἔχων ἰσχὺν περιδράξασθαι. ἀπιδὼν τοίνυν εἰς τὰ πολλά, ἐν ἑκάστῳ τῶν πολλῶν ἁπάντων ἐνορᾷ νοητόν, οὐχ ὅπερ ἐστί τι εἶναι, ἀλλ' ὅπερ

* ὀρθότ. ἀρχὴν οὖσαν, ἢ ἀρχῆς γὰρ οὔσης

* ὀρθότ. οὖσαν μονάδα τῶν πάντων προτέραν

* ὀρθότ. δυναμένη, ἢ δυναμένῳ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τινὸς ἑνός· μᾶλλον δὲ συναγείρων ἐξ ἑκάστου φαινομένου ἕκαστον ἑαυτὸν προφαινόμενον, καὶ πρὸς ἄλληλα ταῦτα ὁμόλογα ὄντα, καὶ οὐκ ἀντίξοα θεωρῶν, καὶ πάντα μιᾶς ὥσπερ ῥίζης ἄνωθεν, καὶ φυῆς, ἀκολούθως πρόεισιν ἀπὸ τῶν πολλῶν, ἐπὶ τὸ κορυφαιότατον ἕν, ἐξ οὗ τὰ πολλὰ, καὶ πάντα, καὶ φυσικῶς συνάγεται ἀπὸ τῶν φυσικῶν ὄντων εἰς τὸ ὑπερφυᾶ, τὸ ὑπερφυὲς καὶ ὑπερούσιον ἐνοπτριζόμενος ἕν, ὡς ἔχει φύσεως τὰ ὑπὲρ φύσιν, ἀπὸ τῶν κατὰ φύσιν ὁρᾶσθαι ἐοικότως. τότε τοίνυν ὁ νοῦς τὴν πηγαίαν τῶν ἀγαθοτήτων, καὶ καλλονῶν ἁπάντων πρόβλυσιν, καὶ ποιήτριαν ἀρρήτως κατιδὼν καὶ ξυμφύσας τὸ ὑπερούσιον ἕν, οὐκ ἐθελοντὴς ἐπιστρέφεται πρὸς τὰ πολλὰ, καίτοιγε ὄντα καὶ καλὰ, καὶ μερίδος ἀγαθῆς μέτοχα. φιλόκαλος γὰρ ὢν ἐς τὰ μάλιστα φυσικῶς, οὐχ ἑκὼν ἐξίσταται τοῦ ὑπὲρ πάντα, εἰ μήπως τῷ περιστάσιν τινα συμβαίη τοῦτο αὐτῷ. ἀλλ' ἐπειδήπερ ὁ τῶν ὄντων τρόπος διάφορος, καὶ διάφορον ἔχει τὴν νοερὰν ἀπόβλεψιν, καὶ διαφόρως ὁ νοῦς διὰ τούτων εἰς τὸ ὑπερκόσμιον ἕν, καὶ ὑπερφυὲς ἀνατρέχει. χρὴ, καθάπερ ἐγῷμαι, μικρόν τινα διαμεθοδεῦσαι, τῆς διὰ τῶν πολλῶν ἐπὶ τὸ ὑπερουσίως ὑπερκόσμιον ἓν ὁδοῦ, πορισμόν· ὅπως ἂν, ὡσανεὶ κλιμακηδὸν ὁ νοῦς ἀνιὼν, ἀσφαλεστάτην τὴν σφετέραν ποιῆται κίνησιν, καὶ γνοίη εἴ τι ἄν ποτε κατ' αὐτὴν ἐλλείπει, ἢ εἰδῇ ποτ' ἔστιν ἐν ᾧ εἶναι χρὴ, καὶ τοῦτο ἐπὶ πόσον ἐντρυφᾷ, καὶ τί τὸ σφάλον, καὶ ἀφιστῶν αὐτὸν τῆς καλλονῆς ἐκείνης, καὶ ἀναβάσεως, ἢ θείας ἑστιάσεως, καὶ πῶς αὖθις γένοιτο οἱ, ἐπανακάμψαι ὅθεν ἐξώλισθε. ἐντεῦθεν δὴ γνώσεται, καὶ τὴν τῶν παθῶν ἀχλὺν, καὶ τὴν τῆς καθαρᾶς καρδίας διαύγειαν, τήν τε ἐπίγνωσιν τῆς ἀληθείας οἷά τις ἐστὶν ἐνοπτρισθείη, καὶ τῶν ἐπουρανίων θεαμάτων μέτοχος ἔσται, καὶ θείαν αἴσθησιν ἕξεται, καὶ οὐ λήσεται ἑαυτὸν αὔξων, ἢ πρὸς μείωσιν ἥκων, καὶ πολλῶν ἀξιαγάστων ἐν ἐπιστήμῃ γενήσεται, καὶ τὸν σκοπὸν τῆς ἡσυχίας τίς ἐστι κατανοήσει, καὶ τῆς ἐγκλείσεως. λέγομεν δὴ ὧδε. πάντα τὰ ὄντα μεμέρισται εἰς αἰσθητὰ κτιστὰ, κτιστὰ νοητὰ, νοητὰ ἄκτιστα, καὶ ἄκτιστον ὑπὲρ νοῦν ἓν ὑπερούσιον. ἐν τούτοις ὁ τῆς ψυχῆς στρεφόμενος ὀφθαλμὸς, ἤτοι ὁ νοῦς, καὶ πυκνῶς σώφρων, κἂν τῇ ἀσκήσει τὸ ἡσυχάζειν αἱρούμενος, αἴρεται ἀπὸ τοῦ τὰ εἰκότα καταμόνας πράττειν ὡς ἀπὸ βαθμίδος τινὸς εἰς τὸ θεωρεῖν, καὶ εἰς τὸ ὄντως ἓν καταγίνεσθαι, καὶ ἐντρυφᾶν τὰ οὐράνια, καὶ ταῖς ἀκτῖσι τῆς ἀληθείας, καὶ περιστρέφεσθαι, καὶ ἀγάλλεσθαι, καὶ πλουτεῖν εἰς ἄπειρον τὰ ἀΐδια, καὶ θαυμασίως ἥδεσθαι, καὶ γλυκαίνεσθαι. ἴσως δὲ, συνεργείᾳ τῆς χάριτος, καὶ ἄνωθεν ἁρπάζεσθαι, προϊόντος καιροῦ, καὶ βεβαιωθέντος τοῦ νοεροῦ φωτὸς ἑκτικῶς, καὶ ἀναισθητεῖν τῶν ὧδε τῇ τοῦ ὑπὲρ νοῦν κατοχῇ, καὶ φαντασίᾳ τοῦ ὑπὲρ πᾶν καλοῦ ἀσυγκρίτως. περιεκτικῶς δὴ τῆς ἱερᾶς ταυτησὶ Κλίμακος διῃρημένης, καὶ διὰ βαθμίδων ὥσπερ ἀνιούσης ἐπὶ τὸν ἄκρον σκοπὸν, οὐ τοπικὸν ἔχει διάστημα βαθμὶς ἀπό γε βαθμίδος, ἀλλ' ἡ διαφορότης, καὶ ὃ διέχει τὰς ἑτέρας ἕτερα, τάξις ἐστὶν, ὡσανεὶ ποιότητος, ἢ ἰδικοῦ τινος. οἷον ὄντα μὲν εἰσὶν ἐπίσης, τὰ αἰσθητὰ κτιστὰ, καὶ κτιστὰ νοητά· ἀλλὰ τὰ δεύτερα, πολλῷ τῷ μείζω τῶν προτέρων ὑπερτερεῖ, καθόσον αἰσθήσεως νοῦς ἰδικῷ καλῷ. πάλιν δ' αὖθις ὑπερέχει κατὰ πολὺ ἄκτιστα νοητὰ, νοητῶν κτιστῶν· ἀμφότερα τούτοιν στοίχου ἐν τοῖς οὖσι * κατειλεγμένα. ὑπερβεβήκασι μέντοι τὰ ἄκτιστα νοητὰ ὄντα τῷ ὑπὲρ νοῦν ἀκτίστῳ ἑνί· καὶ ἔστιγ' ἐντεῦθεν δῆλον, ὅτι τὸ ἐν τῷ ὑπερτεροῦντι τῶν ὄντων ἁπάντων ἵστασθαι, διαβαίνοντα τὸν νοῦν ἀπὸ πράξεως, καὶ ἐν ἐκείνῃ τῇ κορυφαιοτάτῃ

βαθμὶς α. ἡ πρακτική.

βαθ. β. βαθ. γ.

βαθ. δ.

* ἴσ. καταλεγμένα

βαθ. ε.

ἀποκρυφιότητι, τῇ ὑπερῳκισμένῃ πάντων αἰσθητῶν τε, καὶ νοητῶν γίγνεσθαι, ἡ κρείττων αὐτοῦ ἐστιν ἀπόβλεψις, καὶ θεωρία, ὥσπερ ἡ ταπεινοτέρα ἐν τοῖς αἰσθητοῖς κτιστοῖς, ἢ καὶ μᾶλλον ἐν τῷ πρακτικῷ. δεῖ δὴ φιλόκαλον ὄντα φύσει αὐτόν, τοῦ κατὰ πάντα τρόπον ἐφίεσθαι κρείττονος, οὐ μόνον ἵν' ἀπολαύσῃ, ἀλλὰ καὶ ἵνα πάθῃ τὴν κρείττονα, καὶ ὑπὲρ νοῦν, ὡς εἰκός, ἀλλοίωσιν· ἐφ' ὅσον, ὡς λέλεκται, ὁποῖα ὁ νοῦς ὁρᾷ, καὶ οἷα τρυφᾷ, τοιαύτην δέχεται καὶ ἀλλοίωσιν. πλὴν ἐπειδήπερ ἡ συμπεπλεγμένη τῇ τοῦ νοὸς φύσει τρεπτότης, οὐ μήποτε λήξει ἀπ' αὐτοῦ, ἕως ἂν τὸ σήμερον ᾖ, καὶ κατὰ τὸν λέγοντα, ἕως ἂν κινηθῶσιν αἱ σκιαί, τουτέστιν, ἕως ἂν μεταβῶμεν ἀπὸ τῆς παρούσης ζωῆς τῆς ἐν ἐσόπτρῳ, καὶ αἰνίγματι παραδεικνυούσης, σκιωδῶς ὥσπερ, τὴν ἀλήθειαν, χρὴ μεταπίπτοντας ἀπὸ τῆς τοῦ ἀκτίστου ὑπὲρ νοῦν ἑνὸς θεωρίας, καὶ ἀποβλέψεως, ἵστασθαι μηχανᾶσθαι, ὡς ἂν ἐγγυτέρω εἰς τὰ νοητὰ ἄκτιστα, ὅπως αὖθις θᾶττον εἰς τὸ ἄκτιστον ὑπὲρ νοῦν ἓν γένοιτο ἡμῖν ἡ ἐπάνοδος. παχυτέρας δὲ ἐπιπεσούσης ἀχλύος, καὶ τὸ νοεῖν ἐπισκοτιζούσης, καὶ ἀκηδίαν ἐπιχεούσης πρός γε τὸ θεωρεῖν τῷ νῷ, εἰς εὐχὰς πρακτικῶς ἐν καρδίᾳ ταπεινῇ τρεπτέον ἡμᾶς αὐτούς, καὶ τοῦ σκότους τῇ τῆς προσευχῆς δυνάμει, καὶ τοῖς δάκρυσι μεταχωρήσαντος, ὑποβάθραν πάλιν αὖθις ὥσπερ τινὰ ποιεῖσθαι, αἰσθητὰ κτιστά, προσενοῦντας τῇ καρδίᾳ ἐν ἐνεργείᾳ πνευματικῇ ἐνυποστάτῳ, φωτὸς νοεροῦ, καὶ προκατέχοντος τοῦ νοῦ δηλονότι, τὸ τῆς πρακτικῆς ἐπιστημόνως γε λίαν κράτος, καθὸ ἐπιβαίνειν ὁ νοῦς πέφυκεν ὥσπερ ἐπί τινος ἀκρωρείας, ἢ σκοπιᾶς δήπουθεν, καὶ θεωρεῖν τὰ πολλοῖς οὐ μόνον ἀθέατα, ἀλλὰ καὶ ἀζήτητα, καὶ ἀνεπινόητα. ἧς χωρίς, οὐδεὶς ὄψεται, οὔτε ἑαυτόν, οὔτε καὶ μᾶλλον τὸν Θεόν. περὶ ἧς πρακτικῆς ἐπιδρομάδην νῦν ἤδη εἰπεῖν, τάχα γε οὐ πόῤῥω σκοποῦ.

λϛ'. Τρία ἡ ψυχὴ ἔσωθεν ἔχει δεόμενα πράξεως. λογιστικόν, ἐπιθυμητικόν, καὶ θυμικόν· καὶ τρία ἔξωθεν. ἔφεσιν δόξης, ἡδονῆς, καὶ τοῦ πλούτου. ταύτας δὲ τὰς δύο Τριάδας ἐπιστημόνως ἡ ψυχὴ ἀφορῶσα ἐν τῇ τοῦ Ἰησοῦ Χριστοῦ ἐνσάρκῳ πολιτείᾳ, διὰ τῶν αὐτῆς τεσσάρων γενικῶν ἀρετῶν, φρονήσεως δηλαδή, δικαιοσύνης, σωφροσύνης, καὶ ἀνδρείας, ἐν τῇ χάριτι ἐξιοῦται τοῦ Κυρίου Ἰησοῦ, καὶ δίδωσι τῷ ἑαυτῆς νῷ ἀπερισκοπήτως μετεωρίζεσθαι, καὶ τὰ θεῖα περιαθρεῖν, καὶ θεωρεῖν τὸν Θεόν. ὅτε γὰρ ὁ Κύριος Ἰησοῦς ἤχθη ἐν τῇ ἐρήμῳ ὑπὸ τοῦ Πνεύματος καταπαλαίσων τὸν διάβολον, νηστείᾳ μέν, τὸ ἐπιθυμητικὸν ἐθεράπευσεν· ἀγρυπνίᾳ τε, καὶ ἡσύχῳ προσευχῇ, τὸ λογιστικόν· τὸ δὲ θυμικόν, ἀντιῤῥήσει. φιληδονίαν τε, φιλοδοξίαν, καὶ φιλαργυρίαν, ἐν οἷς πεινῶν οὐκ ἐζήτησεν, ὡς ὁ διάβολος ὑπετίθει, ἵνα οἱ λίθοι ἄρτοι γένωνται· οὐδὲ κάτω ἑαυτὸν ἔβαλεν ἀπὸ τοῦ ἱεροῦ πτερυγίου, ἵν' ὑπὸ τοῦ ὄχλου ὡς μηδὲν πεπονθὼς τῇ καταπτώσει δοξασθῇ· οὐδὲ προσκυνῆσαι ἐπείσθη ἐπὶ ὑποσχέσει λήψεως τοῦ πλούτου ἁπασῶν τῶν βασιλειῶν, ἀλλ' ἀντιῤῥήσει θυμοειδεῖ φρονίμῳ, καὶ * δικαίῳ, σώφρονί τε, καὶ ἀνδρείᾳ τὸν σατανᾶν ἀπεκρούσατο, καὶ ἡμᾶς ἐν τούτῳ διδάσκων τὴν κατὰ τῆς ἐφόδου πάσης ἧτταν αὐτοῦ. τοῦτο δή τοι αὐτό τις κἂν τῷ σταυρῷ τοῦ σωτῆρος ὄψεται, καὶ γνοίη ἄν. προσεύχεται καὶ γὰρ τῷ τότε καιροῦ ὁ σωτὴρ τῶν μαθητῶν ἑαυτὸν ἀφιστάς; τοῦτο ἴαμα τοῦ λογιστικοῦ. γρηγορεῖ, καὶ διαγρυπνεῖ, καὶ δίψαν ὑπομένει ἐν τῷ σταυρῷ; τοῦτο φάρμακον τοῦ ἐπιθυμητικοῦ. οὐκ ἀντιλέγει, οὔτε μὴν ἐρίζει, ἢ κραυγάζει, καὶ ταῦτα διαβαλλόμενος, καὶ ὑπὲρ τῶν ἐπηρεαζόντων προσεύχεται; τοῦτο τῆς ἀταξίας τοῦ θυμι-

* ἴσ. δικαίᾳ

κοῦ, τὸν μὲν διάβολον ἀντιῤῥήσει βάλλειν, ἀνθρώποις δὲ τοῖς ἐπηρεάζουσιν, ὡς καὶ αὐτοῖς ἐπηρεαζομένοις ὑπὸ τοῦ σατανᾶ, σιωπῇ, μακροθυμίᾳ, καὶ ὑπὲρ αὐτῶν ἀμείβεσθαι προσευχῇ. ἐμπτύεται, ῥάπισμα δέχεται, ὑπομένει εἰρωνείας, καὶ ἐμπαιγμόν; τοῦτο θεραπεία φιλοδοξίας. ὄξος ποτίζεται, χολὴν βρωματίζεται, σταυροῦται, λόγχῃ κεντᾶται; τοῦτο ἰατρεία φιληδονίας. γυμνὸς κρεμμανύεται, ὕπαιθρος, ἀνέστιος ἐπὶ τὸν σταυρόν, παρεωραμένος ἅπασιν, ὡς αὔτις πτωχὸς καὶ πένης; τοῦτο τῆς φιλαργύρου διαθέσεως κατάργησις. τῶν ἄρα ἔσωθεν παθῶν, καὶ τῶν ἔξωθεν ὁ σωτὴρ δὶς δέδειχε τὴν ἰατρείαν. ὁπηνίκα τῷ κόσμῳ φαίνεσθαι μετὰ τοῦ σώματος ἤρξατο, καὶ ὅτε τοῦ κόσμου ἀποδημεῖν ἔμελλεν· ὅθεν καὶ πρὸς αὐτόν, καὶ τὴν διδασκαλίαν αὐτοῦ, καὶ τὸν σταυρὸν ὁ ὁρῶν, καὶ τὸ ἐν ἑαυτὸν αὐτοῦ ποιούμενος μίμημα, φρονίμως, καὶ δικαίως, σωφρόνως τε, καὶ ἀνδρείως, ὥσπερ ἐκεῖνος, καταργήσει μὲν τὴν ἐπὶ κακῷ τῶν παθῶν ἐνέργειαν τουτονί, καὶ πάντων γε διὰ τούτων. χρήσεται δὲ αὐτοῖς ὡς δεῖ, καὶ μετὰ ταῦτα ἅπασι, καὶ πρακτικὸς ἀνὴρ ἔσται ἐν ἀληθείᾳ, καὶ πρὸς τὸ θεωρεῖν, καὶ πρὸς Θεὸν ἀνατείνεσθαι, καὶ σχολάζειν τῷ νοερῷ ἐνατενισμῷ ἑτοιμότατος· καὶ οὕτω γε ἀπὸ τῶν πολλῶν αὐτοῦ ὁ νοῦς αἰσθητῶν, κτιστῶν τοιγαροῦν ἐναρξάμενος, καὶ κατιδὼν τῆς σφῶν αὐτῶν καλλιεργίας τὴν εὐπραγίαν, καὶ νοήσας τὰ κτιστὰ νοητά, καὶ εἰς τὰ νοητὰ ἄκτιστα μετελθών, ὡς ἐν κλίμακι βαθμίδας ἤδη διελήλυθε τέσσαρας. μετὰ δὲ ταῦτα ἡ θεία καὶ ὑπὲρ νοῦν αὐτῷ ἕπεται ἀφθεγξία, καὶ σιγή, καὶ ἔκπληξις, καὶ συνελόντα φάναι, τοῦ ὑπερκοσμίου ἑνὸς ἡ ἀπόβλεψις, καὶ θεωρία, καὶ ὑπὲρ νόησιν ἕνωσις. ἡ τῆς ἡσυχίας κορωνίς, τὸ ἄκρον καὶ τέλειον ἐφετόν, ὅσον ἐν τῇ παρούσῃ ζωῇ· τῆς ἀληθείας τὸ πέρας. τῆς πίστεως ἡ ἐπικαρπία. ἡ διαυγὴς ἔλλαμψις τῆς ἐλπιζομένης δόξης. ὁ τῆς ἀγάπης θεμέλιος. ἡ τοῦ νοὸς στάθμη. ἡ στάσις τῆς κατ᾽ αὐτὸν ἀεικινησίας, καὶ ἀενοόντος παῦλα, καὶ ἑνοειδὴς κατάστασις. ἡ ὡς ἐν ἀῤῥαβῶνι ἐργασία τοῦ αἰῶνος τοῦ μέλλοντος. τὸ αἴτιον τῆς ἀφαντάστου χαρᾶς. τὸ τῆς εἰρήνης ταμεῖον. ἡ σβέσις τῶν τῆς σαρκὸς φρονημάτων. ἡ ἀποστροφὴ τοῦ παρόντος αἰῶνος. ἡ προσπάθεια τοῦ μέλλοντος. τὸ ἀποστάσιον τῆς ἐμπαθοῦς ζωῆς. ἡ συμφυΐα τῆς ἀπαθείας. τῆς ψυχῆς τὸ εὐφρόσυνον ἀγαλλίαμα, καὶ τῶν ἑαυτῆς κινήσεων καὶ δυνάμεων ἡ συναγωγή, ἀνάπαυσίς τε, καὶ φρουρά· καὶ ὁλικῶς εἰπεῖν, ἡ θεία γνῶσις, καὶ ἡ ἀπάθεια. δεῖ δὴ σκοπεῖν οἰκείᾳ ῥαστώνῃ, ἢ ἐξωτερικῇ τινι περιστάσει συγχυθέντα τὸν νοῦν, αὖθις ἐπὶ τὸ οἰκεῖον ἐπαναφέρειν τῆς θεωρίας καλόν, διὰ τῆς τοῦ ἐμποδὼν ἱσταμένου πάθους, καὶ ἐκ ποδῶν ποιοῦντος αὐτὸν τοῦ ἰδίου σκοποῦ, ἀποθέσεως, καὶ πόσον ἀπέστι τοῦ ἄκρου ἐφετοῦ, καὶ διατί· καὶ εἰ ἐν αἰσθητοῖς κτιστοῖς, ἢ κτιστοῖς νοητοῖς, ἢ νοητοῖς ἀκτίστοις εἴη τὸ ἑαυτοῦ θεωρεῖν· ἢ λογισμοῖς ματαίοις, ἢ κατὰ χρείαν τινὰ διαιροῖτο τοῦ προκειμένου, καὶ μόνου τῇ ἀληθείᾳ, καὶ ἑνὸς ὑπὲρ πᾶν ἓν ὑπερκοσμίου· καὶ ἀφαιρεῖν οὕτω τὰ μεταξὺ κωλύματα. ἵν᾽ αὖθις ἐπανέλθῃ ἑνοειδῶς, ὥς γε ἡ τάξις αὐτὴ ἀπαιτεῖ, ἐπὶ τὴν τοῦ ὑπερκοσμίου ἑνὸς θεωρίαν, καὶ ἀπόβλεψιν. ἔξω που γὰρ τοῦ ὑπερκοσμίου ἀκτίστου ὑπὲρ νοῦν ἑνὸς ὁ νοῦς διϊσκόμενος, ὑπὸ διαίρεσιν ἐστί, καὶ οὐκ εἰς τὸ κυρίως καλόν, κἂν κινοῖτο καλῶς. τοῦτο γὰρ ἐστὶ τὸ κορυφαῖον καλόν, τὸ ὑπὲρ νοῦν ὑπερούσιον, ἄκτιστον, καὶ ἁπλοῦν ἕν. καὶ τοῦτό ἐστι τὸ τῷ ὄντι τοῦ νοῦ ἄκρον ἀντικείμενον πέρας. καὶ γοῦν ὑγιῶς κινούμενος ὁ νοῦς, αὐτόσε διὰ τῶν εἰρημένων διϊκνεῖται ἀνιών, καὶ τὴν ὑπὲρ νοῦν πάσχει ἕνωσιν. διωκτέον δὴ ὅση δύναμις τὸ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἄπειρον, καὶ ἐρευνητέον τὸ ὑπὲρ νοῦν, καὶ θεωρητέον τὸ ἀνείδεον ὂν, καὶ καταληπτέον ἐξ ἐφόδου τὸ ἀκατάληπτον, ὡς ἂν τύχοιμεν τῆς ἑνιαίας τοῦ ἑνὸς κληρονομίας τοῦ ἄκρου Θεοῦ, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ζωοποιοῦ Πνεύματος, δι' ὧν ἐλλαμπόμενοι τῆς θεωρητικῆς ἀξιούμεθα χάριτος, καὶ Θεοὶ θέσει θεουργηθέντες γινόμεθα τῇ δωρεᾷ τοῦ Θεοῦ.

λζʹ. Ἐν τῇ τῆς θείας ἀποκρυφιότητος χώρᾳ ἀναβεβηκὼς ὁ νοῦς, φυσικῶς σιωπὴν ἀσκεῖ. ἑνωθεὶς τῇ ἁπλότητι, καὶ ἐξ ἑπομένου ἑνιαίως τῇ ὑπὲρ ἔννοιαν ἔτι ἐλλαμπόμενος τῇ μετοχῇ τοῦ Πνεύματος. τί γὰρ ἂν καὶ λέξῃ ὑπεράνω τῆς ἑαυτοῦ νοερότητος πεφθακώς, καὶ παντὸς ἔξω νοήματος καταστάς, καὶ γυμνὸς τὸ παράπαν, ὡς ὑπὲρ τὸ νοεῖν; εἰ γάρ τοι λόγος ὥστ' εἰπεῖν ἔτι αὐτῷ λείπεται, δῆλον ὅτι καὶ νοεῖ. πᾶς γὰρ λόγος μετὰ τὸ νόημα. καὶ εἰ ἔτι νοεῖ, πῶς ἐν τῇ τῆς ἀποκρυφιότητος χώρᾳ ἕστηκεν; οὐ γάρ ἐστι κρύφιον κυρίως, ὃ μὴ ἑτέρου ὁρῶντος, αὐτός γε ὁ νοῦς ὁρᾷ. ἐπεὶ οὔπω γ' ἂν πολλὰ λέγοιντο κρύφια, ὅτι πάμπολλα, ἤ, ἵν' οὕτως εἴπω, πάντα ὁ νοῦς ὅσα ὁρᾷ, μὴ γινώσκοντος ἑτέρου ὃ ὁρᾷ, τοῦτο ὁρᾷ· ἔσται ἄρ' οὔπω τὰ κρύφια καὶ τοῦ ἀπείρου ἐγγύς. ὅπερ ἄτοπον. ἓν γάρ ἐστι τὸ κυρίως κρύφιον, εἰς ὅπερ ὁ νοῦς μετὰ πάντα ἄνεισιν, ὡς εἰς τὸ ἐξ οὗ πᾶν, εἴτε φαινόμενον, εἴτε νοούμενον. ἀμέλει καὶ αὐτὸς ὡς εἰς τὸ ὑπὲρ πάντα ἀναδραμών, καὶ φαινόμενα, καὶ λεγόμενα, καὶ νοούμενα, ἔξω καὶ τοῦ νοεῖν, καὶ ὁρᾶν, καὶ λέγειν ἀποκαθίσταται, καὶ οὔπω ἐς τοσοῦτον ἀναβέβηκεν, οὐδ' ἐν τῇ θείᾳ γεγένηται κρυφιότητι, ἕως ἂν λέγειν δεδύναιτο. νοεῖ γάρ· ἀλλὰ μὴν τὸ κρύφιον, ἀνεννόητον, ἄρα καὶ ὑπὲρ λόγον ἐστίν· ἄρα ὁ νοῦς ἐν τῇ τῆς θείας ἀποκρυφιότητος χώρᾳ ἀναβεβηκὼς καὶ ἑνωθείς, ἑπομένως σιωπὴν ἀσκεῖ, οὐχ ἑκών, ἀλλὰ φυσικῶς, ἑνιαίως τῇ ὑπὲρ ἔννοιαν ἔτι ἐλλαμπόμενος.

λήʹ. Εἰ πρόσω προβαίνειν καὶ προκόπτειν ποιεῖν τὸν νοῦν οἱ λόγοι πεφύκασιν, ἆρα ἀναβιβάζουσιν αὐτὸν προκόψαντα, ὅπου λόγος οὐκ ἐφικνεῖται, ἀλλ' ἐν πράγματι δηλονότι τελουμένῳ σιωπῇ; εἰ δ' ἀεὶ λόγοι εἰσὶν ἱκανοί, καὶ ἀεὶ δεῖται αὐτῶν ἡ ψυχή, ἐγὼ οὐχ ὁρῶ τίς ἐστιν ἡ νοερὰ ἐκ τοῦ λέγειν προκοπή; οὐ γάρ τοι τὸ λέγειν μόνον ἐστὶν εἰς τὸ πράττειν ὀνήσιμον, ἀλλ' οὐδὲν ἧττον, καὶ εἰς τὸ θεωρεῖν. ἐν ᾧ γε ὁ νοῦς μέρει ἄνεισιν ἀπὸ τῶν ἐν σχήματι τούτων λόγων, ἐπὶ τὸ ἁπλῶς ὑπὲρ λόγον ἀσχημάτιστον, καὶ ἀπολύτως, καὶ κυρίως ὄν, ὁπηνίκα καὶ πᾶς λόγος δοκεῖ πάρεργον, ἢ τό γε ἀληθέστερον εἰπεῖν, ἐστὶν ἐμποδών· οἱ λόγοι γάρ, ἐν μεταβάσει τὸ καθόλου εἰσίν, ἀπὸ νοήματος τυχόν, εἰς ἕτερον νόημα. τὸ δ' ἁπλοῦν, καὶ ἀπόλυτον, καὶ ἀόριστον, καὶ ἀσχημάτιστον, καὶ ἁπαξαπλῶς ὂν κυρίως, καὶ ὑπὲρ λόγον κείμενον, πῶς λόγων δεήσεται, ἵνα που μεταβῇ; ἢ πῶς περιληφθείη ἄν; περίληψιν γάρ τινα ὁ λόγος ποιεῖν εἴωθε. τὸ δέ, ἀπερίληπτον, ὡς ἀόριστον, καὶ ἀσχημάτιστον. εἰ δὲ λόγος οὐκ ἂν ἁρμόσειε τῷ ὑπὲρ νοῦν κρυφίῳ ἔτι, ἀπεριλήπτῳ γε ὄντι, καὶ ἀσχηματίστῳ, ἄρα ἁρμόσει σιωπή. ἄρα * τὸ λέγειν καταλῆξαι προκόψαντας δεῖ εἰς τὸ σιωπᾶν, ἐφ' ὅσον πρὸς τὸ ἁπλῶς θεωρεῖν, καὶ ἀτυπώτως καὶ ἀσχηματίστως προβέβηκαν. * ἴσ. τῷ

λθʹ. Εἰ τῶν ἐγνωσμένων οἱ λόγοι, ἄγνωστον δέ, τὸ κρύφιον, ἔξω ἄρα λόγου τὸ κρύφιον. εἰ γὰρ ἀνωτέρω γνώσεως ἡ τοῦ κρυφίου ἀγνωσία ἐστί, τὸ δὲ ἀνώτερον γνώσεως, ἥκιστα δεῖται γνώσεως, πολλῷ ἔλαττον λόγου δεήσεται. ὁ εἰς τὸ κρύφιον ἁπλῶς ὢν ἄρα ἀναβεβηκὼς νοῦς, σιωπὴν ἀσκεῖ φυσικῶς. καὶ εἴ γε μὴ φύσει καὶ ἀνεπιτηδεύτως σιγῴη, οὔπω ἐν τῷ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κρυφίῳ καὶ ὑπερηπλωμένῳ ἐν ἑνὶ γέγονεν ἀναβεβηκώς.

μ΄. Ὥσπερ ἡσυχίαν ἀσκοῦντες ἄνθρωποι, καὶ τῆς κέλλης ἔσθ᾿ ὅτε προβαίνουσι, καὶ αὐτῇ πείρᾳ τὴν τοῦ καθῆσθαι καὶ προϊέναι διαφορότητα διαγινώσκουσιν, ἐπειδὴ καὶ τοῦ σιωπᾶν τυγχάνοντες, καὶ τοῦ λέγειν ἐς αὖθις γινόμενοι, οἱ θεωρητικῶς τῇ τοῦ Θεοῦ δόξῃ προσιζάνοντες, οἴδασι σφᾶς αὐτοὺς τίποτε καταστάσεως *ὄντες, τὸ σιωπᾶν αὐτοῖς ἐπιπίπτει φύσει, οὐ προαιρέσει· καὶ τίποτε ὄντες ὦσιν, ὅθεν πρὸς τὸ λέγειν κλίνουσι. καί γε ἐν οἷς σφίσιν αὐτοῖς ἐπέλθῃ τὸ σιωπᾶν, εὔχονταί γε, εἰ μηδὲ τὸ καθόλου στόμα διᾶραι ὑπῆρξεν αὐτοῖς ποτε, ἱσταμένοις ἐν ἐκείνῃ τῇ καταστάσει. Ἄγγελοι γάρ εἰσιν ἐπὶ γῆς ἕτεροι, ἑνοειδῶς, ἀνειδέως, ἀνομμάτως, ἀσχηματίστως, καὶ ἁπλῶς ἐν ἀμεταβάτοις νοὸς ἀποβλέψεσι τῇ ἀληθείᾳ συναπτόμενοι, μόνον μεθ᾿ ἑαυτῶν ἔχοντες τὴν ἔκπληξιν καὶ τὸν θαυμασμὸν χωρὶς τοῦ νοεῖν τι, μᾶλλον δὲ μετὰ τοῦ ἀνομμάτως ἐπιβάλλειν ταῖς ἀνάρχοις, καὶ θείαις ἐλλάμψεσιν. ἐκεῖθέν τοι κατιόντες τοῦ νοῦ ὡς ἔχοντες τὴν ξενότητα, καταντῶσιν ἐπὶ τὸ λέγειν, καὶ μεταβαίνειν ἱερῶς πολλαῖς, καὶ ποικίλαις ταῖς μεταβάσεσιν· καὶ ἵν᾿ αὖθις αὐτοῖς ἡ τοῦ σιωπᾶν κατάστασις ἐπανέλθῃ, ὡς κρείττων πολλῷ τοῦ λέγειν ὑπάρχουσα, τὴν ἡσυχίαν ἀσπάζονται, καὶ φυλάττονται μετὰ τῶν αἰσθητῶν τὰς αἰσθήσεις, καὶ πάσῃ μηχανῇ χρῶνται, πῶς ἂν φύγωσι μετὰ τοῦ λέγειν καὶ αὐτὸ τὸ νοεῖν, ἵν᾿ ἔχωσι λέγειν καὶ αὐτοὶ μετὰ τοῦ Δαβίδ, ἐκωφώθην, καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν. καὶ γὰρ ἓν καὶ τὰ ἀγαθὰ λέγειν κατωτέρω ἐστὶ τῆς μετὰ λόγου σιγῆς.

* ἴσ. ὄσι

μα΄. Οὔθ᾿ ὁλικῶς τὸ θεῖον ἐκπεφασμένον ἐστίν, οὔτ᾿ αὖ αὖθις κρύφιον· ἀλλ᾿ ὅτι μὲν ἔστιν ἐκπέφανται καὶ λίαν σαφῶς. τί δὲ ἐστὶν εἶναι, ἐστὶ κρύφιον. ἐς τὰ μάλιστα δὲ διενήνοχεν εἰδέναι τὸ τί ἐστι, τοῦ ὅτι ἐστί. τὸ μὲν γὰρ ἐκ τῆς ἐνεργείας δείκνυται, τὸ δὲ τί ἐστιν ἐκ τῆς οὐσίας ἐστίν. ὅπερ δὴ καὶ Ἀγγέλοις ἐπὶ Θεοῦ εἰδέναι ἀπέγνωσται. ἔστι γὰρ ὁ Θεὸς ὑπὲρ τοῦ εἶναι ἀπειράκις ἀπείρως, καὶ ὑπὲρ νοῦν πάντα, καὶ τὸ νοεῖσθαι. ὁπηνίκα τοίνυν ὁ νοῦς εἰς τὸ ὅτι ἐστὶν ὁ Θεὸς δεικνύοντα γένοιτο, τότε πολλὰ ἔχει λέγειν, καὶ φιλοσοφεῖν ἄριστα· φιλόσοφός τε δύναται λέγεσθαι, καὶ θεολόγος. ὅταν δὲ ὑπερκύψας, καὶ ὑπεραναβεβηκὼς ἀπὸ τοῦ ὅτι ἐστὶ τῇ θείᾳ περιληφθεὶς κρυφιότητι, τῇ φαντασίᾳ τοῦ τί ἐστιν ἐνεργούμενος, καὶ πάμπαν ἀνείδεος, καὶ ἀνέπαφος, καὶ ἀνόμματος κατὰ τὸ εἰκὸς γένηται διὰ τῆς χάριτος, πᾶς λόγος λέγειν περὶ Θεοῦ ὁ δυνάμενος μένει ἀργὸς, καὶ ἀκινητίζει ὁ νοῦς ἑνιζόμενος, εἰσδὺς εἰς τὸ ἀνεννόητον. καὶ τότε πᾶς τοῦ πάντων ἐπέκεινα γίνεται, ὅπου οὐ λόγος, οὐ νόημα, οὐκ ἐπίνοιά τις προχωρεῖ ποικίλλουσα, ἀλλ᾿ ἁπλότης, καὶ ἀκαταληψία, ἀφασία τε, καὶ ἔκπληξις. τὸ ἀσχημάτιστον, καὶ ἄπειρον, καὶ ἀόριστον, καὶ τὴν τοῦ ἀοράτου ξένῳ τρόπῳ ὁρᾷ ὅρασιν· καὶ τὸ ἀνείδεον εἶδος, ἀπόλυτος καὶ αὐτὸς, καὶ ἀνείδεος ἐν ἁπλότητι γεγονώς. καὶ κατὰ τὸ ἀοράτως αὐτῷ τεθεωρημένον, καὶ ἀνομμάτως ἐπιβεβλημένον, ἐν ἐπιτομῇ φάναι, εἰς ἑαυτὸν τὸ θεῖον, καὶ ὑπερφυὲς κάλλος ἀναχρωννύμενος, καὶ τὸν τοῦτον τοιοῦτον κτίσαντα γεραίρων Θεόν.

Οὐχ ὅτι μόνον ἁπλοῦς τυγχάνει ὢν μβ΄.
ὁ Θεὸς, ὑπὲρ πᾶσαν κείμενος σύνθεσιν, λέγεται ἕν. ἀλλ᾿ ὅτι καὶ κυρίως ὢν, μόνος αὐτὸς ἐν ἅπασιν οὖσι λεγομένοις, ἔχουσί γε τὸ εἶναι ἐξ αὐτοῦ. τὸ γὰρ μὴ κυρίως καὶ ἁπλῶς ὂν, οὐδὲ κυρίως καὶ ἁπλῶς ἐστιν ἕν· καὶ ὡς ὡσαύτως ὢν πανταχοῦ ἀπεριλήπτως, καὶ ὡς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μόνος πᾶσιν ἀνόμοιος, καὶ καθαρῶς πάντων ἐκτός. καὶ ὡς ἀΐδιος, μήτε ἀρξάμενος μήτε παυσόμενος. καὶ ὡς ἐν ἅπασι τὴν θείαν τῆς προνοίας αὐτοῦ ἀκτῖνα ἀχράντως ἐπιλάμπων ἐπίσης, εἰ καὶ μὴ ὁμοίως ἅπαντα ταύτην δεδεγμένα εἰσίν. ἔτιγε μὴν, καὶ ὡς πᾶσιν ἀσχέτως γνωριζόμενος, νοῦν ἀποίκιλον, ἀνείδεον, ἀσχημάτιστον, ἄχροον, πάντων τῶν ὁπωσοῦν ὄντων ἀνέπαφον, καὶ ἁπαξαπλῶς ἀπόλυτον, εἰς ἀπειρίαν ἀοριστίας, χρόνου τε, καὶ τόπου, καὶ φύσεως, καὶ τῶν περὶ φύσιν ὑπεραναβαίνοντα ἀπαιτῶν εἰς τὸ ἀμηγέπη ὀπτάνεσθαι ἑνοειδῶς ὑπὲρ ἕνωσιν νοεράν.

μγʹ. Ὅσον ὅτι ὑπὲρ τὸ νοεῖσθαι ἡ μεταξὺ Θεοῦ, καὶ τοῦ νοῦ γινομένη πνευματικὴ συναφὴ γίγνεται, λέγεται εἶναι τὸ τηνικάδε εἰς τὸ ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ὁ νοῦς τὸ ὑπερφυὲς ἀπόκρυφον ἐν αἰσθήσει νοερᾷ ἀπολύτως φανταζόμενος. αὐτός μέντοιγε ὁ νοῦς κατὰ φύσιν ὃ πάχει ἐστὶ τὴν ἑαυτοῦ, καθαρθεῖσαν τῇ χάριτι. τοῦτο γάρ ἐστι τὸ νοεῖν τῷ νῷ, ὅπερ ὀφθαλμῷ τὸ ὁρᾶν. ὥσπερ οὖν ὁ ἐν σκοτίᾳ εἴσω ὁρῶν, ὁρᾷ μὲν οὐδὲν, πλὴν ὁρᾷ ὡς αὖ ἓν ἐκεῖνο τὸ σκότος, καὶ ὁρᾷ ὅτι οὐχ ὁρᾷ. εἰ γὰρ κεκάλυπτο τοὺς ὀφθαλμοὺς, τάχα ἂν καὶ φῶς εἶναι ἐνόμισε περὶ αὐτὸν, καὶ πραγμάτων ἄττατινά. νῦν δὲ ὁρῶν, ἐναργῶς ὁρᾷ, ὅτι οὐχ ὁρᾷ. καὶ τὸ μὲν εἴσω τοῦ σκότους τὴν ὀπτικὴν διαβιβάσαι δύναμιν, καὶ εἰδέναι τὰ κεκρυμμένα, ὑπὲρ τὴν τοῦ ὀφθαλμοῦ φύσιν ἐστὶν, οὐκ οἶμαι γέ τι τὸ ὁρᾶν, ὅτι οὐχ ὁρᾷ. οὕτω δῆτα κἀπὶ τοῦ νοός, ἐν τῇ θείᾳ ἀναδεδραμηκότος ἀποκρυφιότητι, καὶ τοῦ νοεῖσθαι ἐπέκεινα γενομένου, θεωρεῖ μὲν οὐδέν· πόθεν γάρ; μέντοιγε θεωρεῖ, ὅτι οὐ θεωρεῖ. καὶ ὅτι ὃ οὐ θεωρεῖ, ἕν ἐστιν, ὡς γνόφῳ τινὶ ἀπόκρυφον. διὸ οὐ προχεῖται πᾶν ὁπηδήποτε ὂν, ἢ ὁρώμενον, ἢ νοούμενον, εἴτε τῇ κτίσει συναριθμούμενον, εἴτε ἀϊδίως ὂν ἄκτιστον. καὶ εἴπερ μὴ ἐθεώρει, οὐκ ἂν ἑαυτοῦ ἐπέκεινα ἑαυτὸν ἑώρα ὑπερεκτεινόμενον. νῦν δὲ θεωρῶν, ἐκφανέστατα θεωρεῖ, ὅτι οὐ θεωρεῖ, ὢν ὑπὲρ τὸ θεωρεῖν· καὶ ὅτι θεωρεῖσθαι ἀδύνατον ὃ οὐ θεωρεῖ. καὶ εἴσω μὲν τῆς θείας καὶ ὑπὲρ νοῦν σιγῆς ἀποκρυφιότητος εἰσιέναι καὶ θεωρῆσαι, ὑπὲρ τὴν τοῦ νοὸς φύσιν ἐστί. τὸ δὲ ἀποβλέψαι εἰς τὸν θεῖον γνόφον ἐκείνης τῆς ἀποκρυφιότητος, καὶ φαντασιωθῆναι τὴν ἄρρητον ἐκείνην, τὴν ἐν ἀνεκλαλήτῳ μυστηρίῳ ὑπερκειμένην ὑπὲρ ἅπαντα, καὶ ὅτι οὐ θεωρεῖ θεωρῆσαι εἴσω τοῦ θείου γνόφου οὐδὲν, καὶ πάνυ τοι καθαροῦ νοὸς ἴδιον, θεωροῦντος ἐν Πνεύματι. οὐ γὰρ κεκλεισμένην ἔχει καὶ μύουσαν τὴν νοερὰν ἀπόβλεψιν, καὶ ἀργοῦσαν ὁ νοῦς ὅτε θεωρεῖ, ὅτι οὐ θεωρεῖ, εἰ μὴ τὸ θεῖον, καὶ ἁπλῶς ἐν ἀποκρυφιότητι ἕν· τοῦτο γὰρ ἀμαθείας σύμβολον. ἀλλ᾽ ὅτε μᾶλλον ἐκφανῶς θεωρήσῃ, τότε εἰς τι ὑπὲρ νοῦν ἀνατρέχει, καὶ τότε θεωρεῖ τὴν ἑαυτοῦ ἀβλεψίαν ἐν τῇ τοῦ ἁπλουστάτου ἑνὸς ἀποκρυφιότητι θεωρῶν· καίτοιγε ὅτι ἕν ἐστι τὸ δι᾽ οὗ τὰ πάντα, καὶ ὅτι κρύφιον, καὶ μάλα σαφῶς θεωρεῖ. τί δέ ἐστιν ὃ θεωρεῖ, καὶ λέγεται εἶναι εἰς τὰ ὑπὲρ φύσιν ὁ νοῦς διὰ ταῦτα τὴν ἑαυτοῦ· ἐφ᾽ ὅσον ἐν τῇ τοῦ Θεοῦ ἁπλουστάτῃ ἐναποβλέπει ἀποκρυφιότητι. εἶναι δὲ τοῦτο αὐτῷ κατὰ φύσιν ἐστὶ καθαρῷ γεγονότι. καὶ οἷον εἰπεῖν κατὰ φύσιν ἐστὶν αὐτῷ ἐν τῷ ὑπὲρ φύσιν γίνεσθαι, ἀνομμάτως, τουτέστιν ἀνεπινοήτως * ἐπιβάλλων τῇ θείᾳ καὶ ὑπερηπλωμένῃ ὑπὲρ νοῦν ἑνικῇ ἀποκρυφιότητι. οὐ γὰρ ἔχει τότε τὴν ὁποιανοῦν γνωστικὴν ἀντίληψιν, ὅτι μὴ τὴν τοῦ ἀνεκφοιτήτου ἑνός. καὶ μὴν ἐκεῖσε γενόμενος δι᾽ οἰκείας αὐτῷ κινήσεως, εἰς στάσιν λήγει καὶ παῦλαν· οὐχὶ στάσιν λέγω ἀπόγε τοῦ θεωρεῖν. τοῦτο γὰρ μανικὸν τὸ πάθος· ἀλλὰ στάσιν καὶ παῦλαν, τοῦ

* ἴσ. ἐπιβάλλοντι

μετα-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

μεταβαίνων ἀπὸ νοήματος εἰς νόημα, ἢ θεώρημα. ὁ γάρ τοι νοῦς ἐκεῖσε ἀναπεπηδηκώς, ἐπειδὴ βυθῷ ἀπειρίας καὶ ἀοριστίας περιπίπτει ἐν φωτὶ νοερῷ, τῷ ἀπεριλήπτῳ περιτυχὼν τῆς θείας ἑνότητος ἀπειρότητι ἀποκρυφιότητος, οἷον εἰπεῖν, ἐκλείπει, καὶ ἵσταται, μηδὲν ἕτερον, ἢ τὴν ἔκπληξιν ἐν φαιδρότητι πάσχων νοερᾷ. καί γε μὴ μεταβαίνων, ὅμως τῷ νοερῷ φωτισμῷ ἐνεργεῖται ἀφορῶν ἀκινήτως ἐν τῇ ὑπερουσίῳ ἀποκρυφιότητι, ἑνικῶς τε καὶ μονοειδῶς τῇ ἀπροσίτῳ ἐνδότητι τῆς ἀνεκφοιτήτου πλαυγείας διαπορούμενος, καὶ καλλυνόμενος. εἰ δὲ ἦν ἀπὸ τοῦ θεωρεῖν ἀργός, πῶς ἂν ἔπασχε τὸ ἐκπλήττεσθαι καὶ φαιδρύνεσθαι; ἀλλὰ τοῦτον τὸν τρόπον λέγεται ἵστασθαι, αὐτόθι γεγονότα τὸν νοῦν, ὅτι ἀμετάβατος ἔχει τὸ ἓν θεωρῶν, καὶ τῇ τοῦ ἑνὸς ἀγλαΐᾳ καὶ προσπάσχων, καὶ χαίρων, καὶ λαμπρυνόμενος, καὶ ἵστασθαι μὴ κινούμενος. οὐ μὴν μόνων τὴν σφετέραν τῆς θεωρίας ἀπόλαυσιν. τοῦτο γὰρ φευκτὸν τὸ πάθος, καὶ οὐκ ἐπαινετόν, καὶ σκότους ἀγνοίας ἔμπλεον, μηδαμῇ μηδαμῶς θεωρεῖν. ἡ δὲ εἰρημένη στάσις τοῦ νοῦ, κατὰ ἀπρόσιτον φωτὸς ἔλλαμψιν γίνεται. καὶ θεωρία ἐστί, μὴ ζητοῦσα μετάβασιν, ἀλλὰ παῦλαν, καὶ στάσιν. ἄπειρον γάρ ἐστιν ἐκεῖνο τὸ ὑπερφυές, καὶ κρυφιόμυστον ὑπερούσιον ἕν, καὶ ἀνέκβατον τῷ παντί. καὶ ἄλλως τε ἐπὶ θεωρεῖν οὐ συγχωρεῖ τὸν θεωροῦντα αὐτὸν νοῦν, καθόσον ἂν εἴη μετειληφὼς ὁ νοῦς ἀνάλογος αὐτῷ καθάρσεως, καὶ θείας συνάρσεως. καὶ οὐκ ἄλλως μετέπιπτέ γε τῆς θείας ταυτηὶ θεωρίας, καὶ ὑπερκάλλου ἀγλαΐας, καὶ ἀπειρίας, ἢ ἀνθελκόμενος ὑπό τε προσπαθῶν, ἢ προσλήψει, ἢ ὑπὸ τῆς φυσικῆς, ἣν πάσχει ξενότητος.

μθ. Τοῦ νοῦ, φύσις τὸ νοεῖν· ἐν κινήσει δὲ τὸ νοεῖν, καὶ μεταβάσει. ἐπεὶ δὲ ὁ νοῦς ἐν Θεῷ γενόμενος, ὑπεράνω νοήσεως διΐσταται, καὶ κινήσεως. εἰκότως οὕτω λέγοιτ' ἂν ὁ νοῦς εἰς τὸ ὑπὲρ φύσιν ἑαυτοῦ γίνεσθαι ἀπολύτως τὸν Θεὸν φανταζόμενος. πᾶν γὰρ νόημα, δῆλον ὅτι ἐκ πράγματος γίνεσθαι πέφυκεν· ὅπου δὲ πρᾶγμα οὐ θεωρεῖται, νόημα οὔτε γενᾶται, οὔτε μὴν διΐσταται. ὁ τοίνυν Θεὸς μηδοπωστιοῦν ἔχων ὁρᾶσθαι πραγματικῶς φαντάζει τὸν νοῦν πεφυκότως ἐκ τῶν περὶ αὐτόν, ὧν δηλαδὴ ἐνεργεῖ· ἃ τύπον ἐπέχει δυνάμεως, ἐκτύπως προϊούσης δυνατοῦ. ἐφ' ὅσον οὖν δὲ ὁ νοῦς ἐν ἄλλοις ἅπασιν ἔσωθε τὰς δυνάμεις μετὰ τοῦ δυνατοῦ θεωρεῖν, τοῦτο ζητεῖ καὶ ἐπὶ Θεοῦ παθεῖν. καὶ ἀδυνατοῦ γιγνομένου· ὑπὲρ γὰρ τὴν φύσιν τοῦτο παντὸς κτιστοῦ νοῦ τὰ περὶ Θεὸν θεωρεῖν. καὶ τὸν Θεὸν ἀνοημάτως, ὃ λέγεται, ἁπλῇ φαντάζεται, καὶ ἀθρόᾳ ἐπιβολῇ. ἐντυχὼν δὲ ἀθρόος δραξάμενος, καὶ θείας εὐμενείας γενόμενος ἐπιτυχής, καὶ ἐνεργοῦντος ἐν ἑαυτῷ τοῦ θείου, καὶ προσηκόντως πνεύματος γ' ἐκ τοῦ νοεῖν συνεχέστερον, ἁρπάζεται εἰς ἀνείδεον, καὶ ἄποιον, καὶ ἁπλῆν κατάστασιν, εἴσω καρδίας ὡς τάχος εἰσδύων, δυνάμει τοῦ πνεύματος ὑπερφυεῖ. καὶ ἱστάμενος ἐν φαντασίᾳ Θεοῦ, καὶ μηδὲν νοῶν, ἀλλ' ὑπὲρ τὸ νοεῖν γιγνόμενος, δι' ὅπερ ὅτι ἀπὸ τοῦ τὰ περὶ Θεὸν νοεῖν, ἄνεσιν εἰς θείαν φαντασίαν, ἣ εἴρηται, ἁπλῶς ἀποκαταστάς, λέγεται ὅτι εἰς τὸ ὑπὲρ φύσιν ἑαυτοῦ τελεῖ, ὅτι γίγνεται ὑπὲρ τὸ νοεῖν.

Πᾶν δ' οὖν τὸ λεγόμενον κρύφιον, ἔχειν ἀνάγκη τι προφαινόμενον, ὅθεν ὅτι τοῦτο κρύφιον ὑφορᾶται. εἰ γὰρ μή, τῷ μὴ ὄντι προσέοικε μάλιστα. τὸ γὰρ ὁλικῶς μὴ διδὸν ἔμφασιν γνωστικὴν ὀντότητος ὁπωσοῦν, ἴσον νομισθείη ἂν τῷ πάντῃ μηδαμῶς ὄντι. ἀμέλει δῆτα καὶ τῷ τοῦ Θεοῦ κρυφίῳ συνυπάρχει τινὰ προφαινόμενα. οἷς οἷα ἰχνηλατῶν ὁ νοῦς τῆς θείας ἀποκρυφιότητος αἴσθησιν δέ- μέ.

χεται, καὶ καταληπτῷ τοῦ Θεοῦ ἀνιὼν πρὸς τὸ ἀκατάληπτον. ἐν ᾧ γενόμενος ἐπίσταται, ὅτι ἔστι τὶ ἀκριβῶς, ὃ διαφεύγει τὴν ἑαυτοῦ φυσικὴν κατάληψιν· ὑπεράνω κείμενον πάσης νοερᾶς καταλήψεως, καὶ Ἀγγελικῆς ᾑστινοσοῦν, ὡς * ὑπερφαές. καὶ πάσης μὲν φύσεως, καὶ οὐσίας, καὶ ὄντος παντὸς αἴτιον, καὶ ἀρχή, καὶ πέρας, αὐτὸ δὲ ὑπερφυές, καὶ ὑπερούσιον, ἁπάσης ὑπερανῳκισμένον ἀπείρως ὀντότητος. ἀγέννητόν τε, καὶ ἄναρχον, καὶ ἀόριστον, καὶ φύσει, καὶ τόπῳ, καὶ χρόνῳ ἁπλῶς ἀπερίληπτον· καὶ τοῦτό ἐστι τὸ ἀπόκρυφον ἓν ὑπὲρ νοῦν. καὶ ἔστιν ἡ θεία κατάληψις φυσικῶς ἐξ αὐτοῦ προϊοῦσα, παμπόλλη τις οὖσα, καὶ ἡμᾶς αὖθις ἐπ' αὐτῆς ἐπανατείνουσα, καὶ ὅσον ἀνακυκλοῦσα νοεραῖς χειραγωγίαις, καὶ ἐπιστροφαῖς, καὶ ἀνατάσεσιν ἐπὶ τὸ ἀρχικὸν ἀπόκρυφον ὑπερφυὲς ἕν· τοσοῦτον ἑνοῦσα ἡμᾶς τούτῳ, ὅσον νοῆσαι ὅτι ἐστί, καὶ ὅτι ἕν ἐστιν· ἔγωγε μὴν καὶ ὅτι τρόπῳ παντὶ ἀδιανόητόν ἐστι, τὸ τί ἐστιν εἶναι εἰδέναι τοῦτο τὸ ἀπόκρυφον ἕν. τὸ δὲ ὑπεράνω τῶν εἰρημένων καὶ ἐκφεῦγον διάνοιαν, πῶς ἂν λόγος διεξοδεύειν δεδύνηται; ὃ δὲ λόγος διεξοδεύειν οὐ δεδύνηται τοιὸν, ἀφθέγκτως, καὶ ἀρρήτως, καὶ ἐν σιωπῇ ὁ νοῦς ὑπὲρ ἔννοιαν ἑνοειδῶς ἀφορᾷν ὡς ἀπόκρυφον, καὶ χαίρειν ὡς αἰτίῳ, καὶ προμηθεῖ. καὶ ἐκπλήττεσθαι ὡς ὑπερφώτῳ, καὶ ὑπεραγάθῳ, ὑπερσόφῳ τε, καὶ ὑπερδυνάμῳ, καὶ θείας ἀπολαύειν ἐκ τούτου ἀγαλλιάσεως, ὡς οὖσιν ἀπείροις, καὶ ἀορίστοις ἅπασιν, οἷς ὁρᾶται τὸ ὑπερούσιον ἀπόκρυφον ἕν, καὶ πάνυ τοι φύσεως λογικῆς ἀκολούθημα. ἀνακόλουθον δέ, ἐν τοιούτοις ὄντα τὸν νοῦν, λόγοις χρῆσθαι, καὶ διεξοδεύειν μεταβαίνοντα. ὁ ἄρα χρώμενος οὐχὶ τὸ σιωπᾶν, ἀλλὰ τὸ λέγειν, τῆς ἄκρας ἐλλείπει τοῦ νοῦ καταστάσεως. αὕτη γάρ ἐστιν ἡ ἄκρα τούτου κατάστασις, ὡς καὶ παρὰ τῶν μηδὲν ἀληθείας προτιθεμένων ὁμολογούμενον τὸ· τὸ ἐν τῷ ἀκροτάτῳ τῆς αὐτοῦ ἐνεργείας γεγενῆσθαι. ἀκρότατον δέ ἐστιν, ἡ πρὸς τὸ ἀκρότατον αὐτοῦ ἀπόβλεψις, ἥτις καὶ ἀνομμάτως τελεῖσθαι λέγεται· πολλῷ ἄρα ἔλαττον, καὶ ἀλαλήτως.

* ἴσ. ὑπερφυές.

Ἐπιβάλλοντος τοῦ νοῦ ἀνομμάτως τῇ θειοτάτῃ ἑνικῇ, καὶ ὑπεραρχικῇ, καὶ κορυφαιοτάτῃ ἀποκρυφιότητι, παραδοχή, καὶ αὐτὴ ἀνόμματος, ἐκεῖθεν ἔπεισιν ἐπὶ τὸν νοῦν ἑνοειδής, καὶ μονοειδὴς ὑπερκάλλους καὶ ὑπερφαοῦς, καὶ ἀρρήτου ἀγλαΐας πεπληρωμένη· καὶ εἰς βυθὸν θαυμασμοῦ, καὶ ἐκπλήξεως προκαλουμένη τὸν νοῦν ἐν σιγῇ· προκατέχουσά τε τὴν καρδίαν ἐνεργείᾳ πνευματικῇ, καὶ χαρᾷ γλυκερᾷ· ἐκείνη γίνεται τῷ νοῒ νοερὸς φωτισμός, ἔλλαμψις, καὶ θεῖος κατὰ τὸ ἀνάλογον ἔρως καὶ φαιδρὸν ἀγαλλίαμα. ἔχει δὲ τὴν ἀφορμὴν ἐκ Θεοῦ· ὅθεν πᾶσα δόσις ἀγαθὴ διὰ τῆς τοῦ νοῦ καθαρότητος. καὶ τὴν, ὡς ἂν εἴποι τις, ὕλην ἐκ τῶν ἀνὰ μέρος θείων ἐμφάσεων τῶν γραφῶν, καὶ τῶν ὄντων τεθεωρημένων συνετῶς μετ' εὐθύτητος ἐν ἡσυχίᾳ καὶ προσευχῇ. οὐ γὰρ ὡς ἔτυχεν ἀφορᾶται τὸ ἀπόκρυφον ἐνδότατον τοῦ θείου ἓν ὑπὲρ ἔννοιαν, ἀλλ' ἐν προϊούσῃ ἐκεῖθεν αἴγλῃ ἑνοειδεῖ τὴν ἀπόβλεψιν, καὶ θεωρίαν ὑπερεμπληρούσῃ τὴν νοεράν· ὅπερ ὁ μὴ παθών, λογικῶς τε καὶ γνωστικῶς ἔξωθεν ἄτεισιν εἰς τὸ ὑπερφυὲς ἀπόκρυφον ἁπλοῦν ἕν, οὐ καρδιακῶς ἐνεργούμενος, οὔτε δὴ νοερῶς ἐλλαμπόμενος. μς'.

Ἡ διαυγεστάτη ἑνοειδής τε, καὶ μονοειδὴς τοῦ νοὸς ἐν τῷ Θεῷ θεωρία, ἐπιβάλλουσα τῇ ἑνικῇ θείᾳ ἀποκρυφιότητι, καὶ τῇ ἐξ αὐτῆς ἐξαστραπτούσῃ αἴγλῃ θείαν τηλαυγείαν παραδεδεγμένη ἀνάρχου καὶ ἀπείρου φωτοβολίας, οὐ μόνον στόματος σιωπὴν ἀπαιτεῖ, ἀλλὰ καὶ νοός. ἔξεστι γὰρ καὶ στόματος σιωπὴν ἄγοντος, εἴσω τὸν νοῦν διατίθεσθαι, καὶ εἰς λογισμοὺς μζ'.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

καὶ νοήματα μεταβαίνειν, καὶ ποικίλλεσθαι· ὃ λόγος ἂν εἴη τοῦ ἐνδιαθέτου. οὗ πόῤῥω νοῦς ἀναδεδραμηκὼς εἰς τὴν ὑπερηπλωμένην τῆς θείας ἑνάδος ἀτύπωτον ἀποκρυφιότητα. ἄλλο γάρ ἐστι τὸ θεωρεῖν τοῦ νοός, καὶ τὸ διατίθεσθαι, καὶ διανοεῖσθαι, ὅπερ ἐστὶ τοῦ ἐνδιαθέτου λόγου, ἕτερον. ἐντεῦθεν ἐν κτιστοῖς, καὶ συνθέτοις, ἢ ἄλλως πως ποικίλλοις γεγονὼς ὁ νοῦς πράγμασι, πρῶτον θεωρεῖ, κἄπειθ' οὕτω διανοεῖται ποικιλλόμενος. καίτοι ἐν πράγματι πολλάκις ἑνί, εὕροι ἂν οὐκ ὀλίγα νοήματα. ἐν δέ γε τῇ ἑνικῇ, καὶ μονοειδεῖ ἐκείνῃ καὶ ἐνδοτάτῳ θείᾳ ἀποκρυφιότητι, ἀνατείνει μὲν καὶ ἀναπλοῖ τὸ θεωρητικὸν σφέτερον ὄμμα, καὶ τῇ ἁπλότητι τῆς θείας αὐγῆς καταλάμπεται. ἥκιστα δὲ ἔχει διανοεῖσθαι διατιθέμενος· ἐκφεύγει γὰρ ἡ ἑνιαία ἁπλότης τὴν νοερὰν οἱανοῦν μετάβασιν, ἢ ποικίλην διάθεσιν. καὶ ἡ κρυφιότης, τὸ τίποτε διανοηθέντα εἰπεῖν διαθέσει καὶ στόματι. δι' ἃ δὴ σιωπὴν ἀσκεῖ φυσικῶς καὶ στόματι, καὶ νοΐ, ἐν τῇ ἑνικῇ ἐνδοξοτάτῳ θείᾳ ἀποκρυφιότητι νοερῶς ἄνθρωπος ἀναδεδραμηκώς.

μη΄. Ὁπηνίκα ἡ στροφὴ τοῦ νοὸς ἰδιάσῃ ὁλικῶς ἐπὶ τὸν Θεόν, καὶ καταπτοηθῇ τὸ θεωρεῖν αὐτοῦ ταῖς τοῦ θείου κάλλους παμφαεστάταις ἀκτῖσι, καὶ ἀσχηματίστως εἰς τὴν τοῦ ἀποκρύφου ἑνὸς ἀνειδέου ἀνέλθῃ ἁπλότητα, καὶ ἀσυστασίαν, καὶ γένηται αὐτὸς ἑαυτοῦ ἕν, τῇ πρὸς τὸ ἓν ἑαυτοῦ ἀνατάσει, καὶ ἀποβλέψει ἐν ἐπιπνοίᾳ τοῦ πνεύματος, τὸ τηνικάδε τῆς νηπιώδους γίγνεται ὄντως καταστάσεως, αὐτὸ τὸ φρονεῖν. καὶ τῆς τοῦ Θεοῦ βασιλείας τῆς ἀῤῥήτου καὶ ὑπερφυοῦς γεύεται· κατὰ τὸν τοῦ Κυρίου λόγον, ἐὰν μὴ στραφῆτε, λέγοντα, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἀπόλυτος γὰρ τότε, καὶ ἄσχετος πάντη ἐκ πάντων ὁ νοῦς ἀποκαθίσταται πάσης γνώσεως, παντοιασοῦν νοήσεως, καὶ πάσης συνθέσεως, καὶ ποικιλίας τοὺς ὅρους ὑπεραναβεβηκώς, καὶ ἀνατεινόμενος εἰς τὸ ἄφθεγκτον, καὶ ὑπὲρ νοῦν ἄγνωστον. ὅθεν δῆτα καὶ σιωπὴν ἄγει φυσικῶς, διὰ τὴν οὐ μόνον ὑπὲρ λόγον, ἀλλὰ καὶ ὑπὲρ νοερὰν ἐνέργειαν σφετέραν κατάστασιν, ἔχουσαν μετὰ τοῦ κρυφίου, καὶ ἀνειδέου, τὸ ὑπερφυές, καὶ χάριεν, καὶ γλυκύ, ὅσον εἰς νοερὰν ἀπόλαυσιν.

μθ΄. Ἐν εἴδει τῷ ἀνειδέῳ, καὶ ὑπερφαεστάτῳ ἀΰλῳ, καὶ ἀσυνθέτῳ κάλλει, καὶ προσώπῳ ἁπλουστάτῳ τὸν Θεὸν θεωροῦσιν οἱ θεωρητικοὶ ἑνοειδῶς ἐν, ἀπείροις ἀγαθοῖς, περιεστεμμένον. ἀναριθμήτοις καλοῖς κατηγλαϊσμένον. φωτοειδέσι καλλοναῖς ἀκτινοειδῶς ὥσπερ περιαυγάζοντα τὰ πάντα. ὄλβον ἄῤῥητον καὶ ἀνεκδιήγητον· ἀγαθῶν καὶ καλῶν πηγαίαν· ἀφθονίαν ἀπερίβλυτον, καὶ ἀένναον· δόξης θησαυρὸν ὑπεράντλον, ἀπύθμαντον, ἀκένωτον. πολλῆς ὅτι μάλιστα τερπωλῆς ὑπερπληροῦντα τοὺς ἀνομμάτους νόας. χαρᾶς τε, καὶ θυμηδίας μετ' εὐφροσύνης ἀκηράτου κατὰ ῥοῦν ἀείῤῥυτον προϊούσης μυστικῶς ἐκ τῆς θείας ἐκείνης, καὶ ὑπερφυοῦς ἑνάδος τῆς ἐν ἀδύτῳ ὑπερκειμένης ἀποκρυφιότητι. ἔτι τε ἡλίκον, καὶ ὅσον ἀνεξιχνίαστον προχεῖται πέλαγος τῆς ἐκείνης ἀπεριλήπτου, χρηστότητος ἀφάτου, καὶ ἀγάπης ἀτερμηνεύτου, καὶ προμηθείας ἀνεπινοήτου ἐν δυνάμει ἀορίστῳ, καὶ σοφίᾳ ἀφράστῳ, καὶ Ἀγγέλοις καὶ αὐτοῖς Σεραφὶμ ἀπερινόητα, ὡς ὑπὲρ πάντα νοῦν καθεστῶτα· καὶ μὴν καὶ τὰ ἀπὸ τοῦ παρόντος ἐν ἡμῖν οἷα συλλαμβανόμενα ἀῤῥήτῳ λόγῳ, κατὰ δὲ τὸ μέλλον ἀποκαθιστάμενα, καὶ οἷον ἀπογεννώμενα, καὶ τελειούμενα. ἃ καὶ Χερουβικὸν νοῦν ἐξιστᾷ, καὶ μόνον πῶς ἀμυδρῶς περὶ ταῦτα διανοηθῆναι προθέμενον. ὢ ἀγαθότητος, καὶ βουλῆς Θεοῦ, καὶ ἀγάπης, καὶ χρηστότητος, δυνάμεώς τε, καὶ σοφίας, καὶ προμηθείας θείας. ὄντως μα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κάριοι ὧν ἀφείθησαν αἱ ἀνομίαι, καὶ ὧν ἀπεκαλύφθησαν αἱ ἁμαρτίαι. καὶ μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃ Κύριος, καὶ ἐκ τοῦ νόμου αὐτοῦ, καὶ τοῦ πνεύματος διδάξει αὐτόν.

ι'. Ἐν πνεύματι, καὶ ἀληθείᾳ ἀποκαλύπτεται τὰ τοῖς ἐν κόσμῳ μὲν ἀθέατα, μὴ δυναμένοις τὸ Πνεῦμα λαβεῖν τὸ Ἅγιον, ὡς ὁ Κύριος ἀπεφήνατο. οἷς δὲ τὸ ἀναχωρεῖν προὐργιαίτατον, καὶ πόῤῥω κόσμου καθῆσθαι, καὶ τῶν ἐν κόσμῳ, διὰ θείας τε χάριτος ἐπηύγασε ἱερὸν φῶς, τοὺς τῆς καρδίας αὐτῶν ὀφθαλμοὺς ἡ ἐξ ὕψους ἀνατολὴ ἡλίου τοῦ νοητοῦ, καὶ γέγονεν ἀντίληψις αὐτοῖς παρὰ τοῦ Θεοῦ. ὡς ἀναβάσεις ἐν ταῖς καρδίαις αὐτῶν διατίθεσθαι, καὶ καταφαιδρύνεσθαι ταῖς θεοπτικαῖς ἐλλάμψεσιν, ὡς εἰκὸς, τούτοις καὶ μάλα τρανῶς ἑωρᾶται, ἄλλα τε πάμπολλα θεῖα, καὶ νοητὰ, καὶ πνευματικῆς ἐποψίας ἐπάξια. πρὸς δὲ, καὶ ἡ μέλλουσα αἰώνιος, καὶ ἀπαρέγκλιτος ἀποκατάστασις τοῖς ὁσίως βιώσασιν· ὅπως ἔσται οὐ μόνον οὐκ αἰσθητὴ, ἀλλ' ἤδη καὶ ὑπὲρ νοῦν. πάντη γὰρ ἀλλοιωθήσονται τηνικάδε ὅλοι τοῦ ὑπὲρ νοῦν γιγνόμενοι, καὶ τῆς ὑπὲρ πᾶσαν ἔννοιαν καὶ ζωῆς, καὶ τρυφῆς. θεοὶ θέσει καθάπερ, ἐνώπιον τοῦ φύσει Θεοῦ ἐντρυφῶντες, καὶ χαίροντες τοῖς ὑπὲρ φύσιν ἀγαθοῖς, προβαλλομένοις ἐκ τοῦ ἄκρου καὶ μόνου φύσει Θεοῦ, τοῦτο κύκλῳ περιϊστάμενοι, καὶ πανιέρως ἄγοντες διαγωγὴν ὅτι μάλιστα τὴν θείαν καὶ ὑπὲρ νοῦν ἑορτὴν, καὶ μίαν ἱστῶντες τῆς πανευφήμου ἐκείνης τερπωσύνης τὴν ὑπερευφρόσυνον θυμηδίαν καὶ πανήγυριν, σὺν ἅπασι τοῖς νοητοῖς τῶν Ἀγγέλων διακόσμοις. πολύς τις ἐστὶ, καὶ ἀνεννόητος ὁ ῥοῦς ἐκεῖνος τῆς ἀκηράτου τῶν ὑπερκάλλων ἀγαλλιάσεως. οὐ γὰρ αἰσθητὴ καλλονὴ διὰ τῶν αἰσθητηρίων τοῦ νοῒ προσπελάσασα, οὖσα ὁριστὴ, καὶ ῥευστὴ, οὔθ' ἁπλῆ, οὔτ' ἄκτιστος, τέρψιν μέντοι γε οὐκ ἄχραντον προξενεῖν εἴωθε τῇ ψυχῇ, συνιδεῖν ἐστιν οὐ πόῤῥω καὶ συνιέναι τοῖς νοῦν ἔχουσι, καὶ τὸ ἀνάλογον ἀναλογιζομένοις, τίποτ' ἂν γένοιντο ἐν τοῖς νοητοῖς, ἀλλὰ καὶ ὑπὲρ νοῦν ἀορίστοις οὖσι, καὶ οὐ ῥευστοῖς γιγνομένοις ἐκ τοῦ δι' οὗ τὰ καλὰ καὶ ἀγαθὰ πάντα πηγαζομένοις Θεοῦ. οὐ κτιστοῖς, οὐκ ἠργμένοις, καὶ ταῦτ' ἐπ' εὐφροσύνῃ, καὶ ἀγαλλιάματι, καὶ θείᾳ ζωῇ, καὶ τοῦ αἰῶνος ἐπαξίως ἐκείνου, καὶ τῆς καταστάσεως.

ια'. Ταῖς χρονικαῖς τε, καὶ τοπικαῖς διαστηματικαῖς παρατάσεσι, καὶ ταῖς ὁριστικαῖς τῶν φύσεων ἰδιότησι χαίρειν εἰπὼν, καὶ ταύτας διεκδραμὼν ὁ νοῦς, γυμνὸς γίνεται τῷ ὄντι τῇ ἑνοειδεῖ ἁπλότητι, καὶ ζωῇ τῇ ἀτέχνῳ, καὶ ἀειδεῖ. καὶ δίχα παντὸς ἐπικαλύμματος καὶ προβλήματος τῇ ἀνεννοησίᾳ, καὶ ἀφασίᾳ ἐν ἀναρχίᾳ, καὶ ἀπεριληψίᾳ, ἀπειρίᾳ τε, καὶ ἀοριστίᾳ ὑπερφυῶς βεβηκὼς ἐν καρδίας πνευματοκινήτῳ θείᾳ δυνάμει, καὶ ἐλλάμψει πρὸς ἄπειρον ὀνήσει, καὶ αὐτῇ τῇ τοῦ νοὸς θεωρίᾳ συνεπεκτείνεσθαι. τηνικάδε ἡ τοῦ Θεοῦ εἰρήνη τῇ ψυχῇ ἀνατέλλει, καὶ ἡ τοῦ Ἁγίου Πνεύματος ἄῤῥητος χαρὰ, καὶ ἡ ἄφραστος ἀγαλλίασις ἐγχεῖται αὐτῇ· καὶ ἡ γνώσεως ἐπέκεινα ἔκπληξις συνέχει αὐτὴν ἐποψάλλουσαν. οὐκ ὀφθήσεται, ἀλλ' ὀπτάνεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιὼν, ἐν τοῖ μετεωροπόρῳ, καὶ ὑψεπόπτῃ. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

ιβ'. Ὁπηνίκα ὁ νοῦς ὡς ἐκ πλήξεως κεῖται πεφωτισμένος ἀνεννοήτου ἀφραστότητος, μεταξὺ Θεοῦ καὶ τῶν θείων ἑαυτὸν θεωρῶν, τηνικάδε ἔδεται, ἣ θέμις, τῆς πνευματικῆς γνώσεως τοὺς ἀληθεῖς καρποὺς, καὶ θεουργεῖται, καὶ χαίρει, καὶ εἰς θείους προκόπτει ἔρωτας. λαλῶν μὲν οὐδαμῶς οὐδὲν, οὔτε μήν πως διεξοδεύων, οὔτ' ἔνδον οὔτ' ἔσω κατὰ διάθεσιν, ἀλλ' οὐδὲ διανοού-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μενος, ἀλλ' ἐρῶν νοερῶς ἐπικλῶς ἐν φωτὶ ἀληθείας καὶ πνεύματος, καὶ ξυφίω ἀμετάβλητον ποιούμενος τὰ ὁρώμενα.

νγ'. Ὅταν τὸ τοῦ νοὸς πρόσωπον νεῦον ἔσω καρδίας, ὁρᾷ τὴν τοῦ πνεύματος ἔλλαμψιν ἐξ αὐτῆς ἀείβλυτα πηγάζουσαν, τότε πάνυ καιρὸς τοῦ σιγᾷν.

νδ'. Ὅταν ὅλον τὸ νοερὸν πρόσωπον ἴδῃ τὸν Θεόν, μᾶλλον μὲν οὖν ὅταν ὅλος ὁ νοῦς εἴσω γένηται τοῦ Θεοῦ. ἤ, ἵν' οὕτως εἴπω, ὅταν ὁ Θεὸς ἐν ὅλῳ τῷ νοῒ γένηται, τότε πάνυ τι καὶ μειζόνως πεφυκότως καιρὸς τοῦ σιγᾷν.

νε'. Ὅταν ὁ νοῦς ἐν τῇ τοῦ πνεύματος μετοχῇ θεωρητικῶς καὶ τὰ γινόμενα Θεοῦ παριστάμενος, δόξης τε ἐκ προσώπου Θεοῦ, καὶ ἀγλαΐας τρόπον θεμιτὸν ἀπολαύῃ, χρὴ καὶ μάλα εἰκότως σιγᾷν, ἡσυχῇ τε, καὶ ἀπερικτυπήτως ὁρᾷν. εἰδότι σκότους ὁποσονδήποτε ἀχλυῶδες μεταξὺ νοῦ, καὶ Θεοῦ παρεμπέσῃ, ἀθρόον ὥσπερ τι φωτοειδές, καὶ διακαὲς πεφυκότι λόγῳ πῦρ, βάλλειν ὁμοῦ τε σκότους λόγον, βραχυλεκτον μέν, ὅμως θείας ἐμφάσεως, ἵν' οὕτω θᾶττον τὸ σκότος ἐξαφανίσας τῷ φωτί, καὶ τῇ θέρμῃ τήν γε ἀχλύν, καὶ δι' ἐξ ἐφαμίλλου τὸν νοῦν φωτίσας τε, καὶ θερμάνας τούτῳ αὐτῷ, ἐσαῦθις ἔχῃ συνεῖναι ὡς πρὶν τῷ Θεῷ, καὶ θεωρεῖν τὸ κάλλος αὐτοῦ, καὶ ὡς εἰκὸς ἀπολαύειν αὐτοῦ, καὶ καλλύνεσθαι, καὶ πάσχειν, συλλήβδην φάναι τὰ κατὰ νοερὰν ἐπιβολὴν διὰ παραδοχῆς τοῦ ζωοποιοῦ Πνεύματος ἐκ Θεοῦ. καὶ μέντοι γε ἐντεῦθεν ἁπλοῦσθαι, καὶ ἀπολύεσθαι ἐν ἄρα ἀληθείᾳ καὶ πνεύματι ἐν τῷ Θεῷ, ἀπὸ πάντων, καὶ αὐτῶν τῶν περὶ Θεόν. τοῦτο μὲν εἰκότως καὶ προσηκόντως ὁ θεωρητικός. ὁ μέντοι μόνῃ προσανέχων πράξει, πολλοῦ δεῖ τῆς τοιαύτης ἔχεσθαι καταστάσεως. μηδέπω δηλονότι εἰς ἑαυτόν, καὶ δι' ἑαυτοῦ εἰς τὸν Θεὸν ἑνωθείς. οὐ πάνυ θαῦμα τοῦτον ἐκ τῶν θείων ᾄδειν, ἢ λαλεῖν ἀμωσγέπως πολλά τε δὴ καὶ πυκνῶς, ταῖς συνεχέσι πάντως ἐντεῦθεν οἷόν τισι βολαῖς, καὶ φοβῶν, καὶ ἀποσοβῶν τὸν ἐχθρὸν δυσμεναίνοντα τὰ πολλά, καὶ πολεμοῦντα ἐνθύμως. ἕξει γὰρ καὶ τούτῳ καιρὸς ὑπομένοντι. διὰ ἄρα δηλονότι ἐπιπνοίας πνευματικῆς. ὁπηνίκα τὰ τῶν πολλῶν θείων ᾠδῶν, καὶ ᾀσμάτων, καὶ λόγων σπινθηροειδῆ οἱονεὶ ἐπαυγάσματα συναφθῶσιν εἰς ἕνα δήπου πυρσόν. ὅτε καὶ τὸν ἐχθρὸν ῥᾷον καὶ καιρίαν βάλλει, καίων δηλαδή, καὶ διαιρῶν, ἢ μᾶλλον διαφορίζων τὸ σκότος ἐκεῖνο, ἑαυτὸν δὲ τῷ πυρσῷ φωτίζων, θερμαίνων τε, καὶ πρὸς θεῖον τὰ μάλιστα ἀνακινῶν ἔρωτα. πρός τε Θεὸν αὐτὸν ἐγκάρδιον ἐν σιγῇ ὕμνον, καὶ ἔκπληξιν ἀναφέρων, καὶ μυστηρίων παραδεικνύων διαίσια ἑαυτοῦ τὰ μάλιστα θαύματα. οὐκ ἀπεικότως γὰρ οἱ ὑπομένοντες τὸν Κύριον μακαρίζονται. ἤ, ὅτι προϊόντος χρόνου, κληρονομοῦσιν, εἴπερ πραεῖς τὴν νοητὴν τῆς ἐπαγγελίας γῆν, ἐν Χριστῷ τῷ Κυρίῳ ἡμῶν.

Ὅταν ὁ νοῦς ἐκστῇ τῶν φωτοχυσιῶν τοῦ πνεύματος καταλαμπόμενος, ἰλιγγιᾷ, καὶ διαπορεῖται, καὶ πρός γε τὸ ἄπειρον, καὶ ἀόριστον ἑαυτὸν νοεῖ ἐπεκτεινόμενον, καὶ ἀλλοιούμενον, τότε καιρὸς τοῦ σιγᾷν.

Ὅταν δὲ οἷον ταῖς φωταυγείαις τῶν ἐποψιῶν ἀποκαμόντα αἰσθάνηται, καὶ διαζευχθῆναι ἐθέλοντα, ἵνα τοῦ τόνου καθυφείς, τρόπον γέ τῳ τύχῃ διαναπαύσεως, τότε πεφυκότως καιρὸς τοῦ λαλεῖν, μέντοι βραχυλεκτα, καὶ οἰκεῖα θείας ἐλλάμψεως.

Ὁπηνίκα ὁ νοῦς διὰ μέσων ὑδάτων διαφεύγων τὸν νοητὸν Φαραώ, δίεισι τὴν ἰδίαν νύκτα ἐν φωτισμῷ πυρός, καὶ ἐν σκέπῃ νεφέλης τὴν ἑαυτοῦ ἡμέραν, τηνικάδε διὰ ἄρ' εὐλόγου σιωπῆς καιρὸς πάρεστι καὶ ἡσυχίας· καὶ ἀρχὴ τρέφοντι τῇ ψυχῇ καθάρσεως. ὅταν δὲ τούτῳ ὁ θεῖος



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νοητὸς Ἀμαλὴκ ἀντιβαίνει, καὶ τὰ ἑπόμενα αὐτοῦ ἔθνη, κωλύοντα τὴν πρὸς γῆν τῆς ἐπαγγελίας δίοδον, τότε καιρὸς προσήκων τοῦ λαλεῖν. ἀλλὰ πρὸς Θεὸν ἐν πράξει νοερᾷ καὶ ἐοικυίᾳ θεωρίᾳ ὑποβασταζομένῳ, οἷα Μωσῆς τοῦ πάλαι ὑπὸ Ἀαρὼν τὼ χεῖρε, καὶ Ὢρ.

νθ'. Ἐπὰν δὲ ἐξ ἀβύσσου πηγαίας θείας, καὶ νοητῆς ὑποβλέψεως καρδιόθεν πηγάζει δύναμις πνευματικὴ βλύζουσα, πάρεστι πεφυκότως καιρὸς τοῦ σιγᾶν. τηνικάδε γὰρ ἀρρήτως τελεῖται λατρεία, καὶ μέν γε προσκύνησις τοῦ νοῦ, Θεοῦ ἐν ἀληθείᾳ, καὶ ἐν πνεύματι, καὶ τῷ ὄντι ἀληθινῇ αἰσθήσει νοερᾷ.

ξ'. Ἐπειδὰν δὲ ἐξ ἀποβλέψεως πρὸς Θεὸν νοερᾶς, ἐξόλου τὸ μὲν λογιστικὸν τῆς ψυχῆς ἐμπέπλησται θείας ἐκπλήξεως, τὸ δὲ νοερὸν ὁράσεως, καὶ μέντοι ἀγαλλιάσεως ἡ ψυχή, ἀναμφηρίστως τότε καιρὸς τοῦ σιγᾶν. ἐν πνεύματι γὰρ ἀναισθήτως τὴν ἀλήθειαν συνεπτυγμένως ὁ νοῦς ἀφορᾷ, καὶ γεραίρει προσκυνῶν ἐν ἐκπλήξει τὸν ἐλλαμπόμενον ἐν αὐτῷ Θεόν.

ξα'. Οἱ πνεύματι καὶ ἀληθείᾳ καταλλήλως τὸν Θεὸν προσκυνοῦντες, καὶ αὐτῷ λατρεύοντες ὡς εἰκός, οὐ μόνον οὐκ ἐν τόπῳ προσκυνοῦσι, καὶ λατρεύουσι, ἀλλ᾽ οὐδὲν ἧττον ἐξ ἐφαμίλλου, οὐδ᾽ ἐν λόγῳ τῷ κατὰ προφοράν. ὥσπερ γὰρ ἡ ἐξ ἀριθύμητης ἀνηγμένη νοερὰ αἴσθησις, τὸ ἀπερίγραπτον, καὶ οὗ οὐδεὶς τόπος τῆς καταπαύσεως, οὔκουν ἐθέλει ἐν τόπῳ προσκυνεῖν. οὕτω δήπουθεν τὸ δέον τηροῦσα τῆς ἀληθείας ἡμμένη, τὸν ἄπειρον, καὶ ἀόριστον, ἄναρχόν τε, καὶ ἀνείδεον, καὶ τελέως ἁπλοῦν, καὶ ὁλικῶς εἰπεῖν ὑπὲρ νοῦν, λόγων ποικιλίᾳ, καὶ ὁρισμῷ προφορᾶς προσκυνεῖν, καὶ ἑπομένως λατρεύειν, ἥκιστα πάντων πεφυκότως ἀνέχεται. ὅταν δηλαδὴ καιρὸς ἐπέλθῃ τῷ νῷ ἐκ τῆς ῥοπῆς, καὶ ἐπιπνοίας τοῦ πνεύματος, τὴν ἐπίγνωσιν τῆς θείας ἀληθείας ἑνοειδῶς ἐναυγάζεσθαι· καθ᾽ ὃ καιροῦ, παντάπασι καθόλου πάντων ἀπόλυτος ὁ νοῦς καταστάς, καὶ μὲν δὴ καὶ ἑαυτὸν ἐκβὰς ἀμηγέπη, οὐ μόνον ἀφασίαν, ἀλλὰ καὶ ἀνοησίαν εὐλόγως δήπου ἀσκεῖ, ὡς εἰς τὰ κρείττω καὶ λόγου, καὶ νοῦ τῷ νοερῷ φωτὶ μετ᾽ εὐφροσύνης καὶ ἐκπλήξεως ἀσχολούμενος καὶ θεωρῶν, ἀκίνητος, καὶ ἀμετάβατος ἀτεχνῶς τῇ ἀνομμάτῳ ἐπιβολῇ τρόπῳ γέ τῳ γεγονὼς ἑνώσει τῇ ὑπὲρ ἑαυτόν.

ξβ'. Χρὴ τὸν νοῦν ἑαυτῷ προσέχοντα, παρατετηρημένως ἐπιγινώσκειν τὴν ἰδίαν νοερὰν κατάστασιν φρονίμως τε, καὶ σοφῶς σὺν δίκῃ. καὶ ὅταν αἰσθάνηται ἑαυτὸν θεωροῦντα τὰ ἁπλᾶ, καὶ ἀτύπωτα τῆς θεολογίας μυστήρια, ἐν σιωπῇ ἡσυχῇ ἵστασθαι αὐτίκα ἐν θαύμασι, οὔτε δὴ μὴν πόρρω τῆς σφετέρας καρδίας ἐνεργουμένης ἐν πνεύματι, καὶ μέντοι ἐλλαμπομένης. καιρὸς γὰρ τότε οὐ μόνον ἡσυχίας αἰσθήσεων πάντων ἐκ τῶν αἰσθητῶν τὸ καθόλου, ἀλλὰ καὶ σιωπῆς οὐδὲν ἧττον, οὑτινοσοῦν διεξοδεύοντος λόγου. μᾶλλον μὲν οὖν τοῖς γνωστικοῖς τότε, ἔτι χρὴ φάναι, καὶ νοερᾶς τριβῆς, ἡσυχίας, καὶ ἀβλεψίας καιρός. ὅλως γάρ τοι τὸ ἀκίνητον ἐπιτηδεύειν δεῖ, ἐν αἰσθήσεσιν, ἐν λόγοις, ἐν νοήσεσιν, ἵν᾽ ὁ νοῦς ἀθορυβήτως, καὶ ἡσυχῇ, μονώτατος ἐν ὑποβλέψει ἑνοειδεῖ, καὶ μονοειδεῖ τοῦ ἑνὸς καὶ μόνου τελειοτάτου Θεοῦ ἔχῃ ἐλευθερίως, κατὰ τρόπον θεμιτόν, τὴν ὑπὲρ ἔννοιαν ἀπειρίαν καὶ ἀναρχίαν, καὶ μέν γε ἀπεριληψίαν, καὶ τ᾽ ἄλλα καθάπαξ εἰπεῖν, τὰ θεῖα, καὶ ἄτρεπτα, καὶ ἀπόλυτα καθορᾶν, καὶ ἑνοῦσθαι συναλλοιωμένος τῇ θεωρίᾳ, καὶ ἡπλωμένος, καὶ τὸ ὅλον θεοειδὴς γεγενημένος τῇ θείᾳ χάριτι· σὺν εὐφροσύνῃ καὶ θαύματι. ἐπεὶ δὲ ὁ νοῦς τῆς τοιαύτης ἔχεσθαι καταστάσεως ἤθελεν ἄν, εἴπερ ἐνόν, ἀλλ᾽ οὐκ ἐνδέχεται τρεπτός τε ὤν, καὶ τρεπτοῖς συζῶν, καὶ συνηρμοσμένος ἀμηγέπη σώματι, καὶ πράγμασι περι-

στατικοῖς, ἐπιστημονικῶς δεῖ μὴ ἀπεσχοινίσθαι μακρὰν τῆς ἑνοειδοῦς ἀποβλέψεως ἐκπεσών, μηδὲ πολυρρημονεῖν. ἀλλὰ μακρὰ μὲν λέγειν, καὶ ταῦτα δὲ τῶν θείων ἐναυγασμάτων, ἵν' οὐ μόνον θᾶττον ἔχῃ πρὸς τὴν τοῦ Θεοῦ ὑπὲρ νοῦν ἕνωσιν αὖθις ἐπιστρέφειν, ἀλλὰ καὶ φανωτέρας ἐπαίσθηται τῆς ἑνώσεως, οὐδὲν δὲ ἧττον καὶ ἐπιμονωτέρας. καθόσον γὰρ ὁ νοῦς τὸ συνεπτυγμένον φυλάσσει, καὶ ἀδιάχυτον ὁπωσδήποτε, κατὰ τοσοῦτον ἡ στροφὴ αὐτοῦ ἤγουν πρὸς τὴν θείαν ἕνωσιν τάχιον γίνεται, καὶ φανωτέραις ἑνοῦται ταῖς μαρμαρυγαῖς, καὶ μέν γε γονιμοτέραις τοῦ συνεχοῦς παντὸς πρὸς τὰ θεῖα συνεθισμοῦ.

ξγʹ. Ἐπειδὰν τῇ θείᾳ ἑνοειδεῖ ἐκφαντορίᾳ ἐκ νοερᾶς ἀντιβλέψεως ὁ νοῦς προσπάσχων ἡλίωται, καὶ τῷ ἀγνώστῳ περιαυγάζηται τῷ πάσης ἐπέκεινα γνώσεως, ἀδιαίρετός τε διακαθίσταται, καὶ ἁπλοῦς, καὶ ἀόριστος, ὡς ἂν ὑπὸ γνόφον ἑνιαίως καταλαμπόμενος. κάλλος ἀπερίγραπτον θεωρῶν ἁπλότητος ὑπερβολῇ· ἀνείδεον παντὸς εἴδους ὑπεροχῇ· ἄναρχον ὑπερθέσει πάσης ἀρχῆς ὁπηδήποτε. αὐτὸ μὲν ἀπερίληπτον, ἁπάντων δὲ τοὺς ὅρους, καὶ τὴν ὁποιανοῦν περιοχὴν ἐνόντα ἐν αὐτῷ. πάντα πληροῦν ὡς ὑπερπλῆρες, αὐτὸ δὲ ἄπειρον ὄν. συνελόντα εἰπεῖν, ὁπηνίκα τῇ πάντων τῶν ὄντων ὑπεροψίᾳ ἐν τῇ τοῦ ἑνὸς ἐποψίᾳ παντὸς ἅψηται ἀρρήτῳ λόγῳ δυνάμεως νοερότητος ὑπὲρ νόησιν, τότε καιρὸς τοῦ σιγᾶν καὶ μυστικῶς καὶ ὑπερκοσμίως, ἤ, ἵν' οὕτως εἴποιμι, ἀνομμάτως, καὶ ἀλαλήτως τὴν μονοειδῆ τρυφὴν ἐν θειοτέρᾳ μυήσει τῆς ἀληθείας ἀπόλαυσιν· ἐπὰν δὲ τὰ εἰρημένα ἀπῇ ἀπὸ νοῦ, καὶ περὶ αὐτὸν ὁρᾶται διαίρεσις, τηνικάδε καιρὸς τοῦ λαλεῖν· μέντοιγε λαλεῖν, τῆς ἀναγωγῆς πρὸς σιγὴν ἄξια. κρείττω γάρ τοι ἐκ πολλοῦ τοῦ περιόντος ἡ ὑπὲρ λόγον, ἤγουν ἔγκαιρος λέγοιτ' ἂν καὶ μάλα εἰκότως σιγή, λόγου παντός. καθὸ καὶ Σολομὼν ὁ πάνυ προπεπαχὼς ταυτηνί, καιρὸς τοῦ σιγᾶν, εἶτα καιρὸς τοῦ λαλεῖν φησίν. ἄριστον μὲν καὶ δὴ τῆς πρώτης μοίρας, σιγὴν ἄγειν ἔγκαιρον. εἰδέ πη μήπω πάρεστι τοῦτο, μηδέ γε μὴν εἰς τὰ ὑπὲρ λόγον ὁ νοῦς ἑνοειδῶς ἐπιβάλλοι, ἀλλὰ τὸ γοῦν λαλεῖν ἐγκαίρως, ἔστω δὴ δεύτερον· ἵνα δέπερ συγγενὲς εἴη τὸ λέγειν, καὶ πρὸς τὸ σιγᾶν συνεγγύς, ὡς τὸ σιγᾶν, οὕτω που καὶ τὸ λαλεῖν ἐγκαίρως ἐπιτελείσθω, καὶ πρὸς τὸ μὴ λαλεῖν ἐλθεῖν ἐπειγέσθω, τοῦ τὰ θεῖα λαλεῖν καὶ διανοεῖσθαι διηνεκῶς, καὶ ὁρᾶν τὴν κτίσιν, καὶ τὸν κτίστην αὐτῆς ἐνοπτρίζεσθαι, ὅση δύναμις, διηγουμένης περὶ αὐτοῦ. καὶ τοῦτό ἐστι τὸ ἐγκαίρως λαλεῖν. χρὴ δὲ ἄρα καὶ οὑτωσίπως διαλαβόντα ἐπισημήνασθαι.

ξδʹ. Ἐπὰν πάντα ὁ νοῦς διαβὰς τὰ τῇδε, καὶ ὑπεραναβὰς φυσικοῦ τρόπου, ἀσπασίως σιγῴη, τότε τοι καιρὸς τρυφᾶν ὑπερκόσμια, καὶ ἀλάλητα· καιρὸς ἐλλάμψεως, καὶ φωτὸς νοεροῦ. ἑνώσεώς τε νοὸς καὶ θεωρίας ἁπλότητος, ἀοριστίας τε, καὶ ἀπειρίας, καὶ ὑπερφαοῦς γνώσεως, καὶ ἐν ἐπιτομῇ φάναι, καιρὸς ἀντιλήψεως, καὶ μεταλήψεως σοφίας πνευματικῆς, καθ' ἣν ὁ νοῦς τετελείωται ἐν σχολῇ, καὶ σιγῇ, τὴν ἀνέκφραστον παραδεδεγμένος ἐν ἐκπλήξει ἀγαλλίασιν.

ξεʹ. Ὅταν ἡ ψυχὴ ἀληθείας αἰσθήσει ἑαυτὴν τῷ ποτηρίῳ τῆς χάριτος οἷα κρατίστῳ μεθυσκομένην αἰσθάνηται ἔκνουν γινομένην, δῆλον ὅτι τότε καιρὸς τοῦ σιγᾶν.

ξϛʹ. Ὅταν ἡ τοῦ ἔσω ἀνθρώπου διάθεσις θέλει βοᾶν, Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ· τότε καιρὸς τοῦ λαλεῖν. λαλεῖν δὲ ὡς εἰκός, οὐκ εἰκαῖα, κατὰ τῶν ἐχθρῶν μέντοιγε μέτρια, καὶ προσήκοντα, καθὰ δεῖ.

ξζʹ. Ὅταν τὸ τοῦ προσώπου Κυρίου φῶς σεσημείωται ἐπὶ τὴν ψυχήν, ὡς ἐντεῦ-

θεν

Athos Library
Αγιορειτική Βιβλιοθήκη

θεν καταυγάζεσθαι, καὶ φαιδρύνεσθαι, καὶ χῦμα θείας εὐφροσύνης ἐπιρρεῖν ἐπ᾽ αὐτὴν, τότε ἄρα καιρὸς τοῦ σιγᾶν.

ξη΄. Ὅταν ἐπανισταμένους αὐτῇ ὁρῶν ἀδίκους μάρτυρας, καὶ ἃ οὐ γινώσκει ἐρωτῶντας αὐτὴν, καὶ ταράττοντας, τότε καιρὸς γιγνομένως τοῦ λαλεῖν, καὶ μὲν δὴ τοῦ ἀντιφθέγγεσθαι.

ξθ΄. Κορυφαιότατον καὶ οἷον εἰπεῖν ἀκρότατον, ἢ δήπου ὕψιστον καλὸν, καὶ μέν γε ἀγαθὸν ὁ Θεὸς, ἐν ἅπασι τοῖς οὖσι, καὶ τοῖς νοουμένοις. ἐν ἅπασι δὲ τοῖς ὁρωμένοις, πολλῷ τῷ μεταξὺ, βέλτιον τὴν φύσιν πέφυκεν ἄνθρωπος, καὶ κρεῖττον πιθανῶς ἀσυγκρίτως. τῇ χάριτι δὲ τῷ ὄντι καὶ τῶν Ἀγγέλων ὑπέρτερος. ἐν τοῖς μὲν παμπόλλοις τοῖς θεωρητικοῖς τοῖς μεταξὺ Θεοῦ καὶ ἀνθρώπων τῷ ὑπὲρ ἔννοιαν προσεγγίζων, ἔκπληκτος διακαθίσταται, ὁπηνίκα ἔτι ἀψιλοῦς τῆς φωτιστικῆς χάριτος οὐ πεπείραται· ἧς δι᾽ ἐνεργοῦς ἐν καρδίᾳ πνευματικῆς δυνάμεως γεγενημένος, φαίην ἂν τάχα, εἰς τὸ ἀκρότατον ἄνεισι καλὸν καὶ ἀγαθὸν, τὸν Θεὸν, καὶ ἐν αὐτῷ κατὰ δωρεὰν θειοτέραν εἴσεισι, καὶ ὁρᾷ ἐνεργῶς καὶ ἐκπλήττεται, εἰς τὸν ὑπὲρ νοῦν βυθὸν αὐλιζόμενος ἐν σιωπῇ. καὶ τοῦτ᾽ ἔστιν ἀληθῶς τοῦ πρώτου σαββατισμοῦ τι, ὡς ἂν ὀνομάσοι τις ἴσως ἐνεχείρα. οὗ τύπος ὁ τῆς κτίσεως τῶν ὄντων σαββατισμὸς τοῦ Θεοῦ. ἑτέρου δὲ, οὗ ἀψευδὲς παράδειγμα, ὁ ἀπολειπόμενος σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ, μείζονος, καὶ τελειοτέρου σαββατισμοῦ προφανῶς ἀπόλαυσις, εἰς ἑαυτὸν στραφεὶς ἀπὸ τοῦ Θεοῦ, καὶ ἑαυτὸν γνοὺς ὡς εἰκόνα μετὰ πρωτοτύπου. καὶ τὸ ὅλον, τὰ μεταξὺ Θεοῦ καὶ ἀνθρώπων ὁποῖα. * ὁπότε οὐ μόνον εἰς τὰ ὑπὲρ νοῦν καὶ διάνοιαν διολισθαίνει, τρόπον κατάδηλον, ἐν θαυμαστῇ ἐκπλήξει, ἀλλὰ καὶ χαρᾶς, οὐχ ὡς ἄν τις εἰπεῖν ἔχοι, καὶ πνευματικῆς πληροῦται ἀγαλλιάσεως, γανυμένος γιγνομένως ἐν σιωπῇ ταῖς ἐπ᾽ αὐτὸν ὑπὲρ ἑαυτὸν θεοπτικαῖς ἐλλάμψεσι, καὶ θεουργίαις. καὶ ἑνούμενος ταύτῃ τῇ τῆς θείας καὶ ὑπερφυοῦς θεότητος ἑνάδι, ἐν Χριστῷ Ἰησοῦ.

* ἴσ. ἢ πότε

ο΄. Ὁπηνίκα πάντων ἀποθετικῶς τῶν γεγονότων ποιεῖται ἀφαίρεσιν, ὡς μὴ ὄντων τῶν ὄντων, τὸ ὄντως ὂν τηνικάδε ἀρρήτως φαντάζεται, ὑπὲρ νοερὰν ἐνέργειάν τε, καὶ ἕνωσιν, νοῦς θεωρῶν ἐν ἀληθείᾳ, καὶ πνεύματι δι᾽ ὑπεροχῆς ἀπείρου τῶν περὶ τὰ ὄντα θείων ἀμωσγέπως θεωρημένων. καὶ γίνεται ἑνοειδὴς, ἢ ἓν, ἵν᾽ οὕτω φῶ, ἀφάτως ἀφασίᾳ κάτοχος. πλήρης ἀγάπης, πλήρης χαρᾶς, οὐ μόνον ἁπλῶς, ἀλλὰ τῶν ἀπὸ τῆς ἐνεργείας τοῦ Πνεύματος, τῆς ἐφαμίλλου τῶν Ἀγγέλων τρυφῆς.

οα΄. Ὥσπερ οὐδαμῶς οὐδόλως τὸ παράπαν Κύριε, εἰ τὴν οὐσίαν ληπτὸς οὐδεμιᾷ τινὶ ὁποίᾳ δὴ φύσει λογικῇ τε καὶ νοερᾷ, ἢ καθάπαξ γνώσει κτιστῇ, οὐδὲ γοῦν Χερουβικῇ, ἀλλ᾽ ὑπερεξίστασαι ἀπειράκις ἀπείρως ἁπάσης γνώσεως, οὕτω δέσποτα, καὶ τὰ περὶ σὲ παντάπασιν ἄπειρα καὶ ἄδεκτα. αὐτίκα τί μου ὄντα, καὶ λέγοντα σεαυτὸν ἀνυπερβλήτῳ κηδεμονίᾳ τὸν νομοθέτην τῆς παλαιᾶς Διαθήκης Μωσέα κηρύττειν ἐπέταξας. ἀλλὰ καὶ οὔπω σὺ πάλιν ἀψευδέστατε, καὶ μόνη ἄκρα ἀλήθεια, εἴρηκας, περὶ τίνων τῶν σῶν, ὅτι ὀφθεὶς αὐτοῖς, ὅμως τὸ ὄνομά σου οὐκ ἀπεκάλυψας. ἔστι γὰρ ὑπὲρ πᾶν ἀσυγκρίτως ὄνομα, τῶν, οὐ μόνον ὅσα ἐπὶ τῆς γῆς, ἀλλὰ καὶ τῶν ὅσα ἐν οὐρανοῖς. οὐσίαν γὰρ σου παριστᾶσιν οἱ τοῦ σοῦ φωτὸς ἔμπλεοι, ἀλλὰ τῇ σῇ ὑποκειμένῃ χαρίς. πάντες δὲ ἴσως ἑπομένως, ὑπερβάσεως ἀποφαντικῆς, καὶ νόησιν μὴ ἔχουσαι καθάπαξ τί ἀποκείμενον· ἵνα περιφανῶς, καὶ ὑπὲρ νόησιν, καὶ πάντων τῶν γνωσθῆναι δύναμιν ἐχόντων ἀπειράκις ἄγνωστος, καὶ ὑπέρτερος γνωσθῇς. χρόνου

τελείως

Athos Library
Αγιορειτική Βιβλιοθήκη

τελείως ὁρᾶσαι αἰώτερος, ἄναρχος, αὐτοζωὴ ὤν, καὶ ἀπέραντος. ποιηκὴν ὁλοχερῶς ὑπεκφεύγεις ἔννοιαν, ὁ πανταχοῦ ἀθρόως παρών, καὶ ὑπὲρ τὸ πᾶν, ὡς τοῦ παντὸς ἀθρόον ποιητὴς καὶ μόνος. καίπερ γε καὶ τῶν νοερῶν φύσεων περιοχή, καὶ τόπος ὢν ἀδιάβατος, τοῦ τάχους ὑπερβαίνων, καὶ φθάνων αὐτοῦ τὴν ἐπίνοιαν, ἅτε ὑπὲρ τὸ πᾶν, καὶ χεὶρ παντοκρατορικὴ τοῦ παντὸς διακρατοῦσα τρόπον ἀδιεξίτητον· καὶ μὴν οὐδὲ φύσεως, καὶ τὸ τυχόν, ὅροις ὑπόκεισαι· ἀόριστος σὺ καὶ γάρ, οὐ μόνον τὴν φύσιν, ὡς ὑπερφυῶς ἀκατάληπτος, ἀλλὰ καὶ τοῖς περὶ σὲ φυσικοῖς, ὡς σοφία ὑπέρσοφος, καὶ δύναμις ὑπερδύναμος, καὶ ἀγάπη, καὶ ἀγαθότης ὑπὲρ πᾶσαν διάνοιαν ἀγάπης, καὶ ἀγαθότητος. τί αὐτὸς εἴποις σε; φῶς λεγόμενον, οὐκ ἀπρόσιτον; ὡς ἄρ' ὑπὲρ φῶς. τί; κριτήν, ὁ πάντα γινώσκοντα καὶ πρὸ γενέσεως; ποῦ ταύτης κριτοῦ; ὡς ἄρ' ὑπὲρ κριτὴν πολλῷ τὸ μεταξύ· ποταπὸν δέ σε δημιουργόν, καὶ φῶ, τὸν ῥοπῇ θελήματος μόνῃ κτίζοντα, καὶ ταῦτα μιᾷ, τὰ πολλὰ καὶ διάφορα ἔνυλα; ἐν δ' ἀΰλοις. βαβαὶ τοῦ βάθους τῆς ὑπεροχῆς· ἵν' εἴπω φῶ, μιᾷ ῥοπῇ νεύματος τὰ μιᾶς φύσεως, πνευματικὰ γάρ. πολλὰ δὲ καὶ πάμπολλα, ταῖς τῶν διαθέσεων, εἰ βούλοιο δέ, καὶ προσώπων διαφοραῖς, τὸ πάμπαν θαυμάσιον; καὶ πᾶσαν ταύτης καθ' ὑπερβολὴν φεῦγον διάνοιαν. ἄρα ταῦτα δημιουργοῦ; οὐδαμῶς. ὡς ἄρ' ὑπὲρ δημιουργόν. κτίστης ὀνομάζῃ καὶ τεχνίτης κηρύττῃ; καὶ ποῖος κτίστης χωρὶς θεμελίου ἐπὶ μηδεμιᾶς ἕδρας κτίζει, καὶ τὸ βραχύτατον γοῦν, ὡς σύ γε δέσποτα τὴν τοσαύτην γῆν μετὰ τοσούτων ὀρέων αὐτῆς, καὶ λίθων, καὶ ὕλης ἀλλοίας, θεμελιῶν αὐτὴν ἐπ' οὐδενός, καὶ ταῦτα, τοσοῦτον ἀσφαλῶς; ἢ ποῖος τεχνίτης ἐκ μηδαμῇ μηδαμῶς ὄντων παράγει, καὶ ταῦτα ἀκαρῇ καὶ λόγου ἥλικα, οἷα τὰ τεχνητά, ὥσπερ παράγεις σύ; ἄρα γε κτίστου, ἢ τεχνίτου τὰ σά τις εἰπών, τὰ εἰκότα ἐρεῖ; ἥκιστα πάντων ἀληθῶς. οὐκοῦν ὑπὲρ κτίστην, καὶ τεχνίτην πολλῷ τῷ ἀπείρῳ τυγχάνεις ὢν ὁ Θεός· ποῖον εἶδος ἀγάπης ποτέ, καὶ ἢ εἰδέναι τὶς ἔχοι ἄν, ἢ ἀκοῦσαι, ἢ ἀναπλάσαι, καὶ ὁπωσοῦν γοῦν, ὁποῖον ἡ πανθαύμαστός σου χρηστότης μετὰ σφόδρα σφοδρῶν τῶν διακειμένων ἐνδείκνυσιν ἡμῖν ἐν τῇ καθ' ἡμᾶς προσλήψει πάντων λίαν φιλανθρώπως ὑπὲρ πάσας ἐλπίδας; ὅπερ δή ποθεν θεωροῦντες, οἷς τὸ θεωρεῖν ἔξεστι διὰ χάριτος, εἰς ἀχανὲς εἰσίασιν ἄντικρυς ἀγάπης, καὶ προνοίας ξενοτρόπου πέλαγος. καὶ γιγνομένως ἔξω ἑαυτῶν γίγνονται, μετὰ δριμυτάτων ἐρώτων κατάλληλα, καὶ τὰ τῆς οἰκονομίας οἰκείως ὀνομάσαι ταύτης τρόπον οὐκ ἴσασιν· ὑπερβάλλει γὰρ ἐκ πλείστου τοῦ περιόντος, καὶ νοῦν, καὶ λόγον, καὶ πᾶσαν ἀκοήν, καὶ διάνοιαν τὰ τῆς ἐνανθρωπήσεώς σου Θεοῦ ὑπεραγάθου διακείμενα. Πατὴρ πάντων εἶ καὶ καλῇ; ἀλλ' ἀφάτως πατροσύνην ὁποιανοῦν ὑπερέχεις, καὶ αἰτία, καὶ ἐξουσία, καὶ προμηθεία, καὶ νουθεσία, καὶ μακροθυμία, καὶ ἀνοχῇ. βασιλεὺς ὀνομάζῃ; ἀλλ' οὐκ ἦν καὶ τὸ ἐνεστὼς μᾶλλον, ἧττον δὲ τὸ μέλλον, οὐδ' ὁπωστιοῦν μένοι καὶ τὸ παρεληλυθός. ἀλλὰ πῶς; θαυμαστῶς, ἀπολύτως, καὶ ἁπλῶς. ἡ βασιλεία γάρ σου βασιλεία πάντων τῶν αἰώνων ὁμοθυμαδόν, ἐπίσης ἐνεστῶτος, παρεληλυθότος, μέλλοντος, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. οὕτως ἐν πᾶσιν ἀπαξαπλῶς κατὰ πάντα ἀπείροις μέτροις ὑπέρκεισαι, ἁπλῶς, καὶ ἀπολύτως πάσης περινοίας, ἵν' εἴπω ξυλλήβδην, ἐφαμίλλως λίαν καὶ ἀπείρως ὑπερεξῃρημένος, καὶ σὺ ἀκατάληπτε Κύριε, καὶ τὰ περὶ σέ. ὁ φαντασιούμενος ὁπωσδὴ τῆς ψυχαγωγίας ἔχει τῆς ἐφικτῆς σου ὁράσεως, καὶ ὅλως μετὰ τῆς ἐπινοίας τοῦ πνεύματος γεγο-



Athos library
Αγιορειτική Βιβλιοθήκη

τοῖς, ὡς ὁ γνόφος εἰσδύων μυστικόν, μήτε τελείως ἔχων ὁρίσαι διὰ τὸ τῆς δόξης ἄπειρον καὶ ἀπρόσιτον. οὐδ' αὖ γε βίᾳ τινὶ ὑπερκοσμίῳ καταπαύσει καταπαύεις ἀρρήτως τοὺς θεωροῦντας, καὶ δὴ φιλοῦντάς σε θαυμαστῶς. μήτε πάμπαν χωρεῖς τοῦ ὁρᾶν σε τελῶς. ὅθεν ἀνάπαυσιν θείαν καὶ ὑπερφυᾶ αὖθις ἀναπαύεις αὐτούς, ἄρρητε, ἀνεπινόητε, ἀπερίγραπτε, ἀπερίληπτε, καὶ ξυνελόντα εἰπεῖν, παντάπειρε, τὴν οὐσίαν δηλονότι, καὶ τὴν ἐνέργειαν, ἀμήν.

οβʹ. Ὅταν ὁ νοῦς πόρρω πολυνοίας γένηται, τῆς ἑτερότητος καὶ πολυχεοῦς ἐννοίας ἀποκεκλεισμένος, καὶ ὑπὲρ ἄνω διΐσταται τοῦ νοεροῦ σκεδασμοῦ ἐν τῇ ἐπιπνοίᾳ καὶ μετοχῇ τοῦ Ἁγίου Πνεύματος, ἐνίζοντος αὐτόν, καὶ ἐπὶ τὴν καρδίαν δινοῦντος, καὶ ἐμβάλλοντα πνέοντος, καὶ τοῖς θείοις τόποις συνεχῶς ἐμφιλοχωροῦν ταῖς περὶ Θεοῦ φαντασίαις οἷον πιαίνηται, ὡς ἐν [illegible] νοερῷ, ἀθρόον τὰ ἥλικα, ὅσα περὶ Θεὸν εὐθέως εἰσοπτρίζεσθαι, καὶ ἀρρήτως ἐρωτικῶς. τότε τῆς θείας καταπαύσεως γίνεται περιφανῶς, βαθείας καὶ θείας εἰρήνης ἀπολαύων, καὶ καρδιακῆς ἁγίας ἡσυχίας τὰ πολλὰ ἀναπαύσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

ογʹ. Ὅταν ὁ νοῦς ὁμιλῇ Θεῷ, καὶ προσδιαλέγηται, ὡς δή τις υἱὸς φιλοστοργοτάτῳ Πατρὶ ταῖς διαθέσεσι, καὶ τὸ Ἰησοῦ φῶς ὁρῶν ἀφράστως εὐφραίνηται, ἐκπληττόμενος λίαν ἐρωτικῶς, ἔρωτι ἐναργῶς θείῳ, καὶ ὑπερφυᾶ τὴν τοῦ Ἁγίου Πνεύματος ἐνέργειαν αἰσθόμενος ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ ὑπεράνω τῶν θείων ἐμφάσεων, καὶ τελειότερον ὑπεραίρεσθαι θέλει μυστικῶς, καὶ ὑπερκοσμίως. τηνικάδε ἀληθῶς καταπαύει ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὑπὲρ τὸ νοεῖν μετὰ τὸ νοεῖν γενόμενος, καὶ θαυμασίως ἐλλαμφθείς, καὶ ὄντως ἀναπαυόμενος ἐν εἰρήνῃ τοῦ ζωοποιοῦ Πνεύματος τοῦ Χριστοῦ.

οδʹ. Κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων, ὧν ἤρξατο ποιῆσαι, ἀλλὰ μετὰ τὴν ἐν λόγῳ καὶ Πνεύματι τῶν γεγονότων ἐκπλήρωσιν. ἐφάμιλλον τρόπον καὶ ὁ θεοείκελος νοῦς, καταπαύει ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο τὸ κατ' ἀρχὰς ποιεῖν, εἰς συμπλήρωσιν κόσμου τοῦ κατ' ἀρετὴν νοητοῦ, ἀλλὰ μετὰ τὸ ἀνασκοπῆσαι, καὶ οἷον ἐπεξεργάσασθαι ἐν λόγῳ Θεοῦ, καὶ Πνεύματι ζωοποιῷ τὸν ξύμπαντα κόσμον, καὶ τὰ ἐν αὐτῷ νοητὰ διαρκῶς, καὶ ἀπὸ τῶν δὲ ἀναβεβηκέναι πάλιν ἐν λόγῳ καὶ Πνεύματι εἰς τὰ παρά τισιν εἰρημένα μετὰ τὰ φυσικά, καὶ ὑπερκῦψαι εἰς τὰ ἁπλᾶ, καὶ ἀπόλυτα τῆς θεολογίας μυστικὰ θεάματα. τηνικάδε γὰρ ἐν τῇ καταπαύσει, ἀναπαύσεως καὶ εἰρήνης ἐν νοερᾷ ἀληθείᾳ ὅτι μάλιστα πολλῆς ἀπολαύει, καὶ δὴ θεοῦται ἐν φωτὶ γνώσεως, καὶ Πνεύματος ζωοποιοῦ μετοχῇ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

οεʹ. Ὥσπερ καταπαύσας ὁ Θεός, οὐκ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ κατέπαυσεν, ἀλλ' ἀπὸ μόνων, ὧν ἤρξατο ποιῆσαι. ἀπὸ μέντοι τῶν ἀνάρχων καὶ ἀκτίστων, καὶ οἷον πεφυκότων ἔργων αὐτῷ, οὐ κατέπαυσεν. οὕτως, οὐδὲ ἐφαμίλλως θεομιμήτως ὁ νοῦς, λόγῳ θείῳ, καὶ Πνεύματι ζωοποιῷ μετελθών, καὶ διαβὰς τὴν φαινομένην κτίσιν, ἀπὸ τῶν ἔργων ἐκείνων τῶν πεφυκότων αὐτῷ, καὶ μήτε ἠργμένων, μήτε μὴν ληγόντων καταπαύει πάντως ἥκιστα, ἀλλ' ἀπὸ τῶν φαινομένων ἔργων καταπαύει, τῶν ἀρχομένων τε, καὶ ληγόντων. ἐντεῦθεν καὶ τῆς σωματικῆς καταπαύσεως τὴν ἀκινησίαν ἐφεπομένης τῷ καταπαύσαντι, τοὐναντίον ἕπεται τῇ τοῦ καταστάσει· εἰ μὴ γὰρ ἀεικίνητος γίνοιτο, ἐπιπνοίᾳ ζωοποιοῦ τοῦ Πνεύματος διηνεκεῖ ἐν ἀναβλέψει τῶν ἐρωμένων γνωστῶν, οὐδὲ ἔστι γνώσεται νοερὰ κατάπαυσις, ἀεικινήτως περὶ μόνον τὸν Θεόν,

ἐνοει-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἑνοειδῶς στρεφομένη καὶ θεοῦσα τὸν ταύτης μέτοχον, ἐν ἀναπαύσει τῇ ἐν Χριστῷ ἀφράστῳ τε, καὶ ἀῤῥήτῳ.

ϙϛʹ. Μὴ σπεύσῃς, φησὶν ὁ Σολομὼν, ἐνεγκεῖν ῥῆμα πρὸ προσώπου Κυρίου. ὅτι ὁ Θεὸς ἐν οὐρανῷ ἄνω, καὶ σὺ ἐπὶ τῆς γῆς κάτω. ὡς λίαν σαφῶς καὶ εὐθυβόλως δίδωσί τε, καὶ διαξανοῖ· τίς ἐστιν ὁ καιρὸς τοῦ σιγᾶν. λέγει γὰρ ἄντικρυς, ἐπειδὴ σὺ κάτω ὢν ἐπὶ γῆς, πρὸ προσώπου Κυρίου τοῦ ἐν οὐρανοῖς ἄνω ὄντος, γίνῃ, καὶ τοσαύτης ἠξίωσαι χάριτος, ὡς ὁ κάτω τὰ ἄνω φρονεῖν καὶ περιαθρεῖν, καὶ νοερῶς ἐπιβάλλων ἵστασθαι πρὸ προσώπου Κυρίου, μὴ σπεύσῃς ἐνεγκεῖν ῥῆμα. καιρὸς γὰρ τοῦ σιγᾶν· μὴ θέλε νοερῶς ἐνεργούμενος ὑπὸ τῆς ἀληθείας, καὶ ἑνοειδῶς, καὶ θεοειδῶς. τοῦτο γάρ ἐστι πρὸ προσώπου Κυρίου εἶναι, ὅταν τὰ περὶ Θεὸν ὄντα πολλὰ, μονοειδῶς ὁ νοῦς θεωρῇ κατ᾽ ἁπλῆν, καὶ ἑνιαίαν ἐπιβολὴν ἐν Θεῷ. μὴ τοίνυν τοῦτο πάσχων, καὶ πρὸ προσώπου Κυρίου παριστάμενος, ῥῆμα προσενεγκεῖν σπεῦδε. ἢ, οὕτω γ᾽ αὖ, σαυτὸν ἀνεπιστημόνως ἑκὼν * εἶναι ἐκσβεβηκέναι καὶ ἐκποκατιέναι σπεύσῃς. ὃ δὴ, καὶ ἑτέρως ῥητέον ἂν εἴη τοῦ ῥητοῦ πρὸς ἐξηγουμένοις τὴν ἔννοιαν. ἦν ὅτε ἦν ἡ ἀνθρωπίνη φύσις ἀπήμων, καὶ ταύτῃ δικαίως πόῤῥω κακῶν, ἐγγὺς οὖσα Θεοῦ, Θεόν τε θεωροῦσα, τήν τε δόξαν τοῦ κάλλους τοῦ προσώπου αὐτοῦ ἐν Ἀδὰμ προπάτορι τρυφῶσα μετὰ γήθους, σὺν θαύματι, ἄϋλον τρυφὴν, νοερὰν, οὐράνιον, ἄφθαρτον. πολλὴ καὶ γὰρ οὖν χάρις τῇ ψυχῇ τοῦ πρώτου ἀνθρώπου περιεκέχυτο, πολλαῖς τε ὁ θεοειδὴς νοῦς ἐκείνου περιελάμπετο γνωστικαῖς θεωρίαις, καὶ ἀνατάσεσι πρὸς Θεὸν, ἐν αἰσθητῷ παραδείσῳ, ἀπόλαυσιν ἔχοντος τὴν νοητὴν· καὶ ἵν᾽ οὕτως ὀνομάσω, μακαρίαν ζωὴν, πρὸς ἑαυτὸν γιγνομένως ἑνωμένου, καὶ πρὸς τὸν Θεὸν, ἐν ἑαυτῷ τε μένοντος, κατὰ τῷ Θεῷ ὡς εἰκὸς· τῆς ἑνοειδοῦς ἡμμένου καταστάσεως, καὶ θεοειδοῦς ὄντως, καὶ μάλα εἰκότως, ὡς κατ᾽ εἰκόνα Θεοῦ γεγονότος. ἀλλὰ ταυτὶ μὲν ταύτῃ περὶ ἡμᾶς ἦν, ὡς ἐν ἐπιτομῇ φάναι, ἐκ τοῦ Θεοῦ τὰ ἀγαθά. τῷ δὲ δυσμεναίνοντι τῇ εὐκληρίᾳ, καὶ δόξῃ ἡμῶν ἀλάστορι δαίμονι βεβλημένῳ φθόνῳ, φορητὸν τοῦτ᾽ οὐκ ἦν. πῶς γάρ; καὶ μὲν δὴ πολὺς ὁ πανώλης οὗτος ὑπῆρξε φαντάζων, καὶ ἀπαιωρῶν τὸ ἡμέτερον ἐλπιζόμενον, χρηστολόγοις δῆθεν βουλαῖς, καὶ ἀναῤῥιπίζων τὴν ἐπιθυμίαν πρὸς ὑψηλοτέραν, ἧς εἴχομεν θέωσιν, τῆς ἐντολῆς τοῦ Θεοῦ ὁ πρωτουργὸς κακίας· διαβαλὼν τὸ εὐθές. ἐξ οὗ γοῦν τὸν τῆς ἐξ ἀπάτης ὄλεθρον ἐλεεινῶς ἐπεπόνθαμεν, καὶ Θεοῦ καὶ θείας τρυφῆς ἐξόριστοι γεγενήμεθα, τῆς ἑνοειδοῦς τε κατὰ νοῦν πνευματικῆς βιωτῆς, καὶ τοῦ θεωρεῖν ἔχειν τὸ τοῦ Θεοῦ πρόσωπον, καὶ δοξάζεσθαι ἀλλοιουμένους ὑπὸ τῆς τοῦ θείου κάλλους ἀκτῖνος ἀθλίως ἀποπεπτώκαμεν, καὶ ἐστερήθημεν, ὡς μὴ ὤφελλε, διῃρημένοι, καὶ σχιζόμενοι εἰς ἄπειρα πολλά. καὶ ταῖς διαιρεταῖς ζωαῖς, καὶ ἑτεροτήσιν, ὡς οὐκ ἐχρῆν χαίροντες. ὡς καὶ πολλούς γε θεοὺς καὶ διέχοντας, ἀντὶ τῆς μιᾶς πρεσβεύειν τρισυποστάτου θεότητος, τοὺς οὐκ ὄντας ἄρα τῷ ὄντι θεοὺς, ἀλλ᾽ ἀπατηλοὺς δαίμονας, καὶ φθορεῖς, καὶ δυσμενεῖς, ἀπολωλέκαμεν τὸ κύριον ἓν, τήν τε ἑνιαίαν ζωὴν καὶ τάξιν, καὶ διεσχίσθημεν εἰς πολλὰ καὶ διάφορα, καὶ ἡ ἰσχὺς ἡμῶν οὐκ ἔτι νοερὰ, καὶ ὁ τόνος, ἢ μᾶλλον ἡ ἀνάτασις εἰπεῖν οἰκειότερον, ἐξέλιπεν οὐκ ἀπεικότως, καὶ εἰς βάθος ἥκομεν οὐ μετρίου κακοῦ, καὶ τὰ κάτω οἱ Θεοῦ εἰκόνες, καὶ τῆς ἄνω διαίτης, καὶ οὐρανίου ἐπάξιοι, ἀφρόνως φρονεῖν εἱλόμεθα. ἐπειδὴ δὲ οὐκ ἄτρεπτον, οὐδέ γε μὴν ἀκλινὲς τὸ ἡμέτερον, ἔξεστι πάντως καὶ τοῦτο εὐλόγως, ὥσπερ ἀπὸ τῆς παμπόλλου δόξης ἐκείνης εἰς τὴν ἀπωτάτω ἀδοξίαν σχετλίως καταλισθήσαμεν,

* ἴσ. περιττὸν τὸ εἶναι



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σαμεν, παλινδρομῆσαι, καὶ ἀναλῦσαι, καὶ πάλιν ἰδεῖν τὸ τοῦ Θεοῦ σεβασμιώτατον πρόσωπον. οὐ μὲν οὖν ὡς τὸ πρὶν τοσοῦτον ἔγγιστα, μέντοι γε πορρωτέρω, καὶ ἰδεῖν καὶ τοῦ κάλλους αὐτοῦ παθεῖν τὴν λαμπρότητα. τοιγάρτοι καὶ Μωσῆς ὁ θειότατος, καὶ ἅπας οὖν ὁ τῶν Προφητῶν κατάλογος, καὶ οἱ πρὸ τούτων γε μὴν, Ἀβραὰμ δηλονότι, καὶ οἱ κατ' αὐτὸν, εἶδον ὡς ἐφικτὸν τοῦτο, καὶ λίαν σαφῶς, καὶ τὴν ἐξ ἐκείνου τοῦ κάλλους ἀγλαΐαν ἐξύφηναν ἀποχρώντως, καὶ μέντοι γε καὶ ἐκπλαγέντες τῇ ἀπροσίτῳ δόξῃ αὐτοῦ. οἱ μὲν σφᾶς αὐτοὺς τεταλανίκασιν, οἱ δὲ γῆν ἑαυτοὺς, καὶ σποδὸν ὠνόμασαν καὶ ἐκάλεσαν, ἕτεροι δὲ οὐδὲ χανεῖν γοῦν ἴσχυσαν, τῇ τῆς τοῦ θεωρηθέντος δόξης ὑπερβολῇ. τότε γε ἰσχνοφωνίαν, καὶ βραδυγλωττίαν κατέγνωσαν ἑαυτῶν, καὶ ἕτερ' ἄττα πλεῖστα, καὶ μακάρια πάθη πεπόνθασιν ἐντελεῶς. ἐντεῦθεν δῆτα καὶ Δαβὶδ ὁ θεσπέσιος ἱμειρόμενος τῆς αἴγλης τοῦ κάλλους τοῦ προσώπου Κυρίου, βοᾷ πρὸς Θεὸν ποτνιώμενος, πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ μου; καὶ μέντοι τὴν τῆς ψυχῆς καθ' ἣν ὦπται κατάστασιν τὸ πρόσωπον τοῦ Κυρίου παραδόξως βεβουλημένος, κατοικήσουσιν εὐθεῖς, φησὶ, σὺν τῷ προσώπῳ σου. καὶ τήν γε ἰσχὺν, ὅσην τῇ ψυχῇ παρέχεται τὸ τοῦ Θεοῦ θεωρούμενον πρόσωπον φρονίμως παραδεικνὺς, ἀπέστρεψας· λέγει· τὸ πρόσωπόν σου καὶ ἐγενήθην τεταραγμένος. εἰ δὲ τῇ τοῦ θείου προσώπου ἀποστροφῇ συμβαίνει ὁ τάραχος, τῇ τούτου παρουσίᾳ καὶ ἐποψίᾳ ἄμ' εἰρήνη ἕπεται πνευματικὴ τῇ ψυχῇ δῶρον τοσοῦτο μέγιστον ὂν, ὡς μετὰ τὴν θείαν ἀγάπην, καὶ χαρὰν ἐπιφαίνεσθαι τὸ τοῦ πνεύματος, εἴτε χαρίσματα χρὴ λέγειν, εἴτε γοῦν καρπούς. καὶ τοὺς ἁγίως δὲ διαζῶντας, καὶ ὁσίως ἐν τῷ φωτὶ τοῦ προσώπου Κυρίου ἐμφαίνει πορεύεσθαι. Κύριε, λέγων, ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν, τὴν πνευματικὴν ἐκείνην δηλονότι, καθ' ὅσον διαπέμπει τῷ ἔσω ἀνθρώπῳ ὁ νοητὸς, καὶ ἄρρητος ἥλιος τὰς ἀχράντους, καὶ ζωοποιοὺς ἀκτῖνας αὐτοῦ, καὶ διαφαύσκεται τῷ νοῒ τῶν ὑπερκοσμίων ἡ αἴσθησις. καθ' ὃν καιρὸν αἴρεται ἐκ τῆς γῆς, καὶ εἰς οὐρανὸν μετατίθεται τὸ τῆς ψυχῆς ἅπαν μνημόσυνον. καὶ ὁ ἄνθρωπος χαίρει, καὶ σκιρτᾷ, καὶ * παιᾶνας ὡς εἰκὸς ἱστᾷ, καὶ εὐφραίνεται ἐν ἀγαλλιάσει, καὶ τέρψει, καὶ θυμηδίᾳ, πόσῃ τίς ἂν εἴποι; φαιδρυνόμενος καὶ γανύμενος τῇ τοῦ προσώπου Κυρίου λαμπρότητι. ὅθεν ἑτέρωθι ἱκετεύει Θεόν. μὴ ἀποστρέψῃς· λέγων· τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. σκότους γὰρ αἰτία ἡ τοῦ προσώπου Κυρίου ἀποστροφή. ἡ δ' ἐπιστροφὴ, παντὸς τοιούτου φωτός. ὅθεν εἰκότως καὶ χαρᾶς πνευματικῆς, ὡς αὖ καὶ περὶ ἑαυτοῦ φησιν, ἐσημειώθη ἐπ' ἐμὲ τὸ φῶς τοῦ προσώπου σου. καὶ συνεπάγει, ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου· πάλιν ἐκ τοῦ φωτισμοῦ τοῦ προσώπου Κυρίου, τὴν πνευματικὴν τῆς θείας χάριτος γεγενῆσθαι ἑαυτῷ μαρτυρῶν δωρεὰν, καὶ τίνες ποτ' ἄρα οἱ παρὰ τῷ προσώπῳ τοῦ Κυρίου ἱστάμενοι, καὶ αὐτὸ λιτανεύοντες φησίν· ὅτι εἰσὶν οἱ νοητῶς τοῦ λαοῦ τοῦ Θεοῦ πλούσιοι· ἅγιοι μὲν γὰρ δήπουθεν καὶ ἄνθρωποι τοῦ Θεοῦ πολλοὶ, οὐ μὴν ἅπαντες ἁπαξαπλῶς τὸ τοῦ Θεοῦ θεωρεῖν ἔξεστι πρόσωπον, καὶ βιοῦν βίον Ἀγγελικὸν, ἐπὶ γῆς ἀκμὴν διαζῶντες; πολλοῦ γε καὶ δεῖ. μόνων γάρτοι τούτων τῶν μετὰ σοφίας θείας καὶ γνώσεως λατρευτέον εἶναι τὸ θεῖον νομιζόντων, καὶ προσκυνητέον ἀληθείᾳ, καὶ πνεύματι. οἵπερ δὴ καὶ πλούσιοι τοῦ λαοῦ λέγοιντ' ἂν εἰκότως, τοῦ Θεοῦ, πολλῶν θεωρημάτων ἐναυγασθέντες μυστήρια, πολλῆς τε σοφίας, καὶ γνώσεως, ἥτις,

* ὑμνεῖ

καὶ Παῦλον, ἐκεῖν ναύτον ἐστί, θείας καὶ πνευματικῆς βάθος ἔχουσι πλεῖον. ὅθεν τὸ πρόσωπόν σου, ὁ θαυμάσιος λέγει πρὸς Θεὸν, ὡς εἴρηται Δαβὶδ, λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. ταύτῃ τοι ταυτὶ, μάλιστα πάντων εἰδὼς, ὡς μάλιστα πάντων θείας σοφίας πεπληρωμένως Σολομὼν ὁ πάνυ, ἀφυῶς τὰ μάλιστα διδάσκων φησί· μὴ σπεύσῃς ἐξενεγκεῖν ῥῆμα πρὸ προσώπου Κυρίου, ὅτι ὁ Θεὸς ἐν οὐρανῷ ἄνω, καὶ σὺ ἐπὶ τῆς γῆς κάτω. ὁπηνίκα καὶ θείαν δωρεὰν γένοιο πρὸ προσώπου Κυρίου ἐν θείᾳ καὶ ἑνοειδεῖ φαντασίᾳ, ἀναβεβηκυίας τῆς τοῦ νοῦ θεωρίας δηλονότι, καιρὸς τοῦ σιγᾶν, μὴ τινα προσενεγκεῖν ῥῆμα, μηδὲ γοῦν ἐνσπεύσῃς, εἰκαίως ῥηματικῇ συνηθείᾳ ἑπόμενος, ὅτι οὐ καιρὸς τότε τοῦ λαλεῖν. Θεὸς γὰρ γίνῃ καὶ σὺ ἐπὶ τῆς γῆς ἔτι ὢν, τῷ ἐν οὐρανοῖς θεωρῶν Θεοῦ ἀγγελομιμήτως τὸ πρόσωπον. καὶ γὰρ οὖν καὶ οἱ Ἄγγελοι, ὡς ὁ Σωτὴρ εἴρηκε, διαπαντὸς ὁρῶσι τὸ πρόσωπον τοῦ ἐν οὐρανοῖς ἡμῶν Πατρός. ὅθεν καὶ ὅταν ἐν ἄλλῳ τόπῳ λέγοντος ἀκούῃς τοῦ Σολομῶντος, φῶς δικαίοις διαπαντὸς, ἐκ τῆς τοῦ προσώπου Κυρίου φωτοχυσίας, τοῦτο παρέχειν αὐτοὺς τὸ εἰκὸς λογίσῃ σκοπούμενος, ἀγγελοειδῶς καὶ θείαν χάριν διαπαντὸς ὁρῶντας τὸ τοῦ Κυρίου πρόσωπον, ἐξ οὗ τὸ πηγαῖον ἐκκέχυται φῶς. Ἄγγελος γὰρ ἄλλος, ἵνα μὴ λέγω Θεὸς, ὁ ἄνθρωπος γίνεται καὶ ἔστιν ἐπὶ τῆς γῆς. ἀμέλει καὶ εἰς τὴν εἰκονικὴν τῆς τοῦ Κυρίου χάριτος δωρεὰν ἐπανέρχῃ, καθιστάμενος ὅπερ ὁ Θεὸς ἄνω, τοῦτο σὺ ἐπὶ γῆς κάτω, Θεὸς δηλαδὴ, τὸ θαυμάσιον. οὐ διεξοδεύων λόγῳ, οὐδὲ νοήματι μεταβαίνων, καὶ κινῶν τι ἴδιον λογιζόμενον, ὡς ἂν νοερῶς διαιρούμενος, ἀλλ᾽ ἑνοειδῶς ἐπιβάλλων, καὶ δίκην Θεοῦ θεωρῶν ἀνομμάτως, καὶ ἀκινήτως καὶ ἁπλῆν καὶ ἑνιαίαν ἀπόβλεψιν. καὶ μέν γε ἐντρυφῶν τῇ ἐκ προσώπου Κυρίου ἀποπαλλομένῃ διαυγεστάτῃ αἴγλῃ, καὶ ἀπροσίτῳ. τοῦτ᾽ οὖν ἐστιν ἡ κορυφαία καὶ ζηλωτὴ τοῖς ἐχέφροσι, τῆς τοῦ πρὸς Θεὸν καταστάσεως· τὸ οἷον εἰπεῖν ἄνθος τῆς νοερᾶς καθαρότητος· ἡ ἀκραία ἑνότης τῆς πίστεως, τελουμένη ἐν τῇ κοινωνίᾳ τοῦ πνεύματος. τῆς θείας καὶ θεοποιοῦ σοφίας ὁ ἐντελὴς καρπός. ἡ τῆς πνευματικῆς εἰρήνης κρηπίς. τὸ καταγώγιον τῆς ἀφαντάστου χαρᾶς. τῆς τοῦ Θεοῦ ἀγάπης ἡ πύλη. τὸ τῆς ἐλλάμψεως βλάστημα. τὸ αἴτιον τῆς ἐκ καρδίας ἐκβλύσεως τῶν ἀκενώτων ὑδάτων τοῦ πνεύματος. ἡ τοῦ μυστικοῦ Μάννα ἀληθῶς τροφή τε, καὶ τρυφὴ τῆς ψυχῆς, καὶ αὔξησις, καὶ ἀλλοίωσις. τῶν θείων καὶ ἀλαλήτων μυστηρίων, καὶ ἀποκαλύψεων ἡ ἀρχή. τῆς γε μιᾶς καὶ πρώτης ἀληθείας τὸ συμπέρασμα. τῶν ὁποιωνοῦν λογισμῶν ὁ ἀφανισμός. ἡ πασῶν τῶν νοήσεων ἀπόπαυσις. ἡ ὑπὲρ τὸ νοεῖν ἐπιστασία. ἡ ἀφορμὴ τῆς ἐκπλήξεως. ἡ πρός γε τὸ ἁπλοῦν, καὶ ἀόριστον καθ᾽ ὁτιοῦν ἄπειρον, καὶ ἀπερίληπτον, ἀνείδεόν τε, καὶ ἀσχημάτιστον, ἄποιον, ἀποίκιλον, ἄποσον, ἀναφὲς, καὶ ὑπερκόσμιον, τοῦ νοῦ μεταποίησις ὑπὲρ νοῦν, καὶ ἀλλοίωσις, καὶ ὅλως πρὸς τὸ θεοειδὲς ἀποκατάστασις. μὴ δὴ ἐξ ἀμαθείας ἐν τούτῳ γεγονὼς καταστάσεως, καὶ τρόπῳ γέ τῳ θεουργημένος τῇ φιλανθρωπίᾳ τῆς χάριτος, σπεύσῃς ἐνεγκεῖν ῥῆμα ἐν γοῦν πρὸ προσώπου Κυρίου. ὅτι αὐτή ἡ μία, καὶ ἁπλῆ δόξα εἰς τοὺς αἰῶνας ἐστί.

οζ. Ὁ νοῦς θεωρεῖν ἐθέλων τὰ ὑπὲρ αὐτὸν νοητὰ, εἰ μὴ διὰ τῆς θείας χάριτος συνεργοῦσαν πρὸς τοῦτο ἔχοι καὶ τὴν ἰδίαν καρδίαν, ἀδρανῆ, καὶ ἀφώτιστα, καὶ συγκεχυμένα ὁρᾷ. διὰ τοῦτο καὶ τῆς ἑαυτοῦ ἡδονῆς τῆς γε κυριωτέρας ἐνδεῆ, κἂν εἰ ἄγνοιαν δοκῇ ἥδεσθαι οἷα μηδέπω γεγευμένος ταύτης τυγχάνων. ὥσπερ δὴ ἐκεῖπως ἥδεσθαι καὶ ὁ τὸν ὀλυρίτην ἐσθίων

ἄρτον, καίτοιγε πάμπολυ τῆς κατὰ τὸν ἄρτον ἡδονῆς ἐνδεῶς ἔχοντα, διὰ μόνην τὴν ἄγνοιαν τῆς γεύσεως τοῦ διὰ σεμιδάλεως ἄρτου.

οη'. Μετὰ τὴν ἱερὰν τῆς καρδίας διὰ τῆς χάριτος ἕνωσιν ἀπλανῶς ἐν φωτὶ πνευματικῷ ὁ νοῦς ὁρᾷ, καὶ ἐκτείνεται εἰς τὸ ἴδιον ἐφετὸν, ὅπερ ἐστὶν ὁ Θεός. ἔξω πάντη γενόμενος τῆς αἰσθήσεως. ἄχροος δηλαδὴ, καὶ ἄποιος, καὶ ἀφάνταστος ἀποκαθιστάμενος ταῖς φαντασίαις τῶν αἰσθητῶν.

οθ'. Νοῦς ὑπὸ τῆς χάριτος εἰς τὸ θεωρεῖν ὁδηγούμενος, ὡς ἀληθῶς Μάννα διὰ παντὸς ἐσθίει πνευματικόν. τὸ γὰρ δὴ αἰσθητὸν Μάννα, ὅπερ ὁ Ἰσραὴλ ἤσθιεν, εἶχεν ἔνδηλον ἀξιόλογον δύναμιν σῶμα τρέφουσαν. τί δὲ τὴν οὐσίαν ἐκεῖνο ἦν, ἀγνοούμενον ἦν. ὅθεν καὶ Μάννα προσηγόρευτο, δηλούσης τῆς λέξεως τὸ ἀγνώριστον. τί γὰρ τοῦτο; ἡ λέξις δηλοῖ. καὶ ὅπερ ἑώρων ἐσθίοντες, τούτου τὴν οὐσίαν μὴ ἐγνωκότες, ἀπορηματικῶς, τί τοῦτο ἐστίν; ἔλεγον. διὰ παντὸς δὴ καὶ ὁ θεωρητικὸς διϊστάται κατὰ νοῦν, καὶ πρὸς ἑαυτὸν, τί τοῦτο φησίν; ὅπερ εὐφραίνει μὲν θεωρούμενον, καὶ πιαίνει τὸν νοῦν πνευματικῶς ἐσθιόμενον, ὑπερεκβαίνει δὲ τὸ νοεῖσθαι καθ' ἑαυτὸ, ὡς θεῖον ὂν καὶ ὑπερφυὲς, καὶ τρέφον παραδόξως, καὶ ἄρδον τὸν νοῦν, τὴν τοῦ νοῦ κατάστασιν ὑπεκφεύγει, οὐ μόνον ὡς ἀκατάληπτον τὴν οὐσίαν, ἀλλὰ καὶ ὡς ἄπειρον καὶ ἀόριστον.

π'. Τρία εἰσὶ τὰ μαρτυροῦντα τῇ ἀληθείᾳ εἴποιμ' ἂν καὶ αὐτὸς κατὰ τὸ εἰκός· ἡ κτίσις, ἡ γραφὴ, ἐν τῷ πνεύματι. ἐκ γὰρ τῆς γραφῆς, καὶ τῆς κτίσεως πνευματικῶς ὁρωμένων, θεωρεῖται ἡ μόνη ἁπλῆ ἀλήθεια, καὶ ἡ ἐκ ταύτης σύνθετος. καὶ διὰ τῶν εἰρημένων τριῶν γενόμενος ἐν τοῖς ἐφεξῆς δυσὶ, καὶ ἱστάμενος ἐν αὐτοῖς, ἀπλανῆ εὕρατο· Χριστοῦ χάριτι· τὴν ὁδόν. ἐπέτυχε γὰρ ἐκ μὲν τῆς ἁπλῆς ἀληθείας, ὕψους κενοῦ, καὶ βάθους, ἔτιτε καὶ πλάτους ἀπείρου· δι' ἃ καὶ εἰς ἔκπληξιν καταστὰς, ἔμφοβος ὑμνεῖ· ἐκ δέγε τῆς συνθέτου, πρὸς τοῖς λεγομένοις, καὶ καρδιακὴν εὕρατο εἰρήνην, καὶ ἀγάπην, καὶ χαράν. ὅθεν ἔκθαμβος μέλπει ἀγαπητικῶς. δεῖται δὲ ὁ ἄνθρωπος χρονικοῦ πολλοῦ διαστήματος, καὶ κόπου, καὶ ὑπομονῆς· ὡς ἂν τὰς αἰσθήσεις κατά τινα τρόπον ἀποβαλλόμενος, καὶ τοῦ νοῦ διαρρήξας τὰ αἰσθητὰ, στῇ ἐν τοῖς νοητοῖς· μεθ' ἃ ἡ τῆς ἀληθείας ἀναλάμπει τῇ ψυχῇ θεωρία. οὐχὶ δὴ τὴν ἀλήθειαν φημὶ δεῖσθαι εἰς τὴν ἑαυτῆς ἐξεύρεσιν τῶν τοιούτων, οἷον χρονικοῦ πρὸς τὸ καταληφθῆναι διαστήματος, ἢ κόπου, καὶ ὑπομονῆς, ἀλλὰ τὸν ἄνθρωπον δεῖσθαι τούτων εἰρήκειν. ἐπείτοιγε ἡ μὲν ἀλήθεια ἔνεστι, καὶ ἁπλοῦν, οἱ καὶ διχῆ θεωρουμένη δείκνυται, καὶ μονονοὺ πάντοθεν βοᾷ, ἑαυτὴν ὁρᾶν ἐθέλουσι μαρτυρουμένη. ὁ δ' ἄνθρωπος σύνθετος ὢν, καὶ ταῖς αἰσθήσεσι συμπεπλεγμένος, ἔτιτε ἀλλοιώσεσιν ὑποκείμενος, καὶ τροπῇ, ἐκβαίνει ἔστιν ὅτε ἑαυτοῦ τρόπῳ γέ τῳ, καὶ κατ' αὐτὸς ἑαυτοῦ, ὡς οὐκ οἶδε γίγνεται, ἐξ οἰήσεως πονηρευόμενος, καὶ τὴν ἀπιστίαν νοσῶν. καὶ δὴ διὰ τῶν τριῶν τούτων οἰήσεως φημὶ, πονηρίας τε, καὶ ἀπιστίας, τῆς ἐκ τῶν τριῶν ἐκείνων μαρτυρουμένης ἀληθείας, ἐκ γραφῆς, καὶ κτίσεως, καὶ πνεύματος δηλαδὴ ἀθλίως ἐκπίπτει. διὸ καὶ δεῖται πρὸς ἀποβολὴν τῆς δεινῆς οἰήσεως, καὶ τῶν ἄλλων, ὧν δεῖσθαι ἔφθην εἰπών· ὅπως ἂν ταπεινωθεὶς ὁ τῆς πιστεύσειεν ἐν ἁπλότητι. κἄπειθ' οὕτως ἄμ' εὐθὺς διὰ τῆς γραφῆς, καὶ τῆς κτίσεως ἐν τῷ πνεύματι γνοίη σαφῶς, οὐ μόνον τὴν ἁπλουστάτην ἀλήθειαν, ἀλλὰ καὶ τὴν σύνθετον ἐξ αὐτῆς. καὶ προσέτιγε τί ποτε τὸ διεῖργον αὐτὸν ἦν, καὶ τῆς κατ' ἀλήθειαν θεωρίας, προσθείην δ' ἄν,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὅτι καὶ ἀπολαύσεως διττῶν. ἓν μὲν ὂν ἐστι, καὶ μόνον φύσει ἁπλοῦν ἡ πρώτη ἀλήθεια· μεθ᾽ ἣν ἡ ἐκ ταύτης διὰ τοὺς σωθέντας ἡμᾶς σωθεῖσα. καὶ τοῦτό ἐστι τὸ καθ᾽ ἡμᾶς τοῦ τὸ ἔσχατον, καὶ ἄριστον ἀντικείμενον, πρὸς ὃ συντείνει πᾶσα πολιτεία, καὶ ἄσκησις τῶν κατὰ σκοπὸν ἠγμένων τοῦ πνεύματος. ὅπως αὖ ὁ νοῦς γυμνός· ὡς οἷόν τε ἴδῃ καὶ ἀπολαύσῃ τῆς ἐκ πρώτης, καὶ μόνης ἀληθείας λαμπηδόνος, καὶ διὰ αὐτῆς συντεθείσης τρόπῳ θαυμαστῷ. ὅπερ οὐκ ἄν ποτε ἄλλως γένοιτο, ὅτι μὴ διὰ ταπεινώσεως, καὶ ἁπλότητος ἐν πίστει, διὰ τῆς μαρτυρίας τῆς γραφῆς, καὶ τῆς κτίσεως ἐν πνεύματι. ὁπηνίκα δὲ τὴν ἀλήθειαν ὁ νοῦς ἐν τρισὶ ταῖς ἑαυτοῦ δυνάμεσιν ἐνοπτρισθῇ διὰ τῆς μαρτυρίας τῶν ἄνωθεν λελεγμένων τρόπων, τότε αὖθις ὥσπερ ἐκ τινος ἐπανακάμπτων ἑαυτοῦ γίνεται πολλῷ ταπεινότερος, καὶ ἁπλούστερος, καὶ βεβαίως πιστός. κἀντεῦθεν διδύμῳ ποδί, ὃ δὴ λέγεται, πρὸς τὴν θεωρίαν τῆς ἀληθείας ἄνεισι, ταῖς ἀκτῖσιν ἐκείνης ἐναυγαζόμενος τηλαυγέστερον. δι᾽ ὧν ἐπιστρέφων ἐν ἑαυτῷ διὰ τὸ τῆς δόξης θεωρηθὲν μέγεθος παρ᾽ αὐτοῦ, κάτεισιν εἰς τὸ ταπεινότερον, καὶ ἁπλούστερον, καὶ ἐκπλήττεται τῇ πίστει κατασχεθείς· καὶ οὕτως ὥς τινα θεῖον κύκλον ἐπανακυκλῶν, καὶ περιερχόμενος διὰ ταπεινώσεως, ἁπλότητός τε, καὶ πίστεως ἀνιὼν καὶ ὁρῶν τὴν ἀλήθειαν, καὶ τῇ αἴγλῃ τῆς ἀληθείας πρὸς ταπείνωσιν εἰσαγόμενος πλεῖστα, καὶ ἁπλούστερος ἐν πίστει μᾶλλον γινόμενος, οὐ παύεται διανύων τὸν δρόμον τοῦτον, ἕως αὖ τό, σήμερον λέγηται, ἐν ταπεινότητι, καὶ ἁπλότητι, καὶ πίστει διὰ τῆς μαρτυρίας τῆς γραφῆς, καὶ τῆς κτίσεως ἐν πνεύματι θεωρῶν τὴν ἀλήθειαν, καὶ πάλιν ἐπανακάμπτων εἰς τὰ ὅθεν κεκίνηται. καὶ οὕτω θεώμενος ὁσημέραι διὰ τῆς χάριτος, καὶ τὰ ὑπὲρ νοῦν ἐλλαμπόμενος, καὶ ζωὴν ζῶν πάσης χαρᾶς ἔμπλεω ἐν Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ὡς ἐν ἀρραβῶνι γεύεται τῆς ἀπολαύσεως τῶν μελλόντων αἰωνίων ἀγαθῶν.

Ὁ θεωρητικὸς βίος διὰ τριῶν τούτων συνίστασθαι πέφυκεν ἀκέραιός τε, καὶ ἀνεπίληπτος. λέγω δὴ πίστεως, μετοχῆς ἐναργοῦς τοῦ Ἁγίου Πνεύματος, καὶ σοφίας εἰδήσεως. θεωρία γάρ ἐστιν, ὡς ἐν ὅρῳ φάναι, γνῶσις νοητῶν ἐν ἄρα τοῖς αἰσθητοῖς. ἐνίοτε δὲ καὶ ψιλῶν νοητῶν κεχωρισμένων αἰσθήσεως ἐπὶ τῶν ἰόντων εἰς προκοπάς· τοὐντεῦθεν, δεῖ δὴ πίστεως. ἐὰν γὰρ μὴ πιστεύσητε, φησίν, οὐδ᾽ οὐ μὴ συνῆτε· ὡς δέ, δὴ καὶ πνεύματος. ἐφόσον τὸ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. ὅθεν ὁ θεῖος ἔφη Ἰώβ, πνοὴ παντοκράτορος ἡ διδάσκουσά με. ἔπειτα πεφυκότως ἡ τοῦ δ᾽ ἐν καρδίᾳ ἔνδοθεν ἀναζέουσα, ἵν᾽ οὕτω φῶ, ζῶσα, καὶ διὰ ἐπομένη ζῶσα ὑπερκοσμίως θεία ἐνέργεια πρὸς ἑαυτὴν συμπτύσσει ἀρρήτως συνάγουσα τὸν νοῦν, καὶ παντὸς ἀπείργει τοῦτον μετεωρισμοῦ, καὶ παρέχει μετὰ γαλήνης, καὶ πολλῆς θυμηδίας, καὶ παρακλήσεως, καὶ προσέτι θείας ἀγάπης· ῥᾷστα τὰ θεῖα ὁρᾶν, καὶ περὶ αὐτὰ στρέφεσθαι, καὶ Θεὸν φαντάζεσθαι θεοπρεπῶς, καὶ διὰ ἐφαμίλλου αὐτοῦ εὐφραίνεσθαι μετὰ μειζόνων ἀφορήτων ἐρώτων, καὶ καταλλήλου ἀγαλλιάματος· δεῖται δὲ καὶ σοφίας, ὡς ἔφην. ὅτι ἡ σοφία, φησίν, ἡ γραφή, φωτιεῖ πρόσωπον ἀνθρώπου· φωτιεῖ πρὸς τὸ ἀπὸ τῆς αἰσθήσεως μεταβεβηκέναι εἰς νόησιν ἀπταίστως, καὶ ἀπὸ τῶν αἰσθητῶν εἰς τὰ νοητά, καὶ θεῖα θεάματα ἀνελθεῖν, καὶ ἐν ἀποκαλύψει νοερᾷ ἄφατα κατιδεῖν· φωτιεῖ πρὸς τὸ θεωρῆσαι ἐποπτικῶς, καὶ ἑνοειδῶς φαντασθῆναι Θεὸν ὑπερούσιον. ἢ που δὴ μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν· ὅτι οὗτος ἐστιν ὁ τῷ ὄντι σο- πα΄

φός, διὰ παιδείας εἰς πίστιν ἰών, καὶ τῇ τοῦ Πνεύματος διδαχῇ διδασκόμενος τὰ ἀπόρρητα τοῦ Θεοῦ· μέγα χρῆμα ἀληθῶς σοφὸς διὰ πίστεως περιπατῶν ἐν ἑνώσει καὶ κοινωνίᾳ ὑπερφυεῖ τοῦ Πνεύματος. καὶ ὄντως ξένα ἐστὶ κατὰ τὸν εἰπόντα ἀκράτητα. Θεός, καὶ Ἄγγελος, καὶ ἀνὴρ φιλόσοφος· Ἄγγελος ἄλλος ἐπὶ τῆς γῆς ξενότροπος· ἐπόπτης πάντως τῆς ὁρατῆς κτίσεως, καὶ γνήσιος μύστης τῶν θείων Θεοῦ ἀκτίστων προόδων, εἴτε μίαν δωρεῶν ἐθέλει τις λέγειν, ἐπιδραττόμενος ἀμηγέπη καὶ αὐτοῦ τοῦ ἀθεάτου τρόπῳ παντί, καὶ τὴν ἀθρόαν ἐπιβολὴν ἀγγελομιμήτως τὴν ἐπίγνωσιν Θεοῦ. τοιοῦτός ἐστιν, ὡς ἐν ὑπογραφῇ φάναι, ὁ διὰ πίστεως ἐν Ἁγίῳ Πνεύματι σοφός, καὶ οὕτω μακάριος. καίτοιγε ἤρκει ἀναμφιλέκτως, ἃ Λουκᾶς ἐν Εὐαγγελίοις δίεισιν· εἰπόντι μοι, περίγε Ἰησοῦ τοῦ Κυρίου, ἀπηλλάχθαι πραγμάτων, ὡς διεξιέναι σοφίας καὶ χάριτος δύναμιν, καὶ ἐγκώμια. οὕτω γὰρ οὗτος ἐν τόπῳ τίθησι γράφων, ἐν οἷς προέκοπτε σοφίᾳ, καὶ ἡλικίᾳ, καὶ χάριτι. καὶ πάλιν, ὅτι ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας. ἵνα δὲ περιφανέστερον περὶ τῶν προκειμένων εἰπεῖν ὡρμημένῳ, προτίθημι καὶ ὅ φησιν ὁ Ἱερὸς Σολομὼν πρὸς Θεόν· τὰ ἐν οὐρανοῖς τίς ἐξιχνίασε; βουλὴν δέ σου τίς ἔγνω; εἰ μὴ σὺ ἔδωκας σοφίαν, καὶ ἔπεμψας τὸ Ἅγιόν σου Πνεῦμα ἀπὸ ὑψίστων; καὶ οὕτω διωρθώθησαν αἱ τρίβοι τῶν ἐπὶ γῆς, καὶ τὰ ἀρεστά σου ἐδιδάχθησαν ἄνθρωποι, καὶ τῇ σοφίᾳ σου ἐσώθησαν. ὁρᾷς σοφίαν μετὰ μετοχῆς Πνεύματος εἰς ὅσην ἀφικνεῖται δυνάμεως; καὶ ὅπως πόρρω σωτηρίας ἐλαύνει ὁ μὴ σοφίαν, καὶ τὸ πνεῦμα ἐκ Θεοῦ κεκτημένος, καὶ μηδὲ παρὰ σοφῷ καὶ μετόχῳ Πνεύματος ὁδηγούμενος; εἰ περὶ τοῦ, ἐν ᾧ κατῴκησε πᾶν τὸ πλήρωμα τῆς Θεότητος, Σωτῆρος τοιαῦτα γέγραπται, καὶ ἐφ' ἑξῆς συλλήβδην ξύμπαντος ἀνθρώπων γένους ξυνιδεῖν οὐκ ἄπεστιν, ὅσον σοφία μετὰ ῥοπῆς τοῦ Πνεύματος ἀναγκαία, καὶ ὅσον δι' ἐλέους, δυνάμεως καὶ προκοπῆς ἔτυχεν ἐκ φιλοψύχου Θεοῦ ὁ πνευματικὸς σοφὸς τὰ ἐν οὐρανοῖς ἐξιχνιάζων, καὶ χωρῶν πρὸς γνῶσιν βουλῆς ὑψίστου, τὸ ἐξαίσιον, εἰπεῖν. ἀλλάγε δὴ τοσάδε τε νῦν εἶναι διεληλυθότες θεωρητικοῦ πέρι, καὶ περὶ θεωρίας ἐκθέσθαι, καὶ ἐκ μέρους προαγαγεῖν, καὶ οἷον τὸ λογιζόμενον τοῦ διακειμένως ἀκροατοῦ διαθρέψαι, ῥητέον ἂν εἴη, καὶ οὐκ ὀκνητέον, καὶ ὁπωσοῦν. τοῦτο γὰρ κελεύει Θεὸς καθάπαξ λογικοῖς, μεταδιδόναι δηλαδὴ ἀφθόνως τοῖς κατωτέρω, καὶ τῶν ἀνωτέρω μετ' εὐλαβείας μεταλαμβάνειν τῶν ἐφικτῶν τῆς θείας ἐλλάμψεως, καὶ χρημάτων τῶν νοητῶν· πρὸς μόνοις τοὺς ὁμοπαγεῖς κοινωνικῶς, καὶ ἀφιλενδείκτως τὰς συντυχίας ποιεῖσθαι, καὶ ὁμιλίας τὰς περὶ νοητῶν, καὶ περὶ Θεοῦ. οὕτω γὰρ οὐ μόνον τὸ εὐθές τε καὶ ἀπλανὲς ἐν Ἐκκλησίᾳ ζῶντος Θεοῦ διαλάμψειεν ἂν σφόδρα φαιδρόν, ἀλλὰ καὶ τὸ ὅσιον τῆς ἀγάπης, καὶ περικαλλέστατον πρόσωπον, τὸ γνώρισμα τῶν μαθητῶν τοῦ Χριστοῦ, διαυγάσειε διηνεκῶς εἰς τὰς καρδίας ἡμῶν, διὰ Ἁγίου Πνεύματος ἡμῖν ἐκχυθησόμενον εἰς τελείαν, καὶ ἁπλῆν ἀγάπην τοῦ Θεοῦ, καὶ ἀνθρώπων· καὶ οὕτω ζησαίμεθ' ἂν ἐπὶ γῆς βίον ἀγγελοειδῆ, καὶ τῷ ὄντι μακάριοι, οὐδὲν δὲ ἧττον καὶ ὑπερήδιστον· ὡς τῆς, ἐν ᾗ κρέμαται ὅλος ὁ νόμος καὶ οἱ Προφῆται, θείας καὶ θεοποιοῦ διφυοῦς ἀγάπης ἐξηρτημένοι· ἧς οὐδὲν τὸ οἱονοῦν τὸ παράπαν ψυχῇ γλύκιον· καὶ μάλισθ' ὅταν ἐκ τῆς τοῦ Θεοῦ καὶ τῶν θείων θεωρίας, καὶ γνώσεως ταυτὸν δ' εἰπεῖν τῆς φωτιστικῆς χάριτος προσεχῶς ἔχει τὴν πρόεσιν. ὁ μὲν οὖν τὸν σκοπὸν ἀνεληλυθέναι εὖ καὶ καλῶς ἔργον τιθέμενος εἰς Θεόν, ὡς ἑνωθῆναι τούτῳ, καὶ κατὰ τὰ γιγνόμενα θεωθῆναι,

θεωθῆναι,

Athos Library
Αγιορειτική Βιβλιοθήκη

θῶσαι, ἴσον δ᾿ εἰπεῖν σωθῶσαι· ἐπεὶ δίχα τοῦ τὸν νοῦν θεωθῆναι, σωθῆναι τὸν ἄνθρωπον οὐκ ἐνδέχεται, καὶ τὴν τῶν θεηγόρων ἐκφαντορίαν, μετὰ τῆς τῶν τοῦ Κυρίου ἐντολῶν ἐφικτῆς πράξεως, πρὸς τὴν τῶν ὄντων, καὶ φαινομένων χωρεῖ θεωρίαν ἐνδεχομένην. μήτε τὴν πρᾶξιν ἔχων τυφλήν, ἅτε θεωρίας μεμονωμένην, μήτε μὴν τὴν θεωρίαν ἄψυχον κεκτημένος, ὡς ἄνευ δήπουθεν πράξεως· ἐντεῦθεν ἔπω μετὰ τῆς κατὰ λόγον καὶ νοῦν σοφίας, καὶ γραφικῆς ἱερᾶς ἐπιστήμης, ἀγαθῇ φορᾷ, ὅ λέγεται, ἐνατενίζειν εὐστόχως ἄρχεται τῷ κόσμῳ σὺν λόγῳ τῶν αἰσθητῶν ἐπιδείγματι ἀπειροδυνάμου καὶ ἀπειροσόφου δημιουργοῦ· καὶ ἑπομένως εἰς ἄπειρα τὴν δύναμίν τε, καὶ ξυνόλην διαφοράν, ὅσον γε κατ᾿ ἐπιβολὴν ἀπαντᾷ, καὶ ξυφᾷ, καὶ ξέρεται ἐφαμίλλως τῶν νῦν καὶ τὸ κρυπτὸν διὰ τῶν κρυπτῶν. καὶ δή, καιροῦ προϊόντος, καὶ τὸν ἀθόρυβον βίον βιοὺς ἥσυχον, κἂν τοῖς θείοις μόνοις φιλοσοφῶν διὰ τῆς γραφῆς, καὶ τῶν ὁρωμένων, δι᾿ ἔργου ποιεῖται ὡς ἓν σύμφωνον θεωρῆσαι πνευματικῶς τῇ γραφῇ τὴν κτίσιν, καὶ τῇ ἀληθείᾳ τὰ σύμβολα δι᾿ ἑνωτικωτέρας ὁράσεως· οὗ γεγονότος, ὁ νοῦς ἐντεῦθεν μετὰ τῆς συνεργείας τοῦ προσκυνητοῦ Πνεύματος, καὶ τῆς κατ᾿ αὐτὴν ἐνεργείας, ἀνάγεται εἰς τὴν τῆς ἱερᾶς ἀληθείας ὅρασίν τε, καὶ ἐπιστήμην, ὡς ὁ Μέγας φησὶ Διονύσιος. εἰς ἀναβαθμὸν ἱερὸν θεωρίας, γενικῶς φάναι δεύτερον, εἰς τὰ θεῖα θεάματα, καὶ νοήματα, αὐτά ἐστι, προκαλυμμάτων καὶ τύπων χωρίς. κἀντεῦθεν λοιπὸν γυμνὸς ὁ νοῦς οἱονεὶ πρὸς νοητὰ προσβάλλων γυμνά, καὶ τὰς θείας ἐμφάσεις διὰ πλείστου ποιούμενος, διὰ τῆς ἰδίας καθαρότητος, καὶ πρὸς Θεὸν ἀνατάσεως. φέρων ἐν ἑαυτῷ, ὡς ἐν λαμπροτάτῳ ἐσόπτρῳ τινί, ἡλίου ὑπερστιλβούσας αὐγάς, ὑπὸ τῆς χάριτος καθ᾿ ὁδὸν ἐς αὖθις βαφεὶς τοῖς ἐφικτοῖς ἐπιβάλλουσι, χωρεῖ πρὸς οἷον τρίτην βαθμίδα, τὰ πολλὰ ἐκεῖνα θεάματα τὰ μακάρια, καὶ τῆς θείας προόδου ἑνοειδέστερον καὶ συμπεπτυγμένως ἀπὸ τῶν πολλῶν ἑτεροτήτων εἰς τὸν τῆς ἀτρέπτου, καὶ κρυφίας μονάδος ἀνάγων ἐπιβολῶς ἄρρητον ἔρωτα, μετὰ ξυμπάσης νοερᾶς αἰσθήσεως μεταπλαττόμενος, ὥσπερ ὁ θεωρὸς ὑπὸ τοῦ φωτίζοντος Πνεύματος ἀληθείᾳ καὶ ὑπομνήσει, εἰς πῦρ, καὶ ἐγκάρδιον Θεοῦ θεουργὸν ἔρωτα ἄληκτον· καὶ ἥδε ἐστὶ κατὰ τὸν Μέγαν πάλιν Διονύσιον ἡ * τῆς ἑνοειδοῦς, ἔνθεος μέθεξις αὐτοῦ τοῦ ἑνὸς ὡς ἐφικτόν. ἐν τρίτῳ τοιούτοις ἀναβαθμοῖς τῆς ζισυποστάτου ἑνοειδοῦς μεθέξεως, τρισολβίως ὁ θεοφόρος, καὶ θεόφρων τῆς ἀνιπτάμενος, καὶ ἀφορήτου κνίζων θείας βακχείας, καὶ τῶν κατ᾿ αὐτὴν μανικῶν ἐρώτων ἐκδήλως, καὶ περιφανῶς ἀπολαύων, καὶ πεζωμένος ἀγάπης, καὶ ὡς αὖ ἐκκαιόμενος ἑαυτὸν ξυνορῶν ἀριδήλως ἐκ τοῦ γιγνομένου τῆς διαθέσεως, ἐνθουσιᾷ καὶ ὄντως ἐξίσταται, εἰσβὰς εἰς τὰ ἀποφατικὰ τῆς θεολογίας φαιδρῷ προσώπῳ μυστήρια, ἑστιώμενος ἀνομμάτοις ἐπιβολαῖς τὸ ἄναρχον καὶ ἄπειρον, ἀπερίληπτόν τε, καὶ ὁλικῶς ἄφραστον, καὶ πάντη ἀνεπινόητον. καὶ φανταζόμενος τὸ τοῦ Θεοῦ οἱονεὶ πέλαγος οὐσίας ἄπειρον, καὶ ἀνέκβατον, πᾶσαν ὑπερεκπῖπτον ἔννοιαν καὶ χρόνου, καὶ φύσεως κατὰ τὸν φάμενον Θεολόγον. καὶ αὕτη ἐστὶν ὡς ὁ Ἱερὸς ἔτι λέγει Διονύσιος ἡ τῆς ἐποπτείας ἔφεσις, στέφουσα νοητῶς, καὶ θεοῦσα πάντα τὸν εἰς αὐτὴν ἀνατεινόμενον. ἀρχόμενον μέντοι ἀπὸ τῆς τῶν ὄντων θεωρίας καὶ γνώσεως, ὡς ἐκεῖσε οὗτος ὁ ἱεροφάντωρ φησίν, ὅπου τὰ ἱερὰ τῆς καθ᾿ ἡμᾶς Ἱεραρχίας ἀνακαθαίρει γε σύμβολα. ὥσπερ οὖν καὶ ὁ Μέγας Βασίλειος δηλοῖ λέγων. ἐπειδ᾿ ἄν τις θεωρητικῶς τὸ ἐν τοῖς φαινομένοις κάλλος ὑπερβάς, αὐτοῦ παραστῇ τοῦ Θεοῦ, ὃ ἡ θεία μόναις ταῖς καθαραῖς καρδίαις ἐμ-

* ἰσ. τῆ

φαίνεσθαι πέφυκεν· τότε ἐπὶ τὰ τῆς Θεολογίας ἀνώτερα προκόψας, καὶ ἐποπτικὸς γενέσθαι δύναται. καὶ πάλιν, εἰς τὸ πρωῒ παραστήσομαί σοι καὶ ἐπόψομαι· ῥητὸν τοῦ ἐν πνεύματι λαλοῦντος Δαβὶδ ὁ μέγας, ἐπειδάν, φησι, παραστῶ σοι, καὶ αὐτῇ τῇ περὶ σοῦ θεωρίᾳ διὰ τοῦ νοῦ προσεγγίσω, τότε τὴν ἐποπτικὴν ἐνέργειαν διὰ τοῦ κατὰ τὴν γνῶσιν φωτισμοῦ ἀναλήψομαι. ἔνεστι δὲ τὰ τοιαῦτα ἀκοῦσαι λέγοντος ἐφαμίλλως Μαξίμου τοῦ Ἱεροῦ, καὶ δεικνῦντος ἄντικρυς ἡλίκον ὅσον προκοπῆς, θεωρία καὶ γνῶσις Θεοῦ διὰ τῆς γραφῆς καὶ τῆς κτίσεως· καὶ ὅτι ὁ τῆς γνώσεως φωτισμὸς ἐντεῦθεν γίνεσθαι φιλεῖ, δι' οὗ ἡ κατ' ἐπιβολὴν μακαρία θέωσις, χρῆμα εἴπερ ποτὲ καὶ νῦν σπάνιον, καὶ δυσεύρετον ἡσυχάζουσι, δι' ἔνδειαν τοῦ ἐκ τῆς ἐποχῆς τῆς χάριτος διὰ πείρας διδάξοντος, ὡς ὁ τῆς ἡσυχίας ἄκρος ὑφηγητὴς φησὶν Ἅγιος Ἰσαὰκ ὁ Σύρος, ἐν ᾧ λόγῳ περὶ πνευματικῆς αἰσθήσεως ἄρχεται αὐτίκα λέγειν, καὶ δυνάμεως θεωρητικῆς. λέγει γοῦν Μάξιμος ὁ Ἱερός· θεουργικὰ φῶτα φαμὲν τὰς τῶν Ἁγίων Διδασκαλίας, ὡς φῶς γνώσεως ἐμποιούσας, καὶ θεούσας τοὺς πειθομένους. συνῳδὸν ἐμφανῶς τῷ πανιέρῳ Διονυσίῳ λέγοντι. ὅσα ἄλλα θεουργικὰ φῶτα τοῖς λογίοις ἀκολούθως ἡ τῶν ἐνθέων ἡμῶν καθηγεμόνων κρυφία παράδοσις ἐκφαντορικῶς ἡμῖν ἐδωρήσατο, ταῦτα καὶ ἡμεῖς μεμυήμεθα. καὶ ἀλλαχοῦ λέγει, ἡ θεία γνῶσις τοὺς ἐπ' αὐτὴν ὡς θεμιτὸν ἀναβαίνοντας, ἀναλόγως αὐτοῖς ἀνατείνει, καὶ ἑνοποιεῖ κατὰ τὴν ἁπλωτικὴν αὐτῆς ἕνωσιν. καὶ αὖθις, πᾶσα πατροκινήτου φωτοφανείας πρόοδος, εἰς ἡμᾶς ἀγαθοδότως φοιτῶσα, πάλιν ὡς ἑνοποιὸς δύναμις ἀνατατικῶς ἡμᾶς ἀναπλοῖ, καὶ ἐπιστρέφει πρὸς τὴν τοῦ συναγωγοῦ Πατρὸς ἑνότητα, καὶ θεοποιὸν ἁπλότητα. ἐξ αὐτοῦ γὰρ καὶ εἰς αὐτὸν τὰ πάντα. ξυνιεὶς, ὅπως ὁ ἀνατατικῶς κατ' ἐπιστροφὴν, ἤγουν θείαν ἐπιβολὴν εἰς Θεὸν ἐνσόφως ἁπλωθεὶς, ἐάν τε ἀπὸ τῶν ὄντων τὸν Θεὸν ἀνατεινόμενος θεωρῇ, ἐάν τε ἀπὸ τῆς γραφῆς εἴτε συμβολικῆς, εἴθ' ὁπωσδήποτε θείας, ἑνοῦται Θεῷ, καὶ θεοποιεῖται, οὐ μὴν ἀλλὰ καὶ Θεὸς εἴρηται ὀνόματι ὁ πιστός; ὅσα γάρ φησι, τῶν νοερῶν καὶ λογικῶν πρὸς τὴν τῆς θεαρχικῆς κρυφιότητος ἕνωσιν, ὅση δύναμις, ὁλικῶς ἐπέστραπται, καὶ πρὸς τὰς θείας αὐτῆς ἐλλάμψεις ὡς ἐφικτὸν ἀκαταλήκτως ἀνατείνεται, τῇ κατὰ δύναμιν, εἰ θέμις εἰπεῖν, θεομιμησίᾳ, καὶ τῆς θεϊκῆς ὁμωνυμίας ἠξίωται. ὥσπερ καὶ ἡ Γρηγορίου τοῦ πάνυ Θεολόγος γλῶττα λέγει φανερῶς· ζῶον ἐνταῦθα οἰκονομούμενον, καὶ ἀλλαχοῦ μεθιστάμενον, περὶ τοῦ ἀνθρώπου λέγουσα, καὶ πέρας τοῦ μυστηρίου, τῇ πρὸς Θεὸν νεύσει θεούμενον. καὶ ὁ Ἱερὸς Μάξιμος. ἡ τῆς θείας γραφῆς φησὶ, νοητὴ μορφὴ διὰ σοφίας τοὺς γνωστικοὺς μεταμορφοῖ πρὸς θέωσιν ἐκ τῆς ἐν αὐτοῖς τοῦ λόγου μεταμορφώσεως, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζομένους. οὗτος βίος ὁ θεωρητικὸς δεῖται τριῶν ὧν προέφην· πίστεως, καὶ πνευματικῆς μετοχῆς, καὶ σοφίας αἰσθήσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ὁ θεωρητικὸς μετὰ τοῦ ζωοποιοῦ Πνεύματος βίος, πολλῶν τινῶν καὶ ἀξιαγάστων θεαμάτων νοητῶν τὸν θεωρὸν ἐμπίπλησιν ἐν τῷ μυστικῷ. οὔτ' αὐθωρὸν οὔτ' ἀθρόον, ἀλλὰ διὰ χρόνου καὶ μακρᾶς τῆς φιλοσοφίας· ὡς δὲ, καὶ τακτικῶς, καὶ κλιμακηδὸν οἱονεί. καὶ νῦν μὲν τούτων ἀκούσαις λέγοντ' ἂν θεωρητικοῦ τῷ περιιόντι τῆς ἡσυχίας, καὶ ἀπὸ τῆς, πλὴν Θεοῦ, πάντων φυγῆς· κατὰ μόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω. ἄλλοτ' αὖθις διὰ τὴν πρὸς τὰ ὄντα γνωστικὴν στροφὴν, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ πβʹ.

ἐποίη-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἐποίησας, καὶ τό, ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ ἀγροῦ πλήρους ὃν εὐλόγησε Κύριος· ἐνίοτε δὲ ἀνατατικώτερον ἀποβλέπειν ποιῶν, καὶ εἰς νοητὰς ἐντεῦθεν ἀναβάσεις ἐνεργαζόμενος πείθει λέγειν, εἰς ὀσμὴν μύρων σου ὀπίσω δραμοῦμαι, πρὸς τὸν Θεόν. καὶ τό, ὑψώσω σε ὁ Θεός μου ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας· καί, ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν· ἐν ἄλλοις δέ τοι, σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα Κύριε, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς θεούς, τοῦ τῆς ὁράσεως ὑπερουσίου ὑμνεῖν παρασκευάζει ἀνατεινομένους τοὺς θεατάς· ἄλλοτε εἰς ἀπόφασιν ἐνάγει περιφανῆ κράζοντας. οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. καί γε ὄρος γνωστικόν, καὶ τόπον Θεοῦ Ἅγιον πνευματικῶς θεωροῦσι, δείκνυσιν εἰς ὃ ἀναβαίνουσι, καὶ ἐν ᾧ ἵστανται οἱ ἀθῷοι χερσί, καὶ καθαροὶ τῇ καρδίᾳ. οὐ μὴν ἀλλὰ καὶ ἀναβάσεις οὕτως ἕως τῶν οὐρανῶν, καὶ καταβάσεις ἕως τῶν ἀβύσσων, τῶν ὑψηλῶν καὶ βαθέων, τουτέστι μυστηρίων τοῦ πνεύματος παρέχει ὁρᾶν· καὶ μὲν δήποτε, περὶ τὴν θέαν τοῦ κατὰ τὴν Τριάδα προσωπικοῦ θεάματος ἐφιστᾷ θαυμαστῶς. ποτὲ δὲ ἐν τῇ θεωρίᾳ τοῦ Ἰησοῦ, καὶ τῆς κατ' αὐτὸν ἐνσάρκου οἰκονομίας, καὶ τῶν ἑπομένων αὐτῇ μυστηρίων ὑπερφυῶν ἐν ἐκπλήξει ἀφορᾶν ἀσχολεῖ. καὶ ποτὲ ὅλως μετὰ πολλὰ καὶ μακάρια θεάματα, ὅμοιον παρ' ἐκεῖνα θεωροῦντα, εἰ μὴ καὶ εἰς κόλπους αὐτοὺς τοῦ Θεοῦ καταβόπως, βαβαὶ τῆς χάριτος, εἰσαγάγει πεφωτισμένον ἐν ἀληθεῖ καταπαύσει, καὶ ἀναπαύσει ἀφράστῳ, καὶ τρυφῇ πνευματικῇ, καὶ ὑπερφυεῖ, ἵνα μὴ μέθη λέγοιμι τῶν καλῶν τοῦ Θεοῦ, καὶ θειοτέρᾳ ἐκστάσει. κόλπους ἐκείνους ὑπερευλογημένους, πολὺ βάθος ἔχοντας θείων μυστικῶν, καὶ ἀποχρώντως αἰσθήσει ὑπερουσιότητος Θεοῦ προσεγγίζοντας. οὓς κόλπους κληρονομίαν ἄνωθεν ἔσχε καὶ Ἀβραάμ, ὁπηνίκα καὶ αὐτὸς ὁ Θεὸς κλῆρος ἐγεγόνει τοῦ Ἀβραάμ, κατὰ τό, ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ. Θεὸς τοίνυν ἐξόχως τοῦ Ἀβραὰμ ὢν ὁ Θεός, ἀκολούθως καὶ οἱ τοῦ Θεοῦ κόλποι, κόλποι τοῦ Ἀβραάμ εἰσι. καὶ εἰς τοὺς κόλπους γοῦν τοῦ Θεοῦ, εἴτε κόλπους τοῦ Ἀβραὰμ θέλει τις λέγειν ἀνάγων εἰσάγει ἐν πάσῃ ἁπλότητι μεθ' ὑπερλίαν ἀγαπητικῆς εὐφροσύνης θεοῖ γιγνομένως, καὶ μακάριον ἀποκαθιστᾷ ἐν θυμηδίᾳ καὶ σφόδρα τέρψει ἀφάτῳ, βίος ὁ θεωρητικὸς ἐν πνεύματι, τὸν σοφίας μετειληφότα καὶ μελέτην οὔτι μάλιστα ποιούμενον ἄνω βλέπειν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ἐπειδὴ ἥτε κτίσις ἥτε γραφὴ Θεοῦ λόγῳ διήπλωνται, καὶ πνευματικῶς ὁρώμενα, τὸν νοῦν καὶ πάσας τὰς δυνάμεις αὐτοῦ βεβαιοῖ εἰς τὴν τοῦ Θεοῦ ἐποψίαν καὶ κατανόησιν, προεξεργασμένης τῆς καρδίας, καὶ προκεκαθαρμένης πνευματικῶς. σοφῶς ἐς τὰ μάλιστα φησὶ διδάσκων ὁ ἱερὸς Δαβίδ. ποτέ, τῷ λόγῳ Κυρίου στερεοῦνται οἱ Νόες, οὓς καὶ οὐρανοὺς καλεῖ, καὶ πᾶσα ἡ δύναμις αὐτῶν τῷ πνεύματι τοῦ στόματος αὐτοῦ. πότε δή, ὁπηνίκα φαίνεται πλήρης ἡ νοητὴ γῆ, ἤτοι ἡ καρδία ἡμῶν τοῦ ἐλέους Κυρίου, τῆς πνευματοποιοῦ δηλαδὴ δυνάμεως, καὶ ἐνεργείας, καὶ κινήσεως αἰσθητῶς καὶ ἐμφανῶς. πρὶν δὲ τῆς ἐνεργείας καὶ δυνάμεως καὶ κινήσεως ἐν καρδίᾳ ὁ νοῦς αἴσθηται, οὐ μόνον οὐχ ἕξει τὸ στερέμνιον ἐκ τοῦ τὴν κτίσιν καὶ τὴν θείαν γραφὴν θεωρητικῶς καὶ πνευματικῶς ἀναλέγεσθαι, καὶ συνάγειν εἰς ἕνα λόγον τὰ ἐν αὐτοῖς, ἀλλὰ καὶ φόβος ὅτι πλεῖστος περίεστι μή-

πγʹ. Ἀναγκαιότατον καὶ ἀξιομνημόνευτον τὸ παρὸν ὑπάρχει κεφάλ. διὰ τοὺς χωρὶς Πνεύματος θεωροῦντας ἢ τὰ διὰ τῆς γραφῆς εἴτε διὰ τῆς κτίσεως.

ποτ' ὄλλυται παραφαντασθείς. διὸ δή, εἴτιγε μέλλοιμεν σχολὴν ποιήσασθαι τοῦ τὸν Θεὸν ἐκ γραφῆς θεωρεῖν, καὶ τῆς κτίσεως, ἑνοειδῶς τε, καὶ μονοειδῶς τοὺς πολλοὺς λόγους τῶν ὄντων, καὶ τὰ θεωρήματα εἰς ἕνα λόγον καὶ πνεῦμα συμπτύξαντες, ἑνοειδῆ, καὶ ἁπλῆν, καὶ ἀνείδεον θεωρίαν ὁρῶντες ἐν ἀοριστίᾳ, καὶ ἀπειρίᾳ, καὶ ἀναρχότητι, τὸν τῆς καρδίας ἡμῶν πρότερον ἔνδον εὑρηκέναι ζητήσωμεν θησαυρόν, καὶ ἱκετεύσωμεν Θεὸν Ἅγιον, πληρῶσαι τὴν γῆν ἡμῶν τοῦ ἐλέους αὐτοῦ. καὶ τότε εἴ τις δύναμις, ἄνω δῶμεν ἐλευθερίως τὸν νοῦν πρὸς Θεοῦ κατανόησιν, ἑνοειδῆ ὡς εἴρηται, καὶ μονοειδῆ, ἁπλῆν, ἀνείδεον, ἀΐδιον, ἄπειρον, καὶ ἀόριστον, ἐν θεωρίᾳ καὶ βοηθείᾳ τοῦ Λόγου τε, καὶ Πνεύματος.

πδ. Ὁπηνίκα ταῖς εὐθέσι, καὶ ἁπλοϊκαῖς διαθέσεσι τῆς ψυχῆς τὸν κατὰ τὰς ἀρετὰς δρόμον δι' ἀρετῶν μετὰ φρονήματος ταπεινοῦ ἐν ὑπομονῇ, καὶ ἐλπίδι τῇ διὰ πίστεως διανύοντος τοῦ ἀνθρώπου, ἡ ζωοποιὸς καὶ ἀείβλυτος τοῦ Ἁγίου Πνεύματος δύναμις καὶ ἐνέργεια τῇ καρδίᾳ ἐπιδημήσει, φωτίζουσα γιγνομένως δυνάμεις τὰς ψυχικάς, πεφυκότως κινουμένη περιφανῶς, καὶ παρακαλοῦσα, πρὸς ἑαυτὴν προσκαλεῖται τὸν ἐνεργείᾳ νοῦν ὅτι τάχιστα καὶ ἀρρήτως ἑνοῦται αὐτῷ, ὡς εἶναι τῷ ὄντι τὸν νοῦν καὶ τὴν χάριν τηνικάδε ἀναμφιλέκτως εἰς πνεῦμα ἕν. τότε δὴ τότε ὁ νοῦς αὐτόμολος ἥκει τῇ ἐπιπνοίᾳ τῆς χάριτος βοηθούμενος πρὸς τὸ θεωρεῖν, στάσης δηλονότι ἀφράστως τῆς τοῦδε περιφορᾶς, καὶ περιπλανήσεως τῇ ἐνεργείᾳ καὶ τῷ φωτὶ τοῦ ζωοποιοῦ καὶ Ἁγίου Πνεύματος, καὶ εἰς ἀποκαλύψεις φοιτᾷ μυστηρίων θείων νοητῶν, καὶ σιωπῇ παντοίᾳ καὶ ἡσυχίᾳ, ἰδίῳ πεφυκότι βλέμματι ἐμβατεύων ἐφικνεῖται ὑπερφυέσιν ἀρρήτοις, καὶ τοσοῦτο μᾶλλον θεωρεῖ καὶ θεοληπτεῖται, καὶ πρὸς τὸ τὸν Θεὸν ὡς οἷόν τε ὁρᾷν ἀνατείνεται μετ' ἐπιστήμης τῶν θείων, ἐκ Ἱερῶν συνειλεγμένης ἀναγνωσμάτων, ὅσον ἐκ ἀναλόγου ἀφιδιάζει πεπεισμένος, καὶ προσδεχόμενος ὁ ὑπὸ τοῦ Θεοῦ ἐν Ἁγίῳ Πνεύματι ἐνεργούμενος. τότ' αὖ οὐδὲ τοῦ θεολογεῖν ἐστὶν ἐκτός. ἀλλ' ἅμα εὐθὺς ἐστὶν αὐτόχρημα θεολόγος, καὶ μὴ θεολογεῖν οὐκ ἀνέχεται, καὶ δικαίως· * χωρὶς δὲ δωρεᾶς οὐρανίου τῆς εἰρημένης, καὶ χωρὶς Πνεύματος ἐναργῶς ἀεικίνητα πνέοντος ἐν ἄρα καρδίᾳ, φεῦ, ὅσα ὁ νοῦς ὁρᾷ, φαντασίαι τοῦδε εἰσί· καὶ ὅσα θεολογεῖ, λόγοι τηνάλλως εἰσὶν εἰς ἀέρα προχεόμενοι, τὸ τῆς ψυχῆς αἰσθητήριον μὴ διεγείροντες ᾗ χρή. ἐξ ἀκοῆς * ἐνεργεῖται καὶ λόγων ἰόντων ἔξωθεν, ὅθεν ἡ πάνδεινος πλάνη τῶν νοητῶν, καὶ θεολογίας αὐτῆς κακῶς ἐς τὰ μάλιστα ἔχει τὴν πάροδον, οὐκ ἐκ καρδίας ἐνεργουμένης ὑπὸ τοῦ φωτίζοντος πνεύματος, ὅθεν τῶν νοητῶν ἡ ἑνοειδὴς καὶ θεολογίας ἄτρεπτος ἀλήθεια, ἐν ᾗ καθόλου φάναι, καὶ γὰρ ἐν τῇ καρδίᾳ, ἐν ᾗ οὐ πάρεστιν ἐμφανῶς τῷ μετόχῳ ἡ ζωοποιὸς καὶ φωτιστικὴ τοῦ πνεύματος δύναμις, καὶ ἐνέργεια ἀειβλύτως, εἴτε πνέουσα θέλοι τις λέγειν, εἴτε ῥέουσα· ἕνωσις οὐκ ἐστὶν ἐκεῖ νοερά, ἀλλὰ μᾶλλον διαίρεσις· οὐδὲ δύναμις καὶ στάσις, ἀλλ' ἀσθένεια καὶ τρεπτότης· οὔτε μὴν ἐφαμίλλως φῶς, καὶ ὅρασις ἀληθείας, ἀλλὰ μᾶλλον σκότος, καὶ φαντασίας εἰκαῖος ἀναπλασμός, καὶ τὸ ὅλον ἀλογίας καὶ πλάνης ὁδός. ἐν τρισὶ καὶ γὰρ τάξεσιν, ἢ ὁδοῖς κατὰ τοὺς Πατέρας διΐεται ἔχων ὁ νοῦς, φυσικῶς δηλαδή, ὑπερφυῶς καὶ παρὰ τὴν φύσιν. ὅταν ἐν ὑποκειμένῳ τὶ νοητὸν ὁ νοῦς θεωρῇ, κατὰ φύσιν ὁρᾷ, μέντοιγε μετ' ἐνεργείας ὑπερφυοῦς τοῦ πνεύματος. ὅταν δὲ ὑποστατικῶς ὁρᾷ καὶ οὐκ ἐν ὑποκειμένῳ, δαίμονα τυχόν, ἢ Ἄγγελον. εἰ μὲν ἑνοῦται ὁ νοῦς ἐν εἰρήνῃ, καὶ ἡ δαδουχία τοῦ πνεύματος ἀναζωπυρεῖ-

* ὁμοίως καὶ τὸ παρὸν σημειῶθες ὑπάρχει ὡς τῆς πλάνης προφυλακτικόν.

* ἰσ. λείπει τὸ γάρ

ται σφοδρότερον, ὑπερφυῶς ὁρᾷ, φανερὸν δὲ ὅτι καὶ ἀπλανῶς. εἰ δὲ τὰ ὁρώμενα ὁρῶν διαιρεῖται καὶ ἀμαυροῦται ὁ νοῦς, καὶ ἡ δύναμις ἡ ζωοποιὸς σβέννυται, παρὰ φύσιν ὁρᾷ, καὶ τῆς πλάνης ἐστὶν ἐκείνη ἡ ὅρασις. διὰ τοῦτο οὐκ ἀνατείνειν τὸν νοῦν πρὸς ὅρασιν πνευματικὴν ὑποστατικῶς χρή, οὐδὲ τῇ ὁράσει πιστεύειν καὶ ὁπωσοῦν, μὴ ἐνεργουμένης κατὰ τὰ προκείμενα τῆς καρδίας καὶ κινουμένης ὑπὸ τῆς τοῦ Ἁγίου δυνάμεως Πνεύματος, εἰ μέλλοιμεν ὑγιαίνοντος εἶναι νοῦ καὶ σώφρονος.

πε΄. Τινὲς οὐρανίῳ δρόσῳ τῆς χάριτος, τὴν τῶν σφετέρων παθῶν φλεγμονὴν καλῶς γε ποιοῦντες ἐς τὰ μάλιστα, ἐξιᾶσθαι πειρῶνται. περὶ ὧν δηλαδὴ γέγραπται. ἡ δρόσος ἡ παρὰ σοῦ ἴαμα ἡμῖν ἐστι. τισὶ δὲ ἤδη ἡ εἰρημένη δρόσος, μείζονί πως ἀντιλήψει θείᾳ πιλοῦται, καὶ εἰς Μάννα μεταποιεῖται, καὶ ὡς αὐτοῖς ἔκ τινος σίτου ἀρτοποιεῖται, συζυμμῷ καρδιακῆς ταπεινώσεως, ὕδατί τε δακρύων, καὶ πυρὶ πνευματικῆς γνώσεως, ἐπαξίως τούτου, καὶ μάλα εἰκότως πεπονθυῖα· καὶ εἴς γε βρῶσιν ἀγγελοειδῆ προσήκουσαν γεγονυῖα. περὶ ὧν εὐλόγως ὡς τὰ πολλὰ εἴρηται. ἄρτον Ἀγγέλων ἔφαγεν ἄνθρωπος. εἰσὶ δέ, οἷς κατὰ πρόβασιν ὑψηλοτέρῳ τινὶ τρόπῳ γέγονε καὶ ὀπτάνεται ἑαυτῶν ἡ φύσις Μάννα σαφῶς· περὶ ὧν τὰ Εὐαγγέλια φησί, τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστιν. ἡ πρώτη τάξις ἡσυχαστῶν σοφῶν· ἡ μετ' αὐτὴν καὶ σιωπὴν ἀσκούντων, μετὰ τῆς θείας γνώσεως· ἡ δέ γε τρίτη, ἡπλωμένων καθόλου καὶ ἠλλοιωμένων ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

πς΄. Διαφυγὼν διὰ τῆς χάριτος, ὡς εἰκός, Φαραώ, καὶ Αἴγυπτον καὶ τἀκεῖ δεινὰ καὶ ἐπίμοχθα νοητῶς ὁ νοῦς, καὶ μέν γε τὴν κυματίζουσαν πικρίας κύματι ἐμπαθῆ, καὶ ἁλμώδεις κακίας σαρκικὴν βιοτήν, καὶ ἐν νοητῇ ἐρήμῳ γενόμενος, δηλονότι ἔξω ἀπηλλαγμένη φαραωνιτῶν νοητῶν. καὶ ξυλλήβδην εἰπεῖν, τὰ τότε τοῖς Ἑβραίοις συμπεσόντα κατ' αἴσθησιν χαλεπά, νοητῶς καὶ παθῶν καὶ ἀπαλλαγείς, Μάννα ἐξ ἑπομένου ἐσθίει νοητόν, αἰσθήσει ψυχῆς ἀσφαλῶς, οὗ τύπον τὸ πάλαι ἤσθιεν ὁ Ἰσραὴλ αἰσθητῶς. καὶ μετὰ μὲν τὰς ἀρχάς, ἔστιν ὅτε μεμνημένος ἐπιθυμεῖ νοητῶν, ὡς αἰσθητῶν ἐκεῖνοι κρεῶν, θυσιῶν Αἰγυπτιακῶν, ἐπικινδύνως ὡς τὰ πολλά, οὐδὲν δὲ ἧττον καὶ σφαλερῶς. καὶ γοῦν θείας πειρᾶται ἀποστροφῆς, ἕως ἂν τῇ τῆς παλινστρόφου μετανοίας ἱκεσίᾳ τὸ θεῖον καταλλήλως ἐξιλεώσαιτο. καὶ μὲν δῆτα εἴ γε τοῦ Μάννα συνεχέστερον ἐμφορεῖται μεθ' ἡσυχίας, καιροῦ προϊόντος, καὶ τῆς χάριτος αὐτῷ προστιθείσης ῥοπὴν καὶ μένος, τὴν νοητὴν σάρκα αὐτοῦ εἰς φύσιν τοῦ Μάννα τρόπῳ γέ τῳ μεταπεσοῦσαν ὡς ἂν εἴποι τις ἐκδήλως ὁρᾷ μάλα τρανῶς· εἰσὶ δὲ τῷ τοιούτῳ τῷ Μάννα ἐσθίοντι, ζυγὰ πνευματικά, καὶ πλάστιγγες, αἷς χρώμενος σταθμῷ τὸ Μάννα, πλέον οὐκ οὖν συνάγουσι τῆς ἐφημέρου αὐτοῦ τροφῆς, ἵνα μὴ σκωληκιάσαν ὡς ἐπέκεινα τοῦ μετρίου, τὸ πᾶν ἀπόλλυται, καὶ συναπόλλυται τούτῳ τῇ ἀτροφίᾳ ὁ τὸ μέτρον μὴ τηρῶν νοῦς. δῆλος δ' ἂν εἴη Μάννα ἐσθίων ὁ νοῦς, ἐφ' ᾧ μηδ' ὁποτιοῦν ἕτερον ἐσθίων ζωὴν ζῇ προφανῶς καλλίονα, παντὸς ὁ, τιοῦν καὶ ὁποσοῦν ἐσθίοντος, λέγω δὴ νοητῶς· ὅτι μέντοι μεταβέβληταί πως καὶ αὐτὸς τῇ τῆς θρέψεως ἕξει εἰς τὴν τοῦ Μάννα οἷον εἰπεῖν ποιότητα. σημεῖον ἡ ἀνορεξία τῶν ὁποιωνοῦν ἀλλοτρίων, ὧν ἦν ἐπιθυμῶν πρότερον· καὶ ὅταν πανταχόσε Μάννα ἐσθίειν ἔχῃ, καὶ νήπιος γένηται, τῇ θεοσεβείᾳ προσκολληθείς. καὶ μὲν δὴ καὶ οὐ θαῦμα μεταβεβλῆσθαί τινα πρὸς ἕξιν οὗ συνεχῶς γεύεται, καὶ χρόνῳ ἐμφορεῖται μακρῷ, οὐδ' ἡ πρὸς ἕξιν τοῦ Μάννα τοῦ μεταποίησις ὁπωσδήποτε παρὰ τὸ εἰκὸς ἂν εἴη. πεφυκότως γάρτοι τὸ συνε-

χές, καὶ ἀδιάδοχον τῆς τροφῆς μετατιθέναι εἴωθε πρὸς ἑαυτὸ τὸ τρεφόμενον. τηνικαῦτα, οὐ μόνον Ἀγγέλου τάξιν ἐπέχει ὁ νοῦς σαφῶς, ἀλλὰ καὶ τῆς θείας υἱοθεσίας μέτοχος γίνεται, ἀξιοχρέως ἀπὸ δόξης πνευματικῆς εἰς δόξαν μεταβιβαζόμενος· οὐ μόνον πρὸς σὲ ἀφορῶν, ἀλλὰ καὶ αὐτὸς πρὸς ἑαυτὸν γινόμενος σὺ, κἂν τούτῳ ζῶν, καὶ ὑπερκοσμίως τρυφῶν. καὶ ἵν' οὕτως εἴπω, ἀπολαύων μυστικῶν ἀλαλήτων, θεοειδῶς καὶ θεοφιλῶς ἐν Ἁγίῳ Πνεύματι. καὶ μένων πως κατὰ τὰ ὁρώμενα, καὶ ὑμνούμενα γιγνομένως γινόμενος, ὡς καὶ εἰς ἕξιν Μαννᾶ ὁρᾶν ἑαυτόν. αὕτη γ' εἴη ἡ τάξις ὑψηλοτέρα, καὶ τιμιωτέρα πολλῷ, τοῦ Μαννᾶ μὲν ἐγνωκότος ἑαυτὸν ἐσθίοντα, οὐ μὴν καὶ πρὸς ἕξιν τινὰ τοῦ Μαννᾶ ἑαυτὸν μεταβεβλημένον. τὸ μὲν γὰρ πρότερον, ἔστι τοῦ παθεῖν κατ' ἀρχὰς εἰς ἑαυτὸν ἐν νοερᾷ ἑνώσει τὸν νοῦν συμπτυχθέντα. τὸ δεύτερον δὲ ἐναργεστέρας ἑνώσεως, καὶ γνωστικῶν μυστηρίων ἀποκαλύψεως, καὶ ἄκρας ἀπολύσεως τῆς ἐκ πάντων, καὶ ὑπεραπλωμένης νοερότητος ἔμφασις σαφής.

πζ'. Ἁπλοῦς ἐστι φύσει ὁ νοῦς· ὅτι καὶ τὸ, οὗ ἐστιν εἰκὼν, ἁπλοῦν, δῆλον δ' ὅτι τὸ θεῖον· ὢν δὴ τοιοῦτος, καὶ ἁπλῶς ἐνεργεῖν φιλεῖ, πᾶν γὰρ τὸ φύσει αὐτοῦ φιλεῖ· ποικίλλεται δ' ὅμως οὐ δι' ἑαυτὸν, ἀλλὰ διὰ τὰς αἰσθήσεις, καὶ τὰ αἰσθητὰ, δι' ὧν τούτῳ αἱ τῶν νοητῶν παραδοχαί. ὁπηνίκα δὴ τὸν ἴδιον λόγον ἑαυτοῦ καὶ τῶν αἰσθήσεων σὺν τοῖς αἰσθητοῖς σχέσει μεταξὺ κρίνοντα καὶ δικάζοντα ἐπιστημόνως ὡς οἷόν τε, μήτε τὰς αἰσθήσεις ἀμβλυτέρας τοῦ καθήκοντος καθιστῶντα, μήτε τὰ τῶν αἰσθητῶν κάλλη, ἢ ἀμαυροῦντα ῥαθύμως, ἢ ὑπερσαινόμενον ἀγεννῶς, καὶ τὸ τοῦ νοῦ κράτος ὀλιγώρως τούτοις ὑποκαθιέντα, νέμοντα δὲ σωφρόνως τὸ προσῆκον ἑκάστῳ, τηνικαῦτα εὐθὺς ὁ νοῦς ἑαυτοῦ γίνεται ἑνιαῖος, καὶ ἁπλοῦς ὡς ἔχει φύσεως ἀποκαθιστάμενος καὶ τῶν διαιρετῶν ἀφιστάμενος· καὶ αὖθις φυσικῶς ἄρχεται φιλεῖν τὸ ἓν, καὶ ἁπλοῦν, καὶ τὸ ἑνιαίως καὶ ἁπλῶς ἐνεργεῖν· ὃ δὴ φιλῶν, ζητεῖ· καὶ ζητῶν τὴν πτῆσιν ἑαυτοῦ ὑπὲρ πᾶσαν ποιεῖται σύνθεσιν, ἕως ἂν εὕροι τὸ ἀληθῶς καὶ κυρίως ἓν καὶ ἁπλοῦν, ὅπερ ἐστὶν ὁ Θεός. ὅτε δὴ καὶ ὑπὸ μόναις ταῖς τούτου πτέρυξι, νῦν μὲν σκεπόμενος, ἄλλοτε δὲ μετεωριζόμενος, τέρπεται, ὡς εἰκὸς τέρπεσθαι θεοφρουρούμενον καὶ θεοφορούμενον νοῦν.

Τῷ διορατικῷ τῆς ψυχῆς, ὡσανεὶ πη'.
ἀχλυῶδές τι πάχος ἐπιπεπτωκὸς τὸ ἐκ τῶν παθῶν, ἄλλα ὁρᾷν ἀντὶ τῶν ὄντως πεποίηκεν. ὅταν δὲ τῇ πνευματικῇ προσοχῇ, καὶ τῇ τῶν ἐντολῶν ἐκπληρώσει, καὶ ἀναπτύξει πρὸς τὴν τοῦ Θεοῦ θεωρίαν διὰ τῆς χάριτος ὁ νοῦς διέλῃ τὸ εἰρημένον ἀχλυῶδες πάχος, ἀφ' ἑαυτοῦ ἐναργῶς ὁρᾷ, ὅτι ὁρᾷ τὸν Θεόν, ἑρμηνέως μηδαμῶς πρὸς τοῦτο δεόμενος, ὥσπερ οὐ δέονται διδάξοντος ὁ αἰσθητῶς ὁρῶν· εἴγε μὴ τὸ διοχλοῦν καὶ ἐπιπροσθοῦν ἴσχει τὴν κόρην τοῦ ὀφθαλμοῦ. ὡς γὰρ προσπεφύκασι τὰ αἰσθητὰ ταῖς αἰσθήσεσιν ὑγιῶς ἐχούσαις, οὕτω τὰ νοητὰ ταῖς νοήσεσιν ᾠκείωται, καθαρευούσαις ἐκ τοῦ τῶν παθῶν νέφους. καὶ ὥσπερ ἐκ τῆς αἰσθητικῆς ἀντιλήψεως τῶν αἰσθητῶν ἡ κατάληψις, οὕτως ἐκ τῆς νοητικῆς ἀποβλέψεως ἡ τῶν νοητῶν ἐποψία γίγνεσθαι εἴωθε· μεθ' ἃ ἡ διὰ τῆς χάριτος ἀνείδεος, καὶ ἄποιος, καὶ ἀφάνταστος, καὶ ἁπλῆ τοῦ Θεοῦ θεωρία. ἥτις κάτοχον ἔχουσα τὸν νοῦν, πάντων αἰσθητῶν τε, καὶ νοητῶν τῶν ὁπωσοῦν ἄφετον ποιεῖ, εἰς ἀπειρίας, ἀπεριληψίας τε, καὶ ἀοριστίας βυθὸν αὐτὸν ἐν ἐκπλήξει καὶ θαυμασμῷ, ὡς οὐκ ἐνδέχεται δηλωθῆναι λόγῳ, κατακλείουσα.

Ὦ δέσποτα, ὁ πάντων τῶν ὁρωμένων πθ'.
καὶ νοουμένων ὢν ἀρχὴ παντοκράτωρ. ἀρχὴν ἔχων τὸ ἄναρχον· ἥκιστα, καὶ ὁρισ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

μὸν τὸ ἀόριστον· ἄπειρε, καὶ φύσιν τὸ ὑπερφυές· ἀπερίληπτε· καὶ οὐσίαν τὸ ὑπερούσιον· ἀγέννητε. καὶ εἶδος γοῦν τὸ ἀνείδεον· ἀόρατε. καὶ ἴδιον τὸ ἀΐδιον· ἄφθαρτε. καὶ σχῆμα τὸ ἀσχημάτιστον· ἀνεξιχνίαστε. καὶ τύπον τὸ ἀπερίγραπτον· ἀπερινόητε. κατάληψίν τε τὸ ἀκατάληπτον· ἀνεξερεύνητε. καὶ γνῶσιν καὶ θεωρίαν τὸ ἀθέατόν τε καὶ ἄγνωστον· ἀπρόσιτε, καὶ ἀπερινόητε· καὶ λόγον τὸ ἄφθεγκτον· ἀνεκδιήγητε. καὶ ἑρμηνείαν τὸ ἀνερμήνευτον· ἄφατε. καὶ τὸ ἀνεννόητον νόησιν· ἀδιανόητε. καὶ ὅλως θέσιν τὴν ὑπὲρ πᾶσαν ἀφαίρεσιν· ὑπέρθεε. ὅλος εἶ θαῦμα, καὶ γαλήνη, καὶ θάρρος, καὶ ἀγάπη, καὶ γλυκύτης, καὶ θυμηδία, καὶ πεποίθησις ἐν ξύμπασι, καὶ τερπνὴ ἀμεριμνία καὶ χαρὰ, ἡ ἐνυπόστατος μόνη δόξα καὶ βασιλεία, καὶ σοφία, καὶ δύναμις· διὰ τοῦτο ἔκστασις ἀπὸ πάντων τῶν ὁρωμένων, καὶ κατάπαυσις ἀπὸ πάντων τῶν νοουμένων πεφυκότως ἄρρητε γίνῃ, καὶ ἀνάπαυσις ἐν σοὶ θαυμαστὴ τοῖς μετὰ μετοχῆς σε θεωροῦσι τοῦ Ἁγίου Πνεύματος, ἄφραστε Θεέ.

η'. Θαυμαζόμενον δὲ, τὸ Θεῖον ἐκλαβή(?), ποθεῖται πλέον· ποθούμενον δὲ, καθαίρει φησὶν ἡ Θεολόγος Γρηγορίου φωνή. καθαῖρον δὲ, θεοειδεῖς ἀπεργάζεται. τοῖς δὲ γενομένοις, ὡς οἰκείοις ἤδη προσομιλεῖ. ἀλλ' οὐ μόνον οὕτως ὁ Θεὸς, ἀλλὰ καὶ οἵ γε καθαρθέντες ταύτῃ, ὡς οἰκείοις ἐν πνεύματι καὶ ἀληθείᾳ τοῖς θείοις καὶ τῷ Θεῷ ἐντυγχάνουσιν· ὅθεν καὶ ὁ Θεολόγος ἔπεισι. Θεὸς θεοῖς ἑνούμενός τε, καὶ γνωριζόμενος. ὁρᾷς τὸ θαυμαστὸν τῆς ἑνώσεως; Θεὸς γάρ φησι θεοῖς ἑνούμενος. εἰ δὲ τῶν ὁποιωνδὴ τούτων, ἕνωσις, δῆλον ὅτι καὶ τῆς ἑνώσεως αἱ διαθέσεις καὶ ἀπολαύσεις ἐφαμίλλως αἱ αὐταί. διὸ φησὶ, καὶ γνωριζόμενος. ὡσαύτως ἄρα καὶ οἱ θεοειδεῖς καὶ θεοὶ ἐκ τῆς χάριτος, ὡς οἰκείοις τοῖς θείοις, καὶ τῷ Θεῷ ὁμιλοῦσι καὶ γνωρίζουσιν, ὡς ὁ Θεὸς τρόπον ἀνάλογον θεωρεῖ, καὶ προσομιλεῖ, καὶ ἑνοῦται τοῖς κατὰ τὰ εἰρημένα θεοειδέσι τελοῦσι, καὶ θεοῖς· ἐντεῦθεν ὁ μέγας προστίθησι, καὶ οὐκ ἀπεικότως, εἰς δήλωσιν. καὶ τοσοῦτον ἴσως γινώσκεται ὁ Θεὸς τοῖς καθαροῖς καὶ θεοῖς τυχοῦσι(?), ὅσον ἤδη γινώσκει αὐτοὺς, ἀνάλογον τρόπον ὁ φύσει τοὺς θέσει θεούς. πόσον τοίνυν εἰκάσαις τὸ εἰκὸς λογιζόμενος; πολύγε μακάριοι, οἱ πρὸς Θεοῦ ὁράσεις, καὶ θεωρίας προσηκόντως ἀνατεινόμενοι μεθ' ὅλου μόνης ψυχῆς καὶ ἐπιστήμης πνευματικῆς· ὁπηνίκα ὁρᾷς τοῦ τοῦ Θεοῦ ἀλήπτου διὰ τὴν περὶ αὐτὸν ἀναρχότητα, καὶ ἀπεριληψίαν καὶ ἀπεριγραφότητα, καὶ τὴν ὅλως ἀϊδιότητα, καὶ ἀπειρίαν, ὅλως τοὺς ἐν τῷ Θεῷ θαύματος γεγονότας ὑπερθαυμαστῶς, καὶ τῆς ἡλίκης οἵας ἐκπλήξεως· διὸ ἡ ψυχὴ αὐτῶν ἐρωτικῶς ὀπίσω κολλᾶται Θεοῦ, καὶ πόθον ὅσον ἀφόρητον, ἐν ἄρει τοῦ θεωρεῖν τὸ θεῖον πρόσωπον, καὶ τὸ κατ' αὐτὸ κάλλος ἐκπρεπὲς, * καὶ ἐντετηκότες εὐδαιμόνως πάσχουσι. καὶ τότε δὴ ἑπομένως ταύτῃ καθαίρονται, καὶ τῆς θεουργίας καὶ θεοειδεῖς γίνονται, καὶ θεοὶ καὶ Θεῷ γινωσκομένως ἑνοῦνται. ὅς γε διὰ περιουσίαν τῶν θεωθέντων, καὶ ἀκολουθίαν τοῦ τῆς θεώσεως ὑπερφυοῦς αὐτῶν δώρου, καὶ τῆς θείας ἑνώσεως, γνώριμος καταστὰς, θαυμασίως συναρπάζει πρὸς αὐτὸν τοῦ ὑπερκάλλους πᾶσαν τὴν νοερὰν αἴσθησιν, καὶ πᾶσαν τὴν ἔφεσιν, καὶ περὶ αὐτὸν θελγομένους ἔχει ὡς ἄλλους Ἀγγέλους, ἄφθεγκτα ψάλλοντας, καὶ μάλα εἰκότως. ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ, θεοὺς διακρινεῖ, καὶ τὸ, Θεὸς θεῶν Κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν. τουτέστι τοὺς γηγενεῖς, ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν. ὅθεν καὶ ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ. καὶ οἱ τούτῳ ἑπόμενοι ἔστησαν κύκλῳ

* σ. περὶ τ[illegible] τὸ καὶ



Athos Library
Αγιορειτικη Βιβλιοθηκη

τοῦ Θεοῦ, ὡς τὰ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, θείας ἐλλάμψεις ὑπερκοσμίων μυστηρίων δεχόμενοι, καὶ ἐχόμενοι ἀδιασπάστως Θεοῦ, πάντων ἀπειράκις διηρημένην ἀπείρως. εἰ τοίνυν οἱ καθαροὶ τῇ καρδίᾳ, κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν μακάριοι, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται, πῶς οὐ περιφανῶς μακάριοι οἱ θεωρητικοί, καθαιρόμενοι τοῦ ἐκ τῆς τοῦ Θεοῦ γνώσεως θαυμασμοῦ, καὶ εἰς Θεοῦ ἀξίαν διὰ προκοπῆς ἀναβαίνοντες; χρὴ γε ἄρα ποθεῖν τὸν μακαρισμόν, καὶ παθεῖν τὴν θέωσιν, καὶ ὅπως ἀκινήτως εἶναι χερουβικῶς περὶ τὸν Θεόν, τῆς θεωρητικῆς ἔχεσθαι ὅλῃ σπουδῇ, καὶ ἐπιστήμης, καὶ πράξεως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

ια. Ὑμνεῖν σε μάλιστα βούλομαι, καὶ δὴ ἑπομένως ὑμνῆσαι ζωοποιέ, ζωὴ γὰρ ἀμιγέστατα ὁρῶντός σε Κύριε ὁ Θεός μου, ἀλλ' οὐκ ἔχω βουλόμενος ὅπως ἐπαξίως εἴπω, καὶ διαπορῶ μαι κατ' ἀλήθειαν καὶ ἀδημονῶ. ὦ πῶς οἰκείως ὁ νοῦς ἔχει σοι δέσποτα, ποιητὰ πάνσοφε, καὶ σὲ μόνον ὁρῶν εἰρηνικῶς ἀπολαύει, καὶ ἀναπαύλης αὐτῷ προσφυοῦς. ἐφίεται καὶ γὰρ πεφυκότως ὁ νοῦς, τῆς ἔξωθεν, καὶ φαινομένης περιφορᾶς ἐλευθερωθεὶς, καὶ σχολάσας ἐφ' ἑαυτόν, νοεῖν, καὶ μάλιστα δὴ διανοεῖσθαι φυσικῇ ὠκύτητι τὰ ὑψηλότερα, καὶ προσκεῖσθαι τῷ γιγνομένῳ τῆς κατ' αὐτὸν ἀϋλίας τοῖς ἰχοτέροις, ἀμέλει λόγῳ πεφυκότι αὐτόμολος ὥσπερεὶ ἀνατρέχει πρός γε τὸ πάντων ὑπέρτερον, καὶ πάσης ἀϋλίας ἀνώτερον. δῆλον δὲ ὅτι σὲ καὶ μάλιστα, Πνεύματος Ἁγίου ῥοπῇ, διὰ πίστεως κατὰ τὸ εἰκὸς βοηθούμενος, καὶ ταύτῃ δῆτα ἀνατεινόμενος. ἢ μᾶλλον γιγνομένως ὁ νοῦς, ὑπὸ τῶν περὶ σὲ νοητῶν, ὡς αὐτῷ συγγενῶν ἀνελκόμενος, ποθεῖ σε καὶ πάνυ ἰδεῖν σὺν παντὶ προθύμῳ τῷ τῆς ψυχῆς. οἷα δὲ πάσχει θαυμάσια, καὶ μακάρια πεφυκότως. ἐπεὶ καὶ γὰρ φύσις αὐτοῦ, ἥπερ ἔφην νοερὰ οὖσα, πάντων κτισμάτων, μᾶλλον δὴ ποιητοῦ, καὶ ταχεῖα, ἔφεσιν δὲ προσηκόντως ἔχει τὰ νοητά, δεῖται νοεῖν, ὡς ἐσθίειν ζῶα τὰ * αἰσθητά, τοῦτο γὰρ τρόπον ἐφάμιλλον τὸ νοεῖν τῷ νοΐ, ὅπερ τὸ ἐσθίειν ζώοις τοῖς αἰσθητικοῖς. ἐκ γὰρ τοῦ νοεῖν, καὶ ζῆν οἰκείως, καὶ αὔξειν, καὶ ἀπολαύειν καὶ τέρπεσθαι γίγνεται τῷ νῷ, ὡς καὶ τοῖς αἰσθητικοῖς ζώοις ἐκ τοῦ ἐσθίειν ἐστί. τοιαῦτα δέ τοι πάσχει ὁ νοῦς ἄρα δήπου τοῦ δρᾷν, δηλαδὴ τοῦ νοεῖν ὑπερβαλλόντως καὶ μάλιστα, ὁπηνίκα φθάσῃ διὰ πνευματικῆς σου χρηστότητος, ἀφράστως ἐν σοὶ γενόμενος, ἐν τῇ θέλξει τῆς ἀφάτου δόξης σου συμμιγεῖσα ἡ ἔφεσις αὐτοῦ. τὸ γὰρ περί τι ἔφεσιν ἔχον ἰδικὴν τί ποτ' ἂν καὶ πάθοι κατὰ τὸ εἰκός, περιτυχὸν ἐλκτικῷ τῳ, καὶ μάλιστά γε τοιούτῳ, οἷός περ σύ, καὶ ταῦτ' ἐκ προνοίας τῆς σῆς, πρὸς ἡλίκον οἶδας σέ, ἐφετόν; σὺ γὰρ βασιλεῦ πάνσοφε παντοδύναμε ὑπεράγαθε Κύριε, κτίσας ζῶον τὸν νοῦν νοητόν, τοῖον τεύχεις, οἷον τοῖς σοῖς γε ὑπερευφραίνεσθαι πεφυκότως, καὶ ἀρρήτως ἐν κατοχῇ τοῦ θείου σου γενέσθαι μετ' ἐκπλήξεως ἔρωτος, καὶ οἷόν πως μανικῶς διακεῖσθαί σοι ὑπὸ ἐφαμίλλου βακχικοῦ ἐνθουσιασμοῦ. καὶ ὁ μὲν νοῦς, οὕτως ἄρα φιλόκαλος ἄκρως κτισθεὶς ἔχει, καὶ τὸ φιλόκαλος εἶναι κομιδῇ κατὰ τὸ πεφυκός, ἐκ προνοίας τὰ ἄριστα ἑπομένως νοεῖν ἔφεσιν ἔχει, καὶ ἀεὶ τῶν ὑψηλοτέρων καὶ πρόσω ἐπιθυμεῖν καὶ προχαίρειν ἐκ τοῦ γιγνομένου τοῖς κρείττοσιν. οἷος δὲ σὺ τούτῳ φαίνῃ, καὶ ὅπως συναρπάζεις αὐτόν, σοφῶς ἐς τὰ μάλιστα, τῷ ἔρωτι τῆς σῆς θεωρίας καταθελγόμενον, καὶ ξυμπάντων ἁπαξαπλῶς, πλὴν μόνου σοῦ ἐξιστάμενον μετὰ τοῦ τῆς ψυχῆς διακειμένου πάντως. οὔτε * ποικίλλος μόνον ὁρᾶσαι ἥδιστε, οὔτε ἁπλοῦς, οὔτε περίληπτος, οὔτ' ἀπερίληπτος· οὔτε φοβερός, οὔτε μειλίχιος. ἀλλὰ νῦν μὲν τοῦτο, νῦν δ' ἐκεῖνο· ἔσθ' ὅπου πάντως ἐντεῦθεν,

* ἴσ. αἰσθητικά

* ἴσ. γάρ

ἐκεῖ-

ἐντεῦθεν ἡ τοῦ νοὸς κίνησις, καὶ δὴ καὶ ῥοπὴ, μηδὲν ἔχει κλῖναι πρὸς αὐτὴν τὴν ἔξω σου διὰ ποικιλίαν ἔνθεν, ἢ δι' ἁπλότητα. δι' ἀκαταληψίας ἔφεσιν, ἢ καταλήψεως. διὰ φοβερότητα, ἢ μειλιχιότητα. καὶ ξυνόλως, τὸ ἀγαθὸν, καὶ καλὸν, περιληπτικῶς * ὢν, καὶ πάντων ἀγαθῶν καὶ καλῶν ποιητικῆς ἀρχῆς ὑπεράγαθος καὶ ὑπέρκαλλος, ἐν οὐδενὶ τῷ ἑτέρου ἔξεστι παντὸς τὸν νοῦν θεωρεῖν καὶ παραμένειν καὶ ποικίλως, καὶ πολλαχῶς τέρπεσθαι, ὅτι μὴ ἐν σοί· σὺ γὰρ τὰ πάντα αἰτιολογικῶς ἔχεις ἐν σεαυτῷ, καὶ ὑπὲρ πάντα διώρισαι, ἅτε δημιουργὸς ὑπερβαλλὲς ἀπειράκις ἀπείρως. ἐντεῦθεν ἐκ σοῦ Θεοῦ τὴν οὐσίαν, ποικίλως θεωροῦσαι ταῖς ἐνεργείαις, διὰ πλῆθος αὐτῶν. καὶ αὖθις διὰ τὸ μέγεθος αὐτῶν πολύς. καὶ τὸ θαυμασιώτατον γὰρ καὶ ἔκπληκτον· ὅτι περ, καὶ εἰς γῆν ἀπῆλθον λυπηρῶς, ἐντεῦθεν αὖθις τρόπῳ γέ πω καθίστασαι. ὁ γὰρ κατ' οὐσίαν οὐ περιληπτὸς πάντῃ, καὶ κατὰ τὴν ἐνέργειαν, καὶ πρὸς αὐτὴν τὴν δύναμιν ὑπερλαμβάνεσαι ἀμηγέπη· μείζονα γὰρ δυνάμεώς σου τίς εὕρατο; σοφίαν δέ σου τίς ἔγνω; τῆς δὲ ἀγαθότητός σου τὸ πέλαγος τίς ἐξιχνίασε; καὶ ὅλως τῶν σῶν τινος, τίς ἄκρως ἀκηκόε; καίτοιγε καὶ ταῦτα τρόπον ἕτερον καταληπτά γε ὂν ὁπωσδήποτε. ἀμέλει δεῖνα ὁ νοῦς θεωρεῖν ἀπὸ τῶν ἐν τοῖς φαινομένοις νοητῶν ἀρχόμενος, αὐτίκα ἰδὼν ἐξ ἑνοτήτων εἰς τὸ περὶ σὲ Σῶτερ ἑνιαῖον καὶ ἀκατάληπτον· καὶ τῷ ἡδεῖ καὶ κομιδῇ τερπνῷ τοῦ ληπτοῦ, καὶ τῷ φιλόκαλος εἶναι, σπεύδει ὅλῃ σπουδῇ, καὶ φιλονεικεῖ πως προσεπαναβαίνειν ὡς ἔτι ἐπέκεινα. ἐπεὶ δὲ οὐκ ἐξισχύει φθάσαι πορρωτέρω, ἀναλογιζόμενος, ἢ χρὴ, τὸ ἐκφεῦγον ἀναμφηρίστως ὡς ὑπερκείμενον, φέρτερον, παθὼν τινος κάτοχος ἀκολούθως ἐρωτοληψίας γίνεται, καὶ ἐφαμίλλως μανικῶς ἐκβακχεύεται περὶ σὲ, καὶ πόθους ἀναρριπίζει διηνεκεῖς τῇ ψυχῇ, ὑπέκκαυμα θείας ἀγάπης τὸ καταληπτὸν τοῦ ἀκαταλήπτου ποιούμενος, καὶ τὴν ἀπορίαν πορισμὸν ἐρώτων τιθέμενος. οὐ μᾶλλον θέλγοντος τοῦ περὶ σὲ παντοτόφι ληπτοῦ, ἤπερ ἐκκαίοντος τοῦ διαφεύγοντος· καὶ, τῷ τῆς γνώσεως ἀνέφικτος, καὶ θαυμάζεσθαι λίαν, καὶ ποθεῖσθαι διαφερόντως, παρασκευάζοντος. προσθείην γ' αὖ ὅτι καὶ ζητεῖσθαι πείθοντος, ὑμνεῖν τί σου κατὰ τὴν οὐσίαν· τοῦτο γὰρ παντὶ, καὶ πάντως, καὶ ὁπωσοῦν ἐκπεριλήψεως ἀμήχανον, ἀλλὰ τὸ τῆς ἐξόδου θείας δυνάμεως καὶ ἐνεργείας, καὶ τὸ ὅλον, τῶν περὶ σὲ Θεοῦ θεωρουμένων νοητῶν, καὶ θεολογουμένων ἀληπτῶν καὶ ἀπείρων, ἢ ἄρρητα, διά τε τὸ μέγεθος, ἀνεξερευνήτων δὲ ὄντων διὰ τὸ πλῆθος· τούτων καὶ γὰρ, εἰ καὶ ὅλως εἰς πέρας ἐφικέσθαι ἀδύνατον, ὅτε ἀπείρων, ἀλλὰ δυνατὸν τῷ διὰ καθάρσεως προσεγγισμῷ σου, καὶ τῇ ἐνατενίσει τοῦ κάλλους σου, πρὸς φανωτέρας, καὶ διαυγεστέρας ὁράσεις τῶν περὶ σὲ γίνεσθαι, καὶ θεᾶσθαι κατάλληλα· ὅθεν καὶ καταφλέγεις ζώσῃ ἐρωτικῇ προσμένοντά σοι τὸν ἀνενδότως, διαυγάζων μᾶλλον, καὶ μᾶλλον αὐτὸν, κἀκ τῶν γνωσμένων εἰσάγων εἰς ἄλλα ἄδυτα μυστικὰ θεάματα ὑπερουράνια, ὦ μονὰς ὑπερύμνητε, καὶ Τριὰς ὑπέρτιμε. δυνάμεως, καὶ σοφίας ἀπύθμαντε βυθέ. πῶς ἐξ αὐτῆς, εἴτε ἀφετηρίας, ἐθέλοι τις λέγειν, εἴτε μὴν γραμμῆς, εἰς τὸν κατὰ σὲ εἰσάγεις θεόπτην γνόφον καθαρθέντα ἐνθέσμως τὸν νοῦν, μετάγουσα τοῦτον ἀπὸ δόξης εἰς δόξαν, πολλάκις πλὴν καὶ εἴσω μένοντα τοῦ ὑπερφώτου γνόφου. οὐκ οἶδα, ὡς σὺ γινώσκεις, εἴτε εἰς ὃν εἰσήχθη Μωσῆς τε πάλαι, εἴθ' ὅτι οὗτος, ἐκείνου εἰκὼν, εἴτ' οὖν τοῦτον, ἐκεῖνος. πλὴν ὅτι οὗτος περιφανῶς νοητὸς γνόφος ἐστὶ, καὶ ὅτι ἐν αὐτῷ τελεῖται θείως καὶ ὑπερφυῶς ἐν

* ἐρθέντ. ὄντως ὢν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τῷ μυστικῷ τῆς ψυχῆς ἀρρήτως, τὰ τῆς πνευματικῆς ἑνώσεως, καὶ ἀγάπης μυστήρια· οἱ εἰσαγόμεναι μετὰ τῆς δαδουχίας τοῦ φωτίζοντος πνεύματος λίαν λαμπρῶς ἐπίστανται.

qβ'. Τίς σε διακειμένως Κύριε ξιὰς ὁρῶν οὐ χαίρει τὸν βασιλέα καὶ ἀδιάλειπτον πρύτανιν, καὶ διανομέα παντὸς ὁτιουοῦν καλοῦ καὶ ἀγαθοῦ, καὶ πηγαῖον ὄλβον πάντων τυγχάνοντα; καὶ τίς πρὸ τῆς ὁράσεως τῆς παντοκρατορικῆς δεσποτείας σου χαίρειν ἔχοι χαρὰν ἀληθῆ; δῆλον ὅτι οὐδεὶς οὐδαμῶς· διὰ τοῦτο τῷ ὄντι μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι οὗτοί σε ὀπτάνονται ὄμματι ψυχῆς, χαρὰν αὐτόχρημα οὖσαν διαφερόντως πνευματικήν· καὶ χαίρουσι δὴ μετὰ γαλήνης, καὶ πολλῆς θυμηδίας, καὶ ἀφορήτων ἐρώτων ἐμπίπλανται, πολλάκις καὶ σωματικαῖς προσπαλαίοντες περιστάσεσι, καὶ δαιμονικαῖς ἐπιφοραῖς πάσχοντες· τὸ γὰρ πνευματικὸν φῶς τοῦ κάλλους τοῦ προσώπου σου Κύριε ἀπειράκις ἀπείρως ὑπερεξῄρηται τοῦ καὶ ὁπωσοῦν λύπῃ προσίεσθαι κοσμικῇ, ᾧ ἐλλάμπεσθαι γίγνεται διὰ χάριτος. διὰ τοῦτο γλυκασμὸς ὅλος προπορεύεσαι. ὅλος ἐπιθυμία· ἁγία τε ἔφεσις· ἄρρητος ἔρως. ἐντεῦθεν ἡ ἀγάπης σου ἀφορήτοις ὑπερφυέσι κόλποις πεζωμένους. ἀποκαθιστᾷ τοὺς κατὰ τινά σε ὁρῶντας ἐπίνοιαν. ἐντεῦθεν εἰς ὀσμὴν μύρων σου ὀπίσω σου κατακολουθοῦσαι τρέχουσι σφοδρῷ καὶ ἀνενδότῳ πόθῳ αἱ ψυχαὶ τῶν, ὑφ' ὧν ὁρᾶσαι ἄρρητε Θεέ, καὶ ἐν σφίσιν αὐταῖς ἑλκύσαι σε πάσῃ πειρῶνται μηχανῇ, ἡττημέναι πάντως, καὶ ἐκτετηκυῖαι τῷ πόθῳ σου θαυμαστῶς. ὅθεν ἀλήστως σε ἔχουσιν ἐπὶ τῶν διηρμένων τοῦ κάλλους σου τοῦ ὑπερφυοῦς. μᾶλλον μὲν οὖν ἰδιωτικῶς καὶ πνευματικῶς πρότερον κατέχεις τὰς καρδίας αὐτῶν, καὶ νύκτωρ δῆπου καὶ μεθ' ἡμέραν, καὶ ὁ ὕπνος ἀπέπτη ἀπὸ τῶν βλεφάρων αὐτῶν. καὶ ἡ ἡδύτης . . . . . . . . . . . . . . ὕμνουν ἔτι ταύτας . . . . . . . . . . . . . . . ει, ἀλλὰ καὶ καθεύδουσαι τέως, ὅμως ἡ καρδία αὐτῶν καὶ (οὔ)πω γρηγορεῖ, ἀγαλλιώμεναι, ὡς ὁ Προφήτης λέγει ἐπὶ τῶν κοιτῶν αὐτῶν. καὶ ἐφαμίλλως ὁρῶσι καὶ συνέχονται, καὶ τί γενέσθαι οὐκ ἔχουσι. καὶ ὑπομοῦσι, καὶ ἐξίστανται διὰ τὰ διακείμενα τῆς ἀφάτου φαιδρότητος τοῦ προσώπου σου. διὰ τὴν μεγαλωσύνην τῆς δόξης τῆς ἁγιωσύνης σου. διὰ τὰς ὑπερκοσμίους ἃς δι(ατίθεν)ται ἐν ἑαυταῖς ἀναβάσεις σου, καὶ ἀποκαλύψεις τὰς μυστικάς. διὰ τὰ μυστήρια ἀπόρρητά τε, καὶ ἄφατα, πάγκαλά τε, καὶ πανάγαθα δῶρα Πάτερ τὰ περὶ σὲ . . . . . . . καὶ συνείξαις τὰς ἐν εὐθύτητι (κατοικοῦ)σας σὺν τῷ προσώπῳ σου.



Athos Library
Αγιορειτική Βιβλιοθήκη



# ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ
## ἈΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
# ΣΥΜΕΩΝ,
## ΠΕΡΙ ΤΗΣ ἹΕΡΑΣ, ΚΑΙ ΘΕΟΠΟΙΟΥ ΠΡΟΣΕΥΧΗΣ,

Ὅσα ἐστὶ δηλαδὴ αὕτη ἡ προσευχή, Κεφάλαιον σϙϛʹ.
ἐν σελίδι τῆς Βίβλου αὐτοῦ 210.

Αὕτη οὖν ἡ θεία προσευχή, ἡ τοῦ Σωτῆρος ἡμῶν ἐπίκλησις, τὸ Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με, καὶ προσευχή ἐστι, καὶ εὐχή, καὶ ὁμολογία τῆς πίστεως, καὶ Πνεύματος Ἁγίου παρεκτική, καὶ δωρεῶν θείων χορηγός, καὶ κάθαρσις καρδίας, καὶ δίωξις δαιμόνων, καὶ ἐνοίκησις Ἰησοῦ Χριστοῦ, καὶ πνευματικῶν ἐννοιῶν, καὶ λογισμῶν θείων πηγή, καὶ ἁμαρτιῶν ἀπολύτρωσις, καὶ ψυχῶν καὶ σωμάτων θεραπευτήριον, καὶ φωτισμοῦ θείου χορηγός, καὶ ἐλέους Θεοῦ βρύσις, καὶ ἀποκαλύψεων καὶ μυήσεων θείων ἐν ταπεινώσει βραβευτής, καὶ τὸ μόνον σωτήριον, ἐπεὶ καὶ τὸ σωτήριον φέρει ἐν αὐτῇ τοῦ Θεοῦ ἡμῶν ὄνομα, ὃ δὴ τὸ μόνον ὄνομά ἐστι τὸ ἐπικληθὲν εἰς ἡμᾶς, Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ. καὶ οὐκ ἔστιν ἐν οὐδενὶ ἄλλῳ σωθῆναι ἡμᾶς, ὥς φησιν ὁ Ἀπόστολος. διὸ καὶ προσευχή ἐστιν, ὅτι ἐν αὐτῇ τὸν θεῖον ἐπιζητοῦμεν ἔλεον, καὶ εὐχή, ὅτι παρέχομεν ἑαυτοὺς Χριστῷ διὰ τῆς αὐτοῦ ἐπικλήσεως. καὶ ὁμολογία, ὅτι τοῦτο ὁμολογήσας ὁ Πέτρος, μεμακάρισται. καὶ Πνεύματος παρεκτική, ὅτι οὐδεὶς λέγει Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ. καὶ δωρεῶν θείων χορηγός, ὅτι διὰ ταύτην δώσω σοι τῷ Πέτρῳ· φησὶν ὁ Χριστός· τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν. καὶ κάθαρσις καρδίας, ὅτι τὸν Θεὸν ὁρᾷ, καὶ καλεῖ, καὶ καθαίρει τὸν βλέποντα. καὶ δίωξις δαιμόνων, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἐδιώχθησαν καὶ διώκονται πάντες οἱ δαίμονες. καὶ ἐνοίκησις Χριστοῦ, ὅτι τῇ αὐτοῦ μνήμῃ ὁ Χριστός ἐστιν ἐν ἡμῖν, καὶ διὰ τῆς μνήμης ἐνοικεῖ, καὶ εὐφροσύνης πληροῖ· ἐμνήσθην γάρ φησι· τοῦ Θεοῦ καὶ εὐφράνθην. καὶ πνευματικῶν ἐννοιῶν, καὶ λογισμῶν ἐστι πηγή, ὅτι Χριστός ἐστιν ὁ θησαυρὸς πάσης σοφίας καὶ γνώσεως. καὶ οἷς ἐνοικεῖ ταῦτα χορηγεῖ. καὶ ἁμαρτιῶν ἀπολύτρω-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

σις, ὅτι δι' αὐτὴν, ὅσα λύσεις· φησίν· ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. καὶ ψυχῶν, καὶ σωμάτων θεραπευτήριον, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειραι καὶ περιπάτει φησί. καὶ Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός. καὶ φωτισμοῦ θείου χορηγός, ὅτι Χριστὸς τὸ φῶς τὸ ἀληθινόν ἐστι· καὶ τῆς λαμπρότητος αὐτοῦ καὶ χάριτος μεταδίδωσι τοῖς αὐτὸν ἐπικαλουμένοις. καὶ ἔστω· φησίν· ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς. καὶ, ὁ ἀκολουθῶν ἐμοί, ἕξει τὸ φῶς τῆς ζωῆς. καὶ ἐλέους θείου βρύσις, ὅτι τὸν ἔλεον ζητοῦμεν. καὶ ἐλεήμων ὁ Κύριος, καὶ οἰκτείρει πάντας τοὺς ἐπικαλουμένους αὐτόν. καὶ ποιεῖ τὴν ἐκδίκησιν ἐν τάχει τῶν βοώντων πρὸς αὐτόν. καὶ ἀποκαλύψεων, καὶ μυήσεων θείων βραβευτὴς τοῖς ταπεινοῖς, ὅτι καὶ τῷ ἁλιεῖ Πέτρῳ αὕτη δέδοται δι' ἀποκαλύψεως τοῦ ἐν οὐρανοῖς Πατρός. καὶ Παῦλος ἡρπάγη ἐν Χριστῷ, καὶ ἀποκαλύψεων ἤκουσε. καὶ πάντοτε τοῦτο ἐνεργεῖ. καὶ τὸ μόνον σωτήριον, ὅτι ἐν οὐδενὶ ἄλλῳ· φησὶν ὁ Ἀπόστολος· ἐστὶ σωθῆναι ἡμᾶς. καὶ οὗτός ἐστιν ὁ Σωτὴρ τοῦ κόσμου ὁ Χριστός. διὸ καὶ τοῦτο ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ πᾶσα γλῶσσα ἐξομολογήσεται καὶ αὐυμπάσει ἑκοῦσα καὶ ἄκουσα, ὅτι Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. καὶ τοῦτο τὸ σημεῖον ἡμῶν τῆς πίστεως· ἐπεὶ καὶ Χριστιανοί ἐσμεν, καὶ καλούμεθα· καὶ ἡ μαρτυρία ὅτι ἐκ τοῦ Θεοῦ ἐσμέν· πᾶν γὰρ πνεῦμα ὃ ὁμολογεῖ Κύριον Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστί φησιν, ὡς προέφημεν. καὶ τὸ μὴ ὁμολογοῦν, οὐκ ἐκ τοῦ Θεοῦ· καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου, τὸ μὴ ὁμολογοῦν Ἰησοῦν Χριστόν. διὸ χρὴ πάντας τοὺς πιστοὺς τὸ ὄνομα ἀδιαλείπτως ὁμολογεῖν, καὶ διὰ τὴν ἀνακήρυξιν τῆς πίστεως, καὶ διὰ τὴν ἀγάπην τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἧς οὐδὲν ἡμᾶς ὅλως χωρίσαι δεῖ ποτε, καὶ διὰ τὴν ἀπὸ τοῦ ὀνόματος αὐτοῦ χάριν, καὶ ἄφεσιν, καὶ ἀπολύτρωσιν, καὶ θεραπείαν, ἁγιασμόν τε, καὶ φωτισμόν, καὶ πρὸ πάντων τὴν σωτηρίαν. ἐν τούτῳ γὰρ τῷ θείῳ ὀνόματι, καὶ θαυμαστὰ ἐποίησαν οἱ Ἀπόστολοι, καὶ ἐδίδαξαν. καὶ ὁ θεῖος δέ φησιν Εὐαγγελιστής. ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε, ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. ἰδοὺ ἡ πίστις. καὶ ἵνα πιστεύοντες, ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ. ἰδοὺ ἡ σωτηρία, καὶ ζωή.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ

## Κεφάλαιον σνζ΄.

### Ὅτι πάντες Χριστιανοὶ ἱερωμένοι, Μοναχοί, καὶ Λαϊκοὶ ὀφείλουσι κἂν ὡρισμένως ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ κατὰ δύναμιν προσεύχεσθαι.

Ταύτην οὖν τὴν ὀνομασίαν ὡς προσευχήν, πᾶς εὐσεβὴς λεγέτω διαπαντὸς καὶ τῷ ἑαυτοῦ νοΐ, καὶ τῇ γλώσσῃ. καὶ στήκων, καὶ ὁδεύων. καὶ καθεζόμενος, καὶ ἀνακλινόμενος, καὶ πάντα λέγων, καὶ ἐνεργῶν, καὶ πρὸς τοῦτο ἑαυτὸν ἀεὶ παραβιαζέσθω, καὶ μεγίστην εὑρήσει γαλήνην τε καὶ χαράν. ὡς καὶ πείρᾳ εἰδότες εἰσὶν οἱ περὶ αὐτῆς μεριμνῶντες. ἐπεὶ δὲ τοῦτο τὸ ἔργον ὑπὲρ τοὺς ὄντας ἐστὶ τῷ βίῳ, καὶ αὐτοὺς τοὺς ἐν μέσῳ ὄντας θορύβων Μοναχούς, κἂν ὡρισμένον εἶναι δεῖ ἐν ἑκάστῳ τὸ περὶ τούτου. καὶ πάντας ἐπιτύπωσιν ἔχειν ταύτην τὴν προσευχὴν ἐνεργεῖν κατὰ δύναμιν, καὶ ἱερωμένους, μονάζοντάς τε, καὶ λαϊκούς. Οἱ μὲν οὖν μονάζοντες, ὡς εἰς τοῦτο τεταγμένοι, καὶ ὀφειλὴν ἀπαραίτητον περὶ ταύτης ἔχοντες, εἰ καὶ ἐν θορύβῳ εἰσὶ διακονημάτων, ὅμως πάντοτε βιαζέσθωσαν ταύτην ἐνεργεῖν ὀφείλοντες τὴν εὐχήν, καὶ προσεύχεσθαι τῷ Κυρίῳ ἀδιαλείπτως, κἂν μετὰ ῥεμβασμοῦ, καὶ συγχύσεως ὦσι, καὶ τῆς καλουμένης τοῦ νοός, καὶ ὅσης αἰχμαλωσίας. καὶ μὴ διὰ τὸ κλέπτεσθαι ὑπὸ τοῦ ἐχθροῦ ἀμελεῖν. ἀλλ᾽ ἐπανέρχεσθαι πρὸς τὴν προσευχήν, καὶ χαίρειν ἐπανερχομένους. Οἱ ἱερωμένοι δέ, ὡς ἀποστολικοῦ τούτου ἐπιμελείσθωσαν ἔργου, καὶ ὡς θείου κηρύγματος, καὶ ὡς θεῖα ἐνεργήματα ἐκτελοῦντος, καὶ ὡς τὴν ἀγάπην παριστῶντος τοῦ Χριστοῦ. Οἱ ἐν τῷ κόσμῳ δέ, ὡς σφραγῖδα ταύτην ἑαυτῶν, καὶ σημεῖον τῆς πίστεως, καὶ φυλακήν, καὶ ἁγιασμόν, καὶ πειρασμοῦ παντὸς διωκτήριον, κατὰ δύναμιν ἐνεργείτωσαν. Ὅθεν πάντας ἱερωμένους, λαϊκούς τε, καὶ Μοναχούς, ἐξανιστάντας τοῦ ὕπνου, Χριστὸν ἐννοῆσαι πρῶτον χρή, καὶ Χριστοῦ μνησθῆναι πρῶτον. καὶ τοῦτο πάσης ἐννοίας ἀπαρχήν, καὶ θυσίαν προσαγαγεῖν τῷ Χριστῷ. ὅτι καὶ Χριστοῦ τοῦ σώσαντος ἡμᾶς, καὶ τοσοῦτον ἀγαπήσαντος, πρὸ πάσης ἐννοίας μνησθῆναι δεῖ, ἐπεὶ καὶ Χριστιανοὶ ἐσμέν, καὶ καλούμεθα· καὶ ἐνεδυσάμεθα τοῦτον τῷ θείῳ Βαπτίσματι· καὶ ἐσφραγίσθημεν τούτου τῷ μύρῳ, καὶ τῆς Ἁγίας αὐτοῦ Σαρκός, καὶ τοῦ Αἵματος μετεσχήκαμεν, καὶ μετέχομεν· καὶ μέλη αὐτοῦ ἐσμέν· καὶ ναός· καὶ τοῦτον ἐνδεδύμεθα, καὶ ἐνοικεῖ ἐν ἡμῖν, καὶ διὰ τοῦτο ἀγαπᾶν αὐτόν, καὶ ἀεὶ τούτου μεμνῆσθαι ὀφείλομεν. ὅθεν καὶ ὡρισμένον ἐχέτω πᾶς καιρὸν κατὰ δύναμιν, καὶ ἀριθμόν τινα τῆς προσευχῆς ταύτης, ὡς ὀφειλήν. καὶ τὰ μὲν περὶ τούτου ἀρκείτω. ἐπεὶ καὶ τοῖς περὶ τούτου ζητοῦσι πλεῖστα εἰς διδασκαλίαν εἰσί.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΑΝΩΝΥΜΟΥ ΤΙΝΟΣ ΑΓΙΟΥ

# ΛΟΓΟΣ ΘΑΥΜΑΣΙΟΣ

## Περὶ τῶν Λόγων τῆς θείας Προσευχῆς,

### Ἤγουν τὸ Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με, μεταγλωττισθεὶς εἰς τὸ ἁπλοῦν διὰ νὰ καταλαμβάνεται ἀπὸ κάθε Χριστιανόν.

Ποίαν δύναμιν ἔχει ἡ εὐχὴ τοῦ, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με; καὶ τί λογῆς χαρίσματα χαρίζει εἰς ἐκείνους ὁποῦ τὴν μεταχειρίζονται; καὶ εἰς ποίαν ἀξίαν κατάστασιν τοὺς φέρνει; δὲν εἶναι δυνατὸν νὰ τὸ εἰποῦμεν ἡμεῖς, καὶ νὰ τὸ φανερώσωμεν. ἐπειδὴ καὶ τοῦτο εἶναι ὑπὲρ τὴν δύναμίν μας. ἡμεῖς μόνον τοῦτο νὰ εἰποῦμεν διὰ τὴν εὐχὴν αὐτὴν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ κτ. πόθεν ἔλαβε τὴν ἀρχήν, καὶ ποῖοι πρῶτοι εἶπον αὐτὰ τὰ λόγια τῆς εὐχῆς. λοιπὸν ἄνωθεν καὶ ἐξ ἀρχῆς αὐτὴν τὴν θείαν γραφὴν ἔλαβε τὴν ἀρχὴν αὐτὴ ἡ εὐχή, καὶ οἱ τρεῖς κορυφαῖοι Ἀπόστολοι τοῦ δεσπότου Χριστοῦ εἶπον ἀπὸ τὰ τὰ λόγια τῆς εὐχῆς, ὁ Παῦλος λέγω, ὁ Ἰωάννης, καὶ ὁ Πέτρος. καὶ ἀπὸ αὐτοὺς τὰ ἐπαραλάβαμεν ἡμεῖς, ὡσὰν μίαν κληρονομίαν πατροπαράδοτον, τὰ ὁποῖα εἶναι θεϊκοὶ χρησμοὶ, καὶ ἀποκαλύψες τοῦ Ἁγίου Πνεύματος, καὶ φωναὶ τοῦ Θεοῦ, ἐπειδὴ καὶ ἔτζι πιστεύομεν ἡμεῖς, πῶς ὅσα εἶπαν, ἢ ἔγραψαν οἱ θεῖοι καὶ πνευματοφόροι Ἀπόστολοι, ὅλα εἶναι λόγια τοῦ Χριστοῦ ὁποῦ τὰ εἶπε μὲ τὸ στόμα τῶν Ἀποστόλων, διατὶ τέτοιαν ὑπόσχεσιν ἔδωκεν εἰς αὐτοὺς ὁ Κύριός μας εἰς τὸ ἱερὸν Εὐαγγέλιον, ὅτι καὶ αὐτὸς ὁ Υἱὸς, καὶ ὁ Πατὴρ, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον θέλει ἔλθειν νὰ κάμουν κατοικίαν εἰς αὐτούς. καὶ ὄχι μόνον εἰς τοὺς Ἀποστόλους, ἀλλὰ καὶ εἰς κάθε ἄλλον Χριστιανὸν ὁποῦ νὰ φυλάττῃ τὰς ἐντολάς του. ὅθεν ὁ θεόπτης Παῦλος ὁποῦ ἀξιώθη νὰ ἀναβῇ ἕως τρίτου οὐρανοῦ λέγει τὸ Κύριε Ἰησοῦ. „ Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰμὴ ἐν Πνεύματι Ἁγίῳ. καὶ μὲ τὸ νὰ λέγῃ, πῶς δὲν ἠμπορεῖ τινὰς νὰ εἰπῇ τοῦτο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, πάρεξ μὲ Πνεῦμα Ἅγιον, φανερώνει ὁ Ἀπόστολος Παῦλος μὲ τρόπον πολλὰ θαυμάσιον, πῶς αὐτὸ τὸ ὄνομα εἶναι πολλὰ ὑψηλὸν, καὶ ἀνώτερον ἀπὸ τὰ ἄλλα ὀνόματα τῶν πολλῶν, διὰ τοῦτο καὶ δὲν εἶναι βολετὸν νὰ τὸ εἰπῇ τινὰς ἀλλεοτρόπως, πάρεξ μὲ Πνεῦμα Ἅγιον. Καὶ ὁ Θεολόγος Ἰωάννης ὁποῦ ἐβρόντησε τὰ πνευματικὰ, καὶ θεολογικὰ, ἐπῆρε τὸ τέλος τοῦ Παύλου, καὶ τὸ ἔκαμεν ἀρχήν, καὶ λέγει. „ Πᾶν πνεῦ„ μα, ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν „ σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστί. Καὶ μὲ τὸ νὰ ἀποφασίζῃ πάλιν οὗτος ὁ θεῖος Ἀπόστολος, πῶς κάθε Πνεῦμα ὁποῦ ὁμολογεῖ τοῦτο τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ, εἶναι ἀπὸ τὸν Θεὸν, ἀπο-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δείχνει μὲ αὐτὸ ὁποῦ λέγει, πῶς τὸ ὄνομα καὶ ἡ ὁμολογία τοῦ Ἰησοῦ Χριστοῦ, εἶναι τῆς θείας, καὶ πνευματικῆς χάριτος, καὶ δὲν εἶναι ἁπλῶς, καὶ ὡς ἔτυχε. ὁμοίως καὶ ὁ κορυφαῖος τῶν Ἀποστόλων Πέτρος ἐπῆρε τὸ τέλος τοῦ Ἰωάννου, καὶ τὸ ἔκαμεν ἀρχήν. ἤγουν τὸ Χριστός. καὶ εἰς καιρὸν ὁποῦ ἐρώτησεν ὁ Κύριός μας τοὺς μαθητάς του, ἡμεῖς δὲ τίνα με λέγετε εἶναι, λέγει ὁ Πέτρος· σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. τὸ ὁποῖον τοῦ τὸ ἀπεκάλυψεν ὁ Θεὸς καὶ Πατὴρ ἀπὸ τὸν οὐρανὸν, καθὼς τὸ μαρτυρεῖ ὁ Κύριός μας εἰς τὸ ἱερὸν Εὐαγγέλιον. καὶ στοχάσου τούτους τοὺς ἱερωτάτους τρεῖς Ἀποστόλους τοῦ Χριστοῦ εἰς αὐτὰ τὰ θεῖα λόγια ὁποῦ λέγουν, τί λογῆς εἶναι πιασμένοι ἀναμεταξύ τους ἕνας μὲ τὸν ἄλλον, ὡσὰν εἰς κύκλον, καὶ ὁ ἕνας μεταπαίρνει ἀπὸ τὸν ἄλλον αὐτὲς τὲς θείας φωνάς, ὥστε ὁποῦ ἐκεῖνον τὸν λόγον ὁποῦ λέγει ὁ πρῶτος ὑστερώτερα, ὁ δεύτερος τὸν κάνει ἀρχὴν, καὶ ἔπειτα καὶ ὁ τρίτος, καὶ τελειώνει τὴν εὐχὴν ταύτην. διατὶ ὁ Παῦλος λέγει· Κύριον Ἰησοῦν. ὁ Ἰωάννης· Ἰησοῦν Χριστόν. καὶ ὁ Πέτρος· Χριστὸν Υἱὸν τοῦ Θεοῦ. καὶ γίνεται ἕνας κύκλος θαυμάσιος. καὶ τὸ τέλος ὁποῦ εἶναι τὸ, Υἱὸς τοῦ Θεοῦ ἀνταμώνεται μὲ τὴν ἀρχὴν ὁποῦ εἶναι τὸ, Κύριος. ἐπειδὴ καὶ δὲν ἔχει καμμίαν διαφορὰν τὸ νὰ εἰπῇ τινὰς Κύριον, καὶ Υἱὸν τοῦ Θεοῦ. ὅτι καὶ τὰ δύο αὐτὰ φανερώνουν τὴν θεότητα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. καὶ διὰ νὰ τὸ καταλαμβάνῃ ὁ καθε ἕνας, τὰ ὁποῦ γράφομεν καὶ τὸν κύκλον.




Καὶ μὲ τοῦτον τὸν τρόπον μας ἐπαράδωκαν οἱ μακάριοι Ἀπόστολοι νὰ λέγωμεν ἐν Πνεύματι Ἁγίῳ, καὶ νὰ ὁμολογοῦμεν Κύριον Ἰησοῦν Χριστὸν Υἱὸν τοῦ Θεοῦ. καὶ ἐπειδὴ καὶ εἶναι τρεῖς, εἶναι καὶ ἀξιόπιστοι. διατὶ καθε λόγος μὲ τρεῖς μάρτυρας βεβαιώνεται, καὶ πιστώνεται. ἀκόμι καὶ ἡ τάξις τῶν Ἀποστόλων ὁποῦ εἶπαν αὐτὰ τὰ θεῖα λόγια δὲν εἶναι χωρὶς λογαριασμὸν, ἀλλὰ ἔχει τὴν ἐξήγησίν της. διατὶ πρῶτος ὁποῦ εἶπε αὐτὰ εἶναι ὁ Παῦλος, καὶ μέσος εἶναι ὁ Ἰωάννης, καὶ ὕστερος εἶναι ὁ Πέτρος. ἀπὸ τὸν Παῦλον ὁποῦ εἶναι ὕστερος ἀπὸ τοὺς ἄλλους, μαθητὴς τοῦ Χριστοῦ, ἄρχισεν ἡ μυστικὴ παράδοσις τῆς εὐχῆς τοῦ Κύριε Ἰησοῦ Χριστὲ κτ. καὶ διὰ μέσου τοῦ Ἰωάννου πηγαίνει εἰς τὸν Πέτρον ὁποῦ εἶναι ὁ πρῶτος, καὶ ἐκεῖ τελειώνει. καὶ καθὼς νομίζω τοῦτο εἶναι σημεῖον τῆς προκοπῆς ἡμῶν τῆς πνευματικῆς, καὶ τῆς ἑνώσεως ἡμῶν μὲ τὸν Θεὸν διὰ μέσου τῆς πράξεως, καὶ θεωρίας μὲ τὴν ἀγάπην. διατὶ ὁ Παῦλος σημαίνει τὴν πρᾶξιν· καθὼς λέγει ὁ ἴδιος· περισσότερον πάντων ἐκοπίασα. ὁ Ἰωάννης σημαίνει τὴν θεωρίαν, ὡς καὶ τὸ ὄνομα Θεολόγος ὁποῦ ἔχει, τὸ φανερώνει. καὶ ὁ Πέτρος σημαίνει τὴν ἀγάπην, καθὼς τὸ μαρτυρεῖ ὁ Κύριός μας εἰς καιρὸν ὁποῦ τοῦ εἶπε φιλεῖς με Πέτρε; ποίμανε τὰ πρόβατά μου. ὥστε ὁποῦ,

ὁποῖος καταγίνεται εἰς αὐτὴν τὴν εὐχὴν, προκόπτει καὶ εἰς πρακτικὴν ἀρετὴν, καὶ ἀπὸ τὴν πρᾶξιν ἀναβαίνει καὶ εἰς τὴν θεωρίαν, καὶ ἀποκτᾷ καὶ τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ ἑνώνεται μὲ αὐτόν.

Καὶ ὄχι μόνον αὐτὰ ὁποῦ εἴπαμεν, σημαίνουν αὐτὰ τὰ θεῖα λόγια τῆς εὐχῆς· ἀλλὰ φανερώνουν ἀκόμι καὶ τὸ δόγμα τὸ ὀρθὸν τῆς πίστεώς μας, καὶ ἀνατρέπουν κάθε αἵρεσιν τῶν αἱρετικῶν. διατὶ τὸ, Κύριε, φανερώνει τὴν θείαν φύσιν τοῦ Χριστοῦ, καὶ ἀνατρέπει τὴν αἵρεσιν ἐκείνων ὁποῦ τὸν ἔλεγον πῶς εἶναι μοναχὰ ἄνθρωπος, καὶ Θεὸς δὲν εἶναι. τὸ, Ἰησοῦ, φανερώνει πάλιν τὴν ἀνθρωπίνην φύσιν τοῦ Χριστοῦ, καὶ ἀνατρέπει τὴν αἵρεσιν ἐκείνων ὁποῦ τὸν ἔλεγον πῶς εἶναι μοναχὰ Θεὸς, καὶ ἄνθρωπος δὲν εἶναι, ἀμὴ κατὰ φαντασίαν φαίνεται ἄνθρωπος. τὸ, Χριστὲ, φανερώνει καὶ τὰς δύο φύσεις, καὶ τὴν θείαν, καὶ τὴν ἀνθρωπίνην, πῶς εἶναι καὶ αἱ δύο εἰς ἕνα πρόσωπον, καὶ εἰς μίαν ὑπόστασιν. καὶ ἀνατρέπει τὴν αἵρεσιν ἐκείνων ὁποῦ ἔλεγαν πῶς ὁ Χριστὸς ἔχει δύο ὑποστάσεις χωρισμέναις ἡ μία ἀπὸ τὴν ἄλλην. καὶ τὸ, Υἱὲ τοῦ Θεοῦ, φανερώνει, πῶς εἰς τὸν Χριστὸν ἡ θεία φύσις εἶναι ἀσύγχυτος καὶ ὕστερον ἀπὸ τὴν ἕνωσιν ὁποῦ ἔκαμε μὲ τὴν ἀνθρωπίνην φύσιν, καὶ ἡ ἀνθρωπίνη ὁμοίως καὶ αὐτὴ ἀσύγχυτος, καὶ ἀνατρέπει τὴν αἵρεσιν ἐκείνων ὁποῦ λέγουν πῶς ἡ θεία, καὶ ἀνθρωπίνη φύσις εἰς τὸν Χριστὸν ἔλαβαν σύγχυσιν καὶ ἀνακατώθηκαν ἡ μία μὲ τὴν ἄλλην. λοιπὸν αὐταῖς ἡ τέσσαρες λέξες, ὡσὰν ὁποῦ εἶναι λόγια θεϊκὰ, καὶ μάχαιραις πνευματικαῖς ἀνατρέπουν, καὶ ἀναιροῦν δύο ζυγαῖς αἱρέσεων ἐναντίων, ἀνάμεσόν τους εἰς τὴν κακίαν, καὶ αἵρεσιν, ὅμως ὁμοτίμων, καὶ συμφώνων εἰς τὴν ἀσέβειαν. ἰδὲ καὶ τὸ παράδειγμα εἰς περισσοτέραν κατάληψιν.




Αὐτὰ εἶναι ὁποῦ μᾶς ἐπαράδωσαν οἱ θεόσοφοι πατέρες μας ὁποῦ ἦσαν τέλειοι καὶ πνευματοφόροι ἄνδρες. οἱ ὁποῖοι καὶ κάθε ἕνα ἀπὸ αὐτὰ τὰ θεῖα λόγια ἤγουν τὸ Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ, καθὼς μᾶς τὰ ἄφησαν παράδοσιν οἱ θεῖοι Ἀπόστολοι τόσον τὰ ἐτύπωσαν εἰς τὴν καρδίαν τους, καὶ τόσον τὰ ἠγάπησαν· μάλιστα τὸ γλυκύτατον ὄνομα Ἰησοῦ, ὁποῦ τὸ εἶχαν μόνον αὐτὸ διὰ τελείαν καὶ ὁλόκληρον προσευχὴν, καὶ ἀγωνίζοντο εἰς ὅλην τους τὴν ζωὴν ἀκατάπαυστα, πῶς νὰ χορτάσουν τὴν γλυκύτητα τοῦ Ἰησοῦ, καὶ πάντοτε ἦσαν πεινῶντες καὶ διψῶντες τὸν Ἰησοῦν. ἀγκαλὰ καὶ ἐγέμιζαν ἀπὸ πνευματικὴν χαρὰν ἀνεκδιήγητον, καὶ ἀπελάμβανον θεῖα χαρίσματα, καὶ ἐγίνοντο πλέον ἔξω τῆς σαρκὸς, καὶ τοῦ κόσμου τούτου. ὡσὰν νὰ ἦσαν Ἄγγελοι ἐπίγειοι. ἢ ἄνθρωποι οὐράνιοι.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἰς τόσον ὕψος ἀρετῆς ἀνέβηκαν μὲ τὸ μέσον αὐτῆς τῆς γλυκυτάτης ὀνομασίας τοῦ Ἰησοῦ. ὅμως εἰς ἡμᾶς τοὺς ἀρχαρίους, καὶ ἀτελεῖς πρεπόντως ἐπαράδωσαν νὰ λέγωμεν ἀκόμι καὶ τό, ἐλέησόν με. δηλαδὴ Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με. ὄχι διὰ ἄλλο αἴτιον, παρεξ διὰ νὰ γνωρίζωμεν τὰ μέτρα μας, καὶ τὴν κατάστασίν μας, καὶ πῶς χρειαζόμεθεν τὸ μέγα καὶ πλούσιον ἔλεος τοῦ Ἁγίου Θεοῦ, καὶ εἴμεθεν ὡσὰν τὸν τυφλὸν ἐκεῖνον ὁποῦ λέγει τὸ ἱερὸν Εὐαγγέλιον, ὁ ὁποῖος ἔχωντας πόθον νὰ λάβῃ τὸ φῶς τῶν ματίων του, ἐφώναζεν εἰς καιρὸν ὁποῦ ἀπέρνασεν ἐκεῖθεν ὁ Κύριός μας, καὶ ἔλεγεν. Ἰησοῦ ἐλέησόν με. ἔτζι καὶ ἡμεῖς ὡσὰν τυφλοὶ ὁποῦ εἴμεθεν εἰς τὴν ψυχήν, νὰ παρακαλοῦμεν τὸν Θεὸν νὰ δείξῃ τὸ ἔλεός του εἰς ἡμᾶς, καὶ νὰ μᾶς ἀνοίξῃ τὰ μάτια τῆς ψυχῆς νὰ τὸν ἰδοῦμεν καθαρῶς. καὶ διὰ τοῦτο μᾶς ἐδιώρισαν νὰ λέγωμεν καὶ τὸ ἐλέησόν με. ἄλλοι πάλιν θέλοντες νὰ φυλάξουν καὶ κατὰ τοῦτο τὴν ἀγάπην τοῦ πλησίον, λέγουν τὴν εὐχὴν ἔτζι. Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς. καὶ παρακαλοῦν διὰ ὅλους τοὺς ἀδελφούς τους, ἐπειδὴ καὶ ἠξεύρουν πῶς ἡ ἀγάπη εἶναι τὸ πλήρωμα τοῦ νόμου, καὶ τῶν Προφητῶν, καὶ εἶναι μία ἀρετὴ ὁποῦ περιέχει κάθε ἐντολήν, καὶ ἔργον πνευματικὸν εἰς τοῦ λόγου της, ὅθεν καὶ μὲ τὴν ἀγάπην τοῦ πλησίον ἀνταμώνει τὴν προσευχήν της, καὶ παρακαλοῦν τὸν Θεὸν διὰ νὰ ἐλεήσῃ καὶ τὸν ἑαυτόν τους, καὶ τοὺς ἀδελφούς τους, καὶ μὲ τοῦτον τὸν τρόπον παρακινοῦν περισσότερον τὸν Θεὸν νὰ τοὺς ἐλεήσῃ, διατὶ καὶ τὸν Θεὸν κοινῶς τὸν ὀνομάζουν ἤγουν Θεὸν ἡμῶν ὅλων, καὶ διατὶ ζητοῦν ἀπὸ αὐτὸν καὶ τὸ ἔλεός του κοινὸν διὰ ὅλους τοὺς ἀδελφούς. καὶ μάλιστα τὸ ἔλεος τοῦ παναγάθου Θεοῦ τότε συνηθίζει νὰ ἔρχεται εἰς ἡμᾶς, ὅταν μᾶς ἰδῇ πῶς φυλάττομεν τὴν ὀρθὴν πίστιν εἰς τὰ δόγματα, καὶ τὴν τελείωσιν τῶν ἐντολῶν εἰς τὰ ἔργα. τὰ ὁποῖα καὶ τὰ δύο τὰ περιέχει μέσα ἐτοῦτος ὁ ὀλίγος στίχος τῆς προσευχῆς. τό, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς.

Ἀκόμι διὰ αὐτὰ τὰ θεῖα ὀνόματα τό, Κύριε Ἰησοῦ Χριστέ, ἂν θελήσωμεν νὰ ἐξετάσωμεν καὶ τοὺς καιροὺς εἰς τοὺς ὁποίους εἰπώθηκαν κατ' ἀρχάς, πάλιν τὰ εὑρίσκομεν μὲ τὴν τάξιν αὐτὴν ὁποῦ τὰ λέγομεν. δηλαδὴ πρῶτον εἰπώθη τό, Κύριος. ὕστερα τὸ Ἰησοῦς. καὶ ὑστερώτερα τὸ Χριστός. διατὶ εἰς τὴν παλαιὰν γραφὴν εὑρίσκομεν ὁλοῦθεν καὶ πρὶν τοῦ νόμου, καὶ ὕστερον ἀπὸ τὸν νόμον ὁποῦ τὸν Υἱὸν καὶ λόγον τοῦ Θεοῦ τὸν ὀνομάζει Κύριον. καθὼς εἰς τὸν καιρὸν τοῦ Λώτ, ὁποῦ λέγει. ἔβρεξε Κύριος πῦρ παρὰ Κυρίου. καὶ εἰς τοὺς ψαλμούς του ὁ Δαβίδ. εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. καὶ πάλιν εἰς τὸ Εὐαγγέλιον εἰς τὸν καιρὸν ὁποῦ εὐηγγέλισεν ὁ Γαβριὴλ εἰς τὴν Θεοτόκον τὴν ἐνανθρώπισιν τοῦ Υἱοῦ καὶ λόγου τοῦ Θεοῦ ὁποῦ τῆς εἶπε. καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. διότι ὤντας ὁ Υἱὸς καὶ λόγος τοῦ Θεοῦ Κύριος, καὶ [illegible]στὴς ἁπάντων καὶ Θεός, ἠθέλησε διὰ τὴν ἄκραν του ἀγαθότητα καὶ εὐσπλαγχνίαν, νὰ γένῃ ἄνθρωπος, διὰ νὰ σώσῃ τὸν ἄνθρωπον, καὶ διὰ τοῦτο ὠνομάσθη καὶ Ἰησοῦς, ὁποῦ θέλει νὰ εἰπῇ σωτὴρ καὶ λυτρωτὴς τοῦ ἀνθρώπου. πάλιν τὸ Χριστός, ὁποῦ φανερώνει τὴν θέωσιν τῆς ἀνθρωπίνης φύσεως ὁποῦ ἔλαβεν ὁ Κύριος ἡμῶν, καὶ ἐσαρκώθη, καὶ ἔγινεν ἄνθρωπος, προτήτερα ἀπὸ τὸ πάθος, καὶ τὸν θάνατόν του, τὸ ἐμπόδιζεν εἰς τοὺς μαθητάς του, καὶ δὲν τοὺς ἄφινε νὰ τὸν κηρύττουν Χριστόν. ὅμως ὕστερα ἀπὸ τὸ πάθος, καὶ τὴν ἀνάστασίν του, μὲ μεγάλην παρρησίαν τὸν ὠνόμαζεν ὁ Ἀπόστολος Πέτρος ἔμπροσθεν εἰς τὸν λαὸν τῶν Ἰου-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

δαίων, Χριστόν. λέγοντας· γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι καὶ Κύριον αὐτόν, καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε. διότι ἡ ἀνθρωπίνη φύσις ὅπου ἔλαβεν ὁ Υἱὸς καὶ λόγος τοῦ Θεοῦ, παρευθὺς τότε ἐχρίσθη ἀπὸ τὴν Θεότητά του, πλὴν ἀφ' οὗ ἐσταυρώθη καὶ ἀνέστη ἐκ νεκρῶν, καὶ ἀνελήφθη εἰς τοὺς οὐρανούς, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ Πατρός, τότε ἔγινεν ὁμόθεος. διὰ τοῦτο καὶ τότε πλέον ὕστερα ἀπὸ τὴν ἀνάληψιν, ἦτον καιρὸς νὰ φανερωθῇ ἡ ὀνομασία αὐτὴ τοῦ Χριστοῦ, καὶ νὰ κηρύττεται ἀπὸ τοὺς Ἀποστόλους καὶ Χριστός, καὶ Υἱὸς Θεοῦ, καὶ Θεός. ὥστε ὅπου, πρῶτον ἐπωνώθη Κύριος. ὕστερον Ἰησοῦς. ὑστερώτερον Χριστὸς καὶ Υἱὸς Θεοῦ. καθὼς φαίνεται καὶ εἰς τὴν εὐχήν. Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με. τὴν ὁποίαν οἱ θεόσοφοι πατέρες μας τὴν ἐπαράλαβαν ὡσὰν μίαν κληρονομίαν πατροπαράδοτον τῶν Ἁγίων Ἀποστόλων, καὶ τὴν ἐπαράδωσαν εἰς ἡμᾶς. καὶ διὰ τὰ λόγια αὐτὰ τῆς εὐχῆς τόσον μόνον εἴπαμεν ἡμεῖς, ὅσον ἦτον τῆς δυνάμεώς μας. ὡσὰν νὰ ἐκόψαμεν αὐτὴ ἀπὸ κανένα δένδρον μεγάλον, καὶ καλόν. ἀμὴ τὸν καρπὸν ὅπου εὑρίσκεται θησαυρισμένος μέσα εἰς αὐτὰ τὰ θεῖα λόγια ἂς τὸν εἰποῦν ἄλλοι, ἐκεῖνοι δηλαδὴ ὅπου μὲ τὴν πολυκαιρίαν, καὶ μὲ τὴν δοκιμὴν ἐπρόκοψαν εἰς αὐτὴν τὴν ἐργασίαν τῆς προσευχῆς, καὶ ἐγεύθηκαν τὴν γλυκύτητα τοῦ καρποῦ, καὶ ἔφθασαν εἰς τὴν τελειότητα.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΕΡΜΗΝΕΙΑ ΤΟΥ,
# ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ,

## Πολλὰ ὠφέλιμος νὰ τὴν ἠξεύρῃ κάθε Χριστιανὸς, διὰ τοῦτο καὶ ἐμεταγλωττίσθη εἰς τὸ ἁπλοῦν.

ΤΟ, Κύριε Ἰησοῦ Χριστὲ ἐλέησόν με. καὶ συντομώτερα τό, Κύριε ἐλέησον. ἀπὸ τὸν καιρὸν τῶν Ἀποστόλων, ἐχαρίσθη εἰς τοὺς Χριστιανοὺς, καὶ ἐθωσίσθη νὰ τὸ λέγουν οἱ Χριστιανοὶ ἀκαταπαύστως, καθὼς καὶ τὸ λέγουν. πλὴν τί δηλοῖ τοῦτο τό, Κύριε ἐλέησον, πολλὰ ὀλίγοι εἶναι τὴν σήμερον ὁποῦ τὸ ἠξεύρουν, καὶ φωνάζουν καθ᾽ ἑκάστην ἀνωφελῶς, φεῦ, καὶ ματαίως τό, Κύριε ἐλέησον, καὶ τὸ ἔλεος τοῦ Κυρίου δὲν τὸ λαμβάνουν, διατὶ δὲν ἠξεύρουν τί ζητοῦν. ὅθεν πρέπει νὰ ἠξεύρωμεν, πῶς ὁ Υἱὸς, καὶ Λόγος τοῦ Θεοῦ, ἀφ᾽ οὗ ἐσαρκώθη καὶ ἔγινεν ἄνθρωπος, καὶ ἔπαθε τόσα βάσανα, καὶ ἐσταυρώθη, καὶ μὲ τὴν χύσιν τοῦ Παναγίου του Αἵματος ἐξηγόρασε τὸν ἄνθρωπον ἀπὸ τὰς χεῖρας τοῦ διαβόλου, ἀπὸ τότε ἔγινε Κύριος καὶ ἐξουσιαστὴς τῆς ἀνθρωπίνης φύσεως. διατὶ καὶ πρὸ τοῦ νὰ σαρκωθῇ, Κύριος ἦτον ὅλων τῶν κτισμάτων, ὁρατῶν, καὶ ἀοράτων, ὡς δημιουργὸς καὶ ποιητής τους, ὅμως τῶν ἀνθρώπων καὶ τῶν δαιμόνων ὁποῦ δὲν ἠθέλησαν ἀφ᾽ ἑαυτοῦ τους νὰ τὸν ἔχουν Κύριον καὶ ἐξουσιαστήν τους, δὲν ἦτον καὶ αὐτῶν Κύριός τους, ὁ Κύριος ὅλου τοῦ κόσμου. διατὶ ὁ πανάγαθος Θεὸς, ἐπειδὴ καὶ τοὺς Ἀγγέλους, καὶ τοὺς ἀνθρώπους τοὺς ἔκαμεν αὐτεξουσίους, καὶ τοὺς ἐχάρισε τὸ λογικὸν, νὰ ἔχουν γνῶσιν, καὶ διάκρισιν, ὡς δίκαιος ὁποῦ εἶναι καὶ ἀληθινὸς, δὲν ἠθέλησε νὰ τοὺς ἀσυκώσῃ τὸ αὐτεξούσιον, καὶ νὰ τοὺς κυριεύῃ βιαστικῶς, καὶ μὴ θέλοντας. ἀλλὰ ἐκείνους ὁποῦ θέλουν νὰ εἶναι ὑποκάτω εἰς τὴν ἐξουσίαν καὶ κυβέρνησιν τοῦ Θεοῦ, ἐκείνους καὶ τοὺς κυριεύει, καὶ τοὺς διαφεντεύει. καὶ ἐκείνους ὁποῦ δὲν θέλουν πάλιν, τοὺς ἀφίνει νὰ κάνουν τὸ θέλημά τους, ὡς αὐτεξούσιοι ὁποῦ εἶναι. διὰ τοῦτο καὶ τὸν Ἀδὰμ ὁποῦ ἐπλανέθη ἀπὸ τὸν ἀποστάτην διάβολον, καὶ ἔγινε καὶ αὐτὸς ἀποστάτης τοῦ Θεοῦ, καὶ δὲν ἠθέλησε νὰ ὑπακούσῃ εἰς τὴν ἐντολήν του, τὸν ἄφησεν ὁ Θεὸς εἰς τὸ αὐτεξούσιόν του, καὶ δὲν ἠθέλησε νὰ τὸν κυριεύσῃ δυναστικῶς, ἀλλὰ ὁ φθονερὸς διάβολος ὁποῦ τὸν ἐπλάνεσεν ἐξ ἀρχῆς, δὲν ἔπαυσε πλέον νὰ τὸν πλανᾷ, ἕως ὁποῦ τὸν ἔκαμε παρόμοιον εἰς τὴν ἀλογίαν μὲ τὰ κτήνη τὰ ἀνόητα, καὶ ἔζουσε πλέον ὡς ζῶον ἄλογον καὶ ἀνόητον. τὸν ὁποῖον τέλος πάντων τὸν ἐσπλαγχνίσθη ὁ πολυέλεος Θεὸς, καὶ ἔκλινεν οὐρανοὺς, καὶ κατέβη εἰς τὴν γῆν, καὶ ἔγινεν ἄνθρωπος διὰ τὸν ἄνθρωπον, καὶ μὲ τὸ παναγιώτατόν του αἷμα τὸν ἐλύτρωσεν ἀπὸ τὴν σκλαβείαν τῆς ἁμαρτίας, καὶ διὰ μέσου τοῦ ἱεροῦ Εὐαγγελίου τὸν ὡδήγησε πῶς νὰ πολιτευθῇ θεαρέστως, καὶ κατὰ τὸν Θεολόγον Ἰωάννην μᾶς ἔδωκεν ἐξουσίαν νὰ γενοῦμεν τέκνα Θεοῦ, καὶ μὲ τὸ θεῖον Βάπτισμα μᾶς ἐξαναγέννησε, καὶ μᾶς ἐξανάπλασε, καὶ μὲ τὰ ἄχραντά του μυστήρια μᾶς τρέφει καθ᾽ ἑκάστην τὴν ψυχὴν, καὶ τὴν ζωογονεῖ, καὶ κεπολογῆς μὲ τὴν ἄκραν του σοφίαν εὗρε τὸν τρόπον νὰ μένῃ ἀχώριστος πάντοτε μὲ ἡμᾶς, καὶ ἡμεῖς μὲ αὐτὸν, διὰ νὰ μὴν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἔχῃ πλέον καμμίαν χώραν εἰς ἡμᾶς ὁ διάβολος. Ὅσοι λοιπὸν ἀπὸ τοὺς Χριστιανοὺς ὕστερον ἀπὸ τόσας χάριτας ὁποῦ ἀξιώθηκαν, καὶ ὕστερον ἀπὸ τόσας εὐεργεσίας ὁποῦ ἔλαβαν ἀπὸ τὸν δεσπότην Χριστὸν, ἐπλανέθηκαν πάλιν ἀπὸ τὸν διάβολον, καὶ μὲ τὸ μέσον τοῦ κόσμου, καὶ τῆς σαρκὸς ἐμάκρυναν ἀπὸ τὸν Θεὸν, καὶ κατακυριεύονται ἀπὸ τὴν ἁμαρτίαν, καὶ ἀπὸ τὸν διάβολον κάνοντες τὰ θελήματά του, ὅμως δὲν εἶναι τελείως ἀναίσθητοι, ὁποῦ νὰ μὴν αἰσθάνονται τὸ κακὸν ὁποῦ ἔπαθαν, ἀλλὰ καταλαμβάνουν τὸ σφάλμα τους, καὶ γνωρίζουν τὴν σκλαβείαν ὁποῦ ἔχουν, μὰ δὲν ἠμποροῦν αὐτοὶ μοναχοί τους νὰ γλυτώσουν, καὶ διὰ τοῦτο προστρέχουν εἰς τὸν Θεὸν, καὶ φωνάζουν τὸ, Κύριε ἐλέησον, διὰ νὰ τοὺς εὐσπλαγχνισθῇ ὁ πολυέλεος Κύριος, καὶ νὰ τοὺς ἐλεήσῃ, νὰ τοὺς δεχθῇ ὡς τὸν ἄσωτον Υἱὸν, καὶ νὰ τοὺς δώσῃ πάλιν τὴν θείαν χάριν του, καὶ μὲ τὸ μέσον αὐτῆς νὰ γλυτώσουν ἀπὸ τὴν σκλαβείαν τῆς ἁμαρτίας, καὶ νὰ μακρύνουν ἀπὸ τοὺς δαίμονας, νὰ λάβουν πάλιν τὴν ἐλευθερίαν τους, διὰ νὰ ἠμπορέσουν μὲ αὐτὸν τὸν τρόπον νὰ ζήσουν θεαρέστως, καὶ νὰ φυλάξουν τὰς ἐντολὰς τοῦ Θεοῦ. αὐτοὶ λοιπὸν οἱ Χριστιανοὶ ὁποῦ καθὼς εἴπαμεν μὲ παρόμοιον σκοπὸν φωνάζουν τὸ, Κύριε ἐλέησον, αὐτοὶ θέλουν ἐπιτύχῃ διάπαντος καὶ τὸ ἔλεος τοῦ παναγάθου Θεοῦ, καὶ θέλουν λάβῃ τὴν χάριν του, νὰ ἐλευθερωθοῦν ἀπὸ τὴν σκλαβείαν τῆς ἁμαρτίας, καὶ νὰ σωθοῦν. Εἰ δὲ ἐκεῖνοι ὁποῦ δὲν ἔχουν παντελῶς εἴδησιν ἀπὸ αὐτὰ ὁποῦ εἴπαμεν, μήτε γνωρίζουν τὴν συμφοράν τους ὁποῦ εἶναι καταδεδουλωμένοι εἰς τὰ θελήματα τῆς σαρκὸς, καὶ εἰς τὰ κοσμικὰ πράγματα, μήτε ἔχουν δικαιρίαν νὰ συλλογισθοῦν τὴν σκλαβείαν ὁποῦ ἔχουν, ἀλλὰ χωρὶς τέτοιον σκοπὸν φωνάζουν μόνον τὸ, Κύριε ἐλέησον· περισσότερον ἀπὸ συνήθειαν. αὐτοὶ πῶς εἶναι δυνατὸν νὰ λάβουν τὸ ἔλεος τοῦ Θεοῦ; καὶ μάλιστα τέτοιον θαυμάσιον, καὶ ἄπειρον ἔλεος; ἐπειδὴ καὶ πλέον καλήτερα εἶναι νὰ μὴν λάβουν τὸ ἔλεος τοῦ Θεοῦ, πάρεξ νὰ τὸ λάβουν, καὶ πάλιν νὰ τὸ χάσουν, διατὶ εἶναι διπλοῦν τὸ πταίσιμόν τους. καὶ μάλιστα ἀνίσως καὶ τινὰς δώσῃ καμμίαν πέτραν πολύτιμον εἰς τὰ χέρια κανενὸς μικροῦ παιδίου, ἢ κανενὸς ἀγροίκου ἀνθρώπου ὁποῦ νὰ μὴν ἠξεύρῃ τί ἀξίζει, καὶ αὐτοὶ ἀφ' οὗ τὴν πάρουν εἰς τὰ χέριά τους τὴν χάσουν, εἶναι φανερὸν πῶς δὲν τὴν ἔχασαν ἐκεῖνοι, ἀλλὰ τὴν ἔχασεν ἐκεῖνος ὁποῦ τοὺς τὴν ἔδωκε.

Καὶ διὰ νὰ καταλάβῃς καλήτερα τὰ λεγόμενα, συλλογίσου πῶς εἰς τὸν κόσμον τοῦτον ἐκεῖνος ὁποῦ εἶναι ἐνδεὴς καὶ πτωχὸς, καὶ θέλει νὰ λάβῃ ἐλεημοσύνην ἀπὸ κανένα πλούσιον, ἐκεῖνος πηγαίνει καὶ τοῦ λέγει· ἐλέησόν με. ἤγουν λυπήσου με διὰ τὴν πτωχείαν μου, καὶ δός μου κυβέρνησιν. καὶ πάλιν ἐκεῖνος ὁποῦ ἔχει χρέος, καὶ θέλει νὰ τοῦ χαρίσῃ τὸ χρέος ὁ δανειστής του, ἐκεῖνος πηγαίνει εἰς αὐτὸν, καὶ τοῦ λέγει· ἐλέησόν με· ἤγουν λυπήσου με διὰ τὴν ἔνδειαν μου, καὶ χάρισαί μου τὸ χρέος ὁποῦ σοῦ χρεωστῶ.

Ὁμοίως καὶ ὁ πταίστης, θέλωντας νὰ τὸν συμπαθήσῃ ἐκεῖνος ὁποῦ τοῦ ἔπταισε, πηγαίνει εἰς αὐτὸν, καὶ τοῦ λέγει· ἐλέησόν με· ἤγουν συμπάθησέ με εἰς τὸ πταίσιμον ὁποῦ σοῦ ἔκαμα. Ἀπέκει ὁ ἁμαρτωλὸς φωνάζει εἰς τὸν Θεὸν τὸ, Κύριε ἐλέησον, καὶ δὲν ἠξεύρει μήτε τί λέγει, μήτε διατί τὸ λέγει, ἀλλὰ μήτε τί εἶναι τὸ ἔλεος τοῦ Θεοῦ ὁποῦ τὸν παρακαλεῖ νὰ τοῦ τὸ δώσῃ, τὸ ἠξεύρει, μήτε εἰς τί τὸν συμφέρει τὸ ἔλεος ὁποῦ ζητεῖ· ἀλλὰ ἀπὸ συνήθειαν μόνον φωνάζει· Κύριε ἐλέησον, ἀμὴ δὲν ἠξεύρει τίποτες· καὶ λοιπὸν πῶς νὰ τοῦ δώσῃ ὁ Θεὸς τὸ

ἔλεός του, ὁποῦ αὐτὸς μὴν ἠξεύροντάς το, τὸ καταφρονεῖ, καὶ πάλιν ὀγλίγωρα τὸ χάνει, καὶ ἁμαρτάνει περισσότερον;

Τὸ ἔλεος τοῦ Θεοῦ δὲν εἶναι ἄλλο, πάρεξ ἡ χάρις τοῦ Παναγίου Πνεύματος, τὴν ὁποίαν πρέπει νὰ τὴν ζητοῦμεν ἀπὸ τὸν Θεὸν ἡμεῖς οἱ ἁμαρτωλοί, καὶ νὰ φωνάζωμεν ἀκαταπαύστως τό, Κύριε ἐλέησον· ἤγουν λυπήσου με Κύριέ μου τὸν ἁμαρτωλὸν εἰς τὴν ἐλεεινὴν κατάστασιν ὁποῦ εὑρίσκομαι, καὶ δέξου με πάλιν εἰς τὴν χάριν σου· δός μου πνεῦμα δυνάμεως, διὰ νὰ μὲ δυναμώσῃ νὰ ἀντισταθῶ εἰς τοὺς πειρασμοὺς τοῦ διαβόλου, καὶ εἰς τὴν κακὴν συνήθειαν τῆς ἁμαρτίας. δός μου πνεῦμα σωφρονισμοῦ, διὰ νὰ σωφρονισθῶ, καὶ νὰ ἔλθω εἰς αἴσθησιν τοῦ ἑαυτοῦ μου, νὰ διορθωθῶ. δός μου πνεῦμα φόβου, διὰ νὰ σὲ φοβοῦμαι, καὶ νὰ φυλάττω τὰς ἐντολάς σου. δός μου πνεῦμα ἀγάπης, διὰ νὰ σὲ ἀγαπῶ, καὶ νὰ μὴν χωρίζω πλέον ἀπὸ κοντά σου. δός μου πνεῦμα εἰρήνης, διὰ νὰ φυλάττῃ τὴν ψυχήν μου εἰρηνικήν, καὶ νὰ συμμαζώνω ὅλους μου τοὺς διαλογισμούς, καὶ νὰ εἶμαι ἥσυχος, καὶ ἀτάραχος. δός μου πνεῦμα καθαρότητος, διὰ νὰ μὲ φυλάττῃ καθαρὸν ἀπὸ κάθε μολυσμόν. δός μου πνεῦμα πραότητος διὰ νὰ εἶμαι ἥμερος εἰς τοὺς ἀδελφούς μου τοὺς Χριστιανούς, καὶ νὰ ἀπέχω ἀπὸ τὸν θυμόν. δός μου πνεῦμα ταπεινοφροσύνης, διὰ νὰ μὴν φαντάζωμαι ὑψηλά, καὶ ὑπερηφανεύωμαι.

Ὥστε ὁποῦ ἐκεῖνος ὁποῦ γνωρίζει τὴν χρείαν ὁποῦ ἔχει ἀπὸ ὅλα αὐτά, καὶ τὰ ζητεῖ ἀπὸ τὸν πολυέλεον Θεόν, φωνάζοντας τό, Κύριε ἐλέησον. αὐτὸς βεβαιότατα θέλει λάβῃ ἐκεῖνο ὁποῦ ζητεῖ, καὶ θέλει ἐπιτύχῃ τὸ ἔλεος τοῦ Κυρίου, καὶ τὴν θείαν χάριν του. Ἀμὴ ὅποιος δὲν ἠξεύρει τίποτες ἀπὸ αὐτὰ ὁποῦ εἴπαμεν, ἀλλὰ ἀπὸ συνήθειαν μόνον φωνάζει τό, Κύριε ἐλέησον, αὐτὸς δὲν εἶναι δυνατὸν ποτὲ νὰ λάβῃ τὸ ἔλεος τοῦ Θεοῦ. διατὶ καὶ προτήτερα ἔλαβε πολλὰς χάριτας ἀπὸ τὸν Θεόν, ἀμὴ δὲν ταῖς ἐγνώρισε, μήτε εὐχαρίστησε τὸν Θεὸν ὁποῦ τοῦ ταῖς ἔδωκεν. Αὐτὸς ἔλαβε τὸ ἔλεος τοῦ Θεοῦ, καὶ ὅταν ἐπλάσθη, καὶ ἔγινεν ἄνθρωπος. ἔλαβε τὸ ἔλεος τοῦ Θεοῦ, καὶ ὅταν ἀνεπλάσθη μὲ τὸ Ἅγιον Βάπτισμα, καὶ ἔγινεν ὀρθόδοξος Χριστιανός. ἔλαβε τὸ ἔλεος τοῦ Θεοῦ, καὶ ὅταν ἐγλύτωσεν ἀπὸ τόσους κινδύνους ψυχικούς, καὶ σωματικοὺς ὁποῦ ἐδοκίμασεν εἰς τὴν ζωήν του. ἔλαβε τὸ ἔλεος τοῦ Θεοῦ καὶ τόσαις φοραῖς ὁποῦ ἠξιώθη νὰ κοινωνήσῃ τὰ ἄχραντα μυστήρια. ἔλαβε τὸ ἔλεος τοῦ Θεοῦ ὅσαις φοραῖς ἥμαρτεν εἰς τὸν Θεόν, καὶ τὸν ἐπαραπίκραινε μὲ τὰς ἁμαρτίας του, καὶ δὲν ἐξωλοθρεύθη, μήτε ἐπαιδεύθη, καθὼς τοῦ ἔπρεπεν. ἔλαβε τὸ ἔλεος τοῦ Θεοῦ, ὅταν μὲ διαφόρους τρόπους εὐεργετήθη ἀπὸ τὸν Θεόν, καὶ δὲν τὸ ἐγνώρισεν, ἀμὴ ὅλα τὰ ἀλησμόνησε, καὶ δὲν ἐφρόντισε διὰ τὴν σωτηρίαν του τελείως. Λοιπὸν ὁ τοιοῦτος Χριστιανὸς πῶς νὰ λάβῃ τὸ ἔλεος τοῦ Θεοῦ; χωρὶς νὰ τὸ αἰσθάνεται, καὶ χωρὶς νὰ τὸ γνωρίζῃ πῶς λαμβάνει τέτοιαν χάριν ἀπὸ τὸν Θεὸν καθὼς εἴπαμεν; μήτε νὰ ἠξεύρῃ τί λέγει; ἀλλὰ νὰ φωνάζῃ μόνον τό, Κύριε ἐλέησον, χωρὶς κανένα σκοπόν, καὶ τέλος, πάρεξ ἀπὸ μάτην συνήθειαν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

## ΤΟΥ ΟΣΙΟΥ, ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΥΜΕΩΝ

## ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ

## ΛΟΓΟΣ

Περὶ πίστεως, καὶ Διδασκαλία εἰς ἐκείνους ὁποῦ λέγουν, ὅτι δὲν εἶναι δυνατὸν ἐκεῖνοι ὁποῦ εὑρίσκονται μέσα εἰς τὸν κόσμον, καὶ ἔχουν φροντίδες κοσμικαῖς, νὰ φθάσουν εἰς τὴν τελειότητα τῆς ἀρετῆς· καὶ διήγησις περὶ τούτου εἰς τὴν ἀρχήν, πολλὰ ὠφέλιμος. Καὶ ἐμεταγλωττίσθη εἰς τὸ ἁπλοῦν, διὰ νὰ τὸ καταλαμβάνῃ καθε ἕνας.

Ἀδελφοί μου περιπόθητοι καὶ Πατέρες. πολλὰ καλόν, καὶ ψυχωφελέστατον πρᾶγμα εἶναι, νὰ κηρύττωμεν εἰς ὅλους κοινῶς τὸ μέγα, καὶ ἄπειρον ἔλεος τοῦ παναγάθου, καὶ πολυελέου Θεοῦ ἡμῶν, καὶ νὰ φανερώνωμεν εἰς ὅλους τοὺς ἀδελφούς μας Χριστιανοὺς τὸ ἀνεξιχνίαστον πέλαγος τῆς εὐσπλαγχνίας, καὶ τῆς ἀγαθότητος τοῦ Θεοῦ ὁποῦ ἔχει εἰς ἡμᾶς. Ἐγὼ λοιπόν, καθὼς τὸ βλέπετε ἀδελφοί μου, καὶ καθὼς τὸ ἠξεύρετε καλώτατα, μήτε νηστείας πολλάς, καὶ ὑπερβολικὰς ἔκαμα, μήτε ἀγρυπνίας, μήτε χαμαικοιτίας, ἀλλὰ μήτε ἄλλαις παρόμοιαις σκληραγωγίαις τοῦ σώματος ὑπερβολικαῖς, ἀλλὰ ἐγνώρισα τὴν ἀναξιότητά μου, ἐστοχάσθηκα τὰς ἁμαρτίας μου, ἐκατηγόρησα τὸν ἑαυτόν μου, καὶ ἐταπεινώθηκα, καὶ ὁ πολυεύσπλαγχνος, καὶ πανάγαθος Κύριος μὲ αὐτὸ μὲ ἔσωσε. καθὼς τὸ λέγει καὶ ὁ θεῖος Δαβίδ. ἐταπεινώθην, καὶ ἔσωσέ με. καὶ διὰ νὰ σᾶς τὸ εἰπῶ μὲ ὀλίγα λόγια, ἐπίστευσα μονάχα εἰς τὰ λόγια τοῦ Θεοῦ, καὶ μὲ ἐδέχθη ὁ Κύριος, καὶ Θεός μου μὲ αὐτὴν τὴν πίστιν· ἐπειδὴ καὶ τὸ νὰ ἀποκτήσῃ τινὰς τὴν ταπείνωσιν, εὑρίσκει πολλὰ ἐμπόδια ὁποῦ τὸν ἐμποδίζουν· ἀμὴ τὸ νὰ εὕρῃ τὴν πίστιν καὶ νὰ πιστεύσῃ εἰς τὰ λόγια τοῦ Θεοῦ, δὲν εἶναι κανένα ἐμπόδιον ὁποῦ νὰ τὸν ἐμποδίσῃ· διατὶ ἀνίσως καὶ θελήσωμεν ἐξ ὅλης μας τῆς ψυχῆς νὰ εὕρωμεν τὴν πίστιν, παρευθὺς χωρὶς κανένα κόπον τὴν εὑρίσκομεν. ἐπειδὴ καὶ ἡ πίστις εἶναι χάρισμα τοῦ παναγά-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θοῦ Θεοῦ ὁποῦ μᾶς τὸ ἐχάρισε φυσικὰ νὰ τὸ ἔχωμεν εἰς τὴν προαίρεσίν μας, καὶ ὅταν θέλωμεν νὰ τὸ ἔχωμεν. διὰ τοῦτο βλέπομεν ὁποῦ καὶ οἱ Τάταροι, καὶ οἱ βάρβαροι καὶ ὅλα τὰ ἔθνη ἔχουν φυσικὰ τὴν πίστιν, καὶ πιστεύει ὁ ἕνας εἰς τοῦ ἄλλου τὰ λόγια, καὶ δείχνουν πίστιν ἀναμεταξύ τους. Καὶ διὰ νὰ σᾶς ἀποδείξω ἐτοῦτο ὁποῦ λέγω μὲ τὴν πρᾶξιν, καὶ ὄχι μὲ λόγια μοναχὰ ἀκούσατε τὴν κάτωθεν διήγησιν· Κάποιος Γεώργιος ὀνομαζόμενος, νέος πολλὰ εἰς τὴν ἡλικίαν, ἕως εἴκοσι χρόνων, ἐκατοικοῦσε μέσα εἰς τὴν Κωνσταντινούπολιν τώρα εἰς τοὺς καιροὺς τοὺς ἐδικούς μας· ὁ ὁποῖος ἦτον εὔμορφος πολλὰ εἰς τὴν θεωρίαν, καὶ μὲ τόσην φαντασίαν ἐξωτερικὴν ἐπεριπάτησεν, ὁποῦ πολλοὶ τὸν εἶχαν εἰς ἀχαμνὴν ὑπόληψιν, μάλιστα ὅσοι συνηθίζουν νὰ κοιτάζουν μόνον τὸ ἐξωτερικὸν σχῆμα τοῦ ἀνθρώπου, καὶ χωρὶς νὰ ἠξεύρουν τὰ κρυπτὰ τοῦ κάθε ἑνός, τὸν κατακρίνουν, καὶ γίνονται κριταὶ ἀδιάκριτοι εἰς τοὺς ἄλλους. τοῦτος ὁ νέος ἔλαβε γνωριμίαν μὲ ἕνα Μοναχὸν ἁγιώτατον ἄνθρωπον ὁποῦ ἐκατοικοῦσεν εἰς ἕνα μοναστήριον τῆς Κωνσταντινουπόλεως, καὶ φανερώνοντάς του ὅλα τὰ κρυπτὰ τῆς καρδίας του τοῦ εἶπεν ἀκόμι καὶ ὅτι ποθεῖ τὴν σωτηρίαν τῆς ψυχῆς του, καὶ ἔχει μεγάλην ἐπιθυμίαν νὰ ἀναχωρήσῃ ἀπὸ τὸν κόσμον, καὶ νὰ γένῃ Μοναχός· ὁ δὲ τίμιος ἐκεῖνος γέρων, τὸν ἐπαίνεσεν διὰ τὸν σκοπὸν ὁποῦ εἶχε· τὸν ἐνουθέτησε καθὼς ἔπρεπε, καὶ τοῦ ἔδωσε καὶ τὸ βιβλίον τοῦ Ἁγίου Μάρκου τοῦ ἀσκητοῦ νὰ τὸ διαβάσῃ ὁποῦ ἔγραψε περὶ πνευματικοῦ νόμου· τὸ ὁποῖον ὁ νέος τὸ ἐπῆρε μὲ τόσον πόθον, καὶ εὐλάβειαν, ὡσὰν νὰ ἦτον σταλμένον ἀπὸ τὸν Θεόν, καὶ εἶχε τόσην πίστιν εἰς αὐτό, ὁποῦ ἤλπιζε πῶς ἔχει νὰ λάβῃ μεγαλωτάτην ὠφέλειαν, καὶ πηγαίνοντας εἰς τὴν κατοικίαν του, παρευθὺς ἄρχισε νὰ τὸ διαβάζῃ μὲ μεγάλην προσοχήν, καὶ τὸ ἐδιάβασεν ὅλον μὲ πολλὴν εὐλάβειαν τρεῖς, καὶ τέσσαρες φοραῖς, καὶ πάλιν ἀπὸ τὰς χεῖράς του δὲν τὸ εὔγανε, καὶ καθὼς ἤλπιζε ὠφελήθη πολλὰ ἀπὸ τὸ βιβλίον ἐκεῖνο. Ὅμως ἐδιάλεξε τρία μοναχὰ κεφάλαια, καὶ τὰ ἐτύπωσε μέσα εἰς τὴν καρδίαν του, καὶ ἔκαμεν ἀπόφασιν μὲ τὸν ἑαυτόν του νὰ τὰ βάλῃ εἰς πρᾶξιν, καὶ νὰ τὰ φυλάξῃ μὲ κάθε προσοχήν. τὸ ἕνα κεφάλαιον ἔλεγε τοῦτο. Ἂν ἴσως καὶ ζητῇς νὰ εὕρῃς θεραπείαν τῆς ψυχῆς σου, κάμει χρεία νὰ ἔχῃς μεγάλην ἐπιμέλειαν, καὶ ἔννοιαν διὰ νὰ φυλάγῃς καλὰ τὴν συνείδησίν σου ὁποῦ νὰ μὴν σὲ ἐλέγχῃ εἰς κανένα πρᾶγμα· καὶ ὅσα καλὰ ἔργα σοῦ λέγει ἡ συνείδησίς σου διὰ νὰ κάμῃς, μὴν βαρεθῇς, ἀλλὰ κάμετα, καὶ θέλεις εὕρῃ μεγάλην ὠφέλειαν. Τὸ ἄλλο κεφάλαιον ἔλεγε τοῦτο. Ὅποιος ζητεῖ νὰ ἀποκτήσῃ τὰ χαρίσματα τοῦ Ἁγίου Πνεύματος, πρὸ τοῦ νὰ κάμῃ τὰς ἐντολὰς τοῦ Θεοῦ, εἶναι παρόμοιος μὲ ἐκεῖνον τὸν σκλάβον ὁποῦ ζητεῖ ἀπὸ τὸν αὐθέντην του τὸ ἐλευθεροχάρτι του, τὴν ἰδίαν ὥραν ὁποῦ δώσει τὰ ἄσπρα διὰ νὰ τὸν ἀγοράσῃ. Καὶ τὸ τρίτον κεφάλαιον ἔλεγε τοῦτο. Ἐκεῖνος ὁποῦ προσεύχεται μὲ τὸ στόμα, καὶ ἀκόμι δὲν ἀπόκτησε γνῶσιν πνευματικήν, μήτε ἠξεύρει νὰ προσεύχεται νοερῶς, ἐκεῖνος εἶναι παρόμοιος μὲ τὸν τυφλὸν ἐκεῖνον ὁποῦ ἐφώναζεν. υἱὲ Δαβὶδ ἐλέησόν με. ἀμὴ ἐκεῖνος ὁποῦ ἀπόκτησε γνῶσιν πνευματικήν, καὶ προσεύχεται νοερῶς, καὶ ἄνοιξε τὰ μάτια τῆς ψυχῆς του, παρομοιάζει μὲ τὸν ἴδιον τυφλὸν ὅταν τὸν ἰάτρευσεν ὁ Κύριος ἀπὸ τὴν τυφλότητα, ὁποῦ ἔλαβε τὸ φῶς τῶν ματιῶν του, καὶ εἶδε τὸν Κύριον, καὶ πλέον δὲν τὸν ὠνόμασεν υἱὸν Δαβίδ, ἀλλὰ τὸν ὡμολόγησεν Υἱὸν Θεοῦ, καὶ τὸν ἐπροσκύνησε καθὼς ἔπρεπε. αὐτὰ τὰ τρία κεφά-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λαια ἄρεσαν πολλὰ τοῦ νέου ἐκείνου, καὶ πολλὰ τὰ ἐθαύμασε, καὶ ἔλαβε πληροφορίαν εἰς τὴν ψυχήν του, καὶ ἐπίστευσεν ἀδιστάκτως, πῶς θέλει εὕρῃ μεγάλην ὠφέλειαν ἀνίσως καὶ προσέχῃ καλὰ τὴν συνείδησίν του, καθὼς λέγει ὁ Ἅγιος Μάρκος. καὶ πῶς θέλει ἀπολαύσῃ τὰ χαρίσματα τοῦ Ἁγίου Πνεύματος καὶ τὴν ἐνέργειάν του, ἀνίσως καὶ φυλάξῃ τὰς ἐντολὰς τοῦ Θεοῦ· καὶ τὸ στερνὸν πῶς μὲ τὴν χάριν τοῦ Ἁγίου Πνεύματος θέλει ἀξιωθῇ νὰ ἀνοίξῃ τὰ μάτια τῆς ψυχῆς του, καὶ νὰ ἰδῇ νοερῶς τὸν Κύριον· ὅθεν ἐλπίζοντας πῶς ἔχει νὰ ἰδῇ ἐκεῖνο τὸ ἀνεκλάλητον κάλλος τοῦ Κυρίου, ἐπληγώθη εἰς τὴν καρδίαν ἀπὸ τὸν ἔρωτα τούτου, καὶ ἀγάπην, καὶ εἶχε μεγάλην ἐπιθυμίαν εἰς τοῦτο. Ὅμως δὲν ἔκαμεν ἄλλο τίποτες, καθὼς μὲ ἐβεβαίωσεν ὕστερα μεθ᾽ ὅρκου, πάρεξ μόνον κάθε βράδυ ὁποῦ ἐπήγαινεν εἰς τὸ κρεββάτι του διὰ νὰ κοιμηθῇ, ἔκανε πρῶτον τὴν προσευχήν, καὶ τὰς μετανοίας ἐκείνας ὁποῦ τοῦ ἐπαράγγειλεν ὁ Ἅγιος ἐκεῖνος γέρων, καὶ τότε ἐκοιμᾶτο. λοιπὸν ἀπερνῶντας ὀλίγος καιρός, καὶ προσέχοντας αὐτὸς καλὰ τὴν συνείδησίν του, ἐκεῖ ὁποῦ ἔκανε αὐτὸν τὸν κανόνα τοῦ γέροντος ἕνα βράδυ, τοῦ λέγει ἡ συνείδησίς του, νὰ κάμῃ καὶ ἄλλην προσευχὴν ἀκόμι, καὶ ἄλλας μετανοίας, καὶ νὰ εἰπῇ ἀκόμι καὶ τό, Κύριε Ἰησοῦ Χριστὲ ἐλέησόν με περισσοτέραις φοραῖς, ὅτι ἠμπορεῖ νὰ τὸ κάμῃ. καὶ αὐτὸς ὑπήκουσεν εἰς ἐκεῖνο, ὁποῦ τοῦ εἶπεν ἡ συνείδησίς του μὲ μεγάλην προθυμίαν, καὶ ἄρχισε χωρὶς κανένα δισταγμὸν παρευθὺς νὰ τὸ κάμῃ, πιστεύοντας πῶς ἐκεῖνα ὁποῦ ἔκανε, τοῦ τὰ ἔλεγεν ὁ ἴδιος Θεός· καὶ ἀπὸ τότε πλέον δὲν ἔπεσεν εἰς τὸ κρεββάτι νὰ κοιμηθῇ, ἀνίσως καὶ δὲν ἔκανε πρῶτον ἐκεῖνο ὁποῦ τοῦ ἔλεγεν ἡ συνείδησίς του, πῶς ἠμπορεῖ νὰ τὸ κάμῃ. καὶ τοιουτοτρόπως ὑπακούοντας αὐτὸς τὴν συνείδησίν του, καὶ ἐκείνη αὐγατίζοντας πάντοτε, καὶ λέγοντάς του νὰ κάνῃ τὸ περισσότερον, εἰς ὀλίγον καιρὸν αὔξησε πολλὰ ἡ προσευχὴ ὁποῦ ἔκανε καθὼς, εἴπαμεν, κάθε βράδυ. ἐπειδὴ καὶ τὴν ἡμέραν δὲν εἶχε εὐκαιρίαν νὰ προσεύχεται, διατὶ εἶχε τὴν ἐπιστασίαν ὅλην τοῦ ὀσπητίου ἑνὸς μεγάλου ἄρχοντος, καὶ εἶχε πολλαῖς φροντίδες καὶ ὑποθέσες, καὶ ἐπήγαινε καὶ κάθε ἡμέραν εἰς τὸ Παλάτι τὸ Βασιλικόν, καὶ δὲν τοῦ ἔμενε καιρὸς τὴν ἡμέραν νὰ προσεύχεται, ἀλλὰ κάθε βράδυ ὁποῦ ἐπήγαινε διὰ νὰ κοιμηθῇ ἐπροσεύχετο, καθὼς εἴπαμεν, καὶ ἄρχισε νὰ θερμαίνεται ἡ καρδία του, καὶ νὰ τοῦ ἔρχεται κατάνυξις, καὶ νὰ τρέχουν ἀπὸ τὰ μάτιά του δάκρυα περισσά, καὶ νὰ κάνῃ συχναῖς φοραῖς γονυκλισίαις πολλαῖς, καὶ νὰ λέγῃ καὶ ἄλλας εὐχὰς εἰς τὴν Θεοτόκον μὲ ἀναστεναγμούς, καὶ μὲ πόνον καρδίας· καὶ τοῦ ἐφαίνετο πῶς παραστέκεται ἔμπροσθεν εἰς τὸν Κύριον σωματικῶς, καὶ ἐπρόσπεσεν εἰς τοὺς ἀχράντους πόδας του, καὶ τὸν ἐπαρακάλουσε μετὰ δακρύων νὰ τὸν σπλαγχνισθῇ ὡσὰν τὸν τυφλὸν ὁποῦ λέγει τὸ Ἱερὸν Εὐαγγέλιον, καὶ νὰ τοῦ χαρίσῃ τὸ φῶς τῶν ματίων τῆς ψυχῆς του. Καὶ ἀπὸ ἡμέραν εἰς ἡμέραν τόσον αὐγάτισεν ἡ προσευχὴ ὁποῦ ἔκανε κάθε βράδυ, ὁποῦ ἐβάστα ἕως τὰ μεσάνυκτα καὶ εἰς καιρὸν ὁποῦ ἐπροσεύχετο ὀρθὸς ἐστέκετο ὡσὰν μία κολώνα, καὶ δὲν ἐσάλευε παντελῶς μήτε τὰ πόδιά του, μήτε κανένα ἄλλο μέρος τοῦ κορμίου του. μήτε τὰ μάτιά του τὰ ἐγύριζε τὸ ἕνα μέρος, καὶ τὸ ἄλλο διὰ νὰ κοιτάξῃ, ἀλλὰ ἐστέκετο μὲ μεγάλον φόβον, καὶ τρόμον χωρὶς νὰ νυστάξῃ, ἢ νὰ τοῦ ἔλθῃ ποτὲ ἀκηδία, καὶ ὀκνηρία. Λοιπὸν ἕνα βράδυ εἰς καιρὸν ὁποῦ ἐπροσεύχετο, καὶ ἔλεγε νοερῶς μὲ τὸν νοῦν του, τό. ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· ἔξαφνα



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἔλαμψεν εἰς αὐτὸν μία λάμψις θεϊκή, καὶ ἐγέμισεν ἀπὸ τὸ φῶς ἐκεῖνο ὅλος ὁ τόπος, καὶ ὁ νέος ἐκεῖνος, ὁ εὐλογημένος λέγω Γεώργιος, ἔμεινεν ἐκστατικός, καὶ ἀλησμόνησε τὸν ἴδιον τὸν ἑαυτόν του, ἀνίσως καὶ εὑρίσκετο μέσα εἰς σπῆτι, διατὶ ὁλοῦθεν ἔβλεπε φῶς, ὡσὰν νὰ ἦτον ἔξω· καὶ μήτε ἐκατελάμβανε τότε ἀνίσως καὶ ἐπατοῦσεν εἰς τὴν γῆν, ἢ στέκεται εἰς τὸν ἀέρα· ἀλλὰ μήτε καμμίαν φροντίδα σωματικήν, ἢ κοσμικὴν εἶχε παντελῶς εἰς τὸν νοῦν του, ἀμὴ ἀλησμόνησε τελείως ὅλον τὸν κόσμον, καὶ ἀνταμώθη ὅλος, καὶ ἔγινεν ἕνα μὲ τὸ φῶς ἐκεῖνο τὸ θεϊκόν, καὶ τοῦ ἐφαίνετο πῶς ἔγινε καὶ αὐτὸς φῶς, καὶ ἦτον ὅλος γεμάτος ἀπὸ δάκρυα, καὶ ἀπὸ μίαν χαρὰν ἀνεκδιήγητον· καὶ ὕστερα ἀπὸ τοῦτο ἀνέβη ὁ νοῦς του εἰς τοὺς Οὐρανούς, καὶ ἐκεῖ εἶδεν ἄλλο φῶς πλέον λαμπρότερον, καὶ κοντὰ εἰς ἐκεῖνο τὸ φῶς τοῦ ἐφάνη πῶς ἐστέκετο ὁ Ἅγιος ἐκεῖνος γέρων ὁποῦ τοῦ ἔδωκεν· ὡς εἴπαμεν· τὸ βιβλίον τοῦ Ἀββᾶ Μάρκου, καὶ τὸν κανόνα ὁποῦ ἔκαμεν. ἐγὼ λοιπὸν καθὼς τὰ ἤκουσα ἀπὸ τὸν νέον, ἐστοχάσθηκα πῶς καὶ ἡ πρεσβεία τοῦ Ἁγίου γέροντος ἐσυνέργησε πολλὰ εἰς τοῦτο, καὶ ἔτζι τὸ οἰκονόμησεν ὁ Θεὸς διὰ νὰ δείξῃ τοῦ νέου εἰς ποῖον ὕψος ἀρετῆς εὑρίσκεται ὁ ἅγιος ἐκεῖνος γέρων, διὰ τοῦτο τὸν εἶδε πῶς ἐστέκετο κοντὰ εἰς ἐκεῖνο τὸ φῶς. τότε ὁ νέος ἐκεῖνος, ὡσὰν ἐπέρασεν αὐτὴ ἡ θεωρία, καὶ ἦλθε πάλιν εἰς τὸν ἑαυτόν του, ἦτον γεμάτος· καθὼς ἔλεγεν· ἀπὸ χαρὰν καὶ θαυμασμόν, καὶ εὔγαινεν ἀπὸ τὴν καρδίαν του τὰ δάκρυα, καὶ μαζὶ μὲ ἐκεῖνα τὰ δάκρυα ἀκολουθοῦσε καὶ μία γλυκύτης ὑπερβολική. τέλος πάντων ἔπεσεν εἰς τὸ κρεββάτι διὰ νὰ κοιμηθῇ ὀλίγον, καὶ τὴν ἰδίαν ὥραν ἐφώναξεν ὁ πετεινός, καὶ δὲν ἐπέρασεν ὀλίγον, καὶ ἐσήμαιναν ἡ Ἐκκλησίαις διὰ τὸν ὄρθρον, καὶ ἐσηκώθη ὁ νέος διὰ νὰ διαβάσῃ τὸν ὄρθρον κατὰ τὴν συνήθειάν του, καὶ ἐκείνην τὴν νύκτα μήτε ἐκοιμήθη τελείως, μήτε στοχασμὸς ὕπνου τοῦ ἦλθε παντελῶς. αὐτὰ μοῦ ἐδιηγεῖτο ὁ νέος πῶς ἠκολούθησαν εἰς αὐτόν. ὁ ὁποῖος ἄλλο τίποτες δὲν ἔκαμνε, καθὼς μὲ ἐβεβαίωσεν ὁ ἴδιος, πάρεξ αὐτὰ ὁποῦ ἠκούσατε μόνον, πλὴν εἶχε πίστιν, καὶ ἐλπίδα ἀδίστακτον, καὶ διὰ τοῦτο ἠξιώθη νὰ ἰδῇ τέτοιαν θεωρίαν. καὶ μὴν μοῦ εἰπῇ τινὰς πῶς ἐκεῖνος τὰ ἔκαμεν αὐτὰ διὰ νὰ δοκιμάσῃ, διατὶ αὐτός· ὡς μοῦ ἔλεγε· μήτε μὲ τὸν λογισμόν του τὸ ἔβαλεν αὐτό, διὰ νὰ δοκιμάσῃ ποτέ, ἀλλὰ εἶχε πίστιν ἀδίστακτον, ὅθεν ἀπορρίπτοντας ἀπὸ λόγου του, κάθε ἄλλον λογισμὸν σαρκικὸν καὶ κοσμικόν, πλὴν μεγάλην ἐπιμέλειαν ἔβαλε διὰ νὰ φυλάξῃ τὴν συνείδησίν του, καὶ νὰ κατορθώσῃ ἐκεῖνα ὁποῦ τοῦ ἔλεγεν ἡ συνείδησις, ὁποῦ εἰς ὅλα τὰ ἄλλα πράγματα τούτου τοῦ κόσμου εὑρίσκετο ὡσὰν ἀναίσθητος, καὶ δὲν τὰ ἐσθάνετο παντελῶς. ἀλλὰ μήτε νὰ φάγῃ, ἢ νὰ πίῃ εἶχε καμμίαν ὄρεξιν, ὥστε ὁποῦ καὶ πολλαῖς φοραῖς ἔμενε νηστικός. ἀκούσατε ἀδελφοί μου ἀγαπητοί, τί λογῆς πράγματα κατορθώνει ἡ πίστις; καὶ πόσην δύναμιν ἔχει; ὅταν στερεώνεται μὲ τὰ ἔργα τὰ καλά; ἐγνωρίσετε πῶς μήτε ἡ νεότης μᾶς βλάπτει τίποτες, μήτε πάλιν τὸ γηρατεῖον μᾶς ὠφελεῖ, ἀνίσως καὶ μᾶς λείπει ὁ φόβος τοῦ Θεοῦ; ἐμάθετε τώρα, πῶς μήτε ὁ κόσμος, καὶ ἡ πολιτείαις μᾶς ἐμποδίζουν εἰς τὸ νὰ κάμωμεν τὰς ἐντολὰς τοῦ Θεοῦ, ἀνίσως καὶ ἡμεῖς ἔχωμεν προθυμίαν; μήτε πάλιν ἡ ἀναχώρησις τοῦ κόσμου, καὶ ἡ ἐρημία μᾶς ὠφελοῦν, ἀνίσως καὶ ἡμεῖς εὑρισκώμεσθεν εἰς ὀκνηρίαν, καὶ ἀμέλειαν; ὅλοι μας ἀκούομεν τὸν Δαβὶδ πῶς μὲ τόσας φροντίδας, καὶ βασιλικὰς ὑποθέσεις, εἶχε τὸν νοῦν του ὅλος διόλου ἀφιερωμένον εἰς τὸν Θεόν, καὶ θαυμάζομεν εἰς τοῦτο, καὶ λέ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

γομεν, πῶς ἕνας Δαβὶδ ἔγινε, καὶ ὄχι ἄλλος. καὶ νὰ ὁποῦ εἰς τοῦτον τὸν νέον ἀκολούθησε περισσότερον ἀπὸ τὸν Δαβίδ. διατὶ ὁ Δαβὶδ ἔλαβε τὴν μαρτυρίαν ἀπὸ τὸν ἴδιον τὸν Θεὸν, ἐχρίσθη καὶ Προφήτης, καὶ Βασιλεὺς, ἔλαβε καὶ τὴν χάριν τοῦ Ἁγίου Πνεύματος. ἀνίσως λοιπὸν καὶ εἰς καιρὸν ὁποῦ ἔσφαλεν εἰς τὸν Θεὸν, καὶ ἔχασε τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, καὶ τὸ ἀξίωμα τῆς Προφητείας, καὶ ἀπεμάκρυνεν ἀπὸ τὴν συναναστροφὴν τοῦ Θεοῦ, ἀνίσως λέγω ἦλθεν ὕστερα εἰς αἴσθησιν, καὶ ἐνθυμήθη τὰ καλὰ ὁποῦ εἶχε καὶ τὰ ἔχασε, καὶ τὰ ἐζήτησε πάλιν νὰ τὰ ἀποκτήσῃ, τί θαυμαστόν; τὸ θαυμαστὸν εἶναι καὶ ἀξιέπαινον, ὁποῦ ἕνας νέος ἄνθρωπος εἴκοσι χρόνων, ὁποῦ νὰ εἶναι προσκολλημένος ὅλος διόλου εἰς τὰ κοσμικὰ πράγματα, καὶ εἰς αὐτὰ τὰ πρόσκαιρα νὰ ἔχῃ τὸν νοῦν του, καὶ ἔξω ἀπὸ αὐτὰ ἄλλο τίποτες ὑψηλότερον νὰ μὴν στοχάζεται, μήτε εἰς τὸν νοῦν του νὰ ἔλθῃ ποτὲ παρόμοιος λογισμὸς, καὶ μόνον ὁποῦ ἤκουσε ὀλίγον τίποτες ἀπὸ τὸν Ἅγιον ἐκεῖνον γέροντα, καὶ ἐδιάβασε καὶ τὰ τρία ἐκεῖνα κεφάλαια τοῦ Ἀββᾶ Μάρκου, παρευθὺς νὰ πιστεύσῃ ἀδιστάκτως εἰς τὰ γεγραμμένα, καὶ νὰ τὰ βάλῃ εἰς πρᾶξιν μὲ ἐλπίδα ἀναμφίβολον, καὶ μὲ ἐκείνην τὴν ὀλίγην ἐργασίαν ὁποῦ ἔκαμε, νὰ ἀξιωθῇ νὰ ὑψώσῃ τὸν νοῦν του ἕως εἰς τὸν οὐρανὸν, καὶ νὰ κάμῃ τὴν Θεοτόκον νὰ τὸν σπλαγχνισθῇ, καὶ μὲ τὴν πρεσβείαν της εἰς τὸν Θεὸν, νὰ τὸν φιλιώσῃ τόσον μὲ αὐτὸν, ὁποῦ νὰ τοῦ στείλῃ ἀπὸ τὸν οὐρανὸν τὸν θεῖον του φωτισμὸν, καὶ τὴν χάριν τοῦ Παναγίου Πνεύματος, ἡ ὁποία νὰ τὸν δυναμώσῃ νὰ φθάσῃ ἕως τὸν οὐρανὸν, καὶ νὰ ἀπολαύσῃ τὸ φῶς ἐκεῖνο, τὸ ὁποῖον πολλοὶ τὸ ἐπιθυμοῦν, μὰ ὀλίγοι τὸ ἐπιτυχαίνουν. μὲ ὅλον τοῦτο ὁ νέος οὗτος καὶ εὐλογημένος Γεώργιος, ὁποῦ μήτε χρόνους πολλοὺς ἐνήστευσεν, ἢ ἠγρύπνησεν, ἢ ἄλλους ἀγῶνας ἀσκητικοὺς ἔκαμεν· ἀλλὰ μήτε ποτέ του ἐκοιμήθη χάμω, μήτε τρίχινα ἐφόρεσε, μήτε καλόγηρος ἔγινε, μήτε ἀπὸ τὸν κόσμον ἀνεχώρησε σωματικά· μόνον διὰ ὀλίγην ἀγρυπνίαν, καὶ προσευχὴν ὁποῦ ἔκαμεν, ἔγινεν Ἄγγελος ἐπίγειος, καὶ ἄνθρωπος ἐπουράνιος. ἄνθρωπος εἰς τὸ φαινόμενον, καὶ ἄσαρκος εἰς τὸ νοούμενον. κρατητὸς, καὶ ἀκράτητος. βλεπόμενος ἀπὸ ὅλους, καὶ μόνος εὑρισκόμενος μὲ μόνον τὸν Θεὸν ὁποῦ ἠξεύρει τὰ πάντα. διὰ τοῦτο καὶ ἠξιώθη νὰ ἰδῇ τὸ γλυκύτατον ἐκεῖνο φῶς τοῦ νοητοῦ ἡλίου τῆς δικαιοσύνης. καὶ πρεπόντως. διατὶ ἡ ἀγάπη καὶ ὁ πόθος ὁποῦ εἶχεν εἰς τὸν Θεὸν, τὸν ἔκαμε νὰ γένῃ ἔξω κόσμου πνευματικῶς, καὶ νὰ ἀλησμονήσῃ καὶ κόσμον, καὶ σάρκα, καὶ ὅλα τὰ μάταια πράγματα τοῦ κόσμου, καὶ νὰ προσκολληθῇ ὅλος διόλου εἰς τὸν Θεὸν, καὶ ἔτζι νὰ γένῃ ὅλος πνευματικὸς, καὶ ὅλος φῶς, καὶ νὰ ἰδῇ τέτοιαν θεωρίαν, καὶ νὰ ἀπολαύσῃ τέτοιαν ἀπόλαυσιν. καὶ μάλιστα ὁποῦ ἐκατοίκησε μέσα εἰς πολιτείαν, καὶ εἰς τέτοιαν πολιτείαν, καὶ ἐδιάτριβε καὶ εἰς τὰ Βασιλικὰ Παλάτια, καὶ εἶχε καὶ ἐπιστασίαν ἐπάνω του ἀρχοντικοῦ μεγάλου, μὲ τόσους σκλάβους, καὶ ἄλλους ὑπηρέτας πολλοὺς, καὶ ὑπηρεσίας, καὶ ὑποθέσεις μεγάλας, καὶ περισσάς.

Ἀλλὰ ἀρκετὰ εἶναι αὐτὰ ὁποῦ εἴπαμεν καὶ διὰ ἔπαινον τοῦ νέου ἐκείνου, καὶ διὰ παρακίνησιν ἐδικήν σας ὁποῦ νὰ ἔλθετε καὶ τοῦ λόγου σας εἰς πόθον τοιοῦτον, καὶ νὰ τὸν μιμηθῆτε, διὰ νὰ ἀξιωθῆτε νὰ λάβετε παρόμοιαν χάριν ἀπὸ τὸν Θεόν. ἢ θέλετε νὰ σᾶς εἰπῶ καὶ ἄλλα μεγαλήτερα ἀπὸ αὐτὰ ὁποῦ σᾶς εἶπα. ὅμως τί ἄλλο εἶναι μεγαλήτερον ἀπὸ τὸν φόβον τοῦ Θεοῦ; καθὼς λέγει ὁ Θεολόγος Γρηγόριος. πῶς δηλαδὴ ἡ ἀρχὴ τῆς σοφίας εἶναι ὁ φόβος τοῦ Θεοῦ,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

διατὶ ἐκεῖ ὅπου εἶναι ὁ φόβος τοῦ Θεοῦ, ἐκεῖ εἶναι καὶ φύλαξις τῶν ἐντολῶν. καὶ ὅπου εἶναι ἡ φύλαξις τῶν ἐντολῶν, ἐκεῖ εἶναι ὁ καθαρισμὸς τῆς σαρκὸς, ἡ ὁποία εἶναι ἕνα παχὺ σύγνεφον ἐμπρὸς εἰς τὴν ψυχὴν, καὶ δὲν τὴν ἀφίνει νὰ ἰδῇ παστρικὰ τὴν λάμψιν τὴν θεϊκήν. καὶ πάλιν ἐκεῖ ὅπου εἶναι καθαρισμὸς τῆς σαρκὸς, ἐκεῖ εἶναι ἔλλαμψις θεϊκή. καὶ ὅπου εἶναι ἡ ἔλλαμψις ἡ θεϊκὴ, ἐκεῖ εἶναι ἡ τελείωσις τοῦ θεϊκοῦ πόθου. ὥστε ὅπου ἡ ἔλλαμψις ἡ θεϊκὴ, καὶ ὁ φωτισμὸς τοῦ Ἁγίου Πνεύματος εἶναι τέλος ἀτελείωτον κάθε ἀρετῆς, καὶ ὅποιος ἔλθῃ εἰς αὐτὸ τὸ τέλος, ἐτελείωσεν ὅλα τὰ αἰσθητὰ, καὶ ἄρχισε νὰ ἔρχεται εἰς τὴν γνῶσιν τῶν πνευματικῶν.

Αὐτὰ εἶναι ἀδελφοί μου τὰ θαυμάσια τοῦ Ἁγίου Θεοῦ. διὰ τοῦτο φανερώνει ὁ πάνσοφος Θεὸς τοὺς κρυπτοὺς ἁγίους του, ἢ διὰ νὰ τοὺς μιμηθοῦν οἱ ἄλλοι, καὶ νὰ μεταχειρισθοῦν καὶ αὐτοὶ τὴν πολιτείαν τους, ἢ ἂν δὲν τοὺς μιμηθοῦν, νὰ μείνουν ἀναπολόγητοι, καὶ νὰ μὴν ἔχουν καμμίαν πρόφασιν νὰ εἰποῦν. διατὶ καὶ ἐκεῖνοι ὅπου εὑρίσκονται μέσα εἰς τοὺς πειρασμοὺς, καὶ ταραχὰς, ἀνίσως καὶ πολιτεύωνται καθὼς πρέπει, σώνονται, καὶ ἀξιώνονται νὰ λάβουν ἀπὸ τὸν Θεὸν μεγάλα καλὰ, διὰ μοναχὴν τὴν πίστιν ὅπου ἔχουν εἰς αὐτόν. λοιπὸν λυπηθῆτε τὴν ψυχήν σας ἀδελφοὶ, καὶ πιστεύσετε μὲ ὅλην σας τὴν καρδίαν ἀδιστάκτως εἰς τὸν Κύριόν μας, καὶ εἰς τὰ λόγιά του, καὶ μισήσατε ἐτοῦτα τὰ ψεύτικα πράγματα τοῦ κόσμου, καὶ ἀφήσετέ τα, ὡς προσωρινὰ ὅπου εἶναι, καὶ προσέλθετε εἰς τὸν Θεὸν, καὶ προσκολληθῆτε μὲ αὐτόν. διατὶ χωρὶς τὸν Θεὸν δὲν εἶναι τίποτες εἰς τὸν κόσμον. ὅλα τὰ πράγματα εἶναι οὐδὲν, ὅταν λείπῃ ὁ Θεός. διὰ τοῦτο κλαίω, καὶ θρηνῶ, καὶ λυποῦμαι ὑπερβολικὰ, ὅταν συλλογισθῶ πῶς ἔχομεν τέτοιον αὐθέντην πλουσιόδωρον, καὶ φιλάνθρωπον, ὅπου διὰ μόνην τὴν πίστιν ὅπου δείχνομεν εἰς τοὺς λόγους του, καὶ εἰς τὰς ὑποσχέσεις του μὲ τὴν πρᾶξιν, μᾶς χαρίζει τέτοια χαρίσματα καθὼς τὰ ἠκούσαμεν, καὶ τὰ εἴδαμεν. καὶ ἡμεῖς ἀσυλλόγιστα ὡσὰν τὰ ἄλογα ζῶα προτιμῶμεν καλήτερα τὴν γῆν καὶ τὰ γήϊνα, καὶ φθαρτὰ πράγματα, τὰ ὁποῖα ὁ πανάγαθος Θεὸς διὰ τὴν ἄκραν του εὐσπλαγχνίαν μᾶς τὰ δίδει πλουσιοπάροχα διὰ τὴν χρείαν τοῦ σώματος, διὰ νὰ κυβερνᾶται ἀπὸ αὐτὰ μέτρια, ὅσα τοῦ εἶναι ἀναγκαῖα διὰ νὰ ζῇ. καὶ ἡ ψυχὴ νὰ μὴν ἔχῃ κανένα ἐμπόδιον, ἀλλὰ νὰ ἔχῃ τὴν ἐδικήν της ἔγνοιαν, καὶ νὰ πολιτεύεται καὶ αὐτὴ καθὼς πρέπει, καὶ νὰ τρέφεται καὶ αὐτὴ μὲ τὴν νοερὰν τροφὴν, καὶ μὲ τὴν χάριν τοῦ Ἁγίου Πνεύματος. διατὶ ὁ ἄνθρωπος διὰ τοῦτο ἐγίνεν εἰς τὸν κόσμον τοῦτον, διὰ νὰ εὕρῃ αἰτίαν ἀπὸ ἐτοῦτα τὰ κοσμικὰ πράγματα νὰ δοξάσῃ τὸν Θεὸν ὅπου τοῦ τὰ ἔδωκε, καὶ νὰ γνωρίσῃ τὸν εὐεργέτην του, καὶ τὸν καλοθελητήν του, καὶ νὰ τὸν ποθήσῃ, καὶ νὰ τὸν εὐχαριστήσῃ, καὶ μὲ εὐχαριστίαν λόγου, καὶ μὲ εὐχαριστίαν θεαρέστων πράξεων, καὶ ἔτζι νὰ ἀξιωθῇ νὰ λάβῃ καὶ ἄλλαις εὐεργεσίαις ἀπὸ τὸν Θεὸν, καὶ χαρίσματα μεγαλήτερα, καὶ αἰώνια. ἀλλὰ ἡμεῖς (ἀλλίμονον) τελείως, δὲν ἐγνοιαζόμεθε διὰ ἐκεῖνα τὰ μέλλοντα, μόνον εἴμεθε δοσμένοι εἰς τὰ παρόντα, καὶ διὰ ἐκεῖνα φροντίζομεν, καὶ ἐπιμελούμεθα πῶς νὰ τὰ ἀποκτήσωμεν, πῶς νὰ τὰ περισσεύσωμεν, καὶ διὰ ἐκεῖνον ὅπου μᾶς τὰ ἔδωκεν ὁλότελα δὲν μᾶς ἐγνοιάζει, ἀμὴ δείχνομεν καὶ μεγάλην ἀχαριστίαν εἰς αὐτὸν, καὶ γινόμεθα παρόμοιοι μὲ τοὺς δαίμονας, ἢ καὶ χειρότεροι, ἂν πρέπῃ νὰ εἰπῶ τὴν ἀλήθειαν. καὶ διὰ τοῦτο πρέπει νὰ τιμωρηθῆμεν καὶ περισσότερον ἀπὸ ἐκείνους, διατὶ καὶ περισσότεραις εὐεργεσίαις ἐλά-

βαμεν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

βαμεν. ἐπειδὴ καὶ ἡμεῖς ἐγεννήθημεν Χριστιανοί, ἐλάβαμεν τόσα μυστήρια, τόσα χαρίσματα πνευματικά, καὶ πιστεύομεν ἕνα Θεὸν ὁποῦ ἔγινε διὰ ἡμᾶς ἄνθρωπος, καὶ ἔπαθε τόσα βάσανα, καὶ τέλος πάντων θάνατον σταυρικὸν διὰ νὰ μᾶς ἐλευθερώσῃ ἀπὸ τὴν πλάνην τοῦ διαβόλου, καὶ ἀπὸ τὴν ἁμαρτίαν. καὶ μὲ ὅλα ταῦτα τὸν πιστεύομεν μὲ τὰ λόγια μοναχά, καὶ μὲ τὰ ἔργα μας τὸν ἀρνούμεθα τελείως. Δὲν κηρύττεται τὸ ὄνομα τοῦ Χριστοῦ τὴν σήμερον ὁλοῦθεν, καὶ εἰς ταῖς πολιτείαις, καὶ εἰς τὰ χωρία καὶ εἰς τὰ μοναστήρια, καὶ εἰς τὰς ἐρημίας; μά, ἂν ἀγαπᾷς, ἐξέταξε ἀκριβῶς νὰ μάθῃς πόσοι Χριστιανοὶ φυλάττουν τὰς ἐντολάς του; καὶ μετὰ βίας ἀνάμεσα εἰς πόσους θέλεις εὕρῃ ἕναν ὁποῦ νὰ εἶναι ἀληθινὰ Χριστιανὸς καὶ μὲ τὰ λόγια, καὶ μὲ τὰ ἔργα. δὲν εἶπεν ὁ Κύριός μας εἰς τὸ Ἱερὸν Εὐαγγέλιον· ὅποιος πιστεύει εἰς ἐμέ, θέλει κάμῃ καὶ αὐτὸς ὅσα κάνω καὶ ἐγώ, καὶ ἀκόμι μεγαλήτερα; τώρα ποῖος ἀπὸ ἡμᾶς ὑποκοτᾷ νὰ εἰπῇ, πῶς ἐγὼ κάνω τὰ ἔργα τοῦ Χριστοῦ, καὶ πιστεύω ὀρθῶς εἰς αὐτόν; βλέπετε· ἀδελφοί· ὁποῦ ἔχομεν νὰ εὑρεθοῦμεν ἄπιστοι εἰς ἐκείνην τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως; καὶ ἔχομεν νὰ κολασθοῦμεν χειρότερα ἀπὸ ἐκείνους ὁποῦ δὲν γνωρίζουν τελείως τὸν Χριστόν, μήτε τὸν πιστεύουν; διατὶ ἀνάγκη εἶναι, ἢ ἡμεῖς νὰ καταδικασθοῦμεν ὡσὰν ἄπιστοι, ἢ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς· ἡ αὐταλήθεια· νὰ ἀποδειχθῇ ψεύστης· τὸ ὁποῖον εἶναι ἀδύνατον. Καὶ αὐτὰ τὰ ἔγραψα· ἀδελφοί μου· ὄχι μὲ σκοπὸν διὰ νὰ ἐμποδίσω τοὺς Χριστιανοὺς ἀπὸ τὴν ἀναχώρησιν, καὶ τὴν ἡσυχίαν, προτιμῶντας καλήτερα τὴν πολιτείαν τὴν κοσμικήν. μὴ γένοιτο τοῦτο ποτέ. ἀλλὰ ὁ σκοπός μου εἶναι νὰ πληροφορήσω ὅλους ἐκείνους ὁποῦ διαβάσουν τὴν παροῦσαν διήγησιν, πῶς ἐκεῖνος ὁποῦ θέλει, καὶ ποθεῖ ἐξ ὅλης του ψυχῆς, καὶ καρδίας, νὰ κάμῃ τὸ καλόν, καὶ τὴν ἀρετήν, ἔλαβε δύναμιν ἀπὸ τὸν παντοδύναμον Θεὸν νὰ ἠμπορῇ νὰ τὸ κάνῃ εἰς κάθε τόπον, καὶ νὰ ἀξιωθῇ νὰ λάβῃ καὶ χαρίσματα πνευματικά, καὶ θείας θεωρίας ὡσὰν καὶ τοῦτον τὸν νέον· τὸν εὐλογημένον λέγω Γεώργιον. τὸν ὁποῖον μὲ τὸ νὰ τὸν εἶχα καὶ ἐγὼ γνώριμον, καὶ φίλον μου ἀκριβόν, τὸν ἐπαρακάλεσα καὶ μοῦ τὰ ἐδιηγήθη καθὼς τὰ ἔγραψα. Διὰ τοῦτο· ἀδελφοί μου ἐν Χριστῷ· σᾶς παρακαλῶ ἂς λάβωμεν καὶ ἡμεῖς προθυμίαν, καὶ πόθον εἰς τὴν καρδίαν μας διὰ νὰ κάμωμεν τὸ καλόν, καὶ ἂς δράμωμεν μὲ πίστιν ἀδίστακτον, καὶ ἐλπίδα, διὰ νὰ κατορθώσωμεν τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ πιστός, καὶ ἀψευδέστατος εἶναι ὁ Κύριός μας· τὰ πρόσωπα ἡμῶν οὐ μὴ καταισχυνθῇ. βεβαιότατα θέλομεν δυνηθῇ νὰ κατορθώσωμεν κάθε καλόν, εἰς ὅποιον τόπον καὶ ἂν εἴμεθε· ἢ εἰς πολιτείας, ἢ εἰς χωρία, ἢ εἰς μοναστήρια, ἢ εἰς ἐρημίας. Διατὶ ὁ πανάγαθος Θεὸς κατὰ τὴν ὑπόσχεσίν του ἀνοίγει τὰς πόρτας τῆς βασιλείας του εἰς κάθε ἕνα ὁποῦ κρούει ἀκαταπαύστα. καὶ δίδει τὴν χάριν τοῦ Παναγίου Πνεύματος εἰς κάθε ἕνα ὁποῦ γυρεύει. καὶ δὲν εἶναι τρόπος ἐκεῖνος ὁποῦ ζητεῖ ὁλοψύχως, νὰ μὴν εὕρῃ τὸν πλοῦτον τῶν χαρισμάτων τοῦ Θεοῦ. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΑΥΤΟΥ
## ἘΝ ἉΓΊΟΙΣ ΠΑΤΡῸΣ ἩΜΩ͂Ν
# ΣΥΜΕΩΝ
## ΤΟΥ͂ ΝΈΟΥ ΘΕΟΛΌΓΟΥ
## ΠΕΡῚ ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΤΡΌΠΩΝ ΤΗ͂Σ ΠΡΟΣΕΥΧΗ͂Σ
## ΛΌΓΟΣ,

Μεταγλωττισθεὶς εἰς κοινοτέραν διάλεκτον, καὶ ἐνταῦθα τεθεὶς εἰς εὐκολωτέραν τὴν ἁπλουστέρων κατάληψιν.

ΤΡεῖς εἶναι οἱ τρόποι τῆς προσοχῆς, καὶ τῆς προσευχῆς, μὲ τοὺς ὁποίους ἡ ψυχὴ ἢ ὑψώνεται, καὶ προκόπτει· ἢ κρημνίζεται, καὶ χάνεται. καὶ ἀνίσως αὐτοὺς τοὺς τρεῖς τρόπους τοὺς μεταχειρίζεται εἰς ἁρμόδιον καιρόν· καθὼς πρέπει· προκόπτει. εἰ δὲ καὶ τοὺς μεταχειρισθῇ ἀνόητα, καὶ παράκαιρα, κρημνίζεται. Λοιπὸν ἡ προσοχὴ πρέπει νὰ εἶναι τόσον δεμένη, καὶ ἀχώριστος μὲ τὴν προσευχήν, καθὼς εἶναι δεμένον, καὶ ἀχώριστον τὸ κορμὶ μὲ τὴν ψυχήν, καὶ τὸ ἕνα χωρὶς τὸ ἄλλο δὲν ἠμπορεῖ νὰ σταθῇ. Καὶ ἡ προσοχὴ πρέπει νὰ πηγαίνῃ ὀμπρὸς, καὶ νὰ βιγλίζῃ τοὺς ἐχθροὺς, ὡσὰν ἕνας βιγλάτορας, καὶ αὐτὴ πρῶτον νὰ πολεμῇ μὲ τὴν ἁμαρτίαν, καὶ νὰ ἀντιστέκεται εἰς τοὺς κακοὺς λογισμοὺς ὁποῦ ἔρχονται εἰς τὴν ψυχήν. καὶ κατόπι ἀπὸ τὴν προσοχὴν νὰ ἀκολουθῇ ἡ προσευχὴ, ἡ ὁποία ἀφανίζει, καὶ θανατόνει παρευθὺς ὅλους ἐκείνους τοὺς πονηροὺς λογισμοὺς, ὁποῦ ἐπολέμησε προτήτερα ἡ προσοχή· διατὶ αὐτὴ μοναχὴ δὲν ἠμπορεῖ νὰ τοὺς θανατώσῃ. Καὶ εἰς αὐτὸν τὸν πόλεμον τῆς προσοχῆς, καὶ τῆς προσευχῆς κρέμεται ἡ ζωὴ, καὶ ὁ θάνατος τῆς ψυχῆς, ὅτι ἀνίσως καὶ μὲ τὴν προσοχὴν φυλάττωμεν καθαρὰν τὴν προσευχὴν, προκόπτομεν. εἰ δὲ καὶ δὲν προσέχομεν νὰ τὴν φυλάττωμεν καθαρὰν, ἀλλὰ τὴν ἀφίνομεν ἀφύλακτον, καὶ μολύνεται ἀπὸ τοὺς κακοὺς λογισμοὺς, γινόμεθεν ἀχρεῖοι, καὶ ἀπρόκοποι. Ἐπειδὴ λοιπὸν, καθὼς εἴπαμεν, καὶ οἱ τρόποι τῆς προσοχῆς, καὶ προσευχῆς, εἶναι τρεῖς, πρέπει νὰ εἰποῦμεν καὶ τὰ ἰδιώματα τοῦ κάθε ἑνὸς τρόπου, διὰ νὰ διαλέξῃ τὸ καλήτερον, ἐκεῖνος ὁποῦ ἀγαπᾷ τὴν σωτηρίαν του, καὶ ὄχι τὸ χειρότερον.

### Περὶ τοῦ πρώτου τρόπου τῆς προσοχῆς, καὶ προσευχῆς.

Τοῦ πρώτου τρόπου τὰ ἰδιώματα εἶναι αὐτά. Ὅταν τινὰς στέκεται εἰς προσευχὴν, ἀσηκώνει εἰς τὸν οὐρανὸν τὰς χεῖράς του, καὶ τὰ μάτιά του, καὶ τὸν νοῦν του, καὶ φαντάζεται μὲ τὸν νοῦν του θεϊκὰ νοήματα, καὶ τὰ ἀγαθὰ τοῦ οὐρανοῦ, καὶ τὰ τάγματα τῶν Ἁγίων Ἀγγέλων, καὶ τὰς σκηνὰς τῶν Ἁγίων, καὶ ἐν συντομίᾳ, ὅλα ὅσα ἤ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

κούσῃ ἀπὸ τὰς θείας γραφὰς, τὰ μαζώνει εἰς τὸν νοῦν του, καὶ τὰ συλλογίζεται τότε εἰς τὸν καιρὸν τῆς προσευχῆς, καὶ κοιτάζει εἰς τὸν οὐρανὸν, καὶ παρακινεῖ μὲ αὐτὰ τὴν ψυχήν του τάχα εἰς ἔρωτα, καὶ ἀγάπην θεϊκήν. Καὶ μερικαῖς φοραῖς βγάνει καὶ δάκρυα, καὶ κλαίει. καὶ μὲ αὐτὸν τὸν τρόπον ἀπὸ ὀλίγον ὀλίγον ὑπερηφανεύεται ἡ καρδία του, χωρὶς νὰ τὸ καταλαμβάνῃ, καὶ τοῦ φαίνεται πῶς αὐτὰ ὁποῦ κάνει, εἶναι ἀπὸ χάριν θεϊκὴν πρὸς παρηγορίαν του, καὶ παρακαλεῖ τὸν Θεὸν νὰ τὸν ἀξιώνῃ πάντα νὰ εὑρίσκεται εἰς τέτοιαν ἐργασίαν. Τὰ ὁποῖα εἶναι σημάδια τῆς πλάνης. διατὶ τὸ καλὸν, δὲν εἶναι καλὸν, ὅταν δὲν γένῃ μὲ τρόπον καλὸν, καὶ καθὼς πρέπει. Ὥστε ὁποῦ ὁ τέτοιος ἄνθρωπος, ἀνίσως καὶ ἡσυχάσῃ ἡσυχίαν ἄκραν, εἶναι σχεδὸν ἀδύνατον νὰ μὴν γένῃ ἔξω φρενῶν, καὶ νὰ μὴν τρελαθῇ. οὐδὲ καὶ τύχῃ νὰ μὴν εὔγῃ ἀπὸ τὰς φρένας του, ὅμως δὲν εἶναι δυνατὸν ποτὲ νὰ ἔλθῃ εἰς γνῶσιν καὶ νὰ καταλάβῃ τὰς ἀρετὰς, ἢ τὴν ἀπάθειαν. Μὲ τοῦτον τὸν τρόπον ἐπλανήθηκαν καὶ ἐκεῖνοι ὁποῦ βλέπουν φῶς, καὶ λάμψιν μὲ τὰ μάτια ἐτοῦτα τοῦ κορμιοῦ τους, καὶ ἀγροικοῦν εὐωδίαις μὲ τὴν ὄσφρησίν τους, καὶ ἀκούουν μὲ τὰ αὐτία τους φωναῖς, καὶ ἄλλα παρόμοια. Καὶ ἄλλοι ἀπὸ αὐτοὺς ἐδαιμονίσθησαν, καὶ γυρίζουν ἔξω φρενῶν ἀπὸ τόπον εἰς τόπον. ἄλλοι πάλιν ἐδέχθηκαν τὸν δαίμονα ὁποῦ ἐμετασχηματίσθη καὶ ἐφάνη εἰς αὐτοὺς ὡσὰν Ἄγγελος φωτὸς καὶ ἐπλανέθησαν, καὶ ἔμειναν ἀδιόρθωτοι ἕως τέλους, χωρὶς νὰ ἀκούσουν συμβουλὴν ἀπὸ κανένα ἀδελφόν. Ἄλλοι δὲ ἀπὸ αὐτοὺς ἐπαρακινήθηκαν ἀπὸ τὸν διάβολον, καὶ ἐφονεύθηκαν μοναχοί τους· καὶ ἄλλοι ἐκρημνίσθηκαν· καὶ ἄλλοι ἐφαρκίσθησαν. καὶ ποῖος ἠμπορεῖ νὰ διηγῆται ταῖς διάφοραις πλάναις τοῦ διαβόλου, μὲ ταῖς ὁποίαις τοὺς πλανᾷ, ὁποῦ εἶναι ἀδιήγηταις; Πλὴν ἀπὸ αὐτὰ ὁποῦ εἴπαμεν, κάθε φρόνιμος ἄνθρωπος ἠμπορεῖ νὰ καταλάβῃ τί λογῆς ζημία προέρχεται ἀπὸ τοῦτον τὸν πρῶτον τρόπον τῆς προσοχῆς, καὶ προσευχῆς. Εἰ δὲ καὶ τύχῃ τινὰς ἀπὸ ἐκείνους ὁποῦ μεταχειρίζονται αὐτὸν τὸν τρόπον, καὶ δὲν πάθῃ κανένα κακὸν ἀπὸ αὐτὰ ὁποῦ εἴπαμεν. ἐπειδὴ καὶ εὑρίσκεται μὲ συνοδίαν ἀδελφῶν (διατὶ αὐτὰ τὰ κακὰ τὰ παθαίνουν μάλιστα οἱ ἀναχωρηταὶ ὁποῦ εἶναι μοναχοί τους) ὅμως ἀπερνᾷ ὅλην του τὴν ζωὴν ἀπρόκοπος.

## Περὶ τοῦ δευτέρου τρόπου.

Ὁ δεύτερος τρόπος τῆς προσοχῆς, καὶ προσευχῆς εἶναι αὐτός. Ὅταν τινὰς συνάγῃ τὸν νοῦν του μέσα εἰς τὸν ἑαυτόν του, εὐγαίνοντάς τον ἀπὸ ὅλα τὰ αἰσθητὰ, καὶ φυλάττῃ ταῖς αἰσθήσες του καὶ μαζώνῃ ὅλους του τοὺς λογισμοὺς διὰ νὰ μὴ περιπατοῦν εἰς τὰ μάταια πράγματα τούτου τοῦ κόσμου. καὶ ποτὲ ἐξετάζει τοὺς λογισμούς του. ποτὲ προσέχει εἰς τὰ λόγια τῆς προσευχῆς ὁποῦ λέγει. καὶ ἄλλην ὥραν γυρίζει ὀπίσω τοὺς λογισμούς του ὁποῦ ᾐχμαλωτίσθηκαν ἀπὸ τὸν διάβολον, καὶ ἐσύρθηκαν εἰς τὰ πονηρὰ, καὶ μάταια. καὶ ἄλλην ὥραν πάλιν, μὲ κόπον πολὺν, καὶ βίαν ἔρχεται εἰς τὸν ἑαυτόν του, ὁποῦ ἦτον κυριευμένος, καὶ νικημένος ἀπὸ κανένα πάθος. καὶ ἔχοντας τοῦτον τὸν ἀγῶνα καὶ πόλεμον εἰς τὸν ἑαυτόν του, δὲν εἶναι δυνατὸν νὰ εἰρηνεύσῃ ποτὲ, μήτε νὰ εὕρῃ καιρὸν νὰ ἐργασθῇ τὰς ἀρετὰς, καὶ νὰ λάβῃ τὸν στέφανον τῆς δικαιοσύνης. διατὶ ὁ τοιοῦτος ἄνθρωπος παρομοιάζει μὲ ἐκεῖνον ὁποῦ κάνει πόλεμον μὲ τοὺς ἐχθρούς του τὴν νύκτα εἰς τὸ σκοτάδι· ὁ ὁποῖος ἀκούει ταῖς φωναῖς τῶν ἐχθρῶν, καὶ δέχεται ταῖς λαβωματιαῖς τους, μὰ δὲν ἠμπορεῖ νὰ ἰδῇ καθαρὰ, ποῖοι εἶναι, καὶ ἀπὸ ποῦ, ἦλθαν, καὶ πῶς, καὶ διατὶ

τὸν πληγώσῃ. ἐπειδὴ καὶ τὸ σκότος ὁποῦ εἶναι εἰς τὸν νοῦν του, καὶ ἡ ζάλη ὁποῦ ἔχει εἰς τοὺς λογισμοὺς, τοῦ προξενοῦν αὐτὴν τὴν ζημίαν, καὶ δὲν εἶναι δυνατὸν ποτὲ νὰ γλυτώσῃ ἀπὸ τοὺς ἐχθρούς του τοὺς δαίμονας ὁποῦ νὰ μὴν τὸν συντρίβουν. καὶ ὑπομένει ὁ δυστυχὴς τὸν κόπον ματαίως, διατὶ χάνει τὸν μισθὸν, μὲ τὸ νὰ εἶναι κυριευμένος ἀπὸ τὴν κενοδοξίαν, χωρὶς νὰ τὸ καταλαμβάνῃ, καὶ τοῦ φαίνεται πῶς εἶναι πάγκα προσεκτικός. καὶ πολλαῖς φοραῖς καταφρονεῖ ἀπὸ τὴν ὑπερηφάνειάν του τοὺς ἄλλους, καὶ τοὺς κατηγορεῖ, καὶ συσταίνει τὸν ἑαυτόν του φανταζόμενος μὲ τὴν ἐδικήν του φαντασίαν, πῶς εἶναι ἄξιος νὰ γένῃ ποιμένας προβάτων, καὶ νὰ ὁδηγῇ ἄλλους. καὶ ὁμοιάζει μὲ τὸν τυφλὸν ἐκεῖνον ὁποῦ ὑπόσχεται νὰ ὁδηγῇ ἄλλους τυφλούς.

Τοῦτος εἶναι ὁ δεύτερος τρόπος, καὶ κάνει χρεία ὁ καθ' ἕνας ὁποῦ θέλει τὴν σωτηρίαν του, νὰ μάθῃ τὴν ζημίαν ὁποῦ τοῦ προξενεῖ εἰς τὴν ψυχὴν, καὶ νὰ προσέχῃ καλῶς. Ὅμως τοῦτος ὁ δεύτερος τρόπος εἶναι καλήτερος ἀπὸ τὸν πρῶτον καθὼς εἶναι καλήτερη καὶ ἡ νύκτα ἐκείνη ὁποῦ ἔχει φεγγάρι, ἀπὸ τὴν νύκτα τὴν σκοτεινὴν, καὶ ἐκείνην ὁποῦ εἶναι χωρὶς φεγγάρι.

## Περὶ τοῦ τρίτου τρόπου.

Ὁ τρίτος τρόπος εἶναι ἀληθινὰ πρᾶγμα παράδοξον, καὶ δυσκολοερμήνευτον, καὶ εἰς ἐκείνους ὁποῦ δὲν τὸν ἠξεύρουν ὄχι μόνον εἶναι δυσκολοκατάληπτος, ἀλλὰ τοὺς φαίνεται σχεδὸν καὶ ἀπίστευτος, καὶ δὲν τὸ πιστεύουν πῶς γίνεται παρόμοιον πρᾶγμα, ἐπειδὴ καὶ εἰς τοὺς καιροὺς τούτους δὲν εὑρίσκεται τοῦτος ὁ τρόπος εἰς πολλοὺς, ἀλλὰ εἰς πολλὰ ὀλίγους. καὶ καθὼς ἐγὼ λογιάζω αὐτὸ τὸ καλὸν ἔφυγεν ἀπὸ ἡμᾶς μαζὶ μὲ τὴν ὑπακοήν. διατὶ ἡ ὑπακοὴ ὁποῦ κάνει ὁ κάθε ἕνας εἰς τὸν πνευματικόν του Πατέρα, ἐκείνη τὸν κάνει ἀμέριμνον ἀπὸ ὅλα, ἐπειδὴ καὶ ἔρριψε τὴν μέριμνάν του εἰς τὸν πνευματικόν του Πατέρα, καὶ εἶναι πλέον μακρὰν ἀπὸ τὴν προσπάθειαν τοῦ κόσμου, καὶ πολλὰ πρόθυμος, καὶ ἄοκνος ἐργάτης τούτου τοῦ τρίτου τρόπου. αὐτὸς ὅμως καὶ ἤθελεν ἐπιτύχῃ διδάσκαλον, καὶ πνευματικὸν Πατέρα ἀληθινὸν, καὶ ἀπλανῆ, χωρὶς νὰ ἔχῃ καμμίαν πλάνην. διότι ἐκεῖνος ὁποῦ ἀφιερώσῃ τὸν ἑαυτόν του, καὶ ὅλην του τὴν μέριμναν εἰς τὸν Θεὸν, καὶ εἰς τὸν πνευματικόν του Πατέρα, καὶ μὲ τὴν ὑπακοὴν τὴν ἀληθινὴν, δὲν ζῇ πλέον ζωὴν ἐδικήν του, ὁποῦ νὰ κάνῃ τὸ θέλημά του, ἀλλὰ νεκρωθῇ ἀπὸ κάθε προσπάθειαν τοῦ κόσμου, καὶ τοῦ ἰδίου του σώματος, ἐκεῖνος ἀπὸ ποῖον πρᾶγμα προσωρινὸν ἠμπορεῖ νὰ νικηθῇ καὶ νὰ δουλωθῇ; ἢ ποίαν μέριμναν, καὶ φροντίδα ἠμπορεῖ νὰ ἔχῃ ὁ τοιοῦτος ἄνθρωπος; ἀπὸ τοῦτον τὸν τρόπον λοιπὸν ὁποῦ εἶναι μαζὶ μὲ τὴν ὑπακοὴν ὅλαις ἡ τέχναις τῶν δαιμόνων, καὶ ὅλαις τους ἡ ἐφεύρεσες ὁποῦ μεθοδεύονται διὰ νὰ σύρουν τὸν νοῦν εἰς πολλοὺς καὶ διαφόρους λογισμοὺς, ὅλαις ἀφανίζονται, καὶ διαλύονται. καὶ τότε ὁ νοῦς ἐκείνου τοῦ ἀνθρώπου μένει ἐλεύθερος ἀπὸ ὅλα, καὶ μὲ μεγάλην ἄδειαν καὶ δικαιοσίαν ἐξετάζει τοὺς λογισμοὺς ὁποῦ τοῦ φέρουν οἱ δαίμονες, καὶ μὲ ἐπιτηδειότητα μεγάλην τοὺς ἀποδιώχνει, καὶ μὲ καρδίαν καθαρὰν προσφέρει τὰς προσευχάς του εἰς τὸν Θεόν. Αὐτὴ εἶναι ἡ ἀρχὴ τῆς ἀληθινῆς πολιτείας, καὶ ὅσοι δὲν κάμουν τέτοιαν ἀρχὴν, ματαίως κοπιάζουν, καὶ δὲν τὸ γνωρίζουν.

Καὶ ἡ ἀρχὴ τούτου τοῦ τρίτου τρόπου δὲν εἶναι, τὸ νὰ κοιτάζῃ τινὰς εἰς τὸν οὐρανὸν, καὶ νὰ ἀσηκώνῃ τὰ χέρια του ὑψηλὰ, καὶ νὰ ἔχῃ τὸν νοῦν του εἰς τὰ οὐράνια, καὶ ἐκεῖθεν νὰ ζητῇ βοήθειαν, ὅτι αὐτὰ καθὼς εἴπαμεν εἶναι ἰδιώματα τοῦ πρώτου



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τρόπου, καὶ εἶναι τῆς πλάνης. Μήτε πάλιν νὰ φυλάττῃ τινὰς μὲ τὸν νοῦν του ταῖς αἰσθήσαίς του, καὶ νὰ προσέχῃ ὅλος δι' ὅλου εἰς τοῦτο· καὶ τοὺς πολέμους τοὺς ἐσωτερικοὺς τῆς ψυχῆς ὁποῦ τοῦ κάνουν οἱ ἐχθροὶ νὰ μὴν τοὺς βλέπῃ, μήτε νὰ προσέχῃ ἀπὸ αὐτούς, ὅτι αὐτὰ εἶναι ἰδιώματα τοῦ δευτέρου τρόπου, καὶ ὅποιος τὰ μεταχειρίζεται, λαβώνεται ἀπὸ τοὺς δαίμονας, μὰ δὲν λαβώνει, πληγώνεται, καὶ δὲν τὸ ἠξεύρει· σκλαβώνεται, καὶ δουλώνεται, καὶ δὲν ἠμπορεῖ νὰ κάμῃ τὴν ἐκδίκησιν εἰς ἐκείνους ὁποῦ τὸν ἐσκλάβωσαν, ἀλλὰ πάντοτε οἱ ἐχθροὶ καὶ φανερὰ καὶ κρυφὰ τὸν πολεμοῦν, καὶ τὸν κατασταίνουν κενόδοξον, καὶ ὑπερήφανον.

Ἀλλὰ σὺ ἀγαπητὲ ἂν ἴσως καὶ θέλεις τὴν σωτηρίαν σου, πρέπει νὰ κάμῃς ἀρχὴν αὐτοῦ τοῦ τρίτου τρόπου ἀπὸ ἐδῶ. ὕστερα ἀπὸ τὴν τελείαν ὑπακοὴν ὁποῦ ἐπροείπαμεν πῶς πρέπει νὰ φυλάττῃς εἰς τὸν πνευματικόν σου Πατέρα, εἶναι χρεία νὰ κάνῃς καὶ ὅλα σου τὰ ἔργα μὲ συνείδησιν καθαράν, ὡσὰν νὰ εἶσαι ἔμπροσθεν εἰς τὸ πρόσωπον τοῦ Θεοῦ. διατὶ χωρὶς ὑπακοὴν δὲν εἶναι τρόπος ποτὲ νὰ εἶναι ἡ συνείδησις καθαρά· καὶ τὴν συνείδησίν σου εἰς τρία πράγματα πρέπει νὰ τὴν φυλάττῃς καθαράν· πρῶτον εἰς τὸν Θεόν. δεύτερον εἰς τὸν πνευματικόν σου Πατέρα. καὶ τρίτον εἰς τοὺς ἄλλους ἀνθρώπους, καὶ εἰς τὰ πράγματα τοῦ κόσμου.

Καὶ εἰς τὸν Θεὸν ἔχεις χρέος νὰ φυλάξῃς τὴν συνείδησίν σου καθαράν. ἤγουν νὰ μὴν κάνῃς ἐκεῖνα ὁποῦ ἠξεύρεις πῶς δὲν ἀγαπάουν τὸν Θεόν, μήτε τοῦ ἀρέσουν. Εἰς τὸν πνευματικόν σου Πατέρα πάλιν νὰ κάνῃς ὅλα ἐκεῖνα ὁποῦ σὲ παραγγέλει, καὶ μήτε παραπάνω ἀπὸ ἐκεῖνα, μήτε παρακάτω νὰ κάνῃς, ἀλλὰ κατὰ τὸν σκοπόν του, καὶ κατὰ τὸ θέλημά του, ἔτζι νὰ πορεύεσαι. Εἰς δὲ τοὺς ἄλλους ἀνθρώπους πρέπει νὰ φυλάττῃς συνείδησιν καθαράν, νὰ μὴν κάνῃς εἰς αὐτοὺς ἐκεῖνα ὁποῦ ἐσὺ μισεῖς, καὶ δὲν θέλεις νὰ τὰ κάμουν ἐκεῖνοι εἰς ἐσέ. καὶ εἰς τὰ πράγματα τοῦ κόσμου πάλιν χρέος ἔχεις νὰ φυλάττεσαι ἀπὸ τὴν παράχρησιν· ἤγουν νὰ τὰ μεταχειρίζεσαι ὅλα καθὼς πρέπει· τόσον φαγητά, ὡσὰν καὶ πιοτά, καὶ φορέματα. καὶ κοντολογῆς ὅλα πρέπει νὰ τὰ κάνῃς, ὡσὰν νὰ εἶσαι ἔμπροσθεν εἰς τὸν Θεόν, καὶ εἰς κανένα σου ἔργον νὰ μὴν σὲ ἐλέγχῃ, ἡ συνείδησίς σου, καὶ νὰ σὲ κεντᾷ, πῶς δὲν τὸ ἔκαμες καλά· καὶ ἔτζι μεταχειρίσου τὴν ἀληθινὴν καὶ ἀπλανῆ στράταν τοῦ τρίτου τρόπου τῆς προσοχῆς καὶ προσευχῆς, ὁ ὁποῖος εἶναι αὐτός.

Ἤγουν ὁ νοῦς νὰ φυλάττῃ τὴν καρδίαν εἰς καιρὸν ὁποῦ προσεύχεται, καὶ νὰ περιτριγυρίζῃ πάντοτε μέσα εἰς αὐτήν, καὶ ἀπὸ ἐκεῖθεν μέσα, ἀπὸ τὸ βάθος τῆς καρδίας νὰ ἀναπέμπῃ τὰς εὐχὰς εἰς τὸν Θεόν· καὶ ἀφ' οὗ ἐκεῖθεν ἀπὸ μέσα τὴν καρδίαν γευθῇ, ὅτι εἶναι χρηστὸς ὁ Κύριος, καὶ γλυκανθῇ, πλέον δὲν θέλει μακρυνθῇ ὁ νοῦς ἀπὸ τὸν τόπον τῆς καρδίας· καὶ τότε θέλει εἰπῇ καὶ αὐτὸς τὰ ἴδια λόγια ὁποῦ εἶπεν ὁ Ἀπόστολος Πέτρος. καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ παντοτινὰ ἐκεῖ μέσα εἰς τὴν καρδίαν θέλει κοιτάζῃ, καὶ ἐκεῖ θέλει περιτριγυρίζῃ, σπρόχνωντας τρόπον τινά, καὶ διώκωντας ὅλα τὰ νοήματα ὁποῦ σπείρονται ἐκεῖ μέσα ἀπὸ τὸν ἐχθρὸν τὸν διάβολον. Πλὴν εἰς ἐκείνους ὁποῦ δὲν ἔχουν καμμίαν εἴδησιν εἰς αὐτὸ τὸ σωτήριον ἔργον, καὶ δὲν τὸ ἠξεύρουν, φαίνεται ταῖς περισσότεραις φοραῖς, πῶς εἶναι πολλὰ κοπιαστικόν, καὶ στενοχωρητικόν. ἀμὴ ἐκεῖνοι ὁποῦ ἐγεύθηκαν τὴν γλυκύτητα ὁποῦ ἔχει, καὶ ἀπέλαυσαν τὴν ἡδονὴν μέσα εἰς τὸ βάθος τῆς καρδίας τους, ἐκεῖνοι φωνάζουν μὲ τὸν θεῖον

Athos Library
Αγιορειτική Βιβλιοθήκη

Παῦλον, καὶ λέγειν· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, κτ.

Διατὶ οἱ Ἅγιοι Πατέρες μας, ἀκούοντες τὸν Κύριον ὁποῦ λέγει εἰς τὸ Ἱερὸν Εὐαγγέλιον, πῶς ἀπὸ τὴν καρδίαν ἐβγαίνουν οἱ πονηροὶ λογισμοί· φόνοι· πορνεῖαι· μοιχεῖαι· κλεψίαι· ψευδομαρτυρίαι· βλασφημίαι· καὶ πῶς αὐτὰ εἶναι ὁποῦ μολύνουν τὸν ἄνθρωπον. Καὶ πάλιν ἀκούοντές τον εἰς ἄλλο μέρος τοῦ Εὐαγγελίου νὰ μᾶς παραγγέλῃ, νὰ καθαρίσωμεν τὸ ἔσωθεν τοῦ ποτηρίου, διὰ νὰ γένῃ καὶ τὸ ἀπέξω καθαρόν. ἄφησαν κάθε ἄλλο ἔργον πνευματικόν, καὶ ἀγωνίσθησαν ὅλως διόλου εἰς αὐτὸ τὸ ἔργον, ἤγουν εἰς τὴν φύλαξιν τῆς καρδίας, ὄντες βεβαιωμένοι, πῶς μαζὶ μὲ αὐτὸ τὸ ἔργον, θέλει ἀποκτήσουν εὔκολα κάθε ἄλλην ἀρετήν· ἀμὴ χωρὶς αὐτὸ δὲν εἶναι δυνατὸν νὰ ἀποκτηθῇ, καὶ νὰ μείνῃ καμμία ἀρετή. αὐτὸ τὸ ἔργον μερικοὶ ἀπὸ τοὺς Πατέρας μας τὸ ὠνόμασαν, ἡσυχίαν καρδιακήν· ἄλλοι τὸ ὠνόμασαν προσοχήν· ἄλλοι, νῆψιν, καὶ ἀντίρρησιν· ἄλλοι, ἔρευναν τῶν λογισμῶν, καὶ φύλαξιν τοῦ νοός. διατὶ ὅλοι εἰς αὐτὸ ἐκοπίασαν, καὶ μὲ αὐτὸ ἀξιώθησαν τῶν θείων χαρισμάτων· καὶ διὰ αὐτὸ λέγει καὶ ὁ Ἐκκλησιαστής· εὐφραίνου· νεανίσκε· εἰς τὴν νεότητά σου, καὶ περιπάτει εἰς τὰς στράτας τῆς καρδίας σου ἄμωμος, καὶ καθαρός, καὶ μάκρυνε τὴν καρδίαν σου ἀπὸ τοὺς διαλογισμούς· καὶ διὰ τὸ ἴδιον λέγει καὶ ὁ Παροιμιαστής. ἂν ἴσως καὶ ἔλθῃ καταπαντήσῃ σου ἡ προσβολὴ τοῦ διαβόλου, μὴν ἀφήσῃς νὰ ἔμβῃ εἰς τὸν τόπον σου, καὶ μὲ τὸν τόπον ἐννοεῖ τὴν καρδίαν. καὶ ὁ Κύριός μας λέγει εἰς τὸ Ἱερὸν Εὐαγγέλιον· μὴ μετεωρίζεσθε· ἤγουν μὴ σκορπίζετε τὸν νοῦν σας ἐδῶ καὶ ἐκεῖ· καὶ εἰς ἄλλο μέρος πάλιν λέγει· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. Ἀληθῆ καλότυχοι, εἶναι ἐκεῖνοι ὁποῦ δὲν ἀπόκτησαν μέσα εἰς τὴν καρδίαν τους καμμίαν ἔννοιαν τούτου τοῦ κόσμου, ἀμὴ εἶναι πτωχοὶ ἀπὸ κάθε λογισμὸν κοσμικόν. καὶ ὅλοι οἱ θεῖοι Πατέρες μας ἔγραψαν πολλὰ περὶ τούτου, καὶ ὅποιος θέλει ἂς διαβάσῃ τὰ συγγράμματά τους νὰ τὰ ἰδῇ. καὶ ὅσα ἔγραψεν ὁ ἀσκητὴς Μάρκος, καὶ ὅσα εἶπεν ὁ Ἅγιος Ἰωάννης τῆς Κλίμακος, καὶ ὁ Ὅσιος Ἡσύχιος, καὶ ὁ Σιναΐτης Φιλόθεος, καὶ ὁ Ἀββᾶ Ἡσαΐας, καὶ ὁ Μέγας Βαρσανούφιος, καὶ ἄλλοι πολλοί.

Καὶ κοντολογῆς· ὅποιος δὲν προσέχει νὰ φυλάττῃ τὸν νοῦν του, ἐκεῖνος δὲν εἶναι δυνατὸν νὰ γένῃ καθαρὸς εἰς τὴν καρδίαν, διὰ νὰ ἀξιωθῇ νὰ ἰδῇ τὸν Θεόν. Ὅποιος δὲν προσέχει, δὲν ἠμπορεῖ νὰ γένῃ πτωχὸς τῷ πνεύματι· μήτε ἠμπορεῖ νὰ πενθήσῃ, καὶ νὰ κλαύσῃ· ἢ νὰ γένῃ πρᾶος καὶ ἥμερος· ἢ νὰ πεινάσῃ, καὶ νὰ διψήσῃ τὴν δικαιοσύνην· ἢ νὰ γένῃ ἐλεήμων, ἢ εἰρηνοποιός· ἢ δεδιωγμένος ἕνεκεν δικαιοσύνης· καὶ διὰ νὰ εἰπῶ καθολικῶς· δὲν εἶναι βολετὸν νὰ ἀποκτήσῃ τινὰς τὰς ἄλλας ἀρετὰς μὲ ἄλλο μέσον, παρὰ μὲ αὐτὴν τὴν προσοχήν. διὰ τοῦτο περισσότερον ἀπὸ ὅλα αὐτὴν πρέπει νὰ ἐπιμεληθῇς, διὰ νὰ καταλάβῃς μὲ τὴν δοκιμὴν αὐτὰ ὁποῦ σοῦ λέγω. εἰ δὲ καὶ θέλεις νὰ μάθῃς καὶ τὸν τρόπον, πῶς νὰ κάμῃς, ἐγὼ σοῦ λέγω καὶ περὶ τούτου τὸ κατὰ δύναμιν, καὶ πρόσεχε καλῶς.

Τρία πράγματα κάνει χρεία νὰ φυλάξῃς προτήτερα ἀπὸ ὅλα τὰ ἄλλα. πρῶτον ἀμεριμνίαν ἀπὸ κάθε πρᾶγμα τόσον εὔλογον, ὅσον, καὶ ἀνεύλογον, καὶ μάταιον· ἤγουν νέκρωσιν ἀπὸ ὅλα τὰ πάντα. δεύτερον συνείδησιν καθαρὰν εἰς ὅλα, καθὼς εἴπαμεν, ὁποῦ νὰ μὴ σὲ ἐλέγχῃ ἡ συνείδησις εἰς κανένα πρᾶγμα. καὶ τρίτον ἀπροσπάθειαν τελείαν, χωρὶς νὰ κλίνῃ ὁ λογισμός σου εἰς κανένα κοσμικὸν πρᾶγμα. ἔπειτα κάθισε εἰς ἕνα τόπον



Athos Library
Αγιορειτική Βιβλιοθήκη

παράμερον καὶ ἥσυχον κατὰ μόνας εἰς μίαν ἄκραν, καὶ κλεῖσε τὴν πόρταν, καὶ μάζωξε τὸν νοῦν σου ἀπὸ κάθε προσωρινὸν, καὶ μάταιον πρᾶγμα. καὶ τότε ἀκούμβισε εἰς τὸ στῆθός σου τὸ κάτω σιαγόνι σου, ἤγουν τὸ πηγοῦνι σου, διὰ νὰ προσέχῃς μὲ αὐτὸν τὸν τρόπον μέσα εἰς τὸν ἑαυτόν σου, καὶ μὲ τὸν νοῦν σου, καὶ μὲ τὰ αἰσθητά σου μάτια. καὶ κράτει ὀλίγον καὶ τὴν ἀναπνοήν σου, διὰ νὰ ἔχῃς ἐκεῖ τὸν νοῦν σου, καὶ ἐρεύνησε μὲ τὸν νοῦν σου νὰ εὕρῃς τὸν τόπον ὁποῦ εἶναι ἡ καρδία σου, καὶ ἐκεῖ νὰ εἶναι ὅλος διόλου καὶ ὁ νοῦς σου. καὶ εἰς τὴν ἀρχὴν ἔχεις νὰ εὕρῃς ἐκεῖ μέσα ἕνα σκότος, καὶ πώρωσιν πολλὴν, καὶ σκληρότητα. ὕστερα ἀφ' οὗ ἐργασθῇς αὐτὸ τὸ ἔργον τῆς προσοχῆς ἀκατάπαυστα νύκτα καὶ ἡμέραν, θέλεις εὕρῃ· ὢ τοῦ θαύματος· μίαν χαρὰν ἀκατάπαυστον. ἐπειδὴ καὶ ὁ νοῦς ἀγωνιζόμενος εἰς τοῦτο, θέλει ἐπιτύχῃ τὸν τόπον τῆς καρδίας, καὶ τότε παρευθὺς βλέπει ἐκεῖ μέσα ἐκεῖνα τὰ πράγματα ὁποῦ δὲν εἶδε ποτέ του, μήτε τὰ ἤξευρε. διατὶ βλέπει τὸν ἀέρα ἐκεῖνον ὁποῦ εὑρίσκεται ἐκεῖ μέσα εἰς τὴν καρδίαν, καὶ ὅλον τὸν ἑαυτόν του, φωτεινὸν, καὶ γεμᾶτον ἀπὸ κάθε φρονιμάδα, καὶ διάκρισιν. καὶ ἀπὸ τότε καὶ εἰς τὸ ἑξῆς, ἀπὸ ὁποῖον μέρος προκύψῃ, καὶ φανῇ κανένας λογισμὸς, πρὶν ἀκόμι νὰ ἔμβῃ, καὶ νὰ συλλογισθῇ, ἢ νὰ σχηματισθῇ, παρευθὺς τὸν διώχνει ἐκεῖθεν, καὶ τὸν ἀφανίζει μὲ τὸ ὄνομα τοῦ Ἰησοῦ. ἤγουν μὲ τὸ, Κύριε Ἰησοῦ Χριστὲ ἐλέησόν με. καὶ ἀπὸ ἐδῶ ὁ νοῦς πλέον τοῦ ἀνθρώπου, ἀρχίζει νὰ ἔχῃ μνησικακίαν καὶ πάθος μὲ τοὺς δαίμονας, καὶ πόλεμον ἀκατάπαυστον, καὶ ἀσηκώνει καταπάνω τους τὸν θυμὸν τὸν φυσικὸν, καὶ τοὺς κυνηγᾷ, καὶ τοὺς κτυπᾷ, καὶ τοὺς ἀφανίζει. τὰ δὲ ἄλλα ὁποῦ ἀκολουθοῦν νὰ γίνωνται τότε, θέλεις τὰ μάθῃ· σὺν Θεῷ· μόνος σου μὲ τὴν δοκιμὴν, διὰ μέσου τῆς προσοχῆς τοῦ νοός σου, καὶ κρατῶντας εἰς τὴν καρδίαν τὸν Ἰησοῦν, ἤγουν τὴν προσευχήν του, Κύριε Ἰησοῦ Χριστὲ κτ. διότι λέγει καὶ ἕνας Πατέρας. κάθου εἰς τὸ κελλίον σου, καὶ αὐτὸ θέλει σὲ διδάξει τὰ πάντα.

Ἐρωτ. Διατὶ ὁ πρῶτος καὶ δεύτερος τρόπος ὁποῦ εἴπαμεν, δὲν ἠμποροῦν νὰ κατορθώσουν αὐτά;

Ἀποκρ. Διατὶ δὲν τοὺς μεταχειριζόμεθα καθὼς πρέπει. ἐπεὶ καὶ ὁ Ἅγιος Ἰωάννης τῆς Κλίμακος, τοὺς παρομοιάζει τοὺς τρόπους τούτους ὡσὰν μίαν σκάλαν μὲ τέσσαρα σκαλοπάτια, καὶ λέγει. ἄλλοι εἶναι ἐκεῖνοι ὁποῦ ταπεινώνουν, καὶ ὀλιγοστεύουν τὰ πάθη. καὶ ἄλλοι ὁποῦ ψάλλουν, ἤγουν προσεύχονται μὲ τὸ στόμα τους. καὶ ἄλλοι ὁποῦ καταγίνονται εἰς τὴν νοερὰν προσευχήν. καὶ ἄλλοι ὁποῦ ἔρχονται εἰς τὴν θεωρίαν. ὥστε ὁποῦ ὅσοι θέλουν νὰ ἀναβοῦν αὐτὰ τὰ τέσσαρα σκαλοπάτια, δὲν ἀρχίζουν ἀπὸ τὰ ἀπάνω νὰ ἔρχωνται εἰς τὰ κάτω, ἀλλὰ ἀπὸ τὰ κάτω πηγαίνουν εἰς τὰ ἀπάνω. καὶ ἀναβαίνουν τὸ πρῶτον σκαλοπάτι, καὶ ἔπειτα τὸ δεύτερον, καὶ τότε τὸ τρίτον, καὶ ὕστερα τὸ τέταρτον. καὶ μὲ αὐτὸν τὸν τρόπον ἠμπορεῖ νὰ ἀσηκωθῇ τινὰς ἀπὸ τὴν γῆν, καὶ νὰ ἀνέβῃ εἰς τὸν οὐρανόν. καὶ πρῶτα καὶ ἀρχὴ κάμνει χρεία νὰ ἀγωνίζεται πῶς νὰ καταπαύσῃ καὶ νὰ ὀλιγοστεύσῃ τὰ πάθη. καὶ δεύτερον νὰ καταγίνεται εἰς τὴν ψαλμῳδίαν, ἤγουν νὰ προσεύχεται μὲ τὸ στόμα. διατὶ ἀφ' οὗ ὀλιγοστεύσουν τὰ πάθη, τότε πλέον ἡ προσευχὴ φυσικὰ προξενεῖ ἡδονὴν καὶ γλυκύτητα εἰς τὴν γλῶσσαν, καὶ λογίζεται εὐάρεστος κοντὰ εἰς τὸν Θεόν. καὶ τρίτον, νὰ προσεύχεται νοερῶς, καὶ τέταρτον νὰ ἀναβαίνῃ εἰς τὴν θεωρίαν. καὶ τὸ πρῶτον, εἶναι τῶν ἀρχαρίων· τὸ δεύτερον, ἐκείνων ὁποῦ αὐξάνουν εἰς τὴν προκοπήν· τὸ τρίτον, ἐκείνων ὁποῦ ἦλθαν

εἰς

Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἰς τὸ ἄκρον τῆς προκοπῆς. καὶ τὸ τέταρτον εἶναι τῶν τελείων.

Λοιπὸν ἡ ἀρχὴ δὲν εἶναι ἄλλο, παρὰ ἡ ὀλιγόστευσις τῶν παθῶν, τὰ ὁποῖα δὲν ὀλιγοστεύουν ἀπὸ τὴν ψυχὴν κατὰ ἄλλον τρόπον, πάρεξ μὲ τὴν φύλαξιν, καὶ προσοχὴν τῆς καρδίας. διατὶ ἀπὸ τὴν καρδίαν προέρχονται· καθὼς λέγει ὁ δεσπότης ἡμῶν· οἱ πονηροὶ διαλογισμοὶ ὁποῦ μολύνουν τὸν ἄνθρωπον, καὶ ἐκεῖ χρειάζεται ἡ φύλαξις, καὶ ἡ προσοχή. καὶ ἀφ' οὗ καταπαύσουν, καὶ ὀλιγοστεύσουν τὰ πάθη μὲ τὸν πόλεμον, καὶ τὴν ἐναντιότητα ὁποῦ κάμνει εἰς αὐτὰ ἡ καρδία, τότε ἔρχεται εἰς ἐπιθυμίαν ὁ νοῦς, καὶ ζητεῖ πῶς νὰ φιλιωθῇ μὲ τὸν Θεόν, καὶ ἔτζι αὐξάνει τὴν προσευχήν, καὶ καταγίνεται εἰς αὐτό. καὶ ἀπὸ τὸν πόθον αὐτόν, καὶ τὴν προσευχὴν δυναμώνει ὁ νοῦς, καὶ διώχνει ὅλους τοὺς λογισμοὺς ὁποῦ περιτριγυρίζουν διὰ νὰ ἔμβουν εἰς τὴν καρδίαν, κτυπῶντάς τους μὲ τὴν προσευχήν. καὶ τότε γίνεται πόλεμος, καὶ ἐναντιώνονται μὲ μεγάλην ταραχὴν οἱ πονηροὶ δαίμονες, καὶ μὲ τὸ μέσον τῶν παθῶν προξενοῦν σύγχυσιν καὶ ζάλην μέσα εἰς τὴν καρδίαν, ὅμως μὲ τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ ἀφανίζονται, καὶ λυώνουν ὅλα ὡσὰν τὸ κερὶ εἰς τὴν φωτίαν. καὶ πάλιν ἀφ' οὗ διωχθοῦν, καὶ εὔγουν ἀπὸ τὴν καρδίαν δὲν ἡσυχάζουν, ἀλλὰ ταράττουν ἐξωτερικῶς μὲ ταῖς αἰσθήσες τὸν νοῦν ἀπ' ἔξω, καὶ διὰ τοῦτο πολλὰ ὀγλίγωρα γροικᾷ ὁ νοῦς τὴν γαλήνην καὶ τὴν ἡσυχίαν ὁποῦ γίνονται εἰς αὐτόν, διατὶ δὲν ἔχουν δύναμιν νὰ ταράξουν τὸ βάθος τοῦ νοῦ, ἀλλὰ ἀπ' ἔξω εἰς τὴν ἐπιφάνειαν τοῦ νοός. πλὴν νὰ γλυτώσῃ τελείως ἀπὸ τὸν πόλεμον, καὶ νὰ μὴν πολεμῆται ἀπὸ αὐτὰ τὰ πονηρὰ πνεύματα, εἶναι ἀδύνατον, ἐπειδὴ καὶ αὐτὸ εἶναι τῶν τελείων καὶ ἐκείνων ὁποῦ ἀναχωρήσουν παντελῶς ἀπὸ ὅλα, καὶ καταγίνονται παντοτινὰ εἰς τὴν προσοχὴν τῆς καρδίας.

Ὅποιος λοιπὸν μεταχειρίζεται αὐτὰ κατὰ τάξιν εἰς τὸν καιρόν τους τὸ καθ' ἕνα, αὐτὸς ἠμπορεῖ, ὕστερα ἀφ' οὗ καθαρισθῇ ἡ καρδία του ἀπὸ τὰ πάθη, καὶ εἰς τὴν ψαλμῳδίαν νὰ δοθῇ ὅλος διόλου, καὶ τοὺς λογισμοὺς νὰ ἀντιπολεμήσῃ, καὶ τὸν οὐρανὸν νὰ κοιτάζῃ μὲ τὰ αἰσθητὰ μάτιά του, (ὅταν καμμίαν φορὰν κάμῃ χρεία) καὶ μὲ τὰ νοερὰ ὄμματα τῆς ψυχῆς νὰ τὸν θεωρῇ, καὶ νὰ προσεύχεται καθαρῶς ἐν ἀληθείᾳ καθὼς πρέπει.

Πλὴν τὸ νὰ βλέπῃ εἰς τὸν οὐρανόν, πολλὰ ὀλίγαις φοραῖς πρέπει νὰ τὸ κάμῃ διὰ τὸν φόβον τῶν πονηρῶν πνευμάτων ὁποῦ κατοικοῦν εἰς τὸν ἀέρα, καὶ διὰ τοῦτο ὀνομάζονται ἐναέρια πνεύματα, τὰ ὁποῖα προξενοῦν πολλαῖς καὶ διάφοραις πλάναις εἰς τὸν ἀέρα· καὶ πρέπει νὰ προσέχωμεν. ἐπειδὴ τοῦτο μοναχὰ ζητεῖ ὁ Θεὸς ἀπὸ ἡμᾶς, τὸ νὰ εἶναι καθαρισμένη ἡ καρδία μας μὲ τὴν φύλαξιν, καὶ προσοχήν. καὶ ἀνίσως ἡ ῥίζα εἶναι ἁγία, καθὼς λέγει ὁ Ἀπόστολος, φανερὸν εἶναι, πῶς καὶ οἱ κλάδοι εἶναι ἅγιοι, καὶ ὁ καρπός. χωρὶς δὲ τὸν τρόπον ὁποῦ εἴπαμεν, ὅποιος ἀσηκώνει τὰ μάτιά του, καὶ τὸν νοῦν του εἰς τὸν οὐρανόν, καὶ θέλει νὰ φαντάζεται κάποια νοητά, αὐτὸς φαντασίας βλέπει, καὶ ψεύτικα πράγματα, καὶ ὄχι ἀληθινά, μὲ τὸ νὰ εἶναι ἀκάθαρτος ἡ καρδία του. καὶ καθὼς εἴπαμεν πολλαῖς φοραῖς. ὁ πρῶτος καὶ δεύτερος τρόπος δὲν προκόπτουν τὸν ἄνθρωπον. διατὶ καθὼς ὅταν θέλωμεν νὰ κτίσωμεν ἕνα σπίτι, δὲν βάνομεν πρῶτον τὴν σκέπην, καὶ ὕστερα τὸ θεμέλιον, διατὶ τοῦτο εἶναι ἀδύνατον. ἀλλὰ πρῶτον βάνομεν τὸ θεμέλιον, καὶ ὕστερα κτίζομεν τὸ σπίτι, καὶ τότε βάνομεν καὶ τὴν σκέπην. ἔτζι πρέπει νὰ κάμωμεν καὶ εἰς τὰ πνευματικά. πρῶτον νὰ βάλωμεν θεμέλιον.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ἤγουν νὰ φυλάξωμεν τὴν καρδίαν, καὶ νὰ ὀλιγοστεύσωμεν ἀπὸ αὐτὴν τὰ πάθη. καὶ ὕστερα νὰ κτίσωμεν τὸ πνευματικὸν σπίτι· ἤγουν νὰ διώξωμεν τὴν ταραχὴν τῶν πονηρῶν πνευμάτων ὁποῦ μᾶς πολεμοῦν μὲ ταῖς αἴσθησες, καὶ νὰ φεύγωμεν τὸ ὀγλιγωρότερον τὸν πόλεμον αὐτῶν, καὶ τότε νὰ βάνωμεν καὶ τὴν σκέπην· ἤγουν νὰ ἀναχωροῦμεν τελείως ἀπὸ ὅλα τὰ πράγματα, καὶ νὰ εἰρηνεύωμεν καθὼς πρέπει, καὶ νὰ διδώμεθα ὅλως διόλου εἰς τὸν Θεόν. καὶ ἔτζι τελειώνομεν τὸ πνευματικὸν σπίτι ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΓΡΗΓΟΡΙΟΥ
# ΤΟΥ ΣΙΝΑΙΤΟΥ

## Περὶ τοῦ πῶς πρέπει νὰ λέγῃ ὁ καθένας τὴν προσευχήν.

Πότε νὰ κάθεσαι ἐπάνω εἰς σκαμνὶ διὰ τὸ κοπιαστικόν, πότε ἐπάνω εἰς στρῶμα διὰ τὴν ἄνεσιν καὶ ξεκούρασιν τοῦ κορμίου, καὶ νὰ κάμνῃς ὑπομονὴν εἰς τὸ κάθισμά σου, καὶ νὰ κάθεσαι ὅσον εἶναι δυνατὸν, διὰ νὰ πληρώσῃς τὴν ἐντολὴν τοῦ θείου Παύλου ὁποῦ παραγγέλλει νὰ μένωμεν πολὺν καιρὸν εἰς τὴν προσευχήν. τῇ προσευχῇ προσκαρτεροῦντες. καὶ νὰ μὴν ὀλιγοψυχῇς, καὶ βαρύνεσαι τὸν κόπον, καὶ ἀσηκώνεσαι ὀγλίγωρα. ἀλλὰ νὰ κάθεσαι μὲ ἄκραν ὑπομονὴν, καὶ σκύπτοντας τὴν κεφαλήν σου νὰ μαζώνῃς τὸν νοῦν σου εἰς τὴν καρδίαν σου, καὶ νὰ κράζῃς εἰς βοήθειάν σου τὸν Κύριον, λέγοντας τὸ, Κύριε Ἰησοῦ Χριστὲ ἐλέησόν με. Καὶ ἀνίσως ἀπὸ τὴν πολυκαιρίαν σὲ πονοῦν οἱ ὦμοι, καὶ τὸ κεφάλι σου, ὑπόμενε μὲ μεγαλοψυχίαν, καὶ μὲ τοὺς πόνους ἐκείνους ζήτησε μέσα εἰς τὴν καρδίαν σου, μὲ ἔρωτα καὶ πόθον πολὺν, νὰ εὕρῃς τὸν Κύριον. διατὶ ἡ βασιλεία τῶν οὐρανῶν εἶναι ἐκείνων ὁποῦ βιάζουν τὸν ἑαυτόν τους, καὶ οἱ βιασταὶ τὴν ἁρπάζουσι, καθὼς εἶπεν ὁ Κύριος. θέλωντας νὰ δείξῃ μὲ τοῦτα τὰ λόγια τὴν βίαν, καὶ τὴν προθυμίαν, καὶ τοὺς πόνους ὁποῦ ἔχει ἡ προσευχή. διατὶ ἡ ὑπομονὴ εἰς κάθε πρᾶγμα ὁποῦ κάμῃ ὁ ἄνθρωπος, ἐκείνη εἶναι ὁποῦ προξενεῖ τοὺς πόνους καὶ εἰς τὴν ψυχὴν καὶ εἰς τὸ κορμί.

### Πῶς πρέπει τινὰς νὰ λέγῃ τὴν εὐχήν.

Οἱ Πατέρες μας παραγγέλλουν διαφόρως διὰ τὴν εὐχήν. καὶ ἄλλος εἶπε νὰ τὴν λέγωμεν ὅλην, ἤγουν· Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με. ἄλλος τὴν μισήν, ἤγουν· Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με. τὸ ὁποῖον εἶναι εὐκολώτερον διὰ τὴν ἀδυναμίαν τοῦ νοός. διατὶ ὁ νοῦς μοναχός δὲν ἠμπορεῖ ἀφ' ἑαυτοῦ του νὰ εἴπῃ Κύριον Ἰησοῦν καθαρὰ καὶ τέλεια, πάρεξ μὲ τὸ Πνεῦμα τὸ Ἅγιον. δὲν πρέπει ὅμως συχνὰ συχνὰ νὰ ἀλ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λάζῃ τὰ λόγια τῆς εὐχῆς, καὶ νὰ λέγῃ πότε τὸ ἕνα, καὶ πότε τὸ ἄλλο διὰ τὴν ἀμέλειαν, ἀλλὰ κάποτε κάποτε νὰ τὰ ἀλλάζῃ διὰ νὰ μὴν βαρεθῇ λέγοντας συχνὰ τὰ ἴδια. πάλιν· ἄλλοι Πατέρες μᾶς διδάσκουν νὰ λέγωμεν τὴν εὐχὴν μὲ τὸ στόμα, καὶ ἄλλοι μὲ τὸν νοῦν. ἐγὼ δὲ λέγω καὶ μὲ τὰ δύω. διατὶ πότε ὁ νοῦς ἀμελεῖ, καὶ δὲν ἠμπορεῖ νὰ τὴν λέγῃ μόνος του· πότε πάλιν τὸ στόμα κουράζεται· διὰ τοῦτο πρέπει νὰ προσευχώμεθα καὶ μὲ τὸ στόμα, καὶ μὲ τὸν νοῦν· πότε μὲ τὸ ἕνα, πότε μὲ τὸ ἄλλο. Πλὴν ὅταν προσεύχεται μὲ τὸ στόμα πρέπει νὰ λέγῃ τὴν εὐχὴν ἥσυχα, ταπεινὰ καὶ ἀτάραχα, διὰ νὰ μὴν γίνεται σύγχυσις μὲ τὴν φωνὴν, καὶ συγχίζεται ἡ προσοχὴ τοῦ νοός· ἕως ὁποῦ νὰ συνηθίσῃ ὁ νοῦς μὲ τὴν πολυκαιρίαν, καὶ νὰ προκόψῃ εἰς αὐτὸ τὸ ἔργον τῆς προσευχῆς, λαμβάνωντας δύναμιν ἀπὸ τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, εἰς τὸ νὰ λέγῃ μόνος του τὴν προσευχήν· καὶ τότε πλέον δὲν εἶναι χρεία νὰ τὴν λέγωμεν μὲ τὸ στόμα, ἀλλὰ μήτε εἶναι δυνατὸν, διατὶ τότε μὲ μεγάλην μας εὐχαρίστησιν καὶ χαρὰν θέλομεν νὰ λέγωμεν τὴν εὐχὴν μὲ τὸν νοῦν μας μοναχά.

### Πῶς πρέπει τινὰς νὰ κρατῇ τὸν νοῦν.

Ἤξευρε, ὅτι κανένας ἀπὸ λόγου του δὲν ἠμπορεῖ νὰ κρατήσῃ τὸν νοῦν του, ἀνίσως καὶ δὲν τὸν κρατήσῃ ἡ χάρις τοῦ Παναγίου Πνεύματος, διατὶ εἶναι ἀκράτητος, ὄχι κατὰ φύσιν, ἐπειδὴ καὶ εἶναι ἀεικίνητος, καὶ φυσικὰ δὲν ἠμπορεῖ ποτὲ νὰ μὴν κινῆται· ὄχι διὰ τοῦτο. ἀλλὰ διατὶ ἀπέκτησε τὸν σκορπισμὸν ἀπὸ τὴν ἀμέλειάν του, μὲ τὸ νὰ ἐκακοσυνήθισεν ἐξ ἀρχῆς νὰ σκορπίζεται ἐδῶ καὶ ἐκεῖ. διατὶ παραβαίνοντες τὰς ἐντολὰς τοῦ Θεοῦ, μακρύνομεν παρευθὺς ἀπὸ τὸν Θεὸν, καὶ χωρίζομεν ἀπὸ αὐτὸν, καὶ διὰ τοῦτο χάνομεν καὶ τὴν αἴσθησιν ἐκείνην, καὶ γνῶσιν τοῦ νοός μας, καὶ δὲν καταλαμβάνομεν πότε εἴμεσθεν ἀντάμα μὲ τὸν Θεὸν, καὶ πότε ἐχωρίσαμεν. καὶ ἀπὸ τότε πλέον ὁ νοῦς μας ὡσὰν χωρίσῃ ἀπὸ τὸν Θεὸν, σύρεται ἀπὸ ὅλα τὰ μέρη ὡσὰν σκλαβωμένος, καὶ διὰ τοῦτο εἶναι ἀκράτητος, μήτε ἠμπορεῖ κατ᾽ ἄλλον τρόπον νὰ σταθῇ, παρὲξ νὰ προστρέξῃ πάλιν εἰς τὸν Θεὸν, καὶ νὰ ὑποταχθῇ ὅλος διόλου εἰς τὰς ἐντολάς του, καὶ αὐτὸν νὰ παρακαλῇ συχνάκις, καὶ εἰς αὐτὸν νὰ ἐξομολογῆται καθε ἡμέραν ὅσα τοῦ ἐσφάλαμεν, καὶ τοῦ σφάλλομεν καθε ὥραν. (ὁ ὁποῖος παρευθὺς ὅλα μᾶς τὰ συγχωρεῖ, ἀνίσως καὶ τὸν παρακαλοῦμεν μὲ ταπείνωσιν, καὶ συντριβὴν καρδίας, καὶ ἀνίσως καὶ ἐπικαλούμεθα παντοτινὰ τὸ ὄνομά του τὸ ἅγιον, μὲ τὸ, Κύριε Ἰησοῦ Χριστὲ καὶ τὰ ἑξῆς) καὶ τότε ὡσὰν πλησιάσῃ μὲ τοῦτον τὸν τρόπον εἰς τὸν Θεὸν, καὶ ἀνταμωθῇ μὲ αὐτὸν μὲ μεγάλην του χαρὰν τότε ἠμπορεῖ νὰ κρατηθῇ ἀπὸ τὸν Θεὸν, καὶ νὰ μὴν σκορπίζεται εἰς ἕνα καὶ ἄλλο μέρος. Ἀκόμι κρατεῖ τὸν νοῦν· φυσικῷ τῷ τρόπῳ· καὶ ἡ ἀναπνοὴ τοῦ ἀνασασμοῦ, ὅταν κρατοῦμεν αὐτὴν μὲ τὸ στόμα, ὅμως ὀλίγον καιρὸν στέκει ἔτζι ὁ νοῦς, καὶ πάλιν σκορπίζεται. ἀλλὰ ὅταν ἡ προσευχὴ ἐνεργήσῃ εἰς τὴν καρδίαν, τότε αὐτὴ κυρίως κρατεῖ μαζί της τὸν νοῦν, καὶ τὸν χαροποιεῖ, καὶ τὸν ἐμποδίζει ἀπὸ τὸν σκορπισμόν. πλὴν μερικαῖς φοραῖς καὶ εἰς καιρὸν ὁποῦ ὁ νοῦς στέκεται εἰς τὴν καρδίαν καὶ προσεύχεται, ἡ διάνοια περιπατεῖ ἐδῶ καὶ ἐκεῖ, καὶ μελετᾷ ἄλλα, καὶ ἄλλα. ἐπειδὴ καὶ τὴν διάνοιαν τὴν κρατοῦν μόνον οἱ τέλειοι ἐν Κυρίῳ, ἐκεῖνοι ὁποῦ ἔφθασαν· ἐν Χριστῷ Ἰησοῦ· εἰς αὐτὴν τὴν χάριν, νὰ μὴν σκορπίζεται ὁ νοῦς του, ἀλλὰ νὰ μένῃ ἀχώριστος ἀπὸ τὸν Θεὸν πάντοτε.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

### Πῶς πρέπει τινὰς νὰ διώχνῃ τοὺς λογισμούς.

Καινένας ἀρχάριος δὲν ἠμπορεῖ ποτὲ νὰ διώξῃ λογισμόν, ἀνίσως ὁ Θεὸς δὲν τὸν διώξῃ. διατὶ οἱ δυνατοὶ ἠμποροῦν νὰ πολεμήσουν, καὶ νὰ διώξουν τοὺς λογισμούς, πλὴν καὶ αὐτοὶ ἀπὸ λόγου τους δὲν τοὺς διώχνουν, ἀλλὰ μαζὶ μὲ τὸν Θεόν, τοὺς πολεμοῦν καὶ τοὺς διώχνουν. σὺ ὅμως ὅταν ἔρχωνται οἱ λογισμοί, ἐπικαλοῦ συχνὰ τὸν Κύριον Ἰησοῦν, ἤγουν λέγε ἀναπέπαυσα τὴν εὐχήν, καὶ ἐκεῖνοι φεύγουσι, διατὶ δὲν ὑποφέρουν τὴν θέρμην τῆς καρδίας ὁποῦ προέρχεται ἀπὸ τὴν προσευχήν, καὶ φεύγουσιν ὅτι κατακαίονται ἀπὸ αὐτήν. καθὼς λέγει καὶ ὁ Ἅγιος Ἰωάννης τῆς Κλίμακος. μὲ τὸ ὄνομα τοῦ Ἰησοῦ κτύπα καὶ πλήγωνε τοὺς ἐχθρούς· ἐπειδὴ καὶ ὁ Θεὸς ἡμῶν εἶναι φωτιὰ ὁποῦ ἀφανίζει τὴν κακίαν. ὁ Κύριος ἡμῶν ὁποῦ εἶναι ὀγλίγωρος εἰς βοήθειαν, θέλει κάμῃ παρευθὺς τὴν ἐκδίκησιν ἐκείνων ὁποῦ φωνάζουν εἰς αὐτὸν νύκτα καὶ ἡμέραν ἐξ ὅλης τους ψυχῆς καὶ καρδίας, καθὼς λέγει ὁ θεῖος Λουκᾶς εἰς τὴν παραβολὴν τοῦ κριτοῦ τῆς ἀδικίας. Ἀλλὰ ὁ ἀρχάριος ἐκεῖνος ὁποῦ δὲν ἔχει ἀκόμι δύναμιν εἰς τὴν προσευχήν, πρέπει νὰ ἀσηκωθῇ ὀρθός, καὶ νὰ ἐπικαλεσθῇ τὸν Θεὸν εἰς βοήθειαν, καὶ ὁ Κύριος τοὺς διώχνει. καὶ ὕστερα πάλιν ἂς καθίσῃ, καὶ ἂς ἀρχίσῃ τὸ Κύριε Ἰησοῦ Χριστὲ καὶ τὰ ἑξῆς. ἀκόμι καὶ ἐκεῖνος ὁποῦ εἶναι δυνατὸς εἰς τὴν προσευχήν, πολλαῖς φοραῖς εἰς τοὺς λογισμοὺς τῆς ἀμελείας καὶ τῆς πορνείας ὁποῦ τὸν πολεμοῦν ἀσηκώνεται ἀπάνω. καὶ ἁπλώνει τὰ χέριά του ὑψηλά, καὶ ζητεῖ βοήθειαν ἀπὸ τὸν Θεόν. ὅμως ὀλίγαις φοραῖς τὸ κάνει φοβούμενος τὴν πλάνην, μὴν τύχῃ καὶ ὁ διάβολος τοῦ δείξῃ φαντασίας εἰς τὸν ἀέρα, καὶ τὸν πλανέσῃ. ὅτι τὸ νὰ ἔχῃ τινὰς τὸν νοῦν του καὶ ἀπάνω, καὶ κάτω, καὶ εἰς τὴν καρδίαν, καὶ εἰς κάθε ἄλλο πρᾶγμα, καὶ νὰ φυλάττεται ἄπταιστος, καὶ ἀβλαβής, τοῦτο εἶναι ἴδιον μοναχὰ τῶν τελείων.

### Περὶ ἡσυχίας.

Ἐκεῖνος ὁποῦ ἡσυχάζει, πρῶτον πρέπει νὰ ἔχῃ, ὡσὰν θεμέλιον, αὐτὰς τὰς πέντε ἀρετάς· ἤγουν τὴν σιωπήν, τὴν ἐγκράτειαν, τὴν ἀγρυπνίαν, τὴν ταπείνωσιν, καὶ τὴν ὑπομονήν. καὶ νὰ ἔχῃ καὶ τὰς ἑξῆς ταύτας θεαρέστους ἐργασίας. ψαλμῳδίαν, ἤγουν προσευχὴν μὲ τὸ στόμα. ἀνάγνωσιν, καὶ προσευχὴν νοεράν. καὶ ὀλίγον ἐργόχειρον, ἂν εἶναι ἀκόμι ἀδύνατος. διατὶ αὐταῖς ἡ ἀρεταῖς ὁποῦ εἴπαμεν περιέχουν ὅλαις ταῖς ἄλλαις, καὶ συνεργοῦν ἡ μία τὴν ἄλλην ἀνάμεσόν τους. Καὶ κάνει χρεία νὰ ἀρχίσῃ ὁ ἡσυχαστὴς ἀπὸ τὴν α΄. ὥραν τῆς ἡμέρας νὰ προσεύχεται τό, Κύριε Ἰησοῦ Χριστὲ καὶ τὰ ἑξῆς. καὶ νὰ καταγίνεται εἰς τὴν μνήμην τοῦ Θεοῦ, μὲ προσοχὴν καρδίας, καὶ ἡσυχίαν ἕως μίαν ὥραν· ὕστερα τὴν β΄. ὥραν τῆς ἡμέρας νὰ κάνῃ ἀνάγνωσιν. καὶ τὴν γ΄. νὰ προσεύχεται μὲ τὸ στόμα. καὶ τὴν δ΄. νὰ λέγῃ τὴν εὐχήν του, Κύριε Ἰησοῦ Χριστὲ κτ. μὲ τὸν νοῦν του. καὶ τὴν ε΄. νὰ κάνῃ ἀνάγνωσιν· καὶ τὴν ϛ΄. νὰ ψάλλῃ, ἤγουν νὰ προσεύχεται μὲ τὸ στόμα. τὴν ζ΄. νὰ εὔχεται ἤγουν νὰ λέγῃ νοερῶς τό, Κύριε Ἰησοῦ κτ. τὴν η΄. νὰ κάνῃ ἀνάγνωσιν. τὴν θ΄. νὰ ψάλλῃ· τὴν ι΄. νὰ ζώγῃ· τὴν ια΄. νὰ κοιμᾶται, ἀνίσως καὶ ἔχει χρείαν νὰ κοιμηθῇ. τὴν ιβ΄. νὰ ψάλλῃ τὸν ἑσπερινόν, καὶ ἔτζι ἀπερνῶντας καλῶς τὸ στάδιον τῆς ἡμέρας νὰ εὐαρεστῇ εἰς τὸν Θεόν.

Εἰ δὲ καὶ ἀγαπᾷς νὰ ἀπερνᾷς εὔκολα καὶ τὴν νύκτα, ἄκουσον· τρεῖς πε-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

λιτείας ἔχει ἡ ἀγρυπνία τῆς νυκτός· τῶν ἀρχαρίων· τῶν μεσαίων· καὶ τῶν τελείων. τῶν ἀρχαρίων εἶναι ἡ α. νὰ κοιμᾶται τὴν μισὴν νύκτα, καὶ νὰ ἀγρυπνᾷ τὴν ἄλλην μισήν. ἢ ἀπὸ τὸ βράδυ ἕως τὸ μεσονύκτιον νὰ ἀγρυπνῇ· ἢ ἀπὸ τὸ μεσονύκτιον ἕως τὸ ταχύ. καὶ τὴν μισὴν νύκτα ὁποῦ ἀγρυπνεῖ, ποτὲ νὰ ψάλλῃ, ποτὲ νὰ προσεύχεται. τῶν μεσαίων εἶναι ἡ β. νὰ ἀγρυπνῇ τὸ βράδυ μίαν, ἢ δύο ὥρας, ἔπειτα νὰ κοιμᾶται τέσσαρας ὥρας, καὶ νὰ ἀσηκώνεται ὕστερα εἰς τὸν ὄρθρον νὰ ψάλλῃ καὶ νὰ προσεύχεται ὥρας ἕξ. τῶν τελείων εἶναι ἡ γ. πολιτεία, νὰ ἀπερνᾷ ὅλην τὴν νύκτα μὲ ἀγρυπνίαν, καὶ στάσιν.

Πλὴν ἡ ἡσυχία προτήτερα ἀπὸ κάθε ἄλλο χρειάζεται πίστιν, καὶ ὑπομονήν, καὶ ἀγάπην ἐξ ὅλης καρδίας, καὶ δυνάμεως, καὶ ἐλπίδα· διατὶ ἐκεῖνος ὁποῦ πιστεύει, ἂν καὶ δὲν ἐπιτύχῃ τὸ ποθούμενον εἰς ταύτην τὴν ζωήν, ἢ ἀπὸ ἀμέλειαν, ἢ ἀπὸ ἄλλην αἰτίαν· ὅμως εἰς τὸν θάνατόν του, ἀδύνατον εἶναι νὰ μὴ λάβῃ μὲ βεβαιότητα τοὺς καρποὺς τῆς πίστεως καὶ τοῦ κόπου του, καὶ τότε θέλει ἰδῆ τὴν ἐλευθερίαν, ἡ ὁποία εἶναι ὁ Ἰησοῦς Χριστός. ἀμὴ ὅποιος δὲν ἔχει πίστιν, ἐξάπαντος θέλει κατακριθῇ εἰς τὸν θάνατόν του. Ὅτι ἐκεῖνος ὁποῦ εἶναι δοῦλος εἰς ταῖς ἡδοναῖς τῆς σαρκός, καὶ ζητεῖ τὴν δόξαν τῶν ἀνθρώπων, καὶ ὄχι τοῦ Θεοῦ· αὐτός· λέγει· εἶναι ἄπιστος, ἀγκαλὰ καὶ φαίνεται πιστὸς μὲ τὸν λόγον, καὶ μὲ μοναχὴν τὴν ὁμολογίαν τῆς πίστεως· ὁ τοιοῦτος εἶναι πλανεμένος καὶ γελασμένος, καὶ δὲν τὸ ἰξεύρει· διατὶ θέλει ἀκούσει ἀπὸ τὸν Κύριον· ἐπειδὴ καὶ μὲ ἐκαταφρόνησες, καὶ δὲν μὲ ἔλαβες μέσα εἰς τὴν καρδίαν σου, ἀλλὰ μὲ ἀνεδίωξας, θέλω σὲ ἀποδιώξω καὶ ἐγὼ ἀπὸ κοντά μου. διατὶ ὁ πιστὸς πρέπει νὰ πιστεύῃ πῶς εἶναι ἀληθινὰ ὅλα τὰ λόγια τοῦ Θεοῦ, καὶ ὅλα κατορθώνονται, καὶ νὰ ὁμολογῇ τὴν ἐδικήν του ἀσθένειαν, διὰ νὰ μὴν κατακριθῇ μὲ διπλὴν κατάκρισιν, καὶ διατὶ δὲν τὰ κάμει μὲ τὸ ἔργον, καὶ διατὶ δὲν τὰ πιστεύει.

Κανένα ἄλλο πρᾶγμα δὲν ἠμπορεῖ νὰ προξενήσῃ καρδίαν συντετριμμένην, καὶ τεταπεινωμένην, ὡσὰν τὴν ἡσυχίαν, ὅταν γίνεται μὲ διάκρισιν, καὶ τὴν σιωπήν. καὶ πάλιν τὴν ἡσυχίαν δὲν τὴν βλάπτει ἄλλο, παρὰ αὐτὰ τὰ ἓξ πάθη· ἤγουν ἡ παῤῥησία· ἡ γαστριμαργία· ἡ πολυλογία· οἱ περισπασμοί· ἡ ὑπερηφάνεια· καὶ ἡ οἴησις. εἰς τὰ ὁποῖα ὅποιος συνειθίσῃ ζαλίζεται παντελῶς ὁ ταλαίπωρος, καὶ γίνεται ἀναίσθητος, καὶ ἂς εἶναι καὶ ὕστερα ἀφ' οὗ προκόψῃ εἰς τὴν ἀρετήν. Καὶ εἰ μὲν μετανοήσῃ, καὶ κάμῃ πάλιν ἀρχὴν μὲ πίστιν, καὶ προθυμίαν, θέλει ἐπιτύχῃ πάλιν τὸ ποθούμενον, καὶ μάλιστα ὅταν ταπεινώνεται, καὶ ἐρωτᾷ τοὺς πρακτικούς, καὶ ἐμπείρους μὲ πόθον πολύν. Εἰ δὲ καὶ τὸν κυριεύσῃ κανένα ἀπὸ τὰ πάθη ὁποῦ εἴπαμεν, τότε καὶ ὅλα τὰ ἄλλα κακὰ μαζὶ μὲ τὴν ἀπιστίαν ἔρχονται εἰς αὐτόν, καὶ κάνουν τὴν ψυχήν του ἔρημον ἀπὸ κάθε καλόν, καὶ γεμάτην ἀπὸ ὅλα τὰ πάθη καὶ ἀπὸ κάθε ζάλην καὶ σύγχυσιν τῶν δαιμόνων· καὶ γίνεται ὁ δυστυχὴς θυμώδης καὶ ἐχθρὸς τῶν ἡσυχαστῶν, καὶ κατήγορος, κινῶντας τὴν γλῶσσαν του ἐναντίον τους, ὡσὰν μαχαῖρι δίστομον.

Καὶ πάλιν χωρὶς νὰ ἔχῃ τινὰς τὴν ἐργασίαν τοῦ πένθους, δὲν εἶναι τρόπος νὰ ὑπομείνῃ τὴν στενοχωρίαν τῆς ἡσυχίας. διατὶ ἐκεῖνος ὁποῦ ἔχει τὸ πένθος, καὶ μελετᾷ μὲ τὸν νοῦν του ἐκεῖνα τὰ φοβερὰ πράγματα ὁποῦ ἔχουν νὰ ἀκολουθήσουν πρὶν τοῦ θανάτου, καὶ ὕστερα ἀπὸ τὸν θάνατον· αὐτὸς ἀποκτᾷ καὶ ὑπομονήν, καὶ ταπείνωσιν· τὰ δύω θεμέλια τῆς ἡσυχίας. Ἀμὴ ὅποιος ἡσυχάζει χω-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἰς αὐτὰς τὰς ἀρετάς, ἔχει πάντοτε τὴν οἴησιν ἤγουν τὴν κενοδοξίαν, καὶ τὴν ἀμέλειαν. καὶ ἀπὸ αὐτὰς τὰς δύο κακίας αὐξάνουσιν οἱ σκορπισμοὶ τοῦ νοός, καὶ μᾶς φέρνουσιν εἰς τὴν παράλυσιν καὶ ἀκηδίαν. καὶ τότε ἔρχεται ἡ θυγατέρα τῆς ἀμελείας, καὶ ἀκρασίας, ἤγουν ἡ φιλαυτία, καὶ κάμνει τὸ κορμὶ ὡσὰν παράλυτον, καὶ ἀδύνατον· καὶ τὸν νοῦν σκοτισμένον, καὶ πεπωρωμένον, ὅθεν καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀναχωρεῖ ἐκεῖθεν μὲ τὸ νὰ εὑρίσκεται πλῆθος λογισμῶν καὶ νοημάτων εἰς τὸν τόπον τῆς διανοίας.

Κανένα πρᾶγμα δὲν κάνει τόσον παραλελυμένην, ὀκνηράν, καὶ πεπωρωμένην, καὶ ἀνόητον τὴν ψυχὴν τοῦ ἐναρέτου, ὡσὰν τὴν φιλαυτίαν, ἤγουν τὴν ἄλογον φιλίαν τοῦ ἑαυτοῦ μας. ἡ ὁποία εἶναι μητέρα, καὶ αἰτία, καὶ τροφὸς τῶν παθῶν. διατὶ αὐτὴ προτιμᾷ περισσότερον ἀπὸ τοὺς κόπους τῆς ἀρετῆς τὴν ἀνάπαυσιν τοῦ σώματος, καὶ νομίζει διὰ γνῶσιν τὸ νὰ ὑγιαίνῃ τὸ κορμί, παρὰ νὰ κοπιάζῃ εἰς τὰ ἔργα τῆς ἀρετῆς θεληματικῶς, καὶ μάλιστα εἰς τοὺς ὀλίγους καὶ ἀλόγους ἱδρῶτας τῶν ἐντολῶν. καὶ μὲ τοῦτον τὸν τρόπον προξενεῖ μεγάλην ὀκνηρίαν, καὶ ἀδυναμίαν εἰς τὴν ψυχὴν τοῦ ἡσυχαστοῦ, καὶ δυναμώνει τὴν παράλυσιν εἰς τὰ ἔργα τῆς ἀσκήσεως τόσον, ὁποῦ τὴν κάνει ἀκαταπολέμητον.

## Πῶς πρέπει τινὰς νὰ ψάλλῃ.

Ἄλλοι ψάλλουσι (ἤγουν προσεύχονται μὲ τὸ στόμα ψαλμούς, καὶ ἄλλας προσευχάς, καὶ τροπάρια) ὀλίγον· καὶ ἄλλοι πολύ· καὶ ἄλλοι δὲν ψάλλουσι τελείως. ἀλλὰ σύ, μήτε πολὺ νὰ ψάλλῃς, διατὶ προξενεῖται σύγχυσις. μήτε τελείως, διατὶ ἀκολουθεῖ ἀμέλεια· ἀλλὰ νὰ ψάλλῃς ὀλίγον· ὅτι πᾶν μέτρον ἄριστον. ἐπειδὴ καὶ τὸ νὰ ψάλλῃ τινὰς πολύ, εἶναι τῶν πρακτικῶν, τὸ ὁποῖον τὸ κάνουν διὰ νὰ ἐννοοῦν ἐκεῖνα ὁποῦ ψάλλουν, καὶ διὰ νὰ κάνουν καὶ κόπον. ἀμὴ οἱ ἡσυχασταὶ μόνον διαχωρισμένοι νὰ προσεύχωνται εἰς μόνον τὸν Θεὸν μὲ μοναχὴν τὴν καρδίαν, ἀπέχοντες ἀπὸ τὰ νοήματα. διατὶ ἡσυχία κατὰ τὸν Ἅγιον Ἰωάννην τῆς Κλίμακος· δὲν εἶναι ἄλλο, παρὰ μία ἀποχή, καὶ ἀπόρριψις νοημάτων τῶν αἰσθητῶν, καὶ νοητῶν πραγμάτων. ἐπειδὴ καὶ ὁ νοῦς ἀφ' οὗ διακενώσῃ ὅλην τὴν δύναμιν εἰς τὴν πολλὴν ψαλμῳδίαν, ἀτονεῖ πλέον, καὶ δὲν ἠμπορεῖ νὰ προσεύχεται νοερῶς, καθὼς πρέπει· διὰ τοῦτο λέγει καὶ ὁ Ἅγιος Ἰωάννης τῆς Κλίμακος· τὴν νύκτα, τὴν περισσοτέραν ὥραν νὰ ἐξοδεύῃς εἰς τὴν προσευχήν. καὶ εἰς τὴν ψαλμῳδίαν, ὀλίγην ὥραν νὰ κάνῃς καὶ σύ. ὅταν βλέπῃς εἰς τὸ κάθισμά σου, πῶς ἡ προσευχὴ ἐνεργεῖ, καὶ δὲν παύει νὰ κινῆται εἰς τὴν καρδίαν, μὴν τὴν ἀφήσῃς, καὶ σηκωθῇς νὰ ψάλλῃς· ἀλλὰ κάθισαι, ἕως ὁποῦ ἡ προσευχὴ νὰ σὲ ἀφήσῃ οἰκονομικῶς μοναχή της. διατὶ ἀφήνεις τὸν Θεὸν ἀπὸ μέσα ἀπὸ τὴν καρδίαν ὁποῦ προσεύχεσαι, καὶ στέκεσαι νὰ λαλῇς μὲ αὐτὸν μὲ τὸ στόμα ἀπ' ἔξω διὰ μέσου τῆς ψαλμῳδίας. καὶ καταβαίνεις ἀπὸ τὰ ὑψηλὰ εἰς τὰ χαμηλά. καὶ κάμνεις καὶ σύγχυσιν, καὶ ταράττεις τὸν νοῦν σου ἀπὸ τὴν ἡσυχίαν καὶ ἀταραξίαν του. καὶ ὁ Θεὸς εἶναι εἰρήνη, ἔξω ἀπὸ κάθε σύγχυσιν, καὶ κραυγήν. καὶ ὁ ὕμνος μας πρέπει νὰ εἶναι ἀγγελικός, χωρὶς σύγχυσιν, καθὼς καὶ ἡ πολιτεία μας εἶναι ἀγγελική. ἐπειδὴ καὶ ἡ προσευχὴ ὁποῦ γίνεται μὲ τὸ στόμα, καὶ μὲ κραυγὴν αἰσθητήν, εἶναι τύπος τῆς νοερᾶς κραυγῆς τοῦ νοός, καὶ ἐκείνην σημαδεύει. ὅμως διὰ τὴν ἀμέλειαν τὴν ἐδικήν μας καὶ ἀμάθειαν, μᾶς ἐδιωρίσθη ἡ τοιαύτη ψαλμῳδία, διὰ νὰ ἀναβαίνωμεν ἀπὸ τὰ αἰσθητὰ εἰς τὰ νοη-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τά, καὶ ἀληθινά. Ὅτι εἰς ἐκείνους ὁποῦ δὲν ἠξεύρουν τὴν νοερὰν προσευχήν, εἰς αὐτοὺς ἐδόθη νὰ ψάλλουν πολύ, καὶ νὰ προσεύχωνται πολλὰ καὶ διάφορα, καὶ ὑπὲρ τὸ μέτρον, καὶ ποτὲ τοὺς νὰ μὴν παύουν, ἕως ὁποῦ νὰ ἀποκάμουν ἀπὸ τὴν πολλήν, καὶ κοπιαστικὴν πρᾶξιν, καὶ ἔτζι νὰ προκόψουν εἰς τὴν θεωρίαν, καὶ νὰ εὕρουν τὴν νοερὰν προσευχὴν ὁποῦ νὰ ἐνεργῇ μέσα εἰς τὴν καρδίαν τους. διότι ἄλλη εἶναι ἡ πρᾶξις τῶν ἡσυχαστῶν, καὶ ἄλλη τοῦ Κοινοβίου. πλὴν κάθε ἕνας ἐὰν μείνῃ εἰς ἐκεῖνο ὁποῦ ἐπροσκαλέσθη ἀπὸ τὸν Θεόν, θέλει σωθῇ κατὰ τὸν Ἀπόστολον. διὰ τοῦτο φοβοῦμαι νὰ γράφω διὰ τοὺς ἀρχαρίους, ἐπειδὴ καὶ συναναστρέφεσαι μὲ αὐτούς. ὅτι ἐκεῖνος ὁποῦ μεταχειρίζεται τὴν νοερὰν προσευχήν, ἢ ἐξ ἀκοῆς, ἢ καὶ ἀπὸ μάθησιν τῶν βιβλίων, πρέπει νὰ προσέχῃ καλὰ εἰς τὰ γραφόμενα, διὰ νὰ μὴν πλανεθῇ. ἀμὴ ἐκεῖνος ὁποῦ ἐγεύθη τὸ μέλι τῆς χάριτος τοῦ Θεοῦ μὲ τὴν δοκιμήν, ἔχει χρέος νὰ ψάλλῃ σύμμετρα, καὶ τὸν περισσότερον καιρὸν νὰ καταγίνεται εἰς τὴν προσευχήν. Ὁπόταν δὲ τοῦ ἔλθῃ ἀμέλεια, τότε πρέπει νὰ ψάλλῃ, ἢ νὰ κάνῃ ἀνάγνωσιν εἰς τὰ πρακτικὰ τῶν Πατέρων, διὰ νὰ μαθαίνῃ τί ἔκαμαν οἱ Πατέρες, καὶ ἐσώθησαν. Εἰ δὲ καὶ μερικοὶ λέγουν, ὅτι πολλοὶ Πατέρες ἐστέκοντο ὅλην τὴν νύκτα, καὶ ἔψαλαν, καὶ εἰς τὴν νοερὰν προσευχὴν δὲν ἐκαταγίνοντο. Τοὺς ἀποκρινόμεθα ἀπὸ τὰς γραφάς, ὅτι ὅλων τῶν Πατέρων τὰ ἔργα, δὲν εἶναι ὅλα τέλεια. καὶ ὅτι ἡ μικραῖς ἀρεταῖς εἰς τοὺς μεγάλους Πατέρας δὲν εἶναι μικραῖς, ἐπειδὴ καὶ εἶναι δυνατοί, καὶ ταῖς μεταχειρίζονται καθὼς θέλουν. ἀμὴ ἡ μεγάλαις ἀρεταῖς εἰς τοὺς μικροὺς δὲν εἶναι μεγάλαις, καὶ τέλειαις, ἐπειδὴ καὶ εἶναι ἀδύνατοι καὶ δὲν ἠμποροῦν νὰ ταῖς μεταχειρισθοῦν καθὼς πρέπει.

Εἰς δὲ τοὺς τελείους ὅλα γίνονται μὲ εὐκολίαν. διατὶ τόσον παλαιά, ὡσὰν καὶ τώρα οἱ Πατέρες δὲν ἦσαν ὅλοι πρακτικοί, μήτε ὅλοι θεωρητικοί. μήτε ὅλοι οἱ πρακτικοὶ ἔμειναν ἕως τέλους εἰς τὴν πρᾶξιν, ὅτι πολλοὶ ἀνέβηκαν εἰς τὴν θεωρίαν, καὶ ἄφησαν τὴν πρᾶξιν, καὶ ἔπαυσαν ἀπὸ ὅλα, καὶ εὐφραίνοντο εἰς μόνην τὴν θεωρίαν τοῦ Θεοῦ, ὄντες πλέον χορτασμένοι ἀπὸ τὴν θείαν τρυφήν. οἱ ὁποῖοι δὲν εἶχαν ἄδειαν καὶ εὐκαιρίαν νὰ ψάλλουν, ἢ νὰ μελετοῦν ἄλλο τι τῆς χάριτος, μὲ τὸ νὰ εὑρίσκοντο εἰς ἔκστασιν τῆς θεωρίας τοῦ Θεοῦ, ἕως ὁποῦ ἔφθασαν νὰ ἀπολαύσουν εἰς τὴν παροῦσαν ζωὴν ἀκόμι, τὸ ποθούμενον, πλὴν μερικῶς, καὶ ὡσὰν ἀρραβῶνα, καὶ ὄχι καθόλου, καὶ ἐντελῶς. ἄλλοι πάλιν ἀπὸ τοὺς Πατέρας ἔμειναν ἕως τέλους εἰς τὴν πρᾶξιν μοναχά, καὶ ἐσώθηκαν, προσμένοντες νὰ λάβουν εἰς τὴν ἄλλην ζωὴν τὴν ἀνταπόδοσιν. Καὶ μερικοὶ πάλιν ἐπληροφορήθησαν εἰς τὴν ὥραν τοῦ θανάτου τους. ἢ καὶ ὕστερα ἀφ' οὗ ἀπέθαναν εὐωδίασαν τὰ Ἅγια λείψανά τους, διὰ νὰ γένῃ βέβαιον ὅτι ἐσώθησαν, ὡσὰν ὁποῦ ὅλοι εἶχαν τὴν χάριν ἀπὸ τὸν καιρὸν τοῦ Βαπτίσματος, πλὴν διὰ πολλὰς αἰτίας δὲν ἐγεύθηκαν ὅλοι τὸ μέλι τῆς χάριτος εἰς τὴν παροῦσαν ζωήν· καὶ δὲν τὴν ἀπόλαυσαν, καθὼς ἄλλοι πολλοί.

Πάλιν μερικοὶ Πατέρες καταγίνονται καὶ εἰς τὴν ψαλμῳδίαν, καὶ εἰς τὴν προσευχήν, καὶ ἔτζι ἀπερνοῦν ὅλην τους τὴν ζωήν, καὶ προκόπτουν καὶ εἰς τὰ δύο, καὶ ἔχουν πλουσίαν τὴν θείαν χάριν, καὶ δὲν ἐμποδίζονται ἀπὸ κανένα πρᾶγμα. Ἄλλοι πάλιν ἕως τέλους ἐκράτησαν τὴν ἡσυχίαν, καὶ ἐκαταγίνοντο μοναχὰ εἰς τὴν προσευχὴν πολλὰ σοφῶς, ὡσὰν ὁποῦ ἑνώθησαν καὶ ἔγιναν ἕνα μὲ μοναχὸν τὸν Θεὸν αὐτοὶ μοναχοί. ὅτι οἱ τέλειοι, ὡς



Athos Library
Αγιορειτική Βιβλιοθήκη

εἴπαμεν, ὅλα δύναται νὰ τὰ κατορθώσῃ ἐν τῷ ἐνδυναμοῦντι αὐτὸν Χριστῷ.

## Πῶς πρέπει τινὰς νὰ τρώγῃ.

Διὰ δὲ τὴν κοιλίαν τὴν βασίλισσαν τῶν παθῶν· τί νὰ εἰπῶ; ἀνίσως καὶ ἠμπορέσῃς νὰ τὴν νεκρώσῃς, καὶ νὰ τὴν κάμῃς μισαποθαμμένην, μὴν τὴν λυπηθῇς. διατὶ ἐμένα μὲ ἐκυρίευσε τελείως, καὶ τὴν λατρεύω, καὶ τὴν κάνω ἐκεῖνο ὁποῦ μὲ προστάξῃ, ὡσὰν σκλάβος. αὐτὴν λέγω τὴν κοιλίαν ὁποῦ εἶναι συνεργὸς τῶν δαιμόνων· κατοικητήριον τῶν παθῶν, ὅταν βρίσκεται εἰς ἀταξίαν, καὶ δὲν ἔχει καμμίαν κατάστασιν. ὅτι ἀπὸ αὐτὴν προξενεῖται ὁ κρημνισμός μας, καὶ πάλιν ἀπὸ αὐτὴν, ὅταν βαλθῇ εἰς τάξιν, προξενεῖται ἡ ἀνάστασις καὶ διόρθωσίς μας. διὰ αἰτίας της ἐχάσαμεν τὴν χάριν καὶ τὸ ἀξίωμα ὁποῦ ἐλάβαμεν, καὶ τὸ α΄. εἰς τὸν Παράδεισον, καὶ τὸ β΄. εἰς τὸ Ἅγιον Βάπτισμα, καὶ διὰ τοῦτο ἐξεπέσαμεν ἀπὸ τὴν χάριν τοῦ Θεοῦ, διὰ τὴν ἀμέλειαν ὁποῦ ἔχομεν εἰς τὰς ἐντολάς του. ἡ ὁποίαις φυλάττουν καὶ αὐξάνουν τὴν χάριν τοῦ Θεοῦ εἰς ἐκείνους ὁποῦ ἔχουν ἐπιμέλειαν, καὶ φροντίζουν διὰ τὴν προκοπὴν τῆς ψυχῆς τους, ἀγκαλὰ καὶ ἡμεῖς ὑπερηφανευόμεσθα, καὶ νομίζομεν πῶς εἴμεσθεν ἑνωμένοι μὲ τὸν Θεὸν, καὶ δὲν ἐξεπέσαμεν ἀπὸ τὴν χάριν του.

Ὡς τόσον οἱ Πατέρες μας, λέγουν διὰ τὸ φαγὶ, ὅτι τὰ σώματά μας ἔχουν πολλὴν διαφορὰν τὸ ἕνα ἀπὸ τὸ ἄλλο εἰς τὴν τροφήν. καὶ ἄλλος χρειάζεται νὰ φάγῃ ὀλίγον· καὶ ἄλλος χρειάζεται πολὺ, διὰ τὴν σύστασιν τῆς φυσικῆς του δυνάμεως. καὶ κάθε ἕνας κατὰ τὴν δύναμιν, καὶ τὴν κατάστασιν τοῦ σώματός του, χρειάζεται καὶ τὸ φαγί του. Ὅμως ἐκεῖνος ὁποῦ ἡσυχάζει παντοτινὰ, ἔχει χρέος νὰ μὴ χορταίνῃ ποτὲ, ἀλλὰ νὰ ἀσηκώνεται ἀπὸ τὸ τραπέζι ἀκόμι πεινασμένος. διατὶ ὡσὰν βαρύνῃ πολλὰ τὸ στομάχι ἀπὸ τὰ φαγητὰ, θολώνεται ὁ νοῦς του, καὶ δὲν ἠμπορεῖ πλέον μήτε τὴν προσευχήν νὰ εἰπῇ καθαρὰ καὶ καθὼς πρέπει. ἀλλὰ ἀπὸ τὴν ἀναθυμίασιν τῶν πολλῶν φαγητῶν ἔρχεται εἰς ὕπνον, καὶ ζητεῖ νὰ κοιμηθῇ τὸ γληγορώτερον. καὶ τότε βλέπει καὶ ὀνείρατα, καὶ φαντασίας πολλὰς, καὶ αἰσχρὰς εἰς τὸν ὕπνον του.

Ὅθεν εἰς ἐκεῖνον ὁποῦ ἀγαπᾷ νὰ σωθῇ, καὶ ὁποῦ κάνει βίαν τοῦ ἑαυτοῦ του, διὰ τὸν Κύριον, νὰ ζῇ ἡσυχαστικὰ, καθὼς λογιάζω, ἀρκετὸν εἶναι εἰς αὐτὸν, μία λίτρα ψωμὶ, καὶ νερὸν, ἢ καὶ κρασὶ κατὰ τὴν ἡμέραν· τρία, ἢ τέσσαρα ποτήρια. καὶ νὰ τρώγῃ ὀλίγον καὶ ἀπὸ ὅλα τὰ φαγητὰ ὁποῦ τύχουν εἰς ἐκεῖνον τὸν καιρόν. ὅμως νὰ μὴν χορταίνῃ, διὰ νὰ ἠμπορέσῃ μὲ τοῦτον τὸν τρόπον νὰ φύγῃ τὴν ὑπερηφάνειαν, μὲ τὸ νὰ τρώγῃ ἀπὸ ὅλα τὰ φαγητὰ, καὶ νὰ μὴν τὰ συγχαίνεται, ὡσὰν ὁποῦ εἶναι ποιήματα τοῦ Θεοῦ, καὶ καλὰ λίαν, καὶ νὰ εὐχαριστᾷ τὸν Θεὸν διὰ πάντα. ὅτι αὐτὴ εἶναι ἡ διάκρισις τῶν φρονίμων. Ἀμὴ εἰς ἐκείνους ὁποῦ εἶναι ἀσθενεῖς εἰς τὴν ψυχὴν, καὶ εἰς τὴν πίστιν, καὶ δὲν ἔχουν στερέωσιν, συμφέρει καλήτερα νὰ ἀπέχουν ἀπὸ τὰ φαγητά. ὅτι αὐτοὺς ἐπρόσταξεν ὁ θεῖος Παῦλος νὰ τρώγουν λάχανα, μὲ τὸ νὰ μὴν ἔχουν πίστιν στερεὰν, πῶς φυλάττονται ἀπὸ τὸν Θεὸν, ὁ ὁποῖος ἔχει τὴν πρόνοιάν του εἰς ὅλα τὰ ποιήματά του.

Εἰς ἐσένα δὲ ὁποῦ μοῦ ἐζήτησες κανόνα εἰς τὰ φαγητὰ, τί νὰ εἰπῶ, ὁποῦ εἶσαι γέροντας; Εἶναι νέοι καὶ δὲν ἠμποροῦν νὰ τρώγουν ζυγιασμένον καὶ μετρημένον ψωμί; καὶ πῶς ἠμπορεῖς νὰ τὸ κάμῃς ἐσὺ ὁ γέροντας; διὰ τοῦτο πρέπει νὰ ἔχῃς ἐλευθερίαν εἰς κάθε φαγί. εἰ δὲ καὶ νικηθῇς νὰ φάγῃς παραπάνω, λυ-

Athos Library
Αγιορειτική Βιβλιοθήκη

πέσῃ εἰς τοῦτο, καὶ μετανόησε, κατηγορῶντας τὸν ἑαυτόν σου πῶς εἶσαι ἀκρατής, καὶ βάλε πάλιν ἀρχὴν νὰ ἐγκρατεύεσαι. καὶ τοῦτο μὴ παύσῃς νὰ τὸ κάνῃς πάντοτε, ἤγουν πέφτωντας, νὰ ἀσηκώνεσαι παρευθύς, καὶ σφάλωντας νὰ διορθώνεσαι, καὶ νὰ κατακρίνῃς τὸν ἑαυτόν σου, καὶ ὄχι ἄλλον· καὶ ἔτζι θέλεις εὕρῃ ἀνάπαυσιν, κάνωντας τὴν νίκην μὲ τὰ πεσίματα ὁποῦ παθαίνεις, ἐπειδὴ καὶ κατακρίνεις τὸν ἑαυτόν σου, καὶ μετανοεῖς, καὶ ταπεινώνεσαι.

Πλὴν μὴν παραβαίνῃς τὸν κανόνα ὁποῦ εἴπαμεν, καὶ εἶναι ἀρκετὸν αὐτὸ εἰς ἐσένα. Ὅτι τὰ ἄλλα φαγητὰ δὲν δυναμώνουν τόσον τὸ κορμί, ὡσὰν τὸ ψωμὶ καὶ τὸ νερόν· καὶ διὰ αὐτὰ ἔλεγε καὶ ὁ Προφήτης· υἱὲ ἀνθρώπου, φάγε μὲ τὸ ζύγι τὸ ψωμί σου, καὶ πίε μὲ τὸ μέτρον τὸ νερόν σου. Τὸ δὲ φαγὶ τρία μέτρα ἔχει. ἐγκράτειαν· αὐτάρκειαν· κόρον. ἐγκράτεια εἶναι, τὸ νὰ ἀσηκώνεται τινὰς πεινασμένος ἀπὸ τὸ φαγί. αὐτάρκεια εἶναι, τὸ νὰ τρώγῃ τὸ ἀρκετόν του, μήτε πεινασμένος νὰ εἶναι, μήτε χορτάτος. κόρος εἶναι τὸ νὰ βαρυνθῇ τὸ στομάχι του ὀλίγον ἀπὸ τὴν πολυφαγίαν. ἀλλὰ ἀφ' οὗ χορτάσῃ τινάς, ὕστερα πάλιν νὰ τρώγῃ· τοῦτο εἶναι ἡ πόρτα τῆς γαστριμαργίας, καὶ μὲ αὐτὴν μαζὶ ἔρχεται καὶ ἡ πορνεία. λοιπὸν διάλεξαι καὶ σὺ τὸ καλήτερον κατὰ τὴν δυνάμιν σου, καὶ μὴ εὐγαίνῃς ἀπὸ τὸ μέτριον ἢ εἰς ὑπερβολὴν, ἢ εἰς ἔλλειψιν· ὅτι τὸ νὰ πεινᾷ τινάς, καὶ νὰ χορταίνῃ, καὶ εἰς ὅλα νὰ εἶναι δυνατός, καὶ νὰ μὴν βλάπτεται, τοῦτο εἶναι τῶν τελείων.

## Περὶ πλάνης ὁμοῦ, καὶ περὶ ἄλλων ὑποθέσεων.

Πρέπει νὰ ἰξεύρῃς μὲ ἀκρίβειαν καὶ διὰ τὴν πλάνην, διὰ νὰ φυλάττεσαι ἀπὸ αὐτήν, καὶ νὰ προσέχῃς καλὰ διὰ νὰ μὴν θανατώσῃς τὴν ψυχήν σου· διατὶ ἡ προαίρεσις τοῦ ἀνθρώπου· μάλιστα τοῦ ἀρχαρίου, καὶ ἰδιορρύθμου, εὔκολα κλίνει εἰς τὸ νὰ ἔχῃ συγκοινωνίαν, καὶ συναναστροφὴν μὲ τοὺς δαίμονας· οἱ ὁποῖοι τριγυρίζουν πάντοτε τοὺς τοιούτους, καὶ τοὺς στένουν ὁλοῦθεν παγίδας, καὶ τοὺς φτιάνουν λάκκους μὲ τοὺς λογισμούς, καὶ φαντασίας, διὰ νὰ τοὺς κρημνίσουν. Καὶ δὲν πρέπει τινὰς νὰ θαυμάζῃ ἀνίσως καὶ τινὰς ἐπλανέθη, καὶ λέγει, ἢ κάνει ἄλλα ἀντ' ἄλλων· ἐκεῖνα ὁποῦ δὲν πρέπουν, καὶ διὰ τοῦτο συγχίζει καὶ πολλοὺς χριστιανοὺς ὁποῦ δὲν ἔχουν τὴν εἴδησιν εἰς παρόμοια πράγματα, καὶ προξενεῖ ὄνειδος καὶ καταφρόνησιν εἰς τοὺς ἡσυχαστάς. διατὶ δὲν εἶναι θαυμαστὸν νὰ πλανεθῇ κανένας ἀρχάριος, καὶ ἰδιόρρυθμος, καὶ ἂς ἔχῃ καμωμένους καὶ πολλοὺς κόπους εἰς τὴν ἄσκησιν· ἐπειδὴ καὶ τοῦτο ἐσυνέβη νὰ γένῃ εἰς πολλούς, καὶ παλαιούς, καὶ νέους. Ὅτι ἡ ἐνθύμησις τοῦ ὀνόματος τοῦ Θεοῦ, ἤγουν ἡ νοερὰ προσευχή, μὲ τὸ νὰ εἶναι ἡ πλέον ὑψηλότερη ἀπὸ ὅλας τὰς ἄλλας ἐργασίας, καὶ ἡ κεφαλὴ ἐπάνω εἰς ὅλας τὰς ἀρετάς, ὡσὰν ὁποῦ εἶναι ἀγάπη εἰς τὸν Θεόν· ἡ ὁποία εἶναι ἡ πρώτη πασῶν τῶν ἐντολῶν· χρειάζεται καὶ μεγάλην προσοχήν, καὶ εὐλάβειαν, καὶ φόβον πολύν. καὶ ὅποιος θελήσῃ νὰ μεταχειρισθῇ αὐτὸ τὸ ἀξιοθαύμαστον ἔργον τῆς νοερᾶς προσευχῆς μὲ αὐθάδειαν, ἀποκοτίαν, καὶ ἀνευλάβειαν, καὶ ζητήσῃ χωρὶς φόβον νὰ λέγῃ θαρρετὰ τὸ ὄνομα τοῦ Θεοῦ μέσα εἰς τὸν ἑαυτόν του, καὶ νὰ πλησιάσῃ εἰς τὸν Θεὸν μὲ τόλμην μεγάλην, ἐκεῖνος βέβαια, (ἀνίσως καὶ παραχωρήσῃ ὁ Θεός) μὲ εὐκολίαν πλανᾶται, καὶ θανατώνεται ἀπὸ τοὺς δαίμονας. διατὶ ζητεῖ μὲ ὑπερηφανίαν καὶ αὐθάδειαν νὰ φθάσῃ ἐκεῖνα ὁποῦ δὲν εἶναι τῆς δυνάμεώς του, καὶ τῆς ἐδικῆς του κα-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

στάσεως, καὶ διατὶ βιάζεται μὲ τόλμην, καὶ ἀδιαντροπίαν, πρὸ τοῦ νὰ ἔλθῃ ὁ καιρός του, νὰ ἀποκτήσῃ τὸν Θεὸν μέσα εἰς τὸν ἑαυτόν του διὰ μέσου τῆς νοερᾶς προσευχῆς. καὶ διὰ τοῦτο πολλαῖς φοραῖς ὁ πολυεύσπλαγχνος Κύριός μας μᾶς εὐσπλαγχνίζεται διὰ τὴν ὑπερηφάνειάν μας, ὅταν μᾶς βλέπῃ πῶς εἴμεσθε τόσον τολμηροὶ εἰς παρόμοια ὑψηλὰ πράγματα, καὶ δὲν παραχωρεῖ νὰ πειραχθοῦμεν ἀπὸ τοὺς δαίμονας, διὰ νὰ ἔλθωμεν εἰς αἴσθησιν μοναχοί μας νὰ γνωρίσωμεν τὴν κατάστασίν μας, καὶ τὴν ὑπερηφάνειάν μας, καὶ νὰ μετανοήσωμεν, καὶ νὰ γυρίσωμεν ὀπίσω, ἀφ' ἑαυτοῦ μας, νὰ διορθωθοῦμεν, πρὶν νὰ γένωμεν ὄνειδος τῶν δαιμόνων, καὶ γέλως, ἢ κλαυθμὸς εἰς τοὺς ἀνθρώπους. Διατὶ αὐτὸ τὸ θαυμαστὸν, καὶ ὑψηλὸν ἔργον· ὡς εἴπομεν· ἐκεῖνος ὁποῦ θέλει νὰ τὸ μεταχειρισθῇ, πρέπει νὰ ἐρωτᾷ τοὺς ἐμπείρους διὰ νὰ τὸν μάθουν τί λογῆς νὰ τὸ μεταχειρίζεται, καὶ νὰ δείχνῃ εἰς αὐτοὺς ὑποταγὴν, καὶ ὑπακοὴν ἄκραν, καὶ τότε νὰ κάνῃ ἀρχὴν μὲ φόβον Θεοῦ καὶ ταπείνωσιν, καὶ νὰ ὑπομένῃ μὲ μεγάλην μακροθυμίαν, εἰς αὐτὴν τὴν ἐργασίαν, διὰ νὰ μὴν θερίσῃ ἀκάνθια, ἀντὶ διὰ σιτάρι· καὶ διὰ νὰ μὴν εὕρῃ ἀπώλειαν, ἀντὶ διὰ σωτηρίαν. Λοιπὸν καὶ σὺ ἀδελφὲ, ἀνίσως καὶ ἡσυχάζῃς, καὶ ἔχεις αὐτὸ τὸ ἔργον καθὼς πρέπει, καὶ ἐλπίζῃς πῶς εἶσαι ἑνωμένος μαζὶ μὲ τὸν Θεὸν διὰ μέσου τῆς νοερᾶς προσευχῆς. πρόσεχε καλὰ, νὰ μὴν δεχθῇς ποτέ σου, ὅ, τι πρᾶγμα καὶ ἂν ἰδῇς· ἢ αἰσθητὸν ἢ νοητὸν, ἢ ἀπ' ἔξω φανῇ, ἢ ἀπὸ μέσα εἰς τὸν ἑαυτόν σου· μήτε νὰ φαντάζεσαι μὲ τὸν νοῦν σου, καὶ νὰ τυπώνῃς σχῆμα, ἢ μορφὴν, καὶ εἰκόνα Χριστοῦ, ἢ Ἀγγέλου, ἢ Ἁγίου, καὶ νὰ σοῦ φαίνεται, πῶς βλέπεις παρόμοια, διατὶ καὶ αὐτὸς ὁ νοῦς φυσικὰ ἀπὸ λόγου του ἔχει τὸ φανταστικὸν, καὶ εὔκολα φαντάζεται ἐκεῖνα ὁποῦ ἐπιθυμεῖ, καὶ προξενεῖ μεγάλην βλάβην εἰς ἐκείνους ὁποῦ δὲν προσέχουν καλά. Ἀκόμι καὶ μοναχὴ ἡ ἐνθύμησις τῶν καλῶν πραγμάτων, ἢ τῶν κακῶν συνηθίζει νὰ γίνεται εἰς τὸν νοῦν τοῦ ἀνθρώπου μὲ φαντασίαν, καὶ ὅ, τι τοῦ ἔλθῃ εἰς τὴν μνήμην, καὶ τὸ ἐνθυμηθῇ, τὸ φαντάζεται. καὶ ὅποιος τὰ δέχεται αὐτὰ, γίνεται φανταστὴς, καὶ ὄχι ἡσυχαστής.

Διὰ τοῦτο δὲν πρέπει εὔκολα νὰ πιστεύῃς κάθε πρᾶγμα, καὶ ἂς εἶναι καὶ καλὸν, καὶ νὰ τὸ δέχεσαι, πρὸ τοῦ νὰ ἐξετάσῃς καλὰ τὸ πρᾶγμα, καὶ νὰ ἐρωτήσῃς τοὺς ἐμπείρους, διὰ νὰ μὴν βλαφθῇς· ἀλλὰ ὅταν συμβαίνῃ παρόμοιον πρᾶγμα νὰ μὴν τὸ δέχεσαι μὲ εὐκολίαν, ἀλλὰ νὰ στέκεσαι βαρὺς εἰς αὐτὸ, καὶ νὰ φυλάττῃς τὸν νοῦν σου προσεκτικὰ χωρὶς κανένα σχῆμα, ἢ μορφὴν, ἢ χρῶμα. Ὅτι πολλαῖς φοραῖς καὶ ὁ Θεὸς διὰ νὰ δοκιμάσῃ τοὺς ἀγωνιστὰς, τοὺς στέλνει κανένα παρόμοιον πρᾶγμα, θέλοντας νὰ ἰδῇ τὴν προαίρεσίν τους ποῦ κλίνει. καὶ ὅποιος ἰδῇ κανένα τοιοῦτον πρᾶγμα ἢ μὲ τὸν νοῦν του, ἢ μὲ τὰ μάτιά του, καὶ ἀπὸ τὸν Θεὸν νὰ εἶναι, ἀνίσως καὶ τὸ δεχθῇ, χωρὶς ἐξέτασιν, καὶ ἐρώτησιν τῶν ἐμπείρων, ἐκεῖνος εὔκολα πλανᾶται ἀπὸ τὸν διάβολον, ὡς εὐκολόπιστος.

Ὅθεν εἶναι χρεία ὁ κάθε ἕνας μάλιστα ὁ ἀρχάριος νὰ καταγίνεται εἰς τὴν ἐνέργειαν ὁποῦ κάνει ἡ καρδία του εἰς τὴν νοερὰν προσευχὴν, ὅτι ἐκεῖ πλάνη δὲν χωρεῖ· καὶ ἔξω ἀπὸ αὐτὸ νὰ μὴ δέχεται κανένα ἄλλο, ἕως ὁποῦ νὰ εἰρηνεύσουν τὰ πάθη. Ὅτι καὶ ὁ πανάγαθος Θεὸς δὲν ὀργίζεται ἐκεῖνον ὁποῦ προσέχει καλὰ εἰς τὸν ἑαυτόν του, διὰ νὰ μὴν πλανεθῇ, καὶ διὰ τοῦτο φοβεῖται καὶ δὲν δέχεται μήτε ἐκεῖνα ὁποῦ εἶναι ἐκ Θεοῦ,



Athos Library
Αγιορειτική Βιβλιοθήκη

χωρὶς νὰ ἐξετάσῃ καλὰ καὶ νὰ ἐρωτήσῃ τοὺς ἐμπείρους. ἀλλὰ μάλιστα καὶ τὸν ἐπαινοῦν ὡς προσεκτικόν, καὶ στοχαστικόν.

Πλὴν δὲν πρέπει νὰ ἐρωτᾷ περὶ τούτου, καθε ἕναν ὁποῦ εὕρῃ, ἀλλὰ μόνον ἕνα ἐνάρετον ἄνθρωπον, καὶ πνευματικὸν ἔμπειρον ὁποῦ νὰ ἔχῃ εἰς τὴν ἐπίσκεψίν του καὶ ἄλλους ἀδελφούς, καὶ νὰ εἶναι εἰς τὰ τοιαῦτα ἔμπειρος καὶ προκομμένος· ὅτι δὲν ἠμπορεῖ ὁ καθε ἕνας ἁπλῶς νὰ ὁδηγήσῃ καὶ ἄλλους, χωρὶς νὰ ἔχῃ τὸ χάρισμα τῆς διακρίσεως, καὶ νὰ διακρίνῃ τὸ καλὸν ἀπὸ τὸ κακόν. διατὶ καθε ἄνθρωπος ἔχει γνῶσιν ἀπὸ λόγου του, καὶ διάκρισιν, ἢ φυσικήν, ἢ ἀπὸ πρᾶξιν, ἢ ἀπὸ μάθησιν, μὰ τὴν διάκρισιν τοῦ Ἁγίου Πνεύματος δὲν τὴν ἔχουν ὅλοι. καὶ δὲν εἶναι ὀλίγος κόπος νὰ ἐπιτύχῃ τινὰς τέτοιον ἄνθρωπον διακριτικόν, ἀπλανῆ καὶ εἰς τὰ ἔργα, καὶ εἰς τὰ λόγια, καὶ εἰς τὰ νοήματα, καὶ νὰ τὸν ἔχῃ ὁδηγόν του πνευματικόν. Καὶ τὸ σημάδι πῶς δὲν πλανᾶται δὲν εἶναι ἄλλο, πάρεξ αὐτὸς καὶ ὅ,τι λέγει, καὶ ὅ,τι κάνει, καὶ ὅ,τι φρονεῖ, ἔχῃ μαρτυρίαν εἰς καθε τι ἀπὸ τὴν θείαν γραφήν· καὶ νὰ εἶναι μετριόφρων εἰς ἐκεῖνα ὁποῦ πρέπει νὰ φρονῇ. Ἐπειδὴ καὶ ὁ διάβολος ἔχει συνήθειαν νὰ δείχνῃ τὴν πλάνην του μὲ σχῆμα ἀληθείας· μάλιστα εἰς τοὺς ἀρχαρίους, καὶ νὰ μετασχηματίζῃ ὅλα τὰ ἐδικά του τὰ πονηρά, νὰ φαίνωνται ὡς πνευματικά.

Διὰ τοῦτο ὁποῖος ἐπιθυμεῖ νὰ φθάσῃ εἰς τὴν καθαρὰν προσευχήν, πρέπει νὰ ἀπερνᾷ τὴν ζωήν του μὲ ἡσυχίαν, καὶ φόβον πολύν, καὶ πένθος, καὶ ὁδηγίαν τῆς ἐρωτήσεως τῶν ἐμπείρων, καὶ νὰ λυπᾶται, καὶ νὰ κλαίῃ πάντοτε διὰ τὰς ἁμαρτίας του, καὶ νὰ τρέμῃ ὅλος ἀπὸ τὸν φόβον του, διὰ νὰ μὴν κολασθῇ, καὶ χωρισθῇ ἀπὸ τὸν Θεόν, καὶ ἐδῶ, καὶ εἰς τὴν ἄλλην ζωήν. Ὅτι ὁ διάβολος ὅταν ἰδῇ κανένα ὁποῦ νὰ ἀπερνᾷ τὴν ζωήν του μὲ πένθος, καὶ κλαυθμόν, δὲν ὑποφέρει νὰ σταθῇ ἐκεῖ κοντὰ εἰς αὐτόν, ἐπειδὴ καὶ φοβᾶται πολλά, καὶ καίεται ἀπὸ τὴν ταπείνωσιν ὁποῦ προξενεῖ ὁ κλαυθμός, καὶ φεύγει ἐκεῖθεν ὡς ὑπερήφανος· καὶ πηγαίνει εἰς ἐκεῖνον ὁποῦ φαντάζεται τὰ ὑψηλὰ μὲ ὑπερηφάνειαν, ὡς εἴπαμεν ἀνωτέρω, καὶ ζητεῖ μὲ αὐθάδειαν νὰ φθάσῃ ἐκεῖνα ὁποῦ δὲν εἶναι τῆς δυνάμεώς του, καὶ εἰς αὐτὸν κοντὰ στέκεται, ὡσὰν ὁποῦ εἶναι ἐδικός του μὲ τὴν ὑπερηφάνειαν· καὶ αὐτοῦ εὔκολα τὸν πιάνει εἰς τὰ δίκτυά του. ὥστε ὁποῦ μεγαλώτατον ἅρμα εἶναι νὰ ἔχῃ τινὰς μαζὶ μὲ τὴν προσευχὴν καὶ τὸ πένθος, διὰ νὰ μὴν πέφτῃ εἰς κενοδοξίαν ἀπὸ τὴν χαρὰν τῆς προσευχῆς, ἀλλὰ νὰ ἔχῃ καὶ τὴν χαρὰν τῆς προσευχῆς, νὰ βαστᾷ καὶ τὸ πένθος, καὶ τὴν ταπείνωσιν, διὰ νὰ φυλάττῃ τὸν ἑαυτόν του ἀβλαβῆ. Ἐπειδὴ καὶ ἡ ἀληθινὴ προσευχὴ εἶναι ἡ θερμότης ἐκείνη τῆς καρδίας ὁποῦ διεγείρεται μαζὶ μὲ τὴν προσευχὴν τοῦ, Κύριε Ἰησοῦ Χριστέ. ἡ ὁποία· καθὼς λέγει εἰς τὸ Ἱερὸν Εὐαγγέλιον· ἦλθε διὰ νὰ βάλῃ φωτίαν εἰς τὴν γῆν τῆς καρδίας μας, ὁποῦ νὰ φλογίζῃ τὰ πάθη, καὶ νὰ προξενῇ χαρὰν καὶ ἡμερότητα εἰς τὴν ψυχήν μας. τὴν ὁποίαν πόθησον καὶ σύ, ἀδελφέ, νὰ τὴν εὕρῃς μέσα εἰς τὴν καρδίαν σου, καὶ νὰ τὴν ἀποκτήσῃς, φυλάττωντας πάντοτε τὸν νοῦν σου ἀφαντάστον, καὶ χωρὶς λογισμοὺς καὶ νοήματα· καὶ μὴ φοβᾶσαι· ὅτι ὁ Θεός· τὸν ὁποῖον ζητοῦμεν· εἶναι μαζί μας· καὶ πάντοτε μᾶς διαφεντεύει.

Εἰ δὲ καὶ μερικοὶ ἐπλανέθησαν, ἤξευρε ὅτι τὸ ἔπαθαν ἀπὸ ὑψηλοφροσύνην, καὶ ἰδιορρυθμίαν ὁποῦ περιπατοῦν μὲ τὴν ἐδικήν τους βουλήν, καὶ ὄχι μὲ συμβουλὴν τῶν ἐμπείρων. Ἐπειδὴ καὶ ὁποῖος μὲ ταπείνωσιν, καὶ ὑπακοήν, καὶ ἐρώτησιν, καὶ φόβον πολὺν μεταχειρίζεται τὴν προ-

σαλχίω, καὶ ζητεῖ τὸν Θεόν, ποτὲ δὲν θέλει βλαφθῆ μὲ τὴν χάριν τῦ Χριςῦ, τῦ θέλοντος πάντας σωθῆναι. Ἀμὴ ἂν τύχῃ ποτὲ καὶ ἀκολυθήσῃ καὶ κανένας πειρασμὸς, γίνεται πρὸς δοκιμὴν, καὶ ςέφανον, καὶ ἔχει ὀγλίγωρα τὴν βοήθειαν ἀπὸ τὸν Θεὸν ὁπῦ παραχωρεῖ νὰ ἀκολυθήσῃ ἐκεῖνος ὁ πειρασμὸς διὰ τὺς τρόπυς ὁπῦ αὐτὸς ἠξεύρει. Ὅτι καθὼς λέγυν οἱ Πατέρες· ἐκεῖνον ὁπῦ ζῇ ὀρθὰ, καὶ καθὼς πρέπει, καὶ ὁπῦ ἀπέχει ἀπὸ ἀνθρωπαρέσκειαν, καὶ ὑψηλοφροσύνην, δὲν ἠμπορῦν ποτὲ νὰ τὸν βλάψυν μήτε ὅλα τὰ ςρατεύματα τῶν δαιμόνων. ἐκεῖνοι ὅμως ὁπῦ περιπατῦν μὲ ὑπερηφάνιαν, καὶ πληθῶρος καὶ μὲ τὴν ἰδικήν τυς βυλὴν, αὐτοὶ εὔκολα πλανῶνται, καὶ βλάπτονται.

Λοιπὸν τρία πράγματα πρέπει νὰ φυλάττωμεν καλὰ, καὶ κάθε ὥραν νὰ ἐξετάζωμεν τὸν ἑαυτόν μας, ἤγυν καὶ νὰ ἔχωμεν. τὴν ἐγκράτειαν, τὴν σιωπὴν, καὶ τὴν αὐτομεμψίαν· ἤγυν τὸ νὰ κατηγορῦμεν πάντοτε τὸν ἑαυτόν μας. καὶ αὐταῖς ἡ ἀρεταῖς εἶναι καὶ καθολικαῖς ὁπῦ περιέχυν ὅλαις ταῖς ἄλλαις, καὶ φυλακτικαῖς ἡ μία τῆς ἄλλης· καὶ ἀπὸ αὐταῖς γεννᾶται ἡ προσευχὴ, καὶ αὐξάνει πάντοτε.

Καὶ ἡ ἀρχὴ τῆς χάριτος ὁπῦ ἔρχεται εἰς ἐκείνυς ὁπῦ καταγίνονται εἰς αὐτὴν τὴν ἐργασίαν τῆς προσευχῆς, γίνεται μὲ διαφόρυς τρόπυς. καὶ εἰς μερικὺς ἔρχεται κατ' ἀρχὰς μὲ φόβον καὶ τρόμον πολλὴν, ὁπῦ διαλύει τὰ βυνὰ τῶν παθῶν, καὶ συντρίβει ταῖς πέτρειαις καρδίαις. ὥςε ὁπῦ νὰ καρφώνωνται ἀπὸ τὸν φόβον, καὶ νὰ κάνυν νεκρὸν καὶ ἀσυνέργητον τὸ φρόνημα τῆς σαρκός τυς. Εἰς μερικὺς πάλιν ἔρχεται μὲ χαρὰν τῆς καρδίας καὶ ἀγαλλίασιν, καὶ τὸ λέγυν οἱ Πατέρες σκίρτημα ὁπῦ φαίνεται κατ' ἀρχὰς μέσα εἰς τὴν καρδίαν. καὶ εἰς ἄλλυς· καὶ μάλιςα εἰς ὅσυς ἐπρόκοψαν, ἐνεργεῖ ὁ Θεὸς τὴν χάριν μὲ εἰρήνην, πραότητα, καὶ γαλήνην τῆς καρδίας ἄκραν, τὸ ὁποῖον γίνεται ὕςερον, ἀφ' ὗ ὁ Χριςὸς κατοικήσῃ εἰς τὴν καρδίαν· κατὰ τὸν θεῖον Παῦλον. διὰ τῦτο εἶπεν ὁ Θεὸς εἰς τὸν Προφήτην Ἠλίαν πῶς ὁ Κύριος δὲν εἶναι μήτε εἰς τὸν σφοδρὸν ἐκεῖνον ἄνεμον, μήτε εἰς τὸν σεισμὸν. ἤγυν εἰς τὰς ἐνεργείας τῆς χάριτος ὁπῦ γίνονται κατ' ἀρχὰς εἰς τὺς ἀρχαρίυς. λέγω εἰς τὸν φόβον, καὶ εἰς τὴν χαρὰν τῆς καρδίας. ἀλλὰ εἰς τὸν ἀέρα τὸν λεπτὸν ἐκεῖνον, καὶ φωτεινὸν, καὶ εἰρηνικὸν ἐκεῖ, λέγει, Κύριος. καὶ μὲ τῦτο ἔδειξε τὸ τέλειον.

Τί νὰ κάμῃ τινὰς, ὅταν ὁ διάβολος φαίνεται ὡσὰν Ἄγγελος φωτεινὸς, καὶ ζητεῖ νὰ πλανέσῃ τὸν ἄνθρωπον; Ἐρώτ.

Ἐκεῖνος ὁπῦ βλέπει παρόμοια, δὲν πρέπει παρευθὺς νὰ τὰ δέχεται, ἀλλὰ νὰ δοκιμάζῃ πρῶτον, καὶ νὰ διακρίνῃ τὸ καλὸν ἀπὸ τὸ κακὸν, καὶ τότε νὰ πιςεύῃ. διατὶ εἶναι φανεραῖς ἡ ἐνέργειαις τῆς χάριτος, ταῖς ὁποίαις ὁ δαίμων δὲν ἠμπορεῖ ποτὲ νὰ ἐνεργήσῃ· ἤγυν δὲν ἠμπορεῖ νὰ προξενήσῃ εἰς τὸν ἄνθρωπον ὁ δαίμων, (καὶ ἂς φαίνεται ὡς Ἄγγελος φωτὸς) μήτε πραότητα, μήτε ταπείνωσιν, μήτε μῖσος τῦ κόσμυ, μήτε παύει τὰ πάθη, καὶ ταῖς ἡδοναῖς· τὰ ὁποῖα τὰ προξενεῖ ἡ χάρις. ἡ δὲ ἐνέργειαις τῶν δαιμόνων εἶναι ὑψηλοφροσύνη· δειλία· ὑπερηφάνια· καὶ κάθε ἄλλη κακία. Ἀπόκρ. λοιπὸν ἀπὸ τὴν ἐνέργειαν ἠμπορεῖς νὰ γνωρίσῃς καὶ τὸ φῶς ὁπῦ λάμψῃ μέσα εἰς τὴν ψυχήν συ, ἂν τῦ Θεῦ εἶναι, ἢ τῦ σατανᾶ. τὸ μαρῦλι παρόμοιον φαίνεται μὲ τὴν πικραλίδα· καὶ τὸ ξύδι μὲ τὸ κρασί. πλὴν ὡσὰν τὰ γευθῇς, καὶ τὰ δοκιμάσῃς, τότε γνωρίζεις τὴν διαφορὰν τῦ κάθε ἑνός. ἔτζι καὶ ἡ ψυχὴ τῦ ἀν-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

θρώπῳ, ἐὰν ἔχῃ διάκρισιν, γνωρίζει καὶ τὰ χαρίσματα τοῦ Ἁγίου Πνεύματος, καὶ τὰ φαντάσματα τοῦ σατανᾶ. Πρέπει ὅμως νὰ ἠξεύρῃς, πῶς ἡ πλάνη ἀπὸ τρεῖς ἀφορμαῖς προέρχεται. ἢ ἀπὸ ὑπερηφάνειαν, ἢ ἀπὸ φθόνον τῶν δαιμόνων. ἢ ἀπὸ παραχώρησιν παιδευτικὴν τοῦ Θεοῦ. καὶ ἡ ἀφορμαῖς πάλιν αὐταῖς εἶναι, τῆς ὑπερηφανείας, ἡ ἐλαφρότης τοῦ νοός. τοῦ φθόνου τῶν δαιμόνων ἡ προκοπή, καὶ τῆς παραχωρήσεως τοῦ Θεοῦ, ἡ ἁμαρτίαις. Πλὴν ἡ πλάνη ὁποῦ προέρχεται ἀπὸ τὴν ὑπερηφάνειάν μας, καὶ ἀπὸ τὸν φθόνον τῶν δαιμόνων, εὔκολα θεραπεύονται, ὅταν ὁ ἄνθρωπος ταπεινωθῇ. ἀμὴ ἐκείνη ὁποῦ εἶναι ἀπὸ Θεοῦ παραχώρησιν, πολλαῖς φοραῖς μένει καὶ ἕως τὸν θάνατον.

Πρέπει νὰ ἠξεύρῃς καὶ τοῦτο πῶς ὁ δαίμων τῆς ὑπερηφανείας, προλέγει, καὶ προφητεύει πολλὰ εἰς ἐκείνους ὁποῦ δὲν προσέχουν καλὰ εἰς τὴν καρδίαν. ὅθεν σὺ ἀδελφὲ ἂς εἶσαι πάντοτε ἕτοιμος εἰς τὸν πόλεμον τῶν δαιμόνων. καὶ ἂν ἰδῇς ἔξαφνα καμμίαν φαντασίαν μὴ ταραχθῇς. κἂν μαχαίρι ἰδῇς ξεγυμνωμένον, διὰ νὰ σὲ κόψῃ· κἂν λαμπάδα ἀναμμένην, διὰ νὰ σὲ καύσῃ· κἂν πρόσωπον ἄγριον καὶ ἄσχημον ἀράπη, ἢ δράκοντος, ἢ κανένα ἄλλο τέρας, μὴ φοβηθῇς, ἢ μικροψυχήσῃς· ἀλλὰ στάσου μὲ μεγαλοψυχίαν, καὶ ὁμολόγα τὴν καλὴν ὁμολογίαν· ἤγουν τὸ, Κύριε Ἰησοῦ Χριστέ, καὶ εὔκολα θέλεις ἰδῇ τὴν νίκην, καὶ τὴν φυγὴν, καὶ ἀφανισμὸν τῶν ἐχθρῶν σου.

Ἤξευρε ἀκόμη καὶ τοῦτο τὸν δόλον ὁποῦ κάνουν πολλαῖς φοραῖς οἱ δαίμονες. μοιράζονται εἰς δύο. καὶ ἄλλοι ἔρχονται καταπάνω σου νὰ σὲ πειράξουν τάχα. καὶ αὐτίκα φωνάζεις πῶς ζητεῖς βοήθειαν, ἄλλοι πάλιν φαίνονται ὡσὰν Ἄγγελοι, καὶ διώχνουν τάχα τοὺς πρώτους, καὶ ἐκεῖνοι καμώνονται πῶς ἐφοβήθηκαν, καὶ φεύγουν. διὰ νὰ σὲ πλανέσουν μὲ αὐτὸ νὰ προσκυνήσῃς ὡς Ἁγίους Ἀγγέλους, ἐκείνους ὁποῦ ἐδίωξαν τάχα τοὺς δαίμονας.

Μερικαῖς φοραῖς πάλιν σοῦ βάλλουν λογισμοὺς καλοὺς, καὶ σὲ παρακινοῦν διὰ νὰ προσευχηθῇς ἐναντίον τους ὁποῦ φαίνονται πῶς σὲ πειράζουν, ἢ νὰ τοὺς ἀντισταθῇς. καὶ ὡσὰν τὸ κάμῃς, καμώνονται πῶς ἐνικήθηκαν ἀπὸ λόγου σου, καὶ φεύγουν, διὰ νὰ ὑψηλοφρονήσῃς καὶ νὰ νομίσῃς πῶς ἐπρόκοψες, καὶ ἄρχισες νὰ νικᾷς τοὺς λογισμοὺς, καὶ νὰ διώχνῃς τοὺς δαίμονας.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# ΤΑ͂ ΚΑΤΩΘΕΝ
## ΕἿΝΑΙ ἈΠῸ ΤῸΝ ΒΙ͂ΟΝ
## ΤΟΥ͂ ὉΣΙΟΥ ΠΑΤΡῸΣ ἩΜΩ͂Ν
# ΜΑΞΙΜΟΥ
## ΤΟΥ͂ ὈΝΟΜΑΖΟΜΕΝΟΥ
# ΚΑΨΟΚΑΛΥΒΗ.

Ἀνταμώνοντας ὁ Θεῖος Γρηγόριος ὁ Σιναΐτης τὸν Ἅγιον Μάξιμον, καὶ συνομιλῶντας μὲ αὐτόν, ἀνάμεσα εἰς τὰ ἄλλα τοῦ λέγει καὶ τοῦτο. σὲ παρακαλῶ· ὦ Πάτερ μου τιμιώτατε· νὰ μοῦ εἰπῇς. κρατεῖς τὴν νοερὰν προσευχήν; καὶ ἐκεῖνος ὀλίγον ἐχαμογέλασε, καὶ τοῦ λέγει· δὲν θέλω σοῦ κρύψῃ· τίμιε Πάτερ· τὸ θαῦμα τῆς Θεοτόκου ὁποῦ ἔγινεν εἰς ἐμέ. ἐγὼ ἐκ νεότητός μου εἶχον πολλὴν πίστιν εἰς τὴν κυρίαν μου Θεοτόκον, καὶ τὴν ἐπαρακαλοῦσα μετὰ δακρύων νὰ μοῦ δώσῃ αὐτὴν τὴν χάριν τῆς νοερᾶς προσευχῆς· καὶ μίαν τῶν ἡμερῶν πηγαίνοντας εἰς τὸν ναόν της· καθὼς εἶχα συνήθειαν· τὴν ἐπαρακαλοῦσα πάλιν μὲ ἄμετρον θερμότητα τῆς καρδίας μου. καὶ ἐκεῖ ὁποῦ ἀσπαζόμουν μὲ πόθον τὴν ἁγίαν εἰκόνα της. παρευθὺς ἀγροίκησα εἰς τὸ στῆθός μου, καὶ εἰς τὴν καρδίαν μου μίαν θερμότητα καὶ φλόγα, ὁποῦ ἦλθεν ἀπὸ τὴν ἁγίαν εἰκόνα. ὁποῦ δὲν μὲ ἔκαιεν, ἀλλὰ μὲ ἐδρόσιζε καὶ ἐγλύκαινε, καὶ ἔφερεν εἰς τὴν ψυχήν μου μεγάλην κατάνυξιν. ἀπὸ τότε πλέον· Πάτερ· ἄρχισεν ἡ καρδία μου νὰ λέγῃ ἀπὸ μέσα τὴν προσευχήν, καὶ ὁ νοῦς μου νὰ γλυκαίνεται εἰς τὴν ἐνθύμησιν τοῦ Ἰησοῦ μου, καὶ τῆς Θεοτόκου μου, καὶ νὰ εἶναι πάντοτε μαζὶ μὲ τὴν ἐνθύμησιν αὐτῶν. καὶ πλέον ἀπὸ ἐκεῖνον τὸν καιρὸν δὲν ἔλειψεν ἡ προσευχὴ ἀπὸ τὴν καρδίαν μου· συγχώρησόν μοι. καὶ ὁ θεῖος Γρηγόριος τοῦ λέγει, εἰπέ μου· ἅγιε· σοῦ ἠκολούθησε καμμίαν φορὰν εἰς καιρὸν ὁποῦ ἔλεγες τὴν εὐχήν τοῦ, Κύριε Ἰησοῦ Χριστὲ καὶ τὰ ἑξῆς. ἀλλοίωσις θεϊκή, ἢ ἔκστασις, ἢ κανένας ἄλ-

λος καρπὸς τοῦ Ἁγίου Πνεύματος; καὶ ὁ θεῖος Μάξιμος τοῦ εἶπε. ὦ Πάτερ διὰ τοῦτο ἐπήγαινα εἰς ἔρημον τόπον, καὶ ἐπόθουσα τὴν ἡσυχίαν πάντοτε, διὰ νὰ ἀπολαύσω πλέον περισσότερον τὸν καρπὸν τῆς προσευχῆς. ὁ ὁποῖος εἶναι μία ἀγάπη ὑπερβολικὴ εἰς τὸν Θεόν, καὶ μία ἁρπαγὴ τοῦ νοὸς εἰς τὸν Κύριον. καὶ ὁ Ἅγιος Γρηγόριος τοῦ λέγει. σὲ παρακαλῶ Πάτερ· νὰ μοῦ εἰπῇς, τὰ ἔχεις αὐτὰ ὁποῦ εἶπες; καὶ ὁ θεῖος Μάξιμος πάλιν ἐχαμογέλασε, καὶ τοῦ λέγει. δός μου νὰ φάγω, καὶ μὴν ἐξετάζῃς τὴν πλάνην. τότε τοῦ λέγει ὁ θεῖος Γρηγόριος· ἄμποτες νὰ εἶχα καὶ ἐγὼ αὐτὴν τὴν πλάνην τὴν ἐδικήν σου· ἅγιε· ὅμως παρακαλῶ σε νὰ μοῦ εἰπῇς. ἐκείνην τὴν ὥραν ὁποῦ ἁρπαχθῇ ὁ νοῦς σου εἰς τὸν Θεόν, τί βλέπει μὲ τοὺς νοεροὺς ὀφθαλμούς; καὶ ἀνίσως καὶ ἠμπορῇ τότε ὁ νοῦς νὰ ἀνεβάσῃ μαζὶ μὲ τὴν καρδίαν τὴν προσευχήν; καὶ ὁ Ἅγιος Μάξιμος τοῦ ἀπεκρίθη. ὄχι δὲν ἠμπορεῖ. διατὶ ὅταν ἔλθῃ ἡ χάρις τοῦ Ἁγίου Πνεύματος εἰς τὸν ἄνθρωπον διὰ μέσου τῆς προσευχῆς, τότε παύει πλέον ἡ προσευχή. ἐπειδὴ καὶ ὁ νοῦς κυριεύεται ὅλος ἀπὸ τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, καὶ δὲν ἠμπορεῖ πλέον νὰ ἐνεργήσῃ ταῖς δυνάμες του, ἀλλὰ μένει ἀργός, καὶ ὑποτάσσεται μόνον εἰς τὸ Πνεῦμα τὸ Ἅγιον. καὶ ὁποῦ θέλει τὸ Πνεῦμα τὸ Ἅγιον, τὸν πηγαίνει. ἢ εἰς ἀέρα ἄϋλον θείου φωτός, ἢ εἰς ἄλλην θεωρίαν ἀνεκδιήγητον. ἢ καὶ πολλάκις εἰς ὁμιλίαν θεϊκήν. καὶ συντομίᾳ καθὼς θέλει ὁ Παράκλητος ἤγουν τὸ Πνεῦμα τὸ Ἅγιον, ἔτζι παρηγορεῖ τοὺς δούλους του. καθὼς πρέπει εἰς τὸν κάθε ἕνα, ἔτζι τοῦ δίδει καὶ τὴν χάριν του. καὶ τοῦτο ὁποῦ λέγω ἠμπορεῖ νὰ τὸ ἰδῇ τινὰς φανερὰ εἰς τοὺς Προφήτας καὶ Ἀποστόλους, οἱ ὁποῖοι ἠξιώθησαν νὰ ἰδοῦν πόσας θεωρίας. ἀγκαλὰ καὶ οἱ ἄνθρωποι τοὺς ἐπερίπαιζαν, καὶ τοὺς εἶχαν διὰ πλανεμένους, καὶ μεθυσμένους. καὶ ὁ Προφήτης Ἠσαΐας, εἶδε τὸν Κύριον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ ἐπηρμένου, καὶ τὰ Σεραφεὶμ κύκλῳ αὐτοῦ. καὶ ὁ Πρωτομάρτυς Στέφανος, εἶδε τοὺς οὐρανοὺς ἀνεωγμένους, καὶ τὸν Ἰησοῦν ἐν δεξιᾷ τοῦ Πατρός. καὶ τὰ λοιπά. τοιουτοτρόπως καὶ τώρα οἱ δοῦλοι τοῦ Χριστοῦ ἀξιώνονται νὰ βλέπουν θεωρίας διάφορες, ταῖς ὁποίαις μερικοὶ δὲν ταῖς πιστεύουν, μήτε ταῖς δέχονται κατ᾽ οὐδένα τρόπον πῶς εἶναι ἀληθιναῖς, ἀλλὰ ταῖς ἔχουν διὰ πλάνην, καὶ ἐκείνους ὁποῦ ταῖς βλέπουν τοὺς ἔχουν διὰ πλανεμένους. Καὶ θαυμάζω πολλὰ εἰς τοῦτο, καὶ ἀπορῶ, τί λογῆς οἱ ἄνθρωποι ἐκεῖνοι ἐπωρώθηκαν, καὶ ὡσὰν τυφλοὶ εἰς τὴν ψυχήν, δὲν πιστεύουν ἐκεῖνο ὁποῦ ὑπεσχέθη ὁ ἀψευδὴς Θεός, μὲ τὸ στόμα τοῦ Προφήτου Ἰωήλ, πῶς ἔχει νὰ τὸ δώσῃ εἰς τοὺς πιστούς. ἐκεῖ ὁποῦ λέγει, ὅτι θέλω χύσει ἀπὸ τὴν χάριν τοῦ πνεύματός μου εἰς κάθε πιστόν. καὶ εἰς τοὺς δούλους μου, καὶ εἰς ταῖς δούλας μου. τὴν ὁποίαν χάριν τὴν ἔδωκεν ὁ Κύριός μας, καὶ τὴν δίδει καὶ τώρα καὶ θέλει τὴν δίδει, καὶ ἕως τῆς συντελείας, κατὰ τὴν ὑπόσχεσίν του, εἰς ὅλους τοὺς πιστοὺς δούλους του. λοιπὸν ὅταν ἡ χάρις αὐτὴ τοῦ Ἁγίου Πνεύματος ἔλθῃ εἰς κανένα, δὲν τοῦ δείχνει τὰ συνειθισμένα, μήτε τὰ αἰσθητὰ τοῦ κόσμου τούτου. ἀλλὰ τοῦ δείχνει ἐκεῖνα ὁποῦ δὲν τὰ εἶδε ποτέ του, μήτε τὰ ἐφαντάσθη. καὶ τότε ὁ νοῦς ἐκείνου τοῦ ἀνθρώπου διδάσκεται ἀπὸ τὸ Ἅγιον Πνεῦμα μυστήρια ὑψηλὰ καὶ ἀπόκρυφα, τὰ ὁποῖα κατὰ τὸν θεῖον Παῦλον· δὲν ἠμπορεῖ νὰ τὰ ἰδῇ μάτι σωματικὸν τοῦ ἀνθρώπου, μήδε νοῦς ἀνθρώπου ἠμπορεῖ νὰ τὰ συλλογισθῇ ἀπὸ λόγου του ποτέ. Καὶ διὰ νὰ καταλάβῃς πῶς τὰ βλέπει ὁ νοῦς μας, στοχάσου αὐ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὸ ὅπου θέλω σοῦ εἰπῶ. Τὸ κηρὶ ὅταν εἶναι μακρὰ ἀπὸ τὴν φωτίαν, εἶναι κηρὶ στερεὸν, καὶ πιάνεται, ἀμὴ ὡσὰν τὸ βάλῃς εἰς τὴν φωτίαν λυώνει, καὶ ἐκεῖ μέσα εἰς τὴν φλόγα καίεται, καὶ ἀνάφτει, καὶ γίνεται ὅλον φῶς, καὶ ἔτζι τελειώνει μέσα εἰς τὴν φωτίαν ὅλον, καὶ δὲν εἶναι τρόπος νὰ μὴν λυώσῃ εἰς τὴν φωτίαν, καὶ νὰ γεύῃ ὡσὰν νερόν. ἔτζι καὶ ὁ νοῦς τοῦ ἀνθρώπου ὅταν εἶναι μοναχὸς χωρὶς νὰ ἀνταμωθῇ μὲ τὸν Θεὸν, ἐνεργεῖ ὅσα εἶναι τῆς δυνάμεώς του· ἀμὴ ὡσὰν πλησιάσῃ εἰς τὸ πῦρ τῆς θεότητος, καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τότε πλέον κυριεύεται ὅλος διόλου ἀπὸ ἐκεῖνο τὸ θεϊκὸν φῶς, καὶ γίνεται ὅλος φῶς, καὶ ἐκεῖ μέσα εἰς τὴν φλόγα τοῦ Παναγίου Πνεύματος ἀνάπτει, καὶ λυώνει ἀπὸ τὰ θεϊκὰ νοήματα, καὶ δὲν εἶναι τρόπος ἐκεῖ μέσα εἰς τὸ πῦρ τῆς θεότητος νὰ ἐνεργῇ τὰ ἐδικά του, καὶ ἐκεῖνα ὅπου θέλει. Τότε τοῦ λέγει ὁ θεῖος Γρηγόριος. Εἶναι καὶ ἄλλα Καψοκαλύβη μου, παρόμοια ὅπου εἶναι τῆς πλάνης. καὶ ὁ Μέγας ἐκεῖνος Μάξιμος τοῦ ἀπεκρίθη. πῶς ἄλλα εἶναι τὰ σημάδια τῆς πλάνης, καὶ ἄλλα τῆς χάριτος. διατὶ τὸ πονηρὸν Πνεῦμα τῆς πλάνης, ὅταν πλησιάσῃ εἰς τὸν ἄνθρωπον, τοῦ συγχύζει τὸν νοῦν, καὶ τὸν ἀγριώνει. κάνει τὴν καρδίαν σκληρὰν, καὶ τὴν σκοτίζει. προξενεῖ δειλίαν, καὶ φόβον, καὶ ὑπερηφανίαν· τοῦ ἀγριεύει τὰ μάτια. ταράττει τὸ μυαλόν· τοῦ ἀνατριχιάζει ὅλον τὸ κορμί. τοῦ δείχνει κατὰ φαντασίαν εἰς τὰ μάτια φῶς ὄχι λαμπρὸν καὶ καθαρὸν, ἀλλὰ κόκκινον. καὶ τοῦ κάνει τὸν νοῦν ἔξω φρενῶν, καὶ δαιμονιώδη. καὶ τὸν παρακινᾶ νὰ λέγῃ μὲ τὸ στόμα του ἄπρεπα λόγια, καὶ βλάσφημα. καὶ ἐκεῖνος ὅπου βλέπει τὸ Πνεῦμα αὐτὸ τῆς πλάνης. ὀργίζεται ταῖς περισσότεραις φοραῖς, καὶ εἶναι γεμάτος ἀπὸ θυμόν. καὶ τὴν ταπείνωσιν παντελῶς δὲν τὴν ἠξεύρει, μήτε τὸ ἀληθινὸν πένθος καὶ δάκρυον, ἀλλὰ πάντοτε καυχᾶται εἰς τὰ καλά του, καὶ κενοδοξεῖ, καὶ χωρὶς συστολὴν, καὶ φόβον Θεοῦ εὑρίσκεται παντοτινὰ μὲ τὰ πάθη. καὶ τέλος πάντων εὐγαίνει παντάπασιν ἀπὸ τὰς φρένας του, καὶ ἔρχεται εἰς τελείαν ἀπώλειαν. ἀπὸ τὴν ὁποίαν πλάνην ἄμποτες νὰ μᾶς γλυτώσῃ ὁ Κύριος διὰ τῶν εὐχῶν σου. Ἀλλὰ τὰ σημεῖα τῆς χάριτος εἶναι αὐτά. ὅταν ὑπάγῃ εἰς τὸν ἄνθρωπον ἡ χάρις τοῦ Παναγίου Πνεύματος, τοῦ μαζώνει τὸν νοῦν, καὶ τὸν κάνει νὰ εἶναι προσεκτικὸς, καὶ ταπεινός. τοῦ φέρνει τὴν ἐνθύμησιν τοῦ θανάτου, καὶ τῶν ἁμαρτημάτων του, καὶ τῆς μελλούσης κρίσεως, καὶ τῆς αἰωνίου κολάσεως, καὶ τοῦ κάνει τὴν ψυχὴν εὐκολοκατάνυκτον, νὰ κλαίῃ, καὶ νὰ πενθῇ. κάνει καὶ τὰ μάτιά του ἥμερα, καὶ γεμάτα ἀπὸ δάκρυα. καὶ ὅσον πλησιάζει εἰς τὸν ἄνθρωπον, τόσον τὸν ἡμερώνει εἰς τὴν ψυχὴν, καὶ τὴν παρηγορεῖ διὰ μέσου τῶν ἁγίων παθῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς ἀπείρου φιλανθρωπίας του. καὶ προξενεῖ εἰς τὸν νοῦν ὑψηλαῖς, καὶ ἀληθιναῖς θεωρίαις. α΄. διὰ τὴν ἀκατανόητον δύναμιν τοῦ Θεοῦ, πῶς μὲ ἕνα λόγον ἐδημιούργησεν ὅλα τὰ πάντα ἀπὸ τὸ μὴ ὂν εἰς τὸ εἶναι. β΄. διὰ τὴν ἄπειρόν του δύναμιν ὅπου συγκρατεῖ, καὶ κυβερνᾷ τὰ πάντα, καὶ ἔχει ὅλων τὴν πρόνοιαν. γ΄. διὰ τὸ ἀκατανόητον τῆς Ἁγίας Τριάδος. καὶ διὰ τὸ ἀνεξιχνίαστον πέλαγος τῆς θείας οὐσίας. καὶ τὰ λοιπά. καὶ τότε ὡσὰν ἁρπαχθῇ ὁ νοῦς τοῦ ἀνθρώπου ἀπὸ ἐκεῖνο τὸ θεϊκὸν φῶς, καὶ φωτισθῇ φωτισμὸν θεϊκῆς γνώσεως, γίνεται ἡ καρδία του γαλήνη, καὶ πρᾳοτάτη, καὶ ἀναβρύει τοὺς καρποὺς τοῦ Ἁγίου Πνεύματος τὴν χαρὰν· τὴν εἰρή-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

νην· τὴν μακροθυμίαν· τὴν καλωσύνην· τὴν συμπάθειαν· τὴν ἀγάπην· τὴν ταπείνωσιν. καὶ τὰ λοιπά. καὶ ὑπολαμβάνει ἡ ψυχή του μίαν ἀγαλλίασιν ἀνεκδιήγητον. Ἀκούοντας αὐτὰ ὁ Ἅγιος Γρηγόριος ὁ Σιναΐτης ἔμεινεν ἐκστατικός, καὶ ἐθαύμαζεν εἰς ἐκεῖνα ὁποῦ τοῦ ἔλεγεν ὁ θεῖος Μάξιμος, καὶ πλέον δὲν τὸν ὠνόμαζεν ἄνθρωπον, ἀλλὰ Ἄγγελον ἐπίγειον.



Athos Library
Αγιορειτική Βιβλιοθήκη



# ἘΚ ΤΟΥ ΒΙΟΥ ΤΟΥ ἉΓΙΟΥ
# ΓΡΗΓΟΡΙΟΥ
## ἈΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
## ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

### Ὅτι πρέπει ὅλοι κοινῶς οἱ Χριστιανοὶ νὰ προσεύχωνται ἀκατάπαυστα.

Ἄς μὲ λογιάσῃ τινὰς, ἀδελφοί μου χριστιανοί· πῶς οἱ ἱερωμένοι, καὶ οἱ Μοναχοὶ ἔχουν χρέος μόνον νὰ προσεύχωνται ἀκατάπαυστα, καὶ παντοτινὰ, καὶ ὄχι οἱ κοσμικοί. Ὄχι, ὄχι. Ὅλοι κοινῶς οἱ χριστιανοὶ ἔχομεν χρέος πάντοτε νὰ εὑρισκώμεθα εἰς προσευχήν. διατὶ ὁ ἁγιώτατος Πατριάρχης Κωνσταντινουπόλεως Φιλόθεος γράφει εἰς τὸν βίον τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεσσαλονίκης· πῶς ὁ θεῖος Γρηγόριος εἶχεν ἕνα φίλον ἠγαπημένον, ὀνομαζόμενον Ἰώβ, ἁπλούστατον ἄνθρωπον, καὶ ἐνάρετον πολλά. μὲ τὸν ὁποῖον συνομιλῶντας μίαν φορὰν ὁ Ἅγιος τοῦ εἶπε καὶ περὶ προσευχῆς, καὶ πῶς κάθε Χριστιανὸς ἁπλῶς, πρέπει νὰ ἀγωνίζεται πάντοτε εἰς τὴν προσευχήν, καὶ νὰ προσεύχεται ἀκατάπαυστα, καθὼς παραγγέλει ὁ Ἀπόστολος Παῦλος κοινῶς εἰς ὅλους τοὺς Χριστιανούς· ἀδιαλείπτως προσεύχεσθε. καὶ καθὼς λέγει καὶ ὁ Προφήτης Δαβίδ, μὲ ὅλον ὁποῦ ἦτον καὶ βασιλεὺς, καὶ εἶχε τὰς φροντίδας ὅλας τοῦ βασιλείου του. προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός· ἤγουν βλέπω νοερῶς μὲ τὸ μέσον τῆς προσευχῆς ἔμπροσθέν μου τὸν Κύριον πάντοτε. Καὶ ὁ Θεολόγος Γρηγόριος διδάσκει ὅλους τοὺς Χριστιανοὺς, καὶ τοὺς λέγει· πῶς περισσοτέραις φοραῖς πρέπει νὰ ἐνθυμούμεθα μὲ τὴν προσευχὴν τὸ ὄνομα τοῦ Θεοῦ, παρὰ ὅσαις φοραῖς πέρνομεν τὸν ἀνασασμόν μας. Καὶ λέγωντας αὐτὰ ὁ Ἅγιος εἰς τὸν φίλον του τὸν Ἰώβ, καὶ ἄλλα περισσότερα, τοῦ ἔλεγεν ἀκόμι πῶς πρέπει καὶ ἡμεῖς νὰ κάνωμεν ὑπακοὴν εἰς τὰς παραγγελίας τῶν Ἁγίων, καὶ ὄχι μόνον νὰ προσευχώμεθα ἡμεῖς παντοτινά, ἀλλὰ νὰ διδάσκωμεν καὶ τοὺς ἄλλους ὅλους κοινῶς, καὶ Μοναχοὺς, καὶ λαϊκούς· καὶ σοφοὺς, καὶ ἰδιώ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

πας· καὶ [redacted]ας, καὶ γυναῖ[redacted], καὶ [redacted]δία· καὶ νὰ τὰς παρακινῶμεν νὰ προσ[redacted]χωνται ἀκατάπαυστα. Ἀκούωντας αὐτὰ ὁ Γέρων ἐκεῖνος Ἰώβ, τοῦ ἐφάνη καινούριον τὸ πρᾶγμα, καὶ ἄρχισε νὰ φιλονεικᾶ, καὶ νὰ λέγῃ τοῦ Ἁγίου, πῶς τὸ νὰ προσεύχεται τινὰς παντοτινὰ εἶναι μοναχὰ τῶν ἀσκητῶν, καὶ τῶν μοναχῶν ὁποῦ εἶναι ἔξω ἀπὸ τὸν κόσμον, καὶ ἀπὸ τὰς περισπασμές· καὶ ὄχι τῶν κοσμικῶν ὁποῦ ἔχουν τόσαις μέριμναις, καὶ δουλείαις. Καὶ ὁ Ἅγιος πάλιν τοῦ ἔλεγε καὶ ἄλλαις μαρτυρίαις, καὶ ἀπόδειξες ἀναντίρρηταις, ἀμὴ ὁ γέρων Ἰὼβ δὲν ἐπείθετο. καὶ ὁ θεῖος Γρηγόριος φεύγωντας τὴν πολυλογίαν, καὶ τὴν φιλονεικίαν ἐσιώπησε, καὶ ἐπῆγεν ὁ καθ᾽ ἕνας εἰς τὸ κελλί του. Καὶ ὕστερα ὁποῦ ὁ Ἰὼβ ἐπροσηύχετο εἰς τὸ κελλί του μόνος, φαίνεται Ἄγγελος Κυρίου ἔμπροσθέν του, σταλμένος ἀπὸ τὸν Θεόν, ὁποῦ θέλει ὅλων τῶν ἀνθρώπων τὴν σωτηρίαν τους. καὶ ἀφ᾽ οὗ τὸν ἤλεγξε πολλά, διατὶ ἐφιλονείκησε μὲ τὸν Ἅγιον Γρηγόριον, καὶ ἀντιστέκετο εἰς πράγματα φανερά, ἀπὸ τὰ ὁποῖα προξενεῖται ἡ σωτηρία τῶν Χριστιανῶν, τοῦ ἐπαρήγγειλεν ἐκ μέρους τοῦ Ἁγίου Θεοῦ, νὰ προσέχῃ καλὰ εἰς τὸ ἑξῆς, καὶ νὰ φυλαχθῇ πλέον νὰ μὴν ὁμιλήσῃ κανένα ἐναντίον εἰς παρόμοιον ψυχωφελέστατον ἔργον, ὅτι ἀντιστέκεται εἰς τὸ θέλημα τοῦ Θεοῦ. ἀλλὰ μήτε μὲ τὸν νοῦν του πλέον νὰ ὑποκοτήσῃ νὰ δεχθῇ ἐναντίον λογισμόν, καὶ νὰ φρονῇ ἀλλοιώτικα ἀπὸ ὅ, τι τοῦ εἶπεν ὁ θεῖος Γρηγόριος. Τότε ὁ ἄπλαστος ἐκεῖνος γέρων Ἰώβ, ἐπῆγε παρευθὺς εἰς τὸν Ἅγιον, καὶ ἐπροσέπεσεν εἰς τοὺς πόδας του, ζητῶντας συγχώρησιν διὰ τὴν ἀντίστασιν, καὶ φιλονεικίαν, καὶ τοῦ ἐφανέρωσε καὶ ὅσα τοῦ εἶπεν ὁ Ἄγγελος Κυρίου. Βλέπετε Ἀδελφοί μου, πῶς ἔχουν χρέος, ὅλοι κοινῶς οἱ Χριστιανοὶ ἀπὸ μικροῦ ἕως μεγάλου, νὰ προσ[redacted]χωνται παντοτινὰ μὲ τὴν νοερὰν προσευχήν· τό, Κύριε Ἰησοῦ Χριστὲ ἐλέησόν με. καὶ πάντοτε νὰ τὸ συνηθίσῃ νὰ τὸ λέγῃ ὁ νοῦς τους, καὶ ἡ καρδία τους. καὶ στοχασθῆτε πόσον εὐαρεστεῖται ὁ Θεὸς εἰς αὐτά, καὶ πόση ὠφέλεια προέρχεται ἀπὸ αὐτό, ὁποῦ ἔπεμψεν ἀπὸ ἄκραν του φιλανθρωπίαν καὶ οὐράνιον Ἄγγελον, διὰ νὰ μᾶς τὸ ὑποκαλύψῃ, ὁποῦ νὰ μὴν ἔχωμεν πλέον καμμίαν ἀμφιβολίαν εἰς αὐτό;

Μὰ τί λέγουν οἱ κοσμικοί. Ἡμεῖς εἴμεσθεν μέσα εἰς τόσας ὑποθέσεις καὶ φροντίδας τοῦ κόσμου, καὶ πῶς εἶναι δυνατὸν νὰ προσευχώμεθα ἀκατάπαυστα.

Καὶ ἐγὼ τοὺς ἀποκρίνομαι· Ὅτι ὁ Θεὸς δὲν ἐπαρήγγειλεν εἰς ἡμᾶς κανένα ἀδύνατον, παρεξ ὅλα ἐκεῖνα ὁποῦ ἠμποροῦμεν νὰ κάμωμεν, ἐκεῖνα μᾶς ἐπαρήγγειλε. διὰ τοῦτο καὶ αὐτὸ εἶναι δυνατὸν νὰ τὸ κατορθώσῃ ὁ καθε ἕνας ὁποῦ νὰ ζητῇ ἐπιπόνως τὴν σωτηρίαν τῆς ψυχῆς του. διατὶ ἂν ἦτον ἀδύνατον, ἦτον κοινῶς εἰς ὅλους τοὺς κοσμικούς, καὶ δὲν ἤθελε εὑρεθοῦν τόσοι καὶ τόσοι μέσα εἰς τὸν κόσμον νὰ τὸ κατορθώσουν· ἀπὸ τοὺς ὁποίους ἂς εἶναι εἰς παράδειγμα πολλῶν ὁ Πατὴρ τοῦ ἄνωθεν Ἁγίου Γρηγορίου, Κωνσταντῖνος ἐκεῖνος ὁ θαυμάσιος· ὁ ὁποῖος καὶ μὲ ὅλον ὁποῦ ἦτον μέσα εἰς τὰ βασίλεια, καὶ ὠνομάζετο Πατήρ, καὶ διδάσκαλος τοῦ βασιλέως Ἀνδρονίκου, καὶ ἐκαταγίνετο καθ᾽ ἑκάστην εἰς βασιλικὰς ὑποθέσεις, χωριστὰ ὁποῦ εἶχε καὶ τὰς ὑποθέσεις τοῦ σπιτίου του, ὅτι ἦτον πολλὰ πλούσιος, καὶ εἶχε κτήματα πολλά, καὶ δούλους, καὶ παιδία, καὶ γυναῖκα. καὶ μὲ ὅλα ταῦτα τόσον ἦτον ἀχώριστος ἀπὸ τὸν Θεόν, καὶ τόσον ἦτον δεσμευμένος εἰς τὴν νοεράν, καὶ ἀκατάπαυστον προσευχήν, ὁποῦ ταῖς περισσότεραις φοραῖς ἀλησμονοῦσεν ἐκεῖνα ὁποῦ ἐσυνομιλοῦσαν ὁ βασιλεύς, καὶ οἱ ἄρχοντες τοῦ παλατίου μαζί του διὰ



Athos Library
Αγιορειτική Βιβλιοθήκη

ὑπόθεσες βασιλικαῖς, καὶ ἐρωτοῦσι πάλιν διὰ ταῖς ἴδιαις ὑπόθεσες μίαν, καὶ δύο φοραῖς. διὰ τὸ ὁποῖον πολλαῖς φοραῖς οἱ ἄλλοι ἄρχοντες ὁποῦ δὲν ἤξευραν τὸ αἴτιον ἐσυγχύζοντο, καὶ τὸν ὠνείδιζαν, πῶς ἔτζι ὀγλίγωρα ἀλησμονᾷ, καὶ μὲ ταῖς δεύτεραις ἐρώτησές του ἐνοχλεῖ τὸν Βασιλέα. ἀλλὰ ὁ Βασιλεὺς ὁποῦ ἤξευρε τὸ αἴτιον τὸν ἐδιαφέντευε, καὶ ἔλεγεν· ὁ Κωνσταντῖνος ἔχει ἐδικαῖς του ἔγνοιαις ὁ καλότυχος, καὶ ἐκείναις δὲν τὸν ἀφίνουν νὰ προσέχῃ εἰς τὰ λόγια τὰ ἐδικά μας ὁποῦ εἶναι διὰ ὑπόθεσες προσωριναῖς καὶ μάταιαις· ἀμὴ ὁ νοῦς τοῦ εὐλογημένου εἶναι προσκολλημένος εἰς τὰ ἀληθινὰ, καὶ οὐράνια, καὶ διὰ τοῦτο ἀλησμονᾷ τὰ ἐπίγεια, ἐπειδὴ καὶ ὅλη του ἡ προσοχὴ εἶναι εἰς τὴν προσευχὴν, καὶ εἰς τὸν Θεόν. Ὅθεν ἦτον σεβάσμιος ὁ Κωνσταντῖνος (καθὼς διηγεῖται ὁ Ἁγιώτατος Πατριάρχης Φιλόθεος) καὶ ἀξιαγάπητος καὶ ἀπὸ τὸν βασιλέα, καὶ ἀπὸ ὅλους τοὺς μεγιστᾶνους τῆς Βασιλείας, καὶ ἄρχοντας· καθὼς ἦτον ἠγαπημένος καὶ ἀπὸ τὸν Θεόν, καὶ ἀξιώθη ὁ ἀοίδιμος νὰ κάμνῃ καὶ θαύματα. Ἐπειδὴ καὶ μίαν φορὰν, (λέγει ὁ Ἁγιώτατος Φιλόθεος εἰς τὸν βίον τοῦ Ἁγίου Γρηγορίου τοῦ υἱοῦ του.) ἐμβαίνοντας εἰς ἕνα πλοιάριον με ὅλην του τὴν φαμελίαν διὰ νὰ ὑπάγῃ ἐπάνω ἀπὸ τὸν Γαλατᾶν εἰς ἕνα ἀναχωρητὴν ὁποῦ ἡσύχαζεν ἐκεῖ, χάριν εὐχῆς, καὶ εὐλογίας. εἰς τὸν δρόμον ὁποῦ ἐπήγαιναν ἐρώτησε τοὺς ὑπηρέτας του, ἀνίσως καὶ ἐπῆραν καὶ κανένα προσφάγιον διὰ νὰ ὑπάγουν τοῦ Ἀββᾶ ἐκείνου τοῦ φιλοθέου· οἱ ὁποῖοι τοῦ εἶπαν, πῶς ἀλησμόνησαν ἀπὸ τὴν βίαν, καὶ δὲν ἐπῆραν τίποτες. ἐλυπήθη ὀλίγον ὁ εὐλογημένος, πλὴν δὲν εἶπε τίποτες, μόνον πηγαίνοντες παρεμπρὸς μὲ τὸ καΐκι, ἔβαλε τὸ χέρι του μέσα εἰς τὴν θάλασσαν, καὶ μὲ σιωπηλὴν καὶ νοερὰν προσευχὴν ἐπαρακαλοῦσε τὸν Θεὸν τὸν δεσπότην τῆς θαλάσσης νὰ τοῦ δώσῃ κανένα κυνήγιον· καὶ ὕστερα ἀπὸ ὀλίγην ὥραν. (Ὢ τῶν θαυμασίων ἔργων Χριστὲ βασιλεῦ· μὲ τὰ ὁποῖα παραδόξως δοξάζεις τοὺς δούλους σου) ἔβγανε τὸ χέρι του ἀπὸ τὴν θάλασσαν, κρατῶντας ἕνα λαυράκι μεγαλώτατον· τὸ ὁποῖον ρίχνοντάς το μέσα εἰς τὸ πλοιάριον ἔμπροσθεν εἰς τοὺς ὑπηρέτας του, εἶπε· τὰ ὁποῦ ὁ Κύριός μας ἐγνοιάσθη καὶ διὰ τὸν Ἀββᾶν τὸν δοῦλόν του, καὶ τοῦ ἔστειλε προσφάγιον. Βλέπετε· ἀδελφοί μου μὲ τί λογῆς δόξαν δοξάζει ὁ Ἰησοῦς Χριστὸς τοὺς δούλους του ἐκείνους ὁποῦ εἶναι πάντοτε μαζί του, καὶ ἐπικαλοῦνται παντοτινὰ τὸ πανάγιον, καὶ γλυκύτατόν του ὄνομα.

Ἀκόμι καὶ ὁ δίκαιος ἐκεῖνος, καὶ Ἅγιος Εὐδόκιμος, δὲν ἦτον καὶ αὐτὸς μέσα εἰς τὴν Κωνσταντινούπολιν; καὶ μέσα εἰς τὰ βασίλεια, καὶ εἰς ταῖς βασιλικαῖς ὑπόθεσες; δὲν ἐσυναναστρέφετο μὲ τὸν Βασιλέα, καὶ τοὺς ἄρχοντας τοῦ παλατίου, μὲ τόσαις φροντίδες, καὶ περισπασμούς; μὲ ὅλον τοῦτο εἶχε τὴν νοερὰν προσευχὴν πάντοτε ἀχώριστον ἀπὸ λόγου του, (καθὼς διηγεῖται εἰς τὸν βίον του Συμεὼν ὁ Μεταφραστής) ὅθεν καὶ εὐαρεσκόμενος μέσα εἰς τὸν κόσμον, καὶ εἰς τὰ κοσμικὰ ὁ τρισμακάριος, ἔζησε ἀληθινὰ μίαν ζωὴν Ἀγγελικὴν, καὶ ὑπερκόσμιον, καὶ ἠξιώθη ἀπὸ τὸν μισθαποδότην Θεὸν νὰ λάβῃ καὶ τέλος μακάριον, καὶ θεῖον. Καὶ ἄλλοι πολλοὶ, καὶ ἀναρίθμητοι ὁποῦ ἦσαν μέσα εἰς τὸν κόσμον, καὶ ἦσαν ὅλος δίολου δοσμένοι εἰς τὴν νοερὰν αὐτὴν, καὶ σωτήριον προσευχὴν· καθὼς εὑρίσκονται εἰς τὰς ἱστορίας. λοιπὸν· ἀδελφοί μου Χριστιανοί· σᾶς παρακαλῶ καὶ ἐγὼ μαζὶ μὲ τὸν θεῖον Χρυσόστομον· διὰ τὴν σωτηρίαν τῆς ψυχῆς σας, μὴν ἀμελήσετε τὸ τοιοῦτον ἔργον τῆς προσευχῆς. μιμηθῆτε αὐ-



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὰς ὅπου εἴπαμεν, καὶ ὅσον τὸ δυνατὸν, ἀκολουθήσατέ τας. καὶ ἂν σᾶς φαίνεται δύσκολον τὸ πρᾶγμα κατ' ἀρχὰς, ἂς εἶσθε βέβαιοι, καὶ πληροφορημένοι, ὡς ἐκ προσώπου τοῦ παντοκράτορος Θεοῦ, ὅτι αὐτὸ τὸ ἴδιον ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ ἐπικαλούμενον καθ' ἑκάστην ἀκατάπαυστα ἀπὸ ἡμᾶς, θέλει μᾶς διευκολύνῃ ὅλας τὰς δυσκολίας, καὶ μὲ τὴν πολυκαιρίαν ὡσὰν τὸ συνηθίσωμεν, καὶ γλυκανθῶμεν εἰς αὐτὸ, τότε θέλει γνωρίσωμεν μὲ τὴν δοκιμὴν, πῶς δὲν εἶναι ἀδύνατον, οὔτε δύσκολον, ἀλλὰ δυνατὸν, καὶ εὔκολον. διὰ τοῦτο καὶ ὁ θεῖος Παῦλος ὅπου ἤξευρε καλλίτερα ἀπὸ ἡμᾶς, τὴν μεγάλην ὠφέλειαν ὅπου ἔχει ἡ προσευχὴ, μᾶς ἐπαράγγειλε ἀκαταπαύστως νὰ προσευχώμεθα. καὶ δὲν ἤθελε μᾶς συμβουλεύσῃ ποτὲ πρᾶγμα δύσκολον, καὶ ἀδύνατον, ὅτι δὲν ἠμπορούσαμεν νὰ τὸ κάμωμεν, καὶ ἀκολούθως ἀνάγκη ἦτον νὰ φανοῦμεν παρήκοοι, καὶ παραβάται τῆς παραγγελίας του, καὶ διὰ τοῦτο νὰ καταδικαστοῦμεν. ἀλλὰ ὁ σκοπὸς τοῦ Ἀποστόλου ὅπου εἶπεν ἀδιαλείπτως προσεύχεσθε, ἦτον διὰ νὰ προσευχώμεθα μὲ τὸν νοῦν μας, ὅπου εἶναι δυνατὸν νὰ τὸ κάνωμεν πάντοτε. διατὶ καὶ ὅταν κάνωμεν ἐργόχειρον, καὶ ὅταν περιπατοῦμεν, καὶ ὅταν καθήμεθα, καὶ ὅταν τρώγωμεν, καὶ ὅταν πίνωμεν πάντοτε ἠμποροῦμεν νὰ προσευχώμεθα μὲ τὸν νοῦν μας, καὶ νὰ κάνωμεν προσευχὴν νοερὰν εὐάρεστον εἰς τὸν Θεὸν, καὶ ἀληθινήν. μὲ τὸ κορμὶ νὰ δουλεύωμεν, καὶ μὲ τὴν ψυχὴν νὰ προσευχώμεθα. ὁ ἔξω ἄνθρωπος νὰ κάνῃ κάθε ὑπηρεσίαν σωματικὴν, καὶ ὁ ἔσω ἄνθρωπος νὰ εἶναι ὅλος διόλου ἀφιερωμένος εἰς τὴν λατρείαν τοῦ Θεοῦ, καὶ νὰ μὴν λείπῃ ποτὲ ἀπὸ τὸ ἔργον αὐτὸ τὸ πνευματικὸν τῆς νοερᾶς προσευχῆς. καθὼς μᾶς παραγγέλλει καὶ ὁ Θεάνθρωπος Ἰησοῦς εἰς τὸ ἱερὸν Εὐαγγέλιον, λέγοντας· σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ. ταμεῖον τῆς ψυχῆς, εἶναι τὸ κορμί. θύραις τοῦ ἑαυτοῦ μας, εἶναι ἡ πέντε αἰσθήσες. ἡ ψυχὴ ἐμβαίνει μέσα εἰς τὸ ταμεῖόν της, ὅταν δὲν περιπατεῖ ὁ νοῦς ἐδῶ καὶ ἐκεῖ εἰς τὰ πράγματα τοῦ κόσμου, ἀλλὰ εὑρίσκεται μέσα εἰς τὴν καρδίαν μας. καὶ ἡ αἴσθησές μας κλείουν, καὶ μένουν σφαλισμέναις, ὅταν δὲν ταῖς ἀφίνομεν νὰ προσηλώνωνται εἰς τὰ αἰσθητὰ καὶ φαινόμενα πράγματα. καὶ μὲ τοῦτον τὸν τρόπον μένει ὁ νοῦς μας ἐλεύθερος ἀπὸ κάθε προσπάθειαν κοσμικὴν, καὶ μὲ τὴν κρυπτὴν καὶ νοερὰν προσευχὴν ἑνώνεται μὲ τὸν Θεὸν τὸν Πατέρα σου. καὶ τότε (λέγει) ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. βλέπει ὁ κρυφιογνώστης Θεὸς τὴν νοεράν σου προσευχὴν, καὶ τὴν ἀνταμείβει μὲ φανερὰ καὶ μεγάλα χαρίσματα. ἐπειδὴ καὶ αὐτὴ εἶναι ἡ ἀληθινὴ, καὶ τελεία προσευχὴ, καὶ αὐτὴ γεμίζει τὴν ψυχὴν ἀπὸ τὴν θείαν χάριν, καὶ τὰ πνευματικὰ χαρίσματα, ὡσὰν καὶ τὸ μύρον ὅπου ὅσον περισσότερον τὸ κλείεις μέσα εἰς τὸ ἀγγεῖον, τόσον περισσότερον εὐωδιάζει τὸ ἀγγεῖον. ἔτζι καὶ τὴν προσευχὴν, ὅσον περισσότερον τὴν σφαλίζεις μέσα εἰς τὴν καρδίαν σου, τόσον περισσότερον τὴν γεμίζει ἀπὸ τὴν θείαν χάριν. Μακάριοι καὶ καλότυχοι εἶναι ἐκεῖνοι ὅπου συνηθίσουν εἰς τοῦτο τὸ οὐράνιον ἔργον, διατὶ μὲ αὐτὸ νικοῦν κάθε πειρασμὸν τῶν πονηρῶν δαιμόνων, καθὼς καὶ ὁ Δαβὶδ ἐνίκησε τὸν ὑπερήφανον γολιάθ. μὲ αὐτὸ σβαίνουν ταῖς ἄτακταις ἐπιθυμίαις τῆς σαρκὸς, καθὼς καὶ οἱ τρεῖς παῖδες ἔσβεσαν τὴν φλόγα τῆς καμίνου. μὲ αὐτὸ τὸ ἔργον τῆς νοερᾶς προσευχῆς καταπραΰνουν τὰ πάθη, καθὼς καὶ ὁ Δανιὴλ ἡμέρωσε τὰ ἄγρια λεοντάρια. μὲ αὐτὸ κατεβάζουν



Athos Library
Αγιορειτική Βιβλιοθήκη

τὴν δρόσον τοῦ Ἁγίου Πνεύματος εἰς τὴν καρδίαν του, καθὼς καὶ ὁ Ἠλίας ἐκατέβασε τὴν βροχὴν εἰς τὸ Καρμήλιον. αὐτὴ ἡ νοερὰ προσευχὴ εἶναι ὁποῦ ἀναβαίνει ἕως εἰς τὸν Θρόνον τοῦ Θεοῦ, καὶ φυλάττεται μέσα εἰς τὰς χρυσὰς φιάλας, διὰ νὰ θυμιάζεται μὲ αὐτὴν ὁ Κύριος. καθὼς λέγει ὁ Θεολόγος Ἰωάννης εἰς τὴν ἀποκάλυψιν. „ καὶ οἱ εἴκοσι τέσσαρες Πρεσβύτεροι ἔπεσον ἐνώπιον τοῦ ἀρνίου, ἔχοντες ἕκαστος κιθάρας, καὶ φιάλας χρυσᾶς γεμούσας θυμιαμάτων, αἵ εἰσιν αἱ προσευχαὶ τῶν ἁγίων“. Αὐτὴ ἡ νοερὰ προσευχὴ, εἶναι ἕνα φῶς ὁποῦ φωτίζει πάντοτε τὴν ψυχὴν τοῦ ἀνθρώπου καὶ ἀνάπτει τὴν καρδίαν του ἀπὸ ταῖς φλόγες τῆς ἀγάπης τοῦ Θεοῦ. αὐτὴ εἶναι μία ἅλυσος, ὁποῦ κρατεῖ ἑνωμένον καὶ ἀνταμωμένον τὸν Θεὸν μὲ τὸν ἄνθρωπον. ὢ χάρις ἀσύγκριτος τῆς νοερᾶς προσευχῆς. αὐτὴ κάνει τὸν ἄνθρωπον νὰ συνομιλῇ πάντοτε μὲ τὸν Θεόν· ὢ πρᾶγμα ἀληθινὰ θαυμάσιον καὶ ἐξαίρετον, νὰ εἶσαι ἀντάμα μὲ τοὺς ἀνθρώπους σωματικῶς, καὶ νὰ εὑρίσκεσαι ἀντάμα μὲ τὸν Θεὸν νοερῶς. οἱ Ἄγγελοι δὲν ἔχουν φωνὴν ὑλικὴν, ἀλλὰ μὲ τὸν νοῦν τους προσφέρουν εἰς τὸν Θεὸν ἀκατάπαυστον τὴν δοξολογίαν. αὐτὸ εἶναι τὸ ἔργον τους. εἰς αὐτὸ εἶναι ἀφιερωμένη ὅλη τους ἡ ζωή. λοιπὸν καὶ σὺ, ἀδελφὲ, ὅταν εἰσέρχεσαι εἰς τὸ ταμεῖόν σου, καὶ κλείεις τὴν θύραν. ἤγουν ὅταν ὁ νοῦς σου δὲν σκορπᾷ ἐδῶ καὶ ἐκεῖ, ἀλλὰ ἐμβαίνει μέσα εἰς τὴν καρδίαν σου. καὶ ἡ αἰσθήσεις σου εἶναι σφαλισμέναις καὶ δὲν εἶναι προσηλωμέναις εἰς τὰ πράγματα τοῦ κόσμου τούτου, καὶ ἔτζι προσεύχεσαι πάντοτε μὲ τὸν νοῦν σου, τότε γίνεσαι παρόμοιος μὲ τοὺς Ἁγίους Ἀγγέλους. καὶ ὁ Πατήρ σου ὁποῦ βλέπει τὴν μυστικήν σου προσευχὴν ὁποῦ τοῦ προσφέρεις ἐν τῷ κρυπτῷ τῆς καρδίας σου, μεγάλα χαρίσματα πνευματικὰ θέλει σοῦ ἀνταποδώσει ἐν τῷ φανερῷ. Μὰ καὶ τί ἄλλο μεγαλήτερον, καὶ περισσότερον θέλεις ἀπὸ τοῦτο, ὁποῦ νὰ εὑρίσκεσαι πάντοτε ἀντάμα μὲ τὸν Θεὸν, ὡς εἴπομεν, νοερῶς, καὶ νὰ συνομιλῇς ἀκατάπαυστα μὲ αὐτόν; χωρὶς τὸν ὁποῖον δὲν ἠμπορεῖ ποτὲ κανένας ἄνθρωπος νὰ εἶναι μακάριος, μήτε ἐδῶ, μήτε εἰς τὴν ἄλλην ζωήν. λοιπὸν ἀδελφὲ, ὁποῖος καὶ ἂν ἦσαι, ὅταν λάβῃς εἰς χεῖράς σου τὸ παρὸν βιβλίον, καὶ διαβάζοντάς το, ἤθελες δοκιμάσει ὠφέλειαν εἰς τὴν ψυχήν σου, παρακαλῶ θερμῶς. ἐνθυμήσου νὰ κάμῃς καὶ μίαν παράκλησιν εἰς τὸν Θεὸν, μὲ ἕνα Κύριε ἐλέησον. διὰ τὴν ἁμαρτωλὴν ψυχὴν ἐκείνου ὁποῦ ἐκοπίασεν εἰς τοῦτο τὸ βιβλίον, καὶ ἐκείνου ὁποῦ ἐξόδευσε νὰ τὸ τυπώσῃ. οἱ ὁποῖοι ἔχουν χρείαν μεγάλην τῆς προσευχῆς σου, διὰ νὰ εὕρουν ἔλεος θεϊκὸν εἰς τὰς ψυχάς τους, καὶ σὺ εἰς τὴν ἐδικήν σου. γένοιτο· γένοιτο.

# Τ Ε Λ Ο Σ.



Athos Library
Αγιορειτική Βιβλιοθήκη

# NOI RIFORMATORI
## Dello Studio di Padova.

AVendo veduto per la Fede di Revisione, ed Approvazione del Pubblico Revisor *D. Natal dalle Laste* nel Libro intitolaro *Filocalia ec. Tomi 2. in Greco MS.* non v'esser cosa alcuna contro la Santa Fede Cattolica, e parimente per Attestato del Segretario Nostro, niente contro Principi, e buoni costumi concediamo Licenza a *D. Antonio Bortoli* Stampator di *Venezia* che possi essere stampato, osservando gli ordini in materia di Stampe, e presentando le solite Copie alle Pubbliche Librarie di Venezia, e di Padova.

Data li 13. Ottobre 1781.

{ ALVISE VALLARESSO Rif.

{ GIROLAMO ASCANIO GIUSTINIAN Cav. Rif.

Registrato in Libro a Carte 22. al Num. 217.

*Davidde Marchesini Seg.*

Adi 19. Giugno 1782.

Registrato nel Libro a Carte 107. esistente nel Magistrato degl'Illustr. ed Eccell. Signori Esecutori contro la Bestemmia.

*Giannantonio M. Cossali Nodaro.*

Adi 27. Giugno 1782. Venezia.

Registrato in Libro Privileggi dell'Università de'Librari e Stampatori.

*Marc' Antonio Manfrè Prior.*

Athos Library
Αγιορειτική Βιβλιοθήκη